# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠ. ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

SANCTI PATRIS NOSTRI

# JOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI

CONSTANTINOPOLITANI

# OPERA OMNIA

QUÆ EXSTANT,

VEL QUÆ EJUS NOMINE CIRCUMFERUNTUR.

Ad Mss. Codices Gallicanos, Vaticanos, Anglicanos, Germanicosque; necnon ad Savilianam & Frontonianam Editiones castigata, innumeris aucta: nova Interpretatione ubi opus erat, Præfationibus, Monitis, Notis, variis Lectionibus illustrata, nova Sancti Doctoris vita, Appendicibus, Onomastico, & copiosissimis Indicibus locupletata.

*Opera & studio D. BERNARDI DE MONTFAUCON, Monachi Ordinis Sancti Benedicti e Congregatione S. Mauri, opem ferentibus aliis ex eodem Sodalitio Monachis.*

TOMUS DECIMUS.



PARISIIS;

Sumptibus { CAROLI ROBUSTEL, sub signo Palmæ. JOANNIS BARBOU, sub signo Ciconiarum. GUILLELMI DESPREZ, Typog. Regii, } sub signis S. Prosperi, JOANNIS DESESSARTZ, } & trium Virtutum, } viâ Jacobæa.

M. DCC. XXXII.

*CUM PRIVILEGIO REGIS.*

# PRÆFATIO
## AD HOMILIAS CHRYSOSTOMI IN BINAS AD CORINTHIOS EPISTOLAS.

### §. I.

1. *De Homiliarum harumce præstantia.* 2. *Deque prologo ad easdem.* 3. *Quidam negant esse Chrysostomi.*

1. INTER præstantissima Joannis Chrysostomi opera accensentur Homiliæ in epistolam utramque Pauli ad Corinthios, ac cum primis elegantia & gravitate concertare possunt; maxime vero Homiliæ in primam epistolam, quas Homiliis ad secundam, multi putant esse anteferendas, si tropos & accurationem spectaveris. In prioribus namque diligenter omnia fusioreque stilo persequitur, salibusque frequenter utitur, ac vel minutiora discutit; nusquam certe majori studio elaboratas Homilias deprehendas: qua in re fortasse quidam hodierni lectores redundare illum & ultra metas nonnunquam progredi dixerint. Verum ille, quod præcipuum est oratoris munus, auditorum ingenium & captum tam solerter exploraverat, ut sibi eorum animos conciliaret, gratam concionis admurmurationem, plaususque frequentes, ut in orationum decursu videas. Ad hæc vero in Homiliis ad primam epistolam plurima occurrunt, pugnæ nempe & velitationes frequentes contra Philosophos exteros & falsorum deorum cultores & contra hæreticos nonnullos, ac singularia quædam ad istius ævi mores & usum pertinentia, aliaque de quibus mox carptim agemus.

2. Antequam enim ulterius progrediamur ipsum operis exordium, sive prologus concionibus præmissus, moram infert, nec parum negotii facessit. Sub initium enim ista legimus: πολλὰ δὲ καὶ αὐτὸς ἔπαθεν ὁ Παῦλος ἐν ταύτῃ τῇ πόλει, καὶ ὁ Χριστὸς δὲ ἐν ταύτῃ αὐτῷ φανεὶς φησι· μὴ σιγήσῃς, ἀλλὰ λάλει· διότι λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ. καὶ ἔμεινεν ἐκεῖ δύο ἔτη. ἐν ταύτῃ καὶ ὁ δαίμων ἐξῆλθεν, ὃν οἱ Ἰουδαῖοι ἐφορκίζοντες, τὰ ἀνήκεστα ἔπαθον παρ' αὐτοῦ. ἐν ταύτῃ τὰς βίβλους συναγαγόντες τῶν γοήτων οἱ μετανοήσαντες κατέκαυσαν, καὶ ὤφθησαν μυριάδες πέντε. ἐν ταύτῃ καὶ ἐπὶ Γαλλίωνος τοῦ ἀνθυπάτου ἐπὶ τοῦ βήματος ὁ Παῦλος ἐτύπτετο; hoc est: *Multa autem in hac urbe;* nempe Corintho, *passus est Paulus, & Christus in illa apparens ei, dixit: Ne taceas, sed loquere: Quia multus est mihi populus in hac civitate. Et mansit ibi duos annos. In hac quoque dæmon exiit, quem Judæi adjurantes, gravia ab illo passi sunt. In hac item quidam pœnitentia ducti libros magicos combusserunt: & visa sunt quinquaginta millia* (*denariorum*)

*In hac demum, Gallione proconsule in tribunali sedente, Paulus verberatus est.*

3. His conspectis quidam viri docti, an Chrysostomus prologi hujusce auctor fuerit dubitavere. Num Chrysostomus, inquiunt, in lectione Sacræ Scripturæ ita versatus, ignorare potuit, hæc quæ referuntur de Judæis filiis Scevæ, ut dæmonem ejicerent nomen Domini Jesu invocantibus & male multatis; deque iis qui libros magicos combusserunt, quorum pretium erat quinquaginta millium denariorum; hæc, inquam, non Corinthi, sed Ephesi gesta esse, ut ex Actuum libro cap. 19. liquet? An Chrysostomus dixerit etiam Paulum in conspectu Gallionis verberatum fuisse? id quod in 18. Actuum capite, non de Paulo, sed de Sosthene dicitur? Fateor certe his continenter positis erroribus me non parum moveri. Licet enim Chrysostomus non infrequenter memoria labatur, & alium pro alio Scripturæ librum commemoret, hic certe major lapsus deprehenditur. Verum, hoc demto loco, Prologus tam apte concinnatus est, ut mihi ipse Chrysostomus loqui videatur; & quod me magis, ut ne doctis illis viris omnino assentiar, detinet, ita desinit prologus, ut idem scriptor Homiliam primam incipiens eadem serie pergere deprehendatur. Quod enim aliquando memoria labatur in hoc ipso tomo videre potes pag. 660. ubi Milesios pro Ephesiis posuit, similiaque alibi non raro deprehendas. Rem tamen eruditi Lectoris judicio permitto.

## §. II.

1. *Homiliæ in Epistolam I. ad Corinthios Antiochiæ habita fuere, ipso teste Chrysostomo.* 2. *Multa scitu dignissima complectuntur circa Philosophos exteros.* 3. *Circa Hæreticos, Manichæos nempe & Marcionistas.* 4. *Ridiculus Marcionistarum ritus.* 5. *Contra Antiochenorum Christianorum mores.* 6. *Alia quædam observantur.*

Pag. 187. 188. Non abs re fuerit hic referre qua permotus occasione Chrysostomus in Homilia XXI. se Antiochiæ concionari declaraverit. Divites multi erant in istac urbe, avari, neque ad stipem pauperibus erogandam propensi. Isti inopes quosque obvios, ne teruncio quidem oblato abigebant. Illi vero ut opulentos illos flecterent, dira quæque tentabant. Alii filios excæcare, ut ad commiserationem moverent; alii spectaculi causa, detritorum calceorum coria mandere, alii acutos clavos in caput infigere; hi in aquis gelu concretis nudo ventre immorari; illi his etiam absurdiora & acerbiora sustinere. Hujusmodi vero spectaculis illi opibus circumfluentes commoti, pecuniam largiter effundebant iis quos obsecrantes antea repulerant. Illos autem acerrime, ut par erat, insectatur S. Doctor; utque exemplo illos ad meliorem frugem reducat, Antiochenos illos priscos in memoriam revocat, qui temporibus Apostolicis floruerant, & qui primi Christianorum nomine appellati, bona sua largiter in pauperum & ecclesiarum usum effundebant; ut hinc hodiernis pudorem incuteret. Quia vero divites illi inopes & mendicos ad Ecclesiam Antiochenam, quæ amplissimis reditibus instructa erat, remittere solebant; obnititur ille, aitque, stipem ab Ecclesia erogatam, opulentis nihil meriti conferre nisi & ipsi largiter spargerent. In quadam autem Concione superioribus inserta tomis, dixerat ille Ecclesiam Antiochenam ex proventu suo, inopes, viduas & Virgines ad ter mille numero quotidie alere. Has igitur Conciones in Epistolam primam Antiochiæ habitas fuisse ex ipsius Chrysostomi testimonio certo constat.

2. Occasione sumta ex Apostolicis verbis, multa sæpe interserit contra philosophos exteros, & contra idolorum cultores. Primo disputationem Pag 20.
quamdam Platonici cum Christiano refert, ubi ita inconsulto utrinque adhibentur argumenta, ut ambo contrariam sententiam asserere, suam impugnare deprehendantur. Platonem non raro aggreditur, quem dicit Pag. 2.
male de diis sentientem ipsos tamen coluisse, iter in Siciliam instituisse, Pag 60. 259.
multumque laborasse circa lineam, angulum & punctum. Poëtæ cujus- Pag 260.
dam profani & ignoti versus affert & Pythiæ turpitudinem historiamque traducit. Socratis exemplum affert, qui dicacem & procacem uxorem Pag 239.
patienter ferre solebat : & cum auditores in clamorem & risum erupissent, ipsos compressit Chrysostomus dicens : *Magna voce exclamastis, sed ego valde nunc ingemo, cum videam Græcos magis philosophos esse, quam nos, qui jubemur Angelos imitari, imo qui jubemur ipsum æmulari Deum in mansuetudinis ratione.* De Diagora item & Theodoro ἀθέοις, deque Pythagora quædam interserit. De Diogene Cynico ait, ipsum inanis gloriæ causa & in dolio habitasse & pannis obsitum sese ostentavisse. Aliosque philosophos Græcos pari modo carpit.

3. Manichæos hic non semel impugnat, ut etiam in aliis operibus suis. Pag. 57.
Nam hujus hæreseos virus passim per Orientem serpebat. Puto autem 352.
hæreticos illos qui Chrysostomo teste pag. 387. dicebant aliud corpus a 355. 365.
priore diversum resurgere, Manichæos esse, qui cum assererent corpus 387.
humanum a malo deo seu a diabolo creatum fuisse, aliud & diversum ab illo resurrecturum esse comminiscebantur : hanc hæreticorum, tacito nomine, opinionem memorat etiam in Homiliis ad secundam Epistolam pag. 509.

4. Marcionistas quoque insectatur, maxime vero cum ad eum locum pervenit, ubi Paulus hæc explicatu difficilia profert : *Alioqui quid facient qui baptizantur pro mortuis.* Ubi quid ea de re sentiant, & quomodo id exsequantur Marcionistæ sic effert Chrysostomus : *Vultis primum dicam quomodo hanc dictionem adulterant qui morbo laborant Marcionis? Atque scio fore ut risum multum moveam; ideo tamen dicam, ut illorum morbum magis fugiatis. Nam postquam Catechumenus quispiam apud illos excesserit, sub lecto mortui absconso aliquo vivente, accedunt ad mortuum & alloquuntur, rogantque velit-ne accipere baptismum. Illo nihil respondente, qui est absconsus inferne pro illo dicit se velle baptizari : & sic eum baptizant pro eo qui excessit, ac si in scena luderent; tantum valuit diabolus in ignavorum animis. Deinde cum accusantur, adducunt hoc verbum, dicentes Apostolum dixisse, qui baptizantur pro mortuis.* Contra Pneumatomachos, qui negabant Spiritum sanctum esse Deum pugnat Chrysostomus. Sed ea Pag. 264.
in re non multum immoratur.

5. Antiochenorum etiam Christianorum dissolutos mores orationis vi compescere nititur Chrysostomus. Etenim in connubiorum celebritate, Pag. 104.
choreæ, cymbala, tibiæ, verba & cantica obscœna turpiaque adhibeban- 105. 106.
tur, multaque diaboli colluvies erat, inquit ille. Hinc appetente nocte nova sponsa cum lucernis in forum ducebatur, comitantibus verberonibus & fugitivis, qui turpia & obscœna quæque proferebant; nam diebus istis omnia licebant : præsentibus etiam virginibus, quæ turpes illas cantilenas exciperent. Deinde vero si infans ex tali connubio nasceretur, Pag. 107.
superstitiosa multa videre erat : accensis enim lucernis, queis nomina 108.
indita erant, nato nomen ejus dabant, quæ diutius lucem dedisset, hinc conjicientes futurum esse ut infans diutius viveret. Insuperque πέταλα seu ligamina & crepitacula superstitiose appendebantur, stamenque coccineum & similia. Nutrices autem & ancillæ, lutum ex balneo sumentes, digitoque tingentes, in pueri fronte imprimebant, putantes hinc

malum oculum, livorem & invidiam depelli. Multa quoque alia superstitiosa usu veniebant in partus doloribus. Maxime autem in funeribus, ubi præficarum agmen videre erat, more veterum Gentilium.

Pag. 32. Multi etiam apud Christianos Antiochenos erant, qui resurrectioni non credebant, qui Genesim observabant: alii dierum observationibus, vaticiniis, auguriis & symbolis; alii ligaminibus & incantationibus dediti erant. Hincque videas Oratori nostro non modicam fuisse declamandi, arguendi, & objurgandi materiam.

Pag. 168. 6. Alia quædam a Chrysostomo sparsim dicta & enunciata, hic paucis afferenda duximus in Homilia XIX. postquam de Virginitate plurima dixerat, se tamen plurima prætermisisse ratus ad librum de Virginitate ab se editum remittit, quem librum nos tomo I. pag. 268. edidimus. Ho-
Pag. 216. 217. & seqq. milia autem 24. præsentiam corporis Christi in Eucharistia tam aperte declarat ac repetit, ut nemo, nisi præjudicata opinione admodum detineatur, negare possit eam vere fuisse istius ævi sententiam. Homilia vero 43. ait Christianum neminem ad precationem illotis manibus accedere, qui exterior cultus majorem animi præparationem adhibendam esse indicabat.

## §. III.

*1. De Homiliis in secundam ad Corinthios Epistolam. 2. Probatur illas etiam Antiochiæ habitas fuisse. 3. Marcion, Manichæus aliique hæretici confutantur. 4. Alia quædam observatu digna.*

1. Homilias in secundam ad Corinthios Epistolam non pari elegantia atque priores, de quibus jam actum est, scriptas fuisse quidam opinantur. Breviore utique stilo explanantur. Et quia Chrysostomus in priore epistola Paulum apostolum sequutus, qui Christianos illos, in ecclesia tumultus & dissidia moventes, vehementer insectabatur, cum acrimonia majore loquitur, in secunda vero cum Apostolo pacatius agit, nec tropis tam frequentibus utitur, non parem certe operam in ambabus adhibuisse videtur.

2. De Homiliis autem in secundam hæc habet Savilius in notis p. 227. *De posteriore ad Corinthios subdubitare me cogit dictio, quam in proxime memoratis paulo* ἀκριβεστέρα. *Si tamen* γνήσιον *est Ethicon illud 26. quod inter doctos disceptari video, verba certe illa* pag. 687. 28. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν, &c. *Constantinopoli clare indicant.* Quæ ut intelligantur, hæc enim obscurius prolata jacent; hoc modo sunt intelligenda. Savilius Photium sequutus, qui dixerat eas Homilias quas Antiochiæ habuit Chrysostomus, accuratius elaboratas esse quam eas, quas Constantinopoli emiserat, Homilias in Epistolam ad Colossenses, in utramque ad Thessalonicenses, & in Epistolam ad Hebræos, minus elaboratas, Constantinopoli emissas esse dixit; de Homiliis autem in secundam ad Corinthios subdubitare se ait Antiochiæ-ne an Constantinopoli habitæ fuerint, quia majori cum accuratione compositæ sunt, quam illæ ad Colossenses, &c. Si tamen illud, inquit, quod in Homilia 26. legitur de Constantini sepulcro, vere Chrysostomi sit, qua de re multi dubitant, Constantinopoli habitæ fuerint. Sic ille de loco illo dubitari an vere Chrysostomi sit nec-ne asserit, neminemque tamen ex dubitantibus nominat: neque ulla dubitandi vel disceptandi causa comparet, in omnibus namque tum Editis tum manuscriptis habetur, & optime ad seriem quadrat.

Locum vero illum pessime intellexit Savilius, cum putavit illo probari has Homilias Constantinopoli fuisse habitas, cum contra probetur illas Antiochiæ dictas fuisse. En ipsum locum Homilia XXVI. pag. 625. c. καὶ

τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ ἴδοι τις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ τοῖς προθύροις κατάθοιτο τοῦ ἁλιέως; id est : *Atque id non Romæ ſolum fieri quiſpiam viderit, ſed etiam Conſtantinopoli; Nam & hic quoque Conſtantinum magnum filius ita ſe ingenti honore affecturum exiſtimavit; ſi eum in Piſcatoris veſtibulo conderet.* His porro verbis, οὐκ ἐν τῇ Ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει, *non Romæ ſolum, ſed etiam Conſtantinopoli*, aperte declarat ſe Conſtantinopoli tunc non fuiſſe, nuſquam enim illum de urbe in qua degit ſic loquutum deprehendas. Savilium decepit id quod ſequitur, καὶ γὰρ καὶ ἐνταῦθα, *nam & hîc*, putavit enim illud καὶ ἐνταῦθα, *& hîc*, locum in quo tunc prædicabat Chryſoſtomus indicare. Verum & hoc loco & paucis poſtea verſibus, & ſexcenties alibi ἐνταῦθα ſignificat locum de quo loquitur, non locum in quo verſatur. Itaque hæ poſteriores Homiliæ Antiochiæ non Conſtantinopoli habitæ fuere : quæ item fuit Tillemontii Cl. V. ſententia.

3. Ut in prioribus Homiliis Marcioniſtas exagitat, qui dicebant rerum opificem juſtum eſſe, ſed non bonum; Manichæos item inſectatur, qui ore impio hunc rerum opificem diabolum eſſe pronunciabant. Hæreticos etiam iſtos aliquot in locis inſectatur : necnon & alios qui dicebant mundum ipſum eſſe deum, qui error etiam ævo noſtro renovatus fuit. Pag. 493. Pag. 587.

4. Alia quoque obſervatu digna in hiſce poſterioribus Homiliis occurrunt. Opinatur Chryſoſtomus fratrem illum de quo dicit Paulus, *cujus laus eſt in Evangelio*, eſſe Barnabam, vulgarior tamen ſententia eſt Lucam eſſe ab Evangelio quod deſcripſit laudandum. Affirmat quoque S. Doctor Alexandrum magnum a ſenatu Romano tertium-decimum deum declaratum fuiſſe, id quod nuſpiam memini me legere. Tertius-decimus autem deus dictus fuerit, quia duodecim deos Romani admittebant, his duobus verſibus comprehenſos. Pag. 564. 565. Pag. 624.

*Juno, Veſta, Minerva, Ceres, Diana, Venus, Mars,*
*Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo.*

Ritum porro ſingularem, & uſus frequentis commemorat, quod ſcilicet ii, qui in Eccleſiam ingrediebantur Eccleſiæ veſtibula oſcularentur.

Homiliarum in primam Epiſtolam interpretationem Latinam, quod non accurata eſſet pene totam mutavimus; in ſecunda autem multa correximus.

# INDEX OPERUM S. JOANNIS CHRYSOSTOMI

## Quæ in Tomo decimo continentur.



## SPURIA EX SAVILII EDITO DESUMTA.



Poussin pinx. Herisset Sculp.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Ὑπόθεσις τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς.

SANCTI PATRIS NOSTRI

# JOANNIS CHRYSOSTOMI

Archiepiscopi Constantinopolitani.

*Argumentum Epistolæ primæ ad Corinthios.*

Η ΚΟΡΙΝΘΟΣ ἔστι μὲν νῦν πόλις τῆς Ἑλλάδος ἡ πρώτη, πολλοῖς δὲ τὸ παλαιὸν πλεονεκτήμασι βιωτικοῖς ἐκόμα, καὶ παρὰ τῶν ἄλλων πάντων τῇ τῶν χρημάτων περιουσίᾳ. διὸ καί τις τῶν ἔξωθεν συγγραφέων [a] ἀφνειὸν ἐκάλει τὸ χωρίον. ἐν γὰρ τῷ Ἰσθμῷ κεῖται τῆς Πελοποννήσου, καὶ πολλὴν εἶχεν ἐμπορίας ὑπόθεσιν. ἦν δὲ καὶ ῥητόρων πολλῶν ἔμπλεως ἡ πόλις, καὶ φιλοσόφων. καί τις [b] τῶν ἑπτὰ καλουμένων σοφῶν ἀπὸ τῆς πόλεως ταύτης ἦν. ταῦτα δὲ ἡμῖν οὐ φιλοτιμίας ἕνεκεν εἴρηται, οὐδὲ πρὸς ἐπίδειξιν πολυμαθείας· τί γὰρ δὴ καὶ ἐστι τὸ ταῦτα εἰδέναι; ἀλλὰ πρὸς τὴν ὑπόθεσιν ἡμῖν συντελεῖ τῆς ἐπιστολῆς. πολλὰ δὲ καὶ αὐτὸς ἔπαθεν ὁ Παῦλος ἐν ταύτῃ τῇ πόλει, καὶ ὁ Χριστὸς δὲ ἐν ταύτῃ αὐτῷ φανείς φησι· μὴ σιγήσῃς, ἀλλὰ λάλει· διότι λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ· καὶ ἔμεινεν ἐκεῖ δύο ἔτη. ἐν ταύτῃ καὶ ὁ δαίμων ἐξῆλθεν, ὃν οἱ Ἰουδαῖοι ἐφορκίζοντες, τὰ ἀνήκεστα ἔπαθον παρ᾽ αὐτοῦ. ἐν ταύτῃ τὰς βίβλους συναγαγόντες τῶν γοήτων οἱ μετανοήσαντες κατέκαυσαν, καὶ ὤφθησαν μυριάδες πέντε. ἐν ταύτῃ

A CORINTHUS nunc prima Græciæ civitas multis olim florebat ornamentis & commodis, atque opum abundantia cæteris omnibus præstabat: quapropter ex scriptoribus exteris quispiam locum vocabat ἀφνειὸν id est opulentum. B Sita est enim in Isthmo Peloponnesi & ad mercimonia admodum opportuna erat. Oratoribus autem & philosophis plena erat, atque ex septem illis qui sapientes vocabantur quidam Corinthius erat. Hæc porro a nobis non ostentationis causa, nec ad eruditionem exhibendam dicta sunt; quid enim juvat hæc nosse? sed hæc ad epistolæ argumentum nobis conferunt. Multa autem in hac urbe passus est Paulus, & Christus in illa apparens ei, dixit: C *Ne taceas; sed loquere: quia multus est mihi populus in hac civitate.* Et mansit ibi duos annos. In hac quoque dæmon exiit, quem Judæi adjurantes gravia ab illo passi sunt: in hac item quidam pœnitentia ducti libros magicos combusserunt: * & visa sunt quinquaginta millia:

Corinthi dignitas.

Act. 18. 10.

Collata cum codice Regio 1818. in quo priora folia desiderantur, & in decursu alia plurima.

a Ἀφνειόν τε Κόρινθον, inquit Homerus Il. 2. & post eum Thucidides ex opulentia hoc nomen Corintho inditum dicit. Homeri locum refert Strabo l. 8.

b τις τῶν ἑπτὰ καλουμένων σοφῶν. Periander Corinthius, septem illis Græciæ sapientibus annumeratur a quibusdam. Non una quippe est in septem sapientium recensione sententia.

in hac demum Gallione proconsule in tribunali sedente, Paulus verberatus est. Videns ergo diabolus civitatem magnam & populosam, veritatem accepisse; illam, inquam, divitiis & sapientia mirabilem, Græciæque præcipuam; res enim Atheniensium & Lacedæmoniorum, sublato jam olim ipsis imperio, misere jacebant; videns item Corinthios alacri animo verbum Dei suscepisse; quid facit? Homines dividit. Sciebat enim regnum omnium potentissimum in seipsum divisum, stare non posse. Occasionem autem habuit ad insidias parandas, habitantium divitias atque sapientiam. Hinc illis in factiones adversum se mutuo divisis, cum quidam eorum se suopte arbitrio delegissent, multitudini præfuerunt; & alii quidem his, alii illis sese dediderunt; illis ut divitibus, his ut sapientibus qui plus possent docere: quibus adjunctis sibi, gloriabantur se plura dicere, quam apostolus; id quod ille subindicans dicebat: *Non potui vobis loqui tamquam spiritualibus.* (1. Cor. 3. 1.) Certe non ex Pauli penuria; sed ex illorum infirmitate factum est ut non multa audirent. (1. Cor. 4. 8.) Et hoc indicat illud: *Sine nobis divites facti estis.* Quæ res non parva, sed omnium perniciosissima erat, quod ecclesia discinderetur. Ad hæc autem aliud scelus admittebatur, quod quidam cum noverca sua coiret, nec modo non corriperetur, sed etiam cœtus cogeret, & sequacibus suis suaderet ut altum saperent. (1. Cor. 5. 2.) Ideo ait: *Et vos inflati estis, & non magis luxistis.* Ad hæc autem quidam ex iis qui perfectiores habebantur, cum ob ingluviem ea quæ idolis immolata fuerant degustarent, & in templis accumberent, omnia pessumdabant. Alii rursum lites & contentiones habentes pro pecuniis, externis tribunalibus hæc omnia negotia sua permittebant. Multi quoque comati apud illos circuibant, quos etiam tonderi jubet. Aliud quoque delictum erat non parvum, quod in Ecclesiis seorsim comederent, neque egenis impertirent. In alia etiam re peccabant, quod de charismatibus altum saperent, indeque inter illos æmulatio oritur: quod ipsum quoque Ecclesiam scindebat. Resurrectionis quoque doctrina apud illos claudicabat. Quidam apud illos futuram corporum resurrectionem non admodam credebant, Græcæ adhuc stultitiæ morbo laborantes. Hæc quippe omnia ortum habebant ex philosophiæ externæ stultitia: & hæc erat malorum mater. Hinc discindebantur, quod ipsum a Philosophis didicerant. Nam & illi sibi mutuo adversabantur, imperii & vanæ gloriæ causa aliorum semper sententiam impugnantes, & nova prioribus addere studentes. Sic autem affecti erant, quia ratiociniis sua permittebant. Illi autem Scripserunt ei Fortunatum, Stephanam & Achaïcum mittentes, quorum opera

A καὶ ἐπὶ Γαλλίωνος τοῦ ἀνθυπάτου ἐπὶ τοῦ βήματος ὁ Παῦλος ἐτύπτετο. ὁρῶν τοίνυν ὁ διάβολος πόλιν μεγάλην καὶ πολυάνθρωπον τῆς ἀληθείας ἐπειλημμένην, καὶ πλούτου καὶ σοφίας ἕνεκεν θαυμαστὴν οὖσαν, καὶ τῆς Ἑλλάδος τὸ κεφάλαιον· τὰ γὰρ Ἀθηναίων καὶ Λακεδαιμονίων ἀθλίως διέκειτο λοιπὸν, τῆς ἀρχῆς πάλαι μεταπεσούσης; καὶ θεασάμενος ὅτι μετὰ πολλῆς τῆς προθυμίας ἐδέξαντο τὸν τοῦ θεοῦ λόγον, τί ποιεῖ; διαιρεῖ τοὺς ἀνθρώπους. ᾔδει γὰρ ὅτι καὶ βασιλεία ἡ πασῶν ἰσχυροτέρα ἐφ' ἑαυτὴν μερισθεῖσα, οὐ σταθήσεται. B Εἶχε δὲ ἀφορμὴν πρὸς τὴν ἐπιβουλὴν ταύτην τὸν πλοῦτον, καὶ τὴν σοφίαν τῶν οἰκούντων. ἐντεῦθεν συμμορίας ποιησάμενοι καθ' ἑαυτοὺς καὶ αὐτοχειροτόνητοι γενόμενοί τινες, προειστήκεσαν τοῦ πλήθους, καὶ οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις ἑαυτοὺς προσένεμον, τοῖς μὲν, ὡς πλουσίοις, τοῖς δὲ, ὡς σοφοῖς καὶ πλέον τι δυναμένοις διδάσκειν· οἳ δὴ καὶ παραλαβόντες αὐτοὺς, ἐφιλοτιμοῦντο πλέον τι τοῦ ἀποστόλου δῆθεν λέγειν· ὅπερ οὖν καὶ αἰνιττόμενος ἔλεγεν· Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. δηλονότι οὐ παρὰ τὴν οἰκείαν ἀπορίαν, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀσθένειαν τὸ μὴ πολλὰ ἀκοῦσαι γέγονε. καὶ τὸ, χωρὶς ἡμῶν C ἐπλουτήσατε, τοῦτό ἐστιν ἐνδεικνυμένου. καὶ ἦν τοῦτο οὐ μικρὸν, ἀλλὰ πάντων ὀλεθριώτερον, τὸ διεσπάσθαι τὴν ἐκκλησίαν. καὶ ἕτερον δὲ μετὰ τούτων ἁμάρτημα ἐτολμᾶτο αὐτόθι, τὸ, μητρυιᾷ τινα συγγενόμενον μὴ μόνον μὴ ἐπιπλήττεσθαι, ἀλλὰ καὶ ὀχλαγωγεῖν, καὶ τοῖς μετ' αὐτοῦ παρέχειν μεγαφρονεῖν. διό φησι, καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. καὶ μετὰ τοῦτο πάλιν τινὲς τῶν δῆθεν τελειοτέρων, καὶ ἀπὸ γαστριμαργίας τῶν εἰδωλοθύτων ἀπογευόμενοι, καὶ ἐν τοῖς ἱεροῖς κατακλινόμενοι, τὰ πάντα ἐλυμαίνοντο. ἄλλοι πάλιν μάχας ἔχοντες καὶ φι- D λονεικίας ὑπὲρ χρημάτων, τοῖς ἔξωθεν δικαστηρίοις τὰ καθ' ἑαυτοὺς ἅπαντα ταῦτα ἐπέτρεπον. καὶ κομῆται δὲ πολλοὶ παρ' αὐτοῖς περιῄεσαν, οὓς καὶ ἀποκείρασθαι κελεύει. ἦν τι καὶ ἕτερον πλημμέλημα οὐ μικρὸν, τὸ καθ' ἑαυτοὺς ἐσθίειν ἐν ταῖς ἐκκλησίαις, καὶ μὴ μεταδιδόναι τοῖς δεομένοις. μετὰ δὲ τοῦτο καὶ ἕτερον ἐπλημμέλουν, ἐπὶ τοῖς χαρίσμασι μέγα φρονοῦντες, καὶ πρὸς ἀλλήλους ἐντεῦθεν ζηλοτύπως ἔχοντες, ὅπερ καὶ αὐτὸ μάλιστα διέσπα τὴν ἐκκλησίαν. καὶ ὁ περὶ τῆς ἀναστάσεως δὲ λόγος ἐχώλευε παρ' αὐτοῖς. ἔνιοι γὰρ αὐτῶν οὐ σφόδρα ἐπίστευον ἀνάστασιν εἶναι σω- E μάτων, τὰ τῆς Ἑλληνικῆς μωρίας ἔτι νοσοῦντες. καὶ γὰρ ἅπαντα ταῦτα ἀπὸ τῆς κατὰ τὴν φιλοσοφίαν τὴν ἔξωθεν ἀνοίας ἐτίκτετο, καὶ αὕτη ἦν τῶν κακῶν ἡ μήτηρ. ἐντεῦθεν καὶ διῄρηντο, καὶ αὐτὸ τοῦτο ἀπὸ τῶν φιλοσόφων μαθόντες. καὶ γὰρ ἐκεῖνοι κατ' ἀλλήλων ἔστησαν, ἀεὶ ὑπὸ φιλαρχίας καὶ κενοδοξίας τοῖς ἀλλήλων ἐναντιούμενοι δόγμασι, καὶ σπουδάζοντες ἐφευρεῖν τι τοῖς προτέροις. ταῦτα δὲ ἔπασχον, ἐπειδὴ λογισμοῖς ἐπέτρεπον τὰ καθ' ἑαυτούς. ἔγραψαν μὲν οὖν αὐτῷ διὰ Φορτουνάτου, καὶ Στεφανᾶ, καὶ Ἀχαϊκοῦ, δι' ὧν καὶ

A αὐτὸς γράφει, καὶ τοῦτο ἐδήλωσεν ἐν τῷ τέλει τῆς ἐπιστολῆς, οὐ μὴν περὶ πάντων, ἀλλὰ περὶ γάμου, καὶ παρθενίας. διὸ καὶ ἔλεγε, περὶ δὲ ὧν ἐγράψατέ μοι. αὐτὸς μέντοι, καὶ ὑπὲρ ὧν ἔγραψαν, καὶ ὑπὲρ ὧν οὐκ ἔγραψαν, ἐπιστέλλει, πάντα μετὰ ἀκριβείας μαθὼν αὐτῶν τὰ ἐλαττώματα. καὶ τὸν Τιμόθεον δὲ ἀποστέλλει μετὰ τῶν γραμμάτων, εἰδὼς ὅτι πολλὴν μὲν ἰσχὺν ἔχει καὶ τὰ γράμματα, οὐ μικρὰν δὲ αὐτοῖς οἴσει προσθήκην καὶ ἡ παρουσία τοῦ μαθητοῦ. ἐπειδὴ δὲ αἰσχυνόμενοι οἱ διανειμάμενοι τὴν ἐκκλησίαν, μὴ δόξωσι φιλοτιμίας ἕνεκεν τοῦτο πεποιηκέναι, προκαλύμματα τοῦ B πάθους ἐπενόησαν, τὸ τὰ τελειότερα δῆθεν διδάσκειν, καὶ σοφώτεροι τῶν ἄλλων εἶναι· κατ' αὐτοῦ πρῶτον ὁ Παῦλος ἵσταται τοῦ νοσήματος, τὴν ῥίζαν τῶν κακῶν ἀναστέλλων, καὶ τὴν ἐντεῦθεν φυεῖσαν διχόνοιαν. καὶ πολλῇ κέχρηται τῇ παῤῥησίᾳ. ἦσαν γὰρ αὐτοῦ καὶ μαθηταὶ οὗτοι μάλιστα πάντων. διό φησιν, εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστέ. καὶ ἀσθενέστερον γε τῶν ἄλλων διέκειντο. διό φησιν, οὐ γὰρ ὡς πνευματικοῖς ἐλάλησα. οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. τοῦτο δὲ λέγει, ἵνα μὴ νομίσωσιν ὅτι ὑπὲρ τοῦ πα- C ρελθόντος χρόνου τοῦτο λέγει. πλὴν ἀλλ' οὐδὲ πάντας εἰκὸς ἦν διεφθάρθαι, ἀλλ' εἶναί τινας ἐν αὐτοῖς καὶ σφόδρα ἁγίους. καὶ τοῦτο ἐν μέσῳ τῆς ἐπιστολῆς ἐδήλωσεν εἰπών, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ· καὶ ἐπαγαγών, ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ. ἐπεὶ οὖν ἐξ ἀπονοίας πάντα ἔτικτε τὰ κακά, καὶ τοῦ νομίζειν εἰδέναι τι πλέον, ταύτην πρὸ τῶν ἄλλων καθαιρεῖ, καὶ ἀρχόμενός φησι.

ipse epistolam misit: & hoc indicavit in fine epistolæ, non de omnibus loquens, sed de connubio & de virginitate. Ideo dicebat: *De quibus autem scripsistis mihi.* 1. Cor. 7. 1. Ille porro, & de quibus scripserunt, & de quibus non scripserunt epistolam texit; cum omnia illorum vitia edidicisset. Et cum literis Timotheum mittit; gnarus vim magnam habituras literas esse, nec parvam accessionem allaturam discipuli præsentiam. Quia vero ii qui ecclesiam diviserant, verentes ne ambitionis causa id fecisse viderentur, propositi sui obtentus excogitaverunt, quod nimirum perfectiora docerent & sapientiores aliis essent; contra hunc morbum primo insurgit Paulus, radicem malorum deprimens, necnon dissensionem inde subortam: multaque loquendi fiducia utitur. Hi enim maxime omnium discipuli sui erant. Idcirco ait: *Si aliis non sum apostolus, vobis certe sum. Vos enim estis signaculum apostolatus mei:* 1. Cor. 9. 2. Et aliis infirmiores erant, ideo dicit: *Non enim ut spiritualibus loquutus sum: nondum enim poteratis, sed nec nunc potestis.* Hoc autem dicit ne putarent eum ita loqui de tempore præterito. Cæterum verisimile est non corruptos omnes fuisse; sed quosdam inter illos fuisse admodum sanctos. Et hoc in medio epistolæ significavit dicens: *Mihi autem pro minimo est ut a vobis judicer;* & adjiciens: 1. Cor. 4. 3. & 6. *Hæc autem transfiguravi in me & Apollo.* Quia igitur ex arrogantia omnia gignebantur mala, & quod existimarent se quid amplius scire, hunc morbum ante alios tollit, & incipiens dicit.

## ΟΜΙΛΙΑ α΄.

## HOMILIA I.

D

Παῦλος κλητὸς ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν, χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

1. *Paulus vocatus apostolus Christi Jesu per voluntatem Dei, & Sosthenes frater,* 2. *ecclesiæ Dei quæ est Corinthi, sanctificatis in Christo Jesu, vocatis sanctis, cum omnibus invocantibus nomen Domini nostri Jesu Christi in omni loco, & ipsorum & nostro,* 3. *gratia vobis & pax a Deo Patre nostro, & Domino Jesu Christo.*

ΟΡΑ πῶς εὐθέως ἐκ προοιμίων τὸν τῦφον κατέβαλε, καὶ χαμαὶ ἔρριψε πᾶσαν αὐτῶν τὴν οἴησιν, κλητὸν ἑαυτὸν εἰπών. οὐ γὰρ αὐτὸς εὗρον, φησιν, ὅπερ E ἔμαθον, οὐδὲ οἰκείᾳ κατέλαβον σοφίᾳ, ἀλλὰ διώκων καὶ πορθῶν τὴν ἐκκλησίαν. ἐνταῦθα δὲ τοῦ μὲν καλοῦντος τὸ πᾶν· τοῦ δὲ κληθέντος οὐδέν, ὡς εἰπεῖν, πλὴν ἢ τὸ ὑπακοῦσαι μόνον. Χριστοῦ Ἰησοῦ. ὁ διδάσκαλος ὑμῶν Χριστός· καὶ ὑμεῖς ἀνθρώπους ἐπιγράφεσθε τῆς διδασκαλίας προστάτας; διὰ θελήματος θεοῦ. ὁ γὰρ θεὸς τοῦτο ἠθέλησε τὸ οὕτως ὑμᾶς σωθῆναι. οὐδὲν γὰρ ἡμεῖς κατωρθώσαμεν, ἀλλὰ διὰ τοῦ θελήματος τοῦ θεοῦ τὴν σωτηρίαν εὑράμεθα· καὶ ἐπειδὴ αὐτῷ ἔδοξεν, ἐκλήθημεν, οὐκ ἐπειδὴ ἄξιοι ἦμεν.

1. VIDE quomodo statim a principio arrogantiam dejecit, & humi stravit omnem illorum existimationem, vocatum se dicens. Neque enim inveni, inquit, id quod didici; neque ex mea sapientia apprehendi; sed cum Ecclesiam persequerer & devastarem. Hic autem totum vocantis est, vocati nihil, ut ita dicam, nisi quod obediat. *Christi Jesu.* Magister vester Christus est: & vos inscribitis homines doctrinæ præfectos? *Per voluntatem Dei.* Deus enim hoc voluit ut vos sic salvi essetis. Nos enim nihil præclare egimus; sed per voluntatem Dei salutem invenimus: & quia id ipsi placuit, vocati sumus; non quod digni essemus.

Pauli modestia.

*Et Sosthenes frater.* Rursus modeste agit, minorem in eodem secum ordine ponens, Apollo sibi exæquans. Nam multum spatii erat Paulum inter & Sosthenem. Quod si cum tantum interesset discriminis, inferiorem sibi adjunxit; quid dicere possint illi, qui honore sibi pares despiciunt? *Ecclesiæ Dei.* Non hujus aut illius, sed Dei. *Quæ est Corinthi.* Viden quomodo in singulis dictionibus illorum fastum dejiciat; per omnia mentem cœlo assuefaciens. Ecclesiam autem Dei vocat, ostendens eam oportere esse unitam. Si enim Dei est, unita & una est, non Corinthi solum, sed etiam in toto orbe. Ecclesiæ quippe nomen, non separationis; sed unionis & concordiæ nomen est. *Sanctificatis in Christo Jesu.* Rursus nomen Jesu, & nusquam hominum nomen ponit. Quid est autem sanctificatio? Lavacrum, purgatio. In memoriam enim illis revocat immunditiam suam, a qua liberavit eos, & suadet ut humiliter sentiant: non enim ex præclaris suis gestis, sed ex Dei clementia sanctificati sunt. *Vocatis sanctis.* Etenim hoc ipsum, inquit, ex fide salutem consequi, non ex vobis est: non enim primi accessistis, sed vocati estis. Itaque neque illud exiguum a vobis totum est. Quamquam etiamsi accesseritis innumeris obnoxii malis, neque sic vobis gratia habenda est, sed Deo. Quapropter ad Ephesios scribens dicebat: *Gratia salvi facti estis per fidem.* Et hoc non ex vobis, neque fides vestra tota ex vobis. Neque enim vos credendo prævenistis, sed vocati obedistis. *Cum omnibus invocantibus nomen Domini nostri Jesu Christi.* Non hujus aut illius, sed nomen Domini. *In omni loco & ipsorum & nostro.* Etiamsi enim literæ ad Corinthios solum scripta sint; at omnes in universa terra fideles memorat, ostendens unam esse debere in orbe ecclesiam, licet multis in locis separatam, multoque magis eam quæ est Corinthi. Quod si locus separat; at Dominus illos conjungit, communis cum sit: ideo conjungens illos subjunxit, & nostri & ipsorum. Est autem hoc illo magis proprium. Sicut enim ii qui uno in loco sunt, cum plurimos habent dominos contrarios, divisi sunt, & nihil ad concordiam a loco juvantur, dominis diversa jubentibus & ad se trahentibus: *Non potestis enim*, inquit, *servire Deo & Mammonæ;* sic qui in diversis locis sunt, si non diversos habebant dominos, sed unum tantum, nihil ad concordiam servandam a locis læduntur, uno domino illos copulante. Non dico igitur, inquit, vos, Corinthii cum sitis, cum Corinthiis tantum concordes esse debere; sed cum omnibus qui in orbe sunt, cum communem habeatis Dominum. Ideo secundo adjecit, nostri. Quia enim dixit: Nomen Domini nostri Jesu Christi; ne apud insipientes separare videretur, rursus adjicit, *Domini nostri & ipsorum.* Et ut clarius eva-

Ecclesia una quomodo.

Matt. 6. 24.

A καὶ Σωσθένης ὁ ἀδελφός. πάλιν μετριάζει, συντάττων ἑαυτῷ τὸν ἐλάττονα Ἀπολλῶ. καὶ γὰρ πολὺ τὸ μέσον ἦν Παύλου καὶ Σωσθένους. εἰ δὲ, ἔνθα τοσοῦτον ἦν τὸ μέσον, συνέζευξεν ἑαυτῷ τὸν καταδεέστερον, τί ἂν ἔχοιεν εἰπεῖν ἐκεῖνοι οἱ τοὺς ὁμοτίμους ὑπερορῶντες; τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. οὐ τοῦδε, ἢ τοῦδε, ἀλλὰ τοῦ θεοῦ. τῇ οὔσῃ ἐν Κορίνθῳ. ὁρᾷς πῶς καθ' ἑκάστην λέξιν καθεῖλεν αὐτῶν τὸ φύσημα, τὴν διάνοιαν ἐθίζων διὰ πάντων πρὸς τὸν οὐρανόν; ἐκκλησίαν δὲ θεοῦ καλεῖ, δεικνὺς ὅτι ἡνῶσθαι αὐτὴν χρή. εἰ γὰρ θεοῦ ἐστιν, ἥνω-

B ται, καὶ μία ἐστὶν, οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, οὐ χωρισμοῦ, ἀλλὰ ἑνώσεως καὶ συμφωνίας ἐστὶν ὄνομα. ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ. πάλιν τοῦ Ἰησοῦ τὸ ὄνομα, οὐδαμοῦ ἀνθρώπων τίθησι. τί δέ ἐστιν ἁγιασμός; τὸ λουτρὸν, ὁ καθαρισμός. ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς οἰκείας ἀκαθαρσίας, ἧς ἀπήλλαξε, καὶ πείθει μικρὰ φρονεῖν. οὐ γὰρ ἐν τοῖς οἰκείοις κατορθώμασιν, ἀλλ' ἐν τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ ἡγιάσθησαν. κλητοῖς ἁγίοις. καὶ γὰρ τοῦτο αὐτὸ τὸ πίστει σωθῆναι, φησιν, οὐκ ἐξ ὑμῶν. οὐ γὰρ προσήλθετε πρῶτοι, ἀλλ' ἐκλή-

C θητε. ὥστε οὐδὲ τὸ μικρὸν τοῦτο, ὑμέτερον ὅλον. καίτοι εἰ καὶ προσήλθετε, μυρίων ὄντες ὑπεύθυνοι κακῶν, οὐδὲ οὕτως ὑμῖν χάρις, ἀλλὰ τῷ θεῷ. διὰ τοῦτο καὶ πρὸς Ἐφεσίους γράφων ἔλεγε, χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, οὐδὲ ἡ πίστις ὑμῶν ὁλόκληρος. οὐ γὰρ ὑμεῖς ἐπιστεύσατε προλαβόντες, ἀλλὰ κληθέντες ὑπηκούσατε. σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οὐ τοῦ δεῖνος καὶ τοῦ δεῖνος, ἀλλὰ τὸ ὄνομα τοῦ κυρίου. ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. εἰ γὰρ καὶ πρὸς Κορινθίους τὰ γράμματά ἐστι γεγραμμένα μόνον, ἀλλὰ καὶ πάντων

D τῶν ἐν πάσῃ τῇ γῇ μέμνηται πιστῶν, δεικνὺς ὅτι τὴν ἐπὶ τῆς οἰκουμένης μίαν δεῖ εἶναι ἐκκλησίαν, καίτοι τόποις πολλοῖς κεχωρισμένην, καὶ πολλῷ μᾶλλον τὴν ἐν Κορίνθῳ. εἰ δὲ ὁ τόπος χωρίζει, ἀλλ' ὁ κύριος αὐτοὺς συνάπτει κοινὸς ὤν· διὸ καὶ ἑνῶν αὐτοὺς ἐπήγαγεν, ἡμῶν τε καὶ αὐτῶν· πολὺ δὲ τοῦτο ἐκείνου κυριώτερον. ὥσπερ γὰρ οἱ ἐν ἑνὶ τόπῳ ὄντες, ὅταν πολλοὺς ἔχωσιν ἐναντίους δεσπότας, διεσπασμένοι εἰσὶ, καὶ οὐδὲν ἀπὸ τοῦ τόπου εἰς ὁμόνοιαν ὠφελοῦνται, διάφορα τῶν δεσποτῶν ἐπιταττόντων, καὶ πρὸς ἑαυτοὺς ἑλκόντων· οὐ δύνασθε γάρ, φησι, θεῷ δουλεύειν, καὶ

E μαμμωνᾷ· οὕτως οἱ ἐν διαφόροις τόποις ὄντες, ἐὰν μὴ διαφόρους ἔχωσι κυρίους, ἀλλ' ἕνα μόνον, οὐδὲν ἀπὸ τῶν τόπων εἰς ὁμόνοιαν παραβλάπτονται, τοῦ κυρίου τοῦ ἑνὸς συνάπτοντος αὐτούς. οὐ λέγω τοίνυν, φησὶν, ὅτι πρὸς Κορινθίους Κορίνθιοι ὄντες ὁμονοεῖν ὀφείλετε μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐν τῇ οἰκουμένῃ πάσῃ, κοινὸν ἔχοντες δεσπότην. διὰ τοῦτο καὶ ἐκ δευτέρου προσέθηκε τὸ, ἡμῶν. ἐπεὶ γὰρ εἶπε, τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μὴ δόξῃ χωρίζειν παρὰ τοῖς ἀνοήτοις, ἐπάγει πάλιν, κυρίου ἡμῶν τε καὶ αὐτῶν. καὶ ἵνα σαφέστερον

ὃ λέγω γίνεται), ἀναγνώσομαι κατὰ τὸ νόημα οὕτω. Παῦλος καὶ Σωσθένης τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν τε καὶ αὐτῶν ἐν παντὶ τόπῳ, κἂν ἐν Ῥώμῃ, κἂν ὅπου δήποτε ἂν ὦσι· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. ἢ οὕτω πάλιν, ὃ καὶ μᾶλλον ἡγοῦμαι ἀληθέστερον εἶναι· Παῦλος καὶ Σωσθένης τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. τουτέστι, χάρις ὑμῖν, καὶ εἰρήνη ὑμῖν τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις, καὶ κλητοῖς γενομένοις· οὐ μόνοις, ἀλλὰ μετὰ πάντων τῶν ἐν παντὶ τόπῳ ἐπικαλουμένων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτῶν. εἰ δὲ ἀπὸ χάριτος ἡ εἰρήνη, τί μέγα φρονεῖς, τί μέγα φυσᾷς, χάριτι σωθείς; εἰ δὲ εἰρήνην ἔχεις πρὸς τὸν θεὸν, τί ἑτέροις σεαυτὸν προσνέμεις; τοῦτο γὰρ διχοστασιάζειν ἐστί. τί γὰρ εἰ πρὸς τόνδε εἰρηνεύετε, καὶ πρὸς τόνδε καὶ χάριν ἔχετε; ἐγὼ δὲ ἀπὸ τοῦ θεοῦ αἰτῶ ταῦτα ὑμῖν ἀμφότερα γενέσθαι, καὶ ἀπ' αὐτοῦ, καὶ πρὸς αὐτόν. οὔτε γὰρ βεβαία [a] μένη, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς· οὔτε ἐὰν μὴ πρὸς αὐτὸν ᾖ, ἔσται τι πλέον ὑμῖν. οὐδὲν γὰρ ὄφελος ἡμῖν, ἂν πρὸς πάντας ὦμεν εἰρηνικοί, πρὸς δὲ τὸν θεὸν ἐκπεπολεμωμένοι. ὥσπερ οὐδὲν βλάβος ἡμῖν, ἂν παρὰ πάντων πολεμώμεθα, τῷ δὲ θεῷ εἰρηνεύωμεν. καὶ πάλιν οὐδὲν ὄφελος, ἂν παρὰ πᾶσιν εὐδοκιμῶμεν, τῷ δὲ κυρίῳ προσκρούωμεν· ὥσπερ οὐδεὶς κίνδυνος, ἂν πάντες ἡμᾶς ἀποστρέφωνται καὶ μισῶσιν, ὁ δὲ θεὸς ἀποδέχηται καὶ φιλῇ. ἡ γὰρ ὄντως χάρις, ἡ ὄντως [b] εἰρήνη, ἀπὸ θεοῦ. ὁ μὲν γὰρ τὴν παρὰ τῷ θεῷ χάριν ἔχων, οὐδένα δέδοικε, κἂν μυρία πάσχῃ δεινά· οὐ λέγω ἄνθρωπον, ἀλλ' οὐδὲ αὐτὸν τὸν διάβολον. ὁ δὲ τούτῳ προσκεκρουκώς, πάντας ὑποπτεύει, κἂν ἐν ἀσφαλείᾳ εἶναι δοκῇ. ἄστατον γὰρ τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐδὲ φίλοι μόνον καὶ ἀδελφοί, ἀλλ' ἤδη καὶ πατέρες μεταβαλλόμενοι, πολλάκις ἀπὸ μικρᾶς αἰτίας τοῦτον, ὃν ἐγέννησαν, ὃν ἐφύτευσαν, πάντων πολεμίων μᾶλλον ἤλασαν· καὶ παῖδες πατέρας ἐξέβαλον. σκόπει δέ.

Εἶχε χάριν ὁ Δαυὶδ παρὰ τῷ θεῷ· εἶχε χάριν ὁ Ἀβεσσαλὼμ παρὰ τοῖς ἀνθρώποις. ὅτι οὖν τέλος ἑκάτερος ἔσχε, καὶ τίς ηὐδοκίμησε μᾶλλον, ἴστε. εἶχε χάριν ὁ Ἀβραὰμ παρὰ τῷ θεῷ, ὁ δὲ Φαραὼ παρὰ τοῖς ἀνθρώποις. χαριζόμενοι γὰρ αὐτῷ, τὴν γυναῖκα τοῦ δικαίου προὔδωκαν. τίς οὖν λαμπρότερος γέγονε καὶ μακάριος, παντί που δῆλον. καὶ τί λέγω περὶ δικαίων; εἶχον χάριν οἱ Ἰσραηλῖται παρὰ τῷ θεῷ, ἐμισοῦντο δὲ παρὰ ἀνθρώπων τῶν Αἰγυπτίων. ἀλλ' ὅμως τῶν μισούντων περιεγίνοντο, καὶ ἐκράτησαν μεθ' ὅσης ἅπαντες ἴστε περιφανείας. τοῦτο τοίνυν σπουδάζωμεν ἅπαντες. κἂν δοῦλος ᾖ τις, τοῦτο εὐχέσθω, πρὸ τοῦ δεσπότου παρὰ τῷ θεῷ χάριν εὑρεῖν. κἂν γυνή τις ᾖ,

[a] Savilius legendum putat, μένοι.

dat id quod dico, sic legam ut sensus postulat. Paulus & Sosthenes ecclesiæ Dei, quæ est Corinthi, & omnibus invocantibus nomen Domini nostri & ipsorum in omni loco; sive Romæ, sive ubicumque fuerint. *Gratia vobis & pax a Deo patre nostro, & Domino Jesu Christo.* Vel sic rursum, ut etiam melius esse existimo: Paulus & Sosthenes iis qui Corinthi sunt sanctificatis, vocatis sanctis, cum omnibus qui invocant nomen Domini nostri Jesu Christi in omni loco ipsorum & nostri. Id est, gratia vobis & pax vobis qui Corinthi estis sanctificati & vocati; non solis, sed cum omnibus qui in omni loco invocant nomen Domini nostri Jesu Christi & ipsorum. Si autem ex gratia pax est, cur magnum sapis? cur tantum inflaris, cum per gratiam servatus sis? Si vero pacem habes apud Deum, cur te aliis adscribis? hoc enim est dissidere. Quid enim si cum hoc & cum illo gratiam habetis? Ego autem peto ut a Deo hæc vobis utraque fiant, & ab illo & ad illum. Neque enim firma manserint nisi superna gratia fruantur: neque si non sint ad ipsum, nobis quidquam proderunt, si cum omnibus pacem habentes, cum Deo bellum habeamus; ut nihil nocumenti nobis erit, si ab omnibus impugnemur, & cum Deo pacem habeamus: ac rursum nulla utilitas si ab omnibus celebremur, & Dominum offendamus; ut etiam nullum periculum, si omnes nos aversentur & odio habeant, Deusque nos approbet & diligat. Vera enim gratia & vera pax a Deo est. Nam qui gratiam, quæ a Deo est habet, neminem timet, etiamsi innumera gravia patiatur; nec dico hominem; sed neque etiam diabolum. Qui vero Deum offendit, omnes suspectos habet, etiamsi in tuto esse videatur. Instabile namque est genus hominum; & non solum amici & fratres; sed etiam patres, parva sæpe de causa mutati, quem genuerunt, quem procrearunt, magis quam omnes hostes abjecerunt: & filii patres extulerunt. Animum adhibe.

2. Gratiam habuit David apud Deum; gratiam habuit Absalom apud homines. Quem finem uterque habuit, & uter magis probatus & clarus fuerit nostis. Gratiam habuit Abraham apud Deum; Pharao autem apud homines: hi namque gratiam ejus aucupantes uxorem justi ipsi prodiderunt, uter igitur splendidior, uter beatus fuerit, cuivis perspicuum est. Ecquid de justis loquor? Gratiam apud Deum habuere Israelitæ, & odio habebantur ab hominibus Ægyptiis: & eos qui se odio habebant superarunt, idque conspicuo quo scitis omnes modo. Hoc ergo curemus omnes: quamvis servus quis sit, hoc precetur ut apud Deum magis quam apud herum suum gratiam inveniat; quamvis uxor fuerit, plusquam

Gratia Dei quærenda non hominum.

[b] Reg. εἰρήνη παρὰ τοῦ θεοῦ.

conjugis, servatoris sui Dei gratiam quærat; quamvis miles magis quam Imperatoris aut principis; supernam benevolentiam expetat. Sic enim etiam apud homines amabilis eris. Quomodo autem quis gratiam inveniat apud Deum? Quo alio modo, quam ab humilitate? *Deus enim,*
Prov. 3. 34. inquit, *superbis resistit, humilibus autem dat gratiam;* &, *Sacrificium Deo spiritus*
Psal. 50. 18. *contribulatus, & humiliatum cor Deus non despiciet.* Nam si apud homines tam desiderabilis est humilitas, multo magis apud Deum. Ita & gentiles gratiam invenerunt, ita & Judæi gratia exciderunt:
Rom. 10. 3. *Justitiæ namque Dei non subjecti fuerunt.* Humilis gratiosus & suavis omnibus est, perpetuo in pace vivens, nullamque habens belli occasionem. Etiam si enim illum contumelia & convitiis afficias, etiam si quidvis dixeris, tacebit ille, & leniter feret: & tantam servabit apud omnes pacem, quantam ne dicere quidem possis: etiamque apud Deum. Mandata quippe Dei eo tendunt ut cum hominibus pax habeatur: & vitam nostram ita recte transigimus si mutua cum aliis pace fruamur. Deum enim nemo lædere poterit: natura quippe illa perniciei obnoxia non est & omni passioni superior. Nihil ita mirabilem Christianum reddit ut humilitas. Audi enim
Gen. 18. 27. Abrahamum dicentem. *Ego autem sum terra & cinis;* & Deum rursus de Moyse quod fuerit omnium hominum mitissimus. Nihil enim illo humilius fuit, qui cum tanti populi dux esset, cum regem & exercitum Egyptiorum omnium quasi muscas in mare demersisset, & tanta in Ægypto, tanta in mari Rubro & in deserto perpetrasset, tantarumque rerum testimoniis frueretur sic affectus erat quasi unus ex plebe: eratque socero gener humilior, illiusque consilium accepit. Non moleste tulit; non dixit: quid hoc? Post tot tantaque præclare gesta venisti nobis consilia daturus? Quod tamen multi faciunt, etiamsi quis optimum det consilium: personæ humilitatem despectui habentes. At non sic ille; sed per humilitatem omnia recte agebat. Hinc aulas despexit regias, quia vere humilis erat: mentem enim sanam & excelsam facit humilitas. Quantæ enim & mentis & animi magnitudinis fuerit & domum & mensam regiam despicere? Reges enim quasi dii colebantur apud Ægyptios, ac divitiis thesaurisque fruebantur innumeris. Attamen ille his omnibus dimissis, abjectisque Ægypti sceptris, ad captivos & oppressos, qui in luto & lateribus versabantur, quos servi regis horrebant;
Exod. 1. 13. nam illos abominabantur Ægyptii, inquit; confugit, illosque dominis præposuit. Unde palam est, hunc humilem, excelsum magnanimumque esse. Arrogantia enim, ex vili mente & illiberali

A περὶ τοῦ ἀνδρὸς παρὰ τοῦ σωτῆρος θεοῦ ζητείτω χάριν. κἂν στρατιώτης ᾖ, πρὸ τοῦ βασιλέως καὶ τοῦ ἄρχοντος τὴν ἄνωθεν εὔνοιαν ζητείτω· οὕτω γὰρ καὶ παρὰ ἀνθρώποις ἐπέραστος ἔσῃ. πῶς δ' ἄν τις εὕροι χάριν παρὰ τῷ θεῷ; πῶς δὲ ἑτέρως, εἰ μὴ ἀπὸ ταπεινοφροσύνης; ὁ θεὸς γάρ, φησιν, ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καί, θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καὶ τεταπεινωμένην καρδίαν ὁ θεὸς οὐκ ἐξουδενώσει. εἰ γὰρ παρὰ ἀνθρώποις οὕτω ποθεινὸν τὸ ταπεινόν, πολλῷ μᾶλλον παρὰ θεῷ. οὕτω καὶ οἱ ἐξ ἐθνῶν χάριν εὗρον, οὕτω καὶ οἱ
B Ἰουδαῖοι τῆς χάριτος ἐξέπεσον. τῇ γὰρ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. ὁ ταπεινὸς ἐστὶ καὶ ἐπίχαρις γίνεται καὶ πᾶσιν ἡδύς, καὶ εἰρήνῃ σύντροφος διηνεκεῖ, καὶ οὐδεμίαν ἔχων πολέμου ὑπόθεσιν. κἂν γὰρ ὑβρίσῃς, κἂν λοιδορήσῃς, κἂν ὁτιοῦν εἴπῃς, σιγήσεται, καὶ πράως οἴσει, καὶ τοσαύτην ἕξει τὴν εἰρήνην πρὸς πάντας, ὅσην οὐδὲ ἔστιν εἰπεῖν, καὶ πρὸς τὸν θεὸν δέ. τὰ γὰρ τοῦ θεοῦ προστάγματα, μετὰ ἀνθρώπων εἰρηνεύειν ἐστί, καὶ ὁ βίος ἅπας ἡμῖν οὕτω κατορθοῦται ἐν τῇ πρὸς ἀλλήλους εἰρήνῃ. οὐ γὰρ δὴ θεόν τις ἀδικῆσαι δυνήσεται. ἀνώλεθρος γὰρ ἡ φύσις ἐκείνη, καὶ
C παντὸς ἀνωτέρα πάθους. οὐδὲν οὕτω θαυμαστὸν ποιεῖ τὸν Χριστιανόν, ὡς ταπεινοφροσύνη. ἄκουσον γοῦν τοῦ Ἀβραὰμ λέγοντος· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· καὶ τοῦ θεοῦ περὶ Μωϋσέως πάλιν, ὅτι πρᾳότατος ἦν πάντων ἀνθρώπων. οὐδὲν γὰρ ἐκείνου ταπεινότερον γέγονεν, ὃς δῆμον τοσοῦτον ἄγων, καὶ τὸν βασιλέα καὶ τὸ στρατόπεδον τῶν Αἰγυπτίων ἁπάντων καθάπερ μυίας καταποντίσας, καὶ τοσαῦτα μὲν ἐν Αἰγύπτῳ, τοσαῦτα δὲ ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης ἐργασάμενος, καὶ ἐπὶ τῆς ἐρήμου, καὶ τοσαύτης ἀπολαύσας μαρτυρίας,
D ὡς εἷς τῶν πολλῶν ὤν, οὕτω διέκειτο· καὶ τοῦ κηδεστοῦ γαμβρὸς ταπεινότερος ἦν, καὶ ἐδέχετο τὴν παρ' ἐκείνου γνώμην. καὶ οὐδὲ ἐδυσχέραινεν, οὐδὲ εἶπε, τί τοῦτο; μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα ἦλθες ἡμῖν συμβουλεύων; ὅπερ πάσχουσιν οἱ πολλοί, κἂν ἀρίστην τις εἰσηγήσηται γνώμην, διὰ τὸ τοῦ προσώπου ταπεινὸν καταφρονοῦντες. ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ διὰ ταπεινοφροσύνης πάντα κατώρθου. ἐντεῦθεν καὶ τῶν βασιλικῶν κατεφρόνησεν αὐλῶν, ἐπειδὴ ταπεινὸς ἦν ὄντως. τὸ γὰρ ὑγιὲς φρόνημα καὶ τὸ ὑψηλὸν ἡ ταπεινοφροσύνη ποιεῖ. ὅσης γὰρ οἴει μεγαλοφροσύνης εἶναι
E καὶ μεγαλοψυχίας, τὸ καὶ οἰκίας καὶ τραπέζης ὑπεριδεῖν βασιλικῆς; καὶ γὰρ ὡς θεοὶ τιμῶνται οἱ βασιλεῖς παρ' Αἰγυπτίοις, καὶ πλούτου καὶ θησαυρῶν ἀπολαύουσι μυρίων. ἀλλ' ὅμως πάντα ἀφεὶς ἐκεῖνα, καὶ αὐτὰ τῆς Αἰγύπτου ῥίψας τὰ σκῆπτρα, τοῖς αἰχμαλώτοις καὶ καταπονουμένοις, τοῖς ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δαπανωμένοις, οὓς οἱ δοῦλοι αὐτοῦ ἐβδελύττοντο· ἐβδελύττοντο γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, φησί· τούτοις προσέδραμε, καὶ τῶν δεσποτῶν αὐτοὺς προείλετο. ὅθεν δῆλον ὅτι ὁ ταπεινὸς οὗτός ἐστιν ὁ ὑψηλὸς καὶ μεγαλόφρων. καὶ γὰρ ἡ ἀπόνοια ἀπὸ εὐτελοῦς γίνεται διανοίας καὶ ἀγεν-

νοίας ψυχῆς· καὶ ἡ ἐπιείκεια ἀπὸ μεγαλόφρονος, ἀπὸ μεγαλοψύχου γνώμης. A

Καὶ εἰ βούλεσθε, ἐπὶ τῶν ὑποδειγμάτων ἑκάτερα ἐξετάζωμεν. Εἰπὲ γάρ μοι, τί τοῦ Ἀβραὰμ γέγονεν ὑψηλότερον; καίτοι γε ἐκεῖνος ἦν ὁ λέγων, ἐγὼ εἰμὶ γῆ καὶ σποδός· ἐκεῖνος ἦν ὁ λέγων, μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ. ἀλλ' οὗτος ὁ οὕτω ταπεινὸς λαφύρων κατεφρόνησε Περσικῶν, καὶ τροπαίων ὑπερεῖδε βαρβαρικῶν. τοῦτο δὲ ἀπὸ πολλῆς ὑψηλοφροσύνης καὶ μεγαλοφυοῦς διανοίας ἐποίει. ἐκεῖνος γάρ ἐστιν ὑψηλὸς, ὁ γνησίως ταπεινὸς, οὐχ ὁ κόλαξ, οὐδὲ ὁ εἴρων. B ἕτερον γὰρ μεγαλοφροσύνη, καὶ ἕτερον ἀπόνοια. καὶ τοῦτο δῆλον ἐκεῖθεν. εἴ τις γὰρ τὸν πηλὸν ἡγεῖτο, καὶ καταφρονοῖ· ἕτερος δέ τις τὸν πηλὸν ὡς χρυσὸν θαυμάζοι καὶ μέγα ἄγοι, τίς ἄρα ἐστὶν ὁ ὑψηλός; οὐχὶ ὁ τὸν πηλὸν μὴ θαυμάζων; τίς δὲ ὁ ταπεινὸς καὶ εὐτελής; οὐχὶ ὁ θαυμάζων αὐτὸν, καὶ μέγα τιθέμενος; οὕτω δὴ καὶ ἐνταῦθα λογίζου· ὅτι ὁ μὲν γῆν καὶ σποδὸν ἑαυτὸν λέγων, ὑψηλὸς ἂν εἴη, καίτοι γε ἀπὸ ταπεινοφροσύνης λέγει· ὁ δὲ μὴ γῆν καὶ σποδὸν ἑαυτὸν νομίζων, ἀλλὰ περιέπων ἑαυτὸν, καὶ μεγαλοφρονῶν, οὗτος μὲν οὖν ἂν εἴη εὐτελὴς τὰ μικρὰ μεγάλα τιθέμενος. C ὅθεν δῆλον, ὅτι ἀπὸ πολλοῦ διανοίας ὕψους ἐφθέγξατο τὸ ῥῆμα ἐκεῖνο ὁ πατριάρχης, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· ἀπὸ ὕψους, οὐκ ἀπὸ ἀπονοίας. καθάπερ γὰρ ἐπὶ σωμάτων, ἄλλο μέν ἐστιν εὐεκτοῦντα καὶ σφριγῶντα εἶναι, ἄλλο δὲ φλεγμαίνοντα· καίτοι γε ἀμφότερα ὑψηλῆς ἐστι σαρκός· ἀλλὰ τὸ μὲν, διεφθαρμένης· τὸ δὲ, ὑγιοῦς· οὕτω καὶ ἐνταῦθα ἕτερόν ἐστιν εἶναι ἀπονενοημένον, ὅπερ ἐστὶ φλεγμαίνοντα εἶναι· καὶ ἕτερόν ἐστιν ὑψηλὸν, ὅπερ ἐστὶν εὐεκτοῦντα εἶναι. καὶ πάλιν ἐστί τις ὑψηλὸς τῷ μέτρῳ τοῦ σώματος· ἄλλος δὲ βραχὺς ὢν, προσλαβὼν ἐμβάδας ὑψηλότερος γέγονε. τίνα οὖν καλέσομεν ὑψηλὸν καὶ μέγαν, εἰπέ μοι; D οὐκ εὔδηλον ὅτι τὸν οἴκοθεν τὸ ὕψος ἔχοντα; ἐκεῖνος γὰρ ἀλλότριον ἔχει τοῦτο, καὶ τῶν ταπεινῶν ἐπιβὰς, οὕτω γέγονεν ὑψηλός· ὃ πολλοὶ πάσχουσι τῶν ἀνθρώπων, ἐπὶ χρημάτων καὶ δόξης ἑαυτοὺς ἀναβιβάζοντες, ὅπερ οὐκ ἔστιν ὕψος. ὑψηλὸς γάρ ἐστιν, ὁ μηδενὸς δεόμενος τούτων, ἀλλὰ καταφρονῶν ἁπάντων, καὶ οἴκοθεν ἔχων τὸ μέγεθος. γινώμεθα τοίνυν ταπεινοὶ, ἵνα γινώμεθα ὑψηλοί. ὁ γὰρ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. ἀλλ' οὐχ ὁ ἀπονενοημένος τοιοῦτος, ἀλλὰ πάντων ἐστὶν εὐτελέστερος. E καὶ γὰρ ἡ πομφόλυξ πεφύσηται, ἀλλ' οὐκ ἔστιν ὑγιὲς τὸ φύσημα. διὰ τοῦτο καὶ τούτους πεφυσιωμένους καλοῦμεν. ὁ μὲν γὰρ μετριοφρονῶν, οὐδὲ ἐπὶ τοῖς μεγάλοις μέγα φρονεῖ, τὸ ταπεινὸν εἰδὼς τὸ ἑαυτοῦ· ὁ δὲ εὐτελὴς καὶ ἐπὶ τοῖς μικροῖς μέγα φαντάζεται. κτησώμεθα τοίνυν τὸ διὰ ταπεινοφροσύνης ὕψος· ἐπισκεψώμεθα τῶν ἀνθρωπίνων τὴν φύσιν, ἵνα ἐκκαῶμεν τῷ πόθῳ τῶν μελλόντων. ἑτέρως γὰρ οὐκ ἔστι γενέσθαι ταπεινὸν, ἀλλ' ἢ διὰ τοῦ τῶν θείων ἔρωτος καὶ τῆς τῶν

animo nascitur; mansuetudo autem, ex magno & excelso animo.

3. Et si placet, utrumque exemplis discutiamus. Dic enim mihi, quid Abrahamo excelsius fuit? atqui ille erat qui dicebat: *Ego sum terra & cinis:* ille erat qui dicebat. *Ne sit pugna inter me & te.* Verum hic humilis manubias despexit Persicas, & Barbarica contemsit tropæa. Hoc porro ex animi magnitudine & sublimitate faciebat. Ille namque vere sublimis est, qui sincere est humilis, non adulator, non qui ironia utitur. Aliud enim est magnanimitas, aliud arrogantia. Hoc autem hinc manifestum est. Sit quis lutum esse lutum putans & illud despiciat; alius autem qui lutum pro auro habeat, admiretur & magni faciat; uter excelsi animi est? annon is qui lutum non admiratur? Uter vero abjecti animi & vilis est? nonne qui illud admiratur & magni facit. Ita hic etiam reputa: eum nempe qui se terram & cinerem dicit, excelsum esse, quamvis hoc dicat ex humilitate: illum vero qui se nec terram nec cinerem esse putat, sed seipsum colit, & altum de se sapit: vilem utique esse, qui parva magni faciat. Unde palam est ex magna animi sublimitate Patriarcham hanc emisisse vocem: *Ego autem sum terra & cinis*, ex mentis sublimitate, non ex arrogantia. Quemadmodum enim in corporibus aliud est vegetum & bona carnis habitudine esse; aliud esse humore inflatum; licet in utroque caro promineat: at in hoc corrupta, in illo sana; ita etiam aliud est esse arrogantem, quod est esse humore turgentem; aliud esse sublimem, quod est vegetum esse: Et rursus, est quidam corporis statura procerus; alius autem brevis statura, acceptis calceis fit altior. Utrum ergo vocabimus procerum & magnum, quæso? annon eum qui ex natura sua procerus est? ille enim alienum hoc habet, & super humilia ascendens. Sic procerus effectus est; id quod etiam multi homines faciunt, qui pecuniis & gloria sese extollunt, idque non est altitudo. Excelsus enim est ille, qui horum nullo opus habens, sed omnia despiciens, in se magnitudinem obtinet. Simus ergo humiles, ut sublimes efficiamur: nam qui se humiliat, exaltabitur; sed non ille arrogans talis est: omnium quippe est vilissimus. Bulla enim inflatur; sed hæc inflatio non solida est. Ideoque hujusmodi homines inflatos vocamus. Qui enim moderate sentit, ne in magnis quidem altum sapit, vilitatem suam notam habens. Qui autem vilis est, etiam in parvis magnum sapit. Adipiscamur ergo ex humilitate sublimitatem: consideremus humanarum rerum naturam, ut futurorum desiderio incendamur. Non alio quippe modo potest quis humilis fieri, quam per divinarum rerum amorem, & præsen-

Gen. 18. 27.
Gen. 13. 8.

Modestia commendatur.

tium despectum. Ut enim si quis regnum sit assequuturus, deindeque pro illa purpura aliquis ei vulgarem exhibeat honorem, illum nihili faciet; ita & nos præsentia omnia deridebimus, si honorem illum concupiscamus. Non videtis pueros, cum ludentes aciem statuunt & milites, præcedentibus preconibus & lictoribus, & puer medius instar ducis incedit, & quam sint illa puerilia? Talia sunt humana, & his viliora, quæ hodie sunt, & cras non erunt. Simus ergo his altiores: & non solum hæc non concupiscamus, sed etiam erubescamus si quis nobis illa tribuat. Ita enim horum depulso amore, divinum illum consequemur, & immortali fruemur gloria: quam nos omnes assequi contingat gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unàque Spiritui Sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum. Amen.

A παρόντων ὑπεροψίας. ὥσπερ γὰρ εἴ τις βασιλείας ἐπιτυγχάνειν μέλλοι, εἶτα ἀντὶ τῆς ἁλουργίδος ἐκείνης ἰδιωτικήν τινά τις αὐτῷ παρέχοι τιμὴν, οὐδὲν αὐτὴν εἶναι ἡγήσεται· οὕτω καὶ ἡμεῖς πάντων καταγελασόμεθα τῶν παρόντων, εἰ τῆς τιμῆς ἐπιθυμήσαιμεν ἐκείνης. οὐχ ὁρᾶτε τοὺς παῖδας, ὅταν παίζοντες τάξιν ποιῶσι, καὶ στρατιώτας, καὶ προηγῶνται αὐτῶν κήρυκες καὶ ῥαβδοῦχοι, καὶ μέσος ὁ παῖς ἐν χώρᾳ ἄρχοντος βαδίζῃ, ὡς παιδικὰ τὰ γινόμενα; τοιαῦτά ἐστι τὰ ἀνθρώπινα, καὶ τούτων εὐτελέστερα, σήμερον ὄντα καὶ αὔριον οὐκ ὄντα. ὑψηλότεροι τοίνυν γινώμεθα τούτων, καὶ μὴ μόνον B αὐτῶν μὴ ἐπιθυμῶμεν, ἀλλὰ καὶ αἰσχυνώμεθα εἴ τις ἡμῖν ταῦτα περιτείνοι. οὕτω γὰρ τὸν τούτων ἐκβαλόντες ἔρωτα, τὸν θεῖον ἐκεῖνον ἕξομεν, καὶ τῆς ἀθανάτου δόξης ἀπολαύσομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA II.

4\. *Gratias ago Deo meo semper pro vobis, de gratia Dei, quæ data est vobis in Christo Jesu 5. quia in omni divites facti estis in illo.*

1\. QUOD alios hortatur ut faciant cum dicit: *In gratiarum actione petitiones vestræ innotescant apud Deum;* hoc ipsum ille faciebat, docens nos ab hujusmodi semper verbis incipere, & ante omnia Deo gratias agere. Nihil enim tam amat Deus, quam ut grato animo simus, & pro nobis & pro aliis. Ideoque in omni fere epistola hoc præmittit. Hic vero magis necessario hoc facit, quam in aliis. Nam qui gratias agit, ut beneficio affectus id agit, & gratiam gratiâ rependit. Gratia vero nec debitum, nec merces, nec retributio est. Quod ubique dicere necesse erat; maxime vero Corinthiis, qui inhiabant ad eos, qui scindebant ecclesiam. *Deo meo.* Ex ingenti affectu quod commune erat rapit, & sibi proprium facit; quod etiam prophetæ semper dicere solebant: *Deus, Deus meus.* Hortaturque illos ut hoc ipsum dicant. Nam qui ita loquitur, ab humanis omnibus recedit, & ad illum tendit, quem cum affectu multo vocat. Hoc enim proprie & vere dicere potest is, qui a sæcularibus rebus ad Deum semper ascendit, & ubique illum omnibus præponit, ipsique perpetuo gratias agit, non solum de gratia jam data; sed si quid postea boni factum sit, pro eo etiam laudem ipsi refert. Ideo non solum dixit, Gratias ago; sed etiam, *Semper pro vobis*, nos instituens, ut illi semper gratias habeamus, neminique alteri; sed Deo tan-

Gratiæ Deo agendæ.

## ΟΜΙΛΙΑ β'.

C Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ.

ὉΤΟΙΣ ἄλλοις παραινεῖ ποιεῖν, λέγων· ἐν εὐχαριστίᾳ τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν, τοῦτο καὶ αὐτὸς ἔπραττε, διδάσκων ἡμᾶς ἀπὸ τούτων ἄρχεσθαι τῶν λόγων ἀεὶ, καὶ πρὸ πάντων εὐχαριστεῖν τῷ θεῷ. οὐδὲν γὰρ οὕτω τῷ θεῷ φίλον, ὡς τὸ εὐχαρίστους εἶναι, καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ ἄλλων. διὸ καὶ πάσης σχεδὸν ἐπιστολῆς τοῦτο προτίθησιν· ἐν- D ταῦθα δὲ καὶ ἀναγκαιότερον, ἢ ἐν ταῖς ἄλλαις αὐτὸ πράττει. ὁ γὰρ εὐχαριστῶν, καὶ ὡς εὖ παθὼν εὐχαριστεῖ, καὶ ἐπὶ χάριτι εὐχαριστεῖ· ἡ δὲ χάρις οὐκ ὀφειλὴ, οὐδὲ ἀμοιβὴ, οὐδὲ ἀντίδοσις· ὃ πανταχοῦ μὲν ἀναγκαῖον λέγειν, πολλῷ δὲ πλέον ἐπὶ Κορινθίων τῶν κεχηνότων πρὸς τοὺς διατεμόντας τὴν ἐκκλησίαν. τῷ θεῷ μου. ἀπὸ πολλῆς τῆς διαθέσεως τὸ κοινὸν ἁρπάζει καὶ ἰδιοποιεῖται, ὃ καὶ προφήταις ἔθος ἀεὶ λέγειν· ὁ θεὸς, ὁ θεός μου. καὶ εἰς προτροπὴν αὐτοὺς [a] ἐνάγει τοῦ καὶ αὐτοὺς τοῦτο λέγειν. ὁ γὰρ οὕτω λέγων, ἀπὸ πάντων τῶν ἀνθρωπίνων ἀναχωρεῖ, καὶ χωρεῖ πρὸς ἐκεῖνον, ὃν μετὰ πολλῆς κα- E λεῖ τῆς διαθέσεως. τοῦτο γὰρ δύναται λέγειν γνησίως ὁ ἀπὸ τῶν βιωτικῶν ἀναβαίνων ἀεὶ πρὸς τὸν θεὸν, καὶ ἁπάντων αὐτὸν προτιθεὶς πάντοτε, καὶ εὐχαριστῶν διηνεκῶς, οὐχ ὑπὲρ τῆς ἤδη δοθείσης χάριτος, ἀλλ', εἴποτέ τι καὶ μετὰ ταῦτα ἀγαθὸν γένηται, καὶ ὑπὲρ τούτου τὴν αὐτὴν εὐφημίαν ἀναφέρει αὐτῷ. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, εὐχαριστῶ, ἀλλὰ, πάντοτε ὑπὲρ ὑμῶν, παιδεύων αὐτοὺς καὶ ἀεὶ εἰδέναι χάριν, καὶ μηδενὶ ἑτέρῳ, ἀλλ' ἢ τῷ θεῷ

[a] Alii, ἀνάγει.

μόνον.

μόνον. ἐπὶ τῇ χάριτι τοῦ θεοῦ. ὁρᾷς πῶς πανταχόθεν αὐτοὺς διορθοῦται; ἔνθα γὰρ χάρις ἐστὶν, ἔργα οὐκ ἔστιν· ἔνθα ἔργα, οὐκέτι χάρις ἐστίν. εἰ τοίνυν χάρις, τί μέγα φρονεῖτε; πόθεν πεφυσιωμένοι ἐστέ; τῇ δοθείσῃ ὑμῖν. καὶ διὰ τίνος ἐδόθη; ἆρα δι' ἐμοῦ, ἢ δι' ἑτέρου ἀποστόλου; οὐδαμῶς· ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. τὸ γὰρ, ἐν Χριστῷ Ἰησοῦ, τοῦτό ἐστιν. ὅρα πῶς πολλαχοῦ τὸ, ἐν, ἀντὶ τοῦ, δι' οὗ ἐστιν. οὐκ ἄρα ἔλαττον τοῦτο τοῦ, διά. ὅτι ἐν παντὶ ἐπλουτίσθητε. πάλιν διὰ τίνος; ἐν αὐτῷ φησί. καὶ οὐχ ἁπλῶς ἐπλουτίσθητε, ἀλλὰ καὶ ἐν παντί. ὅταν οὖν καὶ πλοῦτος ᾖ, καὶ θεοῦ πλοῦτος, καὶ ἐν παντί, καὶ διὰ τοῦ μονογενοῦς, ἐννόησον τὸν ἄφατον θησαυρόν. ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. λόγῳ οὐ τῷ ἔξωθεν, ἀλλὰ τῷ τοῦ θεοῦ. ἔστι γὰρ γνῶσις λόγου χωρὶς, καὶ ἔστι γνῶσις μετὰ λόγου. καὶ γάρ εἰσι πολλοὶ γνῶσιν μὲν ἔχοντες, λόγον δὲ οὐκ ἔχοντες· οἷοι οἱ ἰδιῶται, καὶ μὴ δυνάμενοι παραστῆσαι σαφῶς ἅπερ ἔχουσιν ἐν διανοίᾳ. ἀλλ' οὐχ ὑμεῖς τοιοῦτοι, φησὶν· ἀλλὰ καὶ νοῆσαι καὶ εἰπεῖν ἱκανοί. καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν. ἐν τάξει ἐπαίνων καὶ εὐχαριστίας σφόδρα αὐτῶν καθάπτεται. οὐ γὰρ διὰ τῆς ἔξωθεν φιλοσοφίας, φησὶν, οὐδὲ διὰ τῆς ἔξωθεν παιδεύσεως, ἀλλὰ διὰ τῆς χάριτος τοῦ θεοῦ, καὶ τοῦ πλούτου, καὶ τῆς γνώσεως, καὶ τοῦ λόγου τοῦ παρ' αὐτοῦ δοθέντος ἠδυνήθητε μαθεῖν τὰ τῆς ἀληθείας δόγματα καὶ βεβαιωθῆναι εἰς τὸ μαρτύριον τοῦ κυρίου, τουτέστιν, εἰς τὸ κήρυγμα. πολλῶν γὰρ ἀπηλαύσατε σημείων, πολλῶν θαυμάτων, ἀφάτου χάριτος, ὥστε δέξασθαι τὸ κήρυγμα. εἰ τοίνυν ἐβεβαιώθητε διὰ σημείων καὶ χάριτος, τίνος ἕνεκεν παρασαλεύεσθε; ταῦτα δὲ ὁμοῦ καὶ καθαπτομένου, καὶ προκαταλαμβάνοντος αὐτούς ἐστι τὰ ῥήματα. ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι. μέγα ἐνταῦθα ζητεῖται· εἰ οἱ πλουτισθέντες ἐν παντὶ λόγῳ, ὡς μηδὲν ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, πῶς οὗτοι σαρκικοί εἰσιν; εἰ γὰρ παρὰ τὴν ἀρχὴν τοιοῦτοι ἦσαν, πολλῷ μᾶλλον νῦν. πῶς οὖν αὐτοὺς σαρκικοὺς καλεῖ; οὐ γὰρ ἠδυνήθην ὑμῖν λαλῆσαι, φησὶν, ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. τί οὖν ἐστιν εἰπεῖν; ὅτι παρὰ τὴν ἀρχὴν πιστεύσαντες, καὶ πάντων ἐπιτυχόντες χαρισμάτων· καὶ γὰρ ἐζηλοῦντο· ὕστερον ῥαθυμότεροι γεγόνασιν· ἢ εἰ μὴ τοῦτο, ὅτι οὐ πρὸς ἅπαντας οὔτε ταῦτα, οὔτε ἐκεῖνα λέγεται· ἀλλὰ τὰ μὲν πρὸς τοὺς ὑπευθύνους ταῖς κατηγορίαις· τὰ δὲ πρὸς τοὺς κομῶντας τοῖς ἐπαίνοις. ὅτι γὰρ εἶχον ἔτι χαρίσματα· ψαλμόν τις ἔχει, φησὶν, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω· καὶ, προφῆται δὲ δύο, ἢ τρεῖς λαλείτωσαν. ἔστι δὲ καὶ ἕτερόν τι εἰπεῖν· ὅτι ὥσπερ ἔθος ἡμῖν λέγειν τὸ πλέον ἅπαν, οὕτω καὶ ἐνταῦθα εἴρηκε. μετὰ δὲ τούτων οἶμαι καὶ τὸ ἑαυτοῦ αὐτὸν αἰνίττεσθαι, ὅτι καὶ αὐτὸς τὰ σημεῖα ἐπεδείξατο, καθάπερ καὶ ἐν τῇ δευτέρᾳ πρὸς αὐτοὺς ἐπιστολῇ λέγει· τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ· καὶ πάλιν, τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; ἤ,

A tum. *De gratia Dei.* Viden' quomodo illos ubique corrigat. Ubi enim est gratia, non sunt opera: ubi sunt opera, non est amplius gratia. Si ergo gratia, quare altum sapitis? cur inflati estis? *Quæ data est vobis.* Et per quem data est? an per me, an per alium apostolum? Nequaquam; sed per Jesum Christum. Illud enim, *in Christo Jesu*, hoc significat. Vide quomodo sæpe illud *in*, pro illo, *per quem*, ponatur; non minus ergo est quam *per*. *Quod in omni divites facti estis.* Rursus per quem? In ipso, inquit: nec modo divites B facti estis; sed etiam in omni. Cum ergo divitiæ sunt; & Dei divitiæ, & in omni, & per unigenitum, cogita quam ineffabilis sit thesaurus. *In omni verbo & in omni scientia.* Verbo, non externo, sed Dei. Est enim scientia sine verbo, & est scientia cum verbo. Sunt namque plurimi qui scientiam nacti, verbum non habent; ut idiotæ, & qui non possunt ea quæ in mente habent clare exprimere. At non vos tales estis, inquit, sed & cogitandi & loquendi facultatem habetis. 6. *Sicut testimonium Christi confirmatum est in vobis.* In laudum & C gratiarum actionis ordine & modo valde illos tangit. Non enim per externam philosophiam, inquit, neque per externam eruditionem; sed per gratiam Dei, & divitias, & scientiam & verbum ab ipso datum potuistis veritatis dogmata discere & confirmari in testimonium Domini, id est, in prædicationem. Multa enim habuistis signa, multa miracula, ineffabilem gratiam, ita ut prædicationem acceperitis. Si ergo confirmati estis per signa & gratiam, cur vacillatis? Hæc porro simul sunt & increpantis & prævenientis dicta. D 7. *Ita ut nihil vobis desit in ulla gratia.* Magnum quidpiam hic quæritur. Si divites sunt in omni verbo, ita ut nihil desit illis in ulla gratia, quamodo carnales sunt? Nam si tales fuerunt in principio, multo magis nunc. Quomodo ergo illos carnales vocat? *Non enim potui vobis loqui*, inquit, *ut spiritualibus; sed ut carnalibus.* (1. Cor. 3. 1.) Quid ergo dicendum est? Quod cum ab initio credidissent, & charismata omnia consequuti essent; nam zelo incensi erant; negligentiores postea evaserint. Aut si hoc non ita se habeat, quod non omnibus hæc vel illa dicantur; sed alia iis E qui in culpa erant, alia iis qui laudibus insignes erant. Nam quod adhuc charismata haberent: *Psalmum habet aliquis*, inquit, *revelationem habet, linguam habet, interpretationem habet: omnia ad ædificationem fiant;* &, *Prophetæ autem duo vel tres loquantur.* (1. Cor. 14. 26.) Aliud quidpiam dici potest: ut moris est apud nos id quod plus est totum dicere, ita etiam hic ille dixit. Ad hæc autem puto illum etiam quæ sua sunt subindicare, ut & in secunda ad eosdem epistola dicit; *Signa quidem apostoli facta sunt in vobis in omni patientia.* (2. Cor. 12. 12. & 13.) Et rursum: *Quid enim est quod minus habuistis, quam cæteræ ecclesiæ?* vel,

ut jam dixi, quæ ab se facta sunt commemorat; vel hæc iis, qui adhuc probati erant dicit. Erant quippe ibi sancti multi, qui ad sanctorum ministerium se dediderant, & primitiæ Achaiæ facti sunt, ut in fine declarat. Alioquin vero etiamsi laudes non omnino affines sunt veritati, attamen prudenter adhibentur, ut viam parent iis quæ dicenda sunt. Nam qui statim a principio importuna loquitur, infirmioribus auditum claudit ad cætera verba: si enim auditores honore pares sint, irascuntur; si admodum inferiores, dolore afficientur. Ne igitur hoc eveniat, ab iis quæ encomia videntur esse initium ducit. Neque enim hoc encomium illorum erat, sed gratiæ Dei. Nam quod peccata remissa ipsis essent, & quod justificati essent, hoc superni doni erat; propterea in iis immoratur, quæ Dei benignitatem ostendunt, ut morbum eorum magis curet. *Exspectantibus revelationem Domini nostri Jesu Christi.* Quid tumultuamini, inquit, quid turbamini, quod non adsit Christus? Adest quidem, & dies jam pro foribus est. Et considera sapientiam, quomodo illos cum ab humanis abduxisset, exterruit tremendum tribunal commemorans, & ostendens non bona tantum initia requiri, sed finem quoque. Nam cum his charismatibus & aliis virtutibus, oportet etiam diei illius reminisci: multisque laboribus est opus, ut possit quis ad finem pervenire.

2. Revelationem autem commemorat ostendens illam, etiamsi non videatur, sed esse tamen & nunc adesse, & tunc apparituram esse. Patientia igitur est opus: ideo enim miracula accepistis, ut firmi maneatis. 8. *Qui & confirmabit vos usque in finem sine crimine.* Hic videtur quidem illos demulcere; sed quod dicitur omni adulatione vacat. Solet enim illos tangere, ut cum dicit: *Tamquam non venturus sim ad vos, inflati sunt quidam.* Et rursum, *Quid vultis? in virga veniam ad vos, an in caritate & Spiritu mansuetudinis?* &, *An experimentum quæritis ejus qui in me loquitur Christi?* Latenter autem ipsos accusat; cum dicit enim, *confirmabit*, &, *sine crimine*, ostendit illos adhuc fluctuare, & crimini esse obnoxios. Tu vero consideres velim quomodo illos semper nomini Christi affigat, & nullius hominis, neque magistri, sed frequenter dilecti illius mentionem faciat, quasi ab ebrietate quadam temulentos educere parans. Nusquam enim in alia epistola tam frequenter nomen Christi jacet. Hic vero in paucis versibus sæpe, & hoc nomine fere totum contexit procemium. Considera autem superius. *Paulus vocatus apostolus Jesu Christi, sanctificatis in Christo Jesu. Invocantibus nomen Domini nostri Jesu Christi, gratia vobis & pax a Deo Patre, & Domino Jesu Christo. Gratias ago Deo meo, de gratia quæ data est vobis in Christo Jesu. Sicut testimonium Christi*

1. Cor. 4. 18. & 21.

2. Cor. 13. 3.

A ὅπερ ἔφην, καὶ τῶν ἑαυτοῦ ἀναμιμνήσκει, ἢ καὶ πρὸς τοὺς ἔτι ὄντας δοκίμους ταῦτα λέγει. ἦσαν γὰρ πολλοὶ ἅγιοι ἐκεῖσε, οἵτινες ἔταξαν ἑαυτοὺς εἰς διακονίαν τῶν ἁγίων, καὶ ἀπαρχὴ γεγόνασι τῆς Ἀχαΐας, καθάπερ πρὸς τῷ τέλει δηλοῖ. ἄλλως δὲ, κἂν μὴ σφόδρα τῆς ἀληθείας ἔχωνται οἱ ἔπαινοι, ἀλλ' ὅμως οἰκονομικῶς ἔγκεινται προοδοποιοῦντες τῷ λόγῳ. ὁ μὲν γὰρ ἐκ προοιμίων εὐθέως φορτικὰ φθεγγόμενος, ἀπέκλεισε τοῖς λόγοις τὴν ἀκοὴν παρὰ τοῖς ἀσθενεστέροις. ἄν τε γὰρ ὁμότιμοι ὦσιν οἱ ἀκούοντες, ὀργίζονται· ἄν τε σφόδρα ἐλάττους, λυπηθήσονται. ἵν' οὖν μὴ τοῦτο γένηται, ἀπὸ B ἐγκωμίων δοκούντων εἶναι ποιεῖται τὴν ἀρχήν. οὐδὲ γὰρ αὐτῶν ἐγκώμιον τοῦτο ἦν, ἀλλὰ τῆς τοῦ θεοῦ χάριτος. τὸ γὰρ ἁμαρτημάτων ἀφεθῆναι καὶ δικαιωθῆναι, τοῦτο τῆς ἄνωθεν ἦν δωρεᾶς. διά τοι τοῦτο καὶ ἐνδιατρίβει τούτοις, ἃ τοῦ θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ἵνα ἐπιπλέον αὐτῶν ἐκκαθάρῃ τὸ νόσημα. ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τί θορυβεῖσθε, φησι, τί ταράττεσθε, ὅτι οὐ πάρεστι Χριστός; πάρεστι μὲν οὖν, καὶ ἡ ἡμέρα λοιπὸν ἐπὶ θύραις. καὶ σκόπει τὴν σοφίαν, πῶς αὐτοὺς ἀπαγαγὼν τῶν ἀνθρωπίνων, ἐφόβησεν ἀναμνήσας τοῦ βήματος τοῦ C φοβεροῦ, καὶ δείξας ὅτι οὐ προοιμίων δεῖ μόνον χρηστῶν, ἀλλὰ καὶ τέλους. δεῖ γὰρ μετὰ τῶν χαρισμάτων τούτων, καὶ τῆς ἄλλης ἀρετῆς, τὴν ἡμέραν ἀναμνῆσαι ἐκείνην· καὶ πολλῶν χρεία πόνων, ὥστε δυνηθῆναι πρὸς τὸ τέλος ἐλθεῖν.

Ἀποκάλυψιν δὲ λέγει, δεικνὺς ὅτι εἰ καὶ μὴ ὁρᾶται, ἀλλ' ἔστι, καὶ πάρεστι καὶ νῦν, καὶ τότε φανήσεται. ὑπομονῆς οὖν χρεία· διὰ τοῦτο γὰρ ἐλάβετε τὰ θαύματα, ἵνα μείνητε βέβαιοι. ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους. ἐνταῦθα δοκεῖ μὲν αὐτοὺς θεραπεύειν, πάσης δὲ κολακείας ἀπήλλακται τὸ λεγό- D μενον. καὶ γὰρ οἶδεν αὐτῶν καθάπτεσθαι, ὡς ὅταν λέγῃ· ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες· καὶ πάλιν, τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος; καὶ, εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; λανθανόντως δὲ αὐτῶν καὶ κατηγορεῖ· τὸ γὰρ εἰπεῖν, βεβαιώσει, καὶ τὸ, ἀνεγκλήτους, δείκνυσι καὶ σαλευομένους ἔτι, καὶ ἐγκλήματος ὑπευθύνους ὄντας. σὺ δὲ σκόπει πῶς αὐτοὺς τῷ ὀνόματι ἀεὶ τοῦ Χριστοῦ προσηλοῖ. καὶ ἀνθρώπου μὲν οὐδενὸς, οὔτε διδασκάλου, συνεχῶς δὲ αὐτοῦ τοῦ E ποθουμένου μέμνηται, καθάπερ ἀπὸ μέθης τινὸς τοὺς καρηβαροῦντας ἀνενεγκεῖν παρασκευάζων. οὐδαμοῦ γὰρ ἐν ἑτέρᾳ ἐπιστολῇ οὕτω συνεχῶς κεῖται τὸ ὄνομα τοῦ Χριστοῦ. ἐνταῦθα μέντοι ἐν ὀλίγοις στίχοις πολλάκις, καὶ διὰ τούτου σχεδὸν τὸ πᾶν ὑφαίνει προοίμιον. σκόπει δὲ ἄνωθεν. Παῦλος κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ· τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ τῇ χάριτι τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ

A ἐβεβαιώθη ἐν ὑμῖν· ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. πιστὸς ὁ θεὸς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν· παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁρᾷς τὴν συνέχειαν τοῦ ὀνόματος τοῦ Χριστοῦ; ὅθεν δῆλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι οὐκ εἰκῇ οὐδὲ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ τῇ πυκνότητι τῆς καλῆς ταύτης προσηγορίας τὴν φλεγμονὴν αὐτῶν ἀπαντλῶν, καὶ τὴν σηπεδόνα τοῦ νοσήματος ἐκκαθαίρων. B πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. βαβαὶ, πόσον εἶπεν ἐνταῦθα; πόσον μέγεθος δωρεᾶς ἐνέφηνεν; εἰς κοινωνίαν τοῦ μονογενοῦς ἐκλήθητε, καὶ ἀνθρώποις ἑαυτοὺς προσνέμετε; τί ταύτης τῆς ἀθλιότητος χεῖρον; καὶ πῶς ἐκλήθητε; διὰ τοῦ πατρός. ἐπειδὴ γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνεχῶς ἔλεγε περὶ τοῦ υἱοῦ, ἵνα μὴ νομίσωσιν ὅτι ὡς ἐλάττονος αὐτοῦ οὕτω μέμνηται, προσένειμεν αὐτὸ τῷ πατρί. οὐ γὰρ διὰ τοῦδε καὶ τοῦδέ, φησιν, ἀλλὰ διὰ τοῦ πατρὸς ἐκλήθητε, δι' αὐτοῦ καὶ ἐπλουτίσθητε. πάλιν ἐκλήθητε, οὐκ αὐτοὶ προσήλθετε. τί δέ ἐστιν, εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ; ἄκουσον αὐτοῦ τοῦτο αὐτὸ σα- C φέστερον ἑτέρωθι λέγοντος· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ συναποθνήσκομεν, καὶ συζήσομεν. εἶτα, ἐπειδὴ μέγα εἴρηκε, προσέθηκε καὶ λογισμὸν πληροφορίαν ἔχοντα ἀναντίῤῥητον. πιστὸς γάρ, φησιν, ὁ θεός· τουτέστιν, ἀληθής· εἰ δὲ ἀληθὴς, ἃ ἐπηγγείλατο καὶ ποιήσει· ἐπηγγείλατο δὲ κοινωνοὺς ἡμᾶς ποιήσειν τοῦ μονογενοῦς υἱοῦ, ἐπὶ τοῦτο γὰρ καὶ ἐκάλεσεν. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα αὐτοῦ, καὶ ἡ κλῆσις τοῦ θεοῦ. ταῦτα δὲ προοικονομεῖ νῦν ἐν τῷ λόγῳ, ὥστε μὴ μετὰ τὸ σφοδρὸν τῶν ἐγκλημάτων εἰς ἀπόγνωσιν αὐτοὺς ἐμπεσεῖν. D πάντως γὰρ τὰ παρὰ τοῦ θεοῦ ἕψεται, ἂν μὴ σφόδρα ἡμεῖς ἀφηνιάσωμεν· καθάπερ οἱ Ἰουδαῖοι καλούμενοι οὐκ ἤθελον δέξασθαι τὰ ἀγαθά. τοῦτο δὲ οὐκέτι τοῦ καλοῦντος ἦν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. αὐτὸς μὲν γὰρ ἐβούλετο δοῦναι, ἐκεῖνοι δὲ μὴ θελήσαντες λαβεῖν, ἑαυτοὺς ἐξέβαλον. εἰ μὲν γὰρ εἰς ἐπίπονον καὶ ἐπίμοχθον ἐκάλει πρᾶγμα, οὐκ ἦσαν μὲν οὐδὲ οὕτω συγγνώμης ἄξιοι παραιτούμενοι, πλὴν ἀλλ' εἶχον αὐτὸ τοῦτο λέγειν· εἰ δὲ ἐπὶ καθαρμὸν, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ χάριν, [a] καὶ δωρεὰν, καὶ τὰ προεσκευασμένα ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ E οὖς οὐκ ἤκουσε, καὶ θεὸς ὁ καλῶν, καὶ δι' ἑαυτοῦ καλῶν, ποίας ἂν εἶεν συγγνώμης ἄξιοι οἱ μὴ προστρέχοντες; μὴ τοίνυν τὸν θεὸν αἰτιάσθω τις. οὐ γὰρ παρὰ τὸν καλοῦντα γέγονε τὸ μὴ πιστεῦσαι, ἀλλὰ παρὰ τοὺς ἀποπηδῶντας. ἀλλ' ἔδει, φησὶ, καὶ ἄκοντας ἐναγαγεῖν. ἄπαγε· οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει. τίς γὰρ ἐπὶ τιμὰς καὶ στεφάνους καὶ εὐωχίας καὶ πανηγύρεις καλῶν, ἄκοντας καὶ δεδεμένους ἕλκει; οὐκ ἔστιν οὐδείς. τοῦτο γὰρ ὑβρίζοντός ἐστιν. εἰς γέενναν

[a] καὶ δωρεὰν, alius addit, καὶ υἱοθεσίαν.

*confirmatum est in vobis. Exspectantibus revelationem Domini nostri Jesu Christi. Qui & confirmabit vos sine crimine in die Domini nostri Jesu Christi. Fidelis est Deus, per quem vocati estis in societatem Filii ejus Jesu Christi Domini nostri. Obsecro autem vos per nomen Domini nostri Jesu Christi.* Viden' frequentiam nominis Christi? Unde palam est etiam illis qui admodum insipientes sunt, ipsum non sine causa nec casu ita facere; sed hujus pulcri nominis frequentia illorum tumorem exhaurit, & saniem morbi expurgat. 9. *Fidelis Deus, per quem vocati estis in societatem Filii ejus.* Papæ! quantam hic rem dicit? quantam doni magnitudinem exhibet? In societatem Unigeniti vocati estis, & vos hominibus addicitis? quid hac miseria pejus? Et quomodo vocati estis? Per Patrem. Quia enim per illum & in illo frequenter dicebat de Filio, ne putarent se illum ut minorem commemorare, id Patri adscribit. Non per hunc vel alium, inquit, sed per Patrem vocati estis: per ipsum etiam divites facti estis. Rursus vocati estis, non ipsi accessistis. Quid vero sibi vult illud, *In societatem Filii ejus*? Audi illum hoc clarius alibi dicentem: *Si sustinemus, & conregnabimus: si commorimur, simul vivemus.* (2. Tim. 2. 12.) Deinde, quia rem magnam dixit, addidit etiam ratiocinium certum cui non possit contradici. Nam ait. *Fidelis Deus*; id est, verus. Si verus, quæ promisit faciet. Promisit autem se nos socios facturum unigeniti Filii, ad hoc quippe nos vocavit: dona enim & charismata ejus sine pœnitentia sunt, necnon Dei vocatio. Hæc autem nunc prius ordine ponit in sermone, ut ne post vehementem accusationem, in desperationem cadant. Quæ enim a Deo sunt promissa omnino comparebunt, nisi nos admodum effrenes fuerimus: quemadmodum Judæi vocati noluerunt bona accipere. Hoc vero jam non vocantis erat, sed ingrati illorum animi. Ipse namque dare volebat; illi vero nolentes accipere, seipsos ejecerunt. Nam etiamsi ad rem laboriosam & asperam vocasset, recusantes venia digni non fuissent; sed potuissent saltem hoc obtendere. (Deo vocanti obtemperandum.) Si autem ad purgationem, ad justitiam, ad sanctificationem, ad redemtionem, gratiam, donum & præparata bona, quæ oculus non vidit, nec auris audivit; & Deus est qui vocat, & per seipsum vocat, qua venia digni fuerint qui non accurrunt? Ne quis ergo in Deum culpam referat. Non einm ex vocante fit quod non credatur; sed ex iis qui resiliunt. Sed oportebat, inquies, vel invitos inducere. Apage: non enim vim vel necessitatem infert. Quis enim ad honores & coronas & convivia & celebritates vocans, invitos & vinctos trahit? Nemo certe. Hoc enim esset injuriam facere. Ad gehennam

invitos mittit: ad regnum lubentes vocat. Ad ignem ligatos ducit, etiam ejulantes; ad innumera bona non sic. Nam hoc ipsa quoque bona odiosa reddat; nisi talis sit illorum natura, ut ad illa sponte accurratur, & gratiam habeant maximam.

3. Et qui fit, inquies, quod non omnes ipsa eligant? ob propriam infirmitatem. Et cur illorum infirmitatem non abscindit? Et quo pacto, dic mihi, exscindere opus est? Annon creaturam condidit docentem ejus benignitatem, & potentiam? Nam *cæli*, inquit, *enarrant gloriam Dei*. Annon prophetas misit? Annon vocavit & honoravit? Annon miracula fecit? Annon legem dedit & scriptam & naturalem? Annon Filium suum misit? Annon etiam apostolos? Annon signa fecit? annon gehennam comminatus est? Nonne regnum promisit? Nonne quotidie solem suum oriri facit? Nonne quæ præcepit ita facilia sunt, ut multi vi philosophiæ suæ ejus mandata superent? *Quid oportebat facere vineæ, & non feci?* Et cur non fecit nobis, inquies, scientiam & virtutem naturalem? Quis hæc dicit? Græcus-ne an Christianus? Ambo quidem, sed non eadem de causa: verum alter de scientia, alter de vita contendit. Primum igitur nostro respondebimus; non enim mihi tanta cura est de exteris, quanta de propriis membris. Quid ergo dicit Christianus? Ipsam nobis virtutis scientiam indi oportebat. Indidit certe. Nisi enim indidisset, unde nossemus ea quæ agenda & quæ non agenda sunt? Undenam leges & tribunalia? At non scientiam, sed ipsam actionem (dare oportuit.) Et cujusnam rei mercedem accepturus eras, si totum ex Deo fuisset? Dic enim mihi, te-ne & Græcum peccantes similiter punit Deus? Minime. Habes enim interim eam quæ ex scientia manat fiduciam. Quid ergo, si quis nunc diceret tibi, & te & Græcum pro scientia eadem consequuturos esse, annon id ægre ferres? Arbitror sane. Diceres enim, cum Græcus ex se posset scientiam invenire, noluit. Si ergo ille diceret, oportebat Deum nobis scientiam naturaliter indere, annon irrideres, diceresque ei, cur non quæsivisti? cur non conatus es ut ego? ac cum multa stares fiducia diceresque extremæ esse insipientiæ Deum incusare, quod naturæ scientiam non indiderit. Hoc autem diceres, quia illa quæ ad scientiam spectant in te recte se habent. Sic etiam si ea quæ ad vitam pertinent, recte se haberent, non talem quæstionem moveres; verum quia circa virtutem socors & ignavus es; ideo insanos hosce profers sermones. Quomodo autem oportuit ex necessitate fieri bonum? ergo futurum erat ut bruta animalia nobiscum de virtute certarent, cum quædam eorum nobis temperantiora sint. Sed mallem, inquies,

Psal. 18. 1.

A ἄκοντας πέμπει· εἰς δὲ βασιλείαν ἑκόντας καλεῖ. εἰς τὸ πῦρ δεδεμένους ἄγει, καὶ οἰμώζοντας· εἰς τὰ μυρία ἀγαθὰ, οὐχ οὕτως. ἐπεὶ τοῦτο καὶ αὐτὰ διαβάλλει τὰ ἀγαθὰ, εἰ μὴ τοιαύτη αὐτῶν ἐστιν ἡ φύσις, ὡς καὶ ἑκόντας προσδραμεῖν, καὶ χάριν εἰδότας πολλήν.

Καὶ πόθεν οὐ πάντες αὐτὰ αἱροῦνται, φησι; παρὰ τὴν οἰκείαν ἀσθένειαν. Καὶ τίνος ἕνεκεν αὐτῶν οὐκ ἐκκόπτει τὴν ἀσθένειαν; Καὶ πῶς, εἰπέ μοι, καὶ τίνι τρόπῳ ἐκκόψαι ἐχρῆν; οὐχὶ κτίσιν εἰργάσατο διδάσκουσαν αὐτοῦ τὴν φιλανθρωπίαν καὶ τὴν δύναμιν; οἱ οὐρανοὶ B γάρ, φησι, διηγοῦνται δόξαν θεοῦ. οὐχὶ καὶ προφήτας ἔπεμψεν; οὐχὶ καὶ ἐκάλεσε, καὶ ἐτίμησεν; οὐχὶ ἐθαυματούργησεν; οὐ νόμον ἔδωκε καὶ γραπτὸν καὶ φυσικόν; οὐ τὸν υἱὸν ἀπέστειλεν; οὐκ ἀποστόλους ἔπεμψεν; οὐ σημεῖα εἰργάσατο; οὐ γέενναν ἠπείλησεν; οὐ βασιλείαν ἐπηγγείλατο; οὐ καθ' ἑκάστην ἡμέραν ἀνατέλλει τὸν ἥλιον αὐτοῦ; οὐχὶ ἅπερ ἐπέταξεν, οὕτως εὔκολα καὶ ῥᾴδια ὡς πολλοὺς ὑπερβαίνειν αὐτοῦ τὰ προστάγματα τῇ περιουσίᾳ τῆς φιλοσοφίας; τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνι, καὶ οὐκ ἐποίησα; καὶ διὰ τί μὴ ἐποίησεν ἡμῖν φυσικὴν τὴν γνῶσιν, φησι, καὶ τὴν ἀρετήν; τίς ταῦτά φησιν; ὁ Ἕλλην, C ἢ ὁ Χριστιανός; ἀμφότεροι μὲν, ἀλλ' οὐχ ὑπὲρ τῶν αὐτῶν· ἀλλ' ὁ μὲν ὑπὲρ τῆς γνώσεως, ὁ δὲ ὑπὲρ τοῦ βίου φιλονεικεῖ. οὐκοῦν πρῶτον πρὸς τὸν ἡμέτερον ἐροῦμεν. οὐ τοσοῦτον γάρ μοί ἐστι τῶν ἔξω λόγος, ὅσον τῶν οἰκείων μελῶν. τί οὖν φησιν ὁ Χριστιανός; αὐτὴν ἔδει τὴν γνῶσιν ἡμῖν ἐνθεῖναι τῆς ἀρετῆς. ἐνέθηκε μὲν οὖν. εἰ γὰρ μὴ ἐνέθηκε, πόθεν ᾔδειμεν τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα; πόθεν οἱ νόμοι, καὶ τὰ δικαστήρια; ἀλλ' οὐ τὴν γνῶσιν, ἀλλὰ τὴν πρᾶξιν αὐτήν. καὶ τίνος ἔμελλες λαμβάνειν τὸν μισθὸν, εἰ τὸ πᾶν ἔμελλεν ἔσεσθαι τοῦ θεοῦ; εἰπὲ γάρ μοι, σὲ καὶ τὸν Ἕλληνα ἁμαρτάνοντας D ὁμοίως ὁ θεὸς κολάζει; οὐδαμῶς. ἔχεις γὰρ τέως τὴν ἀπὸ τῆς γνώσεως παρρησίαν. τί οὖν, εἴ τις ἄρα εἶπε νῦν, ὅτι ὑπὲρ τῆς γνώσεως καὶ σὺ καὶ ὁ Ἕλλην τῶν αὐτῶν ἀξιωθήσεσθε, ἆρα οὐκ ἂν ἐδυσχέρανας; ἔγωγε οἶμαι. εἶπες γὰρ ἂν, ὅτι ἔχων εὑρεῖν οἴκοθεν ὁ Ἕλλην τὴν γνῶσιν, οὐκ ἠθέλησεν. ἂν οὖν καὶ ἐκεῖνος λέγῃ, ὅτι ἔδει τὸν θεὸν ἐνθεῖναι τὴν γνῶσιν ἡμῖν φυσικῶς, οὐχὶ καταγελάσῃ, καὶ πρὸς αὐτὸν ἐρεῖς, διὰ τί γὰρ μὴ ἐζήτησας; διὰ τί μὴ ἐσπούδασας, καθάπερ ἐγώ; καὶ μετὰ πολλῆς στήσῃ τῆς παρρησίας, καὶ ἐρεῖς, ὅτι ἀνοίας E ἐσχάτης ἦν τὸ ἐγκαλεῖν τῷ θεῷ, ὅτι μὴ τῇ φύσει τὴν γνῶσιν ἐνέθηκε; ταῦτα δὲ ἐρεῖς, ἐπειδή σοι κατώρθωται τὰ τῆς γνώσεως· οὕτω καὶ τὰ τοῦ βίου εἰ κατώρθωτο, οὐκ ἂν ταῦτα ἐζήτησας, ἀλλ' ἐπειδὴ ἀποκάμνεις πρὸς τὴν ἀρετὴν, διὰ τοῦτο τοὺς ἀνοήτους τούτους προβάλλῃ λόγους. πῶς δὲ καὶ ἐχρῆν ποιῆσαι ἀνάγκῃ γενέσθαι καλόν; οὐκοῦν ἔμελλεν ἡμῖν τὰ ἄλογα φιλονεικεῖν τῆς ἀρετῆς, ἅτε ἡμῶν σωφρονέστερα ἔνια ὄντα. ἀλλ' ἐβουλόμην, φησὶν,

A εἶναι ἀνάγκῃ καλὸς, καὶ πάντων ἀποστερεῖσθαι τῶν μισθῶν, ἢ προαιρέσει φαῦλος, καὶ κολάζεσθαι καὶ τιμωρεῖσθαι. ἀλλ' οὐκ ἔστιν ἀνάγκῃ ποτὲ καλὸν εἶναι. εἰ μὲν οὖν ἀγνοεῖς τὸ πρακτέον, δεῖξον, καὶ τότε ἐροῦμεν ὅπερ εἰπεῖν δεῖ· εἰ δὲ οἶδας πονηρὰν τὴν ἀσέλγειαν οὖσαν, τίνος ἕνεκεν οὐ φεύγεις τὸ πονηρόν; οὐ δύναμαι, φησιν. ἀλλ' ἕτεροι οἱ τὰ μείζω κατορθώσαντες κατηγορήσουσί σου, καὶ ἐπιστομίσουσί σε ἐκ περιουσίας πολλῆς. σὺ μὲν γὰρ ἴσως καὶ μετὰ γυναικὸς ὢν οὐ σωφρονεῖς, ἄλλος δὲ καὶ χωρὶς γυναικὸς, ἀκέραιον διατηρεῖ τὴν ἁγνείαν. [a] τίνα οὖν ἔχεις ἀπολογίαν, τὸ μέτρον οὐ φυλάττων, ἑτέρου B ὑπὲρ τὰ σκάμματα πηδῶντος; ἀλλ' οὐκ εἰμὶ τοιοῦτος, φησι, τοῦ σώματος τὴν φύσιν, ἢ τὴν προαίρεσιν. ἐπειδὴ μὴ θέλεις, οὐκ ἐπειδὴ μὴ δύνασαι. καὶ γὰρ δείκνυμι πάντας ἐπιτηδείως πρὸς ἀρετὴν ἔχοντας. ὃ γὰρ μὴ δύναταί τις ποιῆσαι, οὐδὲ, ἀνάγκης ἐπικειμένης, δυνηθήσεται ποιῆσαι. εἰ δὲ ἀνάγκης ἐπικειμένης δύναται, ὁ μὴ ποιῶν, παρὰ προαίρεσιν οὐ ποιεῖ· οἷόν τι λέγω· ἀναπτῆναι καὶ πρὸς τὸν οὐρανὸν ἀρθῆναι σῶμα ἔχοντα βαρὺ, πάντως καὶ ἀδύνατον. τί οὖν, εἰ βασιλεὺς ἐπιτάξειε τοῦτο ποιῆσαι, καὶ θάνατον ἠπείλησε λέγων, C ὅτι τοὺς μὴ πετομένους ἀνθρώπους ἀποτέμνεσθαι κελεύω καὶ καίεσθαι, ἢ ἄλλο τι πάσχειν τοιοῦτον, ἆρα ἄν τις ὑπήκουσεν; οὐδαμῶς· οὐ δέχεται γὰρ ἡ φύσις. ἂν δὲ ἐπὶ σωφροσύνης τὸ αὐτὸ τοῦτο γένηται, καὶ θῇ διατάγματα, τὸν ἀσελγαίνοντα κολάζεσθαι, καίεσθαι, μαστίζεσθαι, μυρία πάσχειν δεινὰ, ἆρα οὐκ ἂν ἐπείσθησαν πολλοὶ τῷ προστάγματι; οὐχὶ, φησί. καὶ γὰρ κεῖται καὶ νῦν νόμος ὁ κελεύων μὴ μοιχεύειν, καὶ οὐ πάντες πείθονται. οὐκ ἐπειδὴ ὁ φόβος ἠσθένησεν, ἀλλ' ἐπειδὴ λήσεσθαι προσδοκῶσιν οἱ πολλοί. ὡς εἰ παρῆν αὐτοῖς ἀσελγαίνειν μέλλουσιν ὁ νομοθέτης καὶ ὁ δικάζων, ἴσχυσεν D ἂν ὁ φόβος ἐκβαλεῖν τὴν ἐπιθυμίαν. ἐπεὶ κἂν ἐλάττονα ταύτης ἑτέραν ἀνάγκην ἐπαγάγω, καὶ λαβὼν αὐτὸν ἀπὸ τῆς ἐρωμένης γυναικὸς ἀπαγάγω καὶ δήσας καθείρξω, δυνήσεται ἐνεγκεῖν, καὶ μηδὲν παθεῖν ἀηδές. μὴ τοίνυν λέγωμεν ὅτι ὁ δεῖνα φύσει καλὸς, καὶ ὁ δεῖνα φύσει κακός. εἰ γὰρ φύσει ἀγαθὸς, οὐδέποτε δυνήσεται γενέσθαι κακός· καὶ εἰ φύσει κακὸς, οὐκ ἄν ποτε γένοιτο ἀγαθός. νῦν δὲ ὁρῶμεν ὀξυῤῥόπους τὰς μεταβολὰς, καὶ ἀπὸ τούτων εἰς θάτερα μεταβάλλοντας, καὶ ἀπ' ἐκείνων εἰς ταῦτα μεταπίπτοντας. καὶ ταῦτα οὐκ ἐν ταῖς γραφαῖς ἐστιν ἰδεῖν μόνον, οἷον ὅτι τελῶναι γεγόνασιν ἀπόστολοι, E καὶ μαθηταὶ προδόται, καὶ πόρναι γυναῖκες σώφρονες, καὶ λῃσταὶ εὐδοκίμησαν, καὶ μάγοι προσεκύνησαν, καὶ ἀσεβεῖς εἰς εὐσέβειαν μετέβαλον, ἐπί τε τῆς καινῆς ἐπί τε τῆς παλαιᾶς· ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πολλὰ τοιαῦτα συμβαίνοντα ἴδοι τις ἄν. εἰ δὲ φυσικὰ ἦν, οὐκ ἂν μετέπεσον. καὶ γὰρ φύσει παθητοὶ ὄντες, οὐκ ἄν ποτε ἀπὸ σπουδῆς γενοίμεθα ἀπαθεῖς. τὸ γὰρ φύσει τι ὂν, οὐκ ἂν ἐκπέσοι τοῦ κατὰ φύσιν. οὐδεὶς γοῦν [b] ἀπὸ τοῦ καθεύδειν εἰς τὸ μὴ καθεύδειν μετέπεσεν,

ex necessitate bonus esse, & omni mercede privari, quam ex libero arbitrio malus, puniri & supplicio affici. Sed non est unquam necessitas esse bonum. Si ergo ignoras quid agendum sit, ostende, & tunc dicemus id quod opus est dicere. Si vero libidinem malam esse nosti, cur malam rem non fugis? Non possum, inquies; verum alii, qui majora recte gesserunt, te accusabunt, tibique vi magna os obstruent. Tu enim fortasse etiam cum uxore tua non caste agis; alius vero absque uxore integram servat castitatem. Quam ergo habes defensionem, qui modum non serves, dum alius ipsa septa transilit? At non parem, inquies, habeo corporis naturam, non par propositum voluntatis. Quia non vis, non quia non potes. Ostendo namque omnes esse ad virtutem idoneos. Nam quod non potest quis facere, neque instante necessitate poterit. Quod si instante necessitate possit, qui non facit, ex proposito voluntatis non facit; exempli causa, volare & ad cælum ferri gravi corpore præditum, omnino fieri nequit. Quid ergo, si rex jusserit hoc facere, & mortem comminetur dicens: Homines non volantes jubeo concidi vel uri, vel quid simile pati, num quis ipsi obediet? Nequaquam: hoc enim natura ferre nequit. Sin autem de castitate idipsum statuat, justaque ponat, ut libidinosus puniatur, uratur, flagelletur, & mille tormenta patiatur, annon multi edicto pareant? Non, inquies, nam lex est, quæ jubet non mœchari, neque omnes obsequuntur. Non quod infirmus & levis sit timor; sed quia multi se latere posse sperent. Quod si legislator & judex adessent libidinem impleturis, posset tunc metus libidinem arcere. Nam si aliam minorem necessitatem induxero, & ab amata muliere abstractum abduxero, & vinctum inclusero, poterit ferre, & nihil grave pati. Ne ergo dicamus, hunc natura bonum, illum natura malum esse. Nam si natura bonus sit, numquam poterit malus fieri; & si natura malus, nunquam bonus erit. Nunc autem videmus celeres mutationes, & ab his in alia mutari, & ab illis in alia cadere. Et hæc non in Scripturis tantum videre est; exempli causa quod publicani facti sint apostoli, & discipuli proditores, & meretrices castæ mulieres, & latrones præclare agentes, & Magi adorantes, & impii in pietatem conversi, idque tam in veteri, quam in novo testamento. Imo quotidie similia accidere videmus. Si vero naturalia hæc essent, non mutarentur. Nam cum simus natura passibiles, nullo umquam studio impassibiles erimus. Quod enim natura tale est: nunquam excidet a naturalibus. Nullus a dormiendo abstinuit;

Nemo natura bonus, vel natura malus.

[a] Alius, τίνα ἕξεις οὖν ἀπολ.

[b] Regius bene, ἀπὸ τοῦ καθεύδειν εἰς τὸ μὴ καθεύδειν μετέπεσεν. In editis sententia manca erat, διὰ ὁμοιοτέλευτον.

nullus a corruptione ad incorruptionem tranſire potuit: nullus ab eſurie liberatus eſt, ita ut non ultra eſuriat. Ideo hæc non in crimen vertuntur, neque nobis ea exprobramus. Neque aliquem accuſaturus quiſpiam dixit: O impure, & paſſionibus obnoxie; ſed aut adulterium, aut ſtuprum, aut quid ſimile ſemper obnoxiis proferimus, & ad judices adducimus qui criminentur & puniant, & pro contrariis honore afficiant. Cum ergo tum ex iis quæ inter nos mutuo facimus, tum ex iis quæ in judicio patimur, & in legibus deſcripſimus; tum ex iis de quibus nos ipſos damnamus, licet nullus accuſet; ex eo quod etiam per ignaviam pejores, per timorem meliores efficiamur, demumque ex eo quod alios videamus præclare agentes ad Philoſophiæ culmen veniſſe, palam ſit penes nos eſſe ut recte agamus; cur nos fruſtra frigidis obtentibus & excuſationibus decipimus, quæ non modo nobis veniam non concilient, ſed potius intolerabile ſupplicium; cum oporteret diem illum terribilem præ oculis habentes, virtutis curam gerere & poſt modicum laborem incorruptibiles coronas accipere? Nihil enim nobis proderunt hæc verba; ſed conſervi, qui contraria recte egerunt, peccatores omnes damnabunt, crudelem miſericors, malum bonus, audacem modeſtus, invidum benevolus, vanæ gloriæ cupidum philoſophus, ſegnem ſtudioſus, laſcivum caſtus. Sic nobis judicium Deus feret, utrumque ſtatuet ordinem, hos laudans, illos puniens. Verum abſit, ut præſentium quiſpiam ex numero eorum ſit qui puniantur & ignominia afficientur; ſed ſint potius ex numero eorum qui coronantur, & divinum regnum obtinent, quod nos omnes aſſequi contingat, gratia & benignitate Domini noſtri Jeſu Chriſti quîcum Patri unaque Spiritui Sancto gloria, imperium, honor, nunc & ſemper & in ſæcula ſæculorum, amen.

A οὐδεὶς ἀπὸ τοῦ φθείρεσθαι ἐπὶ τὸ μὴ φθείρεσθαι· οὐδεὶς ἀπὸ τοῦ πεινῆν ἐπὶ τὸ μηδέποτε τοῦτο πάσχειν. διὰ τοῦτο οὐδὲ ἐγκλήματα ταῦτά ἐστιν, οὐδὲ ὀνειδίζομεν ἑαυτοὺς ἐπὶ τούτοις. οὐδὲ μέλλων τις τινὶ ἐγκαλεῖν εἶπεν, ὦ φθαρτὲ καὶ παθητέ, ἀλλ' ἢ μοιχείαν, ἢ πορνείαν, ἤ τι τῶν τοιούτων ἀεὶ προφέρομεν τοῖς ὑπευθύνοις, καὶ δικασταῖς προσάγομεν τοῖς ἐγκαλοῦσι καὶ κολάζουσι, καὶ ἐπὶ τοῖς ἐναντίοις τιμῶσιν. ὅταν οὖν καὶ ἐξ ὧν πρὸς ἀλλήλους ποιοῦμεν, καὶ ἐξ ὧν δικαζόμενοι πάσχομεν, καὶ ἐξ ὧν νόμους ἐγράψαμεν, καὶ ἐξ ὧν ἑαυτῶν καταγινώσκομεν, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, καὶ ἐξ
B ὧν ῥαθυμοῦντες μὲν χείρους, φοβούμενοι δὲ βελτίους γινόμεθα, καὶ ἐξ ὧν ἄλλους ὁρῶμεν κατορθοῦντας καὶ πρὸς ἄκρον φιλοσοφίας ἀφικομένους, εὔδηλον ὅτι καὶ ἐφ' ἡμῖν κεῖται τὸ κατορθοῦν· τί μάτην ψυχραῖς ἀπατῶμεν ἑαυτοὺς οἱ πολλοὶ προφάσεσι καὶ ἀπολογίαις, μὴ μόνον συγγνώμην οὐ φερούσαις, ἀλλὰ καὶ κόλασιν ἀφόρητον, δέον τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πρὸ τῶν ὀφθαλμῶν ἔχοντας ἀρετῆς ἐπιμελεῖσθαι, καὶ μικρὰ πονέσαντας, τοὺς ἀκηράτους λαβεῖν στεφάνους; οὐδὲν γὰρ ἡμῖν ταῦτα προστήσεται τὰ ῥήματα· ἀλλ' οἱ σύνδουλοι καὶ
C τὰ ἐναντία κατωρθωκότες κατακρινοῦσι τοὺς διαμαρτάνοντας πάντας, τὸν ὠμὸν ὁ ἐλεήμων, τὸν πονηρὸν ὁ χρηστός, τὸν θρασὺν ὁ ἐπιεικής, τὸν βάσκανον ὁ φιλόφρων, τὸν κενόδοξον ὁ φιλόσοφος, τὸν ῥᾴθυμον ὁ σπουδαῖος, τὸν ἀκόλαστον ὁ σώφρων. οὕτως οἴσει τὴν κρίσιν ἡμῖν ὁ θεός, ἑκάτερά τε στήσει τὰ τάγματα, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ κολάζων. ἀλλὰ μὴ γένοιτό τινα τῶν παρόντων γενέσθαι τῶν κολαζομένων καὶ ἠτιμωμένων, ἀλλὰ τῶν στεφανουμένων καὶ τῶν τῆς θείας βασιλείας ἐπιτυγχανόντων· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
D χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA III.

10. *Obſecro autem vos, fratres, per nomen Domini noſtri Jeſu Chriſti, ut idem dicatis omnes, & non ſint in vobis ſchiſmata; ſitis autem perfecti in eadem mente, & in eadem ſententia.*

1. QUOD ſemper dicebam, ſenſim & paulatim increpationes fieri oportere, hoc & Paulus hic facit. Rem enim magnam ingreſſurus multis plenam periculis, & quæ poſſet eccleſiam funditus evertere, mitiore utitur ſermone. Ait enim ſe obſecrare illos; obſecrare autem per Chriſtum, quaſi ipſe ſolus non ſufficeret ad talem ſupplicationem, & ad perſuadendum. Quid eſt autem, obſecro per Chriſtum? Chriſtum adhibeo ſocium; & in auxilium, ejus nomen injuria & contumelia affectum. Admodum

## ΟΜΙΛΙΑ γ'.

Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

E ΟΠΕΡ ἀεὶ ἔλεγον, ὅτι ἠρέμα καὶ κατὰ μικρὸν δεῖ τὰς ἐπιπλήξεις ποιεῖσθαι, τοῦτο καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ. μέλλων γὰρ εἰς πρᾶγμα ἐμβαίνειν πολλῶν κινδύνων γέμον, καὶ τὴν ἐκκλησίαν ἐκ βάθρων ἱκανὸν ὂν ἀνασπάσαι, προσηνεστέρῳ τῷ λόγῳ κέχρηται. φησὶ γὰρ παρακαλεῖν αὐτούς, παρακαλεῖν δὲ διὰ τοῦ Χριστοῦ, ὡς οὐδὲ αὐτὸς ἀρκῶν μόνος ταύτην θέσθαι τὴν ἱκετηρίαν, καὶ πεῖσαι. τί δέ ἐστι, παρακαλῶ διὰ τοῦ Χριστοῦ; τὸν Χριστὸν λαμβάνω σύμμαχον, καὶ βοηθὸν αὐτοῦ τὸ ὄνομα τὸ ἠδικημένον καὶ ὑβρισμένον· σφόδρα

A ἐντρεπτικῶς, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτούς. ἰταμοὺς γὰρ ἡ ἁμαρτία ποιεῖ. διὰ τοῦτο ἂν μὴ εὐθέως σφοδρῶς ἐπιπλήξῃς, ἀπηνῆ καὶ ἀναίσχυντον εἰργάσω· ἂν δὲ ἐντρέψῃς, κατέκαμψας τὸν αὐχένα, κατέσπασας τὴν παῤῥησίαν, κάτω νεύειν ἐποίησας. ὅπερ καὶ ὁ Παῦλος κατασκευάζων, παρακαλεῖ τέως διὰ τοῦ ὀνόματος τοῦ Χριστοῦ. καὶ τί ποτέ ἐστιν ὃ παρακαλεῖ; ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα. τοῦ σχίσματος [a] ἡ ἔμφασις, καὶ αὐτὸ τῆς κατηγορίας τὸ ὄνομα, ἱκανὰ σφόδρα αὐτῶν καθάψασθαι. οὐ γὰρ πολλὰ γέγονεν ὁλόκληρα μέρη, ἀλλὰ καὶ τὸ ἓν ἀπώλετο. B εἰ μὲν γὰρ ἐκκλησίαι ἦσαν ὁλόκληροι, ἦν πολλὰ τὰ συστήματα· εἰ δὲ σχίσματα, καὶ τὸ ἓν διεφθάρη. τὸ γὰρ ὁλόκληρον, ὅταν εἰς πολλὰ διαιρεθῇ, οὐ μόνον πολλὰ οὐ γίνεται, ἀλλὰ καὶ τὸ ἓν ἀπόλλυται. τοιαύτη τῶν σχισμάτων ἡ φύσις. εἶτα, ἐπειδὴ σφόδρα καθήψατο τῇ προσηγορίᾳ τοῦ σχίσματος, πάλιν λεαίνει καὶ πραΰνει λέγων· ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. ἐπειδὴ γὰρ εἶπεν, ἵνα τὸ αὐτὸ λέγητε, μὴ νομίσητε, φησὶν, ὅτι μέχρι ῥημάτων εἶπον εἶναι τὴν ὁμόνοιαν· τὴν γὰρ ἀπὸ διανοίας συμφωνίαν ἐπιζητῶ. ἀλλ' ἐπειδὴ ἔστι καὶ λέγειν ἀπὸ διανοίας τὸ αὐτὸ, οὐ μὴν ἐν C πᾶσι τοῖς πράγμασι, διὰ τοῦτο καὶ τοῦτο προσέθηκε, τὸ, ἦτε δὲ κατηρτισμένοι. ὁ γὰρ ἡνωμένος ἔν τινι, ἐν τινὶ δὲ [b] διχονοῶν, οὐκέτι κατήρτισται, οὐδὲ ἀπήρτισται εἰς ὁμοφροσύνην. ἔστι δὲ καὶ τοῖς νοήμασι συμφωνοῦντα, μηδέπω καὶ τῇ γνώμῃ συμφωνεῖν· οἷον, ὅταν τὴν αὐτὴν πίστιν ἔχοντες, μὴ ὦμεν συνημμένοι κατὰ τὴν ἀγάπην. οὕτω γὰρ κατὰ μὲν τὰ νοήματα ἡνώμεθα, τὰ γὰρ αὐτὰ νοοῦμεν, κατὰ δὲ τὴν γνώμην οὐκέτι· ὅπερ οὖν καὶ τότε ἐγένετο, τοῦ μὲν τὸν δεῖνα, τοῦ δὲ τὸν δεῖνα αἱρουμένου. διὰ τοῦτό φησιν ὅτι καὶ τῷ νοῒ καὶ τῇ γνώμῃ δεῖ συμφωνεῖν. οὐδὲ γὰρ ἀπὸ τοῦ διεστάναι D κατὰ τὴν πίστιν τὰ σχίσματα ἐγίνετο, ἀλλὰ ἀπὸ τοῦ τὴν γνώμην διῃρῆσθαι κατὰ ἀνθρωπίνην φιλονεικίαν. ἀλλ' ἐπειδὴ ὁ ἐγκαλούμενος, ἕως ἂν μὴ ἔχῃ τοὺς μάρτυρας, ἀπαναισχυντεῖ, ὅρα πῶς μὴ συγχωρῶν εἰς ἄρνησιν ἐξελθεῖν, μάρτυρας παρήγαγεν. ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης. καὶ οὔτε εὐθέως τοῦτο εἶπεν, ἀλλὰ πρότερον τὸ ἔγκλημα τέθεικεν, ὅπερ πεπιστευκότος ἦν τοῖς δηλώσασιν. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδ' ἂν ἐνεκάλεσεν· οὐ γὰρ ἂν ἁπλῶς ὁ Παῦλος ἐπίστευσεν· οὔτε οὖν εὐθέως εἶπεν ὅτι ἐδηλώθη, ἵνα μὴ δόξῃ ὡς ἐξ ἐκείνων ἐγκαλεῖν, οὔτε ἀπεσιώπησεν, E ἵνα μὴ δόξῃ ἐξ ἑαυτοῦ μόνον λέγειν. καὶ πάλιν ἀδελφοὺς αὐτοὺς ὀνομάζει. κἂν γὰρ ᾖ δῆλον τὸ ἁμάρτημα, οὐδὲν κωλύει ἀδελφοὺς καλεῖν ἔτι. σκόπει δὲ τὴν σύνεσιν, πῶς οὐ κεχωρισμένον ἔθηκε τὸ πρόσωπον, ἀλλ' ὁλόκληρον οἰκίαν, ὥστε μὴ ἐκπολεμῶσαι αὐτοὺς πρὸς τὸν εἰρηκότα. οὕτω γὰρ καὶ περιέστειλεν ἐκεῖνον, καὶ τὴν κατηγορίαν ἀδεῶς ἐξεκάλυψεν. οὐ γὰρ τὸ ἐκείνων εἶδε μόνον, ἀλλὰ καὶ τὸ τούτων συμφέρον. διὰ

appoſite, ut ne illi impudenter agerent: impudentes enim peccatum facit. Ideo niſi ſtatim vehementer increpes, immitem & impudentem efficis. Si increpaveris, cervicem flexiſti, loquendi libertatem abſtraxiſti, ut deorſum aſpiceret feciſti. Quod efficiens Paulus interim obſecrat per nomen Chriſti; & quidnam obſecrat? *Ut idem dicatis omnes, & non ſint in vobis ſchiſmata.* Schiſmatis emphatica vis, ipſumque accuſationis nomen, ſatis erant ut illos acriter perſtringerent. Non enim fuerunt multæ partes integræ; ſed etiam una perierat. Nam ſi eccleſiæ eſſent integræ, multi eſſent cœtus. Si autem ſchiſmata, unum periiſſet. Nam quod integrum eſt, cum in multa dividitur, non modo non multa efficitur: ſed quod unum erat perit. Talis eſt ſchiſmatum natura. Deinde quia admodum perſtrinxerat ſchiſmatis nomine, rurſus lenit & mitigat his verbis: *Sitis autem perfecti in eadem mente & in eadem ſententia.* Quia enim dixerat, *ut idem dicatis*; ne putetis, inquit, me concordiam dixiſſe in verbis ſolum ſitam: eam enim quæ in mente eſt concordiam requiro. Sed quia fieri poteſt ut idipſum mente dicant, ſed non in rebus omnibus, ideo illud etiam addidit, *Sitis autem perfecti.* Qui enim in aliquo junctus eſt, & in aliquo diſſidet, non utique perfectus eſt, neque in toto conſentit. Fierique poteſt ut quis cogitatione concordet, neque tamen ſententia: ut cum eamdem habentes fidem, caritate juncti non ſumus. Sic enim ſecundum cogitata juncti ſumus; eadem quippe cogitamus; ſententia vero non item: quod etiam tunc factum eſt, cum hic quidem illum, ille alium eligeret. Ideo ait & mente & ſententia jungi debere. Neque enim quod in fide diſſiderent ſchiſmata erant; ſed quod ſententiâ dirimerentur, ſecundum humanam contentionem. Sed quoniam is qui accuſatur, donec teſtes non habet, impudenter agit; vide quomodo non concedens ut negent, teſtes adducat. 11. *Significatum enim eſt mihi de vobis, fratres, ab iis qui ſunt Chloes.* Neque ſtatim hoc dixit, ſed primo accuſationem poſuit, quod ipſum ſignificantibus credidiſſe probat. Niſi enim hoc eſſet, non accuſaſſet. Neque temere Paulus credidit; neque ſtatim dixit ſibi ſignificatum eſſe, ne videretur quaſi ab illis inductus accuſare: neque tacuit (eorum nomen) ne videretur ex ſe ſolo dicere. Rurſus illos fratres nominat. Licet enim peccatum manifeſtum eſſet, nihil impediebat quominus illos adhuc fratres vocaret. Conſidera autem prudentiam, quomodo non ſeparatam perſonam poſuerit, ſed domum totam, ne ipſi impeterent eum qui id dixiſſet; ita enim & illum texit, & accuſationem ſine metu aperuit. Non vidit enim ſolum quod illis, ſed etiam quod his expediret. Ideo

Schiſma perdit unitatem.

[a] Reg. ἔμφασις, ἱκανὸν καὶ αὐτὸ εἰς κατηγορίας ὄνομα· μᾶλλον δὲ ἀρκεῖ ἡ τοῦ σχίσματος προσηγορία σφόδρα αὐτῶν.

[b] διχονοῶν ſic Regius cod. optime; Editi διαχέων, minus recte.

non dixit, Significatum mihi est a quibusdam; sed etiam domum indicavit, ut ne videretur comminisci. Quid significatum est? *Quod contentiones sint in vobis.* Quando illos increpat, dicit: *ne sint in vobis schismata.* Cum autem quæ aliorum sunt annunciat, mitius effert his verbis: *Significatum enim est mihi, quod contentiones sunt in vobis*, ut ne eos qui dixerant, una impeteret. Deinde genus contentionis dicit: 12. *Quod unusquisque vestrum dicit, Ego quidem sum Pauli, Ego autem Apollo, ego vero Cephæ.* Contentiones enim dico, inquit, non eas quæ de rebus privatis sunt, sed graviores. *Quod unusquisque vestrum dicit.* Non enim partem, sed totam ecclesiam corruptio devastabat. Atqui nec de seipso, nec de Petro, nec de Apollo dicebant; sed ostendit, quod si his innitendum non est, multo minus aliis. Quod autem non de his dicerent, infra dicit: *Hæc autem transfiguravi in me & Apollo, ut in nobis discatis non supra id quod scriptum est sapere.* Quod si Pauli, Apollo & Cephæ non oportebat sibi nomina adscribere, multo minus aliorum. Si doctorem & primum apostolorum, qui tantum instituerat populum, non oportebat sibi adscribere, multo minus eos qui nihil erant. Cum hyperbole itaque illos a morbo abducens, festinans hæc nomina ponit. Alioquin vero minus molestam orationem reddit, non nominatim recensens eos qui scindebant ecclesiam, sed quasi larvis quibusdam apostolorum nominibus ipsos obtegens. *Ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephæ.*

1. Cor. 4. 6.

Paulus non se Petro præfert.

2. Non se Petro præferens, posuit illum ultimum; imo vero Petrum sibi valde præponens, per amplificationem loquutus est, ne putaretur hoc per invidiam facere, & præ livore ipsi honorem auferre. Ideo seipsum primum posuit. Nam qui se primum reprobat, non quod honorem amet hoc facit, sed quod talem gloriam admodum despiciat. Totum ergo impetum primus excipit, tuncque ponit Apollo, postea Cepham. Non ergo sese extollens id fecit; sed in iis quæ fieri non oportebat, per propriam personam primo correctionem facit. Sed quod ii qui huic vel alii se adscriberent, peccarent, palam est: ac recte illos corrigit dicens: Non bene facitis dicentes: Ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephæ. Cur autem addidit: *Ego vero Christi*? Nam si ii qui se hominibus adscripserunt peccavere, non certe ii qui se Christo addicebant. Sed non eos hac de re accusabat quod se Christo adscriberent, sed solum quod non omnes. Puto autem ipsum hoc ex se adjecisse, ut graviorem faceret accusationem, & ostenderet Christum uni datum esse parti,

A τοῦτο οὐκ εἶπεν· ἐδηλώθη μοι παρά τινων, ἀλλὰ καὶ τὴν οἰκίαν δήλην ἐποίησεν, ὥστε μὴ νομίζεσθαι πλάττειν. τί ἐδηλώθη; ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. ὅτε μὲν οὖν αὐτοῖς ἐπιτιμᾷ, λέγει, ἵνα μὴ ἐν ὑμῖν σχίσματα ᾖ· ὅτε δὲ τὰ ἑτέρων ἀπαγγέλλει, πρᾳότερον ἀπαγγέλλει λέγων, ἐδηλώθη γάρ μοι, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν, ὥστε μὴ συγκροῦσαι τοὺς εἰρηκότας. εἶτα λέγει καὶ τῆς ἔριδος τὸ εἶδος. ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ. ἔριδας γὰρ οὐ φημί, φησι, τὰς περὶ ἰδιωτικῶν πραγμάτων, ἀλλὰ τὰς χαλεπωτέρας. ὅτι ἕκαστος ὑμῶν λέγει. οὐ γὰρ B μέρος, ἀλλὰ τὸ πᾶν ἐπενέμετο τῆς ἐκκλησίας ἡ φθορά. καίτοιγε οὐδὲ περὶ ἑαυτοῦ, οὐδὲ περὶ Πέτρου, οὐδὲ περὶ Ἀπολλῶ ἔλεγον, ἀλλὰ δείκνυσιν, ὅτι εἰ τούτοις ἐπερείδεσθαι οὐ χρή, πολλῷ μᾶλλον ἑτέροις. ὅτι γὰρ οὔτε περὶ αὐτῶν ἔλεγον, προϊών φησι· ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται, φρονεῖν. εἰ γὰρ Παύλου καὶ Ἀπολλῶ καὶ Κηφᾶ οὐκ ἐχρῆν ἐπιφημίζειν ἑαυτοῖς τὰ ὀνόματα, πολλῷ μᾶλλον ἑτέρων. εἰ τὸν διδάσκαλον, καὶ πρῶτον τῶν ἀποστόλων, καὶ τοσοῦτον κατηχή- C σαντα δῆμον, οὐκ ἐχρῆν ἐπιγράφεσθαι, πολλῷ μᾶλλον τοὺς οὐδὲν ὄντας. μεθ' ὑπερβολῆς τοίνυν ἀπαγαγὼν αὐτοὺς τοῦ νοσήματος, σπεύδων ταῦτα τίθησι τὰ ὀνόματα· ἄλλως δὲ, καὶ ἀνεπαχθέστερον ποιεῖ τὸν λόγον, οὐκ ὀνομαστὶ μεμνημένος τῶν διατεμνόντων τὴν ἐκκλησίαν, ἀλλ' ὥσπερ τισὶ [a] προσώποις ταῖς τῶν ἀποστόλων προσηγορίαις κρύπτων αὐτούς. ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ.

Οὐ προτιμῶν ἑαυτὸν τοῦ Πέτρου τέθεικεν ἔσχατον ἐκεῖνον, ἀλλὰ καὶ σφόδρα τὸν Πέτρον ἑαυτοῦ προτιθείς. D κατὰ γὰρ αὔξησιν προήγαγε τὸν λόγον, ἵνα μὴ νομισθῇ φθόνῳ τοῦτο ποιεῖν καὶ ἀφαιρεῖσθαι ἐκείνου τὴν τιμὴν διὰ βασκανίαν. διὰ τοῦτο καὶ ἑαυτὸν τέθεικε πρῶτον. ὁ γὰρ πρῶτον ἑαυτὸν ἀποδοκιμάζων, οὐκ ἀπὸ τοῦ τιμῆς ἐρᾶν τοῦτο ποιεῖ, ἀλλ' ἀπὸ τοῦ σφόδρα καταφρονεῖν τῆς τοιαύτης δόξης. τὴν τοίνυν ἅπασαν προσβολὴν αὐτὸς δέχεται, καὶ τότε τίθησι τὸν Ἀπολλῶ, καὶ τότε τὸν Κηφᾶν. οὐ τοίνυν ἐπαίρων ἑαυτὸν τοῦτο ἐποίησεν, ἀλλ' ἐν οἷς οὐκ ἐχρῆν γίνεσθαι, διὰ τοῦ οἰκείου προσώπου πρῶτον ποιεῖται τὴν διόρθωσιν. ἀλλ' ὅτι δὲ οἱ τῷ δεῖνι καὶ τῷ δεῖνι προσνέμοντες ἑαυτοὺς ἡμάρ- E τανον, δῆλον· καὶ καλῶς ἐνεκάλεσεν εἰπὼν, ὅτι οὐ καλῶς ποιεῖτε λέγοντες, ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ. τίνος δὲ ἕνεκεν προσέθηκεν, ἐγὼ δὲ Χριστοῦ; εἰ γὰρ οἱ ἀνθρώποις προσνέμοντες ἑαυτοὺς ἡμάρτανον, οὐδέ που καὶ οἱ τῷ Χριστῷ ἑαυτοὺς ἀνατιθέντες. ἀλλ' οὐ τοῦτο ἐνεκάλει ὅτι τὸν Χριστὸν ἑαυτοῖς ἐπεφήμιζον, ἀλλ' ὅτι μὴ πάντες μόνον. οἶμαι δὲ αὐτὸν καὶ οἴκοθεν αὐτὸ προστεθεικέναι βουλόμενον βαρύτερον τὸ ἔγκλημα ποιῆσαι, καὶ δεῖξαι οὕτω καὶ τὸν Χριστὸν εἰς μέρος δο-

[a] προσώποις, suspicatur Savilius legendum προσωπείοις. Sed puto locum bene habere.

θέντα

θέντα ἕν, εἰ καὶ μὴ οὕτως ἐποίουν τοῦτο ἐκεῖνοι. ὅτι γὰρ τοῦτο ᾐνίξατο, διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών· μεμέρισται ὁ Χριστός; ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κατετέμετε τὸν Χριστὸν καὶ διείλετε αὐτοῦ τὸ σῶμα. ὁρᾷς θυμὸν, ὁρᾷς ἐπίπληξιν, ὁρᾷς λόγον γέμοντα ἀγανακτήσεως; ὅταν γὰρ μὴ κατασκευάζῃ, ἀλλ᾽ ἐρωτᾷ μόνον, ὡς ὡμολογημένου τοῦ ἀτόπου τοῦτο ποιεῖ. τινὲς δὲ καὶ ἕτερον αὐτόν φασιν αἰνίττεσθαι διὰ τοῦ λέγειν, μεμέρισται ὁ Χριστός· οἷον, διενείματο πρὸς ἀνθρώπους καὶ ἐμερίσατο τὴν ἐκκλησίαν, καὶ μοῖραν τὴν μὲν αὐτὸς ἔλαβε, τὴν δὲ ἐκείνοις ἔδωκεν. εἶτα ἐργάζεται λοιπὸν τὴν ἀναίρεσιν τοῦ ἀτόπου, λέγων· μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; ὅρα φιλόχριστον γνώμην, πῶς ἐπὶ τοῦ οἰκείου λοιπὸν ὀνόματος περιάγει τὸ πᾶν, ἐκ περιουσίας δεικνὺς ὅτι οὐ προσήκει οὐδενὶ αὕτη ἡ τιμή. καὶ ἵνα μὴ δόξῃ φθόνῳ κινούμενος ταῦτα λέγειν, διὰ τοῦτο συνεχῶς ἑαυτὸν περιτρέπει. καὶ σκόπει τὴν σύνεσιν. οὐ γὰρ εἶπε, μὴ Παῦλος τὸν κόσμον ἐποίησε; μὴ Παῦλος ὑμᾶς ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν; ἀλλ᾽ ἃ ἦν τῶν πιστῶν ἐξαίρετα μόνον καὶ πολλῆς κηδεμονίας, ταῦτα τίθησι, τὸν σταυρὸν καὶ τὸ βάπτισμα, καὶ τὰ ἐκ τούτων ἀγαθά. δείκνυσι μὲν γὰρ τοῦ θεοῦ τὴν φιλανθρωπίαν καὶ ἡ τοῦ κόσμου δημιουργία, μάλιστα δὲ ἡ διὰ τοῦ σταυροῦ συγκατάβασις. καὶ οὐκ εἶπε, μὴ Παῦλος ἀπέθανεν ὑπὲρ ὑμῶν; ἀλλὰ, μὴ Παῦλος ἐσταυρώθη; καὶ τὸ εἶδος τοῦ θανάτου τιθείς. ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; καὶ οὐκ εἶπε, μὴ Παῦλος ἐβάπτισεν ὑμᾶς; ἐβάπτισε γὰρ πολλούς, ἀλλ᾽ οὐ τὸ ζητούμενον τοῦτο ἦν, ὑπὸ τίνος ἐβαπτίσθησαν, ἀλλὰ τὸ εἰς τίνος ὄνομα ἐβαπτίσθησαν. ἐπειδὴ γὰρ καὶ τοῦτο αἴτιον ἐγένετο σχισμάτων, τὸ ἀπὸ τῶν βαπτισάντων καλεῖσθαι, καὶ τοῦτο διορθοῦται λέγων, μὴ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; καὶ μὴ γὰρ εἴπῃς, φησὶ, τίς ἐβάπτισεν, ἀλλ᾽, εἰς τὸ τίνος ὄνομα. οὐ γὰρ ὁ βαπτίσας, ἀλλ᾽ ὁ καλούμενος εἰς τὸ βάπτισμα ζητεῖται· οὗτος γὰρ ἀφίησι τὰ ἁμαρτήματα. καὶ ἄχρι τούτου στήσας τὸν λόγον, οὐκέτι τοῖς ἑξῆς ἐπεξέρχεται. οὐ γὰρ λέγει, μὴ Παῦλος ὑμῖν ἐπηγγείλατο τὰ μέλλοντα ἀγαθά; μὴ Παῦλος ὑμῖν ὑπέσχετο βασιλείαν οὐρανῶν; τί δήποτε οὖν οὐχὶ καὶ ταῦτα προστίθησιν; ὅτι οὐκ ἔστιν ἴσον βασιλείαν ἐπαγγείλασθαι, καὶ σταυρωθῆναι. ἐκεῖνο μὲν γὰρ οὔτε κίνδυνον εἶχεν, οὔτε αἰσχύνην ἔφερε· τοῦτο δὲ ἅπαντα ταῦτα. ἄλλως δὲ, καὶ ἐκεῖνα ἀπὸ τούτων κατασκευάζει. εἰπὼν γὰρ, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἐπήγαγε, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; καὶ πάλιν, εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα. τούτου ἕνεκεν οὐκ ἐπήγαγεν ἐκεῖνα· καὶ ὅτι τὰ μὲν οὐδέπω εἶχον, τῶν δὲ ἤδη πεῖραν εἰλήφεσαν, καὶ τὰ μὲν ἦν ἐν ἐπαγγελίαις, τὰ δὲ ἤδη γεγένητο. εὐχαριστῶ τῷ θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Κάϊον. τί μέγα φρονεῖτε ἐπὶ τῷ βαπτίσαι, ὅπου

A etiamsi illi hoc non sic facerent. Quod enim hoc subindicaverit, per ea quæ sequuntur ostendit dicens: 13. *Divisus est Christus?* Id est, Christum concidistis, & corpus ejus divisistis. Vides iram, vides increpationem, vides sermonem indignatione plenum? Cum enim non probatione utatur, sed interroget tantum, hoc facit quasi absurditas illa in confesso sit. Quidam vero aliud subindicare putant cum ait. *Divisus est Christus*; nempe dispertiit apud homines & divisit ecclesiam, & partem quidem ipse cepit, aliamque illis dedit. B Deinde absurditatem illam tollit dicens: *Numquid Paulus crucifixus est pro vobis, aut in nomine Pauli baptizati estis?* Vide mentem Christi amantem: quomodo in nomen suum deinceps totum adducat, ubertim ostendens hunc honorem nemini competere. Ac ne videatur invidia motus hæc dicere, ideo se frequenter circumversat: & prudentiam considera. Non enim dixit, Num Paulus mundum condidit? Num Paulus vos ex nihilo produxit. Sed quæ in fidelibus erant eximia, & magnæ providentiæ, ea ponit, crucem & baptis- C mum, & bona inde parta. Nam Dei erga homines amorem ostendit mundi creatio, maxime vero illa per crucem demissio. Et non dixit, Num Paulus mortuus est pro vobis? Sed, *Num Paulus crucifixus est?* mortis quoque genus indicans; *& in nomine Pauli baptizati estis?* Nec dixit, Num Paulus vos baptizavit? multos enim ille baptizavit. Verum id non quærebatur, a quo nempe baptizati fuissent, sed in cujus nomine baptizati essent. Quia enim hoc schismatum causa fuerat, quod ex baptizantibus nomen ac- D ciperent; hoc etiam corrigit dicens, *An in nomine Pauli baptizati estis?* Et ne dixeris, inquit, quis baptizavit; sed in cujus nomine. Non enim quæritur quis baptizet; sed quis in baptismate vocetur: hic enim peccata dimittit. Hic gradum sistit, nec quæ sequuntur persequitur. Non enim dicit, Num Paulus vobis futura bona promisit? Num Paulus vobis promisit regnum cælorum? Cur ergo hæc non adjicit? Quia non par res est regnum promittere & crucifigi. Illud enim nec periculum habebat, nec afferebat igno- E miniam: hoc vero hæc omnia. Alioquin autem ab his illa probat. Cum dixisset enim, *Qui proprio filio suo non pepercit*, adjicit, *quomodo non etiam cum illo omnia nobis donabit?* Et rursum, *Si enim inimici cum essemus, reconciliati sumus Deo per mortem filii ejus, multo magis reconciliati salvabimur.* Ideo non illa subjunxit, & quod illa quidem nondum haberent, horum autem jam experientiam accepissent, & quod illa quidem in promissionibus; hæc vero jam facta essent. 14. *Gratias ago Deo meo, quia neminem vestrum baptizavi, nisi Crispum & Gaium.* Cur altum sapitis, quod baptizetis; quan-

Rom. 8.32.
Rom. 5.10.

do ego gratias ago quod hoc non fecerim? Cum hæc autem dicit, illorum tumorem prudenter tollit; non vim baptismatis, absit; sed arrogantiam eorum, qui de dato baptismate gloriabantur, primo ostendens non ipsorum esse donum; secundo gratias agens Deo ea de causa. Nam magnum quidem est baptisma, sed non illum magnum facit is qui baptizat, sed qui in baptismate invocatur. Baptizare enim nihil est, quod ad humanum attinet laborem; sed multo minus est, quam evangelizare. Nam magna quidem res est baptisma, iterum dico, & sine baptismate non possumus regnum consequi. Sed potest hoc facere vir non admodum præclarus; evangelizare autem multi laboris est.

3. Causam vero dicit cur gratias agat, quod nullum baptizaverit. Quænam illa est? 15. *Ne quis dicat quod in nomine meo baptizati estis.* De illis-ne hoc dicebant? Minime. Sed timeo, inquit, ne eo morbus deveniat. Nam si cum viles & nullius precii homines baptizarent, hæresis nata est; si ego qui baptismum annunciavi multos baptizassem, verisimile erat eos qui convenerant, non modo nomine meo vocandos fore, sed etiam baptisma mihi adscripturos fuisse. Si enim a minimis tantum ortum est malum, forte longe gravius a majoribus provenisset. Cum igitur eos qui corrupti erant hoc modo increpasset, ac dixisset: 16. *Baptizavi autem & Stephanæ domum*, illorum fastum rursus deprimit dicens, *cæterum nescio an aliquem alium baptizaverim.* Hinc enim ostendit non curæ illi fuisse hoc frui apud vulgus honore, nec gloriæ causa ad hoc venisse. Non his tantum, sed etiam in sequentibus illorum fastum deprimit dicens: 17. *Non enim misit me Christus baptizare, sed evangelizare.* Nam hoc & laboriosius erat, sudore multo opus habebat ferreoque animo, omniaque continebat. Ideoque Paulo commissum fuit. Et cur ad baptizandum non missus, baptizabat? Non pugnans adversus eum qui se miserat, sed ex abundanti hoc faciebat. Non enim dixit, prohibitum mihi fuit, sed, non sum missus ad hoc; sed ad rem maxime necessariam. Nam evangelizare unius aut duorum erat; baptizare autem cujuslibet est qui præditus sit sacerdotio. Hominem namque catechumenum & persuasum baptizare cujuslibet est: voluntas enim accedentis deinceps totum efficit, cum Dei gratia. Cum autem infideles sunt ad fidem instituendi, multo opus est labore, multa sapientia: tunc autem etiam subeundum erat periculum. In baptizando enim totum factum est, & persuasus est is qui in mysterium est admittendus; nihilque magnum est persuasum baptizare. Hic vero multus labor, ut voluntas & propositum mutetur, error convellatur, & veritas inse-

A γε ἐγὼ καὶ εὐχαριστῶ ὅτι οὐκ ἐποίησα τοῦτο; ταῦτα δὲ λέγων, καθαιρεῖ τὸ ἐπὶ τούτῳ φύσημα οἰκονομικῶς, οὐχὶ τὴν δύναμιν τοῦ βαπτίσματος, μὴ γένοιτο, ἀλλὰ τὴν ἀπόνοιαν τῶν μέγα ἐπὶ τῷ βαπτίσαι φρονούντων, πρῶτον μὲν τῷ δεικνύναι ὅτι οὐκ αὐτῶν ἐστι τὸ δῶρον, δεύτερον δὲ τῷ εὐχαριστεῖν τῷ Θεῷ διὰ τοῦτο. μέγα μὲν γὰρ τὸ βάπτισμα, ἀλλὰ μέγα αὐτὸ οὐχ ὁ βαπτίζων ποιεῖ, ἀλλ' ὁ καλούμενος εἰς τὸ βάπτισμα. ἐπεὶ τὸ βαπτίσαι οὐδέν ἐστιν ὅσον εἰς ἀνθρώπινον πόνον, ἀλλὰ πολλῷ ἔλαττον τοῦ εὐαγγελίσασθαι. μέγα μὲν γὰρ ἐστι πάλιν φημὶ τὸ βάπτισμα, καὶ ἄνευ βαπτίσματος ἀμή- B χανον βασιλείας ἐπιτυχεῖν. ἀλλὰ δύναται αὐτὸ καὶ ἀνὴρ οὐ σφόδρα γενναῖος ποιῆσαι· τὸ δὲ εὐαγγελίσασθαι πολλοῦ δεῖται πόνου.

Λέγει δὲ καὶ τὴν αἰτίαν δι' ἣν εὐχαριστεῖ, ὅτι οὐδένα ἐβάπτισε. τίς οὖν ἐστιν αὕτη; ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσθητε. περὶ γὰρ ἐκείνων τοῦτο a ἔλεγον; οὐδαμῶς· ἀλλὰ δέδοικα, φησι, μὴ καὶ εἰς τοῦτο προβῇ τὸ νόσημα. εἰ γὰρ εὐτελῶν ἀνθρώπων καὶ οὐδενὸς ἀξίων λόγου βαπτιζόντων, αἵρεσις γέγονεν, εἰ ἐγὼ ὁ καταγγείλας τὸ βάπτισμα πολλοὺς ἐβάπτισα, C εἰκὸς ἦν συστάντας μὴ μόνον ἐπὶ τῷ ὀνόματί μου καλεῖσθαι, ἀλλὰ καὶ τὸ βάπτισμα ἐμοὶ ἐπιφημίζειν. εἰ γὰρ ἀπὸ τῶν ἐλαττόνων τοσοῦτον ἐγένετο κακὸν, ἴσως ἂν καὶ ἐπὶ πολλῷ χαλεπώτερον ἀπὸ τῶν μειζόνων προὔβη. ἐντρέψας τοίνυν τοὺς διεφθαρμένους ταύτῃ, καὶ προσειπών· ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον, πάλιν αὐτῶν ὑποσύρει τὸν τῦφον λέγων, λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. ἐντεῦθεν γὰρ δείκνυσιν, ὅτι οὐδὲ περισπούδαστον ἦν αὐτῷ τὸ ἀπὸ τούτου τιμῆς ἀπολαύειν παρὰ τῶν πολλῶν, οὐδὲ δόξης ἕνεκεν ἐπὶ τοῦτο ἤρχετο. οὐ τούτοις δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἑξῆς σφόδρα αὐ- D τῶν καταστέλλει τὴν φλεγμονὴν, λέγων· οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλὰ εὐαγγελίζεσθαι. τὸ γὰρ ἐπιπονώτερον καὶ πολλοῦ δεόμενον μόχθου καὶ ψυχῆς σιδηρᾶς, καὶ ὃ πάντα συνεῖχε, τοῦτο ἦν. διὸ καὶ Παῦλος αὐτὸ ἐνεχειρίζετο. καὶ τίνος ἕνεκεν μὴ ἀποσταλεὶς βαπτίζειν, ἐβάπτιζεν; οὐ μαχόμενος τῷ ἀποστείλαντι, ἀλλ' ἐκ περιουσίας τοῦτο ποιῶν. οὐ γὰρ εἶπεν, ὅτι ἐκωλύθην, ἀλλ', ὅτι οὐκ ἀπεστάλην ἐπὶ τούτῳ, ἀλλ' ἐπὶ τῷ ἀναγκαιοτάτῳ. τὸ μὲν γὰρ εὐαγγελίζεσθαι, ἑνός που καὶ δευτέρου, τὸ δὲ βαπτίζειν, παντὸς ἂν εἴη τοῦ τὴν ἱερωσύνην ἔχοντος. ἄνθρωπον μὲν γὰρ κατηχού- E μενον λαβόντας καὶ πεπεισμένον βαπτίσαι, παντὸς οὑτινοσοῦν ἐστιν. ἡ γὰρ προαίρεσις τοῦ προσιόντος λοιπὸν ἐργάζεται τὸ πᾶν, καὶ ἡ τοῦ Θεοῦ χάρις. ὅταν δὲ ἀπίστους δέῃ κατηχῆσαι, πολλοῦ δεῖ πόνου, πολλῆς τῆς σοφίας· τότε δὲ καὶ τὸ κινδυνεύειν προσῆν. ἐκεῖ μὲν γὰρ τὸ πᾶν γέγονε, καὶ πέπεισται ὁ μυσταγωγεῖσθαι μέλλων· καὶ οὐδὲν μέγα, πεισθέντα βαπτίσαι. ἐνταῦθα δὲ πολὺς ὁ πόνος ὥστε μεταπεῖσαι προαίρεσιν, καὶ μεταθεῖναι γνώμην, καὶ ἀναμοχλεῦσαι πλάνην, καὶ καταφυτεῦσαι τὴν ἀλήθειαν.

a ἔλεγον, sic Reg. Editi, ἔλεγεν.

ἀλλ' οὐ λέγει ταῦτα οὕτως, οὐδὲ κατασκευάζει καί φησιν, ὅτι οὐδένα πόνον ἔχει τὸ βαπτίσαι, ἀλλὰ τὸ εὐαγγελίσασθαι. οἶδε γὰρ ἀεὶ μετριάζειν, ἀλλ' ἐν τῇ συγκρίσει τῆς ἔξωθεν σοφίας σφόδρα ἀποτείνεται, ἔνθα καταφορικωτέρῳ ἠδύνατο χρήσασθαι λόγῳ. οὐ τοίνυν ἐναντιούμενος τῷ πέμποντι ἐβάπτιζεν, ἀλλ' ὥσπερ ἐπὶ τῶν χηρῶν, εἰπόντων τῶν ἀποστόλων, οὐκ ἔστι ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις, διηκονήσατο, οὐκ ἐναντιούμενος ἐκείνοις, ἀλλ' ἐκ περιουσίας ποιῶν· οὕτω καὶ ἐνταῦθα. ἐπεὶ καὶ νῦν τοῖς μὲν ἀφελεστέροις τῶν πρεσβυτέρων τοῦτο ἐγχειρίζομεν, τὸν δὲ διδασκαλικὸν λόγον τοῖς σοφωτέροις. ἐκεῖ γάρ ἐστιν ὁ πόνος καὶ ὁ ἱδρώς. διὸ καὶ αὐτός φησιν· οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. ὥσπερ γὰρ τὸ μὲν διδάξαι τοὺς παλαίοντας, γενναίου καὶ παιδοτρίβου σοφοῦ, τὸ δὲ ἐπιθεῖναι τὸν στέφανον τῷ νικήσαντι, καὶ τοῦ μὴ δυναμένου παλαίειν ἐστί, καίτοιγε ὁ στέφανος λαμπρότερον ποιεῖ τὸν νικήσαντα, οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος. ἀδύνατον μὲν χωρὶς αὐτοῦ σωθῆναι, οὐδὲν δὲ μέγα ὁ βαπτίζων ποιεῖ, προαίρεσιν παρεσκευασμένην λαβών. οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. καθελὼν τὸ φύσημα τῶν διὰ τὸ βαπτίζειν μέγα φρονούντων, μεθίσταται λοιπὸν πρὸς τοὺς ἐπὶ σοφίᾳ τῇ ἔξωθεν κομπάζοντας, καὶ κατ' αὐτῶν ὁπλίζεται σφοδρότερον. πρὸς μὲν γὰρ τοὺς ἐπὶ τῷ βαπτίζειν πεφυσιωμένους ἔλεγεν, εὐχαριστῶ ὅτι οὐδένα ἐβάπτισα, καὶ ὅτι οὐκ ἀπέστειλέ με ὁ Χριστὸς βαπτίζειν· καὶ οὔτε σφοδρῶς οὔτε κατασκευαστικῶς κέχρηται τῷ λόγῳ, ἀλλ' αἰνιξάμενος δι' ὀλίγων ἅπερ ἐβούλετο, παρέδραμεν· ἐνταῦθα δὲ ἐκ προοιμίων χαλεπὴν δίδωσι τὴν πληγὴν λέγων, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. τί τοίνυν μέγα φρονεῖς, ἐφ' ᾧ [a] ἐγκαλύπτεσθαι ἔδει; εἰ γὰρ πολεμεῖ τῷ σταυρῷ καὶ μάχεται τοῖς εὐαγγελίοις ἡ σοφία αὕτη, οὐκ αὐχεῖν ἐπ' αὐτῇ, ἀλλὰ καταδύεσθαι δεῖ. τοῦτο γὰρ αἴτιον τοῦ μὴ γενέσθαι τοὺς ἀποστόλους σοφούς, οὐκ ἀσθένεια τοῦ χαρίσματος, ἀλλ' ἵνα μὴ βλαβῇ τὸ κήρυγμα. οὐκ ἄρα ἐκεῖνοι ἦσαν οἱ συνιστῶντες τὸν λόγον, ἀλλὰ καὶ λυμαινόμενοι· οἱ δὲ ἰδιῶται οἱ βεβαιοῦντες. τοῦτο διέκλασε τῦφον, τοῦτο κατέστειλε φλεγμονήν, τοῦτο ἔπεισε μετριάζειν. καὶ εἰ οὐκ ἐν σοφίᾳ λόγου, τίνος ἕνεκεν τὸν Ἀπολλὼ λόγιον ὄντα ἔπεμψαν; οὐ τῇ τῶν λόγων δυνάμει θαρροῦντές, φησιν, ἀλλ' ὅτι δυνατὸς ἦν ἐν ταῖς γραφαῖς, καὶ ἤλεγχε τοὺς Ἰουδαίους· ἄλλως δέ, τὸ ζητούμενον ἦν, τὸ τοὺς πρωτοστάτας καὶ ἀρξαμένους σπείρειν τὸν λόγον, μὴ εἶναι λογίους. οὗτοι γὰρ ἦσαν οἱ πολλῆς δεόμενοι δυνάμεως, ὥστε ἀπώσασθαι τὴν πλάνην ἐκ προοιμίων, καὶ τότε πολλῆς ἔδει τῆς ἰσχύος εἰς αὐτὴν τὴν εἴσοδον.

Ὁ τοίνυν μὴ δεηθεὶς εὐπαιδεύτων ἐκ προοιμίων, εἰ μετὰ ταῦτα λογίους ἐδέξατο, οὐχ ὡς δεόμενος

[a] Sic Reg. Editi vero καλύπτεσθαι, male.

A ratur. Verum hæc ille non ita dicit, neque probatione utitur: nec dicit, nullum esse laborem baptizare, sed evangelizare secus; scit enim semper modum tenere, & in comparatione cum externa sapientia valde contendit, ubi vehementiore uti potuit oratione. Non ergo contra jussum mittentis baptizabat. Sed sicut cum de viduis dixissent apostoli, *Non expedit nobis relicto verbo Dei ministrare mensis*, ille ministravit non illis repugnans, sed ex abundantia fervoris id fecit; ita & hic quoque. Nunc enim simplicioribus presbyteris hoc committimus, & doctrinæ verbum sapientioribus: illic enim labor & sudor est. Quapropter & ipse ait: *Qui recte præsunt presbyteri duplici honore dignentur; maximе autem qui laborant in verbo & doctrina.* Quemadmodum enim docere eos qui ludicra certamina adeunt, strenui & sapientis est pædotribæ; coronam autem victori imponere, ejus etiam est qui certare nequit, etsi corona victorem reddit splendidiorem; sic de baptismo dicendum; nullus potest sine illo salutem consequi; nihil tamen magnum facit is qui baptizat, cum voluntatis propositum paratum invenit. *Non in sapientia verbi, ut non evacuetur crux Christi.* Cum depressisset illorum tumorem, qui quod baptizarent altum sapiebant; transit postea ad illos, qui de externa sapientia gloriabantur, & adversus illos vehementius armatur. Adversus illos enim qui quod baptizarent inflabantur, dicebat. Gratias ago quod nullum baptizaverim, & quod Christus me ad baptizandum non miserit, nec vehementibus usus est argumentis; sed quæ volebat paucis subindicans, prætercurrit: hic autem a principio gravem infligit plagam dicens, *Ut non evacuetur crux Christi.* Cur ergo altum sapis de iis ob quæ pudore suffundi oporteret? Si enim hæc sapientia cum cruce pugnat & cum evangeliis concertat, non gloriari de illa, sed pudore affici oportet. Hæc enim causa fuit cur apostoli non sapientes, sive philosophi fuerint, non ex charismatis imbecillitate, sed ut ne prædicatio læderetur. Non ergo illi verbum confirmabant, sed labefactabant; at idiotæ vere confirmabant. Hoc fastum confregit, hoc tumorem compressit, hoc modeste agere suasit. At si non in sapientia verbi, cur Apollo virum doctum miserunt? Non vi orationis confidentes, inquit, sed quia potens erat in scripturis, & confutabat Judæos. Alioquin autem id quod quærebatur erat, ut qui primas tenebant & verbum serere ceperunt non essent docti. Hi magna virtute opus habebant, ut a principio errorem depellerent; & tunc in ipso ingressu magna fortitudine opus erat.

4. Qui ergo eruditis ab initio opus non habuit ut errorem depelleret, si postea eruditos admisit; non quasi illis indigens

Act. 6. 2.

1. Tim. 5. 17.

hoc fecit, sed quasi non discernens. Sicut A enim sapientibus hujusmodi non egebat ad id quod volebat perficiendum; ita si postea illos inveniret, non rejiciebat. Tu vero mihi illud ostende, an Petrus & Paulus eruditi essent; sed non poteris: erant enim idiotæ & illiterati. Quemadmodum igitur Christus quando discipulos misit in orbem, cum potentiam suam primum in Palæstina ostendisset illis, & dixisset: *Quando misi vos sine crumena & pera & calceis, numquid vobis aliquid defuit?* (Luc. 22. 35.) Tunc permisit ut deinceps & peram & crumenam haberent. Ita hic quoque fecit. B Nam id quod quærebatur erat ut Christi potentia ostenderetur; non ut propter externam sapientiam a fide ejicerentur ii qui accederent. Cum ergo Græci discipulos accusabunt ut idiotas, nos, plusquam illi, accusemus ipsos. Nec quis dicat Paulum sapientem, id est doctum fuisse; sed eos qui apud illos ob sapientiam & eloquentiam celebres sunt extollentes, illos omnes qui apud nos fuere, rudes fuisse dicamus. Non parum enim in hac quoque parte illos dejiciemus; sic quippe splendida erit victoria. Hæc autem dixi, quia C Christianum quempiam aliquando audivi contra Græcum ridicule disputantem: ambo namque in disputatione, rem suam confutabant & pessumdabant. (Disputatio circa Paulum & Platonem.) Nam quæ Christianum dicere oportuisset, illa dicebat Græcus; & quæ Græcum dicere par erat, hæc Christianus opponebat. Nam cum de Paulo & de Platone quæstio esset, Græcus ille ostendere conabatur Paulum indoctum & rudem fuisse. Christianus vero ex simplicitate probare contendebat, Platone doctiorem & disertiorem fuisse Paulum. Ita porro Græcus victor fuisset, si hæc vicisset propositio. Nam D si Platone doctior & eloquentior fuit Paulus, multi ut verisimile est opponent, illum non gratia, sed eloquentia superasse. Itaque sic loquens Christianus, pro Græco stabat. Quod autem Græcus dicebat, pro Christiano cedebat. Nam si, ut dicebam, ineruditus erat Paulus, & tamen Platonem vicit, splendida fuit victoria: indoctus quippe ille omnes discipulos ejus adortus, persuasos secum abduxit. Unde palam est non in sapientia humana prædicationem prævaluisse, sed per Dei gratiam. Ne igitur in eadem incidamus, neve E irrideamur cum; contra Græcos sic disputamus, apostolos tamquam indoctos accusemus. Talis enim accusatio encomium est. Et cum dixerint illi, agrestes fuisse Apostolos, nos addamus etiam fuisse indoctos, illiteratos, pauperes, viles & obscuros. Non sunt hæc maledicta apostolis illata, sed ad illorum gloriam cedit, quod tales cum essent, toto orbe terrarum fuerint clariores. Hi enim idiotæ, agrestes, indocti, sapientes illos, poten-

A τοῦτο ἐποίησεν, ἀλλ' ὡς οὐ διακρινόμενος. ὥσπερ γὰρ οὐκ ἐδεῖτο [a] σοφῶν εἰς τὸ κατορθῶσαι ἅπερ ἐβούλετο, οὕτως οὐδὲ μετὰ ταῦτα εὑρεθέντας διὰ τοῦτο διέβαλε. σὺ δὲ ἐκεῖνό μοι δεῖξον, εἰ Πέτρος λόγιος ἦν καὶ Παῦλος. ἀλλ' οὐκ ἂν ἔχοις· ἰδιῶται γὰρ ἦσαν, καὶ ἀγράμματοι. ὥσπερ οὖν ὁ Χριστὸς, ὅτε τοὺς μαθητὰς ἔπεμπεν εἰς τὴν οἰκουμένην, δείξας αὐτοῖς τὴν δύναμιν αὐτοῖς ἐν Παλαιστίνῃ πρότερον, καὶ εἰπὼν, ὅτε ἀπέστειλα ὑμᾶς χωρὶς βαλαντίου καὶ πήρας καὶ ὑποδήματος, μή τινος ὑστερήσατε; τότε ἐπέτρεψε λοιπὸν B καὶ πήραν καὶ βαλάντιον ἔχειν· οὕτω καὶ ἐνταῦθα ἐποίησε. τὸ γὰρ ζητούμενον ἦν δειχθῆναι τοῦ Χριστοῦ τὴν δύναμιν, οὐ διὰ τὴν ἔξωθεν σοφίαν ἐκβάλλεσθαι τῆς πίστεως τοὺς προσιόντας. ὅταν οὖν Ἕλληνες κατηγορήσωσι τῶν μαθητῶν ὡς ἰδιωτῶν, πλέον ἡμεῖς ἐκείνων [b] κατηγορῶμεν αὐτῶν. μηδὲ λεγέτω τις ὅτι σοφὸς ἦν ὁ Παῦλος, ἀλλ' ἐπαίροντες ἐπὶ σοφίᾳ τοὺς μεγάλους παρ' ἐκείνοις καὶ ἐπὶ εὐγλωττίᾳ θαυμασθέντας, τοὺς παρ' ἡμῖν ἅπαντας λέγωμεν ἰδιώτας γεγονέναι. οὐ μικρῶς γὰρ αὐτοὺς καὶ [c] κατὰ τοῦτο καταβαλοῦμεν τὸ μέρος. οὕτω γὰρ ἔσται λαμπρὰ τὰ νικητήρια. ταῦτα δὲ εἶπον, ἐπειδή C τινος ἤκουσά ποτε Χριστιανοῦ πρὸς Ἕλληνα καταγελάστως διαλεγομένου, καὶ ἀμφοτέρων ἐν τῇ πρὸς ἀλλήλους μάχῃ τὰ ἑαυτῶν καταλυόντων. ἃ γὰρ ἔδει τὸν Χριστιανὸν εἰπεῖν, ταῦτα ὁ Ἕλλην ἔλεγε· καὶ ἃ τὸν Ἕλληνα εἰκὸς ἦν εἰπεῖν, ταῦτα ὁ Χριστιανὸς προεβάλλετο. περὶ Παύλου γὰρ καὶ Πλάτωνος ζητήσεως οὔσης, ὁ μὲν Ἕλλην ἐπειρᾶτο δεικνύναι ὅτι ὁ Παῦλος ἦν ἀμαθὴς καὶ ἰδιώτης· ὁ δὲ Χριστιανὸς ὑπὸ ἀφελείας ἐσπούδαζε κατασκευάζειν, ὅτι Πλάτωνος λογιώτερος ἦν ὁ Παῦλος. οὕτω δὲ τοῦ Ἕλληνος ἐγίνετο τὰ νικητή- D ρια, τούτου κρατοῦντος τοῦ λόγου. εἰ γὰρ Πλάτωνος ἐλλογιμώτερος ἦν ὁ Παῦλος, πολλοὺς εἰκὸς ἀντιλέγειν ὅτι οὐ τῇ χάριτι, ἀλλὰ τῇ εὐγλωττίᾳ περιεγένετο. ὥστε ὑπὲρ τοῦ Ἕλληνος ἦν τὸ λεγόμενον ὑπὸ τοῦ Χριστιανοῦ. ὃ δὲ ἔλεγεν ὁ Ἕλλην, ὑπὲρ τοῦ Χριστιανοῦ ἦν. εἰ γὰρ Παῦλος ἀπαίδευτος ἦν, ἐκράτησε δὲ Πλάτωνος, ὅπερ ἔλεγον, λαμπρὰ γέγονεν ἡ νίκη. τοὺς γὰρ ἐκείνου μαθητὰς ἅπαντας λαβὼν ὁ ἀμαθὴς ἔπεισε, καὶ πρὸς ἑαυτὸν ἤγαγεν. ὅθεν δῆλον ὅτι οὐκ ἐν σοφίᾳ ἀνθρωπίνῃ τὸ κήρυγμα [d] περιγέγονεν, ἀλλὰ θεοῦ χάριτι. ἵν' οὖν μὴ ταῦτα πάσχωμεν, μηδὲ καταγελώμεθα E οὕτω διαλεγόμενοι πρὸς Ἕλληνας, ἐπειδὰν ἡμῖν πρὸς αὐτοὺς ἀγὼν ᾖ, κατηγορῶμεν τῶν ἀποστόλων ὡς ἀμαθῶν. ἡ γὰρ κατηγορία αὕτη, ἐγκώμιον. καὶ ὅταν εἴπωσιν ἐκεῖνοι, ὅτι ἄγροικοι ἦσαν οἱ ἀπόστολοι, προσθῶμεν ἡμεῖς, καὶ εἴπωμεν, ὅτι καὶ ἀμαθεῖς, καὶ ἀγράμματοι, καὶ πένητες, καὶ εὐτελεῖς, καὶ ἀσύνετοι, καὶ ἀφανεῖς. οὐκ ἔστι βλασφημία τῶν ἀποστόλων ταῦτα, ἀλλὰ καὶ δόξα, τὸ τοὺς τοιούτους τῆς οἰκουμένης πάσης λαμπροτέρους φανῆναι. οὗτοι γὰρ οἱ ἰδιῶται, καὶ ἄγροικοι, καὶ ἀμαθεῖς τοὺς σοφοὺς, καὶ δυνατοὺς, καὶ τοὺς

a Alius habet σοφιστῶν pro σοφῶν.
b Reg. κατηγορῶμεν, melius quam Editi κατηγοροῦμεν.
c Ita Reg. Morel. vero μετὰ τοῦτο male.
d Ita Reg. at editi male, γέγονεν.

A τυράννους, καὶ τοὺς ἐπὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἔξωθεν πᾶσι κομπάζοντας, ὡς οὐδὲ ἄνδρας, οὕτω κατηγωνίσαντο. ὅθεν δῆλον ὅτι μεγάλη ἡ τοῦ σταυροῦ δύναμις, καὶ οὐκ ἀνθρωπίνῃ ἰσχύϊ ταῦτα ἐγίνετο. οὐ γὰρ ἔχει φύσιν τὰ γινόμενα, ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ κατορθούμενα. ὅταν δὲ ὑπὲρ φύσιν τι γίνηται, καὶ ὑπὲρ φύσιν παρὰ πολὺ μετὰ τοῦ προσήκοντος καὶ τοῦ χρησίμου, εὔδηλον ὅτι θείᾳ τινὶ ταῦτα δυνάμει καὶ συνεργείᾳ γίνεται. σκόπει δέ· ὁ ἁλιεὺς, ὁ σκηνοποιὸς, ὁ τελώνης, ὁ ἰδιώτης, ὁ ἀγράμματος, ἐκ Παλαιστίνης τῆς χώρας μακρὰν κειμένης ἐλθόντες, τοὺς φιλοσόφους, τοὺς ῥήτορας, τοὺς δεινοὺς B εἰπεῖν ἐκ τῆς οἰκείας ἀπωσάμενοι πάντας, αὐτοὶ τούτων ἐκράτησαν χρόνῳ βραχεῖ, μετὰ κινδύνων πολλῶν, δήμων, βασιλέων ἀντιπιπτόντων, τῆς φύσεως αὐτῆς μαχομένης, τοῦ χρόνου τῆς παλαιότητος, πολλῆς συνηθείας ἀντιπιπτούσης σφοδρῶς, δαιμόνων ὁπλιζομένων, διαβόλου παρατατομένου καὶ πάντα κινοῦντος, βασιλέας, ἄρχοντας, δήμους, ἔθνη, πόλεις, βαρβάρους, Ελληνας, φιλοσόφους, ῥήτορας, σοφιστὰς, λογογράφους, νόμους, δικαστήρια, κολάσεις ποικίλας, θανάτους μυρίους καὶ παντοδαπούς. ἀλλ' ὅμως ἅπαντα ταῦτα οὕτως ἠλέγχετο καὶ παρεχώρει, τῶν ἁλιέων φθεγγομένων, C ὡς κόνις λεπτὴ σφοδρῶν ἀνέμων ἐμβολὴν ἐνεγκεῖν μὴ δυναμένη. μάθωμεν τοίνυν οὕτω πρὸς Ελληνάς διαλέγεσθαι, ἵνα μὴ ὦμεν ὡς θρέμματα καὶ βοσκήματα, ἀλλ' ὦμεν παρεσκευασμένοι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. καὶ τέως τοῦτο τὸ κεφάλαιον μελετήσωμεν οὐκ ὂν μικρὸν, καὶ λέγωμεν πρὸς αὐτούς. πόθεν οἱ ἀσθενεῖς τῶν ἰσχυρῶν περιεγένοντο, οἱ δώδεκα τῆς οἰκουμένης; οὐχὶ τοῖς αὐτοῖς ὅπλοις κεχρημένοι, ἀλλὰ γυμνοὶ πρὸς ἐνόπλους μαχόμενοι.

Εἰπὲ γὰρ, εἰ δώδεκα ἄνδρες πολεμικῶν ἄπειροι D πραγμάτων εἰς παράταξιν στρατιωτῶν ἄπειρον καὶ ὡπλισμένην εἰσπηδήσαντες, οὐκ ἄοπλοι μόνον, ἀλλὰ καὶ ἀσθενεῖς τὸ σῶμα, ὑπὸ μὲν ἐκείνων οὐδὲν ἔπαθον, μηδὲ μυρίοις [a] βαλλόμενοι ἐτρώθησαν, ἔχοντες δὲ ἐμπεπαρονημένα τὰ βέλη γυμνῷ τῷ σώματι πάντας κατέβαλλον, οὐχ ὅπλοις κεχρημένοι, ἀλλὰ τῇ χειρὶ παίοντες, εἶτα τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους λαβόντες ἀπήγαγον, μηδὲ τραύματα αὐτοὶ δεξάμενοι, ἆρά τις τὸ γινόμενον ἀνθρώπινον εἶναι ἔφησε; καίτοι τὸ τῶν ἀποστόλων τρόπαιον πολλῷ ἐκείνου θαυμαστότερον. τοῦ γὰρ γυμνὸν μὴ τρωθῆναι, πολλῷ παραδοξότερον τὸ E τὸν ἰδιώτην καὶ ἀγράμματον καὶ ἁλιέα τοσαύτης δεινότητος περιγενέσθαι, καὶ μήτε ὑπὸ τῆς ὀλιγότητος, μήτε ὑπὸ τῆς πενίας, μήτε ὑπὸ τῶν κινδύνων, μήτε ὑπὸ τῆς συνηθείας προκατειληφυίας, μήτε ὑπὸ τῆς τοσαύτης αὐστηρότητος τῶν πραγμάτων ὧν ἐπέταττον, μήτε ὑπὸ τῶν καθημερινῶν θανάτων, μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀπατηθέντων, μήτε ὑπὸ τοῦ ἀξιώματος τῶν ἀπατησάντων διακωλυθῆναι. οὕτω τοίνυν αὐτοὺς καταβάλωμεν, καὶ μαχώμεθα πρὸς ἐκείνους, καὶ πρὸ τῶν λόγων διὰ τοῦ βίου καταπληξώμεθα. αὕτη γάρ ἐστιν ἡ μεγάλη μάχη, αὕτη

[a] Reg. βαλλόμενοι βέλεσιν ἐτρ.

A tes, tyrannos, qui divitiis, gloria & externis cæteris rebus fruebantur & gloriabantur, quasi nec viri essent profligarunt. Unde palam est magnam esse crucis potentiam, & hæc non humana vi facta esse. Non enim humanæ naturæ sunt illa, sed supra naturam patrata sunt; cum autem supra naturam, & admodum ultra naturam quædam efficiuntur cum decoro & utilitate; palam est illa ex divina quadam virtute & operatione facta esse. Animadverte autem: piscator, tentoriorum artifex, publicanus, imperitus, illi- B teratus, ex Palæstina regione longinqua venientes, philosophis, oratoribus, dicendi peritis, ex patria expulsis omnibus, brevi temporis spatio illos vicerunt, cum periculis multis; populis & regibus ipsos oppugnantibus, ipsa pugnante natura, temporis antiquitate, obsistente etiam longa consuetudine, armatis dæmonibus, diabolo in acie stante & omnia moventе, reges, principes, populos, Gentes, urbes, Barbaros, Græcos, philosophos, oratores, sophistas, scriptores, leges, tribunalia, supplicia varia, mortes innumeras & diversas. Attamen hæc omnia ita C repulsa sunt & cesserunt, loquentibus piscatoribus, perinde ut tenuis pulvis, qui vehementium ventorum impetum ferre nequit. Discamus ergo sic cum Græcis disputare, ut ne simus tamquam bestiæ & pecora; sed parati semper ad spem nostram tuendam. Et interim hoc caput meditemur, quod non parvum est, illisque dicamus: undenam infirmi, fortes illos vicerunt; duodecim universum orbem? Non iisdem utentes armis, sed nudi contra armatos pugnantes.

D 5. Dic enim, si duodecim viri rei militaris imperiti, in armatam pugnatorum innumerabilium aciem irrumpentes, non inermes tantum, sed etiam corpore infirmi, ab illis nihil male paterentur, neque innumerabilibus telis impetiti sauciarentur: habentes autem tela infixa corpori nudo, omnes prosternerent; non armis utentes, sed manu ferientes: deinde alios occiderent, alios captivos abducerent, nullis acceptis vulneribus; an quis diceret rem talem gestam humanam esse? Atqui apostolicum tropæum longe illo mirabilius est: longe enim mirabilius E est quam nudum non vulnerari, quod imperitus & illiteratus atque piscator tantam superet gravitatem, ac neque a paucitate, neque a paupertate, neque a periculis, neque a prævia consuetudine, neque a severitate rerum quas præcipiebant, neque a quotidianis mortibus, neque ab eorum qui decepti fuerant multitudine, neque ab eorum qui deceperant auctoritate, impedirentur. Sic ergo illos prosternamus & contra ipsos pugnemus: ac vita prius, quam sermone, impetamus illos. Hoc enim magnum certamen est, hæc ra-

Apostolorum victoria mirabilis.

tiocinatio est, cui contradici non possit, quæ per opera procedit. Etiamsi enim innumera verbis philosophemur, si non meliorem quam illi vitam exhibeamus, nullum est lucrum. Non enim dictis attendunt, sed facta nostra examinant, & dicunt: Tu prior verbis tuis obtempera, & tunc alios admone. Quod si cum dicis innumera esse bona in futuro sæculo, quasi illa non sint præsentibus addictus videaris, credibiliora mihi sunt facta, quam dicta tua. Cum enim video te aliena rapientem, de iis qui defuncti sunt ultra modum lugentem, aliaque multa prave agentem, quomodo tibi credam dicenti resurrectionem esse? Etiamsi enim hæc non dicant, hæc cogitant & in mente versant. Et hoc impedit, quominus infideles Christiani fiant. Inducamus ergo illos per vitam nostram. Multi & illiterati viri philosophorum mentem ita perculsere, utpote qui operum philosophiam exhiberent, & vocem tuba clariorem per vitæ institutum & philosophiam emitterent. Hæc quippe linguâ fortior est. Cum enim dicam, non oportere injuriarum meminisse, deindeque Græco innumera inferam mala, quomodo potero verbis illum inducere, cum gestis ipsum depellam? Venemur ergo illos per vitæ institutum, & per hasce animas ædificemus ecclesiam, & has congeramus divitias. Nihil est animæ æquiparandum, ne totus quidem mundus. Itaque etiamsi innumeras pauperibus pecunias erogaveris, nihil tale efficies quale is qui vel unam animam convertit. *Qui enim educit preciosum ex vili, quasi os meum erit*, inquit. Magnum quidem bonum est egenorum misereri; sed nihil tantum, quantum ab errore liberare. Qui enim hoc facit Paulo & Petro similis est. Licet enim illorum prædicationem suscipere, non ut periclitemur quemadmodum illi, & famem, pestem cæteraque toleremus; jam enim pacis tempus est; sed ut alacriter studium exhibeamus. Licet enim domi sedentes hanc exercere piscationem. Si quis habet amicum, aut cognatum, aut familiarem, hæc faciat, hæc dicat; & similis erit Petro & Paulo. Quid dico, Petro & Paulo? os erit Christi. Nam *qui educit preciosum a vili, quasi os meum erit*, inquit. Etiamsi hodie non persuaseris, cras persuadebis; etiamsi nunquam persuaseris, tu perfectam habebis mercedem. Etiamsi non omnibus persuaseris, ex multis paucos attrahere poteris; quandoquidem apostoli non omnibus hominibus persuasere, omnes tamen alloquuti sunt, & de omnibus mercedem habent. Non enim ab exitu recte factorum, sed a mente recte operantium, coronas decernere Deus solet: etiamsi duos jeceris obolos, accipit, & quod erga viduam fecit, hoc & erga doctores operatur. Ne itaque quia non potes orbem terrarum

Exemplo magis quam philosophia prædicandum.

Jer. 15. 19.

A ὁ συλλογισμὸς ὁ ἀναντίῤῥητος ὁ διὰ τῶν ἔργων. ἐπεὶ κἂν μυρία φιλοσοφήσωμεν διὰ τῶν λόγων, βίον δὲ μὴ παρεχώμεθα ἐκείνων βελτίονα, τὸ κέρδος οὐδέν. οὐ γὰρ τοῖς λεγομένοις προσέχουσιν, ἀλλ' ἃ πράττομεν ἐξετάζουσι, καί φασι· σὺ πρότερος τοῖς σοῖς ῥήμασι πείθου, καὶ τότε ἑτέροις παραίνει. εἰ δὲ λέγεις μὲν μυρία εἶναι ἀγαθὰ ἐν τῷ μέλλοντι, ὡς οὐκ ὄντων δὲ οὕτω φαίνοιο τοῖς παροῦσι προσηλωμένος, τὰ ἔργα σου τῶν ῥημάτων ἐμοὶ πιστότερα. ὅταν γὰρ ἴδω σε ἁρπάζοντα τὰ ἑτέρων, θρηνοῦντα ἀμέτρως ἐπὶ τοῖς ἀπελθοῦσι, πολλὰ ἕτερα πλημμελοῦντα, πῶς σοι πιστεύσω ὅτι ἔστιν B ἀνάστασις; κἂν γὰρ μὴ λέγωσι ταῦτα, ἐννοοῦσι ταῦτα, καὶ περιστρέφουσιν ἐπὶ τῆς διανοίας. καὶ τοῦτό ἐστι τὸ κωλύον τοὺς ἀπίστους γενέσθαι Χριστιανούς. [a] ἐναγάγωμεν τοίνυν αὐτοὺς διὰ τῆς ζωῆς τῆς ἡμετέρας. πολλοὶ καὶ ἰδιῶται ἄνδρες φιλοσόφων οὕτω κατέπληξαν τὴν διάνοιαν, ὡς καὶ τὴν τῶν ἔργων ἐπιδειξάμενοι φιλοσοφίαν, καὶ φωνὴν σάλπιγγος λαμπροτέραν διὰ τῆς πολιτείας καὶ φιλοσοφίας ἀφέντες. αὕτη γὰρ τῆς γλώττης ἰσχυροτέρα. ὅταν δὲ εἴπω, ὅτι οὐ χρὴ μνησικακεῖν, εἶτα τὸν Ἕλληνα μυρία ἐργάσωμαι κακὰ, πῶς δυνήσομαι τοῖς C λόγοις αὐτὸν ἐναγαγεῖν, διὰ τῶν ἔργων αὐτὸν ἀποσοβῶν; θηρεύσωμεν τοίνυν αὐτοὺς διὰ τῆς πολιτείας, καὶ διὰ τῶν ψυχῶν τούτων οἰκοδομῶμεν τὴν ἐκκλησίαν, καὶ τοῦτον συναγάγωμεν τὸν πλοῦτον. οὐκ ἔστι ψυχῆς οὐδὲν ἀντάξιον, οὐδὲ ὁ κόσμος ἅπας. ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοιοῦτον ἐργάσῃ, οἷον ὁ μίαν ψυχὴν ἐπιστρέφων. ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησί. μέγα μὲν γὰρ ἀγαθὸν καὶ τὸ ἐλεεῖν τοὺς πενομένους· ἀλλ' οὐδὲν τοιοῦτον, οἷον τὸ πλάνης ἀπαλλάττειν. ὁ γὰρ τοῦτο ποιῶν, κατὰ Παῦλον ἐστὶ καὶ Πέτρον. ἔξεστι γὰρ ἀναδέξασθαι τὸ ἐκείνων κήρυγμα, οὐχ D ἵνα κινδυνεύωμεν καθάπερ ἐκεῖνοι, καὶ λιμοὺς καὶ λοιμοὺς, καὶ τὰ ἄλλα ὑποφέρωμεν, εἰρήνης γὰρ ὁ παρὼν καιρὸς, ἀλλ' ἵνα τὴν ἀπὸ προθυμίας σπουδὴν ἐπιδειξώμεθα. καὶ γὰρ ἔξεστιν οἴκοι καθημένους ταύτην τὴν ἁλείαν ἐργάζεσθαι. εἴ τις ἔχει φίλον, καὶ συγγενῆ, καὶ οἰκεῖον, ταῦτα ποιείτω, ταῦτα λεγέτω· καὶ ἔσται κατὰ Πέτρον καὶ Παῦλον· καὶ τί λέγω Πέτρον καὶ Παῦλον; στόμα ἔσται τοῦ Χριστοῦ. ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησί. κἂν μὴ σήμερον πείσῃς, αὔριον πείσεις. κἂν μηδέποτε πείσῃς, σὺ τὸν μισθὸν ἕξεις E ἀπηρτισμένον. κἂν μὴ πάντας πείσῃς, ὀλίγους ἀπὸ πολλῶν δυνήσῃ, ἐπεὶ καὶ οἱ ἀπόστολοι οὐχὶ πάντας τοὺς ὄντας ἀνθρώπους ἔπεισαν, ἀλλ' ὅμως πᾶσι διελέχθησαν, καὶ τὸν ἐπὶ πᾶσι μισθὸν ἔχουσιν. οὐ γὰρ πρὸς τὸ τέλος τῶν κατορθουμένων, ἀλλὰ πρὸς τὴν γνώμην τῶν κατορθούντων ὁ θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθε. κἂν δύο καταβάλῃς ὀβολοὺς, δέχεται· καὶ ὅπερ ἐπὶ τῆς χήρας ἐποίησε, τοῦτο καὶ ἐπὶ τῶν διδασκόντων ἐργάζεται. μὴ τοίνυν ἐπειδὴ τὴν οἰκουμένην οὐ δύνασαι σῶσαι,

[a] Alius, ἀγάγωμεν.

καὶ τῶν ὀλίγων καταφρόνει, μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ τῶν μικρῶν ἀφελκύσῃς σεαυτόν. κἂν ἑκατὸν μὴ δυνηθῇς, τῶν δέκα ἐπιμελήθητι· κἂν δέκα μὴ δυνηθῇς, μηδὲ τῶν πέντε καταφρονήσῃς· κἂν πέντε μὴ δυνηθῇς, τοῦ ἑνὸς μὴ ὑπερίδῃς· κἂν τὸν ἕνα μὴ δυνηθῇς, μηδὲ οὕτως ἀθύμει, μηδὲ τὰ παρὰ σαυτοῦ κωλύσῃς. οὐχ ὁρᾷς ὅτι καὶ ἐν τοῖς συναλλάγμασιν οὐ μόνον ἀπὸ χρυσίου, ἀλλὰ καὶ ἐξ ἀργυρίου τὰς ἐμπορίας ποιοῦνται οἱ περὶ ταῦτα σχολάζοντες; ἂν μὲν γὰρ μηδέπω τῶν μικρῶν καταφρονῶμεν, καὶ τῶν μεγάλων ἀνθεξόμεθα· ἂν δὲ τῶν μικρῶν ὑπερίδωμεν, οὐδὲ ἐκείνων ἐπιληψόμεθα εὐκόλως. B οὕτως ἕκαστος πλούσιος γίνεται, καὶ μικρὰ καὶ μεγάλα συλλέγων· οὕτω καὶ ἡμεῖς ποιῶμεν, ἵνα ἐν πᾶσι πλουτήσαντες, ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A servare, paucos despicias, neque ex magnorum desiderio, a minoribus te abstrahas. Si centum non potueris, decem cures; si denos non possis, ne quinos spernas; si quinos non possis, ne unum despicias; si unum non potueris, neque sic animo deficias, nec quæ penes te sunt cohibeas. Non vides quomodo in contractibus, non solum ex auro, sed etiam ex argento mercatores commercia exercere soleant? Nam si ne parva quidem despiciamus, magna etiam apprehendemus. Si vero parva contemnamus, neque illa ipsa facile percipiemus. Sic quisque dives efficitur parva & magna colligens. Sic & nos faciamus, ut in omnibus divites facti, regnum cælorum consequamur, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unâque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ δ'.

## HOMILIA IV.

Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί· τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις θεοῦ ἐστι. γέγραπται γάρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; C

*18. Verbum enim crucis, pereuntibus quidem stultitia est; iis vero qui salvi fiunt, nobis, virtus Dei est. 19. Scriptum est enim, Perdam sapientiam sapientium, & prudentiam prudentium reprobabo. Ubi sapiens? Ubi Scriba? 20. Ubi inquisitor sæculi hujus.*

ΤΟΙΣ κάμνουσι καὶ ψυχορραγοῦσι, καὶ αἱ τροφαὶ αἱ ὑγιεῖς ἀηδεῖς, οἱ φίλοι καὶ οἱ προσήκοντες ἐπαχθεῖς, καὶ οὐδὲ γνωρίζονται πολλάκις, ἀλλὰ καὶ ἐνοχλεῖν δοκοῦσιν. οὕτω δὴ καὶ τοῖς τὰς ψυχὰς ἀπολλυμένοις συμβαίνειν εἴωθε. τὰ γὰρ πρὸς σωτηρίαν φέροντα D ἀγνοοῦσι, καὶ τοὺς κηδομένους αὐτῶν ἐνοχλεῖν νομίζουσι. γίνεται δὲ τοῦτο οὐ παρὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλὰ παρὰ τὴν ἐκείνων νόσον. καὶ ὅπερ οἱ παραπαίοντες ποιοῦσιν, ἀπεχθανόμενοι πρὸς τοὺς ἐπιμελομένους αὐτῶν, καὶ λοιπὸν λοιδορούμενοι, τοῦτο καὶ οἱ ἄπιστοι πάσχουσιν. ἀλλ' ὥσπερ ἐπ' ἐκείνων οἱ ὑβριζόμενοι τότε μάλιστα αὐτοὺς ἐλεοῦσι καὶ δακρύουσι, δεῖγμα ἔσχατον τῆς ἐπιτεταμένης ἀῤῥωστίας τοῦτο ποιούμενοι, ὅταν τοὺς φιλτάτους ἀγνοῶσιν· οὕτω καὶ ἡμεῖς ἐπὶ τῶν Ἑλλήνων ποιήσωμεν, καὶ μᾶλλον τῶν γυναικῶν ὀλολύζωμεν ἐπ' αὐτοῖς, ὅτι τὴν κοινὴν ἀγνοοῦσι σωτηρίαν. οὐ γὰρ οὕτω γυναῖκα ἀνὴρ δεῖ φιλεῖν, E ὡς ἡμᾶς πάντας ἀνθρώπους, καὶ πρὸς σωτηρίαν ἐφέλκεσθαι, κἂν Ἕλλην ᾖ, κἂν ὁστισοῦν. θρηνῶμεν τοίνυν αὐτοὺς, ὅτι ὁ λόγος τοῦ σταυροῦ μωρία αὐτοῖς ἐστιν, ὁ αὐτὸς σοφία καὶ δύναμις ὤν. ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, φησί, μωρία ἐστίν. ἐπεὶ γὰρ εἰκὸς ἦν ἐκείνους, τοῦ σταυροῦ παρὰ τῶν Ἑλλήνων χλευαζομένου, τῇ σοφίᾳ τῇ δῆθεν παρ' ἑαυτῶν ἀνθίστασθαι καὶ πολεμεῖν θορυβουμένους τοῖς παρὰ τῶν Ἑλλήνων λεγομένοις, παραμυθούμενος ὁ Παῦλός φησι, μὴ νομίσητε ξένον γίνε-

1. LABORANTIBUS & animo fractis, etiam salubres cibi insuaves sunt, amici & necessarii importuni, neque sæpe cognoscuntur, ac videntur inferre molestiam. Sic quoque solet accidere iis qui animas perdunt: nam quæ ad salutem ducunt ignorant, & illos qui ipsorum curam gerunt molestos esse putant. Hoc autem fit, non ex ipsa rei natura, sed ex illorum morbo. Et quod insani faciunt, cum illos odio habent qui ipsorum curam gerunt, illosque conviciis impetunt; hoc quoque faciunt infideles. Sed quemadmodum qui conviciis impetuntur tum maxime eorum miserentur, & lacrymantur, utpote qui hoc extremum esse ægritudinis indicium putent, quod illi amicissimos sibi non noscant; ita & nos circa Græcos faciamus, & magis quam propter uxores circa illos ejulemus, quia communem ignorant salutem. Non enim ita vir uxorem debet amare, ut nos homines omnes, illosque ad salutem attrahere, sive Græcus sit, sive quisquis alius. Lugeamus ergo illos, quia verbum crucis stultitia ipsis est, cum ipsum sapientia & virtus sit. Nam *verbum crucis, pereuntibus*, inquit, *stultitia est.* Quia enim verisimile est illos, cum crux a Græcis irrideretur, ei quæ apud illos habebatur sapientiæ obstitisse & Græcorum dictis, consolans ipsos Paulus dicit: ne putetis rem esse insolitam ac stupen-

dam. Hanc res isthæc habet naturam, ut a pereuntibus virtus ejus non cognoscatur. Mente namque capti sunt ac desipiunt. Ideo convitia efferunt, & salutaria pharmaca moleste ferunt. Quid vero dicis, o homo? Servus propter te Christus factus est, formam servi accipiens, crucifixus est & resurrexit. Et cum oporteret illum resuscitatum ideo adorare, & ejus benignitatem admirari; quia quæ nec pater, nec amicus, nec filius pro te fecit, hæc omnia Dominus operatus est propter te inimicum, qui illum offenderas. Cum oporteret ergo illum propterea admirari, tu rem tanta sapientia plenam, stultitiam appellas? Sed nihil mirum. Nam pereuntium est non agnoscere ea quæ ad salutem ducunt. Ne turbemini igitur. Non enim novum, neque inexspectatum est illud, quod nempe a desipientibus magna derideantur. Illos qui sic affecti sunt, per humanam sapientiam persuadere non licet. Imo si ita persuadere volueris, contrarium efficis. Nam ea quæ rationem superant sola fide opus habent. Etenim si ratiociniis persuadere voluerimus, quomodo Deus factus sit homo, & in vulvam virginalem ingressus sit; & si rem fidei non permittamus, magis irridebunt illi. Ergo qui ratiociniis id quærunt, illi sunt qui pereunt. Ecquid dico de Deo? nam si circa creaturas hoc faciamus, multus sequetur risus. Sit enim homo qui velit omnia ratiociniis ediscere, & tentet tua persuaderi ratione, quomodo lucem aspiciamus. Tu autem ratiocinio illi persuadere conare. Sed non poteris. Si enim dixeris, quod sufficiat oculos aperire ad videndum; non modum dixisti, sed quod fieri solet. Cur enim non auribus videmus, inquiet, & nec oculis audimus? Cur non naso audimus, nec auribus olfacimus? Si ergo illo ea de re quærente, non possumus horum rationem reddere, & ille rideat, annon magis nos ridebimus? Nam si ambo ex eodem cerebro principium habent, ambaque membra vicina sunt, quomodo non eadem ipsa possunt facere? Sed non poterimus causam dicere, neque modum ineffabilis & variæ operationis; & si tentemus, irridebimur. Ideo Dei potentiæ & immensæ sapientiæ cedentes, taceamus. Ita ergo si ea quæ Dei sunt per externam sapientiam explicare velimus, multus sequetur risus, non propter rerum imbecillitatem, sed propter hominum amentiam. Res enim magnas nullus sermo potest explicare. Animum autem adhibe: cum dixero, crucifixus est, Græcus dicit: & quomodo hoc rationi consentaneum est? Sibi non opem tulit cum crucifigeretur & tentaretur tempore crucis; & quomodo postea resurrexit, & aliis opem tulit? Nam si poterat, oportebat ante mortem agere. Nam hoc quoque dicebant Judæi. Qui autem sibi ipsi opem non tulit, quomodo aliis tulit? Non est

Ratiociniis ea quæ fidei sunt sæpe labefactantur.

A σθαι καὶ παράδοξον. ταύτην ἔχει τὴν φύσιν τὸ πρᾶγμα, ὥστε ὑπὸ τῶν ἀπολλυμένων μὴ γνωρίζεσθαι αὐτοῦ τὴν δύναμιν. ἐξεστήκασι γὰρ καὶ παραπαίουσι. διὰ τοῦτο καὶ λοιδοροῦνται καὶ ἀπαθῶς ἔχουσι πρὸς τὰ σωτήρια φάρμακα. τί δὲ λέγεις, ἄνθρωπε; δοῦλος ὁ Χριστὸς ἐγένετο διὰ σὲ μορφὴν δούλου λαβὼν, καὶ ἐσταυρώθη, καὶ ἀνέστη· καὶ δέον ἀναστάντα προσκυνῆσαι διὰ τοῦτο, καὶ θαυμάσαι τὴν φιλανθρωπίαν, ὅτι ὅπερ οὔτε πατὴρ, οὔτε φίλος, οὔτε υἱὸς ὑπὲρ σοῦ ἐποίησε, ταῦτα ὁ δεσπότης πάντα εἰργάσατο ὑπὲρ σοῦ τοῦ ἐχθροῦ καὶ προσκεκρουκότος. δέον τοίνυν θαυμάζειν ὑπὲρ τούτων αὐτὸν, B σὺ δὲ μωρίαν καλεῖς πρᾶγμα τοσαύτης σοφίας γέμον; ἀλλ' οὐδὲν θαυμαστόν. τῶν γὰρ ἀπολλυμένων ἐστὶ μὴ ἐπιγινώσκειν τὰ πρὸς σωτηρίαν φέροντα. μὴ θορυβεῖσθε οὖν. οὐ γὰρ ξένον, οὐδὲ παρὰ προσδοκίαν τὸ γινόμενον, τὸ χλευάζεσθαι τὰ μεγάλα παρὰ τῶν ἐξεστηκότων. τοὺς δὲ οὕτω διακειμένους διὰ σοφίας ἀνθρωπίνης πείθειν οὐκ ἔνι· ἀλλὰ, κἂν βουληθῇς οὕτω πεῖσαι, τὸ ἐναντίον ποιεῖς. τὰ γὰρ ὑπερβαίνοντα λογισμὸν πίστεως δεῖται μόνης. καὶ γὰρ, ἂν θέλωμεν πείθειν διὰ λογισμῶν, πῶς ἄνθρωπος ἐγένετο ὁ θεὸς, καὶ εἰς μήτραν εἰσῆλθε παρθενικὴν, καὶ μὴ τῇ πίστει τὸ πρᾶγμα C ἐπιτρέψωμεν, μᾶλλον ἐκεῖνοι καταγελάσονται. ἄρα οἱ λογισμοῖς ζητοῦντες, οὗτοί εἰσιν οἱ ἀπολλύμενοι. καὶ τί λέγω περὶ θεοῦ; ἐπὶ γὰρ τῶν κτισμάτων ἂν τοῦτο ποιήσωμεν, πολὺς ἕψεται γέλως. ἔστω γὰρ ἄνθρωπος πάντα βουλόμενος λογισμοῖς μανθάνειν, καὶ πειράσθω τῷ παρὰ σοῦ λόγῳ πείθεσθαι, πῶς βλέπομεν τὸ φῶς; σὺ δὲ αὐτὸν λογισμῷ πείθειν πειρῶ. ἀλλ' οὐκ ἂν ἔχοις. ἂν γὰρ εἴποις, ὅτι ἀρκεῖ τοὺς ὀφθαλμοὺς ἀνοίξαντα βλέπειν, οὐ τὸν τρόπον εἴρηκας, ἀλλὰ τὸ γινόμενον. διὰ τί γὰρ μὴ τῇ ἀκοῇ βλέπομεν, φησι, καὶ τοῖς ὀφ- D θαλμοῖς ἀκούομεν; διὰ τί γὰρ μὴ τῇ ῥινὶ ἀκούομεν, καὶ τῇ ἀκοῇ ὀσφραινόμεθα; ἂν τοίνυν, ἀποροῦντος αὐτοῦ περὶ τούτων, μὴ δυνώμεθα τὸν λόγον ἀποδοῦναι τούτων, ἐκεῖνος μέλλει γελᾷν, οὐ μειζόνως ἡμεῖς καταγελασόμεθα; εἰ γὰρ ἀμφότερα ἐξ ἑνὸς ἐγκεφάλου τὴν ἀρχὴν ἔχει, ἀμφότερα ἀλλήλοις γειτνιάζει τὰ μέλη, πῶς οὐ τὰ αὐτὰ δύναται ποιεῖν; ἀλλ' οὐ δυνησόμεθα εἰπεῖν τὴν αἰτίαν, οὐδὲ τὸν τρόπον τῆς ἀφάτου καὶ ποικίλης ἐνεργείας, ἀλλὰ κἂν ἐπιχειρήσωμεν, καταγελώμεθα. διά τοι τοῦτο τῇ τοῦ θεοῦ δυνάμει καὶ τῇ E ἀπείρῳ σοφίᾳ παραχωροῦντες, σιγήσωμεν. οὕτω τοίνυν καὶ τὰ τοῦ θεοῦ ἐὰν τῇ ἔξωθεν σοφίᾳ βουληθῶμεν παραστῆσαι, πολὺς ἕψεται γέλως, οὐ παρὰ τὴν τῶν πραγμάτων ἀσθένειαν, ἀλλὰ παρὰ τὴν τῶν ἀνθρώπων ἄνοιαν. τὰ γὰρ μεγάλα λόγος οὐδεὶς παραστῆσαι δύναται. σκόπει δέ· ὅταν εἴπω, ἐσταυρώθη, ὁ Ἕλλην λέγει, καὶ πῶς ἂν ἔχοι λόγον τοῦτο; ἑαυτῷ οὐκ ἤμυνε σταυρουμένῳ καὶ πειραζομένῳ κατὰ τὸν καιρὸν τοῦ σταυροῦ, καὶ πῶς μετὰ ταῦτα ἀνέστη, καὶ ἑτέροις ἤμυνεν; εἰ γὰρ ἐδύνατο, πρὸ τοῦ θανάτου ἔδει. τοῦτο γὰρ καὶ Ἰουδαῖοι ἔλεγον. ὁ δὲ ἑαυτῷ μὴ ἀμύνας, πῶς ἄλλοις ἤμυνεν; οὐκ ἂν ἔχοι

ἔχοι λόγον, φησί. καὶ γὰρ ὑπὲρ λόγον ἐστὶν, ἄνθρωπε, καὶ ἀφάτου δυνάμεως ὁ σταυρός. τὸ γὰρ ἐν τοῖς δεινοῖς γενόμενον ἀνώτερον φανῆναι τῶν δεινῶν, καὶ συμπλακέντα νικῆσαι, δυνάμεώς ἐστιν ἀπείρου. ὥσπερ γὰρ ἐπὶ τῶν τριῶν παίδων, τοῦ μὴ ἐμβῆναι εἰς τὴν κάμινον τὸ ἐμβάντας καταπατῆσαι τὴν φλόγα θαυμαστότερον ἦν· καὶ ἐπὶ τοῦ Ἰωνᾶ, τοῦ μὴ ἐμπεσεῖν εἰς τὸ κῆτος τὸ ἐμπεσόντα μηδὲν ἀπὸ τοῦ θηρίου παθεῖν ἀηδὲς, πολλῷ μεῖζον ἦν· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, τοῦ μὴ ἀποθανεῖν τὸ ἀποθανόντα διαλῦσαι τὸν θάνατον, παραδοξότερον ἦν. μὴ τοίνυν λέγε, διὰ τί οὐκ ἤμυνεν ἑαυτῷ ἐν τῷ σταυρῷ; αὐτῷ γὰρ συμπλακῆναι ἠπείγετο τῷ θανάτῳ. οὐ κατέβη ἀπὸ τοῦ σταυροῦ, οὐκ ἐπειδὴ οὐκ ἠδύνατο, ἀλλ' ἐπειδὴ οὐκ ἠβούλετο. ὃν γὰρ ἡ τυραννὶς οὐ κατέσχε τοῦ θανάτου, πῶς ἧλοι σταυροῦ κατασχεῖν ἠδύναντο;

Ἀλλὰ ταῦτα ἡμῖν γνώριμα, τοῖς δὲ ἀπίστοις οὐκέτι. διὰ τοῦτο ἔλεγεν, ὅτι ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστι. γέγραπται γὰρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. οὐδὲν παρ' ἑαυτοῦ φορτικὸν τέως τίθησιν, ἀλλὰ πρότερον ἐπὶ τὴν μαρτυρίαν ἔρχεται τῆς γραφῆς, καὶ τότε τὴν ἐκεῖθεν παρρησίαν λαβὼν καταφορικώτερον κέχρηται τοῖς λόγοις, καί φησιν· οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεὸν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. εἰπὼν ὅτι γέγραπται, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν ἐπάγει λέγων· ποῦ σοφός; ποῦ γραμματεύς; ὁμοῦ καὶ Ἑλλήνων καὶ Ἰουδαίων καθαπτόμενος. ποῖος γὰρ φιλόσοφος, τίς τῶν περὶ τοὺς συλλογισμοὺς ἐσχολακότων, τίς τῶν τὰ Ἰουδαίων εἰδότων ἔσωσε, καὶ τὴν ἀλήθειαν ἐγνώρισεν; οὐκ ἔστιν οὐδεὶς, ἀλλὰ τῶν ἁλιέων τὸ πᾶν γέγονε. συμπεράνας τοίνυν τὸ προκείμενον, καὶ κατενεγκὼν αὐτῶν τὸν τῦφον, καὶ εἰπών· οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; λέγει καὶ τὴν αἰτίαν δι' ἣν ταῦτα γέγονεν οὕτως. ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, φησιν, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεὸν, ὁ σταυρὸς ἐφάνη. τί δέ ἐστιν, ἐν τῇ σοφίᾳ τοῦ θεοῦ; τῇ διὰ τῶν ἔργων φαινομένῃ, δι' ὧν ἠθέλησε γνωρισθῆναι. διὰ τοῦτο γὰρ αὐτὰ καὶ τοιαῦτα κατεσκεύασεν, ἵνα ἀναλόγως ἐκ τῶν ὁρωμένων ὁ ποιητὴς θαυμάζηται. μέγας ὁ οὐρανὸς, καὶ ἀπειροπληθὴς ἡ γῆ· θαύμασον τοίνυν τὸν πεποιηκότα. καὶ γὰρ ὁ μέγας οὗτος οὐ μόνον ἐγένετο ὑπ' αὐτοῦ, ἀλλὰ καὶ μετ' εὐκολίας, καὶ ἡ ἄπειρος ἐκείνη γῆ καὶ αὐτὴ, ὡς οὐδὲν παρήγετο. διὰ τοῦτο περὶ μὲν ἐκείνου φησὶν, ὅτι ἔργα τῶν δακτύλων σου εἰσὶν οἱ οὐρανοί· περὶ δὲ τῆς γῆς, ὁ ποιήσας τὴν γῆν ὡς οὐδέν. ἐπεὶ οὖν διὰ τῆς σοφίας ταύτης οὐκ ἠθέλησε γνωρίσαι τὸν θεὸν, διὰ τῆς δοκούσης μωρίας εἶναι τοῦ κηρύγματος ἔπεισεν, οὐ διὰ λογισμῶν, ἀλλὰ διὰ τῆς πίστεως. λοιπὸν ὅπου σοφία θεοῦ, οὐκέτι χρεία ἀνθρωπίνης.

A hoc, inquit, rationi consentaneum. Est enim crux, o homo, supra rationem & ineffabilis virtutis. Nam in malis gravibus constitutum, iis malis superiorem apparere, & sic congressum vincere, immensæ virtutis est. Ut enim in tribus pueris, ingressos in fornacem conculcasse flammam mirabilius erat, quam si ingressi non fuissent; & in Jona, in cetum incidentem a bellua nihil passum esse multo majus erat, quam si non incidisset; sic & in Christo longe mirabilius fuit mortuum solvisse mortem, quam si mortuus non fuisset. Ne B dicas ergo, cur sibi opem non tulit in cruce? Nam cum morte confligere volebat. Non descendit de cruce, non quod non posset, sed quod nollet. Eum enim quem mortis tyrannis detinere non potuit, quomodo clavi crucis detinere potuissent.

2. Sed hæc nobis nota sunt, infidelibus non item. Ideo dicebat, verbum crucis pereuntibus stultitiam esse, nobis autem salutem consequentibus, virtutem esse Dei. Scriptum est enim: *Perdam sapientiam sapientium, & prudentiam prudentium reprobabo.* Nihil grave hactenus posuit, sed primo ad Scripturæ testimonium venit, & C tunc fiducia inde assumta, vehementiore utitur sermone, & ait: *Nonne stultam fecit Deus sapientiam hujus mundi? Ubi sapiens? ubi scriba? ubi conquisitor hujus sæculi? Nonne stultam fecit Deus sapientiam hujus mundi? 21. Nam quia in sapientia Dei non cognovit mundus per sapientiam Deum, placuit Deo per stultitiam prædicationis salvos facere credentes.* Cum dixisset, *scriptum est: perdam sapientiam sapientium,* ex rebus demonstrationem inducit dicens: *Ubi sapiens, ubi scriba?* simul & Judæos & Græcos perstringens. Quis enim philosophus, quis eorum qui in syllogismis versati sunt, quis ex D iis qui Judaica norunt, salutem dedit & veritatem docuit? Nemo. Sed totum piscatorum fuit. Cum propositum ergo conclusisset, illorumque fastum depressisset, ac dixisset: Nonne infatuavit Deus sapientiam hujus mundi? causam etiam dicit propter quam hæc ita facta sunt. Quia enim in sapientia Dei, inquit, non cognovit mundus per sapientiam Deum, crux apparuit. Quid sibi vult autem, in sapientia Dei? in ea quæ apparuit per opera, per quæ cognosci voluit. Propterea enim & hæc & similia probavit; ut convenienter ex iis quæ cernuntur conditor in admiratione habere- E tur. Magnum est cælum, & immensa terra: conditorem ergo mirare. Nam magnum hoc cælum non modo ab eo factum, sed facile factum est, & immensa terra quasi nihil producta fuit. Ideo de illo quidem dicit; *Opera digitorum tuorum sunt cæli;* de terra autem: *Qui terram fecit tamquam nihil.* Quia ergo per hanc sapientiam noluit Deum cognoscere, per stultitiam, quæ esse videtur, prædicationis, persuasit; non per ratiocinia, sed per fidem. De cætero ubi sapientia Dei est, humana non ultra est opus. Nam

Psal. 101. 26.

dicere eum qui hunc tantum mundum creavit, Deum esse oportere immensa & ineffabili virtute præditum, humanæ sapientiæ erat sic ratiocinari, & per hæc illum comprehendere. Nunc autem non ratiociniis, sed fide sola opus est. Nam in crucifixum, & in sepultum credere, & certum habere eumdem ipsum resurrexisse, ac superne sedere, id sapientia non eget, neque ratiociniis, sed fide. Apostoli enim non cum sapientia prodiere, sed cum fide, fueruntque externis sapientibus sapientiores & sublimiores, & tanto magis, quanto majus est ea quæ Dei sunt fide suscipere, quam ratiocinia movere. Hoc enim humanam superat mentem. Quomodo autem perdidit sapientiam? Per Paulum & similes nobis cognitus, ostendit illam inutilem esse. Ad suscipiendam enim evangelicam prædicationem, neque sapiens juvatur a sapientia, neque imperitus læditur ab ignorantia. Sed si quid oporteat admirabile dicere, imperitia ad suscipiendum opportunior & facilior est, quam sapientia. Pastor enim & rusticus hanc citius suscipiet, ratiocinia comprimens, & Domino se dedens. Sic ergo ille sapientiam perdidit. Quia enim prior seipsam dejecit, ad nihil deinceps utilis est. Cum oporteret enim eam sua indicare & per opera Deum videre, noluit: ideoque si se jam inducere vellet, non potest. Non enim res ita se habent. Hæc enim ad cognitionem Dei via longe major illa est. Ideo fide & simplicitate opus est: illam oportet semper quærere & externæ sapientiæ anteponere. Nam stultam fecit Deus, inquit, sapientiam. Quid est autem, stultam fecit? Stultam esse ostendit ad fidem comprehendendam. Quia enim altum sapiebant de illa, ipsam cito confutavit. Quænam illa sapientia, quæ caput bonorum non inveniat? Effecit igitur ut illa stulta appareret, quia illa se primam refellit. Si enim quando ratiociniis licebat invenire, nihil ostendit, nunc cum res feruntur majores, quomodo quidpiam perficere poterit, cum sola fide opus est, non facundia? Stultam ergo illam ostendit Deus. Placuit autem ipsi per stultitiam prædicationis salutem donare; stultitiam quæ vere non talis est, sed talis esse videtur. Hoc porro majus est, quod non aliam sapientiam illa excellentiorem inducens, per eam quæ stultitia videbatur esse, superavit. Platonem quippe ejecit, non per alium sapientiorem philosophum, sed per ignarum piscatorem. Ita enim & major clades fuit & splendidior victoria. Deinde crucis virtutem ostendens ait: 22. *Quoniam & Judæi signa petunt, & Græci sapientiam quærunt.* 23. *Nos autem prædicamus Christum crucifixum, Judæis quidem scandalum, Gentibus autem stultitiam.* 24. *Ipsis autem vocatis, Judæis & Græcis, Christum Dei virtutem & Dei sapientiam.*

A τὸ μὲν γὰρ εἰπεῖν, ὅτι τὸν κτίσαντα τὸν κόσμον τὸν τοσοῦτον καὶ οὕτω μέγαν, θεὸν εἶναι εἰκὸς δύναμιν ἀμήχανόν τινα ἔχοντα καὶ ἀπόρρητον, σοφίας ἀνθρωπίνης λογίζεσθαι ἦν, καὶ διὰ τούτων αὐτὸν καταλαμβάνειν· νῦν δὲ οὐκέτι λογισμῶν, ἀλλὰ πίστεως δεῖ μόνης. τὸ γὰρ εἰς τὸν σταυρωθέντα καὶ ταφέντα πιστεῦσαι, καὶ πεπληροφορῆσθαι, ὅτι ἐστὶν αὐτὸς καὶ ἀνέστη, καὶ ἄνω κάθηται, τοῦτο σοφίας οὐ δεῖται οὐδὲ λογισμῶν, ἀλλὰ πίστεως. καὶ γὰρ οἱ ἀπόστολοι οὐ σοφίᾳ προσῆλθον, ἀλλὰ πίστει, καὶ γεγόνασι τῶν ἔξω σοφῶν σοφώτεροι καὶ ὑψηλότεροι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῦ λογισμοὺς κινεῖν, τὸ πίστει B τὰ τοῦ θεοῦ δέχεσθαι μεῖζον. τοῦτο γὰρ ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν. πῶς δὲ ἀπώλεσε τὴν σοφίαν; διὰ Παύλου καὶ τῶν τοιούτων γνωρισθεὶς ἡμῖν, ἔδειξεν αὐτὴν [a] οὖσαν ἀνόνητον. πρὸς γὰρ τὸ δέξασθαι τὸ κήρυγμα τὸ εὐαγγελικὸν, οὔτε ὁ σοφὸς ὠφελεῖταί τι παρὰ τῆς σοφίας, οὔτε ὁ ἰδιώτης ἐβλάβη τι παρὰ τῆς ἀμαθείας· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μᾶλλον ἰδιωτεία, ἢ σοφία πρὸς τὴν ὑποδοχήν ἐστιν ἐπιτήδειον καὶ εὐκολώτερον. ὁ γὰρ ποιμὴν καὶ ἀγροῖκος ταύτην θᾶττον ὑποδέξεται, καθάπαξ τοὺς λογισμοὺς καταστέλλων, καὶ τῷ δεσπότῃ ἑαυτὸν παραδούς. οὕτω τοίνυν τὴν σο- C φίαν ἀπώλεσεν. ἐπειδὴ γὰρ προτέρα ἑαυτὴν κατέβαλε, πρὸς οὐδὲν χρησίμη λοιπόν ἐστιν. ὅτε γὰρ ἔδει τὰ ἑαυτῆς αὐτὴν ἐνδείξασθαι καὶ διὰ τῶν ἔργων ἰδεῖν τὸν δεσπότην, οὐκ ἠθέλησε. διὰ τοῦτο, κἂν θέλῃ νῦν ἐπεισαγαγεῖν ἑαυτὴν, οὐ δύναται. οὐ γὰρ τοιαῦτα τὰ πράγματα. ἡ γὰρ ὁδὸς ἡ τῆς θεογνωσίας πολλῷ μείζων ἐκείνης αὕτη. διά τοι τοῦτο πίστεως καὶ ἀφελείας χρεία, καὶ ταύτην πανταχοῦ ζητεῖν, καὶ τῆς ἔξωθεν προτιμᾷν σοφίας. ἐμώρανε γὰρ ὁ θεός, φησι, τὴν σοφίαν. τί δέ ἐστιν, ἐμώρανε; μωρὰν ἔδειξεν οὖσαν πρὸς τὴν τῆς πίστεως κατάληψιν. ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπ' αὐτῇ, ἤλεγξεν D αὐτὴν ταχέως. ποία γὰρ σοφία, ὅταν τὸ κεφάλαιον τῶν ἀγαθῶν μὴ εὑρίσκῃ; ἐποίησε τοίνυν φανῆναι μωρὰν, ἐπειδὴ ἑαυτὴν ἐκείνη πρότερον ἤλεγξεν. εἰ γὰρ ὅτε λογισμοῖς ἦν εὑρεῖν, οὐδὲν ἔδειξε, νῦν ὅτε μείζονα φέρεται τὰ πράγματα, πῶς ἀνύσαι τι δυνήσεται, ὅτε πίστεως χρεία μόνης, καὶ οὐχὶ δεινότητος; μωρὰν τοίνυν αὐτὴν ἔδειξεν ὁ θεός· ηὐδόκησε δὲ διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι, μωρίας δὲ οὐχὶ τῆς οὔσης, ἀλλὰ τῆς εἶναι δοκούσης. τὸ γὰρ μεῖζον τοῦτό ἐστιν, ὅτι οὐχ ἑτέραν σοφίαν τοιαύτην ἐκείνης πλείονα εἰσαγαγὼν, ἀλλὰ τὴν δοκοῦσαν εἶναι μωρίαν, οὕτω περιεγένετο. καὶ γὰρ Πλάτωνα ἐξέβαλεν, E οὐχὶ δι' ἑτέρου φιλοσόφου σοφωτέρου, ἀλλὰ διὰ ἁλιέως ἀμαθοῦς. οὕτω γὰρ γέγονεν ἡ ἧττα μείζων, καὶ λαμπροτέρα ἡ νίκη. εἶτα δεικνὺς τοῦ σταυροῦ τὴν δύναμιν, φησιν· ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι σημεῖα αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν.

a ἀνόνητον, alius, ἀνόητον.

Πολλὴ τῶν εἰρημένων ἡ σύνεσις. Θέλει γὰρ εἰπεῖν, πῶς διὰ τῶν ἐναντίων ἐκράτησεν ὁ Θεὸς, καὶ πῶς οὐκ ἔστιν ἀνθρώπινον τὸ κήρυγμα. Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅταν εἴπωμεν, φησὶν, Ἰουδαίοις, πιστεύσατε, λέγουσιν, ἀναστήσατε νεκροὺς, ἰάσασθε δαιμονῶντας, δείξατε ἡμῖν σημεῖα· ἡμεῖς δὲ ἀντὶ τούτων τί λέγομεν; ὅτι ἐσταυρώθη καὶ ἀπέθανεν ὁ κηρυττόμενος. Τοῦτο δὲ ἱκανὸν οὐ μόνον τοὺς μὴ βουλομένους μὴ ἐφελκύσασθαι, ἀλλὰ καὶ τοὺς βουλομένους διακρούσασθαι. Ἀλλ' ὅμως οὐ διακρούεται, ἀλλὰ ἐφέλκεται καὶ κρατεῖ καὶ περιγίνεται. Πάλιν Ἕλληνες ἀπαιτοῦσιν ἡμᾶς ῥητορείαν λόγων καὶ δεινότητα σοφισμάτων· ἡμεῖς δὲ καὶ τούτοις σταυρὸν κηρύττομεν. Καὶ ὅπερ ἐπὶ Ἰουδαίων δοκεῖ ἀσθενείας εἶναι, τοῦτο ἐπὶ Ἑλλήνων, μωρία. Ὅταν οὖν μὴ μόνον ἃ αἰτοῦσι μὴ παρέχωμεν, ἀλλὰ καὶ τὰ ἐναντία ὧν αἰτοῦσιν· ὁ γὰρ σταυρὸς οὐ μόνον οὐ δοκεῖ σημεῖον εἶναι κατὰ λογισμὸν ἐξεταζόμενον, ἀλλὰ καὶ σημείου ἀναίρεσις· καὶ οὐ μόνον οὐ δοκεῖ δυνάμεως ἀπόδειξις, ἀλλὰ καὶ ἀσθενείας ἔλεγχος· οὐ μόνον οὐ δοκεῖ σοφίας ἐπίδειξις εἶναι, ἀλλὰ καὶ μωρίας ὑπόληψις· ὅταν οὖν οἱ σημεῖα καὶ σοφίαν ζητοῦντες μὴ μόνον μὴ λαμβάνωσιν ἅπερ αἰτοῦσιν, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐπιθυμοῦσιν ἀκούωσιν, εἶτα διὰ τῶν ἐναντίων πείθωνται, πῶς οὐκ ἄφατος ἐστὶν ἡ τοῦ κηρυττομένου δύναμις; ὥσπερ ἂν εἴ τινι τῶν κλυδωνιζομένων καὶ λιμένος ἐπιθυμούντων μὴ λιμένα δείξας, ἀλλ' ἕτερον μέρος τοῦ πελάγους ἀγριώτερον, [a] δυνηθῇς ποιῆσαι μετὰ χάριτος ἕπεσθαι· ἢ ἰατρὸς τὸν τετρωμένον καὶ φαρμάκων ἐπιθυμοῦντα μὴ διὰ φαρμάκων, ἀλλὰ διὰ τοῦ καίειν πάλιν ἐπαγγελλόμενος ὑγιῆ ποιεῖν, ἐφέλκοιτο πρὸς ἑαυτόν. Μεγάλης γὰρ τοῦτο δυνάμεως. Οὕτω καὶ οἱ ἀπόστολοι οὐ μόνον διὰ σημείου, ἀλλὰ καὶ διὰ πράγματος δοκοῦντος ἐναντίου εἶναι τοῖς σημείοις περιεγένοντο· ὅπερ καὶ ἐπὶ τοῦ τυφλοῦ πεποίηκεν ὁ Χριστός. Βουλόμενος γὰρ αὐτὸν θεραπεῦσαι, διὰ πράγματος ἐπιτείνοντος τὴν πήρωσιν ἀνεῖλε. Πηλὸν γὰρ ἐπέθηκεν. Ὥσπερ οὖν διὰ πηλοῦ τὸν τυφλὸν ἐθεράπευσεν, οὕτω καὶ τὴν οἰκουμένην διὰ σταυροῦ προσηγάγετο· ὅπερ προσθήκη ἦν σκανδάλου, οὐκ ἀναίρεσις σκανδάλου. Οὕτω καὶ ἐπὶ τῆς κτίσεως ἐποίησε, τὰ ἐναντία διὰ τῶν ἐναντίων κατασκευάζων. Ψάμμῳ γοῦν θάλασσαν ἐτείχισε, τῷ ἀσθενεῖ τὸ ἰσχυρὸν χαλινώσας. Ὕδατι γῆν ἐπέθηκε, τῷ χαύνῳ καὶ διαρρέοντι τὸ βαρὺ καὶ πυκνὸν ἐποχεῖσθαι παρασκευάσας. Διὰ τῶν προφητῶν πάλιν ξύλῳ μικρῷ σίδηρον ἐμετεώρισεν· οὕτω δὴ καὶ σταυρῷ τὴν οἰκουμένην ἐπεσπάσατο. Ὥσπερ γὰρ τὸ ὕδωρ βαστάζει τὴν γῆν, οὕτω καὶ ὁ σταυρὸς βαστάζει τὴν οἰκουμένην. Μεγάλης τοίνυν δυνάμεως καὶ σοφίας ἀπόδειξις τὸ διὰ τῶν ἐναντίων πείθειν. Καὶ γὰρ σκανδάλου πρᾶγμα ὁ σταυρὸς εἶναι δοκεῖ, ἀλλ' ὅμως οὐ μόνον οὐ σκανδαλίζει, ἀλλὰ καὶ ἐφέλκεται. Ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Παῦλος καὶ ἐκπλαγεὶς, ἔλεγεν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Περὶ τοῦ σταυροῦ λέγων τὸ μωρὸν καὶ τὸ ἀσθενὲς,

[a] Reg. δυνηθῇς πεῖσαι.

A 3. Magna est dictorum prudentia. Vult enim dicere quomodo per contraria vicit Deus, & quomodo prædicatio non sit humana. Hoc autem vult significare. Cum dicimus, inquit, Judæis, credite; respondent, Mortuos suscitate, sanate dæmoniacos, ostendite nobis signa. Nos autem quid ad hæc dicimus? Crucifixus & mortuus est is qui prædicatur. Hoc vero possit non modo nolentes non attrahere, sed etiam volentes repellere: attamen non repellit, sed attrahit & detinet & vincit. Rursum Græci a nobis exigunt eloquentiam & sophismatum gra- B vitatem. Nos autem his quoque crucem prædicamus. Et quod Judæis imbecillitas esse videtur, hoc Græcis est stultitia. Cum autem illis non modo ea quæ petunt non præbemus, sed etiam petitis contraria damus; crux enim non modo signum non videtur esse; sed etiam si ratione examinetur, signi ademtio putatur; nec modo non videtur virtutis demonstratio, sed etiam imbecillitatis argumentum; nec modo non sapientiæ ostensio, sed etiam stultitiæ suspicio; cum ergo signa & sapientiam quærentes non solum non accipiant ea quæ petunt, sed contraria C iis quæ desiderant audiant, ac deinde per contraria persuadeantur, quomodo non ineffabilis fuerit ejus qui prædicatur virtus? Quemadmodum si cui eorum qui fluctibus jactantur & portum desiderant, non ostendens portum, sed aliam pelagi partem sæviorem, posses efficere, ut gratias agens sequeretur; vel si medicus saucium, & medicamenta cupientem, non pharmacis, sed iterum urendo pollicens se sanum redditurum esse, ad se illum attraheret: hoc enim magnæ virtutis esset. Ita & apostoli non modo per signum, sed etiam per rem quæ signis contraria esse D videbatur, superaverunt. Quod etiam in cæco Christus fecit. Cum vellet enim ipsum curare; per rem quæ cæcitatem augeret, illam sustulit; nam lutum imposuit. Ut ergo per lutum cæcum sanavit, sic orbem terræ per crucem adduxit: id quod scandali additio erat, non sublatio scandali. Sic etiam in creatione fecit, contraria contrariis apparans. Arena quippe mare cinxit, infirmo validum refrenans. Aquæ terram imposuit, molli & fluido, densum & solidum imponens. Per prophetas quoque parvo ligno ferrum eduxit. Sic & cruce orbem attraxit. Quem- E admodum enim aqua terram gestat, ita crux orbem terræ portat. Magnæ igitur virtutis & sapientiæ argumentum est per contraria persuadere. Crux enim scandalum esse videtur; & tamen non solum non offendiculo est, sed etiam trahit. Hæc itaque omnia cogitans Paulus, & obstupescens dicebat. 25. *Quod stultum est Dei, sapientius est hominibus: & quod infirmum est Dei, fortius est hominibus.* Sultum & infirmum dicens, de cru-

Christus per contraria persuadet, quomodo.

ce loquitur, non quod est, sed quod videtur esse significans: nam secundum illorum opinionem respondet. Etenim quod per syllogismos philosophi facere non potuere, hoc perfecit ea quæ videbatur esse stultitia. Quis ergo sapientior, is qui multis persuadet, an is qui paucis, imo vero nulli? is qui de rebus maximis persuadet, an is qui de iis, quæ non oporteret? Quantum laboravit Plato circa lineam & angulum & punctum, ac de numeris paribus & imparibus, & inter se æqualibus & inæqualibus ac de similibus aranearum telis; hæc enim inutiliora vitæ sunt, quam hujusmodi textura, & cum nec parvum nec magnum inde fructum attulisset, sic vitam finivit? Quantum laboravit ut ostenderet animam esse immortalem, & nihil clarum dixit, ac cum nemini auditorum id persuasisset, sic diem obiit? Crux autem per ignaros homines persuasit, imo persuasit toti orbi terrarum; non de levibus rebus disserens, sed de Deo & de vera religione, deque evangelico vitæ instituto, ac de futuro judicio, atque rusticos indoctosque omnes fecit philosophos. Vide quomodo quod stultum est Dei sapientius sit hominibus, & infirmum fortius. Quomodo fortius? Quod totum orbem pervaserit, & omnes vi ceperit, & quod innumeris Crucifixi nomen exstinguere conantibus, contrarium evenerit: hoc nomen floruit, & majorem in modum accrevit. Illi vero perierunt & in exitium ruerunt: ac viventes adversus mortuum bellum gerentes, nihil potuere. Itaque quando me mortuum Græcus dicit, tunc ostendit se admodum stultum esse; quando ego qui ab illo stultus esse existimor, sapiente sapientior appareo. Cum me vocabit infirmum, tunc seipsum infirmiorem ostendet. Quæ enim per Dei gratiam recte agere potuerunt publicani & piscatores, hæc philosophi, tyranni, & ut ita dicam totus orbis innumera circumcurrens, ne imaginari quidem potuit. Quid enim crux non induxit? De immortalitate animæ sententiam, de resurrectione corporum, de despectu præsentium & de futurorum desiderio. Homines angelos fecit, & omnes ubique philosophantur, omnemque virtutem exhibent.

4. Sed etiam apud illos, inquies, multi mortem contemsere. Quinam, quæso? an ille qui cicutam bibit? Sed si velis, innumeros tales ex ecclesia proferam. Si enim liceret ingruente persequutione epota cicuta excedere, essent omnes illo clariores. Alioquin autem bibit ille, cum non liceret sibi aut bibere aut non bibere; sed vellet nollet hæc oportuit facere; quod non virtutis, sed necessitatis erat. Nam latrones & homicidæ, sententia judicum damnati, graviora passi sunt. Apud nos autem contrario modo res se habet. Non enim inviti martyres passi sunt, sed

Socrates coactus cicutam bibit.

[a] Reg. τῶν μηδὲ ὄντων, non male.

A οὐ τὸ ὄν, ἀλλὰ τὸ δοκοῦν. πρὸς γὰρ τὴν ἐκείνων ὑπόληψιν ἀποκρίνεται. ὃ γὰρ οὐκ ἴσχυσαν φιλόσοφοι διὰ τῶν συλλογισμῶν ποιῆσαι, τοῦτο ἡ δοκοῦσα εἶναι μωρία κατώρθωσε. τίς οὖν σοφώτερος; ὁ τοὺς πολλοὺς πείθων, ἢ ὁ ὀλίγους, μᾶλλον δὲ οὐδένα; ὁ περὶ μεγίστων πείθων, ἢ ὁ περὶ [a] τῶν μὴ δεόντων; πόσα ἔκαμε Πλάτων καὶ οἱ κατ' αὐτὸν περὶ γραμμῆς, καὶ γωνίας, καὶ στιγμῆς, καὶ ἀριθμῶν ἀρτίων καὶ περιττῶν, καὶ ἴσων ἀλλήλοις καὶ ἀνίσων, καὶ τῶν τοιούτων διαλεγόμενος ἡμῖν ἀραχνίων· καὶ γὰρ τῶν ὑφασμάτων ἐκείνων ἀχρηστότερα ταῦτα τῷ βίῳ, καὶ οὐ μέγα, οὐ μικρὸν ἐντεῦθεν ὠφελήσας B οὕτω τὸν βίον κατέλυσε; πόσα ἔκαμε δεῖξαι ἐπιχειρῶν ὡς ἀθάνατος ἡ ψυχή, καὶ οὐδὲν σαφὲς εἰπών, οὐδὲ πείσας τινὰ τῶν ἀκουόντων οὕτως ἀπῆλθεν; ὁ δὲ σταυρὸς διὰ ἰδιωτῶν ἔπεισε, καὶ τὴν οἰκουμένην ἅπασαν ἔπεισε, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλὰ περὶ θεοῦ διαλεχθεὶς καὶ τῆς κατ' ἀλήθειαν εὐσεβείας, καὶ τῆς εὐαγγελικῆς πολιτείας, καὶ τῆς τῶν μελλόντων κρίσεως· καὶ πάντας ἐποίησε φιλοσόφους, τοὺς ἀγροίκους, τοὺς ἰδιώτας. ὅρα πῶς τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον. πῶς ἰσχυρότερον; ὅτι τὴν οἰκουμένην ἐπέδραμεν ἅπα- C σαν, καὶ πάντας κατὰ κράτος εἷλε, καὶ μυρίων ἐπιχειρούντων σβέσαι τοῦ σταυρωθέντος τὸ ὄνομα, τοὐναντίον ἐγένετο. τοῦτο μὲν ἤνθησε καὶ ἐπέδωκεν ἐπὶ μεῖζον· ἐκεῖνοι δὲ ἀπώλοντο καὶ διεφθάρησαν, καὶ οἱ ζῶντες τῷ νεκρωθέντι πολεμοῦντες οὐδὲν ἴσχυσαν. ὥστε ἐπειδὰν εἴπῃ με μωρὸν ὁ Ἕλλην, τότε δείκνυσιν ἑαυτὸν μεθ' ὑπερβολῆς μωρόν· ὅταν ἐγὼ νομιζόμενος εἶναι παρ' αὐτῷ μωρὸς, τοῦ σοφοῦ φαίνωμαι σοφώτερος· ὅταν ἐμὲ καλέσῃ ἀσθενῆ, τότε ἑαυτὸν ἀσθενέστερον δείκνυσιν. ἃ γὰρ ἴσχυσαν κατορθῶσαι τῇ τοῦ θεοῦ χάριτι τελῶναι καὶ ἁλιεῖς, ταῦτα D φιλόσοφοι καὶ ῥήτορες καὶ τύραννοι, καὶ πᾶσα ἁπλῶς ἡ οἰκουμένη μυρία περιδραμοῦσα οὐδὲ φαντασθῆναι ἴσχυσαν. τί γὰρ οὐκ εἰσήγαγεν ὁ σταυρός; τὸν περὶ ἀθανασίας ψυχῆς λόγον, τὸν περὶ τῆς ἀναστάσεως τῶν σωμάτων, τὸν περὶ τῆς ὑπεροψίας τῶν παρόντων, τὸν περὶ τῆς ἐπιθυμίας τῶν μελλόντων. καὶ ἀγγέλους τοὺς ἀνθρώπους ἐποίησε, καὶ πάντες πανταχοῦ φιλοσοφοῦσι, καὶ πᾶσαν ἀνδρείαν ἐπιδείκνυνται.

Ἀλλὰ καὶ παρ' αὐτοῖς, φησι, πολλοὶ θανάτου καταφρονοῦντες γεγόνασι. τίνες, εἰπέ μοι; ἆρα ὁ τὸ κώνειον E πιών; ἀλλ', εἰ βούλει, τοιούτους μυρίους ἀπὸ τῆς ἐκκλησίας παρέξωμαι. εἰ γὰρ ἐξῆν, διωγμοῦ καταλαβόντος, κώνειον πιόντας ἀπελθεῖν, πάντες ἂν ἐκείνου λαμπρότεροι γεγόνασι. ἄλλως δὲ, ἐκεῖνος οὐχὶ κύριος ὢν τοῦ μὴ πιεῖν ἢ πιεῖν, ἔπιεν· ἀλλὰ καὶ ἄκοντα καὶ ἑκόντα ἔδει τοῦτο παθεῖν, ὅπερ οὐκ ἦν ἀνδρείας, ἀλλὰ ἀνάγκης λοιπόν. καὶ γὰρ καὶ λῃσταὶ, καὶ ἀνδροφόνοι ὑπὸ τῇ ψήφῳ γενόμενοι τῶν δικαζόντων χαλεπώτερα ἔπαθον. παρ' ἡμῖν δὲ τοὐναντίον ἅπαν. οὐ γὰρ ἄκοντες οἱ μάρτυρες ὑπέμειναν,

ἀλλ' ἑκόντες καὶ κύριοι τοῦ μὴ παθεῖν ὄντες, ἀδάμαντος παντὸς στερροτέραν ἐπιδεικνυώτες τὴν ἀνδρείαν. οὐ τοίνυν τοῦτο θαυμαστὸν εἰ κώνειον ἔπιεν ἐκεῖνος, καὶ μηκέτι κύριος ὢν τοῦ μὴ πιεῖν, καὶ πρὸς ἔσχατον γῆρας ἐληλακώς. καὶ γὰρ ἔλεγεν ἐτῶν ἑβδομήκοντα εἶναι, ὅτε κατεφρόνησε ζωῆς, εἴγε καὶ τοῦτο καταφρονῆσαί ἐστιν. οὐ γὰρ ἔγωγε ἂν εἴποιμι, μᾶλλον δὲ οὐδὲ ἄλλος οὐδείς. ἀλλὰ δεῖξόν μοί τινα ὑπὲρ εὐσεβείας βασάνοις ἐγκαρτερήσαντα, καθάπερ ἐγὼ μυρίους πανταχοῦ τῆς οἰκουμένης. τίς τῶν ὀνύχων ἀνορυττομένων, γενναίως ἤνεγκε; τίς τῶν ἄρθρων ἀνασκαπτομένων; τίς τοῦ σώματος αὐτοῦ κατὰ μέρος πορθουμένου τῆς κεφαλῆς; τίς τῶν ὀστέων ἀναμοχλευομένων; τίς ἐπὶ τήγανα συνεχῶς τιθέμενος; τίς εἰς λέβητα ἐμβαλλόμενος; ταῦτά μοι δεῖξον. τὸ γὰρ κωνείῳ τελευτῆσαι, ἴσον ἐστὶ τῷ καθευδήσαντα ἐναπομεῖναι. καὶ γὰρ ὕπνου ἡδίων ὁ θάνατος λέγεται εἶναι. εἰ δέ τινες καὶ βασάνους ὑπέμειναν, ἀλλὰ καὶ τούτων τὸ ἐγκώμιον ἀπόλωλεν. ὑπὲρ γὰρ αἰσχρᾶς αἰτίας ἀπώλοντο, οἱ μὲν ὡς ἀπόρρητα ἐξειπόντες, οἱ δὲ ὡς τυραννίδι ἐπιθέμενοι, οἱ δὲ ἐπὶ τοῖς αἰσχίστοις ἁλόντες, οἱ δὲ εἰκῆ καὶ μάτην καὶ ἁπλῶς, αἰτίας μὴ οὔσης, ἑαυτοὺς ἀπήνεγκαν. ἀλλ' οὐχὶ παρ' ἡμῖν οὕτω. διὰ τοῦτο τὰ μὲν ἐκείνων σεσίγηται, ταῦτα δὲ ἀνθεῖ, καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. ὅπερ ἐννοῶν ὁ Παῦλος ἔλεγε, τὸ ἀσθενὲς τοῦ θεοῦ πάντων ἰσχυρότερόν ἐστι τῶν ἀνθρώπων. ὅτι γὰρ θεῖον τὸ κήρυγμα, καὶ ἐντεῦθεν δῆλον. πόθεν γὰρ ἐπῆλθεν ἀνθρώποις δώδεκα καὶ ἰδιώταις, πράγμασιν ἐπιχειρῆσαι τοσούτοις, ἐν λίμναις, ἐν ποταμοῖς, ἐν ἐρημίαις διατρίβουσιν, οὐδέποτε εἰς πόλιν ταχέως, οὐδὲ εἰς ἀγορὰν ἐμβεβηκόσι, πόθεν ἐπῆλθε πρὸς τὴν οἰκουμένην πᾶσαν παρατάξασθαι; ὅτι γὰρ δειλοὶ ἦσαν καὶ ἄνανδροι, δείκνυσιν ὁ περὶ αὐτῶν γράψας, καὶ μὴ παραιτησάμενος, μηδὲ ὑπομείνας συσκιάσαι αὐτῶν τὰ ἐλαττώματα, ὅπερ μέγιστον καὶ τοῦτο τῆς ἀληθείας ἐστὶ τεκμήριον. τί οὖν οὗτός φησι περὶ αὐτῶν; ὅτι τοῦ Χριστοῦ συλληφθέντος, μετὰ μυρία θαύματα οἱ μὲν ἔφυγον, ὁ δὲ μείνας κορυφαῖος ὢν τῶν ἄλλων ἠρνήσατο. πόθεν οὖν οἱ ζῶντος τοῦ Χριστοῦ τὴν Ἰουδαϊκὴν ὁρμὴν οὐκ ἐνεγκόντες, τελευτήσαντος καὶ ταφέντος καὶ μὴ ἀναστάντος, ὥς φατε, μηδὲ διαλεχθέντος αὐτοῖς, μηδὲ θάρσος ἐνθέντος, πρὸς τοσαύτην παρετάττοντο οἰκουμένην; οὐκ ἂν εἶπον πρὸς ἑαυτοὺς, τί δὴ τοῦτό ἐστιν; ἑαυτὸν οὐκ ἴσχυσε σῶσαι, καὶ ἡμῶν προστήσεται; ἑαυτῷ οὐκ ἤμυνε ζῶν, καὶ ἡμῖν χεῖρα ὀρέξει τετελευτηκώς; αὐτὸς ζῶν οὐδὲ ἓν ἔθνος ὑπέταξε, καὶ ἡμεῖς τὴν οἰκουμένην ὅλην πείσομεν τὸ ἐκείνου λέγοντες ὄνομα; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον οὐχὶ ποιῆσαι μόνον, ἀλλ' ἐννοῆσαι γοῦν; ὅθεν δῆλον ὅτι εἰ μὴ εἶδον ἀναστάντα καὶ τῆς δυνάμεως αὐτοῦ μεγίστην ἔλαβον ἀπόδειξιν, οὐκ ἂν τοσοῦτον ἀνέρριψαν κύβον. εἰ γὰρ καὶ φίλους εἶχον μυρίους, οὐκ ἂν

A sponte, & cum penes illos esset non pati, adamante quolibet firmiorem exhibuere virtutem. Non mirum ergo est si ille cicutam biberit, cum non posset a tali potu abstinere, & ad extremam provectus esset senectutem: dicebat enim se annos septuaginta natum quando vitam contemsit, si tamen hoc sit contemnere: non enim ego illud dixerim, imo neque ullus alius. Sed ostende mihi aliquem in tormentis pro pia religione perseverantem, ut ego innumeros ubique per orbem proferam. Quis effossis unguibus,
B id fortiter tulit? Quis cum eruerentur articuli? Quis cum corpus ejus discerperetur & separaretur a capite? Quis cum ossa ejus extraherentur? Quis in sartagine frequenter positus? Quis in lebetem injectus? Hæc mihi ostende. Nam ex cicuta mori perinde est atque dormientem permanere. Mors enim hujusmodi somno suavior esse dicitur. Quod si qui etiam tormenta pertulerunt, horum certe laus periit, pro turpi enim causa perierunt; alii ut qui secreta revelassent, alii ut qui tyrannidem affectassent; alii in turpissi-
C mis rebus deprehensi; alii frustra & temere, nulla de causa, sese detulerunt. Sed non ita apud nos. Ideo illorum quidem gesta tacentur; hæc vero florent, & in dies accrescunt. Quod cogitans Paulus dicebat: infirmum Dei fortius est omnibus hominibus. Quod enim divina sit prædicatio, inde etiam manifestum est. Undenam in mentem venit duodecim hominibus, iisque ignaris, in lacubus, fluviis & deserto manentibus, ut res tantas aggrederentur; & iis qui nunquam fortasse in urbem & in forum venerant, ut contra
D totum orbem aciem instruerent? Quod enim formidolosi essent & pusilli animi, ostendit ille qui de iis scripsit, qui id non recusavit, neque illorum obtegere vitia voluit quod maximum est veritatis argumentum. Quid igitur ille de illis dicit? Quod Christo comprehenso, post innumera edita miracula, alii fugerint, ille vero aliorum Coryphæus ipsum negaverit. Undenam ergo illi, qui vivente Christo Judæorum impetum non tulerant, illo mortuo & sepulto, cum non resurrexisset, ut vos dicitis, neque alloquutus
E illos fuisset, neque animum indidisset, contra tantum orbem terræ aciem instruxerunt? Annon apud se dixissent, quid hoc est? Seipsum non potuit servare, & nos proteget? Sibi opem non tulit vivus, & nobis manum tendet mortuus? Ipse vivus nullam subegit gentem, & nos toti orbi, ipsius prolato nomine, persuadebimus? Et quomodo non contra rationem fuerit, hæc non solum facere, sed etiam cogitare? Quamobrem palam est, si non vidissent illum resurrexisse, magnumque potentiæ ejus habuissent argumentum, non tantam jacturos fuisse aleam. Etiamsi enim amicos habuissent innumerabiles, annon statim omnium

Martyrum cruciatus.

A sibi inimicitiam attraxissent, dum antiquos mores amoverent, & patrios terminos transferrent? Nunc autem omnes habuere sibi hostes & proprios & alienos. Etiamsi enim propter externa omnia venerabiles fuissent, annon omnes ipsos exsecrati fuissent, quod novum vitæ institutum inducerent? Nunc autem deserti erant ab omnibus, & consentaneum erat ut vel inde in omnium odium & contemtum incurrerent. Quos enim vis dicere? Judæos? At ingenti illos odio prosequebantur ex iis quæ contra magi-
B strum facta fuerant. An Græcos? At hi non minus quam illi ipsos aversabantur; idque norunt maxime omnium Græci. Plato enim qui novam voluit instituere rempublicam, vel potius partem reipublicæ, qui non deorum nomina mutavit, sed acta & gesta alia pro aliis induxit, in periculum venit ne ex Sicilia ejectus morte afficeretur: quia autem hoc non accidit, libertatem ipse amisit. Et nisi barbarus quidam Siciliæ tyranno mitior fuisset, nihil prohibuisset quominus philosophus in aliena terra servituti addictus es-
C set. Atqui non par res est ea quæ ad regnum pertinent innovare, & quæ ad religionem. Hoc enim maxime homines conturbat & commovet. Nam dicere, hic & iste hanc uxorem ducant; &, custodes hoc modo sint custodes, non multum turbare possunt, cum maxime in libro scripta sunt, nec multum curat legislator, ut scripta in opus exeant. At dicere eos qui coluntur non esse deos, sed dæmonas, eum qui crucifixus fuit Deum esse, scitis quantam accenderit
D iram, quantum excitaverit bellum.

Protagoras & Theodorus athei.

5. Nam apud illos Protagoras, quia ausus est dicere, non novi deos, non orbem circumiens & prædicans, sed in una civitate, de extremis periclitatus est. Diagoras vero Milesius, & Theodorus ἄθεος atheus cognominatus, quamvis amicos haberent & dicendi facultatem, & ex philosophia in admiratione haberentur, nihil tamen eorum ipsos juvit. Et magnus ille Socrates, qui apud illos philosophia superabat omnes, ideo cicutam
E ebibit, quod suspicio esset illum in iis quæ de diis scripserat aliquid mutavisse. Quod si innovationis suspicio sola, tantum periculi creavit viris philosophis & sapientibus, qui ingentem sibi pepererant existimationem, & non modo non potuere quod volebant perficere; sed etiam ipsi

A εὐθέως ἐχθροὺς ἐκτήσαντο πάντας, παλαιὰ ἔθη κινοῦντες καὶ [a] πατρῷα ὅρια μεταίροντες; νυνὶ δὲ καὶ πάντας πολεμίους ἐκέκτηντο, καὶ τοὺς ἰδίους καὶ τοὺς ἀλλοτρίους. εἰ γὰρ καὶ αἰδέσιμοι πάντων ἕνεκεν ἦσαν τῶν ἔξωθεν, οὐκ ἂν πάντες αὐτοὺς ἐβδελύξαντο καινὴν πολιτείαν εἰσάγοντας; νυνὶ δὲ καὶ ἔρημοι πάντων ἐτύγχανον, καὶ εἰκὸς ἦν κἀντεῦθεν μισητοὺς γίνεσθαι παρὰ πᾶσι καὶ εὐκαταφρονήτους. τίνας γὰρ βούλει εἰπεῖν; Ἰουδαίους; ἀλλ' ἄφατον εἶχον πρὸς αὐτοὺς μῖσος ἐκ τῶν πρὸς τὸν διδάσκαλον γεγενημένων. ἀλλ' Ἕλληνας; ἀλλὰ
B καὶ οὗτοι οὐκ ἐλάττονα ἐκείνων ἀπεστράφησαν, καὶ ἴσασι ταῦτα μάλιστα Ἕλληνες. [b] Πλάτων γὰρ ὁ πολιτείαν τινὰ καινοτομῆσαι βουληθεὶς, μᾶλλον δὲ μέρος πολιτείας, καὶ οὐ τὰ τῶν θεῶν μετατιθεὶς νόμιμα, ἀλλ' ἁπλῶς πράξεις εἰσαγαγὼν ἑτέρας ἀνθ' ἑτέρων, ἐκινδύνευσε Σικελίας ἐκπεσὼν ἀποθανεῖν. ἐπειδὴ δὲ τοῦτο οὐ γέγονε, τῆς ἐλευθερίας ἐξέπεσεν αὐτῆς. καὶ εἰ μὴ βάρβαρός τις τοῦ Σικελίας τυράννου γέγονεν ἡμερώτερος, οὐδὲν ἐκώλυε διαπαντὸς δουλεύειν τὸν φιλό-
C σοφον ἐν ἀλλοτρίᾳ. καίτοιγε οὐκ ἴσον ἐστὶ τὰ περὶ βασιλείας καινοτομεῖν, καὶ τὰ περὶ θρησκείας. τοῦτο γὰρ μάλιστα θορυβεῖ καὶ ταράττει τοὺς ἀνθρώπους. τὸ γὰρ εἰπεῖν, ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα τὴν δεῖνα γαμείτωσαν, καὶ οἱ φύλακες τοῦτον τὸν τρόπον ἔστωσαν φύλακες, οὐ σφόδρα ἱκανὸν θορυβῆσαι· καὶ μάλιστα, ὅταν ἐν βιβλίῳ ᾖ ταῦτα κείμενα, καὶ μὴ πολλὴ σπουδὴ τοῦ νομοθετοῦντος γίνηται εἰς ἔργον ἄγειν τὰ λεγόμενα. τὸ μέντοιγε λέγειν, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ θεραπευόμενοι, ἀλλ' ὅτι δαίμονές εἰσιν, ὅτι ὁ ἐσταυρωμένος θεὸς, ἴστε πόσην ἀνῆψεν ὀργὴν, πόσην ἂν ἐποίησε δοῦναι δίκην,
D πόσον ἀνεῤῥίπισε πόλεμον.

Καὶ γὰρ [c] Πρωταγόρας παρ' αὐτοῖς, ἐπειδὴ ἐτόλμησεν εἰπεῖν, ὅτι οὐκ οἶδα θεοὺς, οὐ τὴν οἰκουμένην περιιὼν καὶ κηρύττων, ἀλλ' ἐν μιᾷ πόλει, περὶ τῶν ἐσχάτων ἐκινδύνευσε. [d] καὶ Διαγόρας ὁ Μιλήσιος, καὶ Θεόδωρος ὁ λεγόμενος ἄθεος, καίτοι φίλους εἶχον καὶ δύναμιν τὴν ἀπὸ τῶν λόγων, καὶ ἐπὶ φιλοσοφίᾳ ἐθαυμάζοντο, ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοὺς ὤνησε. καὶ ὁ μέγας δὲ Σωκράτης καὶ πάντων τῶν παρ' αὐτοῖς φιλοσοφίᾳ κρατῶν διὰ τοῦτο κώνειον ἔπιεν, ἐπειδὴ
E ἐν τοῖς περὶ θεῶν λόγοις μικρόν τι παρακινεῖν ὑπωπτεύετο. εἰ δὲ ὑπόληψις μόνη καινοτομίας τοσοῦτον κίνδυνον ἤνεγκε φιλοσόφοις ἀνδράσι καὶ σοφοῖς καὶ μυρίας ἀπολελαυκόσι θεραπείας, καὶ οὐ μόνον οὐκ ἴσχυσαν ὅπερ ἤθελον, ἀλλὰ καὶ αὐτοὶ καὶ

*a* Sic Reg. bene. Editi autem πατρῷα ἔθη μεταίροντες, repetita voce ἔθη.

*b* De Platone ejusque in Siciliam transitu, & de reditu ex eadem, vide Plutarchum in vita Dionis, & Diogenem Laertium in Platone.

*c* De Protagora hæc habet Cicero lib. 1. de Natura deorum: *Nam Abderites quidem Protagoras, cujus a te modo mentio facta est, Sophistes temporibus illis vel maximus, cum in principio libri sui sic posuisset de diis, neque ut sint, neque ut non sint, Atheniensium jussu urbe atque agro est exterminatus, librique ejus in concione combusti. Ex quo equidem existimo tardiores ad hanc sententiam profitendam multos esse factos, quippe cum pœnam ne dubitatio quidem effugere potuisset.*

*d* Editi sic habent, καὶ Διαγόρας ὁ Μιλήσιος καὶ Θεόδωρος ὁ λεγόμενος ἄθεος, ubi error est in omnibus editis & manuscriptis cum Diagoras dicitur Milesius, qui erat Melius, sive ex insula Melo, ut testificatur Suidas. Μῆλος, νῆσος μία τῶν Κυκλάδων ὁμώνυμον ἔχουσα πόλιν· ὁ πολίτης Διαγόρας ὁ Μήλιος: & ante illum Cicero l. 1. de Natura deorum: *Nullos esse omnino deos, Diagoras Melius, & Theodorus Cyrenaïcus putaverunt.* Cum ergo manuscripti & editi omnes Μιλήσιος habeant, error fortasse Chrysostomi fuerit. Hæc de Diagora. De sequenti vero quæstio est. Editi omnes Διόδωρος habent, Regius vero codex Θεόδωρος, cui favet locus allatus Ciceronis, qui cum Diagora Theodorum conjunxit, & utrumque nullos esse deos putavisse dixit. Hic ἄθεος vocatus est teste Suida. De Socrate postea agit Chrysostomus. Ille cicutam bibere jussus est, quæ res omnium ore fertur.

A ζωῆς καὶ πατρίδος ἐξέπεσον, πῶς οὐ θαυμάζεις καὶ ἐκπλήττῃ, τὸν ἁλιέα ὁρῶν ἐπὶ τῆς οἰκουμένης τοσαῦτα ἐργασάμενον, καὶ κατορθώσαντα ἅπερ ἐσπούδασε, καὶ περιγενόμενον καὶ βαρβάρων καὶ Ἑλλήνων ἁπάντων; ἀλλ' οὗτοι, φησὶν, οὐχὶ θεοὺς εἰσήγαγον ξένους, ὥσπερ ἐκεῖνοι. αὐτὸ μὲν οὖν μάλιστα τὸ θαυμαστόν μοι λέγεις, ὅτι διπλῆ ἡ καινοτομία, καὶ τὸ τοὺς ὄντας καθαιρεῖν, καὶ τὸν ἐσταυρωμένον ἀναγγέλλειν. πόθεν γὰρ αὐτοῖς ἐπῆλθε τοιαῦτα κηρύττειν; πόθεν ὑπὲρ τοῦ τέλους αὐτῶν θαῤῥεῖν; τίνας τῶν πρὸ αὐτῶν τοιοῦτόν τι κατωρθωκότας εἶχον ἰδεῖν; οὐ πάντες δαίμονας προσεκύνουν; B οὐ πάντες τὰ στοιχεῖα ἐθεοποίουν; οὐ διάφορος ἦν τῆς ἀσεβείας ὁ τρόπος; ἀλλ' ὅμως τὰ πάντα ἐπῆλθον, καὶ κατέλυσαν ταῦτα, καὶ ἐπέδραμον ἐν βραχεῖ καιρῷ τὴν οἰκουμένην ἅπασαν, καθάπερ ὑπόπτεροί τινες, οὐ κινδύνους λογιζόμενοι, οὐ θανάτους, οὐ τὴν τοῦ πράγματος δυσκολίαν, οὐ τὴν ὀλιγότητα τὴν ἑαυτῶν, οὐ τὸ πλῆθος τῶν ἐναντιουμένων, οὐ τὴν ἐξουσίαν, οὐ τὴν δυναστείαν, οὐ τὴν σοφίαν τῶν πολεμούντων. εἶχον γὰρ τούτων ἁπάντων μείζονα συμμαχίαν, τὴν τοῦ σταυρωθέντος καὶ ἀναστάντος δύναμιν. οὐκ ἦν οὕτω θαυμαστὸν, εἰ πολεμῆσαι εἵλοντο τῇ οἰκουμένῃ πόλεμον αἰσθητὸν, C ὡς τοῦτο τὸ γεγενημένον νῦν. ἐπὶ μὲν γὰρ τοῦ νόμου τῆς μάχης ἐξῆν ἀπεναντίας ἵστασθαι τῶν πολεμίων, καὶ χώραν ἀπολαμβάνοντας ἐναντίαν οὕτω παρατάττεσθαι πρὸς τοὺς ἐναντιουμένους, καὶ καιρὸν ἔχειν ἐπιθέσεως καὶ συμβολῆς· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ στρατόπεδον ἴδιον εἶχον, ἀλλὰ αὐτοῖς ἀνεμίγνυντο τοῖς πολεμίοις, καὶ οὕτως αὐτῶν ἐκράτουν· καὶ ἐν μέσοις τοῖς ἐχθροῖς ἀναστρεφόμενοι, διωλίσθαινον αὐτῶν [a] τὰς βλάβας, καὶ περιεγίνοντο καὶ ἐνίκων νίκην λαμπρὰν πληροῦσαν προφητείαν λέγουσαν· καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν σου. D τοῦτο γὰρ ἦν τὸ πολλῆς ἐκπλήξεως γέμον, ὅτι κατέχοντες αὐτοὺς οἱ ἐχθροὶ, καὶ εἰς δεσμωτήριον ἐμβάλλοντες καὶ δεσμοῖς, οὐ μόνον αὐτῶν οὐ περιεγένοντο, ἀλλὰ καὶ αὐτοὶ μετὰ ταῦτα αὐτοῖς ὑπέκυπτον, οἱ μαστίζοντες τοῖς μαστιζομένοις, οἱ δεσμοῦντες τοῖς δεδεμένοις, οἱ διώκοντες τοῖς ἐλαυνομένοις. ταῦτα δὴ πάντα πρὸς Ἕλληνας λέγομεν, μᾶλλον δὲ καὶ τούτων πλείονα. πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. κἂν γὰρ παρακολουθῆτε τῇ ὑποθέσει, πᾶσαν ὑμᾶς τὴν πρὸς αὐτοὺς διδάξομεν μάχην· τέως δὲ ταυτὶ δύο διατηρῶμεν κεφάλαια, E πῶς οἱ ἀσθενεῖς τοὺς ἰσχυροὺς ἐνίκησαν, καὶ πόθεν αὐτοῖς ἐπῆλθε τοιούτοις οὖσι τοιαῦτα βουλεύσασθαι, εἰ μὴ θείας ἀπήλαυον συμμαχίας.

Καὶ τὰ παρ' ἡμῶν ὧδε. [b] παρεχώμεθα δὲ ἐπὶ τῶν ἔργων τὰ τοῦ βίου κατορθώματα, καὶ δαψιλὲς τὸ πῦρ ἀνάπτωμεν τῆς ἀρετῆς. φωστῆρες γάρ ἐστε, φησὶν, ἐν μέσῳ τοῦ κόσμου λάμποντες· καὶ μείζονα ἡμῶν ἑκάστῳ χρείαν ἐνεχείρισεν ὁ θεὸς, ἢ τῷ ἡλίῳ, μείζονα οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τοσούτῳ

& vita & patria exciderunt, quomodo non miraris & obstupescis, piscatorem videns in orbe tot tantaque patrantem, quæ studebat perficientem & barbaros Græcosque omnes superantem? At hi, inquies, non deos alienos inducebant sicut illi. Hoc ipsum maxime mirabile mihi dicis, quia duplex erat innovatio, & quod eos qui tunc colebantur tollerent, & quod crucifixum prædicarent. Undenam ad ea prædicanda permoti sunt? Undenam audent de fine suo confidere? Quosnam ante se viderant talem rem bene gerentes? Annon omnes Deos colebant? annon omnes elementa in deos referebant? Annon diversus erat impietatis modus? Attamen omnia aggressi sunt, & hæc sustulerunt, ac brevi tempore totum orbem tamquam alis instructi percurrerunt, non pericula curantes, non mortes, non rei difficultatem, non paucitatem suorum, non multitudinem adversantium, non potentiam, non sapientiam inimicorum. His quippe omnibus majora habebant auxilia, crucifixi nempe qui resurrexerat potentiam. Non ita mirabile fuisset, si bellum sensibile in totum orbem inferre voluissent, ut mirum est illud quod nunc factum est. Nam lege belli licebat adversus inimicos stare, & contraria occupata regione, sic contra hostes aciem instruere, atque occasionem accipere invadendi & manus conserendi. Hîc autem non ita. Non enim exercitum proprium habebant, sed cum ipsis inimicis permixti erant, & sic illos vincebant, atque in mediis inimicis versantes, illorum nocumenta propulsabant, & superabant, atque victoriam reportabant splendidam, quæ prophetiam implebat dicentem: & dominaberis in medio inimicorum tuorum. Hoc enim maxime stuporem injiciebat, quod cum eos tenerent inimici, atque in carcerem & vincula conjicerent, non modo ipsos non superarent; sed postea ante illos procumberent, flagellantes ante flagellatos, vincientes ante vinctos, persequentes ante pulsos. Hæc porro omnia Græcis dicimus, imo his plura; magna quippe est veritatis ubertas. Si enim argumentum sequamini, omnes vos docebimus adversùs illos concertationem. Interim vero hic duo conservemus capita; quomodo infirmi fortes superarint: & quomodo ipsis venisset in mentem cum tales essent talia consilia suscipere, nisi divino potiti fuissent auxilio.

*Psal. 109. 2.*

6. Et nostra quidem hactenus. Nos autem operibus vitam recte geramus, & copiosum virtutis ignem accendamus. *Luminaria enim estis*, inquit, *in medio mundi fulgentes*: & singulis nostrûm majorem Deus dedit usum, quam soli; majorem quam cælo & terræ & mari, & tan-

*Philip. 2. 15.*

[a] Reg. τὰς λαβάς.

[b] Sic codex Regius optime. Editi, παρεχόμεθα δὲ τῶν ἔργων, & infra ἀνάπτομεν.

to majorem, quanto spiritualia sensibilibus præcellunt. Cum ergo solis circulum conspicimus, & pulcritudinem, corpus & splendorem astri admiramur, cogitemus majorem & meliorem in nobis esse lucem; ut etiam graviores tenebras, nisi attendamus. Nam nox profunda totum orbem occupat: hanc igitur evertamus & solvamus; nox non in hæreticis & Græcis tantum; sed etiam in multis qui nobiscum sunt, tam in dogmatibus, quam in vita. Multi enim resurrectioni non credunt, multi genethliaca sententia se muniunt; alii observationibus student, necnon vaticinationibus, auguriis & symbolis; alii ligaminibus & incantationibus utuntur. At adversus illos etiam postea dicturi sumus, postquam sermonem contra Græcos absolverimus. Interim vero illa quæ dicta sunt retinete, & mecum ad pugnam accedite, per vitæ institutum illos ad nos attrahentes & transferentes. Etenim, quod semper dico, eum qui philosophiam docet, oportet primo per seipsum hoc docere, & auditoribus esse desiderabilem. Simus ergo desiderabiles, & Græcorum nobis benevolentiam attrahamus. Erit autem illud, si parati simus non solum ad bene faciendum, sed etiam ad male patiendum. Non videmus infantes, quando a parentibus gestati, quomodo plagis portantis se genas verberent, & quam libenter concedat pater filio ut iram expleat, & quando videt iram explevisse, lætetur? Ita & nos faciamus, & quemadmodum patres filios, sic Græcos alloquamur. Infantes quippe sunt Græci omnes: & quidam apud illos hæc dixerunt, quod semper pueri sint, & nullus sit senex Græcus. Pueri autem de re utili nulla curant. Sic etiam Græci semper ludere volunt, & humi jacent, & quæ humi sunt affectant. Pueri autem sæpe, cum de rebus necessariis loquimur, dictorum nihil sentiunt, sed semper rident; ita etiam Græci, cum de regno disserimus, rident: & sicut ex ore parvulorum sæpe multa decidente saliva, cibus & potus inquinatur; sic & verba ex ore Græcorum fluentia, vana sunt & impura; & si necessarium dederis cibum, præbentes maledictis incessunt & ferri debent. Pueri quoque cum furem vident ingressum, & quæ intus sunt auferentem, non modo non arcent, sed etiam insidiatori arrident. Si vero calathiscum & sistra auferas, aut aliud quidpiam ludicrum, ægre puellus & indigne fert, se dilacerat, solum pulsat; sic & Græci quoque, diabolum videntes omnia paterna bona, quæ vitam sustentant, diripientem, rident, & tamquam ad amicum accurrunt. Si quis autem possessionem, aut divitias aut puerile quidpiam auferat, lamentantur, se discerpunt: ac sicut pueri sine sensu nudantur, nec erubescunt; ita & Græci cum scortis & adulte-

Quomodo Græci de fide sunt ambiendi.

A μείζονα, ὅσῳ τὰ πνευματικὰ τῶν αἰσθητῶν διενήνοχεν. ὅταν οὖν πρὸς τὸν ἡλιακὸν ἴδωμεν κύκλον, καὶ θαυμάσωμεν τὸ κάλλος καὶ τὸ σῶμα καὶ τὴν φαιδρότητα τοῦ ἄστρου, λογιζώμεθα πάλιν ὅτι μεῖζον καὶ ἄμεινον τὸ ἐν ἡμῖν φῶς, καθάπερ καὶ τὸ σκότος χαλεπώτερον, ἂν μὴ προσέχωμεν. καὶ γὰρ νὺξ βαθεῖα κατέχει τὴν οἰκουμένην ἅπασαν. ταύτην τοίνυν ἀνατρέψωμεν καὶ λύσωμεν. νὺξ οὐκ ἐν αἱρετικοῖς, οὐδὲ ἐν Ελλησι μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς τοῖς παρ' ἡμῖν δογμάτων ἕνεκεν καὶ βίου. πολλοὶ γὰρ τῇ ἀναστάσει διαπιστοῦσι· πολλοὶ καὶ γενέσιν ἑαυτοῖς ἐπιτειχίζουσι· πολλοὶ καὶ
B παρατηρήσεις φυλάττουσι, καὶ κληδονισμοῖς καὶ οἰωνισμοῖς καὶ συμβόλοις· οἱ δὲ καὶ περιάπτοις καὶ ἐπῳδαῖς κέχρηνται. ἀλλὰ καὶ πρὸς τούτους μὲν ὕστερον ἐροῦμεν, ὅταν τὰ πρὸς Ελληνας διανύσωμεν· τέως δὲ τὰ εἰρημένα κατέχετε, καὶ συλλάβεσθέ μοι τῆς μάχης, διὰ τοῦ βίου πρὸς ἡμᾶς ἕλκοντες αὐτοὺς καὶ μεθιστῶντες. ὅπερ γὰρ ἀεὶ λέγω, τὸν περὶ φιλοσοφίας διδάσκοντα, πρῶτον ἐν ἑαυτῷ τοῦτο διδάσκειν χρὴ καὶ ποθεινὸν εἶναι τοῖς ἀκούουσι. γινώμεθα τοίνυν ποθεινοί, καὶ εὐνοϊκῶς διατεθῶμεν πρὸς ἡμᾶς τοὺς Ελληνας. τοῦτο δὲ ἔσται, ἐὰν μὴ κακῶς ποιεῖν, ἀλλὰ καὶ κακῶς πάσχειν
C ὦμεν παρεσκευασμένοι. οὐχ ὁρῶμεν τὰ παιδία, ὅταν ὑπὸ τῶν πατέρων βασταζόμενα ἐντείνῃ πληγὰς εἰς τὰς γνάθους τοῦ φέροντος, πῶς ὁ πατὴρ ἡδέως παρέχει τῷ παιδὶ τῆς ὀργῆς ἐμφορηθῆναι, καὶ ὅταν ἴδῃ κενώσαντα τὸν θυμὸν φαιδρύνεται; οὕτω καὶ ἡμεῖς ποιῶμεν. καὶ καθάπερ πατέρες πρὸς παιδία, πρὸς τοὺς Ελληνας διαλεγώμεθα. παιδία γάρ εἰσιν ἅπαντες Ελληνες· καὶ ταῦτά τινες τῶν παρ' αὐτοῖς εἰρήκασιν, ὅτι ἀεὶ παῖδες ἐκεῖνοι, καὶ γέρων Ελλην οὐδείς. τὰ δὲ παιδία ὑπὲρ οὐδενὸς ἀνέχεται φροντίζειν χρησίμου·
D οὕτω καὶ οἱ Ελληνες παίζειν ἀεὶ βούλονται καὶ χαμαὶ κεῖνται, χαμαιπετεῖς ὄντες καὶ χαμαίζηλοι. τὰ δὲ παιδία πολλάκις περὶ ἀναγκαίων ἡμῶν διαλεγομένων οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων, ἀλλ' ἀεὶ καὶ γελᾷ· τοιοῦτοι καὶ οἱ Ελληνες· ὅταν περὶ βασιλείας διαλεγώμεθα, γελῶσι. καὶ καθάπερ ἐκ παιδικοῦ στόματος πολὺ ἀποβλύζων σίελος πολλάκις καὶ σιτίον καὶ ποτὸν ἐμόλυνεν· οὕτω καὶ τὰ ἀπὸ τοῦ στόματος τῶν Ελλήνων ἀποῤῥέοντα ῥήματα μάταια καὶ ἀκάθαρτα· κἂν ἀναγκαίαν δῷς τροφήν, λυποῦσι τοὺς παρέχοντας διὰ βλασφημίας ἀεί, καὶ δέονται διαβαστάζεσθαι. τὰ παιδία πάλιν ὅταν ἴδωσι
E λῃστὴν εἰσιόντα καὶ τὰ ἔνδον ἀφαιρούμενον, οὐ μόνον οὐκ ἀμύνει, ἀλλὰ καὶ προσγελᾷ τῷ ἐπιβούλῳ· ἂν δὲ τὸν καλαθίσκον ἢ τὰ σεῖστρα ἀφέλῃς, ἢ ἄλλο τι τῶν ἀθυρμάτων, δεινοπαθεῖ καὶ δυσχεραίνει, σπαράττεται καὶ λακτίζει τὸ ἔδαφος. οὕτω δὴ καὶ οἱ Ελληνες, τὸν μὲν διάβολον ὁρῶντες πάντα ὑφαιρούμενον αὐτῶν τὰ πατρῷα καὶ τὰ συνέχοντα αὐτῶν τὴν ζωήν, γελῶσιν ὥσπερ φίλῳ προστρέχοντες· ἂν δὲ κτῆμά τις ἢ πλοῦτον ἢ ὁτιοῦν τοιοῦτον τῶν παιδικῶν ἀφέληται, ὀδύρονται, σπαράττονται, καὶ καθάπερ τὰ παιδία ἀναισθήτως γυμνοῦνται καὶ οὐκ ἐρυθριᾷ· οὕτω καὶ οἱ Ελληνες πόρνοις καὶ μοιχοῖς συγκυλινδούμενοι, καὶ

καὶ τοὺς τῆς φύσεως γυμνοῦντες νόμους, καὶ παρανόμους εἰσάγοντες μίξεις, οὐκ ἐπιστρέφονται. ἐκροτήσατε σφόδρα καὶ ἐπῃνέσατε· ἀλλὰ μετὰ τοῦ κρότου σπουδάσατε, ὅπως μὴ καὶ περὶ ὑμῶν ταῦτα λέγηται. διὸ παρακαλῶ πάντας γενέσθαι ἄνδρας. ἐπεὶ, ὅταν αὐτοὶ παῖδες ὦμεν, πῶς ἐκείνους διδάξομεν ἄνδρας εἶναι; πῶς εἴρξομεν αὐτοὺς τῆς παιδικῆς ἀνοίας; γενώμεθα τοίνυν ἄνδρες, ἵνα φθάσωμεν εἰς τὸ μέτρον τῆς ἡλικίας τῆς ὡρισμένης παρὰ τοῦ Χριστοῦ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## ΟΜΙΛΙΑ ε.

Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ, οὐ πολλοὶ εὐγενεῖς. ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς.

a ΕΙΠΩΝ ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν· ἔδειξεν ὅτι ἐκβέβληται ἡ σοφία ἡ ἀνθρωπίνη ἀπό τε τῆς μαρτυρίας τῶν γραφῶν, ἀπό τε τῆς τῶν πραγμάτων ἐκβάσεως· ἀπὸ μὲν τῆς μαρτυρίας, εἰπὼν, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν· ἀπὸ δὲ τῆς ἐκβάσεως, κατ' ἐρώτησιν προαγαγὼν τὸν λόγον καὶ εἰπὼν, ποῦ σοφός; ποῦ γραμματεύς; πάλιν συναπέδειξεν ὅτι καὶ οὐ νεώτερον τὸ πρᾶγμα, ἀλλὰ καὶ παλαιὸν, ὡς ἄνωθεν αὐτὸ προδιατυποῦσθαι καὶ προλέγεσθαι· γέγραπται γὰρ, φησιν, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν. μετὰ τούτων ἀπέδειξεν, ὅτι καὶ χρησίμως καὶ εὐλόγως ταῦτα οὕτω γέγονεν. ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, φησιν, οὐκ ἔγνω ὁ κόσμος τὸν θεὸν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. καὶ ὅτι ὁ σταυρὸς ἀφάτου δυνάμεως καὶ σοφίας ἀπόδειξις, καὶ ὅτι πολλῷ μεῖζον τὸ μωρὸν τοῦ θεοῦ τῆς ἀνθρωπίνης σοφίας. καὶ τοῦτο πάλιν οὐχὶ διὰ τῶν διδασκάλων, ἀλλὰ καὶ δι' αὐτῶν ἀποδείκνυσι τῶν μαθητῶν. βλέπετε γάρ, φησι, τὴν κλῆσιν ὑμῶν. οὐ γὰρ μόνον διδασκάλους ἰδιώτας, ἀλλὰ καὶ μαθητὰς ἐπελέξατο τοιούτους. οὐ γὰρ πολλοὶ σοφοί, φησι, κατὰ σάρκα. οὕτω δείκνυται τοῦτο καὶ ἰσχυρότερον καὶ σοφώτερον, ὅταν καὶ πολλοὺς πείσῃ, καὶ ἀσόφους πείσῃ. καὶ γὰρ δυσκολώτατον ἰδιώτην πεῖσαι· καὶ μάλιστα ὅταν περὶ πραγμάτων ἀναγκαίων καὶ μεγάλων ὁ λόγος ᾖ. ἀλλ' ὅμως ἔπεισαν· καὶ τούτου μάρτυρας αὐτοὺς καλεῖ. βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, φησιν, ἐπισκέψασθε, διερευνήσασθε. τὸ γὰρ δόγματα οὕτω σοφὰ καὶ πάντων σοφώτερα καταδέξασθαι τοὺς ἰδιώτας, μεγίστην τοῦ διδασκάλου μαρτυρεῖ σοφίαν. τί δέ ἐστι, κατὰ σάρκα; κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον, κατὰ τὴν ἔξωθεν παίδευσιν. εἶτα, ἵνα μὴ δόξῃ ἑαυτῷ περιπίπτειν· καὶ γὰρ τὸν ἀνθύπατον ἔπεισε, καὶ τὸν Ἀρεοπαγίτην, καὶ τὸν Ἀπολλῶ, καὶ ἑτέρους δὲ εἴδομεν σοφοὺς τῷ κηρύγματι προσελθόντας· οὐκ εἶπεν, ὅτι

a Ita Regius codex recte. Editi εἰπεῖν.



ris volutati, naturæ leges nudantes, & nefarios inducentes coitus, non convertantur. Plausistis valde & laudastis; sed cum plausu providete, ne de vobis etiam hæc dicantur. Quapropter omnes rogo, viri estote: nam si nos pueri simus, quomodo illos instituemus ut viri sint? quomodo ab infantili insipientia arcebimus illos? Simus ergo viri, ut perveniamus ad mensuram ætatis a Christo definitam & futura adipiscamur bona, gratia & benignitate, &c.

## HOMILIA V.

*26. Videte enim vocationem vestram, fratres, quia non multi sapientes secundum carnem; non multi potentes, non multi nobiles: 27. Sed quæ stulta sunt mundi elegit Deus, ut confundat sapientes.*

1. CUM dixisset quod stultum est Dei sapientius esse hominibus: ostendit humanam sapientiam abjectam fuisse, & ex testimonio Scripturarum, & ex rerum eventu. Ex testimonio, cum dicit: *Perdam sapientiam sapientium*: ex eventu, per interrogationem loquens ac dicens: *Ubi sapiens? ubi scriba?* Rursum ostendit rem non esse novam, sed antiquam, ut quæ jam olim fuerit præfigurata & prædicta. *Scriptum est enim*, inquit, *perdam sapientiam sapientium.* Cum his ostendit, hæc utiliter & provide facta fuisse. Quia enim in sapientia Dei, inquit, non novit mundus Deum, placuit Deo per stultitiam prædicationis salvos facere credentes; & quod crux sit ineffabilis potentiæ & sapientiæ argumentum, & quod multo majus sit id quod stultum est Dei, quam humana sapientia. Et hoc rursum non per doctores, sed etiam per discipulos ostendit. *Videte enim*, inquit, *vocationem vestram.* Non modo enim doctores idiotas, sed etiam discipulos tales elegit. *Non enim multi sapientes*, inquit, *secundum carnem.* Sic ostenditur hoc & validius & sapientius; cum & multis persuaserit & insipientibus persuaserit. Nam difficillimum est idiotæ persuadere, maxime cum de rebus necessariis & magnis sermo est. Attamen persuaserunt, & hujus rei testes vocat illos. Nam ait, *videte vocationem vestram, fratres*, considerate, scrutamini. Nam quod idiotæ & ignari dogmata adeo sapientia omniumque sapientissima susceperint, id magnæ doctoris sapientiæ testimonium est. Quid sibi vult autem illud, *secundum carnem?* Si spectetur id quod apparet & præsens vita atque externa institutio. Deinde ne videatur sibi ipsi adversari; nam Proconsuli suasit, & Areopagitæ, necnon Apollo; aliosque videmus sapientes ad prædicationem accessisse; non

dixit, nullus sapiens; sed non multi sapientes. Non enim ex constituto indoctos vocabat, & sapientes relinquebat; sed hos etiam admittebat; at longe plures illorum. Quare? Quia qui sapiens est secundum carnem, multa plenus est insipientia: & hic maxime stultus est, quando corruptam doctrinam ejicere non vult. Ac quemadmodum medico artem suam docere volente, qui pauca sciunt, & male contrarioque modo arte utuntur, atque eam retinere contendunt, non facile disciplinam admiserint: qui vero nihil sciunt, facile dicta suscipiunt; sic & hac in re factum est. Indocti magis persuasi sunt; summam enim non habebant arrogantiam, cum non se putarent sapientes esse. Illi nempe maxime stulti sunt, qui ratiociniis illa permittunt, quæ non possunt nisi per fidem inveniri. Quomodo enim si cum faber ærarius forcipe candens ferrum extrahat, iste manu id facere contendat, illum extremæ damnabimus amentiæ. Ita & philosophi qui per se hæc invenire conati sunt, fidem probro affecerunt; ideo nihil eorum quæ perquirebant invenerunt. *Non multi potentes, non multi nobiles.* Nam & hi fastu pleni sunt. Nihil autem ad Dei cognitionem sic inutile est, ut arrogantia, & divitiarum amor. Efficiunt enim illa ut præsentia admirentur & futurorum nullam rationem habeant: & curarum multitudine aures obstruunt. *Sed quæ stulta sunt mundi elegit Deus;* quod maximum est victoriæ signum, cum per indoctos vincit.

Philosophi non possunt mysteria Christi attingere; quare.

2. Non enim tanto pudore afficiuntur Græci, quando per sapientes superantur. Sed tunc maxime pudet illos, cum viderint artificem & forensem plus quam illos philosophantem. Ideo ipse dicebat, *ut confundat sapientes.* Neque hic solum illud fecit, sed etiam in aliis vitæ commodis. *Etenim infirma mundi elegit, ut confundat fortia.* Non enim indoctos solum, sed etiam pauperes, viles, abjectos vocavit, ut in potentia constitutos humiliaret. 28. *Et ignobilia mundi & contemtibilia, & ea quæ non sunt, ut ea quæ erant destrueret.* Et quænam vocat quæ non sunt? Eos qui nihil esse putantur, quod in nullo sint precio. Ita magnam ostendit potentiam, cum per eos qui nihil videntur esse, magnos dejicit; id quod etiam alibi dicit: *Virtus mea in infirmitate perficitur.* Est enim magna potentia, abjectos, qui nullam unquam disciplinam attigerant, repente de iis quæ supra cælos sunt docere philosophari. Nam & medicum & oratorem & alios omnes tunc maxime miramur, cum indoctos admodum instituunt & erudiunt. Si vero magnum miraculum est artis rationes indoctis inculcare; multo magis tantæ philosophiæ rationes. Non pro miraculo tantum eden-

2. Cor. 12. 9.

A οὐδεὶς σοφὸς, ἀλλ' οὐ πολλοὶ σοφοί. οὐ γὰρ ἀποκεκληρωμένως τοὺς ἰδιώτας ἐκάλει καὶ τοὺς σοφοὺς ἠφίει, ἀλλὰ καὶ τούτους ἐδέχετο, πολλῷ δὲ πλείους ἐκείνους. τί δήποτε; ὅτι ὁ κατὰ σάρκα σοφὸς πολλῆς γέμει τῆς ἀνοίας, καὶ οὗτος μάλιστά ἐστιν ὁ μωρὸς, ὅταν τὴν διεφθαρμένην διδασκαλίαν ἐκβαλεῖν μὴ βούληται. καὶ καθάπερ εἴ τις ἰατρὸς εἰ βουληθείη διδάξαι τινὰς τὰ ἀπὸ τῆς τέχνης, οἱ μὲν ὀλίγα εἰδότες, κακῶς καὶ ἐναντίως [a] χρώμενοι τῇ τέχνῃ καὶ κατέχειν φιλονεικοῦντες, οὐκ ἂν ἀνάσχοιντο μαθεῖν ῥᾳδίως, οἱ δὲ μηδὲν ἐπιστάμενοι μάλιστα ἂν καταδέξαιντο τὰ λεγόμενα· οὕτω δὴ καὶ ἐνταῦθα γέγονεν. οἱ a
B ἰδιῶται μᾶλλον ἐπείσθησαν. τὴν γὰρ ἐσχάτην ἀπόνοιαν οὐκ εἶχον, τὸ νομίζειν ἑαυτοὺς εἶναι σοφούς. καὶ γὰρ οἱ σφόδρα μωροὶ οὗτοι μάλιστά εἰσιν, οἱ λογισμοῖς ἐπιτρέποντες ἅπερ οὐκ ἔστιν εὑρεῖν, ἀλλ' ἢ διὰ πίστεως. καὶ γὰρ εἰ, ὥσπερ τοῦ χαλκευτικοῦ διὰ τῆς πυράγρας τὸν πεπυρακτωμένον ἐξέλκοντος σίδηρον, οὗτος διὰ τῆς χειρὸς φιλονεικοίη τοῦτο ποιεῖν, τὴν ἐσχάτην αὐτοῦ καταψηφιούμεθα ἄνοιαν· οὕτω καὶ οἱ φιλόσοφοι δι' ἑαυτῶν ταῦτα εὑρεῖν φιλονεικήσαντες, τὴν πίστιν ἠτίμασαν. διὰ τοῦτο οὐχ εὗρον τῶν ζητουμένων οὐδέν. οὐ πολλοὶ δυνατοὶ, οὐ πολλοὶ εὐγενεῖς. καὶ γὰρ καὶ οὗτοι τύφου πεπλη-
C ρωμένοι εἰσίν. οὐδὲν δὲ οὕτω πρὸς ἀκριβῆ θεογνωσίαν ἄχρηστον, ὡς ἀπόνοια καὶ τὸ προσηλῶσθαι πλούτῳ. καὶ γὰρ παρασκευάζει τὰ παρόντα θαυμάζειν καὶ μηδένα τῶν μελλόντων ποιεῖσθαι λόγον, καὶ ἐμφράττει τὰ ὦτα τῷ πλήθει τῶν φροντίδων. ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεός. ὅπερ ἐστὶ μέγιστον τῆς νίκης δεῖγμα, ὅταν διὰ τῶν ἰδιωτῶν νικᾷ.

Οὐ γὰρ οὕτω καταισχύνονται Ἕλληνες, ὅταν διὰ τῶν σοφῶν ἡττηθῶσιν· ἀλλὰ τότε ἐγκαλύπτονται, ὅταν ἴδωσι τὸν χειροτέχνην καὶ τὸν ἐπὶ τῆς ἀγορᾶς, ὑπὲρ αὐτοὺς φιλοσοφοῦντα. διὸ καὶ αὐτὸς ἔλεγεν, ἵνα καταισχύνῃ τοὺς σο-
D φούς. καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ἐποίησεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πλεονεκτημάτων τοῦ βίου. καὶ γὰρ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. οὐ γὰρ ἰδιώτας μόνον, ἀλλὰ καὶ πένητας καὶ εὐκαταφρονήτους καὶ ἀσήμους ἐκάλεσεν, ἵνα τοὺς ἐν δυναστείαις ὄντας ταπεινώσῃ. καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. καὶ τίνα τὰ μὴ ὄντα καλεῖ; τοὺς μηδὲν εἶναι λογιζομένους διὰ τὴν πολλὴν οὐδένειαν. οὕτω τὴν πολλὴν δύναμιν ἐπεδείξατο, διὰ τῶν μηδὲν εἶναι δοκούντων τοὺς μεγάλους κατενεγκών.
E ὅπερ καὶ ἀλλαχοῦ λέγει, ὅτι ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. [b] μεγάλη γὰρ δύναμις τὸ τοὺς ἀπερριμμένους καὶ μηδενὸς μηδέποτε μαθήματος ἁψαμένους, τούτους ἀθρόον τὰ ὑπὲρ τὸν οὐρανὸν παιδεύειν φιλοσοφεῖν. ἐπεὶ καὶ ἰατρὸν, καὶ ῥήτορα, καὶ τοὺς ἄλλους ἅπαντας τότε μάλιστα θαυμάζομεν, ὅταν τοὺς σφόδρα ἰδιώτας πείθωσι καὶ παιδεύωσιν. εἰ δὲ τοὺς περὶ τέχνης λόγους θαῦμα μέγα ἐνθεῖναι ἰδιώτῃ, πολλῷ μᾶλλον τοὺς ὑπὲρ τοσαύτης φιλοσοφίας. οὐ θαύματος δὲ ἕνεκεν μόνον, b

a χρώμενοι deest in Regio codice. Sed locus in editis bene habet, nec assentior Dounæo restituere volenti.

b Reg. μεγάλης γὰρ δυνάμεως.

A οὐδὲ τοῦ δεῖξαι τὴν ἑαυτοῦ δύναμιν τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ καταστεῖλαι τοὺς ἀλαζόνας. διὸ καὶ ἔμπροσθεν ἔλεγεν, ἵνα καταισχύνῃ τοὺς σοφοὺς, ἵνα καταργήσῃ τὰ ὄντα. καὶ ἐνταῦθα πάλιν· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ. πάντα γὰρ ὁ θεὸς διὰ τοῦτο [a] ποιεῖ, ἵνα μηδὲν ἑαυτοῖς λογιζώμεθα, ἵνα πάντα τῷ θεῷ ἐπιγράφωμεν. καὶ ὑμεῖς ἐπὶ τῷ δεῖνι καὶ τῷ δεῖνι ὑμᾶς αὐτοὺς προσνενείματε; καὶ ποίας τεύξεσθε συγγνώμης; καὶ γὰρ ἔδειξεν ὁ θεὸς, ὅτι οὐ δυνατὸν δι' ἑαυτῶν σωθῆναι μόνον, καὶ τοῦτο παρὰ τὴν ἀρχὴν ἐποίησεν. B οὐ γὰρ τότε δι' ἑαυτῶν σωθῆναι ἐνῆν, ἀλλ' ἔδει κάλλος οὐρανοῦ καὶ γῆς μέγεθος, καὶ τῆς ἄλλης κτίσεως τὸ σῶμα περιελθόντας, οὕτω χειραγωγεῖσθαι πρὸς τὸν τῶν ἔργων δημιουργόν. ἐποίησε δὲ τοῦτο, προαναστέλλων τὴν μέλλουσαν οἴησιν καὶ σοφίαν. ὥσπερ ἂν εἴ τις διδάσκαλος κελεύσας ἕπεσθαι τῷ μαθητῇ ὅπερ ἂν ἡγῆται, ἐπειδὰν ἴδῃ προλαβόντα καὶ βουλόμενον ἀφ' ἑαυτοῦ πάντα μαθεῖν, ἀφεὶς διαμαρτεῖν, καὶ δείξας ὡς οὐκ ἀρκεῖ πρὸς τὴν μάθησιν, οὕτως αὐτῷ τότε ἐπεισάγει τὰ παρ' ἑαυτοῦ· οὕτω καὶ ὁ θεὸς ἐκέλευσε παρὰ τὴν ἀρχὴν ἕπεσθαι διὰ τῆς κατὰ τὴν κτίσιν καταλήψεως. ἐπειδὴ δὲ οὐκ ἠθέλησαν, C δείξας διὰ τῆς πείρας ὅτι οὐκ ἀρκοῦσιν ἑαυτοῖς, τότε αὐτοὺς πρὸς ἑαυτὸν ἑτέρως πάλιν ἄγει. ἔδωκεν ἀντὶ δέλτου τὸν κόσμον, οὐδὲ ἐν τούτοις ἐμελέτησαν οἱ φιλόσοφοι, οὐδὲ αὐτῷ πεισθῆναι ἠθέλησαν, οὐδὲ ταύτην ἐλθεῖν τὴν ὁδὸν πρὸς αὐτὸν, ἣν αὐτὸς ἐκέλευσεν. εἰσήγαγεν ἑτέραν ὁδὸν τῆς προτέρας σαφεστέραν, πείθουσαν ὅτι οὐκ αὐτάρκης ἄνθρωπος αὐτὸς ἑαυτῷ μόνος. τότε μὲν γὰρ καὶ λογισμοὺς ἦν ἀνακινεῖν, καὶ τῇ ἔξωθεν κεχρῆσθαι σοφίᾳ διὰ τῆς κτίσεως χειραγωγουμένους· νῦν δὲ ἂν μή τις γένηται μωρὸς, τουτέστιν, ἂν μὴ πάντα λογισμὸν καὶ πᾶσαν κενώσῃ σοφίαν, καὶ τῇ πίστει ἑαυτὸν D παραδῷ, ἀμήχανον σωθῆναι. οὐ μικρὸν τοίνυν μετὰ τοῦ ποιῆσαι ῥᾳδίαν τὴν ὁδὸν, καὶ νόσημα ἀνέσπασεν ἐντεῦθεν, τὸ μὴ καυχᾶσθαι, μηδὲ μέγα φρονεῖν. ὅπως μὴ καυχήσηται πᾶσα σάρξ. ἀπὸ γὰρ τούτου ἡ ἁμαρτία, ὅτι σοφώτεροι τῶν τοῦ θεοῦ νόμων εἶναι ἐφιλονείκησαν, οὐ θέλοντες οὕτω μαθεῖν ὡς αὐτὸς ἐνομοθέτησε. διὰ τοῦτο οὐδὲ ὅλως ἔμαθον. οὕτω καὶ ἐξ ἀρχῆς ἐγένετο. εἶπε τῷ Ἀδάμ· τόδε τι πρᾶξον, καὶ τόδε μὴ πράξῃς. ἐκεῖνος ὡς πλέον τι νομίζων εὑρίσκειν, παρήκουσε, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. εἶπε τοῖς ἑξῆς, μὴ ἐναπομένετε τῇ κτίσει, ἀλλὰ διὰ ταύτης τὸν δημιουργὸν θεωρεῖτε. E ἐκεῖνοι δῆθεν, ὡς σοφώτερόν τι τῶν εἰρημένων εὑρίσκοντες, μυρίους ἐκίνησαν λαβυρίνθους. διὰ τοῦτο καὶ ἑαυτοῖς καὶ ἀλλήλοις συνερράγησαν, καὶ οὔτε τὸν θεὸν εὗρον, οὔτε περὶ τῆς κτίσεώς τι σαφὲς ἔγνωσαν, οὐδὲ προσήκουσαν καὶ ἀληθῆ περὶ αὐτῆς δόξαν ἔσχον. διὰ τοῦτο πάλιν ἐκ πολλοῦ τοῦ περιόντος τὴν οἴησιν αὐτῶν καθαιρῶν, τοὺς ἰδιώτας πρώτους εἰσήγαγε, δείξας ὡς πάντες τῆς ἄνωθεν δέονται σοφίας. οὐ μόνον δὲ ἐν τῷ περὶ

do, neque ut potentiam suam ostenderet id fecit, sed etiam ut arrogantes reprimeret. Ideoque antea dicebat, *Ut confundat sapientes, ut ea quæ erant destrueret*; & hic rursus: 29. *Ut non glorietur omnis caro in conspectu Dei.* Omnia enim Deus ideo facit, ut nihil nobis imputemus, ut omnia Deo adscribamus. Et vos qui huic & illi vos addixistis, quam veniam consequemini? Nam ostendit Deus fieri non posse ut nostra solum opera salutem assequamur, & hoc ab initio fecit. Neque enim poterant homines per se servari; sed oportebat obeuntes, cæli pulcritudinem, terræ magnitudinem, & aliarum creaturarum corpus, sic adduci ad rerum opificem. Hoc porro fecit jam ante reprimens futuram opinionem & sapientiam. Quemadmodum si quis magister, cum jusserit discipulum sequi quocumque ducatur, ubi vidit illum prævenire & velle a seipso cuncta discere, sinens illum errare, ostendit illum non sibi sufficere ad disciplinam, & tunc quæ sua sunt inducit. Ita & Deus jussit initio sequi per rerum creatarum comprehensionem: quia vero noluerunt, cum experientia docuisset illos non sibi sufficere, tunc ipsos ad se alio modo ducit. Pro tabula dedit mundum: neque in his meditati sunt philosophi, neque illi obsequi voluerunt, neque hanc ad ipsum ingredi viam, quam ille jusserat. Aliam ille induxit viam priore clariorem, quæ persuaderet hominem solum non sibi ipsi sufficere. Tunc enim licebat ratiocinia movere, & externa uti sapientia, per res creatas ductos. Nunc autem nisi quis stultus fiat; id est, nisi omne ratiocinium & omnem sapientiam evacuet, ac fidei se tradat, servari nequit. Non parum igitur est quod cum viam facilem reddiderit, morbum quoque inde ortum evulserit, ut non glorientur homines, neque altum sapiant, *Ut non glorietur omnis caro.* Hinc enim peccatum ortum est, quod Dei legibus se sapientiores esse contenderint, nolentes ita discere ut ille constituit. Propterea neque sic omnino didicerunt. Sic etiam factum est ab initio. Dixit Adamo, hoc fac, hoc ne feceris. Ille se plura reperturum sperans, obsequutus non est, & quod habebat perdidit. Dixit iis qui postea fuere, ne in re creata consistite; sed per illam creatorem contemplamini. Illi autem, quasi quid dictis sapientius invenissent, innumeros moverunt labyrinthos. Quapropter & secum & inter se mutuo conflixerunt, ac neque Deum invenerunt, neque de re creata quid clare noverunt, neque congruentem & veram circa eam opinionem habuerunt. Ideo rursum magna vi illorum opinionem decutiens, indoctos primum induxit, ostendens omnes superna sapientia opus habere; neque modo in cogni-

[a] Reg. ποιεῖ, ἵνα τὸν τῦφον καὶ τὸ φρόνημα καταστείλῃ, ἵνα τὸ καυχᾶσθαι καθέλῃ. καὶ ὑμεῖς ἐπὶ τούτῳ, φησὶν, ἐνδιατρίβετε. πάντα ποιεῖ ἵνα μηδὲν.

tionis ratione, sed & in aliis omnibus homines & omnes res creatas omnino opus A habere sui, ut maximam haberet occasionem, & subjectionis & necessitudinis. Ideoque non permisit ut sibi ipsis satis essent. Nam si nunc etiam multi cum opus habeant, despiciunt; nisi hoc fuisset, quo superbiæ non ascendissent? Itaque tantam gloriæ ostentationem, non ex invidia ille sustulit, sed ut retraheret illos ex pernicie inde parta. 30. *Ex ipso autem vos estis in Christo Jesu, qui factus est nobis sapientia a Deo, & justitia & sanctificatio & redemtio.* Illud, *ex ipso*, non B de productione ad essentiam ipsum dicere puto, sed de fide; id est, filios Dei fieri dicit, non ex sanguinibus, neque ex voluntate carnis. Ne existimetis ergo postquam a gloriatione nos exemerat, sic reliquisse: aliam enim majorem dedit gloriationem. In conspectu enim ejus non oportet gloriari. Filii ejus estis, hoc facti per Christum. Et postquam dixit, stulta mundi elegit & ignobilia, ostendit illos esse omnium nobiliores, qui Deum patrem habeant. Hujus porro nobilitatis non hic vel ille, sed Christus vobis causa est, qui nos sapientes fecit & justos & C sanctos, hoc enim significat illud, *factus est nobis sapientia.*

3. Quis ergo nobis sapientior fuerit, qui non Platonis, sed Christum ipsum sapientiam habemus, Deo ita volente? Quid est autem illud, *a Deo?* Cum magna dixisset de Unigenito, tunc addit Patrem, ne quis putaret ingenitum Filium esse. Cum ergo dixisset eum tanta potuisse, totum tribuit Filio, dicens illum sapientiam nobis factum fuisse, & justitiam & sanctificationem & redemtionem. Per Filium rursus totum attribuens Patri, D dixit, *a Deo.* Cur autem non dixit, Fecit nos sapientes, sed, factus est nobis sapientia? Doni ostendens abundantiam, ac si diceret, seipsum nobis dedit. Et vide quomodo procedat. Prius enim nos sapientes fecit cum ab errore liberavit, & tunc justos & sanctos, Spiritum largitus, & sic nos a malis omnibus liberavit, ita ut ipsius simus non per ipsius essentiam; sed per fidem. Alibi porro dicit, quod nos facti

2. Cor. 5. 21. simus justitia in ipso: *Eum qui non novit peccatum, peccatum pro nobis fecit, ut nos fieremus justitia Dei in ipso.* Nunc autem E dicit illum nobis factum fuisse justitiam, ita ut volenti liceat ejus abunde consortem esse. Non enim hic vel ille sapientes fecit, sed Christus. Qui ergo gloriatur, in illo glorietur, non in alio: a Christo omnia facta sunt. Ideo cum dixisset, qui factus est nobis sapientia & justitia & sanctificatio & redemtio, subjunxit: 31. *Ut quemadmodum scriptum est, qui gloriatur in*

Jer. 9. 23. *Domino glorietur.* Propterea etiam valde invectus est in sapientiam Græcorum; ut

γνώσεως λόγῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ ἀνθρώπους καὶ τὰ ἄλλα πάντα κτίσματα ἐν πολλῇ χρείᾳ αὐτοῦ κατέστησεν, ἵνα μεγίστην ἀφορμὴν ἔχῃ καὶ ταύτην ὑποταγῆς καὶ οἰκειώσεως· διὰ τοῦτο οὐκ ἀφῆκεν αὐτάρκεις αὐτοὺς ἑαυτοῖς εἶναι. Εἰ γὰρ καὶ νῦν ἐν χρείᾳ ὄντες πολλοὶ καταφρονοῦσιν, εἰ μὴ τοῦτο ἦν, ποῦ οὐκ ἂν ἐξῆλθον ὑπερηφανίας; ὥστε τὸ οὕτω καυχᾶσθαι οὐ φθονῶν αὐτοῖς ἀνεῖλεν, ἀλλ᾽ ἀφέλκων αὐτοὺς τῆς ἀπωλείας τῆς ἐντεῦθεν γινομένης. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Τὸ, ἐξ αὐτοῦ, ἐνταῦθα οὐ περὶ τῆς εἰς τὸ εἶναι παραγωγῆς οἶμαι λέγειν αὐτὸν, ἀλλὰ περὶ τῆς πίστεως· τουτέστι, τέκνα Θεοῦ γενέσθαι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός. Μὴ νομίσητε τοίνυν ὅτι ἀφελόμενος ἡμᾶς τοῦ καυχήματος, εἴασεν οὕτω. Μεῖζον γὰρ ἕτερον ἔδωκε καύχημα. Ἐκείνου γὰρ ἐνώπιον οὐ δεῖ καυχᾶσθαι. Παῖδες αὐτοῦ ἐστε, διὰ τοῦ Χριστοῦ τοῦτο γενόμενοι. Καὶ ἐπειδὴ εἶπε, τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο καὶ τὰ ἀγενῆ, δείκνυσιν ὅτι πάντων εἰσὶν εὐγενέστεροι, τὸν Θεὸν ἔχοντες πατέρα· τῆς δὲ εὐγενείας ταύτης οὐχ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ᾽ ὁ Χριστὸς ἡμῖν ἐστιν αἴτιος, σοφοὺς ἡμᾶς ποιήσας καὶ δικαίους καὶ ἁγίους. Τοῦτο γάρ ἐστιν, ἐγενήθη ἡμῖν σοφία.

Τίς οὖν ἡμῶν σοφώτερος τῶν οὐ τὴν Πλάτωνος ἐχόντων σοφίαν, ἀλλ᾽ αὐτὸν τὸν Χριστὸν, τοῦ Θεοῦ βουληθέντος; Τί δέ ἐστιν, ἀπὸ Θεοῦ; Ὅταν μεγάλα εἴπῃ περὶ τοῦ Μονογενοῦς, τότε προστίθησι τὸν πατέρα, ἵνα μὴ νομίσῃ τις ἀγέννητον εἶναι τὸν υἱόν. Ἐπειδὴ οὖν εἶπεν, ὅτι τοσαῦτα ἴσχυσε, τὸ πᾶν ἀνέθηκε τῷ υἱῷ, σοφίαν αὐτὸν λέγων ἡμῖν γεγενῆσθαι, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν. Διὰ τοῦ υἱοῦ πάλιν τὸ πᾶν ἀνατιθεὶς τῷ πατρὶ εἶπεν, ἀπὸ Θεοῦ. Διὰ τί δὲ μὴ εἶπεν, ἐσόφισεν ἡμᾶς, ἀλλ᾽, ἐγενήθη ἡμῖν σοφία; τὸ δαψιλὲς ἐνδεικνύμενος τῆς δωρεᾶς· ὡς ἂν εἰ ἔλεγεν, ἑαυτὸν ἡμῖν ἔδωκε. Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. Πρότερον γὰρ ἡμᾶς σοφοὺς ἐποίησεν ἀπαλλάξας τῆς πλάνης, καὶ τότε δικαίους καὶ ἁγίους, τὸ πνεῦμα χαρισάμενος, καὶ οὕτως ἀπήλλαξεν ἡμᾶς ἁπάντων τῶν κακῶν, ὥστε αὐτοῦ εἶναι· [a] καὶ οὐ τῆς οὐσιώσεως τοῦτο δηλωτικὸν, ἀλλὰ τῆς πίστεως. Ἀλλαχοῦ μὲν οὖν φησιν, ὅτι ἡμεῖς ἐγενόμεθα δικαιοσύνη ἐν αὐτῷ, οὕτω λέγων· τὸν μὴ γνόντα ἁμαρτίαν, ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ· νῦν δὲ αὐτὸν φησι δικαιοσύνην ἡμῖν γεγενῆσθαι, ὥστε ἔξεστι τῷ βουλομένῳ μετέχειν δαψιλῶς. Οὐ γὰρ ὁ δεῖνα σοφοὺς ἐποίησε, καὶ ὁ δεῖνα, ἀλλ᾽ ὁ Χριστός. Ὁ τοίνυν καυχώμενος, ἐν αὐτῷ καυχάσθω, μὴ ἐν τῷ δεῖνι. Παρὰ τοῦ Χριστοῦ γέγονεν ἅπαντα. Διὸ εἰπὼν, ὃς ἐγενήθη ἡμῖν σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις, ἐπήγαγεν· ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Διὰ τοῦτο καὶ σφοδρῶς κατηνέχθη κατὰ τῆς τῶν Ἑλλήνων σοφίας,

[a] Locum antea prorsus vitiatum sic ope codicis Regii restituimus. Editi sic habent, ὥστε αὐτοῦ εἶναι, καὶ τῆς οὐσιώσεως τούτου καὶ πίστεως, quod quid sibi velit nunquam perspici possit.

[a] ἵνα τούτῳ αὐτῷ πείσῃ τοὺς ἀνθρώποις, ὥσπερ οὖν καὶ ἔστι δίκαιον, ἐν Θεῷ καυχᾶσθαι. ὅταν γὰρ παρ' ἑαυτῶν τὰ ὑπὲρ ἑαυτοὺς ζητῶμεν, οὐδὲν μωρότερον, οὐδὲν ἀσθενέστερον ἡμῶν γίνεται. γλῶτταν μὲν γὰρ ἔχειν ἠκονημένην, δυνατὸν, δόγματα δὲ ἰσχυρὰ, ἀμήχανον· ἀλλὰ τοῖς τῶν ἀραχνίων ὑφάσμασιν ἐοίκασιν οἱ λογισμοὶ καθ' ἑαυτοὺς ὄντες. εἰς τοῦτο γάρ τινες παρήλασαν μανίας, ὡς μηδὲν ἀληθὲς εἶναι λέγειν τῶν ὄντων, ἀλλὰ πάντα ἐναντία διϊσχυρίζεσθαι τῶν φαινομένων. μηδὲν τοίνυν εἴπῃς σαυτοῦ, ἀλλ' ἐν πᾶσιν ἐν Θεῷ καυχῶ· μηδενὶ ἀνθρώπῳ τί ποτε λογίσῃ. εἰ γὰρ Παύλῳ οὐδὲν χρὴ λογίζεσθαι, πολλῷ μᾶλλον ἑτέροις. ἐγὼ γὰρ, φησιν, ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν. ὁ μαθὼν ἐν Κυρίῳ καυχᾶσθαι, οὐδέποτε ἐπαρθήσεται, ἀλλ' ἀεὶ καὶ μετριάσει, καὶ ἐν πᾶσιν ἔσται εὐχάριστος. ἀλλ' οὐ τὰ τῶν Ἑλλήνων τοιαῦτα, ἀλλὰ πάντα ἑαυτοῖς ἀνατιθέασι. διὸ καὶ ἀπὸ ἀνθρώπων ποιοῦσι θεούς· οὕτως αὐτοὺς ἡ ἀπόνοια ἐξετραχήλισεν. ὥρα δὴ λοιπὸν ἐστὶ πρὸς τὴν τούτων ἐξελθεῖν μάχην. ποῦ τοίνυν κατελίπομεν τὸν λόγον τῇ προτέρᾳ; ἐλέγομεν, ὅτι οὐκ ἦν δυνατὸν κατὰ ἀνθρωπίνην ἀκολουθίαν περιγενέσθαι τῶν φιλοσόφων, τοὺς ἁλιέας· ἀλλ' ὅμως γέγονε δυνατόν· ὅθεν δῆλον, ὅτι χάριτι γέγονεν. ἐλέγομεν, ὅτι οὐκ ἦν δυνατὸν οὐδὲ ἐννοῆσαι αὐτοὺς τοσαῦτα κατορθώματα· καὶ ἐδείξαμεν ὅτι οὐ μόνον ἐνενόησαν, ἀλλὰ καὶ εἰς τέλος ἤγαγον μετὰ πολλῆς τῆς εὐκολίας. τὸ αὐτὸ δὴ καὶ σήμερον γυμνάσωμεν τοῦ λόγου τὸ κεφάλαιον. πόθεν αὐτοῖς ἐπῆλθε προσδοκῆσαι τῆς οἰκουμένης περιγενέσθαι, εἰ μὴ εἶδον τὸν Χριστὸν ἀναστάντα. μὴ γὰρ ἐξεστήκεσαν, ὥστε τοιοῦτόν τι λογίσασθαι ἁπλῶς καὶ εἰκῇ; καὶ γὰρ ὑπερβαίνει πᾶσαν μανίαν τὸ προσδοκῆσαι ἄνευ θείας χάριτος τοσούτου περιγενέσθαι πράγματος. πῶς αὐτὸ κατώρθωσαν μαινόμενοι καὶ ἐξεστηκότες; εἰ δὲ ἐσωφρόνουν, ὥσπερ οὖν καὶ τὰ πράγματα ἔδειξε, πῶς ἄνευ τοῦ λαβεῖν ἐνέχυρα ἀξιόπιστα ἐκ τῶν οὐρανῶν καὶ τῆς ἄνωθεν ἀπολαῦσαι ῥοπῆς, ὑπέμενον πρὸς τοσούτους ἐξελθεῖν πολέμους, καὶ γῆς καὶ θαλάττης καταλολμῆσαι, καὶ πρὸς μεταβολὴν τῶν τῆς οἰκουμένης ἁπάσης ἐθῶν τῶν ἐν χρόνῳ τοσούτῳ παγέντων ἄνθρωποι δώδεκα ἀποδύσασθαι, καὶ στῆναι γενναίως οὕτω; καὶ τὸ δὴ μεῖζον, πρὸς οὐρανὸν καλοῦντες καὶ τὰς ἄνω διατριβὰς, πόθεν προσεδόκων πείθειν τοὺς ἀκούοντας; καὶ εἰ μὲν ἦσαν ἐν δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ παιδεύσει τραφέντες, μάλιστα μὲν οὐδὲ οὕτω πρὸς τοσοῦτον ὄγκον πραγμάτων εἰκὸς ἦν αὐτοὺς ἐπαρθῆναι· πλὴν ἀλλὰ μᾶλλόν τινα λόγον εἶχεν ἡ προσδοκία· νῦν δὲ οἱ μὲν πρὸς λίμνας, οἱ δὲ περὶ δέρματα ἠσχόληντο, οἱ δὲ περὶ τελωνίαν. οὐδὲν τούτων τῶν ἐπιτηδευμάτων ἀχρηστότερον πρὸς φιλοσοφίαν καὶ πρὸς τὸ πεῖσαι μεγάλα φαντάζεσθαι, καὶ μάλιστα ὅταν μὴ παράδειγμά τις ἔχῃ. μᾶλλον δὲ οὐ μόνον παραδείγματα οὐκ εἶχον ὅτι περιέσονται,

A hoc ipso persuadeat hominibus, quod etiam justum sit ut in Domino glorientur. Nam cum a nobis ipsis quæ nos superant quærimus, nihil est nobis stultius, nihil imbecillius. Linguam enim acutam habere possumus; dogmata vero solida, non item; sed aranearum telis per se similia sunt ratiocinia. Eo enim quidam processerant amentiæ, ut eorum quæ sunt nihil verum esse dicerent, sed iis quæ apparerent omnia contraria esse affirmarent. Nihil ergo tuum esse dixeris, sed in omnibus in Deo glorieris; nulli homini aliquid unquam tribuas. Si enim Paulo nihil est attribuendum, multo magis cæteris. Nam ait ille, *Ego plantavi, Apollo rigavit, Deus autem incrementum dedit.* (1. Cor. 3. 6.) Qui didicit in Domino gloriari, nunquam sese efferet; sed semper modeste aget, & in omnibus gratus erit. Res autem Græcorum non sunt hujusmodi; sed omnia illi sibi adscribunt. Ideoque ex hominibus deos faciunt, adeo illos arrogantia pessumdedit. Demum hora est ut cum illis concertemus: ubi ergo die superiori orationem reliquimus? Dicebamus non posse ex humana consequentia philosophos a piscatoribus superari. Attamen fieri potuit; unde palam est id per gratiam factum esse. Dicebamus fieri non posse ut tot & tam præclara gesta vel cogitarent quidem, & ostendimus illos non modo cogitasse, sed etiam cum magna facilitate ad finem perduxisse. In hoc ipso hodie orationis capite nos exercebimus: undenam illis venerit in mentem, ut sperarent se totum orbem terræ posse vincere, si non vidissent Christum resurrexisse. Num in mentis excessu, quidpiam tale inconsiderate & temere cogitarunt? Omnem quippe amentiam superat, absque Dei gratia tantam rem perfici posse sperare. (Ex gratia divina apostoli orbem converterunt.) Quomodo hoc effecerunt insanientes & in mentis excessu? Sin vero sanæ mentis erant, ut & res ipsæ probant, quomodo non acceptis ex cælo fide dignis pignoribus, & supernam non adepti gratiam, ausi essent ad tanta exire bella, in terra & in mari suscipienda, & ad mutandos totius orbis mores, tanto tempore confirmatos, homines duodecim se accingere ausi fuerint & fortiter stare? Et quod majus est, ad cælum vocantes & supernas habitationes, unde exspectabant se auditoribus persuasuros esse? Et si quidem fuissent educati in gloria, opibus, potentia & eruditione, ne sic quidem ad tantam molem rerum se extollere posse videbantur; sed tamen aliqua ratione potuisset exspectari. Nunc autem alii in lacubus, alii in pellibus versabantur, alii in telonio. Nihil est his studiis ineptius ad philosophiam, & ad persuadendum, ut magna quis imaginetur, maxime vero quando nullum suppetit exemplum. At illi non modo exempla non habebant, queis se superaturos spe-

[a] Ita Regius codex. In editis, ἵνα τοῦτο αὐτὸ, male.

rarent; sed etiam habebant quod supera- A turi non essent. Multi namque qui innovare tentaverant, exstincti fuerant: non de Græcorum rebus loquor; illæ quippe nondum erant; sed de ipsis Judæis eodem tempore: non cum duodecim hominibus, sed cum magna multitudine res aggressi. Nam Theudas & Judas magnos habentes hominum cœtus, cum discipulis perierant. Et ex his exemplis ortus timor poterat illos deterrere, nisi admodum persuasi fuissent sine divina virtute non posse quempiam superare. Quod si etiam se vincere posse sperabant, B qua spe fulti tanta adiissent pericula, nisi ad futura respexissent? Ponamus autem illos se superaturos sperasse, quid lucri sperabant ex eo quod omnes adducerent ad eum qui non resurrexit, sicut dicitis?

4. Nam si nunc homines qui crediderunt de regno cælorum & de innumeris bonis, difficile pericula subeunt, quomodo tanta incassum passi essent, imo vero ad malum? Si enim non facta fuissent illa quæ vere facta sunt, & si Christus in cælum non ascendisset, hæc fingere contendentes & aliis persuadere, Deum offen- C suri erant & mille a superis fulmina exspectaturi. Alioquin autem etiamsi vivente Christo tantam habuissent alacritatem, ipso mortuo illam exstinxissent. Nam si non resurrexisset, ipsis deceptor & simulator visus fuisset. An nescitis exercitus vivente duce & imperatore, etiamsi debiles & non numerosi sint, consistere, illis vero defunctis, etiamsi validi sint, dissolvi. Quibusnam, quæso, probabilibus rationibus usuri erant prædicationem aggressuri, & per orbem totum exituri? quot impedimentis non detenti fuissent? Nam si furentes erant; hoc dicendi fi- D nem non faciam; nihil penitus recte gessissent; nemo enim furentibus obtemperat. Si autem rem bene gesserunt, ut gesserunt utique, & finis ostendit, omnium sapientissimi erant. Si omnium sapientissimi erant, palam est illos non temere ad prædicationem venisse. Nisi enim vidissent illum resurrexisse, quid poterat illos ad hoc bellum educere? Quid non illos avertisset? Dixit illis, post tres dies resurgam, & regnum cælorum pollicitus est. Dixit illis quod orbem terrarum superaturi essent, accepto Spiritu sancto, E & ad hæc innumera alia dixit naturam omnem superantia. Itaque si nihil horum evenisset, etsi viventi crediderant, eo mortuo non ultra credidissent, nisi resuscitatum vidissent. Dixissent enim; post tres dies se resurrecturum dixit, & non resurrexit: Spiritum se daturum promisit, & non misit: quomodo ergo de futuris illum credemus, cum præsentia falsi convicta sint? Qua de causa si non resurrexisset, prædicarent illum resurrexisse? Quia ipsum amabant, inquies. Atqui ipsum deinde odio habituri erant, quod se

A ἀλλ' ὅτι καὶ οὐ περιέσονται καὶ ταῦτα ἔναυλα. πολλοὶ γὰρ ἐπιχειρήσαντες καινοτομίαις ἐσβέσθησαν, [a] οὐχὶ τὰ παρ' Ἕλλησι λέγω, ἐκεῖνα γὰρ οὐδὲν ἦσαν, ἀλλὰ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις ἐν αὐτῷ τῷ καιρῷ, οὐχὶ μετὰ δώδεκα ἀνθρώπων, ἀλλὰ μετὰ πλήθους πολλοῦ τοῖς πράγμασιν ἐπιτιθέμενοι. καὶ γὰρ Θευδᾶς καὶ Ἰούδας συστήματα ἔχοντες μεγάλα ἀνθρώπων μετὰ τῶν μαθητῶν ἀπώλοντο. καὶ ὁ παρ' ἐκείνων φόβος ἱκανὸς ἦν τούτους παιδεῦσαι, εἰ μὴ σφόδρα ἦσαν πεπεισμένοι ὅτι ἄνευ θείας δυνάμεως ἀμήχανον περιγενέσθαι. εἰ δὲ B καὶ προσεδόκων κρατῆσαι, ποίαις ἐλπίσι τοσούτους ἀνεδέχοντο κινδύνους, εἰ μὴ πρὸς τὰ μέλλοντα ἑώρων; θῶμεν δὲ ὅτι καὶ ἤλπιζον κρατῆσαι· τί προσεδόκων κερδαίνειν ἐκ τοῦ προσάγειν ἅπαντας τῷ μὴ ἀναστάντι, καθώς φατε;

Εἰ γὰρ νῦν πιστεύσαντες ἄνθρωποι περὶ βασιλείας οὐρανῶν καὶ μυρίων ἀγαθῶν, δυσκόλως καταδέχονται κινδύνους, πῶς ἂν ἐκεῖνοι μάτην τοσαῦτα ὑπέμειναν, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ; εἰ γὰρ μὴ ἐγένετο τὰ γεγενημένα, μηδὲ εἰς τὸν οὐρανὸν ὁ Χριστὸς ἀνέβη, πάντως ταῦτα πλάττειν φιλονεικοῦντες καὶ τοὺς ἄλλους πεί- C θειν, τῷ Θεῷ προσκρούειν ἔμελλον καὶ μυρίους ἄνωθεν προσδοκᾶν κεραυνούς· ἄλλως δὲ, εἰ καὶ ζῶντος τοῦ Χριστοῦ τοσαύτην εἶχον προθυμίαν, ἀποθανόντος ἂν ἔσβεσαν αὐτήν. ἔδοξε γὰρ ἂν αὐτοῖς, εἰ μὴ ἀνέστη, ἀπατεὼν εἶναί τις καὶ εἴρων. οὐκ ἴστε, ὅτι τὰ στρατόπεδα, τοῦ μὲν στρατηγοῦ καὶ βασιλέως ζῶντος, κἂν ἀσθενῆ ᾖ, συγκροτεῖται· ἀπελθόντων δὲ ἐκείνων, κἂν ἰσχυρὰ ᾖ, διαλύεται; ποίοις οὖν, εἰπέ μοι, λογισμοῖς ἐκέχρηντο πιθανοῖς, μέλλοντες ἅπτεσθαι τοῦ κηρύγματος καὶ πρὸς τὴν οἰκουμένην ἐξιέναι ἅπασαν; ποίοις δὲ κωλύμασιν οὐκ ἂν κατεσχέθησαν; εἰ γὰρ μαινόμενοι ἦσαν· ὃ D γὰρ αὐτὸ λέγων οὐ παύσομαι· οὐδὲν ὅλως κατορθῶσαι ἔδει, οὐδεὶς γὰρ μαινομένοις πείθεται. εἰ δὲ κατώρθωσαν, ὥσπερ οὖν καὶ κατώρθωσαν, καὶ δείκνυσι τὸ τέλος, πάντων ἦσαν σοφώτεροι. εἰ δὲ πάντων ἦσαν σοφώτεροι, εὔδηλον ὅτι οὐκ ἂν ἁπλῶς ἦλθον ἐπὶ τὸ κήρυγμα. εἰ γὰρ μὴ εἶδον αὐτὸν ἀναστάντα, τί ἦν ἱκανὸν αὐτοὺς ἐξαγαγεῖν ἐπὶ τὸν πόλεμον τοῦτον; τί δὲ οὐκ ἂν αὐτοὺς ἀπέτρεψεν; εἶπεν αὐτοῖς ὅτι μετὰ τρεῖς ἡμέρας ἀναστήσομαι, καὶ περὶ βασιλείας οὐρανῶν ἐπηγγείλατο· εἶπεν, ὅτι κρατήσουσι τῆς οἰκουμένης E πνεῦμα λαβόντες ἅγιον, καὶ μυρία πρὸς τούτοις ἕτερα πᾶσαν ὑπερβαίνοντα φύσιν. ὥστε εἰ μηδὲν τούτων γέγονεν, εἰ καὶ ζῶντι ἐπείθοντο, τελευτήσαντος οὐκ ἂν ἐπείσθησαν, εἰ μὴ εἶδον ἀναστάντα. εἶπον γὰρ ἄν· μετὰ τρεῖς ἡμέρας ἔλεγεν ἀναστήσομαι, καὶ οὐκ ἀνέστη· πνεῦμα ὑπέσχετο δώσειν, καὶ οὐκ ἔπεμψε. πῶς οὖν ὑπὲρ τῶν μελλόντων αὐτῷ πιστεύσομεν, τῶν παρόντων ἐληλεγμένων; τίνος δὲ ἕνεκεν μὴ ἀναστάντος, ἐκήρυττον ὅτι ἀνέστη; ἐπειδὴ ἐφίλουν αὐτόν, φησί. καὶ μὴν μισεῖν λοιπὸν εἰκὸς ἦν ἀπατήσαντα

[a] Sic Regius codex. Editi vero, τοῖς παρ' Ἕλλησι. | Savilius suspicatur legendum παρὰ τοῖς Ἕλλησι.

καὶ προδεδωκότα, καὶ ὅτι μυρίαις αὐτοὺς ἐλπίσιν ἐπάρας, καὶ οἰκίας, καὶ γονέων, καὶ πάντων ἀποστήσας, καὶ ὁλόκληρον ἔθνος ἐκπολεμώσας αὐτοῖς τὸ Ἰουδαίων, προέδωκεν ὕστερον. καὶ εἰ μὲν ἀσθενείας ἦν τὸ γινόμενον, συνέγνωσαν ἄν· νυνὶ δὲ κακουργίας πολλῆς εἶναι ἐνομίζετο. ἔδει γὰρ τἀληθὲς εἰπεῖν, καὶ μὴ τὸν οὐρανὸν ἐπαγγείλασθαι ἄνθρωπον ὄντα θνητὸν, ὥς φατε. ὥστε τοὐναντίον εἰκὸς ἦν αὐτοὺς ποιεῖν, κρύπτειν τὴν ἀπάτην, καὶ λέγειν αὐτὸν εἴρωνα καὶ γόητα· οὕτω γὰρ ἂν καὶ τῶν κινδύνων ἀπηλλάγησαν, οὕτω καὶ τὸν πόλεμον ἔλυσαν. εἰ γὰρ τοῖς στρατιώταις ἀργύριον ἔδωκαν οἱ Ἰουδαῖοι ἵνα εἴπωσιν, ὅτι ἔκλεψαν τὸ σῶμα, εἰ παρελθόντες εἶπον οἱ μαθηταὶ ὅτι ἐκλέψαμεν, καὶ οὐκ ἀνέστη, ποίας ἂν οὐκ ἀπήλαυσαν τιμῆς; ὥστε ἐξῆν αὐτοῖς καὶ τιμᾶσθαι καὶ στεφανοῦσθαι. τίνος οὖν ἕνεκεν τὸ ὑβρίζεσθαι καὶ κινδυνεύειν ἀντικατηλλάξαντο τούτων, εἰ μὴ θεία τις ἦν ἡ πείθουσα αὐτοὺς δύναμις, ἡ τούτων ἁπάντων δυνατωτέρα; εἰ δὲ μηδέπω πειθόμενοι, λόγιζου κἀκεῖνο· ὅτι εἰ μὴ τοῦτο ἦν, κἂν εἰ σφόδρα παρεσκευάζοντο, οὐκ ἂν ἐπ' αὐτῷ τὸ κήρυγμα ἐκήρυξαν, ἀλλ' ἀπεστράφησαν αὐτόν. ἴστε γὰρ ὅτι οὐδὲ τὰ ὀνόματα βουλόμεθα τῶν τὰ τοιαῦτα ἀπατώντων ἡμᾶς ἀκούειν. τίνος δὲ ἕνεκεν καὶ ἐκήρυττον αὐτοῦ τὸ ὄνομα; προσδοκῶντες ὅτι κρατήσουσι δι' αὐτοῦ; καὶ μὴν τοὐναντίον ἐχρῆν προσδοκᾷν, ὅτι εἰ καὶ ἔμελλον κρατήσειν, ἀπώλοντο ἀπατεῶνος ὄνομα φέροντες εἰς μέσον. εἰ δὲ συσκιάσαι τὰ πρότερα ἐβούλοντο, ἔδει σιγῆσαι· ὡς τόγε ἐπαγωνίζεσθαι, μειζόνως ἀνῆπτε καὶ τὸν πόλεμον καὶ τὸν γέλωτα. πόθεν οὖν ἐπῆλθεν αὐτοῖς ἀναπλάσαι τοιαῦτα; καὶ γὰρ ἅπερ ἤκουσαν, ἀπώλεσαν. εἰ δὲ οὐκ ὄντος φόβου πολλὰ ἐπελανθάνοντο, καὶ τινὰ οὐδὲ ἐνόουν, καθὼς καὶ ὁ εὐαγγελιστής φησι, τοσούτου κινδύνου καταλαβόντος, πῶς οὐκ ἂν ἅπαντα αὐτῶν ἀπέπτη; καὶ τί λέγω τὰ ῥήματα; ὅπουγε καὶ ὁ πρὸς αὐτὸν τὸν διδάσκαλον πόθος ἠρέμα κατεμαραίνετο τῷ φόβῳ τῶν ἐσομένων, ὅπερ αὐτοῖς καὶ ὠνείδισεν. ἐπειδὴ γὰρ πρὸ τούτου μὲν ἐκκρεμάμενοι αὐτοῦ, συνεχῶς ἠρώτων, ποῦ ὑπάγεις; ὕστερον δὲ ὅτε τοὺς μακροὺς ἀπέτεινε λόγους τὰ δεινὰ διηγούμενος τὰ περὶ αὐτὸν τὸν σταυρὸν καταληψόμενα αὐτοὺς, εἶτα ὑπὸ δέους παγέντες ἀναπέμειναν ἀχανεῖς, ἄκουσον πῶς τοῦτο αὐτὸ προφέρει αὐτοῖς λέγων· οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις; ἀλλ' ὅτι λελάληκα ὑμῖν ταῦτα, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. εἰ τοίνυν προσδοκῶντες αὐτὸν ἀποθανεῖσθαι καὶ ἀναστήσεσθαι οὕτως ἤλγουν, ἀναστάντα αὐτὸν μὴ ἰδόντες, πῶς οὐκ ἂν ἀπώλοντο, καὶ εἰς αὐτὴν ἂν ἐσπούδασαν καταδῦναι τὴν γῆν, καὶ ἀθυμίᾳ τῇ τῆς ἀπάτης καὶ δέει τῶν ἐσομένων πολιορκούμενοι;

Πόθεν δὲ καὶ τὰ ὑψηλὰ αὐτοῖς δόγματα; τὰ γὰρ ὑψηλότερα ὕστερον εἶπεν αὐτοὺς ἀκούσεσθαι. πολλὰ γὰρ ἔχω λέγειν ὑμῖν, φησιν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι.

A decepisset & prodidisset, & quod mille factis promissis, induxisset ut domos, parentes & omnia relinquerent, quod totam Judæorum gentem contra se suscitasset, ac se prodidisset. Quod si illud ex infirmitate factum fuisset, id novissent; at nunc existimaretur ex improbitate factum. Oportebat enim verum dicere, neque cælum promittere homo cum esset mortalis, ut dicitis. Quare verisimile est contraria facturos fuisse, fallaciam prædicaturos, & dicturos ipsum simulatorem & præstigiatorem fuisse. Sic enim ex pe- B riculis liberati fuissent, sic bellum solvissent. Si enim militibus pecuniam dederunt Judæi, ut dicerent, ipsos corpus furto sustulisse, si transeuntes discipuli dixissent: Ipsum furati sumus, nec resurrexit, quanto non affecti fuissent honore? Ipsis itaque licebat honorari & coronari; cur ergo contumeliis affici & periclitari maluerunt, nisi divina quædam virtus fuisset his omnibus potentior, quæ id ipsis suaderet? Sin autem nondum persuademus, illud quoque cogita: si hoc non esset, etiamsi valde præparati fuissent, non prædicandum illum suscepis- C sent, sed aversati illum fuissent. Scitis enim nos ne nomina quidem eorum qui nos ita deceperint, audire velle. Cur autem nomen ejus prædicarunt? an quod exspectarent se per illum superaturos esse? Atqui contrarium exspectandum erat, quia etiamsi superaturi essent, periissent deceptoris nomen in medium afferentes. Sin autem volebant priora occultare, tacere oportebat. Nam decertare magis excitasset & bellum & risum. Unde ergo venit illis in mentem ut hæc confingerent? Nam illa quæ ipsi audierant, exci- D derant. Quod si cum nullus esset timor, multorum obliviscebantur, & quædam non intelligebant, ait evangelista, tanto imminente periculo, quomodo non omnia ab illis avolassent? Et quid dico verba, cum futurum esset ut magistri amor metu futurorum sensim marcesseret? quod etiam ipsis exprobravit. Nam cum antea quidem ab illo pendentes frequenter interrogarent, quo vadis? postea autem, cum longos texuit sermones, mala enarrans quæ tempore crucis ipsos invasura erant, deindeque metu defixi cum hiantes illi manerent, audi quomodo eis hoc proferat dicens: *Nemo ex vobis, in-* Joan. 16. 5.
E *terrogat me, quo vadis? Sed quia hæc loquutus sum vobis, tristitia implevit cor vestrum.* Si ergo exspectantes illum moriturum & resurrecturum esse, ita dolebant; si resurgentem illum non vidissent, quomodo non periissent, & in ipsam terram suffodi non studuissent, tum ex mœrore fraudis, tum ex timore futurorum obsessi?

5. Unde autem & sublimia illis dogmata? Sublimiora enim ipsos postea audituros esse dixit. Nam *multa*, inquit, Joan. 16. 2.
*habeo vobis dicere, sed non potestis porta-*

*re modo*. Illa igitur quæ non dicebantur, sublimiora erant. Unus autem ex discipulis, nec in Judæam cum illo abire volebat, postquam pericula audivit; sed dicebat: *Abeamus & nos, ut moriamur cum illo*, ægre ferens quod se moriturum exspectaret. Quod si cum illo versans se moriturum exspectabat, ideoque refugiebat, absque eo & cæteris discipulis quid non tunc se passurum exspectasset? Et magnum hoc fuisset impudentiæ argumentum. Quid ergo etiam dicendum habebant exeuntes? Nam passionem quidem sciebat universus orbis: in alto quippe patibulo suspensus fuerat, in meridie, in metropoli, & in maximo die festo, & a quo maxime non licebat quempiam abesse. Resurrectionem vero nullus sciebat exterorum, quod non parvum illis erat impedimentum ut ne persuaderent. Et quod esset sepultus omnium rumore ferebatur: quodque discipuli corpus furati essent, milites cum Judæis omnibus dicebant; quod autem resurrexisset, exterorum nemo sciebat. Undenam exspectabant se id toti orbi persuasuros esse? Si enim post edita miracula, persuasi fuerunt milites ut contraria testarentur, undenam sperassent hi se sine miraculis prædicaturos esse, ac ne obolum quidem habentes terræ & mari de resurrectione persuasuros esse? Quod si ex gloriæ amore hoc fecissent, multo magis unusquisque dogma sibi attribuisset, non ei qui decesserat. At non credidissent illis homines? Et de quonam magis credidissent audientes? De illo-ne qui comprehensus & crucifixus fuerat, an de illis qui Judæorum manus effugerant? Cur, quæso, hoc facturi erant? Non statim Judæam dimittentes venerunt in externas civitates, sed intus versabantur. Quomodo autem persuasissent, nisi signa edidissent? Si faciebant quidem, & utique faciebant, Dei virtus erat id quod fiebat. Si autem non faciebant, & tamen vincebant, longe mirabilius erat illud. Annon Judæos noverant, quæso te, & malam ipsorum mentem, invidiaque plenum animum? Etenim Moysen lapidarunt, postquam mare pedibus transierant, post victoriam & tropæum illud mirabile, quod absque sanguine per manus ejus erexerunt de Ægyptiis qui illos in servitutem redegerant, post manna; post petras & fluviorum fontes inde manantes; post mille miracula in Ægypto, in mari Rubro, in deserto. Jeremiam in lacum injecerunt, & multos prophetas interfecerunt. Audi quid dicat Helias post famem illam terribilem, & mirabilem pluviam, & lampadem illam, quam de cælis descendere curavit, & stupendum illud holocaustum; procul ab eorum regione ejectus: *Domine, prophetas tuos occiderunt, altaria tua diruerunt; & ego relictus sum solus, &*

*Joan.* 11. 16.

3. *Reg.* 19. 10.

A ὥστε τὰ μὴ λεγόμενα ὑψηλότερα ἦν. Εἷς δὲ τῶν μαθητῶν οὐδὲ εἰς τὴν Ἰουδαίαν ἤθελεν ἀπελθεῖν μετ' αὐτοῦ, ἐπειδὴ κινδύνων ἤκουσεν, ἀλλ' ἔλεγεν· ἀπέλθωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ, βαρυνόμενος ἐπειδὴ προσεδόκησεν ἀποθανεῖσθαι. Εἰ δὲ μετ' αὐτοῦ ὢν προσεδόκησεν ἀποθανεῖσθαι, καὶ ἀνεδύετο διὰ τοῦτο, καὶ χωρὶς αὐτοῦ καὶ τῶν λοιπῶν μαθητῶν τί οὐκ ἤλπισε τότε [a] παθεῖν; καὶ πολὺς ὁ ἔλεγχος ἦν τῆς ἀναισχυντίας. τί δὲ καὶ εἶχον εἰπεῖν ἐξιόντες; τὸ μὲν γὰρ πάθος ἡ οἰκουμένη πᾶσα ᾔδει. καὶ γὰρ ἐφ' ὑψηλοῦ ἐκρέματο τοῦ B ἰκρίου, καὶ ἐν ἡμέρᾳ μέσῃ, καὶ ἐν μητροπόλει, καὶ ἐν ἑορτῇ μεγίστῃ, καὶ ἐν ᾗ μάλιστα οὐκ ἐνῆν τινα ἀπολειφθῆναι. τὴν δὲ ἀνάστασιν οὐδεὶς εἶδε τῶν ἔξωθεν, ὅπερ οὐ μικρὸν αὐτοῖς πρὸς τὸ πείθειν ἐμπόδιον ἦν. καὶ ὅτι μὲν ἐτάφη, πάντες διεθρύλλουν· καὶ ὅτι ἔκλεψαν τὸ σῶμα αὐτοῦ οἱ μαθηταί, οἱ στρατιῶται μετὰ τῶν Ἰουδαίων ἁπάντων ἔλεγον· ὅτι δὲ ἀνέστη, τῶν ἔξωθεν οὐδεὶς εἶδε. πόθεν οὖν προσεδόκησαν πείθειν τὴν οἰκουμένην; Εἰ γὰρ θαυμάτων γινομένων στρατιῶται ἐπείσθησαν τὰ ἐναντία μαρτυρῆσαι, πόθεν προσεδόκων οὗτοι χωρὶς θαυμάτων κηρύττειν, καὶ μηδὲ ὀβολὸν κεκτημένοι C πείθειν γῆν καὶ θάλατταν περὶ τῆς ἀναστάσεως; Εἰ δὲ δόξης ἐρῶντες τοῦτο ἐποίουν, πολλῷ μᾶλλον ἂν ἕκαστος ἑαυτῷ δόγματα ἐπεφήμισεν, οὐχὶ τῷ ἀπελθόντι. ἀλλ' οὐκ ἂν ἐπείσθησαν αὐτοῖς οἱ ἄνθρωποι; καὶ περὶ τίνος μᾶλλον ἀκούοντες ἐπίστευον; περὶ ἐκείνου τοῦ συλληφθέντος καὶ σταυρωθέντος, ἢ περὶ αὐτῶν τῶν τὰς χεῖρας ἐκφυγόντων τὰς Ἰουδαϊκάς; τίνος δὲ ἕνεκεν, εἰπέ μοι, ἔμελλον τοῦτο ποιεῖν; οὐκ εὐθέως τὴν Ἰουδαίαν ἀφέντες, εἰς τὰς ἔξω πόλεις ἐπῆλθον, ἀλλ' ἔνδον ἐστρέφοντο. πῶς δὲ, εἰ μὴ σημεῖα ἐποίουν, ἔπειθον; Εἰ D μὲν γὰρ ἐποίουν, ἐποίουν γὰρ, θεοῦ δύναμις ἦν τὸ γινόμενον· εἰ δὲ μὴ ἐποίουν καὶ ἐκράτουν, πολὺ θαυμαστότερον ἦν τὸ συμβάν. Οὐκ ᾔδεσαν Ἰουδαίους, εἰπέ μοι, καὶ τὴν πονηρὰν αὐτῶν μελέτην, καὶ τὴν φθόνου γέμουσαν ψυχήν; καὶ γὰρ Μωϋσέα ἐλίθασαν μετὰ τὸ πέλαγος ὅπερ ἐπέζευσαν, μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον ἐκεῖνο τὸ θαυμαστὸν, ὅπερ ἔστησαν ἀναιμωτὶ διὰ τῶν ἐκείνου [b] χειρῶν, κατὰ τῶν δουλωσαμένων αὐτοὺς Αἰγυπτίων, μετὰ τὸ μάννα, μετὰ τὰς πέτρας καὶ τὰς πηγὰς τῶν ποταμῶν τὰς ἐκεῖθεν ῥαγείσας, E μετὰ μυρία θαύματα ἐπὶ τῆς Αἰγύπτου καὶ τῆς ἐρυθρᾶς καὶ τῆς ἐρήμου. Ἰερεμίαν εἰς λάκκον ἐνέβαλον, καὶ πολλοὺς τῶν προφητῶν κατέσφαξαν. ἄκουσον γοῦν τί φησιν Ἠλίας μετὰ τὸν φοβερὸν λιμὸν ἐκεῖνον καὶ τὸν θαυμαστὸν ὑετὸν καὶ τὴν λαμπάδα, ἣν ἐκ τῶν οὐρανῶν κατήνεγκε, καὶ τὸ παράδοξον ὁλοκαύτωμα, ὡς πορρωτάτω τῆς χώρας αὐτῶν ἐλαυνόμενος· Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος,

a παθεῖν deerat in editis & habetur in Regio codice; hæc vox aliquam lucem affert; sed nondum clara sententia est.

b Sic Reg. optime. Editi χειρῶν, καταδουλωσαμένων.

καὶ

καὶ ζητοῦσι τὴν ψυχήν μου. καίτοιγε οὐδὲν τῶν νομίμων ἐκίνουν. τούτοις οὖν πόθεν εἶχον προσέχειν, εἰπέ μοι; καὶ γὰρ ἁπάντων ἦσαν ἐκείνων εὐτελέστεροι. καὶ τοιαῦτα ἐκαινοτόμουν, δι' ἃ καὶ τὸν διδάσκαλον ἐσταύρωσαν· καὶ ἄλλως δὲ, οὐχ οὕτως ἐδόκει δεινὸν εἶναι τὸ τὸν Χριστὸν ταῦτα λέγειν, καὶ τούτους. τὸν μὲν γὰρ ἴσως ἐνόμιζον ἑαυτῷ δόξαν κτώμενον ταῦτα ποιεῖν, τοὺς δὲ καὶ μειζόνως ἂν ἐμίσησαν, ἅτε ὑπὲρ ἑτέρου πολεμοῦντας αὐτοῖς. ἀλλ' οἱ νόμοι αὐτοῖς ἐβοήθουν οἱ Ῥωμαίων; ἀλλ' ἀπὸ τούτων ἐνεποδίζοντο μᾶλλον· καὶ γὰρ ἔλεγον· πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος. ὥστε τοῦτο μόνον ἱκανὸν ἦν ἐμποδίσαι, ὅτι τοῦ νομισθέντος τυράννου καὶ μαθηταὶ ἦσαν, καὶ τὰ ἐκείνου κρατῦναι ἐβούλοντο. τί δὲ ὅλως αὐτοὺς ἐπῆρεν εἰς τοσούτους κινδύνους ἐμπεσεῖν; τί δὲ περὶ αὐτοῦ λέγοντες ἐδόκουν ἂν εἶναι πιθανοί; ὅτι ἐσταυρώθη; ὅτι ἀπὸ γυναικὸς ἐτέχθη Ἰουδαίας πτωχῆς, Ἰουδαίῳ τέκτονι μεμνηστευμένης; ὅτι ἐξ ἔθνους ἦν τῇ οἰκουμένῃ ἀπεχθανομένου; ἀλλὰ ταῦτα πάντα οὐχὶ πείθειν μόνον καὶ ἐφέλκεσθαι τοὺς ἀκούοντας, ἀλλὰ καὶ προσίστασθαι πᾶσιν ἦν ἱκανὰ, καὶ μάλιστα τὰ παρὰ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως λεγόμενα. οὐκ ἂν οὖν ταῦτα πάντα ἐνενόησαν οἱ μαθηταί; καὶ γὰρ αἱ δειλαὶ φύσεις πλείονα τῶν ὄντων ἀναπλάττειν δύνανται. τοιαῦται δὲ ἦσαν αἱ ἐκείνων. πόθεν οὖν ἤλπιζον κατορθώσειν; μᾶλλον δὲ οὐκ ἤλπισαν, μυρίων ὄντων [a] τῶν ὑπαγόντων αὐτοὺς, εἴγε μὴ ἀνέστη ὁ Χριστός.

Οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι εἰ μὴ δαψιλοῦς καὶ μεγάλης ἀπήλαυσαν χάριτος, καὶ ἐνέχυρα τῆς ἀναστάσεως ἔλαβον, οὐ μόνον πρᾶξαι καὶ ἐπιχειρῆσαι, ἀλλ' οὐδὲ ἐννοῆσαι ταῦτα ἠδύναντο; εἰ γὰρ τοσούτων ὄντων κωλυμάτων πρὸς τὸ βουλεύσασθαι, οὐ λέγω πρὸς τὸ κατορθῶσαι, καὶ ἐβουλεύσαντο καὶ εἰς ἔργον ἐξήγαγον καὶ μείζονα πάσης ἐλπίδος ἐποίησαν, παντί που δῆλον ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλὰ θείᾳ χάριτι πάντα εἰργάζοντο. τούτους τοίνυν τοὺς λόγους γυμνάζωμεν, μὴ καθ' ἑαυτοὺς μόνον, ἀλλὰ καὶ μετὰ ἀλλήλων. οὕτω γὰρ ἂν εὐκολωτέρα γένοιτο ἡμῖν καὶ ἡ τῶν λοιπῶν εὕρεσις· μηδὲ, ὅτι χειροτέχνης εἶ, ἀλλοτρίαν τὴν μελέτην ταύτην εἶναι νόμιζε. καὶ γὰρ Παῦλος σκηνοποιὸς ἦν, ἀλλὰ καὶ πολλῆς ἐνεπλήσθη τότε χάριτος, φησὶ, κἀκεῖθεν ἅπαντα ἐφθέγγετο. ἀλλὰ καὶ πρὸ τῆς χάριτος παρὰ τοὺς πόδας Γαμαλιήλου ἦν, καὶ τὴν χάριν δὲ διὰ τοῦτο ἔλαβεν, ἐπειδὴ γνώμην ἀξίαν τῆς χάριτος ἐπεδείξατο, καὶ μετὰ ταῦτα πάλιν τῆς τέχνης μετεχειρίζετο. μηδεὶς τοίνυν αἰσχυνέσθω τῶν τὴν τέχνην ἐχόντων, ἀλλ' οἱ εἰκῆ τρεφόμενοι καὶ ἀργοῦντες, οἱ διακόνοις κεχρημένοι πολλοῖς, καὶ ἀφάτου θεραπείας ἀπολαύοντες. τὸ γὰρ διαπαντὸς ἐργαζόμενον τρέφεσθαι, φιλοσοφίας εἶδός ἐστι. τούτων αἱ ψυχαὶ καθαρώτεραι· τούτων αἱ διάνοιαι εὐτονώτεραι. ὁ γὰρ ἀργῶν πολλὰ εἰκῆ μᾶλλον φθέγγεται, καὶ πολλὰ εἰκῆ πράττει, καὶ

[a] Reg. ὑπαγόντων. Editi ἀπαγόντων.

A *quærunt animam meam.* Atqui ii leges non immutabant. Unde ergo, quæso, his animus adhibendus erat? Nam omnium vilissimi erant: atque ea ipsa innovabant, ob quæ magistrum Judæi crucifixerant. Alioquin vero non tam grave videbatur esse, quod Christus & illi eadem dicerent. Nam illum quidem forte putabant ideo id fecisse, ut sibi gloriam pareret; illos autem etiam magis odissent, cum pro alio contra se bellum gererent. Sed opem illis ferebant leges Romanorum? Imo ab illis magis impediebantur: B dicebant enim: *Omnis qui seipsum regem facit, non est amicus Cæsaris.* Quapropter hoc solum impedire poterat, quoniam ejus qui tyrannus existimatus fuerat, discipuli erant, & res ejus volebant firmare. Quid ergo tandem illos erexit animo ut in tanta pericula inciderent? Quid autem de illo dicentes, videbantur fide digni? Quod crucifixus esset? Quod ex muliere paupere Judæa natus esset, quæ desponsata fuerat Judæo fabro? Quod ex gente esset orbi odiosa? Verum hæc omnia non modo non apta erant ad persuadendos & alliciendos auditores, sed ad omnes adC versum concitandos idonea; maxime autem a tentoriorum artifice & a piscatore dicta. Annon hæc omnia in mentem venerunt discipulis? Nam timidæ naturæ plura quam sint possunt confingere: tales erant illorum naturæ. Undenam ergo se recte acturos sperarunt; imo non sperassent, cum innumera essent quæ illos abducerent, nisi resurrexisset Christus.

*Joan. 19. 12.*

6. Annon palam est vel stultissimis, quod nisi uberem & magnam consequuti essent gratiam, & pignora accepissent resurrectionis, non modo hæc non agere & suscipere, sed ne cogitare quidem D potuissent? Si enim tot impedimenta essent, non dico ad recte agendum, sed ad consultandum, & consultarunt & præclara egerunt, & quæ omni spe majora erant ad effectum deduxerunt, cuivis palam est eos non humana virtute; sed divina gratia omnia fecisse. In his ergo sermonibus nos exerceamus, non apud nos tantum, sed cum aliis. Sic nobis facilior erit cæterorum inventio. Neque quia manu artem exerces, alienum hoc studium esse putes. Nam Paulus tentoriorum opifex erat; sed tunc quoque multa plenus erat E gratia, atque inde omnia loquebatur. Imo ante gratiam ad pedes Gamalielis erat: & ideo gratiam accepit, quia mentem gratia dignam exhibebat, & postea rursus artem exercebat. Nemo igitur artifex erubescat; sed ii qui frustra aluntur & otiosi sunt, qui multis utuntur ministris, & ingenti famulatu fruuntur. Nam semper laborantem ali, philosophiæ genus est. Horum animæ puriores sunt, horum mentes firmiores. Nam qui otiosus est, multa magis temere loquitur, &

multa frustra agit, ac nihil per totam diem operatur, multo plenus torpore: qui autem operatur, nihil superfluum cito percipiet, neque in operibus, nec in verbis, nec in mente; tota enim anima semper intenditur ad vitam laboriosam. Ne ergo despiciamus eos qui labore manuum aluntur; sed potius illos ideo beatos prædicemus. Quænam, quæso, est tibi gratia, cum accepta a patre hereditate, perpetuo nihil agis; sed illa omnia bona frustra insumis? An nescis non omnes eamdem rationem reddituros nos esse; sed eos qui hic in majori licentia & rerum copia vixerunt, gravius; eos autem qui in laboribus, in paupertate & ærumnis vitam duxere, mitius esse tractandos. Hæc autem ex Lazaro & divite manifesta sunt. Tu certe qui ad debita officia otio non es usus, jure accusaris: pauper vero qui reliquum temporis ad debita officia adhibuit, magnis fruetur coronis. At tu militiam obtendis, & quod illa distinearis allegas? Sed talis excusatio non est rationi consona. Nam Cornelius erat centurio, & balteus vitæ institutum nihil læsit. Tu vero cum saltatoribus & mimis das operam, & totum vitæ tempus in scena consumis, non vel militiæ necessitatem vel metum magistratuum obtendis; quando autem te ad ecclesiam vocamus, tunc innumera affers impedimenta. Et quid dices in illa die, cum videris flammam & fluvios igneos & vincula insolubilia, & stridorem dentium audieris? Quis tibi tunc patrocinabitur, cum videris artificem qui recte vixerit, omni gloria fruentem; te vero qui nunc sericis indutus es vestimentis & oles unguenta, intolerabilia patientem? Quid tibi proderunt divitiæ & rerum omnium copia? Quid detrimenti artifici affert paupertas? Ne ergo tunc patiamur, ea quæ nunc dicuntur timeamus, & totum laborem nostrum in necessariarum rerum operibus consumamus. Ita enim placato Deo pro peccatis præteritis, additisque bonis operibus futuris, regnum cælorum consequi poterimus, gratia & benignitate, &c.

Contra theatrorum spectacula.

A ἐργάζεται δι' ὅλης ἡμέρας οὐδὲν, πολλῆς νάρκης ἐμπεπλησμένος· ὁ δὲ ἐν ἐργασίᾳ ὢν οὐδὲν ταχέως περιττὸν παραδέξεται οὔτε ἐν ἔργοις, οὔτε ἐν λόγοις, οὔτε ἐν ἐννοίαις. ὅλη γὰρ διόλου συντέταται πρὸς τὸν ἐπίπονον βίον ἡ ψυχή. μὴ τοίνυν καταφρονῶμεν τῶν ἀπὸ τῶν χειρῶν τρεφομένων, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς μακαρίζωμεν διὰ τοῦτο. ποία γάρ σοι χάρις, εἰπέ μοι, ὅταν τὸν κλῆρον παρὰ τοῦ πατρὸς δεξάμενος, οὐδὲν πράττων διατελῇς, ἀλλὰ ἀναλίσκῃς πάντα ἐκεῖνα εἰκῇ; οὐκ οἶδας ὅτι οὐ πάντες τὸν αὐτὸν ἀποδώσομεν λόγον, ἀλλ' οἱ μὲν πλείονος ἐνταῦθα ἀπολαύσαντες ἀδείας, χαλεπώ-
B τερον, οἱ δὲ κακωθέντες ἢ πόνοις ἢ πενίᾳ ἢ ἑτέρῳ τινὶ τοιούτῳ, ἡμερώτερον; καὶ ταῦτα ἀπὸ τοῦ Λαζάρου, καὶ τοῦ πλουσίου δῆλα. σὺ μὲν γὰρ εἰς οὐδὲν δέον τῇ σχολῇ χρησάμενος εἰκότως ἐγκαλῇ, ὁ δὲ πένης καὶ μετὰ ἀσχολίας τὸ ὑπόλοιπον τοῦ καιροῦ εἰς τὰ δέοντα ἀναλώσας, μεγάλων ἀπολαύσεται τῶν στεφάνων. ἀλλὰ καὶ στρατείαν μοι προβαλῇ πάντως, καὶ τῆς ἀσχολίας αὐτὴν αἰτιάσῃ; ἀλλ' οὐκ ἂν ἔχοι λόγον ἡ σκῆψις. καὶ γὰρ ὁ Κορνήλιος ἑκατοντάρχης ἦν, καὶ οὐδὲν ἡ ζώνη τὴν ἀκριβῆ πολιτείαν παρέβλαψε. σὺ δὲ ὅταν ὀρχησταῖς καὶ μίμοις σχολάζῃς, καὶ διαπαντὸς ἐπὶ τῆς σκηνῆς ἀναλίσκῃς τὸν βίον,
C οὐδαμοῦ οὐ στρατείας ἀνάγκην, οὐκ ἀρχόντων προβαλῇ φόβον· ὅταν δὲ ἐπὶ τὴν ἐκκλησίαν καλῶμεν, τότε τὰ μυρία κωλύματα. καὶ τί κατὰ τὴν ἡμέραν ἐκείνην ἐρεῖς, ὅταν ἴδῃς τὴν φλόγα καὶ τοὺς τοῦ πυρὸς ποταμοὺς καὶ τὰ δεσμὰ τὰ ἄλυτα; καὶ βρυχομένων ἀκούσῃς ὀδόντων; τίς σου προστήσεται κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἴδῃς τὸν μὲν χειροτέχνην καὶ ὀρθῶς βεβιωκότα, πάσης ἀπολαύοντα δόξης· σαυτὸν δὲ τὸν νῦν [a] ἐν σηρικοῖς ἱματίοις ὄντα, καὶ μύρων πνέοντα, ἀνήκεστα πάσχοντα; τί σοι τοῦ πλούτου, καὶ τῆς περιουσίας ἔσται ὄφελος; τί δὲ
D τῷ χειροτέχνῃ τῆς πενίας βλάβος; ἵν' οὖν μὴ τότε πάθωμεν, φοβηθῶμεν τὰ λεγόμενα νῦν, καὶ τὴν ἀσχολίαν ἅπασαν εἰς τὴν τῶν ἀναγκαίων πραγμάτων ἀναλώσωμεν διατριβήν. οὕτω γὰρ ἐξιλεωσάμενοι τὸν θεὸν ὑπὲρ τῶν παρελθόντων ἁμαρτημάτων, καὶ τὰ μέλλοντα προσθέντες κατορθώματα, δυνησόμεθα τῆς βασιλείας ἐπιτυχεῖν τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA VI.

Cap. II. 1. *Et ego, fratres, cum veni ad vos, veni non in sublimitate sermonis aut sapientiæ, annuncians vobis testimonium Dei. 2. Non enim judicavi me scire aliquid in vobis nisi Jesum Christum, & hunc crucifixum.*

1. NIHIL est Pauli anima ad decertandum acrius; imo potius non illius anima: non enim ipse hoc invenit; sed nihil par gratiæ in illo operanti, quæ omnia vincit. Satis enim erunt ea, quæ

## ΟΜΙΛΙΑ ϛʹ.

E Κἀγὼ, ἀδελφοὶ, ἐλθὼν πρὸς ὑμᾶς, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.

ΟΥΔΕΝ τῆς ψυχῆς ἀγωνιστικώτερον Παύλου, μᾶλλον δὲ οὐ τῆς ἐκείνου ψυχῆς· οὐ γὰρ αὐτὸς ταῦτα ηὕρισκεν· ἀλλ' οὐδὲν τῆς ἐνεργούσης ἐν αὐτῷ χάριτος ἴσον πάντα νικώσης. ἱκανὰ μὲν γὰρ καὶ τὰ ἔμπροσθεν

a Reg. ἐν μαλακοῖς ἱματίοις.

εἰρημένα καταβαλεῖν τὸν τῦφον τῶν ἐπὶ σοφίᾳ κομπαζόντων, μᾶλλον δὲ καὶ μέρος τῶν εἰρημένων. ὥστε δὲ λαμπρότερα γενέσθαι τὰ νικητήρια, καὶ ἐπαγωνίζεται τοῖς λεχθεῖσι, κειμένοις τοῖς ἐναντίοις ἐπεμβαίνων. σκόπει δέ· παρήγαγε τὴν προφητείαν τὴν λέγουσαν, ὅτι ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, ἔδειξε τοῦ θεοῦ τὴν σοφίαν, ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας κατήργησε τὴν ἔξωθεν φιλοσοφίαν, ἔδειξεν ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων, ἔδειξεν ὅτι οὐ μόνον διὰ ἰδιωτῶν ἐδίδαξεν, ἀλλὰ καὶ ἰδιώτας ἐκάλεσε· νῦν δείκνυσι ὅτι καὶ αὐτὸ δὲ κηρυττόμενον, καὶ ὁ τρόπος τῆς κηρύξεως ἱκανὰ θορυβῆσαι ἦν, καὶ οὐκ ἐθορύβησεν. οὐ γὰρ δὴ μόνον οἱ μαθηταί, φησιν, ἰδιῶται, ἀλλὰ καὶ ἐγὼ ὁ κηρύττων. διὰ τοῦτό φησι, καὶ ἐγώ, ἀδελφοί· πάλιν δὲ τῶν ἀδελφῶν τίθησιν ὄνομα, καταλεαίνων τοῦ λόγου τὴν τραχύτητα· ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. τί γάρ, εἰπέ μοι, εἰ καὶ ἐβούλου καθ' ὑπεροχὴν ἐλθεῖν, ἐδύνασο; ἐγὼ μὲν εἰ ἐβουλόμην, οὐκ ἂν ἐδυνήθην· ὁ δὲ Χριστὸς εἰ ἐβουλήθη, ἐδύνατο. ἀλλ' οὐκ ἐβουλήθη, ἵνα λαμπρότερον ποιήσῃ τὸ τρόπαιον. διὸ καὶ ἀνωτέρω δεικνὺς ὅτι αὐτοῦ γέγονεν ἔργον, καὶ αὐτοῦ βούλημα ἦν τὸ οὕτως ἰδιωτικῶς κηρυχθῆναι τὸν λόγον, ἔλεγεν· οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου. πολὺ δὲ μεῖζον καὶ ἀπείρως μεῖζον τοῦ Παύλου θελῆσαι τοῦτο, τὸ τὸν Χριστὸν θελῆσαι. οὐ τοίνυν εὐγλωττίαν ἐπιδεικνύμενος, φησιν, οὐδὲ τοῖς ἔξωθεν λόγοις ὡπλισμένος καταγγέλλω τὸ μαρτύριον τοῦ θεοῦ. καὶ οὐκ εἶπε, τὸ κήρυγμα, ἀλλά, τὸ μαρτύριον τοῦ θεοῦ, ὃ καὶ αὐτὸ ἱκανὸν ἦν [a] ἀποτρέψαι. θάνατον γὰρ περιῄει κηρύττων. διὰ τοῦτο καὶ ἐπήγαγεν, οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. τοῦτο δὲ ἔλεγεν, ὅτι καθόλου τῆς ἔξωθεν σοφίας ἐστὶν ἄμοιρος, ὥσπερ οὖν καὶ ἀνωτέρω ἔλεγεν, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου. ὅτι γὰρ ἦν δυνατὸν καὶ τοῦτο αὐτὸν ἔχειν, δῆλον. οὗ γὰρ τὰ ἱμάτια νεκροὺς ἀνίστη, καὶ αἱ σκιαὶ νοσήματα ἤλαυνον, πολλῷ μᾶλλον εὐγλωττίαν ἠδύνατο [b] δέξασθαι ἡ ψυχή. τὸ μὲν γάρ ἐστι μαθητῶν, τὸ δὲ πᾶσαν ὑπερβαίνει τέχνην. ὁ τοίνυν τὰ μείζονα τῆς τέχνης εἰδώς, πολλῷ πλέον τὰ ἐλάττονα ἴσχυσεν ἄν. ἀλλ' οὐκ ἀφῆκεν ὁ Χριστός· οὐ γὰρ συνέφερεν. εἰκότως οὖν λέγει, οὐ γὰρ ἔκρινά τι εἰδέναι. καὶ γὰρ καὶ ἐγὼ τοῦτο βούλομαι ὅπερ καὶ ὁ Χριστός. ἐμοὶ δὲ δοκεῖ καὶ ταπεινότερον αὐτοῖς διαλέγεσθαι μᾶλλον ἢ τοῖς ἄλλοις, τὸν τῦφον αὐτῶν καταστέλλων. τὸ τοίνυν, οὐδὲν ἔκρινα εἰδέναι, πρὸς ἀντιδιαστολὴν τῆς ἔξωθεν εἴρηται σοφίας. οὐ γὰρ ἦλθον συλλογισμοὺς πλέκων, οὐδὲ σοφίσματα, οὐδ' ἄλλο τι λέγων ὑμῖν, ἢ ὅτι ὁ Χριστὸς ἐσταυρώθη. ἐκεῖνοι μὲν γὰρ μυρία φασί, καὶ περὶ μυρίων λέγουσι μακροὺς

[a] Alius, ἀποστρέψαι.

A prius dicta sunt, ad dejiciendum illorum fastum, qui in sapientia gloriabantur; imo vel pars dictorum sufficiebat. Ut autem præclarior sit victoria, iis quæ dicta sunt certamina addit, prostratis insultans adversariis. Attende autem: adduxit prophetiam dicentem: *Perdam sapientiam sapientium:* ostendit Dei sapientiam, quia per eam, quæ stultitia videbatur esse, externam philosophiam prostravit; ostendit, quod stultum est Dei, sapientius esse hominibus; ostendit quod non solum per ignaros docuerit, sed etiam ignaros & idiotas vocaverit. B Nunc ostendit & ipsum quod prædicabatur, & modum prædicationis, satis fuisse ad perturbandum, & non perturbavisse. Non tantum enim discipuli idiotæ sunt, inquit; sed etiam ego qui prædico. Ideo, inquit, *Et ego, fratres*, rursus fratres vocat, ut sermonis asperitatem emolliat; *Veni, non in sublimitate sermonis, annuncians vobis testimonium Dei.* Quid enim, dic quæso, si voluisses in sublimitate venire? poteras-ne? Ego quidem si voluissem, non potuissem; Christus autem si voluisset, potuisset. Sed noluit, ut splendidius redderet tropæum. C Ideoque superius ostendens hoc illius opus fuisse, ipsiusque voluntatem esse, ut sic indocte ejus verbum prædicetur, dicebat: *Non enim misit me Christus baptizare, sed evangelizare, non in sapientia sermonis.* Est autem multo majus, imo infinite majus, quod hoc voluerit Christus, quam quod voluerit Paulus. Non ergo facundiam ostentans, inquit, neque externis armatus sermonibus, annuncio testimonium Dei; nec dixit prædicationem; sed testimonium Dei, quod ipsum satis erat ad avertendum. D Mortem enim annuncians circuibat: ideoque subjunxit: *Non enim judicavi me scire aliquid in vobis; nisi Jesum Christum, huncque crucifixum.* Hoc autem dicebat, quia externæ sapientiæ omnino expers erat, ut etiam superius dicebat: *Veni non in sublimitate sermonis.* Nam quod ipse hoc posset habere palam est. Cujus enim vestimenta mortuos suscitarunt, & umbræ morbos expulerunt, multo magis linguæ facundiam poterat anima suscipere. Nam hoc quidem est discipulorum, illud autem artem omnem superat. Qui ergo artis majora E novit, multo magis minora potuerit. Sed non permisit Christus, neque enim consentaneum erat. Merito igitur ait, non enim judicavi me aliquid scire; nam & ego hoc volo quod & Christus vult. Mihi autem videtur humilius loqui cum illis, quam cum aliis, ut fastum illorum comprimeret. Illud ergo, judicavi me nihil scire, ad differentiam externæ sapientiæ dicitur. Non enim veni syllogismos nectens, neque sophismata, neque aliud dicens vobis, quam quod Christus crucifixus sit. Illi namque innumera dicunt, & de innumeris longa verborum

[b] Ita Reg. Editi vero, ὑποδέξασθαι.

stadia explicant, ratiocinia & syllogismos apparantes, millia adornantes sophismata. Ego autem veni ad vos nihil aliud dicens, quam quod Christus crucifixus sit, & illos omnes propulsavi, quod virtutis ejus qui prædicatur signum est ineffabile. 3. *Et ego in infirmitate & in timore, & in tremore multo fui apud vos.* Hoc est rursus aliud caput. Non solum enim qui credebant indocti, neque solum is qui loquitur idiota; neque tantum modus doctrinæ est ignorantia plenus; neque tantum ipsa prædicatio satis est ad conturbandum; crux enim & mors erat quod annunciabatur; sed cum his alia quoque impedimenta erant; pericula, insidiæ, quotidianus timor, & quod pellerentur. Infirmitatem namque etiam sæpe vocat persequutionem, ut & alibi: infirmitatem, quæ est in carne mea non aspernati estis; & rursus, *Si gloriari oportet, in infirmitate mea gloriabor*: quanam? *Præpositus gentis Aretæ regis, Damascenorum urbem custodiebat, volens me comprehendere*: & rursum: *Ideo mihi placeo in infirmitatibus.* Deinde dicens quibusnam, subjunxit: in contumeliis, in necessitatibus & in angustiis; & nunc hoc ipsum profert: cum dixisset enim, & ego in infirmitate; non hic substitit; sed infirmitatem illam explicans, pericula vocat: rursus adjicit, in timore & tremore multo fui apud vos. Quid dicis? Paulus quoque timebat pericula? Timebat & valde timebat. Etiamsi enim Paulus esset; at homo erat. Hoc autem non erat Pauli crimen, sed infirmitas naturæ, & propositi encomium, quod mortem & plagas timens, nihil indignum ex timore fecerit. Ita ut qui dicunt illum non timuisse plagas, non modo illum non honorent, sed & multum ex laudibus demant. Nam si non timebat, quæ perseverantia, quæ philosophia in ferendis periculis? Ego vero ideo illum admiror, quod timens, nec modo timens, sed tremens in periculis, semper cucurrit coronatus, & nulli cessit periculo, expurgans orbem, & ubique terrarum & marium prædicationem seminans. 4. *Et sermo meus & prædicatio mea non in persuasibilibus humanæ sapientiæ verbis.* Id est, non habens externam sapientiam. Si igitur & prædicatio nihil habuit sophisticæ artis, & qui vocabantur idiotæ, si is qui prædicabat talis erat, aderatque persequutio, & timor & tremor, quomodo superarunt dic mihi? Per divinam virtutem. Ideo cum dixisset, verbum & prædicatio mea non in persuasibilibus humanæ sapientiæ verbis; adjecit; sed in ostensione Spiritus & virtutis.

2. Cor. 11. 30. & 32.

2. Cor. 12. 10.

2. Viden' quomodo quod stultum est Dei, sapientius sit hominibus; & quod infirmum, fortius? Idiotæ hæc prædicantes, vincti & pulsi, pellentes se vincebant. Undenam? Annon ex eo quod per Spiritum fidem præberent? Nam in confesso est hoc demonstrationem esse. Quis

A ἐκτείνοντες διαύλους λόγων, κατασκευάζοντες λογισμοὺς καὶ συλλογισμούς, μυρία συντιθέντες σοφίσματα· ἐγὼ δὲ ἦλθον πρὸς ὑμᾶς μηδὲν ἄλλο λέγων, ἢ ὅτι ὁ Χριστὸς ἐσταυρώθη, καὶ πάντας ἐκείνους περιήλασα, ὃ τῆς τοῦ κηρυττομένου δυνάμεως σημεῖόν ἐστιν ἄφατον. καὶ ἐγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. τοῦτο πάλιν ἄλλο κεφάλαιον. οὐ γὰρ μόνον οἱ πιστεύοντες ἰδιῶται, οὐδὲ μόνον ὁ λέγων ἰδιώτης, οὐδὲ μόνον ὁ τρόπος τῆς διδασκαλίας ἰδιωτείας γέμων, οὐδὲ μόνον αὐτὸ τὸ κήρυγμα ἱκανὸν θορυβῆσαι, B σταυρὸς γὰρ καὶ θάνατος ἦν τὸ καταγγελλόμενον, ἀλλὰ μετ' αὐτῶν καὶ ἕτερα κωλύματα ἦν, οἱ κίνδυνοι καὶ αἱ ἐπιβουλαὶ καὶ ὁ καθημερινὸς φόβος καὶ τὸ ἐλαύνεσθαι. ἀσθένειαν γὰρ καὶ τοὺς διωγμοὺς πολλαχοῦ φησι, καθάπερ καὶ ἀλλαχοῦ, τὴν ἀσθένειαν τὴν ἐν τῇ σαρκί μου οὐκ ἐξουδενώσατε, καὶ πάλιν, Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ποίας; ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. καὶ πάλιν, διὸ εὐδοκῶ ἐν ἀσθενείαις. εἶτα λέγων ποίαις, ἐπήγαγεν, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις καὶ ἐν στενοχωρίαις. [a] καὶ νῦν τὸ αὐτὸ C λέγει, εἰπὼν γάρ, καὶ ἐγὼ ἐν ἀσθενείᾳ, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δηλῶν ἀσθένειαν τοὺς κινδύνους καλεῖ, πάλιν ἐπήγαγε, καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. τί λέγεις; καὶ Παῦλος ἐφοβεῖτο κινδύνους; ἐφοβεῖτο, καὶ σφόδρα ἐδεδοίκει. Εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλ' ἄνθρωπος ἦν. τοῦτο δὲ οὐκ ἔγκλημα τοῦ Παύλου, ἀλλ' ἀσθένεια μὲν τῆς φύσεως, ἐγκώμιον δὲ τῆς προαιρέσεως, ὅτι καὶ δεδοικὼς θάνατον καὶ πληγάς, οὐδὲν ἀνάξιον διὰ τὸν φόβον τοῦτον ἐποίησεν. ὡς οἱ λέγοντες ὅτι οὐκ ἐφοβεῖτο πληγάς, οὐ μόνον αὐτὸν οὐ σεμνύνουσιν, ἀλλὰ καὶ ἀποτέμνονται D πολὺ τῶν ἐπαίνων. Εἰ γὰρ οὐκ ἐφοβεῖτο, ποία καρτερία, ἢ ποία φιλοσοφία τὸ τοὺς κινδύνους φέρειν; ἐγὼ γὰρ διὰ τοῦτο αὐτὸν θαυμάζω ὅτι φοβούμενος, καὶ οὐχ ἁπλῶς φοβούμενος, ἀλλὰ καὶ τρέμων τοὺς κινδύνους, διαπαντὸς ἔδραμε στεφανούμενος, καὶ οὐδενὶ τῶν κινδύνων ἐνέδωκεν, ἐκκαθαίρων τὴν οἰκουμένην, καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὸ κήρυγμα σπείρων. καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις. τουτέστιν, οὐκ ἔχων τὴν ἔξωθεν σοφίαν. Εἰ τοίνυν καὶ τὸ κήρυγμα οὐδὲν εἶχε σεσοφισμένον, καὶ οἱ καλούμενοι ἰδιῶται, καὶ ὁ κηρύττων τοιοῦτος, καὶ E διωγμὸς προσῆν καὶ τρόμος καὶ φόβος, πῶς ἐκράτησαν, εἰπέ μοι; διὰ θείας δυνάμεως. διόπερ εἰπών, ὁ λόγος καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἐπήγαγεν, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως.

Εἶδες πῶς τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον; οἱ μὲν ἰδιῶται τοιαῦτα κηρύττοντες, δεδεμένοι καὶ ἐλαυνόμενοι περιεγένοντο τῶν ἐλαυνόντων. πόθεν; οὐκ ἀπὸ τοῦ τὴν διὰ πνεύματος παρέχειν πίστιν; καὶ γὰρ τοῦτο ἀπόδειξις ὡμολογημένη. τίς γάρ,

[a] Hic multa deerant, quæ ex codice Regio restituta sunt.

εἰπέ μοι, ὁρῶν νεκροὺς ἀνισταμένους καὶ δαίμονας ἐλαυνομένους, οὐκ ἂν κατεδέξατο; ἀλλ' ἐπειδὴ εἰσὶ καὶ δυνάμεις ἀπατηλαί, οἷαι τῶν γοήτων, καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν. οὐ γὰρ ἁπλῶς δυνάμεως εἶπεν, ἀλλὰ πρότερον πνεύματος, καὶ τότε δυνάμεως· δεικνὺς ὅτι πνευματικὰ ἦν τὰ γινόμενα. οὐ τοίνυν ἐλάττωσίς ἐστι, τὸ μὴ διὰ σοφίας κατηγγελμένον εἶναι τὸ κήρυγμα, ἀλλὰ καὶ μέγιστος κόσμος. τοῦτο γοῦν μάλιστα δείκνυσιν αὐτὸ θεῖον ὂν καὶ τὰς ῥίζας ἄνωθεν ἔχον ἐκ τῶν οὐρανῶν. διὸ καὶ ἐπήγαγεν· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ. Εἶδες πῶς σαφῶς διὰ πάντων ἀπέδειξε πολὺ τῆς ἰδιωτείας τὸ κέρδος, καὶ μέγα τῆς σοφίας τὸ βλάβος; αὕτη μὲν γὰρ ἐκείνου τὸν σταυρόν, ἐκείνη δὲ ἀνεκήρυττε τοῦ θεοῦ τὴν δύναμιν· αὕτη πρὸς τῷ μηδὲν εὑρίσκειν τῶν δεόντων καὶ ἐφ' ἑαυτοῖς καυχᾶσθαι παρεσκεύασεν· ἐκείνη πρὸς τῷ τὴν ἀλήθειαν δέξασθαι καὶ ἐπὶ τῷ θεῷ καλλωπίζεσθαι ἐποίει. πάλιν ἡ σοφία ἀνθρώπινον ὑποπτεύειν τὸ δόγμα πολλοὺς ἂν ἔπεισεν, αὕτη σαφῶς ἀπεδείκνυε θεῖον ὂν καὶ ἐκ τοῦ οὐρανοῦ καταβάν. ὅταν μὲν οὖν ἐν σοφίᾳ λόγων γίνηται ἀπόδειξις, πολλάκις καὶ οἱ φαυλότεροι κρατοῦσι τῶν ἐπιεικεστέρων, δεινότεροι λέγειν ὄντες, καὶ τὸ ψεῦδος παρελαύνει τὴν ἀλήθειαν· ἐνταῦθα δὲ οὐχ οὕτως. οὔτε γὰρ εἴσεισι τὸ πνεῦμα ἀκαθάρτῳ ψυχῇ, οὔτε ἐπελθὸν δύναται ἡττηθῆναί ποτε, κἂν ἅπασα ἡ τῶν λόγων ἐπίῃ δεινότης. ἡ γὰρ διὰ τῶν ἔργων καὶ τῶν σημείων ἀπόδειξις, τῆς διὰ τῶν λόγων πολλῷ σαφεστέρα. ἀλλ' ἐκεῖνο ἴσως εἴποι τις ἄν, ὅτι εἰ χρὴ τὸ κήρυγμα κρατεῖν, καὶ λόγων οὐ δεῖται ἵνα μὴ κενωθῇ ὁ σταυρός, τίνος ἕνεκεν τὰ σημεῖα κεκώλυται νῦν; τίνος ἕνεκεν; ἀπιστῶν λέγεις, καὶ οὐδὲ ἐπὶ τῶν ἀποστόλων αὐτὰ γεγενῆσθαι καταδεχόμενος, ἢ ὄντως ζητῶν μαθεῖν; εἰ γὰρ ἀπιστῶν, πρὸς τοῦτο στήσομαι πρότερον. εἰ γὰρ οὐκ ἐγένετο σημεῖα τότε, πῶς ἐλαυνόμενοι, καὶ διωκόμενοι, καὶ τρέμοντες, καὶ δεδεμένοι, καὶ κοινοὶ γενόμενοι τῆς οἰκουμένης ἐχθροί, καὶ πᾶσι πρὸς τὸ κακῶς παθεῖν προκείμενοι, καὶ οὐδὲν οἴκοθεν ἔχοντες ἐπαγωγόν, οὐ λόγον, οὐ περιφάνειαν, οὐ πλοῦτον, οὐ πόλιν, οὐκ ἔθνος, οὐ γένος, οὐκ ἐπιτήδευμα, οὐ δόξαν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ πάντα τὰ ἐναντία, ἰδιωτείαν, εὐτέλειαν, πενίαν, μῖσος, ἀπέχθειαν, καὶ πρὸς δήμους ὁλοκλήρους ἱστάμενοι, καὶ τοιαῦτα καταγγέλλοντες, ἔπειθον; καὶ γὰρ τὰ ἐπιτάγματα πολὺν εἶχε τὸν μόχθον, καὶ τὰ δόγματα τοὺς κινδύνους· καὶ οἱ ἀκούοντες καὶ πείθεσθαι μέλλοντες, καὶ τρυφῇ καὶ μέθῃ καὶ πολλῇ συντραφέντες ἦσαν κακίᾳ. πόθεν οὖν ἔπεισαν, εἰπέ μοι; πόθεν τὸ ἀξιόπιστον ἔσχον; ὅπερ γὰρ ἔφθην εἰπών, εἰ σημείων χωρὶς ἔπεισαν, πολλῷ μεῖζον τὸ θαῦμα φαίνεται. μὴ τοίνυν τὸ μὴ γίνεσθαι νῦν σημεῖα, τεκμήριον ποιοῦ τοῦ μὴ γεγενῆσθαι τότε. καὶ γὰρ καὶ τότε χρησίμως ἐγίνετο· καὶ νῦν χρησίμως οὐ γίνεται.

A enim, quæso, videns mortuos resurgentes & dæmonas pulsos, non admiserit? Sed quia sunt etiam fallaces virtutes, quales præstigiatorum, hanc quoque sustulit suspicionem. Non enim virtutem dixit solum, sed prius, *Spiritus*, & tunc *virtutis*: ostendens ea quæ fiebant spiritualia esse. Non ergo imminutio est, quod prædicatio non per sapientiam annunciata sit; sed maximum ornamentum. Hoc ergo maxime demonstrat, eam esse divinam, & radices esse supernas ex cælis: quapropter subjungit: 5. *Ut fides vestra non sit in sapientia hominum; sed in virtute Dei.* Viden' quomodo clare per omnia ostendat, magnum esse lucrum ignorantiæ, & magnum sapientiæ damnum. B Nam hæc quidem ipsius crucem, illa vero Dei virtutem prædicabat; hæc efficiebat ut nihil invenirent eorum quæ oportuisset, & in seipsis gloriarentur; illa ut veritatem susciperent & in Deo gloriarentur. Rursus sapientia multis persuasisset ut humanum esse dogma suspicarentur; hæc vero clare ostendebat divinam illam esse & ex cælo descendisse. Cum ergo in sapientia verborum fit demonstratio, C sæpe modestiores superantur a pejoribus, quia majori dicendi vi præditi pejores sunt, & mendacium pellit veritatem. Hic autem non sic. Neque enim in immundam animam ingreditur Spiritus, & ingressus nunquam potest superari, etiamsi invadat omnis dicendi vis. Nam demonstratio per opera & per signa longe clarior est illa, quæ fit per verba. At illorum fortasse quispiam dixerit, si prædicationem vincere oporteat, & eloquentia opus non habet ut ne crux exinaniatur, quare signa nunc cessarunt? D Quare? Incredulus-ne hoc dicis, nec admittis illa facta fuisse apostolorum tempore; an hoc ediscere quærens? Si incredulus dicas, in eo primum immorabor. Si enim tunc non facta sunt signa, quomodo pulsi, vexati, trementes, vincti, & communes orbis hostes facti, omnibusque ad male patiendum expositi, nihil ex se habentes quod alliceret, non eloquentiam, non splendorem, non divitias, non urbem, non gentem, non genus, non exercitium, non gloriam, non aliud quidpiam simile; sed omnia contraria; E ignorantiam, vilitatem, paupertatem, odium, inimicitiam, & contra populos integros stantes, taliaque annunciantes persuadebant? Nam præcepta multum laborem habebant & dogmata periculis plena erant: ac qui audiebant & persuadendi erant, in deliciis, ebrietate & multis vitiis erant educati. Unde, quæso, persuaserunt? Unde fide digni erant? Nam, ut jam dixi, si absque signis persuaserunt, multo majus videtur miraculum. Ne itaque ex eo quod nunc signa non fiant, argumentum ducas tunc etiam non fuisse. Etenim tunc utiliter fiebant; & nunc utiliter non fiunt. Non

necessario sequitur autem ex eo quod A nunc verbo tantum suadetur, nunc in sapientia prædicationem esse. Nam qui ab initio verbum seminabant idiotæ & indocti, nihil ex se dicebant, sed quæ acceperant a Deo, hæc orbi terrarum dederunt. Nos quoque ipsi nunc, non quæ a nobis sunt tradimus; sed quæ ab ipsis accepimus, hæc omnibus dicimus. Neque nunc syllogismis persuademus; sed ex divinis scripturis & ex iis, quæ tunc facta sunt signis, fidem facimus iis quæ dicimus. Et illi quoque tunc non signis tantum persuadebant, sed etiam disserendo. Verba autem efficaciora a signis red- B debantur, necnon a testimoniis veteris testamenti, non autem a gravitate & eloquentia dictorum. Cur ergo, inquies, tunc utilia signa erant, nunc non item? Supponamus; cum Græco enim disputo, & ideo per hypothesin dico, id quod omnino futurum est; supponamus igitur, & patiatur incredulus saltem ad disputationis tempus assentiri dictis, verbi gratia quod Christus venturus sit. Cum ergo Christus venerit & omnes angeli cum eo, & Deus esse ostensus fuerit, omniaque ipsi subjecta esse, annon ipse Græcus credet? credet utique & adora- C bit, ac Deum esse dicet etiamsi admodum pertinax fuerit.

3. Quis enim videns cælos apertos, ipsum in nubibus venientem, totumque cœtum supernarum potestatum circumfusum, fluvios igneos manantes, omnes adstantes ac trementes, non adorabit, & Deum existimabit? Num ergo, dic quæso, adoratio & cognitio illa Græco in fidem reputabitur? Minime. Quare? Quia hoc fides non est. Necessitas quippe, & eorum quæ apparent evidentia id effecit, non voluntatis propositum; sed a magnitudine rerum quæ videntur pertracta D mens fuit. Itaque quanto magis clara & ad credendi necessitatem adducentia sunt illa, tanto magis fides minuitur. Ideo nunc signa non fiunt. Et quod res ita se habeat, audi quid dicat ad Thomam:
Joan. 20. 29. *Beati qui non viderunt, & crediderunt.* Igitur quanto clarius ostensum signum fuerit, tanto magis fidei merces minuitur. Itaque si etiam nunc signa fierent, hoc ipsum eveniret. Quod autem tunc non ultra per fidem illum cognituri simus, significavit Paulus dicens.
2. Cor. 5. 7. *Nunc enim per fidem ambulamus, non per speciem.* Ut tunc tibi credenti, res illa non E imputabitur quod clara & manifesta sit; ita & nunc si talia signa fierent, qualia antehac. Quando enim illa admiserimus, quæ nullo modo nullis ratiociniis inveniri possunt, tunc fides est. Ideo gehennam comminatur quidem, sed illa non apparet: nam si appareret, idipsum rursus eveniret. Alioquin vero si signa quæris, nunc etiam signa videbis, etiamsi

A οὐκ ἀναγκάζει δὲ τὸ λόγῳ πείθεσθαι μόνῳ, νῦν ἐν σοφίᾳ εἶναι τὸ κήρυγμα. οἵ τε γὰρ ἐξ ἀρχῆς τὸν λόγον σπείραντες [a] ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς, καὶ οὐδὲν οἴκοθεν ἔλεγον, ἀλλ᾽ ἅπερ ἐδέξαντο παρὰ τοῦ θεοῦ, ταῦτα τῇ οἰκουμένῃ διέδωκαν· ἡμεῖς τε αὐτοὶ νῦν, οὐ τὰ παρ᾽ ἑαυτῶν ἐπεισφέρομεν, ἀλλὰ ἃ παρ᾽ ἐκείνων ἐλάβομεν, ταῦτα εἰς ἅπαντας λέγομεν. καὶ οὐδὲ νῦν ἀπὸ συλλογισμῶν πείθομεν, ἀλλ᾽ ἀπὸ τῶν θείων γραφῶν καὶ ἀπὸ τῶν τότε σημείων τὴν πίστιν ὧν λέγομεν παρεχόμεθα. καὶ οὗτοι δὲ τότε οὐχὶ σημείοις ἔπειθον μόνοις, ἀλλὰ καὶ διαλεγόμενοι· τοὺς δὲ λόγους ἰσχυροτέρους B ἐποίει φαίνεσθαι τὰ σημεῖα καὶ αἱ ἐκ τῆς παλαιᾶς γραφῆς μαρτυρίαι, οὐχ ἡ δεινότης τῶν λεγομένων. πῶς οὖν, φησι, χρήσιμα τότε τὰ σημεῖα, καὶ νῦν οὐ χρήσιμα; ὑποθώμεθα τῷ λόγῳ· πρὸς γὰρ τὸν Ἕλληνά μοι τέως ὁ ἀγών. διὰ τοῦτο καθ᾽ ὑπόθεσιν λέγω τὸ πάντως ἐσόμενον· ὑποθώμεθα τοίνυν τῷ λόγῳ, καὶ ἀνασχέσθω πιστεῦσαι ὁ ἄπιστος κἂν κατὰ συνδρομὴν τοῖς λεγομένοις, οἷον ὅτι ὁ Χριστὸς ἥξει· ὅταν οὖν ὁ Χριστὸς ἔλθῃ καὶ πάντες οἱ ἄγγελοι μετ᾽ αὐτοῦ, καὶ δειχθῇ θεός, καὶ πάντα αὐτῷ ὑποτεταγμένα, οὐ πιστεύσει καὶ ὁ Ἕλλην; εὔδηλον ὅτι καὶ προσκυνήσει, καὶ θεὸν ἐρεῖ, κἂν C μυριάκις ἀνένδοτος ᾖ.

Τίς γὰρ ὁρῶν τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ αὐτὸν ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ πάντα τὸν δῆμον τῶν ἄνω δυνάμεων αὐτῷ περικεχυμένον, καὶ ποταμοὺς πυρὸς [b] ἑλκομένους, καὶ πάντας παρεστῶτας καὶ τρέμοντας, οὐχὶ προσκυνήσει, καὶ θεὸν ἡγήσεται; ἆρ᾽ οὖν, εἰπέ μοι, λογισθήσεται τῷ Ἕλληνι εἰς πίστιν ἡ προσκύνησις ἐκείνη καὶ ἡ γνῶσις; οὐδαμῶς. τί δήποτε; ὅτι τοῦτο πίστις οὐκ ἔστιν. ἡ γὰρ ἀνάγκη τοῦτο ἐποίησε καὶ ἡ περιφάνεια τῶν ὁρωμένων, καὶ οὐκ ἔστι τὸ πρᾶγμα προ- D αιρέσεως, ἀλλ᾽ ἀπὸ τοῦ μεγέθους τῶν ὀφθέντων τὰ τῆς διανοίας εἵλκυσθη. οὐκοῦν ὅσῳ ἂν φανερώτερα καὶ ἀναγκαστικώτερα ᾖ τὰ γινόμενα, τοσούτῳ τὰ τῆς πίστεως ἐλαττοῦνται. διὰ τοῦτο σημεῖα νῦν οὐ γίνεται. καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τί φησι πρὸς τὸν Θωμᾶν· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. οὐκοῦν ὅσῳ ἂν φανερώτερον ἀποδειχθῇ τὸ σημεῖον, τοσούτῳ τῆς πίστεως ὁ μισθὸς ἐλαττοῦται. ὥστε εἰ καὶ νῦν σημεῖα ἐγίνετο, τὸ αὐτὸ ἂν ἐγένετο. ὅτι γὰρ τότε διὰ πίστεως οὐκέτι αὐτὸν εἰσόμεθα, ἐδήλωσεν εἰπὼν ὁ Παῦλος· νῦν γὰρ διὰ πίστεως περιπα- E τοῦμεν, οὐ δι᾽ εἴδους. ὡς τότε πιστεύοντί σοι τὸ πρᾶγμα οὐ λογισθήσεται διὰ τὸ περιφανές, οὕτω καὶ νῦν, εἰ σημεῖα ἐγίνετο τοιαῦτα, οἷα καὶ ἔμπροσθεν. ὅταν γὰρ ἃ μηδαμῇ μηδαμῶς ἐστι λογισμοῖς εὑρεῖν καταδεξώμεθα, τότε ἡ πίστις ἐστί. διὰ τοῦτο καὶ ἡ γέεννα ἠπείληται μέν, οὐ φαίνεται δέ· ἐπεὶ εἰ καὶ ἐφαίνετο, ταὐτὸ συνέβαινε πάλιν· ἄλλως δέ, εἰ σημεῖα ζητεῖς, καὶ νῦν ὄψει σημεῖα,

[a] Ita Reg. Editi vero, ἰδιῶται καὶ ἀμαθεῖς.
[b] ἑλκομένους, ita Regius codex editi vero, ἐρχομένους.

Hic alluditur ad illud Danielis 7. 10. ποταμὸς πυρὸς εἷλκεν.

εἰ καὶ μὴ τοιαῦτα, αἱ προῤῥήσεις αἱ μυρίας καὶ περὶ μυρίων πραγμάτων, τῆς οἰκουμένης τὴν ἐπιστροφὴν, τῶν βαρβάρων τὴν φιλοσοφίαν, τῶν ἀγρίων ἠθῶν τὴν μετάστασιν, τῆς εὐλαβείας τὴν ἐπίτασιν. καὶ ποίας προῤῥήσεις, φησί; μετὰ γὰρ ταῦτα ἐγράφη τὰ προειρημένα ἅπαντα. πότε, καὶ ποῦ, καὶ ὑπὸ τίνος, εἰπέ μοι; καὶ πρὸ πόσων ἐτῶν; βούλει πρὸ πεντήκοντα, ἢ ἑκατόν; οὐκοῦν πρὸ τῶν ἑκατὸν οὐδὲν εἶχον ἔγγραφον ὅλως. πῶς οὖν κατεῖχε τὰ δόγματα ἡ οἰκουμένη καὶ τὰ ἄλλα πάντα, τῆς μνήμης οὐκ ἀρκούσης; πόθεν δὲ ᾔδεισαν ὅτι Πέτρος ἀνεσκολοπίσθη; πόθεν ἐπῆλθε τοῖς μετὰ ταῦτα προειπεῖν, οἷον ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται πανταχοῦ τῆς οἰκουμένης, ὅτι τὰ Ἰουδαϊκὰ παύσεται, καὶ οὐκ ἐπανήξει πάλιν; οἱ δὲ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κηρύγματος προέμενοι, πῶς ἂν ἤνεγκαν τὸ κήρυγμα παραποιούμενον ὁρῶντες; πῶς δὲ ἂν ἐπιστεύθησαν οἱ γράφοντες, τῶν σημείων πεπαυμένων; πῶς δὲ ἂν τὰ γραφέντα, καὶ εἰς τὴν Βαρβάρων καὶ εἰς τὴν Ἰνδῶν, καὶ πρὸς αὐτὰ τοῦ ὠκεανοῦ τὰ πέρατα ἀφίκετο, οὐκ ὄντων τῶν λεγόντων ἀξιοπίστων; τίνες δὲ οἱ γράφοντες; καὶ πότε, καὶ ποῦ; τίνος δὲ ἕνεκεν καὶ ἔγραφον; ἆρα δόξαν ἑαυτοῖς περιποιούμενοι; πῶς οὖν ἑτέροις τὰ βιβλία ἐπέγραψαν; ἀλλὰ τὸ δόγμα συστῆσαι βουλόμενοι. πότερον ὡς ἀληθὲς, ἢ ὡς ψευδές; εἰ μὲν γὰρ ὡς ψευδεῖ προσεῖχον, οὐδὲ προσελθεῖν ἦν εἰκός· εἰ δὲ ὡς ἀληθεῖ, πλασμάτων οὐκ ἔδει, καθώς σὺ φής. ἄλλως δὲ, καὶ αἱ προῤῥήσεις τοιαῦταί εἰσιν, ὡς καὶ μέχρι τοῦ παρόντος μὴ δύνασθαι βιάζεσθαι χρόνῳ τὰ εἰρημένα. τὸ μὲν γὰρ καθαιρεθῆναι τὰ Ἱεροσόλυμα γέγονε πρὸ πολλῶν ἐτῶν. εἰσὶ δὲ καὶ ἕτεραι προῤῥήσεις αἱ ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρουσίας αὐτοῦ παρατείνουσαι, ἃς ὡς βούλει δοκίμασον, οἷον τὸ, ἀεὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος· τὸ, ἐπὶ τὴν πέτραν ταύτην οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· τὸ, κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο εἰς πάντα τὰ ἔθνη, καὶ ὃ ἐποίησεν ἡ γυνὴ ἡ πόρνη, καὶ ἕτεραι πολλαὶ τούτων πλείους. πόθεν οὖν ἡ ἀλήθεια τῆς προῤῥήσεως ταύτης, εἴγε πλάσμα ἦν; πῶς οὐ κατίσχυσαν πύλαι ᾅδου τῆς ἐκκλησίας; πῶς ἀεὶ μεθ' ἡμῶν ἐστιν ὁ Χριστός; οὐ γὰρ ἂν εἰ μὴ μεθ' ἡμῶν ἦν, ἐκράτησεν ἂν ἡ ἐκκλησία. πῶς τὸ εὐαγγέλιον ἐξετάθη πανταχοῦ τῆς οἰκουμένης; ἱκανοὶ δὲ καὶ οἱ καθ' ἡμῶν εἰρηκότες τὴν ἀρχαιότητα μαρτυρῆσαι τοῖς βιβλίοις, οἱ περὶ [a] Κέλσον καὶ τὸν Βατανεώτην τὸν μετ' ἐκεῖνον· οὐ γὰρ δὴ τοῖς μετ' αὐτοὺς συντεθεῖσιν ἀντέλεγον· ἄλλως δὲ, καὶ ἡ οἰκουμένη πᾶσα ὁμοφώνως αὐτὸ δεξαμένη. οὐκ ἂν δὲ, εἰ μὴ πνεύματος χάρις ἦν, τοσαύτη γέγονε συμφωνία ἀπὸ περάτων εἰς πέρατα τῆς γῆς, ἀλλ' ἑάλωσαν ἂν ταχέως οἱ πλάττοντες, καὶ οὐκ ἂν τοσαῦτα κατορθώματα ἀπὸ πλασμάτων καὶ ψευδοῦς συνέστη.

[a] Hic Celſus eſt, contra quem ſcripſit Origenes.

A non ejuſmodi ſint, prædictiones innumeras de rebus innumerabilibus, orbis converſionem, barbarorum philoſophiam, agreſtium morum mutationem, pietatis extenſionem. Ecquas prædictiones, inquies? Nam poſt res factas prædicta ſunt omnia quæ ſupra commemorata ſunt. Quandonam, ubi & a quo, dic mihi? & ante quot annos? vis ante quinquaginta, aut centum? Ante centum ergo annos nihil habebant ſcriptum penitus. Quomodo ergo dogmata retinuit orbis, & alia omnia, cum memoria ad id non ſufficiat? Undenam ſcierunt Petrum fuiſſe
B palo affixum? Quomodo venit in mentem ut poſteris prædicerent verbi gratia quod evangelium prædicandum ſit per univerſum orbem, quod Judaïca ceſſatura ſint, nec ultra reſtituenda? Qui vero animas ſuas pro prædicatione tradiderunt, quomodo ſuſtinuiſſent prædicationem adulteratam videre? Quomodo creditum fuiſſet ſcriptoribus, ſignis ceſſantibus? Quomodo autem ſcripta & in Barbarorum & in Indorum fines, & in ipſos Oceani terminos veniſſent, ſi ii qui dicebant fide digni non erant? Quinam
C autem erant ſcriptores, & quando, & ubi? Qua de cauſa ſcripſerunt? Num ut gloriam ſibi conciliarent? Cur ergo libros aliis nominibus inſcripſerunt? At hoc fecerunt ut dogma commendarent. An ut verum? an ut falſum? Nam ſi ut falſum habebant, non acceſſuri eſſe videbantur, ſi ut verum, fictione opus non erat; quam tu dicis. Alioquin vero, prædictiones tales ſunt, ut ad præſens uſque tempus non potuerit dictis vis inferri. Nam diruta ſunt Jeroſolyma ante multos annos. Sunt & aliæ prædictiones quæ ab illo tempore ad uſque adventum ejus exten-
D duntur, quas ut vis examina, ut eſt illud, *Semper vobiſcum ſum uſque ad conſummationem ſæculi*; &, *Super hanc petram ædificabo eccleſiam meam, & portæ inferi non prævalebunt adverſus eam*; &, *Prædicabitur hoc evangelium in univerſas Gentes*, & quod fecit hæc mulier meretrix, & aliæ plurimæ. Undenam ergo veritas hujus prædictionis, ſi erat figmentum? Quomodo portæ inferi non prævaluerunt adverſus eccleſiam? Quomodo ſemper nobiſcum eſt Chriſtus? Neque enim ſi nobiſcum non eſſet, eccleſia viciſſet. Quomodo evangelium ubique terrarum
E propagatum eſt? Sufficiunt autem & qui contra nos diſputarunt ad teſtimonium antiquitatis librorum noſtrorum ferendum, nempe Celſus, & Bataneotes qui poſt illum fuit; non enim contradicebant iis quæ poſt illos edita fuerant: alioquin vero totus orbis qui uno conſenſu id ſuſcepit. Neque certe, niſi gratia Spiritus eſſet, tantus fuiſſet conſenſus a finibus ad fines uſque terræ. Sed cito deprehenſi fuiſſent illi deceptores, neque tam præclara geſta ex figmentis & mendaciis parta con-

Matt. 28. 20.
Matt. 16. 18.
Matt. 24. 14.

stitissent. Annon vides totum orbem accedentem? exstinctum errorem? Monachorum philosophiam plusquam solem fulgentem? Virginum choros? Piam religionem apud barbaros? Sub uno jugo servientes omnes? Neque enim a nobis tantum hæc prædicta fuere; sed jam olim a prophetis. Non enim illas quoque confutabis prædictiones. Libri namque sunt apud inimicos nostros, etiamque apud Græcos, quibusdam curantibus, in Græcam linguam translati sunt. Multa quoque illi de his prædicunt, ostendentes Deum esse illum qui venturus est.

Cur non omnes homines credant.

4. Quomodo ergo non omnes nunc credunt? Quia in pejus res versæ sunt, & nos in causa sumus: nam demum ad nos vertitur oratio. Non enim ex signis tunc solum credebant; sed etiam ex vita multi ad accedendum inducebantur. Nam ait ille: *Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, & glorificent Patrem vestrum, qui in cælis est;* &, *Erat omnium cor & anima una, & nullus quidpiam eorum quæ habebat, dicebat esse proprium. Sed habebant omnia communia, & dividebatur singulis prout cuique opus erat;* & vitam agebant angelicam. Si nunc ita fieret, totum orbem absque signis converteremus. Interim vero qui volunt salutem consequi, attendant scripturis. Illic enim hæc præclare gesta invenient, atque his longe plura. Nam ipsi Magistri longe illa superabant, in fame & siti & nuditate degentes. Nos autem volumus multis frui deliciis, otioque ac licentia. At non illi; imo clamabant: *Ad hanc usque horam esurimus & sitimus, & nudi sumus & colaphis cædimur, & instabiles sumus.* Et alius quidem a Jerosolyma usque ad Illyricum currebat; alius in Indorum, alius in Maurorum terram; alius ad alias partes orbis. Nos autem ne a patria quidem egredi audemus; sed delicias quærimus ædesque splendidas, & aliam omnem rerum copiam. Quis enim nostrum esurivit unquam propter verbum Dei? Quis in solitudine fuit? Quis longe peregrinatus est? Quis ex doctoribus ex labore manuum vivens, aliis opem tulit? Quis mortem sustinuit quotidianam? Hinc qui nobiscum sunt ignaviores fiunt. Etenim si quis viderit milites & duces, cum fame, siti & morte malisque omnibus concertantes, frigus & pericula omniaque ferentes, leonum instar strenue agentes; deindeque philosophiam illam solventes, & molliores effectos, pecuniæ cupidos, negotiationibus & rei cauponariæ studentes, & ab hostibus devictos; extremæ esset amentiæ harum rerum causam quærere. Hoc autem de nobis & de majoribus nostris cogitemus: nam omnium imbecillimi facti, & vitæ præsenti addicti sumus. Quod si inventus quispiam fuerit vestigium habens veteris sapientiæ, is foris & urbibus relictis, atque in hominum

Matt. 5. 16.

Act. 4. 32.

1. Cor. 4. 11.

A ἢ οὐχ ὁρᾷς τὴν οἰκουμένην πᾶσαν προσελθοῦσαν; τὴν πλάνην σβεσθεῖσαν; τὴν τῶν μοναχῶν φιλοσοφίαν ὑπὲρ τὸν ἥλιον λάμπουσαν; τοὺς τῶν παρθένων χορούς; τὴν ἐν βαρβάροις εὐλάβειαν; πάντας ὑπὸ ζυγὸν δουλεύοντας ἕνα; οὐδὲ γὰρ παρ᾽ ἡμῶν ταῦτα προείρηται μόνον, ἀλλὰ καὶ ἄνωθεν παρὰ τῶν προφητῶν. οὐ γὰρ δήπου καὶ ἐκείνων ἐπιλήψῃ τῶν προῤῥήσεων. παρὰ γὰρ τοῖς ἐχθροῖς τὰ βιβλία, καὶ παρ᾽ Ἕλλησι σπουδασάντων τινῶν εἰς τὴν Ἑλλάδα μετηνέχθη γλῶτταν. πολλὰ δὴ καὶ οὗτοι περὶ τούτων προλέγουσι, δεικνύντες ὅτι θεὸς ἦν ὁ παρέσεσθαι μέλλων.

B Πῶς οὖν οὐ πάντες πιστεύουσι νῦν; ὅτι ἐπὶ τὸ χεῖρον τὰ πράγματα προῆλθε, καὶ τούτων ἡμεῖς αἴτιοι. λοιπὸν γὰρ καὶ πρὸς ἡμᾶς ὁ λόγος. οὐ γὰρ δήπου σημείοις καὶ τότε ἐπίστευον μόνοις, ἀλλὰ καὶ ἀπὸ τοῦ βίου πολλοὶ τῶν προσιόντων ἐνήγοντο. λαμψάτω γὰρ ὑμῶν τὸ φῶς, φησιν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καί, πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾽ εἶχον ἅπαντα κοινά, καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε, καὶ βίον ἔζων C ἀγγελικόν. καὶ νῦν ἂν γένηται τοῦτο, τὴν οἰκουμένην ἐπιστρέψομεν ἅπασαν καὶ σημείων χωρίς. τέως δὲ οἱ βουλόμενοι σωθῆναι, προσεχέτωσαν ταῖς γραφαῖς. εὑρήσουσι γὰρ ἐκεῖ καὶ ταῦτα, καὶ τὰ τούτων πλείονα κατορθώματα. καὶ γὰρ οἱ διδάσκαλοι αὐτοὶ ὑπερέβαινον τὰ ἐκείνων, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διάγοντες. ἡμεῖς δὲ βουλόμεθα πολλῆς ἀπολαύσαι τρυφῆς καὶ ἀναπαύσεως καὶ ἀδείας, ἀλλ᾽ οὐκ ἐκεῖνοι· ἀλλ᾽ ἐβόων, ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν. καὶ ὁ μὲν ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ ἔτρεχεν, D ὁ δὲ εἰς τὴν Ἰνδῶν, ὁ δὲ εἰς τὴν Μαύρων, ἄλλος δὲ πρὸς ἄλλα μέρη τῆς οἰκουμένης· ἡμεῖς δὲ οὐδὲ τῆς πατρίδος ἐξελθεῖν τολμῶμεν, ἀλλὰ τρυφὴν ζητοῦμεν καὶ οἰκίας λαμπρὰς καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν. τίς γὰρ ἐλίμωξεν ἡμῶν ποτε διὰ τὸν τοῦ θεοῦ λόγον; τίς ἐν ἐρήμῳ γέγονε; τίς ἀποδημίαν ἐστείλατο μακράν; τίς τῶν διδασκάλων ἐκ τῶν χειρῶν ζῶν ἑτέροις ἐπεκούρησε; τίς θάνατον ὑπέμεινε καθημερινόν; ἐντεῦθεν καὶ οἱ μεθ᾽ ἡμῶν ὄντες, ῥαθυμότεροι γίνονται. καὶ γὰρ εἰ στρατιώτας τις εἶδε καὶ στρατηγούς, λιμῷ καὶ δίψει καὶ θανάτῳ καὶ πᾶσι τοῖς δεινοῖς παλαίοντας, καὶ κρυ- E μὸν καὶ κινδύνους καὶ πάντα φέροντας, καθάπερ λέοντας κατορθοῦντας· εἶτα μετὰ ταῦτα ἐκλύσαντας τὴν φιλοσοφίαν ἐκείνην, καὶ μαλακωτέρους γενομένους, καὶ χρημάτων ἐρῶντας, καὶ πραγματείαις καὶ καπηλείαις προσέχοντας, καὶ ἡττωμένους ὑπὸ τῶν πολεμίων, ἐσχάτης ἦν ἀνοίας τὴν αἰτίαν τούτων ζητεῖν. τοῦτο δὲ καὶ ἐφ᾽ ἡμῶν καὶ τῶν προγόνων λογισώμεθα. καὶ γὰρ πάντων ἐγενόμεθα ἀσθενέστεροι, καὶ τῷ παρόντι προσηλώμεθα βίῳ. κἂν εὑρεθῇ τις ἴχνος ἔχων τῆς παλαιᾶς σοφίας, τὰς πόλεις ἀφεὶς καὶ τὰς ἀγορὰς, καὶ τὸ ἐν μέσῳ στρέφεσθαι,

καὶ

καὶ τοὺς ἄλλους ῥυθμίζειν, τὰ ὄρη καταλαμβάνει. κἂν ἔρηταί τις τῆς ἀναχωρήσεως τὴν αἰτίαν, εὑρίσκει πρόφασιν συγγνώμην οὐκ ἔχουσαν. ἵνα γὰρ μὴ παραπόλωμαι, φησὶ, μηδὲ ἀμβλύτερος γένωμαι τὴν ἀρετὴν, ἀποπηδῶ. καὶ πόσῳ βέλτιον ἀμβλύτερόν σε γενέσθαι καὶ τοὺς ἄλλους κερδᾶναι, ἢ μένοντα ἐν ὕψει περιιδεῖν ἀπολλυμένους τοὺς ἀδελφούς; ὅταν μὲν οὖν οἱ μὲν ἀρετῆς ἀμελῶσιν, οἱ δὲ ἐπιμελόμενοι πόῤῥω τῆς παρατάξεως γίνωνται, πόθεν αἱρήσομεν τοὺς ἐχθρούς; εἰ γὰρ τὰ σημεῖα ἦν νῦν, τίς ἂν ἐπείσθη; ἢ τίς ἂν προσεῖχεν ἡμῖν τῶν ἔξωθεν, τῆς κακίας οὕτως ἐπιπολαζούσης; καὶ γὰρ ὁ ὀρθὸς βίος ἡμῶν ἀξιοπιστότερος τοῖς πολλοῖς εἶναι δοκεῖ. σημεῖα μὲν γὰρ, παρὰ τῶν ἀναισχύντων καὶ πονηρῶν ἀνθρώπων τὴν ὑπόνοιαν δέξεται πονηράν· βίος δὲ καθαρὸς τὸ αὐτὸ τοῦ διαβόλου τὸ στόμα μετὰ πολλῆς τῆς περιουσίας ἐμφράξαι δυνήσεται. ταῦτα καὶ ἄρχουσι λέγω, καὶ ἀρχομένοις, καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ, ἵνα βίον ἐπιδειξώμεθα θαυμαστὸν, καὶ συντάξαντες ἑαυτοὺς, πάντων τῶν παρόντων ὑπερίδωμεν. καταφρονήσωμεν χρημάτων, καὶ μὴ καταφρονήσωμεν γεέννης· ὑπερίδωμεν δόξης, καὶ μὴ ὑπερίδωμεν σωτηρίας· ὑπομείνωμεν ἐνταῦθα κάματον καὶ πόνον, ἵνα μὴ ἐμπέσωμεν ἐκεῖ εἰς κόλασιν. οὕτω τοῖς Ἕλλησι πολεμήσωμεν, οὕτως αὐτοὺς αἰχμαλωτίσωμεν αἰχμαλωσίαν ἐλευθερίας ἀμείνω. ἀλλὰ ταῦτα μὲν λέγεται παρ' ἡμῶν συνεχῶς καὶ πολλάκις, γίνεται δὲ ὀλιγάκις. πλὴν ἀλλ' ἐάν τε γίνηται ταῦτα, ἄν τε μὴ γίνηται, δίκαιον διὰ τῶν τοιούτων συνεχῶς ὑπομιμνήσκειν. εἰ γὰρ διὰ τῆς χρηστολογίας ἐξαπατῶσί τινες, πολλῷ μᾶλλον τοὺς πρὸς τὴν ἀλήθειαν ἐπανάγοντας δίκαιον μὴ ἀποκαμεῖν τὰ συμφέροντα λέγοντας. εἰ γὰρ οἱ ἀπατῶντες τοσούτοις κέχρηνται μηχανήμασι· καὶ γὰρ χρήματα ἀναλίσκουσι, καὶ λόγους προσάγουσι, καὶ κινδύνους ὑπομένουσι, καὶ προστασίας ἐπιδείκνυνται· πολλῷ μᾶλλον ἡμᾶς τοὺς ἀπάτης ἀπάγοντας, καὶ κινδύνους καὶ θανάτους, καὶ πάντα ὑπομένειν χρὴ, ἵνα καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους κερδάναντες, καὶ τοῖς ἐναντίοις ἀκαταγώνιστοι γενόμενοι, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

A medio versari & alios moderari cessans, ad montes se confert. Si quis vero secessus causam sciscitetur, causam ille profert veniam non merentem. Ne peream, inquit, ac ne hebetior ad virtutem fiam, resilio. Et quanto melius esset, hebetiorem te fieri, & alios lucrari; quam in alto manentem fratres despicere pereuntes? Quando igitur alii virtutem non curant, alii qui curam ejus habent, ab acie procul recedunt, quomodo expugnabimus inimicos? Nam etiamsi nunc signa essent, quisnam persuaderetur? aut quis ex externis nobis animum adhibe-
B ret, nequitia sic supergrediente. Nam vita recte acta multis videtur esse magis fide digna. Signa enim apud impudentes & malos homines, in pravam aliquam suspicionem venient; vita autem pura ipsum os diaboli abunde obstruere poterit. Hæc autem dico & imperantibus & imperio parentibus, & præ cæteris mihi ipsi, ut vitam exhibeamus mirabilem, & cum nos ipsos composuerimus, præsentia omnia despiciamus. Contemnamus pecuniam, & non contemnamus gehennam. Despiciamus gloriam, & ne despiciamus salutem. Hic subeamus sudorem
C & laborem, ut non illic incidamus in supplicium. Sic cum Gentilibus bellum geramus, sic illos abducamus in captivitatem libertate præstantiorem. Verum hæc sæpe & frequenter a nobis dicuntur, raro autem fiunt. Cæterum sive hæc fiant, sive non fiant, æquum est per ea vos assidue monere. Si enim bonis verbis quidam decipiunt; multo magis par est eos qui ad veritatem ducunt non defatigari in dicendo ea quæ sunt utilia. Nam si deceptores tot machinis utuntur; pecunias enim impendunt, verba adhibent, pericula subeunt, & præfecturas ostentant;
D multo magis nos qui a fallacia abducimus, & pericula, & mortes, & omnia sustinere oportet, ut & nos ipsos & alios lucrati, & inimicis inexpugnabiles facti, promissa bona consequamur, gratia & benignitate, &c.

## ΟΜΙΛΙΑ ζ'.

Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν.

ΤΟ σκότος τοῦ φωτὸς ἐπιτηδειότερον εἶναι δοκεῖ τοῖς τὰς ὄψεις νοσοῦσι· διὸ καὶ μᾶλλον εἰς συνεσκιασμένον δωμάτιον καταφεύγουσι. τοῦτο καὶ ἐπὶ τῆς σοφίας γέγονε τῆς πνευματικῆς. ἡ μὲν τοῦ θεοῦ σοφία, μωρία ἐδόκει εἶναι τοῖς ἔξωθεν· ἡ δὲ αὐτῶν, ἀληθῶς οὖσα μωρία, σοφία αὐτοῖς νενόμισται.

## HOMILIA VII.

6. *Sapientiam autem loquimur inter perfectos; sapientiam vero non hujus sæculi, neque principum hujus sæculi, qui de-*
E *struuntur. 7. Sed loquimur Dei sapientiam in mysterio, quæ abscondita est, quam prædestinavit Deus ante sæcula in gloriam nostram.*

1. TENEBRÆ videntur esse luce opportuniores, iis qui laborant oculis; ideoque magis ad adumbratam ædiculam confugiunt. Hoc etiam usu venit in spirituali sapientia. Dei quidem sapientia externis videbatur esse stultitia; eorum vero sapientia, quæ vere stultitia erat, ab ipsis sapientia reputata fuit.

Et perinde contingebat, ac si quis sapientia & arte gubernandi utens, polliceretur se sine nave & velis pelagus immensum esse transmissurum; deindeque tentaret ratiociniis probare hoc fieri posse; alius vero quispiam omnium imperitus, navi, gubernatori & nautis sese committens, sic cum securitate navigaret: hujus enim ea quæ videtur esse imperitia, illius sapientiâ sapientior esset. Bona quippe est ars gubernandi: sed cum majora quam par sit pollicetur, stultitia quædam est; ut & omnis ars quæ non suis contenta est terminis. Sic etiam externa sapientia, si usa esset Spiritu. Sed quia sibi omnia permisit, nec se auxilio ullo opus habere putavit, stultitia facta est, etsi videretur sapientia esse. Quapropter cum prius illam ex rebus ipsis confutasset, tunc illam stultitiam vocavit; & cum prius Dei sapientiam ex illorum sententia stultitiam vocasset, tunc ostendit illam esse sapientiam. Nam post probationes, tunc maxime possunt contradicentes pudore suffundi. Et ait: *Sapientiam autem loquimur inter perfectos.* Nam cum ego, qui stultus esse & stulta prædicare existimor, sapientem superavero, non per stultitiam superavi sapientiam; sed per sapientiam perfectiorem, & tantam tantoque illa majorem, ut illa stultitia esse videatur. Ideo cum prius illam ita vocasset, ut illi tunc nominabant, & ex rebus ipsis victoriam exhibuisset, illosque admodum stultos esse probasset, de cætero nomen ipsi dat quod ei conveniat dicens: *Sapientiam vero loquimur inter perfectos.* Sapientiam autem dicit prædicationem & modum salutis, nempe salvum fieri per crucem; perfectos autem, eos qui crediderunt. Etenim illi perfecti sunt, qui humana videntes esse valde infirma, illaque despicientes, persuasum habent illa nihil sibi conferre, cujusmodi fuerunt fideles. Sapientiam autem non hujus sæculi. Ubi namque utilis est externa sapientia, quæ hic quidem evertit, & ulterius non progreditur, neque hic prodesse potest iis qui illa sunt præditi? Principes autem sæculi hic, non dæmones quosdam dicit, ut quidam suspicantur; sed eos qui in dignitatibus & in magistratu, qui rem illam existimant præclaram, philosophos, oratores, scriptores; nam hi sæpe imperabant & plerumque populi ductores erant. Hujus autem sæculi principes vocavit, quia ipsorum imperium non ultra præsens sæculum procedit: quamobrem subjunxit: *Qui destruuntur*, ex re ipsa illam confutans & ex iis qui illa utuntur. Cum ostendisset enim illam falsam esse & stultam, & nihil invenire posse, infirmamque esse: ostendit etiam parvo tempore consistere. *Sed loquimur Dei sapientiam in mysterio.* In quo mysterio? Atqui dicit Christus: *Quod in aure audistis, prædicate super tecta.*

Sapientia philosophorum exterorum stultitia erat.

Matt. 10. 27.

A καὶ ταὐτὸν συνέβαινεν, οἷον ἂν εἴ τις σοφίᾳ κυβερνητικῇ κεχρημένος, ἐπηγγέλλετο πλοίου χωρὶς καὶ ἱστίων πέλαγος ἄπειρον διαπερᾶν, εἶτα ἐπειρᾶτο λογισμοῖς κατασκευάζειν ὅτι τοῦτο δυνατόν· ἄλλος δέ τις πάντων ἄπειρος, πλοίῳ καὶ κυβερνήτῃ καὶ ναύταις ἐγχειρίσας ἑαυτὸν, οὕτω μετὰ ἀσφαλείας ἔπλει. καὶ γὰρ ἡ δοκοῦσα εἶναι ἀμαθία τούτου, τῆς ἐκείνου σοφίας σοφωτέρα. καλὴ μὲν γὰρ ἡ κυβερνητική· ἀλλ' ὅταν μείζονα ἐπαγγέλληται, μωρία τίς ἐστι· καὶ πᾶσα τέχνη ἡ μὴ ἀρκουμένη τοῖς ὅροις τοῖς ἑαυτῆς τοῦτο ἂν εἴη. οὕ-

B τω καὶ ἡ ἔξωθεν σοφία, ᵃ εἰ πνεύματι ἐκέχρητο. ἐπεὶ δὲ ἑαυτῇ τὸ πᾶν ἐπέτρεψε, καὶ οὐδὲν ἐνόμισε δεῖσθαι τῆς βοηθείας ἐκείνης, μωρία γέγονεν, εἰ καὶ ἐδόκει σοφία εἶναι. διὸ πρότερον ἐλέγξας αὐτὴν διὰ τῶν πραγμάτων, τότε αὐτὴν ἐκάλεσε μωρίαν· καὶ πρότερον καλέσας μωρίαν τὴν τοῦ θεοῦ σοφίαν κατὰ τὴν ἐκείνων ψῆφον, τότε δείκνυσιν αὐτὴν σοφίαν οὖσαν· μετὰ γὰρ τὰς ἀποδείξεις, δυνατὸν μάλιστα τοὺς ἀντιλέγοντας ἐντρέπειν· καί φησι· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. ὅταν γὰρ ἐγὼ, νομιζόμενος μωρὸς καὶ μωρὰ

C κηρύττειν, τοῦ σοφοῦ περιγένωμαι, οὐ διὰ μωρίας σοφίας περιγινόμενος, ἀλλὰ διὰ σοφίας τελειοτέρας, καὶ τοσαύτης καὶ οὕτω μείζονος, ὡς ἐκείνην μωρίαν φαίνεσθαι. διὰ τοῦτο πρότερον αὐτὴν οὕτω καλέσας, ὡς ἐκεῖνοι ὠνόμαζον τότε, καὶ ἀπὸ τῶν πραγμάτων τὴν νίκην δείξας, καὶ ἐκείνους ἀποφήνας σφόδρα μωροὺς, προσῆκον αὐτῇ λοιπὸν ἀπέδωκεν ὄνομα λέγων· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. σοφίαν δὲ λέγει τὸ κήρυγμα καὶ τὸν τρόπον τῆς σωτηρίας, τὸ διὰ σταυροῦ σωθῆναι· τελείους δὲ, τοὺς πεπιστευκότας. καὶ γὰρ ἐκεῖνοι

D τέλειοι οἱ τὰ ἀνθρώπινα εἰδότες ὅτι σφόδρα ἀσθενῆ, καὶ ὑπερειδόντες αὐτῶν, ὅτι μηδὲν αὐτοῖς συμβάλλεται πεπεισμένοι, οἷοι γεγόνασιν οἱ πιστοί. σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου. ποῦ γὰρ χρήσιμος ἡ ἔξωθεν σοφία, ἐνταῦθα καταστρέφουσα καὶ περαιτέρω μὴ προϊοῦσα, καὶ οὐδὲ ἐνταῦθα δυναμένη τι τοὺς ἔχοντας ὠφελεῖν; ἄρχοντας δὲ αἰῶνος ἐνταῦθα οὐ δαίμονάς τινας λέγει, καθώς τινες ὑποπτεύουσιν· ἀλλὰ τοὺς ἐν ἀξιώμασι, τοὺς ἐν δυναστείαις, τοὺς τὸ πρᾶγμα περιμάχητον εἶναι νομίζοντας,

E φιλοσόφους, καὶ ῥήτορας, καὶ λογογράφους. καὶ γὰρ αὐτοὶ ἐκράτουν, καὶ δημαγωγοὶ πολλάκις ἐγίνοντο. τοῦ δὲ αἰῶνος τούτου ἐκάλεσεν ἄρχοντας, ἐπειδὴ περαιτέρω τοῦ παρόντος αἰῶνος οὐ πρόεισιν αὐτῶν ἡ ἀρχή· διὸ καὶ ἐπήγαγε, τῶν καταργουμένων, οἴκοθέν τε αὐτὴν διαβάλλων, καὶ ἀπὸ τῶν χρωμένων. δείξας γὰρ ὅτι ψευδής ἐστιν, ὅτι μωρὰ, ὅτι οὐδὲν δύναται εὑρεῖν, ὅτι ἀσθενὴς, δείκνυσιν ὅτι καὶ ὀλιγοχρόνιος. ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ. ποίῳ μυστηρίῳ; καὶ μὴν φησιν ὁ Χριστὸς, ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων.

a εἰ πνεύματι ἐκέχρητο. Hic aliquid deesse videtur.

πῶς οὖν μυστήριον αὐτὴν καλεῖ; ἐπειδὴ οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, οὔτε ἄλλη τις αὐτὸ κτιστὴ δύναμις ᾔδει, πρὶν γενέσθαι. διὸ φησὶν, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ. τοῦτο δὲ ἐποίησεν, ἡμᾶς τιμῶν ὁ θεὸς, ὥστε μεθ' ἡμῶν ἀκοῦσαι τῶν μυστηρίων. καὶ γὰρ καὶ ἡμεῖς, οὓς ἂν ποιησώμεθα φίλους, τοῦτο τεκμήριον πρὸς αὐτοὺς εἶναί φαμεν τῆς φιλίας, τὸ μηδενὶ πρὸ αὐτῶν εἰπεῖν τὰ ἀπόρρητα. ἀκουέτωσαν οἱ τὸ κήρυγμα ἐκπομπεύοντες, καὶ πᾶσιν ἁπλῶς ἐκφαίνοντες τοὺς μαργαρίτας καὶ τὸ δόγμα, καὶ τὰ ἅγια κυσὶ καὶ χοίροις ῥιπτοῦντες καὶ λογισμοῖς περιττοῖς. τὸ γὰρ μυστήριον κατασκευῆς οὐ δεῖται· ἀλλ' ὅπερ ἐστὶ, τοῦτο μόνον καταγγέλλεται. ἐπεὶ οὐκ ἔσται μυστήριον θεῖον καὶ ὁλόκληρον, ὅταν καὶ παρὰ σαυτοῦ τι προσθῇς· καὶ ἄλλως δὲ μυστήριον καλεῖται ὅτι οὐχ ἅπερ ὁρῶμεν πιστεύομεν, ἀλλ' ἕτερα ὁρῶμεν, καὶ ἕτερα πιστεύομεν. τοιαύτη γὰρ ἡ τῶν μυστηρίων ἡμῶν φύσις. ἑτέρως γοῦν ἐγὼ, καὶ ἑτέρως ὁ ἄπιστος περὶ τούτων διακείμεθα. ἀκούω ἐγὼ ὅτι ἐσταυρώθη ὁ Χριστὸς, καὶ τὴν φιλανθρωπίαν εὐθέως θαυμάζω. ἀκούει ἐκεῖνος, καὶ ἀσθένειαν νομίζει. ἀκούω ὅτι δοῦλος γέγονε, καὶ τὴν κηδεμονίαν θαυμάζω· ἀκούει ἐκεῖνος, καὶ ἀτιμίαν λογίζεται. ἀκούω ὅτι ἀπέθανε, καὶ τὴν δύναμιν ἐκπλήττομαι, ὅτι ἐν θανάτῳ γενόμενος οὐκ ἐκρατήθη, ἀλλὰ καὶ ἔλυσε θάνατον· ἀκούει ἐκεῖνος, καὶ ἀδυναμίαν ὑποπτεύει. ἀκούων ἀνάστασιν ἐκεῖνος, μῦθον τὸ πρᾶγμά φησιν· ἐγὼ δὲ τὰς διὰ τῶν πραγμάτων δεξάμενος ἀποδείξεις, προσκυνῶ τοῦ θεοῦ τὴν οἰκονομίαν. ἀκούων λουτρὸν ἐκεῖνος, ἁπλῶς ὕδωρ νομίζει· ἐγὼ δὲ οὐ τὸ ὁρώμενον ἁπλῶς βλέπω, ἀλλὰ τὸν τῆς ψυχῆς καθαρμὸν τὸν διὰ τοῦ πνεύματος. ἐκεῖνος λελοῦσθαί μοι τὸ σῶμα νομίζει μόνον· ἐγὼ δὲ πεπίστευκα ὅτι καὶ ἡ ψυχὴ γέγονε καθαρά τε καὶ ἁγία, καὶ λογίζομαι τὸν τάφον, τὴν ἀνάστασιν, τὸν ἁγιασμὸν, τὴν δικαιοσύνην, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν κληρονομίαν, τὴν βασιλείαν τῶν οὐρανῶν, τοῦ πνεύματος τὴν χορηγίαν. οὐ γὰρ τῇ ὄψει κρίνω τὰ φαινόμενα, ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς διανοίας. ἀκούω σῶμα Χριστοῦ· ἑτέρως ἐγὼ νοῶ τὸ εἰρημένον, ἑτέρως ὁ ἄπιστος.

Καὶ καθάπερ τὰ παιδία τὰ βιβλία ὁρῶντα οὐκ οἶδε τῶν γραμμάτων τὴν δύναμιν, οὐδὲ οἶδεν ἅπερ ὁρᾷ, μᾶλλον δὲ κἂν ἀνὴρ ἄπειρος ᾖ γραμμάτων, ταῦτα πείσεται· ὁ δὲ ἔμπειρος πολλὴν εὑρήσει τοῖς γράμμασιν ἐναποκειμένην τὴν δύναμιν, καὶ βίους ὁλοκλήρους, καὶ ἱστορίας· καὶ ἐπιστολὴν ὁ μὲν ἄπειρος λαβὼν, χάρτην ἡγήσεται καὶ μέλαν εἶναι· ὁ δὲ ἔμπειρος καὶ φωνῆς ἀκούσεται, καὶ διαλέξεται τῷ ἀπόντι, καὶ ὅπερ ἂν βούληται διὰ τῶν γραμμάτων πάλιν ἐρεῖ· οὕτω καὶ ἐπὶ τοῦ μυστηρίου γίνεται. οἱ μὲν ἄπιστοι, καίτοιγε ἀκούοντες, οὐ δοκοῦσιν ἀκούειν· οἱ δὲ πιστοὶ τὴν διὰ τοῦ πνεύματος ἔχοντες ἐμπειρίαν, ὁρῶσι τῶν ἐναποκειμένων τὴν δύναμιν. τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγεν, ὅτι καὶ νῦν τὸ κηρυττόμενον ἀποκέκρυπται.

A Quomodo ergo illam vocat mysterium? Quia neque angelus, neque archangelus, neque ulla creata potestas id noverat antequam fieret. Ideo ait, *Ut innotescat nunc principatibus & potestatibus in cælestibus per ecclesiam multiformis sapientia Dei.* (Ephes. 3. 10.) Hoc autem fecit Deus nos honorans, ut nobiscum audirent mysteria. Nam nos quoque, eis quos nobis fecerimus amicos, hoc argumentum dicimus esse amicitiæ nostræ, quod nemini prius quam ipsis secreta revelemus. Audiant ii qui prædicationem traducunt, omnibusque B indiscriminatim margaritas & dogma enunciant, & Sancta canibus & porcis, superfluisque ratiociniis projiciunt. Mysterium namque probatione opus non habet; sed id solum quod est annunciatur. Etenim non erit totum mysterium divinum, cum a te ipso aliquid addideris. Alioquin vero mysterium vocatur; quia non quod videmus, credimus; sed alia videmus, alia credimus. Talis namque est mysteriorum nostrorum natura. Alio igitur modo ego, & alio infidelis circa hæc affecti sumus. Audio ego quod crucifixus sit Christus, & ejus erga homines C amorem statim admiror; audit ille, & imbecillitatem putat. Audio quod servus factus sit, & providentiam admiror, audit ille & dedecus esse putat. Audio quod mortuus sit, & de potentia ejus obstupesco; quod a morte non superatus sit, imo etiam mortem dissolverit; audit ille, & imbecillitatem suspicatur. Cum audit ille resurrectionem, fabulam esse putat; ego vero post acceptas ex rebus ipsis demonstrationes, Dei œconomiam adoro. Lavacrum audiens ille, aquam tantum esse putat. Ego vero non quod videtur solum aspicio; sed etiam purifi- D cationem animæ per Spiritum. Existimat ille solum mihi ablutum esse corpus; ego autem credo animam quoque puram & sanctam factam esse, & cogito sepulcrum, resurrectionem, sanctificationem, justitiam, redemtionem, adoptionem, hereditatem, regnum cælorum, datum Spiritum. Non enim ex visu judico illa quæ apparent, sed mentis oculis. Audio corpus Christi, aliter ego dictum intelligo; aliter infidelis.

2. Ac quemadmodum pueri libros videntes, literarum vim non sciunt, nec ea E norunt quæ vident; imo vero si vir literarum imperitus sit, hoc item ipsi eveniet; qui vero peritus est, multam literis insitam vim inveniet, vitas integras & historias. Et epistolam imperitus accipiens, chartam esse putabit & atramentum; peritus vero & vocem audiet, & cum absente disseret, & quod voluerit rursus per literas dicet. Ita etiam in mysterio evenit. Infideles quidem etiamsi audiant, audire non videntur; fideles autem qui per Spiritum peritiam habent, vim reconditam vident. Hoc igitur declarans Paulus dicebat, *Quod nunc quoque sit absconditum* (2. Cor. 4. 3.)

*quod prædicatur. Pereuntibus enim*, inquit, *est absconditum.* Alioquin autem prædicationem admirabilem ostendit. Ita solet vocare scriptura illa quæ præter spem & supra mentem humanam sunt. Ideo alibi quoque dicit, Mysterium meum mihi
1. Cor. 15. 51. & meis. Et rursum Paulus : *Ecce mysterium vobis dico : omnes quidem non dormiemus, omnes autem immutabimur.* Etsi porro ubique prædicatur, etiam sic mysterium est. Etenim ut jussi sumus quod in aure audivimus prædicare super tecta ; sic jussi sumus Sancta non dare canibus, neque projicere margaritas ante porcos. Nam alii sunt animales, & non intelligunt ; alii velamen habent cor suum obtegens, & non vident. Ergo mysterium illud est maxime, quod quidem ubique prædicatur, non cognoscitur autem ab iis qui rectam non habent mentem ; revelatur autem non a sapientia, sed a Spiritu sancto, quantum nos possumus accipere. Quamobrem non aberraverit si quis etiam secundum hoc mysterium appellaverit arcanum ; neque enim nobis fidelibus tradita fuit plena ejus perceptio & accurata notitia. Quapropter
1. Cor. 13. 9. dicebat Paulus, *Ex parte cognoscimus & ex parte prophetamus. Videmus enim nunc per speculum quasi in ænigmate ; tunc autem facie ad faciem.* Ideo dicit : *Loquimur sapientiam in mysterio, quæ abscondita est : quam prædestinavit Deus ante sæcula in gloriam nostram.* Absconditam, id est, nulla ex supernis potestatibus ante nos didicit, neque multi nunc norunt. Quam prædestinavit in gloriam nostram. Atqui alibi dicit, in gloriam suam. Suam enim reputat gloriam salutem nostram ; ut etiam divitias suas vocat, etiamsi ipse sit bonorum divitiæ, & nullo indigeat ut sit dives. Prædestinavit, inquit, suam erga nos providentiam indicans. Illi enim maxime nos honorare & amare existimantur, qui nobis a longo tempore bona conferre parati sunt, id quod faciunt parentes filiis : etenim si postremo dant pecunias, id jamdiu & ab initio præmeditati fuerant. Hoc Paulus nunc conatur ostendere, quod Deus nos semper & jam olim amaverit, cum nondum nati essemus. Nisi enim amasset, divitias nobis non prædestinavisset. Ne ergo cogites eam quæ intercessit inimicitiam ; erat enim illâ antiquior amicitia. Illud autem, ante sæcula, æternum sibi vult. Nam & alibi ita loquitur : *Qui est ante sæcula.* Invenietur ergo etiam Filius sic æternus esse : nam de ipso dicit, quod per ipsum fecerit sæcula, quod est ante sæcula esse : qui fecit enim, ante illa quæ facta sunt erat. 8. *Quam nemo principum hujus sæculi cognovit. Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent.* Atqui si
Joan. 7. 28. non cognoverunt, quomodo dicebat : *Et me nostis, & unde sim nostis?* De Pilato enim dicit scriptura, quod non noverit ;

A τοῖς γὰρ ἀπολλυμένοις, φησὶν, ἐστὶ κεκαλυμμένον· ἄλλως δὲ καὶ τὸ παράδοξον ἐμφαίνει τοῦ κηρύγματος. οὕτω δὴ εἴωθε καλεῖν ἡ γραφὴ τὰ παρ' ἐλπίδας καὶ ὑπὲρ διάνοιαν ἀνθρωπίνην γινόμενα. διὸ καὶ ἀλλαχοῦ, τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. καὶ πάλιν ὁ Παῦλος, ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα. εἰ δὲ πανταχοῦ κηρύττεται, καὶ οὕτω μυστήριόν ἐστι. καὶ γὰρ ὥσπερ ἐκελεύσθημεν ἅπερ ἠκούσαμεν εἰς τὸ οὖς εἰπεῖν ἐπὶ τῶν δωμάτων, οὕτω προσετάγημεν μὴ δοῦναι τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥῖψαι τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.
B οἱ μὲν γάρ εἰσι ψυχικοὶ, καὶ οὐ νοοῦσιν· οἱ δὲ κάλυμμα ἔχουσιν ἐπὶ τῆς καρδίας αὐτῶν, καὶ οὐ βλέπουσιν. ἄρα μυστήριον τοῦτο μάλιστά ἐστιν ὃ πανταχοῦ μὲν κηρύττεται, οὐ γνωρίζεται δὲ παρὰ τῶν οὐκ ὀρθὴν ἐχόντων γνώμην· ἐκκαλύπτεται δὲ οὐκ ἀπὸ σοφίας, ἀλλ' ἀπὸ πνεύματος ἁγίου, καθόσον ἡμῖν δέξασθαι δυνατόν. διόπερ οὐκ ἄν τις ἁμάρτοι καὶ μετὰ τοῦτο αὐτὸ μυστήριον αὐτὸ προσειπὼν ἀπόρρητον. οὐδὲ γὰρ ἡμῖν τοῖς πιστοῖς πᾶσα ἐνεχειρίσθη σαφήνεια καὶ ἀκρίβεια. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ὡς ἐν αἰνίγ-
C ματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. διὰ τοῦτο λέγει, λαλοῦμεν σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν. ἀποκεκρυμμένην, τουτέστιν, ὅτι οὐδεὶς πρὸ ἡμῶν ἔμαθε τῶν ἄνω δυνάμεων, οὐδὲ οἱ πολλοὶ νῦν ἴσασιν. ἣν προώρισεν εἰς δόξαν ἡμῶν· καίτοιγε ἀλλαχοῦ φησιν, εἰς δόξαν ἑαυτοῦ. ἑαυτοῦ γὰρ ἡγεῖται δόξαν, τὴν ἡμετέραν σωτηρίαν· ὥσπερ οὖν καὶ πλοῦτον ἑαυτοῦ καλεῖ, καίτοιγε αὐτὸς πλοῦτος ὢν ἀγαθῶν, καὶ οὐδενὸς δεόμενος εἰς τὸ εἶναι πλούσιος. προώρισε, φησι, τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδεικνύμενος. καὶ γὰρ ἐκεῖνοι
D μάλιστα καὶ τιμᾷν καὶ φιλεῖν ἡμᾶς νομίζονται, ὅσοιπερ ἄνωθεν ὦσιν ἡμᾶς παρεσκευασμένοι εὖ ποιεῖν· ὅπερ καὶ πατέρες ἐπὶ παίδων ποιοῦσι. καὶ γὰρ εἰ ὕστερον διδόασι τὰ χρήματα, ἀλλ' ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰσι τοῦτο προῃρημένοι. τοῦτο καὶ ὁ Παῦλος σπουδάζει δεῖξαι νῦν, ὅτι ἀεὶ ἡμᾶς ἐφίλει καὶ ἄνωθεν ὁ θεὸς καὶ μηδέπω γενομένους. οὐ γὰρ ἂν, εἰ μὴ ἐφίλει, τὸν πλοῦτον ἡμῶν προώρισε. μὴ τοίνυν ἐννοήσῃς τὴν ἐν μέσῳ γενομένην ἔχθραν. πρεσβυτέρα γὰρ ἦν [a] αὐτῆς ἡ φιλία. τὸ δὲ πρὸ τῶν αἰώνων, τὸ ἀΐδιόν φησι. καὶ γὰρ ἀλλαχοῦ οὕτω
E φησὶν, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. εὑρεθήσεται τοίνυν καὶ ὁ υἱὸς οὕτως ἀΐδιος ὤν. καὶ γὰρ περὶ αὐτοῦ φησιν, ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν, ὅπερ ἐστὶ πρὸ τῶν αἰώνων ὑπάρχειν. ὁ γὰρ ποιητὴς πρὸ τῶν ποιημάτων εὔδηλον ὅτι. ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ εἰ μὴ ᾔδεσαν, πῶς ἔλεγεν αὐτοῖς, καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί; περὶ γὰρ τοῦ Πιλάτου φησὶν ἡ γραφὴ, ὅτι οὐκ ᾔδει·

[a] αὐτῆς sic Reg. Editi αὕτη male.

A Εἰκὸς δὲ μηδὲ τὸν Ἡρώδην εἰδέναι. τούτους ἂν εἴποι τις καλεῖσθαι ἄρχοντας τοῦ αἰῶνος τούτου. Εἰ δὲ καὶ περὶ τῶν Ἰουδαίων καὶ τῶν ἱερέων εἴποι τις αὐτὸ τοῦτο λέγεσθαι, οὐκ ἂν ἁμάρτοι. καὶ γὰρ ἐκείνοις φησὶν, οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. πῶς οὖν ἀνωτέρω φησὶ, καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί; ἀλλὰ τίς ὁ τρόπος τῆς ἀναγνώσεως ταύτης, καὶ τίς ἐκείνης, ἐν τοῖς εὐαγγελίοις ἤδη εἴρηται· καὶ, ὥστε μὴ συνεχῶς τὸ αὐτὸ στρέφειν, ἐκεῖ παραπέμπομεν τοὺς ἐντυγχάνοντας.

verisimile autem est nec Herodem novisse. Hos dixerit quispiam vocari principes hujus sæculi. Quod si de Judæis & de sacerdotibus dixerit quispiam hæc intelligi, non aberraverit. Illis enim dicit: *Nec me nostis, neque Patrem meum.* Quomodo ergo superius dixit, *Et me nostis, & unde sim nostis.* Sed quis sit modus hujus & illius lectionis, in evangeliis dictum est; & ne illud frequentius versemus, eo remittimus lectores.

Joan. 8. 19.

Τί οὖν; ἀφείθη, φησὶν, αὐτοῖς τὸ ἐπὶ τῷ σταυρῷ ἁμάρτημα; καὶ γὰρ εἶπεν, ἄφες αὐτοῖς. εἰ μετενόησαν, B ἀφείθη. καὶ γὰρ ὁ μυρίαις βαλὼν χερσὶ τὸν Στέφανον, καὶ διώξας τὴν ἐκκλησίαν ὁ Παῦλος, τῆς ἐκκλησίας προστάτης ἐγένετο. οὕτως οὖν κἀκείνοις ἀφείθη τοῖς βουληθεῖσι μεταγνῶναι, ὃ δὴ καὶ ὁ Παῦλος βοῶν ἔλεγε· λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο. λέγω οὖν, μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω; μὴ γένοιτο. Εἶτα δεικνὺς ὅτι οὐκ ἀπεκλείσθη αὐτοῖς ἡ μετάνοια, τεκμήριον τὴν ἐπιστροφὴν τὴν ἑαυτοῦ παρήγαγε λέγων, καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί. τὸ δὲ, οὐκ ἔγνωσαν, ἐμοὶ δοκεῖ οὐ περὶ Χριστοῦ ἐνταῦθα εἰρῆσθαι, ἀλλὰ περὶ αὐτῆς τοῦ C πράγματος τῆς οἰκονομίας· οἷον, τί ἐβούλετο ὁ θάνατος καὶ ὁ σταυρὸς, οὐκ ᾔδεισαν. καὶ γὰρ καὶ ἐκεῖ οὐκ εἶπεν, ὅτι ἐμὲ οὐκ οἴδασιν, ἀλλ' οὐκ οἴδασι τί ποιοῦσι, τουτέστι, τὴν οἰκονομίαν τὴν τελουμένην καὶ τὸ μυστήριον ἀγνοοῦσιν. οὐ γὰρ ᾔδεσαν ὅτι οὕτω λάμψαι ἔχει ὁ σταυρὸς, ὅτι τῆς οἰκουμένης γίνεται σωτηρία καὶ τοῦ θεοῦ πρὸς τοὺς ἀνθρώπους καταλλαγὴ, καὶ ἡ πόλις αὐτῶν ἁλώσεται, καὶ δεινὰ ὑποστήσονται τὰ ἔσχατα. σοφίαν δὲ, καὶ τὸν Χριστὸν καλεῖ καὶ τὸν σταυρὸν καὶ τὸ κήρυγμα· εὐκαίρως δὲ κύριον δόξης ἐκάλεσεν. ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίας εἶναι D δοκεῖ, δείκνυσιν ὅτι μεγάλη ἦν δόξα ὁ σταυρός. ἀλλὰ μεγάλης ἔδει σοφίας, οὐ μόνον τὸ τὸν θεὸν εἰδέναι, ἀλλὰ καὶ μαθεῖν τοῦ θεοῦ ταύτην τὴν οἰκονομίαν· ἡ δὲ ἔξωθεν σοφία, οὐχὶ τοῦ προτέρου μόνον, ἀλλὰ καὶ τούτου γέγονε κώλυμα. ἀλλὰ καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ ποῦ γέγραπται ταῦτα; λέγεται γὰρ γεγράφθαι, καὶ ὅταν μὴ διὰ τῶν ῥημάτων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ, [a] ὡς ἐπὶ τῶν ἱστοριῶν· ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς E ἐνταῦθα. τὸ γὰρ, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι, τοῦτο ταὐτόν ἐστι τῷ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν. ἢ τοῦτο τοίνυν φησὶν, ἢ εἰκὸς καὶ γεγράφθαι ἐν βίβλοις, καὶ ἠφανίσθαι τὰ βιβλία. καὶ γὰρ πολλὰ διεφθάρη βιβλία, καὶ ὀλίγα διεσώθη, καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας.

3. Quid ergo? remissum est illis, quod circa crucem admiserunt peccatum? Nam dixit, *Remitte illis.* Si pœnitentiam egerunt, remissum est. Nam qui innumeris manibus Stephanum impetiit & ecclesiam persequutus est Paulus, ecclesiæ patronus factus est. Sic igitur illis remissum est, qui voluerint pœnitentiam agere, quod etiam Paulus clamans dicebat: *Dico ergo. Num quid offenderunt, ut caderent?* Absit. Dico ergo num repulit Dominus populum suum, quem præscivit? Absit. Deinde ostendens quod non sint exclusi a pœnitentia, argumentum adducit pœnitentiam suam dicens: Nam & ego Israelita sum. Illud autem, *non cognoverunt*, videtur mihi non de Christo dictum hic fuisse; sed de rei dispensatione; verbi gratia, quid sibi vellent mors & crux nesciebant. Etenim non dicit ibi, me non noverunt; sed, nesciunt quid faciunt; id est, œconomiam quæ peragitur & mysterium non norunt. Non enim sciebant, futurum esse ut crux ita resplenderet, nec quod fieret salus orbis, & Dei cum hominibus reconciliatio, neque futurum urbis excidium, nec quod extrema illi passuri essent. Sapientiam autem vocat & Christum & crucem & prædicationem. Opportune vero & Dominum gloriæ vocavit. Quia enim crux ignominiosa videtur esse; ostendit crucem esse magnam gloriam. Sed magna opus erat sapientia non modo ad Deum cognoscendum; sed & ad discendam hanc Dei œconomiam. Externa vero sapientia non priori tantum, sed huic etiam impedimento fuit. 9. *Sed, ut scriptum est, oculus non vidit, nec auris audivit, nec in cor hominis ascenderunt quæ præparavit Deus diligentibus se.* Et ubinam scripta sunt hæc? Dicitur enim, scriptum est, etiamsi non verbis, sed in rebus ipsis hæc posita sint, ut in historiis; vel si ipse quidem sensus reperiatur, licet non ipsis verbis sicut hic. Illud enim, quibus non annunciatum est de illo, videbunt, & qui non audierunt intelligent, idipsum est atque illud, oculus non vidit, nec auris audivit. Aut hoc igitur dicit; aut verisimile est scriptum fuisse in libris, qui perierint. Nam multi libri perditi fuerunt, & pauci servati sunt, etiam in prima captivitate.

Rom. 11. 11.

Multi scripturæ sacræ libri perditi.

[a] Sic Reg. In editis vero ὡς omittitur totusque sensus mutatur. Hic vero notat Andreas Dounæus, Chrysostomum, qui quærit ubinam reperiatur in veteris Testamenti libris locus ille, cum Paulus inde sumtum indicat, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, &c. non advertisse locum illum Isaiæ, ubi hæc non ad literam quidem, sed eodem sensu feruntur, nempe cap. 64. ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον θεὸν, πλὴν σοῦ, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον.

A Et hoc perſpicuum eſt in Paralipomenis: dicit enim apoſtolus. *A Samuele & iis qui poſtea fuerunt prophetis, omnes de illo dixerunt:* at non omnino hæc ita feruntur. Paulum vero legiſperitum, & ex Spiritu loquentem, veriſimile eſt omnia accurate ſciviſſe. Et quid dico de captivitate? nam etiam ante captivitatem multi periere libri, Judæis in extremam impietatem delapſis, quod palam eſt ex fine quarti libri Regnorum. Deuteronomium enim vix repertum fuit in ſterquilinio defoſſum. Alioquin autem ſunt aliquando duplices prophetiæ, ſapientioribus facile cognitæ, ex quibus occulta multa poſſunt percipi. Quid ergo? non vidit oculus quæ præparavit Deus? Non. Quis enim hominum vidit ea quæ diſpenſanda erant? Num ergo neque auris audivit, nec in cor hominis aſcenderunt? Et quomodo? Si enim prophetæ dixerunt, inquies, quomodo auris non audivit, nec in cor hominis aſcenderunt? Non aſcenderunt. Non enim de ipſis ſolis loquitur, ſed etiam de univerſa natura humana. Quid ergo? Prophetæ non audierunt? Audierunt quidem; at non erat auris hominis, ſed auris prophetica: non enim ut homines audierunt, ſed ut prophetæ. Quapropter dicit: *Adjecit mihi aurem ad audiendum*, adjectionem a Spiritu factam dicens. Unde manifeſtum eſt, quod prius quam audiret, nec in cor quidem hominis aſcenderant. Nam poſtquam datus Spiritus fuerat, cor prophetarum non erat cor hominis, ſed cor ſpirituale, quemadmodum & ipſe ait, *Mentem Chriſti habemus.* Quod dicit autem hujuſmodi eſt. Antequam Spiritu frueremur & arcana ediſceremus, nec ex nobis, nec ex prophetis quiſquam ea intellexit. Quomodo enim cum nec angeli quidem ipſa noſſent? Quid enim, inquit, dicendum eſt de principibus hujus ſæculi, cum nullus homo ea ſciret, neque supernæ poteſtates? Quænam autem ſunt ea? Quod per prædicationis ſtultitiam, quæ talis eſſe videbatur, & Gentes inducentur, & Dei cum hominibus reconciliatio erit, & tot tantaque nobis ventura ſunt bona. Quomodo ergo cognovimus? 10. *Nobis autem*, inquit, *revelavit Deus per Spiritum ſuum.* Non per externam ſapientiam. Ipſa enim tamquam ancilla quædam contemta, non permiſſa fuit intus ingredi, & myſteria Dominica inſpicere.

*Act. 13. 20.* — *Iſai. 50. 4.* — *1. Cor. 2. 16.*

4. Viden' quantum diſcrimen inter hanc & illam ſapientiam? Quæ angeli non noverunt, ea nos hæc docuit; externa vero contrarium fecit: non modo non docuit, ſed etiam impedivit & arcuit: & poſtquam illa facta fuerunt, illa obſcuravit, & crucem exinaniit. Non ergo ex eo quod didicerimus oſtenditur honor nobis conceſſus, nec ex eo quod cum angelis didicerimus; ſed ex eo quod per Spiritum ejus didicerimus.

A καὶ τοῦτο δῆλον ἐν ταῖς Παραλειπομέναις. καὶ γάρ φησιν ὁ ἀπόστολος, ὅτι ἀπὸ Σαμουὴλ καὶ τῶν ἑξῆς προφητῶν πάντες εἰρήκασι περὶ αὐτοῦ. καὶ οὐ πάντως φέρεται ταῦτα· τὸν δὲ Παῦλον ἅτε νομομαθῆ ὄντα, καὶ πνεύματι φθεγγόμενον, εἰκὸς εἰδέναι πάντα μετὰ ἀκριβείας. καὶ τί λέγω περὶ τῆς αἰχμαλωσίας; καὶ γὰρ πρὸ τῆς αἰχμαλωσίας πολλὰ ἠφανίσθη βιβλία, τῶν Ἰουδαίων εἰς ἐσχάτην ἀσέβειαν ἐξοκειλάντων. καὶ δῆλον ἐκ τοῦ τέλους τῆς τετάρτης τῶν Βασιλειῶν. τὸ γὰρ Δευτερονόμιον μόλις που εὕρηται ἐν κοπρίᾳ κατακεχωσμένον· ἄλλως δέ εἰσι καὶ διπλαῖ πολλαχοῦ προφητεῖαι τοῖς συνετωτέροις εὐκατάληπτοι, B ἐξ ὧν πολλὰ τῶν ἀσαφῶν ἔστιν εὑρεῖν. τί οὖν; οὐκ εἶδεν ὀφθαλμὸς, ἃ ἡτοίμασεν ὁ θεός; οὐχί. τίς γὰρ τῶν ἀνθρώπων εἶδε τὰ οἰκονομεῖσθαι μέλλοντα; ἆρα οὖν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; καὶ πῶς; εἰ γὰρ οἱ προφῆται εἶπον, πῶς φησιν, οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; οὐκ ἀνέβη. οὐ γὰρ περὶ αὐτῶν μόνων φησὶν, ἀλλὰ περὶ πάσης τῆς ἀνθρωπίνης φύσεως. τί οὖν; οἱ προφῆται οὐκ ἤκουσαν; ἤκουσαν μὲν, ἀλλ' οὐκ ἦν ἀνθρώπου οὖς τὸ οὖς τὸ προφητικόν. οὐ γὰρ ὡς ἄνθρωποι ἤκουσαν, ἀλλ' ὡς προφῆται. διό φησι, C προσέθηκέ μοι ὠτίον ἀκούειν, τὴν προσθήκην τὴν ἀπὸ τοῦ πνεύματος λέγων. ὅθεν δῆλον ὅτι πρὶν ἢ ἀκοῦσαι, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. μετὰ γὰρ τὴν τοῦ πνεύματος δόσιν οὐκ ἦν καρδία ἀνθρώπου, ἀλλὰ καρδία πνευματικὴ ἡ τῶν προφητῶν, καθάπερ καὶ αὐτός φησι· νοῦν Χριστοῦ ἔχομεν. ὃ δὲ λέγει τοῦτό ἐστι· πρὶν ἢ πνεύματος ἀπολαῦσαι καὶ μαθεῖν τὰ ἀπόρρητα, οὐδὲ ἡμῶν τις, οὐδὲ τῶν προφητῶν αὐτὰ ἐνενόησε. πῶς γὰρ, ὅπου οὐδὲ ἄγγελοι αὐτὰ ᾔδεσαν; τί γὰρ χρὴ λέγειν, φησὶ, περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὅπου γε οὐδεὶς ἀνθρώπων ταῦτα ἠπί- D στατο, οὐδὲ αἱ ἄνω δυνάμεις; ποῖα δὴ ταῦτα; ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας τοῦ κηρύγματος κρατήσει τῆς οἰκουμένης, καὶ τὰ ἔθνη εἰσενεχθήσεται, καὶ καταλλαγὴ τοῦ θεοῦ πρὸς ἀνθρώπους ἔσται, καὶ τοσαῦτα ἡμῖν ἥξει τὰ ἀγαθά. πῶς οὖν ἔγνωμεν; ἡμῖν δέ, φησιν, ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. οὐ διὰ τῆς ἔξωθεν σοφίας. αὕτη γὰρ καθάπερ τις θεράπαινις ἠτιμωμένη, οὐκ ἀφείθη ἔνδον εἰσελθεῖν, καὶ παρακύψαι εἰς τὰ δεσποτικὰ μυστήρια.

E

Ὁρᾷς ὅσον τὸ μέσον τῆς σοφίας ταύτης κἀκείνης; ἅπερ ἄγγελοι οὐκ ἔγνωσαν, ταῦτα ἡμᾶς ἐπαίδευσεν αὕτη. ἡ δὲ ἔξωθεν τοὐναντίον ἐποίησεν· οὐ μόνον οὐκ ἐπαίδευσεν, ἀλλὰ καὶ ἐκώλυσε καὶ διετείχισε, καὶ μετὰ τὸ γενέσθαι ἐπεσκίαζε τοῖς γεγενημένοις, τὸν σταυρὸν κενοῦσα. οὐ τοίνυν [a] τῷ μαθεῖν δείκνυσι τὴν εἰς ἡμᾶς τιμὴν, καὶ τῷ μετὰ ἀγγέλων μαθεῖν, ἀλλὰ καὶ τῷ διὰ τοῦ πνεύματος αὐτοῦ μαθεῖν.

[a] Sic Regius codex. Editi vero τὸ μαθεῖν, & mox τὸ μετὰ ἀγγέλων, &, τὸ διὰ τοῦ πνεύματος.

εἶτα δεικνὺς τὸ μέγεθός, φησίν· ὅτι εἰ μὴ τὸ πνεῦμα τὸ ἐπιστάμενον τὰ ἀπόῤῥητα τοῦ θεοῦ, ἀπεκάλυψεν, οὐκ ἂν ἐμάθομεν. οὕτω περιεσπούδαστον τῷ θεῷ τὸ πρᾶγμα ἦν, ὥστε ἐν τοῖς ἀποῤῥήτοις εἶναι. διὸ καὶ ἐκείνου ἐδεήθημεν διδασκάλου τοῦ ταῦτα σαφῶς εἰδότος. τὸ γὰρ πνεῦμα πάντα, φησὶν, ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν. οὐ γὰρ ἀγνοίας, ἀλλ' ἀκριβοῦς γνώσεως ἐνταῦθα τὸ ἐρευνᾷν ἐνδεικτικόν. ταύτῃ γοῦν τῇ λέξει καὶ ἐπὶ τοῦ θεοῦ κέχρηται λέγων· ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος. εἶτα περὶ τῆς τοῦ πνεύματος γνώσεως μετὰ ἀκριβείας εἰπὼν, καὶ δείξας ὅτι οὕτως ἐξισάζει πρὸς τὴν τοῦ θεοῦ γνῶσιν, ὡς ἡ ἀνθρώπου γνῶσις αὐτὴ πρὸς ἑαυτὴν, καὶ δείξας ὅτι πάντα ἐκεῖθεν ἐμάθομεν, καὶ ἀναγκαίως ἐκεῖθεν, ἐπήγαγεν. ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ὁρᾷς ποῦ ἡμᾶς ἀνήγαγεν ἀπὸ τῆς ἀξίας τοῦ διδασκάλου; τοσοῦτον γὰρ ἡμεῖς ἐκείνων σοφώτεροι, ὅσον τὸ μέσον Πλάτωνός τε καὶ πνεύματος ἁγίου. οἱ μὲν γὰρ τοὺς ἔξωθεν ῥήτορας ἔχουσι διδασκάλους, ἡμεῖς δὲ τὸ πνεῦμα τὸ ἅγιον. τί δέ ἐστι, πνευματικοῖς πνευματικὰ συγκρίνοντες; ὅταν πνευματικὸν καὶ [a] ἄπορον ᾖ, ἀπὸ τῶν πνευματικῶν τὰς μαρτυρίας ἄγομεν. οἷον λέγω, ἀνέστη ὁ Χριστὸς, ὅτι ἀπὸ παρθένου ἐγεννήθη. παράγω μαρτυρίας, καὶ τύπους, καὶ ἀποδείξεις, τοῦ Ἰωνᾶ τὴν ἐν τῷ κήτει διατριβὴν, καὶ τὴν μετὰ ταῦτα ἀπαλλαγὴν, τῶν στειρῶν τοὺς τοκετοὺς, τῆς Σάῤῥας, τῆς Ῥεβέκκας καὶ τῶν λοιπῶν, τὴν ἐν τῷ παραδείσῳ τῶν δένδρων βλάστην γεγενημένην, οὐ σπερμάτων καταβληθέντων, οὐχ ὑετῶν κατενεχθέντων, οὐκ αὔλακος ἀνατμηθείσης. τὰ γὰρ μέλλοντα διεπλάττετο καὶ διεγράφετο, ὡς ἐν σκιᾷ, τοῖς προτέροις, ἵνα πιστευθῇ ταῦτα παραγενόμενα. καὶ δείκνυμεν πάλιν, πῶς ἀπὸ γῆς ἄνθρωπος, καὶ πῶς ἀπὸ ἀνθρώπου μόνου ἡ γυνὴ, καὶ οὐδαμοῦ συνουσία, πῶς αὐτὴ ἡ γῆ ἀπ' οὐδενός, τῆς δυνάμεως τοῦ δημιουργοῦ πανταχοῦ πρὸς πάντα ἀρκούσης. οὕτω πνευματικοῖς πνευματικὰ συγκρίνω, καὶ οὐδαμοῦ χρείαν ἔχω τῆς ἔξωθεν σοφίας, οὐδὲ λογισμῶν, οὐδὲ παρασκευῶν. ἐκεῖνοι γὰρ καὶ παρασαλεύουσι τὴν ἀσθενῆ διάνοιαν καὶ θορυβοῦσι, καὶ ἀποδεῖξαι σαφῶς οὐδὲν ὧν λέγουσιν ἔχουσιν, ἀλλὰ καὶ τοὐναντίον ποιοῦσι· ταράττουσι μᾶλλον, καὶ ζόφου πληροῦσι καὶ ἀπορίας πολλῆς. διό φησι, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ὁρᾷς, ὡς περιττὴν αὐτὴν δείκνυσιν; οὐ μόνον δὲ περιττὴν, ἀλλὰ καὶ ἐναντίαν καὶ βλαβεράν. καὶ γὰρ τὸ εἰπεῖν, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, καὶ ἵνα μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν, τοῦτο ἐδήλωσεν. ἐνταῦθα δὲ δείκνυσιν ὅτι ἀδύνατον θαῤῥοῦντας καὶ τὸ πᾶν ἐπιτρέποντας αὐτῇ, μαθεῖν τι τῶν χρησίμων.

Deinde postquam magnitudinem ostendit, ait: Nisi Spiritus, qui scit arcana Dei, revelasset, non didicissemus. Ita curabat Deus, ut in arcanis esset. Quapropter illo opus habuimus doctore, qui hæc clare sciret. *Spiritus enim omnia scrutatur, etiam profunda Dei.* 11. *Quis enim hominum scit quæ sunt hominis, nisi Spiritus hominis, qui in ipso est? Ita & quæ Dei sunt nemo novit, nisi Spiritus Dei.* 12. *Nos autem non Spiritum mundi accepimus, sed Spiritum qui ex Deo est, ut sciamus quæ a Deo donata sunt nobis.* Hic enim illud *scrutari*, non ignorantiam, sed accuratam scientiam indicat. Hac igitur dictione etiam de Deo loquens usus est dicens: *Qui autem scrutatur corda, novit quis sit sensus Spiritus.* Rom. 8. 27. Deinde cum accurate loquutus esset de cognitione Spiritus, & ostendisset eam ita exæquari cognitioni Dei, ut ipsa hominis cognitio sibi ipsi; & docuisset nos omnia inde didicisse, & inde necessario, subjunxit: 13. *Quæ etiam loquimur, non in doctis humanæ sapientiæ verbis: sed in doctrina Spiritus sancti, spiritualibus spiritualia comparantes.* Viden' quo nos deduxerit ab auctoritate doctoris? Tanto enim illis sumus sapientiores, quantum interest inter Platonem & Spiritum sanctum. Illi enim externos oratores habent magistros, nos autem Spiritum sanctum. Quid sibi vult autem, spiritualia spiritualibus comparantes? Quando spirituale fuerit & dubium, a spiritualibus testimonia ducimus: ut exempli causa, resurrexit Christus, quia de Virgine natus est. Adduco testimonia, figuras & demonstrationes, Jonæ in ceto moras, & liberationem quæ postea fuit, sterilium partus, Saræ & Rebeccæ, & cæterarum: arborum in paradiso productionem non jactis seminibus, non demissis imbribus, non sulco facto. Futura enim figurabantur & describebantur tamquam in umbra prioribus, ut ea crederentur cum advenirent. Et ostendimus rursum quomodo homo ex terra, & quomodo ex solo viro mulier sine ullo coitu: quomodo ipsa terra ex nihilo, creatoris potentia ubique ad omnia sufficiente. Ita spiritualibus spiritualia comparo, & nusquam opus habeo externa sapientia, neque ratiociniis, neque probationibus. Illi namque infirmam mentem concutiunt & conturbant; nec aliquid eorum quæ dicunt demonstrare possunt; sed & contrarium faciunt: turbant magis, caligine replent & dubitatione multa. Ideo ait, *Spiritualibus spiritualia comparantes.* Viden' ut supervacaneam sapientiam illam ostendit? nec solum supervacaneam; sed & contrariam & noxiam. Nam cum dixit, *Ut non evacuetur crux Christi*, &, ut non sit in sapientia hominum fides nostra, hoc significavit. Hic autem ostendit non posse eos qui ipsi confidunt & totum ipsi permittunt, aliquid utile discere.

[a] ἄπορον Savil. aliam in margine lectionem affert, quæ melius quadrare videtur, nempe, ἀπόῤῥητον.

14. *Animalis enim homo non percipit ea quæ sunt Spiritus.* Oportet igitur eam prius deponere. Quid igitur? Reprobata-ne est, inquies, externa sapientia? Atqui opus est Dei. Unde id constat? Non enim ille fecit ipsam, sed tu adinvenisti. Nam hic sapientiam vocat curiosam perquisitionem, & superfluam facundiam. Si quis vero humanam prudentiam hic intelligi dicat, sic etiam in culpa es. Tu enim illam deturpas qui illa male uteris, qui ad Dei damnum & offensionem ab illa exigis id quod non habet. Quia igitur in illa gloriaris & Deum bello impetis, ejus ille imbecillitatem ostendit. Nam bona quoque res est corporis robur. Sed quia Cain illo non ut oportuit usus est, dissolvit illum Deus, & ut tremeret effecit. Vinum quoque bonum est; sed quia immoderate illo usi sunt Judæi, ejus usum Deus sacerdotibus omnino interdixit. Quoniam ergo tu sapientiâ ad Dei despectum usus es, & majorem illam exegisti, quam vires ferrent, ab spe humana te abducens, ejus infirmitatem ostendit. Animalis enim est qui totum dat frigidis ratiociniis, & non putat se ullo superno auxilio opus habere, quod certe amentia est. Nam dedit illam Deus, ut discat & opem suam accipiat; non ut eam sibi ipsi sufficere putet. Etenim oculi pulcri & utiles sunt; sed si voluerint sine luce videre, nihil juvat illos pulcritudo, vel propria virtus, imo etiam lædit. Sic itaque anima si voluerit sine Spiritu videre, sibi ipsi impedimento est. Quomodo igitur, inquies, antehac per seipsam omnia videbat? Nunquam a seipsa, sed habuit rem creatam pro libro propositam in medio.

Contra Hæreticos.

Quia vero, dimissa via qua Deus jussit homines incedere, ut per visibilium pulcritudinem, nossent creatorem, ratiociniis scientiæ sceptra commiserunt, in pelagus impietatis infirmi effecti demersi sunt, statim abyssum malorum inducentes, ac dicentes nihil ex non exstantibus fieri, sed ex materia ingenita, unde etiam hæreses innumeras pepererunt: & in iis quæ valde absurda erant convenerunt; in quibus autem videbantur aliquid sanum quasi in umbra somniare, divulsi ac divisi sunt, ut utrinque deriderentur. Quod enim ex non exstantibus nihil fiat, una omnes pene dixerunt & scripto tradiderunt: idque magno cum studio. In absurda itaque illos impulit diabolus. In utilibus autem, ubi videbantur ceu in ænigmate aliquid ex quæsitis invenire, in his, inquam, contra se pugnavere; verbi gratia, quod immortalis sit anima, quod virtus nullo egeat externorum: ac neque ex necessitate, neque ex fato bonos fieri, aut non tales.

5. Vidistin' diaboli malitiam? Sicubi illos aliquid corruptum dicere vidit, id effecit ut omnes consentirent; sicubi vero aliquid sanum proferre, alios contra ipsos concita-

A ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. δεῖ τοίνυν αὐτὴν ἀποθέσθαι πρότερον. τί οὖν; διαβέβληται, φησιν, ἡ σοφία ἡ ἔξωθεν; καίτοιγε ἔργον ἐστὶ τοῦ θεοῦ. πόθεν δῆλον; οὐ γὰρ αὐτὸς αὐτὴν ἐποίησεν, ἀλλὰ σὺ ἐπεξεῦρες. καὶ γὰρ σοφίαν ἐνταῦθα τὸ περίεργον τῆς ζητήσεως λέγει, καὶ τὴν περιττὴν εὐγλωττίαν. εἰ δὲ τὴν σύνεσιν τὴν ἀνθρωπίνην φαίη τις αὐτὸν λέγειν, καὶ οὕτω τὸ ἔγκλημα σόν. σὺ γὰρ αὐτὴν διαβάλλεις ὁ κακῶς κεχρημένος, ὁ πρὸς βλάβην καὶ ἐναντίωσιν θεοῦ, ἀπαιτῶν αὐτὴν ἅπερ οὐκ εἶχεν. ἐπεὶ οὖν ἐν αὐτῇ

B καυχᾶσαι, καὶ θεῷ πολεμεῖς, ἤλεγξεν αὐτῆς τὴν ἀσθένειαν. ἐπεὶ καὶ ἰσχὺς σώματος καλόν· ἀλλ' ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσατο αὐτῇ ὁ Κάϊν, παρέλυσεν αὐτὸν ὁ θεὸς, καὶ τρέμειν ἐποίησε. καὶ ὁ οἶνος καλόν. ἀλλ' ἐπειδὴ ἀμέτρως ἀπήλαυσαν οἱ Ἰουδαῖοι, καθόλου τοῖς ἱερεῦσιν ἀπηγόρευσεν ὁ θεὸς τοῦ καρποῦ τὴν χρῆσιν. ἐπεὶ οὖν καὶ σὺ τῇ σοφίᾳ εἰς ἀθέτησιν ἀπεχρήσω τοῦ θεοῦ, καὶ μείζονα ἀπῄτησας αὐτὴν τῆς οἰκείας ἰσχύος, ἀπάγων σε τῆς ἀνθρωπίνης ἐλπίδος, ἔδειξεν αὐτῆς τὴν ἀσθένειαν. καὶ γὰρ καὶ ψυχικός ἐστιν ὁ τὸ πᾶν τοῖς [a] λογισμοῖς τοῖς ψυχροῖς διδοὺς, καὶ μὴ νομίζων ἄνωθέν τινος δεῖσθαι

C βοηθείας, ὅπερ ἐστὶν ἀνοίας. καὶ γὰρ ἔδωκεν αὐτὴν ὁ θεὸς, ἵνα μανθάνῃ καὶ δέχηται τὸ παρ' αὐτοῦ, οὐχ ἵνα ἑαυτῇ αὐτὴν ἀρκεῖν νομίζῃ. καὶ γὰρ οἱ ὀφθαλμοὶ καλοὶ καὶ χρήσιμοι, ἀλλ' ἐὰν βούλωνται χωρὶς φωτὸς ὁρᾷν, οὐδὲν αὐτοὺς τὸ κάλλος ὀνίνησιν, οὐδὲ ἡ οἰκεία ἰσχὺς, ἀλλὰ καὶ παραβλάπτει. οὕτω τοίνυν καὶ ψυχὴ, ἐὰν βουληθῇ χωρὶς πνεύματος βλέπειν, καὶ ἐμπόδιον ἑαυτῇ γίνεται. πῶς οὖν πρὸ τούτου, φησὶν, ἀφ' ἑαυτῆς πάντα ἑώρα; οὐδέποτε ἀφ' ἑαυτῆς, ἀλλ' εἶχε τὴν κτίσιν ἀντὶ βιβλίου προκειμένην ἐν μέσῳ. ἐπεὶ δὲ, ἀφέντες βαδίσαι τὴν ὁδὸν ἣν αὐτοῖς ὁ θεὸς ἐκέλευσε, καὶ διὰ τοῦ κάλ-

D λους τῶν ὁρωμένων γνῶναι τὸν δημιουργὸν, λογισμοῖς τὰ σκῆπτρα τῆς γνώσεως ἐνεχείρισαν, εἰς πέλαγος ἀσεβείας ἀσθενήσαντες κατέδυσαν, εὐθέως τὴν ἄβυσσον τῶν κακῶν εἰσάγοντες, καὶ εἰπόντες οὐδὲν ἐξ οὐκ ὄντων γίνεσθαι, ἀλλ' ἐξ ὕλης ἀγεννήτου, ὅθεν καὶ μυρίας ἔτεκον αἱρέσεις. καὶ ἐν μὲν τοῖς σφόδρα ἀτόποις συνεφώνησαν· ἐν δὲ οἷς ἐδόκουν ὑγιές τι κἂν ὡς ἐν σκιαῖς ὀνειρώττειν, ἀλλήλοις συνερράγησαν, ἵν' ἑκατέρωθεν καταγελασθῶσιν. ὅτι μὲν γὰρ ἐξ οὐκ ὄντων οὐδὲν γίνεται, πάντες ὁμοῦ σχεδὸν εἶπον καὶ ἔγρα-

E ψαν, καὶ οὕτω μετὰ πολλῆς τῆς σπουδῆς. ἐν τοῖς ἀτόποις οὖν ἤλασεν αὐτοὺς ὁ διάβολος· ἐν δὲ τοῖς χρησίμοις ἐν οἷς ἔδοξαν κἂν ἐν αἰνίγματί τι τῶν ζητουμένων εὑρίσκειν, ἐν τούτοις ἑαυτοὺς ἐπολέμησαν· οἷον, ὅτι ἀθάνατος ἡ ψυχὴ, καὶ ὅτι ἡ ἀρετὴ οὐδενὸς δεῖται τῶν ἔξωθεν, καὶ ὅτι οὐκ ἀνάγκης οὐδὲ εἱμαρμένης τὸ καλοὺς γενέσθαι, ἢ μὴ τοιούτους.

Εἶδες τοῦ διαβόλου κακουργίαν; εἴπου τι διεφθαρμένον εἶδεν εἰπόντας, ὁμονοῆσαι πάντας ἐποίησεν· εἴπου δέ τι ὑγιὲς φθεγξαμένοις, ἑτέρους κατ' αὐτῶν διήγειρεν·

[a] Sic Regius. Editi vero, λογισμοῖς τῆς ψυχῆς perperam.

ὥστε

ὥστε μήτε τὰ ἄτοπα ἐκπεσεῖν τῇ συμφωνίᾳ βεβαιούμενα, καὶ τὰ χρήσιμα διαρρυῆναι ποικίλως νοούμενα. ὅρα πῶς πανταχοῦ ἄτονος ἡ ψυχὴ, καὶ οὐκ ἀρκεῖ ἑαυτῇ. Καὶ τοῦτο εἰκότως γέγονεν. εἰ γὰρ τοιαύτη γενομένη φιλονεικεῖ μηδενὸς χρείαν ἔχειν, καὶ ἀπάγει ἑαυτὴν τοῦ θεοῦ, εἰ μὴ τοιαύτη ἐγεγόνητο, ποῦ οὐκ ἂν ἐξώκειλε μανίας. εἰ λαβοῦσα σῶμα θνητὸν, ἀπὸ ψευδοῦς ὑποσχέσεως τοῦ διαβόλου προσεδόκησε μείζονα· ἔσεσθε γάρ, φησιν, ὡς θεοί· εἰ καὶ τοῦτο ἐξ ἀρχῆς ἔλαβεν ἀθάνατον, ποῦ οὐκ ἂν ἐξέπεσε; καὶ γὰρ καὶ μετ' ἐκεῖνο ἀγέννητον ἑαυτὴν ἔφησεν εἶναι, καὶ τῆς οὐσίας τοῦ θεοῦ, διὰ τοῦ σεσηπότος στόματος τῶν Μανιχαίων· καὶ τοὺς θεοὺς τοὺς παρ' Ἕλλησιν ἀπὸ ταύτης τῆς νοσήματος τῆς ὑποθέσεως ἀνέπλασε. Διὰ τοῦτό μοι δοκεῖ καὶ τὴν ἀρετὴν ἐπίμοχθον ὁ θεὸς ποιῆσαι, κάμπτων αὐτὴν καὶ εἰς τὸ μετριάζειν ἄγων. ἵνα δὲ μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθὲς, ὡς ἂν εἴ τις ἀπὸ μικρῶν μέγα στοχάσαιτο, ἀπὸ τῶν Ἰσραηλιτῶν αὐτὸ μάθωμεν. οὗτοι γοῦν ἡνίκα οὐκ εἶχον ἐπίμοχθον βίον, ἀλλ' ἀνέσεως ἀπήλαυον, οὐκ ἐνεγκόντες τὴν εὐημερίαν, ἐξώκειλαν εἰς ἀσέβειαν. τί οὖν ὁ θεὸς μετὰ τοῦτο; πλῆθος νομίμων ἐπέθηκε, κωλύων αὐτῶν τὴν ἄδειαν. καὶ ἵνα μάθῃς, ὅτι οὐ πρὸς ἀρετὴν τινα συντελεῖ τὰ νόμιμα ταῦτα, ἀλλ' ἀντὶ χαλινοῦ τινος ἦν αὐτοῖς διδόμενα, ἀφορμὴν ἀσχολίας παρέχοντα, ἄκουσον τί περὶ αὐτῶν ὁ προφήτης φησίν. ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά. τί δέ ἐστιν, οὐ καλά; οὐδὲν μέγα πρὸς ἀρετὴν συντελοῦντα. διὸ καὶ ἐπάγει, δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ τοῖς ὀφθαλμοῖς τούτοις οὐδεὶς ἂν τὰ ἐν τοῖς οὐρανοῖς καταμάθοι· οὕτως οὐδὲ ψυχὴ μόνη τὰ τοῦ πνεύματος. καὶ τί λέγω τὰ ἐν τοῖς οὐρανοῖς; οὐδὲ τὰ ἐν τῇ γῇ ἅπαντα. καὶ γὰρ ὁρῶντες πύργον πόρρωθεν τετράγωνον, στρογγύλον εἶναι νομίζομεν· ἔστι δὲ ὀφθαλμῶν ἀπάτη τὰ τῆς τοιαύτης ὑπολήψεως· οὕτω τοίνυν καὶ ὅταν τὰ πόρρωθεν ἡμῶν πράγματα διὰ τῆς διανοίας μόνης δοκιμάζῃ τις, γέλως πολὺς ἔσται. οὐ γὰρ μόνον, οἷα πέρ ἐστιν αὐτὰ οὐκ ὄψεται, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐστιν ἡγήσεται. διὸ ἐπήγαγε· μωρία γὰρ αὐτῷ ἐστι. τοῦτο δὲ οὐ τῆς φύσεως τοῦ πράγματος, ἀλλὰ τῆς ἀσθενείας τοῦ μὴ δυνηθέντος τοῦ μεγέθους αὐτῶν ἐφικέσθαι διὰ τῶν τῆς ψυχῆς ὄψεων. εἶτα καὶ τὴν αἰτίαν ἀντιτίθησι λέγων· ὅτι οὐκ οἶδεν, ὅτι πνευματικῶς ἀνακρίνεται· τουτέστιν, ὅτι πίστεως δεῖται τὰ λεγόμενα, καὶ λογισμοῖς αὐτὰ καταλαβεῖν οὐκ ἔνι. ὑπερβαίνει γὰρ αὐτῶν τὸ μέγεθος ἐκ πολλοῦ τοῦ περιόντος τῆς ἡμετέρας διανοίας τὴν εὐτέλειαν. διὸ φησιν· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. καὶ γὰρ ὁ βλέπων, πάντα μὲν αὐτὸς καθορᾷ καὶ τὰ τοῦ μὴ βλέποντος, τὰ δὲ ἐκείνου τῶν μὴ βλεπόντων οὐδείς. οὕτω καὶ νῦν, τὰ μὲν ἡμέτερα καὶ τὰ τῶν ἀπίστων πάντα ἴσμεν ἡμεῖς, τὰ δὲ ἡμῶν ἐκεῖνοι λοιπὸν οὐκέτι. καὶ γὰρ ἴσμεν τίς μὲν ἡ τῶν παρόντων πραγμάτων φύσις, τίς δὲ ἡ τῶν μελλόντων ἀξία,

vit; ut absurda non exciderent consensu confirmata; & utilia diffluerent varie intellecta. Vide quomodo anima ubique sit imbecilla, neque sibi sufficiat. Id vero jure merito factum est. Si enim cum talis facta sit contendit se nullo opus habere, & se a Deo abducit; nisi talis facta esset, in quam non amentiam incidisset? Si cum mortale corpus accepisset, ex falsa diaboli promissione majora exspectavit; *Eritis* enim, inquit, *sicut dii*; si hoc etiam ab initio accepisset immortale, quo non esset delapsa? Nam etiam post illud se ingenitam esse dixit, & ex essentia Dei, per putridum os Manichæorum. Occasione etiam hujus morbi diabolus deos apud Græcos effinxit. Ideo videtur mihi Deus laboriosam virtutem fecisse, animam inflectens & deducens ad moderationem. Ut autem discas hoc esse verum, ut quis ex parvis magnum conjiciat, idipsum discamus ex Israelitis. Hi enim cum vitam agerent non laboriosam, & in quiete degerent, felicitatem illam non ferentes, in impietatem sunt delapsi. Quid ergo Deus postea? Multas intulit leges, illorum arcens licentiam. Et ut discas hæc legalia ad virtutem non conferre, sed pro freno quopiam data fuisse, quæ otii occasionem tollerent, audi quid de illis dicat propheta: *Dedi illis præcepta non bona.* Quid sibi vult illud, non bona? nihil magnum ad virtutem conferentia. Ideo subjungit: *Justificationes in quibus non vivent. Animalis autem homo non percipit ea quæ sunt Spiritus.* Quemadmodum enim his oculis nemo didicerit ea quæ in cælis sunt, sic nec anima sola ea quæ sunt Spiritus. Et quid dico ea quæ in cælis? neque ea omnia quæ in terra. Nam procul videntes turrim quadratam, rotundam eam esse putamus: est autem oculorum deceptio talis opinio. Ita etiam quando res procul positas per mentem solam quis examinat, multus consequetur risus. Non solum enim qualia illa sint non videbit; sed etiam contraria iis esse putabit. Ideoque subjunxit: *Stultitia enim est illi.* Hoc autem non ex rei natura provenit; sed ex imbecillitate ejus qui non potest eorum magnitudinem per oculos animæ attingere. Deinde ejus rei causam ex adverso ponit dicens: *Quia non novit quod spiritualiter examinetur*; id est, quod ea quæ dicuntur, fide indigeant, nec rationibus comprehendi possint: eorum quippe magnitudo mentis nostræ vilitatem longo spatio superat: quapropter ait: 15. *Spiritualis autem judicat omnia; ipse autem a nemine judicatur.* Nam qui videt, omnia quidem ipse videt, etiam ea quæ ad non videntem pertinent, quæ autem ipsius, nemo non videntium aspicit. Ita etiam nunc nostra quidem & ea quæ infidelium sunt omnia nos scimus, nostra autem illi non item. Etenim scimus quæ sit præsentium rerum natura, quæ vero sit futurorum di-

Manichæorum os putridum.

Ezech. 20. 25.

gnitas, quid mundus post hæc efficietur, A & quid patientur peccatores, quibus vero fruentur justi, & quod nullius precii sint res præsentes, & scimus, & illorum vilitatem arguimus; dijudicare enim est arguere; & quod futura sint immortalia & immobilia. Hæc omnia novit spiritualis, & quid patietur animalis cum illo migrarit, & quonam fruetur fidelis cum hinc abscesserit, quarum rerum nihil novit animalis. Quamobrem claram dictorum demonstrationem subjungens dicebat: 16. *Quis enim cognovit sensum Domini, aut quis instruxit eum? Nos autem mentem* B *Christi habemus*: id est, ea quæ in mente Christi sunt nos scimus, necnon ea quæ ipse vult & revelavit. Quia enim dixit Spiritum revelasse; ne quis Filium repellat subjunxit, etiam Christum hæc nobis ostendisse: non hoc dicens, nos omnia quæ ipse novit scire; sed omnia quæ scimus non humana esse, ut sint suspecta; sed mentis illius & spiritualia.

6. Mentem enim quam de his habemus, ut Christi mentem habemus; id est, cognitionem quam de rebus fidei habemus, spiritualem habemus; ita ut jure a nemine dijudicemur. Neque enim C potest animalis homo divina cognoscere. Ideo dicebat, *Quis enim cognovit mentem Domini?* Mentem nostram circa res istas, illius esse mentem dicens, & illud, *Qui instruet eum*, non sine causa adjecit; sed respiciens ad id quod jam dixit, *Spiritualem nemo dijudicat.* Si enim nemo potest nosse mentem Domini; multo minus potest illum docere & corrigere; hoc enim sibi vult illud, qui instruet eum. Viden' quomodo undique repellat sapientiam externam, & spiritualem plura & D majora scire ostendat? Quia enim causæ illæ, nempe, ut non glorietur omnis caro; & quod ideo stulta elegerit, ut confunderet sapientes; &, ut non evacuetur crux Christi; infidelibus non admodum fide dignæ neque inducentes, vel necessariæ & utiles videbantur esse, demum apponit principem causam; quia hoc maxime modo videre possumus, ex quo sublimia & arcana, & quæ supra nos sunt scire possimus. Nam evacuabatur ratio, quod ea quæ supra nos sunt per externam sapientiam comprehendere non possemus. Viden' quod sic magis conferebat E ediscere a Spiritu? Est enim hæc doctrina & facillima & clarissima. Nos autem mentem Christi habemus; hoc est, spiritualem, divinam, humanum nihil habentem. Non enim Platonis nec Pythagoræ sensa, sed sua Christus menti nostræ indidit. Ideo igitur pudore afficiamur, dilecti, & vitam exhibeamus optimam: quando & ipse hoc facit magnæ amicitiæ argumentum, cum nobis arcana revelat, dicens, non jam vos dicam servos: omnes enim vos amici mei estis: quia omnia quæ audivi a Patre meo annunciavi vobis;

A καὶ τί ποτε ὁ κόσμος μετὰ ταῦτα γενήσεται· καὶ τί μὲν οἱ ἁμαρτωλοὶ πείσονται, τίνος δὲ ἀπολαύσονται οἱ δίκαιοι, καὶ ὅτι οὐδενὸς ἄξια τὰ παρόντα πράγματα καὶ ἴσμεν, καὶ ἐλέγχομεν αὐτῶν τὴν εὐτέλειαν· τὸ γὰρ ἀνακρίνειν, καὶ ἐλέγχειν ἐστί· καὶ ὅτι τὰ μέλλοντά ἐστιν ἀθάνατα καὶ ἀκίνητα. ταῦτα ἅπαντα οἶδεν ὁ πνευματικὸς, καὶ τί πείσεται ὁ ψυχικὸς ἀπελθὼν ἐκεῖ, καὶ τίνος ἀπολαύσεται ὁ πιστὸς ἐντεῦθεν ἀποδημήσας, ὧν οὐδὲν οἶδεν ὁ ψυχικός. διὸ καὶ σαφῆ τῶν εἰρημένων ἀπόδειξιν ἐπαγαγὼν, ἔλεγε· τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμβιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· B τουτέστι, τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν, καὶ ἅπερ αὐτὸς βούλεται καὶ ἀπεκάλυψεν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι τὸ πνεῦμα ἀπεκάλυψεν, ἵνα μή τις τὸν υἱὸν παρωθήσηται, ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἡμῖν ἔδειξεν· οὐ τοῦτο λέγων, ὅτι πάντα ἃ οἶδεν ἴσμεν, ἀλλ' ὅτι πάντα ἃ οἴδαμεν, οὐκ ἀνθρώπινα, ὥστε ὑποπτευθῆναι, ἀλλὰ τοῦ νοῦ ἐκείνου, καὶ πνευματικά.

Τὸν γὰρ νοῦν, ὃν ἔχομεν [a] περὶ τούτων, τοῦ Χριστοῦ ἔχομεν· τουτέστι, τὴν γνῶσιν ἣν ἔχομεν περὶ τῶν κατὰ τὴν πίστιν πραγμάτων, πνευματικὴν ἔχομεν, ὥστε εἰκότως ὑπ' οὐδενὸς ἀνακρινόμεθα. οὐδὲ γὰρ οἷόν τε τὰ C θεῖα εἰδέναι ἄνθρωπον ψυχικόν. διὸ καὶ ἔλεγε, τίς γὰρ ἔγνω νοῦν κυρίου; τὸν ἡμέτερον νοῦν τὸν περὶ τούτων, ἐκείνου λέγων εἶναι νοῦν. καὶ τὸ, ὃς συμβιβάσει αὐτὸν, οὐχ ἁπλῶς προσέθηκεν, ἀλλὰ πρὸς ὃ εἶπεν ἤδη, ὅτι τὸν πνευματικὸν οὐδεὶς ἀνακρίνει. εἰ γὰρ εἰδέναι οὐδεὶς δύναται τοῦ θεοῦ τὸν νοῦν, πολλῷ μᾶλλον διδάσκειν καὶ διορθοῦσθαι. τοῦτο γάρ ἐστιν, ὃς συμβιβάσει αὐτόν. ὁρᾷς ὡς πανταχόθεν ἐξωθεῖ τὴν σοφίαν τὴν ἔξωθεν, καὶ πλείονα εἰδότα καὶ μείζονα δείκνυσι τὸν πνευ- D ματικόν; ἐπειδὴ γὰρ ἐκεῖναι αἱ αἰτίαι· ἵνα μὴ καυχήσηται πᾶσα σάρξ· καὶ ὅτι διὰ τοῦτο ἐξελέξατο τὰ μωρὰ, ἵνα καταισχύνῃ τοὺς σοφούς· καὶ ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ· οὐ σφόδρα τοῖς ἀπίστοις ἀξιόπιστοι εἶναι ἐδόκουν, οὐδὲ ἐπαγωγοὶ καὶ ἀναγκαῖαι καὶ χρήσιμοι, λοιπὸν τίθησι τὴν κυριωτάτην αἰτίαν, ὅτι τούτῳ μάλιστα τῷ τρόπῳ δυνάμεθα ἰδεῖν, ἐξ οὗ καὶ τὰ ὑψηλὰ καὶ τὰ ἀπόρρητα, καὶ τὰ ὑπὲρ ἡμᾶς μαθεῖν ἔχομεν. καὶ γὰρ ἐκενοῦτο ὁ λόγος τῷ μὴ δύνασθαι ἡμᾶς καταλαβεῖν διὰ τῆς ἔξωθεν σοφίας τὰ ὑπὲρ ἡμᾶς. ὁρᾷς ὅτι καὶ συνέφερεν οὕτω μᾶλλον E μαθεῖν παρὰ τοῦ πνεύματος; καὶ γὰρ καὶ εὐκολωτάτη καὶ σαφεστάτη ἡ διδασκαλία. ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· τουτέστι, πνευματικὸν, θεῖον, οὐδὲν ἀνθρώπινον ἔχοντα. οὐ γὰρ Πλάτωνος, οὐδὲ Πυθαγόρου, ἀλλ' ὁ Χριστὸς τὰ ἑαυτοῦ τῇ ἡμετέρᾳ ἐνέθηκε διανοίᾳ. τοῦτο τοίνυν αἰδεσθῶμεν, ἀγαπητοὶ, καὶ βίον ἐπιδειξώμεθα ἄριστον· ἐπεὶ καὶ αὐτὸς τοῦτο ποιεῖται πολλῆς φιλίας τεκμήριον, τὸ τὰ ἀπόρρητα ἡμῖν ἀνακαλύπτειν, λέγων, οὐκέτι ὑμᾶς λέγω δούλους. πάντες γὰρ ὑμεῖς φίλοι μού ἐστε· ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρὸς ἀπήγγειλα ὑμῖν,

a Editi, περὶ τούτων πάντα. Sed πάντα abest a Regio codice, & quod perperam irrepserit, expunctum est.

τουτέστιν, ἐθάῤῥησα ὑμῖν. Εἰ δὲ τοῦτο μόνον φιλίας τεκμήριον, τὸ θαῤῥῆσαι, ὅταν φαίνηται μὴ θαῤῥήσας μόνον τὰ διὰ ῥημάτων μυστήρια, ἀλλὰ καὶ αὐτὰ ταῦτα διὰ τῶν ἔργων ἡμῖν χαρισάμενος, ἐννόησον πόσης ἀγάπης ἐστὶ τὸ γινόμενον; τοῦτο γοῦν αἰσχυνθῶμεν· καὶ εἰ μηδεὶς γεέννης τοσοῦτος λόγος ἔσται ἡμῖν, ἀλλ᾽ ἔστω γεέννης φοβερώτερον, τὸ περὶ τὸν οὕτω φίλον καὶ εὐεργέτην ἀγνώμονας γίνεσθαι καὶ ἀχαρίστους· μηδὲ ὡς μισθωτοὶ οἰκέται, ἀλλ᾽ ὡς υἱοὶ καὶ ἐλεύθεροι πάντα πράττωμεν διὰ τὴν τοῦ πατρὸς φιλίαν· καὶ παυσώμεθά ποτε τῷ κόσμῳ προσηλωμένοι, ἵνα καὶ Ἕλληνας καταισχύνωμεν· ἐπεὶ καὶ νῦν βουλόμενος πρὸς αὐτοὺς ἀνατείνασθαι, ἀναδύομαι, μήποτε τοῖς λόγοις αὐτοὺς νικῶντες καὶ τῇ τῶν δογμάτων ἀληθείᾳ, πολὺν τὸν καταγέλωτα ἀπὸ τῆς τοῦ βίου συγκρίσεως ἡμῖν ἐνέγκωμεν· ὅταν οἱ μὲν τῇ πλάνῃ προσέχοντες καὶ μηδὲν τοιοῦτο πεπεισμένοι, φιλοσοφίας ἔχωνται, ἡμεῖς δὲ τοὐναντίον ἅπαν· πλὴν ὅμως ἐρῶ. ἴσως γὰρ, ἴσως μελετῶντες πρὸς αὐτοὺς μάχεσθαι, φιλονεικήσομεν βελτίους αὐτῶν γίνεσθαι καὶ κατὰ τὸν βίον αὐτόν. πρώην μὲν ἔλεγον, ὅτι οὐκ ἂν ἐπῆλθε κηρύξαι τοῖς ἀποστόλοις ἅπερ ἐκήρυξαν, εἰ μὴ θείας ἀπήλαυσαν χάριτος· καὶ ὅτι οὐ μόνον οὐ κατώρθωσαν, ἀλλ᾽ οὐδ᾽ ἂν ἐβουλεύσαντό τι τοιοῦτον· φέρε δὴ καὶ σήμερον αὐτὸ τοῦτο ἐπεξέλθωμεν τῷ λόγῳ· καὶ δείξωμεν, ὡς ἀδύνατον ἦν τοῦτο κἂν ἑλέσθαι καὶ ἐννοῆσαι, εἰ μὴ τὸν Χριστὸν εἶχον μεθ᾽ ἑαυτῶν· οὐκ ἐπειδὴ ἀσθενεῖς πρὸς ἰσχυροὺς, οὐκ ἐπειδὴ ὀλίγοι πρὸς πολλοὺς, οὐκ ἐπειδὴ πένητες πρὸς πλουσίους, οὐδὲ ἐπειδὴ ἀμαθεῖς πρὸς σοφοὺς παρετάττοντο, ἀλλ᾽ ἐπειδὴ καὶ τῆς προλήψεως πολλὴ ἦν ἡ ἰσχύς. ἴστε γὰρ ὡς οὐδὲν οὕτως ἰσχυρὸν παρὰ ἀνθρώποις, ὡς συνηθείας παλαιᾶς τυραννίς. ὥστε εἰ καὶ μὴ δώδεκα ἦσαν μόνον, μηδὲ οὕτως εὐτελεῖς, καὶ τοιοῦτοι, ἀλλ᾽ ἑτέρα οἰκουμένη τοσαύτη, καὶ πλῆθος ἀντίῤῥοπον εἶχον μεθ᾽ ἑαυτῶν τεταγμένον, ἢ καὶ πολλῷ πλείους, καὶ οὕτω δύσκολον ἦν τὸ γινόμενον. ἐκείνοις μὲν γὰρ ἡ συνήθεια συνέπραττε, τούτοις δὲ ἡ καινοτομία ἠναντιοῦτο. οὐδὲν γὰρ οὕτω θορυβεῖ ψυχὴν, κἂν ἐπὶ χρησίμῳ τινὶ γίνηται, ὡς καινοτομεῖν τι καὶ ξενίζειν, καὶ μάλιστα ὅταν περὶ λατρείας καὶ περὶ τῆς τοῦ θεοῦ δόξης τοῦτο γίνηται. καὶ ὅση τούτου τοῦ πράγματος ἡ ἰσχὺς, ἤδη ποιήσω φανερόν. πρότερον ἐκεῖνο εἰπὼν, ὅτι καὶ ἑτέρα δυσκολία προσῆν πρὸς Ἰουδαίους. ἐπὶ μὲν γὰρ τῶν Ἑλλήνων καὶ τοὺς θεοὺς καὶ τὰ δόγματα αὐτῶν κατέλυσαν ἅπαντα, Ἰουδαίοις δὲ οὐχ οὕτω διελέγοντο· ἀλλὰ τῶν μὲν δογμάτων πολλὰ ἔπαυσαν, τὸν δὲ θεὸν τὸν νομοθετήσαντα προσκυνεῖν ἐκέλευσαν. καὶ λέγοντες, ὅτι δεῖ θεραπεύειν τὸν νομοθέτην, ἔλεγον, μὴ πάντα πείθου τῷ νόμῳ τῷ παρ᾽ ἐκείνου τεθέντι, οἷον ἐν τῷ φυλάττειν τὸ σάββατον, ἢ περιτομὴν τηρεῖν, ἢ θυσίας προσάγειν, ἢ ἄλλο τι τῶν τοιούτων ποιεῖν. ὥστε οὐ μόνον ἡ θυσία ἐμπόδιον ἦν, ἀλλὰ καὶ τὸ τὸν θεὸν προσκυνεῖν κελεύοντας,



A id est, cum fiducia tradidi vobis. Si autem hoc solum est amicitiæ argumentum, fidere; cum palam sit eum non modo cum fiducia verborum mysteria tradidisse; sed eadem ipsa operibus nobis largitum esse, cogita quantæ illud sit amicitiæ. Hac ergo de re pudore afficiamur. Et si nulla nobis tanta habeatur gehennæ ratio; at sit nobis gehenna terribilius, quod erga adeo amicum & beneficum ingrati simus. Neque ut mercenarii famuli; sed ut filii & liberi omnia faciamus propter amicitiam Patris, & tandem cessemus mundo addicti esse, ut
B etiam Gentes pudore afficiamus. Nam nunc cum velim contra illos disputare, renuo; ne dum illos rationibus & dogmatum veritate vincimus, ingentem nobis risum ex vitæ comparatione inferamus; quando illi qui errori addicti sunt, & qui nihil hujusmodi persuasum habent, philosophiæ dant operam; nos autem plane contrarium facimus. Attamen dicam: fortassis enim, fortassis adversus illos pugnare meditantes, vita etiam illis meliores effici contendemus. Nuper dicebam, apostolos ea quæ prædicarunt
C nunquam prædicaturos fuisse; nisi divina movente gratia; & non modo id non perfecturos, sed neque hac de re consultaturos fuisse. Age vero, hodie quoque eam rem excutiamus, ostendamusque, non potuisse eos id suscipere vel cogitare, nisi Christum secum habuissent; non quia imbecilli adversus fortes; non quia pauci contra multos; non quia pauperes contra divites; non quia indocti contra sapientes aciem instruebant; sed quia præjudicatæ opinionis magna vis erat. Scitis enim nihil apud homines validius esse,
D veteris consuetudinis tyrannide. Quamobrem etiamsi non duodecim tantum numero fuissent, neque ita viles & quales erant; sed alius orbis fuisset huic par, ac multitudinem habuissent adversæ sibi æqualem, imo multo majorem, sic quoque difficilis res fuisset. Illis namque opem ferebat consuetudo, his vero novitas adversabatur. Nihil enim ita turbat animum, etiamsi utile quidpiam aggrediatur, ut innovare & peregrinum quid inducere, maxime cum de cultu religionis & de Dei gloria agitur. Et quanta sit hujus rei vis, jam palam faciam. Primo
E illud dicam; alteram fuisse difficultatem circa Judæos. Nam quod ad Gentiles spectat, & deos & dogmata illorum confutabantur omnia; apud Judæos autem non ita disputabant. Sed ex dogmatibus multa abrogabant, Deum vero qui legem posuerat adorare jubebant: & cum dicerent oportere legislatorem colere, addebant, Ne in omnibus obsequaris legi ab illo positæ; verbi gratia, in observatione sabbati, aut circumcisionis, aut sacrificiorum, aut aliorum similium. Itaque non modo sacrificium impedimento erat; sed etiam quod cum Deum juberent adorare,

multas ipsius leges abrogare præciperent. Apud Gentiles autem magna erat consuetudinis tyrannis.

7. Etenim etiamsi decem annorum tantum, nec dico tanti temporis: etsi paucorum hominum, nec dico totius orbis consuetudinem aggressi illi fuissent; sic quoque mutatio difficilis fuisset. Nunc autem & sophistæ & oratores, & patres, & avi & abavi, & multi antiquiores, errore erant præoccupati: & terra, mare, montes, saltus, Barbarorum omnia genera, Græcorum populi omnes, sapientes, idiotæ, principes, subditi, mulieres & viri, juvenes & senes, heri & servi, agricolæ & artifices, qui urbes & qui vicos incolebant omnes, & par erat illos omnes catechumenos dicere. Quid hoc est? Omnes-ne qui orbem incolunt sunt decepti? Sophistæ, oratores, philosophi, scriptores, & qui nunc sunt & qui ante fuerunt, Pythagoras & Plato, Duces, Consules, Imperatores, urbium ab initio cives & habitatores, Barbari & Græci? Et duodecim piscatores ac tentoriorum artifices atque publicani, illis omnibus sunt sapientiores? Et quis hæc ferre potuerit? Attamen hæc non dixerunt, nec cogitarunt, sed quieti sustinuerunt: noveruntque illos esse omnium sapientissimos: ideoque omnes superaverunt. Et ut discas quanta sit vis consuetudinis, ea Dei præcepta sæpe superavit. Et quid dico præcepta? Ipsa quoque beneficia. Judæi enim manna habentes, quærebant allia; & libertate fruentes, servitutis recordabantur & Ægyptum frequenter optabant ob consuetudinem; adeo tyrannica est consuetudo. Et si velis etiam ab exteris id discere, dicitur Plato, etiamsi probe sciret errorem esse ea, quæ de diis dicebantur, ad festos dies colendos & ad cætera omnia se demisisse, ut qui non posset consuetudinem impugnare, ac re ipsa a magistro hoc edidicerat. Hic enim cum in suspicionem innovationis venisset, tantum abfuit ut quod optabat perficeret, ut etiam vitam amiserit, etiamsi apologia sese purgasset. Quot etiam nunc videmus homines, ex præjudicata opinione in impietate detentos, qui nihil possunt rationi consonum dicere, cum accusantur quod ut Gentiles sentiant, allegantque, patres, avos & proavos? Ideo exterorum quidam consuetudinem secundam naturam vocant. Cum autem in dogmatibus consuetudo adest, ea firmior est. Omnia enim facilius mutaverint, quam cultum, & pudor una cum consuetudine, ad impediendum satis erat, & quod videantur in extrema senectute dediscere, etiamque ab iis qui minus intelligerent. Et quid miraris si in anima id eveniat, quando etiam in corpore magnam vim consuetudo habet. Apostolorum vero tempore aliud erat majus impedimen-

A πολλοὺς τῶν ἐκείνου λύειν κελεύειν νόμους. ἐπὶ δὲ τῶν Ἑλλήνων μεγάλη τῆς συνηθείας ἦν ἡ τυραννίς.

Καὶ γὰρ εἰ τῶν δέκα ἐτῶν μόνον, οὐ λέγω χρόνου τοσούτου, καὶ εἰ ἀνθρώπων ὀλίγων, οὐ λέγω τῆς οἰκουμένης ἁπάσης, ὑπὸ συνηθείας προκατειλημμένων ἐπῆλθον οὗτοι, καὶ οὕτω δύσκολος ἦν ἡ μετάστασις· νυνὶ δὲ καὶ σοφισταὶ καὶ ῥήτορες, καὶ πατέρες, καὶ πάπποι, καὶ πολλοὶ τῶν τούτων ἀνωτέρω, τῇ πλάνῃ ἦσαν προκατειλημμένοι, καὶ γῆ, καὶ θάλαττα, καὶ ὄρη, καὶ νάπαι, καὶ βαρβάρων πάντα τὰ γένη, καὶ Ἑλλήνων δῆμοι πάν-
B τες, καὶ σοφοὶ, καὶ ἰδιῶται, ἄρχοντες καὶ ἀρχόμενοι, καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, καὶ δεσπόται καὶ οἰκέται, καὶ γηπόνοι καὶ δημιουργοὶ, καὶ οἱ τὰς πόλεις καὶ οἱ τὰς χώρας οἰκοῦντες ἅπαντες. καὶ εἰκὸς ἦν τοὺς κατηχουμένους λέγειν· τί ποτε τοῦτό ἐστι; πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἠπάτηνται, καὶ σοφισταὶ καὶ ῥήτορες, καὶ φιλόσοφοι καὶ συγγραφεῖς, οἵ τε παρόντες, οἵ τε πρὸ τούτου γενόμενοι, οἱ περὶ Πυθαγόραν καὶ Πλάτωνα, καὶ στρατηγοὶ, καὶ ὕπατοι, καὶ βασιλεῖς, καὶ οἱ τῶν πόλεων ἐξ ἀρχῆς πολῖται καὶ οἰκισταὶ, καὶ βάρβαροι καὶ Ἕλληνες; καὶ οἱ δώδεκα ἁλιεῖς, καὶ σκηνοποιοὶ, καὶ τελῶναι πάν-
C των ἐκείνων εἰσὶ σοφώτεροι; καὶ τίς ἂν ταῦτα ἀνάσχοιτο; ἀλλ' ὅμως οὐκ εἶπον ταῦτα, οὐκ ἐνενόησαν, ἀλλ' ἠνέσχοντο, καὶ ἔγνωσαν ὅτι πάντων ἦσαν σοφώτεροι· διὸ καὶ πάντων [a] ἐκράτησαν. καὶ ἵνα μάθῃς πόση τῆς συνηθείας ἐστὶν ἡ ἰσχὺς, τῶν τοῦ θεοῦ προσταγμάτων πολλάκις ἐκράτησε. καὶ τί λέγω, προσταγμάτων; αὐτῶν μὲν τῶν εὐεργεσιῶν. καὶ γὰρ οἱ Ἰουδαῖοι μάννα ἔχοντες, σκόροδα ἐζήτουν· καὶ ἐλευθερίας ἀπολαύοντες, τῆς δουλείας ἐμέμνηντο, καὶ Αἴγυπτον συνεχῶς ἐπεζήτουν διὰ τὴν συνήθειαν. οὕτως ἡ συνήθεια τυραννικόν. εἰ δὲ βούλει καὶ ἐκ τῶν ἔξωθεν αὐτὴν μαθεῖν, λέγεται Πλάτων, καίτοιγε ἀκριβῶς εἰδὼς
D ὅτι πλάνη τις ἦν τὰ περὶ θεῶν, καὶ ταῖς ἑορταῖς καὶ τοῖς ἄλλοις ἅπασι συγκαταβῆναι, ἅτε οὐ κατισχύων συνηθείᾳ πολεμῆσαι, καὶ ἔργῳ παρὰ τοῦ διδασκάλου τοῦτο μαθών. καὶ γὰρ ἐκεῖνος ὑποπτευθεὶς ἐπὶ καινοτομίᾳ τινὶ τοιαύτῃ, τοσοῦτον ἀπέσχε τοῦ κατορθῶσαι ὅπερ ἐβούλετο, ὅτι καὶ τοῦ ζῆν ἐξέπεσε, καὶ ταῦτα ἀπολογησάμενος. πόσους δὲ καὶ νῦν ὁρῶμεν ἀνθρώπους ἀπὸ προλήψεως κατεχομένους ἐν ἀσεβείᾳ, καὶ εὔλογον μὲν οὐδὲν ἔχοντας εἰπεῖν, ἐπειδὰν ἐγκαλοῖντο Ἕλληνες ὄντες, πατέρας δὲ καὶ πάππους καὶ ἐπιπάππους προβαλλομένους; διὰ δὴ τοῦτο καί τινες τῶν ἔξωθεν, δευτέραν φύσιν τὴν
E συνήθειαν ἐκάλεσαν. ὅταν δὲ καὶ ἐν δόγμασιν ἡ συνήθεια ᾖ, βεβαιοτέρα γίνεται. πάντα γάρ τις εὐκολώτερον ἀμείψειεν, ἢ τὰ περὶ θρησκείας. καὶ τὸ αἰσχύνεσθαι δὲ μετὰ τῆς συνηθείας ἱκανὸν ἦν ἐμποδίσαι, καὶ τὸ δοκεῖν ἐν ἐσχάτῳ γήρᾳ μεταμαθεῖν, καὶ παρὰ τῶν ἀσυνετωτέρων. καὶ τί θαυμάζεις εἰ ἐπὶ ψυχῆς ταῦτα συμβαίνει, ὅπουγε καὶ ἐπὶ σώματος μεγάλην ἔχει τὴν ἰσχὺν ἡ συνήθεια; ἐπὶ δὲ τῶν ἀποστόλων καὶ ἕτερον ἦν δυνατώτερον τούτων ἐμπόδισμα,

[a] Reg. ἐκράτησαν. καὶ οὐδὲν πρὸς τοῦτο ἐνεπόδισεν ἡ συνήθεια, καίτοι δοκοῦσα ἄμαχος εἶναι, τὴν ἀπὸ τοῦ χρόνου προσλαβοῦσα περίοδον, καὶ ἵνα μάθῃς.

τὸ μὴ μόνον συνήθειαν ἀμείβειν οὕτω παλαιὰν καὶ ἀρχαίαν, ἀλλὰ καὶ μετὰ κινδύνων τὴν μετάστασιν ποιεῖσθαι. οὐ γὰρ ἁπλῶς ἀπὸ συνηθείας εἰς συνήθειαν εἷλκον, ἀλλ᾽ ἀπὸ συνηθείας ἄδειαν ἐχούσης εἰς πρᾶγμα κινδύνοις ἀπειλοῦν. τὸν γὰρ πιστεύοντα ἔδει εὐθέως δημεύεσθαι, ἐλαύνεσθαι, πατρίδος ἐκπίπτειν, τὰ ἔσχατα πάσχειν δεινὰ, παρὰ πάντων μισεῖσθαι, κοινὸν εἶναι πολέμιον καὶ ἰδίοις καὶ ἀλλοτρίοις. ὥστε εἰ καὶ ἐπὶ συνήθειαν ἐκάλουν ἀπὸ καινοτομίας, καὶ οὕτω δύσκολον τὸ πρᾶγμα ἦν· ὅπου δὲ ἀπὸ συνηθείας εἰς καινοτομίαν, καὶ ταῦτα προσῆν τὰ δεινὰ, ἐννόησον πόσον ἦν τὸ ἐμπόδισμα. καὶ τῶν εἰρημένων δὲ πάλιν ἕτερον οὐκ ἔλαττον προσέκειτο τούτοις τὸ ποιοῦν δύσκολον τὴν μετάστασιν. μετὰ γὰρ τῆς συνηθείας καὶ τῶν κινδύνων, καὶ ταῦτα τὰ ἐπιτάγματα φορτικώτερα ἦν, καὶ ὧν ἀπῆγον, ῥάδιά τε καὶ εὔκολα. ἀπὸ γὰρ πορνείας ἐπὶ σωφροσύνην ἐκάλουν, ἀπὸ φιλοζωΐας ἐπὶ θανάτους, ἀπὸ μέθης ἐπὶ νηστείαν, ἀπὸ γέλωτος ἐπὶ δάκρυα καὶ κατάνυξιν, ἀπὸ πλεονεξίας ἐπὶ ἀκτημοσύνην, ἀπὸ ἀδείας ἐπὶ κινδύνους· καὶ τὴν ἐσχάτην διὰ πάντων ἀπῄτουν ἀκρίβειαν. αἰσχρότης γὰρ, φησὶ, καὶ μωρολογία, καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. καὶ ταῦτα ἔλεγον τοῖς οὐδὲν ἄλλο εἰδόσιν, ἢ μεθύειν, καὶ γαστρίζεσθαι, τοῖς ἑορτὰς ἐπιτελοῦσιν οὐδαμόθεν ἄλλοθεν συνεστώσας, ἢ ἀπὸ αἰσχρότητος, καὶ γέλωτος, καὶ κωμῳδίας ἁπάσης. ὥστε οὐ τῷ φιλοσοφία εἶναι τὰ πράγματα, φορτικὰ ἦν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ τῷ ἀνθρώποις λέγεσθαι ἐν ἀδείᾳ τραφεῖσι καὶ αἰσχρότητι καὶ μωρολογίᾳ καὶ γέλωτι καὶ κώμοις. τίς γὰρ τῶν ἐν ἐκείνοις βεβιωκότων ἀκούων, ὅτι ἐὰν μή τις ἄρῃ ἑαυτοῦ τὸν σταυρὸν, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος· καὶ, ὅτι οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν, καὶ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, οὐκ ἂν ἐνάρκησε;

Τίς δὲ ἀκούων, ὅτι ἐὰν μή τις ἀποτάξηται καὶ οἰκίᾳ καὶ πατρίδι καὶ χρήμασιν, οὐκ ἔστι μου ἄξιος, οὐκ ἂν ὤκνησεν, οὐκ ἀπηγόρευσεν; ἀλλ᾽ ὅμως οὐ μόνον οὐκ ἐνάρκων, οὐδὲ ἀνεδύοντο ταῦτα ἀκούοντες, ἀλλὰ προσέτρεχον καὶ ἐπεπήδων τοῖς δεινοῖς, καὶ ἥρπαζον τὰ ἐπιταττόμενα. τὸ δὲ ἀκούειν, ὅτι παντὸς ῥήματος ἀργοῦ δώσομεν δίκας· καὶ, ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ὀφθεῖσαν· καὶ, ὁ ὀργισθεὶς εἰκῇ, εἰς γέενναν πεσεῖται, τίνα οὐκ ἂν τῶν τότε ἀπεσόβησεν; ἀλλ᾽ ὅμως πάντες ἐπέδραμον, καὶ πολλοὶ καὶ ὑπὲρ τὰ σκάμματα ἥλλοντο. τί οὖν αὐτοὺς ἐπήγετο; οὐκ εὔδηλον ὅτι ἡ δύναμις τοῦ κηρυττομένου; εἰ γὰρ μὴ τοῦτο ἦν, τοὐναντίον δὲ ἦν, ἐκεῖνοι μὲν οὗτοι, οὗτοι δὲ ἦσαν ἐκεῖνοι, ἆρ᾽ ἂν εὔκολον ἦν ἕλκειν καὶ ἑλκῦσαι τοὺς ἐναντιουμένους; οὐκ ἔστιν εἰπεῖν. ὥστε διὰ πάντων δείκνυται θεία δύναμις οὖσα ἡ κατορθώσασα. ἐπεὶ πόθεν ἔπεισαν, εἰπέ μοι, τοὺς χαύνους καὶ τοὺς διαῤῥέοντας,

A tum, quod non modo consuetudo tam antiqua mutaretur; sed etiam quod mutatio illa cum periculo fieret. Non modo enim a consuetudine ad consuetudinem trahebant; sed a consuetudine securitatem habente, ad rem pericula minitantem. Credentem statim accidebat publicari, pelli, a patria excidere, ab omnibus odio haberi, communem hostem esse & suis & alienis. Itaque etiamsi vocassent a novitate ad consuetudinem, etiam sic difficilis res fuisset: cum autem a consuetudine ad novitatem vocarent, & hæc adessent mala: cogita quantum B erat illud impedimentum: præter ea autem quæ dicta sunt, aliud non levius erat quod mutationem difficilem redderet. Ad consuetudinem enim & ad pericula id addas, quod hæc præcepta onerosiora essent, & ea, a quibus abducebant, levia & facilia. Nam a fornicatione ad castitatem vocabant, ab amore vitæ ad mortem, ab ebrietate ad jejunium, a risu ad lacrymas & compunctionem, ab avaritia ad paupertatem, a securitate ad pericula: & per omnia extremam exigebant accurationem. Nam ait: C *Turpitudo & stultiloquium & scurrilitas, ne exeant ab ore vestro.* Et hæc dicebant iis qui nihil aliud sciebant, quam inebriari, ventri indulgere, iis qui dies festos agebant, non alio modo consistentes, quam ex turpitudine, risu, & universa comœdia. Itaque non modo quod philosophiam exigerent, onerosa illa præcepta erant; sed quod hominibus proferrentur, qui in licentia, turpitudine, stultiloquio, risu, rebusque comicis educati essent. Quis enim qui in talibus vitam duxerit, cum audit, *Nisi quis tollat crucem suam & sequatur me, non est me dignus;* &, *Non veni pacem mittere, sed gladium, & separare hominem a patre suo, & filiam a matre sua;* non obtorpuerit? D

8. Quis autem audiens, Nisi quis renunciaverit domui, patriæ & divitiis, non est me dignus, non dubitaverit, non repudiaverit? Attamen non modo non obtorpuerunt, non modo non respuerunt hæc audientes; sed etiam accurrebant, & ad gravia insiliebant, ac quæ præcipiebantur arripiebant. Audire autem illud, de omni verbo otioso rationem redituri sumus; &, Qui respicit mulierem ad E concupiscendum eam, jam mœchatus est eam; &, Qui irascitur temere, in gehennam incidet, quem non abegisset eorum qui tunc erant? Attamen omnes accurrebant, & multi etiam septa transiliebant. Quid ergo illos inducebat? Annon virtus ejus qui prædicabatur, ut palam est? Nisi enim hoc esset & contrarium esset, & illi isti fuissent, isti vero illi; an fuisset facile repugnantes trahere? Dici certe id non potest. Itaque per omnia ostenditur divinam virtutem fuisse quæ hæc perfecit. Nam unde, quæso, persuaserunt mollibus & diffluentibus, ad vi-

Ephes. 5. 4. — Matt. 16. 24. — Matt. 10. 34. — Luc. 14. 33. — Matt. 12. 36. — Matt. 5. 28.

tam ducentes duram & asperam? Sed praecepta quidem hujusmodi erant. Videamus autem an dogma vim haberet alliciendi. Atqui hoc ipsum satis erat ad abigendos infideles. Quid enim dicebant ii, qui praedicabant? Crucifixum esse adorandum illumque Deum esse putandum, qui ex Judaea muliere natus esset. Ecquis illis credidisset, nisi movente divina virtute? Quod enim crucifixus & sepultus fuisset, omnes sciebant; quod autem resurrexisset & ascendisset, praeter apostolos nemo viderat. At promissis illos erigebant, inquies, & verborum sono deceperunt. Hoc ipsum vero maxime ostendit praeter ea omnia quae dicta sunt, res nostras non esse fallaciam: nam difficilia omnia, hinc eveniebant; utilia vero post resurrectionem promitti oportebat. Hoc ipsum autem, iterum dicam, ostendit praedicationem nostram divinam esse. Cur enim nemo credentium dixit, Non accedo, neque ferre possum: difficilia mihi hic comminaris, & bona post resurrectionem promittis? Undenam liquet resurrectionem futuram esse? Quis eorum qui decesserunt venit? Quis mortuorum resurrexit? Quis horum dixit quid futurum sit post nostrum hinc exitum? At nihil horum cogitarunt; sed & animas dederunt pro crucifixo. Itaque hoc ipsum maximae virtutis erat, quod cum nihil horum unquam audissent, statim de tantis rebus persuaderentur, & sese appararent ut difficilia in experimentum acciperent, bona vero in spe haberent. Si autem decipere voluissent contrarium facturi erant; hic bona promisissent, & terribilia tacuissent, tam praesentia, quam futura. Ita enim facere solent qui decipiunt & adulantur. Nihil asperum, durum vel onerosum proponunt, sed contrarium totum; haec quippe fallacia est. Sed multorum amentia, inquies, fecit ut dictis fidem haberent? Quid dicis? Quando sub Graecis fuere, non erant stulti; sed quando ad nos translati sunt, tunc stulti evaserunt? Atqui non alios homines, neque ex alio orbe accipientes apostoli ad fidem deduxerunt: quamquam Gentilium instituta simpliciter tenebant; nostra vero cum periculo susceperunt. Itaque si cum majori ratione illa tenuissent, cum tanto tempore in illis vixissent, non ab illis abscessissent, cum maxime non absque periculo abscedere possent. Postquam autem ex ipsa rerum natura cognoverunt, ridicula illa esse & errore plena; ideo, cum etiam mortis minae intentarentur, a consuetis resilierunt, & ad nova confugerunt, utpote cum hoc dogma secundum naturam esset, illud vero praeter naturam. At qui credebant, inquies, erant famuli, mulieres, nutrices, obstetrices & eunuchi. At non ex his solum nobis constituta est ecclesia, quod utique est omnibus manifestum. Si autem ab his, hoc maxime

A ἐπὶ τὸν σκληρὸν καὶ τραχὺν φέροντες βίον, ἀλλὰ τὰ μὲν παραγγέλματα τοιαῦτα· ἴδωμεν δὲ μήποτε τὸ δόγμα ἐπαγωγὸν ἦν. καὶ μὴν κατὰ τοῦτο ἱκανὸν ἦν τοὺς ἀπίστους ἀποσοβῆσαι. τί γὰρ ἔλεγον οἱ κηρύττοντες; ὅτι τὸν ἐσταυρωμένον δεῖ προσκυνεῖν, καὶ τοῦτον θεὸν νομίζειν, τὸν ἐκ γυναικὸς γεννηθέντα Ἰουδαίας. καὶ τίς ἂν τούτοις ἐπείσθη, μὴ θείας δυνάμεως προηγουμένης; ὅτι μὲν γὰρ ἐσταυρώθη καὶ ἐτάφη, πάντες εἶδον· ὅτι δὲ ἀνέστη καὶ ἀνῆλθε, πλὴν τῶν ἀποστόλων, οὐδεὶς ἐθεάσατο. ἀλλ' ἐπαγγελίαις αὐτοὺς ἐπῆραν, φησὶ, καὶ ψόφῳ ῥημάτων ἠπάτησαν.
B τοῦτο μὲν οὖν αὐτὸ μάλιστα δείκνυσι, καὶ χωρὶς τῶν εἰρημένων ἁπάντων, ὅτι οὐκ ἔστιν ἀπάτη τὰ ἡμέτερα. τὰ μὲν γὰρ δυσχερῆ πάντα, ἐντεῦθεν συνέβαινε· τὰ δὲ χρηστὰ, μετὰ τὴν ἀνάστασιν ἐπαγγείλασθαι ἔδει. αὐτὸ μὲν οὖν τοῦτο, πάλιν γὰρ ἐρῶ, δείκνυσι θεῖον τὸ ἡμέτερον κήρυγμα. διὰ τί γὰρ μηδεὶς τῶν πιστευόντων εἶπεν, οὐ πρόσειμι, οὐδὲ ἀνέχομαι; τὰ δυσχερῆ μοι ἐνταῦθα ἀπειλεῖς, καὶ τὰ χρηστὰ μετὰ τὴν ἀνάστασιν ἐπαγγέλλῃ; πόθεν γὰρ δῆλον ὅτι ἀνάστασις ἔσται; τίς τῶν ἀπελθόντων ἦλθε; τίς τῶν κειμένων ἀνέστη; τίς τούτων εἶπε τί ἔσται μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; ἀλλ' οὐδὲν τούτων οὐκ ἐνενόησαν,
C ἀλλὰ καὶ τὰς ψυχὰς ἀπέδωκαν ὑπὲρ τοῦ σταυρωθέντος. ὥστε αὐτὸ τοῦτο μάλιστα μεγάλης δυνάμεως ἦν, καὶ μηδέποτε μηδὲν τοιοῦτον ἀκούσαντας ἀθρόον πεῖσαι περὶ μεγάλων οὕτω πραγμάτων, καὶ παρασκευάσαι τὰ μὲν δυσχερῆ καταδέξασθαι ἐπὶ τῆς πείρας, τὰ δὲ χρηστὰ ἐν ἐλπίσιν ἔχειν. εἰ δὲ ἠπάτων, τοὐναντίον ἂν ἐποίησαν. τὰ μὲν χρηστὰ ἐντεῦθεν ἐπηγγείλαντο· τὰ δὲ φοβερὰ ἐσίγησαν ἂν, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα. οὕτω γὰρ οἱ ἀπατῶντες καὶ οἱ κολακεύοντες ποιοῦσιν. οὐδὲν τραχὺ, οὐδὲ ἐπαχθὲς, οὐδὲ φορτικὸν προτείνουσιν, ἀλλὰ τοὐναντίον ἅπαν· τοῦτο γάρ ἐστιν
D ἀπάτη. ἀλλ' ἡ ἄνοια, φησὶ, τῶν πολλῶν πεισθῆναι ἐποίησε τοῖς λεγομένοις. τί φῄς; ὅτε ὑπὸ Ἕλλησιν ἦσαν, οὐκ ἦσαν ἀνόητοι· ἀλλ' ὅτε πρὸς ἡμᾶς μετέστησαν, τότε ἀνόητοι γεγόνασι; καίτοιγε οὐκ ἄλλους ἀνθρώπους, οὐδὲ ἐξ ἄλλης οἰκουμένης λαβόντες ἔπεισαν οἱ ἀπόστολοι. καίτοι τὰ μὲν Ἑλλήνων ἁπλῶς κατεῖχον· τὰ δὲ ἡμέτερα μετὰ κινδύνων κατεδέξαντο. ὥστε εἰ μετὰ λόγου κρείττονος αὐτὰ κατεῖχον, τοσοῦτον αὐτοῖς ἐντραφέντες χρόνον, οὐκ ἂν αὐτῶν ἀπέστησαν, καὶ μάλιστα ὅτι οὐδὲ ἀκινδύνως ἀποστῆναι ἐνῆν. ἐπεὶ δὲ ἔγνω-
E σαν ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως, ὅτι γέλως ἐκεῖνα καὶ πλάνη, διὰ τοῦτο καὶ θανάτων ἀπειλουμένων, τῶν μὲν συνήθων ἀπεπήδησαν, εἰς δὲ τὰ καινὰ ηὐτομόλησαν· ἅτε τούτου μὲν τοῦ δόγματος κατὰ φύσιν ὄντος, ἐκείνου δὲ παρὰ φύσιν. ἀλλ' οἰκέται, φησὶν, ἦσαν οἱ πεισθέντες, καὶ γυναῖκες, καὶ τίτθαι, καὶ μαῖαι, καὶ εὐνοῦχοι. μάλιστα μὲν οὐκ ἀπὸ τούτων ἡμῖν ἡ ἐκκλησία συνέστηκε μόνον, καὶ τοῦτο δῆλον ἅπασιν· εἰ δὲ ἀπὸ τούτων, τοῦτο μάλιστά ἐστι τὸ ποιοῦν

τὸ κήρυγμα θαυμαστὸν, ὅτι τοιαῦτα δόγματα, οἷα Πλάτων καὶ οἱ κατ' ἐκεῖνον οὐκ ἴσχυσαν ἐννοῆσαι, ἐξαίφνης ἴσχυσαν οἱ ἁλιεῖς τὸ πάντων ἀμαθέστατον γένος πείθειν καταδέξασθαι. οὐδὲ γὰρ εἰ φρονίμους ἔπεισαν μόνον, οὕτω θαυμαστὸν ἦν τὸ γεγονός. ὅτι δὲ οἰκέτας καὶ τίτθας καὶ εὐνούχους εἰς τοσοῦτον ἤγαγον φιλοσοφίας, ὡς ἀγγέλοις ἐφαμίλλους ποιῆσαι, μεγίστην τῆς θείας ἐμπνοίας παρεῖχον ἀπόδειξιν. καὶ γὰρ εἰ μὲν εὐτελῆ τινα ἐπέταττον, εἶχε λόγον ἴσως τὸ τὴν τούτων πειθὼ εἰς ἀπόδειξιν τῆς εὐτελείας τῶν λεγομένων προβάλλεσθαι· εἰ δὲ μεγάλα καὶ ὑψηλὰ καὶ ἀνθρωπίνην σχεδὸν ὑπερβαίνοντα φύσιν, καὶ ὑψηλῆς δεόμενα διανοίας ἐφιλοσόφουν, ὅσῳ ἂν δείξῃς ἀνοήτους τοὺς πεισθέντας, τοσούτῳ μᾶλλον ἀποδεικνύειν σοφοὺς καὶ θείας χάριτος πεπληρωμένους τοὺς πείσαντας. ἀλλὰ τῇ ὑπερβολῇ τῶν ἐπαγγελιῶν, φησὶν, ἔπεισαν. αὐτὸ δὲ τοῦτο οὐ θαυμάζεις, εἰπέ μοι, πῶς ἔπεισαν μετὰ θάνατον προσδοκᾶν ἔπαθλα καὶ ἀμοιβάς; ἐγὼ γὰρ αὐτὸ τοῦτο ἐκπλήττομαι. ἀλλὰ καὶ τοῦτο ἀπὸ ἀνοίας, φησί. ποίας ἀνοίας, εἰπέ μοι, ταῦτα; ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ δικαστήριον ἀδέκαστον μετὰ τὸν ἐνταῦθα ἡμᾶς λήψεται βίον, καὶ εὐθύνας καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν δώσομεν τῷ τὰ ἀπόῤῥητα εἰδότι θεῷ, καὶ τοὺς μὲν κακοὺς ὀψόμεθα κολαζομένους, τοὺς δὲ ἀγαθοὺς στεφανουμένους. ταῦτα γὰρ οὐχὶ ἀνοίας, ἀλλὰ τῆς μεγίστης ἐστὶ [a] φιλοσοφίας.

Αὐτὸ οὖν τοῦτο, εἰπέ μοι, τὸ καταφρονεῖν τῶν παρόντων, τὸ μέγα νομίζειν ἀρετὴν, τὸ μὴ τὰ ἆθλα ἐνταῦθα ζητεῖν, ἀλλὰ περαιτέρω προϊέναι ταῖς ἐλπίσι, καὶ ψυχὴν οὕτως εὔτονον ἔχειν καὶ πιστὴν, ὡς μηδενὶ τῶν παρόντων δεινῶν πρὸς τὰς μελλούσας παρεμποδίζεσθαι ἐλπίδας, πόσης ἂν εἴη φιλοσοφίας; ἀλλὰ βούλει καὶ αὐτῶν τῶν ἐπαγγελιῶν καὶ τῶν προῤῥήσεων μαθεῖν τὴν δύναμιν, καὶ τὴν ἀλήθειαν τῶν πρὸ τούτων, τῶν μετὰ ταῦτα; θέα μοι σειρὰν χρυσῆν πλεκομένην ποικίλως ἐξ ἀρχῆς. εἶπέ τινα αὐτοῖς περὶ ἑαυτοῦ, καὶ περὶ τῶν ἐκκλησιῶν, καὶ περὶ τῶν μελλόντων πραγμάτων, καὶ λέγων ἐθαυματούργει. οὐκοῦν ἀπὸ τῆς ἐκβάσεως τῶν εἰρημένων δηλονότι καὶ τὰ θαύματα ἀληθῆ, καὶ τὰ μέλλοντα καὶ ἐπηγγελμένα. ἵνα δὲ καὶ σαφέστερον γένηται τὸ λεγόμενον, ἐπ' αὐτῶν αὐτὸ ποιήσω τῶν πραγμάτων φανερόν. ἀνέστησε τὸν Λάζαρον ῥήματι μόνῳ ψιλῷ, καὶ ζῶντα ἔδειξεν· εἶπε πάλιν, πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς ἐκκλησίας· καὶ, ὅτι ὁ καταλιπὼν πατέρα ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. οὐκοῦν τὸ μὲν θαῦμα ἓν, τὸ τοῦ Λαζάρου· αἱ δὲ προῤῥήσεις δύο, ἡ μὲν ἐνταῦθα δεικνυμένη, ἡ δὲ ἐν τῷ μέλλοντι. σκόπει τοίνυν πῶς ἅπαντα δι' ἀλλήλων κατασκευάζεται. εἰ μὲν γάρ τις ἀπιστοίη ὅτι Λάζαρος ἀνέστη, ἀπὸ τῆς προῤῥήσεως τῆς περὶ τῆς ἐκκλησίας εἰρημένης πιστευέτω τῷ θαύματι. τὸ γὰρ πρὸ τοσούτων λεχθὲν χρόνων τότε ἐξέβη, καὶ τέλος ἔλαβε.

A prædicationem admirabilem reddit, quod talia dogmata, quæ Plato & sui temporis alii excogitare non potuerunt, statim potuerint piscatores omnium indoctissimum genus, ad recipiendum inducere. Neque enim si prudentibus solum persuasissent, adeo admiranda res fuisset: cum vero famulos, nutrices & eunuchos ad tantam deduxerint philosophiam, ut illos angelis pares fecerint, magnam præbuere divinæ inspirationis demonstrationem. Nam si vilia quædam præcepissent, esset forte rationi consentaneum eorum
B persuasionem ad demonstrandam dictorum vilitatem proferre. Si autem magna & sublimia humanamque naturam fere superantia, quæ sublimi mente opus habent, philosophabantur; quo magis stultos ostendes eos qui persuasi sunt, eo magis sapientes & divina gratia repletos ostendes eos qui persuaserunt. Sed magnitudine promissorum, inquies, persuaserunt. An hoc ipsum non miraris, quomodo persuaserint illis ut post mortem præmia & mercedes exspectarent? Ego vero hæc ipsa de re obstupesco. At hoc, inquies, ex stultitia? Quænam, quæso te,
C stultitia? Nam anima immortalis est, & judicium incorruptum post hanc vitam nos excepturum est, & rationes verborum, rerum & cogitationum dabimus Deo qui novit arcana, & malos quidem punitos, bonos autem coronatos videbimus. Hæc enim non stultitiæ, sed maximæ philosophiæ sunt.

9. Hoc igitur, dic mihi, præsentia spernere, magnam rem esse virtutem putare, non hic præmia quærere, sed ulterius spe progredi, animamque sic constantem & in fide firmam tenere, ita ut a nullo malorum
D præsentium, ad futuram spem impediatur, hæc, inquam, quantæ fuerint philosophiæ? Sed vis promissorum & prædictionum vim ediscere, & veritatem eorum quæ præcesserunt, & quæ post futura sunt? Vide mihi catenam auream varie ab initio connexam. Dixit illis quædam de seipso & de ecclesiis, deque futuris rebus: & hæc dicendo miracula edebat. Ex eventu ergo eorum quæ prædicta sunt, perspicua sunt & miracula & futura & promissa. Ut autem clarius sit id quod dictum est, ex ipsis rebus illud comprobabo. Suscitavit Lazarum solo verbo, & vivum
E ostendit. Dixit, Portæ inferi non prævalebunt adversus ecclesiam; &, Qui reliquit patrem & matrem, centuplum accipiet in hoc sæculo, & vitam æternam possidebit. Ergo miraculum quidem est unum, nempe Lazari; prædictiones vero duæ, quarum altera hic ostensa est, altera in futuro erit. Considera ut omnia inter se comparata probantur. Si quis enim non crederet suscitatum fuisse Lazarum, ex prædictione quæ de ecclesia dicta est, credat miraculo. Nam quod tot ante annos prædictum fuerat, tunc evenit, & finem acce-

Christi doctrina ex miraculis & ex prædictionum eventu asseritur.

[a] φιλοσοφίας; post hanc vocem addit Regius codex, τὰ δὲ ἐναντία τούτων νομίζειν ἀνοίας.

pit. Portæ enim inferi adversus ecclesiam non prævaluerunt. Qui ergo in prædictione veritatem dixit, perspicuum est quod etiam miraculum fecerit. Qui vero miraculum edidit, & qui ea quæ dixerat ad finem deduxit, palam est quod etiam in prædictione futurorum vera dicat, nempe, centuplum recipiet, & vitam æternam possidebit is, qui præsentia despicit. Quæ enim jam facta & dicta sunt, in pignora maxima dedit eorum quæ eventura sunt. Hæc itaque omnia & his similia ex evangeliis colligentes ipsis dicamus, illisque ora obstruamus. Si quis vero dixerit: quomodo ergo tandem non exstinctus fuit error? Hoc dixerimus: vos in causa estis, qui adversus salutem vestram seditiones agitatis. Nam Deus res ita dispensavit, ut ne reliquiæ quidem impietatis maneant. Ea ergo quæ dicta sunt paucis repetamus. Quænam est rerum natura, num ut imbecilli superentur a potentibus, an secus? Qui facilia dicunt, an qui difficiliora? Qui cum periculis attrahunt, an qui secure? Qui innovant, an qui consuetudinem firmant? Qui in asperam viam ducunt, an qui in facilem? Ii qui a patriis institutis abducunt, an ii qui non peregrinas leges statuunt? Ii qui postquam hinc abscesserimus omnia bona pollicentur, an ii qui in præsenti vita adulantur? Multi a paucis, an pauci a multis? At vos etiam, inquies, hic promisistis. Quid hic promisimus? Peccatorum remissionem & lavacrum regenerationis. Vere quidem baptisma plus habet boni in futuris. Et Paulus clamat dicens:
Colos. 3. 3. *Mortui enim estis, & vita vestra abscondita est cum Christo in Deo. Cum autem vita vestra manifestata fuerit, tunc & vos cum ipso apparebitis in gloria.* Si autem hic quoque habet bona, ut certe habet, & hoc quoque magnum est miraculum, quod potuerint persuadere iis, qui mala fecerant innumera, & quod nemo alius fecerat, fore ut omnia abluerentur, & nullius scelerum suorum rationem essent reddituri. Itaque ea de causa maxime admirari oportebat, quod barbaris hominibus persuaserint ut talem fidem susciperent, & bonam de futuris spem haberent, ac deposita priorum peccatorum sarcina, cum magna animi alacritate deinde pro virtute labores susciperent, & ad sensilia nulla inhiarent, omnibusque corporeis rebus superiores effecti, spiritualia acciperent dona: ac Persa, Sarmata, Maurus & Indus, scirent animæ expiationem, Dei potentiam, & benignitatem ineffabilem, fidei philosophiam, Spiritus sancti adventum, corporum resurrectionem, & vitæ immortalis dogmata. Hæc quippe omnia & his plura barbarorum genera piscatores in baptismo mysteriis initiantes, philosophari suaserunt. Hæc itaque omnia accurate servantes, illa eis dicamus, & a vita quoque nostra demonstrationem rursum ipsis ex-

A πύλαι γὰρ ᾅδου τῆς ἐκκλησίας οὐ κατίσχυσαν. ὁ τοίνυν ἀληθεύσας ἐν τῇ προῤῥήσει, εὔδηλον ὅτι καὶ τὸ θαῦμα εἰργάσατο. ὁ δὲ καὶ τὸ θαῦμα ἐργασάμενος, καὶ ἅπερ εἶπεν εἰς τέλος ἀγαγὼν, εὔδηλον ὅτι καὶ ἐν τῇ προῤῥήσει τῶν μελλόντων ἀληθεύει, λέγων, ὅτι ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει ὁ τῶν παρόντων ὑπεριδών. τὰ γὰρ ἤδη γεγενημένα καὶ εἰρημένα, ἐνέχυρα μέγιστα τῶν μελλόντων ἐκβήσεσθαι δέδωκε. ταῦτα τοίνυν ἅπαντα καὶ τὰ τούτοις ἐοικότα ἀπὸ τῶν εὐαγγελίων συναγαγόντες, λέγωμεν πρὸς αὐτοὺς, καὶ ἐπιστομίζωμεν αὐτούς. εἰ δὲ λέγει τις, πῶς
B οὖν οὐκ ἐσβέσθη τέλεον ἡ πλάνη; ἐκεῖνο ἂν εἴποιμεν ὅτι ὑμεῖς αἴτιοι οἱ πρὸς τὴν ἑαυτῶν στασιάζοντες σωτηρίαν· ἐπεὶ ὁ θεὸς τὰ πράγματα οὕτως ᾠκονόμησεν, ὡς μηδὲ λείψανον ὑπολειφθῆναι τῆς ἀσεβείας. ἀναλογισώμεθα τοίνυν τὰ εἰρημένα διὰ βραχέων. ποίαν ἔχει φύσιν τὰ πράγματα; τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατῶν ἡττᾶσθαι, ἢ τοὐναντίον; τοὺς τὰ εὔκολα λέγοντας, ἢ τοὺς χαλεπώτερα; τοὺς μετὰ κινδύνων ἕλκοντας, ἢ τοὺς μετὰ ἀδείας; τοὺς καινοτομοῦντας, ἢ τοὺς τὴν συνήθειαν κρατύνοντας; τοὺς ἐπὶ τραχεῖαν, ἢ τοὺς
C ἐπὶ τὴν ῥᾳδίαν ἄγοντας ὁδόν; τοὺς τῶν πατρῴων ἀφιστῶντας, ἢ τοὺς οὐ ξένα νομοθετοῦντας; τοὺς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν πάντα ὑπισχνουμένους τὰ χρηστὰ, ἢ τοὺς ἐν τῷ παρόντι κολακεύοντας βίῳ; τοὺς πολλοὺς ὑπὸ τῶν ὀλίγων, ἢ τοὺς ὀλίγους ὑπὸ τῶν πολλῶν; ἀλλὰ καὶ ὑμεῖς ἐνταῦθα, φησιν, ὑπέχεσθε. τί δὲ ἐνταῦθα ὑπισχνούμεθα; ἁμαρτημάτων ἄφεσιν καὶ λουτρὸν παλιγγενεσίας. μάλιστα μὲν καὶ τὸ βάπτισμα ἐν τοῖς μέλλουσιν ἔχει τὸ πλέον. καὶ βοᾷ Παῦλος λέγων ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. ὅταν ἡ ζωὴ ὑμῶν φανερωθῇ, τότε καὶ
D ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. εἰ δὲ καὶ ἐνταῦθα ἔχει ἀγαθὰ, ὥσπερ οὖν καὶ ἔχει, καὶ τοῦτο μάλιστα πολλοῦ θαύματος, ὅτι ἴσχυσαν πεῖσαι τοὺς τὰ μυρία ἐργασαμένους δεινὰ, καὶ ὅσα μηδεὶς ἕτερος, ὅτι πάντα ἀπολούσονται, καὶ οὐδενὸς δώσουσι λόγον τῶν πεπλημμελημένων. ὥστε καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζειν ἐχρῆν, ὅτι ἀνθρώποις βαρβάροις τοιαύτην ἔπεισαν καταδέξασθαι πίστιν, καὶ χρηστὰς περὶ τῶν μελλόντων ἔχειν ἐλπίδας, καὶ τὸ πρότερον τῶν ἁμαρτημάτων φορτίον ἀποσκευασαμένους μετὰ πολλῆς τῆς προθυμίας εἰς τὸ ἑξῆς
E τοὺς ὑπὲρ τῆς ἀρετῆς ἀποδύεσθαι πόνους, καὶ πρὸς αἰσθητὸν μὲν μηδὲν κεχηνέναι, πάντων δὲ ἀνωτέρους τῶν σωματικῶν γεγενημένους νοερὰς δέξασθαι δωρεὰς, καὶ τὸν Πέρσην καὶ τὸν Σαυρομάτην, καὶ τὸν Μαῦρον, καὶ τὸν Ἰνδὸν εἰδέναι ψυχῆς καθαρμὸν, καὶ θεοῦ δύναμιν, καὶ φιλανθρωπίαν ἄφατον, καὶ πίστεως φιλοσοφίαν, καὶ πνεύματος ἁγίου ἐπιφοίτησιν, καὶ σωμάτων ἀνάστασιν, καὶ ζωῆς ἀθανάτου δόγματα. ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα γένη βαρβάρων οἱ ἁλιεῖς μυσταγωγοῦντες ἐν τῷ βαπτίσματι, φιλοσοφεῖν ἔπεισαν. ταῦτα τοίνυν ἅπαντα μετὰ ἀκριβείας φυλάξαντες, πρὸς αὐτοὺς λέγωμεν, καὶ τὴν ἀπὸ τοῦ βίου πάλιν αὐτοῖς ἀπόδειξιν παρεχώμεθα,

ἵνα

ἵνα ἑκατέρωθεν ἡμεῖς τε σωθῶμεν, ἐκείνους τε ἐπισπασώμεθα πρὸς τὴν τοῦ Θεοῦ δόξαν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

A hibeamus, quo utrinque & nos salutem consequamur & illos ad Dei gloriam attrahamus: quia ipsi est gloria in sæcula, amen.

## ΟΜΙΛΙΑ η'.

Κἀγὼ δὲ, ἀδελφοὶ, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα. οὔπω γὰρ ἠδύνασθε. ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. ἔτι γὰρ σαρκικοί ἐστε.

Κ ΑΘΕΛΩΝ τὴν φιλοσοφίαν τὴν ἔξωθεν, καὶ τὸν τῦφον αὐτῆς καταβαλὼν ἅπαντα, ἐφ' ἑτέραν ὑπόθεσιν ἔρχεται. καὶ γὰρ εἰκὸς ἦν ἐκείνους λέγειν, ὅτι εἰ μὲν τὰ Πλάτωνος ἢ Πυθαγόρου ἤ τινος ἑτέρου τῶν φιλοσόφων ἀπηγγέλλομεν, εἰκότως οὕτω μακρὸν καθ' ἡμῶν ἀπέτεινες λόγον· εἰ δὲ τὰ τοῦ πνεύματος καταγγέλλομεν, τίνος ἕνεκεν τὴν ἔξωθεν σοφίαν ἄνω καὶ κάτω στρέφεις; πῶς οὖν πρὸς τοῦτο ἵσταται, ἄκουσον. κἀγὼ, ἀδελφοὶ, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. μάλιστα μὲν γὰρ εἰ καὶ τέλειοι, φησὶν, ἦτε καὶ ἐν τοῖς πνευματικοῖς, οὐδὲ οὕτως ἐχρῆν ἐπαίρεσθαι, οὐδὲ γὰρ τὰ ὑμέτερα καταγγέλλετε, οὐδὲ ἀφ' αὐτῶν οἴκοθεν εὑρήκατε. νυνὶ δὲ οὐδὲ ταῦτα ἴστε ὡς εἰδέναι χρὴ, ἀλλὰ μαθηταί ἐστε, καὶ πάντων ἔσχατοι. ὥστε εἰ μὲν ἐπὶ τῆς ἔξωθεν σοφίας φρονεῖτε μεγάλα, ἐλήλεγκται οὐδὲν οὖσα αὕτη, ἀλλὰ καὶ ἐπὶ τοῖς πνευματικοῖς ἐναντία ἡμῖν· εἰ δὲ καὶ ἐπὶ τοῖς πνευματικοῖς, καὶ ἐν τούτοις τὸ ἔλαττον κατέχετε καὶ ἐν τοῖς ἐσχάτοις ἑστήκατε. διό φησιν, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. οὐκ εἶπεν, οὐκ ἐλάλησα, ἵνα μὴ δόξῃ φθόνου τὸ πρᾶγμα εἶναι· ἀλλὰ διπλῶς αὐτῶν καθαιρεῖ τὸ φρόνημα, ἑνὶ μὲν τρόπῳ, ὅτι οὐκ ἴσασι τὰ τέλεια, δευτέρῳ δὲ, ὅτι αὐτοὶ τοῦ μὴ εἰδέναι γεγόνασιν αἴτιοι, καὶ τρίτῳ δὲ πρὸς τούτοις, τῷ δεικνύναι ὅτι οὐδὲ ἔτι νῦν δύνανται. τὸ μὲν γὰρ τὴν ἀρχὴν μὴ δυνηθῆναι, ἴσως τῆς τοῦ πράγματος φύσεως ἦν. καίτοιγε οὐδὲ ταύτην αὐτοῖς ἀφίησι τὴν ἀπολογίαν. οὐ γὰρ διὰ τὸ μὴ δύνασθαι δέξασθαι τὰ ὑψηλά φησιν αὐτοὺς μὴ δεδέχθαι, ἀλλὰ διὰ τὸ σαρκικοὺς εἶναι. πλὴν ἀλλ' ἐν ἀρχῇ μὲν οὕτως οὐκ ἦν κατηγορίας ἄξιον· τὸ δὲ, καὶ χρόνου παρελθόντος τοσούτου, μηδέπω πρὸς τὰ τελειότερα φθάσαι, τοῦτο τῆς ἐσχάτης νωθείας ἦν. τοῦτο γοῦν ἐγκαλεῖ καὶ Ἑβραίοις, ἀλλ' οὐ μετὰ τοσαύτης σφοδρότητος. ἐκείνους μὲν γὰρ καὶ διὰ τὴν θλῖψιν τοιούτους εἶναί φησι, τούτους δὲ δι' ἐπιθυμίαν τῆς πονηρίας. οὐκ ἔστι δὲ ἴσον τοῦτο κἀκεῖνο. καὶ δεικνὺς ὅτι ἐκείνοις μὲν ἐπιτιμῆσαι βουλόμενος, τούτους δὲ διεγείρων μᾶλλον, ἔλεγε ταῦτα ἀληθεύων. τούτοις μὲν γάρ φησιν, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἐκείνοις δὲ, διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα. καὶ πάλιν, πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.



## HOMILIA VIII.

1. *Et ego, fratres, non potui vobis loqui ut spiritualibus, sed ut carnalibus, tamquam parvulis in Christo. 2. Lac vobis potum dedi, & non escam. Nondum enim poteratis; sed ne nunc quidem potestis: 3. Adhuc enim carnales estis.* CAP. III.

B

1. CUM externam sapientiam confutasset, & fastum ejus omnem dejecisset, ad aliud argumentum venit. Nam verisimile est illos dicturos fuisse: Si Platonis, aut Pythagoræ, aut cujusdam alterius philosophi dicta annunciaremus, jure ita longam instituisses orationem: si autem ea quæ sunt Spiritus annunciamus, cur externam sapientiam sus deque versas? Quomodo autem hoc repellat audi: *Et ego, fratres, non potui vobis loqui ut spiritualibus.* Sane quidem etiamsi C perfecti essetis, inquit, & in spiritualibus, neque sic oporteret efferri; neque enim vestra annunciatis, neque ea quæ ipsi ex vobis invenistis. Nunc autem neque illa scitis ut scire oportet; sed discipuli estis, & omnium postremi. Itaque si de externa quidem sapientia altum sapitis, jam probatum est illam nihil esse: sed & in spiritualibus nobis esse contrariam; si autem de spiritualibus; in his quoque quod minus est habetis, & inter ultimos estis. Ideo ait, Non potui vobis loqui ut spiritualibus. Non dixit, Non loquutus sum; D ne videretur ex invidia rem esse; sed dupliciter illorum sensum evertit: uno quidem modo, quod perfecta nesciant; altero autem, quod ipsi in causa sint quod nesciant; tertio etiam, quod ostendat illos ne nunc quidem posse. Nam quod initio non potuerint, ex natura fortasse rei erat. Quamquam ne hanc quidem illis reliquit defensionem. Non enim dicit illos ideo sublimia non suscepisse, quod non possent suscipere, sed quia carnales erant. Verum in principio quidem non fuisset reprehensione dignum; sed cum E tantum effluxisset tempus, nondum ad perfectiora pervenisse, id extremæ erat ignaviæ. Hac quoque de re Hebræos accusat, sed non cum tanta vehementia. Nam illos quidem dicit ob tribulationem tales esse, hos autem ob nequitiæ desiderium. Hoc autem & illud non inter se paria sunt: & ostendit se illos quidem increpare, hos autem magis excitantem, hæc cum veritate dixisse. His quippe dicit, *Sed neque nunc potestis*: illis autem: *Quapropter intermittentes inchoationis Christi sermonem, ad perfectionem feramur*, & rursum, *Confidimus de vobis meliora & saluti hærentia, etsi ita loquimur.* Hebr. 6. 1. & 9.

Et quomodo eos qui tantum Spiritum A acceperant, carnales appellat, quos initio tantis est laudibus prosecutus? Quia illi quoque carnales erant, quibus dicit Dominus: *Discedite a me, non novi vos, qui operamini iniquitatem.* (Matt. 7. 23.) Atqui dæmonas ejecerunt, & mortuos suscitarunt, atque prophetias extulerunt. Itaque potest etiam is qui signa facit, esse carnalis. (*Qui signa facit, potest esse carnalis.*) Nam & in Balaam Deus est operatus, & Pharaoni futura revelavit, necnon Nabuchodonosori; & Caiphas prophetavit, nesciens quid diceret: quidam etiam dæmonia ejecerunt ejus nomine, etsi cum ipso non erant. Nam non propter B operantes hæc fiunt, sed propter alios. Sæpe etiam per indignos. Et quid miraris si in viris indignis propter alios hæc fiant, cum etiam per sanctos? Paulus enim dicit: *Omnia vestra sunt, sive Paulus, sive Apollo, sive Cephas, sive vita, sive mors.* (1. Cor. 3. 22.) Et rursum: *Ipse dedit alios quidem apostolos, alios autem prophetas, alios pastores & doctores ad perfectionem sanctorum, in opus ministerii.* (Ephes. 4. 12.) Nam nisi hoc esset, nihil obstitisset quominus omnes perirent. Contingit enim principes esse malos & C sceleratos; subditosque bonos & moderatos; & laïcos in pietate vitam agere, sacerdotes autem in nequitia: neque futurum erat ut baptismus esset, neque corpus Christi, nec oblatio per illos, si ubique dignos gratia requireret. Nunc autem etiam per indignos Deus solet operari, & nihil læditur gratia baptismi per vitam sacerdotis: nam hinc is qui accipit minus habiturus foret. Itaque etsi hæc raro fiunt, fiunt tamen. Hæc autem dico, ut ne quis ex præsentibus de vita sacerdotis curiose inquirens, scandalizetur circa ea quæ in mysteriis peraguntur. Nihil enim homo in ea quæ proponuntur D inducit, sed totum est Dei virtutis opus, & ille est qui vos in mysteriis initiat. *Et ego, fratres, non potui vobis loqui ut spiritualibus, sed ut carnalibus. Lac vobis potum dedi, non escam: nondum enim poteratis.* Ne videretur enim ambitionis causa hæc dixisse, nempe, *Spiritualis dijudicat omnia, & a nemine judicatur;* & (1. Cor. 2. 15.) *mentem Christi habemus;* illorum fastum reprimens vide quid dicat. Non ideo, inquit, tacui, quasi nihil ultra dicere possem; sed quia carnales estis. Sed neque nunc potestis.

2. Cur non dixit, Non vultis, sed, non E potestis? Quia hoc pro illo posuit. Nam quod non possent inde erat quod nollent; quod illis quidem reprehensionem, magistro autem veniam affert. Etenim si ex natura non potuissent, fortasse quis ignovisset; sed quia ex proposito voluntatis, defensione carent. Deinde modum ostendit, quo carnales sunt: *Cum enim sit inter vos contentio, zelus & dissensio, nonne carnales estis, & secundum hominem ambulatis?* Atqui cum possit dicere

A καὶ πῶς τοὺς πνεύματος ἐπιτυχόντας τοσούτου, σαρκικοὺς καλεῖ, καὶ ὧν ἀρχόμενος τοσαῦτα διῆλθεν ἐγκώμια; ἐπεὶ κἀκεῖνοι σαρκικοὶ ἦσαν· πρὸς οὕς φησιν ὁ κύριος, ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· καίτοι καὶ δαίμονας ἐξέβαλον, καὶ νεκροὺς ἀνέστησαν, καὶ προφητείας ἐπεδείξαντο. ὥστε ἔστι καὶ σημεῖα ποιήσαντα εἶναι σαρκικόν. καὶ γὰρ τῷ Βαλαὰμ ἐνήργησεν ὁ θεός, καὶ τῷ Φαραὼ τὰ μέλλοντα ἀπεκάλυψε, καὶ τῷ Ναβουχοδονόσορ, καὶ Καϊάφας προεφήτευσεν, οὐκ εἰδὼς ἃ ἔλεγε, καὶ ἕτεροι δέ τινες δαιμόνια ἐξέβαλον τῷ αὐτοῦ ὀνόματι, οὐκ ὄντες μετ' αὐτοῦ, ἐπειδὴ οὐ B διὰ τοὺς ποιοῦντας ταῦτα γίνεται, ἀλλὰ δι' ἑτέρους. πολλάκις δὲ καὶ δι' ἀναξίων ταῦτα ἐγίνετο. καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνδρῶν ἀναξίων δι' ἑτέρους ταῦτα γίνεται, ὅπου γε καὶ δι' ἁγίων; καὶ γὰρ Παῦλός φησι· πάντα ὑμῶν ἐστιν· εἴτε Παῦλος, εἴτε Ἀπολλώς, εἴτε Κηφᾶς, εἴτε ζωή, εἴτε θάνατος· καὶ πάλιν, ὅτι αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἂν ἐκώλυσε πάντας διαφθαρῆναι. συμβαίνει γὰρ ἄρχοντας μὲν εἶναι C φαύλους καὶ μιαρούς, τοὺς δὲ ἀρχομένους ἐπιεικεῖς καὶ μετρίους, καὶ λαϊκοὺς μὲν ἐν εὐλαβείᾳ ζῆν, ἱερέας δὲ ἐν πονηρίᾳ· καὶ οὐκ ἔμελλεν οὐδὲ βάπτισμα εἶναι, οὔτε σῶμα Χριστοῦ, οὔτε προσφορὰ δι' ἐκείνων, εἰ πανταχοῦ τὴν ἀξίαν ἡ χάρις ἐζήτει. νυνὶ δὲ καὶ δι' ἀναξίων ἐνεργεῖν ὁ θεὸς εἴωθε, καὶ οὐδὲν τοῦ βαπτίσματος [a] ἡ χάρις παρὰ τοῦ βίου τοῦ ἱερέως παραβλάπτεται· ἐπεὶ ἔμελλεν ὁ λαμβάνων ἐλαττοῦσθαι. ὥστε εἰ καὶ σπανιάκις γίνεται ταῦτα, γίνεται γοῦν ὅμως. ταῦτα δὲ λέγω, ἵνα μή τις τῶν παρεστώτων τὸν βίον περιεργαζόμενος τοῦ ἱερέως, σκανδαλίζηται περὶ τὰ τελούμενα. οὐδὲν γὰρ ἄνθρωπος D εἰς τὰ προκείμενα εἰσάγει, ἀλλὰ τὸ πᾶν τῆς τοῦ θεοῦ δυνάμεως ἔργον ἐστί, κἀκεῖνός ἐστιν ὑμᾶς ὁ μυσταγωγῶν. κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. οὔπω γὰρ ἐδύνασθε. ἵνα γὰρ μὴ δόξῃ φιλοτιμίας ἕνεκεν εἰρηκέναι ταῦτα ἅπερ εἴρηκεν, ὅτι ὁ πνευματικὸς ἀνακρίνει τὰ πάντα, καὶ ὅτι ὑπ' οὐδενὸς ἀνακρίνεται, καὶ ὅτι νοῦν Χριστοῦ ἔχομεν, καὶ τὸν τῦφον αὐτῶν καταστέλλων, ὅρα τί φησιν· οὐ διὰ τοῦτο, φησίν, ἐσίγησα, ὡς οὐδὲν πλέον δυνάμενος ὑμῖν εἰπεῖν, ἀλλ' ὅτι σαρκικοί ἐστε. ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε.

E Διὰ τί μὴ εἶπεν, οὐ θέλετε, ἀλλ', οὐ δύνασθε; ὅτι καὶ τοῦτο ἀντ' ἐκείνου τέθεικε. τὸ γὰρ μὴ δύνασθαι τοῦτο ἀπὸ τοῦ μὴ θέλειν ἐστίν· ὅπερ αὐτοῖς μὲν φέρει κατηγορίαν, τῷ δὲ διδασκάλῳ συγγνώμην. εἰ μὲν γὰρ ἀπὸ φύσεως οὐκ ἠδύναντο, ἴσως ἄν τις συνέγνω· ἐπεὶ δὲ ἀπὸ προαιρέσεως, ἀπεστέρηνται τῆς ἀπολογίας. εἶτα λέγει καὶ τὸ εἶδος τὸ ποιοῦν αὐτοὺς σαρκικούς. ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; καίτοι καὶ πορνείας καὶ

a Ita Reg. Editi vero, ἡ χάρις τοῦ βίου.

A ἀσελγείας ἔχων αὐτῶν εἰπεῖν, ἐκεῖνο μᾶλλον τίθησι τὸ ἁμάρτημα, ὅπερ ἐσπούδασε διορθώσασθαι τέως. Εἰ δὲ ζῆλος σαρκικοὺς ποιεῖ, ὥρα λοιπὸν ἅπαντας ὀλολύξαι μέγα, καὶ σάκκον περιβαλέσθαι καὶ σποδὸν ὑποστρώσασθαι. τίς γὰρ τοῦ πάθους τούτου καθαρός; πλὴν εἰ μὴ ἀπ᾽ ἐμαυτοῦ καὶ τὰ τῶν ἄλλων στοχάζομαι. Εἰ ζῆλος σαρκικοὺς ποιεῖ, καὶ οὐκ ἀφίησιν εἶναι πνευματικοὺς, καίτοιγε προφητεύοντας καὶ ἕτερα θαυμαστὰ ἐπιδεικνυμένους, ὅταν μηδὲ χάρις τοσαύτη παρῇ, ποῦ θήσομεν τὰ ἡμέτερα, ὅταν μὴ ἐπὶ τούτῳ μόνῳ, ἀλλὰ καὶ ἐφ᾽ ἑτέροις μείζοσιν ὦμεν ἁλισκόμενοι; ἐντεῦθεν μανθάνομεν ὅτι εἰκότως ἔλεγεν ὁ Χριστὸς, ὅτι ὁ ποιῶν τὰ B φαῦλα, οὐκ ἔρχεται πρὸς τὸ φῶς, καὶ ὅτι βίος ἀκάθαρτος ἐμποδίζει δόγμασιν ὑψηλοῖς, οὐκ ἀφεὶς τὸ διορατικὸν φανῆναι τῆς διανοίας. ὥσπερ οὖν οὐκ ἔστιν ἐν πλάνῃ ὄντα καὶ ὀρθῶς βιοῦντα μεῖναι ἐν πλάνῃ ποτὲ, οὕτως οὐ ῥᾴδιον πονηρίᾳ συντρεφόμενον ἀναβλέψαι ταχέως πρὸς τὸ τῶν παρ᾽ ἡμῖν δογμάτων ὕψος, ἀλλὰ χρὴ πάντων καθαρεύειν τῶν παθῶν τὸν μέλλοντα θηρᾶν τὴν ἀλήθειαν. ὁ γὰρ τούτων ἀπηλλαγμένος, καὶ τῆς πλάνης ἀπαλλαγήσεται, καὶ ἐπιτεύξεται τῆς ἀληθείας. μὴ γάρ μοι τὸ μὴ πλεονεκτεῖν μόνον, μηδὲ τὸ μὴ πορνεύειν ἀρκεῖν εἰς τοῦτό σοι νόμιζε, ἀλλὰ χρὴ πάντα συνδρα- C μεῖν τῷ ζητοῦντι τἀληθές. διό φησι Πέτρος, ἐπ᾽ ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι· τουτέστι, καλεῖ καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν ἀλήθειαν. οὐχ ὁρᾷς Παῦλον, ὅτι πάντων σφοδρότερος ἦν ἐν τῷ πολεμεῖν καὶ διώκειν; ἀλλ᾽ ὅμως ἐπειδὴ βίον ἄληπτον εἶχε, καὶ οὐ πάθει ταῦτα ἔπραττεν ἀνθρωπίνῳ, καὶ ἐδέχθη καὶ πάντας ὑπερηκόντισεν. Εἰ δὲ λέγοι τις, πῶς ὁ δεῖνα ὁ Ἕλλην, χρηστὸς ὢν καὶ ἀγαθὸς καὶ φιλάνθρωπος, μένει πλανώμενος; ἐκεῖνο ἂν εἴποιμι· ὅτι ἕτερον ἔχει πάθος, κενο- D δοξίαν, ἢ νωθείαν ψυχῆς, ἢ τὸ μὴ μεριμνᾷν περὶ τῆς οἰκείας σωτηρίας, ἀλλ᾽ ἁπλῶς καὶ εἰκῇ τὰ κατ᾽ αὐτὸν φέρεσθαι νομίζειν. ὁ δὲ Παῦλος τὸν ἐργαζόμενον δικαιοσύνην, τὸν ἐν πᾶσιν ἄληπτόν φησι, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενον. καὶ, χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει. πῶς οὖν, φησὶν, ἀκάθαρτοι κατηξιώθησαν τοῦ κηρύγματος; ἐπειδὴ ἠθέλησαν, καὶ ἐπεθύμησαν. τοὺς μὲν γὰρ καὶ πεπλανημένους ἕλκει, ἐπειδὰν παθῶν καθαρεύωσι· τοὺς δὲ ἀφ᾽ ἑαυτῶν προσιόντας οὐ διωθεῖται. πολλοὶ δὲ καὶ ἀπὸ προγόνων ἐδέξαντο τὴν εὐσέβειαν. ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ E ἔρις. λοιπὸν πρὸς τοὺς ἀρχομένους ἀποδύεται. ἐν μὲν γὰρ τοῖς ἔμπροσθεν τοὺς ἄρχοντας καθέβαλεν, εἰπὼν, ὅτι οὐδενὸς ἀξία ἡ σοφία τοῦ λόγου. ἐνταῦθα δὲ τοὺς ἀρχομένους πλήττει, λέγων. ὅταν γὰρ λέγῃ τις, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, οὐχὶ σαρκικοί ἐστε; καὶ δείκνυσιν ὅτι τοῦτο οὐ μόνον οὐδὲν αὐτοὺς ὤνησεν, οὐδὲ προσλαβεῖν τι πεποίηκεν, ἀλλὰ πρὸς τὴν τῶν μειζόνων ὠφέλειαν ἐνεπόδισε. τοῦτο γὰρ ζῆλον ἔτεκεν·



illorum fornicationem & libidinem, illud potius peccatum ponit, quod interim corrigere studuit. Quod si zelus carnales faciat, restat ut jam omnes admodum ejulent, saccum induant, & cinerem substernant. Quis enim hujus vitii expers est? nisi ex me de aliis facio conjecturam. Si zelus carnales facit, nec sinit esse spirituales, etiamsi prophetent & alia miracula edant, cum non tanta adeit gratia, ubinam nostra collocabimus, quando non in hoc solum sed & in aliis majoribus capti fuerimus? Hinc discimus jure dixisse Christum. Qui facit mala, non venit ad lucem, & quod vita impura impedimento sit sublimibus dogmatibus, non sinens animæ perspicacitatem apparere. Quemadmodum fieri non potest ut is qui in errore est, & recte vivit, maneat in errore; ita non facile potest is qui in nequitia vivit, cito respicere ad sublimia nostra dogmata, sed ab omnibus vitiis purum esse opportet eum, qui veritatem est venaturus. Nam qui ab iis liberatus est, etiam ab errore liberabitur, & veritatem assequetur. Ne enim existimes ad hoc satis esse si non sis avarus, vel si non forniceris : sed oportet omnia concurrere in eo qui quærit veritatem. Ideo ait Petrus : *In veritate comprehendo quod non sit personarum acceptor Deus; sed in omni gente qui timet ipsum & operatur justitiam, acceptus est illi;* id est, *vocat & attrahit ipsum ad veritatem.* Non vides Paulum, qui vehementissimus omnium erat in bellando & persequendo? Attamen quia inculpatam vitam ducebat, & non ex vitio humano hæc faciebat, & acceptus fuit & omnes longe superavit. Si quis vero dicat, quomodo ille quispiam Græcus, qui bonus est benignus & humanus, in errore manet? illud responderim, aliud eum habere vitium, vanam gloriam, aut animi ignaviam, aut de salute sua non curare; sed putare res suas casu & temere ferri. Paulus autem eum qui operatur justitiam, in omnibus inculpatum dicit, secundum justitiam quæ est ex lege? &, Gratias ago Deo, cui servio a majoribus in pura conscientia. Quomodo igitur, inquies, impuri prædicatione dignati sunt? Quia voluerunt & desiderarunt. Nam errantes etiam trahit, si mundi sint a passionibus : eos autem, qui sua sponte accedunt, non repellit. Multi vero etiam a majoribus piam religionem acceperunt. *Cum enim in vobis sit zelus & contentio.* Demum subditos impugnaturus accedit. In superioribus enim principes dejecit dicens, externam dicendi sapientiam nullius esse precii. Hic autem subditos redarguit dicens: 4. *Cum enim quis dicat, ego quidem sum Pauli, ego autem Apollo, nonne carnales estis?* Et ostendit hoc non modo nihil illis profuisse, neque effecisse ut aliquid acciperent, sed majorum rerum utilitatem impedivisse. Hoc enim zelum peperit.

Joan. 3. 20.

Act. 10. 34.

Philip. 3. 6

2. Tim. 1. 3.

Zelus autem carnales illos effecit: quod autem carnales effecti sint, id non sivit sublimiora audire. 5. *Quis igitur est Paulus? quis Apollo?* Nam post rerum probationem & demonstrationem, apertius deinde reprehensione usus est, & suum affert nomen, omnem tollens asperitatem, non permittens ut de dictis irascerentur. Si enim Paulus nihil est & non indignatur, multo minus illos ægre ferre oportebat. Duplici ergo ratione illos consolatur; & quod seipsum posuerit, & quod non sinat eos omnibus privari, utpote qui nihil contulerint; sed aliquid dat illis modicum certe, dat tamen. Cum dixisset enim: Quis est Paulus, quis Apollo? subjunxit, *Nisi ministri per quos credidistis?* Hoc vero per se magnum est & multa mercede dignum; si aspiciatur autem ad archetypum & radicem bonorum, nihil est. Non enim qui bonis ministrat, sed qui ea præbet & donat, hic est qui beneficio afficit. Nec dixit, evangelistæ, sed, ministri, quod majus est. Neque enim solum evangelizarunt, sed etiam nobis ministravere. Illud enim in verbo tantum situm est, hoc in opere. Quamobrem etsi Christus minister solum est bonorum, & non ipse radix & fons tamquam Filius, vide quonam hæc res deducatur.

*Rom. 15. 8.* 3. Quomodo igitur, inquies, dicit eum ministrum fuisse circumcisionis? De dispensatione secundum carnem ibi loquitur, & non eo modo quo nunc diximus. Nam illic ministrum dicit illum qui adimplevit; non eum qui ex se bona præbuit. Nec dixit, qui vos adducunt ad fidem, sed, per quos credidistis; rursus illis plus tribuens, & hinc ministros declarans. Si ergo alteri ministrabant, quomodo hi arripiunt auctoritatem? Tu vero mihi consideres, quomodo nusquam eos accuset, quasi rapiant, sed ut qui præbeant: lapsûs enim causa in plebe erat. Nam si illi abstitissent, hi destitissent. Duo igitur sapienter confirmavit, unde oportebat peccatum tollere ibi suffodiens, adversus illos odio non concitatus, neque illos reddens contentiosiores. *Et unicuique sicut Christus dedit.* Neque enim hoc ipsum modicum a seipsis habebant, sed a Deo qui tradiderat. Ne enim dicerent: Quid ergo? iis qui nobis ministrant non amanter hærebimus? Etiam, inquit; sed scire oportet quousque. Neque enim hoc ipsum a se habent, sed a Deo, qui dedit. 6. *Ego plantavi, Apollo rigavit; Deus autem incrementum dedit.* Id est, primus verbum inserui: ne vero semina tentationibus exsiccarentur, sua addidit Apollo; totum autem Dei fuit. 7. *Itaque neque qui plantat est aliquid, neque qui rigat, sed qui dat incrementum Deus.* Viden' quomodo illos consoletur ut ne asperiores fiant ex eo quod audierint, quis est iste, quis est ille.

A ὁ δὲ ζῆλος σαρκικοὺς ἐποίησε· τὸ δὲ γενέσθαι σαρκικοὺς, οὐκ ἀφῆκεν ἀκοῦσαι τῶν ὑψηλοτέρων. Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς; μετὰ γὰρ τὴν τῶν πραγμάτων κατασκευὴν καὶ ἀπόδειξιν, γυμνότερον λοιπὸν κέχρηται τῇ κατηγορίᾳ· καὶ τὸ αὐτοῦ ὄνομα τίθησι, περιαιρῶν πᾶσαν τραχύτητα, καὶ οὐκ ἀφεὶς ὀργισθῆναι πρὸς τὰ λεγόμενα. Εἰ γὰρ Παῦλος οὐδέν ἐστι, καὶ οὐκ ἀγανακτεῖ, πολλῷ μᾶλλον ἐκείνους δυσχεραίνειν οὐκ ἐχρῆν. Διπλῆ τοίνυν αὐτοὺς παραμυθεῖται, τῷ τε ἑαυτὸν ὑποθεῖναι, καὶ τῷ μὴ παντὸς αὐτοὺς ἀποστερῆσαι, ὡς οὐδὲν συντελοῦντας· ἀλλὰ δίδωσι μὲν αὐτοῖς τι μι-
B κρὸν, δίδωσι δὲ ὅμως. Εἰπὼν γὰρ, Τίς ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς; ἐπήγαγεν· Ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε; Τοῦτο δὲ αὐτὸ μὲν καθ' ἑαυτὸ μέγα καὶ πολλῶν ἄξιον μισθῶν· πρὸς δὲ τὸ ἀρχέτυπον καὶ τὴν ῥίζαν τῶν ἀγαθῶν οὐδέν. Οὐ γὰρ ὁ διακονούμενος τοῖς ἀγαθοῖς, ἀλλ' ὁ παρέχων αὐτὰ καὶ διδοὺς, οὗτός ἐστιν ὁ εὐεργέτης. Καὶ οὐκ εἶπεν, εὐαγγελισταὶ, ἀλλ', ἢ διάκονοι· ὅπερ πλέον ἐστίν. Οὐ γὰρ ἁπλῶς εὐηγγελίσαντο, ἀλλὰ καὶ διηκόνησαν ἡμῖν. Τὸ μὲν γὰρ λόγου μόνον ἐστὶ, τὸ δὲ καὶ ἔργον ἔχει. Ὥστε εἰ καὶ ὁ Χριστὸς
C διάκονος μόνον ἐστὶν ἀγαθῶν, καὶ οὐχ ἡ ῥίζα αὐτὸς καὶ πηγὴ, ὡς υἱὸς μέντοι, ὅρα ποῦ τοῦτο τὸ πρᾶγμα κατάγεται.

Πῶς οὖν, φησὶ, λέγει αὐτὸν διάκονον γεγενῆσθαι περιτομῆς; Περὶ τῆς κατὰ σάρκα οἰκονομίας ἐκεῖ λέγει, καὶ οὐδὲ τούτῳ τῷ τρόπῳ, ᾧ νῦν εἰρήκαμεν. Ἐκεῖ μὲν γὰρ διάκονον τὸν πληρωτήν φησιν, οὐχὶ τὸν οἴκοθεν παρεχόμενον τὰ ἀγαθά. Καὶ οὐκ εἶπεν, οἱ προσαγόμενοι ὑμᾶς εἰς τὴν πίστιν, ἀλλὰ, δι' ὧν ἐπιστεύσατε, πάλιν ἐκείνοις τὸ πλέον διδοὺς, καὶ τοὺς διακόνους κἀντεῦθεν δηλῶν. Εἰ τοίνυν ἑτέρῳ διηκονοῦν-
D το, πῶς οὗτοι τὴν ἀξίαν ἁρπάζουσι; Σὺ δέ μοι σκόπει, πῶς οὐδαμῶς αὐτοῖς ἐγκαλεῖ, ὡς ἁρπάζουσιν, ἀλλὰ τοῖς παρέχουσιν. Ἡ γὰρ ὑπόθεσις τοῦ σφάλματος ἐν τῷ πλήθει ἦν. Καὶ γὰρ ἐκεῖνοι εἰ ἀπέστησαν, οὗτοι διελύοντο. Δύο τοίνυν κατεσκεύασε [a] σοφῶς, ὅθεν τε ἔδει καθελεῖν τὸ ἁμάρτημα, ἐκεῖθεν ὑπορύξας, καὶ πρὸς ἐκείνους ἀπέχθειαν μὴ κινήσας, μηδὲ φιλονεικοτέρους ποιήσας. Καὶ ἑκάστῳ ὡς ὁ Χριστὸς ἔδωκεν. Οὐδὲ γὰρ αὐτὸ τοῦτο τὸ μικρὸν παρ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Θεοῦ τοῦ ἐγχειρίζοντος. Ἵνα γὰρ μὴ λέγωσι, Τί οὖν; τοῖς δια-
E κονουμένοις ἡμῖν οὐ στέρξομεν; Ναὶ, φησίν· ἀλλ' εἰδέναι χρὴ μέχρι τίνος. Οὐδὲ γὰρ τοῦτο αὐτὸ παρ' αὐτῶν, ἀλλὰ παρὰ τοῦ δόντος Θεοῦ. Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ' ὁ Θεὸς ηὔξε. Τουτέστι, πρῶτος κατέβαλον τὸν λόγον· ὥστε δὲ μὴ ξηρανθῆναι τοῖς πειρασμοῖς τὰ σπέρματα, Ἀπολλὼς τὰ παρ' ἑαυτοῦ προσέθηκε· τὸ δὲ πᾶν τοῦ Θεοῦ γέγονεν. Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός. Ὁρᾷς πῶς αὐτοὺς παραμυθεῖται, ὥστε μὴ τραχυτέρους γενέσθαι τῷ ἀκοῦσαι, Τίς ἐστιν ὁ δεῖνα, καὶ τίς ὁ δεῖνα;

[a] Sic Reg. Editi vero σαφῶς.

A ἀμφότερα γὰρ φορτικὰ, καὶ τὸ εἰπεῖν, τίς [a] ἐστὶν ὁ δεῖνα, καὶ τίς ἐστιν ὁ δεῖνα· καὶ τὸ εἰπεῖν, οὔτε ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι. πῶς οὖν αὐτὰ παρεμυθήσατο; τῷ τε ἐπὶ τοῦ οἰκείου προσώπου προσάγειν τὴν ἐξουδένωσιν, τίς γάρ ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς; καὶ τῷ τὸ πᾶν ἀναθεῖναι τῷ πάντα δεδωκότι θεῷ. εἰπὼν γὰρ ὅτι οὗτος ἐφύτευσε, καὶ προσθεὶς, ὅτι οὐδέν ἐστιν ὁ φυτεύων, ἐπήγαγεν, ἀλλ' ὁ αὐξάνων θεός. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλ' ἑτέρᾳ ἐπαγωγῇ πάλιν αὐτὸ θεραπεύει λέγων· ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων, ἕν εἰσι. διὰ γὰρ τούτου καὶ ἕτερον κατασκευάζει τὸ μὴ ἐπαίρεσθαι κατ' ἀλλήλων. B ἓν δὲ εἶναι αὐτούς φησι, πρὸς τὸ μηδὲν δύνασθαι ἄνευ τοῦ αὐξάνοντος θεοῦ. τοῦτο δὲ εἰπὼν, οὐδὲ τοὺς πολλὰ κάμνοντας ἀφῆκε κατεξανίστασθαι τῶν ἐλάττονα εἰσενεγκόντων, οὔτε τοὺς ἑτέρους τούτοις φθονεῖν. εἶτα, ἐπειδὴ τοῦτο ῥαθυμοτέρους ἐποίει, τὸ πάντας ἓν εἶναι νομίζεσθαι, καὶ τοὺς πολλὰ καμόντας, καὶ τοὺς ἐλάττω, ὅρα πῶς αὐτὸ διωρθώσατο, εἰπών· ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. ὡς ἂν εἰ ἔλεγε, μὴ φοβοῦ, ὅτι εἶπον, ὅτι ἕν εἰσι. πρὸς γὰρ τὸ τοῦ θεοῦ ἔργον παραβαλλόμενοι, ἕν εἰσιν· ἐπεὶ πόνων ἕνεκεν οὐκ εἰσὶν, ἀλλὰ ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται. C εἶτα καὶ λιπαίνει πλέον αὐτὸ, κατορθώσας ὅπερ ἐβούλετο, καὶ χαρίζεται ἐν οἷς ἔξεστι μετὰ φιλοτιμίας. θεοῦ γάρ ἐσμεν συνεργοί· θεοῦ γεώργιόν ἐστε, θεοῦ οἰκοδομή ἐστε. ὁρᾷς πῶς καὶ αὐτοῖς ἔργον ἔδωκεν οὐ μικρὸν, κατασκευάσας πρότερον, ὅτι τὸ πᾶν ἐστὶ τοῦ θεοῦ; ἐπειδὴ γὰρ ἀεὶ παραινεῖ πείθεσθαι τοῖς ἡγουμένοις, διὰ τοῦτο οὐ σφόδρα ἐξευτελίζει τοὺς διδασκάλους. θεοῦ γεώργιόν ἐστε. ἐπειδὴ γὰρ εἶπεν, ἐφύτευσα, τῇ τροπῇ ἐπέμεινεν. εἰ δὲ θεοῦ γεώργιον, οὐκ ἀπὸ τῶν γεωργούντων ὑμᾶς, ἀλλ' ἀπὸ τοῦ θεοῦ καλεῖσθαι δίκαιον. D οὐ γὰρ ἀγρὸς γεωργοῦ καλεῖται, ἀλλὰ τοῦ οἰκοδεσπότου. θεοῦ οἰκοδομή ἐστε. πάλιν ἡ οἰκοδομὴ οὐ τοῦ τεχνίτου, ἀλλὰ τοῦ δεσπότου ἐστίν. εἰ δὲ οἰκοδομή ἐστε, οὐ χρὴ διεσπάσθαι· ἐπεὶ οὐκ ἂν εἴη τοῦτο οἰκοδομή. εἰ γεώργιόν ἐστε, διαιρεῖσθαι οὐ χρὴ, ἀλλ' ἑνὶ φραγμῷ τῷ τῆς ὁμονοίας τειχίζεσθαι. κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον ἔθηκα. σοφὸν ἑαυτὸν ἐκάλεσεν ἐνταῦθα, οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλὰ τύπον αὐτοῖς διδοὺς, καὶ δεικνὺς, ὅτι τοῦτο ἐστι σοφοῦ, τὸ ἕνα θεῖναι θεμέλιον. E ὅρα γοῦν πῶς μετριάζει. εἰπὼν γὰρ σοφὸν ἑαυτὸν, οὐκ ἀφῆκεν αὐτοῦ τοῦτο εἶναι, ἀλλ' ὅλον ἑαυτὸν πρότερον ἀναθεὶς τῷ θεῷ, τότε ἑαυτὸν οὕτως ἐκάλεσε. κατὰ γὰρ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι, φησίν. ὁμοῦ γὰρ δείκνυσιν ὅτι καὶ τὸ πᾶν ἐστι τοῦ θεοῦ, καὶ ὅτι τοῦτο μάλιστά ἐστι χάρις, τὸ μὴ διῃρῆσθαι, ἀλλ' ἐφ' ἑνὶ κεῖσθαι θεμελίῳ. ἄλλος ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ.

[a] Locum mutilum ex codice Regio restituimus.

A Sunt enim utraque onerosa, & quod dixisset, quis est iste, quis est ille; & quod dixisset, neque qui plantat, neque qui rigat est aliquid. Quomodo ergo circa hæc consolationem attulit? Quod in propriam personam despectum adducat cum dicit; quis enim est Paulus? Quis Apollo? & quod danti Deo totum referat. Cum enim dixisset, hic plantavit, & addidisset nihil esse eum qui plantat, addidit, sed qui incrementum dat Deus. Neque hic constitit; sed alio rursus additamento ei medetur dicens. 8. *Qui autem plantat & qui rigat unum sunt.* Per hoc B enim aliud quoque molitur, ut ne alter in alterum efferantur. Unum autem illos esse dicit; eo quod nihil possint sine Deo incrementum dante. Hoc cum dixisset, ne eos quidem qui multum laboraverant permisit efferri in eos qui minora intulissent, neque alios iis invidere. Deinde, quia hoc segniores illos reddebat, quod omnes unum esse putarentur, tam ii qui multum, quam ii qui minus laboraverant, vide quomodo hoc correxerit dicens: *Unusquisque autem propriam mercedem accipiet secundum suum laborem.* Ac si diceret: Ne timeas quod dixerim C unum esse; nam si Dei operi conferantur, unum sunt, secundum labores autem non sunt unum: sed unusquisque propriam mercedem accipiet. Deinde hoc etiam magis mitigat, cum id effecisset quod volebat: in quibus potest gratificatur cum liberalitate. 9. *Dei enim adjutores sumus: Dei agricultura estis, Dei ædificatio estis.* Viden' quomodo ipsis opus dederit non parvum, cum prius probasset totum ex Deo esse? Quia enim semper monet parendum esse præpositis, ideo doctores non admodum deprimit. *Dei agricultura estis.* Quia enim dixit, *Plantavi,* D perstat in metaphora. Si autem Dei agricultura; non ut ab iis qui vos colunt, sed ut a Deo vocemini æquum est. Non enim ager vocatur agricolæ, sed patris familias. *Dei ædificatio estis.* Rursus ædificatio, non artificis, sed Domini est. Si autem ædificatio estis, non oportet esse divisos: alias hoc ædificatio non fuerit. Si agricultura estis, non oportet dividi; sed una concordiæ sepe muniri. 10. *Secundum gratiam Dei, quæ data est mihi, ut sapiens architectus fundamentum posui.* Hic se sapientem vocavit, non se extollens, sed se typum dans illis, & ostendens sapien- E tis esse unum ponere fundamentum. Vide namque quam moderate se gerat. Cum enim se sapientem dixisset, non sivit hoc esse suum; sed cum se prius totum Deo attribuisset, tunc se ita vocavit: nam secundum gratiam Dei, quæ data est mihi, inquit. Simul enim ostendit totum esse Dei, & quod hoc maxime gratia sit, non dividi, sed in uno jacere fundamento. *Alius superædificat: videat autem unusquisque quomodo superædificet.*

Hic mihi videtur, illos inducere ut certamen ineant de vita inſtituenda, quia illos ſemel conjunxit & unum fecit. 11. *Fundamentum enim aliud nemo poteſt ponere præter id quod poſitum eſt, quod eſt Jeſus Chriſtus.* Non poteſt autem quamdiu fuerit architectus. Si autem poſitum fuerit, jam non eſt architectus.

4. Vide quomodo a communibus notionibus propoſitum totum probet. Quod autem dicit hujuſmodi eſt: Annunciavi Chriſtum, tradidi vobis fundamentum. Videte quomodo ſuperædificetis, an ad inanem gloriam, an apud homines diſcipulos abſtrahentes. Ne attendamus ergo hæreſibus. Fundamentum enim aliud nemo poteſt ponere præter id quod poſitum eſt. Super ipſum ergo ædificemus, & ut fundamento hæreamus, ut palmes viti, & nihil ſit intermedium inter nos & Chriſtum. Nam ſi aliquid intermedium ſit, ſtatim perimus. Palmes enim ex eo quod hæreat, trahit ſuccum: & ædificium, quod ſit compactum ſtat: quod ſi disjunctum ſit, perit, cum non habeat quo innitatur. Ne itaque ſolum hæreamus Chriſto; ſed etiam ipſi conglutinemur. Nam ſi disjuncti ſimus, perimus.
Pſal. 72. 26. *Etenim qui elongant ſe a te, peribunt*, inquit. Conglutinemur ergo ipſi, & con-
Joan. 14. 21. glutinemur per opera: qui enim ſervat mandata mea, in me manet. Etenim per multa exempla nos jungit. Animadverte autem: ipſe eſt caput, nos autem corpus. An poteſt intermedium eſſe ſpatium inter caput & corpus? Ipſe fundamentum, nos ædificium; ipſe vinea, nos palmites; ipſe ſponſus, nos ſponſa; ipſe paſtor, nos oves; ille via, nos qui incedimus in ea: nos rurſus templum; ipſe inhabitat; ipſe primogenitus, nos fratres; ipſe heres, nos coheredes; ipſe vita, nos viventes; ipſe reſurrectio, nos reſurgentes: ipſe lux, nos illuminamur. Hæc omnia conjunctionem indicant, & nullum vacuum intermedium eſſe ſinunt, ne vel minimum quidem. Nam qui parum abſcedit, progreſſus etiam, multum abſcedet. Etenim corpus ſi parvam per gladium ſeparationem admittat, perit: & ædificium, ſi vel parum dehiſcat, diſſolvitur; & ſi palmes a radice vel minimum abſcindatur, fit inutilis. Itaque parvum iſtud non eſt parvum, ſed etiam fere totum eſt. Cum ergo parvum quodpiam peccatum admittimus, vel ſocordes ſumus, ne illud parvum negligamus, nam illud neglectum cito magnum efficitur. Sic & veſtimentum ſi dirumpi incipiat & negligatur, per totum ſciſſuram admittit: & tectum, paucis delapſis tegulis neglectum totam domum dejicit. Hæc ergo nobiſcum reputantes, parva nunquam deſpiciamus, ne in magna incidamus. Sin autem negligamus, & in profundum malorum venerimus, ne illic quidem animum deſpondeamus, ut ne in capitis gravedi-

A ἐνταῦθά μοι δοκεῖ εἰς τὸν περὶ πολιτείας λοιπὸν αὐτοὺς ἐμβάλλειν ἀγῶνα, ἐπειδὴ συνῆψεν ἅπαξ καὶ ἓν ἐποίησεν. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. οὐ δύναται δὲ, [a] ἕως ἂν ᾖ ἀρχιτέκτων· ἂν δὲ τεθῇ, οὐκέτι ἐστὶν ἀρχιτέκτων.

Ἴδε πῶς καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν κατασκευάζει τὸ προκείμενον ἅπαν. ὃ δὲ λέγει τοῦτό ἐστι· κατήγγειλα τὸν Χριστὸν, παρέδωκα ὑμῖν τὸν θεμέλιον. σκοπεῖτε πῶς ἐποικοδομεῖτε, εἰ κενοδόξως, εἰ πρὸς ἀνθρώ-
B πους ἀποσπῶντες τοὺς μαθητάς. μὴ τοίνυν προσέχωμεν ταῖς αἱρέσεσι. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον. ἐπὶ τοῦτο οὖν οἰκοδομῶμεν, καὶ ὡς θεμελίου ἐχώμεθα, ὡς κλῆμα ἀμπέλου, καὶ μηδὲν ἔστω μέσον ἡμῶν καὶ Χριστοῦ. ἂν γὰρ γένηταί τι μέσον, εὐθέως ἀπολλύμεθα. καὶ γὰρ τὸ κλῆμα κατὰ τὸ συνεχὲς ἕλκει τὴν πιότητα, καὶ ἡ οἰκοδομὴ κατὰ τὸ κεκολλῆσθαι ἕστηκεν· ὡς ἂν διαστῇ, ἀπόλλυται, οὐκ ἔχουσα ποῦ ἐρείσει ἑαυτήν. μὴ τοίνυν ἁπλῶς ἐχώμεθα τοῦ Χριστοῦ, ἀλλὰ κολληθῶμεν αὐτῷ. ἂν γὰρ διαστῶμεν, ἀπολλύμεθα. οἱ γὰρ μακρύνοντες ἑαυ-
C τοὺς ἀπὸ σοῦ, ἀπολοῦνται, φησι. κολλώμεθα τοίνυν αὐτῷ, καὶ κολλώμεθα διὰ τῶν ἔργων. ὁ γὰρ τηρῶν τὰς ἐντολάς μου, αὐτὸς ἐν ἐμοὶ μένει. καὶ γὰρ διὰ πολλῶν ἡμᾶς ὑποδειγμάτων ἑνοῖ. σκόπει δέ· αὐτὸς ἡ κεφαλὴ, ἡμεῖς τὸ σῶμα. μὴ δύναται μέσον τι εἶναι κεφαλῆς καὶ σώματος διάστημα; αὐτὸς θεμέλιος, ἡμεῖς οἰκοδομή· αὐτὸς ἄμπελος, ἡμεῖς κλήματα· αὐτὸς ὁ νυμφίος, ἡμεῖς ἡ νύμφη· αὐτὸς ὁ ποιμὴν, ἡμεῖς τὰ πρόβατα· ὁδὸς ἐκεῖνος, ἡμεῖς οἱ βαδίζοντες· ναὸς πάλιν ἡμεῖς, αὐτὸς ἔνοικος· αὐτὸς ὁ πρωτότοκος, ἡμεῖς οἱ ἀδελφοί· αὐτὸς ὁ κληρονόμος, ἡμεῖς οἱ συγκληρονό-
D μοι· αὐτὸς ἡ ζωὴ, ἡμεῖς οἱ ζῶντες· αὐτὸς ἡ ἀνάστασις, ἡμεῖς οἱ ἀνιστάμενοι· αὐτὸς τὸ φῶς, ἡμεῖς οἱ φωτιζόμενοι. ταῦτα [b] πάντα ἕνωσιν ἐμφαίνει, καὶ οὐδὲν μέσον κενὸν ἀφίησιν εἶναι, οὐδὲ τὸ μικρότατον. ὁ γὰρ μικρὸν ἀποστὰς, καὶ πολὺ πορρωτέρω ἀποστήσεται. καὶ γὰρ τὸ σῶμα, ἂν μικρὰν ἀπὸ ξίφους διάστασιν δέξηται, διαφθείρεται· καὶ ἡ οἰκοδομὴ, κἂν μικρὸν διαχάνῃ, καταλύεται· καὶ τῆς ῥίζης τὸ κλῆμα, κἂν μικρὸν ἀποκοπῇ, γέγονεν ἄχρηστον. ὥστε μικρὸν τοῦτο, οὐκ ἔστι μικρὸν, ἀλλὰ καὶ σχεδὸν τὸ ὅλον ἐστίν. ὅταν οὖν μικρόν τι πλημμελήσωμεν, ἢ καὶ ῥαθυμήσωμεν, μὴ παρίδωμεν τὸ
E μικρόν· ἐπεὶ ταχέως περιοφθὲν τοῦτο μέγα γίνεται. οὕτω καὶ ἱμάτιον ἀρχὴν λαβὸν ῥήγνυσθαι καὶ ἀμεληθὲν, δι᾽ ὅλου τὸ σχίσμα προήγαγε· καὶ ὄροφος ὀλίγων κεράμων καταπεσόντων περιοφθεὶς, ὁλόκληρον τὸν οἶκον κατήνεγκε. ταῦτ᾽ οὖν ἡμεῖς λογιζόμενοι, μηδέποτε τῶν μικρῶν καταφρονῶμεν, ἵνα μὴ εἰς τὰ μεγάλα ἐμπέσωμεν. ἂν δὲ ἄρα καταφρονήσωμεν, καὶ εἰς τὸ βάθος ἔλθωμεν τῶν κακῶν, μηδὲ ἐκεῖ γενόμενοι ἀπογνῶμεν, ἵνα μὴ ἐμπέσωμεν εἰς καρηβαρίαν.

[a] ἕως ἂν ᾖ. Savilius legendum ſuſpicatur, ἕως ἂν θῇ.

[b] Reg. πάντα κόλλησιν ἐμφαίνει.

δύσκολον γὰρ λοιπὸν ἀνελθεῖν ἐκεῖθεν τὸν μὴ σφόδρα νήφοντα, οὐ διὰ τὸ μῆκος μόνον, ἀλλὰ καὶ διὰ τὴν θέσιν αὐτήν. βαθὺς γάρ ἐστι καὶ ἡ ἁμαρτία, καὶ κάτω φέρουσα θλίβει. καὶ καθάπερ οἱ εἰς φρέαρ ἐμπεσόντες οὐκ ἂν ῥᾳδίως ἀνέλθοιεν, ἀλλ' ἑτέρων δεήσονται τῶν ἀναγαγόντων αὐτούς· οὕτω καὶ ὁ εἰς βάθος ἐλθὼν τῶν ἁμαρτημάτων. χαλάσωμεν οὖν σχοινία πρὸς τοὺς τοιούτους, καὶ ἀνιμησώμεθα· μᾶλλον δὲ οὐχ ἑτέρων δεῖ μόνον, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς, ἵνα καὶ ἑαυτοὺς ἐπιδῶμεν, καὶ ἀναβησώμεθα οὐ τοσοῦτον, ὅσον κατέβημεν, ἀλλὰ πολλῷ πλέον, ἐὰν βουλώμεθα. καὶ γὰρ ὁ θεὸς βοηθεῖ. οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτόν. μηδεὶς τοίνυν ἀπογινωσκέτω, μηδεὶς τὸ τῶν ἀσεβῶν πασχέτω πάθος. ἐκείνων γάρ ἐστι τὸ τοιοῦτον ἁμάρτημα. ἀσεβὴς γὰρ ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὥστε οὐ τὸ πλῆθος τῶν ἁμαρτημάτων ποιεῖ τὴν ἀπόγνωσιν, ἀλλ' ἡ τοῦ ἀσεβοῦς γνώμη. κἂν πᾶσαν τοίνυν ἐπέλθῃς κακίαν, εἰπὲ πρὸς ἑαυτόν· φιλάνθρωπός ἐστιν ὁ θεὸς, καὶ τῆς σωτηρίας ἐπιθυμεῖ τῆς ἡμετέρας. ἐὰν γὰρ ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, φησι, καὶ πρὸς τὴν ἐναντίαν ἕξιν μεταστήσω. μὴ τοίνυν ἀπαγορεύσωμεν. οὐ γὰρ τὸ πεσεῖν οὕτω χαλεπὸν, ὡς τὸ πεσόντα κεῖσθαι· οὔτε τὸ τρωθῆναι δεινὸν, ὡς τὸ τρωθέντα μὴ βούλεσθαι θεραπεύεσθαι. τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; ταῦτα λέγω, οὐχ ἵνα ῥᾳθυμοτέρους ὑμᾶς ποιήσω, ἀλλ' ἵνα κωλύσω εἰς ἀπόγνωσιν ἐμπεσεῖν.

Βούλει μαθεῖν πῶς ἐστιν ἡμῶν ἀγαθὸς ὁ δεσπότης; ἀνῆλθεν ὁ τελώνης μυρίων γέμων κακῶν, καὶ εἰπὼν, ἱλάσθητί μοι, μόνον, κατῆλθε δεδικαιωμένος. καὶ διὰ τοῦ προφήτου δέ φησιν ὁ θεός· δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ εἶδον ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. τί τῆς φιλανθρωπίας ταύτης ἴσον; ἵνα στυγνάσῃ μόνον, φησὶν, ἀφῆκα τὰ ἁμαρτήματα. ἡμεῖς δὲ οὐδὲ αὐτὸ τοῦτο ποιοῦμεν· διὸ μάλιστα τὸν θεὸν παροργίζομεν. ὁ γὰρ καὶ διὰ μικρῶν ἵλεως γινόμενος, ὅταν μὴ τούτων τύχῃ, εἰκότως ἀγανακτεῖ, καὶ τὴν ἐσχάτην ἀπαιτεῖ τιμωρίαν ἡμᾶς. ὑπερβαλλούσης γάρ ἐστι τοῦτο καταφρονήσεως. τίς γοῦν ἐλυπήθη ποτὲ δι' ἁμαρτίας; τίς ἐστέναξε; τίς τὸ στῆθος ἔπληξε; τίς ἐμερίμνησεν; οὐδένα ἔγωγε οἶμαι. ἀλλὰ μυρίας μὲν ἡμέρας θρηνοῦσιν ἄνθρωποι ὑπὲρ οἰκετῶν ἀποθανόντων, ὑπὲρ ζημίας χρημάτων· τὴν δὲ ψυχὴν ἀπολλύντες καθ' ἑκάστην ἡμέραν, οὐδὲ εἰς νοῦν βαλλόμεθα. πῶς οὖν δυνήσῃ τὸν θεὸν ἐξιλεώσασθαι, ὅταν μηδὲ ὅτι ἥμαρτες, εἰδῇς; ναί, φησιν, ἥμαρτον. ναί μοι λέγεις τῇ γλώττῃ· εἰπέ μοι τῇ διανοίᾳ, καὶ μετὰ τοῦ ῥήματος στέναξον, ἵνα διηνεκῶς εὐθυμῇς. καὶ γὰρ εἰ ἠλγοῦμεν ἐπὶ τοῖς ἁμαρτήμασιν, εἰ ἐστενάζομεν ἐπὶ τοῖς πλημμελήμασιν, οὐδὲν ἂν ἄλλο ἡμᾶς ἐλύπησε, τῆς ὀδύνης ταύτης πᾶσαν ἀθυμίαν παρωθουμένης.

A nem incidamus. Difficile enim deinceps erit inde ascendere, nisi quis admodum vigilet; non solum propter longitudinem, sed etiam propter ipsum situm. Profunda enim res est peccatum, & deorsum ferens premit. Ac sicut ii qui in puteum inciderunt, non facile ascenderint; sed aliis opus habebunt, qui se educant; sic etiam qui in profundum venerit peccatorum. Demittamus ergo funes ad illos & sursum trahamus. Imo vero non aliis tantum opus est, sed nobis ipsis; ut & nos ipsos alligemus, & ascendamus, non
B quantum descendimus, sed multo magis si velimus: Deus enim fert opem. Non vult enim mortem peccatoris, sed ut convertatur. Nemo igitur desperet, nemo impiorum morbo laboret: illorum quippe est peccatum hujusmodi. Impius enim cum in profundum malorum venerit, contemnit. Itaque non peccatorum multitudo desperationem inducit; sed impii mens. Etiamsi ergo nequitiam omnem pervaseris, dic apud te: Benignus est Deus, & salutem desiderat nostram. *Etiamsi enim fuerint peccata vestra sicut coccinum, ut nivem*, inquit, *dealbabo*; & in contrarium habitum transferam. Ne ergo animum despondeamus. Non enim ita grave est cecidisse, ut lapsum jacere; sic neque ita grave est esse vulneratum, ut a vulneribus nolle curari. Quis enim gloriabitur castum se habere cor? aut quis dicere ausus fuerit se mundum esse a peccatis? Hæc dico, non ut vos socordiores reddam; sed ut impediam quominus in desperationem incidatis.

Nunquam de salute desperandum.

Isai. 1. 18.

C

5. Vis discere quam bonus sit Dominus noster? Ascendit Publicanus, mille malis onustus, & cum dixisset tantum; propitius esto mihi, descendit justificatus.
D Per prophetam quoque dicit Deus: *Propter peccatum parum illum contristavi, & vidi quod dolore esset affectus, & iret tristis, & sanavi vias ejus.* Quid huic humanitati par est? Ut solum esset tristis, inquit, remisi peccata. Nos autem ne hoc quidem facimus: ideo maxime Deum ad iram provocamus. Qui enim per parva gesta propitius factus est, quando ea non fuerit assequutus, jure indignatur, & extremum de nobis sumit supplicium: est enim hoc summi contemtus. Quis enim unquam mœrore affectus fuit pro-
E pter peccatum? Quis ingemuit? Quis pectus percussit? Quis solicitus fuit? Ego puto neminem. Sed innumeris diebus lugent homines pro famulis mortuis, pro pecuniæ jactura. Cum autem animam quotidie perdamus, id ne cogitamus quidem. Quomodo ergo poteris Deum tibi propitium reddere, cum ne quidem scias te peccavisse? Etiam, inquies, peccavi: etiam lingua quidem profers; dic mihi & mente, & cum dixeris ingemisce; ut sis semper bono animo. Etenim si doleremus propter peccata, si pro delictis ingemisceremus, nihil aliud nos dolore afficeret, hoc dolore omnem animi ægritudinem expel-

Isai. 57. 17.

lente. Quamobrem aliud quoque lucraremur cum confessione, nempe quod non immergeremur in hujus vitæ calamitates; neque in rebus prosperis ac præclaris inflaremur. Et hac ratione rursum magis Deum placaremus; ut jam per gesta nostra ad iram provocamus. Dic enim mihi; si quem habeas famulum, qui multa passus a conservis; de aliis quidem nullam habeat rationem: sed unam rem curet ut ne herum suum ad iram concitet; annon hinc solum poterit iram tuam sedare? Quid autem si eorum quæ in te deliquit nullam curam habeat, curet autem ea quæ in conservos deliquit, nonne majus inferes supplicium? Ita etiam facit Deus. Cum ejus iram non curamus, illam infert vehementiorem; cum autem eam curamus, mitiorem. Imo ne deinceps quidem illam infert. Vult enim ut nos ipsi peccatorum pœnas a nobis exigamus; ille vero non ultra a nobis exigit. Ideo namque comminatur supplicium, ut metu contemtum auferat. Cum autem ex sola comminatione deterremur, non sinit ut ejus periculum faciamus. Vide namque quid Jeremiæ dicat:

Jer. 7. 17. *Non vides quid illi faciunt? Patres eorum ignem accendunt: filii eorum colligunt ligna: mulieres eorum terunt adipem.* Timendum est ne de nobis quidpiam simile dicatur: Non vides quid illi faciunt? Nemo quæ Christi sunt quærit; sed omnes quæ sua sunt. Filii eorum ad libidinem currunt: patres eorum ad avaritiam & rapinam: uxores eorum ad sæcularem fastum; quæ viros suos non modo non sedant, sed etiam provocant. Sta igitur in foro: interroga euntes & redeuntes, & neminem videbis pro re spirituali festinantem, sed omnes pro carnalibus currentes. Quousque non resipiscimus? Quousque in profundum somnum dejicimur? Annon malorum nos cepit satietas? Atqui etiam absque verbis ipsa rerum experientia satis est ad docendos nos, nihil esse res præsentes & prava esse omnia. Homines certe qui externam sapientiam exercebant, & nihil futurorum noverant, cum deprehendissent magnam præsentium rerum vilitatem; ideo tantum abscesserunt. Quam ergo tu consequeris veniam, qui humi repis, nec despicis parva hæc quæ transeunt, nec deseris, pro iis quæ magna sunt atque æterna, qui ipsum Deum audis hoc tibi monstrantem, & ab ipso tales habes promissiones? Quod enim hæc non satis sint ad detinendum hominem, ostenderunt ii qui absque majorum rerum promissione ab eis abstinuerunt. Quas enim divitias exspectantes, ad paupertatem venerunt? Nullas: sed quod bene scirent talem paupertatem esse divitiis meliorem. Quam sperantes vitam delicias reliquerunt, & asperæ vitæ se dediderunt? nullas; sed ipsam rerum naturam edocti, & scientes

A ὥστε καὶ ἕτερον ἂν ἐκερδαίνομεν μετὰ τῆς ἐξομολογήσεως, τὸ μὴ βαπτίζεσθαι τοῖς λυπηροῖς τοῦ παρόντος βίου, μηδὲ φυσᾶσθαι τοῖς λαμπροῖς· καὶ ταύτῃ πάλιν μειζόνως ἂν ἐξιλεωσαίμεθα τὸν θεὸν, ὥσπερ οὖν οἷς νῦν ποιοῦμεν, παροξύνομεν. εἰπὲ γάρ μοι, εἴ τινα ἔχεις οἰκέτην, καὶ πολλὰ παθὼν ἐκεῖνος κακὰ παρὰ τῶν ὁμοδούλων, τῶν μὲν ἄλλων μηδενὸς λόγον ποιοῖτο, ὑπὲρ δὲ τοῦ μὴ παροργίζεσθαι τὸν δεσπότην φροντίζοι μόνον, ἆρα οὐχ ἱκανὸς ἀπὸ τούτου μόνου λῦσαί σου τὴν ὀργήν; τί δ' ἂν τῶν μὲν εἰς σὲ πλημμεληματων μηδεμίαν ποιοῖτο φροντίδα, ὑπὲρ δὲ τῶν πρὸς τοὺς
B ὁμοδούλους φροντίζοι, οὐχὶ μείζονα ἐπάξεις τὴν τιμωρίαν; οὕτω καὶ ὁ θεὸς ποιεῖ. ὅταν μὲν ἀμελῶμεν αὐτοῦ τῆς ὀργῆς, σφοδροτέραν ἐπάγει αὐτήν· ὅταν δὲ φροντίζωμεν, ἡμερωτέραν· μᾶλλον δὲ οὐδὲ ἐπάγει λοιπόν. βούλεται ἡμᾶς ἑαυτοῖς ἀπαιτεῖν τὴν τιμωρίαν τῶν ἡμαρτημένων, καὶ οὐκέτι λοιπὸν αὐτὸς ἀπαιτεῖ. διὰ τοῦτο γὰρ καὶ ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα τῷ φόβῳ τὴν καταφρόνησιν ἀνέλῃ. ὅταν δὲ ἐξ ἀπειλῆς φοβηθῶμεν μόνης, οὐκ ἀφίησιν ὑπομεῖναι τὴν πεῖραν. ὅρα γοῦν πρὸς τὸν Ἱερεμίαν τί φησιν. οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; οἱ πατέρες αὐτῶν καίουσι πῦρ, οἱ υἱοὶ
C αὐτῶν συνάγουσι ξύλα, αἱ γυναῖκες αὐτῶν τρίβουσι [a] σταῖς. δέος μὴ καὶ περὶ ἡμῶν λεχθῇ τι τοιοῦτον. οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; οὐδεὶς τὰ τοῦ Χριστοῦ ζητεῖ, ἀλλὰ πάντες τὰ ἑαυτῶν· οἱ υἱοὶ αὐτῶν εἰς ἀσελγείας τρέχουσιν, οἱ πατέρες αὐτῶν εἰς πλεονεξίαν καὶ ἁρπαγήν· αἱ γυναῖκες αὐτῶν ἐπὶ τὰς φαντασίας τὰς βιωτικὰς, οὐ μόνον οὐκ ἐγκόπτουσαι τοὺς ἄνδρας, ἀλλὰ καὶ παροξύνουσαι. στῆθι γοῦν ἐπὶ τῆς ἀγορᾶς· ἐρώτησον τοὺς ἀπιόντας καὶ ἐπανιόντας, καὶ οὐδένα ὄψει ὑπὲρ πνευματικοῦ πράγματος σπεύδοντα, ἀλλὰ πάντας ὑπὲρ σαρκικῶν τρέχοντας. μέχρι τίνος οὐκ ἀνανήφο-
D μεν; μέχρι τίνος εἰς ὕπνον καταφερόμεθα βαθύν; οὐκ ἐλάβομεν κόρον τῶν κακῶν; καίτοιγε καὶ χωρὶς τῶν ῥημάτων ἀρκεῖ καὶ αὐτὴ τῶν πραγμάτων ὑμᾶς ἡ πεῖρα διδάξαι τῶν παρόντων τὴν οὐδένειαν, καὶ τὸ μοχθηρὸν ἅπαν. ἄνθρωποι γοῦν τὴν ἔξωθεν σοφίαν ἀσκοῦντες, καὶ μηδὲν τῶν μελλόντων εἰδότες, ἐπειδὴ κατέγνωσαν πολλὴν [b] παρόντων πραγμάτων εὐτέλειαν τῶν παρόντων, διὰ τοῦτο ἀπέστησαν μόνον. ποίας οὖν σὺ τεύξῃ συγγνώμης, χαμαὶ συρόμενος, καὶ μὴ καταφρονῶν τῶν μικρῶν καὶ παρερχομένων ὑπὲρ τῶν με-
E γάλων καὶ διαιωνιζόντων, ὁ καὶ αὐτοῦ τοῦ θεοῦ ἀκούων ταῦτά σοι δεικνύντος καὶ ἐκκαλύπτοντος, καὶ ἐπαγγελίας τοιαύτας παρ' αὐτοῦ ἔχων; ὅτι γὰρ οὐχ ἱκανὰ ταῦτα κατασχεῖν, ἔδειξαν οἱ καὶ χωρὶς ἐπαγγελίας τῶν μειζόνων ἀπεχόμενοι τούτων. ποῖον γὰρ πλοῦτον προσδοκήσαντες ἐπὶ πενίαν ἦλθον; οὐδένα· ἀλλ' ἀπὸ τοῦ σφόδρα εἰδέναι, ὅτι ἡ τοιαύτη πενία πλούτου κρείττων ἐστί. ποίαν ζωὴν ἐλπίζοντες ἀφῆκαν τρυφὴν, καὶ σκληραγωγίᾳ ἔδωκαν ἑαυτούς; οὐδεμίαν· ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν φύσιν μαθόντες, καὶ συνιδόντες

a σταῖς Regius, στέαρ.

b Ita Reg. παρόντων deerat in editis.

ὅτι τοῦτο μᾶλλον ἐπιτηδειότερον καὶ πρὸς ψυχῆς φιλοσοφίαν, καὶ πρὸς σώματος ὑγείαν. Ταῦτ᾽ οὖν ἡμεῖς ἀναλογιζόμενοι, καὶ τὰ μέλλοντα ἀγαθὰ συνεχῶς ἐν ἑαυτοῖς στρέφοντες, ἀποστῶμεν τῶν παρόντων· ἵνα τύχωμεν ἐκείνων τῶν μελλόντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ θʹ.

Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην· ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται. ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκιμάσει. Εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός.

[a] ΟΥ μικρὸν ἡμῖν τοῦτο τὸ προκείμενον ζήτημα, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων, καὶ ὧν ἅπαντες ζητοῦσιν ἄνθρωποι, εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ. ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει. καὶ οἶδα μὲν ὅτι ναρκᾶτε ταῦτα ἀκούοντες· ἀλλὰ τί πάθω; καὶ γὰρ ὁ θεὸς κελεύει ταῦτα συνεχῶς ἐνηχεῖν, λέγων, διάστειλαι τῷ λαῷ τούτῳ. καὶ ἡμεῖς εἰς διακονίαν λόγου τετάγμεθα· καὶ ἀνάγκη φορτικὸν εἶναι τοῖς ἀκροαταῖς, οὐχ ἑκόντα, ἀλλ᾽ ἀναγκαζόμενον. μᾶλλον δὲ, εἰ βούλεσθε, οὐκ ἐσόμεθα φορτικοί· ἂν γάρ, φησι, ποιῇς τὸ ἀγαθὸν, μὴ φοβοῦ. ὥστε ἔξεστιν ὑμῖν μὴ μόνον μὴ μετὰ ἀπεχθείας, ἀλλὰ καὶ μετὰ ἡδονῆς ἡμῶν ἀκούειν. ὅτι μὲν οὖν οὐκ ἔχει τέλος, καὶ ὁ Χριστὸς ἀπεφήνατο· ὁ Παῦλος δέ φησι, δεικνὺς ἀθάνατον τὴν κόλασιν, ὅτι οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὄλεθρον καὶ αἰώνιον· καὶ πάλιν, μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ βασιλείαν θεοῦ κληρονομήσουσι· καὶ Ἑβραίοις δὲ ἔλεγεν, εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. καὶ ὁ Χριστὸς δὲ τοῖς εἰρηκόσιν, ἐν τῷ ὀνόματί σου δυνάμεις πολλὰς ἐποιήσαμεν, φησί· πορεύεσθε ἀπ᾽ ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ αἱ παρθένοι δὲ ἀποκλεισθεῖσαι, οὐκ ἔτι εἰσῆλθον. καὶ περὶ τῶν μὴ θρεψάντων δὲ αὐτόν φησιν, ὅτι ἀπελεύσονται εἰς κόλασιν αἰώνιον. καὶ μή μοι λέγε, ποῦ ὁ τοῦ δικαίου διαφυλάττεται λόγος, εἰ μὴ ἔχει τέλος ἡ κόλασις; ὅταν γὰρ ὁ θεὸς ἐργάζηταί τι, πείθου ταῖς ἀποφάσεσι, καὶ μὴ ὑπόβαλλε λογισμοῖς ἀνθρωπίνοις τὰ λεγόμενα· ἄλλως δὲ, πῶς οὐκ ἂν εἴη δίκαιον τὸν μυρία παθόντα ἐξ ἀρχῆς ἀγαθὰ, εἶτα κολάσεως ἄξια πράξαντα,

[a] Reg. sic incipit. οὐ μικρὸν ἡμῖν ἐκ τῆς περικοπῆς ταύτης ζήτημα ἀνακύπτει, ἀλλὰ καὶ περί.

A hoc aptius esse & ad animæ philosophiam, & ad corporis valetudinem. Hæc igitur nos animo reputantes, & futura bona assidue in nobis versantes, a rebus præsentibus abscedamus, ut illa futura consequamur; gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto, gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA IX.

B 12. *Si quis superædificat supra fundamentum hoc, aurum, argentum, lapides preciosos, ligna, fœnum, stipulam.* 13. *Uniuscujusque opus manifestum erit. Dies enim Domini declarabit, quia in igne revelabitur, & uniuscujusque opus quale sit, ignis probabit.* 14. *Si cujus opus manserit quod superædificaverit, mercedem accipiet.* 14. *Si cujus opus arserit, detrimentum patietur: ipse autem salvus erit, sic tamen quasi per ignem.*

C 1. NON est parva hæc quæ nobis proponitur quæstio, sed de rebus maxime necessariis, & quas omnes quærunt homines, an gehennæ ignis finem habeat. Nam quod non habeat, Christus pronunciavit dicens: *Ignis eorum non exstinguetur, & vermis eorum non morietur.* (Marc. 9. 44.) Et scio quidem vos hæc audientes torpescere. Sed quid faciam? Deus enim jubet hæc frequenter intonare, dicens, *Præcipe huic populo;* & nos ad ministerium verbi constituti sumus: ac necesse est ut sim molestus auditoribus; D non lubens, sed coactus. Imo si vultis, non erimus onerosi. *Nam si bonum,* inquit, *facias, ne time.* (Rom. 13. 3.) Itaque licet vobis non solum non ægre, sed etiam cum voluptate nos audire. Quod igitur finem non habeat, Christus ipse pronunciavit. Paulus autem dicit, ostendens immortale esse supplicium, peccatores daturos esse pœnas exitiosas & æternas; & rursum, *Nolite errare; neque fornicatores, neque adulteri, neque molles regnum Dei possidebunt.* (1. Cor. 6 9.) Hebræis quoque dicebat: *Pacem persequimini cum omnibus & sanctificationem, sine qua nemo videbit Dominum.* (Hebr. 12. 14.) E Et Christus iis qui dicebant: *In nomine tuo virtutes multas fecimus,* ait: *Discedite a me, non novi vos, qui operamini iniquitatem.* (Matt. 7. 22.) Et virgines exclusæ sunt, neque intraverunt. Et de iis qui ipsum non nutrierunt, ait: *Ibunt in supplicium æternum.* Nec mihi dicas. Ubinam æqui ratio servatur, si supplicium non habet finem? Quando enim Deus aliquid facit, ejus sententiæ obsequere, & ne ea quæ dicuntur, humanis ratiociniis subjice. Alioquin autem quomodo non justum fuerit, eum qui ab initio innumera accepit beneficia, deindeque supplicio digna patravit; (Peccatorum supplicium finem non habet.)

ac neque minis neque beneficiis melior effectus est, supplicio plecti? Nam si id quod justum est quæris, ab initio nos periisse oportuit, secundum æqui & justi rationem; imo neque tunc secundum æqui & justi rationem tantum. Nam benignitatis fuisset, si hoc passi essemus. Quando enim quis eum qui se nihil læsit, contumelia afficit, secundum justi rationem dat pœnas; quando autem beneficum, qui nihil antea accepit beneficii, sed ipse beneficia mille intulit, qui sola causa est quod ille exsistat, qui Deus est & animam inspiravit, innumeraque bona intulit, atque in cælum inducere voluit: si hunc post tot beneficia, non modo contumelia afficiat, sed & contumelias quotidie per opera repetat, quanam dignus fuerit venia? Non vides quomodo Adamum punierit propter unum peccatum? Etiam, inquies, paradisum ipsi dedit & effecit ut magna frueretur benevolentia. Atqui non par res est eum qui in securitate vivit peccare, & eum qui in multis ærumnis vivit, id facere. Et hoc ipsum grave est, quod non in paradiso pecces, sed in malis hujus vitæ innumeris, neque ex miseria cautior evadas: ac si quis vinctus nequitia uteretur. Tibi vero etiam paradiso majora promisit, neque tibi jam dedit, ne te in tempore certaminum, molliorem redderet: neque tacuit, ne te nimis dejiceret in laboribus. Et ille quidem uno peccato totam ad se mortem attraxit: nos autem quotidie innumera peccata admittimus. Si autem ille cum unum admisisset, tantum sibi malum attraxit, & mortem invexit; qui semper in peccatis vivimus, quid non patiemur, qui pro paradiso cælum sperabamus? Molesta sunt hæc, & mœstitia afficiunt auditorem; hoc bene novi ex iis quæ ipse patior. Cor enim meum turbatur & palpitat. Et quo magis video probari id quod de gehenna dicitur, eo magis tremo & ex metu refugio. Sed necesse est hæc dicere, ne in gehennam incidamus. Non accepisti tu paradisum, neque ligna, neque plantas; sed cælum & cælestia bona. Quod si is qui minora accepit, damnatus est, neque ulla eum eruit ratio; multo magis nos, qui plura peccavimus & ad majora vocati sumus, intolerabilia patiemur. Cogita ergo quanto tempore in morte manet propter unum peccatum genus nostrum. Quinque mille anni & plures præterierunt, & mors nondum soluta fuit, propter unum peccatum inducta. Nec possumus dicere Adamum aliquem audisse prophetam, vel ipsum alios propter peccata punitos vidisse, & par fuisse ut inde timeret, atque exemplo cautior fieret. Primus enim erat & solus, tamenque puniebatur. Tu vero nihil horum obtendere potes, qui post tot exempla deterior factus es, qui tanto dignatus es Spiritu, ac non unum, vel duo, vel tria, sed innumera peccata accumulasti.

A καὶ μήτε ἀπειλῇ, μήτε εὐεργεσίᾳ βελτίω γινόμενον, κολάζεσθαι; εἰ γὰρ τὸ δίκαιον ἐξετάζεις, ἐξ ἀρχῆς ἡμᾶς εὐθέως ἐχρῆν ἀπολέσθαι κατὰ τὸν τοῦ δικαίου λόγον· μᾶλλον δὲ οὐδὲ τότε κατὰ τὸν τοῦ δικαίου λόγον μόνον. καὶ γὰρ καὶ φιλανθρωπίαν εἶχεν, εἰ καὶ τοῦτο ἐπάθομεν τὸ γινόμενον. ὅταν μὲν γάρ τις τὸν μηδὲν ἠδικηκότα ὑβρίζῃ, κατὰ τὸν τοῦ δικαίου λόγον δίδωσι δίκην· ὅταν δέ τις τὸν εὐεργέτην, τὸν οὐδὲν παραπαθόντα μὲν, εὖ ποιήσαντα δὲ μυρία, καὶ μόνον τοῦ εἶναι γινόμενον αἴτιον, καὶ θεὸν ὄντα καὶ ψυχὴν ἐμπνεύσαντα, καὶ μυρία χαρισάμενον,
B καὶ εἰς οὐρανὸν βουληθέντα ἀναγαγεῖν, εἰ τοῦτον μετὰ τοσαύτας εὐεργεσίας μὴ μόνον ὑβρίζει, ἀλλὰ καὶ καθ' ἡμέραν ὑβρίζει δι' ὧν ποιεῖ, ποίας ἄξιος ἔσται συγγνώμης; οὐχ ὁρᾷς πῶς τὸν Ἀδὰμ ἐκόλασε διὰ μίαν ἁμαρτίαν; ναί, φησί, παράδεισον παρέδωκεν ἐκείνῳ, καὶ πολλῆς εὐνοίας ἀπολαῦσαι ἐποίησε. καίτοιγε οὐκ ἔστιν ἴσον ἀδείας ἀπολαύοντα ἁμαρτάνειν, καὶ ἐν θλίψει καθεστῶτα πολλῇ. καὶ γὰρ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι οὐδὲ ἐν παραδείσῳ ὢν ἁμαρτάνεις, ἀλλ' ἐν τοῖς μυρίοις τοῦ παρόντος βίου κακοῖς, καὶ οὐδὲ τῇ ταλαιπωρίᾳ σωφρονέστερος γίνῃ· ὥσπερ ἂν εἴ τις δεδεμένος χρῷτο τῇ πονη-
C ρίᾳ. σοὶ δὲ καὶ παραδείσου μείζονα ἐπηγγείλατο· καὶ οὔτε ἔδωκεν ἤδη, ἵνα μή σε διαχέῃ ἐν τῷ καιρῷ τῶν ἀγώνων· οὔτε ἐσίγησεν, ἵνα μή σε καταβάλῃ τοῖς πόνοις. κἀκεῖνος μὲν μίαν ἁμαρτίαν ἁμαρτών, θάνατον ὁλόκληρον ἐπεσπάσατο, ἡμεῖς δὲ μυρία καθ' ἑκάστην ἡμέραν πλημμελοῦμεν. εἰ δὲ μίαν ἐργασάμενος ἐκεῖνος τοσοῦτον ἐπεσπάσατο κακὸν, καὶ θάνατον εἰσήνεγκεν, οἱ διηνεκῶς ἐν ἁμαρτήμασι ζῶντες, τί οὐ πεισόμεθα, ἀντὶ παραδείσου τὸν οὐρανὸν προσδοκῶντες; φορτικὸς ὁ λόγος, καὶ λυπεῖ τὸν ἀκροατήν· καὶ ἐξ ὧν αὐτὸς πάσχω,
D τοῦτο οἶδα. καὶ γὰρ ἡ καρδία μου ταράττεται καὶ πάλλει. καὶ ὅσῳ ἂν ἴδω κατασκευαζόμενον τὸν τῆς γεέννης λόγον, τοσούτῳ μᾶλλον τρέμω καὶ ἀναδύομαι τῷ δέει. ἀλλ' ἀνάγκη ταῦτα λέγειν, ἵνα μὴ περιπέσωμεν τῇ γεέννῃ. οὐκ ἔλαβες σὺ παράδεισον, οὐδὲ ξύλα καὶ φυτὰ, ἀλλ' οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά. εἰ δὲ ὁ ἐλάττω λαβὼν κατεδικάσθη, καὶ οὐδεὶς αὐτὸν ἐξείλετο λόγος, πολλῷ μᾶλλον ἡμεῖς οἱ πλείονα ἁμαρτάνοντες, καὶ ἐπὶ μείζοσι κεκλημένοι, τὰ ἀνήκεστα ὑπομενοῦμεν. ἐννόησον γοῦν πόσον χρόνον ἐν τῷ
E θανάτῳ μένει διὰ μίαν ἁμαρτίαν τὸ γένος τὸ ἡμέτερον. πεντακισχίλια ἔτη, καὶ πλείω παρῆλθε, καὶ ὁ θάνατος οὐδέπω λέλυται διὰ μίαν ἁμαρτίαν. καὶ οὐδὲ ἔχομεν εἰπεῖν, ὅτι προφητῶν ἤκουσεν ὁ Ἀδὰμ, ὅτι ἐπὶ ἁμαρτήμασιν ἑτέρους κολαζομένους εἶδε, καὶ φοβηθῆναι ἐντεῦθεν αὐτὸν εἰκὸς ἦν, καὶ αὐτῷ τῷ παραδείγματι σωφρονισθῆναι. πρῶτος γὰρ ἦν τότε, καὶ μόνος, ἀλλ' ὅμως ἐτιμωρεῖτο. σὺ δὲ οὐδὲν ἂν ἔχοις τούτων προβάλλεσθαι, ὁ μετὰ τοσαῦτα παραδείγματα γινόμενος χείρων, ὁ τοσούτου καταξιωθεὶς πνεύματος, καὶ οὐ μίαν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλὰ μυρίας ἐφελκόμενος ἁμαρτίας.

μὴ γάρ, ὅτι ἐν ῥοπῇ βραχείᾳ τὸ ἁμάρτημα γίνεται, τοῦτο σκόπει, καὶ διὰ τοῦτο καὶ τὴν κόλασιν ῥοπῆς εἶναι νόμιζε. οὐχ ὁρᾷς τοὺς ἀνθρώπους, οἳ πολλάκις ὑπὲρ μιᾶς κλοπῆς καὶ μιᾶς μοιχείας [a] ἐν μιᾷ ῥοπῇ γινομένης ἐν δεσμωτηρίοις καὶ μετάλλοις ὁλόκληρον αὐτῶν τὸν βίον ἀνήλωσαν, λιμῷ διηνεκεῖ καὶ μυρίοις παλαίοντες θανάτοις; καὶ οὐδεὶς αὐτοὺς ἐξείλετο, οὐδὲ εἶπεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ ἁμάρτημα γέγονε, δεῖ καὶ τὴν κόλασιν ἀντίῤῥοπον τῇ ἁμαρτίᾳ καὶ τὸν χρόνον ἔχειν.

Ἀλλ' ἄνθρωποί, φησιν, εἰσὶν, οἱ ταῦτα ποιοῦντες, θεὸς δὲ φιλάνθρωπός ἐστι. πρῶτον μὲν οὖν οὐδὲ ἄνθρωποι ὠμότητι ταῦτα πράττουσιν, ἀλλὰ φιλανθρωπίᾳ· καὶ ὁ θεὸς δὲ, ὥσπερ ἐστὶ φιλάνθρωπος, οὕτω καὶ ἐπεξέρχεται. κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ, πολὺς καὶ ὁ ἔλεγχος αὐτοῦ. ὅταν οὖν εἴπῃς φιλάνθρωπον τὸν θεὸν, τότε μείζονά μοι λέγεις τῆς κολάσεως τὴν ἀφορμὴν, ὅτι εἰς τοιοῦτον ἁμαρτάνομεν. διὸ καὶ ὁ Παῦλος ἔλεγε, φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. ἀνάσχεσθε, παρακαλῶ, τῆς πυρᾶς τῶν ῥημάτων· ἴσως γὰρ, ἴσως ἔσται τις ὑμῖν ἐντεῦθεν παραμυθία. τίς ἀνθρώπων δύναται κολάσαι οὕτως, ὡς ἐκόλασεν ὁ θεὸς, κατακλυσμὸν ποιήσας καὶ πανωλεθρίαν τοσούτου γένους, καὶ μετὰ μικρὸν πάλιν πῦρ ἄνωθεν βρέξας, καὶ πάντας ἄρδην ἀφανίσας; ποία ἀνθρώπων τιμωρία δύναται εἶναι τοιαύτη; οὐχ ὁρᾷς ἀθάνατον σχεδὸν καὶ τὴν ἐντεῦθεν κόλασιν οὖσαν; τετρακισχίλια ἔτη παρῆλθε, καὶ ἡ τιμωρία μένει τῶν Σοδομιτῶν ἀκμάζουσα. ὥσπερ γὰρ ἡ φιλανθρωπία αὐτοῦ μεγάλη, οὕτω καὶ ἡ κόλασις. καὶ γὰρ εἰ μὲν φορτικά τινα ἐπέταξε καὶ ἀδύνατα, ἴσως ἄν τις εἶχε προβαλέσθαι τὴν δυσκολίαν τῶν νόμων· εἰ δὲ σφόδρα ῥᾷστα, τί ἂν ἔχοιμεν εἰπεῖν μηδὲ τούτων ποιούμενοι λόγον; νηστεῦσαι οὐ δύνασαι, οὐδὲ παρθενίαν ἀσκῆσαι; καίτοιγε δύνασαι, ἂν θέλῃς, καὶ κατηγοροῦσιν ἡμῶν οἱ δυνηθέντες. ἀλλ' ὅμως οὐκ ἐχρήσατο ταύτῃ πρὸς ἡμᾶς ὁ θεὸς τῇ ἀκριβείᾳ, οὐδὲ ἐπέταξε ταῦτα, οὐδὲ ἐνομοθέτησεν, ἀλλ' ἀφῆκεν εἶναι τὴν αἵρεσιν ἐν τῇ γνώμῃ τῶν ἀκουόντων. σωφρονεῖν δὲ ἐν γάμῳ δύνασαι, καὶ μὴ μεθύειν δύνασαι. χρήματα κενῶσαι οὐ δύνασαι πάντα; καίτοιγε δύνασαι, καὶ δηλοῦσιν οἱ ἐργασάμενοι. ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐπέταξεν, ἀλλὰ μὴ ἁρπάζειν ἐκέλευσε, καὶ ἐκ τῶν ὄντων τοῖς δεομένοις ἐπικουρεῖν. εἰ δὲ λέγοι τις, ὅτι οὐδὲ τῇ γυναικὶ μόνον ἀρκεσθῆναι δύναμαι, ἀπατᾷ ἑαυτὸν καὶ παραλογίζεται· καὶ κατηγοροῦσιν οἱ χωρὶς γυναικὸς σωφρονοῦντες. τί δὲ, εἰπέ μοι, μὴ λοιδορεῖσθαι οὐ δύνασαι, μὴ καταρᾶσθαι οὐ δύνασαι; καὶ μὴν τὸ ταῦτα ποιεῖν φορτικὸν, οὐ τὸ μὴ ποιεῖν. ποίαν οὖν ἕξομεν ἀπολογίαν, τὰ οὕτω κοῦφα καὶ εὔκολα μὴ φυλάττοντες; οὐκ ἔστιν εἰπεῖν οὐδεμίαν. ὅτι μὲν οὖν ἀθάνατος ἡ κόλασις, ἐκ τῶν εἰρημένων ἁπάντων δῆλον. ἐπειδὴ δὲ δοκεῖ τισι τὸ τοῦ Παύλου ῥῆμα ἀντιπίπτειν, φέρε καὶ αὐτὸ καταμάθωμεν ἀγαγόντες εἰς μέσον. εἰπὼν γὰρ, εἴ τινος τὸ ἔργον μένει,

[a] Regius codex, ἐν μικρᾷ ῥοπῇ.

A Ne enim consideres quod brevi temporis momento peccatum admittatur; neque ideo putes supplicium momentaneum futurum esse. Annon vides homines qui sæpe pro uno furto, adulterio uno, in carcere & metallis totam vitam insumsere, cum fame perpetua & mille mortibus concertantes? ac nemo ipsos eripuit, neque dixit brevi temporis momento peccatum peractum fuisse, & oportere & peccatum & supplicium paris esse temporis.

2. At, inquies, homines sunt, qui hæc admittunt, Deus autem benignus erga homines est. Primum quippe ne homi-B nes quidem hæc faciunt ex crudelitate; sed ex benignitate; & Deus etiam ut est hominum amans, ita etiam peccata ulciscitur. Nam secundum misericordiam ipsius multa est ejus redargutio & ultio. Cum dicis ergo Deum esse hominum amantem, majorem mihi dicis supplicii occasionem, quod in eum qui talis sit peccemus. Ideo dicebat Paulus: *Horrendum est incidere in manus Dei viventis.* Hebr. 10. 31. Ferte, quæso, igneam vim verborum; hinc fortasse vobis quædam consolatio orietur. Quis homo potest ita punire, ut punivit Deus, qui diluvium immisit, & tanto generi exitium intulit; & paulo C post rursum ignis pluviam immisit, & omnes funditus delevit? Quæ hominum ultio potest esse tanta? Non vides hoc supplicium immortale fere esse? Quater mille anni effluxere, & Sodomitarum ultio adhuc viget & manet. Quemadmodum enim benignitas ejus magna est; ita & supplicium. Nam si onerosa & impossibilia jussisset, posset fortasse quis legum difficultatem obtendere; quod si admodum facilia, quid possimus dicere etsi nullam horum rationem habemus? Jejunare non potes, neque virginitatem ser-D vare? Atqui potes, si velis: & nos accusant ii qui possunt. Attamen Deus tanta erga nos severitate usus non est, neque hæc jussit, nec hasce leges posuit, sed hæc auditorum voluntati & arbitrio reliquit. Castus in connubio esse potes, ac penes te est non inebriari. Pecunias omnes profundere non potes? Quamquam potes, & ostendunt ii qui hoc faciunt. Attamen ille non hoc præcepit; sed jussit non rapere, & ex facultatibus egenis erogare. Si quis autem dixerit se non uxore contentum esse posse, seipsum decipit & fallit, ut arguunt ii qui sine uxo-E re continentes sunt. Quid vero, dic quæso, non potes non convitiis & maledictis impetere? Atqui hoc facere onerosum est, non autem non facere. Quam ergo habemus excusationem, qui tam levia & facilia non servemus? nos aliquam habere dici nequit. Quod ergo immortalis sit ultio, ex dictis palam est. Quia vero Pauli dictum videtur nonnullis adversari, age hoc ipsum in medium adductum excutiamus. Cum dixisset, *Si cujusdam opus manserit,*

*quod superædificaverit, mercedem accipiet; & si cujusdam opus arserit, detrimentum patietur*; subjunxit: *ipse autem salvus erit, sic tamen quasi per ignem.* Quid ergo ad hoc dicemus? Consideremus primo quid sit fundamentum, quod sit aurum, & qui lapides preciosi, quod fœnum, quæ stipula. Fundamentum quidem ipse Paulus declaravit, Christum esse dicens, *Fundamentum enim aliud nemo ponere potest, præter ipsum, quod est positum*, inquit, *quod est Christus Jesus.* Ædificium autem mihi videntur esse actiones. Atqui dicunt quidam, hoc ipsum dictum esse de doctoribus & de discipulis, ac de corruptis hæresibus; sed hoc series non admittit. Nam si hoc est, quomodo opus quidem perit; qui autem ædificat, salvus erit vel per ignem? Auctorem enim magis perire oporteret: nunc autem majores pœnas dedisse invenietur is, qui ædificatus est. Nam si doctor auctor fuit mali, dignus est qui majores luat pœnas. Quomodo ergo salvus erit? Si auctor non est, sed discipuli per suam perversitatem tales facti sunt, non dignus est is qui recte ædificavit, qui luat pœnas, vel damnum subeat. Quomodo ergo dicit, detrimentum patietur? Unde palam est hic de actibus agi. Quia enim fornicatorem deinceps aggressurus est, longe antea principium ponit. Solet enim de alia re dicturus, in ipsa de alio disputatione, aliud præmittere & probare, quo postea venturus est. Nam reprehendens, quod in prandiis alii alios non exspectarent, de mysteriis sermonem apparavit. Quia autem nunc ad fornicatorem festinat, de fundamento loquutus subjunxit: *Nescitis quod templum Dei estis, & Spiritus Dei habitat in vobis. Si quis templum Dei violaverit, disperdet illum Deus.* Hæc autem dicebat jam metu exagitans mentem ejus qui fornicatus fuerat. *Si quis superædificat super fundamentum hoc, aurum, argentum, lapides preciosos, ligna, fœnum, stipulam.* Post fidem enim ædificatione est opus. Et ideo alibi dicit: *Ædificate vos invicem in his sermonibus.* Etenim artifex, & discipulus simul conferunt in ædificationem. Ideo dicit: *Unusquisque autem videat quomodo superædificet.*

3. Si hæc autem dicta sint de fide, non est rationi consentaneum quod dicitur. In fide namque oportet omnes esse pares: quoniam una est fides. In virtute autem vitæ non possunt omnes esse iidem. Fides enim non est alia minor, alia præstantior; sed eadem est omnium vere credentium. At in vita possunt alii quidem esse studiosiores, alii socordiores; alii accuratiores, alii inferiores: alii majora, alii minora recte agere, & alii gravius, alii minus delinquere. Propterea dixit: *Aurum, argentum, lapides preciosos, ligna, fœnum, stipulam. Uniuscujusque opus manifestum erit.* Hic de actione loquitur. *Si cujus opus manserit,*

A ὃ ἐποικοδόμησε, μισθὸν λήψεται· καὶ εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, ἐπήγαγεν· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός. τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; σκοπήσωμεν πρότερον τίς ἐστιν ὁ θεμέλιος, καὶ τίς ὁ χρυσὸς, καὶ τίνες οἱ λίθοι οἱ τίμιοι, καὶ τίς ὁ χόρτος, καὶ τίς ἡ καλάμη. τὸν μὲν οὖν θεμέλιον φανερῶς αὐτὸς ἐδήλωσε τὸν Χριστὸν εἰπών· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, φησιν, ὅς ἐστι Χριστὸς Ἰησοῦς. ἡ δὲ οἰκοδομὴ πράξεις ἐμοὶ δοκοῦσιν εἶναι. καίτοιγέ
B τινές φασιν, ὅτι καὶ αὐτὸ τοῦτο περὶ διδασκάλων εἴρηται καὶ μαθητῶν, καὶ περὶ αἱρέσεων διεφθαρμένων. ἀλλ' ὁ λόγος οὐ παραδέχεται. εἰ γὰρ τοῦτό ἐστι, πῶς τὸ μὲν ἔργον ἀπόλλυται, ὁ δὲ οἰκοδομῶν σωθήσεται κἂν διὰ πυρός; τὸν γὰρ αἴτιον μᾶλλον ἀπόλλυσθαι ἐχρῆν· νυνὶ δὲ εὑρεθήσεται πλείονα δίκην διδοὺς ὁ οἰκοδομηθείς. εἰ μὲν γὰρ ὁ διδάσκαλος αἴτιος γέγονε τῆς κακίας, πλείονα ἄξιος δοῦναι δίκην. πῶς οὖν σωθήσεται; εἰ δ' οὐκ αἴτιος, ἀλλὰ παρὰ τὴν οἰκείαν δυστροπίαν οἱ μαθηταὶ τοιοῦτοι γεγόνασι, οὐδ' ὅλως ἄξιος δοῦναι δίκην, ἀλλ' οὐδὲ ζημίαν ὑποστῆναι ὁ καλῶς οἰκοδομήσας. πῶς οὖν φησι,
C ζημιωθήσεται; ὅθεν δῆλον ὅτι περὶ πράξεων ὁ λόγος. ἐπεὶ γὰρ μέλλει λοιπὸν πρὸς τὸν πεπορνευκότα ἀποτείνεσθαι, ἄνωθεν καὶ πρὸ πολλοῦ καταβάλλεται τὰ προοίμια. οἶδε γὰρ περὶ ἑτέρου διαλεγόμενος, ἐν αὐτῇ τῇ περὶ ἑτέρου διαλέξει προκατασκευάζειν ἕτερον, ἐφ' ὃ μέλλει ἰέναι. καὶ γὰρ ἐπιτιμῶν περὶ τοῦ μὴ ἀναμένειν ἑαυτοὺς τοῖς ἀρίστοις, τὸν περὶ τῶν μυστηρίων κατεσκεύασε λόγον. ὅτι δὲ καὶ νῦν πρὸς τὸν πεπορνευκότα ἐπείγεται, περὶ τοῦ θεμελίου εἰπών,
D ἐπήγαγεν, οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. ταῦτα δὲ ἔλεγεν ἤδη διασαλεύων τῷ φόβῳ τὴν ψυχὴν τοῦ πεπορνευκότος. εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. μετὰ γὰρ τὴν πίστιν, οἰκοδομῆς χρεία. διὸ καὶ ἀλλαχοῦ φησιν, οἰκοδομεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καὶ γὰρ καὶ ὁ τεχνίτης, καὶ ὁ μαθητὴς συνεισφέρουσιν ἐν τῇ οἰκοδομῇ. διὸ λέγει, ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ.

E Εἰ δὲ περὶ πίστεως ταῦτα εἴρητο, λόγον οὐκ ἔχει τὸ λεγόμενον. ἐν γὰρ τῇ πίστει ἴσους πάντας εἶναι χρὴ, ἐπειδὴ μία πίστις· ἐν δὲ ἀρετῇ βίου οὐκ ἔνι πάντας εἶναι τοὺς αὐτούς. πίστις μὲν γὰρ οὐκ ἔστιν ἡ μὲν ἐλάττων, ἡ δὲ βελτίων, ἀλλ' ἡ αὐτὴ πάντων τῶν ἀληθῶς πιστευόντων. ἐπὶ δὲ βίου ἔστι τοὺς μὲν σπουδαιοτέρους εἶναι, τοὺς δὲ ῥαθυμοτέρους· καὶ τοὺς μὲν ἀκριβεστέρους, τοὺς δὲ καταδεεστέρους· καὶ τοὺς μὲν τὰ μείζω, τοὺς δὲ τὰ ἐλάττω κατωρθωκέναι· καὶ τοὺς μὲν χαλεπώτερα, τοὺς δὲ καταδεέστερα πεπλημμεληκέναι. διὰ τοῦτο εἶπε χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. ἑκάστου τὸ ἔργον φανερωθήσεται· τὴν πρᾶξιν ἐνταῦθά φησιν. εἴ τινος τὸ ἔργον μενεῖ

ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος δὲ ἔργον κατακαήσεται, ζημιωθήσεται. καίτοιγε εἰ περὶ μαθητῶν καὶ διδασκάλων τὸ λεγόμενον ἦν, οὔτε ζημιοῦσθαι ἐχρῆν, εἰ μὴ ἤκουσαν οἱ μαθηταί. διὰ γὰρ τοῦτό φησιν, ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὸν κόπον. τί γὰρ, εἰ μὴ προσεῖχον οἱ ἀκούοντες; ὅθεν δῆλον καὶ ἐντεῦθεν, ὅτι περὶ ἔργων τὸ λεγόμενον. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἴ τις κακὸν βίον ἔχει μετὰ πίστεως ὀρθῆς, οὐ προστήσεται αὐτοῦ ἡ πίστις εἰς τὸ μὴ κολάζεσθαι, τοῦ ἔργου κατακαιομένου. τὸ δὲ, κατακαήσεται, τουτέστιν, οὐκ οἴσει τοῦ πυρὸς τὴν ῥύμην. ἀλλ' ὥσπερ εἴ τις χρυσᾶ ὅπλα ἔχων διέλθοι ποταμὸν πυρὸς, φαιδρότερος διαβαίνει· εἰ δὲ χόρτον ἔχων διέλθοι, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ἑαυτὸν ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστίν. οὐ γὰρ ὡς περὶ ἐνυποστάτων διαλεγόμενος καὶ διακαιομένων, τοῦτο λέγει, ἀλλὰ τὸν φόβον μᾶλλον ἐπιτεῖναι θέλων καὶ δεῖξαι γυμνὸν ἀσφαλείας τὸν ἐν κακίᾳ ὄντα. διὸ καὶ ἔλεγε, ζημιωθήσεται. ἰδοὺ μία κόλασις. αὐτὸς δὲ σωθήσεται, οὕτως ὡς διὰ πυρός. ἰδοὺ καὶ δευτέρα. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐχὶ καὶ αὐτὸς οὕτως ἀπολεῖται, ὡς τὰ ἔργα, εἰς τὸ μηδὲν χωρῶν· ἀλλὰ μενεῖ ἐν τῷ πυρί. σωτηρίαν γοῦν τὸ πρᾶγμα καλεῖ, φησι· διὰ γὰρ τοῦτο προσέθηκεν, ὡς διὰ πυρός. καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ἐν τῷ πυρὶ σώζεται, περὶ τῶν μὴ κατακαιομένων καὶ τεφρουμένων εὐθέως ὑλῶν. μὴ γὰρ, ἐπειδὴ πῦρ ἤκουσας, νομίσῃς εἰς ἀνυπαρξίαν χωρεῖν τοὺς καιομένους. εἰ δὲ σωτηρίαν καὶ τὴν τοιαύτην τιμωρίαν καλεῖ, μὴ θαυμάσῃς. ἔθος γὰρ αὐτῷ καὶ ἐπὶ τῶν κακεμφάτων καλοῖς ὀνόμασι κεχρῆσθαι, καὶ ἐπὶ τῶν χρηστῶν τοῖς ἐναντίοις. οἷον, τὸ τῆς αἰχμαλωσίας ὄνομα, πονηροῦ πράγματος δοκεῖ εἶναι ὄνομα· ἀλλ' ἐπὶ καλοῦ Παῦλος αὐτῷ κέχρηται λέγων, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. καὶ ἐπὶ κακοῦ πάλιν εὐφήμῳ κέχρηται ὀνόματι, λέγων, ἐβασίλευσεν ἡ ἁμαρτία. καίτοιγε τὸ τῆς βασιλείας ὄνομα εὔφημόν ἐστι μᾶλλον. οὕτω καὶ ἐνταῦθα εἰπὼν, σωθήσεται. οὐδὲν ἕτερον ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ᾐνίξατο, ὡσανεὶ ἔλεγεν· αὐτὸς δὲ μενεῖ διηνεκῶς κολαζόμενος. εἶτα καὶ ἐπιφέρει λέγων· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε; ἐπειδὴ γὰρ περὶ τῶν διατεμνόντων τὴν ἐκκλησίαν ἐν τῇ ἔμπροσθεν διελέχθη, καθάπτεται λοιπὸν καὶ τοῦ πεπορνευκότος, σαφῶς μὲν οὐδέπω, ἀορίστως δὲ, αἰνιττόμενος τὸν διεφθαρμένον αὐτοῦ βίον, καὶ ἐπαίρων τὸ ἁμάρτημα ἀπὸ τῆς ἤδη δοθείσης αὐτῷ δωρεᾶς. εἶτα καὶ τοὺς ἄλλους ἐντρέπει ἀπὸ τῶν αὐτῶν τούτων τῶν ἤδη ὑπαρξάντων. ἢ γὰρ ἀπὸ τῶν μελλόντων, ἢ ἀπὸ τῶν ἤδη γεγενημένων, ἢ λυπηρῶν, ἢ χρηστῶν, ἀεὶ τοῦτο ποιεῖ· ἀπὸ μὲν τῶν μελλόντων, ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· ἀπὸ δὲ τῶν ἤδη γεγενημένων, οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. ὁρᾷς τὴν καταφορὰν τοῦ λόγου; ἀλλ' ἕως τὸ πρόσωπον ἄδηλόν ἐστιν,

A *quod superædificaverit, mercedem accipiet: si cujus opus arserit, detrimentum accipiet.* Atqui si de discipulis & doctoribus, id diceretur, non oportuisset doctores detrimentum recipere, si non audissent discipuli. Ideo ait: *Unusquisque propriam mercedem accipiet secundum proprium laborem;* non secundum finem, sed secundum laborem. Quid enim si non attenderint auditores? Quapropter hinc liquidum est hic de operibus agi. Id autem vult significare. Si quis cum recta fide malam vitam agat, huic non proderit fides ut non puniatur, ardente opere. Illud B autem, *arserit*, id est, non tulerit vim ignis. Sed ut si quis arma aurea habens fluvium igneum trajiciat, alacer transibit, si autem fœnum habens transeat; non modo nihil proficit, sed etiam seipsum perdit. Ita est & in operibus. Non enim hic loquitur quasi de personis vere adustis, sed potius ut metum incutiat, ostendatque eum qui in nequitia vivit nudum præsidio & securitate esse: quapropter ait, *detrimentum patietur.* Ecce unum supplicium. *Ipse autem salvus erit sic quasi per ignem;* ecce secundum. Hoc C autem vult significare: non sic ille peribit ut opera, ad nihilum reductus: sed manebit in igne. Salutem itaque hanc rem vocat, ideo adjecit, *quasi per ignem.* Nam nos quoque solemus dicere, in igne salvus est, de iis quæ non comburuntur nec statim in cinerem abeunt. Ne enim, quia ignem audisti, putes eos qui comburuntur in nihilum redigi. Si vero tale supplicium salutem vocet, ne mireris: solet enim etiam in iis quæ male sonant pulcris uti nominibus, & in bonis, contrariis. Verbi gratia, captivitatis nomen, malæ rei nomen esse videtur; sed in re bona illo usus est Paulus, In captivitatem D agentes omnem intelligentiam ad obedientiam Christi. *2. Cor. 10. 5.* Et in re mala bene sonante nomine usus est, dicens, regnavit peccatum. *Rom. 5. 21.* Atqui nomen regni bene sonat; sic & hoc loco cum dicit, salvus erit, nihil aliud quam augmentum supplicii subindicavit, ac si dixisset, Ipse autem manebit in æternum cruciatus. Deinde etiam infert dicens. 16. *Nescitis quod templum Dei estis?* Quia enim de iis qui scindunt ecclesiam superius loquutus est, deinceps illum perstringit, qui fornicatus erat, nondum quidem aperte, sed in- E definite, ejus corruptam vitam subindicans, & peccatum amplificans, a dono jam ipsi collato. Deinde alios quoque perstringit, ab iis quæ jam ipsi habuerant. Sive enim a futuris, sive ab iis quæ jam fuerant, & molestis, & bonis, semper id facit. A futuris quidem: *Dies enim declarabit, quod in igne revelatur.* Ab iis autem quæ jam fuerant. *Nescitis quod templum Dei estis, & Spiritus Dei habitat in vobis.* 17. *Si quis templum Dei violaverit, disperdet illum Deus.* Viden' orationis vehementiam? Sed quamdiu persona est ignota,

non eſt adeo grave quod dicitur, cum omnes timorem correptionis participes ſubeant. *Diſperdet illum Deus*; id eſt, afferet exitium. Hoc autem non eſt male dicentis, ſed prophetantis. *Templum enim Dei ſanctum eſt*. Fornicator autem eſt profanus. Deinde ne videretur ad illum reſpicere, cum dixiſſet, templum enim Dei ſanctum eſt, ſubjunxit, Quod eſtis vos. 18. *Nemo ſeipſum ſeducat.* Hoc quoque ad illum ſpectat, ut qui ſe exiſtimaret aliquid eſſe, & de ſapientia gloriaretur. Ne videretur autem curioſius diutiuſque illum impetere, cum in angorem & metum illum conjeciſſet, rurſus ad communem accuſationem orationem deducit dicens: *Si quis videtur inter vos ſapiens eſſe in hoc ſæculo, ſtultus fiat, ut ſit ſapiens.* Hoc autem deinde facit cum magna loquendi libertate, utpote qui illos ſatis expugnarit. Nam etiamſi quis ſit dives, etiamſi nobilis, vilium omnium eſt viliſſimus, quando captus fuerit a peccato. Quemadmodum enim ſi quis regnaverit, & barbarorum poſtea captivus fiat, omnium eſt miſerrimus. Ita etiam in peccato. Barbarus enim quidam eſt peccatum, quod animæ ſemel captæ parcere neſciat: ſed in perniciem eorum qui capti ſunt tyrannidem ſuam exerceat.

Peccati deſcriptio.

4. Nihil enim ita inconſideratum eſt ut peccatum, nihil ita inſipiens, ſtultum ac violentum. Omnia evertit & confundit, & perdit, quocumque inſilierit; viſu deforme, grave & moleſtum. Et ſi quis ipſum pictor effingeret, non aberrare mihi videretur, ſi ſic ipſum efformaret; mulierem nempe quamdam forma belluina, barbaram, ignem ſpirantem, injucundam, nigram, quales externi poëtæ Scyllas depingunt. Innumeris enim manibus cogitationes noſtras apprehendit, atque ex improviſo ingreditur, omniaque diſcerpit & dilacerat, ſicut canes clanculum mordentes. Imo quid opus nobis eſt pictura, cum liceat eos qui illud perpetrant in medium adducere? Quem itaque vultis primum deſcribamus? Avarum & raptorem? Ecquid eſt oculis illis impudentius? Quid magis inverecundum, quid magis caninum? Non enim canis ita impudens ſtat ut hic, quando omnium bona rapit. Quid manibus illius deteſtabilius? Quid ore petulantius ejus qui omnia devorat, & nunquam ſatiatur? Ne ejus vultum & oculos intuearis, quod ſint hominis. Non enim ſic aſpiciunt humani oculi. Non aſpicit ille homines tamquam homines. Non aſpicit cælum tamquam cælum: ad Dominum non nutu ſuo tendit; ſed omnia pecunias eſſe exiſtimat. Humani oculi ſolent afflictos homines intueri & frangi. Rapacium oculi pauperes vident, & efferantur. Humani oculi non ut ſua intuentur aliena,

Avari imago.

οὐχ οὕτως ἐπαχθὲς τὸ λεγόμενον, πάντων διανεμομένων τὸν τῆς ἐπιτιμήσεως φόβον. φθερεῖ αὐτὸν ὁ θεός, τουτέστιν, ἀπολεῖ. τοῦτο δὲ οὐχὶ καταρωμένου ἐστὶν, ἀλλὰ προφητεύοντος. ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν. ὁ δὲ πεπορνευμένος βέβηλος. εἶτα ἵνα μὴ δόξῃ πρὸς ἐκεῖνον ἀποτείνασθαι, εἰπὼν, ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, ἐπάγει, οἵτινες ὑμεῖς ἐστε. μηδεὶς ἑαυτὸν ἐξαπατάτω. καὶ τοῦτο πρὸς ἐκεῖνον, ὡς νομίζοντά τι εἶναι, καὶ ἀπὸ τῆς σοφίας αὐχοῦντα. ἵνα δὲ μὴ δόξῃ παρέργως μέχρι πολλοῦ πρὸς αὐτὸν ἀποτείνασθαι, ἐμβαλὼν αὐτὸν εἰς ἀγωνίαν καὶ τῷ φόβῳ παραδοὺς αὐτὸν, πάλιν ἐπὶ τὸ κοινὸν ἔγκλημα τὸν λόγον ἄγει, λέγων· εἴ τις δοκεῖ φρόνιμος εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. ποιεῖ δὲ τοῦτο λοιπὸν μετὰ πολλῆς τῆς παρρησίας, ἅτε καταγωνισάμενος αὐτοὺς ἱκανῶς. [a] κἂν γὰρ πλούσιος ᾖ τις, κἂν εὐγενὴς, τῶν εὐτελῶν ἐστιν εὐτελέστερος, ὅταν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ· ὥσπερ γὰρ κἂν βασιλεύσῃ τις, δοῦλος δὲ γένηται βαρβάρων, πάντων ἐστὶν ἀθλιώτερος. οὕτω καὶ ἐπὶ τῆς ἁμαρτίας· βάρβαρος γάρ ἐστιν ἡ ἁμαρτία, καὶ ψυχῆς οὐκ εἰδυῖα φείδεσθαι τῆς ἅπαξ ἁλούσης, ἀλλ᾽ ἐπὶ λύμῃ τῶν ἐπιδεχομένων αὐτὴν τυραννοῦσα.

Οὐδὲν γὰρ οὕτως ἀλόγιστον, ὡς ἁμαρτία, οὐδὲν οὕτως ἀνόητον καὶ μωρὸν καὶ ῥαγδαῖον. πάντα ἀνατρέπει, καὶ συγχεῖ, καὶ ἀπόλλυσι ἔνθα ἂν εἰσπηδήσῃ· ἀηδὴς ἰδεῖν, φορτικὴ καὶ ἐπαχθής. καὶ εἴ τις αὐτὴν ἀνέπλαττε ζωγράφος, οὐκ ἄν μοι δοκῇ ἁμαρτεῖν οὕτως αὐτὴν ἀναπλάττων, γυναῖκά τινα θηριόμορφον, βάρβαρον, πῦρ πνέουσαν, ἀτερπῆ, μέλαιναν, οἵας οἱ τῶν ἔξωθεν ποιηταὶ τὰς Σκύλλας ὑπογράφουσι. μυρίαις γὰρ χερσὶν ἐπιλαμβάνεται τῶν ἡμετέρων λογισμῶν, καὶ ἀδοκήτως ἐπεισέρχεται, καὶ πάντα διασπαράττει, καθάπερ οἱ κύνες οἱ λάθρα δάκνοντες. μᾶλλον δὲ τί δεῖ ζωγραφίας ἡμῖν, δέον τοὺς κατ᾽ αὐτὴν πεποιημένους εἰς μέσον ἀγαγεῖν; τίνα οὖν βούλεσθε πρότερον ὑπογράψωμεν; τὸν πλεονέκτην καὶ ἅρπαγα; καὶ τί τῶν ὀφθαλμῶν ἐκείνων ἀναισχυντότερον; τί ἀναιδέστερον, καὶ κυνικώτερον; οὐ γὰρ οὕτω κύων ἕστηκεν ἀναιδευόμενος, ὡς οὗτος, ὅταν τὰ πάντων ἁρπάζῃ. τί τῶν χειρῶν μιαρώτερον ἐκείνων; τί τοῦ στόματος ἰταμώτερον τοῦ πάντα καταπίνοντος, καὶ οὐ κορεννυμένου; μὴ γὰρ εἰς τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ἴδῃς, ὅτι ἀνθρώπου. οὐ γὰρ τὰ τοιαῦτα βλέπουσιν οἱ ἀνθρώπινοι ὀφθαλμοί. οὐ βλέπει τοὺς ἀνθρώπους, ἀνθρώπους· οὐ βλέπει τὸν οὐρανὸν, οὐρανόν· οὐδὲ ἀνανεύει πρὸς τὸν δεσπότην, ἀλλὰ πάντα χρήματα εἶναι νομίζει. οἱ ἀνθρώπων ὀφθαλμοὶ πένητας εἰώθασιν ὁρᾷν καταπεπονημένους, καὶ ἐπικλᾶσθαι· οὗτοι δὲ τῶν ἁρπαγῶν, ὁρῶσι πένητας, καὶ ἐκθηριοῦνται. οἱ ἀνθρώπων ὀφθαλμοὶ οὐχ ὡς ἴδια τὰ ἀλλότρια βλέπουσιν,

[a] ἱκανῶς. Poſt hanc vocem hæc in margine ponit Savilius ex quodam ut videtur manuſcripto, καὶ καταβιβάσας τῷ δέει, οὐ μόνον τὴν ἐκείνου τοῦ πεπορνευκότος διάνοιαν, ἀλλὰ καὶ τὴν τῶν ἀκουόντων, τὴν τῶν ῥηθησομένων στοχαζόμενος ἐπιφοράν.

ἀλλὰ καὶ τὰ ἴδια ὡς ἀλλότρια, καὶ οὐκ ἐφίενται τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ εἰς ἑτέρους κενοῦσι τὰ ἑαυτῶν· οὗτοι δὲ οὐκ ἀνέχονται, εἰ μὴ τὰ πάντων λάβοιεν. οὐ γὰρ ἀνθρώπινον, ἀλλὰ θηριῶδες ἔχουσιν ὄμμα. οἱ ἀνθρώπων ὀφθαλμοὶ γυμνὸν ἰδεῖν τὸ σῶμα τὸ ἑαυτῶν οὐκ ἀνέχονται· αὐτῶν γάρ ἐστι, κἂν ἑτέρων ᾖ κατὰ πρόσωπον· οὗτοι δὲ εἰ μὴ πάντα γυμνώσαιεν, καὶ τὰ πάντων οἴκοι καταθῶνται, οὐδέποτε κόρον λαμβάνουσι, μᾶλλον δὲ οὐδέποτε ἐμπιπλῶνται. διόπερ οὐδὲ θηρίων τὰς χεῖρας τὰς τούτων ἄν τις εἰ φαίη μόνον, ἀλλὰ καὶ τούτων ἀγριωτέρας πολλῷ καὶ χαλεπωτέρας. ἄρκτοι μὲν γὰρ καὶ λύκοι, ἐπειδὰν λάβωσι κόρον, τῆς τοιαύτης τροφῆς ἀφίστανται· οὗτοι δὲ κόρον οὐκ ἔχουσι. καίτοι διὰ τοῦτο χεῖρας ἡμῖν ἐποίησεν ὁ θεὸς, ἵνα ἑτέροις βοηθῶμεν, οὐχ ἵνα ἐπιβουλεύωμεν. εἰ δὲ μέλλοιμεν αὐταῖς εἰς τοῦτο κεχρῆσθαι, βέλτιον αὐτὰς ἀποκοπῆναι, καὶ χωρὶς τούτων εἶναι. σὺ δὲ ἂν μὲν πρόβατον σπαράττῃ θηρίον, ἀλγεῖς· εἰς αὐτὸν δὲ τὸν ὁμόφυλον τοῦτο ἐργαζόμενος, οὐ νομίζεις τι ποιεῖν δεινόν; καὶ πῶς ἂν εἴης ἄνθρωπος; οὐχ ὁρᾷς ὅτι ἀνθρώπινον πρᾶγμα καλοῦμεν, τὸ ἐλέου γέμον καὶ φιλανθρωπίας; ὅταν δὲ ὠμόν τι καὶ ἀπηνὲς ἐργάσηται, ἀπάνθρωπον τὸν τοιοῦτον ὀνομάζομεν. οὐκοῦν τὸν χαρακτῆρα τοῦ ἀνθρώπου ἀπὸ τοῦ ἐλεεῖν, τοῦ δὲ θηρίου ἀπὸ τοῦ ἐναντίου ὑπογράφομεν, λέγοντες ἀεὶ, μὴ γὰρ ἄνθρωπος, θηρίον ἢ κύων; οἱ γὰρ ἄνθρωποι πενίαν διορθοῦσιν, οὐκ αὔξουσι. τούτων καὶ τὰ στόματα θηρίων ἐστὶ στόματα, μᾶλλον δὲ καὶ ταῦτα ἐκείνων ἀγριώτερα. καὶ γὰρ ῥήματα φθέγγονται μᾶλλον ἐκείνων τῶν ὀδόντων ἰὸν ἀφιέντα, φόνον ἐργαζόμενα. καὶ εἰ πάντα τις ἐπέλθοι, τότε ὄψεται καλῶς, πῶς θηρία ἀπὸ ἀνθρώπων τοὺς χρωμένους ἡ ἀπανθρωπία ποιεῖ. εἰ δὲ καὶ τὴν διάνοιάν τις ἐξετάσειε τῶν τοιούτων, οὐκέτι θηρία μόνον, ἀλλὰ καὶ δαίμονας αὐτοὺς προσερεῖ. καὶ γὰρ πολλῆς γέμουσι τῆς ἀπηνείας, καὶ τῆς πρὸς τὸν ὁμόδουλον ἔχθρας. καὶ οὔτε βασιλείας ἔρως ἐκεῖ, οὔτε γεέννης φόβος· οὐκ αἰδὼς ἀνθρώπων, οὐκ ἔλεος, οὐ συμπάθεια, ἀλλ' ἀναισχυντία, καὶ ἰταμότης, καὶ ὑπεροψία τῶν μελλόντων ἁπάντων. καὶ μῦθος αὐτοῖς εἶναι δοκεῖ τὰ τοῦ θεοῦ ῥήματα τὰ περὶ κολάσεως, καὶ γέλως ἡ ἀπειλή. τοιαύτη γὰρ ἡ τοῦ πλεονέκτου διάνοια. ὅταν οὖν ἔνδοθεν μὲν δαίμονες ὦσιν, ἔξωθεν δὲ θηρία, καὶ θηρίων χείρους, ποῦ θήσομεν τοὺς τοιούτους, εἰπέ μοι; ὅτι γὰρ καὶ θηρίων χείρους, δῆλον ἐκεῖθεν· τὰ θηρία, τῇ φύσει τοιαῦτά ἐστιν· οὗτοι δὲ κατὰ φύσιν τὸ ἥμερον ἔχοντες, παρὰ φύσιν εἰς τὸ θηριῶδες ἑαυτοὺς ἐξάγειν βιάζονται. καὶ οἱ δαίμονες δὲ τοὺς ἐπιβουλεύοντας ἀνθρώπους συμπράττοντας ἑαυτοῖς ἔχουσιν· ὡς εἰ μὴ συνέπραττον, τὸ πλέον τῶν [a] ἐπιβουλῶν τῶν καθ' ἡμῶν ἐκείνοις ἀνῄρητο. οὗτοι δὲ καὶ φιλονεικούντων αὐτοῖς τῶν ἐπηρεαζομένων κρατεῖν ἐπιχειροῦσι. πάλιν ὁ δαίμων ἀνθρώπῳ πολεμεῖ, οὐ δαίμοσι τοῖς ὁμοφύλοις·

[a] ἐπιβουλῶν, sic Regius optime. Editi ἐπιβούλων.

A sed propria sibi ut aliena vident: & ea quæ aliis data sunt non concupiscunt; sed in alios quoque sua effundunt. Hi vero id non ferunt, nisi omnium bona abripiant. Non enim humanum, sed ferinum habent visum. Humani oculi nudum videre corpus suum non ferunt; suum enim est, etiamsi aliorum quantum ad personam. Hi vero nisi omnia denudarint, & omnia domi recondant, nunquam satiantur, imo vero nunquam implentur. Ideo eorum manus, non ferarum manus tantum dixeris, sed longe fe-
B rociores & immaniores. Ursi namque & lupi cum satiati fuerint, a tali alimento recedunt: hi vero nunquam satiantur. Atqui propterea Deus manus nobis dedit ut aliis opem feramus, non ut iis insidiemur. Nam si ipsis ad hoc usuri essemus, melius esset illas exscindi, & nos illis privari. Tu vero si ovem fera discerpat, doles; cum autem id in congenerem facis, non putas te aliquid immane facere? & quomodo fueris homo? Non vides nos humanam eam rem dicere, quæ misericordia plena sit & benignitate? Quando autem aliquid sævum & cru-
C dele perficit homo, inhumanum illum vocamus. Itaque characterem hominis depingimus a commiseratione, feræ autem a contrario, semper dicentes, num homo est, fera, aut canis? Homines enim paupertatem sublevant, non augent. Horum autem ora ferarum sunt ora; imo hæc sunt illis ferociora. Verba enim proferunt, quæ magis quam ferarum dentes virus emittentes, cædem patrant. Et si quis omnia persequatur, tunc recte videbit, quomodo inhumanitas eos qui sic affecti sunt, feras ex hominibus reddat.
D Quod si quis illorum mentem examinaverit, non ultra feras tantum, sed etiam dæmonas illos vocabit. Sunt enim multa immanitate pleni, & odio in conservos: ibi non amor regni est, neque metus gehennæ: non hominum reverentia, non misericordia, non commiseratio; sed impudentia, petulantia, & futurorum omnium contemtus. Fabulæ ipsis videntur esse Dei verba de supplicio futuro, & ejus minæ risus. Talis enim est avari mens. Cum ergo intrinsecus dæmones sint, extrinsecus vero feræ, & feris deteriores: ubinam, quæso, illos *collocabimus?
E Quod enim feris sint deteriores, hinc palam est, quod feræ natura sint tales; hi vero qui secundum naturam mansuetudinem habent, præter naturam in ferinos mores transire nituntur: ac dæmones homines insidiantes sibi opem ferentes habent: quod si opem non ferrent, magna pars ipsis insidiarum contra nos structarum sublata esset. Hi vero eos qui ab se vexantur, secum contendentes, superare nituntur. Rursus dæmon hominem bello impetit, non autem dæmonas sui generis:

Hic vero congeneres & necessarios omnimoda vexatione affligit, neque reveretur naturam. Scio multos esse, qui ob hæc verba nos odio habent. Ego vero illos non odi, sed eorum misereor, & eos qui sic affecti sunt lacrymis prosequor: etiamsi percutere velint, libenter id tulerim, si ab hac feritate abstinere velint. Neque enim ego solus, sed etiam propheta nobiscum hujusmodi homines ab humana cognatione expellit, dicens: *Homo cum in honore esset, non intellexit, sed comparatus est jumentis insipientibus.* Simus ergo homines tandem aliquando, & in cælum respiciamus: atque illud secundum imaginem accipiamus & recuperemus, ut & futura bona consequamur, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto, gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

*Psal. 48. 21.*

A ἔστι δὲ τὸ συγγενὲς καὶ οἰκεῖον παντὶ τρόπῳ κακοῦν ἐπείγεται, καὶ οὐδὲ τὴν φύσιν αἰδεῖται. οἶδα ὅτι πολλοὶ πρὸς ἡμᾶς ὑπὲρ τούτων ἀπεχθάνονται τῶν ῥημάτων· ἐγὼ δὲ οὐκ ἀπεχθάνομαι πρὸς αὐτοὺς, ἀλλ᾽ ἐλεῶ καὶ δακρύω τοὺς οὕτω διακειμένους. κἂν πλῆξαι θέλωσιν, ἡδέως ἀνασχοίμην, εἰ ἀπέχοιντο τῆς θηριωδίας ταύτης. οὐδὲ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ ὁ προφήτης μεθ᾽ ἡμῶν τοὺς τοιούτους ἐκβάλλει τῆς τῶν ἀνθρώπων συγγενείας, λέγων· ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκεν, ἀλλὰ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις. γενώμεθα B τοίνυν ἄνθρωποί ποτε, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψωμεν, καὶ τὸ κατ᾽ εἰκόνα ἀπολάβωμεν καὶ ἀνακτησώμεθα, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA X.

## ΟΜΙΛΙΑ ι.

18. *Nemo seipsum seducat. Si quis videtur sapiens esse in hoc sæculo, stultus fiat, ut sis sapiens.* 19. *Sapientia enim hujus mundi, stultitia est apud Deum.*

Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ C αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστιν·

1. UT supra dixi, cum ante opportunum tempus ad incusandum illum, qui fornicatus fuerat, deductus esset, & ænigmatice illum paucis perstrinxisset, ejusque conscientiam exagitasset; pergit rursus ad pugnam contra sapientiam externam, & illos adoritur, qui inde inflati scindebant ecclesiam; ut iis quæ residua erant additis, postquam hoc caput accurate perfecerit; sic rursus contra fornicarium cum impetu feratur, quem jam supra telis emissis aggressus est. Nam illud: *Nemo seipsum seducat*, ad illum maxime respicit, & illum metu afficit, mitigatque; quodque de stipula dicitur, illum præcipue subindicat: & cum dicit, *Nescitis quia templum Dei estis, & Spiritus Dei habitat in vobis?* Hæc quippe duo maxime solent nos a peccato abducere: quando repositam peccato pœnam cogitamus; & quando dignitatem nostram nobiscum reputamus. Cum ergo fœnum ac stipulam in medium adduxit, exterruit; cum autem propriæ nobilitatis dignitatem intulit, pudore affecit; illo quidem modo stupidiores; hoc autem moderatiores reddens meliores. *Nemo seipsum seducat. Si quis videtur sapiens esse in hoc sæculo, stultus fiat.* Quasi mortuum huic mundo fieri jubet: mors autem hujusmodi nihil lædit, imo juvat, cum sit vitæ causa. Sic etiam stultum huic mundo fieri jubet, hinc nobis veram sapientiam concilians. Stultus autem mundo efficitur, qui externam sapientiam despicit, persuasum habens, illam sibi nihil ad fidem adipiscendam adjumenti conferre.

*Mori hoc mundo quid sit.*

ΟΠΕΡ ἔφθην εἰπὼν, καὶ πρὸ τοῦ προσήκοντος καιροῦ εἰς τὴν κατὰ τοῦ πεπορνευκότος κατηγορίαν ἐξενεχθεὶς, καὶ αἰνιγματωδῶς αὐτὴν παρανοίξας διὰ βραχέων, καὶ καταστείσας αὐτοῦ τὸ συνειδὸς, ἐπείγεται πάλιν ἐπὶ τὴν μάχην τῆς σοφίας τῆς ἔξωθεν, καὶ τὰ ἐγκλήματα τῶν ἐντεῦθεν πεφυσιωμένων, καὶ διατεμνόντων τὴν ἐκκλησίαν· ἵνα τὸ λεῖπον προσθεὶς καὶ τὸ κεφάλαιον ἅπαν ἀπαρτίσας μετὰ ἀκριβείας, οὕτω λοιπὸν σφοδρᾷ τῇ ῥύμῃ κατὰ D τοῦ πεπορνευκότος φέρεσθαι τὴν γλῶτταν ἀφῇ, πρότερον ἀκροβολισάμενος πρὸς αὐτὸν δι᾽ ὧν ἔμπροσθεν εἴρηκε. καὶ γὰρ τὸ, μηδεὶς ἑαυτὸν ἐξαπατάτω, πρὸς ἐκεῖνον μάλιστά ἐστιν ἀποτεινομένου, καὶ προκαταμαλάττοντος αὐτὸν τῷ φόβῳ· καὶ ὁ περὶ τῆς καλάμης λόγος, αὐτὸν μάλιστά ἐστιν αἰνιττομένου· καὶ τὸ λέγειν, ὅτι οὐκ οἴδατε, ὅτι ναὸς θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ κατοικεῖ ἐν ὑμῖν; δύο γὰρ ταῦτα μάλιστα ἀπάγειν ἡμᾶς ἁμαρτίας εἴωθεν, [a] ὅταν τὴν κειμένην τῇ ἁμαρτίᾳ κόλασιν ἐννοήσωμεν, καὶ ὅταν τὴν ἡμετέραν ἀξίαν ἀναλογισώμεθα. τῷ μὲν οὖν τὸν χόρτον παράγειν εἰς μέσον καὶ τὴν καλάμην, ἐφόβησε· τῷ δὲ τὸ ἀξίωμα τῆς E οἰκείας εὐγενείας εἰπεῖν, ἐνέτρεψεν, ἐκείνῳ μὲν τοὺς ἀναισθητοτέρους, τούτῳ δὲ τοὺς ἐπιεικεστέρους βελτίους ποιῶν. μηδεὶς ἑαυτὸν ἐξαπατάτω. εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω. ὥσπερ νεκρὸν τῷ κόσμῳ κελεύει γενέσθαι, καὶ ἡ νεκρότης αὕτη οὐδὲν παραβλάπτει, ἀλλὰ καὶ ὠφελεῖ, ζωῆς αἰτία γενομένη· οὕτω καὶ μωρὸν τῷ κόσμῳ τούτῳ κελεύει γενέσθαι, σοφίαν ἐντεῦθεν ἡμῖν τὴν ἀληθῆ προξενῶν. μωρὸς δὲ τῷ κόσμῳ γίνεται, ὁ τὴν ἔξωθεν ἀτιμάζων σοφίαν, καὶ πεπεισμένος μηδὲν αὐτῷ συντελεῖν πρὸς τὴν τῆς πίστεως κατάληψιν.

[a] Sic Reg. & Savil. In Morel autem legitur, ὅταν | | προκειμένην.

ὥσπερ οὖν ἡ πενία ἡ κατὰ θεὸν, πλούτου αἰτία, καὶ ἡ ταπείνωσις, ὕψους, καὶ τὸ δόξης ὑπερορᾶν, δόξης αἴτιον γίνεται· οὕτω καὶ τὸ μωρὸν γενέσθαι, σοφώτερον πάντων ποιεῖ. [a] ἀπὸ γὰρ τῶν ἐναντίων τὰ παρ' ἡμῖν. καὶ διατί μὴ εἶπεν, ἀποθέσθω τὴν σοφίαν, ἀλλὰ, γενέσθω μωρός; ἵνα μετ' ὑπερβολῆς ἀτιμάσῃ τὴν ἔξωθεν παίδευσιν. οὐδὲ γὰρ ἦν ἴσον εἰπεῖν, ἀπόθου σὺ τὴν σοφίαν, καὶ γενοῦ μωρός. ἄλλως δὲ, καὶ παιδεύει μὴ ἐπαισχύνεσθαι τῇ παρ' ἡμῖν ἰδιωτείᾳ. πάνυ γὰρ καταγελᾷ τῶν ἔξωθεν. διόπερ οὐδὲ τὰ ὀνόματα δέδοικεν, ἐπειδὴ θαῤῥεῖ τῇ τῶν πραγμάτων δυνάμει. ὥσπερ οὖν ὁ σταυρὸς, δοκῶν ἐπονείδιστος εἶναι, μυρίων γέγονεν αἴτιος ἀγαθῶν καὶ δόξης ὑπόθεσις ἀφάτου καὶ ῥίζα· οὕτω καὶ ἡ δοκοῦσα μωρία εἶναι, σοφίας ἡμῖν αἰτία κατέστη. καθάπερ γὰρ ὁ κακῶς τι μεμαθηκὼς, ἂν μὴ τὸ πᾶν ἀπόθηται καὶ λεάνῃ τὴν ψυχὴν καὶ καθαρὰν παράσχῃ τῷ μέλλοντι γράφειν, οὐδὲν εἴσεται σαφὲς τῶν ὑγιῶν· οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν σοφίας· ἂν μὴ τὸ πᾶν ἐξέλῃς, καὶ σαρώσῃς σου τὴν διάνοιαν, καὶ ἐξίσης τῷ ἰδιώτῃ παράσχῃς σαυτὸν τῇ πίστει, οὐδὲν εἴσῃ γενναῖον ἀκριβῶς. καὶ γὰρ οἱ παραβλέποντες, ἂν μὴ μύσαντες ἑαυτοὺς ἑτέροις παραδῶσιν, ἀλλὰ τῇ διεφθαρμένῃ τῶν ὀφθαλμῶν ὄψει τὰ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, τῶν οὐχ ὁρώντων πολλῷ πλείονα ἁμαρτήσονται. καὶ πῶς ἂν εἴη τὴν σοφίαν ταύτην ἀποθέσθαι, φησί; μὴ κεχρημένων αὐτῶν τοῖς δόγμασιν. εἶτα ἐπειδὴ οὕτως αὐτῆς σφοδρῶς ἀποστῆναι ἐκέλευσε, καὶ τὴν αἰτίαν τίθησι λέγων· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστιν. οὐ γὰρ μόνον οὐδὲν συντελεῖ, ἀλλὰ καὶ ἐμποδίζει. δεῖ τοίνυν αὐτῆς ἀποστῆναι, ἅτε βλαπτούσης. ὁρᾷς πῶς ἐκ περιουσίας ἤνεγκε τὰ νικητήρια, ἀποδείξας ὡς οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ ἐναντιοῦται; καὶ οὐδὲ ταῖς οἰκείαις ἀρκεῖται κατασκευαῖς, ἀλλὰ καὶ μαρτυρίαν ἐπήγαγε πάλιν, λέγων, γέγραπται γὰρ, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· τῇ πανουργίᾳ, τουτέστι, τοῖς οἰκείοις ὅπλοις αὐτοὺς χειρούμενος. ἐπειδὴ γὰρ τῇ σοφίᾳ ἐχρήσαντο εἰς τὸ μὴ δεηθῆναι τοῦ θεοῦ, δι' αὐτῆς ταύτης ἤλεγξεν αὐτοὺς, ὅτι μάλιστα δέονται τοῦ θεοῦ. πῶς, καὶ τίνι τρόπῳ; ὅτι μωροὶ γενόμενοι δι' αὐτῆς, εἰκότως δι' αὐτῆς ἑάλωσαν. οἱ γὰρ μὴ δεῖσθαι θεοῦ νομίζοντες, εἰς τοσαύτην κατέστησαν χρείαν, ὡς ἁλιέων καὶ ἀγραμμάτων ἐλάττους φανῆναι, καὶ αὐτῶν τούτων δεηθῆναι λοιπόν. διὰ τοῦτό φησιν, ἐν τῇ πανουργίᾳ αὐτῶν εἷλεν αὐτούς. τὸ μὲν γὰρ εἰπεῖν, ἀπολῶ τὴν σοφίαν, πρὸς τὸ μηδὲν χρήσιμον εἰσαγαγεῖν εἴρηται· τὸ δὲ, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, πρὸς τὸ δεῖξαι τοῦ θεοῦ τὴν δύναμιν.

Εἶτα καὶ τὸν τρόπον λέγει καθ' ὃν εἷλεν, ἑτέραν προσθεὶς μαρτυρίαν· κύριος γὰρ, φησὶ, γινώσκει τοὺς διαλογισμοὺς [b] τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι. ὅταν δὲ ἡ σοφία ἡ ἄπειρος ταῦτα περὶ αὐτῶν ψηφίζηται,

A Quemadmodum ergo paupertas secundum Deum divitiarum causa est, & humilitas altitudinis, & gloriæ despectus est gloriæ causa; ita & stultum fieri, omnibus sapientiorem efficit. Ex contrariis enim res nostræ constant. Et cur non dixit, deponat sapientiam, sed, stultus fiat? ut externam disciplinam supra modum dedecoret. Neque enim idipsum fuisset dicere, depone sapientiam, &, stultus fias. Alioquin vero docet etiam non erubescendum esse de ea quæ apud nos est simplicitate: externa enim admodum irridet. B Quapropter nomina non timet, quoniam in rerum virtute confidit. Ut igitur crux, quæ probrosa videtur esse, bonorum innumerabilium causa, & gloriæ ineffabilis occasio & radix nobis fuit; sic ea quæ videtur esse stultitia, sapientiæ nobis causa fuit. Sicut enim is qui male quidpiam didicit, nisi totum deponat, animamque ei qui scripturus est planam & puram reddat, ex sanis rebus nihil clare sciet; ita etiam in externa sapientia, nisi totum eradas & mentem everras, & quasi idiota fidei te obtuleris, nihil præclarum vel sincerum accurate scies. C Nam qui oblique vident, nisi clausis oculis se aliis tradiderint, sed male affecto visui sua permiserint, magis errabunt, quam qui non vident. Et quomodo, inquies, possit hæc externa sapientia deponi? Si eorum disciplina non utaris. Deinde postquam ab illa desistere tam aspere jussit; causam etiam affert his verbis: *Sapientia enim hujus mundi, stultitia est apud Deum.* Non modo enim nihil confert, sed etiam impedit. Oportet igitur ab illa absistere, utpote quæ noceat. Viden' quomodo ubertim victoriam retulerit, ostendens illam non modo nihil nos juvare; D sed etiam nobis contrariam esse? neque suis contentus argumentis, testimonium rursus affert dicens: *Scriptum est enim: Qui comprehendit sapientes in astutia eorum.* Astutia, id est, suis illos armis capit. Quia enim astutia usi sunt, ut ne Deo haberent opus; per hanc ipsam astutiam illis probavit quod maxime Deo egeant. Quo modo? Quod per eam stulti effecti, merito per eamdem capti sint. Nam qui putabant se Deo non opus habere, ad tantam redacti sunt egestatem, ut piscatoribus & illiteratis minores apparerent; ipsisque demum opus haberent. Ideo ait, E In astutia ipsorum cepit illos. Nam cum dicit, perdam sapientiam, ipsam ad nihil utile inducere significat: illud autem, Qui comprehendit sapientes in astutia eorum, ad ostendendam Dei potentiam dicitur.

Externa sapientia reprobatur.

2. Deinde modum dicit quo comprehendit, aliud adjiciens testimonium; ait enim: 20. *Dominus novit cogitationes sapientium quoniam vanæ sunt.* Cum autem sapientia illa quæ est immensa, hæc de illis

[a] ἀπὸ γὰρ τῶν ἐναντίων τὰ παρ' ἡμῖν, ita Reg. Hæc deerant in Morel.
[b] τῶν σοφῶν. Sic in novo Testamento Græco legitur, & in vulgata *sapientium.* Sed Reg. τῶν ἀνθρώπων habet, ut legitur in Psalmo.

pronunciaverit, & tales ipsos esse probaverit, quam aliam extremæ illorum amentiæ quæres demonstrationem? Nam hominum quidem judicia sæpe labuntur; Dei vero sententia nec reprehendi nec corrumpi unquam potest. Postquam igitur superni judicii tropæum ita splendidum erexerat, vehementer in subditos sermonem convertit, hæc dicens: 21. *Nemo itaque glorietur in humanis: omnia enim vestra sunt.* Rursus priora repetit, ostendens illos neque in spiritualibus altum sapere debere, ut qui nihil ex se habeant. Cum ergo externa sapientia noxia sit, & spiritualia a vobis non sint data, unde habes quod glorieris? Et in externa quidem sapientia nemo seipsum decipiat, inquit, quia ipsi in re noxia sibi placebant. Hic vero quia res habet utilitatem, nemo glorietur. Et mansuetiore utitur oratione: *Omnia enim vestra sunt; 22. sive Paulus, sive Apollo, sive Cephas, sive mundus, sive vita, sive mors, sive præsentia, sive futura. 23. Omnia vestra sunt, vos autem Christi, Christus autem Dei.* Quia enim illos vehementer perstrinxerat, rursus ipsos recreat. Et superius quidem dicebat, Adjutores sumus Dei, & aliis pluribus verbis ipsos consolabatur: hic autem dicit, *Omnia vestra sunt*, doctorum fastum amovens, ostendensque ipsos non modo nihil illis largiri, sed ipsis gratias referre debere. Propter illos enim tales effecti sunt, etiamque gratiam acceperunt. Sed quoniam futurum erat, ut illi etiam gloriarentur, ideo hunc quoque morbum præcidit dicens: Unicuique sicut Deus dedit; &, Deus incrementum dedit; ut neque illi, quia præbuerunt, altum sapiant; neque hi etiam, quia audierunt, omnia vestra sunt, sese extollant. Etenim etiamsi propter vos, at totum a Deo factum est. Tu vero mihi perpendas velim, quomodo usque ad finem perseveret nomen suum & nomen Petri ponere. Quid vero significat illud, sive mors? Etiamsi moriantur, pro vobis moriuntur, periclitantes pro vestra salute. Viden' quomodo rursum discipulorum fastum deprimat, doctores autem extollat? Nam sic illos alloquitur ut pueros nobiles, pædagogos habentes, qui hereditatem accepturi sunt. Licet etiam alio modo dicere, mortem Adami propter nos fuisse, ut resipisceremus; mortem vero Christi, ut servaremur. *Vos autem Christi, Christus vero Dei.* Aliter Christi sumus, & aliter Christus Dei est, & aliter mundus est noster. Nos quippe Christi sumus ut opus illius; Christus vero Dei ut germana proles, non ut opus; qua ratione etiam nec mundus est noster. Itaque etsi una sit dictio; at diversa sententia. Mundus enim noster est, utpote pro nobis factus: Christus Dei est, ut qui ipsum auctorem habeat, quatenus Pater ejus est: nos autem sumus

A καὶ ἀποφαίνῃ τοιούτους, ποίαν ἑτέραν ζητεῖς ἀπόδειξιν τῆς ἐσχάτης ἀνοίας αὐτῶν; αἱ μὲν γὰρ τῶν ἀνθρώπων κρίσεις πολλαχοῦ διαπίπτουσιν, ἡ δὲ τοῦ θεοῦ ψῆφος ἄληπτος καὶ ἀδέκαστος πανταχοῦ. στήσας τοίνυν τὸ τρόπαιον οὕτω λαμπρὸν τῆς ἄνωθεν κρίσεως, [a] καταφορικῷ λοιπὸν κέχρηται τῷ λόγῳ, πρὸς τοὺς ἀρχομένους ἀποστρέψας αὐτὸν, καὶ λέγων οὕτως· ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρωπίνοις. πάντα γὰρ ὑμῶν ἐστι. πάλιν ἐπὶ τὸ πρότερον ἔρχεται, δεικνὺς ὅτι οὐδὲ ἐπὶ τοῖς πνευματικοῖς ὀφείλουσι μέγα φρονεῖν, ἅτε οὐδὲν παρ' ἑαυτῶν ἔχοντες. ὅταν οὖν ἡ μὲν ἔξωθεν σοφία βλα-
B βερὰ ᾖ, τὰ δὲ πνευματικὰ μὴ παρ' ὑμῶν ᾖ δεδομένα, πόθεν ἔχεις καυχᾶσθαι; καὶ ἐπὶ μὲν τῆς ἔξωθεν σοφίας μηδεὶς ἑαυτὸν ἐξαπατάτω, φησὶν, ἐπειδὴ ἐπὶ πράγματι ἐφρόνουν βλαβερῷ· ἐνταῦθα δὲ, ἐπειδὴ τὸ πρᾶγμα ὠφέλειαν ἔχει, μηδεὶς καυχάσθω. καὶ ἡμερώτερον κέχρηται τῷ λόγῳ. πάντα γὰρ ὑμῶν ἐστιν· εἴτε Παῦλος, εἴτε Ἀπολλὼς, εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ θεοῦ. ἐπειδὴ γὰρ σφόδρα αὐτῶν καθήψατο, πάλιν αὐτοὺς
C ἀνακτᾶται. καὶ ἀνωτέρω μὲν ἔλεγε, συνεργοί ἐσμεν τοῦ θεοῦ, καὶ δι' ἑτέρων δὲ πλειόνων αὐτοὺς παρεμυθήσατο· καὶ ἐνταῦθα δέ φησι, πάντα ὑμῶν ἐστι, καθαιρῶν τὸν τῦφον τῶν διδασκάλων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐδὲν αὐτοῖς χαρίζονται, ἀλλ' ὅτι καὶ οὗτοι ἐκείνοις χάριν ἔχειν ὀφείλουσι· διὰ γὰρ αὐτοὺς τοιοῦτοι γεγόνασιν, ἀλλὰ καὶ χάριν ἔλαβον. ἀλλ' ἐπειδὴ ἔμελλον καὶ αὐτοὶ καυχᾶσθαι, διὰ τοῦτο προεξέκοψε καὶ τοῦτο τὸ νόσημα, εἰπὼν, ἑκάστῳ ὡς θεὸς ἔδωκε, καὶ ὅτι ὁ θεὸς ηὔξανεν· ἵνα μήτε ἐκεῖνοι ὡς παρέχοντες μέγα φρονῶσι, μήτε οὗτοι διὰ τὸ ἀκοῦσαι πάλιν, πάντα ὑμῶν ἐστι,
D πάλιν ἐπαίρωνται. καὶ γὰρ εἰ καὶ δι' ὑμᾶς, ἀλλ' ὑπὸ τοῦ θεοῦ τὸ πᾶν γεγένηται. σὺ δέ μοι σκόπει, πῶς μέχρι τέλους περιέμεινε τὸ ἑαυτοῦ ὄνομα καὶ τὸ Πέτρου ὑποτιθείς. τί δέ ἐστιν, εἴτε θάνατος; ὅτι κἂν ἀποθνήσκωσι, δι' ὑμᾶς ἀποθνήσκουσι, κινδυνεύοντες ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. ὁρᾷς πῶς πάλιν τῶν μὲν μαθητῶν καθεῖλε τὸ φρόνημα, τῶν δὲ διδασκάλων ἐπῆρεν; ὡς γὰρ παισὶν εὐγενέσι παιδαγωγοὺς ἔχουσι καὶ μέλλουσι πάντα κληρονομεῖν, οὕτω διαλέγεται. ἔστι καὶ ἑτέρως εἰπεῖν, ὅτι καὶ ὁ τοῦ Ἀδὰμ θάνατος δι'
E ἡμᾶς, ἵνα σωφρονισθῶμεν, καὶ ὁ τοῦ Χριστοῦ, ἵνα σωθῶμεν. ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ θεοῦ. ἑτέρως ἡμεῖς τοῦ Χριστοῦ, καὶ ἑτέρως ὁ Χριστὸς τοῦ θεοῦ, καὶ ἑτέρως ἡμῶν ὁ κόσμος. ἡμεῖς μὲν γὰρ τοῦ Χριστοῦ, ὡς ἔργον· ὁ δὲ Χριστὸς τοῦ θεοῦ, [b] ὡς γέννημα γνήσιον, οὐχ ὡς ἔργον· ὥσπερ οὐδὲ ὁ κόσμος ἡμῶν. ὥστε εἰ καὶ μία ἡ λέξις, ἀλλὰ διάφορος ἡ ἔννοια. ἡμῶν μὲν γὰρ ὁ κόσμος, ὡς δι' ἡμᾶς [c] γεγονός· ὁ δὲ Χριστὸς τοῦ θεοῦ, ὡς αὐτὸν αἴτιον ἔχων κατὰ τὸ πατέρα εἶναι· ἡμεῖς δὲ τοῦ Χριστοῦ,

a Reg. καταφορικῶς, quæ lectio non spernenda.
b Reg. ὡς γέννημα γνήσιον, ἡμῶν δὲ ὁ κόσμος οὐχ ὡς ἔργον· ἀλλ' ὡς δι' ἡμῶν γεγεννημένος. ὥστε εἰ καί.
c Reg. γεγονός. Editi γεγεννημένος.

ὡς ὑπ' αὐτοῦ κατασκευασθέντες. εἰ δὲ ἐκεῖνοι ὑμῶν, φησὶ, τί τοὐναντίον ἐποιήσατε, αὐτοῖς ἐπονομαζόμενοι, ἀλλ' οὐχὶ τῷ Χριστῷ καὶ τῷ θεῷ; οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ. ἐπειδὴ κατέβαλεν αὐτῶν τὸ φρόνημα, ὅρα πῶς πάλιν αὐτοὺς ἀνακτᾶται λέγων· ὡς ὑπηρέτας Χριστοῦ. μὴ τοίνυν τὸν δεσπότην ἀφεὶς, ἀπὸ τῶν ὑπηρετῶν καλοῦ καὶ τῶν διακονουμένων. οἰκονόμους δὲ εἶπε, δεικνὺς ὡς οὐχ ἅπασιν αὐτὰ χρὴ διδόναι, ἀλλ' οἷς δεῖ, καὶ οἷς ἄξιον οἰκονομεῖν. ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ· τουτέστιν, ἵνα μὴ τὰ δεσποτικὰ σφετερίσηται, ἵνα μὴ ὡς δεσπότης ἑαυτῷ ἐκδικῇ, ἀλλ' ὡς οἰκονόμος διοικῇ. οἰκονόμου γὰρ τὸ διοικεῖν τὰ ἐγχειρισθέντα καλῶς· οὐκ αὐτοῦ λέγειν εἶναι τὰ δεσποτικὰ, ἀλλὰ τοὐναντίον τοῦ δεσπότου τὰ ἑαυτοῦ. ἕκαστος ταῦτα ἐννοῶν, καὶ ὁ λόγον ἔχων, καὶ ὁ χρήμασι κεκτημένος, οἶδεν ὅτι ἐπιστεύθη δεσποτικὰ, καὶ οὐκ ἔστιν αὐτοῦ, μὴ κατεχέτω αὐτὰ παρ' ἑαυτῷ, μήτε ἑαυτῷ ἐπιψηφιζέτω, ἀλλὰ τῷ θεῷ λογιζέσθω τῷ πάντα δεδωκότι. θέλεις ἰδεῖν οἰκονόμους πιστούς; ἄκουσον τί φησιν ὁ Πέτρος. τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ τῷ Κορνηλίῳ δὲ ἔλεγε, [a] καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι· καὶ πρὸς τὸν Χριστὸν δὲ, ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. καὶ ὁ Παῦλος δὲ εἰπὼν, περισσότερον αὐτῶν πάντων ἐκοπίασα, ἐπήγαγεν· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί. καὶ ἀλλαχοῦ δὲ πρὸς τοὺς αὐτοὺς ἀποτεινόμενος ἔλεγε, τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; οὐδὲν γὰρ ἔχεις σὸν, οὐ χρήματα, οὐ λόγον, οὐ ψυχὴν αὐτήν. καὶ γὰρ καὶ αὕτη τοῦ δεσπότου.

Ὅταν οὖν χρεία καλῇ, καὶ ταύτην κατάθου. εἰ δὲ φιλοζωεῖς καὶ κελευόμενος καταθεῖναι ἀντιλέγεις, οὐκέτι πιστὸς οἰκονόμος εἶ. καὶ πῶς ἔνι θεοῦ καλοῦντος ἀντιστῆναι; τοῦτο γὰρ κἀγώ φημι, καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζω τοῦ θεοῦ τὴν φιλανθρωπίαν, ὅτι ἃ δύναται καὶ ἄκοντός σου παρὰ σοῦ λαβεῖν, ταῦτα οὐ βούλεται ἄκοντος εἰσενεχθῆναι, ἵνα καὶ μισθὸν ἔχῃς. οἷον, δύναται τὴν ψυχὴν λαβεῖν ἄκοντος, ἀλλ' [b] ἑκόντος βούλεται, ἵνα λέγῃς κατὰ Παῦλον, καθημέραν ἀποθνήσκω. δύναταί σου τὴν δόξαν λαβεῖν ἄκοντος καὶ ποιῆσαι ταπεινόν· ἀλλὰ παρὰ ἑκόντος θέλει, ἵνα ἀμοιβὴν ἔχῃς. δύναταί σε ποιῆσαι πένητα, καὶ μὴ βουλόμενον· ἀλλ' ἑκόντα σε βούλεται γενέσθαι τοιοῦτον, ἵνα σοι πλέξῃ στεφάνους. εἶδες θεοῦ φιλανθρωπίαν; εἶδες νωθείαν ἡμετέραν; ἐπ' ἀξιώματος ἐγένου μεγάλου, καὶ ἀρχῆς ἀπέλαβου ποτὲ ἐκκλησιαστικῆς; μὴ μέγα φρόνει. οὐ σὺ τὴν δόξαν ἐκτήσω, ἀλλ' ὁ θεός σε ἐνέδυσεν. ὡς ἀλλοτρίας τοίνυν φείδου, μὴ καταχρώμενος αὐτῇ,

A Christi, quia ab ipso conditi sumus. Si illi sunt vestri, inquit, cur facitis contrarium, dum ab ipsis cognominamini, non a Christo & Deo? 1. *Sic nos existimet homo ut ministros Christi, & dispensatores mysteriorum Dei.* Cap. IV. Postquam illorum arrogantiam depressit, vide jam quomodo illos recreet dicens: Ut ministros Christi. Ne itaque, misso Domino, a ministris & famulis nomen accipias. Dispensatores autem dixit; ostendens non omnibus hæc danda esse, sed quibus oportet, B & quibus ea sunt dispensanda. 2. *Hic jam quæritur inter dispensatores ut fidelis quis inveniatur*; id est, ne quæ sunt Domini sibi usurpet, nec sibi tamquam Domino ea vindicet; sed ut dispensator illa curet. Dispensatoris enim est ea quæ sibi credita sunt probe administrare, nec quæ Domini sunt sua dicere; sed contra quæ sunt sua, Domini dicere. Unusquisque hæc cogitans, sive dicendi facultatem habeat, sive pecunias, quod nempe res Domini sibi creditæ sint, non autem suæ, ne illas penes se retineat neque sibi adscribat; C sed Deo omnia largienti illas acceptas referat. Vis videre fideles dispensatores? audi quid dicat Petrus: *Quid nos respicitis quasi propria virtute aut pietate fecerimus hunc ambulare?* Act. 3. 12. Et Cornelio dicebat: *Et nos iisdem passionibus obnoxii homines sumus*; Act. 14. 15. & ad Christum: *Ecce reliquimus omnia & sequuti sumus te.* Matt. 19. 27. Et Paulus cum dixisset, *Plusquam omnes laboravi*; subjunxit: *Non ego autem, sed gratia Dei mecum.* Et alibi eosdem alloquens 1. Cor. 15. 10. dicebat: *Quid enim habes quod non accepisti?* Nihil enim habes tuum; non pe- D cunias, non verbum, non ipsam animam: nam & ipsa Domini est.

3. Cum igitur opus fuerit, hanc quoque depone. Quod si vitam amas, & si deponere jussus, contradicis, jam non fidelis dispensator es. Et quomodo licet Deo vocante resistere? Nam ego quoque hoc dico, & propter hoc ipsum admiror Dei benignitatem: quæ enim potest ille, etiam te invito a te accipere, ea non vult te invito inferri, ut mercedem habeas. Exempli causa potest animam te E invito accipere, sed vult te volente, ut cum Paulo dicas: *Quotidie morior.* 1. Cor. 15. 31. Potest gloriam tuam accipere te invito, teque humilem reddere; sed vult te quoque volente, ut remunerationem habeas. Potest te etiam invitum pauperem reddere, sed te volentem cupit talem fieri, ut tibi coronas nectat. Vidistin' Dei benignitatem? Vidistin' socordiam nostram? Ad magnam pervenisti dignitatem, & principatum assequutus es ecclesiasticum? Fastus sacerdotum reprimitur. ne altum sapias. Non tu gloriam obtinuisti, sed illa te Deus induit: illa igitur ut aliena utere: ne illam ad ea,

[a] Hæc verba non Cornelio dicta fuere a Petro; sed a Paulo Lystris, iis qui Barnabæ & sibi ut diis hostias immolaturi erant. Hic memoria labitur Chrysostomus, nisi sit hiatus in serie.

[b] Reg. ἀλλὰ παρ' ἑκόντος.

A quæ non decet, adhibeas, ne infleris, ne tibi vindices, sed pauperem & inglorium te esse putato. Neque enim, si purpura regia tibi servanda tradita esset, oporteret abuti veste, illamque labefactare, sed cum majori accuratione ipsam danti servare. Verbi facultatem accepisti? ne infleris, neque arroganter agas. Neque enim tuum est munus & donum. Ne ingratus esto circa ea quæ sunt Domini; sed ea conservis distribue, neque ideo, ac si tua essent, extollaris, neque parcus sis in illis distribuendis. Et si filios habes, Dei filios habes. B Si ita existimes, gratias ages si habeas, iisque sublatis non dolebis. Talis erat Job dicens: *Dominus dedit, Dominus abstulit.* [Job. 1.] Omnia enim a Christo habemus: etiamque quod simus ab illo habemus; & vitam, & respirationem, & lucem, & aerem, & terram. Et si quid ex illis abstulerit, periimus & interiimus. Advenæ enim sumus & peregrini. Illud enim, meum & tuum, verba tantum sunt sine re. Nam si domum esse tuam dicas, verbum est re vacuum. Etenim & aer & terra & materia, conditoris sunt; C ut & tu ipse qui illam struxisti, aliaque omnia. Si autem usus est tuus, ille quoque incertus est; non ob mortem tantum, sed etiam ante mortem ob rerum instabilitatem. Hæc ergo apud nos assidue describentes, philosophemur, & duo quæ sunt maxima lucrabimur. Nam & grati erimus & dum tenemus & dum a nobis auferuntur, neque serviemus iis quæ præterfluunt, nec nostra sunt. Nam si pecunias acceperit, sua accepit; si honorem, si gloriam, si corpus, si ipsam animam; si filium tuum acceperit, non filium tuum, sed servum suum accepit. D Non enim tu ipsum formasti, sed ille fecit. Tu ejus adventui administer tantum fuisti, totum autem ille fecit. Gratias igitur agamus, quod operis administri fieri dignati simus. Sed quid? eumne perpetuo habere voluisti? Hoc ingrati est & ignorantis te alienum habuisse, non tibi proprium. Quemadmodum ii qui parati secedunt, sciunt se non sua habere; sic qui dolent, regia sibi usurpant. Nam si nos non sumus nostri, quomodo illi nostri sunt? Duplici enim ratione illius sumus, & secundum creationem & secun-E dum fidem. [Psal. 38. 7.] Ideoque David dicit: *Substantia mea apud te est;* [Act. 17. 28.] & Paulus: *In ipso vivimus, movemur, & sumus;* & de fide [1. Cor. 6. 20.] tractans dicit: *Non estis vestri, & precio emti estis.* Omnia quippe Dei sunt. Cum ergo vocaverit & accipere voluerit, ne tamquam ingrati servi rationem reddere fugiamus, neque ea quæ Domini sunt usurpemus. Anima tua non est tua, & quomodo pecuniæ tuæ erunt? Cur ergo ea quæ tua non sunt in iis quæ non oporteret impendis? Nescis nos ideo accusandos fore, quod illis male usi simus?

μηδὲ ἀποχρώμενος εἰς τὰ μὴ προσήκοντα, μηδὲ φυσώμενος, μηδὲ σφετεριζόμενος, ἀλλὰ πένητα σαυτὸν νόμιζε εἶναι καὶ ἄδοξον. οὐ γὰρ, εἰ πορφύραν βασιλικὴν ἐνεχειρίσθης φυλάττειν, ἔδει καταχρήσασθαι τῇ στολῇ καὶ λυμήνασθαι, ἀλλὰ μετὰ πλείονος αὐτὴν τῆς ἀκριβείας τηρεῖν τῷ δεδωκότι. λόγον ἔλαβες; μὴ φυσῶ, μηδὲ ἀλαζονεύου. οὐ γάρ ἐστι σὸν τὸ χάρισμα. μὴ ἀγνώμων ἔσο περὶ τὰ δεσποτικὰ, ἀλλὰ διάνεμε τοῖς συνδούλοις, καὶ μήτε ὡς ἐπὶ ἰδίοις ἐπαίρου τούτοις, μήτε φείδου ὥστε διανέμειν. κἂν παῖδας ἔχῃς, τοῦ Θεοῦ ἔχεις. ἂν οὕτω νομίζῃς, καὶ ἔχων εὐχαριστήσεις, καὶ ἀφαιρεθεὶς οὐκ ἀλγήσεις· οἷος ἦν ὁ Ἰὼβ λέγων, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. [a] πάντα γὰρ παρὰ τοῦ Χριστοῦ ἔχομεν· καὶ αὐτὸ τὸ εἶναι δι' αὐτοῦ ἔχομεν, καὶ τὸ ζῇν, καὶ τὸ ἀναπνεῖν, καὶ τὸ φῶς, καὶ τὸν ἀέρα, καὶ τὴν γῆν. κἂν ἀποκλείσῃ τι τούτων, ἀπωλόμεθα καὶ διεφθάρημεν. πάροικοι γάρ ἐσμεν καὶ παρεπίδημοι. τὸ δὲ ἐμὸν καὶ τὸ σὸν τοῦτο, ῥήματά ἐστι ψιλὰ μόνον· ἐπὶ δὲ πραγμάτων οὐχ ἕστηκε. καὶ γὰρ εἰ τὴν οἰκίαν σὴν εἶναί φῃς, ῥῆμά ἐστι πράγματος ἔρημον. καὶ γὰρ ὁ ἀὴρ καὶ γῆ καὶ ὕλη, τοῦ δημιουργοῦ, καὶ σὺ δὲ αὐτὸς ὁ κατασκευάσας αὐτὴν, καὶ τὰ ἄλλα δὲ πάντα. εἰ δὲ ἡ χρῆσις σὴ, ἀλλὰ καὶ αὐτὴ ἄδηλος, οὐ διὰ τὸν θάνατον μόνον, ἀλλὰ καὶ πρὸ τοῦ θανάτου διὰ τὸ τῶν πραγμάτων εὐρίπιστον. ταῦτ' οὖν [b] συνεχῶς παρ' ἑαυτοῖς γράφοντες, φιλοσοφήσωμεν, καὶ δύο τὰ μέγιστα κερδανοῦμεν· εὐχάριστοί τε γὰρ ἐσόμεθα καὶ ἔχοντες καὶ ἀφαιρούμενοι, καὶ οὐ μὴ δουλεύσομεν τοῖς παρατρέχουσι καὶ τοῖς οὐχ ἡμῶν. κἂν γὰρ χρήματα λάβῃ, τὰ αὐτοῦ ἔλαβε· κἂν τιμὴν, κἂν δόξαν, κἂν τὸ σῶμα, κἂν αὐτὴν τὴν ψυχήν· κἂν τὸν υἱὸν τὸν σὸν λάβῃ, οὐ τὸν σὸν ἔλαβεν υἱὸν, ἀλλὰ τὸν δοῦλον τὸν ἑαυτοῦ. οὐ γὰρ σὺ αὐτὸν ἔπλασας, ἀλλ' ἐκεῖνος ἐποίησε· σὺ δὲ ὑπηρέτησας μόνον τῇ παρόδῳ, τὸ δὲ πᾶν αὐτὸς εἰργάσατο. εὐχαριστήσωμεν τοίνυν ὅτι κατηξιώθημεν ὑπηρετῆσαι τῷ πράγματι. ἀλλὰ τί; ἐβούλου διαπαντὸς ἔχειν; τοῦτο ἀγνώμονος πάλιν, καὶ οὐκ εἰδότος, ὅτι ἀλλότριον εἶχες καὶ οὐκ ἴδιον. ὥσπερ οὖν οἱ ἑτοίμως ἀφιστάμενοι ἴσασιν ὅτι οὐ τὰ αὐτῶν ἔχουσιν, οὕτως οἱ ἀλγοῦντες τὰ βασιλικὰ σφετερίζονται. εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ἑαυτῶν, πῶς ἐκεῖνοι ἡμῶν; διπλῇ γάρ ἐσμεν αὐτοῦ, καὶ τῷ τῆς κτίσεως, καὶ τῷ τῆς πίστεως λόγῳ. διὰ τοῦτό φησιν ὁ Δαυῒδ, ἡ ὑπόστασίς μου [c] παρὰ σοί ἐστι· καὶ ὁ Παῦλος δὲ, ὅτι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. καὶ τὸν περὶ τῆς πίστεως γυμνάζων λόγον φησὶν, οὐκ ἐστὲ ἑαυτῶν, καὶ τιμῆς ἠγοράσθητε. τὰ πάντα γὰρ τοῦ Θεοῦ. ὅταν οὖν καλῇ, καὶ βούληται λαβεῖν, μὴ κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν φύγωμεν τὸν λόγον, μηδὲ νοσφιζώμεθα τὰ δεσποτικά. ἡ ψυχή σου οὐκ ἔστι σὴ, καὶ πῶς τὰ χρήματά ἐστι σά; πῶς οὖν ἀναλίσκεις εἰς οὐδὲν δέον τὰ μὴ σά; οὐκ οἶδας ὅτι διὰ τοῦτο μέλλομεν ἐγκαλεῖσθαι, κακῶς αὐτοῖς χρησάμενοι;

[a] Ita Reg. probe. Editi, πάντα γὰρ τὰ τοῦ Χριστοῦ ἔχομεν, perperam.

[b] Morel. συνεχῶς ἑαυτοῖς.

[c] Reg. παρὰ σοῦ, quæ lectio sententiam mutaret.

ἐπειδὴ δὲ οὐκ ἔστιν ἡμέτερα, ἀλλὰ τοῦ δεσπότου, εἰς τοὺς ὁμοδούλους ἐχρῆν δαπανᾶν. τοῦτο γοῦν καὶ ὁ πλούσιος ἐκεῖνος ἐνεκαλεῖτο, ὅτι μὴ ἐποίησε, καὶ οἱ μὴ θρέψαντες τὸν κύριον. μὴ τοίνυν λέγε, ὅτι τὰ ἐμαυτοῦ ἀναλίσκω, καὶ ἐκ τῶν ἐμαυτοῦ τρυφῶ. οὐκ ἀπὸ τῶν σεαυτοῦ, ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων. ἀλλοτρίων δὲ λέγω, ἐπειδὴ σὺ βούλει· ἐπεὶ σὰ βούλεται εἶναι ὁ θεὸς τὰ ὑπὲρ τῶν ἀδελφῶν ἐγχειρισθέντα σοι. γίνεται δὲ σὰ τὰ ἀλλότρια, ἂν εἰς ἑτέρους ἀναλώσῃς· ἂν δὲ εἰς σαυτὸν ἀναλώσῃς ἀφειδῶς, ἀλλότρια γέγονε τὰ σά. ἐπειδὴ γὰρ ὠμῶς αὐτοῖς κέχρησαι, καὶ λέγεις ὅτι τὰ ἐμὰ εἰς ἐμὴν ἀπόλαυσιν μόνον ἀναλωθῆναι δίκαιον, διὰ τοῦτο ἀλλότρια αὐτὰ λέγω. κοινὰ γάρ ἐστι σὰ καὶ τοῦ συνδούλου, ὥσπερ ἥλιος κοινὸς, καὶ ἀὴρ, καὶ γῆ, καὶ τὰ ἄλλα πάντα. καθάπερ ἐπὶ τοῦ σώματος, καὶ παντός ἐστι τοῦ σώματος, καὶ ἑνὸς ἑκάστου μέλους ἡ διακονία· ὅταν δὲ ἑνὸς μόνου μέλους γίνηται, καὶ τὴν ἰδίαν ἀπόλλυσιν ἐνέργειαν.

Οὕτω καὶ ἐπὶ τῶν χρημάτων συμβαίνει. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἡ τροφὴ τοῦ σώματος ἡ κοινὴ δεδομένη τοῖς μέλεσιν, ἐὰν εἰς ἓν ἔλθοι μέλος, κἀκείνου λοιπὸν ἀλλοτρία γίνεται. ὅταν γὰρ μὴ δυνηθῇ πεφθῆναι μηδὲ θρέψαι, ἀλλοτρία κἀκείνου γέγονεν. ἂν δὲ κοινὴ γένηται, κἀκείνου καὶ πάντων ἐστὶν ἰδία. οὕτω καὶ ἐπὶ τῶν χρημάτων· ἂν σὺ μόνος ἀπολαύσῃς, καὶ σὺ ἀπώλεσας. οὐ γὰρ αὐτῶν καρπώσῃ τὸν μισθόν, ἂν δὲ μετὰ τῶν ἄλλων κτήσῃ, τότε μᾶλλον ἔσται σὰ, καὶ τότε καρπώσῃ τὴν ὠφέλειαν. οὐχ ὁρᾷς ὅτι χεῖρες διακονοῦνται, καὶ στόμα λεαίνει, καὶ γαστὴρ δέχεται; μὴ λέγει ἡ γαστὴρ, ἐπειδὴ ἐδεξάμην, ὀφείλω τὸ πᾶν κατέχειν; μὴ τοίνυν, μηδὲ ἐπὶ τῶν χρημάτων σὺ τοῦτο λέγε. τοῦ γὰρ δεχομένου, τὸ μεταδιδόναι. ὥσπερ οὖν κακία γαστρὸς, τὸ κατέχειν τὰ βρώματα καὶ μὴ διανέμειν, παντὶ γὰρ τῷ σώματι λυμαίνεται, οὕτω κακία τῶν πλουτούντων, τὸ κατέχειν ὅσαπερ ἔχουσι παρ' ἑαυτοῖς. τοῦτο γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους ἀπόλλυσιν. ὁ ὀφθαλμὸς πάλιν τὸ πᾶν δέχεται φῶς· ἀλλ' [a] οὐ τοῦτο αὐτὸς κατέχει μόνος, ἀλλ' ὁλόκληρον φωτίζει τὸ σῶμα. οὐδὲ γὰρ ἔχει φύσιν παρ' ἑαυτῷ κατέχειν, ἕως ἂν ὀφθαλμὸς ᾖ. αἱ ῥῖνες πάλιν αἰσθάνονται εὐωδίας· ἀλλ' οὐ κατέχουσιν αὐτὴν μόναι, ἀλλ' ἐγκεφάλῳ παραπέμπουσι, καὶ στόμαχον ἐν εὐωδίᾳ τιθέασι, καὶ ὁλόκληρον δι' αὐτῶν ἀνακτῶνται τὸν ἄνθρωπον. οἱ πόδες μόνοι βαδίζουσιν· ἀλλ' οὐχ ἑαυτοὺς μεταφέρουσι μόνον, ἀλλὰ καὶ ὅλον μετατιθέασι τὸ σῶμα· οὕτω καὶ σὺ, ὅσαπερ ἂν ἐγχειρισθῇς, μὴ κάτεχε μόνος, ἐπεὶ τῷ παντὶ λυμαίνῃ, καὶ σαυτῷ πρὸ τῶν ἄλλων. οὐκ ἐπὶ τῶν μελῶν δὲ μόνον ἴδοι τις ἂν τοῦτο [b] γινόμενον. καὶ γὰρ ὁ σιδηροκόπος, εἰ βουληθείη μηδενὶ μεταδοῦναι τῆς τέχνης, καὶ ἑαυτὸν καὶ τὰς λοιπὰς ἀνατρέπει τέχνας. ὁ σκυτοτόμος ὁμοίως, ὁ γεωργὸς, ὁ σιτοποιὸς, καὶ ἕκαστος τῶν ἀναγκαῖον ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ μεταδοῦναι ἑτέρῳ τῶν ἀπὸ τῆς τέχνης, οὐχὶ τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ ἑαυτὸν τοῖς ἄλλοις προσαπολεῖ. καὶ τί λέγω τοὺς πλουτοῦντας; καὶ γὰρ οἱ πένητες, εἰ τὴν ὑμετέραν τῶν πλεονεκτούντων, καὶ πλουτούντων, κακίαν μετῆλθον,

[a] Ita Reg. Editi vero, οὐ διὰ τοῦτο.
[b] Reg. γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν τεχνῶν. καὶ γὰρ ὁ χαλκοτύπος εἰ | βουληθείη.

A Quia ergo non sunt nostræ, sed Domini, oportuit illas conservis elargiri. Ideo certe dives ille accusabatur, quod hoc non fecisset, sic & qui Dominum non aluerunt. Ne itaque dicas, mea impendo; meis fruor. Non tuis certe, sed alienis. Alienis dico, quia tu vis, quia tua vult esse Deus, quæ tibi pro fratribus tradita sunt. Aliena autem illa tunc tua fiunt, cum aliis distribuis; sin autem in te ipsum largiter insumseris, tunc tua illa aliena fiunt. Quia enim inhumaniter illis usus es, dicisque æquum est ut mea in meum usum & fructum impendantur; B ideo aliena illa dico. Communia enim sunt, & ad conservum etiam tuum pertinent, quemadmodum & sol communis est, & aer & terra aliaque omnia; sicut & in corpore ministerium est & totius corporis, & uniuscujusque membri: cum autem unius tantum membri est, propriam perdit operationem.

4. Ita & in pecuniis accidit; & ut id quod dico clarius evadat, cibus corporeus qui membris communis datur, si ad unum venerit membrum, alienus illi efficitur. Cum enim non possit concoqui & nutrire, alienus evadit; si autem commu- C nis sit, & illius & aliorum membrorum proprius est. Ita etiam in pecuniis: si tu solus illis fruaris, tu quoque illas perdidisti; neque enim mercedem accipies; si vero cum aliis possideas, tunc magis tuæ erunt, & tunc utilitatem accipies. Annon vides quod manus ministrent, os emolliat, & venter recipiat? Num dicit venter: Quia recepi, totum retinere debeo? Ne ergo tu quoque de pecuniis ita loquaris. Recipientis enim est elargiri. Quemadmodum ergo ventris vitium est, cum cibos retinet, nec distribuit; toti enim corpori perniciem infert; ita etiam D divitum vitium est, cum ea quæ habent apud se retinent. Hoc enim & ipsos & alios perdit. Oculus item totam lucem recipit; sed non totam sibi retinet, nam corpus totum illuminat. Neque enim id ex natura sua habet ut totum retineat, donec oculus est. Nares etiam bonos sentiunt odores, sed non totos retinent; sed in cerebrum mittunt, & stomachum in bono odore servant, totumque hominem recreant. Pedes item soli incedunt; sed non se solos transferunt, sed & totum corpus transmovent. Ita & tu quod tibi concreditum fuit ne solus retineas, E quia omnibus, tibique primum perniciem inferes. Non in membris tantum id observes. Faber enim ferrarius, si neminem velit arte sua frui, & seipsum & alias artes pessumdat. Sutor similiter, agricola, pistor, & singuli qui necessarias artes exercent; si neminem alium arte sua frui velint, non alios tantum, sed se cum aliis perdunt. Ecquid de divitibus loquor? nam pauperes quoque si vestram avarorum & divitum nequitiam sectarentur;

Pecuniarum usus quis esse debeat.

vos magnopere læderent, ac cito vos pauperes redderent, imo etiam perderent, si iis qui opus habent sua præbere nollent: exempli causa, agricola manuum suarum laborem, nauta commercium per navigationem partum, miles suam in bello fortitudinem. Ideo, si non aliud, pudore affecti benevolum illorum animum imitemini. Nemini divitias impertis? ergo ne quidquam ab alio accipias. Si autem ita fiat, evertentur omnia. Ubique enim dare & accipere bonorum multorum initium est, in seminibus, in discipulis, in artibus. Nam si quis voluerit artem penes se retinere, & sese & totum mundum evertit: agricola si semina domi suffossa retineat, gravem inducet famem. Sic & dives si in pecuniis hoc faciat, seipsum prius, quam pauperes, perdet, gehennæ flammam graviorem capiti suo apparans. Ut ergo doctores, etiamsi multos habeant discipulos, singulis artem suam impertiunt; ita & tu multos acquiras beneficio affectos: & dicant omnes; hunc liberavit a paupertate, illum a periculis; &, ille periisset, nisi cum gratia Dei patrocinio tuo ereptus fuisset: & quod hunc a morbo, alium a sycophantia exemeris; alium hospitem exceperis; alium nudum vestieris. Innumeris divitiis & thesauris meliora sunt hæc verba; omnesque ad se convertunt magis quam vestimenta aurea, equi & mancipia. Hæc enim id efficiunt ut gravis & molestus videatur; atque ut communis hostis odio habeatur: illa vero ut patrem communem ac beneficum deprædicant: & quod omnium maximum est, Dei benevolentia, tua semper gesta sequetur. Dicat ergo hic, filiam meam cum dote locavit; alius, filium meum in virorum numerum efferri curavit; alius, calamitatem meam solvit; alius, me a periculis eripuit. Hæc coronis aureis meliora verba sunt, mille nimirum præcones benignitatis propriæ in civitate habere. Hæ voces, præconum qui ante magistratum incedunt voce longe dulciores suavioresque sunt, vocari nempe servatorem, beneficum, patronum, quæ sunt Dei nomina: non autem avarum, arrogantem, insatiabilem, parcum. Ne, quæso, ne ullam talem vocem appetamus, sed omnino contrarias. Nam si hæc in terris prolata, ita splendidum & illustrem reddunt; cum ea scripta fuerint in cælis, & in die futuro Deus illa protulerit, cogita quanta frueris claritate, quanto splendore: quem nos omnes assequi contingat gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

A μέγιστα ἂν ὑμᾶς ἔβλαψαν, καὶ ταχέως ἂν ὑμᾶς ἐποίησαν πένητας, μᾶλλον δὲ καὶ ἀπώλεσαν, εἰ μὴ δεομένοις τὰ ἑαυτῶν μεταδοῦναι ἠβουλήθησαν· οἷον, ὁ γηπόνος, τὴν ἀπὸ τῶν χειρῶν ἐργασίας· ὁ ναύτης, τὴν ἀπὸ τοῦ πλεῖν ἐμπορείας· ὁ στρατιώτης, τὴν ἀριστείας τὴν ἀπὸ τῶν πολέμων. ὥστε εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδέσθητε, καὶ τὴν ἐκείνων φιλοφροσύνην μιμήσασθε. οὐ μεταδίδως τοῦ πλούτου οὐδενί; οὐκοῦν μὴ μεταλάβῃς παρὰ ἑτέρου μηδενός. εἰ δὲ τοῦτο ἔσται, τὰ πάντα ἀνατραπήσεται. πανταχοῦ γὰρ τὸ διδόναι καὶ μεταλαμβάνειν, ἀρχὴ πολλῶν ἐστιν ἀγαθῶν, ἐπὶ σπερμάτων, ἐπὶ μαθητῶν, ἐπὶ τεχνῶν. ἂν γὰρ βουληθῇ B τις παρ' ἑαυτῷ κατέχειν τὴν τέχνην, καὶ ἑαυτὸν καὶ τὸν βίον ἀνέτρεψεν ἅπαντα. καὶ ὁ γεωργὸς, τὰ σπέρματα ἂν οἴκοι κατορύξας φυλάττοι, λιμὸν ἐργάσεται χαλεπόν· οὕτω καὶ ὁ πλούσιος, ἐὰν ἐπὶ τῶν χρημάτων τοῦτο ποιῇ, πρὸ τῶν πενήτων ἑαυτὸν ἀναιρήσει, τὴν φλόγα τῆς γεέννης χαλεπωτέραν κατὰ τῆς ἑαυτοῦ σωρεύων κεφαλῆς. ὥσπερ οὖν οἱ διδάσκαλοι, κἂν πολλοὺς ἔχωσι τοὺς μαθητὰς, ἑκάστῳ μεταδιδόασι τῆς τέχνης· οὕτω καὶ σὺ πολλοὺς κτῆσαι τοὺς εὐεργετουμένους. καὶ λεγέτωσαν ἅπαντες, ὅτι τὸν δεῖνα ἀπήλλαξε πενίας, καὶ τὸν δεῖνα κινδύνων· καὶ ὁ δεῖνα ἂν ἀπώλετο, εἰ μὴ μετὰ τὴν χάριν τοῦ θεοῦ τῆς σῆς ἀπήλαυσε C προστασίας· καὶ ὅτι τῷ δεῖνι τὴν νόσον ἔλυσας, ἕτερον συκοφαντίας ἀπήλλαξας, ἄλλον ξένον ὄντα συνήγαγες, ἄλλον γυμνὸν ὄντα περιέβαλες. μυρίου πλούτου καὶ πολλῶν θησαυρῶν βελτίω τὰ ῥήματα· ἐπιστρέφει πάντας μᾶλλον τῶν ἱματίων τῶν χρυσῶν, καὶ τῶν ἵππων, καὶ τῶν ἀνδραπόδων. ἐκεῖνα μὲν γὰρ καὶ [a] φορτικὰ ποιεῖ φαίνεσθαι, καὶ ὡς κοινὸν ἐχθρὸν μισεῖσθαι· ταῦτα δὲ ὡς πατέρα κοινὸν καὶ εὐεργέτην ἀνακηρύττει· καὶ ὃ πάντων μέγιστόν ἐστιν, ἡ παρὰ τοῦ θεοῦ εὔνοια ἀπανταχοῦ σοι τῶν πράξεων ἕπεται. λεγέτω τοίνυν ὁ δεῖνα, ὅτι ἐμοῦ τὴν θυγατέρα συν- D εξέδωκεν· ἕτερος, ἐμοὶ δὲ τὸν υἱὸν εἰς ἄνδρας ἐμφανῆναι παρεσκεύασε· καὶ ἄλλος, ὅτι τὴν συμφορὰν ἔλυσε· καὶ ἕτερος, ὅτι τῶν κινδύνων ἀπήλλαξε. ταῦτα στεφάνων χρυσῶν βελτίω τὰ ῥήματα, μυρίους κήρυκας ἐν τῇ πόλει τῆς οἰκείας φιλανθρωπίας ἔχειν. αὗται αἱ φωναὶ τῆς φωνῆς τῶν κηρύκων τῶν πρὸ τῶν ἀρχόντων βαδιζόντων ἡδίους πολλῷ καὶ γλυκύτεραι, τὸν σωτῆρα, τὸν εὐεργέτην, τὸν προστάτην, τὰ τοῦ θεοῦ καλεῖσθαι ὀνόματα, ἀλλὰ μὴ πλεονέκτην καὶ ἀλαζόνα καὶ ἀκόρεστον καὶ σμικρολόγον. μὴ, παρακαλῶ, μηδενὸς τούτων ἐπιθυμήσω- E μεν τῶν ῥημάτων, ἀλλὰ τῶν ἐναντίων. εἰ γὰρ ἐπὶ γῆς ταῦτα λεγόμενα λαμπρὸν οὕτω ποιεῖ καὶ περιφανῆ, ὅταν ἐν οὐρανῷ ταῦτα γράφηται, καὶ ὁ θεὸς ταῦτα κατὰ τὴν ἡμέραν ἀνακηρύττῃ τὴν μέλλουσαν, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς περιφανείας, ὅσης τῆς λαμπρότητος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

[a] Savilius legendum putat φορτικὸν, & certe melius quadraret ad seriem.

A

## ΟΜΙΛΙΑ ιά.

Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, κύριός ἐστι.

ΜΕΤΑ τῶν ἄλλων κακῶν οὐκ οἶδα πῶς ἐπεισῆλθε τῇ τῶν ἀνθρώπων φύσει τὸ τῆς περιεργίας, καὶ τὸ τῆς πολυπραγμοσύνης τῆς ἀκαίρου νόσημα· ὃ καὶ ὁ Χριστὸς ἐκόλασεν εἰπὼν, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ὅπερ ἡδονὴν μὲν οὐδεμίαν ἔχει, καθάπερ καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων, κόλασιν δὲ μόνον καὶ τιμωρίαν. καὶ γὰρ μυρίων αὐτοὶ γέμοντες κακῶν καὶ τὰς δοκοὺς ἐπὶ τῶν ὀμμάτων φέροντες, τῶν ἁμαρτημάτων τοῦ πλησίον κάρφους οὐδὲν διαφερόντων ἀκριβεῖς γινόμεθα ἐξετασταί· ὥσπερ καὶ ἐν τῇ Κορίνθῳ τοῦτο συνέβαινεν. ἄνδρας γὰρ εὐλαβεῖς καὶ θεοῦ φίλους διὰ τὴν ἀμαθίαν ἐκωμῴδουν καὶ ἐξέβαλον, τοὺς δὲ μυρίων γέμοντας κακῶν ἐνέκρινον διὰ τὴν εὐγλωττίαν. εἶτα, καθάπερ δικασταὶ προκαθήμενοι, τοιαῦτα μετὰ προπετείας ἐψηφίζοντο, ὁ δεῖνα ἄξιος, ὁ δεῖνα τοῦ δεῖνος ἀμείνων· καὶ οὗτος ἐκείνου καταδεέστερος, κἀκεῖνος τούτου βελτίων· καὶ ἀφέντες τὰ ἑαυτῶν πενθεῖν κακὰ, ἑτέροις ἐγίνοντο δικασταὶ, καὶ ταύτῃ πολέμους ἀνῆπτον πάλιν χαλεπούς. ὁ Παῦλος οὖν ἀναιρῶν τοῦτο τὸ νόσημα, ὅρα πῶς αὐτοὺς διορθοῦται συνετῶς. ἐπειδὴ γὰρ εἶπεν, ὃ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ, καὶ ἐδόκει πάροδον αὐτοῖς διδόναι τοῦ κρίνειν καὶ ἐξετάζειν τὸν ἑκάστου βίον· τοῦτο δὲ τὴν στάσιν ἐπέτεινεν· ἵνα μὴ τοῦτο πάθωσιν, ἀπήγαγεν αὐτοὺς τῆς τοιαύτης ἐρεσχελίας, λέγων· ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, πάλιν ἐπὶ τοῦ οἰκείου προσώπου τὸν λόγον προάγων. τί δέ ἐστιν, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας; ἀνάξιον ἐμαυτὸν κρίνω, φησὶ, τοῦ παρ' ὑμῶν κρίνεσθαι. καὶ τί λέγω παρ' ὑμῶν; καὶ τὸ παρ' οὑτινοσοῦν ἑτέρου. ἀλλὰ μηδεὶς ἀπόνοιαν καταγινωσκέτω τοῦ Παύλου, εἰ μηδένα τῶν ἀνθρώπων ἄξιον εἶναι λέγει τοῦ φέρειν τὴν περὶ αὐτοῦ ψῆφον. πρῶτον μὲν γὰρ οὐ δι' ἑαυτὸν ταῦτά φησιν, ἀλλ' ἑτέρους ἐξαρπάσαι βουλόμενος τῆς παρ' ἐκείνων ἀπεχθείας. ἔπειτα δὲ οὐδὲ μέχρι Κορινθίων τὸ πρᾶγμα ἔστησεν, ἀλλὰ καὶ ἑαυτὸν τῆς κρίσεως ταύτης ἐξέβαλε, μεῖζον εἶναι τῆς αὐτοῦ γνώμης λέγων τὰ τοιαῦτα ψηφίζεσθαι. ἐπήγαγε γοῦν, οὐδὲ ἐμαυτὸν ἀνακρίνω. πρὸς δὲ τοῖς εἰρημένοις καὶ τὴν ὑπόθεσιν ἐξετάσαι χρὴ, δι' ἣν ταῦτα ἐλέγετο. οἶδε γὰρ πολλαχοῦ καὶ μεγαλοφρόνως φθέγγεσθαι. τοῦτο δὲ οὐκ ἔστι τύφου, οὐδὲ ἀπονοίας, ἀλλ' οἰκονομίας ἀρίστης· ἐπεὶ καὶ νῦν οὐκ αὐτὸς ἐπαιρόμενος, ἀλλ' ἑτέρους καταστέλλων, ταῦτά φησι, καὶ ἀξίωμα σπεύδων περιθεῖναι τοῖς ἁγίοις. ὅτι γὰρ τῶν σφόδρα ταπεινῶν ἦν, ἄκουσον τί φησι, τὴν τῶν ἐχθρῶν μαρτυρίαν εἰς μέσον περὶ τούτου φέρων.

## HOMILIA XI.

3. *Mihi autem pro minimo est ut a vobis judicer, aut ab humano die. Sed neque meipsum judico.* 4. *Nihil enim mihi conscius sum: sed non in hoc justificatus sum. Qui autem judicat me, Dominus est.*

1. CUM aliis malis nescio quomodo inductus sit in hominum naturam curiositatis & importunæ perquisitionis morbus: quem etiam Christus castigavit dicens: *Nolite judicare, ut non judicemini.* (Matt. 7. 1) Quod certe nullam voluptatem habet, ut habent cætera peccata; sed solum pœnam ac supplicium. Nam cum innumeris repleti simus malis, & trabes feramus in oculis, proximi peccata etiam ea quæ a festucis nihil differunt: accurate examinamus. Sicut etiam Corinthi accidit. Viros namque pios & Deo caros propter inscitiam traducebant & ejiciebant, alios vero qui innumeris erant vitiis onusti, magni faciebant propter eloquentiam. Deinde, tamquam judices sedentes, hæc petulanter pronunciabant: Hic dignus est: iste melior illo est, & hic illi inferior, & ille isto melior; & sua lugere mala non curantes, aliorum judices erant; hincque gravia bella concitabant. Paulus ergo hunc morbum tollens, vide quam prudenter illos corrigat. Postquam enim dixit, *Hic jam quæritur inter dispensatores ut fidelis quis inveniatur*, & videbatur illis aditum dare ad judicandam & examinandam cujusque vitam: hoc vero seditionem concitabat; ne hoc illis accideret ab hac altercatione illos abduxit, dicens: *Mihi autem pro minimo est ut a vobis judicer*; rursus sermonem personam suam spectantem proferens. Quid sibi vult autem illud: *Mihi autem pro minimo est ut a vobis judicer, aut ab humano die?* Indignum me judico, inquit, qui a vobis judicer; & quid dico a vobis? nec a quocumque aliquo. Sed nemo Paulum arrogantiæ accuset, si nullum hominem dignum esse dicat, qui contra se calculum ferat. Primo enim non propter se hoc dicit, sed ut alios ab illorum inimicitia eripiat. Deinde non ad Corinthios tantum res spectat; sed etiam seipsum a tali judicio removit, majus sua mente dicens de talibus calculum ferre: subjunxit ergo, *Neque meipsum judico.* Ad hæc vero causa quoque examinanda est, qua motus hæc dicebat: solet enim sæpe magnifice loqui; non ex fastu vel arrogantia, sed ex optima dispensatione. Quandoquidem nunc non ipse sese extollens, sed alios deprimens, hæc loquitur, ut dignitatem sanctis addat. Quod enim admodum humilis esset, audi quid dicat, inimicorum hac de re testimonium in medium adducens:

B C D E

2. Cor. 10. 10. *Præsentia corporis infirma est, & sermo contemtus* : & rursum : 1. Cor. 15. 8. *Novissime autem tamquam abortivo visus est & mihi.* Attamen humilis ille, tempore vocante, vide quo discipulorum sententiam extulerit, non fastum docens, sed sanos indens spiritus. Ipsos enim alloquens dicebat : 1. Cor. 6. 2. *Et si in vobis judicatur mundus, indigni estis minimis judiciis.* Ut enim Christianum oportet longe ab arrogantia esse ; ita & ab adulatione & ab illiberali sensu. Neque enim si quispiam dixerit : Pecunias nihil esse puto ; sed præsentia omnia mihi umbra & somnium sunt ac puerorum ludibria ; arrogantiæ ipsum accusabimus. Nam sic Salomonem etiam arrogantiæ accusabimus Eccles. 1. 2. cum de his rebus philosophatur & dicit : *Vanitas vanitatum, & omnia vanitas.* Sed absit ut arrogantiæ nomine philosophiam appellemus. Non est ergo arrogantia hæc despicere, sed animi magnitudo ; licet videamus reges & principes illa sibi vindicare. Verum pauper qui philosophatur, illa sæpe despicit : neque ideo illum arrogantem ; sed magnanimum dicemus ; sicut nec eum qui hæc magnopere sibi vindicat, humilem & modestum, sed infirmum, pusilli animi & illiberalem dicemus. Etenim si quis filius ea quæ ad patrem pertinent despiceret, servilia autem admiraretur, non quasi humilem illum laudaremus, sed ut illiberalem & servilem vituperaremus ; ipsumque vero miraremur si illa despiceret, & paterna magni faceret. Arrogantiæ enim est, se conservis meliorem esse existimare. Sed eam quæ vere est de rebus ferre sententiam, non arrogantiæ est, sed philosophiæ.

2. Ideo Paulus non se extollens, sed alios humilians, & sese efferentes deprimens & modestos esse suadens, dicebat : *Mihi autem pro minimo est ut a vobis judicer, aut ab humano die.* Viden' quomodo illos curaverit ? Nam qui audierit quod omnes similiter despiciat, & a nullo judicari dignetur, non utique dolebit quasi ipse solus ejectus. Nam si dixisset, A vobis tantum, & siluisset, hoc illos mordere poterat, quasi despecti fuissent. Nunc autem cum addit, *Nec ab humano die*, plagæ medicamentum adhibuit, cum ipsis talis contemtus socios assignavit ; sed & ipse quoque huic rei rursus medetur adjiciens : *Sed neque meipsum judico.* Vide quomodo dictum illud non arrogantiam sapiat. Neque enim se satis esse dicit ad hoc accurate præstandum. Deinde quia hoc dictum sese admodum extollentis videbatur esse, id correxit dicens : *Sed non in hoc justificatus sum.* Quid igitur ? annon oportet & se & peccata judicare ? Maxime quidem oportet hoc facere cum peccamus. Sed Paulus hoc non dixit : *Nihil enim mihi conscius sum*, inquit. Quodnam ergo peccatum judicaturus erat, cum nihil sibi conscius esset ? Ille vero non dicit se esse justificatum. Qui ergo conscientiam habemus mille vulneribus sauciam,

A ὅτι ἡ μὲν παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. καὶ πάλιν, ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. ἀλλ' ὅμως ὁ ταπεινὸς οὗτος, καιροῦ καλοῦντος, σκόπει πῶς τὰ φρονήματα τῶν μαθητῶν ἐπῆρεν, οὐχὶ τῦφον διδάσκων, ἀλλὰ φρόνημα ὑγιὲς ἐμποιῶν. αὐτοῖς γὰρ τούτοις διαλεγόμενος ἔλεγε· καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων. ὥσπερ γὰρ ἀλαζονείας εἶναι πόῤῥω χρὴ τὸν Χριστιανὸν, οὕτω καὶ κολακείας καὶ ἀγεννοῦς φρονήματος. οὐδὲ γὰρ εἰ λέγοι τις, ὅτι τὰ χρήματα οὐδὲν ἡγοῦμαι εἶναι, ἀλλὰ τὰ παρόντα ἅπαντα σκιά μοι καὶ ὄναρ καὶ παίδων ἀθύρματα, ἀλαζονείας αὐτὸν B γραψόμεθα· ἐπεὶ καὶ τὸν Σολομῶντα οὕτως εἰς ἀλαζονείαν διαβαλοῦμεν περὶ τούτων φιλοσοφοῦντα καὶ λέγοντα, ματαιότης ματαιοτήτων, καὶ τὰ πάντα ματαιότης. ἀλλὰ μὴ γένοιτο τῷ τῆς ἀλαζονείας ὀνόματι τὴν φιλοσοφίαν καλεῖν. ἄρα οὐκ ἀπόνοια τὸ καταφρονεῖν τούτων, ἀλλὰ μεγαλοψυχία, καίτοιγε βασιλεῖς, καὶ ἄρχοντας, καὶ δυνάστας ὁρῶμεν αὐτῶν ἀντεχομένους· ἀλλ' ὁ πτωχὸς φιλοσοφῶν πολλάκις αὐτῶν ὑπερορᾷ. καὶ οὐ διὰ τοῦτο ἀλαζόνα, ἀλλὰ μεγαλόφρονα αὐτὸν εἶναι φήσομεν· ὥσπερ οὖν οὐδὲ τὸν σφόδρα ἀντεχόμενον αὐτῶν, ταπεινόφρονα καὶ μέτριον, ἀλλ' ἀσθενῆ καὶ μικρόψυχον καὶ ἀνελεύ- C θερον. καὶ γὰρ εἴ τις υἱὸς τῶν μὲν τῷ πατρὶ προσηκόντων κατεφρόνει, τὰ δὲ δουλικὰ ἐθαύμαζεν, οὐχ ὡς ταπεινόφρονα αὐτὸν ἐπῃνέσαμεν ἄν, ἀλλ' ὡς ἀγεννῆ καὶ δουλικὸν ἐκακίζομεν· ἐθαυμάσαμεν δ' ἂν καταφρονοῦντα ἐκείνων, καὶ τῶν πατρικῶν πολὺν ποιούμενον λόγον. ἀπονοίας γάρ ἐστι, τὸ τῶν ὁμοδούλων ἑαυτὸν νομίζειν εἶναι βελτίω· τὸ μέντοι τὴν οὖσαν περὶ τῶν πραγμάτων φέρειν ψῆφον, οὐκ ἀλαζονείας, ἀλλὰ φιλοσοφίας ἐστί.

Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐχ ἑαυτὸν ἐπαίρων, ἀλλ' ἑτέρους ταπεινῶν, καὶ ἐξανισταμένους καταστέλλων καὶ πείθων μετριάζειν, ἔλεγεν· ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, D ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. ὁρᾷς πῶς κἀκείνους ἐθεράπευσεν; ὁ γὰρ ἀκούσας, ὅτι πάντων ὁμοίως καταφρονεῖ, καὶ ὑπ' οὐδενὸς ἀξιοῖ κρίνεσθαι, οὐκέτι λοιπὸν ἀλγήσει, ὡς μόνος αὐτὸς ἐκβεβλημένος. εἰ γὰρ εἶπεν, ὑφ' ὑμῶν μόνον, καὶ ἐσίγησεν, ἱκανὸν αὐτοὺς τοῦτο δακεῖν ὡς καταφρονηθέντας· νυνὶ δὲ τῷ ἐπαγαγεῖν, οὐδὲ ἀνθρωπίνης ἡμέρας, παραμυθίαν ἐκόμισε τῇ πληγῇ, κοινωνοὺς αὐτοῖς δοὺς τῆς καταφρονήσεως. ἀλλὰ καὶ αὐτὸς τοῦτο θεραπεύει πάλιν εἰπὼν, ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. ὅρα πῶς οὐκ ἔστιν ἀπονοίας τὸ εἰρημένον. οὐδὲ γὰρ ἑαυτὸν ἀρκεῖν φησι E πρὸς τὴν τοιαύτην ἀκρίβειαν. εἶτα, ἐπειδὴ καὶ τοῦτο σφόδρα ἐπαιρομένου ἐδόκει εἶναι τὸ ῥῆμα, καὶ αὐτὸ διωρθώσατο εἰπὼν, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τί οὖν, οὐ χρὴ δικάζειν ἑαυτοῖς, καὶ τοῖς ἁμαρτήμασι; καὶ σφόδρα μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ὅταν ἁμαρτάνωμεν. ἀλλὰ Παῦλος τοῦτο οὐκ εἶπεν. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, φησί. ποῖον οὖν ἔμελλε κρίνειν ἁμάρτημα, μηδὲν ἑαυτῷ συνειδώς; ὁ δὲ οὔ φησι δεδικαιῶσθαι. οἱ οὖν μυρίων τραυμάτων τὸ συνειδὸς ἐμπεπλησμένον ἔχοντες, καὶ

καὶ μηδὲν συνειδότες ἑαυτοῖς ἀγαθὸν, ἀλλὰ πᾶν τοὐναντίον, τί ἂν εἴποιμεν; Καὶ τί δήποτε, εἰ μηδὲν ἑαυτῷ σύνοιδεν, οὐ δεδικαίωται; ὅτι συνέβαινεν ἡμαρτῆσθαι μὲν αὐτῷ τινα ἁμαρτήματα, μὴ μὴν αὐτὸν εἰδέναι ταῦτα ἁμαρτήματα. ἐντεῦθεν λογίζου πόση τῆς μελλούσης κρίσεως ἡ ἀκρίβεια. οὐ τοίνυν ὡς ἄληπτον ἑαυτὸν νομίζων, οὕτως ἀνάξιον ἑαυτὸν εἶναι τὸ κρίνεσθαι παρ' ἐκείνων φησὶν, ἀλλ' ἐπιστομίζων τοὺς ἀλόγως ταῦτα ποιοῦντας. ἑτέρωθι γοῦν οὐδὲ φανερῶν ὄντων τῶν ἁμαρτημάτων, ἐπιτρέπει κρίνειν ἑτέροις, ἐπειδὴ ὁ καιρὸς τοῦτο ἀπῄτει. τί γὰρ κρίνεις τὸν ἀδελφόν σου, φησίν; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; οὐ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε, κρίνειν ἑτέρους, ἀλλὰ τὰ σαυτοῦ δοκιμάζειν. τί τοίνυν τοῦ δεσπότου τὴν τάξιν ἁρπάζεις; ἐκείνου τὸ κρίνειν ἐστὶν, οὐχὶ σόν. διὸ καὶ ἐπήγαγεν. ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. τί οὖν, οὐ χρὴ τοὺς διδασκάλους τοῦτο ποιεῖν; χρὴ μὲν ἐπὶ τῶν φανερῶν ἁμαρτημάτων καὶ ὡμολογημένων, καὶ τοῦτο μετὰ τοῦ προσήκοντος καιροῦ, καὶ τότε δὲ ἀλγοῦντας καὶ δακρυμένους· οὐχ ὡς οὗτοι τότε ἐποίουν, ἀπὸ κενοδοξίας καὶ ἀπονοίας. καὶ γὰρ καὶ ἐνταῦθα οὐ περὶ τῶν ὡμολογημένων ἁμαρτημάτων φησὶν, ἀλλὰ περὶ τοῦ τὸν δεῖνα τοῦ δεῖνος προτιθέναι, καὶ συγκρίσεις ποιεῖσθαι βίων. ταῦτα γὰρ αὐτὸς μόνος οἶδε κρίνειν μετὰ ἀκριβείας ὁ μέλλων ἡμῶν τὰ ἀπόῤῥητα κρίνειν, ποῖα μὲν μείζονος, ποῖα δὲ ἐλάττονος κολάσεώς ἐστιν ἄξια καὶ τιμῆς. ἡμεῖς δὲ κατὰ τὸ παρεστὰν ταῦτα πράττομεν. εἰ γὰρ ἐν οἷς αὐτὸς ἥμαρτον, φησιν, οὐδὲν οἶδα σαφῶς, πῶς ἄξιος ἂν εἴην ὑπὲρ ἑτέρων φέρειν ψῆφον; πῶς δὲ, ὁ τὰ ἐμαυτοῦ μετὰ ἀκριβείας μὴ ἐπιστάμενος, τὰ ἄλλων δυνήσομαι κρίνειν; εἰ δὲ Παῦλος τοῦτο ἔπασχε, πολλῷ μᾶλλον ἡμεῖς. καὶ γὰρ ταῦτα ἔλεγεν, οὐχ ἵνα δείξῃ ἑαυτὸν ἄληπτον, ἀλλ' ἵνα δείξῃ, ὅτι εἰ καὶ τοιοῦτος εἴη τις παρ' αὐτοῖς μηδὲν ἡμαρτηκὼς, οὐδ' οὕτως ἄξιος ἂν εἴη τοὺς ἑτέρων κρίνειν βίους· καὶ ὅτι εἰ οὕτως ὁ μηδὲν ἑαυτῷ συνειδὼς ὑπεύθυνος εἶναί φησι, πολλῷ μᾶλλον ἐκεῖνοι οἱ μυρία ἑαυτοῖς συνειδότες. οὕτω τοίνυν ἐπιστομίσας τοὺς τὰς τοιαύτας ποιουμένους κρίσεις, ὠδίνει λοιπὸν ἀποῤῥήξας τὸν θυμὸν ἐπὶ τὸν πεπορνευκότα ἐλθεῖν. καὶ καθάπερ χειμῶνος ἐπιόντος νέφη τινὰ ζοφώδη προτρέχει, εἶτα ἐπειδὰν ὁ τῶν βροντῶν πάταγος γένηται καὶ τὸν οὐρανὸν ἐργάσηται νέφος ἓν, τότε ἀθρόον ἐπὶ τὴν γῆν καταῤῥήγνυται ὁ ὑετός· οὕτω καὶ τότε συνέβαινε. καὶ γὰρ ἔχων μετὰ πολλῆς ἀγανακτήσεως χρήσασθαι [a] τῷ πεπορνευκότι, τοῦτο οὐ ποιεῖ· ἀλλὰ φοβεροῖς ῥήμασι καταστέλλει πρότερον τὸ φύσημα τοῦ ἀνδρός. ἐπειδὴ καὶ διπλοῦν ἁμάρτημα ἦν τὸ συμβὰν, πορνεία, καὶ πορνείας χεῖρον, τὸ μὴ πενθεῖν ὑπὲρ τοῦ πλημμεληθέντος.

A & nullius boni nobis conscii sumus, sed totum contrarium, quid dixerimus? Et quomodo ille nullius sibi conscius mali, non justificatus erat? Quia contingebat illum aliqua admittere peccata, quæ ipse nesciret esse peccata. Hinc cogita quam erit accuratum futurum judicium. Non ergo quod omni reprehensione vacuum se putaret, se indignum esse dicit, qui ab illis judicetur, sed reprimit eos qui inconsiderate hoc facerent. Alibi enim, etiamsi peccata non manifesta essent, aliis judicium ferre permisit, quoniam B hoc postulabat tempus. Quid enim, ait, judicas fratrem tuum? & tu cur fratrem tuum nihili facis? Non enim hoc tibi mandatum est, o homo, ut alios judices; sed ut tua examines. Cur ergo Domini partes arripis? Illius est judicare, non tuum. Quare subjungit: 5. *Itaque nolite ante tempus judicare, quoadusque veniat Dominus, qui & illuminabit abscondita tenebrarum, & manifestabit consilia cordium: & tunc laus erit unicuique a Deo.* Quid ergo? Non oportet doctores hoc facere? Oportet quidem in peccatis manifestis, quæ in confesso sunt, idque congruenti C tempore, cum tunc doleant & mordeantur. Non ut tunc illi faciebant, ex inani gloria & arrogantia. Hic enim non de peccatis illis loquitur, quæ in confesso erant; sed quod illum alteri præferrent, & vitam illorum compararent. De his enim ille solus accurate judicare novit, qui occulta nostra judicaturus est; quænam scilicet majori, quænam minori vel supplicio vel honore digna sint. Nos vero secundum id quod apparet hæc facimus. Si enim, inquit, in quibus ipse peccavi, nihil clare novi, quomodo dignus D fuerim qui de aliis feram sententiam? Quomodo qui mea non accurate novi, aliena potero judicare? Si vero Paulus hoc fecit, multo magis nos. Hæc enim dicebat, non ut se nulli reprehensioni obnoxium ostenderet; sed ut declararet, etiamsi quis apud illos esset qui non peccavisset, non dignum tamen esse qui de aliorum vita judicet; & quod si is qui nullius mali sibi conscius est, se obnoxium esse dicit, multo magis illi erunt, qui mille peccatorum sibi conscii sunt. Cum sic ergo os obstruxisset eorum qui hæc E judicia ferrent, demum parturientis more gestit irrumpere in fornicatorem; & sicut ingruente tempestate, præcurrunt nubes quædam atræ: deinde post tonitruum fragorem, & postquam cælum una nubes factum est, tunc in terram confertim erumpit pluvia; eodem modo tunc accidit. Nam cum posset cum indignatione multa agere in fornicatorem; non ita agit. Sed præmissis terribilibus verbis, ejus tumorem reprimit. Quandoquidem duplex aderat peccatum; fornicatio nempe, & fornicatione pejus aliud, quod scilicet tanti peccati non pœniteret ipsum.

De aliis non judicandum est.

[a] Ita regius codex. In editis legitur, τῷ πεπορνευκότι, φοβεροῖς, omissis interpositis.

Non enim ita peccatorem luget, ut peccatorem non pœnitentem. 2. Cor. 12. 21. Lugebo enim multos, inquit, non eorum tantum qui prius peccarunt, sed eorum qui pœnitentiam non egerunt, de impudicitia & de immunditia quam admiserunt. Nam qui post peccatum pœnitentia utitur, non dignus est qui lugeatur, sed qui beatus prædicetur, utpote qui in justorum chorum translatus sit. Isai. 43. 26. *Dic enim tu prius*, inquit, *iniquitates tuas, ut justificeris.* Si autem postquam peccavit impudenter agat, non ita commiseratione dignus est quod ceciderit, quam quod lapsus jaceat.

3. Quod si post peccatum non pœnitere grave est, de admissis peccatis intumescere quantum meretur supplicium? Nam si is qui de recte factis extollitur, immundus est, qui de peccatis inflatur quam consequetur veniam? Quia ergo talis erat fornicator, & animam per peccatum ita petulantem & pervicacem reddiderat, necessario ejus fastum primo dejicit. Neque hoc crimen primo ponit, ut ne ille exuat pudorem, eo quod ante alios accusetur; neque postremum illum ponit, ut ne putet ille rem suam ut levioris momenti quasi aliud agendo tractari. Sed cum prius ipsi multum incussisset timorem ex dicendi libertate qua contra alios usus est, tunc illum aggreditur, postquam ejus arrogantiam per aliorum correctionem prius exagitaverat. Hæc enim ipsa verba: *Nihil mihi conscius sum; sed non in hoc justificatus sum;* &, *qui judicat me, Dominus est, qui & illuminabit abscondita tenebrarum, & manifestabit consilia cordium*, non leviter & eum & eos qui ipsi applaudebant, sanctosque despiciebant, perstringit. Quid enim, inquit, si quidam extrinsecus virtute præditi & admirandi apparent? non de exterioribus tantum fert judicium ille judex, sed etiam arcana in medium adducit. Duabus ergo, vel potius tribus de causis judicium nostrum accuratum non est; primo quia etiamsi nullius peccati nobis conscii simus, opus tamen habemus eo, qui peccata nostra accurate arguat; secundo quia ex iis quæ fiunt pleraque nos latent; tertio demum, quia multa aliorum gesta nobis quidem bona videntur; sed non ex recta sententia procedunt. Quid ergo dicitis, ille aut ille nihil peccavit; & hic illo melior est? Hoc enim non licet pronunciare, neque de illo, qui nullius sibi conscius est. Nam qui arcana judicat, ille est qui accurate judicat. Ecce igitur, ego nihil mihi conscius sum; sed neque ita justificatus sum; hoc est, non sum a reddenda ratione & a crimine liberatus. Non enim hoc dicit; Non in numero & ordine justorum sum; sed, non sum mundus a peccato. Nam alibi ait: *Qui autem mortuus est, justificatus est a peccato;*

A οὐ γὰρ οὕτω τὸν ἡμαρτηκότα πενθεῖ, ὡς τὸν ἡμαρτηκότα καὶ μὴ μετανοοῦντα. πενθήσω γὰρ πολλούς, φησιν, οὐχὶ τῶν προημαρτηκότων ἁπλῶς, ἀλλὰ τῶν μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. ὁ γὰρ μετὰ τὸ ἁμαρτεῖν μετανοίᾳ κεχρημένος, οὐ πένθους, ἀλλὰ μακαρισμῶν ἐστιν ἄξιος, εἰς τὸν τῶν δικαίων χορὸν μεταστάς. λέγε γάρ σὺ [a] τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. εἰ δὲ μετὰ τὸ ἁμαρτεῖν ἀναισχυντεῖ, οὐχ οὕτως ἐπὶ τῷ πεσεῖν ἐστιν ἐλεεινός, ὡς ἐπὶ τῷ κεῖσθαι πεσών.

B

Εἰ δὲ τὸ μὴ μετανοεῖν ἐπὶ ἁμαρτήμασι, χαλεπόν, τὸ δὲ περιφυσιοῦσθαι ἐπὶ τοῖς ἁμαρτήμασι, ποίας κολάσεώς ἐστιν ἄξιον; εἰ γὰρ ὁ ἐπὶ τοῖς κατορθώμασιν ἐπαιρόμενος, ἀκάθαρτός ἐστιν, ὁ ἐπὶ ἁμαρτήμασι τοῦτο πάσχων, ποίας τεύξεται συγγνώμης; ἐπεὶ οὖν τοιοῦτος ἦν ὁ πεπορνευκώς, καὶ τὴν ψυχὴν οὕτως ἰταμὴν καὶ δυσένδοτον εἰργάζετο διὰ τῆς ἁμαρτίας, ἀναγκαίως αὐτοῦ προκαταβάλλει τὸν τῦφον. καὶ οὔτε πρῶτον τίθησι τὸ ἔγκλημα, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτόν, ὡς πρὸ τῶν ἄλλων ἐγκαλούμενον· οὔτε δὲ C ὕστερον, ὥστε αὐτὸν μὴ νομίσαι πάρεργον εἶναι τὸ κατ' αὐτόν. ἀλλὰ πρότερον πολὺν αὐτῷ φόβον ἐνθεὶς ἐκ τῆς πρὸς ἑτέρους παρρησίας, τότε ἐπ' αὐτὸν χωρεῖ, ἐν τῇ πρὸς ἑτέρους ἐπιτιμήσει προκαταστείλας αὐτοῦ τὴν ἀπόνοιαν. αὐτὰ γὰρ ταῦτα τὰ ῥήματα τό, οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· καὶ τό, ὁ κρίνων με, κύριός ἐστιν, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, οὐχ ὡς ἔτυχε κἀκείνου, καὶ τῶν [b] ἐκείνῳ μὲν συγκροτούντων, τοὺς δὲ ἁγίους ἐξουθενούντων, καθάπτεται. τί γάρ, φησιν, εἰ ἔξωθεν ἐνάρετοι φαίνονταί τινες καὶ D θαυμαστοί; οὐ τῶν ἔξωθεν κριτής ἐστι μόνον ἐκεῖνος ὁ δικαστής, ἀλλὰ καὶ τὰ ἀπόρρητα εἰς μέσον ἄγει. δύο τοίνυν ἕνεκεν, μᾶλλον δὲ καὶ τριῶν, οὐκ ἔστιν ἡμῶν ἡ κρίσις ἀκριβής· ἑνὸς μέν, ὅτι κἂν μηδὲν ὦμεν ἑαυτοῖς συνειδότες, ὅμως δεόμεθα τοῦ τὰ ἁμαρτήματα ἡμῶν ἐλέγχοντος μετὰ ἀκριβείας· ἑτέρου δέ, ὅτι τὰ πλείονα τῶν γινομένων ἡμᾶς λανθάνει καὶ κρύπτεται· καὶ τρίτου πρὸς τούτοις, ὅτι πολλὰ τῶν γινομένων παρ' ἑτέρων δοκεῖ μὲν ἡμῖν καλά, οὐκ ἀπὸ ὀρθῆς δὲ γίνεται γνώμης. τί τοίνυν φατέ, ὅτι οὐδὲν ἡμάρτηται τῷ δεῖνι, καὶ ὁ δεῖνι; καὶ ὁ δεῖνα τοῦ δεῖνος βελτίων; τοῦτο γὰρ οὐκ ἔστιν ἀποφήνα- E σθαι, οὐδὲ περὶ τοῦ μηδὲν ἑαυτῷ συνειδότος. ὁ γὰρ τὰ ἀπόρρητα κρίνων ἐκεῖνός ἐστιν ὁ μετὰ ἀκριβείας δικάζων. ἰδοὺ γοῦν, οὐδὲ ἐγώ τι ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐδὲ οὕτω δεδικαίωμαι, τουτέστιν, οὐκ ἀπήλλαγμαι τῶν εὐθυνῶν, οὐδὲ τῶν ἐγκλημάτων. οὐ γὰρ τοῦτό φησιν, [c] ὅτι οὐκ ἐν τοῖς δικαίοις τέταγμαι, ἀλλ' ὅτι οὐκ εἰμὶ καθαρὸς ἀπὸ ἁμαρτίας. καὶ γὰρ ἀλλαχοῦ φησιν· ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας,

a τὰς ἀνομίας. Reg. τὰς ἁμαρτίας.
b Editi, ἐκείνῳ. Reg. ἐκείνων.
c Reg. ὅτι ἐν τοῖς.

A τουτέστιν, ἀπήλλακται. πολλὰ δὲ καὶ πράττομεν ἀγαθὰ μὲν, οὐκ ἀπὸ [a] ὀρθῆς δὲ γνώμης. καὶ γὰρ ἐπαινοῦμεν πολλοὺς, οὐκ ἐκείνους ποιῆσαι λαμπροὺς βουλόμενοι, ἀλλ' ἑτέρους δι' ἐκείνων δάκνειν. καὶ τὸ μὲν γινόμενον, καλὸν, ἐπαινεῖται γὰρ ὁ κατορθῶν, ἡ δὲ διάνοια διεφθαρμένη· ἀπὸ σατανικῆς γὰρ τῆς γνώμης. οὐ γὰρ τῷ ἀδελφῷ συγχαίρων, ἀλλὰ τὸν ἕτερον βαλεῖν ἐπιθυμῶν, τοῦτο πολλάκις πεποίηκέ τις. πάλιν, ἥμαρτέ τις ἁμαρτίαν μεγάλην· ἕτερός τις αὐτὸν ὑποσκελίσαι βουλόμενος, οὐδέν φησιν εἰργάσθαι, καὶ παραμυθεῖται δῆθεν αὐτὸν ἁμαρτάνοντα ἐπὶ τὸ B κοινὸν τῆς φύσεως καταφεύγων. ἀλλ' οὐ συγγνῶναι πολλάκις, ἀλλὰ ῥαθυμότερον ἐργάσασθαι βουλόμενος, τοῦτο ποιεῖ. πάλιν ἐπιπλήττει πολλάκις, οὐχ ὥστε ἐλέγξαι καὶ νουθετῆσαι, ἀλλ' ὥστε ἐκπομπεῦσαι καὶ ἐκτραγῳδῆσαι τοῦ πλησίον τὴν ἁμαρτίαν. ταύτας δὲ τὰς βουλὰς αὐτὰς ἄνθρωποι μὲν οὐκ ἴσασιν, ὁ δὲ τὰς καρδίας ἐρευνῶν, ἀκριβῶς ἐπίσταται. καὶ εἰς μέσον ἄξει πάντα τότε ἐκεῖνα. διὸ καὶ ἔλεγεν· ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. ὅταν οὖν καὶ ἐν τῷ μηδὲν ἑαυτοῖς συνειδέναι μὴ δυνώμεθα ἐγκλημάτων εἶναι καθαροὶ, καὶ ἐν οἷς ἀγαθόν τι πράτ- C τομεν, οὐκ ἀπὸ ὀρθῆς δὲ γνώμης πράττομεν, τιμωρίας ὦμεν ὑπεύθυνοι, ἐννόησον πόση παρὰ ἀνθρώποις ἀπάτη περὶ τὰς κρίσεις. πάντα γὰρ ταῦτα ἀνθρώποις μὲν οὐκ ἔστιν ἐφικτὰ, τῷ δὲ ἀκοιμήτῳ μόνῳ ὀφθαλμῷ. κἂν ἀνθρώπους ἀπατήσωμεν, ἐκεῖνον οὐδέποτε παραλογισόμεθα. μὴ τοίνυν λέγε, σκότος κύκλῳ μου καὶ τοῖχοι· τίς με ὁρᾷ; ὁ γὰρ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, αὐτὸς πάντα ἐπίσταται· ὅτι σκότος οὐ σκοτισθήσεται παρ' αὐτοῦ. καλῶς δέ φησιν ὁ ἁμαρτάνων, ὅτι σκότος κύκλῳ μου καὶ τοῖχοι. εἰ μὴ γὰρ [b] σκότος ἦν ἐν τῇ διανοίᾳ, οὐκ ἂν τὸν φόβον τοῦ θεοῦ D ἐκβαλὼν, μετὰ ἀδείας ἔπραττεν. ἂν γὰρ μὴ πρότερον σκοτισθῇ τὸ ἡγεμονικὸν, ἐπεισελθεῖν ἡ ἁμαρτία μετὰ ἀδείας οὐ δύναται. μὴ τοίνυν λέγε, τίς με ὁρᾷ; ἔστι γὰρ ὁ διϊκνούμενος μέχρι ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν. ἀλλὰ σὺ σαυτὸν οὐχ ὁρᾷς, οὐδὲ διατέμνειν δύνασαι τὸ νέφος· ἀλλ' ὥσπερ τεῖχος πάντοθεν ἔχων περικείμενον, οὕτως ἀναβλέψαι πρὸς τὸν οὐρανὸν οὐκ ἰσχύεις.

Ποίαν γὰρ βούλει πρότερον ἁμαρτίαν ἐξετάσωμεν, καὶ ὄψει οὕτω γινομένην αὐτήν. καθάπερ γὰρ λῃσταὶ καὶ E τοιχωρύχοι, ἐπειδάν τι τῶν τιμίων λαβεῖν θελήσωσι, τὸν λύχνον κατασβέσαντες τοῦτο πράττουσιν· οὕτω καὶ ἐπὶ τῶν ἁμαρτανόντων ὁ διεφθαρμένος ποιεῖ λογισμός. καὶ γὰρ καὶ ἐν ἡμῖν ἐστι φῶς τὸ λογικὸν διόλου καιόμενον. ἂν δὲ τὸ πνεῦμα τῆς πορνείας σφοδρῶς ἐπελθὸν μετὰ πολλῆς τῆς ῥύμης κατασβέσῃ τὴν φλόγα ἐκείνην, ἐσκότισεν εὐθέως τὴν ψυχὴν καὶ κατηγωνίσατο, καὶ πάντα ἐσύλησεν εὐθέως τὰ ἐναποκείμενα. ὅταν γὰρ ὑπὸ ἀσελγοῦς ἐπιθυμίας ἁλῷ ἡ ψυχὴ, καθάπερ νέφος καὶ ἀχλὺς τοὺς τοῦ σώματος ὀφθαλμοὺς, οὕτω τὸ τῆς διανοίας προορατικὸν προκαταλαβοῦσα

[a] Morel male, ὀρθῆς καὶ γνώμης.

[b] Morel. σκότος ἦν τῇ διανοίᾳ.

A id est, liberatus est. Multa vero facimus, quæ bona quidem sunt, sed non ex recta sententia procedunt. Nam multos laudamus, non ut illos splendidos reddamus, sed ut per illos, alios quospiam mordeamus. Et res quidem ipsa per se bona est; laudatur enim is qui recte fecit; sed mens laudantis corrupta est: ex satanica enim sententia procedit. Non enim fratri gratulans, sed alium ferire cupiens hoc sæpe quis fecit. Rursus quispiam grande admisit peccatum; alius vero ipsum supplantare volens, nihil fe- B cisse dicit, & consolatur eum peccantem, ad communem naturæ usum confugiens; verum non hoc facit quod ignoscere velit, sed ut segniorem illum reddat. Rursum sæpe corripit, non ut arguat & moneat, sed ut proximi peccatum publice efferat & traducat. Consilia autem homines non norunt, qui corda vero scrutatur accurate scit: & illa omnia tunc in medium adducet. Ideoque dicebat: *Qui & illuminabit abscondita tenebrarum, & manifestabit consilia cordium.* Cum ergo, quando etiam nihil nobis conscii sumus, C crimine puri esse non possimus, & cum aliquid boni agimus, nec ex recta animi sententia, agimus, supplicio obnoxii simus, cogita quam fallantur homines in judiciis. Hæc quippe omnia non possunt homines assequi, sed ille tantum nunquam dormiens oculus. Etiamsi homines fallamus, illum nunquam decipiemus. Ne itaque dicas, tenebræ & parietes in circuitu sunt, quis me videt? Nam qui finxit sigillatim corda nostra, ipse omnia novit: nam tenebræ apud eum non obscurabuntur. Recte autem dicit is qui peccat, tenebræ & parietes in circuitu D meo sunt. Nisi enim in mente ejus tenebræ essent, non sic, ejecto Dei timore, cum libertate id fecisset. Nam nisi prius dux animus obtenebratus fuerit, peccatum cum fiducia ingredi non potest. Ne ergo dicas: Quis me videt? Est enim qui penetrat usque ad animam & spiritum, compagesque & medullas. Sed tu teipsum non vides, nec potes nubem dissecare; verum & si murum undique circumpositum haberes, non potes ad cælum respicere.

*Homines quam fallantur in judiciis.*

4. Quod enim peccatum vis prius examinemus, & sic factum admissumque E fuisse videbis. Quemadmodum enim latrones & murorum effossores, cum quid preciosum auferre volunt, exstincta lucerna hoc perperrant; sic in peccatis facit corrupta ratio. Etenim in nobis quoque lux est rationabilis semper ardens. Si autem spiritus fornicationis cum impetu magno irruens flammam illam exstinxerit, statim animam obtenebrat, expugnat & omnia quæ adsunt statim diripit. Cum enim anima a lasciva concupiscentia capitur, ut nubes & caligo corporis oculos, ita mentis prospiciendi faculta-

*Fornicationis spiritus excæcat.*

tem occupans, nihil sinit videre ulterius, non præcipitium, non gehennam, non timorem, sed ab illis insidiis tyrannice occupata demum, peccato facilis expugnatu evadit: & sicut paries sine fenestris ante oculos excitatus, non sinit radium justitiæ menti lucere, absurdis libidinis cogitationibus ipsam undique cingentibus: & tunc occurrit illi meretrix ante oculos, ante mentem, ante cogitationes stans & apparens; ac quemadmodum cæci in ipso meridie sub cæli medio stantes, lucem non excipiunt, clausis sibi oculis; sic & illi etsi innumera undique ipsis insonent salutaria dogmata, anima hoc morbo correpta, illis omnibus verbis aures obstruunt. Idque probe sciunt ii, qui rem experti sunt. Verum absit ut vos id experientia didiceritis. Neque hoc solum peccatum id facit, sed etiam quivis alius amor pravus. Transferamus enim, si placet, sermonem a meretrice ad pecunias, & hic quoque videbimus densas tenebras. Illic enim quod una tantum sit amasia, in uno inclusa loco, non ita vehemens est morbus. In pecuniis autem quæ ubique apparent in argentariis officinis, in diversoriis, in aurificinis, in divitum ædibus vehemens spirat amor. Quando enim pueros superbe agentes in foro, equos auro onustos, homines magnificis & sumtuosis vestibus ornatos, concupiscentia motus videt is qui hoc morbo detinetur, multis tenebris circumfunditur. Ecquid opus est dicere domos & argentarias officinas? Puto enim illos si vel in pictura vel in imagine divitias illas viderint, discerpi, efferari, & in rabiem verti: adeo ut undique tenebris offundantur. Nam si regiam imaginem conspiciant, non mirantur lapillorum pulcritudinem, non aurum, non vestem purpuream; sed liquefiunt: & sicut infelix ille amator, si amasiæ imaginem viderit, inanimatæ rei hæret affixus; ita & hic inanimatam videns divitiarum imaginem, hoc ipsum magis patitur, utpote magis tyrannico detentus morbo: & oportet demum vel domi manere, vel in forum venientem, mille plagis acceptis domum repetere: multa enim illius oculos dolore afficiunt. Ac quemadmodum ille nihil aliud videt quam mulierem, ita & iste pauperes quidem & alia omnia præterit, ut ne consolationem quidem accipiat: in opulentos autem oculos dirigit, ex aspectu illo multum in animam suam inducens ignem. Ignis quippe est, qui vehementer consumit illum qui in ipsum incidit: atque etiamsi nec gehennæ, nec supplicii minæ intentatæ fuissent, hæ res præsentes essent supplicium, assidue nempe torqueri, neque morbi finem invenire. Et hæc satis essent ut ab hujusmodi ægritudine avocarent. Sed nihil pejus amentia,

Pecuniarum amor quanta mala pariat.

A ἐκείνη, οὐδένα ἀφίησιν ἰδεῖν περαιτέρω, οὐ κρημνὸν, οὐ γέενναν, οὐ φόβον, ἀλλ' ὑπὸ τῆς ἐπιβουλῆς ἐκείνης τυραννηθεῖσα λοιπὸν, εὐκαταγώνιστος ὑπὸ τῆς ἁμαρτίας γίνεται, καὶ, καθάπερ τοῖχος ἀθυρίδωτος πρὸ τῶν ὀφθαλμῶν ἐγερθεὶς, οὐκ ἀφίησι τὴν ἀκτῖνα τῆς δικαιοσύνης ἐλλάμψαι τῇ διανοίᾳ, τῶν λογισμῶν τῶν ἀτόπων τῆς ἐπιθυμίας πάντοθεν αὐτὴν [a] ἐπιτειχιζόντων· καὶ ἀπαντᾷ αὐτῷ τότε λοιπὸν ἡ πορνευομένη γυνὴ, πρὸ τῶν ὀφθαλμῶν, πρὸ τῆς διανοίας, πρὸ τῶν λογισμῶν ἑστῶσα καὶ φαινομένη. καὶ ὥσπερ οἱ πεπηρωμένοι, κἂν ἐν αὐτῇ σταθηρᾷ μεσημβρίᾳ [b] ὑπ' αὐτὸν τοῦ οὐρανοῦ τὸ μέσον ἑστηκότες ὦσιν, B οὐ παραδέχονται τὸ φῶς, ἐγκεκλεισμένων αὐτοῖς τῶν ὀμμάτων· οὕτω δὴ καὶ οὗτοι, κἂν μυρία πάντοθεν αὐτοῖς ἐνηχῇ σωτήρια δόγματα, τῷ πάθει τούτῳ προκατειλημμένοι τὴν ψυχὴν, πᾶσι τοῖς τοιούτοις λόγοις ἀποφράττουσι τὴν ἀκοήν. καὶ ἴσασιν οἱ τὴν πεῖραν εἰληφότες καλῶς. ἀλλ' ὑμᾶς μὴ γένοιτο ἀπὸ τῆς πείρας αὐτῆς εἰδέναι. οὐχ αὕτη δὲ μόνον ἡ ἁμαρτία ταῦτα ποιεῖ, ἀλλὰ καὶ πᾶς ἔρως ἄτοπος. μεταθῶμεν γὰρ, εἰ δοκεῖ, τὸν λόγον ἀπὸ τῆς πορνευομένης γυναικὸς ἐπὶ τὰ χρήματα, καὶ θεασόμεθα καὶ ἐνταῦθα πυκνὸν σκότος καὶ συνεχές. ἐκεῖ μὲν γὰρ, ἅτε μιᾶς οὔσης τῆς ἐρωμένης καὶ εἰς C ἕνα τόπον ἀποκεκλεισμένης, οὐχ οὕτω σφοδρὸν τὸ πάθος· ἐπὶ δὲ τῶν χρημάτων ἁπανταχοῦ φαινομένων ἐν ἀργυροκοπείοις, ἐν πανδοχείοις, ἐν χρυσοχοείοις, ἐν ταῖς τῶν πλουτούντων οἰκίαις, σφοδρῶς ὁ ἔρως πνεῖ. ὅταν γὰρ παῖδας σοβοῦντας ἐπὶ τῆς ἀγορᾶς, ἵππους χρυσοφοροῦντας, ἀνθρώπους καλλωπιζομένους πολυτελέσιν ἐσθήμασιν ἴδῃ [c] μετ' ἐπιθυμίας ὁ νοσῶν, πολὺς ὁ σκότος καταχεῖται. καὶ τί δεῖ λέγειν οἰκίας, καὶ ἀργυροκοπεῖα; ἐγὼ γὰρ οἶμαι τοὺς τοιούτους, κἂν ἐπὶ τῆς γραφῆς ἴδωσι καὶ τῆς εἰκόνος τὸν πλοῦτον, σπαράττεσθαι καὶ ἀγριαίνειν καὶ λυττᾷν· ὥστε πάντοθεν αὐτοῖς τὸ σκότος συνάγεται. κἂν D γὰρ εἰς εἰκόνα βλέψωσι βασιλικὴν, οὐ θαυμάζουσι τῶν λίθων τὸ κάλλος, οὐδὲ τὸν χρυσὸν, οὐδὲ τὸ ἁλουργὲς ἱμάτιον, ἀλλὰ τήκονται· καὶ καθάπερ ὁ δύσερως ἐκεῖνος, κἂν εἰκόνα θεάσηται τῆς ἐρωμένης γυναικὸς, προσήλωται τῷ ἀψύχῳ, οὕτω καὶ οὗτος ἄψυχον ὁρῶν εἰκόνα τοῦ πλούτου, τὸ αὐτὸ πάσχει μειζόνως, ἅτε τυραννικωτέρῳ κατεχόμενος πάθει· καὶ χρὴ λοιπὸν ἢ μένειν ἐπὶ τῆς οἰκίας, ἢ ἐμβαλόντα ἐπὶ τῆς ἀγορᾶς, μυρίας λαβόντα πληγὰς ἀναχωρεῖν οἴκαδε. πολλὰ γὰρ τὰ λυποῦντα αὐτοῦ τοὺς ὀφθαλμούς. καὶ καθάπερ ἐκεῖνος οὐδὲν ἕτερον ἢ τὴν γυναῖκα ὁρᾷ, E οὕτω καὶ οὗτος πένητας μὲν καὶ τὰ ἄλλα πάντα παρατρέχει, ἵνα μηδὲ παραμυθίαν λάβῃ· πρὸς δὲ τοὺς εὐπόρους ἐνατενίζει τοὺς ὀφθαλμοὺς, πολὺ καὶ σφοδρὸν ἀπὸ τῆς ἐκείνων ὄψεως εἰς τὴν ἑαυτοῦ ψυχὴν εἰσάγων τὸ πῦρ. πῦρ γάρ ἐστι χαλεπῶς κατεσθίον τὸν ἐμπεσόντα, καὶ εἰ μὴ γέεννα ἠπείλητο, μηδὲ κόλασις, αὐτὰ τὰ παρόντα κόλασις ἦν, τὸ διηνεκῶς βασανίζεσθαι καὶ μηδέποτε πέρας εὑρίσκειν τοῦ νοσήματος. καὶ ἤρκει καὶ ταῦτα μόνα πεῖσαι φυγεῖν τὴν ἀρρωστίαν· ἀλλ' οὐδὲν ἀνοίας χεῖρον,

a Reg. ἐπιταχιζόντων.
b Reg. ὑπ' αὐτὸ τοῦ.

c μετ' ἐπιθυμίας, deest in Morel.

ἢ ἐν τοῖς ἀθυμίαν φέρουσι πράγμασι καὶ κέρδος οὐδὲν προσπλάσθαι παρασκευάζει. διὸ παρακαλῶ ἀρχόμενον ἐκκόπτειν τὸ πάθος. καθάπερ γὰρ πυρετὸς παρὰ μὲν τὴν ἀρχὴν προσβαλὼν οὐ σφόδρα φλέγει τῇ δίψῃ τοὺς κάμνοντας, ἐπειδὰν δὲ, καὶ τὴν φλόγα ἐπάρας ἀνίατα δίψαν παρασκευάζει λοιπόν· κἂν παράσχῃ τις αὐτοῖς ἐμφορηθῆναι τοῦ πόματος, οὐ σβέννυσιν, ἀλλ' ἐκκαίει τὴν κάμινον· οὕτω καὶ ἐπὶ τούτου συμβαίνει τοῦ πάθους. ἂν παρὰ τὴν ἀρχὴν εἰσελθόντα εἰς τὴν ψυχὴν τὴν ἡμετέραν μὴ κωλύσωμεν μηδὲ ἀποκλείσωμεν τὰς θύρας, εἰσελθὸν λοιπὸν ἀνίατον ἐργάζεται τοῖς δεξαμένοις τὸ νόσημα. καὶ γὰρ καὶ τὰ καλὰ, καὶ τὰ κακὰ ὅταν ἐπὶ πλεῖον ἡμῖν ἐνδιατρίψῃ, δυνατώτερα γίνεται.

Καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. καὶ γὰρ φυτὸν ἄρτι μὲν ἐντεθὲν ἐπὶ τῆς γῆς, εὐκόλως ἀνασπᾶται· χρόνῳ δὲ πολλῷ ῥιζωθὲν, οὐκέτι, ἀλλὰ πολλῆς δεῖται τῆς μοχλείας· καὶ οἰκοδομὴ νεοπαγὴς μὲν οὖσα, περιτρέπεται εὐκόλως ὑπὸ τῶν ἐνοχλούντων. παγεῖσα δὲ καλῶς, πολλὰ παρέχει τοῖς καθαιρεῖν ἐπιχειροῦσι τὰ πράγματα· καὶ θηρίον τόποις ἐμφιλοχωρῆσαν πολλῷ χρόνῳ δυσκόλως ἐλαύνεται. τοῖς μὲν οὖν οὐδέπω καταληφθεῖσιν ὑπὸ τοῦ πάθους παρακαλῶ μὴ ἁλῶναι. εὐκολώτερον γὰρ φυλάξασθαι μὴ ἐμπεσεῖν, ἢ ἐμπεσόντας ἀποστῆναι. τοῖς δὲ καταληφθεῖσι καὶ κατειργασμένοις, ἐὰν θελήσωσιν ἐπιδοῦναι ἑαυτοὺς ἰατρῷ τῷ λόγῳ, πολλὴν ἐπαγγέλλομαι σωτηρίας ἐλπίδα τῇ τοῦ Θεοῦ χάριτι. ἂν γὰρ τοὺς παθόντας καὶ περιπεσόντας τῷ νοσήματι, καὶ ἀνενεγκόντας ἐννοήσωσι, χρηστὰς ἕξουσιν ἐλπίδας ὑπὲρ τῆς τοῦ νοσήματος ἀπαλλαγῆς. τίς οὖν περιέπεσε τῷ νοσήματι τούτῳ, καὶ ἀπηλλάγη ῥᾳδίως; ὁ Ζακχαῖος ἐκεῖνος. τί γὰρ τελώνου μᾶλλον φιλοχρημάτου γένοιτ' ἄν; ἀλλ' ἀθρόον ἐγένετο φιλόσοφος, καὶ πᾶσαν ἔσβεσε τὴν πυράν. ὁ Ματθαῖος ὁμοίως. καὶ γὰρ καὶ οὗτος τελώνης ἦν, ἐν ἁρπαγῇ διηνεκεῖ ζῶν. ἀλλὰ καὶ οὗτος ἀθρόον ἀπεδύσατο τὴν βλάβην, καὶ τὸ δίψος ἔσβεσε, καὶ πραγματείαν μετῆλθε πνευματικήν. τούτους τοίνυν καὶ τοὺς καθ' αὐτοὺς ἐννοῶν, μηδὲ σὺ ἀπογνῷς. ἂν γὰρ θέλῃς, ταχέως δυνήσῃ ἀνενεγκεῖν. καὶ εἰ βούλει, κατὰ τὸν τῶν ἰατρῶν νόμον καὶ τὰ πρακτέα σοι μετὰ ἀκριβείας ὑπαγορεύσομεν. δεῖ τοίνυν πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνο κατορθοῦν, τὸ μὴ ἀπογινώσκειν μηδὲ ἀπελπίζειν ἑαυτῶν τὴν σωτηρίαν· μετὰ τοῦτο μὴ τὰ τῶν κατορθωκότων παραδείγματα μόνον, ἀλλὰ καὶ τὰ τῶν ἐναπομεινάντων παθήματα ἐνορᾶν. ὥσπερ γὰρ ἐνενοήσαμεν τὸν Ζακχαῖον, καὶ τὸν Ματθαῖον, οὕτω δὴ καὶ τὸν Ἰούδαν λογίσασθαι χρὴ, καὶ τὸν Γιεζῆ, καὶ τὸν Ἀχὰζ, καὶ τὸν Ἀχαὰβ, καὶ τὸν Ἀνανίαν, καὶ τὴν Σάπφειραν· ἵνα δι' ἐκείνων μὲν τὴν ἀπόγνωσιν ἐκβάλωμεν, διὰ δὲ τούτων τὴν ῥᾳθυμίαν ἐκκόψωμεν. μηδὲ ὑπτία γένηται ἡ ψυχὴ πρὸς τὴν τῶν ὑπαγορευομένων παραίνεσιν· καὶ παιδεύσωμεν ἑαυτοὺς λέγειν, ἃ τότε τῷ Πέτρῳ προσελθόντες ἔλεγον οἱ Ἰουδαῖοι, τί δεῖ ποιεῖν ἵνα σωθῶμεν; καὶ ἀκουέτωσαν ἃ χρὴ ποιεῖν. τί οὖν χρὴ ποιεῖν; εἰδέναι τὴν εὐτέλειαν τῶν πραγμάτων, καὶ πῶς δραπέτης οἰκέτης καὶ ἀγνώμων ἐστὶν ὁ πλοῦτος, καὶ μυρίοις περιβάλλει κακοῖς τοὺς ἔχοντας.

A quæ id efficit ut rebus mœrorem & nihil lucri afferentibus illi hæreant. Quamobrem obsecro incipientem animi morbum exstinguatis. Sicut enim febris initio non valde siti adurit ægrotantes; cum autem creverit & flammam excitaverit, tunc sitim parit inexstinguibilem: etiamsi vero quis potum ipsis largiter præbeat, non exstinguit, sed accendit fornacem; sic etiam in hoc morbo accidit. Si initio cum animam nostram invadit, non impediamus, neque fores ipsi claudamus, ingressus demum incurabilem excipientiB bus parit ægritudinem. Etenim & bona & mala, cum diutius in nobis manserint, potentiora fiunt.

5. In omnibusque aliis idipsum videre est. Nam planta recens insita, facile evellitur; si longo tempore egerit radices, non item; sed valido opus est vecte. Et ædificium recens facile evertitur, cum vero firmitatem acceperit, difficile a conantibus decutitur: & fera quæ longo tempore alicubi mansit, ægre dispellitur. Illos igitur qui nondum a morbo illo detinentur rogo ne capiantur. Facilius quippe est cavere ne cadant, quam lapC sos exsilire. Illis vero qui jam inciderunt & a morbo illo correpti sunt; si rationi medico se dedere velint, multam salutis spem per Dei gratiam polliceor. Nam si eos qui in morbum inciderunt & postea convaluerunt cogitaverint, bonam spem habebunt fore ut a morbo liberentur. Quis ergo incidit in hunc morbum, & facile liberatus est? Zacchæus ille. Quis enim publicano pecuniæ cupidior fuerit? Sed statim philosophus effectus est, & totum exstinxit incendium. Similiter Matthæus. Nam & ille publicanus erat, in perpetua rapina vivens. Sed is quoque D repente noxam exuit, sitim exstinxit, & negotiationem adiit spiritualem. Hos ergo & his similes tecum reputans, nec tu desperes. Si velis enim, cito poteris emergere; &, si velis, secundum medicorum legem ea quæ agenda sunt tibi accurate præscribemus. Oportet ergo ante alia omnia hoc recte gerere, non animum despondere neque desperare de salute sua: Deinde non modo eorum qui recte fecerunt exempla; sed etiam eorum qui perseverarunt ærumnas inspicere. Sicut enim Zacchæum & Matthæum cogitavimus, ita & Judam animo reputare oporE tet, necnon Giezi, Achaz, Achab, Ananiam & Sapphiram; ut per illos desperationem ejiciamus, per hos vero socordiam exscindamus, neque supinus sit animus ad monita quæ præscribuntur: ac nos ipsos instituamus ad illa dicenda, quæ tunc ad Petrum accedentes Judæi dicebant: *Quid ergo oportet facere ut salvi simus?* & audiamus ea quæ facienda sunt. Quid ergo oportet facere? Nosse rerum vilitatem, & quod divitiæ sint servus fugitivus & ingratus, & quod possessores suos in mala injiciant innumerabilia: Act. 2. 37.

& ejusmodi verba assidue decantemus. Ac quemadmodum medici ægros frigidam postulantes consolantur, se præbituros dicentes, fontem commemorantes, & vas & tempus opportunum, pluraque hujusmodi: nam si statim negarent, in furorem & rabiem ipsos conjicerent; ita & nos cum pecunias amantibus agamus: & cum dixerint, Divites esse volumus, ne statim dicamus malas esse divitias: sed assentiamur, & dicamus nos etiam hoc velle, sed in congruenti tempore, sed divitias veras, sed eas quæ voluptatem habeant immortalem, sed eas quæ colliguntur nobis, non aliis; sæpe autem & inimicis; ac philosophiæ verba in medium afferamus ac dicamus. Non jubemus non divites esse, sed male divites esse vetamus. Licet enim divitem esse, sed sine avaritia, sine rapina & vi, ita ut apud omnes male audiat dives hujusmodi. His illos verbis prius leniamus, necdum de gehenna loquamur. Nam qui ægrotat talia verba statim non ferret. Quamobrem ex præsentibus his de rebus verba faciamus & dicamus: cur ex avaritia vis ditari, ut aliis aurum recondatur, tibi vero innumeræ imprecationes & criminationes? Et qui illis privatus est ex rerum necessariarum penuria mordeatur, ejulet, sexcentosque tibi attrahat accusatores, & adveniente vespera forum circumeat, & in angiportis omnes conveniat, dubius & anxius, ne de transigenda quidem nocte fidere audens. Quomodo enim jam dormiet, dum mordet venter, ipseque vigilat, fames obsidet, ingruit sæpe gelu & pluviæ decidunt? Et tu quidem ex balneo ablutus redis, mollibus amictus vestibus, lætus & gaudens ad lautam cœnam accurris. Ille autem per forum a frigore & fame sæpe pulsus circumit, prono capite, manus extendens; nec præ metu audet satiato & recumbenti verba proferre pro alimento necessario; sæpe vero contumelia affectus recessit. Cum ergo domum reversus es, cum in lecto recumbis, cum lux splendida ubique fulget in ædibus, cum lauta mensa parata est, tum recordare miseri & infelicis illius, qui, ut canes solent, in angiportis, in tenebris & luto circumit; etiamsi sæpe hinc abeat, non domum, non ad uxorem, sed in fœni stratum, ut & canes videmus, qui per totam noctem rabidi latrant. Et tu quidem si parvam stillam videris e tecto delapsam, totam evertis domum, famulos vocans, omnia movens. Ille vero jacens in pannis, fœno & luto, ingens tolerat frigus.

6. Quæ fera his non frangatur rebus? quis adeo sævus & inhumanus,

A καὶ τὰ τοιαῦτα αὐτοῖς συνεχῶς ἐπᾴδωμεν ῥήματα. καὶ καθάπερ ἰατροὶ τοὺς κάμνοντας ψυχρὸν αἰτοῦντας παραμυθοῦνται, παρέχειν λέγοντες, καὶ πηγὴν προφασιζόμενοι, καὶ ἄγγος, καὶ καιρὸν, καὶ πολλὰ τοιαῦτα· ἂν γὰρ ἀθρόον ἀνανεύσωσιν, ὑπὸ τῆς μανίας αὐτοὺς ἀγριοῦσθαι παρασκευάζουσι, οὕτω δὴ καὶ ἡμεῖς πρὸς τοὺς φιλοχρημάτους ποιῶμεν· καὶ ὅταν λέγωσιν, ὅτι πλουτῆσαι βουλόμεθα, μὴ λέγωμεν εὐθέως ὅτι κακὸν ὁ πλοῦτος, ἀλλὰ συνθώμεθα, καὶ εἴπωμεν ὅτι καὶ ἡμεῖς τοῦτο βουλόμεθα, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι, ἀλλὰ πλοῦτον ἀληB θῆ, ἀλλὰ τὸν ἡδονὴν ἔχοντα ἀθάνατον, ἀλλὰ τὸν συλλεγόμενον, ἡμῖν μὴ ἑτέροις, πολλάκις δὲ καὶ ἐχθροῖς· καὶ τοὺς περὶ φιλοσοφίας λόγους εἰς μέσον ἄγωμεν, καὶ λέγωμεν, ὅτι οὐ κελεύομεν μὴ πλουτεῖν, ἀλλὰ κακῶς μὴ πλουτεῖν. ἔξεστι γὰρ πλουτεῖν, ἀλλὰ χωρὶς πλεονεξίας, χωρὶς ἁρπαγῆς καὶ βίας καὶ τοῦ παρὰ πάντων ἀκούειν κακῶς. καὶ τούτοις αὐτοὺς προλεαίνοντες τοῖς λόγοις, μηδέπω περὶ γεέννης διαλεγώμεθα. οὐ γὰρ ἀνέχεται ὁ κάμνων [a] εὐθέως τῶν τοιούτων ῥημάτων. διόπερ ἀπὸ τῶν παρόντων ἀπολαύσας τοὺς περὶ τούτων ποιώμεθα λόγους, καὶ λέγωμεν· τί βούλει ἀπὸ πλεονεξίας πλουτεῖν; C ἵνα ἑτέροις μὲν τὸ χρυσίον ἀποκέηται καὶ τὸ ἀργύριον, σοὶ δὲ ἀραὶ καὶ κατηγορίαι μυρίαι; καὶ ὁ ἀποστερηθεὶς ὑπὸ τῆς τῶν ἀναγκαίων δάκνηται [b] χρείας, καὶ ὀλοφύρηται, καὶ μυρίους ἐφέλκηταί σοι κατηγόρους, καὶ τῆς ἑσπέρας καταλαβούσης περιίῃ τὴν ἀγορὰν, ἐν τοῖς στενωποῖς ἐντυγχάνων πᾶσι, καὶ διαπορούμενος, καὶ οὐδὲ ὑπὲρ τῆς νυκτὸς θαῤῥεῖν ἔχων. πῶς γὰρ ἂν καθευδήσειε λοιπὸν, ὑπὸ τῆς γαστρὸς δακνόμενος, ἀγρυπνῶν, λιμῷ πολιορκούμενος, πάγου πολλάκις ὄντος, καὶ ὑετοῦ καταφερομένου; καὶ σὺ μὲν ἐκ βαλανείου λελουμένος ἐπανέρχῃ, μαλακοῖς θαλD πόμενος ἱματίοις, γεγηθὼς καὶ χαίρων, καὶ ἐπὶ δεῖπνον ἕτοιμον τρέχων πολυτελές· ἐκεῖνος δὲ πανταχοῦ κατὰ τὴν ἀγορὰν ὑπὸ τοῦ κρυμοῦ, καὶ τοῦ λιμοῦ συνεχῶς ἐλαυνόμενος, περιέρχεται συγκεκυφὼς, καὶ χεῖρας προτείνων· καὶ οὐδὲ θαῤῥῶν ἀδεῶς τῷ ἐμπεπλησμένῳ καὶ ἀναπεπαυμένῳ ῥήματα προσενεγκεῖν ὑπὲρ τῆς ἀναγκαίας τροφῆς, πολλάκις δὲ καὶ ὑβρισθεὶς ἀνεχώρησεν. ὅταν οὖν ἀνέλθῃς οἴκαδε, ὅταν ἐπὶ τῆς εὐνῆς [c] ἀνακλιθῇς, ὅταν φῶς ᾖ περὶ τὸν οἶκον λαμπρὸν, ὅταν ἑτοίμη καὶ δαψιλὴς ἡ τράπεζα, τότε ἀναμνήσθητι τοῦ ταλαιπώρου E καὶ ἀθλίου ἐκείνου, τοῦ περιιόντος κατὰ τοὺς κύνας ἐν τοῖς στενωποῖς καὶ τῷ σκότῳ καὶ τῷ πηλῷ, καίτοι πολλάκις ἐκεῖθεν ἀπιόντος οὐκ εἰς οἰκίαν, οὐδὲ πρὸς γυναῖκα, οὐδὲ [d] εἰς εὐνὴν, ἀλλ' εἰς στιβάδα χόρτου, καθάπερ τοὺς κύνας ὁρῶμεν δι' ὅλης λυττῶντας νυκτός. καὶ σὺ μὲν κἂν μικράν τινα σταγόνα κατενεχθεῖσαν ἀπὸ τῆς στέγης ἴδῃς, πάντα ἀνατρέπεις τὸν οἶκον, οἰκέτας καλῶν, πάντα κινῶν· ἐκεῖνος δὲ ἐν ῥακίοις καὶ χόρτῳ καὶ πηλῷ κείμενος, ἅπαντα ὑπομένει τὸν κρυμόν.

Ποῖον οὖν θηρίον τούτοις οὐκ ἂν κατακλασθείη τοῖς πράγμασι; τίς οὕτως ὠμὸς καὶ ἀπάνθρωπος,

a εὐθέως. Reg. οὐδέπω.
b χρείας. Reg. τροφῆς.

c Reg. κακλιθῇς.
d εἰς εὐνὴν, Morel. perperam εἰς ἐμήν.

ὡς μὴ γίνεσθαι τούτοις ἥμερος; ἀλλὰ γάρ εἰσί τινες, οἳ πρὸς τοσοῦτον ἀπηνείας ἥκουσιν, ὡς καὶ λέγειν ἄξια πάσχειν αὐτούς. δέον γὰρ ἐλεεῖν καὶ δακρύειν καὶ συνδιαλύειν τὰς συμφοράς, οἱ δὲ καὶ κατηγοροῦσιν ὠμῶς καὶ ἀπανθρώπως αὐτῶν· οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ἄξια πάσχουσιν, εἰπέ μοι; ὅτι τρέφεσθαι βούλονται, καὶ μὴ λιμάττειν; οὐχί, φησιν, ἀλλ' ὅτι ἀργοῦντες. σὺ δὲ οὐκ ἀργῶν σπαταλᾷς; τί δέ, οὐκ ἐργασίαν πολλάκις πάσης ἀργίας χαλεπωτέραν ἐργάζῃ, ἁρπάζων, καὶ βιαζόμενος, καὶ πλεονεκτῶν; βέλτιον ἦν, εἰ καὶ σὺ ἤργεις τοιαύτην ἀργίαν. τοῦ γὰρ πλεονεκτεῖν τὸ οὕτως ἀργεῖν βέλτιον. νῦν δὲ καὶ ἀλλοτρίαις ἐπεμβαίνεις συμφοραῖς, οὐ μόνον ἀργῶν, οὐδὲ μόνον ἀργίας χαλεπωτέραν ἐργασίαν μετιών, ἀλλὰ καὶ κατηγορῶν τῶν δυσημερούντων. διηγώμεθα δὲ αὐτοῖς καὶ τὰς ἀλλοτρίας συμφοράς, τὰς ὀρφανίας τὰς ἀώρους, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, τοὺς ἐν δικαστηρίοις σπαραττομένους, τοὺς περὶ τὸ ζῆν δεδοικότας, τὰς χηρείας τὰς ἀδοκήτους τῶν γυναικῶν, τὰς ἀθρόους μεταβολὰς τῶν πλουτούντων, καὶ τῷ φόβῳ τούτῳ καταμαλάττωμεν αὐτῶν τὴν διάνοιαν. ἐν γὰρ τοῖς περὶ ἑτέρων διηγήμασι πείσομεν αὐτοὺς ταῦτα δεδοικέναι πάντως καὶ περὶ ἑαυτῶν. ὅταν γὰρ ἀκούσωσιν ὅτι ὁ τοῦ δεῖνος υἱὸς πλεονέκτου καὶ ἅρπαγος ὤν, τοῦ δεῖνος ἡ γυνή, τοῦ πολλὰ τυραννικὰ πεποιηκότος, μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος μυρία ὑπέμεινε δεινά, τῶν ἀδικηθέντων καὶ τῇ γυναικὶ καὶ τοῖς παιδίοις ἐπιόντων, καὶ κοινοῦ πολέμου πάντοθεν ἠρμένου κατὰ τῆς οἰκίας τῆς ἐκείνου, κἂν πάντων [a] ἀναισθητότερος ᾖ, καὶ αὐτὸς προσδοκῶν τὰ αὐτὰ πείσεσθαι, καὶ ὑπὲρ τῶν ἑαυτοῦ δεδοικώς, μήποτε τὰ αὐτὰ ὑπομείνωσι, σωφρονέστερος ἔσται. πολλῶν δὲ ἡμῖν τοιούτων διηγημάτων ὁ βίος ἐμπέπλησται, καὶ οὐκ ἀπορήσομεν τῆς τοιαύτης διορθώσεως. ὅταν δὲ ταῦτα λέγωμεν, μὴ ὡς παραινοῦντες, μηδὲ ὡς συμβουλεύοντες αὐτὰ λέγωμεν, ἵνα μὴ φορτικώτερος γένηται ὁ λόγος· ἀλλ' ὡς ἐν τάξει διηγήματος. καὶ ἐξ ἑτέρας ἀκολουθίας ἐπὶ τὴν τοιαύτην ἀεὶ βαδίζωμεν τὴν διάλεξιν, καὶ συνεχῶς αὐτοῖς εἰς ταῦτα ἐμβάλλωμεν τὰ διηγήματα, μηδὲν ἕτερον συγχωροῦντες λαλεῖν, ἢ ταῦτα· πῶς ἡ τοῦ δεῖνος οἰκία λαμπρὰ καὶ περιφανὴς οὖσα κατέπεσε· [b] πῶς οὕτως ἔρημός ἐστιν, ὡς εἰς ἑτέρων ἐλθεῖν χεῖρας τὰ ἐν αὐτῇ πάντα· πόσα δικαστήρια καθ' ἑκάστην ἡμέραν ὑπὲρ ταύτης συνίστατο τῆς οὐσίας, πόσα πράγματα· πόσοι τῶν οἰκετῶν ἐκείνου, οἱ μὲν ἐπαιτοῦντες, οἱ δὲ τὸ δεσμωτήριον οἰκοῦντες ἀπέθανον· καὶ ταῦτα πάντα ὡς ἐλεοῦντες τὸν ἀπελθόντα λέγωμεν, καὶ ὡς τὰ παρόντα ἐξευτελίζοντες, ἵνα καὶ τῷ φόβῳ καὶ τῷ ἐλέῳ καταμαλάξωμεν τὴν ἀπηνῆ διάνοιαν· καὶ ὅταν συσταλέντας ἴδωμεν τοῖς διηγήμασι τούτοις, τότε λοιπὸν αὐτοῖς καὶ τὸν περὶ τῆς γεέννης ἐπεισάγωμεν λόγον, μὴ ὡς τούτους φοβοῦντες, ἀλλ' ὡς ἑτέρους ἐλεοῦντες· καὶ λέγωμεν, καὶ τί χρὴ λέγειν τὰ παρόντα; οὐδὲ γὰρ μέχρι τούτων ἕστηκε τὰ ἡμέτερα, ἀλλὰ χαλεπωτέρα δέξεται κόλασις τοὺς τοιούτους,

A hisce rebus non mansuetior reddatur? Sed quidam ad tantam immanitatem devenerunt, ut dicant ipsos digna pati. Cum oporteret enim misereri, lacrymari, & calamitatem simul solvere: illi vero ipsos inhumaniter accusant. Quos libenter interrogarem; Cur, quæso, digna patiuntur? an quod ali velint & non fame confici? Non, inquiet, sed quia otiosi sunt. Tu vero annon otiosus deliciaris? Quid vero, annon opus sæpe exerces otio omni gravius, dum rapis, vim infers & avaritiæ studes? Melius esset si tu quoque huic te dederes otio. Nam ita otiari melius est, quam avaritiæ studere. B Nunc autem alienis etiam insultas calamitatibus, non modo in otio degens, nec modo opus aggrediens otio gravius, sed etiam in miseria degentes accusans. Ipsis quoque narremus alienas calamitates, immaturas orbitates, eos qui in carcere degunt, eos qui discerpuntur in judiciis, eos qui de vita timent, inopinatas mulierum viduitates, repentinas divitum mutationes, & hoc metu eorum animos molliamus. Nam per illas alienas narrationes suadebimus illis ut eadem ipsa sibi timeant. Cum enim audierint, cujuspiam C avari & raptoris filium, cujuspiam qui multa tyrannice fecerat uxorem, post mortem conjugis innumera passam esse mala, cum ii qui injuste læsi fuerant, in uxorem & filios irruissent, & commune bellum contra domum illius undique excitatum esset; etiamsi maxime omnium sensu destitutus sit, exspectans tamen se talia passurum, & suis timens, ne similia patiantur, temperantior erit. Tota vita nostra talibus exemplis multis plena est, nec deficiet nobis hic corrigendi modus. Cum autem hæc dicimus, non quasi suadentes vel quasi consulentes hæc dicamus, D ne molestior sit oratio, sed id tamquam narrationem proferamus: & ex alia consequentia, ad similem semper narrationem veniamus, ac frequenter eis talia exempla proponamus, non concedentes ut alia, quam hæc, loquantur: Quomodo hujus domus splendida & illustris corruerit: quomodo ita deserta sit, ut ipsius bona omnia in aliorum manus inciderint; quot judicia quotidie de his facultatibus sunt constituta, quot negotia: quot ex famulis illius alii emendicant, alii in carcere conclusi mortui sunt. Et hæc omnia dicamus quasi lugentes eum E qui ex hac vita migravit, & quasi præsentia despicientes; ut & timore & misericordia emolliamus immitem illum animum. Et cum illos viderimus his narrationibus depressos, tunc demum illis de gehenna sermonem inferamus, non tamquam illos terrentes, sed ut alios commiserantes, & dicamus: Et quid oportet dicere præsentia? neque enim nostra his sunt limitibus circumscripta; sed gravius supplicium tales homines excipiet,

[a] Editi ἀναισθητότερος. Reg. ἀναισχυντότερος.

[b] Morel. πῶς ἔρημος, omisso οὕτως.

& fluvius igneus & vermis venenosus, & tenebræ interminabiles, & supplicia immortalia. Si his illos incantemus narrationibus, & nos ipsos & illos corrigemus, atque ab ægritudine cito liberabimus, in dieque illo laudatorem Deum habebimus, ut & Paulus dicit: *Et tunc laus erit unicuique a Deo.* Laus enim quæ ab hominibus procedit, & diffluit, & aliquando non a bono animo proficiscitur. Quæ autem a Deo est, & manet perpetuo, & clare splendet. Quando enim is qui omnia novit antequam fiant, & ab omni passione vacuus est, laudat; tunc indubitata est virtutis demonstratio. Hæc ergo cum sciamus, talia operemur ut a Deo laudemur, & maxima consequamur bona, quæ utinam nos omnes adipiscamur, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unaque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ ποταμὸς πυρὸς, καὶ σκώληξ ἰοβόλος, καὶ σκότος ἀτελεύτητον, καὶ ἀθάνατοι κολάσεις. Ἂν τούτοις αὐτοὺς κατεπᾴδωμεν τοῖς διηγήμασι, καὶ ἡμᾶς αὐτοὺς κἀκείνους διορθώσομεν, καὶ τῆς ἀῤῥωστίας ταχέως [a] ἀπαλλάξομεν, καὶ κατὰ τὴν ἡμέραν ἐκείνην ἐπαινέτην τὸν Θεὸν ἕξομεν, καθάπερ καὶ ὁ Παῦλός φησι· καὶ τότε ὁ ἔπαινος ἑκάστου γενήσεται ἀπὸ τοῦ Θεοῦ. Ὁ μὲν γὰρ παρὰ ἀνθρώποις καὶ διαῤῥεῖ, καὶ ἔστιν ὅτε οὐκ ἀπὸ ἀγαθῆς πολλάκις γίνεται διανοίας· ὁ δὲ παρὰ τοῦ Θεοῦ, καὶ μένει διηνεκῶς, καὶ διαλάμπει σαφῶς. Ὅταν γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως, καὶ πάθους ἐκτὸς ὢν ἐπαινῇ, τότε B καὶ ἀναμφισβήτητος ἐστὶ τῆς ἀρετῆς ἡ ἀπόδειξις. Ταῦτα οὖν εἰδότες, τοιαῦτα πράττωμεν ὡς παρὰ τοῦ Θεοῦ ἐπαινεῖσθαι, καὶ τῶν μεγίστων τυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XII.

6. *Hæc autem, fratres, transfiguravi in me & Apollo propter vos, ut in nobis discatis non plus, quam scriptum est, sapere.*

1. QUAMDIU molestis asperisque verbis opus fuit, scenam non aperuit; sed ac si ipse esset qui hæc audiret, sic loquebatur, ut dignitas personarum quæ accusabantur obsistens accusantibus, non permitteret ad iram commoveri. Cum autem oporteret deinceps aliquid remittere, tunc posita larva, occultatas personas ostendit prolato Pauli & Apollo nomine. Ideo dicebat: *Hæc autem*, fratres, *transfiguravi in me & Apollo.* Et sicut in ægrotantibus, quando puerulus æger calcibus ferit, & aversatur cibos qui offeruntur a medicis, advocatum patrem vel pædagogum, ii qui assident, jubent ex medici manu accipere, & cibos afferre, ut ex timore ipsorum pueri accipiant & quiescant; sic & Paulus cum pro aliis esset accusaturus, illis quidem ut qui injuria afficerentur; his vero ut qui supra modum honorarentur; personas quidem eorum non protulit; sed suo & Apollo nomine sermonem adhibuit; ut eos reveriti, medicinam acciperent. Postquam autem acceperunt, tunc demum aperuit de quibusnam hæc loqueretur. Hæc autem non simulatio erant, sed attemperatio & œconomia. Nam si aperte dixisset, Viros sanctos & admirabiles judicatis, id certe ægre tulissent & resiliissent. Nunc vero cum dixisset: *Mihi autem pro minimo est ut a vobis judicer*; & rursum, *Quis est Paulus? quis Apollo?*

## ΟΜΙΛΙΑ ιβ΄.

C Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ [b] δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε, τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν.

ΕΩΣ μὲν αὐτῷ τῶν φορτικῶν ἔδει ῥημάτων, οὐκ ἀπεκάλυψε τὴν σκηνὴν, ἀλλ' ὡς αὐτὸς ὢν ὁ ταῦτα ἀκούων, οὕτω διελέγετο· ἵνα τὸ ἀξίωμα τῶν ἐγκαλουμένων προσώπων τοῖς ἐγκαλοῦσιν ἀντιπίπτον, ἀπὸ τῶν ἐγκλημάτων εἰς ὀργὴν ἐξενεχθῆναι μὴ συγχωρήσῃ. Ἐπειδὴ δὲ ἀνεῖναι λοιπὸν ἔδει, τότε ἀπαμφιάσας αὐτὸ, καὶ τὸ προσωπεῖον [c] ἀπάρας, ἔδειξε τὰ κρυπτόμενα πρόσ-D ωπα ἐν τῇ τοῦ Παύλου καὶ Ἀπολλὼ προσηγορίᾳ. Διὸ καὶ ἔλεγε, ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ. Καὶ καθάπερ ἐπὶ τῶν καμνόντων, ὅταν λακτίζῃ τὸ παιδίον τὸ ἀῤῥωστοῦν καὶ ἀποστρέφηται τὰ προσφερόμενα σιτία παρὰ τῶν ἰατρῶν, τὸν πατέρα, ἢ τὸν παιδαγωγὸν καλέσαντες οἱ προσεδρεύοντες, παρὰ τῶν τοῦ ἰατροῦ χειρῶν λαβόντας τὰ σιτία προσάγειν κελεύουσιν, ὥστε ἐκ τοῦ φόβου τοῦ πρὸς ἐκείνους δέξασθαι καὶ ἡσυχάσαι· οὕτω καὶ Παῦλος μέλλων ὑπὲρ ἑτέρων ἐγκαλεῖν, τῶν μὲν ὡς ἀδικουμένων, τῶν δὲ ὡς πέρα τοῦ μέτρου τιμωμένων, αὐτὰ μὲν οὐκ ἔθηκε τὰ πρόσωπα· ἐπὶ δὲ E τῆς ἑαυτοῦ προσηγορίας καὶ τῆς Ἀπολλὼ τὸν λόγον προσήγαγεν, ἵνα αἰδούμενοι τούτους δέξωνται τὴν θεραπείαν. Ἐπειδὴ δὲ ἐδέξαντο, τότε λοιπὸν ἀπεκάλυψεν ὑπὲρ ὧν ταῦτα ἔλεγεν. Ἦν δὲ ταῦτα οὐχ ὑπόκρισις, ἀλλὰ συγκατάβασις καὶ οἰκονομία. Εἰ γὰρ εἶπε φανερῶς, ὅτι ὑμεῖς δὲ τοὺς ἄνδρας κρίνετε τοὺς ἁγίους καὶ θαυμαστοὺς, κἂν ἐδυσχέραναν, κἂν ἀπεπήδησαν· νῦν δὲ εἰπὼν, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ· καὶ πάλιν, τίς δέ ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; ἵ

a Morel. ἀπαλλάξομεν, καθάπερ, omissis interpositis.
b Ita Reg. In Savil. & Morel. δι' ὑμᾶς deest.
c Reg. ἐπάρας.

εὐπαράδεκτον τὸν λόγον ἐποίησε. διὰ τοῦτο ἔφησεν, ὅτι ταῦτα εἰς ἐμαυτὸν μετεσχημάτισα δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, δεικνὺς ὅτι εἰ ἐπ' ἐκείνων τὸν λόγον [a] προσήγαγεν, οὐκ ἂν ἔμαθον ὅσα μαθεῖν ἔδει, οὐδ' ἂν ἐδέξαντο τὴν διόρθωσιν, δυσχεραίνοντες πρὸς τὰ λεγόμενα. νυνὶ δὲ αἰδούμενοι τοὺς περὶ Παῦλον, ἤνεγκαν ῥᾳδίως τὴν ἐπιτίμησιν. τί δέ ἐστι τὸ, μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν; γέγραπται· τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς; καὶ, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. εἰ γὰρ ἐσμὲν ἓν, καὶ συνδεδέμεθα ἀλλήλοις, ἐπανίστασθαι ἀλλήλοις οὐ χρή. ὁ ταπεινῶν γὰρ ἑαυτὸν, ὑψωθήσεταί, φησι· καὶ, ὁ θέλων εἶναι πρῶτος πάντων, γινέσθω πάντων διάκονος. ταῦτά ἐστιν ἃ γέγραπται. ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς [b] φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. πάλιν τοὺς διδασκάλους ἀφεὶς, τοῖς μαθηταῖς ἐπιτιμᾷ. ἐκεῖνοι γὰρ ἦσαν οἱ τούτους ἐπαίροντες. καὶ ἄλλως δὲ, οἱ ἄρχοντες οὐκ ἂν εὐκόλως ἐδέξαντο τὸν τοιοῦτον λόγον διὰ τὸ τῆς δόξης ἐπιθυμεῖν τῆς ἔξωθεν· καὶ γὰρ ἦσαν πεπηρωμένοι τῷ πάθει· οἱ δὲ αὐτοὶ μὴ καρπούμενοι τὴν δόξαν, ἀλλ' ἑτέροις αὐτὴν παρέχοντες, καὶ εὐκολώτερον ἂν ἤνεγκαν τὴν νουθεσίαν, καὶ κυριώτεροι τῶν ἀρχόντων ἦσαν πρὸς τὸ λῦσαι τὸ νόσημα. ἄρα καὶ τοῦτο φυσιώσεως, τὸ ὑπὲρ ἑτέρου ἐπαίρεσθαι, κἂν μὴ ἐπὶ τοῖς αὐτοῦ τις τοῦτο πάσχῃ. ὥσπερ γὰρ ὁ ἐπὶ πλούτῳ μέγα φρονῶν ἀλλοτρίῳ, ἐξ ἀπονοίας αὐτὸ ποιεῖ· οὕτω καὶ ὁ ἐπὶ τῇ δόξῃ τοῦ ἑτέρου. καὶ καλῶς φυσίωσιν ἐκάλεσεν. ὅταν γὰρ ἐπανάστῃ τὸ μέλος τὸ ἓν, οὐδὲν ἕτερόν ἐστιν, ἢ φλεγμονὴ καὶ νόσημα. ἄλλως γὰρ οὐ γίνεται ὑψηλότερον ἕτερον ἑτέρου μέλος, ἀλλ' ἢ ὅταν οἴδημα γένηται· οὕτω τοίνυν καὶ ἐν τῷ σώματι τῆς ἐκκλησίας ὁ φλεγμαίνων καὶ φυσιούμενος, αὐτὸς ἂν εἴη ὁ νοσῶν. οἰδεῖ γὰρ ὑπὲρ τὴν κοινὴν συμμετρίαν. τοῦτο γάρ ἐστιν οἴδημα. οὕτω καὶ ἐν τῷ σώματι γίνεται, ὅταν νόθος τις καὶ πονηρὸς ἐπιρρεύσῃ χυμὸς, ἀλλὰ μὴ ἡ εἰωθυῖα τροφή. οὕτω καὶ ἀλαζονεία τίκτεται, ἀλλοτρίων ἡμῖν ἐπεισερχομένων λογισμῶν. καὶ ὅρα πῶς κυρίως εἶπε, φυσιοῦσθε. τὸ γὰρ πεφυσημένον, ὄγκον ἔχει πνεύματος ἐμπεπλησμένον χυμοῦ διεφθορότος. ταῦτα δὲ λέγει, οὐ τὴν θεραπείαν ἐκκόπτων, ἀλλὰ τὴν ἐπὶ κακῷ θεραπείαν. βούλει θεραπεύειν τὸν δεῖνα; οὐ κωλύω· ἀλλὰ μὴ εἰς ἑτέρου [c] λύμην. οὐ γὰρ ἵνα κατ' ἀλλήλων συντατώμεθα, διδάσκαλοι ἡμῖν ἐδόθησαν, ἀλλ' ἵνα πάντες ἀλλήλοις συναπτώμεθα. καὶ γὰρ ὁ στρατηγὸς διὰ τοῦτο ἐπίκειται τῷ στρατοπέδῳ, ἵνα τοὺς κεχωρισμένους, ἓν σῶμα ἐργάσηται. εἰ δὲ μέλλοι διασπᾶν τὸ στρατόπεδον, πολεμίου μᾶλλον, ἢ στρατηγοῦ χώραν ἐπλήρωσε. τίς γάρ σε διακρίνει; τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; λοιπὸν ἀφεὶς τοὺς ἀρχομένους, πρὸς τοὺς ἄρχοντας τρέπεται. ὃ δὲ λέγει τοῦτό ἐστι. πόθεν δῆλον

[a] Reg. προήγαγεν.
[b] Reg. φυσιῶσθε.

A acceptabilem orationem effecit. Propterea dixit: *Hæc autem in me transfiguravi propter vos, ut in nobis discatis non plus quam scriptum est sapere*, ostendens quod si de illis verba fecisset, non didicissent ea quæ discere oportebat, neque correctionem accepissent, ea quæ dicebantur moleste ferentes. Nunc autem Paulum & socium reverentes, facile admiserunt increpationem. Quid autem sibi vult illud, *Non plus quam scriptum est sapere?* Scriptum est: *Quid vides festucam in oculo fratris tui, trabem autem, quæ in oculo* Matt. 7. 3. B *tuo est, non consideras?* &, *Nolite judicare, ut non judicemini.* Matt. 7. 1. Nam si unum sumus & una colligati, non oportet contra nos invicem insurgere; *Qui enim se humiliat*, inquit, *exaltabitur*; &, *Qui vult primus esse omnium, sit omnium minister.* Matt. 18. 4. Marc. 10. 43. Hæc sunt ea quæ scripta sunt. *Ne unus pro uno infletur adversus alterum.* Rursum missis doctoribus, discipulos increpat. Illi enim erant qui hos extollebant. Alioquin autem, principes non facile talem admisissent orationem, eo quod externam gloriam cuperent; hoc quippe morbo excæcati erant. C Ipsi vero gloria non fruentes, sed illam aliis præbentes, & facilius admonitionem tulissent, & aptiores ad morbum solvendum erant quam principes. Ergo etiam hoc est inflari, pro alio extolli, etiamsi in rebus suis hoc alicui non accidat. Sicut enim is qui de alienis effertur vitiis, ex arrogantia hoc facit; ita etiam qui de gloria alterius. Recte autem inflationem vocavit. Cum enim membrum aliquod insurgit, hoc nihil aliud est, quam inflammatio & morbus; non enim aliter alterum membrum fit altero altius, quam cum tumor adest. D Sic igitur & in corpore ecclesiæ, qui inflammatur & inflatur, is est qui morbo laborat; tumet enim præter communem mensuram. Hoc enim est inflatio. Sic etiam in corpore accidit, quando spurius quidam & malus humor influxerit, non autem solitum alimentum. Arrogantiæ malum. Ita nascitur arrogantia alienis nos cogitationibus invadentibus. Et vide quam apposite dixerit, inflati estis: quod enim inflatum est, tumorem habet spiritûs, repletum humore corrupto. Hæc porro dicit, non curationem exscindens; sed curationem E illam quæ in malum vertitur. Vis istum curare? Non impedio; sed non in perniciem alterius. Non enim ut contra nos invicem aciem instruamus nobis dati sunt doctores; sed ut nos omnes mutuo jungamus. Dux enim ideo exercitui præficitur, ut separatos unum corpus efficiat. Si vero exercitum divulsurus sit, inimici magis quam ducis locum implet. 7. *Quis enim te discernit? Quid enim habes quod non accepisti?* Missis demum subditis, ad principes convertitur. Hoc autem vult significare. Undenam liquet

[c] Reg. λύμην. Editi λύπην. Præstat certe codicis manuscripti lectio.

A quod tu dignus laude ſis? Factum-ne eſt judicium? Præceſſit-ne examen? an probatio, an accurata perquiſitio? Sed hoc non poſſis dicere. Quod ſi homines calculum ferunt: at non rectum eſt illorum judicium. Ponamus autem te dignum laude eſſe, & vere gratiam & donum habere, nec corruptum eſſe hominum judicium: neque ſic oportebat altum ſapere. Nihil enim ex te habes, ſed a Deo accepiſti. Cur ergo te habere ſimulas id quod non habes? At tu hoc habes, & alii tecum. Ergo cum acceperis habes, non hoc vel illud, ſed omnia quæ habes.

B 2. Non enim hæc tua recte facta ſunt, ſed ex Dei gratia proveniunt. Si fidem dixeris, ex vocatione illa venit; ſi remiſſionem peccatorum, ſi chariſmata, ſi doctrinæ verbum, ſi virtutes: omnia inde accepiſti. Quid ergo habes, quæſo te, quod non acceperis; ſed ex te ipſo recte acquiſieris? Nihil dicere poſſis. Sed accepiſti, & ideo altum ſapis? Ideo certe oportebat teipſum deprimere; non enim tuum eſt id quod tibi datum eſt, ſed dantis. Si enim accepiſti, ab illo accepiſti. Si ab illo accepiſti, non rem tuam accepiſti. C Quod ſi non rem tuam accepiſti, cur altum ſapis, quaſi rem tuam habens? Quamobrem ſubjungit: *Si autem accepiſti, quid gloriaris quaſi non acceperis?* Cum ergo ex concurſu dictum ſuum probaſſet, oſtendit multa illis deeſſe & ait: certe etiamſi omnia accepiſſetis, non oporteret gloriari; nihil enim veſtrum eſt: nunc autem multa vobis deſunt. Et initio quidem hoc ſubindicavit dicens: *Non potui vobis loqui ut ſpiritualibus*; &, *Nihil judicavi me ſcire inter vos, niſi Jeſum Chriſtum, & ipſum crucifixum.* Hic vero illos pudore afficiendo id facit dicens: D 8. *Jam ſaturati eſtis, jam divites facti eſtis;* id eſt, nulla re indigetis deinceps, perfecti evaſiſtis, ipſum culmen attingitis, nullius ope vos egere putatis, non apoſtolorum, non doctorum, jam *ſaturati eſtis.* Et recte illud, *jam*, a tempore oſtendens improbabile eſſe id quod dicunt, & a ratione alienam eſſe illorum opinionem. Ideoque traducens illos dicebat: Tam cito ad finem perveniſtis, quod fieri non poterat propter tempus. Perfectiora enim in futuro manent: paucis enim ſaturari infirmi eſt animi; paucis exiſtimare ſe divitem fieri, nauſeantis E eſt & miſeri; inſatiabilis enim eſt pietas: & puerilis eſt mentis a primo acceptis putare ſe totum accepiſſe, & cum vix adhuc in prooemiis ſint, ac ſi finem apprehendiſſent, altum ſapere. Deinde in ſequentibus magis illos pudore afficit; cum dixiſſet enim, *Jam ſaturati eſtis*, ſubjunxit: *jam divites facti eſtis: ſine nobis regnaſtis: & utinam regnaretis, ut etiam nos vobiſcum regnaremus.* Gravitate multa plenus eſt ſermo. Ideo ultimum illum induxit poſt

A ὅτι ἄξιος εἶ τοῦ ἐπαινεῖσθαι; κρίσις γὰρ γέγονεν; ἐξέτασις προεχώρησε; δοκιμασία; βάσανος ἀκριβής; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. εἰ δὲ ἄνθρωποι ψηφίζονται, ἀλλ' οὐκ ὀρθὴ τούτων ἡ κρίσις. θῶμεν δὲ ὅτι καὶ ἄξιος ἐπαίνων εἶ, καὶ ἔχεις ὄντως τὸ χάρισμα, καὶ οὐ διέφθαρται τῶν ἀνθρώπων ἡ κρίσις· οὐδέ γε οὕτως ἐχρῆν μέγα φρονεῖν. οὐδὲν γὰρ οἴκοθεν ἔχεις, ἀλλὰ παρὰ τοῦ θεοῦ λαβών. τί τοίνυν ἔχειν προσποιῇ, ὅπερ οὐκ ἔχεις; ἀλλ' ἔχεις τοῦτο σὺ, καὶ ἕτεροι μετὰ σοῦ. οὐκοῦν λαβὼν ἔχεις, οὐχὶ τόδε, καὶ τόδε, ἀλλὰ πάντα ὅσα ἔχεις.

B Οὐ γὰρ σὰ κατορθώματα ταῦτα, ἀλλὰ τῆς τοῦ θεοῦ χάριτος. κἂν τὴν πίστιν εἴπῃς, ἀπὸ τῆς κλήσεως γέγονε· κἂν τὴν ἄφεσιν εἴπῃς τῶν ἁμαρτημάτων, κἂν τὰ χαρίσματα, κἂν τὸν διδασκαλικὸν λόγον, [a] κἂν τὰς δυνάμεις, πάντα ἐκεῖθεν ἔλαβες. τί τοίνυν ἔχεις, εἰπὲ, ὅπερ οὐχὶ λαβὼν ἔχεις, ἀλλ' αὐτὸς ἀπὸ σαυτοῦ κατώρθωσας; οὐκ ἂν ἔχοις εἰπεῖν. ἀλλ' ἔλαβες, καὶ διὰ τοῦτο μέγα φρονεῖς; διὰ τοῦτο μὲν οὖν ἔδει συνεστάλθαι. οὐ γὰρ σόν ἐστι τὸ δοθὲν, ἀλλὰ τοῦ δεδωκότος. εἰ γὰρ ἔλαβες, ἀλλὰ παρ' ἐκείνου ἔλαβες. C εἰ δὲ παρ' ἐκείνου ἔλαβες, οὐ σὸν ἔλαβες. εἰ δὲ οὐ σὸν ἔλαβες, τί μέγα φρονεῖς, ὡς σὸν ἔχων; διὸ καὶ ἐπήγαγεν· εἰ δὲ καὶ ἔλαβες, [b] τί καυχᾶσαι, ὡς μὴ λαβών; κατασκευάσας τοίνυν κατὰ συνδρομὴν τὸν λόγον, δείκνυσιν ὅτι καὶ πολλῶν αὐτοῖς δεῖ, καί φησιν· ὅτι μάλιστα μὲν, εἰ καὶ πάντα ἐλάβετε, οὐκ ἔδει καυχᾶσθαι· οὐδὲν γὰρ ὑμέτερον· νυνὶ δὲ καὶ πολλῶν ἐστε ἔρημοι. καὶ ἐν ἀρχῇ μὲν τοῦτο ᾐνίξατο εἰπὼν, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς· καὶ, οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον· ἐνταῦθα δὲ ἐντρεπτικῶς ποιεῖ λέγων· ἤδη κεκορεσμένοι D ἐστὲ, ἤδη ἐπλουτήσατε· τουτέστιν, οὐδενὸς δεῖσθε λοιπὸν, τέλειοι γεγόνατε, τὴν κορυφὴν αὐτὴν κατέχετε, οὐδενὸς ἐν χρείᾳ καθεστηκέναι νομίζετε οὔτε ἀποστόλων, οὔτε διδασκάλων. ἤδη κεκορεσμένοι ἐστέ. καὶ καλῶς τὸ ἤδη, ἀπὸ τοῦ χρόνου δεικνὺς τὸ ἀπίθανον αὐτῶν, καὶ τὴν ἄλογον αὐτῶν οἴησιν. διὸ καὶ κωμῳδῶν αὐτοὺς, ἔλεγεν· οὕτω ταχέως πρὸς τὸ τέλος ἐφθάσατε, ὅπερ ἀδύνατον ἦν γενέσθαι διὰ τὸν καιρόν. τὰ γὰρ τελειότερα ἐν τῷ μέλλοντι μένει· τὸ δὲ ἀπὸ ὀλίγων κορεσθῆναι, ψυχῆς ἐστιν ἀσθενοῦς· τὸ ἀπὸ ὀλίγων νομίζειν πλουτεῖν, ναυτιώσης καὶ ταλαιπώρου. ἀκόρεστον γὰρ ἡ εὐλάβεια· E καὶ παιδικῆς διανοίας ἐστὶν ἀπὸ τῶν πρώτων νομίζειν τὸ πᾶν εἰληφέναι, καὶ οὐδέπω οὐδὲ ἐν προοιμίοις ὄντας, ὡς τοῦ τέλους ἐπειλημμένους μέγα φρονεῖν. εἶτα καὶ διὰ τῶν ἑξῆς ἐντρέπει μᾶλλον· εἰπὼν γὰρ, ἤδη κεκορεσμένοι ἐστὲ, ἐπήγαγεν· ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. πολλῆς γέμει τῆς βαρύτητος ὁ λόγος· διὸ καὶ ἔσχατον αὐτὸν ἐπήγαγε μετὰ πολλὴν τὴν

a Sic Reg. Hæc, κἂν τὰς δυνάμεις deſunt in editis.
b Savil. τί καυχᾷ. Morel. τί καυχᾷς, codex regius & editi Novi Teſtamenti, τί καυχᾶσαι.

ἐπίπληξιν. οὕτω γὰρ σεμνὴ γίνεται ἡ παραίνεσις καὶ εὐπαράδεκτος, ὅταν μετὰ τὰς κατηγορίας ἐπιφέρεται τὰ ἐντρεπτικὰ ῥήματα. καὶ γὰρ τὴν ἀναίσχυντον ἱκανὸν τοῦτο ψυχὴν κατασχεῖν, καὶ πλῆξαι [a] μειζόνως τῆς φανερᾶς κατηγορίας, καὶ διορθῶσαι τὴν ἀπὸ τῆς κατηγορίας μέλλουσαν γίνεσθαι ἀλγηδόνα τε καὶ ἀναισχυντίαν. τὸ γὰρ δὴ θαυμαστὸν τῶν ἐντρεπτικῶν λόγων τοῦτο μάλιστά ἐστιν, ὅτι δύο κέκτηνται τἀναντία· καὶ τομὴν βαθυτέραν δίδωσι τῆς φανερᾶς διαβολῆς, καὶ τὸν ἐλεγχόμενον παρασκευάζει χαλεπώτερον τεμνόμενον καρτερῆσαι μειζόνως. Χωρὶς ἡμῶν ἐβασιλεύσατε. πολλὴ ἔμφασις ἐνταῦθα καὶ πρὸς τοὺς διδασκάλους, καὶ πρὸς τοὺς μαθητάς. καὶ τὸ ἀσυνείδητον δὲ αὐτῶν δείκνυται, καὶ τὸ σφόδρα ἀνόητον. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἐν μὲν τοῖς πόνοις φησὶν εἶναι πάντα κοινὰ καὶ ἡμῖν καὶ ὑμῖν, ἐν δὲ τοῖς ἐπάθλοις καὶ τοῖς στεφάνοις ὑμεῖς πρῶτοι. ἀλλ' οὐκ ἀλγῶ ταῦτα λέγων. διὸ καὶ ἐπήγαγε, καὶ ὄφελόν γε ἐβασιλεύσατε. εἶτα ἵνα μὴ δόξῃ εἰρωνεία τις εἶναι, ἐπήγαγεν, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. καὶ γὰρ ἂν, φησι, καὶ ἡμεῖς τούτων [b] ἐπιτύχωμεν τῶν ἀγαθῶν. εἶδες πῶς ὁμοῦ καὶ τὴν βαρύτητα, καὶ τὴν κηδεμονίαν ἐνδείκνυται, καὶ τὴν φιλόσοφον γνώμην; εἶδες πῶς καθαιρεῖ τὸν τῦφον; δοκῶ γὰρ ὅτι ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους, ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. πολλὴν τὴν ἔμφασιν καὶ τὴν βαρύτητα ἐνδείκνυται πάλιν τῷ εἰπεῖν, ἡμᾶς. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τὸ ἀξίωμα ἐπήγαγε, σφόδρα αὐτῶν καθικνούμενος· ἡμᾶς τοὺς ἀποστόλους, τοὺς τὰ μυρία ὑπομένοντας κακὰ, τοὺς σπείροντας τὸ κήρυγμα τῆς εὐσεβείας, τοὺς ἐπὶ τὴν φιλοσοφίαν ταύτην ὑμᾶς ἄγοντας. τούτους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, τουτέστιν, ὡς καταδίκους. ἐπειδὴ γὰρ εἶπεν, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν, καὶ ἐχάλασε τῷ λόγῳ τὸ σφοδρὸν, ἵνα μὴ αὐτοὺς ἐκλύσῃ, ἀναλαμβάνει πάλιν αὐτὸ μετὰ πλείονος βαρυθυμίας, καί φησι· δοκῶ γὰρ ὅτι ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους, ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. ὡς γὰρ ὁρῶ, φησι, καὶ ἐξ ὧν ὑμεῖς φατε, οἱ πάντων ἀτιμότεροι καὶ οἱ κατάδικοι ἡμεῖς ἐσμεν, οἱ εἰς τὸ πάσχειν ἀεὶ κακῶς προβεβλήμεθα· ὑμεῖς δὲ ἤδη βασιλείαν, καὶ τιμὰς, καὶ τὰ ἔπαθλα φαντάζεσθε. βουλόμενος δὲ εἰς πλείονα ἀτοπίαν ἀπαγαγεῖν τὸν λόγον, καὶ δεῖξαι αὐτὸν ἀπίθανον μεθ' ὑπερβολῆς, οὐκ εἶπεν, ὅτι ἁπλῶς ἡμεῖς ἐσμεν ἔσχατοι, ἀλλ' ὁ θεὸς ἡμᾶς ἐσχάτους ἐποίησε. καὶ οὐκ ἠρκέσθη τῷ εἰπεῖν ἐσχάτους, ἀλλὰ προσέθηκε, καὶ ἐπιθανατίους· ἵνα καὶ ὁ σφόδρα ἀνόητος συνειδῇ τῶν εἰρημένων τὸ ἀπίθανον, καὶ ὅτι ἀλγοῦντος ἦν τὰ λεγόμενα, καὶ σφόδρα αὐτοὺς ἐντρέποντος.

Καὶ ὅρα Παύλου σύνεσιν. ἀφ' ὧν ἑαυτὸν, ἡνίκα ἂν ᾖ καιρὸς, ἐπαίρει καὶ σεμνὸν δείκνυσι καὶ μέγαν ποιεῖ, ἀπὸ τούτων ἐκείνους ἐντρέπει νῦν,

[a] Ita Regius codex, & sic legendum suspicatus est Savilius. Editi εἰς φανερὰν κατηγορίαν, minus recte.

[b] Reg. ἐπιτύχομεν.

A multam increpationem. Ita enim gravis est admonitio & acceptabilis, cum post accusationes, inferuntur verba quæ pudorem incutiant. Hoc enim vel impudentem potest animum cohibere, & magis perstringere, quam manifesta accusatio, temperareque dolorem & impudentiam ex accusatione inducendam. Illud autem in verbis pudorem incutientibus magis mirabile est, quod duo habeant contraria; & graviorem infligant plagam quam manifesta criminatio, & eum qui arguitur graviorem sectionem passum, ad B majorem tolerantiam apparent. *Sine nobis regnastis.* Hic magna est emphasis & contra doctores & contra discipulos: ostenditurque illos nullam habere conscientiam atque admodum stultos esse. Hoc enim vult dicere: In laboribus omnia sunt communia & nobis & vobis; in præmiis autem & coronis vos primi estis. Sed hæc dicens non doleo: ideoque subjunxit: *Et utinam regnaretis.* Deinde ne videretur ironia hæc esse, adjecit, *Ut & nos vobiscum regnaremus.* Etenim & nos, inquit, hæc bona consequuti essemus. Vi- C den' quomodo simul & gravitatem & curam ostendat, philosophumque animum? Viden' quomodo fastum auferat? 9. *Puto enim quod Deus nos apostolos novissimos ostendit, tamquam morti destinatos.* Multam emphasin & gravitatem rursus exhibet, cum dicit, nos. Neque hoc illi satis fuit, sed & dignitatem subjunxit, admodum eos perstringens: *Nos apostolos*, qui mala patimur innumera, qui religionis prædicationem seminamus, qui vos ad tantam philosophiam ducimus. Hos novissimos ostendit tamquam morti destinatos, hoc est, ut damnatos. Postquam D enim dixit, *Ut & nos vobiscum regnaremus:* & sermonis vehementiam mitigavit, ut ne illos frangeret, idipsum rursus assumit cum majori gravitate, & ait: *Puto ego quod Deus nos apostolos novissimos ostendit tamquam morti destinatos.* Nam ut ego video, inquit, etiamque ex iis quæ vos dicitis, omnium abjectissimi nos & damnati sumus, qui ad patiendum semper expositi sumus; vos autem jam regnum, & honores & præmia imaginamini. Volens autem ad majorem absurditatem orationem deducere, & ostendere esse illam omnino improbabilem; E non dixit, nos certe sumus novissimi; sed nos Deus novissimos fecit. Nec satis habuit dixisse novissimos; sed subjunxit, & morti destinatos, ut vel admodum insanus quivis dictorum improbabilitatem videret, verbaque dolentis & admodum illos pudore afficientis esse.

3. Et vide Pauli prudentiam. A quibus seipse opportuno tempore extollit, seque honorabilem & magnum ostendit; ab iisdem illos nunc pudore afficit, Pauli prudentia.

damnatum se vocans. Tanta res est congruenti tempore omnia facere. Morti destinatos, hos damnatos vocat, qui mille mortibus digni sunt. *Quia spectaculum facti sumus mundo, & angelis & hominibus.* Quid est illud, *Spectaculum facti sumus mundo?* Non in angulo uno, neque in parva orbis parte hæc patimur, inquit; sed ubique & apud omnes. Quid sibi vult autem, *& angelis?* Possunt hominibus esse spectaculum, sed non angelis, quando vilia sunt gesta; at certamina nostra talia sunt, ut digna sint quæ spectentur ab angelis. Vide quomodo ex iisdem queis se vilem dicit, se rursus magnum ostendat: ex quibus autem illi altum sapiebant, illos esse viles & abjectos pronunciet. Quia enim stultos esse, quam videri prudentes, & infirmos esse, quam fortes; & inglorios esse, quam gloriosos & illustres abjectius esse videbatur; & hæc quidem in illos est conjecturus, illa vero ipse sibi vindicavit; ostendit hæc illis esse meliora; siquidem per hæc non hominum modo, sed etiam angelorum populum ad sui spectaculum convertit. Non enim nobis est colluctatio adversus homines tantum; sed etiam adversus incorporeas potestates. Ideoque magnum sedet theatrum. 10. *Nos stulti propter Christum, vos autem prudentes in Christo.* Rursus hoc ad pudorem incutiendum dixit, ostendens fieri non posse ut hæc contraria contingant, nec posse ea quæ tantum a se mutuo distant, in unum convenire. Quomodo enim fieri potest, inquit, vos prudentes, & nos stultos esse in rebus, quæ sunt Christi? Quia enim illi quidem verberabantur, despiciebantur, dedecore afficiebantur, & nihil esse existimabantur; ipsi autem honore fruebantur, sapientesque ac prudentes apud multos existimabantur; ideo hæc dicit: quia quomodo fieri potest ut ii qui hæc prædicant, existimentur in iis versari, quæ sunt illis contraria? *Nos infirmi, vos autem fortes.* Id est, nos pellimur & persequutionem patimur, vos autem securitate & famulatu multo fruimini. Sed id non patitur prædicationis natura. *Nos inglorii, vos autem gloriosi.* Hic nobiles respicit, qui de exterioribus altum sapiebant; 11. *Usque in hanc horam & esurimus & sitimus, & nudi sumus & colaphis cædimur.* 12. *Et laboramus operantes manibus nostris.* Hoc est, non vetera narro, sed quod mihi præsens tempus testificatur. Humanarum quippe rerum nobis nulla ratio est, neque externi splendoris; sed ad Deum solum respicimus: quod ubique facere nobis necessarium est. Neque enim angeli tantum nos spectant; sed etiam ante illos ipse agonotheta. Non itaque aliis egemus laudatoribus. Hoc enim est illi contumeliam inferre, cum illum quasi ad nos laudandos non satis sit prætercurrentes, ad conservos properamus.

A καταδίκην ἑαυτὸν καλῶν. τοσοῦτόν ἐστι μετὰ τοῦ προσήκοντος καιροῦ πάντα ποιεῖν. ἐπιθανατίους δὲ ἐνταῦθα τοὺς καταδίκους λέγει, καὶ μυρίων θανάτων ἀξίους. ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις. τί ἐστι, θέατρον ἐγενήθημεν τῷ κόσμῳ; οὐκ ἐν γωνίᾳ μιᾷ, οὐδὲ ἐν μικρῷ τῆς οἰκουμένης μέρει ταῦτα πάσχομεν, φησιν, ἀλλὰ πανταχοῦ, καὶ ἐπὶ πάντων. τί δέ ἐστι, καὶ ἀγγέλοις; ἔστι μὲν ἀνθρώποις εἶναι θέατρον, μηκέτι δὲ ἀγγέλοις, ὅταν εὐτελῆ τὰ γινόμενα ᾖ· τὰ δὲ ἡμέτερα παλαίσματα τοιαῦτα, ὡς καὶ τῆς ἀγγελικῆς B θεωρίας ἄξια εἶναι. ὅρα ἀφ' ὧν ἑαυτὸν ἐξευτελίζει, πῶς πάλιν μέγαν δείκνυσιν· ἀφ' ὧν δὲ ἐκεῖνοι μέγα φρονοῦσι, πῶς αὐτοὺς εὐτελεῖς ἀποφαίνει. ἐπειδὴ γὰρ τὸ μωροὺς εἶναι τοῦ φρονίμους φαίνεσθαι, καὶ τὸ ἀσθενεῖς εἶναι τοῦ ἰσχυροὺς γίνεσθαι, καὶ τὸ ἀτίμους εἶναι τοῦ ἐνδόξους καὶ περιφανεῖς εὐτελέστερον εἶναι ἐδόκει, καὶ τὰ μὲν ἐκείνοις μέλλει προσρίπτειν, τὰ δὲ αὐτὸς κατεδέξατο· δείκνυσιν ὅτι ταῦτα ἐκείνων ἀμείνω, εἴγε διὰ ταῦτα μὴ μόνον ἀνθρώπων, ἀλλὰ καὶ αὐτῶν τῶν ἀγγέλων τὸν δῆμον πρὸς τὴν θεωρίαν ἐπέστρεψε τὴν ἑαυτῶν. οὐ γὰρ πρὸς ἀνθρώπους ἡμῖν ἡ πάλη μόνον, ἀλλὰ καὶ πρὸς τὰς C ἀσωμάτους δυνάμεις. διὰ τοῦτο μέγα θέατρον κάθηται. ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ. πάλιν καὶ τοῦτο ἐντρεπτικῶς εἴρηκε, δεικνὺς ὅτι πρᾶγμά ἐστιν ἀδύνατον ταῦτα συμβῆναι τὰ ἐναντία, καὶ οὐκ ἔστιν ἐν τοῖς αὐτοῖς τὰ τοσοῦτον ἀλλήλων ἀπέχοντα συνελθεῖν. πῶς γὰρ ἔνι, φησὶν, ὑμᾶς μὲν φρονίμους εἶναι, ἡμᾶς δὲ μωροὺς ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν; [a] ἐπειδὴ γὰρ αὐτοὶ μὲν ἐτύπτοντο καὶ κατεφρονοῦντο καὶ ἠτιμάζοντο, καὶ οὐδὲν εἶναι ἐνομίζοντο, ἐκεῖνοι δὲ τιμῆς ἀπήλαυον, καὶ σοφοί τινες καὶ συνετοὶ D παρὰ πολλοῖς ὑπωπτεύοντο, διὰ τοῦτο ταῦτά φησιν· ὅτι πῶς ἔνι τοὺς τὰ τοιαῦτα κηρύττοντας, ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύεσθαι εἶναι; ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί. τουτέστιν, ἡμεῖς ἐλαυνόμεθα, καὶ διωκόμεθα· ὑμεῖς δὲ ἀδείας ἀπολαύετε, καὶ θεραπείας πολλῆς. ἀλλ' οὐκ ἀνέχεται τοῦ κηρύγματος ἡ φύσις. ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔνδοξοι. ἐνταῦθα πρὸς τοὺς εὐγενεῖς ἀποτείνεται καὶ μέγα φρονοῦντας ἐπὶ τοῖς ἔξωθεν. ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ E γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· τουτέστιν, οὐ παλαιὰ διηγοῦμαι πράγματα, ἀλλ' ἅπερ καὶ ὁ παρών μοι καιρὸς μαρτυρεῖ. τῶν γὰρ ἀνθρωπείων ἡμῖν λόγος οὐδεὶς, οὐδὲ τῆς ἔξωθεν περιφανείας, ἀλλὰ πρὸς τὸν θεὸν ἀφορῶμεν μόνον· ὃ δὴ καὶ ἡμᾶς πράττειν πανταχοῦ ἀναγκαῖον. οὐ γὰρ ἄγγελοι θεωροῦσι μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων ὁ ἀγωνοθέτης. μὴ τοίνυν ἑτέρων δεόμεθα ἐπαινετῶν. τοῦτο γὰρ ἐκεῖνόν ἐστιν ὑβρίσαι, ὅταν ὡς οὐκ ἀρκοῦντα πρὸς τὸ θαυμάσαι παρατρέχοντες, ἐπὶ τοὺς συνδούλους σπεύδωμεν.

[a] Ita reg. Editi vero, ἐπειδὴ γὰρ ἐτύπ-

καθάπερ γὰρ οἱ ἐν μικρῷ θεάτρῳ ἀγωνιζόμενοι μέγα [a] ζητοῦσιν, ὡς οὐκ [a] ἀρκοῦντος αὐτοῖς πρὸς ἐπίδειξιν ἐκείνου· οὕτω καὶ οἱ ἐν ὀφθαλμοῖς τοῦ θεοῦ ἀγωνιζόμενοι, εἶτα τὴν παρὰ ἀνθρώποις ζητοῦντες εὐφημίαν, τὴν μείζονα ἀφέντες, καὶ τῆς ἐλάττονος ἐφιέμενοι, μεγάλην ἑαυτοῖς ἐπισπῶνται κόλασιν. τοῦτο γοῦν ἄνω καὶ κάτω πάντα πεποίηκε, τοῦτο συνετάραξε τὴν οἰκουμένην ἅπασαν, ὅτι πρὸς ἀνθρώπους βλέποντες ἅπαντα πράττομεν, κἂν τοῖς ἀγαθοῖς οὐδὲν ἡγούμεθα τὸ τὸν θεὸν ἔχειν θαυμαστήν, ἀλλ' ἐπιζητοῦμεν τὴν παρὰ τοῖς ὁμοδούλοις εὐδοκίμησιν, κἂν τοῖς ἐναντίοις πάλιν αὐτοῦ καταφρονήσαντες, ἀνθρώπους δεδοίκαμεν. καίτοιγε αὐτοὶ μεθ' ἡμῶν στήσονται ἐπὶ τοῦ βήματος ἐκείνου, οὐδὲν ἡμᾶς ὠφελοῦντες· ὁ δὲ θεὸς, οὗ καταφρονοῦμεν νῦν, αὐτὸς οἴσει τὴν ψῆφον ἡμῖν. ἀλλ' ὅμως καὶ ταῦτα εἰδότες, πρὸς ἀνθρώπους ἔτι κεχήναμεν, ὅπερ ἐστὶν ἁμάρτημα πρῶτον. καὶ ἀνθρώπου μὲν ὁρῶντος, οὐκ ἂν τις ἕλοιτο πορνεῦσαι, ἀλλὰ κἂν μυριάκις φλέγηται τῷ κακῷ, νικᾶται τοῦ πάθους ἡ τυραννὶς ὑπὸ τῆς τῶν ἀνθρώπων αἰδοῦς· τοῦ θεοῦ δὲ ὁρῶντος, οὐχὶ μοιχεύουσιν, οὐδὲ πορνεύουσι μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ χαλεπώτερα πολλοὶ τετολμήκασι, καὶ τολμῶσι. τοῦτο οὖν μόνον οὐχ ἱκανὸν μυρίους ἄνωθεν σκηπτοὺς κατενεγκεῖν; καὶ τί λέγω μοιχείας καὶ πορνείας; τὰ γὰρ πολλῷ καὶ τούτων ἐλάττω ἐπὶ μὲν ἀνθρώπων δεδοίκαμεν πράττοντες· θεοῦ δὲ ὁρῶντος, οὐκέτι. διὰ δὴ τοῦτο πάντα ἐτέχθη τὰ κακὰ, ὅτι ἐν τοῖς οὕτω κακοῖς οὐ τὸν θεὸν, ἀλλὰ τοὺς ἀνθρώπους αἰδούμεθα. διά τοι τοῦτο καὶ τὰ ὄντως ἀγαθὰ, οὐ δοκοῦντα εἶναι τοιαῦτα τοῖς πολλοῖς, φεύγομεν, οὐ τὴν τῶν πραγμάτων ἐξετάζοντες φύσιν, ἀλλὰ πρὸς τὴν δόξαν τῶν πολλῶν ἀποβλέποντες.

Καὶ ἐπὶ τῶν κακῶν δὲ αὐτὸ τοῦτο πάσχοντες πάλιν, οὐκ ὄντα οὖν τινα ἀγαθὰ, καὶ καλὰ εἶναι δοκοῦντα τοῖς πολλοῖς, ὡς ἀγαθὰ ἀπὸ τῆς αὐτῆς συνηθείας διώκομεν· ὥστε ἑκατέρωθεν φθείρεσθαι. τάχα πολλοῖς ἀσαφέστερον εἶναι δοκεῖ τὸ λεχθέν· οὐκοῦν ἀνάγκη αὐτὸ σαφέστερον εἰπεῖν. ὅταν πορνεύωμεν, δεῖ γὰρ ἀπὸ τῶν εἰρημένων ἄρξασθαι, ἀνθρώποις φοβούμεθα μᾶλλον, ἢ τὸν θεόν. ἐπεὶ οὖν οὕτως ἑαυτοὺς ὑπεθήκαμεν ἐκείνοις, καὶ δεσπότας ἡμῶν αὐτοὺς ἐποιησάμεθα, πολλὰ τοῖς δεσπόταις τούτοις καὶ ἄλλα δοκεῖ εἶναι κακὰ οὐκ ὄντα κακὰ, κἀκεῖνα φεύγομεν πάλιν ὁμοίως. οἷον τὸ ἐν πενίᾳ ζῆν πολλοῖς δοκεῖ εἶναι αἰσχρόν· καὶ φεύγομεν τὴν πενίαν, οὐκ ἐπειδὴ ἐστὶν αἰσχρὸν, οὐδὲ ἐπειδὴ τοῦτο πεπείσμεθα, ἀλλ' ἐπειδὴ τοῖς δεσπόταις ἡμῶν εἶναι δοκεῖ τοῦτο αἰσχρὸν, κἀκείνους δεδοίκαμεν. πάλιν τὸ ἀτιμάζεσθαι καὶ εὐκαταφρόνητον εἶναι καὶ πάσης ἐκτὸς δυναστείας, δοκεῖ τοῖς πολλοῖς ὁμοίως εἶναι αἰσχύνης καὶ εὐτελείας πολλῆς. τοῦτο πάλιν φεύγομεν, οὐκ αὐτοῦ καταγινώσκοντες, ἀλλὰ διὰ τὴν τῶν δεσποτῶν ἡμῶν ψῆφον. πάλιν καὶ ἐκ τοῦ ἐναντίου τὴν αὐτὴν ὑπομένομεν λύμην. τὸ γὰρ πλουτεῖν, ἀγαθὸν εἶναι δοκεῖ, καὶ ὁ τῦφος, καὶ αἱ δόξαι, καὶ τὸ περίβλεπτον εἶναι· καὶ τοῦτο πάλιν διώκομεν, οὐδὲ ἐνταῦθα τὴν τῶν πραγμάτων ἐπισκεψάμενοι φύσιν ὅτι καλὴ,

[a] Sic reg. Morel. vero, ἀρκοῦντος πρὸς ἐπίδειξιν.

A Quemadmodum enim qui in parvo theatro decertant, magnum quærunt, quasi illud non sufficiat ad ostentationem; sic & ii qui ante Dei oculos decertant, deindeque laudem hominum quærentes, & majorem dimittentes ut minorem assequantur, magnum sibi attrahunt supplicium. Hoc ergo omnia sus deque vertit, hoc orbem totum turbavit, quod ad homines respicientes omnia faciamus: & in bonis nihil esse ducamus quod Deum habeamus laudatorem; sed a conservis quæramus famam & gloriam: & in contrariis rursum Deo despecto, homines B formidemus. Atqui ipsi nobiscum stabunt ante tribunal illud, nihil nos juvantes; Deus autem, quem jam despicimus, sententiam in nos feret. Attamen cum hæc sciamus, ad homines inhiamus: quod est primum peccatum: homineque vidente fornicari nemo voluerit; sed etiamsi vitio illo ardeat, affectus illius tyrannis ab hominum reverentia vincitur. Deo autem vidente non modo in adulteria & in fornicationes prorumpunt; sed & alia longe graviora audent & ausi sunt. An hoc ergo solum non sufficit ut mille fulmina de cælo inferantur? Et quid dico C adulteria & fornicationes? nam his longe minora ante homines perpetrare metuimus, sed Deo vidente non item. Hinc parta sunt mala omnia, quod in tam pravis rebus non Deum sed homines revereamur. Ideoque etiam ea quæ vere bona sunt, quæque multis non bona esse videntur, fugimus, non rerum naturam examinantes, sed ad vulgi gloriam respicientes.

4. In malis quoque idipsum præstamus: quædam enim quæ vere bona non sunt, sed talia videntur esse multis, ex eadem consuetudine ut bona persequimur; ita ut D utrinque corrumpamur. Fortasse multis obscurius esse videtur id quod dictum est: necesse ergo est id clarius explanare. Cum fornicamur; oportet enim a jam dictis incipere; homines magis timemus, quam Deum. Quia igitur nos sic eis subjecimus, illosque dominos nostros constituimus; multa alia his dominis esse mala videntur, quæ mala non sunt, & illa similiter fugimus. Exempli causa, in paupertate vivere multis turpe esse videtur: & paupertatem fugimus; non quod turpis sit, nec quod turpem credamus; sed quia dominis nostris esse turpis videtur, E & illos timemus. Rursus inhonorari & contemni, nullamque habere potestatem, a multis turpe & vilissimum existimatur; hoc rursum fugimus, non rem damnantes, sed propter dominorum nostrorum sententiam. Rursum e contrario eamdem patimur perniciem: nam divitem esse, bonum esse videtur, itemque fastus, & gloria, & claritas: & hoc rursum persequimur; non rerum naturam ut bonam respicientes,

sed ex opinione dominorum nostrorum persuasi. Dominus quippe noster est populus: & vulgi turba dominus est, sævus immanisque tyrannus. Neque enim opus est ut imperet, ut ei obsequamur; sed satis est si nos quid illi placeat sciamus, & sine jussu paremus, tanta utimur erga illum benevolentia. Et Deus quidem quotidie minas intentans & admonens, non auditur, turba autem incomposita, fex hominum, ne mandato quidem opus habet; sed satis est ut indicet quid sibi placeat, & statim in omnibus ipsi obsequimur. Et quomodo, inquies, hosce dominos effugere quis possit? Si majorem, quam illi, sensum assumat, si rerum naturam spectet, si vulgi calculum despiciat; si ante alia omnia, in iis quæ vere turpia sunt seipsum ita instituat, ut non homines, sed insomnem illum oculum metuat, & in bonis rursum coronas ab illo quærat. Ita enim neque in aliis hominum auram feremus. Nam qui cum recte agit, ne dignos quidem censet illos, qui sua recte facta norint, sed Dei calculo contentus est, neque in contrariis aliquam eorum rationem habebit. Et quomodo, inquies, hoc ipsum erit? Cogita quid sit homo, quid sit Deus, & quo dimisso ad quem confugias, & cito totum corriges. Homo tecum eidem peccato subjacet, eidem judicio, eidem supplicio: homo vanitati similis factus est, rectum judicium non habet, & superna eget correctione: homo terra & cinis; si laudet, sæpe temere laudabit, aut ad gratiam, aut ex odio; si calumnietur & accuset, rursus eodem animo id facit. At non ita Deus; sed irreprehensibilis est ejus calculus, & purum judicium illius. Ideoque oportet semper ad illum confugere; neque ideo tantum, sed quia etiam ipse te fecit, & plus quam omnes tibi parcit, magisque te amat, quam tu ipse te ames. Cur ergo tam mirabili misso laudatore ad hominem confugimus qui nihil est, qui frustra & temere omnia facit? Malum te dicit & scelestum, cum talis non sis? Illa de causa magis illum miserare & defle, quia corruptus est, ejusque gloriam contemne, quia ejus mentis oculi excæcati sunt. Nam & apostoli hæc audierunt, & illos se calumniantes irriserunt. At te bonum & utilem dicit? Si talis quidem sis, nullo modo a tali gloria emolliaris; si non talis sis, magis despice, & rem esse risu dignam puta. Vis scire quam corrupta sint vulgi judicia, quam inutilia, quam ridicula; & alia quidem furentium & mente captorum; alia vero infantium lactentium? audi ut fuerint jam olim. Judicia vero tibi proferam, non populi tantum, sed eorum qui sapientissimi esse videbantur, quique legislatores fuerunt. Quis enim apud vulgus sapientior videri possit eo, qui dignus habitus est, ut civitatibus & populis leges poneret? Attamen hisce sapientibus fornicari nihil videtur esse mali, nec punitione

Hominum laudes non quærendæ, sed Dei.

A ἀλλ᾽ ἀπὸ τῆς δόξης τῶν δεσποτῶν ἡμῶν πεπεισμένοι. δεσπότης γὰρ ἡμῶν ὁ δῆμός ἐστι· καὶ ὁ πολὺς ὄχλος δεσπότης ὠμὸς καὶ τύραννος χαλεπός. οὐδὲ γὰρ ἐπιταγῆς αὐτῷ δεῖ πρὸς τὸ ἀκολουθῆσαι παρ᾽ ἡμῶν, ἀλλ᾽ ἀρκεῖ μόνον ἡμᾶς εἰδέναι τί βούλεται, καὶ χωρὶς ἐπιτάγματος εἴκομεν· τοσαύτῃ εὐνοίᾳ περὶ αὐτὸν κεχρήμεθα. καὶ ὁ μὲν θεὸς καθ᾽ ἑκάστην ἀπειλῶν καὶ νουθετῶν τὴν ἡμέραν, οὐκ ἀκούεται· ὁ δὲ πολὺς ὄχλος, καὶ ἄτακτος, καὶ συρφετώδης οὐδὲ ἐπιταγῆς χρείαν ἔχει, ἀλλ᾽ ἀρκεῖ μόνον δεῖξαι τίσιν ἀρέσκεται, καὶ πάντα ὑπακούομεν εὐθέως. καὶ πῶς ἄν τις τούτους, φησὶν, ἀποφύγῃ τοὺς δεσπότας; B εἰ μεῖζον αὐτῶν φρόνημα λάβοι, εἰ τὴν τῶν πραγμάτων ἐπισκέψαιτο φύσιν, εἰ καταγνοίη τῆς τῶν πολλῶν ψήφου, εἰ πρὸ τῶν ἄλλων ἁπάντων ἐν τοῖς ὄντως αἰσχροῖς παιδεύσει ἑαυτὸν μὴ ἀνθρώπους, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν δεδοικέναι, καὶ ἐν τοῖς ἀγαθοῖς πάλιν τοὺς παρ᾽ ἐκείνου στεφάνους ζητεῖν. οὕτω γὰρ οὐδὲ ἐν τοῖς ἄλλοις αὐτῶν ἀνεξόμεθα. ὁ γὰρ, ἡνίκα ἂν κατορθοῖ, μὴ ἀξίους κρίνας ἐκείνους εἰδέναι αὐτοῦ τὰ κατορθώματα, ἀλλ᾽ ἀρκούμενος τῇ τοῦ θεοῦ ψήφῳ, οὐδὲ ἐν τοῖς ἐναντίοις λόγον αὐτῶν ἕξει τινά. καὶ πῶς αὐτὸ C τοῦτο ἔσται, φησίν; ἐννόησον τί μὲν ἄνθρωπος, τί δὲ θεὸς, καὶ τίνα ἀφεὶς τίνι προσφεύγεις· καὶ ταχέως διορθώσῃ τὸ πᾶν. ἄνθρωπος ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν σοι κεῖται, καὶ τὴν κρίσιν, καὶ τὴν κόλασιν· ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ κρίσιν ὀρθὴν οὐκ ἔχει, καὶ δεῖται τῆς ἄνωθεν διορθώσεως· ἄνθρωπος γῆ καὶ σποδὸς, κἂν ἐπαινέσῃ, πολλάκις ἁπλῶς ἐπαινέσεται, ἢ πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν· κἂν διαβάλῃ καὶ κατηγορήσῃ, πάλιν ἀπὸ τῆς αὐτῆς τοῦτο ἐργάσεται γνώμης. ἀλλ᾽ οὐχ ὁ θεὸς οὕτως· ἀλλ᾽ ἀνεπίληπτος ἡ ψῆφος αὐτοῦ, καὶ καθαρὰ ἡ κρίσις αὐτοῦ. καὶ χρὴ διὰ ταῦτα ἀεὶ πρὸς D αὐτὸν καταφεύγειν· οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλ᾽ ὅτι καὶ αὐτὸς ἐποίησε, καὶ φείδεταί σου μάλιστα πάντων, καὶ αὐτοῦ σου μᾶλλόν σε ἀγαπᾷ. τί τοίνυν ἀφέντες ἔχειν θαυμαστὸν ἐπαινέτην, πρὸς ἄνθρωπον καταφεύγομεν, τὸν οὐδὲν, τὸν εἰκῇ, τὸν ἁπλῶς; πονηρόν σε λέγει καὶ μιαρὸν οὐκ ὄντα τοιοῦτον; ταύτῃ μᾶλλον αὐτὸν ἐλέησον, καὶ δάκρυσον ὅτι διέφθαρται· καὶ καταφρόνησον αὐτοῦ τῆς δόξης, ὅτι πεπήρωται αὐτοῦ τὰ τῆς διανοίας ὄμματα. ἐπεὶ καὶ οἱ ἀπόστολοι ταῦτα ἤκουσαν, καὶ κατεγέλων τῶν διαβαλλόντων. ἀλλ᾽ ἀγα- E θόν σε λέγει, καὶ χρηστόν; ἂν μὲν τοιοῦτος ᾖς, μηδόλως χαυνωθῇς ὑπὸ τῆς δόξης· ἂν δὲ μὴ ᾖς τοιοῦτος, πλέον καταφρόνησον, καὶ χλευασίαν τὸ πρᾶγμα εἶναι νόμιζε. βούλει μαθεῖν τῶν πολλῶν τὰς κρίσεις, πῶς εἰσὶ διεφθαρμέναι, καὶ ἄχρηστοι, καὶ γέλωτος ἄξιαι, καὶ αἱ μὲν μεμηνότων καὶ ἐξεστηκότων, αἱ δὲ παίδων ὑποτιτθίων; ἄκουσον ἄνωθεν. ἐρῶ δέ σοι κρίσεις οὐχὶ τὰς τοῦ δήμου μόνον, ἀλλὰ καὶ τὰς τῶν δοκούντων εἶναι σοφωτάτων, τῶν ἐξ ἀρχῆς νομοθετῶν. τίς γὰρ ἂν δόξειε παρὰ τοῖς πολλοῖς σοφώτερος εἶναι τοῦ νομοθέντος ἀξίου πόλεσι καὶ δήμοις νομοθετεῖν; ἀλλ᾽ ὅμως τοῖς σοφοῖς τούτοις τὸ πορνεύειν οὐδὲν εἶναι δοκεῖ πονηρὸν, οὐδὲ κολάσεως ἄξιον.

A οὐδεὶς γοῦν τῶν νόμων τῶν ἔξωθεν αὐτὸ ἐκόλασεν, οὐδὲ εἰς δικαστήριον εἵλκυσεν ἐντεῦθεν· ἀλλὰ κἂν ἑλκύσῃ τις ὑπὲρ τούτων, καταγελῶσιν οἱ πολλοὶ, [a] καὶ οὐκ ἀνέξεται ὁ δικάζων. τὸ κυβεύειν πάλιν τῆς παρ' αὐτῶν τιμωρίας ἐστὶν ἐλεύθερον, καὶ οὐδεὶς ὑπὲρ τούτων δίκην ἔδωκέ ποτε παρ' ἐκείνοις. τὸ μεθύειν, καὶ τὸ γαστρίζεσθαι, [b] οὐ μόνον οὐκ ἔστιν ἔγκλημα, ἀλλὰ καὶ κατόρθωμα παρὰ πολλοῖς εἶναι νενόμισται. καὶ ἐν τοῖς στρατιωτικοῖς δείπνοις πολλή ἡ τοῦ πράγματος ἅμιλλα, καὶ οἱ μάλιστα σωφρονούσης διανοίας καὶ σώματος ἐῤῥωμένου δεόμενοι, οὗτοι μάλιστα τῇ τυραννίδι παραδέδονται τῆς μέθης, καὶ τὸ B σῶμα παραλύοντες, καὶ τὴν ψυχὴν σκοτοῦντες. καὶ τῶν νομοθετῶν οὐδεὶς τοῦτο ἐκόλασε τὸ ἁμάρτημα.

Τί ταύτης τῆς μανίας χεῖρον; τῆς οὖν εὐφημίας τῶν οὕτω διακειμένων ἀνθρώπων ἐπιθυμεῖς, καὶ οὐ κατορύττεις σαυτόν; εἰ γὰρ καὶ πάντες σε ἐθαύμαζον οἱ τοιοῦτοι, οὐκ ἐχρῆν αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι, παρὰ ἀνθρώπων οὕτω διεφθαρμένων τὰς κρίσεις κροτούμενον; πάλιν βλασφημία τοῖς νομοθέταις [c] οὐδὲν εἶναι δοκεῖ φοβερόν. οὐδεὶς γοῦν τὸν Θεὸν βλασφημήσας, εἰς δικαστήριον εἱλκύσθη καὶ δίκην δέδωκεν. ἀλλ' ἐὰν μὲν τὸ ἱμάτιόν τις κλέψῃ, ἢ βαλάντιον διατέμῃ, καὶ τὰς πλευρὰς διορύττεται καὶ θανάτῳ C παραδίδοται πολλάκις· ὁ δὲ τὸν Θεὸν βλασφημῶν, οὐκ ἐγκαλεῖται παρὰ τῶν ἔξω νομοθετῶν. κἂν δούλην προσφθείρῃ τις γυναῖκα ἔχων, οὐδὲν εἶναι δοκεῖ τοῖς νόμοις τοῖς ἔξωθεν, οὐδὲ τοῖς πολλοῖς. βούλει καὶ ἕτερα πάλιν ἀκοῦσαι δεικνύντα αὐτῶν τὴν ἄνοιαν; ταῦτα μὲν γὰρ οὐ κολάζουσιν, ἕτερα δὲ καὶ νομοθετοῦσιν αὐτοί. τίνα οὖν εἰσὶν ἐκεῖνα; θέατρα συνάγουσι, καὶ πορνῶν ἐκεῖ γυναικῶν χοροὺς εἰσάγοντες καὶ παῖδας πεπορνευμένους καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνυβρίζοντας, καθίζουσι τὸν δῆμον ἄνω πάντα, οὕτω τὴν πόλιν ψυχαγωγοῦντες, οὕτω τοὺς μεγάλους ἐκείνους βασιλέας, οὓς D ἀεὶ θαυμάζουσιν ἐπὶ τροπαίοις καὶ νίκαις, στεφανοῦντες. καίτοιγε τί τῆς τιμῆς ταύτης ψυχρότερον; τί τῆς ἡδονῆς ἐκείνης ἀηδέστερον; ἐκ τούτων οὖν ἐπαινέτας ζητεῖς τῶν ἔργων τῶν σῶν; καὶ μετὰ ὀρχηστῶν, καὶ μαλακῶν, καὶ μίμων, καὶ πορνῶν γυναικῶν εὐφημίας ἀπολαύειν θέλεις; εἰπέ μοι; καὶ πῶς οὐκ ἂν εἴη ταῦτα παρανοίας ἐσχάτης; ἡδέως γὰρ ἂν αὐτοὺς ἐροίμην· δεινὸν τοὺς τῆς φύσεως ἀνατρέπεσθαι νόμους, καὶ παρανόμους εἰσάγεσθαι μίξεις; πάντες ἐροῦσιν, ὅτι δεινόν. δοκοῦσι γοῦν καὶ κολάζειν τὸ ἀνόμημα τοῦτο. τί οὖν τοὺς ἡταιρηκότας ἐκείνους εἰσάγεις; καὶ E οὐκ εἰσάγεις μόνον, ἀλλὰ καὶ τιμᾷς μυρίαις καὶ ἀφάτοις δωρεαῖς; ἀλλαχοῦ τοὺς τὰ τοιαῦτα τολμῶντας κολάζων, ἐνταῦθα δὲ, καὶ ὡς εὐεργέταις κοινοῖς τῆς πόλεως, καὶ χρήματα ἀναλίσκεις, καὶ ἐκ τῶν δημοσίων αὐτοὺς τρέφεις δαπανημάτων. ἀλλ' ἄτιμοι, φησὶν, εἰσί. τί οὖν αὐτοὺς παιδοτριβεῖς; τί οὖν διὰ τῶν ἀτίμων τοὺς βασιλέας τιμᾷς; τί δὲ τὰς πόλεις ἐκτραχηλίζεις; τί δὲ εἰς αὐτοὺς τοσαῦτα δαπανᾷς; εἰ γὰρ ἄτιμοί εἰσιν, ἀπελαύνεσθαι ἐχρῆν τοὺς ἀτίμους. τίνος γὰρ ἕνεκεν ἀτίμους εἰργάσω; ὡς ἐπαινῶν, ἢ ὡς κατεγνωκώς;

dignum. Nulla enim externa lex fornicatores ulta est, neque hac de causa ad judicium traxit: sed etiamsi quis eo trahatur, multi irrident, & judex id non patitur. Alea ludere rursus apud illos supplicio liberum est, & nemo hac de causa pœnas dedit. Inebriari & ingurgitari cibo, non modo crimen non est, sed recte factum a multis putatum fuit: & in cœnis militaribus, multa ea de re est concertatio, & qui maxime egent sana mente & robusto corpore, hi maxime ebrietatis tyrannidi se dedunt, & corpus dissolventes & animam tenebris offundentes; nullusque legislator hoc vitium punivit.

5. Quid hac insania pejus? An ergo laudes hominum, qui sic affecti sunt, requiris, & non teipsum defodis? Si enim omnes ejusmodi homines te laudarent, annon oporteret erubescere & pudore suffundi plaudentibus hominibus, quorum judicia ita corrupta sunt? Rursus blasphemia legislatoribus non terribile quidpiam esse videtur. Nemo enim qui in Deum blasphemarit, ad tribunal raptatus fuit & pœnas dedit. Sed si quis vestem furetur, aut crumenam dissecet, & latera ipsi lacerantur, & sæpe morte mulctatur. Qui autem in Deum blasphemat, non accusatur apud externos legislatores. Et si quis uxorem habens ancillam vitiet, id nihil apud externas leges & apud multos esse videtur. Vis alia quoque audire quæ ipsorum insaniam ostendant? nam hæc quidem non puniunt, sed alias leges statuunt. Quasnam? theatra colligunt, illoque meretricum choros inducunt, & pueros corruptos, qui naturam contumelia afficiunt, populum totum in superiore loco sedere jubent, sic civitatem recreantes: sic magnos illos reges, quos semper celebrant ob tropæa atque victorias, coronantes. Verum quid est hoc honore frigidius? Quid hac voluptate ingratius? Ex hisne quæris gestorum tuorum laudatores? Et cum saltatoribus, mollibus, mimis ac meretricibus, vis, quæso te, laude frui? Et quomodo non fuerint hæc extremæ dementiæ? Libenter enim illos interrogarem: Indignum-ne est naturæ leges evertere, & nefarios inducere coitus? Dicent omnes rem esse indignam: videntur enim hoc punire flagitium; cur ergo cinædos illos inducis, nec modo inducis, sed etiam innumeris & ineffabilibus donas muneribus? Cum alibi eos qui talia audent punias, hic quasi communes civitatis beneficos insumtis pecuniis, publico sumtu ipsos alis. At, inquies, infames sunt. Cur ergo illos instituis? Cur per infames illos reges honoras? Cur civitates enecas? cur per illos tanta impendis? Nam si infames sunt, expelli debent. Cur ergo illos infames fecisti? an ut laudans, an ut condemnans?

Theatrorum ratio.

a Reg. καὶ ὅμως ἀνέχεται ὁ δικάζων.
b Reg. οὐ μόνον οὐ δοκεῖ ἐγκ-

c Ita reg. Editi vero, οὐδὲν εἶναι φοβερόν.

Ut condemnans utique. Ergo-ne ut condemnans infames facis, & ut honorabiles illos visurus accurris, miraris, laudas, applaudis? Quid opus est dicere de fallaciis quæ in hippodromis & in pugnis ferarum admittuntur? Hæc quippe omni stupore sunt plena, docentque assidue populum esse immisericordem, sævum & inhumanum: exercetque ad videndum homines discerptos, sanguinem effusum, & ferarum immanitatem omnia confundentem. Et hos omnes morbos sapientes illi legislatores ab initio induxerunt, plaudentibus ac mirantibus civitatibus. Sed, si placet, his omissis quæ aperte, ut in confesso est, absurda sunt, licet sic non visum sit externis legislatoribus; ad honoranda præcepta veniamus, & videbis etiam illa ex multorum opinione corrupta fuisse. Connubium enim res honorabilis esse videtur & nobis & externis: & est vere honorabile. Sed postquam nuptiæ celebratæ sunt, tot ridiculæ res accidunt, quot post hæc audituri estis. Nam ex consuetudine multi occupati ac decepti, earum absurditatem non norunt, sed egent aliis qui illos doceant. Etenim choreæ, cymbala, tibiæ, verba canticaque turpia, temulentiæ, comessationes, multaque diaboli colluvies tunc inducitur. Et scio quidem me ridiculum videri, quod hæc reprehendam, & vulgo stolidum existimari, qui veteres leges transmoveam: nam, ut supra dixi, ex consuetudine magna deceptio paritur: attamen hæc dicendi finem non faciam. Fortasse enim, fortasse, etsi non omnes, pauci tamen nos excipient, & malent nobiscum derideri, quam cum illis nos deridere; risu certe lacrymis digno, magnisque pœnis atque suppliciis. Quomodo enim non fuerit extrema damnatione dignum, virginem quæ perpetuo vixerat in thalamo, quæque a prima ætate verecundiam didicerat, derepente cogi ad deponendum pudorem, & nuptiarum initio impudentiam doceri, & a lascivis petulantibusque viris, fornicatoribus & mollibus in medium produci? Quod enim malum in nova sponsa non inseretur ab illo die? Impudentia, petulantia, inverecundia, vanæ gloriæ amor. Volet enim dies omnes habere his similes. Hinc mulieres profusæ & sumtuosæ fiunt, hinc impudentes, hinc ipsis mala innumera. Neque mihi dicas consuetudinem. Nam si malum est, ne semel quidem fiat; si bonum, semper fiat. Dic enim mihi, fornicatio nonne mala est? An ergo concedemus illam semel exerceri? Nequaquam? Quare? Quia etiamsi semel tantum fiat, mala tamen est. Itaque si novam sponsam sic oblectari malum est, ne semel quidem fiat; si bonum est, semper fiat.

Hippodromus & pugnæ ferarum quales.

A δηλονότι ὡς καταγνωκώς. εἶτα ὡς μὲν καταγνωκὼς, ἀτίμους ποιεῖς, ὡς δὲ ἐντίμους τρέχεις ὀψόμενος, καὶ θαυμάζεις, καὶ ἐπαινεῖς, καὶ κροτεῖς; τί δεῖ λέγειν τὰς μαγγανείας τὰς ἐν ταῖς ἱπποδρομίαις; τὰς ἐν ταῖς τῶν θηρίων ἁμίλλαις; πάσης γὰρ καὶ ἐκεῖνα παραπληξίας μεστὰ, παιδεύει τὸν δῆμον συνεχῶς ἀνηλεῆ τινα ἔχειν καὶ ὠμὸν καὶ ἀπάνθρωπον [a] τρόπον· καὶ γυμνάζει ὁρᾷν ἀνθρώπους σπαραττομένους, καὶ αἷμα καταῤῥέον, καὶ θηρίων ὠμότητα πάντα συγχέουσαν. καὶ ταῦτα πάντα οἱ σοφοὶ νομοθέται ἐξ ἀρχῆς ἐπεισήγαγον τὰ νοσήματα, καὶ κροτοῦσιν αἱ B πόλεις καὶ θαυμάζουσιν. ἀλλ', εἰ βούλει, ταῦτα ἀφέντες, ἃ φανερῶς μὲν καὶ ὁμολογουμένως εἰσὶν ἄτοπα, τοῖς δὲ ἔξωθεν νομοθέταις οὐκ ἔδοξεν, ἐπὶ τὰ σεμνὰ προστάγματα ἔλθωμεν, καὶ ὄψει καὶ ταῦτα ἀπὸ τῆς τῶν πολλῶν δόξης διεφθαρμένα. ὁ γὰρ γάμος πρᾶγμα τίμιον εἶναι δοκεῖ καὶ ἡμῖν καὶ τοῖς ἔξωθεν. καὶ ἔστι τίμιον· ἀλλὰ γάμων τελουμένων, τοσαῦτα καταγέλαστα γίνεται πράγματα, ὅσα αὐτίκα ἀκούσεσθε. ὑπὸ γὰρ τῆς συνηθείας οἱ πολλοὶ κατεχόμενοι καὶ παραλογιζόμενοι, οὐδὲ διαγινώσκουσιν αὐτῶν τὸ ἄτοπον, ἀλλ' ἑτέρων δέονται τῶν διδασκόν- C των. καὶ γὰρ χορεῖαι, καὶ κύμβαλα, καὶ αὐλοὶ, καὶ ῥήματα, καὶ ᾄσματα αἰσχρὰ, καὶ μέθαι, καὶ κῶμοι, καὶ πολὺς ὁ τοῦ διαβόλου τότε ἐπεισάγεται φορυτός. καὶ οἶδα μὲν ὅτι δόξω καταγέλαστος εἶναι τούτων ἐπιλαμβανόμενος, καὶ πολλὴν ὀφλήσω παρὰ τοῖς πολλοῖς ἄνοιαν, τοὺς παλαιοὺς νόμους μετακινῶν· ὅπερ γὰρ ἔφθην εἰπὼν, πολὺς τῆς συνηθείας ὁ παραλογισμός· ἀλλ' ὅμως οὐ παύσομαι ταῦτα λέγων. ἴσως γὰρ, ἴσως, κἂν μὴ πάντες, ἀλλ' ὀλίγοι τινὲς ἡμᾶς ἀποδέξονται, καὶ αἱρήσονται καταγελᾶσθαι μεθ' ἡμῶν, ἢ γελᾷν ἡμᾶς μετ' D ἐκείνων γέλωτα δακρύων ἄξιον καὶ πολλῆς κολάσεως καὶ τιμωρίας. πῶς γὰρ οὐκ ἂν εἴη τῆς ἐσχάτης καταγνώσεως ἄξιον, παρθένον θαλαμευθεῖσαν διόλου, καὶ μαθοῦσαν αἰδεῖσθαι ἀπὸ τῆς πρώτης ἡλικίας, ἀθρόον ἀναγκάζειν ἅπασαν ἐκχεῖν τὴν αἰδῶ, καὶ ἐκ προοιμίων τοῦ γάμου τὴν ἀναισχυντίαν παιδεύειν, καὶ ἀσελγέσι καὶ ἀσέμνοις ἀνδράσι καὶ πόρνοις καὶ μαλακοῖς εἰς μέσον αὐτὴν παρατιθέναι; ποῖον γὰρ οὐ φυτευθήσεται τῇ νύμφῃ κακὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης; ἀναισχυντία, ἰταμότης, ἀναίδεια, δόξης ἔρως ἀτόπου. καὶ γὰρ ἐθελήσουσι E τὰς ἡμέρας δὴ πάσας τοιαύτας ἔχειν. ἐντεῦθεν πολυτελεῖς αἱ γυναῖκες [b] γίνονται καὶ δαπανηραὶ, ἐντεῦθεν ἀναιδεῖς, ἐντεῦθεν αὐταῖς τὰ μυρία κακά. καὶ μή μοι λέγε τὴν συνήθειαν. εἰ μὲν γὰρ πονηρὸν, μηδὲ ἅπαξ γινέσθω· εἰ δὲ ἀγαθὸν, ἀεὶ γινέσθω. εἰπὲ γάρ μοι, τὸ πορνεύειν οὐ πονηρόν; ἆρα οὖν συγχωρήσομεν καθάπαξ τοῦτο γενέσθαι; οὐδαμῶς. διὰ τί; ὅτι κἂν ἅπαξ γένηται, πονηρόν ἐστιν ὁμοίως. ὥστε καὶ τὸ φαιδρύνεσθαι τὴν νύμφην οὕτως, εἰ μέν ἐστι πονηρὸν, μηδὲ ἅπαξ γινέσθω· εἰ δὲ οὐ πονηρὸν, καὶ ἀεὶ γινέσθω.

a τρόπον deest in editis, sed habetur in regio codice recte.

b γίνονται in regio cod. habetur, in editis deest.

A Τί οὖν, φησί, διαβάλλεις τὸν γάμον, εἰπέ μοι; μὴ γένοιτο. οὐχ οὕτω μαίνομαι, ἀλλὰ τὰ κακῶς ἐπισυρόμενα τῷ γάμῳ, τὰ ἐπιτρίμματα, τὰς ὑπογραφὰς, τὴν ἄλλην περιεργίαν ἅπασαν. καὶ γὰρ πολλοὺς ἀπὸ τῆς ἡμέρας ἐκείνης λήψεται τοὺς ἐραστὰς καὶ πρὸ τοῦ μέλλοντος αὐτῇ συνοικεῖν. ἀλλὰ πολλοὶ θαυμάσονται τὴν γυναῖκα τῆς ὥρας. καὶ τί τοῦτο; ἂν μὲν γὰρ σώφρων ᾖ, μόλις διαφεύξεται τὴν πονηρὰν ὑποψίαν· εἰ δὲ ἠμελημένη, ταχέως καὶ ἁλώσεται, ἀφορμὴν ἀσελγείας λαβοῦσα τὴν ἡμέραν ἐκείνην. ἀλλ' ὅμως τοσούτων ὄντων κακῶν, ὅταν μὴ ταῦτα γένηται, ὕβριν τὸ B πρᾶγμα καλοῦσιν οἱ βοσκημάτων οὐδὲν ἀμείνους, καὶ δεινὸν ποιοῦνται τὸ μὴ πολλοῖς φαίνεσθαι τὴν γυναῖκα, μηδὲ προκεῖσθαι θέατρον κοινὸν τοῖς ὁρῶσι. καίτοιγε ὕβριν ἐχρῆν νομίζειν τὰ γινόμενα, καὶ γέλωτα, καὶ κωμῳδίαν· ἐπεὶ καὶ νῦν οἶδα ὅτι * πολλὴν ἄνοιαν καὶ γέλωτα ἡμῶν καταγνώσονται. ἀλλ' οἴσω τὸν γέλωτα, ὅταν τι γένηται κέρδος. καὶ γὰρ ἂν εἴην καταγέλαστος, εἰ παραινῶν τῆς τῶν πολλῶν δόξης καταφρονεῖν, αὐτὸς πρὸ τῶν ἄλλων χειρωθείην τῷ πάθει. ἰδὲ τὰ ἐντεῦθεν λοιπόν· οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν ἑσπέρᾳ μεθύοντας ἄνδρας καὶ κεκαρωμένους καὶ πεπυρωμένους ὑπὸ τῆς [a] τρυ- C φῆς, οἳ κάλλος ὄψεως ὁρᾷν παρασκευάζουσι παρθενικῆς. καὶ οὐδὲ ἐπὶ τῆς οἰκίας, ἀλλὰ καὶ διὰ τῆς ἀγορᾶς εἰς ἐπίδειξιν ἐκπομπεύουσι, μετὰ λαμπάδων αὐτὴν παραπέμποντες ἐν ἑσπέρᾳ βαθείᾳ, ὡς πᾶσιν αὐτὴν ἐπιδείκνυσθαι, δι' ὧν ποιοῦσιν οὐδὲν ἕτερον παραινοῦντες, ἢ ὅτι πᾶσαν ἀποδύσασθαι χρὴ λοιπὸν τὴν αἰδῶ. καὶ οὐδὲ μέχρι τούτων ἵστανται, ἀλλὰ μετὰ αἰσχρῶν ῥημάτων αὐτὴν ἄγουσι, καὶ τοῦτο νόμος ἐστὶ παρὰ τοῖς πολλοῖς. καὶ δραπέται καὶ μαστιγίαι μυρίοι τινὲς καὶ ὀλέθριοι, μετὰ ἀδείας λοιπὸν ἅπαντα φθέγγονται ἅπερ ἂν βούλωνται, εἴς τε ἐκείνην, εἴς τε τὸν ἐκείνῃ συνοικεῖν μέλλοντα· καὶ σεμνὸν μὲν οὐδὲν, πάντα δὲ αἰσχρὰ καὶ ἀσχημοσύνης D γέμοντα. καλὴν δὲ οὐχ ἕξει διδασκαλίαν σωφροσύνης ἡ νύμφη, τοιαῦτα μὲν ὁρῶσα, τοιαῦτα δὲ ἀκούουσα, καὶ ἅμιλλά τίς ἐστι διαβολικὴ τῶν τὰ τοιαῦτα παραινούντων ὑπερβάλλεσθαι θατέρους τῇ τῶν ὀνειδῶν καὶ τῇ τῶν αἰσχρῶν ῥημάτων φιλοτιμίᾳ, δι' ὧν καταισχύνουσι τοὺς συνιόντας, κἀκεῖνοι νικήσαντες ἀπῆλθον, ὅσοι πλείονα τὰ ὀνείδη καὶ μείζονα τὰ αἰσχρὰ προσέρριψαν. καὶ οἶδα μὲν ὅτι φορτικός τίς εἰμι καὶ ἐπαχθὴς καὶ δύσκολος, ὡς ἡδονήν τινα περικόπτων τοῦ βίου. διὰ γὰρ τοῦτο πενθῶ, ὅτι τὰ ἀηδῆ, ἡδονή τις εἶναι νενόμισται. πῶς γὰρ οὐκ ἀηδὲς, E εἰπέ μοι, τὸ ὑβρίζεσθαι καὶ λοιδορεῖσθαι; τὸ παρὰ πάντων ἀτιμάζεσθαι μετὰ τῆς νύμφης; κἂν μὲν εἷς τις τῆς ἀγορᾶς τὴν συνοικοῦσαν εἴπῃ κακῶς, μυρία κινεῖς πράγματα, καὶ ἀβίωτον εἶναι τὸν βίον νομίζεις· τῆς δὲ πόλεως παρούσης ἁπάσης ἀσχημονῶν μετὰ τῆς συνοικεῖν μελλούσης, χαίρεις καὶ καλλωπίζῃ; καὶ πόσης ταῦτα μανίας; ἀλλὰ συνήθεια τὸ πρᾶγμά ἐστι, φησί. διὰ γὰρ τοῦτο θρηνεῖν μάλιστα ἄξιον, ὅτι ἐν συνηθείᾳ τὸ πρᾶγμα κατέκλεισεν ὁ διάβολος.

* Forte πολλοί.

[a] Reg. τρυφῆς εἰς κάλλος, forte melius.

6. Quid igitur, quæso te, inquies, nuptias-ne incusas? Absit, non ita insanio; sed ea quæ in nuptias advecta sunt, pigmenta, fucum, & superflua alia ejusdem generis. Nam sic multos ab illo die attrahet amatores, antequam cum sponso coeat. Sed multi mulieris speciem mirabuntur. Et quid tum? Etiamsi casta fuerit, vix effugiet malam suspicionem; sin negligens fuerit, cito capietur, accepta, ab illo die, libidinis occasione. Attamen cum tanta hinc mala oriantur, contumeliam rem istam vocant illi qui pecoribus non meliores sunt, & indignam rem putant, si mulier illa multis non producatur, neque commune theatrum spectantibus prostet. Atqui oportuit existimare illa consueta, contumeliam, risum & comœdiam inferre. Nam nunc quoque scio fore ut multi nos ut stultos & risu dignos improbent: sed irrideri patiar, dum hinc aliquid lucri referatur. Etenim ridiculus essem, si dum hortor ut vulgi gloria despiciatur, ipse ante alios hoc morbo caperer. Vide quæ hinc deinceps sequantur; non solum interdiu, sed etiam vespere viros ebrios & deliciis incensos, qui ad formam virginei vultus conspiciendam sese apparant, qui non domi tantum, sed etiam per forum ad ostentationem incedunt, cum lucernis illam summo vespere traducentes, ut a cunctis conspiciatur, nihil aliud hinc suadentes, quam ut omnem illa pudorem deinceps ponat. Neque hic gradum sistunt; sed cum turpibus verbis illam ducunt: & hoc quoque in legem transiit apud multos; & fugitivi, verberones innumeri, perniciosi homines cum licentia demum omnia pro libidine proferunt, sive in illam, sive in sponsum cum illa habitaturum; & nihil honestum, sed turpia omnia & obscœnitate plena. Neque probam castitatis doctrinam percipiet sponsa, talia videns, talia audiens. Et certamen quoddam est diabolicum inter eos qui ad talia cohortantur, ut alii alios superent opprobriis & impuris dictis, queis præsentes deturpant: illique victores discedunt, qui probra & magis turpia dicta projecere. Novi quidem me molestum, onerosum & importunum esse, qui vitæ voluptatem quamdam abscindam. Ideoque doleo, quod res tam ingratæ voluptas esse putentur. Quomodo, quæso, non ingratum fuerit, contumeliis & probris affici, & ab omnibus cum sponsa dedecore & ignominia notari? Et si quispiam ex foro conjugi tuæ maledixerit, innumera moves negotia, & non vitalem esse vitam existimas; & civitate tota præsente dum turpiter agis cum futura conjuge, gaudes & te ostentas? Et quantæ hæc sunt insaniæ? At, inquies, hæc ex consuetudine fiunt. Et ideo maxime lugendum, quod rem in consuetudinem concluserit diabolus.

Nuptiarum ritus describitur & damnatur.

Quia enim nuptiæ res sunt honorabilis, quæ genus nostrum conservet & augeat, & multorum sit causa bonorum, dolore affectus malignus ille, & sciens illud propugnaculum esse contra fornicationem, alio ille modo omnem fornicationem inducit. In talibus enim cœtibus multæ virgines dedecore sunt affectæ. Quod si non semper: at interim satis est dæmoni, quod illa verba & improba cantica & sponsam traduxerint, & sponsum cum pompa per forum transmiserint. Deinde quia hæc in vespera fiunt, ne tenebræ malorum horumce velum sint, lucernæ inducuntur multæ, quæ turpitudinem latere non sinunt. Quid enim sibi vult multa illa turba? Quid ebrietas? Quid fistulæ? Nonne palam est hæc adhiberi, ut ne ii quidem qui in domibus sunt, gravi somno obruti, hæc ignorent, sed a fistulis excitati, & superne ex cancellis sese inclinantes, testes sint illius comœdiæ? Quid dixeris de ipsis canticis, quæ omni plena sunt impudicitia, quæque absurdos amores, illegitimos concubitus, domorum eversiones & innumeras inducunt tragœdias, & sæpe nomen dilecti & amantis habent, nomenque dilectæ & amasiæ? Quodque gravius est, his adsunt virgines, quæ omnem exuerunt pudorem, in honorem sponsæ, imo in contumeliam; & salutem suam periculo exponunt, interque juvenes indecore se gerunt, ineptis cantilenis, & verbis turpibus cum satanica symphonia utentes. Adhuc-ne, quæso, interrogas undenam adulteria? unde fornicationes? unde nuptiarum corruptiones? At non ingenuæ, & honestæ, inquies, hoc faciunt. Cur ergo me irrides, cum ipse hanc legem ante me scias? Nam si bona sunt illa, sine illas quoque id agere. Num quia illæ in paupertate vivunt? nonne & ipsæ virgines sunt, illasque castitatis curam habere oportet? Nunc autem saltat virgo in communi theatro impudicorum juvenum, annon, quæso, videtur tibi vel meretrice inhonestior? Quod si dixeris ancillas id facere, neque sic finem facio te accusandi: neque enim illis id oportebat permitti.

7. Omnia enim hinc mala oriuntur, quod familiæ nullam habeamus rationem; sed ad rem despiciendam satis est dicere, servus est, ancillæ sunt; etiamsi quotidie audiant: *In Christo Jesu non servus, non liber est.* Tu vero equum quidem non despicis nec asinum; sed nihil non agis ut ne vitiosi fiant, servos autem despicis eadem qua tu præditos anima? Ecquid dico servos, quando etiam & filios & filias? Quid vero postea? Necesse est ut dolor statim subeat, cum illi omnes pessum eant; sæpe autem maximum quoque damnum, cum in turba & tumultu multa aurea preciosa pereant. Deinde post nuptias si natus fuerit infans,

Gal. 3. 28.

A ἐπεὶ γὰρ ὁ γάμος πρᾶγμά ἐστι σεμνὸν, καὶ τὸ γένος ἡμῶν συγκροτοῦν, καὶ πολλῶν αἴτιον ἀγαθῶν, δακνόμενος ὁ [a] πονηρὸς ἐκεῖνος, καὶ εἰδὼς ὅτι κατὰ τῆς πορνείας ἐπιτετείχισται, ἑτέρως πορνείαν ἐπεισάγει πᾶσαν. πολλαὶ γοῦν ἐν ταῖς τοιαύταις συνόδοις καὶ κατῃσχύνθησαν παρθένοι· εἰ δὲ μὴ πανταχοῦ, ἀλλ' ἀρκεῖ τῷ δαίμονι τέως ἐκεῖνα τὰ ῥήματα καὶ τὰ ᾄσματα ἐκεῖνα τὰ πονηρὰ, καὶ παραδειγματίσαι τὴν νύμφην, καὶ ἐκπομπεῦσαι τὸν νυμφίον διὰ τῆς ἀγορᾶς· εἶτ' ἐπειδήπερ ἐν ἑσπέρᾳ ταῦτα γίνεται, ἵνα μηδὲ τὸ σκότος παραπέτασμα ᾖ τῶν κακῶν B τούτων, ἐπεισάγονται λαμπάδες πολλαὶ οὐκ ἐῶσαι λανθάνειν τὴν ἀσχημοσύνην. τί γὰρ ὁ πολὺς ὄχλος βούλεται; τί δὲ ἡ μέθη; τί δὲ αἱ σύριγγες; οὐκ εὔδηλον ὅτι ἵνα μηδὲ οἱ ἐν ταῖς οἰκίαις ὄντες, καὶ βαπτιζόμενοι ὕπνῳ βαθεῖ, ταῦτα ἀγνοῶσιν, ἀλλ' ὑπὸ τῆς σύριγγος διεγειρόμενοι, καὶ ἄνωθεν ἀπὸ τῶν δρυφάκτων κατακύπτοντες, μάρτυρες γένωνται τῆς κωμῳδίας ἐκείνης; τί ἄν τις εἴποι τὰς ᾠδὰς αὐτὰς, αἳ πάσης γέμουσιν ἀκολασίας, ἔρωτας ἀτόπους καὶ μίξεις παρανόμους καὶ οἰκιῶν ἀνατροπὰς καὶ μυρίας ἐπεισάγουσαι τραγῳδίας, καὶ πολὺ τὸ τοῦ φίλου καὶ ἐρῶντος ὄνομα ἔχουσαι, καὶ τὸ τῆς φίλης C καὶ ἐρωμένης; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ παρθένοι παραγίνονται τούτοις, πᾶσαν ἀποδυσάμεναι τὴν αἰδῶ, εἰς τὴν τῆς νυμφευομένης τιμὴν, μᾶλλον δὲ ὕβριν, καὶ τῆς ἑαυτῶν προτείνουσαι σωτηρίας, καὶ μεταξὺ νέων ἀκολάστων ἀσχημονοῦσαι τοῖς ἀτάκτοις ᾄσμασι, τοῖς αἰσχροῖς ῥήμασι, τῇ σατανικῇ συμφωνίᾳ. ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, πόθεν μοιχεῖαι; πόθεν πορνεῖαι; πόθεν διαφθοραὶ γάμων; ἀλλ' οὐκ εὐγενεῖς οὐδὲ εὐσχήμονες ταῦτα πράττουσι, φησί. πῶς οὖν ἐμοῦ καταγελᾷς, αὐτὸς πρὸ ἐμοῦ τὸν νόμον τοῦτον εἰδώς; εἰ γὰρ καλὰ τὰ γινόμενα, ἔασον κἀκείνας ταῦτα ποιεῖν. D μὴ γὰρ, ἐπειδὴ πενίᾳ συζῶσιν αὗται, οὐχὶ καὶ αὗται παρθένοι εἰσί; καὶ σωφροσύνης ἐπιμελεῖσθαι καὶ αὐτὰς χρή; νῦν δὲ ὀρχεῖται παρθένος ἐν κοινῷ θεάτρῳ νέων [b] ἀκολάστων, εἰπέ μοι, καὶ οὐ δοκεῖ σοι τῆς πόρνης εἶναι ἀτιμοτέρα; εἰ δὲ λέγεις ὅτι θεραπαινίδες ταῦτα ἐργάζονται, οὐδὲ οὕτως ἀφίημί σε τῆς κατηγορίας· οὐδὲ γὰρ ταύταις ἐπιτετράφθαι ἐχρῆν.

Ἀπὸ γὰρ τούτων πάντα τίκτεται τὰ κακὰ, ὅτι τῆς οἰκετίας οὐδένα ποιούμεθα λόγον· ἀλλ' ἀρκεῖ εἰς καταφρόνησιν τὸ εἰπεῖν, ὅτι δοῦλός ἐστι καὶ εἰσὶ θεραπαινίδες· καίτοιγε καθ' ἑκάστην ἡμέραν ἀκούοντες, ὅτι ἐν Χριστῷ Ἰησοῦ E οὐ δοῦλος, οὐκ ἐλεύθερος. σὺ δὲ ἵππου μὲν οὐ καταφρονεῖς οὐδὲ ὄνου, ἀλλὰ πάντα ποιεῖς ὥστε μὴ γενέσθαι φαύλοις· δούλων δὲ τῶν ὁμοψύχων ὑπερορᾷς; καὶ τί λέγω δούλων, ὅπου γε καὶ παίδων, καὶ θυγατέρων; τί δὴ μετὰ ταῦτα; ἀνάγκη λύπην εὐθέως ἐπεισιέναι, πάντων ἐκείνων καταρρυμένων· πολλάκις δὲ καὶ ζημίαν τίκτεσθαι μεγίστην, ἐν τῷ πλήθει καὶ τῷ θορύβῳ πολυτίμων τινῶν ἀπολλυμένων χρυσίων. εἶτα μετὰ τὸν γάμον εἴ ποτε γένοιτο παιδίον,

a Reg. ὁ πονηρὸς δαίμων ἐκεῖνος. Mox Morel. male, μετὰ τῆς πορνείας.

b Post ἀκολάστων reg. addit αἰσχρῶς.

A καὶ ἐνταῦθα πάλιν τὴν αὐτὴν ἄνοιαν ὀψόμεθα, καὶ πολλὰ σύμβολα γέλωτος γέμοντα. καὶ γὰρ ἡνίκα ἂν καλέσαι δέῃ τὸ παιδίον, ἀφέντες ἀπὸ τῶν ἁγίων αὐτὸ καλεῖν, ὡς οἱ παλαιοὶ τὸ πρῶτον ἐποίουν, λύχνους ἅψαντες καὶ ὀνόματα αὐτοῖς ἐπιτιθέντες, [a] τῷ διαρκέσαντι μέχρι πολλοῦ τὸ παιδίον ποιοῦσιν ὁμώνυμον, ἐντεῦθεν πολὺν αὐτὸ στοχαζόμενοι βιώσεσθαι χρόνον. Εἶτα ἐπειδὰν συμβῇ πολλάκις αὐτὸ ἄωρον ὑποστῆναι θάνατον, συμβαίνει δὲ πολλάκις, πολὺς ἕψεται παρὰ τοῦ διαβόλου γέλως, ὅτι ὡσεὶ παῖδας ἀνοήτους διέπαιξε. τί ἄν τις εἴπῃ τὰ περίαπτα, καὶ τοὺς κώδωνας τοὺς τῆς χειρὸς ἐξηρτημένους, καὶ τὸν κόκκινον στήμονα, καὶ τὰ ἄλλα τὰ πολλῆς ἀνοίας γέμοντα, δέον μηδὲν B ἕτερον τῷ παιδὶ περιτιθέναι, ἀλλ' ἢ τὴν ἀπὸ τοῦ σταυροῦ φυλακήν; νῦν δὲ αὐτὸς μὲν καταπεφρόνηται ὁ τὴν οἰκουμένην ἐπιστρέψας ἅπασαν, καὶ χαλεπὴν δοὺς τῷ διαβόλῳ πληγήν, καὶ πᾶσαν αὐτοῦ καταστρέψας τὴν δύναμιν· κρόκη δὲ καὶ στήμων καὶ τὰ ἄλλα περιάμματα τὰ τοιαῦτα παιδίου ἐμπιστεύονται τὴν ἀσφάλειαν. εἴπω τί τούτου καταγελαστότερον ἕτερον; ἀλλὰ μηδεὶς ἀκαιρίαν ἡμῶν καταγινωσκέτω, εἰ καὶ μέχρι τούτων πρόεισιν ὁ λόγος. ὁ γὰρ τὴν σηπεδόνα καθᾶραι βουλόμενος, οὐ παραιτήσεται πρότερας τὰς ἑαυτοῦ μολῦναι χεῖρας. τί δήποτ' οὖν τοῦτό ἐστι τὸ καταγέλαστον; ὃ μηδὲν μὲν εἶναι δοκεῖ· διὰ γὰρ τοῦτο στένω. C ἀρχὴ δέ ἐστι παραφροσύνης καὶ παρανοίας ἐσχάτης. βόρβορον αἱ γυναῖκες ἐν τῷ βαλανείῳ λαμβάνουσαι τροφοὶ καὶ θεραπαινίδες, καὶ τῷ δακτύλῳ χρίσασαι, κατὰ τοῦ μετώπου τυποῦσι τοῦ παιδίου. κἂν ἔρηταί τις, τί βούλεται ὁ βόρβορος, τί δὲ πηλός; ὀφθαλμὸν πονηρὸν ἀποστρέφει, φησί, καὶ βασκανίαν καὶ φθόνον. βαβαὶ τῆς ἰσχύος τοῦ βορβόρου, καὶ τῆς τοῦ πηλοῦ δυνάμεως, ἡλίκην ἔχει τὴν ἰσχύν; ὁλόκληρον τοῦ διαβόλου παράταξιν ἀποστρέφει. οὐκ ἐγκαλύψεσθε, εἰπέ μοι; οὐ συνήσετε ὀψέ ποτε τὰς παγίδας τὰς διαβολικάς, πῶς ἐκ πρώτης ἡλικίας κατὰ μικρὸν ἐπεισάγει τὰς παρ' ἑαυτοῦ μηχανὰς ὁ διάβολος; εἰ γὰρ ὁ βόρβορος τοῦτο ποιεῖ, D διὰ τί μὴ καὶ σὺ τοῦτο ποιεῖς ἐπὶ τοῦ σαυτοῦ μετώπου, ἀνὴρ ὤν, καὶ ἐν ἕξει γεγονώς, καὶ μᾶλλον τοῦ παιδίου τοὺς φθονοῦντας ἔχων; διὰ τί μὴ καὶ ὅλον βορβοροῖς τὸ σῶμα; εἰ γὰρ ἐπὶ τοῦ μετώπου τοσαύτην ἔχει τὴν ἰσχύν, τίνος ἕνεκεν οὐχ ὅλον σεαυτὸν βορβόρῳ καταχρίεις; γέλως ταῦτα καὶ κωμῳδία σατανική, οὐκ εἰς χλευασίαν μόνον, ἀλλὰ καὶ εἰς γέενναν καταστρέφουσα τοὺς ἀπατωμένους. καὶ τὸ μὲν παρ' Ἕλλησι ταῦτα γίνεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ παρὰ τοῖς τὸν σταυρὸν προσκυνοῦσι, καὶ μυστηρίων ἀπορρήτων κεκοινωνηκόσι, καὶ τοσαῦτα φιλοσοφοῦσι ταύτην κρατεῖν τὴν ἀσχημοσύνην, τοῦτ' ἔστι τὸ πολλῶν θρήνων ἄξιον. ὁ θεός σε μύρῳ ἐτί- E μησε πνευματικῷ, καὶ σὺ βορβόρῳ μολύνεις τὸ παιδίον; ὁ θεός σε ἐτίμησε, σὺ δὲ σαυτὸν ἀτιμάζεις; καὶ δέον τὸν σταυρὸν ἐπιγράφειν τῷ μετώπῳ, τὴν ἀσφάλειαν ἄμαχον παρέχοντα· σὺ δὲ ταῦτα ἀφεὶς, ἐπὶ τὴν σατανικὴν ἄνοιαν καταπίπτεις; εἰ δέ τισι ταῦτα μικρὰ εἶναι δοκεῖ, μανθανέτωσαν ὅτι μεγάλων ἐστὶν αἴτια κακῶν· καὶ ὅτι οὐδὲ τῷ Παύλῳ τὰ μικρὰ παρορᾶν ἔδοξε. τί γάρ, εἰπέ μοι, τοῦ καλύπτεσθαι ἄνθρωπον τὴν κεφαλὴν μικρότερον;

eamdem videbimus amentiam & multa symbola risu plena. Nam cum infanti nomen imponere oportuerit, non sanctorum nomine, ut veteres olim faciebant; accensis lucernis quibus nomina indunt, nato nomen indunt ejus, quæ diutius lucem dederit, hinc conjicientes futurum ut diu vivat. Deinde si immaturum morte corripi contigerit, ut sæpe accidit, multus sequetur diaboli risus, quod illos, ceu stultos pueros ludificaverit. Quid dixeris de ligaminibus, & de crepitaculis manui appensis, & de stamine coccineo, deque aliis multis insania plenis; cum oporteret nihil aliud puero circumponere, quam crucis custodiam? Nunc autem hic quidem despectui est habitus, qui convertit totum orbem terrarum, & gravem diabolo plagam inflixit, totamque ejus potentiam subvertit. Subtegmen autem & stamen aliaque ligamina similia, ea sunt queis creditur pueri tutela. Dicam-ne aliud magis ridiculum? sed nemo nos importunitatis accuset, si eousque procedat oratio. Nam qui putredinem vult emundare, non recusabit prius inquinare manus suas. Quidnam ergo est hoc ridiculum? Quod quidem nihil esse videtur, ideoque ingemisco; sed est principium insaniæ & extremæ dementiæ. Lutum mulieres in balneo accipientes, nutrices & ancillæ, digito tingentes, in pueri fronte imprimunt. Et si quis interroget, Quid sibi vult lutum, quid cœnum? malum avertit oculum, inquiunt, livoremque & invidiam. Papæ, quanta vis luti, quanta cœni potestas; tantam ut totam diaboli aciem profliget? Non pudore, quæso, suffundemini? non vel sero tandem diaboli laqueos intelligetis, quomodo ab ineunte ætate machinas suas paulatim inducat? Nam si lutum hoc faciat; cur non tu in fronte tua idipsum facis, cum vir sis & plena ætate, & plus quam puer invidos habeas? cur non luto illinis totum corpus? Nam si in fronte tantam habet virtutem, cur non te totum luto inungis? Hæc sunt risus & comœdia satanica, quæ non ad irrisionem tantum, sed ad gehennam præcipitat eos qui decipiuntur. Certe quod apud Græcos talia fiant mirum non est; quod autem apud eos qui crucem adorant, & mysteriorum arcanorum participes sunt, & tanta philosophantur, id certe multis lacrymis est dignum. Deus te unguento spirituali honoravit, & tu luto filium deturpas? Deus te decoravit, & tu teipsum dedecoras? Et cum oporteret in fronte crucem adscribere, quæ insuperabilem tutelam præbet; tu his dimissis in satanicam amentiam decidis? Si quibus autem hæc parva esse videantur, discant id esse magnorum causam malorum, neque Paulo visum fuisse parva negligere. Quid enim, quæso, minus est, quam ut homo caput operiat?

Ligamina & crepitacula superstitiosa.

Superstitiones aliæ.

[a] Reg. τὸν διαρκέσαντα μέχρι πολλοῦ τοῦ παιδίου ὁμώνυμον. Editorum lectio quam sequimur, eamdem effert sententiam.

Sed vide quantam hujus rei curam habeat, & cum quanta prohibeat vehementia, tum alia multa dicens, tum quod caput suum dehonestet. Si autem qui tegit caput, ipsum dehonestat; qui luto illud ungit, quomodo non puerum reddit abominandum? Quomodo, quæso, adducit eum ad manus sacerdotis? Quomodo precaris, ut presbyteri manu signaculum in fronte apponatur, ubi luto unxisti? Ne, fratres, ne hæc faciatis; sed ab ineunte ætate pueros spiritualibus armis munite, & docete eos manu frontem signare; etiam prius quam possint hoc manu facere, vos ipsi eis crucem imprimite. Quid dixeris de aliis satanicis observationibus in doloribus uteri & in partu adhibitis, quas obstetrices in capitis sui malum inducunt? de iis item quæ in morte, & cum corpus effertur adhibentur; ejulatus nempe, planctus insani, stulta in sepulcris admissa, circa monumenta studium, intempestivum & ridiculum præficarum agmen, dierum observationes, necnon ingressûs & exitûs? Horumne, quæso, venaris gloriam? Et quomodo hæc non extremæ dementiæ fuerint, hominum ita mente corruptorum & omnia temere agentium gloriam quærere, cum oporteret semper ad insomnem illum confugere oculum, & ejus sententiam spectantes omnia facere, ac dicere. Hi certe etiamsi laudent, nihil vos juvare poterunt. Ille vero si gesta nostra ipsi fuerint accepta, & hic splendidos reddet, & in futuro die arcana illa bona tribuet: quæ nos omnes assequi contingat, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri & una Spiritui sancto gloria, honor, imperium nunc & semper & in sæcula sæculorum, amen.

Præficarum usus.

A ἀλλ᾽ ὅρα πόσην ὑπὲρ τούτου ποιεῖται σπουδὴν, καὶ μεθ᾽ ὅσης ἀπαγορεύει σφοδρότητος, ἄλλα τε πολλὰ λέγων, καὶ ὅτι καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. Εἰ δὲ ὁ κατακαλυπτόμενος καταισχύνει τὴν κεφαλὴν αὐτοῦ, ὁ βορβόρῳ χρίων, πῶς οὐχὶ καὶ βδελυκτὸν ποιεῖ τὸ παιδίον; πῶς γὰρ αὐτὸ προσάγει τῇ χειρὶ τοῦ ἱερέως, εἰπέ μοι; πῶς ἀξιοῖς ἐπὶ τοῦ μετώπου σφραγῖδα ἐπιτεθῆναι παρὰ τῆς τοῦ πρεσβυτέρου χειρὸς, ἔνθα τὸν βόρβορον ἐπέχρισας; μὴ ταῦτα, μὴ, ἀδελφοὶ, ἀλλ᾽ ἐκ πρώτης ἡλικίας πνευματικοῖς αὐτὰ περιφράττετε ὅπλοις, καὶ τῇ χειρὶ παιδεύετε σφραγίζειν τὸ μέτωπον· καὶ πρὶν ἢ δυνηθῆναι B τῇ χειρὶ τοῦτο ποιεῖν, αὐτοὶ ἐντυποῦτε αὐτοῖς τὸν σταυρόν. τί ἄν τις εἴποι τὰς ἑτέρας παρατηρήσεις τὰς σατανικὰς ἐπὶ τῶν ὠδίνων καὶ τῶν τοκετῶν, ἃς αἱ μαῖαι ἐπὶ κακῷ τῆς ἑαυτῶν ἐπεισάγουσι κεφαλῆς; τὰς ἐπὶ τοῦ θανάτου καὶ τῆς καθ᾽ ἕκαστον ἐκφορᾶς τὰς οἰμωγὰς, τοὺς κωκυτοὺς τοὺς ἀλόγους, τὴν ἐν τοῖς τάφοις ἄνοιαν, τὴν περὶ τὰ μνήματα σπουδὴν, τὸν ἄκαιρον καὶ καταγέλαστον τῶν θρηνωδῶν γυναικῶν ἑσμὸν, τὰς τῶν ἡμερῶν παρατηρήσεις, τῶν εἰσόδων καὶ τῶν ἐξόδων; τούτων οὖν, εἰπέ μοι, τὴν δόξαν θηρᾷς; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀνοίας, ἀνθρώπων C οὕτω διεφθαρμένων τὰς γνώμας, καὶ πάντα ὡς ἔτυχε ποιούντων τὴν δόξαν ἐπιζητεῖν· δέον ἐπὶ τὸν ἀκοίμητον ἀεὶ καταφεύγειν ὀφθαλμὸν, καὶ πρὸς τὴν ἐκείνου ψῆφον βλέποντας, πάντα ποιεῖν, καὶ λέγειν; οὗτοι μὲν γὰρ κἂν [a] ἐπαινέσωσι, οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσονται· ἐκεῖνος δὲ, [a] ἂν ἀποδέξηται τὰ γινόμενα, καὶ ἐνταῦθα ποιήσει λαμπροὺς, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μεταδώσει τῶν ἀποῤῥήτων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν D καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XIII.

10\. *Nos stulti propter Christum;* necesse enim est hinc rursum sermonem resumere; *vos autem prudentes in Christo: nos infirmi, vos autem fortes; vos gloriosi, nos autem inglorii.*

1\. POSTQUAM gravitate multa sermonem impleverat, id quod omni crimine majorem inferebat plagam, hic cum dignitate sibi congruenti hoc tractat: & cum dixisset, sine nobis regnastis; &, Deus nos novissimos ostendit, tamquam morti destinatos; per sequentia ostendit quomodo morti destinati essent dicens: *Nos stulti & infirmi, & inglorii, & esurimus & sitimus, & nudi sumus, & colaphis cædimur, & instabiles sumus, & laboramus operantes manibus nostris:* quæ indicia vere erant doctorum & apostolorum. At illi in contrariis altum sapiebant,

## ΟΜΙΛΙΑ ιγ′.

Ἡμεῖς μωροὶ διὰ Χριστόν· ἀναγκαῖον γὰρ ἐντεῦθεν πάλιν τὸν λόγον ἀναλαβεῖν· ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.

E ΠΟΛΛΗΣ βαρύτητος τὸν λόγον ἐμπλήσας, ὃ πάσης κατηγορίας [b] μείζονα εἶχε πληγὴν, [b] τοῦτο ἐνταῦθα μεταχειρίζει μετὰ τῆς πρεπούσης αὐτῷ ἀξίας, καὶ εἰπὼν, ὅτι χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὅτι ἡμᾶς ὁ θεὸς ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, διὰ τῶν ἑξῆς δείκνυσι, πῶς ἐπιθανάτιοι, λέγων· ἡμεῖς μωροὶ, καὶ ἀσθενεῖς, καὶ ἄτιμοι, καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶν, ἅπερ ἦν δείγματα διδασκάλων καὶ ἀποστόλων γνησίων· ἀλλ᾽ ἐκεῖνοι ἐπὶ τοῖς ἐναντίοις μέγα ἐφρόνουν,

[a] Reg. ἐπαινέσωσι. Editi, ἐπαινέσωνται.
[b] Reg. μείζονα εἶχε πληγὴν, τοῦτο ἐνταῦθα μεταχειρίζει μετὰ τῆς αὐτῷ πρεπούσης ἀξίας, καὶ εἰπών. melius quam editi, in quibus nonnulla desunt.

ἐπὶ σοφίᾳ, ἐπὶ δόξῃ, ἐπὶ πλούτῳ, ἐπὶ τῷ τιμᾶσθαι. βουλόμενος οὖν αὐτῶν καθελεῖν τὸν τῦφον, καὶ δεῖξαι ὅτι ἐπὶ τούτοις οὐ μόνον οὐ καλλωπίζεσθαι, ἀλλὰ καὶ αἰσχύνεσθαι δεῖ, πρῶτον μὲν αὐτοὺς κωμῳδεῖ λέγων, χωρὶς ἡμῶν ἐβασιλεύσατε. ἐγὼ μὲν γὰρ λέγω, φησὶν, ὅτι ὁ παρὼν καιρὸς, οὐ τιμῆς οὐδὲ δόξης ἐστὶν, ὧν ὑμεῖς ἀπολαύετε, ἀλλὰ τοῦ διώκεσθαι καὶ ὑβρίζεσθαι, ἅπερ ἡμεῖς πάσχομεν. εἰ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τῶν ἀμοιβῶν ὁ καιρὸς ἐστὶ, ὡς ὁρῶ, τοῦτο δὲ εἰρωνευόμενος λέγει, ὑμεῖς μὲν οἱ μαθηταὶ καὶ ἐβασιλεύσατε λοιπόν· ἡμεῖς δὲ οἱ διδάσκαλοι, καὶ ἀπόστολοι, καὶ πρὸ πάντων ὀφείλοντες λαβεῖν τὸν μισθὸν, οὐ μόνον ὑμῶν ἔσχατοι γεγόναμεν, ἀλλὰ καὶ ὡς ἐπιθανάτιοι, τουτέστι, κατάδικοι, διόλου ἐν ἀτιμίαις καὶ κινδύνοις καὶ λιμῷ διάγομεν, ὑβριζόμενοί τε ὡς μωροὶ, καὶ ἐλαυνόμενοι, καὶ τὰ ἀνήκεστα ὑπομένοντες. ταῦτα δὲ ἔλεγεν, ἵνα καὶ αὐτοὺς ἐκ τούτων ποιήσῃ συνιδεῖν, ὅτι τὰ τῶν ἀποστόλων ὀφείλουσι ζηλοῦν, τοὺς κινδύνους καὶ τὰς ὕβρεις, οὐ τὰς τιμὰς καὶ τὰς δόξας. οὐ γὰρ ἐκεῖνα, ἀλλὰ ταῦτα ἐπαιτεῖ τὸ κήρυγμα. ἀλλ' οὕτω μὲν ἐξ εὐθείας οὐ λέγει, ὥστε μὴ φορτικὸς αὐτοῖς φανῆναι· ὡς δὲ αὐτῷ πρέπον ἦν, οὕτω μεταχειρίζει τὴν ἐπίπληξιν ταύτην. εἰ γὰρ ἐξ εὐθείας εἰσήγαγε τὸν λόγον, οὕτως ἂν εἶπε· πλανᾶσθε καὶ ἀπατᾶσθε, καὶ πολὺ τῆς ἀποστολικῆς [a] νουθεσίας ἀφεστήκατε. τὸν γὰρ ἀπόστολον καὶ διάκονον τοῦ Χριστοῦ, μωρὸν εἶναι δοκεῖν χρὴ, καὶ ἐν θλίψει, καὶ ἐν ἀδοξίᾳ διάγειν, ὥσπερ ἐσμὲν ἡμεῖς· ὑμεῖς δὲ ἐν τοῖς ἐναντίοις. ἀλλ' οὕτως ἂν μᾶλλον καὶ προσέστη τὰ λεγόμενα αὐτοῖς, ὡς ἐγκώμια τῶν ἀποστόλων ἔχοντα· καὶ ἐκείνους ἂν θρασυτέρους εἰργάσατο, ὡς διαβαλλομένους ἐπὶ ῥᾳθυμίᾳ καὶ κενοδοξίᾳ καὶ τρυφῇ. διὰ τοῦτο τοῦτον μὲν τὸν τρόπον οὐ μεθοδεύει τὰ εἰρημένα, ἑτέρως δὲ, πληκτικώτερον μὲν, ἀνεπαχθέστερον δέ. διὸ καὶ οὕτω προάγει τὸν λόγον κατ' εἰρωνείαν λέγων, ὑμεῖς δὲ ἰσχυροὶ καὶ ἔνδοξοι. ὡς εἰ μὴ τῇ εἰρωνείᾳ ἐκέχρητο, οὕτως ἂν εἶπεν· οὐ δυνατὸν τὸν μὲν μωρὸν νομίζεσθαι, τὸν δὲ φρόνιμον, καὶ τὸν μὲν ἰσχυρὸν, τὸν δὲ ἀσθενῆ, τοῦ κηρύγματος μὴ ἀπαιτοῦντος θάτερα. εἰ μὲν γὰρ ἐξῆν τοὺς μὲν τοῦτο εἶναι, τοὺς δὲ ἐκεῖνο, ἴσως εἶχέ τινα λόγον τὰ παρ' ὑμῶν λεγόμενα· νυνὶ δὲ οὐκ ἔνι, οὐ φρόνιμον εἶναι δοκεῖν, οὐκ ἔνδοξον, οὐκ ἀπηλλάχθαι κινδύνων. εἰ δὲ μὴ, ἀνάγκη ὑμᾶς ἡμῶν προτετιμῆσθαι παρὰ τῷ θεῷ, ὑμᾶς τοὺς μαθητὰς τῶν διδασκάλων καὶ μυρία παθόντων. εἰ δὲ οὐδὲ τοῦτό τις ἂν εἴποι, λείπεται τὰ ἡμέτερα ὑμᾶς διώκειν. καὶ μή μέ τις, φησὶν, οἰέσθω τὰ παρελθόντα λέγειν μόνον· μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν. ὁρᾷς ὅτι πάντα τὸν βίον τοιοῦτον εἶναι δεῖ τῶν Χριστιανῶν; οὐ μίαν ἡμέραν, καὶ δευτέραν; [b] οὐδὲ γὰρ ἂν ἀθλητὴς τὴν μίαν μόνην νικήσας πάλην στεφανωθῇ, πάλιν στεφανοῦται καταπεσών. καὶ πεινῶμεν, πρὸς τοὺς τρυφῶντας·

A in sapientia, in gloria, in divitiis, quod honorarentur. Ut ergo illorum fastum deprimat, & ostendat in iis non modo non gloriari, sed etiam pudore affici oportere, primo illos traducit dicens, *sine nobis regnastis.* Ego enim dico, inquit, præsens tempus, non honoris neque gloriæ esse, queis vos fruimini; sed persequutionis & contumeliarum, quas nos patimur. Quod si hoc ita non sit; & si jam tempus remunerationis sit, ut video, hoc autem per ironiam dicit, vos quidem discipuli jam regnastis; nos autem doctores & apostoli, qui ante omnes merce- B dem accipere debebamus, non modo vobis posteriores sumus, sed etiam ut morti destinati, id est, damnati, semper in ignominia, in periculis, in fame degimus, contumelia affecti tamquam stulti, pulsi & intolerabilia patientes. Hæc porro dicebat, ut ex iis persuaderet ipsis, quod apostolorum gesta deberent æmulari, pericula nempe, & contumelias, non autem honorem & gloriam. Non enim illa, sed hæc postulat prædicatio. Sed hoc tamen non directe dicit, ut ne videatur ipsis molestus esse: sed ut illum decebat, sic tractat hanc increpationem. C Nam si directe sermonem induxisset, sic dicturus erat: Erratis & fallimini, & longe abestis ab admonitione apostolica. Oportet enim apostolum & ministrum Christi stultum videri, atque in afflictione & contemtu degere, ut nos degimus; vos autem in contrariis estis. Sed sic, hæc magis illos commovissent, utpote quæ apostolorum encomia præ se ferrent, & illos reddidissent audaciores, ut qui accusarentur socordiæ, inanis gloriæ & divitiarum. Idcirco non hoc modo dicta procedunt, sed alio, qui magis quidem perstringit, sed minus molestus est. Qua- D propter ita profert orationem, per ironiam dicens: Vos autem fortes & gloriosi. Nam si ironia non usus esset, ita dixisset: Fieri non potest, ut alius stultus putetur, alius prudens; alius fortis, alius infirmus, prædicatione utrumque non postulante. Nam si liceret hos tales, alios aliud esse, quæ a nobis proferuntur aliquam fortasse rationem haberent. Nunc hoc non licet, nimirum prudentem vel gloriosum videri ac sine periculo degere. Sin minus, necesse est ut Deus vos nobis prætulerit, vos discipulos doctoribus, E qui innumera passi sumus. Quod si hoc nemo dixerit, restat ut nostra vos persequamini: & ne quis putet, inquit, me præterita tantum commemorare: *Usque in hanc horam & esurimus & sitimus & nudi sumus.* Viden' totam Christianorum vitam talem esse debere, non uno vel altero die? Neque enim athleta, qui in uno tantum victor certamine coronatus est, iterum coronatur cum succubuerit. *Et esurimus*, adversus eos qui in deliciis agunt.

[a] νουθεσίας. Reg. νομοθεσίας.
[b] Hic locus in editis vitiatus & mutilus ex codice regio manuscripto restitutus fuit.

*Et colaphis cædimur*, adversus eos qui inflati sunt. *Et instabiles sumus pulsi*, adversus eos qui labuntur. *Et nudi sumus*, adversus eos qui sunt divites, *& laboramus*. Jam contra falsos apostolos, qui nec laborare, nec periclitari sustinent, sed ipsi fructum percipiunt. At nos non sic, inquit: sed cum externis periculis, nos quoque perpetuo exercemus labore. Quodque majus est, nemo possit dicere nos hæc ægre ferre. Illos enim qui nos vexant, per contraria remuneramus. Hoc quippe magnum est, non autem male pati; quod omnibus est commune; verum patientes nec ægre nec indigne ferre.

2. Nos autem non modo non ægre ferimus, sed etiam exsultamus; cujus rei hoc signum est, quod eos qui nobis mala inferunt contrariis remuneremus. Quod autem hoc facerent, audi sequentia: *Maledicimur, & benedicimus; persequutionem patimur, & sustinemus;* 13. *Blasphemamur, & obsecramus, tamquam purgamenta mundi facti sumus.* Hoc est, stulti propter Christum. Nam qui male passus est, & neque se ulciscitur, neque dolet, stultus videtur esse apud externos, & inglorius infirmusque. Ac ne molestiorem redderet orationem, ad illorum civitatem ærumnas reducens, quid dicit? *purgamenta*, non urbis vestræ, sed mundi facti sumus. Et rursus, *omnium peripsema*, non vestrum tantum, sed omnium. Sicut ergo cum de Christi cura loquitur, terra, cælo & omni creatura relictis, crucem in medio ponit; ita etiam quando ad se vult attrahere, signis prætermissis, quæ propter ipsos passus est dicit. Ita quoque solemus cum injuria afficimur vel despicimur a quibusdam, quæ pro illis passi sumus in medium adducere. *Omnium peripsema usque adhuc.* Vehementem plagam inducit in fine. Omnium, inquit, non persequentium, sed eorum propter quos hæc patimur. Magnam ipsis gratiam habeo. Graviter ferentis est verbum, non quod ipse angatur; sed quod illos perstringere velit. Nam qui potest innumera proferre crimina, illos salutat. Ideo jubet Christus contumelias nos mansuete ferre, ut & ipsi philosophemur, & contumeliosos pudore magis afficiamus. Non enim ita contumelia afficiens, ut silens hoc facis. Deinde quia vidit intolerabilem esse plagam, statim illi medetur dicens: 14. *Non ut confundam vos hæc scribo, sed ut filios meos dilectos moneo.* Non ut pudore afficiam vos, inquit, hæc dico: quod per verba fecit, se non fecisse dicit; imo vero se fecisse dicit, sed non malo animo vel ex odio. Hæc est enim optima curatio, cum verbum dixeris, excusationem ex mente proferre. Nam hæc non dicere non licebat, quia incorrecti mansissent. Postquam autem dixerat, plagam incuratam relinquere, grave fuisset, quare cum gravitate excusat. Hoc enim non modo incisionem non tollit;

A καὶ κολαφιζόμεθα, πρὸς τοὺς πεφυσιωμένους· καὶ ἀστατοῦμεν πρὸς τοὺς ἀναπίπτοντας, καὶ γυμνητεύομεν πρὸς τοὺς πλουτοῦντας· καὶ κοπιῶμεν, ἤδη πρὸς τοὺς ψευδαποστόλους τοὺς οὔτε ἐργάζεσθαι, οὔτε κινδυνεύειν ἀνεχομένους, ἀλλὰ καρπουμένους αὐτούς. ἀλλ' οὐχ ἡμεῖς οὕτω, φησίν· ἀλλὰ μετὰ τῶν ἔξωθεν κινδύνων, καὶ ἑαυτοὺς κατατείνομεν τῇ διηνεκεῖ ἐργασίᾳ. καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ ἔχοι τις ἂν εἰπεῖν, ὅτι δυσχεραίνομεν ἐπὶ τούτοις. τοῖς γὰρ ἐναντίοις τοὺς ποιοῦντας ἀμειβόμεθα. ὃ γὰρ μέγα τοῦτό ἐστιν, οὐ τὸ κακῶς B παθεῖν· τοῦτο γὰρ πάντων κοινόν· ἀλλὰ τὸ πάσχοντας μὴ ἀλύειν μηδὲ δυσχεραίνειν.

Ἡμεῖς δὲ οὐ μόνον οὐ δυσχεραίνομεν, ἀλλὰ καὶ ἀγαλλόμεθα. καὶ τούτου τεκμήριον, τὸ τοὺς ποιοῦντας κακῶς τοῖς ἐναντίοις ἀμείβεσθαι. ὅτι δὲ τοῦτο ἐποίουν, ἄκουσον τῶν ἑξῆς. λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν· τουτέστι, μωροὶ διὰ Χριστόν. ὁ γὰρ κακῶς παθὼν, καὶ μήτε ἀμυνόμενος, μήτε ἀλγῶν, μωρὸς εἶναι δοκεῖ παρὰ τοῖς ἔξωθεν, καὶ ἄτιμος καὶ ἀσθενής. καὶ ἵνα μὴ φορτικώτερον τὸν λόγον ἐργάσηται, εἰς τὴν ἐκείνων πόλιν τὰ πάθη C περιστήσας, τί φησι; περικαθάρματα, οὐ τῆς πόλεως ὑμῶν, ἀλλὰ τοῦ κόσμου ἐγενήθημεν. καὶ πάλιν. πάντων περίψημα. οὐχ ὑμῶν μόνων, ἀλλὰ πάντων. ὥσπερ οὖν ὅταν περὶ τῆς τοῦ Χριστοῦ διαλέγηται κηδεμονίας, τὴν γῆν, τὸν οὐρανὸν, τὴν πᾶσαν κτίσιν ἀφεὶς, τὸν σταυρὸν ἐν μέσῳ τίθησιν· οὕτω καὶ ὅταν πρὸς ἑαυτὸν ἐπισπάσασθαι βουληθῇ, τὰ σημεῖα παραδραμὼν, τὰ πάθη λέγει τὰ δι' αὐτούς. οὕτω καὶ ἡμῖν ἔθος, ὅταν ἀδικώμεθα παρά τινων καὶ καταφρονώμεθα, ἅπερ ὑπὲρ αὐτῶν ἐπάθομεν, ταῦτα φέρειν εἰς μέσον. πάντων περίψημα ἕως ἄρτι. εὔτονον τὴν πληγὴν ἔδωκε πρὸς τῷ τέ- D λει. πάντων δὲ, οὐ τῶν διωκόντων, φησὶν, ἀλλὰ τῶν δι' οὓς ταῦτα πάσχομεν. χάριν ἔχω πολλὴν αὐτοῖς. βαρυθυμοῦντος τὸ ῥῆμα, οὐκ ἀλγοῦντος αὐτοῦ, ἀλλ' ἐκείνους πλῆξαι βουλομένου. ὁ γὰρ μυρία ἔχων ἐγκαλεῖν, καὶ ἀσπάζεται. διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει πρᾴως ἡμᾶς φέρειν τὰς ὕβρεις, ἵνα καὶ αὐτοὶ φιλοσοφῶμεν, κἀκείνους μᾶλλον ἐντρέπωμεν. οὐ γὰρ οὕτως ὑβρίζων, ὡς σιγῶν τις, τοῦτο ἐργάζεται. εἶτ' ἐπειδὴ εἶδεν ἀφόρητον τὴν πληγὴν, ταχέως αὐτὴν ἐθεράπευσεν, εἰπών. οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτ', ἀλλ' ὡς τέκνα μου ἀγα- E πητὰ νουθετῶ. οὐχ ὡς καταισχύνων γὰρ ὑμᾶς, ταῦτα λέγω, φησίν. ὅπερ ἐποίησε διὰ τῶν ῥημάτων, τοῦτό φησιν οὐ πεποιηκέναι· μᾶλλον δὲ πεποιηκέναι μέν φησιν, οὐ μὴν διανοίᾳ πονηρᾷ καὶ μισούσῃ. ἐπεὶ καὶ ἀρίστη αὕτη ἡ θεραπεία, εἰπόντα τὸν λόγον, προσθεῖναι τὴν ἀπὸ τῆς διανοίας ἀπολογίαν. μὴ εἰπεῖν μὲν γὰρ οὐκ ἐνῆν, ἐπεὶ ἔμειναν ἂν ἀδιόρθωτοι· εἰπόντα δὲ ἀφεῖναι πάλιν τὴν πληγὴν ἀνίατον, χαλεπόν. διόπερ μετὰ βαρύτητος ἀπολογεῖται. τοῦτο γὰρ οὐ μόνον οὐκ ἐξαίρει τὴν τομήν,

ἀλλὰ καὶ ἐνδοτέρω ποιεῖ καταδῦναι, τῆς πληγῆς τὴν ἀλγηδόνα παραμυθούμενον ἅπασαν. ὁ γὰρ ἀκούσας, ὅτι οὐκ ὀνειδίζων, ἀλλ' ἀγαπῶν ταῦτα λέγει, μᾶλλον καταδέχεται τὴν διόρθωσιν. πολλὴ δὲ καὶ ἐνταῦθα ἡ βαρύτης καὶ ἡ ἐντροπή. οὐ γὰρ εἶπεν, ὡς διδάσκαλος, οὐδὲ ὡς ἀπόστολος, οὐδὲ ὡς μαθητὰς ἔχων, ὅπερ τῆς ἀξίας ἦν, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ· καὶ οὐχ ἁπλῶς τέκνα, ἀλλὰ ποθούμενα. σύγγνωτέ μοι, φησί. καὶ εἴ τι φορτικὸν εἴρηται, ἐξ ἀγάπης ταῦτα γέγονε. καὶ οὐκ εἶπεν, ἐπιτιμῶ, ἀλλὰ, νουθετῶ. τίς δὲ οὐκ ἂν ἀνάσχοιτο πατρὸς ἀλγοῦντος, καὶ τὰ δέοντα συμβουλεύοντος; διὰ τοῦτο οὐ πρότερον εἶπε τοῦτο, ἀλλ' ὅτε τὴν πληγὴν ἔδωκε. τί οὖν, ἀφειδοῦσιν ἡμῶν οἱ ἄλλοι διδάσκαλοι, φησιν; οὐ τοῦτο λέγω, ἀλλ' οὐχ οὕτω φείδονται. ἀλλὰ τοῦτο μὲν συντόμως οὐκ εἶπε, διὰ δὲ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὀνομάτων αὐτὸ ἐνέφηνε, τὸν παιδαγωγὸν καὶ τὸν πατέρα θείς. ἐὰν γάρ, φησι, πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. οὐ τὸ ἀξίωμα ἐμφαίνει ἐνταῦθα, ἀλλὰ τῆς ἀγάπης τὴν ὑπερβολήν. καὶ οὐδὲ ἐκείνους ἔπληξε, τὸ, ἐν Χριστῷ, προσθείς, ἀλλὰ καὶ παρεμυθήσατο αὐτοὺς, οὐχὶ κόλακας, ἀλλὰ παιδαγωγοὺς εἰπὼν τοὺς σπουδάζοντας καὶ ἀνεχομένους τῶν πόνων· καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἀπεδείξατο. [a] διὸ οὐκ εἶπεν, ἀλλ' οὐ πολλοὺς διδασκάλους, ἀλλ' οὐ πατέρας. οὕτως οὐκ ἀξίωμα θεῖναι ἐβούλετο, οὐδὲ, ὅτι πλείονα παρ' αὐτοῦ ὠφέληντο, διδάξαι· ἀλλὰ συγχωρήσας ἐκείνοις τὰ πολλὰ περὶ αὐτοὺς πεπονηκέναι· τοιοῦτον γὰρ ὁ παιδαγωγός· τὴν τῆς ἀγάπης ὑπερβολὴν ἑαυτῷ ταμιεύεται. τοιοῦτον γὰρ ὁ πατήρ. καὶ οὐ λέγει μόνον, ὅτι οὐδεὶς ὑμᾶς οὕτω φιλεῖ, ὅπερ ἀνεύθυνον ἦν, ἀλλὰ καὶ πρᾶγμα γενόμενος εἰς μέσον ἄγει. ποῖον δὴ τοῦτο; ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. ἐν Χριστῷ Ἰησοῦ· οὐκ ἐμαυτῷ τοῦτο λογίζομαι. πάλιν τοὺς ἑαυτοῖς ἐπιφημίζοντας τὴν διδασκαλίαν πλήττει. ὑμεῖς γάρ ἐστε, φησὶν, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς. καὶ πάλιν, ἐγὼ ἐφύτευσα· καὶ ἐνταῦθα, ἐγὼ ἐγέννησα. οὐκ εἶπε, κατήγγειλα τὸν λόγον, ἀλλ' ἐγὼ ἐγέννησα, τοῖς τῆς φύσεως ὀνόμασι κεχρημένος. ἓν γὰρ ἐσπούδαζε, τὴν ἀγάπην ἐπιδείξασθαι ἣν περὶ αὐτοὺς εἶχεν. ἐκεῖνοι μὲν γὰρ παρ' ἐμοῦ δεξάμενοι ἐνήγαγον ὑμᾶς· τὸ δὲ εἶναι πιστοὺς, δι' ἐμοῦ γέγονεν. ἐπειδὴ γὰρ εἶπεν, ὡς τέκνα, ἵνα μὴ κολακείας εἶναι νομίσῃς τὸ ῥῆμα, παρίστησι καὶ τὸ πρᾶγμα. παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. βαβαὶ, πόση τοῦ διδασκάλου ἡ παρρησία; πῶς ἀπηκριβωμένη ἡ εἰκὼν, ὅταν καὶ ἑτέρους ἐπὶ τοῦτο παρακαλῇ; οὐκ ἐπαίρων δὲ ἑαυτὸν τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς εὔκολον οὖσαν τὴν ἀρετήν.

Μὴ γάρ μοι εἴπῃς, ὅτι οὐ δύναμαί σε μιμήσασθαι. σὺ διδάσκαλος εἶ, καὶ μέγας. οὐ γάρ ἐστι τοσοῦτον τὸ μέσον ἐμοῦ πρὸς ὑμᾶς, ὅσον τοῦ Χριστοῦ πρὸς ἐμέ· ἀλλ' ὅμως ἐμιμησάμην ἐκεῖνον ἐγώ. ὅταν μὲν οὖν Ἐφεσίοις γράφῃ, οὐ τίθησι μέσον ἑαυτὸν,

[a] Reg. διὸ οὐκ εἶπεν. Editi, καὶ οὐκ εἶπεν

A sed etiam efficit, ut profundius infigatur, dum plagæ dolorem omnem consolatur. Qui enim audit ipsum non exprobrantem, sed amantem hæc dicere, libentius correctionem accipit. Multa est hic quoque gravitas & ad pudorem provocatio. Non enim ut doctor, non ut apostolus, non ut qui discipulos habeam, quod dignitatis est, *sed ut filios meos carissimos moneo.* Nec tantum filios, sed desideratos. Ignoscite mihi, inquit, si quid molestum dixi: hæc ex dilectione fiunt. Nec dixit, corripio; sed moneo. Quis
B vero non ferat patrem dolentem, & quæ decet consulentem? Ideo non hæc prius dixit, sed postquam plagam inflixerat. Quid ergo, inquies, non parcunt nobis alii doctores? Non sic dico, sed non ita parcunt. Verum hoc quidem breviter non dixit; sed per studia & nomina hoc indicavit, ut qui pædagogum posuerit & patrem. 15. *Nam & si multos pædagogos,* inquit, *habeatis in Christo, sed non multos patres.* Non dignitatem hic ostendit, sed caritatis magnitudinem; neque illos perstrinxit cum addidit, *in Christo;* sed
C consolatus est illos, non adulatores, sed pædagogos vocans illos qui studia & labores ferebant, suamque curam ostendit. Ideo non dixit, sed non multos doctores, sed, non multos patres. Sic non dignitatem apponere voluit, neque ostendere quod multam utilitatem ab ipso accepissent; sed cum concessisset, quod illi multa præstitissent ipsis; talis enim erat pædagogus, dilectionis exsuperantiam sibi reservat. Talis enim est pater. Nec dicit modo, Nemo vos ita amat, quod absque reprehensione fuisset; sed rem uti gesta est in medium adducit, Qualis illa erat? *Nam in Christo Jesu per*
D *evangelium ego vos genui.* In Christo Jesu. Non mihi hoc adscribo. Rursus illos pungit qui sibi laudem doctrinæ tribuebant. *Vos enim estis,* inquit, *signaculum apostolatus mei.* Et rursum, Ego plantavi; 1. Cor. 9. 2.
& hic, Ego genui. Non dixit, Annunciavi verbum; sed, Ego genui, naturæ usus nominibus. Unum enim illi curæ erat, ut dilectionem erga illos suam exhiberet. Illi namque cum a me accepissent, vos induxerunt; quod autem fideles sitis, per me factum est. Quia enim dixit, ut filios, ne adulationis verbum esse existimares,
E rem ipsam profert. 16. *Rogo igitur vos, imitatores mei estote, sicut & ego Christi.* Papæ, quanta doctoris fiducia, quam accurata imago, cum etiam alios ad hoc advocat? Non sese extollens autem hoc facit, sed ut ostendat facilem esse virtutem.

3. Ne mihi enim dixeris, Non possum te imitari. Tu doctor es & magnus. Non enim tantum spatii inter me & vos interest, quantum inter Christum & me. Attamen illum ego imitatus sum. Cum ergo Ephesiis scribit, non se medium ponit;

*Ephes. 5. 1.* sed statim ipsos omnes illuc adducit : *Estote imitatores Dei* dicens. Hic vero, quia infirmos alloquebatur, seipsum interposuit. Alioquin autem ostendit, quod sic quoque fas sit Christum imitari. Nam qui accuratum signaculum est imitatus, archetypum imitatus est. Videamus ergo quomodo ipse Christum imitatus sit. Nam hujusmodi imitatio non tempore & arte opus habet, sed proposito tantum. In pictoris enim officinam ingressi, non poterimus imaginem imitari, etiamsi illam millies aspiciamus. Hunc autem vel ex solo auditu imitari licet. Vultis ergo, tabula in medium adducta, describamus vobis Pauli institutum vitæ? Prostet igitur tabula multo splendidior quam regiæ imagines. Nam quod hic subjicitur, non sunt asseres conglutinati, non impositi sindones; sed opus Dei subjicitur. Anima enim est & corpus. Anima Dei opus, non hominum; & corpus similiter. Hic plausistis? Sed non hoc plausuum tempus est; sed in sequentibus tempus plaudendi, & imitandi erit. Interim enim materia subjicitur, communis omnibus. Anima enim ab anima nihil differt, quatenus anima est, sed propositum differentiam ostendit. Sicut enim corpus a corpore, quatenus corpus est, nihil differt; sed simile est & corpus Pauli & corpus multorum : sed pericula illius corpus alio corpore splendidius efficiunt. Ita & de anima dicendum. Ponatur ergo tabula nobis, anima nempe Pauli. Hæc tabula nuper jacebat fuligine obducta, plena telis aranearum : nihil enim est blasphemia pejus. Quia autem venit is qui omnia transformat : & vidit non ex ignavia & socordia ita depictam esse, sed ex imperitia, & quod non haberet flores pietatis; zelum quippe habebat, colores vero non aderant, non enim zelum secundum scientiam habebat; dat illi florem veritatis, id est, gratiam : ac repente regiam ostendit imaginem. Acceptis namque coloribus, cum didicisset illa quæ ignorabat, non exspectavit tempus, sed statim optimus artifex visus est; & primo ostendit regium caput, Christum prædicans; deinde reliquum corpus, quod est accuratum vitæ institutum. Pictores quidem, cum se incluserint, cum accuratione magna & quiete omnia faciunt, nemini ostia aperientes. Hic autem in medio orbe tabulam proponens, omnibus contradicentibus, tumultuantibus, turbantibus, ita hanc regiam imaginem fecit, nec prohibebatur, ideoque dicebat, spectaculum facti sumus mundo, in medio terræ & maris & cæli, & totius orbis, mundique hujus tam sensibilis quam spiritualis, depingens imaginem. Vultis quoque cæteras ejus partes videre, a capite usque deorsum? aut vultis ab inferiori parte sermonem sursum deducamus? Contemplare ergo statuam auream, imo ea preciosiorem, qualem in cælo stare par est;

Christum imitari possumus.

Chrysostomo plauditur.

Pauli & virtutum ejus imago depingitur.

A ἀλλ' εὐθὺς αὐτοὺς ἐκεῖ πάντας ἀπάγει, γίνεσθε μιμηταί τοῦ θεοῦ, λέγων· ἐνταῦθα δέ, ἐπειδὴ πρὸς ἀσθενεῖς ἦν ὁ λόγος αὐτῷ, ἑαυτὸν παρενέβαλε. καὶ ἄλλως δέ, δείκνυσιν ὅτι ἔνι καὶ οὕτω τὸν Χριστὸν μιμήσασθαι. ὁ γὰρ τὴν σφραγῖδα μιμησάμενος τὴν ἀπηκριβωμένην, τὸ ἀρχέτυπον ἐμιμήσατο. ἴδωμεν οὖν πῶς αὐτὸς ἐμιμήσατο τὸν Χριστόν. ἡ γὰρ μίμησις αὕτη οὐ χρόνων δεῖται καὶ τέχνης, ἀλλὰ προαιρέσεως μόνης. εἰς ζωγράφου μὲν γὰρ εἰσελθόντες οὐ δυνησόμεθα μιμήσασθαι τὴν εἰκόνα, κἂν μυριάκις ἴδωμεν· τοῦτον δὲ καὶ ἐξ ἀκροάσεως μόνης ἔνι μιμήσασθαι. οὐκοῦν βούλεσθε τὸν πίνακα εἰς μέσον
B ἀγαγόντες, ὑπογράψωμεν ἐφ' ὑμῶν τὴν πολιτείαν Παύλου; προκείσθω τοίνυν ὁ πίναξ πολὺ λαμπρότερος ὢν τῶν βασιλικῶν εἰκόνων. τὸ γὰρ ὑποκείμενον, οὐ σανίδες κεκολλημέναι, οὐδὲ σινδόνες ἐπικείμεναι, ἀλλ' ἔργον θεοῦ τὸ ὑποκείμενον. ψυχὴ γάρ ἐστι καὶ σῶμα. ψυχὴ θεοῦ ἔργον, οὐκ ἀνθρώπων, καὶ σῶμα πάλιν ὁμοίως. ἐκροτήσατε ἐνταῦθα; ἀλλ' οὐκ ἐνταῦθα τῶν κρότων ὁ καιρὸς, ἀλλ' ἐπὶ τῶν ἑξῆς καὶ τοῦ κροτῆσαι, καὶ τοῦ ζηλῶσαι. τέως γὰρ ἡ ὕλη ὑπόκειται κοινὴ πρὸς ἅπαντας οὖσα. ψυχὴ γὰρ ψυχῆς οὐδὲν διαφέρει, καθὸ ψυχὴ, ἀλλ' ἡ προαίρεσις δείκνυσι τὴν διαφοράν.
C ὥσπερ γὰρ σῶμα σώματος, καθό ἐστι σῶμα, οὐδὲν διενήνοχεν, ἀλλ' ὅμοιόν ἐστι καὶ τὸ τοῦ Παύλου καὶ τῶν πολλῶν, οἱ δὲ κίνδυνοι φαιδρότερον ἐργάζονται τοῦτο ἐκείνου· οὕτω δὴ καὶ ἐπὶ ψυχῆς. ὑποκείσθω τοίνυν πίναξ ἡμῖν ἡ ψυχὴ Παύλου. οὗτος ὁ πίναξ ἔκειτο πρώην ἠσβολωμένος, ἀραχνίων γέμων. οὐδὲν γὰρ βλασφημίας χεῖρον. ἐπειδὴ δὲ ἦλθεν ὁ πάντα μετασκευάζων, καὶ εἶδεν οὐ παρὰ ῥᾳθυμίαν καὶ βλακείαν οὕτω διαγραφέντα, ἀλλὰ παρὰ ἀπειρίαν, καὶ τὸ μὴ ἔχειν τὰ ἄνθη τῆς εὐσεβείας· ζῆλον μὲν γὰρ εἶχε, τὰ δὲ χρώματα οὐ παρῆν·
D οὐ γὰρ κατ' ἐπίγνωσιν τὸν ζῆλον εἶχε· δίδωσιν αὐτῷ τῆς ἀληθείας τὸ ἄνθος, τουτέστι, τὴν χάριν· καὶ ἀθρόον βασιλικὴν ἀπέδειξε τὴν εἰκόνα. λαβὼν γὰρ τὰ χρώματα, καὶ μαθὼν ἅπερ ἠγνόει, οὐκ ἀνέμεινε χρόνον, ἀλλ' εὐθέως ἐφάνη τεχνίτης ἄριστος. καὶ πρῶτον δείκνυσι τὴν κεφαλὴν βασιλικὴν, τὸν Χριστὸν κηρύττων· εἶτα καὶ τὸ λοιπὸν σῶμα, τὸ τῆς πολιτείας τῆς ἀκριβοῦς. οἱ μὲν οὖν ζωγράφοι κατακλείσαντες ἑαυτοὺς, μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ ἡσυχίας ἅπαντα πράττουσιν, οὐδενὶ τὰς θύρας διανοίγοντες· οὗτος δὲ ἐν μέσῳ τῆς οἰκουμένης τὸν πίνακα προθεὶς, πάντων ἐναντιου-
E μένων, θορυβούντων, ταραττόντων, οὕτως εἰργάζετο τὴν βασιλικὴν ταύτην εἰκόνα, καὶ οὐκ ἐκωλύετο. διὸ καὶ ἔλεγε· θέατρον ἐγενήθημεν τῷ κόσμῳ, ἐν μέσῳ γῆς καὶ θαλάσσης, καὶ τοῦ οὐρανοῦ καὶ τῆς οἰκουμένης ἁπάσης, καὶ τοῦ κόσμου τοῦτε αἰσθητοῦ, τοῦτε νοητοῦ, τὴν εἰκόνα ζωγραφῶν. βούλεσθε καὶ τὰ λοιπὰ μέρη ταύτης ἰδεῖν, τὰ ἀπὸ τῆς κεφαλῆς κάτω; ἢ βούλεσθε κάτωθεν τὸν λόγον ἀναγάγωμεν; θέα τοίνυν ἀνδριάντα χρυσοῦν, μᾶλλον δὲ καὶ τούτου τιμιώτερον, καὶ οἷον ἐν οὐρανῷ ἑστάναι εἰκὸς,

οὐ μολίβδῳ προσδεδεμένον, οὐδὲ ἐνὶ ἱδρυμένον χωρίῳ, ἀλλ' ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ τρέχοντα, καὶ εἰς Σπανίαν ἀπιόντα, καὶ πανταχοῦ τῆς οἰκουμένης καθάπερ ὑπόπτερον φερόμενον; τί γὰρ τῶν ποδῶν τούτων ὡραιότερον γένοιτ' ἄν, τῶν ἅπασαν ἐπελθόντων τὴν ὑφ' ἡλίῳ κειμένην γῆν; ταύτην τὴν ὡραιότητα καὶ ὁ προφήτης ἄνωθεν κηρύττει λέγων, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην; εἶδες πῶς καλοὶ οἱ πόδες; θέλεις καὶ τὸ στῆθος ἰδεῖν; δεῦρο σοι δείξω καὶ τοῦτο, καὶ πολλῷ λαμπρότερον ὄψει τῶν ποδῶν τούτων τῶν ὡραίων, καὶ αὐτῶν τῶν τοῦ παλαιοῦ νομοθέτου στέρνων. Μωϋσῆς μὲν πλάκας ἐβάσταζε λιθίνας· οὗτος δὲ αὐτὸν ἔνδοθεν εἶχε τὸν Χριστὸν, αὐτὴν τὴν βασιλικὴν ἔφερεν εἰκόνα, καὶ τοῦ ἱλαστηρίου· διὰ τοῦτο τῶν Χερουβὶμ σεμνότερος ἦν. οὐ γὰρ τοιαύτη ἐφέρετο ἐκεῖθεν φωνὴ, οἵα ἐντεῦθεν· ἀλλ' ἐκεῖθεν μὲν τὰ πλείονα περὶ αἰσθητῶν διελέγετο· ἀπὸ δὲ τῆς Παύλου γλώττης περὶ τῶν ὑπὲρ τοὺς οὐρανοὺς πραγμάτων. καὶ ἀπὸ μὲν τοῦ ἱλαστηρίου Ἰουδαίοις ἐχρημάτιζε μόνοις, ἐντεῦθεν δὲ τῇ οἰκουμένῃ πάσῃ. κἀκεῖ μὲν διὰ ἀψύχων, ἐνταῦθα δὲ διὰ ψυχῆς ἐναρέτου.

Τοῦτο καὶ οὐρανοῦ λαμπρότερον ἦν τὸ ἱλαστήριον, οὐ ποικιλίᾳ ἄστρων καταλαμπόμενον, οὐδὲ ἀκτῖσιν ἡλιακαῖς· ἀλλ' αὐτὸν τὸν ἥλιον τῆς δικαιοσύνης ἔχον ἐκεῖθεν ἀφιέντα τὰς ἀκτῖνας. καὶ τοῦτον μὲν τὸν οὐρανὸν νέφος ὑποδραμόν ποτε σκυθρωπότερον ἐργάζεται, τὸ δὲ στῆθος ἐκεῖνο οὐδεὶς ὑπέδραμέ ποτε χειμὼν τοιοῦτος· μᾶλλον δὲ ὑπέδραμον μὲν πολλοὶ πολλάκις χειμῶνες, τὸ δὲ φῶς [a] οὐκ ἐπεσκότισαν ἀλλ' ἐν μέσῳ τῶν πειρασμῶν καὶ τοῖς κινδύνοις τὸ φῶς ἀπέλαμπε τοῦτο. διὸ καὶ αὐτὸς ἅλυσιν περικείμενος ἐβόα, ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται. οὕτως ἀεὶ διὰ τῆς γλώττης ἐκείνης ἠφίει τὰς ἀκτῖνας· καὶ οὐ φόβος, οὐ κίνδυνος τὸ στῆθος ἐκεῖνο σκυθρωπὸν ἐποίει. τάχα παρελαύνειν δοκεῖ τὸ στῆθος τοὺς πόδας· ἀλλὰ κἀκεῖνοι ὡς πόδες, καλοί· καὶ τοῦτο, ὡς στῆθος. βούλει καὶ γαστέρα ἰδεῖν ὡραίαν; ἄκουσον τί φησι περὶ αὐτῆς· εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι. τί ταύτης τῆς γαστρὸς γένοιτ' ἂν ὡραιότερον τῆς οὕτω πεπαιδευμένης ἠρεμεῖν, καὶ σωφροσύνην πᾶσαν δεδιδαγμένης, καὶ εἰδυίας καὶ πεινῆν καὶ λιμώττειν καὶ διψῆν; καθάπερ γὰρ ἵππος εὔτακτος χρυσῆν ἡνίαν λαβὼν, οὕτω καὶ αὕτη εὔρυθμα ἐβάδιζε τῆς φύσεως τὴν ἀνάγκην νικήσασα. ὁ γὰρ Χριστὸς ἐβάδιζεν ἐν αὐτῇ. ταύτης δὲ οὕτω σωφρονούσης, εὔδηλον ὅτι καὶ ἡ ἄλλη πᾶσα κακία ἐλύετο. βούλει καὶ χεῖρας ἰδεῖν τὰς νῦν; ἢ βούλει τὴν προτέραν αὐτῶν πρότερον κακίαν θεάσασθαι; εἰσερχόμενος οὗτος εἰς τὰς οἰκίας, ἔσυρε πρότερον ἄνδρας καὶ γυναῖκας, οὐχὶ ἀνδρὸς χεῖρας,

[a] Reg. οὐκ ἐπεσκότησαν. Savil. in marg. οὐκ ἐπεσκότισαν, quæ vera lectio est. Editi, οὐκ ἐπεσκότισε.

A non plumbo vinctam, neque uno in loco positam; sed a Jerusalem usque ad Illyricum currentem & in Hispaniam abeuntem, & quæ quasi alata per orbem terræ feratur. Quid his pedibus fieri possit speciosius, qui totam quæ sub sole est terram pervaserunt? Hanc speciem jam olim propheta prædicavit dicens: *Quam speciosi pedes evangelizantium pacem!* Isai. 52. 7.
Viden' quam pulcri pedes sint? Vis-ne & pectus videre? Accede, hoc etiam tibi ostendam, & multo splendidius videbis, quam pedes illos speciosos, & ipso veteris legislatoris pectore. B Moyses quidem tabulas gestavit lapideas; hic vero intus habuit Christum, ipsam regiam gestabat imaginem & propitiatorii. Ideo Cherubinis honorabilior erat. Non enim talis inde vox ferebatur, qualis hinc; sed illic plura disserebat de sensilibus: ex lingua autem Pauli de rebus quæ supra cælos sunt. Et ex propitiatorio Judæis solis oracula ferebat; hinc vero toti terrarum orbi. Et illic quidem per inanima, hic vero per animam virtute præditam.

C 4. Hoc propitiatorium cælo splendidius erat, non stellarum varietate fulgens, neque radiis solaribus; sed ipsum solem justitiæ habens inde radios emittentem. Et hoc quidem cælum nubes subiens aliquando tristius reddit: pectus vero illud nulla unquam talis tempestas subiit; imo potius sæpe tempestates subtercurrebant multæ, sed lucem non obscurabant; sed in media tentatione & in periculis lux illa effulgebat. Quamobrem ipse catenis vinctus clamabat: *Verbum* 2. Tim. 2. 9.
*Dei non est alligatum.* Ita semper per illam linguam radios emittebat: & nec metus, D nec periculum pectus illud obscurum reddebant. Fortasse videtur pectus illud pedes longe retro relinquere: sed illi tamen ut pedes, pulcri sunt & hoc etiam ut pectus, pulcrum est. Vis & ventrem videre speciosum? Audi quid de illo dicat: *Si cibus scandalizat fratrem meum,* 1. Cor. 8.
*non comedam carnem in æternum.* Bonum 13.
est carnem non comedere, nec vinum bibere, neque rem quamcumque, in qua frater tuus offenditur aut scandalizatur, aut infirmatur. Esca ventri, & venter escis. Quid hoc ventre fuerit speciosius, E qui ita doctus erat quiescere, & omnem temperantiam exhibere, qui sciret esurire, famem pati & sitire? Quemadmodum enim equus bene assuetus habenas habens aureas, ita & hic numerose incedebat cum naturæ necessitatem superasset: nam Christus incedebat in illo. Hoc autem tam temperanter agente, palam est vitium aliud omne solutum fuisse. Vis etiam videre eas quæ nunc sunt manus? aut vis prius illorum pristinam nequitiam videre? Ingressus ille domos, nuper viros & mulieres trahebat, non viri manus habens,

sed immanis feræ. Postquam autem co- A lores veritatis accepit, & spiritualem peritiam, non ultra viri fuere manus illæ, sed spirituales, quotidie catenis constrictæ: & neminem unquam percusserunt, sed millies percussæ sunt. Hasce manus aliquando vipera reverita est. Non enim jam erant hominis manus: ideoque non attigit eas. Vis etiam tergum videre reliquis membris simile? audi quid de illo

2. Cor. 11. 25. dicat: *Quinquies quadragenas una minus accepi a Judæis. Ter virgis cæsus sum, semel lapidatus sum, ter naufragium pertuli, nocte & die in profundo maris fui.* Sed ne B nos in profundum immensum dejecti, multum circumagamur, singula ejus membra persequentes; age jam a corpore discedentes, aliam pulcritudinem videamus, nempe a vestimentis, quam dæmones reverebantur; ideoque fugiebant, & ægritudines curabant. Et ubicumque appareret Paulus, omnia cedebant & amovebantur, utpote cum advenisset orbis terrarum pugil. Ac quemadmodum ii qui multas in bello plagas acceperunt, si viderint arma ejus qui illos percussit, horrescunt; ita & dæmones semicinctia tantum videntes, discedebant. Ubi sunt C nunc divites, qui in divitiis altum sapiunt? Ubi illi qui dignitates suas numerant, sumtuosaque vestimenta? Cum his se comparantes, sua omnia videbunt esse cœnum & lutum. Ecquid dico vestimenta & aurea? Si enim quis mihi totius orbis imperium daret, unguem tantum Pauli, isto imperio fortiorem esse putarem; paupertatem ejus, omni voluptate; ignobilitatem, omni gloria; omnibus divitiis, nuditatem; omni licentia, impactos sacro illi capiti colaphos; omni diademate, lapides quos excepit. Hanc co- D ronam desideremus, dilecti: & etiamsi persequutio non sit, interim nos præparemus. Neque enim a persequutionibus tantum hic vir splendidus erat: nam di-

1. Cor. 9. 27. cebat: *Castigo corpus meum.* Hoc vero sine persequutione recte fieri potest. Et admo-

Rom. 13. 14. nebat carnis curam non faciendam esse ad

1. Tim. 6. 8. concupiscentias; & rursus: *Habentes alimenta & vestes, his contenti simus.* Ad hæc enim non opus est persequutionibus. Et opulentos quoque ad temperantiam vo-

1. Tim. 6. 9. cabat dicens: *Qui volunt esse divites, incidunt in tentationem.* Si igitur nos quo- E que sic exerceamus, in agonem ingressi coronabimur; & licet persequutio non sit, multa pro his recipiemus præmia. Si vero corpus impinguemus, & porcorum vitam ducamus, etiam in pace, multa peccata admittemus, ac dedecus feremus. Non vides adversus quos nobis sit colluctatio? Adversus incorporeas potestates. Quomodo ergo cum caro simus, has superabimus? Nam si cum homine quis pugnaturus temperanter comedere debet, multo magis si adversus dæmonas. Quando autem cum carnis pinguedine, divitiis etiam fuerimus alligati, unde adversarios superabimus? Vinculum enim sunt divitiæ,

ἀλλὰ θηρίου τινὸς χαλεποῦ ἔχων. ἐπεὶ δὲ τὰ χρώματα τῆς ἀληθείας ἔλαβε καὶ τὴν πνευματικὴν ἐμπειρίαν, οὐκέτι ἀνδρὸς ἐγένοντο αἱ χεῖρες αὗται, ἀλλὰ πνευματικαὶ, καθ' ἑκάστην ἡμέραν δεσμούμεναι ἁλύσεσι· καὶ ἔπληξαν μὲν οὐδένα ποτὲ, ἐπλήγησαν δὲ μυριάκις. ᾐδέσθη ποτὲ καὶ ἔχις ταύτας τὰς χεῖρας. οὐ γὰρ ἦσαν ἀνθρώπου χεῖρες λοιπόν· διὰ τοῦτο οὐδὲ καθήψατο αὐτῶν. βούλει καὶ τὰ νῶτα ἰδεῖν τοῖς λοιποῖς ἐοικότα μέλεσιν; ἄκουσον τί φησι καὶ περὶ αὐτῶν· πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων, τρὶς ἐρραπίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. ἀλλ' ἵνα μὴ καὶ ἡμεῖς εἰς βυθὸν ἄπειρον ἐμπεσόντες, πολλὰ περιενεχθῶμεν καθ' ἕκαστον αὐτοῦ τῶν μελῶν ἐπιόντες, δεῦρο ἀποστάντες τοῦ σώματος, ἕτερον κάλλος ἴδωμεν τὸ ἀπὸ τῶν ἱματίων, ὃ καὶ δαίμονες ᾐδέσθησαν· διὸ καὶ αὐτοὶ ἔφυγον, καὶ νοσήματα ἐδραπέτευε. καὶ ὅπουπερ ἂν ἐφάνη Παῦλος, πάντα ὑπεχώρει καὶ ὑπεξίστατο, καθάπερ τοῦ τῆς οἰκουμένης ἀριστέως παραγινομένου. καὶ ὥσπερ οἱ πολλὰς λαβόντες ἐν πολέμῳ πληγὰς, κἂν ὅπλον ἴδωσι τοῦ πλήξαντος αὐτοὺς, πεφρίκασιν· οὕτω δὴ καὶ οἱ δαίμονες, σιμικίνθια μόνον ὁρῶντες, ἐξίσταντο. ποῦ νῦν εἰσιν οἱ πλουτοῦντες, καὶ μέγα φρονοῦντες ἐπὶ χρήμασι; ποῦ οἱ τὰ ἀξιώματα ἑαυτῶν ἀριθμοῦντες, καὶ τὰ ἱμάτια τὰ πολυτελῆ; πρὸς ταῦτα παραβάλλοντες ἑαυτοὺς, πηλὸν ὄψονται καὶ βόρβορον τὰ ἑαυτῶν ἅπαντα. καὶ τί λέγω ἱμάτια, καὶ χρυσία; εἰ γάρ μοι τῆς οἰκουμένης ἔδωκέ τις κρατῆσαι πάσης, τὸν ὄνυχα μόνον Παύλου πάσης ἂν τῆς βασιλείας ἐκείνης ἰσχυρότερον εἶναι ἐνόμισα· πάσης τρυφῆς, τὴν πενίαν· πάσης δόξης, τὴν ἀδοξίαν· παντὸς πλούτου, τὴν γύμνωσιν· πάσης ἀδείας, τὸν κολαφισμὸν τῆς ἱερᾶς ἐκείνης κεφαλῆς· παντὸς διαδήματος, τοὺς λίθους οὓς ἐδέξατο. τοῦτον ποθήσωμεν τὸν στέφανον, ἀγαπητοί· καὶ εἰ μὴ διωγμός ἐστι, τέως παρασκευάσωμεν ἑαυτούς. οὐδὲ γὰρ ἐπὶ τῶν διωγμῶν μόνων ἦν λαμπρὸς ὁ ἀνήρ. καὶ γὰρ ἔλεγεν· ὑπωπιάζω μου τὸ σῶμα· τοῦτο δὲ καὶ χωρὶς διωγμοῦ δυνατὸν κατορθοῦν. καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι παρῄνει εἰς ἐπιθυμίας. καὶ πάλιν, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. εἰς ταῦτα γὰρ διωγμῶν οὐ χρεία. καὶ τοὺς εὐπόρους δὲ ἐσωφρόνιζε, λέγων· οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. ἐὰν οὖν καὶ ἡμεῖς οὕτως ἑαυτοὺς ἀσκήσωμεν, εἰς τὸν ἀγῶνα εἰσελθόντες στεφανωθησόμεθα, καὶ διωγμοῦ μὴ παρόντος, πολλὰ ὑπὲρ αὐτῶν ληψόμεθα τὰ βραβεῖα. ἐὰν δὲ λιπαίνωμεν τὸ σῶμα καὶ χοίρων βίον ζῶμεν, καὶ ἐν εἰρήνῃ πολλὰ ἁμαρτησόμεθα καὶ αἰσχύνην οἴσομεν. οὐχ ὁρᾷς πρὸς τίνας ἡμῖν ἡ πάλη; πρὸς τὰς ἀσωμάτους δυνάμεις. πῶς οὖν, σάρκες ὄντες, τούτων περιεσόμεθα; εἰ γὰρ πρὸς ἀνθρώποις τις παλαίων, δεῖται σωφρόνως ἐσθίειν, πολλῷ μᾶλλον πρὸς δαίμονας. ὅταν δὲ μετὰ τῆς πολυσαρκίας καὶ τῷ πλούτῳ ὦμεν προσδεδεμένοι, πόθεν κρατήσομεν τῶν ἀντιπάλων; δεσμὸς γάρ ἐστιν ὁ πλοῦτος,

A δεσμὸς χαλεπὸς τοῖς οὐκ εἰδόσιν αὐτῷ χρῆσθαι, τύραννος ὠμὸς καὶ ἀπάνθρωπος, ἐπὶ λύμῃ τῶν δουλευόντων πάντα ἐπιτάττων. ἀλλ', ἐὰν θέλωμεν, τὴν πικρὰν ταύτην τυραννίδα ἀπὸ τοῦ θρόνου καταστρέψομεν, καὶ ἡμῖν εἴκειν ποιήσομεν, ἀλλ' οὐκ ἐπιτάττειν. πῶς οὖν τοῦτο ἔσται; ὅταν εἰς πάντας τὸν πλοῦτον διανέμωμεν. ἕως μὲν γὰρ ἂν μόνος ᾖ πρὸς μόνους, καθάπερ λῃστής τις ἐν ἐρημίᾳ, πάντα ἐργάζεται τὰ κακά· ὅταν δὲ εἰς μέσον αὐτὸν ἀγάγωμεν, οὐκέτι ἡμῶν κρατήσει, πάντοθεν αὐτὸν πάντων δεσμούντων.

B Καὶ ταῦτα λέγω, οὐχ ὅτι ἁμαρτία τὰ χρήματα· [a] τοῖς πτωχοῖς δὲ μὴ διανέμειν αὐτὰ, ἁμαρτία, καὶ κακῶς αὐτοῖς χρῆσθαι. οὐδὲν γὰρ ὁ θεὸς κακὸν ἐποίησεν, ἀλλὰ πάντα καλὰ λίαν· ὥστε καὶ τὰ χρήματα καλά· ἀλλ' ἐὰν μὴ κρατῇ τῶν κεκτημένων, ἐὰν τὰς πενίας τῶν πλησίον λύῃ. οὐδὲ γὰρ φῶς ἐκεῖνο καλὸν, ὃ μὴ ἀφανίζον σκότος, ἀλλὰ καὶ ἐπιτεῖνον· οὐδὲ πλοῦτον ἂν εἴποιμι τοῦτον, τὸν οὐ λύοντα πενίαν, ἀλλ' αὔξοντα πενίαν. ὁ γὰρ πλουτῶν οὐ ζητεῖ παρ' ἑτέρων λαμβάνειν, ἀλλ' ἑτέροις ἐπικουρεῖν· ὁ δὲ παρ' ἑτέρων ζητῶν λαβεῖν, οὐκέτι πλουτεῖ, ἀλλ' αὐτός ἐστιν ὁ πένης. ὥστε οὐ τὰ χρήματα, κακὸν, C ἀλλ' ἡ πενιχρὰ διάνοια, ἡ τὸν πλοῦτον εἰς πενίαν ἄγουσα. οὗτοι τῶν διὰ τῶν στενωπῶν ἐπαιτούντων ἀθλιώτεροι, [b] τῶν πήρωσιν ἐχόντων καὶ λελωβημένων τὰ σώματα· τῶν ῥάκια περιβεβλημένων οἱ ἐν τοῖς σηρικοῖς καὶ λαμπροῖς ἱματίοις· οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς τῶν κατὰ τὰ ἄμφοδα βαδιζόντων καὶ εἰς τὰς αὐλὰς εἰσιόντων καὶ κάτωθεν βοώντων καὶ ἐπαιτούντων ἐλεεινότεροι. οὗτοι μὲν γὰρ τὸν θεὸν ἀνυμνοῦσι, καὶ ἐλέου φθέγγονται ῥήματα, καὶ φιλοσοφίας πολλῆς. διὸ καὶ ἐλεοῦμεν αὐτοὺς, καὶ χεῖρα ὀρέγομεν, καὶ οὐδέποτε ἐγκαλοῦμεν. οἱ δὲ πλουτοῦντες κακῶς, ὠμότητος καὶ ἀπανθρωπίας, ἁρπαγῆς καὶ σατανι- D κῆς ἐπιθυμίας ἐρεύγονται λόγους· διὸ καὶ παρὰ πᾶσίν εἰσι μισητοὶ καὶ καταγέλαστοι. σκόπει δὲ, τί παρὰ πᾶσιν ἀνθρώποις αἰσχρὸν εἶναι δοκεῖ, τὸ παρὰ τῶν πλουτούντων αἰτεῖν, ἢ τὸ παρὰ τῶν ἀπόρων; παντί που δῆλον, ὅτι παρὰ τῶν ἀπόρων. τοῦτο τοίνυν οἱ πλουτοῦντες ποιοῦσιν· οὐ γὰρ ἂν τολμήσαιεν τοῖς πλουσιωτέροις προσελθεῖν. οἱ δὲ ἐπαιτοῦντες, παρὰ τῶν εὐπόρων. οὐ γὰρ τὸν ἐπαίτην ὁ ἐπαίτης αἰτήσει, ἀλλὰ τὸν εὔπορον· ὁ δὲ πλούσιος τὸν πένητα σπαράττει. πάλιν τί σεμνότερον, εἰπέ μοι, παρὰ ἑκόντων λαβεῖν καὶ χάριν ἐχόν- E των, ἢ τοὺς οὐ θέλοντας ἀναγκάζειν καὶ ἐνοχλεῖν; εὔδηλον ὅτι τοὺς μὴ βουλομένους μὴ ἐνοχλεῖν. ἀλλὰ καὶ τοῦτο οἱ πλουτοῦντες ποιοῦσιν. οἱ μὲν γὰρ πένητες, παρ' ἑκόντων λαμβάνουσι καὶ χάριν εἰδότων· οἱ δὲ πλουτοῦντες, παρὰ ἀκόντων καὶ μὴ βουλομένων, ὃ μείζονός ἐστι πενίας ἀπόδειξις. εἰ γὰρ οὐδὲ ἐπ' ἄριστον ἕλοιτό τις ἀπελθεῖν, εἰ μὴ χάριν ὁ καλῶν εἰδείη τῷ καλουμένῳ, πῶς χρήματα μεταλαβεῖν μετ' ἀνάγκης καλόν; τοὺς κύνας οὐ διὰ τοῦτο ἀποστρεφόμεθα, καὶ φεύγομεν τοὺς ὑλακτοῦντας,

[a] τοῖς πτωχοῖς δὲ, sic Reg. optime in editis δὲ deest.



vinculum grave iis, qui illo uti nesciunt, tyrannus crudelis & inhumanus, servis suis omnia imperans ad perniciem. Sed, si velimus, hanc acerbam tyrannidem e solio decutiemus, & nobis cedere compellemus, non imperare. Quomodo ergo hoc fiet? Cum divitias omnibus distribuemus. Donec enim opulentia sola cum solis erit ut latro in solitudine, omnia inferet mala; cum autem illam in medium adducemus, non ultra nobis imperabit, cum omnes illam undique alligent.

5. Et hæc dico, non quod peccata sint pecuniæ: sed peccatum est non eas pauperibus distribuere, & male illis uti. Nihil enim malum Deus fecit; sed omnia valde bona. Itaque bonæ etiam sunt pecuniæ; sed si possidentibus non imperent, si paupertatem proximi solvant. Neque enim lux illa bona, quæ non delet tenebras, sed auget eas; neque divitias sic appellarim, quæ non solvant paupertatem; sed augeant illam. Nam qui dives est, non quærit ab aliis accipere; sed aliis opem ferre. Qui vero ab aliis quærit accipere, jam non dives est, sed ipse pauper. Itaque non divitiæ malæ sunt; sed pauper animus, qui divitias deducit in paupertatem. Hi miseriores sunt illis qui in angiportis mendicant; iis qui cæci & mutilato corpore sunt; & qui sericis splendidisque vestibus amicti sunt, iis qui laceris pannis induuntur; qui in foro superbe incedunt inferiores sunt iis qui in biviis vadunt, & in aulas ingrediuntur, ab imo clamant mendicantes. Hi namque Deum laudant, & misericordiæ multæque philosophiæ verba proferunt. Ideoque illos miseramur & manus ipsis porrigimus, ac nunquam accusamus. Qui autem male divitias possident, crudelitatis, immanitatis, rapinæ & concupiscentiæ verba proferunt. Ideo apud omnes odiosi & ridiculi habentur. Considera autem, quid apud omnes homines turpe esse videatur; an a divitibus petere, an ab inopibus? Palam certe est, ab inopibus. Hoc itaque faciunt divites; non enim auderent ad ditiores accedere. Qui autem mendicant, a locupletibus petunt: neque enim mendicus a mendico petit, sed a divite. Dives autem pauperem discerpit. Rursus quid, quæso, honestius, a lubentibus & gratiam habentibus accipere, an invitos cogere & perturbare? palam est honestius esse invitos non turbare. Sed hoc divites faciunt. Nam pauperes a lubentibus accipiunt & gratiam habentibus. Divites autem ab invitis & repugnantibus, quod majoris est paupertatis demonstratio. Si enim ad prandium nemo velit accedere, nisi gratiam ipsi habeat is qui invitat, quomodo bonum fuerit pecunias vi extorquere? Canes nonne ideo aversamur & fugimus latrantes, quod

Pecuniæ non malæ, si bene illis utamur.

[b] Reg. τῶν πήραν ἐχόντων.

nobis assidue instent & nos urgeant? Hoc & divites faciunt. At honestius ut cum dono adsit metus. Hoc certe omnium turpissimum est. Qui enim omnia movet ut accipiat, quo homine magis ridiculus non fuerit? Etenim sæpe cum canes metueremus, ea quæ tenebamus projecimus. Quid rursus, dic mihi, turpius pannis laceris involutum petere, an sericas vestes ferentem? Quando enim quis dives senes colit pauperes, ut res illorum accipiat, etiamsi liberos habeant, qua venia dignus erit? Si vultis autem, ipsa quoque verba examinemus; quænam scilicet divites petentes dicant, & quænam pauperes. Quid ergo dicit pauper? Quod qui dat eleemosynam non parce dabit, quod ea det quæ a Deo sunt, quod Deus sit benignus, & majora retribuat; quæ omnia philosophiæ sunt verba & exhortationis & consilii. Rogat enim te ad Dominum respicias, & metum tibi tollit futuræ paupertatis: ac multam quis videat doctrinam in verbis mendicantium. Divitum autem verba qualia sunt? Porcorum, canum, luporum, aliarumque ferarum. Nam alii de mensis, de opsoniis, de condimentis, de vino omnis generis, de unguentis, de vestibus, deque omni alio luxu & profusione. Alii de usuris, de fœnoribus. Et schedas fingentes, ac debitorum intolerabilem attollentes magnitudinem, quasi a patribus & avis initium acceperint, hujus domum, illius agrum, alterius mancipium auferunt facultatesque omnes. Quid vero dixeris de testamentis, quæ non atramento, sed sanguine scripta sunt? Aut enim in non ferendum inductos periculum, aut modicis promissis incantatos, quos viderint quædam modica possidentes eo induxerunt ut cognatos omnes, & paupertate sæpe pereuntes missos faciant; seque pro illis heredes adscribant. Hæc autem quarumnam ferarum non superant feritatem? Quapropter, obsecro, omnes hujusmodi divitias fugiamus, turpes & cædibus refertas; & spirituales illas possideamus, thesaurosque in cælo requiramus. Nam qui hos habent, illi certe divites sunt, illi opulenti, & fruuntur omnibus quæ hic & illic sunt. Qui enim secundum Dei verbum pauper esse vult, omnium domos habet apertas. Nam ei qui propter Deum nihil possidet, unusquisque sua confert. Qui vero parva cum injustitia vult habere, omnium sibi ostia clausit. Ut ergo & quæ hic & quæ illic sunt bona assequamur, eligamus immotam & immortalem opulentiam: quam utinam nos omnes consequamur gratia & benignitate Domini nostri Jesu Christi, &c.

A ὅτι τῇ πολλῇ προσεδρίᾳ ἡμᾶς ἐκβιάζονται; τοῦτο καὶ οἱ πλούσιοι ποιοῦσιν. ἀλλὰ τὸν φόβον προτεῖναι τῇ δόσει σεμνότερον. τοῦτο μὲν οὖν πάντων αἰσχρότερον. ὁ γὰρ πάντα κινῶν ὑπὲρ τοῦ λαβεῖν, τίνος οὐκ ἂν εἴη καταγελαστότερος; καὶ γὰρ τοὺς κύνας πολλάκις φοβηθέντες, προηκάμεθα ἅπερ κατείχομεν. τί πάλιν αἰσχρότερον, εἰπέ μοι, ῥάκια περιβεβλημένον αἰτεῖν, ἢ σηρικὰ φοροῦντα; ὅταν μὲν γὰρ πλουτῶν τις γέροντας θεραπεύῃ πένητας, ὥστε τὰ ἐκείνων λαβεῖν, καὶ ταῦτα παίδων ὄντων, τίνος ἔσται συγγνώμης ἄξιος; εἰ δὲ βούλεσθε, καὶ τὰ ῥήματα αὐτὰ ἐξετάσωμεν, τίνα μὲν οἱ
B πλουτοῦντες ἐπαιτοῦντες λέγουσι, τίνα δὲ οἱ πένητες. τί οὖν ὁ πένης φησίν; ὅτι ὁ διδοὺς ἐλεημοσύνην οὐ μετελάσει ποτέ, ὅτι ἀπὸ τῶν τοῦ θεοῦ δίδωσιν, ὅτι ὁ θεὸς φιλάνθρωπος καὶ μείζονα ἀντιδίδωσιν, ἅπερ ἅπαντα φιλοσοφίας ἐστὶ ῥήματα, καὶ παραινέσεως, καὶ συμβουλῆς. ἀξιοῖ σε γὰρ πρὸς τὸν δεσπότην ἰδεῖν, καὶ τὸν φόβον ἐξαιρεῖ σου τῆς μελλούσης πενίας· καὶ πολλὴν ἄν τις ἴδοι διδασκαλίαν ἐν τοῖς τῶν ἐπαιτούντων ῥήμασι. τὰ δὲ τῶν πλουτούντων ὁποῖα; χοίρων καὶ κυνῶν καὶ λύκων καὶ τῶν ἄλλων θηρίων. οἱ μὲν γὰρ αὐτῶν περὶ τραπεζῶν, καὶ ὄψων, καὶ καρυκευμάτων, καὶ οἴνου παντοδαποῦ, καὶ μύρων, καὶ
C ἱματίων, καὶ τῆς ἄλλης διαπαντὸς διαλέγονται ἀσωτίας· οἱ δὲ περὶ τόκων, καὶ δανεισμάτων, καὶ γραμματεῖα πλάττοντες, καὶ χρεῶν ὄγκον ἀφόρητον [a] ἐπαιωροῦντες, ὡς ἐκ πατέρων ἢ πάππων ἀρχὴν εἰληφότα, τοῦ μὲν τὴν οἰκίαν, τοῦ δὲ τὸν ἀγρόν, τοῦ δὲ ἀνδράποδον ἀφαιροῦνται, καὶ τὰ ὄντα ἅπαντα. τί ἄν τις εἴποι τὰς διαθήκας, τὰς ἀντὶ μέλανος αἵματι γεγραμμένας; ἢ γὰρ κίνδυνον ἀφόρητον περιστήσαντες, ἢ μικραῖς τισι καταγοητεύσαντες ὑποσχέσεσιν, οὓς ἂν ἴδωσιν ὀλίγα τινὰ κεκτημένους, ἔπεισαν τοὺς μὲν προσήκοντας ἅπαντας καὶ πενίᾳ πολλάκις ἀπολλυμένους παραδραμεῖν· αὐτοὺς δὲ
D ἀντ' ἐκείνων ἐγγράψαι. ταῦτ' οὖν ποίων θηρίων οὐκ ἀποκρύπτει μανίαν καὶ ἀγριότητα; διό, παρακαλῶ, πάντα τὸν τοιοῦτον πλοῦτον φύγωμεν, τὸν αἰσχρὸν καὶ φόνων γέμοντα· καὶ κτησώμεθα τὸν πνευματικόν, καὶ τοὺς ἐν τοῖς οὐρανοῖς θησαυροὺς ἐπιζητήσωμεν. οἱ γὰρ τούτους ἔχοντες, ἐκεῖνοι οἱ πλούσιοι, ἐκεῖνοι οἱ εὔποροι, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ πάντων ἀπολαύοντες. ὁ γὰρ βουλόμενος πένεσθαι κατὰ τὸν τοῦ θεοῦ λόγον, τὰς πάντων οἰκίας ἀνεῳγμένας ἔχει. τῷ γὰρ οὐδὲν κεκτημένῳ διὰ τὸν θεόν, ἕκαστος ἂν εἰσενέγκοι τὰ ἑαυτοῦ. ὁ δὲ μικρὰ μετὰ ἀδικίας βουλόμενος ἔχειν, τὰς ἁπάν-
E των ἀπέκλεισε θύρας. ἵνα τοίνυν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀγαθῶν ἐπιτύχωμεν, ἑλώμεθα τὸν πλοῦτον τὸν ἀκίνητον, τὴν ἀθάνατον εὐπορίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς.

[a] Reg. ἀπαιωροῦντες.

A

## ΟΜΙΛΙΑ ιδ΄.

Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ Ἰησοῦ.

ΣΚΟΠΕΙ μοι κἀνταῦθα τὴν γενναίαν ψυχὴν, τὴν πυρὸς θερμοτέραν καὶ γοργοτέραν. ἐβούλετο μὲν γὰρ αὐτὸς παραγενέσθαι μάλιστα νοσοῦσιν οὕτω καὶ στασιάζουσι Κορινθίοις. καὶ γὰρ ᾔδει σαφῶς ἡλίκα τε ὠφέλει τοὺς μαθητὰς ἡ παρουσία αὐτοῦ, καὶ ἡλίκα ἔβλαπτεν ἡ ἀπουσία. καὶ τὸ μὲν ἐδήλωσεν ἐν τῇ πρὸς Φιλιππησίους, εἰπών· μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. τὸ δὲ δείκνυσιν ἐν τῇ ἐπιστολῇ ταύτῃ, λέγων· ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες, ἐλεύσομαι δέ. ἠπείγετο μὲν οὖν καὶ ἐπεθύμει παραγενέσθαι αὐτός· ἐπειδὴ δὲ τέως οὐκ ἐνῆν, τῇ ἐπαγγελίᾳ τῆς παρουσίας αὐτοὺς διορθοῦται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῇ τοῦ μαθητοῦ ἀποστολῇ. διὰ τοῦτο γάρ, φησιν, ἔπεμψα ὑμῖν Τιμόθεον. διὰ τοῦτο, ποῖον; ἐπειδὴ ὡς παίδων κήδομαι, καὶ ὡς γεγεννηκώς. καὶ μετὰ τῆς συστάσεως τοῦ προσώπου, ἡ ἐπιστολή· ὅς ἐστί μου τέκνον ἀγαπητὸν, καὶ πιστὸν ἐν κυρίῳ. τοῦτο δὲ εἶπε, τήν τε αὐτοῦ ἀγάπην ἐμφαίνων, κἀκείνους παρασκευάζων αἰδεσίμως αὐτὸν ἰδεῖν· καὶ οὐχ ἁπλῶς πιστὸν, ἀλλ᾽ ἐν κυρίῳ, τουτέστιν, ἐν τοῖς κατὰ κύριον πράγμασιν. εἰ δὲ ἐν τοῖς βιωτικοῖς εἶναί τινα πιστὸν, ἐγκώμιον, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. εἰ τοίνυν ἀγαπητὸν αὐτοῦ τέκνον, ἐννόησον πόση τοῦ Παύλου ἡ ἀγάπη, ὅτι εἵλετο αὐτοῦ χωρισθῆναι διὰ Κορινθίους. εἰ δὲ καὶ πιστὸν, ἀληθῶς διακονήσει τοῖς πράγμασιν. ὃς ὑμᾶς ἀναμνήσει. οὐκ εἶπε, διδάξει, ἵνα μὴ δυσανασχετῶσιν, ὡς παρ᾽ αὐτοῦ μανθάνοντες. διὰ τοῦτο καὶ πρὸς τῷ τέλει φησί· τὸ γὰρ ἔργον κυρίου ἐργάζεται, καθὼς καὶ ἐγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. οὐδεὶς γὰρ ἦν ἐν ἀποστόλοις φθόνος, ἀλλὰ πρὸς ἓν ἑώρων, τῆς ἐκκλησίας τὴν οἰκοδομήν. καὶ εἰ ἐλάττων ἦν ὁ ἐργαζόμενος, συνεκρότουν αὐτὸν μετὰ σπουδῆς ἁπάσης. διὰ τοῦτο οὐδὲ ἠρκέσθη τῷ εἰπεῖν, ἀναμνήσει, ἀλλ᾽ ἐπιπλέον ὑποτέμνεσθαι βουλόμενος αὐτῶν τὸν φθόνον· καὶ γὰρ ἦν νέος ὁ Τιμόθεος· διὸ ἐπήγαγε, τὰς ὁδούς μου. οὐ τὰς αὐτοῦ, ἀλλὰ τὰς ἐμὰς, τουτέστι, τὰς οἰκονομίας, τοὺς κινδύνους, τὰ ἔθη, τοὺς νόμους, τοὺς θεσμοὺς, τοὺς κανόνας τοὺς ἀποστολικοὺς, τὰ ἄλλα πάντα. ἐπειδὴ γὰρ εἶπε, γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ ταῦτα, φησι, πάντα ὑμᾶς ἀναμνήσει, καὶ τοὺς νόμους τοὺς τοῦ Χριστοῦ, ὥστε τὰς αἱρέσεις ἀνελεῖν. εἶτα ἀνωτέρω τὸν λόγον ἀναγαγὼν ἐπήγαγε. τὰ ἐν Χριστῷ. πάντα ὡς εἰώθεν ἀνατιθεὶς τῷ δεσπότῃ, καὶ τὸ ἀξιόπιστον τῶν

## HOMILIA XIV.

17. *Ideo misi ad vos Timotheum, qui est filius meus dilectus & fidelis in Domino, qui vos commonefaciet vias meas quæ sunt in Christo Jesu.*

1. HIC quoque consideres velim generosam animam, igne ardentiorem & acriorem. Volebat quidem ipse adesse, Corinthiis maxime sic ægrotantibus & seditione agitatis. Probe sciebat enim, quam prodesset discipulis præsentia sua, & quantum obesset absentia. Et illud quidem indicavit in epistola ad Philippenses, dicens: *Non ut in præsentia mea tantum, sed multo magis nunc quoque in absentia mea, cum timore & tremore salutem vestram operamini.* Hoc autem ostendit in hac epistola dicens. *Tamquam non venturus sim ad vos inflati sunt quidam; veniam autem.* Festinabat itaque & cupiebat ipse adesse, sed quia hoc nondum licebat, promissione adventus sui illos corrigit: neque hoc tantum modo, sed etiam missione discipuli. *Ideo namque dicit, Misi ad vos Timotheum. Ideo:* Quare? Quia vestrum ut filiorum curam gero, ut qui vos genuerim. Et cum commendatione personæ est epistola: *Qui est filius meus dilectus, & fidelis in Domino.* Hoc autem dixit, & ut amorem suum ostendat, & ut illos præparet ad illum reverenter videndum. Neque tantum fidelem dicit; sed, in Domino; id est, in rebus quæ secundum Dominum sunt. Quod si in sæcularibus rebus fidelem esse laus est, multo magis in spiritualibus. Si ergo dilectus ejus filius sit, cogita quantus sit amor Pauli in Corinthios, quorum gratia ab illo voluerit separari. Si autem fidelis sit, inculpate res administrabit. *Qui vos commonefaciet.* Non dicit, docebit; ne id ægre ferrent, ut qui ab ipso discerent. Ideoque in fine ait: *Opus enim Dei operatur sicut & ego.* Ne quis ergo illum despiciat. Nulla enim in apostolis erat invidia, sed unum spectabant, nempe ecclesiæ ædificationem. Et si minor erat is qui operabatur, cum omni studio fovebant illum & juvabant. Quapropter non satis habuit dicere, commonefaciet; sed illorum invidiam magis abscindere volens, juvenis namque erat Timotheus; ideo subjunxit, *Vias meas.* Non suas, sed meas; id est œconomias, pericula, mores, leges, statuta, canones apostolicos & alia omnia. Quia enim dixit, nudi sumus & colaphis cædimur, & instabiles sumus: & hæc, inquit, omnia vos commonefaciet, & leges Christi, ut hæreses deleat. Deinde superiora repetens subjungit; *Quæ sunt in Christo.* Omnia uti solet Domino referens, & fide digna se-

Paulus igne ardentior.

Philip. 2. 12.

1. Cor. 16. 10.

B C D E

quentia reddens, quare subdit: *Sicut ubique in omni ecclesia doceo.* Nihil apud vos novi dixi. Horum mihi consciæ sunt reliquæ omnes ecclesiæ. Vias autem illas in Christo dicit, ostendens illas nihil humanum habere, & cum ejus auxilio se recte omnia gerere. Postquam autem hæc dixit, & illos curavit; aggressurus accusationem fornicatoris, rursus ira plenos sermones emittit, non quod ille ita affectus esset, sed ut illos corrigat, & fornicatore dimisso, alios alloquitur: ne suis quidem verbis dignum illum judicans, quod erga servos qui admodum offenderunt facere solemus. Et quia dixit, Timotheum mitto, ne ideo segniores evadant, vide quid dicat: 18. *Tamquam non venturus sim ad vos, sic inflati sunt quidam.* His enim & illos perstringit, & alios quosdam, altos illorum sensus exagitans. Est enim crimen appetiti principatus, absentia doctoris ad arrogantiam uti. Quando enim plebem alloquitur, perpende mihi quomodo ad pudorem inducat; quando autem eos qui in causa mali sunt, vehementius agit. Illis enim dicit, *Omnium peripsema*, illosque leniens addit, *non ut confundam vos hæc scribo.* His autem: *Tamquam non venturus sim ad vos, inflati sunt quidam*, ostendens puerilis animi esse arrogantiam. Etenim pueri absentia magistri segniores fiunt. Hoc ergo indicatur, & quod præsentia satis sit ad correctionem.

2. Quemadmodum enim leone præsente omnia terrentur animalia; sic præsente Paulo pertimescebant ii qui ecclesiam corrumpebant. Ideo subjunxit: 19. *Veniam autem cito ad vos, si Dominus voluerit.* Sed hoc solum dicere, comminantis esse videbatur; operum autem demonstrationem & ipsum promittere & ab illis exigere, hoc magni & sublimis erat animi. Quamobrem & hoc subjunxit: dicens: *Et cognoscam, non sermonem eorum qui inflati sunt, sed virtutem.* Non enim ex propriis recte factis, sed ex doctoris absentia suborta erat arrogantia. Quod ipsum quoque animi erat despicientis. Ideo cum dixisset, misi Timotheum, non statim dixit, veniam, sed cum prius ipsos accusasset quod inflati essent, tunc ait, veniam. Nam si ante accusationem illud posuisset, excusatio potius visa fuisset, ut qui non defuisset, & non comminatio, nec credibilis sermo fuisset, nunc autem post accusationem positum dictum, & fide dignum & terribilem reddidit. Et vide ejus firmitatem securitatemque. Non enim simpliciter dixit, veniam, sed, si Dominus voluerit, nec tempus constitutum ponit. Quia enim contigit eum tardius accedere, ex incerto vult illos dubios animi & suspensos tenere. Et ne propterea rursus concidant, addidit, *cito*: *Et cognoscam,*

A ἑξῆς ἐντεῦθεν κατασκευάζων. διὸ καὶ ἐπάγει· καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. οὐδὲν πρὸς ὑμᾶς καινὸν εἶπον. ταῦτά μοι συνίσασι καὶ αἱ λοιπαὶ ἐκκλησίαι πᾶσαι. ὁδοὺς δὲ αὐτὰς ἐν Χριστῷ φησι, δεικνὺς ὅτι οὐδὲν ἔχουσιν ἀνθρώπινον, καὶ ὅτι μετὰ τῆς ἐκεῖθεν βοηθείας τὰ πάντα κατορθοῖ. εἰπὼν δὲ ταῦτα, καὶ θεραπεύσας ἐκείνους, καὶ μέλλων ἐμβάλλειν εἰς τὴν κατηγορίαν τοῦ πεπορνευκότος, πάλιν θυμοῦ γέμοντας λόγους ἀφίησιν, οὐκ αὐτὸς ταῦτα πάσχων, ἀλλ᾽ ἐκείνους διορθούμενος, καὶ τὸν πεπορνευκότα ἀφεὶς τοῖς ἄλλοις διαλέγεται, οὐκ ἀξιῶν
B ἐκεῖνον οὔτε τῶν παρ᾽ αὐτοῦ λόγων, ὅπερ ἐπὶ τῶν οἰκετῶν τῶν σφόδρα προσκεκρουκότων ποιοῦμεν. καὶ ἐπειδὴ εἶπεν ὅτι Τιμόθεον πέμπω, ἵνα μὴ τούτῳ ῥαθυμότεροι γίνωνται, ὅρα τί φησιν. ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. ἐνταῦθα γὰρ καὶ ἐκείνων καθάπτεται καὶ ἑτέρων τινῶν, καταστέλλων αὐτῶν τὸ φρόνημα. φιλαρχίας γὰρ τὸ ἔγκλημα, τῇ ἐρημίᾳ τοῦ διδασκάλου εἰς ἀπόνοιαν κεχρῆσθαι. ὅταν μὲν γὰρ πρὸς τοὺς πολλοὺς διαλέγηται, σκόπει πῶς ἐντρεπτικῶς αὐτὸ ποιεῖ· ὅταν δὲ πρὸς τοὺς αἰτίους, καταφορικώτερον. ἐκείνοις μὲν γὰρ λέγει, πάντων περίψημα, καὶ θεραπεύων αὐτούς,
C φησιν, οὐκ ἐντρέπων ὑμᾶς, γράφω ταῦτα· τούτοις δὲ, ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες, δεικνὺς ὅτι παιδικῆς διανοίας ἡ ἀπόνοια. καὶ γὰρ οἱ παῖδες τῇ ἀπουσίᾳ τοῦ διδασκάλου ῥαθυμότεροι γίνονται. τοῦτο δὲ οὖν ἐνδείκνυται, καὶ ὅτι ἀρκεῖ πρὸς διόρθωσιν ἡ παρουσία.

Καθάπερ γὰρ λέοντος παρουσία ἅπαντα ποιεῖ καταπεπληχέναι τὰ ζῶα· οὕτω καὶ ἡ Παύλου, τοὺς διαφθείραντας τὴν ἐκκλησίαν. διὸ καὶ ἐπάγει. ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος θελήσῃ. ἀλλὰ τὸ μὲν τοῦτο εἰπεῖν μόνον ἐδόκει ἀπειλῆς εἶναι· τὸ δὲ καὶ τὴν ἀπὸ
D τῶν ἔργων ἀπόδειξιν καὶ αὐτὸν ἐπαγγείλασθαι, κἀκείνους ἀπαιτεῖν, τοῦτο ἦν μεγαλόφρονος διανοίας. διόπερ καὶ προσέθηκε τοῦτο, εἰπών. καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐδὲ γὰρ ἀπὸ κατορθωμάτων οἰκείων, ἀλλ᾽ ἀπὸ τῆς τοῦ διδασκάλου ἀπουσίας ἡ ἀπόνοια ἦν· ὅπερ καὶ αὐτὸ γνώμης ἦν καταφρονητικῆς. διὰ τοῦτο εἰπών, ἔπεμψα Τιμόθεον, οὐκ εὐθέως εἶπεν, ἐλεύσομαι· ἀλλὰ πρότερον αὐτῶν κατηγορήσας, ὅτι ἐφυσιώθησαν, τότε φησὶν, ἐλεύσομαι. εἰ
E μὲν γὰρ πρὸ τῆς κατηγορίας αὐτὸ τέθεικεν, ἀπολογία μᾶλλον ἐγίνετο αὐτοῦ ὡς οὐκ ἀπολειφθέντος, καὶ οὐκ ἀπειλή, καὶ [a] οὐδὲ ἔστι πιστὸς ὁ λόγος ἦν· νυνὶ δὲ μετὰ τὴν κατηγορίαν θεὶς, καὶ ἀξιόπιστον αὐτὸν καὶ φοβερὸν ἐποίησε. καὶ ὅρα αὐτοῦ τὸ βέβαιον καὶ ἀσφαλές. οὐ γὰρ ἁπλῶς εἶπεν, ἐλεύσομαι, ἀλλ᾽, ἐὰν ὁ κύριος θελήσῃ. καὶ οὐ τίθησι χρόνον ὡρισμένον. ἐπειδὴ γὰρ συνέβαινεν αὐτὸν βραδέως παραγίνεσθαι, τῇ ἀδηλίᾳ βούλεται αὐτοὺς ἐναγωνίους ποιῆσαι. καὶ ἵνα μὴ διὰ τοῦτο πάλιν ἀναπέσωσι, προσέθηκε, ταχέως. καὶ γνώσομαι,

a Reg. οὐδὲ οὕτως.

οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐκ εἶπεν ὅτι γνώσομαι τὴν σοφίαν, οὐδὲ τὰ σημεῖα, ἀλλὰ τί; οὐ τὸν λόγον· κἀκεῖνο τῷ ὀνόματι καταφέρων, καὶ τοῦτο ἐπαίρων. καὶ τέως πρὸς τοὺς ἄλλους ἀποτείνεται τοὺς συγκροτοῦντας τὸν πεπορνευκότα. εἰ γὰρ πρὸς ἐκεῖνον ἔλεγεν, οὐκ ἂν εἶπε τὴν δύναμιν, ἀλλὰ τὰ ἔργα, ἅπερ ἦν αὐτοῦ διεφθαρμένα. καὶ διὰ τί οὐ ζητεῖς τὸν λόγον; οὐκ ἐπειδὴ ἀπορῶ λόγου, ἀλλ᾽ ἐπειδὴ ἐν δυνάμει τὰ ἡμέτερα. καθάπερ οὖν ἐν πολέμῳ οὐ τῶν πολλὰ φθεγγομένων τὸ κατορθοῦν, ἀλλὰ τῶν πολλὰ ἐργαζομένων· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τῶν λαλούντων, ἀλλὰ τῶν ποιούντων ἡ νίκη. μέγα φρονεῖς ἐπὶ εὐγλωττίᾳ, φησίν. ἀλλ᾽ εἰ μὲν ῥητόρων ὁ ἀγὼν καὶ ὁ καιρὸς, καλῶς ἐντεῦθεν ἐφρόνεις· εἰ δὲ ἀποστόλων ἀλήθειαν καταγγελλόντων, καὶ σημείοις ταύτην βεβαιούντων, τί πεφύσησαι ἐπὶ πράγματι περιττῷ καὶ οὐδὲν ὄντι, οὐδὲ εἰς τὰ παρόντα τι συντελέσαι δυναμένῳ; τί γὰρ λόγων ἐπίδειξις δύναιτ᾽ ἂν πρὸς τὸ νεκρὸν ἀναστῆσαι, ἢ δαίμονας ἐλάσαι, ἢ ἄλλην τινὰ τοιαύτην ἐργάσασθαι θαυματουργίαν; τούτων δὲ χρεία νῦν, καὶ διὰ τούτων τὰ ἡμέτερα συνίσταται. διὸ καὶ ἐπήγαγεν· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ᾽ ἐν δυνάμει. διὰ σημείων, φησὶν, οὐ δι᾽ εὐγλωττίας ἐκρατήσαμεν, καὶ τοῦ θείαν εἶναι τὴν διδασκαλίαν ἡμῶν, καὶ βασιλείαν καταγγέλλειν οὐρανῶν, μεγίστην ἀπόδειξιν παρεχόμενοι τὰ σημεῖα, ἅπερ ποιοῦμεν τῇ δυνάμει τοῦ πνεύματος. εἰ τοίνυν μεγάλοι τινὲς εἶναι βούλονται οἱ πεφυσιωμένοι νῦν, ἐπειδὰν παραγένωμαι, δειξάτωσαν, εἴ τινα δύναμιν τοιαύτην ἔχουσι· καὶ μή μοι ῥημάτων περιβαλλέσθωσαν κόμποις. οὐδὲν γὰρ ἐκείνη πρὸς ἡμᾶς ἡ τέχνη. τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος; πολὺ καὶ τὸ φοβερὸν ἔχει καὶ τὸ προσηνὲς ὁ λόγος οὗτος. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι γνώσομαι, ἔτι ὑποσταλμένου ἦν· τὸ δὲ εἰπεῖν, τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; ἐπὶ τὸν διδασκαλικὸν λοιπὸν ἀναβαίνοντος θρόνον, κἀκεῖθεν αὐτοῖς διαλεγομένου, καὶ τὴν ἐξουσίαν ἀναλαβόντος πᾶσαν. τί ἐστιν, ἐν ῥάβδῳ; ἐν κολάσει, ἐν τιμωρίᾳ, τουτέστιν, ἀνελῶ, πηρώσω· ὅπερ ἐπὶ τῆς Σαπφείρας ὁ Πέτρος ἐποίησεν· ὅπερ αὐτὸς ἐπὶ Ἐλύμα τοῦ μάγου. οὐκέτι γὰρ λοιπὸν ὡς παρεξετάζων ἐκείνοις ἑαυτὸν λέγει, ἀλλ᾽ αὐθεντικῶς. καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τὸ αὐτὸ τοῦτο φαίνεται λέγων, ὅταν λέγῃ· ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. ἐν ῥάβδῳ ἔλθω, ἢ ἐν ἀγάπῃ; τί γάρ, ἐν ῥάβδῳ ἐλθεῖν, οὐκ ἦν ἀγάπης; ἀγάπης μὲν ἦν· ἀλλ᾽ ἐπειδὴ σφόδρα ἀγαπῶν ἀναδύεται πρὸς τιμωρίαν, διὰ τοῦτο οὕτω φησίν. ὅτε μὲν οὖν περὶ τιμωρίας ἔλεγεν, οὐκ εἶπε, πνεύματί τε πραότητος, ἀλλὰ ῥάβδῳ. καίτοι κἀκεῖνο πνεύματι ἐγίνετο. ἔστι γὰρ πνεῦμα πραότητος, καὶ πνεῦμα αὐστηρότητος. ἀλλ᾽ οὐ βούλεται οὕτως αὐτὸ καλεῖν, ἀλλ᾽ ἀπὸ τῶν χρηστοτέρων. διὰ τοῦτο καὶ ὁ θεὸς καίτοιγε τιμωρούμενος, ὅτι μὲν ἐλεήμων ἐστὶ καὶ μακρόθυμος καὶ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, πολλαχοῦ λέγεται·

A *non sermonem eorum qui inflati sunt, sed virtutem.* Non dixit, cognoscam sapientiam, neque signa; sed quid? non sermonem; & illud prolato nomine deprimens, & hoc extollens. Et interim sermonem dirigit ad eos qui fornicatorem fovebant. Nam si illum alloqueretur, non diceret, virtutem; sed opera, quæ corrupta erant. Et cur non quæris sermonem? Non quod verbis egeam, sed quia in virtute res nostræ consistunt. Ut igitur in bello, non multa loquentium, sed multa patrantium sunt præclara gesta; ita

B hic quoque non loquentium, sed operantium est victoria. Altum sapis ob facundiam, inquit; sed si rhetorum certamen esset & tempus, recte ideo tibi placeres; si autem apostolorum veritatem annunciantium, & illam signis confirmantium, quid inflaris de re superflua, quæ nihil est, & ad præsentia nihil conferre possit? Quid enim verborum ostentatio posset ad mortuum suscitandum, aut dæmones pellendos, aut aliud quodpiam miraculum patrandum. His nunc opus est, & per hæc res nostræ consistunt.

C Ideoque subjunxit: 20. *Non enim in sermone est regnum Dei, sed in virtute.* Per signa, inquit, non per facundiam vicimus, & quod divina sit doctrina nostra, & regnum cælorum annunciemus, maximum argumentum præbuimus, signa nempe, quæ per virtutem Spiritus facimus. Si ergo magni quidam viri esse volunt ii qui nunc sunt inflati, cum advenero, ostendant, si quam talem virtutem habeant, neque verborum fastum mihi obtendant: ars enim illa nihil ad nos. 21. *Quid vultis? in virga veniam ad vos, an in caritate & spiritu mansuetudinis?*

D Multum terroris & multum lenitatis hic sermo præ se fert. Dicere enim, Cognoscam, sese continentis erat; dicere autem: Quid vultis? in virga veniam ad vos? ejus est qui in doctrinæ solium ascendit, & inde differit, totamque auctoritatem accepit. Quid est, in virga? id est, in castigatione, in supplicio; hoc est, de medio tollam, excæcabo; quod in Sapphira Petrus fecit, & ipse in Elyma mago. Non enim jam dicit: tamquam se cum illis comparans, sed cum auctoritate. Et in secunda epistola hoc ipsum dicere deprehenditur cum ait: *An experimentum quæritis, ejus, qui in me loquitur, Christi?* In 2. Cor. 13. 3.

E virga veniam, an in caritate? Quid enim, in virga venire, annon caritatis? Caritatis quidem erat; sed quia qui diligit, vix ad pœnam sumendam ducitur, ideo ita loquitur. Cum ergo de supplicio dicebat, non dixit, & spiritu lenitatis, sed, virga: quamvis illud quoque spiritu fieret. Est enim spiritus mansuetudinis & spiritus severitatis. Verum non vult illum ita, sed a benignioribus vocare. Propterea Deus quoque etiamsi puniat, quod sit misericors, longanimis & dives in misericordia & miserationibus, sæpe dicitur;

quod vero puniat, semel, aut bis, aut certe raro, idque urgente causa. Et vide sapientiam Pauli. Cum potestatem haberet, alterutrius rei dat ipsis optionem dicens: Quid vultis? res est posita in vestra potestate. Etenim & hoc & illud est positum in nostra potestate, ut vel in gehennam incidamus, vel regnum consequamur: quoniam Deus sic voluit. Ecce enim, inquit, ignem & aquam: ad quod volueris extendes manum tuam; &, *Si* Isai. 1. 19. *volueritis, & me audieritis, bona terræ comedetis.*

3. At fortasse dicet quispiam, volo; & nemo ita stultus est ut nolit: sed non sufficit mihi velle. Atqui sufficit, si velis ut oportet, & ea facias quæ volentis sunt. Nunc autem non admodum vis: & hoc in aliis exploremus, si placet. Dic enim mihi, qui vult uxorem ducere, satis-ne habet quod velit? Nequaquam; sed etiam pronubas quærit, & amicos rogat secum vigilent, pecuniasque colligit. Rursus mercator, non domi sedens satis habet quod velit; sed navem conducit, & nautas remigesque colligit, pecuniam dat fœnori, & de locis deque rerum venalium precio curiose inquirit. Quomodo igitur non absurdum fuerit in terrenis tantam adhibere curam; cælum autem emere volentes, sola voluntate contentos esse? Imo vero ne hoc ipsum cum congruenti diligentia præstare? Nam qui vult ut oportet, res quoque aggreditur, quæ ad rem expetitam ducunt. Nam quia esuries necessitatem affert cibi, non exspectas ut alimenta sponte sua ad te veniant, sed nihil non agis ut escam colligas. Et in siti & in frigore, in aliisque omnibus navus es & ad curam corporis paratus. Hoc ergo circa regnum cælorum facito, & omnino ipsum consequeris. Ideo namque te libero arbitrio præditum fecit Deus, ut ne postea accuses eum quasi necessitate colligatus. Tu vero de iis quorum honorem es consequutus, de iis, inquam, indignaris? Nam multos audivi dicentes: Cur me fecit virtutis, si velim, compotem? Sed oportebat-ne te dormientem & dormitantem, vitiis addictum, delicientem, ventri indulgentem in cælum inducere? At a vitio non abstinuisses. Si enim nunc instantibus minis, neque sic a nequitia abstines, etiamsi cælum tibi præmium proposuisset, quandonam cessavisses fieri socordior & multo deterior? Non enim dicere possis, ostendit quidem bona, sed opem non tulit: multum enim auxilii tibi pollicetur. Sed virtus, inquies, onerosa est & molesta: cum vitio autem multum commiscetur voluptatis; & hoc quidem latum est & spatiosum, virtus autem arcta & angusta. Num, quæso, semper & ab initio ambo ejusmodi fuerunt? De virtute enim invitus dicis ea quæ dicis; ita potens est veritas. Nam si duæ essent viæ, quarum alia ad fornacem,

Regnum cælorum quomodo acquirendum.

A ὅτι δὲ κολαστικὸς, ἅπαξ που καὶ δεύτερον ἢ σπανιάκις, καὶ ταῦτα τῆς αἰτίας κατεπειγούσης. καὶ σκόπει σοφίαν Παύλου. τὴν ἐξουσίαν αὐτὸς ἔχων, καὶ τούτου κἀκείνου ἑτέρους ποιεῖ κυρίους λέγων, τί θέλετε; ἐν ὑμῖν τὸ πρᾶγμα κεῖται. καὶ γὰρ ἡμεῖς ἐσμεν καὶ τούτου κἀκείνου κύριοι, καὶ τοῦ εἰς γέενναν ἐμπεσεῖν, καὶ τοῦ βασιλείας ἐπιτυχεῖν· ἐπειδὴ ὁ θεὸς οὕτως ἠθέλησεν. ἰδοὺ γάρ, φησι, πῦρ καὶ ὕδωρ· οὗ ἐὰν θέλῃς, ἐκτενεῖς τὴν χεῖρά σου. καὶ, ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε.

B Ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι θέλω. καὶ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ θέλειν. ἀλλ' οὐκ ἀρκεῖ μοι τὸ θέλειν. καὶ μὴν ἀρκεῖ, ἐὰν ὡς χρὴ θέλῃς, καὶ τὰ τοῦ θέλοντος ποιῇς· νυνὶ δὲ οὐ σφόδρα θέλεις. καὶ τοῦτο ἐπὶ τῶν ἄλλων γυμνάσωμεν, εἰ δοκεῖ. εἰπὲ γάρ μοι, ὁ βουλόμενος γυναῖκα ἀγαγέσθαι, ἀρκεῖται τῷ θέλειν. οὐδαμῶς· ἀλλὰ καὶ προμνηστρίας ἐπιζητεῖ, καὶ φίλους ἀξιοῖ συναγρυπνῆσαι, καὶ χρήματα συνάγει. πάλιν ὁ ἔμπορος οὐκ οἴκοι καθήμενος ἀρκεῖται τῷ θελῆσαι, ἀλλὰ καὶ πλοῖον μισθοῦται, καὶ ναύτας καὶ κωπηλάτας καταλέγει, καὶ ἀργύριον δανείζεται, καὶ χώρας περιεργάζεται, καὶ ὠνίων C τιμάς. πῶς οὖν οὐκ ἄτοπον εἰς μὲν τὰ τῆς γῆς τοσαύτην σπουδὴν ἐπιδείκνυσθαι, τὸν δὲ οὐρανὸν ἐμπορεύεσθαι μέλλοντας τῷ θέλειν ἀρκεῖσθαι μόνον; μᾶλλον δὲ μηδὲ τοῦτο μετὰ τῆς προσηκούσης ἐπιδείκνυσθαι σπουδῆς; ὁ γὰρ θέλων ὡς δεῖ, καὶ τῶν πραγμάτων ἅπτεται τῶν ἐπὶ τοῦτο ἀγόντων ὃ θέλει. καὶ γὰρ ἐπειδὴ τὸ πεινῆσαι καταναγκάζει τραφῆναι, οὐ περιμένεις αὐτόματα τὰ σιτία πρὸς σὲ ἐλθεῖν, ἀλλὰ πάντα ποιεῖς ὑπὲρ τοῦ τὴν τροφὴν συναγαγεῖν. καὶ ἐπὶ τοῦ διψῆν, καὶ ἐπὶ τοῦ ῥιγοῦν, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ἐνεργὸς εἶ, καὶ παρατεταγμένος πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν. τοῦτο τοίνυν καὶ ἐπὶ D τῆς βασιλείας ποίει, καὶ πάντως αὐτῆς ἐπιτεύξῃ. διὰ τοῦτο γάρ σε αὐτεξούσιον ἐποίησεν ὁ θεὸς, ἵνα μὴ ὕστερον ἐγκαλῇς τῷ θεῷ ὡς ἀνάγκῃ δεθείς. σὺ δὲ ὑπὲρ ὧν τιμῆς ἀπήλαυσας, ὑπὲρ τούτων ἀγανακτεῖς; καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων, διὰ τί γάρ με κύριον ἐποίησεν ἀρετῆς; ἀλλὰ πῶς ἔδει, κοιμώμενον καὶ νυστάζοντα καὶ τῆς κακίας ἐφιέμενον καὶ τρυφῶντα, καὶ γαστριζόμενον ἐπὶ τὸν οὐρανὸν ἀναγαγεῖν; ἀλλ' οὐκ ἂν ἀπέστης κακίας. εἰ γὰρ νῦν, ἀπειλῆς κειμένης, οὐδὲ οὕτως ἀφίστασαι τῆς πονηρίας, εἰ καὶ τὸν οὐρανόν σοι προσέθηκεν E ἔπαθλον, πότε ἂν ἐπαύσω γινόμενος ῥαθυμότερος καὶ [a] χείρων πολλῶν; οὐδὲ γὰρ ἐκεῖνο ἔξεις εἰπεῖν, ὅτι ἔδειξε μὲν τὰ ἀγαθὰ, οὐκ ἐβοήθησε δέ. καὶ γὰρ πολλὴν ὑπισχνεῖταί σοι τὴν συμμαχίαν. ἀλλ' ἡ μὲν ἀρετή, φησιν, ἐπαχθὴς καὶ φορτική, τῇ δὲ κακίᾳ ἡδονὴ συγκέκραται πολλή· καὶ ἡ μὲν ἐστι πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ στενὴ καὶ τεθλιμμένη. ἆρα διόλου, εἰπέ μοι, ἢ ἀπὸ τῆς ἀρχῆς ἀμφότεραι τοιαῦται; καὶ γὰρ καὶ ἄκων ὑπὲρ τῆς ἀρετῆς λέγεις ταῦτα ἃ λέγεις· οὕτως ἰσχυρὸν ἡ ἀλήθεια. καὶ γὰρ εἰ δύο ἦσαν ὁδοὶ, ἡ μὲν ἐπὶ κάμινον,

a Savilius legendum putat, καὶ χείρων πολλῷ.

ἡ δὲ

ἡ δὲ ἐπὶ παράδεισον φέρουσα, καὶ ἡ μὲν τὴν πλατεῖα ἡ ἐπὶ τὴν κάμινον, ἡ δὲ στενὴ ἡ ἐπὶ τὸν παράδεισον, ποίαν ἂν εἵλου μᾶλλον ὁδόν; κἂν γὰρ νῦν φιλονεικῶν ἀντείπῃς, ἀλλὰ τοῖς σφόδρα ὡμολογημένοις, κἂν σφόδρα ἀναισχυντῇς, ἀντειπεῖν οὐ δυνήσῃ. ὅτι μὲν γὰρ αὕτη μᾶλλόν ἐστιν αἱρετὴ ἡ τὴν ἀρχὴν ἔχουσα χαλεπὴν, ἀλλὰ μὴ τὸ τέλος, ἀπὸ τῶν ἐν χερσὶν ὑμᾶς διδάξαι πειράσομαι. καὶ, εἰ βούλεσθε, τὰς τέχνας μεταχειρισώμεθα πρῶτον. αὗται γὰρ τὴν μὲν ἀρχὴν πόνου γέμουσαν ἔχουσι, τὸ δὲ τέλος ἐπικερδές. ἀλλ' οὐδεὶς, φησιν, ἥψατο τέχνης μὴ τὸν ἀναγκάζοντα ἔχων. ἐπειδὰν γὰρ ἢ κύριος ἑαυτοῦ, φησιν, B ὁ νέος, μᾶλλον αἱρήσεται τρυφᾶν ἐν ἀρχῇ, καὶ πρὸς τῷ τέλει μυρία παθεῖν τὰ κακὰ, ἢ ταλαιπωρεῖσθαι ἐν προοιμίοις, καὶ καρποῦσθαι μετὰ ταῦτα ἐκ τῶν πόνων ἐκείνων. οὐκοῦν τὸ τὰ τοιαῦτα αἱρεῖσθαι, ὀρφανικῆς ἐστι διανοίας καὶ παιδικῆς ῥαθυμίας· τὸ δὲ τὰ ἐναντία, συνέσεως καὶ ἀνδρείας. οὕτω τοίνυν καὶ ἡμεῖς, εἰ μὴ ἦμεν παῖδες τὸν νοῦν, οὐκ ἂν ἐκείνῳ [a] τῷ ὀρφανῷ καὶ ἀνοήτῳ, ἀλλὰ τῷ πατέρα ἔχοντι [a] ἐξωμοιώθημεν ἄν. δεῖ τοίνυν τὴν παιδικὴν ἐκβαλεῖν διάνοιαν, ἀλλὰ μὴ τὰ πράγματα αἰτιᾶσθαι· καὶ τὸν ἡνίοχον ἐπιστῆσαι τῇ συνειδήσει, ὃς οὐκ ἐάσει γαστρίζεσθαι, ἀλλὰ τρέχειν καὶ ἀγωνίζεσθαι. πῶς γὰρ οὐκ C ἄτοπον, τοὺς μὲν παῖδας μετὰ ταλαιπωρίας ἄγειν τὴν ἀρχὴν ἐπὶ πράγματα μὲν προοίμια ἔχοντα ἐπίμοχθα, τὸ δὲ τέλος χρηστόν· ἡμᾶς δὲ αὐτοὺς ἀπεναντίας ἐπὶ τῶν πνευματικῶν διακεῖσθαι πραγμάτων; καίτοιγε οὐδὲ ἐπὶ τῶν βιωτικῶν πάντως δῆλον ὅτι χρηστὸν ἔσται τὸ τέλος. καὶ γὰρ ἄωρος θάνατος, καὶ πενία, καὶ συκοφαντία, καὶ μεταβολὴ πραγμάτων, καὶ πολλὰ ἕτερα τοιαῦτα, μετὰ τοὺς πολλοὺς πόνους τῶν καρπῶν ἀποστερηθῆναι ἐποίησε. κἂν ἐπιτύχωσι D δὲ οἱ μετιόντες, οὐδὲν μέγα καρπώσονται. τῷ γὰρ παρόντι βίῳ πάντα συγκαταλύεται ἐκεῖνα. ἐνταῦθα δὲ οὐδὲ ὑπὲρ τοιούτων τρέχομεν ψυχρῶν καὶ ἐπικήρων, οὔτε δεδοίκαμεν ὑπὲρ τοῦ τέλους, ἀλλὰ καὶ μείζων καὶ ἀσφαλεστέρα ἡ ἐλπὶς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. τίς οὖν ἔσται συγγνώμη; τίς δὲ ἀπολογία μὴ βουλομένοις ἀποδύεσθαι πρὸς τοὺς ὑπὲρ ἀρετῆς πόνους; ἀλλ' ἐρωτῶσιν ἔτι, διὰ τί στενὴ ἡ ὁδός; [b] καὶ εἰς μὲν τὰ βασίλεια τὰ ἐπίγεια τὸν πόρνον [b] καὶ τὸν λάγνον οὐκ ἀξιοῖς εἰσιέναι τινά· εἰς δὲ τὸν οὐρανὸν αὐτὸν μετὰ ἀδείας, καὶ τρυφῆς, καὶ μέθης, καὶ πλεονεξίας, καὶ κακίας ἁπάσης τοὺς E ἀνθρώπους εἰσάγεσθαι ἀξιοῖς; καὶ πῶς ταῦτα συγγνώμης ἄξια;

Ἀλλ' οὐ τοῦτο, φησι, λέγω, ἀλλὰ διὰ τί μὴ εὐρύχωρος ἦν ἡ ἀρετή. καὶ μὴν ἐὰν θέλωμεν, καὶ σφόδρα ἐστὶν εὔκολος. τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τὸ διορύξαι τοῖχον, καὶ λαβόντα τὰ ἑτέρων ὕστερον εἰς δεσμωτήριον ἐμπεσεῖν, ἢ τοῖς οὖσιν ἀρκούμενον παντὸς ἀπηλλάχθαι φόβου; καίτοιγε οὐ τὸ πᾶν εἶπον. τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τὰ πάντων ὑφελόμενον, καὶ ὀλίγοις ἐντρυφήσαντα χρόνον βραχὺν, στρεβλοῦσθαι καὶ μαστίζεσθαι ἀθάνατα,

A alia ad paradisum duceret, & lata quidem ad fornacem, arcta vero ad paradisum; utram eligeres viam? Etiamsi enim nunc disputans contradicas, quantumvis impudens fueris, iis quæ in confesso sunt non poteris contradicere. Nam quod ea sit magis eligenda, quæ habet durum initium, non autem finem, ab iis quæ in promtu sunt docere conabor. Et si placet, artes primum tractemus. Illæ namque initium labore plenum habent, finem vero quæstuosum. At nemo, inquies, artem attigit, nisi a quopiam cogeretur; nam si puer sui juris sit, malet B in deliciis vivere initio, & in fine innumera perpeti mala, quam in principio misere vivere, & laborum illorum fructum postea assequi. Ergo illa eligere est orphanicæ mentis, & puerilis socordiæ; contraria vero, prudentis & virilis animi. Sic igitur & nos, nisi animo pueri simus; non illi orphano & insano, sed illi patrem habenti similes erimus. Oportet ergo puerilem mentem abjicere, non autem res ipsas accusare, & aurigam conscientiæ imponere; qui non sinat ventri indulgere, sed currere & decertare. C Quomodo enim absurdum non fuerit; pueros cum labore & sudore initium ducere in rebus quæ principia habent laboriosa, finem autem gratiosum; nos autem contrario modo affici erga res spirituales? Etiamsi in rebus sæcularibus non omnino certum sit finem fore bonum. Nam immatura mors, paupertas, sycophantia, rerum mutationes & similia multa, post multos labores, ut fructu privemur efficiunt. Si vero iidem quod quærunt assequantur; non magnum percipient fructum; in præsenti namque vi- D ta illa omnia dissolvuntur. Hic autem non currimus pro hujusmodi rebus frigidis & fluxis, neque de fine timemus; sed major & securior spes est, post discessum ex hac vita. Quænam ergo venia erit, quæ excusatio nolentibus adire labores pro virtute suscipiendos? Sed adhuc interrogant, cur angusta est via? Ad regias ædes terrenas, non sinis intrare scortatorem quemquam vel ebrium aut mollem; & in cælum ipsum, cum licentia, deliciis, ebrietate, avaritia vitiisque om- E nibus; homines induci rogas? an hoc venia dignum est?

4. Non hoc, inquies, dico; sed cur virtus non viam latam habet? Atqui si velimus, admodum facilis erit. Quid enim, quæso, facilius est, murum-ne perforare, & aliorum bonis direptis in carcerem conjici; an suis contentum, omni metu esse liberum? Atqui non dixi totum. Quid enim facilius, dic mihi, an cum omnium bona subripueris, & ex paucis breve tempus in deliciis egeris, immortaliter torqueri & flagris cædi;

[a] Ita reg. Morel. vero, ἐξωμοιώθη ἄν.

[b] Hæc, καὶ τῶν μεθυόντων decrant in editis, sed sunt in Reg.

an cum in justa paupertate vixeris parvo tempore, perpetuo postea in deliciis agere? Nondum examinemus quid sit fructuosius, sed interim quid sit facilius. Quid jucundius gratum videre somnium, & vere supplicio affici; aut molestum somnium vidisse, & vere deliciari? Annon palam est hoc jucundius esse? Quomodo igitur, dic mihi, asperam vocas virtutem? Aspera enim est, si cum negligentia nostra comparetur. Quod enim sit facilis & suavis, audi quid dicat Christus: *Jugum meum suave est, & onus meum leve.* Si autem non sentis levitatem, perspicuum est te non robustum habere animum. Sicut enim cum talem habes, onerosa levia sunt; sic cum non habes, levia sunt operosa. Quid enim, quæso, suavius erat, quam mensa ex manna, quid paratu facilius? Sed ægre ferebant Judæi talibus fruentes deliciis. Quid fame acerbius, necnon aliis laboriosis, quæ passus est Paulus? At ille exsultabat, delectabatur ac dicebat: *Nunc gaudeo in passionibus meis.* Quæ est ergo causa? Animi differentia. Si igitur animum ut oportet adornaveris, virtutis facilitatem videbis. Quid ergo, inquies, talis-ne fit ex eorum qui illam suscipiunt affectu? Non ex affectu animi solum, sed natura sua talis est. Etenim si semper illa esset laboriosa, & vitium omnino contra, jure quis eorum qui lapsi sunt diceret vitium esse facilius virtute; si vero initium haberet illa durum, hoc suave; finem autem e contrario: finis vero utriusque immensus sive gravis sit, sive suavis? Utrum, quæso, ut facilius eligas? Cur ergo multi non eligunt id quod facilius est? Quia alii quidem non credunt; alii vero licet credentes, corruptum habent animum, & temporaneam voluptatem æternæ prætulerint. Est ergo hoc facile? non facile, sed ex imbecillo animo hoc provenit. Ac quemadmodum febri laborantes, non quia jucundius est brevi tempore deliciari, quam semper uri, ideo amant potum aquæ frigidæ, sed quia absurdam cupiditatem continere non possunt. Sic & isti. Atqui si quis ad supplicium illos cum voluptate duceret, nequaquam ipsum eligerent. Vidistin' quomodo non facile sit vitium? Si vis autem, hoc iterum in ipsis rebus excutiamus. Quid enim, quæso, dulcius, quid facilius est? sed ne iterum res ex multorum cupiditate judicemus: neque enim ab ægrotantibus, sed a bene valentibus calculum ferre oportet. Neque enim si millenos mihi febricitantes ostendas, qui sanitati contraria quærant, & malint postea supplicio affici, talem unquam admiserim optionem. Quid facilius, inquam, dic mihi, multas concupiscere pecunias, an hac cupiditate esse superiorem? Hoc certe postremum ut mihi videtur. Si autem ipse non credis, ad res ipsas sermonem ducamus.

Matt. 11. 30.

Virtus non est aspera.

Col. 1. 24.

A ἢ ἐν πενίᾳ ζήσαντα δικαίᾳ βραχὺν καιρὸν, διηνεκῶς τρυφᾷν ὕστερον; μήπω γὰρ τί λυσιτελέστερον ἐξετάσωμεν, ἀλλὰ τέως τί εὐκολώτερον. τί δὲ ἥδιον, ὄναρ ἰδεῖν χρηστὸν καὶ ἐν ἀληθείᾳ κολάζεσθαι, ἢ χαλεπὸν ὄναρ ἰδόντα ἐν ἀληθείᾳ τρυφᾷν; οὐκ εὔδηλον ὅτι τοῦτο; πῶς οὖν, εἰπέ μοι, τραχεῖαν καλεῖς τὴν ἀρετήν; τραχεῖα γάρ ἐστι πρὸς τὴν ὀλιγωρίαν ἐξεταζομένη τὴν ἡμετέραν· ἐπεὶ ὅτιγε ῥᾳδία καὶ εὔκολος, ἄκουσον τί φησιν ὁ Χριστός· ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν. εἰ δὲ οὐκ αἰσθάνῃ τῆς κουφότητος,
B δῆλον ὅτι προθυμίαν ἐῤῥωμένην οὐκ ἔχεις. ὥσπερ γὰρ ταύτης οὔσης, καὶ τὰ βαρέα κοῦφα, οὕτως οὐκ οὔσης, καὶ τὰ κοῦφα βαρέα. τί γὰρ, εἰπέ μοι, τῆς τοῦ μάννα τραπέζης ἥδιον, καὶ ἀπονώτερον; ἀλλ᾽ ἐδυσχέραινον οἱ Ἰουδαῖοι τοιαύτης ἀπολαύοντες τρυφῆς. τί λιμοῦ πικρότερον, καὶ τῶν ἄλλων τῶν ἐπιμόχθων ὧν ὑπέμεινε Παῦλος; ἀλλ᾽ ἐσκίρτα καὶ ἔχαιρε καὶ ἔλεγε· νῦν χαίρω [a] ἐν τοῖς παθήμασί μου. τί οὖν τὸ αἴτιον; ἡ τῆς γνώμης διαφορά. ἂν τοίνυν ταύτην, οἵαν εἶναι χρὴ, κατασκευάσῃς, ὄψει τὴν εὐκολίαν τῆς ἀρετῆς. τί οὖν, ἀπὸ τῆς γνώμης τῶν μετιόντων τοιαύτη γίνεται, φη-
C σίν; οὐκ ἀπὸ τῆς γνώμης μόνον, ἀλλὰ καὶ φύσει τοιαύτη τίς ἐστι. καὶ γὰρ εἰ διόλου ἐπίπονος ἦν ἐκείνη, καὶ αὕτη διόλου τὸ ἐναντίον, εἰκότως ἄν τις τῶν ἀναπεπτωκότων εἶπε ταύτην εὐκολωτέραν ἐκείνης· εἰ δὲ ἀρχὴν ἔχουσιν ἡ μὲν χαλεπὴν, ἡ δὲ ἡδεῖαν, τὰ δὲ τέλη πάλιν ἀπεναντίας αὐταῖς, ἄπειρα δὲ τὰ τέλη, τῆς μὲν τὸ ἡδὺ, τῆς δὲ τὸ βαρὺ, ποίαν, εἰπέ μοι, εὐκολώτερον ἑλέσθαι; τί οὖν οὐχ αἱροῦνται πολλοὶ τὸ εὔκολον; ὅτι οἱ μὲν ἀπιστοῦσιν, οἱ δὲ καὶ πιστεύοντες, διεφθαρμένην τὴν γνώμην ἔχουσι, καὶ ἕλοιντ᾽ ἂν τὴν
D πρόσκαιρον ἡδονὴν ἀντὶ τῆς αἰωνίας. οὐκοῦν τοῦτο εὔκολον; οὐκ εὔκολον, ἀλλ᾽ ἀσθενοῦς ψυχῆς τοῦτο. καὶ καθάπερ οἱ πυρέττοντες, οὐκ ἐπειδὴ ἥδιον τὸ πρὸς βραχὺ τρυφᾷν τοῦ διόλου καίεσθαι, διὰ τοῦτο ψυχροποσίας ἐρῶσιν, ἀλλ᾽ ἐπειδὴ κατασχεῖν οὐκ ἀνέχονται τῆς ἐπιθυμίας τῆς ἀτόπου· οὕτω καὶ οὗτοι. ὡς εἴγε ἐπὶ τὴν κόλασίν τις αὐτοὺς ἔφερεν ὁμοῦ μετὰ τῆς ἡδονῆς, οὐκ ἄν ποτε ταύτην εἵλοντο. εἶδες πῶς οὐκ εὔκολον ἡ κακία; εἰ δὲ βούλει, καὶ ἐπ᾽ αὐτῶν τῶν πραγμάτων ἐξετάσωμεν τὸ αὐτὸ τοῦτο πάλιν. τί γὰρ
E ἥδιον, εἰπέ μοι, καὶ εὐκολώτερον; ἀλλὰ μὴ πάλιν ἀπὸ τῆς ἐπιθυμίας τῶν πολλῶν τὰ πράγματα κρίνωμεν. οὐδὲ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ᾽ ἀπὸ τῶν ὑγιαινόντων ψηφίζεσθαι χρή. οὐδὲ γὰρ, ἂν μυρίους μοι δείξῃς πυρέττοντας καὶ τὰ ἐναντία τῇ ὑγιείᾳ ζητοῦντας, καὶ αἱρουμένους μετὰ ταῦτα κολάζεσθαι, ἀποδέξομαι τὴν αἵρεσιν ταύτην. τί τοίνυν εὐκολώτερον, εἰπέ μοι, ἐφίεσθαι πολλῶν χρημάτων, ἢ μείζονα εἶναι τῆς ἐπιθυμίας ταύτης; ἐμοὶ μὲν γὰρ τοῦτο δοκεῖ. εἰ δὲ αὐτὸς ἀπιστεῖς, ἐπ᾽ αὐτὰ τὰ πράγματα τὸν λόγον ἀγάγω-

[a] Reg. ἐν τοῖς παθ- Editi, ἐπὶ τοῖς παθ-

Ι Ι

μενοι. καὶ ἔστω ὁ μὲν πολλῶν ἐφιέμενος, ὁ δὲ μηδενός.

Τί τοίνυν κρεῖττον, εἰπέ μοι, καὶ τί σεμνότερον; ἀλλὰ τοῦτο μὲν παρείσθω. τοῦτο γὰρ ὡμολόγηται, ὅτι οὗτος ἐκείνου σεμνότερος· καὶ οὐδὲν περὶ τούτου ζητοῦμεν νῦν, ἀλλὰ τίς εὐκολώτερον ζῇ βίον καὶ ἥδιον. ὁ μὲν γὰρ φιλάργυρος οὐδὲ τῶν ὄντων ἀπολαύσεται· ὃ γὰρ φιλεῖ οὐκ ἂν ἕλοιτο δαπανῆσαι, ἀλλ' ἡδέως ἑαυτὸν ἂν κατακόψειε καὶ τὰς σάρκας πρόοιτο, ἢ τὸ χρυσίον. ὁ δὲ καταφρονῶν χρημάτων, τοῦτο τέως ἐκέρδανε, τὸ τῶν ὄντων ἀπολαύειν ἁπλῶς καὶ μετὰ ἀδείας πολλῆς, καὶ ἑαυτὸν προτιθέναι ἐκείνων. τί οὖν ἥδιον, μετὰ ἀδείας ἀπολαύειν τῶν ὄντων, ἢ ὑπὸ δεσπότῃ ζῶντα τῷ πλούτῳ, μηδενὸς τολμᾶν ἅπτεσθαι τῶν ἑαυτοῦ; ὅμοιον γὰρ εἶναί μοι δοκεῖ, ὥσπερ ἂν εἴ τινες ἄνδρες δύο γυναῖκας ἔχοντες, καὶ σφόδρα αὐτῶν ἐρῶντες, μὴ ὁμοίως αὐταῖς χρῶντο· ἀλλὰ τῷ μὲν ἐξῇ καὶ ἅπτεσθαι καὶ ὁμιλεῖν τῇ γυναικί, ἐκείνῳ δὲ μηδὲ ἐγγὺς γίνεσθαι. εἴπω καὶ ἕτερον, τοῦ μὲν τὴν ἡδονήν, τοῦ δὲ τὴν ἀθυμίαν ἐνδεικνύμενος. ὁ φιλάργυρος οὐδέποτε στήσεται τῆς ἐπιθυμίας ταύτης, οὐ τῷ δύνασθαι τὰ πάντων λαβεῖν μόνον, ἀλλὰ καὶ τῷ, ὅσα ἂν περιβάληται, μηδὲν ἡγεῖσθαι ἔχειν· ὁ δὲ χρημάτων καταφρονῶν, περιττὰ πάντα ἡγήσεται, καὶ οὐ κολάσει τὴν ψυχὴν ἀπεράντοις ἐπιθυμίαις. οὐδὲν γὰρ οὕτως εἰς κολάσεως λόγον ἐστίν, ὡς ἐπιθυμία ἀπολαύσεως ἐστερημένη, ὃ μάλιστα καὶ τὴν διεστραμμένην δείκνυσι γνώμην. σκόπει δέ. ὁ ἐπιθυμῶν χρημάτων καὶ κτησάμενος πλείονα, ὡς οὐδὲν ἔχων διάκειται ὁ τοιοῦτος. ἆρα τῆς νόσου ταύτης πολυπλοκώτερον τί γένοιτ' ἄν; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ ἔχων, οὐκ ἔχειν δοκεῖ αὐτὰ ἃ κατέχει, καὶ ὡς οὐκ ἔχων κόπτεται· κἂν τὰ πάντων λάβῃ, μᾶλλον ἀνιᾶται· κἂν κτήσηται ἑκατὸν τάλαντα, ὅτι μὴ χίλια ἔλαβεν, ἀλγεῖ· κἂν χίλια [a] λάβῃ, ὅτι μὴ μύρια, δάκνεται· κἂν μύρια λάβῃ, ὅτι μὴ δεκάκις τοσαῦτα, κατακόπτεται· καὶ ἡ πλείων κτῆσις, αὐτῷ προσθήκη γίνεται πενίας. ὅσῳ γὰρ ἂν λάβῃ πλείονα, τοσούτῳ πλειόνων ἐπιθυμεῖ. οὐκοῦν ὅσῳ ἂν πλείονα λάβῃ, τοσούτῳ μᾶλλον γίνεται πένης. ὁ γὰρ πλειόνων ἐπιθυμῶν, μᾶλλον πένης ἐστίν. ὅταν μὲν οὖν ἑκατὸν ἔχῃ τάλαντα, οὐ σφόδρα πτωχεύει, χιλίων γὰρ ἐπιθυμεῖ. ὅταν χίλια λάβῃ, τότε μᾶλλον γίνεται πένης. οὐκέτι γὰρ χιλίων ὡς πρότερον, ἀλλὰ μυρίων ἑαυτὸν ἐν χρείᾳ φησὶν εἶναι. εἰ δὲ τὸ ἐπιθυμεῖν καὶ μὴ ἐπιτυγχάνειν ἡδονὴν εἶναι λέγεις, ἀγνοεῖν μοι σφόδρα δοκεῖς τῆς ἡδονῆς τὴν φύσιν. ὅτι γὰρ οὐχ ἡδονή, ἀλλὰ κόλασις τὸ τοιοῦτον, ἐφ' ἕτερον αὐτὸ πάλιν ἀγαγόντες, ἐξετάσωμεν. ὅταν διψῶμεν, οὐ διὰ τοῦτο ἡδόμεθα πίνοντες, ὅτι τὸ δίψος παυόμεθα· καὶ διὰ τοῦτο ἡδονὴ τὸ πίνειν, ὅτι μεγάλης ἡμᾶς ἀπαλλάττει βασάνου, τῆς ἐπιθυμίας λέγω τοῦ πίνειν;

[a] λάβῃ deerat in editis, sed habetur in Reg.

A Et sit quispiam qui multas cupiat, alius vero qui nullas.

5. Quid ergo melius, dic mihi, quid honestius? Sed hoc quidem mittatur: in confesso enim est, quod hic postremus sit illo honestior: neque de hac re quæstio jam est; sed uter faciliorem & suaviorem ducat vitam. Avarus certe ne iis quidem quæ habet fruitur; nam quod amat non impendere voluerit; sed libentius seipsum consciderit, & carnes projecerit, quam aurum. Qui autem pecunias despicit, hoc interim lucratur, quod B iis quæ habet libere ac secure fruatur; seque illis præferat. Quid ergo suavius est libere frui bonis, aut sub dominis divitiis viventem, nihil suorum contingere audere? Perinde enim mihi videtur esse ac si viri quidam duas habentes uxores, & admodum ipsas amantes, non eodem modo ipsis utantur; sed alteri quidem uxorem contingere & cum illa versari; alteri vero ne prope quidem liceat accedere. Dicam & aliud, quo alterius voluptatem, alterius mœrorem commonstrem. Avarus nunquam sistet C hanc cupiditatem, non modo quod nequeat omnium bona invadere; sed etiam quod quantacumque possederit, se nihil habere putet. Qui vero pecunias despicit, superflua omnia existimabit, neque infinitis cupiditatibus animam cruciabit. Nihil enim est quod supplicii rationem ita habeat, ut concupiscentia usu & fructu privata, id quod maxime perversam exhibet mentem. Considera autem: Qui pecunias cupit & multas possidet, ita affectus est, ac si nihil haberet. Hoccine morbo perplexius quid esse potest? Neque hoc solum grave est; sed etiam quod D qui habet, ea ipsa quæ tenet non habere videatur; etiamsi omnium bona acceperit, magis cruciatur: etiamsi centum talenta possideat, quod mille non habeat dolet; si mille habeat, quod decies mille non habeat mordetur; si decies mille acceperit, quod non decies plura obtinuerit angitur: majorque acquisitio fit illi paupertatis accessio: nam quanto plura acceperit, tanto plura desiderat: ergo quanto plura acceperit, tanto magis pauper evadit: qui enim plura desiderat, magis pauper est. Cum igitur centum talenta habuerit, nondum tam mendicus E est; nam mille desiderat; cum mille acceperit tunc magis pauper evadit, non jam enim mille ut prius quærit; sed decies millium sibi opus esse dicit. Quod si concupiscere & non consequi voluptatem esse dicas, voluptatis naturam mihi admodum ignorare videris. Quod enim hoc non voluptas, sed supplicium sit, ad aliud rursus adducentes examinemus. Quando sitimus, non ideo delectamur bibentes quod sitim sedemus, & ideo voluptas est potus, quod a magno nos liberet cruciatu, a cupiditate bibendi nempe;

Pecuniarum cupiditas quanta inducat mala.

hoc cuivis perspicuum est. Quod si in tali appetitu semper mansuri essemus, non meliori conditione essemus quam dives ille, qui Lazari non misertus est, quantum scilicet ad supplicii rationem: nam & illi hoc supplicium & punitio erat, quod cum stillam parvam cuperet, non assequutus sit. Id quod mihi avari perpetuo pati videntur, & illi similes esse qui rogabat ut stilla frueretur, neque assequutus est. Imo magis avarorum, quam divitis illius, anima comburitur; & pulcre dixit quispiam avaros esse hydropicos. Quemadmodum enim illi multam in corpore gestantes aquam, magis exuruntur; sic & avari multas circumferentes pecunias, plures concupiscunt. Causa autem hæc est: Neque illi in congruentibus locis aquas habent, neque isti in congruentibus cogitationibus concupiscentiam. Fugiamus ergo hunc alienum & inanem morbum: fugiamus radicem malorum; fugiamus præsentem gehennam; gehenna enim est eorum cupiditas. Explica ergo cujusque animam, & ejus qui pecunias despicit, & ejus qui non despicit; & videbis hunc quidem furentibus esse similem, qui nihil vel videre vel audire velit; hunc vero portui a fluctibus libero: hic omnium est amicus, ut ille hostis. Nam etsi quis accepit, non illum afficit molestia; si quis rursum ipsi dederit, non inflavit; sed est quædam apud illum libertas omnem habens securitatem. Et hic quidem omnibus adulari cum dissimulatione cogitur; ille autem nemini. Si ergo & pauper est avarus, & timidus, simulator & hypocrita, ac terroribus plenus, cruciatu atque supplicio: qui vero pecunias despicit contrariis fruitur omnibus, annon palam est virtutem esse suaviorem? Ac reliqua etiam insectaremur mala, per ea, queis ostenditur, nihil quod malum sit habere voluptatem, nisi jam multa a nobis superius dicta fuissent. Hæc ergo cum sciamus, eligamus virtutem, ut & hic voluptate fruamur, & futura consequamur bona, gratia & benignitate, &c.

A παντί που δῆλον. εἰ δὲ μέλλοιμεν ἐν ἐπιθυμίᾳ ἀεὶ διατρίβειν τοιαύτῃ, οὐδὲν ἔλαττον ἕξομεν τοῦ πλουσίου τοῦ ἐπὶ τοῦ Λαζάρου εἰς κολάσεως λόγον· ἐπεὶ καὶ ἐκείνῳ κόλασις τοῦτο ἦν, τὸ ἐπιθυμοῦντα σφοδρῶς σταγόνος μικρᾶς, μὴ ἐπιτυγχάνειν· ὅπερ καὶ οἱ φιλάργυροι πάσχειν μοι δοκοῦσι διηνεκῶς, καὶ κατ' ἐκεῖνον εἶναι τὸν ἀξιοῦντα ταύτης ἀπολαῦσαι, καὶ μὴ ἐπιτυγχάνοντα. μᾶλλον γὰρ αὐτῶν ἡ ψυχὴ τῆς ἐκείνου καίεται. καὶ καλῶς τις εἶπεν ὑδερικούς τινας εἶναι τοὺς φιλαργύρους. καθάπερ γὰρ ἐκεῖνοι πολὺ φέροντες ὕδωρ ἐν B τῷ σώματι μᾶλλον ἐκκαίονται· οὕτω καὶ οἱ φιλάργυροι πολλὰ περιφέροντες χρήματα πλειόνων ἐπιθυμοῦσι. τὸ δὲ αἴτιον· ὅτι οὔτε ἐκεῖνοι ἐν τοῖς προσήκουσι τόποις τὸ ὕδωρ ἔχουσιν, οὐδὲ οὗτοι ἐν τοῖς προσήκουσι λογισμοῖς τὴν ἐπιθυμίαν. φεύγωμεν οὖν τὴν ξένην ταύτην [a] καὶ κενὴν νόσον, φεύγωμεν τὴν ῥίζαν τῶν κακῶν, φεύγωμεν τὴν παροῦσαν γέενναν· γέεννα γὰρ ἡ τούτων ἐπιθυμία. ἀνάπτυξον γοῦν τὴν ψυχὴν ἑκάστου καὶ τοῦ καταφρονοῦντος χρημάτων, καὶ τοῦ μὴ καταφρονοῦντος· καὶ ὄψει ὅτι ὁ μὲν τοῖς μαινομένοις ἔοικεν, οὐδὲν οὔτε ἰδεῖν, οὔτε ἀκοῦσαι βουλόμενος· ὁ δὲ, λιμένι προσέοικε κυμάτων ἀπηλλαγμένῳ· καὶ C πάντων ἐστὶ φίλος, ὥσπερ ἐκεῖνος ἐχθρός. ἄν τε γὰρ λάβῃ τις, οὐκ ἐλύπησεν· ἄν τε δῷ πάλιν τις αὐτῷ, οὐκ ἐφύσησεν, ἀλλά τίς ἐστιν ἐλευθερία παρ' αὐτῷ πᾶσαν ἄδειαν ἔχουσα. καὶ ὁ μὲν πάντας καὶ κολακεύειν καὶ ὑποκρίνεσθαι ἀναγκάζεται, οὗτος δὲ οὐδένα. εἰ τοίνυν καὶ πένης ἐστὶν ὁ φιλάργυρος, καὶ δειλὸς καὶ εἴρων, καὶ ὑποκριτὴς, καὶ φόβων γέμει καὶ τιμωρίας πολλῆς, καὶ κολάσεως, ὁ δὲ καταφρονῶν χρημάτων, τῶν ἐναντίων ἀπολαύει πάντων, D οὐκ εὔδηλον ὅτι ἡδίων ἡ ἀρετή; καὶ τοῖς λοιποῖς δὲ ἂν ἐπεξήλθομεν κακοῖς, δι' ὧν δείκνυται ὅτι οὐδέν ἐστι κακὸν ἡδονὴν ἔχον, εἰ μὴ πολλὰ ἡμῖν ἔμπροσθεν εἴρητο. ταῦτ' οὖν εἰδότες, ἑλώμεθα τὴν ἀρετὴν ἵνα καὶ τῆς ἐνταῦθα ἡδονῆς ἀπολαύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ καὶ τὰ ἑξῆς.

## HOMILIA XV.

## ΟΜΙΛΙΑ ιε΄.

CAP. V. *1. Omnino auditur inter vos fornicatio, & talis fornicatio, quæ non inter gentes nominatur, ut uxorem patris sui aliquis habeat. 2. Et vos inflati estis, & non magis luxistis, ut tollatur de medio vestrum qui hoc opus fecit.*

E Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ [b] ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.

1. QUANDO differebat de illorum dissensione, non statim vehementi usus est sermone, sed mansuetius primo oravit, demumque in accusationem desiit his verbis; *Significatum enim est mihi, de vobis, fratres mei, ab iis qui sunt Chloes, quod contentiones sint in vobis.* (1. Cor. 1. 11.)

ΟΤΕ μὲν περὶ τοῦ διεσπάσθαι αὐτοὺς διελέγετο, οὐκ εὐθέως καταφορικῶς ἐχρήσατο τῷ λόγῳ, ἀλλὰ προσηνέστερον πρότερον, καὶ ὕστερον, εἰς κατηγορίαν ἐτελεύτησεν, οὕτως εἰπών· ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι.

a Reg. καὶ καινὴν νόσον, quæ lectio non spernenda.

b Ita reg. & sic legitur in vulgatis exemplaribus. Editi, ἐπὶ τοῖς ἔθνεσι

ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' εὐθέως πληκτικῶς, καὶ κοινοῖ ὡς οἷόν τε τὸ ὄνειδος τοῦ ἐγκλήματος. οὐ γὰρ εἶπε, διατί ὁ δεῖνα ἐπόρνευσεν, ἀλλ', ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· ἵνα μὴ ὡς ἀλλότριοι πάντη τῆς κατηγορίας ὄντες ῥαθυμήσωσιν, ἀλλ' ὡς τοῦ κοινοῦ [a] πληγέντος, καὶ τῆς ἐκκλησίας διαβληθείσης, οὕτω γένωνται ἐναγώνιοι. οὐδεὶς γὰρ ἐρεῖ, φησιν, ὅτι ὁ δεῖνα ἐπόρνευσεν, ἀλλ' ὅτι ἐν τῇ Κορινθίων ἐκκλησίᾳ γέγονε τὸ ἁμάρτημα. καὶ οὐκ εἶπε, τολμᾶται πορνεία, ἀλλὰ ἀκούεται, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. καὶ γὰρ ἀεὶ ἀπὸ τῶν ἐθνικῶν ὀνειδίζει τοῖς πιστοῖς· καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν· ἕκαστος τὸ ἑαυτοῦ σκεῦος κτάσθω ἐν ἁγιασμῷ, μὴ ἐν πάθει ἐπιθυμίας, καθὼς καὶ τὰ λοιπὰ ἔθνη· καὶ Κολοσσαεῦσι καὶ Ἐφεσίοις, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς τὰ λοιπὰ ἔθνη περιπατεῖ. εἰ δὲ τὸ τὰ αὐτὰ αὐτοῖς ἁμαρτάνειν ἀσύγγνωστον, τὸ καὶ ὑπερβαίνειν τοὺς ἐθνικοὺς, ποῦ θήσομεν, εἰπέ μοι; παρὰ γὰρ ἐκείνοις, φησὶν, οὐ μόνον οὐ τολμᾶταί τι τοιοῦτον, ἀλλ' οὐδὲ ὀνομάζεται. εἶδες ποῦ τὸ ἔγκλημα ἐπῆρεν; ὅταν γὰρ τοιούτους φαίνωνται εὑρίσκοντες ἀσελγείας τρόπους, οὓς οὐ μόνον οὐ τολμῶσιν, ἀλλ' οὐδὲ ἴσασιν οἱ ἄπιστοι, ἄφατος τῆς ἁμαρτίας ἡ ὑπερβολή. καὶ τὸ ἐν ὑμῖν δὲ, ἐμφατικῶς εἴρηται, τουτέστιν, ἐν ὑμῖν τοῖς πιστοῖς, τοῖς τοσούτων ἀπολελαυκόσι μυστηρίων, τοῖς ἀπορρήτων κεκοινωνηκόσι, τοῖς ἐπὶ τὸν οὐρανὸν κληθεῖσιν. ὁρᾷς πόσης βαρυθυμίας ὁ λόγος γέμει; πόσου θυμοῦ κατὰ πάντων; εἰ γὰρ μὴ πολλῆς ὀργῆς ἐπεπλήρωτο, μηδὲ πρὸς πάντας ἐπετείνετο, οὕτως ἂν εἶπεν· ἐπειδὴ ἤκουσα ὅτι ὁ δεῖνα ἐπόρνευσε, κολάσατε αὐτόν· νῦν δὲ οὐχ οὕτως, ἀλλὰ πρὸς πάντας ἀποδύεται. καὶ γὰρ εἰ μὲν προλαβόντες ἔγραψαν, ἐκεῖνα ἂν εἶπεν· ἐπειδὴ δὲ οὐ μόνον οὐκ ἔγραψαν, ἀλλὰ καὶ συνεσκίασαν τὸ σφάλμα, τούτου χάριν σφοδρότερον κέχρηται τῷ λόγῳ. ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. διατί μὴ εἶπεν, ὥστε πορνεύειν εἰς γυναῖκα; τὸ σφόδρα αἰσχρὸν παρῃτήσατο. διὸ σεμνοτέρως αὐτὸ παρέδραμεν, ὡς ἐν τοῖς ἔμπροσθεν δεδηλωμένον, κἀν τούτῳ αὔξων τὸ ἔγκλημα πάλιν, καὶ δεικνὺς ὅτι τοιαῦτα τολμᾶται παρ' αὐτοῖς, ἃ οὐδὲ εἰπεῖν σαφῶς ἀνεκτὸν τῷ Παύλῳ. διὰ τοῦτο καὶ προϊὼν τῷ αὐτῷ κέχρηται τρόπῳ λέγων, τὸν οὕτω τοῦτο κατεργασάμενον· καὶ πάλιν αἰσχύνεται καὶ ἐρυθριᾷ σαφῶς εἰπεῖν, ὅπερ καὶ ἡμῖν ἔθος ἐπὶ τῶν σφόδρα αἰσχρῶν ποιεῖν. καὶ οὐκ εἶπε, μητρυιὰν, ἀλλὰ, γυναῖκα πατρὸς, ὥστε πολλῷ χαλεπώτερον πλῆξαι. καὶ γὰρ ὅταν τὰ ὀνόματα ἀρκῇ πρὸς κατηγορίαν, δι' αὐτῶν πρόεισιν, οὐδὲν προστιθείς. καὶ μή μοι εἴπῃς, φησὶν, ὅτι εἷς ἐστὶν ὁ πεπορνευκώς· κοινὸν πάντων τὸ ἔγκλημα γέγονε. διὸ καὶ ἐπήγαγε, καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. οὐκ εἶπε, τῷ ἁμαρτήματι· τοῦτο γὰρ ἀλογίας ἐστί,

[a] πληγέντος. Reg. βληθέντος.

A Hic autem non sic; sed statim pungit: & quantum fieri potest, criminis exprobrationem communem reddit. Neque enim dixit: cur ille fornicatus est? Sed, *Omnino auditur in vobis fornicatio*; ut ne quasi alieni omnino a criminatione negligenter agerent, sed in communi perculsi; & ecclesiâ in crimen vocatâ, sic solliciti redderentur. Nemo enim dicet, inquit, ille fornicatus est; sed in Corinthiorum ecclesia factum est peccatum. Nec dixit, perpetratur fornicatio; sed auditur, quæ ne quidem inter Gentes no-
B minatur. Semper enim ex gentibus probra ingerit fidelibus; & Thessalonicensibus scribens dicebat: *Unusquisque vas suum possideat in sanctificatione, non in passione desiderii sicut & cæteræ Gentes.* 1. Thes. 4. 4.
Colossensibus autem & Ephesiis: *Ne ultra ambuletis sicut reliquæ Gentes ambulant.* Ephes. 4. 17.
Si autem eadem ipsa quæ Gentes peccare ignosci nequit, Gentiles ipsos ea in re superare quonam, quæso, in loco ponemus? Apud illos enim, inquit, non modo nihil perpetratur hujusmodi; sed ne nominatur quidem. Vidistin' quousque crimen extulerit? Cum enim tales
C cernuntur invenisse luxuriæ modos, quos infideles non modo perpetrare non audent, sed ne norunt quidem; ineffabilis est peccati magnitudo. Illud autem, *inter vos*, per emphasin dictum est; hoc est inter vos fideles, qui tanta percepistis mysteria, qui arcanorum participes fuistis, qui ad cælum vocati estis. Viden' quanta indignatione plenus sit sermo; quanta ira contra omnes. Nam si non ira multa incensus fuisset, neque adversus omnes illa extenderetur, sic utique dixisset: Quia audivi quod ille talis for-
D nicatus sit, castigate illum. Nunc vero non sic; sed etiam adversus omnes armatur. Etenim si priores illi scripsissent; ille dixisset. Quia vero non solum non scripserunt, sed etiam scelus illud texerunt & obumbrarunt, ideo vehementiori utitur sermone, *Ut uxorem patris sui aliquis habeat.* Quare non dixit, ut fornicetur cum muliere? Id quod admodum turpe erat respuit: quare honestius hoc prætercurrit, ut quod in superioribus esset declaratum. In hoc etiam rursus augens crimen, ostendensque apud illos talia perpetrari, quæ clare dicere ne Paulo
E quidem liceat. Ideo in sequentibus eodem utitur loquendi modo dicens, eum qui hoc ita fecit. Et rursus erubescit & pudet eum aperte dicere, uti solemus in rebus admodum turpibus. Nec dixit, novercam, sed uxorem patris, ut gravius feriret. Etenim cum nomina sufficiunt ad accusandum, per ea procedit, nihilque addit. Nec mihi dicas, inquit, unum esse fornicatorem, commune omnibus factum est crimen. Ideo etiam subjunxit: *Et vos inflati estis.* Non dixit propter peccatum: hoc enim irrationabile esset;

sed propter illius doctrinam. Ipse autem hoc non posuit; sed medium reliquit ut magis feriret. Et considera Pauli prudentiam. Cum primo externam sapientiam dejecisset, ostendissetque illam per se nihil esse, etiamsi peccatum non sit adjectum, tunc demum etiam de peccato loquitur. Nam si ad comparationem fornicatoris, qui fortasse sapiens quispiam erat, magnum esse spirituale donum dixisset, nihil magnum fecisset; sed etiam absque peccato dejicere & nihil esse demonstrare sapientiam externam, hoc erat ostendere illam admodum esse vilem. Ideo cum sic prius comparationem fecisset, tunc etiam peccati meminit, & cum illo quidem differere non dignatur, & in hoc summam ostendit infamiam: His autem dicit: oportebat vos flere, lugere & præ pudore lamentati; nunc autem contrarium facitis. Ideoque subjunxit: *Et vos inflati estis, & non magis luctum habuistis.* Et quid factum est, inquies, ut nos lugeamus? Quod in commune ecclesiæ progressa sit criminatio. Et cur bene faciemus lugentes? *Ut tollatur ex vobis qui est talis.* Et neque hic nomen ejus ponit, neque uspiam, ut solemus facere in iis quæ valde absurda & indigna sunt. Nec dixit, & non magis ejecistis; sed sicut in morbo aliquo & in peste, luctu opus est & intensa supplicatione; Ut tollatur, inquit, & precatione ad hoc utendum est, nihilque non agendum ut ille abscindatur. Neque accusat eos quod hoc sibi non indicarint, sed quia non luxerunt, ut ille de medio tolleretur: ostendens id sine doctore præstandum fuisse ob delicti evidentiam. 3. *Nam ego quidem tamquam absens corpore, præsens autem spiritu.*

2. Vide animum: ne sinit quidem exspectare adventum suum, ut ipse ligetur, sed tamquam pestem aliquam expulsurus, priusquam diffundatur in reliquum corpus, illam detinere properat: ideoque adjicit. *Jam judicavi ut præsens.* Hæc autem dicebat, non modo urgens illos ad sententiam ferendum, neque sinens ut aliud consilii capiant; sed etiam terrens, ut qui sciret illa quæ ibi essent futura. Illud enim est adesse spiritu, ut Elisæus Giezi præsens & dicebat: *Nonne cor meum erat tecum.* Papæ quanta est virtus charismatis, cum omnes simul congregatos præstet, & ea quæ procul fiunt nota faciat. *Jam judicavi ut præsens.* Non sinit eos aliud quidquam cogitare: nam sententiam tuli ut præsens: ne mihi moras & procrastinationes dicas. Nihil enim aliud fieri oportet. Deinde ne magna videretur esse auctoritas, neque arrogantius dictum esse censeretur, vide quomodo & ipsos judicii socios faciat. Nam cum dixisset judicavi, intulit. *Eum qui sic operatus est, 4. in nomine Domini nostri Jesu Christi congregatis vobis & meo spiritu cum virtute Domini*

4. Reg. 5. 26.

Cum publico fornicatore quomodo agat Paulus.

A ἀλλ' ἐπὶ τῇ διδασκαλίᾳ τῇ παρ' ἐκείνου. αὐτὸς δὲ οὐ τοῦτο τέθεικεν, ἀλλ' ἀφῆκεν αὐτὸ μέσον, ἵνα πλήξῃ μειζόνως. καὶ σκόπει τὴν σύνεσιν Παύλου. πρότερον καθελὼν τὴν σοφίαν τὴν ἔξωθεν, καὶ δείξας οὐδὲν οὖσαν καθ' ἑαυτὴν, κἂν μὴ ἁμάρτημα ᾖ προσκείμενον, τότε λοιπὸν καὶ περὶ τοῦ ἁμαρτήματος διαλέγεται. εἰ μὲν γὰρ πρὸς σύγκρισιν τοῦ πεπορνευκότος, σοφοῦ τινος ἴσως ὄντος, μέγα εἶναι τὸ χάρισμα τὸ πνευματικὸν ἔφησεν, οὐδὲν ἂν μέγα ἐποίει· τὸ δὲ καὶ χωρὶς ἁμαρτίας καθελεῖν, καὶ μηδὲν οὖσαν ἀποφῆναι τὴν σοφίαν τὴν ἔξωθεν, τοῦτο ἦν δεῖξαι σφόδρα εὐτελῆ αὐτὴν οὖσαν. διὸ πρότερον οὕτω τὴν σύγκρισιν ποιησάμενος, τότε καὶ τοῦ σφάλματος αὐτοῦ μέμνηται. κἀκείνῳ μὲν οὐκ ἀξιοῖ διαλέγεσθαι, κἂν τούτῳ δείκνυσι τὴν ὑπερβολὴν τῆς ἀτιμίας· τούτοις δέ, φησιν, ὅτι ἔδει πενθεῖν ὑμᾶς καὶ θρηνεῖν καὶ ἐγκαλύπτεσθαι. νῦν δὲ τοὐναντίον ποιεῖτε. διὸ καὶ ἐπήγαγε· καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. καὶ τί γέγονεν ἵνα πενθήσωμεν, φησιν; ὅτι εἰς τὸ κοινὸν ἡ διαβολὴ τῆς ἐκκλησίας προεχώρησε. καὶ ἵνα τί κατορθώσωμεν πενθήσαντες; ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τοιοῦτος. καὶ οὐδὲ ἐνταῦθα τίθησιν αὐτοῦ τὸ ὄνομα, μᾶλλον δὲ οὐδαμοῦ, ὅπερ ἐπὶ τῶν σφόδρα ἀτόπων ποιεῖν εἰώθαμεν. καὶ οὐκ εἶπεν οὐχὶ μᾶλλον ἐξεβάλετε, ἀλλ', ὡς ἐπὶ νόσου τινὸς καὶ λοιμοῦ, πένθους χρεία καὶ ἱκετηρίας ἐπιτεταμένης, ἵνα ἐξαρθῇ, φησί· καὶ εὐχῇ χρήσασθαι δεῖ εἰς τοῦτο, καὶ πάντα ἐργάσασθαι ὥστε αὐτὸν ἀποτμηθῆναι. καὶ οὐκ ἐγκαλεῖ ὅτι οὐκ ἐδήλωσαν αὐτῷ, ἀλλ' ὅτι οὐκ ἐπένθησαν ὥστε ἐξαρθῆναι, δεικνὺς ὅτι καὶ χωρὶς τοῦ διδασκάλου τοῦτο γενέσθαι ἔδει διὰ τὴν περιφάνειαν τοῦ πλημμελήματος. ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι.

D Ὅρα θυμόν· οὐδὲ ἀναμεῖναι αὐτοῦ τὴν παρουσίαν ἀφίησιν, οὐδὲ ἐκδέξασθαι αὐτὸν, καὶ τότε δῆσαι, ἀλλ' ὥσπερ τινὰ λοιμὸν μέλλων ἀπελαύνειν, πρὶν ἢ διαδοθῆναι εἰς τὸ λοιπὸν σῶμα, ἐπείγεται κατασχεῖν. διὸ καὶ ἐπάγει λέγων. ἤδη κέκρικα ὡς παρών. ταῦτα δὲ ἔλεγεν, οὐ μόνον κατεπείγων αὐτοὺς εἰς τὴν ἀπόφασιν, καὶ οὐκ ἀφεὶς ἄλλο τι βουλεύσασθαι, ἀλλὰ καὶ φοβῶν, ὡς εἰδὼς τὰ ἐκεῖ γενησόμενα. τοῦτο γάρ ἐστι παρεῖναι τῷ πνεύματι, ὥσπερ ὁ Ἐλισσαῖος παρὼν τῷ Γιεζῆ, καὶ ἔλεγεν, οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ; βαβαὶ, πόση τοῦ χαρίσματος ἡ δύναμις, ὅταν πάντας ὁμοῦ καὶ κατ' αὐτὸ εἶναι ποιῇ, καὶ τὰ πόρρωθεν εἰδέναι παρασκευάζῃ; ἤδη κέκρικα ὡς παρών. οὐκ ἀφίησιν αὐτοὺς ἕτερόν τι ἐννοῆσαι. καὶ γὰρ ἐξήνεγκα τὴν ἀπόφασιν ὡς παρών. μή μοι ἀναβολὰς καὶ μελλήσεις λέγε. οὐδὲν γὰρ ἕτερον δεῖ γενέσθαι. εἶτα ἵνα μὴ δόξῃ πολλὴ εἶναι ἡ αὐθεντία, μηδὲ αὐθαδέστερος γένηται ὁ λόγος, ὅρα πῶς καὶ αὐτοὺς κοινωνοὺς ποιεῖ τοῦ κρίματος. εἰπὼν γὰρ κέκρικα, ἐπήγαγε· τὸν οὕτω τοῦτο κατεργασάμενον. ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ κυρίου

ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. καὶ τί ἐστιν, ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; κατὰ θεόν, μὴ ἀνθρωπίνῃ κατεχομένους προλήψει. τινὲς δὲ οὕτως ἀναγινώσκουσι· τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὑποστίξαντες ἐνταῦθα, ἢ μέσην θέντες, οὕτως ἐπάγουσι τὸ ἑξῆς λέγοντες, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. καί φασι τὴν ἔννοιαν ταύτην εἶναι τῆς τοιαύτης ἀναγνώσεως· τὸν τοῦτο κατεργασάμενον, φησιν, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ παράδοτε τῷ Σατανᾷ, τουτέστι, τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα, τὸν μετὰ τὸ γενέσθαι πιστὸν καὶ ἐπώνυμον ἐκείνης τῆς προσηγορίας τοιαῦτα τολμήσαντα, παράδοτε τῷ Σατανᾷ. ἐμοὶ δὲ ἡ προτέρα ἀληθεστέρα ἔκδοσις εἶναι δοκεῖ. ποία δὴ αὕτη; ἐν τῷ ὀνόματι τοῦ κυρίου συναχθέντων ὑμῶν, τουτέστιν, αὐτοῦ τοῦ ὀνόματος ὑμᾶς συνάγοντος, ὑπὲρ οὗ συνέρχεσθε. καὶ τοῦ ἐμοῦ πνεύματος· πάλιν ἐπέστησεν αὐτοῖς ἑαυτόν, ἵν᾽ ὅταν δικάζωσιν, ὡς αὐτοῦ παρόντος, οὕτως αὐτὸν ἀποτέμωσι, καὶ μηδεὶς τολμήσῃ συγγνώμης αὐτὸν ἀξιῶσαι, εἰδὼς ὅτι Παῦλος εἴσεται τὰ γινόμενα. εἶτα φοβερώτερον αὐτὸ ποιῶν, φησί· σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν, ἢ ὅτι ὁ Χριστὸς δύναται τοιαύτην ὑμῖν χάριν δοῦναι, ὡς δύνασθαι τῷ διαβόλῳ παραδιδόναι, ἢ ὅτι καὶ αὐτὸς μεθ᾽ ὑμῶν κατ᾽ αὐτοῦ φέρει τὴν ψῆφον. καὶ οὐκ εἶπεν, ἐκδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ, ἀλλὰ παραδοῦναι, ἀνοίγων αὐτῷ τῆς μετανοίας τὰς θύρας, καὶ ὥσπερ παιδαγωγῷ τὸν τοιοῦτον παραδιδούς. τὸ πάλιν, τὸν τοιοῦτον, καὶ οὐδαμοῦ ἀνέχεται τῆς προσηγορίας αὐτοῦ μνημονεῦσαι. Εἰς ὄλεθρον τῆς σαρκός. ὥσπερ ἐπὶ τοῦ μακαρίου Ἰὼβ γέγονεν, ἀλλ᾽ οὐχ ὑπὲρ τῆς αὐτῆς ὑποθέσεως. ἐκεῖ μὲν γὰρ ὑπὲρ στεφάνων λαμπροτέρων, ἐνταῦθα δὲ ὑπὲρ ἁμαρτημάτων λύσεως, ἵνα μαστίξῃ αὐτὸν ἕλκει πονηρῷ, ἢ νόσῳ ἑτέρᾳ. καὶ μὴν ἀλλαχοῦ φησιν, ὅτι ὑπὸ τοῦ κυρίου κρινόμεθα ταῦτα πάσχοντες. ἀλλ᾽ ἐνταῦθα μᾶλλον καθάψασθαι θέλων, τῷ Σατανᾷ παραδίδωσι. καὶ τοῦτο δὲ θεῷ δοκοῦν ἐγίνετο, ὥστε κολάζεσθαι αὐτοῦ τὴν σάρκα. ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀδδηφαγίας καὶ τῆς τρυφῆς τῆς κατὰ τὴν σάρκα ἐπιθυμίαι τίκτονται, ταύτην κολάζει. ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ· τουτέστιν, ἡ ψυχή· οὐχ ὡς ταύτης σωζομένης μόνης, ἀλλ᾽ ὡς ὁμολογουμένου τούτου, ὅτι σωζομένης ἐκείνης, ἀναντιῤῥήτως καὶ τὸ σῶμα κοινωνήσει τῆς σωτηρίας. καὶ γὰρ θνητὸν δι᾽ αὐτὴν ἐγένετο ἁμαρτοῦσαν· κἂν αὕτη δικαιοπραγήσῃ, πάλιν πολλῆς καὶ αὐτὸ ἀπολαύσεται δόξης. τινὲς δὲ τὸ πνεῦμα, τὸ χάρισμά φασιν, ὅπερ σβέννυται ἁμαρτανόντων ἡμῶν. ἵν᾽ οὖν τοῦτο μὴ γένηται, φησι, τιμωρείσθω, ἵνα ταύτῃ βελτίων γενόμενος, ἐπισπάσηται τὴν χάριν, καὶ εὑρεθῇ σώαν αὐτὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ παρεχόμενος. ὥστε κηδομένου μᾶλλόν ἐστι καὶ ἰατρεύοντος, οὐχὶ κόπτοντος ἁπλῶς, οὐδὲ κολάζοντος εἰκῇ καὶ μάτην. μεῖζον γὰρ τὸ κέρδος τῆς τιμωρίας. ἡ μὲν γὰρ πρόσκαιρος, τὸ δὲ διηνεκές. καὶ οὐχ ἁπλῶς εἶπεν, ἵνα τὸ πνεῦμα σωθῇ,

A *nostri Jesu Christi, 5. Tradere hujusmodi hominem Satanæ.* Ecquid est, in nomine Domini nostri Jesu Christi? Secundum Deum, non humano detenti præjudicio. Quidam autem sic legunt: *Eum qui sic operatus est in nomine Domini nostri Jesu Christi:* Et puncto hic apposito seu virgula, his verbis pergunt, *Congregatis vobis & meo spiritu tradere hujusmodi hominem Satanæ.* Et dicunt hujus lectionis tunc esse sensum: Eum qui hoc operatus est in nomine Christi tradite Satanæ; id est, eum qui nomen Christi contumelia affecit, qui postquam fidelis factus B est, & cognomen accepit ab illo nomine, talia est ausus, tradite Satanæ. Mihi autem prior lectio verior esse videtur. Quænam illa est? In nomine Domini congregatis vobis; hoc est, ejus nomine vos congregante pro quo convenitis, & spiritu meo; rursus seipsum cum illis constituit, ut cum judicaverint, quasi ipso præsente sic illum abscindant, & nemo ausit ipsum venia dignum habere; sciens fore ut Paulus sciat ea quæ facta fuerint. Deinde ut rem exhibeat terribiliorem, ait: *Cum virtute Domini nostri* C *Jesu Christi;* id est, vel quod Christus possit eam vobis gratiam dare, ut possitis eum diabolo tradere; vel quod ipse vobiscum laturus sit sententiam. Non dixit autem, ipsum dedere Satanæ; sed tradere, ipsi aperiens pœnitentiæ fores; & ipsi tamquam pædagogo talem hominem tradens. Et rursus, *talem*, nec usquam vult illum suo nomine vocare. *In interitum carnis.* Sicut & in beato Job factum est, sed non eadem de causa. Nam illic pro splendidioribus coronis; hic pro peccatorum remissione; ut flagellet eum malo ulcere, aut alio morbo. Atqui alibi D ait: *A Domino judicamur* hæc patientes: At hic magis illum pungere volens, Satanæ tradit. Et hoc certe Deo placitum fuit, ut castigaretur ejus caro. Quia enim ex crapula & deliciis carnalibus concupiscentiæ nascuntur, carnem castigat. *Ut spiritus salvus sit in die Domini Jesu;* id est, anima: non quod illa sola salva sit; sed quasi id in confesso sit, quod illa salva, sine ulla contradictione corpus salutis particeps erit. Nam mortale factum est propter ipsam quæ peccaverat; & si illa justitiam exercuerit, rursus & corpus ip- E sum magna fruetur gloria. Quidam vero spiritum dicunt esse charisma, seu donum, quod nobis peccantibus exstinguitur. Ne igitur hoc fiat, inquit, puniatur, ut sic melior factus, attrahat gratiam, & inveniatur salvam ipsam exhibens in illo die. Itaque magis est curam gerentis ac medentis, quam secantis, vel temere & inconsiderate punientis. Majus quippe lucrum est pœnâ: nam illa temporanea est, lucrum autem perpetuum. Nec simpliciter dixit, ut spiritus salvus sit;

sed, in illo die. Probe illis & opportune diem illum commemorat, ut & ipsi promtiore animo ad medicinam accederent, & ille melius susciperet, non ut iræ verba, sed ut patris curam gerentis providentiam. Ideo enim, in interitum carnis dixit, jam diabolo leges ponens, nec sinens ipsum ulterius progredi. Ut de Jobo dicebat Dominus : *Cæterum animam ejus ne tangas.*

*Job. 2. 6.*

3. Deinde cum sententiam absolvisset, & eam paucis dixisset, nec immoratus esset, rursus increpationem inducit, illos alloquens : 6. *Non bona est gloriatio vestra.* Ostendens illos ad istud usque tempus non sivisse eum pœnitere, de illo gloriantes. Deinde declarat se non illi modo parcentem hoc facere, sed & ipsis. Ideo subjungit : *Nescitis quod modicum fermentum totam massam corrumpit?* Licet enim illius sit peccatum, inquit, sed neglectum potest & reliquum ecclesiæ corpus corrumpere. Cum enim is qui prior peccavit non dedit pœnas : cito & alii eadem perpetrabunt. Hæc autem dicit, ostendens pro tota ecclesia, non pro uno sibi certamen & periculum adesse. Quare fermenti similitudine opus habuit. Sicut enim fermentum, inquit, cum modicum sit, totam massam in se transmutat; ita & hic, si impunitus maneat, & multum sit peccatum, cæteros corrumpet. 7. *Expurgate vetus fermentum;* id est, hunc improbum; imo potius non de hoc tantum loquitur, sed & alios subindicat. Non enim fornicatio tantum vetus fermentum est; sed & omnis nequitia. Nec dixit, purgate, sed expurgate, cum accuratione purgate, ut nec residuum nec umbra talis rei maneat. Cum dicit ergo, expurgate, ostendit adhuc nequitiam apud illos esse; cum autem dicit, *Ut sitis nova conspersio sicut estis azymi*, declarat & indicat non ita multis vitium dominari. Si vero dicat, sicut estis azymi; non ita loquitur quasi omnes puri essent; sed, ut decet vos esse. *Etenim pascha nostrum pro nobis immolatus est Christus.* 8. *Itaque festum celebremus, non in fermento veteri, neque in fermento malitiæ & nequitiæ, sed in azymis sinceritatis & veritatis.* Sic Christus fermentum doctrinam vocavit. Ipse autem in metaphora manet, veterem historiam ipsis in memoriam revocans, necnon pascha & azyma & beneficia quæ tunc, & quæ nunc collata sunt, & supplicia pœnasque irrogatas. Est ergo diei festi præsens tempus. Cum enim dixit, festum celebremus : non quod Pascha, non quod Pentecoste adesset hoc dicebat; sed ostendens tempus omne diei festi tempus esse Christianis, ob ubertatem collatorum bonorum. Nam quod bonum non exstitit? Filius Dei homo factus est propter te; te a morte liberavit, ad regnum vocavit. Tu ergo qui talia consequutus es & consequeris,

Christianis omne tempus dies festus est.

A ἀλλ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καλῶς αὐτοὺς καὶ εὐκαίρως τῆς ἡμέρας ἐκείνης ἀναμιμνήσκει, ἵνα καὶ αὐτοὶ προθυμότερον ἔλθωσιν ἐπὶ τὴν ἰατρείαν, κἀκεῖνος καταδέξηται μᾶλλον, οὐχ ὡς ὀργῆς ῥήματα ὄντα, ἀλλ' ὡς πατρὸς κηδεμονικοῦ πρόνοιαν. διὰ γὰρ τοῦτο, καὶ εἰς ὄλεθρον τῆς σαρκὸς εἶπεν· ἤδη τῷ διαβόλῳ νόμους τιθεὶς, καὶ οὐκ ἀφεὶς αὐτὸν περαιτέρω προβῆναι. ὥσπερ ἐπὶ τοῦ Ἰὼβ ἔλεγεν ὁ θεὸς, πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ.

Εἶτα ἀπαρτίσας τὴν ἀπόφασιν, καὶ ἐν βραχεῖ αὐτὴν εἰπὼν, καὶ οὐκ ἐνδιατρίψας, ἐπάγει πάλιν ἐπιτίμησιν, B πρὸς ἐκείνους ἀποτεινόμενος· οὐ καλὸν τὸ καύχημα ὑμῶν. δεικνὺς ὅτι ἐκεῖνοι μέχρι τοῦ παρόντος οὐκ εἴασαν αὐτὸν μετανοῆσαι, καυχώμενοι ἐπ' αὐτῷ. εἶτα δηλοῖ ὅτι οὐκ ἐκείνου φειδόμενος μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ αὐτῶν τούτων. διὸ καὶ ἐπάγει· οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; εἰ γὰρ καὶ ἐκείνου τὸ ἁμάρτημα, φησιν, ἀλλ' ἀμελούμενον δύναται καὶ τὸ λοιπὸν τῆς ἐκκλησίας σῶμα λυμήνασθαι. ὅταν γὰρ ὁ πρῶτος ἁμαρτὼν μὴ δῷ δίκην, ταχέως καὶ ἕτεροι ταῦτα πλημμελήσουσι. ταῦτα δὲ λέγει, δεικνὺς ὅτι ὑπὲρ ὅλης τῆς ἐκκλησίας, οὐχ ὑπὲρ ἑνὸς αὐτοῖς ἐστιν C ὁ ἀγὼν καὶ ὁ κίνδυνος. διὸ καὶ τῆς εἰκόνος ἐδεήθη τῆς ζύμης. ὥσπερ γὰρ ἐκείνη, φησὶ, καὶ βραχεῖα οὖσα ὅλον πρὸς ἑαυτὴν μεταβάλλει τὸ φύραμα· οὕτω καὶ οὗτος, ἂν ἀφεθῇ ἀτιμώρητος, καὶ ἀνεκδίκητος ἡ ἁμαρτία αὕτη γένηται, καὶ τοῖς λοιποῖς λυμανεῖται. ἐκκαθάρατε τὴν παλαιὰν ζύμην. τουτέστι, τὸν πονηρὸν τοῦτον. μᾶλλον δὲ οὐ περὶ τούτου μόνον φησὶν, ἀλλὰ καὶ ἄλλους αἰνίττεται. οὐ γὰρ πορνεία μόνον παλαιὰ ζύμη, ἀλλὰ καὶ πᾶσα κακία. καὶ οὐκ εἶπε, καθάρατε, ἀλλ', ἐκκαθάρατε, μετὰ ἀκριβείας καθάρατε, ὥστε μηδὲ λείψανον μηδὲ σκιὰν εἶναι τοιαύτην. τῷ μὲν οὖν εἰπεῖν, ἐκκαθάρα-D τε, δείκνυσιν ἔτι πονηρίαν παρ' αὐτοῖς οὖσαν· τῷ δὲ εἰπεῖν. ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. δηλοῖ καὶ ἐμφαίνει οὐ σφόδρα πολλῶν κρατοῦσαν τὴν κακίαν. εἰ δὲ λέγει, καθώς ἐστε ἄζυμοι, οὐ τοῦτο λέγει ὅτι πάντες ἦσαν καθαροὶ, ἀλλὰ καθὼς πρέπει εἶναι ὑμᾶς. καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. οὕτω καὶ ὁ Χριστὸς ζύμην τὴν διδασκαλίαν ἐκάλεσε. καὶ αὐτὸς δὲ ἐπιμένει τῇ με-E ταφορᾷ, ἀναμιμνήσκων παλαιᾶς αὐτοὺς ἱστορίας, καὶ πάσχα, καὶ ἀζύμων, καὶ τῶν εὐεργεσιῶν τῶν τότε καὶ τῶν νῦν, καὶ τῶν κολάσεων, καὶ τῶν τιμωριῶν. ἑορτῆς ἄρα ὁ παρὼν καιρός. καὶ γὰρ εἰπὼν, ἑορτάζωμεν, οὐκ ἐπειδὴ πάσχα παρῆν, οὐδὲ ἐπειδὴ ἡ πεντηκοστὴ ἔλεγεν, ἀλλὰ δεικνὺς ὅτι πᾶς ὁ χρόνος, ἑορτῆς ἐστι καιρὸς τοῖς Χριστιανοῖς διὰ τὴν ὑπερβολὴν τῶν δοθέντων ἀγαθῶν. τί γὰρ οὐ γέγονεν ἀγαθόν; ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονε διὰ σέ· θανάτου σε ἀπήλλαξεν· εἰς βασιλείαν ἐκάλεσεν. ὁ τοιούτων τοίνυν ἐπιτυχὼν σὺ, καὶ ἐπιτυγχάνων πῶς

πῶς οὐκ ὀφείλεις ἑορτάζειν πάντα τὸν βίον; μηδεὶς τοίνυν ἔστω κατηφὴς ἐπὶ πενίᾳ, καὶ νόσῳ, καὶ ἐπιβουλῇ. ἑορτῆς γὰρ ἡμῶν ὁ καιρὸς ἅπας. διό φησιν ὁ Παῦλος· χαίρετε ἐν κυρίῳ, χαίρετε, πάλιν ἐρῶ, χαίρετε. ἐν ταῖς ἑορταῖς οὐδεὶς ῥυπαρὰ ἐνδέδυται ἱμάτια. μὴ τοίνυν μηδὲ ἡμεῖς. γάμοι γὰρ γεγόνασι, γάμοι πνευματικοί. ὡμοιώθη γάρ, φησιν, [a] ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε ποιῆσαι γάμους τῷ υἱῷ αὐτοῦ. ἔνθα δὲ βασιλεὺς γάμους ποιεῖ, καὶ γάμους υἱῷ, τί μεῖζον ἂν γένοιτο τῆς ἑορτῆς ταύτης; μηδεὶς τοίνυν ῥάκια περιβεβλημένος εἰσίτω. οὐ περὶ ἱματίων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ πράξεων ἀκαθάρτων. εἰ γάρ, πάντων λαμπρὰ ἐνδεδυμένων, εἷς μόνος εὑρεθεὶς εἰς τὸν γάμον ῥυπαρὰ ἔχων, ἀπερρίφη μετὰ ἀτιμίας, ἐννόησον ὅσην ἀπαιτεῖ τὴν ἀκρίβειαν καὶ τὴν καθαρότητα ἡ εἰς τὸν γάμον ἐκεῖνον εἴσοδος. οὐ διὰ ταῦτα δὲ αὐτοὺς μόνον ὑπομιμνήσκει τῶν ἀζύμων, ἀλλὰ καὶ δεικνὺς τὴν συγγένειαν τῆς παλαιᾶς πρὸς τὴν καινήν, δεικνὺς δὲ καὶ ὅτι οὐκ ἔνι μετὰ τὰ ἄζυμα πάλιν εἰς Αἴγυπτον εἰσελθεῖν, ἀλλ᾽ ἂν ὑποστρέψαι βουληθῇ τις, τὰ αὐτὰ πείσεται ἐκείνοις. σκιὰ γὰρ ἐκεῖνα τούτων, κἂν ἀναισχυντῇ ὁ Ἰουδαῖος. διόπερ κἂν ἐρωτήσῃς αὐτόν, οὐδὲν μέγα ἐρεῖ· μᾶλλον δὲ μέγα μὲν ἐρεῖ, ἀλλ᾽ οὐδὲν τοιοῦτον οἷον ἡμεῖς, ἐπειδὴ τὴν ἀλήθειαν οὐκ οἶδεν. ἐκεῖνος μὲν γὰρ ἐρεῖ· ὅτι τοὺς κατέχοντας Αἰγυπτίους οὕτω μετέβαλεν ὁ θεός, ὥστε αὐτοὺς ἡμᾶς προσεξωθεῖν, τοὺς πρὸ τούτου κατέχοντας ἡμᾶς πρὸς βίαν, καὶ μὴ συγχωρήσαντας ζυμῶσαι τὸ φύραμα. ἂν δὲ ἐμέ τις ἔρηται, οὐκ Αἴγυπτον ἀκούσεται, οὐδὲ τὸν Φαραώ, ἀλλὰ τὴν ἐλευθερίαν τῆς πλάνης τῶν δαιμόνων, καὶ τοῦ σκότους τοῦ διαβόλου· οὐχὶ Μωϋσέα, ἀλλὰ τὸν τοῦ θεοῦ υἱόν· οὐχὶ ἐρυθρὰν θάλασσαν, ἀλλὰ βάπτισμα μυρίων γέμον ἀγαθῶν, ἔνθα ὁ παλαιὸς ἄνθρωπος ἀπεπνίγη. πάλιν τὸν Ἰουδαῖον ἂν ἐρωτήσῃς, τίνος ἕνεκεν ἐξελαύνει πάντων τῶν ὁρίων τὴν ζύμην, ἐνταῦθα καὶ σιγήσεται, καὶ οὐδὲ αἰτίαν ἐρεῖ. ἐπειδὴ γὰρ τὰ μὲν τύποι τῶν μελλόντων ἦσαν, καὶ αἰτίας εἶχε τῶν γινομένων, τὰ δὲ οὐκέτι, ἵνα μὴ ἐξῇ κακουργεῖν Ἰουδαίοις, ἵνα μὴ ἐπιμένωσι τῇ σκιᾷ. τί γάρ, εἰπέ μοι, βούλεται τὸ ἄρσεν, καὶ τὸ ἄμωμον, καὶ τὸ ἐνιαυσιαῖον, καὶ τό, ὀστοῦν οὐ συντριβήσεται; τί δὲ βούλεται τό, καὶ τοὺς γείτονας καλεῖν; ἢ τό, ἑστῶτας; ἢ τὸ ἐν ἑσπέρᾳ ἐσθίειν; ἢ τό, τῷ αἵματι τειχίζεσθαι τὴν οἰκίαν; οὐδὲν ἕτερον ἐκεῖνος ἐρεῖ, ἀλλ᾽ ἄνω καὶ κάτω τὴν Αἴγυπτον. ἐγὼ δὲ ἐρῶ καὶ τὸ αἷμα τί βούλεται, καὶ ἡ ἑσπέρα, καὶ τὸ πάντας ἐσθίειν ὁμοῦ, καὶ τὸ ἑστῶτας πάντας.

Πρότερον δὲ εἴπωμεν, διὰ τί ἐκ τῶν ὁρίων πάντων ἐλαύνεται ἡ ζύμη. τί οὖν ἐστι τὸ αἴνιγμα; πάσης πονηρίας ἀπηλλάχθαι δεῖ τὸν πιστόν. ὥσπερ γὰρ ἐκεῖνος ἀπόλλυται ἔνθα ἂν εὑρεθῇ παλαιὰ ζύμη, οὕτω καὶ παρ᾽ ἡμῖν ἔνθα ἂν εὑρεθῇ πονηρία. οὐ γὰρ δήπου ἐπὶ μὲν τῆς σκιᾶς τοσαύτη ἡ κόλασις, ἐπὶ δὲ ἡμῶν οὐ πολλῷ μείζων.

[a] Ita reg. Editi vero, ἡ βασιλεία τοῦ θεοῦ.

A quomodo non debeas per totam vitam festum agere? Nemo itaque sit tristis propter paupertatem, vel morbum, vel insidias. Nostrum enim tempus totum est festivitatis. Ideo ait Paulus: *Gaudete in Domino, gaudete; iterum dico, gaudete.* (Philip. 4. 4.) In festis nemo sordidis indutus est vestibus, neque nos etiam: nuptiæ enim factæ sunt, nuptiæ spirituales. *Simile enim,* inquit, *factum est regnum cælorum homini regi, qui voluit nuptias facere filio suo.* (Matt. 22. 2.) Ubi vero Rex nuptias facit, & nuptias filio suo, quid majus fuerit festo illo? Nemo itaque pannis laceris indutus introeat. Non B de vestimentis nobis sermo est, sed de actibus impuris. Si enim cum omnes splendidis induti essent vestibus, unus solus in nuptiis repertus, laceris pannis vestitus, abjectus fuit cum ignominia, cogita quantam requirat observantiam & puritatem ingressus in nuptias illas. Non ideo autem tantum illis azyma commemorat; sed ostendens veteris Testamenti cum novo cognationem, demonstransque non licere post azyma in Ægyptum ingredi; sed si quis reverti voluerit, eadem passurum esse quæ illi. Illa enim umbra horum C erant; etiamsi impudens sit Judæus. Quapropter si interrogaveris eum, nihil magnum dicet; imo magnum quidpiam dicet; sed nihil tale, quale nos, quia veritatem non novit. Ille namque dicet quod se detinentes Ægyptios, ita mutavit Deus; ut ipsi nos depellerent, quos antea vi detinebant, nec permiserant nos massam fermentare. Sed si quis me interroget, non Ægyptum audiet, non Pharaonem, sed libertatem ab errore dæmonum & a tenebris diaboli; non Moysem, sed Dei Filium; non mare Ru- D brum, sed baptisma innumeris plenum bonis, ubi vetus homo suffocatus est. Rursus si Judæum interroges, cur ex omnibus finibus fermentum ejiciat; hic & silebit & causam non dicet. Quia enim alia quidem erant figuræ futurorum, & causas habebant eorum quæ fiunt; alia vero non item; ut non liceat Judæis maligne agere, ut ne illi permaneant in umbra. Quid enim, quæso, sibi vult, masculum, sine macula, unius anni, & illud, os non comminuetur? Quid sibi vult vicinos vocare? aut illud, *stantes?* aut in E vespera comedere? aut sanguine munire domum? Nihil aliud dicet ille, quam sursum deque Ægyptum. Ego vero dicam & quid sanguis significet, quid vespera, quid omnes comedere simul, omnesque stantes.

4. Prius autem dicamus cur ex omnibus finibus ejiciatur fermentum. Quodnam ergo est ænigma? Omni nequitia liberum & solutum oportet esse fidelem. Sicut enim ille perit apud quem inventum fuerit vetus fermentum; sic & apud nos ubi inventa fuerit nequitia. Non enim in umbra tanta fuerit punitio; apud nos autem non multo major.

Nam si domos sic expurgant a fermento, & de murium foraminibus sunt soliciti, multo magis nos animam perscrutari oportet, ut omnem impuram ejiciamus cogitationem. Verum hoc apud illos nuper factum est: nunc autem non amplius. Ubique enim fermentum est ubi est Judæus. In mediis enim civitatibus fiunt azyma: id quod jam magis ludicra res est, quam lex. Quia enim venit veritas, non ultra locum habent typi. Itaque per hoc quoque exemplum maxime ejicit ex ecclesia fornicatorem. Non solum enim, inquit, præsens nihil prodest, sed etiam nocet, commune corpus deinde corrumpens. Nescit enim quivis unde fœtor oriatur, si occultum sit id quod est putridum, sed toti cœtui illum imputat. Ideo illos valde urget ut expurgent fermentum. *Ut sitis*, inquit, *nova conspersio, sicut estis azymi; etenim Pascha nostrum immolatus pro nobis est Christus.* Non dixit, mortuus est; sed proposito convenientius, immolatus est. Ne quære igitur azyma hujusmodi: quia neque agnum habes talem. Ne quæras fermentum tale, quia azyma tua non talia sunt. In sensibili quidem fermento, azymum fieri potest fermentatum; fermentatum vero nunquam possit fieri azymum. Hic autem contrarium reperitur; sed tamen hoc non indicavit. Et vide prudentiam: in priore epistola spem reversionis non dat fornicatori; sed vitam totam ipsius in pœnitentia jubet esse, ne promissione illum segniorem redderet. Neque enim dixit, Tradite illum Satanæ, ut cum pœnitentiam egerit, rursus ecclesiæ tradatur. Sed quid? ut salvus sit in ultimo die. Mittit ipsum in tempus illud, ut solicitum redderet: & quod post pœnitentiam largiturus ipsi erat, non aperit, Dominum suum imitans: quemadmodum enim Deus dicit, *Adhuc tres dies, & Ninive subvertetur;* neque addidit, si autem pœnitentiam egerit, servabitur; sic & iste non dixit, si digne pœnitentiam egerit, confirmabimus in illum caritatem; sed exspectat ut ipse opus illud faciat, ut tunc gratiam accipiat. Nam si ab initio hoc dixisset, forte metum ejus solvisset: quapropter non modo non hoc facit, sed per exemplum fermenti ne finit quidem ipsum reditum sperare, sed eum ad diem illum reservat dicens, Expurgate vetus fermentum; &, ne festum celebremus in fermento veteri. Postquam autem pœnitentiam egit, cum omni studio illum introduxit. Cur autem vetus vocat? An quia vetus vita nostra erat hujusmodi? An quia vetus illud, proximum interitui est; fœtidum & turpe: quale est peccatum? Neque enim sine causa vetus vituperatur, nec sine causa novum damnatur, sed ratione habita eorum de quibus agitur. Nam alibi ait, *Vinum novum, novus amicus.* Si autem inveteraverit, tunc cum lætitia bibes ipsum;

Pauli prudentia.

Jonas 3. 4.

Eccli. 9. 15.

εἰ γὰρ τὰς οἰκίας οὕτως ἐκκαθαίρουσι τῆς ζύμης, καὶ μυῶν ὀπὰς περιεργάζονται, πολλῷ μᾶλλον ἡμᾶς τὴν ψυχὴν διερευνᾶσθαι δεῖ, ὥστε πάντα λογισμὸν ἀκάθαρτον ἐκβάλλειν. ἀλλὰ τοῦτο παρ' αὐτοῖς πρώην μὲν ἐγίνετο, νῦν δὲ οὐκέτι. πανταχοῦ γὰρ ζύμη ὅπου Ἰουδαῖος. ἐν μέσαις γὰρ ταῖς πόλεσι τὸ ἄζυμον γίνεται, ὅπερ ἐστὶ παίγνια μᾶλλον, ἢ νόμος λοιπόν. ἐπειδὴ γὰρ ἦλθεν ἡ ἀλήθεια, οὐκέτι χώραν ἔχουσιν οἱ τύποι. ὥστε καὶ διὰ τοῦ παραδείγματος τούτου σφόδρα ἐξελαύνει τῆς ἐκκλησίας τὸν πεπορνευκότα. οὐ γὰρ δὴ μόνον, φησὶν, οὐδὲν ὠφελεῖ παρὼν, ἀλλὰ καὶ βλάπτει, τῷ κοινῷ πάλιν τοῦ σώματος λυμαινόμενος. οὐ γὰρ οἶδέ τις πόθεν ἡ δυσωδία, κρυπτομένου τοῦ σεσηπότος, ἀλλὰ τῷ κοινῷ ταύτην λογίζεται. διὸ καὶ ἐπείγει σφόδρα αὐτοὺς ἐκκαθᾶραι τὴν ζύμην. ἵνα ἦτε, φησὶ, νέον φύραμα, καθώς ἐστε ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός. οὐκ εἶπεν, ἀπέθανεν, ἀλλ' οἰκειότερον τῷ προκειμένῳ, ἐτύθη. μὴ ζήτει τοίνυν ἄζυμα τοιαῦτα, ἐπειδὴ μηδὲ ἀμνὸν ἔχεις τοιοῦτον. μὴ ζήτει ζύμην τοιαύτην, ἐπειδὴ μηδὲ τὰ ἄζυμά σου τοιαῦτα. ἐπὶ μὲν οὖν τῆς ζύμης τῆς αἰσθητῆς τὸ μὲν ἄζυμον γένοιτ' ἂν ζυμωτὸν, τὸ δὲ ζυμωτὸν οὐκέτ' ἂν γένοιτο ἄζυμον. ἐνταῦθα δὲ ἔνι τοὐναντίον τούτου γενέσθαι πάλιν· ἀλλ' ὅμως αὐτὸ οὐκ ἐδήλωσε. καὶ θέα τὴν σύνεσιν· ἐν τῇ προτέρᾳ ἐπιστολῇ οὐ δίδωσιν ἐλπίδας ἐπανόδου τῷ πεπορνευκότι, ἀλλὰ πάντα αὐτοῦ τὸν βίον ἐν μετανοίᾳ κελεύει γενέσθαι, ἵνα μὴ ῥαθυμότερον αὐτὸν ἐργάσηται τῇ ὑποσχέσει. οὐ γὰρ εἶπε, παράδοτε αὐτὸν τῷ Σατανᾷ, ἵνα μετανοήσας πάλιν τῇ ἐκκλησίᾳ παραδοθῇ· ἀλλὰ τί; ἵνα σωθῇ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. παραπέμπει γὰρ αὐτὸν εἰς ἐκεῖνον τὸν καιρὸν, ἵνα αὐτὸν ἐναγώνιον ἐργάσηται. καὶ ὅπερ ἔμελλεν αὐτῷ χαρίζεσθαι μετὰ τὴν μετάνοιαν, οὐκ ἐκκαλύπτει, τὸν ἑαυτοῦ δεσπότην μιμούμενος. ὥσπερ γὰρ ὁ θεός φησιν, ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται, καὶ οὐ προσέθηκεν, ἐὰν δὲ μετανοήσῃ, σωθήσεται· οὕτω καὶ οὗτος οὐκ εἶπεν, ἐὰν δὲ μετανοήσῃ ἀξίως, κυρώσομεν εἰς αὐτὸν ἀγάπην· ἀλλ' ἀναμένει ποιῆσαι αὐτὸν τὸ ἔργον, καὶ τότε λαβεῖν αὐτὸν τὴν χάριν. εἰ γὰρ ἐξ ἀρχῆς τοῦτο εἶπεν, ἐξέλυσεν ἂν αὐτοῦ τὸν φόβον. διόπερ οὐ μόνον οὐ ποιεῖ τοῦτο, ἀλλὰ διὰ τοῦ παραδείγματος τῆς ζύμης, οὐδὲ ἀφίησιν αὐτὸν ἐλπίσαι ἐπάνοδον, ἀλλ' ἐκείνῃ τηρεῖ τῇ ἡμέρᾳ αὐτὸν, ἐκκαθάρατε, λέγων, τὴν παλαιὰν ζύμην, καὶ μὴ ἑορτάζωμεν ἐν ζύμῃ παλαιᾷ. ἐπειδὴ δὲ μετενόησε, μετὰ πάσης αὐτὸν εἰσήγαγε τῆς σπουδῆς. διὰ τί δὲ παλαιὰν καλεῖ; ἢ διὰ τὸ τὸν πρότερον ἡμῶν βίον τοιοῦτον εἶναι; ἢ διὰ τὸ, τὸ παλαιὸν ἐγγὺς εἶναι ἀφανισμοῦ, καὶ δυσῶδες καὶ αἰσχρόν· οἷον ἐστιν ἡ ἁμαρτία; οὔτε γὰρ ἁπλῶς διαβέβληται τὸ παλαιὸν, οὔτε ἁπλῶς ἐπαινεῖται τὸ καινὸν, ἀλλὰ πρὸς τὰ ὑποκείμενα. καὶ γὰρ ἀλλαχοῦ φησιν· οἶνος νέος, φίλος νέος, ἐὰν δὲ παλαιωθῇ, τότε μετ' εὐφροσύνης πίεσαι αὐτόν·

ἐγκωμιάζων ἐπὶ φιλίας μᾶλλον τὸ παλαιὸν, ἢ τὸ νέον. καὶ πάλιν, ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο, καὶ ἐνταῦθα πάλιν ἐπὶ ἐγκωμίων δόξης μεγίστης τὸ παλαιὸν ἐκλαμβάνων. ἀλλαχοῦ δὲ ἐπὶ ψόγου λαμβάνει τὸ παλαιὸν ἡ γραφή. ἐπειδὴ γὰρ τὰ πράγματα ποικίλα ἐστὶν ἐκ πολλῶν συγκείμενα, καὶ ἐπὶ ἀγαθοῖς καὶ ἐπὶ κακοῖς κέχρηται τοῖς αὐτοῖς, οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον. ὅρα γοῦν καὶ ἀλλαχοῦ ψεγόμενον τὸ παλαιόν· ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. καὶ πάλιν, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. καὶ πάλιν, πεπαλαιωμένε ἡμερῶν κακῶν. οὕτω καὶ ἡ ζύμη πολλάκις εἰς τὴν βασιλείαν τῶν οὐρανῶν λαμβάνεται, καίτοιγε ἐνταῦθα διαβληθεῖσα· ἀλλ' ἐκεῖ πρὸς ἕτερον, καὶ ἐνταῦθα πρὸς ἕτερον.

Ἐμοὶ δὲ δοκεῖ μάλιστα ὁ περὶ τῆς ζύμης λόγος καὶ πρὸς τοὺς ἱερέας ἀποτείνεσθαι, οἳ ἀνέχονται πολλὴν ἔνδοθεν εἶναι ζύμην παλαιὰν, οὐκ ἐκκαθαίροντες ἐκ τῶν ὁρίων, τουτέστιν, ἐκ τῆς ἐκκλησίας τοὺς πλεονέκτας, τοὺς ἅρπαγας, καὶ πᾶν ὅπερ ἂν ἐκβάλλῃ τῆς βασιλείας τῶν οὐρανῶν. καὶ γὰρ πλεονεξία, ζύμη παλαιά· καὶ ὅπουπερ ἂν πέσῃ, καὶ εἰς οἵαν οἰκίαν εἰσέλθοι, ἀκάθαρτον αὐτὴν ἐργάζεται. κἂν μικρὰ ἐξ ἀδικίας κερδάνῃς, ὁλόκληρόν σου τὴν οὐσίαν ἐζύμωσε. διὰ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα κακῶς ὀλίγα, τὰ καλῶς κείμενα ἐξέβαλε πολλὰ ὄντα. οὐδὲν γὰρ σαθρότερον πλεονεξίας· κἂν τὴν κλεῖν ἐπιθῇς τῷ τοιούτῳ ταμιείῳ, κἂν θύραν, κἂν μοχλὸν, εἰκῆ πάντα ποιεῖς, πλεονεξίαν ἔνδον τὸν χαλεπώτατον λῃστὴν ἀποκλείσας, καὶ πάντα δυνάμενον ἐξενεγκεῖν. τί οὖν, φησὶν, ὅταν πολλοὶ πλεονεκτοῦντες μὴ ταῦτα πάσχωσι; μάλιστα μὲν πείσονται, κἂν μὴ παραυτὰ πάθωσιν. ἂν δὲ νῦν ἐκφύγωσι, τότε φοβήθητι μᾶλλον· ἐπὶ μείζονι γὰρ κολάσει τηροῦνται. μᾶλλον δὲ, κἂν αὐτοὶ διαφύγωσιν, ἀλλ' οἱ κληρονομήσαντες τὰ αὐτῶν, τὰ αὐτὰ πείσονται. καὶ ποῦ τοῦτο δίκαιον, φησί; καὶ σφόδρα δίκαιον. ὁ γὰρ διαδεξάμενος κλῆρον ἀδικίας γέμοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως τὰ ἑτέρων ἔχει· καὶ τοῦτο πέπεισαι ἀκριβῶς, καὶ διὰ τοῦτο δίκαιος ἦν παθεῖν. εἰ γὰρ τοῦ δεῖνος ἁρπάσαντος ἔλαβες σὺ, εἶτα ἐλθὼν ὁ ἁρπαγεὶς ἀπῄτει, ἆρα ἂν ἤρκεσέ σοι εἰς ἀπολογίαν τὸ μὴ αὐτὸν ἡρπακέναι σε; οὐδαμῶς. τί γὰρ ἂν εἶπες ἐγκαλούμενος, εἰπέ μοι; ὅτι ἕτερος ἀπέδυσεν; ἀλλὰ σὺ κατέχεις. ἐκεῖνος ἥρπασεν; ἀλλὰ σὺ ἀπολαύεις. ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασι νόμοι, οἳ τοὺς ἁρπάσαντας καὶ ὑφελομένους ἀφέντες, ἐκείνους κελεύουσιν ἀπαιτεῖν, παρ' οἷς ἂν εὕροι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. εἰ μὲν οὖν οἶδας τοὺς ἠδικημένους, ἀπόδος, καὶ ποίησον ὅπερ ἐποίησεν ὁ Ζακχαῖος μετὰ πολλῆς τῆς προσθήκης. εἰ δὲ ἀγνοεῖς, καὶ ἑτέραν σοι δίδωμι ὁδὸν, καὶ οὐκ ἀποκλείω σε τῆς θεραπείας. εἰς τοὺς δεομένους διανεῖμαι ταῦτα ἅπαντα, καὶ παραμυθήσῃ καὶ οὕτω τὸ δεινόν. εἰ δέ τινες καὶ εἰς παῖδας καὶ ἐκγόνους ταῦτα παρέπεμψαν, ἀλλ' ἕτερα ἀντὶ τούτων ἔπαθον δεινά. καὶ τί λέγω τὰ ἐνταῦθα; οὐ γὰρ δήπου καὶ κατ' ἐκείνην τὴν ἡμέραν ταῦτα ἐρεῖται, ὅταν ἀμφότεροι γυμνοὶ φαίνωνται, οἵ τε ἁρπαγέντες,



in amicitia magis laudans vetustatem, quam novitatem. Et rursus, Antiquus dierum sedebat; hic quoque antiquum sumens pro majoris gloriæ encomio. Alibi autem scriptura antiquum pro vituperio accipit. Nam quia res variæ ex multis compositæ sunt, & in bonis & in malis iisdem utitur, non secundum eamdem significationem. Vide ergo & alibi vetus vituperio datum: *Inveteraverunt & claudicaverunt a semitis suis*; & rursus, *inveteravi inter omnes inimicos meos*; & iterum, *Inveterate dierum malorum*. Ita & fermentum sæpe pro regno cælorum accipitur, etiamsi hic vituperetur. Sed illic ad aliud, hic ad aliud refertur.

*Dan. 7. 9.*
*Psal. 17. 46.*
*Psal. 6. 7.*
*Dan. 13. 52.*

5. Mihi vero maxime videtur id quod de fermento dicitur etiam ad sacerdotes referri, qui sinunt intrinsecus esse multum fermenti veteris, non expurgantes ex terminis, id est ex ecclesia, avaros, raptores, & quodcumque ex regno cælorum excludit. Nam avaritia est vetus fermentum, & quocumque ceciderit, atque in quamcumque domum inciderit, immundam illam efficit. Etiamsi parva ex injustitia lucreris, id totam tuam substantiam fermentavit. Ideoque sæpe accidit, ut modica male inducta, multa quæ bene collecta jacent ejecerint. Nihil enim est magis putridum avaritia, etiamsi enim cellæ penuariæ clavem induxeris, etiamsi januam & vectem, frustra hæc facis, avaritiam perniciosissimum furem intus includens, qui omnia auferre possit. Quid igitur, inquies, cum multi avari hæc non patiantur? Certe patientur; etsi non statim illis accidat. Si vero nunc effugiant, tunc magis timeto: ad majus enim supplicium reservantur. Imo vero si ipsi effugiant, at heredes eorum ea ipsa patientur. Et quomodo, inquies, hoc justum fuerit? Certe valde justum. Nam qui excepit hereditatem injustitia plenam, etiamsi ipse non rapuerit, attamen aliena retinet: & hoc plane persuasum habet, ideo æquum est ut patiatur, si enim illo rapiente tu acceperis; deindeque accedens is cui raptum fuit, id repetat, num satis est ad tui purgationem, te non rapuisse? Minime. Quid enim, quæso, accusatus dixeris? Quod alius spoliarit? Sed tu retines. Ille rapuit? Sed tu frueris. Hæc porro etiam sciunt externorum leges, quæ iis dimissis qui rapuerunt & abstulerunt, ab illis jubent expetere, apud quos sua omnia deposita repererint. Si ergo nosti eos, qui injustitiam passi sunt, redde, & fac quod fecit Zacchæus cum multa accessione. Si autem ignoras, alteram tibi do viam, nec excludo te a remedio: hæc omnia pauperibus distribue, & sic malum curabis. Quod si qui hæc in filios & in nepotes transmiserunt; at alia pro his mala passi sunt. Ecquid loquor de iis quæ hic accidunt? Non enim in illo die hæc dicentur, quando ambo nudi apparebunt, ii quibus raptum est,

*Avaritia vetus fermentum quomodo.*

& ii qui rapuerunt. Imo vero non similiter nudi: nam pecuniis ambo pariter nudi erunt; alter vero plenus criminibus, quæ ex iis orta sunt. Quid ergo faciemus illo die, quando ante tribunal illud horrendum, is qui male passus est & omnia sua perdidit, adducetur in medium, te nullum habente patronum? Quid judici dices? Nunc enim judicium hominum corrumpere poteris, illud vero judicium non item. Imo vero neque nunc: nunc enim quoque adest judicium illud. Nam Deus omnia quæ geruntur videt, & prope illos est qui injuria afficiuntur, etiamsi non vocetur. Nam qui malo afficitur, etiamsi indignus sit qui ultionem nanciscatur: attamen quia res gestæ Deo non placent, habet ille certe ultorem. Quomodo ergo, inquies, ille quispiam prospere agit licet sit malus? Sed non usque in finem. Audi quid dicat propheta: *Noli æmulari in malignantibus, quoniam tamquam fœnum velociter arescent.* (Psal. 36. 1.) Ubi enim, quæso, est is qui rapuit, postquam hinc abductus fuit? Ubi spes conspicua? Ubi honorabile nomen? Annon omnia transierunt? Nonne omnia illum spectantia somnium sunt & umbra? Hoc ipsum exspecta de singulis qui hujusmodi sunt, de vivente, & de eo qui post futurus est. At talia non sunt ea quæ ad sanctos viros spectant? neque poteris eadem de illis dicere, quod quæ ad illos pertinent umbra sint & somnium & fabula. (Pauli vita qualenam.) Et si vis illum qui hæc dixit tentoriorum opificem, Cilicem, cujus ne patrem quidem certo novimus, in medium adducamus. Et quomodo, inquies, fieri possit ut quisdam talis sit? Omnino ergo desideras, omnino vis esse talis? Etiam, ais. Ergo viam ingredere, quam ille ingressus est, & qui cum illo erant. Ecquam in viam venit? Ille quidem ait: *In fame & siti & nuditate;* (2. Cor. 11. 27.) ille vero, *argentum & aurum non est mihi.* (Act. 3. 6.) Sic illi nihil habebant, & tamen omnia possidebant.

6. Quid hac voce honorabilius? Quid beatius & locupletius? Nam alii quidem in contrariis gloriabantur dicentes: Habeo tot & tot auri talenta, & jugera terræ immensa, & domos & mancipia. Hic vero, quod sit omnibus nudatus, non se occultat ob paupertatem, quod stulti faciunt, neque pudet illum, sed etiam gloriatur. Ubi sunt nunc divites, qui usuras numerant, & usuras usurarum, qui omnium bona invadunt, & nunquam satiantur? Audistis Petri vocem, quæ paupertatem monstrat divitiarum matrem, quæ nihil habet, & iis qui diademate redimiuntur opulentior est? Hæc quippe nihil habens mortuos suscitabat, claudos erigebat, dæmonas pellebat, & ea largiebatur, quæ ii qui purpura amiciuntur, & magnos tremendosque exercitus ducunt, nunquam præstare potuerunt. Hæc vox est eorum qui jam in cælum translati sunt, & verticem illum occuparunt.

A οἵ τε ἁρπάζοντες· μᾶλλον δὲ οὐχ ὁμοίως γυμνοί. τῶν μὲν γὰρ χρημάτων ὁμοίως ἑκάτερος γυμνὸς ἔσται, θάτερος δὲ καὶ τῶν ἐκ τούτων ἐγκλημάτων ἐμπεπλησμένος. τί τοίνυν ποιήσομεν κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν πρὸ τοῦ βήματος τοῦ φοβεροῦ ὁ κακῶς παθὼν καὶ τὰ αὐτοῦ πάντα ἀπολωλεκὼς παράγηται εἰς μέσον, σοῦ μηδένα ἔχοντος συνήγορον; τί πρὸς τὸν δικάζοντα ἐρεῖς; νῦν μὲν γὰρ καὶ διαφθεῖραι τὸ δικαστήριον δύνῃ τὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ τότε οὐκέτι· μᾶλλον δὲ οὐδὲ νῦν. καὶ γὰρ καὶ νῦν πάρεστιν ἐκεῖνο τὸ δικαστήριον. καὶ γὰρ ὁ θεὸς ὁρᾷ τὰ γινόμενα, καὶ ἐγγύθεν ἐστὶ τοῖς ἀδικουμένοις B καὶ μὴ καλούμενος. ὁ γὰρ κακῶς παθὼν, κἂν αὐτὸς ἀνάξιος ᾖ τοῦ τυχεῖν τινος ἐκδικίας, ἀλλ' ὅμως, ἐπειδὴ τῷ θεῷ τὰ γινόμενα οὐκ ἀρέσκει, ἔχει τὸν ἀμυνόντα πάντως. πῶς οὖν, φησιν, ὁ δεῖνα εὖ πράττει πονηρὸς ὤν; ἀλλ' οὐκ εἰς τέλος. ἄκουσον τί φησιν ὁ προφήτης· μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται. ποῦ γὰρ, εἰπέ μοι, μετὰ τὴν ἐντεῦθεν ἀπαγωγὴν ὁ ἁρπάσας; ποῦ αἱ λαμπραὶ ἐλπίδες; ποῦ τὸ σεμνὸν ὄνομα; οὐχὶ πάντα παρῆλθεν; οὐχὶ ὄναρ καὶ σκιὰ πάντα τὰ ἐκείνου; τοῦτο καὶ C περὶ ἑκάστου τῶν τοιούτων προσδόκα, καὶ τοῦ ζῶντος καὶ τοῦ μετ' ἐκεῖνον. ἀλλ' οὐ τὰ τῶν ἁγίων ἀνδρῶν τοιαῦτα, οὐδὲ δύνῃ τὰ αὐτὰ καὶ ἐπ' ἐκείνων εἰπεῖν, ὅτι σκιὰ καὶ ὄναρ καὶ διηγήματα τὰ τούτων. καὶ εἰ βούλει αὐτὸν τὸν ταῦτα εἰρηκότα, τὸν σκηνοποιὸν, τὸν Κίλικα, τὸν οὐδὲ τίνος ἦν πατρὸς δῆλον, παραγάγωμεν εἰς μέσον. καὶ πῶς δυνατὸν, φησι, γενέσθαι τοιοῦτον; ὅλως γὰρ ἐπιθυμεῖς; ὅλως ἐφίεσαι γενέσθαι τοιοῦτος; ναί, φησιν· οὐκοῦν ἐλθὲ τὴν ὁδὸν, ἣν ἐκεῖνος ἦλθε, καὶ οἱ μετ' αὐτοῦ. καὶ ποίαν ἦλθεν ὁδόν; ὁ μέν φησιν, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι· ὁ D δὲ, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὕτως οὐδὲν εἶχον, καὶ ὅμως πάντα κατεῖχον.

Τί ταύτης σεμνότερον τῆς φωνῆς, τί μακαριώτερόν τε καὶ εὐπορώτερον; ἕτεροι μὲν γὰρ ἐπὶ τοῖς ἐναντίοις ηὔχουν λέγοντες, ἔχω τόσα καὶ τόσα χρυσίου τάλαντα, καὶ πλέθρα γῆς ἄπειρα, καὶ οἰκίας, καὶ ἀνδράποδα· οὗτος δὲ ἐπὶ τῷ πάντων εἶναι γυμνὸς, οὐ καταδύεται τῇ πενίᾳ, ὅπερ πάσχουσιν οἱ ἀνόητοι, οὐδὲ ἐγκαλύπτεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται. ποῦ νῦν οἱ πλουτοῦντες, οἱ τόκους ἀριθμοῦντες, καὶ E τόκους τόκων, οἱ τὰ πάντων λαμβάνοντες, καὶ οὐδέποτε κορεννύμενοι; ἠκούσατε τῆς Πέτρου φωνῆς τῆς ἐπιδεικνυμένης πενίαν πλούτου μητέρα; τῆς μηδὲν ἐχούσης, καὶ τῶν τὰ διαδήματα περικειμένων εὐπορωτέρας; αὕτη γὰρ, ἡ μηδὲν ἔχουσα καὶ νεκροὺς ἀνίστα, καὶ χωλοὺς διώρθου, καὶ δαίμονας ἤλαυνε, καὶ τοιαῦτα ἐχαρίζετο, ἅπερ οἱ τὴν ἁλουργίδα περιβεβλημένοι, καὶ τὰ μεγάλα καὶ φοβερὰ στρατόπεδα ἄγοντες, οὐδέποτε ἴσχυσαν. αὕτη ἡ φωνὴ τῶν εἰς οὐρανὸν ἤδη μεταστάντων, τῶν ἐκείνης ἐπειλημμένων τῆς κορυφῆς. οὕτως ἐστὶ μηδὲν ἔχοντα

τὰ πάντων κατέχειν· οὕτως ἐστὶ τὰ πάντων κεκτῆσθαι. ἂν δὲ κτησώμεθα τὰ πάντων, τῶν πάντων ἀπεστερήμεθα. τάχα αἴνιγμα τὸ εἰρημένον εἶναι δοκεῖ, ἀλλ' οὐκ ἔστιν. ἀλλὰ πῶς, φησὶν, ὁ μηδὲν ἔχων, τὰ πάντων [a] κατέχει; οὐ πολλῷ μᾶλλον ὁ τὰ πάντων ἔχων; οὐδαμῶς, ἀλλὰ τοὐναντίον, [a] ὁ γὰρ μηδὲν ἔχων πᾶσιν ἐπιτάττει, ὡς κἀκεῖνοι ἐποίουν· καὶ αἱ κατὰ τὴν οἰκουμένην αὐτοῖς οἰκίαι ἦσαν ἀνεῳγμέναι πᾶσαι, καὶ χάριν εἶχον οἱ παρέχοντες, καὶ ὡς πρὸς φίλους καὶ συγγενεῖς ἤρχοντο. καὶ γὰρ πρὸς τὴν πορφυρόπωλιδα ἦλθον, καὶ ἐκείνη, καθάπερ θεραπαινὶς, τὰ ἑαυτῆς προὔθηκε· καὶ πρὸς τὸν δεσμοφύλακα, κἀκεῖνος τὴν οἰκίαν αὐτοῖς ἀνέῳξεν ἅπασαν· καὶ πρὸς ἑτέρους μυρίους. οὕτω πάντα εἶχον, καὶ οὐδὲν εἶχον. οὐδὲν γὰρ τῶν ὑπαρχόντων ἔλεγον ἴδιον εἶναι· διὰ τοῦτο πάντα ἦν αὐτῶν. ὁ γὰρ κοινὰ τὰ ὄντα ἡγούμενος, οὐ τοῖς αὐτοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἑτέρων χρήσεται, ὡς ἰδίοις· ὁ δὲ ἀποσχίζων, καὶ ποιῶν ἑαυτὸν κύριον τῶν αὐτοῦ μόνων, οὐδὲ τούτων ἔσται κύριος. καὶ τοῦτο ἀπὸ ὑποδείγματος δῆλον. ὁ μηδὲν ὅλως κεκτημένος, μήτε οἰκίαν, μήτε τράπεζαν, μήτε περιττὸν ἱμάτιον, ἀλλὰ διὰ τὸν θεὸν πάντων ἀπεστερημένος, ὡς ἰδίοις κέχρηται τοῖς κοινοῖς, καὶ παρὰ πάντων ἅπερ ἂν θέλῃ, λήψεται. οὕτω τὰ πάντων ὁ μηδὲν ἔχων, κατέχει· ὁ δὲ ἔχων τινὰ, οὐδὲ τούτων ἔσται κύριος. οὔτε γὰρ δώσει τις τῷ κεκτημένῳ, καὶ λῃστῶν καὶ κλεπτῶν καὶ συκοφαντῶν καὶ μεταβολῆς πραγμάτων καὶ πάντων μᾶλλον ἔσται, ἢ ἐκείνου, τὰ ἐκείνου. πᾶσαν γοῦν τὴν οἰκουμένην διέδραμεν ὁ Παῦλος, οὐδὲν ἐπιφερόμενος, οὐ πρὸς φίλους ἀπιὼν, οὐ πρὸς συνήθεις· καὶ γὰρ κοινὸς ἐν ἀρχῇ πολέμιος πᾶσιν ἦν· ἀλλ' ὅμως τὰ πάντων εἶχε μετὰ τὸ εἰσελθεῖν. ὁ δὲ Ἀνανίας καὶ ἡ Σάπφειρα, ἵνα μικρόν τι τῶν ἰδίων κτήσωνται, σπεύσαντες, πάντων ἐξέπεσον μετὰ καὶ αὐτῆς τῆς ζωῆς. ἀπόστηθι τοίνυν τῶν σῶν, ἵνα ὡς ἰδίοις χρήσῃ τοῖς ἀλλοτρίοις. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τοσαύτην ἐξηνέχθην ὑπερβολὴν, ἀνθρώποις τοιαῦτα φθεγγόμενος, οἷς ἀγαπητὸν κἂν τῶν ὄντων μεταδοῦναί τι μικρόν. διόπερ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς τελείους εἰρήσθω· πρὸς δὲ τοὺς ἀτελεστέρους ἐκεῖνα λέγωμεν· δότε τῶν ὄντων τοῖς δεομένοις, αὐξήσατε τὴν οὐσίαν. ὁ γὰρ διδοὺς πτωχῷ, φησὶ, δανείζει θεῷ. εἰ δὲ ἐπείγῃ, καὶ οὐκ ἀναμένεις τὸν καιρὸν τῆς ἀντιδόσεως, ἐννόει τοὺς τὰ χρήματα ἀνθρώποις δανείζοντας. οὐδὲ γὰρ οὗτοι παραχρῆμα βούλονται τοὺς τόκους ἀπολαβεῖν, ἀλλὰ πλείονα ἐπιθυμοῦσι χρόνον μεῖναι παρὰ ταῖς τοῦ δανεισαμένου χερσὶ τὸ κεφάλαιον, μόνον ἐὰν ἀσφαλὴς ἡ ἀπόδοσις ᾖ, καὶ μὴ ὑποπτεύωσι τὸν εἰληφότα. τοῦτο τοίνυν καὶ ἐνταῦθα γινέσθω. ἄφες αὐτὰ παρὰ τῷ θεῷ, ἵνα ἀποδῷ σοι τὸν μισθὸν πολλαπλασίω. μὴ ἐνταῦθα τὸ πᾶν ζήτει. ἂν γὰρ ἐνταῦθα αὐτὸ ἀπολάβῃς ὅλον,

A Sic potest is qui nihil habet omnium occupare bona; & quæ sunt omnium possidere. Si vero ea possideamus quæ sunt omnium, omnibus privati sumus. Fortassis ænigma videatur esse illud quod dictum est: sed non est. Sed quomodo, inquies, is qui nihil habet, omnium bona possidet? Annon multo magis ille qui omnium bona habet? Nequaquam: sed totum contrarium. Nam qui nihil habet, omnibus imperat, ut & illi faciebant: omnesque per orbem domus ipsis erant apertæ: gratiamque illis B habebant qui excipiebant ipsos, & tamquam ad cognatos & amicos veniebant. Veneruntque ad purpurariam, & illa quasi ancilla, sua ipsis apposuit; & ad carceris custodem, & ille totam ipsis domum aperuit: & ad alios innumeros. Sic omnia habebant, & nihil possidebant. Nihil enim suorum sibi proprium esse dicebant: ideoque omnia sua erant. Qui enim omnia communia putat, non suis tantum, sed & alienis utetur ut propriis. Qui autem abscindit & se suorum tantum dominum facit: neque horum do- C minus erit. Et hoc ab exemplo liquet. Qui nihil omnino possidet, neque domum, neque mensam, neque superfluam vestem; sed propter Deum omnibus privatur, communibus ut propriis utitur, & ab omnibus quæcumque voluerit accipiet. Sic qui nihil habet, omnium bona possidet. Qui autem habet aliqua, ne horum quidem dominus erit. Neque enim dabit quis possidenti: & latronum & furum & sycophantarum & mutationis rerum, & omnium magis quam illius hæc bona erunt. Totum enim orbem pervasit Paulus, nihil secum ferens, non D amicos adiens, non familiares; erat enim in principio omnibus hostis. Attamen ingressus cum esset, omnium habebat bona. Ananias vero & Sapphira, curantes ut tantillum quid ex bonis suis sibi retinerent, ab omnibus exciderunt & a vita simul. Abscede igitur a tuis, ut alienis utaris quasi propriis. At enim nescio quomodo in hanc hyperbolen delatus sim, homines alloquens, qui utinam vel tantillum suorum erogent. Ideo hæc perfectioribus dicta a nobis sunto. Imperfectioribus vero illa dicamus. Date egenis E ex bonis vestris, augete facultates vestras: *Nam qui dat pauperi*, inquit, *fœneratur Deo.* Si autem festinas, & non exspectas tempus retributionis: cogita eos qui pecunias hominibus fœnerantur. Neque enim hi volunt statim usuram accipere. Sed cupiunt ut caput majori tempore in manus debitoris maneat, qui ad fœnus accepit, modo tuta sit redditio, nec suspectus sit is qui accepit. Hoc igitur hic quoque fiat. Dimitte illa apud Deum, ut reddat tibi multiplicatam mercedem. Ne hic totum quæras. Si enim hic totum

Prov. 19. 17.

Eleemosynæ bona.

a ὁ γὰρ μηδὲν ἔχων, πᾶσιν ἐπιτάττει. Hæc desiderantur in editis, sed habentur in regio codice.

recipias, quomodo illic recipies? Ideo & Deus illic reconditum tenet, quod vita hæc fluxa sit. Dat tamen & hic quoque. Ait enim: *Quærite regnum cælorum, & hæc omnia adjicientur vobis.*
Matt. 6. 33. Sed nos ad illud respiciamus, & ne festinemus ad omnium retributionem, ut ne minuamus mercedem. Sed tempus exspectemus. Non enim tales sunt hæ usuræ, sed quales a Deo dari par est. His igitur cum ubertate magna collectis, ita hinc abeamus, ut & præsentia & futura consequamur bona, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri & unà Spiritui sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

πῶς ἀπολήψῃ ἐκεῖ; διὰ τοῦτο καὶ ὁ θεὸς ἐκεῖ ταμιεύεται, ἅτε ἐπικήρου τοῦ παρόντος βίου τυγχάνοντος. δίδωσι δὲ καὶ ἐνταῦθα. Ζητεῖτε γάρ, φησι, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἀλλ' ἡμεῖς πρὸς ἐκείνην βλέπωμεν, καὶ μὴ ἐπειγώμεθα πρὸς τὴν ἁπάντων ἀντίδοσιν, ἵνα μὴ ἐλαττώσωμεν τὴν ἀμοιβήν· ἀλλ' ἀναμένωμεν τὸν καιρόν. οὐ γὰρ τοιοῦτοι οὗτοι οἱ τόκοι, ἀλλ' οἵους εἰκὸς παρὰ τοῦ θεοῦ δίδοσθαι. τούτους τοίνυν συναγαγόντες μετὰ δαψιλείας πολλῆς, οὕτως ἐντεῦθεν ἀπέλθωμεν, ἵνα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XVI.

*9. Scripsi vobis in epistola; ne commisceamini fornicariis: 10. Non utique fornicariis hujus mundi, aut avaris, aut rapacibus, aut idolis servientibus: alioqui debueratis ex mundo exisse. 11. Nunc autem scripsi vobis non commisceri. Si is qui frater nominatur inter vos, est fornicator, aut avarus, aut idolis serviens, aut ebriosus, aut maledicus, aut rapax: cum hujusmodi nec cibum sumere.*

1. QUIA enim dixit, annon potius luctum habuistis, ut de medio tollatur qui est hujusmodi; &, expurgate vetus fermentum; & verisimile erat suspicari illos, fugiendum esse ab omnibus fornicariis; si enim is qui peccavit malum suum impertiit iis qui non peccaverunt, multo magis externos oportet aversari: nam si familiari parcere non oportet quod tantum ille damni inferat; multo minus aliis parcendum. Hoc posito, consentaneum erat separari etiam a fornicatoribus qui apud Græcos erant; & si re ad impossibile redacta, magis ægre tulissent, hac correctione utitur dicens: Scripsi vobis, ne commisceamini fornicatoribus; & non utique fornicatoribus hujus mundi; illud, utique, quasi in confesso ponens. Ne putarent hoc ipsum illis non præcepisse quasi imperfectioribus, & ne ipsi ut perfecti illud facere aggrederentur, ostendit hoc fieri non posse, etiamsi id maxime velint: oporteret enim alium quærere orbem. Ideo subjunxit: alioquin debueratis ex mundo exiisse. Viden' quam non molestus sit, & ubique non modo quod fieri possit, sed etiam quod facile sit in lege ferenda perspiciat? Quomodo enim potest homo, inquit, qui & domui & liberis præficitur, & civitatis munera præstat, aut qui artifex vel miles sit, cum tam multi sint Græci,

## ΟΜΙΛΙΑ ιϛʹ.

Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις. καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ μέθυσος, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

ΕΠΕΙΔΗ γὰρ εἶπεν, οὐχὶ μᾶλλον ἐπενθήσατε ἵνα ἐξαρθῇ ὁ τοιοῦτος, καὶ ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, καὶ εἰκὸς ἦν αὐτοὺς ὑποπτεῦσαι ὅτι πάντας τοὺς πόρνους δεῖ φεύγειν. εἰ γὰρ μεταδίδωσι τῆς οἰκείας λύμης ὁ ἡμαρτηκὼς τοῖς οὐχ ἡμαρτηκόσι, πολλῷ μᾶλλον τοὺς ἔξωθεν ἀποστρέφεσθαι χρή. εἰ γὰρ τοῦ οἰκείου οὐ δεῖ φείδεσθαι διὰ τὸ τοιαύτην ἐξ αὐτοῦ βλάβην γίνεσθαι, πολλῷ μᾶλλον τῶν ἄλλων. τούτου δὲ ὑπονοουμένου, εἰκὸς ἦν χωρίζεσθαι καὶ τῶν παρ' Ἕλλησι πόρνων, καὶ οὕτως εἰς ἀδύνατον τοῦ πράγματος περιϊσταμένου μειζόνως ἂν ἐδυσχέραινον, τῇ ἐπιδιορθώσει ταύτῃ κέχρηται, λέγων· ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, τὸ πάντως, ὡς ἐπὶ ὡμολογημένου τιθείς. ἵνα γὰρ μὴ νομίσωσιν ὅτι ὡς ἀτελεστέροις αὐτοῖς τοῦτο οὐκ ἐπέταξε, καὶ ὡς τέλειοι δῆθεν αὐτὸ πρᾶξαι [a] ἐπιχειρήσωσι, δείκνυσιν ὅτι οὐδὲ δυνατὸν τοῦτο γενέσθαι, οὐδὲ εἰ σφόδρα βούλοιντο· ἐπεὶ ἑτέραν οἰκουμένην ἔδει ζητῆσαι. διὸ καὶ ἐπήγαγεν, ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. εἶδες πῶς ἐστιν ἀνεπαχθής, καὶ πανταχοῦ οὐ τὸ δυνατὸν μόνον, ἀλλὰ καὶ τὸ εὔκολον τῆς νομοθεσίας σκοπεῖ; πῶς γὰρ ἔνι ἄνθρωπον ὄντα, φησὶ, καὶ οἰκίας καὶ παίδων προϊστάμενον, καὶ τὰ τῆς πόλεως πράττοντα, ἢ χειροτέχνην ὄντα, ἢ στρατευόμενον, τῶν πλειόνων ὄντων Ἑλλήνων,

a Reg. ἐπιχειρήσωσι, recte. Editi ἐπιχειρήσουσι.

τοὺς πανταχοῦ πόρνους φεύγειν; πόρνους γὰρ κόσμου, τοὺς παρὰ τοῖς Ἕλλησι λέγει. νῦν δὲ ἔγραψα ὑμῖν, ἐάν τις ἀδελφὸς ᾖ τοιοῦτος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἐνταῦθα δὲ ἑτέρους αἰνίττεται ἐν πονηρίᾳ ζῶντας. καὶ πῶς ἀδελφὸς ὢν, εἰδωλολάτρης εἶναι δύναται; ὡς ἐπὶ τῶν Σαμαρειτῶν συνέβη ποτὲ, οἳ ἐξ ἡμισείας τὴν εὐσέβειαν ᾑροῦντο· ἄλλως δὲ, προκαταβάλλεται τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὃν μετὰ ταῦτα μέλλει γυμνάζειν. ἢ πλεονέκτης. καὶ γὰρ καὶ πρὸς τούτους ἀποδύεται. διὸ καὶ ἔλεγε, διατί οὐχ ἀδικεῖσθε μᾶλλον; διατί οὐκ ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε; ἢ μέθυσος. καὶ γὰρ καὶ τοῦτο ἐγκαλεῖ προϊὼν, ὡς ὅταν λέγῃ· ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει· καὶ, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. ἢ λοίδορος, ἢ ἅρπαξ. καὶ γὰρ καὶ τούτοις ἐπετίμησεν ἔμπροσθεν. εἶτα καὶ τὴν αἰτίαν προστίθησι, δι' ἣν οὐ κωλύει τοῖς ἔξωθεν τοιούτοις οὖσιν ἀναμίγνυσθαι, δεικνὺς ὅτι οὐ μόνον οὐ δυνατὸν, ἀλλὰ καὶ περιττόν. τί γάρ μοι καὶ τοὺς ἔξωθεν κρίνειν; τοὺς ἔσω καὶ τοὺς ἔξω, τοὺς Χριστιανοὺς καὶ τοὺς Ἕλληνας καλῶν, καθὼς καὶ ἀλλαχοῦ φησι· δεῖ δὲ καὶ μαρτυρίαν ἔχειν αὐτὸν καλὴν ἀπὸ τῶν ἔξωθεν. καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας ἐπιστολῇ τὸ αὐτὸ φησὶ λέγων· μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· καὶ, μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ἐνταῦθα μέντοι τὴν αἰτίαν οὐ τίθησι. τί δήποτε; ὅτι ἐκεῖ μὲν παραμυθήσασθαι ἐβούλετο, ἐνταῦθα δὲ οὐκέτι. οὐ γὰρ τὸ ἁμάρτημα ἐνταῦθα κἀκεῖ τὸ αὐτὸ, ἀλλ' ἐκεῖ ἔλαττον. ἀργίαν γὰρ ἐγκαλεῖ, ἐνταῦθα δὲ πορνείαν καὶ ἕτερα χαλεπώτατα ἁμαρτήματα. καὶ πρὸς Ἕλληνας μὲν εἰ βούλοιτό τις ἀπιέναι, οὐ κωλύει συνεσθίειν, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν. οὕτω δὲ καὶ ἡμεῖς ποιοῦμεν, ὑπὲρ μὲν τῶν υἱῶν καὶ τῶν ἀδελφῶν πάντα πράττοντες, τῶν δὲ ἀλλοτρίων οὐ πολὺν ποιούμεθα λόγον. τί οὖν; οὐκ ἐκήδετο καὶ τῶν ἔξωθεν Παῦλος; ἐκήδετο μὲν, ἀλλὰ μετὰ τὸ δέξασθαι τὸ κήρυγμα καὶ ὑπευθύνους ποιῆσαι τῇ διδασκαλίᾳ τοῦ Χριστοῦ, τότε αὐτοῖς ἐνομοθέτει· ἕως δὲ ὅτε κατεφρόνουν, περιττὸν ἦν τὰ προστάγματα τοῦ Χριστοῦ λέγειν τοῖς αὐτὸν οὐκ εἰδόσι τὸν Χριστόν. οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ. ἐπειδὴ γὰρ εἶπε, τί μοι τοὺς ἔξω κρίνειν; ἵνα μή τις νομίσῃ ἀτιμωρήτους τούτους ἀφίεσθαι, ἕτερον δικαστήριον ἐφίστησιν αὐτοῖς φοβερόν. τοῦτο δὲ εἶπεν, ὁμοῦ μὲν ἐκείνους φοβῶν, ὁμοῦ δὲ τούτους παραμυθούμενος, καὶ δεικνὺς ὅτι ἡ κόλασις αὕτη ἡ πρόσκαιρος τῆς ἀθανάτου καὶ διηνεκοῦς ἐξαρπάζει, ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· νυνὶ δὲ κρινόμενοι, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. καὶ, ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Ἐμνημόνευσε ῥήσεως ἐν τῇ παλαιᾷ κειμένης, ὁμοῦ μὲν δεικνὺς ὅτι καὶ αὐτοὶ τὰ μέγιστα κερδανοῦσιν, ὥσπερ λοιμοῦ τινος ἀπαλλαγέντες χαλεποῦ,

A fornicatores qui ubique sunt fugere? Fornicatores enim mundi vocat illos, qui apud Græcos erant. Nunc autem scripsi vobis, si quis frater talis sit, ut cum illo ne quidem comedatis. Hic & alios subindicat in iniquitate viventes. Et quomodo frater cum sit, idololatra esse potest? Ut apud Samaritanos contigit olim, qui ex dimidia parte piam religionem sectabantur. Alioquin autem fundamentum jacit futuri sermonis de idolothytis, quem sub hæc instituturus est. *Aut avarus*: nam adversus hos certaturus est; B ideo dicebat: cur non potius injuriam patimini? Cur non privamini? Sed vos injuriam facitis & privatis? *Aut ebriosus.* Nam hac quoque de re accusat in sequentibus, ut cum dicit: *Alius quidem esurit, alius autem ebrius est*: &, *Esca ventri, & venter escis.* *Aut maledicus aut rapax.* Nam & hos supra quoque increpavit. Deinde etiam causam addit, ob quam non prohibet cum externis, qui tales sint, commisceri; ostendens non modo id non fieri posse, sed etiam superfluum esse. 12. *Quid enim mihi de iis qui* C *foris sunt judicare?* Eos qui intus & qui foris sunt Christianos vocans & Græcos, ut & alibi ait: *Oportet autem illum & testimonium habere bonum ab iis qui foris sunt.* Et in epistola ad Thessalonicenses idipsum dicit his verbis: *Ne commisceamini cum ipso, ut confundatur*; &, *Nolite ut inimicum existimare, sed admonete ut fratrem.* Hîc porro causam non ponit: quare? Quia illic quidem consolari volebat; hic vero non item. Non enim idem nunc peccatum est quod illic erat; sed illic minus. De otio enim illic accusabat, hic D de fornicatione & aliis gravissimis peccatis. Et si quis Græcos adire velit, non prohibet cum illis comedere, ob eamdem videlicet causam. Sic & nos quoque facimus; pro filiis & fratribus nihil non agimus, alienorum autem non magnam rationem habemus. Quid ergo? externos non curabat Paulus? Curabat: sed postquam prædicationem acceperant, & Christi sese doctrinæ subjecerant, tunc illis leges dabat: quamdiu autem illi despiciebant, superfluum fuisset, illis præcepta Christi proferre, qui ne Christum E quidem noverant. *Nonne de iis, qui intus sunt vos judicatis?* 13. *Eos autem qui foris sunt Deus judicabit.* Postquam enim dixerat, Quid mihi de iis qui foris sunt judicare? ne quis putaret illos impunitos relinqui, aliud illis statuit tribunal terribile. Hoc autem dixit, tum ut illos terreret, tum ut hos consolaretur, & ostendit hanc temporalem punitionem ab æterna & perpetua eripere; quod & alibi declarabat his verbis: *Nunc autem judicati castigamur, ut non cum mundo damnemur.* Et, *auferte malum ex vobis ipsis.*

2. Meminit dicti quod in veteri lege fertur, simul ostendens quod ipsi maxima sint lucraturi, ut a peste quadam gravi liberati;

1. Cor. 11. 21.

1. Tim. 3. 7.

2. Thes. 3. 14.

1. Cor. 11. 32.

Deut. 17. 7.

simul ostendens hoc non esse innovationem, & jam olim a legislatore visum fuisse ut qui tales essent exscinderentur. Sed, illic quidem vehementius, hic vero mansuetius. Quapropter jure quærat aliquis, cur tunc quidem eum qui peccaverat puniri & lapidari permitteret; hic vero non item; sed illum ad pœnitentiam vocet? Cur ergo aliter illa, aliter ista efformabantur? Ob duas hasce causas; primam quia ad majus certamen hi ducebantur, & majori animo & patientia opus habebant; secundam autem veriorem, quia hi quidem ab impunitate facilius corrigebantur ad pœnitentiam venientes, illi vero ad majorem nequitiam irrepturi erant. Nam si postquam primos punitos viderant, in iisdem perseverabant; si neminem punitum vidissent, multo magis id facturi erant. Ideo illic adultero & homicidæ statim mors infertur; hic vero si per pœnitentiam absolvantur, supplicium effugerunt. Cæterum etiam hic vehementiora, & illic mitiora videas supplicia, ut per omnia ostendatur cognatione juncta esse Testamenta, & unius ejusdemque esse legislatoris: atque & hic & illic supplicia e vestigio sequi, sæpeque post multum temporis in utroque, sæpe etiam non post multum temporis; sed Deum pœnitentia sola contentum esse. Nam in veteri cum David in adulterium incidisset & cædem patrasset, per pœnitentiam servatus est; & in novo, cum pauca ex agri precio subtraxisset Ananias, cum uxore periit. Quod si hujusmodi plura observantur in veteri, & contraria plura in novo, differentia personarum, differentiam talis œconomiæ efficit.

CAP. VI. 1. *Audet aliquis vestrum, adversus fratrem suum habens negotium, judicari apud iniquos, & non apud sanctos?* Hic etiam accusationem inducit eorum quæ in confesso erant. Etenim illic dicebat: Omnino auditur in vobis fornicatio; & hic, Audet quis in vobis? statim a principio iram indicans, & ostendens audax & iniquum esse facinus. Et cur injecit sermonem de avaritia, & quod non oporteat foris judicari? Suam implens legem: nam mos illi erat ea quæ incidebant emendare; ut quando de communibus mensis disserens, in sermonem de mysteriis digressus est. Et hic igitur quia de avaris fratribus mentionem fecit, fervens ob curam emendationis peccatorum, ordinem servare non sustinet; sed quod ex consequenti in medium adductum est peccatum, rursus emendat, & sic ad prius revertitur. Audiamus ergo quid de hoc etiam dicat. *Audet aliquis vestrum habens negotium adversus fratrem, judicari apud iniquos, & non apud sanctos?* Interim ex nominibus rem aperit, & avertit & accusat: & ab initio quidem non evertit judicium, quod fit apud fideles. Postquam autem illos multis exterruit, tunc omnino judicium hujusmodi abstulit.

A ὁμοῦ δὲ δηλῶν ὅτι οὐ καινοτομία τὸ τοιοῦτον, ἀλλὰ καὶ ἄνωθεν ἐδόκει τοῦτο τῷ νομοθέτῃ τοὺς τοιούτους ἐκτέμνεσθαι· ἀλλ' ἐκεῖ μὲν σφοδρότερον, ἐνταῦθα δὲ ἡμερώτερον. διόπερ καὶ εἰκότως ἄν τις διαπορήσειε, τί δήποτε ἐκεῖ μὲν συνεχώρει κολάζεσθαι τὸν ἡμαρτηκότα καὶ καταλεύεσθαι, ἐνταῦθα δὲ οὐκέτι, ἀλλ' ἐπὶ μετάνοιαν αὐτὸν ἄγει; τί δήποτ' οὖν ἑτέρως μὲν ἐκεῖνα, ἑτέρως δὲ ταῦτα διετυποῦτο; διὰ δύο ταύτας αἰτίας· μίαν μέν, ὅτι ἐπὶ μείζονα ἀγῶνα οὗτοι ἤγοντο, καὶ πλείονος ἐδέοντο τῆς μακροθυμίας· ἑτέραν δὲ τὴν ἀληθεστέραν, ὅτι οὗτοι μὲν ἀπὸ τῆς B ἀτιμωρησίας εὐκολώτερον διωρθοῦντο ἐπὶ μετάνοιαν ἐρχόμενοι, ἐκεῖνοι δὲ ἐπὶ κακίαν μείζονα ἔμελλον ἕρπειν. εἰ γὰρ τοὺς πρώτους κολαζομένους ὁρῶντες τοῖς αὐτοῖς ἐνέμενον, εἰ μηδὲ ἐκολάζοντό τινες, πολλῷ μᾶλλον τοῦτο ἂν ἔπαθον. διὰ τοῦτο ἐκεῖ μὲν τῷ μοιχῷ καὶ τῷ ἀνδροφόνῳ θάνατος εὐθέως ἐπήγετο· ἐνταῦθα δέ, ἐὰν διὰ μετανοίας ἀπολύσωνται, διέφυγον τὴν κόλασιν. πλὴν καὶ ἐνταῦθα σφοδροτέρας, καὶ ἐν τῇ παλαιᾷ ἡμερωτέρας ἴδοι τις ἂν τιμωρίας, ἵνα δειχθῇ διὰ πάντων ὅτι συγγενεῖς αἱ διαθῆκαι, καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ νομοθέτου· καὶ παρὰ πόδας καὶ ἐκεῖ καὶ ἐνταῦθα τὰς τιμωρίας, καὶ μετὰ πολὺν χρόνον πολ- C λάκις ἐν ἑκατέρᾳ· καὶ οὐδὲ μετὰ πολὺν χρόνον πολλάκις, ἀλλὰ μετανοίᾳ μόνῃ ἀρκούμενον τὸν θεόν. καὶ γὰρ ἐν τῇ παλαιᾷ μοιχεύσας καὶ φονεύσας ὁ Δαυΐδ, διὰ μετανοίας ἐσώθη, καὶ ἐν τῇ καινῇ μικρὰ ἀπὸ χωρίου τιμῆς ὑφελόμενος ὁ Ἀνανίας μετὰ τῆς γυναικὸς ἀπώλετο. εἰ δὲ πλεονάζει ταῦτα ἐν τῇ παλαιᾷ, τὰ δὲ ἐναντία ἐν τῇ καινῇ, ἡ διαφορὰ τῶν προσώπων τὴν διαφορὰν τῆς τοιαύτης οἰκονομίας ἐργάζεται. τολμᾷ τις ὑμῶν, πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ τῶν ἁγίων; καὶ ἐνταῦθα πάλιν ἐπὶ ὡμολογημένων ποιεῖται τὴν κατηγορίαν. καὶ γὰρ ἐκεῖ D φησιν, ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· καὶ ἐνταῦθα, τολμᾷ τις ὑμῶν; ἐκ προοιμίων εὐθέως τὸν θυμὸν ἐνδεικνύμενος, καὶ δεικνὺς ὅτι τόλμης ἐστὶ τὸ πρᾶγμα καὶ παρανομίας. καὶ τί δήποτε τὸν περὶ πλεονεξίας καὶ τοῦ μὴ δεῖν ἔξω κρίνεσθαι παρενέβαλε λόγον; οἰκεῖον νόμον πληρῶν. καὶ γὰρ ἔθος αὐτῷ τὰ παρεμπίπτοντα διορθοῦν, ὥσπερ ἡνίκα περὶ τῶν κοινῶν τραπεζῶν διαλεγόμενος, εἰς τὸν περὶ τῶν μυστηρίων ἐξέβη λόγον. καὶ ἐνταῦθα τοίνυν, ἐπειδὴ πλεονεκτῶν ἀδελφῶν ἐμνημόνευσε, ζέων τῇ φροντίδι τῆς διορθώσεως τῶν E ἁμαρτανόντων οὐκ ἀνέχεται διατηρῆσαι τάξιν· ἀλλὰ τὸ ἐκ τῆς ἀκολουθίας ἀχθὲν εἰς μέσον ἁμάρτημα διορθοῦται πάλιν, καὶ οὕτως ἐπὶ τὸ πρότερον ἐπάνεισιν. ἀκούσωμεν οὖν τί φησι καὶ περὶ τούτου. τολμᾷ τις ὑμῶν πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; τέως ἐκ τῶν ὀνομάτων γυμνοῖ, καὶ ἀποτρέπει, καὶ ἐγκαλεῖ. καὶ ἐκ προοιμίων μὲν οὐκ ἀνατρέπει τὴν κρίσιν τὴν ἐπὶ τῶν πιστῶν· ὅτε δὲ αὐτοὺς κατέπληξε διὰ πολλῶν, τότε καὶ τὸ ὅλως κρίνεσθαι ἀνεῖλε.

μάλιστα

μάλιστα μὲν γὰρ εἰ δεῖ κρίνεσθαί, φησιν, ἐπὶ τῶν ἀδίκων οὐκ ἔδει· ὅλως δὲ οὐδὲ κρίνεσθαι δεῖ. ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι· τέως δὲ τὸ πρῶτον διακαθαίρει τὸ μὴ ἔξω δικάζεσθαι. [a] πῶς γὰρ οὐκ ἄτοπον πρὸς τὸν φίλον μικροψυχοῦντα, τὸν ἐχθρὸν καταλλάκτην λαμβάνειν, φησί; πῶς δὲ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, ὅταν Ἕλλην τοῦ Χριστιανοῦ καθέζηται δικάζων; εἰ δὲ ὑπὲρ ἰδιωτικῶν οὐ χρὴ τοῖς Ἕλλησι δικάζεσθαι, πῶς αὐτοῖς ἐπιτρέψομεν ὑπὲρ ἑτέρων μειζόνων; καὶ ὅρα πῶς εἶπεν. οὐκ εἶπεν, ἐπὶ τῶν ἀπίστων, ἀλλ᾽, ἐπὶ τῶν ἀδίκων, λέξιν θεὶς, ἧς μάλιστα χρείαν εἶχεν εἰς τὴν προκειμένην ὑπόθεσιν, ὥστε ἀποτρέψαι καὶ ἀπαναγαγεῖν. ἐπειδὴ γὰρ περὶ δίκης αὐτῷ ὁ λόγος ἦν, οἱ δικαζόμενοι δὲ οὐδὲν οὕτως ἐπιζητοῦσιν, ὡς τὸ πολλὴν εἶναι πρόνοιαν τοῦ δικαίου παρὰ τοῖς δικάζουσιν, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει, μονονουχὶ λέγων· ποῖ φέρῃ, καὶ τί ποιεῖς, ἄνθρωπε, τοὐναντίον πάσχων, ὧν ἐπιθυμεῖς, καὶ ὑπὲρ τοῦ τῶν δικαίων τυχεῖν ἀδίκοις ἐπιτρέπων ἀνθρώποις; καὶ ἐπειδὴ εὐθέως φορτικὸν ἦν ἀκοῦσαι τὸ μὴ δικάζεσθαι, οὐκ εὐθέως τοῦτο ἐπήγαγεν, ἀλλὰ τοὺς δικάζοντας ἤμειψε μόνον, ἔξωθεν εἰς τὴν ἐκκλησίαν εἰσάγων τοὺς δικαζομένους. εἶτα, ἐπειδὴ εὐκαταφρόνητον εἶναι ἐδόκει, τὸ παρὰ τοῖς ἔνδον δικάζεσθαι, καὶ μάλιστα τότε· οὐ γὰρ ἦσαν ἴσως ἱκανοὶ πρᾶγμα συνιδεῖν, οὔτε τοιοῦτοι οἷοι οἱ ἔξωθεν δικασταὶ νόμων ἔμπειροι καὶ ῥητορείας, ἅτε ἐξ ἰδιωτῶν οἱ πλείους ὄντες. ὅρα πῶς αὐτοὺς ἀξιοπίστους ποιεῖ, πρῶτον ἁγίους καλέσας. ἀλλ᾽ ἐπειδὴ τοῦτο βίου καθαρότητα, οὐκέτι δὲ ἀκρίβειαν τὴν περὶ τὴν ἀκρόασιν αὐτοῖς ἐμαρτύρει, ὅρα πῶς καὶ τοῦτο μεθοδεύει τὸ μέρος, λέγων οὕτως· ἢ οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι;

Σὺ τοίνυν ὁ μέλλων κρίνειν ἐκείνους τότε, πῶς ὑπ᾽ ἐκείνων ἀνέχῃ κρίνεσθαι νῦν; κρινοῦσι δὲ οὐχὶ αὐτοὶ καθήμενοι καὶ λόγον ἀπαιτοῦντες, ἀλλὰ κατακρινοῦσι. τοῦτο γοῦν δηλῶν ἔλεγε· καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; οὐ γὰρ εἶπεν, ὑφ᾽ ὑμῶν, ἀλλ᾽, ἐν ὑμῖν. ὥσπερ ὅταν λέγῃ· βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην· καὶ, ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. ὅταν γὰρ τὸν αὐτὸν ἥλιον ὁρῶντες, καὶ τῶν αὐτῶν μετέχοντες πάντων, ἡμεῖς μὲν εὑρεθῶμεν πιστεύσαντες, ἐκεῖνοι δὲ ἠπιστηκότες, οὐ δυνήσονται εἰς ἄγνοιαν καταφυγεῖν. κατηγορήσομεν γὰρ αὐτῶν ἡμεῖς δι᾽ αὐτῶν, ὧν ἐπράξαμεν. καὶ πολλὰ τοιαῦτα εὑρήσει τις ἐκεῖ κριτήρια. εἶτα, ἵνα μὴ δόξῃ τις περὶ ἄλλων λέγειν, ὅρα πῶς κοινοποιεῖ τὸν λόγον. καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος,

A Maxime quidem, inquit, si judicare oportet, apud iniquos non oportuit; omnino autem non oportet judicari; sed hoc postea ponit. Interim vero primo id de medio tollit, ut ne foris judicentur. Quomodo enim non absurdum fuerit, adversus amicum disceptantem, inimicum accipere conciliatorem, inquit? Quomodo non te pudet, nec erubescis cum Græcus sedet Christianum judicans? Si autem de rebus privatis non oportet a Græcis judicari, quomodo ipsis res majores committemus? Et vide quomodo loqua-
B tur: non dixit, apud infideles, sed, apud iniquos, voce illa usus qua maxime opus habebat in proposito argumento, ut averteret abduceretque. Quia enim de judicio sermo ipsi erat: qui vero judicantur nihil adeo requirunt, quam ut multa justi cura & ratio habeatur a judicantibus; inde illos avertit, propemodum dicens: Quo pergis, & quid facis, homo, contrarium patiens eorum quæ desideras, & ut justitiam assequaris, ad iniquos homines te convertis? Et quia statim molestum fuisset audire non judicio disceptan-
C dum esse, non statim hoc induxit, sed judicantes solum mutavit, ab externis in ecclesiam inducens eos qui judicandi erant. Deinde quia contemtu dignum videbatur esse, ab iis qui intus erant judicari, & tunc maxime; non enim erant fortassis idonei ad rem intelligendam, neque tales quales erant externi judices, legum periti & diserti, utpote qui ex privatis & indoctis quamplurimi essent; vide quomodo illos fide dignos faciat; primum sanctos vocans; sed quia hoc vitæ puritatem, sed non accuratam cogni-
D tionem ad audiendum, testificabatur; vide quomodo hanc quoque partem tractet, ita dicens: 2. *An nescitis quod sancti mundum judicabunt?*

3. Tu ergo qui illos aliquando judicaturus es, quomodo sustines nunc ab illis judicari? Judicabunt autem, non ipsi sedentes & rationem repetentes, sed condemnabunt. Hoc enim indicans dicebat: *Et si in vobis judicatur mundus, indigni estis minimis judiciis.* Non enim dixit, a vobis, sed, inter vos; ut cum dicit: *Regina Austri surget, & condemnabit generationem hanc;* &, *Viri Ninivitæ surgent,* Matt. 12. 42.
E *& condemnabunt generationem hanc.* Quando enim eumdem solem videntes, & earumdem rerum omnium participes, nos quidem credidisse inventi fuerimus; illi vero non credidisse, non poterunt ad ignorantiam confugere. Nos enim illos accusabimus per ea quæ fecimus: & multa alia quis inveniet ibi judicia. Deinde ne videretur cuipiam de aliis dicere; vide quomodo communem faciat sermonem. *Et si in vobis judicatur mundus,*

[a] πῶς γὰρ οὐκ ἄτοπον πρὸς τὸν φίλον μικροψυχοῦντα. τὸν ἐχθρὸν καταλλάκτην λαμβάνειν. Vetus interpres male, *Quomodo non est absurdum, adversus pusilli animi amicum, inimicum accipere conciliatorem.* Voces μικρόψυχος, μικροψυχία & μικροψυχεῖν, perpetuus sunt omnium ferme interpretum scopulus: vertunt enim, *pusilli animi homo, pusillanimitas, & pusilli animi esse.* Etsi sæpissime apud scriptores, maxime Ecclesiasticos, μικροψυχία, est simultas, dissensio, μικρόψυχος, diffidia vel simultates exercens, & μικροψυχεῖν diffidere, simultatem cum aliquo exercere, disceptare, ut ex serie hoc loco perspicuum. Ea de re jam monuimus.

*indigni estis minimis judiciis?* Pudorem vobis res affert, inquit, & ineffabile dedecus. Nam quia, ut verisimile est, pudebat eos ab iis qui intus erant judicari: e contrario autem vobis est dedecus, cum ab iis qui foris sunt judicamini: illa enim minima sunt judicia, non hæc. 3. *Nescitis quia angelos judicabimus? quanto magis sæcularia?* Quidam dicunt hic sacerdotes subindicari. Sed, apage; nam de dæmonibus agit. Nam si de corruptis sacerdotibus dixisset, supra subindicasset illos cum dixit; in vobis judicatur mundus. Solet enim scriptura improbos homines mundum vocare; neque iterum hoc ipsum dixisset, neque ut majus quidpiam dicens ipsum postea posuisset. Sed de illis loquitur angelis, de quibus dicit Christus: *Ite in ignem paratum diabolo & angelis ejus;* & Paulus, *angeli ejus transfigurantur tamquam ministri justitiæ.* Cum enim potestates illæ incorporeæ inventæ fuerint minus habere quam nos, qui carne induti sumus, graviores dabunt pœnas. Quod si adhuc quidam contendunt illum de sacerdotibus loqui, interrogabimus, quos sacerdotes? an eos qui sæculari more omnino vixerunt? Quomodo ergo, inquies, angelos judicabimus? quanto magis sæcularia? ad differentiam sæcularium ponens angelos, & merito; quia extra eorum usum sunt ob excellentiam naturæ. 4. *Sæcularia igitur judicia si habueritis, contemtibiles qui sunt in ecclesia, illos constituite ad judicandum.* Volens cum hyperbole nos docere, quodcumque tandem fuerit, non oportere nos externis committere, cum objectionem vel quæ talis esse videbatur, movisset; prius illam solvit. Hoc enim vult significare: Fortasse dicet quispiam, nullum esse apud vos sapientem, neque ad judicium ferendum aptum, sed contemtibiles omnes. Et quid hoc? Etiamsi enim nullus sit sapiens, inquit, vos minimis permittite: 6. *Hoc autem ad verecundiam vestram dico.* Est refellentis illorum objectionem, ut quæ superfluus sit obtentus; ideoque subjunxit: *Sic non est sapiens in vobis quisquam?* Tanta-ne est, inquit, inopia? tanta-ne apud vos raritas virorum intelligentium? Quod autem subjungit, majorem infert plagam; cum enim dixisset, Non est sapiens in vobis neque unus? subjunxit: *Qui possit judicare inter fratrem suum?* Cum enim frater cum fratre judicio contendit, intelligentia & solertia non est opus litis arbitro, affectu & cognatione magnam opem afferente, ad contentionis talis solutionem: *Sed frater cum fratre judicio contendit, & hoc apud infideles.* Viden' quomodo in principio quidem, utiliter incusabat eos qui judicarent, iniquos vocans; hic autem ut illos pudore afficiat, dicens infideles? Etenim admodum turpe est, si ne fratribus quidem reconciliationis causa possit esse sacerdos; sed necesse sit ad externos

Matt. 25. 41.
2. Cor. 11. 15.

ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; αἰσχύνην ὑμῖν φέρει τὸ πρᾶγμα, φησὶ, καὶ ὄνειδος ἄφατον. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὑπὸ τῶν ἔσω κρινομένους αἰσχύνεσθαι, τοὐναντίον μὲν οὖν ἐστιν αἰσχύνη, φησιν, ὅταν ὑπὸ τῶν ἔξω κρίνεσθε. ἐκεῖνα γάρ ἐστιν ἐλάχιστα τὰ κριτήρια, οὐ ταῦτα. οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; τινὲς ἐνταῦθά φασι τοὺς ἱερέας αἰνίττεσθαι· ἀλλ' ἄπαγε. περὶ γὰρ δαιμόνων ὁ λόγος αὐτῷ. εἰ γὰρ περὶ ἱερέων ἔλεγε διεφθαρμένων, ᾐνίξατο ἂν αὐτοὺς ἄνω εἰπὼν, ὅτι ἐν ὑμῖν κρίνεται ὁ κόσμος. οἶδε γὰρ κόσμον καὶ τοὺς πονηροὺς ἀνθρώπους καλεῖν ἡ γραφή. καὶ οὐκ ἂν ἐκ δευτέρου τὸ αὐτὸ εἶπεν, οὐδ' ἂν ὡς μεῖζόν τι λέγων ὕστερον αὐτὸ τέθεικεν· ἀλλὰ περὶ ἐκείνων λέγει τῶν ἀγγέλων, περὶ ὧν φησιν ὁ Χριστός· πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ ὁ Παῦλος, ὅτι οἱ ἄγγελοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης. ὅταν γὰρ αἱ ἀσώματοι δυνάμεις αὗται ἔλαττον ἡμῶν εὑρεθῶσιν ἔχουσαι τῶν σάρκα περιβεβλημένων, χαλεπωτέραν δώσουσι δίκην. εἰ δὲ ἔτι φιλονεικοῖέν τινες ἱερέας λέγειν αὐτὸν, ἐρόμεθα ποίους ἱερέας; τοὺς βιωτικῶς περιπατήσαντας πάντως. πῶς οὖν, φησιν, ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; πρὸς ἀντιδιαστολὴν τῶν βιωτικῶν τιθεὶς τοὺς ἀγγέλους, εἰκότως· ἅτε τῆς τούτων χρείας ἐκτὸς γινομένους διὰ τὴν τῆς φύσεως ὑπεροχήν. βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε. μεθ' ὑπερβολῆς ἡμᾶς διδάξαι βουλόμενος, ὅτι οὐδ' ἂν ὁτιοῦν ᾖ, τοῖς ἔξωθεν ἑαυτοὺς διδόναι χρὴ, τὴν δοκοῦσαν εἶναι ἀντίθεσιν κινήσας, προηγουμένως ταύτην ἔλυσεν. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· ἴσως ἐρεῖ τις, ὅτι οὐδεὶς ἐν ὑμῖν σοφὸς, οὐδὲ ἱκανὸς διακρῖναι, εὐκαταφρόνητοι πάντες. καὶ τί τοῦτο; κἂν γὰρ μηδεὶς ᾖ σοφός, φησι, τοῖς ἐλαχίστοις ἐπιτρέπετε. τοῦτο δὲ πρὸς ἐντροπὴν ὑμῖν λέγω. ἐλέγχοντός ἐστι τὴν τούτων ἀντίθεσιν, ὡς σκῆψιν οὖσαν περιττήν. διὸ καὶ ἐπήγαγεν· οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; τοσαύτη, φησὶν, ἀπορία; τοσαύτη σπάνις ἀνδρῶν συνετῶν παρ' ὑμῖν; καὶ ἡ ἐπαγωγὴ δὲ μείζονα τὴν πληγὴν ἔχει. εἰπὼν γὰρ, οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; ἐπήγαγεν· ὃς δυνήσεται διακρῖναι μεταξὺ τοῦ ἀδελφοῦ αὐτοῦ; ὅταν γὰρ ἀδελφὸς δικάζηται μετὰ τοῦ ἀδελφοῦ, οὐδέποτε δεῖται τῆς συνέσεως καὶ τῆς δεινότητος τῷ μεσιτεύοντι τῇ δίκῃ, τῆς διαθέσεως καὶ τῆς συγγενείας πολλὰ συμπραττούσης πρὸς τὴν λύσιν τῆς τοιαύτης φιλονεικίας. ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων. εἶδες πῶς ἐν ἀρχῇ μὲν χρησίμως διέβαλε τοὺς δικάζοντας, ἀδίκους καλέσας· ἐνταῦθα δὲ ἐντρεπτικῶς, ἀπίστους εἰπών; καὶ γὰρ σφόδρα αἰσχρὸν, εἰ μηδὲ ἀδελφοῖς δυνατὸν γίνεσθαι καταλλαγῆς αἴτιον τὸν ἱερέα, ἀλλ' ἀνάγκη πρὸς τοὺς ἔξω τρέχειν·

ὥστε εἰπὼν τοὺς ἐξουθενημένους, οὐ τοῦτο εἶπε προηγουμένως ὅτι τοὺς ἀπερριμμένους δεῖ καθίζειν, ἀλλὰ καθαπτόμενος αὐτῶν. ὅτι γὰρ τοῖς δυναμένοις διακρίνειν ἐπιτρέπειν χρὴ, ἐδήλωσεν εἰπὼν, οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; καὶ ἐκ περιουσίας ἐπιστομίζων, καὶ λέγων, ὅτι εἰ καὶ μηδεὶς ἦν σοφὸς, ὑμῖν τοῖς ἀσυνέτοις ἐπιτρέπειν ἐχρῆν μᾶλλον τὴν ἀκρόασιν, ἢ τοὺς ἔξωθεν δικάζειν. πῶς γὰρ οὐκ ἄτοπον, ἐν οἰκίᾳ μὲν γινομένης μάχης, μηδένα τῶν ἔξωθεν καλεῖν, ἀλλ' αἰσχύνεσθαι εἰ διαδοθείη πρὸς τοὺς ἔξω τὰ ἔνδον γινόμενα· ἔνθα δὲ ἐκκλησία, τῶν ἀποῤῥήτων μυστηρίων ὁ θησαυρὸς, πάντα ἐκφέρεσθαι ἔξω; ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων. διπλοῦν τὸ ἔγκλημα, ὅτι κρίνεται, καὶ ἐπὶ ἀπίστων. εἰ γὰρ καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἁμάρτημα τὸ πρὸς ἀδελφὸν κρίνεσθαι, τὸ καὶ ἐπὶ ἐξωτικῶν ποίαν ἔχει συγγνώμην; ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. εἶδες ποῦ αὐτὸ ἐτήρησε; καὶ πῶς εὐκαίρως αὐτὸ ἀνεῖλεν; οὔπω γὰρ λέγω, φησὶ, τίς ἀδικεῖ, ἢ τίς ἀδικεῖται. τέως αὐτῷ τῷ κρίνεσθαι ἑκάτερος διαβέβληται, καὶ οὐδὲν ἕτερος ἑτέρου βελτίων κατὰ τοῦτο.

Εἰ δὲ δικαίως, ἢ ἀδίκως κρίνεται, ἑτέρου λόγου τοῦτο. μὴ τοίνυν λέγε, τίς ἠδίκησεν; ἐντεῦθεν γὰρ ἤδη σε κατακρίνω ἀπὸ τοῦ δικάζεσθαι. εἰ δὲ τὸ μὴ δύνασθαι φέρειν ἀδικοῦντα, ἔγκλημα, τὸ καὶ ἀδικεῖν, πόσης κατηγορίας ἄξιον; διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' αὐτοὶ ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. πάλιν διπλοῦν τὸ ἔγκλημα, τάχα δὲ καὶ τριπλοῦν καὶ τετραπλάσιον. ἓν μὲν, τὸ μὴ εἰδέναι ἀδικούμενον φέρειν· δεύτερον δὲ, τὸ καὶ ἀδικεῖν· τρίτον, τὸ καὶ τοῖς ἀδίκοις ἐπιτρέπειν περὶ τούτων· τέταρτον, τὸ καὶ ἀδελφόν. οὐδὲ γὰρ ὁμοίως τὰ ἁμαρτήματα κρίνεται, ὅταν εἰς τὸν τυχόντα, καὶ εἰς τὸ οἰκεῖον γίνηται μέλος. ἀπὸ γὰρ πλείονος ἰταμότητος τολμᾶται τοῦτο. κἀκεῖ μὲν ἡ φύσις τοῦ πράγματος καταπεπάτηται μόνη, ἐνταῦθα δὲ καὶ ἡ τοῦ προσώπου ποιότης. ἐντρέψας τοίνυν ἀπὸ τῶν κοινῶν λογισμῶν, καὶ πρὸ τούτων ἀπὸ τῶν κειμένων ἐπάθλων, εἰς ἀπειλὴν κατακλείει τὴν παραίνεσιν, ἰσχυρότερον ποιῶν τὸν λόγον, καὶ οὕτω λέγων. οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ κλέπται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν θεοῦ κληρονομήσουσι. τί λέγεις; περὶ πλεονεκτῶν διαλεγόμενος, τοσοῦτον ὄχλον ἐπήγαγες ἡμῖν παρανόμων ἀνθρώπων; ναὶ, φησίν· ἀλλ' οὐ συγχέων τὸν λόγον τοῦτο ποιῶ, ἀλλὰ ἐν τάξει προβαίνων. ὥσπερ γὰρ



A accurrere. Itaque cum dixit contemtibiles, non hoc præcipue dixit, quod abjectos sedere judices oporteat; sed illos perstringens. Nam quod iis qui discernere possint committere oporteat, significavit dicens: *Sic non est inter vos sapiens quisquam?* & ex abundanti os obstruens, & dicens: quod etiamsi nullus esset sapiens, vobis insipientibus potius committenda causa fuisset, quam externis. Quomodo enim non absurdum fuerit, cum domi lis oritur, externum neminem vocari; sed pudore affici, si quæ intus
B fiunt foris evulgentur; ubi autem ecclesia est, arcanorum mysteriorum thesaurus, omnia extra efferri? *Sed frater cum fratre judicio contendit, & hoc apud infideles.* Duplex est crimen, & quod judicetur, & quod apud infideles. Si enim per se peccatum est cum fratre judicio contendere, id apud externos facere quam veniam mereatur? 7. *Jam quidem omnino delictum est in vobis, quod judicia habetis inter vos.* Viden' ubinam illud reservarit? & quam opportune hoc sustulerit? Nondum enim dico, inquit, aliquis injuriam facit, aliquis injuriam patitur.
C Interim eo ipso quod judicio contendatur, uterque improbatur, & in hoc non est alius alio melior.

4. Si autem juste vel injuste judicio contenditur, hoc ad aliam pertinet disputationem. Ne itaque dicas, quis injuria affecit? Hinc enim jam te damno, quod judicio contendas. Si autem injuriam inferentem ferre non posse crimen est, injuriam facere quanta dignum erit accusatione? *Quare non magis injuriam accipitis? Quare non magis fraudem patimini?* 8. *Sed vos injuriam facitis & fraudem*
D *etiam fratribus.* Rursus duplum crimen; imo forte triplum, & quadruplum. Unum quidem injuriam inferentem ferre nescire; secundum autem, etiam injuriam inferre; tertium, iniquis judicium de his committere; quartum, hoc in fratrem facere. Neque enim similiter de peccatis judicatur, cum admittuntur in quemvis obvium, & cum in proprium membrum. Hoc enim quis audet ex majori petulantia: & illic quidem conculcatur sola rei natura; hic vero etiam personæ qualitas. Postquam igitur pudorem intulit a communibus rationibus, & ante hæc a pro-
E positis præmiis, comminatione concludit adhortationem, vehementiorem reddens sermonem his verbis: 9. *An nescitis quod iniqui regnum Dei non possidebunt? Nolite errare: neque fornicarii, neque idolis servientes, neque adulteri, neque molles, neque masculorum concubitores,* 10. *neque avari, neque fures, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt.* Quid dicis? De avaris loquens, sceleratorum hominum tantam induxisti nobis turbam? Etiam, inquit. Sed non confundens orationem hoc facio, sed & ordine procedens. Quemadmodum enim

de fornicatoribus loquens, omnium simul meminit; ita rursum avarum commemorans, omnes in medium adducit, ad reprehensiones assuefaciens eos, qui horum & similium sibi conscii sunt. Nam in aliorum commemoratione frequenter audire pœnam iis repositam, id efficit ut facilius audiatur reprehensio, cum adversus sua quisque peccata pugnaturus se apparat. Neque enim hæc tamquam sciens illis competere, neque tamquam reprehendens, comminatur; quod maxime potest auditorem retinere, & impedire ne resiliat, cum oratio illum non respicit; sed indeterminate prolata, ejus conscientiam latenter pungit. *Nolite errare.* Hic subindicat quosdam dicentes, quod nunc multi dicunt, benignus cum sit Deus & clemens delicta non ulciscitur: ne timeamus. Nam de nulla re a nemine unquam pœnam exiget. Et propterea dicit, Nolite errare. Error enim extremus & fallacia est, cum bona speres, contraria consequi, & illud de Deo suspicari, quæ ne de homine quidem quisquam cogitaverit. Quamobrem ait propheta ex persona ejus: *Existimasti iniquitatem, quod ero tui similis: arguam te & statuam contra faciem tuam iniquitates tuas.* Et Paulus hic, *Nolite errare; neque fornicatores*, eum, qui jam damnatus fuerat, primum ponit; *neque adulteri, neque molles, neque ebriosi, neque maledici regnum Dei possidebunt.* Multi hunc locum reprehenderunt, tamquam valde asperum, si quidem ponit ebriosum & maledicum, cum adultero & muliebria passo, & masculorum concubitore. Atqui non paria sunt scelera, quomodo ergo paria supplicia? Quid ergo dicemus? Quod certe non parva res sit ebrietas & maledictum; quandoquidem Christus eum qui fratrem suum fatuum vocavit, gehennæ tradidit. Sæpe enim hinc mors consequuta est: & Judæorum populus ex ebrietate gravissima admisit peccata. Deinde non de supplicio hic sermonem habet, sed de amissione regni. A regno certe similiter & hic & ille excidunt. Si vero in gehenna aliquam sint habituri differentiam, non erat præsentis temporis disquirere; non enim hoc propositum nobis est. 11. *Et hæc quidam fuistis. Sed abluti estis, sed sanctificati estis.* Magnum ingerens pudorem subjunxit dicens: Cogitate ex quantis malis vos eripuerit Deus, quantam vobis benignitatis suæ præbuerit experientiam & demonstrationem; neque ad solam liberationem mercedem extendit; sed longe amplius beneficium auxit: etenim mundum & purum fecit. Num hoc tantum? Nequaquam; sed & sanctificavit; neque hoc solum, sed etiam justificavit. Atqui vel a peccatis liberari magnum est donum. Nunc autem te innumeris replevit bonis. Et hoc factum est, *In nomine Domini nostri Jesu Christi.* Non in hoc vel in illo, sed & *In spiritu Dei nostri.* Hæc ergo cum sciamus,

Psal. 49. 21.

Contra maledicos.

A περὶ τῶν πόρνων διαλεγόμενος, μέμνηται πάντων ὁμοῦ, οὕτω πάλιν τοῦ πλεονέκτου μνησθεὶς, πάντας εἰς μέσον ἄγει, πρὸς τοὺς ἐλέγχους συνεθίζων τοὺς τὰ τοιαῦτα συνειδότας ἑαυτοῖς. τὸ γὰρ ἐν ταῖς τῶν ἑτέρων μνήμαις συνεχῶς ἀκούειν τὴν κειμένην κόλασιν αὐτοῖς, εὐπαράδεκτον ποιεῖ τὸν ἔλεγχον, ἐπειδὴ τοῖς οἰκείοις αὐτῶν ἁμαρτήμασιν ἐπαποδύνται. οὐδὲ γὰρ ὡς συνειδὼς ἐνταῦθα αὐτοῖς ταῦτα, οὐδὲ ὡς ἐλέγχων ποιεῖται τὴν ἀπειλήν· ὃ μάλιστα καὶ ἱκανόν ἐστι κατασχεῖν τὸν ἀκροατὴν, καὶ μὴ ἀφεῖναι ἀποπηδῆσαι, ὅταν μὴ πρὸς B αὐτὸν ὁ λόγος ἀποτείνηται, ἀλλ' ἀδιορίστως λεγόμενος, λανθανόντως αὐτοῦ πλήττῃ τὸ συνειδός. μὴ πλανᾶσθε. ἐνταῦθα αἰνίττεταί τινας λέγοντας, ὅπερ καὶ νῦν λέγουσιν οἱ πολλοὶ, ὅτι φιλάνθρωπος ὢν ὁ θεὸς καὶ ἀγαθὸς, οὐκ ἐπεξέρχεται τοῖς πλημμελήμασι, μὴ δὴ φοβηθῶμεν. οὐδένα γὰρ ἐπ' οὐδενὶ δίκην ἀπαιτήσει ποτέ. καὶ τούτων ἕνεκέν φησι, μὴ πλανᾶσθε. πλάνης γάρ ἐστιν ἐσχάτης καὶ ἀπάτης, ἐλπίσαντα χρηστὰ τῶν ἐναντίων ἐπιτυχεῖν, καὶ ταῦτα περὶ θεοῦ ὑποπτεύειν, ἃ μηδὲ περὶ ἀνθρώπου τις ἐννοήσειε. διό φησιν ὁ προφήτης ἐκ προσώπου αὐτοῦ· ὑπέλαβες C ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου. καὶ ὁ Παῦλος ἐνταῦθα, μὴ πλανᾶσθε· οὔτε πόρνοι, τὸν ἤδη καταδικασθέντα πρῶτον τίθησιν, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε μέθυσοι, οὔτε λοίδοροι βασιλείαν θεοῦ κληρονομήσουσι. πολλοὶ τούτου ἐπελάβοντο τοῦ χωρίου, ὡς σφόδρα τραχέος, εἴγε τὸν μέθυσον καὶ λοίδορον μετὰ τοῦ μοιχοῦ καὶ τοῦ ἡταιρηκότος καὶ τοῦ ἀρσενοκοίτου τίθησι· καίτοιγε οὐκ ἴσα τὰ ἐγκλήματα, πῶς οὖν τὰ τῆς κολάσεως ἴσα; τί οὖν ἐροῦμεν; ὅτι μάλιστα μὲν οὖν οὐ μικρὸν τὸ τῆς μέθης, καὶ τὸ τῆς D λοιδορίας, ἐπεὶ καὶ ὁ Χριστὸς τὸν μωρὸν καλέσαντα τὸν ἀδελφὸν, τῇ γεέννῃ παρέδωκε. πολλάκις γὰρ ἐντεῦθεν ἐτέχθη θάνατος· καὶ ὁ τῶν Ἰουδαίων δὲ δῆμος τὰ χαλεπώτατα ἐκ τῆς μέθης ἐξήμαρτεν ἁμαρτήματα. ἔπειτα ὅτι οὐ περὶ κολάσεως ὁ λόγος αὐτῷ τέως, ἀλλὰ περὶ ἐκπτώσεως βασιλείας. τῆς μὲν οὖν βασιλείας ὁμοίως καὶ οὗτος καὶ ἐκεῖνος ἐκπίπτουσιν· εἰ δέ τινα ἐν τῇ γεέννῃ διαφορὰν ἕξουσιν, οὐ τοῦ παρόντος καιροῦ ζητεῖν. οὐ γὰρ περὶ τούτου πρόκειται νῦν ἡμῖν. καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε. σφόδρα ἐντρεπτικῶς ἐπήγαγε λέγων, ἐν- E νοήσατε ἡλίκων ὑμᾶς ἐξείλετο κακῶν ὁ θεὸς, ὅσην ὑμῖν φιλανθρωπίας παρέσχετο πεῖραν καὶ ἀπόδειξιν. καὶ οὐδὲ μέχρι τῆς ἀπαλλαγῆς τὴν ἀντίδοσιν ἔδωκεν, ἀλλ' ἐπὶ πολὺ τὴν εὐεργεσίαν προήγαγε. καὶ γὰρ καθαρὸν ἐποίησεν. ἆρ' οὖν τοῦτο μόνον; οὐδαμῶς, ἀλλὰ καὶ ἡγίασεν. ἀλλ' οὐδὲ τοῦτο μόνον· ἀλλὰ καὶ ἐδικαίωσε. καίτοιγε καὶ τὸ τῶν ἁμαρτημάτων ἀπαλλάξαι, δωρεὰ μεγάλη· νυνὶ δέ σε καὶ μυρίων ἐνέπλησεν ἀγαθῶν. καὶ τοῦτο γέγονεν, ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐκ ἐν τῷ δε καὶ τῷ δε, ἀλλὰ καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν. ταῦτα οὖν εἰδότες,

ἀγαπητοί, καὶ τὸ μέγεθος τῆς γεγενημένης εὐεργεσίας ἐννοοῦντες, μένωμεν σωφρόνως βιοῦντες, τῶν τε ἀπηριθμημένων καθαρεύοντες ἁπάντων, καὶ τὰ δικαστήρια φεύγωμεν τὰ ἐν ἀγοραῖς τῶν ἔξω, καὶ τὴν εὐγένειαν, ἣν ὁ θεὸς ἡμῖν ἐχαρίσατο, ταύτην διαφυλάξωμεν. ἐννόησον γὰρ ἡλίκης ἐστὶν αἰσχύνης καθέζεσθαι Ἕλληνά σοι τὰ δίκαια νέμοντα.

Τί οὖν, φησὶν, ἐὰν παρανόμως ὁ ἔνδον κρίνῃ; διὰ τί, εἰπέ μοι; κατὰ ποίους γὰρ νόμους δικάζει ὁ Ἕλλην; καὶ κατὰ ποίους ὁ Χριστιανός; οὐκ εὔδηλον ὅτι κατὰ μὲν τοὺς τῶν ἀνθρώπων ὁ Ἕλλην, κατὰ δὲ τοὺς τοῦ θεοῦ ὁ Χριστιανός; οὐκοῦν ἐνταῦθα μᾶλλον τὸ δίκαιον, ὅτι καὶ ἐξ οὐρανῶν εἰσιν οἱ νόμοι πεμφθέντες. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν μετὰ τῶν εἰρημένων καὶ ἕτερά ἐστιν ὑποπτεῦσαι πολλὰ, καὶ ῥητόρων δεινότητα, καὶ διαφθορὰν ἀρχόντων, καὶ πολλὰ ἄλλα τὸ δίκαιον λυμαινόμενα. ἐνταῦθα δὲ τοιοῦτον οὐδέν. τί οὖν ἂν ὁ ἀντίδικος δυνάστης ᾖ, φησί; καὶ διὰ τοῦτο μὲν οὖν μάλιστα δικάζεσθαι ἐνταῦθα χρή. ἐν γὰρ τοῖς ἔξω δικαστηρίοις περιέσται σου πάντως. εἰ δὲ οὐκ ἀνέχεται, ἀλλὰ καὶ τῶν ἔνδον καταφρονεῖ, καὶ ἔξω πρὸς βίαν ἕλκει; βέλτιον, ὅπερ ἐξ ἀνάγκης μέλλεις πάσχειν, [a] ἑκὼν ὑποστῆναι, καὶ μὴ δικάζεσθαι, ἵνα καὶ μισθὸν ἔχῃς. ἂν γάρ τίς σοι θέλῃ κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἀφήσεις αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ, ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ. καὶ τί χρὴ λέγειν τὰ ἡμέτερα; καὶ γὰρ αὐτοὶ οἱ τῶν ἔξωθεν δικαστηρίων συνήγοροι μυριάκις ταῦτα λέγουσι, ὅτι βέλτιον ἔξωθεν διαλύεσθαι. ἀλλ' ὦ τῶν χρημάτων, μᾶλλον δὲ, ἀλλ' ὦ τοῦ ἀτόπου ἔρωτος τῶν χρημάτων· ὅτι πάντα ἀνέτρεψε καὶ κατέβαλε, καὶ πάντα λῆρος τοῖς πολλοῖς καὶ μῦθοι διὰ τὰ χρήματα. καὶ τὸ μὲν βιωτικοὺς εἶναι τοὺς τοῖς δικαστηρίοις ἐνοχλοῦντας, οὐδὲν θαυμαστόν· τὸ δὲ πολλοὺς τῶν ἀποταξαμένων τὰ αὐτὰ δὴ ταῦτα ποιεῖν, τοῦτό ἐστιν ὃ συγγνώμης πάσης ἐστέρηται. εἰ γὰρ ἐθέλεις ἰδεῖν πόσον ταύτης [b] ἀπέχειν σε τῆς χρείας, τῆς τῶν δικαστηρίων λέγω, προσέταξεν ἡ γραφὴ, καὶ τίσιν οἱ νόμοι κεῖνται μαθεῖν, ἄκουσον τί φησιν ὁ Παῦλος· δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις. εἰ δὲ περὶ τοῦ Μωσαϊκοῦ ταῦτά φησι, πολλῷ μᾶλλον περὶ τῶν ἔξωθεν. ἂν μὲν οὖν ἀδικῇς, δῆλον ὡς οὐκ εἴης δίκαιος. ἐὰν δὲ ἀδικῇ, καὶ φέρῃς, δικαίου γὰρ μάλιστα τοῦτό ἐστιν, οὐδὲν χρείαν ἔχεις τῶν ἔξωθεν νόμων. καὶ πῶς δυνήσομαι φέρειν ἀδικούμενος, φησί; καίτοιγε ὁ Χριστὸς καὶ τούτου τι πλέον προσέταξεν. οὐ γὰρ μόνον ἀδικούμενον φέρειν ἐκέλευσεν, ἀλλὰ καὶ προσεπιδαψιλεύεσθαι τῷ ἀδικοῦντι, καὶ τῇ προθυμίᾳ τοῦ πάσχειν ὑπερβαίνειν τὴν ἐπιθυμίαν τοῦ ποιοῦντος κακῶς. οὐ γὰρ εἶπε, τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες τὸν χιτῶνα·

A dilecti, & accepti beneficii magnitudinem cogitantes, maneamus temperanter viventes, ab iis omnibus quæ enumerata sunt mundi, & tribunalia fugiamus, quæ sunt in externis foris, & nobilitatem quam nobis Deus largitus est custodiamus. Cogita enim, quantæ sit turpitudinis, tibi jura dicentem sedere Græcum.

5. Quid ergo, inquies, si is qui intus est inique judicet? Cur, quæso? Secundum quas leges judicat Græcus, & secundum quas Christianus? Annon palam est Græcum secundum leges homi-
B num, & Christianum secundum leges Dei? Hic ergo magis justitia reperitur, quia leges ex cælo sunt missæ. In externis enim præter ea quæ dicta sunt, alia sunt suspecta multa, oratorum vis dicendi, principum corruptio, & multa alia quæ justitiam labefactant. Hic vero nihil horum est. Quid ergo, inquies, si adversarius dynasta sit? Et ideo maxime hic judicare oportet. In externis enim ille judiciis te erit omnino superior. Si autem ille non acquiescit, & si id quod intus est judicium despicit, & foras vi trahit? Melius est id quod ex necessitate passurus
C es, te libentem sustinere, & judicium non subire, ut & mercedem habeas. Nam si quis velit tecum in judicio contendere, & tunicam tuam accipere, dimittes illi etiam pallium. Et, sis benevolus adversario tuo cito, donec es in via cum illo. (Matt. 5. 40.) Ecquid nostra dicere opus est? Nam ipsi quoque externorum tribunalium patroni hæc sæpissime dicunt, melius esse foris lites componere. Sed, O pecunias! Imo potius, O absurdum pecuniarum amorem! Qui omnia subvertit & dejecit: nugæque & fabulæ multis sunt omnia propter pecunias. (Pecuniarum amor omnia subvertit.) Et quod ii qui sæculari-
D bus sint addicti in tribunalibus lites commoveant, nihil mirum; quod autem multi ex iis qui sæculo abrenunciarunt, eadem ipsa faciant, hoc certe est extra veniam omnem. Nam si vis videre quantum te abesse ab hoc usu, nempe tribunalium, præceperit scriptura, & discere quibusnam leges positæ sint, audi quid dicat Paulus: *Justo lex non est posita, sed injustis & non subditis.* (1. Tim. 1. 9.) Quod si ille de Mosaïca hoc dicit, multo magis de externis legibus. Si ergo injuriam feceris, palam est te non esse justum; si autem injuria afficiaris & feras; hoc enim ma-
E xime justi est, non opus habes externis legibus. Et quomodo, inquies, injuria læsus ferre potero? Atqui Christus quid etiam amplius præcepit. Non modo enim injuria læsum ferre jussit, sed etiam affatim erogare ei qui facit injuriam, & patiendi affectu & animo superare cupiditatem mala inferentis. Non enim dixit, ei qui velit tecum in judicio contendere, & tunicam tuam auferre, dimitte tunicam; (Matt. 5. 40.)

a Reg. ἑκόντα ὑποστῆναι.
b Editi, ἀπέχειν σε δεῖ, male. δεῖ deest in codice regio, & a nobis expunctum est.

sed cum illa & pallium dato. Vince illum, inquit, male patiendo, non male faciendo. Hæc est enim clara & splendida victoria. Ideoque postea dicit Paulus: *Jam enim delictum est vobis, quod judicia habetis inter vos: & cur non potius injuriam accipitis?* Quod enim is qui injuria afficitur, magis vincat, quam is qui injuriam non fert, hoc vobis palam faciam. Etiamsi qui injuriam non fert in judicium traxerit, etiamsi superarit, tunc maxime vincitur. Quod enim nolebat passus est, illum enim coegit adversarius & dolere & judicio contendere. Quid enim quod vicisti? Quid quod universas accepisti pecunias? Quod nolebas interim passus es, ut coactus in judicio contenderes. Si vero iniquitatem feras, vincis privatus pecuniis, sed non victoria est ob tantam philosophiam. Non potuit enim ille te cogere ad id faciendum quod nolebas. Quod autem hoc sit verum, dic mihi: Quis vicit, invidus-ne, an is qui jacebat in sterquilinio? Quis superatus est, an Job, cui omnia abrepta sunt, an qui omnia ipsi abstulit diabolus? Conspicuum est, quod is qui omnia ipsi abstulit diabolus. Quem miramur ob victoriam, diabolumne qui percussit, an Jobum percussum? Palam est quod Jobum. Atqui non potuit pereuntes pecunias retinere, non filios suos servare. Ecquid dico pecunias & filios? Corporis sui salutem servare non potuit. Attamen hic est qui vicit, qui omnia sua amisit, pecunias quidem retinere non potuit, pietatem vero cum omni accuratione retinuit. Sed pereuntibus filiis non opem tulit. Et quid hoc? Nam illos ipse casus splendidiores reddidit; sibi quoque malis affecto similiter opem tulit. Nisi vero male passus & injuria affectus a diabolo fuisset, non splendidam illam retulisset victoriam. Si malum erat injuria affici, non id nobis jussisset Deus. Mala enim Deus non jubet. An nescitis quod ipse sit Deus gloriæ? nec nos voluisset turpitudine, risu & damno involvere, sed contraria conciliare? Ideo jubet nos injuriam pati, nihilque non agit ut nos a sæcularibus abstrahat, & persuadeat quid sit gloria, quid turpitudo, quid damnum, quid lucrum.

6. Sed durum est injuria & damno affici? Non est durum, non est o homo! Usquequo præsentibus inhias? Neque enim hoc præcepisset Deus si malum esset. Considera autem: qui injuriam fecit abiit pecunias habens, sed malam quoque conscientiam. Qui autem injuria læsus est, pecuniis quidem privatus fuit, sed fiduciam apud Deum habet, possessionem mille thesauris preciosiorem. Hæc cum sciamus ex proposito voluntatis philosophemur, nec eadem quæ stulti patiamur, qui tunc se non injuria læsos putant, cum hoc illis a judicio accidit; contra vero totum illud est damnum maximum,

A ἀλλὰ μετ᾽ ἐκείνου καὶ τὸ ἱμάτιον δός. νίκησον γὰρ αὐτὸν, φησὶ, τῷ κακῶς πάσχειν, μὴ τῷ κακῶς ποιεῖν· αὕτη γὰρ ἡ σαφὴς νίκη καὶ λαμπρά. διὸ καὶ προϊὼν ἔλεγεν ὁ Παῦλος, ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ᾽ ἑαυτῶν. καὶ διὰ τί οὐ μᾶλλον ἀδικεῖσθε; ὅτι γὰρ ὁ ἀδικούμενος νικᾷ μᾶλλον τοῦ μὴ φέροντος ἀδικεῖσθαι, τοῦτο ὑμῖν ποιήσω φανερόν. ὁ μὴ φέρων ἀδικεῖσθαι, κἂν εἰς δικαστήριον ἑλκύσῃ, κἂν περιγένηται, τότε μάλιστα ἥττηται. ὃ γὰρ οὐκ ἤθελεν, ἔπαθεν· ἠνάγκασε γὰρ αὐτὸν ὁ ἀντίδικος καὶ ἀλγῆσαι καὶ δικάσασθαι. τί γὰρ ὅτι νενίκηκας; τί δὲ ὅτι τὰ
B χρήματα ἀπέλαβες ἅπαντα; ὅπερ οὐκ ἐβούλου τέως ὑπέμεινας, ἀναγκασθεὶς δικάσασθαι. ἂν δὲ ἐνέγκῃς τὴν ἀδικίαν, νικᾷς χρημάτων μὲν ἀποστερούμενος, τῆς δὲ νίκης οὐκέτι τῆς ἐπὶ τῇ φιλοσοφίᾳ ταύτῃ. οὐ γὰρ ἴσχυσέ σε ἀναγκάσαι ἐκεῖνος, ὅπερ οὐκ ἐβούλου, ποιῆσαι. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, εἰπέ μοι, τίς ἐνίκησεν; ὁ βάσκανος, ἢ ὁ ἐπὶ τῆς κοπρίας; τίς ἡττήθη; ὁ πάντα ἀφαιρεθεὶς Ἰὼβ, ἢ ὁ πάντα ἀφελόμενος διάβολος; δῆλον ὅτι ὁ πάντα ἀφελόμενος διάβολος. τίνα θαυμάζομεν τῆς νίκης, τὸν διάβολον τὸν πλήξαντα, ἢ τὸν
C Ἰὼβ τὸν πληγέντα; δῆλον ὅτι τὸν Ἰώβ. καίτοιγε οὐκ ἴσχυσε χρήματα ἀπολλύμενα κατασχεῖν, οὐ σῶσαι τοὺς παῖδας τοὺς αὐτοῦ. καὶ τί λέγω χρήματα, καὶ παῖδας; τὴν τοῦ σώματος οὐκ ἴσχυσε περιποιήσασθαι σωτηρίαν· ἀλλ᾽ ὅμως οὗτός ἐστιν ὁ νικήσας, ὁ πάντα τὰ ὄντα ἀποβαλών. χρήματα μὲν γὰρ οὐκ ἴσχυσε κατασχεῖν, τὴν δὲ εὐσέβειαν κατέσχε μετὰ ἀκριβείας ἁπάσης. ἀλλὰ παισὶν οὐκ ἐπήμυνεν ἀπολλυμένοις. καὶ τί τοῦτο; καὶ γὰρ ἐκείνους λαμπροτέρους ἐποίησε τὸ συμβὰν, καὶ ἑαυτῷ δὲ οὕτως ἤμυνεν ἐπηρεαζομένῳ. εἰ δὲ μὴ κακῶς ἔπαθε καὶ ἠδικήθη παρὰ τοῦ διαβόλου, οὐκ ἂν
D ἐνίκησε τὴν λαμπρὰν νίκην ἐκείνην. εἰ πονηρὸν ἦν τὸ ἀδικεῖσθαι, οὐκ ἂν ἡμῖν αὐτὸ ἐπέταξεν ὁ θεός. πονηρὰ γὰρ ὁ θεὸς οὐκ ἐπιτάττει. ἢ οὐκ ἴστε, ὅτι αὐτός ἐστιν ὁ θεὸς τῆς δόξης; καὶ οὐκ ἂν αἰσχύνῃ καὶ γέλωτι καὶ ζημίᾳ περιβαλεῖν ἡμᾶς ἠθέλησεν, ἀλλὰ τἀναντία προξενῆσαι; διὰ τοῦτο κελεύει ἡμᾶς ἀδικεῖσθαι, καὶ πάντα πράττει, ὥστε ἀποστῆσαι ἡμᾶς τῶν βιωτικῶν, καὶ πεῖσαι τί δόξα καὶ τί αἰσχύνη, τί ζημία καὶ τί κέρδος.

Ἀλλὰ δεινὸν τὸ ἀδικεῖσθαι καὶ ἐπηρεάζεσθαι. οὐκ
E ἔστι δεινὸν, οὐκ ἔστιν, ἄνθρωπε. μέχρι τίνος πρὸς τὰ παρόντα ἐπτόησαι; οὐδὲ γὰρ ἂν ἐπέταξεν αὐτὸ ὁ θεὸς, εἰ δεινὸν ἦν. σκόπει δέ· ὁ ἠδικηκὼς ἀπῆλθε χρήματα ἔχων, ἀλλὰ καὶ συνειδὸς πονηρόν· ὁ δὲ ἠδικημένος, χρημάτων μὲν ἀπεστερημένος, παῤῥησίαν δὲ κεκτημένος πρὸς τὸν θεὸν, κτῆμα μυρίων θησαυρῶν τιμιώτερον. ταῦτ᾽ οὖν εἰδότες, φιλοσοφῶμεν ἐκ προαιρέσεως, καὶ μὴ πάσχωμεν τὰ τῶν ἀνοήτων, οἳ τότε νομίζουσι μὴ ἀδικεῖσθαι, ὅταν ἀπὸ δικαστηρίου τοῦτο πάθωσι. τοὐναντίον δὲ ἅπαν ἐστὶν ἡ μεγίστη ζημία

καὶ ὅλως ὅταν μὴ ἑκόντες ταῦτα φιλοσοφῶμεν, ἀλλ' ἡττηθέντες ἐκεῖθεν. οὐδὲν γὰρ κέρδος ἀπὸ δικαστηρίου ἡττηθέντα ἐνεγκεῖν. καὶ γὰρ τῆς ἀνάγκης γέγονε λοιπόν. τίς οὖν ἡ λαμπρὰ νίκη; ὅταν σὺ καταφρονήσῃς, ὅταν μὴ δικάσῃ. τί φής; ἀφῃρέθην ἅπαντα τὰ ὄντα, φησὶ, καὶ σιγᾷν κελεύεις; ἐπηρεάσθην, καὶ φέρειν πράως παραινεῖς; καὶ πῶς δυνήσομαι; ῥᾷστα μὲν οὖν, ἂν εἰς τὸν οὐρανὸν ἀναβλέψῃς, ἂν ἴδῃς τὸ κάλλος τοῦτο, καὶ ποῦ σε ἐπηγγείλατο δέξασθαι ὁ θεὸς φέροντα ἀδικίαν γενναίως. τοῦτο τοίνυν ποίει, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐννόησον ὅτι τῷ ἐκεῖ καθημένῳ ἐπὶ τῶν Χερουβὶμ γέγονας ὅμοιος. καὶ γὰρ καὶ ἐκεῖνος ὑβρίσθη, καὶ ἤνεγκε, καὶ ὠνειδίσθη, καὶ οὐκ ἠμύνατο, [a] καὶ ἐπτύσθη, καὶ οὐκ ἐπεξῆλθεν· ἀλλὰ καὶ τοῖς ἐναντίοις ἠμείψατο, εὐεργεσίαις μυρίαις τοὺς τὰ τοιαῦτα πεποιηκότας, καὶ ἡμᾶς μιμητὰς αὐτοῦ γενέσθαι ἐκέλευσεν. ἐννόησον ὅτι γυμνὸς ἐξῆλθες ἐκ κοιλίας μητρός σου· γυμνὸς καὶ ἀπελεύσῃ καὶ σὺ, κἀκεῖνος ὁ ἠδικηκώς· μᾶλλον δὲ ἐκεῖνος μὲν μετὰ μυρίων τραυμάτων σκώληκας τικτόντων. ἐννόησον ὅτι πρόσκαιρα τὰ παρόντα, λόγισαι τοὺς τάφους τῶν προγόνων, κατάμαθε τὰ γεγενημένα σαφῶς, καὶ ὄψει ὅτι ἰσχυρότερόν σε ἐποίησεν ὁ ἀδικήσας. τὸ μὲν γὰρ αὐτοῦ πάθος χαλεπώτερον ἐποίησε, τὴν φιλαργυρίαν λέγω· τὸ δὲ σὸν ἀσθενέστερον, λαβὼν τὴν τροφὴν τοῦ θηρίου. καὶ ἔτι πρὸς τούτοις ἀπήλλαξέ σε φροντίδων, ἀγωνίας, βασκανίας συκοφαντῶν, θορύβου, ταραχῆς, φόβου διηνεκοῦς· καὶ τὸν φορυτὸν τῶν κακῶν ἐπεσώρευσεν ἐπὶ τὴν ἑαυτοῦ κεφαλήν. τί οὖν, ἐὰν λιμῷ παλαίσω, φησί; μετὰ Παύλου τοῦτο πάσχεις τοῦ λέγοντος ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν. ἀλλ' ἐκεῖνος διὰ τὸν θεόν, φησι. καὶ σὺ διὰ τὸν θεόν. ὅταν γὰρ μὴ ἐπεξέλθῃς, διὰ τὸν θεὸν τοῦτο ποιεῖς. ἀλλ' ὁ ἠδικηκὼς μετὰ τῶν πλουτούντων τρυφᾷ, μᾶλλον δὲ μετὰ τοῦ διαβόλου. ἀλλὰ σὺ μετὰ Παύλου [b] στεφανοῦσαι. μὴ τοίνυν δείδιθι λιμόν. οὐ γὰρ λιμοκτονήσει κύριος ψυχὰς δικαίων. καὶ ἕτερός φησι πάλιν, ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. εἰ γὰρ τὰ στρουθία τοῦ ἀγροῦ διατρέφει, πῶς σε οὐ διαθρέψει; μὴ γινώμεθα τοίνυν ὀλιγόπιστοι, μηδὲ ὀλιγόψυχοι, ἀγαπητοί. ὁ γὰρ βασιλείαν οὐρανῶν ἐπαγγειλάμενος καὶ τοσαῦτα ἀγαθὰ, τὰ παρόντα πῶς οὐ δώσει; μὴ περιττῶν ἐπιθυμῶμεν, ἀλλ' αὐταρκείας ἐχώμεθα, καὶ ἀεὶ πλουτήσομεν. σκεπάσματα ζητῶμεν καὶ τροφὰς, καὶ πάντων ἐπιληψόμεθα, καὶ τούτων, καὶ τῶν πολλῷ μειζόνων. εἰ δὲ ἀλγεῖς ἔτι, καὶ κάτω κύπτεις, ἐβουλόμην σοι τοῦ ἠδικηκότος μετὰ τὴν νίκην δεῖξαι τὴν ψυχὴν, πῶς τέφρα γίνεται. καὶ γὰρ ἡ ἁμαρτία τοιοῦτον. ἕως μὲν ἂν ἐργασθῇ, παρέχει τινὰ ἡδονήν.

A & universim quando non philosophamur sponte nostra, sed inde superati. Nihil enim lucri referunt qui superati a judicio, id patiuntur: nam tunc demum illud ex necessitate fit. Quænam ergo splendida victoria est? Quando tu id despexeris, quando judicio non contenderis. Quid dicis? Omnia mihi ablata bona sunt, & silere jubes? Damno affectus sum, ut mansuete feram hortaris? Et quomodo illud potero? Facillime utique, si in cælum respexeris, si videris hanc pulcritudinem, & ubi te suscepturum esse Deus pollicitus sit, si injuriam generose feras. B Hoc itaque facito, & postquam cælum respexeris, cogita te similem factum esse ei qui illic super Cherubim sedet. Nam & ille contumelia affectus est, & id tulit, & probris est affectus, nec sese est ultus, sputis dehonestatus est, & non sese vindicavit, sed contrariis remuneravit, innumeris afficiens beneficiis eos, qui talia fecerant. Et nos ipsius imitatores esse jussit. Cogita te nudum exiisse ex utero matris tuæ; nudus reverteris & tu & qui te affecit injuria; imo vero ille cum innumeris vulneribus, quæ vermes gi- C gnant. Cogita quod temporanea sint præsentia: tecum reputa sepulcra majorum. Disce aperte ea quæ facta sunt, & videbis eum qui te injuria affecit, te fortiorem fecisse: passionem namque suam graviorem reddidit; amorem pecuniæ dico; tuam vero imbecilliorem, ablato feræ illius alimento. Ad hæc vero te liberavit a curis, ab animi angore, ab invidia sycophantarum, a turba, a tumultu, a perpetuo metu; & malorum colluviem in caput suum congessit. Quid igitur si cum fame, inquies, concertem, cum D Paulo hoc pateris, qui ait: *Usque in hanc* 1. Cor. 4. 10.
*horam & esurimus, & sitimus & nudi sumus.* At ille, inquies, propter Deum. Et tu quoque propter Deum. Quando enim non te ultus fueris, propter Deum id fecisti. Sed qui me injuria affecit, cum divitibus in deliciis degit; imo vero cum diabolo. Sed tu cum Paulo coronaris. Ne ergo famem timeas. *Non enim fame* Prov. 10. 3.
*necabit Deus animas justorum.* Et alius rursum ait: *Jacta super Dominum curam* Psal. 54. 23.
*tuam, & ipse te enutriet.* Si enim passeres agri nutrit, quomodo te non nutriet? E Ne simus ergo modicæ fidei, neque pusillanimes, o dilecti. Qui enim regnum cælorum promisit & tanta bona, præsentia quomodo non dabit? Ne superflua desideremus, sed quod sufficiat: & semper divites erimus. Tegumentum queramus & alimenta, & omnia accipiemus, & hæc & multo majora. Si autem adhuc doles, & deorsum respicis, vellem tibi ejus qui te injuria affecit animam post victoriam ostendere: quomodo cinis facta sit. Tale namque est peccatum. Quamdiu patratur, quamdam voluptatem affert:

[a] Morel. καὶ ἐπτύσθη, quam lectionem habet Savil. in margine. Idem Savil. in textu & codex Reg. καὶ ἐνεπτύσθη. Utraque lectio quadrat.

[b] στεφανοῦσαι. Vox suspecta. Savilius legendum putat στεφανώσῃ.

quando autem consummatum est, tunc modica illa voluptas avolat, succedit autem animi mœror. Hæc porro patimur cum quosdam contumelia afficimus: postea vero nos ipsos accusamus. Sic etiam cum rapimus, gaudemus: deinde vero a conscientia pungimur. Vides apud quempiam domum pauperis? Defle, non eum qui privatus fuit; sed eum qui accepit; non enim dedit, sed accepit malum. Nam illum quidem præsentibus spoliavit; se vero ex bonis ineffabilibus ejecit. Nam si is qui egenis non elargitur, in gehennam abit; qui illa quæ egenorum sunt accipit, quid patietur? Ecqua utilitas, inquies, si ego male patiar? Magna certe utilitas. Non per supplicium ejus qui te malo affecit, remunerationem tibi constituit Deus; nam illud non magna res esset. Quæ enim utilitas si & ego & ille mala patiamur? Atqui multos novi, qui hoc pro maxima habent consolatione, & totum se accepisse arbitrantur, cum eos qui sibi nocuerunt, plexos vident. Attamen Deus non hic sistit remunerationem. Sed vis scire quot te bona exceptura sint? Totum tibi cælum aperit, sanctorum concivem facit, in eodem choro ut sis efficit, a peccatis absolvit, justitia coronat. Si enim qui remittunt iis qui peccaverunt, remissionem consequuntur; qui non modo remittunt, sed ipsis abunde largiuntur, quam non consequentur benedictionem? Ne itaque pusillo animo feras, sed etiam precare pro eo qui te læsit. Pecunias tuas accepit? sed etiam peccata, ut in Neemano & Giezi accidit. Quantas pecunias non dare voluisses ut peccata tibi remitterentur? Hoc itaque nunc etiam usu venit. Si enim generose feras, nec maledicas, splendida redimitus es corona. Non meus est sermo: sed audisti Christum dicentem: *Orate pro iis qui vobis molestiam creant*; & cogita quantum sit præmium, *ut sitis similes patris vestri qui est in cælo.* Itaque nullo privatus es, sed etiam accepisti; non injuria affectus, sed coronatus es, animo magis philosophus effectus, Deoque similis, pecuniarum cura liberatus, regnum cælorum assequutus. Hæc itaque omnia nobiscum reputantes, in injuriis philosophemur, dilecti, ut & a præsentis vitæ perturbatione liberemur, & inutilem mœrorem abjiciamus, futurumque gaudium consequamur, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri & una Spiritui Sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

Qui egenis non eleemosynam erogat, in gehennam mittitur.

Matt. 5. 44.

A ὅταν δὲ τελεσθῇ, τότε ἡ μικρὰ ἡδονὴ ἀπεξίπταται· ἐπεισέρχεται δὲ ἀθυμία. ταῦτα δὲ, ὅταν ὑβρίζωμέν τινας, πάσχομεν· ὕστερον γοῦν ἑαυτῶν κατηγοροῦμεν. οὕτω καὶ ὅταν πλεονεκτήσωμεν, χαίρομεν· μετὰ δὲ ταῦτα κεντούμεθα ὑπὸ τοῦ συνειδότος. ὁρᾷς παρά τῳ δεῖνι τὴν οἰκίαν τοῦ πένητος; δάκρυσον, μὴ τὸν ἀπεστερημένον, ἀλλὰ τὸν εἰληφότα. οὐ γὰρ ἔδωκεν, ἀλλ' ἔλαβε κακόν. ἐκεῖνον μὲν γὰρ τῶν παρόντων ἀπεστέρησεν, ἑαυτὸν δὲ τῶν ἀφάτων ἀγαθῶν ἐξέβαλεν. εἰ γὰρ ὁ μὴ δοὺς τοῖς δεομένοις, εἰς γέενναν ἄπεισιν, ὁ λαμβάνων τὰ τῶν δεομένων, τί πείσεται; καὶ τί τὸ B κέρδος, φησὶν, ὅταν ἐγὼ πάθω κακῶς; μέγα μὲν οὖν τὸ κέρδος. οὐ γὰρ τῇ τιμωρίᾳ τοῦ κακῶς πεποιηκότος ἵστησί σοι τὴν ἀντίδοσιν ὁ θεός· ἐπεὶ οὐδὲν ἂν ἦν μέγα. τί γὰρ ὄφελος, εἰ ἐγὼ πάθω κακῶς, κἀκεῖνος πάθῃ κακῶς; καίτοιγε πολλοὺς οἶδα μεγίστην παραμυθίαν ταύτην ἡγουμένους, καὶ τὸ πᾶν ἀπειληφέναι νομίζοντας, ὅταν τοὺς ἐπηρεάσαντας ἴδωσι κολαζομένους· ἀλλ' ὅμως ὁ θεὸς οὐκ ἐν τούτοις ἵστησι τὴν ἀμοιβήν. ἀλλὰ βούλει μαθεῖν ὅσα τὰ ἀγαθά σε διαδέξεται; τὸν οὐρανόν σοι πάντα ἀνοίγει, τῶν ἁγίων ποιεῖ συμπολί- C την, εἰς τὸν αὐτῶν χορὸν τελεῖν σε παρασκευάζει, ἁμαρτημάτων ἀπολύει, δικαιοσύνῃ στεφανοῖ. εἰ γὰρ οἱ τοῖς ἡμαρτηκόσιν ἀφιέντες τυγχάνουσιν ἀφέσεως, οἱ μὴ μόνον ἀφιέντες, ἀλλὰ καὶ ἐπιδαψιλευόμενοι, τίνος οὐ τεύξονται [a] εὐλογίας; μὴ τοίνυν ἀγεννῶς ἐνέγκῃς, ἀλλὰ καὶ εὖξαι ὑπὲρ τοῦ ἠδικηκότος. ὑπὲρ γὰρ σαυτοῦ τοῦτο ποιεῖς. ἔλαβέ σου τὰ χρήματα; ἀλλὰ καὶ ἁμαρτίας, ὅπερ καὶ ἐπὶ τοῦ Νεεμὰν καὶ τοῦ Γιεζῆ γέγονε. πόσον οὐκ ἂν ἠθέλησας δοῦναι πλοῦτον ὥστε ἀφεθῆναί σοι τὰ ἁμαρτήματα; τοῦτο τοίνυν γέγονε νῦν. ἂν γὰρ ἐνέγκῃς γενναίως, καὶ μὴ καταράσῃ, λαμπρὸν ἀνεδήσω τὸν στέ- D φανον. οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ λέγοντος ἤκουσας· εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. καὶ τὸ ἔπαθλον ἐννόησον ἡλίκον. ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὥστε οὐδὲν ἀπεστέρησαι, ἀλλὰ καὶ προσέλαβες· οὐκ ἠδίκησαι, ἀλλὰ καὶ ἐστεφανώθης, φιλοσοφώτερος γενόμενος τὴν ψυχὴν, ὅμοιος τῷ θεῷ καταστὰς, τῆς φροντίδος τῶν χρημάτων ἀπαλλαγεὶς, τὴν βασιλείαν τῶν οὐρανῶν κτησάμενος. ταῦτα οὖν ἅπαντα ἀναλογισάμενοι φιλοσοφῶμεν ἐν ταῖς ἀδικίαις, ἀγαπητοὶ, ἵνα καὶ τῆς τοῦ παρόντος βίου ταραχῆς ἀπαλλαγῶμεν, καὶ τὴν ἀνόνη- E τον ἐκβάλωμεν ἀθυμίαν, καὶ τῆς μελλούσης χαρᾶς ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

[a] Savil. & Morel. εὐλογίας; Reg. ἀπολογίας, & sic legit Interpres. Utraque lectio quadrat.

ΟΜΙΛΙΑ

A

## ΟΜΙΛΙΑ ιζ'.

*Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.*

ΤΟΥΣ λαιμάργους ἐνταῦθα αἰνίττεται. ἐπειδὴ γὰρ μέλλει πάλιν ἐπὶ τὸν πεπορνευκότα φέρεσθαι, ἡ δὲ πορνεία ἀπὸ τρυφῆς καὶ ἀμετρίας, σφοδρῶς τὸ πάθος κολάζει. οὐδὲ γὰρ περὶ τῶν ἀπηγορευμένων λέγει τοῦτο· ἐκεῖνα γὰρ οὐκ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἀδιαφόρων εἶναι δοκούντων. οἷόν τι λέγω· ἔξεστι, φησὶ, φαγεῖν, καὶ πιεῖν· ἀλλ' οὐ συμφέρει μετὰ ἀσωτίας. καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ καὶ παράδοξον, ὃ δὴ πολλαχοῦ ποιεῖν εἴωθεν εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον, τοῦτο καὶ ἐνταῦθα κατασκευάζει, καὶ δείκνυσιν ὅτι τὸ ἐν ἐξουσίᾳ ποιεῖν, οὐ μόνον οὐ συμφέρει, ἀλλ' οὐδὲ ἐξουσίας ἐστὶν, ἀλλὰ δουλείας. καὶ πρότερον μὲν ἀπὸ τοῦ ἀσυμφόρου ἀποτρέπει λέγων, οὐ συμφέρει· δεύτερον δὲ καὶ ἀπὸ τοῦ ἐναντίου λέγων, ὅτι οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. ὃ δὲ λέγει τοῦτό ἐστι· κύριος εἶ τοῦ φαγεῖν, φησίν· οὐκοῦν μένε κύριος ὤν, καὶ σκόπει μὴ γένῃ δοῦλος τούτου τοῦ πάθους. ὁ μὲν γὰρ εἰς δέον αὐτῷ κεχρημένος, οὗτος αὐτοῦ κύριός ἐστιν· ὁ δὲ εἰς ἀμετρίαν ἐξιὼν, οὐκέτι κύριος, ἀλλὰ δοῦλος αὐτοῦ γίνεται, τῆς ἀδδηφαγίας ἐν αὐτῷ τυραννούσης. εἶδες πῶς τὸν νομίζοντα ἐξουσίαν ἔχειν, ἔδειξεν ὑπὸ ἐξουσίαν ὄντα; τοῦτο γὰρ ἔθος τῷ Παύλῳ ποιεῖν, ὅπερ ἔφθην εἰπὼν, εἰς τὸ ἐναντίον περιτρέπειν τὰς ἀντιθέσεις, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε. σκόπει δέ· ἐκείνων ἕκαστος ἔλεγεν, ἔξεστί μοι τρυφᾷν· οὗτος φησὶν, ὅτι οὐχ οὕτως αὐτὸ ποιεῖς, ὡς ἐξουσίαν ἔχων αὐτοῦ, ἀλλ' ὡς αὐτὸς ὑποκείμενος τῇ ἐξουσίᾳ ταύτῃ. οὐδὲ γὰρ ἔχεις ἐξουσίαν τῆς γαστρὸς, ἕως ἂν ἄσωτος ᾖς, ἀλλ' αὐτή σου τὴν ἐξουσίαν ἔχει. τοῦτο καὶ ἐπὶ χρημάτων, καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν εἰπεῖν. τὰ βρώματα τῇ κοιλίᾳ. κοιλίαν ἐνταῦθα, οὐ τὴν γαστέρα, ἀλλὰ τὴν γαστριμαργίαν λέγει· ὡς ὅταν λέγῃ, ὧν ὁ θεὸς ἡ κοιλία, οὐ περὶ τοῦ μέλους λέγων, ἀλλὰ περὶ τῆς ἀδδηφαγίας. ὅτι γὰρ τοῦτό ἐστιν, ἄκουσον τὰ ἑξῆς. καὶ ἡ κοιλία τοῖς βρώμασι. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ. καὶ μὴν καὶ ἡ κοιλία, σῶμα. ἀλλὰ δύο συζυγίας ἔθηκε, τὰ βρώματα καὶ τὴν γαστριμαργίαν, ὅπερ κοιλίαν ἐκάλεσε, τὸν Χριστὸν καὶ τὸ σῶμα. τί δέ ἐστι, τὰ βρώματα τῇ κοιλίᾳ; τὰ βρώματά, φησι, πρὸς τὴν γαστριμαργίαν ἔχει φιλίαν, καὶ αὕτη πρὸς ταῦτα. οὐ δύναται οὖν πρὸς τὸν Χριστὸν ἡμᾶς ἄγειν, ἀλλὰ πρὸς ταῦτα ἕλκει. πάθος γὰρ χαλεπὸν καὶ θηριῶδές ἐστι, καὶ δούλους ποιεῖ, καὶ ταύτῃ διακονεῖσθαι παρασκευάζει. τί τοίνυν περὶ τροφὴν ἐπτόησαι καὶ κέχηνας, ἄνθρωπε; τὸ γὰρ τέλος ἐκείνης τῆς διακονίας, τοῦτο, καὶ πλέον οὐδὲν ἐπιδείξεται· ἀλλ' ὥσπερ δεσποίνῃ τινὶ διακονουμένη μένει διατηροῦσα τὴν δουλείαν ταύτην,



## HOMILIA XVII.

12. *Omnia mihi licent, sed non omnia expediunt: omnia mihi licent, sed ego sub nullius redigar potestate.*

1. HELLUONES hîc subindicat. Quia enim rursus ad fornicatorem est rediturus, fornicatio autem ex deliciis & immoderato cibo oritur, vehementer vitium illud castigat. Neque enim de prohibitis hæc dicit; illa nam-
B que non licent; sed de iis quæ indifferentia esse videntur; exempli causa, licet, inquit, comedere & bibere; sed cum copia nimia non expedit. Quodque mirum inexspectatumque est, quod tamen facere sæpe solet in contrarium convertens orationem, hic quoque illud exsequitur; & ostendit quod in potestate facere, non solum non expediat, sed nec potestatis quidem sit, verum servitutis. Et primo quidem avertit ab eo quod non expediat dicens, *Non expediunt*; secundo autem a contrario, dicens, *Ego sub nullius redigar potestate.* Hoc autem
C sibi vult: Penes te est manducare, inquit, ergo mane in illa potestate; & cave ne hujus affectus servus efficiaris. Nam qui ut convenit illo utitur, illius dominus est; qui autem mensuram excedit, non ultra dominus est, sed servus ejus efficitur, gula in ipso tyrannidem exercente. Viden' quomodo eum qui se potestatem habere putabat, sub potestate, esse ostendat? Solet enim Paulus hoc facere, ut jam dixi, in contrarium objectiones vertere; quod hic etiam fecit. Animadverte autem. Quisque eorum di-
D cebat, licet mihi deliciari. Ille vero dicit: Non hoc tu ita facis ut qui id habeas in potestate; sed ut qui sis ipse redactus sub hanc potestatem. Neque enim ventris potestatem habes, quamdiu fueris ventri nimis indulgens; sed ipse te in potestatem habet. Hoc autem de pecuniis etiam deque aliis dici potest. 13. *Escæ ventri.* Ventrem hic, non ventrem, sed ingluviem vocat; ut cum dicit: *Quorum Deus venter est;* non de hoc membro loquens, sed de voracitate. Quod enim ita sit, audi sequentia: *Et venter escis: cor-* Philip. 3. 19.
E *pus autem non fornicationi, sed Domino.* Atqui venter quoque est corpus. Sed duas posuit conjunctiones, escas & ingluviem, quam quidem ventrem vocavit, Christum & corpus. Quid sibi vult illud, *Escæ ventri?* Escæ, inquit, amicitiam habent cum ingluvie, & hæc cum ventre. Non potest ergo ad Christum nos ducere; sed ad hæc trahit. Gravis enim & belluina est passio, servosque reddit, & ut sibi serviatur efficit. Cur ergo alimentis inhias, o homo? Illius namque ministerii talis est finis, & nihil amplius exhibebit; sed tamquam alicui dominæ ministrans manet hanc retinens servitutem,

neque ulterius procedit: nullumque aliud opus habet, sed hoc inane ministerium. Et ambo mutuo connectuntur, & simul dissolvuntur, venter cum escis, & escæ cum ventre, cursum quemdam qui nunquam finitur involventes, ac si a corrupto corpore nascantur vermes, & rursus a vermibus corpus consumatur; vel quemadmodum si fluctus in summum sublatus, dissolvatur, nihil ultra efficit. Hæc porro non de esca & de corpore dicit; sed gulæ vitium, & cibum immoderatum traducit, ut sequentia ostendunt: subjungit enim: *Deus autem & hunc & hæc destruet.* Non ventrem dicit, sed immoderatam concupiscentiam: non escam, sed delicias. Neque enim illam ægre fert; sed de illis legem statuit sic loquens: *Habentes alimenta & tegumenta, his contenti simus.* (1. Tim. 6. 8.) Sed hac ratione rem improbat, ejus emendationem post consilium datum, orationi relinquens. Quidam vero dicunt, dictum illud esse prophetiam, quæ statum futuri sæculi declarat, in quo non ultra manducabitur vel bibetur. Si autem moderatus usus finem habebit, multo magis ab immoderato abstinendum. Deinde ne quis putet reprehensionem id esse corporis, neve illud suspicetur, quod nempe a parte totum damnaverit; neve dicat corporis naturam causam esse fornicationis; audi sequentia: non enim corporis naturam, inquit, accuso, sed immoderatam animi cupiditatem: ideo adjicit: *Corpus autem non fornicationi, sed Domino.* Non enim ideo formatum fuit, ut luxui & fornicationi operam daret, ut neque venter, ut ingurgitetur; sed ut Christum caput sequatur, & Dominus imponatur corpori. Revereamur, horreamus, quod tanto honore dignati, ut illius supra collocati membra efficiamur, tot malis nos deturpemus. Cum ergo helluones satis carpsisset, futurorum etiam spe ab hac nequitia abducit dicens: 14. *Deus autem & Dominum suscitavit, & nos suscitabit per virtutem suam.*

2. Vidistin' rursum sapientiam apostolicam? nam fide dignam resurrectionem esse a Christo semper probat: maxime vero nunc. Si enim corpus nostrum membrum est Christi, Christus vero resurrexit, etiam corpus omnino caput sequetur. *Per virtutem suam.* Quia enim rem dixit quæ non creditur, & ratiociniis percipi non potest, ejus virtutis incomprehensibilitati concessit ea quæ Christi resurrectionem spectant, non parvam hinc contra incredulos præbens demonstrationem. Et in Christi quidem resurrectione ipsam non posuit: neque enim dixit: Deus autem etiam Dominum suscitabit; res enim jam contigit; sed quomodo? *Deus vero & Dominum suscitavit*, nec opus habuit probatione. De nostra autem resurrectione,

A καὶ οὐ προέισι περαιτέρω, καὶ οὐδὲν ἔργον ἕτερον ἔχει, ἀλλ' αὐτὸ τοῦτο τὸ μάταιον. καὶ ἀμφότερα ἀλλήλοις συμπέπλεκται, καὶ συγκαταλύεται, ἡ κοιλία τοῖς βρώμασι, καὶ τὰ βρώματα τῇ κοιλίᾳ, δρόμον τινὰ ἀνήνυτον ἀνελίττουσα· ὡσανεὶ ἀπὸ σώματος διεφθαρμένου σκώληκες τίκτοιντο, καὶ πάλιν ὑπὸ τῶν σκωλήκων ἀναλίσκοιτο τὸ σῶμα· ἢ ὥσπερ ἂν εἰ κῦμα κορυφούμενον, καὶ διαλυόμενον, μηδὲν περαίνοι πλέον. Ταῦτα δὲ οὐ περὶ τροφῆς καὶ σώματος λέγει, ἀλλὰ τὸ πάθος τῆς γαστριμαργίας καὶ τὴν ἀμετρίαν τῶν ἐδεσμάτων διαβάλλει. καὶ δηλοῖ B τὰ ἑξῆς. ἐπάγει γάρ· ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· οὐ τὴν γαστέρα λέγων, ἀλλὰ τὴν ἀμετρον ἐπιθυμίαν· οὐδὲ τὴν τροφὴν, ἀλλὰ τὴν τρυφήν. πρὸς γὰρ ἐκεῖνα οὐ δυσχεραίνει, ἀλλὰ καὶ νομοθετεῖ περὶ αὐτῶν οὕτω λέγων, ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. ἀλλὰ ταύτῃ διαβάλλει τὸ πρᾶγμα, καὶ τὴν διόρθωσιν αὐτοῦ μετὰ συμβουλὴν ἐπιτρέψας εὐχῇ. τινὲς δέ φασιν ὅτι προφητεία τὸ εἰρημένον ἐστὶ, τὴν ἐν τῷ μέλλοντι αἰῶνι κατάστασιν δηλοῦσα, καὶ ὅτι οὐκ ἔστιν ἐκεῖ φαγεῖν, οὐδὲ πιεῖν. εἰ δὲ τὸ σύμμετρον ἕξει τέλος, πολλῷ μᾶλλον τῆς ἀμετρίας C ἀπέχεσθαι δεῖ. εἶτα ἵνα μὴ νομίσῃ τις, ὅτι τοῦ σώματός ἐστιν ἡ διαβολὴ, μηδὲ ὑποπτεύσῃ, ὅτι ἀπὸ τοῦ μέρους τὸ ὅλον διέβαλε, μηδὲ λέγῃ, ὅτι ἡ [a] φύσις τοῦ σώματος αἰτία ἐστὶ τῆς πορνείας, ἄκουσον τῶν ἑξῆς. οὐ γὰρ τὴν φύσιν αἰτιῶμαι, φησι, τοῦ σώματος, ἀλλὰ τὴν ἀμετρον τῆς ψυχῆς ἀσωτίαν· διὸ καὶ ἐπάγει· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ. οὐ γὰρ διὰ τοῦτο κατεσκευάσθη, ἵνα ἀσώτως ζῇ καὶ πορνεύῃ, ὥσπερ οὐδὲ κοιλία, ἵνα γαστριμαργῇ, ἀλλ' ἵνα τῷ Χριστῷ ἕπηται ὡς κεφαλῇ, καὶ ὁ κύριος τῷ σώματι ἐπικέηται. αἰδεσθῶμεν, φρίξωμεν ὅτι τοσαύτης ἀξιωθέντες τι- D μῆς, ὡς ἐκείνου τοῦ ἄνω καθημένου γενέσθαι μέλη, τοσούτοις κακοῖς καταισχύνομεν ἑαυτούς. κατηγορήσας τοίνυν ἱκανῶς τῶν γαστριμάργων, καὶ τῇ τῶν μελλόντων ἐλπίδι τῆς κακίας ἀπάγει ταύτης, λέγων· ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

Εἶδες πάλιν σοφίαν ἀποστολικήν. τὸ γὰρ ἀξιόπιστον ἀεὶ τῆς ἀναστάσεως ἀπὸ τοῦ Χριστοῦ κατασκευάζει, καὶ μάλιστα νῦν. εἰ γὰρ τὸ σῶμα ἡμῶν μέλος τοῦ Χριστοῦ, ἀνέστη δὲ ὁ Χριστός· καὶ τὸ σῶμα πάντως ἕψεται τῇ κεφαλῇ. διὰ τῆς δυνάμεως αὐτοῦ. ἐπειδὴ γὰρ εἶ- E πε πρᾶγμα ἀπιστούμενον καὶ λογισμοῖς οὐ δυνάμενον [b] ὑπονοηθῆναι, τῷ ἀκαταλήπτῳ τῆς δυνάμεως αὐτοῦ παρεχώρησε τὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, οὐ μικρὰν κατ' αὐτῶν ἀπόδειξιν καὶ ταύτην παρεχόμενος. καὶ ἐπὶ μὲν τῆς ἀναστάσεως τοῦ Χριστοῦ οὐ τέθεικεν αὐτό. οὐδὲ γὰρ εἶπεν, ὁ δὲ θεὸς καὶ τὸν κύριον ἐξεγερεῖ. ἐξέβη γὰρ τὸ πρᾶγμα· ἀλλὰ πῶς; ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρε· καὶ οὐκ ἐδεῖτο κατασκευῆς. ἐπὶ δὲ τῆς ἡμετέρας ἀναστάσεως,

a Reg. φύσις τῆς γαστριμαργίας αἰτία, ἢ τῆς πορνείας. ἄρα πῶς διὰ τῶν ἑξῆς διορθοῦται αὐτό. δείκνυσι γὰρ ὅτι οὐ τὴν φύσιν αἰτιᾶται τοῦ σώματος, ἀλλὰ τὴν.

b ὑπονοηθῆναι. Reg. ὑποβληθῆναι.

A ἐπειδὴ οὐδέπω γέγονεν, οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ, τῇ ἀξιοπιστίᾳ τῆς τοῦ ποιοῦντος ἰσχύος τοὺς ἀντιλέγοντας ἐπιστομίζων. εἰ δὲ τῷ πατρὶ τὴν ἀνάστασιν λογίζεται τοῦ Χριστοῦ, μηδέν σε θορυβείτω τοῦτο. οὐ γὰρ ὡς ἀτονοῦντος τοῦ Χριστοῦ, τοῦτο τέθεικεν. αὐτὸς γάρ ἐστιν ὁ λέγων, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ πάλιν, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. καὶ ὁ Λουκᾶς δὲ ἐν ταῖς πράξεσί φησιν, οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. τίνος οὖν ἕνεκεν ὁ Παῦλος οὕτω φησίν; B ὅτι καὶ τὰ τοῦ υἱοῦ τῷ πατρὶ λογίζεται, καὶ τὰ τοῦ πατρὸς τῷ υἱῷ. ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, φησι, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. σφόδρα δὲ εὐκαίρως ἐνταῦθα τῆς ἀναστάσεως ἀνέμνησε, ταῖς ἐλπίσιν ἐκείναις καταστέλλων τῆς ἀδδηφαγίας τὴν τυραννίδα, καὶ μονονουχὶ λέγων· ἔφαγες, ἔπιες ἀσώτως, καὶ τί τὸ πέρας; οὐδὲν, εἰ μὴ φθορὰ μόνον. συνεζεύχθης τῷ Χριστῷ, καὶ τί τὸ πέρας; μέγα καὶ θαυμαστὸν, ἡ μέλλουσα ἀνάστασις, ἡ ἔνδοξος ἐκείνη καὶ πάντα ὑπερβαίνουσα λόγον. μηδεὶς τοίνυν διαπιστείτω τῇ ἀναστάσει. εἰ δέ τις ἀπιστεῖ, ἐννοείτω πόσα ἐξ οὐκ ὄντων ἐποίησε, καὶ δεχέσθω καὶ περὶ ἐκείνης C ἀπόδειξιν. τὰ γὰρ ἤδη γινόμενα παραδοξότερα πολλῷ, καὶ θαῦμα ἀμήχανον ἔχοντα. σκόπει δέ· γῆν λαβὼν ἔφυρε, καὶ ἐποίησεν ἄνθρωπον, γῆν οὐκ οὖσαν πρὸ τούτου. πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὕτη οὐκ οὖσα παρήγετο; πῶς δὲ τὰ ἐξ αὐτῆς ἅπαντα, τὰ τῶν ἀλόγων ἄπειρα γένη, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν, οὐκ ὠδίνων ἐπ᾽ ἐκείνων ἡγησαμένων, οὐχ ὑετῶν κατενεχθέντων ἐπὶ τούτων, οὐχὶ γεωργίας φανείσης, οὐ βοῶν, οὐκ ἀρότρου, οὐκ ἄλλου οὐδενὸς συντελοῦντος εἰς τὴν γένεσιν τούτων; διὰ τοῦτο γὰρ D ἐκ τῆς ἀψύχου καὶ ἀναισθήτου τοσαῦτα ἐν ἀρχῇ γένη καὶ φυτῶν, καὶ ἀλόγων ζώων ἀνῆκεν, ἵνα ἄνωθέν σε παιδεύσῃ τὸν τῆς ἀναστάσεως λόγον. τοῦτο γὰρ τῆς ἀναστάσεως ἀπορώτερον. οὐ γάρ ἐστιν ἴσον σβεσθέντα ἀνάψαι λύχνον, καὶ μηδαμῶς φαινόμενον δεῖξαι πῦρ. οὐκ ἔστιν ἴσον κατενεχθεῖσαν οἰκίαν ἀναστῆσαι, καὶ μηδὲ ὅλως ὑφεστῶσαν παραγαγεῖν. ἐνταῦθα μὲν γὰρ, εἰ καὶ μηδὲν ἄλλο, ἀλλ᾽ ἡ ὕλη ὑπέκειτο· ἐκεῖ δὲ οὐδὲ ἡ οὐσία ἐφαίνετο. διὰ τοῦτο τὸ δυσκολώτερον εἶναι δοκοῦν ἐποίησε πρότερον, ἵνα ἐκ τούτου τὸ εὐκολώτερον παραδέξῃ. δυσκολώτερον δὲ εἶπον, E οὐχὶ τῷ θεῷ, ἀλλὰ κατὰ τὴν τῶν ἡμετέρων λογισμῶν ἀκολουθίαν. θεῷ γὰρ δύσκολον οὐδέν· ἀλλ᾽ ὥσπερ ζωγράφος ὁ μίαν ποιῶν εἰκόνα, μυρίας εὐκόλως ποιήσει, οὕτω καὶ θεῷ ῥᾴδιον μυρίους ποιῆσαι κόσμους καὶ ἀπείρους· μᾶλλον δὲ ὥσπερ εὔκολον ἐννοῆσαί σε πόλιν καὶ κόσμους ἀπείρους, οὕτω ποιῆσαι θεῷ εὔκολον, μᾶλλον δὲ καὶ τούτου πολλῷ πάλιν εὐκολώτερον. σὺ μὲν γὰρ κἂν βραχὺν χρόνον ἀναλίσκεις ἐν τῇ ἐννοίᾳ· ὁ δὲ θεὸς οὐδὲ τοῦτο, ἀλλ᾽ ὅσῳ τῶν κουφοτάτων τινὸς, μᾶλλον δὲ καὶ τοῦ νοῦ τοῦ ἡμετέρου,

quia nondum evenit, non ita dixit; sed quomodo? *Et nos suscitabit per virtutem suam*; ex eo quod fide digna sit ejus qui suscitavit potestas, os obstruens contradicentibus. Si autem Patri adscribit Christi resurrectionem, nihil te conturbet. Non enim quod Christus non posset, hoc posuit. Ipse namque Christus dixit: *Solvite templum hoc & in tribus diebus excitabo illud.* Et rursus, *Potestatem habeo ponendi animam meam, & potestatem habeo iterum sumendi eam.* Et Lucas in Actibus ait: *Quibus exhibuit seipsum vivum.* Cur ergo Paulus sic loquitur? Quia quæ Filii sunt Patri adscribit, & quæ Patris Filio. Nam *quæ ille facit*, inquit, *& Filius similiter facit.* Opportune autem admodum hic resurrectionem memorat, & tali spe gulæ tyrannidem reprimens, & tantum non dicens: Comedisti, bibisti sine mensura, & quis erit finis? Nullus, nisi corruptio tantum. Conjunctus es Christo, & quis erit finis? Magnus & mirabilis, futura resurrectio gloriosa illa, sermonem omnem superans. Nemo itaque resurrectioni fidem neget. Si quis autem non credat, cogitet quanta ex nihilo produxerit, & hinc de illa demonstrationem accipiat. Nam quæ jam facta sunt, multo sunt mirabiliora, & ingens miraculum exhibentia. Animadverte autem: terram accepit & miscuit, hominemque fecit; terram, inquam, quæ non antea erat. Quomodo ergo terra facta est homo? Quomodo ipsa cum non esset, producta fuit? Quomodo quæ ex ipsa fiunt omnia, immensa genera brutorum, seminum, plantarum, nullis partus doloribus præmissis, non pluviis in illa demissis, nulla cum agricultura, non bobus, aratro vel alio ad ortum illorum administro? Ideo enim ex inanimato & insensibili, tot in principio genera & plantarum, & brutorum animalium orta sunt, ut te jam olim resurrectionis rationem doceret. Illud enim resurrectione cogitatu difficilius est. Non paria enim sunt exstinctam lucernam accendere, & nondum apparentem ignem exhibere: non paria sunt dirutam domum reædificare, & nullo modo existentem producere. Hic enim, etsi nihil aliud, at materia subjecta erat. Illic vero ne substantia quidem apparebat. Ideoque quod difficilius esse videbatur primo fecit, ut ex hoc quod facilius erat admitteres. Difficilius autem dixi, non Deo, sed secundum ratiociniorum nostrorum consequentiam. Deo namque difficile nihil est. Sed quemadmodum pictor, qui unam facit imaginem, innumeras facile faciet; sic & Deo facilius fuit, innumeros facere mundos atque infinitos. Imo potius, ut facile tibi est urbem & infinitos cogitare mundos, ita Deo illos condere facile est, imo longe facilius; tu enim parum saltem temporis in hac cogitatione insumis, Deus vero non item: nam quanto re quadam levissima, imo etiam mente

Joan. 2. 19.
Joan. 10. 18.
Act. 1. 3.
Joan. 5. 19.
Resurrectio futura probatur.

nostra, graviores lapides sunt; tanto mentis nostræ celeritas a Deo in creando superatur. Admiratus es ejus in terra virtutem? Cogita rursum quomodo cælum factum sit cum non esset, quomodo stellæ innumerabiles, quomodo sol, quomodo luna, & hæc omnia, cum non antea essent. Rursus, dic mihi, quomodo postquam facta sunt steterunt & in quo? quod habent fulcrum, quodnam terra? quid post terram? & post illud rursum quod post terram est, quid? Vides in quantam vertiginem decidat mentis tuæ oculus, nisi statim ad fidem accurras & ad incomprehensibilem operantis virtutem? Si velis autem etiam ex humanis conjecturam facere, paulatim poteris mentem tuam ceu alis instruere. Ex quibus, inquies, humanis? Non vides figulos, quomodo fractum, & sine forma factum vas effingunt? Eos qui metallicam terram fodiunt, quomodo terram aurum esse monstrent, & ferrum atque æs rursus alia? Qui vitrum conficiunt, quomodo arenam in corpus solidum & pellucidum transforment? Dicam-ne coriarios, eos qui purpurea vestimenta tingunt, quomodo illud quod tincturam excepit aliud pro alio monstret? Dicamne generationem nostram? nonne modicum semen informe & sine figura in subjectam vulvam ingreditur? Unde ergo tanta animalis efformatio? Quid vero frumentum? Nonne granum nudum in terram injicitur? Nonne postquam injectum est putrescit? Unde spicæ, aristæ, calami & cætera omnia? Nonne parvum fici granum sæpe in terram cadens, & radicem & ramos & fructum tulit? Sane unumquodque horum admittis, nec curiose inquiris, a Deo autem solo nostrum corpus transformante rationes exigis? Et quomodo hæc venia digna fuerint?

3. Hæc & talia Græcis dicamus, nam apud eos qui Scripturis obsequuntur, ne sermone quidem opus est mihi. Si enim illius omnia curiose scrutari velis, quid plus habebit Deus quam homines? Atqui nec de multis quidem hominibus curiose perquirimus. Quod si in hominibus hoc facimus, nec curiose inquirimus; multo minus Dei sapientiam scrutari oportet, vel rationes ab illa expetere. Primo quidem quia fide dignus est is qui pronunciavit; secundo quia res ipsæ ratiociniorum perscrutationem non admittunt. Non enim adeo egenus est Deus, ut ea solum operetur, quæ a ratiociniorum tuorum imbecillitate possunt comprehendi. Si enim fabri opus non comprehendis, multo minus Dei præstantissimi artificis. Ne fidem ergo negetis resurrectioni: nam a spe futurorum longe aberitis. Sed quænam est sapientia contradicentium; imo ingens stultitia? Et quomodo, inquiunt, quando corpus terræ commixtum est, & factum est terra,

A οἱ λίθοι βαρύτεροι, τοσούτῳ ὁ νοῦς ἡμῶν τῆς ταχυτῆτος τῆς ἐν τῷ ποιεῖν ἀπολιμπάνεται τοῦ θεοῦ. ἐθαύμασας αὐτοῦ τὴν δύναμιν ἐπὶ τῆς γῆς; ἐννόησον πάλιν πῶς ὁ οὐρανὸς γέγονεν οὐκ ὤν, πῶς τὰ ἄπειρα ἄστρα, πῶς ὁ ἥλιος, πῶς ἡ σελήνη· καὶ ταῦτα πάντα οὐκ ὄντα. πάλιν, εἰπέ μοι, πῶς μετὰ τὸ γενέσθαι ἕστηκε, καὶ ἐπὶ τίνος; ποίαν ὑποβάθραν ἔχει, ἡ γῆ δὲ ποίαν; καὶ τί μετὰ τὴν γῆν; καὶ μετ' ἐκεῖνο πάλιν τὸ μετὰ τὴν γῆν, τί; ὁρᾷς εἰς πόσον ἴλιγγον ἐκπίπτει σου τὸ τῆς διανοίας ὄμμα, ἂν μὴ ταB χέως ἐπὶ τὴν πίστιν καταδράμῃς καὶ τὴν ἀκατάληπτον δύναμιν τοῦ ποιήσαντος; εἰ δὲ βούλει καὶ ἀπὸ τῶν ἀνθρωπίνων στοχάζεσθαι, δυνήσῃ κατὰ μικρὸν πτερῶσαί σου τὴν διάνοιαν. ποίων ἀνθρωπίνων, φησίν; οὐχ ὁρᾷς τοὺς κεραμέας; πῶς τὸ διακλασθὲν καὶ γενόμενον ἄμορφον διαπλάττουσι σκεῦος; τοὺς τὴν μεταλλικὴν χωνεύοντας γῆν, πῶς τὴν γῆν χρυσίον ἀποφαίνουσι, καὶ σίδηρον καὶ χαλκόν; [a] πάλιν ἑτέρους τοὺς τὴν ὕελον ἐργαζομένους, πῶς τὴν ἄμμον εἰς ἓν σῶμα συνεχὲς καὶ διαυγὲς μετασκευάζουσι; εἴπω τοὺς σκυτοδέψας, τοὺς τὰ ἁλουργὰ ἐσθήματα βάπτοντας, πῶς ἕτερον ἀνθ' ἑτέρου τὸ δεξάμενον τὴν βαφὴν ἀποφαίνουσιν; εἴπω τὴν γέννησιν τὴν ἡμετέραν; οὐ σπέρμα βραχὺ πρῶτον ἄμορφον καὶ ἀτύπωτον ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό; πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις; τί δὲ ὁ σῖτος; οὐ κόκκος γυμνὸς εἰς τὴν γῆν καταβάλλεται; οὐ μετὰ τὸ καταβληθῆναι σήπεται; πόθεν ἀστάχυς, καὶ ἀνθέρικες, καὶ καλάμη, καὶ τὰ ἄλλα πάντα; οὐ κέγχρος σύκου μικρὰ πολλάκις ἐμπεσοῦσα εἰς γῆν, καὶ ῥίζαν καὶ κλάδους καὶ καρπὸν ἤνεγκεν; εἶτα τούτων μὲν ἕκαστον δέχῃ, καὶ οὐ περιεργάζῃ, τὸν
D δὲ θεὸν μόνον ἀπαιτεῖς εὐθύνας μετασκευάζοντα ἡμῶν τὸ σῶμα; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης;

Ταῦτα πρὸς Ἕλληνας λέγωμεν, καὶ τὰ τοιαῦτα· πρὸς γὰρ τοὺς ταῖς γραφαῖς πειθομένους, οὐδὲ λόγου μοι δεῖ. εἰ γὰρ μέλλοις περιεργάζεσθαι πάντα τὰ ἐκείνου, τί πλέον ἕξει τῶν ἀνθρώπων ὁ θεός; καίτοιγε καὶ ἀνθρώπους πολλοὺς οὐ περιεργαζόμεθα. [b] εἰ δὲ ἐπ' ἀνθρώπων τοῦτο ποιοῦμεν, καὶ οὐ περιεργαζόμεθα, πολλῷ οὖν μᾶλλον τὴν τοῦ θεοῦ σοφίαν πολυπραγμονεῖν οὐ χρή, οὐδὲ λογισμοὺς ἀπαιτεῖν· πρῶτον μὲν, ὅτι ἀξιόπιστος ὁ ἀποφαινόμενος, δεύτερον δὲ, ὅτι οὐ
E δέχεται λογισμῶν ἔρευναν τὰ πράγματα. οὐ γὰρ οὕτω πτωχὸς ὁ θεὸς, ὡς τοιαῦτα ἐργάζεσθαι μόνα, ἃ τῇ τῶν λογισμῶν ἀσθενείᾳ περιληφθῆναι δύναται τῶν σῶν. εἰ γὰρ τέκτονος ἔργον οὐ καταλαμβάνεις, πολλῷ μᾶλλον τοῦ ἀριστοτέχνου θεοῦ. μὴ ἀπιστεῖτε τοίνυν τῇ ἀναστάσει· ἐπεὶ πολλῷ μακρὰν τῆς ἐλπίδος ἔσεσθε τῆς μελλούσης. ἀλλὰ τί τὸ σοφὸν τῶν ἀντιλεγόντων, μᾶλλον δὲ τὸ σφόδρα ἀνόητον; πῶς, ὅταν ἀναμιχθῇ τὸ σῶμα τῇ γῇ καὶ γένηται γῆ,

a Ita reg. optime. Editi vero πάλιν ἑτέραι, male.

b Hic quædam omissa διὰ ὁμοιοτέλευτον ex Reg. codice restituuntur.

A καὶ αὕτη πάλιν ἑτέρωθι μετενεχθῇ, ἀναστήσεται, φησί; σοὶ τοῦτο [a] ἄπορον εἶναι δοκεῖ, ἀλλ' οὐ τῷ ἀκοιμήτῳ ὀφθαλμῷ. ἐκείνῳ γὰρ ἅπαντα δῆλα. καὶ σὺ μὲν οὐχ ὁρᾷς τὴν ἐν τῇ συγχύσει διαίρεσιν, ἐκεῖνος δὲ πάντα οἶδεν· ἐπεὶ καὶ τὰ ἐν τῇ καρδίᾳ σὺ μὲν ἀγνοεῖς τοῦ πλησίον, ἐκεῖνος δὲ πάντα ἐπίσταται. εἰ τοίνυν ἐπειδὴ ἀγνοεῖς πῶς ἀνίστησιν ὁ θεὸς, ἀπιστεῖς ὅτι ἀνίστησιν, ἀπιστήσεις ὅτι καὶ τὰ ἐν τῇ διανοίᾳ οἶδεν; οὐ φαίνεται γὰρ οὐδὲ ταῦτα. καίτοι ἐπὶ τοῦ σώματος μὲν ὕλη ἐστὶν ὁρατὴ, κἂν διαλυθῇ· ἐκεῖναι δὲ αἱ ἔννοιαι, ἀόρατοι. ὁ τὰ ἀόρατα τοίνυν εἰδὼς μετὰ ἀκριβείας ἁπάσης, B τὰ ὁρατὰ οὐκ ὄψεται, καὶ διαιρήσει ῥᾳδίως τὸ σῶμα; παντί που δῆλον. μὴ τοίνυν ἀπίστει τῇ ἀναστάσει. διαβολικὸν γὰρ τὸ δόγμα· καὶ σπουδάζει τοῦτο ὁ διάβολος, οὐχ ἵνα ἀνάστασις ἀπιστηθῇ μόνον, ἀλλ' ἵνα καὶ τὰ τῆς ἀρετῆς ἔργα καταλυθῇ. ἄνθρωπος γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι καὶ δώσειν λόγον τῶν πεπραγμένων, οὐχ ἅψεται ταχέως ἀρετῆς· οὐχ ἁπτόμενος δὲ ἀρετῆς, διαπιστήσει τῇ ἀναστάσει πάλιν. ἀμφότερα γὰρ ὑπ' ἀλλήλων κατασκευάζεται, ἡ κακία ὑπὸ τῆς ἀπιστίας, καὶ ἡ ἀπιστία ὑπὸ τῆς κακίας. πολλῶν γὰρ πεπληρωμένον τὸ συνειδὸς C πονηρῶν, δεδοικὸς καὶ τρέμον τὴν μέλλουσαν ἀντίδοσιν, ἐπειδὴ μὴ βούλεται ἀπὸ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ κάλλιστα τὴν παραμυθίαν πορίζεσθαι, ἀπὸ τῆς ἀπιστίας ἀναπαύεσθαι βούλεται. οὐ λέγοντος γάρ σου ἀνάστασιν οὐδὲ κρίσιν, κἀκεῖνος ἐρεῖ, οὐκοῦν οὐδὲ ἐγὼ δώσω λόγον τῶν τετολμημένων. ἀλλὰ τί φησιν ὁ Χριστός; πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. οὐδὲ γὰρ ἂν τοσαῦτα ἐπραγματεύσατο ὁ θεὸς, εἴγε μὴ ἔμελλεν ἀναστήσειν ἡμᾶς, ἀλλὰ διαλύειν καὶ ἀφανίζειν εἰς τὸ μηδέν. οὐκ ἂν τὸν οὐρανὸν ἐξέτεινε τοῦτον, οὐκ ἂν τὴν γῆν ὑπεστόρεσεν, D οὐκ ἂν τὰ ἄλλα πάντα ὑπὲρ τῆς βραχείας ζωῆς μόνον ταύτης ἐποίησεν. εἰ δὲ ὑπὲρ τῆς παρούσης ταῦτα, τί οὐ ποιήσει ὑπὲρ τῆς μελλούσης; εἰ δὲ μὴ ἔσται μέλλουσα, πολὺ ἡμεῖς τῶν δι' ἡμᾶς γινομένων ἀτιμότεροι κατὰ τοῦτο. καὶ γὰρ οὐρανὸς, καὶ γῆ, καὶ θάλασσα, καὶ ποταμοὶ, μονιμώτερα ἡμῶν, καὶ τῶν ἀλόγων δὲ ἔνια. καὶ γὰρ κορώνη, καὶ τὸ τῶν ἐλεφάντων γένος, καὶ πολλὰ ἕτερα πλείονα χρόνον ἀπολαύει τῆς παρούσης ζωῆς. ἡμῖν δὲ καὶ βραχὺς καὶ ἐπίπονος ὁ βίος, ἀλλ' οὐκ ἐκείνοις· ἀλλὰ καὶ μακρὸς, καὶ μᾶλλον ἀθυμίας καὶ φροντίδων E ἀπηλλαγμένος. τί οὖν, εἰπέ μοι; τοὺς δούλους βελτίους ἐποίησε τῶν δεσποτῶν; μὴ, παρακαλῶ, μὴ ταῦτα λογίζου, μηδὲ πτώχευε τὴν διάνοιαν, ἄνθρωπε, μηδὲ ἀγνόει τὸν πλοῦτον τοῦ θεοῦ, τοιοῦτον ἔχων δεσπότην. καὶ γὰρ ἐξ ἀρχῆς σε ἐβούλετο ἀθάνατον ὁ θεὸς ποιῆσαι, ἀλλ' οὐκ ἠθέλησας σύ. καὶ γὰρ ἀθανασίας αἰνίγματα ἐκεῖνα ἦν, ἡ πρὸς τὸν θεὸν ὁμιλία, τὸ ἀταλαίπωρον τῆς ζωῆς, τὸ λύπης καὶ φροντίδων ἀπηλλάχθαι καὶ πόνων, καὶ τῶν ἄλλων τῶν ἐπικαίρων. οὔτε γὰρ ἱματίου ἐδεῖτο ὁ Ἀδὰμ,

& hæc rursum alio translata fuerit, resurget tamen illud? Hoc tibi dubium videtur esse, sed non insomni illi oculo: ipsi enim manifesta omnia sunt. Et tu quidem non vides divisionem quæ est in confusione; ille vero omnia novit. Quandoquidem tu ignoras illa quæ in corde proximi sunt. Ille vero omnia novit. Si ergo quia ignoras quomodo resuscitet Deus, non credis quod resuscitet, non credes etiam quod ea quæ in mente sunt noscat: nam neque illa apparent. Atqui in corpore materia quidem est visibilis, etsi dissolvatur. Illæ vero cogitationes invisibiles sunt. Qui ergo invisibilia cum omni accuratione novit, visibilia non videbit, nec facile corpus dividet? Est cuivis perspicuum. Ne igitur resurrectioni fidem neges: est quippe dogma diabolicum. Hoc diabolus curat, non modo ut resurrectioni non credatur, sed & ut virtutis opera dissolvantur. Homo enim qui non exspectat se resurrecturum, & operum suorum rationem redditurum, non cito virtutem adibit; virtuti vero non dans operam, rursus non credet se resurrecturum. Ambo enim alterum ab altero probantur, nequitia ab incredulitate, & incredulitas a nequitia. Conscientia enim multis plena malis, timens ac tremens futuram ultionem, quia non vult a mutatione ad meliora consolationem assequi, ab incredulitate vult quietem adipisci. Te enim nec resurrectionem dicente nec judicium, illud quoque dicet: ergo neque ego scelerum rationem dabo. Sed quid dicit Christus: *Erratis, nescientes Scripturas, neque virtutem Dei.* Neque enim tam multa Deus esset operatus, nisi nos resuscitaturus esset, sed dissoluturus & in nihilum redacturus. Non tantum cælum extendisset, non terram stravisset, non cætera omnia pro hac solum brevi vita fecisset. Si autem hæc fecit pro præsenti, quid non faciet pro futura? Si vero nulla sit futura, iis quæ pro nobis facta sunt longe sumus viliores. Nam cælum, terra, mare & flumina sunt nobis stabiliora, necnon bruta quædam. Nam & cornix & elephantorum genus, & multa alia diuturniore vita præsenti fruuntur. Nobis autem & brevis &, laboriosa est vita. Sed non illis: nam longa eorum vita est, ac mœroribus curisque vacua. Quid ergo, dic mihi, servos-ne melioris conditionis fecit quam dominos? Ne, quæso, ne talia existimes: neque sis mente inops, o homo! neve ignores divitias Dei, cum talem habeas dominum. Nam ab initio Deus te immortalem facere voluit; sed tu noluisti. Immortalitatis enim ænigmata erant illa, colloquium cum Deo, vita non laboriosa, liberum esse a dolore, cura atque laboribus aliisque temporaneis. Neque enim veste opus habebat

Matt. 22. 29.

Cornices & elephanti diutius vivunt, quam homines.

[a] Editi ἄπορον Reg. ἄπειρον. Utraque lectio admitti posse videtur. Si legas ἄπειρον. Sensus erit: *Hoc tibi immensum esse videtur.*

Adam, non tecto, non alio quovis simili A apparatu; sed magis angelis similis erat, multa futurorum præsciebat, & sapientia erat multa plenus. Et quod latenter Deus fecit, id ille cognovit, circa mulierem scilicet; ideo dicebat: *Hoc nunc os ex ossibus meis, & caro ex carne mea.* (Gen. 2. 23.) Labor autem postea ortus est, deinde sudor, postea pudor, & timor, & libere loquendi difficultas. Tunc enim non mœror, non dolor, non gemitus. Sed in dignitate illa non mansit. Quid ergo, inquies, faciam ego? Propter illum ne peream? Non sane propter illum. Neque enim tu sine peccato mansisti. Sed si non idipsum pecca- B tum, aliud utique admisisti.

4. Alioquin autem a punitione non damnum accepisti; sed lucratus es. Nam si debuisses semper mortalis manere, aliquam forte rationem haberet id quod dictum est. Nunc autem immortalis es; & si velis, plusquam sol ipse splendere poteris. Sed nisi mortale corpus accepissem, inquies, non peccassem. Quid ergo an ille, quæso, mortale corpus habens peccavit? Nequaquam. Nam si mortale fuisset, non postea supplicii loco mortem passum esset. Quod autem mortale cor- C pus non sit impedimentum ad virtutem; sed & temperantem reddat & multum conferat, hinc palam est. Si enim immortalitatis exspectatio solùm Adamum tantum extulit, si revera immortalis mansisset, in quantam arrogantiam non processisset? Et nunc quidem post peccatum potes peccata solvere, cum corpus sit humile, abjectum & dissolutum; hæ quippe cogitationes possunt temperantem reddere. Si autem peccasses in immortali, stabiliora fuissent peccata. Non ergo mortalis natura causa peccati est, ne accuses; sed malum voluntatis pro- D positum est radix malorum. Cur enim Abelem corpus non læsit? sed cur nihil profuit dæmonibus quod essent incorporei? Vis scire quomodo corpus mortale non læserit, sed etiam juvet? Audi quanta hinc lucreris, si vigiles. Mœroribus, doloribus atque laboribus aliisque similibus te retrahit & avellit a vitio. Sed ad fornicationem, inquies, trahit? Non corpus, sed incontinentia. Hæc quippe omnia, quæ dixi, omnino corporis sunt. Quapropter fieri nequit ut homo, in hanc vitam veniens non doleat, laboret & E mœreat; non fornicari vero potest. Itaque si naturæ corporis essent ea quæ ad vitia pertinent, universalia essent. Talia enim naturalia sunt; at non talis res est fornicari. Dolere inde provenit; fornicari autem ex proposito voluntatis. Ne ergo corpus accuses, ne honorem tibi auferat diabolus, quem tibi dedit Deus. Si enim velimus, optimum frenum erit corpus, quod animæ insultus coerceat, arrogantiam avellat,

A οὐκ ὀρόφου, οὐκ ἄλλης τινὸς τοιαύτης κατασκευῆς· ἀλλ' ἀγγέλοις μᾶλλον ἐῴκει, καὶ πολλὰ τῶν μελλόντων προῄδει, καὶ σοφίας ἐπεπλήρωτο πολλῆς. καὶ ὃ λάθρα ἐποίησεν ὁ θεὸς, τοῦτο ἐκεῖνος ἔγνω, τὸ περὶ τῆς γυναικός. διὸ καὶ ἔλεγε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ὁ δὲ πόνος ὕστερον γέγονεν, ὕστερον ἱδρὼς, ὕστερον αἰσχύνη, καὶ ἡ δειλία, καὶ τὸ ἀπαρρησίαστον· τότε δὲ οὐ λύπη, οὐκ ὀδύνη, οὐ στεναγμός. ἀλλ' οὐκ ἔμεινεν ἐπὶ τῆς ἀξίας ἐκείνης. τί οὖν ἐγὼ πάθω, φησὶ, δι' ἐκεῖνον ἀπόλλυμαι; μάλιστα μὲν οὐ δι' ἐκεῖνον. οὐδὲ γὰρ σὺ ἀναμάρτητος ἔμεινας, ἀλλ' εἰ μὴ B τὴν αὐτὴν ἁμαρτίαν, ἑτέραν γοῦν ἥμαρτες.

Ἄλλως δὲ, οὐδὲ ἀπὸ τῆς τιμωρίας ἐβλάβης, ἀλλὰ καὶ ἐκέρδανας. Εἰ μὲν γὰρ ἔμελλες διόλου μένειν θνητὸς, ἴσως εἶχέ τινα λόγον τὸ εἰρημένον. νῦν δὲ καὶ ἀθάνατος εἶ, [a] κἂν ἐθέλῃς, ὑπὲρ τὸν ἥλιον αὐτὸν λάμψαι δυνήσῃ. ἀλλ' εἰ μὴ θνητὸν ἔλαβον σῶμα, φησὶν, οὐκ ἂν ἥμαρτον. τί οὖν, εἰπέ μοι; ἐκεῖνος, θνητὸν ἔχων σῶμα, ἥμαρτεν; οὐδαμῶς. οὐ γὰρ ἂν, εἴγε θνητὸς ἦν, ὕστερον ἐν κολάσεως τάξει τὸν θάνατον ὑπέμεινεν. ὅτι δὲ οὔτε θνητὸν σῶμα ἐμποδίζει πρὸς ἀρετὴν, ἀλλὰ καὶ C σωφρονίζει καὶ τὰ μέγιστα συντελεῖ, δῆλον ἐκεῖθεν. εἰ γὰρ προσδοκία ἀθανασίας μόνον οὕτως ἐπῆρε τὸν Ἀδὰμ, εἰ καὶ τῷ ὄντι ἀθάνατος ἐγεγόνει, ποῦ οὐκ ἂν ἀπονοίας ἐξέβη; καὶ νῦν μὲν ἁμαρτὼν, δύνασαι λῦσαι τὰ ἁμαρτήματα, τοῦ σώματος ταπεινοῦ ὄντος καὶ καταπίπτοντος καὶ διαλυομένου· καὶ γὰρ αὗται αἱ ἔννοιαι, ἱκαναὶ σωφρονίσαι· εἰ δὲ ἐν ἀθανάτῳ ἐπλημμέλησας, μονιμώτερα ἔμελλεν εἶναι τὰ ἁμαρτήματα. οὐ τοίνυν ἡ θνητότης αἰτία τῆς ἁμαρτίας, μὴ κατηγόρει, ἀλλ' ἡ πονηρὰ προαίρεσίς ἐστιν ἡ ῥίζα τῶν κακῶν. διὰ τί γὰρ μηδὲν τὸν Ἄβελ τὸ σῶμα ἠδίκησε; διὰ τί μη- D δὲν τοὺς δαίμονας τὸ ἀσώματον ὤνησε; βούλει μαθεῖν ὅτι οὐ μόνον οὐκ ἔβλαψε τὸ σῶμα θνητὸν γενόμενον, ἀλλὰ καὶ ὠφέλησεν; ἄκουσον ὅσα κερδαίνεις, ἐὰν νήφῃς, ἐκ τούτου. ἀνθέλκει σε καὶ περισπᾷ ἀπὸ τῆς κακίας ὀδύναις καὶ λύπαις, καὶ πόνοις, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. ἀλλὰ εἰς πορνείαν ἐξάγει, φησίν· οὐ τὸ σῶμα, ἀλλ' ἡ ἀκολασία. ταῦτα μὲν γὰρ ἅπερ εἶπον, πάντως τοῦ σώματός ἐστι. διόπερ οὐκ ἔστιν ἄνθρωπον εἰς τὸν βίον ἐλθόντα τοῦτον, μὴ καὶ E νοσεῖν καὶ ἀλγεῖν καὶ ἀθυμεῖν, μὴ πορνεύειν δὲ ἔνι. ὥστε εἰ τῆς τοῦ σώματος ἦν φύσεως καὶ τὰ τῆς κακίας, καθολικὰ ἂν ἦν. τὰ γὰρ φυσικὰ τοιαῦτα, τὸ δὲ πορνεύειν, οὐ τοιοῦτον. ἀλλὰ τὸ μὲν ἀλγεῖν, ἐντεῦθεν· τὸ δὲ πορνεύειν, ἀπὸ τῆς προαιρέσεως. μὴ τοίνυν κατηγόρει τοῦ σώματος, μή σου τὴν τιμὴν ἀφαιρείτω ὁ διάβολος, ἣν σοι ἔδωκεν ὁ θεός. ἂν γὰρ θέλωμεν, χαλινός ἐστιν ἄριστος τὸ σῶμα, τὰ σκιρτήματα τῆς ψυχῆς κατέχον, ἀπόνοιαν καθαιρῶν,

[a] Ita Reg. Morel. vero male, καὶ κἂν ἐθέλῃς.

ἀλαζονείαν κωλύον, ἐν τοῖς μεγίστοις κατορθώμασιν ἡμῖν διακονούμενον. μὴ γάρ μοι τοὺς μαινομένους εἴπῃς. ἐπεὶ καὶ τῶν ἵππων πολλοὺς τὸν ὁρῶμεν τὸν ἡνίοχον ῥίψαντας μετὰ τοῦ χαλινοῦ κατὰ κρημνῶν φερομένους· ἀλλ' οὐ μεμφόμεθα τὸν χαλινόν. οὐ γὰρ ἐκεῖνος διασπασθεὶς τοῦτο εἰργάσατο, ἀλλ' ὁ ἡνίοχος ὁ μὴ κατασχὼν, πάντα ἀπώλεσεν. οὕτω δὴ καὶ ἐνταῦθα λογίζου. ἂν ἴδῃς νέον ἐν ὀρφανίᾳ ζῶντα, καὶ μυρία ἐργαζόμενον κακὰ, μὴ τὸ σῶμα αἰτιῶ, ἀλλὰ τὸν ἡνίοχον τὸν συρόμενον, τὸν λογισμὸν λέγω. ὥσπερ γὰρ αἱ ἡνίαι οὐ παρέχουσι πράγματα τῷ ἡνιόχῳ, ἀλλ' ὁ ἡνίοχος πάντων αἴτιος οὐ καλῶς αὐτὰς κατέχων. B διὸ καὶ δίκην αὐτὸν ἀπαιτοῦσι, συμπλεκόμεναι αὐτῷ, καὶ παρασύρουσαι πολλάκις καὶ ἀναγκάζουσαι τῆς οἰκείας δυσπραγίας κοινωνεῖν. οὕτω δὴ καὶ ἐνταῦθα. ἐγὼ μὲν γάρ, φησιν, ἵμασσον τὸ σῶμα τοῦ ἵππου, ἕως κατεῖχες· ἐπειδὴ δὲ ἔρριψας, ἀπαιτῶ σε τῆς καταφρονήσεως δίκην, καὶ περιπλέκομαι, καὶ παρασύρω, ὥστε μηκέτι τὸ αὐτὸ παθεῖν. μηδεὶς τοίνυν αἰτιάσθω τὰς ἡνίας, ἀλλ' ἑαυτὸν, καὶ τὴν διεφθαρμένην γνώμην. καὶ γὰρ ἐφ' ἡμῶν ἡνίοχός ἐστιν ὁ λογισμός· ἡνίαι δὲ, τὸ σῶμα, συνάπτουσαι τοὺς ἵππους πρὸς τὸν ἡνίοχον. ἂν μὲν οὖν καλῶς αὗται διακέωνται, οὐδὲν πείσῃ C δεινόν· ἂν δὲ ἀφῇς αὐτὰς, ἠφάνισας καὶ ἀπώλεσας ἅπαντα. σωφρονῶμεν τοίνυν, καὶ μὴ κατηγορῶμεν τοῦ σώματος, ἀλλὰ τῆς πονηρᾶς διανοίας. καὶ γὰρ τοῦ διαβόλου ἔργον τοῦτο πάντων μάλιστα, ποιεῖν τοὺς ἀνοήτους κατηγορεῖν καὶ σώματος, καὶ τοῦ Θεοῦ, καὶ τοῦ πλησίον, ἢ τῆς διεφθαρμένης γνώμης· ἵνα μὴ τὴν αἰτίαν εὑρόντες ἀπαλλαγῶσι τῆς ῥίζης τῶν κακῶν. ἀλλ' ὑμεῖς τὴν ἐπιβουλὴν συνειδότες, τὸν θυμὸν κατ' αὐτοῦ τρέψατε· καὶ τὸν ἡνίοχον ἐπιστήσαντες τῷ ζεύγει, πρὸς τὸν Θεὸν τὸ ὄμμα τῆς διανοίας τείνατε. ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐδὲν ὁ τὸν ἀγῶνα θεὶς εἰσφέρει, ἀλλ' ἀναμένει τὸ τέλος· ἐνταῦθα δὲ D τὸ πᾶν ὁ ἀγωνοθέτης ἐστὶ Θεός. τοῦτον τοίνυν ἔχωμεν ἵλεων, καὶ πάντως ἐπιτευξόμεθα τῶν μελλόντων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A fastum reprimat, & in præclaris operibus nobis ministret. Ne mihi furentes quosdam dicas: nam sæpe videmus equos, aurigam deturbantes cum freno & per præcipitia sese dantes; sed frenum non culpamus; non enim illud abjectum in causa est; sed auriga, qui non retinuit, omnia perdidit. Ita hic quoque reputa. Si videris juvenem orphanum, & mala innumera perpetrantem, ne corpus incuses, sed aurigam qui trahitur, nempe rationem. Sicut enim frena non negotium faciunt aurigæ, sed ille omnium causa est, qui habenas non probe retinet; ideoque ab illo pœnas repetunt, cum illo complicatæ habenæ, & cum attrahunt, & cogunt esse participem infortunii sui. Ita & hic quoque. Ego enim, inquiunt, os equi habenis regebam, quamdiu tu tenebas: quia vero abjecisti, abs te exigo pœnas contemtus tui, & tecum complicor, & attraho, ut ne amplius tale quidpiam patiar. Nemo itaque habenas culpet; sed seipsum & corruptum animum. Nam in nobis auriga est ratio: habenæ corpus, quæ equos cum auriga conjungunt. Si ergo illæ recte positæ sint, nihil grave patieris; sin illas dimittas, omnia abolevisti & perdidisti. Temperantes ergo simus, & ne accusemus corpus, sed malum animum. Nam hoc maxime diaboli opus est, ut stultos magis moveat ad accusandum corpus, & Deum & proximum, quam corruptum animum; ut ne si causam invenerint, liberentur a radice malorum. Sed vos cum insidias cognoscatis, iram vertite in illum, & aurigam jugo imponentes, ad Deum mentis oculum convertite. Nam in aliis quidem is nihil affert qui certamen proposuit; sed exspectat finem. Hic autem omnino agonotheta est Deus. Hunc ergo propitium habeamus, & omnino consequemur futura bona, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unaque Spiritui sancto gloria, honor, imperium nunc & semper & in sæcula sæculorum; amen.

## ΟΜΙΛΙΑ ιη'.

Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ Χριστοῦ εἰσιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. E

ΑΠΟ τῶν πεπορνευκότων ἐπὶ τὴν πλεονεξίαν μεταβὰς, πάλιν ἀπὸ τούτου πρὸς ἐκεῖνον ἔρχεται, οὐκέτι λοιπὸν πρὸς αὐτὸν διαλεγόμενος, ἀλλὰ τοῖς ἄλλοις τοῖς μὴ πεπορνευκόσι· καὶ τούτους ἀσφαλιζόμενος μήποτε περιπέσωσι τοῖς αὐτοῖς, ἐκεῖνον καθάπτεται πάλιν. ὁ γὰρ ἡμαρτηκὼς, κἂν πρὸς ἕτερον ἀποτείνῃς τὸν λόγον, κεντεῖται καὶ οὕτω, τοῦ συνειδότος διεγειρομένου καὶ μαστίζοντος αὐτόν. ἱκανὸς μὲν οὖν καὶ ὁ ἀπὸ τῆς τιμωρίας φόβος ἦν αὐτοὺς κατασχεῖν ἐπὶ τῆς σωφροσύνης· ἐπειδὴ δὲ οὐ βούλεται φόβῳ

## HOMILIA XVIII.

15. *Nescitis quod corpora vestra, membra sunt Christi? Tollens ergo membra Christi, faciam membra meretricis? Absit.*

1. CUM a fornicatore in avarum transiisset; rursus ab hoc venit ad illum, non ultra ipsum alloquens, sed alios qui fornicati non fuerant; & illos muniens, ut ne in paria incidant, ipsum denuo perstringit. Nam qui peccavit; etiamsi ad alium orationem dirigas; sic etiam pungitur, concitatâ conscientiâ ipsumque verberante. Sufficiebat quidem metus supplicii ad illos in castitate continendos. Quia vero non metu tantum

vult hæc recte constitui, minas simul & ratiocinia affert. Illic ergo cum peccatum dixisset, & pœnam statuisset, damnumque ostendisset, quod omnibus afferebatur ex tali fornicatoris concubitu; ad avaritiam transiit, & minatus fore ut a regno excidant, & hic & cæteri omnes, quos recensuit; sic orationem absolvit. Hic autem horribiliorem inducit admonitionem. Nam qui peccatum punit tantum, nec admodum grave & iniquum ostendit, nihil tam magnum per supplicium facit; qui vero ad pudorem inducit tantum, neque per punitionem terret, non admodum pungit eos qui non sunt sensu prædíti. Quamobrem utrumque facit Paulus, & pudorem infert dicens, *Nescitis quia angelos judicabimus?* & terret his verbis, *Nescitis quia avari regnum Dei non possidebunt?* Et de fornicatore iterum eodem utitur sermone. Cum enim terruisset per ea quæ prius dixerat, & eum excidisset, atque Satanæ tradidisset, futurique diei meminisset, rursus illi pudorem infert dicens: *Nescitis quod corpora vestra membra sunt Christi?* tamquam ingenuos pueros deinceps alloquens. Quia enim dixit, *Corpus Domino,* nunc clarius ostendit ipsum. Et alibi quoque hoc ipsum facit dicens: *Vos estis corpus Christi, & membra ex parte;* & hoc ipsum exemplum sæpe ponit, non pro rebus iisdem: sed aliquando ut dilectionem ostendat, aliquando ut timorem augeat. Hic autem ipsum posuit terrens & timorem incutiens: *Tollens ergo membra Christi, faciam membra meretricis? Absit.* Nihil hoc dicto est horribilius. Et non dixit, Tollens ergo membra Christi, conjungam meretrici? sed quid? faciam membra meretricis? quod certe magis pungebat. Deinde probat quomodo is qui fornicatur id fiat, dicens: 16. *An nescitis quod qui adhæret meretrici, unum corpus efficitur?* Undenam hoc perspicuum? *Erunt enim,* inquit, *duo in carne una.* 17. *Qui autem adhæret Domino, est unus spiritus.* Neque enim permittit concubitus ut duo sint duo; sed ambos unum facit. Et vide rursum quomodo per nuda nomina procedat, per meretricem & per Christum deducens accusationem. 18. *Fugite fornicationem.* Non dixit abstinete a fornicatione; sed, fugite; id est, cum studio facite ut a malo liberemini. *Omne peccatum quodcumque fecerit homo, extra corpus est. Qui autem fornicatur, in corpus suum peccat.* Hoc est minus priore. Sed quia ab eo agebatur de fornicatoribus, undique illud extollit & a majoribus & a minoribus crimen amplificans. Illud quidem prius religiosioribus dictum est, hoc autem imbecillioribus. Nam & hoc quoque Pauli sapientiæ est, non modo a majoribus pudorem incutere; sed etiam a minoribus, & a turpitudine atque ab indecoro. Quid ergo, inquies, an homicida manum non polluit? Quid vero avarus

1. Cor. 12. 27.

A μόνῳ τὰ τοιαῦτα κατορθοῦν, καὶ ἀπειλὰς καὶ λογισμοὺς τίθησιν. ἐκεῖ μὲν οὖν τὸ ἁμάρτημα εἰπὼν, καὶ τὴν τιμωρίαν ὁρίσας, καὶ τὴν βλάβην δείξας τὴν ἐκ τῆς συνουσίας τοῦ πεπορνευκότος γενομένην ἅπασιν, ἀπηλλάγη καὶ πρὸς τὴν πλεονεξίαν μετέστη, καὶ τὴν ἔκπτωσιν τῆς βασιλείας ἀπειλήσας τούτῳ καὶ τοῖς λοιποῖς ἅπασιν, οὓς κατέλεξεν, οὕτω τὸν λόγον ἀπήρτισεν· ἐνταῦθα δὲ καὶ φρικωδέστερον μεταχειρίζεται τὴν παραίνεσιν. ὅτε γὰρ τὸ ἁμάρτημα κολάζων μόνον, καὶ μὴ δεικνὺς σφόδρα παρανομώτατον ὂν, οὐδὲν τοσοῦτον ἀπὸ τῆς τιμωρίας εἰργάσατο· ὅ τε πάλιν ἐντρέπων μόνον, καὶ μὴ φοβῶν διὰ B τῆς κολάσεως, οὐ σφόδρα καθάπτεται τῶν ἀναισθήτως διακειμένων. διόπερ ἀμφότερα ποιεῖ Παῦλος, καὶ ἐντρέπει λέγων, οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; καὶ φοβεῖ λέγων, οὐκ οἴδατε ὅτι πλεονέκται βασιλείαν θεοῦ οὐ κληρονομήσουσι; καὶ ἐπὶ τοῦ πεπορνευκότος πάλιν οὕτω κέχρηται τῷ λόγῳ. καὶ γὰρ φοβήσας δι᾽ ὧν ἔμπροσθεν εἶπεν, ἐκτεμών τε αὐτὸν, καὶ τῷ Σατανᾷ παραδοὺς, καὶ τῆς μελλούσης ἀναμνήσας ἡμέρας, ἐντρέπει πάλιν λέγων, οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ Χριστοῦ ἐστιν; ὡς πρὸς παῖδας λοιπὸν εὐγενεῖς διαλεγόμενος. ἐπειδὴ γὰρ εἶπε, τὸ δὲ σῶμα τῷ κυρίῳ, C σαφέστερον αὐτὸ δείκνυσι νῦν· καὶ ἀλλαχοῦ δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ λέγων, ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. καὶ τὸ αὐτὸ ὑπόδειγμα πολλαχοῦ τίθησιν, οὐκ ἐπὶ τῶν αὐτῶν, ἀλλὰ ποτὲ μὲν ὥστε τὴν ἀγάπην δεῖξαι, ποτὲ δὲ ὥστε τὸν φόβον αὐξῆσαι· ἐνταῦθα δὲ δεδιττόμενος αὐτὸ τέθεικε, καὶ φοβῶν. ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. οὐδὲν φρικωδέστερον τῆς λέξεως ταύτης. καὶ οὐκ εἶπεν, ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, συνάψω τῇ πόρνῃ; ἀλλὰ τί; ποιήσω μέλη πόρνης; ὅπερ ἦν πληκτικώτερον. εἶτα κατασκευάζει πῶς τοῦτο γίνεται ὁ πορνεύων, οὕ- D τω λέγων· ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι; πόθεν δῆλον; ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστιν. οὐκέτι γὰρ ἀφίησιν ἡ συνουσία τοὺς δύο εἶναι δύο, ἀλλ᾽ ἓν ἀμφοτέρους ἐργάζεται. καὶ ὅρα πάλιν πῶς διὰ τῶν ὀνομάτων γυμνῶν πρόεισι, διὰ τῆς πόρνης καὶ διὰ τοῦ Χριστοῦ προάγων τὴν κατηγορίαν. φεύγετε τὴν πορνείαν. οὐκ εἶπεν, ἀπέχεσθε τῆς πορνείας, ἀλλὰ, φεύγετε, τουτέστι, μετὰ σπουδῆς ποιεῖσθε τὴν ἀπαλλαγὴν τοῦ κακοῦ. πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς E τὸ ἴδιον σῶμα ἁμαρτάνει. τοῦτο τοῦ προτέρου ἔλαττον· πλὴν ἀλλ᾽ ἐπειδὴ περὶ πόρνων ἦν ὁ λόγος αὐτῷ, πάντοθεν αὐτὸ ἐπαίρει, καὶ ἀπὸ τῶν μειζόνων, καὶ ἀπὸ τῶν ἐλαττόνων αὔξων τὸ ἔγκλημα. ἐκεῖνο μὲν οὖν τοῖς εὐλαβεστέροις εἴρηται τὸ πρότερον, τοῦτο δὲ τοῖς ἀσθενεστέροις. καὶ γὰρ καὶ τοῦτο τῆς Παύλου σοφίας, μὴ ἀπὸ τῶν μεγάλων ἐντρέπειν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μικροτέρων, καὶ ἀπὸ τοῦ αἰσχροῦ καὶ ἀπρεποῦς. τί οὖν, ὁ ἀνδροφόνος, φησὶν, οὐχὶ τὴν χεῖρα μολύνει; τί δὲ ὁ πλεονέκτης, καὶ

καὶ ὁ ἅρπαξ; παντί που δῆλον. ἀλλ' ἐπειδὴ εἰπεῖν οὐκ ἐνῆν τοῦ πόρνου οὐδὲν χεῖρον, ἑτέρως αὐτὸ ηὔξησε λέγων, ὅτι ἐπὶ τῆς πορνείας ὁλόκληρον τὸ σῶμα γίνεται μιαρόν. ὥσπερ γὰρ εἰς λέβητα ἀκαθαρσίας ἐμπεσὸν καὶ τῷ μολυσμῷ βαπτόμενον, οὕτω φύρεται. τοῦτο δὲ καὶ ἡμῖν ἔθος. ἀπὸ μὲν γὰρ τῆς πλεονεξίας καὶ ἁρπαγῆς οὐκ ἄν τις σπουδάσειεν ἐπὶ βαλανεῖον ἐλθεῖν, ἀλλ' ἀδιαφόρως ἐπὶ τὴν οἰκίαν ἄνεισιν· ἀπὸ δὲ μίξεως πόρνης, καθάπερ ὅλος γενόμενος ἀκάθαρτος, ἐπὶ τὸ λούσασθαι ἔρχεται· οὕτως ἔχει τινὰ τὸ συνειδὸς ἀπὸ τῆς ἁμαρτίας ταύτης ὑπόληψιν αἰσχροτέραν. ἀμφότερα μὲν οὖν χαλεπά, καὶ πλεονεξία καὶ πορνεία, καὶ εἰς γέενναν ἐμβάλλει· ἀλλ' ἐπειδὴ οἰκονομικῶς ὁ Παῦλος πάντα ποιεῖ, οἷς εἶχε, τούτοις ηὔξησε τὸ τῆς πορνείας ἔγκλημα. ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν;

Οὐχ ἁπλῶς εἶπε, τοῦ πνεύματος, ἀλλά, τοῦ ἐν ὑμῖν, ὅπερ ἦν καὶ παραμυθουμένου· καὶ πάλιν ἐπεξηγούμενος ἐπήγαγεν, οὗ ἔχετε ἀπὸ τοῦ θεοῦ. καὶ τὸν δεδωκότα τέθεικεν, ὑψηλόν τε ὁμοῦ ποιῶν τὸν ἀκροατήν, καὶ φοβῶν καὶ τῷ μεγέθει τῆς παρακαταθήκης καὶ τῇ φιλοτιμίᾳ τοῦ παρακαταθεμένου. καὶ οὐκ ἐστὲ ἑαυτῶν. τοῦτο οὐκ ἐντρέποντος μόνον ἐστίν, ἀλλὰ καὶ βιαζομένου πρὸς ἀρετήν. τί γάρ; πράττεις ἃ θέλεις, φησίν· οὐκ εἶ ἑαυτοῦ κύριος; ταῦτα δὲ ἔλεγεν, οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν. καὶ γὰρ εἰπών, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, οὐχὶ τὴν ἐλευθερίαν ἡμῶν ἀνεῖλε· καὶ ἐνταῦθα πάλιν γράφων, ὅτι οὐκ ἐστὲ ἑαυτῶν, οὐ τῇ προαιρέσει λυμαίνεται, ἀλλὰ τῆς κακίας ἀπάγει, καὶ τοῦ δεσπότου τὴν κηδεμονίαν ἐνδείκνυται. διὸ καὶ ἐπήγαγεν· ἠγοράσθητε γὰρ τιμῆς. εἰ δὲ οὐκ εἰμὶ ἐμαυτοῦ, πῶς με ἀπαιτεῖς τὰ πρακτέα; πῶς δὲ προϊὼν λέγεις πάλιν, δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅ τινά ἐστι τοῦ θεοῦ; τί οὖν ἐστι τό, οὐκ ἐστὲ ἑαυτῶν; καὶ τί δι' αὐτοῦ κατασκευάσαι βούλεται; ἐν ἀσφαλείᾳ καταστῆσαι τοῦ μὴ ἁμαρτάνειν, μηδὲ ταῖς ἐπιθυμίαις τῆς ψυχῆς ἀκολουθεῖν ταῖς ἀτόποις. καὶ γὰρ πολλὰ βουλόμεθα ἄτοπα· ἀλλὰ κατέχειν δεῖ· δυνάμεθα γάρ. εἰ δὲ μὴ δυνάμεθα, περιττὴ ἡ παραίνεσις. ὅρα γοῦν πῶς ἠσφαλίσατο. εἰπὼν γάρ, οὐκ ἐστὲ ἑαυτῶν, οὐκ ἐπήγαγεν, ἀλλ' ὑπ' ἀνάγκην ἐστέ, ἀλλ', ἠγοράσθητε τιμῆς. διὰ τί τοῦτο λέγεις; καὶ μὴν ἑτέρωθεν, εἴποι τις ἄν ἴσως, ἔδει προτρέψαι, δεικνύντα ὅτι δεσπότην ἔχομεν. ἀλλὰ τοῦτο μὲν καὶ πρὸς Ἕλληνας ἡμῖν κοινόν· τὸ δέ, ἠγοράσθητε τιμῆς, ἡμῶν ἐξαίρετον. ἀναμιμνήσκει γὰρ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τοῦ τρόπου τῆς σωτηρίας, δεικνὺς ὅτι ἀλλοτριωθέντες ἠγοράσθημεν· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τιμῆς. δοξάσατε δή, ἄρατε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι. ταῦτα δὲ λέγει, ὥστε μὴ τῷ σώματι μόνον φεύγειν τὴν πορνείαν,



A & rapax? Id cuique palam est. Sed quia dici non poterat nihil esse pejus fornicatore, alio modo hoc crimen auxit dicens, in fornicatione totum corpus fieri exsecrandum. Tamquam enim incidens in lebetem immunditiæ, inquinamento tinctum, sic polluitur. Hoc autem nobis etiam in more est. Nam ab avaritia quidem & rapina nemo nostrum curaverit in balneum ire; sed sine ullo discrimine domum redit. A coitu autem cum meretrice, ac si totus immundus sit effectus, ad lavacrum venit. Ita turpiorem quam-

B dam suspicionem ex hoc peccato habet conscientia. Utrumque certe grave est, avaritia nempe & fornicatio, & in gehennam injicit. Verum quia Paulus omnia œconomice & prudenter administrat, quæ suppetebant omnia adhibuit ad fornicationis crimen augendum. 19. *An nescitis quod corpus vestrum templum est ejus qui in vobis est Spiritus sancti?*

2. Non simpliciter dixit, Spiritus; sed, qui in vobis est, quod consolantis erat: & rursus explicans ait: *Quem habetis a Deo.* Eum qui dedit posuit; simul & su-

C blimem reddens auditorem, & terrens magnitudine depositi, & desiderio studioque deponentis. *Et non estis vestri.* Hoc non pudorem inferentis modo est; sed etiam cogentis ad virtutem. Quid enim? quod vis facis, inquit, non es tui dominus? Hæc autem dicebat, non liberum arbitrium tollens; nam cum dixisset, Omnia mihi licent, sed non omnia expediunt, non libertatem nostram abstulit. Et hic rursus scribens, Non estis vestri, non propositum voluntatis labefactat; sed a nequitia abducit, & Domini

D curam ostendit: ideo subjungit, 20. *Emti enim estis precio.* Si autem non sum meus, quomodo exigis a me ea quæ sunt agenda? Quomodo autem in sequentibus rursum dicis, *Glorificate Deum in corpore vestro, & in spiritu vestro*, quæ Dei sunt? Quid ergo sibi vult illud, *Non estis vestri?* & quid per hoc vult probare? In securitate constituere, ut ne peccemus, nec animi concupiscentias absurdas sequamur. Nam multa volumus absurda & gravia; sed ea reprimere oportet: nam id possumus. Si enim non possemus, super-

E flua esset admonitio. Vide ergo quomodo firmaverit. Cum dixisset enim, Non estis vestri, non adjecit, sed sub necessitate estis, sed, precio emti estis. Cur hoc dicis? nam aliunde dixerit fortasse quispiam; oportebat hortari, ostendendo nos habere Dominum. Sed hoc quidem cum Græcis nobis est commune; illud vero, Precio emti estis, nobis est præcipuum. In memoriam enim revocat beneficii magnitudinem, & salutis modum, ostendens nos cum alienati fuissemus, emtos fuisse, & non simpliciter, sed precio. *Glorificate & portate Deum in corpore vestro, & in spiritu.* Hoc porro dicit ut non corpore solum fugiamus fornicationem;

Facultatem non peccandi habet homo.

sed etiam in spiritu animæ nihil mali cogitemus, nec gratiam abigamus. *Quæ sunt Dei.* Quia enim dixit *vestro*, ideo adjicit, quæ sunt Dei; sæpe nobis in memoriam revocans, omnia Domini esse, corpus, animam & spiritum. Enimvero quidam dicunt, illud, in Spiritu, dici quasi in charismate. Nam si illud in nobis fuerit, Deus glorificatur: erit autem, si cor mundum habeamus. Dei autem illa esse dixit; non modo quia illa produxit; sed quia abalienata, secundo rursus acquisivit, precium ponens sanguinem Filii. Vide quomodo in Christo totum perfecit: quomodo nos in cælum adduxit. Membra estis Christi, inquit, templum estis Spiritus. Ne ergo sitis membra meretricis. Non enim corpus vestrum contumelia afficitur: neque corpus vestrum est; sed Christi. Hæc porro dixit, simul benignitatem ejus ostendens, quod corpus nostrum sit suum, & ut a maligna potestate nos eripiat. Nam si alienum est corpus, non potestatem habetis alieni corporis contumelia afficiendi, inquit, maxime vero cum sit Dominicum, neque templum Spiritus inquinandi. Si quis enim privatam domum ingressus, petulanter egerit in illa, extremas dabit pœnas: qui templum regis receptaculum latronis fecerit, cogita quanta passurus sit mala. Hæc ergo cogitans, inhabitantem reverere: is enim est Paracletus. Time illum qui tecum complicatus est & tibi adhæret: Christus enim est: num tu membrum Christi te ipse fecisti? Sic cogita & castus mane: Cujus essent membra & cujus facta sint. Meretricis antea membra erant, & Christus fecit illa membra sui corporis. Non ergo illa nunc in potestate habes. Illi servias qui te liberavit. Non enim si filiam haberes & eam præ stultitia mercede locasses lenoni, ut fornicaretur; deindeque filius regis transiens, a servitute liberatam uxorem duxisset, penes te esset postea illam in prostibulum ducere. Semel enim dedisti & vendidisti. Res nostra sic habet; carnem nostram mercede conduximus diabolo gravi lenoni. Videns Christus eripuit illam & liberavit a tyrannide illa acerba. Non est ergo jam nostra, sed liberatoris. Si velis uti illa tamquam regis sponsa, nemo prohibet; sin ad priora duxeris, eadem patieris, quæ par est pati contumeliosos. Ideo potius illa est exornanda, quam probro afficienda. Neque enim potentiam carnis habes in pravis concupiscentiis; sed in iis solis quæ Deus præceperit. Cogita ergo a quanta illam contumelia liberavit Deus. Quavis enim meretrice turpior prostabat antea natura nostra. Nam latrocinia, homicidia, & quævis iniqua cogitatio in illam ingrediens, cum anima concumbebat, parva vilique mercede præsentis nempe voluptatis. Anima quippe commixta cum malis cogitationibus & actibus, hanc solum percipiebat mercedem.

A ἀλλὰ καὶ ἐν τῷ πνεύματι τῆς ψυχῆς μηδὲν πονηρὸν λογίζεσθαι, καὶ ἐλαύνειν τὴν χάριν. Ἅ τινά ἐστι τοῦ Θεοῦ. ἐπειδὴ γὰρ εἶπεν, ὑμῶν, διὰ τοῦτο ἐπήγαγεν, ἅ τινά ἐστι τοῦ Θεοῦ, συνεχῶς ἀναμιμνήσκων ἡμᾶς, ὅτι πάντα δεσποτικὰ, καὶ σῶμα, καὶ ψυχὴ, καὶ πνεῦμα. καὶ γάρ τινές φασι, τῷ πνεύματι, τῷ χαρίσματι λέγειν. ἂν γὰρ ἐκεῖνο ᾖ παρ' ἡμῖν, δοξάζεται ὁ Θεός· ἔσται δὲ, ἂν καθαρὰν καρδίαν ἔχωμεν. τοῦ Θεοῦ δὲ αὐτὰ ἔφησεν, οὐκ ἐπειδὴ παρήγαγεν αὐτὰ μόνον, ἀλλὰ καὶ ἀλλοτριωθέντα, ἐκ δευτέρου πάλιν ἐκτήσατο, ἐπειδὴ τιμὴν τὸ αἷμα τοῦ παιδὸς καταθείς. B ὅρα πῶς εἰς τὸν Χριστὸν τὸ πᾶν ἀπήρτισε· πῶς ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγε. μέλη ἐστὲ τοῦ Χριστοῦ, φησὶ, ναός ἐστε τοῦ πνεύματος. μὴ τοίνυν γίνεσθε πόρνης μέλη. οὐ γὰρ τὸ σῶμα τὸ ὑμῶν ὑβρίζεται· οὐ γὰρ τὸ σῶμα ὑμῶν ἐστιν, ἀλλὰ τοῦ Χριστοῦ. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ τὴν φιλανθρωπίαν ἐνδεικνύμενος, ὅτι αὐτοῦ τὸ σῶμα τὸ ἡμέτερον, καὶ τῆς ἐξουσίας τῆς πονηρᾶς ἡμᾶς ἀφαιρούμενος. εἰ γὰρ ἀλλότριόν ἐστι τὸ σῶμα, οὐκ ἔχετε ἐξουσίαν ἀλλότριον σῶμα ὑβρίζειν, φησὶ, καὶ μάλιστα ὅταν ᾖ δεσποτικὸν, οὐδὲ ναὸν μολύνειν τοῦ πνεύματος. εἰ γὰρ ἰδιωτικῇ τις ἐπελθὼν οἰκίᾳ, καὶ κωμάσας εἰς ἐκείνην, C τὴν ἐσχάτην δώσει δίκην, ὁ βασιλέως ναὸν λῃστοῦ ποιῶν καταγώγιον, ἐννόησον πόσα πείσεται κακά. ταῦτα οὖν ἐννοήσας, αἰδέσθητι τὸν ἐνοικοῦντα· ὁ γὰρ παράκλητός ἐστιν ἐκεῖ. φρίξον τὸν συμπεπλεγμένον σοι καὶ κεκολλημένον. ὁ γὰρ Χριστός ἐστι. μὴ γὰρ σὺ μέλη Χριστοῦ ἑαυτὸν ἐποίησας; ἐννόησον οὕτω, καὶ μένε σωφρονῶν, [a] τίνος ἦν μέλη, καὶ τίνος γέγονε. πόρνης ἦν μέλη πρὸ τούτου, καὶ ὁ Χριστὸς ἐποίησεν αὐτὰ μέλη τοῦ ἰδίου σώματος. οὐκ ἄρα αὐτῶν ἐξουσίαν ἔχεις λοιπόν. ἐκείνῳ δούλευε τῷ ἐλευθερώσαντι. οὐδὲ γὰρ, εἰ θυγατέρα ἔχων, ἐκ πολλῆς τῆς ἀνοίας ἐξεμίσθωσας αὐτὴν πορνοβοσκῷ, καὶ D πορνεύεσθαι ἐποίησας, εἶτα βασιλέως υἱὸς [b] παριὼν ἠλευθέρωσέ τε αὐτὴν τῆς δουλείας ἐκείνης καὶ συνῆψεν ἑαυτῷ, κύριος εἶ λοιπὸν ἄγειν αὐτὴν ἐπὶ τὸ πορνεῖον· ἅπαξ γὰρ ἔδωκας καὶ ἐπώλησας. τοιοῦτόν ἐστι καὶ τὸ ἡμέτερον· ἐξεμισθώσαμεν τὴν σάρκα τὴν ἑαυτῶν τῷ διαβόλῳ, τῷ χαλεπῷ πορνοβοσκῷ. ἰδὼν ὁ Χριστὸς, ἐῤῥύσατο αὐτὴν, καὶ ἀπήλλαξε τῆς πονηρᾶς τυραννίδος ἐκείνης. οὐ τοίνυν ἐστὶν ἡμετέρα λοιπὸν, ἀλλὰ τοῦ ῥυσαμένου. ἐὰν ἐθέλῃς ὡς νύμφῃ βασιλέως κεχρῆσθαι, οὐδεὶς ὁ κωλύων· ἐὰν δὲ ἐπὶ τὰ πρότερα ἀγάγῃς, πείσῃ τὰ αὐτὰ, ἃ τοὺς τοιαῦτα E ὑβρίζοντας εἰκός. διὸ μᾶλλον αὐτὴν κατακοσμεῖν χρὴ, οὐχὶ καταισχύνειν. οὐ γὰρ ἔχεις ἐξουσίαν τῆς σαρκὸς ἐν ταῖς πονηραῖς ἐπιθυμίαις, ἀλλ' ἐν οἷς ἂν ὁ Θεὸς ἐπιτάξῃ μόνοις. ἐννόησον γοῦν ἡλίκης αὐτὴν ὕβρεως ἀπήλλαξεν ὁ Θεός. καὶ γὰρ πάσης πόρνης αἰσχρότερον προειστήκει ἡ φύσις ἡ ἡμετέρα πρὸ τούτου. καὶ γὰρ λῃστεῖαι, καὶ ἀνδροφονίαι, καὶ ἕκαστος παράνομος λογισμὸς πρὸς αὐτὴν εἰσιὼν, συγκατεκλίνετο τῇ ψυχῇ, καὶ μισθώματος ὀλίγου καὶ τοῦ τυχόντος, τῆς παρούσης ἡδονῆς. ἡ γὰρ ψυχὴ φυρομένη μετὰ τῶν πονηρῶν ἐννοιῶν καὶ πράξεων, τοῦτον ἐκαρποῦτο μόνον τὸν μισθόν.

a τίνος ἦν μέλη. Morel. τίνος οὖν μέλη. || b παριών. Reg. παριών.

A Ἀλλὰ τὸ μὲν πρὸ τούτου ταῦτα γίνεσθαι δεινὸν ὂν, οὐχ οὕτω δεινὸν ἦν· τὸ δὲ μετὰ τὸν οὐρανὸν, μετὰ τὰ βασίλεια, μετὰ τὸ τῶν μυστηρίων ἀπολαῦσαι τῶν φρικτῶν πάλιν μολύνεσθαι, ποίαν ἕξει συγγνώμην; ἢ οὐκ οἴει καὶ τοῖς πλεονέκταις, καὶ πᾶσιν, οἷς ἔμπροσθεν ἀπηρίθμησεν, αὐτὸν τὸν διάβολον συγκατακλίνεσθαι; τὰς δὲ καλλωπιζομένας πρὸς ἀσέλγειαν γυναῖκας οὐχ ἡγῇ μετ' ἐκείνου μίγνυσθαι; καὶ τίς ἀντερεῖ τούτῳ τῷ λόγῳ; εἰ δέ ἐστί τις φιλονεικῶν, ἀποδυέτω τὴν ψυχὴν τῶν τὰ τοιαῦτα ἀσχημονουσῶν γυναικῶν, καὶ ὄψεται πάντως τὸν πονηρὸν δαίμονα ἐκεῖνον σφοδρῶς συμπεπλεγμένον αὐταῖς. B δύσκολον γὰρ, ἀγαπητοὶ, δύσκολον, τάχα δὲ καὶ ἀμήχανον, τοῦ σώματος καλλωπιζομένου οὕτω, καὶ τὴν ψυχὴν ὁμοῦ καλλωπίζεσθαι· ἀλλ' ἀνάγκη θάτερον ἀμελεῖσθαι, ἐπιμελουμένου θατέρου. οὐ γὰρ ἔχει φύσιν ὁμοῦ ταῦτα γίνεσθαι. διό φησιν, ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν· ὁ δὲ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστι. πνεῦμα γὰρ γίνεται λοιπὸν ὁ τοιοῦτος, κἂν σῶμα περίκειται. ὅταν γὰρ μηδὲν σωματικὸν, μηδὲ παχὺ, μηδὲ γήϊνον περὶ αὐτὸν ᾖ, ἁπλῶς τὸ σῶμα περίκειται· ὅταν ἡ πᾶσα ἀρχὴ τῆς ψυχῆς ᾖ καὶ τοῦ πνεύματος, οὕτω δοξάζεται ὁ θεός. C διὸ καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, ἁγιασθήτω τὸ ὄνομά σου. καὶ ὁ Χριστός φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὕτω δοξάζουσιν αὐτὸν καὶ οἱ οὐρανοὶ, οὐ φωνὴν ἀφιέντες, ἀλλὰ διὰ τῆς ὄψεως θαυμαζόμενοι, καὶ τὴν δόξαν εἰς τὸν δημιουργὸν ἀναφέροντες. οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς, μᾶλλον δὲ καὶ πλέον ἐκείνων· δυνάμεθα γὰρ, ἂν ἐθέλωμεν. οὐ γὰρ οὕτως οὐρανὸς, καὶ ἡμέρα, καὶ νὺξ, ὡς ἁγία ψυχὴ δοξάζει θεόν. D ὥσπερ γὰρ εἰς τὸ κάλλος τοῦ οὐρανοῦ τις ἀφορῶν, λέγει, δόξα σοι ὁ θεὸς, οἷον ἔργον ἔκτισας; οὕτω δὴ καὶ εἰς ἀνδρὸς ἀρετὴν βλέπων, καὶ πολλῷ πλέον ἐνταῦθα. ἀπ' ἐκείνων μὲν γὰρ τῶν κτισμάτων οὐ πάντες δοξάζουσιν, ἀλλὰ πολλοὶ καὶ αὐτόματα εἶναι λέγουσι τὰ ὄντα. ἄλλοι δὲ καὶ δαίμοσιν ἀνατιθέασι τοῦ κόσμου τὴν δημιουργίαν καὶ τὴν πρόνοιαν, οἱ καὶ σφόδρα ἀσύγγνωστα ἁμαρτάνουσιν· ἐπὶ δὲ ἀνθρώπου ἀρετῆς οὐδεὶς τοιαῦτα ἀναισχυντῆσαι δυνήσεται, ἀλλὰ πάντως δοξάσει τὸν θεὸν, τὸν δουλεύοντα αὐτῷ μετὰ ἀρετῆς ζῶντα ὁρῶν. E τίς γὰρ οὐκ ἐκπλαγήσεται, ὅταν ἄνθρωπός τις ὢν, καὶ τῆς κοινῆς μετέχων φύσεως, καὶ ἐν μέσοις στρεφόμενος ἀνθρώποις, καθάπερ ἀδάμας, μὴ ἐπικάμπτηται πρὸς τὸ τῶν παθῶν ἑσμόν; ὅταν μεταξὺ πυρὸς καὶ σιδήρου καὶ θηρίων ὢν, ἀδάμαντος ἰσχυρότερος ᾖ, καὶ περιγίνηται πάντων διὰ τὸν τῆς εὐσεβείας λόγον; ὅταν ὑβρίζηται, καὶ εὐλογῇ; ὅταν κακῶς ἀκούῃ, καὶ ἐγκωμιάζῃ; ὅταν ἐπηρεάζηται, καὶ εὔχηται ὑπὲρ τῶν ἀδικούντων; ὅταν ἐπιβουλεύηται, καὶ εὐεργετῇ τοὺς πολεμοῦντας αὐτῷ καὶ ἐπιβουλεύοντας; ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα, τῶν οὐρανῶν πολλῷ μᾶλλον δοξάσει τὸν θεόν. τὸν μὲν γὰρ οὐρανὸν ὁρῶντες Ἕλληνες,

3. Sed hæc quidem antea fieri grave cum esset, non tam grave erat. Post cælum autem, post regnum, postquam tremenda perceperis mysteria, rursum inquinari, quam habebit veniam? Annon existimas cum avaris & aliis omnibus quos enumeravit, ipsum accumbere diabolum? mulieres autem ad libidinem ornatas, non censes cum illo commisceri? Ecquis huic sermoni contradixerit? Quod si quis sit contentiosus, exuat animam mulierum quæ se adeo indecore gerunt, & videbit malignum illum dæmonem cum illis valde complicari & commisceri. Difficile enim est, dilecti, difficile est, imo fortasse impossibile, ut sic ornato corpore, simul quoque ornetur anima; sed necesse est alterum negligere eum qui alterius curam habet. Neque enim ex natura sua hæc simul esse possunt. Ideo ait: *Qui adhæret meretrici, est unum corpus: qui autem adhæret Domino, unus spiritus est.* Ille namque tandem spiritus efficitur, licet corpore sit circumdatus. Quando enim nihil corporeum, nihil crassum, nihil terrenum circa ipsum fuerit, simpliciter corpore circumdatur: cum totus principatus sit animæ & spiritus, sic glorificatur Deus. Quamobrem in oratione dicere jubemur, *Sanctificetur nomen tuum;* & Christus ait: *Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, & glorificent patrem vestrum qui in cælis est.* (Matt. 5. 16.) Sic ipsum glorificant etiam cæli, non vocem emittentes, sed per aspectum admirationem commoventes, & gloriam creatori referentes. Sic glorificemus illum & nos; imo magis quam illi; possumus enim si velimus. Neque enim ita cælum, & dies & nox Deum glorificat, ut anima sancta. Sicut enim quis cæli pulcritudinem respiciens dicit, Gloria tibi Deus: quale opus fecisti? ita & viri virtutem intuens, imo hic multo magis. Ab illis namque creaturis non omnes Deum glorificant; sed etiam multi illa automata esse dicunt. Alii vero dæmonibus attribuunt mundi creationem & providentiam, quod peccatum vix veniam admittat. Circa virtutem autem hominis, nemo sic impudenter agere poterit; sed omnino glorificabit Deum, dum videt eum qui Deo servit sancte viventem. Quis enim non obstupescet, quando quispiam, homo cum sit, communisque naturæ particeps, in mediisque versans hominibus, sicut adamas, non convertitur ad passionum agmen? cum inter ignem & ferrum & feras versans adamante fortior est, & per pietatis verbum rationemque omnia superaverit? quando probris afficitur, & benedicit? quando male audit, & laudat? quando molestia ei creatur, & ille orat pro iis qui secum inique agunt? quando insidiis appetitur, & ipse beneficia præstat insidiatoribus & adversariis? Hæc & similia magis quam cæli glorificant Deum. Græci namque cælum videntes, non

pudore afficiuntur; sanctum autem virum videntes accurate philosophiam exhibentem, pudore suffunduntur sesesque damnant. Cum enim is qui ejusdem naturæ consors est, ita superior illis est, & multo magis, quam cælum terram superat; vel inviti cogitant, quamdam divinam virtutem hæc operari. Ideo ait: *Et glorificent patrem vestrum, qui in cælis est.* Vis & aliunde discere, quomodo a servorum suorum vita glorificetur Deus, quomodo etiam a miraculis? Immisit aliquando Nabuchodonosor tres pueros in fornacem. Deinde quia vidit ignem non
Dan. 3. 95. illos superare, ait: Benedictus Deus, qui misit angelum suum, & eripuit pueros suos a fornace, quia confiderunt in eum: & verbum regis mutaverunt. Quid dicis? contemtus fuisti, & miraris eos qui respuerunt? Etiam, inquit, & propter hoc ipsum quod contemtui habitus sim; & miraculi hanc statuit esse causam. Itaque non propter signum tantum tunc gloria Deo fuit, sed propter propositum eorum qui illo injecti sunt. Quod si quis hoc & illud per se examinet, non hoc illo minus est. A fornace enim liberasse, non est majus ad rationem miraculi, quam animis persuasisse ut ingrederentur in fornacem. Quomodo enim non dignum stupore fuerit, cum rex orbis, tam multis armis circumseptus, exercitus habens, duces, toparchas & consules, terræ & mari imperans, a pueris captivis despicitur, & vincti vincientem superant, & totum ipsius vincunt exercitum? Non enim potuerunt, id quod voluerunt rex & clientes ejus, qui & hæc & fornacis copiam habebant; sed nudi, servi, exteri pauci: quid enim tribus paucius sit? immensum exercitum vincti profligarunt. Jam enim mors despiciebatur, quia adventurus erat Christus; & sicut jam orituro sole, antequam radii appareant, splendida efficitur lux diei, sic etiam venturo justitiæ sole, mors tandem cedebat. Quid illo theatro splendidius fuerit? Quid victoria clarius? quid novis tropæis insignius?

4. Hoc fit etiam nostro tempore. Et nunc rex est Babylonicæ fornacis, nunc etiam fornacem accendit illa graviorem: est etiam qui nunc illam jubet admirari imaginem. Adsunt ipsi & satrapæ & milites & musica demulcens. Multique illam imaginem admirantur, variam, magnam. Tale enim quidpiam est avaritia, quale imago illa, ne ferrum quidem despiciens; sed ex dissimilibus composita rebus, omnia admirari jubens, æs, ferrum, & quæ sunt illis admodum viliora. Sed quemadmodum hæc sunt; ita etiam nunc sunt puerorum illorum imitatores qui di-
Dan. 3. 18. cunt: Diis tuis non servimus, & imaginem tuam non adoramus; sed & paupertatis fornacem sustinemus & aliam omnem miseriam pro Dei legibus. Et illi quidem qui multa habent, ut & veteres

A οὐκ αἰσχύνονται· ἅγιον δὲ ἄνδρα ἰδόντες μετὰ ἀκριβείας φιλοσοφίαν ἐπιδεικνύμενον, καταδύονται καὶ ἑαυτῶν καταγινώσκουσιν. ὅταν γὰρ ὁ τῆς αὐτῆς αὐτοῖς φύσεως μετέχων τοσοῦτον ἀνώτερος ᾖ, πολλῷ μᾶλλον ἢ ὅσον ὁ οὐρανὸς τῆς γῆς, καὶ ἄκοντες ἐννοοῦσιν, ὅτι θεία δύναμις ταῦτα ἐργάζεται. διό φησι· καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. βούλει μαθεῖν καὶ ἑτέρωθεν, πῶς μὲν ἀπὸ τοῦ βίου τῶν δούλων αὐτοῦ δοξάζεται ὁ θεός; πῶς δὲ ἀπὸ τῶν θαυμάτων; ἐνέβαλέ ποτε ὁ Ναβουχοδονόσορ τοὺς τρεῖς παῖδας εἰς τὴν κάμινον. εἶτα ἐπειδὴ
B εἶδε τὸ πῦρ οὐ περιγινόμενον αὐτῶν, φησιν· εὐλογητὸς ὁ θεὸς, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ ἐκ τῆς καμίνου, ὅτι ἐπεποίθεισαν ἐπ' αὐτὸν, καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως. τί λέγεις; καταφρονήθης, καὶ θαυμάζεις τοὺς διαπτύσαντας; ναί, φησι, καὶ δι' αὐτὸ τοῦτο, ὅτι κατεφρονήθην. καὶ τοῦ θαύματος ταύτην τὴν αἰτίαν τίθησι. ὥστε οὐ διὰ τὸ σημεῖον ἡ δόξα τῷ θεῷ τότε γέγονε μόνον, ἀλλὰ καὶ διὰ τὴν προαίρεσιν τῶν ἐμβληθέντων. εἰ δὲ καὶ καθ' ἑαυτὸ ἐξετάσειέ τις τοῦτο κἀκεῖνο, οὐκ ἔλαττον τοῦτο ἐκείνου. τοῦ γὰρ ῥύσασθαι καμίνου, τὸ πεῖσαι ψυχὰς κατατολ-
C μῆσαι καμίνου οὐκ ἔλαττον εἰς θαύματος λόγον. πῶς γὰρ οὐκ ἐκπλήξεως ἄξιον, ὅταν ὁ τῆς οἰκουμένης βασιλεὺς, καὶ τοσαῦτα περὶ ἑαυτὸν ὅπλα ἔχων, καὶ στρατόπεδα, καὶ στρατηγοὺς, καὶ τοπάρχας, καὶ ὑπάτους, καὶ γῆν καὶ θάλατταν ὑποκειμένην, ὑπὸ παίδων αἰχμαλώτων καταφρονῆται, καὶ οἱ δεδεμένοι τοῦ δήσαντος περιγίνωνται, καὶ πᾶσαν νικῶσι τὴν στρατιὰν ἐκείνην; οὐ γὰρ ἴσχυσαν, ὅπερ ἤθελον, οἱ περὶ τὸν βασιλέα, καὶ ταῦτα καὶ τὴν ἀπὸ τῆς καμίνου συμμαχίαν ἔχοντες· ἀλλ' οἱ γυμνοὶ, καὶ δοῦλοι, καὶ ξένοι, καὶ ὀλίγοι· τί γὰρ τριῶν ὀλιγώτερον; ἄπειρον στρατιὰν δεδεμένοι κατηγωνίσαντο.
D ἤδη γὰρ θάνατος κατεφρονεῖτο, ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἔμελλεν ἐπιδημεῖν. καὶ καθάπερ ἀνατέλλειν μέλλοντος τοῦ ἡλίου, καὶ πρὶν ἢ τὰς ἀκτῖνας φανῆναι, λαμπρὸν γίνεται τὸ φῶς τῆς ἡμέρας· οὕτω καὶ τοῦ τῆς δικαιοσύνης ἡλίου μέλλοντος ἔρχεσθαι, ὁ θάνατος λοιπὸν ὑπεξίστατο. τί τοῦ θεάτρου γένοιτ' ἂν λαμπρότερον ἐκείνου; τί τῆς νίκης περιφανέστερον; τί τῶν καινῶν τροπαίων ἐπισημότερον;

Τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται. καὶ νῦν ἔστιν ὁ τῆς Βαβυλωνίας καμίνου βασιλεὺς, καὶ νῦν φλόγα ἀνάπτει χαλεπωτέραν ἐκείνης. ἔστι καὶ νῦν ὁ τοιαύτην εἰκόνα κελεύων θαυμάζειν. πάρεισιν αὐτῷ καὶ σατράπαι, καὶ στρατιῶται, καὶ γοητεύουσα
E μουσική· καὶ πολλοὶ θαυμάζουσι ταύτην τὴν εἰκόνα, τὴν ποικίλην, τὴν μεγάλην. τοιοῦτον γάρ τι ἐστὶν ἡ πλεονεξία, οἷα ἡ εἰκὼν ἐκείνη, οὐδὲ σιδήρου καταφρονοῦσα, ἀλλ' ἐξ ἀνομοίων μὲν συγκειμένη πραγμάτων, πάντα δὲ κελεύουσα θαυμάζειν, καὶ χαλκὸν, καὶ σίδηρον, καὶ ἃ πολλῷ τούτων ἐστὶν εὐτελέστερα. ἀλλ' ὥσπερ ταῦτά εἰσιν, οὕτω καὶ οἱ τῶν παίδων ἐκείνων ζηλωταί εἰσι καὶ νῦν, οἱ λέγοντες, τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι σου οὐ προσκυνοῦμεν, ἀλλὰ καὶ τὴν κάμινον τῆς πενίας ὑπομένομεν καὶ τὴν ἄλλην ταλαιπωρίαν ἅπασαν ὑπὲρ τῶν τοῦ θεοῦ νόμων. καὶ οἱ μὲν πολλὰ ἔχοντες, καθάπερ κἀκεῖνοι τότε,

A καὶ ταύτην προσκυνοῦσι πολλάκις καὶ κατακαίονται· οἱ δὲ μηδὲν κεκτημένοι, καὶ ταύτης καταφρονοῦσι, καὶ ἐν πενίᾳ ὄντες, ἐν δρόσῳ μᾶλλόν εἰσι τῶν ἐν εὐπορίᾳ ζώντων. καθάπερ καὶ τότε, οἱ μὲν ἐμβαλόντες κατεκάησαν· οἱ δὲ ἐν μέσῳ ὄντες, ὥσπερ ἐν ὕδατι ἦσαν καὶ δρόσῳ. καὶ ὁ τύραννος δὲ τότε ἐκεῖνος μᾶλλον ἐκαίετο τῇ φλογὶ, τοῦ θυμοῦ σφοδρότερον αὐτὸν ἀνάπτοντος, ἢ οἱ παῖδες ἐκεῖνοι. ἐκείνων μὲν γὰρ οὐκ ἴσχυσε τὸ πῦρ οὐδὲ ἄκρων ἅψασθαι τῶν τριχῶν· τούτου δὲ πυρὸς σφοδρότερον κατέκαυσε τὴν διάνοιαν ἡ ὀργή. ἐννόησον γὰρ ὅσον ἦν ἐπ' ὄψεσι τοσαύταις ὑπὸ παίδων αἰχμαλώτων αὐτὸν διαπτύεσθαι. B ἔδειξε γὰρ λοιπὸν ὅτι καὶ τὴν πόλιν αὐτῶν ἔλαβεν, οὐ παρὰ τὴν οἰκείαν ἰσχὺν, ἀλλὰ παρὰ τὴν τῶν πολλῶν ἁμαρτίαν. εἰ γὰρ τῶν δεδεμένων οὐκ ἴσχυσε περιγενέσθαι, καὶ ταῦτα ἐν καμίνῳ βεβλημένων, πῶς ἂν τούτων περιεγένετο πολέμου νόμῳ, πάντων τοιούτων ὄντων; ὅθεν δῆλον ὅτι αἱ τῶν πολλῶν ἁμαρτίαι τὴν πόλιν παρέδωκαν. ὅρα δὲ καὶ τὸ ἀκενόδοξον τῶν παίδων. οὐ γὰρ ἐπεπήδησαν τῇ καμίνῳ, ἀλλὰ τοῦ Χριστοῦ τὴν παραγγελίαν ἄνωθεν ἐφύλαττον λέγοντος, εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. οὔτε ἔφυγον ἐπειδὴ ἤχθησαν, ἀλλ' ἔστησαν ἐν τῷ μέσῳ γενναίως, οὔτε μὴ καλοῦντος ἀγωνιζόμενοι, οὔτε καλοῦντος μαλακιζόμενοι, ἀλλὰ πρὸς C πάντα ἕτοιμοι, καὶ γενναῖοι, καὶ πάσης γέμοντες παρρησίας. ἀκούσωμεν δὲ καὶ τί λέγουσιν, ἵνα κἀντεῦθεν μάθωμεν αὐτῶν τὸ [a] φιλόσοφον φρόνημα. ἔστι θεὸς ἐν οὐρανοῖς δυνατὸς ἐξελέσθαι ἡμᾶς. οὐ γὰρ ὑπὲρ ἑαυτῶν φροντίζουσιν, ἀλλὰ καὶ καίεσθαι μέλλοντες, ὑπὲρ τῆς τοῦ θεοῦ δόξης μεριμνῶσιν. ἵνα γὰρ μή ποτε, φησὶ, κατακαυθέντων ἡμῶν ἀσθένειαν τοῦ θεοῦ καταγνῷς, ἤδη σοι τὸ δόγμα ἅπαν ἀπαγγέλλομεν ἀκριβῶς τὸ ἡμέτερον· ἔστι θεὸς ἐν οὐρανοῖς οὐ τοιοῦτος, οἵα αὕτη εἰκὼν ἡ ἐπὶ γῆς, ἡ ἄψυχος καὶ ἄφωνος, ἀλλ' ἱκανὸς καὶ ἐκ μέσης καμίνου τῆς καιομένης ἐξαρπάσαι. μὴ τοίνυν αὐτοῦ κα- D ταγνῷς ἀσθένειαν, ὅτι ἀφίησιν ἐμπεσεῖν. οὕτως ἐστὶ δυνατὸς, ὥστε μετὰ τὸ ἐμπεσεῖν πάλιν ἡμᾶς ἐξαρπάσαι τῆς φλογός. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, ὦ βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. ὅρα αὐτοὺς οἰκονομικῶς ἀγνοοῦντας τὸ μέλλον. εἰ γὰρ προῄδεσαν, οὐδὲ ἦσαν θαυμαστοὶ, πεποιηκότες ὅπερ ἐποίησαν. τί γὰρ θαυμαστὸν, εἰ ἐνέχυρα ἔχοντες σωτηρίας, κατετόλμησαν τῶν δεινῶν; ἀλλ' ὁ μὲν θεὸς ἐδοξάζετο, δυνηθεὶς ἐκβαλεῖν τῆς καμίνου· ἐκεῖνοι δὲ οὐκ ἂν ἐθαυμάσθησαν, ἅτε μὴ εἰς κινδύνους ἑαυτοὺς ῥίψαντες. E διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ἀγνοῆσαι τὸ μέλλον, ἵνα αὐτοὺς δοξάσῃ πλέον. καὶ καθάπερ αὐτοὶ ἠσφαλίζοντο τὸν βασιλέα μὴ ἀσθένειαν καταγνῶναι θεοῦ, εἰ κατακαυθείησαν, οὕτως ὁ θεὸς ἀμφότερα ἐποίησε, καὶ τὴν ἑαυτοῦ δύναμιν ἔδειξε, καὶ τὴν τῶν παίδων προθυμίαν λαμπροτέραν διαφανῆναι παρεσκεύασε. πόθεν οὖν αὐτοῖς ἡ ἀμφιβολία, καὶ τὸ μὴ θαρρεῖν ὅτι πάντως σωθήσονται,

[a] φιλόσοφον. Reg. φιλόθεον.

illi; hanc sæpe adorant & comburuntur; qui vero nihil possident, hanc despiciunt, & in paupertate versantes, in rore magis deliciantur, quam illi qui in rerum copia vivunt. Sicut & tunc quoque, qui injecerunt combusti sunt, qui autem in medio erant, ceu in aqua & rore versabantur. Tyrannus autem ille tunc magis a flamma urebatur, ira vehementius illum incendente, quam pueri illi incenderentur. Nam illorum ne summos quidem capillos potuit ignis tangere; hujus autem mentem igne vehementius ira incendit. Cogita enim quantum illud esset, in tam multorum conspectu, a pueris captivis ipsum contemni. Tunc enim ostendit: se illorum urbem cepisse, non vi sua, sed propter multorum peccata. Nam si vinctos non potuit superare, etiamque in fornacem injectos, quomodo illos lege belli superasset, si omnes tales fuissent? Unde manifestum est multorum peccata urbem tradidisse. Vide autem quam a vana gloria alieni pueri essent. Non enim insilierunt in fornacem; sed jam olim Christi præceptum servabant dicentis: *Orate ne intretis in tentationem.* (Matt. 26. 41.) Neque fugerunt quando ducti sunt; sed steterunt in medio fortiter: neque non vocante decertantes, neque vocante molles & ignavi; sed ad omnia parati & strenui, omnique fiducia pleni. Audiamus enim quid dicant, ut inde eorum philosophum sensum ediscamus: *Est Deus in cælis potens eripere nos.* (Dan. 3. 17.) Non enim de se sunt solliciti; sed mox comburendi, de gloria Dei solliciti sunt. Ut enim, nobis combustis, Deum non damnes imbecillitatis, jam tibi totum dogma nostrum accurate annunciamus. Est Deus in cælis, non talis qualis hæc imago in terra, inanimata & muta; sed qui possit ex media fornace ardenti eripere. Ne itaque illum damnes imbecillitatis, quod nos sinat in eam incidere; tam potens est, ut postquam inciderimus, nos a flamma eripere possit; & si non faciat, notum sit tibi, o Rex, quod diis tuis non servimus, & auream quam posuisti statuam non adoramus. Video eos certo consilio & dispensatione non nosse futurum. Si enim scivissent, admirandi non fuissent hæc facientes. Quid enim mirum, si pignora salutis habentes, gravia illa audacter adiissent? Sed glorificaretur quidem Deus, qui potuisset eripere ex fornace, ipsi vero non admirabiles fuissent, utpote qui non in pericula seipsos conjecissent. Ideo permisit ut ipsi quod futurum erat ignorarent, ut magis eos glorificaret. Et sicut ipsi confirmabant regem, ut ne Deum imbecillitatis damnaret, si ipsi combusti fuissent; ita & Deus utrumque præstitit, & potentiam suam ostendit, & puerorum animum præclariorem effecit. Undenam ergo illis hæc dubitatio, ut non confiderent se salvos exituros esse? Quod se

viliores omnino esse putarent, & tali beneficio indignos. Quod autem non ex conjectura hoc dicam: in fornacem conjecti, lamentabantur hæc dicentes: *Peccavimus, injuste egimus: non licet nobis os aperire.* Propterea dicebant: *Et si non.* Si enim non clare dicebant: potest nos Deus eripere; si autem non eripuerit, propter peccata nostra non eripiet, ne mireris: visi enim essent apud Barbaros peccatorum suorum obtentu Dei imbecillitatem obtegere. Propterea cum de ejus potentia tantum loquuti essent, causam non ponunt. Alioquin recte eruditi erant Dei judicia non curiose inquirere. Cum hæc ergo dixissent, in ignem ingressi sunt, nec regem contumelia affecerunt, neque statuam evertêre. Virum enim fortem talem esse oportet, moderatum & mansuetum, maxime in periculis, ut ne videatur ex ira & vana gloria talia adire certamina, sed ex fortitudine & temperantia. Nam qui contumelia afficit, in suspicionem illorum criminum venit: qui vero sustinet & trahitur, ac cum mansuetudine decertat; non modo ut fortis in admiratione habetur; sed etiam ob moderationem & mansuetudinem non minus celebratur. Id quod & ipsi tunc fecerunt, cum & fortitudinem & mansuetudinem omnem exhibuerunt: nec quidquam fecere propter mercedem & præmium. Et si noluerit, inquiunt, nos eripere, diis tuis non servimus; jam enim remunerationem habemus, ut digni habiti, qui ab impietate liberaremur, & quod propterea corpora cremarentur. Et nos igitur habentes jam mercedem; nam habemus, digni habiti qui illum cognosceremus, & qui membra Christi efficeremur; ne faciamus illa membra meretricis. In hoc enim tam horrendo dicto finienda est oratio: ut validum habentes comminationis timorem, maneamus auro puriores hoc metu redditi. Sic enim poterimus a fornicatione erepti Christum videre. Quem utinam cum fiducia videamus in illo die: gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unàque Spiritui sancto gloria, honor, imperium, nunc & semper & in sæcula sæculorum, amen.

Dan. 3. 29. — Dan. 3. 38.

A ἀλλὰ τὸ πάντως ἑαυτοὺς εὐτελεστέρους εἶναι νομίζειν, καὶ ἀναξίους τοιαύτης εὐεργεσίας. καὶ ὅτι οὐ στοχαζόμενος τοῦτο λέγω, εἰς τὴν κάμινον ἐμπεσόντες, τοιαῦτα ἀπωδύροντο λέγοντες, ἡμάρτομεν, ἠνομήσαμεν, οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. διὰ ταῦτα ἔλεγον, καὶ ἐὰν μή. εἰ δὲ μὴ φανερῶς εἶπον τοῦτο, δῆλον, ὅτι δυνατὸς μέν ἐστιν ὁ θεὸς ἐξελέσθαι ἡμᾶς· ἐὰν δὲ μὴ ἐξέληται, διὰ τὰς ἁμαρτίας οὐκ ἐξελεῖται, μὴ θαυμάσῃς. καὶ γὰρ ἔδοξαν ἂν παρὰ τοῖς βαρβάροις τοῦ θεοῦ τὴν ἀσθένειαν τῇ τῶν οἰκείων ἁμαρτημάτων συσκιάζειν προφάσει. διὰ τοῦτο περὶ τοῦ δυνατοῦ B μόνον διαλεχθέντες, τὴν αἰτίαν οὐ τιθέασι. καὶ ἄλλως δὲ, πεπαιδευμέναι καλῶς ἦσαν μὴ πολυπραγμονεῖν τοῦ θεοῦ τὰς κρίσεις. ταῦτα τοίνυν εἰπόντες ἐνέβησαν εἰς τὸ πῦρ, καὶ οὔτε ἐνύβρισαν εἰς τὸν βασιλέα, οὔτε κατέστρεψαν τὴν εἰκόνα. τὸν γὰρ ἀνδρεῖον, τοιοῦτον εἶναι χρὴ, σώφρονα, καὶ ἐπιεικῆ, καὶ μάλιστα ἐν τοῖς κινδύνοις· ἵνα μὴ δόξῃ θυμῷ καὶ κενοδοξίᾳ πρὸς τοιούτους ἀγῶνας ἰέναι, ἀλλὰ ἀνδρείᾳ καὶ σωφροσύνῃ. ὁ μὲν γὰρ ὑβρίζων, ἐκείνων τῶν ἐγκλημάτων ὑπομένει τὴν ὑπόνοιαν· ὁ δὲ ὑπομένων, καὶ ἑλκόμενος, καὶ μετ' ἐπιεικείας ἀγωνιζόμενος, οὐχ ὡς ἀνδρεῖος θαυμάζεται μόνον, ἀλλὰ καὶ ἐπὶ τῇ σωφροσύνῃ καὶ C τῇ ἐπιεικείᾳ οὐχ ἧττον ἀνακηρύττεται. ὅπερ καὶ αὐτοὶ τότε ἐποίησαν, τήν τε ἀνδρείαν ἐπιδεικνύμενοι καὶ τὴν ἐπιείκειαν ἅπασαν, καὶ οὐδὲν ἐπὶ μισθῷ πράττοντες, οὐδὲ ἀντιδόσει καὶ ἀνταμοιβῇ. καὶ ἐὰν μὴ θελήσῃ, φησὶν, ἡμᾶς ἐξελέσθαι, τοῖς θεοῖς σου οὐ λατρεύομεν. ἔχομεν γὰρ ἤδη τὰς ἀμοιβὰς, καταξιωθέντες ἀπαλλαγῆναι τῆς ἀσεβείας, καὶ διὰ τοῦτο κατακαῦσαι τὰ σώματα. καὶ ἡμεῖς τοίνυν ἔχοντες ἤδη τὴν ἀντίδοσιν· καὶ γὰρ ἔχομεν, καταξιωθέντες αὐτὸν ἐπιγνῶναι, καταξιωθέντες γενέσθαι μέλη Χριστοῦ· ἵνα μὴ ποιήσωμεν αὐτὰ μέλη πόρνης. ἐν γὰρ D τῷ φρικωδεστάτῳ τούτῳ χρὴ καταλῦσαι τὸν λόγον, ἵνα ἀκμάζοντα ἔχοντες τῆς ἀπειλῆς τὸν φόβον, μένωμεν χρυσίου καθαρώτεροι τῷ φόβῳ τούτῳ γινόμενοι. οὕτω γὰρ δυνησόμεθα πορνείας ἀπαλλαγέντες τὸν Χριστὸν ἰδεῖν· ὃν γένοιτο πάντας ἡμᾶς μετὰ παρρησίας θεάσασθαι κατὰ τὴν ἡμέραν ἐκείνην, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XIX.

## ΟΜΙΛΙΑ ιθ'.

Cap. VII. 1. *De quibus autem scripsistis mihi: Bonum est homini mulierem non tangere:* 2. *Propter fornicationem autem unusquisque suam uxorem habeat, & unaquæque suum virum.*

E Περὶ δὲ ὧν ἐγράψατέ μοι· καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα.

1. POSTQUAM gravissima tria correxit vitia, unum quidem quod divelleretur ecclesia; secundum autem fornicatoris, tertium avari; deinde mitiore usus est oratione: & admonitionem consiliumque interponit de matrimonio

ΔΙΟΡΘΩΣΑΣ τὰ χαλεπώτατα [a] τρία ἐγκλήματα, ἓν μὲν τὸ διεσπάσθαι τὴν ἐκκλησίαν, δεύτερον δὲ τὸ τοῦ πεπορνευκότος, τρίτον τὸ τοῦ πλεονέκτου, κέχρηται λοιπὸν ἡμερωτέρῳ λόγῳ· καὶ μεταξὺ τίθησι παραίνεσιν καὶ συμβουλὴν τὴν περὶ τοῦ γάμου,

[a] Ita reg. τρία deest in editis.

καὶ τῆς παρθενίας, ἀπὸ τῶν φορτικωτέρων ἀναπαύων τὸν ἀκροατήν. ἐπὶ δὲ τῆς δευτέρας ἐπιστολῆς τὸ ἐναντίον ποιεῖ. ἄρχεται μὲν ἀπὸ τῶν ἡμερωτέρων, τελευτᾷ δὲ εἰς τὰ σκυθρωπότερα. καὶ ἐνταῦθα δὲ τὸν περὶ τῆς παρθενίας ἀπαρτίσας λόγον, πάλιν ἔξεισιν ἐπὶ τὰ πληκτικώτερα, οὐ πάντα ἐφεξῆς τιθεὶς, ἀλλὰ ποικίλλων τὸν λόγον ἐν ἑκατέρῳ, ὡς ὁ καιρὸς ἀπῄτει, καὶ τῶν ὑποκειμένων πραγμάτων ἡ χρεία. διό φησι, περὶ δὲ ὧν ἐγράψατέ μοι. ἔγραψαν γὰρ αὐτῷ, εἰ δεῖ ἀπέχεσθαι γυναικὸς, ἢ μή· καὶ πρὸς αὐτὰ ἀντιγράφων, καὶ περὶ τοῦ γάμου νομοθετῶν, εἰσάγει καὶ τὸν περὶ τῆς παρθενίας λόγον. καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. εἰ μὲν γὰρ τὸ καλὸν καὶ σφόδρα ὑπερέχον ζητεῖς, φησι, βέλτιον μηδὲ ὅλως ὁμιλεῖν γυναικί· εἰ δὲ τὸ ἀσφαλὲς καὶ βοηθοῦν σου τῇ ἀσθενείᾳ, ὁμίλει γάμῳ. ἐπειδὴ δὲ εἰκὸς ἦν, ὃ καὶ νῦν γίνεται, τὸν μὲν ἄνδρα βούλεσθαι, τὴν δὲ γυναῖκα μηκέτι, ἢ καὶ τὸ ἐναντίον, ὅρα πῶς περὶ ἑκατέρων διαλέγεται. καί τινες μέν φασιν, ὅτι πρὸς ἱερέας ὁ λόγος οὗτος αὐτῷ εἴρηται· ἐγὼ δὲ ἀπὸ τῶν ἑξῆς σκοπῶν, οὐκ ἂν φαίην τοῦτο οὕτως ἔχειν. οὐδὲ γὰρ ἂν καθολικῶς ἔθηκε τὴν παραίνεσιν. εἰ δὲ ἱερεῦσι μόνον ταῦτα ἔγραφεν, εἶπεν ἄν· καλὸν τῷ διδασκάλῳ γυναικὸς μὴ ἅπτεσθαι. νυνὶ δὲ καθόλου αὐτὸ τέθεικε, καλὸν ἀνθρώπῳ, λέγων, οὐχ ἱερεῖ μόνον· καὶ πάλιν, λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. οὐκ εἶπε, σὺ ὁ ἱερεὺς καὶ διδάσκαλος, ἀλλ' ἀδιορίστως· καὶ ὅλος δὲ αὐτοῦ τοιοῦτος πρόεισιν ὁ λόγος. εἰπὼν δὲ, διὰ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, αὐτῇ τῇ αἰτίᾳ τῆς συγχωρήσεως εἰς ἐγκράτειαν ἤγαγε. τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην τιμὴν ἀποδιδότω· ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. τί δέ ἐστιν, ἡ ὀφειλομένη τιμή; ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλὰ καὶ δούλη καὶ δέσποινά ἐστι τοῦ ἀνδρός. κἂν ἀποστῇς τῆς δουλείας τῆς προσηκούσης, προσέκρουσας τῷ θεῷ· εἰ δὲ ἀποστῆναι βούλει, ὅταν ὁ ἀνὴρ ἐπιτρέπῃ, κἂν πρὸς βραχὺ τοῦτο γίνηται. διὰ γὰρ τοῦτο καὶ ὀφειλὴν τὸ πρᾶγμα ἐκάλεσεν, ἵνα δείξῃ μηδένα κύριον ὄντα ἑαυτοῦ, ἀλλ' ἀλλήλων δούλους. ὅταν οὖν ἴδῃς πόρνην πειρῶσάν σου, εἰπέ· οὐκ ἔστι τὸ σῶμα ἐμὸν, ἀλλὰ τῆς γυναικός. ταῦτα καὶ ἡ γυνὴ λεγέτω πρὸς τοὺς βουλομένους αὐτῆς διορύξαι τὴν σωφροσύνην· οὐκ ἔστιν ἐμὸν τὸ σῶμα τὸ ἐμὸν, ἀλλὰ τοῦ ἀνδρός. εἰ δὲ σώματος οὐκ ἐξουσιάζει ὁ ἀνὴρ, ἢ ἡ γυνὴ, πολλῷ μᾶλλον χρημάτων. ἀκούσατε ὅσαι ἄνδρας ἔχετε, καὶ ὅσοι γυναῖκας. εἰ γὰρ σῶμα ἔχειν ἴδιον οὐ χρὴ, πολλῷ μᾶλλον χρήματα. ἀλλαχοῦ μὲν οὖν πολλὴν δίδωσι τῷ ἀνδρὶ τὴν προεδρίαν καὶ ἐν τῇ καινῇ καὶ ἐν τῇ παλαιᾷ λέγων, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· ὁ δὲ Παῦλος διαιρῶν οὕτω καὶ γράφων, οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. ἐνταῦθα δὲ οὐκέτι τὸ μεῖζον

A & de virginitate, a molestioribus auditorem ad quieta ducens. In secunda autem epistola contrarium facit. Incipit enim a mitioribus, desinit autem in tristiora. Hic vero postquam de virginitate sermonem perfecit, rursus exit ad ea quæ magis pungunt ac feriunt, non omnia continenter ponens; sed sermonem in utroque varians, ut tempus exigebat, necnon præsentium rerum usus. Ideo ait: De quibus autem scripsistis mihi. Scripserant autem ei an oporteret ab uxore abstinere, an non. Et ad ea rescribens, & de matrimonio legem ferens, sermo-

B nem de virginitate inducit: *Bonum est homini mulierem non tangere.* Nam si, inquit, quod bonum est & admodum excellens quæris, melius est cum muliere nullam habere consuetudinem; si quod tutum est, & quod infirmitatem tuam juvet, matrimonio utere. Quia autem verisimile erat, ut etiam nunc solet, virum velle, mulierem vero non item; vel etiam contra, vide quomodo de utroque disserat. Et dicunt quidam, hoc ab illo dictum sacerdotibus fuisse. Ego vero ex iis quæ sequuntur rem examinans,

C non dixerim rem ita se habere: neque enim universe admonitionem constituisset. Si autem sacerdotibus tantum hæc scripsisset, dixisset sane: Bonum est doctori uxorem non tangere. Nunc autem universim hoc posuit: Bonum est homini, dicens, non tantum sacerdoti. Et rursus, *Solutus es ab uxore? noli quærere uxorem.* Non dixit, tu sacerdos & doctor; sed indefinite: & totus omnino sermo sic procedit. Et cum dixit: *Propter fornicationes unusquisque suam uxorem habeat*, ex ipsa concessionis causa ad continentiam duxit. 3. *Uxori vir debitum*

D *reddat; similiter & mulier viro.* Quid est autem debitus honor? Mulier non habet potestatem sui corporis; sed & ancilla & domina viri est. Si defeceris ab ea quæ convenit servitute, Deum offendis. Si autem abscedere vis, cum vir hoc permiserit, saltem ad breve tempus fiat. Propterea & debitam rem vocavit, ut ostenderet nullum esse sui dominum, sed esse alterum alterius servum. Cum ergo videris meretricem te ad peccatum allicientem, dic: Non est meum corpus, sed uxoris. Eadem dicat uxor illis qui castitatem suam violare satagunt: Corpus

E meum non est meum; sed viri. Si vero nec maritus nec uxor potestatem corporis habent, multo minus pecuniarum. Audite quæcumque maritos habetis, & quicumque uxores. Si enim corpus sibi proprium habere non licet, multo minus pecunias. Alibi certe magnam dat marito prærogativam & in novo & in veteri Testamento dicens: *Ad virum* Gen. 3. 16.
*tuum conversio tua, & ipse tibi dominabitur.* Paulus autem sic dividens & scribens: *Viri diligite uxores, uxor autem* Ephes. 5. 25.
*timeat virum.* Hic vero non ultra majus

aut minus ponit; sed unam potestatem. Quare? Quia de castitate sermo ipsi erat. In aliis quidem prærogativam, inquit, habeat maritus. Ubi autem de continentia agitur; non item: *Vir potestatem sui corporis non habet, neque uxor.* Multa est æqualitas, & nulla prærogativa. 5. *Nolite fraudare invicem nisi forte ex consensu.* Quid hoc est? Ne se contineat, inquit, uxor marito nolente; neque maritus invita uxore. Quare? Quia magna ex tali continentia oriuntur mala. Nam & adulteria, & fornicationes & domorum eversiones sæpe inde consequutæ sunt. Si enim cum uxores habeant fornicantur, multo magis si illos ab hac consolatione privaveris. Et recte dixit, Nolite fraudare, fraudem hic & debitum superius appellavit, ut dominium majus ostenderet. Nam invito altero, alterum se continere; illud est fraudare; utroque volente, non item. Non enim si postquam mihi persuaseris, aliquid ex meis accipias, fraudari me dico. Qui enim ab invito & per vim coacto accipit, ille fraudat. Quod multæ mulieres faciunt; quæ peccatum admittunt justitiam exsuperans, & hac ratione libidinis maritorum in culpa sunt, omniaque in dissensionem vertunt. Oportet autem concordiam omnibus anteponere. Quia autem hoc omnibus est præferendum; si placet, id in rebus ipsis examinemus. Sint uxor & maritus, & se contineat uxor nolente marito? Quid ergo si ille hinc ad fornicandum inducatur; aut non fornicetur quidem; sed doleat, turbetur, incendatur, pugnet ac litiget, & innumera uxori negotia exhibeat? Quid lucri ex jejunio & continentia, cum caritas fracta sit? Nihil. Quot enim convitia, quot negotia, quantum bellum necessario oriatur?

Conjugii jura.

2. Cum enim domi maritus & uxor dissident, non melius se habebit domus, quam navis agitata tempestate, gubernatore qui ab eo qui proram regit dissentiente. Ideoque ait: *Nolite fraudare invicem, nisi forte ex consensu ad tempus: ut vacetis jejunio & orationi.* De oratione cum majori studio facta hic loquens. Si enim orare prohibeat eos qui inter se coeunt, illud, *sine intermissione orate*, quomodo locum & tempus habebit? licet ergo & cum uxore consuetudinem habere, & orationi incumbere; sed per continentiam precatio accuratior redditur. Non enim simpliciter dixit, Ut oretis; sed ut vacetis, utpote cum res vacationem præbeat; sed non immunditiam. *Et iterum in idipsum convenite, ne tentet vos Satanas.* Ne videretur enim, rem esse lege constitutam, causam addit. Quænam illa est? *Ne tentet vos Satanas.* Et ut discas non diabolum tantum adulterii causam esse, subjunxit: *Propter incontinentiam vestram.* 6. *Hoc autem dico secundum indulgentiam, non secundum imperium. Volo autem omnes homines esse sicut meipsum, in continen-*

A καὶ τὸ ἔλαττον, ἀλλὰ μία ἡ ἐξουσία. τί δήποτε; ἐπειδὴ περὶ σωφροσύνης ὁ λόγος ἦν αὐτῷ. ἐν μὲν γὰρ τοῖς ἄλλοις πλεονεκτείτω, φησὶν, ὁ ἀνήρ· ἔνθα δὲ σωφροσύνης λόγος, οὐκέτι· ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ἡ γυνή. πολλὴ ἡ ἰσοτιμία, καὶ οὐδεμία πλεονεξία. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. τί δὴ τοῦτό ἐστι; μὴ ἐγκρατευέσθω, φησὶν, ἡ γυνὴ, τοῦ ἀνδρὸς ἄκοντος, μήτε ὁ ἀνὴρ, τῆς γυναικὸς μὴ βουλομένης. τί δήποτε; ὅτι μεγάλα ἐκ τῆς ἐγκρατείας ταύτης τίκτεται κακά. καὶ γὰρ καὶ μοιχεῖαι, καὶ B πορνεῖαι, καὶ οἰκιῶν ἀνατροπαὶ πολλάκις ἐντεῦθεν ἐγένοντο. εἰ γὰρ ἔχοντες τὰς ἑαυτῶν γυναῖκας, πορνεύουσι, πολλῷ μᾶλλον, ἂν αὐτοὺς τῆς παραμυθίας ταύτης ἀποστερήσῃς. καὶ καλῶς εἶπε, μὴ ἀποστερεῖτε, ἀποστέρησιν ἐνταῦθα, καὶ ὀφειλὴν ἀνωτέρω, ἵνα δείξῃ τῆς δεσποτείας τὴν ἐπίτασιν. τὸ γὰρ ἄκοντος θατέρου ἐγκρατεύεσθαι θάτερον, ἀποστερεῖν ἐστι· τὸ δὲ ἑκόντος, οὐκέτι. οὐδὲ γὰρ εἰ πείσας με λάβοις τι τῶν ἐμῶν, ἀποστερεῖσθαί φημι. ὁ γὰρ ἄκοντος καὶ βιαζομένου λαβὼν, ἀποστερεῖ· ὃ δὴ ποιοῦσι πολλαὶ γυναῖκες, μείζονα τῆς δικαιοσύνης ἁμαρτίαν ἐργαζόμεναι, καὶ τῆς ἀσελ- C γείας τῶν ἀνδρῶν ὑπεύθυνοι γινόμεναι ταύτῃ, καὶ διασπῶσαι πάντα. δεῖ δὲ πάντων προτιμᾶν τὴν ὁμόνοιαν, ἐπειδὴ πάντων τοῦτο κυριώτερον, καὶ εἰ βούλει, καὶ ἐπὶ τῶν πραγμάτων αὐτὸ ἐξετάσωμεν. ἔστω γὰρ γυνὴ καὶ ἀνὴρ, καὶ ἐγκρατευέσθω ἡ γυνὴ μὴ βουλομένου τοῦ ἀνδρός. τί οὖν, ἂν ἐκεῖνος ἐντεῦθεν πορνεύῃ, ἢ μὴ πορνεύῃ μὲν, ἀλγῇ δὲ καὶ θορυβῆται, καὶ πυρῶται, καὶ μάχηται καὶ μυρία τῇ γυναικὶ πράγματα παρέχῃ; τί τὸ κέρδος τῆς νηστείας καὶ τῆς ἐγκρατείας, ἀγάπης διερρηγμένης; οὐδέν. πόσας γὰρ λοιδορίας, πόσα πράγματα, πόσον ἀνάγκη γίνεσθαι πόλεμον;

D Ὅταν γὰρ ἐν οἰκίᾳ ἀνὴρ καὶ γυνὴ διεστηκότες ὦσιν, οὐδὲ νηὸς χειμαζομένης ἄμεινον ἡ οἰκία διακείσεται, τοῦ κυβερνήτου πρὸς τὸν πρωρέα διαστασιάζοντος. διὰ τοῦτό φησι, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· τὴν μετὰ πλείονος σπουδῆς προσευχὴν ἐνταῦθα λέγων. εἰ γὰρ κωλύει τοὺς συνιόντας ἀλλήλοις εὔχεσθαι, τὸ ἀδιαλείπτως εὔχεσθαι πῶς ἂν ἔχοι καιρόν; ἔστι τοίνυν καὶ ὁμιλεῖν γυναικὶ, καὶ εὐχῇ προσέχειν· ἀλλ' ἐγκρατείᾳ ἀκριβεστέρα γίνεται αὕτη. οὐ γὰρ εἶπεν ἁπλῶς, ἵνα προσεύχησθε, ἀλλ' E ἵνα σχολάζητε, ὡς ἀσχολίαν ἐμποιοῦντος τοῦ πράγματος, ἀλλ' οὐκ ἀκαθαρσίαν. καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. ἵνα γὰρ μὴ δόξῃ νομοθεσίας εἶναι τὸ πρᾶγμα, προστίθησι τὴν αἰτίαν. ποία δέ ἐστιν αὕτη; ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. καὶ ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος αὐτὸ μόνον ἐργάζεται τὸ τῆς μοιχείας, ἐπήγαγε, διὰ τὴν ἀκρασίαν ὑμῶν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. θέλω γὰρ πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ

τούτῳ

A τοῦτο πολλαχοῦ ποιεῖ, ὅταν περὶ δυσκόλων παραινεῖ πραγμάτων· ἑαυτὸν ἐν μέσῳ τίθησι, καὶ φησὶ, μιμηταί μου γίνεσθε. ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. ἐπειδὴ γὰρ σφόδρα αὐτῶν κατηγόρησεν εἰπὼν, διὰ τὴν ἀκρασίαν ὑμῶν, πάλιν αὐτοὺς παρεμυθήσατο εἰπὼν, ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ, οὐ τοῦτο δηλῶν ὅτι τῆς ἡμετέρας σπουδῆς οὐ δεῖται τὸ κατόρθωμα, ἀλλ', ὅπερ ἔφθην εἰπὼν, παραμυθούμενος αὐτούς. εἰ γὰρ χάρισμά ἐστι, καὶ οὐδὲν ἄνθρωπος εἰς τοῦτο εἰσφέρει, πῶς λέγεις; λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐταῖς ἐὰν μείνωσιν ὡς κἀγώ. εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν. B εἶδες τὴν σύνεσιν τοῦ Παύλου, πῶς καὶ βελτίονα δείκνυσι τὴν ἐγκράτειαν, καὶ οὐκ ἀναγκάζει τὸν μὴ φθάνοντα, δεδοικὼς μή τι πρόσκομμα γένηται; κρεῖττον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. ἐνέφηνεν ὅση τῆς ἐπιθυμίας ἡ τυραννίς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ πολλὴν ὑπομένεις βίαν καὶ πύρωσιν, ἀπαλλάγηθι πόνων καὶ ἱδρώτων, μήποτε καὶ περιτραπῇς. τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγὼ, ἀλλ' ὁ κύριος. ἐπειδὴ νόμον ῥητῶς ὑπὸ τοῦ Χριστοῦ τεθέντα μέλλει ἀναγινώσκειν, περὶ τοῦ χωρὶς πορνείας μὴ ἀφιέναι γυναῖκα, διὰ τοῦτό φησιν, οὐκ ἐγώ· C τὰ μὲν γὰρ εἰρημένα ἔμπροσθεν, εἰ καὶ μὴ ῥητῶς εἴρηται, ἀλλὰ καὶ αὐτοῦ δοκεῖ ταῦτα. τοῦτο μέντοι καὶ ῥητῶς παρέδωκεν. ὥστε τὸ, ἐγὼ, καὶ, οὐκ ἐγὼ, ταύτην ἔχει τὴν διαφοράν. ἵνα γὰρ μηδὲ τὰ αὐτοῦ ἀνθρώπινα εἶναι νομίσῃς, διὰ τοῦτο ἐπήγαγε· δοκῶ γὰρ κἀγὼ πνεῦμα θεοῦ ἔχειν. τί οὖν ἐστιν, ὃ τοῖς γεγαμηκόσι παρήγγειλεν ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι; ἐὰν δὲ καὶ χωρισθῇ μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. ἐπειδὴ γὰρ καὶ δι' ἐγκράτειαν, καὶ δι' ἄλλας προφάσεις καὶ μικροψυχίας, γίνεσθαι διαιρέσεις συνέβαινε, D βέλτιον μὲν μηδὲ γενέσθαι τὴν ἀρχὴν, φησιν· εἰ δὲ ἄρα καὶ γένοιτο, μενέτω ἡ γυνὴ μετὰ τοῦ ἀνδρὸς, εἰ καὶ μὴ τῇ μίξει, ἀλλὰ τῷ μηδένα ἕτερον παρεισαγαγεῖν ἄνδρα. τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. ὥσπερ γὰρ περὶ τοῦ χωρίζεσθαι πόρνων διαλεγόμενος, τῇ ἐπιδιορθώσει τὸ πρᾶγμα πεποίηκεν εὔκολον εἰπὼν, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου· οὕτω δὴ καὶ ἐνταῦθα πολλῆς προενόησεν εὐκολίας, E εἰπών· ἐάν τις ἢ γυνὴ ἄνδρα, ἢ ἀνὴρ γυναῖκα ἔχῃ ἄπιστον, μὴ ἀφιέτω αὐτήν. τί λέγεις; ἂν μὲν ἄπιστος, μενέτω μετὰ τῆς γυναικός· ἂν δὲ πόρνος, μηκέτι. καίτοιγε ἔλαττον ἡ πορνεία τῆς ἀπιστίας. ἔλαττον μὲν ἡ πορνεία, ἀλλ' ὁ θεὸς τῶν σῶν φείδεται σφόδρα. τοῦτο καὶ ἐν τῇ θυσίᾳ ποιεῖ λέγων, ἄφες τὴν θυσίαν, καὶ καταλλάγηθι τῷ ἀδελφῷ σου· τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος. καὶ γὰρ ἐκεῖνον μυρία μὲν τάλαντα χρεωστοῦντα αὐτῷ οὐκ ἐκόλασεν,

tia. Hoc sæpe facit quando res difficiles suadet: se in medio ponit & ait: Imitatores mei estote. *Sed unusquisque proprium donum habet ex Deo, alius quidem sic, alius vero sic.* Quia enim valde illos accusavit dicens, propter incontinentiam vestram, rursus ipsos consolatus est dicens. *Unusquisque proprium donum habet ex Deo;* non hoc declarans, quod hoc recte factum nostro studio non egeat; sed, ut prius dixi, consolans illos. Nam si donum est, & nihil homo ad hoc affert, quomodo dicis? 8. *Dico autem non nuptis & viduis; bonum est illis si sic permanserint ut ego.* 9. *Quod si se non continent, nubant.* Vidistin' Pauli sapientiam, quomodo & meliorem ostendat esse continentiam, & non cogat eum qui non assequitur, timens ne in lapsum incidatur? *Melius est enim nubere, quam uri.* Indicavit quanta sit concupiscentiæ tyrannis. Hoc autem vult significare; si vim multam & æstum pateris, a laboribus & sudoribus te libera, ne forte subvertaris. 10. *Iis autem qui matrimonio juncti sunt præcipio non ego, sed Dominus.* Quia legem disertis verbis a Christo latam est lecturus, de uxore non dimittenda nisi sit fornicata, propterea dicit, *Non ego.* Nam quæ prius dicta sunt, etiamsi non disertis verbis dicta sint, ipsi tamen ea esse videntur. At hoc quidem ille disertis verbis tradidit: itaque illud ego; &, non ego, hanc habent differentiam. Ne enim sua, esse humana putares, ideo subjunxit: *Puto enim quod & ego spiritum Dei habeam.* Quid est ergo quod Dominus conjugatis præcepit, *Uxorem a viro non discedere?* 11. *Quod si discesserit, maneat innupta, aut viro suo reconcilietur. Et vir uxorem non dimittat.* Quia enim & propter continentiam, & propter alios obtentus & dissensiones, divisiones fieri contingebat; melius quidem a principio fuisset, non illa fieri; sed si facta sunt, maneat uxor cum viro, etsi non ad concubitum, tamen ut nullum alium inducat virum. 12. *Ceteris autem ego dico, non Dominus. Si quis frater uxorem habeat infidelem: & hæc consentit habitare cum illo, non dimittat illam.* 13. *Et si qua mulier habeat virum infidelem, & hic consentit habitare cum illa, non dimittat virum.* Quemadmodum enim cum loqueretur de separatione a fornicatoribus, correctione quadam rem difficilem reddidit dicens: Et non utique a fornicatoribus hujus mundi; sic & hoc loco magnam providit esse facilitatem: si quis aut uxor virum aut vir uxorem, habeat infidelem, ne dimittat eam? Quid dicis? si quidem infidelis sit maneat cum uxore; si fornicator, non item. Atqui minus est peccatum fornicatio; sed Deus tuis rebus valde parcit. Hoc etiam in sacrificio facit dicens: *Dimitte sacrificium, & reconciliare fratri tuo.* Matt. 5. 24. Ita etiam illum, qui decem millia talenta debebat sibi, non punivit; conservum

autem centum denarios exigentem supplicio affecit. Deinde, ne timeret mulier, ne propter coitum esset immunda, dicit: 14. *Sanctificatus est enim vir infidelis per mulierem, & sanctificata est mulier infidelis per virum.* Atqui si is qui meretrici adhæret, unum corpus est, palam est eam quæ idololatræ adhæret, unum corpus esse: unum quidem est corpus; at non fit immunda: sed vincit munditia mulieris viri immunditiam; vincit quoque munditia viri fidelis immunditiam mulieris infidelis.

3. Cur ergo hic victa est immunditia, ideoque concubitus permittitur; in muliere autem adultera non crimini datur viro cum illam ejicit? Quia hic spes est fore ut per matrimonium pars illa quæ peribat salutem consequatur; illic vero matrimonium jam solutum est. Et illic quidem ambo corrumpuntur, hic vero alterius crimen est. Exempli causa: quæ fornicata fuit exsecranda certe est. Si ergo qui adhæret meretrici, unum corpus est, & impurus ille fit qui cum meretrice miscetur; ideo certe tota munditia avolat. Hic autem non sic; sed quomodo? Immundus est idololatra; sed mulier non est immunda. Nam si consors ipsi esset in illa re secundum quam immundus est, in impietate, inquam, ipsa quoque immunda foret. Nunc autem alio modo immundus est idololatra; in alia autem re ipsi jungitur uxor, in qua ille immundus non est. Connubium enim est & corporum mixtio, hujusmodi societas. Ad hæc vero spes est illum ab uxore revocatum iri, cui adhæret. Ille autem alius non ita facile (curabitur.) Quomodo illa uxor, quæ ipsum prius dedecore affecit, & alteri se dedidit, juraque matrimonii abolevit, injuria affectum revocare poterit; cum maxime ille quasi peregrinus maneat? Præterea autem post fornicationem maritus non est ultra maritus. Hic autem mulier, licet idola colat, viri jus non amittit: nec sine causa cum infideli habitat, sed ipso volente. Ideoque dixit: *Et ipse consentit habitare cum illa.* Quid enim, quæso, detrimenti fuerit, cum ea quæ ad religionem spectant integra maneant, & de infideli bona spes sit, si conjugati simul maneant, nec superflui belli occasio inducatur? Neque enim hic loquitur de iis qui nondum juncti sunt, sed de conjugatis. Non enim dixit: Si quis velit accipere infidelem; sed, Si quis habet infidelem; id est, si quis postquam connubio junctus fuerit, accipiat verbum piæ religionis; deinde pars altera manserit in infidelitate, velitque tamen una habitare, ne separetur. Sanctificatur enim, inquit, vir infidelis per uxorem. Tanta est munditiæ tuæ copia. Quid ergo, Sanctus-ne est Gentilis? Nequaquam: non enim dixit, Sanctus est; sed, Sanctificatus est per uxorem. Hoc porro dixit, non ut sanctum illum declararet; sed ut

Conjugati quorum alter est infidelis, non separandi.

A ἑκατὸν δὲ δηνάρια ἀπαιτοῦντα τὸν σύνδουλον ἐτιμωρήσατο. Εἶτα ἵνα μὴ φοβῆται ἡ γυνὴ, ὡς ἀκάθαρτος γινομένη διὰ τὴν μίξιν, φησίν· ἡγίασται γὰρ ὁ ἀνὴρ ἄπιστος ἐν τῇ γυναικὶ, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί. καίτοι εἰ ὁ τῇ πόρνῃ κολλώμενος, ἓν σῶμά ἐστιν, εὔδηλον ὅτι καὶ ἡ τῷ εἰδωλολάτρῃ κολλωμένη, ἓν σῶμά ἐστιν· ἓν μὲν σῶμά ἐστιν, ἀλλ᾽ οὐ γίνεται ἀκάθαρτος, ἀλλὰ νικᾷ ἡ καθαρότης τῆς γυναικὸς τὴν ἀκαθαρσίαν τοῦ ἀνδρὸς, καὶ νικᾷ ἡ καθαρότης τοῦ πιστοῦ ἀνδρὸς πάλιν τὸ ἀκάθαρτον τῆς ἀπίστου γυναικός.

B Πῶς οὖν ἐνταῦθα μὲν νενίκηται τὸ ἀκάθαρτον, διὸ καὶ ἐπιτέτραπται ἡ συνουσία· ἐπὶ δὲ τῆς πορνευομένης γυναικὸς οὐ κατηγορεῖται ἐκβάλλων αὐτὴν ὁ ἀνήρ; ὅτι ἐνταῦθα μὲν ἐλπὶς σώζεσθαι τὸ ἀπολωλὸς μέρος διὰ τοῦ γάμου· ἐκεῖ δὲ ὁ γάμος ἤδη διαλέλυται· κἀκεῖ μὲν ἀμφότεροι διαφθείρονται, ἐνταῦθα δὲ θατέρου τὸ ἔγκλημα. οἷον τι λέγω· ἔστιν ἡ πορνευθεῖσα καθάπαξ, μιαρά. Εἰ τοίνυν ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι, καὶ αὐτὸς γίνεται μιαρὸς πορνευούσῃ μιγνύμενος, διὰ τοῦτο ἀφίπταται ἡ καθαρότης ἅπασα. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ πῶς; ἔστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἀλλ᾽ ἡ C γυνὴ οὐκ ἔστιν ἀκάθαρτος. Εἰ μὲν γὰρ ἐκοινώνει αὐτῷ κατὰ τοῦτο, καθὸ ἀκάθαρτος ἦν, λέγω δὲ κατὰ τὴν ἀσέβειαν, ἔμελλε καὶ αὐτὴ ἀκάθαρτος γίνεσθαι· νυνὶ δὲ ἑτέρως μέν ἐστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἐν ἑτέρῳ δὲ αὐτῷ πράγματι κοινωνεῖ ἡ γυνὴ, ἐν ᾧ οὐκ ἔστιν ἀκάθαρτος. γάμος γάρ ἐστι, καὶ μίξις σωμάτων, καθὸ ἡ κοινωνία. πάλιν τοῦτον μὲν ἐλπὶς ἀνακληθῆναι ὑπὸ τῆς γυναικὸς, ᾠκείωται γὰρ αὐτῇ· ἐκεῖνον δὲ οὐ σφόδρα εὔκολον. πῶς γὰρ ἡ τὸν ἔμπροσθεν ἀτιμάσασα χρόνον, καὶ γενομένη ἑτέρου, καὶ τὰ τοῦ γάμου δίκαια ἀφανίσασα, ἀνακαλέσασθαι δυνήσεται τὸν ἠδικημένον, πρὸς τούτοις D καὶ τὸν μένοντα ὡς ξένον; πάλιν ἐκεῖ μὲν μετὰ τὴν πορνείαν ὁ ἀνὴρ οὐκ ἔστιν ἀνήρ· ἐνταῦθα δὲ, κἂν εἰδωλολάτρις ἡ γυνὴ, τοῦ ἀνδρὸς τὸ δίκαιον οὐκ ἀπόλλυται. οὐχ ἁπλῶς δὲ συνοικίζει τῷ ἀπίστῳ, ἀλλὰ τῷ βουλομένῳ. διὸ εἶπε, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτῆς. ποῖον γὰρ, εἰπέ μοι, βλάβος, ὅταν καὶ τὰ τῆς εὐσεβείας ἀκέραια διαμένῃ, καὶ ἐλπίδες ὦσι χρησταὶ περὶ τοῦ ἀπίστου, μένειν τοὺς ἤδη ζευχθέντας, καὶ μὴ περιττῶν πολέμων ὑποθέσεις εἰσάγειν; οὐ γὰρ περὶ τῶν μηδέπω συνελθόντων διαλέγεται νῦν, ἀλλὰ E περὶ τῶν ἤδη συνελθόντων. οὐ γὰρ εἶπεν, εἴ τις βούλεται λαβεῖν ἄπιστον, ἀλλ᾽, εἴ τις ἔχει ἄπιστον. οἷον εἴ τις μετὰ τὸ γαμῆσαι ἢ γαμηθῆναι ἐδέξατο τὸν λόγον τῆς εὐσεβείας, εἶτα θάτερον μέρος ἐναπέμεινε τῇ ἀπιστίᾳ, καὶ στέργει τὸ συνοικεῖν, μὴ διαῤῥηγνύσθω. ἡγίασται γὰρ, φησιν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί. τοσαύτη ἡ περιουσία τῆς σῆς καθαρότητος. τί οὖν, ἅγιός ἐστιν ὁ Ἕλλην; οὐδαμῶς. οὐ γὰρ εἶπεν, ἅγιός ἐστιν, ἀλλ᾽ ἡγίασται ἐν τῇ γυναικί. τοῦτο δὲ εἶπεν, οὐχ ἵνα δείξῃ ἐκεῖνον ἅγιον, ἀλλ᾽ ἵνα ἐκ περιουσίας τὸν φόβον ἐξέλῃ τῆς γυναικὸς,

κἀκεῖνον εἰς ἐπιθυμίαν ἀγάγῃ τῆς ἀληθείας. οὐ γὰρ τῶν σωμάτων τὸ ἀκάθαρτον, ὧν ἐστιν ἡ κοινωνία, ἀλλὰ τῆς προαιρέσεως καὶ τῶν λογισμῶν. εἶτα καὶ ἀπόδειξις. εἰ γὰρ [a] ἀκάθαρτος μένουσα γεννᾷς, τὸ δὲ παιδίον οὐκ ἀπὸ σοῦ μόνης, ἀκάθαρτον ἄρα τὸ παιδίον, ἢ ἐξ ἡμισείας καθαρόν· νυνὶ δὲ οὐκ ἔστιν ἀκάθαρτον. διὸ καὶ ἐπήγαγεν, ἐπεὶ τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νυνὶ δὲ ἅγιά ἐστι, τουτέστιν, οὐκ ἀκάθαρτα. αὐτὸς δὲ ἅγια ἐκάλεσε, τῇ περιουσίᾳ τῆς λέξεως πάλιν ἐκβάλλων τῆς τοιαύτης ὑποψίας τὸ δέος. εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. ἐνταῦθα γὰρ οὐκέτι πορνεία τὸ πρᾶγμά ἐστι. τί δέ ἐστιν, εἰ δὲ ὁ ἄπιστος χωρίζεται; οἷον εἰ κελεύει σοι θύειν καὶ κοινωνεῖν αὐτῷ τῆς ἀσεβείας διὰ τὸν γάμον, ἢ ἀναχωρεῖν, βέλτιον διασπασθῆναι τὸν γάμον, καὶ μὴ τὴν εὐσέβειαν. διὸ ἐπήγαγεν· οὐ δεδούλωται ὁ ἀδελφὸς, ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις. εἰ καθ' ἑκάστην ἡμέραν πυκτεύοι καὶ πολέμους παρέχοι διὰ τοῦτο, βέλτιον ἀπαλλαγῆναι. τοῦτο γὰρ αἰνίττεται, λέγων, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. ἐκεῖνος γὰρ λοιπὸν τὴν αἰτίαν παρέσχεν, ὥσπερ καὶ ὁ πορνεύσας. τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; πρὸς τὸ, μὴ ἀφιέτω αὐτὸν, τοῦτο πάλιν. εἰ γὰρ μὴ στασιάζει, μένε φησὶν, ἔχει γὰρ καὶ κέρδος, μένε, καὶ παραίνει, καὶ συμβούλευε, καὶ πεῖθε. οὐδεὶς γὰρ οὕτω [b] διδάσκαλος ἰσχύσαι δυνήσεται, ὡς γυνή. καὶ οὔτε ἀνάγκην ἐπιτίθησιν αὐτῇ καὶ πάντως ἀπαιτεῖ παρ' αὐτῆς τὸ πρᾶγμα, ἵνα μὴ πάλιν φορτικώτερον ἐργάσηται, οὔτε ἀπογινώσκειν κελεύει, ἀλλ' ἀφίησιν αὐτὸ τῇ τοῦ μέλλοντος ἀδηλίᾳ μετέωρον, λέγων, τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; καὶ πάλιν. εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεὸς, ἕκαστον ὡς κέκληκεν ὁ κύριος, οὕτω περιπατείτω. περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν θεοῦ. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. δοῦλος ἐκλήθης; μή σοι μελέτω. ταῦτα εἰς τὴν πίστιν οὐδὲν συντελεῖ, φησι· μὴ τοίνυν φιλονείκει, μηδὲ θορυβοῦ. ἡ γὰρ πίστις πάντα ἐξέβαλε ταῦτα. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. γυναῖκα ἔχων ἄπιστον ἐκλήθης; μένε ἔχων· μὴ διὰ τὴν πίστιν ἐκβάλῃς τὴν γυναῖκα. δοῦλος ὢν ἐκλήθης; μή σοι μελέτω· μένε δουλεύων. ἀκρόβυστος ὢν ἐκλήθης; μένε ἀκρόβυστος. ἐμπερίτομος ὢν ἐπίστευσας; μένε ἐμπερίτομος. τοῦτο γάρ ἐστιν, ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεός. ταῦτα γὰρ οὐκ ἔστι κωλύματα εἰς εὐσέβειαν. σὺ δοῦλος ὢν ἐκλήθης, ἄλλος γυναῖκα ἔχων ἄπιστον, ἄλλος περιτετμημένος.

Βαβαὶ, ποῦ τὴν δουλείαν ἔθηκεν; ὥσπερ οὐδὲν ὠφελεῖ ἡ περιτομὴ, οὐδὲ βλάπτει ἡ ἀκροβυστία,

[a] Reg. ἀκάθαρτος μένων γεννᾷς.

[b] Reg. διδάσκαλος πεῖσαι δυνήσεται, bene.

A hinc magis uxoris metum depelleret, ipsumque ad veritatis desiderium induceret. Non enim in corporibus conjugatis est immunditia; sed in libero arbitrio & cogitationibus. Hinc sequitur probatio. Si enim immunda manens gignis; infans autem non est ex te sola; immundus ergo est infans, aut ex dimidia parte mundus. Nunc autem non est immundus. Ideoque subjungit: *Alioquin filii vestri immundi essent; nunc autem sancti sunt;* id est, non immundi. Ille vero sanctos ipsos vocavit, ut vi verborum hujusmodi, B suspicionis metum eliminaret. 15. *Si autem infidelis discedit, discedat.* Hic enim nulla est fornicatio. Quid sibi vult autem illud: Infidelis si discedit aut separatur? Verbi gratia si te jubet sacrificare aut sociam impietatis esse propter connubium, vel discedere; melius est disrumpi connubium, quam piam religionem. Quapropter subdit: *Non enim servituti subjectus est frater aut soror in ejusmodi rebus.* Si quotidie ea de causa pugnet & bellum moveat, melius est separari. Hoc enim subindicat cum dicit: *In pacem autem vocavit nos Deus.* C Ille enim causam præbuit, ut is qui fornicatus est. 16. *Quid enim scis, mulier, si virum salvum facies?* Hoc refertur ad illud, *Ne dimittat ipsum.* Nam si turbas non movet: mane, inquit, hinc enim lucrum refertur; mane, hortare, consilium dato & persuade. Nullus enim doctor tantum poterit, quantum uxor. Neque imponit illi necessitatem, neque rem ab illa exigit, ne gravius onus imponat, jubetque ne desperet; sed rem in futuro incertam & suspensam relinquit, dicens: *Quid enim scis mulier si virum salvum facies? Aut quid scis vir si muliem salvam facies?* D Et rursum: 17. *Nisi unicuique sicut divisit Deus: unumquemque sicut vocavit Dominus, ita ipse ambulet.* 18. *Circumcisus vocatus est aliquis? non adducat præputium. In præputio aliquis vocatus est? non circumcidatur.* 19. *Circumcisio nihil est, & præputium nihil est: sed observatio mandatorum Dei.* 20. *Unusquisque in qua vocatione vocatus est, in ea permaneat.* 21. *Servus vocatus es? non sit tibi curæ.* Hæc ad fidem nihil conferunt, inquit. Ne ergo contendas, neque turberis. Fides enim hæc omnia ejecit. Unusquis- E que in qua vocatione vocatus est, in ea permaneat. Uxorem habens infidelem vocatus es? mane cum illa: ne propter fidem ejicias uxorem. Servus vocatus es? ne sit tibi curæ: servus mane. Præputium habens credidisti? cum præputio mane; circumcisus credidisti, mane circumcisus. Hoc enim sibi vult illud: Unusquisque sicut divisit Deus. Hæc quippe non sunt impedimenta ad pietatem. Tu cum servus esses vocatus es; alius uxorem habens infidelem; alius circumcisus.

4. Papæ! ubinam servitutem posuit? Ut nihil juvat circumcisio, nihilque nocet

præputium, sic neque servitus, neque libertas. Utque illud longe clarius ostendat, ait: *Sed si potes fieri liber, magis utere;* hoc est, magis servias. Et cur eum qui possit liber effici, jubet servum manere? Ut ostendat servitutem nihil lædere, imo prodesse. Neque ignoramus quosdam esse qui illud, *magis utere*, de libertate dictum esse putent, dicentes, Si potes, libertatem adipiscere. Sed Pauli scopo valde oppositum esset hoc dictum, si hoc subindicaret. Neque enim ille dum servum consolatur, dicitque ipsum nihil lædi, juberet eum libertatem adipisci. Diceret enim fortasse quispiam: Quid igitur si non possim, an injuria vel damno afficior? Non hoc ergo dicit; sed ut supra explicavi, ostendere volens, nihil plus accedere si liber efficiatur, ait: Etiamsi penes te esset, ut libertatem acciperes, servus potius maneto. Deinde causam subjungit: 22. *Qui enim in Domino vocatus est servus, libertus est Domini: Similiter qui liber vocatus est, servus est Christi.* In iis enim quæ ad Christum spectant, inquit, ambo sunt pares: similiter & tu Christi servus, similiter herus tuus. Quomodo ergo servus, est libertus? Quia liberavit te, non tantum a peccato, sed etiam ab externa servitute, dum manes servus. Neque enim servum sinit esse servum, neque hominem manentem in servitute. Hoc enim mirabile est. Et quomodo servus liber est, manens servus? Quando ab animi morbis & affectibus liberatur. Quando divitias contemnit, iram cæterosque animi motus. 23. *Precio emti estis: nolite fieri servi hominum.* Hoc dictum est, non servis modo, sed etiam liberis. Potest enim qui servus sit, non esse servus, & qui liber, servus esse. Et quomodo qui servus est, servus non sit? Quando propter Deum omnia fecerit, quando non simulate egerit, quando non ad oculum servierit: hoc est hominibus servire, & esse liberum. Et quomodo rursum liber cum sit quispiam, servus efficitur? Quando apud homines malum obit ministerium, aut propter gulam, aut propter pecuniarum cupiditatem, aut propter potentiam. Nam qui talis est, etsi liber, servis omnibus demissior est. Hæc ambo considera. Servus erat Joseph, sed non hominum servus: ideoque in servitute liberorum omnium liberrimus erat. Heræ itaque non cessit, ad cupidinem suam famulum impellenti. Rursum illa libera erat, sed servis omnibus demissior, quæ famulo adulabatur ipsumque provocabat; sed libero non persuasit ut id faceret quod nollet. Non ergo servitus illa erat, sed suprema libertas. Quid enim illi ad virtutem impedimento fuit servitus? Audiant servi & liberi. Quis servivit, qui rogatus est, an quæ rogavit? quæ supplicavit, an qui

In iis quæ ad Christum spectant, servus & liber pares sunt.

A οὕτως οὐδὲ ἡ δουλεία, οὐδὲ ἡ ἐλευθερία. καὶ ἵνα δείξῃ τοῦτο σαφέστερον ἐκ περιουσίας, φησὶν, ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι, μᾶλλον δούλευε. καὶ τί δήποτε τὸν δυνάμενον ἐλευθερωθῆναι κελεύει μένειν δοῦλον; θέλων δεῖξαι, ὅτι οὐδὲν βλάπτει ἡ δουλεία, ἀλλὰ καὶ ὠφελεῖ. καὶ οὐκ [a] ἀγνοῶμεν ὅτι τινὲς, τὸ, μᾶλλον χρῆσαι, περὶ ἐλευθερίας φασὶν εἰρῆσθαι, λέγοντες, ὅτι εἰ δύνασαι ἐλευθερωθῆναι, ἐλευθερώθητι. πολὺ δὲ ἀπεναντίας τῷ τρόπῳ τοῦ Παύλου τὸ ῥῆμα, εἰ τοῦτο αἰνίττοιτο. οὐ

B γὰρ ἂν παραμυθούμενος τὸν δοῦλον, καὶ δεικνὺς οὐδὲν ἠδικημένον, ἐκέλευσε γενέσθαι ἐλεύθερον. εἶπε γὰρ ἄν τις ἴσως· τί οὖν ἂν μὴ δυνώμεθα, ἠδικήμεθα καὶ ἠλαττώμεθα; οὐ τοίνυν τοῦτό φησιν, ἀλλ', ὅπερ ἔφην, θέλων δεῖξαι ὅτι οὐδὲν πλέον γίνεται τῷ ἐλευθέρῳ γενομένῳ, φησὶ, κἂν κύριος ᾖς τοῦ ἐλευθερωθῆναι, μένε δουλεύων μᾶλλον. εἶτα καὶ τὴν αἰτίαν ἐπάγει, ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς, δοῦλός ἐστι τοῦ Χριστοῦ. ἐν γὰρ τοῖς κατὰ Χριστὸν, φησιν, ἀμφότεροι ἴσοι. ὁμοίως γὰρ καὶ σὺ τοῦ Χριστοῦ δοῦλος, ὁμοίως καὶ ὁ δεσπότης ὁ σός. πῶς οὖν

C ὁ δοῦλος, ἀπελεύθερος; ὅτι ἠλευθέρωσέ σε οὐ τῆς ἁμαρτίας μόνον, ἀλλὰ καὶ τῆς ἔξωθεν δουλείας μένοντα δοῦλον. οὐ γὰρ ἀφίησιν εἶναι δοῦλον, τὸν δοῦλον, οὐδὲ ἄνθρωπον μένοντα ἐν δουλείᾳ. τοῦτο γάρ ἐστι τὸ θαυμαστόν. καὶ πῶς ἐλεύθερός ἐστιν ὁ δοῦλος, μένων δοῦλος; ὅταν παθῶν ἀπηλλαγμένος ᾖ καὶ τῶν τῆς ψυχῆς νοσημάτων, ὅταν χρημάτων καταφρονῇ καὶ ὀργῆς καὶ τῶν ἄλλων τῶν τοιούτων παθῶν. τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. οὗτος ὁ λόγος οὐ πρὸς οἰκέτας μόνον, ἀλλὰ καὶ πρὸς ἐλευθέρους εἴρηται. ἔστι γὰρ καὶ δοῦλον ὄντα μὴ εἶναι δοῦλον, καὶ ἐλεύθερον ὄντα δοῦ-

D λον εἶναι. καὶ πῶς ὁ δοῦλος ὢν, οὐκ ἔστι δοῦλος; ὅταν διὰ τὸν θεὸν πάντα ποιῇ, ὅταν μὴ ὑποκρίνηται, μηδὲ κατ' ὀφθαλμοδουλείαν [b] ἀνθρώπων τι πράττῃ· τουτέστι, δουλεύοντα ἀνθρώποις ἐλεύθερον εἶναι. ἢ πῶς πάλιν ἐλεύθερός τις ὢν γίνεται δοῦλος ὅταν διακονῆται ἀνθρώποις πονηράν τινα διακονίαν ἢ διὰ γαστριμαργίαν, ἢ διὰ χρημάτων ἐπιθυμίαν, ἢ διὰ δυναστείαν. ὁ γὰρ τοιοῦτος, πάντων ἐστὶ δουλικώτερος, κἂν ἐλεύθερος ᾖ. σκόπει δὲ ταῦτα ἀμφότερα. δοῦλος ἦν ὁ Ἰωσὴφ, ἀλλ' οὐκ ἀνθρώπων δοῦλος. διὸ καὶ ἐν τῇ δου-

E λείᾳ πάντων [c] ἐλευθέρων ἐλευθερώτερος ἦν. τῇ δεσποίνῃ γοῦν οὐκ εἶξεν, εἰς ἅπερ ἠθέλησεν ἡ κεκτημένη. πάλιν ἐλευθέρα ἦν ἐκείνη, καὶ πάντων ἦν δουλικωτέρα, τὸν θεράποντα κολακεύουσα καὶ παρακαλοῦσα. ἀλλ' οὐκ ἔπεισε τὸν ἐλεύθερον, ὃ μὴ ἠθέλησε, ποιῆσαι. οὐκ ἄρα δουλεία τὸ πρᾶγμα ἦν, ἀλλ' ἐλευθερία ἡ ἀνωτάτω· τί γὰρ ἐνεποδίσθη πρὸς ἀρετὴν ἐκεῖνος ἀπὸ τῆς δουλείας; ἀκουέτωσαν δοῦλοι καὶ ἐλεύθεροι. τίς ἐδούλευσεν; ὁ ἀξιούμενος, ἢ ἡ ἀξιοῦσα; ἡ παρακαλοῦσα, ἢ ὁ

a ἀγνοῶμεν. Forte melius, ἀγνοοῦμεν.
b ἀνθρώπων deest in Reg.

c ἐλευθέρων deest in Reg. possetque illæso sensu omitti.

καταφρονῶν ἱκετευούσης; καὶ γάρ εἰσιν ὅροι δούλων παρὰ τοῦ θεοῦ κείμενοι· καὶ μέχρι ποῦ δεῖ φυλάττειν αὐτοὺς, καὶ τοῦτο νενομοθέτηται, καὶ ὑπερβαίνειν αὐτοὺς οὐ χρή. ὅταν γὰρ μηδὲν ὁ δεσπότης ἐπιτάττῃ τῶν μὴ δοκούντων τῷ θεῷ, ἕπεσθαι δεῖ καὶ πείθεσθαι· περαιτέρω δὲ μηκέτι. οὕτω γὰρ ὁ δοῦλος, ἐλεύθερος γίνεται. ἂν δὲ περαιτέρω προβῇς, κἂν ἐλεύθερος ᾖς, ἐγένου δοῦλος. τοῦτο γοῦν αἰνίττεται λέγων, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκέλευσε καταλιμπάνειν δεσπότας, καὶ ἐλευθέρους φιλονεικεῖν γίνεσθαι, πῶς παρῄνει λέγων, ἕκαστος ἐν τούτῳ μενέτω, ἐν ᾧ ἐκλήθη; καὶ ἀλλαχοῦ, ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, καὶ μὴ καταφρονείτωσαν οἱ πιστοὺς ἔχοντες δεσπότας, ὅτι ἀδελφοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ Ἐφεσίοις δὲ καὶ Κολασσαεῦσιν ἐπιστέλλων, τὰ αὐτὰ διατάττεται καὶ νομοθετεῖ. ὅθεν δῆλον ὅτι οὐ ταύτην ἀναιρεῖ τὴν δουλείαν, ἀλλὰ τὴν ἀπὸ τῆς κακίας καὶ ἐλευθέροις γινομένην, ἥπερ ἐστὶ χαλεπωτάτη, κἂν ἐλεύθερός τις ὢν αὐτῇ δουλεύῃ. τί γὰρ ἀπώναντο οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἐλεύθεροι ὄντες; οὐχὶ πάντων ἦσαν τῶν δούλων δουλικώτεροι, καὶ πρὸς τὸν πατέρα ψευδόμενοι, καὶ πρὸς τοὺς ἐμπόρους τὰ μὴ ὄντα λέγοντες, καὶ πρὸς τὸν ἀδελφόν; ἀλλ' οὐχ ὁ ἐλεύθερος τοιοῦτος, ἀλλὰ πανταχοῦ καὶ ἐν πᾶσιν ἀληθής. καὶ οὐδὲν αὐτὸν δουλώσασθαι ἠδυνήθη, οὐ δεσμὸς, οὐ δουλεία, οὐ δεσποίνης ἔρως, οὐ τὸ ἐν ἀλλοτρίᾳ εἶναι· ἀλλ' ἔμενεν ἐλεύθερος πανταχοῦ. τοῦτο γὰρ μάλιστά ἐστιν ἐλευθερία, ὅταν καὶ ἐν δουλείᾳ διαλάμπῃ.

Τοιοῦτον ὁ Χριστιανισμὸς, ἐν δουλείᾳ ἐλευθερίαν [a] χαρίζεσθαι. καὶ καθάπερ τὸ φύσει εὔτρωτον σῶμα, τότε δείκνυται ἄτρωτον, ὅταν δεξάμενον βέλος μηδὲν πάθῃ δεινόν· οὕτω καὶ ὁ ἀκριβῶς ἐλεύθερος τότε φαίνεται, ὅταν καὶ δεσπότας ἔχων μὴ δουλωθῇ. διὰ τοῦτο κελεύει δοῦλον μένειν. εἰ δὲ οὐ δυνατὸν δοῦλον ὄντα εἶναι Χριστιανὸν, οἷον χρὴ, πολλὴν τῆς εὐσεβείας ἀσθένειαν κατηγοροῦσιν Ἕλληνες· ἂν δὲ μάθωσιν ὅτι τὴν εὐσέβειαν οὐδὲν βλάπτει δουλεία, θαυμάσονται τὸ κήρυγμα. εἰ γὰρ θάνατος ἡμᾶς οὐ βλάπτει, οὐδὲ μάστιγες, οὐδὲ δεσμὰ, πολλῷ μᾶλλον δουλεία, πῦρ, καὶ σίδηρος, καὶ τυραννίδες μυρίαι, καὶ νόσοι, καὶ πενίαι, καὶ θηρία καὶ μυρία τούτων χαλεπώτερα οὐκ ἔβλαψαν τοὺς πιστοὺς, ἀλλὰ καὶ δυνατωτέρους ἐποίησαν· καὶ πῶς δουλεία βλάψαι δυνήσεται; οὐχ αὕτη βλάπτει ἡ δουλεία, ἀγαπητὲ, ἀλλ' ἡ φύσει δουλεία ἡ τῆς ἁμαρτίας. κἂν ταύτην μὴ ᾖς τὴν δουλείαν δοῦλος, θάρρει καὶ εὐφραίνου. οὐδείς σε οὐδὲν ἀδικῆσαι δυνήσεται, ἀδούλωτον ἔχοντα τὸ ἦθος. ἂν δὲ ταύτης ᾖς δοῦλος, κἂν μυριάκις ἐλεύθερος ᾖς, οὐδὲν ὄφελός σοι τῆς ἐλευθερίας. τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν ἀνθρώπῳ μὲν μὴ δουλεύῃς, τοῖς δὲ πάθεσι σεαυτὸν ὑποκατακλίνῃς; οἱ μὲν γὰρ ἄνθρωποι καὶ φείσασθαι ἐπίστανται πολλάκις,

[a] Reg. χαρίζεται.

A supplicantem despexit? Sunt enim termini servis a Deo positi: & quousque eos modum servare oporteat statutum est in legibus, quas prætergredi non licet. Cum enim herus nihil præcipit quod Deo displiceat, tunc obsequi & parere illi oportet; ulterius autem minime. Sic enim servus liber efficitur. Si ultra procedas, etiamsi liber sis, servus effectus es. Hoc itaque subindicat cum dicit: *Nolite fieri servi hominum.* Si autem non ita sit, & si jussit heros relinquere, & pro (1. Tim. 6. 1.) assequenda libertate contendere, quomodo hortabatur dicens: Unusquisque B in hoc maneat, in quo vocatus est? Et alibi: Quicumque sunt sub jugo servi, dominos suos omni honore dignos censeant, & non despiciant qui fideles habent dominos, quia fratres sunt qui beneficium consequuntur. Et Ephesiis atque Colossensibus scribens eadem ipsa præcipit & statuit. Unde palam est illum hanc servitutem non tollere, sed eam quæ per vitia etiam liberos invadit, quæ est gravissima, etiam si quis liber ipsi serviat. Quid enim lucrati sunt Josephi fratres liberi cum essent? Annon erant omnibus C servis serviliores, qui apud patrem mentirentur, & mercatoribus falsa narrarent, ut etiam fratri? At non talis erat liber ille, sed ubique & in omnibus verax: nihilque illum in servitutem redigere potuit, non vincula, non ipsa servitus, non heræ amor, non quod in aliena terra esset. Sed ubique liber mansit. Hoc enim maxime libertas est, quando ea in servitute quoque fulget.

(Josephus Jacobi filius in carcere liber.)

5. Talis res est Christianismus: in servitute libertatem elargitur. Ac sicut corpus, quod ex natura facile vulneratur, tunc invulnerabile ostenditur, cum ex- D cepto telo nihil grave patitur; sic qui vere liber est, tunc talis apparet quando etiam cum heros habet, non in servitutem redigitur. Ideo jubet illum servum manere. Si autem fieri non potest ut cum sit servus, sit Christianus qualem esse oportet, magnæ imbecillitatis piam religionem accusabunt Græci; quod si discant illam nihil a servitute lædi, prædicationem mirabuntur. Nam si neque mors nobis nocet, neque flagella, neque vincula, multo minus servitus, ignis, ferrum, mille tyrannides, morbi, paupertas, feræ, E & sexcenta his graviora fideles non læserunt, imo potentiores fecerunt. Et quomodo servitus nocere poterit? Non ipsa servitus nocet, dilecte, sed peccati servitus quæ vere talis est. Si hanc non subeas servitutem, confide & lætare: nullus tibi nocere poterit, ut qui mores habeas ab omni servitute liberos. Si vero peccati servus sis, etiam si millies liber fueris, nihil tibi libertas illa prodest. Quæ enim utilitas, quæso, si homini quidem non servias, sed animi morbis te subjicias? Homines quippe sæpe parcere sciunt, illi

vero domini nunquam tua pernicie satiantur. Homini servis? Sed herus quoque tibi servit, qui alimentum tibi ministrat, valetudinem tuam curat, vestes, calceos & alia omnia suppeditat. Neque ita tu times, ut ne dominum offendas, ut ille curat ne quid tibi ex necessariis desit. At ille accumbit, tu vero stas. Et quid hoc? Neque id apud illum tantum observatur; sed etiam apud te. Sæpe namque te recumbente & suaviter dormiente, ille non modo stat, sed etiam mille pœnis afficitur in foro, & molestius quam tu vigilat. Quid ergo tantum passus est Joseph ab hera, quantum illa a concupiscentia sua? Hic enim quæ illa jubere voluit, non fecit. Illa vero quæ domina ejus libido imperavit, omnia fecit: neque prius destitit, donec eam dedecore affecit. Qualis herus talia imperat? Qualis immanis tyrannus? Roga, inquit, servum tuum, adulare emtitio, supplica captivo: etiamsi respuerit, rursus insta, etiamsi sæpius dixeris, & ille non assensus fuerit, observa solitudinem, & vim facito, & te risu dignam præbe. Quid ignominiosius, quid turpius hisce verbis? Si autem ne ita quidem aliquid perfeceris, illum calumniare, & decipe conjugem. Vide quam illiberalia, quam turpia præcepta sint, quam immitia, quam sæva, quam furiosa. Quid tantum præceperit herus quivis, quantum lascivia tunc præcepit regiæ mulieri? Attamen non ausa est non obsequi. Joseph vero nihil tale passus, sed contraria omnia, quæ gloriam & honorem afferrent. Vis alium videre virum, cui sæva domina multa imperavit, nec ausus est ille non obsequi? Caïnum cogita; quanta nempe ab invidia jussa acceperit. Ut fratrem occideret imperavit, ut Deo mentiretur, patrem dolore afficeret, impudenter ageret: & omnia exsequutus est, ac nihil prætermisit. Ecquid miraris si hæc domina tantam vim habeat in uno, quæ integros sæpe populos perdidit? Judæos certe Madianitarum mulieres vinctos & fere captivos abduxerunt, cum formæ suæ concupiscentia illos omnes allexere. Hanc itaque servitutem ejiciens Paulus, dicebat: Ne sitis servi hominum; id est, ne obsequamini hominibus absurda imperantibus; imo ne vobis quidem ipsis. Deinde cum mentem erexisset, sublimemque fecisset, ait: 25. *De virginibus autem præceptum Domini non habeo: consilium autem do, tamquam misericordiam consequutus a Domino, ut sim fidelis.* Recto ordine procedens de virginitate deinceps mentionem facit. Postquam enim eos de continentia loquutus exercuit & composuit, ad id quod majus est egreditur, præceptum, inquit, non habeo; sed bonam rem esse puto. Quare? Eadem de causa, quam de continentia posuit. 27. *Alligatus es uxori? Noli quærere solutionem. Solutus es ab uxore? Noli quærere uxorem.* Hæc non sunt repugnantis prioribus; imo

*Invidiæ malum.*

A ἐκεῖνοι δὲ οἱ δεσπόται οὐδέποτε κορέννυνταί σου τῆς ἀπωλείας. δουλεύεις ἀνθρώπῳ; ἀλλὰ καὶ ὁ δεσπότης σοι δουλεύει, διακονούμενός σοι τὰ τῆς τροφῆς, ἐπιμελούμενός σου τῆς ὑγείας, καὶ ἐνδυμάτων, καὶ τῶν ὑποδημάτων, καὶ τῶν ἄλλων ἁπάντων φροντίζων. καὶ οὐχ οὕτω σὺ δέδοικας, μὴ προσκρούσῃς τῷ δεσπότῃ, ὡς ἐκεῖνος δέδοικε μή τι τῶν ἀναγκαίων ἐπιλίπῃ σοι. ἀλλ' ἐκεῖνος κατάκειται, σὺ δὲ ἕστηκας. καὶ τί τοῦτο; οὐδὲ γὰρ τοῦτο παρ' αὐτῷ μόνον, ἀλλὰ καὶ παρὰ σοί. πολλάκις γοῦν σου κατακειμένου καὶ ὑπνοῦντος ἡδέως, ἐκεῖνος B οὐχ ἕστηκε μόνον, ἀλλὰ καὶ μυρίας ὑπομένει βίας ἐπὶ τῆς ἀγορᾶς, καὶ ἀγρυπνεῖ σου χαλεπώτερον. τί γοῦν τοιοῦτον ἔπαθε παρὰ τῆς δεσποίνης ὁ Ἰωσὴφ, οἷα παρὰ τῆς ἐπιθυμίας ἐκείνη; ἐκεῖνος μὲν γὰρ, ἃ ἐπιτάξαι ἠθέλησεν ἐκείνη, οὐκ ἐποίησεν· ἐκείνη δὲ, ἃ ἐπέταξεν ἡ δέσποινα αὐτῆς, ἡ ἀσέλγεια λέγω, πάντα ἔπραξε· καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν αὐτὴν κατῄσχυνεν. ποῖος ταῦτα ἐπιτάττει δεσπότης; ποῖος τύραννος ὠμός; δεήθητί σου τοῦ δούλου, φησὶ, κολάκευσον τὸν ἀργυρώνητον, ἱκέτευσον τὸν αἰχμάλωτον· κἂν διαπτύσῃ, πάλιν ἐπίμεινον· κἂν πολλάκις εἴπῃς, καὶ μὴ ἀνάσχηται, ἐπι- C τήρησον ἐρημίαν, καὶ βίασαι, καὶ γενοῦ καταγέλαστος. τί ἀτιμότερον, τί δὲ τούτων αἰσχρότερον τῶν ῥημάτων; ἂν δὲ μηδὲν μηδὲ οὕτως ἀνύσῃς, καὶ συκοφάντησον, καὶ ἀπάτησον τὸν συνοικοῦντα. ὅρα πῶς ἀνελεύθερα, πῶς αἰσχρὰ τὰ ἐπιτάγματα, πῶς ἀπηνῆ, καὶ ὠμὰ, καὶ μανικά. τί τοιοῦτον ἐπιτάττει ὁ δεσπότης, οἷα ἐπέταξεν ἡ ἀσέλγεια τῇ βασιλίσσῃ γυναικὶ τότε ἐκείνῃ; ἀλλ' ὅμως οὐκ ἐτόλμησε παρακοῦσαι. ὁ δὲ Ἰωσὴφ οὐδὲν τοιοῦτον ὑπέμεινεν, ἀλλὰ τὰ ἐναντία πάντα, ἃ δόξαν ἔφερε καὶ τιμήν. βούλει καὶ ἕτερον ἄνδρα ἰδεῖν ὑπὸ δεσποίνης χαλεπῆς πολλὰ ἐπιταττόμενον, καὶ οὐδὲν τολμήσαντα πα- D ρακοῦσαι; ἐννόησον τὸν Κάϊν, ὅσα ὑπὸ τῆς βασκανίας ἐπετάγη. ἐπέταξεν ἐκείνη σφάξαι τὸν ἀδελφὸν, ψεύσασθαι τὸν θεὸν, λυπῆσαι τὸν πατέρα, ἀναισχυντῆσαι, καὶ πάντα ἐποίησε, καὶ οὐδὲν παρήκουσε. καὶ τί θαυμάζεις, εἰ ἐφ' ἑνὸς τοσαύτην ἔχει ἰσχὺν αὕτη ἡ δέσποινα; ὁλοκλήρους πολλάκις δήμους ἀπώλεσε. τοὺς γοῦν Ἰουδαίους αἱ γυναῖκες τῶν Μαδιναίων δεδεμένους σχεδὸν αἰχμαλώτους ἔλαβον, τῇ τῆς οἰκείας εὐμορφίας ἐπιθυμίᾳ τούτους χειρωσάμεναι πάντας. ταύτην τοίνυν τὴν δουλείαν ἐκβάλλων ὁ Παῦλος, ἔλεγε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, τουτέστι, μὴ πείθεσθε ἀνθρώποις ἄτοπα ἐπιτάττουσιν, E ἀλλὰ μηδὲ ἑαυτοῖς. εἶτα ἀνενεγκὼν τὴν διάνοιαν, καὶ ποιήσας ὑψηλὴν, φησι· περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. ὁδῷ καὶ τάξει προβαίνων καὶ τῆς παρθενίας μνημονεύει λοιπόν. ἐπειδὴ γὰρ τοῖς περὶ ἐγκρατείας αὐτοὺς ἐνεγύμνασέ τε καὶ ἐρρύθμισε λόγοις, ἐκβαίνει πρὸς τὸ μεῖζον, ἐπιταγὴν οὐκ ἔχω, λέγων, ἀλλὰ νομίζω καλὸν εἶναι. διὰ τί; διὰ τὴν αὐτὴν αἰτίαν, ἣν περὶ ἐγκρατείας τέθεικε. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ταῦτα οὐκ ἐναντιουμένου ἐστὶ τοῖς προτέροις,

ἀλλὰ καὶ σφόδρα συνᾴδοντος. καὶ γὰρ καὶ ἐκεῖ φησιν, εἰ μή τι ἂν ἐκ συμφώνου· ἐνταῦθά φησι, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον. τὸ γὰρ παρὰ γνώμην, λύσις ἐστίν· εἰ δὲ κατὰ γνώμην ἀμφότεροι ἐγκρατεύοιντο, οὐκ ἔστι λύσις.

Εἶτα ἵνα μὴ δόξῃ νομοθεσία εἶναι τοῦτο, ἐπήγαγεν· ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. Εἶτα τὰ παρόντα αἰτιᾶται, τὴν ἐνεστῶσαν ἀνάγκην, καὶ τὸν συνεσταλμένον καιρὸν, καὶ τὴν θλῖψιν. πολλὰ γὰρ ὁ γάμος ἐπισύρεται, ἅπερ ᾐνίξατο καὶ ἐνταῦθα, καὶ ἐν τῷ περὶ ἐγκρατείας λόγῳ, ἐκεῖ μὲν εἰπὼν, ὅτι οὐκ ἔχει ἐξουσίαν ἑαυτῆς ἡ γυνὴ, ἐνταῦθα δὲ εἰπὼν, δέδεσαι. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. οὐ περὶ τῆς παρθενίας ἑλομένης· ἤδη γὰρ αὕτη ἥμαρτεν. εἰ γὰρ αἱ χῆραι κρίμα ἔχουσι δευτέροις [a] ὁμιλοῦσαι γάμοις, ἐὰν ἅπαξ ἕλωνται χηρείαν, πολλῷ μᾶλλον αἱ παρθένοι. θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. ἀλλὰ καὶ ἡδονὴν, φησιν. ἀλλὰ καὶ ταύτην ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ, εἰπὼν, ὁ καιρὸς συνεσταλμένος ἐστί· τουτέστιν, ἀποδημεῖν κελευόμεθα καὶ ἐξιέναι λοιπὸν, σὺ δὲ ἐνδοτέρω τρέχεις. καίτοι εἰ καὶ μηδὲν εἶχεν ἐπαχθὲς ὁ γάμος, καὶ οὕτως ἐπείγεσθαι πρὸς τὰ μέλλοντα ἔδει· ὅταν δὲ καὶ θλῖψιν ἔχῃ, τί δεῖ φορτίον ἐπισύρεσθαι; τί χρὴ λαβεῖν τοσοῦτον ὄγκον, ὅταν καὶ μετὰ τὸ λαβεῖν οὕτω δέοι χρῆσθαι, ὡς μὴ ἔχοντα; καὶ γὰρ οἱ ἔχοντες γυναῖκας, φησιν, ἵνα ὡς μὴ ἔχοντες ὦσιν. Εἶτα ἐνθεὶς τι καὶ τῶν μελλόντων, πάλιν πρὸς τὸ παρὸν ἤγαγε τὸν λόγον. τὰ μὲν γὰρ πνευματικά ἐστιν· ὅτι ἡ μὲν τὰ τοῦ ἀνδρὸς, ἡ δὲ τὰ τοῦ θεοῦ μεριμνᾷ· τὰ δὲ τοῦ παρόντος βίου, τὸ, θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ἀλλ' ὅμως καὶ οὕτως ἀφίησι κυρίους. ὁ γὰρ μετὰ τὸ ἀποδεῖξαι τὸ αἱρετὸν πάλιν ἀναγκάζων, δοκεῖ μὴ θαῤῥεῖν τοῖς ἑαυτοῦ λόγοις. ὥστε τῇ συγχωρήσει μᾶλλον ἐπηγάγετο καὶ κατεῖχεν εἰπών· τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον. ἀκουέτωσαν αἱ παρθένοι, ὅτι οὐκ ἐν τούτῳ ὥρισται ἡ παρθενία. ἡ γὰρ μεριμνῶσα τὰ τοῦ κόσμου, οὐδ' ἂν εἴη παρθένος, οὐδὲ εὐσχήμων. Εἰπὼν γὰρ, μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος, τοῦτο τέθεικε τὸ διάφορον, καὶ ᾧ διεστήκασιν ἀλλήλων. καὶ ὅρον διδοὺς τῆς παρθένου καὶ τῆς οὐ παρθένου, οὐ γάμον εἶπεν, οὐδὲ ἐγκράτειαν, ἀλλὰ ἀπραγμοσύνην, καὶ πολυπραγμοσύνην. οὐ γὰρ ἡ μίξις πονηρὸν, ἀλλὰ τὸ ἐμποδίζεσθαι πρὸς φιλοσοφίαν. Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει. ἐνταῦθα δοκεῖ μὲν ὑπὲρ γάμου διαλέγεσθαι· τὸ δὲ πᾶν περὶ παρθενίας φησίν. ἐπεὶ καὶ δεύτερον συγχωρεῖ γάμον,

[a] Sic Reg. & Savil. Morel. male ὁμιλοῦσι.

valde iis assentientis. Nam & illic ait: nisi forte ex consensu; hic vero dicit: *alligatus es uxori? noli quærere solutionem.* Hoc porro contrarium non est. Nam quod præter mentem est & voluntatem, est solutio. Si autem continuerint ex utriusque consensu, non est solutio.

6. Deinde ne hoc videatur lex esse, subjunxit: 28. *Si autem acceperis uxorem, non peccasti.* Sub hæc præsentium causam affert, instantem necessitatem, tempus contractum, & tribulationem. Multa namque connubium secum trahit, quæ & hic subindicavit, & in sermone de continentia: illic quidem dicens mulierem non sui potestatem habere; hic autem, *Solutus es. Si autem uxorem acceperis, non peccasti:* non de ea loquens quæ virginitatem elegit; ipsa enim jam peccavit. Nam si viduæ in crimen vocantur, cum secundas nuptias contraxerint, si semel elegerint viduitatem; multo magis virgines. *Tribulationem tamen carnis habebunt hujusmodi.* Atqui etiam voluptatem, inquies. Sed vide quomodo illam temporis brevitate contraxerit, dicens: 29. *Tempus breve est:* id est, jubemur peregrinari & excedere demum: tu vero interius curris. Atqui etiamsi nihil molestum haberet matrimonium, ad futura tamen festinare oporteret; cum autem molestiam secum trahat, quid opus est onus attrahere? Cur tantam suscipere molem, quando postquam susceperis, ita uti illa oportet ac si non haberes? Etenim ait, *qui habent uxores, tamquam non habentes sint.* Deinde cum de futuris quid interposuisset, rursus ad præsens tempus sermonem reducit. Etenim alia sunt spiritualia: illa quippe quæ viri sunt, hæc autem quæ sunt Dei curat; alia vero sunt præsentis vitæ; illud nempe, *Volo autem vos sine sollicitudine esse.* Attamen illud quoque in eorum potestatem remittit. Nam qui postquam ostendit id quod est eligendum, rursus cogit, videtur non suis fidere verbis. Quapropter concessione magis ipsos induxit & retinuit dicens: 35. *Porro hoc ad utilitatem vestram dico, non ut laqueum vobis injiciam; sed ad id quod honestum est; & quod facultatem præbeat (sine impedimento Dominum obsecrandi.)* Audiant virgines quod virginitas in hoc non terminetur. Nam quæ res mundi curat, nec virgo fuerit, nec honesta. Cum dixisset enim, *Divisa est mulier & virgo,* hanc differentiam posuit, & qua in re discrepent dixit. Ac cum definitionem dedit virginis & non virginis, non nuptias, non continentiam dixit, sed sollicitudinis vacuitatem & magnam sollicitudinem. Non enim coïtus malus est, sed impedimentum ad philosophiam malum. 36. *Si quis autem turpem se videri existimat super virgine sua.* Hic videtur quidem de matrimonio loqui; totum autem dicit de virginitate: nam & secundum concedit

matrimonium, tantum *in Domino*. Quid A est illud, *in Domino?* Cum castitate, cum honestate. Hac enim ubique est opus, ipsamque insequi oportet: alioquin ne licet quidem Deum videre. Si autem præterivimus ea quæ dicenda erant de virginitate, nemo nos negligentiæ condemnet. Librum enim integrum in eam rem edidimus, & cum ibi accurate quantum potuimus illam rem tractaverimus, supervacaneum esse duximus eadem ipsa hic repetere. Quamobrem illo remittentes auditorem, hic illud dicemus, continentiam esse sectandam. Nam ait ille: *Pacem persequimini & sanctificationem:* B *sine qua nemo videbit Dominum.* Ut ergo eum videre dignemur; sive in virginitate degamus, sive in primis sive in secundis nuptiis, hanc persequamur, ut regnum cælorum adipiscamur, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

Chrysostomus librum de virginitate edidit.

μόνον ἐν κυρίῳ λέγων. τί δέ ἐστιν, ἐν κυρίῳ; μετὰ σωφροσύνης, μετὰ κοσμιότητος. ταύτης γὰρ πανταχοῦ χρεία, καὶ δεῖ ταύτην διώκειν. ἄλλως γὰρ οὐκ ἔστιν ἰδεῖν τὸν θεόν. εἰ δὲ παρεδράμομεν τὰ περὶ τῆς παρθενίας, μηδεὶς ἡμῶν ὄκνον καταγινωσκέτω. [a] καὶ γὰρ ὁλόκληρον ἡμῖν βιβλίον εἰς τοῦτο σύγκειται τὸ χωρίον, καὶ μετὰ ἀκριβείας τῆς ἡμῖν ἐγχωρούσης ἐκεῖ πᾶσιν ἐπεξελθόντες, περιττολογίαν εἶναι ἐνομίσαμεν καὶ ἐνταῦθα πάλιν αὐτὰ ἐνθεῖναι. διόπερ ἐκεῖ παραπέμψαντες ὑπὲρ τούτων τὸν ἀκροατὴν, ἐνταῦθα ἐκεῖνο ἐροῦμεν, ὅτι τὴν ἐγκράτειαν δεῖ διώκειν. εἰρήνην γὰρ, φησι, διώκετε, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. ἵν' οὖν ἰδεῖν αὐτὸν καταξιωθῶμεν, κἂν ἐν παρθενίᾳ ὦμεν, κἂν ἐν πρώτῳ γάμῳ κἂν ἐν δευτέρῳ, ταύτην μεταδιώκωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XX.

## ΟΜΙΛΙΑ κ'.

CAP. VIII. 1. *De iis autem quæ idolis immolantur, scimus quod omnes scientiam habemus. Scientia inflat, caritas vero ædificat.* C

Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

1. NECESSE est primo dicere quid sibi velit hic locus; sic namque facile intelligetur quod dicturi sumus. Qui enim aliquem accusari videt, nisi prius peccati naturam noscat, quæ dicentur non intelliget. Qua ergo de re tunc Corinthios accusabat? Crimen erat magnum, ac multorum causa malorum. Quale illud? Multi ex illis cum didicissent, non quæ intrant inquinare hominem, sed quæ exeunt: & idola, D nempe ligna, lapides & dæmones nec nocere nec juvare posse, sine modo ullo hac perfecta rei cognitione utebantur, & in suum & in aliorum detrimentum. Nam ad idola ingrediebantur, & mensarum ibidem participes erant, hincque magnam inferebant perniciem. Nam qui adhuc idola timebant, nec contemnenda illa esse didicerant, cœnarum hujusmodi participes erant, cum perfectiores viderent idipsum facientes, & hinc maxime lædebantur. Neque enim eadem qua illi mente apposita, sed quasi idolis immolata habebant: & ea res via erat ad ido- E lolatriam. Et illi quoque qui perfectiores erant, non levi damno afficiebantur, dum mensis dæmonicis fruerentur. Et hoc crimen erat. Beatus autem vir, ut illud emendaret, non statim vehementi utitur oratione. Nam ex insipientia magis, quam ex malitia id designabatur: quare initio adhortatione magis opus erat

ΑΝΑΓΚΑΙΟΝ πρότερον εἰπεῖν τί βούλεται τουτὶ τὸ χωρίον. οὕτω γὰρ εὔληπτος ἔσται ὁ λόγος ἡμῖν. ὁ γὰρ ἐγκαλούμενόν τινα ὁρῶν, ἂν μὴ πρότερον ἴδῃ τοῦ ἁμαρτήματος τὴν φύσιν, οὐκ εἴσεται τίνα ἐστὶ τὰ λεγόμενα. τί ποτ' οὖν ἐστιν ὅπερ ἐνεκάλει τότε Κορινθίοις; ἔγκλημα μέγα καὶ πολλῶν αἴτιον κακῶν. ποῖον δὴ τοῦτο; πολλοὶ παρ' αὐτοῖς μαθόντες, ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα, καὶ ὅτι τὰ εἴδωλα, ξύλα καὶ λίθοι καὶ δαίμονες, οὔτε βλάψαι, οὔτε ὠφελῆσαι δυνάμενα, ἀμέτρως τῇ τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρηντο, καὶ εἰς τὴν ἑτέρων, καὶ εἰς τὴν ἑαυτῶν βλάβην. καὶ εἰς εἴδωλα εἰσῄεσαν, καὶ τῶν αὐτόθι μετεῖχον τραπεζῶν, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον. οἵ τε γὰρ ἔτι τὸν τῶν εἰδώλων ἔχοντες φόβον, καὶ οὐκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῶν δείπνων ἐκείνων, ἐπειδὴ τοὺς τελειοτέρους ἑώρων τοῦτο ποιοῦντας, καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο· οὐδὲ γὰρ μετὰ τῆς αὐτῆς ἐκείνοις γνώμης τῶν προκειμένων ἥπτοντο, ἀλλ' ὡς εἰδωλοθύτων, καὶ ὁδὸς ἐπὶ εἰδωλολατρείαν τὸ πρᾶγμα ἐγίνετο· αὐτοί τε οὗτοι οἱ δῆθεν τελειότεροι, οὐχ ὡς ἔτυχεν ἠδικοῦντο, δαιμονικῶν ἀπολαύοντες τραπεζῶν. τὸ μὲν οὖν ἔγκλημα τοῦτο ἦν· ὁ δὲ μακάριος οὗτος μέλλων αὐτὸ διορθοῦν, οὐκ εὐθέως [b] καταφορικῶς κέχρηται τῷ λόγῳ. καὶ γὰρ ἀνοίας μᾶλλον ἢ κακίας ἦν τὸ γινόμενον. διὸ καὶ παραινέσεως ἐν ἀρχῇ μᾶλλον ἐδεῖτο,

[a] Hic librum suum de Virginitate memorat, quem edidimus tomo 1. p. 268 Lege Monitum operi præmissum, ubi clare probatur idem ipsum opus & non aliud, in fine hujus Homiliæ 19. in Epist. ad Corinth. memorari.

[b] Morel. καταφρονικῶς male. Savil. καταφορικῶς. Reg. καταφορικῶς.

ἢ

ἢ ἐπιπλήξεως σφοδρᾶς καὶ ὀργῆς. σκόπει τοίνυν αὐτοῦ τὴν σύνεσιν, πῶς εὐθέως ἄρχεται τῆς νουθεσίας. περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. τοὺς ἀσθενεῖς ἀφεὶς, ὅπερ ἀεὶ ποιεῖ, τοῖς ἰσχύουσι διαλέγεται πρώτοις. τοῦτο γὰρ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐποίησεν εἰπών, σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; οὗτος γάρ ἐστιν ὁ καὶ ἐπιτίμησιν εὐκόλως δέξασθαι δυνάμενος. [a] ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ· καὶ κενοῖ τὸν τῦφον αὐτῶν πρῶτον, ὅπερ ἐνόμιζον αὐτῶν εἶναι ἐξαίρετον τὸ γνῶσιν ἔχειν τελείαν, τοῦτο κοινὸν ἀποφήνας. οἴδαμεν γάρ, φησιν, ὅτι πάντες γνῶσιν ἔχομεν. καὶ γὰρ εἰ ἀφεὶς αὐτοὺς μέγα φρονεῖν, πρῶτον ἔδειξεν ὅτι ἐπιβλαβὲς τὸ πρᾶγμα ἑτέροις, οὐδὲν ἂν τοσοῦτον ὠφέλησεν, ὅσον ἔβλαψεν. ἡ γὰρ φιλότιμος ψυχὴ, ὅταν ἐπί τινι καλλωπίζηται, κἂν ἑτέροις βλάβη τοῦτο, σφόδρα αὐτοῦ ἔχεται διὰ τὴν τῆς κενοδοξίας τυραννίδα. διὰ τοῦτο Παῦλος πρῶτον αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάζει, ὅπερ καὶ ἐπὶ τῆς σοφίας τῆς ἔξωθεν ἐν τοῖς ἔμπροσθεν ἐποίησε, καθαιρῶν αὐτὴν μεθ' ὑπερβολῆς. ἀλλ' ἐκεῖ μὲν τοῦτο εἰκότως ἐποίει· ὅλον γὰρ ἄξιον κατηγορίας ἦν, καὶ πολλὴ ἡ εὐκολία. διόπερ οὐδὲ περιττὸν αὐτὸ δείκνυσι μόνον, ἀλλὰ καὶ ἐναντίον τῷ κηρύγματι. ἐνταῦθα δὲ οὐκ ἐνῆν τοῦτο ποιῆσαι. γνῶσις γὰρ ἦν τὸ τελούμενον, καὶ γνῶσις τελεία. οὔτε οὖν αὐτὴν καταβαλεῖν ἀσφαλὲς ἦν, καὶ τὸν τῦφον ἄλλως οὐκ ἐνῆν ἐκβαλεῖν τὸν ἐπὶ ταύτῃ. τί οὖν ποιεῖ; πρῶτον τῷ δεῖξαι κοινὴν αὐτὴν οὖσαν, καταστέλλει τὸ φύσημα τὸ ἐκείνων. οἱ γὰρ ἔχοντές τι μέγα καὶ καλὸν, ὅταν μόνοι ἔχωσι, μᾶλλον ἐπαίρονται· ἂν δὲ μετὰ ἄλλων φανῶσιν αὐτὸ κεκτημένοι, οὐκέτι ὁμοίως τοῦτο πάσχουσι. πρῶτον μὲν οὖν αὐτὸ κοινοποιεῖ, ἐπειδὴ ἐκεῖνοι αὐτῶν αὐτὸ εἶναι ἐνόμιζον μόνων. ἔπειτα ποιήσας κοινὸν, οὐ τίθησιν ἑαυτὸν ἐν τῇ κοινωνίᾳ μόνον, ἐπεὶ καὶ οὕτως ἂν μᾶλλον αὐτοὺς ἐπῆρεν. ὥσπερ γὰρ τὸ μόνον ἔχειν ἐπαίρει, οὕτω κοινωνὸν ἕνα που καὶ δεύτερον ἔχειν τῶν ὑπερεχόντων, οὐκ ἔλαττον τοῦτο ποιεῖ. διὰ τοῦτο οὐχ ἑαυτὸν τίθησιν, ἀλλὰ πάντας. οὐ γὰρ εἶπεν, ὅτι καὶ ἐγὼ ἔχω γνῶσιν, ἀλλ', οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. ἑνὶ μὲν οὖν τούτῳ πρώτῳ κατέβαλεν αὐτῶν τὸ φρόνημα, δευτέρῳ δὲ σφοδροτέρως. ποίῳ δὴ τούτῳ; τῷ δεῖξαι ὅτι οὐδὲ αὐτὸ τὸ πρᾶγμα ἀπηρτισμένον ἐστὶν, ἀλλὰ καὶ σφόδρα ἀτελές· καὶ οὐ μόνον ἀτελὲς, ἀλλὰ καὶ βλαβερὸν, ἐὰν μὴ ᾖ συνεζευγμένον ἕτερον αὐτῷ. εἰπὼν γὰρ ὅτι γνῶσιν ἔχομεν, ἐπήγαγεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. ὥστε ὅταν χωρὶς ἀγάπης ᾖ, καὶ εἰς ἀπόνοιαν αἴρει. ἀλλ' οὐδὲ ἡ ἀγάπη, φησὶ, χωρὶς γνώσεως κέρδος ἔχει τι. ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλ' ὡς ὡμολογημένον ἀφεὶς, δείκνυσιν ὅτι σφόδρα δεῖται τοῦτο ἐκείνου. ὁ μὲν γὰρ ἀγαπῶν, ἅτε ἐντολὴν πληρῶν τὴν πασῶν κυριωτέραν, κἂν ἐλλείποντά τινα ἔχῃ,

[a] Ita Reg. melius quam editi, qui habent, ὃ δὴ καί.

A initio, quam vehementi increpatione & indignatione. Animadverte igitur ejus prudentiam, quomodo statim admonitionem incipiat: *De iis autem quæ idolis immolantur, scimus quod omnes scientiam habemus.* Infirmioribus relictis, quod semper facit, valentiores primum aggreditur. Hoc enim etiam in epistola ad Romanos fecit dicens: *Tu vero quid judicas fratrem tuum?* Hic enim est qui facilius possit increpationem accipere. Quod hic quoque facit: & primo fastum eorum evacuat, dum quod illi præcipuum putabant & perfectam scientiam, hoc commune esse pronunciavit: scimus enim, inquit, quod omnes scientiam habemus. Nam si illos altum sapere sinens, primo ostendisset rem esse aliis noxiam, non tantum utilitatis quantum damni attulisset. Ambitiosus quippe animus, cum aliqua re se ornari putat, etiamsi aliis sit noxia, eam accuratius retinet, ob vanæ gloriæ tyrannidem. Ideo Paulus primo rem ut in se est examinat, ut circa externam sapientiam superius fecit, illam omnino dejiciens. Sed illic quidem id jure faciebat; totum enim reprehensione dignum erat, & facilis res erat: quapropter id non modo supervacaneum, sed etiam prædicationi contrarium esse dixit. Hic autem non liceat ita facere: nam id de quo agebatur scientia erat, & scientia perfecta. Neque ergo eam dejicere tutum erat, nec aliter licebat fastum ex illa conceptum dejicere. Quid ergo facit? Primo illam ostendens esse communem, illorum fastum deprimit. Qui enim magnum quidpiam & pulcrum habent, si soli habeant, magis efferuntur; si vero cum aliis id possidere deprehendantur, non pari tunc modo affecti sunt. Primum igitur hoc commune ostendit, quoniam ipsi putabant id sibi tantum competere. Deinde postquam illud commune fecit: non se solum participem dicit: sic enim illos magis extulisset. Ut si unus tantum habeat se extollit; ita si unum tantum vel alterum ex præcipuis consortem habeat; non minoris rem facit. Ideo non se solum ponit, sed omnes. Non enim dixit, Ego scientiam habeo; sed, scimus quod omnes scientiam habemus. Hoc igitur priore dicto eorum fastum dejecit; secundo autem vehementius. Quodnam illud est? Quod ostendat rem non perfectam, imo admodum imperfectam esse; neque modo imperfectam; sed & noxiam, nisi sit aliud adjunctum. Cum dixisset enim, scientiam habemus, subjunxit; *Scientia inflat, caritas autem ædificat.* Itaque cum est sine caritate, ad arrogantiam extollit. At neque caritas, inquies, absque scientia aliquid lucri habet. Verum non hoc dixit; sed quod in confesso est relinquens, ostendit hoc illo valde egere. Nam qui diligit, utpote qui præceptum impleat omnium præstantissimum, etiamsi quid ipsi

Rom. 14. 10.

deficiat, cito per caritatem scientia fruetur, ut Cornelius, & alii multi. Qui autem scientiam quidem habet, sed non caritatem; non modo nihil assumet, sed ab illa quam habet excidet, sæpe in arrogantiam labens. Itaque scientia caritatem non parit, imo contra ab ea abscindit eum qui non attendit, dum illum inflat & extollit. Etenim arrogantia dividere solet. Caritas vero conjungit & ad scientiam adducit. Quod significans ille dicebat: *Si quis autem diligit Deum, hic cognitus est ab ipso.* (1. Cor. 8. 3.) Itaque non impedio, inquit, quominus perfecta scientia habeatur; sed ut cum caritate habeatur hoc præcipio: alioquin lucrum nullum, sed detrimentum.

2. Viden' quomodo jam viam parat ad sermonem, quem de caritate est habiturus? Nam quia hæc omnia mala hinc accidebant; non autem ex perfecta scientia; sed quod non admodum diligerent, nec rebus proximi parcerent; unde contingebat illos dissidere, efferri, cæteraque omnia evenire, de quibus ille & ante & post hæc redarguit; frequenter de caritate tractat, fontem omnium bonorum puriorem reddens. Quid ergo inflati estis, inquit, de scientia? Si enim caritatem non habueritis, hinc damnum accipietis. Quid enim arrogantia pejus? Si vero illud adsit, etiam hoc in tuto erit. Etiamsi enim aliquid amplius scias, quam proximus, si ames illum, non extollêris, sed ipsum quoque ad hoc deduces. Quamobrem cum dixisset, scientia inflat, addidit, caritas autem ædificat. Non dixit, Modeste se gerit, sed aliquid longe majus & utilius. Scientia enim non modo inflabat, sed etiam disjungebat. Ideoque hoc illi opposuit. Deinde tertium quoque ponit, quod illos possit dejicere. Quodnam illud est? Quod etiamsi conjuncta sit caritas, ne sic quidem perfecta sit scientia. Ideoque subjunxit: 2. *Si quis autem existimat se scire aliquid, nondum cognovit, quomodo oporteat eum scire.* Hæc opportune plaga infligitur. Non dico enim, inquit, scientiam communem esse omnibus. Non dico te qui odio habes proximum, & arrogans es, tibi ipsi maxime nocere. Etiamsi enim solus haberes, etiamsi modeste ageres, etiamsi fratrem diligeres, sic quoque imperfectus esses secundum scientiam. Nondum enim scis quidpiam, ut scire oportet. Quod si nullam adhuc accuratam scientiam habeamus, quomodo quidam in tantam insaniam processerunt, ut dicerent se Deum cum omni accuratione cognoscere: nam etiamsi omnium aliarum rerum accuratam scientiam haberemus, neque sic fieri posset ut hanc etiam haberemus? Quantum enim sit spatium inter Deum & alia omnia, ne dici quidem potest. Et vide quomodo illorum fastum dejiciat. Non enim dixit, De rebus propositis congruentem scientiam non habetis; sed de re qualibet. Neque dixit,

A ταχέως ἀπολαύσεται τῆς γνώσεως διὰ τὴν ἀγάπην, ὥσπερ ὁ Κορνήλιος, καὶ ἕτεροι πολλοί· ὁ δὲ γνῶσιν μὲν ἔχων, ἀγάπην δὲ μὴ ἔχων, οὐ μόνον οὐδὲν προσλήψεται, ἀλλὰ καὶ αὐτῆς ἐκπεσεῖται ἧς ἔχει, πολλάκις εἰς ἀπόνοιαν ἐμπεσών. ὥστε ἡ μὲν γνῶσις, ἀγάπης οὐκ ἔστι ποιητική, ἀλλὰ καὶ τοὐναντίον ἀποτειχίζει τὸν μὴ προσέχοντα, φυσιῶσα καὶ ἐπαίρουσα. τὸ γὰρ διαιρεῖν εἴωθεν ἡ ἀλαζονεία· ἡ δὲ ἀγάπη, καὶ συνάγειν καὶ πρὸς γνῶσιν ἄγειν. ὅπερ οὖν καὶ δηλῶν ἔλεγεν· εἰ δέ τις ἀγαπᾷ τὸν θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. ὥστε οὐ τοῦτο κωλύω, φησί, τὸ τε-

B λείαν γνῶσιν ἔχειν, ἀλλὰ τὸ μετὰ ἀγάπης ταύτην ἔχειν, τοῦτο κελεύω· ἐπεὶ κέρδος οὐδέν, ἀλλὰ καὶ βλάβος.

Ὁρᾷς ὅπως ἤδη προανακρούεται τὸν περὶ ἀγάπης λόγον; ἐπειδὴ γὰρ ταῦτα πάντα ἀπὸ τούτου συνέβαινε τὰ κακά, καὶ οὐκ ἀπὸ τελείας γνώσεως, ἀλλ' ἀπὸ τοῦ μὴ σφόδρα φιλεῖν, μηδὲ φείδεσθαι τοῦ πλησίον, ὅθεν καὶ τὸ διασπασθῆναι αὐτοὺς γέγονε, καὶ τὸ ἐπαίρεσθαι, καὶ τὰ ἄλλα πάντα ἅπερ αὐτοῖς ἐνεκάλεσε, καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα, συνεχῶς αὐτῆς ἐπιμελεῖται,

C τὴν πηγὴν τῶν ἀγαθῶν διορθούμενος. τί τοίνυν πεφυσιώσθε, φησιν, ἐπὶ τῇ γνώσει; ἂν γὰρ τὴν ἀγάπην μὴ ἔχητε, καὶ βλαβήσεσθε ἐντεῦθεν. τί γὰρ ἀλαζονείας χεῖρον; ἂν δὲ ἐκεῖνο προσῇ, καὶ τοῦτο ἔσται ἐν ἀσφαλείᾳ. κἂν γὰρ τι πλέον εἰδῇς τοῦ πλησίον, φιλῶν αὐτὸν οὐκ ἐπαίρῃ, ἀλλὰ ἄγεις καὶ αὐτὸν ἐπὶ τοῦτο. διὸ καὶ εἰπών, ἡ γνῶσις φυσιοῖ, ἐπήγαγεν, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. οὐκ εἶπε, μετριάζει, ἀλλὰ τὸ πολλῷ πλέον καὶ κερδαλεώτερον. οὐδὲ γὰρ ἐφύσα μόνον ἡ γνῶσις, ἀλλὰ καὶ διέσπα. διὰ τοῦτο ἐκείνῳ τοῦτο ἀντέ-

D θηκεν. εἶτα καὶ τρίτον τίθησι δυνάμενον αὐτοὺς καθελεῖν. ποῖον δὴ τοῦτο; ὅτι κἂν συνεζευγμένη ᾖ ἡ ἀγάπη, οὐδὲ οὕτως ἀπηρτισμένη ἐστὶν αὐτὴ ἡ γνῶσις. διὸ καὶ ἐπήγαγεν· εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, καθὼς δεῖ γνῶναι. αὕτη καιρία ἡ πληγή. οὐ λέγω γάρ, φησιν, ὅτι κοινὴ ἡ γνῶσις πάντων· οὐ λέγω ὅτι μισῶν τὸν πλησίον καὶ ἀπονοούμενος, τὰ μέγιστα σεαυτὸν καταβλάπτεις. κἂν γὰρ μόνος ἔχῃς, κἂν μετριάζῃς, κἂν φιλῇς τὸν ἀδελφόν, καὶ οὕτως ἀτελὴς εἶ κατὰ τὴν γνῶσιν.

E οὐδέπω γὰρ οὐδὲν οἶδας, ὡς δεῖ εἰδέναι. εἰ δὲ ἡμεῖς οὐδέπω ἀκριβῆ τὴν γνῶσιν ἔχομεν, πῶς τινες εἰς τοσοῦτον μανίας ἤλασαν, ὡς λέγειν τὸν θεὸν εἰδέναι μετὰ ἀκριβείας ἁπάσης· ὅπουγε εἰ καὶ πάντων εἴχομεν ἀκριβῆ γνῶσιν τὴν τῶν ἄλλων, οὐδὲ οὕτω δυνατὸν ἦν ἔχειν ταύτην οὕτως; ὅσον γὰρ αὐτοῦ πρὸς ἅπαντα τὸ μέσον, οὐδὲ εἰπεῖν ἔνι. καὶ ὅρα πῶς αὐτῶν κατέσπασε τὸ φύσημα. οὐ γὰρ εἶπεν, ὅτι περὶ τῶν προκειμένων οὐκ ἔχετε τὴν προσήκουσαν γνῶσιν, ἀλλὰ περὶ πάντων πραγμάτων. καὶ οὐκ εἶπεν,

ὅτι ὑμεῖς· ἀλλ' ὅτι οὐδ' ὁστισοῦν, κἂν Πέτρος ᾖ, κἂν Παῦλος, κἂν ὁστισοῦν. τούτῳ γὰρ καὶ παρεμυθήσατο, καὶ συνέστειλεν αὐτοὺς μετὰ ἀκριβείας. Εἰ δέ τις ἀγαπᾷ τὸν θεὸν, οὗτος, οὐκ εἶπεν, ἔγνω αὐτὸν, ἀλλ', ἔγνωσται ὑπ' αὐτοῦ. οὐ γὰρ ἡμεῖς αὐτὸν ἔγνωμεν, ἀλλ' ἡμᾶς αὐτὸς ἔγνω. [a] διὸ καὶ ὁ Χριστὸς ἔλεγεν, οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην· καὶ Παῦλος ἀλλαχοῦ, τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. σκόπει τοίνυν διὰ ὅσων κατήνεγκεν αὐτῶν τὸ φρόνημα. πρῶτον ἔδειξεν, ὅτι οὐ μόνοι ἐπίστανται, ἅπερ ἴσασι, πάντες γάρ, φησι, γνῶσιν ἔχομεν· ἔπειτα, ὅτι βλαβερὸν τὸ πρᾶγμα, χωρὶς ἀγάπης ὄν. ἡ γὰρ γνῶσις, φησι, φυσιοῖ· εἶτα, ὅτι καὶ μετὰ ἀγάπης ὂν, οὐκ ἀπηρτισμένον ἐστὶν, οὐδὲ τέλειον· εἰ γάρ τις δοκεῖ εἰδέναι τι, οὐδὲν οὐδέπω ἔγνωκε, φησι, καθὼς δεῖ γνῶναι· πρὸς τούτοις, ὅτι οὐδὲ αὐτὸ τοῦτο οἴκοθεν ἔχουσιν, ἀλλὰ τοῦ θεοῦ δωρησαμένου· οὐ γὰρ εἶπεν, ἔγνω τὸν θεὸν, ἀλλ', ἔγνωσται ὑπ' αὐτοῦ· εἶτα, ὅτι ἀπὸ ἀγάπης γίνεται τοῦτο αὐτὸ, ἣν οὐκ ἔχουσιν ὡς χρή· Εἰ γάρ τις, φησὶν, ἀγαπᾷ τὸν θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. διὰ τοσούτων τοίνυν χαλάσας τὴν αὐτῶν φλεγμονὴν, ἄρχεται δογματίζειν, οὕτω λέγων· περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς. θέα εἰς ὅσην στενοχωρίαν ἐνέπεσε. καὶ γὰρ ἀμφότερα βούλεται κατασκευάσαι, ὅτι τε ἀπέχεσθαι δεῖ τῆς τοιαύτης τραπέζης, καὶ ὅτι ἰσχὺν οὐκ ἔχει πρὸς τὸ βλάψαι τοὺς μετέχοντας· ἅπερ οὐ σφόδρα ἀλλήλοις συμβαίνοντα ἦν. μαθόντες γὰρ ὅτι οὐκ ἔχει βλάβην, ὡς ἀδιαφόροις ἔμελλον ἐπιτρέχειν· κωλυθέντες δὲ αὐτῶν ἅπτεσθαι, πάλιν ὑπώπτευον ὅτι ὡς ἰσχὺν ἐχόντων εἰς τὸ βλάπτειν ἐκωλύθησαν. διὰ δὴ τοῦτο καθελὼν τὴν τῶν εἰδώλων ὑπόνοιαν, αἰτίαν πρώτην τίθησι τοῦ ἀπέχεσθαι, τὰ σκάνδαλα τῶν ἀδελφῶν, οὕτω λέγων· περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ. πάλιν κοινὸν αὐτὸ ποιεῖ, καὶ οὐ συγχωρεῖ μόνων ἐκείνων γίνεσθαι τοῦτο, ἀλλ' ἐκτείνει τὴν γνῶσιν πανταχοῦ τῆς οἰκουμένης. οὐ γὰρ παρ' ὑμῖν μόνον, φησὶν, ἀλλὰ πανταχοῦ τῆς γῆς τοῦτο κρατεῖ τὸ δόγμα. ποῖον δὴ τοῦτο; ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς. οὐκ ἔστιν οὖν εἴδωλα; οὐκ ἔστι ξόανα; ἔστι μὲν, ἀλλ' οὐκ ἔχει τινὰ ἰσχύν· οὐδὲ θεοί εἰσιν, ἀλλὰ λίθοι καὶ δαίμονες. πρὸς γὰρ ἀμφοτέρους ἀποτείνεται νῦν, καὶ τοὺς παχυτέρους αὐτῶν, καὶ τοὺς δοκοῦντας φιλοσοφεῖν. ἐπειδὴ γὰρ οἱ μὲν οὐδὲν πλέον τῶν λίθων ἴσασιν, οἱ δὲ λέγουσι καὶ δυνάμεις τινὰς οἰκεῖν ἐν αὐτοῖς, ἃς καὶ θεοὺς καλοῦσι, πρὸς μὲν οὖν ἐκείνους φησὶν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ· πρὸς δὲ τούτους, ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς.

Ὁρᾷς πῶς οὐχ ἁπλῶς δογματίζων γράφει ταῦτα, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ἔξωθεν;

[a] Hic Regium codicem sequimur. In editis quædam necessaria deerant.

A vos tantum, sed, quicumque sit: etiamsi Petrus fuerit, etiamsi Paulus, etiamsi quivis alius. Hoc enim dicto illos accurate & consolatus est & repressit. 3. *Si quis autem diligit Deum, hic;* non dixit, novit eum; sed, *cognitus est ab eo.* Non enim nos ipsum novimus, sed ipse nos novit. Ideo dicebat Christus: *Non vos me elegistis, sed ego elegi vos.* Et Paulus alibi: *Tunc autem cognoscam sicut & cognitus sum.* Perpende igitur quot dictis illorum fastum deprimat. Primo ostendit illos non solos scire ea quæ sciunt; om- B nes enim, inquit, scientiam habemus: deinde rem esse noxiam, si sit sine caritate; nam scientia inflat, inquit. Postea, quod etiamsi sit cum caritate, id non absolutum sit neque perfectum: Si enim quis putat se scire aliquid, nondum scit, quemadmodum oportet scire. Ad hæc vero quod non hoc ex se habeant, sed Deo dante; non enim dixit, Novit Deum, sed, Cognitus est ab eo; deinde, quod hoc a caritate fiat, quam non habent ut oporteret. Nam si quis, ait, diligit Deum, hic cognitus est ab eo. Cum per hæc leniisset illorum tumorem, incipit doctri- C nam instituere his verbis: 4. *De esca igitur quæ diis immolatur, scimus quod nullum sit idolum in mundo, & quod nullus Deus alius, nisi unus.* Vide in quantam angustiam inciderit. Vult enim utrumque probare, quod a tali mensa abstinere oporteat, & quod vim non habeat ad lædendos eos qui sunt ejus participes. Quæ quidem non admodum inter se conveniebant. Nam cum didicissent ea non afferre damnum, ea tamquam indifferentia adituri erant: cum vero impedirentur D ne illa tangerent, rursus suspicabantur, quod prohibiti essent quasi illa vim haberent lædendi. Ideo cum idolorum opinionem sustulisset, abstinendi primam causam affert fratrum offendicula, sic dicens: *De esca igitur quæ diis immolatur, scimus quod nullum sit idolum in mundo.* Rursus ipsum commune facit, nec concedit hoc illorum esse solum, sed extendit cognitionem per totum orbem terræ. Neque enim apud vos tantum, inquit, sed ubique terrarum hoc dogma vim obtinet. Quodnam illud? Quod nullum sit idolum in mundo, & quod non sit Deus E alius nisi unus. Non sunt ergo idola? non sunt statuæ? Sunt quidem; sed nullam vim habent: neque dii sunt, sed lapides & dæmones. Ad utrosque enim nunc orationem dirigit, & ad crassiores, & ad eos qui philosophari videntur. Quia enim alii nihil plus sciunt quam lapides, alii vero dicunt virtutes quasdam in illis habitare, quas etiam deos vocant; illis quidem dicit nullum esse idolum in mundo; aliis vero, non esse Deum in mundo nisi unum.

3. Viden' quomodo non frustra dogma constituens hæc scribat; sed ad differen-

Joan. 15. 16.

1. Cor. 13. 12.

tiam externorum? Nam illud ubique observandum, sive absolute quid dicat, sive aliis obsistens. Neque enim hoc parum nobis confert ad dogmatum accurationem, & ad dictorum intelligentiam. 5. *Nam etsi sunt qui dicuntur dii, sive in cælo, sive in terra; ut sunt dii multi & domini multi:* 6. *Nobis tamen unus Deus Pater, ex quo omnia, & nos in ipso; & unus Dominus Jesus Christus, per quem omnia, & nos per ipsum.* Quia dixit, nullum esse idolum & nullum Deum alium; erantque tamen idola, & erant qui dii vocabantur; ut revera sunt; neque tamen sunt, sed dicuntur; non in re, sed in verbo hoc habentes. *Sive in cælo, sive in terra:* in cælo dicens solem & lunam & reliquum astrorum chorum; nam hæc etiam adorabant Gentiles; in terra, dæmonas, & eos ex hominibus qui in deos relati sunt. Sed nobis unus Deus Pater. Cum prius posuisset absque illa voce *Pater* & dixisset, nullus est alius Deus nisi unus; nunc hoc addit, postquam illos omnino ejecerat. Deinde quod est maximum divinitatis judicium addit: *Ex quo omnia.* Hoc enim ostendit illos non esse deos. Dii enim, inquit, qui cælum & terram non fecerunt, pereant. Deinde quod non minus est adjicit: Et nos in ipso. Quando enim dixit, Ex quo omnia, creationem memorat, & productionem ex nihilo ad existentiam; cum autem dicit, Et nos in ipso, fidei & conjunctionis verbum profert, quod antea quoque dicebat: *Ex ipso autem & vos estis in Christo Jesu.* Duplici enim ratione ex ipso sumus, & quod cum non essemus, facti sumus, & quod fideles facti simus. Nam hoc quoque est creatio: quod etiam alibi, dicit: *Ut duos crearet in seipso in unum novum hominem.* Et unus Dominus Jesus Christus, per quem omnia & nos per ipsum. Et etiam de Christo similiter hoc cogitandum. Per ipsum enim ex nihilo productum est genus hominum ad existentiam, & ex errore ad veritatem reductus est. Itaque illud, ex quo, non est sine Christo. Ex ipso enim per Christum creati sumus. Neque ergo nomina tamquam sorte distributa divisit, Filio quidem, Dominus; Patri vero, Deus; attribuens. Nam ea quoque solet sæpe mutare scriptura, ut cum dicit, *Dixit Dominus Domino meo;* & rursus, *Propterea unxit te Deus, Deus tuus;* &, *Ex quibus Christus secundum carnem, qui est super omnia Deus.* Et sæpe videris hæc mutata nomina. Si autem essent quasi sorte assignata unicuique naturæ, neque Deus esset Filius, neque Deus, ut Pater, manens Filius; cum dixit, sed nobis unus Deus, superflua addidisset illud, Pater, volens significare ingenitum. Satis enim fuisset illud, Deus, si ejus solius exhiberet cognitionem, ad id significandum.

1. Cor. 1. 30.

Ephes. 2. 16.

Psal. 109. 1.

Psal. 44. 8.

Rom. 9. 5.

A καὶ γὰρ καὶ τοῦτο πανταχοῦ χρὴ παρατηρεῖν, εἴτε ἀπολελυμένως λέγει τι, εἴτε πρός τινας ἱστάμενος. οὐδὲ γὰρ τὸ τυχὸν εἰς τὴν τῶν δογμάτων [a] ἡμῖν ἀκρίβειαν τοῦτο συντελεῖ, καὶ εἰς αὐτὴν τῶν λεγομένων τὴν κατανόησιν. καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, ὥσπερ οὖν εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοί. ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. ἐπειδὴ εἶπεν, ὅτι οὐδὲν εἴδωλον, καὶ οὐδεὶς θεὸς ἕτερος, ἦν δὲ καὶ εἴδωλα, ἦσαν δὲ καὶ θεοὶ λεγόμενοι· ἵνα μὴ δόξῃ τοῖς φανεροῖς

B μάχεσθαι, ἐπάγει λέγων· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, ὥσπερ οὖν καί εἰσιν, οὐχ ἁπλῶς εἰσὶν, ἀλλὰ, λεγόμενοι, οὐκ ἐν πράγματι, ἀλλ' ἐν ῥήματι τοῦτο ἔχοντες· εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· ἐν οὐρανῷ τὸν ἥλιον λέγων, καὶ τὴν σελήνην, καὶ τὸν λοιπὸν τῶν ἄστρων χορὸν, καὶ γὰρ καὶ ταῦτα προσεκύνησαν Ἕλληνες, ἐπὶ γῆς δὲ δαίμονας, καὶ τοὺς ἐξ ἀνθρώπων θεοποιηθέντας ἅπαντας. ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατήρ. πρότερον θεὶς [b] χωρὶς τοῦ πατρὸς, καὶ εἰπὼν, οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς, νῦν καὶ τοῦτο προστίθησιν, ὅτε παντελῶς ἐκείνους ἐξέβαλεν. εἶτα καὶ ὅπερ ἐστὶ δεῖγμα μέγιστον θεότη-

C τος, καὶ τοῦτο ἐπάγει· ἐξ οὗ τὰ πάντα. τοῦτο γὰρ δείκνυσι κἀκείνους οὐκ ὄντας θεούς. θεοὶ γάρ, φησιν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. εἶτα καὶ τὸ τούτου οὐκ ἔλαττον προστίθησι, καὶ ἡμεῖς εἰς αὐτόν. ὅταν μὲν γὰρ εἴπῃ, ἐξ οὗ τὰ πάντα, τὴν δημιουργίαν λέγει, καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν· ὅταν δὲ εἴπῃ, καὶ ἡμεῖς εἰς αὐτόν, τὸν τῆς πίστεως καὶ τῆς οἰκειώσεως λόγον λέγει· ὃ καὶ ἔμπροσθεν ἔλεγεν, ἐξ αὐτοῦ δὲ καὶ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ. διπλῇ ἐσμεν ἐξ αὐτοῦ· καὶ τῷ μὴ ὄντες γενέσθαι· καὶ τῷ πιστοὶ γενέσθαι. καὶ γὰρ καὶ τοῦτο κτίσις· ὃ καὶ ἀλλαχοῦ φησιν, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν

D ἄνθρωπον. καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. καὶ ἐπὶ τοῦ Χριστοῦ πάλιν ὁμοίως τοῦτο νοητέον. δι' αὐτοῦ γὰρ καὶ ἐκ τοῦ μὴ ὄντος παρήχθη τὸ τῶν ἀνθρώπων γένος εἰς τὸ εἶναι, καὶ ἀπὸ πλάνης εἰς ἀλήθειαν ἐπανῆλθεν. ὥστε τὸ, ἐξ οὗ, τοῦτο οὐκ ἔστι χωρὶς τοῦ Χριστοῦ. ἐξ αὐτοῦ γὰρ διὰ τοῦ Χριστοῦ ἐδημιουργήθημεν. οὐ τοίνυν οὐδὲ τὰ ὀνόματα ὡς ἀποκεκληρωμένα διεῖλε, τῷ μὲν υἱῷ τὸ, κύριος, τῷ δὲ πατρὶ τὸ, θεὸς, προσνέμων. οἶδε γὰρ αὐτὰ καὶ ἐναλλάττειν ἡ γραφὴ πολλάκις, ὡς ὅταν λέγῃ· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου. καὶ πάλιν, διὰ τοῦ-

E το ἔχρισέ σε ὁ θεὸς, ὁ θεός σου. καὶ, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός. καὶ πολλαχοῦ ἂν ἴδοις ταῦτα μεταβαίνοντα τὰ ὀνόματα. εἰ δὲ ἀποκεκληρωμένα ἦν ἑκάστῃ φύσει, καὶ οὐ θεὸς ἦν ὁ υἱὸς, καὶ θεὸς, ὡς ὁ πατὴρ, μένων υἱὸς, εἰπὼν, ἀλλ' ἡμῖν εἷς θεὸς, περιττῶς προσετίθει τὸ πατὴρ, βουλόμενος γνωρίσαι τὸν ἀγέννητον. ἤρκει γὰρ τὸ θεὸς, εἴγε αὐτοῦ μόνον ἦν γνωριστικὸν, τοῦτο δηλῶσαι,

[a] ἡμῖν deest in Reg.
[b] χωρὶς τοῦ πατρὸς. Sic habet Savilius in margine, & sic legit vetus interpres Latinus, absque Patre, ubi observes in mss. fere semper πατρὸς sic scribi πρὸς, unde error ortus fuerit, ut ex sequentibus liquet. Editi, χωρὶς τοῦ πρός τι.

οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν ἐστιν εἰπεῖν. [a] εἰ γὰρ λέγεις, ὅτι ἐπειδὴ εἷς θεὸς εἴρηται, οὐχ ἁρμόζει τῷ υἱῷ τὸ θεός, ὅρα καὶ ἐπὶ τοῦ υἱοῦ τὸ αὐτὸ κείμενον. καὶ γὰρ ὁ υἱὸς, εἷς κύριος εἴρηται, καὶ οὐ διὰ τοῦτο αὐτῷ μόνῳ τὸ, κύριος, ἁρμόττειν φαμέν. ὥστε ἣν ἔχει ἰσχὺν τὸ, εἷς, ἐπὶ τοῦ υἱοῦ, ταύτην καὶ ἐπὶ τοῦ πατρός. καὶ καθάπερ οὐκ ἐξωθεῖ τὸν πατέρα τοῦ κύριον εἶναι, οἷος ὁ υἱός ἐστι κύριος, διὰ τὸ ἕνα αὐτὸν λέγεσθαι κύριον τὸν υἱόν· οὕτως οὐδὲ τὸν υἱὸν ἐκβάλλει τοῦ εἶναι θεὸν, οἷός ἐστι θεὸς ὁ πατὴρ, διὰ τὸ ἕνα θεὸν λέγεσθαι τὸν πατέρα. εἰ δέ τινες λέγοιεν, τίνος ἕνεκεν πνεύματος οὐκ ἐμνημόνευσεν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι πρὸς εἰδωλολάτρας ἦν ὁ λόγος αὐτῷ, καὶ περὶ θεῶν πολλῶν ὁ ἀγὼν, καὶ περὶ κυρίων πολλῶν. διὸ καὶ θεὸν τὸν πατέρα εἰπὼν, τὸν υἱὸν ἐκάλεσε κύριον. εἰ τοίνυν τὸν πατέρα οὐκ ἐτόλμησε καλέσαι κύριον νῦν μετὰ τοῦ υἱοῦ, ἵνα μὴ δύο παρ' ἐκείνοις ὑποπτεύηται λέγειν κυρίους, οὐδὲ τὸν υἱὸν θεὸν μετὰ τοῦ πατρὸς, ἵνα μὴ δύο νομίζηται λέγειν θεούς· τί θαυμάζεις εἰ τοῦ πνεύματος οὐκ ἐμνημόνευσε; πρὸς γὰρ ἐκείνους αὐτῷ τέως ἦν ὁ ἀγὼν, καὶ τὸ δεῖξαι, ὅτι οὐκ ἔστι πολυθεία παρ' ἡμῖν. διὸ τὸ εἷς τοῦτο συνεχῶς κατέχει λέγων, οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς· καὶ ἡμῖν εἷς θεὸς, καὶ εἷς κύριος. ὅθεν δῆλον ὅτι φειδόμενος τῆς ἀσθενείας τῶν ἀκουόντων, ταύτῃ ἐχρήσατο τῇ παρασκευῇ, καὶ διὰ τοῦτο οὐδὲ τοῦ πνεύματος ἐμνημόνευσεν. ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, οὐδὲ ἀλλαχοῦ μνησθῆναι ἔδει τοῦ πνεύματος, οὐδὲ συντάττεσθαι αὐτὸ πατρὶ καὶ υἱῷ. εἰ γὰρ ἀπέρριπται πατρὸς καὶ υἱοῦ, πολλῷ μᾶλλον ἐπὶ τοῦ βαπτίσματος αὐτὸ συντάττεσθαι οὐκ ἔδει, ἔνθα μάλιστα φαίνεται τὸ ἀξίωμα τῆς θεότητος, καὶ δωρεαὶ δίδονται θεῷ προσήκουσαι μόνῳ παρέχειν.

Ἐγὼ μὲν οὖν τὴν αἰτίαν εἶπον δι' ἣν ἐνταῦθα σεσίγηται· σὺ δὲ, εἰ μὴ τοῦτο ἔστιν, εἰπὲ διὰ τί ἐν τῷ βαπτίσματι συντάττεται. ἀλλ' οὐκ ἂν ἔχοις ἑτέραν αἰτίαν εἰπεῖν, ἢ τὸ, ὁμότιμον αὐτὸ εἶναι. ὅταν γοῦν μηδεμίαν ἔχῃ τοιαύτην ἀνάγκην, ὅρα πῶς αὐτὸ συντάττει οὕτω λέγων· ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. καὶ πάλιν, διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς θεός. ἀλλ' ἐπειδὴ νῦν πρὸς Ἕλληνας ὁ λόγος ἦν αὐτῷ καὶ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους, διὰ τοῦτο ταμιεύεται τέως· ὅπερ οὖν καὶ οἱ προφῆται ποιοῦσιν ἐπὶ τοῦ υἱοῦ, οὐδαμοῦ σαφῶς αὐτοῦ μεμνημένοι διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων. ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις, φησί. ποία αὕτη; ἡ περὶ τοῦ θεοῦ, ἢ ἡ περὶ τῶν εἰδωλοθύτων;

a Reg. εἰ δὲ λέγοις .... οὐχ ἁρμόζει.

A Non hoc autem solum, sed aliud quoque dici potest. Si enim dixeris, quia Deus unus dictus est, illud, Deus, non convenit Filio; observa quod hoc etiam de Filio dici possit. Etenim Filius, unus Dominus dictus est; neque tamen ideo illud, Dominus, ipsi soli competere dicimus. Quapropter quam vim habet illud, unus, erga Filium, eamdem habet erga Patrem: ac quemadmodum ille non impedit quominus Pater Dominus sit, eo modo quo Filius est Dominus, eo quod Filius unus Dominus dicatur; ita neque
B Filium impedit quominus sit Deus, eo modo quo Pater est Deus, quod Pater dicatur unus Deus. Quod si quidam dixerint, cur Spiritum non memoravit? Illud dixerimus, ipsum nempe idololatras alloqui, & de diis multis, deque dominis multis esse certamen. Ideo cum Patrem Deum dixisset, Filium Dominum appellavit. Si ergo Patrem non ausus est nunc appellare Dominum cum Filio, ne in suspicionem veniret quod duos diceret Dominos, neque Filium Deum cum Patre, ne putaretur duos dicere deos; quid miraris, si Spiritum non memora-
C verit? Adversus illos enim tum concertabat, ut ostenderet non esse apud nos multiplicitatem deorum. Ideo illud, unus, assidue retinet dicens, Non est Deus alius nisi unus; &, Nobis unus est Deus & unus Dominus. Unde manifestum est illum, auditorum infirmitati parcentem, hoc arguendi modo usum esse, ideoque Spiritum non memoravisse. Nam si hoc non esset, nec alibi oportuisset Spiritum memorare, neque illum cum Patre & Filio conjungere. Nam si a Patre & Filio esset exclusus, multo magis illum in baptismo cum ipsis conjungere non opor-
D tuisset, ubi maxime divinitatis dignitas apparet, & dona dantur quæ Deo soli dare competit.

4. Ego igitur causam dixi cur hic silentio prætermissus sit. Tu vero, si res non ita se habet, dic cur in baptismo conjungitur. Sed non aliam possis causam dicere, quam quod sit honore par. Cum ergo nullam talem habet necessitatem, vide quomodo ipsum conjungit, ita dicens: *Gratia Domini nostri Jesu Christi,* 1. Cor. 12.
*& caritas Dei & Patris, & communicatio* 4.
*Spiritus sancti sit cum omnibus vobis.* Et rursum, Divisiones gratiarum sunt, idem
E autem Spiritus; & divisiones ministrationum sunt, idem autem Dominus; & divisiones operationum sunt, idem autem Deus. Sed quia nunc adversus Græcos sermo erat, & eos qui Græcis imbecilliores erant, propterea id interim reservatur & tacetur. Id quod etiam prophetæ faciunt de Filio, quem nusquam aperte nominant, ob auditorum imbecillitatem. 7. *Sed non in omnibus est scientia,* inquit. Quænam illa? an ea quæ est de Deo, an ea quæ de iis quæ immolata sunt idolis?

Aut certe Græcos hic subindicat, qui dicebant multos esse deos & dominos, nec sciebant Deum qui vere est. Vel etiam eos qui inter Gentiles imbecilliores erant, qui nondum clare scirent idola non esse timenda, & nullum esse idolum in mundo. Cum hoc autem dixisset, paulatim illos consolatus est & erexit. Neque enim omnia insectari oportebat, cum maxime illos rursum vehementius esset impetiturus. *Quidam autem cum conscientia idoli usque nunc quasi idolothytum manducant : & conscientia eorum, cum sit infirma polluitur.* Adhuc tremunt, inquit, & metuunt idola. Ne mihi enim præsentem rerum statum dixeris, & quod piam religionem a majoribus acceperis; sed mentem tuam transfer in illa tempora, & cogita, cum modo constituta esset prædicatio, & impietas adhuc regnaret, arderentque aræ & sacrificia, libamina peragerentur, & plures essent Gentiles, qui a majoribus impietatem acceperant, a patribus, avis & atavis talibus orti, atque a dæmonibus mala multa passi essent, illos, inquam, repente mutatos, quomodo verisimile erat affici: quomodo timendæ tremendæque erant dæmonum insidiæ: propter quos id subindicando dicebat; Quidam autem cum conscientia idolothyti. Neque enim aperte declarat illos, ne percellat, neque omnino prætercurrit, sed indefinite eorum meminit, dicens : Quidam autem cum conscientia idolothyti usque nunc quasi idolothytum manducant; id est, cum eadem mente qua prius; & conscientia eorum cum sit infirma polluitur, cum nondum possit despicere, neque omnino illa irridere; sed adhuc in dubio versaturi; ac si quis si tangat mortuum, putet seipsum polluere, secundum Judaïcam consuetudinem; deindeque alios videns tangentes cum pura conscientia, non cum eadem mente tangens, pollueretur; sic & illi tunc erant affecti. Quidam enim, inquit, cum conscientia idoli usque nunc. Non sine causa illud, usque nunc, posuit; sed ut ostendat, illos nihil profecisse non sese accommodantes. Neque enim sic illos inducere oportebat, sed alio modo, verbo & doctrina persuasos. *Et conscientia illorum, cum sit infirma, polluitur.* Nusquam adhuc circa rei naturam verba facit; sed semper & ubique circa conscientiam accipientis versatur. Timet enim ne dum vult infirmum corrigere, fortem perstringat, illumque infirmum reddat. Quapropter non minus huic parcit quam illi. Neque sinit quid simile existimari, sed sermone utitur prolixo, ut ne tale quid in suspicionem veniat. 8. *Esca autem nos non commendat Deo. Neque enim si manducaverimus abundamus, neque si non manducaverimus deficimus.* Viden' quomodo rursus eorum fastum deprimat? Nam cum dixisset, non modo illos, sed etiam omnes scientiam habere,

Idolothyta an comedere liceret.

A ἢ γὰρ τοὺς Ἕλληνας αἰνίττεται ἐνταῦθα, τοὺς πολλοὺς λέγοντας θεοὺς καὶ κυρίους, καὶ οὐκ εἰδότας τὸν ὄντα Θεόν· ἢ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους ἔτι, τοὺς οὐδέπω σαφῶς εἰδότας, ὅτι οὐ χρὴ δεδοικέναι τὰ εἴδωλα, καὶ ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ. Τοῦτο δὲ εἰπὼν, ἠρέμα παρεμυθήσατο καὶ ἐπῆρε τούτους. Οὐδὲ γὰρ πάντα καθάπτεσθαι ἔδει, καὶ μάλιστα μέλλοντα πάλιν καθικνεῖσθαι αὐτῶν σφοδρότερον. Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. Ἔτι τρέμουσι, φησὶ, τὰ
B εἴδωλα. Μὴ γάρ μοι τὴν παροῦσαν εἴποις κατάστασιν, καὶ ὅτι ἐκ προγόνων τὴν εὐσέβειαν ἐδέξω· ἀλλὰ παράπεμψον τὴν διάνοιαν εἰς ἐκείνους τοὺς χρόνους, καὶ ἐννόησον, ἄρτι τοῦ κηρύγματος καθισταμένου, καὶ τῆς ἀσεβείας ἔτι κρατούσης, καὶ βωμῶν καιομένων, καὶ θυσιῶν καὶ σπονδῶν τελουμένων, καὶ τῶν πλειόνων Ἑλλήνων ὄντων, τοὺς ἐκ προγόνων διαδεξαμένους τὴν ἀσέβειαν, καὶ πατέρων καὶ πάππων καὶ ἐπιπάππων τοιούτων ὄντας ἐκγόνους, καὶ πολλὰ παρὰ τῶν δαιμόνων παθόντας κακὰ, ἀθρόον μεταστάντας, πῶς εἰκὸς ἦν διακεῖσθαι· πῶς δεδοικέναι καὶ τρέμειν τὰς τῶν δαιμόνων ἐπιβουλάς· δι' οὓς καὶ αἰνιττόμενος ἔλεγε, Τινὲς δὲ
C τῇ συνειδήσει τοῦ εἰδωλοθύτου. Οὔτε γὰρ ἐκκαλύπτει αὐτοὺς σαφῶς, ἵνα μὴ πλήξῃ, οὔτε παρατρέχει καθόλου, ἀλλ' ἀορίστως αὐτῶν μέμνηται, λέγων, Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, τουτέστι, μετὰ τῆς αὐτῆς διανοίας, μεθ' ἧς πρότερον. Καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται, οὐδέπω δυναμένη καταφρονῆσαι, οὐδὲ καθάπαξ αὐτῶν καταγελάσαι, ἀλλ' ἔτι διακρινομένη. Ὥσπερ ἂν εἴ τις τοῦ νεκροῦ ἅπτεσθαι νομίζοι μολύνειν ἑαυτὸν κατὰ Ἰουδαϊκὴν συνήθειαν, εἶτα ἑτέρους ὁρῶν ἁπτομένους μετὰ καθαροῦ συνει-
D δότος, μὴ ἁπτόμενος μετὰ τῆς αὐτῆς γνώμης μολύνοιτο· οὕτω κἀκεῖνοι τότε ἔπασχον. Τινὲς γὰρ, φησὶ, τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι. Οὐχ ἁπλῶς δὲ ἕως ἄρτι τέθεικεν, ἀλλ' ἵνα δείξῃ ὅτι οὐδὲν ἤνυσαν μὴ συγκαταβαίνοντες. Οὐδὲ γὰρ οὕτως αὐτοὺς ἐνάγειν ἐχρῆν, ἀλλ' ἑτέρως πως λόγῳ πείθοντας καὶ διδασκαλίᾳ. Καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. Οὐδαμοῦ τέως περὶ τὴν φύσιν τοῦ πράγματος τὸν λόγον ἵστησιν, ἀλλ' ἄνω καὶ κάτω περὶ τὸ συνειδὸς τοῦ μεταλαμβάνοντος στρέφεται.
E Δέδοικε γὰρ μήπως θέλων διορθῶσαι τὸν ἀσθενῆ, πλήξῃ τὸν ἰσχυρὸν, καὶ ἀσθενῆ τοῦτον ἐργάσηται. Διόπερ οὐχ ἧττον τούτου φείδεται, ἢ ἐκείνου. Καὶ οὐκ ἀφίησιν αὐτὸ νομισθῆναί τι, ἀλλὰ πολλῷ κατασκευάζει τὸν λόγον, ὥστε μὴ τοῦτο ὑποπτευθῆναι. Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. Ὁρᾷς πῶς πάλιν αὐτῶν καθεῖλε τὸ φρόνημα; εἰπὼν γὰρ ὅτι οὐ μόνον ἐκεῖνοι, ἀλλὰ πάντες γνῶσιν ἔχομεν,

καὶ, ὅτι οὐδεὶς οὐδὲν ἔγνωκε, καθὼς δεῖ γνῶναι, καὶ, ὅτι ἡ γνῶσις φυσιοῖ· εἶτα παραμυθησάμενος αὐτοὺς, καὶ εἰπὼν, ὅτι οὐκ ἐν πᾶσιν ἡ γνῶσις, καὶ, ὅτι διὰ ἀσθένειαν οὗτοι μολύνονται· ἵνα μὴ λέγωσιν ἐκεῖνοι, καὶ τί πρὸς ἡμᾶς, εἰ μὴ ἐν πᾶσιν ἡ γνῶσις; διὰ τί γὰρ μὴ ἔχει γνῶσιν ὁ δεῖνα; διὰ τί ἀσθενής; ἵνα μὴ ταῦτα ἀνθυποφέρωσιν, οὐκ εὐθέως ἦλθεν ἐπὶ τὸ δεῖξαι σαφῶς, ὅτι διὰ τὴν ἐκείνου βλάβην ἀπέχεσθαι δεῖ· ἀλλὰ προακροβολισάμενος αὐτὸν μόνον πρῶτον, τὸ τούτου πλέον δείκνυσι. ποῖον δὴ τοῦτο; ὅτι εἰ καὶ μηδεὶς ἐβλάπτετο, μηδὲ ἡ τοῦ πλησίον προσῆν διαστροφὴ, οὐδὲ οὕτω δεῖ τοῦτο ποιεῖν· ματαιοπονεῖν γὰρ τοῦτό ἐστιν. ὁ γὰρ ἀκούσας ὅτι βλάπτεται μὲν ἕτερος, αὐτὸς δὲ ἔχει τὸ κέρδος, οὐ σφόδρα ἀφίσταται, ἀλλὰ τότε μᾶλλον, ὅταν μάθῃ ὅτι οὐδὲν αὐτὸς ὠφελεῖται ἀπὸ τοῦ πράγματος. διὰ τοῦτο πρῶτον τοῦτο τίθησι λέγων, βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ. εἶδες πῶς αὐτὸ ἐξευτελίζει, ὃ ἐδόκει ἀπὸ τελείας γνώσεως γίνεσθαι; οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, τουτέστιν, εὐδοκιμοῦμεν παρὰ τῷ θεῷ, ὡς ἀγαθόν τι ποιήσαντες, καὶ μέγα· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα, τουτέστιν, ἔλαττόν τι ἔχομεν. τέως μὲν οὖν αὐτὸ ἔδειξε περιττὸν καὶ οὐδέν. ὃ γὰρ μήτε γινόμενον ὠφελεῖ, μήτε μὴ γινόμενον βλάπτει, περιττὸν ἂν εἴη.

Προϊὼν δὲ καὶ τὴν βλάβην ἐκκαλύπτει πᾶσαν τοῦ πράγματος· νῦν μέντοι τὴν εἰς τοὺς ἀδελφοὺς γινομένην λέγει. βλέπετε, γάρ, φησι, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν. οὐκ εἶπεν, ὅτι ἡ ἐξουσία ὑμῶν πρόσκομμα γίνεται, οὐδὲ ἀπεφήνατο, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ· ἀλλὰ πῶς; βλέπετε, φοβῶν αὐτοὺς, καὶ ἐντρέπων, καὶ ἐπὶ ἄρνησιν ἄγων τοῦ μὴ ποιεῖν. καὶ οὐκ εἶπεν, ἡ γνῶσις ὑμῶν αὕτη, ὅπερ τοῦ ἐγκωμίου μᾶλλον, οὐδὲ ἡ τελειότης ὑμῶν αὕτη, ἀλλ' ἡ ἐξουσία· ὅπερ προπετείας μᾶλλον καὶ αὐθαδείας καὶ ἀλαζονείας εἶναι ἐδόκει. καὶ οὐκ εἶπε, τοῖς ἀδελφοῖς, ἀλλὰ τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν, αὔξων τὴν κατηγορίαν, ὅτι οὐδὲ ἀσθενούντων φείδονται, καὶ ταῦτα ἀδελφῶν. ἔστω γάρ· οὐ διορθοῖς, οὐδὲ ἐγείρεις. τί καὶ ὑποσκελίζεις καὶ προσπταίειν ποιεῖς, δέον χεῖρα ὀρέγειν; ἀλλ' οὐ βούλει τοῦτο. οὐκοῦν μηδὲ καταβάλῃς. εἰ μὲν γὰρ πονηρὸς ἦν, κολάσεως ἐδεῖτο· εἰ δὲ ἀσθενὴς, ἰατρείας. νῦν δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἀδελφός. ὅταν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; εἰπὼν, βλέπετε μὴ πρόσκομμα γένηται ἡ ἐξουσία ὑμῶν αὕτη, λέγει πῶς καὶ τίνι τρόπῳ γίνεται. καὶ πανταχοῦ τὴν ἀσθένειαν τίθησιν, ἵνα μὴ δόξῃ τῆς τοῦ πράγματος φύσεως εἶναι ἡ βλάβη, καὶ φοβεροὶ φανῶσιν οἱ δαίμονες. νῦν μὲν γὰρ ἐγγύς ἐστιν ἀποστῆναι τέλεον τῶν εἰδώλων, φησί· σὲ δὲ ὁρῶν ἐμφιλοχωροῦντα ἐκείνοις, ἀντὶ παραινέσεως τὸ πρᾶγμα δέχεται, καὶ ἐναπομένει καὶ αὐτοῖς. ὥστε οὐ τῆς ἀσθε-

A & neminem scire quemadmodum scire oportet; & quod scientia inflet; deinde cum illos esset consolatus, ac dixisset; non in omnibus esse scientiam, & hos pollui propter imbecillitatem; ne dicerent illi: Et quid ad nos, si non est in omnibus scientia? Cur enim ille talis non habet scientiam? Cur est infirmus? Ne hæc objicerent, non statim ad claram demonstrationem venit, quod ne lædatur ille, abstinere oporteat: sed primum quadam velitatione adversus illum usus, ostendit id quod est illo majus. Quodnam
B est hoc? Quod etiamsi nemo læderetur, neque proximi perversio metuenda esset; ne sic quidem hoc agendum esset: vanus quippe labor ille esset. Nam qui audivit alium lædi, sed sibi lucrum esse, non multum abstinet; sed tunc magis cum didicerit, nihil se ab ea re juvari. Ideo hoc primum ponit dicens: *Esca autem nos non commendat Deo.* Viden' quantum id vilipendat, quod videbatur a perfecta scientia effici? *Neque enim si manducaverimus, abundamus;* id est, apud Deum probati sumus, ut quid bonum vel ma-
C gnum operati; *neque si non manducaverimus deficimus*, id est, minus quid habemus. Interim quidem illud ostendit superfluum & nihil esse. Nam id quod neque si fiat prodest, neque si non fiat nocet, superfluum certe fuerit.

5. Progressus autem totum rei damnum aperit. Nunc autem dicit, id quod fratribus accidit: 9. *Videte enim*, inquit, *ne forte hæc licentia vestra offendiculum fiat infirmis fratribus.* Non dixit quod licentia vestra sit offendiculum, neque id pronunciavit, ut ne impudentiores illos
D redderet. Sed quomodo? Videte, terrens illos, ac pudore afficiens, & ad faciendi negationem inducens. Neque dixit, Hæc vestra scientia, quod magis laudi esset; neque, Hæc vestra perfectio: sed licentia; quod magis temeritatis, petulantiæ & arrogantiæ esse videbatur. Nec dixit, fratribus; sed, infirmis fratribus, crimen augens, quod ne infirmis quidem parcant, imo fratribus. Esto enim; non corrigis, neque excitas; cur supplantas, & dejicis, cum oporteret manum porrigere? Sed hoc non vis. Ergo ne dejicias.
E Nam si malus esset, correctione opus haberet; si autem infirmus, medicina. Nunc autem non modo infirmus est, sed etiam frater. 10. *Cum quis enim te viderit scientiam habentem in idolio recumbentem; nonne conscientia ejus cum sit infirmus ædificabitur ad manducandum idolothyta?* Cum dixisset, videte ne licentia vestra sit offendiculum, dicit quomodo hoc fiat, & ubique infirmitatem ponit, ne videatur damnum ex natura rei esse, & terribiles esse videantur dæmones. Nunc enim prope est, inquit, ut omnino deficiat ab idolis. Te autem videns cum illis libenter versantem, rem accipit pro admonitione, & in illa re versatur etiam

ipse. Itaque non solum ex illius imbecillitate, sed ex intempestivo tuo opere insidiæ oriuntur: tu enim illum infirmiorem reddis. 11. *Et peribit infirmus frater in esca tua, propter quem Christus mortuus est.* Duo namque sunt quæ te venia privant ob hoc illatum damnum, & quod infirmus, & quod frater sit; imo tertium quoque additur, quod omnium terribilissimum est. Quodnam illud est? quod Christus pro illo mori non recusaverit; tu vero ne quidem ad ejus imbecillitatem te attemperas. Per hæc autem perfectum admonet, qualis ipse prius esset, & quod pro illo etiam mortuus sit. Et non dixit: pro quo etiam mori te oportebat; sed quod multo majus erat, quod etiam Christus propter ipsum est mortuus. Sic Dominus quidem tuus pro illo mori non recusavit; tu vero ejus nullam rationem habes, ut nec propter ipsum a scelesta mensa abstineas; sed sinis ipsum perire post salutem ita partam; quodque gravissimum est, per escam? Neque enim dixit, propter tuam perfectionem vel propter tuam scientiam, sed propter tuam escam. Sunt itaque quatuor crimina, illaque maxima, quod & frater sit, & infirmus, & cujus Christus tantam habuit rationem, ut pro illo moreretur; & quod post hæc omnia propter escam pereat. 12. *Sic autem peccantes in fratres, & percutientes conscientiam eorum infirmam, in Christum peccatis.* Viden' quam sensim & paulatim peccatum illud ad culmen iniquitatis deduxerit? Rursusque infirmitatis illorum meminit. Nam quod ipsi pro se esse existimabant, hoc ubique in illorum caput convertit. Neque dixit, scandalizantes, sed percutientes, ut per dictionis emphasin crudelitatem ostenderet. Quid enim sævius fuerit homine qui ægrum percutiat? Etenim quovis vulnere gravius est scandalizare, seu offendiculum ponere. Sæpe namque hoc mortem induxit. Et quomodo in Christum peccant? Uno quidem modo, quia quæ sunt famulorum ut propria sibi attribuit; secundo quod qui verberantur, ad corpus & membra ipsius pertineant; tertio quod opus suum, per suam cædem propriam ædificatum, ipsi per ambitionem suam diruant. 13. *Quapropter si esca scandalizat fratrem meum, non manducabo carnem in æternum.* Hoc tamquam optimus magister, cujus est per se docere quæ dicit. Neque dixit, Sive juste, sive injuste; sed quomodocumque. Nec dico, inquit, idolo immolatum, quod etiam propter aliam causam est prohibitum; sed si quid etiam eorum, quæ in potestate & concessa sunt offendat, ab illis quoque abstinebo, non uno vel altero die, sed toto vitæ meæ tempore. Non manducabo enim, inquit, carnes in æternum. Nec

A νείας μόνον ἐστὶ τῆς ἐκείνου, ἀλλὰ καὶ τῆς σῆς ἀκαιρίας ἡ ἐπιβουλή. σὺ γὰρ αὐτὸν ἀσθενέστερον ποιεῖς. καὶ [a] ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ βρώσει, δι' ὃν Χριστὸς ἀπέθανε. δύο γὰρ ἔχεις τὰ συγγνώμης σε ἀποστεροῦντα ἐπὶ τῇ βλάβῃ ταύτῃ, καὶ ὅτι ἀσθενὴς, καὶ ὅτι ἀδελφός· μᾶλλον δὲ καὶ τρίτον, καὶ πάντων φοβερώτερον. ποῖον δὴ τοῦτο; ὅτι Χριστὸς μὲν οὐδὲ ἀποθανεῖν παρῃτήσατο ὑπὲρ αὐτοῦ, σὺ δὲ αὐτῷ οὐδὲ συγκαταβαίνειν ἀνέχῃ. διὰ δὴ τούτων καὶ ἀναμιμνήσκει τὸν τέλειον, τίς ἦν καὶ αὐτὸς ἔμπροσθεν, καὶ ὅτι ὑπὲρ αὐτοῦ ἀπέθανε. καὶ B οὐκ εἶπεν, ὑπὲρ οὗ καὶ ἀποθανεῖν σε ἔδει, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, ὅτι καὶ Χριστὸς δι' αὐτὸν ἀπέθανεν. εἶτα ὁ μὲν δεσπότης ὁ σὸς ἀποθανεῖν ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, σὺ δὲ οὕτως οὐδένα αὐτοῦ ποιῇ λόγον, ὡς μηδὲ τραπέζης ἐναγοῦς ἀπέχεσθαι δι' αὐτόν· ἀλλ' ἐᾷς αὐτὸν ἀπόλλυσθαι μετὰ τὴν σωτηρίαν τὴν οὕτω γενομένην, καὶ τὸ δὴ χαλεπώτατον, διὰ βρῶμα; οὐδὲ γὰρ εἶπεν, ἐπὶ τῇ σῇ τελειότητι, οὐδὲ, ἐπὶ τῇ σῇ γνώσει, ἀλλ' ἐπὶ τῇ σῇ βρώσει. ὥστε τέσσαρα τὰ ἐγκλήματα καὶ σφόδρα μέγιστα, ὅτι καὶ ἀδελφὸς, καὶ ἀσθενῶν, καὶ οὗ C τοσοῦτον ὁ Χριστὸς ἐποιήσατο λόγον ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, καὶ ὅτι μετὰ ταῦτα πάντα διὰ βρῶμα ἀπόλλυται. οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. ὁρᾷς πῶς ἠρέμα καὶ κατὰ μικρὸν εἰς αὐτὴν τῆς παρανομίας τὴν κορυφὴν ἀνήγαγε τὸ ἁμάρτημα; καὶ πάλιν τῆς ἀσθενείας μέμνηται τῆς ἐκείνων. ὅπερ γὰρ ἐνόμιζον ὑπὲρ αὐτῶν εἶναι οὗτοι, τοῦτο πανταχοῦ εἰς τὴν αὐτῶν περιτρέπει κεφαλήν. καὶ οὐκ εἶπε, σκανδαλίζοντες, ἀλλὰ, τύπτοντες, ὥστε τῇ ἐμφάσει τῆς λέξεως D τὴν ὠμότητα ἐνδείξασθαι. τί γὰρ ἀπηνέστερον ἀνθρώπου γένοιτ' ἂν τοῦ τὸν νοσοῦντα τύπτοντος; καὶ γὰρ πληγῆς ἁπάσης χαλεπώτερον, τὸ σκανδαλίζειν. πολλάκις γοῦν καὶ θάνατον τοῦτο εἰργάσατο. καὶ πῶς εἰς Χριστὸν ἁμαρτάνουσιν; ἑνὶ μὲν τρόπῳ, ὅτι τὰ τῶν οἰκετῶν αὐτὸς οἰκειοῦται· δευτέρῳ δὲ, ὅτι εἰς τὸ σῶμα αὐτοῦ καὶ εἰς τὸ μέλος τελοῦσιν οἱ τυπτόμενοι· τρίτῳ ὅτι τὸ ἔργον αὐτοῦ, ὃ διὰ τῆς οἰκείας ᾠκοδόμησε σφαγῆς, τοῦτο οὗτοι καθαιροῦσι διὰ τὴν οἰκείαν φιλοτιμίαν. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. τοῦτο, ὡς διδάσκαλος E ἄριστος, τὸ δι' ἑαυτοῦ παιδεύειν ἃ λέγει. καὶ οὐκ εἶπεν, εἴτε δικαίως, εἴτε ἀδίκως· ἀλλ' ὁπωσοῦν. καὶ οὐ λέγω, φησὶν, εἰδωλόθυτον, ὃ καὶ δι' ἑτέραν αἰτίαν κεκώλυται, ἀλλ' εἴ τι καὶ τῶν ἐν ἐξουσίᾳ καὶ συγκεχωρημένων σκανδαλίζει, καὶ ἐκείνων ἀφέξομαι· καὶ οὐ μίαν, οὐδὲ δευτέραν ἡμέραν, ἀλλὰ τὸν πάντα χρόνον τῆς ζωῆς μου. οὐ μὴ γὰρ φάγω, φησὶ, κρέα εἰς τὸν αἰῶνα. καὶ

[a] Reg. & vulgatiores editiones epistolarum Pauli ἀπολεῖται, & sic legit interpres Latinus. Savil & Morel. ἀπόλλυται. Ibidem Reg. & vulgatiores epistolarum Pauli editiones, ἐπὶ τῇ σῇ γνώσει. Vulgata Latina, *in scientia tua*. Interpres Latinus Chrysostomi *in conscientia tua*. Savil & Morel. ἐπὶ τῇ σῇ βρώσει, *in cibo tuo*.

οὐκ

οὐκ εἶπεν, ἵνα μὴ ἀπολέσω τὸν ἀδελφόν· ἀλλ' ἵνα μηδὲ ἁπλῶς σκανδαλίσω. καὶ γὰρ ἐσχάτης ἀνοίας τὰ περισπούδαστα τῷ Χριστῷ, καὶ τοιαῦτα ὡς καὶ θάνατον ἑλέσθαι δι' αὐτά, ταῦτα οὕτως ἡμᾶς εὐκαταφρόνητα νομίζειν, ὡς μηδὲ βρωμάτων ἀπέχεσθαι δι' αὐτά. ταῦτα δὲ οὐ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς ἂν ἔχοι καιρὸν λέγεσθαι, τοὺς καταφρονοῦντας τῆς τοῦ πλησίον σωτηρίας, καὶ τὰ Σατανικὰ ἐκεῖνα φθεγγομένους ῥήματα. τὸ γὰρ λέγειν, τί δέ μοι μέλει, ἂν ὁ δεῖνα σκανδαλίζηται, καὶ ὁ δεῖνα ἀπόλλυται; τῆς ὠμότητος τῆς ἐκείνου, καὶ τῆς ἀπανθρωπίας ἐστί. καίτοιγε τότε μὲν καὶ τῆς τῶν σκανδαλιζομένων ἦν ἀσθενείας τὸ συμβαῖνον· ἐφ' ἡμῶν δὲ οὐκέτι. τοιαῦτα γὰρ ἁμαρτάνομεν, ἃ καὶ τοὺς ἰσχυροὺς σκανδαλίζει. ὅταν γὰρ τύπτωμεν καὶ ἁρπάζωμεν καὶ πλεονεκτῶμεν, καὶ ὡς ἀνδραπόδοις τοῖς ἐλευθέροις ἀποχρώμεθα, τίνα οὐχ ἱκανὰ ταῦτα σκανδαλίσαι; μὴ γὰρ εἴπῃς, ὅτι ὁ δεῖνα ὑποδηματορράφος, μηδ' ὅτι βυρσοποιὸς ἕτερος, μηδ' ὅτι χαλκοτύπος ἄλλος· ἀλλ' ἐννόησον ὅτι πιστὸς καὶ ἀδελφός. ἐκείνων γάρ ἐσμεν μαθηταὶ τῶν ἁλιέων, τῶν τελωνῶν, τῶν σκηνορράφων, ἐκείνου τοῦ τραφέντος ἐν οἰκίᾳ τέκτονος, καὶ τὴν μνηστὴν τούτου μητέρα καταξιώσαντος ἔχειν, καὶ ἐκ σπαργάνων ἐπὶ φάτνης κειμένου, καὶ οὐκ ἔχοντος ὅπου κλίνῃ τὴν κεφαλήν, τοῦ τοσαῦτα ὁδοιποροῦντος, ὡς καὶ κοπιᾶν ἀπὸ τῆς ὁδοιπορίας, τοῦ παρ' ἑτέρων τρεφομένου.

Ταῦτα λογίζου, καὶ μηδὲν εἶναι νόμιζε τὸν τῦφον τὸν ἀνθρώπινον· ἀλλὰ καὶ τὸν σκηνοποιόν, καὶ τὸν ἐπ' ὀχήματος φερόμενον καὶ μυρίους παῖδας ἔχοντα καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς, ἀδελφὸν εἶναι νόμιζε· μᾶλλον δὲ τοῦτον πλέον, ἢ ἐκεῖνον. καὶ γὰρ ἀδελφὸς ἐκεῖνος εἰκότως ἂν λέγοιτο μᾶλλον ὁ μᾶλλον ἐοικώς. τίς οὖν ἔοικε τοῖς ἁλιεῦσιν; ὁ ἐκ τῆς καθ' ἡμέραν ἐργασίας τρεφόμενος, καὶ μηδὲ οἰκέτην ἔχων, μηδὲ καταγώγιον, ἀλλὰ πάντοθεν ἐστερημένος, ἢ ἐκεῖνος ὁ τοσοῦτον περιβεβλημένος τῦφον, καὶ τὰ ἐναντία ποιῶν τοῖς τοῦ θεοῦ νόμοις; μὴ δὴ καταφρόνει τοῦ μᾶλλον ἀδελφοῦ· τῆς γὰρ εἰκόνος οὗτος μᾶλλον ἕστηκεν ἐγγὺς τῆς ἀποστολικῆς. ἀλλ' οὐχ ἑκών, ἀλλ' ἀναγκαζόμενός, φησιν· οὐ γὰρ κατὰ γνώμην τοῦτο ποιεῖ. πόθεν τοῦτο; οὐκ ἤκουσας, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε; ἵνα δὲ μάθῃς ὅτι οὐκ ἄκων, πρόσελθε, καὶ δὸς μυρία χρυσίου τάλαντα, καὶ ὄψει διακρουόμενον. ὥστε εἰ καὶ μὴ ἐκ προγόνων διεδέξατο πλοῦτον, ἀλλ' ὅταν, ἐξὸν λαβεῖν, μὴ προσίηται, μηδὲ προσθῇ τοῖς οὖσι, μέγιστον δεῖγμα ἐκφέρει τοῦ χρημάτων ὑπερορᾶν. ἐπεὶ καὶ ὁ Ἰωάννης Ζεβεδαίου τοῦ σφόδρα πένητος υἱὸς ἦν· ἀλλ' οὐ δήπου διὰ τοῦτο κατηναγκασμένην αὐτοῦ τὴν πενίαν εἶναι φήσομεν. ὅταν οὖν ἴδῃς ὑλοκοποῦντα, σφυροκοποῦντα, ἠσβολωμένον, μὴ διὰ τοῦτο καταφρόνει, ἀλλὰ διὰ τοῦτο θαύμαζε· ἐπεὶ καὶ Πέτρος καὶ διεζώσατο, καὶ σαγήνην μετεχείριζε, καὶ ἡλίευε μετὰ τὴν ἀνάστασιν τοῦ δεσπότου. καὶ τί λέγω Πέτρον; Παῦλος γὰρ αὐτὸς οὗτος μετὰ τοὺς μυρίους διαύλους,

A dixit, Ne perdam fratrem; sed simpliciter, ne fratri offendiculo sim. Etenim extremæ dementiæ fuerit ea quæ Christo ita cordi fuere, & talia ut propter ea mortem elegerit, nos ita parvi facere, ut ne propter illa quidem ab escis illis abstineamus. Hæc porro non illis solum, sed etiam nobis opportune dicantur, qui proximi salutem despicimus, & Satanica illa verba proferimus. Nam dicere, quid mihi curæ est, si ille offendatur, & ille pereat? Satanicæ est crudelitatis & inhumanitatis. Atqui tunc quidem illorum imbecil-
B litatis erat quibus hæc offendiculo erant: Apud nos vero non item. Nam illa peccata admittimus, quæ fortibus etiam offendiculo sint. Cum enim percutimus, rapimus, & avaritiæ studemus, liberisque tamquam mancipiis abutimur, cuinam hæc non offendiculo fuerint? Nam ne dixeris, ille sutor, iste tinctor est; neque dixeris, ærarius faber alius est. Sed cogita illum esse fidelem & fratrem. Illorum enim discipuli sumus, piscatorum, publicanorum, tabernaculorum opificum: illius qui in domo fabri nutritus fuit, qui sponsam ejus, matrem habere
C dignatus est, qui pannis involutus in præsepi recubuit, qui non habebat ubi caput reclinaret, qui tanta suscepit itinera, ut ex via fessus esset, qui ab aliis nutriebatur.

6. Hæc cogita, & humanum fastum nihil esse putes. Sed & tabernaculorum opificem & eum qui curru vehitur & mille famulos habet, & foro obvios arcet, fratrem esse existima, imo illum magis quam hunc. Nam ille opportunius frater dicatur, qui magis similis est. Quis ergo similis est piscatoribus? qui
D quotidiano alitur opere non habens famulum, neque domicilium; sed omnium expers; an ille qui tanto fastu circumdatur, & contraria legibus divinis operatur? Ne ergo despicias illum qui magis frater tuus est. Nam ille magis similis est apostolicæ imagini. At non libenter, sed invitus, inquies: non enim ex animi sententia hoc facit. Undenam hoc? Non audistis, *nolite judicare, ut non judicemini*? Ut autem discas illum non invitum operari; accede & da illi decies mille auri talenta, & videbis il-
E lum hæc recusare. Itaque etiamsi a majoribus divitias non acceperit; sed & cum accipere liceret, non acceperit, nec suis addiderit, magnum affert indicium quod pecunias despiciat. Nam & Joannes Zebedæi admodum pauperis filius erat; sed non propterea coactam fuisse dicemus illius paupertatem. Cum ergo videris ligna cædentem, malleo tundentem, fuligine tinctum, ne ideo contemnas, sed ideo mireris. Nam & Petrus succinctus erat, sagenam tractabat & piscabatur post resurrectionem Domini. Ecquid dico Petrum? Paulus ipse post emensa tanta terrarum spatia, post

Fastus humanus nihil est.

Matt. 7. 1.

tot edita miracula, in tentoriorum officina stans, pelles consuebat, & reverebantur eum Angeli, & trementes dæmones formidabant: nec pudebat dicere: *Necessitatibus meis, & iis qui mecum erant, ministraverunt manus istæ.* Act. 20. 34. Ecquid dico, non pudebat eum? In hoc certe ille gloriabatur. Ecquis est, inquies, nunc Paulo virtute par? Scio & ego nullum esse; sed non ideo contemnendi qui nunc sunt. Nam si propter Christum honores, vel ultimum, sed fidelem, dignus sane est qui honoretur. Etenim si accedentibus duci cuipiam & militi, Imperatoris amicis, ambobus domum aperueris; per quem magis Imperatorem honorare videaris? Plane per militem. Nam dux præter Imperatoris amicitiam plurima habet, quæ tibi suadere possunt ut talem illi conferas honorem: miles vero nihil aliud quam Imperatoris amicitiam. Ideo claudos, mutilos, & eos qui non possint gratiam referre, ad cœnas & convivia nostra vocare jussit Deus, quia hæc magis proprie propter Deum præstita sunt beneficia. Si vero magnum quempiam & illustrem exceperis, hæc non ita pura est eleemosyna. Sed partem aliquam apud te sæpe sibi vendicat inanis gloria, quod beneficio sis affectus, & propter illum apud multos insignior sis effectus. Multos certe ostendere possim, qui propterea insignioribus sanctorum famulantur, ut per illos apud principes majori fruantur fiducia, ac rebus suis & ædibus utiliores fiant; & a sanctis illis multa hujusmodi exigunt beneficia, quo fit ut illis pereat hospitalitatis merces, quando tali mente accedunt. Et quid opus est hoc de sanctis dicere? Etenim qui a Deo laborum præmia hic quærit, & propter præsentia virtutem adit, mercedem suam minuit. Qui autem integras illic expetit coronas, longe mirabilior evadit, sicut Lazarus ille, qui bona omnia accepit; sicut tres pueri, qui in fornacem mox injiciendi dicebant: est Deus in cælis, qui possit eripere nos; sin minus, notum sit tibi, rex, quod deos tuos non colimus, nec statuam auream quam erexisti adoramus; sicut Abraham, qui filium suum adduxit & mactavit, & hæc non pro mercede fecit, sed magnam existimans remunerationem, quod Domino obediret. Hos & nos quoque imitemur. Sic enim copiosa nobis bonorum retributio veniet, quod tali animo omnia faciamus, & spendidiores assequemur coronas, quas utinam nos omnes adipiscamur gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui Sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ τὰ τοσαῦτα θαύματα, ἐπὶ σκηνορραφείου ἑστὼς δέρματα ἔρραπτε, καὶ ᾐδοῦντο αὐτὸν ἄγγελοι, καὶ δαίμονες ἔτρεμον· καὶ οὐκ ᾐσχύνετο λέγων· ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ τί λέγω, οὐκ ᾐσχύνετο; καὶ ἐνεκαλλωπίζετο μὲν ἐπὶ τούτῳ. καὶ τίς ἐστι κατὰ τὴν ἀρετὴν τοῦ Παύλου, φησὶ, νῦν; οἶδα κἀγὼ ὅτι οὐδεὶς, ἀλλ᾽ οὐ διὰ τοῦτο καταφρονεῖσθαι ἄξιοι οἱ νῦν ὄντες. εἰ γὰρ διὰ τὸν Χριστὸν τιμᾷς, κἂν ἔσχατος ᾖ, πιστὸς δὲ, δίκαιος ἂν εἴη τιμᾶσθαι. καὶ γὰρ εἰ στρατηγοῦ, καὶ στρατιώτου φίλου παραγινομένων ἀμφοτέρων, βασιλεῖ φίλων ὄντων, σὺ B τὴν οἰκίαν ἀμφοτέροις ἀνέῳξας, διὰ τίνος μᾶλλον ἔδοξας ἂν τὸν βασιλέα τιμᾶν; εὔδηλον ὅτι διὰ τοῦ στρατιώτου. ὁ μὲν γὰρ στρατηγὸς εἶχε καὶ τῆς τοῦ βασιλέως φιλίας χωρὶς πολλὰ ἱκανὰ πεῖσαι ταύτην παρασχεῖν αὐτῷ τὴν τιμήν· ὁ δὲ στρατιώτης, οὐδὲν ἕτερον, ἢ τὴν τοῦ βασιλέως φιλίαν. διὰ τοῦτο καὶ χωλοὺς, καὶ ἀναπήρους, καὶ τοὺς οὐκ ἔχοντας ἀντιδοῦναι, καλεῖσθαι ἐπὶ τὰ δεῖπνα καὶ τὰ συμπόσια ἡμῶν ἐκέλευσεν ὁ θεὸς, ὅτι αὗται μάλιστα κυρίως εἰσὶν αἱ διὰ τὸν θεὸν γινόμεναι εὐποιΐαι. ἂν δὲ μέγαν τινὰ καὶ περίβλεπτον ξενίσῃς, οὐχ οὕτω καθαρὰ ἐλεημοσύνη τὸ γινόμενον· ἀλλὰ C μερίζεταί τι πρὸς σὲ καὶ κενοδοξία πολλάκις, καὶ τὸ παθεῖν εὖ, καὶ ἐπισημότερον πολλοῖς δι᾽ ἐκεῖνον γίνεσθαι. πολλοὺς γοῦν ἔχοιμι ἂν ἐπιδεῖξαι καὶ διὰ τοῦτο τοὺς ἐπισημοτέρους τῶν ἁγίων θεραπεύοντας, ἵνα παρὰ ἄρχουσι πλείονος δι᾽ ἐκείνων ἀπολαύσωσι παρρησίας, καὶ τοῖς αὐτῶν πράγμασι καὶ ταῖς οἰκίαις ἐντεῦθεν χρησιμώτεροι γίνωνται. καὶ πολλὰς τοιαύτας τοὺς ἁγίους ἐκείνους ἀπαιτοῦσι χάριτας, ὅπερ αὐτοῖς λυμαίνεται τῆς φιλοξενίας τὴν ἀντίδοσιν, ὅταν αὐτὴν γνώμῃ τοιαύτῃ μετίωσι. καὶ τί χρὴ λέγειν περὶ τῶν ἁγίων τοῦτο; ὁ γὰρ παρὰ τοῦ θεοῦ τὰς ἀμοιβὰς τῶν πόνων ἐνταῦθα ζητῶν, D καὶ διὰ τὰ παρόντα μετιὼν ἀρετὴν, ἠλάττωσεν αὐτοῦ τὸν μισθόν· ὁ δὲ ὁλοκλήρους ἀπαιτῶν ἐκεῖ τοὺς στεφάνους, πολὺ θαυμαστότερος φαίνεται, κατὰ τὸν Λάζαρον ἐκεῖνον τὸν πάντα ἐκεῖ ἀπολαμβάνοντα τὰ ἀγαθὰ, κατὰ τοὺς παῖδας τοὺς τρεῖς, οἱ μέλλοντες εἰς τὴν κάμινον ἐμπίπτειν, ἔλεγον· ὅτι ἐστὶ θεὸς ἐν οὐρανοῖς ἱκανὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν· κατὰ τὸν Ἀβραὰμ, ὃς καὶ ἀνήγαγε τὸν υἱὸν καὶ ἔσφαξε, καὶ ταῦτα οὐκ ἐπὶ μισθῷ τινι ἔπραττεν, ἀλλὰ μίαν ἡγούμενος μεγίστην ἀμοιβὴν, τὸ ὑπακοῦσαι τῷ δεσπότῃ. τούτους καὶ ἡμεῖς μιμώμεθα. οὕτω γὰρ E καὶ δαψιλὴς ἡ ἀντίδοσις ἡμῖν ἥξει τῶν ἀγαθῶν, ὅτι μετὰ τοιαύτης ἅπαντα πράττομεν γνώμης, καὶ λαμπροτέρων ἐπιτευξόμεθα στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

## ΟΜΙΛΙΑ κά.

Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ;

ΕΠΕΙΔΗ εἰπὼν, ὅτι ἐὰν βρῶμα σκανδαλίζῃ τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ὅπερ [a] οὐκ ἦν μὲν πεποιηκὼς, ὑπέσχετο δὲ ποιήσειν, εἰ χρεία ἀπαιτοίη· ἵνα μή τις λέγῃ, ὅτι κομπάζεις εἰκῆ, καὶ φιλοσοφεῖς ἐν λόγοις, καὶ ὑπισχνῇ διὰ ῥημάτων, ὃ καὶ ἐμοὶ καὶ σοὶ δεῖνι εὔκολον. Εἰ γὰρ ἀπὸ ψυχῆς ταῦτα λέγεις, δεῖξον διὰ τῶν ἔργων τίνος κατεφρόνησας ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τὸν ἀδελφόν· διὰ τοῦτο ἀναγκάζεται λοιπὸν εἰς τὴν ἀπόδειξιν τούτων καθεῖναι, καὶ δεῖξαι πῶς καὶ τῶν συγκεχωρημένων ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, καίτοιγε οὐδενὸς αὐτὸν καταναγκάζοντος νόμου. καὶ οὐ τοῦτο πω θαυμαστὸν, καίπερ ὂν θαυμαστὸν ὅτι τῶν συγκεχωρημένων [b] ἀπείχετο, οὐ μόνον ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, ἀλλ' ὅτι καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ κινδύνου τοῦτο ἐποίει. τί γὰρ χρὴ λέγειν περὶ τῶν εἰδωλοθύτων, φησί; τοῦ γὰρ Χριστοῦ ἐπιτάξαντος τοὺς τὸ εὐαγγέλιον κηρύττοντας ἐκ τῶν μαθευομένων ζῆν, ἐγὼ τοῦτο οὐκ ἐποίησα· ἀλλ' εἱλόμην, εἰ δέοι, καὶ λιμῷ καταλῦσαι τὸν βίον, καὶ τὸν χαλεπώτατον θάνατον ἀποθανεῖν, ὥστε μὴ λαβεῖν παρὰ τῶν κατηχουμένων· οὐκ ἐπειδὴ σκανδαλίζεσθαι ἔμελλον, εἰ μὴ λάβοι, ἀλλ' ἐπειδὴ οἰκοδομεῖσθαι, ὃ πολλῷ πλέον ἦν. καὶ τούτου μάρτυρας αὐτοὺς εἰς μέσον παράγει, παρ' οἷς καὶ ἐργαζόμενος, καὶ λιμώττων ἔζη, καὶ παρ' ἑτέρων τρεφόμενος, καὶ στενοχωρούμενος, ὥστε μὴ σκανδαλίσαι αὐτούς· καίτοιγε εἰκῆ ἐσκανδαλίζοντο· νόμον γὰρ ὅλως ἐπλήρου· ἀλλ' ὅμως ἐκ περιουσίας αὐτῶν ἐφείδετο. εἰ δὲ ὑπὲρ τὸν νόμον ἐποίησεν αὐτὸς, ἵνα μὴ σκανδαλισθῶσι, καὶ τῶν ἐπιτετραμμένων ἀπείχετο εἰς οἰκοδομὴν ἑτέρων, τίνος ἂν εἶεν ἄξιοι οὗτοι οἱ τῶν εἰδωλοθύτων μὴ ἀπεχόμενοι, καὶ ταῦτα πολλῶν ἐντεῦθεν ἀπολλυμένων, ὃ καὶ χωρὶς τοῦ σκανδάλου φυγεῖν ἔδει διὰ τὸ τῶν δαιμόνων εἶναι τὴν τράπεζαν; τὸ μὲν οὖν κεφάλαιον ἅπαν, τοῦτό ἐστιν, ὃ διὰ πολλῶν ἐργάζεται στίχων. δεῖ δὲ ἄνωθεν ἐπεξελθεῖν τοῖς προκειμένοις. οὐδὲ γὰρ σαφῶς αὐτὸ οὕτως, ὥσπερ εἶπον, τέθεικεν, οὐδὲ εὐθέως αὐτῷ ἐπιπηδᾷ, ἀλλ' ἑτέρωθεν [c] ἄρχεται, οὕτω λέγων· οὐκ εἰμὶ ἀπόστολος; μετὰ γὰρ τῶν εἰρημένων, καὶ αὕτη οὐ μικρὰ διαφορὰ, τὸ καὶ Παῦλον εἶναι τὸν ταῦτα ποιοῦντα. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ἔξεστιν ἀπογεύεσθαι σφραγίζοντι, τέως μὲν οὐχ ἵσταται πρὸς τοῦτο, ἀλλὰ λέγει, ὅτι εἰ καὶ ἐξῆν, οὐκ ἔδει διὰ τὴν βλάβην τῶν ἀδελφῶν τοῦτο ποιεῖν, ὕστερον δὲ δείκνυσιν ὅτι οὐδὲ ἔξεστι. νῦν μέντοι τὸ πρότερον κατασκευάζει ἀπὸ τῶν καθ' ἑαυτόν· καὶ μέλλων λέγειν, ὅτι οὐδὲν παρ' αὐτῶν ἔλαβεν,

## HOMILIA XXI.

1\. *Non sum apostolus? Non sum liber? Nonne Christum Jesum Dominum nostrum vidi? Nonne opus meum vos estis in Domino?* CAP. IX.

1\. QUIA cum dixisset, Si esca scandalizat fratrem meum, non comedam carnes in sæculum; quod non fecerat quidem, sed se facturum promiserat, si opus esset; ne quis diceret, frustra B gloriaris, & verbis philosopharis, oreque promittis, quod & mihi & cuivis facile est. Nam si ex animo hæc dicis, re ipsa ostende, quid despexeris, ut ne fratri offendiculo esses; ideo cogitur deinceps in horum demonstrationem descendere, ostendereque, quomodo a rebus concessis abstinuerit, nulla lege ipsum cogente. Neque mirum hoc est, etiamsi sit mirandum quod a concessis abstinuerit, non modo ut non offendiculo esset; sed etiam quod cum multo labore & periculo hoc faceret. Quid enim dicere oportet, in- C quit, de iis quæ immolata sunt idolis? Nam cum Christus statuerit, ut ii qui evangelium prædicant, ex doctrinæ ministerio vivant; hoc ego non feci. Sed statui, si opus esset, etiam fame vitam finire, & mortem subire acerbissimam, ne quid acciperem ab iis qui instituebantur. Non quod id illis offendiculo foret, si non acciperet, sed quia *ædificandi erant*, quod longe majus erat. Hujusque rei testes ipsos in medium adducit, apud quos operans & esuriens vixit: & apud alios nutritus, in angustia vixit, ut ne illis D offendiculo foret: etiamsi frustra offensi fuissent; ipse namque legem implebat. Attamen ex abundanti illis parcebat. Quod si supra legem hoc faciebat ille, ut ne offendiculo esset, & ab iis quæ permissa sibi erant abstinuit ad aliorum ædificationem, quid merentur isti, qui ab idolothytis non abstinent: idque cum multi ex ea re pereant, quod certe etiam absque offendiculo fugere oporteret eo quod sit dæmonum mensa? Caput igitur totum hoc est, quod multis tractat versibus. Oportet autem rem propositam altius repetere. Neque enim hoc clare ex- E posuit, ut jam dixi: neque ad id statim resilit, sed aliunde incipit his verbis: Non sum apostolus? Nam cum iis quæ dicta sunt, multum quoque discriminis interest, quod Paulus sit qui hæc facit. Ne dicerent enim, licet se signanti gustare, interim quidem huic rei non insistit; sed dicit, etiamsi liceret, ob fratrum damnum non oporteret hoc facere, demumque ostendit non licere. Nunc autem primum illud probat ex iis quæ ad se spectant: & dicturus se nihil ab illis accepisse,

[a] Ita Reg. bene. In editis ὅπερ deest.
[b] Ita Reg. Editi vero, ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι· ἀλλ' ὅτι μετὰ πολλοῦ τοῦ πόνου καὶ κινδύνου. τί γάρ.
[c] Reg. ἄρχεται, quæ lectio vera est. Editi ἔρχεται

non statim illud ponit, sed dignitatem suam primo dicit. Non sum apostolus? non sum liber? Ne dicerent enim: etiamsi non acceperis, quod non liceret non accepisti; ideo primo ponit causas propter quas jure accepisset, si voluisset accipere. Deinde ne videretur hæc dicens Petrum & suos criminari; nam illi accipiebant; primo ostendit illis accipere licuisse. Deinde ne quis diceret: Petro quidem accipere licuit, tibi vero non licuit; auditorem prævertit laudibus suis: vidensque necessarium esse, ut se laudaret; sic enim Corinthii corrigebantur; nihilque tamen volens de se magnum dicere, sed quantum exigebat usus præsentis propositi; vide quomodo utrisque ut e re fuit usus est, tantum se laudans, non quantum ipse sibi conscius erat, sed quantum exigebat præsens necessitas. Cum posset enim dicere, me plus quam omnes & quam illos oportebat accipere, quia plus quam illi laboravi; hoc quidem non dicit, quod sublimius fuisset; sed ea sola ponit ex quibus illi magni erant, & unde jure accipiebant, sic loquens: *non sum Apostolus? non sum liber?* id est: Annon mei ipsius potestatem habeo? An cuipiam subditus sum qui me cogat & vetet accipere? At illi quid plus habent quod fuerint cum Christo. Verum ne illo quidem expers fui. Ideo dicit: *Nonne Dominum nostrum Jesum Christum vidi? Novissime quippe omnium,* inquit, *tamquam abortivo visus est & mihi.* Non parva autem hæc erat dignitas. *Multi* enim *prophetæ & justi*, inquit, *voluerunt videre quæ vos videtis, & non viderunt*; &, *venient dies quando voletis videre unum ex his diebus.* Quid tum, etiamsi sis Apostolus & liber, & Christum videris, si nullum exhibueris apostoli opus, quomodo debes accipere? Ideo postea subjunxit; *Nonne opus meum vos estis in Christo?* Hoc quippe magnum est: nam illa absque hoc nihil juvant. Etenim Judas apostolus erat & liber, atque Christum viderat: sed quia apostoli opus non habuit, nihil hæc ipsi profuerunt. Propterea & hoc adjicit; ipsosque testes vocat. Et quia magnum loquutus erat, vide quomodo illud castiget dicens, *in Domino*; id est, Dei opus est, non meum. *Si aliis non sum apostolus, sed tamen vobis sum.*

Paulus cur seipsum laudet.

1. Cor. 15. 8.

Matt. 13. 17.

Luc. 17. 22.

2. Vides quomodo non supervacaneus sit? Atqui poterat dicere orbem terræ, & gentes barbaras & terram & mare; sed nihil horum dicit, sed ex concessione & ex abundantia vincit. Quid enim, inquit, mihi opus est supervacaneis, cum hæc sufficiant ad præsens argumentum? Non dico igitur illa præclara quæ apud alios a me facta sunt, sed ea quorum vos testes estis. Quapropter etiamsi non aliunde, a vobis maxime oportebat me accipere: attamen a quibus me maxime oportebat accipere, doctor enim vester fui, ab iis non accepi. *Si aliis non sum apostolus, sed vobis sum.* Rursus ex concessis loquitur. Nam orbis

A οὐκ εὐθέως αὐτὸ τίθησιν, ἀλλὰ τὸ ἀξίωμα αὐτοῦ πρότερον λέγει· οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; ἵνα γὰρ μὴ λέγωσιν, ὅτι εἰ καὶ μὴ ἔλαβες, ἐπειδὴ ἐξὸν μὴ ἦν, οὐκ ἔλαβες, διὰ τοῦτο πρότερον τίθησι τὰς αἰτίας, δι' ἃς εὐλόγως ἂν ἔλαβεν, εἴπερ ἐβούλετο λαβεῖν. εἶτα ἵνα μὴ δόξῃ τοὺς περὶ Πέτρον διαβάλλων ταῦτα λέγειν, καὶ γὰρ ἐλάμβανον ἐκεῖνοι, πρότερον δείκνυσιν, ὅτι ἐξῆν ἐκείνοις λαμβάνειν. εἶτα ἵνα μή τις εἴπῃ, ὅτι Πέτρῳ μὲν ἐξῆν λαμβάνειν, σοὶ δὲ οὐκ ἐξῆν, προκαταλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐγκωμίοις τοῖς περὶ ἑαυτοῦ. καὶ ὁρῶν ἀνάγκην οὖσαν ἑαυτὸν ἐγκωμιάσαι, οὕτω γὰρ Κο-
B ρίνθιοι διωρθοῦντο· καὶ μηδὲν βουλόμενος μέγα περὶ ἑαυτοῦ εἰπεῖν, ὅρα πῶς ἀμφοτέροις εἰς δέον κέχρηται, τοσοῦτον ἑαυτὸν ἐπαινῶν, οὐχ ὅσον ἑαυτῷ συνῄδει, ἀλλ' ὅσον ἀπῄτει τῆς προκειμένης ὑποθέσεως ἡ χρεία. δυνάμενος γὰρ εἰπεῖν, ὅτι ἐμὲ μάλιστα πάντων ἐχρῆν λαμβάνειν, καὶ μᾶλλον ἢ ἐκείνους, ὅτι περισσότερον αὐτῶν ἐκοπίασα, τοῦτο μὲν οὐ λέγει, ὅπερ εἶχεν ὑπεροχήν· ἀφ' ὧν δὲ ἦσαν ἐκεῖνοι μεγάλοι, καὶ ἀφ' ὧν δικαίως ἐλάμβανον, ταῦτα τίθησι μόνα, λέγων οὕτως· οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; τουτέστιν, οὐκ ἐξουσίαν ἔχω ἐμαυτοῦ; μὴ ὑπό τινά εἰμι τὸν ἀναγκάζοντά με
C καὶ κωλύοντα λαβεῖν; ἀλλ' ἔχουσί τι πλέον ἐκεῖνοι, τὸ μετὰ Χριστοῦ γενέσθαι. ἀλλ' οὐδὲ τούτου ἐστέρημαι. διὰ τοῦτο λέγει, οὐχὶ Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν ἑώρακα; ἔσχατον γὰρ πάντων, φησὶν, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. οὐ μικρὸν δὲ καὶ τοῦτο ἀξίωμα ἦν. πολλοὶ γὰρ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, φησὶ, καὶ οὐκ εἶδον· καὶ, ἐλεύσονται ἡμέραι, ὅτε θελήσετε μίαν τούτων ἰδεῖν τῶν ἡμερῶν. τί οὖν, εἰ καὶ ἀπόστολος εἶ, καὶ ἐλεύθερος, καὶ τὸν Χριστὸν ἑώρακας, οὐδὲν δὲ ἐπεδείξω ἀποστόλου ἔργον, πῶς ὀφείλεις λαμβάνειν; διὰ τοῦτο μετὰ ταῦτα ἐπήγαγεν, οὐ
D τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ; τὸ γὰρ μέγα τοῦτό ἐστιν. ἐκεῖνα γὰρ οὐδὲν ὠφελεῖ τούτου χωρίς. ἐπεὶ καὶ Ἰούδας ἀπόστολος ἦν καὶ ἐλεύθερος, καὶ τὸν Χριστὸν εἶδεν· ἀλλ' ἐπειδὴ ἀποστόλου ἔργον οὐκ εἶχεν, οὐδὲν αὐτὸν ἐκεῖνα ὤνησε. διὰ δὴ τοῦτο καὶ τοῦτο προστίθησι, καὶ αὐτοὺς μάρτυρας καλεῖ. καὶ ἐπειδὴ μέγα ἐφθέγξατο, ὅρα πῶς αὐτὸ κολάζει λέγων, ἐν κυρίῳ· τουτέστι, τοῦ θεοῦ τὸ ἔργον ἐστὶν, οὐκ ἐμόν. εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι.

Ὁρᾷς πῶς οὐκ ἔστι περιττός; καίτοιγε εἶχε τὴν οἰκουμένην εἰπεῖν, καὶ ἔθνη βάρβαρα, καὶ γῆν καὶ
E θάλατταν· ἀλλ' ὅμως οὐδὲν ἐκείνων λέγει, ἀλλὰ κατὰ συνδρομὴν καὶ ἐκ περιουσίας νικᾷ. τί γάρ μοι τῶν περιττῶν χρεία, φησὶν, ὅταν καὶ ταῦτα ἀρκῇ πρὸς τὴν παροῦσάν μοι ὑπόθεσιν; οὐ λέγω τοίνυν τὰ παρ' ἄλλοις κατορθώματά μοι γεγενημένα, ἀλλ' ὧν ὑμεῖς ἐστε μάρτυρες. ὥστε εἰ καὶ μηδαμόθεν ἄλλοθεν, παρ' ὑμῶν μάλιστά με ἐχρῆν λαβεῖν. ἀλλ' ὅμως παρ' ὧν μάλιστά με ἔδει λαβεῖν, διδάσκαλος γὰρ ὑμῶν ἐγενόμην, παρὰ τούτων οὐκ ἔλαβον. εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί. πάλιν κατὰ συνδρομὴν τὸν λόγον τίθησι.

καὶ γὰρ τῆς οἰκουμένης ἀπόστολος ἦν. ἀλλ᾽ ὅμως οὐ λέγω τοῦτό, φησιν, οὐδὲ μάχομαι καὶ φιλονεικῶ, ἀλλὰ τὸ ὑμέτερον τίθημι. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε· τουτέστιν, ἡ ἀπόδειξις. κἂν βούληταί τις μαθεῖν πόθεν ἀπόστολός εἰμι, ὑμᾶς προβάλλομαι. πάντα γὰρ τὰ τοῦ ἀποστόλου ἐν ὑμῖν ἀπεδειξάμην, καὶ οὐδὲν ἐνέλιπον, ὅπερ καὶ ἐν τῇ δευτέρᾳ φησὶν ἐπιστολῇ, εἰ καὶ οὐδέν εἰμι, λέγων, τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι. τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; διὰ τοῦτό φησιν, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε. καὶ γὰρ καὶ σημεῖα ἐπεδειξάμην, καὶ λόγῳ ἐδίδαξα, καὶ κινδύνοις ὑπέμεινα, καὶ βίον παρεσχόμην ἄληπτον. καὶ ταῦτα ὅλα διὰ τῶν ἐπιστολῶν τῶν δύο τούτων ἐστὶν ἰδεῖν, πῶς ἑκάστου τούτων παρέχεται αὐτοῖς ἀπόδειξιν μετὰ ἀκριβείας ἁπάσης. ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσίν ἐστιν αὕτη. τί ἐστιν, ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσίν ἐστιν αὕτη; τοῖς ζητοῦσι μαθεῖν πόθεν ὅτι ἀπόστολός εἰμι, ἢ τοῖς ἐγκαλοῦσί μοι ὡς χρήματα λαμβάνοντι, ἢ ἐρωτῶσι τὴν αἰτίαν δι᾽ ἣν οὐ λαμβάνω, ἢ τοῖς βουλομένοις με δεῖξαι οὐκ ὄντα ἀπόστολον, ἡ ὑμετέρα κατήχησις καὶ ταῦτα ἃ μέλλω λέγειν, ἀπόδειξις καὶ ἀπολογία γίνεται. ποῖα δὴ ταῦτα; μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; καὶ πῶς ταῦτα ἀπολογία; ὅτι ὅταν φαίνωμαι καὶ τῶν συγκεχωρημένων ἀπεχόμενος, οὐκ ἂν εἴην δίκαιος ὑποπτεύεσθαι, ὡς ἀπατεὼν, ἢ ἐπὶ χρήμασί τι ποιῶν. τά τε οὖν ἔμπροσθεν εἰρημένα, καὶ ἡ ὑμετέρα διδασκαλία, καὶ ταῦτα, ἅπερ εἶπον, ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν, καὶ πρὸς ἅπαντας τοὺς ἀνακρίνοντάς με ἐντεῦθεν ἵσταμαι, ἐκεῖνά τε λέγων, καὶ ταῦτα· μὴ οὖν ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; ἀλλ᾽ ὅμως καὶ ἔχων, ἀπέχομαι. τί οὖν, οὐκ ἤσθιεν, οὐδὲ ἔπινε; μάλιστα μὲν πολλαχοῦ οὔτε ἤσθιεν, οὔτε ἔπινε. καὶ γὰρ ἐν λιμῷ, φησι, καὶ δίψει, καὶ γυμνότητι διετρίβομεν. ἐνταῦθα μέντοι οὐ τοῦτο λέγει, ἀλλὰ τί; οὐ τρώγομεν, οὐδὲ πίνομεν παρὰ τῶν μαθητευομένων λαμβάνοντες, καίτοιγε ἐξουσίαν ἔχοντες τοῦ λαβεῖν. μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου, καὶ Κηφᾶς; ὅρα σοφίαν· τὸν κορυφαῖον ὕστερον τέθεικε. τὸ γὰρ ἰσχυρότερον τῶν κεφαλαίων τότε τίθεται. οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν δεῖξαι τοὺς ἄλλους τοῦτο ποιοῦντας, ὡς τὸν πρωτοστάτην, καὶ τὰς κλεῖς ἐμπιστευθέντα τῶν οὐρανῶν. πλὴν οὐ μόνον τίθησιν, ἀλλὰ πάντας, μονονουχὶ λέγων· αἵ τε καταδεεστέρους ζητῇς, αἵ τε [a] ὑπερέχοντας, [a] ἁπάντων κεῖται τὰ ὑποδείγματα. καὶ γὰρ οἱ ἀδελφοὶ τοῦ κυρίου τῆς προτέρας ἀπιστίας ἀπαλλαγέντες, τῶν δοκίμων ἦσαν γεγενημένοι, εἰ καὶ μὴ πρὸς τοὺς ἀποστόλους ἔφθανον.

A apostolus erat. Attamen hoc non dico, inquit, neque pugno & contendo, sed quod vestrum est pono. *Nam signaculum apostolatus mei vos estis*: id est, demonstratio. 1. Cor. 12. 12.
Et si quis scire velit unde sim apostolus, vos profero: omnia enim quæ sunt apostoli in vobis ostendi, & nihil prætermisi, ut in secunda quoque epistola dicit. Etiamsi nihil sum, inquiens, signa tamen apostoli in vobis facta sunt in omni potentia, in signis & prodigiis & virtutibus. Quid est enim quod minus habuistis præ cæteris Ecclesiis? Ideo ait: Signaculum apo-
B stolatus mei vos estis. Nam & signa ostendi, & verbo docui, & pericula subii, & vitam inculpatam duxi. Et hæc omnia videre licet per hasce duas epistolas, quam accurate nempe hæc singula demonstret. 3. *Mea defensio iis qui me interrogant hæc est.* Quid est, Mea defensio iis qui me interrogant hæc est? Iis qui discere volunt undenam sim apostolus; aut iis qui me criminantur, ut qui pecunias accipiam, aut iis qui causam quærunt cur non accipiam; aut iis qui volunt ostendere, me non esse apostolum, vestra in-
C stitutio, & ea quæ dicturus sum, in demonstrationem & defensionem afferuntur. Quænam autem illa? 4. *Numquid non habemus potestatem manducandi & bibendi?* 5. *Numquid non habemus potestatem mulierem sororem circumducendi?* Et quomodo hæc defensio sunt? Quia cum apparuerit me etiam a concessis abstinere, non jure in suspicionem venerim quod fallax sim, vel quod pecuniæ causa aliquid faciam. Ea igitur quæ prius dicta sunt, & vestra doctrina, & quæ jam dixi, ad defensionem vobis sufficiunt;
D & adversus omnes qui interrogant me, hic jam sto, & hæc & illa dicens. Annon habemus potestatem manducandi & bibendi? Annon habemus potestatem sororem mulierem circumducendi? Attamen licet habeam, abstineo. Quid ergo? non manducabat? non bibebat? Sæpe certe nec manducabat, nec bibebat. Nam ait: in fame & siti & nuditate versabamur. Hic autem non hoc dicit. Sed quid? Non manducamus nec bibimus, a discipulis accipientes, etiamsi potestatem habeamus accipiendi. *Num-quid non habemus potestatem sororem mu-*
E *lierem circumducendi, sicut & ceteri apostoli, & fratres Domini & Cephas?* Vide sapientiam: Coryphæum ultimum posuit: Pauli sapientia.
nam quod inter capita fortius est tunc ponit. Neque enim ita mirandum erat, alios ostendere hoc facientes, ut primum & eum cui traditæ sunt claves regni cælorum. Cæterum non solum ponit, sed omnes, ac si diceret: sive inferiores quæras, sive superiores, omnium posita sunt exempla. Etenim fratres Domini a priore incredulitate liberati, inter clariores erant, etsi ad apostolos non

[a] Reg. ἁπάντων melius, quam editi ἅπαντα.

pervenerant, ideoque in medio illos posuit, summis utrinque positis. 6. *Aut ego solus & Barnabas non habemus potestatem non operandi?* Vide humilitatem, & animam omni invidia liberam, quomodo eum quem curarum socium sciebat non tacuerit. Si enim alia communia, cur hoc non commune fuerit? Apostoli sunt & illi & nos, & liberi; & quæ apostolorum erant exhibuimus, & Christum vidimus. Ergo nos quoque potestatem habemus in otio vivendi, & alimenta a discipulis accipiendi. 7. *Quis militat suis stipendiis unquam?* Quia enim quod validissimum erat ex apostolis ostendit, quod nempe liceat hoc facere, ad exempla demum venit, & ad communem usum, ut mos est illi facere. *Quis militat suis stipendiis?* inquit. Tu vero mihi perpendas velim quam opportuna sint propositæ rei exempla illa; & quomodo primum meminerit periculosæ rei, militiæ, armorum & belli. Hujusmodi enim res est apostolatus, imo his multo major. Neque enim adversus homines tantum bellum ipsis erat, sed & adversus dæmones & principem illorum instructa acies. Hoc est autem quod dicit. Neque externi principes hoc exigunt, sævi licet & iniqui, ut milites bellum gerant & pericula adeant, exque suis facultatibus alantur. Quomodo ergo Christus hoc unquam exegerit? Neque uno contentus est exemplo. Nam vel simpliciorem & crassiorem hoc maxime sedat & placat, cum videt communem consuetudinem cum Dei legibus consentire.

3. Ideoque ad aliud pergit & ait: *Quis plantat vineam, & ex fructu ejus non edit?* Per illud enim pericula, per hoc vero laborem, defatigationem multam & curam declaravit. Tertiumque rursus apponit exemplum dicens: *Quis pascit gregem, & de lacte ejus non edit?* Curam multam, quæ doctorem in erudiendis discipuils decet, hic ostendit. Nam & milites, & agricolæ & pastores apostoli erant; non terræ, neque brutorum, neque bellorum sensilium, sed animarum rationalium, & aciei quæ adversus demonas instruitur. Illud quoque observandum est, quomodo ubique moderationem adhibuerit, utilitatem solum quærens, non res superfluas. Non enim dixit, quis pugnat & non dives est? sed, quis militat suis stipendiis unquam? Non dixit, quis plantat vineam, & non colligit aurum, aut fructum totum non decerpit? sed, ex fructu ejus non comedit? Neque dixit, quis pascit gregem, & de agnis non exercet mercaturam? Sed quomodo? & ex ejus lacte non comedit? non ex agnis, sed ex lacte; ostendens doctorem parvo solatio contentum

A διὸ δὴ καὶ μέσους αὐτοὺς τέθεικεν, ἑκατέρωθεν τοὺς ἄκρους θείς. ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν a τοῦ μὴ ἐργάζεσθαι; ὅρα τὴν ταπεινοφροσύνην καὶ τὴν παντὸς φθόνου καθαρεύουσαν ψυχὴν, πῶς ὃν ᾔδει κοινωνοῦντα αὐτῷ τῆς ἀκριβείας, οὐκ ἀπέκρυψεν. εἰ γὰρ τὰ ἄλλα κοινὰ, πῶς τοῦτο οὐ κοινόν; ἀπόστολοι κἀκεῖνοι, καὶ ἡμεῖς, καὶ ἐλεύθεροι, καὶ τὰ τῶν ἀποστόλων ἐπεδειξάμεθα, καὶ τὸν Χριστὸν ἑωράκαμεν. οὐκοῦν καὶ ἡμεῖς ἐξουσίαν ἔχομεν καὶ τοῦ ἀργοῦντες ζῆν, καὶ τοῦ τρέφεσθαι παρὰ τῶν μαθητευομένων. τίς στρατεύεται ἰδίοις ὀψωνίοις B ποτέ; ἐπειδὴ γὰρ, ὅπερ ἰσχυρότατον ἦν, ἐκ τῶν ἀποστόλων ἀπέδειξεν, ὅτι ἔξεστι τοῦτο ποιεῖν, ἐπὶ παραδείγματα λοιπὸν ἔρχεται καὶ τὴν κοινὴν συνήθειαν, ὅπερ ἔθος αὐτῷ ποιεῖν, τίς στρατεύεται ἰδίοις ὀψωνίοις, λέγων. σὺ δέ μοι σκόπει πῶς τὰ ὑποδείγματα σφόδρα ἁρμόδια τῇ προκειμένῃ ἤγαγεν ὑποθέσει, καὶ πῶς πρότου μέμνηται τοῦ ἐπικινδύνου, στρατείας, καὶ ὅπλων, καὶ πολέμων. τοιοῦτον γὰρ ἡ ἀποστολὴ, μᾶλλον δὲ καὶ τούτων πολλῷ μεῖζον. οὐδὲ γὰρ πρὸς ἀνθρώπους μόνον ὁ πόλεμος ἦν αὐτοῖς, ἀλλὰ καὶ πρὸς δαίμονας, καὶ πρὸς τὸν ἐκείνων ἀρχηγὸν ἡ παράταξις. ὃ τοίνυν φησὶ τοῦτό ἐστιν· ὅτι οὐδὲ οἱ ἔξωθεν ἄρχον- C τες ἐπαιτοῦσιν, οἱ ὠμοὶ καὶ ἄδικοι, στρατεύεσθαί καὶ κινδυνεύειν, καὶ οἴκοθεν τρέφεσθαι τοὺς στρατευομένους. πῶς οὖν ὁ Χριστός ποτε τοῦτο ἀπῄτησεν ἄν; καὶ οὐδὲ ἑνὶ ἀρκεῖται παραδείγματι. τὸν γὰρ ἀφελέστερον καὶ παχύτερον, καὶ τοῦτο μάλιστα ἀναπαύειν εἴωθε, τὸ καὶ τὴν κοινὴν συνήθειαν ὁρᾷν τοῖς τοῦ θεοῦ νόμοις συμβαίνουσαν.

Διὸ καὶ ἐφ᾽ ἕτερον πρόεισι, καὶ φησί. τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; δι᾽ ἐκείνου μὲν γὰρ τοὺς κινδύνους, διὰ δὲ τούτου τὸν πόνον D καὶ τὴν πολλὴν ταλαιπωρίαν καὶ ἐπιμέλειαν ἐνέφηνε. καὶ τρίτον πάλιν ὑπόδειγμα προστίθησι, λέγων· τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τὴν κηδεμονίαν τὴν πολλὴν τὴν διδασκάλῳ πρέπουσαν περὶ τοὺς ἀρχομένους ἐπιδείκνυται. καὶ γὰρ καὶ στρατιῶται, καὶ γεωργοὶ, καὶ ποιμένες οἱ ἀπόστολοι ἦσαν, οὐ γῆς, b οὐδὲ ἀλόγων, οὐδὲ πολέμων αἰσθητῶν, ἀλλὰ ψυχῶν λογικῶν, καὶ τῆς πρὸς τοὺς δαίμονας παρατάξεως. παρατηρητέον δὲ κἀκεῖνο, ὅπως πανταχοῦ τὴν συμμετρίαν ἐφύλαξε, τὸ χρειῶδες ζητῶν μόνον, οὐχὶ E τὸ περιττόν. οὐ γὰρ εἶπε, τίς στρατεύεται, καὶ οὐ πλουτεῖ, ἀλλὰ, τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; οὐδὲ εἶπε, τίς φυτεύει ἀμπελῶνα, καὶ οὐ συνάγει χρυσίον, ἢ τὸν καρπὸν ὁλόκληρον οὐ τρυγᾷ; ἀλλ᾽, ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; οὐδὲ εἶπε, τίς ποιμαίνει ποίμνην, καὶ οὐκ ἐμπορεύεται τοὺς ἄρνας; ἀλλὰ πῶς; καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; οὐκ ἐκ τῶν ἀρνῶν, ἀλλ᾽ ἐκ τοῦ γάλακτος; δεικνὺς ὅτι μικρᾷ παραμυθίᾳ τὸν διδάσκαλον ἀρκεῖσθαι δεῖ,

a τοῦ μὴ ἐργάζεσθαι. Ita Reg. & Savil. In Morel. vero. τοῦ ἐργάζεσθαι. In vulgata legitur. *Aut ego & Barnabas non habemus potestatem hoc operandi*, id quod etiam cum serie quadrat. Verum Chrysostomus legit haud dubie, οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; *non habemus potestatem non operandi*, ut ex serie liquet.

b Reg. οὐδὲ ἀλόγων, οὐδὲ πολέμων αἰσθητῶν, recte. Editi vero οὐδὲ πολέμων ἀλόγων.

καὶ τῇ ἀναγκαίᾳ μόνῃ τροφῇ. ταῦτα πρὸς τοὺς βουλομένους πάντα κατεσθίειν καὶ τὸν καρπὸν ὁλόκληρον τρυγᾷν. οὕτω καὶ ὁ κύριος ἐνομοθέτησε, λέγων· ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οὐ τοῦτο δὲ μόνον διὰ τῶν ὑποδειγμάτων κατασκευάζει, ἀλλὰ καὶ δείκνυσιν ὁποῖον εἶναι χρὴ τὸν ἱερέα. καὶ γὰρ στρατιώτου ἀνδρείαν κεκτῆσθαι δεῖ, καὶ γεωργοῦ ἐπιμέλειαν, καὶ ποιμένος κηδεμονίαν, καὶ μετὰ ταῦτα πάντα, μηδὲν πλέον τῶν ἀναγκαίων ζητεῖν. δείξας τοίνυν καὶ ἀπὸ τῶν ἀποστόλων, ὅτι οὐ κεκώλυται λαμβάνειν τὸν διδάσκαλον, καὶ ἀπὸ τῶν κατὰ τὸν βίον παραδειγμάτων, καὶ ἐπὶ [a] τρίτον κεφάλαιον ἔρχεται, οὕτω λέγων· μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐπειδὴ γὰρ τέως ἀπὸ γραφῶν οὐδὲν εἶπεν, ἀλλὰ τὴν κοινὴν συνήθειαν προεβάλετο, μὴ νομίσητέ με, φησὶ, τούτοις ἰσχυρίζεσθαι μόνοις, μηδὲ ἀφ᾽ ὧν τοῖς ἀνθρώποις δοκεῖ, ταῦτα νομοθετεῖν. ἔχω γὰρ δεῖξαι, ὅτι καὶ τῷ θεῷ ταῦτα δοκεῖ, καὶ παλαιὸν ἀναγινώσκω νόμον ταῦτα κελεύοντα. διὸ καὶ κατ᾽ ἐρώτησιν προάγει τὸν λόγον, ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων γίνεται, οὕτω λέγων· μὴ κατὰ ἄνθρωπον ταῦτα λέγω; τουτέστι, μὴ ἐξ ἀνθρωπίνων μόνων παραδειγμάτων ἰσχυριζόμεθα; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ νόμῳ Μωϋσέως γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα. καὶ τίνος ἕνεκεν ἐμνήσθη τούτου, τὸ τῶν ἱερέων ὑπόδειγμα ἔχων; ἐκ πολλῆς τῆς περιουσίας αὐτὸ κατασκευάσαι βουλόμενος. εἶτα, ἵνα μή τις λέγῃ, καὶ τί πρὸς ἡμᾶς τὸ περὶ τῶν βοῶν εἰρημένον; ἐπεξεργάζεται αὐτὸ μετὰ ἀκριβείας λέγων· μὴ τῶν βοῶν μέλει τῷ θεῷ; οὐ μέλει οὖν περὶ τῶν βοῶν, εἰπέ μοι, τῷ θεῷ; μέλει μὲν οὖν, οὐχ οὕτω δὲ, ὡς καὶ νόμον θεῖναι ὑπὲρ τούτου. ὥστε εἰ μὴ μέγα τι ᾐνίττετο, ἐγγυμνάζων τοῖς ἀλόγοις τοὺς Ἰουδαίους εἰς τὸ εἶναι φιλανθρώπους, καὶ ἀπὸ τούτων καὶ περὶ τῶν διδασκάλων αὐτοῖς διαλεγόμενος, οὐκ ἂν τοσαύτην ἐποιήσατο σπουδὴν, ὡς καὶ νόμον γράψαι ὑπὲρ τοῦ μὴ κημοῦσθαι τοὺς βοῦς. ἐντεῦθεν καὶ ἕτερόν τι δείκνυσι, πολὺν τὸν πόνον τῶν διδασκάλων καὶ ὄντα, καὶ εἶναι ὀφείλοντα· καὶ ἕτερον πάλιν. ποῖον δὴ τοῦτο; ὅτι ὅσαπερ ἂν ὑπὲρ τῆς τῶν ἀλόγων ἐπιμελείας παρὰ τῆς παλαιᾶς λέγηται, προηγουμένως εἰς τὴν τῶν ἀνθρώπων συντελεῖ διδασκαλίαν· ὥσπερ οὖν καὶ τὰ ἄλλα ἅπαντα οἷον τὰ περὶ ἱματίων ποικίλων, καὶ τὰ περὶ ἀμπελώνων, καὶ σπερμάτων, καὶ τοῦ μὴ διάφορον ποιεῖν τὴν γῆν, τὰ περὶ λέπρας, καὶ τὰ ἄλλα, ὡς εἰπεῖν, ἅπαντα. παχυτέροις γὰρ οὖσιν ἐντεῦθεν διελέγετο, κατὰ μικρὸν ἀναβιβάζων αὐτούς. καὶ ὅρα πῶς αὐτὸ οὐδὲ κατασκευάζει λοιπὸν, ἅτε φανερὸν ὂν καὶ αὐτόθεν δῆλον. εἰπὼν γὰρ, μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἐπήγαγεν, ἢ δι᾽ ἡμᾶς πάντως λέγει; οὐδὲ, τὸ πάντως, ἁπλῶς προσθεὶς, ἀλλ᾽ ἵνα μὴ συγχωρήσῃ μηδ᾽ ὁπωσοῦν ἀντειπεῖν τῷ ἀκροατῇ. καὶ ἐπιμένει τῇ μεταφορᾷ λέγων καὶ ἀποφαινόμενος· δι᾽ ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ᾽ ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν, ἀροτριᾶν· τουτέστιν, ὁ διδάσκαλος ὀφείλει τῶν πόνων τὰς ἀμοιβὰς ἔχειν, καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ

[a] Reg. τέταρτον, male.

A esse oportere, soloque necessario cibo. Hæc ad eos qui volunt omnia comedere, & fructum totum decerpere. Hanc & Dominus legem posuit dicens: *Dignus est operarius cibo suo.* (Matt. 10. 10.) Non hoc autem solum exemplis probat; sed etiam ostendit qualem oporteat esse sacerdotem. Etenim militi habere fortitudinem opus est, agricolæ curam, pastori solicitudinem: ac post hæc omnia nihil amplius quærere quam necessaria. Cum ostendisset ergo non esse vetitum doctori accipere, &ex doctoribus, & ex vitæ quotidianæ exemplis, ad tertium caput venit, B sic dicens: 8. *Numquid secundum hominem hæc dico? An & lex hæc non dicit?* Quia enim hactenus ex scripturis nihil dixit, sed communem protulit consuetudinem, ne putetis me, inquit, hisce niti solis, neque ex hominum placito hæc statuere. Possum enim ostendere, hæc Deo quoque placita esse, & veterem lego legem hæc præcipientem. Ideo per interrogationem progreditur, uti solet fieri in iis quæ omnino in confesso sunt; sic dicens: Numquid secundum hominem hæc dico? Id est, Num humanis C tantum exemplis nitor? Annon etiam lex hæc dicit? 9. *Scriptum est enim in lege Moysis: Non alligabis os bovi trituranti.* Et cur hæc memorat, cum haberet exemplum sacerdotum? Admodum ubertim hæc probare volens. Deinde, ne quis diceret; ecquid ad nos quod de bobus dictum est? Hoc accurate discutit dicens: *Numquid de bobus cura est Deo?* Boves ergo non curat, quæso te, Deus? Curat utique, sed non ita ut de illa re legem tulerit. Quapropter, nisi magnum quid subindicaret, Judæos per bruta exercens D ad benignitatem, atque etiam illos per hæc de doctoribus alloquens, non tale suscepisset studium, ut & legem scriberet de bobus camo non ligandis. Inde autem aliud ostendit; multum esse doctorum laborem & esse debere; aliudque rursum: quodnam illud? Quod quæcumque in veteri lege de brutorum cura dicuntur, ad hominum doctrinam præcipue conferant; ut & alia omnia; verbi gratia, quæ de variis vestibus, quæ de vineis, de seminibus, de terra, quod non diversa facienda sit, de lepra; deque E aliis, ut ita dicam, omnibus. Cum enim illi crassiores essent, hinc disserebat cum illis, paulatim ipsos erigens. Et vide quomodo hoc non ultra probet, utpote quod planum & ex se manifestum sit. Cum dixisset enim, numquid de bobus cura est Deo, subjunxit: 10. *An propter nos omnino hoc dicit?* Nec sine causa illud, *omnino*, ponit; sed ne liceret auditori vel tantillum contradicere. Atque in metaphora perstat dicens & pronuncians: *Nam propter nos scripta sunt: quia in spe debet qui arat arare.* Id est, doctor debet laborum mercedem habere, & qui tri-

turat, in spe fructus percipiendi esse. Et vide prudentiam. A semine enim ad aream rem traduxit; hic rursum multos doctorum sudores ostendens; quoniam ipsi & arant, & aream terunt. Et in arando quidem, quia nullus percipiendus fructus erat, sed labor tantum aderat, spem posuit. In terenda vero area, jam usum-fructum concessit dicens: & qui triturat, ejus spei particeps est.

4. Deinde, ne quis dicat, Hæccine est tantorum merces laborum? adjecit, in spe, scilicet futura. Nihil ergo aliud clamat os hujus animalis camo non ligatum, quam quod oporteat doctores laborantes mercede frui. 11. *Si nos vobis spiritualia seminavimus, magnum est si nos carnalia vestra metamus?* Ecce quartum etiam addit ratiocinium, quod oporteat alimenta præbere. Quia enim dixit, Quis militat propriis stipendiis unquam? Et quis plantat vineam; & quis pascit gregem? Et adducit bovem triturantem; aliam profert causam rationi valde consonam, propter quam jure accepturi erant; quod non modo laborassent; sed & longe majora præbuissent. Quidnam ergo est? Si nos vobis spiritualia seminavimus, magnum est si nos carnalia vestra metamus? Vidistin' causam justissimam, & magis quam priores rationi consentaneam? Illic namque dicit, carnale semen est, carnalis & fructus; hic autem non sic; sed semen spirituale, merces vero carnalis. Nam ne multum sibi placerent ii, qui aliquid doctoribus præberent, ostendit illos majora quam dent, accipere. Agricolæ namque, quæ seminant, eadem ipsa accipiunt; nos autem qui in animabus vestris spiritualia serimus, metimus carnalia. Tale namque est alimentum ab illis datum. Deinde majorem infert pudorem. 12 *Si alii potestatis vestræ participes sunt, quare non potius nos?* Ecce aliam rationem, quæ & ipsa ab exemplis sumitur, sed non a similibus. Neque enim hic Petrum nec apostolos memorat, sed alios quosdam adulterinos, contra quos deinceps
2. Cor. 11. 20. pugnam instruit, ac de quibus dicit: *Si quis vos devorat, si quis accipit, si quis extollitur, si quis in faciem vos cædit,* & belli contra eos gerendi jam facit præludium. Ideoque non dixit, si alii a vobis accipiunt: sed ostendens illorum arrogantiam, tyrannidem & commercium, dicit: Si alii potestatis vestræ participes sunt; id est, si imperant vobis, si potestatem exercent, si ut famulis utuntur, non modo accipientes, sed cum multa accuratione & auctoritate. Ideo addidit, non potius nos? Quod non dixisset, si de apostolis sermo esset; sed palam est illum quosdam subindicare perniciosos, qui ipsos deciperent. Itaque post Moysis legem vos quoque legem tulistis, quod præbere oporteat. Cum dixit autem, Non po-

A μετέχειν ἐπ' ἐλπίδι. καὶ θέα σύνεσιν. ἀπὸ γὰρ τοῦ σπόρου ἐπὶ τὴν ἅλω τὸ πρᾶγμα μετήνεγκε, πάλιν κἀνταῦθα τοὺς πολλοὺς ἱδρῶτας τῶν διδασκάλων ἐμφαίνων, ὅτι αὐτοὶ καὶ ἀροτριῶσι καὶ τὴν ἅλω τρίβουσι. καὶ ἐπὶ μὲν τοῦ ἀροτριᾷν, ἐπειδὴ οὐδὲν ἦν καρπώσασθαι, ἀλλὰ πόνον, τὴν ἐλπίδα τέθεικεν· ἐπὶ δὲ τοῦ τρίβειν τὴν ἅλω, ἤδη τὴν ἀπόλαυσιν ἐχαρίσατο λέγων· καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν.

Εἶτα, ἵνα μὴ λέγῃ τις, αὕτη οὖν ἡ τῶν τοσούτων ἱδρώτων ἀμοιβή; προσέθηκεν, ἐπ' ἐλπίδι, τουτέστι, B τῇ μελλούσῃ. οὐδὲν οὖν ἕτερον τὸ στόμα ἀκήμωτον ὂν τοῦ ζώου τούτου βοᾷ, ἢ ὅτι τοὺς διδασκάλους τοὺς πονοῦντας δεῖ καὶ ἀμοιβῆς ἀπολαύειν. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; ἰδοὺ καὶ τέταρτον προστίθησι λογισμὸν ὑπὲρ τοῦ δεῖν παρέχειν. ἐπειδὴ γὰρ εἶπε, τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; καὶ τίς φυτεύει ἀμπελῶνα; καὶ τίς ποιμαίνει ποίμνην; καὶ παρήγαγε τὸν βοῦν τὸν ἀλοῶντα, δείκνυσι καὶ ἄλλην αἰτίαν εὐλογωτάτην, δι' ἣν ἦσαν δίκαιοι λαβεῖν, ὡς πολλῷ μείζονα παρεσχηκότες, οὐκέτι ὡς καμόντες μόνον. τί οὖν ἐστιν; Εἰ ἡμεῖς C ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; εἶδες δικαιοτάτην αἰτίαν καὶ τῶν προτέρων εὐλογωτέραν; ἐκεῖ μὲν γάρ φησι, σαρκικὸς ὁ σπόρος, σαρκικὸς καὶ ὁ καρπός· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὁ μὲν σπόρος πνευματικὸς, ἡ δὲ ἀντίδοσις σαρκική. ἵνα γὰρ μὴ μέγα φρονῶσιν οἱ παρέχοντες τοῖς διδασκάλοις, ἔδειξεν ὅτι μείζονα λαμβάνουσιν, ἢ διδόασιν. οἱ μὲν γὰρ γεωργοὶ, ἅπερ ἂν καταπείρωσι, ταῦτα καὶ λαμβάνουσιν· ἡμεῖς δὲ σπείροντες εἰς τὰς ὑμετέρας ψυχὰς πνευματικὰ, θερίζομεν σαρκικά. τοιοῦτον γὰρ ἡ παρ' αὐτῶν διδομένη τροφή. Εἶτα καὶ ἐντρεπτικώ- D τερον· Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς; ἰδοὺ καὶ ἕτερος πάλιν λογισμὸς, καὶ αὐτὸς ἐκ παραδειγμάτων, ἀλλ' οὐχ ὁμοίων. οὐδὲ γὰρ Πέτρου μέμνηται ἐνταῦθα, οὔτε τῶν ἀποστόλων, ἀλλ' ἑτέρων τινῶν νόθων, πρὸς οὓς ὕστερον ἀποδύεται, καὶ περὶ ὧν φησιν· Εἴ τις ὑμᾶς κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει, καὶ τὸν πρὸς ἐκείνους ἤδη προανακρούεται πόλεμον. διὸ οὐδὲ εἶπεν, [a] εἰ ἄλλοι λαμβάνουσι παρ' ὑμῶν, [a] ἀλλὰ δεικνὺς αὐτῶν τὴν αὐθάδειαν καὶ τὴν τυραννίδα καὶ τὴν ἐμπορείαν, φησίν· Εἰ ἄλλοι τῆς ὑμῶν ἐξουσίας με- E τέχουσι, τουτέστι, κρατοῦσιν ὑμῶν, ἐξουσιάζουσιν, ὡς οἰκέταις ἀποκέχρηνται, οὐ λαμβάνοντες μόνον, ἀλλὰ καὶ [b] μετὰ πολλῆς σπουδῆς καὶ τῆς αὐθεντίας. διὸ προσέθηκεν, [b] οὐ πολλῷ μᾶλλον ἡμεῖς; ὅπερ οὐκ, ἂν εἰ περὶ τῶν ἀποστόλων ὁ λόγος ἦν, εἶπεν ἄν. ἀλλ' εὔδηλον ὅτι τινὰς αἰνίττεται λυμεῶνας, καὶ ἀπατῶντας αὐτούς. ὥστε μετὰ τοῦ νόμου τοῦ Μωϋσέως, καὶ ὑμεῖς αὐτοὶ νόμον τεθείκατε ὑπὲρ τοῦ δεῖν παρέχειν. Εἰπὼν δὲ, οὐ πολλῷ μᾶλλον

a Reg. εἰ ἄλλοι οὐ λαμβάνουσι.
b Morel. μετὰ πολλῆς τῆς αὐθεντίας omissis interpositis quæ in Reg. habentur.

ὑμεῖς; οὐ κατασκευάζει διὰ τί οὐ πολλῷ μᾶλλον, ἀλλ᾽ ἀφίησιν αὐτῶν τῷ συνειδότι τὸν ἔλεγχον, ὁμοῦ καὶ φοβῆσαι βουλόμενος καὶ ἐντρέψαι μειζόνως. ἀλλ᾽ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· τουτέστιν, οὐκ ἐλάβομεν. ὁρᾷς διὰ πόσων κατασκευάσας πρότερον, ὅτι οὐ παράνομον τὸ λαμβάνειν, τότε εἶπεν, ὅτι οὐ λαμβάνομεν, ἵνα μὴ δόξῃ ὡς κεκωλυμένου ἀπέχεσθαι; οὐ γὰρ, ἐπειδὴ μὴ ἔξεστι, φησιν, οὐ λαμβάνω· ἔξεστι γάρ, καὶ τοῦτο ἀπὸ πολλῶν ἀπεδείξαμεν, ἀπὸ τῶν ἀποστόλων, ἀπὸ τῶν ἐν βίῳ πραγμάτων, τοῦ στρατιώτου, τοῦ γεωργοῦ, καὶ τοῦ ποιμένος, ἀπὸ τοῦ νόμου Μωϋσέως, ἀπ᾽ αὐτῆς τοῦ πράγματος τῆς φύσεως, ὅτι ἐσπείραμεν ὑμῖν πνευματικὰ, ἀφ᾽ ὧν ὑμεῖς περὶ τοὺς ἄλλους πεποιήκατε· ἀλλ᾽ ὥσπερ, ἵνα μὴ δόξῃ καταισχύνειν τοὺς ἀποστόλους τοὺς λαμβάνοντας, ταῦτα τέθεικεν, ἐντρέπων αὐτοὺς καὶ δεικνὺς, ὅτι οὐ κεκωλυμένου πράγματος ἀπέχεται· οὕτω πάλιν, ἵνα μὴ διὰ τῆς πολλῆς κατασκευῆς, καὶ τῶν παραδειγμάτων τῶν πολλῶν, δι᾽ ὧν ἔδειξεν ὅτι δεῖ λαμβάνειν, δόξῃ ἐπιζητεῖν τὸ λαμβάνειν, καὶ διὰ τοῦτο ταῦτα λέγειν, ἤδη διορθοῦται αὐτό· καὶ σαφέστερον μὲν ὕστερον αὐτὸ τέθεικεν, ὅταν λέγῃ, οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· ἐνταῦθα δέ φησιν, ὅτι οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ ἐκεῖνο ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν εὐρυχωρίᾳ ὄντες οὐκ ἐχρησάμεθα, ἀλλὰ καὶ ἀνάγκης κατεπειγούσης, οὐκ εἴξαμεν τῇ ἀνάγκῃ· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησίν· ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν, καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρκησα οὐδενός. καὶ ἐν ταύτῃ πάλιν, καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα. καὶ ἐνταῦθα πάλιν τὸ αὐτὸ αἰνίττεται λέγων, ἀλλὰ πάντα στέγομεν. εἰπὼν γὰρ, ὅτι πάντα στέγομεν, καὶ λιμὸν αἰνίττεται καὶ στενοχωρίαν πολλὴν καὶ τὰ ἄλλα πάντα. ἀλλ᾽ οὐδὲ οὕτως ἠναγκάσθημεν, φησι, λῦσαι τὸν νόμον, ὃν ἑαυτοῖς τεθείκαμεν. διὰ τί; ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. ἐπειδὴ γὰρ ἀσθενέστερον Κορίνθιοι διέκειντο, ἵνα μὴ πλήξωμεν ὑμᾶς, φησι, λαμβάνοντες, εἱλόμεθα καὶ ὑπὲρ τὰ ἐπιτεταγμένα ποιῆσαι, ἢ ἐγκοπήν τινα δοῦναι τῷ εὐαγγελίῳ, τουτέστι, τῇ κατηχήσει ὑμῶν. εἰ δὲ ἡμεῖς καὶ ἐπιτετραμμένον ἡμῖν, καὶ πολλὴν πάσχοντες βίαν, καὶ ἀποστόλους ἔχοντες ὑπόδειγμα, οὐκ ἐποιήσαμεν, ἵνα μὴ ἐγκοπὴν δῶμεν· καὶ οὐκ εἶπεν, ἀνατροπὴν, ἀλλ᾽, ἐγκοπὴν, καὶ οὐχ ἁπλῶς ἐγκοπὴν, ἀλλ᾽, ἐγκοπήν τινα· ἵνα μηδὲ τὴν τυχοῦσαν, ὡς ἂν εἴποι τις, μέλλησιν καὶ ἀναβολὴν ἐμποιήσωμεν τῷ δρόμῳ τοῦ λόγου. εἰ τοίνυν ἡμεῖς τοσαύτῃ ἐχρησάμεθα τῇ σπουδῇ, φησι, πόσῳ μᾶλλον ὑμᾶς τοὺς καὶ πολὺ τῶν ἀποστόλων ἀποδέοντας, καὶ οὐδὲ νόμον ἔχοντας εἰπεῖν τὸν ἐπιτρέποντα, ἀλλὰ καὶ τοὐναντίον τῶν κεκωλυμένων ἁπτομένους, καὶ τῶν ἐπὶ [a] βλάβῃ μεγάλῃ τοῦ εὐαγγελίου, οὐκ [a] ἐπὶ τῷ μὴ ἐγκοπὴν μόνον δοῦναι, ἀλλ᾽ οὐδὲ ἀνάγκην ὁρῶντας ἐπικειμένην, ἀπέχεσθαι δεῖ. τοῦτον γὰρ ἅπαντα τὸν λόγον δι᾽ ἐκείνους ἐκίνησε τοὺς διὰ τῆς βρώσεως τῶν εἰδωλοθύτων σκανδαλίζοντας τοὺς ἀσθενεστέρους ἀδελφούς.

[a] Ita Reg. in editis autem hæc vitiata sunt.

A tius vos? non probat cur multo magis oporteat, sed illorum conscientiæ probandum relinquit, simulque & terrere volens & majorem incutere pudorem. *Sed non usi sumus tali potestate;* id est, Non accepimus. Viden' quomodo cum prius tot rationibus probasset, non esse contra legem, accipere, tunc dixit, Non accipimus, ne videatur abstinere tamquam a prohibito. Non enim, inquit, quod non liceat, non accipio; licet enim, & hoc ex multis demonstravimus; ex apostolis, ex rebus quæ in vita fiunt, ex milite, B agricola, pastore, a lege Moysis, ab ipsa rei natura, quia seminavimus vobis spiritualia; ex iis quæ vos fecistis erga alios. Sed sicut ne videretur pudore afficere apostolos, qui accipiebant, hæc posuit, pudorem illis incutiens & ostendens se non a re ut prohibita abstinere; ita rursum ne per multam illam probationem & frequentia exempla, queis ostendit accipere oportere, videretur ut accipiat quærere, ideoque talia proferre; jam illud corrigit, & clarius demum hoc posuit, cum dicit: Non scripsi autem hæc ut sic in me fiat. Hic porro dicit, Non usi sumus hac potestate. C Quodque majus est, Ne illud quidem poterit quisquam dicere, quod cum nobis amplæ facultates essent, his non usi simus; siquidem urgente necessitate, non cessimus necessitati; id quod etiam in secunda ait: *Alias ecclesias exspoliavi, accipiens stipendia ad ministerium vestrum; &,* 2. Cor. 11. 8.
*cum essem apud vos & egerem, nulli onerosus fui.* Et in hac rursus: *Et esurimus & sitimus, & nudi sumus & colaphis cædimur;* 1. Cor. 4. 11.
& hic rursus idipsum subindicat dicens, *sed omnia sustinemus.* Dicens enim, omnia sustinemus, famem subindicat, & angustiam D multam aliaque omnia. Sed neque sic, inquit, coacti sumus solvere legem, quam nobis ipsis imposuimus. Quare? *Ne quod offendiculum demus evangelio Christi;* Quia enim infirmiores Corinthii erant, Ne vos, inquit, offenderemus accipientes, maluimus plusquam præceptum erat facere, quam obicem quempiam afferre evangelio; id est, institutioni vestræ. Si autem nos, etiamsi liceret nobis & multam vim pateremur, exemplumque haberemus apostolos, id non fecimus; ne offendiculum daremus. E Nec dixit eversionem, sed offendiculum, nec simpliciter offendiculum, sed offendiculum quoddam; ut ne vel levissimam moram verbi cursui inferremus. Si ergo nos tanta usi sumus diligentia, inquit, quanto magis vos qui ab apostolis longe abestis, neque legem potestis dicere quæ id permittat; sed contra, etiam prohibita tangitis, atque etiam quæ damnum magnum afferunt evangelio; non offendiculi modo vitandi causa, sed nullam videntes instantem necessitatem, abstinere oportet. Hanc enim totam movit orationem propter illos, qui per cibum idolothytorum imbecillioribus fratribus offendiculo erant.

5. Hæc nos quoque audiamus, dilecti, ut ne despiciamus eos qui offenduntur, ne offendiculum ponamus evangelio Christi, neu nostram prodamus salutem. Ne mihi enim dicas cum frater offenditur, Non prohibetur hoc vel illud in quo ille offenditur, & licitum est. Ego enim tibi majora dico; vel si ipse Christus permiserit, viderisque offendi quempiam, abstine, & ne permissione utaris. Hoc enim & Paulus fecit: qui cum permittente Christo liceret accipere, non accepit. Cum enim benignus sit Dominus, multam præceptis suis miscuit mansuetudinem, ut non solum ex jussu, sed etiam multa ex libera faciamus animi sententia. Poterat enim, nisi hoc voluisset, præcepta magis augere ac dicere: Qui non semper jejunat, puniatur; qui virginitatem non servat, supplicio afficiatur; qui non se omnibus exuit facultatibus, extremas det pœnas. Sed non hoc fecit, licentiam tibi dans si velis, majora suscipiendi. Idcirco cum de virginitate loqueretur, dicebat, *qui potest capere, capiat.* Et diviti, alia præcepit, alia ejus voluntati permisit. Neque enim dixit, vende quæ habes; sed, *si vis perfectus esse, vende.* At nos non modo non majora suscipimus, neque ea quæ præcepta sunt superamus, sed multum abest ut præceptorum mensuram impleamus. Et Paulus quidem esuriebat, ne offendiculum præberet evangelio; nos autem ne recondita quidem nobis attingere audemus, innumeras videntes animas eversas. Rodat enim, inquit ille, tinea, & non rodat pauper; edat vermis, & non induatur nudus. Omnia consumantur tempore, & non alatur Christus, dum esurit. Ecquis hoc dicit? inquies. Hoc enim grave admodum est, quod non verbis, sed factis hæc dicantur. Nam minus grave esset si verbis diceretur, quam cum reipsa efficitur. Annon enim hæc quotidie clamat avaritia, immanis illa & sæva tyrannis, captivis suis? Apponantur vestra comedenda sycophantis, latronibus & insidiatoribus, non autem famelicis & egenis. Annon vos facitis latrones? Annon vos escam præbetis igni invidorum? Annon vos facitis fugitivos & insidiatores, dum quasi escam illis divitias vestras apponitis? Quæ est hæc insania? Insania quippe & manifesta amentia est, arcas implere vestibus, & eum, qui ad imaginem & similitudinem Dei factus est, nudum, a frigore trementem ac vix rectum stantem despicere. At ille inquies, tremorem & infirmitatem simulat? Annon times ne fulmen ab hoc verbo accensum ex alto dejiciatur? Ira enim disrumpor, ignoscite. Tu quippe ventri indulgens & pinguis, & ad profundam

Matt. 19. 12.

Matt. 19. 21.

Contra avaros.

A Ταῦτα δὲ καὶ ἡμεῖς ἀκούωμεν, ἀγαπητοί· ἵνα μὴ καταφρονῶμεν τῶν σκανδαλιζομένων, μηδὲ ἐγκοπήν τινα ποιῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ· ἵνα μὴ προδιδῶμεν τὴν ἡμετέραν σωτηρίαν. μὴ γάρ μοι λέγε, ὅταν σκανδαλίζηται ὁ ἀδελφὸς, ὅτι οὐ κεκώλυται τὸ, καὶ τὸ, ἐφ' ᾧ σκανδαλίζεται, καὶ ὅτι ἐφεῖται. ἐγὼ γάρ σοι μείζονα λέγω, ὅτι κἂν αὐτὸς ὁ Χριστὸς ἐπιτετραφὼς ᾖ, ἴδῃς δέ τινα βλαπτόμενον, ἐπίσχες, καὶ μὴ χρήσῃ τῇ ἐπιτροπῇ. τοῦτο γὰρ καὶ Παῦλος ἐποίησεν, ἐξὸν λαβεῖν Χριστοῦ συγχωρήσαντος, μὴ λαβών. καὶ γὰρ φιλάνθρωπος ὢν ὁ δεσπότης, πολλὴν τοῖς ἐπι- B τάγμασιν ἐκέρασεν ἡμερότητα τοῖς αὐτοῦ, ἵνα μὴ μόνον ἐξ ἐπιταγῆς, ἀλλὰ καὶ ἐξ οἰκείας πολλὰ ποιῶμεν γνώμης. καὶ γὰρ ἠδύνατο, εἰ μὴ τοῦτο ἐβούλετο, μᾶλλον ἐπιτεῖναι τὰ ἐπιτάγματα, καὶ εἰπεῖν· ὁ μὴ διόλου νηστεύων, κολαζέσθω· ὁ μὴ παρθενεύων, τιμωρείσθω· ὁ μὴ πάντα ἀποδυόμενος τὰ ὄντα, δίκην διδότω τὴν ἐσχάτην. ἀλλ' οὐκ ἐποίησε τοῦτο, σοὶ παρέχων, εἰ βουληθείης, φιλοτιμεῖσθαι. διὰ τοῦτο καὶ ὅτε περὶ παρθενίας διελέγετο, ἔλεγεν· ὁ δυνάμενος χωρεῖν, χωρείτω. καὶ ἐπὶ τοῦ πλουσίου, τὰ μὲν ἐπέταξε, τὰ δὲ ἐπέ- C τρεψε τῇ ἐξουσίᾳ τῆς διανοίας. οὐ γὰρ εἶπε, πώλησον τὰ ὑπάρχοντα, ἀλλ', εἰ θέλεις τέλειος εἶναι, πώλησον. ἀλλ' ἡμεῖς οὐ μόνον οὐ φιλοτιμούμεθα, οὐδὲ ὑπερβαίνομεν τὰ προστάγματα, ἀλλὰ καὶ τοῦ μέτρου τῶν κελευσθέντων σφόδρα ἀπολιμπανόμεθα. καὶ Παῦλος μὲν ἐλιμώττεν, ἵνα μὴ ἐγκοπὴν τῷ εὐαγγελίῳ δῷ· ἡμεῖς δὲ οὐδὲ τῶν ἀποκειμένων ἡμῖν ἅψασθαι τολμῶμεν, μυρίας ὁρῶντες ἀνατρεπομένας ψυχάς. τρωγέτω γάρ, φησιν, ὁ σής, καὶ μὴ τρωγέτω ὁ πένης· κατεσθιέτω ὁ σκώληξ, καὶ μὴ περιβαλλέσθω ὁ γυμνός· ἀναλισκέσθω πάντα τῷ χρόνῳ, καὶ μὴ τρεφέσθω ὁ Χριστὸς, καὶ ταῦ- D τα πεινῶν. καὶ τίς τοῦτο εἶπε, φησι; τοῦτο γάρ ἐστι σφόδρα τὸ δεινὸν, ὅτι οὐκ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς πράγμασι ταῦτα λέγεται. καὶ γὰρ ἧττον ἂν ἦν δεινὸν ἐπὶ τῶν ῥημάτων λεγόμενον, ἢ ἐπὶ τῶν ἔργων γινόμενον. ἢ γὰρ οὐ ταῦτα βοᾷ καθ' ἑκάστην ἡμέραν ἡ ἀπάνθρωπος καὶ ὠμὴ τυραννὶς ἡ φιλαργυρία τοῖς αὐτῆς αἰχμαλώτοις; προκείσθω καὶ συκοφάνταις, καὶ λῃσταῖς, καὶ ἐπιβούλοις [a] πρὸς τρυφὴν τὰ ὑμέτερα, καὶ [a] μὴ τοῖς πεινῶσι, μηδὲ τοῖς δεομένοις διατροφή. οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς λῃστάς; οὐ γὰρ ὑμεῖς τῷ πυρὶ τῶν βασκάνων παρέχετε τροφήν; οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς δραπέτας καὶ τοὺς ἐπιβούλους, καθάπερ δέλεαρ αὐτοῖς E τὸν ὑμέτερον προτιθέντες πλοῦτον; τίς ἡ μανία αὕτη; μανία γὰρ καὶ παραπληξία σαφὴς, τὰ μὲν κιβώτια μεστὰ ἱματίων ποιεῖν, τὸν δὲ κατ' εἰκόνα Θεοῦ γενόμενον καὶ καθ' ὁμοίωσιν, γυμνὸν καὶ τρέμοντα ὑπὸ τοῦ κρυμοῦ περιορᾷν, καὶ μόλις ὀρθούμενον. ἀλλὰ προφασίζεται, φησι, τὸν τρόμον καὶ τὴν ἀσθένειαν. εἶτα οὐ δέδοικας μὴ σκηπτὸς ἄνωθεν ἀπὸ τοῦ ῥήματος ἀναφθεὶς τούτου κατενεχθῇ; διαρρήγνυμαι γὰρ ὑπὸ τοῦ θυμοῦ· σύγγνωτε. σὺ μὲν γὰρ γαστριζόμενος καὶ πιαινόμενος, καὶ εἰς ἑσπέραν

a Reg. πρὸς τρυφήν. Editi πρὸς τροφήν.

I i

βαθεῖαν τὸν πότον παρατείνων, καὶ μαλακοῖς ἐνθαλπόμενος στρώμασιν, οὐκ ἀξιοῖς δοῦναι δίκην, οὕτω παρανόμως τοῖς τοῦ θεοῦ χρώμενος δώροις. οὐδὲ γὰρ ἵνα μεθυώμεν, ὁ οἶνος· οὐδ' ἵνα γαστριζώμεθα, ἡ τροφὴ γέγονεν· οὐδ' ἵνα διασπῶμεν τὴν γαστέρα, τὰ σιτία. τὸν δὲ πένητα, τὸν ἄθλιον, τὸν οὐδὲν ἄμεινον νεκροῦ διακείμενον, τοῦτον εὐθύνας ἀπαιτεῖς ἀκριβεῖς, καὶ οὐ δέδοικας τοῦ Χριστοῦ τὸ δικαστήριον τὸ φρικτὸν ἐκεῖνο καὶ φοβερόν; καὶ γὰρ εἰ ὑποκρίνεται, ἐξ ἀνάγκης ὑποκρίνεται καὶ ἐνδείας, διὰ τὴν ὠμότητα τὴν σὴν καὶ ἀπανθρωπίαν τὴν τοιούτων δεομένην προσωπείων, τὴν μὴ B ἐπικλωμένην πρὸς ἔλεον. τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς μηδεμιᾶς ἀνάγκης ἐπικειμένης ὑπὲρ ἑνὸς ἄρτου τοιαῦτα ἀσχημονεῖν, καὶ κόπτεσθαι, καὶ τοσαύτην ὑπομένειν δίκην; ὥστε ἡ ὑπόκρισις ἡ ἐκείνου τῆς σῆς ἀπανθρωπίας περιέρχεται γινομένη κήρυξ. ἐπειδὴ γὰρ ἱκετεύων καὶ λιπαρῶν καὶ ἐλεεινὰ προϊέμενος ῥήματα καὶ ὀδυρόμενος καὶ δακρύων καὶ δι' ὅλης περιιὼν τῆς ἡμέρας, οὐδὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, ἐπενόησεν ἴσως καὶ ταύτην τὴν μηχανὴν, οὐκ ἐκείνῳ τοσαύτην, ὅσην σοὶ, φέρουσαν τὴν ἀσχημοσύνην καὶ τὴν κατηγορίαν. ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι δίκαιος, ὅτι εἰς τοσαύτην κατῆλθεν C ἀνάγκην· ἡμεῖς δὲ μυρίων ἄξιοι τιμωριῶν, ὅτι τοὺς πένητας τοιαῦτα βιαζόμεθα πάσχειν. εἰ γὰρ ἐξ εὐκολίας ἐπεκλώμεθα, οὐκ ἄν ποτε εἵλετο ἐκεῖνος τοιαῦτα ὑπομένειν. καὶ τί λέγω γύμνωσιν, καὶ τρόμον; τὸ γὰρ τούτου φρικωδέστερον ἐρῶ, ὅτι καὶ παῖδας ἠναγκάσθησαν πηρῶσαί τινες ἄωρον ἄγοντας ἡλικίαν, ἵνα τῆς ἡμετέρας ἀναισθησίας καθίκωνται. ἐπειδὴ γὰρ βλέποντες καὶ γυμνοὶ περιϊόντες, οὔτε ἀπὸ τῆς συμφορᾶς ἐπεσπάσαντο τοὺς ἀνηλεεῖς, προσέθηκαν τοῖς τοσούτοις κακοῖς ἑτέραν χαλεπωτέραν τραγῳδίαν, ἵνα λύσωσι τὸν λιμὸν, κουφότερον εἶναι νομίζοντες ἀπεστερῆσθαι τοῦ κοινοῦ τούτου φωτὸς καὶ τῆς πᾶσι δεδομένης ἀκτῖνος, ἢ λιμῷ παλαίειν D διηνεκεῖ καὶ τὸν οἴκτιστον ὑπομένειν θάνατον. ἐπειδὴ γὰρ οὐ πενίαν ἐμάθετε ἐλεεῖν, ἀλλὰ τέρπεσθαι συμφοραῖς, πληροῦσιν ὑμῶν τὴν ἀκόρεστον ἐπιθυμίαν, καὶ ἑαυτοῖς [a] καὶ ὑμῖν χαλεπωτέραν τῆς γεέννης ἀνάπτοντες τὴν φλόγα. καὶ ἵνα μάθητε ὅτι διὰ τοῦτο ταῦτα γίνεται καὶ τὰ τοιαῦτα, τεκμήριον ὑμῖν ὡμολογημένον ἐρῶ, πρὸς ὃ μηδεὶς ἀντερεῖ. εἰσὶν ἕτεροι πένητες κοῦφοι, καὶ μετέωροι τὰς ψυχὰς, καὶ οὐκ εἰδότες φέρειν λιμὸν, ἀλλὰ πάντα μᾶλλον, ἢ τοῦτο ὑπομένοντες. οὗτοι πολλάκις ὑμῖν ἐλεεινοῖς καὶ σχήμασι καὶ ῥήμασιν ἐντυχόντες, E ἐπειδὴ οὐδὲν ὤνησαν, τὰς ἱκετηρίας ἀφέντες ἐκείνας, τοὺς θαυματοποιοὺς ὑμῖν λοιπὸν παρήλασαν, οἱ μὲν δέρματα ὑποδημάτων μασώμενοι πεπονηκότων, οἱ δὲ κατὰ τῆς κεφαλῆς ἥλους ὀξεῖς διαπείροντες, ἕτεροι πεπηγόσιν ὕδασιν ὑπὸ τοῦ κρυμοῦ γυμνῇ τῇ γαστρὶ προσομιλοῦντες, ἄλλοι δὲ ἕτερα ἀτοπώτερα τούτων ὑπομένοντες, ἵνα τὸ πονηρὸν περιστήσωσι θέατρον.

Σὺ δὲ τούτων γινομένων ἕστηκας γελῶν, καὶ θαυμάζων, καὶ ἐμπομπεύων τοῖς ἑτέρων κακοῖς,

[a] Reg. καὶ ἡμῖν.

A usque vesperam compotationem extendens, mollibusque fotus stragulis, non censes te pœnas daturum, cum tam inique Dei donis utaris. Neque enim vinum datum est ut inebriemur, neque concessus cibus ut ventrem distendamus, & dirumpamus. Pauperem vero, miserum, non meliore conditione quam mortuum, illum, inquam, ad exactam rationem reddendam cogis; nec metuis Christi tribunal illud horrendum & formidabile? Nam si simulat, ex necessitate & egestate simulat, ob immanitatem & B sævitiam tuam, quæ hujusmodi opus habet larvis, quæ non flectitur ad misericordiam. Quis enim adeo miser est & infelix, ut nulla instante necessitate pro uno pane tam indecore se gerat, pulsetur, & tantas sustineat pœnas? Illius itaque simulatio circuit inhumanitatem tuam prædicans. Quia enim supplicans, obsecrans, & miserabilia emittens verba, lamentans, lacrymans, & per totam diem circumiens, ne necessarium quidem invenit alimentum, hanc fortasse technam excogitavit, quæ non tantum illi quantum tibi affert dedecus & probrum. Æquum est enim ut C illius misereamur, quia in tantam redactus est necessitatem. Nos autem mille suppliciis digni, quia pauperes ad hæc facienda cogimus. Nam si facile flecteremur, nunquam ille vellet talia sustinere. Et quid dico nuditatem & tremorem? Quod enim longe horribilius est dicam: coacti sunt quidam filios excæcare ætate immaturos, ut in tantæ calamitatis sensum veniremus. Quia enim videntes & nudi circumeuntes, neque ex ætate, neque ex calamitate immisericordes attrahebant, tot malis aliam graviorem tragædiam addiderunt, ut famem sedarent, levius esse D existimantes hac communi luce, & omnibus concesso radio privari, quam cum perpetua fame luctari, & mortem subire miserrimam. Quia enim non didicistis misereri paupertatis, sed calamitatibus delectari, insatiabilem vestram implent cupiditatem, & sibi & vobis gehenna graviorem incendentes flammam. Et ut discatis hæc & similia ideo contingere, argumentum vobis proferam quod in confesso sit, cui nemo contradicet. Sunt alii pauperes leves, animoque elati, qui famem ferre nesciunt, sed omnia potius quam hoc patiuntur. Hi sæpe vos miserabilibus & E gestibus & verbis adeuntes, cum nihil consequuti essent, missis supplicationibus, præstigiatores demum longe retro reliquerunt; alii quidem mandentes coria detritorum calceorum; alii acutos clavos in caput infigentes, alii autem in aquis gelu concretis nudo ventre immorantes; alii autem his absurdiora & acerbiora sustinentes, ut improbum exhibeant spectaculum.

*Quidam dira in se admittebant ut stipem cogerent.*

6. Tu autem dum hæc fiunt stas ridens & admirans, & de aliorum malis

ceu pompam agens, dum communis natura dedecore afficitur. Et quid amplius faceret immanis dæmon? Deinde ut promtius hæc faciat, largiorem pecuniam erogas. Et ei quidem qui precatur, Deum invocat, placideque accedit, ne respondere quidem dignaris, neque respicere illum; imo etiam molesta in illum verba effundis, quando frequenter tibi importunus est. Hunccine oportet vivere? hunccine respirare, aut hunc solem videre? Erga illos autem lætus es & liberalis, utpote qui sis ceu agonotheta quidam illius ridiculæ & Satanicæ turpitudinis. Quamobrem congruentius iis qui hæc proponunt certamina, & nihil effundunt donec alios viderint male affici, talia verba dicerentur: Hoscine vivere, omnino respirare, hunc solem videre, qui in communem delinquunt naturam, & Deum contumelia afficiunt? Cum enim Deus dicat: Da eleemosynam, & do tibi regnum cælorum; non audisti: diabolo autem ostendente caput clavis confixum, statim liberalis effectus es. Magisque te inflexit maligni dæmonis machina, tantum inferens damnum, quam Dei promissio millia afferens bona. Cum oportuisset, etiamsi aurum numerare oporteret, ut hæc non fierent nec facta spectarentur, nihil non agere & pati, ut tanta illa tolleretur insania; vos autem ut & fiant & facta videantur, nihil non agitis & operamini. Adhuc ne interrogas, dic mihi, cur sit gehenna? At ne hoc ultra interroges, sed cur una tantum sit gehenna? Quot enim non sunt suppliciis digni hi qui tam crudele & inhumanum constituant spectaculum, ridentque de iis, de quibus lugere & illos & vos oporteret, magisque vos qui ad tam indecore agendum cogitis? Sed, inquies, non cogo. Quomodo, quæso te, non cogis, qui modestioribus & flentibus ac Deum invocantibus ne aurem quidem præbere velis; his vero largiter pecuniam erogas, & multos advocas admirantes? Et recedamus, inquies, eorum miserentes: & tu-ne hoc jubes? Non est hoc misereri, o homo, tantas exigere pœnas pro duobus obolis, præcipere ut pro necessario cibo sese lacerent, & capitis cutem tam acerbe & miserabiliter in multas partes dissecent. Bona verba, inquies, neque enim nos capita clavis configimus. Utinam tu faceres, & res non tam gravis esset. Nam qui quempiam interficit multo gravius facit, quam is qui seipsum jubet interficere. Quod etiam in his usuvenit: acerbiores enim sustinent dolores, quando sua manu jubentur hæc male jussa exsequi, & hæc Antiochiæ, ubi primum appellati sunt Christiani, in qua fuere omnium hominum mitissimi, in qua olim vigebat magnus eleemosynæ fructus. Neque enim præsentibus tantum, sed etiam iis qui procul aberant mittebant, idque dum fames

Antiochiæ habitæ sunt hæ conciones.

A τῆς κοινῆς φύσεως ἀσχημονούσης. καὶ τί πλέον ἂν ἐργάσαιτο τούτων δαίμων ἄγριος; εἶτα ἵνα προθυμότερον ποιήσῃ ταῦτα δαψιλέστερον δίδως ἀργύριον. καὶ τῷ μὲν εὐχομένῳ, καὶ τὸν θεὸν καλοῦντι, καὶ μετ' ἐπιεικείας προσιόντι, οὐδὲ ἀποκρίνεσθαι ἀξιοῖς, οὐδὲ ἐμβλέψαι, ἀλλὰ καὶ τὰ φορτικὰ ἐκεῖνα πρὸς αὐτὸν φθέγγῃ ῥήματα, ὅταν συνεχῶς ἐνοχλήσῃ· τοῦτον δὲ δεῖ ζῆν; ἀναπνεῖν δὲ ὅλως, ἢ τὸν ἥλιον τοῦτον ὁρᾶν; πρὸς δὲ ἐκείνους καὶ φαιδρὸς καὶ φιλότιμος, ἅτε ἀγωνοθέτης τις ὢν τῆς καταγελάστου καὶ Σατανικῆς ἀσχημοσύνης ἐκείνης. διὸ καὶ εὐλογώτερον πρὸς τοὺς τιθέντας τοὺς ἀγῶνας τούτους, καὶ μὴ προϊεμένοις

B μηδὲν ἕως ἂν ἴδωσι κολαζομένους ἑτέρους, ταῦτα ἂν λεχθείη τὰ ῥήματα· ζῆν δὲ τούτους; ἀναπνεῖν δὲ ὅλως, τὸν δὲ ἥλιον τοῦτον ὁρᾶν τοὺς εἰς τὴν κοινὴν παρανομοῦντας φύσιν, τοὺς εἰς τὸν θεὸν ὑβρίζοντας; τοῦ μὲν γὰρ θεοῦ λέγοντος, δὸς ἐλεημοσύνην, καὶ δίδωμί σοι βασιλείαν οὐρανῶν, οὐκ ἤκουσας· τοῦ διαβόλου δὲ κεφαλὴν καθηλωμένην δεικνύντος, ἐξαίφνης φιλότιμος γέγονας. καὶ μᾶλλον ἐπέκαμψεν ἡ τοῦ πονηροῦ δαίμονος μηχανὴ τοσαύτην ἔχουσα βλάβην, ἢ ἡ τοῦ θεοῦ ὑπόσχεσις μυρία κομίζουσα τὰ ἀγαθά. δέον, εἰ καὶ χρυσίον καταβαλεῖν ἐχρῆν ὑπὲρ τοῦ ταῦτα μὴ γίνεσθαι, μηδὲ γι-

C νόμενα, ὁρᾶν, πάντα ποιεῖν καὶ ὑπομένειν, ὥστε ἀνελεῖν τὴν πολλὴν ταύτην μανίαν· ὑμεῖς δὲ ὑπὲρ τοῦ καὶ γίνεσθαι καὶ γινόμενα ὁρᾶν, πάντα ποιεῖτε καὶ πραγματεύεσθε. ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, διὰ τί γέεννα; ἀλλὰ μηκέτι τοῦτο ἐρώτα, ἀλλὰ πῶς μία γέεννα μόνη; πόσων γὰρ οὐκ ἄξιοι κολάσεων οὗτοι οἱ τὸ ὠμὸν τοῦτο καὶ ἀπηνὲς συγκροτοῦντες θέατρον, καὶ γελῶντες ἐφ' οἷς δακρύειν ἔδει κἀκείνους καὶ ὑμᾶς αὐτούς· μᾶλλον δὲ ὑμᾶς τοὺς τὰ τοιαῦτα ἀναγκάζοντας ἀσχημονεῖν; ἀλλ' οὐκ ἀναγκάζω, φησί. πῶς οὐκ ἀναγκάζεις, εἰπέ μοι, τοῖς μὲν ἐπιεικεστέροις καὶ δακρύουσι, καὶ τὸν θεὸν παρακαλοῦσιν οὐδὲ προσέ-

D χειν ἀνεχόμενος· τούτοις δὲ καὶ ἀργύριον παρέχων δαψιλὲς, καὶ πολλοὺς περιιστῶν τοὺς θαυμάζοντας; καὶ ἀποστῶμεν, φησιν, ἐλεοῦντες αὐτούς. καὶ σὺ τοῦτο κελεύεις; οὐκ ἔστι τοῦτο ἐλεεῖν, ἄνθρωπε, τὸ τοσαύτην ἀπαιτεῖν δίκην ὑπὲρ ὀλίγων ὀβολῶν, τὸ κελεύειν ὑπὲρ ἀναγκαίας κατακόπτεσθαι τροφῆς, καὶ εἰς πολλὰ διατέμνειν τῆς κεφαλῆς τὴν δορὰν οὕτω πικρῶς καὶ ἐλεεινῶς. εὐφήμει, φησίν. οὐ γὰρ ἡμεῖς ἐσμεν οἱ τὰς κεφαλὰς καθηλοῦντες ἐκείνας. εἴθε σύ· καὶ οὐκ ἦν οὕτω

E δεινὸν τὸ δεινόν. ὁ γὰρ σφάττων τινὰ, τοῦ κελεύοντος ἑαυτὸν σφάττειν πολλῷ χαλεπώτερον ποιεῖ, ὃ δὴ καὶ ἐπὶ τούτων συμβαίνει. καὶ γὰρ δριμυτέρας ὑπομένουσι τὰς ὀδύνας, ὅταν καὶ αὐτουργοὶ κελεύωνται γίνεσθαι τῶν πονηρῶν τούτων ἐπιταγμάτων, καὶ ταῦτα ἐν Ἀντιοχείᾳ, ἐν ᾗ πρῶτον ἐχρημάτισαν Χριστιανοὶ, ἐν ᾗ πάντων ἀνθρώπων ἡμερώτεροι γεγόνασιν, ἐν ᾗ πολὺς ὁ τῆς ἐλεημοσύνης τὸ παλαιὸν ἐκόμα καρπός. οὐδὲ γὰρ τοῖς παροῦσι μόνον, ἀλλὰ καὶ τοῖς πόρρωθεν ἔπεμπον ἐκ πολλοῦ τοῦ διαστήματος, καὶ ταῦτα λιμοῦ προσδοκω-

μένου. Τί οὖν δεῖ ποιεῖν, φησί; Τῆς μὲν θηριωδίας ταύτης καθυφεῖναι· πεῖσαι δὲ τοὺς δεομένους ἅπαντας, ὅτι ταῦτα μὲν ποιοῦντες οὐδὲν λήψονται, ἐπιεικῶς δὲ προσιόντες, πολλῆς ἀπολαύσονται τῆς φιλοτιμίας. Ἂν δὲ ταῦτα μάθωσι, κἂν πάντων ὦσιν ἀθλιώτεροι, οὐχ αἱρήσονται οὐδέποτε τοιαῦτα κολάζεσθαι, ἐγὼ ἐγγυῶμαι· ἀλλὰ καὶ χάριν ὑμῖν εἴσονται, ὅτι καὶ τοῦ γέλωτος καὶ τῆς ὀδύνης αὐτοὺς ἀπηλλάξατε ἐκείνης. Νῦν δὲ ὑπὲρ μὲν ἡνιόχων καὶ παῖδας ἂν ἐκδοίητε τοὺς ὑμετέρους, καὶ ὑπὲρ ὀρχηστῶν καὶ αὐτὰς ἂν προοῖσθε τὰς ψυχάς· ὑπὲρ δὲ τοῦ Χριστοῦ πεινῶντος οὐδὲ τὸ πολλοστὸν τῆς οὐσίας προΐεσθε μέρος. Ἀλλὰ ἂν ὀλίγον δῶτε ἀργύριον, ὡς τὸ πᾶν ἐκτετικότες, οὕτω διάκεισθε, οὐκ εἰδότες ὅτι οὐ τὸ δοῦναι, ἀλλὰ τὸ μετὰ δαψιλείας δοῦναι, τοῦτο μάλιστά ἐστιν ἐλεημοσύνη. Διὰ τοῦτο καὶ ὁ προφήτης οὐ τοὺς διδόντας ἁπλῶς ἀνακηρύττει καὶ μακαρίζει, ἀλλὰ τοὺς ἀφθόνως παρέχοντας. Οὐ γὰρ ἁπλῶς εἶπεν, Ἔδωκεν, ἀλλὰ πῶς; Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. Τί γὰρ ὄφελος ὅταν πλουτῶν τοσοῦτον δῷς, ὅσον ἄν τις ἀπὸ πελάγους κύαθον δοίη, καὶ μηδὲ χήρας γυναικὸς μεγαλοψυχίαν ζηλώσῃς; Πῶς δὲ ἐρεῖς, Κύριε, ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, οὐ κατὰ τὸ μέγα ἔλεος αὐτὸς ἐλεῶν, τάχα δὲ οὐδὲ κατὰ τὸ μικρόν; Καὶ γὰρ σφόδρα αἰσχύνομαι, ὅταν ἴδω πολλοὺς τῶν πλουτούντων ἐφ' ἵππων χρυσοχαλίνων φερομένους, καὶ οἰκέτας χρυσοφοροῦντας ἐπισυρομένους, καὶ κλίνας ἀργυρᾶς ἔχοντας, καὶ ἑτέραν πλείονα φαντασίαν, καὶ ἡνίκα ἂν πένητι δέῃ παρασχεῖν, τῶν σφόδρα πενήτων πτωχοτέρους γινομένους. Ἀλλὰ τίς ὁ πολὺς αὐτῶν λόγος; Ἔχει τὸ κοινὸν τῆς ἐκκλησίας, φησί. Καὶ τί τοῦτο πρὸς σέ; Οὐδὲ γὰρ, ἐὰν ἐγὼ δῶ, σὺ διασωθήσῃ· οὐδ' ἂν ἡ ἐκκλησία παράσχῃ, σὺ τὰ ἁμαρτήματα ἐξήλειψας τὰ σά. Διὰ τοῦτο οὐ δίδως, ἐπειδὴ ἡ ἐκκλησία ὀφείλει δοῦναι τοῖς δεομένοις; ἐπειδὴ εὔχονται οἱ ἱερεῖς, σὺ οὐκ εὔξῃ ποτέ; καὶ ἐπειδὴ νηστεύουσιν ἕτεροι, σὺ μεθυσθήσῃ διηνεκῶς; Οὐκ οἶσθα ὅτι οὐχ οὕτω διὰ τοὺς πένητας τὸ περὶ ἐλεημοσύνης ἐνομοθέτησεν ὁ Θεὸς, ὡς δι' αὐτοὺς τοὺς παρέχοντας; Ἀλλ' ὑποπτεύεις τὸν ἱερέα; μάλιστα μὲν χαλεπὴ καὶ τοῦτο ἁμαρτία· πλὴν οὐδὲν ἀκριβολογοῦμαι. Διὰ σαυτοῦ πάντα ποίει, καὶ διπλοῦν οὕτω καρπώσῃ τὸν μισθόν. Καὶ γὰρ ἅπερ ἡμεῖς ὑπὲρ ἐλεημοσύνης λέγομεν, οὐχ ἵνα ἡμῖν προσαγάγῃς λέγομεν, ἀλλ' ἵνα αὐτὸς διὰ σαυτοῦ διακονῇς. Ἐμοὶ μὲν γὰρ προσφέρων, ἴσως καὶ κενοδοξίᾳ ἁλώσῃ, πολλάκις δὲ καὶ σκανδαλισθεὶς ἀπελεύσῃ τῷ πονηρῷ ὑποπτεῦσαι· ἂν δὲ δι' ἑαυτῶν πάντα ποιῆτε, καὶ σκανδάλων ἀπαλλαγήσεσθε, καὶ ὑποψίας ἀτόπου, καὶ πλείων ὑμῖν ὁ μισθός.

Οὐ τοίνυν ἐκβιαζόμενος ὑμᾶς ἐνταῦθα κομίζειν τὰ χρήματα, ταῦτα λέγω· οὐδὲ ἀγανακτῶν ὑπὲρ τῶν κακῶς ἀκουόντων ἱερέων. Εἰ γὰρ ἀγανακτεῖν χρὴ καὶ ἀλγεῖν, ὑπὲρ ὑμῶν ἀλγεῖν δεῖ

exspectaretur. Quid ergo, inquies, faciendum? Hanc feritatem demittere, egenis vero omnibus edicere, si hæc faciant, nihil accepturos illos esse; si vero modeste accedant, magna fruituros largitate. Si porro hoc ediscant, etiamsi omnium miserrimi fuerint, nunquam eo inducentur ut se sic lanient, ego polliceor. Sed etiam vobis gratiam habebunt, quod illos ab irrisione & dolore tali eripueritis. Nunc autem pro aurigis, etiam filios obtuleritis, & pro saltatoribus, etiam ipsas profuderitis animas; pro Christo autem esuriente, ne minimam quidem facultatum partem dederitis. Sed si tantillum argenti detis, ac si totum solveritis, sic affecti estis, nescientes, quod non dare, sed cum largitate dare, illud maxime est eleemosyna. Ideo propheta non eos qui solum dant prædicat & beatos dicit; sed eos qui largiter dant. Non solum enim dixit, dedit; sed quomodo? *Dispersit, dedit pauperibus.* Quid enim prodest si ex divitiis tantum dederis, quantum dederit quispiam verbi gratia ex mari cyathum, neque viduæ magnitudinem animi æmulatus fueris? Quomodo dixeris, *Domine miserere mei secundum magnam misericordiam tuam, & secundum multitudinem miserationum tuarum dele iniquitatem meam*, cum ipse non secundum magnam misericordiam miserearis; imo fortassis neque secundum parvam? Valde enim me pudet, cum video divites multos equis freno aureo instructis vectos, qui secum trahunt famulos aurum gestantes: & lectos habent argenteos, multumque alium fastum; cum autem pauperi erogandum est, etiam valde pauperibus esse pauperiores. Sed quid est illud quod sæpe dicunt? Habet, inquit, ecclesiæ commune. Et quid hoc ad te? Neque enim si ego dedero, tu salvus eris: neque, si ecclesia dederit, tu peccata tua delevisti. Ideoque non das quia ecclesia dare debet egenis? Quia sacerdotes precantur, tu nunquam precaturus es? & quia alii jejunant, tu perpetuo ebrius eris? Nescis quia non ita propter pauperes eleemosynæ legem posuit Deus, ut propter eos ipsos qui largiuntur? An tibi sacerdos suspectus est? Est quidem hoc grave peccatum: sed de hoc non accurate disputabo. Propter te omnia facito, & sic duplicem assequeris mercedem. Etenim quæ nos de eleemosyna dicimus, non dicimus ut ad nos offeras, sed ut tu per teipsum ministres. Nam si mihi offeras, fortassis a vana gloria corripieris, sæpeque etiam offensus recedes mala suspicatus. Si autem per vos ipsos omnia faciatis, & offensionibus & absurdis suspicionibus liberi eritis, majorque vobis merces erit.

7. Non igitur hæc dico ut vim vobis faciam ad pecunias huc afferendas; neque indignatus propter sacerdotes qui male audiunt. Nam si succensere & dolere oportet, pro vobis dolendum est qui

Eleemosyna largiter danda.

Psal. 111. 8.

Psal. 50. 1.

Antiochenæ ecclesiæ reditus in pauperes effusi.

male dicitis. Iis enim qui frustra & temere male audiunt merces major; dicentibus autem judicium & supplicium gravius erit. Non ergo pro illis hæc dico, sed quod de vobis curam & sollicitudinem geram. Quid enim mirum si ætate nostra quidam in suspicionem veniunt, cum etiam illorum tempore sanctorum qui angelos imitabantur, qui nihil sibi proprium possidebant, apostolorum, inquam, murmur fuerit in ministerio viduarum, quod despicerentur pauperes, quando nemo quidquam ex suis facultatibus sibi proprium esse dicebat; sed erant ipsis omnia communia? Ne hos proferamus obtentus; nec in defensionem nostram conferre putemus quod ecclesia multa possideat. Cum enim facultatum ejus magnitudinem perspicis, cogita etiam inscriptorum pauperum gregem, infirmorum multitudinem, innumerarum expensarum occasiones. Curiose inquire & scrutare: nemo impedit; imo parati sumus ad rationes vobis reddendas. Sed hyperbole uti volo: cum enim rationes reddiderimus, & ostenderimus expensam proventu non esse minorem, imo & aliquando majorem: illud a vobis libenter sciscitarer, cum illo migraverimus, & audierimus Christum dicentem: *Esurientem me vidistis, & non me nutrivistis, nudum, & non operuistis:* quid dicemus? quam afferemus defensionem? Hunc vel illum adducemus in medium, qui his non obsequutus est, & quosdam ex suspectis sacerdotibus? Et quid hoc ad te, inquiet? Ego enim te accuso de peccatis, quæ admisisti. Purgatio eorum est ut propria abluas peccata, non ut ostendas alios in eadem incidisse. Ecclesia enim ob vestram parcitatem, retinere cogitur ea quæ nunc habet. Quod si omnia secundum apostolicas leges agerent, ejus proventum oporteret esse vestrum animum: quod quidem & tutum esset penuarium, & thesaurus inexhaustus. Nunc autem cum vos quidem thesaurizatis in terra, & omnia in penuariis vestris clauditis: Ecclesia vero impendere necesse habet, viduarum cœtibus, virginum choris, hospitum adventibus, peregrinantium ærumnis, vinctorum calamitatibus, infirmorum & mutilorum necessitatibus, aliis hujusmodi occasionibus; quid faciendum? eosne omnes aversari, & tot portus obstruere? Ecquis naufragiis hinc partis suffecerit? fletibus, lamentis, ejulatibus undique allatis? Ne ergo temere loquamur quod in mentem venerit. Nunc enim, ut jam dixi, rationes vobis reddere parati sumus. Si autem secus res se haberet, & si doctores haberetis corruptos, qui omnia raperent & avari essent, neque sic purgatio vestra esset eorum nequitia. Nam benignus ille & sapientissimus Unigenitus Dei Filius omnia videns, sciensque quod contingat multos in diuturno tempore,

A τῶν λεγόντων κακῶς. τοῖς μὲν γὰρ ἀκούουσιν εἰκῆ καὶ μάτην κακῶς, ὁ μισθὸς μείζων, τοῖς δὲ λέγουσι, τὸ κρίμα καὶ ἡ τιμωρία βαρυτέρα. οὐ τοίνυν ὑπὲρ αὐτῶν ταῦτα λέγω, ἀλλ' ὑμῶν κηδόμενος καὶ φροντίζων. τί γὰρ θαυμαστὸν, εἰ ἐπὶ τῆς γενεᾶς τινες ὑποπτεύονται τῆς ἡμετέρας, ὅπουγε ἐπὶ τῶν ἁγίων ἐκείνων τῶν τοὺς ἀγγέλους μιμησαμένων τῶν οὐδὲν ἴδιον κεκτημένων, τῶν ἀποστόλων λέγω, γογγυσμὸς ἦν ἐν τῇ διακονίᾳ τῶν χηρῶν, ὅτι παρεθεωροῦντο οἱ πένητες, ὅτε οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐ-
B τοῖς ἅπαντα κοινά; μὴ δὴ ταύτας προβαλώμεθα τὰς προφάσεις, μηδὲ ἀπολογίαν εἶναι νομίζωμεν, τὸ τὴν ἐκκλησίαν πολλὰ κεκτῆσθαι. ὅταν γὰρ τῆς οὐσίας αὐτῆς τὸ μέγεθος ἴδῃς, ἐννόησον καὶ τῶν ἐγγεγραμμένων πενήτων τὰς ἀγέλας, τῶν ἀῤῥωστούντων τὰ πλήθη, τῶν μυρίων χορηγιῶν τὰς ὑποθέσεις· περιέργασαι, πολυπραγμόνησον, οὐδεὶς ὁ κωλύσων, ἀλλὰ καὶ ἕτοιμοι λόγον ὑμῖν παρασχεῖν. πλὴν ὑπερβολὴν ποιήσασθαι βούλομαι. ὅταν γὰρ παράσχωμεν τὰς εὐθύνας, καὶ δείξωμεν οὐκ ἐλάττονα τῆς προσόδου τὴν δαπάνην οὖσαν, ἀλλ' ἔστιν ὅπου καὶ πλείω, ἡδέως ἂν ὑμᾶς ἐκεῖνο ἐροίμην·
C ἡνίκα ἂν ἀπέλθωμεν ἐκεῖ, καὶ ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε, γυμνὸν, καὶ οὐ περιεβάλετε, τί ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα; τὸν δεῖνα ἢ τὸν δεῖνα εἰς μέσον οἴσομεν τὸν παρακούσαντα τούτων; καὶ τινὰς τῶν ἱερέων τῶν ὑπόπτων; καὶ τί τοῦτο πρὸς σέ; ἐγὼ γάρ σοι ἐγκαλῶ, φησιν, ἅπερ αὐτὸς ἥμαρτες. ἀπολογία δὲ τούτων, τὸ τὰ οἰκεῖα ἀπολούσασθαι ἁμαρτήματα, οὐ τὸ δεῖξαι ἑτέρους τὰ αὐτά σοι πεπλημμεληκότας. καὶ γὰρ ἡ ἐκκλησία διὰ τὴν ὑμετέραν μικρολογίαν ἔχειν ἀναγκάζεται ἅπερ ἔχει νῦν. ὡς εἴγε κατὰ τοὺς ἀποστο-
D λικοὺς πάντα ἐπράττετο νόμους, πρόσοδον αὐτῆς εἶναι ἐχρῆν τὴν ὑμετέραν γνώμην, ὃ καὶ ταμιεῖον ἀσφαλὲς ἦν καὶ ἀνάλωτος θησαυρός. νῦν δὲ ὅταν ὑμεῖς μὲν θησαυρίζητε ἐπὶ τῆς γῆς, καὶ πάντα ἐν τοῖς ταμιείοις ἀποκλείητε τοῖς ὑμετέροις, αὕτη δὲ ἀναγκάζηται δαπανᾶν χηρῶν συλλόγοις, παρθένων χοροῖς, ξένων ἐπιδημίαις, ἀποδημούντων ταλαιπωρίαις, δεσμωτῶν συμφοραῖς, ἀῤῥωστούντων καὶ λελωβημένων ἀνάγκαις, ἑτέραις τοιαύταις προφάσεσι, τί δεῖ ποιεῖν; ἀποστρέφεσθαι τούτους ἅπαντας, καὶ τοσούτους
E προχῶσαι λιμένας; καὶ τίς ἂν τοῖς γινομένοις ναυαγίοις ἀρκέσειε; τοῖς ὀδυρμοῖς, τοῖς θρήνοις; ταῖς οἰμωγαῖς ταῖς πανταχόθεν φερομέναις; μὴ τοίνυν ἁπλῶς τὸ ἐπιὸν φθεγγώμεθα. νῦν μὲν γὰρ, ὅπερ ἔφθην εἰπὼν, καὶ τὰς εὐθύνας παρασχεῖν ὑμῖν ἕτοιμοι. εἰ δὲ καὶ τοὐναντίον ἦν, καὶ διεφθαρμένους εἴχετε διδασκάλους καὶ πάντα ἁρπάζοντας καὶ πλεονεκτοῦντας, οὐδὲ οὕτως ὑμῖν ἀπολογία ἡ ἐκείνων πονηρία ἦν. ὁ γὰρ φιλάνθρωπος καὶ πάνσοφος, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ καὶ πάντα ὁρῶν, καὶ εἰδὼς ὅτι συμβαίνει πολλοὺς ἐν τῷ μακρῷ χρόνῳ,

καὶ τῇ τοσαύτῃ οἰκουμένῃ ἱερέας γενέσθαι διεφθαρμένους, ἵνα μὴ ἡ τῶν ἀρχομένων ῥαθυμία ἐπιτείνηται διὰ τῆς ἐκείνων ὀλιγωρίας, πᾶσαν ἀναιρῶν ἀπολογίαν ῥαθυμίας, ἐπὶ τῆς καθέδρας Μωϋσέως, φησὶν, ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· δεικνὺς ὅτι κἂν διδάσκαλον ἔχῃς φαῦλον, οὐδέν σε τοῦτο ὀνῆσαι δυνήσεται, ἂν μὴ προσέχῃς τοῖς λεγομένοις. οὐ γὰρ ἀφ' ὧν ὁ διδάσκαλος ἔπραξεν, ἀλλὰ ἀφ' ὧν ἀκούσας παρήκουσας, ἀπὸ τούτων σοι φέρει τὰς ψήφους ὁ θεός. ὥστε ἐὰν μὲν ποιῇς τὰ ἐπιτεταγμένα, μετὰ πολλῆς τότε στήσῃ τῆς παρρησίας· B ἂν δὲ παρακούσῃς τῶν λεγομένων, κἂν μυρίους ἱερέας διεφθαρμένους δείξῃς, οὐδέν σοι τοῦτο προστήσεται. ἐπεὶ καὶ Ἰούδας ἀπόστολος ἦν, ἀλλ' ὅμως οὐδὲν τοῦτο ὑπὲρ τῶν ἱεροσύλων καὶ φιλαργύρων ἀπολογήσεταί ποτε. οὐδὲ δυνήσεταί τις ἐγκαλούμενος λέγειν, ὅτι, καὶ γὰρ ὁ ἀπόστολος κλέπτης ἦν καὶ ἱερόσυλος καὶ προδότης· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἡμᾶς τιμωρήσεται καὶ καταινεῖ, ὅτι μηδὲ τοῖς ἑτέρων κακοῖς ἐσωφρονίσθημεν. διὰ γὰρ τοῦτο καὶ ἀναγέγραπται ἐκεῖνα, ἵνα φύγωμεν ἐκείνων τὸν ζῆλον. διὸ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀφέντες, ἡμεῖς C ἑαυτοῖς προσέχωμεν. ἕκαστος γὰρ ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ. ἵν' οὖν τὸν λόγον τοῦτον μετὰ καλῆς παράσχωμεν ἀπολογίας, τὸν ἑαυτῶν ῥυθμίσωμεν βίον, καὶ δαψιλῆ τὴν χεῖρα ἐκτείνωμεν τοῖς δεομένοις, εἰδότες ὅτι αὕτη μόνη ἡμῖν ἐστὶν ἀπολογία, τὸ δεῖξαι ἡμᾶς αὐτοὺς κατωρθωκότας τὰ ἐπιτεταγμένα, ἑτέρα δὲ οὐδεμία. κἂν ταύτην δυνηθῶμεν παρασχεῖν, τὰς ἀφορήτους ἐκείνας ὀδύνας τῆς γεέννης διαφευξόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ D κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A & tanto orbis spatio esse sacerdotes corruptos; ut ne per illorum incuriam, eorum qui ipsis subditi sunt socordia augeatur, omnem tollens negligentiæ excusationem ait: *Super cathedram Moysis sederunt Scribæ & Pharisæi. Omnia ergo quæ dixerint vobis facere, facite: secundum opera autem illorum ne faciatis.* Matt. 23. 2. Ostendens, quod etiamsi doctorem improbum habeas, nihil tibi prodesse poterit, nisi iis quæ dicuntur attendas. Neque enim ab iis quæ doctor operatus est, sed ab iis quæ audisti, nec obsequutus illis es: ab B his tibi calculum feret Deus. Itaque si ea quæ præcepta sunt feceris, cum multa tunc stabis fiducia; si vero dictis non obsequutus fueris, etiamsi mille corruptos sacerdotes ostendas; nihil hoc tibi proderit. Nam & Judas apostolus erat; hoc tamen nihil unquam sacrorum expilatores & avaros excusabit. Neque poterit quis accusatus dicere: Enimvero apostolus fur erat, sacrorum expilator & proditor. Sed hoc nos maxime supplicio tradet & damnabit: quod non aliorum malis ad sanam mentem reducti simus. Ideo enim illa scripta sunt, ut fu- C giamus illorum imitationem. Idcirco hunc & illum relinquentes, nobis ipsis attendamus. Unusquisque enim nostrum pro se rationem dabit Deo. Ut ergo hanc rationem cum bona reddamus purgatione, nostram componamus vitam, & largam manum egenis porrigamus: scientes hanc solam nostram esse defensionem, si ostendamus nos præcepta recte exsequutos esse; nullamque esse aliam. Si hanc exhibere possimus, intolerabiles illos gehennæ dolores effugiemus, & futura consequemur bona, quæ nos omnes adipisci contingat gratia & benigni- D tate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ κβ'.

## HOMILIA XXII.

Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; οὕτω καὶ ὁ κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν.

13. *Nescitis quod qui sacra operantur, ex sacrario vivunt? Qui altari deserviunt, cum altari participant?* 14. *Ita & Dominus ordinavit iis qui evangelium annunciant, de evangelio vivere.*

E ΠΟΛΛΗΝ ποιεῖται τὴν σπουδὴν, ὥστε δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν. διόπερ τοσαῦτα εἰπὼν ἔμπροσθεν, οὐκ ἠρκέσθη, ἀλλὰ καὶ ἐπὶ τὸν νόμον χωρεῖ, οἰκειότερον τοῦ προτέρου παρέχων ὑπόδειγμα. οὐδὲ γὰρ ἦν ἴσον [a] τὰς βοῦς παραγαγεῖν εἰς μέσον, καὶ ῥητῶς περὶ ἱερέων νόμον κείμενον εἰς μέσον ἀγαγεῖν. σκόπει δέ μοι κἂν τούτῳ τὴν σύνεσιν Παύλου, πῶς μέμνηται τοῦ πράγματος μεγαλοπρεπῶς. οὐδὲ γὰρ εἶπεν, οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τῶν προσφερόντων λαμβάνουσιν.

1. MULTUM curat ostendere non esse vetitum accipere. Ideoque cum tot tantaque antea dixisset, non satis habuit, sed etiam ad legem procedit, præbens exemplum priori convenientius. Non enim par res erat boves in medium adducere, & legem de sacerdotibus diserte latam afferre. Perpende autem mihi etiam in hoc Pauli prudentiam, quam decore & magnifice rem memoret. Neque enim dixit: Qui sacra operantur ab offerentibus accipiunt.

[a] Reg. τοὺς βοῦς, & paulopost idem, νόμον ἐπὶ τοῦτο κείμενον ἀναγνῶναι.

Sed quid? Ex sacrario vivunt; ut nec accipientes probro afficiantur, nec qui præbent extollantur. Quapropter id quod sequitur sic posuit. Neque enim dixit, Qui altari assident ab immolantibus accipiunt; sed, cum altari participant. Nam quæ oblata fuerant, non ultra offerentium erant, sed sacrarii & altaris. Nec dixit, sacra accipiunt, sed ex sacrario vivunt: rursus ostendens moderationem, & quod non oporteat pecunias colligere, nec ditari. Si autem dicit, cum altari participant, non ex æquo factam distributionem dicit; sed id quod ex debito datur eis solatium. Atqui longe majora apud apostolos erant. Illic enim honor erat sacerdotium; hic autem pericula, jugulationes, cædes. Ideo omnibus aliis exemplis longe majus erat id quod dicit, si nos vobis spiritualia seminavimus. Cum enim dicit, seminavimus, tempestates, pericula, insidias & inenarrabilia mala ostendit, quæ sustinebant ii qui prædicabant. Attamen etsi tanta esset excellentia, noluit ea quæ veteris erant legis deprimere, neque sua extollere. Sed sua quodammodo comprimit, non a periculis, sed a magnitudine doni dans illi excellentiam. Non enim dixit, Si pericula adiimus, si insidiis impetiti sumus; sed, si nos vobis spiritualia seminavimus: & quæ sunt sacerdotum, quantum fieri potest extollit dicens: Qui sacra operantur, & qui altari assident; perpetuam illorum servitutem, & perseverantiam volens ostendere. Et cum dixisset sacerdotes qui sunt apud Judæos, & Levitas, & Pontifices, utrosque ordines indicat, & qui sunt inferiores & qui superiores; alios quidem cum dicit, qui sacra operantur; alios vero cum dicit, qui altari assident. Neque enim omnibus unum opus mandatum erat, sed aliis crassiora, aliis altiora concredita fuerant. Hos igitur omnes complexus, ne quis diceret, Cur vetera nobis memorasti? Nescis perfectiorum mandatorum nobis esse tempus? Post illa, quod omnibus fortius erat posuit dicens: *Ita & Dominus ordinavit iis qui evangelium annunciant, de evangelio vivere.* Et neque hic dicit ali ab hominibus; sed sicut in sacerdotibus, ex sacro & ex altari, ita & hic, ex evangelio, dicit: & sicut illic edere, ita & hic vivere; non mercaturam facere, vel thesaurizare. Dignus est enim,
Matt. 10. 10. inquit, operarius mercede sua. 15. *Ego autem nullo horum usus sum.* Quid tum, inquies, si nunc non usus es, in futuro autem vis uti, & propterea hæc dicis? Apage; statim namque usus est correctione, sic dicens: *Non scripsi autem hæc, ut sic fiat in me.* Et vide cum quanta vehementia rem negat & depellit: *Bonum est enim mihi magis mori, quam ut gloriam meam quis evacuet.* Et non semel, neque bis, sed sæpius hac utitur dictione: nam

A ἀλλὰ τί; ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν· ἵνα μήτε οἱ λαμβάνοντες ὀνειδίζωνται, μήτε οἱ παρέχοντες ἐπαίρωνται. διὸ καὶ τὸ ἑξῆς οὕτω τέθεικεν. οὐδὲ γὰρ εἶπεν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἀπὸ τῶν θυόντων λαμβάνουσιν, ἀλλὰ τῷ θυσιαστηρίῳ συμμερίζονται. τὰ γὰρ προσενεχθέντα οὐκέτι λοιπὸν τῶν προσενεγκόντων ἦν, ἀλλὰ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου. καὶ οὐκ εἶπεν, ὅτι τὰ ἱερὰ λαμβάνουσιν, ἀλλ', ἐκ τοῦ ἱεροῦ ἐσθίουσι, δεικνὺς πάλιν τὴν συμμετρίαν, καὶ ὅτι οὐ χρηματίζεσθαι δεῖ, οὐδὲ πλουτεῖν. εἰ δὲ λέγει, ὅτι τῷ θυσιαστηρίῳ συμμερίζονται, οὐ τὴν ἐξ ἴσης διανομὴν λέγει, ἀλλὰ τὴν ἐξ
B ὀφειλῆς διδομένην αὐτοῖς παραμυθίαν. καίτοι τὰ τῶν ἀποστόλων μείζονα πολλῷ ἦν. ἐκεῖ μὲν γὰρ τιμὴ ἦν ἡ ἱερωσύνη· ἐνταῦθα δὲ κίνδυνοι, καὶ σφαγαί, καὶ φόνοι. διόπερ τῶν ἄλλων παραδειγμάτων ἁπάντων πολὺ μεῖζον ἦν τὸ λέγειν, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν. ὅταν γὰρ εἴπῃ, ἐσπείραμεν, τοὺς χειμῶνας, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλάς, καὶ τὰ ἄφατα κακὰ ἐνδείκνυται, ἅπερ ὑπέμενον κηρύττοντες. ἀλλ' ὅμως καὶ τοσαύτης οὔσης τῆς ὑπεροχῆς, οὐκ ἠθέλησεν οὔτε τὰ τῆς παλαιᾶς ταπεινῶσαι, οὔτε τὰ ἑαυτοῦ ἐπᾶ-
C ραι· ἀλλὰ καὶ τὰ ἑαυτοῦ συστέλλει, οὐκ ἀπὸ τῶν κινδύνων, ἀλλ' ἀπὸ τοῦ μεγέθους τῆς δωρεᾶς διδοὺς τὴν ὑπεροχήν. οὐ γὰρ εἶπεν, εἰ ἐκινδυνεύσαμεν, ἢ παρεβουλευσάμεθα, ἀλλ', εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν. καὶ τὰ τῶν ἱερέων, ὡς οἷόν τε ἐστὶν, ἐπαίρει λέγων· οἱ τὰ ἱερὰ ἐργαζόμενοι, καὶ οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τὴν διηνεκῆ δουλείαν αὐτῶν καὶ τὴν καρτερίαν διὰ τούτων ἐνδείξασθαι βουλόμενος. καὶ εἰπὼν τοὺς ἱερέας τοὺς παρὰ Ἰουδαίοις, τούς τε Λευΐτας, τούς τε ἀρχιερέας, ἑκάτερα τὰ τάγματα ἐδήλωσε, καὶ τὰ καταδεέστερα καὶ τὰ ὑπερέχοντα· τὰ μὲν διὰ τοῦ λέγειν, οἱ
D τὰ ἱερὰ ἐργαζόμενοι, τὰ δὲ διὰ τοῦ εἰπεῖν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες. οὐδὲ γὰρ πᾶσιν ἓν ἐπιτεταγμένον ἔργον ἦν· ἀλλ' οἱ μὲν τὰ παχύτερα, οἱ δὲ τὰ ὑψηλότερα ἦσαν ἐγκεχειρισμένοι. πάντας τοίνυν τούτους περιλαβών, ἵνα μή τις λέγῃ, τί τῆς παλαιᾶς ἡμῖν μέμνησαι; οὐκ οἶσθα ὅτι προσταγμάτων τελειοτέρων ἡμῖν ὁ καιρός; μετ' ἐκεῖνα πάντων ἰσχυρότερον ἔθηκεν εἰπών· οὕτω καὶ ὁ κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν. καὶ οὐδὲ ἐνταῦθα ἐκ τῶν ἀνθρώπων λέγει τρέφεσθαι, ἀλλ' ὥσπερ ἐπὶ τῶν ἱερέων, ἐκ τοῦ ἱεροῦ καὶ ἐκ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐνταῦθα, ἐκ τοῦ εὐαγγελίου, φησί· καὶ ὥσπερ ἐκεῖ ἐσθίειν, οὕτως ἐνταῦθα ζῆν, οὐκ
E ἐμπορεύεσθαι, οὐδὲ θησαυρίζειν. ἄξιος γάρ, φησιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην. τί οὖν, εἰ μὴ ἐχρήσω, φησί, νῦν, πρὸς δὲ τὸ μέλλον χρήσασθαι βούλει, καὶ διὰ τοῦτο ταῦτα λέγεις; ἄπαγε· καὶ γὰρ ταχέως τῇ ἐπιδιορθώσει ἐχρήσατο, οὕτως εἰπών. οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί. καὶ ὅρα μεθ' ὅσης σφοδρότητος ἀρνεῖται καὶ διακρούεται τὸ πρᾶγμα. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις κέχρηται τῇ ῥήσει ταύτῃ·

καὶ

καὶ γὰρ ἀνωτέρω εἶπεν, οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· καὶ μετὰ ταῦτα πάλιν, εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου· καὶ ἐνταῦθα, ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην. τούτων, ποίων; τῶν πολλῶν παραδειγμάτων. πολλῶν γάρ μοι παρεχόντων ἐξουσίαν, τοῦ στρατιώτου, τοῦ γεωργοῦ, τοῦ ποιμένος, τῶν ἀποστόλων, τοῦ νόμου, τῶν παρ' ἡμῶν εἰς ὑμᾶς γινομένων, τῶν παρ' ὑμῶν εἰς τοὺς ἄλλους, τῶν ἱερέων, τοῦ προστάγματος τοῦ Χριστοῦ, οὐδενὶ τούτων ἐπείσθην εἰς τὸ καταλῦσαι τὸν ἐμαυτοῦ νόμον, καὶ λαβεῖν. καὶ μή μοι τὰ παρελθόντα λέγε· καίτοιγε ἔχω εἰπεῖν, ὅτι πολλὰ καὶ ἐν τοῖς παρελθοῦσιν ὑπέμεινα διὰ τοῦτο· ἀλλ' ὅμως οὐκ ἐκείνοις ἰσχυρίζομαι μόνοις, ἀλλὰ καὶ περὶ τῶν μελλόντων ὑπισχνοῦμαι, ὅτι αἱροῦμαι μᾶλλον ἀποθανεῖν λιμῷ, ἢ τούτων ἀποστερηθῆναι τῶν στεφάνων. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, φησὶν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. οὐκ εἶπε, τὸν νόμον μου ἵνα τις καταλύσῃ, ἀλλὰ, καύχημα. ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ποιεῖ μὲν αὐτὸ, οὐ χαίρων δὲ, ἀλλὰ στένων καὶ ὀδυνώμενος, τὴν ὑπερβολὴν τῆς χαρᾶς δεῖξαι θέλων, καὶ τὴν περιουσίαν τῆς προθυμίας, καὶ καύχημα τὸ πρᾶγμα καλεῖ. τοσοῦτον ἀπεῖχεν ὀδυνᾶσθαι, ὅτι καὶ καυχᾶται, καὶ ἀποθανεῖν αἱρεῖται μᾶλλον, ἢ ἐκπεσεῖν τοῦ καυχήματος τούτου. οὕτω καὶ ζωῆς αὐτῷ γλυκύτερον ἦν τὸ γινόμενον.

Εἶτα καὶ ἑτέρωθεν ἐπαίρει αὐτὸ, καὶ δείκνυσι μέγα ὂν, οὐχ ἵνα ἑαυτὸν λαμπρὸν ἀποφήνῃ· πόῤῥω γὰρ ἦν ἐκείνου τοῦ πάθους· ἀλλ' ἵνα δείξῃ ὅτι χαίρει, καὶ τὴν ὑποψίαν ἐκ περιουσίας ἀνέλῃ. διὰ γὰρ τοῦτο, ὡς ἔφθην εἰπὼν, καὶ καύχημα αὐτὸ ἐκάλεσε, καὶ τί φησιν; ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. τί λέγεις, εἰπέ μοι; ἐὰν εὐαγγελίζῃ, οὐκ ἔστι σοι καύχημα, ἀλλ' ἐὰν ἀδάπανον θῇς τὸ εὐαγγέλιον; οὐκοῦν τοῦτο μεῖζον ἐκείνου; οὐδαμῶς· ἀλλ' ἑτέρωθεν ἔχει τι πλέον· ὅτι τὸ μέν ἐστιν ἐπίταγμα, τὸ δὲ τῆς ἐμῆς προαιρέσεως κατόρθωμα· ἃ μὲν γὰρ ὑπὲρ τὴν ἐντολὴν γίνεται, πολὺν ἔχει τὸν μισθὸν κατὰ τοῦτο· ἃ δὲ ἐν ἐντολῆς τάξει, οὐ τοσοῦτον· ὥστε κατὰ τοῦτό φησι, τοῦτο ἐκείνου πλέον εἶναι, οὐ κατ' αὐτὴν τοῦ πράγματος τὴν φύσιν. τί γὰρ τοῦ κηρῦξαι ἴσον; τοῦτο γὰρ καὶ πρὸς τοὺς ἀγγέλους αὐτοὺς ἁμιλλᾶσθαι ποιεῖ. ἀλλ' ὅμως ἐπειδὴ τὸ μὲν ἐπίταγμά ἐστι καὶ ὀφειλὴ, τὸ δὲ προαιρέσεως φιλοτιμία, κατὰ τοῦτο ἐκείνου πλέον. διό φησι, τὸ αὐτὸ ἑρμηνεύων, ὅπερ εἶπον νῦν· εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι· τὸ ἑκὼν καὶ ἄκων, ἐπὶ τοῦ ἐγκεχειρίσθαι καὶ μὴ ἐγκεχειρίσθαι λαμβάνων.

A & superius dixit: non usi sumus hac potestate; & postea rursum, Ut non abutar mea potestate; & hic: Ego autem nullo horum usus sum. Horum; Quorum? Multorum exemplorum. Cum enim multa mihi potestatem præberent, miles, agricola, pastor, apostoli, lex, ea quæ a nobis in vos fiunt, ea quæ a vobis in alios, sacerdotes, præceptum Christi, nulli horum obtemperavi, ut legem meam abrogarem, & acciperem. Nec mihi dicas illa quæ præterierunt; etiamsi possim dicere, me multa pridem propterea passum esse. Attamen non illis tantum nitor; B sed etiam de futuris polliceor, me malle mori fame, quam his coronis privari. Bonum est enim mihi magis mori, inquit, quam ut gloriam meam quis evacuet. Non dixit, legem meam quis solvat, sed, gloriam. Ne quis enim dicat ipsum hoc quidem facere, sed non gaudentem, sed gementem & mœrentem; lætitiam ingentem ostendere volens, magnamque alacritatem, rem ipsam appellat gloriationem. Tantum aberat ut doleret, ut etiam gloriaretur, & mori malit, quam C hac gloria excidere. Ita quod tum fiebat ipsa vita dulcius ipsi erat.

2. Deinde aliunde etiam id extollit, & magnum esse ostendit, non ut se splendidum declararet; procul enim ille erat ab hoc animi affectu; sed ut ostenderet se lætari, & suspicionem omnem de medio tolleret. Ideo enim, ut jam dixi, rem vocat gloriationem. Et quid ait? 16. *Nam si evangelizavero, non est mihi gloria; necessitas enim mihi incumbit; væ autem mihi est si non evangelizavero. 17. Si enim volens hoc ego facio, mercedem habeo: si autem invitus, dispensatio mihi credita est.* D *18 Quæ est ergo merces mea? ut evangelium prædicans, sine sumtu ponam evangelium Christi: ut non abutar potestate mea in evangelio.* Quid, quæso dicis? si evangelizas, non est tibi gloriatio; sed si sine sumtu ponas evangelium? Hoc ergo majus est illo? Nequaquam; sed aliunde aliquid amplius habet; quoniam aliud quidem præceptum est; aliud autem a mea voluntate præclare gestum est. Nam quæ supra mandatum fiunt, multam vel inde mercedem habent; quæ autem ex mandato, non tantam. Itaque hac ratione dicit, hoc illo esse amplius; non secundum E ipsam rei naturam; quid enim prædicationi par fuerit? Hoc enim efficit ut illi cum angelis concertent. Attamen quoniam illud quidem præceptum est & debitum, hoc autem liberæ voluntatis opus alacriter susceptum; secundum illo amplius est. Ideo ait hoc ipsum interpretans quod nunc dixi: Si enim volens hoc facio, mercedem habeo; si autem invitus, dispensatio mihi tradita est. Illud *volens* & *invitus* accipiens, pro eo quod concreditum, vel non concreditum est. Sic

enim illud, necessitas mihi incumbit, intelligendum est, non quod aliquid horum invitus faciat, absit; sed ut qui sit obnoxius iis quæ jussa sunt, & ad distinctionem libertatis quæ dicta est in accipiendo. Ideoque discipulis dicebat Christus: *Cum omnia feceritis, dicite, servi inutiles sumus; quæ enim debuimus facere, fecimus.* Quæ est ergo merces mea? ut evangelium prædicans sine sumtu ponam evangelium. Quid ergo, quæso te, Petrus mercedem non habet? Et quis unquam tantam habuerit, quantam ille? Quid vero reliqui apostoli? Quomodo ergo dixit: si volens quidem hoc ago, mercedem habeo; si invitus, dispensatio mihi credita est. Vides hic quoque prudentiam? Neque enim dixit, si autem invitus, non habeo mercedem; sed, dispensatio mihi credita est; ostendens se sic quoque mercedem habere; sed talem, qualem is, qui quod jussum erat exequutus est; non qualem is qui ex nutu suo alacriter præceptum superavit. Quænam ergo merces est? Ut evangelium prædicans, inquit, sine sumtu ponam evangelium; ut non abutar potestate mea in evangelio. Vide quomodo semper potestatis nomine utatur; ostendens illud, quod frequenter dixi, quod nec illi quidem, qui accipiunt, digni sint reprehensione. Addidit autem, in evangelio, simul significans evangelium, & prohibens ubique rem educere. Docentem enim oportet accipere, non autem otiosum. 19. *Nam cum liber essem ex omnibus, omnium me servum feci, ut plures lucrifacerem.* Hic rursus aliam ponit hyperbolem. Magnum enim est non accipere; hoc autem quod dicturus est longe majus illo est. Quid autem est id quod dicit? Non solum non accepi, inquit, neque solum non usus sum hac potestate, sed etiam me servituti subjeci, imo variæ & omnis generis servituti. Neque enim in pecuniis solum; sed quod pecuniis longe majus est, in multis & variis negotiis hoc ipsum exhibui. Et servituti me subjeci, cum in nulla re subjectus essem, nec ulla necessitate ducerer; hoc enim est illud, liber cum essem ex omnibus; neque uni tantum me subjeci, sed toto orbi terrarum; quapropter subjunxit, omnium me servum feci. Nam prædicare jussus eram, & annunciare ea quæ mihi credita fuerant; innumerabilia autem machinari & excogitare, ex meo studio profectum est. Nam solvendæ pecuniæ tantum obnoxius eram. Ego vero pro illa exigenda nihil non agebam, plura tentans, quam jussus eram. Quia enim ex arbitrio, alacritate & caritate erga Christum omnia agebat, insatiabili desiderio salutem hominum exoptabat. Quamobrem ex ingenti alacritate septa transiliebat, per omnia ipsum quoque cælum transcendens. Ac cum servitutem dixisset, varios illius modos deinde recenset. Quinam illi sunt? 20. *Et*

Luc. 17. 10.

Paulus quanta fecerit pro aliorum salute.

A οὕτω καὶ τὸ, ἀνάγκη γάρ μοι ἐπίκειται, νοητέον, οὐχ ὡς ἄκοντός τι τούτων ποιοῦντος, μὴ γένοιτο, ἀλλ' ὡς ὑπευθύνου ὄντος τοῖς ἐπιταχθεῖσι, καὶ πρὸς ἀντιδιαστολὴν τῆς ἐλευθερίας τῆς ἐν τῷ λαμβάνειν εἰρημένης. διὸ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον. τί οὖν, εἰπέ μοι, Πέτρος οὐκ ἔχει μισθόν; καὶ τίς ἂν σχοίη ποτὲ τοσοῦτον ὅσον ἐκεῖνος; τί δὲ οἱ λοιποὶ ἀπόστολοι; πῶς οὖν εἶπεν, εἰ μὲν ἑκὼν τοῦτο πράσσω, B μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι; ὁρᾷς κἀνταῦθα τὴν σύνεσιν; οὐδὲ γὰρ εἶπεν, εἰ δὲ ἄκων, οὐκ ἔχω μισθὸν, ἀλλ', οἰκονομίαν πεπίστευμαι. δεικνὺς ὅτι καὶ οὕτως ἔχει μισθὸν, ἀλλὰ τοιοῦτον, οἷον ὁ τὸ ἐπιταχθὲν ἐξανύσας, οὐχ οἷον ἐκεῖνος ὁ ἐκ τῶν ἑαυτοῦ φιλοτιμησάμενος καὶ ὑπερβὰς τὸ ἐπίταγμα. τίς οὖν ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον, φησὶ, θήσω τὸ εὐαγγέλιον, εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. ὅρα πῶς διόλου τῷ ὀνόματι τῆς ἐξουσίας κέχρηται, δεικνὺς τοῦτο, ὃ συνεχῶς C εἶπον, ὅτι οὐδὲ οἱ λαμβάνοντες ἐγκλημάτων ἄξιοι. προσέθηκε δὲ, τῷ εὐαγγελίῳ, ὁμοῦ μὲν τὸ εὐαγγέλιον δηλῶν, ὁμοῦ δὲ κωλύων πανταχοῦ τὸ πρᾶγμα ἐξάγειν. τὸν γὰρ διδάσκοντα χρὴ λαμβάνειν, οὐχὶ δὲ καὶ τὸν ἀργοῦντα ἁπλῶς. ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. πάλιν ἐνταῦθα ἄλλην τίθησιν ὑπερβολήν. μέγα μὲν γὰρ καὶ τὸ μὴ λαβεῖν· τοῦτο δὲ ὃ μέλλει λέγειν, πολλῷ πλέον ἐκείνου. τί δέ ἐστιν ὅ φησιν; οὐ μόνον οὐκ ἔλαβον, φησὶν, οὐδὲ μόνον οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ D καὶ ἐδούλωσα ἐμαυτὸν, καὶ δουλείαν ποικίλην καὶ παντοδαπήν. οὐδὲ γὰρ ἐν χρήμασι μόνον, ἀλλ', ὃ πολλῷ χρημάτων μεῖζον ἦν, πράγμασι πολλοῖς καὶ ποικίλοις τὸ αὐτὸ τοῦτο ἐπεδειξάμην· καὶ ἐδούλωσα, οὐδενὶ ὑποκείμενος, κατ' οὐδὲν ἀνάγκην ἔχων· τοῦτο γάρ ἐστιν, ἐλεύθερος ὢν ἐκ πάντων· καὶ οὐδὲ ἑνὶ ἐδούλευσα, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ. διὸ καὶ ἐπήγαγε, πᾶσιν ἐμαυτὸν ἐδούλωσα. καὶ γὰρ κηρῦξαι ἐπεταττόμην, καὶ ἀπαγγέλλειν τὰ ἐμπιστευθέντα· τὸ δὲ μυρία μηχανᾶσθαι καὶ ἐπινοεῖν, λοιπὸν τῆς ἐμῆς σπου- E δῆς ἦν. τοῦ γὰρ καταβαλεῖν τὸ ἀργύριον ὑπεύθυνος ἤμην μόνον· ἐγὼ δὲ καὶ ὑπὲρ τοῦ ἀπαιτῆσαι πάντα ἐποίουν πάλιν, πλέον τῶν ἐπιτεταγμένων ἐπιχειρῶν. ἐπειδὴ γὰρ προαιρέσει καὶ προθυμίᾳ καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν πάντα ἔπραττεν, ἀκόρεστον εἶχεν ἐπιθυμίαν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν. διὸ καὶ ἐκ πολλῆς τῆς περιουσίας ὑπερέβαινε τὰ σκάμματα, διὰ πάντων ὑπὲρ αὐτὸν πηδῶν τὸν οὐρανόν· καὶ εἰπὼν τὴν δουλείαν, λέγει λοιπὸν τοὺς τρόπους αὐτῆς τοὺς ποικίλους. τίνες δέ εἰσιν οὗτοι;

καὶ ἐγενόμην, φησὶ, τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω. καὶ πῶς ἐγένετο τοῦτο; ὅτι περιέτεμεν, ἵνα καθέλῃ περιτομήν. διὰ τοῦτο οὐκ εἶπεν, Ἰουδαῖος, ἀλλ', ὡς Ἰουδαῖος, ὅπερ οἰκονομία ἦν. τί λέγεις; ὁ τῆς οἰκουμένης κήρυξ, καὶ τῶν οὐρανῶν αὐτῶν ἁψάμενος, καὶ τοσοῦτον ἐν τῇ χάριτι λάμψας, οὕτως ἀθρόον καταβαίνει τοσοῦτον; ναί. τοῦτο γάρ ἐστιν ἀναβῆναι. μὴ γὰρ δὴ τοῦτο ἴδῃς ὅτι καταβαίνει μόνον, ἀλλ' ὅτι καὶ τὸν κάτω κείμενον ἀνίστησι, καὶ ἀνάγει πρὸς ἑαυτόν. τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω.

Ἡ ἐπεξήγησις τοῦ προτέρου ἐστὶν, ἢ ἕτερόν τι αἰνίττεται παρὰ τὸ πρότερον. Ἰουδαίους μὲν λέγων, τοὺς ἄνωθεν καὶ ἐξ ἀρχῆς τοιούτους ὄντας· ὑπὸ νόμον δὲ, τοὺς προσηλύτους, ἢ τοὺς πιστοὺς γενομένους καὶ ἔτι ἀντεχομένους τοῦ νόμου. οὐκέτι γὰρ ἦσαν, ὡς Ἰουδαῖοι, ἀλλ' ὑπὸ νόμον. [a] καὶ πότε ἐγένετο ὑπὸ νόμον; ὅτε ἐξυρᾶτο, ὅτε ἔθυεν. ἐγίνετο δὲ ταῦτα, οὐ τῆς γνώμης αὐτοῦ μεταβαλλομένης· ἐπεὶ κακία τὸ πρᾶγμα ἦν· ἀλλὰ τῆς ἀγάπης συγκαταβαινούσης. ἵνα γὰρ τοὺς ὄντας ἀληθῶς εἰς ταῦτα μεταστήσῃ, ἐγίνετο αὐτὸς οὐκ ἀληθῶς, ἐπιδεικνύμενος μόνον, οὐκ ὢν δὲ, οὐδὲ ἐκ διανοίας ταῦτα πράττων οὕτως ἐχούσης. πῶς γὰρ, ὁ καὶ ἑτέρους μεταθεῖναι σπεύδων, καὶ διὰ τοῦτο ταῦτα ποιῶν, ἵνα ἄλλους ποιοῦντας ἐλευθερώσῃ τῆς ταπεινότητος ἐκείνης; τοῖς ἀνόμοις, ὡς ἄνομος. οὗτοι οὔτε Ἰουδαῖοι ἦσαν, οὔτε Χριστιανοὶ, οὔτε Ἕλληνες, ἀλλ' ἐκτὸς νόμου ὄντες, οἷος ἦν ὁ Κορνήλιος, καὶ εἴ τινες κατ' ἐκεῖνον. καὶ γὰρ πρὸς ἐκείνους εἰσιὼν, πολλὰ ὑπεκρίνετο τῶν ἐκείνων. τινὲς δέ φασι καὶ τὴν ἀπὸ τοῦ ἐπιγράμματος τοῦ ἐν τῷ βωμῷ διάλεξιν αὐτῷ γενομένην πρὸς Ἀθηναίους αἰνίττεσθαι, καὶ λέγειν, τοῖς ἀνόμοις ὡς ἄνομος. εἶτα ἵνα μὴ νομίσῃ τις μεταβολὴν γνώμης εἶναι τὸ πρᾶγμα, ἐπήγαγε· μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ· τουτέστιν, οὐ μόνον ἄνομος οὐκ ὢν, ἀλλ' οὐδὲ ἁπλῶς ἔννομος, ἀλλὰ τὸν πολλῷ τοῦ παλαιοτέρου νόμου ὑψηλότερον ἔχων, τουτέστι, τοῦ πνεύματος καὶ τῆς χάριτος. διὸ καὶ ἐπήγαγε, Χριστοῦ. εἶτα ποιήσας περὶ τῆς γνώμης θαῤῥῆσαι, καὶ τὸ κέρδος τίθησι πάλιν τῆς τοιαύτης συγκαταβάσεως, λέγων· ἵνα κερδήσω ἀνόμους. καὶ πανταχοῦ τὴν αἰτίαν προβάλλεται τῆς συγκαταβάσεως, καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ, καὶ τοῖς ἀσθενέσι, φησὶν, ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῦτο λοιπὸν τὸ τούτων λέγων, δι' ὃ καὶ πάντα ταῦτα εἴρηται. καίτοι ἐκεῖνα πολλῷ μείζονα ἦν, ἀλλὰ τοῦτο οἰκειότερον· ὅθεν καὶ ὕστερον αὐτὸ τέθεικεν. ἐποίησε δὲ αὐτὸ καὶ παρὰ Ῥωμαίοις, ὅτε περὶ βρωμάτων ἐνεκάλει, καὶ ἀλλαχοῦ πολλαχοῦ. εἶτα, ἵνα μὴ καθέκαστον ἅπαντα λέγων, διατρίβῃ, φησί.

[a] Reg. καὶ πότε recte. Editi, καὶ πῶς.

A *factus sum*, inquit, *Judæis, tamquam Judæus, ut Judæos lucrarer.* Et quomodo hoc factum est? circumcidit ut everteret circumcisionem. Ideo non dixit, Judæus; sed tamquam Judæus, quod erat dispensatio. Quid dicis? Præco orbis, qui cælos ipsos tetigit, & adeo in gratia fulsit, is repente tantum descendit? Etiam, hoc enim est ascendere. Neque enim hoc solum respicias, quod descendat, sed quod etiam eum qui inferne jacet erigat, & ad se adducat. *Iis qui sub lege sunt, quasi sub lege essem, cum non essem sub lege, ut eos* B *qui sub lege sunt lucrifacerem.*

3. Aut est explicatio prioris dicti, aut quidpiam subindicat præter illud prius. Judæos quidem dicens eos qui jam olim ab initio tales erant; sub lege autem, proselytos, aut eos qui fideles erant & adhuc legi hærebant. Non enim ultra erant tamquam Judæi, sed sub lege. Et quando factus est sub lege? Cum tonsus fuit, cum sacrificavit. Hæc porro facta sunt, non quod sententiam mutasset: fuisset enim ea res mala; sed caritate sese attemperante. Nam ut eos qui vere erant ad hæc traduceret, factus est & ipse (Ju- C dæus) non vere, sed tantum id præse ferens, cum tamen talis non esset, nec ex animo hoc vere faceret. Quomodo enim fecisset, qui alios transmutare curabat; & ideo hoc faciebat, ut alios hoc facientes liberaret ab humilitate hujusmodi? *Iis qui sine lege erant, tamquam sine lege essem.* Hi neque Judæi erant, neque Christiani, neque Græci; sed extra legem erant, ut erat Cornelius, & si qui alii similes. Ad illos enim ingrediens, multa ad ipsos pertinentia simulabat. Quidam vero dicunt illum subindicare disputationem quam habuerat cum Atheniensibus D circa inscriptionem in ara positam, & ideo dicere, iis qui sine lege sunt, tamquam sine lege essem. Deinde ne quis putaret rem illam esse sententiæ mutationem, addidit: *Cum sine lege Dei non essem; sed in lege essem Christi;* id est, cum non modo non sine lege essem, sed etiam non solum sub lege essem; sed & legem haberem veteri longe sublimiorem, id est, Spiritus & Gratiæ: ideo subjungit, Christi. Postea cum id effecisset, ut de sua sententia confiderent, lucrum deinde talis suæ attemperationis ponit, dicens: E *Ut lucrifacerem eos qui sine lege erant.* Et ubique causam affert attemperationis illius: neque ibi gradum sistit, & ait 22. *Sed & infirmis factus sum ut infirmus, ut infirmos lucrifacerem.* Hoc demum dicens ad illos pertinens, propter quod hæc omnia dicta sunt. Atqui illa erant longa majora; hoc vero convenientius: quamobrem postremum illud ponit. Idipsum quoque apud Romanos fecit, quando de cibis accusabat, & in multis aliis locis. Deinde, ne singula & omnia persequens diutius moretur, ait:

*Omnibus omnia factus sum, ut omnino quosdam salvos facerem.* Viden' hyperbolem? Omnibus omnia factus sum, non quod omnes salvos facere sperarem; sed ut saltem paucos salvos faciam. Et hoc quidem studium, ministeriumque tale subii; quantum par erat eum qui omnes salvos faceret, non tamen sperans me omnes superaturum esse: quod vere magnum erat, ferventisque animi. Nam qui seminabat, ubique seminabat, nec totum servavit sementem; attamen quod suum erat præstitit. Et cum servatorum paucitatem dixisset, rursum illa addita voce, omnino, consolatus est eos qui de iis dolerent. Nam etsi fieri non potest ut totum semen salvum sit; attamen ut totum pereat fieri nequit. Ideo dixit, omnino: quia necesse prorsus est, ut qui tam ferventer rem curat, etiam assequatur. 23. *Omnia autem facio propter evangelium, ut particeps ejus efficiar*; id est, ut videar & ipse aliquid ex me attulisse, & particeps sim coronarum quæ fidelibus repositæ sunt. Quemadmodum enim dicebat ex evangelio vivere; id est, ex credentibus; sic & hoc loco, particeps efficiar evangelii, ut possim communicare cum iis qui in evangelium crediderunt. Viden' humilitatem, quomodo in mercedis retributione, unum inter multos sese ponat, cum plus quam omnes laboraverit? Unde palam est illius præmia majora fore. Attamen non se dignum censet qui primas teneat; sed exoptat ut cum aliis particeps sit coronarum quæ repositæ sunt. Hæc porro dicebat, non quod pro mercede aliqua hoc faceret, sed ut illos hinc quoque attraheret, & per spem hujusmodi illis persuaderet, ut omnia pro fratribus facerent. Vidistin' prudentiam? Vidistin' diligentiæ magnitudinem? Quomodo plus quam præceptum fuerat fecerit nihil accipiens, cum accipere liceret? Vidistin' summam attemperationem; quomodo qui in lege Christi erat, & supremam servabat legem, iis qui sine lege erant, tamquam sine lege esset; Judæis tamquam Judæus, in utrisque summus apparens & omnes vincens? Hoc & tu facito, & ne putes te cadere cum summus sis, si quid propter fratrem humile & abjectum patiaris. Non est enim illud cadere, sed descendere. Qui cecidit enim, jacet & vix resurgit: qui vero descendit, ascendet, & cum multo lucro. Quemadmodum etiam Paulus descendit solus quidem, sed cum orbe ascendit: non simulans, neque enim eorum qui servati sunt lucrum quæsivisset, si simulasset. Hypocrita enim exitium quærit, & simulat ut accipiat, non ut det. Hic vero non sic; sed ut medicus, ut doctor, ut pater; ille quidem ægroto, hic discipulo; alius filio sese attemperat, ut corrigat, non ut noceat: ita etiam hic.

4. Nam quod ea quæ dicta sunt simulatio non essent, cum nihil hujusmodi vel dicere vel facere cogeretur; sed quod affectum suum fiduciamque ostendere

A τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. ὁρᾷς τὴν ὑπερβολήν; πᾶσι μὲν γέγονα πάντα, οὐ πάντας καὶ προσδοκῶν σώζειν, ἀλλ' ἵνα κἂν ὀλίγους σώσω. καὶ τὴν μὲν σπουδὴν καὶ τὴν διακονίαν τοσαύτην ὑπέμεινα, ὅσην εἰκὸς τὸν ἅπαντας σώζοντα, οὐ μὴν ἐλπίζων ἁπάντων περιέσεσθαι· ὅπερ πολὺ μέγα ἦν, καὶ προθυμίας ζεούσης. ἐπεὶ καὶ ὁ σπείρων πανταχοῦ ἔσπειρε, καὶ οὐ τὸν πάντα σπόρον ἔσωσεν, ἀλλ' ὅμως τὸ ἑαυτοῦ πεποίηκε. καὶ εἰπὼν τὴν ὀλιγότητα τῶν σωζομένων, πάλιν τῷ, πάντως, προσθεῖναι, παρεμυθήσατο τοὺς ὑπὲρ τούτων ἀλγοῦντας. εἰ γὰρ καὶ μὴ πάντα δυνατὸν σωθῆναι τὸν
B σπόρον, ἀλλ' ὅμως καὶ πάντα ἀμήχανον ἀπολέσθαι. διὰ τοῦτο εἶπε, πάντως, ὅτι ἀνάγκη πᾶσα τὸν οὕτω θερμῶς σπουδάζοντα καὶ ἐπιτυχεῖν. πάντα δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. τουτέστιν, ἵνα δόξω τι καὶ αὐτὸς συνεισενηνοχέναι οἴκοθεν, καὶ κοινωνήσω τῶν ἀποκειμένων στεφάνων τοῖς πιστοῖς. ὥσπερ γὰρ ἔλεγεν ἐκ τοῦ εὐαγγελίου ζῆν, τουτέστιν, ἐκ τῶν πιστευόντων, οὕτω καὶ ἐνταῦθα, συγκοινωνὸς γένωμαι τοῦ εὐαγγελίου, ἵνα δυνηθῶ κοινωνῆσαι τοῖς ἐν τῷ εὐαγγελίῳ πεπιστευκόσιν. εἶδες ταπει-
C νοφροσύνην, πῶς ἐν τῇ τῶν μισθῶν ἀντιδόσει ἕνα τῶν πολλῶν ἑαυτὸν τίθησι, πάντων πλεονεκτήσας τοῖς πόνοις; ὅθεν δῆλον, ὅτι καὶ τοῖς ἐπάθλοις. ἀλλ' ὅμως οὐκ ἀξιοῖ τῶν πρωτείων ἀπολαύειν, ἀλλ' ἀγαπᾷ, ἂν μετὰ τῶν ἄλλων κοινωνήσῃ τῶν ἀποκειμένων στεφάνων. ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπειδὴ μισθῷ τινι ταῦτα ἔπραττεν, ἀλλ' ἵνα ἐκείνους κἀντεῦθεν ἐπισπάσηται, καὶ ταῖς ἐλπίσι ταύταις πείσῃ πάντα ποιεῖν ὑπὲρ τῶν ἀδελφῶν. εἶδες σύνεσιν; εἶδες ἀκριβείας ὑπεροχήν; πῶς ὑπὲρ τὰ ἐπιτεταγμένα ἐποίησε, μὴ λαμβάνων, λαμβάνειν ἐξόν; εἶδες συγκαταβάσεως
D ὑπερβολήν; πῶς ὁ ἔννομος Χριστοῦ καὶ τὸν ἀνωτάτω τηρῶν νόμον, τοῖς ἀνόμοις, ὡς ἄνομος ἦν, τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἐν ἑκατέροις ἄκρος φανείς, καὶ πάντας νικήσας; τοῦτο καὶ σὺ ποίει, καὶ μὴ νόμιζε καταπίπτειν ἄκρος ὤν, ἐάν τι διὰ τὸν ἀδελφὸν ὑπομείνῃς τῶν ταπεινῶν. οὐδὲ γὰρ καταπεσεῖν ἐστι τοῦτο, ἀλλὰ καταβῆναι. ὁ μὲν γὰρ πεσὼν, κεῖται μόλις ἀνιστάμενος· ὁ δὲ καταβὰς, καὶ ἀναβήσεται μετὰ πολλοῦ τοῦ κέρδους. καθάπερ καὶ Παῦλος κατῄει μὲν μόνος, ἀνῄει δὲ μετὰ τῆς οἰκουμένης, οὐχ ὑποκρινόμενος.
E οὐδὲ γὰρ ἂν τὸ κέρδος ἐζήτησε τῶν σωζομένων, εἴγε ὑπεκρίνετο. τὴν γὰρ ἀπώλειαν ὁ ὑποκριτὴς ζητεῖ· καὶ ὥστε λαβεῖν, ὑποκρίνεται, οὐχ ὥστε δοῦναι. ἀλλ' οὗτος οὐχ οὕτως· ἀλλ' ὥσπερ ἰατρὸς, ὥσπερ διδάσκαλος, ὥσπερ πατήρ· ὁ μὲν τῷ κάμνοντι, ὁ δὲ τῷ μαθητῇ, ὁ δὲ τῷ παιδὶ συγκαταβαίνει εἰς διόρθωσιν, οὐκ εἰς βλάβην, οὕτω καὶ οὗτος.

Ὅτι γὰρ οὐχ ὑπόκρισις ἦν τὰ εἰρημένα, ὅταν μηδὲν τοιοῦτον ἀναγκάζηται ποιεῖν ἢ λέγειν, ἀλλὰ τὴν διάθεσιν αὐτοῦ καὶ τὴν παῤῥησίαν δεῖξαι βούληται,

ἀκούσον αὐτοῦ λέγοντος· οὔτε ζωή, οὔτε θάνατος, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις ἑτέρα κτίσις δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Εἶδες ἀγάπην πυρὸς θερμοτέραν; οὕτω καὶ ἡμεῖς ἀγαπήσωμεν τὸν Χριστόν. καὶ γὰρ εὔκολον, ἂν βουλώμεθα. οὐδὲ γὰρ ἐκεῖνος φύσει τοιοῦτος ἦν. διά τοι τοῦτο καὶ τὰ πρότερα αὐτοῦ ἀνεγράφη τὰ ἐναντία τούτοις, ἵνα μάθωμεν ὅτι προαιρέσεως τὸ ἔργον, καὶ βουλομένοις ἅπαντα εὔκολα. μὴ τοίνυν ἀπογνῶμεν, ἀλλά, κἂν λοίδορος ᾖς, κἂν πλεονέκτης, κἂν ὁτιοῦν, ἐννόησον ὅτι Παῦλος βλάσφημος ἦν, καὶ διώκτης, καὶ ὑβριστής, καὶ τῶν ἁμαρτωλῶν πρῶτος, καὶ ἐξαίφνης πρὸς αὐτὴν ἀνέβη τὴν κορυφὴν τῆς ἀρετῆς, καὶ οὐδὲν αὐτῷ κώλυμα τὰ πρότερα γέγονε. καίτοιγε οὐδεὶς οὕτω μετὰ τοσαύτης μανίας ἔχεται κακίας, μεθ' ὅσης ἐκεῖνος τοῦ πολέμου τοῦ κατὰ τῆς ἐκκλησίας. καὶ γὰρ τὴν ψυχὴν ἐπίδωκε τὴν ἑαυτοῦ τότε, καὶ ὅτι μὴ μυρίας εἶχε χεῖρας, ἵνα πάσαις βάλῃ τὸν Στέφανον, ἤλγει. ὅμως δὲ καὶ οὕτως εὗρεν ὅπως πλείοσιν αὐτὸν βάλῃ χερσί, ταῖς τῶν ψευδομαρτύρων, ὧν τὰ ἱμάτια ἐτήρει· καὶ ἡνίκα δὲ εἰς τὰς οἰκίας εἰσῄει, καθάπερ θηρίον οὕτως εἰσεπήδα, σύρων, σπαράττων ἄνδρας, γυναῖκας, θορύβου καὶ ταραχῆς καὶ μυρίων πολέμων πάντα πληρῶν. οὕτω γοῦν καὶ φοβερὸς ἦν, ὡς τοὺς ἀποστόλους καὶ μετὰ τὴν ἀρίστην μεταβολὴν μηδέπω τολμᾶν κολλᾶσθαι αὐτῷ. ἀλλ' ὅμως μετὰ πάντα ἐκεῖνα γέγονε τοιοῦτος, οἷος γέγονεν. οὐδὲ γὰρ δεῖ πλέον εἰπεῖν. ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱμαρμένης ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προαιρέσεως ἐλευθερίᾳ; ἀκουέτωσαν ταῦτα, καὶ ἐπιστομιζέσθωσαν. τὸν γὰρ βουλόμενον γενέσθαι ἀγαθὸν οὐδέν ἐστι τὸ κωλῦον, κἂν τῶν πονηροτάτων ἔμπροσθεν ᾖ. καὶ γὰρ πρὸς τοῦτο ἐπιτηδείως μᾶλλον ἔχομεν, ὅσον καὶ κατὰ φύσιν ἡμῖν ἐστιν ἡ ἀρετή, καὶ παρὰ φύσιν ἡ πονηρία, ὥσπερ οὖν τὸ νοσεῖν καὶ ὑγιαίνειν. καὶ γὰρ ὀφθαλμοὺς ἡμῖν ἔδωκεν ὁ θεός, οὐχ ἵνα ἀκολάστως βλέπωμεν, ἀλλ' ἵνα τὰ δημιουργήματα αὐτοῦ θαυμάζοντες, προσκυνῶμεν τὸν ποιήσαντα. καὶ ὅτι αὕτη ἡ χρεία τῶν ὀφθαλμῶν, δῆλον ἐκ τῶν ὁρωμένων. κάλλος μὲν γὰρ ἡλίου καὶ οὐρανοῦ ἐξ ἀπείρου βλέπομεν τοῦ διαστήματος· γυναικὸς δὲ εὐμορφίαν οὐκ ἄν τις ἐκ τοσούτου καταμάθοι. ὁρᾷς, ὅτι πρὸς τοῦτο ἡμῖν μάλιστα γέγονεν ὁ ὀφθαλμός; πάλιν ἀκοὴν ἐποίησεν, οὐχ ἵνα βλάσφημα δεχώμεθα ῥήματα, ἀλλ' ἵνα σωτήρια δόγματα. διά τοι τοῦτο, ὅταν μὲν ἀπηχές τι δέξηται, καὶ ναρκᾷ ἡ ψυχὴ καὶ τὸ σῶμα αὐτό. λαλιὰ γὰρ πολυόρκου ἀνορθώσει τρίχας, φησί. κἂν ὠμόν, κἂν ἀπηνές τι ἀκούσωμεν, πάλιν φρίττομεν· ἂν δὲ ἐμμελές τι καὶ φιλάνθρωπον, καὶ γανύμεθα καὶ χαίρομεν. καὶ τὸ στόμα δὲ ἡμῶν αἰσχρὰ φθεγγόμενον, αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ποιεῖ· ἂν δὲ σεμνά, μετὰ ἀδείας προΐεται ταῦτα καὶ ἐλευθερίας ἁπάσης. τοῖς δὲ κατὰ

A vellet, audi ipsum dicentem: *Neque vita, neque mors, neque angeli, neque principatus, neque potestates, neque instantia, neque futura, neque altitudo, neque profundum, neque aliqua alia creatura, poterit nos separare a caritate, quæ est in Christo Jesu Domino nostro.* (Rom. 8. 39.) Vidistin' caritatem igne ardentiorem? ita & nos quoque Christum diligamus, facile namque est, si velimus. Neque enim ille talis erat natura; ideoque priora illius his contraria fuisse scriptum est, ut discamus opus illud liberi arbitrii esse, & volentibus omnia esse facilia. Ne desperemus ergo; sed B etsi maledicus es, etsi avarus, etsi quidvis aliud; cogita Paulum blasphemum fuisse, persequutorem, contumeliosum, peccatorumque primum, & derepente ad ipsum virtutis culmen pervenisse, & nihil ipsi impedimenti priora attulisse.

Peccator nunquam desperet.

Atqui nemo cum tanto furore nequitiam sectatur, cum quanto ille bellum contra ecclesiam. Nam tunc ipse suam tradidit animam; & quia non mille manus habebat, ut omnibus Stephanum impeteret, dolebat; & tamen sic quoque modum invenit, quo posset illum pluribus ferire manibus falsorum testium, quorum C ipse vestes servabat. Et cum in domos intraret, tamquam fera insiliebat, trahens & lacerans viros, mulieres; tumultu & strepitu ac bellis sexcentis omnia implens. Ita nempe terribilis erat, ut apostoli etiam post optimam ejus conversionem, nondum auderent ipsi hærere. Attamen post illa omnia talis effectus est, qualis vere fuit. Neque enim plura dicere opus est. Ubinam ergo sunt illi qui fati necessitatem obtendunt, adversus arbitrii nostri libertatem? Hæc audiant, & ora sua obstruant. Eum enim qui bonus esse velit, nihil impedit, etiamsi inter nequissimos D antea censeretur. Ad hoc enim aptiores sumus, quatenus secundum naturam virtus inest nobis, & præter naturam vitium; sicut etiam ægrotare & bene valere. Etenim oculos nobis dedit Deus, non ut impudice aspiciamus, sed ut res ab eo creatas admirantes, conditorem adoremus. Quod autem hic sit oculorum usus, palam est ex rebus sub aspectum cadentibus. Pulcritudinem namque solis & cæli ex immenso aspicimus intervallo: mulieris vero formam nemo ex tanto spatio noverit. Viden' oculum nobis ad hoc maxime datum fuisse? Rursus audi- E tum fecit, non ut blasphema excipiamus verba; sed ut salutaria dogmata. Ideoque cum quidpiam absonum excipit, & animus & ipsum corpus torpescit. *Sermo enim multum jurantis, pilos erigit*, inquit. (Eccli. 27. 15.) Et si quid crudele vel immite audiamus, rursus horremus; si vero quid numerosum & humanum, & gestimus & lætamur. Os quoque nostrum turpia loquens, pudorem & verecundiam infert; sin autem honesta, placide & cum omni libertate illa emittit. De iis autem quæ

sunt secundum naturam nemo erubuerit; sed de iis quæ sunt præter naturam. Et manus quidem cum rapiunt, se occultant, & defensionem quærunt; si vero eleemosynam dent, etiam gloriantur. Itaque si velimus, magnam undique habemus ad virtutem propensionem. Si autem mihi voluptatem ex nequitia partam dicas, cogita nos illam majorem ex virtute decerpere. Etenim bonam habere conscientiam, omnibus in admiratione esse, bonamque spem tenere, omnium jucundissimum est ei qui voluptatis naturam perpenderit; ut contraria omnium molestissima sunt ei, qui doloris naturam novit; verbi gratia, & probris ab omnibus affici & a se ipso accusari, timere ac tremere præsentia & futura. Et ut id quod dico clarius evadat, supponamus quempiam uxorem habentem proximi nuptias perfodere, & ex hoc improbo furto illa frui quam amat; deinde alium huic opponamus qui uxorem suam complectatur: utque victoria clarior evadat, hic qui sola sua uxore fruitur, etiam illam amet quæ adulteratur, sed amorem cohibeat, nihilque mali faciat, quamquam ne hoc quidem est pura temperantia. Verum ad libitum, ut discas quanta sit virtutis voluptas, ideo hujusmodi drama effinximus.

5. His ergo una comparatis, sic ambos interrogemus; utrius vita dulcior: & audies illum quidem gloriantem & exsultantem de victoria quam contra libidinem reportavit; hunc vero, imo non exspectandum est ut ab illo quid ediscamus: videbis enim illum, etiamsi id millies negaverit, miserabilius quam ii qui sunt in vinculis affectum. Nam omnes timet & suspectos habet, & uxorem suam & adulteræ virum, ipsamque adulteram, familiares, amicos, cognatos, parietes, umbras, seipsum; & quod est omnium gravissimum, conscientiam habet reclamantem, & quotidie latrantem. Si vero Dei tribunal in mentem venerit, ne stare quidem poterit. Et voluptas quidem brevis est; dolor autem hinc partus perpetuus.

Voluptas brevis est, dolor hinc partus perpetuus.

Nam & vespere & in nocte, in solitudine, in civitate & ubique accusator sequitur, gladium monstrans acutum, & intolerabilia supplicia, metu consumens illum. Ille vero temperans, his omnibus vacuus, in libertate est, & secure uxorem suam videt, filios, amicos, & liberis oculis aspicit omnia. Si autem is qui amat, & tamen se continet, tanta fruitur voluptate: qui non amat, sed pure temperans est, quo portu, qua tranquillitate, non dulciorem & placidiorem possidebit animam? Ideo certe adulteros videris paucos, temperantes autem plures. Quod si hoc dulcius esset, hoc ipsum multi eligerent. Nec mihi dicas legum timorem, neque enim hic illos continet, sed absurditatis magnitudo, & quod plura ibi sint

A φύσιν οὐδεὶς ἂν αἰσχυνθείη, ἀλλὰ τοῖς παρὰ φύσιν. καὶ χεῖρες μὲν, ὅταν ἁρπάζωσι, κρύπτονται, καὶ ἀπολογίας ἐπιζητοῦσιν· εἰ δὲ ἐλεημοσύνην δοῖεν, καὶ ἐγκαλλωπίζονται. ὥστε ἂν ἐθέλωμεν, πολλὴν ἔχομεν πάντοθεν πρὸς ἀρετὴν τὴν ῥοπήν. Εἰ δὲ τὴν ἡδονήν μοι λέγεις τὴν ἀπὸ τῆς κακίας, ἐννόησον ὅτι καὶ τοῦτο πλέον παρὰ τῆς ἀρετῆς καρπούμεθα. καὶ γὰρ τὸ συνειδὸς ἔχειν ἀγαθὸν, καὶ τὸ παρὰ πάντων θαυμάζεσθαι, καὶ τὸ χρηστὰς ἀναμένειν ἐλπίδας, πάντων ἥδιον τῷ φύσιν ἡδονῆς ἐπεσκεμμένῳ· ὥσπερ οὖν τἀναντία B πάντων ὀδυνηρότερα τῷ λύπης εἰδότι φύσιν, οἷον τὸ παρὰ πάντων ὀνειδίζεσθαι, τὸ κατηγορεῖσθαι οἴκοθεν, τὸ τρέμειν καὶ δεδοικέναι καὶ τὰ μέλλοντα καὶ τὰ παρόντα. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ὑποθώμεθα τῷ λόγῳ ἔχοντά τινα γυναῖκα, τὸν τοῦ πλησίον διορύττειν γάμον, καὶ ἥδεσθαι τῇ πονηρᾷ ταύτῃ κλοπῇ τῆς ἐρωμένης ἀπολαύοντα. εἶτα ἀντιθῶμεν τούτῳ πάλιν ἕτερον τὸν τὴν αὐτοῦ στέργοντα. καὶ ἵνα πλείων καὶ σαφεστέρα ἡ νίκη γένηται, ἔστω ὁ τῆς αὐτοῦ μόνης ἀπολαύων, ἐράτω μὲν καὶ ἐκείνης τῆς μοιχευομένης, κατεχέτω δὲ τοῦ ἔρωτος, καὶ μηδὲν πραττέτω πονηρόν· καίτοιγε οὐδὲ καθαρὰ τοῦτο C σωφροσύνη ἐστί. πλὴν ἀλλ' ἐκ περιουσίας, ἵνα μάθῃς πόση τῆς ἀρετῆς ἡ ἡδονὴ, διὰ τοῦτο οὕτω τὸ δρᾶμα ἐπλασάμεθα.

Συνθέντες τοίνυν αὐτοὺς, οὕτως ἐρώμεθα ἀμφοτέρους, τίνος ἡδίων ὁ βίος· καὶ ἀκούσῃ τοῦ μὲν καὶ ἐγκαλλωπιζομένου, καὶ σκιρτῶντος ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῆς ἐπιθυμίας· [a] τούτου δέ· μᾶλλον δὲ οὐδὲ ἀναμεῖναι δεῖ τὸ παρ' αὐτοῦ τι μαθεῖν. ὄψει γὰρ αὐτὸν, κἂν μυριάκις ἀρνῆται, δεσμωτῶν ἀθλιώτερον διακείμενον. καὶ γὰρ ἅπαντας δέδοικε καὶ ὑποπτεύει, καὶ τὴν αὐτοῦ γυναῖκα, καὶ τὸν τῆς μοιχευομένης ἄνδρα, καὶ τὴν μοιχευομένην αὐ- D τὴν, καὶ οἰκείους, καὶ φίλους, καὶ συγγενεῖς, καὶ τοίχους, καὶ σκιὰς, καὶ ἑαυτὸν, καὶ τὸ πάντων χαλεπώτερον, τὸ συνειδὸς ἔχει καταβοῶν, ὑλακτοῦν καθ' ἑκάστην ἡμέραν. ἂν δὲ καὶ τὸ τοῦ θεοῦ δικαστήριον ἐννοήσῃ, οὐδὲ στῆναι δυνήσεται. καὶ ἡ μὲν ἡδονὴ, βραχεῖα· ἡ δὲ ἀπὸ ταύτης ὀδύνη, διηνεκής. καὶ γὰρ καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν νυκτὶ, καὶ ἐν ἐρημίᾳ, καὶ ἐν πόλει, καὶ πανταχοῦ ἕπεται ὁ κατήγορος, ξίφος δεικνὺς ἠκονημένον, καὶ τὰς ἀφορήτους κολάσεις, καὶ τῷ φόβῳ καταναλίσκων αὐτὸν καὶ δαπανῶν. ὁ δὲ σώφρων ἐκεῖνος πάντων τούτων ἀπήλλακται, καὶ ἔστιν ἐν ἐλευθερίᾳ, καὶ μετὰ ἀδείας ὁρᾷ τὴν E γυναῖκα τὴν ἑαυτοῦ, τὰ παιδία, τοὺς φίλους, καὶ ἐλευθέροις ἅπασιν ὀφθαλμοῖς ἅπαντα. εἰ δὲ ὁ ἐρῶν μὲν, κρατῶν δὲ, τοσαύτης ἀπολαύσεται ἡδονῆς, ὁ μηδὲ ἐρῶν, ἀλλὰ καθαρῶς σωφρονῶν, τίνος λιμένος, ποίας γαλήνης οὐχ ἡδίω καὶ ἡμερωτέραν κτήσεται ψυχήν; διά τοι τοῦτο, τοὺς μοιχεύοντας μὲν ὀλίγους ἂν ἴδοις, σωφρονοῦντας δὲ πλείους. Εἰ δὲ τοῦτο ἥδιον, τοῦτο ἂν εἵλοντο οἱ πολλοί. καὶ μή μοι λέγε τὸν ἀπὸ τῶν νόμων φόβον. οὐδὲ γὰρ οὗτός ἐστιν αὐτοὺς ὁ κατέχων, ἀλλ' ἡ τῆς ἀτοπίας ὑπερβολὴ, καὶ τὸ πλείονα εἶναι τὰ

[a] Reg. τούτου δὲ καὶ αἰσχυνομένου καὶ ὑποπτεύοντος μᾶλλον.

λυπηρὰ τῶν ἡδέων, καὶ ἡ τοῦ συνειδότος ψῆφος. καὶ ὁ μὲν μοιχὸς, τοιοῦτος. εἰ δὲ βούλεσθε, καὶ τὴν πλεονεξίαν εἰς μέσον ἀγάγωμεν, ἕτερον ἔρωτα πάλιν παράνομον ἀπογυμνοῦντες. καὶ γὰρ καὶ τοῦτον ὀψόμεθα τὰ αὐτὰ δεδοικότα, καὶ οὐ δυνάμενον καθαρᾶς ἀπολαύειν ἡδονῆς. καὶ γὰρ καὶ τοὺς ἀδικουμένους ἐννοῶν, καὶ τοὺς συναλγοῦντας αὐτοῖς, καὶ τὴν κοινὴν ἁπάντων περὶ αὐτοῦ ψῆφον, μυρία κύματα ἔχει. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ἀλλ' οὐδὲ τῶν ἐρωμένων ἀπολαῦσαι δύναται. τοιοῦτος γὰρ ὁ τῶν φιλαργύρων τρόπος· οὐχ ἵνα ἀπολαύωσιν ἔχουσιν, ἀλλ' ἵνα μὴ ἀπολαύωσιν. εἰ δὲ αἴνιγμά σοι τοῦτο εἶναι δοκεῖ, καὶ τὸ ἔτι τούτου χεῖρον καὶ ἀπορώτερον ἄκουε· ὅτι οὐ ταύτῃ μόνον στέρηνται τῆς τῶν ὄντων ἡδονῆς, τῷ μὴ τολμᾷν αὐτοῖς χρῆσθαι, ὡς βούλονται, ἀλλὰ καὶ τῷ μηδέποτε αὐτῶν ἐμπίπλασθαι, ἀλλ' ἐν τῷ διψῆν εἶναι διηνεκῶς, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος, ἀλλὰ καὶ τρόμου καὶ μίσους καὶ φόβου καὶ τῆς ἀνιάτου ταύτης δίψης ἀπήλλακται· καὶ ὥσπερ ἐκείνῳ πάντες ἐπαρῶνται, οὕτω τούτῳ πάντες συνεύχονται· καὶ καθάπερ ἐκεῖνος οὐδένα κέκτηται φίλον, οὕτως οὗτος οὐδένα ἐχθρόν. τί τοίνυν, τούτων οὕτως ὡμολογημένων, ἢ κακίας ἀηδέστερον, ἢ ἀρετῆς ἥδιον γένοιτ' ἄν; μᾶλλον δὲ, κἂν μυρία εἴπωμεν, οὐδεὶς οὔτε ἐκείνης τὴν λύπην, οὔτε ταύτης τὴν ἡδονὴν παραστῆσαι δυνήσεται λόγῳ, ἕως ἂν αὐτῆς ἀπολαύσωμεν. τότε γὰρ καὶ πικρότερον χολῆς εὑρήσομεν τὴν κακίαν, ὅταν τοῦ τῆς ἀρετῆς ἀπογευσώμεθα μέλιτος. ἔστι μὲν γὰρ καὶ νῦν ἀηδὴς καὶ φορτικὴ καὶ ἐπαχθὴς, καὶ περὶ τούτου οὐδὲ αὐτοὶ οἱ θεραπεύοντες αὐτὴν ἀντεροῦσιν· ὅταν δὲ αὐτῆς ἀποστῶμεν, τότε αὐτῆς ἀκριβέστερον αἰσθανόμεθα τῶν πικρῶν ἐπιταγμάτων. εἰ δὲ οἱ πολλοὶ πρὸς αὐτὴν τρέχουσι, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ παῖδες πολλάκις τὰ ἧττον ἡδέα ἑλόμενοι, τῶν μειζόνως εὐφραινόντων καταφρονοῦσι· καὶ οἱ νοσοῦντες ὑπὲρ προσκαίρου χάριτος τὴν διηνεκῆ καὶ ἀσφαλεστέραν εὐφροσύνην ἀπώλεσαν. τοῦτο δὲ τῆς τῶν ἐρώντων ἀσθενείας τε καὶ ἀνοίας ἐστὶν, οὐ τῆς τῶν πραγμάτων φύσεως. ὁ γὰρ μεθ' ἡδονῆς ζῶν, ὁ ἐνάρετός ἐστιν, ὁ πλουτῶν ὄντως, καὶ ὄντως ἐλεύθερος ὤν. εἰ δέ τις τὰ μὲν ἄλλα συγχωροίη τῇ ἀρετῇ, ἐλευθερίαν, ἄδειαν, τὸ φροντίδων ἀπηλλάχθαι, τὸ μηδένα δεδοικέναι, τὸ μηδένα ὑποπτεύειν, τὴν δὲ ἡδονὴν μὴ συγχωροίη, καὶ γελάσαι μοι λοιπὸν δαψιλὲς ἐντεῦθεν ἐπέρχεται. τί γὰρ ἕτερόν ἐστιν ἡδονὴ, ἢ τὸ φροντίδος ἀπηλλάχθαι καὶ φόβου καὶ ἀθυμίας, καὶ πᾶσιν ἀχείρωτον εἶναι; τίς γὰρ ἐν ἡδονῇ, εἰπέ μοι, ὁ μαινόμενος καὶ σφαδάζων καὶ κεντούμενος ὑπὸ ἐπιθυμιῶν πολλῶν, καὶ οὐδὲ ἐν ἑαυτῷ ὤν, ἢ ὁ τούτων πάντων ἀπηλλαγμένος τῶν κυμάτων, καὶ ὥσπερ ἐν λιμένι τῇ φιλοσοφίᾳ καθήμενος; οὐκ εὔδηλον ὅτι οὗτος; ἀλλὰ τῆς ἀρετῆς ἴδιον τοῦτο ἂν φαίην. ὥστε ἡ κακία ὄνομα μόνον ἡδονῆς ἔχει, τῶν δὲ πραγμάτων ἐστὶν ἔρημος. καὶ πρὸ μὲν τῆς ἀπολαύσεως, μανία ἐστὶν, οὐχ ἡδονή· μετὰ δὲ τὴν ἀπόλαυσιν,

A tristia quam suavia, & conscientiæ quoque calculus. Et adulter quidem talis est. Si placet autem, avarum quoque adducamus in medium, alium rursus iniquum amorem detegentes. Etenim ipsum etiam videbimus eadem formidantem, nec valentem pura frui voluptate. Mente namque versans eos qui injuria afficiuntur, & eos qui commiseratione ducuntur, & communem omnium de illo calculum, mille agitatur ipse fluctibus. Neque hoc solum molestum ipsi est; sed neque dilecta sua frui potest. Talis enim B est avarorum mos. Habent, non ut fruantur, sed ut non fruantur. Quod si hoc tibi ænigma esse videtur, quod adhuc pejus & magis perplexum est audi; ipsos nempe non ideo solum voluptate privari quod non audeant bonis frui ut velint, sed etiam quod nunquam impleantur, ac semper in siti versentur, quo quid molestius & gravius fuerit? At justus non est talis, sed tremore, odio, metu & hac incurabili siti liber est. Ac quemadmodum illum omnes exsecrantur; ita huic omnes bene precantur; ac sicut ille nullum C habet amicum, sic iste nullum inimicum. Quid igitur, hæc in confesso cum sint, aut nequitia injucundius, aut virtute suavius fuerit? Imo vero etiamsi innumera dixerimus, nemo vel vitii mœrorem, vel virtutis voluptatem verbis exprimere possit, donec illa fruamur. Tunc enim & felle amarius inveniemus vitium, cum mel virtutis degustabimus. Est enim etiam nunc vitium, injucundum, onerosum & molestum; quod neque illi negant, qui ipsi famulantur. Cum autem ab illo abscesserimus, tum illius acerba jussa accuratius sentiemus. Quod si multi D ad illud accurrant, nihil mirum; quandoquidem & pueri sæpe, minus dulcia eligentes, ea quæ magis delectant despiciunt, & ægroti pro fluxa brevique gratia, perpetuam tutioremque lætitiam amiserunt. Hoc autem ex amantium imbecillitate & stultitia provenit, non ex ipsa rerum natura. Qui enim cum voluptate vivit, is est qui virtutem sectatur, hic vere dives & vere liber est. Quod si quis alia quidem virtuti concesserit, libertatem, securitatem, a curis vacuum esse, neminem timere, neminem suspectum habere; voluptatem vero ipsi non concesserit, hic mihi in mentem veniet pro- E fuse ridere. Quid enim aliud est voluptas, quam a curis liberari, a timore, a mœrore, & a nulla re posse vinciri? Uter enim, quæso, in voluptate est, is-ne qui furit, agitatur, & a multis cupiditatibus confoditur, neque apud se consistit; an qui ab omnibus hisce fluctibus liber, in philosophia ceu in portu sedet? Annon palam est hunc esse? Sed hoc cernitur virtuti proprium. Itaque vitium, solum nomen habet voluptatis, re autem ipsa vacuum est. Et antequam illa fruaris, insania est, non voluptas; postquam illa frui

contigerit, ipsa statim exstinguitur. Si ergo neque initio, neque postea licet ejus videre voluptatem, ubi cernetur & quando? Ut autem id quod dico clarius edíscas, exemplo rem tractemus. Attende autem. Captus est quispiam amore mulieris pulcræ & formosæ. Hic donec assequatur optatum, furentibus & insanis similis est; postquam autem assequutus est, concupiscentiam exstinxit. Si ergo neque initio voluptatem habet; furor enim tunc est; neque in fine; nam concubitu œstrum exstinxit: ubinam illam inveniemus? Sed res nostræ non ita se habent, sed initio perturbatione vacuæ sunt, & usque in finem voluptas vigens perseverat; imo potius non finis est voluptatis in nobis, neque bona nostra terminum habent, neque hæc voluptas unquam dissolvitur. Hæc itaque omnia cogitantes, si voluptatem amamus, virtutem suscipiamus ut & præsentia & futura bona assequamur, quæ utinam nos omnes adipisci contingat, gratia & benignitate, &c.

A εὐθέως καὶ αὐτὴ σβέννυται. Εἰ τοίνυν οὔτε ἐν ἀρχῇ οὔτε μετὰ ταῦτά ἐστιν ἰδεῖν αὐτῆς τὴν ἡδονὴν, ποῦ φανεῖται, καὶ πότε; ἵνα δὲ σαφέστερον, ὃ λέγω, μάθῃς, ἐπὶ ὑποδείγματος τὸν λόγον γυμνάσωμεν· σκόπει δέ· ἠράσθη τις γυναικὸς ὡραίας καὶ εὐμόρφου. οὗτος ἕως μὲν ἂν μὴ ἐπιτύχῃ τοῦ ἔρωτος, τοῖς ἐξεστηκόσιν ἔοικε καὶ παραπαίουσιν· ἐπειδὰν δὲ ἐπιτύχῃ, ἔσβεσε τὴν ἐπιθυμίαν. Εἰ τοίνυν μήτε ἐν ἀρχῇ ἥδεται· μανία γὰρ τὸ πρᾶγμά ἐστι· μήτε ἐν τῷ τέλει· καταλύει γὰρ τῇ μίξει τὸν οἶστρον· ποῦ λοιπὸν αὐτὴν εὑρήσομεν; ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ καὶ ἐν ἀρχῇ ταραχῆς ἀπήλλακται B πάσης, καὶ μέχρι τέλους ἀκμάζουσα μένει ἡ ἡδονή· μᾶλλον δὲ οὐδέ ἐστι τέλος τῆς ἡμῖν ἡδονῆς, οὐδὲ ἔχει πέρας ἡμῶν τὰ ἀγαθὰ, οὐδὲ καταλύεταί ποτε αὕτη ἡ ἡδονή. Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, εἴγε ἡδονῆς ἐρῶμεν, ἐπιλαβώμεθα ἀρετῆς, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XXIII.

C

## ΟΜΙΛΙΑ κγ'.

24. *Nescitis quod ii qui in stadio currunt, omnes quidem currunt, sed unus accipit bravium?*

1. CUM ostendisset rem esse admodum utilem sese attemperare, & hanc esse summam perfectionem: & quod ipse (Paulus) cum plus quam omnes ad perfectionem ascendisset, imo transcendisset, eo quod (ad victum necessaria) non acceperit, plus quam omnes postea descenderit, & utriusque rei tempora nota fecisset nobis, perfectionis nempe & attemperationis, jam illos acrius perstringit, subindicans hoc ab ipsis factum, quod perfectionis esse videtur, vanum & superfluum esse laborem. Neque rem ita clare dicit, ne impudentius agerent: per illa autem quæ probat, hoc ostendit. Et cum dixisset illos in Christum peccare, & fratres perdere, nihilque illos utilitatis accipere a perfecta scientia, nisi adsit caritas, rursus ad commune exemplum venit & ait: *Nescitis quod ii qui in stadio currunt, omnes quidem currunt, sed unus accipit bravium?* Hoc autem dicit, non quasi hic unus ex multis salutem sit consequuturus, absit; sed quod nos debeamus studium adhibere multum. Sicut enim ibi multis in stadium descendentibus, non coronantur multi; sed unus id assequitur; nec sufficit in certamen descendere, neque inungi & concertare; ita & hic quoque non satis est credidisse, & utcumque decertasse; sed nisi ita curramus ut usque in finem inculpatos nos præbeamus, & bravio propinqui simus, nihil assequemur. Si enim te perfectum existimas secundum scientiam, nondum

Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον;

ΔΕΙΞΑΣ ὅτι πολὺ χρήσιμον τὸ συγκαταβαίνειν, καὶ τοῦτο ἡ ἄκρα τελειότης, καὶ ὅτι αὐτὸς πάντων πλέον πρὸς τὸ τέλειον ἀναβὰς, μᾶλλον δὲ καὶ ὑπερβὰς αὐτὸ τῷ μὴ λαμβάνειν, πάντων πλέον κατέβη πάλιν, καὶ ἑκατέρων τούτων τοὺς καιροὺς γνωρίμους ποιήσας ἡμῖν καὶ τῆς τελειότητος καὶ τῆς συγκαταβάσεως, D πληκτικώτερον αὐτῶν καθικνεῖται λοιπὸν, αἰνιττόμενος ὅτι τοῦτο τὸ παρ' αὐτῶν γινόμενον, καὶ δοκοῦν εἶναι τελειότητος, ματαιοπονία τίς ἐστι περιττή. καὶ οὐ λέγει μὲν αὐτὸ οὕτω σαφῶς, ἵνα μὴ ἀπαναισχυντήσωσι· δι' ὧν δὲ κατασκευάζει, τοῦτο δηλοῖ· καὶ εἰπὼν ὅτι εἰς τὸν Χριστὸν ἁμαρτάνουσι, καὶ τοὺς ἀδελφοὺς ἀπολλύουσι, καὶ οὐδὲν αὐτοῖς ὄφελος γίνεται ἀπὸ τῆς γνώσεως τῆς τελείας, ἐὰν μὴ ἀγάπη προσῇ, πάλιν ἐπὶ κοινὸν ἔρχεται παράδειγμα, καὶ φησίν· οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; τοῦτο δὲ λέγει, οὐχ ὡς καὶ ἐνταῦθα ἑνὸς ἐκ πάντων μέλ- E λοντος σώζεσθαι, ἄπαγε, ἀλλ' ὡς πολλὴν ὀφειλόντων ἡμῶν εἰσενεγκεῖν τὴν σπουδήν. ὥσπερ γὰρ ἐκεῖ κατιόντων πολλῶν εἰς τὸ στάδιον, οὐ στεφανοῦνται πολλοὶ, ἀλλ' εἷς ἕνα τοῦτο περιΐσταται, καὶ οὐκ ἀρκεῖ τὸ καθεῖναι εἰς τὸν ἀγῶνα, οὔτε τὸ ἀλείψασθαι καὶ παλαῖσαι· οὕτω καὶ ἐνταῦθα, οὐκ ἀρκεῖ τὸ πιστεῦσαι, καὶ ὡς ἔτυχεν ἀγωνίσασθαι· ἀλλὰ ἂν μὴ οὕτω δράμωμεν, ὡς μέχρι τέλους ἀληπτους ἑαυτοὺς παρασχεῖν, καὶ ἐγγὺς γενέσθαι τοῦ βραβείου, οὐδὲν ἡμῖν ἔσται πλέον. Εἰ γὰρ καὶ τέλειον νομίζεις εἶναι σαυτὸν κατὰ τὴν γνῶσιν, ἀλλ' οὐδέπω

τοῦ

τοῦ παντὸς ἐπιλήψῃ, ὅπερ αἰνιττόμενος ἔλεγεν· οὕτω τρέχετε, ἵνα καταλάβητε. οὐκ ἄρα που κατειληφότες ἦσαν. καὶ εἰπὼν οὕτω, καὶ τὸν τρόπον διδάσκει. πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. τί ἐστι, πάντα; οὐχὶ τοῦδε μὲν ἀπέχεται, ἐν ἑτέρῳ δὲ [a] διαμαρτάνει, ἀλλὰ καὶ γαστριμαργίας, καὶ λαγνείας, καὶ μέθης, καὶ πάντων ἁπλῶς κρατεῖ τῶν παθῶν. τοῦτο γάρ, φησι, καὶ ἐπὶ τῶν ἔξωθεν ἀγώνων γίνεται. οὐδὲ γὰρ μεθύειν ἔξεστι τοῖς ἀγωνιζομένοις κατὰ τὸν καιρὸν τῆς ἀγωνίας, οὐδὲ πορνεύειν, ἵνα μὴ τὴν δύναμιν ἐκλύσωσιν, ἀλλ' οὐδὲ περὶ ἄλλο τι οὐδὲν ἠσχολῆσθαι, ἀλλὰ πάντων ἑαυτοὺς ἅπαξ ἀποστήσαντες, τοῖς γυμνασίοις μόνον προσέχουσιν. εἰ δὲ ἐκεῖ ταῦτα, ὅπου καὶ εἰς ἕνα ὁ στέφανος, πολλῷ μᾶλλον ἐνταῦθα, ὅπου καὶ πλείων ἡ φιλοτιμία. οὐδὲ γὰρ εἷς ὁ στεφανούμενος μόνος, καὶ τὰ ἔπαθλα δὲ πολὺ τοὺς πόνους νικᾷ. διὸ καὶ ἐντρεπτικῶς αὐτὸ τίθησι λέγων· ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ ἄφθαρτον. ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. ἐντρέψας γὰρ αὐτοὺς ἀπὸ τῶν ἔξωθεν, καὶ ἑαυτὸν εἰς μέσον ἄγει λοιπόν, ὅπερ ἄριστος τρόπος διδασκαλίας ἐστί. διὸ καὶ πανταχοῦ φαίνεται τοῦτο ποιῶν. τί δέ ἐστιν, οὐκ ἀδήλως; πρὸς σκοπόν τινα βλέπων, φησίν, οὐκ εἰκῇ καὶ μάτην, καθάπερ ὑμεῖς. τί γὰρ ὑμῖν γίνεται πλέον ἀπὸ τοῦ εἰς εἰδωλεῖα εἰσιέναι, καὶ τὴν τελειότητα δῆθεν ἐκείνην ἐπιδείκνυσθαι; οὐδέν. ἀλλ' οὐκ ἐγὼ τοιοῦτος, ἀλλὰ πάντα, ἅπερ ποιῶ, ὑπὲρ τῆς τοῦ πλησίον σωτηρίας ποιῶ. κἂν τελειότητα ἐπιδείξωμαι, δι' αὐτούς· κἂν συγκατάβασιν, δι' αὐτούς· κἂν ὑπερβῶ Πέτρον ἐν τῷ μὴ λαμβάνειν, ἵνα μὴ σκανδαλισθῶσι· κἂν καταβῶ πλέον πάντων, περιτεμνόμενος καὶ ξυρώμενος, ἵνα μὴ ὑποσκελισθῶσι. τοῦτό ἐστιν, οὐκ ἀδήλως. σὺ δὲ διὰ τί ἐσθίεις ἐν εἰδωλείοις, εἰπέ μοι; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν αἰτίαν εὔλογον οὐδεμίαν. βρῶμα γάρ σε οὐ παρίστησι τῷ θεῷ. καὶ οὔτε ἐὰν φάγῃς, περισσεύεις, οὔτε ἐὰν μὴ φάγῃς, ὑστερῇ. οὐκοῦν ἁπλῶς καὶ ὡς ἔτυχε τρέχεις. τοῦτο γάρ ἐστιν, ἀδήλως. οὕτω πυκτεύω, οὐκ ὡς ἀέρα δέρων. πάλιν τὸ οὐκ εἰκῇ καὶ μάτην αἰνιττόμενος, τοῦτό φησιν. ἔχω γὰρ ὃν πλήξω, τουτέστι, τὸν διάβολον· σὺ δὲ αὐτὸν οὐ πλήττεις, ἀλλ' ἁπλῶς ἐκχέεις σαυτοῦ τὴν ἰσχύν. τέως μὲν οὖν αὐτοὺς διαβαστάζων, οὕτω φησίν. ἐπειδὴ γὰρ σφοδροτέρως αὐτοῖς ἐχρήσατο ἐν τοῖς ἔμπροσθεν, πάλιν κατέχει τὴν ἐπιτίμησιν, τῷ τέλει τοῦ λόγου τηρῶν τὴν βαθεῖαν τομήν. ἐνταῦθα μὲν γάρ φησιν, ὅτι εἰκῇ καὶ μάτην ποιοῦσιν· ὕστερον δὲ δείκνυσιν, ὅτι καὶ ἐπ' ὀλέθρῳ πολλῷ τῆς ἑαυτῶν κεφαλῆς, καὶ ὅτι καὶ χωρὶς τῆς βλάβης τῶν ἀδελφῶν, οὐδὲ αὐτοὶ ἀνεύθυνοι ταῦτα τολμῶντες. ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

A tamen totum accipies, id quod subindicans dicebat: *Sic currite ut comprehendatis.* Nondum ergo comprehenderant. Et cum ita dixisset, modum etiam docet. 25. *Omnis autem qui in agone contendit, ab omnibus abstinet.* Quid est, ab omnibus abstinet? Non ab hoc quidem abstinet, in alio autem peccat; sed & a gula, a lascivia, ab ebrietate, & ab omnibus vitiis abstinet. Nam hoc, inquit, in externis quoque certaminibus observatur. Neque enim certantibus certaminis tempore inebriari licet, neque scortari, ne vires solvant; neque alii rei cuipiam operam dare; B sed ab omnibus prorsus abscedentes, solis gymnasiis dant operam. Si autem illic hæc fiunt, ubi corona uni datur; multo magis hic, ubi major est largitas. Neque enim unus tantum est qui coronatur, & præmia labores longe superant. Ideoque pudorem incutiens ita loquitur: *Et illi quidem ut corruptibilem coronam accipiant, nos autem incorruptam.* 26. *Ego igitur sic curro, non quasi in incertum.* Cum illos ab externis pudore affecisset, se quoque demum in medium adducit, quod est optimus doctrinæ modus. Idcirco ubique ita facere deprehenditur. C Quid sibi vult autem, Non in incertum? Ad scopum quemdam aspicio, inquit, non frustra & in cassum, sicut vos. Quid enim vobis amplius accedit, cum in idolorum templa intratis, si illam ostentetis perfectionem? Nihil. At non talis sum ego; sed quæcumque facio, ad salutem proximi facio; sive perfectionem ostendam, propter ipsum, sive me attemperem, propter ipsum; sive Petrum superem in eo quod nihil accipiam, ne ipsis offendiculo sim; sive plus quam omnes D me demisero, ut qui circumcidar & tondear, ne ipsi supplantentur: Hoc est illud, Non in incertum. Tu vero cur, quæso te, comedis in templo idolorum? sed rationabilem causam proferre non possis. Cibus enim te non commendat Deo; & neque si comedas, plus habes; neque si non comedas, minus. Frustra ergo & inconsiderate curris; hoc enim sibi vult illud, in incertum. *Sic pugno, non quasi aërem verberans.* Rursus illud, non temere & inconsiderate subindicans hoc ait. Habeo enim quem feriam, nempe diabolum. Tu vero ipsum non feris, E sed vires tuas temere effundis. Interim illos quasi sustinens, ita loquitur. Quia enim vehementius illos insectatus fuerat in præcedentibus, rursus reprimit increpationem, ad finem orationis profundam plagam reservans. Hic enim ait illos temere & inconsiderate agere; postea ostendit, quod etiam in magnam sui capitis perniciem, & quod, præter damnum fratrum, neque ipsi culpa vacent hæc audentes. 27. *Sed castigo corpus meum, & in servitutem redigo, ne forte cum aliis prædicavero, ipse reprobus efficiar.* Hic

[a] Reg. ἀδιαφορεῖ. Editi, διαμαρτάνει.

ostendit eos & ventris implendi desiderio teneri, & ipsi laxare habenas, & perfectionis obtentu ingluviem implere suam; quod superius dicere parturiebat, cum ita loqueretur: Escæ ventri, & venter escis. Quia enim fornicationem deliciæ pariunt, & hoc peperit idololatriam; jure sæpe hunc insectatur morbum. Et cum ostendisset quanta passus esset propter evangelium: hoc quoque ponit cum illis. Sicut enim, inquit, mandata supergressus sum; idque cum non leve illud negotium esset. Omnia enim, inquit, sustinemus; ita & nunc multum sustineo laborem, ut temperanter vivam. Nam etsi facile litigari potest cum cupiditate & ventris tyrannide; attamen ipsam refreno, nec me ei dedo ægritudini, sed omnem subeo laborem ut ne ab illa abstrahar.

2. Ne enim putetis me absque negotio hoc præstare. Nam cursus est, & omnis pugnæ genus, & naturæ tyrannis frequenter insurgens, ut libertatem assequatur. At illam non fero, sed coërceo, & cum multis sudoribus subigo. Hæc porro dicit, ut nemo desperet in suscipiendis pro virtute certaminibus, quia laboriosa res est. Ideo ait, Castigo & in servitutem redigo. Non dixit, occido; non enim inimica est caro; sed, castigo & in servitutem redigo, quod domini est, non inimici; doctoris, non hostis; pædotribæ, non adversarii. Ne forte cum aliis prædicavero, ipse reprobus efficiar. Si vero Paulus hoc timuit qui tot homines docuit; & timuit postquam prædicavit & factus est angelus, totiusque orbis patrocinium suscepit, quid nos dixerimus? Ne putetis enim, inquit, quia credidistis, hoc vobis sufficere ad salutem. Si enim mihi prædicasse, docuisse, innumeros adduxisse non satis est ad salutem, nisi ea quæ me spectant inculpata proferam; multo magis vobis. Deinde ad alia exempla progreditur; & ut antea exempla posuit apostolorum, communis consuetudinis, sacerdotum, & sua quoque; sic & nunc Olympicorum certaminum. Et postquam sua posuit, rursus ad antiquas pergit historias. Et quia asperius loquuturus est, communem facit admonitionem, neque de propositis tantum, sed etiam de omnibus Corinthiorum ægritudinibus verba facit. Et de externis certaminibus, Nescitis, inquit; hic autem,

CAP. X. 1. *Nolo autem vos ignorare, fratres.* Hoc autem dicebat, ostendens ipsos hac de re non esse admodum eruditos. Et quid est illud, quod non vis nos ignorare? *Quod patres nostri omnes*, inquit, *sub nube fuerunt, & per mare transierunt. 2. Et in Moyse baptizati sunt in nube & in mari: 3. Et omnes eamdem escam spiritualem manducaverunt, 4. Et eumdem potum spiritualem biberunt. Bibebant enim de spirituali consequente eos petra. Petra autem erat Christus. 5. Sed non in pluribus eorum beneplacitum est Deo.* Et qua de causa hæc dicit? Ut ostendat, quod sicut illis non profuit, quod tantum acceperint donum,

A ἐνταῦθα δείκνυσι καὶ ὑπὸ ἐπιθυμίας γαστρὸς κατεχομένους, καὶ ἀνιέντας αὐτῇ τὰς ἡνίας, καὶ προσχήματι τελειότητος τὴν γαστριμαργίαν τὴν ἑαυτῶν πληροῦντας· ὃ καὶ ἄνωθεν ὤδινεν εἰπεῖν, ὅτε ἔλεγε, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. ἐπειδὴ γὰρ καὶ πορνείαν τρυφὴ ποιεῖ, καὶ εἰδωλολατρείαν τοῦτο ἔτεκε, εἰκότως πολλαχοῦ καθικνεῖται τοῦ νοσήματος· καὶ δεικνὺς ὅσα ἔπαθε διὰ τὸ εὐαγγέλιον, καὶ τοῦτο μετ' ἐκείνων τίθησιν. ὥσπερ γάρ, φησιν, ὑπερέβην τὰ προστάγματα, καὶ ταῦτα οὐ κούφου μοι τοῦ πράγματος
B ὄντος· καὶ γὰρ πάντα στέγομεν, φησιν· οὕτω καὶ ἐνταῦθα πολὺν ὑπομένω πόνον, ὥστε σωφρόνως ζῆν. εἰ γὰρ καὶ δυσένδοτος ἡ ἐπιθυμία καὶ ἡ τῆς γαστρὸς τυραννίς, ἀλλ' ὅμως αὐτὴν χαλινῶ, καὶ οὐκ ἐκδίδωμι ἐμαυτὸν τῷ πάθει, ἀλλὰ πάντα ὑπομένω πόνον, ὥστε μὴ παρασυρῆναι.

Μὴ γὰρ δὴ νομίσητε ἀπραγμόνως με ταῦτα κατορθοῦν. καὶ γὰρ δρόμος ἐστί, καὶ παγκράτιον, καὶ φύσεως τυραννὶς κατεξανισταμένη συνεχῶς, καὶ ἐλευθεριάζειν βουλομένη. ἀλλ' οὐκ ἀνέχομαι, ἀλλὰ καταστέλλω, καὶ ὑποτάττω μετὰ πολλῶν τῶν ἱδρώτων αὐτήν. ταῦτα δὲ λέγει ἵνα μηδεὶς ἀπογινώσκῃ τῶν ὑπὲρ ἀρετῆς ἀγώνων, ἐπειδὴ
C τὸ πρᾶγμα ἐπίπονον. διό φησιν, ὑπωπιάζω καὶ δουλαγωγῶ. οὐκ εἶπεν, ἀναιρῶ· οὐδὲ γὰρ ἐχθρὰ ἡ σάρξ· ἀλλ' ὑπωπιάζω καὶ δουλαγωγῶ, ὃ δεσπότου ἐστίν, οὐ πολεμίου· διδασκάλου, οὐκ ἐχθροῦ· παιδοτρίβου, οὐκ ἐναντίου. μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Εἰ δὲ Παῦλος τοῦτο δέδοικεν ὁ τοσούτους διδάξας, καὶ δέδοικε μετὰ τὸ κηρῦξαι καὶ γενέσθαι ἄγγελος, καὶ τῆς οἰκουμένης τὴν προστασίαν ἐπιδείξασθαι, τί ἂν εἴποιμεν ἡμεῖς; μὴ γὰρ νομίσητε, φησιν, ἐπειδὴ ἐπιστεύσατε, ὅτι ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ὑμῖν. εἰ γὰρ ἐμοὶ τὸ κηρῦξαι, τὸ διδάξαι, τὸ μυρίους προσαγαγεῖν οὐκ ἀρκεῖ εἰς σω-
D τηρίαν, εἰ μὴ καὶ τὰ κατ' ἐμαυτὸν παράσχοιμι ἄληπτα, πολλῷ μᾶλλον ὑμῖν. εἶτα ἐφ' ἕτερα ὑποδείγματα ἔρχεται πάλιν· καὶ ὥσπερ ἀνωτέρω τὰ τῶν ἀποστόλων, καὶ τὰ τῆς κοινῆς συνηθείας, καὶ τὰ τῶν ἱερέων καὶ τὰ ἑαυτοῦ τέθεικεν, οὕτω καὶ ἐνταῦθα τὰ τῶν Ὀλυμπιακῶν ἀγώνων. καὶ τὰ περὶ ἑαυτοῦ θείς, πάλιν ἐπὶ τὰς τῆς παλαιᾶς πρόεισιν ἱστορίας. καὶ ἐπειδὴ μέλλει φορτικώτερον ποιεῖν τὸν λόγον, κοινὴν ποιεῖται τὴν παραίνεσιν, καὶ οὐ περὶ τῶν προκειμένων μόνον, ἀλλὰ καὶ περὶ πάντων ἁπλῶς τῶν παρὰ Κορινθίοις νοσημάτων διαλέγεται. καὶ ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων, οὐκ οἴδατε, φησιν; ἐνταῦθα
E δέ· οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. τοῦτο δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ σφόδρα ἦσαν ταῦτα πεπαιδευμένοι. καὶ τί τοῦτό ἐστιν, ὅπερ οὐ θέλεις ἡμᾶς ἀγνοεῖν; ὅτι οἱ πατέρες ἡμῶν πάντες, φησίν, ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον. καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ θεός. καὶ τίνος ἕνεκεν ταῦτα λέγει; ἵνα δείξῃ, ὅτι ὥσπερ ἐκείνους οὐκ ὤνησε τὸ τοσαύτης ἀπολαῦσαι δωρεᾶς,

οὕτως οὐδὲ τούτους τὸ βαπτίσματος τυχεῖν καὶ μυστηρίων πνευματικῶν ἀπολαῦσαι, εἰ μὴ μέλλοιεν ἄξιον τῆς χάριτος ἐπιδείκνυσθαι βίον. διὸ καὶ τοὺς τοῦ βαπτίσματος, καὶ τοὺς τῶν μυστηρίων παράγει τύπους. τί δέ ἐστιν, Εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο; καθάπερ ἡμεῖς τῷ Χριστῷ πιστεύσαντες καὶ τῇ ἀναστάσει αὐτοῦ, βαπτιζόμεθα, ὡς καὶ αὐτοὶ τῶν αὐτῶν μυστηρίων κοινωνήσοντες· βαπτιζόμεθα γάρ, φησιν, ὑπὲρ τῶν νεκρῶν, τουτέστι, τῶν σωμάτων τῶν ἡμετέρων· οὕτω κἀκεῖνοι θαῤῥήσαντες τῷ Μωϋσεῖ, τουτέστιν, ἰδόντες αὐτὸν διαβάντα πρῶτον, κατετόλμησαν καὶ αὐτοὶ τῶν ὑδάτων. ἀλλ' ἐπειδὴ βούλεται τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἀγαγεῖν, οὐ λέγει οὕτως, ἀλλὰ τοῖς τῆς ἀληθείας ὀνόμασι κέχρηται καὶ ἐπὶ τοῦ τύπου. καὶ τοῦτο μὲν τοῦ λουτροῦ σύμβολον· τὰ δὲ μετὰ ταῦτα, τῆς ἱερᾶς τραπέζης. καθάπερ γὰρ σὺ τὸ σῶμα ἐσθίεις τὸ δεσποτικὸν, οὕτως ἐκεῖνοι τὸ μάννα· καὶ ὥσπερ σὺ τὸ αἷμα πίνεις, οὕτως ἐκεῖνοι ὕδωρ ἐκ πέτρας. εἰ γὰρ καὶ αἰσθητὰ ἦν τὰ γινόμενα, ἀλλὰ πνευματικῶς παρείχετο, οὐ κατὰ φύσεως ἀκολουθίαν, ἀλλὰ κατὰ δωρεᾶς χάριν, καὶ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἔτρεφεν εἰς πίστιν ἐνάγοντα. διά τοι τοῦτο, περὶ μὲν τῆς τροφῆς οὐδὲν εἶπεν, ἐξηλλαγμένη γὰρ ἦν, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῇ φύσει· μάννα γὰρ ἦν· ἐπὶ δὲ τοῦ ποτοῦ, ἐπειδὴ ὁ τρόπος τῆς χορηγίας μόνος ἦν ὁ παράδοξος καὶ κατασκευῆς ἐδεῖτο, διόπερ εἰπὼν, ὅτι τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἐπήγαγεν· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, καὶ προσέθηκεν, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. οὐ γὰρ ἡ τῆς πέτρας φύσις τὸ ὕδωρ ἠφίει, φησίν· [a] ἢ γὰρ ἂν καὶ πρὸ τούτου ἀνέβλυζεν· ἀλλ' ἑτέρα τις πέτρα πνευματικὴ τὸ πᾶν εἰργάζετο, τουτέστιν, ὁ Χριστὸς ὁ παρὼν αὐτοῖς πανταχοῦ, καὶ πάντα θαυματουργῶν. διὰ γὰρ τοῦτο εἶπεν, ἀκολουθούσης. εἶδες Παύλου σοφίαν, πῶς ἑκατέρων αὐτὸν ὄντα χορηγὸν δείκνυσι, καὶ ταύτῃ τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἄγων; ὁ γὰρ ἐκεῖνα παρασχὼν ἐκείνοις, φησὶν, οὗτος καὶ ταύτην κατεσκεύασε τὴν τράπεζαν· καὶ ὁ αὐτὸς κἀκείνους διὰ τῆς θαλάττης, καὶ σὲ διὰ τοῦ βαπτίσματος ἤγαγε· κἀκείνοις μάννα καὶ ὕδωρ, καὶ σοὶ σῶμα καὶ αἷμα παρέσχε. καὶ τὰ μὲν τῆς δωρεᾶς αὐτοῦ, τοιαῦτα· ἴδωμεν δὲ καὶ τὰ ἑξῆς, καὶ σκοπήσωμεν, εἰ τῆς δωρεᾶς ἀναξίων φανέντων τούτων, ἐφείσατο. ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο εἰπεῖν. διὸ καὶ ἐπήγαγεν, ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ θεὸς, καίτοιγε τιμήσας αὐτοὺς τοσαύτῃ τιμῇ. ἀλλ' οὐδὲν αὐτοὺς τοῦτο ὤνησεν, ἀλλ' οἱ πλείους ἀπώλοντο. καὶ μὴν πάντες ἀπώλοντο· ἀλλ' ἵνα μὴ δόξῃ καὶ τούτοις πανωλεθρίαν προφητεύειν, διὰ τοῦτο εἶπεν, οἱ πλείους. καίτοιγε ἄπειροι ἦσαν, ἀλλ' οὐδὲν τὸ πλῆθος ὠφέλησε· καὶ πάντα ἐκεῖνα ἀγάπης τεκμήρια ἦν, ἀλλ' οὐδὲ τοῦτο αὐτοὺς ὤνησεν, ἐπεὶ μηδὲ αὐτοὶ τὰ τῆς ἀγάπης ἐπεδείκνυντο. ἐπειδὴ γὰρ τοῖς περὶ γεέννης λόγοις οἱ πολλοὶ διαπιστοῦσιν, ἅτε μὴ παροῦσι μηδὲ φαινομένοις,

[a] Sic Reg. & Savil. At Morel. οὐ γὰρ ἄν.

A ita neque iis proderit, quod baptisma acceperint, & spiritualium mysteriorum consortes fuerint, nisi vitam tanta gratia dignam exhibeant; ideoque adducit baptismatis & mysteriorum typos. Quid sibi vult illud, In Moyse baptizati sunt? Quemadmodum nos Christo credentes & ejus resurrectioni, baptizamur, ut qui & ipsi mysteriorum participes futuri simus; *baptizamur enim*, inquit, *pro mortuis*, id est, corporibus nostris; ita & illi, Moysi fidentes, id est, videntes illum primum trajicientem, ausi sunt & B ipsi quoque in aquas ingredi. Sed quia vult figuram prope veritatem adducere, non ita dicit, sed veritatis nominibus etiam in typo usus est. Et hoc quidem est symbolum lavacri; quæ sequuntur autem, sacræ mensæ. Ut enim tu corpus Dominicum comedis; sic & illi manna; & ut tu sanguinem bibis, ita & illi aquam de petra. Etiamsi enim sensilia essent illa quæ fiebant, at spiritualiter præbebantur, non secundum naturæ consequentiam; sed ex doni gratia, & cum corpore animam quoque nutriebant, ad fidem inducentia. Ideo de cibo quidem C nihil dixit; erat enim mutatus, non tantum modo, sed etiam natura; manna quippe erat; de potu vero, quia dandi modus solus præter opinionem erat, ac probatione opus habebat; ideo cum dixisset, eumdem potum spiritualem bibebant, subjunxit: *Bibebant enim ex spirituali consequente petra;* & addidit, *Petra autem erat Christus.* Non enim petræ natura aquam emittebat, inquit, alioquin autem antea scaturiisset; sed alia quædam petra spiritualis hoc totum faciebat, id est, Christus, qui semper ipsis D præsens erat; & omnia mirabiliter operabatur. Ideo namque dicit, consequente. Vidistin' Pauli sapientiam, quomodo eum ostendit utrumque suppeditavisse, & hac ratione typum prope veritatem adduxit? Qui enim illa, inquit, ipsis suppeditavit, hic ipse hanc apparavit mensam: & idem ipse illos per mare, te per baptismum duxit; illisque manna & aquam, tibi corpus & sanguinem præbuit. Et talia sunt ea quæ donum ejus spectant. Videamus vero etiam sequentia, & consideremus an cum dono indigni visi essent illi, ipsis E pepercerit. At hoc dicere non possis. Ideo subdidit: *Sed non in pluribus eorum beneplacitum est Deo*, etsi tanto illos honore dignatus est. At nihil hoc illis profuit; sed plures ex iis perierunt; atqui omnes periere. Ne autem videatur illis extremam perniciem prophetare, ideo dixit, plures. Atqui erant innumerabiles; sed nihil profuit multitudo: omniaque illa erant amoris indicia; sed neque hoc ipsis profuit, quoniam quæ amoris erant non rependerant. Quia enim iis quæ de gehenna dicuntur multi non credunt, utpote quæ non appareant nec videantur,

1. Cor. 15. 29.

ab iis quæ jam facta fuerant ostendit, Deum punire peccatores, etiamsi innumeris illos affecerit beneficiis. Nam si futuris non creditis, inquit; iis certe quæ jam facta sunt non fidem negabitis.

3. Considerate ergo quot beneficia illis præstiterit; ab Ægypto & a captivitate ipsos liberavit, mare stravit, ex cælo manna demisit, ex terra fontes aquarum non exspectatos emisit, ipsis ubique præsens erat miracula edens, & undique ipsos muniens. Attamen quia tanto dono dignum nihil exhibuere, non pepercit illis, sed omnes perdidit. *Nam prostrati sunt*, inquit, *in deserto;* repentinum illorum interitum, pœnas & supplicia divinitus immissa per hoc dictum declarans: & quod proposita præmia non sint assecuti. Neque enim in terra promissionis hæc eis fecit; sed extra & procul ab illa regione, duplici afficiens supplicio, & quod non concederet ipsis terram videre, quam ipsis promiserat, & quod gravi supplicio affecerit. Et quid hæc, inquies, ad nos? Ad te utique spectant: ideo subjunxit: 6. *Hæc autem in figura facta sunt nostri.* Sicut enim dona figuræ sunt, ita quoque supplicia figuræ: & sicut baptisma & mensa prius describebantur, ita in sequentibus, propter nos præsignificatum est, quod qui tali dono indigni fuerint supplicio afficiendi sint, ut talibus exemplis moniti temperantiores simus. Ideo addidit: *Ut non simus concupiscentes malorum, sicut illi concupierunt.* Sicut enim in beneficiis typi præcesserunt, & sequuta est veritas; sic & in suppliciis sequetur. Viden' quomodo ostendat, non modo quod puniendi sint; sed etiam quod magis quam illi? Nam si illud quidem typus est, hoc autem veritas, necesse est in suppliciis, magnum esse culmen, ut etiam in donis. Et perpende in quosnam primum invehatur; in eos nempe qui in templis idolorum comedebant. Cum dixisset enim, Ne sitis concupiscentes malorum, quod universale erat, quod in specie erat subjunxit, ostendens singula peccata ex mala esse cupiditate: & primum hoc dixit: 7. *Neque idololatræ efficiamini sicut quidam ex ipsis, quemadmodum scriptum est: Sedit populus manducare & bibere, & surrexerunt ludere.* Audisti quomodo tandem idololatras vocet? sed hic quidem pronuncians, postea autem etiam probans. Causam autem posuit ob quam ad mensas illas accurrebant: ea erat gula. Quapropter cum dixisset, ne simus concupiscentes malorum, & addidisset, ne sitis idololatræ, hujusce iniquitatis causam posuit; hæc autem erat gula. Sedit enim, inquit, populus manducare & bibere. & finem inde sequentem addit, nempe, surrexerunt ludere. Ut illi, inquit, a deliciis ad idololatriam devenerunt; sic timendum est ne vos inde eo decidatis. Vidistin' quomodo ostendat hosce perfectos illis esse imperfectiores? quos pungebat non eo

A ἀπὸ τῶν ἤδη γεγενημένων δείκνυσιν, ὅτι κολάζει τοὺς ἁμαρτάνοντας ὁ Θεὸς, κἂν μυριάκις εὐεργετηκὼς ᾖ. Εἰ γὰρ καὶ τοῖς μέλλουσιν ἀπιστεῖτε, φησὶν, ἀλλ' οὐ δήπου καὶ τοῖς γεγενημένοις ἀπιστήσετε.

Σκοπεῖτε γοῦν ἡλίκα εὐεργέτησε τούτους· Αἰγύπτου καὶ τῆς ἐκεῖ δουλείας ἀπήλλαξε, τὴν θάλασσαν ὑπεστόρεσεν, ἐξ οὐρανοῦ μάννα κατήνεγκε, κάτωθεν ὑδάτων πηγὰς ξένας καὶ παραδόξους ἀνῆκε, παρῆν αὐτοῖς πανταχοῦ θαυματουργῶν, καὶ πάντοθεν αὐτοὺς τειχίζων· ἀλλ' ὅμως, ἐπειδὴ τῆς δωρεᾶς ταύτης οὐδὲν ἄξιον ἐπεδείξαντο, οὐκ ἐφείσατο αὐτῶν, ἀλλ' ἀπώλε-
B σεν ἅπαντας. Κατεστρώθησαν γὰρ, φησὶν, ἐν τῇ ἐρήμῳ· τήν τε ἀθρόαν αὐτῶν ἀπώλειαν, καὶ τὰς κολάσεις, καὶ τὰς τιμωρίας τὰς θεηλάτους ἐμφαίνων διὰ τῆς λέξεως ταύτης, καὶ ὅτι οὐδὲ τῶν προκειμένων ἐπάθλων ἐπέτυχον. Οὐδὲ γὰρ ἐν τῇ γῇ τῆς ἐπαγγελίας ταῦτα αὐτοῖς εἰργάσατο, ἀλλ' ἔξω καὶ πόῤῥω που καὶ μακρὰν τῆς χώρας ἐκείνης, διπλῇ τιμωρίᾳ κολάσας, καὶ τῷ μὴ συγχωρῆσαι τὴν γῆν ἰδεῖν, καὶ ταῦτα ἐπηγγελμένην αὐτοῖς, καὶ τῷ κολάσαι χαλεπῶς. Καὶ τί πρὸς ἡμᾶς ταῦτα, φησί; Πρὸς σὲ μὲν
C οὖν· διὸ καὶ ἐπήγαγε· Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν. Ὥσπερ γὰρ αἱ δωρεαὶ, τύποι, οὕτω καὶ αἱ κολάσεις, τύποι· καὶ ὥσπερ τὸ βάπτισμα καὶ ἡ τράπεζα προδιεγράφετο, οὕτω καὶ διὰ τῶν μετὰ ταῦτα, ὅτι καὶ κολασθήσονται οἱ ταύτης ἀνάξιοι τῆς δωρεᾶς, προανεφωνεῖτο δι' ἡμᾶς, ὥστε σωφρονεστέρους γενέσθαι τοῖς παραδείγμασιν ἐκείνοις. Διὸ καὶ ἐπήγαγεν· Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. Ὥσπερ γὰρ ἐν ταῖς εὐεργεσίαις οἱ τύποι προέλαβον, καὶ ἠκολούθησεν ἡ ἀλήθεια, οὕτω καὶ ἐν ταῖς τιμωρίαις ἔσται. Ὁρᾷς πῶς δείκνυσιν, οὐχ ὅτι κολα-
D σθήσονται μόνον, ἀλλ' ὅτι καὶ μειζόνως ἢ ἐκεῖνοι; Εἰ γὰρ τὸ μὲν τύπος, τὸ δὲ ἀλήθεια, ἀνάγκη καὶ ἐν ταῖς τιμωρίαις πολλὴν εἶναι τὴν ὑπεροχὴν, ὥσπερ καὶ ἐν ταῖς δωρεαῖς. Καὶ σκόπει τίνων καθάπτεται πρῶτον· τῶν ἐν τοῖς εἰδωλείοις ἐσθιόντων. Εἰπὼν γὰρ, Μὴ εἶναι ἐπιθυμητὰς κακῶν, ὅπερ ἦν καθολικὸν, ἐπάγει καὶ τὸ κατ' εἶδος, δεικνὺς ὅτι ἕκαστον τῶν ἁμαρτημάτων ἐκ πονηρᾶς γέγονεν ἐπιθυμίας. Καὶ πρῶτον τοῦτο ἔφη· Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται, Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Ἤκουσας πῶς λοιπὸν καὶ εἰδωλολάτρας
E καλεῖ; ἀλλ' ἐνταῦθα μὲν ἀποφαινόμενος, ὕστερον δὲ καὶ κατασκευάζων. Καὶ τὴν αἰτίαν δὲ τέθεικε, δι' ἣν εἰς τὰς τραπέζας ἐκείνας ἔτρεχον· αὕτη δὲ ἦν γαστριμαργία. Διόπερ εἰπὼν, Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καὶ ἐπαγαγὼν, Μηδὲ εἰδωλολάτρας γίνεσθαι, τὴν αἰτίαν τῆς τοιαύτης παρανομίας τίθησιν· αὕτη δὲ ἦν ἡ γαστριμαργία. Ἐκάθισε γὰρ, φησὶν, ὁ λαὸς φαγεῖν καὶ πιεῖν. Καὶ τὸ ἐξ αὐτῆς τέλος προστίθησιν, ὅτι ἀνέστησαν παίζειν. Ὥσπερ γὰρ ἐκεῖνοι, φησὶν, ἀπὸ τρυφῆς εἰς εἰδωλολατρείαν ἐξέβησαν, οὕτω δέος μὴ καὶ ὑμεῖς ἐντεῦθεν ἐκεῖ πέσητε. Εἶδες πῶς ἔδειξε τοὺς δῆθεν τελείους τούτους ἐκείνων ἀτελεστέρους; οὓς ἐπλήττεν

οὐ τοῦτο μόνον τῷ μὴ διαβαστάζειν, ἀλλὰ καὶ τῷ τοὺς μὲν ἀπὸ ἀγνοίας, τοὺς δὲ ἀπὸ γαστριμαργίας ἁμαρτάνειν. καὶ τῆς μὲν ἐκείνων ἀπωλείας τὴν κόλασιν τούτοις λογίζεται, τούτους δὲ οὐκ ἀφίησιν εἰς ἕτερον ἀνενεγκεῖν τῆς οἰκείας ἁμαρτίας τὴν πρόφασιν, ἀλλὰ καὶ τῆς ἐκείνων βλάβης, καὶ τῆς ἑαυτῶν αὐτοὺς ὑπευθύνους ἀποφαίνεται. μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν. τίνος ἕνεκεν τῆς πορνείας ἐνταῦθα μέμνηται πάλιν, τοσαῦτα περὶ αὐτῆς ἔμπροσθεν διαλεχθείς; ἔθος ἀεὶ τῷ Παύλῳ, ὅταν ὑπὲρ πολλῶν ἁμαρτημάτων ἐγκαλῇ, καὶ τάξει αὐτὰ διατιθέναι, καὶ καθέκαστον ἐπιέναι τοῖς προκειμένοις, καὶ πάλιν ἐν τοῖς περὶ ἑτέρων λόγοις καὶ τῶν προτέρων μεμνῆσθαι· ὃ δὴ καὶ ὁ θεὸς ἐποίει ἐπὶ τῆς παλαιᾶς, καθέκαστον τῶν πεπλημμελημένων ἀναμιμνήσκων τοῦ μόσχου τοὺς Ἰουδαίους, καὶ τὴν ἁμαρτίαν ἐκείνην εἰς μέσον ἄγων. τοῦτο τοίνυν καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ, ὁμοῦ τε ἐκείνης αὐτοὺς ἀναμιμνήσκων τῆς ἁμαρτίας, καὶ διδάσκων, ὅτι καὶ τοῦτο ἐτέχθη τὸ κακὸν ἀπὸ τρυφῆς καὶ γαστριμαργίας. διὸ καὶ ἐπήγαγε, μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. καὶ διατί μὴ τίθησι καὶ τὴν ἐπὶ τῆς εἰδωλολατρείας κόλασιν; ἢ ἐπειδὴ δῆλον ἦν καὶ σαφέστερον; ἢ ἐπειδὴ πληγὴ τοσαύτη οὐ γέγονε τότε, ὅση ἐπὶ τοῦ Βαλαάμ, ἡνίκα ἐτελέσθησαν τῷ Βεελφεγώρ, τῶν Μαδιανιτίδων γυναικῶν ἐπὶ τῆς παρατάξεως φανεισῶν καὶ ἐφελκυσαμένων αὐτοὺς εἰς ἀσέλγειαν κατὰ τὴν συμβουλὴν Βαλαάμ; ὅτι γὰρ τοῦ Βαλαὰμ ἦν ἡ πονηρὰ αὕτη συμβουλή, δηλοῖ Μωϋσῆς μετὰ ταῦτα λέγων οὕτω πρὸς τῷ τέλει τοῦ βιβλίου τῶν ἀριθμῶν. καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν τῷ πολέμῳ Μαδιὰμ μετὰ τῶν γυναικῶν, καὶ ἤγαγον τὰ σκῦλα. καὶ ὠργίσθη Μωϋσῆς, καὶ εἶπεν· ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ εἰς σκάνδαλον, κατὰ τὸ ῥῆμα Βαλαάμ, τοῦ ἀποστῆναι καὶ ὑπεριδεῖν τὸ ῥῆμα κυρίου ἕνεκεν Φεγώρ. μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθώς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.

Διὰ τούτου πάλιν ἕτερον αἰνίττεται ἔγκλημα, ὃ καὶ πρὸς τῷ τέλει τίθησιν, ἐγκαλῶν αὐτοῖς, ὅτι περὶ σημείων ἐμάχοντο, καὶ τῶν πειρασμῶν δὲ ἕνεκεν ἐγόγγυζον λέγοντες, πότε ἥξει τὰ ἀγαθά, πότε τὰ ἔπαθλα; διὸ καὶ ἐπάγει τούτων ἕνεκεν διορθούμενος αὐτοὺς καὶ φοβῶν. μηδὲ γογγύζετε, καθώς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. οὐδὲ γάρ ἐστι τὸ ζητούμενον μόνον, τὸ πάσχειν ὑπὲρ τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὸ γενναίως τὰ ἐπιόντα φέρειν, καὶ μεθ' ἡδονῆς ἁπάσης. τοῦτο γάρ ἐστι στέφανος ἅπας. ὡς ἂν μὴ τοῦτο ᾖ, καὶ κόλασις ἕπεται τοῖς δυσαναχετοῦσι. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι μαστιζόμενοι ἔχαιρον, καὶ Παῦλος ἐν τοῖς παθήμασιν ἐκαυχᾶτο. πάντα δὲ ταῦτα τυπικῶς συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. πάλιν φοβεῖ, τὰ τέλη λέγων, καὶ μείζονα τῶν γεγενημένων προσδοκᾶν παρασκευάζει. ὅτι μὲν γὰρ δώσομεν δίκην, ἀπὸ τῶν εἰρημένων, φησί, δῆλον καὶ τοῖς ἀπιστοῦσι τοῖς περὶ γεέννης λό-

A solum, quod non sustinerent; sed quod etiam illi ex ignorantia, alii ex ingluvie peccarent: & illorum quidem perniciei punitionem his tribuit; hos autem non sinit sui peccati causam referre in alium; sed & sui & aliorum damni ipsos obnoxios pronunciat. *Neque fornicemur, sicut quidam ex ipsis fornicati sunt.* Quare hic fornicationem memorat, cum de illa antea tantum disseruerit? Mos est semper Paulo cum de multis accusat peccatis, ordine illa ponere, & proposita singulatim persequi, ac rursus ubi de aliis B loquitur, priora etiam repetere. Quod Deus quoque faciebat in veteri Testamento, in singulis delictis vitulum Judæis memorabat, & illud peccatum in medium adducebat. Hoc itaque & Paulus hic facit, illud simul commemorans peccatum & docens hoc prodiisse ex deliciis & gula. Quapropter adjecit: *Neque fornicemur sicut quidam eorum fornicati sunt, & ceciderunt una die viginti tria millia.* Et cur non ponit etiam idololatriæ punitionem? An quia clarum erat & manifestum? An quia tunc plaga non tanta fuit, quanta Balaami tempore, cum ini- C tiati sunt Beelphegor, Madianiticis mulieribus in aciem accedentibus ipsosque ad libidinem allicientibus, secundum Balaami consilium? Nam quod hoc malum consilium Balaami esset, declarat Moyses postea dicens in fine libri Numerorum: *Balaam quoque filium Beor occiderunt in bello Madian cum mulieribus, & adduxerunt spolia. Et iratus est Moyses, & dixit: Cur vivas cepistis omnes mulieres? Ipsæ enim erant filiis Israel in scandalum secundum verbum Balaam, ut deficerent & despicerent verbum Domini propter Phegor.* D *9. Neque tentemus Christum, sicut quidam eorum tentaverunt & a serpentibus perierunt.* Num. 31. 8.

4. Per hoc rursus aliud subindicat crimen, quod etiam in fine ponit, accusans illos quod de signis pugnarent, & propter tentationes murmurarent dicentes: Quando venient bona? Quando præmia? Ideoque subjungit illos corrigens ac terrens: *10. Neque murmuraveritis sicut quidam eorum murmuraverunt, & perierunt ab exterminatore.* Non est enim solum quod quæritur pati pro Christo, E sed etiam quæ accidunt fortiter ferre & cum omni voluptate. Hoc est enim omnino corona; ut si hoc non fuerit, pœna etiam sequatur eos qui ægre ferunt. Ideo apostoli flagris cæsi gaudebant, & Paulus in afflictionibus gloriabatur. *11. Hæc autem omnia in figura contingebant illis: scripta sunt autem ad correptionem nostram, ad quos fines sæculorum devenerunt.* Rursus terret finem memorans, & ad majora prioribus exspectanda præparat. Nam quod pœnas daturi simus, ex dictis, inquit, planum est etiam iis qui

iis quæ de gehenna dicuntur fidem non habent; quod autem graviores, ex eo quod plura consequuti sumus beneficia, & ex eo quod illa typi essent. Nam si in donis exsuperantia sit; palam est in supplicio quoque fore. Ideoque figuras appellavit, & propter nos scripta sunt, inquit, & finem in memoriam revocavit, ut consummationis mentionem faceret. Non enim talia tunc erant supplicia, quæ finem accipiebant & tollebantur; sed pœna erit æterna. Sicut enim hujus vitæ pœnæ simul cum vita solvuntur, sic illic pœnæ æternæ erunt. Cum autem dicit, fines sæculorum, nihil aliud dicit, quam quod de cætero instet judicium illud horrendum. 12. *Itaque qui se existimat stare; videat ne cadat.* Rursus illorum fastum dejecit qui de scientia sua altum sapiebant. Si enim illi qui tanta sunt bona consequuti, talia passi sunt, & alii quidem pro murmuratione solum tales luêre pœnas; alii quod tentassent, & neque populus Deum est reveritus, neque quod tam multa consequutus esset; multo magis in nobis nisi vigilemus hoc erit. Et apposite dixit; qui se existimat stare. Hoc enim non est stare, ut stare oportet, sibi ipsi confidere; qui talis est enim, citius cadet; nam illi quoque, nisi altum sapuissent & confidissent; sed si sese cohibuissent, non hæc passi essent. Unde liquet arrogantiam maxime, deindeque socordiam & gulam, horum esse fontes malorum. Itaque si stas, cave ne cadas. Nam hic stare, non est firmiter stare, donec liberemur a præsentis vitæ fluctibus, & ad tranquillum portum appellamus. Ne itaque altum sapias quod stes, sed cave lapsum. Si namque Paulus timuit omnium fortissimus, multo magis nos timere oportet. Apostolus itaque dicebat: Quapropter qui sibi videtur stare, videat ne cadat. Nos autem ne hoc quidem possumus dicere, cum omnes fere lapsi & prostrati sint humique jaceant. Cui enim hoc dicam? Illi-ne qui quotidie rapit? Sed jacet ille magno lapsu dejectus. At scortatori? Sed humi projectus est. An ebrioso? At ipse quoque jacet, & nescit se jacere. Itaque jam non est tempus hujus proferendi verbi, sed illius prophetici, quod dicebat Judæis: *Num qui cadit, non resurgit?* Etenim omnes jacent, nec volunt resurgere. Quamobrem adhortatio nobis est, non ut ne cadamus; sed ut ii qui jacent possint resurgere. Resurgamus igitur vel sero tandem, dilecti, resurgamus & fortiter stemus. Quousque jacemus? Quousque ebrii sumus, multa rerum sæcularium concupiscentia gravati? Opportunum est nunc dicere: ad quem loquar & testificabor? usque adeo omnes ad ipsam virtutis doctrinam obsurduerunt, & multis hinc repleti sunt malis. Et si possemus animas videre nudas, ut in exercitibus post conflictum, alii mortui, alii vulnerati videntur; sic in

Pœnæ futuræ erunt æternæ.

A γεις· ὅτι δὲ καὶ χαλεπωτέραν, ἀφ' ὧν πλειόνων ἀπηλαύσαμεν εὐεργεσιῶν, καὶ ἀφ' ὧν ἐκεῖνα τύποι. εἰ γὰρ ἐν ταῖς δωρεαῖς ὑπεροχὴ, εὔδηλον ὅτι καὶ ἐν τῇ τιμωρίᾳ. διὰ τοῦτο καὶ τύπους ἐκάλεσε, καὶ δι' ἡμᾶς γεγράφθαι ἔφη, καὶ τέλους ἐμνημόνευσεν, ἵνα ἀναμνήσῃ τῆς συντελείας. οὐ γὰρ τοιαῦται τότε αἱ τιμωρίαι, ὡς καὶ πέρας λαμβάνειν καὶ καταλύεσθαι, ἀλλ' αἰώνιος ἡ κόλασις· ὥσπερ γὰρ αἱ ἐνταῦθα κολάσεις τῷ παρόντι συγκαταλύονται βίῳ, οὕτως αἱ ἐκεῖ διηνεκῶς μένουσιν. ὅταν δὲ εἴπῃ τὰ τέλη τῶν αἰώνων, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι B ἐφέστηκε λοιπὸν τὸ δικαστήριον τὸ φοβερόν. ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πάλιν αὐτῶν τὸν τῦφον καθεῖλε τῶν ἐπὶ τῇ γνώσει μέγα φρονούντων. εἰ γὰρ οἱ τοσούτων ἀπολαύσαντες τοιαῦτα ἔπαθον, καὶ οἱ μὲν ὑπὲρ γογγυσμοῦ μόνον τοιαύτην ἔδωσαν δίκην, οἱ δὲ ὑπὲρ τοῦ πειράσαι, καὶ οὔτε τὸ πλῆθος ἐδυσώπησε τὸν θεὸν, οὔτε τὸ τοιούτων ἐπιτυχεῖν, πολλῷ μᾶλλον ἐφ' ἡμῶν, ἂν μὴ νήφωμεν, τοῦτο ἔσται. καὶ καλῶς εἶπεν, ὁ δοκῶν ἑστάναι. τοῦτο γὰρ οὐδὲ ἑστάναι ἐστὶν, ὡς ἑστάναι χρὴ· τὸ θαῤῥεῖν ἑαυτῷ· ταχέως γὰρ ὁ τοιοῦτος πεσεῖται· ἐπεὶ καὶ ἐκεῖνοι, εἰ μὴ μέγα ἐφρόνησαν καὶ C ἐθάῤῥησαν, ἀλλ' ἦσαν κατεσταλμένοι, οὐκ ἂν ταῦτα ἔπαθον. ὅθεν δῆλον, ὅτι ἀλαζονεία μάλιστα καὶ ῥαθυμία ἑξῆς, καὶ ἡ γαστριμαργία, τούτων εἰσὶν αἱ πηγαὶ τῶν κακῶν. ὥστε εἰ καὶ ἕστηκας, φυλάττου δὲ μὴ πεσεῖν. τὸ γὰρ ἐνταῦθα στῆναι, οὐκ ἔστιν ἑστάναι βεβαίως, ἕως ἂν ἀπαλλαγῶμεν τῶν κυμάτων τοῦ παρόντος βίου, καὶ πρὸς τὸν εὐδιεινὸν καταπλεύσωμεν λιμένα. μὴ τοίνυν ἐπὶ τῇ στάσει φρόνει μέγα, ἀλλὰ φυλάττου τὴν πτῶσιν. εἰ γὰρ Παῦλος δέδοικεν ὁ πάντων στεῤῥότερος, πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή. ὁ μὲν οὖν ἀπόστολος ἔλεγεν, ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· ἡμεῖς D δὲ οὐδὲ τοῦτο δυνάμεθα εἰπεῖν, πάντων, ὡς εἰπεῖν, πεπτωκότων καὶ κατεστρωμένων, καὶ χαμαὶ κειμένων. τίνι γὰρ εἴπω τοῦτο; τῷ ἁρπάζοντι καθ' ἑκάστην ἡμέραν; ἀλλὰ κεῖται μέγα πτῶμα πεσών. ἀλλὰ τῷ πόρνῳ; ἀλλὰ ἔῤῥιπται χαμαί. ἀλλὰ τῷ μεθύοντι; ἀλλὰ καὶ αὐτὸς κεῖται· καὶ οὐδὲ, ὅτι κεῖται, οἶδεν. ὥστε οὐ τούτου καιρὸς τοῦ ῥήματος, ἀλλ' ἐκείνου τοῦ προφητικοῦ, ὃ καὶ πρὸς Ἰουδαίους ἔλεγε· μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ γὰρ ἅπαντες κεῖνται, καὶ ἀναστῆναι οὐ βούλονται. ὥστε ἡ προτροπὴ ἡμῖν, οὐχ ὑπὲρ τοῦ μὴ πεσεῖν, ἀλλ' ὑπὲρ τοῦ τοὺς κειμένους δυνηθῆναι E ἀναστῆναι. ἀναστῶμεν τοίνυν ὀψέ ποτε, ἀγαπητοὶ, ἀναστῶμεν, καὶ στῶμεν γενναίως. μέχρι τίνος κείμεθα; μέχρι τίνος μεθύομεν, τῇ πολλῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ κεκαρωμένοι; εὔκαιρον καὶ νῦν εἰπεῖν, πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι; οὕτω πάντες καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν διδασκαλίαν εἰσὶ κεκωφωμένοι, καὶ πολλῶν ἐντεῦθεν ἐμπεπλησμένοι κακῶν. καὶ εἰ τὰς ψυχὰς γυμνὰς ἦν ἰδεῖν, καθάπερ ἐπὶ τῶν στρατοπέδων τῆς συμβολῆς παρελθούσης, τοὺς μὲν νεκροὺς ἔστι θεάσασθαι, τοὺς δὲ τετραυματισμένους, οὕτω καὶ ἐπὶ τῆς ἐκ-

κλησίας εἴδομεν ἄν. διὸ δέομαι καὶ παρακαλῶ, χεῖρα ἀλλήλοις ὀρέξωμεν, καὶ διαναστῶμεν. καὶ γὰρ ἐγὼ τῶν πεπληγότων εἰμὶ, καὶ δεομένων τοῦ φάρμακα ἐπιθήσοντος. ἀλλὰ μὴ ἀπογνῶτε διὰ τοῦτο. εἰ γὰρ καὶ χαλεπαὶ αἱ πληγαὶ, ἀλλ' οὐκ ἀνίατοι. τοιοῦτος ἡμῶν ὁ ἰατρός· μόνον αἰσθώμεθα τῶν τραυμάτων. κἂν εἰς αὐτὸ τὸ ἔσχατον ἔλθωμεν τῆς κακίας, πολλὰς ὁδοὺς τέμνει σωτηρίας ἡμῖν. κἂν γὰρ τῷ πλησίον ἀφῇς ὀργὴν, ἀφεθήσεταί σοι πλημμελήματα. ἐὰν γὰρ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. κἂν ἐλεημοσύνην δῷς, συγχωρήσει σοι τὰ ἁμαρτήματα· τὰς γὰρ ἀνομίας σου, φησὶν, ἐλεημοσύνῃ λύτρωσαι. κἂν εὔξῃ σπουδαίως, ἀπολαύσεις ἀφέσεως· καὶ τοῦτο δείκνυσιν ἡ χήρα ἡ τὸν ὠμὸν ἐκεῖνον δικαστὴν ἐπικάμψασα τῇ συνεχείᾳ τῆς ἐντεύξεως. κἂν κατηγορήσῃς τῶν ἁμαρτημάτων, ἔχεις παραμυθίαν. λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· κἂν σκυθρωπάσῃς ὑπὲρ τούτων, καὶ τοῦτό σοι φάρμακον ἔσται μέγιστον. εἶδον γάρ, φησιν, ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. κἂν κακόν τι παθὼν, γενναίως ἐνέγκῃς, τὸ πᾶν ἀπεδύσω. τοῦτο γὰρ καὶ πρὸς τὸν πλούσιον ὁ Ἀβραὰμ ἔλεγεν, ὅτι ἀπέλαβε Λάζαρος τὰ κακὰ αὐτοῦ, καὶ ἐνταῦθα παρακαλεῖται· κἂν χήραν ἐλεήσῃς, πλύνεταί σου τὰ ἁμαρτήματα. κρίνατε γάρ, φησιν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει κύριος. καὶ, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. οὐδὲ γὰρ οὐλὴν τῶν τραυμάτων ἀφίησι φανῆναί τινα.

Ἀλλὰ κἂν εἰς ἐκεῖνο ἔλθωμεν τὸ βάθος τῶν κακῶν, εἰς ὃ κατέπεσεν ὁ τὰ πατρῷα κατεδηδοκὼς καὶ κεράτια ἐσθίων, καὶ μετανοήσωμεν, σωζόμεθα πάντως. κἂν μυρία τάλαντα ὀφείλωμεν, καὶ προσπέσωμεν, καὶ μὴ μνησικακήσωμεν, πάντα ἡμῖν ἀφίεται. κἂν ἐκεῖσε ἀποπλανηθῶμεν, οὗ τὸ πρόβατον ἀπεβουκολήθη, κἀκεῖθεν ἡμᾶς ἀνακτᾶται· μόνον βουληθῶμεν, ἀγαπητοί. φιλάνθρωπος γὰρ ὁ θεός. διὰ τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος τῇ προσπτώσει ἤρκειτο, καὶ ἐπὶ τοῦ τὰ πατρῷα κατεδηδοκότος τῇ ἐπανόδῳ μόνῃ, καὶ ἐπὶ τοῦ προβάτου τῷ βουληθῆναι βασταχθῆναι. ἐννοήσαντες τοίνυν τὸ μέγεθος αὐτοῦ τῆς φιλανθρωπίας, ἐνταῦθα αὐτὸν ποιήσωμεν ἵλεων ἡμῖν, καὶ προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἵνα μὴ ἀπελθόντες ἐντεῦθεν ἀναπολόγητοι, τὴν ἐσχάτην ὑπομείνωμεν τιμωρίαν. ἂν μὲν γὰρ κατὰ τὸν παρόντα βίον ἐπιδειξώμεθα σπουδὴν κἂν τὴν τυχοῦσαν, τὰ μέγιστα κερδανοῦμεν· ἂν δὲ μηδὲν ἐνταῦθα γενόμενοι βελτίους ἀπέλθωμεν, κἂν σφοδρότερον ἐκεῖ μετανοήσωμεν, οὐδὲν ἡμῖν ἔσται πλέον. καὶ γὰρ ἔδει τῶν σκαμμάτων ἔσω μένοντα ἀγωνίσασθαι, οὐ μετὰ τὸ λυθῆναι τὸ θέατρον ἀποδύρεσθαι καὶ δακρύειν ἀνόνητα, ὅπερ ὁ πλούσιος ἐκεῖνος ποιεῖ, θρηνῶν μὲν καὶ ὀλοφυρόμενος, εἰκῇ δὲ λοιπὸν καὶ μάτην, ἐπειδὴ τὸν καιρὸν,

Ecclesia videremus. Quamobrem obsecro & oro, manum alter alteri porrigamus, & exsurgamus. Nam & ego ex sauciorum numero sum, & eorum qui pharmacis opus habent. Sed ne ideo animum despondeatis. Nam etsi gravia sunt vulnera, at non incurabilia. Talis est noster medicus; modo vulnera sentiamus. Etiamsi in extremum nequitiæ venerimus, multas nobis aperit vias salutis. Nam si proximo iram remiseris, remittentur tibi delicta. Si enim, inquit, remiseritis hominibus, remittet & vobis Pater vester cælestis. Et si eleemosynam dederis, condonabit tibi peccata. *Iniquitates* enim *tuas*, inquit, *eleemosyna redime.* Si diligenter oraveris, remissione frueris. Et hoc ostendit vidua, quæ immanem illum judicem frequenti petitione inflexit. Si peccata tua accusaveris, habes consolationem. *Dic tu* enim *primus peccata tua, ut justificeris.* Si pro iis tristis fueris, & hoc tibi pharmacum erit maximum. *Vidi enim*, inquit, *quod dolore affectus sit, & abierit tristis, & curavi vias ejus.* Et si quid mali passus, fortiter illud tuleris, totum exuisti. Hoc quoque enim diviti illi Abraham dicebat. Recepit Lazarus mala sua, & hic consolationem habet. Si viduæ misertus fueris, abluuntur peccata tua. Nam ait: *Judicate pupillo, defendite viduam, & venite, disceptemus*, ait Dominus. Et, si fuerint peccata vestra sicut puniceum, ut nivem dealbabo; & si fuerint ut coccinum, ut lanam dealbabo. Neque enim vel cicatricem vulnerum sinit apparere.

Matt. 6. 14.

Dan. 4. 24.

Isai. 43. 26.

Isai. 57. 17.

Isai. 1. 17.

5. Sed etiamsi venerimus in illud profundum malorum, in quod incidit is qui paterna bona exedit & siliquis vescebatur, & pœnitentiam egerimus, omnino salvi erimus. Etiamsi decem millia talenta debeamus, & procidamus, injuriarumque memoriam deponamus, omnia nobis remittuntur. Etiamsi illic aberraverimus, ubi ovis ab ovili aberravit, inde ille nos reducit; si modo velimus, dilecti. Benignus enim est Deus; ideoque satis illi fuit, si is qui decem millia talenta debebat, ante se procumberet, & si is qui paterna bona absumserat, reverteretur, & si errans ovis portari vellet. Cogitantes igitur benignitatis ejus magnitudinem, hic illum nobis propitium reddamus, & præoccupemus faciem ejus in confessione, ut ne hinc abeuntes sine defensione, extremum subeamus supplicium. Si enim in præsenti vita qualemcumque adhibeamus diligentiam, maxima lucrabimur; si autem non meliores effecti abscesserimus, etiamsi illic vehementi pœnitentia ducamur, nihil nobis proderit. Oportebat enim intra septa manentem decertare, non autem postquam solutum fuit theatrum lamentari & flere inutiliter, ut dives ille faciebat, lamentans & ejulans, sed jam frustra & incassum, quia tempus illud des-

Pœnitentia in hac tantum vita prodest.

A pexerat quo hæc facere oportuit. Non ille autem solus, sed multi alii jam sunt divites ipsi similes, qui pecunias quidem despicere nolunt; sed loco pecuniarum animam despiciunt: quod mirari subit mihi, cum video illos Dei misericordiam precantes, & ita affectos erga seipsos ut incurabiles sint, animæque suæ tamquam inimicæ non parcentes. Ne ludamus, o dilecti, ne ludamus, neque nos ipsos despiciamus, dum rogamus Deum ut nostri misereatur, & misericordiæ ejus, pecunias, delicias & omnia anteponimus. B Neque enim si quis tibi dicam offerret, & quempiam accusans diceret illum mille mortes subiturum, cum posset modica pecunia sese redimere, mallet mori, quam aliquid ex suis numerare; misericordia aut venia illum esse dignum diceres. Hoc ergo & de teipso reputa. Nam nos quoque hoc facimus, & salutem nostram despicientes, pecuniis parcimus. Quomodo ergo Deum precaris ut tibi parcat, cum tu ipse tibi non parcas, & animæ pecunias præferas? Quocirca admodum obstupesco cogitans quantæ in pecuniis lateant præstigiæ; imo non in C pecuniis, sed in iis qui decipiuntur animis. Sunt enim, sunt utique, qui multum hasce præstigias irrident. Quid enim in illis est, quod nos fascinare possit? Nonne inanimata est materia? Nonne fluxa? Nonne infida est ejus possessio? Annon timoribus plena est & periculis? Annon cædibus & insidiis? Annon inimicitia & odio? Annon socordia & nequitia multa? Annon terra est & cinis? Quæ insania? Quis morbus? At non accusandi sunt tantum, inquies, hoc morbo laborantes, sed etiam solvendus est amor. Et D quo alio modo solvemus, quam ostendentes rem esse malam, innumerisque plenam malis? At non facile est id amanti persuadere. Itaque alia ipsi pulcritudo opponenda est; sed cum ægrotet, incorpoream non videt pulcritudinem. Corpoream ergo illi ostendamus, & dicamus illi: Cogita prata, & flores qui in illis sunt, quovis auro elegantiores, & quibusvis lapillis & gemmis gratiores & pellucidiores. Cogita limpida fontium fluenta, fluvios qui instar olei sine strepitu e terra profluunt. Ascende in cælum E & vide solis pulcritudinem, lunæ decorem, stellarum flores. Et quid hoc, inquies? non enim illis utimur ut pecuniis. Atqui magis quam pecuniis, quatenus eorum usus est magis necessarius, & iis fruimur securius. Neque enim times, ne quis illa, ut pecunias, auferens discedat. Sed licet tibi de iis perpetuo confidere, atque sine ulla cura vel sollicitudine. Si autem ideo doles, quod cum aliis fruaris illis, & quod non solus illa possideas, ut pecunias; non pecunias, sed avaritiam solam mihi amare videris: nec pecunias amares, si communes omnibus prostarent. Cum igitur dilectam

*Avaritia quantum damni avaris inferat.*

A καθ' ὃν ταῦτα ἐχρῆν ποιεῖν, ὑπερεῖδεν. οὐκ ἐκεῖνος δὲ μόνος, ἀλλὰ καὶ πολλοὶ ἕτεροι κατ' ἐκεῖνον νῦν εἰσὶ πλούσιοι, χρημάτων μὲν οὐ βουλόμενοι καταφρονεῖν, ψυχῆς δὲ ἀντὶ χρημάτων καταφρονοῦντες· οὓς ἔμοιγε θαυμάζειν ἔπεισιν, ὅταν ἴδω τῷ μὲν Θεῷ περὶ ἐλέου συνεχῶς ἐντυγχάνοντας, αὐτοὺς δὲ τὰ ἀνήκεστα ἑαυτοῖς διατεθέντας, καὶ ὥσπερ πολεμίας, οὕτω τῆς ἑαυτῶν ἀφειδοῦντας ψυχῆς. μὴ δὴ παίζωμεν, ἀγαπητοί, μὴ παίζωμεν, μηδὲ παραλογιζώμεθα ἑαυτοὺς, τὸν μὲν Θεὸν ἀξιοῦντες ἡμᾶς ἐλεῆσαι, αὐτοὶ δὲ τοῦ ἐλέους τού- B του καὶ χρήματα, καὶ τρυφὴν, καὶ πάντα ἁπλῶς προτιθέντες. οὐδὲ γὰρ, εἴ τις σοι δίκην προσῆγε, καὶ κατηγορῶν τοῦ δεῖνος ἔλεγεν, ὅτι μυρίοις μέλλων ὑπομένειν θανάτους, καὶ κύριος ὢν λῦσαι τὰς ψήφους χρήμασιν ὀλίγοις, εἵλετο μᾶλλον ἀποθανεῖν, ἤ τι τῶν αὐτοῦ προέσθαι, ἐλέου τινὸς ἢ συγγνώμης ἔφης αὐτὸν ἄξιον εἶναι. τοῦτο τοίνυν καὶ ἐπὶ σαυτοῦ λογίζου. καὶ γὰρ καὶ ἡμεῖς τοῦτο ποιοῦμεν, καὶ σωτηρίας ἡμῶν καταφρονοῦντες, τῶν χρημάτων φειδόμεθα. πῶς οὖν τὸν Θεὸν ἀξιοῖς σου φείδεσθαι, αὐτὸς σαυτοῦ οὕτως ἀφειδῶν, καὶ χρήματα προτιμῶν ψυχῆς; διὸ καὶ σφόδρα ἐκπέπλη- C γμαι, πόση τοῖς χρήμασιν ἐγκέκρυπται γοητεία, μᾶλλον δὲ οὐ τοῖς χρήμασιν, ἀλλὰ τῶν ἀπατωμένων ψυχαῖς. εἰσὶ γὰρ, εἰσὶν οἳ καὶ σφόδρα τῆς μαγγανείας ταύτης καταγελῶντες. τί γὰρ καὶ ἱκανὸν ἡμᾶς τῶν ἐν αὐτοῖς γοητεῦσαι; οὐχὶ ἄψυχός ἐστιν ἡ ὕλη; οὐχὶ ἐπίκηρος; οὐχὶ ἄπιστος αὐτῶν ἡ κτῆσις; οὐ φόβων γέμει καὶ κινδύνων; οὐ φόνων καὶ ἐπιβουλῆς; οὐκ ἔχθρας καὶ μίσους; οὐ ῥαθυμίας καὶ κακίας πολλῆς; οὐ γῆ ἐστιν καὶ σποδός; τίς ἡ μανία; τίς ἡ νόσος; ἀλλ' οὐ κατηγορεῖν δεῖ μόνον τῶν νοσούντων τὰ τοιαῦτα, φησὶν, ἀλλὰ καὶ καταλύειν τὸν D ἔρωτα. καὶ πῶς ἑτέρως καταλύσομεν, ἀλλ' ἢ δεικνύντες φαῦλον ὄντα, καὶ μυρίων κακῶν ἀνάμεστον; ἀλλὰ τοῦτο οὐκ εὔκολον τὸν ἐρῶντα πεῖσαι περὶ τῶν παιδικῶν. οὐκοῦν ἕτερον αὐτῷ κάλλος ἀντιστῆσαι δεῖ. ἀλλὰ ἀσώματον οὐχ ὁρᾷ κάλλος, ἔτι νοσῶν. οὐκοῦν σωματικὸν ἐπιδείξωμεν, καὶ εἴπωμεν πρὸς αὐτόν· ἐννόησον τοὺς λειμῶνας, καὶ τὰ ἐν αὐτοῖς ἄνθη, τὰ χρυσίου παντὸς φαιδρότερα, καὶ τῶν παντοδαπῶν χαριέστερα καὶ διαυγέστερα λίθων. ἐννόησον τὰ διειδῆ τῶν πηγῶν ῥεῖθρα, τοὺς ποταμοὺς τοὺς ἐλαίου δίκην ἀψοφητὶ ῥέοντας ἀπὸ τῆς γῆς. ἀνάβηθι πρὸς τὸν οὐρανὸν, καὶ ἴδε τοῦ ἡλίου τὸ κάλλος, τῆς σελήνης τὴν εὐπρέ- E πειαν, τῶν ἄστρων τὰ ἄνθη. καὶ τί τοῦτο, φησίν; οὐ γὰρ δὴ κεχρήμεθα αὐτοῖς ὡς τοῖς χρήμασι. καὶ μὴν πλέον, ἢ τοῖς χρήμασιν, ὅσῳ καὶ ἀναγκαιοτέρα αὐτῶν ἡ χρεία, καὶ ἀσφαλεστέρα ἡ ἀπόλαυσις. οὐδὲ γὰρ δέδοικας, μή τις, ὥσπερ τὰ χρήματα, αὐτὰ λαβὼν ἀπέλθῃ· ἀλλ' ἔξεστί σοι θαῤῥεῖν ὑπὲρ αὐτῶν διηνεκῶς, καὶ ταῦτα μὴ μεριμνῶντι, μηδὲ φροντίζοντι. εἰ δ', ὅτι μετὰ τῶν ἄλλων ἀπολαύεις αὐτῶν, ἀλγεῖς, καὶ μὴ μόνος αὐτὰ κατέχεις, ὥσπερ τὰ χρήματα, οὐ χρημάτων, ἀλλὰ πλεονεξίας μοι δοκεῖς ἐρᾷν μόνης. καὶ οὐδὲ τὰ χρήματα ἐφίλησας ἄν, εἰ κοινὰ προὔκειτο πᾶσιν. οὐκοῦν ἐπειδὴ τὴν ἐρωμένην εὑρήκαμεν, τὴν

τὴν πλεονεξίαν λέγω, φέρε σοι δείξω, πῶς σε μισεῖ αὕτη καὶ ἀποστρέφεται, πόσα θήγει κατὰ σοῦ ξίφη, πόσα ὀρύττει βάραθρα, πόσους ἀνάπτει βρόχους, πόσους παρασκευάζει κρημνούς· ἵνα κἂν οὕτω σβέσῃς τὸ φίλτρον. πόθεν οὖν ἔστι ταῦτα εἰδέναι; ἀπὸ τῶν ὁδῶν, ἀπὸ τῶν πολέμων, ἀπὸ τῆς θαλάττης, ἀπὸ τῶν δικαστηρίων. καὶ γὰρ καὶ τὸ πέλαγος αἱμάτων ἐνέπλησε, καὶ τὰ τῶν δικαστῶν φοινίσσει ξίφη παρανόμως πολλάκις, καὶ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας νύκτωρ καὶ μεθημέραν ὁπλίζει αὕτη, καὶ φύσιν ἀγνοῆσαι ἔπεισε, καὶ πατραλοίας ἐποίησε, καὶ μητραλοίας, καὶ πάντα ἐπεισήγαγε τῷ βίῳ τὰ κακά.

Διὸ καὶ ῥίζαν αὐτὴν ὁ Παῦλος τούτων καλεῖ. αὕτη τοὺς αὐτῆς ἐραστὰς τῶν τὰ μέταλλα ἐργαζομένων οὐδὲν ἄμεινον ἀφίησι διακεῖσθαι. καθάπερ γὰρ ἐκεῖνοι διηνεκῶς ἐν σκότῳ κατακλεισμένοι, καὶ δεδεμένοι πονοῦσιν ἀνόνητα· οὕτω καὶ οὗτοι ἐν τοῖς σπηλαίοις τῆς φιλαργυρίας κατορωρυγμένοι, οὐδενὸς αὐτοῖς ἀνάγκην ἐπιθέντος, αὐτόματοι τὴν κόλασιν ἐπισπῶνται, ἑαυτοῖς δεσμοὺς περιθέντες ἀλύτους. καὶ οἱ μὲν καταδίκοι, κἂν ἑσπέρας καταλαβούσης ἀνίενται τῶν μόχθων· οὗτοι δὲ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ διορύττουσι τὰ πονηρὰ ταῦτα μέταλλα· καὶ τοῖς μὲν μέτρον ἐστὶν ὡρισμένον τῆς μοχθηρᾶς ἐργασίας ἐκείνης, οὗτοι δὲ μέτρον οὐδὲν ἴσασιν, ἀλλ᾽ ὅσον ὀρύξωσι, τοσούτῳ μείζονος ἐφίενται ταλαιπωρίας. εἰ δὲ ἐκεῖνοι μὲν ἄκοντες, οὗτοι δὲ ἑκόντες, τὸ χαλεπόν μοι λέγεις τοῦ νοσήματος, ὅτι οὐδὲ ἀπαλλαγῆναι δύνανται, εἴγε μηδὲ μισοῦσι τὴν κακοπάθειαν. ἀλλ᾽ ὥσπερ ὗς ἐν βορβόρῳ, οὕτω καὶ οὗτοι ταῖς τῆς φιλαργυρίας δυσωδίαις ἐγκαλινδούμενοι ἥδονται, χαλεπώτερα πάσχοντες τῶν καταδίκων ἐκείνων. ὅτι γὰρ ἐν χείροσίν εἰσιν, ἄκουσον τὰ ἐκείνων, καὶ τότε εἴσῃ τὰ τούτων. λέγεται τοίνυν ἡ χρυσῖτις ἐκείνη γῆ χηραμοὺς καὶ καταδύσεις ἔχειν ἐν τοῖς ζοφεροῖς σπηλαίοις ἐκείνοις. τὸν οὖν κακοῦργον τὸν τοῖς ἐκεῖ καταδικασθέντα μόχθοις, διὰ τοῦτο λύχνον λαμβάνοντα καὶ δίκελλαν, οὕτως εἰσιέναι ἔνδον, καὶ ληκύθιον ἐπιφέρεσθαι, ὥστε ἐπιστάζειν ἐντεῦθεν τῷ λύχνῳ τὸ ἔλαιον, διὰ τὸ σκότος εἶναι καὶ ἐν ἡμέρᾳ ἀφεγγές, ὥσπερ ἔφθην εἰπών. εἶτα ἐπειδὰν ὁ καιρὸς ἐπὶ τὴν ταλαίπωρον αὐτὸν καλῇ τροφήν, αὐτὸν μὲν ἀγνοεῖν τὸν καιρόν, τὸν δὲ δεσμοφύλακα τὸν ἐκείνου ἄνωθεν πατάξαντα σφοδρῶς τὸ σπήλαιον, διὰ τοῦ πατάγου καὶ τῆς φωνῆς ἐκείνης δηλοῦν τοῖς κάτω ἐργαζομένοις τῆς ἡμέρας τὸ τέλος. ἆρ᾽ οὐκ ἐφρίξατε ταῦτα ἀκούσαντες; ἴδωμεν τοίνυν, εἰ μὴ χαλεπώτερα τούτων πάσχουσιν οἱ φιλάργυροι. καὶ γὰρ καὶ οὗτοι βαρύτερον ἔχουσι δεσμοφύλακα, τὴν φιλαργυρίαν, καὶ τοσούτῳ βαρύτερον, ὅσῳ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν αὐτοῖς συνδεῖ. καὶ τὸ σκότος δὲ τοῦτο ἐκείνου φρικωδέστερον. οὐ γάρ ἐστιν αἰσθητόν, ἀλλ᾽ ἔνδοθεν αὐτὸ τίκτοντες, ὅπουπερ ἂν ἀπίωσι, πανταχοῦ μεθ᾽ ἑαυτῶν περιφέρουσιν. ἔσβεσται γὰρ αὐτοῖς ὁ τῆς ψυχῆς ὀφθαλμός. διὸ καὶ μάλιστα πάντων αὐτοὺς ὁ Χριστὸς ταλανίζει λέγων· εἰ δὲ τὸ φῶς τὸ ἐν σοί, σκότος, τὸ σκότος πόσον; κἀκεῖνοι μὲν κἂν λύχνον ἔχουσι φαίνοντα, οὗτοι δὲ καὶ ταύτης ἀπεστέρηνται τῆς αὐγῆς.



A invenerimus, nempe avaritiam; age, ostendam tibi, quomodo illa te odio habeat & aversetur: quot contra te gladios acuat, quam multa fodiat barathra, quam multos tendat laqueos, quanta apparet præcipitia; ut sic amorem exstinguas. Undenam hæc sciri possunt? ex viis, ex bellis, ex mari, ex tribunalibus. Nam mare implet sanguine, & judicum sæpe cruentat gladios, sæpe injuste, eosque qui noctu & interdiu in viis insidiantur ipsa armat, & suadet ignorare naturam: parricidas facit & matricidas, & B omnia mala in vitam infert.

6. Ideoque Paulus vocat illam malorum radicem. Ipsa amatores suos non meliore conditione jacere sinit, quam eos qui metalla operantur. Quemadmodum enim illi perpetuo in tenebris conclusi & vincti inutiliter laborant; sic & isti in speluncis avaritiæ defossi, nemine necessitatem inferente, sua sponte sibi supplicium attrahunt, se insolubilibus circumligantes vinculis. Et ad metalla damnati quidem, vespere saltem adveniente a laboribus solvuntur; hi vero & die & nocte improba hæc metalla defodiunt. Et C illis quidem modus est constitutus laboriosæ illius operationis; hi vero nullum modum norunt; sed quo magis foderint, eo majorem appetunt miseriam. Si autem illi quidem inviti, hi vero sponte sua, morbi mihi dicis gravitatem, quod nempe liberari non possint, si quidem malam suam sortem non oderunt. Sed quasi sus in luto, sic illi in avaritiæ fœtoribus volutati sibi placent, graviora patientes quam damnati illi. Nam quod pejore conditione sint, audi quæ ad illos spe- D ctant, & tunc audies quæ ad hos pertinent. Dicitur ergo terra illa aurifera latibula & recessus habere in tenebrosis illis speluncis. Facinorosum, qui ad illos labores damnatus est, ideo lucernam accipientem & ligonem, ita ingredi, & gutturnium afferre ut inde oleum in lucernam infundat, quia tenebræ illic sunt etiam interdiu, ut jam dixi. Deinde quando tempus infelicem illum vocat ad cibum, ipsum quidem tempus ignorare narrant; vincti vero custodem superne vehementer pulsantem speluncam, per strepitum & vocem indicare finem esse E diei. Annon inhorruistis hæc audientes? Videamus ergo annon his graviora patiantur avari. Nam hi quoque graviorem habent carceris custodem, avaritiam, & eo graviorem, quod cum corpore animam simul colliget. Hæ vero tenebræ sunt illis horribiliores; non sunt enim sensibiles, sed illas intus parientes avari, quocumque abierint, ubique secum circumferunt: exstinctus est enim ipsis animæ oculus. Ideoque Christus illos maxime omnium miseros prædicat dicens: *Si autem lumen quod in te est, tenebræ sint, tenebræ quantæ erunt?* Et illi quidem saltem lucernam habent lucen- Matth. 6. 23.

tem; hi autem illa privantur: ideoque quotidie in barathra incidunt innumera. Et damnati illi quidem adveniente nocte respirant, in communem eorum qui diem infeliciter transegerunt tranquillitatem navigantes, in noctem dico; avaris autem hunc portum obstruxit avaritia; tot & tantis curis noctu distinentur in otio, nemine negotium faciente, seipsos macerantes. Et quæ hic quidem aguntur talia sunt; quæ vero illic, quis sermo recensere possit, fornaces intolerabiles, fluvios igne ardentes, dentes stridentes, insolubilia vincula, vermem venenatum, tenebras lucis expertes, mala nunquam finem habentia. Timeamus ergo, dilecti, fugiamus fontem tantorum cruciatuum, furorem insatiabilem, nostræ salutis perniciem. Non possunt enim simul amari pecunia & anima. Discamus pecunias esse terram & pulverem, quod nos deserant hinc demigrantes, imo vero sæpe ante decessum nostrum resiliant, quod ad futuram noceant & ad præsentem vitam. Nam & ante gehennam, & ante supplicium illud, in bella hîc nos innumera conjiciunt, seditiones excitant & pugnas. Nihil enim ita bellum concitat ut avaritia; nihil ita inopem reddit, sive in divitiis, sive in paupertate apparuerit. Nascitur enim etiam in pauperum animis gravis hic morbus, illorumque paupertatem magis atterit. Si autem inventus fuerit pauper avarus, non in divitiis ille, sed in fame dat pœnas. Non enim potest vel modicis illis quæ habet libere frui, sed & ventrem fame vexat, & corpus totum nuditate & frigore ulciscitur, & iis qui sunt in vinculis ubique squallidior & sordidior est: semper flet & lamentatur, ac si omnium miserrimus sit, etiamsi innumeri sint illo pauperiores. Hic si in forum ingressus fuerit, abit multis acceptis vibicibus, si in balneum, si in theatrum, plura accipiet vulnera, non a spectatoribus solum, sed etiam ab iis qui in scena sunt: cum viderit meretrices multas auro fulgentes. Hic etiam si in mari naviget, mercatores, & naves plurimis onustas mercibus cogitans, & lucra ingentia, neque se vivere putabit. Etiamsi per terram iter agat, agros, prædia suburbana, diversoria, balnea, proventus inde partos cogitans, non vitalem sibi vitam esse postea putabit. Quod si illum etiam intra domum incluseris, quæ in foro accepit vulnera refricans, apud se magis animum cruciabit: unamque novit solum consolationem malorum quibus premitur, mortem & ex hac vita migrationem. Hæc non pauper modo, sed etiam dives, qui in hunc inciderit morbum, patietur, & tanto magis quam pauper, quanto vehementior imminet illi tyrannis, & major

A διὸ καὶ καθ' ἑκάστην ἡμέραν εἰς μυρία ἐμπίπτουσι βάραθρα.
καὶ οἱ μὲν καταδίκοι, νυκτὸς καταλαβούσης, ἀναπνέουσιν,
εἰς τὴν κοινὴν τῶν δυσημερούντων καταπλεύσαντες
γαλήνην, τὴν νύκτα λέγω· τοῖς δὲ φιλαργύροις καὶ
τοῦτον ἡ πλεονεξία περιέχωσε τὸν λιμένα· τοσούτων δὲ
ἐν νυκτὶ φροντίζουσι χαλεπῶς, ἅτε μηδενὸς ἐνοχλοῦν-
τος μετὰ σχολῆς ἁπάσης κατακόπτοντες ἑαυτούς. καὶ
τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ, ποῖος παραστή-
σει λόγος; τὰς καμίνους τὰς ἀφορήτους, τοὺς πυριφλε-
γέθοντας ποταμοὺς, τοὺς βρυχομένους ὀδόντας, τὰ
B δεσμὰ τὰ ἄλυτα, τὸν σκώληκα τὸν ἰοβόλον, τὸ σκό-
τος τὸ ἀφεγγὲς, τὰ μηδέποτε πέρας λαμβάνοντα
κακά. φοβηθῶμεν τοίνυν, ἀγαπητοὶ, φοβηθῶμεν τὴν
πηγὴν τῶν τοσούτων τιμωριῶν, τὴν ἀκόρεστον μανίαν,
τὴν λύμην τῆς ἡμετέρας σωτηρίας. οὐ γάρ ἐστιν ὁμοῦ
καὶ ἀργύριον φιλεῖν, καὶ ψυχήν. μάθωμεν ὅτι γῆ
καὶ σποδὸς τὰ χρήματα, ὅτι ἀπολιμπάνει ἡμᾶς ἀπο-
δημοῦντας ἐντεῦθεν, μᾶλλον δὲ ὅτι καὶ πρὸ τῆς ἀπο-
δημίας πολλάκις ἡμῶν ἀποπηδᾷ, καὶ πρὸς τὰ μέλ-
λοντα παραβλάπτει, καὶ πρὸς τὴν παροῦσαν ζωήν.
καὶ γὰρ πρὸ τῆς γεέννης, καὶ πρὸ τῆς κολάσεως
C ἐκείνης, μυρίοις κἀνταῦθα ἡμᾶς περιβάλλει πολέμοις,
καὶ στάσεις ἐγείρει καὶ μάχας. οὐδὲν γὰρ οὕτω πολεμο-
ποιὸν, ὡς φιλαργυρία· οὐδὲν οὕτω πτωχοποιὸν, κἂν
ἐν πλούτῳ, κἂν ἐν πενίᾳ φανῇ. φύεται γὰρ καὶ ἐν πε-
νήτων ψυχαῖς τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πλέον
αὐτῶν ἐπιτείνει τὴν πενίαν. κἂν εὑρεθῇ πένης φιλάργυ-
ρος, οὐκ ἐν χρήμασιν ὁ τοιοῦτος, ἀλλ' ἐν λιμῷ δί-
δωσι δίκην. οὐ γὰρ ἀνέχεται τῶν μετρίων αὐτῶν ἀπο-
λαῦσαι μετὰ ἀδείας, ἀλλὰ καὶ τὴν γαστέρα λιμῷ κα-
τατείνει, καὶ τὸ σῶμα ἅπαν γυμνότητι καὶ κρυμῷ
τιμωρεῖται, καὶ τῶν δεσμωτῶν μᾶλλον αὐχμηρὸν καὶ
D ῥυπῶν πανταχοῦ φαίνεται· καὶ ἀεὶ θρηνεῖ καὶ ὀδύρε-
ται, ὥσπερ πάντων ὢν ἀθλιώτερος, κἂν μυρίους πε-
νεστέρους ἔχῃ. οὗτος, κἂν εἰς ἀγορὰν ἐμβάλλῃ, [a] πολλοὺς
λαβὼν ἄπεισι μώλωπας· κἂν εἰς βαλανεῖον, κἂν εἰς
θέατρον, πλείονα λήψεται τραύματα, οὐκ ἀπὸ τῶν θεω-
ρούντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐπὶ τῆς σκηνῆς,
ὅταν ἴδῃ πολλὰς τῶν πορνευομένων γυναικῶν χρυσίῳ
καταλαμπομένας. οὗτος κἂν τὴν θάλατταν πλέῃ, τοὺς
ἐμπόρους πάλιν καὶ τὰς μυριαγώγους ναῦς ἐννοῶν καὶ τὰ
ἄπειρα κέρδη, οὐδὲ ζῆν ἑαυτὸν ἡγήσεται· κἂν διὰ γῆς
ὁδεύῃ, τοὺς ἀγροὺς, τὰ προάστεια, τὰ καταλύματα,
τὰ βαλανεῖα, τὰς ἐκ τούτων προσόδους ἀναλογιζόμενος,
E ἀβίωτον ἑαυτῷ τὸν βίον ἡγήσεται εἶναι λοιπόν· κἂν οἴκοι δὲ
κατακλείσῃς αὐτὸν, τὰ ἀπὸ τῆς ἀγορᾶς τραύματα ἀναξαί-
νων, καθ' ἑαυτὸν μειζόνως λυμαίνεται τὴν ψυχήν·
καὶ μίαν οἶδε παραμυθίαν μόνον τῶν κατεχόντων αὐ-
τὸν κακῶν, τὸν θάνατον καὶ τὴν ἐντεῦθεν ἀπαλ-
λαγήν. ταῦτα δὲ οὐχ ὁ πένης μόνον, ἀλλὰ καὶ ὁ
πλούσιος ὁ τούτῳ περιπεσὼν τῷ νοσήματι πείσεται,
καὶ τοσούτῳ μᾶλλον τοῦ πένητος, ὅσῳ καὶ σφοδρο-
τέρα ἐπίκειται τούτῳ ἡ τυραννὶς, καὶ πλείων ἡ μέθη.

[a] Sic Reg. & Savil. In Morel., λαβὼν desideratur.

διὰ τὸ πάντων πενέστερον ἑαυτὸν εἶναι ἡγήσεται, μᾶλλον δὲ καὶ ἔστι πενέστερος. οὐ γὰρ τῷ μέτρῳ τῆς οὐσίας, ἀλλὰ τῇ διαθέσει τῆς γνώμης ὁ πλοῦτος καὶ ἡ πενία κρίνονται· καὶ ἐκεῖνος μᾶλλόν ἐστιν ὁ πάντων πτωχότατος, ὁ ἀεὶ τοῦ πλείονος ἐπιθυμῶν, καὶ μηδέποτε στῆσαι δυνάμενος τὴν πονηρὰν ταύτην ἐπιθυμίαν. Διὰ δὴ ταῦτα πάντα φεύγωμεν τὴν φιλαργυρίαν, τὴν πτωχοποιὸν, τὴν ψυχοφθόρον, τὴν γεέννης φίλην, τὴν ἐχθρὰν τῆς βασιλείας τῶν οὐρανῶν, τὴν μητέρα πάντων ὁμοῦ τῶν κακῶν· καὶ καταφρονῶμεν χρημάτων, ἵνα ἀπολαύσωμεν χρημάτων, καὶ μετὰ χρημάτων ἀπολαυσώμεθα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καὶ τὰ ἑξῆς.

A ebrietas. Ideo se omnium pauperrimum putabit, imo etiam vere pauperrimus est. Non enim ex facultatum modo, sed ex mentis affectu æstimantur divitiæ & paupertas. Et ille magis est omnium pauperrimus, qui semper plura concupiscit, & nunquam sistere potest hanc malam concupiscentiam. Propter hæc omnia fugiamus avaritiam, quæ paupertatem inducit, animas corrumpit, gehennæ amicam, inimicam regni cælorum, matrem omnium simul malorum, & pecunias contemnamus, ut fruamur pecuniis, & cum B pecuniis fruamur etiam bonis nobis promissis, quæ utinam nos omnes assequi contingat, &c.

Omnium pauperrimus est qui plura semper concupiscit.

## ΟΜΙΛΙΑ κδ'.

## HOMILIA XXIV.

Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος. πιστὸς δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, καὶ τὰ ἑξῆς.

13. *Tentatio vos non apprehendat nisi humana. Fidelis autem est Deus, qui non patietur vos tentari supra id quod potestis; sed faciet cum tentatione proventum, ut possitis sustinere, &c.*

ΕΠΕΙΔΗ γὰρ ἐφόβησεν αὐτοὺς ἱκανῶς, τὰ παλαιὰ διηγησάμενος παραδείγματα, καὶ εἰς ἀγωνίαν ἐνέβαλεν, εἰπὼν, ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ, ἦσαν δὲ καὶ πειρασμοὺς ἐνηνοχότες πολλοὺς, καὶ γυμνασάμενοι πολλάκις ἐν τούτοις· καὶ γὰρ ἐν ἀσθενείᾳ, φησὶ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς, ἵνα μὴ λέγωσι, τί φοβεῖς ἡμᾶς καὶ δεδίττῃ; οὐκ ἐσμὲν τούτων ἀμελέτητοι τῶν κακῶν, καὶ γὰρ ἠλάθημεν, καὶ ἐδιώχθημεν, καὶ πολλοὺς καὶ συνεχεῖς ὑπεμείναμεν κινδύνους· καταστέλλων αὐτῶν πάλιν τὸ φύσημά φησι, πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος, τουτέστι, μικρὸς, βραχὺς, σύμμετρος. τὸ γὰρ ἀνθρώπινον ἐπὶ τοῦ μικροῦ λέγει, ὡς ὅταν λέγῃ, ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. μὴ τοίνυν μέγα φρονεῖτε, φησὶν, ὡς περιγενόμενοι τοῦ κλύδωνος. οὐδέποτε γὰρ εἴδετε κίνδυνον θάνατον ἀπειλοῦντα, οὐδὲ πειρασμὸν σφαγὴν ἐπαγγελλόμενον· ὃ καὶ Ἑβραίοις ἔλεγεν, οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. εἶτα ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς πάλιν αὐτοὺς ἀνίστησι μετὰ τοῦ πεῖσαι μετριάζειν, λέγων· πιστὸς δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἄρα εἰσὶ πειρασμοὶ, οὓς οὐ δυνατὸν ὑπενεγκεῖν. καὶ τίνες οὗτοι; πάντες, ὡς εἰπεῖν. τὸ γὰρ δυνατὸν ἐν τῇ τοῦ θεοῦ ῥοπῇ κεῖται, ἣν διὰ τῆς ἡμετέρας ἐπισπώμεθα γνώμης. διόπερ ἵνα μάθῃς καὶ ἴδῃς, ὅτι οὐ μόνον ἐκείνους τοὺς ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλ' οὐδὲ τούτους τοὺς ἀνθρωπίνους ἔνι χωρὶς τῆς ἐκεῖθεν βοηθείας ῥᾳδίως ἐνεγκεῖν, ἐπήγαγεν, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. οὐδὲ γὰρ ἐκείνους τοὺς συμμέτρους, ὅπερ ἔφην, φησὶ, τῇ ἰδίᾳ δυνάμει διοίσομεν· ἀλλὰ κἀνταῦθα τῆς παρ' αὐτοῦ δεόμεθα συμμαχίας, ὥστε αὐτοὺς διεξελθεῖν, καὶ πρὶν

C 1. QUIA enim satis terruit eos vetera narrans exempla, atque in animi angorem conjecit, dicens, qui videtur stare, videat ne cadat: multas autem tulerant tentationes, & in iis sæpe sese exercuerant: nam in infirmitate, inquit, & in timore & tremore multo fui apud vos; ne dicerent, cur nos terres & timore afficis? non sumus in iis malis inexercitati, nam pulsi sumus & persequutionem passi, multa & frequentia subiimus pericula; illorum rursus tumorem reprimens ait: Tentatio vos non apprehendat nisi humana; id est, parva, D brevis, moderata. Humanum enim dicit de parvo, ut cum ait: Humanum dico propter infirmitatem carnis vestræ. Ne itaque altum sapiatis, inquit, ac si tempestatem superaveritis. Nondum enim vidistis periculum quod mortem minaretur, neque tentationem mortem intentantem. Quod etiam Hebræis dicebat: *Nondum usque ad sanguinem restitistis* adversus peccatum decertantes. Deinde quia exterruerat, vide quomodo rursus illos erigat, postquam persuaserat illis ut modeste agerent, dicens: Fidelis est Deus qui non patietur vos tentari supra id quod E potestis. Ergo sunt tentationes quæ ferri non possunt. Et quænam illæ? Omnes, ut ita dicam. Potestas enim in Dei nutu sita est, quam per voluntatis nostræ sententiam attrahimus. Quamobrem ut discas & videas, quod non solum illas quæ nostram superant potestatem, sed neque hasce humanas possimus sine illius auxilio facile ferre, subjunxit: sed faciet cum tentatione proventum, ut possitis sustinere. Neque enim illas moderatas, ut dixi, propria virtute feremus: sed in his quoque ejus egemus auxilio, ut eas per-

Heb. 12. 4.

vadamus, & antequam pervadamus feramus. Ipſe namque patientiam dat, & promtam liberationem affert; ita ut hac ratione tentatio ferri poſſit. Hoc enim ſubindicavit dicens: Faciet exitum ut poſſitis ſuſtinere, omniaque illi attribuit. 14. *Propter quod, cariſſimi mei, fugite ab idolorum cultu.* Rurſus illos leniter alloquitur addito cognationis nomine, & cum magna urget celeritate ut ab hoc peccato liberentur. Non enim dicit ſolum, diſcedite, ſed fugite: ac rem vocat idololatriam: & ob proximi damnum jam non modo abſcedere jubet; ſed rem ipſam per ſe ſufficere ait ad magnam afferendam perniciem. 15. *Ut prudentibus loquor, vos judicate quod dico.* Quia enim rem magnam loquutus eſt, & crimen auxit vocans idololatriam, ne videretur exaſperare illos, & moleſta uti oratione, illis demum judicium permittit, & cum laude judices conſtituit illos. Ut prudentibus loquor, inquit: quod eſt admodum confidentis cauſæ & juri ſuo, cum nempe illum qui accuſatur dicti judicem conſtituit. Hoc auditorem magis erigit, quando non quaſi imperans & legem ferens, ſed quaſi conſulens, & illorum judicium exſpectans, ſic diſſerit. Cum Judæis enim, utpote inſana & puerili mente præditis, non ſic Deus loquebatur, neque ſemper illis mandatorum cauſas indicabat; ſed tantum jubebat. Hic autem, quia magna libertate fruimur, & conſilium nobis adeſt, ut amicos nos alloquitur, & ait, Non opus eſt mihi aliis judicibus: vos mihi calculum ferte, vos accipio judices. 16. *Calix benedictionis, cui benedicimus, nonne communicatio ſanguinis Chriſti eſt?* Quid dicis, o beate Paule? ut auditorem pudore afficias, myſteriaque horrenda memorans, benedictionis calicem vocas, terribilem illum atque formidandum calicem? Etiam, inquit: non parva enim res eſt quæ dicitur. Nam cum benedictionem dico, omnem explico Dei beneficentiæ theſaurum, & magna illa dona in memoriam revoco. Nam nos quoque ad calicem recenſentes ineffabilia Dei beneficia, & omnia quibus fruimur, ſic illum offerimus & communicamus, gratias agentes quod genus humanum ab errore liberaverit, quod eos qui procul erant prope fecerit, quod eos qui ſpem non haberent & athei erant in mundo, fratres ſuos & coheredes conſtituerit. Pro his & ſimilibus gratias agentes, ſic accedimus. Quomodo non contraria facitis, inquies, o Corinthii, Deo quidem benedicentes, quod vos ab idolis liberaverit, dum rurſus ad illorum menſas accurritis? *Calix benedictionis, cui benedicimus, nonne communicatio ſanguinis Chriſti eſt?* Valde fideliter dixit & terribiliter: hoc enim vult ſignificare: Hoc quod in calice eſt, illud ip-

A ἢ διεξελθεῖν, ἐνεγκεῖν. αὐτὸς γὰρ τὴν ὑπομονὴν δίδωσι, καὶ τὴν ταχεῖαν ἀπαλλαγὴν ἐπάγει, ὥστε καὶ ταύτῃ φορητὸν γενέσθαι τὸν πειρασμόν. τοῦτο γὰρ ᾐνίξατο εἰπών, ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν· καὶ πάντα αὐτῷ ἀνατίθησι. διόπερ, ἀδελφοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας. πάλιν αὐτοὺς θεραπεύει τῷ τῆς συγγενείας ὀνόματι, καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπείγει τῆς ἁμαρτίας ἀπαλλαγῆναι ταύτης. οὐδὲ γὰρ εἶπεν, ἀπόστητε ἁπλῶς, ἀλλὰ, φεύγετε· καὶ τὸ πρᾶγμα εἰδωλολατρείαν καλεῖ, καὶ οὐκέτι διὰ τὴν τοῦ πλησίον βλάβην ἀφίστασθαι μόνον κελεύει, ἀλλὰ καὶ αὐτὸ
B καθ᾽ ἑαυτὸ δείκνυσιν ἱκανὸν μεγάλην ἐνεγκεῖν λύμην. ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι. ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, καὶ τὴν κατηγορίαν ηὔξησεν, εἰδωλολατρείαν καλέσας, ἵνα μὴ δόξῃ τραχύνειν αὐτοὺς καὶ φορτικὸν ποιεῖν τὸν λόγον, αὐτοῖς λοιπὸν ἐπιτρέπει τὴν κρίσιν, καὶ μετ᾽ ἐγκωμίου καθίζει τοὺς δικάζοντας. ὡς φρονίμοις γὰρ λέγω, φησίν· ὅπερ σφόδρα θαῤῥοῦντός ἐστι τοῖς οἰκείοις δικαιώμασι, τὸ τὸν ἐγκαλούμενον αὐτὸν καθίσαι τῶν λεγομένων κριτήν. τοῦτο καὶ τὸν ἀκροατὴν αἴρει μειζόνως, ὅταν μὴ ὡς ἐπιτάττων, μηδὲ ὡς
C νομοθετῶν, ἀλλ᾽ ὡς συμβουλεύων καὶ παρ᾽ αὐτοῖς ἐκείνοις δικαζόμενος, οὕτω διαλέγηται. Ἰουδαίοις μὲν γάρ, ἅτε ἀνοητότερον διακειμένοις καὶ παιδικώτερον, οὐχ οὕτως ὁ θεὸς διελέγετο, οὐδὲ πανταχοῦ τὰς αἰτίας αὐτοῖς ἔλεγε τῶν ἐπιταγμάτων, ἀλλ᾽ ἐκέλευε μόνον. ἐνταῦθα δὲ, ἐπειδὴ πολλῆς ἐλευθερίας ἀπηλαύσαμεν, καὶ συμβουλῆς ἀπολαύομεν, καὶ ὡς φίλοις διαλέγεται, καί φησιν, οὐ δέομαι ἑτέρων δικαστῶν· αὐτοί μοι τὴν ψῆφον ὑμεῖς φέρετε ταύτην, ὑμᾶς λαμβάνω κριτάς. τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί; τί λέγεις, ὦ μακάριε Παῦλε;
D θέλων ἐντρέψαι τὸν ἀκροατήν, καὶ μυστηρίων μεμνημένος φρικτῶν, εὐλογίας ποτήριον καλεῖς τὸ ποτήριον τὸ φοβερὸν καὶ φρικωδέστατον ἐκεῖνο; ναί, φησιν· οὐ γὰρ μικρὸν τὸ εἰρημένον. εὐλογίαν γὰρ [a] ὅταν εἴπω, πάντα ἀναπτύσσω τὸν τῆς εὐεργεσίας τοῦ θεοῦ θησαυρόν, καὶ τῶν μεγάλων ἐκείνων ἀναμιμνήσκω δωρεῶν. καὶ γὰρ καὶ ἡμεῖς ἐπιλέγοντες τῷ ποτηρίῳ τὰς ἀφάτους εὐεργεσίας τοῦ θεοῦ, καὶ ὅσων ἀπολελαύκαμεν, οὕτως [b] αὐτὸ προσάγομεν καὶ κοινωνοῦμεν, εὐχαριστοῦντες ὅτι τῆς πλάνης ἀπήλλαξε τὸ τῶν ἀνθρώπων γένος· ὅτι μακρὰν ὄντας, ἐγγὺς ἐποίησεν· ὅτι ἐλπίδα μὴ ἔχοντας καὶ ἀθέους ἐν τῷ
E κόσμῳ, ἀδελφοὺς ἑαυτοῦ κατεσκεύασε καὶ συγκληρονόμους. ὑπὲρ τούτων, καὶ τῶν τοιούτων ἁπάντων εὐχαριστοῦντες, οὕτω πρόσιμεν. πῶς οὖν οὐκ ἐναντία, ποιεῖτε, φησιν, ὦ Κορίνθιοι, εὐλογοῦντες μὲν τὸν θεόν, ὅτι τῶν εἰδώλων ὑμᾶς ἀπήλλαξε, πάλιν δὲ ἐπὶ τὰς ἐκείνων τρέχοντες τραπέζας; τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί; σφόδρα πιστῶς καὶ φοβερῶς εἴρηκεν. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ὅτι τοῦτο τὸ ἐν ποτηρίῳ ὄν,

a Reg. ὅταν εἴπω, εὐχαριστίαν λέγω. εὐχαριστίαν δὲ ὅταν εἴπω, πάντα ἀναπ-

b αὐτὸ προσάγομεν. Reg. αὐτὸ προσερχόμεθα.

A ἐκεῖνό ἐστι τὸ ἀπὸ τῆς πλευρᾶς ῥεῦσαν, καὶ ἐκείνου μετέχομεν. ποτήριον δὲ εὐλογίας ἐκάλεσεν, ἐπειδὴ αὐτὸ μετὰ χεῖρας ἔχοντες, οὕτως αὐτὸν ἀνυμνοῦμεν, θαυμάζοντες, ἐκπληττόμενοι τῆς ἀφάτου δωρεᾶς, εὐλογοῦντες ὅτι καὶ αὐτὸ τοῦτο ἐξέχεεν, ἵνα μὴ μείνωμεν ἐν τῇ πλάνῃ· καὶ οὐ μόνον ἐξέχεεν, ἀλλὰ καὶ πᾶσιν ἡμῖν αὐτοῦ μετέδωκεν. ὥστε εἰ αἵματος ἐπιθυμεῖς, φησι, μὴ τὸν εἰδώλων βωμὸν τῷ τῶν ἀλόγων φόνῳ, ἀλλὰ τὸ θυσιαστήριον τὸ ἐμὸν τῷ ἐμῷ φοίνισσε αἵματι. τί τούτου φρικωδέστερον; τί δὲ φιλοστοργότερον, εἰπέ μοι;

Τοῦτο καὶ οἱ ἐρῶντες ποιοῦσιν· ὅταν ἴδωσι τοὺς ἐρωμένους [a] τῶν ἀλλοτρίων ἐπιθυμοῦντας καὶ τῶν οἰκείων καταφρονοῦντας, τὰ αὐτῶν διδόντες πείθουσιν ἀποστῆναι τῶν ἐκείνων. B ἀλλ' οἱ ἐρῶντες μὲν ἐν κτήμασι, καὶ χρήμασι, καὶ ἱματίοις ταύτην ἐπιδείκνυνται τὴν φιλοτιμίαν, ἐν αἵματι δὲ οὐδεὶς οὐδέποτε. ὁ δὲ Χριστὸς καὶ ἐν τούτῳ τὴν κηδεμονίαν ἐπεδείξατο καὶ τὴν θερμὴν περὶ ἡμᾶς ἀγάπην. καὶ ἐν μὲν τῇ παλαιᾷ ἐπειδὴ ἀτελέστερον διέκειντο, ὃ τοῖς εἰδώλοις προσέφερον αἷμα, τοῦτο αὐτὸς ὑπέμεινε καταδέξασθαι, ἵνα ἀποστήσῃ ἐκείνων, ὃ καὶ αὐτὸ πάλιν ἀφάτου φιλοστοργίας ἦν· ἐνταῦθα δὲ ἐπὶ τὸ πολλῷ φρικωδέστερον καὶ μεγαλοπρεπέστερον τὴν ἱερουργίαν μετεσκεύασε, C καὶ τὴν θυσίαν αὐτὴν ἀμείψας, καὶ ἀντὶ τῆς ἀλόγων σφαγῆς ἑαυτὸν προσφέρειν κελεύσας. ὁ ἄρτος, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστί; διὰ τί μὴ εἶπε, μετοχή; ὅτι πλέον τι δηλῶσαι ἠβουλήθη, καὶ πολλὴν ἐνδείξασθαι τὴν συνάφειαν. οὐ γὰρ τῷ μετέχειν μόνον καὶ μεταλαμβάνειν, ἀλλὰ καὶ τῷ ἑνοῦσθαι κοινωνοῦμεν. καθάπερ γὰρ τὸ σῶμα ἐκεῖνο ἥνωται τῷ Χριστῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου τούτου ἑνούμεθα. διὰ τί δὲ προσέθηκεν, ὃν κλῶμεν; τοῦτο γὰρ ἐπὶ μὲν τῆς εὐχαριστίας ἐστὶν ἰδεῖν γινόμενον· ἐπὶ δὲ τοῦ σταυροῦ οὐκέτι, ἀλλὰ καὶ τοὐναντίον τούτῳ. D ὀστοῦν γὰρ αὐτοῦ, φησιν, οὐ συντριβήσεται. ἀλλ' ὅπερ οὐκ ἔπαθεν ἐπὶ τοῦ σταυροῦ, τοῦτο πάσχει ἐπὶ τῆς προσφορᾶς διὰ σὲ, καὶ ἀνέχεται διακλώμενος, ἵνα πάντας ἐμπλήσῃ. εἶτα ἐπειδὴ εἶπε, κοινωνία τοῦ σώματος, τὸ δὲ κοινωνοῦν ἕτερόν ἐστιν ἐκείνου, οὗ κοινωνεῖ, καὶ ταύτην τὴν δοκοῦσαν εἶναι μικρὰν διαφορὰν ἀνεῖλεν. εἰπὼν γὰρ, κοινωνία τοῦ σώματος, ἐζήτησε πάλιν ἐγγύτερόν τι εἰπεῖν. διὸ καὶ ἐπήγαγεν, ὅτι εἷς ἄρτος, ἓν σῶμά ἐσμεν οἱ πολλοί. τί γὰρ λέγω κοινωνίαν, φησίν; αὐτό ἐσμεν ἐκεῖνο τὸ σῶμα. τί γάρ ἐστιν ὁ ἄρτος; σῶμα Χριστοῦ. E τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; σῶμα Χριστοῦ· οὐχὶ σώματα πολλὰ, ἀλλὰ σῶμα ἕν. καθάπερ γὰρ ὁ ἄρτος ἐκ πολλῶν συγκείμενος κόκκων ἥνωται, ὡς μηδαμοῦ φαίνεσθαι τοὺς κόκκους, ἀλλ' εἶναι μὲν αὐτοὺς, ἄδηλον δὲ αὐτῶν εἶναι τὴν διαφορὰν τῇ συναφείᾳ, οὕτω καὶ ἀλλήλοις καὶ τῷ Χριστῷ συναπτόμεθα. οὐ γὰρ ἐξ ἑτέρου μὲν σώματος σὺ, ἐξ ἑτέρου δὲ ἐκεῖνος τρέφεται, ἀλλ' ἐκ τοῦ αὐτοῦ πάντες.

[a] Reg. τῶν ἀλλοτρίων ἐφιεμένους καί.

A sum est quod ex latere fluxit, & illius sumus participes. Calicem autem benedictionis vocavit, quia illum præ manibus habentes, sic ipsum celebramus, admirantes, terrore perculsi de ineffabili dono, benedicentes quod ipsum effuderit, ut ne in errore maneremus; & non solum effuderit, sed etiam eum ipsum nobis omnibus impertierit. Itaque si sanguinem cupis, inquit, ne idolorum aram brutorum cæde, sed altare meum sanguine meo cruenta. Quid hac re horribilius? quid, quæso, amabilius?

Calix benedictionis cur ita dictus.

2. Hoc & amatores faciunt. Cum B vident eos quos amant aliena concupiscentes, & sua despicientes, sua dantes persuadent abscedere ab iis quæ illorum sunt. Sed qui amant, in possessionibus, pecuniis & vestibus hanc exhibent liberalitatem · in sanguine autem nullus unquam. Christus vero in hoc curam suam ostendit & ardentem erga nos caritatem. Et in veteri quidem lege, quia imperfectiores erant, quem idolis offerebant sanguinem, eum ipse excipere sustinuit, ut ab illis abduceret: quod ipsum rursus erat amoris ineffabilis. Hic autem in rem horribiliorem & magnificentio- C rem sacerdotalem transtulit operationem, ipso mutato sacrificio, & pro brutorum mactatione seipsum jussit offerri. *Panis quem frangimus, nonne communicatio corporis Christi est?* Cur non dixit, participatio? Quia voluit quid amplius significare, & magnam indicare conjunctionem. Non enim cum participamus tantum & sumimus, sed etiam cum conjungimur communicamus. Quemadmodum enim corpus illud Christo jungitur, ita & nos per panem hunc unimur. Cur autem addidit, quem frangimus? hoc enim in eucharistia fieri videre est; in cruce vero D non item, imo contrarium: ait enim, *Os non comminuetur.* Sed quod non passus est in cruce, hoc propter te patitur in oblatione, & frangi patitur ut omnes impleat. Deinde quia dixit communicationem corporis, quod autem communicat, aliud est ab eo cui communicat, hanc etiam, quæ parva videbatur esse, differentiam sustulit. Cum dixisset enim, communicatio corporis, quæsivit rursum aliquid propinquius dicere; ideo subjunxit: *Quoniam unus panis & unum corpus multi sumus.* Quid enim, inquit, dico communicationem? Illud ipsum corpus E sumus. Quid est enim panis? Corpus Christi. Quid autem fiunt communicantes? Corpus Christi, non corpora multa, sed unum corpus. Sicut enim panis ex multis granis constans, unitus est, ita ut grana nusquam appareant; sed sint quidem ipsa, non manifesta autem sit illorum differentia propter conjunctionem; sic nos & mutuo & cum Christo conjungimur. Non enim ex altero corpore hic, ex altero ille nutritur, sed ex eodem ipso om-

nes. Ideo adjecit, *Omnes enim ex uno pane participamus.* Si autem ex eodem, & idipsum efficimur omnes, cur non eamdem caritatem exhibemus, & ea ratione unum efficimur? Nam olim majorum nostrorum tempore hoc erat. Multitudinis enim credentium, inquit, cor unum & anima una erat. At non nunc, imo totum contrarium. Multa & varia sunt inter omnes bella, & feris sævius affecti sumus alter in alterius membra. Et Christus quidem te, etsi tantum ab ipso disjunctum, univit. Tu vero ne fratri quidem jungi dignaris cum debita accuratione, sed abscindis te, tantam a Domino & caritatem & vitam consequutus. Neque enim solummodo corpus suum dedit; sed quia prior carnis natura ex terra formata, a peccato prius morte affecta & amissa vita aliam, ut quis dixerit, massam & fermentum induxit; carnem suam, quæ naturâ eadem erat, peccato autem liberam, & vitâ plenam, omnibus participandam dedit, ut ea nutriti & deposita priore quæ mortua erat, in vitam immortalem per hanc mensam coaptaremur. 18. *Videte Israel secundum carnem. Nonne qui edunt hostias, participes sunt altaris?* Rursus ex veteri lege ad idem inducit. Quia enim longe imbecilliores erant quam ut dictorum magnitudinem caperent, a prioribus & assuetis illis persuadet. Et apposite ait, secundum carnem, quod ipsi essent secundum spiritum. Hoc autem vult significare. Etiam a crassioribus docemini quod qui hostias comedunt, participes sint altaris. Viden' quomodo ostendat eos qui viderentur esse perfecti non habere perfectam cognitionem, si ne hoc quidem scirent, quod ex his sæpe communicatio quædam multis fit & amicitia cum dæmonibus, consuetudine paulatim ipsos attrahente? Si enim apud homines salis & mensæ conjunctio, amicitiæ occasio & symbolum est, idipsum & in dæmonibus contingere potest. Tu vero mihi perpende quomodo de Judæis quidem non dixerit, quod cum Deo communicent, sed, quod participes altaris essent, urebatur enim quod superpositum erat. In corpore autem Christi non sic. Sed quomodo? communicatio corporis Domini est. Non enim altaris, sed ipsius Christi participes efficimur. Cum autem dixisset participes altaris esse, deinde timens ne videretur de idolis loqui, ac si potestatem quamdam haberent, & nocere possent, vide quomodo hoc de medio tollat, rursum dicens: 19. *Quid ergo dico? quod idolum sit aliquid, aut idolis immolatum sit aliquid?*

3. Hæc autem dico, inquit, & de medio tollo, non quod possint idola in aliquo nocere, aut aliquam vim habeant: nihil sunt enim, sed volo vos ea despicere. Et si vis, inquies, nos ea despicere, cur cum

A διὸ καὶ ἐπήγαγεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. Εἰ δὲ ἐκ τοῦ αὐτοῦ, καὶ τὸ αὐτὸ γινόμεθα πάντες, διὰ τί μὴ καὶ τὴν αὐτὴν ἀγάπην ἐπιδεικνύμεθα, καὶ γινόμεθα καὶ κατὰ τοῦτο ἕν; καὶ γὰρ καὶ τοῦτο παλαιὸν ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων τοῦτο ἦν. τοῦ γὰρ πλήθους τῶν πιστευσάντων, φησὶν, ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἀλλὰ οὐχὶ νῦν, ἀλλὰ τοὐναντίον ἅπαν. πολλοὶ καὶ ποικίλοι μεταξὺ πάντων οἱ πόλεμοι, καὶ θηρίων χαλεπώτερον πρὸς τὰ ἀλλήλων διακείμεθα μέλη. καὶ ὁ μὲν Χριστὸς τοσοῦτόν σε διεστηκότα ἑαυτῷ ἥνωσε· σὺ δὲ οὐδὲ τῷ ἀδελφῷ ἀξιοῖς ἑνῶσθαι
B μετὰ ἀκριβείας τῆς προσηκούσης, ἀλλὰ ἀποσχίζεις σεαυτὸν, τοσαύτης καὶ ἀγάπης καὶ ζωῆς ἀπολαύσας παρὰ τοῦ δεσπότου. οὐδὲ γὰρ ἁπλῶς τὸ σῶμα αὐτοῦ ἔδωκεν· ἀλλ' ἐπειδὴ ἡ προτέρα τῆς σαρκὸς φύσις ἡ ἀπὸ γῆς διαπλασθεῖσα, ἀπὸ τῆς ἁμαρτίας ἔφθασε νεκρωθῆναι καὶ ζωῆς γενέσθαι ἔρημος, ἑτέραν, ὡς ἂν εἴποι τις, μάζαν καὶ ζύμην ἐπεισήγαγε, τὴν ἑαυτοῦ σάρκα, φύσει μὲν οὖσαν τὴν αὐτὴν, ἁμαρτίας δὲ ἀπηλλαγμένην καὶ ζωῆς γέμουσαν, καὶ πᾶσιν ἔδωκεν αὐτῆς μεταλαμβάνειν, ἵνα ταύτῃ τρεφόμενοι, καὶ τὴν προτέραν ἀποθέμενοι τὴν νεκρὰν, [a] εἰς τὴν ζωὴν τὴν ἀθά- [a]
C νατον διὰ τῆς τραπέζης ἀνακερασθῶμεν ταύτης. βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί; πάλιν ἀπὸ τῆς παλαιᾶς καὶ εἰς τοῦτο ἐνάγει. ἐπειδὴ γὰρ πολὺ τοῦ μεγέθους τῶν λεχθέντων ἦσαν ταπεινότεροι, καὶ ἀπὸ τῶν προτέρων αὐτοὺς καὶ συνηθῶν πείθει. καὶ καλῶς, κατὰ σάρκα, φησὶν, ὡς αὐτῶν κατὰ πνεῦμα ὄντων. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· κἂν ἀπὸ τῶν παχυτέρων παιδεύθητε, ὅτι οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν. ὁρᾷς πῶς δείκνυσιν οὐκ ἔχοντας γνῶσιν τελείαν τοὺς δοκοῦντας εἶναι τελείους, εἴγε μηδὲ τοῦτο ἴσασιν,
D ὅτι κοινωνία τις ἀπὸ τούτων καὶ φιλία πολλοῖς πολλάκις πρὸς δαίμονας γίνεται, κατὰ μικρὸν τῆς συνηθείας αὐτοὺς ἐφελκομένης; εἰ γὰρ ἐπ' ἀνθρώπων τὸ κοινωνεῖν ἁλῶν καὶ τραπέζης, φιλίας ἀφορμὴ καὶ σύμβολον γίνεται, ἐγχωρεῖ καὶ ἐπὶ δαιμόνων τοῦτο συμβῆναι. σὺ δέ μοι σκόπει, πῶς ἐπὶ μὲν τῶν Ἰουδαίων οὐκ εἶπεν, ὅτι τῷ θεῷ κοινωνοῦσιν, ἀλλὰ, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί, καὶ γὰρ κατεκαίετο [b] τὸ τεθειμένον· [b] ἐπὶ δὲ τοῦ σώματος τοῦ Χριστοῦ οὐχ οὕτως. ἀλλὰ πῶς; κοινωνία τοῦ σώματος τοῦ κυρίου ἐστίν. οὐ γὰρ τοῦ θυ-
E σιαστηρίου, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ κοινωνοὶ γινόμεθα. εἰπὼν δὲ, ὅτι κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσὶν, εἶτα δείσας μὴ δόξῃ ὡσπερεὶ ἰσχὺν ἐχόντων τῶν εἰδώλων διαλέγεσθαι καὶ δυναμένων τι βλάψαι, ὅρα πῶς αὐτὰ καθαιρεῖ πάλιν λέγων. τί οὖν φημι; ὅτι εἴδωλόν τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τί ἐστι;

Ταῦτα δὲ λέγω, φησὶ, καὶ ἀπάγω, οὐχ ὡς δυναμένων βλάψαι τι τῶν εἰδώλων ἢ ἰσχὺν ἐχόντων, οὐδὲν γάρ ἐστιν, ἀλλὰ βούλομαι καταφρονεῖν ὑμᾶς. καὶ εἰ βούλει καταφρονεῖν, φησι, τίνος ἕνεκεν μετὰ σπουδῆς αὐτῶν ἡμᾶς ἀπάγεις;

a Reg. εἰς τὴν ζῶσαν καὶ ἀθάνατον.

a Reg. τιθέμενον. Savilius legendum putat: τιθυμένον.

ὅτι οὐ προσάγεται τῷ δεσπότῃ τῷ σῷ. ὃ γὰρ θύει, φησὶ, τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ θεῷ. μὴ τοίνυν τρέχετε ἐπὶ τὰ ἐναντία. οὐδὲ γὰρ, εἰ βασιλέως υἱὸς ἦς, εἶτα τῆς πατρικῆς ἀπολαύων τραπέζης, ἀφεὶς ἐκείνην, τῆς τῶν καταδίκων καὶ τῶν δεσμωτῶν ἤθελες κοινωνῆσαι ἐν τῷ δεσμωτηρίῳ, ἐπέτρεψεν ἂν ὁ πατήρ; ἀλλὰ καὶ μετὰ πολλῆς ἂν ἀπήγαγε τῆς σφοδρότητος, οὐχ ὡς δυναμένης τῆς τραπέζης βλάψαι, ἀλλ' ὡς καταισχυνούσης σου τὴν εὐγένειαν καὶ τὴν τράπεζαν τὴν βασιλικήν. καὶ γὰρ καὶ οὗτοι οἰκέται εἰσὶ προσκεκρουκότες, ἠτιμωμένοι, κατάδικοι, δεσμῶται ἀφορήτῳ κολάσει τηρούμενοι, μυρίοις ὑπεύθυνοι κακοῖς. πῶς οὖν οὐκ αἰσχύνῃ κατὰ τοὺς λαιμάργους καὶ ἀνελευθέρους, ὅταν θῶσι τράπεζαν οἱ κατάδικοι οὗτοι, τρέχων ἐκεῖ καὶ μετέχων τῶν προκειμένων; διὰ δὴ τοῦτο ἀπάγω. ὁ γὰρ σκοπὸς τῶν θυόντων καὶ τὸ πρόσωπον τῶν δεχομένων ἀκάθαρτα ποιεῖ τὰ προκείμενα. οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. εἶδες φιλίαν πατρὸς κηδεμονικοῦ; εἶδες καὶ αὐτὸ τὸ ῥῆμα πολλὴν ἔχον τὴν ἔμφασιν τῆς διαθέσεως; οὐδὲν γὰρ βούλομαι κοινὸν ἔχειν ὑμᾶς πρὸς ἐκείνους, φησίν. εἶτα ἐπειδὴ ἐν τάξει παραινέσεως τὸν λόγον εἰσήγαγεν, ἵνα μή τις τῶν παχυτέρων καταφρονήσῃ, ὡς ἐξουσίαν ἔχων, ἐπειδὴ εἶπεν, οὐ θέλω, καὶ ὑμεῖς κρίνατε, ἀποφαίνεται λοιπὸν καὶ νομοθετεῖ λέγων· οὐ δύνασθε ποτήριον κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. καὶ ἀρκεῖται τοῖς ὀνόμασι μόνοις εἰς τὴν ἀπαγωγήν. εἶτα καὶ ἐντρεπτικῶς· ἢ παραζηλοῦμεν τὸν κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; τουτέστι, πειράζομεν αὐτὸν, εἰ δύναται κολάσαι ἡμᾶς, καὶ παροξύνομεν αὐτὸν πρὸς τοὺς ἐναντίους ἀποχωροῦντες, καὶ μετὰ τῶν αὐτοῦ πολεμίων ταττόμενοι; τοῦτο δὲ εἶπε, ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἱστορίας καὶ πατρικῆς παρανομίας. διὸ καὶ τῇ λέξει ταύτῃ κέχρηται, ᾗ καὶ πρὸς Ἰουδαίους ὁ Μωϋσῆς ἐχρήσατό ποτε, ἐγκαλῶν περὶ εἰδωλολατρείας ἐκ προσώπου τοῦ θεοῦ. αὐτοὶ γὰρ, φησι, παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; εἶδες πῶς φοβερῶς, πῶς φρικτῶς ἐπέπληξεν, αὐτὰ διασείσας αὐτῶν τὰ νεῦρα, καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ σφόδρα αὐτῶν καθαψάμενος καὶ καθελκῶν αὐτῶν τὸ φύσημα; καὶ διὰ τί μὴ ἐξ ἀρχῆς ταῦτα τέθεικέν, φησιν, ἃ μάλιστα ἂν αὐτοὺς ἀπήγαγεν; ὅτι ἔθος αὐτῷ διὰ πλειόνων ἃ βούλεται κατασκευάζειν, καὶ τὰ ἰσχυρότερα ὕστερον τιθέναι, καὶ ἐκ περιουσίας νικᾷν. διὰ δὴ τοῦτο ἀπὸ τῶν καταδεεστέρων ἀρξάμενος, ἐπὶ τὸ κεφάλαιον ἦλθε τῶν κακῶν. οὕτω γὰρ καὶ τοῦτο εὐπαράδεκτον μᾶλλον ἐγίνετο, τοῖς προτέροις τῆς διανοίας αὐτῶν καταλεανθείσης. πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. ὁρᾷς σύνεσιν ἠκριβωμένην; ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι τέλειός εἰμι, καὶ κύριος ἐμαυτοῦ, καὶ οὐδὲν βλαπτόμενος ἀπολαύομαι τῶν προκειμένων· ναί, φησι·

A studio nos ab illis abducis? Quia non offeruntur Domino tuo. 20. *Quæ enim immolant gentes*, inquit, *dæmoniis immolant, & non Deo.* Ne curratis ergo ad contraria. Neque enim, si Regis filius esses, deinde mensa fruens paterna, illa relicta, damnatorum & vinctorum in carcere mensæ consors esse velles, idne pater permitteret; imo cum vehementia magna te abduceret, non quod mensa te lædere posset, sed quod ea nobilitatem tuam & mensam regiam dedecoraret; sunt enim hi servi scelesti, infames, damnati, vincti, B intolerabili supplicio reservati, malis obnoxii innumeris. Quomodo ergo non erubescis more helluonum & illiberalium, cum damnati illi mensam apponunt, illuc accurrere & appositorum particeps esse? Ideo te abduco. Nam immolantium scopus & accipientium persona, apposita reddunt impura. *Nolo autem vos socios fieri dæmoniorum.* Vidistin' amicitiam patris curam gerentis? Vidistin' dictum ipsum quod affectum cum emphasi exhibeat? Nihil enim cum illis commune vos habere volo, inquit. Deinde quia adhortationis modo sermonem C induxerat, ne quis ex crassioribus id contemneret, quasi potestatem habens, quia dixerat, nolo; &, vos judicate, sententiam & legem postea statuit dicens. 21. *Non potestis calicem Domini bibere & calicem dæmoniorum. Non potestis mensæ Domini esse participes & mensæ dæmoniorum.* Solis verbis est contentus ut abducat. Deinde pudorem incutiens: 22. *An æmulamur Dominum? Numquid fortiores illo sumus?* Id est, tentamus eum num possit nos punire, & irritamus eum ad adversarios deficientes, & cum inimicis ejus in acie stantes? Hoc autem dixit, D in memoriam illis revocans veterem historiam, & patrum transgressionem. Ideo hac usus est voce, qua adversus Judæos Moyses olim usus est, accusans eos de idololatria ex persona Dei. *Ipsi* enim, inquit, *provocaverunt me in eo qui non erat Deus, irritaverunt me in idolis suis.* (Deut. 32. 21.) *Num illo fortiores sumus?* Vidistin' quam terribiliter & horribiliter ipsos increpavit, ipsos eorum nervos concutiens, ea re in absurditatem adducta, illos valde perstringens, illorumque tumorem deprimens? Et cur, inquies, hæc ab initio non posuit, E quæ illos maxime abduxissent? Quia mos est illi pluribus ea quæ vult probare, & fortiora ultima ponere, atque ex vi magna vincere. Ideo a minoribus orsus, ad caput malorum venit. Sic & hoc magis acceptum fuit, prioribus delinito illorum animo. 23. *Omnia mihi licent, sed non omnia expediunt. Omnia mihi licent, sed non omnia ædificant.* 24. *Nemo quod suum est quærat, sed quod alterius unusquisque.* Viden' accuratam prudentiam? Quia enim verisimile erat illos dicere: Perfectus sum & mei juris, & nihil læsus apposita degusto. Etiam, inquit, perfectus

es & tui juris. At ne illud attendas; sed num illud damnum afferat; imo eversionem. Nam utrumque dixit, non omnia conferunt, non omnia ædificant, & aliud pro seipso, aliud pro fratre posuit. Nam dicere, Non expedit, est suam perniciem subindicantis: dicere autem, Non ædificat, fratris scandalum subindicat. Ideo subjunxit. Nemo quod suum est quærat; quod ubique & per totam confirmat epistolam, & in epistola ad Romanos cum dicit: *Etenim Christus non sibi ipsi placuit*; & rursum; *sicut & ego per omnia omnibus placeo; non quærens meam utilitatem.* Et hic rursum; non tamen illud hic excutit. Quia enim superius illud pluribus probaverat & demonstraverat, quod nusquam ea quæ sua sunt quærat, sed quod Judæis tamquam Judæus factus sit, & iniquis tamquam iniquus, & quod libertate potestateque sua non temere sit usus, sed ad id quod omnibus utile esset, serviens omnibus, paucis contentus verbis huc desiit, per hæc pauca illis in memoriam revocans omnia quæ dicta sunt. Hæc ergo nos quoque cum sciamus, dilecti, fratribus prospiciamus, & unitatem cum illis servemus. In hoc enim nos inducit sacrificium illud horrendum & tremendum, jubens nos cum concordia maxime illo accedere, & cum caritate ferventi, & inde aquilas effectos, ita ad ipsum advolare cælum. Ubi enim erit cadaver, inquit, ibi & aquilæ; cadaver corpus mortuum vocans. Nisi enim ille cecidisset, nos non resurrexissemus. Aquilas autem vocat, ostendens sublimem esse oportere illum qui ad hoc corpus accedit, & nihil cum terra commune habere, neque deorsum trahi ac serpere, sed assidue semper sursum volare, & ad solem justitiæ respicere, & mentis oculum acutum habere. Aquilarum enim non gracculorum, hæc est mensa. Ipsi tunc occurrent descendenti de cælis, qui nunc digne percipiunt, ut qui indigne extrema patientur.

Rom. 15. 3.

Matt. 24. 28.

4. Si enim regem quis non utcumque nec perfunctorie acceperit. Quid regem dico? Ne vestem quidem regiam quis impuris manibus tetigerit, etiamsi in solitudine sit, etiamsi solus & nemo adsit: atqui nihil aliud est vestis quam stramen vermium. Si vero tincturam miraris, ipsa quoque mortui piscis sanguis est; nemo tamen ausus fuerit illam sordidis contrectare manibus. Si autem humanum vestimentum nemo ausus fuerit temere tangere, quomodo corpus universorum Dei immaculatum & purum, quod cum divina illa natura versatum est, per quod sumus & vivimus, per quod portæ mortis fractæ sunt, & fornices cæli aperti sunt, cum tanta contumelia accipiemus? Ne, quæso, ne nos ipsos jugulemus per impudentiam; sed cum hor-

A τέλειος μὲν εἶ, καὶ σαυτοῦ κύριος· ἀλλὰ μὴ τοῦτο σκόπει, ἀλλ' εἰ μὴ βλάβην ἔχει τὸ γινόμενον, ἀλλ' εἰ μὴ καταστροφήν. καὶ γὰρ ἀμφότερα εἴρηκεν, οὐ πάντα συμφέρει, οὐ πάντα οἰκοδομεῖ, λέγων, καὶ τὸ μὲν ὑπὲρ ἑαυτοῦ, τὸ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ τιθείς. τὸ μὲν γὰρ εἰπεῖν, οὐ συμφέρει, τὴν ἐκείνου ἀπώλειαν αἰνιττομένου ἐστί· τὸ δὲ εἰπεῖν, οὐκ οἰκοδομεῖ, τὸ τοῦ ἀδελφοῦ σκάνδαλον. διὸ καὶ ἐπήγαγε, μηδεὶς τὸ ἑαυτοῦ ζητείτω· ὃ πανταχοῦ καὶ διὰ πάσης κατασκευάζει ἐπιστολῆς, καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ὡς ὅταν λέγῃ· καὶ γὰρ ὁ Χριστὸς

B οὐχ ἑαυτῷ ἤρεσε. καὶ πάλιν, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον· καὶ ἐνταῦθα πάλιν· οὐ μὴν ἐπεξεργάζεται αὐτὸ ἐνταῦθα. ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν αὐτὸ κατεσκεύασε, καὶ ἀπέδειξεν, ὅτι οὐδαμοῦ τὸ αὐτοῦ ζητεῖ, ἀλλὰ καὶ Ἰουδαίοις ὡς Ἰουδαῖος ἐγένετο, καὶ ἀνόμοις ὡς ἄνομος, καὶ τῇ ἐλευθερίᾳ τῇ ἑαυτοῦ καὶ τῇ ἐξουσίᾳ οὐχ ἁπλῶς ἐχρήσατο, ἀλλ' εἰς τὸ πᾶσι συμφέρον, δουλεύων ἅπασιν, ὀλίγοις ἀρκεσθεὶς ῥήμασιν ἐνταῦθα ἀπηλλάγη, εἰς μνήμην διὰ τῶν ὀλίγων τούτων παραπέμπων τῶν εἰρημένων αὐτοὺς ἁπάντων. ταῦτ' οὖν καὶ ἡμεῖς εἰ-

C δότες, ἀγαπητοὶ, προνοῶμεν τῶν ἀδελφῶν, καὶ τὴν ἑνότητα τὴν πρὸς αὐτοὺς διατηρῶμεν. εἰς τοῦτο γὰρ ἡμᾶς ἡ θυσία ἐκείνη ἐνάγει ἡ φοβερὰ καὶ φρικώδης, κελεύουσα ἡμῖν μεθ' ὁμονοίας αὐτῇ μάλιστα προσιέναι καὶ θερμῆς ἀγάπης, καὶ ἀετοὺς γενομένους ἐντεῦθεν, οὕτω πρὸς αὐτὸν ἵπτασθαι[a] τὸν οὐρανόν. ὅπου γὰρ τὸ πτῶμα, φησιν, ἐκεῖ καὶ οἱ ἀετοὶ, πτῶμα καλῶν τὸ σῶμα διὰ τὸν θάνατον. εἰ μὴ γὰρ ἐκεῖνος ἔπεσεν, ἡμεῖς οὐκ ἀνέστημεν. ἀετοὺς δὲ καλεῖ, δεικνὺς ὅτι καὶ ὑψηλὸν εἶναι δεῖ τὸν προσιόντα τῷ σώματι τούτῳ, καὶ μηδὲν πρὸς τὴν γῆν κοινὸν ἔχειν, μηδὲ κάτω σύρεσθαι

D καὶ ἕρπειν, ἀλλ' ἄνω πέτεσθαι διηνεκῶς, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἐνορᾶν, καὶ ὀξυδερκὲς τὸ ὄμμα τῆς διανοίας ἔχειν. ἀετῶν γὰρ, οὐ κολοιῶν αὕτη ἡ τράπεζα. οὗτοι καὶ τότε ἀπαντήσονται ἐκ τῶν οὐρανῶν καταβαίνοντι οἱ νῦν ἀξίως ἀπολαύοντες, ὥσπερ οὖν οἱ ἀναξίως τὰ ἔσχατα πείσονται.

Εἰ γὰρ βασιλέα τις οὐκ ἂν ἁπλῶς δέξοιτο· τί λέγω βασιλέα; ἱματίου μὲν οὖν βασιλικοῦ οὐκ ἄν τις ἁπλῶς ἅψαιτο χερσὶν ἀκαθάρτοις, κἂν ἐπ' ἐρημίας ᾖ, κἂν μόνος ᾖ, κἂν μηδεὶς ὁ παρών· καίτοιγε οὐδὲν ἕτερόν ἐστι τὸ ἱμάτιον, ἢ σκωλήκων[b] νήματα. εἰ δὲ

E τὴν βαφὴν θαυμάζεις, καὶ αὕτη νεκρωθέντος ἰχθύος ἐστὶν αἷμα· ἀλλ' ὅμως οὐκ ἄν τις ἕλοιτο ῥυπαραῖς αὐτοῦ κατατολμῆσαι χερσίν. εἰ δὲ ἀνθρωπίνου ἱματίου οὐκ ἄν τις τολμήσειεν ἁπλῶς θιγεῖν, πῶς τὸ σῶμα τοῦ ἐπὶ πάντων θεοῦ, τὸ ἄμωμον, τὸ καθαρὸν, τὸ τῇ θείᾳ ἐκείνῃ φύσει ὁμιλῆσαν, δι' ὃ ἐσμὲν καὶ ζῶμεν, δι' ὃ πύλαι θανάτου κατεκλάσθησαν, καὶ οὐρανοῦ ἁψῖδες ἀνεῴχθησαν, τοῦτο μετὰ τοσαύτης ὕβρεως ληψόμεθα; μὴ, παρακαλῶ, μὴ κατασφάξωμεν ἑαυτοὺς διὰ τῆς ἀναισχυντίας, ἀλλὰ μετὰ φρίκης καὶ καθα-

a Reg. τὸν οὐρανόν· μᾶλλον δὲ καὶ ὑπὲρ οὐρανόν. ὅπου γάρ.

b Reg. νήματα καὶ σητῶν εἰ.

ρότητος

καθαρότητος ἁπάσης αὐτῷ προσίωμεν· καὶ ὅταν αὐτὸ προκείμενον ἴδῃς, λέγε πρὸς σεαυτόν· διὰ τοῦτο τὸ σῶμα οὐκέτι γῆ καὶ σποδὸς ἐγώ, οὐκέτι αἰχμάλωτος, ἀλλ' ἐλεύθερος· διὰ τοῦτο τοὺς οὐρανοὺς ἐλπίζω, καὶ τὰ ἐν αὐτοῖς ἀπολήψεσθαι ἀγαθά, τὴν ἀθάνατον ζωήν, τὴν τῶν ἀγγέλων λῆξιν, τὴν μετὰ Χριστοῦ ὁμιλίαν· τοῦτο τὸ σῶμα προσηλούμενον, καὶ μαστιζόμενον οὐκ ἤνεγκεν ὁ θάνατος, τοῦτο τὸ σῶμα καὶ ἥλιος σταυρούμενον ἰδών, τὰς ἀκτῖνας ἀπέστρεψε· διὰ τοῦτο καὶ καταπέτασμα ἐσχίζετο τότε, καὶ πέτραι ἐῤῥήγνυντο, καὶ γῆ πᾶσα ἐτινάσσετο. τοῦτο ἐκεῖνο τὸ σῶμά ἐστι, τὸ ἡμαγμένον, τὸ πληγὲν, καὶ τὰς σωτηρίους πηγὰς ἀναβλύσαν, τὴν τοῦ αἵματος, τὴν τοῦ ὕδατος τῇ οἰκουμένῃ πάσῃ. βούλει καὶ ἑτέρωθεν τὴν ἰσχὺν αὐτοῦ μαθεῖν; ἐρώτησον τὴν αἱμοῤῥοοῦσαν, τὴν οὐκ αὐτοῦ, ἀλλὰ τοῦ περικειμένου αὐτῷ ἱματίου, μᾶλλον δὲ οὐδὲ τούτου ὁλοκλήρου, ἀλλὰ τοῦ κρασπέδου ἁψαμένην· ἐρώτησον τὴν θάλασσαν, τὴν ὑπὲρ τῶν νώτων αὐτὸ βαστάσασαν· ἐρώτησον καὶ αὐτὸν τὸν διάβολον, καὶ εἰπέ· πόθεν ἔχεις τὴν πληγὴν τὴν ἀνίατον; πόθεν οὐκέτι ἰσχύεις οὐδέν; πόθεν ἑάλως; τίνι κατεσχέθης φεύγων; καὶ οὐδὲν ἕτερον, ἢ τὸ σῶμα ἐρεῖ τὸ σταυρωθέν. διὰ τούτου τὰ κέντρα αὐτοῦ κατεκλάσθη· διὰ τούτου ἡ κεφαλὴ αὐτοῦ συνετρίβη· διὰ τούτου αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι ἐδειγματίσθησαν. ἀπεκδυσάμενος γάρ, φησι, τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν, ἐν παῤῥησίᾳ θριαμβεύσας αὐτὰς ἐν αὐτῷ. ἐρώτησον καὶ τὸν θάνατον, καὶ εἰπέ· πόθεν ἀνῃρέθη σου τὸ κέντρον; πόθεν κατελύθη σου τὸ νῖκος; πόθεν ἐξεκόπη σου τὰ νεῦρα; καὶ κόραις καὶ παιδίοις γέγονας καταγέλαστος, ὁ καὶ τυράννοις καὶ δικαίοις ἅπασιν ὢν πρὸ τούτου φοβερός; καὶ τὸ σῶμα αἰτιάσεται τοῦτο. ὅτε γὰρ τοῦτο ἐσταυροῦτο, τότε νεκροὶ ἀνέστησαν, τότε τὸ δεσμωτήριον ἐκεῖνο ἐῤῥάγη, καὶ αἱ χαλκαῖ ἐκλάσθησαν πύλαι, καὶ οἱ [a] νεκροὶ ἀνέστησαν, καὶ πυλωροὶ ᾅδου πάντες ἔπτηξαν. καίτοιγε εἰ τῶν πολλῶν εἷς ἦν, τοὐναντίον γενέσθαι ἔδει, τὸν θάνατον δυνατώτερον, ἀλλ' οὐκ ἐγένετο. οὐδὲ γὰρ τῶν πολλῶν εἷς ἦν. διὰ τοῦτο ἐξελύετο ἐκεῖνος· καὶ ὥσπερ οἱ τροφὴν λαβόντες, ἣν οὐκ εἰσὶ δυνατοὶ κατασχεῖν, καὶ τὰ προαποκείμενα δι' ἐκείνην ἐμοῦσιν, οὕτω καὶ ἐπὶ τοῦ θανάτου γέγονε. τὸ σῶμα, ὅπερ οὐκ ἦν ἰσχυρὸς κατεργάζεσθαι, λαβών, κἀκεῖνα ἐξέβαλεν ἅπερ ἔνδον εἶχε. καὶ γὰρ ὤδινεν ἔχων αὐτὸν, καὶ ἐθλίβετο, ἕως αὐτὸν ἤμεσε. διό φησιν ὁ ἀπόστολος, λύσας τὰς ὠδῖνας τοῦ θανάτου. οὐδεμία γὰρ γυνὴ παιδίον κύουσα οὕτως ὠδίνει, ὡς ἐκεῖνος, τὸ σῶμα ἔχων τὸ δεσποτικὸν, διεκόπτετο διασπώμενος. καὶ ὅπερ ἐπὶ τοῦ δράκοντος γέγονε τοῦ Βαβυλωνίου, ὅτε λαβὼν τὴν τροφὴν διεῤῥάγη μέσος, τοῦτο καὶ ἐπὶ τούτου. οὐ γὰρ διὰ τοῦ στόματος πάλιν ἐξῆλθεν ὁ Χριστὸς τοῦ θανάτου, ἀλλ' αὐτὴν μέσην διαῤῥήξας τὴν γαστέρα τοῦ δράκοντος καὶ ἀνατεμὼν, οὕτως ἀπὸ τῶν ἀδύτων προΐει μετὰ πολλῆς τῆς λαμπρότητος,

[a] Reg. νεκροὶ ἀφείθησαν.

A rore & puritate omni ad ipsum accedamus, & cum ipsum videris propositum, tibi ipsi dic. Propter hoc corpus non sum ego amplius terra & cinis, non ultra captivus, sed liber. Ideo cælos spero & bona illic reposita me accepturum esse, immortalem vitam, angelorum sortem, cum Christo consuetudinem. Hoc corpus clavis confixum, flagris cæsum mors non tulit. Hoc corpus sol cum crucifixum videret, radios avertit. Ideo tunc velum scissum est, petræ ruptæ sunt, & universa terra concutiebatur. Hoc est illud corpus, quod cruentatum fuit, lancea perfossum, quod salutares fontes scaturivit orbi, alium sanguinis, alium aquæ. *Corporis Christi vis.* B Vis aliunde ejus vim discere, interroga mulierem sanguinis fluxu laborantem, quæ non ipsum, sed ejus vestimentum, imo non totum, sed fimbriam tetigit. Interroga mare quod dorso suo ipsum gestavit: interroga & ipsum diabolum, & dic: Unde habes plagam illam insanabilem? Unde fit ut nihil jam possis? Undenam captus es? A quo detentus fuisti dum fugeres? Et nihil aliud dicet, C quam corpus crucifixum. Per hoc stimuli ejus confracti sunt, per hoc corpus ejus contritum, per hoc principatus & potestates traductæ sunt: *Spolians* enim, inquit, *principatus & potestates, traduxit confidenter, triumphans de illis in semetipso.* (Col. 2. 15.) Interroga mortem, & dic: Undenam sublatus est stimulus tuus? Undenam soluta est tua victoria? Undenam præcisi sunt nervi tui, & puellis infantibusque facta es ridicula, quæ tyrannis & justis omnibus antehac formidabilis eras? Et huic corpori causam adscribet. D Cum enim crucifigebatur, tunc mortui resurrexerunt, tunc carcer ille ruptus est & portæ æreæ confractæ sunt, & mortui resurrexerunt, & janitores inferni omnes obstupefacti sunt. Atqui si fuisset unus ex multis, contrarium accidere oportebat, mortem fuisse potentiorem, sed non fuit: non enim erat unus ex multis; ideo illa soluta fuit. Et sicut ii qui alimentum accipiunt, quod retinere non possint, etiam quæ prius percepta fuerant propter illud evomunt; ita etiam accidit in morte. Corpus, quod ipsa non poterat conficere, accipiens, illa quoque rejecit, quæ intus retinebat: cum illud intus haberet, parturiebat, & premebatur, donec ipsum evomuit. E Ideo ait apostolus: Solutis doloribus mortis. (Act. 2. 24.) Nulla enim mulier prægnans parturiensque tanto labore premitur, quanto illa corpus habens Dominicum, dilacerabatur. Et quod in Babylonico dracone accidit, cum accepto cibo medius diruptus est, hoc & isti evenit. Non enim Christus per os mortis egressus est, sed ipso medio draconis ventre dirupto & dissecto, sic ex penetralibus prodiit, cum splendore mul-

to, radiosque emittens, non usque ad hoc cælum, sed usque ad ipsum supernum solium: nam illuc quoque ipsum adduxit. Hoc corpus dedit nobis & tenendum & comedendum, quod intensæ dilectionis fuit: eos enim quos ardenter amamus, etiam sæpe mordemus. Ideo Job amorem famulorum, qui circa illum erant ostendens dicebat, illos ipsum vehementer amantes dixisse: *Quis nobis det de carnibus suis ut impleamur?* Sic & Christus dedit nobis carnes suas ut impleamur, ad majorem nos amicitiam attrahens.

Job. 31. 31.

5. Accedamus igitur cum fervore ad illum, & cum ardenti caritate, & ne subeamus supplicium. Quanto enim majora beneficia acceperimus, tanto magis puniemur, cum beneficiis indigni apparebimus. Hoc etiam corpus in præsepi jacens reveriti sunt Magi. Et viri impii ac barbari patria domoque relicta, viam emensi sunt longam, & venientes cum timore & tremore multo ipsum adoraverunt. Imitemur ergo saltem barbaros, nos cælorum cives. Illi namque in præsepe respicientes & in tugurio, & nihil eorum respicientes, quæ tu nunc vides, cum tremore multo accesserunt. Tu vero non in præsepe respicis, sed in altare; non mulierem tenentem, sed sacerdotem adstantem, & Spiritum cum ubertate magna in proposita supervolantem. Non simpliciter hoc ipsum corpus vides, ut illi, sed nosti ipsius & virtutem & dispensationem omnem, & nihil ignoras eorum quæ per ipsum perfecta sunt, cum omnia initiatus accurate didiceris. Excitemus itaque nos ipsos & horreamus, & multo majorem quam barbari illi pietatem exhibeamus, ut non temere & inconsiderate accedentes, ignem in caput nostrum congeramus. Hæc autem dico, non ut ne accedamus; sed ne temere accedamus. Sicut enim temere accedere, periculum est; sic his mysticis cœnis non communicare, fames est & mors. Hæc enim mensa nervi animæ nostræ, mentis vinculum, fiduciæ causa, spes, salus, lux, vita est. Si cum hoc sacrificio, illo abierimus, cum fiducia sacra illa vestibula adibimus, quasi quibusdam aureis armis instructi undique. Ecquid futura dico? Hic enim tibi terram cælum facit hoc mysterium. Aperi ergo cæli portas, & perspice; imo potius non cæli, sed cæli cælorum, & tunc videbis illud quod dictum est. Quod enim illic omnium preciosissimum est; hoc tibi in terra jacens monstrabo. Sicut enim in regia quod omnium magnificentissimum est, non muri sunt, non tectum aureum, sed regium corpus in solio sedens; sic & in cælis regium corpus. Sed hoc nunc tibi licet in terra videre. Non enim angelos, non archangelos, non cæ-

A καὶ τὰς ἀκτῖνας ἀφιεὶς, οὐ μέχρι τούτου τοῦ οὐρανοῦ, ἀλλ' εἰς αὐτὸν τὸν ἄνω θρόνον. ἐκεῖ γὰρ αὐτὸ καὶ ἀνήγαγε. τοῦτο τὸ σῶμα ἔδωκεν ἡμῖν καὶ κατέχειν καὶ ἐσθίειν, ὅπερ ἀγάπης ἐπιτεταμένης ἦν. οὓς γὰρ ἂν φιλῶμεν σφοδρῶς, καὶ διαδάκνομεν πολλάκις. διὸ καὶ ὁ Ἰὼβ τὸν ἔρωτα τῶν οἰκετῶν τὸν περὶ αὐτὸν ἐνδεικνύμενος, ἔλεγεν· ὅτι πολλάκις ἐκεῖνοι σφόδρα αὐτὸν φιλοῦντες ἔλεγον, τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; οὕτω καὶ ὁ Χριστὸς τῶν σαρκῶν αὐτοῦ ἔδωκεν ἡμῖν πλησθῆναι, εἰς φιλίαν πλείονα ἡμᾶς ἐπισπώμενος.

B Προσίωμεν τοίνυν μετὰ θερμότητος αὐτῷ καὶ πεπυρωμένης ἀγάπης, καὶ μὴ ὑπομείνωμεν τιμωρίαν. ὅσῳ γὰρ ἂν ὦμεν εὐηργετημένοι μεγάλα, τοσούτῳ μᾶλλον κολαζόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς εὐεργεσίας φανῶμεν. τοῦτο τὸ σῶμα καὶ ἐπὶ φάτνης κείμενον ᾐδέσθησαν μάγοι. καὶ ἄνδρες ἀσεβεῖς καὶ βάρβαροι τὴν πατρίδα καὶ τὴν οἰκίαν ἀφέντες, καὶ ὁδὸν ἐστείλαντο μακρὰν, καὶ ἐλθόντες μετὰ φόβου καὶ τρόμου πολλοῦ προσεκύνησαν. μιμησώμεθα τοίνυν κἂν τοὺς βαρβάρους ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται. ἐκεῖνοι μὲν C γὰρ καὶ ἐπὶ φάτνης ἰδόντες, καὶ ἐν καλύβῃ, καὶ οὐδὲν τοιοῦτον ἰδόντες, οἷον σὺ νῦν, μετὰ πολλῆς τῆς φρίκης προσῄεσαν· σὺ δὲ οὐκ ἐν φάτνῃ ὁρᾷς, ἀλλ' ἐν θυσιαστηρίῳ, οὐ γυναῖκα κατέχουσαν, ἀλλ' ἱερέα παρεστῶτα, καὶ πνεῦμα μετὰ πολλῆς τῆς δαψιλείας τοῖς προκειμένοις ἐφιπτάμενον. οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ σῶμα ὁρᾷς, ὥσπερ ἐκεῖνοι, ἀλλ' οἶσθα αὐτοῦ καὶ τὴν δύναμιν, καὶ τὴν οἰκονομίαν ἅπασαν, καὶ οὐδὲν ἀγνοεῖς τῶν δι' αὐτοῦ τελεσθέντων, μετὰ ἀκριβείας μυσταγωγηθεὶς ἅπαντα. διαναστήσωμεν τοίνυν ἑαυτοὺς καὶ φρίξωμεν, καὶ πολλῷ τῶν βαρβάρων ἐκείνων πλείονα ἐπιδειξώμεθα D τὴν εὐλάβειαν, ἵνα μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε προσελθόντες, πῦρ ἐπὶ τὴν ἑαυτῶν σωρεύσωμεν κεφαλήν. ταῦτα δὲ λέγω, οὐχ ἵνα μὴ προσίωμεν, ἀλλ' ἵνα μὴ ἁπλῶς προσίωμεν. ὥσπερ γὰρ τὸ ὡς ἔτυχε προσιέναι, κίνδυνος, οὕτω τὸ μὴ κοινωνεῖν τῶν μυστικῶν δείπνων ἐκείνων, λιμὸς καὶ θάνατος. αὕτη γὰρ ἡ τράπεζα τῆς ψυχῆς ἡμῶν τὰ νεῦρα, τῆς διανοίας ὁ σύνδεσμος, τῆς παρρησίας ἡ ὑπόθεσις, ἡ ἐλπὶς, ἡ σωτηρία, τὸ φῶς, ἡ ζωή. μετὰ ταύτης ἀπελθόντες ἐκεῖ τῆς θυσίας, ἐν παρρησίᾳ πολλῇ τῶν ἱερῶν ἐπιβησόμεθα προθύρων, ὥσπερ τισὶν ὅπλοις χρυσοῖς περιπεφραγμένοι E πάντοθεν. καὶ τί λέγω τὰ μέλλοντα; ἐνταῦθα γάρ σοι τὴν γῆν οὐρανὸν ποιεῖ τοῦτο τὸ μυστήριον. ἀναπέτασον γοῦν τοῦ οὐρανοῦ τὰς πύλας, καὶ διάκυψον· μᾶλλον δὲ οὐχὶ τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ οὐρανοῦ τῶν οὐρανῶν, καὶ τότε ὄψει τὸ εἰρημένον. τὸ γὰρ πάντων ἐκεῖ τιμιώτερον, τοῦτό σοι ἐπὶ τῆς γῆς δείξω κείμενον. ὥσπερ γὰρ ἐν τοῖς βασιλείοις τὸ πάντων σεμνότερον, οὐ τοῖχοι, οὐκ ὄροφος χρυσοῦς, ἀλλὰ τὸ βασιλικὸν σῶμα τὸ καθήμενον ἐπὶ τοῦ θρόνου· οὕτω καὶ ἐν τοῖς οὐρανοῖς τὸ τοῦ βασιλέως σῶμα. ἀλλὰ τοῦτό σοι νῦν ἔξεστιν ἐπὶ γῆς ἰδεῖν. οὐ γὰρ ἀγγέλους, οὐδὲ ἀρχαγγέλους, οὐδὲ οὐρανοὺς

A καὶ οὐρανοὺς οὐρανῶν, ἀλλ' αὐτὸν τὸν τούτων σοι δείκνυμι δεσπότην. Εἶδες πῶς τὸ πάντων τιμιώτερον ὁρᾷς ἐπὶ γῆς; καὶ οὐχ ὁρᾷς μόνον, ἀλλὰ καὶ ἅπτῃ· καὶ οὐχ ἅπτῃ μόνον, ἀλλὰ καὶ ἐσθίεις· καὶ λαβὼν οἴκαδε ἀναχωρεῖς; Ἀπόσμηχε τοίνυν τὴν ψυχὴν, παρασκεύαζε τὴν διάνοιαν πρὸς τὴν τούτων τῶν μυστηρίων ὑποδοχήν. Καὶ γὰρ εἰ παιδίον βασιλικὸν μετὰ τοῦ κόσμου καὶ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐνεχειρίσθης φέρειν, πάντα ἂν ἔῤῥιψας τὰ ἐν τῇ γῇ· νυνὶ δὲ οὐ παιδίον ἀνθρώπου βασιλικὸν, ἀλλ' αὐτὸν τὸν μονογενῆ λαμβάνων τοῦ Θεοῦ παῖδα, οὐ φρίττεις, εἰπέ μοι, καὶ πάντα τὸν τῶν βιωτικῶν ἐκβάλλεις ἔρωτα, καὶ τῷ κόσμῳ B καλλωπίζῃ μόνον ἐκείνῳ, ἀλλ' ἔτι πρὸς τὴν γῆν ὁρᾷς, καὶ χρημάτων ἐρᾷς, καὶ πρὸς χρυσὸν ἐπτόησαι; καὶ τίνα ἂν σχοίης συγγνώμην; ποίαν ἀπολογίαν; οὐκ οἶσθα πῶς ἅπασαν τὴν βιωτικὴν πολυτέλειαν ἀποστρέφεταί σου ὁ δεσπότης; οὐ διὰ τοῦτο ἐν φάτνῃ ἐτέθη τεχθεὶς, καὶ μητέρα ἔλαβεν εὐτελῆ; οὐ διὰ τοῦτο ἐκείνῳ τῷ πρὸς καπηλείαν βλέποντι ἔλεγεν· Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ; τί δὲ οἱ μαθηταί; οὐ τὸν αὐτὸν διετήρουν νόμον, εἰς τὰς τῶν πενήτων οἰκίας καταγόμενοι, καὶ ὁ μὲν πρὸς βυρσέα, ὁ C δὲ πρὸς σκηνοῤῥάφον καταλύων καὶ πρὸς τὴν πορφυρόπωλιν; οὐ γὰρ οἰκίας περιφάνειαν, ἀλλὰ ψυχῶν ἀρετὰς ἐπεζήτουν. Τούτους τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν. Τὰ μὲν κάλλη τῶν κιόνων καὶ τῶν μαρμάρων παρατρέχοντες, ζητοῦντες δὲ τὰς ἄνω μονὰς, καὶ πάντα τῦφον τὸν ἐνταῦθα πατήσωμεν μετὰ τῆς τῶν χρημάτων ἐπιθυμίας, καὶ ὑψηλὸν λάβωμεν φρόνημα. Ἂν γὰρ νήφωμεν, οὐδὲ ὁ κόσμος ἡμῶν ἐστὶν ἄξιος, μήτιγε στοαὶ καὶ περίπατοι. Διὸ, παρακαλῶ, τὴν ψυχὴν τὴν ἑαυτῶν καλλωπίζωμεν, τὴν οἰκίαν ταύτην κατασκευάζωμεν, ἣν καὶ λαβόντες ἀπελευσόμεθα, ἵνα καὶ τῶν D αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι, καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

los & cælos cælorum, sed ipsum tibi horum Dominum ostendo. Vidistin' quomodo id quod omnium preciosissimum est in terra respicias? Neque vides tantum, sed & tangis; nec tangis tantum, sed etiam comedis, & eo accepto domum reverteris. Absterge igitur animam, præpara mentem ad horum mysteriorum perceptionem. Etenim si regis filius cum ornatu, purpura & diademate concreditus tibi esset gestandus, omnia quæ sunt in terra abjecisses. Nunc autem non filium regis, sed ipsum Dei filium unigenitum accipiens, non exhorrescis, dic mihi, & non omnem sæcularium rerum amorem abjicis, neque illo tantum ornatu gloriaris; sed adhuc in terram respicis, pecunias amas, & auro inhias? Ecquam habiturus es veniam? quam excusationem? Non vides quantum sæcularem omnem magnificentiam aversetur Dominus? Nonne ideo cum natus esset in præsepi positus est, & matrem accepit vilis conditionis? Nonne ideo dicebat ei qui ad cauponam respiciebat: *Filius autem hominis non habet ubi caput reclinet?* Matth. 8. 20. Quid vero discipuli? Nonne eamdem servabant legem, in pauperum domos diversantes; alius quidem apud sutorem, alius apud tabernaculorum opificem, & apud purpurariam? Non enim domus splendorem, sed animarum virtutes quærebant. Hos itaque & nos imitemur: pulcritudinem columnarum & marmorum prætercurrentes, superas vero mansiones quærentes; & omnem fastum humanum calcemus cum pecuniarum cupiditate, altumque sensum assumamus. Si enim sapienter attendamus, neque mundus hic nobis dignus est, nedum porticus & ambulacra. Quamobrem, rogo, animam nostram ornemus, hanc domum apparemus, qua etiam accepta hinc migrabimus, ut æterna bona consequamur, gratia & benignitate, &c.

## ΟΜΙΛΙΑ κέ.

## HOMILIA XXV.

Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

*Omne quod in macello vænit manducate, nihil interrogantes propter conscientiam.*

ΕΙΠΩΝ ὅτι ἀδύνατον ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, καὶ καθάπαξ ἀπαγαγὼν τῶν τραπεζῶν ἐκείνων ἀπὸ παραδειγμάτων Ἰου- E δαϊκῶν, ἀπὸ λογισμῶν ἀνθρωπίνων, ἀπὸ τῶν μυστηρίων τῶν φρικτῶν, ἀπὸ τῶν [a] ἐν τοῖς εἰδώλοις τελουμένων, καὶ πολὺν φόβον ἐνθεὶς αὐτοῖς, ἵνα μὴ τῷ φόβῳ τούτῳ πάλιν εἰς ἑτέραν ἀμετρίαν αὐτοὺς ἐξωθήσῃ, καὶ ἀναγκασθῶσι πλείονι περιεργίᾳ κεχρημένοι τοῦ δέοντος δεδοικέναι, μήποτε καὶ ἀγνοούντων αὐτῶν ἐπεισέλθῃ τι τοιοῦτον, ἢ ἐξ ἀγορᾶς, ἢ ἀλλοθέν ποθεν, ἀφιεὶς αὐτοὺς ταύτης τῆς ἀνάγκης,

1. CUM dixisset impossibile esse calicem Domini bibere & calicem dæmoniorum, & penitus abduxisset a mensis illis, ab exemplis Judaïcis, a ratiociniis humanis, a mysteriis horrendis, ab iis quæ peraguntur in idolis, & cum ingentem metum incussisset, ne tali metu illos ad aliud extremum impelleret, & majori quam par esset utentes curiositate cogerentur timere, ne ipsis ignorantibus aliquid tale inveheretur aut ex foro aut aliunde, ipsos a tali necessitate eripiens,

[a] Savilius legendum putat, ἐν τοῖς εἰδωλίοις, & hæc videtur vera lectio. | Sed reclamant editi & mss.

ait: Omne quod in macello vænit manducate, nihil interrogantes. Si enim ignorans, inquit, comederis & nesciens, non es obnoxius supplicio; nam ignorantiæ deinceps res est, non ingluviei. Neque ab hac tantum illos formidine liberat, sed ab alia quoque, multam illis libertatem securitatemque apparans; neque enim dijudicare, sive examinare & sciscitari, an idolothytum sit an non; sed indiscriminatim comedere quidquid ex foro affertur, neque discere quid sit id quod apponitur; unde fit ut qui ignorans comederit liberetur. Talia enim sunt quæ natura non sunt mala, sed ex cogitatione quid immundum faciunt. Propterea dicit, nihil interrogantes. 26. *Nam Domini est terra & plenitudo ejus*, non dæmoniorum. Quod si terra, fructus, & bruta ejus omnia, nihil habent immundum; sed alio modo immundum efficitur ex cogitatione & ex inobedientia; ideo non modo permisit, sed etiam, 27. *Si quis*, inquit, *vos vocat infidelium, & vultis ire, omne quod vobis apponitur manducate, nihil interrogantes propter conscientiam.* Vide rursus moderationem; neque enim jussit vel præcepit abire, sed neque prohibuit. Abscedentes rursus ab omni suspicione liberat. Quare? ne videretur a metu aut formidine esse tanta accuratio. Nam qui curiose inquirit, quasi timens hoc facit. Qui autem postquam audivit abstinet, quasi despiciens, & odio habens & aversans, abstinet. Ideo Paulus utrumque confirmare volens, ait: Omne quod vobis apponitur manducate: 28. *Si quis autem vobis dixerit, hoc immolatum est idolis, nolite manducare propter illum qui indicavit.* Neque enim tamquam a vim aliquam habentibus, sed tamquam ab exsecrandis jubet abstinere. Neque igitur ab iis ut quæ nocere possint fugite; nullam quippe vim habent; neque quia nullam vim habent, indiscriminatim percipiatis: hostium enim & inhonoratorum mensa est. Ideo dicebat, Nolite comedere propter illum qui indicavit, *& propter conscientiam. Domini enim est terra & plenitudo ejus.* Viden' quomodo & cum comedere jubet, & cum abstinere oportet, idem testimonium in medium adducat? Neque enim ideo prohibeo, inquit, quasi aliena sint; nam Domini est terra; sed propter id quod dicebam, propter conscientiam, id est, ne lædaris. Oportet ergo curiose inquirere? Non, inquit. Neque enim tuam dixi conscientiam, sed illius. Prius enim dixi, propter illum qui indicavit, & rursus: 29. *Conscientiam dico non tuam, sed alterius.* Sed forte dixerit quispiam: Fratribus merito parcis, & non sinis nos gustare propter illos; ne eorum conscientia cum sit infirma, inducatur ad comedendum ea quæ idolis sunt immolata. Si vero Gentilis quispiam

A φησί· πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες. ἐὰν γὰρ ἀγνοῶν, φησι, φάγῃς, καὶ μὴ εἰδώς, οὐχ ὑπόκειται τῇ τιμωρίᾳ. τῆς γὰρ ἀγνοίας λοιπὸν τὸ πρᾶγμα, οὐχὶ τῆς λαιμαργίας. καὶ οὐ ταύτης μόνον αὐτοὺς ἀπαλλάττει τῆς ἀγωνίας, ἀλλὰ καὶ ἑτέρας, πολλὴν ἄδειαν καὶ ἐλευθερίαν αὐτοῖς κατασκευάζων. οὐδὲ γὰρ ἀνακρίνειν ἀφίησι, τουτέστιν, ἐξετάζειν καὶ πυνθάνεσθαι, εἴτε εἰδωλόθυτον, εἴτε μὴ τοιοῦτον· ἀλλ' ἁπλῶς ἐσθίειν ἅπαν τὸ ἐξ ἀγορᾶς, μηδὲ τοῦτο μανθάνειν, ὅ, τι ποτέ ἐστι [a] τὸ προκείμενον. ὥστε ἐστὶ B καὶ φαγόντα ἀγνοοῦντα ἀπηλλάχθαι. τοιαῦτα γὰρ τὰ μὴ τῇ φύσει πονηρά, ἀλλ' ἀπὸ τῆς διανοίας ποιοῦντα τὸ ἀκάθαρτον. διὰ τοῦτό φησι, μηδὲν ἀνακρίνοντες. τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. οὐχὶ τῶν δαιμόνων. εἰ δὲ ἡ γῆ, καὶ οἱ καρποί, καὶ τὰ ἄλογα αὐτῆς πάντα, οὐδὲν ἀκάθαρτον· ἀλλ' ἑτέρως ἀκάθαρτον γίνεται, ἀπὸ τῆς διανοίας καὶ ἀπὸ τῆς παρακοῆς. διὰ τοῦτο οὐ μόνον ἐπέτρεψεν, ἀλλὰ καί, ἐάν τις ὑμᾶς, φησι, καλῇ τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. ὅρα πάλιν τὴν συμμετρίαν. οὐ γὰρ ἐπέτα- C ξε, καὶ ἐνομοθέτησεν ἀπιέναι, ἀλλ' οὐδὲ ἐκώλυσεν. ἀπελθόντας δὲ πάλιν ἀπαλλάττει πάσης ὑποψίας. τί δήποτε; ἵνα μὴ δόξῃ φόβου τινὸς εἶναι ἡ τοσαύτη πολυπραγμοσύνη καὶ δειλίας. ὁ μὲν γὰρ περιεργαζόμενος, ὡς δεδοικὼς τοῦτο ποιεῖ· ὁ δὲ μετὰ τὸ ἀκοῦσαι ἀπεχόμενος, ὡς καταφρονῶν καὶ μισῶν καὶ ἀποστρεφόμενος, ἀπέχεται. διόπερ ὁ Παῦλος ἀμφότερα βουλόμενος κατασκευάσαι φησί, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. ἂν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ D ἐσθίετε διὰ τὸν μηνύσαντα. οὐδὲ γὰρ ὡς ἐχόντων ἰσχύν, ἀλλ' ὡς βδελυρῶν ἀπέχεσθαι κελεύει. μήτε τοίνυν, ὡς δυνάμενα καταβλάψαι, φεύγετε, οὐδεμίαν γὰρ ἔχει ἰσχύν, μήτε, ἐπειδὴ μηδεμίαν ἔχει ἰσχύν, ἀδιαφόρως μετέχετε· ἐχθρῶν γάρ ἐστι καὶ ἠτιμωμένων ἡ τράπεζα. διὸ ἔλεγε, μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν. τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ὁρᾷς πῶς καὶ ὅτε ἐσθίειν κελεύει, καὶ ὅτε ἀπέχεσθαι δεῖ, τὴν αὐτὴν μαρτυρίαν εἰς μέσον ἄγει; οὐδὲ γὰρ διὰ τοῦτο κωλύω, φη- E σίν, ὡς ἀλλοτρίων ὄντων· τοῦ γὰρ κυρίου ἡ γῆ, ἀλλὰ δι' ὅπερ εἶπον, διὰ τὴν συνείδησιν, τουτέστιν, ἵνα μὴ βλαβῇ. οὐκοῦν δεῖ περιεργάζεσθαι; οὔ, φησιν. οὐδὲ γὰρ τὴν σὴν εἶπον συνείδησιν, ἀλλὰ τὴν ἐκείνου. προλαβὼν γὰρ εἶπον, διὰ τὸν μηνύσαντα· καὶ πάλιν. συνείδησιν λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἀλλ' ἴσως εἴποι τις ἄν· ὅτι τῶν μὲν ἀδελφῶν εἰκότως φείδῃ, καὶ οὐκ ἐᾷς ἡμᾶς ἀπογεύεσθαι δι' ἐκείνους, ἵνα μὴ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα οἰκοδομηθῇ εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν. εἰ δὲ Ἕλλην τις εἴη,

a Reg. τὸ προκείμενον· ὥστε μὴ ἑαυτῷ παρέχειν ἀνα- | κρίσεως ἀφορμάς, ὥστε ἐστι καὶ φαγόντα ἀγνοοῦντα.

τί σοι τούτου μέλει; οὐ σὺ ἔλεγες· τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; τίνος οὖν ἕνεκεν αὐτῶν πάλιν φροντίζεις; οὐκ ἐκείνου φροντίζω, φησὶν, ἀλλὰ καὶ ἐνταῦθά σου. διὸ καὶ ἐπήγαγεν· ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; ἐλευθερίαν, τὸ ἀπαρατήρητον καὶ ἀκώλυτον λέγων. τοῦτο γὰρ ἐλευθερία, Ἰουδαϊκῆς ἀπηλλαγμένη δουλείας. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐλεύθερόν με ἐποίησεν ὁ θεὸς, καὶ πάσης βλάβης ἀνώτερον, ἀλλ' οὐκ οἶδεν ὁ Ελλην δικάζειν τῇ ἐμῇ φιλοσοφίᾳ, οὐδὲ τὴν τοῦ δεσπότου μου φιλοτιμίαν συνορᾷν, ἀλλὰ καταγνώσεται καὶ ἐρεῖ πρὸς ἑαυτόν· μῦθος τὰ Χριστιανῶν, ἀπέχονται τῶν εἰδώλων, φεύγουσι δαίμονας, καὶ τῶν ἐκείνοις προσφερομένων ἔχονται· πολλὴ παρ' αὐτοῖς ἡ γαστριμαργία. καὶ τί τοῦτο, φησι; ποῖον δὲ ἡμῖν βλάβος, ἂν κακῶς ἐκεῖνος κρίνῃ; πόσῳ δὲ βέλτιον τὸ μηδὲ ὅλως κρίνειν αὐτῷ διδόναι; ἂν γὰρ ἀπέχῃ, οὐδὲ ταῦτα ἐρεῖ. πῶς, φησιν, οὐκ ἐρεῖ; ὅταν γὰρ ἴδῃ μὴ ἐξετάζοντα ταῦτα, μὴ ἐν μακέλλῳ, μὴ ἐν συμποσίῳ, πῶς οὐκ ἐρεῖ καὶ καταγνώσεται, ὡς ἀδιαφόρως μου μετέχοντος; οὐδαμῶς. οὐ γὰρ ὡς εἰδωλοθύτων μετέχεις, ἀλλ' ὡς καθαρῶν. εἰ δὲ οὐ περιεργάζῃ, ἵνα δείξῃς, ὅτι οὐ δέδοικας τὰ προκείμενα. διὰ γὰρ τοῦτο, κἂν εἰς Ελλήνων οἰκίαν εἰσέλθῃς, κἂν εἰς ἀγορὰν ἐμβάλῃς, οὐκ ἀφίημί σε ἐρωτᾷν, ἵνα μὴ ψοφοδεὴς γένῃ, μηδὲ λινοπλὴξ, μηδὲ περιττὰ ἑαυτῷ πράγματα παρέχῃς. εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; τίνος μετέχεις χάριτι, εἰπέ μοι; τῶν τοῦ θεοῦ δώρων. ἡ γὰρ χάρις αὐτοῦ τοσαύτη, ὡς κατασκευάσαι μοι τὴν ψυχὴν ἀμόλυντον καὶ ἀνωτέραν πάσης κηλῖδος. καθάπερ γὰρ ἥλιος ἐπαφιεὶς τὰς ἀκτῖνας πολλαῖς κηλῖσι, πάλιν αὐτὰς συστέλλει καθαράς· οὕτω καὶ ἡμεῖς, καὶ πολλῷ πλέον, ἐν μέσῳ τῷ κόσμῳ στρεφόμενοι, καθαροὶ διαμένομεν, ἂν ἐθέλωμεν, ὅσῳ καὶ μείζονα δύναμιν ἔχομεν.

Τί οὖν ἀπέχῃ, φησίν; οὐχ ὡς μέλλων ἀκάθαρτος γίνεσθαι, μὴ γένοιτο, ἀλλὰ διὰ τὸν ἀδελφὸν, καὶ ἵνα μὴ κοινωνὸς γένωμαι δαιμονίων, καὶ ἵνα μὴ κρίνωμαι παρὰ τοῦ ἀπίστου. ἐνταῦθα γὰρ οὐκέτι λοιπὸν ἡ φύσις, ἀλλ' ἡ παρακοὴ καὶ ἡ πρὸς δαίμονας φιλία ποιεῖ με ἀκάθαρτον, καὶ ἡ προαίρεσις τὸν μολυσμὸν ἐργάζεται. τί δέ ἐστι, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; ἐγὼ μὲν γάρ, φησιν, εὐχαριστῶ τῷ θεῷ, ὅτι οὕτω με ὑψηλὸν ἐποίησε, καὶ Ἰουδαϊκῆς ταπεινότητος ἀνώτερον, ὡς μηδαμόθεν βλάπτεσθαι· οἱ δὲ Ελληνες οὐκ εἰδότες μου τὴν φιλοσοφίαν, τἀναντία ὑποπτεύουσι, καὶ ἐροῦσιν, ὅτι Χριστιανοὶ τῶν ἡμετέρων ἐφίενται, καὶ ὑποκριταί τινές εἰσι, διαβάλλοντες μὲν δαίμονας καὶ ἀποστρεφόμενοι, ἐπὶ δὲ τὰς τραπέζας αὐτῶν τρέχοντες· οὗ τί γένοιτ' ἂν ἀναισθητότερον; οὐκ ἄρα ἀληθείας ἕνεκεν, ἀλλὰ φιλοτιμίας καὶ φιλαρχίας ἐπὶ τὸ δόγμα τοῦτο ἐληλύθασι.

A fuerit, quid tibi curæ est? Nonne tu dicebas, Quid enim mihi de iis qui foris sunt judicare? Cur ergo rursus de illis curam geris? Non illius, inquit, sed etiam hic tui curam gero. Ideo subjunxit: *Ut quid enim libertas mea judicatur ab aliena conscientia?* Libertatem dicens, quod non observetur, neque prohibeatur: hoc enim libertas est, a Judaïca servitute liberata. Hoc autem vult significare: liberum me fecit Deus, & omni documento superiorem. Sed nescit Gentilis de mea judicare philosophia, neque
B Domini mei liberalitatem perspicere; sed condemnabit & apud se dicet: Fabulæ sunt res Christianorum: abstinent ab idolis, fugiunt dæmonas, & hærent iis quæ illis offeruntur. Viget apud illos gula. Et quid tum, inquies? Quid nobis damni, si ille male judicet? Quanto autem melius non illi occasionem dare ut judicet? Si enim abstineas, ne hæc quidem dicet. Quomodo, inquies, non dicet? Cum enim viderit me non hæc examinare, non in macello, non in convivio, quomodo non dicet neque damnabit, ut qui indiscriminatim horum par-
C ticeps sim? Nequaquam. Neque enim hæc tamquam idolis immolata comedis, sed tamquam munda. Si autem non curiose inquiris, ut ostendas te apposita non timere. Propterea sive in domum Græcorum ingrediaris, sive in forum veneris, non permitto te sciscitari, ne strepitum timeas, vel impliceris, neve tibi superflua præbeas negotia. 30. *Si ego cum gratia participo, quid blasphemor pro eo quod gratias ago?* Cujus, quæso te, particeps es? Dei donorum. Ejus enim gratia tanta est, ut animam meam reddat impollutam, & omni macula superiorem. Quem-
D admodum enim sol radios immittens in multas maculas, rursus illas comprimit & reddit mundas; ita & nos, & multo magis in medio mundi versantes, puri manemus, si velimus, quo etiam vim habemus majorem.

2. Cur ergo, inquit, abstines? Non quasi futurus sim immundus, absit; sed propter fratrem, & ne sim socius dæmoniorum, neve judicer ab infideli. Hic enim non amplius natura, sed inobedientia, & amicitia erga dæmonas, me facit immundum, & liberum arbitrium maculas operatur. Quid sibi vult autem
E illud: *Quid blasphemor pro eo quod gratias ago?* Ego enim, inquit, gratias ago Deo, quod me ita sublimem fecerit, & humilitate Judaïca superiorem, ita ut nulla ex parte lædar. Gentiles autem meam ignorantes philosophiam, contraria suspicabuntur & dicent; Christiani nostra appetunt, & sunt hypocritæ, nam cum dæmones vituperent & aversentur, ad mensas eorum accurrunt; quo quid insanius esse possit? Non ergo veritatis causa, sed ambitionis & principatus amoris, ad hoc dogma se contulerunt. Quan-

tæ ergo insaniæ fuerit, si pro illis quibus affectus sum beneficiis tantis, ut de illis gratias agam, blasphemiæ causa fuerim? At hæc quoque nunc dicet Græcus, inquies, cum viderit me non curiose inquirere? Nequaquam: non enim omnia plena sunt idolothytis, ut hoc suspiceris, neque tu illa ut idolothyta degustas. Noli ergo curiose indagare supervacanea; neque rursus si aliqui dicant, idolis immolatum est, ejus sis particeps. Nam gratiam tibi Christus dedit, sublimemque te fecit atque huic damno superiorem; non ut male audias, neque ut unde tantum lucratus es ut gratias ageres, inde ita alios lædas ut blasphement. Cur enim, inquit, non dico Græco, Rodo & nihil lædor, neque quasi dæmonum amicus hoc facio? Quia non potes persuadere, etiamsi millies dicas: infirmus namque est & inimicus. Si enim fratri nondum persuasisti, multo minus inimico & Græco persuadebis. Si ille per conscientiam idolis immolati retinetur, multo magis infidelis. Quid autem nobis tam multis opus est negotiis? Quid ergo, quia Christum novimus & gratias agimus, illi autem blasphemant, ideo ab hoc abstinebimus? Apage. Non enim par res est: illic enim lucrum magnum est, quod blasphemiam feramus, hic autem nihil erit lucri. Ideo prius dicebat: Neque enim si manducamus, abundamus, neque si non manducamus, deficimus. Præter hæc autem rem esse fugiendam pronunciavit, ita ut alia etiam ratione abstinere oporteat, non ideo tantum, sed ob alias quas dixit causas. 31. *Sive ergo manducatis, sive bibitis sive aliud quid facitis, omnia in gloriam Dei facite.* Vidistin' quomodo a re proposita ad id quod universale est adhortationem deduxerit, una pulcherrima nobis data definitione, ut Deus per omnia glorificetur? 32. *Sine offensione estote Judæis & Gentibus, & ecclesiæ Dei* Id est, nullam cuiquam detis ansam. Nam frater offenditur, Judæus magis te odio habebit, teque damnabit, Gentilis similiter tamquam helluonem irridebit & hypocritam. Non modo fratres offendere non oportet, sed, quantum fieri potest, ne externos quidem. Si enim lux sumus & fermentum, & luminaria, & sal, illuminare, non tenebris offundere oportet; stringere, non dissolvere; ad nos infideles attrahere, non fugare. Quid ergo persequeris eos, quos attrahere oportet? Etenim Græci offenduntur cum nos vident ad talia revertentes. Mentem enim nostram non norunt, neque quod anima nostra sit sublimior, omnique sensibili macula superior. Judæi vero & infirmiores fratres eadem ipsa patientur. Viden' quantas posuerit causas, ob quas oporteat ab iis quæ idolis immolata sunt abstinere? Propter inutilitatem, propter superfluitatem, ob damnum fratris, ob Judæi blasphemiam, ob Græci maledictum; quod

A πόσης οὖν ἀνοίας ἂν εἴη, ὑπὲρ ὧν οὕτως εὐηργετήθην, ὡς καὶ εὐχαριστεῖν, ὑπὲρ τούτων βλασφημίας αἴτιον γίνεσθαι; ἀλλὰ ταῦτα καὶ νῦν ἐρεῖ, φησὶν, ὁ Ἕλλην, ὅταν ἴδῃ μὴ περιεργαζόμενον; οὐδαμῶς. οὐ γὰρ πάντα εἰδωλοθύτων γέμει, ἵνα τοῦτο ὑποπτεύσῃ· οὔτε αὐτὸς ὡς εἰδωλοθύτων ἀπογεύῃ. μὴ τοίνυν περιεργάζου περιττὰ, μηδ' αὖ πάλιν, λεγόντων τινῶν ὅτι εἰδωλόθυτόν ἐστι, κοινώνει. καὶ γὰρ ὁ Χριστὸς χάριν σοι ἔδωκε, καὶ ὑψηλόν σε ἐποίησε καὶ μείζονα τῆς ἐκεῖθεν βλάβης, οὐχ ἵνα κακῶς ἀκούσῃς, οὐδ' ἵνα, ὅθεν τοσαῦτα ἐκέρδανας ὡς καὶ εὐχαριστεῖν, ἐντεῦθεν οὕτω βλά-
B ψῃς ἑτέρους ὡς καὶ βλασφημεῖν. Διὰ τί γὰρ οὐ λέγω τῷ Ἕλληνι, φησιν, ὅτι καὶ τρώγω, καὶ οὐδὲν βλάπτομαι, καὶ ὅτι οὐχ ὡς φιλῶν τοὺς δαίμονας τοῦτο ποιῶ; ὅτι οὐ δύνασαι πεῖσαι, κἂν μυριάκις λέγῃς. ἀσθενὴς γάρ ἐστι, καὶ πολέμιος. εἰ γὰρ τὸν ἀδελφὸν οὐδέπω ἔπεισας, πολλῷ μᾶλλον τὸν ἐχθρὸν καὶ Ἕλληνα. εἰ ἐκεῖνος ἐπὶ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου κατέχεται, πολλῷ μᾶλλον ὁ ἄπιστος. τί δὲ ἡμῖν καὶ πραγμάτων δεῖ τοσούτων; τί οὖν, ἐπειδὴ Χριστὸν ἔγνωμεν καὶ εὐχαριστοῦμεν, βλασφημοῦσι δὲ ἐκεῖνοι, διὰ τοῦτο ἀπο-
C στησόμεθα καὶ τούτου; ἄπαγε. οὐ γάρ ἐστιν ἴσον. ἐκεῖ μὲν γὰρ πολὺ τὸ κέρδος ἐκ τοῦ φέρειν τὴν βλασφημίαν, ἐνταῦθα δὲ οὐδὲν ἔσται πλέον. διὸ καὶ προλαβὼν ἔλεγεν· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν· καὶ χωρὶς τούτου δὲ φευκτὸν τὸ πρᾶγμα ἀπέφηνεν, ὥστε καὶ ἑτέρωθεν αὐτῶν ἀπέχεσθαι δεῖ, οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὰς ἄλλας ἃς εἴρηκεν αἰτίας. εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. εἶδες πῶς ἀπὸ τοῦ προκειμένου ἐπὶ τὸ καθολικὸν ἐξήγαγε τὴν παραίνεσιν, ἕνα κάλλιστον τὸν ὅρον ἡμῖν δοὺς, τὸ τὸν θεὸν διὰ πάν-
D των δοξάζεσθαι; ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. τουτέστι, μηδεμίαν παρέχετε λαβὴν μηδενί. καὶ γὰρ ὁ ἀδελφὸς σκανδαλίζεται, καὶ ὁ Ἰουδαῖος μᾶλλόν σε μισήσει καὶ καταγνώσεταί σου, καὶ ὁ Ἕλλην ὁμοίως ὡς λαίμαργον οὕτω γελάσεται καὶ ὑποκριτήν. οὐ μόνον δὲ ἀδελφοὺς οὐ χρὴ πλήττειν, ἀλλ' ἐν τοῖς δυνατοῖς οὐδὲ τοὺς ἔξωθεν. εἰ γὰρ φῶς ἐσμεν καὶ ζύμη, καὶ φωστῆρες, καὶ ἅλες, φωτίζειν, οὐ σκοτίζειν δεῖ· σφίγγειν, οὐ παραλύειν· πρὸς ἑαυτοὺς ἐπισπᾶσθαι τοὺς ἀπίστους,
E οὐ φυγαδεύειν. τί τοίνυν διώκεις, οὓς ἐφέλκεσθαι δεῖ; καὶ γὰρ Ἕλληνες πλήττονται, ὅταν ἴδωσι παλινδρομοῦντας ἡμᾶς εἰς τὰ τοιαῦτα· τὴν γὰρ διάνοιαν οὐκ ἴσασιν, οὐδ' ὅτι παντὸς αἰσθητοῦ μολυσμοῦ ἀνωτέρα γέγονεν ἡ ψυχή. καὶ οἱ Ἰουδαῖοι δὲ, καὶ τῶν ἀδελφῶν οἱ ἀσθενέστεροι τὰ αὐτὰ πείσονται. εἶδες πόσας αἰτίας τέθεικε, δι' ἃς χρὴ τῶν εἰδωλοθύτων ἀπέχεσθαι; διὰ τὸ ἀνόνητον, διὰ τὸ περιττὸν, διὰ τὴν τοῦ ἀδελφοῦ βλάβην, διὰ τὴν τοῦ Ἰουδαίου βλασφημίαν, διὰ τὴν τοῦ Ἕλληνος κακηγορίαν,

διὰ τὸ μὴ δεῖν δαίμοσι κοινωνεῖν, διὰ τὸ εἰδωλολατρείαν τινὰ εἶναι τὸ πρᾶγμα. Εἶτα, ἐπειδὴ εἶπεν, ἀπρόσκοποι γίνεσθε, καὶ ὑπευθύνους αὐτοὺς ἐποίησε καὶ τῆς τῶν Ἑλλήνων βλάβης καὶ τῆς τῶν Ἰουδαίων, καὶ βαρὺ τὸ λεγόμενον ἦν, ὅρα πῶς αὐτὸ εὐπαράδεκτον καὶ κοῦφον ποιεῖ, τιθεὶς ἑαυτὸν μέσον, καὶ λέγων. καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

Τοῦτο κανὼν χριστιανισμοῦ τοῦ τελειοτάτου, τοῦτο ὅρος ἠκριβωμένος, αὕτη ἡ κορυφὴ ἡ ἀνωτάτω, τὸ τὰ κοινῇ συμφέροντα ζητεῖν. ὅπερ καὶ αὐτὸς δηλῶν ἐπήγαγε, καθὼς κἀγὼ Χριστοῦ. οὐδὲν γὰρ οὕτω δύναται ποιῆσαι μιμητὴν Χριστοῦ, ὡς τὸ κήδεσθαι τῶν πλησίον. ἀλλὰ κἂν νηστεύσῃς, κἂν χαμευνήσῃς, κἂν ἀπαγχονήσῃς σαυτὸν, τοῦ δὲ πλησίον μὴ προνοῇς, οὐδὲν μέγα εἰργάσω, ἀλλ' ἔτι πόῤῥω ταύτης τῆς εἰκόνος ἕστηκας ταῦτα ποιῶν. καίτοι ἐνταῦθα μὲν καὶ αὐτὸ φύσει τὸ πρᾶγμα λυσιτελές ἐστι, τὸ ἀπέχεσθαι τῶν εἰδωλοθύτων. ἐγὼ δὲ πολλὰ καὶ τῶν ἀσυμφόρων ἐποίησα, φησὶν, οἷον, ὅτε περιέτεμον, ὅτε ἔθυσα. ταῦτα γὰρ εἴ τις καθ' ἑαυτὰ ἐξετάσειε, καὶ ἀπόλλυσι τοὺς μετιόντας καὶ τῆς σωτηρίας ἐκπίπτειν ποιεῖ. ἀλλ' ὅμως ὑπέμεινα καὶ ταῦτα διὰ τὸ ἐξ αὐτῶν κέρδος. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ἐκεῖ μὲν γὰρ, ἂν μὴ προσῇ ἡ ὠφέλεια καὶ τὸ δι' ἑτέρους γίνεσθαι, τότε βλάβος τὸ πρᾶγμα γίνεται. ἐνταῦθα δὲ, κἂν μηδεὶς ὁ σκανδαλιζόμενος ᾖ, καὶ οὕτως ἀπέχεσθαι τῶν κεκωλυμένων χρή. οὐ μόνον δὲ βλαβερὰ, ἀλλὰ καὶ ἐπίπονα ὑπέμεινα. ἄλλας γὰρ ἐκκλησίας ἐσύλησα, φησὶ, λαβὼν ὀψώνιον, καὶ ἐξὸν ἐσθίειν, καὶ μὴ ἐργάζεσθαι, οὐκ ἐζήτησα τοῦτο, ἀλλ' εἱλόμην λιμῷ διαφθαρῆναι μᾶλλον, ἢ σκανδαλίσαι ἕτερον. διὰ τοῦτό φησι, πάντα πᾶσιν ἀρέσκω. ἄν τε παράνομον, ἄν τε ἐπίπονον καὶ ἐπικίνδυνον δέῃ ποιῆσαι, πάντα εἰς τὸ ἑτέρων συμφέρον ὑπομένω. πάντων γοῦν ἀνώτερος ὢν κατὰ τὴν ἀκρίβειαν, πάντων κατώτερος γέγονε κατὰ τὴν συγκατάβασιν. καὶ γὰρ οὐδὲν κατόρθωμα σφόδρα μέγα εἶναι δύναιτ' ἂν, ὅταν μὴ τὸ κέρδος καὶ εἰς ἑτέρους διαβῇ. καὶ δηλοῖ ὁ τὸ τάλαντον ὑγιὲς προσενεγκὼν, καὶ διχοτομηθεὶς ἐπειδὴ αὐτὸ οὐκ ἐπλεόνασε. καὶ σὺ τοίνυν, ἀδελφὲ, κἂν ἄσιτος μένῃς, κἂν χαμαὶ καθεύδῃς, κἂν τέφραν ἐσθίῃς, καὶ θρηνῇς διαπαντὸς, καὶ μηδένα ἕτερον ὠφελῇς, οὐδὲν μέγα ἐργάσῃ. καὶ γὰρ καὶ τοῖς ἐν ἀρχῇ μεγάλοις καὶ γενναίοις ἐκείνοις ἀνδράσι τοῦτο μάλιστα περισπούδαστον ἦν. ἐξέτασον αὐτῶν μετὰ ἀκριβείας τὸν βίον, καὶ ὄψει σαφῶς, ὅτι οὐδεὶς αὐτῶν τὰ ἑαυτοῦ ποτε ἐσκόπησεν, ἀλλὰ τοῦ πλησίον ἕκαστος· ὅθεν καὶ ἔλαμψαν μᾶλλον. καὶ γὰρ καὶ τῷ Μωϋσῇ πολλὰ καὶ μεγάλα εἰργάσθη θαύματα καὶ σημεῖα· ἀλλ' οὐδὲν αὐτὸν οὕτω μέγαν ἐποίησεν, ὡς ἡ μακαρία ἐκείνη φωνὴ, ἣν πρὸς τὸν θεὸν ἀφῆκε, λέγων, εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν,

A non oporteat cum dæmonibus communicare, quod ea res idololatria quædam sit. Deinde quia dixit, Sine offensione estote, & obnoxios illos fecit & Gentilium & Judæorum damnis, atque illud grave molestumque erat; vide quomodo illud acceptabile & leve faciat, sese medium ponens ac dicens. 33. *Sicut & ego per omnia omnibus placeo, non quærens quod mihi utile est; sed quod multis, ut salvi fiant.* 1. *Imitatores mei estote, sicut ego Christi.* Cap. XI.

3. Hoc est regula perfectissimi Christianismi, hoc accurata definitio, hoc B summum fastigium, quæ in commune conferunt quærere; quod & ipse declarans subjunxit, sicut & ego Christi. Nihil enim ita potest imitatorem Christi facere, ut curam proximi gerere. Sed etiamsi jejunaveris, humi cubueris, si te, ut ita dicam, strangulaveris, proximi autem curam non geras, nihil magni fecisti; sed adhuc longe abes ab hac imagine hæc faciens. Atqui hic quidem ipsa quoque res natura sua est utilis, abstinere ab iis quæ sunt idolis immolata. Ego autem plurima feci, inquit, ex iis quæ per se non sunt utilia, nempe quando C circumcidi, quando sacrificavi. Hæc enim quando per se examinantur, & perdunt eos qui id faciunt, & efficiunt ut a salute excidant. Attamen sustinui illa, ob lucrum inde proveniens. Hic autem nihil simile. Illic enim nisi adsit utilitas, & nisi aliis prosit; tunc res damnosa est; hic vero, etiamsi nemo offendatur, oportet tamen a prohibitis abstinere. Non solum autem noxia, sed etiam laboriosa pertuli. Alias enim ecclesias depopulatus sum, inquit, accepto stipendio, & cum comedere liceret, & non operari, D hoc non quæsivi; sed malui fame perire potius, quam alteri offendiculo esse. Ideo ait: Per omnia omnibus placeo; sive rem legibus adversam, sive laboriosam, sive periculosam oporteat facere, omnia in aliorum utilitatem sustineo. Cum ergo omnibus superior esset quantum ad accuratam vitæ rationem, omnibus inferior erat per attemperationem. Nam nullum præclare gestum ita magnum esse possit, nisi utilitatem ad alios transmiserit, idque palam est ex illo qui talentum integrum retulit, & dissectus est quoniam E illud non multiplicavit. Et tu ergo, frater, etiamsi abstineas a cibo, etiamsi humi cubes, etiamsi cinerem comedas, semperque lamenteris, si nihil alium juves, nihil magnum operaris. Etenim illis in principio viris magnis & præclaris, hoc maxime curæ erat. Eorum vitam accurate scrutare, & clare videbis eorum neminem sua spectasse, sed singulos ea quæ proximi erant, unde etiam magis resplenduerunt. Nam & a Moyse multa & magna patrata sunt miracula & signa; sed nihil illum tam magnum fecit, ut beata illa vox quam ad Deum emisit, dicens: *Si autem dimittis illis peccatum, dimitte,*

2. Cor. 11. 18.

Præclarum nihil est, nisi aliis sit utile.

Exod. 32. 32.

*sin minus, & me quoque dele.* Talis quoque David erat, ideo dicebat: *Ego pastor peccavi, & ego male feci, & isti qui sunt grex quid fecerunt? Sit manus tua super me & super domum patris mei.* (2. Reg. 24. 17.) Sic Abraham non id quod sibi competeret, quærebat, sed quod multis. Ideoque periculis sese exponebat, Deumque rogabat pro iis, qui ad ipsum nihil attinebant. Et hi quidem ita claruerunt. Qui vero ea quæ sua essent quærebant, vide quantum damni acceperint. (Gen. 13. 9.) Ejus certe fratris filius, cum audisset: Si tu ad dexteram, ego ad sinistram, & optasset, quod sibi utile erat quæsivit, neque quod suum erat invenit; sed hæc quidem regio tota conflagravit, illa autem mansit illæsa. Jonas rursum cum non quæsisset id quod multis, sed quod sibi conducebat, in periculum exitii venit. Et urbs quidem stabat, ipse vero agitatus fluctibus & demersus fuit. Cum autem id quod multis utile erat quæsivit, tunc quod suum erat invenit. Sic & Jacob in gregibus cum non lucrum proprium quæsivisset, magnas opes est assequutus. Et Joseph cum fratrum commodum quæsivisset, suum invenit. Missus enim a patre, non dixit; quid hoc est? Non audisti quod pro visu & somniis me discerpere conati sint, & pro somniis in crimen vocatus sim, & quod a te diligar pœnas dederim? Quid ergo non facturi sunt, si me in medio tenuerint? Nihil horum dixit, nec cogitavit; sed fratrum curam omnibus prætulit. Ideoque omnia quæ post illis obtigerunt assequutus est bona, quæ etiam illum valde clarum fecerunt & gloriosum. Sic & Moyses; nihil enim impedit quominus illum secundo memoremus; & videamus quomodo sua despexerit, & aliis bona conferre quæsierit. Ille namque in regia versans, quia majores divitias esse putabat opprobrium, quam Ægypti thesauros, projectis omnibus quæ præ manibus habebat, malorum socius cum Hebræis fuit, nec modo ipse non in servitutem redactus est, sed etiam illos a servitute liberavit. Magna quidem hæc sunt, & angelico digna instituto.

4. At quod Paulum spectat longe excellentius est. Alii enim omnes suis relictis bonis, proximi malorum socii esse voluerunt. Paulus vero rem longe majorem fecit. Non enim alienarum calamitatum particeps esse voluit, sed id elegit, ut ipse in extremis esset, ut alii in bonis degerent. Nec par res est in deliciis versantem delicias respuere, & affligi; & solum affligi, & vexari, ut alii in securitate & honore versentur. Hic enim etsi magnum est mala bonis commutare propter proximum, aliquam tamen consolationem affert, rerum adversarum socios habere, se autem velle solum esse in rebus asperis, ut alii bonis fruantur; hoc est longe generosioris animi, & Pauli. Non hinc

A ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον. τοιοῦτος ἦν καὶ ὁ Δαυίδ· διὸ καὶ ἔλεγεν, ἐγὼ ὁ ποιμὴν ἥμαρτον καὶ ἐγὼ ἐκακοποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησε; γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. οὕτω καὶ ὁ Ἀβραὰμ οὐκ ἐζήτει τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν. διὸ καὶ κινδύνοις ἑαυτὸν ἐξεδίδου, καὶ τὸν θεὸν ὑπὲρ τῶν οὐδὲν αὐτῷ προσηκόντων παρεκάλει. καὶ οὗτοι μὲν οὕτως ἔλαμψαν. οἱ δὲ τὰ ἑαυτῶν ζητήσαντες σκόπει πῶς καὶ ἐβλάβησαν. ὁ γοῦν ἀδελφιδοῦς ὁ τούτου, ἐπειδὴ ἤκουσεν,
B εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερὰ, καὶ τὴν αἵρεσιν λαβὼν, τὸ ἑαυτοῦ συμφέρον ἐζήτησεν, οὐδὲ τὸ ἑαυτοῦ εὗρεν· ἀλλ' αὕτη μὲν ἐνεπυρίζετο ἡ χώρα, ἐκείνη δὲ ἔμενεν ἀνέπαφος. ὁ Ἰωνᾶς πάλιν οὐ ζητήσας τὸ τῶν πολλῶν συμφέρον, ἀλλὰ τὸ ἑαυτοῦ, καὶ ἀπολέσθαι ἐκινδύνευσε· καὶ ἡ μὲν πόλις εἱστήκει, αὐτὸς δὲ ἐσαλεύετο καὶ κατεποντίζετο. ὅτε δὲ τὸ τῶν πολλῶν συμφέρον ἐζήτησε, τότε καὶ τὸ ἑαυτοῦ εὗρεν. οὕτω καὶ ὁ Ἰακὼβ ἐπὶ τῶν ποιμνίων μὴ ζητήσας τὸ οἰκεῖον κέρδος, τῆς πολλῆς εὐπορίας ἀπήλαυσε. καὶ ὁ Ἰωσὴφ δὲ τὸ τῶν ἀδελφῶν συμφέρον ζητήσας, εὗρε τὸ ἑαυτοῦ.
C πεμπόμενος γοῦν παρὰ τοῦ πατρὸς οὐκ εἶπε, τί τοῦτο; οὐκ ἤκουσας ὅτι ὑπὲρ ὄψεως καὶ ἐνυπνίων καὶ διασπάσαι με ἐπεχείρουν, καὶ ὀνειράτων εὐθύνας ὑπεῖχον, καὶ τοῦ φιλεῖσθαί με παρὰ σοῦ δίδωμι δίκην; τί οὖν οὐκ ἐργάσονταί με λαβόντες εἰς μέσον; οὐδὲν τούτων εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ πάντων προτιμᾷ τὴν τῶν ἀδελφῶν θεραπείαν. διὰ τοῦτο καὶ πάντων τῶν μετὰ ταῦτα ἀπήλαυσεν ἀγαθῶν, ἃ καὶ σφόδρα λαμπρὸν αὐτὸν ἐποίησαν καὶ ἔνδοξον ἀπέφηναν. οὕτω καὶ Μωϋσῆς· οὐδὲν γὰρ κωλύει καὶ ἐκ δευτέρου πάλιν αὐτοῦ
D μνησθῆναι· καὶ ἰδεῖν πῶς τὰ καθ' ἑαυτὸν παρεώρα, καὶ τὰ τῶν ἄλλων ἐζήτει. ὢν γὰρ ἐν βασιλείοις στρεφόμενος, ἐπειδὴ μείζονα πλοῦτον ἡγήσατο τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν, καὶ πάντα ἀπὸ τῶν χειρῶν ῥίψας, ἐκοινώνει τῶν κακῶν τοῖς Ἑβραίοις, οὐ μόνον αὐτὸς οὐκ ἐδουλώθη, ἀλλὰ καὶ ἐκείνους δουλείας ἀπήλλαξε. μεγάλα μὲν οὖν ταῦτα, καὶ ἀγγελικῆς ἄξια πολιτείας.

Τὸ δὲ τοῦ Παύλου, πολλὴν ἔχει τὴν ὑπερβολήν. οἱ μὲν γὰρ ἄλλοι πάντες τὰ αὐτῶν ἀφέντες ἀγαθὰ, τοῖς τῶν πλησίον εἵλοντο κοινωνεῖν κακοῖς· ὁ δὲ Παῦλος
E πολλῷ μεῖζον ἐποίησεν. οὐ γὰρ ταῖς ἑτέρων ἠθέλησε κοινωνῆσαι συμφοραῖς, ἀλλ' εἵλετο αὐτὸς εἶναι ἐν τοῖς ἐσχάτοις, ἵνα ἕτεροι γίνωνται ἐν ἀγαθοῖς. οὐκ ἔστι δὲ ἴσον ὄντα ἐν τρυφῇ ῥίψαι τρυφὴν καὶ κακουχεῖσθαι, καὶ αὐτὸν μόνον κακουχούμενον ἑτέρους ποιῆσαι εἶναι ἐν ἀδείᾳ καὶ τιμῇ. ἐνταῦθα μὲν γὰρ εἰ καὶ μέγα τὸ ἀλλάξασθαι τὰ κακὰ τῶν ἀγαθῶν διὰ τὸν πλησίον, ἀλλ' ὅμως φέρει τινὰ παραμυθίαν τὸ κοινωνοὺς ἔχειν τῆς δυσημερίας· τὸ δὲ αὐτὸν μόνον ἐθέλειν εἶναι ἐν τοῖς λυπηροῖς, ἵνα ἕτεροι τῶν χρηστῶν ἀπολαύσωσι, τοῦτο πολλῷ νεανικωτέρας ψυχῆς καὶ τοῦ Παύλου φρονήματος.

φρονήματος. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρᾳ ὑπερβολῇ μείζονι νικᾷ τοὺς προειρημένους ἅπαντας. ὁ μὲν γὰρ Ἀβραὰμ καὶ οἱ λοιποὶ πάντες κινδύνοις ἑαυτοὺς περιέβαλον τοῖς ἐν τῷ παρόντι βίῳ, καὶ πάντες ἁπαξαπλῶς ἐκεῖνοι τοῦτον ᾔτουν τὸν θάνατον· ὁ δὲ Παῦλος τῆς δόξης τῆς μελλούσης ηὔχετο ἐκπεσεῖν ὑπὲρ τῆς τῶν ἑτέρων σωτηρίας. ἔχω καὶ τρίτην εἰπεῖν ὑπερβολήν. ποίαν δὲ ταύτην; ὅτι ἐκείνων μὲν ἔνιοι, εἰ καὶ τῶν ἐπιβουλευσάντων προΐσταντο, ἀλλ' ὅμως ὧν τὴν δημαγωγίαν ἦσαν ἐγκεχειρισμένοι· καὶ τοῦτον συνέβαινεν, οἷον ἄν τις [a] προΐστατο υἱοῦ φαύλου μὲν καὶ παρανόμου, υἱοῦ δὲ ὅμως· ὁ δὲ Παῦλος ὑπὲρ τούτων ἐβούλετο εἶναι ἀνάθεμα, ὧν οὐκ ἦν ἐμπεπιστευμένος τὴν προστασίαν. εἰς γὰρ τὰ ἔθνη ἦν ἀπεσταλμένος. εἶδες ψυχῆς μέγεθος, καὶ φρονήματος ὕψος αὐτὸν ὑπερβαῖνον τὸν οὐρανόν; τοῦτον ζήλωσον. εἰ δὲ οὐ δύνασαι, κἂν τοὺς ἐν τῇ παλαιᾷ λάμψαντας. οὕτω γὰρ εὑρήσεις τὸ σὸν συμφέρον, ἂν τὸ τοῦ πλησίον ζητῇς. ὥστε ὅταν ὀκνῇς ἐπιμελεῖσθαι τοῦ ἀδελφοῦ, ἐννοήσας ὅτι οὐδὲ ἄλλως δυνήσῃ σωθῆναι, διά γοῦν σαυτὸν ἐκείνου πρόστηθι καὶ τῶν ἐκείνου πραγμάτων. ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα πεῖσαι, ὅτι ἄλλως οὐκ ἔνι τὸ ἡμῖν συμφέρον εὑρεῖν. εἰ δὲ βούλει καὶ ἐκ τῶν ἐν συνηθείᾳ παραδειγμάτων τοῦτο μαθεῖν, ἐννόησον εἰ συμβαίνη που πῦρ ἀναφθῆναι ἐν οἰκίᾳ, εἶτά τινες τῶν πλησίον οἰκούντων, τὸ ἑαυτῶν σκοποῦντες μὴ παρατάξωνται τοῖς κινδύνοις, ἀλλὰ καὶ κατακλείσαντες ἑαυτοὺς οἴκοι μένωσι, δεδοικότες μή τις ἐπεισελθὼν ὑφέληταί τι τῶν ἔνδον, ὅσην ὑποστήσονται τιμωρίαν; καὶ γὰρ τὸ πῦρ ἐπελθὸν ἅπαντα καταφλέξει τὰ ἐκείνων· καὶ ἐπειδὴ τὸ τοῦ πλησίον συμφέρον οὐκ εἶδον, καὶ τὸ ἑαυτῶν προσαπολλύουσι. καὶ γὰρ ὁ θεὸς βουλόμενος συνδῆσαι πάντας ἀλλήλοις, τοιαύτην τοῖς πράγμασιν ἐπέθηκεν ἀνάγκην, ὡς ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ τοῦ ἑτέρου δεδέσθαι· καὶ ὁ κόσμος ἅπας οὕτω συνέστηκε. διὰ δὲ τοῦτο καὶ ἐν πλοίῳ, εἰ χειμῶνος γινομένου ὁ κυβερνήτης ἀφεὶς τὸ τῶν πολλῶν συμφέρον, τὸ ἑαυτοῦ ζητοίη μόνον, καὶ ἑαυτὸν καὶ ἐκείνους καταδύσει ταχέως. καὶ ἑκάστη δὲ τέχνη εἰ τὸ ἑαυτῆς συμφέρον σκοποίη μόνον, οὐκ ἄν ποτε ὁ βίος σταίη, οὐδὲ ἡ τέχνη ἡ τοῦτο ζητοῦσα. διὰ τοῦτο ὁ γεωργὸς οὐ τοσοῦτον σπείρει σῖτον, ὅσον ἀρκέσαι ἑαυτῷ· ἐπεὶ πάλαι καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπώλεσεν ἄν· ἀλλὰ τὸ τῶν πολλῶν ζητεῖ· καὶ ὁ στρατιώτης, οὐχ ἵνα ἑαυτὸν διασώσῃ παρατάττεται πρὸς κινδύνους, ἀλλ' ἵνα καὶ τὰς πόλεις ἐν ἀσφαλείᾳ καταστήσῃ· καὶ ὁ ἔμπορος οὐ τοσαῦτα κομίζει, ὅσα αὐτῷ μόνον ἀρκέσαι, ἀλλ' ὅσα καὶ ἑτέροις πολλοῖς. εἰ δὲ λέγοι τις, ὅτι οὐχὶ τὸ ἐμὸν, ἀλλὰ τὸ ἑαυτοῦ ἕκαστος σκοπῶν, ταῦτα ποιεῖ· καὶ γὰρ χρήματα ἑαυτῷ, καὶ δόξαν, καὶ ἀσφάλειαν κτώμενος, ἅπαντα πραγματεύεται ταῦτα· ὥστε τὸ ἐμὸν ζητῶν συμφέρον, τὸ ἑαυτοῦ ζητεῖ· τοῦτο καὶ ἐγώ φημι, καὶ πάλαι ἀκοῦσαι ἐβουλόμην, καὶ ὑπὲρ τούτου πάντα τὸν λόγον ἐποιησάμην,

[a] Reg. προσταίη.

A autem tantum, sed ex sublimi ratione alia jam memoratos omnes longe ille superat. Nam Abraham quidem & cæteri omnes sese iis objecere periculis tantum, quæ sunt in præsenti vita, & omnes illi hanc semel expetebant mortem. Paulus vero a futura gloria excidere rogabat, pro aliorum salute. Possum & tertiam dicere superiorem excellentiam. Quam illam? Quod aliqui eorum, etsi curam gerebant eorum qui sibi struxerant insidias, eorum tamen curam gerebant qui sibi traditi fuerant gubernandi: atque idipsum contingebat, ac si quis curam gere-

B ret filii quidem pravi & scelesti; sed tamen filii. Paulus vero pro his volebat anathema esse, qui ejus curæ non crediti fuerant. In gentes enim missus erat. Vidistin' animi magnitudinem, & sublimitatem ipsum cælum superantem? Hunc imitare; si vero non potes, saltem eos qui in veteri testamento fulserunt. Sic enim quod tibi utile erit invenies, si proximi utilitati advigiles. Itaque cum segnis eris ad fratris curam gerendam, cogitans te non alio posse modo salutem consequi, propter te saltem illum & res ejus

*Pauli magnitudo animi.*

C cura. Sufficiunt ea quæ dicta sunt, ut nobis persuadeant non posse nos alio modo ea quæ nobis conducunt invenire. Quod si velis ex consuetis exemplis hoc ediscere: si contigerit alicubi domum igne conflagrare; deinde aliqui ex vicinis, suis prospicientes, non se apparent adversus pericula, sed clausis ostiis domi maneant, metuentes ne quis ingressus aliquid furetur; quantum illi subibunt supplicium? Progressus enim ignis omnia illorum bona comburet: & quoniam proximi utilitatem non curavere, sua quoque perdent. Deus enim volens omnes inter se colligare, tantam rebus imposuit

D necessitatem, ut cum proximi utilitate alterius utilitas colligetur: & ita consistit mundus totus. Ideo in navi quoque, si ingruente tempestate, gubernator, rejecta multorum utilitate, suam ipse tantum quærat, & seipsum & alios cito submerget. Et in singulis artibus, si unaquæque quod sibi conducat tantum quæsierit, vita nunquam constiterit; neque ars quæ hoc quærit. Ideo agricola non modo tantum frumenti serit quantum sibi satis sit; alioquin enim jamdiu & se & alios perdidisset, sed id quærit quod conferat mul-

E tis. Et miles non ut se tueatur tantum adversus pericula stat in acie, sed ut civitates in tuto collocet. Et mercator non tantum transvehit, quantum sibi soli satis sit, sed quantum & multis aliis. Si quis vero dixerit, non meum, sed suum quisque curans hoc facit; nam & pecunias sibi & gloriam, & securitatem apparans, hæc omnia operatur. Itaque meam quærens utilitatem, suam quærit. Hoc & ego dico, & jam olim audire volebam, & ejus rei causa totam orationem institui,

ut ostenderem tunc proximum suam utilitatem quærere, cum tuam spectat. Quia enim non aliter homines vellent quæ sunt proximi quærere, nisi in hanc inducerentur necessitatem; ideo Deus hæc ita colligavit, & non sinit prius ad utilitatem propriam venire, quam per ea quæ aliis conducant iter habeatur. Hoc certe humanum est, ita ad proximi utilitatem se conferre. Oportet autem non inde, sed a Dei placito persuaderi. Neque enim salvus esse possit qui hoc non habet; sed etiamsi summam philosophiam exerceas, & cætera pereuntia non cures, nullam habebis apud Deum fiduciam. Undenam hoc constat? Ex iis quæ beatus Paulus pronunciavit: *Si enim omnes meas facultates distribuero in cibos pauperum, & si tradidero corpus meum ut ardeat, caritatem autem non habeam, nihil mihi prodest,* inquit. Viden' quantum Paulus exigat a nobis? quamquam is qui cibos distribuit, non sua, sed quæ proximi sunt, quærat. Sed hoc solum non sufficit, inquit: nam illud admodum sincere vult præstari, & cum magna commiseratione. Ideo enim hoc Deus præcepit, ut ad vinculum caritatis adduceret. Cum ergo ille tantam exigat mensuram, nos vero neque quod minus est præbeamus, qua digni erimus venia? Et quomodo, inquies, dicebat Deus Loto per angelos, *Servans serva animam tuam?* Dic quando & quare. Quando inferebatur supplicium, non quando oportebat corrigi, sed quando damnati erant & incurabili morbo laborabant, ac senes juvenesque in eosdem insilierant amores, ac demum comburi illos oportebat, & in illa die, cum fulmina immittenda erant. Alioquin autem, non de vitio & virtute hæc dicta sunt; sed de plaga divinitus immissa. Quid enim, quæso te, faciendum erat? an sedere oportebat & supplicium accipere, & sine aliqua illorum utilitate comburi? At hoc extremæ dementiæ fuisset. Neque enim hoc ego dico, quod frustra & incassum oporteat supplicium subire, præter Dei placitum. Sed quando homo in nequitia versatur, tunc jubeo te in medium injicere & illum curare; propter proximi utilitatem, si quidem velis; sin minus, saltem propter tuam. Illud porro melius est. Quod si non ad hanc sublimitatem attigeris, saltem tui causa facias. Et nemo quod suum est quærat, ut quod suum est inveniat. Et cogitantes, neque facultatum abdicationem, neque martyrium, neque aliud quidpiam nobis patrocinari posse, nisi summam caritatem habeamus. Hanc præ aliis servemus, ut per illam alia consequamur & præsentia & promissa bona, quæ utinam nos omnes adipiscamur gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui Sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

Gen. 19. 22.

A ὥστε δεῖξαι, ὅτι τότε τὸ ἑαυτοῦ συμφέρον ὁ πλησίον ζητεῖ, ὅταν τὸ σὸν σκοπήσῃ. ἐπειδὴ γὰρ ἑτέρως οὐκ ἠνείχοντο ἄνθρωποι τὰ τοῦ πλησίον ζητεῖν, εἰ μὴ εἰς ταύτην κατασταῖεν τὴν ἀνάγκην, διὰ τοῦτο οὕτως αὐτὰ συνέζευξεν ὁ θεὸς, καὶ οὐκ ἀφίησι πρότερον ἐπὶ τὸ οἰκεῖον συμφέρον ἐλθεῖν, μὴ διὰ τῶν ἀλλοτρίων συμφερόντων ὁδεύσαντας. τοῦτο μὲν οὖν ἀνθρώπινον, τὸ οὕτως ἐπὶ τὸ τοῦ πλησίον συμφέρον ἰέναι· δεῖ δὲ μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ τῶν τῷ θεῷ δοκούντων πείθεσθαι. οὐδὲ γὰρ ἔνι σωθῆναι μὴ τοῦτο ἔχοντα· ἀλλὰ κἂν τὴν ἄκραν φι-
B λοσοφίαν ἀσκῇς, τῶν δὲ λοιπῶν ἀπολλυμένων ἀμελῇς, οὐδεμίαν κτήσῃ παρὰ θεῷ παρρησίαν. πόθεν δῆλον; ἀφ' ὧν ὁ μακάριος ἀπεφήνατο Παῦλος. ἐὰν γὰρ ψωμίσω μου τὰ ὑπάρχοντα, καὶ παραδῶ τὸ σῶμά μου, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι, φησιν. ὁρᾷς πόσον ὁ Παῦλος ἐπιζητεῖ παρ' ἡμῶν; καίτοιγε ὁ ψωμίσας, οὐ τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πλησίον ἐζήτησεν. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο μόνον, φησί. μετὰ γὰρ γνησιότητος αὐτὸ βούλεται γίνεσθαι καὶ συμπαθείας πολλῆς. διὰ γὰρ τοῦτο καὶ ἐνομοθέτησεν αὐτὸ ὁ θεὸς, ἵνα εἰς σύνδεσμον ἀγάπης ἀγάγῃ. ὅταν οὖν ἐκεῖνος μὲν τοσοῦτον ἀπαιτῇ
C μέτρον, ἡμεῖς δὲ μηδὲ τὸ ἔλαττον παρέχωμεν, τίνος ἐσόμεθα ἄξιοι συγγνώμης; καὶ πῶς, φησι, τῷ Λὼτ ἔλεγεν ὁ θεὸς διὰ τῶν ἀγγέλων, σώζων σῶζε τὴν ἑαυτοῦ ψυχήν; εἰπὲ, πότε, καὶ διὰ τί. ὅτε ἡ κόλασις ἐφέρετο, οὐχ ὅτε διορθοῦσθαι ἔδει, ἀλλ' ὅτε κατεγνωσμένοι ἦσαν καὶ ἀνίατα ἐνόσουν, καὶ πρεσβῦται καὶ νέοι εἰς τοὺς αὐτοὺς ἐξεπήδησαν ἔρωτας, καὶ κατακαίεσθαι αὐτοὺς λοιπὸν ἐχρῆν, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε οἱ κεραυνοὶ καταφέρεσθαι ἔμελλον· ἄλλως δὲ, οὐδὲ περὶ κακίας καὶ ἀρετῆς τοῦτο εἴρηται, ἀλλὰ περὶ τῆς θεηλάτου πληγῆς.
D τί γὰρ ἔδει ποιεῖν, εἰπέ μοι; καθέζεσθαι καὶ δέχεσθαι τὴν τιμωρίαν, καὶ μηδὲν ἐκείνους ὠφελοῦντα κατακαίεσθαι; ἀλλὰ ἀνοίας τοῦτο ἐσχάτης ἦν. οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ὅτι ἁπλῶς καὶ εἰκῆ δεῖ κολάζεσθαι παρὰ τὸ τῷ θεῷ δοκοῦν. ἀλλ' ὅταν ἐν κακίᾳ ἄνθρωπος διατρίβῃ, τότε κελεύω μέσον ἑαυτὸν ἐμβαλόντα, διορθοῦν· εἰ μὲν βούλει, διὰ τὸ τοῦ πλησίον· εἰ δὲ μὴ, κἂν διὰ τό σοι λυσιτελοῦν. τὸ μὲν γὰρ βέλτιον, ἐκεῖνο· εἰ δὲ μὴ φθάνεις πρὸς ἐκεῖνο τὸ ὕψος, κἂν διὰ τοῦτο ποίει. καὶ μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἵνα
E τὸ ἑαυτοῦ εὕρῃ· καὶ ἐννοήσαντες, ὅτι οὔτε ἀκτημοσύνη, οὔτε μαρτύριον, οὔτε ἄλλο οὐδὲν ἡμῖν παραστῆναι δυνήσεται, ἂν μὴ τὴν ἄκραν ἀγάπην ἔχωμεν. ταύτην πρὸ τῶν ἄλλων διατηρῶμεν, ἵνα καὶ τῶν ἄλλων δι' αὐτῆς ἐπιτύχωμεν καὶ τῶν παρόντων καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ κϛ'.

Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε.

ΑΠΑΡΤΙΣΑΣ τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὡς αὐτῷ προσῆκον ἦν, καὶ τελειότατον αὐτὸν διὰ πάντων ἐργασάμενος, μέτεισιν ἐφ' ἕτερον· ὃ καὶ αὐτὸ μὲν ἔγκλημα ἦν, οὐ τοσοῦτον δέ. ὅπερ γὰρ ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι οὐ πάντα ἐφεξῆς τίθησι τὰ σφοδρὰ κατηγορήματα, ἀλλὰ διαθεὶς αὐτὰ κατὰ τάξιν τὴν προσήκουσαν, εἰς μέσον αὐτῶν παρεμβάλλει τὰ κουφότερα, παραμυθούμενος τὸ ἐπαχθὲς τοῦ λόγου τὸ ἐκ τῆς συνεχοῦς ἐπιτιμήσεως ἐγγινόμενον τοῖς ἀκούουσι. διὸ καὶ τὸ πάντων σφοδρότερον ὕστερον τίθησι, τὸ περὶ τῆς ἀναστάσεως. τέως δὲ ἐφ' ἕτερον χωρεῖ κουφότερον λέγων, ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε. ὅταν μὲν γὰρ ὡμολογημένον ᾖ τὸ ἁμάρτημα, καὶ κατηγορεῖ σφοδρῶς καὶ ἀπειλεῖ· ὅταν δὲ ἀμφιβαλλόμενον, κατασκευάζει πρῶτον αὐτὸ, καὶ τότε ἐπιτιμᾷ. καὶ τὸ μὲν ὡμολογημένον ἐπαίρει, τὸ δὲ ἀμφισβητήσιμον δείκνυσιν ὡμολογημένον. οἷον ἡ πορνεία, ὡμολογημένον ἦν. διόπερ οὐκ ἐδεήθη δεῖξαι, ὅτι ἁμάρτημα ἦν· ἀλλὰ τὸ μέγεθος ἐκεῖ κατεσκεύασε τοῦ πλημμελήματος, καὶ κατὰ σύγκρισιν προήγαγε τὸν λόγον. πάλιν, τὸ ἐφ' ἑτέρων δικάζεσθαι, ἁμάρτημα μὲν ἦν, οὐ τοσοῦτον δέ. διόπερ αὐτὸ καὶ παρενέθηκε, καὶ κατεσκεύασε. τὸ τῶν εἰδωλοθύτων πάλιν ἀμφεβάλλετο μὲν, ἦν δὲ μέγιστον κακόν. διὸ καὶ ἀποδείκνυσιν ἁμάρτημα ὂν, καὶ ἐπαίρει τῷ λόγῳ. ὅταν δὲ τοῦτο ποιήσῃ, οὐκ ἀπάγει τῶν ἐγκλημάτων μόνον, ἀλλὰ καὶ εἰς τὰ ἐναντία ἐνάγει. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐ δεῖ πορνεύειν μόνον, ἀλλ' ὅτι καὶ πολλὴν ἁγιωσύνην ἐνδείκνυσθαι χρή. διόπερ ἐπήγαγε, δοξάσατε δὴ ἄρα τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν. καὶ εἰπὼν πάλιν, ὅτι οὐ δεῖ σοφὸν εἶναι τὴν ἔξω σοφίαν, οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ κελεύει καὶ μωρὸν γενέσθαι. καὶ συμβουλεύων ἐπὶ τῶν ἔξω μὴ δικάζεσθαι, μηδὲ ἀδικεῖν, προϊὼν καὶ αὐτὸ τὸ δικάζεσθαι ἀναιρεῖ, καὶ συμβουλεύει μὴ ἀδικεῖν, ἀλλὰ καὶ ἀδικεῖσθαι. καὶ περὶ τῶν εἰδωλοθύτων διαλεγόμενος, οὐκ εἶπεν ὅτι τῶν κεκωλυμένων ἀπέχεσθαι δεῖ μόνον, ἀλλ' ὅτι καὶ τῶν συγκεχωρημένων, ὅταν σκάνδαλον γίνηται· καὶ οὐχὶ τοὺς ἀδελφοὺς μόνον μὴ πλήττειν, ἀλλ' οὐδὲ Ἕλληνας, οὐδὲ Ἰουδαίους. ἀπρόσκοποι γὰρ γίνεσθε, φησὶ, καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. πληρώσας τοίνυν ἅπαντα τὸν περὶ τούτων ἁπάντων λόγον, μετὰ ταῦτα καὶ ἐφ' ἕτερον ἔγκλημα πρόεισι λοιπόν. τί δὲ τοῦτο ἦν; αἱ μὲν γυναῖκες ἀνακεκαλυμμέναι καὶ γυμνῇ τῇ κεφαλῇ καὶ ηὔχοντο καὶ προεφήτευον·

## HOMILIA XXVI.

2. *Laudo autem vos, fratres, quod per omnia mei memores estis, & sicut tradidi vobis traditiones, ita tenetis.*

1. CUM absolvisset orationem de iis quæ immolata sunt idolis, ut se facere decebat, & eam perfectissimam fecisset, transit ad aliud, quod & ipsum crimen erat, sed non tantum. Nam, ut jam dixi, nunc quoque dicam, ipsum non continenter ponere vehementiores accusationes; sed ipsis congruenti ordine positis, in medium eorum leviora inserit, quod in sermone molestius est audientibus ex frequenti increpatione, lenius reddens. Ideoque quod vehementissimum omnium erat, nempe de resurrectione, postremum ponit. Interim vero ad aliud, quod lenius erat procedit, dicens: Laudo autem vos quod per omnia mei memores estis. Nam cum de admisso peccato constat, vehementer incusat & comminatur. Cum autem de peccato dubitatur, illud primo probat, & tunc increpat. Et quod quidem in confesso est extollit; illud vero de quo dubitatur, in confesso esse ostendit: ut de fornicatione quidem constabat: ideoque non opus fuit ostendere id esse peccatum. Sed illic delicti magnitudinem probavit, & per comparationem orationem protulit. Rursus ab aliis judicari, peccatum quidem erat, sed non tantum. Ideoque illud interjecit & probavit. De iis etiam quæ idolis immolata erant dubitabatur, sed magnum etiam malum erat. Quapropter ostendit esse peccatum, idque verbis extollit. Quando autem hoc facit, non solum abducit a criminibus, sed etiam ad contraria ducit. Neque enim dixit modo non oportere fornicari; sed etiam magnam esse exhibendam sanctitatem. Ideoque subjunxit: *Glorificate Deum in corpore vestro & spiritu vestro.* Et rursus cum dixisset non oportere sapientem esse externa sapientia; non hoc contentus est, sed jubet stultum fieri. Et cum dat consilium non judicio contendendum esse apud externos, neque injuriam esse inferendam; progressus etiam judicio contendere prohibet, & consilium dat ut non modo non injuriam inferamus, sed ut injuriam patiamur. Et de idolothytis disserens, non dixit modo a prohibitis abstinere oportere, sed etiam a concessis, quando res offendiculo fuerit; neque modo non offendendos esse fratres, verum nec Græcos nec Judæos: Sine offensione, inquit, estote & Judæis & Græcis & Ecclesiæ Dei. Cum ergo de his omnibus orationem absolvisset; deinceps ad aliud crimen procedit. Quodnam illud erat? Mulieres detectæ & nudo capite, & orabant & prophetabant; tunc

1. Cor. 6. 20.

enim prophetabant mulieres. Viri autem comam alebant, utpote qui in philosophia versarentur: & tegebant caput orantes & prophetantes, quod utrumque legis Græcorum erat. Quia ergo de his omnibus, eos cum adesset admonuit: & fortassis alii quidem audierant, alii non paruerant; ideo per epistolam rursus, ut sapiens medicus, verba infundens, peccatum corrigit. Nam quod eos jam cum adesset admonuerit, palam est ex iis quæ in procemio dicit. Cur enim cum nihil hac de re dixisset usquam in epistola, sed ab aliis criminibus invectus esset, statim dicit: Laudo autem vos quod per omnia mei memores estis, & sicut tradidi vobis traditiones, ita tenetis. Viden' quomodo alii quidem audierint, quos laudat; alii non audierint, quos corri-
1. Cor. 11. 16. git per sequentia dicens: Si quis autem videtur esse contentiosus, nos talem consuetudinem non habemus. Nam si aliis recte agentibus, aliis non audientibus, omnes in crimen vocasset, illos audaciores, hos segniores reddidisset. Nunc autem alios laudans & acceptos habens, alios objurgans, & illos magis concitavit, & his pudorem incussit. Nam reprehensio per se solum ad percellendum sufficit; cum vero fit ad comparationem aliorum, qui præclare egerunt & laudantur, majorem infert stimulum. Sed interim non a reprehensione, sed ab encomiis orditur, & a magnis encomiis, dicens, Laudo autem vos quod per omnia mei memores estis. Talis enim mos est Pauli, pro parvis etiam laudes magnas texit, non ex adulatione, absit; quomodo enim sic ageret, cum nec pecunias, nec gloriam, nec aliud quid simile expetat? sed pro illorum salute omnia faciens. Ideoque laudem quoque extollit dicens, *Laudo autem vos quod per omnia mei memores estis.* Quænam sunt illa omnia? Nam de coma non alenda, & de capite non tegendo tantum loquebatur. Sed, ut dixi, laudes variat, ut promtiores reddat. Ideo ait, *Quod per omnia mei memores estis, & sicut tradidi vobis traditiones, ita tenetis.* Ergo & sine scripto multa tunc illis tradebat, quod & alibi quoque multis in locis dicit. Sed tunc quidem tradidit tantum, nunc vero etiam causam affert. Ita enim & hos audientes fortiores reddebat, & illorum adversantium fastum detrahebat. Deinde non dicit, quia vos obedistis, alii vero non obedierunt; sed sine ulla suspicione ex doctrina sua id subindicat in sequentibus, sic loquens: 3. *Volo autem vos scire, quod omnis viri caput Christus est: caput autem mulieris vir; caput vero Christi, Deus.* Hæc est quidem causæ redditio; eam vero affert, imbecilliores reddens attentiores. Qui ergo fidelis est & fortis, ut par est, ratione & causa non eget pro iis quæ præcepta sunt; sed sufficit illi sola traditio. Qui autem imbecillior est, cum

A καὶ γὰρ προεφήτευον τότε γυναῖκες· οἱ δὲ ἄνδρες καὶ ἐκόμων, ἅτε ἐν φιλοσοφίᾳ διατρίψαντες, καὶ περιεβάλλοντο τὰς κεφαλὰς εὐχόμενοι καὶ προφητεύοντες, ὅπερ ἑκάτερον Ἑλληνικοῦ νόμου ἦν. ἐπεὶ οὖν ὑπὲρ τούτων ἤδη παρῄνεσε παρὼν, καὶ ἴσως οἱ μὲν ἤκουσαν οἱ δὲ ἠπείθησαν, διὰ τοῦτο καὶ διὰ τῆς ἐπιστολῆς πάλιν, ὥσπερ σοφὸς ἰατρὸς, ἐπαντλῶν τῷ λόγῳ διορθοῦται τὸ ἁμάρτημα. ὅτι γὰρ παρῄνεσεν ἤδη παρὼν, δῆλον ἐξ ὧν προοιμιάζεται. τίνος γὰρ ἕνεκεν οὐδὲν εἰπὼν περὶ τούτου οὐδαμοῦ τῆς ἐπιστολῆς ἔμπροσθεν, ἀλλ' ἀπὸ ἐγκλημάτων ἑτέρων ἐκβὰς, εὐθέως φησίν; ἐπαινῶ
B δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε. ὁρᾷς ὅτι οἱ μὲν ἤκουσαν, οὓς ἐπαινεῖ, οἱ δὲ παρήκουσαν, οὓς διορθοῦται διὰ τῶν ἑξῆς, λέγων. Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Εἰ γὰρ τῶν μὲν κατωρθωκότων, τῶν δὲ παρακουσάντων, πάντας ὑπέβαλε τῇ κατηγορίᾳ, ἐκείνους τε θρασυτέρους ἐποίησε, καὶ τούτους ῥαθυμοτέρους ἂν εἰργάσατο· νῦν δὲ τοὺς μὲν ἐπαινέσας καὶ ἀποδεξάμενος, τοὺς δὲ κακίσας, καὶ ἐκείνους μᾶλλον ἤλειψε, καὶ τού-
C τους καταδύεσθαι παρεσκεύασεν. ἱκανὸν μὲν γὰρ καὶ καθ' ἑαυτὸ ἡ κατηγορία πλῆξαι· ὅταν δὲ πρὸς παράθεσιν ἑτέρων κατωρθωκότων καὶ ἐγκωμιαζομένων γίνεται, μεῖζον ἔχει τὸ κέντρον. ἀλλὰ τέως οὐκ ἀπὸ κατηγορίας, ἀλλ' ἀπὸ ἐγκωμίων ἄρχεται, καὶ ἐγκωμίων μεγάλων, λέγων, ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε. τοιοῦτον γὰρ τοῦ Παύλου τὸ ἦθος, καὶ ἐπὶ μικροῖς μεγάλους ἐπαίνους ὑφαίνει, οὐ κολακείᾳ τοῦτο ποιῶν· μὴ γένοιτο· πῶς γὰρ ὁ μηδὲ χρημάτων ἐφιέμενος, μήτε δόξης, μήτε ἄλλου μηδενὸς τῶν τοιούτων; ἀλλ' ὑπὲρ τῆς σωτηρίας αὐτῶν πάντα πραγματευόμενος. διὸ καὶ ἐπαίρει
D τὸ ἐγκώμιον λέγων, ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε. ποῖα πάντα; ὑπὲρ γὰρ τοῦ μὴ κομᾷν, μηδὲ κατακαλύπτεσθαι τέως ὁ λόγος ἦν αὐτῷ μόνον· ἀλλ', ὅπερ ἔφην, ἐπιδαψιλεύεται τοῖς ἐγκωμίοις, προθυμοτέρους ποιῶν. διό φησιν, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε· ἄρα καὶ ἀγράφως πολλὰ παρεδίδου τότε, ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ δηλοῖ. ἀλλὰ τότε μὲν παρέδωκε μόνον, νῦν δὲ καὶ αἰτιολογίαν τίθησιν. οὕτω γὰρ καὶ τούτους ἰσχυροτέρους ἐποίει τοὺς ἀκούοντας, καὶ ἐκείνων
E κατέσπα τὸ φύσημα τῶν ἐναντιουμένων. εἶτα οὐ λέγει ὅτι ὑμεῖς μὲν ὑπηκούσατε, ἕτεροι δὲ παρήκουσαν, ἀλλὰ ἀνυπόπτως ἐκ τῆς διδασκαλίας αὐτὸ αἰνίττεται διὰ τῶν ἑξῆς, οὕτω λέγων. θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ θεός. ἡ μὲν αἰτιολογία αὕτη· τίθησι δὲ αὐτὴν, τοὺς ἀσθενεστέρους προσεκτικωτέρους ποιῶν. ὁ μὲν οὖν πιστὸς, ὡς χρὴ, καὶ ἐῤῥωμένος οὐδὲ δεῖται λόγου οὐδὲ αἰτίας, ὑπὲρ ὧν ἂν ἐπιταχθῇ, ἀλλ' ἀρκεῖται τῇ παραδόσει μόνῃ. ὁ δὲ ἀσθενέστερος, ὅταν

καὶ τὴν αἰτίαν μάθῃ, τότε καὶ μετὰ πλείονος τῆς σπουδῆς κατέχει τὸ λεχθὲν, καὶ μετὰ πολλῆς ὑπακούει τῆς προθυμίας.

Διόπερ οὐδὲ εἶπε τὴν αἰτίαν, ἕως ὅτου παραβαινομένην εἶδε τὴν ἐντολήν. τίς οὖν ἡ αἰτία; παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν. ἆρ' οὖν καὶ τοῦ Ἕλληνος; οὐδαμῶς. εἰ γὰρ σῶμά ἐσμεν τοῦ Χριστοῦ, καὶ μέλη ἐκ μέρους, καὶ ταύτῃ ἐκεῖνος ἡμῶν κεφαλὴ, τῶν οὐκ ὄντων ἐν τῷ σώματι, οὐδὲ εἰς μέλη τελούντων οὐκ ἂν εἴη κεφαλή. ὥστε ὅταν εἴπῃ, παντὸς, τοῦ πιστοῦ δεῖ προσυπακούειν. εἶδες πῶς πανταχοῦ ἄνωθεν ἐντρέπει τὸν ἀκροατήν; καὶ γὰρ ὅτε περὶ ἀγάπης διελέγετο, καὶ ὅτε περὶ ταπεινοφροσύνης, καὶ ὅτε περὶ ἐλεημοσύνης, ἐκεῖθεν εἷλκε τὰ παραδείγματα. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ θεός. ἐνταῦθα ἐπιπηδῶσιν ἡμῖν οἱ αἱρετικοὶ ἐλάττωσίν τινα ἐκ τῶν εἰρημένων ἐπινοοῦντες τῷ υἱῷ· ἀλλ' ἑαυτοῖς περιπίπτουσιν. εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνὴρ, ὁμοούσιος δὲ ἡ κεφαλὴ τῷ σώματι, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ θεὸς, ὁμοούσιος ὁ υἱὸς τῷ πατρί. ἀλλ' οὐ τὸ ἑτεροούσιον ἐντεῦθεν ἀποδεῖξαι βουλόμεθα, ἀλλ' ὅτι ἄρχεται, φησί. τί οὖν πρὸς τοῦτο εἴποιμεν ἄν; ὅτι μάλιστα μὲν, ὅταν τι ταπεινὸν λέγηται μετὰ τῆς σαρκὸς ὄντος αὐτοῦ, οὐκ εὐτέλεια τῆς θεότητός ἐστι τὸ λεγόμενον, τῆς οἰκονομίας δεχομένης τὸ λεχθέν. πλὴν ἀλλ' εἰπὲ, πῶς τοῦτο βούλει ἐκ τούτου κατασκευάσαι νῦν; ὅτι ὥσπερ ὁ ἀνὴρ ἄρχει τῆς γυναικός, φησιν, οὕτω καὶ ὁ πατὴρ τοῦ Χριστοῦ. οὐκοῦν καὶ ὥσπερ ὁ Χριστὸς τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ πατὴρ τοῦ υἱοῦ. παντὸς γὰρ ἀνδρός, φησιν, ἡ κεφαλὴ ὁ Χριστός ἐστι. καὶ τίς ἂν ταῦτα καταδέξαιτό ποτε; εἰ γὰρ ὅσον τὸ ὑπερέχον τοῦ υἱοῦ πρὸς ἡμᾶς, τοσοῦτον τοῦ πατρὸς πρὸς τὸν υἱὸν, ἐννόησον εἰς ὅσην αὐτὸν ἄξεις τὴν εὐτέλειαν. ὥστε οὐ πάντα ὁμοίως ἐξεταστέον ἐφ' ἡμῶν καὶ τοῦ θεοῦ, κἂν ὁμοίως λέγηται· ἀλλ' ἀπονεμητέον τῷ θεῷ τινα ἐξαίρετον ὑπεροχὴν, καὶ τοσαύτην ὅσην θεῷ. εἰ γὰρ μὴ τοῦτο συγχωρήσαιεν, πολλὰ ἕψεται τὰ ἄτοπα. σκόπει δέ· κεφαλὴ τοῦ Χριστοῦ ὁ θεός· οὗτος δὲ τοῦ ἀνδρός· κἀκεῖνος τῆς γυναικός. οὐκοῦν εἰ ἐπὶ πάντων ὁμοίως ἐκλάβοιμεν τὴν κεφαλὴν, τοσοῦτον ἔσται ὁ υἱὸς ἀφεστηκὼς τοῦ πατρὸς, ὅσον ἡμεῖς αὐτοῦ. ἀλλὰ καὶ ἡ γυνὴ τοσοῦτον ἡμῶν ἀποστήσεται, ὅσον ἡμεῖς τοῦ θεοῦ λόγου· καὶ ὅπερ ἐστὶν ὁ υἱὸς πρὸς τὸν πατέρα, τοῦτο καὶ ἡμεῖς πρὸς τὸν υἱὸν, καὶ ἡ γυνὴ πρὸς τὸν ἄνδρα πάλιν. καὶ τίς ταῦτα ἀνέξεται; ἀλλ' ἑτέρως ἐκλαμβάνεις ἐπὶ γυναικὸς καὶ ἀνδρὸς τὴν κεφαλὴν, καὶ οὐχ ὡς ἐπὶ τοῦ Χριστοῦ; οὐκοῦν καὶ ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἑτέρως ἐκληπτέον ἡμῖν. καὶ πῶς ἑτέρως ἐκληπτέον, φησί; κατὰ τὸ αἴτιον. καὶ γὰρ εἴπερ ἀρχὴν ἐζήτει εἰπεῖν καὶ ὑποταγὴν ὁ Παῦλος, ὡς σύ φῃς, οὐκ ἂν γυναῖκα παρήγαγεν εἰς μέσον, ἀλλὰ δοῦλον μᾶλλον καὶ δεσπότην. εἰ γὰρ καὶ ὑποτέτακται ἡμῖν ἡ γυνὴ, ἀλλ' ὡς ἐλευθέρα, καὶ ὡς ὁμότιμος. καὶ ὁ υἱὸς δὲ, εἰ καὶ ὑπήκοος γέγονε τῷ πατρὶ, ἀλλ' ὡς υἱὸς θεοῦ, ἀλλ' ὡς θεός. ὥσπερ γὰρ πλείων ἡ πειθὼ τοῦ υἱοῦ

A etiam causam didicerit, tunc cum majori studio id quod dictum est recitat, & cum magna obsequitur alacritate.

2. Ideoque causam non dixit, donec vidit violatum esse mandatum. Quænam ergo causa est? Omnis viri caput Christus est. Ergone etiam Græci? Nequaquam. Nam si corpus Christi sumus, & membra ex parte, & hac ratione ille caput nostrum est, eorum qui in corpore non sunt, neque membra censentur, caput ille non fuerit; quapropter cum dicit, omnis, subintelligendum est fidelis. Vidistin' quomodo supra ubique pudore
B suffundat auditorem? Nam cum de caritate dissereret, & cum de humilitate, & cum de eleemosyna, inde exempla trahebat. *Caput autem mulieris vir: Caput vero Christi Deus.* Hic in nos insiliunt hæretici, ex iis quæ dicta sunt minorem esse Filium excogitantes, sed in seipsos irruunt. Si enim caput mulieris est vir, ejusdemque est substantiæ caput & corpus; caput vero Christi, est Deus, Filius ejusdem atque Pater substantiæ est. At, inquiunt, nolumus hinc ostendere quod alterius sit substantiæ, sed quod a Patre imperetur. Quid ad hoc dixerimus?
C Quod cum humile quidpiam dicitur de illo, cum carne exsistente, id quod dicitur non sit divinitatis vilitas & dejectio, cum œconomia id suscipiat. Cæterum dic quomodo id nunc vis probare? Quoniam, inquit, sicut vir mulieri imperat, sic & Pater Christo: ergo sicut Christus viro, sic Pater filio. Omnis enim viri, inquit, caput Christus est. Ecquis hæc unquam admiserit? Si enim quantum nos Christus superat, tantum Pater Filium, cogita in quantam ipsum deducis vilitatem. Itaque non omnia simul sunt examinanda inter nos & Deum,
D etiamsi similiter dicantur; sed tribuenda est Deo propria quædam excellentia, & tanta quanta Deo competat. Nam si hoc non concesserint, multa sequentur absurda. Perpende autem; caput Christi Deus, hic autem viri & ille mulieris. Ergo si in omnibus similiter caput accipiamus, tantum distabit Filius a Patre, quantum nos a Filio; sed etiam mulier tantum a nobis distabit, quantum nos a Deo Verbo: & quod est Filius erga Patrem, hoc & nos erimus erga Filium, & mulier rursus erga virum. Ecquis hoc ferat? Sed alio modo in muliere & viro ca-
E put accipis, quam in Christo. Itaque in Filio & in Patre, aliter nobis accipiendum est. Et quomodo, inquies, est aliter accipiendum? secundum causam: nam si imperium & subjectionem voluisset Paulus dicere, ut tu dicis, non mulierem in medium produxisset, sed potius servum & dominum. Etiamsi enim mulier nobis subjecta sit, sed ut libera, & ut par honore. Et Filius quoque etsi Patri fuit obediens; sed ut Filius Dei, sed ut Deus. Quemadmodum enim Filio major est ob-

Hæreticos notat.

Mulier quomodo subjecta viro.

sequentia erga Patrem, quam hominibus erga genitores suos; sic & libertas major. Neque enim filii erga patrem officia majora & magis genuina sunt apud homines, Patris vero erga filium minora. Si enim miramur Filium quod obedierit, ita ut usque ad mortem venerit, & mortem crucis, & hoc magnum statuimus miraculum, Patrem quoque mirari oportet, quod talem genuerit, non ut servum cui imperaretur, sed ut liberum obedientem, & consiliarium. Consiliarius enim non est servus. Consiliarium vero rursus cum audieris, ne ita audias quasi Pater aliquo egeat, sed quasi Filius paris cum Genitore honoris sit. Ne igitur exemplum viri & mulieris ad omnia pertrahas. Apud nos enim jure mulier subjecta est viro: nam honoris æqualitas contentionem parit. Neque ideo tantum, sed etiam propter deceptionem quæ initio contigit. Propterea cum facta fuisset, non statim subjecta fuit: neque cum illam ad virum adduxit, neque illa tale quidpiam a Deo audivit, neque vir illi quidpiam simile
Gen. 2. 23. dixit; sed tantum quod os ex ossibus ejus, & caro ex carnibus ejus esset dixit. imperii autem aut subjectionis apud illam non meminit. Quando autem male usa est potestate, & quæ adjutrix facta fuerat, insidiatrix deprehensa est, &
Gen. 3. 16. omnia perdidit, tunc juste audivit: *Ad virum tuum conversio tua.* Quia enim verisimile erat peccatum hoc bellum illaturum esse in genus nostrum, neque enim ad pacem juvisset quod illa ex ipso esset facta cum hoc accidisset; sed hoc ipsum etiam virum asperiorem reddidisset, quod quæ ex ipso facta fuerat, ne membro quidem suo pepercisset; cum diaboli malignitatem videret Deus, hoc verbum quasi murum opposuit, & inimicitiam quæ ex insidiis oritura erat, per hanc sententiam sustulit, innatæ concupiscentiæ quasi medio pariete dejecto, eam, quæ ex peccato orta erat, injuriæ acceptæ recordationem abstulit. Sed in Deo & incorrupta substantia illa, nihil licet hujusmodi suspicari. Ne ergo de omnibus exempla accipias. Nam alibi quoque multa hinc gravia occurrent peccata. Siquidem & in exordio epistolæ dice-
1. Cor. 3. 23. bat: *Omnia vestra sunt, vos autem Christi, Christus vero Dei.*

3. Quid ergo? similiterne omnia nostra sunt, nos Christi, & Christus Dei? Nequaquam; sed illis etiam qui valde insipientes sunt nota est differentia, etiamsi hoc dictum de nobis, de Deo & de Christo proferatur. Et alibi cum virum caput
Ephes. 5. 23. mulieris esse dixisset, subjunxit: Sicut Christus est caput & Salvator ecclesiæ & defensor, sic & vir debet uxoris suæ esse. Similiter igitur accipiemus dictum & hoc & omnia quæ post missa sunt Ephesiis de hoc argumento? Absit: neque enim fieri potest. Nam eadem quidem verba

A πρὸς τὸν πατέρα, ἢ τοῖς ἀνθρώποις πρὸς τοὺς γεγεννηκότας· οὕτω καὶ ἡ ἐλευθερία μείζων. οὐ γὰρ δήπου τὰ μὲν τοῦ υἱοῦ πρὸς τὸν πατέρα μείζονα τῶν ἀνθρώπων καὶ γνησιώτερα, τὰ δὲ τοῦ πατρὸς πρὸς τὸν υἱὸν ἐλάττονα. εἰ γὰρ θαυμάζομεν τὸν υἱὸν, ὅτι ὑπήκουσεν, ὡς καὶ μέχρι θανάτου ἐλθεῖν, καὶ θανάτου σταυροῦ, καὶ θαῦμα αὐτοῦ μέγα τιθέμεθα τοῦτο, θαυμάζειν δεῖ καὶ τὸν πατέρα, ὅτι τοιοῦτον ἐγέννησεν, οὐχ ὡς δοῦλον ἐπιταττόμενον, ἀλλ' ὡς ἐλεύθερον ὑπακούοντα, καὶ σύμβουλον ὄντα. ὁ γὰρ σύμβουλος, οὐ δοῦλος. σύμβουλον δὲ ὅταν ἀκούσῃς πάλιν, μὴ ὡς τοῦ πατρὸς ἐνδεῶς ἔχοντος
B ἄκουε, ἀλλ' ὡς τοῦ παιδὸς ὁμοτίμου πρὸς τὸν γεγεννηκότα. μὴ τοίνυν εἰς πάντα ἕλκε τὸ παράδειγμα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός. παρ' ἡμῖν μὲν γὰρ εἰκότως ὑποτέτακται τῷ ἀνδρὶ ἡ γυνή· ἡ γὰρ ἰσοτιμία μάχην ποιεῖ. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἀπάτην τὴν παρὰ τὴν ἀρχὴν συμβᾶσαν. διά τοι τοῦτο γενομένη μὲν εὐθέως οὐχ ὑπετάγη· οὔτε ὅταν αὐτὴν ἤγαγε πρὸς τὸν ἄνδρα, οὔτε αὐτὴ ἤκουσέ τι παρὰ τοῦ θεοῦ τοιοῦτον, οὔτε ὁ ἀνὴρ εἶπέ τι πρὸς αὐτὴν τοιοῦτον· ἀλλ' ὅτι μὲν, ὀστοῦν ἐκ τῶν ὀστῶν αὐτοῦ, καὶ σὰρξ ἐκ
C τῶν σαρκῶν αὐτοῦ ἦν, εἶπεν· ἀρχῆς δὲ οὐδαμοῦ οὐδὲ ὑποταγῆς ἐμνημόνευσε πρὸς αὐτήν· ὅτε δὲ κακῶς ἐχρήσατο τῇ ἐξουσίᾳ, καὶ ἡ γενομένη βοηθὸς ἐπίβουλος εὑρέθη, καὶ πάντα ἀπώλεσε, τότε ἀκούει δικαίως λοιπὸν, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου. ἐπειδὴ γὰρ εἰκὸς ἦν τὴν ἁμαρτίαν ταύτην ἐκπολεμῶσαι τὸ γένος τὸ ἡμέτερον. οὐδὲ γὰρ ἂν ὤνησέ τι εἰς εἰρήνην τὸ ἐξ αὐτοῦ γεγενῆσθαι τούτου συμβάντος· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ τραχύτερον ἂν ἐποίησε τὸν ἄνδρα, τὸ μηδὲ τοῦ οἰκείου φείσασθαι μέλους τὴν ἐξ αὐτοῦ γενομένην. συνιδὼν τὴν τοῦ διαβόλου κακουργίαν ὁ θεὸς,
D ἐπετείχισε τοῦτο τὸ ῥῆμα καὶ τὴν ἐκ τῆς ἐπιβουλῆς μέλλουσαν ἀπέχθειαν ἔσεσθαι διὰ τῆς ἀποφάσεως ταύτης ἀνεῖλε, καὶ τῆς ἐπιθυμίας τῆς ἐμφύτου καθάπερ μεσότοιχον καταπάσας τὴν ἐκ τῆς ἁμαρτίας μνησικακίαν. ἀλλ' ἐπὶ τοῦ θεοῦ καὶ τῆς ἀκηράτου οὐσίας ἐκείνης, οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαι. μὴ τοίνυν κατὰ πάντων δέχου τὰ παραδείγματα· ἐπεὶ καὶ ἀλλαχοῦ πολλὰ ἐντεῦθεν ἀπαντήσει χαλεπὰ ἁμαρτήματα. καὶ γὰρ καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς ἔλεγε. πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ θεοῦ.

Τί οὖν; ὁμοίως ἡμῶν τὰ πάντα, καὶ ἡμεῖς τοῦ
E Χριστοῦ, καὶ ὁ Χριστὸς τοῦ θεοῦ; οὐδαμῶς, ἀλλὰ καὶ τοῖς σφόδρα ἀνοήτοις δήλη ἡ διαφορὰ, εἰ καὶ ἡ αὐτὴ ῥῆσις ἐπὶ τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ καὶ ἡμῶν εἴρηται. καὶ ἀλλαχοῦ δὲ κεφαλὴν εἰπὼν τὸν ἄνδρα τῆς γυναικὸς, ἐπήγαγεν· ὥσπερ καὶ ὁ Χριστὸς κεφαλὴ καὶ σωτήρ ἐστι τῆς ἐκκλησίας καὶ προστάτης, οὕτω καὶ ὁ ἀνὴρ ὀφείλει τῆς αὐτοῦ γυναικὸς εἶναι. ἆρ' οὖν ὁμοίως ἐκληψόμεθα τὸ εἰρημένον, καὶ τοῦτο καὶ τὰ μετὰ τούτου ἅπαντα Ἐφεσίοις ἐπεσταλμένα περὶ τῆς ὑποθέσεως ταύτης; ἄπαγε. οὐδὲ γὰρ δυνατόν. τὰ γὰρ αὐτὰ ῥήματα λέ-

γίνεται μὲν ἐπὶ θεοῦ καὶ ἀνθρώπων· ἀλλ' ἑτέρως μὲν ἐκεῖνα νοητέον, ἑτέρως δὲ ταῦτα· οὐ μὴν πάλιν πάντα ἐξηλλαγμένως· ἐπεὶ πάλιν εἰκῆ καὶ μάτην παρειλῆφθαι δόξει, οὐδὲν ἀπ' αὐτῶν καρπουμένων ἡμῶν· ὥσπερ γὰρ οὐ πάντα ὁμοίως ἐκληπτέον, οὕτως οὐδὲ πάντα ἁπλῶς ἐκβλητέον. ἵνα δὲ ὃ λέγω γένηται σαφέστερον, ἐπὶ ὑποδείγματος αὐτὸ πειράσομαι ποιῆσαι φανερόν. εἴρηται κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστός. ἂν μηδὲν ἀπὸ τοῦ ἀνθρωπίνου λάβω, τί μοι καὶ εἴρηται τοῦτο; πάλιν ἂν ἅπαντα λάβω, πολλὴ ἕψεται ἡ ἀλογία. καὶ γὰρ ὁμοιοπαθὴς τῷ σώματι ἡ κεφαλή, καὶ τοῖς αὐτοῖς ὑπεύθυνος. τί οὖν δεῖ ἀφεῖναι, ἢ τί λαβεῖν; ἀφεῖναι μὲν ταῦτα ἃ εἶπον δεῖ, λαβεῖν δὲ ἕνωσιν ἀκριβῆ, καὶ ἀρχὴν τὴν πρώτην· καὶ οὐδὲ ταῦτα ἁπλῶς, ἀλλὰ καὶ ἐνταῦθα τὸ μεῖζον οἴκοθεν ἐπινοεῖν καὶ θεῷ πρέπον. καὶ γὰρ ἡ ἕνωσις ἀσφαλεστέρα, καὶ ἡ ἀρχὴ τιμιωτέρα. πάλιν ἤκουσας υἱόν· μὴ πάντα μηδὲ ἐνταῦθα λάβῃς, ἀλλὰ μηδὲ πάντα ἐκβάλῃς, ἀλλ' ὅσα θεῷ πρέπει δεξάμενος, ὅτι ὁμοούσιος, ὅτι ἐξ αὐτοῦ, τὰ ἄτοπα καὶ ἀσθενείας ὄντα ἀνθρωπίνης, ἐπὶ τῆς γῆς ἔα. εἴρηται φῶς ὁ θεὸς πάλιν. ἆρ' οὖν πάντα δεξόμεθα, ὅσα τοῦ φωτὸς τούτου; οὐδαμῶς. καὶ γὰρ ἐκεῖ τῷ σκότει τοῦτο καὶ τόπῳ περικλείεται, καὶ ὑπ' ἑτέρας κινεῖται δυνάμεως, καὶ ἐπισκιάζεται, ὧν οὐδὲν οὐδὲ ἐννοῆσαι θέμις ἐπὶ τῆς οὐσίας ἐκείνης. ἀλλ' οὐδὲ πάντα διὰ τοῦτο ἐκβαλοῦμεν, ἀλλὰ δρεψόμεθά τι καὶ χρήσιμον ἀπὸ τοῦ παραδείγματος, τὸν φωτισμὸν τὸν ἐκ τοῦ θεοῦ γινόμενον ἡμῖν, τὴν τοῦ σκότους ἀπαλλαγὴν ἐκ τούτου συνάγοντες. καὶ ταῦτα μὲν πρὸς αἱρετικούς, τοσαῦτα· δεῖ δὲ καὶ ὁλοκλήρῳ λοιπὸν ἐπεξελθεῖν τῷ χωρίῳ. ἴσως γὰρ ἄν τις ἐνταῦθα καὶ διαπορήσειε, πρὸς ἑαυτὸν ζητῶν, ποῖον ἔγκλημα ἦν τὸ ἀνακαλύπτεσθαι τὰς γυναῖκας, ἢ καὶ καλύπτεσθαι τοὺς ἄνδρας; ποῖον οὖν ἔγκλημα τοῦτο, ἐντεῦθεν ἤδη μάνθανε. σύμβολα δέδοται ἀνδρὶ καὶ γυναικὶ πολλὰ μὲν καὶ ἕτερα, τῷ μὲν τῆς ἀρχῆς, τῇ δὲ τῆς ὑποταγῆς· μετὰ δὲ ἐκείνων καὶ τοῦτο, τὸ ταύτην μὲν καλύπτεσθαι, τοῦτον δὲ γυμνὴν ἔχειν τὴν κεφαλήν. εἰ τοίνυν σύμβολα ταῦτά ἐστιν, ἀμφότεροι ἁμαρτάνουσι τὴν εὐταξίαν συγχέοντες, καὶ τὴν τοῦ θεοῦ διαταγήν, καὶ τοὺς οἰκείους ὑπερβαίνοντες ὅρους, καὶ ὁ μὲν εἰς τὴν ἐκείνης καταπίπτων εὐτέλειαν, ἡ δὲ ἐπανισταμένη τῷ ἀνδρὶ διὰ τοῦ σχήματος. εἰ γὰρ ἱμάτιον ἐναλλάττειν οὐ θέμις, οὐδὲ ταύτην μὲν χλανίδα περικεῖσθαι, ἐκεῖνον δὲ φᾶρος ἢ καλύπτραν. οὐκ ἔσται γάρ, φησι, σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν, πολλῷ μᾶλλον ταῦτα ἐναλλάττεσθαι οὐ δεῖ. ταῦτα μὲν γὰρ παρὰ τῶν ἀνθρώπων νενομοθέτηται, εἰ καὶ ὁ θεὸς ὕστερον αὐτὰ ἐκύρωσεν· ἐκεῖνο δὲ παρὰ τῆς φύσεως, τὸ καλύπτεσθαι λέγω, καὶ τὸ μὴ καλύπτεσθαι. ὅταν δὲ εἴπω τὴν φύσιν, τὸν θεὸν λέγω. ὁ γὰρ τὴν φύσιν δημιουργήσας, αὐτός ἐστιν. ὅταν οὖν τοὺς ὅρους ἀνατρέπῃς τούτους, ὅρα πόσα γίνεται τὰ ἐπιβλαβῆ. καὶ μή μοι τοῦτο εἴπῃς, ὅτι μικρὸν τὸ ἁμαρτανόμενον. μέγα

A proferuntur de Deo & de hominibus; sed alio modo illa, alio hæc intelligenda sunt: nec tamen rursus omnia diverse. Nam rursus temere & frustra accepta videbuntur, si nihil nos fructus ab illis tulerimus. Sicut enim non omnia similiter sunt accipienda; sic nec omnia temere rejicienda. Ut autem id quod dico clarius evadat, exemplo id palam facere conabor. Dictus est caput ecclesiæ Christus. Si nihil humanum accepero, cur hoc mihi dictum est? Rursus si omnia humana accepero, multa consequetur B absurditas: nam iisdem est passionibus obnoxium caput, quibus corpus, iisdemque erit obnoxium. Quid ergo relinquendum, & quid accipiendum? relinquenda quidem sunt ea quæ dixi, accipienda autem est perfecta unio, & primum principium. Neque hæc temere; sed hic quoque id quod majus est & Deo conveniens cogitandum. Nam & unio tutior & principium honorabilius est. Rursus audivisti Filium. Ne hic quoque omnia accipias, neque omnia rejicias; sed iis quæ Deum decent acceptis, quod sit consubstantialis, quod ex ipso sit; quæ C absurda & quæ infirmitatis humanæ sunt, in terra relinque. Rursus Deus lux dictus fuit. Ergo-ne omnia assumemus quæ ad hanc lucem pertinent? Minime: illa quippe tenebris & loco circumscribitur, & altera vi movetur, & obumbratur. Quorum nihil ne cogitare quidem licet de illa essentia. Sed non ideo omnia ejiciemus, verum quidpiam utile ab exemplo decerpemus; illuminationem quæ a Deo in nos manat, liberationem a tenebris ex illa colligentes. Et hæc quidem adversus hæreticos; jam vero totum locum pertractare opus est. Fortassis D enim hic quispiam quæstionem moverit, apud se quærens, quod crimen erat mulieres detecto, viros tecto capite esse? Quod sit crimen illud, hinc jam disce. Signa data sunt viro & mulieri multa & alia; illi imperii, huic subjectionis. Cum his autem & illud, quod illa quidem tegatur, hic vero nudo capite sit. Si ergo signa sint hæc, ambo peccant, ordinem turbantes & Dei præceptum, propriosque excedentes terminos; ille quidem decidens in mulieris vilitatem; illa autem in virum insurgens per habitum. Si *Deut. 22. 5.* E enim vestem mutare non licet, neque illi fas est chlamyde indui, neque viro palla & tegumento. Non erit enim, inquit, viri ornatus super mulierem, neque induetur vir veste muliebri. Multo magis hæc mutari non oportet. Hæc quidem apud homines positæ sunt leges, etiamsi Deus illas postea confirmaverit. Illud autem a natura, quod tegatur dico vel non tegatur. Cum autem naturam profero, Deum dico: ille quippe naturam creavit. Cum ergo terminos hosce subverteris, vide quanta hinc oriantur damna. Neque mihi hoc dicas parvum esse peccatum. Magnum quippe est

enim per se: nam est inobedientia. Etiamsi vero parvum esset, magnum fieret, quia magnarum rerum est symbolum. Quod autem magnum sit, palam ex eo est quod generi humano tam pulcrum præbeat ordinem, imperantem & subjectam in ornatu decenti constituens. Itaque qui transgreditur, omnia confundit, & Dei dona prodit, & superne sibi datum honorem humi abjicit; non vir modo, sed etiam mulier. Nam maximus certe est honor ille, proprium ordinem servare, ut pudor est inter se dissidere. Quamobrem in utrisque hoc posuit dicens: 4. *Omnis vir orans aut prophetans velato capite, deturpat caput suum.* 5. *Omnis autem mulier orans aut prophetans non velato capite, deturpat caput suum.* Erant enim, ut dixi, & viri & mulieres prophetantes, & mulieres tunc hoc donum habentes, ut Philippi filiæ, ut aliæ & ante & post illas, de quibus dicebat olim propheta: *Prophetabunt filii vestri, & filiæ vestræ visiones videbunt.* (Joel. 2. 28.) Virum porro non semper detecto esse capite jubet, sed cum orat tantum. Omnis enim vir, inquit, orans aut prophetans operto capite, deturpat caput suum. Mulierem autem semper tecto esse capite jubet. Quamobrem cum dixisset: Omnis mulier orans aut prophetans non operto capite, deturpat caput suum; non hic constitit, sed prosequutus est dicens: *Unum enim est ac si decalvetur.* Quod si semper esse rasam turpe est, palam est etiam semper detectam esse, opprobrio verti.

4. Neque hæc solum satis habuit, sed rursus addidit. 10. *Debet mulier velamen habere super caput suum propter angelos.* Ostendit non orationis tempore tantum, sed etiam perpetuo illas tegi oportere. Virum autem non item de tegumento, sed de coma curantem esse differendo dicit. Prohibet autem ne tegatur cum orat tantum, comam autem alere semper prohibet. Ideo sicut de muliere dixit: *Si autem non veletur, tondeatur:* sic & de viro: *Si comam nutriat, ignominia est illi.* Non dixit, si tegatur; sed si comam nutriat. Ideo in principio dixit: omnis vir orans aut prophetans, super caput habens; non dixit, opertus; sed super caput habens; ostendens quod etiamsi nudo oret capite, comam autem habeat; par sit illi qui opertus esset. Coma enim, inquit, pro velamine ipsi data est. 6. *Si autem non velatur mulier, tondeatur. Si autem turpe est mulieri tonderi aut radi, veletur.* In principio enim ut non nudum habeat caput requirit. Progressus autem, ut nudum semper habeat subindicat dicens: Unum enim est ac si rasa sit & cum omni studio ac diligentia. Non enim ut veletur & tegatur modo dixit, sed ut contegatur, ut sit undique accurate composita. Et cum in absurditatem rem deducit, pudore suffundit, vehementer in-

A μὲν γάρ ἐστι, καὶ καθ' ἑαυτό. παρακοὴ γάρ ἐστιν. εἰ δὲ καὶ μικρὸν ἦν, μέγα ἐγένετο, ἐπειδὴ μεγάλων ἐστὶ σύμβολον πραγμάτων. ὅτι δὲ καὶ μέγα ἐστὶ, δῆλον ἐξ ὧν τοσαύτην εὐταξίαν τῷ γένει παρέχει, τὸν ἄρχοντα καὶ τὸν ἀρχόμενον ἐν κόσμῳ διατάττον. ὥστε ὁ παραβαίνων, πάντα συγχεῖ, καὶ τὰ τοῦ θεοῦ προδίδωσι δῶρα, καὶ τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν τιμὴν χαμαὶ ῥίπτει, οὐχ ὁ ἀνὴρ δὲ μόνον, ἀλλὰ καὶ ἡ γυνή. καὶ γὰρ καὶ ἐκείνη τιμὴ μεγίστη, τὸ τὴν οἰκείαν τάξιν διατηρεῖν, ὥσπερ οὖν καὶ αἰσχύνη τὸ στασιάζειν. διὸ δὴ ἐπ' ἀμφοτέρων αὐτὸ τέθεικεν, οὕτω λέγων· πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ
B κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς· ἦσαν γὰρ, ὅπερ ἔφην, καὶ ἄνδρες καὶ γυναῖκες προφητεύοντες, καὶ γυναῖκες τὸ χάρισμα τοῦτο ἔχουσαι τότε, ὡς αἱ Φιλίππου θυγατέρες, ὡς ἕτεραι πρὸ ἐκείνων καὶ μετ' ἐκείνας· περὶ ὧν καὶ ὁ προφήτης ἔλεγεν ἄνωθεν· ὅτι προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται. τὸν μὲν οὖν ἄνδρα οὐκ ἀεὶ ἀναγκάζει ἀκατακάλυπτον εἶναι, ἀλλ' ὅταν εὔχηται μόνον. πᾶς γὰρ ἀνήρ, φησι, προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς
C ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. τὴν δὲ γυναῖκα διαπαντὸς κατακαλύπτεσθαι κελεύει. διὸ καὶ εἰπὼν, πᾶσα γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς, οὐκ ἔστη μέχρι τούτου μόνον, ἀλλὰ καὶ ἐπεξῆλθεν εἰπών· ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. εἰ δὲ ἀεὶ ἐξυρῆσθαι αἰσχρὸν, εὔδηλον ὅτι καὶ ἀκατακάλυπτον εἶναι ἀεὶ ὄνειδος.

Καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ πάλιν προσέθηκεν εἰπών. ὅτι ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς ἡ γυνὴ διὰ τοὺς ἀγγέλους. δείκνυσιν ὅτι οὐκ ἐν
D τῷ καιρῷ τῆς εὐχῆς μόνον, ἀλλὰ καὶ διηνεκῶς ἐγκεκαλύφθαι δεῖ. ἐπὶ δὲ τοῦ ἀνδρὸς οὐκέτι τὸν τοῦ καλύμματος, ἀλλὰ τὸν τῆς κόμης οὕτω γυμνάζει λόγον. κατακαλύπτεσθαι μὲν γὰρ τότε μόνον κωλύει ὅταν εὔχηται, κομᾶν δὲ ἀεὶ ἀποτρέπει. διὰ τοῦτο ὥσπερ ἐπὶ τῆς γυναικὸς εἶπεν, εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω· οὕτω καὶ ἐπὶ τοῦ ἀνδρὸς, ὅτι ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἐὰν καλύπτηται, ἀλλ' ἐὰν κομᾷ. διὸ καὶ ἀρχόμενος ἔλεγε, πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων· οὐκ εἶπε, κεκαλυμμένος, ἀλλὰ, κατὰ κεφαλῆς ἔχων, δεικνὺς ὅτι κἂν γυμνῇ
E εὔχηται τῇ κεφαλῇ, κόμην δὲ ἔχῃ, ἴσος ἐστὶ τῷ κεκαλυμμένῳ. ἡ γὰρ κόμη, φησὶν, ἀντὶ περιβολαίου δέδοται. εἰ δὲ οὐ καλύπτεται γυνὴ, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. ἐν προοιμίοις μὲν γὰρ τὸ μὴ γυμνὴν ἔχειν τὴν κεφαλὴν ἀπαιτεῖ· προϊὼν δὲ καὶ τὸ διηνεκὲς αἰνίττεται λέγων, ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ, καὶ τὸ μετ' ἐπιμελείας καὶ σπουδῆς ἁπάσης. οὐδὲ γὰρ καλύπτεσθαι εἶπεν ἁπλῶς, ἀλλὰ κατακαλύπτεσθαι, ὥστε ἀκριβῶς πάντοθεν περιεστάλθαι. καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐντρέπει· σφοδρῶς καθαπτόμενος

καθαπτόμενος καὶ λέγων, Εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω. Εἰ γὰρ τὸ ἀπὸ τοῦ νόμου τοῦ Θεοῦ κάλυμμα τεθὲν ῥίπτεις, φησὶ, καὶ τὸ ἀπὸ τῆς φύσεως ῥίψον. Εἰ δὲ λέγει τις, καὶ πῶς ἂν εἴη τοῦτο αἰσχύνη τῇ γυναικὶ, εἰ εἰς τὴν δόξαν ἀναβαίνει τοῦ ἀνδρός; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἀναβαίνει, ἀλλὰ καὶ τῆς οἰκείας ἐκπίπτει τιμῆς. τὸ γὰρ μὴ εἴσω τῶν οἰκείων ὅρων μένειν καὶ τῶν τεθέντων παρὰ τοῦ Θεοῦ νόμων, ἀλλ' ὑπερβαίνειν, οὐκ ἐπίδοσίς ἐστιν, ἀλλ' ἐλάττωσις. ὥσπερ γὰρ ὁ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ ἁρπάζων τὰ μὴ ἑαυτοῦ, οὐ πλέον τι προσέλαβεν, ἀλλ' ἠλάττωται καὶ ὃ εἶχεν ἀπολέσας, ὅπερ οὖν καὶ ἐν τῷ παραδείσῳ γέγονεν· οὕτω καὶ ἡ γυνὴ οὐ προσλαμβάνει τοῦ ἀνδρὸς τὴν εὐγένειαν, ἀλλὰ καὶ τὴν τῆς γυναικὸς ἀπόλλυσιν εὐσχημοσύνην. καὶ οὐκ ἐντεῦθεν μόνον αὐτῇ τὰ τῆς αἰσχύνης, ἀλλὰ καὶ ἀπὸ τῆς πλεονεξίας. λαβὼν τοίνυν τὸ ὡμολογημένον αἰσχρὸν, καὶ εἰπὼν, Εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι, ἢ ξυρᾶσθαι, τίθησι τὸ παρ' ἑαυτοῦ λοιπὸν λέγων, κατακαλυπτέσθω. καὶ οὐκ εἶπε, κομάτω, ἀλλὰ κατακαλυπτέσθω, ἀμφότερα ταῦτα ἓν εἶναι νομοθετῶν, καὶ ἑκατέρωθεν αὐτὰ κατασκευάζων, ἀπό τε τῶν νενομισμένων, ἀπό τε τῶν ἐναντίων. τήν τε γὰρ περιβολὴν καὶ τὴν κόμην, ἓν εἶναί φησι· τήν τε ἐξυρημένην καὶ τὴν γυμνὴν ἔχουσαν κεφαλὴν, τὸ αὐτὸ πάλιν. ἓν γάρ ἐστι, φησὶ, καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. Εἰ δὲ λέγοι τις, καὶ πῶς ἐστιν ἓν, εἴγε αὕτη μὲν τὸ κάλυμμα τῆς φύσεως ἔχει, ἐκείνη δὲ ἡ ἐξυρημένη οὐδὲ τοῦτο; ἐροῦμεν ὅτι τῇ προαιρέσει κἀκεῖνο ἔρριψε τῷ γυμνὴν ἔχειν τὴν κεφαλήν. Εἰ δὲ μὴ γυμνὴν τῶν τριχῶν, τοῦτο τῆς φύσεώς ἐστιν, οὐκ ἐκείνης. ὥστε καὶ ἡ ἐξυρημένη γυμνὴν ἔχει τὴν κεφαλὴν, κἀκείνη ὁμοίως. διὰ γὰρ τοῦτο τῇ φύσει ἐπέτρεψεν αὐτὴν σκεπάσαι, ἵνα καὶ ἀπ' ἐκείνης τοῦτο μαθοῦσα καλύπτηται. εἶτα καὶ αἰτίαν τίθησιν, ὅπερ ἔφην πολλαχοῦ, καθάπερ ἐλευθέροις διαλεγόμενος. τίς οὖν ἡ αἰτία; ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. πάλιν ἑτέρα αὕτη αἰτία. οὐδὲ γὰρ ὅτι κεφαλὴν ἔχει τὸν Χριστὸν μόνον οὐκ ὀφείλει καλύπτεσθαι, φησὶ, τὴν κεφαλὴν, ἀλλ' ὅτι καὶ ἄρχει τῆς γυναικός. τὸν γὰρ ἄρχοντα τῷ βασιλεῖ προσιόντα τὸ τῆς ἀρχῆς σύμβολον ἔχειν δεῖ. ὥσπερ οὖν οὐδεὶς τῶν ἀρχόντων χωρὶς ζώνης καὶ χλανίδος τολμήσειεν ἂν φανῆναι τῷ τὸ διάδημα ἔχοντι· οὕτω μηδὲ σὺ χωρὶς τῶν συμβόλων τῆς ἀρχῆς, ὅπερ ἐστὶ τὸ μὴ καλύπτεσθαι, προσεύχου τῷ Θεῷ, ἵνα μὴ ὑβρίσῃς καὶ σαυτὸν καὶ τὸν τετιμηκότα. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς γυναικὸς εἴποι τις ἄν. καὶ γὰρ καὶ ἐκείνη ὕβρις, τὸ μὴ ἔχειν τὰ σύμβολα τῆς ὑποταγῆς. γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. ἄρα φυσικὴ ἡ ἀρχὴ τοῦ ἀνδρός. εἶτα ἐπειδὴ ἀπεφήνατο, καὶ λογισμοὺς καὶ αἰτίας τίθησι πάλιν ἑτέρας, ἐπὶ τὴν προτέραν σε ἄγων δημιουργίαν, καὶ λέγων οὕτως· οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. εἰ δὲ τὸ ἔκ τινος εἶναι, δόξα ἐκείνου ἐξ οὗ ἐστι, πολλῷ μᾶλλον [a] τὸ ἐοικότα εἶναι. καὶ γὰρ οὐκ ἐκτίσθη ὁ ἀνὴρ διὰ

[a] τὸ ἐοικότα εἶναι. Reg. τὸ εἰκόνα εἶναι.

A cessens ac dicens: Si autem non velatur, tondeatur. Nam si abjicis tegumentum tibi a lege Dei datum, inquit, etiam id quod tibi a natura datum est, abjice. Quod si quis dixerit: Et quomodo illud mulieri turpe fuerit, si ad viri gloriam ascendit? illud dixerimus, non ascendere, sed a proprio excidere honore. Nam inter proprios terminos non manere, & leges a Deo latas; sed illas transgredi, non accessio est, sed imminutio. Quemadmodum enim qui aliena concupiscit, & quæ non sua sunt abripit, non quid B amplius accepit, sed detrimento est affectus, quodque habebat perdidit id quod etiam in paradiso contigit; sic & mulier non accipit viri nobilitatem, sed & mulieris honestatem amittit: nec inde solum huic ignominia, sed etiam ab habendi cupiditate. Cum ergo assumsisset id quod turpe esse in confesso est, & dixisset; si autem turpe est mulieri tonderi aut radi, quod a seipso erat tunc posuit dicens, veletur. Neque dixit, comam nutriat; sed veletur: hæc ambo unum esse lege constituens, & utrinque illa confirmans, ab iis quæ constituta sunt, C & a contrariis. Nam velamen & comam unum esse dicit; idem quoque esse & rasam, & eam quæ nudo est capite. Unum est enim, inquit, & idipsum, quod rasa. Quod si quis dixerit: Et quomodo unum est, si illa quidem tegumentum naturæ habet, illa vero quæ rasa est non item? Respondebimus, illam arbitrio suo hoc reliquisse & nudum habere caput: quod si non capillis nudum, hoc ex natura, non ex illius arbitrio esse. Itaque illa quæ rasa est, nudum caput habet, & illa similiter. Ideo enim naturæ permisit, ut illam tegeret, ut hæc ab illa hoc discens, D operiretur. Deinde causam affert, ut sæpe dixi, tamquam cum liberis loquens. Quæ igitur causa est? 7. *Nam vir quidem non debet velare caput, cum sit imago & gloria Dei.* Rursus alia hæc causa: Neque enim solum quod caput Christum habeat, non debet caput tegere, sed etiam quia mulieri imperat. Nam principem ad regem accedentem, principatus signum habere oportet. Sic ergo nullus princeps sine balteo & chlæna ausit comparere ante illum qui diadema gestat; sic neque tu absque signo principatus, quod est de- E tecto esse capite, Deum ores, ut ne contumelia afficias & te & eum qui te honore afficit. Idipsum & de muliere quis dixerit. Nam illi quoque est ignominia, si non subjectionis signa habeat. Mulier autem gloria viri est. Est ergo naturale viri imperium. Deinde postquam sententiam protulit, & rationes & causas rursum alias ponit, ad primam te ducens creationem, his verbis. 8. *Non enim vir ex muliere est, sed mulier ex viro.* Si autem ex aliquo esse, gloria est ejus ex quo prodiit, multo magis esse similem. 9. *Etenim non creatus est vir*

*propter mulierem, sed mulier propter virum.* Hæc est secunda rursus illius præ illa excellentia, imo & tertia & quarta. Prima, quia caput nostrum est Christus, & nos mulieris; secunda, quia nos gloria Dei sumus, & mulier gloria nostra; tertia, quia non nos ex muliere sumus, sed illa ex nobis; quarta, quia non nos propter illam, sed illa propter nos. 10. *Ideo debet mulier habere velamen super caput suum.* Ideo, qua de causa, dic mihi? Propter hæc omnia quæ dicta sunt; imo non tantum propter hæc omnia, sed etiam propter angelos. Nam si virum despicis, inquit, angelos reverere.

5. Caput ergo operire est subjectionis & potestatis; efficit enim ut deorsum aspiciamus & pudore afficiamur, propriamque servemus virtutem. Virtus enim & honor ejus cui imperatur, ut maneat in obedientia. Vir quippe non cogitur hoc facere; ipsius enim Domini imago est; mulier autem jure merito. Cogita igitur iniquitatis excessum, cum nempe tanta honoratus potestate, teipsum deturpas, mulieris habitum rapiens. Idipsumque facis ac si acceptum diadema, a capite abjiceres, & pro diademate, servile vestimentum assumeres. 11. *Verumtamen neque vir sine muliere, neque mulier sine viro in Domino.* Quoniam autem multam dedit viro excellentiam cum dixit mulierem esse ex illo, propter illum & sub illo; ne viros plus quam par erat extolleret, neve illas nimis dejiceret, vide quomodo correctionem adhibeat dicens; verumtamen neque vir sine muliere, neque mulier sine viro in Domino. Ne mihi, inquit, prima sola examines, neque creationem illam. Nam si ea quæ postea facta sunt exquiras, uterque utriusque est auctor; imo neque uterque utriusque; sed Deus omnium. Ideo ait: Neque vir sine muliere, neque mulier sine viro in Domino. 12. *Nam sicut mulier ex viro, ita vir per mulierem.* Non dixit, ex muliere, sed illa ex viro. Hoc enim ipsum integrum manet apud virum. Verum hæc recte gesta non viri; sed Dei sunt. Ideo etiam subjunxit: *Sed omnia ex Deo.* Si ergo Dei sunt omnia, ipse autem illa jubet, obsequere, & ne contradicas. 13. *In vobis ipsis judicate: decet mulierem non velatam orare Deum?* Rursus illos constituit dictorum judices, quod etiam in idolothytis fecit. Nam & illic dicit: judicate vos quod dico; & hic, in vobis ipsis judicate: & hic aliquid terribile subindicat. Hic enim contumeliam dicit ad Deum transire; verum non ita loquitur, sed mitius aliquantum & magis ænigmatice, dicens: Decet-ne mulierem non velatam Deum orare? 14. *Annon ipsa natura vos docet, quod vir quidem si comam nutriat, ignominia sit illi; 15. mulier vero si comam nutriat, gloria est illi? Quoniam capilli pro velamine ei dati sunt.* Quod semper facit communia ponens ra-

A τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. δευτέρα αὕτη ὑπεροχὴ πάλιν, μᾶλλον δὲ καὶ τρίτη καὶ τετάρτη· πρώτη, ὅτι κεφαλὴ ἡμῶν ὁ Χριστὸς, ἡμεῖς δὲ τῆς γυναικός· δευτέρα, ὅτι ἡμεῖς δόξα θεοῦ, ἡμῶν δὲ ἡ γυνή· τρίτη, ὅτι οὐχ ἡμεῖς ἐκ τῆς γυναικὸς, ἀλλ' ἐκείνη ἐξ ἡμῶν· τετάρτη, ὅτι οὐχ ἡμεῖς δι' αὐτὴν, ἀλλ' ἐκείνη δι' ἡμᾶς. διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς. διὰ τοῦτο, ποῖον, εἰπέ μοι; διὰ ταῦτα τὰ εἰρημένα ἅπαντα, φησὶ, μᾶλλον δὲ οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τοὺς B ἀγγέλους. εἰ γὰρ τοῦ ἀνδρὸς καταφρονεῖς, φησὶ, τοὺς ἀγγέλους αἰδέσθητι.

Ἄρα τὸ καλύπτεσθαι, ὑποταγῆς καὶ ἐξουσίας. κάτω γὰρ νεύειν παρασκευάζει καὶ ἐντρέπεσθαι καὶ τὴν οἰκείαν διατηρεῖν ἀρετήν. ἀρετὴ γὰρ ἀρχομένου καὶ τιμὴ, τὸ μένειν ἐπὶ τῆς ὑπακοῆς. ὁ μὲν γὰρ ἀνὴρ οὐκ ἀναγκάζεται τοῦτο ποιεῖν· τοῦ γὰρ δεσπότου αὐτοῦ ἐστιν εἰκών· ἡ γυνὴ δὲ εἰκότως. ἐννόησον οὖν τῆς παρανομίας τὴν ὑπερβολὴν, ὅταν τοσαύτῃ τιμηθεὶς ἐξουσίᾳ σαυτὸν καταισχύνῃς, τὸ τῆς γυναικὸς ἁρπάζων σχῆμα. καὶ ταυτὸν ποιεῖς, ὡς ἂν εἰ διάδημα λαβὼν, ῥίψῃς τὸ C διάδημα ἀπὸ τῆς κεφαλῆς, ἀντὶ δὲ τοῦ διαδήματος δουλικὸν λάβῃς ἱμάτιον. πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὐδὲ γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ. ἐπειδὴ γὰρ πολλὴν ὑπεροχὴν ἔδωκε τῷ ἀνδρὶ, εἰπὼν ὅτι ἐξ αὐτοῦ ἡ γυνὴ καὶ δι' αὐτὸν καὶ ὑπ' αὐτὸν, ἵνα μήτε τοὺς ἄνδρας ἐπάρῃ πλέον τοῦ δέοντος, μήτε ἐκείνας ταπεινώσῃ, ὅρα πῶς ἐπάγει τὴν διόρθωσιν, λέγων· πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ. μὴ γάρ μοι, φησὶ, τὰ πρῶτα ἐξέταζε μόνα, μηδὲ τὴν δημιουργίαν ἐκείνην. ἂν γὰρ τὰ μετὰ ταῦτα ζητῇς, ἑκάτερος ἑκατέρου αἴτιος, μᾶλλον δὲ οὐδὲ οὕτως ἑκάτερος ἑκατέρου, ἀλλ' ὁ θεὸς ἁπάν- D των. διό φησιν, οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ. ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός. οὐκ εἶπεν, ἐκ τῆς γυναικὸς, ἀλλὰ πάλιν ἐκ τοῦ ἀνδρός. ἔτι γὰρ αὐτὸ τοῦτο ἀκέραιον μένει παρὰ τῷ ἀνδρί. ἀλλ' οὐ τοῦ ἀνδρὸς ταῦτα τὰ κατορθώματα, ἀλλὰ τοῦ θεοῦ. διὸ καὶ ἐπήγαγε, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. εἰ τοίνυν τοῦ θεοῦ τὰ πάντα, αὐτὸς δὲ κελεύει ταῦτα, πείθου καὶ μὴ ἀντίλεγε. ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι; πάλιν αὐτοὺς κα- E θίζει δικαστὰς τῶν λεγομένων, ὅπερ καὶ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε. καὶ γὰρ ἐκεῖ φησι, κρίνατε ὑμεῖς ὅ φημι· καὶ ἐνταῦθα, ἐν ὑμῖν αὐτοῖς κρίνατε· καί τι φοβερώτερον αἰνίττεται ἐνταῦθα. τὴν γὰρ ὕβριν ἐνταῦθα εἰς τὸν θεόν φησι διαβαίνειν· ἀλλ' οὕτω μὲν οὔ φησιν, ἡμερώτερον δέ πως καὶ αἰνιγματωδέστερον λέγων, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι; ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστι; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. ὅπερ ἀεὶ ποιεῖ, κοινοὺς λογισμοὺς τιθεὶς,

τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, ἐπὶ τὴν κοινὴν συνήθειαν καταφεύγων, καὶ σφόδρα ἐντρέπων τοὺς ἀναμένοντας ταῦτα μανθάνειν παρ' αὐτοῦ, ἃ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας δυνατὸν ἦν μανθάνειν. τὰ γὰρ τοιαῦτα, οὔτε βαρβάροις ἄγνωστα· καὶ ὅρα πῶς πανταχοῦ πληκτικῶς κέχρηται ταῖς λέξεσι· πᾶς ἀνὴρ προσευχόμενος κατακαλύπτων αὐτοῦ τὴν κεφαλὴν, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· καὶ πάλιν, εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω· καὶ ἐνταῦθα πάλιν, ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται. καὶ εἰ ἀντὶ περιβολαίου δέδοται, φησι, τίνος ἕνεκεν δεῖ περιβόλαιον ἕτερον προστιθέναι; ὥστε μὴ ἀπὸ τῆς φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς προαιρέσεως τὴν ὑποταγὴν ὁμολογεῖν. ὅτι γὰρ δεῖ σε καλύπτεσθαι, προλαβοῦσα καὶ ἡ φύσις ἐνομοθέτησε. προστίθει τοίνυν καὶ τὰ παρὰ σαυτῆς, ἵνα μὴ δόξῃς καὶ τοὺς τῆς φύσεως ἀνατρέπειν νόμους· ὃ παρὰ πολλῆς ἐστιν ἰταμότητος, μὴ μόνον ἡμῖν, ἀλλὰ καὶ τῇ φύσει πυκτεύειν. διὸ καὶ Ἰουδαίοις ὁ θεὸς ἐγκαλῶν ἔλεγεν, ἔσφαξας τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου· τοῦτο παρὰ πάντα τὰ βδελύγματά σου. καὶ τοῖς παρὰ Ῥωμαίοις ἀσελγαίνουσι πάλιν ὁ Παῦλος ἐπιτιμῶν, οὕτως αὔξει τὴν κατηγορίαν λέγων, ὅτι οὐ παρὰ νόμον τὸν τοῦ θεοῦ μόνον, ἀλλὰ καὶ παρὰ φύσιν ἡ χρῆσις ἦν. ἐνήλλαξαν γὰρ τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα τοῦτον γυμνάζει τὸν λόγον, τοῦτό τε αὐτὸ δεικνὺς, καὶ ὅτι οὐδὲν ξένον νομοθετεῖ, καὶ ὅτι παρ' Ἕλλησι τὰ τῆς καινοτομίας ἅπαντα τῆς παρὰ φύσιν· οὕτω καὶ ὁ Χριστὸς τοῦτο δεικνὺς ἔλεγεν· ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· δηλῶν ὅτι οὐδὲν καινὸν ἐπεισάγει. εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. ἄρα φιλονεικίας τὸ ἀντιτείνειν τούτοις, καὶ οὐ λογισμοῦ· πλὴν ἀλλὰ καὶ οὕτω μεμετρημένην τὴν ἐπιτίμησιν ἐποίησε, πλείονα τὴν ἐντροπὴν ἐνθείς· ὃ δὴ καὶ βαρύτερον ἐποίει τὸν λόγον. ἡμεῖς γάρ, φησι, τοιαύτην συνήθειαν οὐκ ἔχομεν, ὥστε φιλονεικεῖν, καὶ ἐρίζειν, καὶ ἀντιτάττεσθαι. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ, δεικνὺς ὅτι πάσῃ τῇ οἰκουμένῃ ἀντιπίπτουσι καὶ ἐναντιοῦνται, μὴ εἴκοντες. ἀλλ' εἰ καὶ τότε ἐφιλονείκουν οἱ Κορίνθιοι, νῦν πᾶσα ἡ οἰκουμένη τὸν νόμον τοῦτον καὶ κατεδέξατο καὶ ἐφύλαξε. τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις.

Ἀλλὰ δέδοικα, μήποτε τὸ σχῆμα καταδεξάμεναι, ἐπὶ τῶν ἔργων εὑρεθῶσιν ἀναισχυντοῦσαι ἔνιαι τῶν γυναικῶν, καὶ ἀνακεκαλυμμέναι ἑτέρως. διὰ γὰρ τοῦτο καὶ Τιμοθέῳ γράφων οὐκ ἠρκέσθη τούτοις ὁ Παῦλος, ἀλλ' ἕτερα προσέθηκεν εἰπών· ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ. εἰ γὰρ γυμνὴν οὐ δεῖ τὴν κεφαλὴν ἔχειν, ἀλλὰ τὸ τῆς ὑποταγῆς τὸ σύμβολον πανταχοῦ περιφέρειν, πολλῷ μᾶλλον διὰ τῶν πράξεων τοῦτο ἐπιδείκνυσθαι χρή.

A tiocinia, hoc & hic quoque facit, ad vulgarem consuetudinem confugiens, & admodum pudore suffundens eos qui expectant ab illo ediscere, quæ ex communi consuetudine possunt edisci: hæc quippe & similia ne barbaris quidem ignota sunt. Et vide quomodo ubique acribus utatur verbis. Omnis vir orans, qui caput suum tegit, caput suum deturpat; ac rursum, si autem turpe est mulieri tonderi aut radi, veletur. Et hic rursus: Vir quidem si comam nutriat, ignominia est illi: mulier si comam nutriat, gloria est illi, quoniam capilli pro velamine B ei dati sunt. Et si pro velamine dati sunt, inquit, cur oporteat velamen aliud adjicere? ut non solum a natura, sed etiam ab arbitrio subjectionem confiteatur. Quod enim te oporteat velari, ipsa natura prius constituit: adde igitur operam tuam, ne videaris naturæ leges evertere: quod quidem multæ esset impudentiæ, non nobiscum tantum, sed etiam cum natura pugnare. Quare Judæos Deus incusans dicebat: *Occidisti filios tuos & filias tuas*: hoc præ omnibus est abominationibus tuis. (Ezech. 16. 21.) Et eos qui apud C Romanos impudici erant increpans Paulus, sic auget criminationem dicens: Quod non solum præter Dei legem, sed præter naturam usus ille esset: *Mutarunt enim usum naturalem, in illum qui præter naturam.* (Rom. 1. 26.) Propterea in hoc se sermone exercet, hoc ipsum ostendens, & quod nihil alienum constituat, quodque apud Græcos omnia ejus novitatis sint, quæ est præter naturam. Sic & Christus hoc ipsum comprobans, dicebat, *Quæcumque vultis ut faciant vobis homines, & vos facite ipsis.* (Matth. 7. 12.) Significans se nihil novum in- D ducere. 16. *Si quis autem videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque ecclesiæ Dei.* Est ergo contentionis & non rationis his resistere. Cæterum sic quoque moderatam fecit increpationem, ut qui plurimum pudoris immiserit: quod etiam graviorem fecit orationem. Nos enim, inquit, talem consuetudinem non habemus, ut contendamus & litigemus & contradicamus. Neque tamen hactenus substitit, sed subjunxit, Neque ecclesiæ Dei, ostendens illos toti terrarum orbi obsistere & adversari, non ce- E dentes. Sed etiamsi tunc contenderent Corinthii, nunc totus terrarum orbis hanc legem & accepit & observat, tanta est Crucifixi potestas.

6. Sed vereor ne hoc accepto habitu, quædam ex mulieribus operibus impudenter se gerere deprehendantur, & alio modo detectæ. Ideoque Timotheo scribens Paulus, non satis habuit hæc dixisse, sed alia adjecit dicens: In habitu ornato cum pudore & modestia ornantes se, non in tortis crinibus aut auro. (1. Tim. 2. 9.) Nam si non oportet nudum caput habere, sed subjectionis signum ubique circumferre; multo magis per opera hoc ostendere oportet.

Sic certe priscæ mulieres, & dominos viros vocabant, & primas ipsis concedebant. Nam & illi, inquies, uxores suas amabant. Hoc novi nec ignoro. Sed cum te de iis quæ tibi conveniunt admonemus, non quæ illorum sunt spectes. Nam cum pueros adhortamur dicimusque ut parentibus obsequantur, quia scriptum est: *Honora patrem tuum & matrem tuam;* (Exod. 20. 12.) dicunt illi nobis, profer etiam ea quæ sequuntur: *Vos quoque patres nolite ad iram provocare filios vestros.* (Ephes. 6. 4.) Et cum servis dicimus scriptum esse, quod obediendum sit dominis, neque ad oculum serviendum esse illis; & illi rursus quæ sequuntur a nobis exigunt, jubentes dominis quoque eadem suadere. Nam illis quoque, inquiunt, præcepit Paulus, minas remittere. Sed ne sic faciamus, neque ea quæ aliis præcepta sunt quæramus, quando de iis quæ ad nos pertinent accusamur; neque enim, si socium criminum accipias, a culpa liberaberis; sed hoc unum specta ut te a criminibus liberes. Nam Adam in mulierem culpam referebat, & illa rursum in serpentem. Sed non illos hoc eripuit. Ne itaque tu hoc mihi nunc dicas; sed grato cum animo quæ marito debes præstare cures. Nam & quando maritum tuum alloquor, adhortans ut te diligat & tui curam gerat, non sino illum in medium afferre legem de muliere latam, sed legem de illo scriptam requiro. Et tu igitur ea quæ ad te spectant sola curiose inquire, & te conjugi morigeram præbe. Nam si propter Deum marito obsequaris, ne mihi proferas ea quæ ipse præstare debet; sed ea quibus te obnoxiam legislator fecit, hæc diligenter exsequere. Hoc enim est maxime Deo obtemperare, etiamsi contraria patiaris, legem non transgredi. Ideo enim qui se amantem amat, nihil magni facere videtur. Qui vero se odientem colit, hic maxime est qui coronatur. Eodem quoque modo tu tecum reputa, quod si molestum tibi virum feras, splendidam accipies coronam. Sin mansuetum & mitem, quam tibi Deus dabit mercedem? Et hæc dico non jubens maritos esse sævos & asperos, sed persuadens mulieribus ut viros etiam feroces ferant. Cum enim unusquisque sua implere curaverit, statim sequentur etiam ea quæ sunt proximi: exempli causa cum uxor parata fuerit ad virum asperum ferendum, & vir importunam illam non contumelia affecerit, tunc omnia serenitas erunt, & portus a fluctibus vacuus. Sic etiam usu veniebat apud priscos, sua quisque implebat, nec quæ proximi erant exigebat. Perpende autem: fratris filium secum accepit Abraham, non id reprehendit uxor: jussit eam longum iter suscipere, neque repugnavit illa, sed sequuta est. Rursus post illas multas ærumnas, labores & sudores, cum dominus omnium esset, primas concessit Loto. Et non modo id non

A οὕτω γοῦν καὶ αἱ πρότεραι γυναῖκες καὶ κυρίους τοὺς ἄνδρας ἐκάλουν, καὶ τῶν πρωτείων αὐτοῖς παρεχώρουν. καὶ γὰρ ἐκεῖνοι, φησὶ, τὰς γυναῖκας ἠγάπων τὰς ἑαυτῶν. οἶδα κἀγὼ, καὶ οὐκ ἀγνοῶ. ἀλλ' ὅταν ὑπὲρ τῶν σοὶ προσηκόντων παραινῶμεν, μὴ τὰ ἐκείνων σκόπει. καὶ γὰρ ὅταν παισὶ παραινῶμεν ὑπακούειν γονεῦσι λέγοντες, ὅτι γέγραπται, τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, λέγουσι πρὸς ἡμᾶς, εἰπὲ καὶ τὰ ἑξῆς, ὅτι καὶ ὑμεῖς οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα. καὶ τοῖς δούλοις ὅταν εἴπωμεν, ὅτι γέγραπται ὑπακούειν τοῖς κυρίοις, B καὶ μὴ κατ' ὀφθαλμοδουλείαν δουλεύειν, καὶ αὐτοὶ πάλιν τὰ ἑξῆς ἡμᾶς ἀπαιτοῦσι, κελεύοντες καὶ τοῖς δεσπόταις τὰ αὐτὰ παραινεῖν. καὶ γὰρ καὶ ἐκείνοις ὁ Παῦλος ἐκέλευσε, φησὶν, ἀνιέναι τὴν ἀπειλήν. ἀλλὰ μὴ οὕτω ποιῶμεν, μηδὲ τὰ ἑτέροις ἐπιτεταγμένα ζητῶμεν, ὅταν τῶν ὑπὲρ ἡμετέρων ἐγκαλώμεθα· οὐδὲ γὰρ, ἂν κοινωνὸν λάβῃς τῶν ἐγκλημάτων, ἀπαλλαγήσῃ τῆς αἰτίας· ἀλλ' ἓν σκόπει μόνον, ὅπως τὰ σὰ ἐγκλήματα ἀποδύσῃ. ἐπεὶ καὶ ὁ Ἀδὰμ ἐπὶ τὴν γυναῖκα τὴν αἰτίαν ἔφερε, καὶ αὕτη πάλιν ἐπὶ τὸν ὄφιν, [a] ἀλλ' οὐδὲν αὐτοὺς τοῦτο ἐξείλετο. μὴ τοίνυν μηδὲ σὺ C τοῦτο λέγε μοι νῦν, ἀλλὰ σπούδαζε μετὰ εὐγνωμοσύνης ἁπάσης παρέχειν, ἅπερ ὀφείλεις, τῷ ἀνδρί. ἐπεὶ καὶ ὅταν τῷ ἀνδρὶ τῷ σῷ διαλέγωμαι, συμβουλεύων ἀγαπᾶν καὶ θεραπεύειν, οὐκ ἀφίημι αὐτὸν προενεγκεῖν εἰς μέσον τὸν τῇ γυναικὶ κείμενον νόμον, ἀλλὰ τὸν αὐτῷ γεγραμμένον ἀπαιτῶ. καὶ σὺ τοίνυν τὰ σοὶ προσήκοντα περιεργάζου μόνα, καὶ παρέχε σαυτὴν εὐήνιον τῷ συνοικοῦντι. καὶ γὰρ εἰ διὰ τὸν θεὸν πείθῃ τῷ ἀνδρὶ, μή μοι πρόφερε τὰ ὀφείλοντα παρ' αὐτοῦ γίνεσθαι, ἀλλ' ὧν ὑπεύθυνόν σε ἐποίησεν ὁ νομοθέτης, ταῦτα ἄνυε μετὰ ἀκριβείας. τοῦτο γάρ ἐστι μάλιστα D θεῷ πείθεσθαι, τὸ καὶ ἐναντία πάσχουσαν μὴ παρακινεῖν τὸν νόμον. διὰ γὰρ τοῦτο ὁ μὲν τὸν φιλοῦντα φιλῶν, οὐδὲν δοκεῖ τι μέγα ποιεῖν. ὁ δὲ τὸν μισοῦντα θεραπεύων, οὗτος μάλιστά ἐστιν ὁ στεφανούμενος. τὸν αὐτὸν δὴ τρόπον καὶ σὺ λογίζου, ὅτι ἂν μὲν φορτικὸν ὄντα τὸν ἄνδρα ἐνέγκῃς, λαμπρὸν λήψῃ τὸν στέφανον· ἂν δὲ ἥμερον καὶ πρᾶον, τίνος σοι δώσει μισθὸν ὁ θεός; καὶ ταῦτα λέγω, οὐ θρασύνεσθαι τοὺς ἄνδρας κελεύων, ἀλλὰ πείθων τὰς γυναῖκας καὶ θρασυνομένους φέρειν τοὺς ἄνδρας. ὅταν γὰρ ἕκαστος τὰ ἑαυτοῦ σπεύδῃ πληροῦν, ταχέως καὶ τὰ τοῦ πλησίον ἕψεται· οἷον, ὅταν ἡ γυνὴ καὶ E τραχυνόμενον παρεσκευασμένη ᾖ φέρειν τὸν ἄνδρα, καὶ ὁ ἀνὴρ χαλεπαίνουσαν αὐτὴν μὴ ὑβρίζῃ, τότε πάντα γαλήνη καὶ λιμὴν κυμάτων ἀπηλλαγμένος. οὕτω καὶ ἐπὶ τῶν παλαιῶν ἐγίνετο. τὰ ἑαυτοῦ ἕκαστος ἐπλήρου, οὐ τὰ τοῦ πλησίον ἀπῄτει. σκόπει δέ· ἔλαβε τὸν ἀδελφιδοῦν ὁ Ἀβραὰμ, οὐκ ἐνεκάλεσεν ἡ γυνή. ἐκέλευσεν αὐτὴν ὁδὸν ὁδεῦσαι μακρὰν, οὐκ ἀντεῖπεν οὐδὲ πρὸς τοῦτο, ἀλλ' ἠκολούθησε. πάλιν μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τοὺς μόχθους καὶ τοὺς ἱδρῶτας τῶν πάντων κύριος γενόμενος, παρεχώρησε τῶν πρωτείων τῷ Λώτ. καὶ οὐ μόνον οὐκ

[a] Reg. ἀλλ' οὐδένα αὐτῶν τοῦτο ἐξείλετο.

ἐδυσχέρανεν ἡ Σάῤῥα πρὸς τοῦτο, ἀλλ' οὐδὲ τὸ στόμα διῆρεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον, οἷα πολλαὶ τῶν γυναικῶν νῦν φθέγγονται, ὅταν ἴδωσιν ἐλαττουμένους ἐν ταῖς τοιαύταις μοίραις τοὺς ἄνδρας τοὺς ἑαυτῶν, καὶ μάλιστα ὑπὸ ἐλαττόνων, ὀνειδίζουσαι καὶ μωροὺς καὶ ἀνοήτους καλοῦσαι καὶ ἀνάνδρους καὶ προδότας καὶ νωθεῖς. ἀλλ' οὐδὲν ἐκείνη τοιοῦτον οὔτε εἶπεν, οὔτε ἐνενόησεν, ἀλλ' ἔστερξεν ἅπαντα τὰ παρ' ἐκείνου γινόμενα. καὶ τὸ δὴ μεῖζον· μετὰ γὰρ τὸ κύριον ἐκεῖνον γενέσθαι τῆς αἱρέσεως καὶ τὰ ἐλάττονα προσεῖψαι τῷ θείῳ, κίνδυνος αὐτὸν κατέλαβε χαλεπός. καὶ ἀκούσας ὁ πατριάρχης, πάντας καθώπλισε τοὺς αὐτοῦ, καὶ πρὸς ὅλον τὸ τῶν Περσῶν παρεσκευάζετο στρατόπεδον μετὰ τῶν οἰκετῶν τῶν ἑαυτοῦ μόνον, καὶ οὐδὲ τότε αὐτὸν κατέσχεν ἐκείνη, οὐδὲ εἶπεν οἷα εἰκός· ἄνθρωπε, ποῖ φέρε, κατὰ κρημνῶν σεαυτὸν ὠθῶν καὶ τοσούτοις ἐκδιδοὺς κινδύνοις, ὑπὲρ ἀνδρὸς ὑβρικότος σε καὶ τὰ σὰ ἡρπακότος ἅπαντα, τὸ αἷμα ἐκχέων; εἰ γὰρ καὶ σαυτοῦ καταφρονεῖς, ἀλλ' ἐμὲ τὴν καταλιποῦσαν οἰκίαν καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς, καὶ τοσαύτην ἀκολουθήσασάν σοι ἀποδημίαν ἐλέησον, καὶ μὴ περιβάλῃς χηρείᾳ καὶ τοῖς ἀπὸ τῆς χηρείας κακοῖς. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα σιγῇ. μετὰ ταῦτα τῆς γαστρὸς ἀγόνου μενούσης, αὐτὴ μὲν οὐ πάσχει τὰ τῶν γυναικῶν, οὐδὲ ἀποδύρεται· ἐκεῖνος δὲ θρηνεῖ, ἀλλ' οὐχὶ πρὸς τὴν γυναῖκα, ἀλλὰ πρὸς τὸν θεόν. καὶ ὅρα πῶς ἕκαστος τὸ προσῆκον διαφυλάττει. οὔτε γὰρ αὐτὸς καταφρόνησε τῆς Σάῤῥας ὡς ἄπαιδος, οὔτε ὠνείδισέ τι τοιοῦτον αὐτῇ· κἀκείνη πάλιν ἐσπούδασε τῆς ἀπαιδίας ἐπινοῆσαι παραμυθίαν αὐτῷ τινὰ ἀπὸ τῆς παιδίσκης. οὐδέπω γὰρ ταῦτα τότε κεκώλυτο, καθὰ νῦν. νῦν γὰρ οὔτε γυναιξὶ τοιαῦτα ἀνδράσι χαρίζεσθαι θέμις, οὔτε ἐκείνοις, οὔτε εἰδυιῶν οὔτε ἀγνοουσῶν τῶν γυναικῶν, τοιαύταις μίξεσιν ἐπιχειρεῖν, κἂν μυριάκις ἡ τῆς ἀπαιδίας ἐνοχλῇ λύπη· ἐπεὶ ἀκούσονται καὶ αὐτοί, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. οὐ γὰρ ἐφίεται νῦν, τότε δὲ οὐκ ἀπηγόρευτο. διὸ καὶ ἡ γυνὴ τοῦτο ἐπέταττε, κἀκεῖνος ὑπήκουε, καὶ οὐδὲ οὕτω δι' ἡδονήν. ἀλλ' ὅρα, φησί, πῶς αὐτὴν πάλιν ἐξέβαλε κελευούσης αὐτῆς. καὶ γὰρ ἐγὼ τοῦτο βούλομαι δεῖξαι, ὅτι καὶ οὗτος ἐκείνῃ ἅπαντα ἐπείθετο, καὶ ἐκείνη τούτῳ.

Πλὴν μὴ τούτοις πρόσεχε μόνον, ἀλλ' ἡ ταῦτα λέγουσα σὺ καὶ τὰ πρότερα ἐξέταζε, ὅτι ὕβριζεν αὐτήν, ὅτι κατηλαζονεύετο τῆς κυρίας, οὗ τί γένοιτ' ἂν ὀδυνηρότερον ἐλευθέρᾳ γυναικὶ, καὶ εὐσχήμονι; μὴ τοίνυν τοῦ ἀνδρὸς τὴν ἀρετὴν ἀναμενέτω ἡ γυνὴ, καὶ τότε τὴν ἑαυτῆς παρεχέτω, τοῦτο γὰρ οὐδὲν μέγα, μηδ' αὖ πάλιν ὁ ἀνὴρ τὴν τῆς γυναικὸς εὐταξίαν, καὶ τότε φιλοσοφείτω, οὐδὲ γὰρ τοῦτο λοιπὸν αὐτοῦ κατόρθωμα, ἀλλ' ἕκαστος, ὅπερ ἔφην, τὰ παρ' ἑαυτοῦ παρεχέτω πρότερος. εἰ γὰρ τοῖς ἔξωθεν ῥαπίζουσι τὴν δεξιὰν, δεῖ τὴν ἑτέραν ἐκδιδόναι σιαγόνα, πολλῷ μᾶλλον ἄνδρα θρασυνόμενον δεῖ φέρειν.

A ægre tulit Sara, sed neque os aperuit, nec quidpiam dixit eorum quæ nunc mulieres multæ loquuntur, cum vident viros suos in hujusmodi sortibus minus habere, maxime quando cum inferioribus res est, exprobrantes, stultos, insanos, ignavos, proditores, hebetesque vocantes. Sed nihil simile illa vel dixit vel cogitavit, sed approbavit omnia ab ipso facta. Quodque majus est, postquam Loto data est optandi facultas & minora ille patruo concessit, in periculum ille grave incidit. Quo audito Patriarcha, omnes suos ar-
B mavit, & contra totum Persarum exercitum sese apparavit cum domesticis suis tantum: neque tunc illum ipsa retinuit, neque dixit, ut par videbatur esse. Quo pergis, o homo, per præcipitia te impellens, & in tanta conjiciens pericula, pro viro qui te contumelia affecit, & tua omnia rapuit sanguinem fundens? Nam si teipsum despicis, me saltem, qui reliqui domum, patriam, amicos & cognatos, & in tanta te peregrinatione sum sequuta, miserare, nec me conjicias in viduitatem & in viduitatis mala. Nihil horum vel dixit vel cogitavit; sed cum silentio
C tulit omnia. Deinde vero sterili manente utero, ipsa quidem non patitur ea quæ mulieres pati solent, neque lamentatur. Ille autem luget, sed non apud uxorem, sed apud Deum. Et vide quomodo singuli quod par erat servent. Neque enim ille Saram despexit ut sterilem, neque illi ideo quidpiam exprobravit. Illa vero vicissim consolationem quamdam pro orbitate excogitavit per ancillam suam: nondum enim illa tunc prohibita erant, ut nunc sunt. Nunc enim neque uxoribus licet viris talem gratiam referre; neque illis, sive scientibus, sive ignoran-
D tibus uxoribus, tales tentare concubitus, quantovis orbitatis dolore premantur. Nam ipsi quoque audient, *Vermis eorum non morietur, & ignis eorum non exstinguetur.* Marc. 9. 44. Non enim id nunc permittitur, tunc vero non prohibitum erat. Ideo uxor hoc jussit, & ille obtemperavit, neque tamen propter voluptatem. Sed vide, inquies, quomodo ipsa jubente, ancillam ejecit. Ego enim hoc volo ostendere: quod & ille ipsi in omnibus obtemperaret, & hæc illi.

7. Cæterum ne his solum attendas, sed tu quæ hæc dicis etiam priora examina,
E quod contumeliam inferret ei, quod se arroganter extolleret contra dominam, quo quid molestius esse possit liberæ mulieri, & honestæ. Ne itaque viri virtutem exspectet uxor, ut tunc illa suam exhibeat; hoc enim nihil magnum esset, neque rursus vir uxoris modestiam, ut tunc philosophetur; neque enim tunc recte factum illud ipsius esset. Sed unusquisque, ut dixi, quæ sua sunt prius præbeat. Si enim externis dexteram maxillam percutientibus, oportet præbere alteram; multo magis virum ferocem ferre

*Uxorem verberare quam turpe ſit.*

oportet. Sed non hæc dico ut verberetur mulier, abſit; nam hæc extrema contumelia eſt, non verberatæ, ſed verberanti. Sed ſi caſu aliquo talem conjugem ſortita fueris, o mulier, ne indigne feras, cogitans repoſitam tibi mercedem, & in hac vita laudem. Vobis quoque viris hoc dico. Nihil tale ſit peccatum, quo cogamini uxorem verberare. Et quid dico uxorem? neque ancillam verberare aut ei manus inferre viro ingenuo fuerit tolerandum. Quod ſi ancillam verberare magnum infert viro probrum; multo magis contra liberam manum intendere. Et hoc in externis etiam legiſlatoribus videre eſt, qui eam quæ ita percuſſa fuit non cogunt habitare cum percuſſore, utpote qui illius conſortio indignus ſit. Etenim extremæ eſt iniquitatis, vitæ conſortem, quæ tibi in rebus neceſſariis jamdiu operam præſtabat, ut mancipium ignominia afficere. Ideoque talem virum, ſi virum tamen licet appellare, non feram, parricidæ & matricidæ parem eſſe dixerim. Nam ſi propter illam & patrem & matrem relinquere juſſi ſumus, non illis injuriam facientes, ſed divinam legem implentes, ipſis parentibus adeo deſiderabilem, ut & ipſi qui relinquuntur gratiam habeant, & hoc cum ſtudio magno efficiant; quomodo non extremæ dementiæ fuerit, eam contumelia afficere, propter quam parentes Deus juſſit dimittere? Num hoc inſania ſolum eſt? Dedecus & ignominiam autem hujuſmodi quis ferat? Quis ſermo poſſit eam explicare, quando ululatus & gemitus per compita feruntur, & concurſus eſt in domum ejus qui tam indecore ſe gerit & vicinorum & prætereuntium, ac ſi fera quæpiam quæ intus ſunt labefactet & perdat? Optabilius eſſet terram dehiſcere ei qui tam furioſe ſe gerat, quam ut poſtea in foro appareat. Sed mulier, inquiet, audax & aſpera eſt. Sed cogita illam eſſe mulierem, vas infirmum, te autem virum. Propterea enim princeps conſtitutus es, & inſtar capitis datus es, ut feras ejus quæ tibi parere debet imbecillitatem. Fac itaque ut imperium tuum ſit ſplendidum: ſplendidum autem erit, cum eam cui imperas non dedecore affeceris. Ac ſicut is qui regnat tunc præclarior apparebit cum ſibi inferiorem præfectum præclariorem reddiderit. Si autem illud tantum munus dedecore & ignominia affecerit, tunc a gloria ſua non parum demitur. Sic & tu ſi eam quæ poſt te imperat dedecore affeceris, non levi damno affeceris principatus tui honorem. Hæc igitur omnia tecum reputans, temperanter age, & cum his etiam veſperam illam cogita, qua te advocato pater filiam ſuam quaſi depoſitum quoddam tradidit, & illam ab omnibus ſeparans, a matre, ab ſe, a domo, totam tibi illius curam dextera ſua tradidit. Cogita te ab illa poſt Deum filios ſuſcepiſſe, &

A καὶ οὐ τοῦτο λέγω, ὥστε τύπτεσθαι γυναῖκα, ἄπαγε· ἐσχάτη γὰρ τοῦτο ὕβρις, οὐ τῇ τυπτομένῃ, ἀλλὰ τῷ τύπτοντι. ἀλλὰ κἂν ἀπὸ περιστάσεώς τινος κληρωθῇς, ὦ γύναι, συνοίκῳ τοιούτῳ, μὴ δυσχεραίνῃς, τὸν ἀποκείμενον ὑπὲρ τούτων ἐννοοῦσα μισθὸν καὶ τὸν ἐν τῷ παρόντι βίῳ ἔπαινον. καὶ πρὸς ὑμᾶς δὲ τοὺς ἄνδρας ἐκεῖνό φημι· μηδὲν ἔστω τοιοῦτον ἁμάρτημα, ὡς εἰς ἀνάγκην ὑμᾶς ἄγειν τὸ γυναῖκα τύπτειν. καὶ τί λέγω γυναῖκα; οὐδὲ θεραπαινίδα μὲν ἦν ἀνδρὶ τύπτειν ἐλευθέρῳ καὶ χεῖρας ἐπάγειν ἀνεκτὸν ἂν εἴη· εἰ δὲ δούλην τυπτῆσαι ἀνδρὶ πολὺ τὸ ὄνειδος, πολλῷ μᾶλλον κατὰ B τῆς ἐλευθέρας ἀνατεῖναι τὴν δεξιάν. καὶ τοῦτο δὲ ἐκ τῶν ἔξωθεν ἄν τις ἴδοι νομοθετῶν, οἳ τὴν τὰ τοιαῦτα παθοῦσαν οὐκέτι ἀναγκάζουσι συνοικεῖν τῷ τυπτήσαντι, ἅτε ἀναξίῳ ὄντι τῆς πρὸς αὐτὴν ὁμιλίας. καὶ γὰρ ἐσχάτης παρανομίας τὴν τοῦ βίου κοινωνὸν, τὴν ἐν τοῖς ἀναγκαίοις καὶ ἀνωτάτω σοι συνεφαπτομένην, ταύτην ὡς ἀνδράποδον ἀτιμάζειν. διὸ καὶ τὸν τοιοῦτον ἄνδρα, εἴγε ἄνδρα αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχὶ θηρίον, καὶ πατραλοίου καὶ μητραλοίου ἴσον εἶναι φαίην ἄν. εἰ γὰρ καὶ πατέρα καὶ μητέρα διὰ ταύτην ἀφεῖναι προσετάγημεν, C οὐκ ἀδικοῦντες ἐκείνους, ἀλλὰ νόμον θεῖον πληροῦντες, καὶ τοῖς γεγεννηκόσιν αὐτοῖς οὕτω ποθεινὸν, ὡς καὶ αὐτοὺς τοὺς καταλιμπανομένους καὶ χάριν ἔχειν καὶ μετὰ πολλῆς ἀνύειν αὐτὸ τῆς σπουδῆς· πῶς οὐκ ἐσχάτης μανίας ταύτην ὑβρίζειν, δι' ἣν καὶ τοὺς γεγεννηκότας ὁ θεὸς ἀφεῖναι ἐκέλευσεν; ἆρ' οὖν μανία μόνον τοῦτο; τὴν δὲ αἰσχύνην, εἰπέ μοι, τίς οἴσει; ποῖος δὲ αὐτὴν παραστῆσαι δυνήσεται λόγος, ὅταν ὀλολυγαί τε καὶ κωκυτοὶ κατὰ τοὺς στενωποὺς φέρωνται, καὶ δρόμος ἐπὶ τὴν οἰκίαν τοῦ ταῦτα ἀσχημονοῦντος καὶ τῶν γειτόνων καὶ τῶν παριόντων, D καθάπερ τινὸς θηρίου τὰ ἔνδον λυμαινομένου; βέλτιον διαρραγῆναι τὴν γῆν τῷ τὰ τοιαῦτα παροινοῦντι, ἢ ἐπ' ἀγορᾶς αὐτὸν ὀφθῆναι λοιπόν. ἀλλὰ θρασύνεται ἡ γυνή, φησιν. ἀλλ' ἐννόησον ὅτι γυνή, τὸ ἀσθενὲς σκεῦος, σὺ δὲ ἀνήρ. διὰ γὰρ τοῦτο καὶ ἄρχων ἐχειροτονήθης, καὶ ἐν τάξει κεφαλῆς ἐδόθης, ἵνα φέρῃς τῆς ἀρχομένης τὴν ἀσθένειαν. ποίησον τοίνυν λαμπρὰν σοι τὴν ἀρχήν. ἔσται δὲ λαμπρὰ, ὅταν τὸ ἀρχόμενον μὴ ἀτιμάζῃς. καὶ καθάπερ ὁ βασιλεύων τοσούτῳ σεμνότερος φανεῖται, ὅσῳ ἂν τὸν ὕπαρχον σεμνότερον ἀποφήνῃ· ἂν δὲ ἀτιμάσῃ καὶ καταισχύνῃ E τῆς ἀξίας ἐκείνης τὸ μέγεθος, καὶ τῆς ἑαυτοῦ δόξης οὐκ ὀλίγον ὑποτέμνεται μέρος· οὕτω καὶ σὺ ἂν τὴν μετὰ σὲ ἄρχουσαν ἀτιμάσῃς, οὐχ ὡς ἔτυχε λυμαίνεις σου τῆς ἀρχῆς τὴν τιμήν. ταῦτα τοίνυν λογιζόμενος ἅπαντα σωφρόνει, καὶ μετὰ τούτων καὶ τὴν ἑσπέραν ἐκείνην ἐννόει, καθ' ἣν καλέσας σε ὁ πατὴρ, ὥσπερ τινά σοι παρακαταθήκην τὴν θυγατέρα παρέδωκε, καὶ πάντων ἀποστήσας, καὶ μητρὸς, καὶ αὐτοῦ, καὶ οἰκίας, ὁλόκληρον αὐτῆς τὴν ἐπιτροπὴν ἐνεχείρισέ σου τῇ δεξιᾷ. ἐννόησον ὅτι μετὰ τὸν θεὸν δι' αὐτῆς παῖδας ἔχεις,

καὶ πατὴρ γέγονας, καὶ γίνου καὶ ἐντεῦθεν ἥμερος πρὸς αὐτήν.

Οὐχ ὁρᾷς τοὺς γεωργούς, πῶς τὴν ἅπαξ ὑποδεξαμένην τὰ σπέρματα γῆν θεραπεύουσι παντοδαπῷ θεραπείας τρόπῳ, κἂν μυρία ἐλαττώματα ἔχῃ, οἷον κἂν [a] λυπρογέως ᾖ, κἂν βοτάνας φέρῃ πονηράς, κἂν ὑπὸ ἐπομβρίας ἐπηρεάζηται τῇ φύσει τῆς θέσεως; τοῦτο καὶ σὺ ποίει. οὕτω γὰρ πρότερος ἀπολαύσεις καὶ τῶν καρπῶν καὶ τῆς γαλήνης. καὶ γὰρ λιμήν ἐστιν ἡ γυνή, καὶ φάρμακον εὐθυμίας μέγιστον. ἂν μὲν οὖν τὸν λιμένα πνευμάτων ἀπαλλάξῃς καὶ κυμάτων, πολλῆς ἀπολαύσῃ τῆς ἀδείας ἐξ ἀγορᾶς ἀνιών· ἂν δὲ θορύβων καὶ ταραχῆς ἐμπλήσῃς, σαυτῷ χαλεπώτερον κατασκευάζεις τὸ ναυάγιον. ἵν' οὖν τοῦτο μὴ γίνηται, τοῦτο ὃ λέγω γινέσθω· ὅταν τι συμβῇ λυπηρὸν κατὰ τὴν οἰκίαν, ἐκείνης ἁμαρτούσης, παραμυθοῦ, καὶ μὴ ἐπίτεινε τὴν λύπην. κἂν γὰρ ἅπαντα ἀποβάλῃς, οὐδὲν λυπηρότερον τοῦ μὴ μετ' εὐνοίας ἔχειν γυναῖκα ἔνδον συνοικοῦσαν. κἂν ὁτιοῦν εἴπῃς ἁμάρτημα, οὐδὲν οὕτως ὀδυνηρότερον ἐρεῖς, οἷόν ἐστι τὸ πρὸς ἐκείνην στασιάζειν. ὥστε καὶ διὰ ταῦτα πάντων ἔστω τιμιωτέρα ἡ ταύτης ἀγάπη. εἰ γὰρ ἀλλήλων τὰ βάρη δεῖ βαστάζειν, πολλῷ μᾶλλον τῆς γυναικός. κἂν πένησα ᾖ, μὴ ὀνειδίσῃς· κἂν ἀνόητος ᾖ, μὴ ἐπέμβαινε, ἀλλὰ ῥύθμισον μᾶλλον. καὶ γὰρ μέλος ἐστὶ σόν, καὶ σὰρξ ἐγένεσθε μία. ἀλλὰ φλυαρός ἐστι, καὶ μέθυσος, καὶ ὀργίλος. οὐκοῦν ἀλγεῖν ἐπὶ τούτοις, οὐκ ὀργίζεσθαι χρή, καὶ τὸν θεὸν παρακαλεῖν, καὶ παραινεῖν αὐτῇ, καὶ συμβουλεύειν, καὶ πάντα ποιεῖν, ὥστε ἐκκόψαι τὸ πάθος. ἂν δὲ τύπτῃς, καὶ ἐπιτρίβῃς, τὸ νόσημα οὐ θεραπεύεται. θρασύτης γὰρ ἐπιεικείᾳ λύεται, οὐχ ἑτέρᾳ θρασύτητι. μετὰ τούτων καὶ τὸν παρὰ τοῦ θεοῦ μισθὸν ἐννόει. ὅταν γὰρ ἐξόν σοι ἐκτεμεῖν αὐτήν, μὴ ποιῇς τοῦτο διὰ τὸν τοῦ θεοῦ φόβον, ἀλλὰ φέρῃς ἐλαττώματα τοσαῦτα, δεδοικὼς τὸν ἐπὶ τούτοις κείμενον νόμον τὸν κωλύοντα ἐκβαλεῖν γυναῖκα, κἂν ὁτιοῦν ἔχῃ νόσημα, ἄφατον λήψῃ μισθόν· καὶ πρὸ τῶν μισθῶν δὲ τὰ μέγιστα κερδανεῖς, ἐκείνην τε εὐπειθεστέραν κατασκευάζων, καὶ αὐτὸς ἐπιεικέστερος ταύτῃ γινόμενος. [b] λέγεται γοῦν τις καὶ τῶν ἔξωθεν φιλοσόφων μοχθηρὰν ἔχων γυναῖκα καὶ φλύαρον καὶ πάροινον, πρὸς τοὺς ἐρωτῶντας, τίνος ἕνεκεν τοιαύτην ἔχων ἀνέχεται, εἰπεῖν, ὥστε γυμνάσιον καὶ παλαίστραν ἔχειν φιλοσοφίας ἐπὶ τῆς οἰκίας. ἔσομαι γὰρ τοῖς λοιποῖς πρᾳότερος, φησιν, ἐν ταύτῃ καθ' ἑκάστην παιδευόμενος τὴν ἡμέραν. ἐβοήσατε μεγάλα; ἀλλ' ἐγὼ νῦν ὀδύρομαι μέγα, ὅταν Ἕλληνες ἡμῶν ὦσι φιλοσοφώτεροι, ἡμῶν τῶν κελευσθέντων ἀγγέλους μιμεῖσθαι, μᾶλλον δὲ τῶν κελευσθέντων αὐτὸν τὸν θεὸν ζηλοῦν κατὰ τὸν τῆς ἐπιεικείας λόγον. ὁ μὲν οὖν φιλόσοφος λέγεται διὰ τοῦτο πονηρὰν ἔχων γυναῖκα μὴ ἐκβαλεῖν· τινὲς δὲ καὶ διὰ τοῦτο ἀγαγέσθαι αὐτὸν αὐτήν λέγουσιν. ἐγὼ δέ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ἀλογώτεροί εἰσι

A patrem effectum esse, & inde erga illam mitis esto.

8. Non vides agricolas, quomodo terram quæ semel semina excepit, colant omni culturæ genere, etiamsi innumera habeat incommoda, etiamsi sit arida, si malas ferat herbas, si ex situs ratione imbribus inundetur? Hoc & tu facito. Ita enim prior fruêris & fructibus & tranquillitate. Nam portus est uxor, & pharmacum lætitiæ maximum. Si ergo portum a ventis & fluctibus tutum reddas, multa frueris securitate cum a foro reverteris; si autem tumultu & perturbatione B repleas, tibi gravius paries naufragium. Ne hoc ergo eveniat, id quod dico fiat. Cum quid molestum domi acciderit, illa peccante, consolare illam, & ne dolorem augeas. Etiamsi enim omnia amiseris, nihil tristius est quam domi uxorem habere, quæ sine benevolentia cum viro degat. Quodcumque peccatum dixeris, nullum dicere possis quod majorem inferat dolorem, quam cum uxore litigare. Itaque propter hæc omnia ejus dilectio omnium tibi preciosissima sit. Nam si oportet alterum alterius onera portare, multo magis uxoris; etiamsi pauper sit, C ne id exprobres; etiamsi stulta, ne insultes, sed potius illam moderare. Nam membrum tuum est & caro una facti estis. Sed garrula est, ebriosa, & iracunda; at magis eapropter dolere potius, quam irasci oportet: Deumque rogare, illamque monitis & consilio adjuvare, nihilque non agere ut vitium amputes. Si autem verberes & atteras, morbus non curatur; feritas enim mansuetudine solvitur, non alia feritate. Cum his & mercedem a Deo exspectatam cogita. Etsi enim eam tibi licet exscindere, non hoc facias propter Dei timorem, sed tot ejus D vitia feras, metuens legem hac de re positam, quæ uxorem ejicere prohibet, quocumque tandem morbo laboret, ineffabilem mercedem recipies, & ante mercedem maxima lucraberis: ipsam tibi obtemperantiorem reddens, teque erga illam mansuetiorem exhibens. Narratur quispiam externorum philosophorum, qui malam haberet uxorem & nugacem & convitiantem, interrogantibus, qua de causa cum talem haberet, illam ferret, respondisse se quasi gymnasium & palæstram philosophiæ domi habere. Ero enim, aiebat, aliis mansuetior, in hac quotidie E institutus. Magna voce exclamastis? sed ego valde nunc ingemo, cum videam Græcos magis philosophos esse quam nos, qui jubemur Angelos imitari, imo qui jubemur ipsum æmulari Deum in mansuetudinis ratione. Philosophus ergo ille dicitur ideo malam illam uxorem non ejecisse: quidam autem dicunt ipsum ideo illam duxisse. Ego vero quia multi homines contra quam ratio ferat affecti

Philosophi dictum de uxore convitiante.

a λυπρογέως. Reg. λεπτόγαιος.

b Hic de Socrate, ni fallor agit, qui frequentibus Xanthippes uxoris jurgiis exercitabatur. Vide Diogenem Laertium in Socrate.

A sunt, hortor ut ab initio nihil non agant viri, ut bene moratam ducant uxorem & omni plenam virtute. Si vero contigerit ut a proposito aberrent, ac nec bonam nec tolerabilem sponsam in domum induxerint, tunc philosophum illum imitentur, & his nihil adjiciant. Nam mercator antequam cum socio pacta ineat, quæ possint pacem conciliare, non prius navim in mare trahet, neque aliam attinget negotiationem. Et nos itaque nihil non agamus, ut negotiationis nostræ sociam in hac navi cum omni pace intus teneamus. Ita enim & alia omnia nobis tranquilla erunt, & cum securitate vitæ præsentis pelagus trajiciemus. Hoc pluris faciamus, quam domum, mancipia, pecunias, agros & ipsas res civiles. Idque maxime omnium in precio habeamus, ut illa quæ nobiscum in ædibus residet, non tumultum moveat, neve a nobis dissideat. Ita enim & cætera nobis secundo cursu venient, & in spiritualibus multam habebimus facilitatem, hoc jugum cum concordia trahentes. Omnibusque probe gestis reposita consequemur bona, quæ nos omnes assequi contingat gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

διακείμενοι, παραινῶ μὲν ἐξ ἀρχῆς πάντα ποιεῖν, καὶ σπουδάζειν ὅπως εὐάρμοστον λάβοιεν σύνοικον καὶ πάσης γέμουσαν ἀρετῆς· εἰ δὲ συμβαίη διαμαρτεῖν, καὶ μὴ χρηστὴν μηδὲ ἀνεκτὴν νύμφην εἰσαγαγεῖν εἰς τὴν οἰκίαν, τότε γοῦν τὸν φιλόσοφον τοῦτον ζηλούντων, καὶ ῥυθμίζειν αὐτὴν πάντοτε, καὶ μηδὲν τούτων προστιθέναι. ἐπεὶ καὶ ἔμπορος, πρὶν ἢ πρὸς τὸν κοινωνὸν συνθήκας θέσθαι τὰς δυναμένας εἰρήνην πρυτανεύειν, οὐ πρότερον καθέλκει τὸ πλοῖον εἰς τὸ πέλαγος, οὐδὲ τῆς ἄλλης ἅψεται ἐμπορίας. καὶ ἡμεῖς τοίνυν πάντα πράττωμεν, ὥστε τὴν κοινωνὸν τῆς τοῦ βίου πραγματείας B ἡμῖν καὶ τοῦ πλοίου τούτου μετὰ πάσης ἔνδον κατέχειν τῆς εἰρήνης. οὕτω γὰρ καὶ τὰ ἄλλα πάντα ἡμῖν ἔσται γαληνά, καὶ μετὰ ἀδείας τὸ πέλαγος τοῦ παρόντος διαδραμούμεθα βίου. τοῦτο καὶ περὶ οἰκίας, καὶ ἀνδραπόδων, καὶ χρημάτων, καὶ ἀγρῶν, καὶ αὐτῶν τῶν πολιτικῶν πραγμάτων ἄγωμεν· καὶ πάντων ἡμῖν προτιμότερον ἔστω τὸ τὴν μεθ' ἡμῶν ἐπὶ τῶν οἴκων καθημένην μὴ στασιάζειν, μηδὲ διχοστατεῖν πρὸς ἡμᾶς. οὕτω γὰρ καὶ τὰ ἄλλα ἡμῖν κατὰ ῥοῦν ἥξει, καὶ ἐν τοῖς πνευματικοῖς δὲ πολλὴν ἕξομεν τὴν εὐκολίαν, μετὰ ὁμονοίας τὸν ζυγὸν τοῦτον ἕλκοντες· καὶ πάντα κατορθώ- C σαντες, τῶν ἀποκειμένων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XXVII.

17. *Hoc autem præcipiens, non laudo quod non in melius, sed in deterius conveniatis.*

D

1. NECESSE est etiam præsentis criminis seu accusationis prius causam dicere; ita enim quæ dicenda sunt facilius ediscentur. Quænam ergo illa est? Quemadmodum tria illa millia, quæ initio crediderant, in communi mensa comedebant, & communia omnia possidebant; sic etiam fieri solebat cum hæc scripsit Apostolus; at non cum tanta accuratione: sed quidam veluti fluxus illius prisci consortii remansit & ad posteros descendit. Quia vero contingebat alios pauperes, alios divites esse, sua omnia E non in medium proferebant; communes autem apparabant mensas statis diebus, uti par erat, & peracta synaxi, post mysteriorum communionem, in commune omnes convivium veniebant, divitibus cibos suos afferentibus, pauperibus autem & nihil habentibus ab ipsis divitibus invitatis, omnibusque simul convivantibus. Sed postea hic mos obsolevit. Causa autem fuit, quod divulsi essent, ac sese adscriberent alii his, alii illis, dicerentque, ego sum hujus, ego illius; quod corrigens ille initio epistolæ

## ΟΜΙΛΙΑ κζʹ.

Τοῦτο δὲ παραγγέλλων, οὐκ ἐπαινῶ ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

ΑΝΑΓΚΑΙΟΝ καὶ τοῦ παρόντος ἐγκλήματος πρότερον τὴν αἰτίαν εἰπεῖν. οὕτω γὰρ ἡμῖν εὐμαθέστερος πάλιν ἔσται ὁ λόγος. τίς οὖν ἐστιν αὕτη; καθάπερ ἐπὶ τῶν τρισχιλίων τῶν ἐξ ἀρχῆς πιστευσάντων κοινῇ πάντες εἱστιῶντο, καὶ κοινὰ πάντα ἐκέκτηντο, οὕτω καὶ τότε ὅτε ταῦτα ἔγραφεν ὁ ἀπόστολος ἐγίνετο, οὐχ οὕτω μὲν μετὰ ἀκριβείας· ὥσπερ δέ τις ἀπόρροια τῆς κοινωνίας ἐκείνης ἐναπομείνασα, καὶ εἰς τοὺς μετὰ ταῦτα κατέβη. καὶ ἐπειδὴ συνέβαινε τοὺς μὲν πένητας εἶναι, τοὺς δὲ πλουσίους, τὰ μὲν ἑαυτῶν οὐ κατε- E τίθεντο πάντα εἰς μέσον, κοινὰς δὲ ἐποιοῦντο τὰς τραπέζας ἐν ἡμέραις νενομισμέναις, ὡς εἰκός, καὶ τῆς συνάξεως ἀπαρτισθείσης μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν, ἐπὶ κοινὴν πάντες ᾔεσαν εὐωχίαν, τῶν μὲν πλουτούντων φερόντων τὰ ἐδέσματα, τῶν δὲ πενομένων καὶ οὐδὲν ἐχόντων ὑπ' αὐτῶν καλουμένων, καὶ κοινῇ πάντων ἑστιωμένων. ἀλλ' ὕστερον καὶ τοῦτο διεφθάρη τὸ ἔθος. τὸ δὲ αἴτιον, ἐκ τοῦ διεσπάσθαι καὶ προσνέμειν ἑαυτούς, τοὺς μὲν τούτοις, τοὺς δὲ ἐκείνοις, καὶ λέγειν, ἐγὼ μέν εἰμι τοῦ δεῖνος· ἐγὼ δὲ τοῦ δεῖνος ὅπερ καὶ ἐν ἀρχῇ τῆς ἐπιστολῆς

ἐπιστολῆς διορθούμενος ἔλεγεν· ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ· οὐκ ἐπειδὴ Παύλῳ προσένεμον ἑαυτούς· οὐδὲ γὰρ ἂν ἠνέσχετο· ἀλλ' ἐκ περιουσίας πρόῤῥιζον τὸ ἔθος ἀνασπάσαι βουλόμενος, ἑαυτὸν παρενέθηκε, δεικνὺς ὅτι εἰ καὶ αὐτόν τις ἐπεγράφετο τοῦ κοινοῦ σώματος ἀποῤῥηγνύμενος, καὶ οὕτως ἄτοπον τὸ γινόμενον ἦν καὶ παρανομίας ἐσχάτης. εἰ δὲ ἐπὶ τούτου παρανομία, πολλῷ μᾶλλον ἐπ' ἐκείνων τῶν καταδεεστέρων. ἐπεὶ οὖν διεσπάσθη τὸ ἔθος τοῦτο, ἔθος κάλλιστον καὶ χρησιμώτατον· τὸ γὰρ ἀγάπης ὑπόθεσις ἦν, καὶ πενίας παραμυθία, τὸ πλούτου [a] σωφρονισμὸς, καὶ φιλοσοφίας ἀφορμὴ τῆς μεγίστης, τὸ ταπεινοφροσύνης διδασκαλία. ἐπεὶ οὖν εἶδε τοσαῦτα ἀγαθὰ διαφθειρόμενα, πληκτικῶς εἰκότως τῷ λόγῳ κέχρηται, οὕτω λέγων· τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. ἐν μὲν γὰρ τῷ προτέρῳ ἐγκλήματι, ἅτε πολλῶν ὄντων τῶν φυλαττόντων, ἑτέρως ἤρξατο λέγων οὕτως· ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε· ἐνταῦθα δὲ ἐναντίως, τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. διὰ τοῦτο οὐδὲ μετὰ τὴν ἐπιτίμησιν τὴν κατὰ τῶν τὰ εἰδωλόθυτα ἐσθιόντων αὐτὸ τέθεικεν. ἀλλ' ἐπειδὴ τραχύτερον ἦν ἐκεῖνο, μέσον παρεμβαλὼν τὸν περὶ τῆς κόμης λόγον, ἵνα μὴ ἐξ ἐγκλημάτων σφοδρῶν εἰς ἕτερα πάλιν ἐπαχθῆ διαβαίνων τραχύτερος φαίνηται, τότε ἔρχεται ἐπὶ τὸ σφοδρότερον πάλιν, καί φησι· τοῦτο δὲ παραγγέλλων, οὐκ ἐπαινῶ. ποῖον τοῦτο; ὃ μέλλω λέγειν νῦν. τί ἐστι, παραγγέλλων οὐκ ἐπαινῶ; οὐκ ἀποδέχομαι ὑμᾶς, φησιν, ὅτι με εἰς ἀνάγκην κατεστήσατε συμβουλῆς· οὐκ ἐπαινῶ, ὅτι ἐδεήθητε διδασκαλίας εἰς τοῦτο, ὅτι χρείαν ἔχετε τοῦ παραγγελθῆναι ὑπ' ἐμοῦ. εἶδες πῶς ἐκ προοιμίων ἔδειξε σφόδρα ἄτοπον ὂν τὸ γινόμενον; ὅταν γὰρ μηδὲ παραγγελίας ὀφείλῃ δεῖσθαι ὁ ἁμαρτάνων εἰς τὸ μὴ ἁμαρτεῖν, ἀσύγγνωστον εἰκὸς εἶναι τὸ ἁμαρτανόμενον. καὶ διατί οὐκ ἐπαινεῖς; ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε, φησι, τουτέστιν, ὅτι οὐ προβαίνετε εἰς ἀρετήν. δέον γὰρ ἐπιδοῦναι καὶ πλείονα γενέσθαι τὴν φιλοτιμίαν, ὑμεῖς δὲ καὶ τὸ ἤδη κρατῆσαν ἔθος ἠλαττώσατε, καὶ οὕτως ἠλαττώσατε, ὡς καὶ παραγγελίας δεηθῆναι παρ' ἐμοῦ, ἵνα ἐπὶ τὴν προτέραν ἐπανέλθητε τάξιν. εἶτα ἵνα μὴ δόξῃ διὰ τοὺς πένητας ταῦτα λέγειν μόνον, οὐκ εὐθέως εἰς τὸν περὶ τῶν τραπεζῶν ἐμβάλλει λόγον, ὥστε μὴ εὐκαταφρόνητον ταύτῃ ποιῆσαι τὴν ἐπιτίμησιν ἐκείνοις, ἀλλὰ ζητεῖ λέξιν πληκτικωτάτην καὶ πολὺν ἔχουσαν τὸν φόβον. τί γάρ φησι; πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν. τὸ οὐ λέγει, ἀκούω μὴ κοινῇ ὑμᾶς συνδειπνεῖν· ἀκούω γὰρ κατιδίαν ὑμᾶς ἑστιᾶσθαι, καὶ μὴ μετὰ τῶν πενήτων· ἀλλ' ὃ μάλιστα ἱκανὸν ἦν αὐτῶν διασεῖσαι τὴν διάνοιαν,

[a] Ita reg. In editis hæc, καὶ φιλοσοφίας ἀφορμὴ τῆς μεγίστης, deerant.

A dicebat: *Significatum est mihi, fratres, de vobis ab iis qui sunt Chloes, quia contentiones in vobis sunt. Hoc autem dico, quod unusquisque vestrum dicat: Ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephæ.* Non quod Paulo se adscriberent; neque enim id ille tulisset; sed ex abundanti, volens hunc morem radicitus evellere, seipsum apposuit, ostendens quod si se quis ipsi adscriberet a communi corpore abscissus; sic quoque rem esse absurdam & extremæ iniquitatis. Si autem in hoc erat iniquitas, multo magis in illis qui inferiores erant. B Quia igitur disjectus & divisus erat hic mos pulcherrimus & utilissimus; causa enim erat caritatis, paupertatis consolatio, divitiarum moderatio, maximæque philosophiæ occasio, & doctrina humilitatis. Quia igitur sciebat tanta bona esse corrupta, jure acri usus est oratione, sic dicens: Hoc autem præcipiens non laudo. In priori nempe accusatione, quod plurimi essent qui observarent, alio modo incœpit his verbis: Laudo autem vos quia per omnia mei meministis. Hic vero contra: Hoc autem præcipiens non lau- C do. Idcirco neque post increpationem eorum qui idolothyta comedebant, posuit illud. Sed quia asperius illud erat, medio interjecto sermone de coma, ne ex asperis criminationibus, in alias etiam molestas transiens acrior videretur; tunc ad asperius rursum venit, & ait: Hoc autem præcipiens, non laudo. Quodnam? Quod nunc dicturus sum. Quid illud est, Præcipiens non laudo? Vos non approbo, inquit, quod me ad consilii dandi necessitatem adduxeritis. Non laudo, quod hac in re doctrina opus habueri- D tis, & admonitione mea. Viden' quomodo ab initio ostenderit rem esse admodum absurdam? Cum enim admonitione opus non habere debeat is qui peccat ad non peccandum, tunc venia indignum est peccatum. Et cur non laudas? Quia non in melius, sed in deterius convenitis, inquit, hoc est, quia ad virtutem non profectum habetis. Cum oporteret enim ad meliora pergere, & majus esse proficiendi desiderium, vos morem qui jam invaluerat minuistis, atque ita minuistis, ut meo egeatis præ- E cepto quo ad priorem redeatis ordinem. Deinde ne videretur hæc propter pauperes tantum dicere, non statim ad sermonem de mensis properat, ut ne increpationem multum timoris incutientem, contemtui exponat, sed quærit dictionem acerrimam, quæ multum inferat timorem. Quid enim ait? 18. *Primum quidem convenientibus vobis in ecclesia, audio scissuras esse inter vos.* Non dicit, Audio vos non in communi cœnare; audio enim vos seorsim comedere, & non cum pauperibus; sed quod magis poterat ipsorum animum commovere hoc posuit,

1. Cor. 1. 11.

id est, schismatis nomen, quod etiam hujusce rei causa erat: rursusque illud revocavit in memoriam, de quo in epistolæ principio dictum fuerat, & significatum ab iis qui erant Chloes. *Et ex parte credo.* Ne dicerent enim, Quid si mentiantur calumniatores? Neque dicit se credere, ne impudentiores illos reddat; neque rursum non credere, ne videatur frustra increpare. Sed partem quamdam credo, inquit, id est, ex modica parte credo, anxios illos reddens, & ad correctionis reditum vocans. 19. *Nam & oportet hæreses esse in vobis, ut qui probati sunt, manifesti fiant in vobis.*

2. Hæreses hic dicit, non hasce quæ de dogmatibus sunt, sed horum schismatum. Quod si dogmatum diceret, neque ita ansam daret. Nam Christus ait: Matt. 18. 7. Necesse est ut veniant scandala, non arbitrii libertatem labefactans, neque necessitatem quamdam & vim in vitam inferens; sed quod ex mala hominum mente omnino futurum erat prædicens, futurum nempe, non ob illius prædictionem, sed ex animo eorum, qui insanabili morbo laborabant. Neque enim quia prædixit, illa facta sunt; sed quia omnino futurum erat, ideo prædixit. Etenim si ex necessitate venirent scandala, & non ex animo eorum qui illa induxerunt, supervacanee dixisset: Væ homini illi, per quem scandalum venit. Sed hæc pluribus disseruimus in ipso loco: nunc autem ad propositum veniendum est. Quod de iis hæresibus dicat, quæ circa mensas versabantur, deque hac contentione & dissensione, ex sequentibus declaravit. Cum dixisset enim, Audio schismata esse inter vos, non hic constitit, sed ostendens quænam schismata essent, progressus dicit, *Unusquisque suam cœnam præsumit;* & rursum; *Numquid domos non habetis ad manducandum & bibendum? aut ecclesiam Dei contemnitis?* Sed quod de his dicat, perspicuum est. Si autem schismata illa vocet, ne mireris. Nam ut dixi, hac dictione illos incessere vult. Si vero dogmatum schismata essent, non ita mansuete cum illis loquutus esset. Audi igitur illum tale quidpiam dicentem, quam sit vehemens, & dum confirmat, & dum increpat; confirmans quidem, ut cum dicit: Gal. 1. 8. Etiamsi angelus vobis evangelizet præter id quod accepistis, anathema sit; increpans vero, ut cum ait: Gal. 5. 4. Qui in lege justificamini, a gratia excidistis. Et nunc quidem canes vocat eos qui corrumpunt, dicens, Philip. 3. 2. Videte canes: nunc autem cauterio inustam habentes conscientiam, & rursus angelos diaboli. At hic nihil tale dixit, sed mansuete ac remisse. Quid est autem, *Ut qui probati sunt, manifesti fiant in vobis?* Ut magis resplendeant. Hoc est autem quod vult dicere. Eos qui stabiles & firmi sunt non modo nihil horum lædit; sed etiam magis ostendit redditque clariores. Illud enim, *ut,* non semper cau-

A τοῦτο τέθεικε, τὸ τοῦ σχίσματος ὄνομα, ὃ καὶ τούτου ἦν αἴτιον, κἀκείνου πάλιν ἀνεμίμνησκε τοῦ ἐν ἀρχῇ τῆς ἐπιστολῆς εἰρημένου καὶ δηλωθέντος ὑπὸ τῶν Χλόης. Καὶ μέρος τι πιστεύω. ἵνα γὰρ μὴ λέγωσι, τί οὖν εἰ ψεύδονται οἱ διαβάλλοντες; οὔτε ὅτι πιστεύω εἶπεν, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ, οὐδ᾽ αὖ πάλιν ὅτι ἀπιστῶ, ἵνα μὴ δόξῃ μάτην ἐπιτιμᾷν, ἀλλὰ μέρος τι καὶ πιστεύω φησὶ, τουτέστιν, ἐκ μέρους μικροῦ πιστεύω· ἐναγωνίους ποιῶν, καὶ εἰς τὴν τῆς διορθώσεως καλῶν ἐπάνοδον. Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ B γένωνται ἐν ὑμῖν.

Αἱρέσεις ἐνταῦθα, οὐ ταύτας λέγων τὰς τῶν δογμάτων, ἀλλὰ τὰς τῶν σχισμάτων τούτων. Εἰ δὲ καὶ τὰς τῶν δογμάτων ἔλεγεν, οὐδὲ οὕτω λαβὴν ἐδίδου. Καὶ γὰρ ὁ Χριστός φησιν, ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, οὐ τὴν ἐλευθερίαν τῆς προαιρέσεως λυμαινόμενος, οὐδὲ ἀνάγκην τινὰ καὶ βίαν ἐφιστὰς τῷ βίῳ, ἀλλὰ τὸ πάντως ἐσόμενον ἐκ τῆς πονηρᾶς τῶν ἀνθρώπων γνώμης προλέγων, ὅπερ ἔμελλε γίνεσθαι, οὐ διὰ τὴν αὐτοῦ πρόρρησιν, ἀλλὰ διὰ τὴν τῶν ἀνιάτως ἐχόντων γνώμην. οὐ γὰρ ἐπειδὴ προεῖπε, ταῦτα ἐγίνετο, ἀλλ᾽ ἐπειδὴ πάντως C ἔμελλε γίνεσθαι, διὰ τοῦτο προεῖπεν. ἐπεὶ, εἰ ἀνάγκης ἦν τὰ σκάνδαλα, καὶ μὴ γνώμης τῶν εἰσαγόντων αὐτὰ, περιττῶς ἔλεγεν, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ τὰ σκάνδαλα ἔρχεται. ἀλλὰ ταῦτα μὲν εὐρύτερον ἐν αὐτῷ γενόμενοι τῷ χωρίῳ διελέχθημεν· νῦν δὲ ἐπὶ τὸ προκείμενον ἰέναι ἀνάγκη. ὅτι γὰρ περὶ τῶν αἱρέσεων τούτων εἶπε τῶν κατὰ τὰς τραπέζας, καὶ τῆς φιλονεικίας ταύτης καὶ διαστάσεως, καὶ ἐκ τῶν ἑξῆς δῆλον ἐποίησεν. εἰπὼν γὰρ, ὅτι ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δεικνὺς ποῖα λέγει σχίσματα, D προϊών φησιν· ὅτι ἕκαστος τὸ ἴδιον δεῖπνον προλαμβάνει· καὶ πάλιν, μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε; ἀλλ᾽ ὅτι μὲν περὶ τούτων εἶπε, δῆλον. εἰ δὲ σχίσματα αὐτὰ καλεῖ, μὴ θαυμάσῃς. ὅπερ γὰρ ἔφην, τῇ λέξει καθικέσθαι αὐτῶν βούλεται· εἰ δὲ δογμάτων ἦν τὰ σχίσματα, οὐκ ἂν οὕτως αὐτοῖς διελέχθη ἡμέρως. ἄκουσον γοῦν ὅταν τι τοιοῦτον λέγῃ, πῶς ἐστι σφοδρὸς καὶ ἀσφαλιζόμενος, καὶ ἐπιτιμῶν· ἀσφαλιζόμενος μὲν, ὡς ὅταν λέγῃ, κἂν ἄγγελος ὑμᾶς εὐαγγελίζηται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἐπιτιμῶν δὲ, ὡς ὅταν λέ- E γῃ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. καὶ νῦν μὲν κύνας καλεῖ τοὺς διαφθείροντας λέγων, βλέπετε τοὺς κύνας· νῦν δὲ κεκαυτηριασμένους τὴν συνείδησιν, καὶ ἀγγέλους διαβόλου πάλιν· ἀλλ᾽ οὐκ ἐνταῦθα τοιοῦτον οὐδὲν εἶπεν, ἀλλ᾽ ἡμέρως καὶ ὑφειμένως. τί δέ ἐστιν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν; ἵνα λάμψωσι μειζόνως. ὃ δὲ βούλεται εἰπεῖν τοῦτό ἐστιν, ὅτι τοὺς ἀπεριτρέπτους καὶ στεῤῥοὺς οὐ μόνον οὐδὲν τοῦτο παραβλάπτει, ἀλλὰ καὶ δείκνυσι μᾶλλον, καὶ λαμπροτέρους ἀποφαίνει. τὸ γὰρ, ἵνα, τοῦτο, οὐ πανταχοῦ

αἰτιολογίας ἐστὶν, ἀλλὰ πολλαχοῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. οὕτω καὶ ὁ Χριστὸς αὐτὸ τίθησιν, ὅταν λέγῃ, Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται· οὕτω καὶ αὐτὸς ὁ Παῦλος, ὅταν περὶ τοῦ νόμου διαλεγόμενος γράφῃ· νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. ἀλλ' οὔτε ὁ νόμος διὰ τοῦτο ἐδόθη, ἵνα αὐξηθῇ τὰ ἁμαρτήματα τῶν Ἰουδαίων· τοῦτο δὲ ἐξέβη· οὔτε ὁ Χριστὸς διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὸ ἐναντίον, συνέβη δὲ τοῦτο. οὕτως οὖν καὶ ἐνταῦθα νοητέον τὸ, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. οὐδὲ γὰρ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλὰ τῶν αἱρέσεων τούτων γενομένων τοῦτο συνέβη. ταῦτα δὲ εἶπε, τοὺς πένητας παραμυθούμενος τοὺς γενναίως φέροντας τὴν τοιαύτην ὑπεροψίαν. διὸ οὐδὲ εἶπεν, ἵνα δόκιμοι γένωνται· ἀλλ', ἵνα οἱ δόκιμοι ὄντες φανεροὶ γένωνται, δηλῶν ὅτι καὶ πρὸ τούτου τοιοῦτοι ἦσαν, ἀλλ' ἀνεμίγνυντο τοῖς πολλοῖς, καὶ παραμυθίας ἀπολαύοντες τῆς παρὰ τῶν πλουσίων, οὐ σφόδρα ἐφαίνοντο· νυνὶ δὲ ἡ στάσις αὕτη καὶ ἡ φιλονεικία δήλους αὐτοὺς ἐποίησεν, ὥσπερ τὸν κυβερνήτην ὁ χειμὼν δείκνυσι. καὶ οὐκ εἶπεν, ἵνα ὑμεῖς δόκιμοι φανῆτε, ἀλλ' ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, οἱ ἐν ὑμῖν τοιοῦτοι. οὔτε γὰρ κατηγορῶν δήλους ποιεῖ, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, οὔτε ἐγκωμιάζων, ὥστε μὴ χαυνοτέρους, ἀλλ' εἰς μετέωρον ἀφίησι τὸν λόγον, καὶ τοῦτον κἀκεῖνον ἑκάστου τῷ συνειδότι τὰ λεγόμενα ἁρμόζειν παρέχων. οὐ τοὺς πένητας δὲ ἐνταῦθά μοι δοκεῖ παραμυθεῖσθαι μόνον, ἀλλὰ καὶ τοὺς τὸ ἔθος μὴ διαφθείροντας. καὶ γὰρ εἰκὸς εἶναι ἐν αὐτοῖς καὶ τοὺς διατηροῦντας αὐτό. διὸ καὶ ἔλεγε, μέρος τι πιστεύω. εἰκότως τοίνυν τούτους δοκίμους φησὶ, τοὺς μὴ μόνον μετὰ τῶν ἄλλων διατηρήσαντας τὸ ἔθος, ἀλλὰ καὶ χωρὶς ἐκείνων ἀκίνητον τὸν καλὸν τοῦτον φυλάξαντας νόμον. ποιεῖ δὲ τοῦτο [a] καὶ ἑτέρους, καὶ τούτους διὰ τῶν τοιούτων ἐγκωμίων προθυμοτέρους ἐργάσασθαι σπεύδων. εἶτα λοιπὸν λέγει καὶ αὐτὸ τοῦ ἁμαρτήματος τὸ εἶδος. τί δὲ τοῦτό ἐστι; συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτὸ, φησὶν, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. ὁρᾷς πῶς ἐντρεπτικῶς, καὶ ἐν τάξει διηγήσεως ἤδη τὴν συμβουλὴν κατεσκεύασε; τὸ μὲν γὰρ σχῆμα τῆς συνόδου, φησὶν, ἄλλο. ἀγάπης γάρ ἐστι, καὶ φιλαδελφίας. εἷς γοῦν ὑμᾶς ἅπαντας δέχεται τόπος, καὶ ὁμοῦ συναγελάζεσθε· ἡ δὲ τράπεζα λοιπὸν οὐχ ὁμοία τῇ συνόδῳ. καὶ οὐκ εἶπε, συνερχομένων ὑμῶν οὐκ ἔστι κοινῇ φαγεῖν, οὐκ ἔστι μετ' ἀλλήλων ἑστιαθῆναι, ἀλλὰ πάλιν ἑτέρως καὶ πολλῷ φοβερώτερον αὐτῶν καθάπτεται, λέγων, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν, ἐκείνῃ παραπέμπων αὐτοὺς ἐντεῦθεν ἤδη τῇ ἑσπέρᾳ, καθ' ἣν τὰ φρικτὰ μυστήρια παρέδωκεν ὁ Χριστός. διὰ τοῦτο καὶ δεῖπνον τὸ ἄριστον ἐκάλεσε. καὶ γὰρ ἐκεῖνο τὸ δεῖπνον κοινῇ πάντας εἶχε κατακεκλιμένους· καίτοιγε οὐ τοσοῦτον τὸ μέσον τῶν πλουτούντων καὶ τῶν πενομένων, ὅσον τοῦ διδασκάλου καὶ τῶν μαθητῶν. ἄπειρον γὰρ ἐκεῖνο.

A sam indicat, sed etiam sæpe rerum eventum. Ita & Christus id adhibet cum dicit: *In judicium ego veni in hunc mundum, ut non videntes videant, & videntes cæci fiant.* (Joan. 9. 39.) Sic & ipse Paulus, cum de lege disserens scribit: Lex subintravit, ut abundaret delictum. Sed neque lex ideo data est, ut peccata Judæorum augerentur; illud autem evenit: neque Christus ideo venit, ut videntes cæci fierent; sed propter contrariam rem: at illud ita contigit. Sic igitur & hoc loco intelligendum illud, Ut qui probati sunt, B manifesti fiant. Neque enim ideo factæ sunt hæreses, ut qui probati essent manifesti fierent. Sed advenientibus his hæresibus, hoc accidit. Hæc porro dicit, pauperes consolans qui talem contemptum fortiter ferrent. Ideo non dixit, ut probati fierent, sed, ut qui probati essent, manifesti fierent: declarans illos etiam antea tales fuisse, sed commixtos cum plurimis, & consolationem accipientes a divitibus, non admodum conspicui erant: nunc autem hæc dissensio & contentio manifestos illos fecit; quemadmodum C gubernatorem tempestas ostendit. Neque dixit, ut vos probati appareatis; sed, ut qui probati sunt manifesti fiant, qui nempe in vobis tales sunt. Neque enim accusans manifestos reddit, ut ne ipsos impudentiores faciat, neque laudans, ne reddat segniores; sed suspensam profert orationem, & hunc & illum singulorum conscientiæ adaptandum præbens. Non modo autem mihi hic pauperes videtur consolari; sed etiam eos qui mores non corruperant. Nam verisimile erat in illis esse qui ipsos servarent illæsos. Ideoque dixit, *partem aliquam credo.* Jure igitur D hos probatos dicit, qui non modo cum aliis morem servaverant, sed etiam absque illis immobilem hanc pulcram servabant legem. Hoc autem facit ut hos & alios his laudibus alacriores reddat. Deinde dicit quod genus peccati sit illud. Quid autem hoc est? 20. *Convenientibus*, inquit, *vobis in unum, jam non est Dominicam cœnam manducare.* Vides quomodo pudorem incutiens, narrantis more, jam consilium instruxit? Conventus enim modus, inquit, est alius. Est enim caritatis & fraternæ dilectionis. Unus certe vos omnes excipit locus, & simul congregamini. Mensa vero jam non similis est con- E ventui. Nec dixit, convenientibus vobis non in communi manducatis: sed alio modo & multo terribilius illos perstringit, dicens: Non est Dominicam cœnam manducare, illos ad ipsam transmittens vesperam, qua tremenda mysteria tradidit Christus. Ideoque prandium illud vocavit cœnam. Etenim illud prandium omnes communiter habuit recumbentes. Atqui non tantum interest spatii inter divites & pauperes, quantum inter doctorem & discipulos: immensum quippe il-

a Sic Reg. Editi vero, καὶ δι' ἑτέρους.

lud est. Et quid dico inter doctorem & A discipulos? cogita intervallum quod est inter doctorem & proditorem. Attamen & ipse cum illis recumbebat, neque illum ejecit, sed & salis consortem fecit, & mysteriorum participem.

3. Deinde interpretatur quomodo non est Dominicam cœnam manducare. 21. *Unusquisque enim suam cœnam præsumit*, inquit, *ad manducandum: & alius quidem esurit, alius vero ebrius est.* Viden' quomodo illos ostendit sese magis dedecore B afficientes? nam quod Dominicum erat, proprium sibi faciunt; ita ut illi priores sint qui dedecore afficiuntur, qui mensæ suæ eam quæ maxima erat dignitatem auferunt. Quomodo & qua ratione? Quia Dominica cœna, id est, quod Domini est, commune debet esse. Quæ enim Domini sunt, non hujus quidem famuli sunt, illius vero non item; sed in communi omnium. Dominicum ergo hoc dicit quod commune est. Nam si Domini tui est, ut revera est, non debes quædam ut propria avellere, sed quæ Domini sunt, C communiter omnibus apponere. Hoc est enim Dominicum. Nunc autem non sinis illud esse Dominicum, cum non sinis esse commune, sed seorsim epularis. Quapropter subjungit dicens: Unusquisque enim suam cœnam præsumit. Nec dixit, abscindit, sed præsumit, sensim illos edacitatis & petulantiæ accusans. Hoc declarat quod sequitur. Cum hoc enim dixisset rursum subjunxit: & alius quidem esurit, alius autem ebrius est, quæ utraque non servatæ mensuræ erant, indigentia nempe & excessus. Ecce secunda accusatio illos ipsos impetens. Prima quod suam D cœnam dedecore afficiant. Secunda quod ventrem impleant & inebrientur; & quod gravius est, esurientibus pauperibus: quæ enim omnibus in communi apponenda erant, iis ipsi soli ingurgitati, & in insatiabilitatem & in ebrietatem deferebant. Ideo non dixit, Alius quidem esurit, alius satiatur; sed etiam ebrius est. Horum autem utrumque per se dignum est reprehensione. Nam inebriari, etiam absque eo quod despiciantur pauperes, culpa est; pauperes despicere, absque ebrietate, est criminatione dignum. Cum au- E tem hæc simul conjuncta sunt, cogita quantus sit iniquitatis excessus. Deinde postquam absurditatem ostendit cum magna deinceps indignatione increpationem adjicit dicens: 22. *Numquid domos non habetis ad manducandum & bibendum? aut ecclesiam Dei contemnitis & confunditis eos qui non habent?* Viden' quomodo a pauperum contumelia criminationem traducat ad ecclesiam, ut graviorem redderet orationem? Ecce igitur quartam accusationem; cum non pauperes modo, sed etiam ecclesia contumelia afficitur. Sicut enim Dominicam cœnam propriam tibi facis, sic & locum etiam, ecclesia utens ut domo tua. Ecclesia enim facta

A καὶ τί λέγω τοῦ διδασκάλου καὶ τῶν μαθητῶν; ἐννόησον τὸ μέσον τοῦ διδασκάλου, καὶ τοῦ προδότου· ἀλλ' ὅμως καὶ αὐτὸς μετ' αὐτῶν κατεκλίνετο, καὶ οὐδὲ τοῦτον ἐξέβαλεν, ἀλλὰ καὶ ἁλῶν αὐτῷ μετέδωκε, καὶ τῶν μυστηρίων κοινωνὸν ἐποίησεν.

Εἶτα ἑρμηνεύει πῶς οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει, φησὶν, ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. εἶδες πῶς B ἔδειξεν αὐτοὺς καταισχύνοντας ἑαυτοὺς μᾶλλον; τὸ γὰρ κυριακὸν, ἰδιωτικὸν ποιοῦσιν, ὥστε αὐτοὶ πρῶτοί εἰσιν οἱ καθυβριζόμενοι, οἱ τῆς αὐτῶν τραπέζης τὸ μέγιστον ἀφαιροῦντες ἀξίωμα. πῶς καὶ τίνι τρόπῳ; ὅτι τὸ κυριακὸν δεῖπνον, τουτέστι, τὸ δεσποτικὸν, ὀφείλει κοινὸν εἶναι. τὰ γὰρ τοῦ δεσπότου, οὐχὶ τοῦδε μέν ἐστι τοῦ οἰκέτου, τοῦδε δὲ οὐκ ἔστιν, ἀλλὰ κοινῇ πάντων. τὸ οὖν κυριακὸν τοῦτό φησι τὸ κοινόν. εἰ γὰρ τοῦ δεσπότου σου ἐστὶν, ὥσπερ οὖν καὶ ἔστιν, οὐκ ὀφείλεις ὡς ἴδια ἀποσπᾷν, ἀλλ' ὡς τοῦ κυρίου καὶ τοῦ δεσπότου ὄντα, κοινῇ πᾶσι C προτιθέναι. τοῦτο γάρ ἐστι κυριακόν. νῦν δὲ οὐκ ἀφίης αὐτὸ εἶναι κυριακὸν, μὴ ἀφεὶς εἶναι κοινὸν, ἀλλὰ καθ' ἑαυτὸν ἑστιώμενος. διὸ καὶ ἐπάγει λέγων, ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει. καὶ οὐκ εἶπεν, ἀποσχίζει, ἀλλὰ, προλαμβάνει, ἠρέμα καὶ εἰς λαιμαργίαν αὐτοὺς καὶ εἰς προπέτειαν διαβάλλων. τοῦτο γοῦν καὶ τὸ ἑξῆς δηλοῖ. εἰπὼν γὰρ τοῦτο, ἐπήγαγε πάλιν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει, ἅπερ ἑκάτερα ἀμετρίας ἦν, καὶ ἡ ἔνδεια, καὶ ἡ ὑπερβολή. ἰδοὺ καὶ δεύτερον ἔγκλημα πάλιν αὐτοὺς ἐκείνους καταβλάπτον· πρῶτον D μὲν, ὅτι τὸ δεῖπνον αὐτῶν ἀτιμάζουσι· δεύτερον δὲ, ὅτι γαστρίζονται καὶ μεθύουσι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ τῶν πενήτων πεινώντων. ἃ γὰρ ἔμελλε κοινῇ πᾶσι προκεῖσθαι, ταῦτα οὗτοι μόνοι σιτούμενοι, καὶ εἰς ἀπληστίαν καὶ εἰς μέθην ἐξέβαινον. διὸ οὐδὲ εἶπεν, ὃς μὲν πεινᾷ, ὃς δὲ κορέννυται, ἀλλὰ, μεθύει. τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ μὲν κατηγορίας ἄξιον. καὶ γὰρ τὸ μεθύειν χωρὶς τοῦ παρορᾷν πένητας, ἔγκλημα, καὶ τὸ παρορᾷν πένητας χωρὶς τοῦ μεθύειν, κατηγορία. ὅταν δὲ καὶ ὁμοῦ E συνημμένα ᾖ, ἐννόησον ὅση ἡ ὑπερβολὴ τῆς παρανομίας. εἶτα δείξας τὴν ἀτοπίαν, μετὰ πολλοῦ λοιπὸν τοῦ θυμοῦ τὴν ἐπίπληξιν ἐπάγει, λέγων· μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; ὁρᾷς πῶς ἀπὸ τῆς τῶν πενήτων ὕβρεως ἐπὶ τὴν ἐκκλησίαν μετήγαγε τὸ ἔγκλημα, ἵνα φορτικώτερον ποιήσῃ τὸν λόγον; ἰδοὺ τοίνυν καὶ τετάρτη κατηγορία, ὅταν μὴ πένητες μόνον, ἀλλὰ καὶ ἡ ἐκκλησία ὑβρίζηται. ὥσπερ γὰρ τὸ κυριακὸν δεῖπνον ἰδιωτικὸν ποιεῖς, οὕτω καὶ τὸν τόπον πάλιν, ὡς οἰκίᾳ τῇ ἐκκλησίᾳ κεχρημένος. ἐκκλησία γὰρ γέγονεν,

οὐχ ἵνα διῃρημένοι ὦμεν οἱ συνελθόντες, ἀλλ' ἵνα οἱ διῃρημένοι συνημμένοι· καὶ τοῦτο ἡ σύνοδος δείκνυσι. καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας. οὐκ εἶπε, καὶ λιμοκτονεῖτε τοὺς μὴ ἔχοντας, ἀλλὰ πολὺ ἐντρεπτικώτερον, καταισχύνετε, ἵνα δείξῃ ὅτι οὐ τροφῆς αὐτῷ τοσοῦτον μέλει, ὅσον τῆς ὕβρεως τῆς εἰς αὐτοὺς γινομένης. ἰδοὺ καὶ πέμπτη κατηγορία, τὸ μὴ μόνον πεινῶντας περιορᾷν, ἀλλὰ καὶ καταισχύνειν αὐτούς. τοῦτο δὲ ἔλεγεν, ὁμοῦ μὲν σεμνοποιῶν τὰ κατὰ τοὺς πένητας, καὶ δεικνὺς ὅτι οὐχ οὕτως ὑπὲρ τῆς γαστρὸς, ὡς ὑπὲρ τῆς αἰσχύνης ἀλγοῦσιν, ὁμοῦ δὲ καὶ εἰς ἔλεον ἐπισπώμενος τὸν ἀκροατήν. τοσαῦτα τοίνυν δείξας τὰ ἄτοπα, ὕβριν εἰς τὸ δεῖπνον, ὕβριν εἰς τὴν ἐκκλησίαν, τὴν εἰς τοὺς πένητας γινομένην ὑπεροψίαν, χαλᾷ πάλιν τῆς ἐπιτιμήσεως τὸν τόνον ἀθρόον, λέγων· ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. ὃ καὶ μάλιστα ἄν τις αὐτοῦ θαυμάσειεν, ὅτι ἐπιπλῆξαι δέον σφοδρότερον μετὰ τὴν ἀπόδειξιν τῶν τοσούτων ἁμαρτημάτων καὶ καθάψασθαι, ὁ δὲ τοὐναντίον ποιεῖ μᾶλλον, ἀνίησι καὶ ἀναπνεῦσαι δίδωσι. τί ποτ' οὖν ἐστι τὸ αἴτιον; φορτικώτερον αὐτῶν καθήψατο τὴν κατηγορίαν αὐξήσας, καὶ ἰατρὸς ὢν ἄριστος καταλλήλως τοῖς τραύμασι τὴν τομὴν ἐπάγει, οὔτε τὰ βαθείας δεόμενα πληγῆς ἐξ ἐπιπολῆς τέμνων, ἤκουσας γὰρ αὐτοῦ πῶς τὸν πεπορνευκότα παρ' αὐτοῖς τούτοις ἀπέκοψεν, οὔτε τὰ προσηνεστέρων χρῄζοντα τῶν φαρμάκων σιδήρῳ παραδιδούς. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα πρᾳότερον τῷ λόγῳ κέχρηται, καὶ ἄλλως δὲ ἡμέρους αὐτοὺς μάλιστα ἐσπούδακε κατασκευάσαι τοῖς πένησι· διὸ καὶ ὑφειμένως διαλέγεται μᾶλλον αὐτοῖς. εἶτα θέλων αὐτοὺς καὶ ἑτέρωθεν ἐντρέψαι μειζόνως, ἀπὸ τῶν κυριωτέρων τὸν λόγον ὑφαίνει πάλιν. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, φησὶν, ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε, λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. τίνος ἕνεκεν ἐνταῦθα τῶν μυστηρίων μέμνηται; ὅτι σφόδρα ἀναγκαῖος εἰς τὴν παροῦσαν ὑπόθεσιν ὁ λόγος ἦν ὁ περὶ αὐτῶν. καὶ γὰρ ὁ δεσπότης σου, φησὶ, τῆς αὐτῆς ἅπαντας ἠξίωσε τραπέζης, καίτοι σφόδρα φρικωδεστάτης οὔσης, καὶ πολὺ τὴν ἁπάντων ὑπερβαινούσης ἀξίαν· σὺ δὲ αὐτοὺς καὶ τῆς σῆς ἀναξίους εἶναι ἡγῇ, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς, καὶ ἐν τοῖς πνευματικοῖς οὐδὲν αὐτῶν σου πλεονεκτούντων, ἀφαρπάζεις αὐτοὺς ἐν τοῖς αἰσθητοῖς. οὐδὲ γὰρ ταῦτα σά. ἀλλ' οὕτω μὲν οὐ λέγει, ὥστε μὴ γενέσθαι τραχὺν τὸν λόγον· ἡμερώτερον δὲ αὐτὸν κατασκευάζει λέγων· ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον. καὶ τίνος ἕνεκεν τοῦ καιροῦ ἡμᾶς ἀναμιμνήσκει, καὶ τῆς ἑσπέρας ἐκείνης, καὶ τῆς προδοσίας; οὐχ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τινὸς, ἀλλ' ἵνα μεθ' ὑπερβολῆς κατανύξῃ καὶ ἀπὸ τοῦ καιροῦ. κἂν γὰρ αὐτόλιθος ᾖ τις, ἐννοήσας ἐκείνην τὴν νύκτα, πῶς ἦν μετὰ τῶν μαθητῶν ἀδημονῶν, πῶς παρεδόθη,

A est, non ut convenientes divisi simus; sed ut qui divisi sunt conjungantur: & hoc significat conventus. Et confunditis eos qui non habent. Non dixit, Et fame necatis eos qui non habent, sed majorem incutiens pudorem, confunditis, sive pudore afficitis. Ut ostendat se non alimentum tantum curare, quantum contumeliam ipsis inflictam. Ecce quintam accusationem, quod non tantum esurientes despiciant; sed etiam illos pudore afficiant. Hoc autem dicebat, simul & ea quæ pauperes spectabant honorans, & ostendens illos non tantum de ventre,
B quantum de contumelia dolere, simul autem auditorem attrahens ad misericordiam. Cum ergo hæc absurda ostendisset, contumeliam in cœnam, contumeliam in ecclesiam, contemtumque pauperum, lenit rursus increpationis vehementiam, dicens: *Laudabo vos? in hoc non laudo.* Quod certe quis maxime miretur, quod cum vehementius increpare oporteret, postquam tot peccata recensuit & perstrinxit, hic contra lenius agat, & det respirandi locum. Quanam de causa? Gravius ipsos perstrinxerat amplificata accusatione, & cum optimus sit medicus,
C congruentem vulneribus fecit incisionem, neque ea quæ profunda plaga opus habebant in superficie secans; audisti enim quomodo fornicatorem qui apud illos erat absciderit; neque ea quæ lenioribus egebant medicamentis, ferro tradens. Ideo & hoc loco mansuetiore utitur sermone. Alioquin autem mitiores illos erga pauperes reddere conabatur, & ideo cum illis lenius loquitur. Deinde cum vellet illos alio modo majori pudore suffundere, a rebus præcipuis sermonem texit: 23. *Ego enim accepi a Domino,* inquit, *quod & tradidi vobis, quoniam*
D *Dominus Jesus, in qua nocte tradebatur, accepit panem,* 24. *& gratias agens fregit & dixit, accipite, manducate: hoc est corpus meum, quod pro vobis frangitur. Hoc facite in meam commemorationem.* Cur hic mysteriorum meminit? Quia valde necessarium erat ad præsens argumentum tali uti sermone. Nam Dominus tuus, inquit, eadem omnes mensa dignatus est; etsi illa admodum tremenda erat, omniumque dignitatem valde superabat. Tu vero illos tua indignos esse putas, illa inquam parva & vili: & cum in spiritualibus nihil plus habeant quam tu, in sen-
E sibilibus illos spolias. Neque enim hæc tua sunt. Sed non hoc quidem dicit, ne asperior esset sermo, illum vero mansuetiorem efficit dicens: *Quoniam Dominus Jesus, in qua nocte tradebatur, accepit panem.* Et qua de causa tempus nobis commemorat, & vesperam illam & proditionem? Non sine causa & ratione: sed ut supra modum compungeret etiam a tempore. Etiamsi enim lapis sit aliquis, si cogitet illam noctem, quomodo cum discipulis erat tristis, quomodo traditus est, quo-

modo ligatus & abductus, quomodo judicatus est, & quo pacto cætera omnia sequentia pertulit, cera mollior efficitur, a terra abstrahitur, & ab omni hujus sæculi fastu. Ideo omnia illa nobis in memoriam revocat, per tempus, & mensam & proditionem pudore suffundens & dicens: Dominus tuus seipsum pro te tradidit.

4. Tu vero fratri neque cibum das pro teipso. Quomodo autem dicit se accepisse a Domino? Neque enim tunc aderat, sed ex numero persequentium erat. Ut discas nihil plus habere illam mensam, quam illa quæ postea fuit. Nam & hodie ille est qui omnia efficit & tradit; ut & tunc. Non ideo tantum illam noctem commemorat; sed & ut alio modo nos compungat. Ut enim illorum maxime verborum recordamur, quæ ultima audimus a decedentibus; & heredibus eorum, si audeant illorum præcepta transgredi, ut pudore afficiamus, dicimus; cogitate patrem vestrum hanc ultimam emisisse vocem, & usque ad diem qua exspiraturus erat, hæc mandavisse. Sic & Paulus inde volens dictum illud tremendum reddere: Recordamini, inquit, quod hanc ultimam vobis dederit mysterii institutionem, & in ipsa nocte, qua pro vobis occidendus erat, hæc præceperit, & tradens nobis illam cœnam, post illam non aliud adjecerit. Deinde illa quæ tunc facta fuere narrat. *Accepit panem, & cum gratias egisset fregit & dixit: Accipite, manducate, hoc est corpus meum quod pro vobis frangitur.* Si ergo propter Eucharistiam accedis, tu nihil Eucharistiæ indignum facito, neque pudore afficias fratrem, nec esurientem despicias, ne inebrieris, ne ecclesiam contumelia afficias. Accedis gratias agens pro iis quæ accepisti: ergo & tu vicem repende, neque te abscindas a proximo. Etenim Christus omnibus æqualiter dedit dicens, accipite, comedite. Ille corpus æqualiter dedit; tu vero ne communem quidem panem æqualiter das? Nam pro omnibus similiter fractum est, & ex æquo fuit corpus pro omnibus. 25. *Similiter & calicem postquam cœnavit dicens: Hic calix novum testamentum est in meo sanguine. Hoc facite, quotiescumque biberitis, in meam commemorationem.* Quid dicis? Commemorationem Christi facis, & pauperes despicis, nec exhorrescis? Sed si filii aut fratris mortui commemorationem faceres, a conscientia pungereris, si non morem sequutus esses, & pauperes vocavisses: cum autem Domini tui commemorationem facis, neque mensæ saltem consortium das. Quid vero sibi vult illud: *Hic calix novum testamentum est?* Veteris enim testamenti calix erant libamina, & sanguis brutorum. Postquam enim sacrificaverant, in calice & phiala sanguinem excipientes, sic libabant. Quia igitur pro sanguine bruto-

A πῶς ἐδέθη, πῶς ἀπήχθη, πῶς ἐδικάσθη, πῶς δὲ τὰ ἑξῆς ἔπαθεν ἅπαντα, κηροῦ γίνεται ἁπαλώτερος, καὶ τῆς γῆς ἀπαλλάττεται καὶ τῆς ἐνταῦθα φαντασίας ἁπάσης. διὰ τοῦτο πάντων ἐκείνων εἰς μνήμην ἡμᾶς ἄγει, διὰ τοῦ καιροῦ καὶ τῆς τραπέζης καὶ τῆς προδοσίας ἐντρέπων, καὶ λέγων· ὅτι ὁ μὲν δεσπότης σου καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ σοῦ·

Σὺ δὲ τῷ ἀδελφῷ οὐδὲ σιτίων μεταδίδως ὑπὲρ σαυτοῦ; πῶς δέ φησι παρὰ τοῦ κυρίου παρειληφέναι; οὐδὲ γὰρ παρῆν τότε, ἀλλὰ τῶν διωκόντων ἦν. ἵνα μάθῃς ὅτι οὐδὲν πλέον ἔχει ἐκείνη ἡ τράπεζα τῆς μετὰ ταῦτα. B καὶ γὰρ καὶ σήμερον αὐτός ἐστιν ὁ πάντα ἐργαζόμενος καὶ παραδιδοὺς, ὥσπερ καὶ τότε. οὐ διὰ τοῦτο δὲ μόνον τῆς νυκτὸς ἀναμιμνήσκει ἐκείνης, ἀλλ᾽ ἵνα καὶ ἑτέρως ἡμᾶς κατανύξῃ. ὥσπερ γὰρ ἐκείνων μάλιστα μεμνήμεθα τῶν ῥημάτων, ὧν ἂν τελευταῖον παρὰ τῶν ἀπιόντων ἀκούσωμεν, καὶ πρὸς τοὺς κληρονόμους τοὺς ἐκείνων, εἰ τολμήσαιεν αὐτῶν παραβῆναι τὰς ἐντολὰς, ἐντρέποντες αὐτοὺς λέγομεν, ἐννοήσατε ὅτι ταύτην ὑστέραν ἀφῆκε πρὸς ὑμᾶς τὴν φωνὴν ὁ πατὴρ, καὶ μέχρι τῆς ἑσπέρας ἧς ἔμελλλεν ἐκπνεῖν ταῦτα ἐπέσκηπτεν· οὕτω καὶ ὁ Παῦλος καὶ ἐντεῦθεν φρικτὸν ποιῆσαι τὸν λόγον C βουλόμενος, ἀναμνήσθητε, φησὶν, ὅτι ταύτην ἐσχάτην ὑμῖν δέδωκε τὴν μυσταγωγίαν, καὶ ἐν αὐτῇ τῇ νυκτὶ, ᾗ καὶ σφάττεσθαι ὑπὲρ ἡμῶν ἔμελλε, ταῦτα ἐνετέλλετο, καὶ παραδιδοὺς ἡμῖν τὸ δεῖπνον ἐκεῖνο, μετ᾽ ἐκεῖνο οὐκέτι προσέθηκεν ἕτερον. Εἶτα καὶ αὐτὰ λοιπὸν διηγεῖται τὰ γενόμενα λέγων· ὅτι ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον. Εἰ τοίνυν ἐπ᾽ εὐχαριστίᾳ προσέρχῃ, καὶ σὺ μηδὲν ἀνάξιον ποίει τῆς εὐχαριστίας, μηδὲ καταίσχυνε τὸν ἀδελφὸν, μηδὲ περιόρα πεινῶντα, D μὴ μέθυε, μὴ ὕβριζε τὴν ἐκκλησίαν. προσέρχῃ γὰρ εὐχαριστῶν ὑπὲρ ὧν ἀπήλαυσας. οὐκοῦν καὶ αὐτὸς ἀμοιβὴν ἀποδίδου, καὶ μὴ ἀποσχίζε σεαυτὸν τοῦ πλησίον. καὶ γὰρ ὁ Χριστὸς πᾶσιν ἐξ ἴσης ἔδωκε λέγων, λάβετε, φάγετε. ἐκεῖνος τὸ σῶμα ἐξ ἴσης ἔδωκε, σὺ δὲ οὐδὲ τὸν κοινὸν ἄρτον δίδως ἐξ ἴσης; καὶ γὰρ ὑπὲρ ἁπάντων ὁμοίως ἐκλάσθη, καὶ σῶμα γέγονεν ὑπὲρ ἁπάντων ἐξ ἴσης. ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. E τί λέγεις; ἀνάμνησιν τοῦ Χριστοῦ ποιεῖς, καὶ πένητας παρορᾷς, καὶ οὐ φρίττεις; ἀλλ᾽ εἰ μὲν υἱοῦ ἢ ἀδελφοῦ τετελευτηκότος ἀνάμνησιν ἐποίεις, ἐπλήγης ἂν ὑπὸ τοῦ συνειδότος, εἰ μὴ τὸ ἔθος ἐπλήρωσας, καὶ πένητας ἐκάλεσας· τὴν δὲ τοῦ δεσπότου σου ποιῶν ἀνάμνησιν, οὐδὲ τραπέζης ἁπλῶς μεταδίδως; τί δέ ἐστιν ὅ φησιν, ὅτι τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστίν; ἦν γὰρ καὶ τῆς παλαιᾶς διαθήκης ποτήριον, αἱ σπονδαὶ καὶ τὸ αἷμα τῶν ἀλόγων. καὶ γὰρ μετὰ τὸ θῦσαι, ποτηρίῳ καὶ φιάλῃ τὸ αἷμα δεχόμενοι οὕτως ἔσπενδον. ἐπεὶ οὖν ἀντὶ αἵματος ἀλόγων,

αἷμα εἰσήγαγε τὸ αὐτοῦ, ἵνα μή τις θορυβηθῇ τοῦτο ἀκούων, ἀνέμνησε τῆς παλαιᾶς θυσίας ἐκείνης. εἶτα εἰπὼν περὶ τοῦ δείπνου ἐκείνου, συνάπτει τὰ παρόντα τοῖς τότε, ἵνα, ὡς ἐν αὐτῇ ἐκείνῃ τῇ ἑσπέρᾳ, καὶ ἐπ' αὐτῆς κείμενοι τῆς στιβάδος, καὶ παρ' αὐτοῦ τοῦ Χριστοῦ λαμβάνοντες τὴν θυσίαν ταύτην, οὕτω καὶ νῦν διακέωνται, καί φησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνετε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. ὥσπερ γὰρ ὁ Χριστὸς ἐπὶ τοῦ ἄρτου καὶ ἐπὶ τοῦ ποτηρίου, εἰς τὴν ἐμὴν ἀνάμνησιν ποιεῖτε τοῦτο, ἔφη, τὴν αἰτίαν ἐκκαλύπτων ἡμῖν τῆς τοῦ μυστηρίου δόσεως, καὶ μετὰ τῶν ἄλλων καὶ ταύτην εἶναι λέγων ἀρκοῦσαν ἡμῖν εἰς εὐλαβείας ὑπόθεσιν· ὅταν γὰρ ἐννοήσῃς τί πέπονθεν ὁ δεσπότης σου διὰ σέ, φιλοσοφώτερος ἔσῃ· οὕτω καὶ ὁ Παῦλος ἐνταῦθά φησιν· ὁσάκις ἂν ἐσθίητε, τὸν θάνατον αὐτοῦ καταγγέλλετε. καὶ τοῦτο ἐκεῖνο τὸ δεῖπνόν ἐστιν. εἶτα δεικνὺς, ὅτι ἕως τῆς συντελείας αὐτὸ μένει, φησίν· ἕως ἂν ἔλθῃ. ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. τί δή ποτε; ὅτι ἐξέχεεν αὐτὸ, καὶ σφαγὴν τὸ πρᾶγμα ἀπέφηνεν, οὐκέτι θυσίαν. ὥσπερ οὖν καὶ τότε οἱ κεντήσαντες οὐχ ἵνα πίωσιν ἐκέντησαν, ἀλλ' ἵνα ἐκχέωσιν· οὕτω καὶ ὁ ἀναξίως μετιὼν, καὶ μηδὲν ἐντεῦθεν καρπούμενος. εἶδες πῶς φοβερὸν τὸν λόγον ἐποίησε, καὶ μεθ' ὑπερβολῆς αὐτῶν καθήψατο πάσης, δεικνὺς ὅτι εἰ οὕτω μέλλοιεν πίνειν, ἀναξίως μετέχουσι τῶν προκειμένων. πῶς γὰρ οὐκ ἀναξίως, ὁ περιορῶν πεινῶντα; ὁ καταισχύνων πρὸς τῷ περιϊδεῖν; εἰ γὰρ τὸ μὴ δοῦναι πένησιν ἐκβάλλει τῆς βασιλείας, κἂν παρθένος ᾖ τις, μᾶλλον δὲ τὸ μὴ δαψιλῶς δοῦναι· καὶ γὰρ καὶ ἐκεῖναι ἔλαιον εἶχον, ἀλλὰ δαψιλὲς οὐκ εἶχον· τὸ καὶ τοσαῦτα ἄτοπα ἐργάσασθαι, ἐννόησον ἡλίκον ἔσται κακόν.

Ποῖα ἄτοπα, φησι; τί λέγεις, ποῖα ἄτοπα; τραπέζης μετέσχες τοιαύτης, καὶ πάντων ὀφείλων ἡμερώτερος εἶναι καὶ τῶν ἀγγέλων ἴσος, πάντων ὠμότερος γέγονας· αἵματος ἐγεύσω δεσποτικοῦ, καὶ τὸν ἀδελφὸν οὐδὲ οὕτως ἐπιγινώσκεις, καὶ ποίας ἄξιος εἶ συγγνώμης; καίτοι εἰ καὶ πρὸ τούτου ἠγνόεις, ἀπὸ τῆς τραπέζης αὐτὸν ἐπιγνῶναι ἐχρῆν· νῦν δὲ καὶ αὐτὴν ἀτιμάζεις τὴν τράπεζαν, τὸν ἐκείνης καταξιωθέντα μέτοχον εἶναι, τῶν σῶν οὐχ ἡγούμενος ἄξιον εἶναι σιτίων. οὐκ ἤκουσας πόσα ἔπαθεν ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν; πῶς δωρεὰν ἐξενεχθεῖσαν ἄκυρον ἐποίησεν; οὐκ ἐννοεῖς τίς ὢν τίς γέγονας; οὐκ ἀναμιμνήσκεις σαυτὸν, ὅτι τούτου τοῦ πένητος ἐν χρήμασι πολὺ πτωχότερος ἦς ἐν κατορθώμασι, μυρίων γέμων ἁμαρτημάτων; ἀλλ' ὅμως πάντων σε ἐκείνων ἀπήλλαξεν ὁ θεὸς, καὶ τραπέζης ἠξίωσε τοιαύτης· σὺ δὲ οὐδὲ οὕτω φιλανθρωπότερος γίνῃ· οὐκοῦν οὐδὲν ἕτερον λείπεται, ἢ καὶ τό σε παραδοθῆναι τοῖς βασανισταῖς. τούτων καὶ ἡμεῖς

A rum, sanguinem suum induxit, ne quis turbaretur hoc audiens, in memoriam revocavit vetus illud sacrificium. Deinde de cœna illa loquutus, præsentia iis quæ tunc erant conjungit: ut quasi in illa vespera, in eodemque strato recumbentes, & ab ipso Christo hoc sacrificium accipientes, ita & nunc afficiantur; & ait: 26. *Quotiescumque enim manducabitis panem hunc, & calicem bibetis, mortem Domini annunciabitis, donec veniat.* Sicut enim in pane & in calice dixit Christus: Hoc facite in meam commemorationem, causam nobis aperiens dati mysterii, B & cum aliis hoc etiam dicens, ipsam nobis satis esse ad pietatis argumentum: cum enim cogitaveris quid Dominus tuus sit perpessus propter te, magis philosophus eris: sic & Paulus hic ait, Quotiescumque manducabitis, mortem ejus annunciabitis. Et hæc est illa cœna. Deinde cum ostendisset, quod usque ad consummationem illa maneat, ait, Donec veniat. 27. *Itaque quicumque manducaverit panem hunc vel biberit calicem Domini indigne, reus erit corporis & sanguinis Domini.* Quare? Quia effudit il- C lum, & ea res mactationem exhibuit, non jam sacrificium. Ut ergo tunc qui transfixerunt, non ut biberent transfixerunt, sed ut effunderent; ita etiam qui indigne participat, & nihil hinc fructûs percipit. Viden' quam terribilem sermonem fecerit, & quam valide illos perstrinxerit, ostendens quod si sic bibituri sint, indigne sint propositorum participes? Quomodo enim non indigne qui despicit esurientem, qui despiciendo pudore suffundit? Nam si non dare pauperibus ejicit ex regno cælorum; etiam si qua sit D virgo; imo etiam si non largiter detur; nam illæ virgines oleum habebant, sed non largiter habebant; tam multa absurda fecisse, cogita quantum erit malum?

5. Quæ absurda, inquit? Quid dicis, qualia absurda? Talis mensæ particeps fuisti, & cum omnium mitissimus esse debuisses, & par angelis, omnium crudelissimus effectus es. Gustasti sanguinem Dominicum, & neque fratrem ita agnoscis, ecqua dignus venia fueris? Quamqum etsi antea ignorabas, a mensa illum agnoscere oportuit. Nunc autem ipsam etiam men- E sam dedecoras, dum illum qui dignatus est illius particeps fieri, ne cibis quidem tuis dignum existimas. Non audisti quanta passus est ille qui centum denarios exigebat? Quomodo sibi collatum donum irritum fecerit? Non cogitas quis cum esses, quis effectus fueris? Non recordaris te hoc in pecuniis paupere, longe fuisse pauperiorem in bonis operibus, cum mille peccatis plenus esses? Attamen ab his omnibus te liberavit Deus, teque tali mensa dignatus est: tu vero ne sic quidem benignior effectus es. Itaque nihil aliud restat quam ut tradaris tortoribus. Hæc verba nos quoque omnes au-

diamus, quotquot cum pauperibus ad sacram hanc mensam accedimus. Hinc autem egressi, ne illos quidem respexisse videmur; sed & ebrii sumus & esurientes prætercurrimus; qua de re tunc Corinthii accusabantur. Et quandonam, inquies, hoc fit? Semper quidem, præcipue vero in diebus festis, cum maxime fieri non oporteret. Tunc enim post communionem, statim excipit ebrietas, & pauperum contemtus. Et postquam sanguinem recepisti, cum jejunii tibi tempus est & sobrietatis, debaccharis, & comessaris. Et si quid boni perceperis in prandio, caves ne alio pravo cibo priorem labefactes. Cum autem spiritualem cibum acceperis, Satanicas inducis delicias. Cogita quid apostoli fecerint cum illas sacras percepissent cœnas. Nonne ad orationem convertebantur & ad hymnos celebrandos? nonne ad sacra pervigilia? nonne ad doctrinam longam, quæ magna plena erat philosophia? Magna quippe & mirabilia tunc illis enarrabat & præcipiebat, abscedente Juda, ad vocandos illos qui ipsum in crucem acturi erant. Non audisti quomodo illa tria millia hominum, qui communionis participes erant, semper perseverabant in oratione & in doctrina, non in ebrietatibus, non in comessationibus? Tu vero antequam percipias quidem, jejunas, ut quomodocumque dignus communione videaris: ubi autem percepisti, cum oporteret te temperantiam augere, omnia perdis. Atqui non par res est antea jejunare, & postea. In utroque enim tempore temperantem esse oportet, maxime vero postquam sponsum excepisti. Antea quidem, ut dignus sis qui accipias; postea vero, ne indignus videaris iis quæ accepisti. Quid ergo, jejunandum-ne est postquam acceperim? Non hoc dico, neque te cogo. Nam bonum quidem hoc esset. Verum non vim infero, sed adhortor ne te deliciis impleas extra mensuram. Si enim nunquam oporteat deliciari; hoc enim declaravit Paulus dicens: *Quæ autem in deliciis est, vivens mortua est;* multo magis tunc morietur. Si autem deliciæ mors sunt mulieri, multo magis viro; & si alio tempore deliciæ perdunt, multo magis post perceptam mysteriorum communionem. Tu autem pane vitæ accepto, rem morte dignam facis, & non horrescis? Nescis quam multa mala ex deliciis inducantur? Risus intempestivus, incondita verba, scurrilitas perniciei plena, nugæ inutiles & alia quæ ne fas quidem est dicere. Et hæc facis postquam ad Christi mensam exceptus fuisti, illo die quo dignatus fuisti carnes ejus lingua tangere. Quisquis ergo sis, ne hæc fiant, expurga dexteram tuam, linguam, labia, quæ ingressui Christi vestibula fuere; & apposita mensa sensibili, ad illam mensam mentem intende, ad cœnam Dominicam, ad vigilias discipulorum, illa sacra

1. Tim. 5. 6.

Quo ritu accedendum ad Christi mensam.

A ἀκούσωμεν τῶν ῥημάτων πάντες, ὅσοι ἐνταῦθα μὲν μετὰ πενήτων προσερχόμεθα τῇ ἱερᾷ τραπέζῃ ταύτῃ· ἐξελθόντες δὲ ἔξω, οὐδὲ ἑωρακέναι δοκοῦμεν αὐτούς, ἀλλὰ καὶ μεθυόμεθα, καὶ πεινῶντας παρατρέχομεν, ἃ καὶ Κορίνθιοι τότε ἐνεκαλοῦντο. καὶ πότε τοῦτο γίνεται, φησίν; ἀεὶ μὲν, μάλιστα δὲ ἐν ταῖς ἑορταῖς, ὅτε μάλιστα γίνεσθαι οὐκ ἐχρῆν. καὶ γὰρ τότε μετὰ τὴν κοινωνίαν εὐθέως μέθη διαδέχεται, καὶ πενήτων ὑπεροψία. καὶ τοῦ αἵματος μεταλαβὼν, ὅτε νηστείας σοι καιρὸς καὶ νήψεως, παροινεῖς, καὶ κωμάζεις. κἂν μέν B τι χρηστὸν τύχῃς ἠριστηκὼς, φυλάττεις σαυτὸν, ὥστε μὴ ἑτέρῳ ἐδέσματι πονηρῷ λυμήνασθαι τὸ πρότερον· πνεῦμα δὲ ἑστιαθεὶς, σατανικὴν ἐπεισάγεις τρυφήν. ἐννόησον, ὅτε μετέλαβον οἱ ἀπόστολοι τῶν ἱερῶν δείπνων ἐκείνων, τί ἐποίησαν· οὐχὶ εἰς εὐχὰς ἐτράπησαν καὶ ὑμνῳδίας; οὐχὶ εἰς παννυχίδας ἱεράς; οὐχὶ εἰς διδασκαλίαν τὴν μακρὰν ἐκείνην καὶ πολλῆς γέμουσαν φιλοσοφίας; τὰ γὰρ μεγάλα καὶ παράδοξα τότε αὐτοῖς διηγεῖτο καὶ παρήγγελλεν, ἀπελθόντος τοῦ Ἰούδα καλέσαι τοὺς μέλλοντας αὐτὸν σταυροῦν· οὐκ ἤκουσας πῶς καὶ οἱ C τρισχίλιοι οἱ τῆς κοινωνίας ἀπολαύοντες διαπαντὸς ἦσαν προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ διδασκαλίᾳ, οὐ μέθαις καὶ κώμοις; σὺ δὲ πρὶν ἢ μὲν μεταλαβεῖν νηστεύεις, ἵνα ὁπωσδήποτε ἄξιος φανῇς τῆς κοινωνίας· ὅταν δὲ μεταλάβῃς, δέον σε ἐπιτεῖναι τὴν σωφροσύνην, πάντα ἀπολλύεις. καίτοιγε οὐκ ἔστιν ἴσον πρὸ τούτου νήφειν, καὶ μετὰ ταῦτα. δεῖ μὲν γὰρ ἐν ἑκατέρῳ σωφρονεῖν, μάλιστα δὲ μετὰ τὸ δέξασθαι τὸν νυμφίον. πρὸ τούτου μὲν, ἵνα ἄξιος γένῃ τοῦ λαβεῖν· μετὰ δὲ ταῦτα, ἵνα μὴ ἀνάξιος φανῇς ὧν ἔλαβες. D τί οὖν, νηστεύειν δεῖ μετὰ τὸ λαβεῖν; οὐ λέγω τοῦτο, οὐδὲ καταναγκάζω. καλὸν μὲν γὰρ καὶ τοῦτο· πλὴν οὐ βιάζομαι τοῦτο, ἀλλὰ παραινῶ μὴ τρυφᾶν εἰς ἀπληστίαν. εἰ γὰρ οὐδέποτε χρὴ τρυφᾶν, καὶ τοῦτο ὁ Παῦλος ἐδήλωσεν εἰπὼν ὅτι, ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε, πολλῷ μᾶλλον τότε τεθνήξεται. εἰ δὲ γυναικὶ ἡ τρυφὴ θάνατος, πολλῷ μᾶλλον ἀνδρί· καὶ εἰ ἐν ἄλλῳ καιρῷ τοῦτο γινόμενον ἀπόλλυσι, πολλῷ μᾶλλον μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν. σὺ δὲ ἄρτον ζωῆς λαβὼν, πρᾶγμα θανάτου ποιεῖς, καὶ οὐ E φρίττεις; οὐκ οἶσθα ὅσα ἀπὸ τρυφῆς ἐπεισέρχεται κακά; γέλως ἄκαιρος, ῥήματα ἄτακτα, εὐτραπελία ὀλέθρου γέμουσα, φλυαρία ἀνόνητος, τὰ ἄλλα ἃ μηδὲ εἰπεῖν καλόν. καὶ ταῦτα ποιεῖς τραπέζης ἀπολαύσας Χριστοῦ, κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἅψασθαι διὰ γλώττης τῶν σαρκῶν αὐτοῦ κατηξιώθης. ἵνα οὖν ταῦτα μὴ γίνηται, καθάγνιζέ σου τὴν δεξιὰν, τὴν γλῶτταν, τὰ χείλη, ἅπερ ἐγένετο πρόθυρα τῇ ἐπιβάσει τοῦ Χριστοῦ· καὶ τράπεζαν παραθεὶς αἰσθητὴν, πρὸς ἐκείνην τὴν τράπεζαν τὸν νοῦν ἀνάτεινον, πρὸς τὸ δεῖπνον τὸ κυριακὸν, πρὸς τὴν ἀγρυπ-

νία

μετὰ τῶν μαθητῶν τὴν κατὰ τὴν νύκτα ἐκείνην τὴν ἱεράν· μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ τὰ παρόντα νύξ. Γρηγορῶμεν τοίνυν μετὰ τοῦ δεσπότου, κατανυγῶμεν μετὰ τῶν μαθητῶν. εὐχῶν ὁ καιρὸς, οὐ μέθης, ἀεὶ μὲν, μάλιστα δὲ ἐν ἑορτῇ. ἑορτὴ γὰρ διὰ τοῦτο γέγονεν, οὐχ ἵνα ἀσχημονῶμεν, οὐχ ἵνα ἁμαρτήματα συνάγωμεν, ἀλλ' ἵνα καὶ τὰ ὄντα ἀνέλωμεν. καὶ οἶδα μὲν ὅτι εἰκῆ ταῦτα λέγω, ἀλλ' οὐ παύσομαι λέγων. κἂν γὰρ μὴ πάντες ὑπακούσητε, ἀλλ' οὐδὲ πάντες παρακούσεσθε· μᾶλλον δὲ, κἂν πάντες παρακούσητε, ἐμοὶ μὲν μείζων ὁ μισθὸς, ὑμῖν δὲ πλέον τὸ κρίμα. ἵν' οὖν μὴ γένηται πλέον, διὰ τοῦτο οὐ παύσομαι λέγων. ἴσως γὰρ, ἴσως τῇ συνεχείᾳ [a] καθάψομαι. διὸ παρακαλῶ, ἵνα μὴ εἰς κρίμα τοῦτο ποιῶμεν, θρέψωμεν τὸν Χριστὸν, ποτίσωμεν, ἐνδύσωμεν. ταῦτα τῆς τραπέζης ἐκείνης ἄξια. ἤκουσας ὕμνων ἱερῶν; εἶδες γάμον πνευματικόν; ἀπήλαυσας τραπέζης βασιλικῆς; ἐνεπλήσθης πνεύματος ἁγίου; συνεχόρευσας τοῖς Σεραφίμ, κοινωνὸς ἐγένου τῶν ἄνω δυνάμεων; μὴ ῥίψῃς χαρὰν τοσαύτην, μὴ ἐκχέῃς τὸν θησαυρὸν, μὴ ἐπεισαγάγῃς μέθην τὴν τῆς ἀθυμίας μητέρα, τὴν τοῦ διαβόλου χαρὰν, τὴν μυρία τίκτουσαν κακά. καὶ γὰρ ὕπνος θανάτῳ ἐοικὼς ἐντεῦθεν, καὶ καρηβαρίαι, καὶ νόσοι, καὶ λήθη, καὶ νεκρότητος εἰκών. εἶτα φίλῳ μὲν οὐκ ἂν ἕλοιο συντυχεῖν οἰνωμένος, τὸν δὲ Χριστὸν ἔνδον ἔχων τολμᾷς, εἰπέ μοι, τοσαύτην ἐπεμβαλεῖν μέθην; ἀλλὰ τρυφῆς ἐρᾷς; οὐκοῦν διὰ τοῦτο παῦσαι μεθύων. καὶ γὰρ ἐγώ σε βούλομαι τρυφᾷν, ἀλλὰ τὴν ὄντως τρυφὴν, τὴν οὐδέποτε μαραινομένην. τίς οὖν ἡ ὄντως τρυφὴ, καὶ διηνεκῶς ἀνθοῦσα; κάλεσον ἐπ' ἄριστον τὸν Χριστόν· μετάδος αὐτῷ τῶν σῶν, μᾶλλον δὲ τῶν αὐτοῦ. τοῦτο τὴν ἡδονὴν ἀπέραντον ἔχει καὶ ἀκμάζουσαν διηνεκῶς. ἀλλ' οὐ τὰ αἰσθητὰ τοιαῦτα, ἀλλ' ὁμοῦ τε ἐφάνη καὶ ἠφανίσθη, καὶ ὁ τρυφήσας οὐδὲν ἄμεινον διακείσεται τοῦ μὴ τρυφήσαντος, μᾶλλον δὲ χεῖρον. ὁ μὲν γὰρ ὥσπερ ἐν λιμένι κάθηται, οὗτος δὲ χειμάρρουν τινὰ καὶ πολιορκίαν νοσημάτων ἐδέξατο, καὶ οὐδὲ ἐνεγκεῖν τὴν ζάλην ταύτην δύναται. ἵν' οὖν μὴ ταῦτα γένηται, τὴν συμμετρίαν διώκωμεν. οὕτω γὰρ καὶ τὸ σῶμα εὖ διακεισόμεθα, καὶ τὴν ψυχὴν ἐν ἀσφαλείᾳ καταστήσομεν, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀπαλλαγησόμεθα κακῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας, τῆς βασιλείας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A nocte; imo vero, si quis accurate examinaverit; præsentia nox sunt. Vigilemus ergo cum Domino, compungamur cum discipulis. Precum tempus est, non ebrietatis, semper quidem, maxime autem in die festo. Dies festus enim ideo institutus est, non ut turpiter agamus; non ut peccata accumulemus; sed ut quæ admissa fuere de medio tollamus. Et scio quidem me in cassum hæc dicere, sed non finem dicendi faciam. Etiamsi enim omnes non audieritis, sed non omnes repugnabitis; imo vero si omnes repugnetis, B mihi quidem major merces, vobis autem gravius judicium: ne igitur gravius eveniat, ideo finem dicendi non faciam. Fortassis enim fortassis, ex frequenti monitione scopum attingam. Ideo obsecro, ut ne in judicium & damnum hoc faciamus, nutriamus Christum, potum ipsi demus, induamus illum. Hæc illa mensa digna sunt. Audisti sacros hymnos? Vidisti nuptias spirituales? exceptus fuisti ad mensam regiam? repletus es Spiritu sancto? choros egisti cum Seraphinis? socius fuisti supernarum potestatum? Ne tantam lætitiam abjicias, ne effundas thesaurum, ne inducas ebrietatem C mœroris matrem, diaboli gaudium, mille mala parientem. Hinc enim est somnus morti similis, hinc sopores, morbi oblivio, mortis imago. Sane vino ingurgitatus nolueris cum amico congredi, & Christum intus habens, quæso te, tantam audeas injicere temulentiam? At delicias amas? ergo ideo ebrietati finem impone. Nam ego te in veris deliciis versari volo, quæ nunquam marcescant. Quænam ergo sunt veræ deliciæ, quæ semper floreant? Ad prandium invita Christum, tua illi imperti, vel potius sua. Hoc interD minabilem habet & semper florentem voluptatem. At non hæc sensilia; statim enim cum apparuere evanescunt: & qui deliciis operam dedit, non meliore conditione erit, quam qui non deliciatus est; imo pejore erit. Nam ille quidem quasi in portu sedet; hic vero ceu torrentem quemdam & morborum obsidionem excepit, & ne hanc quidem ferre potest tempestatem. Ne hæc itaque contingant, moderationem sectemur. Ita enim & corpore bene valebimus, & animam in tuto collocabimus, & a præsentibus futurisque malis liberabimur: a quibus utinam omE nes eruti, regnum consequamur gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri & una Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

[a] Reg. καθάψομαι. Morel, male καθάψαι.

A

## HOMILIA XXVIII.

28. *Probet autem seipsum homo, & sic de pane illo edat, & de calice bibat.*

1. QUID sibi volunt hæc verba, cum aliud sit hoc propositum argumentum? Hic mos est Paulo, ut jam prius dixi, non solum illa tractare quæ sibi proposita sunt, sed si quid aliud hæc tractanti inciderit, id quoque magno studio persequi; maxime cum de rebus admodum necessariis & urgentibus agitur. Etenim cum de iis qui nuptias contraxere ageretur, & incidit in sermonem de servis, fortiter & multis hanc rem pertractavit. Et cum dissereret & probaret non oportere in judiciis litigare, tunc incidens in admonitionem circa avaritiam, multa de hoc argumento protulit; id quod etiam hic facit. Quia enim semel opus fuerat, ut de mysteriis meminisset, necessarium putavit esse hoc persequi argumentum: neque enim levis momenti est; ideoque admodum terribiliter de illo disseruit, bonorum caput esse probans, ad ea cum pura conscientia accedere. Unde non contentus iis quæ prius dixerat, hæc quoque adjicit dicens, Probet autem seipsum homo; id quod etiam in secunda epistola dicit: Vos ipsos tentate, vos ipsos probate; non sicut nos facimus, temporis conditione potius moti, quam studio animi. Non enim id curamus, ut parati, a malis purgati, & compunctione pleni accedamus; sed ut in diebus festis, & cum omnes accedunt. Verum non ita jussit Paulus; sed unum novit accedendi & communicandi opportunum tempus, conscientiæ nempe puritatem. Nam si hac sensili mensa nunquam fruimur febri laborantes aut humoribus pleni, ut ne pereamus; multo minus hanc tangere nobis licet cum pravis concupiscentiis, quæ febri sunt graviores. Cum autem pravas dico concupiscentias, & corporum dico cupiditates, & pecuniarum, & iræ & injuriarum recordationis, & omnes, ut uno verbo dicam, quæ pravæ absurdæque sunt. Oportet autem accedentem, his omnibus exhaustis ac depositis, purum illud attingere sacrificium; neque segniter & misere affectum propter festum cogi ad accedendum; neque rursus compunctum & paratum prohiberi, eo quod non sit dies festus. Dies enim festus est, bonorum operum exhibita copia, animi pietas, accuratum vitæ institutum. Si hæc habeas, perpetuo festum agere poteris, & semper accedere. Ideo ait: Probet autem seipsum unusquisque, & tunc accedat. Nec præcipit ut alter alterum probet, sed ut quisque seipsum, judicium statuens quod non sit publicum, & probationem sine testibus.

2. Cor. 13. 5.

Conscientiæ puritas communicanti necessaria.

## ΟΜΙΛΙΑ κή.

Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.

ΤΙ βούλεται ταῦτα τὰ ῥήματα, ἑτέρας ὑποθέσεως τῆς προκειμένης οὔσης; ἔθος τοῦτο τῷ Παύλῳ, ὥσπερ καὶ ἔμπροσθεν ἔφθην εἰπὼν, μὴ μόνον ἐκεῖνα ἐργάζεσθαι, ἅπερ αὐτῷ προκείμενά ἐστιν, ἀλλὰ κἂν B παρεμπέσῃ λόγος τῇ ὑποθέσει, καὶ τούτῳ μετὰ πολλῆς ἐπεξιέναι τῆς σπουδῆς, καὶ μάλιστα ὅταν περὶ σφόδρα ἀναγκαίων καὶ κατεπειγόντων ᾖ. καὶ γὰρ ὅτε τοῖς γεγαμηκόσι διελέγετο, καὶ ὁ τῶν οἰκετῶν αὐτῷ παρενέπεσε λόγος, σφόδρα γενναίως καὶ διὰ πολλῶν αὐτὸν κατεσκεύασε. καὶ ὅτε περὶ τοῦ μὴ δεῖν κρίνεσθαι ἐν τοῖς δικαστηρίοις ἔλεγε, καὶ τότε εἰς τὴν περὶ πλεονεξίας ἐμπεσὼν νουθεσίαν, πολλὰ καὶ περὶ ταύτης διελέχθη τῆς ὑποθέσεως· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἐπειδὴ γὰρ ἅπαξ τῆς τῶν μυστηρίων ἐδεήθη μνήμης, ἀναγκαῖον εἶναι ἐνόμισεν ἐπεξελθεῖν τῇ ὑποθέσει. οὐδὲ γὰρ C ἡ τυχοῦσα ἦν. διὸ καὶ σφόδρα φοβερῶς περὶ αὐτῆς διελέχθη, τὸ κεφάλαιον τῶν ἀγαθῶν κατασκευάζων, τὸ μετὰ καθαροῦ προσιέναι συνειδότος αὐτοῖς. ὅθεν οὐδὲ τοῖς ἔμπροσθεν εἰρημένοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ταῦτα προστίθησι λέγων· δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησίν· ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκιμάζετε· οὐ καθάπερ ἡμεῖς ποιοῦμεν νῦν, καιρῷ προσιόντες μᾶλλον, ἢ σπουδῇ γνώμης. οὐ γὰρ ὅπως παρεσκευασμένοι, καὶ τὰ κακὰ ἑαυτῶν ἐκκαθάραντες, καὶ κατανύξεως πληρωθέντες προσέλθοιμεν σκοποῦμεν, ἀλλ' ὅπως ἐν ἑορταῖς, καὶ ἡνίκα ἂν ἅπαντες. ἀλλ' D οὐχ οὕτως ὁ Παῦλος ἐκέλευσεν, ἀλλ' ἕνα καιρὸν οἶδε προσόδου καὶ κοινωνίας, τοῦ συνειδότος τὴν καθαρότητα. εἰ γὰρ αἰσθητῆς οὐκ ἄν ποτε μεταλάβοιμεν τραπέζης πυρέττοντες καὶ χυμῶν γέμοντες πονηρῶν, ὥστε μὴ ἀπολέσθαι, πολλῷ μᾶλλον ταύτης ἅπτεσθαι ἡμῖν οὐ θέμις μετὰ ἐπιθυμιῶν ἀτόπων, αἳ πυρετῶν εἰσι χαλεπώτεραι. ὅταν δὲ ἐπιθυμίας ἀτόπους εἴπω, καὶ τὰς τῶν σωμάτων λέγω, καὶ τὰς τῶν χρημάτων, καὶ τὰς τῆς ὀργῆς, καὶ τὰς τῆς μνησικακίας, καὶ πάσας ἁπλῶς τὰς ἀτόπους. καὶ δεῖ τὸν προσιόντα, πάντα ἐξαντλήσαντα ταῦτα, οὕτω τῆς καθαρᾶς ἐκείνης ἅπτεσθαι θυσίας, καὶ E μήτε ῥαθύμως διακείμενον καὶ ταλαιπώρως, ἀναγκάζεσθαι διὰ τὴν ἑορτὴν προσιέναι, μήτε αὖ κατανυγέντα καὶ παρεσκευασμένον, κωλύεσθαι διὰ τὸ μὴ εἶναι ἑορτήν. ἑορτὴ γὰρ, ἔργων ἀγαθῶν ἐστιν ἐπίδειξις, καὶ ψυχῆς εὐλάβεια, καὶ πολιτείας ἀκρίβεια. κἂν ταῦτα ἔχῃς, διαπαντὸς ἑορτάζειν δυνήσῃ, καὶ διαπαντὸς προσιέναι. διὰ τοῦτό φησι, δοκιμαζέτω δὲ ἑαυτὸν [a] ἕκαστος, καὶ τότε προσίτω· καὶ οὐχ ἕτερον [a] ἑτέρῳ κελεύει δοκιμάσαι, ἀλλ' αὐτὸν ἑαυτὸν, ἀδημοσίευτον ποιῶν τὸ δικαστήριον, ἀμάρτυρον τὸν ἔλεγχον.

a Reg. ἕκαστος, καὶ οὕτως ἐσθιέτω. οὐχ ἕτερον.

A ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, τοῦ Κυρίου κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Τί λέγεις, εἰπέ μοι; ἡ τοσούτων ἀγαθῶν αἰτία, [a] καὶ ζωὴν βρύουσα τράπεζα, αὕτη κρίμα γίνεται; οὐ παρὰ τὴν αὐτῆς φύσιν, φησὶν, ἀλλὰ παρὰ τὴν τοῦ προσιόντος προαίρεσιν. Ὥσπερ γὰρ ἡ παρουσία αὐτοῦ, ἡ τὰ μεγάλα ἐκεῖνα καὶ ἀπόρρητα κομίσασα ἡμῖν ἀγαθὰ, τοὺς μὴ δεξαμένους αὐτὴν μᾶλλον κατέκρινεν· οὕτω καὶ τὰ μυστήρια μείζονος ἐφόδια κολάσεως γίνεται τοῖς ἀναξίως μετέχουσι. Διὰ τί δὲ κρίμα ἑαυτῷ ἐσθίει; μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου· τουτέστι, μὴ ἐξετάζων, μὴ ἐννοῶν, ὡς χρὴ, τὸ μέγεθος τῶν προκειμένων, μὴ λογιζόμενος τὸν ὄγκον τῆς δωρεᾶς. B Εἰ γὰρ μάθοις ἀκριβῶς τίς ποτέ ἐστιν ὁ προκείμενος, καὶ τίς ὢν τίνι ἑαυτὸν δίδωσιν, οὐδενὸς ἑτέρου δεήσῃ λόγου, ἀλλ' ἀρκεῖ σοι τοῦτο εἰς ἅπασαν νῆψιν, εἰ μὴ σφόδρα εἴης ἀναπεπτωκώς. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Ἐνταῦθα λοιπὸν οὐκέτι ἀπὸ ἑτέρων τὰ παραδείγματα φέρει, ὥσπερ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε, τὰς παλαιὰς διηγούμενος ἱστορίας καὶ τὰς ἐν τῇ ἐρήμῳ πληγὰς, ἀλλ' ἀπ' αὐτῶν τῶν Κορινθίων, ὅπερ καὶ πληκτικώτερον ἐποίει τὸν λόγον. Ἐπειδὴ γὰρ ἔλεγε, κρίμα ἑαυτῷ ἐσθίει, καὶ, ἔνοχός ἐστιν, ἵνα C μὴ δοκῇ ῥήματα λέγειν, καὶ ἔργα δείκνυσι, καὶ μάρτυρας αὐτοὺς καλεῖ, ὅπερ μᾶλλον τοῦ ἀπειλῆσαι καθικνεῖται, τὸ δεῖξαι εἰς ἔργον τὴν ἀπειλὴν ἐξελθοῦσαν. Οὐ μὴν τούτοις ἠρκέσθη μόνοις, ἀλλ' ἀπὸ τούτων καὶ τὸν περὶ τῆς γεέννης εἰσήγαγε καὶ ἐπιστώσατο λόγον, ἀμφοτέρωθεν φοβῶν, καὶ ζήτημα πανταχοῦ περιφερόμενον λύων. Ἐπειδὴ γὰρ πολλοὶ πρὸς ἀλλήλους ἀποροῦσι, πόθεν οἱ ἄωροι θάνατοι, πόθεν αἱ μακραὶ νόσοι, λέγει ὅτι ἐξ ἁμαρτημάτων πολλὰ τούτων τῶν ἀδοκήτων τὴν ὑπόθεσιν ἔχει.

Τί οὖν, οἱ ὑγιαίνοντες, φησὶ, διηνεκῶς, καὶ εἰς γῆρας ἐρχόμενοι λιπαρὸν, οὐχ ἁμαρτάνουσι; καὶ τίς ἂν D τοῦτο εἴποι; πῶς οὖν, φησιν, οὐ διδόασι δίκην; ὅτι ἐκεῖ δώσουσι χαλεπωτέραν. Ἡμεῖς δὲ, εἰ ἐβουλόμεθα, οὐδ' ἂν ἐνταῦθα, οὐδ' ἂν ἐκεῖ ἐδώκαμεν. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησιν, οὐκ ἂν ἐκρινόμεθα. Καὶ οὐκ εἶπεν, εἰ ἐκολάζομεν ἑαυτοὺς, εἰ ἐτιμωρούμεθα, ἀλλὰ μόνον εἰ ἐπιγνῶναι τὰ ἁμαρτήματα ἐβουλήθημεν, εἰ καταδικάσαι ἑαυτοὺς, εἰ καταγνῶναι τῶν πεπλημμελημένων, ἀπηλλάγημεν ἂν καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖσε τιμωρίας. Ὁ γὰρ καταγνοὺς ἑαυτοῦ, διπλῇ τὸν Θεὸν ἐξιλεοῦται, καὶ τῷ ἐπιγνῶναι τὰ ἁμαρτήματα, καὶ τῷ E πρὸς τὸ μέλλον ὀκνηρότερος γίνεσθαι. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο τὸ κοῦφον βουλόμεθα ποιεῖν, ὡς χρὴ ποιεῖν, οὐδὲ οὕτως ἡμᾶς μετὰ τῆς οἰκουμένης κολάζειν ἀνέχεται, ἀλλὰ καὶ οὕτω φείδεται, ἐνταῦθα δίκην ἀπαιτῶν, οὗ πρόσκαιρος ἡ τιμωρία, καὶ πολλὴ ἡ παραμυθία· [b] καὶ γὰρ ἁμαρτημάτων ἀπαλλαγὴ τὸ γινόμενον, καὶ χρηστὴ τῶν μελλόντων ἐλπὶς κουφίζουσα τὰ παρόντα. Ταῦτα δὲ λέγει, ὁμοῦ μὲν παραμυθούμενος τοὺς ἀῤῥώστους, ὁμοῦ δὲ τοὺς ἄλλους σπουδαιοτέρους ποιῶν. Διό φησι.

[a] Sic Reg. & Savil. in marg. Al. ζωῆς βρύουσα.

29. *Qui enim manducat & bibit indigne, judicium Domini sibi manducat & bibit.* Quid, quæso, dicis? Tot bonorum causa, vitamque profundens mensa, ipsa judicium efficitur? Non ex natura sua, inquit; sed ex ejus qui accedit arbitrio. Sicut enim præsentia ejus, quæ magna illa & ineffabilia nobis confert bona, eos qui non accipiunt magis condemnat; sic & mysteria ad majus supplicium viatica sunt iis qui indigne participant. Cur autem judicium sibi manducat? *Non dijudicans corpus Domini*; id est, non examinans, non cogitans, ut oporteret, propositorum magnitudinem & doni excellentiam. Nam si accurate didiceris, quis sit ille qui prostat, & quis cum sit, cui dat seipsum, nullo alio opus habebis sermone; sed hoc tibi satis erit ad vigilantiam, nisi valde lapsus fueris. 30. *Ideo inter vos multi infirmi & imbecilles, & dormiunt multi.* Hic jam non ab aliis fert exempla, ut fecit circa ea, quæ immolata erant idolis, veteres narrans historias, & plagas in solitudine acceptas; sed ab ipsis Corinthiis, id quod etiam vehementiorem reddebat sermonem. Quia enim dicebat, *judicium sibi manducat*: &, *reus est*; ne verba proferre videatur, facta adjicit, & testes illos advocat, id quod magis quam comminatio perstringit, minas proferens in opus exeuntes; neque his tantum contentus, hinc sermonem de gehenna inducit fidemque facit; utrinque terrens, & quæstionem solvens, quæ ubique circumferebatur. Quia enim multi inter se quærunt, undenam immaturæ mortes, unde diuturni morbi, dicit ille multa inexspectata peccatorum causa accidere.

2. Quid ergo, inquies, illi qui perpetuo bene valent, & ad vegetam perveniunt senectutem, annon ipsi peccant? Ecquis hoc dixerit? Quomodo ergo, inquies, non dant pœnas? Quia illic graviores daturi sunt. Nos autem si velimus, neque hic neque illic daturi sumus. 31. *Si enim nos ipsos judicaremus*, inquit, *non utique judicaremur.* Nec dixit, si nos ipsos corriperemus, & castigaremus; sed tantum si peccata agnoscere vellemus, si nos ipsos damnare & improbare mala opera, liberaremur & a præsenti & a futuro supplicio. Nam qui seipsum damnat, dupliciter Deum placat, & quod peccata agnoscat & quod in futuro sit ad peccandum tardior. Quia vero ne hoc quidem ita leve facere volumus, ut facere oporteret; ne sic quidem nos vult cum orbe terrarum punire; sed sic quoque parcit, hic pœnas repetens, ubi supplicium est temporaneum, & magna consolatio: nam a peccatis liberatio est, & bona futurorum spes quæ præsentia leniat. Hæc porro dicit, simul infirmos consolans, & alios diligentiores reddens. Ideo

[b] Sic Reg. In editis γὰρ deest.

ait: 32. *Nunc autem cum judicamur, a Domino corripimur.* Non dixit, castigamur, non dixit, supplicio afficimur; sed, corripimur: nam quod fit magis est admonitionis, quam damnationis; medicinæ, quam supplicii; correctionis, quam castigationis. Non hoc autem tantum modo, sed & comminatione majoris pœnæ, leve reddit illud, dicens: *Ut non cum mundo damnemur.* Viden' quomodo & gehennam induxerit, & horribile illud tribunal, & necessario futuram ostenderit illam perquisitionem & punitionem? Nam si fideles & qui Deo curæ sunt, non impune fugient peccatorum pœnas, ut ex præsentibus palam est, multo minus infideles, & qui gravia insaniaque scelera admittunt. 33. *Itaque, cum convenitis ad manducandum, invicem exspectate.* Nam dum viget timor, & gehennæ tremor perseverat, vult iterum pro pauperibus admonitionem inducere, cujus causa hæc omnia dixit, ostendens illos, si id non servent, indignos esse qui communicent. Quod si de facultatibus non elargiri, ab illa mensa arcet; multo magis rapere arceat. Nec dixit, Itaque convenientes date egenis; sed quod honestius erat, alter alterum exspectate. Hoc enim illud quoque apparabat & subindicabat, ac congruenti modo admonitionem induxit. Deinde rursus pudorem inferens: 34. *Si quis autem esurit, domi manducet.* Permittendo impedivit etiam vehementius, quam si prohibuisset. Ex ecclesia enim illum eduxit, & in domum remisit; hoc ritu illos vehementer perstringens atque traducens, quasi ventris servos, qui nec differre possent. Neque enim dixit, si quis pauperes despicit; sed, si quis esurit, quasi pueros famem non ferentes, alloquens, tamquam bruta ventri servientia. Ridiculum enim fuisset, si ob esuriem domi manducassent. Sed & aliud terribilius subjunxit, dicens: *Ut non in judicium conveniatis;* ut non in castigationem, ut non in supplicium, dum ecclesiam contumelia afficitis, & fratrem in pudorem conjicitis. Nam ideo convenitis, inquit, ut vos mutuo diligatis, ut juvemini, & juvetis. Si vero contrarium fiat, melius esset si domi comederetis. Hoc autem dicebat ut illos magis attraheret. Ideo enim damnum inde emergens ostendit, & culpam dixit esse non parvam; atque omni ex parte deterruit, a mysteriis, ab infirmis, a mortuis, ab aliis supra dictis. Deinde alio quoque modo terret dicens: *Cætera autem cum venero disponam.* Aut ad quædam alia, aut ad hoc ipsum. Quia enim verisimile est ipsos dixisse alias quoque causas, & non potuisse omnia per literas corrigi: Quæ admonui, inquit, interim serventur. Si quid autem aliud dicendum habueritis, id usque ad adventum meum servetur; aut de hac re loquens, ut dixi, aut de aliis quibusdam, quæ non admo-

A νυνὶ δὲ κρινόμενοι, ὑπὸ κυρίου παιδευόμεθα. οὐκ εἶπε, κολαζόμεθα, οὐκ εἶπε, τιμωρούμεθα, ἀλλὰ, παιδευόμεθα. νουθεσίας γὰρ μᾶλλόν ἐστιν ἢ καταδίκης τὸ γινόμενον, ἰατρείας ἢ τιμωρίας, διορθώσεως ἢ κολάσεως. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῇ ἀπειλῇ τοῦ μείζονος κοῦφον τὸ παρὸν ποιεῖ, λέγων· ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. εἶδες πῶς καὶ τὴν γέενναν ἐπέστησε, καὶ τὸ φρικτὸν ἐκεῖνο δικαστήριον, καὶ ἀναγκαίαν ἔδειξε καὶ πάντως ἐσομένην τὴν ἐξέτασιν ἐκείνην καὶ τὴν τιμωρίαν; εἰ γὰρ οἱ πιστοὶ, καὶ τῷ θεῷ περισπούδαστοι οὐκ ἀτιμώρητι διαφεύξονται

B ἐν οἷς ἂν πλημμελήσωσι, καὶ δῆλον ἐκ τῶν παρόντων, πολλῷ μᾶλλον οἱ ἄπιστοι, καὶ οἱ τὰ ἀνήκεστα καὶ ἀνίατα ἁμαρτάνοντες. ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. ἔτι γὰρ ἀκμάζοντος αὐτοῖς τοῦ φόβου, καὶ τοῦ τρόμου μένοντος τοῦ τῆς γεέννης, βούλεται πάλιν τὴν ὑπὲρ τῶν πενήτων εἰσαγαγεῖν παραίνεσιν, δι' ἣν ἅπαντα ταῦτα εἴρηκε, δεικνὺς ὅτι τοῦτο μὴ ποιοῦντας ἀναξίως ἐστὶ μεταλαμβάνειν. εἰ δὲ τὸ μὴ μεταδοῦναι τῶν ὄντων εἴργει τῆς τραπέζης ἐκείνης, πολλῷ μᾶλλον τὸ ἁρπάζειν. καὶ οὐκ εἶπεν, ὥστε συνερχόμενοι μεταδότε τοῖς δεομένοις, ἀλλ' ὃ σεμνότερον ἦν,

C ἀλλήλους ἐκδέχεσθε. τοῦτο γὰρ καὶ ἐκεῖνο κατεσκεύαζε καὶ ἠνίττετο, καὶ μετὰ τοῦ πρέποντος σχήματος τὴν παραίνεσιν εἰσήγαγεν. εἶτα λοιπὸν ἐντρεπτικῶς· εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω. ἐπιτρέψας ἐκώλυσε, καὶ σφοδρότερον, ἢ εἰ ἀπηγόρευσε. τῆς γὰρ ἐκκλησίας αὐτὸν ἐξήγαγε, καὶ εἰς τὴν οἰκίαν παρέπεμψε, ταύτῃ καθαπτόμενος σφοδρῶς, καὶ κωμῳδῶν αὐτοὺς, ὡς δούλους γαστρὸς καὶ ἀκαρτερήτους. οὐδὲ γὰρ εἶπεν, εἴ τις ὑπερορᾷ τῶν πενήτων, ἀλλ', εἴ τις πεινᾷ, ὡς πρὸς παιδία δυσανασχετοῦντα διαλεγόμενος, ὡς

D πρὸς ἄλογα γαστρὶ δουλεύοντα. καὶ γὰρ πολὺς ὁ γέλως, εἰ διὰ τὸ πεινῆν ἔμελλον οἴκοι ἐσθίειν. ἀλλ' οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ἐπήγαγεν ἕτερον φοβερώτερον, λέγων· ἵνα μὴ εἰς κρίμα συνέρχησθε· ἵνα μὴ εἰς κόλασιν, ἵνα μὴ εἰς τιμωρίαν, τὴν ἐκκλησίαν ὑβρίζοντες, τὸν ἀδελφὸν καταισχύνοντες. καὶ γὰρ διὰ τοῦτο συνέρχεσθέ, φησιν, ἵνα στέργητε ἀλλήλους, ἵνα ὠφεληθῆτε, ἵνα ὠφελῆτε. εἰ δὲ τοὐναντίον γίνεται, βέλτιον ὑμᾶς οἴκοι σιτεῖσθαι. τοῦτο δὲ ἔλεγεν, ἵνα ἐφελκύσηται πλέον. διὰ γὰρ τοῦτο καὶ τὸ βλάβος ἔδειξε τὸ ἐντεῦθεν, καὶ κρίμα ἔφησεν εἶναι οὐ μικρὸν, καὶ παν-

E ταχόθεν ἐφόβησεν, ἀπὸ τῶν μυστηρίων, ἀπὸ τῶν ἀρρώστων, ἀπὸ τῶν τετελευτηκότων, ἀπὸ τῶν ἄλλων τῶν ἔμπροσθεν εἰρημένων. εἶτα καὶ ἑτέρως πάλιν φοβεῖ, λέγων· τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι. ἢ εἰς ἕτερά τινα, ἢ εἰς αὐτὸ τοῦτο. ὅτι γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν καὶ αἰτίας τινὰς, καὶ οὐκ ἐνῆν πάντα διὰ γραμμάτων κατορθοῦν, ἃ μὲν παρῄνεσα, φυλαττέσθω τέως, φησίν· εἰ δέ τι ἕτερον ἔχοιτε λέγειν, ἐκεῖνο τῇ παρουσίᾳ τηρείσθω τῇ ἐμῇ, ἢ περὶ τούτου τοῦ πράγματος λέγων, ὡς ἔφην, ἢ περὶ ἑτέρων τινῶν οὐ σφόδρα κατεπειγόντων.

A ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν σπουδαιοτέρους ἐργάσηται. μεριμνῶντες γὰρ αὐτοῦ τὴν παρουσίαν, ἔμελλον διορθοῦν τὸ ἡμαρτημένον. οὐδὲ γὰρ τὸ τυχὸν ἦν ἡ Παύλου ἐπιδημία· καὶ τοῦτο δεικνὺς ἔλεγεν, ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες· καὶ ἀλλαχοῦ πάλιν, μὴ ὡς τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. διὰ τοῦτο οὐδὲ ἁπλῶς ἐπηγγείλατο ἥξειν, ἵνα μὴ ἀπιστήσωσι καὶ ῥαθυμότεροι γίνωνται, ἀλλὰ καὶ αἰτίαν τίθησι τῇ ἐπιδημίᾳ ἀναγκαίαν, λέγων, ὅτι τὰ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι· δεικνὺς ὅτι ἡ τῶν λοιπῶν διόρθωσις, εἰ καὶ μὴ ἐπεσπούδακει πάντως, αὐτὸν εἷλκεν ἐκεῖσε. B

Ταῦτα τοίνυν ἀκούοντες ἅπαντα, καὶ τῶν πενήτων πολλὴν ποιώμεθα σπουδὴν, καὶ γαστρὸς κατέχωμεν, καὶ μέθης ἀπαλλαττώμεθα, καὶ τῶν μυστηρίων ἀξίως σπουδάζωμεν μεταλαμβάνειν, καὶ ἐφ᾽ οἷς ἂν πάθωμεν, μὴ ἀλγῶμεν, μήτε ἐφ᾽ ἑαυτοῖς, μήτε ἐφ᾽ ἑτέροις, οἷον ὅταν οἱ ἄωροι γίνωνται θάνατοι, ὅταν ἀῤῥωστίαι μακραί. τοῦτο γὰρ ἀπαλλαγὴ κολάσεως, τοῦτο διόρθωσις, τοῦτο νουθεσία ἀρίστη. τίς ταῦτά φησιν; ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. ἀλλ᾽ ὅμως καὶ μετὰ ταῦτα οὕτω C πολλαὶ τῶν γυναικῶν ἀναισθήτως διάκεινται, ὡς καὶ τοὺς ἀπίστους παραλρέχειν τῇ τοῦ πένθους ὑπερβολῇ. καὶ αἱ μὲν ὑπὸ τοῦ πάθους ἐσκοτωμέναι τοῦτο ποιοῦσιν, αἱ δὲ πρὸς ἐπίδειξιν καὶ ὑπὲρ τοῦ τὰ τῶν ἔξωθεν διαφεύγειν ἐγκλήματα, ἃς μάλιστα πάσης συγγνώμης ἀπεστερῆσθαί φημι. ἵνα γὰρ μὴ ὁ δεῖνα ἐγκαλέσῃ, φησὶν, ἐγκαλείτω ὁ Θεός· ἵνα μὴ ἄνθρωποι τῶν ἀλόγων ἀνοητότεροι καταγνῶσιν, ὁ τοῦ βασιλέως τῶν ὅλων πατείσθω νόμος. καὶ πόσων οὐκ ἄξια ταῦτα σκηπτῶν; κἂν μὲν [a] εἰς περίδειπνόν τις καλέσῃ μετὰ τὸ πένθος, οὐδεὶς ὁ ἀντερῶν, ἐπειδὴ νόμος ἀνθρώπων ἐστὶν ὁ ταῦτα κελεύων· D Θεοῦ δὲ νομοθετοῦντος μὴ πενθεῖν, οὕτω πάντες ἀντιφθέγγονται; οὐκ ἐννοεῖς τὸν Ἰὼβ, ὦ γύναι; οὐκ ἀναμιμνήσκῃ τῶν ῥημάτων αὐτοῦ τῶν ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, ἃ μυρίων στεφάνων μᾶλλον ἀνέδησε τὴν ἁγίαν κεφαλὴν ἐκείνην, καὶ σαλπίγγων πολλῶν λαμπρότερον ἀνεκήρυξεν; οὐ λογίζῃ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην καὶ παράδοξον τραγῳδίαν; σὺ μὲν γὰρ ἴσως ἕνα ἀπώλεσας, ἢ δεύτερον, ἢ τρίτον· ἐκεῖνος δὲ τοσούτους, καὶ τοσαύτας· καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγένετο, καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ᾽ ἀθρόον E ἅπας ὁ καρπὸς ἀνηρπάζετο· καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, οὐδὲ εἰς γῆρας ἐλθόντες, ἀλλὰ καὶ ἀώρῳ καὶ βιαίῳ θανάτῳ, καὶ πάντες ὁμοῦ, καὶ οὐδὲ παρόντος οὐδὲ παρακαθημένου, ἵνα κἂν ἐσχάτων ἀκούσας ῥημάτων ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς, ἀλλὰ παρ᾽ ἐλπίδα πᾶσαν, καὶ μηδὲν τῶν γινομένων εἰδότος, ἀθρόον ἅπαντες κατεχώννυντο, καὶ ἡ οἰκία τάφος αὐτοῖς ἐγένετο καὶ παγίς. καὶ οὐκ ἄωρος

[a] Reg. εἰς δεῖπνόν σε forte melius.

A dum urgebant. Hoc autem facit, ut illos inde studiosiores reddat. Nam de illius adventu solliciti, peccata emendaturi erant. Neque enim levis res erat, quod Paulus eo venturus esset; idque ostendens dicebat: *Ac si non venturus sim ad vos, sic inflati sunt quidam*; & alibi rursum: *Non tamquam in præsentia mea tantum, sed multo magis in absentia, cum timore & tremore vestram salutem operemini.* Ideo non solum promisit se venturum esse, ne non crederent & negligentiores evaderent; sed & necessariam addit adventus causam dicens, *Cætera cum* B *venero disponam*; ostendens cæterorum correctionem, etiamsi non omnino festinaret, ipsum istuc attracturam fuisse.

1. Cor. 4. 18.

Philip. 2. 12.

3. Hæc ergo audientes omnia, & pauperum magnam curam geramus, & ventrem moderemur, atque ab ebrietate liberemur, & mysteriis digne participare studeamus; ea quæ passi fuerimus, non ægre feramus, neque in nobis, neque in aliis; verbi gratia cum immaturæ mortes accidunt, cum diuturni morbi. Hoc enim est liberatio a supplicio, hoc correctio, hoc admonitio optima. Quis hæc C dicit? Qui Christum in se loquentem habebat. Attamen etiam post hæc mulieres multæ ita sensu destitutæ sunt, ut in luctus exsuperantia ipsos etiam infideles superent. Et aliæ quidem a luctu quasi tenebris obrutæ hoc faciunt; aliæ vero ad ostentationem, & ut externorum criminationem vitent, quas omni venia privatas dico. Ut ne ille talis incuset, inquiunt, incuset Deus; ut ne homines brutis amentiores nos damnent, lex Regis universorum conculcetur. Et quot fulminibus hæc digna non fuerint? Si post luctum te quispiam ad cœnam vocet, nemo est qui renuat, quia D lex humana hoc præcipit; Deo autem de non lugendo legem ferente, ita omnes contradicunt. Non cogitas Jobum, o mulier? Non recordaris vocum ejus in calamitate amissorum filiorum, quæ sexcentis coronis sacrum illud caput redimierunt, & splendidius quam tubæ multæ deprædicarunt? Non cogitas calamitatis magnitudinem, novum illud naufragium, ac novam miramque tragœdiam? Nam tu quidem unum perdidisti, aut alterum, aut tertium; ille autem tam multos & tam multas. Et qui multos habebat liberos, repente orbus fuit. E Neque paulatim viscera ejus consumebantur, sed derepente fructus totus abripiebatur. Neque ex communi lege naturæ, neque cum ad senectutem pervenissent; sed immatura & violenta morte, omnes simul. Neque præsente illo, nec assidente, ut vel extremas voces audiens aliquam consolationem haberet de tam acerba morte; sed præter omnem spem; cum nihil gestorum ipse sciret, simul omnes sunt obruti, fuitque illis domus & sepulcrum & laqueus. Neque immatura

Luctus immoderatus vitandus.

mors tantum, sed etiam multa cum illa A erant quæ dolorem afferrent; ut quod omnes in flore juventutis essent, quod virtute præditi, quod amabiles, quod omnes simul, quod ex utroque sexu ne unus quidem reliquus sit; quod non communi lege naturæ, quod post tantum damnum, quod cum nullius mali sibi conscius esset, nec illi peccatis essent obnoxii, hæc tamen paterentur. Horum singula per se possunt turbare; cum autem una omnia concurrunt, cogita quanta fluctuum altitudo, quam ingens tempestas esset. Quodque majus est & B ipso luctu deterius, quod nesciret unde talia obvenirent. Ideo cum nullam afferre posset calamitatis causam, ad Dei placitum ascendit, & ait: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita factum est; sit nomen Domini benedictum in sæcula.* Et hæc dixit, cum se in extremis positum videret, qui virtutem omnem sectatus fuerat; scelestos autem homines, & præstigiatores, prospere agentes, deliciantes & gloriabundos undique. Neque dixit quidpiam eorum, quæ solent quidam infirmiores dicere: Ad hancne rem filios enutrivi? & cum ac- C curatione omni educavi? Ad eamne rem domum aperui prætereuntibus, ut post multos illos cursus pro egenis, pro nudis, pro pupillis susceptos, hanc mercedem excipiam? sed horum loco illa verba protulit, omni sacrificio præstantiora, dicens: *Nudus egressus sum de utero matris meæ, & nudus revertar.* Quod si vestimenta disciderit, & comam totonderit, ne mireris. Pater enim erat, & pater prolis amans, oportebatque naturæ commiserationem exhiberi, mentisque philosophiam. Quod si hoc non fe- D cisset, forte quispiam putavisset hanc philosophiam ex stupore proficisci. Ideo & viscera ostendit, & pietatis accurationem, & dolens non eversus est; sed etiam cum ulterius ejus certamen procederet, rursus aliis redimitur coronis ex verbis quæ uxori dixit: *Si bona suscepimus a Domino, mala non sustinebimus?* Nam uxor sola ipsi relicta est, sublatis omnibus, & filiis, & prædiis, & ipso corpore, & ipsa ei ad tentationem & insidias relicta est. Ideoque illam non cum filiis sustulit diabolus, neque ipsius cædem expetiit, quia sperabat illam magnam sibi opem esse la- E turam ad insidias sancto huic viro parandas. Ideoque ipsam, tamquam maximum telum sibi opportunum reliquit. Si enim, inquit, hominem per illam ex paradiso ejeci, multo magis in sterquilinio potero supplantare.

Job. 1. 21.

Jobi patientia pluribus exprimitur.

Job. 2. 10.

4. Et vide calliditatem. Neque enim postquam boves perierant hanc machinam adhibuit, neque post sublatos asinos vel camelos, nec post dejectam domum, neque post obrutos filios. Sed interim silere & quietem agere sivit, athletam vi-

μόνον θάνατος, ἀλλὰ καὶ πολλὰ μετὰ τούτου τὰ λυποῦντα ἦν, οἷον τὸ ἐν ἀκμῇ πάντας εἶναι, τὸ ἐναρέτους πάντας, τὸ φιλικούς, τὸ πάντας ὁμοῦ, τὸ τῆς φύσεως ἑκατέρας μηδὲ ἕνα παραλειφθῆναι, τὸ μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως, τὸ μετὰ τοσαύτην ζημίαν, τὸ μηδὲν ἑαυτῷ συνειδότα πονηρὸν μηδὲ ἐκείνοις, ταῦτα παθεῖν. τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ καθ' ἑαυτὸ θορυβεῖν· ὅταν δὲ καὶ ὁμοῦ φαίνηται συντρέχοντα, ἐννόησον τῶν κυμάτων τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολή. καὶ τὸ δὴ μεῖζον καὶ τοῦ πένθους χεῖρον, ὅτι οὐδὲ ᾔδει τίνος ἕνεκεν ταῦτα ἐγίνετο. διὰ δὴ τοῦτο, οὐκ ἔχων οὐδεμίαν αἰτίαν ἐπιθεῖναι τῇ συμφορᾷ, ἐπὶ τὸ τῷ θεῷ δοκοῦν ἀναβαίνει, καί φησιν· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. καὶ ταῦτα ἔλεγεν, ἑαυτὸν μὲν ἐν τοῖς ἐσχάτοις ὄντα ὁρῶν τὴν πᾶσαν ἐπελθόντα ἀρετήν· πονηροὺς δὲ ἀνθρώπους καὶ γόητας, εὐημεροῦντας, τρυφῶντας, κομῶντας πάντοθεν. καὶ οὐκ εἶπεν οὐδὲν τοιοῦτον, οἷον εἰκὸς τινὰς τῶν ἀσθενεστέρων εἰπεῖν, ἐπὶ τούτοις ἔθρεψα τοὺς παῖδας; καὶ μετὰ ἀκριβείας ἤσκησα ἁπάσης; ἐπὶ τούτοις ἠνέῳξα τὴν οἰκίαν τοῖς παριοῦσιν, ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους τοὺς ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν γυμνῶν, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολάβω τὰς ἀμοιβάς; ἀλλ' ἀντὶ τούτων τὰ πάσης θυσίας κρείττονα ῥήματα ἀνήνεγκεν ἐκεῖνα, λέγων· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. εἰ δὲ διέρρηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς. πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος· καὶ ἔδει καὶ τὴν τῆς φύσεως δειχθῆναι συμπάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν. [a] εἰ δὲ μὴ τοῦτο ἐποίησε, τάχα καὶ ἀναισθησίας ἐνόμιζεν ἄν τις εἶναι τὴν φιλοσοφίαν ταύτην. διὰ τοῦτο καὶ τὰ σπλάγχνα δείκνυσι καὶ τῆς εὐσεβείας τὴν ἀκρίβειαν, καὶ ἀλγήσας οὐ περιετράπη· ἀλλὰ καὶ περαιτέρω προϊόντος αὐτῷ τοῦ ἀγῶνος, πάλιν ἑτέροις ἀναδεῖται στεφάνοις ἐκ τῶν πρὸς τὴν γυναῖκα ῥημάτων, λέγων· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ γὰρ ἡ γυνὴ μόνη λοιπὸν ὑπελείφθη, πάντων ἀφανισθέντων αὐτῷ, καὶ τῶν παίδων, καὶ τῶν κτημάτων, καὶ αὐτοῦ τοῦ σώματος, καὶ αὕτη πρὸς πεῖραν καὶ ἐπιβουλήν. διὰ τοῦτο καὶ αὐτὴν μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος, οὐδὲ ᾔτησεν αὐτῆς τὴν σφαγήν, ἐπειδὴ προσεδόκησεν μεγάλα αὐτῷ συντελεῖν πρὸς τὴν ἐπιβουλὴν τοῦ ἁγίου τούτου. διὰ τοῦτο ὥσπερ τι μέγιστον ὅπλον αὐτὴν αὐτῷ κατέλιπεν. εἰ γὰρ παραδείσου, φησί, δι' αὐτῆς ἐξέβαλον, πολλῷ μᾶλλον ἐπὶ κοπρίας ὑποσκελίσαι δυνήσομαι.

Καὶ θέα τὴν πανουργίαν. οὐδὲ γὰρ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὲ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, ἀλλ' οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων, ἀλλὰ σιγᾶν τέως καὶ ἡσυχάζειν ἐᾷ τὸν ἀθλητὴν ὁρῶν· ὅτε δὲ

[a] Notat Savil. ad marg. in alio exemplari legi, εἰ γὰρ μή.

τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγὴ, καὶ σηπόμενον τὸ δέρμα κατέῤῥει, καὶ δαπανώμεναι αἱ σάρκες ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν, καὶ τηγάνων καὶ καμίνων, καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν ἡ τοῦ διαβόλου κατανήλισκε χεὶρ, θηρίου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν καὶ κατεσθίουσα τὸ σῶμα, καὶ ἐν ταύτῃ τῇ συμφορᾷ πολὺς προῆλθε χρόνος, τότε αὐτὴν προσάγει ἤδη τεταριχευμένῳ καὶ κατεργασθέντι. Εἰ γὰρ παρὰ τὰ προοίμια προσῆλθε τῆς συμφορᾶς, οὐδ᾽ ἂν ἐκεῖνον εὗρεν οὕτως ἐκνενευρισμένον, οὐδ᾽ ἂν αὐτὴ τὴν συμφορὰν εἶχεν ἐξογκῶσαι οὕτω καὶ ἐπᾶραι τῷ λόγῳ· νυνὶ δὲ ὅτε αὐτὸν εἶδε διὰ τὸ μῆκος τοῦ χρόνου διψῶντα ἀπαλλαγῆς, καὶ ἐπιθυμοῦντα τῆς τῶν ἐπικειμένων λύσεως, σφοδρῶς τότε προσέρχεται. ὅτι γὰρ σφόδρα κατειργασμένος ἦν, καὶ οὐδὲ ἀναπνεῖν λοιπὸν εἶχεν, ἀλλὰ καὶ ἀποθανεῖν ἐπεθύμει, [a] ἄκουσον τί φησιν· [a] Εἰ γὰρ δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου, καὶ ποιήσαιμι τοῦτο. καὶ θέα μοι τὴν κακουργίαν τῆς γυναικὸς, πόθεν εὐθέως προοιμιάζεται, ἀπὸ τοῦ πλήθους τοῦ χρόνου· μέχρι τίνος καρτερήσεις; λέγουσα. Εἰ δὲ πολλάκις καὶ πραγμάτων οὐκ ὄντων λόγοι μόνον ἴσχυσαν μαλάξαι, ἐννόησον τί τότε παθεῖν αὐτὸν εἰκὸς ἦν, μετὰ τῶν ῥημάτων τούτων καὶ τῶν πραγμάτων ὀδυνώντων αὐτόν· καὶ τὸ δὴ πάντων χεῖρον, ὅτι καὶ γυνὴ ἡ λέγουσα ἦν, καὶ γυνὴ ἀναπεσοῦσα, καὶ ἀπαγορεύουσα, καὶ διὰ τοῦτο σπουδάζουσα καὶ αὐτὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν. πλὴν ἀλλ᾽ ἵνα σαφέστερον ἴδωμεν τὸ μηχάνημα τὸ τῷ ἀδαμαντίνῳ τούτῳ προσαγόμενον τείχει, καὶ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων. τίνα οὖν ταῦτά ἐστι; μέχρι τίνος καρτερήσεις λέγων; ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου. ἤλεγξε γάρ σου, φησὶ, τὰ ῥήματα ὁ χρόνος, μακρότερος μὲν γενόμενος, λύσιν δὲ οὐδεμίαν ἐμφαίνων· ταῦτα δὲ ἔλεγεν, οὐκ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλουσα μόνον, ἀλλὰ καὶ ὀνειδίζουσα καὶ κωμῳδοῦσα. καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ παραμυθούμενος καὶ διακρουόμενος τοιαῦτα ἐφθέγγετο· ἀνάμεινον ἔτι μικρὸν, καὶ ταχέως ἔσται τούτων τὸ τέλος. ὀνειδίζουσα τοίνυν αὐτῷ, φησί· μὴ καὶ νῦν τὸ αὐτὸ ἐρεῖς; πολὺς γὰρ ἤδη χρόνος παρέδραμε, καὶ τέλος τούτων οὐδὲν ἀνεφάνη. καὶ θέα τὴν κακουργίαν. οὐδὲ γὰρ μέμνηται τῶν βοῶν, οὐ τῶν προβάτων, οὐδὲ τῶν καμήλων· ᾔδει γὰρ οὐ σφόδρα αὐτὸν τούτοις δακνόμενον, ἀλλ᾽ ἐπὶ τὴν φύσιν εὐθέως ἔρχεται, καὶ τῶν παίδων ἀναμιμνήσκει. ἐπ᾽ αὐτοῖς γὰρ εἶδεν αὐτὸν καὶ τὴν ἐσθῆτα διαῤῥήξαντα, καὶ τὴν κόμην ἀποκειράμενον. καὶ οὐκ εἶπεν, ἀπώλετό σου τὰ παιδία, ἀλλὰ σφόδρα περιπαθῶς· ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, δι᾽ ὃ καὶ τὰ παιδία ποθεινά. Εἰ γὰρ καὶ νῦν, ἀναστάσεως φανείσης, ἐντεῦθεν ἐστὶ τὰ παιδία ἐπέραστα ἀπὸ τοῦ τὴν μνήμην τῶν

A dens. Ubi autem vermium fons scaturivit, cum putrescens pellis diflueret, & consumtæ carnes saniem emitterent, ac sartaginibus fornacibusque, & quavis flamma gravior ipsum diaboli manus consumeret, quavis fera efferatior ipsi corpus undique consumens & devorans, cum in hac calamitate multum temporis insumtum fuisset, tunc uxorem ad illum adducit jam exsiccatum & confectum. Si enim initio calamitatis accessisset, non ita illum enervatum reperisset, neque calamitatem adeo potuisset exaggerare B ac verbis extollere. Nunc autem ubi vidit illum ob temporis diuturnitatem, liberationem sitire, & malorum finem desiderare, tunc vehemens accedit. Quia enim valde confectus erat, neque respirare ultra poterat, sed & mori cupiebat, audi quid dicat: Nam si mihi possem manum inferre, aut alium rogare, etiam hoc facerem. Et vide mihi nequitiam mulieris, unde statim ordiatur: a diuturnitate temporis, dicens: Quousque tolerabis? Si namque sæpe, etiam cum gravia non instarent negotia, verba solum emollire potuerunt, cogita quid verisimi- C liter ipse tunc patiebatur, cum & hæc verba & res ipsæ dolorem ipsi inferrent. Quodque omnium teterrimum erat, quod & uxor ejus loqueretur, & uxor quæ conciderat & animum despondebat; ideoque studebat & ipsum in desperationem conjicere. Cæterum ut aperte videamus machinam in hunc murum adamantinum admotam, ipsa verba audiamus. Quænam illa sunt, *Quousque tolerabis* dicens? Ecce præstolor adhuc modicum temporis spem salutis habens. Job. 2. 9. Tua, inquit, verba refellit tempus, quod diuturnius factum, nullam exhibet solu- D tionem. Hæc autem dicebat non modo in desperationem ipsum conjiciens; sed exprobrans ei & traducens illum. Etenim ille molestiam creantem ipsam consolans, & ejus verba depellens, talia loquebatur: Exspecta adhuc paululum, & cito finis horum veniet. Illi ergo exprobrans dicit ipsa: An nunc quoque idipsum dices? Multum enim temporis jam præteriit, & nullus horum finis visus est. Et vide nequitiam: non boum meminit, non ovium, non camelorum; sciebat enim illum non admodum hisce morderi; sed statim venit ad naturam, & filios in me- E moriam revocat. Viderat enim ipsum amissis filiis vestem dissidisse, & comam totondisse. Neque dixit, Filii tui periere, sed modo ad commiserationem composito: Deletum est memoriale tuum de terra, propter quod filii desiderabiles sunt. Etenim si etiam nunc, cum resurrectio futura creditur, hinc filii desiderabiles sunt, quod eorum qui decesserunt

[a] εἰ γὰρ δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου, καὶ ποιήσαιμι τοῦτο. Hæc verba, quæ desperantis esse videntur, in hodiernis exemplaribus non habentur. Possunt tamen alio sensu mitiore intelligi, nempe: nam si liceret, si fas esset, si sine peccato possem mihi manum inferre, &c.

A memoriam servent, multo magis tunc. Ideo hinc maledictio acerbior efficitur. Neque enim qui illic exsecratur dicit; exterminentur filii, sed monumentum ejus e terra, nempe filii tui & filiæ tuæ. Cum dixisset enim, memoriale, accurate rursus utrumque sexum memorat. Si autem hæc, inquit, non tibi curæ sunt, me saltem spectes. Uteri mei dolores laboresque, quos frustra sum perpessa. Id est, quæ majorem tuli dolorem, injuria propter te affecta sum: dolores subii, & fructibus sum privata. Et vide quomo-
B do jacturam pecuniarum neque memoret, neque taceat vel prætercurrat; sed ut licebat illam miserabiliter tangere, ipsam subindicet. Cum enim dixit: Et ego errabunda & serva, a loco in locum, & a domo in domum circumcursans, & jacturam subindicat, & magnam exhibet commiserationem. Nam ipsa verba possunt calamitatem amplificare. Ad aliorum, inquit, ostia venio. Neque enim solum mendico, sed etiam erro, & servitutem subeo non exspectatam & novam, undique circumiens & calamitatis signa circumferens, omnesque mala mea do-
C cens; quod omnium miserrimum est, domum frequenter mutare. Neque hic lamentandi finem fecit; sed subjunxit dicens; Exspectans solem quando occidet, & requiescam a laboribus meis & a doloribus qui me circumdant & detinent. Quod enim aliis suave est, inquit, radium videre, hoc mihi grave; desiderabiles autem mihi sunt nox & tenebræ. Hæ mihi a sudoribus quietem pariunt: hæ mihi sunt in malis consolatio. Sed dic verbum contra Dominum, & morere.

5. Vidistin' hic quoque nequitiam? Quo pacto in consilio suo non statim in-
D duxerit perniciosam adhortationem, sed cum prius calamitates miserabiliter enarrasset, & tragœdiam extendisset, paucis verbis adhortationem ponit, neque clare illam indicat; sed subindicans illam, maxime desiderabilem ipsi proponit liberationem, & mortem denunciat, quam summopere optabat. Et hinc quoque observa diaboli vafriciem & malitiam. Quia enim sciebat Jobi amorem erga Deum, non sinit mulierem Deum accusare, ne ille ut inimicam ipsam statim aversaretur. Ideo ejus nusquam meminit, sed quæ ac-
E ciderant sus deque versat. Tu autem, cum iis quæ dicta sunt, adde mulierem quæ hoc dabat consilium, vehementem oratorem ad eos pelliciendos qui non attendunt. Multi certe etiam absque calamitatibus, a solo mulierum consilio dejecti fuerunt. Quid igitur hic vir beatus, & adamante fortior? Acriter illam intuitus, a solo aspectu, antequam vocem emitteret, machinas depulit. Illa enim sperabat se lacrymarum fontes moturam esse. Hic vero leone vehementior fuit, ira & indignatione plenus, non pro iis quæ patiebatur; sed propter consilia quæ

ἀπελθόντων διατηρεῖν· πολλῷ μᾶλλον τότε. διὰ τοῦτο καὶ ἡ ἀρὰ ἐντεῦθεν γίνεται πικροτέρα. οὐδὲ γὰρ ἐκεῖ τὰ παιδία, ὁ ἐπαρώμενος εἶπεν, ἐξολοθρευθείη· ἀλλὰ, τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς· οἱ υἱοί σου, καὶ αἱ θυγατέρες σου. εἰποῦσα γὰρ, τὸ μνημόσυνον, μετὰ ἀκριβείας πάλιν ἑκατέρας τῆς φύσεως μέμνηται. εἰ δέ σοι, φησὶν, οὐ μέλει τούτων, κἂν τὸ ἐμὸν σκόπει. τῆς ἐμῆς κοιλίας ὠδῖνες, καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ τὸ πλέον ἐνεγκοῦσα ἠδίκημαι διὰ σὲ, καὶ τοὺς μὲν πόνους ὑπέστην, τῶν δὲ καρπῶν ἀπεστέρημαι. καὶ ὅρα πῶς οὔτε τίθησι τὴν ζημίαν τῶν χρημάτων, οὔτε σιγᾷ αὐτὴν καὶ παρατρέχει, ἀλλ' ὡς ἐνῆν καὶ περιπαθῶς αὐτὴν ἀπαγγεῖλαι, οὕτως αἰνίττεται. ὅταν γὰρ εἴπῃ, κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου, οἰκίαν ἐξ οἰκίας περιερχομένη, καὶ τὴν ζημίαν αἰνίττεται, καὶ πολλὴν τὴν προσπάθειαν δείκνυσι. καὶ γὰρ καὶ αἱ λέξεις αὐταὶ ἱκαναὶ ἐπᾶραι τὴν συμφοράν. ἐπὶ γὰρ τὰς ἑτέρων ἔρχομαι θύρας, φησίν. οὐδὲ γὰρ προσαιτῶ μόνον, ἀλλὰ καὶ πλανῶμαι, καὶ δουλεύω δουλείαν ξένην καὶ καινὴν, πανταχοῦ περιιοῦσα, καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πάντας διδάσκουσα τὰ ἐμὰ κακά· ὃ πάντων ἐστὶν ἐλεεινότερον, τὸ οἰκίαν ἐξ οἰκίας ἀμείβειν. καὶ οὐδὲ ἐνταῦθα ἔστη τῶν θρήνων, ἀλλ' ἐπήγαγε λέγουσα· προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀναπαύσομαι τῶν μόχθων μου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ὃ γὰρ τοῖς ἄλλοις ἐστὶν ἡδὺ, φησὶ, τὸ τὴν ἀκτῖνα ὁρᾷν, τοῦτο ἐμοὶ βαρύ· ποθεινὸν δὲ ἡ νὺξ καὶ τὸ σκότος. αὕτη γάρ με ἀναπαύει τῶν ἱδρώτων μόνη, αὕτη μοι παραμυθία γίνεται τῶν κακῶν· ἀλλ' εἰπόν τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα.

Εἶδες κἀνταῦθα τὴν κακουργίαν; πῶς οὐδὲ ἐν αὐτῇ τῇ συμβουλῇ εὐθέως εἰσήγαγε τὴν ὀλεθρίαν παραίνεσιν, ἀλλὰ διηγησαμένη πρῶτον ἐλεεινῶς τὰς συμφορὰς, καὶ ἐκτείνασα τὴν τραγῳδίαν, ἐν βραχεῖ τίθησι τὴν παραίνεσιν, καὶ οὐδὲ ἐμφαίνει σαφῶς αὐτὴν, ἀλλὰ συσκιάσασα ἐκείνην, τὴν ἀπαλλαγὴν αὐτῷ προτείνει τὴν μάλιστα ποθεινὴν, καὶ ἐπαγγέλλεται τελευτὴν, ὃ μάλιστα ἐπεθύμει. καὶ σκόπει κἀντεῦθεν τοῦ διαβόλου τὴν κακουργίαν. ἐπειδὴ γὰρ ᾔδει τὸν πόθον τοῦ Ἰὼβ τὸν περὶ τὸν θεὸν, οὐκ ἀφίησι τὴν γυναῖκα κατηγορῆσαι τοῦ θεοῦ, ἵνα μὴ ὡς ἐχθρὰν εὐθέως ἀποστραφῇ. διὰ τοῦτο αὐτοῦ μὲν οὐδαμοῦ μέμνηται, τὰ δὲ συμβάντα, ἄνω καὶ κάτω στρέφει. σὺ δὲ μετὰ τῶν εἰρημένων, ὅτι καὶ γυνὴ ἦν ἡ ταῦτα συμβουλεύουσα, πρόσθες, δεινὸς καταγοητεῦσαι ῥήτωρ τοὺς μὴ προσέχοντας. πολλοὶ γοῦν καὶ χωρὶς συμφορῶν, ἀπὸ γυναικῶν συμβουλῆς κατηνέχθησαν μόνης. τί οὖν ὁ μακάριος οὗτος, καὶ ἀδάμαντος στερρότερος; βλέψας εἰς αὐτὴν πικρὸν, ἀπὸ τῆς ὄψεως καὶ πρὸ τῆς φωνῆς διεκρούσατο τὰ μηχανήματα. ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινήσειν πηγάς· οὗτος δὲ λέοντος σφοδρότερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως, οὐχ ὑπὲρ ὧν ἔπασχεν, ἀλλ' ὑπὲρ ὧν ἐκείνη διαβολικῶς συνεβούλευσε.

συνεβούλευσε, καὶ τῷ βλέμματι τὸν θυμὸν ἐνδειξάμενος, μεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. καὶ γὰρ καὶ ἐν συμφοραῖς σώφρων ἦν. καὶ τί φησιν; ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; οὐχ οὕτω σε ἐπαίδευσα, φησιν, οὐχ οὕτω σε ἔθρεψα· ὅθεν οὐδὲ ἐπιγινώσκω τὴν σύνοικον τὴν ἐμήν. τὰ γὰρ ῥήματα ταῦτα ἀνοήτου γυναικός, καὶ παραπαιούσης ἡ συμβουλή. Εἶδες τομὴν σύμμετρον, καὶ πληγὴν ἱκανὴν διορθῶσαι τὸ νόσημα; Εἶτα μετὰ τὴν ἐπίπληξιν, καὶ συμβουλὴν εἰσάγει πάλιν ἀρκοῦσαν αὐτὴν παραμυθήσασθαι καὶ πολὺ τὸ εὔλογον ἔχουσαν, λέγων· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀναμνήσθητι γάρ, φησι, τῶν προτέρων ἐκείνων, καὶ λογίζου τὸν αἴτιον, καὶ οἴσεις καὶ ταῦτα γενναίως. Εἶδες μετριοφροσύνην ἀνδρός; οὐδὲ γὰρ τῇ ἀνδρείᾳ αὐτοῦ λογίζεται τὴν ὑπομονήν, ἀλλὰ τῆς τῶν πραγμάτων ἀκολουθίας αὐτὴν εἶναί φησιν. ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ θεός; ποίαν ἐκτιννὺς ἀμοιβήν; οὐδεμίαν· ἀλλ' ἐξ ἀγαθότητος μόνης. δωρεὰ γὰρ ἦν, οὐκ ἀμοιβή· καὶ χάρις, οὐκ ἀντίδοσις. οὐκοῦν καὶ ταῦτα φέρωμεν γενναίως. τοῦτον καὶ ἄνδρες καὶ γυναῖκες τὸν λόγον ἀνάγραπτον ἔχωμεν, καὶ τὰ ῥήματα ταῦτα ἐγκολάψωμεν τῇ διανοίᾳ, καὶ ταῦτα καὶ τὰ πρὸ τούτων· καὶ τὴν ἱστορίαν αὐτοῦ τῶν μαθητῶν, καθάπερ εἰκόνα, ἐπὶ τῆς διανοίας ὑπογράψαντες, τὴν ζημίαν λέγω τῶν χρημάτων, τὴν ἀφαίρεσιν τῶν παίδων, τὴν πληγὴν τοῦ σώματος, τὰ ὀνείδη, τὰς χλευασίας, τὰς τῆς γυναικὸς μηχανάς, τὴν τοῦ διαβόλου ἐπιβουλήν, πάντα ἁπλῶς μετὰ ἀκριβείας τὰ πάθη τοῦ δικαίου, λιμένα κατασκευάσωμεν μέγιστον ἡμῖν· ἵνα πάντα γενναίως καὶ εὐχαρίστως φέροντες, καὶ ἐν τῷ παρόντι βίῳ πᾶσαν ἀποκρουσώμεθα ἀθυμίαν, καὶ τοὺς περὶ τῆς εὐφημίας ταύτης ἀπολάβωμεν μισθούς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A diabolice ab illa data sunt. Et ipso aspectu indignationem exhibens, moderata utitur increpatione. Etenim in calamitatibus moderatus erat. Ecquid ait? *Cur sicut una ex insipientibus mulieribus loquuta es?* (Job. 2. 9.) Non sic te erudivi, inquit, non sic te educavi: unde nec consortem meam cognosco. Hæc quippe dicta sunt insanæ mulieris, & furentis consilium est. Viden' sectionem moderatam, plagam quæ posset morbum curare. Deinde post increpationem, consilium rursus affert, quod possit illam consolari, & rationi valde consentaneum, dicens: Si bona
B suscepimus de manu Domini, mala non sustinebimus? Recordare enim, inquit, priorum illorum, & tecum reputa auctorem, & hæc fortiter feres. Vidistin' moderationem viri? Neque enim fortitudini suæ patientiam suam adscribit: sed ex rerum consequentia fuisse illam dicit. Pro quibusnam enim illa nobis dedit Deus? Quam rependens remunerationem? Nullam: sed ex sola benignitate sua. Donum enim erat, non retributio; gratia, non remuneratio. Ergo hæc fortiter feramus. Hoc & viri & mulieres inscriptum dictum habeamus; hæc verba
C in mente insculpamus, & hæc & ea quæ præcedunt. Et historiam discipulorum ejus, velut imaginem in mentem nostram inscribentes, jacturam dico pecuniarum, filios sublatos, corporis plagam, opprobria, irrisiones, uxoris machinas, diaboli insidias, omnes uno verbo justi calamitates, nobis in portum maximum apparemus. Ut omnia fortiter & cum gratiarum actione ferentes, & in præsenti vita mœrorem omnem depellamus, & de hac benedictione mercedem referamus,
D gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri & unà Spiritui Sancto gloria, imperium, honor, nunc & semper, & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ κθʹ.

## HOMILIA XXIX.

Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.

1. *De spiritualibus autem, fratres, nolo vos ignorare.* 2. *Scitis autem quod cum gentes essetis, ad simulacra muta prout ducebamini euntes.* Cap. XII.

ΤΟΥΤΟ ἅπαν τὸ χωρίον σφόδρα ἐστὶν ἀσαφές· τὴν δὲ ἀσάφειαν ἡ τῶν πραγμάτων ἄγνοιά τε καὶ ἔλλειψις ποιεῖ, τῶν τότε μὲν συμβαινόντων, νῦν δὲ οὐ γινομένων. καὶ τίνος ἕνεκεν οὐ γίνεται νῦν; ἰδοὺ γὰρ καὶ ἡ αἰτία πάλιν τῆς ἀσαφείας ἕτερον ἡμῖν ζήτημα ἔτεκε. τί δήποτε γὰρ τότε μὲν ἐγίνετο, νῦν δὲ οὐκέτι; ἀλλὰ τοῦτο μὲν εἰσαῦθις [a] ἀναβαλώμεθα, τέως δὲ τὰ συμβαίνοντα τότε λέγωμεν. τί οὖν τότε συνέβαινεν; Εἴ τις ἐβαπτίσατο, γλώσσαις εὐθέως ἐλάλει, καὶ οὐ γλώσσαις μόνον, ἀλλὰ πολλοὶ καὶ προεφήτευον, τινὲς δὲ καὶ ἑτέρας

E 1. HIC totus locus valde obscurus est: obscuritatem vero parit ignoratio eorum quæ tunc contingebant, nunc autem non fiunt. Et cur non nunc fiunt? Ecce namque obscuritatis causa aliam nobis quæstionem peperit. Cur enim tunc fiebant, nunc vero secus? Sed hoc postea dicendum mittamus, interim vero quæ tunc fiebant recenseamus. Quid ergo tunc contingebat? Si quis baptizaretur, linguis statim loquebatur, & non linguis tantum; sed etiam multi prophetabant; quidam vero alias

[a] Alii, ἀναβαλόμεθα.

plures virtutes exhibebant. Quia enim ab idolis accedentes, cum nihil clare scirent, neque in antiquis Bibliis essent educati, baptizati statim Spiritum accipiebant, Spiritum vero non videbant, invisibilis cum sit; dabat autem gratia sensile quoddam argumentum illius operationis; aliusque Persica, alius Romana, alius Indica, alius alia lingua statim loquebatur: & hoc externis notum faciebat, Spiritum sanctum in ipso loquente esse. Ideo sic ipsum appellat dicens: Unicuique autem manifestatio Spiritus datur ad utilitatem, charismata seu dona vocans manifestationem Spiritus. Quia enim Apostoli hoc primum signum acceperunt, fideles quoque acceperunt linguarum donum; neque hoc solum, sed & alia plurima. Nam & mortuos multi suscitabant, & dæmonas pellebant, & alia multa similia mirabiliter operabantur. Donaque habebant alii quidem pauciora, alii vero plura. Magis autem quam alia omnia apud illos erat donum linguarum. Et hæc causa schismatis illis fuit; non ex natura sua, sed ex ingrato accipientium animo. Nam qui majora habebant, efferebantur adversus eos qui minora possidebant. Hi vero rursus dolebant, & iis qui majora haberent invidebant. Idque in sequentibus ostendit Paulus. Quia igitur hinc lethalem accipiebant plagam, dum in eis caritas dissolveretur, multum studium ponit ut id corrigat. Contigit hoc etiam Romæ; sed non hoc modo. Quapropter in epistola ad Romanos, illud movet quidem, sed adumbrate & breviter, sic dicens: *Sicut enim in uno corpore multa membra habemus, membra autem omnia non eamdem habent operationem; sic multi unum corpus sumus in Christo; singuli autem invicem membra. Habentes autem dona secundum gratiam quæ data est nobis diversa: sive prophetiam, secundum proportionem fidei; sive ministerium in ministrando, sive qui docet in doctrina.* Quod autem illi inde in arrogantiam inciderent, id in principio subindicavit ita dicens: *Dico autem vobis per gratiam quæ data est mihi, omnibus qui sunt in vobis non plus sapere, quam oportet sapere; sed sapere ad sobrietatem: unicuique ut Deus distribuit mensuram fidei.* Itaque cum illis; neque enim magnus erat morbus dissidii & arrogantiæ, sic disseruit. Hic vero cum multo studio, nam morbus valde invalescebat. At non hoc tantum illos conturbabat; sed multi erant istic divinantes, quod urbs illa Græcorum moribus addicta esset. Et cum aliis hoc quoque illos supplantabat & turbabat. Quapropter orditur statuens quid interesset discriminis divinationem inter & prophetiam. Propterea etiam discretiones spirituum acceperunt, ut discernerent & scirent, quis loqueretur per mundum spiritum, quis per immundum. Quia enim ex ipsa re non poterat dicto-

Spiritus Sancti dona causa schismatis.

Rom. 12. 4.

Rom. 12. 3.

A πλείους δυνάμεις ἐπεδείκνυντο. ἐπειδὴ γὰρ ἀπὸ τῶν εἰδώλων προσιόντες, οὐδὲν εἰδότες σαφῶς, οὐδὲ ταῖς παλαιαῖς ἐντραφέντες βίβλοις, βαπτισθέντες εὐθέως πνεῦμα ἐλάμβανον. τὸ δὲ πνεῦμα οὐχ ἑώρων· ἀόρατον γάρ ἐστιν· αἰσθητόν τινα ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χάρις. καὶ ὁ μὲν τῇ Περσῶν, ὁ δὲ τῇ Ῥωμαίων, ὁ δὲ τῇ Ινδῶν, ὁ δὲ ἑτέρᾳ τινὶ τοιαύτῃ εὐθέως ἐφθέγγετο γλώσσῃ· καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν, ὅτι πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ. διὸ καὶ οὕτως αὐτὸ καλεῖ λέγων, ἑκάστῳ δὲ ἡ φανέρωσις B τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον, τὰ χαρίσματα φανέρωσιν πνεύματος ὀνομάζων. ἐπειδὴ γὰρ καὶ οἱ ἀπόστολοι τοῦτο πρῶτον σημεῖον ἔλαβον, καὶ οἱ πιστοὶ τοῦτο ἐλάμβανον τὸ τῶν γλωσσῶν, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα πλείω. καὶ γὰρ καὶ νεκροὺς ἤγειρον πολλοὶ, καὶ δαίμονας ἤλαυνον, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐθαυματούργουν· καὶ χαρίσματα δὲ εἶχον, οἱ μὲν ἐλάττονα, οἱ δὲ πλείω. πλέον δὲ πάντων τὸ τῶν γλωσσῶν ἦν παρ᾽ αὐτοῖς χάρισμα· καὶ τοῦτο αἴτιον σχίσματος αὐτοῖς ἐγίνετο, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην τῶν C εἰληφότων. οἵ τε γὰρ τὰ μείζονα ἔχοντες ἐπήροντο κατὰ τῶν τὰ ἐλάττονα κεκτημένων· οὗτοι δ᾽ αὖ πάλιν ἤλγουν, καὶ τοῖς τὰ μείζονα ἔχουσιν ἐφθόνουν. καὶ τοῦτο προϊὼν δείκνυσιν αὐτὸς ὁ Παῦλος. ἐπεὶ οὖν ἐντεῦθεν καιρίαν ἐλάμβανον πληγὴν, διαλυομένης αὐτοῖς τῆς ἀγάπης, πολλὴν σπουδὴν ποιεῖται, ὥστε αὐτὸ διορθῶσαι. συνέβη μὲν γὰρ τοῦτο καὶ ἐν τῇ Ῥώμῃ, ἀλλ᾽ οὐχ οὕτω. διόπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ κινεῖ μὲν αὐτὸ, συνεσκιασμένως δὲ καὶ ἐν βραχεῖ, λέγων οὕτω· καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν D αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ· ὁ δὲ καθεὶς, ἀλλήλων μέλη. ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ. ὅτι δὲ καὶ ἐκεῖνοι εἰς ἀπόνοιαν ἐντεῦθεν ἐνέπιπτον, ἀρχόμενος ἠνίξατο τοῦτο, οὕτως εἰπών· λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως. ἐκείνοις μὲν οὖν· E οὐδὲ γὰρ πολὺ τὸ νόσημα ἦν τῆς διαστάσεως καὶ ἀπονοίας· οὕτω διείλεκται· ἐνταῦθα δὲ μετὰ πολλῆς τῆς σπουδῆς· καὶ γὰρ σφοδρὰ τοῦ πάθους ἦν ἡ νομή. καὶ οὐδὲ τοῦτο μόνον αὐτοὺς ἐθορύβει, ἀλλὰ καὶ μάντεις ἦσαν αὐτόθι πολλοὶ, ἅτε Ελληνικώτερον τῆς πόλεως διακειμένης, καὶ μετὰ τῶν ἄλλων καὶ τοῦτο αὐτοὺς ὑπεσκέλιζε καὶ ἐτάραττε. διὸ καὶ ἀρχόμενος, πρῶτον τὸ μέσον μαντείας καὶ προφητείας τίθησι. διὰ τοῦτο καὶ διακρίσεις ἔλαβον πνευμάτων, ὥστε διακρίνειν καὶ εἰδέναι, τίς μὲν ὁ πνεύματι φθεγγόμενος καθαρῷ, τίς δὲ ὁ ἀκαθάρτῳ. ἐπειδὴ γὰρ αὐτόθεν οὐκ ἦν παρασχεῖν τῶν

λεγομένων τὴν ἀπόδειξιν. προφητεία γὰρ οὐκ ἐν τῷ καιρῷ, ᾧ λέγεται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἐκβάσεως παρέχεται τῆς οἰκείας ἀληθείας τὸν ἔλεγχον, καὶ οὐκ ἦν εὔκολον αὐτὴν διαγνῶναι, καὶ τίς μὲν ὁ προφητεύων, τίς δὲ ὁ ψευδόμενος. καὶ γὰρ μιαρὸς ὢν ὁ διάβολος ἐπεισῄει τοῖς προφητεύουσι, ψευδοπροφήτας εἰσάγων ὡς δῆθεν τὰ μέλλοντα προλέγοντας καὶ αὐτούς. εἶτα ἐπειδὴ τέως ἀνεύθυνα ἦν τὰ λεγόμενα, οὔπω τῶν πραγμάτων ἐκβαινόντων περὶ ὧν προελέγετο, καὶ ῥᾳδίως παρεκρούετο, τὸν γὰρ ψευδόμενον καὶ τὸν ἀληθεύοντα τὸ τέλος ἤλεγχεν, ἵνα μηδὲ πρὸ τοῦ τέλους ἀπατῶνται οἱ ἀκροαταί, δίδωσιν αὐτοῖς σημεῖον, ὃ καὶ πρὸ τῆς ἐκβάσεως ἐδείκνυ τοῦτον κἀκεῖνον· καὶ ἐντεῦθεν λαβὼν ἀκολουθίαν καὶ ἀρχήν, οὕτω καὶ εἰς τὸν περὶ τῶν χαρισμάτων ἐκβαίνει λόγον, καὶ τὴν φιλονεικίαν διορθοῦται τὴν καὶ ἐντεῦθεν γινομένην. τέως μέντοι τοῦ περὶ τῶν μάντεων ἄρχεται λόγου οὕτω λέγων· περὶ δὲ τῶν πνευματικῶν οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, πνευματικὰ τὰ σημεῖα καλῶν, ὅτι ταῦτα ἔργα τοῦ πνεύματος μόνου, οὐδὲν ἀνθρωπίνης ἐπεισφερούσης σπουδῆς εἰς τὸ τὰ τοιαῦτα θαυματουργεῖν. καὶ μέλλων περὶ αὐτῶν διαλέγεσθαι, πρότερον, ὅπερ ἔφην, τῆς μαντείας τὴν διαφορὰν καὶ τῆς προφητείας τίθησιν, οὕτω λέγων· οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐν τοῖς [a] εἰδώλοις, φησίν, εἴποτε κατεσχέθη τις ὑπὸ πνεύματος ἀκαθάρτου καὶ ἐμαντεύετο, ὥσπερ ἀπαγόμενος, οὕτως εἵλκετο ὑπὸ τοῦ πνεύματος δεδεμένος, οὐδὲν εἰδὼς ὧν λέγει. τοῦτο γὰρ μάντεως ἴδιον, τὸ ἐξεστηκέναι, τὸ ἀνάγκην ὑπομένειν, τὸ ὠθεῖσθαι, τὸ ἕλκεσθαι, τὸ σύρεσθαι ὥσπερ μαινόμενον. ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ μετὰ διανοίας νηφούσης, καὶ σωφρονούσης καταστάσεως, καὶ εἰδὼς ἃ φθέγγεται, φησὶν ἅπαντα. ὥστε καὶ πρὸ τῆς ἐκβάσεως κἀντεῦθεν γνώριζε τὸν μάντιν καὶ τὸν προφήτην. καὶ σκόπει πῶς ἀνύποπτον ποιεῖ τὸν λόγον· αὐτοὺς μάρτυρας καλεῖ τοὺς ἐν τῇ πείρᾳ τοῦ πράγματος γενομένους. ὅτι γὰρ οὐ ψεύδομαι, φησίν, οὐδὲ ἁπλῶς διασύρω τὰ τῶν ἐθνῶν, ὡς ἐχθρὸς πλάττων, αὐτοὶ ὑμεῖς μοι μαρτυρήσετε. καὶ γὰρ οἴδατε ὅτε Ἕλληνες ἦτε, πῶς ἀπήγεσθε ἑλκόμενοι τότε. εἰ δέ τις καὶ τούτους ὡς πιστοὺς ὑπόπτους εἶναι φαίη, φέρε καὶ ἐκ τῶν ἔξωθεν τοῦτο ὑμῖν ποιήσω φανερόν. ἄκουσον γοῦν Πλάτωνος λέγοντος οὕτως· [b] ὥσπερ οἱ χρησμῳδοὶ καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσιν. ἄκουσον γοῦν καὶ ἑτέρου ποιητοῦ τὰ αὐτὰ ἐνδεικνυμένου. ἐπειδὴ γὰρ τελεταῖς τισι καὶ μαγγανείαις κατέδησε δαίμονά τις εἰς ἄνθρωπον, καὶ ἐμαντεύετο ἐκεῖνος, καὶ μαντευόμενος ἐρριπτεῖτο, καὶ ἐσπαράττετο, καὶ ἐνεγκεῖν τοῦ δαίμονος τὴν ὁρμὴν οὐκ

A rum demonstratio præberi. Prophetia enim non in tempore quo profertur, sed in tempore eventus prænunciatæ rei, veritatis suæ argumentum præbet; neque facile erat illam internoscere, dicereque quis propheta, quis mendax esset. Etenim cum scelestus & immundus sit diabolus, in prophetas sese injiciebat, falsos inducens prophetas, ut qui & ipsi futura prædicerent. Deinde quia de iis quæ dicebantur non poterat ratio reddi, cum res quæ prædictæ fuerant nondum evenissent, & facile confutabatur; mendacem enim B & veracem finis comprobat; ne ante finem auditores deciperentur, dat illis signum, quod etiam ante eventum hunc & illum indicaret. Et hinc accepta consequentia & principio, sic in sermonem de charismatibus transit, & contentionem inde subortam corrigit. Interim vero de divinatoribus loquens sic orditur: *De spiritualibus autem nolo vos ignorare, fratres*; spiritualia vocans signa, quia illa Spiritus solius sunt opera, humano studio nihil afferente ad talia miracula patranda. Et de illis disputaturus, prius, ut C dixi, divinationem inter & prophetiam differentiam ponit, sic dicens: *Scitis quod cum gentes essetis ad simulacra muta prout ducebamini euntes.* Id est: In idolis, inquit, si quis abreptus esset a spiritu immundo, & vaticinaretur, quasi abductus sic ille trahebatur a spiritu vinctus, nihil sciens eorum quæ dicebat. Hoc enim divinatori proprium est, ut mente excedat, vim patiatur, pellatur, trahatur, quasi furens. Propheta vero non sic; sed cum vigili mente, cum temperanti constitu- D tione, illa sciens quæ dicit, omnia loquitur. Itaque etiam ante eventum hinc internosce vatem & prophetam. Et vide quam non suspectum proferat sermonem: ipsos vocat testes, qui rei experientiam fecerint. Quod enim non mentiar, inquit, neque temere ea quæ gentium sunt traducam, fingens tamquam inimicus, vos ipsi mihi feretis testimonium. Etenim ipsi scitis quomodo, cum essetis Græci, tracti abduceremini. Quod si quis hos, De Platone. utpote fideles, suspectos esse dixerit; age, etiam ab externis hoc vobis manifestum E reddam. Audi ergo Platonem sic loquentem: Quemadmodum divinatores & vates multa quidem & pulcra dicunt; eorum vero quæ proferunt nihil sciunt. Audi alium quoque poëtam eadem ipsa indicantem. Postquam quibusdam initiationibus & præstigiis, dæmonem quis homini alligaverat, ille vero vaticinabatur, dum vaticinaretur ille, raptabatur & discerpebatur, ac dæmonis impetum ferre

[a] εἰδώλοις. Savilius putat legendum, εἰδωλείοις.

[b] Hæc Platonis verba habentur in Apologia Socratis editionis Henrici anno 1578. tomo 1. p. 22.

non poterat; sed sic raptatus periturus erat; iis qui talibus præstigiis dabant operam dicit:

*Solvite demum: regem Deum mortalis*
*non ultra capit.*

Et rursum:

*Solvite serta mihi, atque pedes aspergite lympha munda,*
*Et expungantur mihi lineæ, ut adesse possim.*

Hæc enim & similia; nam longe plura dici possent, utraque nobis ostendunt; & necessitatem qua serviunt qui detinentur dæmones, & vim quam sustinent ii qui semel se ipsis dediderunt, & a naturali sua mente excedunt. Pythia vero; cogor enim aliam quoque eorum turpitudinem traducere, quam bonum quidem esset prætermittere, quod indecorum nobis sit talia proferre; ut autem illorum dedecus clarius evadat, necessarium est dicere; ut hinc discatis amentiam, & ridicula gesta eorum qui vatibus illis utuntur. Dicitur ergo Pythia mulier insidere tripodi Apollinis, divaricatis cruribus. Deinde malum inferne emitti spiritum, & per genitales ejus partes subeuntem, furore mulierem replere, & hanc deinceps passis capillis debacchari & spumam ex ore emittere; & sic temulentam illam furoris verba proferre. Scio vos pudore affectos erubescere hæc audientes. Verum illi altum sapiunt, ob turpitudinem & insaniam tantam.

De Pythia.

2. Hæc igitur & similia omnia Paulus exagitans dicebat: scitis quod cum gentes essetis, ad simulacra muta inducebamini abducti. Et quia cum iis qui rem probe noverant disserebat, non omnia accurate ponit, ne illis molestiam creet; sed in memoriam tantum revocans omnia, cito recedit, ad propositum festinans. Quid est autem, ad simulacra muta? Isti vates ad illa tracti ducebantur. Si vero muta sint, quomodo illis utebantur? Qua de causa ad statuas illos dæmon adducebat tamquam captivos & vinctos? Simul errorem reddens probabilem. Ne videretur enim lapis esse mutus, conabatur homines idolis affigere; ut quæ ipsorum erant illis adscriberentur. Sed nostra non sunt hujusmodi. Nostra autem non posuit ille, quæ prophe-

A ἠδυνάτο, ἀλλ' ἔμελλε διασπώμενος οὕτως ἀπόλλυσθαι, τοῖς τὰ τοιαῦτα μαγγανεύουσί φησι·[a]

Λύσατε λοιπὸν, ἄνακτα βροτὸς θεὸν οὐκέτι
χωρεῖ·

καὶ πάλιν,

Λύσατέ μοι στεφάνους, καὶ μευ πόδας ὕδατι
λευκῷ
Ῥάνατε, καὶ γραμμὰς ἀπαλείψατε, καί γε
μολοῖμι.

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, καὶ γὰρ ἔστι πολλῷ πλείονα εἰπεῖν, ἀμφότερα ταῦτα ἡμῖν ἐνδείκνυται, καὶ τὴν ἀνάγκην ἣν κατεχόμενοι δουλεύουσιν οἱ δαίμονες, καὶ τὴν βίαν ἣν ὑπομένοντες οἱ καθάπαξ ἑαυτοὺς ἐκδόντες αὐτοῖς, καὶ τῶν κατὰ φύσιν ἐξίστανται φρενῶν. Καὶ[b] ἡ Πυθία δέ· ἀναγκάζομαι γὰρ καὶ ἑτέραν αὐτῶν ἀσχημοσύνην ἐκπομπεῦσαι νῦν, ἣν καλὸν μὲν ἦν παρελθεῖν διὰ τὸ ἡμῖν ἀπρεπὲς εἶναι τὰ τοιαῦτα λέγειν· ὥστε δὲ σαφέστερον αὐτῶν μαθεῖν τὴν[c] αἰσχύνην, ἀναγκαῖον εἰπεῖν, ἵνα κἀντεῦθεν μάθητε τὴν παράνοιαν, καὶ τὸν πολὺν γέλωτα τῶν τοῖς μάντεσι κεχρημένων· λέγεται τοίνυν αὕτη ἡ Πυθία γυνή τις οὖσα ἐπικαθῆσθαι τῷ τρίποδί ποτε τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων πληροῦν τὴν γυναῖκα τῆς μανίας, καὶ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν ἐκβακχεύεσθαί τε, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παροινίᾳ γενομένην τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα. οἶδα ὅτι ᾐσχύνθητε καὶ ἠρυθριάσατε ταῦτα ἀκούσαντες· ἀλλ' ἐκεῖνοι καὶ μέγα φρονοῦσι καὶ διὰ τὴν ἀσχημοσύνην καὶ διὰ τὴν μανίαν ταύτην.

Ταῦτα οὖν καὶ τὰ τοιαῦτα ὁ Παῦλος ἅπαντα ἀνακινῶν ἔλεγεν· οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. καὶ ἐπειδὴ πρὸς εἰδότας διελέγετο, οὐ τίθησι πάντα μετὰ ἀκριβείας, μὴ βουλόμενος αὐτοῖς ἐνοχλεῖν, ἀλλ' ἀναμνήσας μόνον καὶ εἰς ἔννοιαν ἁπάντων αὐτοὺς ἀγαγὼν, ἀπαλλάττεται ταχέως, πρὸς τὸ προκείμενον ἐπειγόμενος. τί δέ ἐστι, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα; οὗτοι οἱ μάντεις πρὸς ἐκεῖνα ἤγοντο ἑλκόμενοι. Εἰ δὲ αὐτὰ ἄφωνα, πῶς ἐκείνοις[d] ἐκέχρηντο; τίνος δὲ ἕνεκεν τοῖς ξοάνοις αὐτοὺς προσῆγεν ὁ δαίμων ὡς αἰχμαλώτους καὶ δεσμίους; ὁμοῦ δὲ καὶ τὴν πλάνην πιθανὴν ἐργαζόμενος. ἵνα γὰρ μὴ δόξῃ ὁ λίθος ἄφωνος εἶναι, ἐσπούδαζεν τοῖς εἰδώλοις προσηλοῦν τοὺς ἀνθρώπους, ἵνα τὰ αὐτῶν ἐκείνοις ἐπιγράφηται. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα. ἀλλ' οὐκ ἔθηκε τὰ ἡμέτερα,

a In hæc Carmina hæc docte differit Andreas Dounæus in notis Savilianis p. 276. *Versus istos apud poetarum aliquem frustra quæsieris. Quamobrem cum Chrysostomum audias tamquam e Poeta proferentem, intellige Phœbadem seu Pythiam. Sunt enim Delphicorum Oraculorum conclusiones quædam, vocesque dæmonis sibi abeundi gratiam fieri postulantis. Primum horum habes apud Theodoretum cap. de Oraculis & apud Eusebium libro 5. Evangelicæ præparationis, variante parum lectione*, λῦσατε λοιπὸν ἄνακτα, &c. *Apud eumdem etiam Eusebium habes posterius distichon, quod quoniam est obscurius, visum paucis interpretari. Usurpabant olim superstitiones quasdam ridiculasque ceremonias, quibus credebant dæmonas evocari, & vel ad privata colloquia, vel ad oracula edenda pellici. Ceremoniis istis tantam inesse vim, seu potius, ut mollius loquitur Porphyrius* πειθανάγκην *opinabantur, ut non evocarent tantum, sed etiam evocata dæmonia detinerent, quamdiu vati, magove esset libitum. Sic enim apud Porphyrium Pythagoras Rhodius*, οὐχ ἥδονται οἱ κληιζόμενοι ἐπὶ ταῖς θυσίαις θεοί, ἀνάγκῃ δέ τινι ἀκολουθίας συρόμενοι παραγίνονται. *Apollo ipse apud Theodoretum*, &c. quæ fusissime persequitur Dounæus.

b De Pythia & de tripode, vide Strabonem liv. 9. qui descriptionem tripodis affert, & antri in quo positus erat. Sed quæ turpiora hic referuntur nusquam memini me legere.

c αἰσχύνην, Savil. ad marginem habet ἀσχημοσύνην, quæ lectio melior videtur.

d ἐκέχρηντο sic editi. Savil. putat legendum ἐνέχρηντο, & hæc utique vera lectio est.

τὰ τῶν προφητῶν λέγω. καὶ γὰρ δῆλα ἦν αὐτοῖς ἅπαντα· καὶ ἐν αὐτοῖς προεφήτευον, ὡς αὐτοῖς πρέπον ἦν, μετὰ συνέσεως καὶ ἐλευθερίας ἁπάσης. διά τοι τοῦτο καὶ τοῦ εἰπεῖν, καὶ τοῦ μὴ εἰπεῖν ἦσαν κύριοι. οὐ γὰρ ἀνάγκῃ κατείχοντο, ἀλλ' ἐξουσίᾳ ἦσαν τετιμημένοι. διὰ τοῦτο καὶ Ἰωνᾶς ἔφυγε, διὰ τοῦτο καὶ Ἰεζεκιὴλ ἀνεβάλλετο, διὰ τοῦτο καὶ Ἰερεμίας παρῃτεῖτο. ὁ δὲ θεὸς οὐ μετὰ ἀνάγκης αὐτοὺς ὠθεῖ, ἀλλὰ συμβουλεύων, παραινῶν, ἀπειλῶν, οὐ σκοτῶν τὴν διάνοιαν. δαίμονος μὲν γὰρ ἴδιον, τὸ θόρυβον καὶ μανίαν ποιεῖν, καὶ πολὺν τὸν ζόφον· θεοῦ δὲ, τὸ φωτίζειν, καὶ μετὰ συνέσεως διδάσκειν τὰ δέοντα. πρώτη μὲν οὖν διαφορὰ αὕτη μάντεως, καὶ προφήτου· δευτέρα δὲ ἑτέρα, ἣν ἐφεξῆς τίθησι, λέγων· διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς πνεύματι θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν. εἶτα καὶ ἑτέρα· καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. ὅταν ἴδῃς, φησὶν, τινὰ μὴ φθεγγόμενον τὸ ὄνομα αὐτοῦ, ἢ καὶ ἀναθεματίζοντα, μάντις ἐστί. πάλιν ὅταν ἴδῃς ἕτερον μετὰ τοῦ ὀνόματος αὐτοῦ πάντα φθεγγόμενον, νόησον ὅτι πνευματικός ἐστι. τί οὖν, φησι, περὶ τῶν κατηχουμένων ἂν εἴποιμεν; εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ, τί ἂν εἴποιμεν περὶ τούτων, ὀνομαζόντων μὲν αὐτοῦ τὸ ὄνομα, πνεύματος δὲ ἀπεστερημένων; ἀλλ' οὐ περὶ τούτων ὁ λόγος αὐτῷ νῦν, οὐ γὰρ ἦσαν κατηχούμενοι τότε, ἀλλὰ περὶ πιστῶν καὶ ἀπίστων. τί οὖν, οὐδεὶς δαίμων ὀνομάζει τὸν θεόν; οὐχὶ οἱ δαιμονῶντες ἔλεγον, οἴδαμέν σε τίς εἶ ὁ υἱὸς τοῦ θεοῦ; οὐχὶ Παύλῳ ἔλεγον, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν; ἀλλὰ μαστιζόμενοι, ἀλλ' ἀναγκαζόμενοι· ἑκόντες δὲ καὶ μὴ μαστιγούμενοι, οὐδαμοῦ. ἄξιον δὲ ἐνταῦθα ζητῆσαι, διατί καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ Παῦλος ἐπετίμησε. τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος· καὶ γὰρ καὶ ὁ Χριστὸς ἐπετίμησεν. οὐδὲ γὰρ ἐβούλετο παρ' ἐκείνων τὴν μαρτυρίαν ἔχειν. τίνος δὲ ἕνεκεν; καὶ ὁ δαίμων ἐποίει τοῦτο, βουλόμενος συγχεῖν τῶν πραγμάτων τὴν τάξιν, καὶ ἁρπάσαι τῶν ἀποστόλων τὸ ἀξίωμα, καὶ πεῖσαι πολλοὺς προσέχειν αὐτῷ· ὅπερ εἰ ἐγεγόνει, ῥᾳδίως ἂν ἐντεῦθεν ἀξιόπιστοι φανέντες, καὶ τὰ παρ' ἑαυτῶν ἐπεισήγαγον ἄν. ἵν' οὖν μὴ τοῦτο γένηται, μηδὲ ἀρχὴν ἡ ἀπάτη λάβῃ, καὶ τὰ ἀληθῆ λέγοντας ἐπιστομίζει, ὥστε ἐν τοῖς ψεύδεσι μηδ' ὅλως τινὰ αὐτοῖς προσέχειν, ἀλλὰ καθόλου πρὸς τὰ λεγόμενα παρ' αὐτῶν ἀποφράττειν τὰς ἀκοάς. δήλους τοίνυν ποιήσας τοὺς μάντεις καὶ τοὺς προφήτας ἀπό τε τοῦ προτέρου καὶ τοῦ δευτέρου σημείου, λοιπὸν περὶ τῶν θαυμάτων διαλέγεται, οὐχ ἁπλῶς εἰς τοῦτον παρελθὼν τὸν λόγον, ἀλλ' ὥστε τὴν ἐντεῦθεν γινομένην διάστασιν ἀνελεῖν, καὶ πεῖσαι καὶ τοὺς τὸ ἔλαττον ἔχοντας μὴ ἀλγεῖν, καὶ τοὺς τὰ μείζονα κεκλημένους μὴ ἐπαίρεσθαι. διὸ καὶ οὕτως ἤρξατο. διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ θεραπεύει πρότερον τὸν τὸ ἔλαττον ἔχοντα χάρισμα, καὶ διὰ τοῦτο ἀλγοῦντα. τίνος γὰρ ἕνεκεν, φησιν, ἀθυμεῖς ὅτι οὐκ ἔλαβες

A tarum sunt dico. Illis enim omnia manifesta erant, & in illis prophetabant ut ipsos decebat; cum intelligentia & libertate omni. Ideo penes illos erat & loqui & non loqui. Neque enim necessitate tenebantur, sed potestatis honore donati erant. Ideo Jonas fugit; ideo Ezechiel distulit; ideo Jeremias recusabat. Deus vero non cum necessitate impellit ipsos; sed consiliis, hortationibus & comminationibus utitur, mentem tenebris non offundens. Dæmonis enim proprium est & tumultum & furorem, B & multam immittere caliginem; Dei vero est illuminare, & quæ opus est cum intelligentia docere. Prima ergo divinatoris & prophetæ differentia hæc est. Secunda vero est alia, quam deinceps ponit dicens. 3. *Ideo notum vobis facio quod nemo in spiritu Dei loquens, dicit anathema Jesum.* Deinde etiam alia, *Et nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto.* Cum videris, inquit, quempiam, non proferentem nomen ejus; imo ipsum anathematizantem, is est divinator. Rursus cum videris alium cum C nomine ejus omnia loquentem, cogita illum esse spiritualem. Quid ergo, inquies, de catechumenis dixerimus? Si enim nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto, quid dicemus de his, qui ejus quidem nomen proferunt, Spiritu autem privantur? sed de his nunc ille non agit: neque enim tunc catechumeni erant; sed de fidelibus & infidelibus. Quid ergo? Nullus-ne dæmon Deum nominat? Annon dicebant demoniaci: *Novimus te quis es, Filius Dei*? Annon Paulo dicebant: Isti homines servi Dei altissimi sunt? Sed flagel- D lati, sed coacti; sponte autem & non coacti, nunquam. Hic jam apposite quæratur, cur dæmon hæc loqueretur, & cur Paulus increpaverit. Doctorem nempe suum imitatus. Nam & Christus increpavit: nolebat enim ab illis habere testimonium. Quare? Dæmon hoc agebat rerum ordinem confundere volens, & apostolorum abripere auctoritatem, multisque persuadere ut sibi attenderent. Quod si factum esset, cum fide digni apparuissent, facile sua introduxissent. Ne hoc ergo fieret; neque fallacia initium duceret, etiam cum vera loquerentur, ora ipsis obstruit, ut in falsis nemo ipsis animum E adhiberet, sed ad ea quæ ab ipsis dicerentur aures obstrueret. Postquam ergo vates & prophetas distinxerat & ex priore & ex secundo signo, demum de miraculis disserit; nec sine causa ad hoc argumentum transit; sed ut dissensionem inde subortam tollat, & persuadeat iis, qui minus habent, ne doleant, & iis qui majora possident, ne efferantur. Ideo sic incœpit. 4. *Divisiones vero gratiarum sunt, idem autem Spiritus.* Primoque curat illum qui minus habet donum, ideoque dolet. Cur enim, inquit, angeris quia non tantum

Marc. 1. 24.
Act. 16. 17.

accepisti quantum alius ? Sed cogita illud esse donum, non debitum, & consolationem accipies. Ideo statim sic loquitur : Divisiones vero gratiarum sunt. Neque dixit signorum, neque miraculorum, sed, gratiarum ; nomine doni persuadens illi ut non modo non doleat, sed & gratiam habeat. Et cum hoc, inquit, illud quoque tecum reputa, quod etiamsi in mensura doni minus habeas ; in eo quod dignatus sis inde accipere, unde is accepit qui plus habet, parem habes honorem. Neque enim dicere possis, illi Spiritum dedisse, tibi vero angelum : nam & tibi & illi Spiritus dedit. Ideo subjunxit, Idem autem Spiritus.

3. Itaque etiamsi in dono differentia sit, at non in eo qui dedit : ex eodem namque fonte & tu & ille hausistis. 5. *Et divisiones ministrationum sunt, idem autem Dominus.* Nam consolationenm adhuc placide augens, & Filium & Patrem adjicit : alioque rursus nomine hæc dona vocat, majorem etiam inde excogitans consolationem. Ideo sic dicit : Divisiones ministrationum sunt, idem autem Dominus. Nam qui donum audit, & minus accepit, fortasse doluerit ; qui vero ministrationem accepit, non item. Res enim laborem indicat, & sudorem. Quid ergo doles, inquit, si alium plus laborare jussit, tibi parcens ? 6. *Et Divisiones operationum sunt, idem vero Deus qui operatur omnia in omnibus.* 7 *Unicuique autem datur manifestatio Spiritus ad utilitatem.* Et quid est operatio ? Quid donum, inquies ? Quid ministratio ? Nominum tantum sunt differentiæ, quia res eædem sunt. Quod enim est donum illud ipsum est ministratio ; hoc etiam
2. Tim. 4. 5. dicit operationem. Nam ait : *Ministerium tuum imple ;* & *Ministerium meum glori-*
Rom. 11. 13. *fico* ; & Timotheo scribens dicit : *Prop-*
2. Tim. 1. 6. *ter quam causam admoneo te, ut suscites*
Gal. 2. 8. *gratiam Dei quæ est in te.* Et ad Galatas rursus scribens dicebat : *Qui enim operatus est Petro in apostolatum, operatus est & mihi inter gentes.* Viden' quod nullam differentiam ostendat in donis Patris & Filii & Spiritus sancti ? non hypostases confundens, absit, sed substantiæ parem honorem ostendens. Nam quod Spiritus largitur, hoc & Deum operari, & Filium ordinare ac præbere dicit. Atqui si hoc esset illo minus, & illud isto, non sic illud posuisset, neque hac ratione dolentem consolatus esset. Post hæc autem alio quoque modo ipsum consolatur ; quod nempe data mensura ipsi conferat, etiamsi minor sit. Cum dixisset enim, idem Spiritus, idem Dominus, idem Deus, & hac ratione ipsum recreasset, aliam rursus subjungit consolationem sic dicens : Unicuique autem manifestatio Spiritus datur ad utilitatem. Ne quis enim diceret, Quid enim, si idem Dominus & idem Spiritus & idem Deus ? at ego minus accepi. Ait ipse,

A ὅσον ἕτερος; ἀλλ' ἐννόησον ὅτι χάρισμά ἐστι, καὶ οὐκ ὀφειλὴ, καὶ παραμυθήσῃ τὴν ὀδύνην. διὰ τοῦτο εὐθέως εἶπεν οὕτω· διαιρέσεις δὲ χαρισμάτων εἰσί· καὶ οὐκ εἶπε, σημείων, οὐδὲ θαυμάτων, ἀλλὰ, χαρισμάτων, τῷ ὀνόματι τῆς δωρεᾶς πείθων μὴ μόνον μὴ ἀλγεῖν, ἀλλὰ καὶ χάριν εἰδέναι. καὶ μετὰ τούτου κἀκεῖνο λογίζου, φησὶν, ὅτι εἰ καὶ τῷ μέτρῳ ἠλάττωσαι τοῦ δοθέντος, τῷ καταξιωθῆναι λαβεῖν ἐκεῖθεν, ὅθεν καὶ ὁ τὸ πλέον λαβὼν, τὴν ἴσην ἔχεις τιμήν· οὐ γὰρ δήπου ἔχοις ἂν εἰπεῖν, ὅτι ἐκείνῳ B μὲν ἐχαρίσατο τὸ πνεῦμα, σοὶ δὲ ἄγγελος. καὶ γὰρ σοὶ κἀκείνῳ τὸ πνεῦμα. διὸ ἐπήγαγε, τὸ δὲ αὐτὸ πνεῦμα.

Ὥστε εἰ καὶ ἐν τῇ δόσει διαφορὰ, ἀλλ' οὐκ ἐν τῷ δεδωκότι διαφορά. ἀπὸ γὰρ τῆς αὐτῆς πηγῆς καὶ σὺ κἀκεῖνος ἀρύεσθε. καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος. λιπαίνων γὰρ τὴν παραμυθίαν, καὶ τὸν υἱὸν καὶ τὸν πατέρα προστίθησι. καὶ ἑτέρῳ πάλιν ὀνόματι καλεῖ τὰς δωρεὰς ταύτας, πλείονα κἀντεῦθεν παραμυθίαν ἐπινοῶν. διὸ καὶ οὕτως εἶπε· διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος. ὁ μὲν γὰρ χάρισ- C μα ἀκούσας, καὶ ἔλαττον λαβὼν, ἴσως ἂν ἀλγήσῃ· ὁ δὲ διακονίαν, οὐχ ὁμοίως. πόνου γὰρ ἐνδεικτικὸν τὸ πρᾶγμα, καὶ ἱδρῶτος. τί τοίνυν ἀλγεῖς, φησιν, εἰ ἕτερον πλείονα πονῆσαι ἐκέλευσε, σοῦ φεισάμενος; καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον. καὶ τί ἐστιν ἐνέργημα; τί δὲ χάρισμα, φησί; τί δὲ διακονία; ὀνομάτων διαφοραὶ μόνον, ἐπεὶ πράγματα τὰ αὐτά. ὃ γάρ ἐστι χάρισμα, τοῦτο διακονία, τοῦτο καὶ ἐνέργειαν λέγει. τὴν γὰρ D διακονίαν σου, φησι, πληροφόρησον· καὶ, τὴν διακονίαν μου δοξάζω. καὶ Τιμοθέῳ γράφων φησί· δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ ἐστιν ἐν σοί. καὶ Γαλάταις πάλιν ἐπιστέλλων ἔλεγεν· ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. ὁρᾷς ὅτι οὐδεμίαν διαφορὰν δείκνυσιν ἐν ταῖς δωρεαῖς πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου; οὐ τὰς ὑποστάσεις συναλείφων, μὴ γένοιτο, ἀλλὰ τῆς οὐσίας τὴν ὁμοτιμίαν ἐμφαίνων. ὅπερ γὰρ τὸ πνεῦμα χαρίζεται, τοῦτο καὶ τὸν θεὸν ἐνεργεῖν, τοῦτο καὶ τὸν υἱὸν διατάττειν καὶ παρέ- E χειν φησί. καίτοιγε εἰ ἔλαττον ἦν τοῦτο ἐκείνου, ἢ ἐκεῖνο τούτου, οὐκ ἂν οὕτως αὐτὸ τέθεικεν, οὐδ' ἂν ταύτῃ παρεμυθήσατο τὸν ἀλγοῦντα. μετὰ δὲ ταῦτα, καὶ ἑτέρῳ τινὶ τρόπῳ αὐτὸν παρακαλεῖ, τῷ καὶ συμφέρειν αὐτῷ τὸ δοθὲν μέτρον, εἰ καὶ ἔλαττον εἴη. εἰπὼν γὰρ, ὅτι τὸ αὐτὸ πνεῦμα, καὶ ὁ αὐτὸς κύριος, καὶ ὁ αὐτὸς θεὸς, καὶ ταύτῃ αὐτὸν ἀνακτησάμενος, ἐπάγει πάλιν ἑτέραν παράκλησιν, οὕτω λέγων, ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον. ἵνα γὰρ μὴ λέγῃ, τί γὰρ, εἰ καὶ ὁ αὐτὸς κύριος, καὶ τὸ αὐτὸ πνεῦμα, καὶ ὁ αὐτὸς θεός; ἀλλ' ἐγὼ

ἔλαττον ἔλαβον. φησὶν, ὅτι οὕτω συνέφερε. Φανέρωσιν δὲ πνεύματος, τὰ σημεῖα καλεῖ, εἰκότως. ἐμοὶ μὲν γὰρ τῷ πιστῷ δῆλος ὁ πνεῦμα ἔχων ἀπὸ τοῦ βαπτισθῆναι· τῷ δὲ ἀπίστῳ οὐδαμόθεν ἔσται τοῦτο καταφανὲς, ἀλλ' ἢ ἀπὸ τῶν σημείων· ὥστε κἀντεῦθεν πάλιν οὐ μικρὰ παραμυθία. εἰ γὰρ καὶ χαρίσματα διάφορα, ἀλλ' ἡ ἔνδειξις μία. κἂν γὰρ πολὺ ἔχῃς, κἂν ὀλίγον, ὁμοίως εἶ δῆλος. ὥστε εἰ τοῦτο σπουδάζεις ἐπιδείξασθαι, ὅτι πνεῦμα ἔχεις, ἀρκοῦσαν ἔχεις τὴν ἀπόδειξιν. ὅταν οὖν καὶ εἷς ὁ δεδωκὼς ᾖ, καὶ χάρισμα τὸ δοθὲν, [a] καὶ ἡ φανέρωσις κἀντεῦθεν γίνηται, καὶ τοῦτο μᾶλλόν σοι συμφέρει, μὴ ἄλγει ὡς καταφρονηθείς. οὐ γὰρ ἀτιμάζων σε ὁ θεὸς, οὐδὲ καταδεέστερον ἑτέρου ἀποφαίνων ἐποίησεν, ἀλλὰ φειδόμενός σου, καὶ τὸ λυσιτελές σοι σκοπῶν. τὸ γὰρ μεῖζον λαβεῖν τὸν οὐ δυνάμενον ἐνεγκεῖν, τοῦτο καὶ ἀσύμφορον, καὶ βλάβην ἔχον, καὶ ἀθυμίας ἄξιον· ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα. ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι. ὁρᾷς πῶς πανταχοῦ ταύτην ποιεῖται τὴν προσθήκην, ἐν τῷ αὐτῷ πνεύματι λέγων, καὶ κατὰ τὸ αὐτὸ πνεῦμα; οἶδε γὰρ μεγάλην οὖσαν τὴν ἐντεῦθεν παράκλησιν. ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. ἐπειδὴ γὰρ ἐν τούτῳ μέγα ἐφρόνουν, διὰ τοῦτο αὐτὸ ὕστερον τέθεικε, καὶ ἐπήγαγε. πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. τὸ φάρμακον τὸ καθολικὸν τῆς παραμυθίας, τὸ ἐκ τῆς αὐτῆς ῥίζης, ἐκ τῶν αὐτῶν θησαυρῶν, ἐκ τῶν αὐτῶν ναμάτων πάντας λαμβάνειν. διὸ καὶ συνεχῶς ἐπαντλῶν τῷ ῥήματι τούτῳ τὴν δοκοῦσαν ἀνωμαλίαν εἶναι, ἐξισοῖ καὶ παραμυθεῖται. καὶ ἀνωτέρω μὲν καὶ τὸ πνεῦμα, καὶ τὸν υἱὸν, καὶ τὸν πατέρα δείκνυσι χορηγοῦντα τὰ χαρίσματα· ἐνταῦθα δὲ τὸ πνεῦμα εἰπὼν ἠρκέσθη, ἵνα μάθῃς κἀντεῦθεν πάλιν τὴν αὐτὴν ἀξίαν οὖσαν. τί δέ ἐστι λόγος σοφίας; ὃν εἶχεν ὁ Παῦλος, ὃν εἶχεν Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς. τί δὲ λόγος γνώσεως; ὃν εἶχον οἱ πολλοὶ τῶν πιστῶν, γνῶσιν μὲν ἔχοντες, διδάσκειν δὲ οὕτως οὐ δυνάμενοι, οὐδὲ εἰς ἕτερον εὐκόλως ἐξενεγκεῖν, ἅπερ ᾔδεσαν. ἑτέρῳ δὲ πίστις· πίστιν οὐ ταύτην λέγων τὴν τῶν δογμάτων, ἀλλὰ τὴν τῶν σημείων, περὶ ἧς ὁ Χριστός φησιν, ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται. καὶ οἱ ἀπόστολοι δὲ περὶ αὐτῆς ἠξίουν λέγοντες, πρόσθες ἡμῖν πίστιν· αὕτη γὰρ μήτηρ τῶν σημείων ἐστίν. ἐνεργήματα δὲ δυνάμεων κεκτῆσθαι, καὶ χαρίσματα ἰαμάτων, οὐκ ἔστι τὸ αὐτό· ὁ μὲν γὰρ ἔχων χάρισμα ἰαμάτων, ἐθεράπευε μόνον· ὁ δὲ ἐνεργήματα δυνάμεων κεκτημένος, καὶ ἐτιμωρεῖτο. δύναμις γάρ ἐστιν οὐ τὸ ἰάσασθαι μόνον, ἀλλὰ καὶ τὸ κολάσαι, ὥσπερ ὁ Παῦλος ἐπήρωσεν,

[a] Hæc in Morel. corrupta ex Regio codice restituta sunt.

A quod ita conferret. Manifestationem vero Spiritus signa vocat, & merito. Mihi enim fideli manifestus est is qui habet Spiritum, eo quod sit baptizatus. Infideli autem ex nulla re hoc erit conspicuum, nisi a signis. Itaque inde etiam non parva consolatio est. Etiamsi enim dona sint diversa, una tamen est demonstratio. Nam sive multum sive parvum habeas, perinde es manifestus. Itaque si illud ostendere satagis, quod Spiritum habeas,
B sufficientem habes demonstrationem. Cum ergo & unus sit qui dedit, & gratuitum sit donum, & manifestatio hinc fiat, & hoc tibi magis conferat; ne doleas quasi despectus. Neque enim te dedecore afficiens Deus, neque altero minorem declarans hoc facit, sed tibi parcens, & id spectans quod tibi utile esset. Nam majus quidpiam accipere eum qui ferre non possit, hoc esset inutile, noxium & mœrore dignum. 8. *Nam alii quidem per Spiritum datur sermo sapientiæ; alii autem sermo scientiæ secundum*
C *eumdem Spiritum.* 9. *Alteri fides in eodem Spiritu; alii autem gratia curationum in eodem Spiritu.* Viden' quomodo ubique hoc additamentum faciat, in eodem Spiritu dicens, & secundum eumdem Spiritum. Scit enim hinc magnam oriri consolationem 11. *Alii autem operationes virtutum; alii prophetia, alii discretiones spirituum, alii genera linguarum; alii interpretatio sermonum.* Quia enim in hoc altum sapiebant, ideo id postremum posuit, & subjunxit. 12. *Hæc autem omnia operatur unus & idem Spiritus.* Pharmacum ad omnem consolationem
D aptum: quod ex eadem radice, ex iisdem thesauris, ex iisdem fluentis omnes accipere possint. Ideo frequenter hauriens, hoc verbo eam quæ videbatur esse inæqualitatem exæquat & consolatur. Et superius quidem Spiritum, Filium & Patrem dona elargiri ostendit. Hic vero Spiritum dixisse satis habuit; ut hinc etiam discas eamdem esse dignitatem. Quid est autem sermo sapientiæ? Quem habebat Paulus, quem habebat Joannes filius tonitrui. Quid sermo scientiæ? Quem fidelium multi habebant, scientiam quidem habentes, docere autem non valentes,
E neque facile ea quæ sciebant aliis enunciare. Alii vero fidem. Fidem non hanc dicens, quæ dogmata spectat; sed fidem signorum, de qua Christus dicit: *Si habueritis fidem ut granum sinapis, dicetis huic monti, transi hinc, & transibit.* Et hanc petebant apostoli dicentes: *Adde nobis fidem.* Hæc enim mater signorum est. Operationes autem virtutum habere, & gratiam curationum, non idem ipsum est. Nam qui gratiam curationum habebat, medebatur tantum: qui vero operationes virtutum possidebat, etiam castigabat. Potestas enim est non sanandi modo, sed etiam puniendi; ut Pau-

Quo sensu dona Spiritus Sancti sint æqualia.

Matt. 17. 20.

Luc. 17. 5.

lus excæcavit, Petrusque interfecit. *Alii vero prophetiæ, alii discretiones spirituum.* Quid sibi vult illud, Discretiones spirituum? Scire quis sit spiritualis, quis non spiritualis; quis propheta, quis deceptor:
1. Thes. 5. 20. id quod Thessalonicensibus dicebat: *Prophetias nolite negligere. Omnia autem probantes quod bonum est tenete.* Nam multa tunc erat pseudoprophetarum corruptio, diabolo contendente pro veritate substituere mendacium. *Alii autem genera linguarum, alii interpretatio sermonum.* Nam ille quidem sciebat quod ipse diceret, alteri vero id interpretari non poterat. Alius vero hæc ambo possidebat, vel alterutrum.

4. Videbatur autem hoc donum esse magnum, quoniam ipsum primum apostoli acceperunt, & apud Corinthios plurimi hoc munere instructi erant. Doctrinæ autem verbum non ita. Ideo illud quidem primum ponit, hoc vero postremum. Nam & hoc propter illud est, necnon alia omnia, prophetiæ, operationes virtutum, genera linguarum, & interpretatio linguarum. Nihil enim huic par
1. Tim. 5. 17. est; ideo dicebat: *Qui bene præsunt presbyteri, duplici honore digni sint, maxime qui laborant in verbo & doctrina.* Et Timo-
1. Tim. 4. 13. theo scripsit dicens: *Attende lectioni, exhortationi, doctrinæ: noli negligere gratiam quæ in te est.* Viden' quomodo hoc gratiam vocet? Deinde quam superius posuit consolationem dicens: Idem Spiritus, hanc & hic adjicit dicens: *Hæc autem omnia operatur unus atque idem Spiritus, dividens singulis prout vult.* Non modo autem consolatur, sed etiam os obstruit contradicenti hic dicens: Dividens singulis prout vult. Oportet enim adstringere, nec solum mederi; sicut & in epistola ad Romanos facit, cum dicit: *Tu*
Rom. 9. 20. *quis es, qui respondeas Deo?* Ita etiam hic, *Dividens singulis prout vult.* Et quod Patris erat, etiam Spiritus esse ostendit. Sicut enim de illo ait: Idem autem Deus, qui operatur omnia in omnibus; sic & de
Contra Pneumatomachos. Spiritu: Hæc porro omnia operatur unus & idem Spiritus. Sed motus, inquies, a Deo. Verum hoc nusquam dixit; sed tu illud effingis. Quando enim dicit, Qui operatur omnia in omnibus, de hominibus hoc dicit: nunquam cum hominibus Spiritum annumerat; etiamsi millies amenter loquaris & insanias. Quia enim dixit, per Spiritum; ut ne putes illud, per, imminutionis esse vocem, nec illum moveri ad operationem, subjungit, operari Spiritum, non ad operationem moveri, & operatur ut vult, non ut jubetur. Quemadmodum enim de Patre
Joan. 5. 21. Filius dicit: *Excitat mortuos & vivificat*; similiter & de seipso, quos vult vivificat; sic & de Spiritu, alibi quidem quod cum potestate omnia faciat, & nihil sit
Joan. 3. 8. quod impediat. Illud enim, *Ubi vult spirat*, etiamsi de vento dictum fuerit, ad

A ὥσπερ ὁ Πέτρος ἀνεῖλεν. ἄλλῳ δὲ προφητεία, ἄλλῳ διακρίσεις πνευμάτων. τί ἐστι, διακρίσεις πνευμάτων; τὸ εἰδέναι τίς ὁ πνευματικὸς, καὶ τίς ὁ μὴ πνευματικός· τίς ὁ προφήτης, καὶ τίς ὁ ἀπατεών· ὃ Θεσσαλονικεῦσιν ἔλεγε, προφητείας μὴ ἐξουθενεῖτε. πάντα δὲ δοκιμάζοντες, τὸ καλὸν κατέχετε. καὶ γὰρ πολλὴ τότε τῶν ψευδοπροφητῶν ἦν [a] διαφθορὰ, τοῦ διαβόλου φιλονεικοῦντος παρυποστῆσαι τῇ ἀληθείᾳ τὸ ψεῦδος. ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. ὁ μὲν γὰρ ᾔδει τὸ τί ἔλεγεν αὐτὸς, ἑτέρῳ δὲ ἑρμηνεῦσαι οὐκ ἠδύνατο· ὁ δὲ καὶ ἀμφότερα ταῦτα B ἐκέκτητο, ἢ τούτων θάτερον.

Ἐδόκει δὲ τοῦτο χάρισμα μέγα εἶναι, ἐπειδὴ καὶ πρῶτον αὐτὸ ἔλαβον οἱ ἀπόστολοι, καὶ παρὰ Κορινθίοις οἱ πλείους τοῦτο ἐκέκτηντο. ὁ δὲ τῆς διδασκαλίας λόγος οὐχ οὕτω. διὸ ἐκεῖνο μὲν πρῶτον τίθησιν, ὕστερον δὲ τοῦτο· καὶ γὰρ καὶ τοῦτο δι' ἐκεῖνο, καὶ τὰ ἄλλα πάντα, καὶ προφητεία, καὶ ἐνεργήματα δυνάμεων, καὶ γένη γλωσσῶν, καὶ ἑρμηνεία γλωσσῶν. οὐδὲν γὰρ τούτου ἴσον. διὸ καὶ ἔλεγεν, οἱ καλῶς προεστῶτες πρεσβύτεροι, διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. καὶ τῷ C Τιμοθέῳ ἐπέστελλε λέγων· πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ, μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος. ὁρᾷς πῶς καὶ χάρισμα αὐτὸ καλεῖ; εἶτα ἣν ἀνωτέρω τέθεικε παραμυθίαν εἰπὼν, τὸ αὐτὸ πνεῦμα, ταύτην καὶ ἐνταῦθα τίθησι λέγων. πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἐπιστομίζει τὸν ἀντιλέγοντα ἐνταῦθα λέγων, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. δεῖ γὰρ καὶ ἐπιστύφειν, οὐχὶ θεραπεύειν μόνον, ὥσπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ, ὅταν λέγῃ, σὺ τίς εἶ ὁ ἀνταD ποκρινόμενος τῷ θεῷ; οὕτω καὶ ἐνταῦθα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· καὶ ὃ τοῦ πατρὸς ἦν, τοῦτο καὶ τοῦ πνεύματος ἔδειξεν ὄν. ὥσπερ γὰρ περὶ αὐτοῦ φησιν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, οὕτω καὶ περὶ τοῦ πνεύματος· πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. ἀλλ' ἐνεργούμενόν, φησιν, ὑπὸ τοῦ θεοῦ. ἀλλ' οὐδαμοῦ τοῦτο εἴρηκεν, ἀλλὰ σὺ τοῦτο πλάττεις. ὅταν γὰρ λέγῃ, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, περὶ ἀνθρώπων τοῦτο λέγει· οὐδέποτε μετὰ τῶν ἀνθρώπων καὶ τὸ πνεῦμα ἀριθμεῖ, κἂν μυριάκις ᾖς παραπαίων, κἂν μυριάκις μαινόμενος. ἐπειδὴ E γὰρ εἶπε, διὰ τοῦ πνεύματος, ἵνα τὸ, διὰ τοῦτο, μὴ νομίσῃς ἐλαττώσεως εἶναι, μηδὲ τὸ ἐνεργεῖσθαι, ἐπήγαγεν· ὅτι ἐνεργεῖ τὸ πνεῦμα, οὐκ ἐνεργεῖται, καὶ ἐνεργεῖ ὡς βούλεται, οὐ καθὼς κελεύεται. καθάπερ γὰρ περὶ τοῦ πατρὸς ὁ υἱὸς λέγει, ὅτι ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, ὁμοίως καὶ περὶ ἑαυτοῦ, ὅτι οὓς θέλει ζωοποιεῖ· οὕτω καὶ περὶ τοῦ πνεύματος, ἀλλαχοῦ μὲν ὅτι μετ' ἐξουσίας πάντα ποιεῖ, καὶ τὸ κωλῦον οὐδέν. τὸ γὰρ, ὅπου θέλει πνεῖ, εἰ καὶ περὶ ἀνέμου εἴρηται,

a Ita Reg. Editi vero διαφορά.



τούτου

τούτου ἐστὶ κατασκευαστικόν· ἐνταῦθα δὲ, ὅτι πάντα ἐνεργεῖ καθὼς βούλεται. καὶ ἑτέρωθεν δὲ ὅτι οὐχὶ τῶν ἐνεργουμένων ἐστὶν, ἀλλὰ τῶν ἐνεργούντων, μάνθανε. τίς γὰρ οἶδε, φησι, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου; οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. ὅτι δὲ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τουτέστιν, ἡ ψυχὴ, οὐ δεῖται ἐνεργείας, ἵνα εἰδῇ τὰ ἑαυτῆς, παντί που δῆλον. οὐκοῦν οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα εἰδῇ τὰ τοῦ θεοῦ. οὕτω γάρ φησι· τὰ τοῦ θεοῦ οἶδεν ἀπόῤῥητα τὸ πνεῦμα τὸ ἅγιον, ὡς ἡ ψυχὴ τοῦ ἀνθρώπου τὰ ἀπόῤῥητα τὰ ἑαυτῆς. εἰ δὲ εἰς τοῦτο οὐκ ἐνεργεῖται, πολλῷ μᾶλλον τὸ ἐπιστάμενον τοῦ θεοῦ τὰ βάθη, καὶ οὐκ ἐνεργούμενον εἰς τὸ δοῦναι χαρίσματα τοῖς ἀποστόλοις, ἐνεργείας οὐκ ἂν ἐδεήθη. χωρὶς δὲ τούτων κἀκεῖνο, ὅπερ ἔμπροσθεν εἶπον, ἐρῶ καὶ νῦν. ποῖον δὴ τοῦτο; ὅτι εἰ ἔλαττον τὸ πνεῦμα, καὶ ἑτέρας οὐσίας, οὐδὲν ἂν ὤνησεν ἡ παραμυθία, οὐδὲ τὸ ἀκοῦσαι τὸ αὐτὸ πνεῦμα. ὁ μὲν γὰρ παρὰ τοῦ βασιλέως λαβὼν μεγίστην ἂν ταύτην σχοίη παραμυθίαν, ὅτι αὐτὸς αὐτῷ ἔδωκεν· ὁ δὲ παρὰ τοῦ δούλου, τότε μᾶλλον ἀλγεῖ, ὅταν τοῦτό τις αὐτῷ προσενέγκῃ. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ τῆς δουλικῆς, ἀλλὰ τῆς βασιλικῆς οὐσίας τὸ πνεῦμα τὸ ἅγιον. διόπερ καθάπερ παρεμυθήσατο αὐτοὺς εἰπὼν, ὅτι διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, ὁ δὲ αὐτὸς θεός· οὕτω καὶ ἀνωτέρω εἰπὼν, διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. μὴ τοίνυν ἀλύωμεν, φησι, μηδὲ ἀλγῶμεν λέγοντες, διὰ τί τὸ ἔλαβον, καὶ τὸ οὐκ ἔλαβον, μηδὲ εὐθύνας ἀπαιτῶμεν τὸ πνεῦμα τὸ ἅγιον. εἰ γὰρ οἶδας, ὅτι ἀπὸ κηδεμονίας ἐχαρίσατο, ἐννοήσας ὅτι ἀπὸ τῆς αὐτῆς κηδεμονίας καὶ τὸ μέτρον ἔδωκε, στέργε, καὶ χαῖρε ὑπὲρ ὧν ἔλαβες· μὴ δὲ δυσχέραινε ὑπὲρ ὧν οὐκ εἴληφας· ἀλλὰ καὶ ὁμολόγει χάριν, ὅτι μὴ μείζονα ἔλαβες τῆς δυνάμεως τῆς σῆς.

Εἰ δὲ ἐν τοῖς πνευματικοῖς οὐ χρὴ περιεργάζεσθαι, πολλῷ μᾶλλον ἐν τοῖς σαρκικοῖς, ἀλλ' ἡσυχάζειν, [a] καὶ μὴ πολυπραγμονεῖν, διὰ τί ὁ δεῖνα πλούσιος, ὁ δεῖνα δὲ πένης. μάλιστα μὲν γὰρ οὐχ ἕκαστος ἀπὸ θεοῦ πλουτεῖ, ἀλλὰ πολλοὶ καὶ ἐξ ἀδικίας, καὶ ἁρπαγῆς, καὶ πλεονεξίας. ὁ γὰρ κελεύσας μὴ πλουτεῖν, πῶς ἂν ἔδωκεν ὅπερ ἐκώλυσε μὴ λαβεῖν; ἵνα δὲ ἐκ πλείονος ἐπιστομίσω τῆς περιουσίας τοὺς ὑπὲρ τούτων ἀντιλέγοντας ἡμῖν, φέρε ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, ἡνίκα παρὰ τοῦ θεοῦ ὁ πλοῦτος ἐδίδοτο, καὶ ἀπόκριναί μοι· τίνος ἕνεκεν ὁ Ἀβραὰμ ἐπλούτει, ὁ δὲ Ἰακὼβ καὶ ἄρτου ἐδεῖτο; οὐχὶ δίκαιος καὶ οὗτος, καὶ ἐκεῖνος; οὐχὶ ὁμοίως περὶ τῶν τριῶν φησιν, ἐγὼ ὁ θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ; διὰ τί τοίνυν ὁ μὲν ἐπλούτει, ὁ δὲ ἐθήτευε;

[a] Reg. καὶ μὴ πολυπραγμονεῖν. Editi, καὶ μὴ ἀλύειν.

A hoc quod dicimus viam parat. Hic vero dicit, Omnia operatur prout vult. Et aliunde quod non sit ex iis qui per operationem moventur, sed qui operantur, hinc disce. *Quis enim novit*, inquit, *quæ sunt hominis, nisi spiritus hominis? sic & quæ Dei sunt nemo novit, nisi spiritus Dei.* (1. Cor. 2. 11.) Quod autem spiritus hominis, id est, anima, non egeat operatione, ut sua cognoscat, nemini non notum est. Ergo nec Spiritus sanctus, ut cognoscat ea quæ Dei sunt. Sic enim ait: Arcana Dei cognovit Spiritus sanctus, sicut anima hominis arcana sua. B Si autem ad hoc alia operatione non movetur, multo magis qui scit profunda Dei, & non aliqua operatione movetur ad dandum charismata apostolis, alia non opus habuerit operatione. Præter hæc autem aliud nunc dicam, quod prius dixi. Quale illud? Si minor sit Spiritus & alterius substantiæ, nihil profuisset consolatio, neque audivisse eumdem esse Spiritum. Nam qui a rege accepit, hanc maximam habuerit consolationem, quod ipse ei dederit; qui autem a servo accipit, tunc magis dolet, quando quispiam hoc ei obtulerit. C Itaque hinc etiam palam est Spiritum sanctum non servilis, sed regiæ esse substantiæ. Idcirco sicut consolatus est illos dicens, Divisiones ministrationum sunt, idem autem Dominus; &, divisiones operationum, idem autem Deus; sic cum superius dixit, Divisiones gratiarum sunt, idem autem Spiritus; & sub hæc etiam dicit, Hæc autem omnia operatur unus atque idem Spiritus, dividens singulis prout vult. Ne itaque angamur, inquit, neque doleamus dicentes, Cur hoc accepi, hoc non accepi, neque rationes exigamus a Spiritu sancto. D Nam si nosti, id ipsum largitum esse quod tui curam gerat; cogitans illum eamdem curam gerentem mensuram dedisse, amplectere & gaude ob ea quæ accepisti; & ne ægre feras quod alia non acceperis. Imo gratias reddito, quod non majora quam ferre posses acceperis.

5. Si autem in spiritualibus non oportet curiose inquirere, multo magis in carnalibus; sed quiescere & non curiose scrutari cur ille dives, ille pauper. Sane quidem non singuli a Deo divitias habent; sed multi ex injustitia, ex rapina E & ex avaritia. Qui enim jussit non ditari, quomodo dedisset ea, quæ accipere prohibet? Ut autem validius confutem eos qui hac in re contradicunt nobis; age sermonem altius ducamus, ab eo tempore quo Deus divitias elargitus est, & responde mihi. Quare dives erat Abraham, Jacob autem etiam pane egebat? Annon similiter & hic & ille justus erat? Annon similiter de tribus dixit: *Ego Deus Abraham & Isaac & Jacob?* (Exod. 3. 6.) Cur ergo ille dives erat, hic mercede conducebatur?

A Imo potius, Cur Esau iniquus cum esset & fratricida, dives erat, hic vero in servitute tanto tempore fuit? Cur rursus Isaac tranquille tanto tempore vixit, Jacob autem in laboribus & miseriis? ideo-
Gen. 47. 9. que dicebat, *Pauci & mali dies mei.* Cur David qui propheta & rex fuit, totum vitæ tempus in laboribus transegit, Salomon autem filius ejus per quadraginta annos securius quam quilibet hominum vixit, profunda fruens pace, omne genus gloriæ, honoris & voluptatis adeptus? Cur in prophetis alius magis, alius minus affligebatur? Quoniam sic unicuique
B expediebat. Quamobrem circa singulos
Psal. 35. 6. dicendum est, *Judicia tua abyssus multa.* Nam si magnos illos & admirabiles viros non similiter exercebat Deus; sed hunc quidem per paupertatem, alium per divitias; hunc per tranquillitatem, illum per ærumnas; multo magis nunc hoc oportet cogitare. Cum hoc autem illud quoque secum reputare oportet, nempe multa ex iis quæ accidunt non ex illius sententia fieri, sed per nostram nequitiam evenire. Ne itaque dicas, Cur hic dives est, cum nequam sit; ille vero pauper,
C cum sit justus? Horum quippe rationem dare licet, ac dicere: Quia neque justus a paupertate læditur, imo majorem claritatis habet accessionem; & improbus habet divitias supplicii viaticum, nisi convertatur: atque etiam ante supplicium divitiæ illi malorum complurium causa fuere, & in mille barathra deduxere. Deus autem id agi sinit, simul liberi arbitrii voluntatem ostendens, & alios docens ne insani & furentes ad pecunias ferantur. Quid ergo, inquies, cum malus quispiam dives, nihil mali patitur? nam si probus cum sit, dives est, jure
D merito; sin malus sit, quid dicemus? Quod sit etiam hac ratione miserabilis: divitiæ enim ad nequitiam adjunctæ malum aggravant. Sed bonus est, & tamen pauper? At nihil læditur. Sed malus est & pauper? Ergo juste & pro merito, imo & ad utilitatem suam. Verum ille, inquies, a majoribus divitias accepit, & dispergit illas meretricibus & parasitis, nihilque mali patitur. Quid dicis? Fornicatur, & nihil mali patitur? Inebriatur, & putas ipsum deliciari? Ad nihil
E decorum pecunias expendit, & putas ipsum æmulatione dignum? Et quid deterius illo fuerit, qui animæ suæ exitium affert? Tu vero si eum membris contortum & mutilum videres, infinitis illum lacrymis dignum esse censeres, cum autem animam ejus totam mutilam vides, beatum illum existimas? At non sentit, inquies. Et ideo commiseratione dignus est, ut qui insaniunt. Nam qui scit se ægrotare, medicum prorsus requiret, & pharmaca sibi dari patietur; qui vero ignorat, nunquam liberari poterit. Hunccine, quæso, beatum prædicas? sed nihil mirum: sunt enim complures philoso-

Dei dispensatio non nimis examinanda.

μᾶλλον δὲ διὰ τί ὁ μὲν Ἡσαῦ ἐπλούτει ἄδικος ὢν καὶ ἀδελφοκτόνος, οὗτος δὲ ἐν δουλείᾳ τὸν χρόνον τοσοῦτον; διὰ τί πάλιν ὁ μὲν Ἰσαὰκ μετὰ ἀδείας ἔζησε τὸν ἅπαντα χρόνον, ὁ δὲ Ἰακὼβ ἐν μόχθοις καὶ ταλαιπωρίαις; διὸ καὶ ἔλεγε, μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου. διὰ τί ὁ μὲν Δαυὶδ προφήτης ὢν καὶ βασιλεὺς, καὶ αὐτὸς τὸν ἅπαντα χρόνον ἐν πόνοις ἔζησεν, ὁ δὲ Σολομῶν ὁ υἱὸς τούτου τεσσαράκοντα ἔτη πάντων ἀνθρώπων ἀδεέστερον διῆγεν, εἰρήνης ἀπολαύων βαθείας, δόξης, τιμῆς, καὶ τρυφῆς ἅπαν ἐπιὼν εἶδος; τί δήποτε καὶ ἐν τοῖς προφήταις ὁ μὲν μειζόνως, ὁ δὲ ἐλαττόνως
B ἐθλίβετο; ὅτι ἑκάστῳ οὕτω συμφέρον ἦν. διὸ ἑκάστῳ ἐπιλέγειν χρὴ, τὰ κρίματά σου ἄβυσσος πολλή. εἰ γὰρ τοὺς μεγάλους ἐκείνους καὶ θαυμαστοὺς οὐχ ὁμοίως ἐγύμναζεν ὁ θεὸς, ἀλλὰ τὸν μὲν διὰ πενίας, τὸν δὲ διὰ πλούτου, καὶ τὸν μὲν δι' ἀνέσεως, τὸν δὲ διὰ θλίψεως, πολλῷ μᾶλλον νῦν ταῦτα ἐννοεῖν χρή. μετὰ δὲ τούτου κἀκεῖνο λογίζεσθαι δεῖ, ὅτι πολλὰ τῶν συμβαινόντων, οὐ κατὰ τὴν αὐτοῦ γίνεται γνώμην, ἀλλ' ἀπὸ τῆς ἡμετέρας κακίας. μὴ τοίνυν λέγε, διὰ τί ὁ μὲν πλούσιος φαῦλος ὢν, ὁ δὲ πένης δίκαιος ὤν; μάλιστα μὲν
C γὰρ καὶ τούτων ἔστι δοῦναι λόγον, καὶ εἰπεῖν· ὅτι οὔτε ὁ δίκαιος ἀπὸ τῆς πενίας ἔχει τι βλάβος, ἀλλὰ καὶ μείζονα προσθήκην εὐδοκιμήσεως, καὶ ὁ κακὸς ἐφόδιον τιμωρίας τὸν πλοῦτον ἂν μὴ μεταβάληται, κέκτηται· καὶ πρὸ τῆς κολάσεως δὲ πολλάκις κακῶν αἴτιος αὐτῷ γέγονεν ὁ πλοῦτος πολλῶν, καὶ εἰς μυρία ἤγαγε βάραθρα. ὁ δὲ θεὸς ἀφίησιν, ὁμοῦ τε δεικνὺς τὸ αὐτεξούσιον τῆς προαιρέσεως, ὁμοῦ τε τοὺς ἄλλους παιδεύων μὴ μαίνεσθαι, μηδὲ λυττᾶν περὶ τὰ χρήματα. τί οὖν ὅταν πονηρός τις ὢν πλουτῇ, καὶ μηδὲν πάσχῃ δεινόν, φησιν; ἂν μὲν γὰρ ἀγαθὸς ὢν πλουτῇ, δι-
D καίως· ἂν δὲ πονηρὸς, τί ἐροῦμεν; ὅτι καὶ ταύτῃ ἐλεεινός. πλοῦτος γὰρ πονηρίᾳ προσγινόμενος ἐπιτείνει τὸ πάθος. ἀλλ' ἀγαθός ἐστι, καὶ πένεται; ἀλλ' οὐδὲν βλάπτεται. ἀλλὰ πονηρός ἐστι, καὶ πένεται; οὐκοῦν δικαίως καὶ κατ' ἀξίαν, μᾶλλον δὲ καὶ χρησίμως αὐτῷ. ἀλλ' ὁ δεῖνα, φησὶ, παρὰ προγόνων ἐδέξατο πλοῦτον, καὶ σκορπίζει τοῦτον εἰς πόρνας καὶ παρασίτους, καὶ οὐδὲν πάσχει δεινόν. τί φής; πορνεύει, καὶ λέγεις, οὐδὲν πάσχει δεινόν; μεθύει, καὶ νομίζεις αὐτὸν τρυφᾶν; εἰς οὐδὲν δέον δαπανᾷ, καὶ
E νομίζεις αὐτὸν ζηλωτὸν εἶναι; καὶ τί χεῖρον γένοιτ' ἂν τούτου τοῦ τὴν ψυχὴν λυμαινομένου; σὺ δὲ, εἰ μὲν τὸ σῶμα διέστραπτο καὶ πεπήρωτο, μυρίων ἂν αὐτὸν ἔφης ἄξιον εἶναι δακρύων, τὴν δὲ ψυχὴν αὐτοῦ πᾶσαν πεπηρωμένην ὁρῶν, καὶ μακάριον νομίζεις; ἀλλ' οὐκ αἰσθάνεται, φησί. καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο πάλιν ἐλεεινὸς, ὥσπερ οἱ παραπαίοντες. ὁ μὲν γὰρ εἰδὼς, ὅτι νοσεῖ, καὶ τὸν ἰατρὸν ἐπιζητήσει πάντως, καὶ φαρμάκων ἀνέξεται· ὁ δὲ ἀγνοῶν, οὐδὲ ἀπαλλαγῆναι δυνήσεται. τοῦτον οὖν μακαρίζεις, εἰπέ μοι; ἀλλ' οὐδὲν θαυμαστόν. φιλοσοφίας γὰρ οἱ πλείους ἀπειρο-

A διὰ τοῦτο τὴν ἐσχάτην τίνομεν δίκην, κολαζόμενοι, καὶ οὐδὲ ἀπαλλαττόμενοι τῆς τιμωρίας· διὰ τοῦτο θυμοὶ, καὶ ἀθυμίαι, καὶ θόρυβοι διηνεκεῖς, ἐπειδὴ βίον ἄλυπον δείξαντος ἡμῖν τοῦ θεοῦ, τὸν τῆς ἀρετῆς, ἡμεῖς ταύτην ἀφέντες, ἑτέραν τέμνομεν ὁδὸν τὴν τοῦ πλούτου καὶ τῶν χρημάτων, τὴν μυρίων γέμουσαν κακῶν· καὶ ταὐτὸν ποιοῦμεν, ὥσπερ ἂν εἴ τις σωμάτων οὐκ εἰδὼς διακρίνειν κάλλος, ἀλλὰ τὸ πᾶν τοῖς ἱματίοις τιθέμενος καὶ τῷ περικειμένῳ κόσμῳ, τὴν μὲν ὡραίαν γυναῖκα καὶ φυσικὸν κάλλος κεκτημένην ἰδὼν παραδράμοι· τὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ καὶ τὸ σῶμα ἀνάπηρον, B καλὰ ἱμάτια ἔχουσαν θεασάμενος, γυναῖκα ἀγάγοιτο. τοιοῦτόν τι καὶ νῦν περὶ τὴν ἀρετὴν, καὶ τὴν κακίαν πάσχουσιν οἱ πολλοὶ, τὴν μὲν αἰσχρὰν φύσει περιϊέμενοι διὰ τὸν ἔξωθεν αὐτῆς κόσμον, τὴν δὲ ὡραίαν καὶ εὔμορφον ἀποστρεφόμενοι διὰ τὸ γυμνὸν αὐτῆς κάλλος, δι' ὃ μάλιστα αὐτὴν ἑλέσθαι ἐχρῆν.

Διὰ τοῦτο αἰσχύνομαι, ὅτι παρὰ Ἕλλησι μὲν τοῖς ἀνοήτοις εἰσὶν οἱ ταῦτα φιλοσοφοῦντες, εἰ καὶ μὴ πράγμασιν, ἀλλὰ τῇ γνώμῃ τέως, καὶ εἰδότες τὸ τῶν παρόντων ἐπίκηρον· παρὰ ἡμῖν ἔνιοι οὐδὲ ταῦτα C ἐπίστανται, ἀλλὰ καὶ τὴν κρίσιν αὐτὴν διεφθαρμένην ἔχουσι· καὶ ταῦτα ἄνω καὶ κάτω τῆς γραφῆς ἐπᾳδούσης ἡμῖν καὶ λεγούσης· ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν κύριον δοξάζει· φόβος κυρίου ὑπὲρ πᾶν ὑπερέβαλε· τὸν θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· μὴ παραζήλου ἐν τοῖς πονηρευομένοις· μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος· πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν, ἔτι τῇ D γῇ προσηλούμεθα. καὶ καθάπερ παιδία ἀμαθῆ συνεχῶς τὰ στοιχεῖα μανθάνοντα, ἐπειδὰν διεσπαρμένως ἐξετάζηται περὶ τῆς ἐκείνων τάξεως, ἕτερα ἀνθ' ἑτέρων λέγοντα πολὺν κινεῖ τὸν γέλωτα· οὕτω καὶ ὑμεῖς, ὅταν ἐνταῦθα κατὰ τάξιν αὐτὰ καταλέξωμεν, ὁπωσδήποτε παρακολουθεῖτε· ὅταν δὲ ἔξω διεσπαρμένως ὑμᾶς ἐρωτήσωμεν, ποῖα μὲν πρῶτα, ποῖα δὲ δεύτερα τῶν πραγμάτων τάττειν ἄξιον, καὶ τίνα μετὰ τίνα, οὐκ εἰδότες εἰπεῖν, καταγέλαστοι γίνεσθε. ἢ οὐ πολλοῦ γέλωτος, εἰπέ μοι, ἀθανασίαν προσδοκῶντα, καὶ τὰ ἀγαθὰ, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ E καρδίαν ἀνθρώπου ἀνέβη, περὶ τῶν ἐνταῦθα μενόντων φιλονεικεῖν, καὶ ζηλωτὰ αὐτὰ εἶναι νομίζειν; εἰ γὰρ ἔτι ταῦτα χρείαν ἔχεις μανθάνειν, ὅτι οὐδὲν μέγα πλοῦτος, ὅτι σκιὰ τὰ παρόντα καὶ ὄναρ, ὅτι καπνοῦ δίκην διαλύεται καὶ ἀφίπταται· ἔξω τῶν ἀδύτων, στῆθι τέως, ἐν τοῖς προπυλαίοις μένε. οὔπω γὰρ τῆς εἰσόδου τῆς πρὸς τὰ ἄνω βασίλεια ἄξιος γέγονας. εἰ γὰρ τὴν φύσιν αὐτῶν διακρίνειν οὐκ οἶδα τὴν ἄστατον καὶ διηνεκῶς ῥέουσαν, πότε αὐτῶν ὑπεριδεῖν δυνήσῃ; εἰ δὲ λέγεις εἰδέναι, παῦσαι πολυπραγμονῶν καὶ περιεργαζόμενος, τί δήποτε ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα πένης. ταὐτὸν γὰρ ποιεῖς ταὐ-



A phiæ imperiti. Ideo extremas damus pœnas, ut qui puniamur nec liberemur a supplicio. Ideo iræ, mœrores & perturbationes frequentes; quia cum vitam dolore vacuam nobis ostendat Deus, viam nempe ad virtutem; nos illa relicta, aliam viam ingredimur, divitiarum nempe & pecuniæ, innumeris plenam malis, & non secus facimus, ac si quis corporum formam discernere non valens, sed totum tribuens vestimentis & circumposito ornatui, formosam mulierem, naturali pulcritudine præditam videns præ- B teriret; turpem autem, deformem & corpore mutilam, pulcris ornatam vestibus aspiciens, uxorem duceret. Tale quidpiam nunc circa virtutem & nequitiam multi patiuntur: turpem illam adeuntes propter exteriorem ornatum; formosam autem & pulcram respuentes propter nudam illius pulcritudinem, ob quam ipsam maxime deligi oportebat.

6. Ideo me pudet, quod cum apud Græcos illos insanos, quidam sint qui sic philosophantur, etiamsi non re, attamen sententia, & fluxam rerum præsentium C conditionem norunt; apud nos quidam ne illa quidem norint; sed & ipsum judicium corruptum habeant. Cum hæc omnia tam frequenter hæc nobis decantet & dicat: *Ad nihilum deductus est in conspectu ejus malignus, timentes autem Dominum glorificat. Timor Domini omnia superavit, Deum time, & mandata ejus custodi: hoc est enim omnis homo. Noli æmulari in malignantibus. Ne timueris cum dives factus fuerit homo. Omnis caro fænum, & omnis gloria hominis quasi flos fæni.* Hæc enim & talia quotidie audien- D tes, adhuc terræ affigimur. Et quemadmodum pueri imperiti frequenter elementa discentes, quando sparsim illorum ordo examinatur alia pro aliis dicentes multum excitant risum; sic & vos, quando illa hic ordine numeramus, utcumque assequimini; quando autem vos foris sparsim interrogamus, quæ prima sint, quæ secunda harumce rerum collocare oporteat, & quænam post alia locentur; cum dicere nesciatis, ridiculi estis. Annon, quæso, multo risu dignum est, quod cum immortalitatem exspecte- E mus, & bona, quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt, de rebus quæ hic manent contendamus, & ipsa æmulatione digna existimemus? Nam si adhuc hæc opus habes discere, quod divitiæ nihil magnum sint, quod res præsentes sint umbra & somnium, quod fumi instar dissolvantur & avolent; sta interim extra adyta, in vestibulis mane. Nondum ingressu ad supernam regiam dignus es. Si enim naturam eorum instabilem & perpetuo fluentem discernere nescis, quandonam illa despicere poteris? Si te scire dicas, desine curiose scrutari & inquirere, cur ille sit dives, cur hic sit pauper. Perinde enim

Divitiæ fluxæ.

Psal. 14. 5.
Eccli. 25. 14.
Eccles. 12. 13.
Psal. 48. 17.
Isai. 40. 7.

facis hæc interrogans, atque si circumiens rogares, cur ille albus, & ille niger; ille aquilino naso, ille simus. Sicut enim illa nihil ad nos, an isto, an illo modo se habeant; sic neque esse illum quempiam pauperem vel divitem, imo hæc minus quam illa quærenda. Sed totum ad usum referri debet. Etiamsi pauper sis, potes cum bono animo vivere si philosopheris: etiamsi dives sis, omnium es miserrimus, si virtutem fugias. Nam hæc nobis sectanda sunt, quæ ad virtutem spectant; si hæc non adsint, aliorum nulla utilitas. Ideo frequentes illæ interrogationes, quia multi ea quæ indifferentia sunt ad se spectare putant; de iis vero quæ ad se spectant & sibi utilia sunt, nullam rationem habent. Nam quæ nostra intersunt, virtus & philosophia sunt. Quia ergo ab illa longo intervallo abestis, ideo cogitationum perturbatio, ideo fluctus multi, ideo tempestas. Cum enim a superna gloria exciderint, & a cælorum amore, præsentem gloriam cupiunt, fiuntque servi & captivi. Et unde fit, inquit, ut hanc appetamus? quia non multum illam concupiscimus. Hoc autem ipsum unde accidit? Ex negligentia. Et negligentia unde? ex contemtu. Contemtus unde? ex amentia, & quod præsentibus inhiemus, & quod rerum naturam nolimus accurate examinare. Hoc vero undenam procedit? Quod scripturarum lectioni non attendamus, neque cum viris sanctis versemur, & improborum cœtus frequentemus. Ne igitur hoc perpetuo fiat, & ne fluctus fluctibus succedentes, nos in malorum pelagus abducant & suffocent funditusque perdant. Donec tempus adest, exsurgamus, & supra petram stantes, Dei dogmatum dico & verborum, respiciamus tempestatem vitæ præsentis. Ita enim & nos ipsam effugiemus, & alios naufragium patientes extrahemus, gratia & benignitate, &c.

A τα ἐρωτῶν, ὡσανεὶ περιιὼν ἐπυνθάνου, τί δήποτε ὁ δεῖνα λευκὸς, καὶ ὁ δεῖνα μέλας, ἢ ὁ δεῖνα γρυπὸς, καὶ ὁ δεῖνα σιμός. ὥσπερ γὰρ οὐδὲν ταῦτα ἡμῖν διαφέρει, ἄν τε οὕτως, ἄν τε ἐκείνως ἔχῃ, οὕτως οὐδὲ τὸ πένεσθαι καὶ πλουτεῖν, καὶ πολλῷ μᾶλλον, ἢ ἐκεῖνα· ἀλλὰ τὸ πᾶν παρὰ τὸν τῆς χρήσεως γίνεται τρόπον. κἂν πένης ᾖς, δύνασαι μετὰ εὐθυμίας ζῆν φιλοσοφῶν· κἂν πλούσιος ᾖς, πάντων ἀθλιώτερος εἶ φεύγων ἀρετήν. τὰ γὰρ διαφέροντα ἡμῖν ταῦτα, τὰ τῆς ἀρετῆς. κἂν ταῦτα μὴ προσῇ, τῶν ἄλλων οὐδὲν ὄφελος. διὰ τοῦτο καὶ αἱ πυκναὶ αὗται ἐρωτήσεις, B ὅτι τὰ μὲν ἀδιάφορα διαφέρειν αὐτοῖς νομίζουσιν οἱ πολλοὶ, τῶν δὲ διαφερόντων οὐδένα ποιοῦνται λόγον. ὃ γὰρ διαφέρον ἡμῖν, ἀρετὴ καὶ φιλοσοφία. ἐπεὶ οὖν ταύτης πόῤῥω που καὶ [a] μακρὰν ἑστήκατε, διὰ τοῦτο θόρυβος τῶν λογισμῶν, διὰ τοῦτο τὰ πολλὰ κύματα, διὰ τοῦτο ἡ ζάλη. ὅταν γὰρ τῆς ἄνω δόξης ἐκπέσωσι καὶ τοῦ τῶν οὐρανῶν ἔρωτος, τῆς παρούσης ἐφίενται, καὶ γίνονται δοῦλοι καὶ αἰχμάλωτοι· καὶ πόθεν ταύτης ἐφιέμεθα, φησιν; ἀπὸ τοῦ μὴ σφόδρα ἐκείνης ἐφίεσθαι. αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει; ἀπὸ ῥᾳθυμίας. ἡ δὲ ῥᾳθυμία πόθεν; ἀπὸ καταφρο- C νήσεως. ἡ δὲ καταφρόνησις πόθεν; ἐξ ἀνοίας καὶ τοῦ τοῖς παροῦσι προσεστηκέναι, καὶ μὴ βούλεσθαι τῶν πραγμάτων ἐξετάζειν μετὰ ἀκριβείας τὴν φύσιν. αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει πάλιν; ἐκ τοῦ μήτε γραφῶν ἀναγνώσει προσέχειν, μήτε ἀνδράσι συγγίνεσθαι ἁγίοις, καὶ τοὺς τῶν πονηρῶν συλλόγους διώκειν. ἵν' οὖν μὴ ἀεὶ τοῦτο γίνηται, καὶ κύματα ἐκ κυμάτων ἡμᾶς δεχόμενα εἰς τὸ πέλαγος ἀπάγῃ τῶν κακῶν καὶ καταπνίξῃ καὶ ἀπολέσῃ πάντη, ἕως ἐστὶ καιρὸς, ἀνενέγκωμεν, καὶ ἐπὶ τῆς πέτρας στάντες, τῶν θείων δογμάτων λέγω D καὶ λόγων, κατίδωμεν τὸν σάλον τοῦ παρόντος βίου. οὕτω γὰρ καὶ αὐτοὶ τοῦτον διαφευξόμεθα, καὶ ἑτέρους ναυαγοῦντας ἀνιμησάμενοι, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XXX.

12. *Sicut enim corpus unum est, & membra habet multa: omnia autem membra corporis, cum sint multa, unum tamen corpus sunt: ita & Christus.*

1. CUM consolationem præbuisset ex eo quod gratuitum esset donum, ex eo quod omnia ex uno eodemque spiritu acciperent, ex eo quod ad utilitatem darentur, ex eo quod per minora manifestatio fieret: ad hæc etiam cum os eorum obstruxisset ex eo quod oporteat potestati Spiritûs cedere; hæc enim omnia, inquit, operatur unus atque idem Spiritus, dividens singulis prout vult, quare non licet curiose inquirere; ex alio rursus illos consolatur communi exemplo, & ad naturam ipsam confugit, ut

## ΟΜΙΛΙΑ λ'.

Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

E ΠΑΡΑΜΥΘΗΣΑΜΕΝΟΣ ἐκ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἐκ τοῦ πάντα ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος λαμβάνειν, ἐκ τοῦ πρὸς τὸ συμφέρον δίδοσθαι, ἐκ τοῦ διὰ τῶν ἐλαττόνων φανέρωσιν γίνεσθαι, καὶ μετὰ τούτων καὶ ἐπιστομίσας ἐκ τοῦ δεῖν παραχωρεῖν τῇ ἐξουσίᾳ τοῦ πνεύματος· πάντα γὰρ ταῦτα, φησιν, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται, διὸ οὐδὲ περιεργάζεσθαι θέμις· καὶ ἐξ ἑτέρου λοιπὸν αὐτοὺς παραμυθεῖται κοινοῦ παραδείγματος, καὶ ἐπὶ τὴν φύσιν αὐτὴν καταφεύγει,

a Reg. μακρὰν ἑστήκατε.

ὅπερ ἔθος αὐτῷ ποιεῖν. καὶ γὰρ ἡνίκα περὶ τῆς κόμης διελέγετο τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, μετὰ τὰ ἄλλα καὶ ἐντεῦθεν αὐτοὺς ἐπαίδευσε, λέγων· ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῆς ἐστι; καὶ ὅτε περὶ τῶν εἰδωλοθύτων ἔλεγεν, ἀπαγορεύων αὐτῶν ἅπτεσθαι, καὶ ἀπὸ τῶν ἔξωθεν παραδειγμάτων ἐπεχείρει τῷ λόγῳ, Ὀλυμπικῶν τε ἀγώνων μεμνημένος, καὶ λέγων· ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον· καὶ ἀπὸ ποιμένων, καὶ στρατιωτῶν, καὶ γεωργῶν ταῦτα κατασκευάζων. διὸ δὴ καὶ ἐνταῦθα κοινὸν ὑπόδειγμα εἰς μέσον φέρει, δι' οὗ βιάζεται καὶ φιλονεικεῖ δεῖξαι οὐδένα ἠλαττωμένον, ὃ καὶ θαυμαστὸν ἦν καὶ παράδοξον δυνηθῆναι κατασκευάσαι καὶ τοὺς ἀφελεστέρους ἱκανὸν ἀνακλήσασθαι, τὸ τοῦ σώματος λέγω. τὸν γὰρ μικρόψυχον καὶ ἠλαττωμένον οὐδὲν οὕτω παραμυθεῖται καὶ πείθει μὴ ἀλγεῖν, ὡς τὸ μαθεῖν ὅτι οὐκ ἠλάττωται. διόπερ καὶ αὐτὸς κατασκευάζων αὐτὸ, οὕτω φησί· καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά. εἶδες σύνεσιν ἠκριβωμένην; τὸ αὐτὸ καὶ ἓν, καὶ πολλὰ δείκνυσι. διὸ καὶ ἐπάγει, μειζόνως ἐπαγωνιζόμενος τῷ προκειμένῳ· πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα. οὐκ εἶπε, πολλὰ ὄντα τοῦ ἑνός ἐστι σώματος, ἀλλ' [a] αὐτὸ τὸ ἓν σῶμα πολλά ἐστι· κἀκεῖνα τὰ πολλὰ μέλη, τοῦτό ἐστι τὸ ἕν. εἰ τοίνυν ἕν ἐστι τὰ πολλὰ, καὶ τὸ ἓν πολλὰ, ποῦ ἡ διαφορά; ποῦ τὸ ὑπερέχον; ποῦ τὸ ἔλαττον; πάντα γάρ, φησιν, ἕν ἐστι, καὶ οὐχ ἁπλῶς ἕν, ἀλλὰ κατὰ τὸ κυριώτερον ἐξεταζόμενα, κατὰ τὸ, σῶμα εἶναι, εὑρίσκεται πάντα ἓν ὄντα. ὅταν δὲ τὸ κατὰ μέρος, τότε ἡ διαφορὰ, καὶ ἡ διαφορὰ ἐν πᾶσιν ὁμοίως. οὐδὲν γὰρ αὐτῶν καθ' ἑαυτὸ σῶμα δύναται ποιεῖν, ἀλλ' ὁμοίως ἕκαστον λείπεται εἰς τὸ ποιεῖν σῶμα, καὶ δεῖ τῆς συνόδου. ὅταν γὰρ τὰ πολλὰ ἓν γίνηται, τότε ἐστὶν ἓν σῶμα. διὸ καὶ αὐτὸ τοῦτο αἰνιττόμενος, ἔλεγε· πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα. καὶ οὐκ εἶπε, τὰ ὑπερέχοντα, καὶ τὰ ἐλάττονα, ἀλλὰ, πολλὰ ὄντα, ὃ κοινὸν πᾶσίν ἐστι. καὶ πῶς δυνατὸν ἓν εἶναι; ὅταν τὴν διαφορὰν ἐκβαλὼν τῶν μελῶν, τὸ σῶμα ἐξετάζῃς. ὅπερ γάρ ἐστιν ὀφθαλμὸς, τοῦτο καὶ πούς, κατὰ τὸ, μέλος εἶναι καὶ σῶμα ποιεῖν. οὐδεμία γὰρ ἐνταῦθα διαφορά. οὐδὲ ἂν ἔχοις εἰπεῖν, ὅτι τὸ μὲν τῶν μελῶν ποιεῖ σῶμα καθ' ἑαυτὸ, τὸ δὲ οὐ ποιεῖ. πάντα γὰρ ἰσάζει ἐν τούτῳ, ἐπειδὴ καὶ πάντα ἕν ἐστι σῶμα. εἰπὼν δὲ τοῦτο, καὶ ἀποδείξας σαφῶς ἀπὸ τῆς κοινῆς ἁπάντων ψήφου, ἐπήγαγεν· οὕτω καὶ ὁ Χριστός· καὶ δέον εἰπεῖν, οὕτω καὶ ἡ ἐκκλησία, τοῦτο γὰρ ἀκόλουθον ἦν, τοῦτο μὲν οὔ φησιν, ἀντ' ἐκείνης δὲ τὸν Χριστὸν τίθησιν,

[a] Ita Reg. Editi vero, αὐτὸ τὸ σῶμα.

facere solet. Nam quando disserebat de coma virorum ac mulierum, post alia hinc quoque illos erudivit, dicens: *An non ipsa natura vos docet, quod vir quidem si comam nutriat, ignominia est illi; mulier autem si comam nutriat, ipsi & gloria?* (1. Cor. 11. 14.) Et cum de idolothytis dicebat, prohibens illa tangere; etiamque ab externis exemplis sermonem texens, atque Olympica certamina memorans dicebat: *Qui in stadio currunt, omnes quidem currunt, unus autem accipit bravium;* (1. Cor. 9. 24.) atque a pastoribus, militibus & agricolis illa ipsa probans. Ideo hic quoque commune exemplum in medium affert: quo admodum contendit ut ostendat neminem minus quam alios habere, id quod mirabile fuisset, & probatu difficile, tamenque simpliciores posset recreare: de iis quæ ad corpus spectant dico. Pusillanimem namque, & minus habentem nihil ita consolatur, & ad non dolendum inducit, ut cum discit se non minus habere. Quapropter id ille probans, sic loquitur: Sicut enim corpus unum est, & membra habet multa. Vidistin' accuratam intelligentiam? Idipsum & unum & multa esse ostendit. Ideo subjungit, in proposito magis instans: Omnia autem membra corporis, cum sint multa, unum sunt corpus. Non dixit, Cum sint multa, unius sunt corporis; sed, hoc ipsum unum multa sunt, & illa multa membra, hoc unum est. Si ergo multa unum sunt, & unum multa, ubi est differentia? ubinam id quod excedit? ubi quod minus est? Omnia enim, inquit, unum sunt, & non modo unum; sed etiam magis proprie examinata, secundum quod corpus sunt, inveniuntur omnia esse unum. Quando autem per partes, tunc differentia est, & differentia illa in omnibus similiter. Nullum enim eorum per se potest corpus efficere, sed pari modo singula deficiunt ad corpus efformandum, & opus est conjunctione. Cum enim multa unum efficiuntur, tunc est unum corpus. Ideoque id ipsum subindicans dicebat: *Omnia autem membra corporis, cum sint multa, unum est corpus.* Neque dixit, quæ excedunt & quæ minora sunt, sed, cum sint multa, quod commune omnibus est. Et quomodo fieri potest ut sint unum? Quando ejecta membrorum differentia, corpus examinaveris. Quod enim est oculus, hoc & pes est, secundum id quod membrum sunt, & corpus efficiunt. Nulla enim hic differentia est. Neque dicere possis hoc membrum per se corpus facere, illud non item. Omnia enim hac in re paria sunt, quia omnia unum sunt corpus. Hoc cum dixisset, & clare ex omnium calculo demonstrasset, subjunxit, *Ita & Christus.* Et cum oportuisset dicere, Ita & ecclesia, hoc enim consequens erat; hoc quidem non dixit; sed illius loco Christum ponit, in altum

Ecclesia corpori humano comparatur.

extollens orationem, & auditorem magis pudore afficiens. Hoc autem vult significare: Ita & Christi corpus, quod est ecclesia. Sicut enim & corpus & caput unus sunt homo, ita & ecclesiam & Christum unum esse dixit. Ideo Christum pro ecclesia posuit, corpus ejus sic vocans. Sicut ergo, inquit, corpus nostrum unum est, etiamsi ex multis constituatur; ita & in ecclesia omnes unum sumus. Etiamsi enim illa ex multis membris constat; sed illa multa unum fiunt corpus. Cum ergo recreasset & erexisset ab hoc communi exemplo eum qui videbatur minor fieri, rursus communem dimittit consuetudinem, & ad aliud pergit spirituale caput, majorem afferens consolationem, quod ostendat magnam in honore æqualitatem. Quodnam illud est? 13. *Etenim in uno Spiritu*, inquit, *omnes nos in unum corpus baptizati sumus; sive Judæi, sive Græci; sive servi, sive liberi.* Id est: quod effecit ut unum corpus simus, & nos regeneravit, unus est Spiritus. Non enim in alio hic, in alio ille baptizatus est Spiritu. Non modo autem qui nos baptizat unus est, sed & unum est in quo baptizavit; id est, propter quod baptizavit. Non enim ut diversa fierent corpora; sed ut omnes unius corporis accuratam conjunctionem mutuo servemus, baptizati sumus; hoc est, ut omnes unum corpus simus, in hoc baptizati sumus.

2. Itaque & qui construxit corpus, unus est, & id ad quod constructum est, unum est. Nec dixit, ut simus ejusdem corporis; sed ut unum corpus omnes simus: semper enim studet verbis majorem emphasin exprimentibus uti. Et bene dixit, omnes sumus, seipsum adjiciens. Neque enim ego apostolus plus quam tu, quid habeo: & tu corpus es sicut & ego: ego ut tu & omnes idipsum habemus caput, & eodem partu nati sumus: idcirco idem corpus sumus. Et quid dico, inquit, Judæos? nam & Græcos a nobis tantum dissitos, ad idipsum corpus redegit. Quare cum dixisset, Nos omnes, non hic substitit; sed subjunxit: sive Judæi, sive Græci, sive servi, sive liberi. Quod si cum antea adeo remoti essemus, juncti sumus & unum effecti; multo magis postquam unum facti sumus, non debemus dolere & mœstitia affici. Neque enim locum habet differentia. Nam si Græcos seu Gentiles & Judæos iisdem dignatus est, necnon servos & liberos; quomodo postquam id dignatus est, disjunxerit? quando majorem & accuratiorem ex donis conjunctionem efficere dignatus est? *Et omnes uno spiritu potati sumus*, 14. *Nam & corpus non est unum membrum, sed multa.* Id est, ad eamdem venimus mysteriorum initiationem, eadem fruimur mensa. Et cur non dixit: Eodem corpore nutrimur, & eodem spiritu potamur? Quia cum spiritum dixit, utrumque significavit & sanguinem & corpus. Per

A εἰς ὕψος ἀνάγων τὸν λόγον, καὶ μειζόνως τὸν ἀκροατὴν ἐντρέπων. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὕτω καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ὅπερ ἐστὶν ἡ ἐκκλησία. καθάπερ γὰρ καὶ σῶμα καὶ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος, οὕτω τὴν ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν ἔφησεν εἶναι. διὸ καὶ τὸν Χριστὸν ἀντὶ τῆς ἐκκλησίας τέθεικε, τὸ σῶμα αὐτοῦ οὕτως ὀνομάζων. ὥσπερ οὖν, φησιν, ἕν τί ἐστι τὸ ἡμέτερον σῶμα, εἰ καὶ ἐκ πολλῶν σύγκειται· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ ἕν τι πάντες ἐσμέν. εἰ γὰρ καὶ ἐκ πολλῶν αὕτη σύγκειται μελῶν, ἀλλὰ τὰ πολλὰ ταῦτα ἓν
B γίνεται σῶμα· ἀνακτησάμενος τοίνυν καὶ ἀναγαγὼν τὸν δοκοῦντα ἐλαττοῦσθαι ἀπὸ τοῦ κοινοῦ τούτου παραδείγματος, πάλιν τὴν κοινὴν συνήθειαν ἀφίησι, καὶ ἐφ' ἕτερον ἔρχεται κεφάλαιον πνευματικὸν μείζονα φέρον τὴν παράκλησιν, καὶ πολλῆς ἰσοτιμίας ὂν ἐνδεικτικόν. ποῖον δὴ τοῦτο; καὶ γὰρ ἐν ἑνὶ πνεύματι, φησι, πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. ὃ δὲ λέγει τοῦτό ἐστι· τὸ κατασκευάσαν ἡμᾶς ἓν σῶμα γενέσθαι, καὶ ἀναγεννῆσαν ἡμᾶς, ἕν ἐστι πνεῦμα· οὐ γὰρ ἐν ἄλλῳ μὲν οὗτος, ἐν ἄλλῳ δὲ ὁ ἕτερος ἐβαπ-
C τίσθη πνεύματι. οὐ μόνον δὲ τὸ βαπτίσαν ἡμᾶς, ἕν, ἀλλὰ καὶ εἰς ὃ ἐβάπτισεν, τουτέστιν, ἐφ' ᾧ ἐβάπτισεν, ἕν. οὐ γὰρ ἵνα διάφορα γένηται σώματα, ἀλλ' ἵνα πάντες τὴν ἑνὸς σώματος ἀκρίβειαν πρὸς ἀλλήλους διασώζωμεν, ἐβαπτίσθημεν· τουτέστιν, ἵνα πάντες ἓν σῶμα ὦμεν, εἰς τοῦτο ἐβαπτίσθημεν.

Ὥστε καὶ ὁ κατασκευάσας, εἷς, καὶ εἰς ὃ κατεσκεύασεν, ἕν. καὶ οὐκ εἶπε, τοῦ αὐτοῦ σώματος ἵνα γενώμεθα, ἀλλ', ἵνα ἓν σῶμα πάντες. ἀεὶ γὰρ φιλονεικεῖ τὰς ἐμφαντικωτέρας λέξεις τιθέναι. καὶ καλῶς εἶπε, πάντες ἡμεῖς, καὶ ἑαυτὸν προστιθείς. οὐδὲ γὰρ ἐγὼ ὁ ἀπόστο-
D λος, οὐδέν τι πλέον ἔχω κατὰ τοῦτο, φησι. καὶ γὰρ σὺ σῶμα εἶ, καθάπερ ἐγώ, καὶ ἐγὼ καθάπερ σύ, καὶ τὴν αὐτὴν ἅπαντες ἔχομεν κεφαλήν, καὶ τὰς αὐτὰς ἐλύσαμεν ὠδῖνας. διὸ καὶ τὸ αὐτὸ σῶμά ἐσμεν. καὶ τί λέγω, φησὶν, Ἰουδαίους; τοὺς γὰρ τοσοῦτον ἀφεστηκότας ἡμῶν Ἕλληνας εἰς ἑνὸς σώματος ἀκρίβειαν ἤγαγε. διὸ εἰπὼν, ἡμεῖς πάντες, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. εἰ δὲ πρὸ τούτου τοσοῦτον ἀφεστηκότες ἡνώθημεν καὶ ἐγενόμεθα ἕν, πολλῷ μᾶλλον μετὰ τὸ γενέσθαι ἕν, οὐκ ἂν εἴημεν δίκαιοι λυπεῖσθαι καὶ ἀθυμεῖν. οὐδὲ
E γὰρ ἔχει χώραν ἡ διαφορά. εἰ γὰρ Ἕλληνας καὶ Ἰουδαίους τῶν αὐτῶν ἠξίωσε, καὶ δούλους καὶ ἐλευθέρους, πῶς μετὰ τὸ ἀξιῶσαι διΐστησιν, ὅτε πλείονα ἐκ τῆς τῶν χαρισμάτων χορηγίας τῆς ἑνώσεως τὴν ἀκρίβειαν ἐχαρίσατο; καὶ πάντες ἓν πνεῦμα ἐποτίσθημεν. καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. τουτέστι, πρὸς τὴν αὐτὴν ἤλθομεν μυσταγωγίαν, τῆς αὐτῆς ἀπολαύομεν τραπέζης· καὶ διατί μὴ εἶπε, τὸ αὐτὸ σῶμα τρεφόμεθα, καὶ τὸ αὐτὸ αἷμα πίνομεν; ὅτι πνεῦμα εἰπὼν, ἀμφότερα ἐδήλωσε, καὶ τὸ αἷμα καὶ

τὴν σάρκα. δι' ἀμφοτέρων γὰρ ἓν πνεῦμα ποτιζόμεθα. ἐμοὶ δὲ δοκεῖ νῦν ἐκείνην λέγειν τοῦ πνεύματος τὴν ἐπιφοίτησιν, τὴν ἀπὸ τοῦ βαπτίσματος καὶ πρὸ τῶν μυστηρίων ἐγγινομένην ἡμῖν. ἐποτίσθημεν δὲ εἶπεν, ἐπειδὴ ἡ μεταφορὰ τῆς λέξεως σφόδρα ἁρμόδιος αὐτῷ πρὸς τὴν προκειμένην ὑπόθεσιν· ὡς ἂν εἰ ἐπὶ φυτῶν καὶ παραδείσου ἔλεγεν, ὅτι ἀπὸ τῆς αὐτῆς πηγῆς πάντα τὰ δένδρα ἄρδεται, ὅτι ἀπὸ τοῦ αὐτοῦ ὕδατος· οὕτω δὴ καὶ ἐνταῦθα, τὸ αὐτὸ πνεῦμα ἐπίομεν ἅπαντες, τῆς αὐτῆς ἀπηλαύσαμεν χάριτος, φησιν. εἰ τοίνυν καὶ ἓν πνεῦμα ἡμᾶς κατεσκεύασε, καὶ εἰς ἓν σῶμα ἅπαντας ἡμᾶς συνήγαγε· τοῦτο γάρ ἐστιν, εἰς ἓν σῶμα ἐβαπτίσθημεν· καὶ μίαν τράπεζαν ἐχαρίσατο, καὶ τὴν αὐτὴν ἄρδειαν ἅπασιν ἔδωκε, τοῦτο γάρ ἐστιν, εἰς ἓν πνεῦμα ἐποτίσθημεν, καὶ τοσοῦτον διεστῶτας ἥνωσε, καὶ τὰ πολλὰ τότε γίνεται σῶμα, ὅταν γένηται ἕν· τί μοι τὴν διαφορὰν ἄνω καὶ κάτω στρέφεις; εἰ δὲ λέγεις, ὅτι πολλά ἐστι τὰ μέλη καὶ διάφορα, μάθε ὅτι αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστὸν, καὶ τοῦ σώματος τὸ ἐξαίρετον, ὅταν τὰ πολλὰ καὶ διάφορα ἓν ποιῇ. εἰ δὲ μὴ ἦν πολλὰ, οὐχ οὕτω θαυμαστὸν ἦν καὶ παράδοξον τὸ, ἓν εἶναι σῶμα· μᾶλλον δὲ οὐδ' ἂν ἦν σῶμα. ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι. τέως δὲ ἐπ' αὐτὰ τὰ μέλη χωρεῖ, λέγων οὕτως· ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; εἰ γὰρ τὸ, τὸν μὲν ἠλαττῶσθαι, τὸν δὲ ὑπερέχειν, οὐκ ἀφίησιν εἶναι ἐκ τοῦ σώματος, τὸ πᾶν ἀνῄρηται· μὴ τοίνυν εἴποις, ὅτι οὐκ εἰμὶ σῶμα, ἐπειδὴ ἐλάττων εἰμί. καὶ γὰρ ὁ πούς τὴν ἐλάττονα τάξιν ἔχει, ἀλλὰ τοῦ σώματός ἐστι· τὸ γὰρ ἐκ τοῦ σώματος εἶναι, καὶ μὴ εἶναι, οὐκ ἀπὸ τοῦ τὸν μὲν ἐν τῷδε τῷ τόπῳ, τὸν δὲ ἐν τῷδε κεῖσθαι· τοῦτο γὰρ τόπου ποιεῖ διαφοράν· ἀλλ' ἀπὸ τοῦ συνῆφθαι, ἢ ἀπέχεσθαι. τὸ γὰρ εἶναι, ἢ μὴ εἶναι σῶμα, ἐκ τοῦ ἡνῶσθαι ἢ μὴ ἡνῶσθαι γίνεται. σὺ δέ μοι σκόπει τὴν σύνεσιν, πῶς αὐτοῦ τὰ ῥήματα τοῖς μέλεσι περιτίθησι τοῖς ἡμετέροις. ὥσπερ γὰρ ἀνωτέρω ἔλεγε, ταῦτα μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, οὕτω δὴ καὶ ἐνταῦθα, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον καὶ εὐπαράδεκτον, τὰ μέλη εἰσάγει φθεγγόμενα· ἵν', ὅταν ἀκούσωσι τῆς φύσεως αὐτοῖς ἀποκρινομένης, ἀπὸ τῆς πείρας αὐτῆς ἐλεγχόμενοι καὶ τῆς κοινῆς ψήφου, μηδὲν λοιπὸν ἀντιλέγειν [a] ἔχωσι. κἂν γὰρ λέγητε, φησι, τοῦτο αὐτό, κἂν γογγύζητε, οὐ δύνασθε ἐκτὸς εἶναι τοῦ σώματος. ὥσπερ γὰρ ὁ τῆς φύσεως νόμος, οὕτω καὶ πολλῷ πλέον ἡ τῆς χάριτος δύναμις φυλάττει πάντα καὶ διατηρεῖ. καὶ ὅρα πῶς ἐφύλαξε τὸ ἀπέριττον, οὐκ ἐπὶ πάντων τῶν μελῶν τὸν λόγον γυμνάζων, ἀλλ' ἐπὶ δύο μόνων, καὶ τούτων τῶν ἄκρων. καὶ γὰρ τὸ πάντων τιμιώτερον τέθεικε, τὸν ὀφθαλμὸν, καὶ τὸ πάντων εὐτελέστερον, τοὺς πόδας. καὶ οὐ ποιεῖ τὸν πόδα τῷ ὀφ-

[a] ἔχωσι. κἂν γάρ. Huc desinit codex Regius.

A utrimque enim uno spiritu potamur. Mihi autem videtur nunc dicere illum Spiritus adventum, qui a baptismate, & ante mysteria nobis accedit. Dixit autem, potati sumus, quia dictionis metaphora valde opportuna ipsi est ad præsens argumentum. Ut si de plantis & de paradiso diceret, ab eodem fonte omnes arbores irrigantur; & ab eadem aqua. Ita & in præsenti, eodem Spiritu potati sumus omnes, eamdem percepimus gratiam. Si ergo unus Spiritus nos conjunxit, & nos omnes in unum corpus com- B pegit; hoc enim significat illud, In unum corpus baptizati sumus; & unam mensam largitus est, & eamdem omnibus irrigationem; hoc enim sibi vult illud, Uno spiritu potati sumus; & tanto intervallo dissitos junxit; & multa tunc fiunt corpus, quando facta fuerunt unum; cur mihi differentiam sus deque versas? Si autem dixeris, multa sunt membra, & diversa: discas hoc ipsum esse admirabile, & hanc corporis esse excellentiam, quando multa & diversa unum efficiunt. Quod si multa non essent, non ita mirabile & inexspectatum esset unum esse corpus; C imo ne esset quidem corpus. Sed hoc quidem postremo ponit. Interim vero ad ipsa membra pergit ita loquens: 15. *Si dixerit pes, non sum manus, non sum de corpore; num idcirco non est de corpore?* 16. *Et si dixerit auris, Non sum oculus, non sum de corpore, num idcirco non est de corpore?* Nam si quod alius minus haberet, alius excederet, id non sineret esse de corpore, universum tolleretur. Ne itaque dixeris, Non sum corpus, quia sum minor. Etenim pes minorem tenet ordinem; sed est ex corpore. Nam ex corpore esse vel non esse, non inde fit quod a- D lius in hoc loco, alius in alio positus sit; hoc enim loci tantum facit differentiam; sed ex eo quod sit conjunctus vel non conjunctus. Nam esse vel non esse corpus ex eo fit, quod vel conjunctum vel non conjunctum sit. Tu vero mihi prudentiam perpende, quomodo ipsa verba apposite membris nostris accommodet. Nam ut superius dicebat, Hæc transfiguravi in me & Apollo; sic & hoc loco, ut non molestum, sed acceptum redderet sermonem; membra loquentia inducit; ut cum audirent naturam sibi respondentem, ab ipsa experientia convicti & a E communi calculo, nihil ultra contradicere valerent. Nam sive hoc ipsum, inquit, dicatis, sive murmuretis, non potestis extra corpus esse. Quemadmodum enim lex naturæ, sic & multo magis gratiæ virtus, omnia custodit & conservat. Et vide quomodo caverit ne quid superfluum esset, non de membris omnibus, orando tractans; sed de duobus tantum, iisque extremis. Etenim omnium preciosissimum posuit, oculum; & omnium vilissimum, pedes. Neque inducit

pedem cum oculo loquentem, sed cum manu quæ est paulo altior; auditum autem cum oculis. Quia enim non iis qui nos longe superant, sed iis qui paulo altiores sunt, solemus invidere; ideo & ipse sic facit comparationem. 17. *Si totum corpus oculus, ubi auditus? si totum auditus, ubi odoratus?* Quia enim cum in membrorum incidisset differentiam, & dixisset pedes, manus, oculos, & aures, illos in cogitationem minoris vel majoris induxit; vide quomodo rursum illos consolatur, ostendens ita consentaneum esse: Et quod multi sint & diversi, hoc maxime facit ut corpus sit. Quod si unum essent omnes, non essent corpus. Ideo ait, si essent omnia unum membrum, ubi corpus? Sed hoc quidem postea dicit. Hic vero quid majus ostendit, nempe quod nod solum non possit esse corpus; sed ne esse quidem cæteros sensus. Nam si auditus totum esset, ubi odoratus, inquit.

3. Deinde quia sic quoque turbabantur; quod superius fecit, id etiam nunc facit. Sicut enim ibi per utilitatem consolatus, demum os valide obstruxit dicens: Hæc autem omnia operatur unus atque idem Spiritus, dividens singulis prout vult; sic & hoc loco etiam ratiocinia proferens, queis ostendit ad utilitatem sic omnia facta esse, rursus totum ad Dei voluntatem reducit dicens: 18. *Nunc autem posuit Deus membra, unumquodque eorum in corporibus sicut voluit.* Quemadmodum de Spiritu dixit, *prout vult*; sic & hoc loco, *sicut voluit*. Ne ergo ultra curiosius causam inquiras, cur sic, cur non sic. Etiamsi enim mille dicta proferenda habuerimus, non sic poterimus ostendere recte factum esse, ut cum dicimus; ut optimus artifex voluit, ita factum est; nam sic ille vult ut expedit. Si autem in hoc corpore de membris non curiose inquirimus, multo magis in ecclesia. Et vide illius prudentiam. Non enim illam ponit differentiam quæ ex natura est, neque illam quæ est ex operatione, sed eam quæ est a situ locorum. *Nunc enim posuit*, inquit, *Deus membra, unumquodque eorum in corpore sicut voluit.* Et recte dixit, unumquodque, in omnibus utilitatem ostendens. Neque enim dicere possis, illum hoc quidem posuisse, illud vero minime, sed unumquodque secundum voluntatem ipsius situm est. Ita ut pedi utile sit, sic collocatum esse, non capiti tantum. Sive ordinem mutaverit, sive proprio relicto loco, in alium transierit, sive in majorem venisse videatur, totum perdidit & corrupit; nam proprium locum perdidit, & alium non assequitur. 19. *Quod si essent omnia unum membrum, ubi corpus?* 20. *Nunc autem multa quidem membra, unum vero corpus.* Cum enim eis satis os obstruxisset a Dei dispositione, rursus ratiocinia ponit; neque semper

A θαλμὸν διαλεγόμενον, ἀλλὰ τῇ ὀλίγον ἀναβεβηκυίᾳ χειρὶ, τὴν δὲ ἀκοὴν τοῖς ὀφθαλμοῖς. ἐπειδὴ γὰρ οὐ τοῖς σφόδρα ὑπερέχουσιν, ἀλλὰ τοῖς ὀλίγον ἀναβεβηκόσι φθονεῖν εἰώθαμεν, διὰ τοῦτο καὶ αὐτὸς οὕτω ποιεῖται τὴν σύγκρισιν. Εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοὴ, ποῦ ἡ ὄσφρησις; ἐπειδὴ γὰρ εἰς τὴν τῶν μελῶν ἐμπεσὼν διαφορὰν, καὶ εἰπὼν πόδας, καὶ χεῖρας, καὶ ὀφθαλμοὺς, καὶ ὦτα, εἰς ἔννοιαν αὐτοὺς τῆς ἐλαττώσεως καὶ τῆς ὑπεροχῆς ἤγαγεν· ὅρα πῶς πάλιν αὐτοὺς παραμυθεῖται, δεικνὺς B ὅτι οὕτω συμφέρειν ἦν· καὶ τὸ πολλοὺς εἶναι καὶ διαφόρους, τοῦτο μάλιστα ποιεῖ σῶμα εἶναι. Εἰ δὲ ἓν ἦσαν οἱ πάντες, οὐκ ἦσαν σῶμα. διό φησιν, Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; ἀλλὰ τοῦτο μὲν ὕστερον λέγει· ἐνταῦθα δέ τι καὶ πλέον δείκνυσιν, ὅτι οὐ μόνον σῶμα εἶναι οὐκ ἐχώρει, ἀλλ' οὐδὲ εἶναι τὰς λοιπάς. Εἰ ὅλον γὰρ αὖ ἀκοὴ, ποῦ ἡ ὄσφρησις, φησίν.

Εἶτα ἐπειδὴ ἔτι καὶ οὕτως ἐθορυβοῦντο, ὅπερ ἀνωτέρω ἐποίησε, καὶ νῦν τοῦτο ποιεῖ. ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦ συμφέροντος παρακαλέσας, ὕστερον καὶ ἐπεστό- C μισε σφοδρῶς, εἰπών· Ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· οὕτω καὶ ἐνταῦθα λογισμοὺς θεὶς, καθ' οὓς ἔδειξε συμφέρον ὂν οὕτω γενέσθαι πάντα, πάλιν ἐπὶ τὴν τοῦ θεοῦ βουλὴν ἀνάγει τὸ πᾶν λέγων· νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν. ὥσπερ περὶ τοῦ πνεύματος εἶπε, καθὼς βούλεται, οὕτω καὶ ἐνταῦθα, καθὼς ἠθέλησε. μὴ τοίνυν ἐξέταζε λοιπὸν τὴν αἰτίαν, διὰ τί οὕτω, καὶ διὰ τί οὐχ οὕτω. κἂν γὰρ μυρίους λόγους ἔχωμεν εἰπεῖν, οὐχ οὕτω δυνησόμεθα δεῖξαι ὅτι καλῶς, ὡς D ὅταν εἴπωμεν, ὅτι ὡς ὁ ἀριστοτέχνης ἠθέλησεν, οὕτω γέγονεν· ὡς γὰρ συμφέρον ἐστὶν, οὕτω βούλεται. Εἰ δὲ ἐν τῷ σώματι τούτῳ οὐ περιεργαζόμεθα τὰ μέλη, πολλῷ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. οὐ γὰρ τὴν ἀπὸ τῆς φύσεως τίθησι διαφορὰν, οὐδὲ τὴν ἀπὸ τῆς ἐνεργείας, ἀλλὰ τὴν ἀπὸ τῆς θέσεως τῶν τόπων. νυνὶ γάρ, φησιν, ὁ θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε· καὶ καλῶς εἶπεν, ἕκαστον, ἐπὶ πάντων τὸ λυσιτελὲς ἐνδεικνύμενος. οὐ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι τοῦτο μὲν αὐτὸς ἔταξεν, ἐκεῖνο δὲ οὐχί· ἀλλὰ ἕκαστον E κατὰ τὸ θέλημα αὐτοῦ, οὕτω κεῖται. ὥστε καὶ τῷ ποδὶ συμφέρει τὸ οὕτω τετάχθαι, οὐχὶ τῇ κεφαλῇ μόνον· κἂν ἐναλλάξῃ τὴν τάξιν, καὶ τὴν οἰκείαν χώραν ἀφεὶς, ἐφ' ἑτέραν ἔλθῃ, κἂν ἐπὶ μείζονα δοκῇ ἐληλυθέναι, τὸ πᾶν ἀπώλεσε καὶ διέφθειρε. τῆς τε γὰρ οἰκείας ἐκπίπτει, καὶ τῆς ἑτέρας οὐκ ἐπιτυγχάνει. Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; νυνὶ δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. ἐπιστομίσας γὰρ αὐτοὺς ἱκανῶς ἀπὸ τῆς τοῦ θεοῦ διατάξεως, πάλιν λογισμοὺς τίθησι. καὶ οὔτε τοῦτο ἀεὶ ποιεῖ, οὔτε ἐκεῖνο, ἀλλ'

ἀλλ' ἐναλλάττων ποικίλλει τὸν λόγον. ὅ τε γὰρ ἐπιστομίζων μόνον, τὸν ἀκροατὴν θορυβεῖ· ὅ τε δὲ ἐθίζων αὐτὸν πάντων αἰτίας ἀπαιτεῖν, εἰς τὸν τῆς πίστεως αὐτὸν παραβλάπτει λόγον· διὰ δὴ τοῦτο κἀκεῖνο συνεχῶς ὁ Παῦλος ποιεῖ, ἵνα καὶ πιστεύσωσι, καὶ μὴ θορυβῶνται· καὶ μετὰ τὸ ἐπιστομίσαι πάλιν, καὶ λόγον παρέχει. καὶ σκόπει τὴν φιλονεικίαν, καὶ τὴν περιουσίαν τῆς νίκης. ἀφ' ὧν γὰρ ἐνόμιζον οὐκ εἶναι ἰσότιμοι τῷ πολλὴν ἐν αὐτοῖς εἶναι τὴν διαφορὰν, ἀπὸ τούτων δείκνυσιν, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο ἰσότιμοι. πῶς, ἐγὼ λέγω. εἰ ἦν τὰ πάντα, φησὶν, ἓν μέλος, ποῦ τὸ σῶμα; ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ μὴ ἦν ἐν ὑμῖν πολλὴ ἡ διαφορὰ, οὐκ ἂν ἦτε σῶμα· σῶμα δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἕν· ἓν δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἰσότιμοι, ὥστε οὖν εἰ πάντες ἰσότιμοι ἦτε, οὐκ ἂν ἦτε σῶμα· οὐκ ὄντες δὲ σῶμα, οὐκ ἂν ἦτε ἕν· οὐκ ὄντες δὲ ἕν, πῶς ἂν ἦτε ἰσότιμοι; νῦν μέν τοι, ἐπειδὴ οὐκ ἐστὲ πάντες ἕν τι χάρισμα ἔχοντες, διὰ τοῦτο σῶμά ἐστε· σῶμα δὲ ὄντες, πάντες ἐστὲ ἕν, καὶ οὐδὲν ἀλλήλων διαφέρετε κατὰ τὸ σῶμα εἶναι· ὥστε ἡ διαφορὰ αὕτη μάλιστά ἐστιν ἡ ποιοῦσα τὴν ἰσοτιμίαν· διὸ καὶ ἐπήγαγε, νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. ταῦτ' οὖν ἐννοοῦντες καὶ ἡμεῖς πᾶσαν βασκανίαν ἐκβάλωμεν, καὶ μήτε τοῖς μείζονα χαρίσματα ἔχουσι φθονῶμεν, μήτε καταφρονῶμεν τῶν τὰ ἐλάττονα κεκτημένων. οὕτω γὰρ ὁ θεὸς ἠθέλησε. μὴ τοίνυν ἀντιτασσώμεθα. εἰ δὲ ἔτι θορυβῇ, ἐννόησον ὅτι τὸ σὸν ἔργον οὐ δύναται ἐκεῖνος πολλάκις ἀνύειν. ὥστε κἂν ἐλάττων ἧς, τούτῳ πλεονεκτεῖς· κἂν μείζων ἐκεῖνος ᾖ, ἐλαττοῦται ἐν τούτῳ, καὶ οὕτως ἰσότης γίνεται· καὶ γὰρ καὶ ἐν τῷ σώματι καὶ τὰ μικρὰ οὐ μικρὰ δοκεῖ συντελεῖν, ἀλλὰ καὶ τοῖς μεγάλοις λυμαίνεται πολλάκις, ὅταν ἀποστῇ. τί γὰρ τριχῶν εὐτελέστερον ἐν τῷ σώματι; ἀλλὰ τὰς εὐτελεῖς ταύτας ἂν ἀνέλῃς ἀπὸ τῶν ὀφρύων καὶ τῶν βλεφάρων, ὅλην ἠφάνισας τῆς ὄψεως τὴν ὥραν, καὶ ὀφθαλμὸς οὐκέτι ὁμοίως φανεῖται καλός· καίτοιγε περὶ τὸ τυχὸν ἐστιν ἡ ζημία, ἀλλ' ὅμως καὶ οὕτω πᾶσα διεφθάρη ἡ εὐμορφία· οὐχ εὐμορφία δὲ μόνον· ἀλλὰ καὶ πολὺ τῆς χρείας τῶν ὀφθαλμῶν· τῶν γὰρ μελῶν ἡμῶν ἕκαστον καὶ ἰδίαν ἐνέργειαν ἔχει, καὶ κοινήν· καὶ κάλλος ὁμοίως καὶ ἴδιον, καὶ κοινόν ἐστιν ἐν ἡμῖν. καὶ δοκεῖ μὲν διῃρῆσθαι ταῦτα, συμπέπλεκται δὲ ἀκριβῶς, καὶ θατέρου διαφθαρέντος καὶ τὸ ἕτερον συναπόλλυται. σκόπει δέ· ἔστωσαν ὀφθαλμοὶ λάμποντες, καὶ παρειὰ μειδιῶσα, καὶ χεῖλος ἐρυθρὸν, καὶ ῥὶς εὐθεῖα, καὶ ὀφρὺς ἐκτεταμένη· ἀλλ' ὅμως κἂν τὸ τυχὸν ἐκ τούτων λυμήνῃς, τῷ κοινῷ πάντων ἐλυμήνω κάλλει, καὶ πάντα κατηφείας μεστὰ, καὶ πάντα αἰσχρὰ φανεῖται τὰ πρὸ τούτου καλά· ἂν γὰρ τὸ ἄκρον μόνον τῆς ῥινὸς συντρίψῃς, πάντων πολλὴν κατέχεας τὴν ἀμορφίαν· καίτοιγε ἑνὸς μέλους ἐστὶν ἡ πήρωσις. καὶ ἐπὶ χειρὸς ὁμοίως, ἂν ἑνὸς δακτύλου τὸν ὄνυχα ἐξέλῃς, τὸ αὐτὸ γινόμενον ὄψει.

A hoc facit, neque illud, sed commutans variat orationem. Qui enim os obturat tantum, auditorem turbat. Qui autem illum assuefacit ad omnium causas exquirendas, in oratione de fide ipsum lædit. Idcirco hoc Paulus frequenter facit, ut & credant, & non turbentur: & postquam ora obstruit, dat etiam rationem. Et vide contentionem, & plenam victoriam. Ex quibus putabant se non esse honore pares, quod multa in ipsis esset differentia, ex iisdem ostendit, illos propter hoc ipsum honore pares esse; quomodo autem, ego dicam. *Si essent*, inquit, *om-*
B *nia unum membrum, ubi corpus?* Id est, Si non esset, inquit, in vobis multa differentia, non essetis corpus: Si corpus non essetis, neque unum essetis. Si unum non essetis, neque pares essetis; itaque si pares essetis, non essetis corpus; si corpus non essetis, non essetis unum. Si unum non essetis, quomodo honore pares essetis? Nunc vero, quia non omnes idem donum habetis, ideo corpus estis. Corpus vero cum sitis, omnes unum estis, & nihil alter ab altero differtis, secundum id, quod corpus estis. Itaque illa
C maxime differentia, est quæ facit honoris paritatem. Ideoque subjunxit: *Nunc autem multa quidem membra, unum vero corpus.* Hæc itaque nos quoque cogitantes, omnem pellamus invidiam, neque illis invideamus qui majora habent charismata, neque despiciamus eos qui minora possident. Ita enim Deus voluit. Ne itaque obsistamus; si vero adhuc turbaris, cogita illum sæpe non posse opus tuum implere. Quamobrem, etiamsi minor fueris, in hoc illum superas; etiamsi major ille sit, in hoc superatur, & sic æqualitas efficitur. Etenim in corpore quoque, quæ parva sunt, non parva videntur exsequi; sed &
D magna sæpe labefactant, cum abscedunt. Quid enim in corpore pilis vilius? sed si illos viles abstuleris a superciliis, omnem faciei formam delevisti, & oculus non ultra tam pulcher apparebit: atqui leve est detrimentum; attamen sic omnis forma periit; non forma tantum; sed & oculorum usus multum læditur. Singula enim membra nostra propriam & communem habent operationem; & pulcritudo etiam & propria & communis est in nobis. Et videntur quidem illa divisa esse, suntque tamen accurate connexa, ac si alterum
E perierit, alterum quoque simul interit. Animadverte autem: Sint oculi lucentes, gena subridens, labium rubicundum, nasus rectus, supercilium extensum. Attamen si illorum quodpiam vel tantillum labefactaveris, communem omnium pulcritudinem labefactasti, & turpia omnia apparebunt, quæ antea pulcra erant. Nam si vel extremum nasum contriveris, in omnia simul multam infudisti deformitatem: etiamsi unius membri sit mutilatio. Et in manu etiam, si unius digiti unguem abstuleris, idipsum fieri videbis.

4. Si autem idipsum in operatione videre velis, tolle digitum unum & reliquos otiosiores videbis, neque suo ultra similiter munere fungentes. Quoniam igitur unius membri jactura, communis est turpitudo, ejusque conservatio communis pulcritudo, ne extollamur, neque insultemus proximis. Nam propter illud exiguum membrum, illud quod magnum est, pulcrum est & formosum, & per palpebras ornatur oculus. Se impugnat ergo qui fratrem impugnat. Non enim ad illum solum pertingit damnum, sed & ipse non parvum detrimenti subibit. Ne hoc itaque fiat, ut nosmetipsos sic proximos curemus, & hanc corporis imaginem, nunc & in ecclesiam transferamus, omnium providentiam geramus, ut propriorum membrorum. Nam & in ecclesia membra sunt multa & diversa; alia quidem honorabilia, alia inferiora; ut sunt virginum chori, viduarum cœtus: sunt etiam eorum qui in casto connubio fulgeant sodalitia; multique sunt virtutis gradus. Similiterque rursum in eleemosyna. Alius enim omnia effudit & erogavit, alii autem solo tantum victu contenti sunt, & non plus quærunt quam necessaria, alii ex superfluo erogant. Attamen hi omnes sese mutuo exornant. Et si minorem major despiciat, seipsum maxime lædit. Virgo quoque si connubio junctam contumelia afficiat, non parum ex mercede sua decidit. Si is qui omnia elargitus est, exprobret ei qui idipsum non fecit, ex laboribus suis multum evacuavit. Ecquid virgines dico, viduas, & viros qui nihil possident? Quid enim vilius iis qui emendicant? Attamen illi usum maximum in ecclesia implent, ostiis templi hærentes, & ornatum maximum afferentes: absque illis enim perfecta non esset plenitudo ecclesiæ, Quod cum initio viderent apostoli, legem statuerunt, ut circa alia omnia; sic & ut viduæ essent: & in ea re tantum studii posuerunt, ut ipsis diaconos septem præficerent. Quemadmodum enim episcopos, presbyteros, diaconos, virgines & continentes enumero, cum ecclesiæ membra recenseo; sic & viduas. Neque enim illæ levi funguntur munere. Nam tu quidem quando vis, ades. Illæ vero die nocteque psallunt, & adsunt; non eleemosynæ tantum causa hæc agentes; si enim hoc vellent, liceret per forum incedere, & in angiportis mendicare; sed non modica moventur pietate. Vide ergo in quanta paupertatis fornace versentur. Blasphemantes apud illas nunquam audieris, neque indigne ferentes, quod tamen ex divitibus multæ faciunt. Et illarum quædam esurientes sæpe dormierunt; aliæ autem a frigore assidue vexantur, & tamen in gratiarum actione & glorificatione degunt. Si obolum dederis, gratias agunt, & mille bona danti apprecantur; si nihil dederis, non ægre ferunt; sed sic

Viduæ in ecclesia.

A Εἰ δὲ καὶ ἐπὶ ἐνεργείας βουληθείης τὸ αὐτὸ συμβαῖνον ἰδεῖν, ἄνελε δάκτυλον ἕνα, καὶ τοὺς λοιποὺς ἀργοτέρους ὄψει, καὶ οὐκέτι τὰ αὐτῶν ποιοῦντας ὁμοίως. ἐπεὶ οὖν κοινὸν αἶσχος ἡ τοῦ μέλους ζημία, καὶ κοινὸν κάλλος ἡ σωτηρία, μὴ ἐπαιρώμεθα, μηδὲ ἐπεμβαίνωμεν τοῖς πλησίον. διὰ γὰρ ἐκεῖνο τὸ μικρὸν μέλος, καὶ τὸ μέγα ἐστὶ καλὸν καὶ ὡραῖον, καὶ διὰ τῶν βλεφαρίδων ὀφθαλμὸς καλλωπίζεται. ὥστε ἑαυτῷ πολεμεῖ ὁ τῷ ἀδελφῷ πολεμῶν· οὐ γὰρ μέχρις ἐκείνου τὰ τῆς βλάβης, ἀλλὰ καὶ αὐτὸς οὐ μικρὰν ὑποστήσεται ζημίαν. B ἵν' οὖν μὴ τοῦτο γίνηται, ὡς ἑαυτῶν, οὕτω καὶ τῶν πλησίον φροντίζωμεν, καὶ ταύτην τὴν εἰκόνα τοῦ σώματος καὶ νῦν ἐπὶ τὴν ἐκκλησίαν μεταγάγωμεν, καὶ προνοῶμεν ἁπάντων, ὡς μελῶν οἰκείων. καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ μέλη πολλὰ καὶ διάφορα· καὶ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα· οἷον εἰσὶ παρθένων χοροί, εἰσὶ χηρῶν σύλλογοι, εἰσὶ τῶν ἐν γάμῳ σώφρονι λαμπόντων φρατρίαι, καὶ πολλοὶ τῆς ἀρετῆς οἱ βαθμοί· καὶ ἐπὶ τῆς ἐλεημοσύνης πάλιν ὁμοίως· ὁ μὲν γὰρ τὰ πάντα ἐκένωσεν, οἱ δὲ τῆς αὐταρκείας ἐπιμελοῦνται μόνης, καὶ πλέον τῆς χρείας οὐδὲν ζητοῦσιν, οἱ δὲ ἐκ C τοῦ περισσεύματος ἔδωκαν· ἀλλ' ὅμως οὗτοι πάντες ἀλλήλους κοσμοῦσι· κἂν ἐξουθενήσῃ τὸν ἐλάττονα ὁ μείζων, ἑαυτὸν τὰ μέγιστα ἔβλαψεν. ἥ τε γὰρ παρθένος, ἂν ὑβρίσῃ τὴν ἔγγαμον, οὐ μικρὸν ὑπετέμετο τοῦ μισθοῦ· ὅ τε τὰ πάντα κενώσας, ἂν ὀνειδίσῃ τῷ μὴ τοῦτο πεποιηκότι, πολὺ τῶν αὐτοῦ πόνων ἐκένωσε. καὶ τί λέγω παρθένους καὶ χήρας καὶ ἀκτήμονας ἄνδρας; τί γὰρ τῶν προσαιτούντων εὐτελέστερον; ἀλλ' ὅμως καὶ οὗτοι χρείαν πληροῦσι μεγίστην ἐν ἐκκλησίᾳ, προσηλωμένοι ταῖς θύραις τοῦ ναοῦ, καὶ κόσμον παρέχοντες μέγιστον, καὶ τούτων ἄνευ οὐκ ἂν ἀπαρτισθείη τὸ πλήρωμα τῆς ἐκκλησίας. D ὅπερ οὖν καὶ οἱ ἀπόστολοι συνιδόντες ἐξ ἀρχῆς ἐνομοθέτησαν, ὥσπερ τὰ ἄλλα πάντα, οὕτω καὶ τὸ χήρας εἶναι· καὶ τοσαύτην ἐποιήσαντο περὶ τὸ πρᾶγμα σπουδήν, ὡς καὶ διακόνους αὐταῖς ἐπιστῆσαι ἑπτά. ὥσπερ γὰρ ἐπισκόποις, καὶ πρεσβυτέροις, καὶ διακόνοις, καὶ παρθένοις, καὶ ἐγκρατευομένους ἀριθμῶ, τὰ μέλη τῆς ἐκκλησίας καταλέγων, οὕτω καὶ χήρας. οὐδὲ γὰρ τὴν τυχοῦσαν χρείαν αὗται πληροῦσι. σὺ μὲν γὰρ ὅτε βούλει, παραγίνῃ· αὗται δὲ ἡμέραν καὶ νύκτα ψάλλουσι, καὶ πάρεισιν, οὐ τῆς ἐλεημοσύνης ἕνεκεν μόνης τοῦτο ποιοῦσαι· ἐπεὶ εἰ τοῦτο E ἐβούλοντο, ἐξῆν κατὰ τὴν ἀγορὰν βαδίζειν, καὶ ἐν τοῖς στενωποῖς προσαιτεῖν· ἀλλ' ἔχουσί τι καὶ εὐλαβείας οὐ μικρόν. ὅρα γοῦν ἐν ὅσῃ καμίνῳ πενίας εἰσί. καὶ βλασφημουσῶν οὐκ ἄν ποτε αὐτῶν ἀκούσῃς, οὐδὲ ἀποδυσπετουσῶν, ἅπερ πολλαὶ [a] τῶν πλουτούντων ποιοῦσιν. καὶ αἱ μὲν αὐτῶν πεινῶσαι ἐκοιμήθησαν πολλάκις, αἱ δὲ καὶ διηνεκῶς ὑπὸ τοῦ κρυμοῦ πηγνύμεναι διατελοῦσι, καὶ ὅμως ἐν εὐχαριστίᾳ καὶ δοξολογίᾳ διάγουσι. κἂν ὀβολὸν δῷς, εὐχαριστοῦσι, καὶ ἐπεύχονται μυρία τῷ δεδωκότι· κἂν μηδὲν δῷς, οὐ δυσχεραίνουσιν, ἀλλὰ καὶ οὕτως εὐ-

[a] Legendum videtur τῶν πλουτουσῶν, nisi subintelligatur τῶν πλουτούντων γυναικῶν.

ἀλογοῦσι, καὶ ἀγαπῶσι, τῆς ἐφημέρου τροφῆς ἀπολαύουσαι· κἂν γὰρ μὴ βούλωνται, φησιν, ἀνάγκη φέρειν αὐτάς. διὰ τί, εἰπέ μοι; τίνος ἕνεκεν τὸ πικρὸν τοῦτο ἐφθέγξω ῥῆμα; οὐκ εἰσὶ τέχναι αἰσχραὶ, καὶ τοῖς γεγηρακόσι κέρδος ἔχουσαι καὶ ταῖς γεγηρακυίαις; οὐκ ἠδύναντο, εἴπερ ἐβούλοιτο τοῦ ζῆν ἐπιεικῶς ἀμελεῖν, ἐκεῖθεν μετὰ πολλῆς ἀποτρέφεσθαι τῆς περιουσίας; οὐχ ὁρᾷς πόσοι τῶν ἐν ταύτῃ τῇ ἡλικίᾳ μαστροποὶ καὶ προαγωγοὶ γινόμενοι, καὶ ἕτερα τοιαῦτα ἆθλα διακονούμενοι, καὶ τρέφονται καὶ τρυφῶσιν; ἀλλ' οὐχ οὗτοι, ἀλλ' αἱροῦνται λιμῷ διαφθείρεσθαι μᾶλλον, ἢ καταισχύναι τὴν ἑαυτῶν ζωὴν καὶ προδοῦναι τὴν σωτηρίαν· καὶ κάθηνται δι' ἡμέρας ὅλης φάρμακόν σοι κατασκευάζοντες σωτηρίας. οὐ γὰρ οὕτως ἰατρὸς, χεῖρα ἐκτείνων καὶ σιδήριον ἐπάγων, ἐκτέμνει τὰ σεσηπότα τῶν τραυμάτων, ὡς πένης, δεξιὰν ἐκτείνων καὶ ἐλεημοσύνην λαμβάνων, περιαιρεῖ τῶν τραυμάτων τοὺς μώλωπας· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι χωρὶς ἀλγηδόνος καὶ ὀδύνης τὴν καλὴν ταύτην ἐργάζονται ἰατρείαν· καὶ ἡμῶν τῶν τοῦ λαοῦ προκαθημένων καὶ παραινούντων ὑμῖν τὰ συμφέροντα οὐκ ἔλαττον ἐκεῖνος διαλέγεται ὁ πρὸ τῶν θυρῶν τῆς ἐκκλησίας καθήμενος διὰ τῆς σιγῆς καὶ τῆς ὄψεως. καὶ γὰρ ἡμεῖς ταῦτα καθ' ἑκάστην ὑμῖν ἐνηχοῦμεν τὴν ἡμέραν, λέγοντες, μὴ μέγα φρόνει, ὦ ἄνθρωπε, ὀξύρροπον καὶ εὐμετάπτωτον τῶν ἀνθρώπων ἡ φύσις, ἡ νεότης πρὸς γῆρας ἐπείγεται, τὸ κάλλος πρὸς ἀμορφίαν, ἡ ἰσχὺς πρὸς ἀσθένειαν, ἡ τιμὴ πρὸς καταφρόνησιν, ἡ ὑγεία πρὸς ἀρρωστίαν μεταπίπτει, ἡ δόξα πρὸς εὐτέλειαν, ὁ πλοῦτος πρὸς πενίαν· ῥεύματι σφοδρῷ τὰ ἡμέτερα ἔοικεν οὐδαμοῦ ἵστασθαι βουλομένῳ, ἀλλ' ἐπειγομένῳ πρὸς τὸ κάταντες.

Τὰ αὐτὰ καὶ ἐκεῖνοι, καὶ πλείονα τούτων διὰ τῆς ὄψεως συμβουλεύουσι, καὶ διὰ τῆς πείρας αὐτῆς, ἥτις καὶ σαφεστέρα ἐστὶ παραίνεσις. πόσοι γοῦν τῶν ἔξω καθημένων νῦν ἤκμασαν ἐν νεότητι, καὶ μεγάλα εἰργάσαντο; πόσοι τῶν εἰδεχθῶν τούτων καὶ ἐπὶ τῇ τοῦ σώματος ἰσχύϊ καὶ ἐπὶ τῇ τῆς ὄψεως ὥρᾳ πολλοὺς παρήλασαν; ἀλλὰ μὴ ἀπιστεῖτε, μηδὲ χλευάζετε. καὶ γὰρ μυρίων γέμει τοιούτων ὑποδειγμάτων ὁ βίος. εἰ γὰρ βασιλεῖς ἐξ εὐτελῶν καὶ ταπεινῶν πολλοὶ πολλάκις ἐγένοντο, τί θαυμαστὸν, εἰ ἐκ μεγάλων καὶ ἐνδόξων ταπεινοὶ καὶ εὐτελεῖς κατέστησαν; καὶ γὰρ τὸ πολλῷ παραδοξότερον ἐκεῖνό ἐστι· τοῦτο δὲ τῶν ἀεὶ συμβαινόντων. ὥστε οὐ χρὴ διαπιστεῖν, εἴ τινες τούτων καὶ ἐν τέχναις καὶ ἐν στρατείαις ἤνθησαν καὶ ἐν χρημάτων περιουσίαις, ἀλλὰ καὶ ἐλεεῖν αὐτοὺς μετὰ πολλῆς τῆς συμπαθείας, καὶ ὑπὲρ ἑαυτῶν δεδοικέναι, μή ποτε καὶ αὐτοὶ τὰ αὐτὰ πάθωμεν. καὶ γὰρ καὶ ἡμεῖς ἄνθρωποι, καὶ ὑπὸ τὴν ὀξύρροπον ταύτην κείμεθα μεταβολήν. ἀλλ' ἴσως τῶν ἀγνωμόνων τις καὶ σκώπτειν εἰωθότων καὶ ἐπισκήψει τοῖς εἰρημένοις, καὶ κωμῳδήσει πάντως ἡμᾶς λέγων, μέχρι τίνος οὐ παύσῃ πένητας ἀεὶ καὶ πτωχοὺς ἐν τοῖς λόγοις εἰσάγων, καὶ συμφορὰς ἡμῖν προφητεύων, καὶ πενίαν προαναφωνῶν, καὶ πτωχοὺς ποιῆσαι σπουδάζων; οὐ πτω-

A quoque benedicunt, & diligunt, diurno fruentes victu. Etiamsi nolint, inquies, id ferre illas necesse est. Cur quæso, qua de causa hoc acerbum protulisti verbum? Annon sunt turpes artes, quæ etiam senibus & viris & mulieribus lucrum afferre possint. Si vitam honestam curare nollent, an non poterant inde cum magna ali rerum copia? Non vides quot quantique sint istius ætatis lenones, & libidinis ministri, & alia quædam hujusmodi munia exercentes, qui aluntur & in deliciis vivunt? At hi minime, sed malunt fame perire B potius, quam vitam suam deturpare, & salutem suam prodere: sedentque toto die pharmacum tibi salutis apparantes. Non enim medicus manum extendens & ferrum immittens vulnerum putredinem æque exscindit ut pauper dexteram extendens & eleemosynam accipiens, aufert vulnerum tumores. Quodque mirabile est, sine ullo dolore hanc optimam illi exercent medicinam. Ac non minus quam nos qui populo præsumus & vos ad utilia hortamur, ille qui ante fores ecclesiæ sedet per silentium & aspectum vos alloquitur. Nos enim hæc vobis quo- C tidie insonantes dicimus: Ne altum sapias, o homo, repente transit & fluxa est hominum natura: juventus ad senium festinat, forma ad deformitatem, robur ad infirmitatem, honor ad contemtum, sanitas in infirmitatem incidit, gloria in vilitatem, divitiæ in paupertatem, fluento vehementi res nostræ similes sunt, quod nunquam vult consistere, sed ad declive festinat.

Fluxa hominum natura.

D 5. Hæc quoque imo plura per aspectum illi consulunt, & per experientiam ipsam, quæ est manifestior admonitio. Quam multi ex iis, qui foris sedent, in juventute floruerunt, magna patrarunt! Quam multi ex his deformibus, & corporis fortitudine, & forma multos superarunt? Sed ne fidem negetis, neu rideatis; nam innumeris hujusmodi exemplis plena est vita. Nam si multi viles & abjecti homines sæpe reges sunt effecti, quid mirum si ex magnis & gloriosis, viles & inglorii sunt effecti? nam illud certe longe mirabilius est; hoc vero postre- E mum sæpissime contingit. Quapropter non oportet fidem adhibere, si in artibus, in militia & in pecuniarum copia quidam eorum floruerint; imo miserari convenit illos cum affectu multo; & quique debemus timere ne similia patiamur. Etenim nos quoque homines sumus, & huic celeri subjecti mutationi. Sed fortassis ex improbis quispiam, qui irridere solent, ea quæ dicta sunt carpet, nosque omnino traducet dicens: Quousque non cessabis pauperes & egenos semper in orationem inducere, & calamitates nobis prædicere, paupertatem prænunciare, id curans ut nos mendicos ef-

ficias? Non curans ut vos mendicos efficiam, o homo, hæc dico; sed vobis cæli divitias aperire studens. Nam qui apud bene valentem ægrotos memorat, illorumque dolores enarrat, non ut illum ægrotum reddat hoc dicit; sed ut in sanitate conservet, & eorum quæ aliis acciderunt timore, hujus incuriam exscindat. Terribilis vobis paupertas videtur esse, ac vel ipso nomine horrenda. Ideo namque pauperes sumus, quia paupertatem timemus, etiamsi millia talenta habeamus. Non enim is qui nihil habet pauper est, sed is qui paupertatem exhorrescit. Quoniam & in calamitatibus non eos qui innumera patiuntur mala, deploramus & miseros existimamus, sed eos qui illa ferre nesciant, etiamsi modica sint. Contra vero is qui illa scit patienter ferre, & coronis & laudibus dignus est. Et quod hoc ita se habeat: in certaminibus quosnam laudamus? eos-ne qui multum verberantur, nec dolent, sed erecto collo perstant; an eos qui post primas plagas fugiunt? Annon illos quidem coronamus, tamquam fortes magnique animi, hos autem irridemus, ut ignavos & timidos? Sic ergo & in hujus vitæ rebus faciamus: eum qui facile omnia sustinet coronemus, ut & illum fortem in omni certamine virum; hunc vero timidum & ad aspera trementem defleamus, qui antequam plagam accipiat, præ formidine exstinguitur. Etenim in certaminibus si quis antequam manus extollat, adversarium videns dexteram extendentem, fugiat antequam plagam accipiat, ridiculus erit, ut enervatus, mollis, & in his laboribus imperitus; ut etiam accidit iis qui paupertatem timent, & ne ejus quidem exspectationem ferre possunt. Non ergo nos vos miseros reddimus, sed vos ipsi id facitis. Quomodo enim non tibi deinceps illudet diabolus, quem ante plagam minas tantum conspicientem, videt formidantem atque trementem? Imo vero cum tu hoc putes esse minas, non erit illi opus ut te percutiat; sed sinens te possidere divitias, ex timore ne auferantur te cera molliorem reddet. Ea enim sumus natura, ut ita dicam, ut ea quæ pertimescimus, postquam ea perpessi sumus non ita terribilia existimemus, ut ante quam experimentum faceremus. Ut ne ergo hanc virtutem obtineas, in summo te detinet timore, atque ante experimentum ex paupertatis metu te quasi ceram liquefacit. Nam talis homo cera quavis mollior est, & miseriorem quam Cainus vitam ducit, pro iis quæ possidet timens, & de iis quæ non habet dolens: & pro iis quæ habet rursum tremens, utpote fugitivas & ingratas intus retinens divitias, atque variis absurdisque obsessus affectibus. Etenim cupiditas absurda, timor varius, angor animi, & tremor undique avaros exagi-

A χοὺς ὑμᾶς σπουδάζων ποιῆσαι, ἄνθρωπε, ταῦτα λέγω, ἀλλὰ τοῦ οὐρανοῦ τὸν πλοῦτον ὑμῖν ἀνοῖξαι σπεύδων. ἐπεὶ καὶ πρὸς τὸν ὑγιαίνοντα ὁ τῶν ἀῤῥωστούντων μεμνημένος, καὶ τὰς ἐκείνων διηγούμενος ὀδύνας, οὐχ ἵνα ἐπίνοσον ποιήσῃ, λέγει, ἀλλ' ἵνα ἐπὶ τῆς ὑγιείας διατηρήσῃ, τῷ φόβῳ τῶν ἐκείνοις συμβαινόντων τὴν τούτου ῥᾳθυμίαν ἐκκόπτων. φοβερὸν ὑμῖν ἡ πενία εἶναι δοκεῖ, καὶ φρικτὸν καὶ μέχρι προσηγορίας αὐτῆς· διὰ γὰρ τοῦτο πένητές ἐσμεν, ὅτι πενίαν δεδοίκαμεν, κἂν μυρία ἔχωμεν τάλαντα. οὐ γὰρ ὁ μηδὲν ἔχων, πένης, ἀλλ' ὁ πενίαν φρίττων. ἐπεὶ καὶ ἐν ταῖς συμφοραῖς οὐ τοὺς τὰ B μεγάλα πάσχοντας κακὰ δακρύομεν καὶ ἀθλίους ἡγούμεθα, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτὰ φέρειν, κἂν μικρὰ τύχῃ ὄντα· ὡς ὅ γε φέρειν εἰδὼς, καὶ ἐπαίνων ἄξιος καὶ στεφάνων. καὶ ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, ἐν τοῖς ἀγῶσι τίνας ἐπαινοῦμεν; τοὺς πολλὰ τυπτομένους, καὶ μὴ ἀλγοῦντας, ἀλλ' ὑψηλὸν τὸν αὐχένα ἔχοντας, ἢ τοὺς ἀπὸ τῶν πρώτων φεύγοντας πληγῶν; οὐχὶ ἐκείνους μὲν καὶ στεφανοῦμεν, ὡς ἀνδρείους καὶ γενναίους; τούτους δὲ καὶ γελῶμεν, ὡς ἀνάνδρους καὶ δειλούς; οὕτω τοίνυν καὶ ἐπὶ τῶν τοῦ βίου πραγμάτων ποιῶμεν. τὸν μὲν εὐκόλως ἅπαντα φέροντα στεφα- C νώσωμεν, καθάπερ ἐκεῖνον τὸν γενναῖον παγκρατιαστήν· τοῦτον δὲ δακρύσωμεν τὸν δεδοικότα καὶ τρέμοντα τὰ δεινὰ, καὶ πρὶν ἢ δέξασθαι πληγὴν ἀποτεθνηκότα τῷ δέει. καὶ γὰρ ἐπὶ τῶν ἀγώνων εἴ τις, πρὶν ἢ χεῖρας ἆραι, τὸν ἀντίπαλον ἰδὼν τὴν δεξιὰν τείνοντα μόνον ἀποφύγοι, κἂν μὴ δέξηται πληγὴν, καταγέλαστος ἔσται, [a] ὡς ἄτονος καὶ μαλακὸς καὶ πόνων ἄπειρος τοιούτων. οὕτω καὶ ἐπὶ τούτων συμβαίνει τῶν πενίαν δεδοικότων, καὶ οὐδὲ τὴν προσδοκίαν αὐτῆς ἐνεγκεῖν δυναμένων· οὐκ ἄρα ἡμεῖς ποιοῦμεν ὑμᾶς ἀθλίους, ἀλλ' D ὑμεῖς ἑαυτούς. πῶς γὰρ οὐ καταπαίζεταί σου λοιπὸν διάβολος, ὃς πρὸ τῆς πληγῆς τὴν ἀπειλὴν ὁρῶν δεδοικότα καὶ τρέμοντα; μᾶλλον δὲ, ὅταν ἀπειλὴν τοῦτο νομίζῃς, οὐ δεήσεται λοιπὸν οὐδὲ πλῆξαι, ἀλλ' ἀφεὶς ἔχειν τὸν πλοῦτον, τῇ προσδοκίᾳ τῆς ἀφαιρέσεως κηροῦ παντὸς μαλακώτερόν σε ἐργάσεται. καὶ γὰρ πεφύκαμεν, ὡς εἰπεῖν, ἅπερ δεδοίκαμεν, μετὰ τὸ παθεῖν οὐχ οὕτω νομίζειν εἶναι φοβερὰ, ὥσπερ ἔμπροσθεν καὶ πρὸ τῆς πείρας. ἵν' οὖν μηδὲ ταύτην κτήσῃ τὴν ἀρετὴν, ἐν ἀκμάζοντί σε κατέχει φόβῳ, πρὸ τῆς πείρας τῷ φόβῳ τῆς E πενίας ὥσπερ κηρὸν πυρὶ κατατήκων. καὶ γὰρ κηροῦ παντὸς μαλακώτερος ὁ τοιοῦτος, καὶ αὐτοῦ τοῦ Κάϊν ἀθλιώτερον βίον ζῶν, ὑπὲρ μὲν ὧν πλεονεκτεῖ, δεδοικώς· ὑπὲρ δὲ ὧν οὐκ ἔχει, ἀλγῶν· καὶ ὑπὲρ ὧν ἔχει, τρέμων πάλιν, ἅτε δραπέτην ἀγνώμονα κατέχων ἔνδον τὸν πλοῦτον, καὶ ποικίλοις τισὶ καὶ ἀτόποις πολιορκούμενος πάθεσι. καὶ γὰρ ἐπιθυμία ἄτοπος, καὶ φόβος πολυειδὴς καὶ ἀγωνία, καὶ τρόμος πανταχόθεν αὐτοὺς χειμάζουσι. καὶ ἐοίκασι

[a] ὡς ἄτονος. Alii, ὡς ἄτολμος, non male.

πλοίῳ πάντοθεν ἐναντίοις ἀνέμοις ἐλαυνομένῳ, καὶ πολλὰς ὑπομένοντι τὰς τρικυμίας. καὶ πόσῳ βέλτιον τὸν τοιοῦτον ἀπελθεῖν, ἢ διηνεκῆ φέρειν χειμῶνα; ἐπεὶ καὶ τὸν Κάϊν ἀνεκτότερον ἦν ἀποθανεῖν, ἢ διαπαντὸς τρέμειν. ἵν' οὖν μὴ καὶ ἡμεῖς ταῦτα πάθωμεν, καταγελάσωμεν τῆς τοῦ διαβόλου μηχανῆς, διαῤῥήξωμεν αὐτοῦ τὰ σχοινία, διακόψωμεν τοῦ χαλεποῦ δόρατος τὴν αἰχμὴν, καὶ πᾶσαν ἔφοδον ἀποτειχίσωμεν. ἂν γὰρ χρημάτων καταγελάσῃς, οὐκ ἔχει πῶς πλῆξαι, οὐκ ἔχει πόθεν ἐπιλάβηται. τὴν γὰρ ῥίζαν ἀνέσπασας τῶν κακῶν. ῥίζης δὲ οὐκ οὔσης, οὐδὲ καρπὸς βλαστήσει πονηρός. ταῦτα λέγωμεν μὲν αἰεὶ, καὶ λέγοντες οὐ παυώμεθα. εἰ δέ τι λέγοντες ἀνύομεν, ἡ ἡμέρα δείξει ἐκείνη ἡ ἐν πυρὶ ἀποκαλυπτομένη, ἡ τὸ ἑκάστου ἔργον δοκιμάζουσα, ἡ τὰς λαμπάδας δεικνύουσα τὰς λαμπρὰς καὶ τὰς οὐ τοιαύτας. τότε καὶ ὁ ἔχων τὸ ἔλαιον, καὶ ὁ μὴ ἔχων, δῆλος ἔσται. ἀλλὰ μηδένα γένοιτο τότε εὑρεθῆναι ταύτης ἔρημον τῆς παραμυθίας. ἀλλὰ πάντας δαψιλῆ τὴν φιλανθρωπίαν ἐπιφερομένους, καὶ φαιδρὰς ἔχοντας τὰς λαμπάδας, συνεισελθεῖν τῷ νυμφίῳ. ὡς οὐδὲν τῆς φωνῆς ἐκείνης φοβερώτερον καὶ ὀδυνηρότερον, ἣν οἱ χωρὶς ἐλεημοσύνης δαψιλοῦς ἀπιόντες τότε ἀκούσονται τοῦ νυμφίου λέγοντος, οὐκ οἶδα ὑμᾶς. ἀλλὰ μήποτε ταύτης ἀκούσαιμεν τῆς φωνῆς, ἀλλὰ τῆς ἡδίστης ἐκείνης καὶ ποθεινοτάτης, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. οὕτω γὰρ τὸν μακάριον ζησόμεθα βίον, καὶ τῶν ἀγαθῶν ἀπολαυσόμεθα πάντων τῶν καὶ νοῦν ὑπερβαινόντων ἀνθρώπινον, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

A tant, similesque sunt naviculæ undique a contrariis ventis agitatæ, & fluctus multos sustinenti. Et quanto melius esset hujusmodi hominem decedere, quam perpetuam ferre tempestatem? Nam & Caino tolerabilius erat mori, quam perpetuo tremere. Ne ergo nos quoque talia patiamur, diaboli machinas irrideamus, ejus funes frangamus, dirumpamus gravis lanceæ cuspidem, & omnem ei aditum intercludamus. Si enim pecunias irriseris, non habet quo te percutiat, non habet unde apprehendat. Nam radicem B evulsisti malorum. Radice vero sublata, neque malus germinabit fructus. Hæc semper dicamus, & finem dicendi non faciamus. An vero dicentes aliquid proficiamus, dies ille ostendet, qui in igne revelabitur, qui uniuscujusque opus explorabit, qui lampadas ostendet lucentes & eas quæ tales non sunt. Tunc manifestus erit is qui oleum habet, & is qui non habet. Sed faxit Deus ut nullus tunc reperiatur tali vacuus consolatione; sed ut omnes largam benignitatem efferant, & claras habentes lampadas, una cum sponso intrent. Illa certe voce nihil terC ribilius, nihil asperius est, quam tunc audituri sunt ii, qui sine larga eleemosyna hinc demigrarunt, dicente sponso, *Nescio vos.* Absit autem ut hanc audiamus vocem, sed suavissimam illam & summe expetendam. *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi.* Sic enim beatam ducemus vitam, & omnibus fruemur bonis, quæ mentem humanam exsuperant, quæ nos omnes assequi contingat gratia & benignitate, &c.

Pecuniæ spernendæ.

Matt. 25. 15.

Matt. 25. 34.

## ΟΜΙΛΙΑ λά.

## D HOMILIA XXXI.

Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ, χρείαν ὑμῶν οὐκ ἔχω.

21. *Non potest autem oculus dicere manui, Opera tua non indigeo: aut iterum caput pedibus, Non estis mihi necessarii.*

ΚΑΤΑΣΤΕΙΛΑΣ τῶν ἐλαττόνων τὸν φθόνον, καὶ τὴν ἀθυμίαν αὐτῶν ἐξελὼν, ἣν εἰκὸς ἔχειν αὐτοὺς ἐκ τοῦ μειζόνων ἑτέρους κατηξιῶσθαι χαρισμάτων, ταπεινοῖ καὶ τούτων τὸν τῦφον τῶν τὰ μείζονα εἰληφότων χαρίσματα· ποιήσας μὲν αὐτὸ καὶ ἐν οἷς πρὸς ἐκείνους διελέγετο· τὸ γὰρ λέγειν, ὅτι χάρισμά ἐστι, καὶ οὐ κατόρθωμα, τοῦτο ἐμφαίνοντος ἦν· νυνὶ δὲ αὐτὸ καὶ σφοδρότερον πάλιν ποιεῖ, ἐπὶ τῆς αὐτῆς μένων εἰκόνος. ἀπὸ γὰρ τοῦ σώματος λοιπὸν καὶ τῆς ἐκεῖθεν ἑνότητος, ἐπ' αὐτὴν τῶν μελῶν χωρεῖ τὴν σύγκρισιν, ὃ μάλιστα ἐζήτουν ἐκεῖνοι μαθεῖν. ἐπειδὴ οὐχ οὕτως ἱκανὸν ἦν αὐτοὺς παραμυθήσασθαι τὸ πάντας ἓν σῶμα εἶναι, ὡς τὸ μαθεῖν ὅτι καὶ ἐν αὐτοῖς, οἷς εἶχον, οὐδὲν μέγα ἠλαττοῦντο. καί φησιν· οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς

1. POSTQUAM minorum invidiam represserat, illorumque mœrorem abstulerat, quem concepisse illos verisimile erat ex eo quod alii majoribus donis dignati fuissent; horum fastum deprimit, qui maiora dona acceperant. Cum hoc ipsum fecisset quando cum illis dissE rebat; dicere enim, illud esse donum gratuitum, & non bonum opus, hoc aperte significabat: nunc autem idipsum vehementius facit, in eadem manens imagine: a corpore enim & ab ejusdem unitate, ad ipsam membrorum comparationem procedit, quod ipsi maxime discere optabant. Quia ad illos consolandos non tam aptum erat illud, quod omnes unum corpus essent; quam, cum discerent, se in iis quæ habebant non admodum inferiores esse. Et ait: *Non potest autem oculus dicere manui, Opera tua non indigeo; aut iterum caput pedibus, Non estis mihi*

*necessarii.* Nam etsi donum sit minus; at necessarium est. Et sicut absque illo multa sunt impedimenta, ita etiam sine hoc plenitudo ecclesiæ claudicat. Neque dixit, Non dicet, sed, Non potest dicere; ita ut, etiamsi voluerit, etiamsi dixerit, non valeat, neque res eam habeat naturam. Ideo duo extrema assumens, in iis sermonem exercet: primo quidem de manu & oculo; secundo autem de capite & pede, exemplum amplificans. Quid enim pede vilius? aut quid capite præstantius & magis necessarium? Hoc enim maxime homo est, nempe caput. Attamen non est sibi sufficiens, neque omnia perficere possit. Nam si hoc esset, supervacanee nobis pedes adjecti essent. Neque tamen hic substitit; sed & aliam quærit hyperbolen, id quod semper facit, non usque ad æqualitatem contendens, sed etiam ulterius progrediens. Ideoque subjungit dicens: 22. *Sed multo magis quæ videntur membra corporis inferiora esse, necessariora sunt: 23. & quæ putamus ignobiliora esse membra corporis, iis honorem abundantiorem circumdamus: & quæ inhonestiora sunt nostra, abundantiorem honestatem habent.* Ubique accessionem corporis ponens, & hac ratione illum quoque consolans & hunc comprimens. Non enim hoc dico, inquit, quod majora minoribus opus habeant; sed etiam quod multum opus habeant. Si quid enim infirmum in nobis est, si quid inhonestum, hoc & necessarium est, & majori fruitur honore. Ac recte dixit, quæ videntur, & quæ putamus; ostendens non ex natura rerum, sed ex multorum calculo sententiam ferri. Nihil in nobis ignobile: Dei namque opus est. Quid enim partibus genitalibus in nobis videtur inhonestius esse? Attamen majorem assequuntur honorem: & qui admodum pauperes sunt, etiamsi reliquum corpus nudum habeant, nunquam patiantur hasce partes nudas ostendere. Atqui non est hic ordo inhonestorum; sed magis oporteret despici, quam alia. Etenim domi servus qui est ignominia affectus, non modo non fruitur majori cura, sed nec iisdem, queis alii, dignus censetur. Itaque si hoc inhonestum esset, non modo majoribus frui non oporteret, sed neque iisdem. Nunc autem majori fruuntur honore, & hoc Dei sapientiæ opus est. Nam illis quidem in natura dedit ut non egerent; his autem, quoniam in natura non dedit, ut nos præberemus coegit. Sed non propterea inhonesta sunt. Quandoquidem & animalia ex natura sua nulla re egent, non vestibus, non calceis, nec tecto, plurima saltem; sed non ideo corpus nostrum est illorum corpore ignobilius, quia his omnibus indiget. Nam si quis accurate examinaverit, ipsa etiam natura sunt honesta & necessaria: quod etiam ipse subindicavit, non a cu-

A ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. Εἰ γὰρ καὶ ἔλαττον τὸ χάρισμα, ἀλλ' ἀναγκαῖον· καὶ ὥσπερ οὐκ ὄντος ἐκείνου πολλὰ ἐμποδίζεται, οὕτω καὶ τούτου χωρὶς χωλεύει τὸ πλήρωμα τῆς ἐκκλησίας. Καὶ οὐκ εἶπεν, οὐκ ἐρεῖ, ἀλλ', ὅτι οὐ δύναται εἰπεῖν. ὥστε κἂν θέλῃ, κἂν λέγῃ, οὐκ ἐνδέχεται, οὐδὲ ἔχει τὸ πρᾶγμα τὴν φύσιν. διὰ τοῦτο λαβὼν ἑκάτερα τὰ ἄκρα, ἐν αὐτοῖς γυμνάζει τὸν λόγον, πρῶτον μὲν ἐπὶ χειρὸς καὶ ὀφθαλμοῦ, δεύτερον δὲ ἐπὶ κεφαλῆς καὶ ποδῶν, αὔξων τὸ παράδειγμα. τί γὰρ ποδὸς εὐτελέστερον, ἢ τί κεφαλῆς τιμιώτερον καὶ ἀναγκαιότερον; τοῦτο γὰρ μάλιστά ἐστιν ἄνθρωπος, ἡ κεφαλή. B ἀλλ' ὅμως οὐκ ἔστιν αὐτάρκης, οὐδὲ τὰ πάντα αὐτὴ δύναιτ' ἂν ἀνύειν· ἐπεὶ εἰ τοῦτο ἦν, περιττῶς ἡμῖν οἱ πόδες προσέκειντο. Καὶ οὐδὲ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἑτέραν ὑπερβολὴν ζητεῖ· ὅπερ ἀεὶ ποιεῖ, οὐ μέχρι τοῦ ἴσου φιλονεικῶν, ἀλλὰ καὶ περαιτέρω προβαίνων. διὸ καὶ ἐπάγει λέγων· ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι. καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν [a] περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει. C πανταχοῦ τὴν τοῦ σώματος προσθήκην τιθεὶς, καὶ ταύτῃ κἀκεῖνον παραμυθούμενος καὶ τοῦτον καταστέλλων. οὐ γὰρ τοῦτο λέγω, φησὶν, ὅτι οὐ μόνον χρείαν ἔχει τὰ μείζονα τῶν ἐλαττόνων, ἀλλ' ὅτι καὶ πολλὴν χρείαν ἔχει. εἴ τι γὰρ ἀσθενὲς ἐν ἡμῖν, εἴ τι ἄτιμον, τοῦτο καὶ ἀναγκαῖον, καὶ τιμῆς ἀπολαύει μείζονος. καὶ καλῶς εἶπε, τὰ δοκοῦντα, καὶ, ἃ δοκοῦμεν, δεικνὺς ὅτι οὐ τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ τῆς τῶν πολλῶν ὑπονοίας ἡ ψῆφος. οὐδὲν γὰρ ἐν ἡμῖν ἄτιμον· θεοῦ γὰρ ἔργον ἐστί. τί γὰρ τῶν μορίων τῶν γεννητικῶν ἀτιμότερον ἐν ἡμῖν D εἶναι δοκεῖ; ἀλλ' ὅμως πλείονος ἀπολαύει τιμῆς. καὶ οἱ σφόδρα πένητες, κἂν τὸ λοιπὸν γυμνὸν ἔχωσι σῶμα, οὐκ ἂν ἀνάσχοιντο ἐκεῖνα τὰ μέλη δεῖξαι γυμνά. καίτοιγε οὐχ αὕτη τῶν ἀτίμων ἡ τάξις, ἀλλὰ μᾶλλον τῶν ἄλλων καταφρονεῖσθαι ἔδει. καὶ γὰρ ἐν οἰκίᾳ ὁ ἠτιμωμένος οἰκέτης οὐ μόνον οὐκ ἀπολαύει πλείονος θεραπείας, ἀλλ' οὐδὲ τῶν αὐτῶν ἀξιοῦται. ὥστε εἰ καὶ τοῦτο ἄτιμον ἦν, οὐ μόνον μειζόνων ἀπολαύειν οὐκ ἔδει, ἀλλ' οὐδὲ τῶν αὐτῶν· νυνὶ δὲ πλείονος ἀπολαύει τιμῆς, καὶ τοῦτο τῆς τοῦ θεοῦ σοφίας ἐργαζομένης. E τοῖς μὲν γὰρ ἐν τῇ φύσει τὸ μὴ δεῖσθαι ἔδωκε· τοῖς δὲ, ἐπειδὴ ἐν τῇ φύσει οὐκ ἔδωκεν, ἡμᾶς παρέχειν ἠνάγκασεν. ἀλλ' οὐ διὰ τοῦτο ἄτιμα. ἐπεὶ καὶ τὰ ζῶα ἐν τῇ φύσει τὸ ἀνενδεὲς ἔχει, καὶ οὔτε ἱματίων δεῖται, οὔτε ὑποδημάτων, οὔτε ὀρόφου τὰ πλείονα αὐτῶν· ἀλλ' οὐ διὰ τοῦτο ἀτιμότερον αὐτῶν τὸ σῶμα τὸ ἡμέτερον, ἐπειδὴ πάντων δεῖται τούτων· καὶ γὰρ εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτῇ τῇ φύσει τίμιά τε καὶ ἀναγκαῖά ἐστιν. ὃ δὴ καὶ αὐτὸς ᾐνίξατο,

[a] περιτίθεμεν. Quidam habent ἐντίθεμεν.

οὐκ ἀπὸ τῆς ἡμετέρας ἐπιμελείας καὶ τοῦ πλείονος ἀπολαύειν τιμῆς, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως αὐτοῖς ψηφισάμενος. διὸ, ὅταν μὲν ἀσθενῆ λέγῃ καὶ ἄτιμα, τὰ δοκοῦντα λέγει· ὅταν δὲ ἀναγκαῖα, οὐκέτι προστίθησι τὰ δοκοῦντα, ἀλλ' αὐτὸς ἀποφαίνεται λέγων, ὅτι ἀναγκαῖά ἐστι, καὶ μάλα εἰκότως. καὶ γὰρ πρὸς παιδοποιΐαν καὶ τὴν τοῦ γένους ἡμῶν διαδοχὴν χρήσιμα. διὰ τοῦτο καὶ οἱ νομοθέται Ῥωμαίων τοὺς ταῦτα ἀκρωτηριάζοντας τὰ μέλη, καὶ ποιοῦντας εὐνούχους, κολάζουσιν, ἅτε τῷ κοινῷ γένει λυμαινομένους, καὶ αὐτῇ ἐπηρεάζοντας τῇ φύσει. ἀλλ' ἀπόλοιντο οἱ ἀκόλαστοι, οἱ τοῦ θεοῦ τὰ δημιουργήματα διαβάλλοντες. ὥσπερ γὰρ τῷ οἴνῳ πολλοὶ διὰ τοὺς μεθύοντας κατηράσαντο, καὶ τῇ φύσει τῶν γυναικῶν διὰ τὰς μοιχευομένας· οὕτω καὶ τὰ μέλη ταῦτα αἰσχρὰ εἶναι ἐνόμισαν διὰ τοὺς οὐκ εἰς δέον αὐτοῖς χρωμένους· ἀλλ' οὐκ ἐχρῆν. οὐ γὰρ τῇ φύσει τοῦ πράγματος ἡ ἁμαρτία συγκεκλήρωται, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τίκτεται τοῦ τολμῶντος τὸ πλημμέλημα. τινὲς δὲ τὰ ἀσθενέστερα καὶ ἄτιμα καὶ ἀναγκαῖα καὶ τιμῆς ἀπολαύοντα πλείονος, περὶ ὀφθαλμῶν καὶ ποδῶν εἰρῆσθαι τῷ Παύλῳ νομίζουσι, καὶ ἀσθενέστερα καὶ ἀναγκαῖα τοὺς ὀφθαλμοὺς λέγειν, ὅτι ἐλαττούμενοι τῇ δυνάμει, πλεονεκτοῦσι τῇ χρείᾳ· τὰ δὲ ἀτιμότερα, τοὺς πόδας· καὶ γὰρ καὶ οὗτοι πολλῆς ἀπολαύουσι προνοίας.

Εἶτα ἵνα μὴ πάλιν ἄλλην ὑπερβολὴν ἐργάσηται, φησί· τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. ἵνα γὰρ μή τις λέγῃ, καὶ ποῖος οὗτος λόγος; τῶν μὲν τιμίων καταφρονεῖν, τοῖς δὲ ἀτιμοτέροις προσεδρεύειν; οὐχὶ καταφρονοῦντες τοῦτο ποιοῦμεν, φησιν, ἀλλ' ἐπειδὴ αὐτὰ οὐ δεῖται. καὶ ὅρα ἡλίκον ἐγκώμιον ἐν βραχεῖ θεὶς παρέδραμε, συμφερόντως τοῦτο καὶ χρησίμως ποιῶν. καὶ οὐδὲ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ αἰτίαν προστίθησι λέγων· ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν. ἵνα μὴ σχίσμα ᾖ ἐν τῷ σώματι. εἰ δὲ συνεκέρασεν, οὐκ ἀφῆκε τὸ ἀτιμότερον φαίνεσθαι. τὸ γὰρ κιρνάμενον ἓν γίνεται, καὶ οὐ φαίνεται τί πρὸ τούτου ἦν· ἐπεὶ οὐδ' ἂν κεκερᾶσθαι αὐτὸ φαίημεν ἄν. καὶ ὅρα πῶς συνεχῶς τὰ ἐλαττώματα παρατρέχει λέγων, τῷ ὑστεροῦντι. οὐκ εἶπε, τῷ ἀτίμῳ, τῷ ἀσχήμονι, ἀλλὰ, τῷ ὑστεροῦντι. ὑστεροῦντι, πῶς; κατὰ φύσιν, περισσοτέραν δοὺς τιμήν. καὶ διὰ τί; ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι. ἐπειδὴ γὰρ μυρίας παραμυθίας ἀπολαύοντες ἤλγουν ὅμως, ἅτε ἐλάττονα λαβόντες, δείκνυσιν ὅτι μᾶλλον ἐτιμήθησαν. τῷ γὰρ ὑστεροῦντί, φησι, περισσοτέραν δοὺς τιμήν. εἶτα καὶ τὸν λόγον ἐπάγει, δεικνὺς ὅτι συμφερόντως καὶ ὑστερεῖν ἐποίησε, καὶ μειζόνως ἐτίμησε. τίς δὲ ὁ λόγος; ἵνα μὴ ᾖ σχίσμα, φησὶν, ἐν τῷ σώματι. καὶ οὐκ εἶπεν, ἐν τοῖς μέλεσιν, ἀλλ' ἐν τῷ σώματι. καὶ γὰρ πολλὴ ἔμελλεν ἡ πλεονε-

A ra nostra, nec quod majori fruantur honore, sed ex natura rerum ipsis calculum ferens. Idcirco, cum infirma dicit & inhonesta, *quæ videntur*, adjicit; cum autem necessaria dicit, non ultra adjicit, quæ videntur; sed ipse sententiam fert dicens, esse necessaria, & jure quidem. Nam ad liberorum procreationem, & ad successionem generis nostri utilia sunt. Quamobrem & legislatores Romanorum, eos qui hæc membra excidunt, & eunuchos faciunt, puniunt, ut qui com- B mune genus perimant, ipsique naturæ damnum inferant. Sed pereant impudici, qui Dei opera in culpam vocant. Sicut enim vino multi ob temulentos maledixerunt, sic & sexui mulierum ob adulteria. Sic hæc membra turpia esse putarunt, ob malum quorumdam usum. Sed non oportuit. Non enim naturæ rei attributum est peccatum, sed voluntati ejus qui hoc scelus aggredi audet. Quidam autem ea quæ sunt infirma, inhonesta, & necessaria, & majori fruuntur honore, C a Paulo de oculis existimant dicta fuisse, qui vi minores, usu autem cæteris præstant: Inhonestiora autem pedes: nam eorum quoque multa geritur providentia.

2. Deinde, ne aliam rursus hyperbolen faceret, ait: 24. *Honesta autem nostra nullius egent.* Ne quis enim diceret: Ecqua hæc ratio? honesta despicere & inhonestioribus advigilare? Non despicientes hoc facimus, inquit, sed quia hæc cura non egent. Et vide quantum D encomium paucis efferens transcurrerit, hoc opportune & utiliter faciens: neque hoc contentus, causam etiam adjicit dicens: *Sed Deus temperavit corpus, ei cui deerat abundantiorem tribuendo honorem; 25. ut non sit schisma in corpore.* Si autem temperavit, non sivit apparere id quod erat inhonestius. Etenim quod contemperatur, sive miscetur, fit unum, nec apparet quid antea esset: nam ne quidem contemperatum fuisse dixerimus. Et vide quam frequenter defectus prætercurrat dicens, ei cui deerat, non di- E xit, inhonesto, vel turpi; sed, ei cui deerat. Cui deerat; quomodo? Secundum naturam, ei majorem dedit honorem. Et quare? Ut non esset schisma in corpore. Quia enim immensa consolatione fruentes, dolebant tamen, ut qui minora accepissent, ostendit eos magis fuisse honoratos: ei cui deerat, inquit, abundantiorem tribuendo honorem. Deinde autem rationem subjungit, ostendens quod opportune effecisset, ut & illi deesset, & magis eum honoraret. Quæ illa ratio? Ne sit, inquit, schisma in corpore. Nec dixit, in membris, sed in corpore. Etenim multa futura erat ex-

A ſuperantia; ſi alia quidem & ex natura & noſtra providentia curarentur: alia autem neutrum haberent, ſed ab invicem exſciſſa fuiſſent, ut quæ ferre non poſſent conjunctionem. His autem abſciſſis, cætera quoque damnum accepiſſent. Vidiſtin' quomodo oſtendit neceſſario majorem ei qui deficit dari honorem? Si enim hoc factum non fuiſſet, communis omnium pernicies fuiſſet, inquit. Nam ſi nos illorum non magnam geſſiſſemus curam, nocumenta accepiſſent cum a natura auxilium non haberent,
B & ex hoc nocumento periiſſent; ſi periiſſent, corpus diſcidiſſent: ſciſſo corpore, cætera etiam quæ ſunt his longe majora periiſſent. Viden' horum curæ illorum quoque providentiam eſſe conjunctam? Non enim ita in propria natura habent quod ſint, ut in corpore habent quod ſint unum. Ideo ſi corpus quidem pereat, nullum ipſis lucrum ex ſingulorum ſanitate. Sed ſive oculus maneat, ſive naſus, quod ſuum eſt ſervans, ligamine ſoluto, nulla poſtea hinc erit utilitas. Quod ſi hoc manente, illa nocumentum accipiant, & geſtantur, & ad
C ſanitatem cito redeunt. Sed dixerit fortaſſe quiſpiam. Hoc quidem in corpore rationem habet, quod id cui deſunt quædam majorem accipiat honorem; apud homines vero quomodo hoc cernatur? In hominibus certe maxime id accidere videas. Etenim ii qui circa undecimam horam venerunt, primi mercedem accepere; & ovis errans paſtori ſuaſit ut nonaginta novem alias relinqueret, & ad ipſam accurreret & ut reperta geſtaretur, non abigeretur; & filius prodigus plus honoris accepit, quam is qui ſe recte
D geſſerat; & latro ante apoſtolos coronatus & celebratus eſt. In talentis quoque idipſum factum videas. Nam qui talenta quinque acceperat, & qui duo acceperat, eadem mercede dignati ſunt; & ipſe quod duo accepiſſet ex magna factum eſt providentia. Nam ſi quinque ipſi concredita fuiſſent, cum non poſſet illa augere, ex toto excidiſſet; cum autem duo accepiſſet, cum ea quæ penes ſe erant impleſſet, eodem dignatus eſt præmio quo is qui cum quinque operatus fuerat, & eo illum ſuperavit, quod a minoribus laboribus eaſdem conſequutus ſit coronas. Atqui ipſe quoque homo
E erat, ut & ille qui accepit quinque. Attamen non tam accurate cum illo rationes exigit Dominus, neque cogit illum ut tanta faciat, quanta conſervus ejus; neque dicit, Cur non potes quinque conficere? quod merito dixiſſet; ſed & ipſum coronavit. Hæc ergo cum ſciatis, ne inſultetis majores minoribus, ne vos ipſos ante illos lædatis; illis enim abſciſſis, totum perit corpus. Quid enim aliud eſt corpus, quam multa membra? Sicut & ipſe ait, Corpus non eſt unum mem-

A ξία εἰσὶ, εἰ τὰ μὲν καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τῆς ἡμετέρας ἐθεραπεύετο προνοίας, τὰ δὲ οὐδὲ ἑτέρωθεν· καὶ ἀπεσχίσθη ἂν ἀλλήλων, οὐ δυνάμενα φέρειν τὸν σύνδεσμον. ἀποσχισθέντων δὲ τούτων, καὶ τοῖς λοιποῖς ἐγίνετο βλάβη. εἶδες πῶς ἔδειξεν ἀναγκαίως μείζονα τῷ ὑστεροῦντι δεδομένην τιμήν; εἰ γὰρ μὴ τοῦτο γέγονε, κοινὴ πάντων ἂν ἡ λύμη ἐγεγόνει, φησί. καὶ γὰρ εἰ μὴ πολλῆς ταῦτα παρ' ἡμῶν ἀπήλαυσε προνοίας, ἐπηρεάσθη ἂν μὴ ἔχοντα τὴν ἀπὸ τῆς φύσεως βοήθειαν· ἐπηρεασθέντα δὲ, ἀπώλετο ἄν· ἀπολόμενα δὲ,
B ἔσχισεν ἂν τὸ σῶμα· σχισθέντος δὲ τοῦ σώματος, καὶ τὰ λοιπὰ ἂν ἀπώλετο τὰ πολλῷ μείζονα τούτων. ὁρᾷς ὅτι καὶ τῆς ἐκείνων προνοίας ἔχεται ἡ τούτων ἐπιμέλεια; οὐ γὰρ οὕτως ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι ἔχουσιν, ὡς ἐν τῷ σώματι εἰσὶν ἕν. διὰ δὴ τοῦτο, ἂν μὲν τὸ σῶμα ἀπόληται, οὐδὲν αὐτοῖς κέρδος τῆς καθέκαστον ὑγείας. ἀλλ' ἄν τε ὀφθαλμὸς μένῃ, ἄν τε ῥὶν διατηροῦσα τὸ οἰκεῖον, τοῦ συνδέσμου λυθέντος, ὄφελος οὐδὲν ἔσται λοιπόν· ἂν δὲ, τούτου μένοντος, ἐκεῖνα βλαβῇ, καὶ διαβαστάζεται καὶ πρὸς ὑγίειαν ἐπανήξει
C ταχέως. ἀλλ' ἴσως εἴποι τις ἄν· τοῦτο μὲν ἐν τῷ σώματι λόγον ἔχει, ὅτι τὸ ὑστεροῦν περιττοτέραν ἔλαβε τιμήν, ἐπὶ δὲ τῶν ἀνθρώπων πῶς ἂν τοῦτο φανείη; ἐπὶ τῶν ἀνθρώπων μὲν οὖν μάλιστα ἴδοις ἂν τοῦτο συμβαῖνον. καὶ γὰρ οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, πρῶτοι τὸν μισθὸν ἔλαβον· καὶ τὸ πλανηθὲν πρόβατον ἔπεισε τὸν ποιμένα τὰ ἐνενηκονταεννέα καταλιπεῖν, καὶ ἐπ' αὐτὸ δραμεῖν, καὶ εὑρεθὲν ἐβαστάζετο, οὐκ ἠλαύνετο· καὶ ὁ ἄσωτος υἱὸς πλείονος τοῦ εὐδοκιμηκότος τῆς τιμῆς ἀπήλαυσε· καὶ ὁ λῃστὴς
D πρὸ τῶν ἀποστόλων ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο. καὶ ἐπὶ τῶν ταλάντων δὲ τοῦτο ἴδοις ἂν γινόμενον. καὶ γὰρ ὁ τὰ πέντε τάλαντα λαβὼν, καὶ ὁ δύο τῶν αὐτῶν ἠξιώθησαν, καὶ αὐτῷ τῷ τὰ δύο λαβεῖν πολλῆς ἀπήλαυσε μᾶλλον τῆς προνοίας. εἰ γὰρ τὰ πέντε ἐνεχειρίσθη, μὴ δυνάμενος, τοῦ παντὸς ἂν ἐξέπεσε· δεξάμενος δὲ τὰ δύο, καὶ τὰ παρ' ἑαυτοῦ πληρώσας, τῶν αὐτῶν ἠξιώθη τῷ τὰ πέντε ἐργασαμένῳ, τοσούτῳ πλεονεκτήσας, ὅσῳ ἀπ' ἐλαττόνων πόνων τῶν αὐτῶν ἐπέτυχε στεφάνων. καίτοι καὶ αὐτὸς ἄνθρωπος ἦν, ὥσπερ ὁ τὰ πέντε. ἀλλ' ὅμως οὐδὲν πρὸς
E αὐτὸν ὁ δεσπότης ἀκριβολογεῖται, οὐδὲ ἀναγκάζει [a] τὰ αὐτὰ ποιεῖν τῷ συνδούλῳ, οὐδὲ λέγει, διὰ τί μὴ δύνασαι τὰ πέντε ἐργάσασθαι; δικαίως ἂν εἰπών· ἀλλὰ καὶ αὐτὸν ἐστεφάνωσε. ταῦτ' οὖν εἰδότες, μὴ ἐπεμβαίνετε τοῖς ἐλάττοσι. οἱ μείζους, ἵνα μὴ πρὸ ἐκείνων ἑαυτοὺς βλάψητε. ἀποσχιζομένων γὰρ αὐτῶν, τὸ πᾶν διαφθείρεται σῶμα. τί γὰρ ἄλλο ἐστὶ σῶμα, ἢ τὸ πολλὰ εἶναι μέλη; καθὼς καὶ αὐτός φησιν, ὅτι τὸ σῶμα οὐκ ἔστιν ἓν μέ-

[a] τὰ αὐτὰ ποιεῖν. Sic legit interpres vetus & ſic habet Savil. in margine, melius quam editi, τὰ αὐτὰ ποιεῖν.

λος,

λος, ἀλλὰ πολλά. Εἰ τοίνυν τοῦτό ἐστι σῶμα, φροντίζωμεν τοῦ τὰ πολλὰ μένειν πολλά. ὡς ἐὰν μὴ τοῦτο διασώζηται, περὶ τὰ καίρια ἡ πληγὴ γίνεται. διὸ δὲ αὐτὸς οὐ τοῦτο μόνον ἀπαιτεῖ, τὸ μὴ ἀποσχίζεσθαι ἀλλήλων, ἀλλὰ καὶ τὸ σφόδρα συνῆφθαι. εἰπὼν γοῦν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, οὐκ ἠρκέσθη τούτῳ, ἀλλ' ἐπήγαγεν· ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη. ἑτέραν δὲ ταύτην αἰτίαν προστιθεὶς τοῦ τὰ ἐλάττονα πλείονος ἀπολαύειν τιμῆς. οὐ γὰρ ἵνα μὴ ἀποσχίζηται μόνον ἀλλήλων, οὕτως ᾠκονόμησεν ὁ θεὸς, ἀλλ' ἵνα καὶ ἀγάπη ᾖ πολλὴ καὶ ὁμόνοια. [a] Εἰ γὰρ ἐν τῇ τοῦ πλησίον σωτηρίᾳ τὸ εἶναι ἑκάστῳ, μή μοι τὸ ἔλαττον καὶ τὸ πλέον εἴπῃς. ἐνταῦθα γὰρ οὐκ ἔστι πλέον καὶ ἔλαττον. μένοντος γὰρ τοῦ σώματος, δυνατὸν καὶ τὴν διαφορὰν ἰδεῖν· ἀπολλυμένου δὲ, οὐκέτι. ἀπολεῖται δὲ, ἂν μὴ καὶ τὰ ἐλάττονα μένῃ.

Εἰ τοίνυν καὶ τὰ μεγάλα ἀπολεῖται τῶν μικρῶν ἀπορραγέντων, ὁμοίως ὀφείλει ταῦτα τῶν μικρῶν φροντίζειν, καὶ οὕτως ὡς ἑαυτῶν, ἅτε ἐν τῇ τούτων σωτηρίᾳ καὶ τῶν μειζόνων μενόντων. ὥστε κἂν μυριάκις λέγῃς, ὅτι ἄτιμον τὸ μέλος καὶ ἔλαττον, ἀλλ' ἐὰν μὴ ὁμοίως προνοῇς, ὡς καὶ σαυτοῦ, ἀλλ' ὡς ἐλάττονος ἀμελῇς, ἡ βλάβη εἰς σὲ διαβήσεται. διὰ τοῦτο οὐκ εἶπεν, ἵνα ὑπὲρ ἀλλήλων μόνον μεριμνῶσι τὰ μέλη, ἀλλὰ προσέθηκεν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι, τουτέστιν, ὁμοίας καὶ τῆς αὐτῆς ὁ μέγας καὶ ὁ μικρὸς ἀπολαύῃ προνοίας. μὴ τοίνυν εἴπῃς ὅτι ὁ δεῖνα ὁ τυχών ἐστιν, ἀλλ' ἐννόησον ὅτι μέλος ἐστὶν ἐκείνου τοῦ σώματος τὸ πᾶν συγκρατοῦντος· καὶ ὥσπερ ὁ ὀφθαλμὸς οὕτω καὶ οὗτος ποιεῖ σῶμα εἶναι τὸ σῶμα. ἔνθα γὰρ ἂν τὸ σῶμα οἰκοδομῆται, οὐδεὶς οὐδὲν τοῦ πλησίον ἔχει πλέον. οὐδὲ γὰρ τοῦτο ποιεῖ σῶμα, τὸ εἶναι τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον, ἀλλὰ τὸ πολλὰ εἶναι καὶ διάφορα. ὥσπερ γὰρ σὺ, ἐπειδὴ μείζων εἶ, τὸ σῶμα συνέστησας, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐλάττων. ὥστε ἡ ἐλάττωσις αὐτοῦ, ὅταν δέῃ τὸ σῶμα οἰκοδομεῖν, ἰσότιμός σοι γίνεται εἰς τὸν καλὸν τοῦτον ἔρανον. τὸ γὰρ αὐτό σοι δύναται· καὶ δῆλον ἐκεῖθεν. μὴ ἔστω ἔλαττόν τι καὶ μεῖζον μέλος, μηδὲ τίμιον καὶ ἀτιμότερον· ἀλλ' ἔστω πάντα ὀφθαλμὸς, ἢ πάντα κεφαλή· οὐκ ἀπολεῖται τὸ σῶμα; παντί που δῆλον. πάλιν ἂν πάντα ἐλάττονα ᾖ, τὸ αὐτὸ συμβήσεται. ὥστε καὶ ταύτῃ ἰσοῦται τὰ ἐλάττω. Εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, ἵνα μένῃ σῶμα, ἐλάττων ἐστὶν ὁ ἐλάττων. ὥστε διὰ σέ ἐστιν ἐλάττων, ἵνα σὺ μένῃς μέγας ὤν. διὰ τοῦτο καὶ τὴν αὐτὴν ἀπαιτεῖ παρὰ πάντων πρόνοιαν. καὶ εἰπὼν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ἑρμηνεύει τὸ αὐτὸ τοῦτο πάλιν, λέγων· καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. διὰ γὰρ τοῦτό, φησι,

A brum, ſed multa. *Si igitur* hoc eſt corpus, ſollicite curemus ut plura maneant plura; ita ut ſi hoc non ſervetur, lethale accipiatur vulnus. Quapropter ille non hoc ſolum exigit, ut ne ab aliis abſcindamur, ſed etiam ut admodum conjuncti maneamus. Cum dixiſſet enim, ut non ſit ſchiſma in corpore; non hoc contentus fuit, ſed ſubjunxit: *Ut in ipſum pro invicem ſollicita ſint membra.* Alteram hanc quoque cauſam afferens, cur minora majorem aſſequantur honorem. Non tantum enim ut non ab invicem ſeB parentur ſic diſpenſavit Deus; ſed etiam ut multa eſſet caritas & concordia. Nam ſi ſingulis opus eſt proximi ſaluti advigilare, ne mihi minus & magis dixeris. Hic enim non eſt plus & minus. Manente namque corpore, poteſt differentia videri; pereunte autem, non item. Peribit vero niſi minora maneant.

3. Si ergo magna peribunt parvis abſciſſis; ſimiliter debent hæc magna parvorum perinde atque ſui curam gerere; cum horum enim ſalute manent etiam majora. Itaque etiamſi millies dixeris, membrum eſſe inglorium & minus; ſed niſi C æque provideas, ut pro te ipſo; ſed ut minus illud negligas, damnum in te tranſibit. Idcirco non dixit, ut pro invicem tantum ſollicita ſint membra; ſed adjecit, Ut de eodem pro ſe invicem ſollicita ſint membra; id eſt, ſimili & eadem, qua magnus, parvus quoque fruatur providentia. Ne itaque dixeris: ille plebeius eſt; ſed cogita illum eſſe membrum corporis, quod totum continet. Ac quemadmodum oculus, ita & hic facit ut corpus ſit corpus. Ubi enim corpus ædificatur, nullus quidpiam haD bet amplius, quam proximus. Neque enim hoc corpus facit ut ſit illud quidem majus, hoc vero minus; ſed quod multa ſint & diverſa. Sicut enim tu, quia major es, corpus conſtituis; ita & hic, quia minor. Itaque puſillitas ejus, cum corpus ædificare oportet, par tibi honore fit ad hanc pulcram collectionem; idipſum enim poteſt quod tu: id quod inde palam eſt. Non ſit vel minus vel majus membrum, nec honeſtum & minus honeſtum; ſed ſint omnia oculus, aut omnia caput: annon peribit corpus ilE lud? Id cuivis manifeſtum eſt. Rurſus ſi omnia ſint minora, idipſum eveniet. Itaque in hoc etiam minora ſunt æqualia. Si vero oporteat quid amplius dicere, ut maneat corpus, minor eſt is qui minor. Itaque propter te minor eſt, ut tu magnus maneas. Ideo eamdem exigit ab omnibus providentiam; & cum dixiſſet: Ut de eodem pro ſe invicem ſollicita ſint membra, hoc rurſus interpretatur dicens: 26. *Et ſive quid patitur unum membrum, compatiuntur omnia membra: ſive gloriatur unum membrum, congaudent omnia membra.* Ideo enim, inquit, providen-

[a] εἰ γὰρ ἐν τῇ τοῦ πλησίον σωτηρίᾳ τὸ εἶναι ἑκάστῳ. Hic omnino mendum eſſe videtur, divinando vertimus.

tiam communem fecit, in tanta differentia unitatem constituens; ut eorum etiam quæ contingunt magna esset communio. Nam si quæ geritur erga proximum providentia, communis est salus, necesse est & gloriam & mœrorem communem esse. Tria igitur hic requirit, non discindi, sed accurate junctos esse; providentiam mutuam similiter geri; ea quæ accidunt communia reputari. Et superius quidem dicit, quod abundantiorem dederit honorem ei cui deest, eo quod egeat, ostendens, quod defectus ipse majorem conciliet honorem. Hic autem illos exæquat secundum quod alii aliorum mutuam providentiam gerere debent. Ideo namque curavit ut majori fruerentur honore, inquit, ut ne minori cura & providentia fruantur. Non hinc autem solum, sed etiam ex bonis & tristibus quæ accidunt, membra colligantur; etenim plantæ pedis sæpe infixa spina, totum corpus sensu & sollicitudine afficitur, & dorsum flectitur, & venter & femora comprimuntur, & manus tamquam satellites & ministri procedentes, quod infixum est extrahunt, & caput inclinatur, oculique cum cura & sollicitudine magna respiciunt. Ita ut etiamsi pes minus habeat, quod non possit ascendere; attamen quod caput deduxerit, par ipsi est, & eodem fruitur honore; maxime vero quod pedes deducant ipsum non per gratiam, sed per debitum. Itaque si quod honoratius sit superet; ex eo quod tale cum sit inferiori debeat honorem & sollicitudinem, & quod cum ipso doleat, hinc æqualitatem multam probat. Quid enim est planta pedis vilius? Quid capite preciosius? Sed hoc vadit ad illud membrum, & omnia secum commovet. Rursum si oculi quid patiantur, omnia dolent, & omnia in otio sunt; & neque pedes gradiuntur, neque manus operantur, neque venter solitis rebus fruitur: atqui infirmitas est oculorum. Cur ventrem liquefacis? Cur pedes retines? Cur manus ligas? Quoniam illis es alligatus, & ineffabili modo corpus totum patitur. Nisi enim compateretur, non sustinuisset esse socium curæ & providentiæ. Ideo cum dixisset, ut in idipsum pro se invicem sollicita sint membra, subjunxit: Sive patitur unum membrum, compatiuntur omnia membra: sive glorificatur unum membrum, congaudent omnia membra. Et quomodo congaudent, inquies? Coronatur caput, & totus homo glorificatur. Os dicit, & rident oculi & lætantur. Atqui non est oculorum pulcritudo, sed linguæ facundia. Rursus, si pulcri appareant oculi, tota mulier ornatur. Sicut etiam & oculi; sic si rectus nasus, collum rectum, & alia membra laudentur, lætantur & præ gaudio gestiunt; ac rursum lacrymantur in doloribus & calamitatibus eorum, etiamsi ipsi illæsi maneant.

4. Hæc ergo omnes cogitantes, imi-

A καὶ τὴν πρόνοιαν κοινὴν ἐποίησεν, ἐν τοσαύτῃ διαφορᾷ κατασκευάσας ἕνωσιν, ἵνα καὶ τῶν ἀποβαινόντων πολλὴ ἡ κοινωνία ᾖ. εἰ γὰρ ἡ τοῦ πλησίον πρόνοια σωτηρία κοινή ἐστιν, ἀνάγκη καὶ τὴν δόξαν καὶ τὴν ἀθυμίαν εἶναι κοινήν. τρία τοίνυν ἐνταῦθα ἀπαιτεῖ· τὸ μὴ σχίζεσθαι, ἀλλ' ἡνῶσθαι μετὰ ἀκριβείας· τὸ προνοεῖν ὁμοίως ἀλλήλων· τὸ κοινὰ τὰ συμβαίνοντα ἡγεῖσθαι. καὶ ἀνωτέρω μέν φησιν, ὅτι περισσοτέραν ἔδωκε τιμὴν τῷ ὑστεροῦντι διὰ τὸ δεῖσθαι, δεικνὺς ὅτι αὐτὸ τὸ ἠλαττῶσθαι, μείζονος τιμῆς πρόξενον γέγονεν· ἐνταῦθα δὲ καὶ κατὰ τὸν τῆς προνοίας ἐξισοῖ λόγον αὐτὰ τῆς B ὑπ' ἀλλήλων γινομένης. διὰ γὰρ τοῦτο καὶ μείζονος ἐποίησεν ἀπολαῦσαι τιμῆς, φησιν, ἵνα μὴ ἐλάττονος ἀπολαύῃ προνοίας. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν συμβαινόντων χρηστῶν καὶ λυπηρῶν ἀλλήλοις συνδέδεται τὰ μέλη. καὶ γὰρ τῇ πτέρνῃ πολλάκις προσπαγείσης ἀκάνθης, ὅλον τὸ σῶμα αἰσθάνεται, καὶ μεριμνᾷ· καὶ νῶτος κάμπτεται, καὶ γαστὴρ καὶ μηροὶ συστέλλονται, καὶ χεῖρες, καθάπερ δορυφόροι καὶ ὑπηρέται προϊόντες, ἀνέλκουσι τὸ παγὲν, καὶ κεφαλὴ ἐπικύπτει, καὶ ὀφθαλμοὶ μετὰ πολλῆς ὁρῶσι τῆς φροντίδος. C ὥστε εἰ καὶ ἔλαττον ἔχει τοῦ μὴ δύνασθαι ἀνελθεῖν ὁ πούς, ἀλλὰ τῷ τὴν κεφαλὴν καταγαγεῖν τὸ ἴσον ἔχει, καὶ τῆς αὐτῆς ἀπήλαυσε τιμῆς, καὶ μάλιστα ὅταν μὴ χάριτι καταφέρωσιν αὐτὴν οἱ πόδες, ἀλλ' ὀφειλῇ. ὥστε εἰ τῷ τιμιωτέρα εἶναι πλεονεκτεῖ, τῷ δὲ τοιαύτη οὖσα τῷ ἐλάττονι τὴν τιμὴν ὀφείλειν καὶ τὴν κηδεμονίαν, καὶ τὸ ὁμοίως ὡσαύτως συναλγεῖν ἰσότητα δείκνυσι πολλήν. τί γὰρ πτέρνης εὐτελέστερον; τί δὲ κεφαλῆς τιμιώτερον; ἀλλὰ τοῦτο πρὸς ἐκεῖνο βαδίζει τὸ μέλος, καὶ πάντα μεθ' ἑαυτῆς συγκινεῖ. πάλιν ἂν ὀφθαλμοί τι πάθωσι, πάντα ἀλγεῖ, καὶ D πάντα ἐν ἀργίᾳ· καὶ οὔτε πόδες βαδίζουσιν, οὔτε χεῖρες ἐργάζονται, οὔτε γαστὴρ ἀπολαύει τῶν εἰωθότων· καίτοι τὸ πάθος τῶν ὀφθαλμῶν ἐστι. τί τήκεις τὴν γαστέρα; τί κατέχεις τοὺς πόδας; τί δεσμεῖς τὰς χεῖρας; ὅτι ἐκείνοις συνδέδεται, καὶ ἀρρήτως τὸ πᾶν πάσχει σῶμα. εἰ γὰρ μὴ συνέπασχεν, οὐδ' ἂν ἠνέσχετο κοινωνεῖν τῆς προνοίας. διόπερ εἰπὼν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ἐπήγαγεν· εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα E τὰ μέλη. καὶ πῶς συγχαίρει, φησί; στεφανοῦται ἡ κεφαλὴ, καὶ ἅπας ὁ ἄνθρωπος δοξάζεται. λέγει τὸ στόμα, καὶ γελῶσιν ὀφθαλμοὶ καὶ εὐφραίνονται· καίτοι οὐ τοῦ κάλλους τῶν ὀφθαλμῶν, ἀλλὰ τῆς γλώττης ἡ εὐδοκίμησις. πάλιν ὀφθαλμῶν καλῶν φαινομένων, ἡ πᾶσα γυνὴ καλλωπίζεται· ὥσπερ οὖν καὶ οὗτοι, καὶ ῥινὸς εὐθείας, καὶ αὐχένος ὀρθοῦ, καὶ ἑτέρων μελῶν ἐγκωμιαζομένων, γεγήθασι καὶ φαιδροὶ γίνονται· καὶ δακρύουσι πάλιν μετὰ πολλῆς τῆς δαψιλείας ἐν ταῖς ὀδύναις αὐτῶν καὶ ταῖς συμφοραῖς, κἂν ἀσινεῖς αὐτοὶ διαμένωσι.

Ταῦτ' οὖν ἅπαντες ἐννοήσαντες, μιμησώμεθα

τὴν ἀγάπην τῶν μελῶν τούτων, μηδὲ τἀναντία ποιῶμεν, ἐπεμβαίνοντες τοῖς τοῦ πλησίον κακοῖς, καὶ φθονοῦντες τοῖς τοῦ πλησίον ἀγαθοῖς. μαινομένων γὰρ τοῦτο, καὶ ἐξεστηκότων. καὶ γὰρ ὁ τὸν ὀφθαλμὸν ἐξορύττων, παραφροσύνης μέγιστον δεῖγμα ἐξήνεγκε· καὶ ὁ τὴν χεῖρα καταεσθίων, λαμπρᾶς μανίας παρέχεται ἔλεγχον. εἰ δὲ ἐπὶ τῶν μελῶν τοῦτο, καὶ ἐπὶ τῶν ἀδελφῶν ὁμοίως γινόμενον παραφροσύνης περιτίθησιν δόξαν, καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἐπάγει. ἕως μὲν γὰρ ἂν ἐκεῖνος λάμπῃ, καὶ ἡ σὴ εὐμορφία φαίνεται, καὶ ὅλον καλλωπίζεται τὸ σῶμα. οὐδὲ γὰρ εἰς ἑαυτὸν μόνον τὸ κάλλος περιΐστησιν, ἀλλὰ καὶ σοὶ δίδωσι σεμνύνεσθαι. ἂν δὲ καταεσβέσῃς αὐτὸν, ὅλῳ τῷ σώματι κοινὸν τὸ σκότος εἰργάσω, καὶ πᾶσι τοῖς μέλεσι τὴν συμφορὰν ἐπήγαγες· ὥσπερ οὖν ἐὰν διατηρῇς λάμποντα, ὁλοκλήρῳ τῷ σώματι τὴν ὥραν διατηρεῖς. οὐδεὶς γάρ φησιν, ὅτι καλὸς ὁ ὀφθαλμὸς, ἀλλὰ τί; καλὴ ἡ δεῖνα. ἂν δὲ καὶ αὐτὸς ἐπαινῆται, μετὰ τὸ κοινὸν ἐγκώμιον ἐπαινεῖται. οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαίνει. ἂν γὰρ ὦσί τινες οἱ εὐδοκιμοῦντες, τὸ κοινὸν καρποῦται τὴν εὐφημίαν. οἱ γὰρ ἐχθροὶ οὐ διαιροῦσι τὰ ἐγκώμια, ἀλλὰ συνάπτουσι. κἂν ᾖ τις ἐν τῷ λέγειν λάμπων, οὐκ αὐτὸν ἐγκωμιάζουσι μόνον, ἀλλὰ καὶ τὴν ἐκκλησίαν ἅπασαν. οὐδὲ γάρ φασιν, ὅτι θαυμαστὸς ὁ δεῖνα μόνον, ἀλλὰ τί; θαυμαστὸν ἔχουσι διδάσκαλον οἱ Χριστιανοί· καὶ κοινὸν τὸ κτῆμα ποιοῦσιν. εἶτα Ἕλληνες μὲν συνάπτουσι, σὺ δὲ διαιρεῖς, καὶ πολεμεῖς τῷ σαυτοῦ σώματι, καὶ κατὰ τῶν οἰκείων ἵστασαι μελῶν; οὐκ οἶσθα, ὅτι τοῦτο πάντα ἀνατρέπει; καὶ γὰρ καὶ βασιλεία, φησὶν, ἐφ' ἑαυτὴν μερισθεῖσα οὐ σταθήσεται. οὐδὲν δὲ οὕτω μερίζει καὶ διΐστησιν, ὡς φθόνος καὶ βασκανία, τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πάσης ἀπεστερημένον συγγνώμης, καὶ τῆς τῶν κακῶν ῥίζης κατά τι χαλεπώτερον. ὁ μὲν γὰρ φιλάργυρος τότε ἥδεται, ὅταν αὐτὸς λάβῃ· ὁ δὲ βάσκανος τότε ἥδεται, ὅταν ἕτερος μὴ λάβῃ, οὐχ ὅταν αὐτὸς λάβῃ. εὐεργεσίαν γὰρ οἰκείαν νομίζει τὴν ἑτέρων κακοπραγίαν, οὐ τὴν οἰκείαν εὐημερίαν, κοινός τις ἐχθρὸς τῆς τῶν ἀνθρώπων περιερχόμενος φύσεως, καὶ τὰ τοῦ Χριστοῦ μέλη τύπτων, οὗ τί γένοιτ' ἂν μανικώτερον; ὁ δαίμων φθονεῖ μὲν, ἀλλ' ἀνθρώποις, δαίμονι δὲ οὐδενί· σὺ δὲ ἄνθρωπος ὢν, ἀνθρώποις φθονεῖς, καὶ πρὸς τὸ ὁμόφυλον ἵστασαι καὶ ὁμογενὲς, ὅπερ οὐδὲ ὁ δαίμων ποιεῖ. καὶ ποίας τεύξῃ συγγνώμης; ποίας δὲ ἀπολογίας, ὅταν ἴδῃς ἀδελφὸν εὐημεροῦντα, τρέμων καὶ ὠχριῶν, στεφανοῦσθαι δέον καὶ χαίρειν καὶ ἀγάλλεσθαι; εἰ δὲ καὶ ζηλοῦν ἐθέλεις, οὐ κωλύω· ζήλωσον, ἀλλ' ἵνα κατ' ἐκεῖνον γένῃ τὸν εὐδοκιμοῦντα· μὴ ἵνα αὐτὸν καταβιβάσῃς, ἀλλ' ἵνα πρὸς τὴν αὐτὴν φθάσῃς κορυφὴν, ἵνα τὴν αὐτὴν ἀρετὴν ἐπιδείξῃ. τοῦτο ζῆλος καλὸς, τὸ μιμεῖσθαι καὶ μὴ πολεμεῖν· τὸ μὴ ἀλγεῖν ἐπὶ τοῖς ἑτέρων ἀγαθοῖς, ἀλλὰ δάκνεσθαι ἐπὶ τοῖς οἰκείοις κακοῖς, οὗ τὸ ἐναντίον ὁ φθόνος ποιεῖ. τῶν γὰρ οἰκείων κακῶν ἀμελῶν, ἐπὶ τοῖς ἀλλοτρίοις τήκεται



A temur horum membrorum dilectionem, neque contraria faciamus, malis proximi insultantes, & ejus bonis invidentes. Furentium enim hoc est & eorum qui in excessu mentis sunt. Etenim qui effodit oculum, maximum profert amentiæ signum: & qui manum exedit, apertæ insaniæ argumentum præbet. Si autem hoc in membris, in fratribus similiter admissum insipientiæ famam affert, & non leve detrimentum inducit. Nam quamdiu ille resplendet, tua quoque forma apparet, & corpus totum ornatur. Neque B enim ad se solum pulcritudinem adducit, sed & tibi gloriandi locum præbet. Si autem illum exstinguas, toti corpori communes tenebras effecisti, & omnibus membris induxisti calamitatem; ut ex contrario si splendentem conserves, totius corporis formam conservas. Nemo enim dicit, Pulcher est oculus; sed quid? Formosa est illa. Si autem & ipse laudetur, post commune encomium laudatur. Sic & in ecclesia contingit. Si enim quidam sint, qui bona fama gaudeant, totum corpus laudis fructum percipit. Inimici namque encomia non distinguunt, C sed conjungunt. Et si quis dicendi facundia valeat, non illum solum encomiis celebrant, sed & totam ecclesiam. Neque enim dicunt, ille tantum mirabilis est. Sed quid? Mirabilem doctorem Christiani habent: & communem faciunt possessionem. Atqui Græci quidem conjungunt, tu vero dividis, & cum tuo corpore pugnas, tuisque membris adversaris? Nescis, hoc omnia subvertere? Nam, regnum, inquit, in seipsum divisum non stabit. Nihil autem ita dividit & separat, ut invidia & livor, hic gravis morbus, qui omni venia privatur, & malorum D radice secundum quid gravior est. Avarus enim tunc lætatur, cum acceperit: invidus vero tunc gaudet cum alius non acceperit, non cum ipse acceperit. Beneficium namque suum putat aliorum adversitatem, non propriam felicitatem: communis quispiam hostis humanæ naturæ circumiens, & Christi membra percutiens; quo quid furiosius fuerit? Dæmon invidet quidem, sed hominibus, dæmonum vero nulli. Tu vero homo cum sis, hominibus invides, & adversus contribulem & congenerem insurgis, quod neque E dæmon facit. Ecquam excusationem & defensionem habebis? Cum videris fratrem prospere agentem, contremiscis & palles, cum oporteret coronari, lætari & exsultare? Si autem velis eum æmulari, non impedio. Æmulare: sed ut illi, laudem sibi concilianti, similis sis. Non ut illum dejicias, sed ut ad idem culmen pervenias, ut eamdem virtutem exhibeas. Hæc bona est æmulatio, imitari, non impugnare, non dolere de alienis bonis, sed morderi de propriis malis: cui rei contrarium facit invidia. Nam propria negligens mala, de alienis bonis tabescit. Pau-

Matt. 12. 25.

Nihil ita dissidia parit ut invidia.

per enim non ita a paupertate sua mordetur, quam a proximi copiis; quo quid gravius fuerit? Ille quippe in hoc, ut jam dixi, avaro etiam pejor est. Ille enim cum quid acceperit, gaudet; hic vero cum alius non acceperit lætatur. Quamobrem obsecro hanc malam relinquentes viam & ad zelum bonum mutati; nam talis zelus vehemens est & igne vehementior; magna inde percipiatis bona. Sic & Paulus Judæos
Rom. 11. 14. ad fidem deducebat dicens: *Si quomodo ad æmulandum provocem carnem meam, & salvos faciam aliquos ex illis.* Nam qui ita æmulatur ut ille volebat, non tabescit cum viderit alium in bona existimatione esse, sed quando viderit se non id assequi. Invidus vero non sic; sed cum alium prospere agentem viderit, veluti quidam fucus est, qui alienos labores labefactat, & nunquam ipse surgere tentat, flens vero cum alium surgentem videt, & omnia facit ut illum dejiciat. Cuinam quis hunc morbum comparaverit? Mihi autem hoc perinde esse videtur ac si quis piger asinus pinguedine gravis cum equo volucri conjunctus, neque ipse surgere velit, & pondere carnium ipsum conetur detrahere. Nam & hic, ut ipse a profundo somno liberetur, nihil nec cogitat nec curat; nihil vero non agit ut eum qui in cælum advolat supplantet, & dejiciat, accuratus diaboli imitator factus. Nam & ille videns hominem in paradiso, non ipse studuit mutari; sed illum ejicere ex paradiso. Et rursus videns illum in cælo sedentem, & alios illo festinantes, idipsum meditatur, eos qui illo pergunt supplantans, & hinc majorem sibi congerens fornacem. Ubique enim hoc contingit. Nam is cui invidetur, si vigilet, splendidior evadit. Invidus vero plura sibi mala accumulat. Sic & Joseph illustris effectus est. Sic Aaron sacerdos: nam invidorum insidiæ effecerunt ut Deus semel & bis eamdem ferret sententiam, & ut virga germinaret. Sic & Jacob multa rerum copia abundavit, aliisque omnibus. Sic invidi in mille se malis complicarunt. Quæ omnia scientes, fugiamus hujusmodi zelum. Cur enim, quæso, invides? Quia spiritualem gratiam frater accepit? Et a quo, quæso, accepit, nonne a Deo? Ergo contra illum inimicitiam suscipe qui donum contulit. Viden' quo malum serpit, & qualem colophonem peccatorum inducit, & quantum suffodit supplicii barathrum? Fugiamus ergo, dilecti, neque invideamus, ac pro invidis precemur, nihilque non agamus, ut morbum illorum exstinguamus. Sed ne eadem quæ insani illi patiamur, qui volentes pœnas ab illis exigere, omnia faciunt ut flammam sibi accendant. At ne ita nos, sed

A καλοῖς. καὶ γὰρ ὁ πένης οὐχ οὕτω τῇ οἰκείᾳ δάκνεται
πενίᾳ, ὡς τῇ τοῦ πλησίον εὐπορίᾳ, οὗ τί γένοιτ' ἂν χα-
λεπώτερον; ἔστι γὰρ καὶ τοῦτο, ὅπερ ἔφθην εἰπὼν,
καὶ τοῦ πλεονέκτου χείρων. ὁ μὲν γὰρ ὅταν αὐτός τι λάβῃ,
χαίρει· ὁ δὲ, ὅταν ἕτερος μὴ λάβῃ, τότε εὐφραίνεται.
διὸ παρακαλῶ τὴν πονηρὰν ταύτην ἀφέντας ὁδὸν, καὶ
μεταβαλόντας πρὸς ζῆλον καλὸν, καὶ γάρ ἐστι σφοδρὸν
καὶ πυρὸς πολλῷ θερμότερον ὁ ζῆλος ὁ τοιοῦτος, με-
γάλα ἐντεῦθεν καρπώσασθαι ἀγαθά. οὕτω καὶ Παῦ-
λος τοὺς ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τὴν πίστιν ἐχειραγώγει,
λέγων· εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω
B τινὰς ἐξ αὐτῶν. ὁ γὰρ οὕτω ζηλῶν, ὡς ἐκεῖνος ἐβούλε-
το, οὐ τήκεται ὅταν τὸν ἕτερον εὐδοκιμοῦντα ἴδῃ, ἀλλ'
ὅταν ἑαυτὸν ἀπολιμπανόμενον. ὁ δὲ φθονερὸς οὐχ οὕτως,
ἀλλ' ὅταν ἕτερον εὖ πράττοντα ἴδῃ· καὶ καθάπερ κη-
φήν τίς ἐστι τοῖς ἀλλοτρίοις λυμαινόμενος πόνοις, καὶ
αὐτὸς μὲν οὐδέποτε ἀναστῆναι σπουδάζων, δακρύων δὲ
ὅταν ἕτερον ἀναστάντα ἴδῃ, καὶ πάντα ποιῶν ὥστε αὐτὸν
καταβαλεῖν. τίνι οὖν ἄν τις τοῦτο παραβάλοι τὸ πά-
θος; ὅμοιον εἶναί μοι δοκεῖ τοῦτο, οἷον ἂν εἰ νωθὴς ὄνος
καὶ πολυσαρκίᾳ βεβαρημένος ἵππῳ πτηνῷ συνεζευγμένος,
μήτε αὐτὸς διανίστασθαι βούλοιτο, καὶ ἐκεῖνον τῷ βάρει
C τῶν σαρκῶν καθέλκειν ἐπιχειροίη. καὶ γὰρ καὶ οὗτος, ὅπως
μὲν αὐτὸς ἀπαλλαγείη τοῦ βαθέος ὕπνου τούτου, οὐδὲν οὔτε
ἐννοεῖ, οὔτε σπουδάζει· πάντα δὲ ποιεῖ ὥστε τὸν εἰς
τὸν οὐρανὸν ἱπτάμενον ὑποσκελίσαι, καὶ καταβαλεῖν,
ἀκριβὴς τοῦ διαβόλου ζηλωτὴς γινόμενος. καὶ γὰρ ἐκεῖνος
ὁρῶν τὸν ἄνθρωπον ἐν παραδείσῳ, οὐκ αὐτὸς ἐσπού-
δαζε μεταβαλέσθαι, ἀλλ' ἐκεῖνον ἐκβαλεῖν τοῦ πα-
ραδείσου. καὶ πάλιν ἰδὼν αὐτὸν ἐν οὐρανῷ καθήμενον, καὶ
τοὺς ἄλλους ἐπειγομένους ἐκεῖ, τῆς αὐτῆς ἔχεται μελέ-
της, τοὺς ἐκεῖ σπεύδοντας ὑποσκελίζων, καὶ πλείονα
ἐντεῦθεν ἑαυτῷ σωρεύων τὴν κάμινον. καὶ γὰρ ἁπανταχοῦ
D τοῦτο συμβαίνει. ὁ μὲν γὰρ φθονούμενος ἂν νήφῃ, λαμ-
πρότερος γίνεται· ὁ δὲ βασκαίνων πλείονα ἑαυτῷ συνάγει
κακά. οὕτω καὶ ὁ Ἰωσὴφ ἐγένετο λαμπρός· οὕτω Ἀαρὼν
ὁ ἱερεύς. ἡ γὰρ τῶν φθονούντων ἐπιβουλὴ, καὶ ἅπαξ καὶ
δὶς [a] ψηφίσασθαι αὐτὸν τὸν θεὸν ἐποίησε, καὶ τὴν ῥάβδον
βλαστῆσαι παρεσκεύασεν. οὕτως ὁ Ἰακὼβ τῆς πολλῆς εὐ-
πορίας ἀπήλαυσε, καὶ τῶν ἄλλων ἁπάντων. οὕτως οἱ
βασκαίνοντες μυρίοις ἑαυτοὺς περιέπειραν κακοῖς. ἅπερ
εἰδότες ἅπαντα, φύγωμεν τὸν τοιοῦτον ζῆλον. τίνος
γὰρ ἕνεκεν, εἰπέ μοι, φθονεῖς; ὅτι χάριν ἔλαβε πνευ-
ματικὴν ὁ ἀδελφός; καὶ παρὰ τίνος ἔλαβεν, εἰπέ μοι; οὐ
E παρὰ τοῦ θεοῦ; οὐκοῦν πρὸς ἐκεῖνον τὴν ἀπέχθειαν ἀναδέ-
χῃ τὸν δεδωκότα τὴν δωρεάν. εἶδες ποῖ τὸ κακὸν ἕρπει,
καὶ οἷον τὸν κολοφῶνα τῶν ἁμαρτημάτων ἐπάγει, καὶ ὅσον
ἀνορύττει βάραθρον τιμωρίας; φεύγωμεν τοίνυν, ἀγα-
πητοὶ, καὶ μήτε φθονῶμεν, καὶ τῶν φθονούντων ὑπερευ-
χώμεθα, καὶ πάντα ποιῶμεν ὥστε αὐτῶν κατασβέσαι τὸ
πάθος· ἀλλὰ μὴ τὰ τῶν ἀνοήτων πάσχωμεν, οἳ, βου-
λόμενοι δίκην αὐτοὺς ἀπαιτῆσαι, πάντα ποιοῦσιν ὥστε
αὐτῶν ἀνάψαι τὴν φλόγα. ἀλλὰ μὴ ἡμεῖς οὕτως,

[a] Savil. in marg. ψηφίσασθαι αὐτῷ, forte melius.

ἀλλὰ δακρύωμεν αὐτοὺς καὶ θρηνῶμεν. αὐτοὶ γάρ εἰσιν οἱ ἠδικημένοι, σκώληκα ἔχοντες διηνεκῆ διατρώγοντα αὐτῶν τὴν καρδίαν, καὶ πηγὴν ἰοῦ συνάγοντες πάσης χολῆς πικροτέραν. παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον θεὸν καὶ ἐκείνοις τὸ πάθος μεταβαλεῖν, καὶ ἡμᾶς μήποτε ἐμπεσεῖν τῷ νοσήματι. καὶ γὰρ ἄβατος ὁ οὐρανὸς τῷ ταύτην ἔχοντι τὴν τηκεδόνα· καὶ πρὸ τοῦ οὐρανοῦ δὲ, καὶ ὁ παρὼν βίος ἀβίωτος. οὐδὲ γὰρ οὕτω ξύλον καὶ ἔριον σὴς ἐγκαθήμενος καὶ σκώληξ διατρώγειν εἴωθεν, ὡς ὁ τῆς βασκανίας πυρετὸς αὐτὰ κατεσθίει τὰ ὀστᾶ τῶν βασκαινόντων, καὶ τῆς ψυχῆς τὴν σωφροσύνην λυμαίνεται. ἵν' οὖν καὶ ἑαυτοὺς, καὶ ἑτέρους τῶν μυρίων ἀπαλλάξωμεν κακῶν, ἀπελάσωμεν τὸν πονηρὸν τοῦτον ἐξ ἡμῶν πυρετὸν, τὸν πάσης τηκεδόνος χαλεπώτερον· ἵνα πνευματικὴν ἀναλαβόντες ἰσχὺν, καὶ τὸν παρόντα διανύσωμεν ἀγῶνα, καὶ τῶν μελλόντων ἐπιτύχωμεν στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A defleamus illos & lamentemur. Ipsi enim sunt qui læduntur, vermem habentes perpetuum, cor ipsorum arrodentem, & veneni congregant fontem omni felle amariorem. Rogemus ergo benignum Deum, ut & illis morbum immutet: & nos ne unquam in hunc incidamus. Nam inaccessum est cælum ei qui hac tabe laborat: & ante cælum hæc vita non vitalis est. Neque enim lignum & lanam insidens tinea ita rodere solet, ut invidiæ febris ossa invidorum corrodit, & animæ temperantiam labefactat. Ut igitur & nos B & alios ab innumeris eruamus malis, expellamus a nobis hanc malam febrim, quavis tabe deteriorem; ut spirituali suscepto robore, & præsens certamen perficiamus, & futuras consequamur coronas, quas utinam nos omnes adipisci contingat, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto, gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ λβ'.

## HOMILIA XXXII.

C

[a] Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ [a], καὶ μέλη ἐκ μέρους.

ΙΝΑ γὰρ μή τις λέγῃ, τί πρὸς ἡμᾶς τοῦ σώματος τὸ ὑπόδειγμα; ἐκεῖνο μὲν γὰρ φύσει δουλεύει, τὰ [b] δὲ ἡμέτερα προαιρέσεώς ἐστι κατορθώματα, [b] προάγων αὐτὸ τοῖς καθ' ἡμᾶς πράγμασι, καὶ δεικνὺς ὅτι τοσαύτην ἀπὸ γνώμης ὀφείλομεν ἔχειν ὁμόνοιαν, ὅσην ἀπὸ φύσεως ἐκεῖνα, φησίν· ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ. εἰ δὲ τὸ ἡμέτερον οὐ δεῖ στασιάζειν σῶμα, πολλῷ μᾶλλον τὸ τοῦ Χριστοῦ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ φύσεως χάρις δυνατωτέρα. καὶ μέλη ἐκ μέρους. οὐ γὰρ δὴ σῶμα μόνον, φησὶν, ἀλλὰ καὶ μέλη ἐσμέν. περὶ γὰρ ἀμφοτέρων τούτων ἀνωτέρω διελέχθη, τοὺς πολλοὺς εἰς ἓν συνάγων, καὶ δεικνὺς ἅπαντας ἕν τι κατὰ τὴν τοῦ σώματος εἰκόνα γινομένους, καὶ τὸ ἓν τοῦτο διὰ τῶν πολλῶν συνιστάμενον, καὶ ἐν τοῖς πολλοῖς ὂν, καὶ τὰ πολλὰ ἐκ τούτου συνεχόμενα καὶ δυνάμενα εἶναι πολλά. τί δέ ἐστι, τὸ ἐκ μέρους; τόγε εἰς ὑμᾶς ἧκον, καὶ ὅσον εἰκὸς ἐξ ὑμῶν οἰκοδομηθῆναι μέρος. ἐπειδὴ γὰρ εἶπε, σῶμα, τὸ δὲ πᾶν σῶμα ἦν, οὐχὶ ἡ παρὰ Κορινθίοις ἐκκλησία, ἀλλ' ἡ πανταχοῦ τῆς οἰκουμένης, διὰ τοῦτο ἔφησεν, ἐκ μέρους· τουτέστιν, ὅτι ἡ ἐκκλησία ἡ παρ' ὑμῖν μέρος ἐστὶ τῆς πανταχοῦ κειμένης ἐκκλησίας, καὶ τοῦ σώματος τοῦ διὰ πασῶν συνισταμένου τῶν ἐκκλησιῶν· ὥστε οὐχὶ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν εἰρηνεύειν, ἂν εἴητε δίκαιοι, εἴγε παντός ἐστε μέλη τοῦ σώματος. καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους,

27. *Vos autem estis corpus Christi, & membra ex parte.*

1. NE quis enim diceret, quid ad nos exemplum corporis? Illud enim naturæ servit, nostra vero recte facta liberi arbitrii sunt, id ad actiones nostras adducens, & ostendens nos ex animi sententia debere eamdem concordiam habere, quam ipsa membra ex natura, dicit, *Vos autem estis corpus Christi.* Si autem non oportet corpus nostrum dissi- D dere, multo magis non oportet Christi corpus, &, eo magis, quo gratia potentior est naturâ. *Et membra ex parte.* Neque enim corpus sumus tantum, sed & membra sumus. Nam de his ambobus superius disputatum est; multos in unum colligens, & ostendens omnes unum secundum imaginem corporis factos esse: & hoc unum per multa constitui, atque in multis esse, & multa ex eo contineri & posse multa esse. Quid est autem illud, *ex parte?* Quantum ad vos attinet & quantum consentaneum est, esse partem ex vobis ædificatam. Quia enim dixit, E corpus, totum autem erat corpus, non Corinthiorum ecclesia, sed quæ ubique terrarum erat; ideo dixit, ex parte; id est, quia ecclesia vestra, pars est ejus quæ ubique terrarum est ecclesiæ, & corporis, quod per omnes ecclesias constituitur; ita ut non solum inter vos, sed etiam cum tota ecclesia, quæ est in orbe, pacem habere debeatis; si quidem estis justi, si membra totius corporis. 28. *Et quos quidem posuit Deus in ecclesia, primum apo-*

[a] καὶ μέλη ἐκ μέρους. Interpres Vulgatæ qui vertit, *& membra de membro*, legit, καὶ μέλη ἐκ μέλους. Sed eodem redit sententia.

[b] προάγων. Savil. legendum suspicatur, προσάγων.

*stolos, secundo prophetas, tertio doctores, deinde virtutes, deinde gratias curationum, opitulationes, gubernationes, genera linguarum.* Quod enim superius dixi, hoc nunc facit. Quia altum sapiebant de linguis, illam rem semper ultimam ponit. Nam illud primum & secundum non sine causa ponit, sed præmittens id quod preciosius est, & quod est inferius ostendens. Ideo apostolos præmisit, qui charismata seu dona omnia in se habebant. Et non dixit, quos posuit Deus in ecclesia apostolos simpliciter aut prophetas; sed primum & secundum & tertium ponit; hoc ipsum quod dixi significans. *Secundo prophetas.* Prophetabant enim, ut filiæ Philippi, ut Agabus, ut isti quoque qui erant apud Corinthios, de quibus

1. Cor. 14. 29. dicit, *Prophetæ duo aut tres loquantur.* Et ad Timotheum scribens dicebat: *Noli negligere gratiam quæ in te est, quæ tibi data est per prophetiam.* (1. Tim. 4. 14.) Ac longe plures tunc erant prophetæ, quam in veteri. (Plures prophetæ erant in ecclesia Christi, quam in lege veteri.) Neque enim ad decem & viginti & quinquaginta & centum redactum erat prophetiæ donum; sed hæc gratia ubertim effundebatur, & singulæ ecclesiæ multos habebant qui prophetabant. Quod si Christus dicat, *Lex & Prophetæ usque ad Joannem*, (Matt. 11. 13.) de illis dixit prophetis, qui ejus adventum prædixerunt. Tertio doctores. Nam qui prophetat, omnia a Spiritu loquitur. Qui docet autem, aliquando ex propria mente disserit. Ideoque dicebat: *Qui bene præsunt presbyteri, duplici honore digni habeantur, maxime autem qui laborant in verbo & doctrina.* (1. Tim. 5. 17.) Qui autem Spiritu omnia loquitur, non laborat. Ideoque post prophetam illum posuit. Quoniam illud quidem totum est donum, hoc autem etiam humanus labor. Etenim ex se quoque multa loquitur, quæ tamen cum divinis scripturis consonant. *Deinde virtutes, deinde gratias curationum.* Viden' quomodo rursum distinguit curationes a virtute, quod etiam antea fecit. Virtus enim majus quidpiam est, quam curatio. Nam qui virtutem habet, & castigat & curat. Qui vero gratiam curationum habet, morbos tantum curat. Et vide quam optimo usus sit ordine, cum prophetiam ante virtutes & curationes posuit. Superius enim ubi dicebat: Alii quidem per Spiritum datus est sermo sapientiæ, & alii sermo scientiæ; non ordine ponens dicebat, sed indiscriminatim: hic autem & præponit & subjicit. Cur ergo prophetiam præponit? Quia etiam in veteri talem ordinem illa habet. Cum enim Esaias Judæos alloqueretur, & virtutis Dei demonstrationem præberet, vilitatis dæmonum argumentum in medium adduxit: & hoc divinitatis ejus dixit esse indicium maximum, quod futura prædiceret. Christus vero qui tot miracula patrarat, non parvum hoc dicit esse divinitatis suæ signum; & frequenter sic sermonem concludit:

A δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Ὅπερ γὰρ ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ποιεῖ· ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ ταῖς γλώτταις, ἔσχατον αὐτὸ τίθησι πανταχοῦ. Τὸ γὰρ πρῶτον ἐνταῦθα καὶ δεύτερον οὐχ ἁπλῶς εἴρηκεν, ἀλλὰ προτάττων τὸ προτιμότερον, καὶ τὸ καταδεέστερον δεικνύς. Διὸ καὶ τοὺς ἀποστόλους προέθηκεν, οἳ πάντα ἐν ἑαυτοῖς εἶχον τὰ χαρίσματα. Καὶ οὐκ εἶπεν, οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους ἁπλῶς ἢ προφήτας, ἀλλὰ πρῶτον καὶ δεύτερον καὶ τρίτον τίθησι, τὸ αὐτὸ

B τοῦτο, ὅπερ εἶπον, ἐμφαίνων. Δεύτερον προφήτας. Προεφήτευον γὰρ, ὡς αἱ θυγατέρες Φιλίππου, ὡς Ἄγαβος, ὡς αὐτοὶ οὗτοι οἱ παρὰ Κορινθίοις, περὶ ὧν φησι, Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν. Καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγε, Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας. Καὶ πολλῷ πλείους τότε ἦσαν, ἢ ἐπὶ τῆς παλαιᾶς. Οὐ γὰρ εἰς δέκα καὶ εἴκοσι, καὶ πεντήκοντα, καὶ ἑκατὸν περιειστήκει τὸ χάρισμα, ἀλλ' ἐξεχεῖτο δαψιλῶς ἡ χάρις αὕτη, καὶ ἑκάστη ἐκκλησία πολλοὺς εἶχε τοὺς προφητεύοντας. Εἰ δέ φησιν ὁ Χριστὸς, ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως

C Ἰωάννου, περὶ ἐκείνων φησὶ τῶν προφητῶν τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων. Τρίτον διδασκάλους. Ὁ μὲν γὰρ προφητεύων, πάντα ἀπὸ τοῦ πνεύματος φθέγγεται· ὁ δὲ διδάσκων, ἔστιν ὅπου καὶ ἐξ οἰκείας διανοίας διαλέγεται. Διὸ καὶ ἔλεγεν, Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα δὲ οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. Ὁ δὲ πνεύματι πάντα φθεγγόμενος, οὐ κοπιᾷ. Διὰ δὴ τοῦτο καὶ μετὰ τὸν προφήτην αὐτὸν τέθεικεν· ὅτι τὸ μὲν, ὅλον ἐστὶ χάρισμα, τὸ δὲ, καὶ ἀνθρώπινος πόνος.

D Καὶ γὰρ οἴκοθεν πολλὰ φθέγγεται, συμβαίνοντα μέντοι ταῖς θείαις γραφαῖς. Ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων. Ὁρᾷς πῶς πάλιν διαιρεῖ τὰ ἰάματα ἀπὸ τῆς δυνάμεως, ὅπερ καὶ ἔμπροσθεν ἐποίησεν. Ἡ γὰρ δύναμις πλέον τῆς ἰάσεως. Ὁ μὲν γὰρ δύναμιν ἔχων, καὶ κολάζει, καὶ ἰᾶται. Ὁ δὲ χάρισμα ἰαμάτων, θεραπεύει μόνον. Καὶ ὅρα πῶς ἀρίστῃ κέχρηται τῇ τάξει, τὴν προφητείαν τῶν δυνάμεων καὶ τῶν ἰαμάτων προτιθείς. Ἀνωτέρω μὲν γὰρ, ἔνθα ἔλεγεν, ὅτι τῷ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, καὶ ἄλλῳ λόγος γνώσεως· οὐ κατὰ τάξιν τιθεὶς

E ἔλεγεν, ἀλλ' ἀδιαφόρως· ἐνταῦθα μέντοι προτίθησι καὶ ὑποτάττει. Τίνος οὖν ἕνεκεν τὴν προφητείαν προτίθησιν; ὅτι καὶ ἐν τῇ παλαιᾷ ταύτην εἶχε τὸ πρᾶγμα τὴν τάξιν. Ὅτε γοῦν ὁ Ἡσαΐας πρὸς Ἰουδαίους διελέγετο, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως παρεῖχεν ἀπόδειξιν, καὶ τῆς τῶν δαιμόνων εὐτελείας τὸν ἔλεγχον παρῆγεν εἰς μέσον, καὶ τοῦτο τῆς θεότητος αὐτοῦ ἔφησεν εἶναι δεῖγμα μέγιστον, τὸ λέγειν τὰ μέλλοντα. Καὶ ὁ Χριστὸς δὲ τοσαῦτα σημεῖα ποιήσας, οὐ μικρὸν τοῦτό φησιν αὐτοῦ τῆς θεότητος εἶναι σημεῖον· καὶ ἐπιλέγει συνεχῶς·

A ταῦτα δὲ εἴρηκα ὑμῖν, ἵν', ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι. ἀλλὰ προφητείας μὲν εἰκότως τὰ χαρίσματα τῶν ἰαμάτων δεύτερα. διὰ τί δὲ καὶ διδασκαλίας; ὅτι οὐκ ἔστιν ἴσον, λόγον καταγγέλλειν κηρύγματος, καὶ σπείρειν τὴν εὐσέβειαν εἰς τὰς τῶν ἀκουόντων ψυχὰς, καὶ δυνάμεις ποιεῖν. ἐπεὶ καὶ αὗται δι' ἐκεῖνον γίνονται.

Ὅταν οὖν τις καὶ λόγῳ παιδεύῃ καὶ βίῳ, πάντων ἐστὶ μείζων. διδασκάλους γὰρ τούτους φησὶ, τοὺς καὶ B τοῖς ἔργοις διδάσκοντας, καὶ τῷ λόγῳ παιδεύοντας. τοῦτο γοῦν καὶ τοὺς ἀποστόλους, ἀποστόλους εἶναι ἐποίησε. κἀκεῖνα μὲν καὶ ἕτεροί τινες οὐ πολλοῦ ἄξιοι παρὰ τὴν ἀρχὴν εἰλήφασιν, ὡς ἐκεῖνοι οἱ εἰρηκότες, Κύριε, οὐχὶ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ μετὰ ταῦτα ἀκούσαντες, οὐδέποτε ἔγνων ὑμᾶς· πορεύεσθε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. τὸν δὲ τῆς διδασκαλίας λόγον τὸν διπλοῦν τοῦτον, τὸν διὰ τῶν ἔργων καὶ τῶν λόγων, οὐκ ἂν ἀναδέξαιτό ποτε πονηρὸς ἄνθρωπος. εἰ δὲ τοὺς προφήτας προτίθησι, μὴ θαυμάσῃς. οὐ γὰρ ἁπλῶς C προφήτας λέγει, ἀλλὰ τοὺς διὰ τῆς προφητείας καὶ διδάσκοντας, καὶ εἰς τὸ κοινῇ συμφέρον ἅπαντα λέγοντας, ὅπερ προϊὼν σαφέστερον ἡμῖν ποιεῖ. ἀντιλήψεις, κυβερνήσεις. τί ἐστιν, ἀντιλήψεις; ὥστε ἀντέχεσθαι τῶν ἀσθενῶν. τοῦτο οὖν χάρισμα, εἰπέ μοι; μάλιστα μὲν καὶ τοῦτο τῆς τοῦ θεοῦ δωρεᾶς, τὸ προστατικὸν εἶναι, τὸ πράγματα οἰκονομεῖν πνευματικά· ἄλλως τε δὲ πολλὰ καὶ τῶν ἡμετέρων κατορθωμάτων, χαρίσματα καλεῖ, οὐκ ἀναπίπτειν ἡμᾶς βουλόμενος, ἀλλὰ δεικνὺς ὅτι πανταχοῦ τῆς τοῦ θεοῦ δεόμεθα βοηθείας, καὶ παρασκευάζων εὐχαρίστους εἶναι, καὶ προθυμοτέρους ταύ- D τῃ ποιῶν καὶ διεγείρων αὐτῶν τὰ φρονήματα. γένη γλωσσῶν. εἶδες ποῦ τέθεικε τουτὶ τὸ χάρισμα, καὶ πῶς πανταχοῦ τὴν ἐσχάτην αὐτῷ νέμει τάξιν; εἶτα ἐπειδὴ πάλιν ἐκ τοῦ καταλόγου τούτου πολλὴν ἔδειξε διαφορὰν, καὶ τὸ νόσημα ἐκεῖνο διήγειρε τὸ τῶν ἐλάττονα ἐχόντων χαρίσματα, λοιπὸν μετὰ πολλῆς αὐτοῖς ἐπιπηδᾷ τῆς σφοδρότητος, διὰ τὸ πολλὰς αὐτοῖς παρασχεῖν τὰς ἀποδείξεις τοῦ μὴ σφόδρα ἐλαττοῦσθαι αὐτούς. ἐπειδὴ γὰρ εἰκὸς ἦν ταῦτα ἀκούσαντας αὐτοὺς λέγειν, καὶ διὰ τί μὴ πάντες ἀπόστολοι ἐγενόμεθα; ἀνωτέρω μὲν παρακλητικωτέρῳ λόγῳ κέχρηται, E διὰ πολλῶν ἀποδεικνὺς ἀναγκαίως τοῦτο γινόμενον, καὶ ἀπὸ τῆς τοῦ σώματος εἰκόνος· τὸ γὰρ σῶμα, φησιν, οὐκ ἔστιν ἓν μέλος· καὶ πάλιν, εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; καὶ ἀπὸ τοῦ συμφερόντως δεδόσθαι. ἑκάστῳ γάρ, φησιν, ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον· καὶ ἀπὸ τοῦ πάντας ἀπὸ τοῦ πνεύματος ἀρύεσθαι τοῦ αὐτοῦ, καὶ ἀπὸ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἀλλὰ μὴ ὀφειλήν. διαιρέσεις γάρ, φησι, χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ ἀπὸ τοῦ φανέρωσιν ὁμοίως γίνεσθαι διὰ πάντων τοῦ πνεύματος. ἑκάστῳ γὰρ ἡ φανέρωσις, φησι, δίδοται διὰ τοῦ πνεύματος· καὶ ἀπὸ τοῦ κατὰ τὸ δοκοῦν τῷ πνεύ-

*Hæc autem dixi vobis, ut cum facta fuerint, credatis quia ego sum.* Joan. 13. 19. Sed prophetiæ jure postponuntur gratiæ curationum: Cur etiam doctrinæ? Quia non par res est, verbum prædicationis annunciare, & piam religionem seminare in auditorum animis; atque virtutes facere. Quoniam ipsæ propter illud fiunt.

2. Cum ergo quis & verbo & vitæ exemplo erudit, major est omnibus. Illos enim dicit doctores, qui etiam operibus docent, & verbo erudiunt. Hoc igitur etiam apostolos esse fecit apostolos. Et illa quidem alii nonnulli non magni precii initio habuerunt, *ut ii Matt. 7. 22. qui dicebant, *Domine, nonne in nomine tuo prophetavimus, & virtutes multas fecimus?* & postea audierunt, *Nunquam novi vos, discedite a me qui operamini iniquitatem.* Doctrinæ autem verbum duplex illud, quod per opera & per verba exhibetur, malus homo nunquam susceperit. Quod si prophetas præponat, ne mireris. Non enim simpliciter prophetas dicit; sed eos qui per prophetiam & docuerunt, & in communem utilitatem omnia dixerunt, quod in sequentibus manifestius nobis declarat. *Opitulationes, gubernationes.* Quid est, opitulationes? Ut infirmi protegantur. Hoccine quæso est charisma? Sane quidem hoc ex Dei dono est protegere, & res dispensare spirituales. Alioquin vero, multa a nobis præclare gesta, charismata vocat, nolens ut concidamus, sed ostendens nos semper auxilio Dei indigere, & nos instituens ut grati animi simus, sicque alacriores reddens, illorumque sensus excitans. *Genera linguarum.* Vidistin' ubi hoc donum posuerit, & quomodo ubique ultimum illi tribuat ordinem? Deinde quia ex hoc catalogo multam ostendit differentiam, & illum excitavit morbum eorum qui minora habebant charismata, demum cum vehementia magna illos aggreditur, dum iis multa præbet argumenta, quod non in multo minorem ordinem redacti sint. Quia enim verisimile erat illos hæc audientes dicere: & cur non omnes apostoli facti sumus? superius quidem magis consolatoria oratione usus est, multis ostendens sic necessario factum esse, etiam ab imagine corporis; Corpus enim, inquit, non est unum membrum: & rursum, si autem essent omnia unum membrum, ubi corpus? & quod utiliter data sint: Unicuique enim, inquit, manifestatio Spiritus datur ad utilitatem; & ex eo quod omnes ex eodem Spiritu hauriant, & quod charisma donum sit, sed non debitum, Divisiones enim, inquit, gratiarum sunt, idem vero Spiritus; & quod manifestatio Spiritus per omnia fiat: Unicuique enim, inquit, manifestatio datur per Spiritum; & ex eo quod prout videtur

Spiritui & Deo hæc figurata sint: Hæc enim omnia, inquit, operatur unus & idem Spiritus, dividens singulis prout vult; &, Posuit Deus membra unumquodque eorum in corpore sicut voluit; & quod necessaria sint etiam minora: Quæ enim videntur, inquit, infirmiora esse, necessaria sunt: ex eo quod similiter necessaria sint, in eo quod corpus perinde construant atque ea quæ majora sunt: Corpus enim, inquit, non est unum membrum, sed multa; ex eo quod majora minoribus opus habeant: Non potest enim, inquit, caput dicere pedibus, vestra opera non egeo: ex eo quod majori hæc fruantur honore: Ei autem cui deest, inquit, abundantiorem dedit honorem; ex eo quod communem & parem curam habeant; in idipsum enim sunt inter se invicem sollicita omnia membra; & ex eo quod sit una gloria & unus dolor ipsorum omnium: Sive patitur, inquit, unum membrum, compatiuntur omnia membra; sive glorificatur unum membrum, congaudent omnia membra. Superius igitur per hæc consolatus est; hic autem vehementer & increpantis more verbo utitur. Nam, ut dixi, neque semper consolari, neque semper os obstruere oportet. Ideo & ipse, quia multis illos consolatus erat, vehementer deinceps illos insectatur dicens: 29. *Numquid omnes apostoli? numquid omnes prophetæ? numquid omnes gratiam habent curationum?* Neque consistit in primo vel secundo charismate, sed pergit usque ad postrema; aut hoc dicens, Non possunt omnes esse omnia; quemadmodum illic dicit: Si omnia essent unum membrum, ubi corpus? vel aliud quidpiam hinc postea apparans ad consolationis verbum. Quale illud? quod ostendat de minoribus perinde atque de majoribus contendi, eo quod neque hæc omnibus data fuerint. Quid enim, inquit, doles, quod non habeas gratiam curationum? Cogita id quod tu habes, etiamsi sit minus, sæpe non habere eum qui majus quidpiam habet. Ideo ait: 30. *Numquid omnes linguis loquuntur? numquid omnes interpretantur?* Quemadmodum enim magna non omnibus dedit Deus; sed aliis hoc, aliis illud, sic & in minoribus fecit, quæ nec omnibus proposuit. Illud autem fecit, multam inde concordiam & caritatem ædificans, ut unusquisque proximo opus habens, cum fratre congregetur. Hoc in artibus quoque dispensavit, hoc in elementis, hoc in plantis & in membris nostris, & in omnibus.

3. Deinde opportunissimam adjicit consolationem, quæ possit recreare ac sedare dolentem animam. Quænam illa est? 31. *Æmulamini, inquit, charismata meliora. Et adhuc excellentiorem vobis viam demonstro.* Hoc autem dicens subindicavit illos in causa fuisse quod minora acceperint, & penes illos esse, si velint, majora accipere.

ματι καὶ τῷ θεῷ ταῦτα τετυπῶσθαι. πάντα γὰρ ταῦτά, φησιν, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· καὶ, ἔθετο ὁ θεὸς τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε· καὶ ἀπὸ τοῦ ἀναγκαῖα εἶναι καὶ τὰ ἐλάττονα. τὰ γὰρ δοκοῦντά, φησιν, ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστιν, ἀπὸ τοῦ ὁμοίως ἀναγκαῖα εἶναι, ἐν τῷ ὁμοίως τὸ σῶμα κατασκευάζειν τοῖς μείζοσι. τὸ γὰρ σῶμά, φησιν, οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά, ἀπὸ τοῦ καὶ τὰ μείζονα τῶν ἐλαττόνων δεῖσθαι. οὐ δύναται γάρ, φησιν, εἰπεῖν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω· ἀπὸ τοῦ καὶ πλείονος ταῦτα ἀπολαύειν τιμῆς· τῷ γὰρ ὑστεροῦντι, φησι, περισσοτέραν ἔδωκε τιμήν· ἀπὸ τοῦ κοινὴν αὐτῶν εἶναι τὴν φροντίδα καὶ ἴσην. τὸ γὰρ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι πάντα τὰ μέλη· καὶ ἀπὸ τοῦ μίαν εἶναι τὴν δόξαν καὶ τὴν ἀλγηδόνα αὐτῶν ἁπάντων· εἴτε γὰρ πάσχει, φησὶν, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. ἀνωτέρω μὲν οὖν παρεκάλεσε διὰ τούτων· ἐνταῦθα δὲ καταφορικῶς καὶ ἐπιτιμητικῶς κέχρηται τῷ λόγῳ λοιπόν. ὅπερ γὰρ ἔφην, οὔτε ἀεὶ παρακαλεῖν, οὔτε ἐπιστομίζειν ἀεὶ χρή· διὰ τοῦτο καὶ αὐτὸς, ἐπειδὴ διὰ πολλῶν αὐτοὺς παρεκάλεσε, σφοδρῶς λοιπὸν ἐπιτίθεται λέγων. μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; καὶ οὐχ ἵσταται μέχρι τοῦ πρώτου καὶ τοῦ δευτέρου χαρίσματος, ἀλλὰ μέχρις ἐσχάτων πρόεισιν, ἢ τοῦτο λέγων, ὅτι οὐ δυνατὸν πάντας εἶναι πάντα· ὥσπερ ἐκεῖ φησιν, εἰ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; ἢ καὶ ἕτερόν τι μετὰ τούτων κατασκευάζων εἰς παραμυθίας λόγον πάλιν. ποῖον δὴ τοῦτο; τὸ δεῖξαι καὶ τὰ ἐλάττονα ὁμοίως τοῖς μείζοσι περιμάχητα, ἐκ τοῦ μηδὲ ταῦτα ἁπλῶς πᾶσι δεδόσθαι, τί γάρ, φησιν, ἀλγεῖς, ὅτι οὐκ ἔχεις χαρίσματα ἰαμάτων; ἐννόησον ὅτι ὅπερ ἔχεις σὺ, κἂν ἔλαττον ᾖ, πολλάκις ὁ τὸ μεῖζον ἔχων, οὐκ ἔχει· διὰ τοῦτό φησι. μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσιν; ὥσπερ γὰρ τὰ μεγάλα οὐ πᾶσιν ἐχαρίσατο ὁ θεὸς πάντα, ἀλλὰ τοῖς μὲν τοῦτο, τοῖς δὲ ἐκεῖνο, οὕτω καὶ ἐπὶ τῶν ἐλαττόνων ἐποίησεν, οὐδὲ ταῦτα πᾶσι προθείς. ἐποίησε δὲ τοῦτο, πολλὴν ἐκ τούτου τὴν συμφωνίαν καὶ τὴν ἀγάπην οἰκοδομῶν, ἵνα ἕκαστος τοῦ πλησίον δεόμενος συνάγηται πρὸς τὸν ἀδελφόν. τοῦτο καὶ ἐν ταῖς τέχναις ᾠκονόμησε, τοῦτο καὶ ἐν τοῖς στοιχείοις, τοῦτο καὶ ἐν τοῖς φυτοῖς, καὶ ἐν τοῖς μέλεσι τοῖς ἡμετέροις, καὶ πᾶσιν ἁπλῶς.

Εἶτα ἐπάγει λοιπὸν τὴν κυριωτάτην παραμυθίαν, καὶ ἱκανὴν αὐτοὺς ἀνακτήσασθαι καὶ ἀναπαῦσαι τὴν ὀδυνωμένην ψυχήν· τίς δὲ αὕτη ἐστί; ζηλοῦτε, φησι, τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν· τοῦτο δὲ εἰπὼν ἠρέμα ἠνίξατο αἰτίους ὄντας τοῦ τὰ ἐλάττονα λαμβάνειν, καὶ κυρίους, εἰ βούλοιντο, τοῦ τὰ μείζονα λαβεῖν. ὅταν γὰρ εἴπῃ,

εἴπῃ, ζηλοῦτε, τὴν περὶ ἐκείνων σπουδὴν ἀπαιτεῖ καὶ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ πνευματικά. καὶ οὐκ εἶπε, τὰ μείζονα, ἀλλὰ, τὰ κρείττονα, τουτέστι, τὰ χρησιμώτερα, τὰ συμφέροντα. ὃ δὲ λέγει τοῦτό ἐστι· μένετε ἐπιθυμοῦντες χαρισμάτων· καὶ δείκνυμι [a] ὁδὸν χαρισμάτων ὑμῖν. οὐδὲ γὰρ εἶπε, χάρισμα, ἀλλ', ὁδὸν, ἵνα μειζόνως ἐπάρῃ τοῦτο, ὃ μέλλει λέγειν· οὐδὲ γὰρ ἓν, καὶ δύο, καὶ τρία χαρίσματα δείκνυμι ὑμῖν, ἀλλ' ὁδὸν μίαν τὴν ἐπὶ πάντα ταῦτα φέρουσαν· καὶ οὐχ ἁπλῶς ὁδὸν, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς, καὶ κοινῇ πᾶσι προκειμένην. οὐ γὰρ ὥσπερ τὰ χαρίσματα τοῖς μὲν ταῦτα, τοῖς δὲ ἐκεῖνα, ἀλλ' οὐ πᾶσι πάντα δέδοται, οὕτω καὶ τοῦτο, ἀλλὰ καθολικὸν δῶρόν ἐστι. διὸ καὶ πάντας εἰς τοῦτο καλεῖ. ζηλοῦτε γάρ, φησι, τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν, τὴν ἀγάπην λέγων τὴν πρὸς τὸν πλησίον. εἶτα μέλλων ἐμβαίνειν εἰς τὸν περὶ αὐτῆς λόγον καὶ τὸ ἐγκώμιον τοῦ κατορθώματος τούτου, πρῶτον καθαιρεῖ ταῦτα τῇ πρὸς ἐκείνην συγκρίσει, οὐδὲν ὄντα δεικνὺς ταύτης χωρὶς, σφόδρα συνετῶς. εἰ γὰρ εὐθέως περὶ ἀγάπης διελέχθη, καὶ εἰπὼν, ὁδὸν ὑμῖν δείκνυμι, ἐπήγαγεν, αὕτη δέ ἐστιν ἡ ἀγάπη, καὶ μὴ κατὰ σύγκρισιν τὸν λόγον προήγαγε, κἂν ἐμυκτήρισαν τινες τὸ λεχθὲν, οὐκ εἰδότες σαφῶς τοῦ πράγματος τὴν ἰσχὺν, ἀλλ' ἔτι πρὸς ταῦτα κεχηνότες. διόπερ οὐκ εὐθέως αὐτὴν ἀνακαλύπτει, ἀλλὰ πρῶτον τῇ ἐπαγγελίᾳ τὸν ἀκροατὴν ἐπάρας, καὶ εἰπὼν, καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν, καὶ εἰς ἐπιθυμίαν αὐτὸν ἀγαγὼν, οὐδὲ οὕτως εὐθέως εἰς αὐτὴν ἐμβαίνει· ἀλλ' αὔξων ἔτι καὶ ἐπιτείνων αὐτῶν τὴν ἐπιθυμίαν, περὶ τούτων αὐτῶν διαλέγεται πρότερον, καὶ δείκνυσιν ἐκείνης οὐκ οὔσης, οὐδὲν ὄντα, εἰς μεγίστην αὐτοὺς ἀνάγκην τοῦ φιλεῖν ἀλλήλους καθιστάς· ἐπειδὴ καὶ ἐκ τοῦ ταύτην ἠμελῆσθαι, ἡ αἰτία τῶν κακῶν ἁπάντων ἦν. ὥστε καὶ κατὰ τοῦτο εἰκότως ἂν μεγάλη φανείη, εἴγε τὰ μὲν χαρίσματα οὐ μόνον αὐτοὺς οὐ συνήγαγεν, ἀλλὰ καὶ ἡνωμένους διέστησεν· αὕτη δὲ τοὺς δι' ἐκείνων διασπάντας δι' ἑαυτῆς μέλλοι συνάγειν καὶ ποιεῖν σῶμα ἕν. ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλ' ὃ μάλιστα ἐπόθουν, τοῦτο τίθησιν· οἷον ὅτι χάρισμα τὸ πρᾶγμά ἐστι, καὶ τῶν χαρισμάτων ἁπάντων ὁδὸς μεθ' ὑπερβολῆς. ὥστε εἰ καὶ μὴ διὰ τὸ ὀφείλειν βούλει τὸν ἀδελφὸν ἀγαπᾷν, διὰ τὸ κρείττονος ἐπιλαμβάνεσθαι σημείου καὶ χαρίσματος δαψιλοῦς καταδέξαι τὴν ἀγάπην. καὶ ὅρα πόθεν ἄρχεται, πρῶτον ἀπὸ τοῦ θαυμαστοῦ δοκοῦντος εἶναι παρ' αὐτοῖς καὶ μεγάλου, τῶν γλωσσῶν. καὶ ἀγαγὼν εἰς μέσον τὸ χάρισμα, οὐ τοσοῦτον τίθησιν, ὅσον εἶχον, ἀλλὰ πολλῷ πλέον. οὐδὲ γὰρ εἶπεν, ἐὰν γλώσσαις λαλῶ, ἀλλ' ἐὰν γλώσσαις τῶν ἀνθρώπων λαλῶ. τί ἐστι, τῶν ἀνθρώπων; πάντων τῶν πανταχοῦ τῆς οἰκουμένης ἐθνῶν· καὶ οὐδὲ ταύτῃ ἠρκέσθη τῇ ὑπερβολῇ, ἀλλὰ καὶ ἑτέραν πολλῷ μείζονα τίθησιν, ἐπάγων καὶ λέγων, καὶ τῶν ἀγγέλων,

[a] Vetus interpres, qui vertit, *fontem donorum*, legit, πηγὴν χαρισμάτων.

A Cum enim dicit, Æmulamini, ab illis studium exigit & desiderium circa res spirituales. Neque dixit, majora; sed, meliora; id est, utiliora, quæ conferant. Hoc autem vult significare: Manete charismata desiderantes; & ostendo vobis charismatum viam. Non enim dixit, charisma; sed, viam ut magis extollat id quod est dicturus. Neque enim unum, vel duo, vel tria charismata ostendo vobis; sed viam unam ad hæc omnia ducentem. Nec modo viam; sed etiam cum hyperbole, & omnibus unà propositam. Non sicut charismata his hæc, aliis B illa, sed non omnia omnibus dantur; ita & hoc; sed universale donum est. Ideoque omnes ad hoc vocat: nam ait, Æmulamini charismata meliora: & adhuc excellentiorem viam vobis demonstro, caritatem dicens erga proximum. Deinde sermonem de illa aggressurus, & encomium hujus præclare facti; primum facta cum illa comparatione, hæc de medio tollit, ostendens ea nihil esse sine illa, admodumque prudenter. Nam si statim de caritate disseruisset, & postquam dixerat, viam vobis demonstro, subjun- C xisset, hæc autem est caritas, & non per comparationem orationem produxisset, dictum quidam subsannassent, rei vim non clare scientes, sed adhuc ad hæc inhiantes. Quapropter non statim illam revelat; sed cum primo auditoris animum per promissionem extulisset, ac dixisset, excellentiorem viam vobis demonstro; & in desiderium induxisset, neque sic statim in illam ingreditur; sed augens adhuc desiderium illud de his ipsis primo disserit, & ostendit si illa non sit, ea nihil esse, in maximam illos necessitatem D inducens se mutuo diligendi, quoniam ex eo quod illa neglecta fuisset, causa hinc omnium malorum erat. Quamobrem vel inde merito magna illa appareat; si quidem charismata non modo illos non conciliarunt & congregarunt; sed etiam conjunctos separarunt: hæc vero illos qui per charismata disjuncti fuerant, per seipsam conciliatura & unum corpus effectura est. Sed non statim hoc dicit; verum quod maxime illi desiderabant, hoc ponit; nempe quod res ipsa charisma sit, & ad charismata omnia via E excellens. Quapropter etiamsi non eo quod debeas, velis fratrem diligere, ex eo quod majus accipias signum & copiosum charisma, caritatem suscipe. Et vide undenam incipiat. Primum ab eo quod mirabile videbatur & magnum apud illos esse, a linguis nempe. Et charisma in medium adducens, non tantum illud posuit quantum ipsi habebant, sed longe majus. Neque enim dixit, Si linguis loquar; sed, *Si* CAP. XIII. *linguis hominum loquar*. Quid significat illud, hominum? Omnium per orbem gentium; neque tamen hac hyperbole contentus fuit, sed aliam longe majorem ponit subjungens ac dicens, *& angelorum, cari-*

*tatem autem non habeam, factus sum æs sonans, aut cymbalum tinniens.* Viden' quonam usque elatum charisma, quonam usque demiserit ipsum & projecerit? Neque enim solum dixit, Nihil sum, sed factus sum æs sonans, insensibile quid & inanimatum. Quomodo autem æs sonans? Vocem quidem emittens, sed frustra & temere, ad nullum usum. Præterquam enim quod nihil perficio, molestiam creare videor, & molestus esse multis. Viden' quomodo is qui caritatis expers est, inanimatis & insensilibus sit similis? Linguam autem angelorum hic dicit; non corpus angelis tribuens; sed hoc vult significare; etiamsi ita loquar, ut angeli solent inter se colloqui, sine caritate nihil sum; imo onerosus & molestus. Sic enim alibi quoque cum dicit: Ipsi flectetur omne genu cælestium, terrestrium & infernorum; non genua & ossa angelis attribuens hæc dicit; absit; sed intensam & grandem adorationem, per illum quo apud nos fit modum subindicare vult. Sic & hoc loco, linguam vocavit, non carnis organum significans, sed illorum mutuum colloquium, noto apud nos modo adumbrare voluit. Deinde ut acceptior fiat oratio, non ad linguas usque consistit, sed ad reliqua pergit charismata, omniaque, si illa absit, dejiciens, tunc ejus depingit imaginem. Et quoniam amplificare vult orationem, a minoribus incipiens, ad majora ascendit. Quod enim, quando eorum indicavit ordinem, postremum posuit, nempe donum linguarum, hoc nunc primum numerat, paulatim, ut dixi, ad majora ascendens. Nam cum de linguis dixisset, ad prophetiam mox transit, & ait: 2. *Et si habuero prophetiam.* Et hanc rursum cum hyperbole. Sicut enim ibi linguas non posuit, sed hominum omnium linguas, & progressus, etiam angelorum, & tunc ostendit hoc charisma nihil esse sine caritate; sic & hoc loco non prophetiam ponit tantum, sed summam etiam prophetiam; cum dixisset enim, si habuero prophetiam, subjunxit: *Et noverim mysteria omnia & omnem scientiam.* Cum emphasi & intentione hoc etiam charisma ponens.

Rom. 14. 11.

4. Deinde ad reliqua charismata progreditur. Et ne singula enumerans videatur rursum molestus esse, matrem & fontem omnium ponit, & ipsam rursus cum hyperbole, sic dicens: *Et si habuero omnem fidem.* Neque satis habuit hoc dixisse; sed etiam illud, quod ut maximum Christus dixit, id etiam adjecit: *Ita ut montes transferam, caritatem autem non habuero, nihil sum.* Perpende autem quomodo hic rursus linguarum dignitatem dejiciat. Prophetiæ namque multum ostendit lucrum, quod sciat mysteria & omnem habeat scientiam: fidei autem opus non parvum, quod montes transferat: de linguis vero, ipsum solum charisma indicans, re-

A ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Εἶδες ποῦ τὸ χάρισμα ἐπῆρας, ποῦ κατεῖλεν αὐτὸ καὶ κατέρριψεν; οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδέν εἰμι, ἀλλ' ὅτι γέγονα χαλκὸς ἠχῶν, ἀναίσθητόν τι καὶ ἄψυχον. πῶς δὲ χαλκὸς ἠχῶν; φωνὴν μὲν ἀφιεὶς, εἰκῇ δὲ καὶ μάτην, καὶ εἰς οὐδὲν δέον. πρὸς γὰρ τῷ μηδὲν ἀνύειν, καὶ παρενοχλεῖν δοκῶ, καὶ φορτικός τις εἶναι καὶ ἐπαχθὴς τοῖς πολλοῖς. ὁρᾷς πῶς ὁ ἀγάπης ἀπεστερημένος τοῖς ἀψύχοις προσέοικε καὶ ἀναισθήτοις; γλῶτταν δὲ ἀγγέλων ἐνταῦθά φησιν, οὐχὶ σῶ-
B μα περιθεὶς ἀγγέλοις, ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι· κἂν οὕτω φθέγγωμαι, ὡς ἀγγέλοις νόμος πρὸς ἀλλήλους διαλέγεσθαι, ταύτης ἄνευ οὐδέν εἰμι, ἀλλὰ καὶ ἐπαχθὴς καὶ φορτικός. οὕτω γοῦν καὶ ἀλλαχοῦ ὅταν λέγῃ, ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, οὐ γόνατα καὶ ὀστᾶ περιτιθεὶς τοῖς ἀγγέλοις ταῦτα λέγει, ἄπαγε, ἀλλὰ τὴν ἐπιτεταμένην προσκύνησιν διὰ τοῦ παρ' ἡμῖν σχήματος αἰνίξασθαι βούλεται· οὕτω καὶ ἐνταῦθα γλῶσσαν ἐκάλεσεν, οὐ σαρκὸς ὄργανον δηλῶν, ἀλλὰ τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμιλίαν τῷ γνωρίμῳ παρ' ἡμῖν τρόπῳ
C αἰνίξασθαι βουλόμενος. Εἶτα ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, οὐ μέχρι τῶν γλωσσῶν ἵσταται, ἀλλὰ καὶ ἐπὶ τὰ λοιπὰ πρόεισι χαρίσματα, καὶ πάντα τῇ αὐτῆς ἀπουσίᾳ καθελὼν, τότε αὐτῆς ὑπογράφει τὴν εἰκόνα· καὶ ἐπειδὴ αὔξησιν ποιῆσαι προῄρηται τοῦ λόγου, ἀπὸ τῶν ἐλαττόνων ἀρχόμενος ἄνεισιν ἐπὶ τὰ μείζω. ὅπερ γὰρ, ἡνίκα τὴν τάξιν αὐτῶν ἐνέφαινεν, ὕστερον τέθεικε τὸ τῶν γλωσσῶν, τοῦτο πρῶτον ἀριθμεῖ νῦν, κατὰ μικρὸν, ὅπερ ἔφην, ἐπὶ τὰ μείζονα ἀναβαίνων. Εἰπὼν γὰρ περὶ τῶν γλωσσῶν, ἐπὶ τὴν προφητείαν εὐθέως ἐκβαίνει, καί φησι· καὶ ἐὰν ἔχω προφητείαν. καὶ ταύτην πάλιν μεθ' ὑπερβο-
D λῆς. ὥσπερ γὰρ ἐκεῖ οὐ γλώσσας ἔθηκεν, ἀλλὰ τὰς πάντων τῶν ἀνθρώπων γλώσσας, καὶ προϊὼν τὰς τῶν ἀγγέλων, καὶ τότε ἔδειξεν οὐδὲν ὂν τὸ χάρισμα ἀγάπης χωρίς· οὕτω καὶ ἐνταῦθα οὐ τὴν προφητείαν τίθησι μόνον, ἀλλὰ καὶ τὴν ὑψηλοτάτην προφητείαν. εἰπὼν γὰρ, ἐὰν ἔχω προφητείαν, ἐπήγαγε· καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν. μετ' ἐπιτάσεως τιθεὶς καὶ τοῦτο τὸ χάρισμα.

Εἶτα μετὰ τοῦτο καὶ ἐπὶ τὰ λοιπὰ χαρίσματα προβαίνει. καὶ ἵνα μὴ καθέκαστον αὐτῶν λέγων δοκῇ
E πάλιν ἐνοχλεῖν, τὴν μητέρα καὶ πηγὴν ἁπάντων τίθησι, καὶ αὐτὴν πάλιν μεθ' ὑπερβολῆς, οὕτω λέγων· καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν. καὶ οὐδὲ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ, ὅπερ ὡς μέγιστον εἶπεν ὁ Χριστὸς, καὶ τοῦτο προσέθηκεν εἰπών· ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ σκόπει πῶς πάλιν κἀνταῦθα καθαιρεῖ τῶν γλωσσῶν τὸ ἀξίωμα. ἐπὶ μὲν γὰρ τῆς προφητείας δείκνυσι πολὺ τὸ κέρδος τὸ ἀπ' αὐτῆς, τὸ εἰδέναι τὰ μυστήρια καὶ τὴν γνῶσιν ἔχειν πᾶσαν, καὶ ἐπὶ τῆς πίστεως ἔργον οὐ μικρὸν, τὸ τὰ ὄρη μεθιστάνειν· ἐπὶ δὲ τῶν γλωσσῶν, αὐτὸ μόνον εἰπὼν

A τὸ χάρισμα, ἀνεχώρησε. σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ἐν βραχεῖ πάντα περιέλαβε τὰ χαρίσματα, προφητείαν εἰπὼν καὶ πίστιν· ἢ γὰρ ἐν λόγοις, ἢ ἐν ἔργοις ἐστὶ τὰ θαύματα. καὶ πῶς ὁ Χριστός φησιν, ἐλάχιστον μέρος τῆς πίστεως εἶναι τὸ δύνασθαι ὄρος μεταστῆσαι; ὡς γὰρ ἐλάχιστον λέγων, οὕτως ἔθηκεν εἰπών, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται· ὁ δὲ Παῦλος πᾶσαν τὴν πίστιν ταύτην εἶναί φησι. τί οὖν ἐστιν εἰπεῖν; ἐπειδὴ μέγα ἦν τοῦτο, τὸ ὄρος μεταστῆσαι, διὰ τοῦτο καὶ αὐτοῦ ἐμνημόνευσεν, οὐχ ὡς τοῦτο μόνης δυναμένης B πάσης τῆς πίστεως, ἀλλὰ ἐπειδὴ τοῦτο μέγα εἶναι ἐδόκει τοῖς παχυτέροις διὰ τὸν ὄγκον τοῦ σώματος, κἀντεῦθεν ἐπαίρει τὸ προκείμενον· ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, καὶ ἐὰν δύνωμαι ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. βαβαὶ τῆς ὑπερβολῆς· καὶ γὰρ καὶ ταῦτα μετὰ προσθήκης ἑτέρας τίθησιν. οὐ γὰρ εἶπεν, ἐὰν δῶ τοῖς πένησι τὴν ἡμίσειαν μοῖραν τῶν ὄντων, ἢ τὰς δύο, ἢ τὰς τρεῖς μοίρας, ἀλλ' ἐὰν πάντα μου C τὰ ὑπάρχοντα. καὶ οὐκ εἶπε, δῶ, ἀλλά, ψωμίσω, ὡς προσκεῖσθαι τῇ δαπάνῃ καὶ τὴν διακονίαν τὴν μετ' ἐπιμελείας ἁπάσης. καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι. οὐκ εἶπεν, ἐὰν ἀποθάνω, ἀλλὰ καὶ τοῦτο μεθ' ὑπερβολῆς. τὸν γὰρ πάντων χαλεπώτερον θάνατον θεὶς, τὸ ζῶντα κατακαῆναι, καὶ τοῦτον χωρὶς ἀγάπης οὐδὲν μέγα ἔφησεν εἶναι. ἐπήγαγε γοῦν, οὐδὲν ὠφελοῦμαι. ἀλλ' οὐδέπω τὴν πᾶσαν ὑπερβολὴν ἔδειξα, ἕως ἂν τοῦ Χριστοῦ τὰς μαρτυρίας τὰς περὶ ἐλεημοσύνης καὶ θανάτου εἰρημένας εἰς μέσον ἀγάγω. τίνες οὖν εἰσιν αἱ μαρτυρίαι; τῷ πλουσίῳ φη- D σὶν, εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. καὶ περὶ ἀγάπης δὲ διαλεγόμενος τῆς εἰς τὸν πλησίον φησὶ, μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. ὅθεν δῆλον, ὅτι καὶ ἐπὶ τοῦ θεοῦ τοῦτο πάντων μέγιστόν ἐστιν. ἀλλ' ἐγὼ λέγω, φησὶν ὁ Παῦλος, κἂν ὑπὲρ τοῦ θεοῦ θῶμεν αὐτὴν, καὶ μηδὲ ἁπλῶς θῶμεν, ἀλλ' ὥστε καὶ ἐμπρησθῆναι, τοῦτο γάρ ἐστιν, ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, οὐ μέγα ἔσται κέρδος ἡμῖν τὸν πλησίον οὐκ ἀγαπῶσι. τὸ μὲν οὖν λέγειν τὰ χαρίσ- E ματα οὐδὲν μέγα ὠφελεῖν ἀγάπης ἀπούσης, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ βίου δεύτερά ἐστι τὰ χαρίσματα. πολλοὶ γοῦν χαρίσματα ἐπιδειξάμενοι, ἐπειδὴ φαῦλοι γεγόνασιν, ἐκολάσθησαν, ὡς ἐκεῖνοι οἱ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντες καὶ δαιμόνια πολλὰ ἐκβαλόντες καὶ δυνάμεις πολλὰς ποιήσαντες, ὡς Ἰούδας ὁ προδότης· ἕτεροι δὲ βίον παρεχόμενοι πιστοὶ καθαρὸν, οὐδενὸς ἐδεήθησαν ἑτέρου πρὸς τὸ σωθῆναι. τὸ μὲν οὖν τὰ χαρίσματα, ὅπερ ἔφην, δεῖσθαι ταύτης, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ βίον ἠκριβωμένον μηδὲν ἰσχύειν ταύτης ἄνευ,

cedit. Tu mihi quoque illud considera, quomodo paucis omnia complexus sit charismata, prophetiam dicens & fidem. Aut enim in verbis aut in operibus signa sunt. Et quomodo Christus dixit, minimam esse fidei partem, posse montem transferre? Nam ut minimum significans, ita posuit dicens : *Si habueritis fidem sicut granum sinapis, dicetis huic monti, transi, & transibit :* Paulus vero dicit, hanc omnem fidem esse. Quid ergo dicendum? Quoniam magnum illud erat, montem transferre, ideo illud memoravit; non quasi hoc solum posset tota fides; sed quia hoc crassioribus ita videbatur esse, ob molem corporis, hinc quoque rem propositam significat. Hoc autem vult significare : Si habuero omnem fidem, & si possim montes transferre, caritatem autem non habuero, nihil sum. 3. *Et si distribuero in cibos pauperum omnes facultates meas, & si tradidero corpus meum ita ut ardeam, caritatem autem non habuero, nihil mihi prodest.* Papæ quanta hyperbole! Etenim hæc ponit cum alio additamento. Non enim dixit: si dedero pauperibus dimidiam facultatum mearum partem, aut duas vel tres partes; sed, si omnes facultates meas. Neque dixit, dedero; sed, distribuero in cibos; ita ut cum impensa, etiam ministerium & operam adjiciat, cum accuratione omni. *Et si dedero corpus meum, ita ut ardeam.* Non dixit, si moriar; sed hoc etiam cum hyperbole. Omnium enim gravissima morte posita, nempe vivum comburi, eam etiam sine caritate nihil magnum esse dixit. Subjunxit itaque, *Nihil mihi prodest.* Sed nondum totam hyperbolen ostendi, donec Christi testimonia circa eleemosynam & mortem in medium adduxero. Quænam ergo sunt testimonia? Diviti dixit, *Si vis perfectus esse, vende omnia quæ habes, & da pauperibus, & veni sequere me.* Et de caritate erga proximum disserens ait : *Majorem hac caritatem nemo habet, ut quis ponat animam suam pro amicis suis.* Unde palam est etiam apud Deum hoc omnium maximum esse. At ego dico, inquit Paulus; etiamsi pro Deo ponamus illam, neque solum ponamus, sed ita ut comburamur; hoc enim sibi vult, illud, si tradidero corpus meum, ita ut ardeam; non magnum erit lucrum nobis, si proximum non diligamus. Itaque dicere charismata non multum prodesse, caritate absente, nihil mirum. Nam vitâ quoque inferiora sunt charismata. Multi namque qui charismata exhibuere, quia improbi fuerunt, pœnas dederunt; ut illi qui in nomine ejus prophetaverant, dæmonia multa ejecerant, & virtutes multas fecerant; ut Judas proditor. Alii autem fideles, qui vitam duxerant puram, nullo alio opus habuere ad salutem obtinendam. Quod ergo charismata, ut dixi, illâ egeant, nihil mirum. Quod autem vita accurata & pura nihil possit sine illa:

Matth. 17. 20.

Matt. 19. 21.

Joan. 15. 13.

Charismata seu dona nihil prosunt sine bona vita.

hoc certe magnam effert hyperbolen, & multam parit difficultatem; cum maxime Christus his ambobus magna decernere videatur; nempe facultatum objectioni, & periculis martyrii. Nam diviti ait, ut jam dixi: Si vis perfectus esse, vende omnia quæ habes, & da pauperibus, & veni sequere me. Et discipulis de martyrio disserens dicebat: Qui perdiderit animam suam propter me, inveniet eam; &, Qui me confessus fuerit coram hominibus, confitebor & ego eum coram Patre meo, qui est in cælis. Nam hujus præclaræ gestæ rei labor magnus est, & ipsam fere superat naturam: & hoc probe sciunt ii, qui hisce coronis digni fuere: nullus enim sermo id exprimere possit; ita generosæ nempe animæ facinus est, & supra modum admirandum.

5. Attamen illud admirandum non multum prodesse sine caritate dicit Paulus, etiamsi depositas facultates simul junctas habeat. Cur ergo sic loquutus est? Hoc jam ostendere conabor, cum primo illud quæsierim, quomodo is qui facultates omnes in cibos distribuit, possit esse sine caritate. Ille enim qui paratus est ad corporis combustionem, licet charismata habeat, fieri fortasse potest ut non diligat. Sed ille qui non modo facultates dat, sed etiam in cibos distribuit, quomodo non diligit? Quid ergo dicendum? Vel quod id quod non erat, ac si esset supposuerit, quod semper facere solet, cum hyperbolen quamdam vult proferre; ut cum Galatis scribens
Gal. 1. 8. dixit: *Si nos, aut angelus de cælo evangelizet vobis præterquam id quod accepistis, anathema sit.* Atqui neque ipse, neque angelus id facturus erat. Sed ut ostenderet rei excellentiam, id quod nunquam futurum erat posuit. Et rursum
Rom. 8. 39. cum Romanis scribit & dicit: *Neque angeli, neque principatus, neque virtutes poterunt nos separare a caritate Dei.* Neque enim id facturi erant angeli; sed hic etiam id supponit, quod non existit; sicut etiam id quod sequitur, Neque creatura alia; omnia enim ipse comprehendit, quæ supra & quæ infra sunt, cum omnia dicit. Sed hic etiam id quod non est existere supponit, ut ostendat cum hyperbole desiderium suum. Id quod etiam hic facit dicens, Si omnia quis dederit, caritatem autem non habuerit, nihil ipsi prodest. Aut hoc igitur est dicendum, aut quod velit eos qui erogant, conjunctos & conglutinatos esse accipientibus, nec simpliciter dare sine ulla commiseratione; sed miserentes, inflexos, fractos, & cum egenis dolentes. Ideo namque eleemosyna a Deo lege constituta est. Nam poterat Deus, sine ullo alio, pauperes alere; sed ut nos in caritate conjungeret, & ut erga alios invicem incenderemur, ipsos jussit a nobis ali. Ideo alibi quoque dicit:
Eccl. 18. 16. *Sermo bonus melior, quam donum*; &, Ecce

A τοῦτο ἐστι τὸ τὴν ὑπερβολὴν ἐμφαῖνον καὶ πολλὴν ποιοῦν τὴν ἀπορίαν, καὶ μάλιστα ὅταν ὁ Χριστὸς ἀμφοτέροις τούτοις τὰ μεγάλα φαίνηται ψηφιζόμενος, τῇ τε ἀκτημοσύνῃ λέγω, καὶ τοῖς τοῦ μαρτυρίου κινδύνοις. καὶ γὰρ τῷ πλουσίῳ φησὶν, ὅπερ ἔφθην εἰπὼν, εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· καὶ τοῖς μαθηταῖς περὶ μαρτυρίου διαλεγόμενος ἔλεγεν, ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· καὶ, ὃς ἐὰν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς
B οὐρανοῖς. καὶ γὰρ πολὺς ὁ τοῦ κατορθώματος τούτου πόνος καὶ αὐτὴν σχεδὸν ὑπερβαίνων τὴν φύσιν, καὶ τοῦτο ἴσασιν οἱ καταξιωθέντες τῶν στεφάνων τούτων καλῶς. λόγος γὰρ οὐδεὶς αὐτὸ παραστῆσαι δυνήσεται. οὕτω γενναῖόν τὸ πρᾶγμά ἐστι ψυχῆς, καὶ μεθ' ὑπερβολῆς θαυμαστόν.

Ἀλλ' ὅμως τὸ θαυμαστὸν τοῦτο οὐδὲν μέγα ἔφησεν ὠφελεῖν ἀγάπης χωρὶς ὁ Παῦλος, κἂν τὴν ἀκτημοσύνην συνεζευγμένην ἔχῃ· τίνος οὖν ἕνεκεν οὕτως εἴρηκε; τοῦτο ἤδη δεῖξαι πειράσομαι, πρότερον ἐκεῖνο ζητήσας, πῶς ὁ τὰ ὑπάρχοντα ψωμίζων πάντα δύ-
C ναται μὴ ἔχειν ἀγάπην. τὸν μὲν γὰρ ἕτοιμον ὄντα καῆναι καὶ τὰ χαρίσματα ἔχοντα ἐγχωρεῖ ἴσως καὶ μὴ ἀγαπῆσαι· ὁ δὲ μὴ μόνον δοὺς τὰ ὑπάρχοντα, ἀλλὰ καὶ ψωμίζων, πῶς οὐκ ἀγαπᾷ; τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι οὐκ ὂν, ὡς ὂν ὑπέθετο, ὅπερ ἀεὶ φιλεῖ ποιεῖν, ὅταν ὑπερβολὴν παραστῆσαι βουληθῇ· ὡς ὅταν Γαλάταις γράφων λέγῃ, ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηταί ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καίτοι οὔτε αὐτὸς, οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν· ἀλλ' ἵνα δείξῃ τὴν ὑπερβολὴν τοῦ πράγματος, καὶ τὸ μηδ' ὅλως ἐσόμενον τέθεικε. καὶ πάλιν ὅταν Ῥωμαίοις
D ἐπιστέλλῃ, καὶ λέγῃ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ· οὐδὲ γὰρ τοῦτο ἔμελλον ποιεῖν ἄγγελοι, ἀλλὰ κἀνταῦθα τὸ μὴ ὂν ὑποτίθεται, ὥσπερ οὖν καὶ τὸ ἑξῆς λέγων, οὔτε κτίσις ἑτέρα· καίτοιγε ἑτέρα οὐκ ἔστι κτίσις. πᾶσαν γὰρ αὐτὴν περιέλαβε, καὶ τὰ ἄνω καὶ τὰ κάτω πάντα εἰπών. ἀλλ' ὅμως κἀνταῦθα τὸ μὴ ὂν καθ' ὑπόθεσιν τίθησιν, ὥστε δεῖξαι τὸν μεθ' ὑπερβολῆς αὐτοῦ πόθον. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι κἂν πάντα τις δῷ, ἀγάπην δὲ μὴ ἔχῃ, οὐδὲν ὠφελεῖται. ἢ
E τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι βούλεται τοὺς παρέχοντας καὶ συγκεκολλῆσθαι τοῖς λαμβάνουσι, καὶ μὴ ἁπλῶς διδόναι ἀσυμπαθῶς, ἀλλ' ἐλεοῦντας καὶ κατακαμπτομένους, ἐπικλωμένους καὶ συναλγοῦντας τοῖς δεομένοις. διὰ τοῦτο γὰρ καὶ ἡ ἐλεημοσύνη παρὰ τοῦ θεοῦ νενομοθέτηται. καὶ γὰρ ἠδύνατο τοὺς πένητας διατρέφειν ὁ θεὸς καὶ χωρὶς τούτου, ἀλλ' ἵνα ἡμᾶς εἰς τὴν ἀγάπην συνδήσῃ, καὶ ἵνα διαθερμαινώμεθα πρὸς ἀλλήλους, παρ' ἡμῶν αὐτοὺς ἐκέλευσε τρέφεσθαι. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· κρείσσων λόγος ἀγαθὸς, ἢ δόσις· καὶ ἰδοὺ

λόγος ὑπὲρ δόμα ἀγαθός. καὶ αὐτός φησιν, ἔλεον A θέλω, καὶ οὐ θυσίαν. ἐπειδὴ γὰρ ἔθος τοὺς τε εὐεργετουμένους φιλεῖν, τοὺς τε εὖ πάσχοντας πρὸς τοὺς εὐεργετοῦντας οἰκειότερον διακεῖσθαι, σύνδεσμον φιλίας ποιῶν, τοῦτο ἐνομοθέτησεν. ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ἐστι, πῶς, τοῦ Χριστοῦ ἀμφότερα ταῦτα τελειότητος εἶναι φήσαντος, οὗτος χωρὶς ἀγάπης ἀτελῆ ταῦτα εἶναι φησιν; οὐκ ἀντιφθεγγόμενος αὐτῷ, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα αὐτῷ συνᾴδων. καὶ γὰρ ἐπὶ τοῦ πλουσίου οὐχ ἁπλῶς εἶπε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, ἀλλ' ἐπήγαγε, καὶ δεῦρο ἀκολούθει μοι. B ἡ δὲ ἀκολούθησις αὐτοῦ οὐδένα οὕτω μαθητὴν ἀποδείκνυσι τοῦ Χριστοῦ, ὡς τὸ ἀλλήλους ἀγαπᾶν. ἐν γὰρ τούτῳ γνώσονται πάντες, φησὶν, ὅτι μαθηταί μου ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. καὶ ὅταν δὲ λέγῃ, ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· καὶ, ὃς ἂν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὐ τοῦτό φησιν, ὅτι οὐ διὰ ἀγάπην, ἀλλὰ τὸν μισθὸν τὸν ἀποκείμενον τοῖς πόνοις τούτοις δηλοῖ. ἐπεὶ ὅτι μετὰ τοῦ μαρτυρίου καὶ τοῦτο ζητεῖ, ἀλλαχοῦ σφόδρα αὐτὸ ᾐνίξατο, οὕτως εἰπών· C τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε, τουτέστι, μαρτυρήσετε, σφαγήσεσθε ὑπὲρ ἐμοῦ· τὸ δὲ καθίσαι ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων, οὐχ ὡς τινων καθημένων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἀλλὰ τὴν ἀνωτάτω λέγων προεδρίαν τε καὶ τιμὴν, οὐκ ἔστιν ἐμὸν δοῦναι, φησιν, ἀλλ' οἷς ἡτοίμασται. εἶτα δεικνὺς τίσιν ἡτοίμασται, καλέσας αὐτοὺς φησιν· ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ὑμῶν διάκονος, ταπεινοφροσύνην δηλῶν καὶ ἀγάπην. ἀγάπην δὲ ἐπιτεταμένην ἀπαιτεῖ, διὸ δὴ τοῦτο οὐδὲ μέχρι τούτου ἔστη, ἀλλ' ἐπήγαγεν· ὥσπερ ὁ υἱὸς τοῦ ἀν- D θρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν, δεικνὺς ὅτι οὕτω δεῖ φιλεῖν, ὡς καὶ σφάττεσθαι ὑπὲρ τῶν ἀγαπωμένων. τοῦτο γὰρ μάλιστα αὐτὸν ἐστι φιλεῖν. διὸ καὶ τῷ Πέτρῳ φησὶν, εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. καὶ ἵνα μάθητε ὅσον ἐστὶ τὸ κατόρθωμα, ὑπογράψωμεν αὐτὴν τῷ λόγῳ, ἐπειδὴ τοῖς πράγμασιν αὐτὴν οὐχ ὁρῶμέν που φαινομένην· καὶ ἐννοήσωμεν, ὡς εἰ πανταχοῦ μετὰ δαψιλείας ἦν αὕτη, πόσα ἂν ἐγένετο ἀγαθά. οὔτε γὰρ νόμων οὔτε δικαστηρίων ἔδει, οὐ κολάσεων, οὐ τιμωριῶν, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. E [a] εἰ γὰρ ἅπαντες ἠγαπῶν, καὶ ἠγαπῶντο, [a] οὐδένα ἂν ἠδίκησεν οὐδείς. ἀλλὰ καὶ φόνοι, καὶ μάχαι, καὶ πόλεμοι, καὶ στάσεις, καὶ ἁρπαγαὶ, καὶ πλεονεξίαι, καὶ πάντα ἂν ἐκ ποδῶν ἐγεγόνει τὰ πονηρὰ, καὶ μέχρις ὀνόματος ἂν ἠγνοήθη ἡ κακία. τὰ μέντοι σημεῖα οὐκ ἂν τοῦτο εἰργάσατο, ἀλλὰ καὶ εἰς κενοδοξίαν ἐπαίρει τοὺς μὴ προσέχοντας καὶ ἀπόνοιαν.

Καὶ τὸ δὴ θαυμαστὸν τῆς ἀγάπης, ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ ἔχει παρεζευγμένα τὰ κακά· οἷον ὁ ἀκτήμων φυ-

A sermo supra donum bonus. Ipseque ait, *Misericordiam volo, & non sacrificium.* Matt. 9. 13. Quia enim mos est, illos amare qui beneficio afficiuntur, & eos qui bono afficiuntur erga beneficos bene affectos esse, vinculum amicitiæ faciens, hoc lege præcepit. Sed quod quæritur est, Quomodo, Christo hæc ambo perfectionis esse declarante, hic illa sine caritate imperfecta esse dicat. Non ipsi contradicens, absit; sed admodum cum illo consonans. Nam diviti non modo dixit, Vende omnia quæ habes, & da pauperibus; sed subjunxit; B & veni sequere me. Ex iis vero qui sequuntur illum, nihil ita discipulum Christi comprobat, ut amor proximi. *In hoc* Joan. 13. 35. enim *cognoscent omnes*, inquit, *quod discipuli mei estis, si diligatis invicem.* Et cum dicit, *Qui perdiderit animam suam* Matt. 10. 39. *propter me, inveniet eam.* Et, *Qui me confessus fuerit coram hominibus, confitebor & ego eum coram patre meo, qui in cælis est;* non hoc dicit, quod hæc non fiant propter caritatem, sed mercedem his laboribus repositam indicat. Nam quod cum martyrio hoc quoque requirat, alibi hoc valde subindicavit, sic di- C cens: *Calicem quidem meum bibetis, &* Matt. 20. 23. *baptismo, quo ego baptizor, baptizabimini;* id est, martyrium sustinebitis, pro me occidemini; *sedere autem ad dexteram vel sinistram meam;* non quod quidam sedeant ad dexteram vel ad sinistram ejus, sed supremam sedem & honorem dicens; non est meum dare, inquit; sed quibus paratum est. Deinde ostendens quibus paratum sit, ipsis advocatis, dicit: *Qui voluerit in vobis esse primus, sit* Matt. 20. 26. *omnium vestrum minister*, humilitatem significans & caritatem. Caritatem vero summam requirit, ideoque non ibi sub- D stitit; sed subjunxit: Sicut filius hominis non venit ministrari, sed ministrare, & dare animam suam redemtionem pro multis; ostendens sic amare oportere, ut etiam mors ferenda sit pro dilectis; hoc enim maxime est ipsum diligere. Ideo etiam Petro dicit: *Si amas me, pasce oves* Joan. 21. 16. *meas.* Et ut discatis quantum sit illud & quam præclare gestum, ipsam caritatem verbo describamus, quandoquidem ipsa re nusquam illam conspicimus: & cogitemus, quod si illa ubique abundanter esset, quanta hinc bona orirentur. Neque enim legibus neque judiciis opus E esset, neque suppliciis, neque ullo alio hujusmodi. Nam si omnes diligerent & diligerentur, nemo cuiquam fecisset injuriam: sed cædes, pugnæ, bella, seditiones, rapinæ, avaritia, omniaque mala procul abscessissent, & ad nomen usque ignoratum vitium fuisset. Signa autem hoc non effecerint; sed ad vanam gloriam & arrogantiam extollunt eos qui non attendunt.

6. Quodque mirum in caritate; cætera quidem bona habent adjuncta mala;

[a] οὐδένα ἂν, sic omnino legendum, & sic legit vetus interpres. Editi | | οὐδεὶς ἄν.

verbi gratia, qui facultates non habet, ea de cauſa ſæpe inflatur; qui dicendi peritus eſt, gloriæ cupiditate laborat; humilis propter hoc in conſcientia ſua altum ſapit. Caritas autem ab hujuſmodi omni pernicie libera eſt. Nam contra dilectum nunquam quis extollatur. Nec mihi poſueris unum qui diligat; ſed omnes ſimiliter, & tunc ejus virtutem videbis. Imo potius, ſi placet, primo unum dilectum & unum amantem pone; amantem ſcilicet, ut par eſt diligere. Nam terram tamquam cælum incolet, ubique tranquillitate fruens, & innumeras ſibi nectens coronas. Qui enim talis eſt, & invidia & ira, & livore arrogantiaque, vana gloria & mala concupiſcentia, omnique abſurdo amore atque morbo puram ſervabit animam ſuam. Quemadmodum enim ſibi ipſi nemo quidpiam mali intulerit, ita neque hic proximis. Talis vero cum ſit, cum ipſo ſtabit Gabriele, in terra gradiens. Et qui caritatem quidem habet talis eſt; qui vero ſigna facit, & perfectam habet ſcientiam ſine caritate, etiamſi mille mortuos ſuſcitaverit, nihil magnum lucrabitur, ab omnibus abruptus, & cum nemine conſervorum ſe commiſceri patiens. Ideo Chriſtus perfectæ in ipſum caritatis ſignum dixit eſſe proximum diligere. Nam ait: Si diligis me, Petre, plus his, paſce oves meas. Vidiſtin' quo pacto hinc rurſum ſubindicaverit, quandonam hoc ſit majus martyrio? Etenim ſi filium quis haberet dilectum, & pro quo etiam animam dare paratus eſſet; deinde quiſpiam patrem amaret, filio autem nullo modo animum adhiberet, patrem admodum irritaret: neque ſenſum caperet illius in ſe amoris, eo quod filium contemneret. Quod ſi in patre & filio hoc contingit, multo magis in Deo & hominibus. Amantior enim Deus eſt, quam patres omnes. Propterea cum dixiſſet: *Primum & magnum mandatum, Diliges Dominum Deum tuum*, ſubjunxit; *Secundum autem*, nec ſiluit, ſed adjecit, *Simile eſt huic; Diliges proximum tuum ſicut teipſum.* Et vide quomodo cum eadem fere hyperbole hoc exigat. De Deo namque dicit, ex toto corde tuo; de proximo autem tuo, ſicut teipſum, quod perinde eſt atque illud, ex toto corde tuo. Etenim ſi accurate hoc ſervaretur, non ſervus, non liber eſſet; non princeps, non ſubditus; non dives, non pauper; non parvus, non magnus; non diabolus unquam cognitus fuiſſet: non dico, hic; ſed etiamſi alius talis, etiamſi centum, etiamſi innumeri tales eſſent, nihil potuiſſent, illa exſiſtente. Ignis enim injectionem potius fœnum tuliſſet, quam flammam caritatis diabolus. Hæc muro fortior eſt, hæc adamante firmior; & ſi quam aliam dixeris fortiorem materiam, omnia ſuperat caritatis firmitas. Hanc nec divitiæ, nec paupertas vincit; imo potius non eſſet pau-

Caritas ab omni pernicie libera.

Matt. 22. 38.

A σῶται πολλάκις διὰ τοῦτο· ὁ λέγειν εἰδὼς, καὶ δοξομανίαν νοσεῖ· ὁ ταπεινόφρων, δι' αὐτὸ τοῦτο πολλάκις κατὰ τὸ συνειδὸς μέγα φρονεῖ· ἡ δὲ ἀγάπη πάσης τῆς τοιαύτης ἀπήλλακται λύμης. κατὰ γὰρ τοῦ ἀγαπωμένου οὐκ ἄν τις ἐπαρθείη ποτέ. καὶ μή μοι θῇς ἕνα ἀγαπῶντα, ἀλλὰ πάντας ὁμοίως, καὶ τότε αὐτῆς ὄψει τὴν ἀρετήν. μᾶλλον δὲ, εἰ βούλει, πρότερον ἕνα ἀγαπώμενον καὶ ἕνα φιλοῦντα τίθει· φιλοῦντα μέντοι, ὡς φιλεῖν ἄξιον. τὴν γὰρ γῆν οὕτως ὡς τὸν οὐρανὸν οἰκήσει, πανταχοῦ γαλήνης ἀπολαύων, καὶ μυρίους ἑαυτῷ πλέκων στεφάνους. ὁ γὰρ τοιοῦτος καὶ φθόνου, καὶ ὀργῆς, B καὶ βασκανίας, καὶ ἀπονοίας, καὶ κενοδοξίας, καὶ πονηρᾶς ἐπιθυμίας, καὶ παντὸς ἔρωτος ἀτόπου, καὶ παντὸς νοσήματος καθαρεύουσαν διατηρήσει τὴν ἑαυτοῦ ψυχήν. ὥσπερ γὰρ ἑαυτὸν οὐκ ἄν τις ἐργάσαιτό τι κακὸν, οὕτως οὐδὲ τοὺς πλησίον οὗτος. τοιοῦτος δὲ ὢν, μετ' αὐτοῦ στήσεται τοῦ Γαβριὴλ ἐπὶ τῆς γῆς βαδίζων. καὶ ὁ μὲν ἀγάπην ἔχων, τοιοῦτος. ὁ δὲ σημεῖα ποιῶν, καὶ γνῶσιν ἔχων ἀπηρτισμένην, ταύτης ἄνευ, κἂν μυρίους ἐγείρῃ νεκροὺς, οὐδὲν μέγα ὀνήσει, πάντων ἀπερρηγμένος, καὶ οὐδενὶ τῶν συνδούλων ἀναμιγνύναι C ἑαυτὸν ἀνεχόμενος. διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς τῆς εἰς αὐτὸν ἀκριβοῦς ἀγάπης σημεῖον ἔφησεν εἶναι, τὸ τὸν πλησίον φιλεῖν. εἰ γὰρ φιλεῖς με, φησὶν, ὦ Πέτρε, τούτων πλέον, ποίμαινε τὰ πρόβατά μου. εἶδες πῶς καὶ ἐντεῦθεν πάλιν ᾐνίξατο, ὅτε μαρτυρίου μεῖζον τοῦτο; καὶ γὰρ εἰ παῖδά τις εἶχεν ἀγαπητὸν, καὶ ὑπὲρ οὗ καὶ τὴν ψυχὴν ἂν ἐπέδωκεν, εἶτά τις τὸν μὲν πατέρα ἐφίλει, τῷ δὲ παιδὶ μηδ' ὅλως προσεῖχε, σφόδρα ἂν παρώξυνε τὸν πατέρα, καὶ οὐκ ἂν ᾔσθετο τῆς οἰκείας ἀγάπης διὰ τὴν τοῦ παιδὸς ὑπεροψίαν. εἰ δὲ ἐπὶ πατρὸς καὶ παιδὸς τοῦτο συμβαίνει, πολλῷ D μᾶλλον ἐπὶ θεοῦ καὶ ἀνθρώπων. καὶ γὰρ πατέρων ἁπάντων ἐστὶ φιλοστοργότερος ὁ θεός. διὰ δὴ τοῦτο εἰπὼν, πρώτη καὶ μεγάλη ἐντολὴ, ἀγαπήσεις κύριον τὸν θεόν σου, ἐπήγαγε, δευτέρα δὲ, καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ ὅρα πῶς μετὰ τῆς αὐτῆς σχεδὸν ὑπερβολῆς ἀπαιτεῖ καὶ ταύτην. περὶ μὲν γὰρ τοῦ θεοῦ φησιν, ἐξ ὅλης καρδίας σου· περὶ δὲ τοῦ πλησίον σου, ὡς ἑαυτὸν, ὅπερ ἴσον ἐστὶ τῷ, ἐξ ὅλης τῆς καρδίας σου. καὶ γὰρ εἰ μετὰ ἀκριβείας τοῦτο ἐφυλάττετο, οὐ δοῦλος, οὐκ ἐλεύθερος ἦν, οὐκ ἄρ- E χων, οὐκ ἀρχόμενος, οὐ πλούσιος, οὐ πένης, οὐ μικρὸς, οὐ μέγας, οὐ διάβολος ἂν ἐγνώσθη ποτέ· οὐ λέγω, οὗτος, ἀλλ' εἰ καὶ ἕτερος τοιοῦτος, μᾶλλον δὲ εἰ καὶ ἑκατὸν, καὶ μυρίοι τοιοῦτοι ἦσαν, οὐδὲν ἂν ἴσχυσαν ἐκείνης οὔσης. μᾶλλον γὰρ χόρτος ἤνεγκε πυρὸς ἐπαγωγὴν, ἢ φλόγα ἀγάπης ὁ διάβολος. αὕτη τείχους ἰσχυροτέρα, αὕτη ἀδάμαντος στερροτέρα· κἂν ἑτέραν ταύτης ἰσχυροτέραν εἴποις ὕλην, πάντα ὑπερβάλλει τῆς ἀγάπης ἡ στερρότης. ταύτην οὐ πλοῦτος, οὐ πενία νικᾷ· μᾶλλον δὲ οὐδ' ἂν ἦν πενία,

οὐκ ἀμετρία πλούτου, εἰ ἀγάπη ἦν, ἀλλὰ τὰ ἐξ ἑκατέρων ἀγαθὰ μόνον. καὶ γὰρ τὴν ἐξ ἐκείνου ἀφθονίαν ἐκαρπωσάμεθα ἄν, καὶ τὴν ἐκ ταύτης ἀμεριμνίαν· καὶ οὔτε τοῦ πλούτου τὰς φροντίδας, οὔτε τῆς πενίας τὸ δέος ὑπεμείναμεν ἄν. καὶ τί λέγω τὰ ἐξ αὐτῆς κέρδη; αὐτὸ γὰρ καθ' ἑαυτὸ τὸ φιλεῖν ἐννόησον ἡλίκον ἐστί, πόσην φέρει τὴν εὐφροσύνην, ἐν πόσῃ καθίστησι χάριτι τὴν ψυχήν, ὃ μάλιστα αὐτῆς ἐστιν ἐξαίρετον. τὰ μὲν γὰρ ἄλλα τῆς ἀρετῆς μέρη συνεζευγμένον ἔχει τὸν πόνον, οἷον νηστεία, σωφροσύνη, ἀγρυπνία, βασκανίαν, ἐπιθυμίαν, ὑπεροψίαν· ἡ δὲ ἀγάπη μετὰ τοῦ κέρδους πολλὴν ἔχει καὶ τὴν ἡδονήν, καὶ πόνον οὐδένα, καὶ καθάπερ μέλιττα ἀγαθή, τὰ πανταχόθεν συνάγουσα ἀγαθά, εἰς τὴν τοῦ φιλοῦντος κατατίθεται ψυχήν· κἂν δουλεύῃ τις, ἡδίω τῆς ἐλευθερίας ἀποφαίνει τὴν δουλείαν. ὁ γὰρ φιλῶν οὐχ οὕτως ἐπιτάττων, ὡς ἐπιταττόμενος χαίρει, καίτοιγε τὸ ἐπιτάττειν, ἡδύ· ἀλλὰ μετατίθησιν αὕτη τῶν πραγμάτων τὴν φύσιν, καὶ πάντα ἐν χερσὶν ἔχουσα παραγίνεται τὰ ἀγαθά, πάσης μητρὸς ἠπιωτέρα, πάσης βασιλίδος εὐπορωτέρα, καὶ τὰ ἐπίπονα, κοῦφα καὶ ῥᾷστα ποιεῖ, τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην ἡμῖν ἀποφαίνουσα· σκόπει δέ· τὸ δαπανᾷν, λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ αὐτὸ αὕτη ἡδύ· τὸ λαμβάνειν τὰ ἑτέρων, ἡδύ, καὶ οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι ἡδύ, ἀλλὰ φεύγειν ὡς μοχθηρὸν παρασκευάζει. πάλιν τὸ κακῶς λέγειν, γλυκὺ πᾶσιν εἶναι δοκεῖ· αὕτη τοῦτο μὲν πικρὸν ἀποφαίνει· τὸ δὲ καλῶς λέγειν, ἡδύ· οὐδὲν γὰρ οὕτως, ὡς τὸν φιλούμενον ἐγκωμιάζειν, ἡμῖν ἡδύ· πάλιν ὁ θυμὸς ἔχει τινὰ ἡδονήν, ἀλλ' ἐνταῦθα οὐκέτι, ἀλλὰ πάντα αὐτοῦ τὰ νεῦρα ἀνῄρηται. κἂν λυπήσῃ τὸν φιλοῦντα ὁ ἀγαπώμενος, θυμὸς μὲν οὐδαμοῦ φαίνεται· δάκρυα δὲ καὶ παρακλήσεις, καὶ ἱκετηρίαι· τοσοῦτον ἀπέχει τοῦ παροξυνθῆναι· κἂν ἴδῃ ἁμαρτάνοντα, πενθεῖ καὶ ὀδυνᾶται. ἀλλὰ καὶ ἡ ὀδύνη αὕτη ἡδονὴν φέρει. τῆς γὰρ ἀγάπης καὶ τὰ δάκρυα καὶ ἡ λύπη, γέλωτος παντὸς ἡδίω καὶ χαρᾶς. οὐχ οὕτω γοῦν ἀναπαύονται οἱ γελῶντες, ὡς οἱ ὑπὲρ φίλων κλαίοντες. κἂν ἀπιστῇς, ἐπίσχες αὐτῶν τὰ δάκρυα, καὶ ὡς τὰ αἰσχρὰ παθόντες, οὕτω δυσχεραίνουσιν. ἀλλ' ἡδονὴν ἔχει, φησίν, ἄτοπον τὸ φιλεῖν. ἄπαγε, καὶ εὐφήμει, ἄνθρωπε· οὐδὲν γὰρ οὕτως ἡδονῆς καθαρεύει τοιαύτης, ὡς ἀγάπη γνησία

Μὴ γάρ μοι ταύτην εἴπῃς τὴν δημώδη καὶ ἀγοραῖον, καὶ νόσον μᾶλλον ἢ ἀγάπην οὖσαν, ἀλλὰ ταύτην ἣν ὁ Παῦλος ἐπιζητεῖ τὴν τὸ συμφέρον τῶν ἀγαπωμένων σκοποῦσαν, καὶ ὄψει ὅτι πατέρων οὗτοι φιλοστοργότεροι. καὶ ὥσπερ οἱ χρήματα, φιλοῦντες οὐκ ἂν ἕλοιντο δαπανῆσαι χρήματα, ἀλλ' ἥδιον ἂν ἐν στενοχωρίᾳ γένεσθαι, ἢ ἐκεῖνα ἰδεῖν ἐλαττούμενα· οὕτω καὶ ὁ πρός τινα ἡδέως ἔχων, μυρία ἂν ἕλοιτο παθεῖν, ἢ τὸν ἀγαπώμενον καταβλαπτόμενον ἰδεῖν. πῶς οὖν, φησι, τὸν Ἰωσὴφ ἡ Αἰγυπτία φιλοῦσα,

A pertas, non nimia divitiarum copia, si caritas esset; sed ea solum quæ ex utrisque sunt bona. Etenim ex illis copiam decerperemus, ex hac vero libertatem a curis: ac neque divitiarum sollicitudines, neque paupertatis metum sustineremus. Ecquid dico de lucris ex illa partis? Ipsa quoque in se dilectio, quanta sit considera, quantam ferat lætitiam, in quanta gratia constituat animam, quod quidem in illa eximium est. Aliæ namque virtutis partes conjunctum habent laborem, verbi gratia, jejunium, temperantia, vi-
B giliæ; invidiam, concupiscentiam, contemtum. Caritas autem cum lucro multam habet etiam voluptatem, & laborem nullum: & sicut bona apis, undique bona colligens, illa deponit in anima ejus qui diligit. Etiamsi quis serviat, libertate suaviorem exhibet servitutem. Qui enim amat non ita gaudet cum imperat, ut cum imperatur, etiamsi imperare sit jucundum. Sed ipsa rerum naturam transmutat, advenitque in manu bona omnia habens, quavis matre blandior, quavis regina locupletior: quæ laboriosa sunt, levia & facilia reddit, virtutem facilem,
C nequitiam acerbissimam nobis exhibens. Animadverte autem: impendere, videtur molestum esse, & hoc illa dulce reddit; aliena accipere, jucundum; & non sinit illud jucundum apparere, sed ut pravum fugere suadet. Rursus maledicere, suave omnibus videtur esse: ipsa autem illud amarum esse declarat, & benedicere dulce. Nihil enim nobis ita suave est, ut laudare eum quem amamus. Rursus ira aliquam habet voluptatem; At hic nequaquam, sed omnes ejus nervi sublati
D sunt. Etiamsi is qui diligitur diligenti se molestiam crearit, ira nusquam apparet; sed lacrymæ, adhortationes & supplicationes; tantum abest ut exasperetur, etiamsi videat peccantem, luget & dolet; sed dolor ille voluptatem affert. Caritatis enim lacrymæ & dolor, risu sunt omni & gaudio suaviores. Non adeo igitur quiescunt ii qui rident, ut ii qui pro amicis plorant. Et si id non credis, reprime illorum lacrymas, & ac si gravissima paterentur, ita ægre ferunt. At amare, inquies, absurdam habet voluptatem. Ab-
E sit, bona verba, o homo. Nihil enim ita purum est, ut caritas genuina.

7. Ne mihi enim dicas illam popularem & forensem, qui est potius morbus, quam caritas & amor; sed hanc quam Paulus quærit, quæ quod utile dilectis est spectat, & videbis illos esse patribus amantiores. Ac quemadmodum ii qui pecunias amant, pecunias impendere non elegerint, sed suavius putant in angustia esse, quam illas imminutas videre; sic & ille qui erga aliquem bene & suaviter affectus est, innumera pati maluerit, quam dilectum videre læsum. Quomodo igitur, inquies, Ægyptia illa, quæ Josephum

amabat, illum contumelia afficere voluit? Quia illum amabat dilectione diabolica. Joseph certe non hanc habuit, sed eam quam Paulus dilectionem quærebat. Cogita igitur quantæ caritatis ejus verba essent, & quas res illa dicebat: Me contumelia affice, & adulteram redde, injuriam infer viro, & totam subverte domum, teque ipsum abjice a fiducia quam in Deum habes, quæ verba illius erant, quæ nec illum, nec seipsam amaret. Hic, autem quoniam sincere amabat, hæc omnia abjecit. Atque ut ediscas quod ejus curam gereret, ex ejus adhortatione id percipe. Non modo enim illam repulit, sed & adhortationem induxit, quæ

Gen. 39. 8. poterat omnem flammam exstinguere. *Si enim dominus meus*, inquit, *propter me nihil novit in domo sua.* Statim illi virum suum in mentem revocavit, ut illam pudore afficeret. Nec dixit, vir tuus; sed dominus meus, quod magis posset illam retinere, & suaderet cogitare, quænam cum esset, quem amaret, nempe domina servum. Nam si ille est dominus, & tu domina. Pudeat te igitur colloquii talis cum servo, & cogita cujus cum sis uxor, cum quo velis coire, & in quem sis ingrata, & quod ego majorem exhibeam benevolentiam. Vide autem quomodo ejus extollat beneficia: quia enim nihil sublime poterat barbara illa & impudica cogitare; ab humanis illam pudore suffundit dicens: Propter me nihil cognoscit; id est, magna mihi beneficia confert, nec possum patronum in rebus præcipuis lædere. Me secundum dominum fecit domus suæ, neque ullus eximitur, nisi tu. Hic ejus sensum & animum extollit, ut sic illam ad pudorem inducat, & ostendat magnum esse honorem. Neque hic substitit; sed etiam induxit nomen quod posset illam retinere dicens: Eo quod tu sis uxor ejus, & quomodo faciam verbum hoc malum? Sed quid dicis? Non adest vir, neque scit se injuria affici? Sed Deus aspiciet. At nihil ex tali consilio illa lucrata est, sed illum attraxit. Furorem namque suum complere volens, non amans Josephum hæc fecit, ut palam est ex iis quæ postea designavit. Judicium enim constituit, & accusationem infert, atque falsa testificatur, ac feræ tradit eum, qui se nihil læserat, in carceremque conjicit; imo potius, quantum in se erat, occidit, ita nempe judicem armavit. Quid igitur? Erat-ne Joseph etiam talis? Imo contra; neque enim contradixit, neque mulierem accusavit. At, inquies, non creditum illi fuisset. Atqui valde amabatur, ut palam est; non ex principio solum, sed etiam ex fine. Nisi enim illum Barbarus ille multum dilexisset, etiam occidisset silentem, & nihil contradicentem. Etenim Ægyptius erat & princeps, & in conjugali lecto affectus injuria, ut putabat;

A καθυβρίσαι ἠθέλησεν; ὅτι ταύτην ἐφίλει τὴν ἀγάπην τὴν διαβολικήν. ὁ μέντοι Ἰωσὴφ οὐ ταύτην, ἀλλ' ἣν ὁ Παῦλος ζητεῖ. ἐννόησον οὖν ὅσης ἀγάπης αὐτοῦ τὰ ῥήματα ἦν, καὶ τὰ πράγματα ἃ ἐκείνη ἔλεγε. καθύβρισόν με, καὶ ποίησον μοιχαλίδα, καὶ τὸν ἄνδρα ἀδίκησον, καὶ τὴν οἰκίαν ἀνάτρεψον ἅπασαν, καὶ σαυτὸν τῆς πρὸς τὸν θεὸν ἔκβαλε παῤῥησίας· ἅπερ οὐ μόνον ἐκεῖνον, ἀλλ' οὐδὲ ἑαυτὴν φιλούσης ἦν. οὗτος δὲ ἐπειδὴ γνησίως ἐφίλει, τούτων πάντων ἀπῆγε. καὶ ἵνα μάθῃς, ὅτι αὐτῆς ἐκήδετο, ἐκ τῆς παραινέσεως αὐτοῦ κατάμαθε. οὐ γὰρ ἀπώσατο μόνον αὐτήν, ἀλλὰ καὶ παραίνεσιν εἰσήγαγε

B δυναμένην σβέσαι πᾶσαν πυράν. Εἰ γὰρ ὁ κύριός μου, φησίν, οὐ γινώσκει δι' ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ. εὐθέως αὐτὴν ἀνέμνησε τοῦ ἀνδρὸς, ἵνα ἐντραπῇ. καὶ οὐκ εἶπεν, ὁ ἀνήρ σου, ἀλλ', ὁ κύριός μου, ὃ μᾶλλον ἱκανὸν ἦν αὐτὴν κατασχεῖν, καὶ πεῖσαι ἐννοῆσαι τίς οὖσα, τίνος ἐρᾷ, ὅτι δέσποινα οὖσα, δούλου. Εἰ γὰρ ἐκεῖνος κύριος, καὶ σὺ κυρία. αἰσχύνθητι τοίνυν τὴν πρὸς τὸν δοῦλον ὁμιλίαν, καὶ ἐννόησον τίνος οὖσα γυνὴ, τίνι βούλει συμπλακῆναι, καὶ περὶ τίνα ἀχάριστος γίνῃ καὶ ἀγνώμων, καὶ ὅτι ἐγὼ πλείονα αὐτῷ

C ἀπονέμω εὔνοιαν. καὶ ὅρα πῶς ἐπαίρει αὐτοῦ τὰς εὐεργεσίας. ἐπειδὴ γὰρ οὐδὲν τῶν ὑψηλῶν ἐννοῆσαι ἠδύνατο ἡ βάρβαρος ἐκείνη καὶ ἀκόλαστος, ἀπὸ τῶν ἀνθρωπίνων αὐτὴν ἐντρέπει λέγων· οὐ γινώσκει δι' ἐμὲ οὐδὲν, τουτέστιν, εὐεργετεῖ με μεγάλα, καὶ οὐ δύναμαι τὸν προστάτην ἐν τοῖς κυρίοις πλῆξαι. ἐμὲ δεύτερον ἐποίησε δεσπότην τῆς οἰκίας, καὶ οὐδεὶς ὑπεξήρηταί μου, πλὴν σου. ἐνταῦθα ἐπαίρει αὐτῆς τὸ φρόνημα, ἵνα κἂν οὕτως αἰσχυνθῆναι παρασκευάσῃ, καὶ δείξῃ μεγάλην οὖσαν τὴν τιμήν. καὶ οὐδὲ μέχρι τούτου ἔστη,

D ἀλλὰ καὶ ἐπήγαγεν ὄνομα ἱκανὸν αὐτὴν κατασχεῖν, λέγων· διὰ τό σε γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο; ἀλλὰ τί λέγεις; ὅτι οὐ πάρεστιν ὁ ἀνὴρ, οὐδὲ οἶδεν ὅτι ἀδικεῖται; ἀλλ' ὁ θεὸς ἐπόψεται. ἀλλ' οὐκ ἐκέρδανεν οὐδὲν ἀπὸ τῆς συμβουλῆς ἐκείνη, ἀλλ' ἐπεσπάσατο αὐτόν. τὴν γὰρ οἰκείαν μανίαν πληρῶσαι βουλομένη, οὐ φιλοῦσα τὸν Ἰωσὴφ, ταῦτα ἔπραττε, καὶ δῆλον ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. καὶ γὰρ δικαστήριον καθίζει, καὶ κατηγορίαν εἰσάγει, καὶ τὰ ψευδῆ καταμαρτυρεῖ, καὶ

E ἐκδίδωσι θηρίῳ τὸν οὐδὲν ἠδικηκότα, καὶ εἰς δεσμωτήριον ἐμβάλλει· μᾶλλον δὲ, τόγε αὐτῆς μέρος, καὶ ἀνεῖλεν, οὕτω τὸν δικαστὴν καθώπλισε. τί οὖν; ἆρα καὶ Ἰωσὴφ τοιοῦτος; τοὐναντίον μὲν οὖν ἅπαν. οὔτε γὰρ ἀντεῖπεν, οὔτε κατηγόρησε τῆς γυναικός. ἠπιστήθη γὰρ ἄν, φησι. καὶ μὴν σφόδρα ἐφιλεῖτο, καὶ δῆλον οὐκ ἀπὸ τῆς ἀρχῆς μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τέλους. εἰ γὰρ μὴ σφόδρα αὐτὸν βάρβαρος ἐκεῖνος ἐφίλει, κἂν ἀπέκτεινε σιγῶντα καὶ οὐδὲν ἀντιλέγοντα. καὶ γὰρ Αἰγύπτιος ἦν, καὶ ἄρχων, καὶ περὶ εὐνὴν ἠδικημένος, ὡς ἐνόμιζε, καὶ

καὶ παρὰ οἰκέτου, καὶ οἰκέτου τοιαῦτα εὐεργετηθέντος. ἀλλ' ἐνίκησε ταῦτα πάντα ὁ πόθος καὶ ἡ χάρις, ἣν ὁ θεὸς αὐτοῦ κατέχεε. μετὰ δὲ τῆς χάριτος καὶ τῆς ἀγάπης ταύτης καὶ τεκμήρια εἶχεν οὐ μικρὰ, εἰ δικαιολογεῖσθαι ἐβούλετο, αὐτὰ τὰ ἱμάτια. εἰ γὰρ αὐτὴ ἦν ἡ βιασθεῖσα, τὸν χιτῶνα αὐτῆς περιεῤῥῆχθαι ἔδει, τὴν ὄψιν κατεσπαράχθαι, οὐ τὰ ἐκείνου κατέχειν ἱμάτια. ἀλλ' ἤκουσέ, φησι, ὅτι ὕψωσα τὴν φωνὴν, καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ, ἀπῆλθε. τίνος οὖν ἕνεκεν καὶ ἀπέδυσας; τί γὰρ παθούσῃ βίαν ἀγαπητὸν ἦν; τὸ ἀπαλλαγῆναι τοῦ ἐνοχλοῦντος. ἐγὼ δὲ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα δεῖξαι δυνήσομαι αὐτοῦ τὴν εὔνοιαν καὶ τὴν ἀγάπην. καὶ γὰρ ὅτε εἰς ἀνάγκην ἐνέπεσε τοῦ τὴν αἰτίαν εἰπεῖν τοῦ δεσμωτηρίου καὶ τῆς ἐκεῖ διατριβῆς, οὐδὲ τότε ἐξεῖπε τὸ δρᾶμα. ἀλλὰ τί φησι; καὶ ἐγὼ οὐκ ἐποίησα οὐδέν· ἀλλὰ κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ οὐδαμοῦ μέμνηται τῆς μοιχαλίδος, οὐδὲ καλλωπίζεται ἐπὶ τῷ πράγματι, ὃ πᾶς τις ἂν ἔπαθεν, εἰ καὶ μὴ φιλοτιμίας ἕνεκεν, ἀλλ' ὥστε μὴ δόξαι πονηρᾶς ἕνεκεν αἰτίας εἰς τὸ οἴκημα ἐμβεβλῆσθαι ἐκεῖνο. εἰ γὰρ καὶ ἁμαρτάνοντες ἄνθρωποι, οὐδὲ οὕτως ἀπέχονται τοῦ ταῦτα ἐγκαλεῖν, καίτοιγε αἰσχύνην τοῦ πράγματος φέροντος, πῶς οὐκ ἄξιον θαυμάσαι ἐκεῖνον, ὅτι καὶ καθαρὸς ὢν οὐκ εἶπε τὸν ἔρωτα τῆς γυναικὸς, οὐδὲ ἐξεπόμπευσε τὴν ἁμαρτίαν, οὐδὲ ἡνίκα ἐπὶ τὸν θρόνον ἀνέβη, καὶ τῆς Αἰγύπτου πάσης ἐγένετο βασιλεὺς, ἐμνησικάκησε τῇ γυναικὶ, οὐδὲ ἀπῄτησε δίκην;

Εἶδες πῶς αὐτὸς μὲν ἐκήδετο, ἐκείνη δὲ οὐκ ἐφίλει, ἀλλ' ἐμαίνετο; οὐ γὰρ τὸν Ἰωσὴφ ἐφίλει, ἀλλὰ τὴν ἀκολασίαν πληρῶσαι ἐβούλετο. καὶ αὐτὰ δὲ τὰ ῥήματα εἴ τις ἐξετάσειεν ἀκριβῶς, μετὰ θυμοῦ καὶ πολλοῦ φόνου. τί γάρ φησιν; εἰσήγαγες παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν, ὀνειδίζουσα τὴν εὐεργεσίαν τῷ ἀνδρί· καὶ τὰ ἱμάτια ἐπεδείκνυ, θηρίου παντὸς ἀγριωτέρα γινομένη· ἀλλ' οὐκ ἐκεῖνος οὕτω. καὶ τί λέγω τὴν πρὸς ταύτην εὔνοιαν, ὅπου γε πρὸς τοὺς ἀνελόντας ἀδελφοὺς τοιοῦτος ἦν, καὶ οὐδὲ περὶ ἐκείνων οὐδέν ποτε εἶπε δυσχερὲς, οὐκ ἔνδον, οὐκ ἔξω; διὰ τοῦτο ὁ Παῦλος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων ταύτην εἶναί φησι, καὶ σημείων καὶ τῶν ἄλλων χαρισμάτων προτίθησιν. ὥσπερ γὰρ χρυσῶν μὲν ἱματίων ὄντων καὶ ὑποδημάτων, δεόμεθα καὶ ἑτέρου τινὸς ἐνδύματος, ὥστε τὸν βασιλέα μαθεῖν· ἂν δὲ τὴν ἁλουργίδα ἴδωμεν καὶ τὸ διάδημα, οὐδὲν ἕτερον ἐπιζητοῦμεν τῆς βασιλείας ἰδεῖν σημεῖον· οὕτω δὴ καὶ ἐνταῦθα. ὅταν τὸ τῆς ἀγάπης ἐπίκειται διάδημα, ἀρκεῖ δεῖξαι τοῦ Χριστοῦ τὸν ἀκριβῆ μαθητὴν, οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ τοῖς ἀπίστοις. ἐν τούτῳ γάρ, φησι, γνώσονται πάντες, ὅτι μαθηταί μου ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ὥστε τὸ σημεῖον τοῦτο σημείων ἁπάντων μεῖζον, εἴγε ἐν αὐτῷ γνωρίζεται ὁ μαθητής. κἂν γὰρ μυρία ποιῶσί τινες σημεῖα, στασιάζωσι δὲ πρὸς ἀλλήλους, καταγέλαστοι τοῖς ἀπίστοις ἔσονται.

A & a famulo, a famulo; inquam, qui tot beneficia acceperat. Sed hæc omnia vicit dilectio & gratia, quam Deus in illum infudit. Cum gratia autem & dilectione, indicia habuit non parva, si jure contendere voluisset, ipsa vestimenta. Si enim illa vim passa fuisset, oportebat ruptam ejus fuisse tunicam, laceratum vultum, non illius vestimenta tenere. Sed audivit, inquit, quod vocem extuli, & relictis vestibus abiit. Cur ergo eum exuisti? Quid vim patienti optandum erat? ut liberaretur ab eo qui sibi violentiam inferret. Ego vero non hinc B tantum; sed etiam ex sequentibus ostendere possim ejus benevolentiam & amorem. Etenim cum in necessitatem incidit, ut causam diceret carceris & diuturnæ in illo moræ; neque tunc drama illud & rem gestam aperuit. Sed quid ait? *Et ego nihil feci: sed furto sublatus sum ex terra Hebræorum*, & nusquam memorat adulteram: neque de ea re gloriatur, quod quislibet alius fecisset, etiamsi non gloriæ causa; sed ne videretur mala de causa, in tale conjectus fuisse domicilium. Si enim peccantes homines, neque sic C abstinent a tali accusatione, etiamsi res dedecus afferat: quomodo non dignus admiratione ille est, quod cum esset purus non dixerit amorem mulieris, neque peccatum evulgaverit, neque etiam quando in solium ascendit, & Ægypti totius rex factus est, injuriæ sibi a muliere illatæ recordatus sit, neque ab illa pœnas expetierit?

Gen. 40. 15.

8. Vidistin' quomodo ipse ejus curam habebat; illa vero non amabat, sed furebat? Neque enim Josephum diligebat, sed volebat libidinem explere. Nam si D quis ipsa verba accurate examinaverit, ea furorem omnino spirant & cædem. Quid enim ait? *Induxisti puerum Hebræum, ut nobis illuderet*: beneficium marito exprobrans: & vestimenta ostendebat, omni fera sævior. Sed non ita ille, Ecquid dico ejus erga ipsam benevolentiam, quando erga fratres, qui ipsum pene occiderant, talis erat, & nunquam de ipsis vel intus vel foris aliquid grave vel molestum dixit? Ideo Paulus caritatem dixit esse matrem omnium bonorum, eamque præfert signis aliisque charismatibus. Quemadmodum enim si vestes & calcei E aurei sint, alio etiam vestimento opus habemus, ut noscamus regem; si vero purpuram videamus & diadema, nullum aliud regni signum videre quærimus; ita hic quoque. Cum caritatis est impositum diadema, sufficit ut Christi verum discipulum ostendat, non nobis tantum, sed etiam infidelibus. *In hoc enim*, inquit, *cognoscent omnes quod discipuli mei estis, si dilexeritis invicem.* Itaque hoc signum omnibus signis est majus, siquidem in ipso cognoscitur discipulus. Etiamsi enim quidam innumera edant signa, si invicem dissideant, ridiculi infidelibus erunt;

Gen. 39. 17.

Joan. 13, 35.

A quemadmodum si nullum faciant signum, & sese valde mutuo diligant, & venerandi & invicti apud omnes manebunt. Nam & Paulum ideo miramur, non propter mortuos quos suscitavit, non propter leprosos quos mundavit; sed quia dicebat; *Quis infirmatur, & ego non infirmor? quis scandalizatur, & ego non uror?* (2. Cor. 11. 29.) Etiamsi enim millia ad hæc signa adjeceris, par nihil dices. Nam & ipse dicebat, magnam sibi mercedem repositam esse, non quod signa fecisset, sed quia infirmis factus est infirmus. *Quanam est* (1. Cor. 9. 18.) B enim, inquit, *mea merces, ut evangelizans sine sumtu ponam evangelium?* Et cum se apostolis præponit, non dicit, plura quam ipsi feci signa; sed, *plus illis laboravi.* (1. Cor. 15. 10.) Quin etiam fame ideo mori volebat, pro salute discipulorum: Bonum est enim, inquit, mihi magis mori, quam ut glorationem meam quis evacuet. Non quod ipse gloriaretur, sed ne videretur ipsis exprobrare. Nusquam enim solet gloriari in bonis operibus suis, si tempus ad id non vocet. Sed etiamsi coactus sit, insipientem se vocat. Si quando autem gloriatur, in infirmitatibus, in contumeliis, in eo quod valde misereatur eorum quibus molestia creatur; ut etiam hoc loco dicit: Quis infirmatur, & ego non infirmor? Hæc verba sunt periculis ipsis majora. Ideoque illa posteriora ponit, sermonem amplificans. Quanam ergo re nos digni fuerimus, si cum illo comparemur; qui neque pecunias despicimus propter nos ipsos, neque superflua ex facultatibus erogamus? At non ille sic, sed & animam & corpus tradebat, ut qui illum lapidabant & colaphis cædebant, regnum consequerentur. Sic enim me, inquit, docuit Christus diligere, qui novum mandatum reliquit de dilectione, & quod ipse operibus implevit. Etenim cum rex universorum esset, & beatæ illius naturæ, homines, quos ex nihilo produxit, & quibus millia contulit beneficia, se contumelia afficientes & respuentes non aversatus est; sed & homo factus est propter illos, cum meretricibus & publicanis conversatus est, dæmoniacos curavit, & cælum promisit. Post hæc autem omnia comprehensum ipsum, colaphis ceciderunt, ligaverunt, flagellarunt, irriserunt, demum crucifixerunt. Sed ne sic quidem illos aversatus est, sed cum sursum esset in cruce, dixit, *Pater; dimitte illis peccatum.* (Luc. 23. 34.) Latronem vero, qui eum ante accusaverat, etiam in paradisum introduxit, & persequutorem Paulum, apostolum fecit: sibi autem proprios & addictos discipulos ad mortem tradidit propter Judæos, qui ipsum crucifixerant. Hæc igitur omnia, quæ Dei sunt, quæ hominum, apud nos colligentes, hæc præclara gesta æmulemur, & caritatem charismatibus omnibus superiorem acquiramus, ut & præsentia & futura bona assequamur: quæ utinam nos adipisci contingat, gratia & benigni-

(Margin: Paulus aliquando coactus gloriatur.)

A ὥσπερ κἂν μηδὲν ποιῶσι σημεῖον, ἀγαπῶσι δὲ ἀλλήλους ἀκριβῶς, καὶ αἰδέσιμοι καὶ ἀχείρωτοι πᾶσιν ὄντες διαμενοῦσιν. ἐπεὶ καὶ Παῦλον διὰ τοῦτο θαυμάζομεν, οὐ διὰ τοὺς νεκροὺς οὓς ἤγειρεν, οὐδὲ διὰ τοὺς λεπροὺς οὓς ἐκαθάρισεν, ἀλλ' ἐπειδὴ ἔλεγε, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; κἂν γὰρ μυρία πρὸς ταῦτα θῇς σημεῖα, οὐδὲν ἴσον ἐρεῖς. ἐπεὶ καὶ αὐτὸς μισθὸν ἀποκεῖσθαι μέγαν ἔφησεν αὐτῷ, οὐκ ἐπειδὴ σημεῖα ἐποίει, ἀλλ' ἐπειδὴ τοῖς ἀσθενοῦσι γέγονεν ὡς ἀσθενής. τίς γάρ μού ἐστι, φησιν, ὁ μισθὸς, ἵνα εὐαγγελιζόμενος, ἀδάπανον B θήσω τὸ εὐαγγέλιον; καὶ ὅταν τῶν ἀποστόλων ἑαυτὸν προτιθῇ, οὐ λέγει, περισσότερα αὐτῶν σημεῖα ἐποίησα· ἀλλὰ, περισσότερον αὐτῶν ἐκοπίασα. καὶ λιμῷ δὲ διὰ τοῦτο ἐβούλετο ἀποθανεῖν διὰ τὴν σωτηρίαν τῶν μαθητῶν. καλὸν γάρ μοι μᾶλλον, φησιν, ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ· οὐκ ἐπειδὴ ἐκαυχᾶτο αὐτὸς, ἀλλ' ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτοῖς. οὐδαμοῦ γὰρ οἶδε καυχᾶσθαι ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι, μὴ καλοῦντος καιροῦ· ἀλλὰ κἂν ἀναγκασθῇ, ἄφρονα ἑαυτὸν καλεῖ. εἰ δέ ποτε καυχᾶται, ἐν ἀσθενείαις, ἐν ὕβρε- C σιν, ἐν τῷ σφοδρῶς συναλγεῖν τοῖς ἐπηρεαζομένοις· ὥσπερ οὖν καὶ ἐνταῦθά φησι, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; ταῦτα καὶ κινδύνων μείζω τὰ ῥήματα. διὸ καὶ ὕστερον αὐτὰ τίθησιν, αὔξων τὸν λόγον. τίνος οὖν ἂν εἴημεν ἄξιοι ἡμεῖς πρὸς ἐκεῖνον ἐξεταζόμενοι, οἱ μήτε χρημάτων καταφρονοῦντες δι' ἡμᾶς αὐτοὺς, μήτε τὰ περιττὰ προϊέμενοι τῶν ὄντων; ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπεδίδου, ἵνα οἱ λιθάζοντες αὐτὸν καὶ ῥαπίσαντες, βασιλείας ἐπιτύχωσιν. οὕτω γάρ με, φησὶν, ἀγαπᾷν ἐδίδαξεν ὁ Χριστὸς, ὁ τὴν καινὴν ἐντολὴν καταλιπὼν τὴν περὶ D τῆς ἀγάπης, καὶ ἣν αὐτὸς διὰ τῶν ἔργων ἐπλήρωσε. καὶ γὰρ βασιλεὺς τῶν ὅλων τυγχάνων, καὶ τῆς μακαρίας ἐκείνης φύσεως ὢν, ἀνθρώποις, οὓς ἐξ οὐκ ὄντων ἐποίησε, καὶ οὓς μυρία εὐεργέτησε, τούτους ὑβρίζοντας καὶ διαπτύοντας οὐκ ἀπεστράφη, ἀλλὰ καὶ ἄνθρωπος ἐγένετο δι' αὐτοὺς, καὶ συνανεστράφη πόρναις καὶ τελώναις, καὶ τοὺς δαιμονῶντας ἰάσατο, καὶ τὸν οὐρανὸν ἐπηγγείλατο. καὶ μετὰ ταῦτα πάντα λαβόντες αὐτὸν ἐρράπισαν, ἔδησαν, ἐμαστίγωσαν, κατεγέλασαν, τέλος ἐσταύρωσαν. καὶ οὐδὲ οὕτως ἀπεστρέφετο, ἀλλὰ E καὶ ἄνω ὢν ἐν τῷ σταυρῷ, φησι· πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν. τὸν δὲ πρὸ τούτου κατηγοροῦντα λῃστὴν καὶ εἰς παράδεισον εἰσήγαγε, καὶ τὸν διώκτην Παῦλον ἀπόστολον ἐποίησε, καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ καὶ ἀνακειμένους αὐτῷ μαθητὰς εἰς θάνατον ἐξεδίδου διὰ τοὺς σταυρώσαντας αὐτὸν Ἰουδαίους. ταῦτ' οὖν ἅπαντα παρ' ἑαυτοῖς συλλέγοντες τὰ τοῦ θεοῦ, τὰ τῶν ἀνθρώπων, ζηλώσωμεν ταῦτα τὰ κατορθώματα, καὶ τὴν χαρισμάτων ἁπάντων ἀνωτέραν κτησώμεθα ἀγάπην, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ

τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A tate Domini nostri Jesu Christi, quicum Patri unàque Spiritui Sancto gloria, imperium, honor, nunc & semper, & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ λγ'.

## HOMILIA XXXIII.

Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται.

4. *Caritas patiens est, benigna est: non æmulatur, non agit perperam, non inflatur.*

ΕΠΕΙΔΗ γὰρ ἀπεφήνατο, ὅτι καὶ πίστεως, καὶ γνώσεως, καὶ προφητείας, καὶ γλωσσῶν, καὶ χαρισμάτων, καὶ ἰαμάτων, καὶ βίου ἄκρου, καὶ μαρτυρίου ταύτης ἀπούσης οὐδὲν ὄφελος μέγα, ἀναγκαίως λοιπὸν ὑπογράφει τὸ κάλλος αὐτῆς τὸ ἀμήχανον, καθάπερ τισὶ χρώμασι, τοῖς μέρεσι τῆς ἀρετῆς τὴν εἰκόνα αὐτῆς καλλωπίζων, καὶ τὰ μέλη αὐτῆς συντιθεὶς μετὰ ἀκριβείας ἅπαντα. ἀλλὰ μὴ παραδράμῃς, ἀγαπητὲ, τὰ λεγόμενα, ἀλλ' ἕκαστον αὐτῶν μετὰ πολλῆς ἐξέταζε τῆς ἐπιμελείας, ἵνα καὶ τοῦ πράγματος εἰδῇς τὸν θησαυρὸν, καὶ τοῦ ζωγράφου τὴν τέχνην. σκόπει γοῦν πόθεν εὐθέως ἤρξατο, καὶ τί τέθεικε πρῶτον τὸ πάντων αἴτιον τῶν ἀγαθῶν. τί δὲ τοῦτό ἐστι; μακροθυμία. αὕτη τῆς φιλοσοφίας ἡ ῥίζα πάσης. διὸ καί τις σοφὸς ἔλεγε· μακρόθυμος ἀνὴρ, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων. καὶ πόλει δὲ παραβαλὼν αὐτὴν ἰσχυρᾷ, ἀσφαλεστέραν αὐτὴν ἔφησεν ἐκείνης εἶναι. καὶ γὰρ ὅπλον ἐστὶν ἄμαχον, καὶ πύργος τις ἀρραγὴς, πάντα διακρουομένη ῥᾳδίως τὰ λυπηρά. καὶ καθάπερ εἰς ἄβυσσον σπινθὴρ ἐμπεσὼν ἐκείνην μὲν οὐδὲν ἔβλαψεν, αὐτὸς δὲ ἐσβέσθη ῥᾳδίως· οὕτως εἰς μακρόθυμον ψυχὴν ὅπερ ἂν ἐμπέσῃ τῶν ἀδοκήτων, τοῦτο μὲν ἀφανίζεται ῥᾳδίως, ἐκείνην δὲ οὐ ταράττει. καὶ γὰρ πάντων στερρότερον μακροθυμία. κἂν στρατόπεδα εἴπῃς, κἂν χρήματα, κἂν ἵππους, κἂν τείχη, κἂν ὅπλα, κἂν ὁτιοῦν, οὐδὲν ἴσον μακροθυμίας ἐρεῖς. ὁ μὲν γὰρ ἐκεῖνα περιβεβλημένος, ὑπὸ θυμοῦ κρατηθεὶς πολλάκις, καθάπερ μειράκιον εὐτελὲς, περιτρέπεται, καὶ πάντα θορύβου πληροῖ καὶ ζάλης· οὗτος δὲ ὥσπερ ἐν λιμένι καθήμενος, βαθείας ἀπολαύει γαλήνης. κἂν ζημίᾳ περιβάλῃς, οὐκ ἐκίνησας τὴν πέτραν· κἂν ὕβριν ἐπαγάγῃς, οὐκ ἔσεισας τὸν πύργον· κἂν πληγαῖς περιτρίψῃς, οὐκ ἔπληξας τὸν ἀδάμαντα. καὶ γὰρ μακρόθυμος διὰ τοῦτο λέγεται, ἐπειδὴ μακράν τινα καὶ μεγάλην ἔχει ψυχήν. τὸ γὰρ μακρὸν, καὶ μέγα λέγεται. ἀλλὰ τοῦτο τὸ καλὸν ἀπὸ τῆς ἀγάπης φύεται, καὶ τοῖς κεκτημένοις καὶ τοῖς ἀπολαύουσι πολλὴν παρέχον τὴν ὠφέλειαν. μὴ γάρ μοι τοὺς ἀπεγνωσμένους εἴπῃς, οἳ ποιοῦντες κακῶς, καὶ μὴ πάσχοντες κακῶς, χείρους γίνονται. ἐνταῦθα γὰρ οὐ παρὰ τὴν μακροθυμίαν τοῦτο, ἀλλὰ παρ' ἐκείνους τοὺς οὐκ εἰς δέον αὐτῇ χρωμένους τοῦτο συμβαίνει. μὴ τοίνυν μοι τούτους εἴπῃς, ἀλλὰ τοὺς ἐπιεικεστέρους, οἳ μεγάλα ἐντεῦθεν κερδαίνουσιν. ὅταν γὰρ κακῶς ποιήσαντες μὴ πάθωσι κακῶς, τὴν πραότητα τοῦ παθόντος θαυμάσαντες,

1. POSTQUAM enim pronunciavit, nec fidei, nec scientiæ, nec B prophetiæ, neque linguarum, neque charismatum, nec perfectæ vitæ, nec martyrii, si caritas absit, magnam esse utilitatem, necessario deinceps describit immensam ejus pulcritudinem, quasi quibusdam coloribus, virtutis partibus ejus imaginem exornans, & ejus membra omnia accurate componens. At-ne prætercurras, dilecte, ea quæ dicuntur, sed eorum singula examina diligentissime, ut rei thesaurum videas, & pictoris artem. Perpende igitur unde statim incœperit, & quam primam posuerit omnium bo- C norum causam. Quid autem hoc est? Patientia; hæc philosophiæ omnis est radix. Ideo sapiens quispiam dicebat: *Vir patiens, est multæ prudentiæ:* (Prov. 14. 31.) qui autem pusilli est animi, valde insipiens est. Et cum urbe munita ipsam comparans, eam illa tutiorem esse dixit: nam armatura quædam est inexpugnabilis, & inconcussa turris, quæ molesta omnia facile propulsat. Et sicut scintilla in abyssum incidens, illam quidem nihil lædit; ipsa vero facile exstinguitur: sic & in patientem animam (Patiens anima quæ.) quidquid inexspectatum incidit; id quidem facile deletur, illam vero minime D turbat. Etenim patientia omnium firmissima est. Etiamsi exercitus dicas, etiamsi opes, etiamsi equos, muros, arma & quidvis aliud, nihil patientiæ par dices. Nam qui illis instructus & circumdatus est, a furore sæpe correptus, instar pueri debilis evertitur, & omnia tumultu ac tempestate replet. Hic autem tamquam in portu sedens, profunda fruitur tranquillitate. Etiamsi in damnum conjeceris, petram non movisti; etiamsi contumeliam intuleris, turrim non concussisti; etiamsi plagas inflixeris, adaman- E tem non percussisti. Etenim *longanimis* ideo dicitur, quia longum quemdam & magnum habet animum. Quod autem longum est, etiam magnum dicitur. Sed hoc bonum ex caritate oritur, & iis qui eam possident illaque fruuntur, magnam parit utilitatem. Ne mihi enim desperatos dixeris, qui mala facientes, neque patientes fiunt deteriores. Hic non ex patientia hujus, sed ab iis qui non illa ut par esset utuntur, hoc accidit. Ne itaque mihi hos dixeris, sed mansuetiores, qui magna hinc lucrantur. Quando enim male facientes non male patiuntur, patientis mansuetudinem

admirantes, magnam inde lucrantur philosophiæ doctrinam. Ipse vero non hic gradum sistit, sed & alia ejus præclara gesta subjungit dicens: *Benigna est.* Quia enim quidam sunt qui patientia non ad propriam philosophiam utuntur, sed ad ultionem eorum qui ipsos irritavere, seipsos disrumpentes, dicit illam hoc vitio non laborare. Et ideo subjungit, *benigna est.* Neque enim ad accendendam flammam eorum qui ira incenduntur, cum illis benignius agunt, sed ad sedandam & exstinguendam. Neque tantum generose ferendo; sed etiam curando & hortando, ulceri medentur, & vulnus iræ curant. *Non æmulatur.* Potest enim aliquis patiens esse & invidus, & hoc vitio bonum opus illud corrumpitur. Sed ipsa hoc quoque effugit. *Non agit perperam*; id est, non præceps est. Nam prudentem reddit eum qui diligit, & gravem, & placide incedentem. Iis enim qui turpiter amant, hoc proprium vitium est. Qui vero hanc novit dilectionem, ab his omnibus maxime liber est. Nam cum intus ira non fuerit, petulantia omnis & contumelia sublata est. Etenim ut quidam optimus agricola intus animæ insidens caritas & dilectio, non sinit ullas hujusmodi spinas germinare. *Non inflatur.* Etenim multos videmus, de his præclaris operibus altum sapientes; nempe quod non sint invidi, neque mali, neque pusilli animi, neque petulantes. Neque enim solum cum divitiis & paupertate hæc mala habentur, sed etiam cum illis quæ natura sunt bona. Sed caritas accurate omnia expurgat. Animum autem adhibe: qui patiens est, non est omnino benignus: quod si benignus non sit, hæc res est vitium, & periculum est ne in recordationem injuriarum incidat. Ideo ipsa pharmacum dans, benignitatem dico, puram conservat virtutem. Rursum benignus sæpe facilis est; sed & hoc illa corrigit. Caritas enim, inquit, non agit perperam, non inflatur. Qui benignus & patiens est, sæpe arrogans est. Sed & hanc tollit nequitiam.

2. Et perpende quomodo eam, non modo ab iis quæ habet, sed etiam ab iis quæ non habet exornet. Dicit enim eam & virtutem inducere, & malitiam exscindere; imo vero ne virtutem nasci quidem sinit. Neque enim dixit, æmulatur quidem, invidiam vero superat; neque, arrogans quidem est, sed hoc vitium castigat; sed, non æmulatur, non agit perperam, non inflatur: quod autem maxime mirabile est, sine laboribus bona facit, & sine bello vel acie tropæum erigit. Neque enim sudare sinit eum qui se possidet, & ita coronam accipere, sed sine labore bravium illi defert. Ubi enim non est adversarium vitium temperanti cogitationi, quis labor fuerit? 5. *Non dede-*

μεγίστην ἐντεῦθεν καρποῦνται φιλοσοφίας διδασκαλίαν. αὐτὸς δὲ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ τὰ ἄλλα αὐτῆς ἐπάγει κατορθώματα, λέγων· Χρηστεύεται. Ἐπειδὴ γάρ τινές εἰσιν, οἳ τῇ μακροθυμίᾳ οὐκ εἰς τὴν οἰκείαν κέχρηνται φιλοσοφίαν, ἀλλ᾽ εἰς τὴν ἄμυναν τῶν παροξυνάντων, διαῤῥηγνύντες αὐτούς, φησὶν ὅτι οὐδὲ τοῦτο ἔχει τὸ ἐλάττωμα. διὸ καὶ ἐπήγαγε, χρηστεύεται. οὐδὲ γὰρ ἐπὶ τῷ τὴν φλόγα ἀνάψαι τῶν ὑπὸ τῆς ὀργῆς ἐκκαιομένων ἠπιώτερον αὐτοῖς κέχρηται, ἀλλ᾽ ἐπὶ τῷ καταστεῖλαι καὶ κατασβέσαι· καὶ οὐ μόνον τῷ φέρειν γενναίως, ἀλλὰ καὶ τῷ θεραπεύειν καὶ παρακαλεῖν τὸ ἕλκος ἰᾶται, καὶ τὸ τραῦμα θεραπεύουσα τοῦ θυμοῦ. Οὐ ζηλοῖ. ἔστι γὰρ καὶ μακρόθυμόν τινα εἶναι καὶ βάσκανον, καὶ τούτῳ ἐκεῖνο διαφθείρεται τὸ κατόρθωμα. ἀλλ᾽ αὕτη καὶ τοῦτο διέφυγεν. Οὐ περπερεύεται. τουτέστιν, οὐ προπετεύεται. καὶ γὰρ συνετὸν ἐργάζεται τὸν ἀγαπῶντα, καὶ βαρὺν, καὶ βεβηκότα. τῶν μὲν γὰρ αἰσχρῶς φιλούντων ἴδιον τὸ ἐλάττωμα τοῦτο. ὁ δὲ ταύτην εἰδὼς τὴν ἀγάπην, τούτων μάλιστα πάντων ἀπήλλακται. ὅταν γὰρ θυμὸς ἔνδον μὴ ᾖ, καὶ προπέτεια πᾶσα ἀνῄρηται, καὶ ὕβρις. καὶ γὰρ καθάπερ τις ἄριστος γεωργὸς ἔνδον ἐγκαθημένη τῇ ψυχῇ ἡ ἀγάπη, οὐκ ἀφίησιν οὐδὲν τούτων βλαστῆσαι τῶν ἀκανθῶν. Οὐ φυσιοῦται. καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπ᾽ αὐτοῖς τούτοις τοῖς κατορθώμασι μέγα φρονοῦντας, οἷον ὅτι μὴ ἔστι βάσκανος, μηδὲ πονηρὸς, μηδὲ ὀλιγόψυχος, μηδὲ προπετής. οὐδὲ γὰρ πλούτῳ καὶ πενίᾳ παρυφέστηκε τὰ κακὰ ταῦτα μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς φύσει καλοῖς. ἀλλ᾽ ἡ ἀγάπη μετὰ ἀκριβείας ἐκκαθαίρει πάντα. σκόπει δέ· ὁ μακρόθυμος, οὐ πάντως καὶ χρηστός. ἂν δὲ μὴ ᾖ χρηστὸς, πονηρία τὸ πρᾶγμα γίνεται, καὶ κινδυνεύει εἰς μνησικακίαν ἐμπεσεῖν. διὰ τοῦτο αὕτη τὸ φάρμακον δοῦσα, τὴν χρηστότητα λέγω, καθαρὰν διατηρεῖ τὴν ἀρετήν. πάλιν ὁ χρηστὸς πολλάκις εὔκολος γίνεται, ἀλλὰ καὶ τοῦτο αὕτη διορθοῦται. ἡ ἀγάπη γὰρ, φησὶν, οὐ περπερεύεται, οὐ φυσιοῦται. ὁ χρηστὸς καὶ μακρόθυμος ἀλαζονεύεται πολλάκις· ἀλλὰ καὶ ταύτην ἀναιρεῖ τὴν κακίαν.

Καὶ θέα πῶς αὐτὴν οὐκ ἀφ᾽ ὧν ἔχει μόνον, ἀλλὰ καὶ ἀφ᾽ ὧν οὐκ ἔχει, κοσμεῖ. καὶ γὰρ ἀρετὴν ἐπεισάγειν, καὶ κακίαν ἐκκόπτειν φησὶ, μᾶλλον δὲ οὐδὲ ἀφίησι φῦναι τὴν ἀρετήν. οὐδὲ γὰρ εἶπε, ζηλοῖ μὲν, περιγίνεται δὲ τοῦ φθόνου· οὐδ᾽ ὅτι ἀπονοεῖται μὲν, κολάζει δὲ τὸ πάθος, ἀλλ᾽ ὅτι οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται· ὃ δὴ μάλιστά ἐστι θαυμαστὸν, ὅτι καὶ χωρὶς πόνων κατορθοῖ τὰ ἀγαθὰ, καὶ χωρὶς πολέμου καὶ παρατάξεως τὸ τρόπαιον ἵστησιν. οὐ γὰρ ἀφίησιν ἱδρῶσαι τὸν ἔχοντα, καὶ οὕτω τὸν στέφανον λαβεῖν, ἀλλ᾽ ἀπονητὶ κομίζει τὸ βραβεῖον αὐτῷ. ἔνθα γὰρ οὐκ ἔστιν ἀντίπαλον πάθος τῷ σώφρονι λογισμῷ, τίς ἂν γένοιτο πόνος; [a] Οὐκ

[a] οὐκ ἀσχημονεῖ. Alia lectio est, οὐ φιλοτιμεῖ, quam sequutus est vetus interpres qui vertit, *non est ambitiosa.* Lectionem autem οὐκ ἀσχημονεῖ, quæ in Græcis exemplaribus vulgo fertur, ita vertimus, ut ipse Chrysostomus interpretatur; *non dedecus sibi inferri putat.* Quando scilicet pro Christo extrema patitur.

ἀσχημονεῖ. τί γὰρ λέγω, φησὶν, ὅτι οὐ φυσιοῦται, ὅπουγε τοσοῦτον ἀπέχει τοῦ πάθους, ὅτι καὶ τὰ ἔσχατα παθοῦσα διὰ τὸν ἀγαπώμενον, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα νομίζει; οὐκ εἶπε πάλιν, ὅτι ἀσχημονεῖ μὲν, φέρει δὲ τὴν αἰσχύνην γενναίως· ἀλλ' ὅτι οὐδὲ αἴσθησίν τινα λαμβάνει τῆς αἰσχύνης. εἰ γὰρ οἱ φιλοχρήματοι πάντα ὑπομένοντες τὰ ἐπονείδιστα τῆς καπηλείας ἕνεκεν ἐκείνης, οὐ μόνον οὐκ ἐγκαλύπτονται, ἀλλὰ καὶ ἀγάλλονται, πολλῷ μᾶλλον ὁ τὴν ἐπαινετὴν ταύτην ἔχων ἀγάπην, ὑπὲρ τῆς τῶν φιλουμένων ἀσφαλείας οὐδὲν ὁτιοῦν παραιτήσεται, ἀλλ' οὐδὲ πάσχων αἰσχύνεται. ἀλλ' ἵνα μὴ ἀπὸ πονηροῦ πράγματος τὸ παράδειγμα φέρωμεν, ἐξετάσωμεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο αὐτὸ, καὶ τότε ὀψόμεθα τοῦ λεχθέντος τὴν δύναμιν. ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐνεπτύετο, καὶ ἐρραπίζετο παρὰ ἀνδραπόδων οἰκτρῶν· καὶ οὐ μόνον οὐκ ἐνόμιζεν ἀσχημονεῖν, ἀλλὰ καὶ ἠγάλλετο, καὶ δόξαν τὸ πρᾶγμα ἐκάλει· καὶ λῃστὴν καὶ ἀνδροφόνον μεθ' ἑαυτοῦ πρὸ τῶν ἄλλων εἰς τὸν παράδεισον εἰσάγων, καὶ πόρνῃ διαλεγόμενος, καὶ ταῦτα τῶν παρεστώτων ἁπάντων ἐγκαλούντων, οὐκ ἐνόμιζε τὸ πρᾶγμα εἶναι αἰσχρὸν, ἀλλὰ καὶ φιλεῖν αὐτῇ τοὺς πόδας παρεῖχε τοὺς ἑαυτοῦ, καὶ βρέχειν τὸ σῶμα τοῖς δάκρυσι, καὶ ἀπομάττειν ταῖς θριξί· καὶ ταῦτα ἐν μέσῳ θεάτρῳ τῶν ἐχθρῶν καὶ πολεμίων. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. διὰ τοῦτο καὶ πατέρες, κἂν ἁπάντων ὦσι φιλοσοφώτεροι, καὶ ῥητορικώτεροι, οὐκ αἰσχύνονται τοῖς παισὶ συμψελλίζοντες· καὶ οὐδεὶς ἐγκαλεῖ τῶν ὁρώντων, ἀλλ' οὕτω καλὸν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς καὶ εὐχῆς ἄξιον εἶναι. κἂν πονηροὶ γένωνται πάλιν, οὗτοι μένουσι διορθοῦντες, ἐπιμελόμενοι, συστέλλοντες αὐτῶν τὰ ὀνείδη, καὶ οὐκ αἰσχύνονται. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ, ἀλλὰ καθάπερ χρυσαῖς τισι πτέρυξι συγκαλύπτει πάντα τὰ ἁμαρτήματα τῶν ἀγαπωμένων. οὕτω καὶ τὸν Δαυὶδ ὁ Ἰωνάθαν ἐφίλει, καὶ ἀκούων τοῦ πατρὸς λέγοντος, [a] υἱὲ κορασίων αὐτομολουσῶν, γυναικοτραφὲς, οὐκ ᾐσχύνετο, καίτοιγε πολλῆς αἰσχρότητος τὰ ῥήματα γέμει. ὃ γὰρ λέγει τοῦτό ἐστιν· υἱὲ πορνιδίων ἐπιμαινομένων ἀνδράσιν, ἐπιτρεχόντων τοῖς παριοῦσιν, ἐκνενευρισμένε, καὶ μαλακὲ, καὶ μηδὲν ἔχων ἀνδρεῖον, ἀλλ' ἐπ' αἰσχύνῃ σου καὶ τῆς τεκούσης σε μητρὸς ζῶν. τί οὖν; ἤλγησεν ἐπὶ τούτοις καὶ ἐνεκαλύψατο, καὶ ἀπέστη τοῦ φιλουμένου; τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἐκαλλωπίζετο τῷ φίλτρῳ· καίτοιγε ὁ μὲν βασιλεὺς ἦν τότε, καὶ βασιλέως υἱὸς ὁ Ἰωνάθαν, ὁ δὲ φυγὰς καὶ ἀλήτης ὁ Δαυίδ. ἀλλ' οὐδὲ οὕτως ᾐσχύνετο αὐτοῦ τῇ φιλίᾳ. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτό ἐστιν, ὅτι τὸν ὑβριζόμενον οὐ μόνον οὐκ ἀφίησιν ἀλγεῖν οὐδὲ δάκνεσθαι, ἀλλὰ καὶ χαίρειν παρασκευάζει. διὰ δὴ τοῦτο καὶ ἐκεῖνος μετὰ ταῦτα ἅπαντα, ὥσπερ δὴ στέφανον περικείμενος, οὕτως ἀπελθὼν περιεχύθη τῷ Δαυίδ. οὐ γὰρ οἶδε τί ποτέ ἐστιν αἰσχύνη ἡ ἀγάπη. διὰ τοῦτο καὶ φιλοτιμεῖται, ἐφ' οἷς ἕτερος ἐγκαλύπτεται.

[a] In exemplaribus Biblicis legitur αὐτομολούντων.

A *cus sibi inferri putat.* Quid enim dico, inquit, quod non infletur, quando tantum distat ab hoc vitio, ut, cum pro dilecto extrema passa sit, non dedecus esse rem existimet? Neque dixit rursum, non indecore quidem patitur, sed dedecus fert generose; sed quod ne sensum quidem dedecoris habeat. Nam si pecuniæ amantes, probrosa omnia pro illa cauponatione ferentes, non modo non erubescunt, sed etiam exsultant; multo magis is qui laudabilem hanc caritatem habet, pro dilectorum securitate nihil omnino B recusabit; sed neque patiens erubescet. Sed ne a re mala exemplum afferamus, hoc ipsum in Christo examinemus, & tunc dicti vim conspiciemus. Dominus enim Jesus Christus & conspuebatur, & colaphis cædebatur a miserabilibus servis; & non modo se indecore non agere putabat, sed etiam exultabat, eamque rem gloriam vocabat; & dum latronem & homicidam ante alios secum in paradisum introduceret, & meretricem alloqueretur, idque circumstantibus omnibus accusatoribus suis, non putabat rem esse turpem, C sed & ipsi pedes suos præbuit osculandos, & corpus lacrymis irrigandum, capillisque tergendum; & hoc in medio hostium & inimicorum theatro. Caritas enim non indecore secum agi putat. Ideoque patres, etiamsi philosophis rhetoribusque omnibus præstent, non erubescunt simul balbutire cum filiis, & nemo videntium id reprehendit; sed adeo pulcra res esse videtur, ut sit etiam in votis. Et si rursus mali fuerint, hi manent corrigentes, curantes, probra eorum coercentes, nec pudet illos. Caritas enim non indecore D agit; sed quasi aureis quibusdam alis, omnia dilectorum peccata contegit. Sic & Davidem Jonathas amabat, audiensque patrem dicentem: *Fili puellarum ultro venientium*, effeminate, non erubescebat, etsi turpitudine plena verba erant. 1. Reg. 20. 30. Nam hoc vult significare, Fili meretricularum in viros insanientium, ad prætereuntes accurrentium, enervate, mollis, qui nihil virile habes, sed ad dedecus tuum, & ejus qui te peperit matris, vivis. Quid igitur? hæccine ægre tulit, & præ pudore se abscondit, atque a dilecto recessit? Totum certe contrarium fecit, de amore gloriabatur: etsi ille tunc E rex erat, filius vero regis Jonathas, David autem fugitivus. Sed neque sic de amicitia erubuit. Caritas enim non indecore agit. Nam hoc in illa mirabile est, quod contumelia affectum, non modo non sinat dolere & morderi, sed etiam ut gaudeat efficiat. Ideoque ille post hæc omnia, quasi coronâ redimitus, sic abiens Davidem complexus est; neque enim caritas scit quid sit probrum. Ideoque etiam sibi placet in eo, de quo alius erubescit. Pudor enim est

nescire amare, & amantem non omne periculum adire omniaque perpeti pro dilectis. Cum omnia dico, ne putes me ea quæ sunt noxia dicere; ut si quis dixerit, se juveni opem ferre ut potiatur amica; aut si quis aliud quidpiam damnosum facere postulet. Nam qui talis est non diligit, & hoc nuper vobis ostendi ex Ægyptia muliere. Nam ille solus diligit, qui ea quæ dilecto utilia sunt quærit. Ita ut si quis hoc bonum non venetur, etiamsi sexcenties dicat se diligere, inimicorum omnium sit inimicissimus. Sic & olim Rebecca, quia valde a filio pendebat, & furtum fecit, & non erubuit ne deprehenderetur; neque timuit; neque enim leve periculum erat; sed etiam filio repugnante & verbis cum illa contendente, dixit: *In me sit maledictio tua, fili.* (Gen. 27. 13.)

3. Vidistin etiam in muliere animum apostolicum? Nam sicut optavit Paulus; ut si quis parvum cum magno conferat; pro Judæis anathema esse; sic & illa ut filius benediceretur, etiam maledici consentiebat. Et illi quidem bonis cedebat, non enim cum illo benedictionem acceptura erat, mala autem ipsa sola sustinere parata erat; attamen gaudebat, & urgebat, & hoc cum tantum immineret periculum, & moram ægre ferebat. Timebat enim, ne si prævenisset Esau, vanam ejus redderet sapientiam. Ideoque verba in compendium redigit, & urget adolescentem, & postquam prioribus contradicere sivit, rationem affert quæ sufficiat ad persuadendum. Neque enim dixit, frustra hæc dicis, & sine causa metuis, cum pater tuus consenuerit, & claro sensu sit privatus. Sed quid? In me sit maledictio tua, fili. Tantum rem & drama ne perdas, neque venatum amittas, nec thesaurum prodas. Ipse vero Jacob annon fuit mercenarius apud cognatum bis septem annos? Annon cum servitute, etiam pro illa fallacia risui erat? Quid ergo? Num sensu affectus est ob risum? num se indecore agere putavit, quod liber cum esset, & ex liberis natus, ac liberaliter educatus, quæ servorum erant passus sit a cognatis; quod maxime mordere solet cum quis a notis suis contumeliose agitur? Nequaquam. Causa autem erat dilectio, quæ tempus, diuturnum cum esset, modicum illud exhibebat. (Gen. 29. 20.) *Erant enim*, inquit, *in conspectu ejus quasi dies pauci.* Tantum aberat ut morderetur & erubesceret de hac servitute. Jure ergo dicebat beatus Paulus: Caritas non indecore agit. *Non quærit quæ sua sunt, non irritatur.* Cum dixisset enim, non indecore agit, modum etiam ostendit, quo non indecore agit. Quis autem modus ille est? quia non quærit quæ sua sunt. Dilectum enim omnia sibi esse putat, & tunc indecore se agere putat, cum non potest illum indecore agentem liberare; ita ut si liceret per dedecus suum

A αἰσχύνη γὰρ τὸ μὴ εἰδέναι φιλεῖν, οὐ τὸ φιλοῦντα κινδυνεύειν καὶ πάντα ὑπομένειν ὑπὲρ τῶν φιλουμένων. πάντα δὲ ὅταν εἴπω, μὴ νομίσῃς, καὶ τὰ ἐπιβλαβῆ λέγειν, οἷον εἴ τις λέγοι, νέῳ συμπράττειν εἰς ἐρωμένην, ἢ εἴ τις ἕτερόν τι ἐπιβλαβὲς ἀξιοῖ διανύειν. ὁ γὰρ τοιοῦτος οὐ φιλεῖ, καὶ τοῦτο πρῴην ὑμῖν ἔδειξα ἀπὸ τῆς Αἰγυπτίας γυναικός. καὶ γὰρ ἐκεῖνος μόνος ἐστὶν ὁ φιλῶν, ὁ τὰ συμφέροντα ζητῶν τῷ φιλουμένῳ· ὡς εἴ τις τοῦτο μὴ θηρεύοι τὸ καλὸν, κἂν μυριάκις λέγῃ φιλεῖν, ἐχθρῶν ἐστι πολεμιώτερος πάντων. οὕτω καὶ ἡ Ῥεβέκκα ποτὲ, ἐπειδὴ B σφόδρα ἐξήρτητο τοῦ παιδὸς, καὶ κλοπὴν εἰργάζετο, καὶ οὐκ ᾐσχύνετο μὴ ἁλῷ, οὐδὲ ἐδεδοίκει, καὶ γὰρ ὁ κίνδυνος ἦν οὐχ ὁ τυχὼν, ἀλλὰ καὶ τοῦ παιδὸς ἀκριβολογουμένου πρὸς αὐτὴν, ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον, ἔλεγεν.

Εἶδες καὶ ἐν γυναικὶ ψυχὴν ἀποστολικήν; καθάπερ γὰρ ὁ Παῦλος εἵλετο, ὡς ἂν εἰ μεγάλῳ τις μικρὸν παραβάλοι, ὑπὲρ Ἰουδαίων ἀνάθεμα γενέσθαι, οὕτω καὶ αὕτη, ἵνα ὁ παῖς εὐλογηθῇ, καὶ καταραθῆναι εἵλετο. καὶ τῶν μὲν ἀγαθῶν ἐκείνῳ παρεχώρει, οὐ γὰρ δὴ μετ' ἐκείνου εὐλογεῖσθαι ἔμελλε, τὰ δὲ κακὰ C αὐτὴ μόνη παρεσκευάζετο ὑπομένειν· ἀλλ' ὅμως ἔχαιρε, καὶ ἠπείγετο, καὶ ταῦτα τοσούτου κινδύνου προκειμένου, καὶ τῇ μελλήσει τῶν πραγμάτων ἐδυσχέραινε· καὶ γὰρ ἐδεδοίκει μὴ προλαβὼν ὁ Ἡσαῦ ματαίαν αὐτῆς ποιήσῃ τὴν σοφίαν. διὸ καὶ συντέμνει τὰ ῥήματα, καὶ ἐπείγει τὸν νεανίσκον, καὶ ἀφεῖσα ἀντειπεῖν πρὸς τὰ εἰρημένα, λογισμὸν ἱκανὸν πεῖσαι αὐτὸν λέγει. οὐδὲ γὰρ εἶπεν, εἰκῆ ταῦτα λέγεις, καὶ μάτην δέδοικας, τοῦ πατρός σου γεγηρακότος καὶ τὸ τρανὸν τῆς αἰσθήσεως ἀφῃρημένου, ἀλλὰ τί; ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον. μόνον σὺ μὴ διαφθείρῃς τὸ δρᾶμα, μηδὲ D ἀπολέσῃς τὸ θήραμα, μηδὲ τὸν θησαυρὸν προδῷς. αὐτὸς δὲ ὁ Ἰακὼβ οὐχὶ ἐθήτευε παρὰ τῷ συγγενεῖ δὶς ἔτη ἑπτά; οὐχὶ μετὰ τῆς δουλείας καὶ γέλωτα ὦφλεν ὑπὲρ τῆς ἀπάτης ἐκείνης; τί οὖν; ἆρα ἤσθετο τοῦ γέλωτος; ἆρα ἀσχημονεῖν ἐνόμιζεν ὅτι ἐλεύθερος ὢν, καὶ ἐξ ἐλευθέρων, καὶ τραφεὶς εὐγενῶς, τὰ τῶν δούλων ὑπέμεινε παρὰ τοῖς προσήκουσιν; ὃ μάλιστα δάκνειν εἴωθεν ὅταν παρὰ τοῖς γνωρίμοις τις τὰ ἐπονείδιστα πάσχῃ· οὐδαμῶς. τὸ δὲ αἴτιον ἡ ἀγάπη, E ἣ καὶ τὸν χρόνον πολὺν ὄντα ὀλίγον ἀπέφηνεν. ἦσαν γάρ, φησιν, ἐνώπιον αὐτοῦ ὡσεὶ ἡμέραι ὀλίγαι. τοσοῦτον ἀπεῖχε τοῦ δάκνεσθαι καὶ ἐρυθριᾶν ἐπὶ τῇ δουλείᾳ ταύτῃ. εἰκότως οὖν ἔλεγεν ὁ μακάριος Παῦλος, ἡ ἀγάπη οὐκ ἀσχημονεῖ· οὐ ζητεῖ τὸ ἑαυτῆς, οὐ παροξύνεται. εἰπὼν γὰρ, ὅτι οὐκ ἀσχημονεῖ, δείκνυσι καὶ τὸν τρόπον, δι' ὃν οὐκ ἀσχημονεῖ. τίς δὲ ὁ τρόπος; ὅτι οὐ ζητεῖ τὸ ἑαυτῆς. τὸν γὰρ ἀγαπώμενον, πάντα εἶναι νομίζει, καὶ τότε ἀσχημονεῖ ὅταν μὴ δυνηθῇ ἀπαλλάξαι ἐκεῖνον ἀσχημονοῦντα· ὡς ἐὰν δέῃ διὰ

τῆς ἀσχημοσύνης τῆς ἑαυτοῦ τὸν ἀγαπώμενον ὠφελῆσαι, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα εἶναι νομίζει· ἐκεῖνος γὰρ αὐτός ἐστι λοιπόν. τοῦτο γάρ ἐστι φιλία, μηκέτι εἶναι τὸν φιλοῦντα καὶ τὸν φιλούμενον δύο διῃρημένους, ἀλλ᾽ ἕνα τινὰ ἄνθρωπον· ὅπερ οὐδαμόθεν, ἀλλ᾽ ἢ ἀπὸ τῆς ἀγάπης γίνεται. μὴ τοίνυν ζήτει τὸ σὸν, ἵνα εὕρῃς τὸ σόν. ὁ γὰρ ζητῶν τὸ ἑαυτοῦ, οὐχ εὑρίσκει τὸ ἑαυτοῦ. διὸ καὶ ὁ Παῦλος ἔλεγε, μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστος. τὸ γὰρ οἰκεῖον συμφέρον ἐν τῷ τοῦ πλησίον συμφέροντι κεῖται, καὶ τὸ ἐκείνου ἐν τούτῳ. ὥσπερ οὖν εἴ τις χρυσίον ἴδιον ἐν τῇ οἰκίᾳ τῇ τοῦ πλησίον κατορυγμένον εἶτα παραιτοῖτο ἐλθὼν ἐκεῖ ζητεῖν καὶ ἀνορύττειν, οὐδέποτε αὐτὸ ὄψεται· καὶ οὕτω ἐνταῦθα ὁ μὴ βουλόμενος ἐν τῇ τοῦ πλησίον ὠφελείᾳ τὸ οἰκεῖον συμφέρον ζητεῖν, οὐκ ἐπιτεύξεται τῶν ὑπὲρ τούτου στεφάνων· καὶ γὰρ ὁ θεὸς διὰ τοῦτο οὕτως αὐτὸ κατέθηκεν, ἵνα ὦμεν ἀλλήλοις συνδεδεμένοι· καὶ ὥσπερ τις παιδίον ὑπνηλὸν διεγείρων τῷ ἀδελφῷ κατακολουθεῖν, ὅταν οἴκοθεν μὴ βούλοιτο, τὸ ἐπιθυμητὸν αὐτῷ καὶ ἐπέραστον ἐγχειρίζει τῷ ἀδελφῷ, ἵνα ἐπιθυμίᾳ τοῦ λαβεῖν καταδιώκῃ τὸν κατέχοντα, ὃ δὴ καὶ γίνεται· οὕτω καὶ ἐνταῦθα τὸ ἑκάστῳ συμφέρον τῷ πλησίον ἔδωκεν, ἵνα ἀλλήλων ἐντεῦθεν κατατρέχωμεν, καὶ μὴ ὦμεν διεσπασμένοι. καὶ εἰ βούλει, τοῦτο καὶ ἐφ᾽ ἡμῶν ἰδὲ τῶν λεγόντων. τὸ γὰρ ἐμοὶ συμφέρον ἐν σοὶ κεῖται, καὶ τό σοι λυσιτελοῦν, ἐν ἐμοί. καὶ γάρ σοι συμφέρει τὸ διδάσκεσθαι τὰ τῷ θεῷ δοκοῦντα, ἀλλὰ τοῦτο ἐπιστεύθην ἐγὼ, ἵνα παρ᾽ ἐμοῦ σὺ αὐτὸ λάβῃς, καὶ διὰ τοῦτο ἀναγκασθῇς δραμεῖν ἐπ᾽ ἐμέ· καὶ ἐμοὶ συμφέρει, τό σε βελτίω γενέσθαι. μισθὸν γὰρ τούτου λήψομαι πολύν. ἀλλὰ τοῦτο πάλιν κεῖται ἐν σοί. καὶ διὰ τοῦτο ἀναγκάζομαί σε καταδιώκειν, ἵνα σὺ ᾖς βελτίων, καὶ τὸ ἐμοὶ συμφέρον παρὰ σοῦ λαμβάνω. διὸ καὶ Παῦλος ἔλεγε, τίς γάρ μου ἐστὶν ἡ ἐλπίς; ἢ οὐχὶ καὶ ὑμεῖς; καὶ πάλιν, ἡ ἐλπίς μου, καὶ ἡ χαρά μου, καὶ ὁ στέφανος τῆς καυχήσεώς μου. ὥστε ἡ Παύλου χαρὰ, οἱ μαθηταὶ ἦσαν, καὶ τὴν ἐκείνου χαρὰν ἐκεῖνοι εἶχον. διὰ τοῦτο καὶ ἐδάκρυεν, εἴποτε εἶδεν ἀπολλυμένους. πάλιν τὸ ἐκείνων συμφέρον ἐν τῷ Παύλῳ ἦν· διὸ ἔλεγεν, ὑπὲρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. καὶ πάλιν, ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα ζωῆς αἰωνίου τύχωσι. τοῦτο καὶ ἐπὶ τῶν βιωτικῶν ἴδοι τις ἄν. ἡ γὰρ γυνὴ, φησὶ, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ὁ ἀνὴρ, ἀλλ᾽ ἡ γυνὴ τοῦ ἀνδρὸς, καὶ ὁ ἀνὴρ τῆς γυναικός. οὕτω καὶ ἡμεῖς ὅταν τινὰς συνδῆσαι θελήσωμεν, τοῦτο ποιοῦμεν. οὐδένα ἑαυτοῦ κύριον ἀφίεμεν, ἀλλὰ μέσην ἅλυσιν ἐκτείνοντες, τοῦτον ὑπ᾽ ἐκείνου καὶ ἐκεῖνον ὑπὸ τούτου κρατεῖσθαι παρασκευάζομεν. βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; ὁ δικάζων οὐχ ἑαυτῷ κάθηται κρίνων, ἀλλὰ τὸ τοῦ πλησίον συμφέρον ζητῶν. οἱ ἀρχόμενοι πάλιν τὸ τῷ ἄρχοντι συμφέρον ζητοῦσι διὰ τῆς θεραπείας, διὰ τῆς διακονίας, διὰ τῶν ἄλλων ἁπάντων. οἱ στρατιῶται ὑπὲρ ἡμῶν ὅπλα τίθενται. δι᾽ ἡμᾶς γὰρ κινδυνεύουσιν. ἡμεῖς ὑπὲρ ἐκείνων ταλαιπωρούμεθα. παρ᾽ ἡμῶν γὰρ αὐτοῖς αἱ τροφαί.

A dilectum suum juvare, non illud dedecus esse putaret. Ille namque hic ipse est. Hoc est enim amicitia, cum is qui diligit & is qui diligitur non duo divisi sunt, sed unus homo: quod non aliunde, sed a caritate sola efficitur. Ne ergo quæras quod tuum est, ut invenias quod tuum est. Qui enim quod suum est quærit, quod suum est non invenit. Ideo Paulus dicebat, *Nemo quærat quod suum est, sed unusquisque quod proximi est.* [1. Cor. 10. 24.] Propria enim utilitas in utilitate proximi sita est, & illius utilitas in illa. Quemadmodum ergo si quis aurum proprium in domo proximi B defossum habens, si illo veniens id quærere & defodere recusaverit, nunquam ipsum videbit; sic qui non vult in proximi utilitate, suam utilitatem quærere, coronas huic rei debitas non consequetur. Etenim Deus ideo illud ita disposuit, ut simus mutuo colligati. Ac sicut si quis puerum somniculosum excitans, ut fratrem sequatur, si ex se nolit, quod ipsi desiderabile & expetendum est tradit fratri, ut accipiendi cupiditate, eum qui tenet sequatur, quod etiam efficitur; ita & hic quod unicuique utile est proximo tradidit, ut hinc alter ad alterum accurramus, & ne simus divulsi. C Et si velis, hoc & in nobis vide qui loquimur. Quod enim mihi utile est in te situm est, & quod tibi utile, in me. Tibi enim utile est ut docearis ea quæ Deo placent, sed hæc cura mihi credita fuit, ut tu a me id accipias. Ideoque coactus es ad me accurrere; & mihi utile est ut tu melior efficiaris: magnam enim inde mercedem accipiam. Sed hoc rursus in te situm est. Et ideo te consequi cogor, ut & tu melior sis, & ego quod mihi utile est a te accipiam. Ideo dicebat Paulus; *Quæ enim mea spes est? annon vos?* [1. Thess. 2. 19.] & rursus, spes mea, gaudium meum, & coro- D na gloriationis meæ. Itaque Pauli gaudium, discipuli erant, & ipsius gaudium illi habebant. Ideo etiam lacrymabatur, si quando pereuntes videret. Rursum quod illis utile, in Paulo erat, propterea dicebat: *Pro spe Israelis, cinctus sum hac catena;* [Act. 28. 20.] & rursum, *Hæc patior propter electos, ut vitam æternam consequantur.* [2. Tim. 2. 10.] Hoc etiam videre est in iis quæ ad vitam pertinent: nam ait, *Mulier proprii corporis potestatem non habet, neque vir: sed mulier viri, & vir mulieris.* [1. Cor. 7. 4.] Ita & nos cum aliquos colligare volumus, hoc facimus: E neminem sui dominum relinquimus; sed mediam extendentes catenam, id efficimus, ut hic ab illo, & ille ab hoc teneatur. Vis hoc etiam videre in magistratibus? Qui judicat non sedet sibi judicans, sed quærens quod proximo conferat. Rursus qui illis subditi sunt, quod principi conferat quærunt, per cultum, per ministerium perque alia omnia: milites pro nobis arma sumunt; propter nos enim pericula adeunt. Nos pro illis labores suscipimus: a nobis enim aluntur.

4. Si autem dixeris, unumquemque sua quærentem hoc facere; hoc etiam ego dico: sed quia per alienum suum invenitur. Miles enim, nisi bellum gerat pro iis qui ipsum nutriunt, non habet qui hoc ipsi ministret. Hic vero rursus, nisi militem alat, non habet qui se defendat. Vidistin' caritatem ubique extensam & omnia administrantem? sed ne defatigeris donec hanc auream catenam didiceris. Cum dixisset enim, Non quærit quæ sua sunt, dicit rursus bona quæ inde nascuntur: Quænam illa? *Non irritatur, non cogitat malum.* Vide rursum eam non solum in vitium imperare; sed etiam non sinere ut ejus imperium consistat. Non enim dixit, irritatur quidem, sed superat; sed, non irritatur. Neque dixit, Non operatur malum, sed ne cogitat quidem. Nihil enim mali non modo non apparat, sed ne suspicatur quidem adversus eum qui diligitur. Quomodo ergo operata fuerit, aut quomodo irritetur, quæ ne suspicionem quidem malam suscipere velit, unde fons est amoris. 6. *Non gaudet super iniquitate.* Hoc est, non ipsi placet quod alii male patiantur. Neque hoc tantum; sed quod longe majus est; *Congaudet veritati.* Gratulatur, inquit, iis, qui bene rem gerunt, id quod dicit Paulus: *Gaudere cum gaudentibus, & flere cum flentibus.* Hinc non æmulatur, hinc non inflatur. Etenim aliena bona sua esse existimat. Viden' quomodo caritas alumnum suum paulatim angelum faciat? Cum enim iræ expers sit, ab invidia purus, & ab omni tyrannico vitio liber, cogita illum ab humana natura abductum, ad ipsam angelorum *impassibilitatem* appulisse. Attamen non his contentus est; sed quid etiam his majus dicendum habet: nam quæ fortiora sunt postremo ponit. Quapropter dicit: *Omnia suffert.* A patientia, a mansuetudine; sive contumeliæ sint, sive plagæ, sive mors, sive quidvis aliud. Et hoc rursus ex beato Davide perspici potest. Quid enim molestius est, quam videre filium insurgentem, & tyrannidem affectantem, paternumque sanguinem sitientem? Sed & hoc tulit beatus ille; neque ita sustinuit acerbum verbum emittere contra parricidam. Sed cum alia omnia belli ducibus commisisset, pro illius salute mandata dabat; firmum enim erat caritatis fundamentum. Ideoque omnia suffert; & hinc quidem ejus virtutem subindicat; bonitatem autem per ea quæ sequuntur. Nam ait: *Omnia sperat, omnia credit, omnia sustinet.* Quid est, omnia sperat? De bonis quibuscumque, inquit, dilecti sui non desperat. Sed etiamsi ille malus sit, permanet illum corrigens, providens, curam gerens. *Omnia credit.* Non solum enim sperat, inquit; sed etiam credit, ex eo quod valde amet. Etiamsi hæc bona non secundum spem succedant; sed etiamsi ille molestior sit, ea etiam fert.

Εἰ δὲ λέγεις, ὅτι τὸ οἰκεῖον ζητῶν ἕκαστος τοῦτο ποιεῖ, τοῦτο καὶ ἐγὼ λέγω, ἀλλ' ὅτι διὰ τοῦ ἀλλοτρίου τὸ οἰκεῖον εὑρίσκεται. ὅ τε γὰρ στρατιώτης, ἐὰν μὴ πολεμήσῃ ὑπὲρ τῶν τρεφόντων, οὐκ ἔχει τὸν εἰς τοῦτο διακονούμενον· αὐτός τε ἐστὶ πάλιν, ἐὰν μὴ θρέψῃ τὸν στρατιώτην, οὐκ ἔχει τὸν ὑπερασπίζοντα. εἶδες τὴν ἀγάπην πανταχοῦ διατεταμένην καὶ πάντα οἰκονομοῦσαν; ἀλλὰ μὴ ἀποκάμῃς ἕως ἂν ὁλόκληρον τὴν χρυσῆν ταύτην σειρὰν καταμάθῃς. εἰπὼν γάρ, οὐ ζητεῖ τὰ ἑαυτῆς, λέγει πάλιν τὰ ἐκ τούτου τικτόμενα ἀγαθά. τίνα δὲ ταῦτά ἐστιν; οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν. ὅρα πάλιν οὐ κρατοῦσαν τῆς κακίας μόνον, ἀλλ' οὐδὲ ἀφιεῖσαν αὐτὴν στῆναι τὴν ἀρχήν. οὐ γὰρ εἶπε, παροξύνεται μέν, περιγίνεται δέ, ἀλλ' οὐδὲ παροξύνεται. καὶ οὐκ εἶπεν, οὐκ ἐργάζεται τὸ κακόν, ἀλλ' οὐδὲ λογίζεται. οὐδὲν γὰρ πονηρὸν οὐ μόνον οὐ κατασκευάζει, ἀλλ' οὐδὲ ὑποπτεύει κατὰ τοῦ φιλουμένου. πῶς οὖν ἂν ἐργάσαιτο, ἢ πῶς ἂν παροξυνθείη ἡ μηδὲ ὑπόνοιαν πονηρὰν δέξασθαι ἀνεχομένη; ὅθεν ἡ πηγὴ τῆς ὀργῆς. οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ· τουτέστιν, οὐκ ἐφήδεται τοῖς κακῶς πάσχουσιν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καί, ὃ πολλῷ μεῖζόν ἐστι, συγχαίρει τῇ ἀληθείᾳ. συνήδεται, φησι, τοῖς εὐδοκιμοῦσιν· ὃ λέγει Παῦλος, χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. ἐντεῦθεν οὐ ζηλοῖ, ἐντεῦθεν οὐ φυσιοῦται. καὶ γὰρ οἰκεῖα τὰ ἀλλότρια νομίζει καλά. εἶδες πῶς κατὰ μικρὸν ἄγγελον ποιεῖ τὸν αὐτῆς τρόφιμον ἡ ἀγάπη; ὅταν γὰρ ἀόργητος ᾖ, καὶ βασκανίας καθαρὸς, καὶ παντὸς τυραννικοῦ πάθους ἐλεύθερος, ἐννόησον ὅτι καὶ τῆς ἀνθρωπίνης φύσεως ἀπηλλάγη λοιπὸν, καὶ πρὸς αὐτὴν τῶν ἀγγέλων τὴν ἀπάθειαν μεθωρμίσατο. ἀλλ' ὅμως οὐκ ἀρκεῖται τούτοις, ἀλλ' ἔχει τι καὶ πλεῖον τούτων εἰπεῖν. τὰ γὰρ ἰσχυρότερα ὕστερον τίθησι. διό φησι, πάντα στέγει. ἀπὸ τῆς μακροθυμίας, ἀπὸ τῆς χρηστότητος, κἂν ὕβρεις, κἂν πληγαί, κἂν θάνατος, κἂν ὁτιοῦν. καὶ τοῦτο πάλιν ἀπὸ τοῦ μακαρίου Δαυῒδ συνιδεῖν δυνατόν. τί γὰρ φορτικώτερον τοῦ υἱὸν ἰδεῖν ἐπανιστάμενον, καὶ τυραννίδος ἐφιέμενον, καὶ αἵματος διψῶντα πατρῴου; ἀλλὰ καὶ τοῦτο ἔστεργεν ὁ μακάριος ἐκεῖνος, καὶ οὐδὲ οὕτως ἠνείχετο πικρὸν ῥῆμα ἐκβαλεῖν κατὰ τοῦ πατραλοίου, ἀλλὰ καὶ τοῖς στρατηγοῖς πάντα τὰ ἄλλα ἀφεὶς, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἐπέσκηπτεν. ἰσχυρὰ γὰρ ἦν ἡ τῆς ἀγάπης κρηπίς. διὸ καὶ πάντα στέγει, καὶ τὴν μὲν δύναμιν αὐτῆς ἐντεῦθεν αἰνίττεται, τὴν δὲ ἀγαθότητα διὰ τῶν ἑξῆς. πάντα γὰρ ἐλπίζει, φησί, πάντα πιστεύει, πάντα ὑπομένει. τί ἐστι, πάντα ἐλπίζει; πάντα τὰ χρηστά, φησιν, οὐκ ἀπογινώσκει τοῦ ἀγαπωμένου, ἀλλὰ κἂν φαῦλος ᾖ, παραμένει διορθουμένη, προνοοῦσα, ἐπιμελουμένη. πάντα πιστεύει. οὐ γὰρ ἁπλῶς ἐλπίζει, φησίν, ἀλλὰ καὶ πιστεύει ἐκ τοῦ σφόδρα φιλεῖν. κἂν μὴ ἐκβαίνῃ κατὰ τὴν ἐλπίδα τὰ χρηστὰ ταῦτα, ἀλλ' ἔτι φορτικώτερος ἐκεῖνος ᾖ, καὶ ταῦτα φέρει.

πάντα

πάντα γάρ, φησιν, ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἶδες τὴν κορωνίδα πότε ἔθηκε, καὶ ὃ μάλιστά ἐστιν ἐξαίρετον τούτου τοῦ δώρου; τί γάρ ἐστιν, οὐκ ἐκπίπτει; οὐ διακόπτεται, οὐ διαλύεται τῷ φέρειν. στέργει γὰρ πάντα. ὁ γὰρ φιλῶν οὐδέποτε μισῆσαι δύναται, κἂν ὁτιοῦν γένηται. τοῦτο γὰρ αὐτῆς τὸ μέγιστον ἀγαθόν. τοιοῦτος ἦν ὁ Παῦλος. διὸ καὶ ἔλεγεν, εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ ἔμενεν ἐλπίζων. καὶ Τιμοθέῳ παρῄνει λέγων· δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ θεὸς ἐπίγνωσιν ἀληθείας. τί οὖν, φησιν, ἂν ἐχθροὶ ὦσι καὶ Ἕλληνες, οὐ δεῖ μισεῖν; μισεῖν μέν, οὐκ ἐκείνους δέ, ἀλλὰ τὸ δόγμα, οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν, τὴν διεφθαρμένην γνώμην. ὁ μὲν γὰρ ἄνθρωπος ἔργον θεοῦ, ἡ δὲ πλάνη ἔργον τοῦ διαβόλου. μὴ τοίνυν ἀναμίξῃς τὰ τοῦ θεοῦ, καὶ τὰ τοῦ διαβόλου. ἐπεὶ καὶ Ἰουδαῖοι καὶ βλάσφημοι ἦσαν, καὶ διῶκται, καὶ ὑβρισταί, καὶ μυρία τὸν Χριστὸν ἔλεγον κακά. ἆρ' οὖν ἐμίσει αὐτοὺς Παῦλος, ὁ μάλιστα πάντων τὸν Χριστὸν φιλῶν; οὐδαμῶς, ἀλλὰ καὶ ἐφίλει, καὶ πάντα ὑπὲρ αὐτῶν ἔπραττε· καὶ νῦν μέν φησιν, ἡ μὲν εὐδοκία καὶ ἡ δέησίς μου πρὸς τὸν θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν· νῦν δέ, ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ αὐτῶν. οὕτω καὶ ὁ Ἰεζεκιὴλ ὁρῶν αὐτοὺς σφαζομένους ἔλεγεν· οἴμοι, κύριε, ἐξαλείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραήλ; καὶ ὁ Μωϋσῆς, εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες. τί οὖν φησιν ὁ Δαυΐδ; τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην, τέλειον μῖσος ἐμίσουν αὐτούς; μάλιστα μὲν οὐ πάντα τὰ ἐν τοῖς ψαλμοῖς ὑπὸ τοῦ Δαυΐδ εἰρημένα, ἐκ προσώπου τοῦ Δαυΐδ εἴρηται. καὶ γὰρ αὐτὸς οὗτός φησι, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· καί, ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν· οὔτε δὲ Βαβυλῶνα εἶδεν, οὔτε τὰ σκηνώματα Κηδάρ. ἄλλως δέ, καὶ πλείονα νῦν ἀπαιτούμεθα φιλοσοφίαν. διὸ καὶ τῶν μαθητῶν ἀξιούντων κατενεχθῆναι πῦρ, ὡς ἐπὶ Ἠλιοῦ, οὐκ οἴδατε, φησιν ὁ Χριστός, ποίου πνεύματός ἐστε. τότε μὲν γὰρ οὐχὶ τὴν ἀσέβειαν μόνον, ἀλλὰ καὶ τοὺς ἀσεβοῦντας αὐτοὺς μισεῖν ἐκελεύοντο, ἵνα μὴ ἡ φιλία ἀφορμὴ γένηται παρανομίας αὐτοῖς. διὰ τοῦτο καὶ τὰς συγγενείας διέκοψε, καὶ τὰς ἐπιμιξίας, καὶ πάντοθεν αὐτοὺς ἀπετείχισε.

Νῦν δὲ ὅτε πρὸς μείζονα ἡμᾶς ἤγαγε φιλοσοφίαν, καὶ ὑψηλοτέρους τῆς βλάβης ἐκείνης ἐποίησε, καὶ προσιέσθαι καὶ παρακαλεῖν κελεύει. οὐ γὰρ ἡμῖν ἐξ ἐκείνων βλάβη, ἀλλ' ἐκείνοις ἐξ ἡμῶν ὠφέλεια γίνεται. τί οὖν φησιν; οὐ δεῖ μισεῖν, ἀλλ' ἐλεεῖν. ἂν γὰρ μισήσῃς, πῶς ἐπιστρέψεις ῥᾳδίως τὸν πλανώμενον; πῶς εὔξῃ ὑπὲρ τοῦ ἀπίστου; ὅτι γὰρ εὔχεσθαι δεῖ, ἄκουσον τί φησιν ὁ Παῦλος· παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις,



A Omnia enim sustinet, inquit. 8. *Caritas nunquam excidit.* Vidistin' quando coronidem imposuerit, & quod in hoc dono magis eximium sit? Quid enim sibi vult, non excidit? Non discinditur, non dissolvitur ferendo. Amat enim omnia. Nam qui amat, nunquam odisse possit, quidquid factum fuerit: hoc quippe est maximum ipsius bonum. Talis erat Paulus: ideo dicebat: *Si quo modo provocem ad æmulandum carnem meam*, & sperans mansit. Et Timotheum hortabatur dicens: *Servum autem Domini non oportet pugnare, sed mansuetum esse ad omnes, in modestia erudientem eos qui resistunt veritati, an forte det illis Deus cognitionem veritatis.* B Quid ergo, inquies, si inimici sint & Gentiles, annon odisse oportuit? Odisse quidem, non illos, sed dogma; non hominem, sed malum opus, corruptum animum. Homo namque est opus Dei; error autem, opus diaboli. Ne ergo misceas ea quæ Dei sunt, & quæ diaboli. Nam Judæi erant & blasphemi, & persequutores & contumeliosi, innumeraque de Christo dicebant mala; ergo ne illos oderat Paulus, qui maxime omnium Christum amabat? C Nequaquam, imo & amabat, & omnia pro ipsis agebat. Et nunc quidem dicit: *Voluntas quidem & deprecatio mea ad Deum fit pro illis ad salutem;* nunc autem, Optabam anathema esse a Christo pro ipsis. Sic & Ezechiel videns eos occidi dicebat: *Hei mihi, Domine, deles tu eos qui sunt reliqui ex Israel?* Et Moyses: *Si quidem dimittis illis peccatum, dimitte.* Quid ergo dicit David: *Eos qui oderunt te, Domine, oderam, & super inimicos tuos tabescebam, perfecto odio oderam illos?* Atqui non omnia, quæ a Davide in Psalmis dicta sunt, ex persona Davidis sunt dicta. D Etenim hic ipse dicit, *Tabernaculum fixi cum tabernaculis Cedar.* Et, *Super flumina Babylonis illic sedimus & flevimus.* Neque vero vidit Babylonem, neque tabernacula Cedar. Alioquin autem, nunc major a nobis exigitur philosophia. Quamobrem, rogantibus discipulis ut demitteretur ignis, ut tempore Eliæ; *Nescitis*, inquit Christus, *cujus Spiritus estis.* Tunc enim non impietatem modo, sed etiam impios ipsos odisse jubebantur, ne amicitia occasio ipsis esset iniquitatis. Ideoque cognationes abscidit & commixtiones, & undique illos muniebat. E

5. Nunc autem quia ad majorem nos duxit philosophiam, & excelsiores posuit, quam ut damno hinc affici possemus, & admittere eos & consolari jubet. Neque enim nobis ab illis damnum; sed illis a nobis utilitas provenit. Quid ergo dicit? Non oportet odisse, sed misereri. Si enim oderis, quomodo errantem facile convertes? Quomodo orabis pro infideli? Nam quod orare oporteat, audi quid dicat Paulus: *Obsecro igitur primum omnium fieri obsecrationes, orationes, postulationes,*

Caritas quam commendetur a Paulo.
Rom. 11. 14.
2. Tim. 2. 24.
Rom. 10. 1.
Ezech. 9. 8.
Exod. 32. 31.
Psal. 138. 20.
Psal. 119. 5. & Psal. 136. 1.
Luc 9. 55.

*gratiarum actiones pro omnibus hominibus.* Quod autem tunc non omnes fideles essent, cuivis manifestum est. Et rursum, pro regibus, & iis qui in dignitate constituti sunt. Quod porro hi impii essent & iniqui, hoc item perspicuum est. Deinde causam quoque orationis dicens, subjungit: Hoc enim bonum est & acceptum in conspectu salvatoris nostri Dei, qui omnes homines vult salvos fieri, & ad agnitionem veritatis venire. Ideo si Gentilem mulierem invenerit cum fideli habitantem, non solvit conjugium. Atqui quid est mulieri viro conjunctius? *Erunt* enim *duo in carne una*: magnaque est illic animorum conjunctio & fervens amor. Si autem impios & iniquos odio habituri simus, ultra progressi etiam peccatores odio habebimus, & sic ulterius procedens, a multis fratribus discindêris, imo ab omnibus. Nemo enim, nemo certe sine peccato est. Nam si oporteat Dei inimicos odisse, non solum impios, sed etiam peccatores odio habere oportet: & sic erimus feris deteriores, omnes aversantes, arrogantia inflati, sicut ille Pharisæus. At non ita jussit Paulus, sed quomodo? *Monete incompositos, consolamini pusillanimes, suscipite infirmos, patientes estote ad omnes.* Quid ergo, inquies, cum dicit, *Si quis non obedit verbo nostro per epistolam, hunc notate, & non commisceamini cum illo?* Vere quidem hoc de fratribus dictum est; at non absolute, sed cum mansuetudine. Ne enim reseces ea quæ sequuntur, sed & ea quæ sunt postea adjicias. Nam cum dixisset, Ne commisceamini, subjunxit: Et nolite quasi inimicum existimare; sed admonete ut fratrem. Viden' quomodo malum opus jubet odisse, non hominem? Nam opus diaboli est nos alterum ab altero divellere: & valde curabat ille caritatem de medio tollere, ut correctionis viam secaret, detineretque illum quidem in errore, te autem in inimicitia, deindeque arceret eum a via salutis. Quando enim medicus odit ægrotum & ab illo fugit, & ægrotus medicum aversatur, quandonam hic convalescet; cum neque hic illum advocet, neque ille ipsum adeat? Cur ergo, quæso, aversaris & fugis illum? An quia est impius? At ideo oportet illum adire & curare, ut ægrotum ad valetudinem revoces. Quod si incurabili morbo laborat, sed tu jussus es quod in te est facere. Nam & Judas incurabili morbo laborabat, nec tamen destitit Deus illum curare. Ne itaque tu quoque defatigeris. Nam etiamsi magno adhibito studio, ipsum ab impietate non liberes, ac si liberasses mercedem accipies, & efficies ut ipse mansuetudinem tuam admiretur. Sicque ad Deum tota hæc gloria transibit. Etiamsi enim miracula patres, etiamsi quidvis aliud facias, nunquam te ita admirabuntur Gentiles, ut cum te viderint mitem, mansuetum,

Gen. 2. 24.

1. Thess. 5. 14.

2. Thess. 3. 14.

Opus diaboli est alterum ab altero divellere.

A εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων. ὅτι δὲ πάντες τότε οὐκ ἦσαν πιστοὶ, παντί που δῆλον. καὶ πάλιν, ὑπὲρ βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ ὄντων. ὅτι δὲ οὗτοι ἀσεβεῖς ἦσαν καὶ παράνομοι, καὶ τοῦτο δῆλον ὁμοίως. εἶτα καὶ τὴν αἰτίαν λέγων τῆς εὐχῆς, ἐπάγει· τοῦτο γὰρ καλὸν, καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. διὰ τοῦτο κἂν Ἑλληνίδα γυναῖκα εὕρῃ συνοικοῦσαν πιστῷ, οὐ διαζεύγνυσι τὸν γάμον. καίτοιγε τί οἰκειότερον ἀνδρὸς γυναικί; ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν, καὶ πολὺ τὸ φίλτρον ἐκεῖ καὶ θερ-

B μὸς ὁ πόθος. εἰ δὲ μέλλοιμεν ἀσεβεῖς μισεῖν καὶ παρανομοῦντας, προϊόντες καὶ ἁμαρτωλοὺς μισήσομεν, καὶ οὕτως ὁδῷ προβαίνων καὶ τῶν ἀδελφῶν ἀπορραγήσῃ τῶν πλειόνων, μᾶλλον δὲ πάντων. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς ἁμαρτίας χωρίς. εἰ γὰρ δεῖ τοὺς ἐχθροὺς τοῦ θεοῦ μισεῖν, οὐχὶ ἀσεβεῖς δεῖ μισεῖν μόνον, ἀλλὰ καὶ ἁμαρτωλούς· καὶ οὕτως ἐσόμεθα θηρίων χείρους, πάντας ἀποστρεφόμενοι, καὶ ἀπονοίᾳ φυσώμενοι, καθάπερ ὁ Φαρισαῖος ἐκεῖνος. ἀλλ᾽ οὐχ ὁ Παῦλος οὕτως ἐκέλευσεν, ἀλλὰ πῶς; νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς

C ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. τί οὖν φησιν, ὅταν λέγῃ, εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ; μάλιστα μὲν περὶ ἀδελφῶν τοῦτο εἴρηται, πλὴν οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ τοῦτο μετὰ ἡμερότητος. μὴ γὰρ δὴ περικόψῃς τὰ ἑξῆς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα πρόσθες. καὶ γὰρ εἰπὼν μὴ συναναμίγνυσθε, ἐπήγαγε, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ὁρᾷς πῶς τὸ ἔργον μισεῖν τὸ φαῦλον, καὶ οὐ τὸν ἄνθρωπον ἐκέλευσε; καὶ γὰρ ἔργον τοῦ διαβόλου τὸ διασπᾷν ἡμᾶς ἀπ᾽

D ἀλλήλων, καὶ σφόδρα ἐσπούδακεν ἀνελεῖν τὴν ἀγάπην, ἵνα ἐκκόψῃ τῆς διορθώσεως τὴν ὁδὸν, καὶ κατάσχῃ ἐκεῖνον μὲν ἐν πλάνῃ, σὲ δὲ ἐν ἀπεχθείᾳ, εἶθ᾽ οὕτως ἀποτειχίσῃ τῆς ἐκείνου σωτηρίας τὴν ὁδόν. ὅταν γὰρ καὶ ὁ ἰατρὸς μισῇ τὸν κάμνοντα καὶ φεύγῃ, καὶ ὁ κάμνων τὸν ἰατρὸν ἀποστρέφηται, πότε ἀναστήσεται ὁ νοσῶν, ὅταν μήτε ἐκεῖνος αὐτὸν καλῇ, μήτε οὗτος πρὸς αὐτὸν ἀπίῃ; τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ ἀποστρέφῃ καὶ φεύγεις αὐτόν; ὅτι ἀσεβής ἐστιν; οὐκοῦν διὰ τοῦτο δεῖ προσιέναι καὶ θεραπεύειν, ἵνα ἀναστήσῃς νοσοῦντα.

E εἰ δὲ ἀνίατα νοσεῖ, ἀλλὰ σὺ τὸ σαυτοῦ ποιεῖν ἐκελεύσθης. ἐπεὶ καὶ ὁ Ἰούδας ἀνίατα ἐνόσει, καὶ οὐ διέλιπεν ὁ θεὸς αὐτὸν θεραπεύων. μὴ τοίνυν, μηδὲ σὺ ἀποκάμῃς. κἂν γὰρ πολλὰ σπουδάσας μὴ ἀπαλλάξῃς τῆς ἀσεβείας αὐτὸν, καὶ τοῦ ἀπαλλάξαντος λήψῃ τὸν μισθὸν, καὶ παρασκευάσεις αὐτὸν θαυμάζειν σου τὴν ἡμερότητα, καὶ οὕτως εἰς τὸν θεὸν ἡ δόξα ἅπασα αὕτη διαβήσεται. κἂν γὰρ θαύματα ποιῇς, κἂν νεκροὺς ἐγείρῃς, κἂν ὁτιοῦν ἐργάσῃ, οὐδέποτέ σε οὕτω θαυμάσονται Ἕλληνες, ὡς ὅταν ἴδωσι πρᾷον, καὶ ἥμερον, καὶ

A γλυκὺν παρεχόμενον τρόπον. οὐ μικρὸν δὲ καὶ τοῦτο κατόρθωμα. πολλοὶ γὰρ καὶ τέλεον ἀπαλλαγήσονται τοῦ κακοῦ. οὐδὲν γὰρ οὕτως ἐπισπάσασθαι δύναται, ὡς ἀγάπη. ἐπ' ἐκείνοις μὲν γάρ σε καὶ ζηλοτυπήσουσι, τοῖς σημείοις λέγω καὶ θαύμασιν, ἐπὶ τούτῳ δὲ καὶ θαυμάσονται καὶ φιλήσουσι· φιλοῦντες δὲ καὶ τῆς ἀληθείας ἐπιλήψονται ὁδῷ προβαίνοντες. εἰ δὲ οὐκ εὐθέως γένοιτο πιστὸς, μὴ θαύμαζε, μηδὲ ἐπείγου, μηδὲ ἅπαντα ὁμοῦ ζήτει, ἀλλ' ἔασον αὐτὸν τέως ἐπαινεῖν, φιλεῖν, καὶ εἰς τοῦτο ὁδῷ προϊὼν ἥξει. καὶ ἵνα μάθῃς σαφῶς ἡλίκον τοῦτό ἐστιν, ἄκουσον πῶς καὶ Παῦλος B πρὸς δικαστὴν εἰσιὼν ἄπιστον ἀπελογεῖτο. μακάριον γὰρ, φησὶν, ἥγημαι ἐμαυτὸν, μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν, οὐ κολακεύων αὐτὸν, ἄπαγε, ἀλλὰ διὰ τῆς ἡμερότητος κερδᾶναι βουλόμενος. καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν ὁ τέως κατάδικος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων λέγων, ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

Τί οὖν ὁ Παῦλος; ἐπιπλέον ἁπλοῖ τὴν σαγήνην, καί φησιν· εὐξαίμην ἂν ἔγωγε μὴ μόνον σὲ, ἀλλὰ καὶ τοὺς C παρόντας ἅπαντας τοῦτο γενέσθαι ὅπερ ἐγὼ, ἄνευ τῶν δεσμῶν τούτων. τί λέγεις, ὦ Παῦλε; ἄνευ τῶν δεσμῶν; καὶ ποία σοι λοιπὸν παῤῥησία, εἰ ταῦτα αἰσχύνῃ καὶ φεύγεις, καὶ ταῦτα ἐπὶ δήμου τοσούτου; οὐ πανταχοῦ τῶν ἐπιστολῶν ἐπὶ τῷ πράγματι τούτῳ καυχᾶσαι, καὶ δέσμιον σεαυτὸν καλεῖς; καὶ τὴν ἅλυσιν ταύτην ἡμῖν ἀντὶ διαδήματος πανταχοῦ περιφέρεις; τί τοίνυν γέγονε νῦν, ὅτι ἀπεύχῃ τὰ δεσμά; οὐκ αὐτὸς ἀπεύχομαι, φησὶν, οὐδὲ αἰσχύνομαι, ἀλλ' ἐκείνων τῇ ἀσθενείᾳ συγκαταβαίνω. οὔπω γὰρ χωροῦσι δέξασθαι τὸ καύχημα τὸ ἐμόν· ἔμαθον δὲ παρὰ τοῦ δεσπό- D του μου μὴ ἐπιβάλλειν ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· διὰ τοῦτο οὕτως εἶπον. καὶ γὰρ διαβέβληνται τέως πρὸς τὸ δόγμα τὸ ἡμέτερον, καὶ πρὸς τὸν σταυρὸν ἀπεχθῶς ἔχουσιν. ἂν τοίνυν καὶ τὰ δεσμὰ προσθῶ, μεῖζον τὸ μῖσος γίνεται· διὰ τοῦτο ἀνεῖλον ταῦτα, ἵνα ἐκεῖνο εὐπαράδεκτον γένηται. καὶ γὰρ ἐπονείδιστον αὐτοῖς εἶναι δοκεῖ τὸ δεδέσθαι, ἐπεὶ μηδέπω τῆς παρ' ἡμῖν ἐγεύσαντο δόξης. δεῖ τοίνυν συγκαταβαίνειν. ὅταν γὰρ μάθωσι φιλοσοφεῖν, τότε εἴσονται καὶ τοῦ σιδήρου τούτου τὸ E κάλλος, καὶ τὴν ἀπὸ τῶν δεσμῶν περιφάνειαν. ἄλλοις γοῦν διαλεγόμενος, καὶ χάριν τὸ πρᾶγμα καλεῖ λέγων, ὅτι ἐδόθη ἡμῖν ἀπὸ θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. τὸ δὲ τέως ἀγαπητὸν ἦν τὸ τὸν σταυρὸν τοὺς ἀκούοντας μὴ ἐπαισχυνθῆναι· διὰ τοῦτο ὁδῷ πρόεισιν. οὐδὲ γὰρ εἰς βασίλειά τις εἰσάγων τινὰ, πρὶν ἢ τὰ προπύλαια θεάσασθαι ἔξω ἑστῶτα, ἀναγκάζει κατοπτεύειν τὰ ἔνδον. οὕτω γὰρ οὐδὲ θαυμαστὰ φανεῖται, ἂν μή τις ἔνδον γενόμενος, ἅπαντα καταμάθοι. οὕτω τοίνυν καὶ ἡμεῖς τοῖς Ἑλλήνων



A suavesque mores exhibentem. Non est autem hoc modicum virtutis opus; multi enim tandem a malo liberabuntur. Nihil enim ita potest attrahere, ut caritas. (Caritas omnia superat.) Nam propter illa quidem te æmulabuntur, propter signa dico & miracula; propter hoc autem & admirabuntur & amabunt: te autem amantes, veritatem ultra progressi amplectentur. Si vero non statim fiat fidelis, ne mireris, neque urgeas, neque omnia simul quæras; sed sine illum interim laudare, amare, & sic ulterius procedens veniet. Et ut clare B discas quantum hoc sit, audi quomodo etiam Paulus infidelem judicem adiens sese purget. Nam ait: *Beatum me existimo, cum apud te sim me in judicio defensurus.* (Act. 26. 2.) Hæc autem dicebat, non assentans ei, absit, sed ut eum mansuetudine lucraretur; & ex parte lucratus est, & judicem cepit, qui hactenus crimini obnoxius putabatur, & victoriam ejus is ipse qui captus est splendida voce præsentibus omnibus confitebatur dicens: *Parum abest quin mihi persuadeas ut fiam Christianus.* (Act. 26. 28.)

6. Quid ergo Paulus? Magis expandit C sagenam & ait: Optarem ego, non solum te, sed etiam omnes qui adsunt, hoc esse quod ego sum, exceptis his vinculis. Quid dicis, o Paule? exceptis vinculis? Et quænam tibi de cætero fiducia, si eorum te pudeat & ea fugias; & hoc tanto præsente populo? Annon in epistolis tuis hac de re ubique gloriaris, & te vinctum appellas? hancque catenam ubique nobis quasi diadema circumfers? Quid ergo nunc factum est, ut vincula depreceris? Non ipse deprecor, inquit, neque me pudet, sed illorum infirmitati me attempero. Nondum enim possunt suscipere meam gloriationem. Didici au- (Matt. 9. 16.) D tem a Domino meo, non immittendam esse partem panni rudis, in pannum veterem. Ideo sic loquutus sum. Nam male apud illos audit dogma nostrum, & crux illis invisa est. Si ergo vincula quoque adjiciam, majus odium erit. Ideo hæc sustuli, ut illud esset acceptum. Etenim contumeliosum illis videtur esse vinculis constringi, quia eam, quæ apud nos est, gloriam nondum degustarunt. Oportet igitur sese attemperare. Nam cum didicerint philosophari, tunc scient E etiam hujus ferri pulcritudinem, & splendorem qui ex vinculis oritur. Cum aliis namque disserens, hanc rem gratiam vocat dicens: Datum est nobis a Deo non modo ut in ipsum credamus, sed etiam ut pro illo patiamur. Tunc autem hoc unum optandum erat, ut crucem audientes non pudore afficerentur. Propterea ultra progreditur. Non enim si quis in Regiam aliquem introducat, antequam vestibula quæ foris sunt aspexerit, cogit illum ut ea quæ intus sunt observet. Sic enim nec mirabilia illa apparerent, nisi quis intra positus, omnia didicerit. Sic itaque & nos cum ethnicis dis-

seramus cum attemperatione, cum caritate. Hæc quippe magna est magistra, quæ possit & ab errore abducere, & mores componere, atque ad philosophiam viam sternere, exque lapidibus homines facere. Et si vis ejus virtutem ediscere, adduc mihi virum timidum & qui vel strepitum formidet, & umbras timeat; sitque iracundus, asper & fera magis quam homo, salax & libidinosus, nullo non vitio affectus; & trade illum in manus caritatis, & in hoc gymnasium induc: & cito videbis timidum illum ac meticulosum, fortem effectum & magni animi, omniaque facile audentem. Quod autem mirabile est, hæc non mutata ejus natura fiunt; sed in ipsa timida anima suam caritas ostendit virtutem; & perinde fit atque si quis ensem plumbeum, non ferreum effectum, sed manentem in plumbi natura, efficiat ut eadem quæ ferrum operetur. Animum autem adhibe: Jacob sine fuco erat, domi habitans & laborum periculorumque expers, vitam quamdam agens remissam & liberam, & sicut virgo in thalamo, sic intus sedens, ut plurimum domum servare cogebatur, a fori tumultu & ab omnibus hujusmodi liber; semper autem in quiete & in tranquillitate manens. Quid igitur? Postquam illum fax amoris accendit, vide quomodo simplicem illum & domum incolentem, fortem & laboriosum reddiderit: & hoc non a me, sed ab ipso patriarcha audi. Socerum enim

Gen. 31. 36. incusans, ait: *Hos viginti annos tecum ego sum.* Et quomodo fuisti hos viginti annos? nam & hoc quoque adjecit. Adustus æstu diei, & frigore noctis, & abscessit somnus ab oculis meis. Hæc ille sine fuco, qui domi habitabat ac remissam ducebat vitam. Quod autem timidus esset, palam est ex eo quod, cum se Esau visurum exspectaret, metu moreretur. Sed vide rursum quomodo ille timidus, leone audacior ex amore factus sit. Nam velut quidam propugnator ante alios omnes positus, paratus erat ferocem illum & cædem spirantem, ut existimabat, primus excipere, & in corpore suo mulieribus securitatem apparare, & eum quem timuerat & formidaverat primus instructa acie videre cupiebat. Hoc quippe timore fortior erat uxorum amor. Viden' quomodo timidus cum esset, audax subito factus sit, non mutato habitu, sed ab amore roboratus? Nam quod etiam postea timidus esset, palam est ex eo quod locum ex loco mutaret. Sed nemo putet ea quæ dicta sunt justi esse accusationem. Non enim timidum esse culpa est: nam hoc est naturæ; sed ex timore aliquid contra officium patrare. Potest enim quis natura timidus, a pietate fortis & magni animi effici. Quid autem Moyses? Annon Ægyptium unum timens fugit, & in exsilium ivit? Attamen ille fugitivus, qui viri unius minas non tulerat,

A παισὶ προσβάλλωμεν, μετὰ συγκαταβάσεως, μετὰ ἀγάπης. μεγάλη γὰρ αὕτη διδάσκαλος, καὶ ἱκανὴ καὶ πλάνης ἀπαγαγεῖν, καὶ τρόπον μεταρρυθμίσαι, καὶ πρὸς φιλοσοφίαν χειραγωγῆσαι, καὶ ἀπὸ λίθων ἀνθρώπους ἐργάσασθαι. καὶ εἰ βούλει μαθεῖν αὐτῆς τὴν δύναμιν, ἄγε μοι ἄνδρα δειλὸν καὶ ψοφοδεῆ, καὶ τὰς σκιὰς τρέμοντα, καὶ ὀργίλον καὶ τραχὺν καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπον, καὶ λάγνον καὶ ἀσελγῆ, καὶ πᾶσαν ἔχοντα κακίαν, καὶ παράδος αὐτὸν ταῖς τῆς ἀγάπης χερσὶ, καὶ εἰς τὸ γυμνάσιον εἰσάγαγε τοῦτο, καὶ ὄψει ταχέως τὸν δειλὸν ἐκεῖνον καὶ ἄτολμον, ἀνδρεῖον καὶ μεγαλόψυχον
B γινόμενον καὶ πάντα τολμῶντα ῥᾳδίως. καὶ τὸ δὲ θαυμαστὸν, ὅτι οὐ τῆς φύσεως αὐτῷ μεταβληθείσης ταῦτα γίνεται, ἀλλ' ἐν αὐτῇ τῇ δειλῇ ψυχῇ τὴν ἑαυτῆς ἐνδείκνυσιν δύναμιν ἡ ἀγάπη· καὶ ταυτὸν γίνεται, οἷον ἂν εἴ τις μάχαιραν μολιβδίνην, οὐ σιδηρᾶν ποιήσας, ἀλλὰ μένουσαν ἐπὶ τῆς τοῦ μολίβδου φύσεως, τὰ σιδήρου ἐργάζεσθαι παρασκευάσῃ. σκόπει δέ· ὁ Ἰακὼβ ἄπλαστος ἦν, οἰκῶν οἰκίαν, καὶ πόνων ἀμελέτητος καὶ κινδύνων, ἀνειμένον τινὰ βίον ζῶν καὶ ἐλεύθερον, καὶ καθάπερ παρθένος ἐν θαλάμῳ, οὕτω καὶ αὐτὸς ἔνδον καθή-
C μενος, τὰ πλείονα οἰκουρεῖν ἠναγκάζετο, ἀγορᾶς μὲν καὶ τῶν ἐκ τῆς ἀγορᾶς θορύβων καὶ πάντων τῶν τοιούτων ἀπηλλαγμένος, διαπαντὸς δὲ ἐν ἀδείᾳ καὶ ἡσυχίᾳ μένων. τί οὖν; ἐπειδὴ αὐτὸν ὁ πυρσὸς τῆς ἀγάπης ἀνῆψε, τὸν ἄπλαστον τοῦτον καὶ οἰκοῦντα οἰκίαν ὅρα πῶς ἐποίησε καρτερικὸν καὶ φιλόπονον. καὶ ταῦτα μὴ παρ' ἐμοῦ, ἀλλὰ παρ' αὐτοῦ ἄκουε τοῦ πατριάρχου. ἐγκαλῶν γὰρ τῷ κηδεστῇ, φησι, ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι μετὰ σοῦ. καὶ πῶς τὰ εἴκοσιν ἔτη ἐγένου; καὶ γὰρ καὶ τοῦτο προσέθηκε, συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο
D ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. ταῦτα ὁ ἄπλαστος, καὶ οἰκῶν οἰκίαν, καὶ τὸν ἀνειμένον βίον ζῶν. ὅτι δὲ καὶ δειλὸς ἦν, δῆλον ἐξ ὧν τὸν Ἠσαῦ προσδοκῶν ὄψεσθαι, ἐτεθνήκει τῷ δέει. ἀλλ' ὅρα πάλιν, πῶς οὗτος ὁ δειλὸς, λέοντος θρασύτερος ὑπὸ τῆς ἀγάπης γέγονε. καθάπερ γάρ τινα πρόβολον ἑαυτὸν πρὸ τῶν ἄλλων τάξας ἁπάντων, ἕτοιμος ἦν τὸν ἄγριον ἐκεῖνον καὶ φόνου πνέοντα, καθὼς ᾤετο, δέξασθαι πρῶτος, καὶ ἐν τῷ οἰκείῳ σώματι ταῖς γυναιξὶ τὴν ἀσφάλειαν κατασκευάσαι· καὶ ὃν ἐδεδοίκει καὶ ἔφριττε, πρῶτος ἰδεῖν ἐπὶ τῆς παρατάξεως ἐπεθύμει.
E τοῦ γὰρ φόβου τούτου δυνατώτερος ἦν ὁ τῶν γυναικῶν πόθος. εἶδες πῶς δειλὸς ὢν, τολμητὴς γέγονεν ἀθρόον, οὐ τὴν ἕξιν μεταβαλὼν, ἀλλ' ὑπὸ τῆς ἀγάπης κρατυνθείς; ὅτι γὰρ καὶ μετὰ ταῦτα δειλὸς ἦν, δῆλον ἐξ ὧν τόπους ἐκ τόπων ἀμείβει. ἀλλὰ μηδεὶς νομιζέτω κατηγορίαν εἶναι τοῦ δικαίου τὰ εἰρημένα. οὐ γὰρ τὸ δειλὸν εἶναι, ἔγκλημα, τοῦτο γὰρ φύσεως, ἀλλὰ καὶ τὸ διὰ δειλίαν τι ποιεῖν τῶν μὴ προσηκόντων. ἔστι γὰρ καὶ δειλὸν ὄντα τῇ φύσει, ἀνδρεῖον γενέσθαι ὑπὸ τῆς εὐλαβείας. τί δὲ ὁ Μοϋσῆς; οὐχὶ ἕνα Αἰγύπτιον φοβηθεὶς ἔφυγε, καὶ πρὸς τὴν ὑπερορίαν μετέστη; ἀλλ' ὅμως ὁ φυγὰς οὗτος, καὶ ἑνὸς ἀνδρὸς ἀπειλὴν οὐκ ἐνεγκὼν,

ἐπειδὴ ἐγεύσατο τοῦ μέλιτος τῆς ἀγάπης, καλῶς καὶ μηδενὸς καταναγκάζοντος συναπολέσθαι τοῖς ἀπολλυμένοις ἠπείγετο. Εἰ μὲν γὰρ ἀφῆς αὐτοῖς τὴν ἁμαρτίαν, φησὶν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας. ὅτι δὲ καὶ τὸν θρασὺν ἐπιεικῆ, καὶ τὸν ἀσελγῆ σώφρονα ποιεῖ τὸ φιλεῖν, οὐδὲ παραδειγμάτων ἡμῖν ἐνταῦθα χρεία λοιπόν. πᾶσι γὰρ τοῦτο δῆλον. κἂν θηρίου παντός τις ἀγριώτερος ᾖ, προβάτου παντὸς ἡμερώτερος ἀπὸ τοῦ φιλεῖν γίνεται. τί γὰρ τοῦ Σαοὺλ ἀγριώτερον ἦν καὶ μανικώτερον; ἀλλ' ἡνίκα τὸν ἐχθρὸν ἀπέλυσεν ἡ θυγάτηρ, οὐδὲ ῥῆμα πρὸς αὐτὴν ἐξέβαλε πικρόν. καὶ ὁ τοὺς ἱερέας ἄρδην ἅπαντας κατασφάξας διὰ τὸν Δαυῒδ, τὴν θυγατέρα ὁρῶν ἐκ τῆς οἰκίας αὐτὸν ἀφεῖσαν, οὐδὲ μέχρι λόγου πρὸς αὐτὴν ἠγανάκτησε, καὶ ταῦτα ἀπάτης τοσαύτης ἐπ' αὐτὸν συντεθείσης. δυνατωτέρῳ γὰρ χαλινῷ τῷ τῆς ἀγάπης κατείχετο. ὥσπερ δὲ ἐπιεικεῖς, οὕτω καὶ σώφρονας οἶδεν αὕτη ποιεῖν. κἂν τὴν ἑαυτοῦ τις ἀγαπᾷ γυναῖκα οὕτως, ὡς ἀγαπᾷν δεῖ, κἂν μυριάκις ἀσελγὴς ᾖ, οὐκ ἀνέξεται ἑτέραν ἰδεῖν διὰ τὸν πρὸς ἐκείνην πόθον. κραταιὰ γάρ, φησιν, ὡς θάνατος, ἡ ἀγάπη. ὥστε οὐδαμόθεν ἄλλοθεν τὸ ἀσελγαίνειν γίνεται, ἢ ἐκ τοῦ μὴ φιλεῖν. ἐπεὶ οὖν δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη, μετὰ ἀκριβείας ἁπάσης ἐν ταῖς ἑαυτῶν καταφυτεύσωμεν αὐτὴν ψυχαῖς, ἵν' ἡμῖν πολλὰ κομίσῃ τὰ ἀγαθὰ, καὶ βρύοντα αὐτῆς διηνεκῶς τὸν καρπὸν ἔχωμεν, τὸν ἀεὶ τεθηλότα, καὶ οὐδέποτε μαραινόμενον. οὕτω γὰρ καὶ αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A postquam gustavit mel caritatis, pulcre ac nemine cogente, ut una cum dilectis periret festinabat. Si enim, inquit, dimittis illis peccatum, dimitte, sin minus, & me dele de libro tuo, quem scripsisti. Quod autem amor & trucem mansuetum, & libidinosum castum efficiat, non hic ultra exemplis nobis opus; id enim omnibus palam est: etiamsi fera quavis immanior quis fuerit, ove mansuetior ex amore efficitur. Nam quid Saüle immanius & furiosius erat? Sed quando filia ejus inimicum solvit, ne ver- B bum quidem amarum contra illam emisit: & qui sacerdotes omnes penitus interfecerat propter Davidem, filiam videns quæ ex domo illum emiserat, ne verbo quidem tenus adversus illam indignatus est; etiamsi fraus illa adversum se adornata fuisset: potentiore namque amoris freno detinebatur. Ut autem mansuetos, ita & temperantes solet caritas facere. Si quis enim uxorem suam amat, ut amare oportet, quantumvis natura sit libidinosus, nunquam aliam videbit, suæ amore ductus: nam ait: *Fortis est ut mors dilectio.* Cant. 8. 6. C Itaque non aliunde quis libidinosus est, quam quod non amet. Quoniam igitur omnis virtutis opifex est caritas, cum accuratione omni illam in animis nostris inseramus, ut nobis multa conferat bona, & uberem ejus fructum perpetuo decerpamus, semper virentem, qui nunquam marcescat. Sic enim æterna consequemur bona, quæ utinam nos omnes adipisci contingat, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unàque Spiritui sancto, gloria, imperium, honor, nunc D & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ λδʹ.

Εἴτε δὲ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται.

ΔΕΙΞΑΣ τῆς ἀγάπης τὴν ὑπεροχὴν ἐκ τοῦ καὶ τὰ χαρίσματα καὶ τὰ τοῦ βίου κατορθώματα αὐτῆς δεῖσθαι, ἐκ τοῦ τὰς ἀρετὰς αὐτῆς ἀριθμῆσαι πάσας, καὶ φιλοσοφίας ἀκριβοῦς ὑπόθεσιν ἀποφῆναι, ἐξ ἑτέρου πάλιν τρίτου κεφαλαίου δείκνυσιν αὐτῆς τὴν ἀξίαν. καὶ ταῦτα ποιεῖ τούς τε ἠλαττῶσθαι δοκοῦντας πεῖσαι θέλων, ὅτι ἔξεστιν αὐτοῖς τὸ κεφάλαιον τῶν σημείων ἔχειν, καὶ οὐδὲν ἔλαττον ἕξουσι τῶν ἐχόντων τὰ χαρίσματα, εἰ ταύτην ἔχοιεν, ἀλλὰ καὶ πολλῷ πλέον· καὶ τοὺς ἔχοντας τὰ μεγάλα χαρίσματα πάλιν καὶ ἐντεῦθεν ἐπαιρομένους, ταπεινῶσαι σπουδάζων, καὶ δεῖξαι μηδὲν ἔχοντας, ἐὰν μὴ ταύτην ἔχωσιν. οὕτω γὰρ ἔμελλόν τε ἀλλήλους ἀγαπᾷν, βασκανίας τε καὶ ἀπονοίας ἐντεῦθεν ἀναιρουμένης. ἀγαπῶντές τε πάλιν πορρωτέρω ταῦτα ἐξώριζον τὰ πάθη. ἡ γὰρ ἀγάπη οὐ ζηλοῖ, οὐ φυσιοῦται.

## HOMILIA XXXIV.

*Sive prophetiæ evacuabuntur, sive linguæ cessabunt, sive scientia destruetur.*

1. CUM caritatis excellentiam ostendisset, ex eo quod & charismata & ea quæ in vita præclare geruntur ea indigeant; ex eo quod ejus omnes virtutes enumeraverit, & perfectæ philosophiæ fundamentum esse probarit; ex alio rur- E sus tertioque capite, ejus ostendit dignitatem. Et hoc facit, tum ut illis qui imminuti esse videbantur persuadeat licere ipsis signorum etiam caput seu facultatem habere, nihilque minus obtinere quam ii qui charismata habent, si illam habeant, imo multo majus; tum etiam ut eos qui majora charismata haberent, indeque extollerentur, hinc deprimat, & ostendat eos nihil habere, nisi hanc obtineant. Ita enim sese mutuo dilecturi erant, invidia & arrogantia sic de medio sublatis. Ac rursus sese mutuo diligentes, hæc vitia procul amandabant. Nam caritas non æmulatur, non inflatur.

Itaque muro illos undique firmissimo cinxit, & multiplici concordia, quæ morbos omnes tolleret, & hinc rursus fortior evadebat. Ideoque innumerabiles agitavit rationes, quæ possent ipsorum dolorem consolari. Nam idem dat Spiritus, inquit, & ad utilitatem dat, & ut vult dividit, & gratis dans, non debens, dividit. Etiamsi vero parum acceperis, similiter ex corpore es, & multo sic etiam frueris honore: ac qui majus habet te qui minus habes indiget. Et maximum charisma, excellentiorque via est caritas. Hæc porro dicebat, duplici vinculo stringens illos invicem; & quod putarent se non minus habere illa præsente, & quod ad illam accurrentes, illamque obtinentes, nihil ultra humanum paterentur, tum quia radicem charismatum haberent, tum quia non ultra possent, etiam si nihil haberent, contendere. Nam qui semel a caritate captus est, a contentione liber est. Quamobrem ostendens, quanta inde bona decerpturi sint, fructus ejus descripsit, per illius encomia morbos illorum reprimens. Etenim quæ dicta sunt singula, pharmacum erant quod sufficeret ad illorum curanda vulnera. Ideoque dicebat, patiens est, adversus eos qui inter se contendunt; benigna est, adversus eos qui dissident & occulto feruntur odio; non æmulatur, contra eos qui invident plus habentibus; non agit perperam, adversus eos qui disjuncti sunt; non inflatur, contra eos, qui in alios extolluntur; non indecore agit, contra eos qui nolunt se attemperare; non quærit quæ sua sunt, adversus eos qui cæteros despiciunt; non irritatur, non cogitat malum, adversus eos qui contumeliam inferunt; non gaudet super iniquitate, congaudet autem veritati, rursus adversus invidos; omnia suffert, adversus eos qui insidias parant; omnia sperat, adversus eos qui desperant; omnia sustinet, nunquam excidit, contra eos qui facile dissident. Quia igitur illam undique magnam exhibuit, cum hyberbole omni; rursus ex alio capite hoc facit, per comparationem aliam ejus dignitatem extollens, & sic dicens: *Sive prophetiæ evacuabuntur, sive linguæ cessabunt.* Si enim hæc utraque propter fidem inducta sunt: hac ubique terrarum dispersa, jam superfluus illorum usus fuerit. Sed mutua illa dilectio non cessabit, imo magis crescet, & hic & in futuro, tuncque magis quam nunc. Hic enim multa sunt quæ caritatem emolliant & minuant, pecuniæ, negotia, morbi corporum, ægritudines animæ. Illic vero nihil horum aderit. Sed quod prophetiæ & linguæ cessent, mirum non est; quod autem scientia destruatur, hoc certe quæstionem movet. Nam & hoc adjecit dicens, sive scientia destruetur. Quid ergo? in ignorantia tunc victuri sumus? Absit. Nam tunc maxime augen-

Caritas omnia tollit mala.

A ὥστε πανταχόθεν τεῖχος αὐτοῖς ἀῤῥαγὲς περιέβαλε, καὶ πολύπλοκον ὁμόνοιαν ἀναιροῦσάν τε τὰ νοσήματα ἅπαντα, καὶ ἐντεῦθεν πάλιν ἰσχυροτέραν γινομένην. Διὰ τοῦτο καὶ μυρίους ἐκίνησε λογισμοὺς τοὺς δυναμένους αὐτῶν παραμυθήσασθαι τὴν ἀθυμίαν. Καὶ γὰρ τὸ αὐτὸ πνεῦμα δίδωσι, φησὶ, καὶ πρὸς τὸ συμφέρον δίδωσι, καὶ ὡς βούλεται διαιρεῖ, καὶ χαριζόμενον, οὐκ ὀφεῖλον διαιρεῖ. Κἂν μικρὸν λάβῃς, ὁμοίως εἰς τὸ σῶμα τε-
B λεῖς, καὶ πολλῆς καὶ οὕτως ἀπολαύεις τιμῆς. Καὶ ὁ τὸ μεῖζον ἔχων, σοῦ τοῦ τὸ ἔλαττον ἔχοντος δεῖται. Καὶ ὅτι τὸ μέγιστον χάρισμα καὶ ἡ καθ' ὑπερβολὴν ὁδός ἐστιν ἡ ἀγάπη. Ταῦτα δὲ ἔλεγε, διπλῇ περισφίγγων αὐτοὺς ἀλλήλοις, τῷ τε μὴ νομίζειν ἐλαττοῦσθαι ταύτης παρούσης, καὶ τῷ ἐπιδραμόντας αὐτῇ καὶ ἑλόντας, μηδὲν πάσχειν λοιπὸν ἀνθρώπινον, καὶ ὡς τὴν ῥίζαν ἔχοντας τῶν χαρισμάτων, καὶ ὡς οὐκέτι δυναμένους, οὐδὲ εἰ μηδὲν εἶχον, φιλονεικεῖν. Ὁ γὰρ ἁλοὺς ἅπαξ ὑπὸ τῆς ἀγάπης, φιλονεικίας ἀπήλλακται. Διὸ καὶ δεικνὺς αὐτοῖς, ὅσα ἐντεῦθεν καρπώσονται τὰ ἀγαθὰ, τοὺς
C καρποὺς αὐτῆς ὑπέγραψε, διὰ τῶν ἐγκωμίων αὐτῆς τὰ ἐκείνων νοσήματα καταστέλλων. Καὶ γὰρ τῶν εἰρημένων ἕκαστον, φάρμακον ἱκανὸν ἦν τοῖς ἐκείνων τραύμασιν ἀρκέσαι. Διὸ καὶ ἔλεγε, μακροθυμεῖ, πρὸς τοὺς ἀλλήλοις φιλονεικοῦντας· χρηστεύεται, πρὸς τοὺς διεστῶτας, καὶ ὑπούλους· οὐ ζηλοῖ, πρὸς τοὺς βασκαίνοντας τοῖς ὑπερέχουσιν· οὐ περπερεύεται, πρὸς τοὺς διασπασθέντας· οὐ φυσιοῦται, πρὸς τοὺς καταλαζονευομένους αὐτῶν· οὐκ ἀσχημονεῖ, πρὸς τοὺς [a] οὐκ ὀφείλοντας συγκαταβαίνειν· οὐ ζητεῖ τὸ ἑαυτῆς, πρὸς τοὺς ὑπερορῶντας τῶν λοιπῶν· οὐ παροξύνεται, οὐ λογίζεται τὸ κα-
D κὸν, πρὸς τοὺς ὑβριζομένους· οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πρὸς τοὺς βασκαίνοντας πάλιν· πάντα στέγει, πρὸς τοὺς ἐπιβουλευομένους· πάντα ἐλπίζει, πρὸς τοὺς ἀπογινώσκοντας· πάντα ὑπομένει, οὐδέποτε ἐκπίπτει, πρὸς τοὺς εὐκόλως διϊσταμένους. Ἐπεὶ οὖν πανταχόθεν αὐτὴν μεγάλην ἔδειξε μεθ' ὑπερβολῆς ἁπάσης, πάλιν ἐξ ἑτέρου κεφαλαίου μέγιστον τοῦτο ποιεῖ, κατὰ σύγκρισιν ἑτέραν ἐπαίρων αὐτῆς τὸ ἀξίωμα, καὶ λέγων οὕτως· εἴτε δὲ προφητεῖαι καταργηθήσονται· εἴτε γλῶσσαι παύσονται. Εἰ γὰρ ἀμφότερα ταῦτα τῆς πίστεως ἕνεκεν εἰσενήνεκται, ταύ-
E της πανταχοῦ διασπαρείσης περιττὴ τούτων ἡ χρεία λοιπόν. Ἀλλ' οὐ τὸ ἀγαπᾶν ἀλλήλους παυθήσεται, ἀλλὰ καὶ ἐπιδώσει μειζόνως, καὶ ἐνταῦθα καὶ κατὰ τὸ μέλλον, καὶ τότε μᾶλλον ἢ νῦν. Ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ χαυνοῦντα τὴν ἀγάπην, χρήματα, πράγματα, πάθη σωμάτων, νοσήματα ψυχῆς· ἐκεῖ δὲ οὐδὲν τούτων. Ἀλλὰ τὸ μὲν προφητείας καταργεῖσθαι καὶ γλώσσας, θαυμαστὸν οὐδέν· τὸ δὲ γνῶσιν καταργεῖσθαι, τοῦτό ἐστι τὸ τὴν ἀπορίαν ποιοῦν. Καὶ γὰρ καὶ τοῦτο προσέθηκεν εἰπὼν, εἴτε γνῶσις καταργηθήσεται. Τί οὖν; ἐν ἀγνωσίᾳ μέλλομεν ζῆν τότε; ἄπαγε. Καὶ γὰρ τότε μάλιστα

[a] οὐκ ὀφείλοντας, legendum putat Savilius, οὐ θέλοντας, & sic legit vetus interpres.

ἐπιταθῆναι εἰκὸς τὴν γνῶσιν. διὸ καὶ ἔλεγε, τότε ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. διά τοι τοῦτο, ἵνα μὴ ὁμοίως τῇ προφητείᾳ καὶ ταῖς γλώσσαις, καὶ ταύτην καταργεῖσθαι νομίσῃς, εἰπὼν, εἴτε γνῶσις καταργηθήσεται, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε καὶ τὸν τρόπον τῆς καταργήσεως, ταχέως προσθεὶς τὸ, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. οὐκ ἄρα ἡ γνῶσις καταργεῖται, ἀλλὰ τὸ μερικὴν εἶναι γνῶσιν. οὐκέτι γὰρ τοσαῦτα εἰσόμεθα μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος αὐτὸ ποιήσω φανερὸν, νῦν ἴσμεν ὅτι πανταχοῦ ἐστιν ὁ θεὸς, ἀλλὰ πῶς, οὐκ ἴσμεν. ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν, ἴσμεν· τὸν δὲ τρόπον ἀγνοοῦμεν. ὅτι ἐκ παρθένου ἐτέχθη, πῶς δὲ, οὐκέτι. τότε δὲ εἰσόμεθά τι πλέον καὶ σαφέστερον περὶ τούτων. εἶτα δείκνυσι καὶ τὸ μέσον ὅσον, καὶ ὅτι οὐ μικρὸν τὸ λειπόμενον, λέγων· ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, τὰ τοῦ νηπίου κατήργηκα. καὶ δι' ἑτέρου δὲ παραδείγματος τὸ πάλιν δηλοῖ λέγων, βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου.

Εἶτα ἐπειδὴ τὸ ἔσοπτρον παρίστησι τὸ ὁρώμενον ὁπωσδήποτε, ἐπήγαγεν, ἐν αἰνίγματι, μεθ' ὑπερβολῆς δεικνὺς μερικωτάτην τὴν παροῦσαν γνῶσιν. τότε δὲ πρόσωπον πρὸς πρόσωπον. οὐχ ὡς πρόσωπον ἔχοντος τοῦ θεοῦ, ἀλλ' ἵνα εἴπῃ σαφέστερον καὶ τρανότερον. ὁρᾷς κατ' ἐπίδοσιν πάντα μανθάνοντας; ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. εἶδες πῶς διπλῇ τὸ φύσημα αὐτῶν κατέσπασεν; ὅτι καὶ μερικὴ ἡ γνῶσις, καὶ οὐδὲ ταύτην οἴκοθεν ἔχουσιν. οὐ γὰρ ἐγὼ αὐτὸν ἔγνων, ἀλλ' αὐτός με ἐγνώρισε, φησίν. ὥσπερ οὖν αὐτός με ἔγνω, πρότερος νῦν καὶ αὐτός μοι ἐπέδραμεν, οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦμαι τότε πολλῷ μειζόνως, ἢ νῦν. καὶ γὰρ ὁ ἐν σκότῳ καθήμενος, ἕως μὲν ἂν μὴ βλέπῃ τὸν ἥλιον, οὐκ αὐτὸς ἐπιτρέχει τῷ κάλλει τῆς ἀκτῖνος, ἀλλ' ἐκείνη δείκνυσιν ἑαυτὴν, ἐπειδὰν λάμψῃ· ὅταν δὲ αὐτῆς δέξηται τὴν αὐγὴν, τότε καὶ αὐτὸς λοιπὸν διώκει τὸ φῶς. τοῦτο οὖν ἐστι τὸ, καθὼς καὶ ἐπεγνώσθην. οὐχ ὅτι οὕτως αὐτὸν εἰσόμεθα, καθὼς αὐτὸς ἡμᾶς, ἀλλ' ὅτι ὥσπερ αὐτὸς ἡμῖν ἐπέδραμε νῦν, οὕτω καὶ ἡμεῖς ἀνθεξόμεθα αὐτοῦ τότε, καὶ πολλὰ τῶν νῦν ἀπορρήτων εἰσόμεθα, καὶ τῆς μακαριωτάτης ἐκείνης ἀπολαύσομεν ὁμιλίας καὶ σοφίας. εἰ γὰρ ὁ τοσαῦτα εἰδὼς Παῦλος νήπιος, ἐννόησον ἡλίκα ἐκεῖνα. εἰ ταῦτα ἔσοπτρον καὶ αἴνιγμα, λογίζου μοι πάλιν ἐντεῦθεν τὸ πρόσωπον ἡλίκον ἐστίν. ἵνα δέ σοι μικρόν τι παρανοίξω τῆς διαφορᾶς ταύτης, καὶ ἀκτῖνά τινα ἀμυδρὰν τοῦ νοήματος ἐναφῶ σου τῇ ψυχῇ τούτου. ἀναμνήσθητί μοι τῶν ἐν τῷ νόμῳ νῦν, ἡνίκα ἡ χάρις ἔλαμψε. καὶ γὰρ ἐκεῖνα πρὸ τῆς χάριτος μεγάλα τινὰ καὶ θαυμαστὰ ἐφαίνετο· ἀλλ' ὅμως ἄκουσον τί φησι περὶ

A da scientia est; ideoque dicebat: *Tunc cognoscam sicut & cognitus sum.* Propterea, ne perinde atque prophetiam & linguas hanc cessaturam esse putares, cum dixisset, sive scientia destruetur; non tacuit sed modum destructionis subjunxit, cito addens illud: 9. *Ex parte cognoscimus, & ex parte prophetamus.* 10. *Cum autem venerit quod perfectum est, tunc evacuabitur quod ex parte est.* Non ergo scientia destruitur, sed illa ex parte tantum scientia. Non enim solum tot tantaque sciemus; sed etiam multo plura. Ut autem illud exemplo palam faciam: nunc B scimus Deum ubique esse; sed quomodo, nescimus. Quod ex nihilo omnia fecerit scimus; modum autem ignoramus; quod ex Virgine natus sit, quomodo non item. Tunc autem quid amplius & clarius de his cognoscemus. Deinde ostendit quantum intersit, & quod hic deficit non esse parvum, dicens: 11. *Cum essem parvulus, loquebar ut parvulus, sapiebam ut parvulus? cum autem factus sum vir, evacuavi quæ erant parvuli.* Per aliud autem exemplum hoc ipsum rursus declarat dicens: 12. *Videmus enim nunc per speculum.* (1. Cor. 13. 12.)

C 2. Deinde quia speculum, id quod videtur utcumque monstrat, subjunxit, *in ænigmate*, ex hyperbole monstrans per modicas partes esse præsentem scientiam. *Tunc autem facie ad faciem.* Non quod faciem habeat Deus; sed ut rem clarius & magis perspicue dicat. Vides omnia discentes per incrementum? *Nunc cognosco ex parte, tunc autem cognoscam sicut & cognitus sum.* Viden' quomodo fastum eorum dupliciter deprimat? quod & per partes sit scientia, & quod non illam ex se habeant. Non enim ego illum novi, sed se ipse mihi notum fecit, inquit. Quemadmodum ergo ipse me novit, prior nunc D & ipse ad me accurrit, sic ego tunc ad illum accurram multo magis, quam nunc. Etenim qui in tenebris sedet, donec viderit solem, non ipse accurrit ad pulcritudinem radii; sed illa seipsam ostendit, quando illuxerit. Cum autem ejus splendorem susceperit, tunc & demum lucem persequitur. Hoc ergo sibi vult illud, sicut & cognitus sum. Non quia ita illum cognituri sumus, sicut ipse nos cognoscit; sed quia sicut ille ad nos nunc accurrit, ita & nos sic tunc ipsum insequemur, & multa, quæ nunc arcana sunt, E sciemus, & beatissima illa fruemur consuetudine & sapientia. Si enim qui tam multa sciebat Paulus parvulus erat, cogita quanta illa sint. Si hæc sunt speculum & ænigma, hic mihi consideres quanta sit facies. Ut autem tibi parvum quidpiam aperiam circa differentiam hanc, & radium quempiam obscurum hujus cognitionis in animam tuam immittam. Recordare eorum quæ in lege sunt, nunc cum gratia effulsit. Etenim illa ante gratiam magna quædam & mirabilia videbantur esse. Attamen audi quid dicat de

2. Cor. 3. 10. illis post gratiam Paulus: *Non glorificatum fuit in hac parte, propter supereminentem gloriam.* Ut autem quod dico clarius evadat, in unam aliquam rem, quæ tunc mystice peragebatur, sermonem transferamus, & tunc videbis quantum sit intervallum. Et si vis, Pascha in medium afferamus & vetus & novum; & tunc scies excellentiam. Illud enim celebrabant etiam Judæi, hoc autem pacto celebrabant, ut in speculo & in ænigmate. Arcana autem hæc mysteria, ne in mentem quidem illis unquam venerant, neque sciebant quænam essent ea, quæ illa prænunciabant. Sed ovem videbant mactari, & sanguinem bruti, & portas illo unctas. Quod autem Filius Dei incarnatus mactandus esset & orbem liberaturus totum, daturusque & Græcis & Barbaris sanguinem hunc degustandum, cælum aperturus omnibus, & quæ illic sunt humano generi oblaturus; & carnem illam sanguine cruentatam deducturus supra cælum & cælum cæli, & omnes omnino supernos angelorum, archangelorum aliarumque virtutum exercitus, & in ipso throno regio ad dexteram Patris sessuram collocaturus, gloria ineffabili fulgentem. Hæc certe neque illorum, neque aliorum hominum quispiam vel præscivit, vel in mentem vocare potuit. Sed quid dicunt ii qui omnia audent? Illud, Nunc cognosco ex parte, de dispensationibus dictum esse; ipsum enim perfectam de Deo cognitionem habuisse. Et quomodo se infantem vocat? Quomodo per speculum videt? quomodo in ænigmate, si totam habet scientiam? Cur illud quasi eximium tribuit Spiritui, & nulli alii creatæ

1. Cor. 2. 11. potestati, dicens, *Quis enim novit quæ sunt hominis, nisi Spiritus hominis, qui est in ipso?* Sic & quæ Dei sunt nemo novit, nisi Spiritus Dei. Et Christus rursum sui solius hoc esse dicit ita loquens: Non quod Patrem vidit quisquam, nisi qui est a Deo: hic vidit Patrem; visionem dicens clarissimam & perfectissimam cognitionem. Quomodo autem is qui substantiam novit, œconomias & dispensationes ignorabit? Illa enim cognitio hac major est. Ignoramus ergo, inquit, Deum? Absit. Sed quod quidem sit novimus, quid autem substantia sit, non item. Et ut scias quod non de dispensationibus dixerit illud, Nunc cognosco ex parte, audi sequentia. Subjunxit ergo, Tunc autem cognoscam sicut & cognitus sum. Non autem a dispensationibus & œconomiis cognitus est, sed a Deo. Nemo igitur vel parvam vel simplicem, hanc iniquitatem esse putet, sed & duplicem & triplicem & multiplicem. Non enim hoc solum absurdum est, quod ea se vane glorientur scire, quæ Spiritus solius sunt, & Unigeniti Filii Dei; sed etiam quod cum Paulus ne partem quidem illam cognitionis, sine superna revelatione accipere potuerit, ipsi totum ex propriis

A αὐτῶν μετὰ τὴν χάριν ὁ Παῦλος· ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἐφ' ἑνός τινος τῶν τότε τελουμένων τὸν λόγον μεταχειρίσωμεν, καὶ τότε ὄψει τὸ μέσον ὅσον. καί, εἰ βούλει, τὸ πάσχα εἰς μέσον ἀγάγωμεν ἐκεῖνο καὶ τοῦτο, καὶ τότε εἴσῃ τὴν ὑπεροχήν. ἐπετέλουν μὲν γὰρ καὶ Ἰουδαῖοι, ἐπετέλουν δὲ οὕτως, ὡς ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι. τὰ δὲ ἀπόῤῥητα ταῦτα μυστήρια οὐδὲ εἰς νοῦν ποτε ἔλαβον, οὐδὲ τίνα ἦν, ἃ ἐκεῖνα προανεφώνει· ἀλλὰ πρόβατον ἑώρων σφαττόμενον, καὶ αἷμα ἀλό-
B γου, καὶ θύρας χριομένας τούτῳ. ὅτι δὲ ὁ υἱὸς τοῦ θεοῦ σαρκωθεὶς σφαγήσεται, καὶ τὴν οἰκουμένην ἐλευθερώσει πᾶσαν, καὶ δώσει καὶ Ἕλλησι καὶ βαρβάροις τοῦ αἵματος ἀπογεύσασθαι τούτου, καὶ τὸν οὐρανὸν ἀνοίξει πᾶσι, καὶ τὰ ἐκεῖ προθήσει τῷ τῶν ἀνθρώπων γένει, καὶ τὴν αἱμαχθεῖσαν σάρκα λαβὼν ὑπὲρ τὸν οὐρανόν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ πάσας ἁπλῶς τὰς ἄνω τῶν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων δυνάμεων στρατιὰς ἀναβιβάσει, καὶ ἐπ' αὐτοῦ τοῦ θρόνου τοῦ βασιλικοῦ ἐν δεξιᾷ τοῦ πατρὸς αὐτὴν καθιεῖ δόξῃ λάμ-
C πουσαν ἀῤῥήτῳ. ταῦτα δὴ οὔτε ἐκείνων τις, οὔτε τῶν ἄλλων οὐδεὶς ἀνθρώπων, οὔτε προέγνω, οὔτε εἰς νοῦν ἠδυνήθη βαλέσθαι ποτέ. ἀλλὰ τί φασιν οἱ πάντα τολμηροί; τὸ, ἄρτι γινώσκω ἐκ μέρους, περὶ οἰκονομιῶν εἰρῆσθαι· τὴν γὰρ περὶ τοῦ θεοῦ γνῶσιν ἀπηρτισμένην αὐτὸν ἔχειν. καὶ πῶς νήπιον ἑαυτὸν καλεῖ; πῶς δι' ἐσόπτρου βλέπει; πῶς ἐν αἰνίγματι, εἰ τὸ πᾶν ἔχει τῆς γνώσεως; τί δὲ ὥσπερ ἐξαίρετον ἀνατίθησιν αὐτὸ τῷ πνεύματι, καὶ οὐδεμίᾳ ἄλλῃ δυνάμει τῆς κτίσεως, λέγων· τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς
D οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. καὶ ὁ Χριστὸς πάλιν ἑαυτοῦ μόνου τοῦτο εἶναί φησιν, οὕτω λέγων· οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα, ὅρασιν τὴν γνῶσιν λέγων τὴν σαφεστάτην καὶ ἀπηρτισμένην. πῶς δὲ ὁ τὴν οὐσίαν εἰδὼς, τὰς οἰκονομίας ἀγνοήσει; ἐκείνη γὰρ μείζων ταύτης ἡ γνῶσις. ἀγνοοῦμεν οὖν, φησι, τὸν θεόν; ἄπαγε. ἀλλ' ὅτι μέν ἐστιν, ἴσμεν, τί ποτε δέ ἐστι τὴν οὐσίαν, οὐκέτι. καὶ ἵνα γνῷς ὅτι οὐ περὶ τῶν
E οἰκονομιῶν εἴρηκε τὸ, ἄρτι γινώσκω ἐκ μέρους, ἄκουσον τῶν ἑξῆς. ἐπήγαγεν οὖν· τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. οὐ δήπου δὲ ὑπὸ τῶν οἰκονομιῶν ἐπεγνώσθη, ἀλλ' ὑπὸ τοῦ θεοῦ. μηδεὶς τοίνυν μικρὰν, μηδὲ ἁπλῆν νομιζέτω εἶναι ταύτην τὴν παρανομίαν, ἀλλὰ καὶ διπλῆν καὶ τριπλῆν καὶ πολλαπλασίονα. οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄτοπον, ὅτι ταῦτα ἀλαζονεύονται εἰδέναι, ἃ τοῦ πνεύματός ἐστι μόνου, καὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, ἀλλ' ὅτι καὶ Παύλου οὐδὲ τὸ μερικὸν τοῦτο τῆς γνώσεως ἄνευ τῆς ἄνωθεν ἀποκαλύψεως δυνηθέντος μαθεῖν, αὐτοὶ τὸ πᾶν ἐκ τῶν οἰκείων λογισμῶν

λογισμῶν καταειληφέναι φασίν. οὐδὲ γὰρ ἔχουσιν οὐδαμοῦ τὴν γραφὴν περὶ τούτων ἡμῖν διειλεγμένην δεῖξαι. ἀλλὰ γὰρ τὴν μανίαν αὐτῶν ἀφέντες, τῶν ἑξῆς ἐχώμεθα περὶ τῆς ἀγάπης λόγων. οὐ γὰρ τούτοις ἠρκέσθη, ἀλλ' ἐπάγει πάλιν λέγων· νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Ἡ μὲν γὰρ πίστις καὶ ἡ ἐλπὶς, τῶν πιστευθέντων καὶ τῶν ἐλπισθέντων παραγινομένων ἀγαθῶν, παύεται. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; πάλιν, ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. ὥστε αὗται μὲν παύονται φανέντων ἐκείνων· ἡ δὲ ἀγάπη τότε μάλιστα αἴρεται, καὶ γίνεται σφοδροτέρα. ἕτερον πάλιν ἐγκώμιον τῆς ἀγάπης. οὐδὲ γὰρ ἀρκεῖται τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ ἄλλο φιλονεικεῖ πάλιν εὑρεῖν. σκόπει δέ· εἶπεν αὐτὴν χάρισμα εἶναι μέγα καὶ ὁδὸν τούτων καθ' ὑπερβολήν. εἶπε χωρὶς αὐτῆς μηδὲν μέγα ὠφελεῖν τὰ χαρίσματα, ὑπέγραψεν αὐτῆς διὰ πολλῶν τὴν εἰκόνα· βούλεται πάλιν καὶ ἑτέρως αὐτὴν ἐπᾶραι, καὶ δεῖξαι μεγάλην οὖσαν ἐκ τοῦ διαμένειν. διὸ καὶ ἔλεγε, νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη. πῶς οὖν μείζων ἡ ἀγάπη; τῷ ἐκεῖνα διαβαίνειν. εἰ τοίνυν τοσαύτη ἡ ἰσχὺς τῆς ἀγάπης, εἰκότως ἐπάγει λέγων, διώκετε τὴν ἀγάπην. καὶ γὰρ διώξεως χρεία καὶ δρόμου τινὸς σφοδροῦ ἐπ' αὐτήν· οὕτως ἡμῶν ἀπέπτη, καὶ τοσαῦτα τὰ ὑποσκελίζοντα τὸν ἐκεῖσε δρόμον. διὸ καὶ πολλῆς ἡμῖν ἀεὶ τῆς σφοδρότητος δεῖ, ὥστε αὐτὴν καταλαβεῖν. ὅπερ ἐνδεικνύμενος ὁ Παῦλος οὐκ εἶπεν, ἀκολουθεῖτε τῇ ἀγάπῃ, ἀλλὰ, διώκετε αὐτὴν, διεγείρων ἡμᾶς καὶ ἀνάπτων πρὸς τὴν ἐκείνης ἀντίληψιν. καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς μυρία ὑπὲρ τοῦ ταύτην ἡμῖν ἐμφυτεῦσαι ἐμηχανήσατο. καὶ γὰρ μίαν ἅπασιν ἔδωκε κεφαλὴν, τὸν Αδάμ. διὰ τί γὰρ μὴ ἐκ γῆς γινόμεθα πάντες; διὰ τί μὴ τέλειοι, ὡς ἐκεῖνος; ἵνα καὶ οἱ τόκοι, καὶ αἱ παιδοτροφίαι, καὶ τὸ ἐξ ἀλλήλων φύεσθαι, συνδήσωσι πρὸς ἀλλήλους ἡμᾶς. διὰ τοῦτο οὐδὲ τὴν γυναῖκα ἐποίησεν ἀπὸ γῆς. ἐπειδὴ γὰρ οὐκ ἤρκει δυσωπῆσαι πρὸς ὁμόνοιαν ἡμᾶς ὁμοίως, τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰ μὴ καὶ τὸν αὐτὸν ἔχοιμεν πρόγονον, καὶ τοῦτο κατεσκεύασεν. εἰ γὰρ νῦν τόποις διεστηκότες μόνοις, ἀλλοτρίους εἶναι νομίζομεν ἑαυτοὺς ἀλλήλων, εἰ δύο τὸ γένος ἡμῶν εἶχεν ἀρχὰς, πολλῷ μᾶλλον ἂν τοῦτο ἐγένετο. διὰ δὴ τοῦτο, ὥσπερ ἀπὸ τινὸς μιᾶς κεφαλῆς, τὸ πᾶν ἔδησε σῶμα τοῦ τῶν ἀνθρώπων γένους. καὶ ἐπειδήπερ ἐξ ἀρχῆς δύο τινὲς ἐδόκουν εἶναι, ὅρα πῶς αὐτοὺς συγκολλᾷ πάλιν καὶ εἰς ἓν συνάγει διὰ τοῦ γάμου. ἀντὶ τούτου γὰρ καταλείψει, φησὶν, ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολ-



A ratiociniis se accepisse dicant. Neque enim usquam possunt scripturam quæ de his disseruerit nobis ostendere. Sed missa illorum insania, sequentia quæ de caritate dicuntur persequamur. Neque enim his contentus fuit, sed rursus hæc subjungit: 13. *Nunc autem manet fides, spes, caritas, tria hæc; major autem horum est caritas.*

3. Nam fides & spes, cum advenerint bona quæ credita & sperata fuerunt, cessabunt. Et hoc significans Paulus dicebat: *Spes enim quæ videtur, non est spes.* Rom. 8. 24.
B *Quod enim videt quis, quid etiam speret?* Rursum: *Est autem fides eorum quæ sperantur substantia, rerum quæ non videntur argumentum.* Hebr. 11. 1. Quamobrem hæ quidem cessabunt cum illa apparuerint. Caritas autem tunc maxime extollitur, & fit vehementior. Caritatis encomium. Aliud rursus encomium caritatis. Neque enim contentus est prioribus, sed & alia rursum invenire contendit. Animum autem adhibe. Dixit eam charisma esse magnum & viam ad hæc supereminentem. Dixit sine illa non multum juvare charismata, ejus imaginem pluribus descripsit. Vult rur-
C sus illam alio modo extollere, & ostendere quod magna sit ex eo quod maneat. Ideoque dixit, *Nunc autem manent fides, spes, caritas, tria hæc; major autem horum est caritas.* Quomodo ergo major est caritas? quod illa transeant. Si ergo tanta est virtus caritatis, jure subjungit dicens: Sectamini caritatem. Etenim insequi oportet ac vehementer ad illam currere; ita a nobis avolat, & tanta sunt quæ susceptum illo cursum supplantant. Quapropter opus est nos magna uti vehementia, ut illam comprehendamus. Quod ostendens beatus
D Paulus non dixit, Sequimini caritatem, sed persequimini caritatem, excitans nos accendensque ad illam apprehendendam. Etenim Deus a principio innumera ad illam in nobis inserendam machinatus est. Nam omnibus unum dedit caput, Adamum. Cur enim non ex terra nascimur omnes? cur non perfecti, sive adulti sicut ille? Ut & partus, & filiorum educationes, & quod ex aliis nasceremur, nos mutuo colligarent. Ideoque mulierem non ex terra fecit. Quia enim non satis erat ad verecundiam in nobis
E inserendam, quæ ad concordiam nos adduceret, quod ex eadem substantia essemus, nisi eumdem haberemus progenitorem; hoc quoque effecit. Si enim nunc solis disjuncti locis, alienos nos existimamus; si genus nostrum duo principia habuisset, multo magis hoc eveniret. Ideo, quasi ab uno capite, totum generis humani corpus colligavit. Et quia in principio duo quidam videbantur esse, vide quomodo illos conglutinet, & in unum cogat per connubium. *Propter hoc*, inquit, *relinquet homo patrem suum & matrem, & adhærebit* Gen. 2. 24.

*uxori suæ, & erunt duo in carne una.* Non dixit, mulier, sed homo, quia major est in illo concupiscentia. Nam ideo majorem illam fecit, ut quod excellentius erat flecteret per hujus amoris tyrannidem, & imbecilliori subjiceret. Quia vero matrimonium etiam inducendum erat, eum ex quo orta erat fecit mulieri maritum. Deus enim omnia caritati postponit. Si enim cum res ita factæ sint, primus statim sic insanivit, tantamque pugnam & invidiam inseruit diabolus, quid non fecisset, si non ex una radice orti germinassent? Deinde ut aliud quidem subjiceretur, aliud imperaret; nam paritas honoris solet sæpe pugnas inducere; non sivit populare imperium esse, sed regnum, & sicut in exercitu eumdem videris in singulis domibus ordinem. Est ergo maritus in ordine regis, mulier vero in ordine præfecti aut ducis exercitus, tertium filii imperium sortiuntur; deinde quartum domestici occupant. Nam hi quoque imperant minoribus, & unus sæpe omnibus præfectus fuit, domini ordinem servans, cæterum ut domesticus. Et post hæc aliud rursus imperium, & in ipsis filiis rursus aliud secundum ætatem & secundum sexum. Non enim in liberis similiter dominatum obtinet femina. Et ubique fere Deus frequentia fecit imperia, ut omnia in concordia manerent & in recto ordine. Idcirco antequam genus humanum multiplicaretur, cum primi duo tantum essent, jussit hunc imperare, illam parere. Et ne rursus illam ut minorem despiceret, & illa abscinderetur, vide quomodo illam honoraverit, & conjunxerit, etiam ante creationem. Nam ait: *Faciamus illi adjutorem;* ostendens illam in usum factam fuisse, & hac ratione concilians illum cum ea, quæ propter ipsum facta fuit: nam majori affectu ferimur erga ea quæ propter nos facta sunt. Ut ne autem illa rursus efferretur, utpote in auxilium ipsi data, & hoc rumperet vinculum, ex latere illam fecit, ostendens illam partem esse totius corporis. Ut autem neque vir inde extolleretur, non amplius sinit esse solius, quod solius primum fuit; sed contrarium fecit, liberorum procreationem inducens; & hac in re quidem virum præferens, neque tamen totum ipsi relinquens.

Gen. 2. 18.

4. Vidistin' quot amoris vincula Deus fecerit? Sed hæc quidem ex natura concordiæ pignora posuit. Nam quod ex eadem substantia sit, ad hoc ducit; omne quippe animal quod simile ipsi est amat; & quod mulier sit ex viro, & quod ex utroque rursum sint filii. Unde etiam nascuntur multi affectus modi. Illum namque ut patrem amamus, illum ut avum; & illam ut matrem, istam ut nutricem; alium ut filium, ut nepotem, ut pronepotem; aliam ut filiam & ut sororis filiam. Et hunc quidem

A ληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. καὶ οὐκ εἶπεν, ἡ γυνή, ἀλλ', ὁ ἄνθρωπος, ἐπειδὴ καὶ μείζων ἡ ἐπιθυμία ἐν ἐκείνῳ. καὶ γὰρ καὶ μείζονα αὐτὴν διὰ τοῦτο ἐποίησεν, ἵνα τὸν ὑπερέχοντα κατακάμψῃ τῇ τυραννίδι τούτου τοῦ ἔρωτος, καὶ ὑποτάξῃ τῷ ἀσθενεστέρῳ. ἐπειδὴ δὲ καὶ γάμον ἔδει εἰσαχθῆναι, τὸν ἐξ οὗ γέγονε, τοῦτον ἄνδρα ἐποίησε τῇ γυναικί. πάντα γὰρ ἀγάπης τῷ θεῷ δεύτερα. εἰ γὰρ οὕτω γινομένων ὁ πρῶτος εὐθέως οὕτως ἐμάνη, καὶ τοσαύτην μάχην ὁ διάβολος καὶ βασκανίαν ἐνέσπειρε, τί οὐκ ἂν εἰργάσατο, εἰ μὴ ἀπὸ μιᾶς ῥίζης ἐβλάστησαν; B εἶτα ἵνα τὸ μὲν ὑποτάττηται, τὸ δὲ ἄρχῃ· τὸ γὰρ ὁμότιμον οἶδε πολλάκις μάχην εἰσάγειν· οὐκ ἀφῆκε δημοκρατίαν εἶναι, ἀλλὰ βασιλείαν, καὶ καθάπερ ἐν στρατοπέδῳ, ταύτην ἄν τις ἴδοι τὴν διάταξιν καθ' ἑκάστην οἰκίαν. ἔστι γοῦν ἐν τάξει μὲν βασιλέως, ὁ ἀνήρ· ἐν τάξει δὲ ὑπάρχου ἡ γυνὴ καὶ στρατηγοῦ· καὶ οἱ παῖδες δὲ ἀρχὴν κεκλήρωνται τρίτην. εἶτα μετὰ ταῦτα ἀρχὴ τετάρτη, ἡ τῶν οἰκετῶν. καὶ γὰρ καὶ οὗτοι κρατοῦσι τῶν ἐλαττόνων, καὶ εἷς τις πολλάκις τοῖς πᾶσιν ἐφέστηκε, τὴν τοῦ δεσπότου τάξιν διατηρῶν, πλὴν ὡς οἰκέτης. C καὶ μετὰ ταύτης ἑτέρα πάλιν ἀρχή, καὶ ἐν αὐτοῖς τοῖς παισὶ πάλιν ἑτέρα κατὰ τὴν ἡλικίαν καὶ κατὰ τὴν φύσιν. οὐ γὰρ ἐν τοῖς παιδίοις ὁμοίως τὸ θῆλυ κρατεῖ. καὶ πανταχοῦ δι' ὀλίγου καὶ πυκνὰς ἐποίησε τὰς ἀρχὰς ὁ θεός, ἵνα πάντα ἐν ὁμονοίᾳ μένῃ καὶ εὐταξίᾳ πολλῇ. διὰ τοῦτο καὶ πρὶν εἰς πλῆθος ἐξενεχθῆναι τὸ γένος, δύο μόνων ὄντων τῶν πρώτων, τῷ μὲν ἄρχειν, τῇ δὲ ἄρχεσθαι ἐκέλευσε. καὶ ἵνα μὴ ὡς ἐλάττονος καταφρονῇ πάλιν καὶ ἀποσχίζηται, ὅρα πῶς αὐτὴν ἐτίμησέ τε καὶ ἥνωσε καὶ πρὸ τῆς δημιουργίας. ποιήσωμεν γὰρ αὐτῷ, φησι, βοηθόν, D δεικνὺς ὅτι εἰς χρείαν αὐτοῦ γέγονε, καὶ ταύτῃ συνάγων αὐτὸν πρὸς τὴν δι' αὐτὸν γεγενημένην. καὶ γὰρ πρὸς ταῦτα οἰκειότερον διακείμεθα τὰ δι' ἡμᾶς παραχθέντα. ἵνα δὲ μὴ ἐπαίρηται πάλιν ἐκείνη, ὡς εἰς βοήθειαν αὐτῷ δοθεῖσα, καὶ τὸν δεσμὸν ἀπορρήξῃ τοῦτον, ἀπὸ τῆς πλευρᾶς αὐτὴν ποιεῖ, δεικνὺς ὅτι μέρος τοῦ παντός ἐστιν αὕτη σώματος. ἵνα δὲ μηδὲ ὁ ἀνὴρ ἐντεῦθεν ἐπαίρηται, οὐκέτι ἀφίησιν εἶναι μόνον, ὃ μόνον τὸ πρότερον ἐγένετο, ἀλλὰ τοὐναντίον ἐποίησε τούτῳ, τὴν παιδοποιΐαν εἰσαγαγών, κἀν τούτῳ προτιμήσας μὲν τὸν ἄνδρα, οὐ μὴν τὸ πᾶν ἀφεὶς εἶναι αὐτοῦ.

E Εἶδες πόσους συνδέσμους ἀγάπης ὁ θεὸς εἰργάσατο; ἀλλὰ ταῦτα μὲν ἀπὸ τῆς φύσεως κατέθηκε τῇ ὁμονοίᾳ τὰ ἐνέχυρα. καὶ γὰρ τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰς τοῦτο ἄγει· πᾶν γὰρ ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ· καὶ τὸ ἐξ ἀνδρὸς τὴν γυναῖκα εἶναι, καὶ τὸ ἐξ ἀμφοτέρων πάλιν τοὺς παῖδας. ὅθεν καὶ πολλοὶ φύονται διαθέσεως τρόποι. τὸν μὲν γὰρ ὡς πατέρα ἀγαπῶμεν, τὸν δὲ ὡς πάππον· καὶ τὴν μὲν ὡς μητέρα, τὴν δὲ ὡς τιθηνόν· καὶ τὸν μὲν ὡς υἱὸν καὶ ἔγγονον καὶ ἐξ ἐγγόνων πάλιν, τὴν δὲ ὡς θυγατέρα καὶ θυγατριδῆν· καὶ τὸν μὲν ὡς ἀδελφόν,

τὸν δὲ ὡς ἀδελφιδοῦν· καὶ τὴν μὲν ὡς ἀδελφὴν, τὴν δὲ ὡς ἀδελφιδῆν. καὶ τί γὰρ δεῖ πάντα καταλέγειν τὰ τῆς συγγενείας ὀνόματα; ἐπενόησε δὲ καὶ ἑτέραν διαθέσεως ὑπόθεσιν. ἀπαγορεύσας γὰρ τοὺς τῶν συγγενῶν γάμους, ἐπὶ ἀλλοτρίους ἡμᾶς ἐξήγαγε, κἀκείνους πάλιν πρὸς ἡμᾶς εἵλκυσεν. ἐπειδὴ γὰρ ἀπὸ τῆς φυσικῆς ταύτης συγγενείας οὐκ ἦν ἐκείνοις ἡμῖν συναφθῆναι, ἀπὸ τοῦ γάμου πάλιν συνῆψεν, ὁλοκλήρους οἰκίας διὰ τῆς μιᾶς νύμφης συνάγων, καὶ γένη γένεσιν ὅλα ἀναμιγνύς. μὴ γαμεῖ γὰρ, φησι, τὴν ἀδελφὴν τὴν σὴν, μηδὲ τὴν ἀδελφὴν τοῦ πατρὸς, μηδὲ ἄλλην κόρην τὴν τοιαύτην συγγένειαν πρὸς σὲ κεκτημένην, ἢ διακωλύει τὸν γάμον, ὀνόματα θεὶς τῶν τοιούτων συγγενῶν τὰ εἴδη. ἀρκεῖ σοι πρὸς τὴν ἐκείνων διάθεσιν τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας, τὸ ἑτέρως σοι προσήκειν τὰς ἄλλας. τί στενοχωρεῖς τῆς ἀγάπης τὸ πλάτος; τί περιττῶς ὑπόθεσιν ἀναλίσκεις τὴν εἰς αὐτὴν φιλίας, δι' ἧς δύνασαι καὶ ἑτέραν πορίσασθαι φιλίας ἀφορμὴν, ἔξωθεν γυναῖκα ἀγαγὼν, καὶ δι' ἐκείνης συγγενῶν ὁρμαθὸν, καὶ μητέρα, καὶ πατέρα, καὶ ἀδελφοὺς, καὶ τοὺς τούτων ἐπιτηδείους; εἶδες πόσοις τρόποις ἡμᾶς συνέδησεν; ἀλλ' ὅμως οὐδὲ ταῦτα αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ ἀλλήλων χρῄζειν [a] παρεσκεύασεν, ἵνα καὶ οὕτως ἡμᾶς συναγάγῃ, ἐπειδὴ μάλιστα τὰς φιλίας αἱ χρεῖαι ποιοῦσι. διὰ δὴ τοῦτο οὐδὲ πάντα ἀφῆκε πανταχοῦ γίνεσθαι, ἵνα κἀντεῦθεν ἀλλήλοις ἀναμίγνυσθαι ἀναγκάσῃ. καταστήσας δὲ ἡμᾶς ἐν χρείᾳ ἀλλήλων, εὔκολον πάλιν τὴν ἐπιμιξίαν ἐποίησεν. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, εἰς ἑτέραν ἀηδίαν τὸ πρᾶγμα περιΐστατο καὶ δυσχέρειαν. εἰ γὰρ ἰατροῦ δεόμενον, ἢ τέκτονος, ἢ ἑτέρου δημιουργοῦ, μακρὰν ἔδει στέλλεσθαι ἀποδημίαν, τὸ πᾶν ἀπολώλει. διὰ δὴ τοῦτο καὶ πόλεις κατεσκεύασε, καὶ πάντας ὁμοῦ συνήγαγεν. ἵνα δὴ καὶ τοῖς πόῤῥωθεν ῥᾳδίως ἐπιχωριάζωμεν, θάλατταν εἰς μέσον ἥπλωσε, καὶ ἀνέμων ταχυτῆτα ἔδωκε, ῥᾳδίας ἐντεῦθεν τὰς ἀποδημίας ποιῶν. παρὰ δὲ τὴν ἀρχὴν καὶ ἐν ἑνὶ πάντας συνήγαγε χωρίῳ, καὶ οὐ πρότερον διέσπειρεν, ἕως εἰς κακὸν ἐχρήσαντο τῇ ὁμονοίᾳ οἱ πρῶτοι λαβόντες τὸ δῶρον· ἀλλὰ πάντοθεν ἡμᾶς συνήγαγε, καὶ ἀπὸ φύσεως, καὶ ἀπὸ συγγενείας, καὶ ἀπὸ γλώττης, καὶ ἀπὸ τόπου. καὶ ὥσπερ οὐκ ἐβούλετο ἐκπεσεῖν ἡμᾶς τοῦ παραδείσου, εἰ γὰρ ἐβούλετο, οὐδ' ἂν ἐκεῖ κατέθετο ὃν ἐποίησεν ἄνθρωπον τὴν ἀρχὴν, ἀλλ' ὁ παρακούσας αἴτιος, οὕτως οὐδὲ ἀλλογλώσσους εἶναι ἠθέλησεν· ἐπεὶ κἂν ἐξ ἀρχῆς τοῦτο ἐποίησε. νυνὶ δὲ πᾶσα ἡ γῆ χεῖλος ἓν ἦν, καὶ φωνὴ μία πᾶσι. διὰ δὴ τοῦτο οὐδὲ ἡνίκα τὴν γῆν ἀφανισθῆναι ἔδει, οὐδὲ τότε ἡμᾶς ἐξ ἄλλης ἐποίησεν ὕλης, οὐδὲ μετέθηκε τὸν δίκαιον, ἀλλ' ἀφεὶς αὐτὸν ἐν μέσῳ τῷ κλυδωνίῳ, ὥσπερ τινὰ σπινθῆρα τῆς οἰκουμένης, ἀνῆψε πάλιν ἡμῶν τὸ γένος ἐκεῖθεν ἀπὸ τοῦ μακαρίου Νῶε. καὶ ἐξαρχῆς μὲν μίαν ἐποίησεν ἀρχὴν, τὸν ἄνδρα ἐπιστήσας τῇ γυναικί. ἐπειδὴ δὲ εἰς πολλὴν ἐξώκειλεν ἀταξίαν τὸ γένος ἡμῶν, καὶ ἑτε-

[a] Alius, κατεσκεύασεν.

A ut fratrem, alium vero ut patruelem. Aliam ut sororem, aliam ut consobrinam. Et quid opus est recensere omnia cognationis nomina? Excogitavit etiam aliam affectus occasionem. Prohibitis enim cognatorum connubiis, ad alienos eduxit nos, illosque rursum ad nos attraxit. Quia enim a naturali illa cognatione, non licebat illos nobis conjungi, a connubio rursus conjunxit, integras domos per unam sponsam conjungens, & genera integra generibus commiscens. *Ne ducas*, inquit, *uxorem sororem tuam*, *neque sororem patris*; *neque aliam puellam quæ talem tecum cognationem habeat*, quæ matrimonium impediat, nomina ponens hujusmodi cognationum. Tibi sufficit ad illorum affectum trahendum, quod eodem partu sis editus, & quod ad te aliter aliæ spectent affinitates. Cur in angustum redigis latitudinem caritatis? Cur tuæ in illam amicitiæ causam frustra consumis, per quam potes aliam consequi amicitiæ occasionem, externa inducta uxore, & per illam inducens cognatorum seriem, matrem, patrem, fratres & illorum affines? C Viden' quot modis nos colligaverit? Attamen neque his contentus fuit, sed etiam effecit ut alii aliis indigeremus, ut etiam sic nos conjungeret, quia amicitias usus facit. Ideo non ubique omnia gigni permisit; ut hinc etiam nos cogeret cum aliis commisceri. Cum porro illud effecisset ut alter altero egeremus, facilem reddidit commixtionem. Nisi enim hoc esset, altera hinc molestia & difficultas emergeret. Si enim medico egentem, aut fabro aut alio artifice, oporteret peregre proficisci, totum periret. Ideo & urbes paravit, & omnes simul conjunxit. D Ut autem eos qui procul sunt facile adire possemus, mare in medio extendit, & ventorum dedit celeritatem, sic faciles reddens peregrinationes. Initio etiam omnes in uno coegit loco: neque prius dispersit, donec ii qui primum donum acceperant, concordiâ ad malum usi sunt. Sed undique nos collegit, & a natura, & a cognatione & a lingua & a loco. Ac sicut nolebat nos excidere ex paradiso; si enim voluisset, non illic eum quem fecerat hominem in principio posuisset, sed qui non obedivit, in causa fuit; sic nos nolebat diversæ linguæ esse; nam ab initio hoc E fecisset: tunc autem in tota terra labium erat unum & vox una omnibus. Propterea nec quando terram oportuit deleri, nos ex alia fecit materia, neque justum transtulit. Sed illo in mediis fluctibus dimisso, quasi quadam orbis scintilla, genus nostrum rursus accendit ex beato illo Noe. Et ab initio quidem unum fecit imperium virum præficiens mulieri. Quia vero genus nostrum in multam decidit ordinis eversionem, alia quoque impe-

Levit. 18. 6.

ria conſtituit, nempe dominorum & magiſtratuum; & hoc propter caritatem. Quia enim malitia genus noſtrum ſolvit & perimit, ceu quoſdam medicos in mediis urbibus conſtituit qui judicia ferrent, ut deinceps malitiam ceu quamdam caritatis peſtem eliminantes, in unum nos cogerent. Ut autem non ſolum in urbibus, ſed etiam in ſingulis domibus multa concordia eſſet, cum virum imperio & præcellentia honoraſſet, mulierem autem concupiſcentia armaſſet, & procreationis liberorum donum in medio eorum depoſuiſſet, alia cum his quæ caritatem conciliarent apparavit. Neque enim omnia permiſit viro, neque omnia mulieri; ſed & hæc unicuique diviſit, mulieri domum, viro forum conſignans. Et viro quidem ut aleret, terram enim colit, mulieri vero ut veſtiret, tela enim & colus ſunt mulieris. Ipſe namque dedit mulieri texendi induſtriam. Sed pereat avaritia, quæ non ſinit hanc apparere differentiam. Nam multorum mollities, viros ad telas deduxit, & radios eis in manus dedit, & ſubtegmen & ſtamina. Attamen ſic etiam fulget divinæ diſpenſationis providentia. Nam muliere in aliis etiam admodum neceſſariis opus habemus, & minoribus in iis quæ vitam continent noſtram indigemus: tantaque eſt neceſſitas, ut etiamſi quis omnium ſit hominum ditiſſimus, neque ſic hac conjunctione liberetur; ita ut etiam inferiore opus habeat. Neque enim pauperes ſolum opus habent divitibus; ſed etiam divites pauperibus, & hi magis illis, quam illi iſtis.

5. Et ut hoc clarius videas, faciamus, ſi placet, duas urbes; aliam divitum tantum, aliam vero pauperum; & neque in ea quæ divitum eſt ſit quis pauper; neque in ea quæ pauperum eſt ſit quis dives; ſed utramque exacte expurgemus: & videamus quænam magis ſibi ſufficere poterit. Si enim inveniamus eam quæ poſſit, eſſe pauperum urbem, palam erit, quod divites magis illis indigeant. Itaque in illa divitum urbe, nullus erit artifex, non architectus, non faber; non ſutor calcearius, non piſtor, non agricola, non faber ærarius, non funium contextor, non aliud quidquam hujuſmodi. Quis enim divitum unquam hæc tractare voluerit, quando ii etiam qui hæc tractant, cum opulenti fuerint, non ultra ſuſtinent horum operum miſeriam? Quomodo igitur nobis urbs iſtæc conſiſtet? Numerata, inquies, pecunia divites, hæc a pauperibus ement: ergo non ſibi ipſis ſufficient, ſi illis indigeant. Quomodo autem domos ædificabunt? An hoc etiam ement? Sed id natura non habet. Ergo neceſſe eſt huc artifices evocare, & legem corrumpere, quam initio poſuimus cum urbem incolis inſtrueremus. Meminiſtis enim quod dixerimus, neminem eſſe intus pauperem. Sed ecce ne-

A ρας κατέστησε, τὰς τῶν δεσποτῶν, τὰς τῶν ἀρχόντων. καὶ τοῦτο δὲ δι' ἀγάπην. ἐπειδὴ γὰρ ἡ κακία διαλυτικὸν καὶ ἀναιρετικὸν ἡμῶν τοῦ γένους, ὥσπερ τινὰς ἰατροὺς ἐν μέσαις ταῖς πόλεσιν ἐκάθισε τοὺς δικάζοντας, ἵν' ὥσπερ τινὰ λοιμὸν τῆς ἀγάπης τὴν κακίαν ἀπελαύνοντες, πάντας εἰς ἓν συνάγωσιν. ἵνα δὲ μὴ μόνον ἐν ταῖς πόλεσιν, ἀλλὰ καὶ ἐν ἑκάστῃ οἰκίᾳ πολλὴ ἡ ὁμόνοια ᾖ, τὸν μὲν ἄνδρα τῇ ἀρχῇ καὶ τῇ ὑπεροχῇ τιμήσας, τὴν δὲ γυναῖκα τῇ ἐπιθυμίᾳ καθοπλίσας, καὶ τὸ τῆς παιδοποιΐας δὲ δῶρον εἰς μέσον ἀμφοτέροις
B καταθεὶς, καὶ ἕτερα μετὰ τούτων συναγωγὰ τῆς ἀγάπης κατεσκεύασεν. οὔτε γὰρ πάντα ἐπέτρεψε τῷ ἀνδρὶ, οὔτε πάντα τῇ γυναικί· ἀλλὰ καὶ ταῦτα διεῖλεν ἑκάστῳ, τῇ μὲν τὴν οἰκίαν, τῷ δὲ τὴν ἀγορὰν ἐγχειρίσας, καὶ τῷ μὲν τὸ τρέφειν, γεωργεῖ γάρ· τῇ δὲ τὸ περιβάλλειν, ἱστὸς γὰρ καὶ ἠλακάτη, τῆς γυναικός. αὐτὸς γὰρ ἔδωκε γυναικὶ ὑφάσματος σοφίαν. ἀπόλοιτο ἡ φιλαργυρία, οὐκ ἀφιεῖσα ταύτην φαίνεσθαι τὴν διάκρισιν. ἡ γὰρ βλακεία τῶν πολλῶν καὶ τοὺς ἄνδρας εἰς τοὺς ἱστοὺς ἐπεισήγαγε, καὶ κερκίδας αὐτοῖς ἐνεχείρισε, καὶ κρόκην, καὶ στήμονας. ἀλλ'
C ὅμως καὶ οὕτω διαλάμπει τῆς θείας οἰκονομίας ἡ πρόνοια. καὶ γὰρ καὶ τῆς γυναικὸς ἐν ἄλλοις ἀναγκαιοτέροις σφόδρα δεόμεθα, καὶ τῶν ἐλαττόνων ἐν τοῖς συνέχουσι τὸν βίον ἡμῶν χρήζομεν. καὶ τοσαύτη τῆς χρείας ἐστὶν ἡ ἀνάγκη, ὅτι κἂν πάντων ἀνθρώπων πλουσιώτερος ᾖ τις, οὐδὲ οὕτω ταύτης ἀπήλλακται τῆς συναφείας, καὶ τοῦ δεῖσθαι τοῦ καταδεεστέρου. οὐ γὰρ δὴ τῶν πλουσίων οἱ πένητες δέονται μόνον, ἀλλὰ καὶ οἱ πλούσιοι τῶν πενήτων· καὶ οὗτοι μᾶλλον ἐκείνων, ἢ ἐκεῖνοι τούτων.

Καὶ ἵνα τοῦτο σαφέστερον ἴδῃς, ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνον, τὴν δὲ
D πενήτων· καὶ μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις πένης, μήτε ἐν τῇ τῶν πενήτων ἔστω τις πλούσιος ἀνὴρ, ἀλλ' ἐκκαθάρωμεν ἀκριβῶς ἑκατέρας, καὶ ἴδωμεν ποία μᾶλλον ἀρκέσαι ἑαυτῇ δυνήσεται. ἐὰν γὰρ εὕρωμεν τὴν τῶν πενήτων δυναμένην, εὔδηλον ὅτι οἱ πλούσιοι τούτων μᾶλλον δεήσονται. οὐκοῦν ἐν μὲν ἐκείνῃ τῇ τῶν εὐπόρων οὐδεὶς ἔσται δημιουργὸς, οὐκ οἰκοδόμος, οὐ τέκτων, οὐχ ὑποδηματορράφος, οὐκ ἀρτοποιὸς, οὐ γεωργὸς, οὐ χαλκοτύπος, οὐ σχοινοστρόφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. τίς γὰρ ἂν ἕλοιτο τῶν πλουτούντων ταῦτα μετιέναι ποτὲ, ὅπουγε καὶ αὐτοὶ
E οἱ ταῦτα μεταχειρίζοντες, ὅταν εὐπορήσωσιν, οὐκ ἀνέχονται τῆς ἀπὸ τῶν ἔργων τούτων ταλαιπωρίας; πῶς οὖν ἡμῖν ἡ πόλις στήσεται αὕτη; δόντες, φησὶν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν πενήτων. οὐκοῦν οὐκ ἀρκέσουσιν ἑαυτοῖς, εἴγε ἐκείνων δέονται. πῶς δὲ οἰκίας οἰκοδομήσονται; ἢ καὶ τοῦτο ὠνήσονται; ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο φύσις. οὐκοῦν ἀνάγκη τοὺς τεχνίτας ἐκεῖ καλεῖν, καὶ διαφθείρειν τὸν νόμον, ὃν ἐθήκαμεν ἐξαρχῆς τὴν πόλιν οἰκίζοντες. μέμνησθε γὰρ, ὅτε ἐλέγομεν, μηδεὶς ἔστω πένης ἔνδον. ἀλλ' ἰδοὺ

ἡ χρεία, καὶ μὴ βουλομένων ἡμῶν, ἐκάλεσεν αὐτοὺς καὶ εἰσήγαγεν. ὅθεν δῆλον, ὡς ἀδύνατον χωρὶς πενήτων συστῆναι πόλιν. εἰ γὰρ μένοι ἡ πόλις μηδένα παραδεχομένη τούτων, οὐκέτι ἔσται πόλις, ἀλλ' ἀπολεῖται. οὐκοῦν οὐκ ἀρκέσει ἑαυτῇ, εἰ μὴ καθάπερ τινὰς σωτῆρας τοὺς πένητας πρὸς ἑαυτὴν συναγάγοι. ἴδωμεν δὲ καὶ τὴν τῶν πενήτων πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη. καὶ πρότερον διακαθάρωμεν τῷ λόγῳ τὸν πλοῦτον, καὶ δείξωμεν αὐτὸν σαφῶς. τί ποτ' οὖν ἐστι πλοῦτος; χρυσὸς, καὶ ἄργυρος, καὶ λίθοι τίμιοι, καὶ ἱμάτια σηρικὰ καὶ ἁλουργὰ καὶ διάχρυσα. ἐπεὶ οὖν ἐφάνη τί ποτέ ἐστιν ὁ πλοῦτος, ἀπελάσωμεν αὐτὸν τῆς τῶν πενήτων πόλεως· εἰ μέλλοιμεν καθαρῶς πόλιν πενήτων ποιεῖν, μηδὲ ὄναρ ἐκεῖ φαινέσθω χρυσίον, μηδὲ ἱμάτια τοιαῦτα· εἰ δὲ βούλει, μηδὲ ἄργυρος, μηδὲ τὰ ἐξ ἀργύρου σκεύη. τί οὖν; παρὰ τοῦτο ἐνδεῶς ζήσεται τὰ τῆς πόλεως ταύτης, εἰπέ μοι; οὐδέν. ἄν τε γὰρ οἰκοδομεῖν δέοι, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ καὶ μαργαριτῶν, ἀλλὰ τέχνης, καὶ χειρῶν, χειρῶν δὲ οὐχ ἁπλῶς, ἀλλὰ τετυλωμένων, καὶ δακτύλων ἀπεσκληκότων, καὶ ἰσχύος πολλῆς, καὶ ξύλων, καὶ λίθων· ἄν τε ὑφαίνειν πάλιν ἱμάτιον, οὐ χρυσοῦ πάλιν ἡμῖν δεῖ, καὶ ἀργύρου, ἀλλὰ χειρῶν πάλιν, καὶ τέχνης, καὶ γυναικῶν ἐργαζομένων. τί δὲ ἐὰν γεωργεῖν δέῃ, καὶ σκάπτειν τὴν γῆν; πλουτούντων, ἢ πενομένων χρεία; παντί που δῆλον, ὅτι πενήτων. καὶ σίδηρον δὲ ὅταν δέῃ χαλκεύειν, καὶ ἄλλο τι τῶν τοιούτων ποιεῖν, τοῦ δήμου τούτου μάλιστα ἡμῖν δεῖ. ποῦ οὖν δεησόμεθα τῶν πλουτούντων λοιπόν· πλὴν εἰ μὴ καθελεῖν δέοι τὴν πόλιν ταύτην; εἰ γὰρ ἐπεισελθόντων ἐκείνων εἰς τὴν τοῦ χρυσίου καὶ τὴν τῶν μαργαριτῶν ἐμπέσοιεν ἐπιθυμίαν, οὗτοι οἱ φιλόσοφοι, φιλοσόφους γὰρ ἐγὼ καλῶ, τοὺς οὐδὲν περιττὸν ἐπιζητοῦντας, ἀργίᾳ δόντες ἑαυτοὺς καὶ τρυφῇ, πάντα ἀπολοῦσι λοιπόν. καὶ εἰ μὴ χρήσιμος ὁ πλοῦτος, φησὶ, τίνος ἕνεκεν δέδοται παρὰ τοῦ θεοῦ; καὶ πόθεν δῆλον, ὅτι παρὰ τοῦ θεοῦ τὸ πλουτεῖν; ἡ γραφή φησιν, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ ᾧ ἐὰν βούλωμαι, δώσω αὐτό. ἐνταῦθα εἰ μὴ πρᾶγμα ἐποίουν αἰσχρὸν, κἂν ἐγέλασα νῦν πλατὺν γέλωτα, τῶν ταῦτα λεγόντων καταγελῶν, ὅτι καθάπερ παιδία μικρὰ τραπέζης ἀπολαύοντα βασιλικῆς, μετ' ἐκείνης τῆς τροφῆς τὸ παρατυχὸν ἅπαν ἐπεμβάλλουσι τῷ στόματι· οὕτω καὶ οὗτοι, μετὰ τῶν θείων γραφῶν, καὶ τὰ παρ' ἑαυτῶν συνεισάγουσι. τὸ μὲν γὰρ, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, οἶδα εἰρημένον τῷ προφήτῃ· τὸ δὲ, ᾧ ἐὰν θέλω, δώσω αὐτὸ, οὐκέτι προσκείμενον, ἀλλὰ παρὰ τῶν συρφετῶν τούτων ἐπεισενηνεγμένον. καὶ ἐκεῖνο δὲ τίνος ἕνεκεν εἴρηται ἐρῶ. ὁ γὰρ προφήτης Ἀγγαῖος ἐπειδὴ συνεχῶς ἐπηγγέλλετο τοῖς Ἰουδαίοις μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος τὸν ναὸν δείξειν ἐπὶ τοῦ σχήματος τοῦ προτέρου, καὶ ἠπίστουν τῷ λεγομένῳ τινὲς καὶ σχεδὸν ἀδύνατον εἶναι ἐνόμιζον, εἰ μετὰ τὴν τέφραν καὶ τὴν κόνιν τοιοῦτος πάλιν φανεῖται ὁ οἶκος· ἐκεῖνος ἐκλύων

A cessitas etiam nobis nolentibus ipsos advocavit & introduxit. Unde palam est non posse sine pauperibus urbem subsistere. Si enim maneat civitas nullum ex iis excipiens, non ultra civitas erit, sed peribit. Non igitur sibi sufficiet, nisi velut servatores quosdam, pauperes in se congregarit. Videamus rursus pauperum urbem, num illa similiter in egestate degat, divitibus privata. Et primo expurgemus oratione divitias, illasque aperte ostendamus. Quidnam sunt divitiæ? Aurum, argentum, lapides preciosi, vestes B sericæ & purpureæ, & aureæ. Quia igitur apparet quænam sint divitiæ, expellamus illas ex pauperum urbe, si velimus pauperum civitatem exacte constituere; ne vel per somnium illic aurum appareat, neque talia vestimenta; si vis autem, neque argentum, neque vasa argentea. Quid ergo? dic mihi, ideone in egestate erit hæc urbs? Minime. Si enim ædificare oporteat, non auro nec argento nec margaritis est opus; sed arte, manibus; manibus autem non utcumque, sed callosis, digitisque induratis, robore multo, lignis, lapidibus. Si rursus vestem texere; C non auro rursus opus est, non argento, sed manibus rursum & arte mulieribusque operantibus. Quid vero si terram colere oporteat & fodere, an divitibus an pauperibus est opus? Palam est quod pauperibus. Et si ferrum tractare oporteat, aut quid simile facere, hac maxime plebe nobis opus est. Ubinam deinceps divitibus opus habebimus, quibus deficientibus oporteat hanc civitatem destruere? Nam si illis ingressis, hi philosophi in auri & margaritarum concupiscentiam inciderint; philosophos enim D voco eos, qui nihil superfluum quærunt; otio se dantes & voluptati, omnia demum perdent. Et nisi utiles sint divitiæ, inquies, cur a Domino datæ sunt? Et undenam liquet divitias a Deo dari? Scriptura dicit: *Meum est argentum & meum aurum, & cui voluero dabo illud.* Aggæi. 2. 9. Hic nisi rem turpem facerem, profuse nunc risissem, illos qui hæc dicunt irridens, quia sicut pueruli regia fruentes mensa, cum illo alimento quidquid inciderit in os injiciunt. Sic & hi cum di- E vinis scripturis sua quoque colligunt. Illud enim, meum est argentum, & meum est aurum, scio dictum fuisse a propheta; illud vero, Cui voluero dabo ipsum, non ibi jacere; sed a fæcibus istis inductum fuisse. Illud vero qua de causa dictum sit dicam. Propheta Aggæus, quia frequenter Judæis promiserat, post reditum ex Babylone, se templum ostensurum in priore forma, non credebant autem quidam dicenti, & fere rem impossibilem existimabant, quod in cinerem & pulverem redacta domus, talis rursum apparitura esset, ille solvens increduli-

tatem ipſorum, ex perſona Dei hæc dicit, ac ſi diceret: Quid timetis? Quid non creditis? Meum eſt argentum & meum aurum, nec opus habeo, ut pecunia fœnore accepta, ſic ædem exornem. Et quod hoc ſit, ſubjunxit: *Et erit gloria domus hujus ultima ſupra primam.* (Aggæi. 2. 10.) Ne ergo in veſtimentum regium telas aranearum inducamus. Nam ſi quis deprehendatur in purpura deforme ſubtegmen contexens, extremas dabit pœnas, multo magis in ſpiritualibus. Neque enim hinc leve peccatum oritur. Et quid dico de additione, & de ſubtractione? Ex puncto tantum, & ex ſimulata altera lectione, multa ſæpe abſurda ſenſa orta ſunt.

6. Undenam ergo divites, inquies? Dictum eſt enim, Divitiæ & paupertas a Domino. Interrogabimus ergo eos qui hæc nobis objiciunt: Ergo-ne omnes divitiæ & omnis paupertas a Domino? Ecquis hoc dixerit? Nam videmus & ex rapina, & ex maleficio in fodiendis ſepulcris, & ex præſtigiis, exque aliis hujuſmodi cauſis, magnas a multis corradi divitias, & qui eas poſſident, ne vita quidem dignos eſſe. Quid ergo, dic mihi, haſcine divitias a Deo eſſe dicamus? Abſit. Sed undenam? Ex peccato. Nam meretrix corpus ſuum contumelia afficiens, diteſcit; & formoſus adoleſcens ſæpe formam vendens ſuam, cum turpitudine aurum poſſidet; & ſepulcrorum effoſſor, diruptis ſepulcris, divitias cogit injuſtas, itemque latro muris perforatis. Ergo-ne a Domino omnes divitiæ? Quid ergo, inquies, reſpondebimus ad hoc dictum? Diſce prius nec paupertatem a Deo eſſe, & tunc ad hoc dictum veniemus. Cum enim quis juvenis prodigus, aut in meretrices divitias conſumſerit, aut in præſtigiatores, aut in alias quaſpiam ſimiles cupiditates, & pauper evaſerit; nonne palam eſt hoc a Deo factum non eſſe, ſed ab ipſius profuſione? Rurſum ſi quis ob ſegnitiem pauper fiat, ſi quis ex inſania in paupertatem decidat; ſi quis periculoſas & iniquas res aggreſſus; nonne conſpicuum prorſus eſt, nullum eorum qui hujuſmodi ſunt in paupertatem a Deo dejectum fuiſſe? Mentitur ergo ſcriptura? Abſit; ſed ſtulte agunt ii, qui non cum ea qua par eſſet accuratione omnia quæ ſcripta ſunt examinant. Nam ſi & hoc in confeſſo ſit, quod ſcriptura mentiri nequeat; & hoc demonſtratum ſit, quod non omnes divitiæ a Deo ſint, difficultas venit ex imbecillitate eorum qui non conſiderate legunt. Et oporteret quidem vos dimittere, cum in hoc ſcripturam ab oblatis criminibus liberavimus, ut has nobis veſtræ in legendis ſcripturis negligentiæ daretis pœnas. Verum quia vobis admodum parco; & non poſſum amplius videre vos conturbatos, age ſolutionem afferamus, primo eum qui dixit memo-

A αὐτῶν τὴν ἀπιστίαν, ἐκ προσώπου τοῦ θεοῦ ταῦτα λέγει, ὡς ἂν εἰ ἔλεγε· τί δεδοίκατε; τί δὲ ἀπιστεῖτε; ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ οὐ δέομαι παρ' ἑτέρων δανεισάμενος, οὕτω καλλωπίσαι τὸν οἶκον. καὶ ὅτι τοῦτό ἐστιν, ἐπήγαγε, καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. μὴ τοίνυν ἀραχνῶν ὑφάσματα ἐπεισαγώμεθα τῷ πέπλῳ τῷ βασιλικῷ. εἰ γὰρ, ἐν ἁλουργίδι εἴ τις ἁλοίη κρόκην παράσημον ἐμπλέκων, τὴν ἐσχάτην δώσει δίκην, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν. οὐδὲ γὰρ τὸ τυχὸν ἐντεῦθεν ἁμάρτημα γίνεται. καὶ τί B λέγω παρὰ προσθήκην καὶ ἀφαίρεσιν; παρὰ στιγμὴν μόνην, καὶ παρὰ ὑπόκρισιν μόνην ἀναγνώσεως, πολλὰ πολλάκις ἄτοπα ἐτέχθη νοήματα.

Πόθεν οὖν οἱ πλουτοῦντες, φησί; καὶ γὰρ εἴρηται· πλοῦτος καὶ πενία παρὰ κυρίου. ἐρώμεθα οὖν τοὺς ταῦτα ἡμῖν ἀνθυποφέροντας, ἆρα πᾶς πλοῦτος, καὶ πᾶσα πενία παρὰ κυρίου; καὶ τίς ἂν τοῦτο εἴποι; καὶ γὰρ ὁρῶμεν, καὶ ἐξ ἁρπαγῆς, καὶ ἀπὸ τῆς περὶ τάφους κακουργίας, καὶ ἀπὸ γοητείας, καὶ ἐξ ἑτέρων τοιούτων προφάσεων πολὺν πολλοῖς συναγόμενον πλοῦτον, καὶ C τοὺς ἔχοντας οὐδὲ ζῆν ἀξίους ὄντας. τί οὖν, εἰπέ μοι· τοῦτον παρὰ τοῦ θεοῦ τὸν πλοῦτον εἶναί φαμεν; ἄπαγε. ἀλλὰ πόθεν; ἐξ ἁμαρτίας. καὶ γὰρ ἡ πόρνη τὸ σῶμα ἐνυβρίσασα πλουτεῖ, καὶ εὔμορφος νέος πολλάκις τὴν ὥραν ἀποδόμενος μετ' ἀσχημοσύνης κέκτηται χρυσίον, καὶ ὁ τυμβωρύχος τοὺς τάφους ἀναρρήξας συνήγαγε πλοῦτον ἄδικον, καὶ λῃστὴς τοὺς τοίχους διορύξας. οὐκοῦν ἀπὸ τοῦ θεοῦ ἅπας ὁ πλοῦτος; τί οὖν, φησιν, ἐροῦμεν πρὸς τὴν ῥῆσιν ταύτην; μάθε πρῶτον καὶ πενίαν οὐκ ἀπὸ θεοῦ γινομένην, καὶ τότε καὶ ἐπὶ τὴν D ῥῆσιν αὐτὴν βαδιούμεθα. ὅταν γάρ τις ἄσωτος ὢν νέος, ἢ εἰς πόρνας ἀναλώσῃ τὸν πλοῦτον, ἢ εἰς γόητας, ἢ εἰς ἑτέρας τινὰς τοιαύτας ἐπιθυμίας, καὶ γένηται πένης, οὐκ εὔδηλον, ὅτι οὐκ ἀπὸ τοῦ θεοῦ γέγονε τοῦτο, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀσωτίας; πάλιν εἴ τις ὑπὸ ἀργίας γένοιτο πένης, εἴ τις ὑπὸ ἀνοίας εἰς πτωχείαν κατενεχθείη, εἴ τις ἐπικινδύνοις καὶ παρανόμοις ἐπιχειρῶν πράγμασιν, οὐκ εὔδηλον πάντως, ὅτι οὐδὲ τούτων τις καὶ τῶν τοιούτων εἰς τὴν πτωχείαν αὐτὴν ἀπὸ θεοῦ κατηνέχθη; ψεύδεται οὖν ἡ E γραφή; μὴ γένοιτο, ἀλλ' ἀνοηταίνουσιν οἱ μὴ μετὰ τῆς προσηκούσης ἀκριβείας ἐξετάζοντες τὰ γεγραμμένα ἅπαντα. εἰ γὰρ καὶ τοῦτο ὡμολόγηται, ὅτι ἀψευδὴς ἡ γραφή, καὶ τοῦτο ἀπεδείχθη, ὅτι οὐ πᾶς πλοῦτος παρὰ θεοῦ, τῆς τῶν ἀπερισκέπτως ἀναγινωσκόντων ἀσθενείας ἡ ἀπορία. καὶ ἔδει μὲν ἡμᾶς ἀφεῖναι, ἐν τούτῳ ἀπαλλάξαντας τὴν γραφὴν τῶν ἐγκλημάτων, ἵνα ταύτην ἡμῖν δίκην δῶτε τῆς περὶ τὰς γραφὰς ῥᾳθυμίας· ἀλλ' ἐπειδὴ φείδομαι σφόδρα ὑμῶν, καὶ οὐ δύναμαι ἐπὶ πλέον θορυβουμένους ἰδεῖν καὶ διαταραττομένους, καὶ τὴν λύσιν ἐπαγάγωμεν, πρότερον τὸν εἰρηκότα εἰπόντες,

A καὶ πότε εἴρηται, καὶ πρὸς τίνας. οὐδὲ γὰρ ὁμοίως ἅπασιν ὁ θεὸς διαλέγεται, ὥσπερ οὐδὲ ἡμεῖς παιδίοις, καὶ ἀνδράσιν ὁμοίως κεχρήμεθα. πότε οὖν εἴρηται, καὶ ὑπὸ τίνος, καὶ πρὸς τίνας; ὑπὸ τοῦ Σολομῶντος ἐπὶ τῆς παλαιᾶς, πρὸς τοὺς Ἰουδαίους, τοὺς οὐδὲν ἕτερον εἰδότας, ἢ τὰ αἰσθητὰ, καὶ ἀπὸ τούτων τοῦ θεοῦ δοκιμάζοντας τὴν ἰσχύν. οὗτοι γὰρ οἱ λέγοντές εἰσι· μὴ καὶ ἄρτον δύναται δοῦναι; καὶ, τί σημεῖον δεικνύεις ἡμῖν; οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ· ὧν ὁ θεὸς ἡ κοιλία. ἐπεὶ οὖν ἀπὸ τούτων αὐτὸν ἐδοκίμαζον, λέγει πρὸς αὐτοὺς, δυνατὸν καὶ τοῦτο τῷ θεῷ, καὶ πλουσίους ποιῆσαι καὶ πένητας· οὐχ ὅτι B πάντως αὐτὸς ποιεῖ, ἀλλ' ὅτι δύναται, ὅταν θέλῃ. ὥσπερ ὅταν λέγῃ, ὁ ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν· καίτοι τοῦτο οὐδέποτε γέγονε. πῶς οὖν αὐτὸ ὁ προφήτης φησίν; οὐχ ὡς γινόμενον ἀεὶ, ἀλλ' ὡς δυνατὸν αὐτῷ ποιῆσαι. ποίαν οὖν πενίαν δίδωσι, καὶ ποῖον πλοῦτον; ἀναμνήσθητι τοῦ πατριάρχου, καὶ εἴσῃ τὸν παρὰ τοῦ θεοῦ διδόμενον πλοῦτον. καὶ γὰρ τὸν Ἀβραὰμ αὐτὸς πλούσιον ἐποίησε, καὶ μετ' ἐκεῖνον, τὸν Ἰὼβ, καθὼς καὶ αὐτός φησιν· εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα C παρὰ κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; καὶ ὁ τοῦ Ἰακὼβ πλοῦτος ἐκεῖθεν τὴν ἀρχὴν εἶχεν. ἔστι δὲ καὶ πενία παρ' αὐτοῦ ἡ ἐπαινετὴ, οἵαν προεξένει τότε τῷ πλουσίῳ ἐκείνῳ, λέγων· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. καὶ τοῖς μαθηταῖς πάλιν νομοθετῶν καὶ λέγων, μὴ κτήσασθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας. μὴ τοίνυν λέγε ὅτι πάντα πλοῦτον αὐτὸς δίδωσι. καὶ γὰρ ἐδείχθη καὶ ἀπὸ φόνων, καὶ ἀπὸ ἁρπαγῆς, καὶ ἀπὸ μυρίων ἑτέρων προφάσεων συλλεγόμενος ἐστί. ἀλλὰ πάλιν εἰς τὸ πρότερον ἡμῖν ὁ λόγος περιίστω D ζήτημα. εἰ γὰρ μηδὲν ἡμῖν χρήσιμοι οἱ πλουτοῦντες, διὰ τί γεγένηνται; τί οὖν ἂν εἴποιμεν; ὅτι οὗτοι οὐ χρήσιμοι, οἱ ἑαυτοὺς οὕτω ποιοῦντες πλουσίους· ὡς οἵγε παρὰ τοῦ θεοῦ γενόμενοι, καὶ σφόδρα χρήσιμοι. καὶ τοῦτο ἀπ' αὐτῶν τῶν περὶ ἐκείνων γινομένων μάνθανε. καὶ γὰρ ὁ Ἀβραὰμ τοῖς ξένοις καὶ τοῖς δεομένοις ἅπασι τὸν πλοῦτον ἐκέκτητο. ὁ γὰρ τριῶν παραγινομένων, ὡς ἐνόμιζεν, ἀνθρώπων, μόσχον θύσας, καὶ τρία μέτρα σεμιδάλεως φυράσας, καὶ τῇ θύρᾳ καθήμενος ἐν καιρῷ μεσημβρίας, ἐννόησον μεθ' ὅσης δαψιλείας καὶ προθυμίας τὰ αὐτοῦ πᾶσιν ἀνήλισκε, E μετὰ τῶν χρημάτων καὶ τὴν τοῦ σώματος παρεχόμενος ὑπηρεσίαν, καὶ ταῦτα ἐν γήρᾳ τοσούτῳ· καὶ λιμὴν τῶν ξένων καὶ τῶν ἐν χρείαις καθεστηκότων ὢν, καὶ οὐδὲν ἴδιον κεκτημένος, οὐδὲ αὐτὸν τὸν υἱόν. καὶ γὰρ τοῦ θεοῦ κελεύσαντος, καὶ τοῦτον ἐπέδωκε· μετὰ δὲ τοῦ υἱοῦ καὶ ἑαυτὸν ἐπέδωκε, καὶ τὴν οἰκίαν ἅπασαν, ἡνίκα τὸν ἀδελφιδοῦν ἐξαρπάσαι ἔσπευδε· καὶ ταῦτα οὐ χρημάτων ἕνεκεν ἐποίει, ἀλλὰ φιλανθρωπίας μόνης. ὅτε γοῦν τῶν λαφύρων αὐτὸν ἐποίουν κύριον οἱ δι' αὐτοῦ σωθέντες, μέχρι σπαρτίου καὶ σφαιρωτῆρος ἅπαντα διεκρούσατο.

A rantes, & quando dictum fuerit, & ad quosnam. Neque enim Deus cum omnibus similiter loquitur; ut neque nos cum pueris & cum viris similiter verba facimus. Quandonam ergo dictum est, & a quo, & ad quosnam? A Salomone in veteri ad Judæos, qui nihil aliud sciebant, quam sensibilia, & ab iis Dei virtutem probabant. Hi enim sunt qui dicebant: *Numquid & panem poterit dare?* &, *Quod signum ostendis nobis? Patres nostri manducaverunt manna in deserto. Quorum Deus venter.* Quoniam igitur ex iis B illum exercebant; dicit ipsis, Hoc quoque potest Deus, & divites facere & pauperes; non quod omnino ipse faciat; sed quod possit, quando voluerit: ut & quando dixerit, Qui mari comminatur, & exsiccat illud, & omnes fluvios in desertum redigens. Atqui hoc nunquam factum est. Quomodo igitur illud propheta dicit? Non quod semper fiat, sed quod ipse possit facere. Quam ergo paupertatem dat, & quas divitias? Recordare patriarchæ, & scies quænam a Deo dentur divitiæ. Nam Abrahamum ipse divitem reddidit; & post illum, Jobum, C ut & ipse dicit: *Si bona quidem suscepimus a Domino, mala autem non sustinebimus?* Et Jacobi divitiæ inde initium sumserunt. Est autem & paupertas ab eo laudabilis, quam illi diviti tunc conciliabat dicens: *Si vis perfectus esse, vende quæ habes, & da pauperibus, & veni, sequere me;* & discipulis rursum legem statuens ac dicens: *Nolite possidere aurum, neque argentum, neque duas tunicas.* Ne itaque dicas ipsum omnes dare divitias. Nam demonstratum est & ex cædibus, & ex rapinis & ex mille aliis occasionibus ipsas colligi. Sed rursus ad priorem D quæstionem sermo reducatur. Si enim ad nihil nobis utiles divites sunt, cur facti fuere? Quid ergo dixerimus? Quod hi non prosint, qui se sic divites reddunt; ut illi qui a Deo facti sunt, valde sunt utiles. Hoc ab illorum gestis edisce. Etenim Abraham peregrinis & egenis omnibus possidebat divitias. Ille enim cum advenissent tres, ut existimabat, homines, vitulo mactato, tribusque similæ mensuris subactis, in ostioque sedens tempore meridiano, considera cum quanta liberalitate, & alacritate sua omnibus E impenderet, cum pecuniis etiam corporis ministerium adhibens, & hæc in tanto senio. Portus erat hospitum, eorumque qui in necessitate erant, nihil sibi proprium possidens, nec etiam filium suum. Deo namque jubente hunc etiam tradidit. Cum filio autem seipsum dedit, & totam domum; quando studebat fratris filium eripere: Et hæc faciebat non pecuniarum causa, sed ex humanitate sola. Cum enim ipsum manubiarum dominum fecerunt qui ab ipso servati fuerant, usque ad filum subtegminis & corrigiam calceamenti omnia recusavit.

Psal. 77. 24.
Matt. 12. 38.
Joan. 6. 31.
Philip. 3. 19.
Job. 2. 10.
Matt. 19. 21.
Matt. 10. 9.

*Job. 31. 32.* 7. Talis erat & beatus Job. *Etenim ostium meum*, inquit, *omni venienti apertum erat.* Ego eram oculus cæcorum & pes claudorum: ego eram pater infirmorum. Foris autem non manebat hospes. Infirmi autem, si quando opus habebant, non frustrabantur: neque sivi infirmum ex ostio meo, sinu vacuo exire. Et his multo plura, ne omnia nunc recenseamus, facere non desinebat, in egenos omnes divitias consumens. Vis etiam illos divites videre, qui a Deo non tales facti sunt, ut discas quomodo divitiis sint usi? Vide illum qui cum Lazaro, qui ne micas quidem dabat; Vide Achaabum, qui & vineam rapuit, vide Giezi: vide omnes qui hujusmodi fuere. Nam qui juste possident, utpote qui a Deo acceperint, secundum Dei præcepta impendunt; qui autem in acquirendo Deum offenderunt, & in expensis quoque idipsum faciunt, in meretrices & parasitos insumentes, aut suffodientes vel claudentes, in mendicum autem nihil erogantes. Et cur, inquies, permittit Deus ut tales homines sint divites? Quia patiens est, quia vult nos ad pœnitentiam adducere, quia gehennam præparavit, quia diem statuit in qua judicaturus est orbem. Si autem statim divites plecteret, Zacchæus non habuisset tempus ad pœnitentiam, ita ut redderet quadruplum eorum quæ rapuerat, & dimidium etiam bonorum suorum adderet. Non Matthæus tempus habuisset ut mutaretur & fieret apostolus, si ante opportunum tempus raptus fuisset; non alii multi similes. Propterea exspectat, ad pœnitentiam omnes vocans. Si vero noluerint, sed in iisdem permanserint, audient Paulum dicentem: Quod secundum duritiem eorum & impœnitens cor, thesaurizent sibi iram in die iræ & revelationis & justi judicii Dei. Quam iram ut fugiamus, ditemur divitiis cælestibus, & laudabilem persequamur paupertatem. Ita enim & cælestia consequemur dona, quæ utinam nos omnes adipisci contingat, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unáque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A Τοιοῦτος καὶ ὁ μακάριος ἦν Ἰώβ. καὶ γὰρ ἡ θύρα μου, φησί, παντὶ ἐλθόντι ἠνέῳκτο· ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, πούς δὲ χωλῶν· ἐγὼ ἤμην πατὴρ ἀδυνάτων. ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἀδύνατοι δὲ ἤν ποτε χρείαν εἶχον, οὐκ ἀπέτυχον, οὐδὲ εἴασα ἐξελθεῖν ἀδύνατον τὴν θύραν μου κόλπῳ κενῷ. καὶ πολλῷ πλείονα δὲ τούτων, ἵνα μὴ πάντα καταλέγωμεν νῦν, διετέλει πράττων, εἰς τοὺς δεομένους ἅπαντα τὸν πλοῦτον καταναλίσκων. βούλει καὶ τοὺς οὐ παρὰ θεοῦ γινομένους πλουσίους ἰδεῖν, ἵνα μάθῃς πῶς κέχρηνται τῷ
B πλούτῳ; ὅρα τὸν ἐπὶ τοῦ Λαζάρου, τὸν οὐδὲ τῶν ψιχίων μεταδιδόντα· ὅρα τὸν Ἀχαὰβ τὸν καὶ τὸν ἀμπελῶνα ἁρπάζοντα· ὅρα τὸν Γιεζῆ, ὅρα τοὺς τοιούτους ἅπαντας. οἱ μὲν γὰρ δικαίως κεκτημένοι, ἅτε παρὰ τοῦ θεοῦ λαβόντες, εἰς τὰ τοῦ θεοῦ προστάγματα ἀναλίσκουσιν· οἱ δὲ ἐν τῷ κτᾶσθαι προσκρούσαντες τῷ θεῷ, καὶ ἐν τῷ δαπανᾶν τὸ αὐτὸ ποιοῦσιν, εἰς πόρνας καὶ παρασίτους ἀναλίσκοντες, ἢ κατορύττοντες καὶ ἀποκλείοντες, εἰς πτωχὸν δὲ οὐδὲν δαπανῶντες. καὶ τίνος ἕνεκεν, φησιν, ὁ θεὸς ἀφίησι πλουτεῖν τοὺς τοιούτους; ὅτι μακρόθυμός ἐστιν, ὅτι βούλεται εἰς μετάνοιαν ἡμᾶς [a] ἀγαγεῖν, ὅτι γέενναν ἡτοίμασεν, ὅτι ἔστησεν ἡμέραν,
C ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. εἰ δὲ εὐθέως τοὺς πλουτοῦντας κακῶς ἐκόλαζεν, οὐκ ἂν ὁ Ζακχαῖος ἔσχε προθεσμίαν μετανοίας, ὥστε καὶ τετραπλάσιονα ἀποδοῦναι, ἅπερ ἥρπασε, καὶ τὰ ἡμίση προσθεῖναι τῶν ἑαυτοῦ· οὐκ ἂν ὁ Ματθαῖος μεταβαλέσθαι καὶ γενέσθαι ἀπόστολος, προαναρπαγεὶς τοῦ προσήκοντος καιροῦ· οὐκ ἂν ἕτεροι πολλοὶ τοιοῦτοι. διὰ ταῦτα ἀνέχεται εἰς μετάνοιαν καλῶν ἅπαντας. εἰ δὲ μὴ βούλοιντο, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένοιεν, ἀκουσόνται τοῦ Παύλου λέγοντος, ὅτι κατὰ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν θησαυρίζουσιν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀρ-
D γῆς καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ θεοῦ· ἥντινα ὀργὴν ἵνα φύγωμεν, πλουτῶμεν τὸν τοῦ οὐρανοῦ πλοῦτον, καὶ τὴν ἐπαινετὴν διώκωμεν πενίαν. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XXXV.

CAP. XIV. 1. *Persequimini caritatem: æmulamini spiritualia, magis autem ut prophetetis.*

1. QUIA enim cum accuratione caritatis virtutem omnem illis recensuit, de cætero hortatur ut cum alacritate illam amplectantur. Ideoque dicebat, Persequimini. Nam qui persequitur, illud solum respicit quod persequitur, & ad illud tendit, nec desistit donec accipiat. Qui persequitur, cum

## ΟΜΙΛΙΑ λέ.

E Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε.

ΕΠΕΙΔΗ γὰρ μετὰ ἀκριβείας τὴν ἀρετὴν αὐτοῖς κατέλεξεν ἅπασαν τῆς ἀγάπης, παραινεῖ λοιπὸν μετὰ προθυμίας αὐτῆς ἀντέχεσθαι. διὸ καὶ ἔλεγε, διώκετε. ὁ γὰρ διώκων, ἐκεῖνο μόνον ὁρᾷ τὸ διωκόμενον, καὶ πρὸς ἐκεῖνο τέταται, καὶ οὐκ ἀφίσταται ἕως ἂν λάβῃ. ὁ διώκων ὅταν δι' ἑαυτοῦ μὴ δυνηθῇ,

a ἀγαγεῖν. Alius ἐπαναγαγεῖν.

διὰ

A ᵃ διὰ τῶν περὶ αὐτὸν ᵃ καταλαμβάνει τὸν φεύγοντα, τοὺς ἐγγὺς ὄντας μετὰ πολλῆς παρακαλῶν τῆς σπουδῆς κατέχειν καὶ τηρεῖν αὐτῷ κατασχεθέντα, ἕως ἂν φθάσῃ. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. ὅταν αὐτοὶ μὴ φθάνωμεν τὴν ἀγάπην, τοὺς ἐγγὺς ὄντας αὐτῆς κελεύωμεν κατέχειν αὐτήν, ἕως ἂν φθάσωμεν πρὸς αὐτήν. εἶτα ἐπειδὰν ἐπιλαβώμεθα, μηκέτ' ἀφῶμεν αὐτήν, ἵνα μὴ πάλιν ἡμᾶς διαφύγῃ. συνεχῶς γὰρ ἡμῶν ἀποπηδᾷ, ἐπειδὴ οὐκ εἰς δέον αὐτῇ κεχρήμεθα, ἀλλὰ πάντα αὐτῆς προτιμῶμεν. διὰ τοῦτο πάντα χρὴ ποιεῖν, ὥστε αὐτὴν μετὰ ἀκριβείας κατασχεῖν. ἐὰν γὰρ τοῦτο γένηται, οὐδὲ πολλοῦ δεῖ πόνου ἡμῖν λοιπόν, B μᾶλλον δὲ οὐδὲ τοῦ τυχόντος, ἀλλὰ τρυφῶντες καὶ πανηγυρίζοντες, τὴν στενὴν τῆς ἀρετῆς ὁδὸν βαδιούμεθα. διό φησι, διώκετε αὐτήν. εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο τὸν τῆς ἀγάπης εἰσήγαγε λόγον, ἵνα σβέσῃ τὰ χαρίσματα, ἐπάγει λέγων· ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ θεῷ· οὐδεὶς γὰρ ἀκούει· πνεύματι δὲ λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. σύγκρισιν ἐνταῦθα λοιπὸν ποιεῖται τῶν χαρισμάτων, καὶ καθαιρεῖ τὸ τῶν γλωσσῶν, οὔτε πάντη C ἄχρηστον δεικνύς, οὔτε σφόδρα ὠφέλιμον καθ' ἑαυτό. καὶ γὰρ σφόδρα ἐπὶ τούτῳ ἐφυσῶντο, ἐπειδὴ καὶ μέγα εἶναι τὸ χάρισμα ἐνομίζετο. ἐνομίζετο δὲ μέγα εἶναι διὰ τὸ πρῶτον αὐτὸ τοὺς ἀποστόλους εἰληφέναι, καὶ μετὰ τοσαύτης ἐπιδείξεως· οὐ μὴν διὰ τοῦτο τῶν ἄλλων προτιμότερον ἦν. τίνος οὖν ἕνεκεν πρὸ τῶν ἄλλων ἔλαβον αὐτὸ οἱ ἀπόστολοι; ἐπειδὴ πανταχοῦ διέρχεσθαι ἔμελλον. καὶ ὥσπερ ἐν καιρῷ τῆς πυργοποιΐας, ἡ μία γλῶττα εἰς πολλὰς διετέμνετο· οὕτω τότε αἱ πολλαὶ πολλάκις εἰς ἕνα ἄνθρωπον ἤεσαν, καὶ ὁ αὐτὸς καὶ τῇ Περσῶν, D καὶ τῇ Ῥωμαίων, καὶ τῇ Ἰνδῶν καὶ ἑτέραις πολλαῖς διελέγετο γλώτταις, τοῦ πνεύματος ἐνηχοῦντος αὐτῷ· καὶ τὸ χάρισμα ἐκαλεῖτο χάρισμα γλωττῶν, ἐπειδὴ πολλαῖς ἀθρόον ἐδύνατο λαλεῖν φωναῖς. ὅρα τοίνυν πῶς αὐτὸ καὶ καθαιρεῖ, καὶ ἐπαίρει. τῷ μὲν γὰρ εἰπεῖν, ὁ λαλῶν γλώσσαις, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ θεῷ· οὐδεὶς γὰρ ἀκούει, καθεῖλε, δείξας οὐ πολὺ τὸ χρήσιμον ὄν· τῷ δὲ ἐπάγειν, ὅτι πνεύματι λαλεῖ μυστήρια, πάλιν ἐπῆρεν, ἵνα μὴ περιττὸν εἶναι δόξῃ καὶ ἄχρηστον καὶ εἰκῇ δεδομένον. ὁ δὲ προφητεύων, ἀνθρώ- E ποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. εἶδες πόθεν τὸ ἐξαίρετον δείκνυσι τοῦ χαρίσματος τούτου; ἀπὸ τοῦ κοινῇ συμφέροντος· καὶ πῶς πανταχοῦ τοῦτο προτιμᾷ τὸ εἰς τὴν τῶν πολλῶν ὠφέλειαν γινόμενον; ἐκεῖνοι γὰρ οὐκ ἀνθρώποις λαλοῦσιν, εἰπέ μοι; ἀλλ' οὐ τοιαύτην οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν· ὥστε τὸ

ᵃ καταλαμβάνει, alius κατέχει.

per seipsum non potest, per eos qui ante illum sunt, fugientem apprehendit, eos qui prope sunt cum magno studio adhortans, ut detineant & servent eum qui captus fuit, donec ille advenerit. Hoc nos quoque faciamus, cum ipsi non pervenimus ad caritatem, eos qui prope sunt jubeamus eam detinere, donec perveniamus ad illam. Deinde cum apprehenderimus, ne ultra dimittamus eam, ne rursus a nobis fugiat. Assidue enim a nobis resilit, quia non ut par est illa utimur, sed omnia ei præferimus. Ideo omnia oportet facere, ut illam accurate retineamus. Nam si hoc fiat, non multo nobis deinceps opus erit labore, imo ne levi quidem; sed in deliciis versantes, festum agentes, per angustam virtutis viam incedemus. Ideo ait, Persequimini eam. Deinde ne putarent, ideo ipsum de caritate sermonem induxisse, ut charismata exstingueret, subjungit dicens: *Æmulamini autem spiritualia, magis autem ut prophetetis.* 2. *Qui enim loquitur lingua, non hominibus loquitur, sed Deo. Nemo enim audit. Spiritu autem loquitur mysteria.* 3. *Qui autem prophetat, hominibus loquitur ad ædificationem, & exhortationem & consolationem.* Comparationem hic demum facit charismatum, & linguarum charisma deprimit, neque omnino inutile ostendens, neque valde utile secundum se. Nam admodum in hoc intumescebant, quia magnum putabatur esse charisma. Magnum vero putabatur esse, quia ipsum primum apostoli acceperant, & cum tanta dignitate ac splendore. Neque tamen aliis ideo præstantius erat. Cur ergo ante alia illud acce- *Gen. 11.*
perant apostoli? quia per omnes orbis partes pervasuri erant: & sicut in tempore quo facta est turris, lingua quæ erat una dividebatur in multas; ita tunc quæ erant multæ, sæpe ibant ad unum hominem; & idem homo Persarum, & Romanorum, & Indorum & aliis multis loquebatur linguis, in ipso insonante Spiritu; & hoc charisma appellabatur charisma seu donum linguarum: quoniam poterat simul multis loqui linguis. Vide ergo quomodo idipsum & deprimit & extollit. Nam dicendo, qui loquitur linguis, non hominibus loquitur, sed Deo: nemo enim audit, depressit illud, ostendens non magnam esse utilitatem. Subjungendo autem, Spiritu loquitur mysteria, rursus extulit, ne videretur esse supervacaneum & inutile, & temere ac frustra datum. Qui autem prophetat, hominibus loquitur ad ædificationem, & adhortationem, & consolationem. Vidistin' undenam ostendat hujus doni excellentiam? ex eo quod in commune conferat; & quomodo id ubique præponat quod fit ad multorum utilitatem? Illi enim, quæso, annon loquuntur hominibus? Loquuntur, sed non talem ædificationem, & exhortationem, & con-

solationem. Quamobrem a Spiritu quidem teneri & agitari est utrique commune, & ei qui prophetat, & ei qui linguis loquitur. In hoc autem præstat ipse, nempe is qui prophetat, quod sit etiam utilis iis qui audiunt. Eos enim qui linguis loquebantur, non audiebant qui donum non habebant. Quid vero? illi nullum ne ædificabant? Certe, inquit, seipsos solos. Et ideo subjungit, 4. *Qui loquitur lingua, semetipsum ædificat.* Et quomodo si nescit quæ dicit? Sed nunc loquitur de iis qui sciunt quæ dicunt, qui ipsi quidem sciunt, nesciunt autem aliis enunciare. *Qui autem prophetat, ecclesiam ædificat.* Quantum autem interest inter unum & ecclesiam, tanta est inter hunc & illum differentia. Vidistin' ejus sapientiam, quomodo donum non redigat in nihilum; sed ostendat habere quidem lucrum, sed parvum, & quod ei solum qui possidet sufficiat? Deinde ne existimarent quod eis invidens linguas deprimat; plures enim ex iis habebant hoc donum; suspicionem eorum corrigens dicit: 5. *Volo autem omnes vos loqui linguis, magis autem prophetare. Nam major est qui prophetat, quam qui loquitur linguis, nisi forte interpretetur, ut ecclesia ædificationem accipiat.* Magis autem & minus non sunt ex contrariis, sed ex iis quæ exsuperant

Prophetiæ donum dono linguarum præstat.

2. Quamobrem hinc quoque est perspicuum quod donum non vituperet, sed eos ducat ad meliora, ostendens & quam eorum curam gerat, & animum ab omni invidia liberum. Neque enim dixit: Duos aut tres, sed vos omnes volo linguis loqui: neque hoc solum, sed etiam prophetare: & hoc magis quam illud; major est enim qui prophetat. Nam postquam id confirmavit & demonstravit, tunc de cætero etiam pronunciat, non tamen absolute, sed cum adjectione. Subjunxit enim, nisi forte interpretetur; ita ut si hoc possit interpretari, inquit, par sit prophetæ, quoniam sunt multi qui percipiunt utilitatem: quod maxime est observandum, quomodo hoc per omnia ante alia requirat. 6. *Nunc autem, fratres, si venero ad vos linguis loquens, quid vobis prodero, nisi vobis loquar, aut in revelatione, aut in scientia, aut in prophetia, aut in doctrina?* Et quid, inquit, dico alios? Sit enim, inquit, qui linguis loquitur Paulus; neque enim quidquam redibit emolumenti ad auditores. Hæc autem dicit, ostendens se id quærere quod sit eis utile, non autem odio habere eos qui charisma possident, cum ne in propria quidem persona recuset ostendere id esse inutile. Semper autem in sui persona quæ sunt gravia & molesta agitat, sicut dicebat in principio epistolæ: *Quis est Paulus? quis est Apollo? quis Cephas?* Quod quidem hic quoque facit dicens: Ne vobis quidem prodero nisi vobis loquar, aut in revelatione, aut in

1.Cor.3.5.

A μὲν ὑπὸ τοῦ πνεύματος κατέχεσθαι, ἀμφοτέροις κοινὸν, καὶ τῷ προφητεύοντι, καὶ τῷ γλώσσαις λαλοῦντι· τούτῳ δὲ αὐτὸς, ὁ προφητεύων λέγω, πλεονεκτεῖ, τῷ καὶ χρήσιμος εἶναι τοῖς ἀκούουσι. τῶν γὰρ γλώσσαις λαλούντων οὐκ ἤκουον οἱ τὸ χάρισμα οὐκ ἔχοντες. τί οὖν; οὐδένα ᾠκοδόμουν ἐκεῖνοι; ναί, φησιν, ἑαυτοὺς μόνους· διὸ καὶ ἐπήγαγεν· ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ. καὶ πῶς, εἰ μὴ οἶδεν ἃ λέγει; ἀλλὰ τέως περὶ τῶν εἰδότων ἃ λέγουσι διαλέγεται, εἰδότων μὲν αὐτῶν, οὐκ ἐπισταμένων δὲ εἰς ἑτέρους ἐξενεγκεῖν. ὁ δὲ
B προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ. ὅσον δὲ τὸ μέσον ἑνὸς καὶ ἐκκλησίας, τοσοῦτον διάφορον τούτου κἀκείνου. εἶδες αὐτοῦ τὴν σοφίαν, πῶς οὐκ εἰς τὸ μηδὲν ἐξωθεῖ τὸ χάρισμα, ἀλλὰ δείκνυσιν ἔχον μὲν κέρδος, μικρὸν δὲ, καὶ ὅσον τῷ κεκτημένῳ μόνον ἀρκέσαι; εἶτα ἵνα μὴ νομίσωσιν ὅτι βασκαίνων αὐτοῖς καθαιρεῖ τὰς γλώσσας· καὶ γὰρ οἱ πλείους εἶχον τὸ χάρισμα τοῦτο, διορθούμενος αὐτῶν τὴν ὑπόνοιάν φησιν· θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προ-
C φητεύητε· μείζων γὰρ ὁ προφητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ. τὸ δὲ μᾶλλον καὶ μεῖζον οὐ τῶν ἐναντίων ἐστὶν, ἀλλὰ τῶν ὑπερεχόντων.

Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ διαβάλλει τὸ χάρισμα, ἀλλ' ἐπὶ τὰ βελτίονα αὐτοὺς ἄγει, τήν τε περὶ αὐτοὺς κηδεμονίαν, καὶ τὴν φθόνου παντὸς ἀπηλλαγμένην ψυχὴν ἐπιδεικνύς. οὐδὲ γὰρ εἶπε, δύο, ἢ τρεῖς, ἀλλὰ, πάντας ὑμᾶς θέλω γλώσσαις λαλεῖν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ προφητεύειν· καὶ τοῦτο μᾶλλον,
D ἢ ἐκεῖνο· μείζων γὰρ ὁ προφητεύων. ἐπειδὴ γὰρ κατεσκεύασε αὐτὸ καὶ ἀπέδειξε, τότε λοιπὸν καὶ ἀποφαίνεται, οὐ μὴν ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης. ἐπήγαγε γὰρ, ἐκτὸς εἰ μὴ διερμηνεύει, ὡς ἐὰν δύνηται τοῦτο, τὸ διερμηνεύειν λέγω, ἴσος γέγονε τῷ προφήτῃ, φησὶν, ἐπειδὴ πολλοὶ οἱ τὴν ὠφέλειαν καρπούμενοι· ὃ χρὴ μάλιστα παρατηρεῖν, πῶς διὰ πάντων τοῦτο πρὸ τῶν ἄλλων ἐπιζητεῖ. νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προ-
E φητείᾳ, ἢ ἐν διδαχῇ; καὶ τί λέγω, φησὶ, τοὺς ἄλλους; ἔστω γὰρ ὁ φθεγγόμενος γλώσσαις Παῦλος. οὐδὲ γὰρ οὕτως ἔσται τι πλέον τοῖς ἀκούουσι. ταῦτα δὲ λέγει δεικνὺς ὅτι τὸ ἐκείνοις συμφέρον ζητεῖ, οὐ πρὸς τὸ χάρισμα ἔχοντας ἀπεχθῶς ἔχει, ὅπουγε οὐδὲ ἐπὶ τοῦ οἰκείου προσώπου παραιτεῖται δεῖξαι τὸ ἀνωφελές. καὶ ἀεὶ δὲ τὰ φορτικὰ ἐπὶ τοῦ οἰκείου προσώπου γυμνάζει, ὡς ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγε· τίς ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; τίς δὲ Κηφᾶς; ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, οὐδὲ ἐγὼ ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν προφητείᾳ,

ἢ ἐν γνώσει, ἢ ἐν διδαχῇ. ὃ δὲ λέγει τοῦτό ἐστιν, ἐὰν μή τι εἴπω δυνάμενον ὑμῖν εὔληπτον γενέσθαι, καὶ δυνάμενον εἶναι σαφὲς, ἀλλ' ἐπιδείξωμαι μόνον, ὅτι γλωττῶν ἔχω χάρισμα, γλωττῶν ὧν ἀκούσαντες, οὐδὲν κερδάναντες ἀπελεύσεσθε. πῶς γὰρ ἀπὸ φωνῆς, ἧς οὐ συνίετε; ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἂν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθαριζόμενον; καὶ τί λέγω, φησὶν, ὅτι ἐφ' ἡμῶν τοῦτο μὲν ἀκερδὲς, ὠφέλιμον δὲ τὸ σαφὲς καὶ εὔληπτον τοῖς ἀκούουσι; καὶ γὰρ ἐν τοῖς ἀψύχοις ὀργάνοις τῆς μουσικῆς τοῦτο ἴδοι τις ἄν· εἴτε γὰρ αὐλὸς, εἴτε κιθάρα εἴη, καὶ μηδὲ ῥυθμῷ, μηδὲ ἁρμονίᾳ τῇ προσηκούσῃ, ἀλλὰ συγκεχυμένως καὶ ἁπλῶς κρούοιτο καὶ ἐμπνέοιτο, οὐδένα ψυχαγωγήσει τῶν ἀκουόντων· καὶ γὰρ ἐν τοῖς ἀνάρθροις ἐκείνοις δεῖ τινος σαφηνείας· κἂν μὴ κατὰ τέχνην κρούσῃς, καὶ ἐμπνεύσῃς τῷ αὐλῷ, οὐδὲν ἐποίησας. εἰ δὲ παρὰ τῶν ἀψύχων τοσαύτην ἀπαιτοῦμεν σαφήνειαν καὶ ἁρμονίαν καὶ διάκρισιν, καὶ ἐν τοῖς ἀσήμοις ἐκείνοις φθόγγοις βιαζόμεθα καὶ φιλονεικοῦμεν πολλὴν ἐπιθεῖναι τὴν σημασίαν, πολλῷ μᾶλλον ἐν τοῖς ἐμψύχοις καὶ λογικοῖς ἀνθρώποις, καὶ ἐν τοῖς πνευματικοῖς χαρίσμασι τὸ εὔσημον διώκειν δεῖ. καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; ἀπὸ γὰρ τῶν περιττῶν ἐπὶ τὰ ἀναγκαιότερα καὶ χρησιμώτερα τὸν λόγον ἄγει, καί φησιν, ὅτι οὐκ ἐπὶ τῆς κιθάρας μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς σάλπιγγος τοῦτο συμβαῖνον ἴδοι τις ἄν. εἰσὶ γὰρ καὶ ἐκεῖ ῥυθμοὶ, καὶ ἐνδείκνυνται ποτὲ μὲν πολεμικὴν ἠχὴν, ποτὲ δὲ οὐ τοιαύτην· καὶ ποτὲ μὲν εἰς παράταξιν ἐξάγει· κἂν μὴ τοῦτό τις εἰδῇ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. ὃ δὴ δηλῶν καὶ [a] τὴν βλάβην ἐμφαίνων φησὶ, τίς παρασκευάσεται εἰς πόλεμον; ὥστε ἂν μὴ τοῦτο ἔχῃ, τὸ πᾶν ἀπώλεσε. καὶ τί πρὸς ἡμᾶς ταῦτά, φησι; πρὸς ὑμᾶς μὲν οὖν μάλιστα, διὸ καὶ ἐπάγει. οὕτω καὶ ὑμεῖς, ἐὰν μὴ εὔσημον λόγον δῶτε διὰ τῆς γλώττης, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. τουτέστιν, οὐδενὶ φθεγγόμενοι, πρὸς οὐδένα λαλοῦντες. καὶ πανταχοῦ τὸ ἀνωφελὲς δείκνυσι. καὶ εἰ ἀνωφελὲς, διὰ τί ἐδόθη, φησίν; ὥστε ἐκείνῳ χρήσιμον εἶναι τῷ λαβόντι. εἰ δὲ καὶ ἑτέροις μέλλοι γίνεσθαι, ἑρμηνείαν δεῖ προσεῖναι· ταῦτα δὲ λέγει, συνάγων αὐτοὺς πρὸς ἀλλήλους, ἵνα κἂν αὐτὸς μὴ ἔχῃ τὸ χάρισμα τοῦ ἑρμηνεύειν, ἕτερον προσλαβὼν τὸν τοῦτο ἔχοντα, ὠφέλιμον τὸ ἑαυτοῦ δι' ἐκείνου ποιήσῃ. διὸ πανταχοῦ δείκνυσιν ἀτελὲς ὂν, ἵνα κἂν οὕτως αὐτοὺς συνδήσῃ. ὡς ὅγε νομίζων ἀρκεῖν αὐτὸ ἑαυτῷ, οὐχ οὕτως αὐτὸ ἐγκωμιάζει, ὡς καθαιρεῖ, οὐκ ἀφιεὶς αὐτὸ λάμψαι καλῶς διὰ τῆς ἑρμηνείας. καλὸν μὲν γὰρ καὶ ἀναγκαῖον τὸ χάρισμα, ἀλλ' ὅταν

A prophetia, aut in scientia, aut in doctrina. Hoc autem vult significare: Nisi aliquid dixero quod a vobis facile possit capi, & possit esse manifestum, sed tantum ostendero me habere donum linguarum, abitis nullo lucro facto ex linguis quas audistis. Quid enim lucri ex voce, quam non intelligitis? 7. *Tamen quæ sine anima sunt vocem edentia, sive tibia, sive cithara, nisi distinctionem sonituum dederint, quomodo scietur id quod canitur, aut citharizatur?* Et quid dico, inquit, hoc quod in nobis est nihil lucri
B afferre: utile autem esse quod est clarum, & quod facile capiunt auditores? Nam etiam in inanimis musicæ instrumentis hoc videris: sive enim sit tibia, sive cithara, & neque numero, neque harmonia conveniente, sed confuse & temere pulsetur & inspiretur, nullum ex iis qui audiunt delectabit ac recreabit. Nam etiam in illis inarticulatis, aliqua claritate opus est & evidentia: & nisi ex arte pulsaveris, & tibiam inspiraveris, nihil fecisti. Si autem exigimus ab inanimis ut tanta sit in eis claritas, & harmonia, & distinctio, & in illis non signi-
C ficantibus sonis urgemus & contendimus ut magnam imponamus significationem: multo magis in animatis & ratione præditis hominibus, & in donis spiritualibus persequi oportet id quod recte significet. 8. *Etenim si incertam vocem det tuba, quis parabit se ad bellum?* A supervacaneis enim, ad ea quæ sunt magis necessaria & utilia deducit orationem; & dicit quod non solum in cithara, sed etiam in tuba videris hoc usuvenire. Sunt enim illic quoque rhythmi, & indicant aliquando quidem sonum bellicum, ali-
D quando vero non talem; & aliquando educit in aciem; ac nisi quispiam hoc norit, in extremum venit periculum. Quod quidem significans, & errorem ostendens, dicit, *Quis parabit se ad bellum?* Quamobrem nisi hoc habeat, totum perdit. Et quid hæc, inquies, ad nos? Ad vos maxime spectat, & ideo subjungit: 9. *Ita & vos per linguam nisi manifestum sermonem dederitis, quomodo scietur id quod dicitur? eritis enim in aerem loquentes.* Hoc est, nihil loquentes, nulli loquentes: & ubique rem ostendit inutilem. Et si inutilis, inquies,
E cur data est? Ut sit utilis ei qui accepit. Si autem aliis quoque futura est utilis, oportet adsit interpretatio. Hæc autem dicit, eos inter se invicem concilians, ut & si ipse non habeat donum interpretandi, assumto altero qui id habeat, quod suum est per illum faciat utile. Propterea ubique ostendit rem esse imperfectam, ut ipsos sic unà colliget. Etenim qui id sibi existimat sufficere, non tam id laudat quam deprimit, non sinens id recte splendere per interpretationem. Pulcrum enim est donum & necessarium, sed tum

[a] τὴν βλάβην. Alius, τὴν πλάνην.

demum si habuerit eum qui declaret ea quæ dicuntur. Nam digitus quoque res est necessaria: sed quando eum abduxeris a reliquis, non erit æque utilis. Tuba quoque est necessaria: sed quando temere sonuerit, est etiam molesta & gravis. Neque enim ars apparebit, nisi sit subjecta materia: neque informatur materia, nisi imposita sit forma. Pone ergo vocem quidem tamquam subjectum, claritatem autem tamquam formam, quæ si non adsit, subjecti nullus est usus. 10. *Tam multa, si contingant, genera linguarum sunt in hoc mundo, & nihil sine voce est.* Hoc est, tam multæ linguæ, tam multæ voces, Scytharum, Thracum, Romanorum, Persarum, Maurorum, Indorum, Ægyptiorum, aliarum Gentium innumerabilium. 11. *Si ergo nesciero virtutem vocis, ero ei cui loquar barbarus.*

3. Ne existimes enim quod hoc solum accidat in vobis, inquit, sed etiam in omnibus hoc fieri videris. Quamobrem hæc dico, non vocem vituperans, sed ostendens eam mihi esse inutilem, quamdiu non fuerit clara & manifesta. Deinde ne gravem ac molestam reddat accusationem, exæquat crimen, dicens: *Ille mihi barbarus, & ego illi.* Non ex natura vocis, sed ex nostra ignorantia. Vidistin' quomodo paulatim duxit ad id quod est cognatum ac re proprium? quod quidem mos est ei facere, ut exempla procul attrahat, & desinat in id quod est subjecto conjunctius & magis proprium. Nam postquam dixit de tibia & cithara, ubi multa desunt & multa inutilia sunt, venit ad tubam rem utiliorem, & deinde ad ipsam vocem. Ita etiam antea, quando versabatur ejus oratio in eo ut ostenderet non esse prohibitum apostolis accipere, cum cœpisset primum ab agricolis, & pastoribus, & militibus, tunc deduxit orationem ad id quod est proposito propinquius, nempe ad sacerdotes qui erant in veteri. Tu autem mihi considera quomodo ubique studium posuerit ut donum liberaret ab accusatione, & crimen conferret in eos qui acceperunt. Non dixit enim: ero barbarus, sed, ei qui loquitur barbarus. Et rursus non dixit: Qui loquitur, barbarus, sed, Qui mihi loquitur, barbarus. Quid ergo oportet, inquit, fieri? Non solum enim non oportet vituperare, sed etiam adhortari & docere; quod ipse quoque facit. Postquam enim accusavit & increpavit, & inutile esse ostendit, deinceps etiam consilium dat, dicens: 12. *Sic & vos, quoniam æmulatores estis spirituum, ad ædificationem ecclesiæ quærite ut abundetis.* Vidistin' ejus scopum semper & ubique unum esse? eam ceu regulam ponit, quæ multis utilis sit & ecclesiam juvet. Neque dixit, ut dona possideatis, sed ut abundetis, hoc est, ut cum magna copia illa habeatis. Tantum enim

A ἔχῃ τὸν σαφηνίζοντα τὰ λεγόμενα. ἐπεὶ καὶ ὁ δάκτυλος ἀναγκαῖον, ἀλλ' ὅταν αὐτὸν ἀποστήσειας τῶν λοιπῶν, οὐχ ὁμοίως ἔσται χρήσιμος· καὶ ἡ σάλπιγξ ἀναγκαία, ἀλλ' ὅταν ἁπλῶς ἠχῇ, καὶ ἐπαχθής. οὔτε γὰρ τέχνη φανεῖται, μὴ ὑποκειμένης ὕλης, οὔτε ὕλη μορφοῦται, μὴ ἐπιτεθειμένου τοῦ εἴδους. θὲς τοίνυν τὴν μὲν φωνὴν ὡς ὑποκείμενον, τὴν δὲ σαφήνειαν ὡς εἶδος, οὗ μὴ παρόντος οὐδὲν ὄφελος τοῦ ὑποκειμένου. Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον. τουτέστι, τοσαῦται
B γλῶσσαι, τοσαῦται φωναὶ, Σκυθῶν, Θρακῶν, Ῥωμαίων, Περσῶν, Μαύρων, Ἰνδῶν, Αἰγυπτίων, ἑτέρων μυρίων ἐθνῶν. ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος.

Μὴ γὰρ δὴ νομίσῃς, ὅτι ἐφ' ἡμῶν τοῦτο μόνον συμβαίνει, φησὶν, ἀλλὰ καὶ ἐπὶ πάντων τοῦτο γινόμενον ἴδοι τις ἄν· ὥστε οὐ διαβάλλων τὴν φωνὴν ταῦτα λέγω, ἀλλὰ δεικνὺς, ὅτι ἐμοὶ ἀνωφελὴς, ἕως ἂν ᾖ ἀσαφής. Εἶτα ἵνα μὴ ἐπαχθῆ ποιήσῃ τὴν κατηγο-
C ρίαν, ἐξισάζει τὸ ἔγκλημα, λέγων· ἐκεῖνος ἐμοὶ βάρβαρος, κἀγὼ ἐκείνῳ. οὐ παρὰ τὴν φύσιν τῆς φωνῆς, ἀλλὰ παρὰ τὴν ἡμετέραν ἄγνοιαν. Εἶδες πῶς κατὰ μικρὸν ἐπὶ τὸ συγγενὲς ἤγαγεν; ὅπερ ἔθος αὐτῷ ποιεῖν, πόῤῥωθεν ἕλκειν τὰ ὑποδείγματα, καὶ πρὸς τὸ οἰκειότερον τῷ ὑποκειμένῳ τελευτᾷν. ἐπειδὴ γὰρ εἶπε περὶ αὐλοῦ καὶ κιθάρας, ἔνθα πολὺ τὸ ἀποδέον ἦν καὶ ἀνόνητον, ἔρχεται ἐπὶ τὴν σάλπιγγα, τὸ χρησιμώτερον, εἶτα ἐκεῖθεν καὶ ἐπ' αὐτὴν λοιπὸν τὴν φωνήν. οὕτω καὶ ἔμπροσθεν ὅτε περὶ τοῦ δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν τοὺς ἀποστόλους διε-
D λέγετο, ἀρξάμενος πρῶτον ἀπὸ γεωργῶν καὶ ποιμένων καὶ στρατιωτῶν, τότε καὶ ἐπὶ τὸ ἐγγύτερον τῷ προκειμένῳ τὸν λόγον ἤγαγε, τοὺς ἱερέας τοὺς ἐν τῇ παλαιᾷ. σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ ἐσπούδακεν ἀπαλλάξαι τὸ χάρισμα κατηγορίας, καὶ περιστῆσαι τὸ ἔγκλημα εἰς τοὺς εἰληφότας. οὐ γὰρ εἶπεν, ἔσομαι βάρβαρος, ἀλλὰ, τῷ λαλοῦντι βάρβαρος. καὶ πάλιν οὐκ εἶπεν, ὁ λαλῶν βάρβαρος, ἀλλ', ὁ ἐμοὶ λαλῶν βάρβαρος. τί οὖν δεῖ γενέσθαι, φησίν; οὐ γὰρ μόνον οὐ διαβάλλειν χρὴ, ἀλλὰ καὶ
E παραινεῖν καὶ διδάσκειν, ὃ δὴ καὶ αὐτὸς ποιεῖ. ἐπειδὴ γὰρ ἐνεκάλεσε καὶ ἐπετίμησε καὶ τὸ ἀνωφελὲς ἔδειξε, συμβουλεύει λοιπὸν λέγων· οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε. εἶδες αὐτοῦ τὸν σκοπὸν πανταχοῦ, πῶς πρὸς ἓν ὁρᾷ διηνεκῶς καὶ διὰ πάντων, τὸ τοῖς πολλοῖς χρήσιμον, τὸ τὴν ἐκκλησίαν ὠφελοῦν, ὥσπερ τινὰ κανόνα τοῦτο τιθείς; καὶ οὐκ εἶπεν ἵνα κτήσησθε τὰ χαρίσματα, ἀλλ', ἵνα περισσεύητε, τουτέστιν, ἵνα καὶ μετὰ δαψιλείας πολλῆς αὐτὰ ἔχητε.

τοσοῦτον γὰρ ἀπέχω τοῦ μὴ βούλεσθαι ἔχειν ὑμᾶς αὐτά, ὅτι καὶ περισσεύειν ὑμᾶς ἐν αὐτοῖς βούλομαι, μόνον ἂν εἰς τὸ κοινῇ συμφέρον αὐτὰ μεταχειρίζητε. καὶ πῶς αὐτὸ τοῦτο γένοιτό φησι, καὶ ἐπάγει λέγων. διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμηνεύῃ. ἐὰν γὰρ προσεύξωμαι τῇ γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. τί οὖν ἐστί; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ· ἐνταῦθα δείκνυσιν ἐν αὐτοῖς ὂν τὸ λαβεῖν τὸ χάρισμα. προσευχέσθω γάρ, φησι, τουτέστι, τὰ παρ' ἑαυτοῦ εἰσαγέσθω. καὶ γὰρ ἐὰν σπουδαίως αἰτήσῃς, λήψῃ. αἴτει τοίνυν μὴ γλώττης ἔχειν χάρισμα μόνον, ἀλλὰ καὶ ἑρμηνείας, ἵνα πᾶσιν ὠφέλιμος γένῃ, καὶ μὴ ἐν σεαυτῷ μόνῳ κατακλείσῃς τὸ χάρισμα. ἐὰν γὰρ προσεύξωμαι τῇ γλώττῃ, φησί, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν. εἶδες πῶς κατὰ μικρὸν τὸν λόγον ἀνάγων δείκνυσιν, ὅτι οὐκ ἄλλοις ἄχρηστος μόνον ὁ τοιοῦτος, ἀλλὰ καὶ ἑαυτῷ, εἴγε ὁ νοῦς αὐτοῦ ἄκαρπος; ἂν γάρ τις φθέγγηται μόνον τῇ Περσῶν γλώσσῃ, ἢ ἑτέρᾳ τινὶ ἀλλοτρίᾳ, μὴ εἰδῇ δὲ ἃ λέγει, ἄρα καὶ ἑαυτῷ λοιπὸν ἔσται βάρβαρος, οὐχ ἑτέρῳ μόνον, διὰ τὸ μὴ εἰδέναι τὴν δύναμιν τῆς φωνῆς. καὶ γὰρ ἦσαν τὸ παλαιὸν καὶ χάρισμα εὐχῆς ἔχοντες πολλοὶ μετὰ γλώττης· καὶ ηὔχοντο μέν, καὶ ἡ γλῶττα ἐφθέγγετο, ἢ τῇ Περσῶν, ἢ τῇ Ῥωμαίων φωνῇ εὐχομένη· ὁ νοῦς δὲ οὐκ ᾔδει τὸ λεγόμενον. διὸ καὶ ἔλεγεν, ἐὰν προσεύξωμαι τῇ γλώττῃ, τὸ πνεῦμά μου προσεύχεται, τουτέστι, τὸ χάρισμα τὸ δοθέν μοι καὶ κινοῦν τὴν γλῶτταν, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. τί ποτ' οὖν τὸ ἄριστον, καὶ τὸ ὠφέλιμον; καὶ πῶς χρὴ ποιεῖν, ἢ τί αἰτεῖν παρὰ τοῦ θεοῦ; τὸ καὶ τῷ πνεύματι, τουτέστι, τῷ χαρίσματι, καὶ τῇ διανοίᾳ προσεύχεσθαι. διὸ καὶ ἔλεγε, προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ· τὸ αὐτὸ πάλιν καὶ ἐνταῦθα δηλοῖ, ἵνα καὶ ἡ γλῶττα φθέγγηται, καὶ ὁ νοῦς μὴ ἀγνοῇ τὰ λεγόμενα. ἂν γὰρ μὴ τοῦτο ᾖ, καὶ ἑτέρα σύγχυσις ἔσται. καὶ γὰρ ἐὰν εὐλογήσῃς, φησί, τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. σκόπει πῶς πάλιν ἐνταῦθα πρὸς τὴν ἀπαρτίαν τὸν λίθον ἄγει, τὴν οἰκοδομὴν πανταχοῦ ζητῶν τῆς ἐκκλησίας. ἰδιώτην δὲ τὸν λαϊκὸν λέγει, καὶ δείκνυσι καὶ αὐτὸν οὐ μικρὰν ὑπομένοντα τὴν ζημίαν, ὅταν τὸ ἀμὴν εἰπεῖν μὴ δύνηται. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἂν εὐλογήσῃς τῇ τῶν βαρβάρων φωνῇ, οὐκ εἰδὼς τί λέγεις, οὐδὲ ἑρμηνεῦσαι δυνάμενος, οὐ δύναται ὑποφωνῆσαι τὸ ἀμὴν ὁ λαϊκός. οὐ γὰρ ἀκούων τό, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὅπερ ἐστὶ τέλος, οὐ λέγει τό, ἀμήν. εἶτα πάλιν παραμυθούμενος τοῦτο, ἵνα μὴ δόξῃ σφόδρα ἐξευτελίζειν τὸ χάρισμα, ὅπερ ἀνωτέρω ἔλεγεν, ὅτι λαλεῖ μυστήρια, καί, θεῷ λαλεῖ, καί, ἑαυτὸν οἰκοδομεῖ, καί, ὅτι τῷ πνεύματι προσεύχεται, παραμυθίαν ἐπινοῶν οὐ μικρὰν ἐκ τούτων, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, λέγων·

A abeſt ut nolim vos ea habere, ut velim etiam vos eis abundare, modo ea exerceatis ad id quod in commune eſt utile. Quomodo autem hoc fiat, dicit & ſubjungit, dicens: 13. *Et ideo qui loquitur lingua, oret ut interpretetur.* 14. *Nam ſi orem lingua, ſpiritus meus orat, mens autem mea ſine fructu eſt.* 15. *Quid ergo eſt? Orabo ſpiritu, orabo & mente. Pſallam ſpiritu, pſallam & mente.* Hîc oſtendit in eorum eſſe poteſtate ut donum accipiant. Oret enim, inquit, hoc eſt quæ ſua ſunt afferat. Nam ſi diligenter & magno ſtudio petieris, accipies. Pete ergo ut non B ſolum habeas donum linguæ, ſed etiam interpretationis: ut ſis omnibus utilis, nec donum in te ſolum includas. Nam ſi orem, inquit, lingua, ſpiritus meus orat, mens autem mea ſine fructu eſt. Vidiſtin' quomodo paulatim extollens orationem, oſtendat eum qui eſt ejuſmodi, non ſolum eſſe aliis inutilem, ſed etiam ſibi ipſi; ſiquidem mens ejus eſt ſine fructu? Nam ſi quis loquatur ſolum Perſarum lingua, aut aliqua alia aliena, neſciat autem quæ dicit, certe etiam ſibi ipſi jam erit barbarus, non alii ſolum, C eo quod neſciat vim vocis. Erant enim antiquitus multi qui orationis donum habebant cum lingua; & orabant quidem, & lingua loquebatur, aut Perſarum, aut Romanorum voce orans: mens autem neſciebat quod dicebatur. Ideo dicebat, Si orem lingua, ſpiritus meus orat; id eſt chariſma quod datum eſt mihi & movet linguam. Mens autem mea ſine fructu eſt. Quid ergo optimum & utile eſt? Et quomodo faciendum, quid petendum a Deo eſt? Ut & ſpiritu, id eſt chariſmate, & mente oretur. Et ideo D dicebat: Orabo ſpiritu, orabo & mente; pſallam ſpiritu, pſallam & mente. Idem rurſus hic quoque ſignificat: ut & lingua loquatur, & mens non ignoret ea quæ dicuntur. Nam niſi hoc ſic, alia quoque erit confuſio. 16. *Etenim ſi benedixeris, inquit, ſpiritu, qui ſupplet locum idiotæ quomodo dicet, amen, ſuper tuam gratiarum actionem? Quoniam quid dicas neſcit.* 17. *Nam tu quidem bene gratias agis: ſed alter non ædificatur.* Vide quomodo hic rurſus lapidem ducit ad amuſſim, ubique quærens eccleſiæ ædificationem. Idiotam autem dicit laicum, E & oſtendit eum non parvum damnum accipere, quando non poteſt dicere, amen. Hoc autem vult ſignificare: Si barbarorum voce benedicas neſciens quid dicas, neque valens interpretari, non poteſt laicus reſpondere, amen. Non audiens enim illud, in ſæcula ſæculorum, quod eſt finis, non dicit, amen. Deinde rurſus eum conſolans, ne videatur donum valde vilipendere: quod ſuperius dicebat eum loqui myſteria, & Deo loqui, & ſeipſum ædificare, & orare ſpiritu, ex his non parvam excogitans conſolationem, hoc hîc quoque facit dicens.

Donum linguarum quodnam eſſet.

Nam tu quidem bene gratias agis, spiritu enim motus loqueris: sed ille nihil audiens, neque sciens quæ dicuntur, stat, non magnam excipiens utilitatem.

4. Deinde quoniam eos est insectatus qui hoc habent donum, tamquam qui nihil magnum haberent, ne videatur veluti eo privatus, eos vilipendere, vide quid dicat: 18. *Gratias ago Deo, quod magis quam vos omnes linguis loquar.* Hoc autem facit etiam alibi. Depressurus enim ea quibus exsuperabat Judaïsmus, & ostensurus ea nihil esse, prius ostendit se ea habere, & longe amplius, tunc quoque ea damnum appellat dicens: *Si quis videtur habere fiduciam in carne, ego magis, circumcisus octavo die, ex genere Israel, tribu Benjamin, Hebræus ex Hebræis, secundum legem Pharisæus, secundum zelum persequens ecclesiam, secundum justitiam quæ est ex lege, factus irreprehensibilis.* Et tunc postquam ostendit, se in his omnibus abundare, dicit: sed quæ mihi erant lucra, ea damnum existimavi propter Christum. Ita hic quoque facit, dicens: Magis quam vos omnes linguis loquor. Ne ergo efferamini, & vobis placeatis tamquam soli donum habentes, nam ego quoque id possideo, & magis quam vos. 19. *Sed in ecclesia volo quinque verba sensu meo loqui, ut & alios instituam.* Quid est sensu meo loqui, ut & alios instituam? intelligens quæ dico, & quæ possum aliis quoque interpretari, & cum intelligentia dicere, & docere eos qui audiunt. *Quam decem millia verborum in lingua.* Quare? ut alios, inquit, instituam. Nam illud quidem habet ostentationem tantum, hoc autem multam utilitatem. Hoc enim est quod ubique quærit, quod in communi sit utile. Atqui donum linguarum erat novum & alienum, prophetiæ autem donum consuetum & antiquum & multis jam datum. Hoc autem tunc primum: sed in id tamen non multum ponebat studii. Quamobrem nec eo usus est, non quod non haberet, sed quod quæreret quæ sunt utiliora: erat enim liber ab omni inani gloria, & unum spectabat, ut meliores redderet auditores. Propterea etiam poterat videre quod sibi & aliis erat utile, eo quod esset liber ab inani gloria. Nam qui est in ejus servitutem redactus, non poterit videre, non solum quod aliis, sed etiam quod sibi est utile. Talis erat Simon, qui quoniam ad inanem aspexit gloriam, ne vidit quidem quod sibi erat conducibile. Tales erant Judæi, qui propter eam diabolo suam propinarunt salutem. Hinc etiam orta sunt idola, & externi philosophi ex hoc furore lapsi sunt, ad mala dogmata incitantes. Vide autem hujus vitii perversitatem. Per hoc ex iis nonnulli effecti sunt pauperes, & alii studium posuerunt in divitiis. Tanta est ejus tyrannis, ut dominetur etiam in

Rom. 11. 1.

A σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς· πνεύματι γὰρ κινούμενος φθέγγῃ· ἀλλ' ἐκεῖνος οὐδὲν ἀκούων, οὐδὲ εἰδὼς τὰ λεγόμενα, ἕστηκεν οὐ πολλὴν δεχόμενος τὴν ὠφέλειαν.

Εἶτα ἐπειδὴ κατέδραμε τῶν τὸ χάρισμα τοῦτο ἐχόντων, ὡς οὐδὲν μέγα ἐχόντων, ἵνα μὴ δόξῃ ὡς ἀπεστερημένος αὐτοῦ διευτελίζειν αὐτοὺς, ὅρα τί φησιν· εὐχαριστῶ τῷ θεῷ, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. τοῦτο δὲ καὶ ἀλλαχοῦ ποιεῖ. μέλλων γὰρ καθαιρεῖν τοῦ Ἰουδαϊσμοῦ τὰ πλεονεκτήματα, καὶ δεικνύναι λοιπὸν οὐδὲν ὄντα, πρότερον ἑαυτὸν ταῦτα ἐσχηκότα δείκνυσι, καὶ μετὰ πλείονος ὑπερβολῆς, καὶ τότε ζημίαν αὐτὰ

B καλεῖ, οὕτω λέγων· εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. καὶ τότε ὅτε ἔδειξε πάντων ἑαυτὸν πλεονεκτοῦντα, φησιν, ἀλλ' ἅ τινά μοι ἦν κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. οὕτω καὶ ἐνταῦθα ποιεῖ λέγων, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. μὴ τοίνυν μέγα φρονεῖτε, ὡς μόνοι τὸ χάρισμα ἔχοντες. καὶ γὰρ καὶ ἐγὼ κέκτημαι, καὶ ὑμῶν πλέον. ἀλλὰ θέλω πέντε λόγους ἐν ἐκ-

C κλησίᾳ διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω. τί ἐστι, διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω; νοῶν ἃ λέγω, [a] καὶ ἃ δύναμαι καὶ ἑτέροις ἑρμηνεῦσαι καὶ μετὰ συνέσεως εἰπεῖν καὶ διδάξαι τοὺς ἀκούοντας. ἢ μυρίους λόγους ἐν γλώσσῃ· διὰ τί; ἵνα κατηχήσω ἄλλους, φησί. τὸ μὲν γὰρ καὶ ἐπίδειξιν ἔχει μόνον, τὸ δὲ πολλὴν τὴν ὠφέλειαν. τοῦτο γάρ ἐστιν ὃ πανταχοῦ ζητεῖ, τὸ κοινῇ συμφέρον. καίτοιγε ξένον τὸ χάρισμα ἦν τὸ τῶν γλωσσῶν, τὸ δὲ τῆς προφητείας σύνηθές τε καὶ παλαιὸν καὶ πολλοῖς ἤδη δοθέν.

D τοῦτο δὲ τότε πρῶτον· ἀλλ' ὅμως οὐ σφόδρα ἦν αὐτῷ περισπούδαστον. διόπερ οὐδὲ ἐκέχρητο αὐτῷ, οὐ παρὰ τὸ μὴ ἔχειν, ἀλλὰ παρὰ τὸ τὰ χρησιμώτερα ζητεῖν. καὶ γὰρ ἦν πάσης κενοδοξίας ἀπηλλαγμένος, καὶ ἓν μόνον σκοπῶν, ὅπως βελτίους ἐργάσηται τοὺς ἀκούοντας. διὸ καὶ τὸ χρήσιμον καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις ἠδύνατο βλέπειν, ἐπειδὴ τῆς κενῆς δόξης ἀπήλλακτο. ὡς ὅγε ἐκείνῃ καταδουλωθεὶς, οὐ τὸ τῶν ἄλλων μόνον, ἀλλ' οὐδὲ τὸ ἑαυτοῦ δυνήσεται καθιδεῖν συμφέρον. τοιοῦτος ἦν ὁ Σίμων, ὃς ἐπειδὴ πρὸς

E δόξαν εἶδε κενὴν, οὐδὲ τὸ ἑαυτοῦ χρήσιμον εἶδε. τοιοῦτοι καὶ Ἰουδαῖοι, οἱ διὰ ταύτην, τῷ διαβόλῳ τὴν οἰκείαν προέπιον σωτηρίαν. ἐντεῦθεν καὶ εἴδωλα ἐτέχθη, καὶ οἱ τῶν ἔξωθεν φιλόσοφοι ἐπὶ τὰ πονηρὰ δόγματα ἐκ ταύτης παροξυνόμαντες ἐξώκειλαν τῆς μανίας. καὶ ὅρα τὴν διαστροφὴν τοῦ πάθους. διὰ γὰρ ταύτην κἀκείνων ἔνιοι πένητες ἐγένοντο, καὶ ἕτεροι περὶ πλοῦτον ἐσπούδασαν. τοσαύτη αὐτῆς ἡ τυραννὶς, ὡς καὶ ἐν τοῖς ἐναντίοις κρατεῖν.

a ἃ δύναμαι, alius, ἂν δύναμαι.

A καὶ γὰρ ἐπὶ σωφροσύνῃ τις κενοδοξεῖ, καὶ ἐπὶ μοιχείᾳ πάλιν ἄλλος, καὶ ἐπὶ δικαιοσύνῃ οὗτος, καὶ ἐπὶ ἀδικίᾳ ἕτερος, καὶ ἐπὶ τρυφῇ, καὶ ἐπὶ νηστείᾳ, καὶ ἐπὶ ἐπιεικείᾳ, καὶ ἐπὶ θρασύτητι, καὶ ἐπὶ πλούτῳ, καὶ ἐπὶ πενίᾳ. καὶ γὰρ ἔνιοι τῶν ἔξωθεν, παρὸν λαβεῖν, διὰ τὸ θαυμάζεσθαι οὐκ ἐλάμβανον. ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως. ὅτι γὰρ καθαροὶ δόξης ἦσαν, ἐδήλωσαν δι' ὧν ἐποίησαν. καὶ γὰρ ὅτε θεοὺς αὐτοὺς ἐκάλουν, καὶ θύειν αὐτοῖς ἦσαν παρεσκευασμένοι ταύρους ἐστεμμένους, οὐχ ἁπλῶς ἀπηγόρευσαν τὸ γινόμενον μόνον, ἀλλὰ καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια. B καὶ ὅτε τὸν χωλὸν διώρθωσαν, πάντων πρὸς αὐτοὺς κεχηνότων ἔλεγον, τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει πεποιηκόσι τοῦ περιπατεῖν τοῦτον; κἀκεῖνοι μὲν ἐν ἀνδράσι θαυμάζουσι πενίαν, τὰ τῆς πενίας ᾑροῦντο· οὗτοι δὲ ἐν ἀνθρώποις καταφρονοῦσι πενίας, καὶ ἐπαινοῦσι πλοῦτον. καὶ οὗτοι μὲν, εἴ τι ἔλαβον, τοῖς δεομένοις ἐπήρκουν. οὕτως οὐ διὰ κενοδοξίαν, ἀλλὰ διὰ φιλανθρωπίαν ἅπαντα ἔπραττον. ἐκεῖνοι δὲ τοὐναντίον ἅπαν, ὥσπερ ἐχθροὶ καὶ λυμεῶνες τῆς κοινῆς φύσεως ὄντες, οὕτω καὶ ταῦτα ἐποίουν. ὁ μὲν C γὰρ εἰς θάλατταν τὰ αὐτοῦ κατεπόντιζεν ἅπαντα εἰκῇ καὶ μάτην, τοὺς παραπαίοντας καὶ μαινομένους μιμούμενος· ὁ δὲ μηλόβοτον τὴν αὑτοῦ χώραν πᾶσαν ἀφῆκεν. οὕτω πάντα πρὸς φιλοτιμίαν ἐποίουν. ἀλλ' οὐχ οὗτοι, ἀλλὰ καὶ ἐδέχοντο τὰ διδόμενα, καὶ διένεμον τοῖς δεομένοις μετὰ τοσαύτης ἐλευθερίας, ὡς καὶ λιμῷ διηνεκεῖ συζῆν. εἰ δὲ δόξης ἤρων, οὐκ ἂν τοῦτο ἐποίουν, τὸ λαμβάνειν καὶ διανέμειν, δεδοικότες μή τις ὑποψία γένηται καθ' αὐτῶν. ὁ γὰρ τὰ ἑαυτοῦ ῥίψας διὰ δόξαν, πολλῷ μᾶλλον τὰ ἑτέρων οὐ λήψεται, ὥστε μὴ δοκεῖν ἑτέρων δεῖσθαι, μη- D δὲ ὑποπτεύεσθαι. τούτους δὲ ὁρᾷς καὶ διακονουμένους, καὶ προσαιτοῦντας αὐτοὺς ὑπὲρ τῶν δεομένων. οὕτω πατέρων ἦσαν πάντων φιλοστοργότεροι. θέα δὲ καὶ τοὺς νόμους αὐτῶν συμμέτρους, καὶ κενοδοξίας ἀπηλλαγμένους. ἔχοντες γὰρ, φησὶ, σκεπάσματα καὶ τροφὰς, τούτοις ἀρκεσθησόμεθα. οὐ [a] καθάπερ ὁ Σινωπεὺς ἐκεῖνος ὁ ῥάκια περιβεβλημένος καὶ πίθον οἰκῶν εἰς οὐδὲν δέον, ἐξέπληξε μὲν πολλοὺς, ὠφέλησε δὲ οὐδένα· ὁ δὲ Παῦλος τούτων μὲν οὐδὲν ἐποίει. οὐδὲ γὰρ πρὸς φιλοτιμίαν ἔβλεπεν, ἀλλὰ καὶ ἱμάτια περιβέβλητο μετὰ εὐσχημοσύνης ἁπάσης, καὶ οἰκίαν ᾤκει διηνε- E κῶς, καὶ τὴν ἀκρίβειαν ἅπασαν ἐπὶ τῆς ἄλλης ἀρετῆς ἐπεδείκνυτο, ἧς ὁ Κυνικὸς κατεφρόνει ζῶν ἀσελγῶς, καὶ δημοσίᾳ ἀσχημονῶν, καὶ ὑπὸ τῆς περὶ τὴν δόξαν μανίας συρόμενος. ἂν γὰρ ἐρωτᾷ τις τῆς τοῦ πίθου οἰκήσεως τὴν αἰτίαν, οὐδεμίαν ἑτέραν εὑρήσει, ἀλλ' ἢ κενοδοξίαν μόνην.

Ὁ δὲ Παῦλος καὶ μισθὸν παρεῖχε τῆς οἰκίας,

contrariis. Nam & ex temperantia aliquis inani gloria afficitur, & rursus alius ex adulterio: & hic quidem ex justitia, alius ex injustitia; ex deliciis & ex jejunio; ex lenitate & ex audacia; ex divitiis & ex paupertate. Nonnulli enim externi, cum liceret dona accipere; ut in admiratione haberentur, non accipiebant. Sed non sic apostoli. Nam quod puri essent a vana gloria, ostenderunt per ea quæ fecerunt. Etenim quando illos deos vocabant, & parati erant ad sacrificandum ipsis tauros coronatos, non solum prohibuerunt, sed etiam sua vestimenta sciderunt. Et quando claudum curaverunt, omnibus eos hianti ore stupentibus dixerunt: *Quid nos aspicitis, tamquam propria virtute fecerimus hunc ambulare?* Et illi quidem inter viros paupertatem admirantes paupertatem eligebant; hi vero ipsam eligunt apud homines qui paupertatem spernunt & divitias laudant. Et hi certe, si quid acceperant, egenis opem ferebant. Ita non propter inanem gloriam, sed propter benignitatem omnia faciebant. Illi autem plane contrarium, tamquam qui essent inimici & pestes communis naturæ, hæc sic quoque faciebant. Nam alius quidem frustra & temere omnes suas facultates in mare demergebat, fatuos imitans & eos qui sunt insanæ mentis: alius autem sinebat omnes suos agros depasci ab ovibus. Sic omnia apud illos ad vanam gloriam spectabant. Sed non hi, imo vero quæ dabantur accipiebant, & distribuebant egentibus cum tanta liberalitate, ut etiam in fame perpetua degerent. Si autem gloriam amassent, non hoc fecissent, nempe ut acciperent & distribuerent, timentes ne contra ipsos aliqua foret suspicio. Nam qui sua abjicit propter gloriam, multo magis non accipiet ea quæ sunt aliorum, ne videatur egere aliis, neque veniat in suspicionem. Hos autem vides & ministrantes, & emendicantes pro egentibus: adeo erant etiam patribus quibuslibet amantiores. Vide autem eorum quoque leges moderatas, & ab inani gloria liberas. *Habentes* enim, inquit, *vestimenta & alimenta, his contenti erimus.* Non sicut ille Sinopeus, qui pannis obsitus, & dolium habitans, cum nihil esset opus, multos quidem stupefecit, nulli autem profuit: Paulus autem nihil horum faciebat. Neque enim spectabat ambitionem & honoris desiderium, sed & decore induebatur vestibus, & domi assidue habitabat, seque plane perfectum ostendebat in alia omni virtute: quod despiciebat Cynicus, intemperanter vivens & palam indecore se gerens, ab inani gloria abreptus. Si quis enim roget cur in dolio habitaverit, nullam aliam causam inveniet quam vanam gloriam.

5. Paulus autem etiam domum, quam

Act. 3. 12.

Philosophi Græci carpuntur.

1. Tim. 6. 8.

Diogenes Cynicus.

[a] Quæ hic de Diogene Cynico feruntur, apud Diogenem Laertium & sexcentis in aliis veterum locis habentur.

Romæ incolebat, mercede conduxit. Quamquam qui longe fortiora poterat, multo magis hoc potuisset. Sed non aspiciebat ad gloriam, sævam belluam, horrendum dæmonem, pestem orbis terræ, venenatam viperam. Sicut enim illa bestia dentibus uterum matris discerpit, ita etiam hoc vitium parentem dilacerat. Undenam ergo vario huic morbo inveneris medicamentum? Si eos qui ipsum conculcarunt in medium adduxeris, & ad illorum imaginem respiciens, sic vitam composueris. Patriarcha enim Abraham; nemo autem mihi vitio vertat ejusdem rei repetitionem, si sæpe ejus & in omnibus meminimus. Hoc enim est quod illum quoque reddit maxime admirabilem, & eos qui non ipsum æmulantur, omni privat venia. Nam si eum quidem in parte aliqua, in alia autem parte alium se recte gessisse ostenderimus, dixerit aliquis difficile esse virtutis exercitium; non esse enim facile omnia simul recte gerere, quorum partem sanctorum singuli gesserunt. Cum autem inveniatur unus & idem omnia obtinere, quam habebunt excusationem qui post legem & gratiam non possunt ad eamdem pervenire mensuram, ad quam qui fuerunt ante legem & gratiam? Quomodo ergo hic patriarcha hanc belluam vicit & superavit, quando fuit ei controversia cum filio fratris? Nam cum minor portio ei obtigisset, & primas partes non esset assequutus, non doluit. Scitis autem quod in his rebus dedecus est pejus damno iis qui sunt pusilli animi, & maxime quando ipse omnium dominus, sicut tunc ille, & qui prior cœperat honorare, non vicissim honore afficitur. Sed tamen nihil horum illum momordit, sed & cum secundas haberet partes fuit contentus, & injuria affectus a juvene senex, & patruus a fratris filio, non succensuit, neque ægre tulit, sed similiter eum amabat & curabat. Rursus ex magno illo & terribili bello parta victoria, vique propulsatis & profligatis Barbaris, de victoria non triumphat, nec erigit tropæum: volebat enim tantum servare, non se ostentare. Excepit rursus hospites, neque hic inani gloria laboravit, sed & ipse occurrebat & adorabat, non tamquam dans beneficium, sed tamquam beneficio affectus: & vocat dominos, nesciens quidem quinam accessissent, & loco ancillæ constituit uxorem. Cum autem antea in Ægypto admirabilis apparuisset, & hanc ipsam uxorem recepisset, tantumque esset honorem consequutus; apud neminem se ostentat. Sed indigenæ quidem eum Regem appellabant, ipse autem solvit precium sepulcri. Cum autem mitteret famulum, uxorem filio adducturum, nihil jussit magnum aut præclarum de se dicere, sed solum sponsam adducere. Vis etiam examinare eos qui erant sub gratia, quando eos undique

Vana gloria sæva bellua.

Pauli lau.

A ἐν ᾗ κατέμενεν ἐν τῇ Ῥώμῃ. καίτοιγε ὁ τὰ πολλῷ εὐτονώτερα δυνηθεὶς, πολλῷ μᾶλλον τοῦτο ἴσχυσεν ἄν. ἀλλ' οὐχ ἑώρα πρὸς δόξαν, τὸ χαλεπὸν θηρίον, τὸν δαίμονα τὸν δεινὸν, τὴν λύμην τῆς οἰκουμένης, τὴν ἔχιν τὴν ἰοβόλον. καθάπερ γὰρ τὸ θηρίον ἐκεῖνο τὴν νηδὺν τῆς τεκούσης διαῤῥήγνυσι τοῖς ὀδοῦσιν, οὕτω καὶ τοῦτο τὸ πάθος τὸν τίκτοντα διασπαράττει. πόθεν οὖν ἄν τις εὕροι τῷ ποικίλῳ τούτῳ νοσήματι φάρμακον; εἰ τοὺς καταπατήσαντας αὐτὴν εἰς μέσον ἀγάγοι, καὶ πρὸς τὴν ἐκείνων εἰκόνα βλέπων, οὕτω τὴν ἑαυτοῦ ζωὴν καλευθύνειε. B καὶ γὰρ ὁ πατριάρχης Ἀβραάμ· ἀλλὰ μηδεὶς ἐγκαλείτω ταυτολογίαν, εἰ πολλάκις αὐτοῦ μνημονεύομεν, καὶ ἐπὶ πάντων. τοῦτο γὰρ μάλιστά ἐστιν ὃ κἀκεῖνον θαυμαστὸν ἀποφαίνει, καὶ τοὺς μὴ ζηλοῦντας αὐτὸν πάσης ἀποστερεῖ συγγνώμης. εἰ μὲν γὰρ μέρος μέν τι τοῦτον, μέρος δὲ ἕτερον κατωρθωκότα ἐπιδεικνύμεν, εἶπεν ἄν τις καὶ δυσκατόρθωτον εἶναι τὴν ἀρετήν· οὐδὲ γὰρ εἶναι εὔκολον πάντα ὁμοῦ κατορθοῦν, ὧν μέρος ἕκαστος τῶν ἁγίων ἤνυσεν. ὅταν δὲ εὑρίσκηται εἷς καὶ ὁ αὐτὸς τὰ πάντα ἔχων, ποίαν ἕξουσιν ἀπολογίαν, οἱ μετὰ νόμον καὶ C χάριν τοῖς πρὸ τοῦ νόμου καὶ τῆς χάριτος εἰς τὸ αὐτὸ μέτρον μὴ δυνάμενοι φθάσαι; πῶς οὖν ἐστιν ὁ πατριάρχης τοῦ θηρίου τούτου περιεγένετο καὶ ἐκράτησεν, ἡνίκα πρὸς τὸν ἀδελφιδοῦν ἀμφισβήτησιν εἶχε; καὶ γὰρ ἐλαττωθεὶς, καὶ τῶν πρωτείων ἀποτυχὼν, οὐκ ἤλγησεν. ἴστε δὲ ὅτι ἐν τοῖς τοιούτοις ἡ αἰσχύνη τῆς ζημίας χείρων τοῖς μικροψύχοις, καὶ μάλιστα ὅταν αὐτὸς ἁπάντων κύριος ὢν, καθάπερ ἐκεῖνος τότε, καὶ τῆς τιμῆς πρότερος ἄρξας, μὴ ἀντιτιμᾶται. ἀλλ' ὅμως οὐδὲν τούτων ἐκεῖνον ἔδακνεν, ἀλλὰ καὶ τὰ δεύτε- D ρα ἔχων ἔστεργε, καὶ ἀδικηθεὶς παρὰ τοῦ νέου ὁ πρεσβύτης, καὶ παρὰ τοῦ ἀδελφιδοῦ ὁ θεῖος οὐκ ἠγανάκτει, οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐφίλει ὁμοίως καὶ ἐθεράπευε. πάλιν νικήσας τὸν πόλεμον ἐκεῖνον τὸν μέγαν καὶ φοβερὸν, καὶ τοὺς βαρβάρους κατὰ κράτος ἐλάσας, οὐκ ἐμπομπεύει τῇ νίκῃ, οὐδὲ τρόπαιον ἵστησι· σῶσαι γὰρ ἐβούλετο μόνον, οὐκ ἐπιδείξασθαι. ξένους ἐδέχετο πάλιν, καὶ οὐδὲ ἐνταῦθα ἐκενοδόξει, ἀλλ' αὐτὸς καὶ προσέτρεχε, καὶ προσεκύνει, οὐχ ὡς εὖ ποιῶν, ἀλλ' ὡς εὖ πάσχων, καὶ κυρίους καλεῖ, οὐδὲ E εἰδὼς τίνες ποτέ εἰσιν οἱ παραγινόμενοι, καὶ παρίστησι τὴν γυναῖκα ἐν τάξει θεραπαινίδος. καὶ ἐν Αἰγύπτῳ δὲ παρὰ τοῦτο θαυμαστὸς οὕτω φανεὶς, καὶ αὐτὴν ταύτην τὴν γυναῖκα ἀπολαβὼν, καὶ τοσαύτης ἀπολαύσας τιμῆς, πρὸς οὐδένα ἐπιδείκνυται· ἀλλ' οἱ μὲν ἐγχώριοι καὶ βασιλέα αὐτὸν ἐκάλουν, αὐτὸς δὲ καὶ τιμὴν κατέβαλε τοῦ τάφου. καὶ ἡνίκα δὲ ἔπεμπε μνηστευσόμενος τῷ παιδὶ, οὐδὲν ἐκέλευσε μέγα περὶ αὐτοῦ καὶ λαμπρὸν εἰπεῖν, ἀλλ' ἁπλῶς ἀγαγεῖν τὴν νύμφην. βούλει καὶ τοὺς ἐπὶ τῆς χάριτος ἐξετάσαι, ὅτε πολλὴ πανταχόθεν αὐτοὺς περιέῤῥει

περιέρρει τῆς διδασκαλίας ἡ δόξα, καὶ ἰδεῖν καὶ τότε τοῦτο τὸ πάθος ἐκβεβλημένον; ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν ταῦτα λέγοντα πῶς ἀεὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ, πῶς τῶν μὲν ἁμαρτημάτων αὐτοῦ μέμνηται συνεχῶς, τῶν δὲ κατορθωμάτων οὐκέτι. κἂν εἴποτε μαθητὰς ἐπανορθῶσαι δέοι, κἂν ἀναγκασθῇ ποιῆσαι τοῦτο, ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, καὶ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ οὐκ αἰσχύνεται ἐργαζόμενος παρὰ Πρισκίλλῃ καὶ Ἀκύλᾳ, καὶ πανταχοῦ ταπεινὸν ἑαυτὸν ἐσπούδακε δεικνύναι, οὐ σοβῶν ἐπὶ τῆς ἀγορᾶς, οὐδὲ ὄχλους περιφέρων, ἀλλ' ἐν τοῖς ἀσήμοις καταπάττων ἑαυτόν. διὸ καὶ ἔλεγεν, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής, τουτέστιν, εὐκαταφρόνητος καὶ οὐδὲν ἔχουσα κόμπον. καὶ πάλιν, εὔχομαι ὑμᾶς μὴ ποιῆσαι κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν. καὶ τί θαυμαστὸν, εἰ δόξης καταφρονεῖ ταύτης; ὁ γὰρ τῆς ἄνω δόξης καταφρονῶν, καὶ βασιλείας, καὶ γεέννης διὰ τὸ τῷ Χριστῷ δοκοῦν· καὶ γὰρ ἀνάθεμα εὔχεται εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῆς τοῦ Χριστοῦ δόξης. κἂν γὰρ ὑπὲρ Ἰουδαίων τοῦτο λέγῃ βούλεσθαι πάσχειν, διὰ τοῦτο λέγει, ἵνα μὴ δόξῃ τις τῶν ἀνοήτων ἐπιλαμβάνεσθαι τῶν ἐπαγγελιῶν τῶν πρὸς αὐτοὺς γεγενημένων. εἰ τοίνυν ἐκεῖνα παραδραμεῖν ἕτοιμος, τί θαυμάζεις, εἰ τὰ ἀνθρώπων ὑπερορᾷ; ἀλλὰ τοὺς νῦν ἅπαντα βαπτίζει, οὐ δόξης ἐπιθυμία μόνον, ἀλλὰ καὶ τοὐναντίον ὕβρις, καὶ ἀτιμίας δέος. ἄν τε γὰρ ἐπαινέσῃ τις, ἐφυσήθης, ἄν τε ψέξῃ, κατηνέχθης ἄν. καὶ καθάπερ τὰ ἀσθενῆ σώματα καὶ ὑπὸ τῶν τυχόντων ἐπηρεάζεται, οὕτω καὶ αἱ χαμαίζηλοι ψυχαί. τοὺς γὰρ τοιούτους οὐ πενία μόνον, ἀλλὰ καὶ πλοῦτος ἀπόλλυσιν, οὐ λύπη μόνον, ἀλλὰ καὶ χαρὰ, καὶ τὰ χρηστὰ μᾶλλον, ἢ τὰ λυπηρά. ἡ μὲν γὰρ πενία καὶ σωφρονεῖν ἀναγκάζει, ὁ δὲ πλοῦτος καὶ εἰς κακόν τι μέγα ἐξάγει πολλάκις. καὶ ὥσπερ οἱ πυρέττοντες πρὸς πάντα εἰσὶ δυσάρεστοι, οὕτω καὶ οἱ διεφθαρμένοι τὴν ψυχὴν πάντοθεν πλήττονται.

Ταῦτ' οὖν εἰδότες, μὴ πενίαν φεύγωμεν, μὴ πλοῦτον θαυμάζωμεν, ἀλλὰ τὴν ψυχὴν πρὸς πάντα ἱκανὴν κατασκευάζωμεν. καὶ γὰρ οἰκίαν τις οἰκοδομούμενος, οὐ τοῦτο σκοπεῖ ὅπως μήτε ὑετὸς ἐπ' αὐτὴν κατενεχθείη, μήτε ἀκτὶς ἔλθοι· τοῦτο γὰρ ἀμήχανον· ἀλλ' ὅπως αὐτὴ ἱκανὴ γένοιτο πάντα φέρειν. καὶ ὁ πλοῖον δὲ τεκταινόμενος, οὐχ ὅπως μὴ κύματα αὐτῷ προσρήξειε, μηδὲ χειμὼν ἐγερθείη θαλάσσης, ποιεῖ τι καὶ μηχανᾶται· καὶ γὰρ καὶ τοῦτο ἀμήχανον· ἀλλ' ὅπως οἱ τοῖχοι τῆς νεὼς πρὸς ἅπαντα εἶεν ἐπιτήδειοι. καὶ ὁ σώματος φροντίζων πάλιν οὐ τοῦτο σκοπεῖ, ὅπως μὴ ἀνωμαλία ἀέρων γένοιτο, ἀλλ' ὅπως τὸ σῶμα εὐκόλως ἅπαντα ταῦτα φέρει. οὕτω τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς ποιῶμεν, καὶ μὴ ὅπως φύγωμεν πενίαν, μηδὲ ὅπως γενώμεθα πλούσιοι σπουδάζωμεν, ἀλλ' ὅπως πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν ἕκαστον τούτων μεταχειρισώμεθα.



A circumfluebat magna doctrinæ gloria, & videre hoc quoque vitium tunc ejectum & eliminatum? Cogita mihi hunc ipsum qui hæc dicit, quomodo semper totum Deo tribuat, quomodo suorum quidem peccatorum assidue meminerit, recte autem factorum non item. Sed si quando oporteat corrigere discipulos, & cogatur Galat. 1.
hoc facere, eam rem vocat insipientiam, & Petro primas cedit: nec erubescit operari apud Priscillam & Aquilam: & ubi- Act. 18.
que conatus est se ostendere humilem & abjectum, non in foro superbe incedens,
B neque turbas circumferens, sed se referens in numerum eorum qui sunt obscuri & non insignes. Et ideo dicebat, *Præsentia autem corporis est infirma*, hoc est, 2. Cor. 10. 10.
despicienda, & quæ nullum habeat fastum. Et rursus: *Opto vos nihil mali facere, ne nos probati videamur.* Et quid 2. Cor. 13. 7.
mirum si hanc despicit gloriam? Qui etiam supernam illam despicit, ut & regnum, & gehennam, secundum Christi placitum. Optat enim esse anathema a Rom. 9. 3.
Christo pro Christi gloria. Nam etiamsi pro Judæis hoc se dicat velle pati, hoc dicit, ne quis stultus putet ipsum promissio-
C nes illis factas sibi sumere. Si ille ergo paratus erat ea præterire, quid miraris si humana despicit? Sed eos qui nunc sunt, demergunt omnia, non solum gloriæ cupiditas, sed etiam contrarium, contumelia, & metus infamiæ. Nam & si quispiam laudaverit, intumescis, & si vituperaverit, deprimeris. Et sicut corpora imbecilla offenduntur vel a quibuslibet, ita etiam pusillæ & abjectæ animæ. Eos enim qui sunt hujusmodi, non solum paupertas, sed etiam divitiæ perdunt: non tristitia solum, sed etiam gaudium, & quæ sunt jucunda magis quam quæ
D tristia. Nam paupertas quidem cogit esse temperantem; divitiæ autem sæpe educunt etiam ad aliquod magnum malum. Et sicut qui febricitant, ab omnibus offenduntur: ita qui sunt animo corrupto & depravato, læduntur ab omnibus.

6. Hæc ergo cum sciamus, ne fugiamus paupertatem, neque admiremur divitias: sed animum ita comparemus ut sit aptus & idoneus ad omnia. Nam qui domum ædificat, non eo spectat, ut in eam non cadat pluvia, neque ut ad eam
E non veniat radius; hoc enim fieri nequit: sed ut ad omnia ferenda apta sit & idonea. Et qui navem fabricatur, non id curat ut in eam non irrumpant fluctus, neque ut non excitetur maris tempestas; hoc enim fieri nequit; sed ut navis tabulata apta sint ad omnia. Rursus qui curam gerit corporis, non eo spectat ut non sit aëris inæqualitas & intemperies, sed ut corpus omnia hæc facile ferat. Sic etiam faciamus in anima, & studium ponamus, non ut paupertatem fugiamus, neque ut simus divites, sed ut unumquodque ex iis ita tractemus, ut in tuto collocemur. Propterea Anima quomodo curanda.

his dimissis, & divitiis & paupertati aptam efficiamus animam. Nam etiamsi nihil humani accidat, quod quidem ut plurimum fieri non potest, sic quoque erit melior qui non quærit divitias, sed omnia facile potest ferre, quam is qui semper est dives. Quare? Primum quidem, qui est hujusmodi, ex se & apud se habet quod sit in tuto, ille autem extrinsecus. Et sicut miles ille melior est qui confidit corpori & arti bellicæ, quam qui solum vires habet in armis: ita qui a virtute septus est & munitus, melior est eo qui confidit pecuniis. Secundo, quod etiamsi in paupertatem non inciderit, fieri non potest ut ipse non sit obnoxius perturbationi. Multos enim fluctus & perturbationes habent divitiæ, sed non virtus: imo vero solam voluptatem & securitatem. Inexpugnabilem enim reddit insidiantibus: contra autem divitiæ & facile invadi possunt & abripi. Et sicut inter animalia cervi & lepores maxime omnium facile capi possunt propter timiditatem a natura insitam: aper autem & taurus, & leo non facile inciderint in insidiatores; ita etiam videre est & in divitibus, & in iis qui sua sponte degunt in paupertate. Nam hic quidem similis est leoni & tauro: ille autem cervo & lepori. Quem enim non timet dives? Annon latrones, annon principes, annon invidos, annon calumniatores? Et quid dico latrones & calumniatores, cum ipsos etiam famulos habeat suspectos? Et quid dico vivus? ne mortuus quidem liber est a maleficio latronum: neque mors eum potest in tuto collocare: sed & mortuum deprædantur malefici; adeo instabilis & lubrica res sunt divitiæ. Non solum enim perfodiuntur domus, sed etiam sepulcra perrumpuntur & loculi. Quid ergo his fieri potuerit miserius, cum ne mors quidem ei hanc præbeat securitatem; sed infelix illud corpus, ne vita quidem privatum, a malis quæ sunt in vita sit liberatum; cum ii qui ea admittunt maleficia, etiam cum pulvere & cinere contendant bellum gerere, & multo gravius quam cum viveret? Nam tunc quidem penuarium ingredientes, arculas quidem movebant, a corpore autem abstinebant, neque tam multa accipiebant ut ipsum etiam corpus nudarent; nunc autem ne ab iis quidem abstinent exsecrandæ manus eorum qui sepulcra effodiunt, sed ipsum movent & versant, & cum summa crudelitate ipsum contumelia & probro afficiunt. Nam postquam terræ mandatum fuit, illud etiam vestium amictu nudatum sic sinunt projectum jacere. Quis est ergo divitiis major hostis, quæ vivorum quidem perdunt animam, mortuorum autem etiam corpus probro & contumelia afficiunt, & ne terra quidem tegi permittunt; quod quidem est commune etiam iis qui sunt

Divitum mala conditio.

A διὰ ταῦτα ἀφέντες, κατασκευάζωμεν τὴν ψυχὴν καὶ πλούτῳ καὶ πενίᾳ ἐπιτηδείαν. κἂν γὰρ μηδὲν ἀνθρώπινον συμβαίη, ὅπερ ὡς τὰ πολλὰ ἀδύνατον, καὶ οὕτω βελτίων ὁ μὴ πλοῦτον ζηλῶν, ἀλλ' εἰδὼς πάντα φέρειν εὐκόλως, τοῦ διαπαντὸς πλουτοῦντος. τί δήποτε; πρῶτον μὲν ὁ τοιοῦτος οἴκοθεν ἔχει τὸ ἀσφαλὲς, ἐκεῖνος δὲ ἔξωθεν. καὶ ὥσπερ στρατιώτης βελτίων ὁ τῷ σώματι θαῤῥῶν καὶ τῇ τέχνῃ τοῦ πολεμεῖν, τοῦ τὴν ἰσχὺν ἐν

B τοῖς ὅπλοις ἔχοντος μόνον· οὕτω τοῦ χρήμασι θαῤῥοῦντος ὁ ἀπὸ τῆς ἀρετῆς πεφραγμένος ἀμείνων. δεύτερον, ὅτι κἂν εἰς πενίαν μὴ καταπέσῃ, οὐ δυνατὸν αὐτὸν ἀτάραχον εἶναι. καὶ γὰρ πολλοὺς ἔχει κλύδωνας ὁ πλοῦτος καὶ ταραχάς· ἀλλ' οὐχ ἡ ἀρετὴ, ἀλλ' ἡδονὴν μόνον καὶ ἀσφάλειαν. καὶ γὰρ ἀχείρωτον ποιεῖ τοῖς ἐπιβουλεύουσιν, ὁ δὲ πλοῦτος τοὐναντίον ἅπαν, εὐεπιχείρητον καὶ ἁλώσιμον. καὶ καθάπερ ἐν τοῖς ζώοις ἔλαφοι καὶ λαγωοὶ μάλιστα πάντων εἰσὶν εὐχείρωτοι διὰ τὴν ἐν τῇ φύσει δειλίαν, ὗς δὲ ἄγριος, καὶ ταῦρος καὶ

C λέων οὐδ' ἂν ἐμπέσοιεν ῥᾳδίως τοῖς ἐπιβουλεύουσιν· οὕτω δὴ καὶ ἐπὶ τῶν πλουτούντων, καὶ ἐν πενίᾳ ζώντων ἑκόντων ἔστιν ἰδεῖν. ὁ μὲν γὰρ τῷ λέοντι καὶ τῷ ταύρῳ ἔοικεν, ὁ δὲ τῇ ἐλάφῳ καὶ τῷ λαγωῷ. τίνα γὰρ οὐ δέδοικεν ὁ πλουτῶν; οὐχὶ λῃστάς; οὐχὶ δυνάστας; οὐχὶ βασκάνους; οὐ συκοφάντας; καὶ τί λέγω λῃστὰς καὶ συκοφάντας, ὅπουγε καὶ τοὺς οἰκέτας αὐτοὺς ὑποπτεύει; καὶ τί λέγω ζῶν; οὐδὲ τελευτήσας τῆς τῶν λῃστευόντων κακουργίας ἀπήλλακται, οὐδὲ ἰσχύει ὁ θάνατος ἐν ἀσφαλείᾳ αὐτὸν καταστῆσαι,

D ἀλλὰ καὶ νεκρὸν ὄντα συλῶσιν οἱ κακουργοῦντες· οὕτω πρᾶγμα ἐπισφαλὲς ὁ πλοῦτος. οὐ γὰρ δὴ οἰκίαι διορύττονται μόνον, ἀλλὰ καὶ τάφοι ἀναῤῥήγνυνται καὶ θῆκαι. τί οὖν ἀθλιώτερον τούτου γένοιτ' ἂν, ὅταν μηδὲ θάνατος αὐτῷ παρέχῃ τὴν ἄδειαν ταύτην, ἀλλὰ τὸ δείλαιον ἐκεῖνο σῶμα οὐδὲ ζωῆς ἀποστερηθὲν ἀπήλλακται τῶν ἐν τῇ ζωῇ κακῶν, τῶν τὰ τοιαῦτα κακουργούντων καὶ πρὸς κόνιν καὶ τέφραν ἐπειγομένων πολεμεῖν, καὶ πολλῷ χαλεπώτερον, ἢ ἡνίκα ἔζη; τότε μὲν γὰρ εἰς ταμεῖον εἰσιόντες, τὰ κιβώτια μὲν

E ἐκίνουν, τοῦ σώματος δὲ ἀπείχοντο, καὶ οὐκ ἂν τοσαῦτα ἔλαβον, ὡς καὶ αὐτὸ γυμνῶσαι τὸ σῶμα· νυνὶ δὲ οὐδὲ τούτων ἀπέχονται αἱ μιαραὶ τῶν τυμβωρύχων χεῖρες, ἀλλὰ κινοῦσιν αὐτὸ καὶ περιστρέφουσι, καὶ μετὰ πολλῆς ὠμότητος ἐνυβρίζουσι. μετὰ γὰρ τὸ παραδοθῆναι τῇ γῇ, γυμνὸν καὶ τῆς ἐκεῖθεν περιβολῆς καὶ τῆς ἀπὸ τῶν ἱματίων ποιήσαντες, οὕτως ἀφιᾶσιν ἐῤῥίφθαι. τίς οὖν οὕτω πολέμιος, ὡς ὁ πλοῦτος, ζώντων μὲν καὶ τὴν ψυχὴν ἀπολλύς, τελευτησάντων δὲ καὶ τὸ σῶμα ἐνυβρίζων, καὶ οὐδὲ τῇ γῇ κρύπτεσθαι συγχωρῶν, ὃ κοινὸν καὶ τῶν καταδίκων ἐστὶ, καὶ

τῶν ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότων; ἐκείνους μὲν γὰρ τοῦ θανάτου τὴν δίκην ἀπαιτήσαντες οἱ νομοθέται, οὐδὲν περαιτέρω περιεργάζονται· τούτους δὲ ὁ πλοῦτος καὶ μετὰ θάνατον πικροτάτην ἀπαιτεῖ δίκην, γυμνοὺς προτιθεὶς καὶ ἀτάφους, θέαμα δεινὸν καὶ ἐλεεινόν. καὶ γὰρ τῶν ἀπὸ ψήφου τοῦτο πασχόντων καὶ θυμοῦ δικαστικοῦ, χαλεπώτερα οὗτοι πάσχουσιν. ἐκεῖνοι μὲν γὰρ μίαν τὴν πρώτην, καὶ δευτέραν ἡμέραν μείναντες ἄταφοι, τῇ γῇ παραδίδονται· οὗτοι δὲ ὅταν παραδοθῶσι τῇ γῇ, τότε γυμνοῦνται καὶ ὑβρίζονται. εἰ δὲ μὴ καὶ θήκην λαβόντες ἀπέρχονται οἱ λῃσταὶ, οὐκέτι τοῦ πλούτου χάρις, ἀλλὰ τῇ πενίᾳ κἀνταῦθα. αὕτη γὰρ αὐτὴν φυλάττει· ὡς εἴγε καὶ ταύτην ἐνεχειρισάμεθα τῷ πλούτῳ, καὶ ἀφέντες ἀπὸ λίθου κατασκευάζειν αὐτὴν, ἐχαλκευσάμεθα ἀπὸ χρυσοῦ, καὶ ταύτην ἂν ἀπωλέσαμεν. οὕτως ἄπιστον πρᾶγμα ὁ πλοῦτος, καὶ οὐ τῶν ἐχόντων τοσοῦτόν ἐστιν, ὅσον τῶν ἁρπάζειν ἐπιχειρούντων. ὥστε περιττὸς ὁ λόγος ἐκεῖνος ὁ σπουδάζων δεικνύναι ὅτι δυσχείρωτον ὁ πλοῦτος, ὅπου οὐδὲ τῇ ἡμέρᾳ τῆς τελευτῆς τυγχάνουσιν ἀσφαλείας οἱ τοῦτον ἔχοντες. καίτοιγε τίς πρὸς τὸν ἀπελθόντα οὐ καταλλάττεται, κἂν θηρίον ᾖ, κἂν δαίμων, κἂν ὁστισοῦν; καὶ γὰρ ἡ θέα ἱκανὴ καὶ σφόδρα σιδηροῦν καὶ ἀνάλγητον ἐπικάμψαι. διά τοι τοῦτο, ὅταν τις ἴδῃ νεκρὸν, κἂν ἐχθρὸν ἴδῃ, κἂν πολέμιον, μετὰ τῶν φιλτάτων δακρύει· καὶ ἡ μὲν ὀργὴ μετὰ τῆς ζωῆς σβέννυται, ὁ δὲ ἔλεος ἐπεισάγεται. καὶ οὐκ ἄν τις ἐπὶ κήδους καὶ ἐκφορᾶς διαγνοίη τὸν ἐχθρὸν, καὶ τὸν οὐ τοιοῦτον. οὕτως ἅπαντες τὴν κοινὴν αἰδοῦνται φύσιν, καὶ τοὺς περὶ αὐτὴν εἰσενεχθέντας νόμους. ἀλλ' ὁ πλοῦτος, οὐδὲ τούτου τυχὼν, ἀφίησι τὴν ὀργὴν τοῖς κτησαμένοις αὐτὸν, ἀλλὰ καὶ τοὺς οὐδὲν ἠδικημένους τοῦ τετελευτηκότος ἐχθροὺς καθίστησιν, εἴγε τὸ νεκρὸν σῶμα γυμνοῦν, τῶν σφόδρα ἐχθρῶν καὶ πολεμίων ἐστί. καὶ ἡ μὲν φύσις καὶ τοὺς ἐχθροὺς αὐτῷ καταλλάττει τότε· ὁ δὲ πλοῦτος καὶ τοὺς οὐδὲν ἔχοντας ἐγκαλεῖν ἐκπολεμοῖ, καὶ ἐν ἐρημίᾳ πολλῇ τὸ σῶμα αἰκίζεται. καίτοι πολλὰ ἐκεῖ τὰ δυνάμενα ἐπισπάσασθαι πρὸς οἶκτον, αὐτὸ τὸ νεκρὸν εἶναι, τὸ ἀκίνητον, τὸ πρὸς γῆν ὁδεύειν καὶ φθορὰν, τὸ μηδένα παρεῖναι τὸν βοηθήσοντα· ἀλλ' οὐδὲν τούτων κατακλᾷ τοὺς μιαροὺς ἐκείνους διὰ τὴν ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας τυραννίδα. ὁ γὰρ τῆς φιλοχρηματίας ἔρως, καθάπερ τις τύραννος ἀπηνὴς, ἐφέστηκεν ἐγκελευόμενος αὐτοῖς τὰ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα, καὶ θηρία ποιήσας, οὕτως ἐπὶ τὰς θήκας ἄγει. καθάπερ γὰρ θηρία τοῖς τετελευτηκόσιν ἐπιτιθέμενοι, οὐδ' ἂν τῶν σαρκῶν ἀπέσχοντο, εἴ γε που χρήσιμα ἦν αὐτοῖς τὰ μέλη. τοιαῦτα ἀπολαύομεν τοῦ πλούτου, καὶ μετὰ τελευτὴν ὑβριζόμενοι, καὶ ταφῆς ἀποστερούμενοι, ἧς καὶ οἱ τὰ ἀνήκεστα τετολμηκότες ἀπολαύουσιν.

A condemnati, & rerum turpissimarum convicti? Nam cum de illis quidem pœnas capitis exegerint, legislatores nihil ulterius inquirunt: ab his autem divitiæ post mortem pœnas gravissimas exigunt; nudos exponentes & insepultos, spectaculum grave & miserabile. Hi enim graviora ferunt, quam ii, qui id patiuntur a judicis calculo & ira. Nam illi quidem cum uno, & altero die manserint insepulti, terræ mandantur: hi vero cum terræ mandati fuerint, tunc nudantur, probroque & contumelia afficiuntur. Quod si etiam non accepto B loculo recedunt latrones, de eo non divitiis, sed paupertati sunt habendæ gratiæ: ipsa enim illum eripit. Nam si eum commisissemus divitiis, & non ex lapide construxissemus eum, sed ex auro, eum quoque perdidissemus. Adeo infida res sunt divitiæ, nec tam sunt eorum qui habent, quam eorum qui rapere aggrediuntur. Quamobrem supervacanea est illa oratio, quæ conatur ostendere divitias esse expugnatu difficiles, cum nec in die quidem mortis tuti sint qui eas possident. Atqui quis non reconciliatur C cum mortuo, etiamsi sit fera, etiamsi dæmon, etiamsi quilibet alius? Sufficit enim spectaculum ad flectendum vel ferreum vel doloris expertem. Propterea cum quis viderit mortuum, etiamsi viderit inimicum & hostem, lacrymatur cum amicissimis: & ira quidem exstinguitur cum vita, ejus autem locum subit misericordia. In exsequiis & funeris elatione non discreveris inimicum ab eo qui hujusmodi non est. Ita omnes communem reverentur naturam, & eas quæ de ea latæ sunt leges. Divitiæ autem ne hoc D quidem assequutæ, iram immittunt in eos qui ipsas possident: sed & eos qui nulla affecti sunt injuria reddunt inimicos defuncti, siquidem mortuum corpus nudare, est acrium inimicorum & hostium. Et natura quidem etiam inimicos ei tunc reconciliat: divitiæ autem etiam in eos bellum gerunt quos ne possunt quidem ullius criminis accusare, & in magna solitudine crudeliter sæviunt in corpus. Atqui multa sunt illic quæ possunt attrahere ad misericordiam, hoc ipsum quod sit mortuum, quod immobile, quod ad terram tendat & corrup- E tionem, quod nemo adsit opem laturus. Sed nihil horum frangit illos exsecrandros, propter tyrannidem quæ ex improba oritur cupiditate. Amor enim pecuniæ, tamquam immanis quidam tyrannus, urget inhumana jussa imperans, eosque in feras mutatos, ita ducit ad loculos. Nam tamquam feræ mortuos invadentes, ne a carnibus quidem abstinuerint, si membra illis essent utilia. Hos fructus percipimus ex divitiis, etiam post mortem probro & contumelia affecti, & sepultura privati, quam assequuntur etiam qui nefaria perpetrarunt. Eas-

Divitiæ res infida.

ne ergo, dic rogo, adhuc amabimus quæ nobis sunt adeo infestæ & inimicæ? Nequaquam, rogo, nequaquam fratres, sed fugiamus, nec tergum postea retro vertamus; & si in manus nostras venerint, ne intus retineamus, sed eas pauperum manibus alligemus. Hæc enim vincula eos magis possunt retinere, & nunquam effugient ex illis penuariis: istæque infidæ de cætero manent fideles, placidæ, mansuetæ, eleemosynæ dextera sic commutatæ. Si quando ergo ipsæ ad nos accesserint, ipsi eas tradamus. Sin autem non adfuerint, ne quæramus, nec nos ipsos suffocemus, neque eos qui habent beatos existimemus. Quomodo enim beatus hic existimandus? Nisi eos qui cum bestiis pugnant beatos dixeris, quod in precio habitas illas bestias sibi inclusas servent qui talia proponunt certamina, ipsi non audentes accedere nec tangere, sed ipsas formidantes & contremiscentes. Hoc ipsum accidit etiam divitibus, qui tamquam immanem bestiam divitias incluserunt in penuariis, & ab ipsa singulis diebus vulnera accipiunt innumerabilia, contrario plane modo quam fiat in bestiis. Nam illæ quidem, quando eas eduxeris, tunc exitium afferunt iis qui illis occurrunt. Istæ autem cum fuerint inclusæ & servatæ, tunc eos perdunt qui ipsas possident & servant. Sed nos bestiam hanc reddamus mansuetam. Erit autem mansueta, si eam non incluserimus, sed in omnium egentium manus adduxerimus. Sic & maxima bona inde percipiemus, & in vita præsenti tuto ac secure & cum bona spe viventes, & in die futuro stantes cum fiducia. Quam detur nobis omnibus assequi gratia & benignitate, &c.

A ἔτι οὖν, εἰπέ μοι, στέρξομεν αὐτὸν τὸν οὕτω πολέμιον; μή, παρακαλῶ, μή, ἀδελφοί, ἀλλὰ φεύγωμεν ἀμεταστρεπτί· κἂν εἰς χεῖρας ἔλθῃ τὰς ἡμετέρας, μὴ κατέχωμεν ἔνδον, ἀλλὰ δήσωμεν αὐτὸν ταῖς τῶν πενήτων χερσί. ταῦτα γὰρ αὐτὸν δύναται μᾶλλον τὰ δεσμὰ κατέχειν, καὶ ἐκ τῶν ταμιείων ἐκείνων οὐδέποτε διαφεύξεται, καὶ ὁ ἄπιστος ἐστὶ μένει λοιπὸν πιστός, χειροήθης, ἥμερος, τῇ τῆς ἐλεημοσύνης δεξιᾷ ταῦτα γενόμενος. ἂν μὲν οὖν παραγένηταί ποτε ἡμῖν, ταύτῃ παραδῶμεν αὐτόν· ἂν δὲ μὴ παραγένηται, μὴ ζητῶμεν, B μηδὲ ἄγχωμεν ἑαυτούς, μηδὲ τοὺς ἔχοντας μακαρίζωμεν· ποῖος γάρ ἐστι μακαρισμός; εἰ μὴ καὶ τοὺς θηριομάχους ζηλωτοὺς εἶναι φαίης, ὅτι τὰ πολυτίμητα ἐκεῖνα θηρία κατακλείσαντες ἑαυτοῖς φυλάττουσιν οἱ τοὺς τοιούτους τιθέντες ἀγῶνας, αὐτοὶ μέντοι οὐ προσελθεῖν, οὐχ ἅψασθαι τολμῶντες, ἀλλ' ἀγωνιῶντες αὐτὰ καὶ τρέμοντες. τοιοῦτον γάρ τι καὶ οἱ πλουτοῦντες πάσχουσιν, ὥσπερ θηρίον ἀπηνὲς ἐν τοῖς ταμιείοις κατακλείσαντες τὸν πλοῦτον, καὶ καθ' ἑκάστην παρ' αὐτοῦ τὴν ἡμέραν μυρία δεχόμενοι τὰ τραύματα, ἀπεναντίας τοῖς θηρίοις. ἐκεῖνα μὲν γὰρ ὅταν C ἐξαγάγῃς, τότε λυμαίνεται τοῖς ἀπαντῶσιν· οὗτος δὲ ὅταν συγκεκλεισμένος ᾖ καὶ φυλαττόμενος, τότε ἀπόλλυσι τοὺς κεκτημένους αὐτὸν καὶ φυλάττοντας. ἀλλ' ἡμεῖς τὸ θηρίον τοῦτο ποιήσωμεν ἥμερον. ἔσται δὲ ἥμερον, ἂν μὴ κατακλείωμεν αὐτό, ἀλλὰ ταῖς ἁπάντων τῶν δεομένων προσάγωμεν χερσίν. οὕτω καὶ τὰ μέγιστα ἐντεῦθεν καρπωσόμεθα ἀγαθά, καὶ ἐν τῷ παρόντι βίῳ μετὰ ἀσφαλείας καὶ χρηστῆς ζῶντες ἐλπίδος, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μετὰ παρρησίας ἱστάμενοι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλαν- D θρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XXXVI.

20. *Fratres, nolite pueri effici mentibus, sed malitia parvuli estote: mentibus autem perfecti estote.*

1. MERITO post multam confirmationem & demonstrationem, oratione utitur vehementiore & multa increpatione, & meminit exempli præsenti rei congruentis. Pueruli enim ad parva quidem hianti ore stupent & mirantur: rerum autem valde magnarum non tanta tenentur admiratione. Quoniam ergo isti quoque linguarum habentes donum, se totum habere existimabant, quod quidem erat aliorum ultimum, propterea dicit: Nolite pueri effici; hoc est non insipientes, ubi oportet esse sapientes: sed illic pueri & simplices ubi est injustitia, ubi inanis gloria, ubi tumor. Eum enim qui vitio est infans, etiam prudentem esse oportet. Sicut enim prudentia cum improbitate, nequaquam fuerit prudentia; ita etiam

## ΟΜΙΛΙΑ λϛʹ.

Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

ΕΙΚΟΤΩΣ μετὰ τὴν πολλὴν κατασκευὴν καὶ τὴν ἀπόδειξιν, σφοδρότερον κέχρηται τῷ E λόγῳ, καὶ πολλῇ τῇ ἐπιτιμήσει, καὶ παραδείγματος μέμνηται καταλλήλου τῷ ὑποκειμένῳ. καὶ γὰρ τὰ παιδία πρὸς μὲν τὰ μικρὰ κέχηνε καὶ ἐπτόηνται, τῶν δὲ σφόδρα μεγάλων οὐ τοσοῦτον ἔχει θαῦμα. ἐπεὶ οὖν καὶ οὗτοι γλωσσῶν ἔχοντες χάρισμα, τὸ πᾶν ἔχειν ἐνόμιζον, ὅπερ τῶν ἄλλων ἔσχατον ἦν, διὰ τοῦτό φησι, μὴ παιδία γίνεσθε, τουτέστι, μὴ ἀνόητοι, ἔνθα συνετοὺς εἶναι χρή, ἀλλ' ἐκεῖ νήπιοι καὶ ἀφελεῖς, ἔνθα ἀδικία, ἔνθα κενοδοξία, ἔνθα φύσημα. τὸν γὰρ τῇ κακίᾳ νηπιάζοντα, καὶ φρόνιμον εἶναι δεῖ. ὥσπερ γὰρ φρόνησις μετὰ κακουργίας οὐκ ἂν εἴη φρόνησις, οὕτω καὶ

ἀφέλεια μετὰ ἀνοίας οὐκ ἂν εἴη ἀφέλεια. καὶ γὰρ ἐν τῇ ἀφελείᾳ καὶ τὴν ἄνοιαν φεύγειν δεῖ, καὶ ἐν τῇ φρονήσει τὴν πονηρίαν. καθάπερ γὰρ οὔτε τὰ πικρὰ φάρμακα πέρα τοῦ δέοντος, οὔτε τὰ γλυκέα ὀνίνησιν, οὕτως οὐδὲ ἀφέλεια καθ' ἑαυτὴν, οὐδὲ φρόνησις. διόπερ ἀμφότερα κατακεράσαι κελεύων ὁ Χριστὸς ἔλεγε, γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. τί δέ ἐστι νήπιον εἶναι κακίᾳ; ὃ μηδὲ εἰδέναι τί ποτέ ἐστι κακία· τοιούτους γὰρ αὐτοὺς εἶναι ἐβούλετο. διὸ καὶ ἔλεγεν, ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· οὐκ εἶπε, τολμᾶται, ἀλλ' ἀκούεται· ἴστε γὰρ ὅλως τὸ πρᾶγμά, φησιν, ἠκούσατε γὰρ αὐτό ποτε. καὶ γὰρ ἐβούλετο καὶ ἄνδρας αὐτοὺς εἶναι καὶ παῖδας, ἀλλὰ τὸ μὲν ἐν τῇ κακίᾳ, τὸ δὲ ἐν τῇ φρονήσει. οὕτω γὰρ καὶ ὁ ἀνὴρ γένοιτ' ἂν ἀνὴρ, ἐὰν καὶ παιδίον ᾖ· ἕως δ' ἂν μὴ παιδίον ᾖ τῇ πονηρίᾳ, οὐδὲ ἀνὴρ ἔσται. ὁ γὰρ κακοῦργος, οὐκ ἔσται τέλειος, ἀλλ' ἀνόητος. ἐν τῷ γὰρ νόμῳ γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος. καίτοιγε οὐδαμοῦ ἐν τῷ νόμῳ γέγραπται, ἀλλ', ὅπερ ἔφθην εἰπὼν, πᾶσαν τὴν παλαιὰν ἀεὶ νόμον καλεῖ καὶ τοὺς προφήτας καὶ τὰς ἱστορίας. παράγει δὲ τὴν μαρτυρίαν ἀπὸ Ἡσαΐου τοῦ προφήτου, πάλιν ὑποτεμνόμενος τοῦ χαρίσματος τὴν δόξαν, πρὸς τὸ ἐκείνων χρήσιμον· ἀλλ' ὅμως καὶ οὕτω μετ' ἐγκωμίου τίθησιν αὐτό. τὸ γὰρ, οὐδὲ οὕτω, δεικνύντος ἦν, ὅτι ἱκανὸν ἦν αὐτοὺς ἐκπλῆξαι τὸ θαῦμα· εἰ δὲ οὐκ ἐπείσθησαν, ἐκείνων τὸ ἔγκλημα. καὶ τίνος ἕνεκεν αὐτὸ ἐποίησεν ὁ θεὸς, εἰ μὴ ἔμελλον πείθεσθαι; ἵνα τὰ αὐτοῦ πανταχοῦ φαίνηται ποιῶν. δείξας τοίνυν καὶ ἀπὸ τῆς προφητείας, ὅτι οὐ σφόδρα χρήσιμον τὸ σημεῖον, ἐπήγαγεν. ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων. καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ ἀπαγγέλλων, ὅτι θεὸς ὄντως ἐν ὑμῖν ἐστι. πολλὴν ἐνταῦθα ἐκ τῶν εἰρημένων τὴν ἐπαπόρησιν ἴδοι τις ἄν. εἰ γὰρ τοῖς ἀπίστοις σημεῖόν εἰσιν αἱ γλῶσσαι, πῶς λέγει, ἐὰν ἴδωσιν ὑμᾶς γλώσσαις λαλοῦντας οἱ ἄπιστοι, ἐροῦσιν ὅτι μαίνεσθε; καὶ εἰ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσι, πῶς καὶ οἱ ἄπιστοι ἐξ αὐτῆς κερδαίνουσιν; ἐὰν γὰρ εἰσέλθῃ, φησὶν, ἄπιστος προφητευόντων ὑμῶν, ἐλέγχεται ὑπὸ πάντων, καὶ ἀνακρίνεται. οὐχ αὕτη δὲ μόνον, ἀλλὰ καὶ μετὰ ταύτην δευτέρα ἑτέρα ζήτησις ἐντεῦθεν φύεται. φανεῖται γὰρ ἡ γλῶττα πάλιν τῆς προφητείας μείζων. εἰ γὰρ αἱ γλῶσσαι εἰς σημεῖον τοῖς ἀπίστοις, ἡ δὲ προφητεία τοῖς πιστοῖς,

A simplicitas cum amentia, non fuerit simplicitas. Nam & in simplicitate fugienda est amentia, & in prudentia vitium & nequitia. Quemadmodum enim neque amara neque dulcia medicamenta prosunt, si talia sint plusquam par sit, ita nec simplicitas per se, nec prudentia. Quamobrem Christus utraque jubens contemperare dicebat: *Estote prudentes sicut serpentes, & simplices sicut columbæ.* (Matt. 10. 16.) Quid est autem esse parvulos seu infantes malitia, seu vitio? Ne nosse quidem quid sit vitium: eos enim vult esse tales. (1. Cor. 5. 1.) Et ideo dicebat: *Omnino inter vos* B *auditur fornicatio.* Non dixit, perpetratur, sed auditur. Rem enim, inquit, omnino scitis, ipsam enim aliquando audivistis: volebat enim ipsos esse & viros & pueros; sed hoc quidem in vitio, illud vero in prudentia. Sic enim & vir, vir fuerit, si fuerit parvulus. Quamdiu autem non fuerit infans vitio, ne vir quidem erit. Nam qui est sceleratus, non erit perfectus, sed insipiens. 21. *In lege enim scriptum est: In aliis linguis, & in labiis aliis loquar populo huic: & nec sic exaudient me, dicit Dominus.* Atqui nusC quam in lege scriptum est, sed sicut prius dixi, universam veterem scripturam semper vocat legem, & prophetas, & historias. Adducit autem testimonium ex Esaia propheta; rursus doni gloriam diminuens ad illorum utilitatem, sic tamen ipsum cum laude ponit. Illud enim: *Nec sic*, erat ostendentis sufficere miraculum ad eos percellendos: si autem non crediderunt, eorum fuisse culpam. Et cur hoc fecit Deus, si non erant credituri? Ut semper cerneretur facere quæ sua sunt. Cum ergo ostendisset etiam ex prophetia, signum non valde esse utile, D subjunxit: 22. *Itaque linguæ in signum sunt non fidelibus, sed infidelibus. Prophetia autem non infidelibus, sed fidelibus.* 23. *Si ergo conveniat universa ecclesia in unum, & omnes linguis loquantur, intrent autem idiotæ aut infideles, nonne dicent quod insanitis?* 24. *Si autem omnes prophetent, intret autem quis infidelis vel idiota, convincitur ab omnibus, dijudicatur ab omnibus.* 25. *Et sic occulta cordis ejus manifesta fiunt, & cadens in faciem adorabit Deum, pronuncians quod vere Deus in vobis sit.* Multam ex iis quæ dicta sunt hic videbis dubitationem. Si E enim infidelibus signum sunt linguæ, quomodo dicit: Si viderint vos linguis loquentes infideles, dicent vos insanire? & si prophetia non infidelibus, sed fidelibus, quomodo ex ea lucrabuntur etiam infideles? Si enim intret, inquit, infidelis vobis prophetantibus, convincitur ob omnibus, dijudicatur ab omnibus. Non hæc autem solum, sed etiam post eam secunda hinc oritur quæstio. Apparebit enim lingua rursus major prophetiâ. Nam si linguæ sunt in signum infidelibus, prophetia autem fidelibus,

id quod alios attrahit & conjungit, majus est eo quod familiares ac domesticos componit & concinnat. Quid est ergo quod dictum est? Nihil difficile, nec obscurum, neque prioribus contrarium, sed valde conveniens, si attendamus. Nam prophetia quidem utrisque est apta, lingua autem minime. Ideo cum de lingua dixisset eam esse in signum, addidit, non fidelibus, sed infidelibus, hisque in signum, hoc est, ad obstupefaciendum, non adeo autem ad instituendum. At in prophetia, inquit, hoc ipsum fecit, dicens: Prophetia autem non infidelibus, sed fidelibus. Neque enim fidelis opus habet ut signum videat, sed solum doctrina indiget & institutione. Quomodo ergo, inquit, dicis prophetiam utrisque esse utilem, cum ipse dicat non infidelibus, sed fidelibus? Si diligenter & exacte examinaveris, scies quod dicitur. Non enim dixit prophetiam non esse utilem infidelibus, sed non esse in signum, ut linguam, scilicet inutile. Neque infidelibus utile quid est lingua. Unum enim est ejus opus ac munus, obstupefacere solum ac conturbare. Signum est enim ex iis quæ sunt media: ut quando dicit:
Psal. 85. 16. *Fac mecum signum;* & addit: *in bonum;*
Psal. 9. 8. & rursum, *Factus sum tamquam prodigium multis;* hoc est, in signum.

2. Et ut scias eum hic adduxisse signum, non quasi faciat aliquid omni ex parte utile, id quod ex illo fit inducit. Quid hoc est autem? Dicent, inquit, quod insanitis. Hoc autem dicit, non ex natura signi, sed ex illorum amentia. Infideles autem quando audieris, ne existimes eosdem ubique dici, sed aliquando eos qui morbo laborant incurabili, & manent ejusmodi ut non possint corrigi; aliquando autem etiam eos qui possunt mutari: quales fuerunt tempore apostolorum qui admirabantur ea quæ dicuntur magnalia Dei; ejusmodi fuit Cornelius. Hoc est ergo quod dicit: Prophetia quidem est & in infidelibus & in fidelibus: linguam autem audientes infideles & insipientes, non solum non lucrifaciunt, sed etiam eos qui loquuntur irrident tamquam insanos: est enim eis solum in signum, hoc est, ut tantummodo obstupescant. Nam si sapuissent, etiam lucrati essent propter signum quod fuit illis datum. Non enim tunc erant solum qui ebrietatis insimularent, sed multi eos etiam admirabantur tamquam Dei magnalia loquentes. Quamobrem qui irridebant erant insipientes. Et ideo Paulus non absolute dixit: Dicent vos insanire, sed addidit, idiotæ & infideles. Prophetia autem non absolute in signum, sed ad fidem & utilitatem utrisque est apta & utilis. Idque etsi non statim, per ea tamen quæ deinceps sequuntur apertius interpretatus est, dicens: Convincitur ab omnibus. Si enim omnes prophetent

A τὸ τοὺς ἀλλοτρίους ἐφελκόμενον καὶ οἰκειοῦν, μεῖζον τοῦ ῥυθμίζοντος τοὺς οἰκείους. τί οὖν ἐστι τὸ εἰρημένον; οὐδὲν δύσκολον, οὐδὲ ἀσαφὲς, οὐδὲ ἐναντίον τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ σφόδρα συμβαῖνον, ἐὰν προσέχωμεν. ἡ μὲν γὰρ προφητεία ἀμφοτέροις ἐπιτήδειος, ἡ δὲ γλῶττα οὐκέτι. διόπερ εἰπὼν, τῆς γλώττης, εἰς σημεῖόν ἐστι, προσέθηκεν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, καὶ τούτοις εἰς σημεῖον, τουτέστιν, εἰς ἔκπληξιν, οὐκ εἰς κατήχησιν τοσοῦτον. ἀλλὰ καὶ ἐπὶ τῆς προφητείας, φησὶ, τὸ αὐτὸ τοῦτο ἐποίησεν, εἰπὼν, ἡ δὲ προφητεία, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. οὐδὲ γὰρ χρείαν ἔχει ὁ B πιστὸς σημεῖον ἰδεῖν, ἀλλὰ διδασκαλίας δεῖται μόνον καὶ κατηχήσεως· πῶς οὖν λέγεις, φησὶν, ἀμφοτέροις χρήσιμον εἶναι τὴν προφητείαν, αὐτοῦ λέγοντος, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν; ἐὰν ἀκριβῶς ἐξετάσῃς, εἴσῃ τὸ λεγόμενον. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐκ ἔστι χρήσιμος ἡ προφητεία τοῖς ἀπίστοις, ἀλλ', οὐκ ἔστιν εἰς σημεῖον, ὡς ἡ γλῶττα, ἀνωφελὲς δηλονότι· οὐδὲ τοῖς ἀπίστοις τι χρήσιμον ἡ γλῶττα· ἓν γὰρ αὐτῆς ἐστι τὸ ἔργον, τὸ ἐκπλῆξαι μόνον καὶ θορυβῆσαι. τὸ γὰρ σημεῖον τῶν μέσων ἐστίν· ὡς ὅταν λέγῃ, ποίησον μετ' C ἐμοῦ σημεῖον, καὶ προστίθησιν, εἰς ἀγαθόν· καὶ πάλιν, ἐγενήθην ὡσεὶ τέρας τοῖς πολλοῖς, τουτέστιν, εἰς σημεῖον.

Καὶ ἵνα μάθῃς, ὅτι τὸ σημεῖον ἐνταῦθα οὐχ ὡς πάντῃ χρήσιμόν τι ποιοῦν παρήγαγεν, ἐπήγαγε τὸ ἐξ αὐτοῦ γινόμενον. τί δὲ ἐστι τοῦτο; ἐροῦσι, φησιν, ὅτι μαίνεσθε. τοῦτο δὲ οὐ παρὰ τὴν τοῦ σημείου φύσιν, ἀλλὰ παρὰ τὴν ἄνοιαν ἐκείνων. ἀπίστους δὲ ὅταν ἀκούσῃς, μὴ τοὺς αὐτοὺς πανταχοῦ νόμιζε λέγεσθαι, ἀλλὰ ποτὲ μὲν τοὺς τὰ ἀνίατα νοσοῦντας καὶ ἀδιορθώ- D τους μένοντας, ποτὲ δὲ τοὺς καὶ μεταβάλλεσθαι δυναμένους, οἷοι ἦσαν ἐπὶ τῶν ἀποστόλων οἱ θαυμάζοντες τὰ λεγόμενα τοῦ θεοῦ μεγαλεῖα· οἷοι ἐπὶ τοῦ Κορνηλίου· ὃ τοίνυν λέγει τοῦτό ἐστιν· ὅτι ἡ μὲν προφητεία καὶ ἐν τοῖς ἀπίστοις καὶ ἐν τοῖς πιστοῖς ἰσχύει· τὴν δὲ γλῶτταν ἀκούοντες οἱ ἄπιστοι καὶ ἀνόητοι, οὐ μόνον οὐ κερδαίνουσι, ἀλλὰ καὶ καταγελῶσιν, ὡς μαινομένων τῶν φθεγγομένων. καὶ γὰρ εἰς σημεῖόν ἐστιν αὐτοῖς μόνον, τουτέστιν, εἰς τὸ ἐκπλήττεσθαι ἁπλῶς· ὡς οἵγε νοῦν ἔχοντες καὶ ἐκέρδαινον, δι' ὃ ἐδόθη τὸ ση- E μεῖον. οὐ γὰρ μόνον οἱ μέθην αὐτῶν κατηγοροῦντες ἦσαν τότε, ἀλλὰ πολλοὶ καὶ ἐθαύμαζον αὐτοὺς, ὡς τὰ μεγαλεῖα τοῦ θεοῦ διηγουμένους· ὥστε οἱ γελῶντες, οἱ ἀνόητοι ἦσαν. διὸ καὶ Παῦλος οὐχ ἁπλῶς εἶπεν, ἐροῦσι ὅτι μαίνεσθε, ἀλλὰ προσέθηκεν, ἰδιῶται καὶ ἄπιστοι. ἡ δὲ προφητεία οὐκ εἰς σημεῖον ἁπλῶς, ἀλλὰ καὶ εἰς πίστιν καὶ εἰς ὠφέλειαν ἀμφοτέροις ἐπιτηδεία καὶ χρήσιμος. καὶ τοῦτο εἰ καὶ μὴ εὐθέως, ἀλλὰ διὰ τῶν ἑξῆς σαφέστερον ἡρμήνευσεν, εἰπών· ἐλέγχεται ὑπὸ πάντων. ἐὰν γὰρ πάντες προφητεύωσι,

φησὶν· Εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων ὅτι θεὸς ὄντως ἐν ὑμῖν ἐστιν. ὥστε οὐ τούτῳ μόνον μείζων ἡ προφητεία τῷ ἐν ἑκατέροις ἰσχύειν, ἀλλὰ καὶ τῷ τοὺς ἀναισχυντοτέρους τῶν ἀπίστων ἐφέλκεσθαι. οὐδὲ γὰρ τὸ αὐτὸ θαῦμα ἦν, ὅτε τὴν Σάπφειραν ἤλεγξεν, ὅπερ προφητείας ἦν, καὶ ὅτε γλώσσαις ἐλάλει Πέτρος· ἀλλὰ τότε μὲν πάντες συνεστάλησαν· ὅτε δὲ γλώσσαις ἐλάλει, καὶ παραπαίοντος ἔλαβε δόξαν. εἰπὼν τοίνυν, ὅτι οὐκ ὠφέλησε γλῶττα, καὶ ὑποτεμόμενος πάλιν αὐτὸ τοῦτο τῷ τὸ ἔγκλημα εἰς τοὺς Ἰουδαίους περιτρέψαι, προϊὼν δείκνυσιν ὅτι καὶ βλάπτει· καὶ τίνος ἕνεκεν ἐδόθη; ἵνα μετὰ ἑρμηνείας προΐῃ· ὡς τούτου χωρὶς, καὶ τοὐναντίον ἐκβαίνει παρὰ τοῖς ἀνοήτοις. ἐὰν γὰρ, φησὶ, γλώσσαις πάντες λαλῶσιν, εἰσέλθωσι δὲ ἄπιστοι ἢ ἰδιῶται, ἐροῦσιν ὅτι μαίνεσθε· καθάπερ οὖν καὶ οἱ ἀπόστολοι μεθυόντων ἐλάμβανον ὑπόνοιαν· οὗτοι γάρ φησι, γλεύκους μεμεστωμένοι εἰσίν· ἀλλ' οὐ τοῦ σημείου κατηγορία, ἀλλὰ τῆς ἐκείνων ἰδιωτείας· διὰ τοῦτο προσέθηκεν, ἰδιῶται καὶ ἄπιστοι, ὥστε τῆς ἐκείνων ἀπειρίας ἡ ὑπόληψις καὶ ἀπιστίας· ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐκ ἐν τοῖς διαβεβλημένοις, ἀλλ' ἐν τοῖς οὐ σφόδρα ὠφελοῦσι σπουδάζει καταστάξαι τὸ χάρισμα, καὶ τοῦτο, ὥστε καταστεῖλαι αὐτοὺς καὶ εἰς ἀνάγκην ἀγαγεῖν τοῦ τὸν ἑρμηνεύοντα ἐπιζητεῖν. ἐπειδὴ γὰρ οὐ πρὸς τοῦτο ἑώρων, ἀλλὰ πρὸς ἐπίδειξιν αὐτῷ καὶ φιλοτιμίαν ἐκέχρηντο οἱ πολλοὶ, ἀπὸ τούτου μάλιστα ἀπάγει, δεικνὺς ὅτι εἰς δόξαν παραβλάπτονται, μανίας ὑπόληψιν κτώμενοι. καὶ τοῦτο μάλιστά ἐστιν ὃ συνεχῶς ἐπιχειρεῖ κατασκευάζειν ὁ Παῦλος, ὅταν τινὸς ἀπάγειν βούληται· εἰς αὐτὰ ἃ ἐπιθυμεῖ δείκνυσιν αὐτὸν παραβλαπτόμενον. καὶ σὺ τοίνυν οὕτω ποίει· ἂν ἡδονῆς ἀπαγάγῃς, δεῖξον ὅτι τὸ πρᾶγμα πικρόν· ἂν κενοδοξίας ἀφέλκῃς, δεῖξον ὅτι τὸ πρᾶγμα ἀτιμίας γέμον. οὕτω καὶ Παῦλος ἐποίει. καὶ γὰρ πλουσίους ἀποσπῶν τοῦ περὶ τὰ χρήματα ἔρωτος, οὐκ εἶπεν ὅτι βλαβερὸν ὁ πλοῦτος μόνον, ἀλλ' ὅτι καὶ εἰς πειρασμοὺς ἐμβάλλει. οἱ γὰρ βουλόμενοι πλουτεῖν, φησὶν, ἐμπίπτουσιν εἰς πειρασμόν. ἐπειδὴ γὰρ δοκεῖ πειρασμῶν ἀπαλλάττειν, τοὐναντίον αὐτῷ περιέθηκεν, οὗπερ ἐνόμιζον οἱ πλουτοῦντες. εἴχοντο πάλιν τῆς σοφίας τῆς ἔξωθεν ἕτεροι, ὡς ταύτῃ τὸ δόγμα ἱστῶντες· ἔδειξεν ὅτι οὐ μόνον οὐ βοηθεῖ τῷ σταυρῷ, ἀλλ' ὅτι καὶ κενοῖ αὐτόν. εἴχοντο τοῦ δικάζεσθαι παρ' ἑτέροις, ἀνάξιον ἡγούμενοι παρὰ τοῖς οἰκείοις, ὡς τῶν ἔξωθεν σοφωτέρων ὄντων· δείκνυσιν ὅτι τὸ ἔξω δικάζεσθαι, αἰσχρόν. εἴχοντο τῶν εἰδωλοθύτων, ὡς τελείαν γνῶσιν ἐπιδεικνύμενοι· ἔδειξεν ὅτι τοῦτο γνώσεως ἀτελοῦς, τὸ μὴ εἰδέναι οἰκονομεῖν τὰ τῶν πλησίον.

A inquit, intret autem quis infidelis vel idiota, convincitur ab omnibus, dijudicatur ab omnibus: & sic occulta cordis ejus fiunt manifesta: & cadens in faciem adorabit Deum, pronuncians quod vere Deus in vobis sit. Quamobrem non hoc solum major est prophetia, quod vim habeat in utrisque, sed etiam quod ex infidelibus eos attrahat qui sunt impudentiores. Neque enim idem erat miraculum quando Sapphiram convicit, quod quidem erat prophetiæ; & quando linguis loquebatur Petrus. Sed tunc quidem fuerunt omnes coërciti: quando B autem loquebatur linguis, etiam pro deliro est habitus. Cum ergo dixisset linguam non profuisse, & hoc ipsum rursus extenuasset, eo quod culpam in Judæos contulisset, procedens ostendit id etiam lædere. Et cur datum est? ut procedat cum interpretatione. Nam absque illo, etiam contrarium evenit apud insipientes. Si enim, inquit, omnes loquantur linguis, ingrediantur autem infideles & idiotæ, dicent vos insanire; sicut etiam apostoli existimati sunt ebrii. Dicebant enim: *Musto sunt repleti.* Sed non est si- Act. 2. 13.
C gni culpa, verum illorum ruditatis & injustitiæ. Propterea adjecit, idiotæ & infideles: quare illorum imperitiæ & infidelitatis est existimatio. Nam ut prius dixi, non in iis quæ dantur vitio, sed in iis quæ non multum juvant, conatur donum ponere, ut eos reprimat, & necessitatem afferat requirendi ejus qui interpretetur. Nam quoniam non eo spectabant, sed ad ostentationem, gloriæque & honoris cupiditatem multi hoc dono utebantur, ab eo maxime abducit, ostendens eos in gloria & existimatione magnum damnum accipere, ut qui in insaniæ suspicionem ve- D niant. Et hoc est maxime quod assidue adstruere conatur Paulus, quando vult ab aliqua re abducere: ostendit eum lædi in iis ipsis quæ desiderat. Et tu quoque fac similiter. Si a voluptate abducas, ostende rem esse acerbam. Si ab inani gloria abstrahas, ostende rem esse plenam dedecore & infamia. Sic etiam faciebat Paulus. Divites enim avellens ab amore pecuniæ, non dixit solum noxias esse divitias, sed etiam injicere in tentationes: nam ait, 10. *Qui volunt divites* 1. Tim. 6. 9.
*esse, incidunt in tentationem.* Quia enim E videbantur liberare a tentationibus, eis tribuit contrarium ejus quod existimabant divites. Alii externæ operam dabant sapientiæ, tamquam hac ratione dogma stabilientes: ostendit eam non solum cruci non opem ferre, sed etiam eam exinanire. Urgebant ut judicarentur apud alios, existimantes indignum esse judicari apud suos, ac si externi essent sapientiores: ostendit esse turpe foris judicari. Accedebant ad ea quæ erant idolis immolata, tamquam perfectam ostentantes scientiam: ostendit hoc esse imperfectæ scientiæ, nescire administrare ea quæ sunt

proximorum. Ita hic quoque, quoniam linguarum donum stupentes admirabantur, gloriam amantes, ostendit hoc quidem eos maxime dedecore afficere, non solum eos privans gloria, sed etiam illos in insaniæ suspicionem conjiciens. At non statim hoc dixit: sed cum prius innumera dixisset, quando effecit ut facile exciperetur grataque esset oratio, tunc subjungit id quod est admirabile & præter opinionem. Est autem hæc meditatio ipsi familiaris. Eum enim qui firmam sententiam est labefacturus & in contrarium conversurus firmiter stabiliterque conceptam opinionem, non oportet statim dicere contrarium: esset enim ridiculus apud eos quos contraria præoccupavit sententia. Nam quod est valde admirabile & præter opinionem, non facile admitti poterit ab initio: sed oportet cum per alia prius recte suffoderis & irrepseris, sic convertere in contrarium.

3. Sic certe fecit etiam disserens de matrimonio. Nam quoniam multi animum adhibebant matrimonio tamquam rei in qua esset quies & recreatio: ipse autem volebat ostendere, non jungi matrimonio esse quietem ac recreationem, si statim quidem hoc dixisset, non fecisset ut hoc tam facile admitteretur. Nunc autem cum post multa hoc posuisset, opportune inducens, facile perculsit auditores. Hoc etiam fecit in virginitate. Nam cum antea multa dixisset, & rursus postea, tunc dicit, vobis parco: &, volo vos esse sine solicitudine. Hoc facit etiam in linguis, ostendens eas non solum privare gloria, sed eos etiam, qui hoc donum habent, probro ac dedecore afficere apud infideles. Prophetia autem contra probro ac dedecore vacat apud infideles, & maximam habet gloriam & utilitatem. Nam in prophetia nemo dicet eos insanire, nec irridebit eos qui prophetant: sed contra eos stupebit & admirabitur. Arguuntur enim ac convincuntur ab omnibus, hoc est; ea quæ habet in corde in medium adducuntur, & ostenduntur omnibus. Non sunt autem paria, ingressum quempiam videre, illum quidem Persice loquentem, hunc autem Syriace; & ingressum audire arcana ejus mentis, sive tentans & malo animo, sive sincere & bono animo sit ingressus; & quod hoc quidem ab illo gestum sit, de illo autem sit consultatum. Hoc enim est illo multo terribilius & utilius. Propterea in linguis quidem dicit vos insanire: sed hoc ex se non dicit, verum ex illorum judicio. Dicent enim, inquit, quod insanitis. Hic autem utitur & rerum sententia, & eorum qui juvantur. Convincitur enim, inquit, ab omnibus, dijudicatur ab omnibus: & sic occulta cordis ejus manifesta fiunt, & ita cadens ille in faciem adorabit Deum, pronuncians quod vere Deus in vobis sit.

A οὕτω καὶ ἐνταῦθα, ἐπειδὴ ἐπτόηντο περὶ τὸ χάρισμα τοῦτο τὸ τῶν γλωσσῶν, δόξης ἐρῶντες, δείκνυσιν ὅτι τοῦτο μὲν οὖν μάλιστα αὐτοὺς καταισχύνει, οὐ μόνον δόξης ἀποστεροῦν, ἀλλὰ καὶ μανίας ὑπολήψει περιβάλλον. ἀλλ' οὐκ εὐθέως τοῦτο εἶπεν, ἀλλὰ μυρία πρότερος εἰπὼν, ὅτε εὐπαράδεκτον τὸν λόγον ἐποίησε, τότε τὸ σφόδρα παράδοξον ἐπάγει. ἔστι τοῦτο δὲ αὐτῷ τὸ θεώρημα συνῆθες. τὸν γὰρ μέλλοντα διασαλεύειν δόξαν πεπηγυῖαν καὶ εἰς τὸ ἐναντίον περιτρέπειν, οὐκ εὐθέως τὰ ἐναντία λέγειν δεῖ· ἐπεὶ B καταγέλαστος ἔσται παρὰ τοῖς προκατειλημμένοις ὑπὸ τῆς ἐναντίας ψήφου. ἐπειδὴ τὸ σφόδρα παράδοξον, οὐκ ἂν γένοιτο ἐκ προοιμίων εὐπαράδεκτον, ἀλλὰ χρὴ πρότερον ὑπορύξαντα καλῶς δι' ἑτέρων, τότε εἰς τὸ ἐναντίον περιτρέπειν.

Οὕτω γοῦν καὶ ἐπὶ τοῦ γάμου διαλεγόμενος ἐποίησεν. ἐπειδὴ γὰρ πολλοὶ προσεῖχον ὡς ἄνεσιν ἔχοντι τῷ πράγματι, αὐτὸς δὲ ἐβούλετο δεῖξαι, ὅτι τὸ μὴ γαμεῖν ἄνεσις, εἰ μὲν εὐθέως τοῦτο εἶπεν, οὐκ C ἂν οὕτως εὐπαράδεκτον αὐτὸ πεποίηκε· νυνὶ δὲ μετὰ πολλὰ αὐτὸ θεὶς, καὶ εὐκαίρως εἰσάγων, σφόδρα καθίκετο τῶν ἀκουόντων. τοῦτο καὶ ἐπὶ τῆς παρθενίας πεποίηκε. καὶ γὰρ [a] περὶ τούτου πολλὰ εἰπὼν, καὶ μετὰ ταῦτα πάλιν, τότε φησὶν, ὅτι ὑμῶν φείδομαι, καὶ θέλω ὑμᾶς ἀμερίμνους εἶναι. τοῦτο δὴ καὶ ἐπὶ τῶν γλωττῶν ποιεῖ, δεικνὺς ὅτι οὐ μόνον ἀποστερεῖ δόξης, ἀλλὰ καὶ καταισχύνει τοὺς ἔχοντας παρὰ τοῖς ἀπίστοις. ἡ δὲ προφητεία τοὐναντίον καὶ αἰσχύνης ἀπήλλακται τῆς παρὰ τοῖς ἀπίστοις, καὶ δόξαν ἔχει μεγίστην καὶ ὠφέλειαν. οὐ γὰρ ἐρεῖ τις ἐπὶ τῆς προ- D φητείας, ὅτι μαίνονται, οὐδὲ καταγελάσεται τῶν προφητευόντων, ἀλλὰ τοὐναντίον ἐκπλαγήσεται καὶ θαυμάσεται τούτους. ἐλέγχεται γὰρ ὑπὸ πάντων, τουτέστιν, ἃ ἐπὶ καρδίας ἔχει, ταῦτα εἰς μέσον ἄγεται, καὶ δείκνυται πᾶσιν. οὐκ ἔστι δὲ ἴσον εἰσελθόντα τινὰ ἰδεῖν τὸν μὲν Περσιστὶ, τὸν δὲ Συριστὶ φθεγγόμενον, καὶ εἰσελθόντα ἀκοῦσαι τὰ ἀπόῤῥητα τῆς αὐτοῦ διανοίας, καὶ εἴτε πειράζων καὶ μετὰ πονηρᾶς γνώμης, εἴτε ὑγιῶς εἰσελήλυθε· καὶ ὅτι τὸ καὶ τὸ αὐτῷ πέπρακται, καὶ τὸ βεβούλευται. πολὺ γὰρ τοῦτο ἐκείνου φρικωδέστερον καὶ χρησιμώτερον. E διὰ δὴ τοῦτο, ἐπὶ μὲν τῶν γλωσσῶν φησιν, ὅτι μαίνεσθε· ἀλλ' οὐκ οἴκοθεν τοῦτο ἀποφαίνεται, ἀλλ' ἀπὸ τῆς ἐκείνων κρίσεως. ἐροῦσι γὰρ, φησιν, ὅτι μαίνεσθε. ἐνταῦθα δὲ καὶ τῇ τῶν πραγμάτων κέχρηται ψήφῳ, καὶ τῇ τῶν ὠφελουμένων. ἐλέγχεται γὰρ, φησιν, ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων ὅτι θεὸς ὄντως ἐν ὑμῖν ἐστιν.

a περὶ τοῦ. Legendum videtur περὶ τούτου, & ita legit interpres vetus. Editi, πρὸ τοῦ.

ὁρᾶς

ὁρᾷς ὅτι τοῦτο ἀναμφισβήτητον; ἐκεῖ μὲν γὰρ ἀμφιβάλλεται τὸ γινόμενον, καὶ μανίαν ἄν τις αἰτιάσαιτο τῶν ἀπίστων· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔσται, ἀλλὰ καὶ θαυμάσεται καὶ προσκυνήσει, διὰ τῶν ἔργων πρότερον ὁμολογῶν, εἶτα καὶ διὰ τῶν ῥημάτων. οὕτω καὶ Ναβουχοδονόσορ τὸν θεὸν προσεκύνησε λέγων, ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν αὐτός ἐστι θεὸς ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο. εἶδες τῆς προφητείας τὴν ἰσχὺν, πῶς τὸν ἄγριον ἐκεῖνον μετέβαλε, καὶ κατήχησε, καὶ εἰς πίστιν ἤγαγε; τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω. ὁρᾷς τοῦ χριστιανισμοῦ τὴν κρηπῖδα καὶ τὸν κανόνα; ὥσπερ γὰρ τεχνίτου ἔργον τὸ οἰκοδομεῖν, οὕτω καὶ τοῦ χριστιανοῦ τὸ τοὺς πλησίον διὰ πάντων ὠφελεῖν. ἐπειδὴ δὲ σφόδρα κατέδραμε τοῦ χαρίσματος, ἵνα μὴ δόξῃ περιττὸν εἶναι· τὸν γὰρ τῦφον αὐτῶν καθαιρῆσαι βουλόμενος, μόνον τοῦτο πεποίηκε· πάλιν ἀριθμεῖ αὐτὸ μετὰ τῶν ἄλλων, λέγων. ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει. καὶ γὰρ ψαλμοὺς τὸ παλαιὸν ἐποίουν ἀπὸ χαρίσματος, καὶ ἐδίδασκον ἀπὸ χαρίσματος. ἀλλ' ὅμως ἅπαντα ταῦτα πρὸς ἓν βλεπέτω, φησὶ, τὴν τοῦ πλησίον διόρθωσιν· μηδὲν ἁπλῶς γινέσθω. εἰ γὰρ μὴ παραγίνῃ τὸν ἀδελφὸν οἰκοδομήσων, τί καὶ παραγίνῃ; οὐ δὴ πολύς μοι λόγος τῆς τῶν χαρισμάτων διαφορᾶς. ἑνὸς ἐμοὶ μέλει μόνον, καὶ τὸ σπουδαζόμενόν μοι ἓν, τὸ πρὸς οἰκοδομὴν ἅπαντα ποιεῖν. οὕτω καὶ ὁ τὸ μικρὸν ἔχων χάρισμα, τὸν τὸ μέγα ἔχοντα παραδραμεῖται, ἐὰν τοῦτο προσῇ. διὰ γὰρ τοῦτο καὶ τὰ χαρίσματα, ἵνα οἰκοδομῆται ἕκαστος· ὡς ἐὰν μὴ τοῦτο γίνηται, καὶ εἰς κρῖμα ἔσται τὸ χάρισμα τῷ λαβόντι. τί γὰρ, εἰπέ μοι, ὄφελος τοῦ προφητεύειν; τί δὲ ὄφελος τοῦ νεκροὺς ἐγείρειν, ὅταν μηδεὶς ὁ κερδαίνων ᾖ; εἰ δὲ τοῦτο τῶν χαρισμάτων τὸ τέλος, ἔξεστι δὲ αὐτὸ καὶ ἑτέρῳ κατασκευάζειν τρόπῳ χαρισμάτων χωρὶς, μὴ μέγα ἐπὶ τοῖς σημείοις φρόνει, μηδὲ ταλάνιζε σαυτὸν ὁ τῶν χαρισμάτων ἐστερημένος. εἴτε δὲ γλώσσῃ τις λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω. ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ. τί λέγεις, εἰπέ μοι; τοσαῦτα εἰπὼν περὶ γλωσσῶν, ὅτι ἀνόνητον, ὅτι περιττὸν, ἐὰν μὴ ἑρμηνέα ἔχῃ, κελεύεις πάλιν γλώσσαις λαλεῖν; οὐ κελεύω, φησὶν, ἀλλ' οὐδὲ κωλύω· ὡς ὅταν λέγῃ, εἴ τις ὑμᾶς καλεῖ τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, οὐχὶ νομοθετῶν τὸ πορεύεσθαι λέγει, ἀλλ' οὐκ ἐπέχων· οὕτω καὶ ἐνταῦθα. ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ. εἰ μὴ καρτερεῖ σιγᾶν, φησὶν, ἀλλ' οὕτως ἐστὶ φιλότιμος καὶ κενόδοξος, καθ' ἑαυτὸν φθεγγέσθω. ὥστε αὐτῷ τούτῳ μάλιστα τῷ οὕτως ἐπιτρέψαι ἐκώλυσεν ἐντρέψας.

A Viden' quod hoc quidem sit indubitatum? Nam illic quidem de eo quod fit ambigitur, & quispiam ex infidelibus id adscripserit insaniæ. Hic autem nihil erit hujusmodi, sed & admirabitur & adorabit, factis primum confitens, deinde etiam verbis. Sic etiam Nabuchodonosor Deum adoravit dicens: In veritate Deus vester ipse est Deus revelans mysteria, quoniam potuisti revelare mysterium istud. (Dan. 2. 47.) Vidistin' vim prophetiæ, quomodo ferocem illum mutaverit, & instituerit, & ad fidem deduxerit? 26. *Quid ergo est, fratres?* B *Cum convenitis, unusquisque vestrum psalmum habet, doctrinam habet, linguam habet, revelationem habet, interpretationem habet: omnia ad ædificationem fiant.* Vidistin' Christianismi fundamentum & regulam? Sicut enim est artificis officium ædificare, ita etiam Christiani proximis per omnia prodesse. Quoniam autem in donum valde est invectus, ne videatur esse supervacaneum; eorum enim fastum volens deprimere, hoc solum fecit: rursus ipsum cum aliis annumerat, dicens: Psalmum habet, doctrinam habet, linguam habet. Etenim psalmos olim faciebant ex C charismate seu dono, & docebant ex dono. Sed tamen hæc omnia, inquit, ad unum aspiciant, nempe ad proximi correctionem: nihil fiat temere & inconsiderate. Si enim non accedis fratrem ædificaturus, cur accedis? Non magna a me habetur ratio charismatum differentiæ. Unum est mihi curæ, & unum est in quod meum pono studium, nempe ut omnia fiant ad ædificationem. Ita etiam qui parvum habet donum, eum qui magnum habet superabit ac prætervehetur, si hoc adsit. Propterea enim sunt dona, ut unusquisque ædificetur. Si hoc enim non fa- D ctum fuerit, erit donum ei qui accepit, ad condemnationem. Quid enim, dic mihi, prodest prophetare? quid vero mortuos excitare, cum nullus sit qui lucretur? Si hic est porro donorum finis, licet autem etiam alio modo hoc conficere absque donis, ne propter signa efferaris & insolescas, neque te miserum esse existimes quod sis charismatibus privatus. 27. *Sive lingua quis loquitur, secundum duos, aut ut multum tres & per partes, & unus interpretetur.* 28. *Si autem non fuerit interpres, taceat in ecclesia, sibi autem loquatur & Deo.* Quid dicis, E quæso? Cum de linguis tam multa dixeris, quod id sit inutile, quod supervacaneum, nisi habeat interpretem, rursus jubes loqui linguis? Non jubeo, inquit, sed nec prohibeo: ut quando dicit: *Si quis vos vocat infidelium, & vultis ire*, non hoc dicit legem ferens ut eas, (1. Cor. 10. 27.) sed neque retinens; ita hic etiam: Sibi autem loquatur & Deo. Si non potest, inquit, tacere, sed est adeo honoris & inanis gloriæ cupidus, apud se loquatur. Quare hoc ipso quod sic permisit, prohibuit, ut qui pudore affecerit.

A 4. Quod etiam facit alibi differens de consuetudine cum uxore, & dicens: *Hoc autem dico propter incontinentiam vestram.* Sed quando de prophetia loquebatur, non sic dixit. Sed quomodo? Imperando & legem ferendo: Prophetæ autem duo aut tres loquantur. Et nusquam hic quærit interpretem, neque os obstruit prophetanti, sicut illic, dicens: Si non sit interpres, taceat. Neque enim sufficit is qui lingua loquitur. Quamobrem si quis habeat utrumque donum, loquatur. Si autem non habeat, vult autem loqui, cum interprete hoc faciat. Propheta enim est B interpres, sed Dei; tu autem hominis. Si autem non sit interpres, taceat; nihil enim supervacanee fieri oportet, nihil ad ambitionem & honoris studium. Sibi autem loquatur & Deo; hoc est, in mente, & sensim, & absque strepitu, si velit. Non est enim hoc legem ferentis, sed forte potius pudorem incutientis per conces-

1. Cor. 11. 34. sionem, sicut quando dicit; *Si quis autem esurit, domi comedat*: & cum videatur consedere, eo ipso illum tangit acrius. Non enim ideo, inquit, convenitis, ut vos dona habere ostendatis; sed ut eos qui audiunt ædificetis. 4. Quod etiam C dixit initio: Omnia ad ædificationem fiant. 29. *Prophetæ autem duo aut tres dicant, & cæteri dijudicent.* Nusquam plurimum posuit sicut in linguis. Et quid hoc, inquies? neque enim sufficientem ostendit esse prophetiam, si aliis permittit judicium. Imo vero est valde sufficiens: neque enim huic sicut illi os obstruxit, & silentium indixit, si non sit qui interpretetur; neque sicut de illo dixit: Si non sit interpres, taceat; ita de hoc quoque: Si non sit qui discernat, ne pro- D phetet: sed solum muniit auditorem. Hoc enim dixit ad eos monendos ut caverent, ne inter eos incurreret vates ac divinator. Nam etiam in principio hoc jussit cavere, quando divinationis & prophetiæ attulit differentiam: & nunc ipsum jubet discernere, & considerare ne quid irrepat diabolicum. 30. *Quod si alii revelatum sit sedenti, prior taceat.* 31. *Potestis enim omnes per singulos prophetare: ut omnes discant, & omnes exhortentur.* Quid est quod dictum est? Si te, inquit, prophetante & loquente, alterius spiritus E eum excitaverit, tace de cætero. Quod enim dixit de linguis, hoc hic quoque exigit ut fiat sigillatim, sed hic divinius. Non dixit enim: Sigillatim, sed, si alii sit revelatum. Quid enim adhuc opus esset, cum hic moveatur ad prophetiam, illum dicere? At oporteret utrosque? Sed res esset absurda & confusa. At priorem? Et hoc quoque absurdum. Propterea enim illo dicente hunc movebat Spiritus, ut hic quoque diceret aliquid. Deinde consolans eum cui os fuit obstructum, dicit: *Potestis enim omnes sigillatim prophetare ut omnes discant, & omnes consolentur.* Vides quomodo rursus affert cau-

A Ὃ δὲ ἀλλαχοῦ ποιεῖ περὶ τῆς πρὸς γυναῖκα ὁμιλίας διαλεγόμενος, καὶ λέγων· τοῦτο δὲ λέγω διὰ τὴν ἀκρασίαν ὑμῶν. ἀλλ' οὐχ ὅτε περὶ προφητείας ἔλεγεν, οὕτως εἶπεν. ἀλλὰ πῶς; ἐπιτακτικῶς καὶ νομοθετικῶς· προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν. καὶ οὐδαμοῦ τὸν ἑρμηνέα ἐνταῦθα ζητεῖ, οὐδὲ ἐπιστομίζει τὸν προφητεύοντα, καθάπερ ἐκεῖ λέγων, ἐὰν μὴ ᾖ διερμηνευτὴς, σιγάτω. οὐδὲ γὰρ αὐτάρκης ὁ τῇ γλώττῃ λαλῶν. διόπερ εἰ μέν τις ἀμφότερα ἔχει τὰ χαρίσματα, λαλείτω. εἰ δὲ οὐκ ἔχει, θέλει δὲ B φθέγγεσθαι, μετὰ τοῦ ἑρμηνεύοντος τοῦτο ποιείτω. καὶ γὰρ ὁ προφήτης, ἑρμηνευτής ἐστιν, ἀλλὰ τοῦ θεοῦ, σὺ δὲ τοῦ ἀνθρώπου. ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγάτω. οὐδὲν γὰρ δεῖ περιττῶς γίνεσθαι, οὐδὲν πρὸς φιλοτιμίαν. ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ, τουτέστι, κατὰ διάνοιαν, ἢ ἠρέμα καὶ ἀψοφητὶ, εἴγε βούλεται. οὐ γὰρ δὴ νομοθετοῦντος τοῦτό ἐστιν, ἀλλὰ τάχα καὶ ἐντρέποντος μᾶλλον διὰ τῆς συγχωρήσεως, ὥσπερ ὅταν λέγῃ, εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· καὶ δοκῶν συγχωρεῖν, δριμύτερον αὐτῷ τούτῳ καθάπτεται. οὐ γὰρ διὰ τοῦτο συνέρχεσθε, φησιν, ἵνα δείξητε ὅτι χάρισμα ἔχετε, ἀλλ' ἵνα οἰκοδομῆτε τοὺς ἀκούοντας, C ὅπερ καὶ ἀρχόμενος εἶπε· πάντα πρὸς οἰκοδομὴν γινέσθω. προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν. οὐδαμοῦ τὸ πλεῖστον προσέθηκε καθάπερ ἐπὶ τῶν γλωττῶν. καὶ τί τοῦτό φησιν; οὐδὲ γὰρ τὴν προφητείαν αὐτάρκη δείκνυσιν, εἴγε ἄλλοις ἐπιτρέπει τὴν κρίσιν. σφόδρα μὲν οὖν αὐτάρκης· οὐδὲ γὰρ ἐπεστόμισεν αὐτὸν καθάπερ ἐκεῖνον, οὐκ ὄντος ἑρμηνεύοντος· οὐδὲ ὥσπερ ἐπ' ἐκείνου εἶπεν, ἐὰν μὴ ᾖ ὁ διερμηνευτὴς, σιγάτω, οὕτω καὶ ἐπὶ τού- D του, ἐὰν μὴ ᾖ ὁ διακρίνων, μὴ προφητευέτω, ἀλλ' ἠσφαλίσατο μόνον τὸν ἀκροατήν· πρὸς γὰρ τὴν τῶν ἀκουόντων πληροφορίαν τοῦτο εἴρηκεν, ὥστε μὴ παρεμπεσεῖν μεταξὺ μάντιν. τοῦτο γὰρ καὶ ἀρχόμενος φυλάττεσθαι ἐκέλευεν, ὅτε μαντείας καὶ προφητείας διαίρεσιν εἰσήγαγε, καὶ νῦν αὐτοὺς διακρίνειν κελεύει καὶ σκοπεῖν, ὥστε μή τι παρεισδῦναι διαβολικόν. ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται. τί ποτέ ἐστι τοῦτο τὸ εἰρημένον; εἰ προφητεύοντος σοῦ, φησι, καὶ E φθεγγομένου, τὸ πνεῦμα τὸν ἕτερον διεγείρειεν αὐτῶν, σίγα λοιπόν. ὅπερ γὰρ εἶπεν ἐπὶ τῶν γλωττῶν, τοῦτο καὶ ἐνταῦθα ἀπαιτεῖ τὸ ἀνὰ μέρος, ἀλλὰ θειότερον ἐνταῦθα. οὐ γὰρ εἶπεν, ἀνὰ μέρος, ἀλλ', ἐὰν ἄλλῳ ἀποκαλυφθῇ. τί γὰρ ἐχρῆν λοιπὸν, τούτου κινουμένου πρὸς προφητείαν, ἐκεῖνον λέγειν; ἀλλ' ἀμφοτέρους ἐχρῆν; ἀλλ' ἄτοπον, καὶ σύγχυσιν ἔχον. ἀλλὰ τὸν πρότερον; καὶ τοῦτο ἄτοπον. διὰ γὰρ τοῦτο, λέγοντος ἐκείνου, τοῦτον ἐκίνει τὸ πνεῦμα, ἵνα τι καὶ αὐτὸς εἴπῃ. εἶτα παραμυθούμενος τὸν ἐπιστομισθέντα, φησί· δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται. ὁρᾷς πῶς πάλιν τὴν αἰτίαν τίθησι,

δι' ἣν πάντα ποιεῖ; Εἰ γὰρ τὸν γλώσσαις λαλοῦντα καθόλου κωλύει λέγειν, ὅταν ἑρμηνέα μὴ ἔχῃ, διὰ τὸ ἀνωφελὲς, εἰκότως καὶ προφητείαν, ἂν μὴ τοῦτο ἔχῃ, ἀλλὰ σύγχυσιν ποιῇ καὶ ταραχὴν καὶ θόρυβον ἄκαιρον, κατέχειν κελεύει. καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. Εἶδες πῶς ἐνέτρεψεν αὐτὸν εὐτόνως καὶ φοβερῶς; ἵνα γὰρ μὴ φιλονεικῇ, μηδὲ στασιάζῃ ὁ ἄνθρωπος, αὐτὸ τὸ χάρισμα δείκνυσιν ὑποτασσόμενον. πνεῦμα γὰρ ἐνταῦθα, τὴν ἐνέργειαν λέγει. Εἰ δὲ τὸ πνεῦμα ὑποτάσσεται, πολλῷ μᾶλλον σὺ ὁ κεκτημένος οὐκ ἂν εἴης δίκαιος φιλονεικεῖν. Εἶτα δείκνυσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, ἐπάγων καὶ λέγων· οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλὰ εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω. Εἶδες δι' ὅσων ἤγαγεν αὐτὸν εἰς σιγὴν, καὶ παρεμυθήσατο θατέρῳ παραχωροῦντα; δι' ἑνὸς μὲν τοῦ πρώτου, τοῦ μὴ ἐκλύεσθαι τούτου γινομένου· δύνασθε γὰρ, φησι, καθ' ἕνα πάντες προφητεύειν· δι' ἑτέρου δὲ τοῦ τῷ πνεύματι τοῦτο δοκεῖν· πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται· πρὸς τούτοις τῷ κατὰ γνώμην τοῦ Θεοῦ τοῦτο εἶναι· οὐ γάρ ἐστιν ἀκαταστασίας, φησὶν, ὁ Θεὸς, ἀλλὰ εἰρήνης· τῷ τετάρτῳ, τῷ πανταχοῦ τῆς οἰκουμένης τοῦτον κρατεῖν τὸν νόμον, καὶ μηδὲν ξένον αὐτοῖς ἐπιτάττεσθαι. οὕτω γὰρ ἐν πάσαις, φησὶ, ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω. τί τοίνυν φρικωδέστερον τούτων γένοιτ' ἂν τῶν πραγμάτων; καὶ γὰρ οὐρανὸς ἡ ἐκκλησία τότε, τοῦ πνεύματος πάντα δημαγωγοῦντος καὶ τῶν προεστώτων ἕκαστον κινοῦντος, καὶ ἔνθουν ποιοῦντος. ἀλλὰ νῦν τὰ σύμβολα κατέχομεν τῶν χαρισμάτων ἐκείνων μόνον. καὶ γὰρ καὶ νῦν δύο ἢ τρεῖς λέγομεν, καὶ ἀνὰ μέρος, καὶ ἑτέρου σιγῶντος ἕτερος ἄρχεται. ἀλλὰ σημεῖα ταῦτα μόνον ἐστὶν ἐκείνων καὶ ὑπομνήματα. διὸ ἐπειδὰν ἀρξώμεθα λέγειν, ὁ λαὸς ἀντιφθέγγεται, τῷ πνεύματί σου, δεικνὺς ὅτι τὸ παλαιὸν οὕτως ἔλεγον, οὐκ οἰκείᾳ σοφίᾳ, ἀλλὰ τῷ πνεύματι κινούμενοι. ἀλλ' οὐχὶ νῦν· τὸ ἐμαυτοῦ λέγω τέως.

Ἀλλ' ἔοικεν ἡ ἐκκλησία νῦν γυναικὶ τῆς παλαιᾶς εὐημερίας ἐκπεσούσῃ, καὶ τὰ σύμβολα κατεχούσῃ πολλαχοῦ μόνον τῆς ἀρχαίας εὐπραγίας ἐκείνης, καὶ τὰς μὲν θήκας τῶν χρυσίων ἐπιδεικνυμένῃ καὶ τὰ κιβώτια, τὸν δὲ πλοῦτον ἀφῃρημένῃ, ταύτῃ προσέοικεν ἡ ἐκκλησία νῦν. καὶ οὐ χαρισμάτων ἕνεκεν τοῦτο λέγω· οὐδὲ γὰρ ἦν δεινὸν, εἰ τοῦτο ἦν μόνον· ἀλλὰ καὶ βίου καὶ ἀρετῆς. καὶ γὰρ ὁ τῶν χηρῶν ἀριθμὸς, καὶ ὁ τῶν παρθένων χορὸς τότε μὲν εἶχε κόσμον ταῖς ἐκκλησίαις πολύν· νῦν δὲ ἠρήμωται, καὶ κεκένωται, καὶ τὰ σύμβολα μένει μόνον. Εἰσὶ μὲν γὰρ χῆραι καὶ νῦν, εἰσὶ καὶ παρθένοι· ἀλλ' οὐκ ἔχουσιν αὗται τὸν κόσμον ἐκεῖνον, ὃν τὰς ἀποδυσαμένας πρὸς τὰ τοιαῦτα παλαίσματα ἔχειν χρή. καὶ γὰρ τῆς παρθένου τὸ ἐξαίρετον γνώρισμα,

A sam, propter quam facit omnia? Si enim eum qui linguis loquitur, omnino prohibet dicere, quando non habet interpretem, propter inutilitatem: merito etiam prophetiam, si hoc non habeat, sed confusionem faciat, & conturbationem & tumultum importunum, jubet cohibere. 32. *Et spiritus prophetarum prophetis subjecti sunt.* Vidistin' quam vehementer & terribiliter eum pudore affecerit? Nam ne contendat homo & seditionem agitet, ipsum donum ostendit subjici. Spiritum enim hic vocat operationem. B Si autem spiritus subjicitur, multo magis non æquum est ut tu qui possides, contendas. Deinde ostendit quod hoc quoque sit Deo acceptum, subjungens & dicens: 33. *Non enim dissensionis est Deus, sed pacis, sicut & in omnibus ecclesiis sanctorum doceo.* Vidistin' quot modis eum in silentium deduxit, & eum qui alteri cedit consolatus est? per unum quidem idque præcipuum, ne videlicet ab hoc facto dissolvatur: potestis enim, inquit, per singulos omnes prophetare: per alterum vero, ex eo quod illud spiritui videatur. Spiritus enim prophetarum prophetis C subjiciuntur: præterea ex eo quod secundum Dei sententiam sit; non enim est dissensionis, inquit, Deus, sed pacis: quarto denique, eo quod lex ejusmodi per orbem universum ubique obtineat, nec alienum quidquam usquam illis imperetur. Sic enim, ait, in omnibus ecclesiis sanctorum doceo. Quid ergo his rebus fuerit magis horrendum? Etenim ecclesia tunc erat cælum, Spiritu sancto omnia regente, & unumquemque ex iis qui præerant movente, & a Deo afflatum reddente. Sed nunc illorum donorum symbola ac signa tantum tenemus. Nam D nunc quoque duo aut tres dicimus, & vicissim, & alio tacente alius incipit. Sed hæc sunt tantum illorum signa & monumenta. Propterea quando inceperimus dicere, populus respondet, Spiritu tuo: ostendens quod olim sic dicebant, non sua moti sapientia, sed Spiritu. Sed non nunc, de me jam loquor.

*Ecclesiæ veteris cum nova comparatio.*

Sed ecclesia nunc est similis mulieri, quæ a veteri prosperitate excidit, & multis in locis sola tenet symbola antiquæ illius felicitatis, & monilium aureorum quidem solas ostendit thecas & arculas, E divitiis autem est privata: ei nunc ecclesia est similis. Neque hoc solum dico propter dona; non enim esset grave si hoc solum esset; sed etiam propter vitam & virtutem. Nam & viduarum numerus, & chorus virginum tunc magnum ornamentum præbebat ecclesiis: nunc autem ab iis ecclesia deserta est & exinanita, & sola manent signa. Nam sunt nunc quoque viduæ, sunt & virgines: sed eæ non habent illum ornatum, quem habere oporteret eas quæ se ad hæc pararunt certamina. Eximium enim virginis est indicium, quod de iis tantum

quæ sunt Dei sit solicita, & ad Deum precandum indivulse assideat. Viduæ quoque non tam fuerit indicium quod secundis non conjungatur nuptiis, quam hæc alia, nempe caritas in pauperes, hospitalitas, in precibus assiduitas, & alia omnia, quæ exactissime exigit Paulus scribens ad Timotheum. *1. Tim. 5.* Videris etiam eas quæ sunt junctæ matrimonio apud nos multam ostendere honestatem. Sed non est hoc solum quod quæritur, sed diligens cura & studium egenorum, per quod priscæ mulieres, valde resplendebant: non sicut multæ ex iis quæ sunt nostris temporibus. Nam tunc quidem pro auro, eleemosynæ induebantur ornamento; nunc autem hoc dimisso, funibus aureis ex catena peccatorum contextis amiciuntur. Dicam-ne etiam aliam thecam ornamento patrio exinanitam? Conveniebant olim omnes, & psallebant communiter; hoc nunc quoque facimus. Sed tunc quidem in omnibus una erat anima & cor unum; nunc autem ne in una quidem anima illam concordiam videris & consensum: sed ubique magnum est bellum. Pacem nunc quoque precatur omnibus, is qui præest ecclesiæ, ut qui in domum ingreditur paternam; sed hujus pacis nomen quidem est frequens, res autem nusquam. Tunc etiam domus erant ecclesiæ: nunc autem etiam ecclesia est domus, vel potius quavis domo deterior. Nam in domo quidem bene constitutum videris ordinem: domina quippe domus sedet in solio cum omni honestate, modestia & decore, & ancillæ texunt cum silentio, & singuli ex famulis in manibus habent id quod est eis mandatum. Hic autem multus est tumultus, magna confusio, & a caupona nihil nostra differunt, tantus est risus, tanta perturbatio, sicut in balneis, sicut in foro clamantibus omnibus & tumultuantibus: & hæc hic solum. Nam alibi ne propinquum quidem licet alloqui in ecclesia, ne si amicum quidem longo tempore absentem exceperit; sed hæc foris fiunt, & merito. Non enim ecclesia est tonstrina, neque unguentaria officina, neque ulla alia opificum qui sunt in foro taberna, sed locus angelorum, locus archangelorum, regnum Dei, ipsum cælum. Quomodo ergo si quis te in cælum introduxisset, etiamsi patrem videres, etiamsi fratrem, ne auderes quidem loqui; ita hic non aliud loqui oporteret præter spiritualia. Nam hic quoque est cælum. Quod si non credis, aspice ad hanc mensam, recordare propter quam causam & quamobrem hic stet. Cogita quis sit qui huc procedat, obstupesce etiam ante tempus. Etenim si quis solum viderit regis solium, animo assurgit exspectans regis exitum. Et tu ergo etiam ante illud tempus stupendum venerare, & obstupesce, & assurge, antequam videas expansa aulæa, & præeuntem chorum angelorum, in

*Eleemosyna quantum ornamentum.*

A τὸ τὰ τοῦ θεοῦ μεριμνᾷν μόνα, καὶ τὸ εὐπρόσεδρον ἀπερισπάστως· καὶ τῆς χήρας οὐχ οὕτω τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις δεῖγμα γένοιτ᾽ ἄν, ὡς τἆλλα, τὰ τῆς φιλοπτωχίας, τὰ τῆς φιλοξενίας, τὰ τῆς φιλοκαρτερίας τῆς ἐν εὐχαῖς, πάντα τὰ ἄλλα, ἃ μετὰ πολλῆς ἀπαιτεῖ τῆς ἀκριβείας ὁ Παῦλος Τιμοθέῳ γράφων. ἴδοι τις ἂν καὶ τὰς ἐν γάμῳ πολλὴν ἐπιδεικνυμένας παρ᾽ ἡμῖν τὴν κοσμιότητα. ἀλλ᾽ οὐ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἀλλ᾽ ἡ περὶ τοὺς δεομένους μετὰ σπουδῆς θεραπεία, δι᾽ ἧς αἱ ἀρχαῖαι μάλιστα ἀπέλαμπον γυναῖκες, οὐχ ὡς αἱ πολλαὶ τῶν νῦν. τότε B μὲν γὰρ ἀντὶ χρυσοῦ τὸν ἀπὸ τῆς ἐλεημοσύνης περιέκειντο καλλωπισμόν· νυνὶ δὲ ἀφεῖσαι τοῦτο, σχοινία χρυσᾶ ἀπὸ τῆς σειρᾶς τῶν ἁμαρτιῶν πεπλεγμένα πανταχόθεν περίκεινται. εἴπω καὶ ἄλλην θήκην κεκενωμένην τοῦ πατρῴου κόσμου; συνῄεσαν τὸ παλαιὸν ἅπαντες, καὶ ὑπέψαλλον κοινῇ. τοῦτο ποιοῦμεν καὶ νῦν· ἀλλὰ τότε μὲν ἐν ἅπασι μία ψυχὴ ἦν καὶ καρδία μία· νυνὶ δὲ οὐδὲ ἐν μιᾷ ψυχῇ τὴν ὁμόνοιαν ἐκείνην ἴδοι τις ἄν, ἀλλὰ πολὺς ὁ πόλεμος πανταχοῦ. εἰρήνην καὶ νῦν πᾶσιν ὁ τῆς ἐκκλησίας προεστὼς ἐπεύ- C χεται, ὡς εἰς πατρῴαν οἰκίαν εἰσιών· ἀλλὰ τῆς εἰρήνης ταύτης τὸ μὲν ὄνομα πολύ, τὸ δὲ πρᾶγμα οὐδαμοῦ. τότε καὶ αἱ οἰκίαι, ἐκκλησίαι ἦσαν· νυνὶ δὲ καὶ ἡ ἐκκλησία, οἰκία, μᾶλλον δὲ καὶ οἰκίας πάσης χείρων. ἐν οἰκίᾳ μὲν γὰρ πολλὴν καὶ εὐταξίαν ἴδοι τις ἄν. καὶ γὰρ ἡ κυρία τῆς οἰκίας ἐπὶ τοῦ θρόνου κάθηται μετὰ εὐσχημοσύνης ἁπάσης, καὶ αἱ θεραπαινίδες μετὰ τῆς ἡσυχίας ὑφαίνουσι, καὶ τῶν οἰκετῶν ἕκαστος τὸ ἐπιταχθὲν μετὰ χεῖρα ἔχει. ἐνταῦθα δὲ πολὺς ὁ θόρυβος, πολλὴ ἡ σύγχυσις, καὶ καπηλείου οὐδὲν διενήνοχε τὰ παρ᾽ ἡμῖν, τοσοῦτος ὁ γέλως, τοσαύτη ἡ ταρα- D χή, καθάπερ ἐν βαλανείοις, καθάπερ ἐν ἀγοραῖς κεκραζόντων, θορυβούντων ἁπάντων. καὶ ταῦτα ἐνταῦθα μόνον· ὡς ἀλλαχοῦ οὐδὲ προσειπεῖν τὸν πλησίον ἔξεστιν ἐν ἐκκλησίᾳ, κἂν χρόνιόν τις ἀπολάβῃ τὸν φίλον, ἀλλ᾽ ἔξω ταῦτα γίνεται, καὶ μάλα εἰκότως. οὐ γὰρ κουρεῖον, οὐδὲ μυροπωλεῖον ἡ ἐκκλησία, οὐδὲ ἐργαστήριον ἕτερον τῶν ἐπ᾽ ἀγορᾶς, ἀλλὰ τόπος ἀγγέλων, τόπος ἀρχαγγέλων, βασιλεία θεοῦ, αὐτὸς ὁ οὐρανός. ὥσπερ οὖν εἴ τις τὸν οὐρανὸν διαστείλας ἐκεῖ σε εἰσήγαγε, κἂν τὸν πατέρα, κἂν τὸν ἀδελφὸν εἶδες, οὐκ ἂν ἐτόλμησας φθέγξασθαι, οὕτως οὐ- E δὲ ἐνταῦθα ἕτερόν τι, πλὴν τῶν πνευματικῶν φθέγγεσθαι ἔδει. καὶ γὰρ καὶ τὰ ἐνταῦθα οὐρανός. εἰ δὲ ἀπιστεῖς, ἴδε πρὸς ταυτηνὶ τὴν τράπεζαν, ἀναμνήσθητι τίνος ἕνεκεν ἕστηκε, καὶ διὰ τί· ἐννόησον τίς ὁ προβαίνων ἐνταῦθα, φρίξον καὶ πρὸ τοῦ καιροῦ. καὶ γὰρ καὶ θρόνον τις ἰδὼν μόνον βασιλέως, ἀνίσταται τῇ ψυχῇ, προσδοκῶν τὴν ἔξοδον τοῦ βασιλέως. καὶ σὺ τοίνυν καὶ πρὸ τοῦ καιροῦ τοῦ φρικώδους φρίξον ἐκεῖνο, διανάστηθι, καὶ πρὶν ἰδεῖν τὰ παραπετάσματα ἀναστελλόμενα καὶ τὸν χορὸν τῶν ἀγγέλων προβαίνοντα,

πρὸς αὐτὸν ἀνάβαινε τὸν οὐρανόν. ἀλλ' ἀγνοεῖ ταῦτα ὁ ἀμύητος· οὐκοῦν ἀναγκαῖον καὶ πρὸς ἐκεῖνον εἰπεῖν ἕτερα. οὐδὲ γὰρ πρὸς τοῦτον ἀπορήσομεν τῶν δυναμένων αὐτὸν διαναστῆσαι καὶ πεῖσαι πέτεσθαι. σὺ τοίνυν ὁ ταῦτα ἀγνοῶν, ὅταν ἀκούσῃς τοῦ προφήτου λέγοντος, τάδε λέγει κύριος, ἀπόστηθι τῆς γῆς, ἀνάβηθι καὶ αὐτὸς εἰς τὸν οὐρανὸν, ἐννόησον τίς ἐστιν ὁ δι' ἐκείνου σοι διαλεγόμενος. νῦν δὲ μίμου μὲν γελωτοποιοῦντος, καὶ πορνευομένης γυναικὸς καὶ ἀσχημονούσης θέατρον τοσοῦτον κάθηται, πολλὴν παρέχον τὴν ἡσυχίαν τοῖς λεγομένοις, καὶ ταῦτα οὐδενὸς κελεύοντος σιγᾶν, καὶ οὔτε θόρυβος, οὔτε κραυγὴ, οὐχ ὁ τυχὼν ψόφος· θεοῦ δὲ ἐκ τῶν οὐρανῶν φθεγγομένου περὶ φρικτῶν οὕτω πραγμάτων, κυνῶν ἀναισχυντότερον διακείμεθα, οὐδὲ ὅσην ταῖς πόρναις γυναιξὶ, τοσαύτην τῷ θεῷ παρέχοντες τὴν αἰδῶ.

Ἐφρίξατε ταῦτα ἀκούσαντες; οὐκοῦν πολλῷ μᾶλλον ταῦτα ποιοῦντες φρίξατε, ὃ περὶ τῶν ὑπερορώντων τοὺς πένητας εἶπεν ὁ Παῦλος, καὶ μόνων ἑστιωμένων· μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; δότε κἀμοὶ περὶ τῶν θορυβούντων ἐνταῦθα καὶ διαλεγομένων εἰπεῖν· μὴ γὰρ οὐκ ἔχετε οἰκίας εἰς τὸ φλυαρεῖν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ διαφθείρετε καὶ τοὺς σωφρονεῖν καὶ ἡσυχάζειν βουλομένους; ἀλλὰ ἡδὺ καὶ φίλον ὑμῖν τοῖς γνωρίμοις διαλέγεσθαι; οὐ κωλύω τοῦτο, ἀλλ' ἐν οἰκίᾳ, ἀλλ' ἐν ἀγορᾷ, ἀλλ' ἐν βαλανείοις γινέσθω. ἡ γὰρ ἐκκλησία οὐ διαλέξεως, ἀλλὰ διδασκαλίας χωρίον ἐστί. νυνὶ δὲ τῆς ἀγορᾶς οὐ διενήνοχεν, εἰ δὲ μὴ τολμηρὸν εἰπεῖν, τάχα οὐδὲ τῆς σκηνῆς· οὕτω τῶν ἐκεῖ πορνευομένων γυναικῶν ἀσελγέστερον αἱ ἐνταῦθα συλλεγόμεναι καλλωπίζονται. διὸ δὴ πολλοὺς καὶ ἐνταῦθα ἐφέλκονται τῶν ἀκολάστων· κἄν τε πειρᾶταί τις, ἢ βούληται γυναῖκα διαφθείρειν, οὐδεὶς οἶμαι τῆς ἐκκλησίας ἐπιτηδειότερος αὐτῷ τόπος εἶναι δοκεῖ· ἄν τε ὠνήσασθαί τι καὶ πέρασθαι δέῃ, μᾶλλον τῆς ἀγορᾶς χρήσιμος ἡ ἐκκλησία φαίνεται. ἐνταῦθα γὰρ καὶ περὶ τούτων πλείους γίνονται λόγοι, ἢ ἐν αὐτοῖς τοῖς ἐργαστηρίοις. ἄν τε κακῶς εἰπεῖν καὶ ἀκοῦσαι βούλωνταί τινες, καὶ τοῦτο ὄψει ἐνταῦθα μᾶλλον, ἢ ἐπὶ τῆς ἀγορᾶς ἔξω συμβαῖνον. κἂν τῶν πολιτικῶν τι βουληθῇς ἀκοῦσαι πραγμάτων, κἂν τῶν ἐν οἰκίαις, κἂν τῶν ἐν στρατοπέδῳ, μὴ βαδίσῃς εἰς δικαστήριον, μηδὲ καθίσῃς ἐν ἰατρείῳ· εἰσὶ γὰρ ἐνταῦθα, εἰσὶν οἱ πάντων ἀκριβέστερον ταῦτα ἅπαντα καταγγέλλοντες, καὶ πάντα μᾶλλόν ἐστι τὰ ἐνταῦθα, ἢ ἐκκλησία. τάχα σφόδρα καθηψάμην ὑμῶν· οὐκ ἔγωγε οἶμαι. ὅταν γὰρ τοῖς αὐτοῖς ἐπιμένητε, πόθεν εἴσομαι, ὅτι καθίκετο ὑμῶν τὰ εἰρημένα; οὐκοῦν τῶν αὐτῶν ἀναγκαῖον ἅψασθαι πάλιν. ταῦτα οὖν ἀνεκτά; ταῦτα φορητά; κοπτόμεθα καθ' ἑκάστην ἡμέραν καὶ διασπώμεθα, ἵνα τι χρήσιμον μαθόντες ἀπέλθητε· καὶ οὐδεὶς ὑμῶν τι κερδάνας ἄπεισιν,

A ipsum cælum ascende. At hæc ignorat qui mysteriis non est initiatus. Necesse est ergo illi etiam alia dicere. Neque enim nobis deerunt alia quæ illum doceamus, quæ possint efficere ut surgat, & persuadere ut volare conetur. Tu ergo qui hæc ignoras, quando audieris prophetam dicentem: Hæc dicit Dominus, Recede a terra, ipse quoque in cælum ascende: cogita quisnam sit qui per illum tecum loquitur. Nunc autem histrionis quidem risum moventis, & scortantis ac turpiter agentis mulieris tantum sedet spectaculum, iis quæ dicuntur magnum præbens silentium, idque cum nullus jubeat tacere: B & neque est tumultus, neque clamor, nec ullus omnino strepitus: Deo autem e cælis loquente de rebus adeo stupendis ac reverendis, canibus sumus impudentiores, ne Deo quidem tantam exhibentes reverentiam, quantam meretricibus.

7. His-ne auditis exhorruistis? multo magis hoc facientes, horrete, quod de iis qui pauperes despiciunt & soli comedunt, dixit Paulus: *Annon habetis domos ad comedendum & bibendum? an ecclesiam Dei contemnitis, & eos qui non habent* C *pudore afficitis?* Mihi quoque concedite ut dicam de iis qui hic cient tumultus & loquuntur: Annon habetis domos ad nugandum? an Dei Ecclesiam despicitis, & eos etiam corrumpitis qui volunt esse modesti & quieti? At vobis est suave & jucundum alloqui eos qui sunt vobis noti; non hoc prohibeo, sed domi, sed in foro, sed in balneis fiat. Ecclesia enim non est colloquii locus, sed doctrinæ. Nunc autem nihil differt a foro: & si non sit dictu audacius, forte neque a scena: adeo iis, quæ illic scortantur, lascivius D & impudicius ornantur quæ hic conveniunt. Ideo multos quoque impudicos hic attrahunt. Et si quis tentet, aut velit corrumpere mulierem, nullus, ut puto, ei videtur locus aptior ecclesia. Et si quid vendere aut emere oporteat, ecclesia videtur esse ad illud commodior, quam forum. Hic enim de iis plura colloquia miscent quam in ipsis officinis. Et si qui velint maledicere & maledicta audire, hoc quoque hic magis videbit contingere, quam in foro. Et si volueris res audire civiles, & quæ in ædibus fiunt, & quæ in castris, ne eas ad judiciale fo- E rum, neque sedeas in officina medicorum; sunt enim qui omnibus accuratius hic omnia hæc annunciant: & hic locus quidvis potius est, quam ecclesia. Vos fortasse valde tetigi: non ego quidem certe arbitror. Quando enim in iisdem perseveratis, undenam sciam quod quæ dicta sunt vos tetigerunt? Necesse est ergo rursus eadem tangere. Hæccine sunt tolerabilia? hæccine ferenda? Quotidie defatigamur & discerpimur, ut utile aliquid edocti discedatis: nemo autem vestrum aliquid lucratus recedit, sed majori

Quanta morum corruptio tempore Chrysostomi.

etiam damno affectus. Etenim in judicium convenitis, cum peccati utique nullam habeatis occasionem, & meliores & mitiores expellitis, eos vestris nugis undique molestia afficientes. Sed quid est quod dicitur a multis? Non audio, inquit, quæ leguntur, neque scio ea quæ dicuntur; quia tumultuaris, turbas moves, neque accedis cum animo sensu pietatis prædito. Quid dicis? Nescio quænam hæc dicta sibi velint. Atqui propter hoc ipsum te oportebat attendere. Si autem ne id quidem quod est obscurum, tuum excitat animum, multo magis si essent clara ac manifesta, ea prætercurreres. Ideo enim neque hoc nec omnia sunt dilucida, ne sis piger: neque obscura, ne desperes. Et ille quidem eunuchus & barbarus nihil ex iis dixit, sed & tantum negotiorum circumdatus multitudine; etiam cum in via esset, librum habebat in manibus & legebat. Tu autem cum & tibi sit copia doctorum, & habeas qui tibi legant, mihi excusationes profers & obtentus. Nescis ea quæ dicuntur? Ora ergo ut discas. Imo vero fieri non potest ut omnia ignores: multa enim sunt ex se aperta & dilucida. Imo vero etiamsi omnia ignorares, sic quoque oporteret te quiescere, ut non expellas eos qui attendunt: ut cum Deo acceptum fuerit tuum silentium & pudor tuus, ipse ea quæ sunt obscura reddat dilucida. At non potes silere? exi ergo, ne aliis quoque damnum afferas. Etenim in ecclesia unam oportet semper esse vocem, ac si unum sit corpus. Propterea & qui legit, solus loquitur: & is qui episcopatum obtinet, manet silentio sedens. Et is qui psallit, solus psallit: & si omnes respondendo resonent, vox fertur tamquam ex uno ore. Et qui ad populum verba facit, solus loquitur. Quando autem multi de multis & diversis disceptant, cur vobis frustra molestiam exhibeamus? Nisi enim temere nos molestia afficere putaretis, nobis de tantis rebus loquentibus, de iis quæ nihil attinent non loqueremini. Propterea non in vita solum, sed & in ipsa rerum existimatione, magna est perversio: ad ea quippe quæ sunt superflua inhiatis, veritatemque dimittentes, umbras & somnia persequimini. Annon umbra & somnia sunt omnia præsentia, & umbrâ deteriora? Etenim priusquam appareant, recedunt: & priusquam avolent, magnam exhibent perturbationem, & majorem illa voluptate. Et si hic innumerabiles acceptas infoderit pecunias, cum nox præterierit, hinc nudus recedit, & merito. Nam & qui in somnis sunt divites, cum e cubili surrexerint, nihil habent ex iis quæ videbantur habere dormientes: ita etiam avari, & qui plura habendi laborant cupiditate; imo vero non ita, sed longe pejus. Nam qui in somnis quidem est dives,

Divitiarum vanitas.

A ἀλλὰ καὶ βλαβεὶς μειζόνως. καὶ γὰρ εἰς κρίμα συνέρχεσθε πρόφασιν οὐκέτι περὶ τῆς ἁμαρτίας ἔχοντες, καὶ τοὺς ἐπιεικεστέρους ἐκκρούετε, ταῖς ὑμετέραις φλυαρίαις ἐνοχλοῦντες πάντοθεν. ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; οὐκ ἀκούω τῶν ἀναγινωσκομένων, φησὶν, οὐδὲ οἶδα τίνα ἐστὶ τὰ λεγόμενα. ἐπειδὴ θορυβεῖς, ἐπειδὴ ταράττεις, ἐπειδὴ μετὰ ψυχῆς εὐλάβειαν ἐχούσης οὐ παραγίνῃ. τί φῄς; οὐκ οἶδα τίνα ἐστὶ τὰ λεγόμενα. δι' αὐτὸ μὲν οὖν τοῦτο προσέχειν ἐχρῆν. εἰ δὲ οὐδὲ τὸ ἀσαφὲς διε-

B γείρει σου τὴν ψυχὴν, πολλῷ μᾶλλον, εἰ σαφῆ ἦν, παρέδραμες. οὐδὲ γὰρ τοῦτο, οὔτε σαφῆ πάντα ἐστὶν, ἵνα μὴ ῥαθυμήσῃς· οὔτε ἀσαφῆ, ἵνα μὴ ἀπογνῷς. καὶ ὁ μὲν εὐνοῦχος ἐκεῖνος καὶ βάρβαρος οὐδὲν τούτων εἶπεν, ἀλλὰ καὶ τοσούτων πραγμάτων ὄχλῳ κυκλούμενος, καὶ ἐν ὁδῷ ὢν, βιβλίον μετὰ χεῖρας εἶχε καὶ ἀνεγίνωσκε· σὺ δὲ καὶ ἐν διδασκάλων εὐπορίᾳ ὢν, καὶ ἑτέρους ἔχων τοὺς ὑπαναγινώσκοντας, σκήψεις προβάλλῃ μοι καὶ προφάσεις. οὐκ οἶσθα τὰ λεγόμενα; οὐκοῦν εὖξαι ἵνα μάθῃς· μᾶλλον δὲ ἀμήχανον πάντα ἀγνοεῖν. καὶ γὰρ πολ-

C λὰ αὐτόθεν ἐστὶ κατάδηλα καὶ σαφῆ· μᾶλλον δὲ, κἂν ἅπαντα ἀγνοῇς, καὶ οὕτως ἡσυχάζειν ἔδει, ἵνα μὴ τοὺς προσέχοντας ἐκκρούσῃς, ἵνα σου τὴν ἡσυχίαν καὶ τὴν αἰδῶ ἀποδεξάμενος ὁ Θεὸς, καὶ τὰ ἀσαφῆ ποιήσῃ δῆλα. ἀλλ' οὐ δύνασαι σιγᾷν; οὐκοῦν ἔξιθι, ἵνα μὴ καὶ ἑτέροις γένῃ βλάβη· καὶ γὰρ μίαν ἐν ἐκκλησίᾳ δεῖ φωνὴν εἶναι ἀεὶ, καθάπερ ἑνὸς ὄντος σώματος. διὰ τοῦτο καὶ ὁ ἀναγινώσκων, μόνος φθέγγεται· καὶ αὐτὸς ὁ τὴν ἐπισκοπὴν ἔχων, ἀνέχεται σιγῇ καθήμενος· καὶ ὁ ψάλλων, ψάλλει μόνος.

D κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται. καὶ ὁ ὁμιλῶν, ὁμιλεῖ μόνος. ὅταν δὲ πολλοὶ καὶ πολλὰ καὶ διάφορα διαλέγωνται, τίνος ἕνεκεν ἐνοχλοῦμεν ἡμεῖς εἰκῇ; οὐδὲ γὰρ εἰ μὴ εἰκῇ ἐνοχλεῖν ἡμᾶς ἡγεῖσθε, περὶ τηλικούτων φθεγγομένων ἡμῶν, περὶ τῶν οὐδὲν ἂν προσηκόντων ὑμεῖς διελέγεσθε. διὰ ταῦτα οὐκ ἐν τῷ βίῳ μόνον ὑμῖν, ἀλλὰ καὶ ἐν αὐτῇ τῶν πραγμάτων τῇ ψήφῳ πολλὴ ἡ διαστροφή. καὶ περὶ τὰ περιττὰ κεχήνατε, καὶ τὴν ἀλήθειαν ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα διώκετε. ἢ οὐ σκιὰ καὶ ὀνείρατα

E τὰ παρόντα ἅπαντα, καὶ σκιᾶς χείρω; καὶ γὰρ πρὶν ἢ φανῆναι, [a] ἀφίπταται· καὶ πρὶν ἀποπτῆναι, πολὺν παρέχει τὸν θόρυβον καὶ πλείονα τῆς ἡδονῆς· κἂν μυρία τις ἐνταῦθα λαβὼν κατορύξῃ χρήματα, τῆς νυκτὸς παρελθούσης, γυμνὸς ἄπεισιν ἐντεῦθεν, καὶ εἰκότως. ἐπεὶ καὶ οἱ ὄναρ πλουτοῦντες, ἀναστάντες ἀπὸ τῆς εὐνῆς, οὐδὲν ἔχουσιν, ὧν ἔχειν ἐδόκουν καθεύδοντες, οὕτω καὶ οἱ πλεονεκτοῦντες· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. ὁ μὲν γὰρ ὄναρ πλουτῶν,

a ἀφίπταται. Alius, ἀφίσταται.

A οὔτε τὰ χρήματα ἔχει, ἅπερ ἐφαντάζετο ἔχειν, οὔτε ἄλλο τι [a] κακὸν ἀπὸ τῆς φαντασίας ταύτης λαβὼν ἀνίσταται· οὗτος δὲ τῶν μὲν χρημάτων ἐστέρηται, τῶν δὲ ἁμαρτημάτων τῶν ἐκ τῶν χρημάτων ἐμπλησθεὶς ἄπεισι, καὶ ἐν τῷ πλούτῳ φανταθεὶς, τὰ ἐκ τοῦ πλούτου κακὰ οὐχ ὁρᾷ ἐν φαντασίᾳ λοιπὸν, ἀλλ' ἐν αὐτῇ τῶν πραγμάτων τῇ ἀληθείᾳ· καὶ ἡ μὲν ἡδονὴ γέγονεν ἐν ὀνείροις, ἡ δὲ ἐκ τῆς ἡδονῆς κόλασις οὐκέτι ὄναρ συμβαίνει, ἀλλ' ἐν αὐτῇ τῇ πείρᾳ, μᾶλλον δὲ καὶ πρὸ τῆς κολάσεως ἐκείνης· καὶ ἐνταῦθα τὴν ἐσχάτην τίνει δίκην, ἐν αὐτῷ τῷ συλλέγειν μυρίας B προστριβόμενος ἀθυμίας, φροντίδας, κατηγορίας, διαβολάς, θορύβους, ταραχάς· ἵν' οὖν καὶ τῶν ὀνειράτων ἀπαλλαγῶμεν καὶ τῶν κακῶν τῶν οὐκ ἐν ὀνείροις, ἀντὶ πλεονεξίας ἐλεημοσύνην ἑλώμεθα, ἀντὶ ἁρπαγῆς φιλανθρωπίαν. οὕτω γὰρ καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. C

neque habet pecunias quas in visione se putabat habere, neque alio quopiam malo ab hac visione accepto, surgit. Iste autem, pecuniis quidem est privatus, peccatis autem quæ ex pecuniis orta sunt repletus, discedit: & cum quæ ex divitiis fiunt, visione apprehenderit, mala inde orta non videt ultra in visione, sed in ipsa rerum veritate. Et fuit quidem voluptas in somnis, quod autem ex voluptate nascitur supplicium, non utique accidit in somnis, sed in ipsa experientia; imo vero etiam ante illud supplicium hic quoque extremas dat pœnas, ut qui in colligendo atteratur innumerabilibus animi ægritudinibus, solicitudinibus, accusationibus, calumniis, tumultibus, & perturbationibus. Ut ergo & a somniis liberemur, & a malis quæ non sunt in somniis, pro avaritia & plura habendi cupiditate, eleemosynam eligamus; pro rapina, benignitatem. Sic enim præsentia & futura bona assequemur, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri unàque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ λζ'.

Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει.

ΠΕΡΙΚΟΨΑΣ τὸν θόρυβον τὸν ἀπὸ τῶν γλωσσῶν, καὶ τὸν ἀπὸ τῶν προφητειῶν, καὶ νομοθετήσας, ὥστε μὴ σύγχυσιν γίνεσθαι, τούς τε προφητεύοντας ἀρξαμένου ἑτέρου σιγᾶν, λοιπὸν καὶ ἐπὶ D τὴν ταραχὴν τὴν ἀπὸ τῶν γυναικῶν γινομένην ὁδῷ πρόεισι, τὴν ἄκαιρον αὐτῶν ἐκκόπτων παρρησίαν, καὶ σφόδρα εὐκαίρως. εἰ γὰρ τοῖς τὰ χαρίσματα ἔχουσιν ἁπλῶς οὐκ ἐφίεται λαλεῖν, οὐδὲ ὅτε βούλονται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος κινουμένοις, πολλῷ μᾶλλον ἐκείναις εἰκῆ φλυαρούσαις καὶ μάτην. διὰ τοῦτο καὶ μετὰ πολλῆς τῆς αὐθεντίας ἐπιστομίζει τὴν φλυαρίαν αὐτῶν, καὶ τὸν νόμον μεθ' ἑαυτοῦ λαβὼν, οὕτως αὐτῶν ἀπορράπτει τὰ στόματα. οὐ γὰρ παραινεῖ μόνον ἐνταῦθα, οὐδὲ συμβουλεύει, ἀλλὰ καὶ ἐπιτάττει σφοδρῶς, παλαιὸν περὶ τούτων ἀναγινώσκων νόμον. εἰπὼν γὰρ ὅτι αἱ γυναῖκες ὑμῶν ἐν E ταῖς ἐκκλησίαις σιγάτωσαν, καὶ οὐκ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, ἐπήγαγε, καθὼς καὶ ὁ νόμος λέγει. καὶ ποῦ τοῦτο ὁ νόμος λέγει; πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. εἶδες Παύλου σοφίαν, ἡλίκην παρήγαγε μαρτυρίαν, οὐ σιγᾶν αὐταῖς κελεύουσαν μόνον, ἀλλὰ καὶ μετὰ φόβου σιγᾶν, καὶ μετὰ φόβου τοσούτου, μεθ' ὅσου τὴν δούλην ἡσυχάζειν χρή; διὸ καὶ αὐτὸς εἰπὼν, ὅτι οὐκ ἐπιτέτραπται αὐταῖς λαλεῖν, οὐκ ἐπήγαγεν, ἀλλὰ σιγᾶν, ἀλλὰ τὸ πλέον

[a] κακόν. Alius, καλὸν forte melius.

## HOMILIA XXXVII.

34. *Mulieres vestræ in ecclesiis taceant. Non enim permittitur eis loqui, sed subditas esse, sicut & lex dicit.*

1. CUM eum, qui ex linguis oriebatur, tumultum amputasset, & eum qui ex prophetiis; & legem tulisset, ne esset confusio, ut qui linguis loquebantur, hoc vicissim facerent, & ut qui prophetabant, cum alter incepisset, tacerent, de cætero procedit etiam ad perturbationem quæ oritur ex mulieribus, amputans earum importunam loquendi libertatem: idque valde opportune. Nam si iis qui habent charismata, non permittitur temere loqui, neque quando velint, idque cum moveantur a spiritu, multo magis illis inconsiderate & vane nugantibus. Propterea magna quoque cum auctoritate nugantium ora obstruit; & lege secum assumta, eorum sic ora obturat. Non solum enim hic suadet, neque consulit, sed etiam vehementer imperat, legens antiquam his de rebus legem. Nam cum dixisset: *Mulieres vestræ in ecclesiis taceant*, &, *non permittitur eis loqui, sed subjectas esse*, subjunxit: *Sicut & lex dicit.* Et ubi hoc dicit lex? *Ad virum tuum conversio tua, & ipse tibi dominabitur.* Gen. 3. 16. Vidistin' Pauli sapientiam, & quantum adduxerit testimonium, quod non solum eas jubeat tacere, sed etiam tacere cum metu, & cum tanto metu, cum quanto ancillam oportet silere? Propterea cum ipse dixisset: Non permittitur eis loqui, non subjunxit: Sed tacere, sed

pro tacere posuit, quod est amplius, nempe subjici. Si hoc autem apud maritos, multo magis apud doctores & patres, & in communi cœtu ecclesiæ. At si non loquantur, inquies, nec interrogent, quanam de causa aderunt? Ut audiant quidem quæ oportet, ea autem de quibus dubitant, a maritis domi discant. Et ideo subjunxit: 35. *Si quid autem volunt discere, domi viros suos interrogent.* Non solum, inquit, non illis loqui permittitur, sed nec aliquid interrogare in ecclesia. Si autem non oportet interrogare, multo magis absolute nefas est loqui. Et cur eas ad tantam redegit subjectionem? propterea quod mulier res est imbecilla, & mobilis, & levis. Ideo eis maritos præfecit doctores, utrosque juvans. Nam & illas reddidit modestas: & eos reddidit gnavos & solicitos, ut qui ea quæ audierant, essent exactissime apud eas deposituri. Deinde quoniam id ornamento sibi fore ducebant quod loquerentur publice, sermonem ille deducit in contrarium, dicens: *Turpe est enim mulieri loqui in ecclesia.* Nam primum quidem hoc confirmavit a lege Dei; deinde a communi ratione & consuetudine. Sicut etiam quando eis de coma dicebat; annon hoc vos ipsa docet natura? Et ubique ejus talem inveneris modum, non ex divinis scripturis, sed ex ipsa consuetudine pudore afficientem. Præterea ab iis quoque quæ omnium opinione feruntur, & quæ ubique sunt in usu, pudorem incutit; quod hic quoque adhibet dicens: 36. *An a vobis verbum Dei processit, aut in vos solos pervenit?* Etenim cæteras adduxit ecclesias hanc legem servantes, & a novitate tumultum resecans, & multorum calculo gratam & acceptam reddens orationem. Quamobrem alibi quoque dicebat: *Qui vobis in memoriam revocabit vias meas in Christo, sicut ubique in omnibus eccclesiis doceo.* Et rursus: *Non est enim Deus dissensionis, sed pacis, sicut & in omnibus ecclesiis sanctorum.* Et hic: An a vobis verbum Dei processit, aut ad vos solos pervenit? Hoc est, neque vos primi, neque soli fideles, sed totus orbis terræ. Quod etiam ad Colossenses scribens, dicebat: *Sicut fructificat & crescit in toto mundo*, loquens de evangelio. Id autem facit etiam aliter ad exhortationem auditorum, ut quando dicit: Quæ sunt eorum, prima esse, & manifesta omnibus. Nam ad Thessalonicenses scribens dicebat: *A vobis enim resonuit sermo Dei, & in omni loco fides vestra ad Deum exiit.* Ad Romanos quoque scribens: *Fides vestra annunciatur in toto mundo.* Ambo enim sufficiunt & ad exhortandum & excitandum, laudari ab aliis, & alios habere socios sententiæ. Et ideo hic quoque dicit: An a vobis sermo Dei processit, aut ad vos solos

1. Cor. 11. 14. — 1. Cor. 4. 17. — 1. Cor. 14. 33. — Coloss. 1. 6. — 1. Thes. 1. 8. — Rom. 1. 8.

A ἀντὶ τοῦ σιγᾷν τέθεικε, τὸ ὑποτάττεσθαι. Εἰ δὲ ἐπὶ ἀνδρῶν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ διδασκάλων καὶ πατέρων καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας συλλόγου. Καὶ εἰ μηδὲ φθέγξονταί, φησι, μηδὲ ἐρωτήσουσι, τίνος ἕνεκεν καὶ παρέσονται; ἵνα ἀκούωσι μὲν ἃ χρὴ, τὰ δὲ ἀμφιβαλλόμενα παρὰ τῶν ἀνδρῶν οἴκοι μανθανέτωσαν. Διὸ καὶ ἐπήγαγεν· Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. Οὐ γὰρ δὴ μόνον λαλεῖν αὐταῖς οὐκ ἐφίεταί, φησιν, ἁπλῶς, ἀλλ' οὐδὲ ἐρωτᾷν τι ἐν ἐκκλησίᾳ. Εἰ δὲ ἐρωτᾷν οὐ χρὴ, πολλῷ μᾶλλον ἁπλῶς λαλεῖν οὐ θέμις. B Καὶ τί δήποτε ἐν τοσαύτῃ κατέστησεν αὐτὰς ὑποταγῇ; ὅτι ἀσθενέστερόν πως ἐστὶν ἡ γυνὴ καὶ εὐερίπιστον καὶ κοῦφον. Διὰ δὴ τοῦτο τοὺς ἄνδρας αὐταῖς ἐπέστησε διδασκάλους, ἀμφοτέρους ὠφελῶν. Ἐκείνας τε γὰρ κοσμίας κατεσκεύασε, τούτους τε ἐναγωνίους ἐποίησεν, ἅτε μέλλοντας μετὰ πολλῆς τῆς ἀκριβείας ἅπερ ἤκουσαν ταῖς γυναιξὶ παρακατατίθεσθαι. Εἶτα ἐπειδὴ καλλωπίζεσθαι ἐντεῦθεν ἐνόμιζον ἐκ τοῦ φθέγγεσθαι δημοσίᾳ, πάλιν εἰς τὸ ἐναντίον περιάγει τὸν λόγον, λέγων· αἰσχρὸν γάρ ἐστι γυναικὶ ἐν ἐκκλησίᾳ λαλεῖν. Πρῶτον μὲν γὰρ ἀπὸ τοῦ νόμου τοῦ- C το κατεσκεύασε τοῦ θεοῦ, ἔπειτα ἀπὸ κοινοῦ λογισμοῦ καὶ τῆς συνηθείας, ὥσπερ καὶ, ἡνίκα περὶ κόμης αὐταῖς διελέγετο, ἔλεγεν· ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει; Καὶ πανταχοῦ τοιοῦτον εὕροις ἂν αὐτοῦ τὸν τρόπον ὄντα, οὐκ ἀπὸ τῶν θείων γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας ἐντρέποντα. Πρὸς τούτοις δὲ καὶ ἀπὸ τῶν πᾶσι δοκούντων καὶ πανταχοῦ τυπωθέντων ἐντρέπει, ὃ καὶ ἐνταῦθα τέθεικεν εἰπών· ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε; Καὶ γὰρ τὰς λοιπὰς ἐκκλησίας παρήγαγε τοῦτον τηροῦσας τὸν νόμον, καὶ ἀπὸ τῆς καινοτομίας τὸν θό- D ρυβον ὑποτεμνόμενος, καὶ τῇ τῶν πολλῶν ψήφῳ τὸν λόγον ποιῶν εὐπαράδεκτον. Διὸ καὶ ἀλλαχοῦ ἔλεγεν· ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσαις ταῖς ἐκκλησίαις διδάσκω. Καὶ πάλιν, οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ θεὸς, ἀλλ' εἰρήνης, καθὼς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. Καὶ ἐνταῦθα, ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε; τουτέστιν, οὔτε πρῶτοι, οὔτε μόνοι ὑμεῖς πιστοὶ, ἀλλ' ἡ οἰκουμένη πᾶσα· ὃ καὶ πρὸς Κολασσαεῖς γράφων ἔλεγε, καθώς ἐστι E καρποφορούμενον καὶ αὐξανόμενον ἐν παντὶ τῷ κόσμῳ, περὶ τοῦ εὐαγγελίου λέγων· ποιεῖ δὲ αὐτὸ καὶ ἑτέρως εἰς προτροπὴν τῶν ἀκουόντων, ὡς ὅταν λέγῃ τὰ αὐτῶν πρῶτα εἶναι, καὶ πᾶσιν εἶναι κατάδηλα. Θεσσαλονικεῦσι γὰρ ἐπιστέλλων ἔλεγεν· ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ θεοῦ, καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθε. Καὶ Ῥωμαίοις δὲ πάλιν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Ἀμφότερα γὰρ ἱκανὰ προτρέψαι καὶ διεγεῖραι, καὶ τὸ παρὰ ἑτέρων ἐπαινεῖσθαι, καὶ τὸ ἑτέρους ἔχειν κοινωνοὺς τῆς γνώμης. Διὸ καὶ ἐνταῦθά φησιν· ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

οὔτε

οὔτε γὰρ ἔτι ἂν ἔχοιτε εἰπεῖν, φησιν, ὅτι ἡμεῖς τῶν ἄλλων διδάσκαλοι ἐγινόμεθα, καὶ οὐκ ἂν εἴημεν δίκαιοι παρ' ἑτέρων μανθάνειν· οὔτε ὅτι ἐνταῦθα ἔστη τὰ τῆς πίστεως μόνον, καὶ οὐ χρὴ τὰ παρ' ἑτέρων παραδείγματα δέχεσθαι. ὁρᾷς διὰ πόσων ἐνέτρεψε; τὸν νόμον παρήγαγε, τὸ αἰσχρὸν τοῦ πράγματος ἔδειξε, τὰς λοιπὰς ἐκκλησίας εἰς μέσον τέθηκεν.

Εἶτα τὸ πάντων ἰσχυρότερον, ὕστερον τίθησι λέγων, ὅτι ὁ Θεὸς ταῦτα καὶ νῦν ἐπιτάττει δι' ἐμοῦ. Εἰ γάρ τις δοκεῖ προφήτης εἶναι, ἢ πνευματικὸς, γινωσκέτω ταῦτα ἃ γράφω ὑμῖν, ὅτι Κυρίου εἰσὶν αἱ ἐντολαί. Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. Καὶ τίνος ἕνεκεν τοῦτο ἐπήγαγε; δεικνὺς ὅτι οὐ βιάζεται, οὐδὲ φιλονεικεῖ, ὅπερ σημεῖόν ἐστι τῶν οὐ τὰ ἑαυτῶν βουλομένων ἱστᾶν, ἀλλὰ τὸ ἑτέροις συμφέρον σκοπούντων. διὸ καὶ ἀλλαχοῦ φησιν· Εἰ δέ τις φιλόνεικός ἐστιν, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. ἀλλ' οὐ πανταχοῦ τοῦτο ποιεῖ, ἀλλ' ἔνθα ἂν μὴ σφόδρα μεγάλα τὰ ἁμαρτανόμενα ᾖ, καὶ τότε ἐντρέπων μᾶλλον· ἐπεὶ ὅταν περὶ ἑτέρων διαλέγηται, οὐ λέγει οὕτως· ἀλλὰ πῶς; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μαλακοὶ βασιλείαν Θεοῦ κληρονομήσουσι. καὶ πάλιν, Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ἐνταῦθα δὲ, ἐπειδὴ περὶ σιγῆς ἦν αὐτῷ ὁ λόγος, οὐ σφόδρα εὐτόνως ἐπιτίθεται, τούτῳ αὐτοὺς μᾶλλον αὐτοὺς ἐπισπώμενος· εἶτα ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐπὶ τὴν προτέραν ὑπόθεσιν, ὅθεν ταῦτα εἰπεῖν ἐξέβη, ἐπάγει τὸν λόγον λέγων· ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε. καὶ γὰρ ἔθος αὐτῷ τοῦτο, μὴ τὸ προκείμενον ἐργάζεσθαι μόνον, ἀλλὰ καὶ ἐξ ἐκείνου τὸ δοκοῦν αὐτῷ συγγενὲς ὁπωσδήποτε εἶναι διορθοῦν, καὶ πάλιν ἐπὶ τὸ πρότερον ἐπανιέναι, ὥστε μὴ δοκεῖν τῆς ὑποθέσεως ἐκπίπτειν. καὶ γὰρ ὅτε περὶ τῆς ἐν ταῖς τραπέζαις διελέγετο συμφωνίας, ἐπὶ τὴν κοινωνίαν τὴν ἐν τοῖς μυστηρίοις ἐκβὰς, κἀκεῖθεν ἐντρέψας, εἰς τὰ πρότερα ἐπάνεισι πάλιν, λέγων· ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. καὶ ἐνταῦθα τοίνυν περὶ τῆς ἐν τοῖς χαρίσμασιν εὐταξίας διαλεχθεὶς, καὶ τοῦ μὴ δεῖν μήτε ἀλύειν ἐν τοῖς ἐλάττοσι, μήτε φυσᾶσθαι ἐπὶ τοῖς μείζοσιν, εἶτα ἐπὶ τὴν γυναιξὶ πρέπουσαν ἐξελθὼν εὐκοσμίαν ἐντεῦθεν, καὶ κατασκευάσας αὐτὴν, ἐπὶ τὸ προκείμενον ἐπάνεισι λέγων πάλιν· ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε. εἶδες πῶς μέχρι τέλους τὴν διαφορὰν ἐφύλαξε; καὶ πῶς ἔδειξε τὸ μὲν σφόδρα ἀναγκαῖον ὂν, τὸ δὲ οὐχ οὕτω; διὸ ἐπ' ἐκείνου μέν φησι, ζηλοῦτε, ἐπὶ τούτου δὲ, μὴ κωλύετε. εἶτα ὡς ἐν κεφαλαίῳ τὰ πάντα διορθούμενος ἐπάγει λέγων· πάντα δὲ εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. πάλιν πλήττων τοὺς εἰκῆ βουλομένους ἀσχημονεῖν, καὶ μανίας δόξαν λαμβάνειν, καὶ τὴν οἰκείαν



pervenit? Neque enim, inquit, hoc potueritis dicere: Nos fuimus doctores aliorum, & non æquum est ut ab aliis discamus; neque, fides hic solum stetit, & non oportet ab aliis exempla sumere. Viden' per quam multa eis pudorem incussit? Legem adduxit, rei ostendit turpitudinem, cæteras ecclesias in medio posuit.

2. Deinde quod est omnium fortissimum, ultimum ponit dicens: Deus hæc etiam nunc jubet per me. 37. *Si quis enim videtur scribo vobis, quod propheta esse aut spiritualis, cognoscat quæ Domini sunt mandata.* 38. *Si quis autem ignorat, ignoret.* Et cur hoc subjunxit? Ostendens se neque vim afferre, nec contendere: quod quidem est signum non eorum qui sua volunt constituere, sed eorum qui spectant id quod est aliis utile. Quamobrem dicit etiam alibi: *Si quis autem est contentiosus, nos talem consuetudinem non habemus.* [1. Cor. 11. 16.] At non ubique hoc facit, sed ubi non ita magna admittuntur peccata; tunc etiam magis pudore afficit. Nam quando de aliis loquitur, non sic dicit; sed quomodo? *Ne erretis: neque fornicatores, neque molles regnum Dei possidebunt.* [1. Cor. 6. 9.] Et rursus: *Ecce ego Paulus dico vobis, quod si circumcidamini, Christus vobis nihil proderit.* [Gal. 5. 2.] Hic autem quoniam de silentio agebatur, non admodum vehementer insectatur, hoc ipso eos magis attrahens. Deinde quod semper solet facere, ad prius argumentum, unde ad hæc dicenda digressus est, revertitur dicens; 39. *Itaque, fratres mei, æmulamini prophetiam, & loqui linguis nolite prohibere.* Est enim mos ejus non solum agere id quod est propositum, sed etiam ex illo, id quod quomodocumque ei videtur conjunctum corrigere, & rursus redire ad propositum, ne videatur excidere ab argumento. Etenim quando loquebatur de concordia in mensis, cum digressus esset ad communionem in mysteriis, & eos inde pudore affecisset, ad priora rursus revertitur dicens: *Quamobrem convenientes ad comedendum, vos invicem exspectate.* [1. Cor. 11. 33.] Ita hic quoque cum disseruisset de ordine observando in donis, & quod neque mœrore affici oporteat in minoribus, neque tumere propter majora, & deinde digressus esset ad modestiam mulieribus convenientem, & eam confirmasset, redit ad propositum, rursus dicens: Itaque, fratres mei, æmulamini prophetiam, & loqui linguis nolite prohibere. Vidistin' quomodo ad finem usque servaverit differentiam, & quomodo alterum quidem ostendat valde necessarium, alterum autem non item? Quamobrem de illo quidem dicit, Æmulamini; de hoc autem, Nolite prohibere. Deinde tamquam in summo omnia corrigens, subjungit dicens: 40. *Omnia autem honeste & secundum ordinem fiant.* Rursus illos tangens qui volunt temere se indecore gerere, & insaniæ sibi no-

A tam inurere, nec congruentem sibi servant ordinem. Nihil enim æque ædificat ut ordo rectus, ut pax, ut caritas, sicut etiam contraria dissolvunt. Non solum autem in spiritualibus, sed etiam in aliis omnibus hoc videris. Nam sive in choro, sive in navigio, sive in curru, sive in castris ordinem confundas, & majoribus suo loco ejectis in illorum ordinem minora induxeris, omnia corrumpis, & sic omnia sus deque vertuntur. Neque nos ergo ordinem corrumpamus, neque caput infra statuamus, neque pedes supra. Hoc porro fit quando rectam B quidem rationem inferne dejecerimus, concupiscentias autem, iram, excandescentiam & voluptatem rationi præfecerimus. Unde magnus existit fluctus, ingens perturbatio, & intoleranda tempestas, cum omnia occupent tenebræ. Et si vis, primum excutiamus eam quæ hinc evenit turpitudinem, posteaque damnum hinc emergens. Quomodo ergo hoc nobis notum erit & manifestum? Adducamus in medium hominem sic affectum, captum amore meretricis, & qui ejus inhonesto teneatur desiderio: & tunc videbimus C quam hoc sit ridiculum. Quid enim possit esse illo turpius qui stat ad fores domus meretriciæ, & pulsatur a meretrice, fletque & ejulat, probroque afficit suam existimationem? Si vis autem etiam videre damnum, veniant tibi in mentem sumtus pecuniæ, de extremis pericula, bellum quod geritur adversus rivales & adversarios amatores, vulnera & plagæ quæ infliguntur in hujusmodi acie. Tales sunt & ii quos pecuniæ tenet cupiditas; imo vero turpius & magis indecore se gerunt. Nam illi quidem in D uno corpore sunt occupati & in eo suum ponunt studium & operam: avari vero de omnium facultatibus sunt similiter solliciti & curiosi, & pauperum, & divitum, & illa amant quæ non sunt, quod est maxime signum improbæ cupiditatis. Non dicunt enim: Vellem habere hujus aut illius facultates, aut has vel illas solum, sed & montes volunt esse aurum, & domos, & quæcumque videntur: & ad alterum se transferunt mundum; hæc perpetuo patiuntur, neque usquam finem faciunt desiderandi. Quis verbis poterit explicare illarum fluctus cogitationum, E tempestatem, caliginem? Ubi autem sunt tot fluctus & tanta tempestas, quænam fuerit voluptas? Nulla; sed tumultus, & dolor, & caliginosæ nebulæ, pro aquis ferentes multam animi ægritudinem, quod etiam solet accidere iis qui alienam amant pulcritudinem. Propterea qui nullo modo amant, in majori sunt voluptate quam hujusmodi amatores. Sed ad hoc quidem nemo contradixerit. Ego autem eum etiam qui amat quidem, reprimit autem libidinem, majori dixerim affici voluptate, quam eum qui assidue fruitur meretrice. Nam etiamsi ejus demonstratio

Ordo rectus semper servandus.

Avaritiæ morbus.

μὴ φυλάττοντας τάξιν. οὐδὲν γὰρ οὕτως οἰκοδομεῖ, ὡς εὐταξία, ὡς εἰρήνη, ὡς ἀγάπη, ὥσπερ οὖν καὶ τὰ ἐναντία διαλύει. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι τοῦτο ἴδοι τις ἄν. ἄν τε γὰρ ἐν χορῷ, ἄν τε ἐν πλοίῳ, ἄν τε ἐν ἅρματι, ἄν τε ἐν στρατοπέδῳ τὴν τάξιν συγχέῃς, καὶ τὰ μείζονα τῆς οἰκείας χώρας ἐκβαλὼν, τὰ ἐλάττονα εἰσαγάγῃς εἰς τὴν ἐκείνων τάξιν, πάντα διέφθειρας, καὶ οὕτω τὰ ἄνω, κάτω γέγονε. μὴ τοίνυν, μηδὲ ἡμεῖς τὴν τάξιν διαφθείρωμεν, μηδὲ τὴν κεφαλὴν κάτω ποιῶμεν, καὶ τοὺς πόδας ἄνω. τοῦτο δὲ γίνεται, ὅταν τὸν μὲν ὀρθὸν λογισμὸν κάτω ῥίψωμεν, τὰς δὲ ἐπιθυμίας, τὸν θυμὸν, καὶ τὴν ὀργὴν, καὶ τὴν ἡδονὴν ἐπιστήσωμεν τῷ λογικῷ· ὅθεν πολὺς ὁ κλύδων, καὶ πολλὴ ἡ ταραχὴ, καὶ ἀφόρητος ἡ ζάλη, πάντων σκότῳ κατεχομένων. καὶ, εἰ βούλει, τὴν ἀσχημοσύνην τὴν ἐντεῦθεν γινομένην πρῶτον ἐξετάσωμεν, καὶ τότε τὴν ζημίαν. πῶς οὖν ἔσται τοῦτο σαφὲς ἡμῖν καὶ σφόδρα γνώριμον; παραγάγωμεν εἰς μέσον ἄνθρωπον οὕτω διακείμενον, πόρνης ἐρῶντα, καὶ ὑπὸ ἐπιθυμίας ἀτόπου κρατούμενον, καὶ τότε ὀψόμεθα τὸν γέλωτα τοῦτον. τί γὰρ ἂν γένοιτο αἴσχιον τοῦ θυραυλοῦντος περὶ τῶν πορνικῶν οἰκημάτων, καὶ ῥαπιζομένου παρὰ πόρνης γυναικὸς, καὶ κλαίοντος, καὶ ὀδυρομένου, καὶ τὴν ἑαυτοῦ καταισχύνοντος δόξαν; εἰ δὲ βούλει καὶ τὴν ζημίαν ἰδεῖν, ἐννόει μοι τῶν χρημάτων τὴν δαπάνην, τοὺς περὶ τῶν ἐσχάτων κινδύνους, τὸν πρὸς τοὺς ἀντεραστὰς πόλεμον, τὰ τραύματα, τὰς πληγὰς τὰς ἐκ τῶν τοιούτων παρατάξεων. τοιοῦτοι καὶ οἱ χρημάτων ἐπιθυμίᾳ κατεχόμενοι· μᾶλλον δὲ μείζονα ἀσχημονοῦσιν. οὗτοι μὲν γὰρ περὶ ἕν εἰσιν ἠσχολημένοι σῶμα· οἱ δὲ φιλάργυροι τὰς πάντων οὐσίας ὁμοίως περιεργάζονται, καὶ πενήτων, καὶ πλουτούντων, καὶ τῶν οὐκ ὄντων πραγμάτων ἐρῶσιν, ὃ μάλιστα τῆς τοῦ πάθους ἀτοπίας σημεῖόν ἐστιν. οὐ γὰρ λέγουσιν, ὅτι τὴν τοῦ δεῖνος ἐβουλόμην οὐσίαν ἔχειν, καὶ τὴν τοῦ δεῖνος μόνον, ἀλλὰ καὶ τὰ ὄρη χρυσίον εἶναι βούλονται, καὶ τὰς οἰκίας, καὶ τὰ ὁρώμενα πάντα, καὶ ἐφ' ἕτερον προβαίνουσι κόσμον, καὶ τοῦτο ἐπ' ἄπειρον πάσχουσι, καὶ οὐδαμοῦ τῆς ἐπιθυμίας λήγουσι. τίς ἂν παραστήσειε λόγος τὸν χειμῶνα τῶν λογισμῶν ἐκείνων τὰ κύματα; τὸν ζόφον; ὅπου δὲ κύματα καὶ χειμὼν τοσοῦτος, ποία γένοιτ' ἂν ἡδονή; οὐκ ἔστιν οὐδεμία, ἀλλὰ θόρυβος, καὶ ὀδύνη, καὶ νεφέλαι ζοφώδεις ἀντὶ ὑδάτων πολλὴν φέρουσαι τὴν ἀθυμίαν, ὃ δὴ καὶ ἐπὶ τῶν ἐρώντων ἀλλοτρίου κάλλους συμβαίνειν εἴωθε. διά τοι τοῦτο οἱ μηδὲ ὅλως ἐρῶντες, τῶν ἐρώντων ἐν πλείονι εἰσὶν ἡδονῇ· ἀλλὰ πρὸς τοῦτο μὲν οὐδεὶς ἀντείποι. ἐγὼ δὲ καὶ τὸν ἐρῶντα μὲν, κατέχοντα δὲ τὴν ἐπιθυμίαν, μᾶλλον ἂν φαίην τρυφᾶν τοῦ συνεχῶς τῆς πόρνης ἀπολαύοντος. εἰ γὰρ καὶ δυσκολωτέρα

ἡ ἀπόδειξις, ἀλλ' ὅμως καὶ οὕτως ἀναγκαῖον κατατολμῆσαι τοῦ λόγου. καὶ γὰρ δυσκολωτέρα γίνεται, οὐ παρὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παρὰ τὸ μὴ εἶναι τῆς φιλοσοφίας ταύτης ἀκροατὰς ἀξίους.

Τί γὰρ ἥδιον, εἰπέ μοι, τῷ ἐρῶντι, τὸ καταφρονεῖσθαι ὑπὸ τῆς ἐρωμένης, ἢ τὸ τιμᾶσθαι καὶ ὑπερορᾷν; εὔδηλον ὅτι τοῦτο. τίνα οὖν, εἰπέ μοι, τιμήσει πλέον ἡ πόρνη, τὸν δουλεύοντα αὐτῇ καὶ αἰχμάλωτον ὑπ' αὐτῆς ἤδη γενόμενον, ἢ τὸν ἀνώτερον τῶν ἐκείνης δικτύων, καὶ ὑψηλότερον τῶν καλάμων αὐτῆς πετόμενον; παντί που δῆλον, ὅτι τοῦτον. περὶ τίνα δὲ σπουδάσει πλέον, τὸν πεπτωκότα, ἢ τὸν οὐδέπω; τὸν οὐδέπω πάντως. τίς δὲ ἔσται ποθεινότερος, ὁ κατειργασμένος, ἢ ὁ μηδέπω ἁλούς; ὁ μηδέπω τέως ἁλούς. Εἰ δὲ ἀπιστεῖτε, ἀπὸ τῶν ὑμετέρων παρέξω τὴν ἀπόδειξιν. τίνος γὰρ ἄν τις μᾶλλον ἐρασθείη γυναικὸς, τῆς εὐκόλως ὑποκατακλινομένης αὐτῷ καὶ ἐκδιδομένης, ἢ τῆς ἀρνουμένης καὶ πράγματα αὐτῷ παρεχούσης; εὔδηλον ὅτι ταύτης. καὶ γὰρ μειζόνως ἐντεῦθεν ὁ πόθος ἀνάπτεται. οὐκοῦν καὶ ἐπὶ τῆς γυναικὸς τὸ αὐτὸ δὴ τοῦτο ἔσται· καὶ τοῦτον τιμήσουσι καὶ θαυμάζονται πλέον τὸν ὑπερορῶντα αὐτῶν· εἰ δὲ τοῦτο ἀληθὲς, κἀκεῖνο ὁμοίως, τὸ ἐν μείζονι εἶναι ἡδονῇ τὸν μᾶλλον τιμώμενον καὶ ἀγαπώμενον. ἐπεὶ καὶ στρατηγὸς πόλιν τὴν μὲν καθάπαξ ἁλοῦσαν ἀφίησι, τῇ δὲ ἑστηκυίᾳ καὶ φιλονεικούσῃ προσεδρεύει μετὰ σπουδῆς ἁπάσης· καὶ θηρευτὴς τὸ μὲν [a] θηρευθὲν ζῶον ἐν σκότῳ κατακλείσας ἔχει, καθάπερ ἡ πόρνη τὸν ἐραστὴν, τὸ δὲ φεῦγον διώκει. ἀλλ' ἀπολαύει τῆς ἐπιθυμίας ἐκεῖνός, φησιν, οὗτος δὲ οὐκ ἀπολαύει. τὸ δὲ μὴ καταισχύνεσθαι, μηδὲ δουλεύειν ταῖς τυραννικαῖς αὐτῆς ἐπιταγαῖς, μηδὲ ὡς ἀνδράποδον ἄγεσθαι ὑπ' αὐτῆς καὶ περιάγεσθαι ῥαπιζόμενον, ἐμπτυόμενον, ἐπὶ κεφαλῆς ὠθούμενον, μικρὰν ἡδονὴν εἶναι νομίζεις, εἰπέ μοι; Εἰ γάρ τις ταῦτα ἀκριβῶς ἐξετάσειε, καὶ δυνηθείη τὰς ὕβρεις αὐτῶν συναγαγεῖν, τὰ ἐγκλήματα, τὰς συνεχεῖς ὀργὰς, τὰς ἀπὸ ψυχῆς, τὰς ἀπὸ τοῦ θρύπτεσθαι γινομένας, τὰς ἀπεχθείας, τὰ ἄλλα πάντα, ἅπερ οἱ πάσχοντες ἴσασι μόνον, πάντα πόλεμον εὑρήσει πλείους ἔχοντα τὰς ἀνακωχὰς τῆς ἀθλίας τούτων ζωῆς. ποίαν οὖν λέγεις ἡδονὴν, εἰπέ μοι; τὴν ἀπὸ τῆς μίξεως; τὴν πρόσκαιρον καὶ βραχεῖαν; ἀλλ' εὐθέως ταύτην πόλεμος ἐπικαταλαμβάνει, καὶ κύματα, καὶ λύττα, καὶ μανία πάλιν ἡ αὐτή. καὶ ταῦτα μὲν ἡμῖν εἴρηται, ὡς ἄν τις νέοις διαλεγόμενος ἀκολάστοις εἴποι, οὐ σφόδρα ἀνεχομένοις τῶν περὶ βασιλείας καὶ γεέννης ἀκοῦσαι λόγων. ὅταν δὲ καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν, οὐδὲ ἔνεστιν εἰπεῖν ὅση τῶν σωφρονούντων ἡ ἡδονὴ, ὅταν ἀναπλάττῃ πρὸς ἑαυτὸν τοὺς στεφάνους, τὰ βραβεῖα, τὴν μετὰ τῶν ἀγγέλων ὁμιλίαν, τὴν ἐπὶ τῆς οἰκουμένης [b] ἀνάῤῥησιν,

[a] θηρευθέν. Alius, χειρωθέν.



A sit difficilior, necesse tamen est hoc audacter probandum suscipere. Est enim difficilior, non ex rei natura, sed ex eo quod auditores hac philosophia non sint digni.

3. Quid est enim, dic quæso, amanti jucundius, ab amica despici, an honorari, & illam despicere? Palam est hoc esse jucundius. Quem ergo, quæso, magis honorabit meretrix, eum-ne qui ipsi servit, & factus est ejus mancipium; an eum qui ejus superavit retia, & structis ab ea calamis volat altius? Est cuivis perspicuum quod hunc. In quemnam autem suum B magis conferet studium, in eumne qui cecidit, an in eum qui nondum? In eum plane qui nondum. Quis erit autem desiderabilior, isne qui est confectus, an is qui nondum est captus? Is qui nondum est captus. Si autem non creditis, a rebus vestris afferam demonstrationem. Quamnam enim mulierem magis amarit quispiam, eamne quæ facile succumbit & ipsi se dedit, an eam quæ negat & negotium facessit? Hanc procul dubio: hinc enim accenditur majus desiderium. Ergo idem quoque erit in muliere; & eum magis illa honorabit & admirabitur C qui se despicit. Si res autem ita se habeat, illud quoque palam erit in majori esse voluptate eum qui magis honoratur & diligitur. Nam & dux exercitus urbem quidem semel captam dimittit: ei autem quæ resistit & contendit omni studio assidet. Venator quoque feram venando captam habet in tenebris inclusam, quemadmodum meretrix amatorem: eam autem quæ fugit, persequitur. At ille, inquies, fruitur desiderio: hic autem non fruitur. An probro ac dedecore non affici, neque ejus tyrannicis servire imperiis, nec ab ea duci & circumagi tamquam D mancipium, pugnis contusum, consputum, in capite pulsatum, parvam, dic quæso, existimas esse voluptatem? Si quis enim hæc accurate excusserit, & colligere potuerit omnia eorum probra, contumelias, criminationes, irasque perpetuas ex animo vel ex deliciis ortas, inimicitias, & alia omnia solis patientibus nota, inveniet quodvis bellum plures habere inducias, quam horum miseram vitam. Quamnam ergo dicis, quæso, voluptatem? Eamne quæ capitur ex coïtu, quæ est brevis & momentanea? Sed eam statim bellum excipit, & fluctus, & ra- E bies, & idem rursus furor. Et hæc quidem a nobis dicta sunt, perinde atque si quis ea dixerit adolescentibus intemperantibus & impudicis, qui ea quæ dicuntur de regno & gehenna non libenter ferant. Quando autem hæc in medium adduxerimus, ne dici quidem potest quanta sit moderatorum & temperantium voluptas; quando quis secum reputat coronas, præmia, consuetudinem cum angelis, in universo orbe terræ celebrationem,

[b] ἀνάῤῥησιν. Alius, ἀνακήρυξιν, non male.

fiduciam & dicendi libertatem, spes illas bonas & immortales. At coitus habet voluptatem; hoc enim perpetuo versant; qui vero temperans est, non potest assidue pugnare cum tyrannide naturæ. At contrarium inveneris. Ipsa enim vis & perturbatio est magis apud eum qui scortatur. Multa enim est in corpore agitatio; & hic quovis fluctuanti mari gravius afficitur, cujus nunquam sistitur cupiditas, sed ab ea semper impetitur, non secus atque qui corripiuntur a dæmone, & assidue discerpuntur a malis spiritibus. Temperans autem non secus ac fortis athleta, eam assidue feriens, optimam, & innumeris hujusmodi deliciis jucundiorem percipit voluptatem, hac victoria, bona conscientia, & præclaris tropæis perpetuo ornatus. Si autem post congressum ille parum quiescit, hoc nihil fuerit. Rursum enim invadit tempestas, & rursum fluctus. Qui autem philosophatur, ne initio quidem permittit ut hæc se invadat perturbatio, neque ut mare assurgat, nec ut hæc fera vociferetur. Si vim autem patiatur in retinendo impetu tanto at ille etiam appetitus frenatur, frequenter pulsatus, confossus, œstrumque non ferens, haud secus, quam si equum indomitum freno retineret, artem omnem adhibens. Si autem cesserit, & laborem fugerit, ab illo præceps quocumque feratur. Hæc si dicta sunt apertius quam par sit, nemo me reprehendat. Nolo enim dicendi gravitate ornare orationem, sed graves & honestos facere auditores.

4. Propterea prophetæ quoque nulli hujusmodi verbo parcunt, volentes Judæorum exscindere libidinem & intemperantiam. Sed eos quoque tangunt apertius, quam nos nunc, in iis quæ diximus. Medicus enim volens ejicere putredinem, non eo spectat ut mundas conservet manus, sed ut ægrum liberet a putredine; & is qui humilem vult excelsum reddere, ipse prius fit humilis; & qui studium ponit ut occidat insidiatorem, se quoque cum illo cruentat, & hoc ipsum reddit clariorem. Nam si a bello reversum militem viderit quispiam sanie, sanguine & cerebro respersum & pollutum, non ideo odio habebit, neque aversabitur, sed magis etiam admirabitur. Ita nos quoque faciamus cum viderimus quempiam, postquam mactarit cupiditatem, cruentum revertentem, eum magis admiremur, simulque socii ac participes ejus pugnæ & victoriæ, & iis qui amant dicamus: Ostendite nobis voluptatem quam accepistis ex libidine. Nam qui est temperans ac pudicus, voluptatem habet ex victoria; tu autem nullam habes omnino. Sin autem vos dicatis eam quæ est ex congressu: sed illa est manifestior, & diuturnior. Nam tu ex eo quo frueris habes aliquid breve, & quod ne ultra appareat quidem; ille autem ex conscientia

Temperantiæ voluptas.

A τὴν παῤῥησίαν, τὰς χρηστὰς καὶ ἀθανάτους ἐλπίδας ἐκείνας. ἀλλ' ἡ μίξις ἔχει τινὰ ἡδονήν· τοῦτο γὰρ συνεχῶς περιστρέφουσιν· ὁ δὲ σωφρονῶν οὐ δύναται διηνεκῶς μαχόμενος τῇ τῆς φύσεως τυραννίδι. τοὐναντίον μὲν οὖν εὕροι τις ἄν. ἡ γὰρ βία αὕτη καὶ ταραχὴ παρὰ τῷ πορνεύοντι μᾶλλόν ἐστι. καὶ γὰρ κλόνος ἐν τῷ σώματι πολὺς, καὶ πάσης θαλάττης κυματουμένης χαλεπώτερον οὗτος διάκειται, οὐδέποτε πρὸς τὴν ἐπιθυμίαν ἱστάμενος, ἀλλ' ἀεὶ βαλλόμενος ὑπ' αὐτῆς, ὥσπερ οἱ δαιμονῶντες, καὶ συνεχῶς ὑπὸ τῶν πονηρῶν καταῤῥηγνύμενοι πνευμάτων. ὁ δὲ σώφρων B καθάπερ ἀριστεὺς γενναῖος συνεχῶς αὐτὴν βάλλων, τὴν ἀρίστην καὶ μυρίων τοιούτων ἡδίω καρποῦται ἡδονὴν, τῇ νίκῃ ταύτῃ καὶ τῷ χρηστῷ συνειδότι καὶ τοῖς λαμπροῖς τροπαίοις καλλωπιζόμενος διηνεκῶς. εἰ δὲ μετὰ τὴν ὁμιλίαν ἀναπαύεται μικρὸν ἐκεῖνος, οὐδὲν τοῦτο ἂν εἴη. πάλιν γὰρ ὁ χειμὼν ἔπεισι, καὶ πάλιν κύματα. ὁ δὲ φιλοσοφῶν οὐδὲ ἀρχὴν ἀφίησι ταύτην λαβεῖν τὴν ταραχὴν, οὐδὲ διαναστῆναι τὸ πέλαγος, οὐδὲ βοῆσαι τὸ θηρίον. εἰ δέ τινα βίαν ὑπομένοι κατέχων τὴν τοιαύτην ὁρμὴν, ἀλλὰ καὶ C ἐκεῖνος συνεχῶς βαλλόμενος καὶ κεντούμενος καὶ τὸν οἶστρον οὐ φέρων· καὶ παρόμοιον γίνεται, ὥσπερ ἂν ἵππον ἄγριον μαινόμενον καὶ ἀντιτείνοντα ἀνέχοι τῷ χαλινῷ, καὶ κατέχοι μετὰ τέχνης ἁπάσης· ὁ δὲ ἐνδοὺς, ὥστε τὸν πόνον φυγεῖν, συρόμενος ὑπ' αὐτοῦ πανταχοῦ φέροιτο. ταῦτα εἰ καὶ σαφέστερον τοῦ δέοντος εἴρηται, μηδεὶς ἐγκαλείτω. οὐ γὰρ λόγων σεμνότητι καλλωπίζεσθαι βούλομαι, ἀλλὰ ποιῆσαι σεμνοὺς τοὺς ἀκούοντας.

Διὰ τοῦτο καὶ οἱ προφῆται οὐδενὸς τῶν τοιούτων φείδονται ῥημάτων, τὴν ἀκολασίαν τῶν Ἰουδαίων ἐκκόψαι βουλόμενοι, ἀλλὰ καὶ γυμνότερον αὐτῶν καθι- D κνοῦνται, ἢ ἡμεῖς νῦν ἐφ' οἷς εἰρήκαμεν. καὶ γὰρ ἰατρὸς σηπεδόνα ἐκβαλεῖν βουλόμενος, οὐ σκοπεῖ πῶς καθαρὰς διατηρήσει τὰς χεῖρας, ἀλλ' ὅπως ἐκεῖνον ἀπαλλάξει τῆς σηπεδόνος· καὶ ὁ τὸν ταπεινὸν ὑψηλὸν ποιῆσαι θέλων, αὐτὸς ταπεινοῦται πρότερον· καὶ ὁ σφάξαι τὸν ἐπιβουλεύοντα σπουδάζων, καὶ ἑαυτὸν αἱμάσσει μετ' ἐκείνου, καὶ τοῦτο αὐτὸν ποιεῖ λαμπρότερον. ἐπεὶ καὶ στρατιώτην ἐπανελθόντα ἀπὸ τοῦ πολέμου ἂν ἴδοι τις ἰχῶρι καὶ αἵματι καὶ ἐγκεφάλῳ μεμολυσμένον, οὐ μισήσει, οὐδὲ ἀποστραφή- E σεται διὰ τοῦτο, ἀλλὰ καὶ θαυμάσεται μᾶλλον. οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν, ὅταν ἴδωμέν τινα μετὰ τὸ κατασφάξαι τὴν ἐπιθυμίαν ᾑμαγμένον ἐπανιόντα, μᾶλλον αὐτὸν θαυμάζωμεν, καὶ κοινωνῶμεν τῆς μάχης καὶ τῆς νίκης αὐτῷ, καὶ πρὸς τοὺς ἐρῶντας λέγωμεν, δείξατε ἡμῖν τὴν ἐκ τῆς ἐπιθυμίας ἡδονήν· ὁ μὲν γὰρ σώφρων τὴν ἀπὸ τῆς νίκης ἔχει, σὺ δὲ οὐδαμόθεν. εἰ δὲ ὑμεῖς τὴν ἐκ τῆς ὁμιλίας λέγοιτε, ἀλλ' ἐκείνη σαφεστέρα, καὶ διαρκεστέρα. σὺ γὰρ ἔχεις ἀπὸ τῆς ἀπολαύσεως βραχὺ καὶ μηδὲ φαινόμενον, ἐκεῖνος δὲ ἀπὸ τοῦ συνειδότος, καὶ

μείζονα, καὶ διηνεκῆ, καὶ γλυκυτέραν ἔχει τὴν εὐφροσύνην· οὐδὲ γὰρ οὕτως ὁμιλία γυναικὸς, ὡς φιλοσοφία ἀτάραχον δύναται τηρῆσαι ψυχὴν καὶ μετεωρίσαι· οὗτος μὲν οὖν, ὅπερ ἔφην, σαφῶς οὕτω δείκνυσιν ἡμῖν τὴν ἡδονήν· ἐπὶ δέ σου τὴν μὲν ἀπὸ τῆς ἥττης ἀθυμίαν ὁρῶ, τὴν δὲ ἡδονὴν βουλόμενος ἰδεῖν, οὐχ εὑρίσκω. ποῖον γὰρ βούλει καιρὸν ἡδονῆς εἶναι; τὸν παρὰ τῆς μίξεως; ἀλλ' οὐκ ἔστι· μανίας γάρ ἐστι καὶ παραφορᾶς καὶ ἐκστάσεως. τὸ γὰρ τοὺς ὀδόντας τρίζειν καὶ ἐξίστασθαι, οὐχ ἡδονῆς. εἰ δὲ ἡδονῆς ἦν, οὐκ ἂν ταῦτά σε εἰργάσατο, ἃ οἱ ἀλγοῦντες ὑπομένουσι. καὶ γὰρ οἱ πυκτεύοντες καὶ πληττόμενοι, τοὺς ὀδόντας τρίζουσι, καὶ αἱ ὠδίνουσαι γυναῖκες διασπώμεναι τοῖς πόνοις, τὸ αὐτὸ τοῦτο ποιοῦσιν. ὥστε οὐχ ἡδονὴ τοῦτο, ἀλλ' ἔκστασις μᾶλλον, καὶ θόρυβος, καὶ ταραχή. ἀλλ' ὁ μετὰ ταῦτα καιρός; ἀλλ' οὐδὲ οὗτος. οὐδὲ γὰρ τὴν τεκοῦσαν ἐν ἡδονῇ εἴποιμεν ἂν εἶναι, ἀλλ' ἐν ἀπαλλαγῇ πόνων· οὐ πάντως δὲ τοῦτο ἡδονὴ, ἀλλ' ἀσθένεια μᾶλλον καὶ ἔκλυσις· πολὺ δὲ τὸ μέσον ἑκατέρων τούτων ἐστί. ποῖος οὖν τῆς ἡδονῆς καιρὸς, εἰπέ μοι; οὐκ ἔστιν οὐδείς. εἰ δὲ καί ἐστιν, οὕτω βραχύς ἐστιν, ὡς μηδὲ φαίνεσθαι. μυρία οὖν φιλονεικήσαντες φωρᾶσαι αὐτὸν καὶ κατασχεῖν, οὐκ ἠδυνήθημεν. ἀλλ' οὐχ ὁ τοῦ σώφρονος τοιοῦτος, ἀλλὰ πλατὺς, καὶ πᾶσι κατάδηλος. μᾶλλον δὲ ἅπας ὁ βίος ἐν ἡδονῇ, τοῦ συνειδότος αὐτῷ στεφανουμένου, τῶν κυμάτων ἐστορεσμένων, οὐδενὸς οὐδαμόθεν ἐγγινομένου θορύβου. ἐπεὶ οὖν οὗτος μᾶλλον ἐν ἡδονῇ, ὁ δὲ φιλήδονος ἐν ἀθυμίᾳ καὶ θορύβοις, φεύγωμεν ἀκολασίαν, ἀντεχώμεθα σωφροσύνης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

A majorem habet & perpetuam suavioremque lætitiam. Neque enim consuetudo mulieris potest tam imperturbatam reddere animam, & eam in altum evehere, quam philosophia. Et pudicus quidem, sicut dixi, aperte nobis voluptatem ostendit. In te autem, ex eo quidem quod sis victus video animi ægritudinem, voluptatem autem volens videre, non invenio. Quodnam enim vis esse tempus voluptatis, idne quod est ante coïtum? Sed non est; est enim furoris & insaniæ & mentis emotæ. Dentibus enim stridere, B & e statu mentis dimoveri, non est voluptatis. Si esset autem voluptatis, non ea tibi inflixisset quæ sustinent ii qui admodum dolent. Pugiles enim, tam qui percutiunt, quam qui percutiuntur, strident dentibus: & parturientes mulieres, quæ distrahuntur doloribus, idipsum faciunt. Quamobrem non est id voluptas, sed potius mentis excessus, tumultusque & perturbatio. An tempus quod post sequitur? Sed neque hoc dixeris. Neque enim eam quæ peperit dixerimus esse in voluptate, sed in libertate a doloribus: non est autem plane hoc voluptas, C sed potius imbecillitas & dissolutio; multum autem interest inter utrumque. Quodnam est ergo tempus voluptatis, dic quæso? Nullum est. Si est tamen, est adeo breve, ut ne appareat quidem. Cum millies contenderimus ut illud deprehenderemus & retineremus, non potuimus. Sed temperantis & moderati tempus non est ejusmodi, sed spatiosum est & omnibus evidens; vel potius tota ejus vita est in voluptate, cum ejus conscientia coronetur, cum sedati sint fluctus, nullo ex quavis parte oriente tumultu. Cum ergo hic magis sit in voluptate, D libidinosus autem in animi ægritudine & tulmultibus, fugiamus libidinem & intemperantiam, amplectamur temperantiam & castitatem, ut bona etiam futura consequamur, gratia, & benignitate, &c.

## ΟΜΙΛΙΑ λή.

Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν.

ΑΠΑΡΤΙΣΑΣ τὸν περὶ τῶν πνευματικῶν λόγον, ἐπὶ τὸ πάντων ἀναγκαιότατον μεθίσταται, τὴν περὶ τῆς ἀναστάσεως ὑπόθεσιν. καὶ γὰρ ἐν τούτῳ σφόδρα ἐνόσουν. καὶ καθάπερ ἐπὶ τῶν σωμάτων, ὅταν αὐτῶν ἅπτηται τῶν στερεῶν ὁ πυρετὸς, λέγω τῶν νεύρων καὶ τῶν φλεβῶν καὶ τῶν πρώτων στοιχείων, ἀνίατον γίνεται τὸ κακὸν, ἂν μὴ πολλῆς ἀπολαύσῃ τῆς ἐπιμελείας· οὕτω δὴ καὶ τότε γενέσθαι ἐκινδύνευεν. ἐπὶ γὰρ αὐτὰ τῆς εὐσεβείας τὰ στοιχεῖα τὸ κακὸν ἐβάδιζε. διὸ καὶ πολλῇ τῇ σπουδῇ κέχρηται ὁ Παῦλος. οὐδὲ γὰρ

## HOMILIA XXXVIII.

1\. *Notum autem vobis facio, fratres, evangelium quod prædicavi vobis, quod & accepistis, in quo & statis, 2. Per quod & salvamini, qua ratione prædicaverim vobis.* Cap. xv.

E 1. CUM de spiritualibus absolvisset orationem, transit ad id quod est omnium maxime necessarium, nempe ad argumentum resurrectionis. In eo enim valde ægrotabant; & sicut in corporibus, quando solidas eorum partes febris attigerit, nervos, inquam, & venas, & prima elementa, malum fit immedicabile, nisi ejus magna geratur cura: sic tunc quoque ne fieret, erat periculum. Ad ipsa enim pietatis elementa tendebat malum. Quamobrem magno studio usus est Pau-

lus. Non enim amplius ab eo agebatur de vita, neque quod ille quidem scortaretur, hic vero esset avarus; alius vero caput haberet opertum, sed in ipso bonorum capite versabatur oratio. Nam de resurrectione inter se digladiabantur. Quia enim hæc est tota spes nostra, ei valde restitit diabolus, & aliquando quidem eam tollebat penitus; aliquando autem dicebat eam jam fuisse. Quod
2. Tim. 2. 17. etiam Paulus scribens ad Timotheum, hoc malum dogma vocavit gangrænam, & eos qui ipsum inducebant notavit dicens: *Ex quibus est Hymenæus & Philetus, qui circa veritatem aberrarunt, dicentes jam factam esse resurrectionem, & evertunt aliquorum fidem.* Atque aliquando quidem hoc dicebant, aliquando autem quod corpus non resurgat, sed resurrectio sit animæ purgatio. Hæc autem dicere persuadebat sceleratus ille dæmon, non solum evertere volens resurrectionem, sed etiam quæ pro nobis facta sunt omnia, ostendere esse fabulam. Nam si eis fuisset persuasum non esse corporum resurrectionem, paulatim eis persuasisset ne Christum quidem resurrexisse. Ab hoc autem illud quoque ordine procedens induxisset eum non advenisse, neque ea fecisse quæ fecit. Talis est enim diaboli malignitas & versutia. Quamobrem Paulus eam vocat insidias, quoniam non directe ostendit quod vult probare, ne deprehendatur; sed alia sibi imposita persona, alia fabricatur, & tamquam infestus hostis & versipellis, cum in urbem & muros irruerit, etiam inferne agit cuniculos, ut ea ratione non facile possit caveri; & recte ei succedat id quod est molitus. Quamobrem tales ejus laqueos semper inveniens, & sceleratas has insidias venans hic vir admirabilis & vere
2. Cor. 2. 11. magnus, dicebat Paulus. *Non enim ignoramus cogitationes ejus.* Etenim hic totum aperit ejus dolum, & omnes ostendit machinationes, & quæcumque vult apparare producit in medium, accuratissime omnia persequens. Propterea enim hoc caput ponit post alia, quoniam erat maxime necessarium, & quod omnia nostra contineat. Vide autem ejus prudentiam. Nam cum suos prius munisset & in tuto collocasset, tunc ulterius procedens, externos quoque invadit, & ipsis validissime os obstruit. Suos autem munit & in tuto collocat, non ex rationibus, sed ex iis quæ jam facta sunt, & quæ ipsi admiserunt, & facta crediderunt: quod quidem valde erat aptum ad pudorem incutiendum, & sufficiebat ad eos continendos. Nam si postea noluissent credere, non utique jam Paulo, sed sibi ipsis non erant credituri. Quod quidem crimen fuisset illorum qui semel admiserant, & jam transmutati essent. Proterea hinc incipit, ostendens se non opus habere aliis testibus, ad probandum se vera dicere, sed iis ipsis qui sunt decepti.

A περὶ βίου λοιπὸν ὁ λόγος ἦν αὐτῷ, οὐδ' ὅτι ὁ μὲν ἐπόρνευεν, ὁ δὲ ἐπλεονέκτει, ὁ δὲ ὅτι κεκαλυμμένην εἶχε τὴν κεφαλὴν, ἀλλὰ περὶ αὐτοῦ τῶν ἀγαθῶν τὸ κεφάλαιον. περὶ γὰρ τὴν ἀνάστασιν αὐτὴν ἐστασίαζον. ἐπειδὴ γὰρ ἡ πᾶσα ἡμῶν ἐλπὶς αὕτη, πρὸς τοῦτο σφοδρῶς ἵστατο ὁ διάβολος, καὶ ποτὲ μὲν ἀνῄρει καθάπαξ αὐτὴν, ποτὲ δὲ ἔλεγεν ἤδη γεγονέναι· ὃ καὶ Τιμοθέῳ γράφων ὁ Παῦλος γάγγραιναν ἐκάλει τὸ πονηρὸν τοῦτο δόγμα, καὶ τοὺς εἰσάγοντας αὐτὸ ἔστιζε λέγων· ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητὸς, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι,
B καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν. ποτὲ μὲν οὖν τοῦτο ἔλεγον, ποτὲ δὲ ὅτι τὸ σῶμα οὐκ ἀνίσταται, ἀλλὰ τῆς ψυχῆς ὁ καθαρμός ἐστιν ἡ ἀνάστασις. ταῦτα δὲ ἔπειθε λέγειν ὁ πονηρὸς δαίμων ἐκεῖνος, οὐ τὴν ἀνάστασιν ἀνατρέψαι βουλόμενος μόνον, ἀλλὰ καὶ τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα δεῖξαι μῦθον ὄντα. εἰ γὰρ ἐπείσθησαν μὴ εἶναι σωμάτων ἀνάστασιν, μετὰ μικρὸν αὐτοὺς ἔπειθε μηδὲ Χριστὸν ἐγηγέρθαι. ἀπὸ δὲ τούτου κἀκεῖνο εἰσῆγεν ὁδῷ βαδίζων, τὸ μὴ παραγεγονέναι,
C μηδὲ πεποιηκέναι ἅπερ ἐποίησε. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου κακουργία. διὸ καὶ μεθοδείαν αὐτὴν καλεῖ ὁ Παῦλος, ὅτι οὐκ ἐξ εὐθείας ὃ βούλεται κατασκευάσαι δείκνυσιν, ὥστε μὴ γενέσθαι κατάφωρος, ἀλλ' ἕτερον ἑαυτῷ περιτιθεὶς προσωπεῖον, ἕτερα τεκταίνει, καὶ καθάπερ πολέμιος καὶ κακοῦργος πόλει προσβαλὼν καὶ τείχεσι, κάτωθεν ὑπορύττει λανθάνων, ὥστε ταύτῃ γενέσθαι δυσφύλακτος, καὶ κατορθῶσαι ἅπερ ἐσπούδακε. διόπερ ἀεὶ τὰς τοιαύτας αὐτοῦ πάγας εὑρίσκων, καὶ τοὺς πονηροὺς τούτους θηρῶν λόχους ὁ θαυμαστὸς οὗτος καὶ μέγας ἀνὴρ, ἔλεγεν· οὐ γὰρ αὐτοῦ τὰ νοήματα
D ἀγνοοῦμεν. καὶ γὰρ ἐνταῦθα ὁλόκληρον ἀνακαλύπτει τὸν δόλον αὐτοῦ, καὶ πάντα δείκνυσι τὰ μηχανήματα, καὶ ὅσα βούλεται κατασκευάσαι προτίθησιν εἰς μέσον, μετὰ πολλῆς ἀκριβείας ἅπασιν ἐπιών. διὰ γὰρ τοῦτο καὶ ὕστερον τέθεικε τοῦτο τὸ κεφάλαιον τῶν ἄλλων, ἐπειδὴ καὶ σφόδρα ἀναγκαιότατον ἦν, καὶ τὰ ἡμέτερα συνέχον ἅπαντα. καὶ σκόπει σύνεσιν. πρότερον γὰρ τοὺς οἰκείους ἀσφαλισάμενος, τότε ἐπεξέρχεται καὶ περαιτέρω τῷ λόγῳ, καὶ τοὺς ἔξωθεν ἐκ περιουσίας ἐπι-
E στομίζει. ἀσφαλίζεται δὲ τοὺς οἰκείους, οὐκ ἀπὸ λογισμῶν, ἀλλ' ἀπὸ τῶν ἤδη γεγενημένων, καὶ ἅπερ αὐτοὶ κατεδέξαντο καὶ ἐπίστευσαν γεγενῆσθαι· ὃ μάλιστα ἦν ἐντρεπτικὸν, καὶ ἱκανὸν αὐτοὺς κατασχεῖν. εἰ γὰρ ἠβουλήθησαν ἀπιστῆσαι μετὰ ταῦτα, οὐκέτι λοιπὸν τῷ Παύλῳ, ἀλλ' ἑαυτοῖς ἔμελλον ἀπιστεῖν· ὅπερ κατηγορία ἦν ἐκείνων τῶν ἅπαξ καταδεξαμένων, καὶ μεταθεμένων. διὰ δὴ τοῦτο καὶ ἐντεῦθεν ἄρχεται, δεικνὺς ὅτι οὐκ ἄλλων δεῖται μαρτύρων εἰς τὸ δεῖξαι ὅτι τἀληθῆ λέγει, ἀλλ' αὐτῶν ἐκείνων τῶν ἠπατη-

μένων. ἵνα δὲ ὃ λέγω σαφέστερον γένηται, αὐτῶν λοιπὸν ἀναγκαῖον ἀκοῦσαι τῶν ῥημάτων. τίνα οὖν ταῦτά ἐστι; γνωρίζω ὑμῖν, ἀδελφοί, φησι, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν. εἶδες μεθ' ὅσης ἐπιεικείας ἄρχεται; εἶδες πῶς ἀπὸ τῆς ἀρχῆς ἔδειξεν, ὅτι οὐδὲν καινὸν εἰσάγει, οὐδὲ ξένον; ὁ γὰρ γνωρίζων τὸ ἤδη γνωσθὲν, εἶτα εἰς λήθην ἐμπεσὸν, γνωρίζει πάλιν εἰς μνήμην ἄγων. καλέσας δὲ ἀδελφοὺς, οὐ μικρὰν καὶ ἐντεῦθεν προκατεβάλετο τῶν λεγομένων τὴν ἀπόδειξιν. ἀδελφοὶ γὰρ οὐδαμόθεν ἐγινόμεθα, ἀλλ' ἢ ἀπὸ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ οἰκονομίας. διὸ δὴ καὶ οὕτως αὐτοὺς ἐκάλεσεν, ὁμοῦ μὲν καταπραΰνων καὶ θεραπεύων, ὁμοῦ δὲ τῶν μυρίων ἀγαθῶν ἀναμιμνήσκων. καὶ τὸ ἑξῆς πάλιν τοῦ αὐτοῦ κατασκευαστικόν. ποῖον δὴ τοῦτο; τὸ εὐαγγέλιον. τῶν γὰρ εὐαγγελίων τὸ κεφάλαιον ἐντεῦθεν ἔχει τὴν ἀρχὴν, ἀπὸ τοῦ τὸν θεὸν γενέσθαι ἄνθρωπον, καὶ σταυρωθῆναι, καὶ ἀναστῆναι. τοῦτο καὶ ὁ Γαβριὴλ εὐηγγελίζετο τῇ παρθένῳ, τοῦτο καὶ οἱ προφῆται τῇ οἰκουμένῃ, τοῦτο καὶ οἱ ἀπόστολοι ἅπαντες. ὃ καὶ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τινὶ λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῆ ἐπιστεύσατε. εἶδες πῶς αὐτοὺς καλεῖ μάρτυρας τῶν εἰρημένων; καὶ οὐ λέγει, ὃ ἠκούσατε, ἀλλ', ὃ παρελάβετε, ὥσπερ τινὰ παρακαταθήκην αὐτοὺς ἀπαιτῶν, καὶ δηλῶν ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ δι' ἔργων καὶ σημείων καὶ θαυμάτων αὐτὸ παρέλαβον, καὶ ἵνα κατέχωσι μετὰ ἀσφαλείας.

Εἶτα ἐπειδὴ τὰ παλαιὰ ἔλεγε, καὶ τὸν παρόντα ἐπέστησε χρόνον εἰπὼν, ἐν ᾧ καὶ ἑστήκατε, προκαταλαμβάνων αὐτοὺς, ὡς μηδὲ, εἰ σφόδρα βουληθεῖεν, ἀρνήσασθαι δυνηθῆναι. διὸ καὶ ἀρχόμενος οὐκ εἶπε, διδάσκω ὑμᾶς, ἀλλὰ, γνωρίζω ὑμῖν τὸ ἤδη δῆλον γενόμενον. καὶ πῶς τοὺς σαλευομένους ἑστάναι φησί; προσποιεῖται ἄγνοιαν συμφερόντως, ὅπερ καὶ ἐπὶ Γαλατῶν ποιεῖ, ἀλλ' οὐχ ὁμοίως. ἐπειδὴ γὰρ οὐκ ἦν ἄγνοιαν ἐκεῖ προσποιήσασθαι, ἑτέρως μεθοδεύει τὸν λόγον λέγων, πέποιθα δὲ εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. οὐκ εἶπεν, ὅτι οὐδὲν ἄλλο ἐφρονήσατε, ἐπειδὴ ὡμολογημένον ἦν αὐτῶν τὸ παράπτωμα καὶ κατάδηλον, ἀλλὰ τὸ μέλλον ἐγγυᾶται· καίτοι καὶ τοῦτο ἄδηλον· ἀλλ' ἵνα αὐτοὺς ἐφελκύσηται μειζόνως. ἐνταῦθα μέντοι καὶ προσποιεῖται ἀγνοεῖν λέγων, ἐν ᾧ καὶ ἑστήκατε. εἶτα τὸ κέρδος, δι' οὗ καὶ σώζεσθε. τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν. ὥστε σαφηνείας ἐστὶν ἡ διδασκαλία αὕτη ἡ νῦν, καὶ ἑρμηνείας. οὐ γὰρ αὐτὸ δεῖσθε τὸ δόγμα, φησὶ, μαθεῖν, ἀλλ' ὑπομνησθῆναι, καὶ διορθωθῆναι. ταῦτα δὲ λέγει, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι καθάπαξ. τί δέ ἐστι, τίνι λόγῳ εὐηγγελισάμην; ποίῳ τρόπῳ εἶπον, φησὶ, τὴν ἀνάστασιν γίνεσθαι; ὅτι μὲν γὰρ ἐστὶν ἀνάστασις, οὐκ ἂν φαίην ὑμᾶς ἀμφιβάλλειν· ζητεῖτε δὲ ἴσως μαθεῖν σα-

Ut autem quod dico sit apertius, de cætero necesse est ipsa audire verba. Quænam ergo ea sunt? *Notum vobis facio, fratres, evangelium quod prædicavi vobis.* Vidistin' cum quanta incipiat lenitate? Vidistin' quomodo ostendat ab initio, se nihil novum nec peregrinum introducere? Nam qui notum facit id quod jam notum fuerat, & quod in oblivionem venerat, rursus id in memoriam reducit. Cum autem vocavit fratres, hinc quoque non parvam præmisit demonstrationem eorum quæ dicuntur. Non aliunde enim facti sumus fratres, quam ex Christi secundum carnem dispensatione. Propterea eos sic vocavit, simul quidem eos leniens ac mitigans, & bona innumerabilia ipsis in memoriam revocans. Et quod deinceps sequitur hoc ipsum confirmat. Quidnam hoc est? evangelium. Evangelii enim summa hinc accipit initium, quod Deus factus sit homo, & cruci affixus fuerit, & resurrexerit. Hoc & Gabriel annunciavit Virgini; hoc & prophetæ toti orbi terrarum: hoc etiam omnes apostoli. *Quod & prædicavi vobis, quod & accepistis, in quo & statis, 2. per quod & salvamini, qua ratione prædicaverim vobis, si tenetis, nisi frustra credidistis.* Vidistin' quomodo eos vocat testes eorum quæ dicta sunt? Non dicit: Quæ audivistis, sed quæ accepistis, ab eis exigens tamquam aliquod depositum & significans, quod non solum sermone, sed & factis, & signis, & miraculis id acceperint, & ut ea tuto teneant.

2. Deinde postquam dixit vetera, tempus quoque præsens declaravit dicens: *In quo & statis;* eos præoccupans, ut ne etiamsi maxime vellent, possint negare. Et ideo incipiens non dixit, Vos doceo, sed, notum vobis facio id quod jam factum est. Et quomodo eos qui vacillabant dicit stare? Utiliter præ se fert ignorationem: quod quidem facit etiam ad Galatas, sed non similiter. Nam quoniam illic non poterat ignorantiam præ se ferre, alia ratione tractat orationem dicens: *Confido autem in vobis in Domino, quod nihil aliud sentietis.* Non dixit: Quod nihil aliud sensistis, quoniam eorum delictum in confesso erat & evidens; sed spondet de futuro: quamquam hoc quoque erat incertum; sed ut illos magis attraheret. Hic autem etiam præ se fert se ignorare dicens: *In quo & statis.* Deinde lucrum sequitur, *Per quod & salvamini; qua ratione prædicaverim vobis.* Quamobrem hæc doctrina vobis nunc est declarationis & interpretationis. Non enim opus, inquit, habetis ut hoc dogma discatis, sed ut recordemini, & corrigamini. Hæc autem dicit, non sinens ipsos esse impudentes. Quid sibi vult autem, *Qua ratione prædicaverim vobis?* Quonam modo, inquit, dixi fieri resurrectionem? Nam quod sit quidem resurrectio, non dixerim vos dubitare;

Gal. 5. 10.

quæritis autem fortasse apertius scire quod dictum est. Hoc etiam faciam: aperte enim scio vos dogma tenere. Deinde quoniam enuncians dicebat, in quo statis; ne ea ratione eos redderet socordiores & negligentiores, illos rursus terret dicens: *Si tenetis, nisi frustra credidistis*, ostendens quod in capite fidei accepta fuerit plaga, neque agatur de quibuslibet obviis, sed de tota atque integra fide. Et nunc quidem hoc dicit pressius: procedens autem & cum incaluit, aperto deinceps capite vociferatur & dicit: Si Christus non resurrexit, inanis est utique prædicatio nostra, inanis est etiam fides vestra, adhuc estis in peccatis vestris. Sed non sic in procemiis. Sic enim expediebat sensim & paulatim progredi. 3. *Tradidi enim vobis in primis quod & accepi.* Nec hic dixit: Vobis dixi, neque, vos docui, sed eadem rursus usus est dictione: Tradidi vobis quod & accepi. Neque hic dicit se edoctum fuisse; sed, *accepi.* Hæc duo probans, quod & nihil ex se afferre oporteat, & quod per operum demonstrationem facti sint certiores, non nudis verbis, & paulatim fide dignam faciens orationem, universum reducit ad Christum, & ostendit ex his documentis nullum esse humanum. Quid est autem: *Tradidi enim vobis in primis?* hoc est, ab initio, non nunc. Hæc autem dicit, tempus adducens in testimonium, & quod maxime esset pudendum, cum tantum tempus credidissent, illos transmutari. Nec hoc solum, sed etiam dogma esse necessarium; & ideo in primis fuit traditum, & statim a principio. Et quid, dic obsecro, tradidisti? At non hoc statim dicit, sed primum, se accepisse. Et quid accepisti? *Quod Christus mortuus est pro peccatis nostris.* Non statim dixit, resurrectio est corporum nostrorum, sed hoc ipsum quidem probat, verum re longe petita, & per alia dicens, Christus est mortuus; magnum, firmum ac stabile fundamentum prius jaciens ejus quod est dicendum de resurrectione. Neque enim solummodo dixit: Christus est mortuus, etiamsi hoc satis esset ad significandam resurrectionem, sed cum adjectione, Christus est mortuus pro peccatis nostris. Primum autem operæ pretium est audire quid hic dicant qui laborant hæresi Manichæorum, & veritatis inimici, & qui cum sua pugnant salute. Quid ergo dicunt isti? Mortem, inquiunt, hic memorat; nihilque hic aliud dicit Paulus, quam fuisse in peccatis: & resurrectionem esse liberationem a peccatis. Vidistin' quomodo errore nihil sit imbecillius, & quomodo suis capiatur pennis, neque externa pugna opus sit, sed a seipso configatur? Considera ergo quomodo ipsi seipsos confixerunt per ea quæ dixerunt. Si hoc enim est mors: Christus autem corpus non accepit, ut vos vultis, mortuus

Contra Manichæos.

A φέστερον τὸ εἰρημένον. τοῦτο δὴ καὶ ποιήσω. καὶ γὰρ οἶδα σαφῶς, ὅτι τὸ δόγμα κατέχετε. εἶτα ἐπειδὴ ἀποφαινόμενος ἔλεγεν, ἐν ᾧ καὶ ἑστήκατε, ἵνα μὴ ταύτῃ ῥαθυμοτέρους ποιήσῃ, φοβεῖ πάλιν αὐτοὺς λέγων· Εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε, δεικνὺς ὅτι περὶ τὸ κεφάλαιον ἡ πληγή, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων ὁ ἀγών, ἀλλ' ὑπὲρ ὁλοκλήρου τῆς πίστεως. καὶ νῦν μὲν ὑπεσταλμένως αὐτό φησι, προϊὼν δὲ καὶ

B διαθερμαινόμενος, γυμνῇ λοιπὸν τῇ κεφαλῇ βοᾷ καὶ λέγει· Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἀλλ' ἐν προοιμίοις οὐχ οὕτως. οὕτω γὰρ χρήσιμον ἦν ἠρέμα καὶ κατὰ μικρὸν προϊέναι. παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον. οὐ λέγει οὐδὲ ἐνταῦθα ὅτι εἶπον ὑμῖν, οὐδὲ ἐδίδαξα ὑμᾶς, ἀλλὰ τῇ αὐτῇ κέχρηται λέξει πάλιν, παρέδωκα ὑμῖν, λέγων, ὃ καὶ παρέλαβον· οὐδὲ ἐνταῦθα ἐμὲ διδαχθῆναί φησιν, ἀλλὰ παρέλαβον· δύο ταῦτα κατασκευάζων, ὅτι τε οὐδὲν οἴκοθεν ἐπεισάγειν

C δεῖ, καὶ ὅτι μετὰ ἀποδείξεως τῆς διὰ τῶν ἔργων ἐπληροφορήθησαν, οὐ λόγοις ψιλοῖς, καὶ κατὰ μικρὸν ἀξιόπιστον τὸν λόγον ποιῶν, τὸ πᾶν εἰς τὸν Χριστὸν ἀνάγει, καὶ δείκνυσιν οὐδὲν τούτων ἀνθρώπινον ὂν τῶν δογμάτων. τί δέ ἐστι, παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, φησίν; ἐξ ἀρχῆς, οὐ νῦν. ταῦτα δὲ λέγει τὸν χρόνον παράγων μάρτυρα, καὶ ὅτι ἐσχάτης ἦν αἰσχύνης τοσοῦτον χρόνον πεισθέντας νῦν μετατίθεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἀναγκαῖον τὸ δόγμα. διὸ καὶ ἐν πρώτοις παρεδόθη, καὶ ἐκ προοιμίων εὐθέως. καὶ

D τί παρέδωκας, εἰπέ μοι; ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλὰ πρῶτον, ὅτι παρέλαβον. καὶ τί παρέλαβες; ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. οὐκ εἶπεν εὐθέως, ὅτι ἀνάστασίς ἐστι τῶν σωμάτων ἡμῶν, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο κατασκευάζει, πόῤῥωθεν δὲ καὶ δι' ἑτέρων, λέγων ὅτι Χριστὸς ἀπέθανε, καὶ μεγάλην τινὰ κρηπῖδα καὶ θεμέλιον ἀῤῥαγῆ προκαταβαλλόμενος τοῦ περὶ τῆς ἀναστάσεως λόγου. οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι ἀπέθανεν ὁ Χριστός, καίτοι καὶ τοῦτο ἀρκοῦν δηλῶσαι τὴν ἀνάστασιν, ἀλλὰ μετὰ προσθήκης,

E ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. πρότερον δὲ ἄξιον ἀκοῦσαι τί λέγουσιν ἐνταῦθα οἱ τὰ Μανιχαίων νοσοῦντες, καὶ τῆς ἀληθείας ἐχθροί, καὶ τῇ οἰκείᾳ πολεμοῦντες σωτηρίᾳ. τί οὖν οὗτοι λέγουσι; θάνατον ἐνταῦθά, φησιν, οὐδὲν ἄλλο λέγει ὁ Παῦλος, ἢ τὸ ἐν ἁμαρτίᾳ γενέσθαι, καὶ ἀνάστασιν τὸ τῶν ἁμαρτιῶν ἀπαλλαγῆναι. εἶδες πῶς οὐδὲν πλάνης ἀσθενέστερον; καὶ πῶς τοῖς οἰκείοις ἁλίσκεται πτεροῖς, καὶ οὐ δεῖται τῆς ἔξωθεν μάχης, ἀλλ' ἑαυτῇ περιπείρεται; σκόπει γοῦν καὶ οὗτοι πῶς ἑαυτοὺς διέπειρον, δι' ὧν εἰρήκασιν. Εἰ γὰρ τοῦτο θάνατος, σῶμα δὲ οὐκ ἔλαβε καθ' ὑμᾶς ὁ Χριστός, ἀπέθανε δὲ

δὲ, ἐν ἁμαρτίᾳ ἐγένετο καθ' ὑμᾶς. ἐγὼ μὲν γὰρ λέγω ὅτι σῶμα ἀνέλαβε, καὶ τὸν θάνατον σαρκὸς εἶναί φησι· σὺ δὲ τοῦτο ἀρνούμενος, ἐκεῖνο ἀναγκασθήσῃ λέγειν. εἰ δὲ ἐν ἁμαρτίᾳ ἐγένετο, πῶς φησι, τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ, ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. καὶ πάλιν, οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. πῶς δὲ ὅλως ὑπὲρ ἁμαρτωλῶν ἀπέθανεν, εἴγε αὐτὸς ἐν ἁμαρτίαις ἦν; τὸν γὰρ ὑπὲρ ἁμαρτωλῶν ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον δεῖ εἶναι. ἐπεὶ εἰ καὶ αὐτὸς ἁμαρτάνει, πῶς ὑπὲρ ἄλλων ἁμαρτωλῶν ἀποθανεῖται; εἰ δὲ ὑπὲρ ἁμαρτιῶν ἄλλων ἀπέθανεν, ἀναμάρτητος ὢν ἀπέθανεν· εἰ δὲ ἀναμάρτητος ὢν ἀπέθανεν, οὐ τὸν τῆς ἁμαρτίας θάνατον· πῶς γὰρ, ὅγε ἀναμάρτητος; ἀλλὰ τὸν τοῦ σώματος. διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς εἶπεν· ἀπέθανεν, ἀλλὰ προσέθηκεν, ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ ἄκοντας ἐκείνους ἐμβαλὼν εἰς τὸ ὁμολογῆσαι τὸν σωματικὸν θάνατον, καὶ δεικνὺς διὰ τούτου, ὅτι καὶ πρὸ τοῦ θανάτου ἀναμάρτητος ἦν. τὸν γὰρ ὑπὲρ ἁμαρτιῶν ἀλλοτρίων ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον εἶναι ἀκόλουθον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, κατὰ τὰς γραφάς;

Καὶ ἐντεῦθεν ἀξιόπιστον πάλιν ποιῶν τὸν λόγον, καὶ δηλῶν ποῖον θάνατον ἔλεγε. καὶ γὰρ αἱ γραφαὶ τὸν τοῦ σώματος ἀναγορεύουσι πανταχοῦ. ὤρυξαν γάρ μου χεῖρας καὶ πόδας, φησί· καὶ, ὄψονται εἰς ὃν ἐξεκέντησαν. καὶ πολλὰ δὲ ἕτερα, ἵνα μὴ πάντα καθ' ἓν λέγωμεν, τὰ μὲν διὰ ῥημάτων, τὰ δὲ διὰ τύπων ἐστὶν ἐν αὐταῖς κείμενα ἰδεῖν δηλοῦντα τῆς σαρκὸς τὴν σφαγὴν, καὶ ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἐσφάγη. ὑπὲρ γὰρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου, φησὶν, ἥκει εἰς θάνατον· καὶ, κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ, ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν. εἰ δὲ οὐκ ἀνέχῃ τῆς παλαιᾶς, ἄκουσον Ἰωάννου βοῶντος, καὶ ἀμφότερα δηλοῦντος, καὶ τὴν τοῦ σώματος σφαγὴν, καὶ τὴν αἰτίαν· ἴδε γάρ, φησιν, ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ Παύλου λέγοντος, τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα θεοῦ δικαιοσύνη ἐν αὐτῷ· καὶ πάλιν, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. καὶ πάλιν, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισε θριαμβεύσας, καὶ μυρία ἕτερα πλείονα δηλοῦντα τὰ κατὰ τὴν σφαγὴν τοῦ σώματος γενόμενα, καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ γὰρ αὐτός φησιν, ὑπὲρ ὑμῶν ἁγιάζω ἐμαυτόν· καὶ, ὁ ἄρχων τοῦ κόσμου τούτου κατακέκριται νῦν, δηλῶν ὅτι οὐκ ἔχων ἁμαρτίαν ἐσφάγη. καὶ ὅτι ἐτάφη. καὶ τοῦτο δὲ τῶν προτέρων κατασκευαστικόν. τὸ γὰρ θαπτόμενον, πάντως σῶμά ἐστι. καὶ ἐνταῦθα οὐκέτι προστίθησι, κατὰ τὰς γραφάς. εἶχε μὲν γὰρ, πλὴν οὐ προστίθησι. τίνος ἕνεκεν;



A est autem: in peccato fuit, secundum vos. Nam ego quidem dico quod corpus acceperit, & mortem dico esse carnis. Tu autem hoc negans, illud necessario dicas oportet. Si autem fuit in peccato, quomodo dicit? *Quis ex vobis arguet me de peccato?* Joan. 8. 46. &, *Venit princeps hujus mundi, & in me non habet quidquam.* Ibid. 14. 30. Et rursus: *Sic nos decet implere omnem justitiam.* Matt. 3. 15. Quomodo autem est omnino mortuus pro peccatoribus, si ipse fuit in peccatis? Nam eum qui moritur pro peccatoribus, oportet nulli peccato esse obnoxium.
B Si enim ipse etiam peccat, quomodo morietur pro aliis peccatoribus? Si autem est mortuus pro peccatis aliorum, mortuus est cum nulli esset peccato obnoxius. Si autem est mortuus cum esset sine peccato, non est mortuus morte peccati; quomodo enim, in quem nullum cadebat peccatum? sed morte corporis. Et ideo Paulus non dixit solum: Est mortuus, sed addidit, Pro peccatis nostris; & cum vel invitos coegisset fateri mortem corporalem; per hoc ostendens illum etiam ante mortem nulli peccato fuisse obnoxium; eum enim qui
C pro peccatis moritur alienis, consequens est esse ejusmodi ut non peccet. Ac ne hoc quidem illi satis fuit: sed subjunxit, Secundum Scripturas.

3. Hinc rursus fide dignam faciens orationem, & significans quamnam mortem diceret. Scripturæ enim ubique loquuntur de morte corporis. *Foderunt* enim, inquit, *manus meas & pedes meos,* Psal. 21. 18. &, *videbunt in quem transfixerunt.* Joan. 19. 37. Multa alia, ne omnia dicamus sigillatim, licet in eis videre, alia quidem per verba, alia vero per figuras, quæ significant carnis cædem, & quod pro nostris peccatis sit oc-
D cisus. *Pro peccatis,* enim, inquit, *populi mei venit ad mortem;* Isai. 53. 6. &, *Dominus tradidit ipsum peccatis nostris;* &, *Vulneratus est propter peccata nostra.* Si autem veterem non fers Scripturam, audi Joannem clamantem, & utraque ostendentem, nempe & cædem corporis, & causam. *Ecce* enim, inquit, *Agnus Dei qui tollit peccatum mundi:* Joan. 1. 29. & Paulum dicentem, *Eum qui non novit peccatum, pro nobis fecit peccatum, ut nos fieremus Dei justitia in ipso.* 2. Cor. 5. 21. Et rursus, *Christus nos re-*
E *demit a maledicto legis, factus pro nobis maledictum.* Galat. 3. 13. Et rursus, *Exspolians principatus & potestates traducit,* acto de eis triumpho, Coloss. 2. 15. & alia innumerabilia, quæ significant ea quæ facta sunt in cæde corporis, & propter nostra peccata. Ipse enim dicit, Pro vobis sanctifico meipsum; Joan. 17. 19. &, Princeps hujus mundi nunc condemnatus est, Joan. 16. 11. significans se fuisse occisum, cum nullum haberet peccatum.
4. *Et quod sepultus est;* hoc quoque priora confirmat. Nam quod sepelitur, omnino est corpus. Et hic non amplius addidit, Secundum scripturas: nam poterat quidem, sed non addit. Quamobrem?

An quia sepulcrum omnibus manifestum & tunc fuit & nunc est? An quia in communi positum est illud, Secundum scripturas? Cur ergo hic addit, Secundum scripturas, *& quod resurrexit tertia die secundum scripturas*, & non est contentus illo priori quod dictum est in communi? Quia hoc quoque multis erat incertum & obscurum, ideo hic quoque scripturas adjungit inspiratus, & hac sapienti & divina suscepta cogitatione. Quomodo ergo non etiam in morte idem facit? Quoniam illic quoque crux quidem fuit omnibus manifesta, & omnibus videntibus cruci fuit affixus. Causa autem non item. Nam quod mortuus quidem fuerit sciverunt omnes: quod autem pro peccatis totius orbis hoc sit passus, non itidem sciebant multi. Propterea adducit testimonium ex scripturis. Sed hoc quidem satis est demonstratum per ea quæ a nobis dicta sunt. Ubi autem quod sit sepultus, & quod tertio die esset resurrecturus dixerunt scripturæ? Per Jonæ figuram, quam ipse quoque adducit dicens: *Sicut fuit Jonas in ventre ceti tres dies & tres noctes; ita erit etiam filius hominis in corde terræ tres dies & tres noctes.* Per rubum qui erat in deserto: quemadmodum enim ille ardebat, & non comburebatur, ita etiam corpus illius mortuum quidem fuit, non detentum autem fuit a morte perpetuo. Draco item qui fuit tempore Danielis hoc tacite significat. Nam sicut ille accepto nutrimento, quod dedit propheta, ruptus est medius; ita etiam infernus, devorato illo corpore fuit discissus, cum ipsum corpus ventrem ejus dissecuisset, & surrexisset. Si autem hæc etiam vis verbis audire, quæ vidisti per figuras, audi Esaiam dicentem: *Tollitur e terra vita ejus;* &, *Dominus vult eum mundare a plaga, ut ostendat illi lumen.* Et David ante illum, *Non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem.* Propterea te quoque Paulus transmittit ad scripturas, ut scias hæc non fuisse facta temere & abs re. Quomodo enim cum tot prophetæ ea prius describant, & proclament, quod scriptura nusquam dicat mortem peccati, mentionem faciens mortis Domini, sed corporalem, & sepulturam, & talem resurrectionem? 5. *Et quod visus est Cephæ.* Eum statim ponit qui est omnium fide dignissimus. *Et post hoc duodecim.* 6. *Deinde visus est plusquam quingentis fratribus simul, ex quibus multi manent usque adhuc: quidam autem dormierunt.* 7. *Deinde visus est Jacobo. Deinde apostolis omnibus.* 8. *Novissime autem omnium tamquam abortivo visus est & mihi.* Postquam enim illam ex scripturis ostendit demonstrationem, eam etiam addit quæ per res fit, testes adducens resurrectionis

Matt. 12. 40.
Exod. 3.
Dan. 14.
Isai. 53. 8.
Psal. 15. 10.

A ἢ ὅτι ὁ τάφος ἅπασι δῆλος καὶ τότε καὶ νῦν; ἢ ὅτι κατὰ κοινοῦ κεῖται τοῦτο, κατὰ τὰς γραφάς; τίνος οὖν ἕνεκεν ἐνταῦθα προστίθησι τὸ, κατὰ τὰς γραφὰς, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ οὐκ ἀρκεῖται τῷ προτέρῳ τῷ κατὰ κοινοῦ εἰρημένῳ; ὅτι καὶ τοῦτο τοῖς πολλοῖς ἄδηλον ἦν, διὸ κἀνταῦθα τὰς γραφὰς παράγει ἐμπνευσθεὶς, τοῦτο ἐννοήσας τὸ σοφὸν καὶ θεῖον νόημα. πῶς οὖν καὶ ἐπὶ τοῦ θανάτου οὐ τὸ αὐτὸ ποιεῖ; ὅτι κἀκεῖ ὁ μὲν σταυρὸς πᾶσι κατάδηλος ἦν, καὶ πάντων ὁρώντων ἀνεσκολοπίζετο· ἡ δὲ αἰτία, οὐκέτι ὁμοίως. ὅτι μὲν γὰρ ἀπέθανε, πάντες ᾔδεσαν· B ὅτι δὲ ὑπὲρ τῶν ἁμαρτιῶν τῆς οἰκουμένης τοῦτο ἔπαθεν, οὐκέτι ὁμοίως ἠπίσταντο οἱ πολλοί. διὸ τὴν ἀπὸ τῶν γραφῶν μαρτυρίαν παράγει. ἀλλὰ τοῦτο μὲν ἱκανῶς ἀποδέδεικται διὰ τῶν εἰρημένων ἡμῖν. ποῦ δὲ ὅτι ἐτάφη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται εἰρήκασιν αἱ γραφαί; διὰ τοῦ κατὰ τὸν Ἰωνᾶν τύπου, ὃν καὶ αὐτὸς παράγει λέγων· ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. διὰ τῆς βάτου τῆς ἐν τῇ ἐρήμῳ. C ὥσπερ γὰρ ἐκεῖνος ἐκαίετο, καὶ οὐ κατεκαίετο, οὕτω καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανε μὲν, οὐ κατεσχέθη δὲ ὑπὸ τοῦ θανάτου διηνεκῶς. καὶ ὁ δράκων δὲ ὁ ἐπὶ τοῦ Δανιὴλ τοῦτο αἰνίττεται. καθάπερ γὰρ ἐκεῖνος λαβὼν τὴν τροφὴν, ἣν ἔδωκεν ὁ προφήτης, μέσος ἐρράγη· οὕτω καὶ ὁ ᾅδης, καταπιὼν τὸ σῶμα ἐκεῖνο, διεσχίσθη, τοῦ σώματος αὐτοῦ διατεμόντος αὐτῷ τὴν νηδὺν, καὶ ἀναστάντος. εἰ δὲ καὶ διὰ ῥημάτων θέλεις ἀκοῦσαι ταῦτα, ἃ διὰ τῶν τύπων εἶδες, ἄκουσον τοῦ Ἠσαΐου λέγοντος, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· D καὶ, κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς· καὶ τοῦ Δαυὶδ πρὸ ἐκείνου, οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. διὰ τοῦτό σε καὶ ὁ Παῦλος παραπέμπει εἰς τὰς γραφὰς, ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ἐγένετο. πῶς γὰρ, τοσούτων προφητῶν προδιαγραφόντων αὐτὰ καὶ ἀνακηρυττόντων, ὅτι οὐδαμοῦ ἡ γραφὴ τὸν τῆς ἁμαρτίας θάνατον λέγει, τοῦ δεσποτικοῦ μεμνημένη θανάτου, ἀλλὰ τὸν σωματικὸν, καὶ ταφὴν καὶ ἀνάστασιν τοιαύτην; καὶ ὅτι ὤφθη Κηφᾷ. E εὐθέως τὸν πάντων ἀξιοπιστότερον τίθησιν. ἔπειτα τοῖς [a] δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων, ὡσπερεί τῷ ἐκτρώματι, ὤφθη κἀμοί. ἐπειδὴ γὰρ τὴν ἀπὸ τῶν γραφῶν ἀπόδειξιν εἶπε, προστίθησι καὶ τὴν διὰ τῶν πραγμάτων, μάρτυρας παράγων τῆς ἀναστάσεως μετὰ τοὺς

[a] τοῖς δώδεκα. In aliquot exemplaribus Græcis leguntur, τοῖς ἕνδεκα, & in Vulgata Latina *undecim*. Qui fuerit duodecimus ille explicat Chrysostomus.

προφήτας, τοὺς ἀποστόλους καὶ ἑτέρους πιστοὺς ἀνθρώπους. Εἰ δὲ τὴν ἀνάστασιν ἐκείνην ἔλεγε τὴν τῆς ἁμαρτίας ἀπαλλαγὴν, περιττῶς ἔλεγεν, ὤφθη τῷ δεῖνι, καὶ τῷ δεῖνι. τοῦτο γὰρ πιστουμένου τὴν τοῦ σώματος ἀνάστασίν ἐστιν, οὐχ ἁμαρτημάτων ἀπαλλαγὴν αἰνιττομένου.

Διὸ οὐδὲ ἅπαξ εἶπε τὸ, ὤφθη, καίτοιγε ἤρκει κατὰ κοινοῦ θέντα τὴν λέξιν· νῦν δὲ καὶ δὶς καὶ τρὶς καὶ ἐφ' ἑκάστῳ σχεδὸν τῶν ἑωρακότων αὐτὴν τίθησιν. ὤφθη γὰρ, φησὶ, Κηφᾷ, ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς, ὤφθη κἀμοί. καὶ μὴν τὸ εὐαγγέλιον τοὐναντίον λέγει, ὅτι τῇ Μαρίᾳ πρώτῃ. ἀλλ' ἐν ἀνδράσι τούτῳ πρώτῳ, τῷ μάλιστα αὐτὸν ποθοῦντι ἰδεῖν. ποίοις δὲ δώδεκα ἐνταῦθά φησιν ἀποστόλοις; μετὰ γὰρ τὴν ἀνάληψιν ὁ Ματθίας κατελέγη, οὐ μετὰ τὴν ἀνάστασιν εὐθέως. ἀλλ' εἰκὸς αὐτὸν καὶ μετὰ τὴν ἀνάληψιν ὦφθαι. αὐτὸς γοῦν οὗτος ὁ ἀπόστολος μετὰ τὴν ἀνάληψιν καὶ ἐκλήθη, καὶ εἶδεν αὐτόν. διὰ τοῦτο οὐδὲ τὸν καιρὸν τίθησιν, ἀλλ' ἁπλῶς καὶ ἀδιορίστως καταλέγει τὰς ὄψεις. καὶ γὰρ εἰκὸς πολλὰς γεγενῆσθαι, διὸ καὶ ὁ Ἰωάννης ἔλεγε, τρίτον τοῦτο ἐνεφάνισεν ἑαυτόν. ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς. τινὲς τὸ ἐπάνω, ἄνω ἐκ τῶν οὐρανῶν εἶναί φασιν. οὐ γὰρ ἐπὶ γῆς βαδίζων, ἀλλ' ἄνω, καὶ ὑπὲρ κεφαλῆς αὐτοῖς ὤφθη. καὶ γὰρ οὐχὶ τὴν ἀνάστασιν πιστώσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τὴν ἀνάληψιν. τινὲς δὲ λέγουσι τὸ, ἐπάνω πεντακοσίοις, τοῖς πλείοσιν ἢ πεντακοσίοις· ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι. εἰ γὰρ καὶ παλαιὰ διηγοῦμαι πράγματα, φησὶν, ἀλλ' ἔχω μάρτυρας ἔτι ζῶντας. τινὲς δὲ καὶ ἐκοιμήθησαν. οὐκ εἶπεν, ἀπέθανον, ἀλλ', ἐκοιμήθησαν, καὶ ταύτῃ τῇ λέξει πάλιν τὴν ἀνάστασιν βεβαιῶν. ἔπειτα ὤφθη Ἰακώβῳ. ἐμοὶ δοκεῖ, τῷ ἀδελφῷ ἑαυτοῦ. αὐτὸς γὰρ αὐτὸν λέγεται κεχειροτονηκέναι, καὶ ἐπίσκοπον ἐν Ἱεροσολύμοις πεποιηκέναι πρῶτον. εἶτα τοῖς ἀποστόλοις πᾶσιν. ἦσαν γὰρ καὶ ἄλλοι ἀπόστολοι, ὡς οἱ ἑβδομήκοντα. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. τοῦτο μετριοφροσύνης μᾶλλόν ἐστι τὸ ῥῆμα. οὐδὲ γὰρ ἐπειδὴ ἐλάχιστος ἦν, διὰ τοῦτο μετὰ τοὺς ἄλλους αὐτῷ ὤφθη. ἐπεὶ κἂν ἔσχατον ἐκάλεσε, πολλῶν τῶν πρὸ αὐτοῦ μᾶλλον δὲ πάντων λαμπρότερος ὤφθη· καὶ οἱ πεντακόσιοι δὲ ἀδελφοὶ οὐ δήπου Ἰακώβου βελτίους ἦσαν, ἐπειδὴ πρὸ ἐκείνου αὐτοῖς ὤφθη. διὰ τί οὐχ ὁμοῦ πᾶσιν ἑωρᾶτο; ἵνα προκαταβάλῃ τῆς πίστεως τὰ σπέρματα. ὁ γὰρ πρῶτος ἰδὼν καὶ ἀκριβῶς πληροφορηθεὶς, τοῖς ἄλλοις ἀπήγγελλεν· εἶτα ὁ λόγος προφθάνων, ἐν προσδοκίᾳ καθίστη τοῦ μεγάλου τούτου θαύματος τὸν ἀκούοντα, καὶ προωδοποίει τῇ τῆς ὄψεως πίστει. διὰ τοῦτο οὔτε ὁμοῦ πᾶσιν ὤφθη, οὔτε ἐν ἀρχῇ πλείοσιν, ἀλλ' ἑνὶ μόνῳ πρῶτον, καὶ τούτῳ τῷ κορυφαίῳ πάντων καὶ πι-



A post prophetas, apostolos, & alios homines fideles. Si autem illam resurrectionem dixisset esse a peccato liberationem, supervacaneum fuisset dicere, Visus est huic & illi. Hoc enim est ejus qui facit fidem resurrectionis corporis, non ejus qui subindicat liberationem a peccatis. Manichæorum opinio confutatur.

4. Propterea neque semel dixit illud, Visus est, quamquam id suffecisset dictione in communi posita. Nunc autem & bis & ter eam ponit, & in unoquoque fere eorum qui viderunt. Visus est enim, inquit, Cephæ; visus est plusquam quingentis fratribus; visus est & mihi. Atqui B evangelium dicit contrarium, quod visus sit primum Mariæ. Sed inter viros huic primum est visus qui maxime eum cupiebat videre. Quosnam autem hic dicit duodecim apostolos? Nam post assumtionem in eorum numerum relatus fuit Matthias, non statim post resurrectionem. Sed est verisimile eum fuisse visum etiam post assumtionem. Hic ipse quidem certe apostolus, post assumtionem, & vocatus fuit, & ipsum vidit. Propterea neque ponit tempus: sed absolute & indefinite recenset visiones: nam verisimile est C multas fuisse. Ideo Joannes quoque dixit, Tertio jam manifestavit seipsum. *Deinde visus est supra quingentis fratribus.* Aliqui illud, *Supra*, dicunt esse supra e cælis. Non enim supra terram gradiens, sed superne & supra caput eis visus est. Non solum enim volebat facere fidem resurrectioni, sed etiam assumtioni. Quidam autem illud, Supra quingentis, dicunt plusquam quingentis. *Ex quibus multi manent usque adhuc.* Nam etsi, inquit, narro res antiquas, habeo tamen testes adhuc viventes. *Quidam autem dormierunt.* Non dixit, mortui sunt; sed, dor- D mierunt, hac quoque dictione rursus confirmans resurrectionem. *Deinde visus est Jacobo.* Mihi videtur dicere, fratri suo. Ipse enim dicitur ei manum imposuisse ac ipsum ordinasse, & primum episcopum fecisse Jerosolymis. *Deinde apostolis omnibus.* Erant enim etiam alii apostoli, ut septuaginta. *Novissime autem omnium tamquam alicui abortivo visus est & mihi.* Hoc verbum modestiam valde sapit. Non enim quoniam erat minimus, propterea post alios ei visus est. Nam etiamsi se vocavit ultimum, longe iis qui ante ip- E sum fuerunt, vel potius omnibus visus est illustrior. Sed nec quingenti fratres Jacobo fuerunt meliores, quoniam ante illum eis visus est. Et cur non simul visus est omnibus? Ut fidei semina prius jaceret. Nam qui prior vidit, & exacte factus est certior, aliis annunciabat. Deinde sermo præveniens constituebat eum qui audiebat, in magna hujus miraculi exspectatione, & viam muniebat ad fidem ante visionem. Propterea neque simul visus est omnibus, neque in initio multis, sed uni soli primum, eique omnium coryphæo & fidelissimo. Fidelissi-

Joan. 21. 14.

ma enim maxime anima opus erat, quæ prima hanc acciperet visionem. Nam qui aspiciebant postquam alii vidissent & ab ipsis audiissent, habebant illorum testimonium, non parum conferens ad fidem faciendam, & præparans eorum mentem. Qui autem primus dignus est habitus qui eum videret, magna, sicut antea dixi, fide opus habebat, ne admirabili, & quod omnem superat opinionem, conturbaretur spectaculo. Propterea primum apparet Petro. Nam qui primus Christum est confessus, jure etiam dignus est habitus qui primus videret resurrectionem. Non propter hoc autem apparet soli Petro, sed quoniam & ipsum negaverat, ex abundantia eum consolans & ostendens non esse repulsum, ante alios eum hac dignatus est visione, & primo oves tradidit. Propterea etiam primis visus est mulieribus. Quoniam minoris conditionis erat hic sexus, propterea mulier & in ejus ortu & in resurrectione prima sentit gratiam. Post Petrum autem & sparsim unicuique apparet: & aliquando quidem paucioribus, aliquando autem pluribus, ipsos inter se testes & doctores in hoc faciens, & apostolos reddens fide dignos in iis quæ dicebant. *Novissime autem omnium tamquam cuidam abortivo visus est mihi.* Quid sibi volunt hic hæc verba humilitatis, aut quamnam habent occasionem? Nam si vult se esse fide dignum, & seipsum referre in numerum testium resurrectionis, contrarium facit ejus quod volebat. Oporteret enim se extollere, & ostendere esse magnum, quod sæpe facit cum tempus postulat. Propterea enim hic quoque modeste loquitur, quoniam hoc erat facturus, sed non statim, verum cum ea qua par est prudentia. Nam cum prius modeste esset loquutus, & in se multas congessisset criminationes, tunc res suas amplificat. Quare? Ut cum magnum quidpiam & sublime de se loquutus fuerit, ut illud, *Plusquam omnes laboravi*, ea ratione grata & accepta sit oratio, quod ex quadam dictum sit consequentia, non ex præcedente instituto.
1. Tim. 1. Propterea etiam scribens ad Timotheum, cum esset magna de se dicturus, prius ponit suas criminationes. Nam qui de aliis quidem magnum quid dicit, intrepide loquitur & secure. Qui autem necesse habet seipsum laudare, maxime vero cum seipsum profert testem, pudore afficitur & erubescit. Ideo hic quoque beatus seipsum prius miserum pronunciat, & tunc illud magnum loquitur. Hoc autem facit, & propriæ laudis molestiam resecans, & quæ postea sunt dicenda hinc fide digna efficiens. Nam qui quæ sunt probro danda cum veritate retulit, & nihil eorum celavit, ut quod ecclesiam sit persequutus, quod fidem labefactare conatus, hinc etiam efficit ut quæ sunt honesta, sint minime suspecta.

A στοτάτῳ. καὶ γὰρ πιστοτάτης ἔδει ψυχῆς σφόδρα τῆς πρώτης δεχομένης ταύτην τὴν ὄψιν. οἱ μὲν γὰρ, μετὰ τὸ ἑτέρους ἰδεῖν καὶ ἀκοῦσαι, παρ' αὐτῶν βλέποντες, εἶχον οὐ [a] μικρὰν συντελοῦσαν εἰς τὴν πίστιν αὐτοῖς τὴν ἐκείνων μαρτυρίαν, καὶ προπαρασκευάζουσαν αὐτῶν τὴν διάνοιαν· ὁ δὲ πρῶτος καταξιωθεὶς τοῦτον ἰδεῖν, πολλῆς, ὅπερ ἔφθην εἰπὼν, ἐδεῖτο τῆς πίστεως, ὥστε μὴ θορυβηθῆναι τῷ παραδόξῳ τῆς θέας. διὰ τοῦτο Πέτρῳ φαίνεται πρῶτον. ὁ γὰρ πρῶτος αὐτὸν ὁμολογήσας Χριστὸν, εἰκότως καὶ τὴν ἀνάστασιν ἠξιώθη πρῶτος ἰδεῖν.
B οὐ διὰ τοῦτο δὲ φαίνεται πρώτῳ μόνῳ, ἀλλ', ἐπειδὴ καὶ ἀρνησάμενος ἦν, ἐκ περιουσίας αὐτὸν παρακαλῶν καὶ δεικνὺς ὅτι οὐκ ἀπέγνωσται, πρὸ τῶν ἄλλων καὶ τῆς ὄψεως αὐτὸν ταύτης κατηξίωσε, καὶ πρώτῳ τὰ πρόβατα ἐνεχείρισε. διὰ τοῦτο καὶ γυναιξὶν ἐφάνη πρώταις. ἐπειδὴ τὸ γένος ἠλάττωται τοῦτο, διὰ τοῦτο καὶ ἐν τῇ γεννήσει καὶ ἐν τῇ ἀναστάσει πρώτη αὐτὴ αἰσθάνεται τῆς χάριτος. μετὰ δὲ Πέτρον καὶ διεσπαρμένως ἑκάστῳ φαίνεται, καὶ ποτὲ μὲν ἐλάττοσι, ποτὲ δὲ πλείοσιν, ἀλλήλων αὐτοὺς μάρτυρας καὶ διδασκάλους ἐν τούτῳ ποιῶν,
C καὶ τοὺς ἀποστόλους ἀξιοπίστους κατασκευάζων ἐν οἷς ἔλεγον. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. τί βούλεται αὐτῷ ἐνταῦθα τῆς ταπεινοφροσύνης τὰ ῥήματα, ἢ ποῖον ἔχει καιρόν; εἰ γὰρ ἀξιόπιστον ἑαυτὸν ἀποφῆναι βούλεται καὶ ἐγκαταλέξαι τοῖς μάρτυσι τῆς ἀναστάσεως, τοὐναντίον ἢ βούλεται ποιεῖ. ἐπᾶραι γὰρ ἑαυτὸν ἔδει καὶ δεῖξαι μέγαν ὄντα, ὃ πολλαχοῦ ποιεῖ καιροῦ καλοῦντος αὐτό. διὰ τοῦτο γὰρ καὶ ἐνταῦθα μετριάζει, ἐπειδὴ τοῦτο μέλλει ποιεῖν. ἀλλ' οὐκ εὐθέως, ἀλλὰ μετὰ τῆς αὐτῷ πρεπούσης συνέσεως. πρότερον γὰρ μετριάσας
D καὶ κατηγορίας ἑαυτοῦ συμφορήσας πολλὰς, τότε τὰ καθ' ἑαυτὸν σεμνύνει. τί δήποτε; ἵν', ὅταν τὸ μέγα καὶ ὑψηλὸν ἐκεῖνο περὶ ἑαυτοῦ φθέγξηται, τὸ, περισσότερον πάντων ἐκοπίασα, εὐπαράδεκτος ὁ λόγος γένηται ταύτῃ, καὶ τῷ ὡς ἐξ ἀκολουθίας τινὸς, ἀλλὰ μὴ προηγουμένως εἰρῆσθαι. διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων, καὶ μέλλων λέγειν μεγάλα περὶ ἑαυτοῦ, πρότερον τὰ κατηγορήματα αὐτοῦ τίθησι. καὶ γὰρ ὁ μὲν περὶ ἄλλων τι μέγα λέγων, ἀδεῶς φθέγγεται καὶ μετὰ παρρησίας· ὁ δὲ ἑαυτὸν
E ἀναγκαζόμενος ἐπαινεῖν, καὶ μάλιστα ὅταν καὶ μάρτυρα ἑαυτὸν καλῇ, αἰσχύνεται καὶ ἐρυθριᾷ. διὰ δὴ τοῦτο καὶ ὁ μακάριος οὗτος πρότερον ἑαυτὸν ταλανίζει, καὶ τότε τὸ μέγα ἐκεῖνο φθέγγεται. ποιεῖ δὴ τοῦτο, τό τε ἐπαχθὲς τῆς [b] περιαυτολογίας ὑποτεμνόμενος, καὶ τὰ μετὰ ταῦτα ῥηθησόμενα ἀξιόπιστα ἐντεῦθεν ποιῶν. ὁ γὰρ μετὰ ἀληθείας τὰ ἐπονείδιστα θεὶς, καὶ μηδὲν αὐτῶν ἀποκρυψάμενος, οἷον ὅτι τὴν ἐκκλησίαν ἐδίωξεν, ὅτι τὴν πίστιν ἐπόρθησε, καὶ τὰ σεμνὰ ἐντεῦθεν ἀνύποπτα ποιεῖ.

a μικράν. Savilius legendum putat, μικρόν.

b περιαυτολογίας, alius, ταυτολογίας.

A Καὶ σκόπει ταπεινοφροσύνης ὑπερβολήν. εἰπὼν γὰρ, ἔσχατον δὲ πάντων ἐμοὶ ὤφθη, οὐκ ἠρκέσθη τούτῳ· πολλοὶ γὰρ ἔσχατοι πρῶτοι, φησὶ, καὶ πρῶτοι ἔσχατοι. διὰ τοῦτο προσέθηκεν, ὡσπερεὶ τῷ ἐκτρώματι. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ τὴν οἰκείαν κρίσιν προστίθησι καὶ μετὰ αἰτίας λέγων, ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ. καὶ οὐκ εἶπε, τῶν δώδεκα μόνων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. ταῦτα δὲ πάντα ὁμοῦ μὲν μετριάζων ἔλεγεν, ὁμοῦ δὲ καὶ οὕτω διακείμενος, ὅπερ ἔφην, καὶ τὸ μέλλον ῥηθήσεσθαι προοικονομούμενος καὶ εὐπαράδεκτον μᾶλλον ποιῶν. εἰ μὲν γὰρ παρελθὼν εἶπεν, ὀφείλετέ μοι πιστεῦσαι, ὅτι ἀνέστη ὁ Χριστός. εἶδον γὰρ αὐτὸν, καὶ πάντων ἀξιοπιστότερός εἰμι, ἅτε πλέον καμὼν, κἂν προσέστη τοῖς ἀκούουσι τὸ λεγόμενον· νυνὶ δὲ τοῖς ταπεινοῖς ἐνδιατρίψας πρότερον καὶ τοῖς κατηγορίαν ἔχουσι, τό τε τραχὺ τῆς τοιαύτης διηγήσεως ὑπετέμνετο, καὶ τῇ πίστει τῆς μαρτυρίας προωδοποίησε. διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς, ὅπερ ἔφην, ἀποφαίνεται ἔσχατον ἑαυτὸν εἶναι, καὶ τῆς προσηγορίας τῶν ἀποστόλων ἀνάξιον, ἀλλὰ καὶ τὴν αἰτίαν τίθησι λέγων, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν. καὶ μὴν ἀφείθη πάντα ἐκεῖνα, ἀλλ' ὅμως αὐτὸς οὐδέποτε αὐτῶν ἐπιλέλησται, τὸ μέγεθος τῆς χάριτος δεῖξαι βουλόμενος· διὸ καὶ ἐπάγει, λέγων, χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι. εἶδες πάλιν ἑτέρας ταπεινοφροσύνης ὑπερβολήν; τὰ μὲν γὰρ ἐλαττώματα ἑαυτῷ λογίζεται· τῶν δὲ κατορθωμάτων οὐδὲν, ἀλλὰ πάντα ἀνατίθησι τῷ θεῷ. εἶτα, ἵνα μὴ τὸν ἀκροατὴν ἐντεῦθεν ὕπτιον ποιήσῃ, φησὶ, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ γέγονε. καὶ τοῦτο πάλιν ὑπεσταλμένως. οὐ γὰρ εἶπεν, ἀξίαν τῆς χάριτος ἐπεδειξάμην σπουδὴν, ἀλλ' ὅτι οὐ κενὴ γέγονεν. ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα. οὐκ εἶπεν, ἐτιμήθην, ἀλλ', ἐκοπίασα, καὶ κινδύνοις καὶ θανάτοις ἔχων εἰπεῖν, τῷ ὀνόματι τοῦ κόπου πάλιν ὑποτέμνεται τὸ εἰρημένον. εἶτα πάλιν τῇ συνήθει κεχρημένος ταπεινοφροσύνῃ, καὶ τοῦτο ταχέως παρέδραμε, καὶ τὸ πᾶν ἀνέθηκε τῷ θεῷ λέγων. οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί. τί ταύτης θαυμασιώτερον γένοιτ' ἂν τῆς ψυχῆς; διὰ γὰρ τοσούτων ἑαυτὸν καθελὼν, καὶ ἕν τι μόνον ὑψηλὸν φθεγξάμενος, οὐδὲ τοῦτο αὐτοῦ φησιν εἶναι, πανταχόθεν περιστέλλων, ἀπό τε τῶν ἔμπροσθεν, ἀπό τε τῶν μετὰ ταῦτα τὸ ὑψηλὸν τοῦτο ῥῆμα, καὶ ταῦτα ἐξ ἀνάγκης ἐλθὼν ἐπ' αὐτό. σκόπει δὲ πῶς ἐπιδαψιλεύεται τοῖς τῆς ταπεινοφροσύνης ῥήμασι. καὶ γὰρ ἐσχάτῳ μοι ὤφθη πάντων, φησί. διὸ οὐδὲ μεθ' ἑαυτοῦ τινα ἄλλον τίθησι, καὶ ὡσπερεὶ τῷ ἐκτρώματι, καὶ ἐλάχιστον ἑαυτὸν τῶν ἀποστόλων εἶναί φησι, καὶ οὐδὲ τῆς προσηγορίας ταύτης ἄξιον. καὶ οὐδὲ τούτοις ἠρκέσθη, ἀλλ' ἵνα μὴ δόξῃ ῥήμασι ταπεινοφρονεῖν, καὶ αἰτίας

5. Considera autem quam insignis sit ejus humilitas. Nam cum dixisset, Novissime autem omnium visus est & mihi, eo non fuit contentus: multi enim novissimi, inquit, primi, & primi novissimi: propterea addidit, Tamquam cuidam abortivo. Neque hic stetit, sed suum etiam addit judicium: 9. *Ego enim sum minimus apostolorum: qui non sum dignus vocari apostolus, quoniam persequutus sum ecclesiam Dei.* Non dixit, Duodecim solum, sed etiam aliorum omnium. Hæc autem omnia dicebat, simul & utens modestia, & sic ut dixi affectus, B & quod dicendum erat prius disponens, & ut lubentius exciperetur efficiens. Nam si prætergressus dixisset, Debetis mihi credere, quod Christus resurrexerit. Vidi enim ipsum, & sum omnium fide dignissimus, ut qui plus laboraverim, id quod dicebatur etiam offendisset eos qui audiebant. Nunc autem in rebus humilibus & abjectis primum versatus, & in iis quæ criminatione digna erant; ejusmodi narrationis amputavit asperitatem, & viam muniit ad faciendam testimonio fidem. Propterea neque C solum, ut dixi, se pronunciat esse ultimum, & indignum qui appelletur apostolus, sed affert causam, dicens, Quoniam persequutus sum ecclesiam. Atqui omnia illa fuerant remissa, sed tamen ipse nunquam est eorum oblitus, volens ostendere gratiæ magnitudinem. Et ideo subjungit, dicens: 10. *Gratia autem Dei sum quod sum.* Vidistin' rursum aliam summam humilitatem? Nam delicta quidem sibi attribuit, ex recte autem factis sibi nihil, sed totum Deo adscribit. Deinde ne hinc auditorem reddat supinum, D dicit, *Et gratia ejus in me vacua non fuit.* Et hoc rursus demisse. Non dixit enim, ostendi studium ac diligentiam dignam gratia, sed illa vacua non fuit. *Sed abundantius illis omnibus laboravi.* Non dixit, Sum honoratus, sed, laboravi: & cum posset dicere & pericula & mortes, nomine laboris rursus extenuat quod dictum est. Deinde rursus solita utens humilitate, hoc quoque cito prætercurrit, & totum Deo adscribit, dicens: *Non ego autem, sed gratia Dei mecum.* Quid hac anima fuerit admirabilius? Nam cum E per tam multa se depressisset, & unum quiddam altum solum esset loquutus, ne hoc quidem suum esse dicit, & ex iis quæ præcesserunt, & quæ postea sunt sequuta, altum hoc verbum deprimens, idque cum ex necessitate ad id venisset. Vide autem quam sit largus & copiosus in verbis humilitatis. Etenim novissimo omnium, inquit, mihi visus est. Propterea neque secum ponit alium, & tamquam cuidam abortivo, minimumque se esse dicit omnium apostolorum, & nec esse dignum qui sic appelletur. Neque his fuit contentus: sed ne videatur verbis esse humilis; affert etiam cau-

Pauli humilitas.

sas & demonstrationes, quod sit quidem abortivus, quoniam ipse Jesum vidit posterior; quod autem sit indignus qui appelletur apostolus, quoniam persequutus est ecclesiam. Nam qui temere & inconsiderate est humilis, hoc non facit. Qui autem etiam affert causas, contrita mente omnia loquitur. Quamobrem etiam alibi eorum meminit, dicens: *Gratiam autem habeo ei qui me corroboravit Christo, quod me fidelem esse existimaverit, quod me ad ministerium posuerit, qui prius eram blasphemus, & persequutor, & contumeliosus.* Quare autem hoc quoque altum verbum est eloquutus, Abundantius ipsis laboravi? Videbat tempus afferre necessitatem. Nam si hoc non dixisset, sed seipsum solum vilipendisset, quomodo potuisset libere & confidenter seipsum citare ad testimonium, & cum aliis enumerare & dicere, *Sive enim ego, sive illi, sic prædicamus.* Testem enim oportet esse fide dignum & magnum. Quomodo autem aliis abundantius laboraverit ostendit superius dicens: *An non habemus potestatem comedendi & bibendi sicut & alii apostoli?* Et rursus, *Factus sum iis qui erant sine lege, tamquam essem sine lege.* Ubi enim oportebat ostendere exactam diligentiam & perfectionem, omnes superavit: & ubi conveniebat se demittere & aliis accommodare, id quoque excellenter fecit. Nonnulli autem dicunt quod missus sit ad gentes, & maximam orbis partem pervaserit. Unde est perspicuum quod majorem gratiam sit assequutus. Si enim plus laboravit, amplior etiam erat gratia. Ampliorem autem gratiam est consequutus, quoniam majus ostendit studium & diligentiam. Vidisti quomodo, per quæ dum contendit & nititur sua adumbrare & tegere, ostenditur primus omnium?

1. Tim. 1. 12.

6. Hæc nos quoque audientes, delicta quidem nostra traducamus, & in publicum proferamus, recte autem facta sileamus: & si tempus necessitatem afferat, ea modeste dicamus: & totum gratiæ imputemus. Quod ipse quoque facit, susque deque primam quidem suam notans vitam, quæ autem postea sunt consequuta, gratiæ imputans: ut omni ex parte ostendat Dei benignitatem & clementiam, quod cum talis esset, eum servaverit, & rursus servatum talem fecerit. Nemo ergo ex iis qui sunt in vitio, desperet: nemo ex iis qui sunt in virtute, confidat. Sed & hic sit timidus, & ille promtus & alacris. Neque enim qui est piger & socors, sufficiet ad manendum in virtute: neque qui studium adhibet & diligentiam, erit imbecillus ad fugiendum vitium. Horum autem amborum exemplum est beatus David, ut qui, quando parum dormitavit, valde ceciderit, & quando fuit compunctus, ad priorem reversus sit altitudinem. Sunt enim utraque ex æquo mala, & desperare, & pigrum esse ac negligentem.

A τίθησι καὶ ἀποδείξεις· τοῦ μὲν ἔκτρωμα εἶναι, τὸ ὕστερον αὐτὸν ἰδεῖν τὸν Ἰησοῦν· τοῦ δὲ καὶ τῆς προσηγορίας ἀνάξιον εἶναι τῶν ἀποστόλων, τὸ διῶξαι τὴν ἐκκλησίαν. ὁ μὲν γὰρ ἁπλῶς ταπεινοφρονῶν, τοῦτο οὐ ποιεῖ· ὁ δὲ καὶ τὰς αἰτίας τιθεὶς, ἀπὸ συντετριμμένης διανοίας ἅπαντα φθέγγεται. διὸ καὶ ἀλλαχοῦ τῶν αὐτῶν τούτων μέμνηται, λέγων· χάριν δὲ ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν. τίνος δὲ ἕνε-

B κεν καὶ αὐτὸ τὸ ὑψηλὸν τοῦτο ἐφθέγξατο, τὸ, περισσότερον αὐτῶν ἐκοπίασα; τὸν καιρὸν ἑώρα καταναγκάζοντα. εἰ γὰρ μὴ τοῦτο εἶπεν, ἀλλὰ μόνον ἑαυτὸν ἐξηυτέλισε, πῶς ἠδύνατο μετὰ παῤῥησίας εἰς μαρτυρίαν ἑαυτὸν καλεῖν, καὶ μετὰ τῶν ἄλλων ἀριθμεῖν καὶ λέγειν, εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν; τὸν γὰρ μάρτυρα, ἀξιόπιστον εἶναι δεῖ καὶ μέγαν. πῶς δὲ καὶ περισσότερον αὐτῶν ἐκοπίασεν, ἔδειξεν ἀνωτέρω, λέγων· ἢ οὐκ ἔχομεν ἐξουσίαν τοῦ φαγεῖν καὶ πιεῖν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι; καὶ πάλιν, ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνο-

C μος. καὶ γὰρ ὅπου ἀκρίβειαν ἐπιδείξασθαι ἔδει, πάντας ὑπερηκόντισε· καὶ ὅπου συγκαταβῆναι ἐχρῆν, τὴν αὐτὴν πάλιν ὑπερβολὴν ἐπεδείξατο. τινὲς δέ φασι, τὸ εἰς ἔθνη ἀπεστάλθαι, καὶ τὸ πλεῖον τῆς οἰκουμένης μέρος ἐπιδραμεῖν. ὅθεν δῆλον ὅτι καὶ πλείονος ἀπήλαυσε χάριτος. εἰ γὰρ πλεῖον ἐκοπίασε, πλείων ἦν καὶ ἡ χάρις· πλείονος δὲ ἀπήλαυσε χάριτος, ἐπειδὴ καὶ πλείονα ἐπεδείξατο σπουδήν. εἶδες πῶς, καὶ δι' ὧν φιλονεικεῖ καὶ βιάζεται συσκιάζειν τὰ καθ' ἑαυτὸν, πάντων δείκνυ-

D ται πρῶτος ὤν;

Ταῦτα καὶ ἡμεῖς ἀκούοντες, τὰ μὲν ἐλαττώματα τὰ ἡμῶν ἐκκωμῳδῶμεν, τὰ δὲ κατορθώματα σιγῶμεν. κἂν καιρὸς καταναγκάζῃ, συνεσταλμένως αὐτὰ λέγωμεν, καὶ τὸ πᾶν τῇ χάριτι λογιζώμεθα· ὃ δὴ καὶ αὐτὸς ποιεῖ, ἄνω καὶ κάτω τὸν μὲν πρότερον αὐτοῦ στίζων βίον, τὰ δὲ μετὰ ταῦτα τῇ χάριτι λογιζόμενος, ἵνα τοῦ θεοῦ δείξῃ τὴν φιλανθρωπίαν πάντοθεν, ὅτι τοιοῦτον ὄντα ἔσω-

E σε, καὶ σωθέντα πάλιν τοιοῦτον εἰργάσατο. μηδεὶς τοίνυν τῶν ἐν κακίᾳ ὄντων ἀπογινωσκέτω, μηδεὶς τῶν ἐν ἀρετῇ θαῤῥείτω, ἀλλὰ κἀκεῖνος ἔστω περιδεὴς, καὶ οὗτος πρόθυμος. οὔτε γὰρ ῥαθυμῶν τις ἱκανὸς ἔσται μεῖναι ἐν ἀρετῇ, οὔτε σπουδάζων, ἀσθενὴς πρὸς τὸ διαφυγεῖν κακίαν. καὶ τούτων ἀμφοτέρων ὑπόδειγμα ὁ μακάριος Δαυΐδ, ἡνίκα μικρὸν ἐνύσταξε, καταπεσὼν μέγα· καὶ ἡνίκα κατενύγη, πάλιν πρὸς τὸ πρότερον ὕψος ἀναδραμών. καὶ γὰρ ἀμφότερα ἐξίσης κακὰ, καὶ τὸ ἀπογινώσκειν, καὶ τὸ ῥαθυμεῖν·

τὸ μὲν γὰρ καθαιρεῖ ταχέως ἀπ' αὐτῆς τῶν οὐρανῶν A τῆς ἀψῖδος· τὸ δὲ, ἀναστῆναι τὸν κείμενον οὐκ ἀφίησι. διὰ πρὸς ἐκεῖνον μὲν ἔλεγεν ὁ Παῦλος, ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πρὸς δὲ τοῦτον, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν· καὶ πάλιν, τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. καὶ τὸν πεπορνευκότα δὲ μετανοήσαντα, διὰ τοῦτο ἀνακτᾶται ταχέως, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. τί τοίνυν ἐπὶ τοῖς ἄλλοις ἀθυμεῖς, ὦ ἄνθρωπε; εἰ γὰρ ἐπὶ ἁμαρτήμασιν, ἔνθα χρήσιμον ἡ λύπη μόνον, ἡ ἀμετρία πολλὴν ἐργάζεται βλάβην, πολλῷ B μᾶλλον ἐπὶ τοῖς ἄλλοις. τίνος γὰρ ἕνεκεν ἀλγεῖς; ὅτι χρήματα ἀπώλεσας; ἀλλ' ἐννόησον τοὺς οὐδὲ ἄρτου κορεννυμένους, καὶ ταχίστην λήψῃ παραμυθίαν. καὶ ἐφ' ἑκάστῳ δὲ τῶν δεινῶν μὴ τὰ συμβάντα θρήνει, ἀλλ' ὑπὲρ τῶν μὴ συμβάντων χαλεπῶν εὐχαρίστει. εἶχες χρήματα, καὶ ἀπέβαλες; μὴ δακρύσῃς ὑπὲρ τῆς ζημίας, ἀλλ' εὐχαρίστησον ὑπὲρ τοῦ χρόνου, οὗ ταῦτα ἐκαρπώσω. εἰπὲ κατὰ τὸν Ἰὼβ, εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; μετὰ δὲ τούτου κἀκεῖνο λογίζου· C ὅτι εἰ καὶ χρήματα ἀπέβαλες, ἀλλὰ τὸ σῶμά σου τέως ὑγιὲς ἔχεις, καὶ οὐ θρηνεῖς μετὰ τῆς πενίας καὶ τὴν τούτου πήρωσιν. ἀλλὰ καὶ τὸ σῶμά σου λώβην τινὰ ὑπέμεινεν; ἀλλ' οὐχ ὑπὲρ τῶν ἀνθρωπίνων κακῶν ὁ πυθμὴν, ἀλλ' ἐν τῷ μέσῳ τοῦ πίθου φέρῃ τέως. πολλοὶ γὰρ μετὰ πενίας καὶ λώβης, καὶ δαίμονι παλαίουσι, καὶ ἐν ἐρήμοις πλανῶνται· ἄλλοι πάλιν τούτων ἕτερα χαλεπώτερα ὑπομένουσι. μὴ γὰρ δὴ γένοιτο ἡμᾶς πάντα παθεῖν, ὅσα δυνατὸν ἐνεγκεῖν. ταῦτ' οὖν ἀεὶ λογιζόμενος, τοὺς τὰ χαλεπώτερα D πάσχοντας ἐννόει, καὶ μηδενὶ τούτων ἄλγει· ἀλλ' ὅταν ἁμάρτῃς, τότε μόνον στέναξον, τότε δάκρυσον· οὐ κωλύω, ἀλλὰ καὶ προτρέπω μᾶλλον, καὶ τότε δὲ μετὰ συμμετρίας, ἐννοῶν ὅτι ἐστὶν ἐπάνοδος, ἔστι καταλλαγή. ἀλλ' ὁρᾷς ἑτέρους τρυφῶντας, σαυτὸν δὲ ἐν πενίᾳ, καὶ ἕτερον ἐν λαμπροῖς ἱματίοις, καὶ ἐν περιφανείᾳ; ἀλλὰ μὴ ταῦτα μόνον σκόπει, ἀλλὰ καὶ τὰ ἐκ τούτων λυπηρά. καὶ ἐπὶ τῆς πενίας δὲ μὴ τὴν πτωχείαν μόνον, ἀλλὰ καὶ τὴν ἐντεῦθεν ἡδονὴν ἀναλογίζου· ὁ μὲν πλοῦτος τὸ μὲν προσωπεῖον ἔχει φαιδρὸν, τὰ δὲ ἔνδον ζόφου γέμοντα· ἡ δὲ πενία E τοὐναντίον. κἂν τὸ ἑκάστου συνειδὸς ἀναπτύξῃς, ἐν μὲν τῇ τοῦ πένητος ψυχῇ πολλὴν τὴν ἄδειαν ὄψει καὶ τὴν ἐλευθερίαν· ἐν δὲ τῇ τοῦ πλουτοῦντος, θορύβους, ταραχὰς, κύματα. εἰ δὲ ἀλγεῖς ὁρῶν αὐτὸν πλουτοῦντα, κἀκεῖνος πολλῷ σου πλέον ἀλγεῖ τὸν αὐτοῦ πλουσιώτερον θεώμενος. καὶ καθάπερ σὺ τοῦτον δέδοικας, οὕτω κἀκεῖνος ἄλλον, καὶ οὐδέν σου πλεονεκτεῖ κατὰ τοῦτο. ἀλλ' ἄρχοντα ὁρῶν ἀλγεῖς, ὅτι ἰδιώτης σὺ, καὶ τῶν ἀρχομένων· ἀλλ' ἐννόει καὶ τῆς διαδοχῆς τὴν ἡμέραν. καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης τοὺς θορύβους, τοὺς κινδύνους, τοὺς πόνους,

A Nam illud quidem cito dejicit ab ipſo cæli fornice: hoc autem non permittit ut qui jacet reſurgat. Propterea illi quidem dicebat Paulus, *qui videtur ſtare, videat* 1. Cor. 10. 12.
*ne cadat.* Huic autem, *hodie ſi vocem ejus* Pſal. 94. 8.
*audieritis, ne obduretis corda veſtra.* Et rurſus, *remiſſas manus, & diſſoluta genua* Heb. 12. 12.
*erigite.* Eum quoque qui fornicatus fuerat, cum ductus eſſet pœnitentia, propterea recreat, ne nimia abſorberetur triſtitia. Quid ergo in aliis animo angeris, ô homo! Nam ſi in peccatis ubi eſt utilis ſolum triſtitia, immoderatio magnum B affert damnum, multo magis in aliis. Cur enim doles? An quod pecuniam perdideris? Sed cogita eos qui ne pane quidem ſatiantur, & citiſſimam accipies conſolationem. Et in unoquoque eorum quæ ſunt gravia & aſpera, ne defleas ea quæ acciderunt: ſed pro iis quæ non acciderunt aſpera, age gratias. Habuiſti pecunias & amiſiſti? ne lacrymeris pro damno, ſed age gratias pro tempore quo iis potitus es. Dic cum Jobo, *ſi bona accepimus à Domino, cur mala non* Job. 2. 10.
*ſuſtinebimus?* Cum hoc autem illud etiam C conſidera. Si amiſiſti pecunias, at corpus interim habes ſanum, & non cum paupertate, de ejus quoque lamentaris infirmitate. At tuum etiam corpus aliquam paſſum eſt noxam? Sed non eſt hic fundus malorum humanorum: ſed ferris interim in medio dolio. Multi enim cum paupertate ac mutilatione luctantur & cum dæmone, & errant in deſertis. Alii rurſus alia patiuntur his graviora. Abſit enim ut patiamur quæcumque pati poſſumus. Hæc ergo ſemper reputans, eos cogita qui patiuntur graviora, & de nullo D eorum doleas. Sed quando peccaris, tunc ſolum ingemiſce, tunc lacrymare; non prohibeo, ſed potius hortor, & tunc quoque cum moderatione, cogitans quod ea ſit reverſio, ea ſit reconciliatio. At vides alios eſſe in deliciis, te autem in paupertate, aliumque ſplendidis indutum veſtibus & conſpicuum eſſe? Verum ne hæc ſolum conſideres, ſed etiam eas quæ ſunt ex his moleſtias. In paupertate autem ne conſideres ſolam mendicitatem, ſed etiam eam quæ inde capitur voluptatem. Nam divitiæ quidem lætam habent larvam, interna autem plena ſunt caligine: Paupertatis felicitas.
E paupertas autem contra; & ſi uniuſcujuſque explicaris conſcientiam, in anima quidem pauperis multam videbis ſecuritatem & libertatem: in anima autem divitis, tumultus, perturbationes, & fluctus. Si autem doles videns ipſum divitem, ille quoque plus quam tu dolet, aſpiciens eum qui eſt ipſo ditior: & ſicut tu illum times, ita ipſe quoque alium, & in eo te nihil præcellit. At doles videns magiſtratum, quoniam tu es privatus, & ex iis qui parent imperio: ſed tibi veniat in mentem & dies ſucceſſionis: ſed & ante illum diem, tumultus, pericula, labores, adu-

lationes, vigiliæ, omnes calamitates. Et hæc dicimus apud eos, qui nolunt philoſophari. Nam ſi hoc ſcias, ex aliis majoribus poſſumus te conſolari: interim neceſſe eſt ex craſſioribus tecum diſceptare. Quando ergo videris divitem, cogita illo ditiorem: & videbis eum itidem ut tu es eſſe affectum. Poſt ipſum autem, cogita etiam eum qui eſt te pauperior: & quam multi dormierunt eſurientes, & paternas amiſerunt facultates, & habitant in carcere, ac quotidie mortem optant. Neque enim animi ægritudinem paupertas, neque voluptatem pariunt divitiæ, ſed & hoc & illud nobis ſolet indere cogitatio. Conſidera autem ab infimis incipiens; qui emit ſtercora, dolet, & triſtitia afficitur, quod non ſit liber ab hoc miſero, & quod probroſum eſſe videtur, ſtudio; ſed ſi ipſum eo liberaveris & effeceris ut ſecure abundet rebus neceſſariis, rurſus dolebit quod non plura poſſideat quam opus ſit: & ſi plura dederis, volet ea eſſe duplo majora; ac propterea non minori afficietur dolore quam prius: & ſi duplo & triplo plura ei dederis, rurſus animo angetur, quod non gerat rempublicam. Et ſi hoc ei præbeas, ſeipſum ducet eſſe miſerum, quod non primas partes teneat in republica. Hunc autem honorem aſſequutus, quod non imperium obtineat: quando autem imperium obtinuerit: quod non totius gentis: quando autem etiam totius gentis, quod non multarum gentium: quando autem multarum gentium, quod non omnium. Quando factus fuerit legatus aut præfectus, rurſus dolore afficietur, quod non ſit rex: & ſi ſit rex, quod non ſolus; & ſi ſolus, quod non barbarorum quoque, quod non etiam totius orbis terræ. Cum autem totius orbis; cur non etiam alterius mundi? Et ſic in infinitum procedens cogitatio, non ſinit eum unquam lætari.

Quam inſatiabilis ambitio.

7. Vidiſtin' quomodo etiamſi ex vili & abjecto regem feceris, non tollis animi ægritudinem, niſi correxeris cogitationem, quæ laborat avaritia & plura habendi cupiditate? Age, tibi etiam oſtendam contrarium, quod etiamſi a ſupremis ad infima deduxeris eum qui eſt prudentia præditus, non injicies in animi ægritudinem & triſtitiam: & ſi vis eaſdem deſcendamus ſcalas, & præfectum e ſede urbis dejectum priva illa dignitate. Ipſe enim hæc quæ diximus cogitare ſi velit, nihil inde dolebit. Neque enim reputabit ea quæ ſunt ei ablata, ſed ea quæ tunc habet, nempe gloriam quam habet ex eo quem geſſit magiſtratu. Si autem eam quoque abſtuleris, animo reputabit privatos, & qui ad eum magiſtratum nunquam aſcenderunt, & ad conſolationem ei ſufficient divitiæ. Sin autem ab iis quoque rurſus eum expuleris, conſiderabit eos qui mediocria poſſident. Si autem etiam abſtuleris mediocria, & ei ſolum neceſſarium impertieris alimentum, poterit ani-

A τὰς κολακείας, τὰς ἀγρυπνίας, τὰς ταλαιπωρίας πάσας. καὶ ταῦτα πρὸς τοὺς οὐκ ἐθέλοντας φιλοσοφεῖν λέγομεν· ὡς ἐὰν τοῦτο εἰδῇς, ἀφ' ἑτέρων σε μειζόνων δυνάμεθα παρακαλέσαι· τέως δὲ ἀπὸ τῶν παχυτέρων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι. ὅταν τοίνυν ἴδῃς πλουτοῦντα, τὸν ἐκείνου πλουσιώτερον ἐννόει, καὶ ὄψει τοῦτον ἐν οἷς καὶ σύ. μετὰ δὲ τοῦτον καὶ τὸν σαυτοῦ πενέστερον σκόπει, καὶ πόσοι πεινῶντες ἐκοιμήθησαν, καὶ οὐσίας πατρῴας ἀπέβαλον, καὶ δεσμωτήριον οἰκοῦσι, καὶ θάνατον καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν. οὔτε γὰρ ἀθυμίαν πενία, οὔτε B ἡδονὴν τίκτει πλοῦτος, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο λογισμὸς ἡμῖν ἐμποιεῖν εἴωθε. σκόπει δὲ ἀρχόμενος κάτωθεν· ὁ κοπρώνης ἀλγεῖ καὶ ὀδυνᾶται, ὅτι μὴ ἀπήλλακται τοῦ ταλαιπώρου καὶ ἐπονειδίστου εἶναι δοκοῦντος ἐπιτηδεύματος τούτου· ἀλλ' ἂν ἀπαλλάξῃς αὐτὸν τούτου, καὶ ποιήσῃς μετὰ ἀδείας τῶν ἀναγκαίων εὐπορεῖν, ἀλγήσει πάλιν ὅτι μὴ πλείω τις χρείας κέκτηται· κἂν πλείω παρέχῃς, βουλήσεται αὐτὰ διπλάσια εἶναι πάλιν, καὶ διὰ τοῦτο ὀδυνηθήσεται οὐχ ἧττον, ἢ πρότερον· κἂν διπλάσια, κἂν τριπλάσια δῷς, C ἀθυμήσει πάλιν, ὅτι μὴ πολιτεύεται. κἂν τοῦτο παρέχῃς αὐτῷ, ἄθλιον ἑαυτὸν ἡγήσεται, ὅτι μὴ τῶν τὰ πρῶτα πολιτευομένων ἐστί. καὶ ταύτης δὲ ἐπιλαβόμενος τῆς τιμῆς, θρηνήσει, ὅτι μὴ ἄρχει. ὅταν δὲ ἄρξῃ, ὅτι μὴ ἔθνους ὁλοκλήρου· ὅταν δὲ καὶ ἔθνους ὁλοκλήρου, ὅτι μὴ ἐθνῶν πολλῶν· ὅταν ἐθνῶν πολλῶν, ὅτι μὴ πάντων. ὅταν ὕπαρχος γένηται, λυπηθήσεται πάλιν, ὅτι μὴ καὶ βασιλεύς· κἂν βασιλεὺς, ὅτι μὴ μόνος· κἂν μόνος, ὅτι μὴ καὶ βαρβάρων, ὅτι μὴ καὶ τῆς οἰκουμένης ἁπάσης· ὅταν καὶ τῆς οἰκουμένης ἁπάσης, διὰ τί D μὴ καὶ ἑτέρου κόσμου; καὶ οὕτω ἐπ' ἄπειρον ὁ λογισμὸς προϊὼν, οὐκ ἀφίησιν αὐτὸν ἡσθῆναί ποτε.

Εἶδες πῶς κἂν ἐξ εὐτελοῦς καὶ πτωχοῦ βασιλέα ποιήσῃς, οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν, λογισμὸν τὸν πλεονεξίας ἐρῶντα μὴ διορθωσάμενος πρότερον; φέρε, σοι καὶ τοὐναντίον δείξω, ὅτι κἂν ἄνωθεν κάτω καταγάγῃς τὸν σύνεσιν ἔχοντα, οὐκ ἐμβαλεῖς εἰς ἀθυμίαν καὶ λύπην. καὶ, εἰ βούλει, τὴν αὐτὴν κλίμακα καταβαίνωμεν, καὶ τὸν ὕπαρχον ἀπὸ τοῦ E θρόνου καταβιβάσας τῷ λόγῳ ἀποστέρει τῆς ἀξίας ἐκείνης. οὐδὲν γὰρ ἔσται ἐντεῦθεν, ἂν ἐθέλῃ ταῦτα ἐννοεῖν, ἅπερ εἶπον, ἀλγήσει. οὐδὲ γὰρ ἅπερ ἀφῄρηται, λογιεῖται, ἀλλ' ἅπερ ἔχει τέως, τὴν δόξαν τὴν ἀπὸ τῆς ἀρχῆς. ἂν δὲ καὶ ταύτην ἀφέλῃς, λογιεῖται τοὺς ἰδιώτας, καὶ οὐδέποτε τοιαύτης ἐπιβάντας ἀρχῆς, καὶ ἀρκέσει εἰς παραμυθίαν ὁ πλοῦτος αὐτῷ· ἂν δὲ καὶ τούτου πάλιν ἐκβάλῃς, σκοπήσει τοὺς τὰ σύμμετρα ἔχοντας. ἂν δὲ καὶ τὰ σύμμετρα ἀφέλῃς καὶ τῆς ἀναγκαίας μόνης μεταδῷς τροφῆς, δυνήσεται

ἐννοεῖν

ἐννοεῖν τοὺς οὐδὲ ταύτης μετέχοντας, ἀλλὰ λιμῷ παλαίοντας διηνεκεῖ, καὶ δεσμωτήριον οἰκοῦντας. εἰ δὲ καὶ εἰς τὸ οἴκημα εἰσαγάγοις ἐκεῖνο, τοὺς ἐν νόσοις ἀνιάτοις ὄντας, τοὺς ἐν ὀδύναις ἀνηκέστοις ἐνθυμούμενος, ὄψεται ἑαυτὸν ἐν πολλῷ βελτίοσιν ὄντα. καὶ ὥσπερ ὁ κοπρώνης ἐκεῖνος, οὐδὲ βασιλεὺς γενόμενος εὐθυμίαν καρπώσεται, οὕτως οὗτος οὐδὲ δεσμώτης καταστὰς ἀλγήσει ποτέ. οὐκ ἄρα πλοῦτος ἡδονῆς, οὔτε πενία ἀθυμίας ὑπόθεσις, ἀλλ' ἡ ἡμετέρα γνώμη, καὶ τὸ τὰ ὄμματα τῆς διανοίας ἡμῶν μὴ εἶναι καθαρά, μηδὲ ἑστάναι που καὶ μένειν, ἀλλ' ἀπέραντα πέτασθαι. καὶ καθάπερ τὰ μὲν ὑγιεινὰ τῶν σωμάτων, κἂν ἄρτῳ τρέφηται μόνῳ, εὐπαθεῖ καὶ σφριγᾷ· τὰ δὲ ἐπίνοσα, κἂν δαψιλοῦς καὶ ποικίλης ἀπολαύῃ τραπέζης, τοσούτῳ μᾶλλον ἀσθενέστερα γίνεται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν. οἱ μὲν μικρόψυχοι, οὐδὲ ἐν διαδήματι καὶ τιμαῖς ἀφάτοις δύναιντ' ἂν εὐθυμεῖν· οἱ δὲ φιλόσοφοι, καὶ ἐν δεσμοῖς, καὶ ἐν ἁλύσει, καὶ ἐν πενίᾳ καθαρᾶς ἀπολαύουσιν ἡδονῆς. ταῦτ' οὖν ἐννοοῦντες, πρὸς τοὺς καταδεεστέρους ἀεὶ βλέπωμεν. ἔστι μὲν γὰρ καὶ ἑτέρα παραμυθία, ἀλλὰ φιλόσοφος καὶ τῶν πολλῶν ὑπερβαίνουσα τὴν παχύτητα. ποία αὕτη; ὅτι οὐδὲν πλοῦτος, οὐδὲν πενία, οὐδὲν ἀτιμία, οὐδὲν τιμή, ἀλλ' ἐν χρόνῳ βραχεῖ καὶ ῥήμασι διεστήκασι μόνον ἀλλήλων. μετὰ δὲ ταύτης καὶ ἑτέρα ταύτης μείζων, τὸ τὰ μέλλοντα ἐννοεῖν καὶ κακὰ καὶ ἀγαθά, τὰ ὄντως κακὰ καὶ ὄντως ἀγαθά, καὶ ἀπ' ἐκείνων παρακαλεῖσθαι. ἀλλ' ἐπειδὴ πολλοὶ τούτων, ὅπερ ἔφην, πόῤῥω τῶν λόγων ἑστήκασι, διὰ τοῦτο ἐκείνοις ἠναγκάσθημεν διατρίψαι τοῖς λόγοις, ἵνα ὁδῷ καὶ ἐπὶ τούτους ἀγάγωμεν τοὺς καταδεξαμένους ἐκεῖνα. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, πάντοθεν ἑαυτοὺς ῥυθμίσωμεν, καὶ οὐδέποτε ἐπὶ τῶν ἀδοκήτων τούτων ἀλγήσομεν. οὐδὲ γάρ, εἰ ἐν εἰκόνι πλουσίους ἴδοιμεν, ζηλωτοὺς εἶναι φαίημεν ἄν, ὥσπερ οὐδὲ τοὺς πτωχοὺς ἐκεῖ γεγραμμένους, ἀθλίους καὶ ἐλεεινούς· καίτοιγε ἐκεῖνοι τῶν παρ' ἡμῖν πλουτούντων μονιμώτεροι. μᾶλλον γὰρ ἐν τῇ γραφῇ μένει πλούσιος, ἢ ἐν αὐτῇ τῶν πραγμάτων τῇ φύσει. ὁ μὲν γὰρ καὶ εἰς ἔτη πολλάκις ἑκατὸν ἤρκεσεν οὕτω φαινόμενος, οὗτος δέ ἐστιν ὅτε οὐδὲ εἰς ἐνιαυτὸν ἐντρυφήσας τοῖς οὖσι, πάντων ἀθρόον ἐγυμνώθη. ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, πανταχόθεν ἐπιτειχίσωμεν εὐθυμίαν κατὰ τῆς ἀλογίστου λύπης, ἵνα καὶ τὸν παρόντα βίον μεθ' ἡδονῆς διάξωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A mo cogitare eos qui ne id quidem possident, sed cum jugi fame conflictantur, & in carcere habitant. Quod si etiam ipsum in domum illam duxeris, animo versans eos qui morbis laborant incurabilibus, intolerabilibusque doloribus, videbit multo se habere melius. Et sicut emtor ille stercoris, ne rex quidem factus fructur animi tranquillitate; ita hic quoque ne si fuerit quidem in vinculis, unquam dolebit. Neque igitur divitiæ voluptatis, neque paupertas est causa animi ægritudinis; sed mens nostra, & quod animi nostri B oculi minime sint puri, neque usquam firmi sint & stabiles, sed volent ad infinitum. Et sicut salubria quidem corpora, etiamsi solo pane alantur, bono affecta sunt & luxuriant: morbida autem, etiamsi lauta & varia fruantur mensa, eo sunt imbecilliora; ita etiam solet evenire in anima. Qui pusilli quidem & abjecti sunt animi, ne in diademate quidem & honoribus qui verbis non possunt explicari, possunt esse bono & tranquillo animo. Philosophi autem, & in vinculis, & in catena, & in paupertate, pura fruuntur voluptate. Hæc ergo cogitantes, aspiciamus semper C ad deteriores. Nam est quidem etiam alia consolatio, sed philosophica, & quæ multorum aliorum superat crassitudinem. Quænam ea est? Quod nihil sunt divitiæ, nihil paupertas, nihil ignominia, nihil honor; sed in brevi tempore, & in verbis solum inter se distant. Cum hac autem, alia quoque est hac major, nempe futura & bona & mala cogitare, ea quæ vere sunt mala, & quæ vere bona, & ab illis accipere consolationem. Sed quoniam, sicut prius dixi, multi sunt longe remoti ab hujusmodi doctrina, propterea necesse habuimus in hujusmodi immorari sermo- D nibus, ut ordine ad hos quoque deducamus eos qui illa susceperunt. Hæc ergo omnia reputantes, omni ex parte nos ipsos componamus, & nunquam dolebimus ob hæc inopinata. Neque enim si in imagine viderimus divites, eos esse dixerimus beandos & æmulandos: ut neque mendicos illic depictos, infelices & miserabiles. Atqui illi sunt firmiores & stabiliores iis qui sunt apud nos divites. Magis enim in pictura manet dives, quam in ipsa rerum natura. Nam ille quidem sæpe etiam ad centum annos sic apparens duraverit: hic autem cum ne annum qui- E dem unum in suis facultatibus se deliciis expleverit, repente privatus est omnibus. Hæc ergo omnia reputantes, omni ex parte muniamus animi quietem & tranquillitatem adversus inconsideratam tristitiam, ut & vitam præsentem transigamus cum voluptate, & bona futura consequamur, gratia & benignitate Domini nostri Jesu Christi, cum quo Patri, simulque sancto Spiritui gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A

## HOMILIA XXXIX.

11. *Sive enim ego, sive illi, sic prædicamus, & sic credidistis.*

1. POSTQUAM apostolos extulit, & se dejecit, & deinde rursus supra illos se extulit, ut efficeret æqualitatem; æqualitatem enim effecit; se & melioris esse conditionis ostendens & deterioris, & ea ratione se reddens fide dignum; ne sic quidem eos dimittit, sed B rursus se cum illis conjungit, indicans eam, quæ est secundum Christum, concordiam. Non tamen hoc sic facit ut videatur eis esse abjectus, sed ut ipse quoque in eodem cernatur ordine. Sic enim conducibile erat prædicationi. Quamobrem ambo similiter ei studio fuerunt, ut nec ipse videretur eos despicere, & ne propter honorem ipsis collatum, vilipenderetur ab iis qui erant ipsi subjecti. Propterea nunc quoque se exæquat, rursus dicens: Sive ego, sive illi, sic prædicamus. A quo, inquit, vultis discere, discite; nihil differimus. Et non dixit, si C non vultis mihi credere, illis credite: sed & seipsum facit fide dignum, & per se dicit sufficere, & illos per se satis esse. Nihil enim faciebat personarum differentia, cum par esset auctoritas. Porro hoc quoque facit in epistola ad Galatas, eos Gal. 2. 6. assumens, non tamquam eis indigens, sed se quoque dicens sufficere. *Mihi enim qui videbantur*, inquit, *esse aliquid, nihil contulerunt.* Verumtamen sic quoque eorum sequor concordiam & consensionem. Dexteras enim, inquit, mihi dederunt. D Nam si necesse esset ut Pauli fides & auctoritas in aliis esset & illorum testimonio niteretur, damna innumerabilia hinc accepissent discipuli. Non hoc ergo facit seipsum extollens, sed timens evangelio. Propterea hic quoque dicit, seipsum exæquans, *sive ego, sive illi, sic prædicamus.* Pulcre dixit, Prædicamus, magnam ostendens fiduciam ac loquendi libertatem. Non enim clam neque in occulto, sed tuba vocem clariorem emittimus. Neque dixit, prædicavimus, sed nunc quoque sic prædicamus: *& sic credidistis.* E Hic non dixit, creditis, sed credidistis; quoniam lababant, ideo ad superiora recurrit tempora, & de cætero ab iis ipsis addit testimonium. 12. *Si autem Christus prædicatur quod resurrexit a mortuis, quomodo quidam dicunt in vobis quod resurrectio mortuorum non est?* Viden' quomodo optime ratiocinatur & demonstrat resurrectionem, ex eo quod Christus sit excitatus, cum ex multis illud prius con- Act. 10. firmasset? Nam & prophetæ, inquit, hoc dixerunt, & ipse ostendit per visionem, & nos prædicamus, & vos credidistis,

## ΟΜΙΛΙΑ λθ'.

Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

ΕΠΑΡΑΣ τοὺς ἀποστόλους, καὶ καθελὼν ἑαυτὸν, εἶτα πάλιν ὑπὲρ ἐκείνους ἐπάρας, ἵνα ἰσότητα ἐργάσηται· καὶ γὰρ ἰσότητα ἐποίησε· δείξας ἑαυτὸν καὶ πλεονεκτοῦντα καὶ πλεονεκτούμενον, καὶ ταύτῃ ἀξιόπιστον ἑαυτὸν κατασκευάσας, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν, ἀλλὰ πάλιν ἑαυτὸν ἐκείνοις συντάττει, τὴν κατὰ Χριστὸν ἐνδεικνύμενος ὁμόνοιαν. οὐ μὴν οὕτως αὐτὸ ποιεῖ, ὡς δόξαι προσερρίφθαι αὐτοῖς, ἀλλ' ὡς καὶ αὐτὸν ἐν τῇ αὐτῇ φαίνεσθαι τάξει. οὕτω γὰρ τῷ κηρύγματι συμφέρον ἦν. διὸ καὶ ἀμφότερα ὁμοίως ἐσπούδακε, καὶ τὸ μὴ δοκεῖν αὐτῶν ὑπερορᾷν, καὶ τὸ μὴ διὰ τὴν εἰς ἐκείνους τιμὴν ἐξευτελίζεσθαι παρὰ τῶν ἀρχομένων. διὰ τοῦτο καὶ νῦν ἐξισάζει πάλιν λέγων· εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν. παρ' οὗ, φησι, βούλεσθε μαθεῖν, μάθετε· οὐδὲν [a] διαφέρομεν. καὶ οὐκ εἶπεν, ὅτι εἰ μὴ θέλετε ἐμοὶ πεισθῆναι, ἐκείνοις πείσθητε, ἀλλὰ καὶ ἑαυτὸν ἀξιόπιστον ποιεῖ, καὶ καθ' ἑαυτὸν ἀρκεῖν φησι, καὶ ἐκείνους καθ' ἑαυτούς. οὐδὲν γὰρ ἡ τῶν προσώπων ἐποίει διαφορὰ, τῶν ἀξιωμάτων ἴσων ὄντων. καὶ ἐν τῇ πρὸς Γαλάτας δὲ τοῦτο ποιεῖ, προσλαμβάνων αὐτοὺς, οὐχ ὡς δεόμενος, ἀλλ' ἀρκεῖν μὲν λέγων καὶ ἑαυτόν. ἐμοὶ γάρ φησιν, οἱ δοκοῦντες οὐδὲν προσανέθεντο· πλὴν ἀλλὰ καὶ οὕτω διώκω αὐτῶν τὴν ὁμόνοιαν. δεξιὰς γὰρ ἔδωκάν μοι, φησίν. εἰ γὰρ ἔμελλεν ἀεὶ τὸ ἀξιόπιστον Παύλου ἐν ἑτέροις εἶναι καὶ τῇ παρ' ἑτέρων μαρτυρίᾳ βεβαιοῦσθαι, μυρία ἂν ἐβλάβησαν ἐντεῦθεν οἱ μαθηταί. οὐ τοίνυν ἑαυτὸν ἐπαίρων τοῦτο ποιεῖ, ἀλλ' ὑπὲρ τοῦ εὐαγγελίου δεδοικώς. διὸ καὶ ἐνταῦθά φησιν ἐξισάζων ἑαυτὸν, εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν. καλῶς εἶπε, κηρύσσομεν, τὴν πολλὴν παῤῥησίαν ἐνδεικνύμενος. οὐ γὰρ λάθρα, οὐδὲ ἐν παραβύστῳ, ἀλλὰ σάλπιγγος λαμπροτέραν ἀφίεμεν φωνήν. καὶ οὐκ εἶπεν, ἐκηρύξαμεν, ἀλλὰ καὶ νῦν οὕτω κηρύττομεν. καὶ οὕτως ἐπιστεύσατε. ἐνταῦθα οὐκ εἶπε, πιστεύετε, ἀλλ', ἐπιστεύσατε. ἐπειδὴ ἐσαλεύοντο, διὰ τοῦτο ἐπὶ τοὺς ἄνω χρόνους ἀνέδραμε, καὶ τὴν παρ' αὐτῶν ἐκείνων λοιπὸν μαρτυρίαν προστίθησιν. Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; ὁρᾷς πῶς ἄριστα συλλογίζεται, καὶ ἀποδείκνυσι τὴν ἀνάστασιν ἐκ τοῦ τὸν Χριστὸν ἐγηγέρθαι, πρότερον ἐκεῖνο πολλαχόθεν κατασκευάσας; καὶ γὰρ οἱ προφῆται εἶπον τοῦτό, φησι, καὶ αὐτὸς ἔδειξε διὰ τῆς ὄψεως, καὶ ἡμεῖς κηρύσσομεν, καὶ ὑμεῖς ἐπιστεύσατε, τετρα-

[a] διαφέρομεν. Alius, διαφέρομαι, quam lectionem mavult Andreas Dounæus, in Notis Savilianis. Puto utramque quadrare.

πλὴν τὴν μαρτυρίαν πλέκων, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν μαθητῶν, μᾶλλον δὲ καὶ πενταπλῆν. καὶ γὰρ καὶ αὐτὴ ἡ αἰτία δεικνῦσι τὴν ἀνάστασιν, τὸ ὑπὲρ ἀλλοτρίων ἁμαρτιῶν ἀποθανεῖν. εἰ τοίνυν τοῦτο ἀποδέδεικται, εὔδηλον ὅτι καὶ τὸ ἕτερον ἕπεται, τὸ καὶ τοὺς λοιποὺς ἐγείρεσθαι νεκρούς· διὸ καὶ ὡς ἐπὶ [a] ὁμολογουμένου ἐγκαλεῖ καὶ ἐπαπορεῖ, λέγων· Εἰ δὲ Χριστὸς ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστι; καὶ ταύτῃ πάλιν ὑποτεμνόμενος τὴν θρασύτητα τῶν ἀντιλεγόντων. οὐ γὰρ εἶπε, πῶς λέγετε ὑμεῖς, ἀλλὰ, πῶς λέγουσί τινες ἐν ὑμῖν· καὶ οὔτε πάντων ποιεῖται κατηγορίαν, οὔτε αὐτοὺς τούτους οὓς αἰτιᾶται δήλους καθίστησιν, ὥστε μὴ ποιῆσαι ἀναισχυντοτέρους, οὐδ᾽ αὖ πάλιν ἀποκρύπτεται καθόλου, ὥστε αὐτοὺς διορθῶσαι. διὰ δὴ τοῦτο καὶ ἀποσχίσας αὐτοὺς τοῦ πλήθους, πρὸς αὐτοὺς ἀποδύεται, ταύτῃ τε ἀσθενεστέρους ποιῶν καὶ καταπλήττων, καὶ τοὺς ἄλλους ἐν τοῖς πρὸς τούτους ἀγῶσι κατέχων ἀσφαλέστερον ἐπὶ τῆς ἀληθείας, καὶ οὐκ ἀφεὶς αὐτομολῆσαι πρὸς τοὺς διαφθείρειν αὐτοὺς ἐσπουδακότας. καὶ γὰρ καταφορικῶς παρεσκεύασται χρήσασθαι τῷ λόγῳ. εἶτα ἵνα μὴ λέγωσιν, ὅτι τοῦτο μὲν σαφὲς καὶ δῆλον ἅπασι, τὸ τὸν Χριστὸν ἐγηγέρθαι, καὶ οὐδεὶς ἀμφιβάλλει· οὐ μὴν τοῦτο καὶ τὸ ἕτερον συναναγκάζει, τὴν τῶν ἀνθρώπων ἀνάστασιν. τὸ μὲν γὰρ καὶ προανεφωνήθη, καὶ ἐξέβη, καὶ ἐμαρτυρήθη διὰ τῆς ὄψεως, τὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως· τὸ δὲ ἔτι ἐν ἐλπίσιν ἐστὶ, τὸ ἡμέτερον· ὅρα τί ποιεῖ· ἐκ θατέρου μέρους πάλιν αὐτὸ κατασκευάζει, ὅπερ πολλῆς δυνάμεως ἦν. τί γὰρ λέγουσί, φησι, τινὲς, ὅτι οὐκ ἔστι νεκρῶν ἀνάστασις; οὐκοῦν καὶ ἐκεῖνο πάλιν ἐκ τούτου ἀνῄρηται, τὸ τὸν Χριστὸν ἐγηγέρθαι. διὸ καὶ ἐπάγει λέγων, Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται. εἶδες τὴν βίαν, καὶ τὴν φιλονεικίαν Παύλου τὴν ἄμαχον; πῶς οὐκ ἐκ τοῦ δήλου μόνον τὸ ἀμφιβαλλόμενον, ἀλλὰ καὶ ἐκ τοῦ ἀμφιβαλλομένου τοῖς ἀντιλέγουσι τέως ἐκεῖνο τὸ δῆλον πειρᾶται ἀποδεικνύναι; οὐκ ἐπειδὴ ἐδεῖτο ἀποδείξεως τὸ ἤδη γεγενημένον, ἀλλ᾽ ἵνα δείξῃ τοῦτο ὁμοίως ἐκείνῳ πιστὸν ὄν.

Καὶ ποία αὕτη ἀκολουθία, φησί; τὸ μὲν γὰρ τοῦ Χριστοῦ μὴ ἐγερθέντος, μηδὲ ἄλλους ἐγείρεσθαι, ἀκόλουθον· τὸ δὲ εἰ ἄλλοι μὴ ἐγερθεῖεν, μηδὲ τοῦτον ἐγηγέρθαι, πῶς ἂν ἔχοι λόγον τινά; ἐπεὶ οὖν τοῦτο οὐ σφόδρα ἐδόκει λόγον ἔχειν, ὅρα πῶς ἐργάζεται αὐτὸ σφοδρῶς, ἄνωθεν τὰ σπέρματα προκαταβάλλων,

[a] ὁμολογουμένου. Alius, ὡμολογημένου.

A quadruplex connectens testimonium: quod ferebatur per prophetas, quod per rerum eventum, quod per apostolos, quod per discipulos: vel potius quintuplex. Nam ipsa quoque causa ostendit resurrectionem, nempe quod sit mortuus pro aliorum peccatis. Si ergo hoc demonstratum fuit, palam est quod alterum quoque sequatur, cæteros etiam mortuos excitari. Ideo tamquam de eo quod in confesso est reprehendit, & dubium movet, dicens. Si autem Christus resurrexit, quomodo quidam dicunt in vobis quod resurrectio mortuorum non est? Hac quoque ratione amputans asperitatem eorum qui contradicunt. Non enim dixit, quomodo dicitis vos: sed, quomodo dicunt quidam in vobis: & neque omnes accusat, neque eos ipsos quos accusat reddit manifestos, ne eos efficiat impudentiores: neque rursus celat penitus, ut ipsos corrigat. Propterea cum & eos separasset à multitudine, ad disceptandum cum eis accingitur, hac ratione & eos reddens imbecilliores, & obstupefaciens, & alios in suscipiendis adversus eos certaminibus firmius ac stabilius continens in veritate, nec sinens ut ipsi transfugiant ad eos qui studium posuerunt ut ipsos corrumperent. Paratus enim est ut in eos vehementi impetu orationis feratur. Deinde ne dicant hoc quidem esse evidens & omnibus manifestum, quod Christus resurrexerit, & neminem dubitare, non tamen hoc necessario quoque alterum efficere, nempe hominum resurrectionem. Nam quod ad Christi quidem attinet resurrectionem, ea & fuit prædicta, & evenit, & per testimonium visionis est probata: nostra autem resurrectio adhuc in spe est; vide quid facit, ex altera parte rursus id probat, quod magnas habebat vires, quid enim, inquit, dicunt quidam quod non est mortuorum resurrectio? Ergo illud quoque ex hoc est sublatum, quod Christus resurrexerit. Et ideo subjungit, dicens: 13. *Si autem resurrectio mortuorum non est, neque Christus resurrexit.* Vidistin' Pauli violentiam & contentionem inexpugnabilem? quomodo non ex eo solum quod est manifestum, id de quo dubitatur; sed etiam ex eo de quo dubitatur à contradicentibus, jam conetur demonstrare illud quod est manifestum? Non quia id quod jam factum erat opus haberet demonstratione, sed ut ostenderet hoc esse æque atque illud credibile.

2. Et quænam est, inquies, hæc consequentia? Nam quod si Christus quidem non resurrexerit, ne alii quidem resurgant, est consequens; quod autem si alii non resurrexerint, ne ipse quidem resurrexerit, quomodo hoc ullam habeat rationem? Quoniam ergo hoc videbatur non esse admodum rationi consentaneum, vide quomodo consentaneum hoc valde faciat, ab alto prius jaciens semina, ex

ipsa prædicationis causa: nempe quod pro peccatis nostris mortuus resurrexerit, & quod sit primitiæ eorum qui dormierunt. Primitiæ enim cujusnam fuerint primitiæ, nisi eorum qui resurgunt? Quomodo autem fuerint primitiæ, nisi resurgant illi quorum sunt primitiæ? Quomodo ergo non resurgunt? Si autem non resurgunt, cur resurrexit Christus? Cur venit? Cur carnem suscepit, si carnem non erat suscitaturus? Non enim ipse opus habebat ut resurgeret nisi propter nos. Sed hæc quidem ponit postea progrediens; interim autem dicit: Si mortui non resurgunt, neque Christus resurrexit, utpote cum hoc sit connexum. Nam si non fuisset resurrecturus, ne illud quidem fecisset. Vidistin' paulatim totam everti susceptæ carnis dispensationem, ex illis verbis, & ex eo quod non credatur resurrectio? Sed nunc nihil dicit de carnis susceptione, sed de resurrectione. Non enim carnem suscepisse, sed mortuum esse abolet mortem; nam eo carnem habente adhuc dominatum obtinebat illius tyrannis. 14. *Si autem Christus non resurrexit, inanis est prædicatio nostra.* Atqui consequens erat dicere, Si autem Christus non resurrexit, pugnatis cum iis quæ sunt evidentia, & cum tam multis Prophetis, & cum rerum veritate. Sed id ponit quod est eis multo terribilius. *Inanis est ergo prædicatio nostra, inanis est fides vestra.* Exagitare namque vult illorum mentem. Universum, inquit, perdidimus: pereunt omnia si non resurrexit. Vidisti quantum sit mysterium susceptæ carnis dispensationis? Nam si mortuus non potuit resurgere, neque abolitum est peccatum, neque mors est peremta, nec ablatum est maledictum, & non solum nos inania prædicavimus, sed vos quoque credidistis inania. Et non solum hinc ostendit absurditatem horum malorum dogmatum, sed etiam acriter decertat, dicens: 15. *Invenimur autem & falsi testes Dei: quoniam testimonium diximus adversus Deum quod suscitaverit Christum: quem non suscitavit, si mortui non resurgunt.* Si autem hoc est absurdum, est enim Dei accusatio & calumnia, & non excitavit ut dicitis, non hoc solum, sed multa etiam alia sequentur absurda. Et ipsa rursus confirmat, & assumit dicens. 16. *Nam si mortui non resurgunt, neque Christus resurrexit.* Nam si hoc non erat facturus, ne advenisset quidem. Hoc autem non dicit, sed finem, nempe ejus resurrectionem, per ipsam omnes trahens. 17. *Quod si Christus non resurrexit, vana est fides vestra.* Ei quod est manifestum & de quo constat continenter addit Christi resurrectionem, ex eo quod est fortius, id etiam, quod videtur esse imbecillum & dubium, reddens validum & manifestum. *Adhuc estis in peccatis vestris.* Nam si non resurrexit, nec est quidem mortuus. Si autem non est mortuus,

A ἀπ' αὐτῆς τοῦ κηρύγματος τῆς ὑποθέσεως, δηλονότι ὅτι
ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀποθανὼν ἐγήγερται, καὶ
ὅτι ἀπαρχὴ τῶν κεκοιμημένων ἐστίν. ἡ γὰρ ἀπαρχὴ,
τίνος ἂν εἴη ἀπαρχὴ, εἰ μὴ τῶν ἐγειρομένων; πῶς
δὲ ἂν εἴη ἀπαρχὴ, οὐκ ἐγειρομένων ἐκείνων ὧν ἐστιν
ἀπαρχή; πῶς οὖν οὐκ ἐγείρονται; εἰ δὲ οὐκ ἐγεί-
ρονται, διὰ τί ἠγέρθη ὁ Χριστός; διὰ τί ἦλθε;
διὰ τί σάρκα ἀνέλαβεν, εἰ μὴ ἔμελλεν ἀναστήσειν
σάρκα; οὐ γὰρ ἐδεῖτο αὐτὸς, ἀλλὰ δι' ἡμᾶς. ἀλλὰ
ταῦτα μὲν ὕστερον τίθησι προϊών, τέως δέ φησιν· εἰ
B νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, ὡς
ἐκείνου τούτῳ συνημμένου. εἰ γὰρ μὴ ἔμελλεν ἀνί-
στασθαι, οὐδ' ἂν ἐκεῖνο ἐποίησεν. εἶδες κατὰ μικρὸν
ὅλην τὴν οἰκονομίαν ἀνατρεπομένην ἐκ τῶν ἐκείνων
ῥημάτων, καὶ τῆς περὶ τὴν ἀνάστασιν ἀπιστίας; ἀλλὰ
τέως οὐδὲν περὶ τῆς σαρκώσεως λέγει, ἀλλὰ περὶ τῆς
ἀναστάσεως. οὐ γὰρ τὸ σαρκωθῆναι, ἀλλὰ τὸ ἀπο-
θανεῖν τὸν θάνατον ἔλυσεν· ἐπεὶ σάρκα ἔχοντος, ἔτι
ἐκράτει ἡ τυραννὶς ἡ ἐκείνου. εἰ δὲ Χριστὸς οὐκ ἐγή-
γερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. καίτοιγε ἀκό-
C λουθον ἦν εἰπεῖν, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, τοῖς
φανεροῖς μάχεσθε καὶ προφήταις τοσούτοις καὶ πραγ-
μάτων ἀληθείᾳ. ἀλλὰ τὸ πολλῷ φοβερώτερον αὐ-
τοῖς τίθησι· κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. κενὴ δὲ καὶ
ἡ πίστις ὑμῶν. κατασεῖσαι γὰρ αὐτῶν τὴν διάνοιαν βού-
λεται· τὸ πᾶν ἀπωλέσαμεν, φησιν, ἅπαντα οἴχε-
ται, εἰ μὴ ἠγέρθη. εἶδες ὅσον τῆς οἰκονομίας τὸ μυ-
στήριον; εἰ γὰρ ἀποθανὼν οὐκ ἴσχυσεν ἀναστῆναι, οὔτε
ἡ ἁμαρτία λέλυται, οὔτε ὁ θάνατος καθῄρηται, οὔτε
D ἡ κατάρα ἀνῄρηται. καὶ οὐχ ἡμεῖς δὲ μόνον κενὰ ἐκη-
ρύξαμεν, ἀλλὰ καὶ ὑμεῖς κενὰ ἐπιστεύσατε. καὶ οὐ
ταύτῃ μόνον δείκνυσι τὴν ἀτοπίαν τούτων τῶν πονη-
ρῶν δογμάτων, ἀλλὰ καὶ ἐπαγωνίζεται λέγων· εὑ-
ρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ· ὅτι ἐμαρ-
τυρήσαμεν κατ' αὐτοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ
ἔγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. εἰ δὲ ἄτο-
πον τοῦτο, κατηγορία γὰρ θεοῦ καὶ συκοφαντία, καὶ οὐκ
ἤγειρεν, ὡς φατε, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα ἕψεται
ἄτοπα. καὶ πάλιν αὐτὰ κατασκευάζει, καὶ ἀναλαμβάνει
E λέγων· εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς
ἐγήγερται. εἰ γὰρ μὴ ἔμελλε τοῦτο ποιεῖν, οὐδ' ἂν
παρεγένετο. καὶ οὐ λέγει τοῦτο, ἀλλὰ τὸ τέλος, τὴν
ἀνάστασιν αὐτοῦ, δι' αὐτῆς πάντας ἕλκων. εἰ δὲ Χρι-
στὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν. τῷ σαφεῖ
καὶ ὡμολογημένῳ τὴν ἀνάστασιν τοῦ Χριστοῦ συνεχῶς
προστίθησιν, ἀπὸ τοῦ ἰσχυροτέρου καὶ τὸ ἀσθενὲς
εἶναι δοκοῦν καὶ ἀμφίβολον, ἰσχυρὸν ποιῶν καὶ σαφές.
ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. εἰ γὰρ οὐκ ἠγέρθη,
οὐδὲ ἀπέθανεν· εἰ δὲ οὐκ ἀπέθανεν, οὐδὲ τὴν ἁμαρ-

τίαν ἔλυσεν. ὁ γὰρ θάνατος αὐτοῦ, τῆς ἁμαρτίας λύσις. ἴδε γάρ, φησιν, ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. πῶς δὲ αἴρων; τῷ θανάτῳ. διὸ καὶ ἀμνὸν ἐκάλεσεν, ὡς σφαττόμενον. εἰ δὲ οὐκ ἀνέστη, οὐδὲ ἐσφάγη· εἰ δὲ οὐκ ἐσφάγη, οὐδὲ ἡ ἁμαρτία ἐλύθη· εἰ δὲ οὐκ ἐλύθη, ἐν αὐτῇ ἐστέ· εἰ δὲ ἐν αὐτῇ ἐστε, εἰκῆ ἐκηρύξαμεν· εἰ δὲ εἰκῆ ἐκηρύξαμεν, εἰκῆ ἐπιστεύσατε· ἄλλως δὲ καὶ ὁ θάνατος ἀθάνατος μένει, εἰ μὴ ἀνέστη. εἰ γὰρ καὶ αὐτὸς κατεσχέθη ὑπὸ τοῦ θανάτου, καὶ οὐκ ἔλυσεν αὐτοῦ τὰς ὠδῖνας, πῶς πάντας τοὺς ἄλλους ἀπήλλαξεν ἔτι αὐτὸς κατεχόμενος; διὸ καὶ ἐπάγει· ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο. καὶ τί λέγω περὶ ὑμῶν, φησιν, ὅπουγε καὶ ἐκεῖνοι πάντες ἀπολώλασιν, οἱ τὸ πᾶν διανύσαντες, καὶ οὐχ ὑποκείμενοι λοιπὸν τῇ ἀδηλίᾳ τοῦ μέλλοντος; τὸ δέ, ἐν Χριστῷ, ἢ τὸ ἐν τῇ πίστει φησίν, ἢ οἱ δι' αὐτὸν ἀποθανόντες, οἱ πολλοὺς ὑπομείναντες κινδύνους, οἱ πολλὰς ταλαιπωρίας, οἱ διὰ τῆς στενῆς ὁδοῦ βαδίσαντες. ποῦ νῦν εἰσὶ τὰ πονηρὰ τῶν Μανιχαίων στόματα, τῶν λεγόντων ἀνάστασιν αὐτὸν ἐνταῦθα λέγειν, τῆς ἁμαρτίας τὴν ἀπαλλαγήν; οἱ γὰρ πυκνοὶ οὗτοι καὶ συνεχεῖς συλλογισμοὶ καὶ ἀντιστρέφοντες, οὐδὲν τούτων ἐμφαίνουσιν ὧν ἐκεῖνοι λέγουσιν, ἀλλ' ὅπερ ἡμεῖς φαμέν. καὶ γὰρ ἀνάστασις τοῦ πεπτωκότος λέγεται. διὰ τοῦτο καὶ συνεχῶς ἐπιλέγει, οὐ τὸ ἐγηγέρθαι μόνον, ἀλλὰ καὶ τὸ ἐκ νεκρῶν προστιθείς. καὶ Κορίνθιοι δὲ οὐ περὶ ἀφέσεως ἁμαρτημάτων ἀμφέβαλλον, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως. ποία δὲ ὅλως ἀνάγκη, εἰ μὴ ἀναμάρτητοι εἶεν οἱ ἄνθρωποι, μηδὲ τὸν Χριστὸν τοιοῦτον εἶναι; εἰ γὰρ μὴ ἔμελλεν ἐγείρειν, ἀκόλουθον τὸ λέγειν, τίνος ἕνεκεν ἦλθε, καὶ σάρκα ἔλαβε, καὶ ἀνέστη; τὸ δὲ ἡμέτερον οὐκέτι. καὶ γὰρ ἁμαρτανόντων ἀνθρώπων καὶ μὴ ἁμαρτανόντων, ἀεὶ σύνεστι τῷ θεῷ τὸ ἀναμάρτητον, καὶ οὐχ ἕπεται τὸ ἡμέτερον ἐκείνῳ, οὐδὲ ἀντιστρέφει τοῦτο πρὸς ἐκεῖνο, ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων ἀναστάσεως. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

Τί λέγεις, ὦ Παῦλε; πῶς ἐν τῇ ζωῇ ταύτῃ μόνον ἠλπικότες ἐσμέν, εἰ σώματα οὐκ ἐγείρεται, τῆς ψυχῆς μενούσης καὶ ἀθανάτου οὔσης; ὅτι κἂν μένῃ ἡ ψυχή, κἂν μυριάκις ἀθάνατος ᾖ, ὥσπερ οὖν καὶ ἔστι, τῆς σαρκὸς χωρὶς οὐκ ἀπολήψεται τὰ ἀπόρρητα ἀγαθὰ ἐκεῖνα, ὥσπερ οὖν οὐδὲ κολασθήσεται. [a] πάντα γὰρ φανερωθήσεται ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος, ἃ ἔπραξεν, εἴτε ἀγαθά, εἴτε κακά. διὰ τοῦτό φησιν, εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. εἰ γὰρ οὐκ ἀνίσταται τὸ σῶμα, ἀστεφάνωτος ἡ ψυχὴ

[a] πάντα γάρ. Forte, πάντες γάρ.

A nec abolevit quidem peccatum. Ejus enim mors est abolitio peccati. *Ecce* enim, inquit, *Agnus Dei qui tollit peccatum mundi.* Quomodo autem tollens? Morte. Et ideo etiam vocavit Agnum, ut qui occideretur. Si autem non resurrexit, neque fuit occisus; si non fuit occisus, neque peccatum est abolitum; si non fuit abolitum, in eo estis; si autem in eo estis, frustra prædicavimus; si frustra prædicavimus, frustra credidistis. Alioquin autem mors quoque manet immortalis, si non resurrexit. Si enim ipse quoque detentus B fuit à morte, & dolorem ejus non solvit, quomodo alios omnes liberavit, qui ipse adhuc detinebatur? Et ideo subjungit, 18. *Ergo & qui dormierunt in Christo, perierunt.* Et quid dico, inquit, de vobis, cum etiam illi omnes perierint, qui totum confecerunt, & futuro, quod est incertum, non sunt amplius subjecti? Illud autem, in Christo, aut dicit in fide: aut qui propter ipsum sunt mortui, qui multa sustinuerunt pericula, qui multas passi sunt afflictiones, qui ingressi sunt per viam angustam. Ubi nunc sunt scelesta ora Manichæorum, qui dicunt eum di- C cere eam, quæ hîc est resurrectionem, nempe liberationem à peccato? Densi enim isti & continui ac reciproci syllogismi, nihil indicant eorum quæ illi dicunt, sed id quod nos dicimus. Dicitur enim resurrectio ejus quod cecidit restitutio. Et ideo frequenter resumit, non solum dicens resurrexisse, sed etiam addens, ex mortuis. Et Corinthii sane non dubitabant de remissione peccatorum, sed de resurrectione corporum. Quænam autem omnino urget necessitas, ut si homines non sint ejusmodi ut non peccent, D ne Christus quidem sit hujusmodi? Nam si non esset suscitaturus, consequens esset dicere, Cur venit, & carnem accepit, & resurrexit? De nobis autem minime. Nam & peccantibus hominibus & non peccantibus, cum Deo semper est quod in eum non cadat peccatum: & nos illum non sequimur, neque hoc ad illud reciprocatur, sicut in resurrectione corporum. 19. *Si in hac vita tantum in Christo sperantes sumus, miserabiliores sumus omnibus hominibus.*

Contra Manichæos.

3. Quid dicis, ô Paule? Quomodo in hac vita sperantes sumus, si corpora non E resurgunt, cum maneat anima & sit immortalis? Quoniam si maneat anima, & millies sit immortalis, sicut est revera, absque carne non accipiet bona illa ineffabilia, sicut neque punietur. Omnia enim manifestabuntur ante tribunal Christi, ut accipiat unusquisque quæ per corpus gessit, sive bona, sive mala. Propterea dicit, si in hac vita tantum in Christo sperantes sumus, miserabiliores sumus omnibus hominibus. Si enim non resurgit corpus, incoronata manet anima ex-

1. Cor. 5.

tra illam beatitudinem quæ est in cælis. Si autem hoc ita se habet, tunc nihil omnino consequemur. Si tunc nihil consequemur, in præsenti sunt remunerationes. Quid ergo, inquit, hac ratione fuerit nobis infelicius? Hæc autem dicebat, simul & eos confirmans ac stabiliens in eo quod dicitur de resurrectione corporum, & de immortali illa vita persuadens, ne existimarent nostra omnia dissolvi & desinere in præsenti. Nam cum per præcedentia satis confirmasset quod volebat & dixisset, Si mortui non resurgunt, neque Christus resurrexit; si autem Christus non resurrexit, periimus, & adhuc sumus in peccatis: rursus hoc quoque subjungit, exagitans illorum arrogantiam. Quando enim est necessarium aliquod dogma introducturus, metu primum percellit cordis eorum duritiem: quod hic quoque fecit, ut qui & superius ea disperserit, & animo anxios reddiderit, ut qui ab omnibus excidissent; & nunc rursus aliter, & ut maxime doleant, idem faciens, ac dicens, Miserabiliores sumus omnibus hominibus, si post tot bella, & mortes, & mala innumerabilia, tantis bonis simus privandi, & intra præsens tempus nostra consistant. Omnia enim pendent à resurrectione. Quamobrem hinc quoque est perspicuum, quod non loqueretur de peccatis, sed de resurrectione corporum, & de vita præsenti & futura. 20. *Nunc autem Christus resurrexit à mortuis, primitiæ dormientium.* Postquam ostendit quot mala oriantur ex eo quod non credatur resurrectio, rursus repetit quod dictum est, & dicit: Nunc autem Christus resurrexit a mortuis, continuo addens a mortuis, ut obturet ora hæreticorum. *Primitiæ eorum qui dormierunt.* Si est autem primitiæ, eos quoque oportet resurgere. Si autem peccatorum diceret resurrectionem, nemo autem est absque peccato: nam Paulus dicit, *Nihil mihi conscius sum, sed non in hoc justificatus sum;* (1. Cor. 4. 4.) quomodo erunt aliqui qui resurgant secundum vestram sententiam? Viden' eum esse loquutum de corporibus? Et ut hoc fide dignum faceret, continuo Christum adducit in medium, qui in carne resurrexit. Deinde etiam affert causam. Nam ut dixi, quando enunciat quidem, causam autem non dicit, non tam facile a multis admittitur & probatur oratio. Quænam est ergo causa? 21. *Quoniam quidem per hominem mors, & per hominem resurrectio mortuorum.* Si autem per hominem, per eum plane qui habet corpus. Vide porro ejus solertiam, qui etiam aliter orationem efficit necessariam. Nam eum qui fuit superatus, oportet & prostratam instaurare ac reparare naturam, & ipsum vincere. Sic enim probrum excusserit. Videamus autem quamnam dicit mortem. 22. *Sicut enim in Adam omnes moriuntur, ita & in Christo omnes vivificabuntur.* Quid? omnes-ne? dic quæso,

A μένει ἔξω τῆς μακαριότητος ἐκείνης τῆς ἐν οὐρανοῖς. Εἰ δὲ τοῦτο, οὐδενὸς ἀπολαυσόμεθα τότε καθόλου· εἰ δὲ τότε οὐδενὸς, ἐν τῷ παρόντι τὰ τῶν ἀμοιβῶν. τί οὖν ἡμῶν κατὰ τοῦτο ἀθλιώτερον γένοιτ' ἄν φησι; ταῦτα δὲ ἔλεγεν ὁμοῦ μὲν εἰς τὸν περὶ ἀναστάσεως στηρίζων τῶν σωμάτων αὐτοὺς λόγον, ὁμοῦ δὲ καὶ περὶ τῆς ἀθανάτου ζωῆς ἐκείνης πείθων, ἵνα μὴ εἰς τὸ παρὸν νομίζωσι τὰ ἡμέτερα καταλύεσθαι πάντα. κατασκευάσας γὰρ ἱκανῶς διὰ τῶν ἔμπροσθεν, ὅπερ ἐβούλετο, καὶ εἰπὼν, Εἰ νεκροὶ οὐκ ἐγείρονται, B οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἠγέρθη, ἀπωλόμεθα, καὶ ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις, πάλιν καὶ τοῦτο ἐπάγει, καταστέλλων αὐτῶν τὴν ἀπόνοιαν. καὶ γὰρ ὅταν μέλλῃ τι τῶν ἀναγκαίων εἰσάγειν δογμάτων, τῷ φόβῳ τὴν πώρωσιν αὐτῶν διασαλεύει πρότερον· ὃ δὴ καὶ ἐνταῦθα ἐποίησεν, ἀνωτέρω τε αὐτὰ διασπείρας, καὶ ἐναγωνίους καταστήσας αὐτοὺς, ὡς τοῦ παντὸς ἐκπεσόντας· καὶ νῦν πάλιν ἑτέρως, καὶ ὡς ἂν μάλιστα ἤλγησαν, τὸ αὐτὸ τοῦτο ποιῶν, καὶ λέγων, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν, εἰ μετὰ τοσούτους πολέμους, καὶ θανάτους, καὶ τὰ C μυρία δεινὰ, τοσούτων μέλλοιμεν ἐκπίπτειν ἀγαθῶν, καὶ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἕστηκε. καὶ γὰρ πάντα τῆς ἀναστάσεως ἤρτηται. ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐ περὶ ἁμαρτημάτων ὁ λόγος αὐτῷ ἦν, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως, καὶ ζωῆς τῆς παρούσης, καὶ τῆς μελλούσης. νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων. δείξας ὅσα ἐκ τοῦ μὴ πιστεύεσθαι τὴν ἀνάστασιν τίκτεται τὰ κακὰ, ἀναλαμβάνει τὸν λόγον πάλιν, καί φησι, νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, συνεχῶς τὸ ἐκ νεκρῶν προστιθεὶς, ὥστε ἀποῤῥάψαι τῶν D αἱρετικῶν τὰ στόματα. ἀπαρχὴ τῶν κεκοιμημένων. εἰ δὲ ἀπαρχὴ, καὶ τούτους ἀναστῆναι δεῖ. εἰ δὲ ἀνάστασιν τὴν τῶν ἁμαρτιῶν ἔλεγεν, οὐδεὶς δὲ ἁμαρτίας ἐκτὸς, καὶ γὰρ Παῦλος λέγει, οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, πῶς ἔσονταί τινες οἱ ἀνιστάμενοι καθ' ὑμᾶς; ὁρᾷς ὅτι περὶ σωμάτων ὁ λόγος αὐτῷ ἦν; καὶ ἵνα ἀξιόπιστον αὐτὸ ποιήσῃ, συνεχῶς τὸν Χριστὸν εἰς τὸ μέσον προφέρει, τὸν ἀναστάντα ἐν σαρκί. εἶτα καὶ αἰτιολογεῖ. ὅπερ γὰρ ἔφην, ὅταν ἀποφαίνηται μὲν, τὴν δὲ αἰτίαν μὴ λέγῃ, οὐχ E οὕτως εὐπαράδεκτος ὁ λόγος γίνεται τοῖς πολλοῖς. τίς οὖν ἡ αἰτία; ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις τῶν νεκρῶν. εἰ δὲ δι' ἀνθρώπου, σῶμα πάντως ἔχοντος. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν, πῶς καὶ ἑτέρως ἀναγκαῖον ποιεῖ τὸν λόγον. τὸν γὰρ ἡττηθέντα, φησὶν, αὐτὸν καὶ ἀναμαχέσασθαι δεῖ τὴν καταβληθεῖσαν φύσιν, αὐτὸν καὶ νικῆσαι. οὕτω γὰρ τὸ ὄνειδος ἀπετρίβετο. ἴδωμεν δὲ ποῖόν φησι θάνατον, ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. τί οὖν; πάντες;

Εἰπέ μοι, ἀπέθανον ἐν τῷ Ἀδὰμ τὸν τῆς ἁμαρτίας θάνατον; πῶς οὖν Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ; πῶς δὲ Ἀβραάμ; πῶς δὲ Ἰώβ; πῶς δὲ οἱ ἄλλοι ἅπαντες; τί δὲ, εἰπέ μοι, πάντες ζωοποιηθήσονται ἐν τῷ Χριστῷ; καὶ ποῦ οἱ εἰς γέενναν ἀπαγόμενοι; ἂν μὲν γὰρ περὶ σώματος εἰρημένον ᾖ τοῦτο, ἕστηκεν ὁ λόγος· ἂν δὲ περὶ δικαιοσύνης καὶ ἁμαρτίας, οὐκέτι. Εἶτα, ἵνα μὴ τὴν ζωοποίησιν κοινὴν ἀκούσας, καὶ τοὺς ἁμαρτωλοὺς νομίσῃς σώζεσθαι, ἐπήγαγεν· ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. μὴ γὰρ, ἐπειδὴ ἀνάστασιν ἤκουσας, νόμιζε πάντας τῶν αὐτῶν ἀπολαύειν. εἰ γὰρ ἐπὶ τῆς τιμωρίας οὐ πάντες τὰ αὐτὰ πείσονται, ἀλλὰ πολλὴ ἡ διαφορὰ, πολλῷ μᾶλλον ἔνθα ἁμαρτωλοὶ καὶ δίκαιοι, πλείων ἡ διάστασις ἔσται. ἀπαρχὴ Χριστὸς, ἔπειτα, οἱ τοῦ Χριστοῦ· τουτέστιν, οἱ πιστοὶ, καὶ οἱ εὐδοκιμηκότες. Εἶτα τὸ τέλος. ὅταν γὰρ ἀναστῶσιν ἐκεῖνοι, τὰ πράγματα ἅπαντα λήψεται τέλος, οὐ καθάπερ νῦν ἀναστάντος τοῦ Χριστοῦ τὰ πράγματα ἕστηκεν ἔτι μετέωρα. διὸ προσέθηκεν· ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἵνα μάθῃς ὅτι περὶ ἐκείνου τοῦ καιροῦ διαλέγεται· ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν.

Ἐνταῦθά μοι προσέχετε μετὰ ἀκριβείας, καὶ ὁρᾶτε μή τι διαφύγῃ τῶν λεγομένων ὑμᾶς. καὶ γὰρ πρὸς ἐχθροὺς ἡμῖν ἡ μάχη, διὸ πρότερον τὴν εἰς ἄτοπον ἀπαγωγὴν δεῖ γυμνάζειν, ὃ καὶ Παῦλος πολλάκις ποιεῖ. οὕτω γὰρ μάλιστα ἃ λέγουσιν, εὐφώρατα ἡμῖν φανεῖται. ἐρώμεθα οὖν αὐτοὺς πρῶτον, τί ἐστι τὸ εἰρημένον, ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί; εἰ γὰρ ἁπλῶς ἐκλάβοιμεν τοῦτο, καὶ μὴ θεοπρεπῶς, οὐκ ἔσται μετὰ ταῦτα ἔχων αὐτήν. ὁ γὰρ παραδοὺς ἑτέρῳ, παύεται λοιπὸν τοῦ κατέχειν αὐτός. καὶ οὐ τοῦτο μόνον ἔσται τὸ ἄτοπον, ἀλλ' ὅτι οὐδὲ ἐκεῖνος ὁ παραλαβὼν εὑρεθήσεται πρὶν ἢ παραλαβεῖν ἔχων. οὐκοῦν κατ' ἐκείνους οὔτε ὁ πατὴρ βασιλεὺς ἦν ἔμπροσθεν, καὶ διώκει τὰ ἡμέτερα, οὔτε ὁ υἱὸς μετὰ ταῦτα φανεῖται βασιλεὺς ὤν. πῶς οὖν περὶ μὲν τοῦ πατρὸς φησιν αὐτὸς, ὅτι ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι; περὶ δὲ αὐτοῦ ὁ Δανιὴλ, ὅτι ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, ἥ τις οὐ παρελεύσεται. Εἶδες πόσα ἄτοπα τίκτεται, καὶ μαχόμενα ταῖς γραφαῖς, ὅταν ἀνθρωπίνως ἐκλαμβάνῃ τις τὰ λεγόμενα; ποίαν δὲ καὶ ἀρχὴν ἄρα ἐνταῦθά φησι καταργεῖν; τὴν τῶν ἀγγέλων; ἄπαγε. ἀλλὰ τὴν τῶν πιστῶν; οὐδὲ τοῦτο. ἀλλὰ ποίαν; τὴν τῶν δαιμόνων, περὶ ἧς φησιν, οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. νῦν μὲν γὰρ οὐδέπω κατήργηται τέλεον· ἐνεργοῦσι γὰρ πολλαχοῦ, τότε δὲ παύσονται. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας

A mortui sunt in Adam morte peccati? Quomodo ergo Noë justus in generatione sua? quomodo Abraham? Quomodo Job? Quomodo alii omnes? Quid vero, dic rogo, omnes-ne vivificabuntur in Christo? Et ubi sunt qui abducuntur in gehennam? Nam si hoc quidem dictum est de corpore, stat quod dicitur. Sin autem de justitia & peccato, nequaquam. Deinde ne cum audieris communem vivificationem, etiam peccatores existimares esse salvos, subjunxit: 23. *Unusquisque autem in suo ordine.* Nam quoniam audivisti resurrectionem, ne B existimes omnes eadem assequi & iisdem frui. Nam si in supplicio non omnes eadem patientur, sed magna est differentia, multo magis ubi sunt peccatores & justi, major erit distantia. *Primitiæ Christus: deinde ii qui sunt Christi;* hoc est fideles, & qui sunt probati, & bonæ existimationis, 24. *Mox finis.* Nam quando illi resurrexerint, res omnes finem accipient: non sicut nunc postquam resurrexerit Christus, omnia adhuc sunt in suspenso, & ideo addidit. *In ejus adventu*, ut discas ipsum loqui de illo tempore. *Cum tradiderit re-* C *gnum Deo & Patri; cum evacuaverit omnem principatum, potestatem, & virtutem.*

4. Hic attente animum adhibete, & videte ne quid vos effugiat eorum quæ dicuntur: est enim nobis pugna cum inimicis; ideo prius est exercenda deductio ad absurdum: quod sæpe etiam facit Paulus. Sic enim maxime quæ dicunt, apparebunt nobis deprehensu facilia. Eos ergo primum rogemus quid sit quod dictum est, *Cum tradiderit regnum Deo & Patri?* Nam si id inconsiderate acceperimus, & non ut Deo convenit, non illud postea habebit. Nam qui alii tra- D didit, desinit de cætero ipse id tenere. Nec erit solum hoc absurdum, sed etiam quod ne ille quidem qui accepit, invenietur habere priusquam acceperit. Congruenter ergo iis quæ dicunt, neque Pater erat rex antea, & nostra persequitur: neque Filius postea rex esse apparebit. Quomodo ergo ipse quidem dicit de Patre, *Pater meus usque nunc operatur, & ego operor?* De ipso autem dicit Daniel, *Regnum ejus, regnum æternum, quod non præteribit.* Viden' quam multa oriantur absurda, & quam cum scripturis pugnantia, cum quispiam quæ dicuntur huma- E ne acceperit? Quemnam autem hic dicit evacuari & aboleri principatum? Angelorum-ne? Absit. At fidelium? Ne hoc quidem. Sed quemnam? Dæmonum, de quo dicit: *Non est nobis colluctatio adversus carnem & sanguinem, sed adversus principatus, adversus potestates, adversus mundi rectores tenebrarum hujus sæculi.* Nam nunc quidem non sunt plene abolita nec adhuc cessant: in multis enim locis operantur: tunc autem cessabunt. 25. *Oportet enim illum regnare: donec ponat omnes inimicos sub pedibus*

Joan. 5. 17.

Dan. 2. 44.

Ephes. 6. 16.

*suis.* Rursus hinc quoque aliud oritur absurdum, nisi id quoque acceperimus, ut Deo convenit. Nam illud, *Donec*, est finis & determinationis. In Deo autem hoc non est. 26. *Novissima inimica destruetur mors.* Quomodo novissima? Post omnes: post diabolum, post alia omnia. Etenim etiam in initio intravit novissima. Prius enim diaboli consilium, & inobedientia, & tunc mors. Potestate ergo nunc quoque est abolita, re autem ipsa tunc. 27. *Omnia enim subjecit sub pedibus ejus. Cum autem dicat, Omnia subjecta sunt ei, sine dubio præter eum qui subjecit ei omnia.* 28. *Cum autem subjecta fuerint illi omnia, tunc & ipse Filius subjectus erit illi, qui subjecit sibi omnia.* Atqui antea non Patrem dicebat esse qui subjecit, sed ipsum evacuare & abolere. Cum, inquit, evacuaverit omnem principatum & potestatem. Et rursus, Oportet enim ipsum regnare: donec ponat omnes inimicos sub pedibus ejus. Quomodo ergo hic dicit Patrem? Nec hoc est solum quod videtur esse dubium, sed etiam quod metu valde absurdo est affectus, & usus est correctione dicens: Præter eum qui ei subjecit omnia, tamquam aliquibus suspicantibus, num Pater quoque aliquando subjiceretur Filio: quo quid fuerit magis alienum a ratione? Sed tamen hoc timuit. Quid ergo est? etenim multæ deinceps occurrunt quæstiones. Sed animum mihi adhibete: etenim mihi necesse est primum dicere Pauli scopum & institutum, & consilium quod ubique videris resplendere; & tunc afferre solutionem. Nam hoc quoque ad solutionem nobis confert. Quæ est ergo sententia Pauli, & quis est mos ejus? Aliter loquitur, quando loquitur de sola divinitate, & aliter quando acciderit ut loquatur de susceptæ carnis dispensatione. Nam quando carnem apprehenderit, de cætero secure omnia loquitur humilia & abjecta, confidens nempe, quod ea sit apta & idonea ad suscipiendum ea quæ dicuntur. Videamus ergo hic quoque an loquatur de sola divinitate, an cum carnis susceptæ dispensatione de ipso hæc enuntiet quæ dicit. Imo vero prius ostendamus ubinam hoc, quod dixi, fecerit. Ad Philippenses scribens dicit: *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse Deo æqualem, sed seipsum exinanivit servi formam accipiens, in similitudine hominum factus, & figura inventus ut homo; humiliavit seipsum, obediens factus usque ad mortem, mortem autem crucis. Quapropter Deus exaltavit illum.* Vidistin' quomodo, quando de sola quidem loquebatur divinitate, illa magna dixit, eum in forma Dei esse, & æqualiter Genitori; & ipsi totum adscribit? quando autem ostendit eum tibi carnem suscepisse, rursus depressit orationem. Nisi enim hæc diviseris, magna est repugnantia eorum quæ dicta sunt. Nam si Deo erat æqualis, quomodo exaltavit

Philip. 2. 6.

A αὐτοῦ. πάλιν κἀντεῦθεν ἕτερον ἄτοπον τίκτεται, ἂν μὴ καὶ τοῦτο θεοπρεπῶς ἐκλάβωμεν. τὸ γὰρ, ἄχρις, τέλους ἐστὶ καὶ διορισμοῦ· ἐπὶ δὲ θεοῦ, τοῦτο οὐκ ἔστιν. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. πῶς ἔσχατος; μετὰ πάντας, μετὰ τὸν διάβολον, μετὰ τὰ ἄλλα ἅπαντα. καὶ γὰρ καὶ ἐν ἀρχῇ ἔσχατος εἰσῆλθε. πρότερον γὰρ ἡ συμβουλὴ τοῦ διαβόλου, καὶ ἡ παρακοὴ, καὶ τότε ὁ θάνατος. τῇ μὲν οὖν δυνάμει καὶ νῦν κατήργηται· τῇ δὲ ἐνεργείᾳ, τότε. πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ὅταν δὲ εἴπῃ, πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ B ὑποτάξαντος αὐτῷ τὰ πάντα. ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα. καὶ μὴν ἔμπροσθεν οὐ τὸν πατέρα ἔλεγεν εἶναι τὸν ὑποτάξαντα, ἀλλ᾽ αὐτὸν καταργοῦντα. ὅταν γὰρ καταργήσῃ, φησὶ, πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν· καὶ πάλιν, δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. πῶς οὖν ἐνταῦθα τὸν πατέρα, φησί; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δοκοῦν ἄπορον εἶναι, ἀλλ᾽ ὅτι καὶ δέδοικε δέος σφόδρα ἄτοπον, καὶ κέχρηται C ἐπιδιορθώσει λέγων, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα, ὡς τινῶν ὑποπτευόντων, μήποτε καὶ ὁ πατὴρ ὑποταγῇ τῷ υἱῷ· οὗ τί γένοιτ᾽ ἂν ἀλογώτερον; ἀλλ᾽ ὅμως αὐτὸ δέδοικε. τί οὖν ἐστί; καὶ γὰρ πολλὰ τὰ ζητήματα ἐφεξῆς κεῖται· ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν. καὶ γὰρ ἀναγκαῖον ἡμῖν πρότερον καὶ σκοπὸν εἰπεῖν Παύλου καὶ τὴν γνώμην, ἣν πανταχοῦ εὕροι τις ἂν διαλάμπουσαν, καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν. καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν λύσιν ἡμῖν συντελεῖ. τίς οὖν ἡ Παύλου γνώμη, καὶ τί τὸ ἔθος; ἄλλως, ὅταν περὶ τῆς θεότητος μόνης διαλέ- D γηται, φθέγγεται, καὶ ἑτέρως, ὅταν εἰς τὸν τῆς οἰκονομίας ἐμπέσῃ λόγον. ὅταν γὰρ ἐπιλάβηται τῆς σαρκὸς, ἀδεῶς ἅπαντα λοιπὸν λέγει τὰ ταπεινὰ, θαῤῥῶν ὡς οὔσης ἱκανῆς δέξασθαι τὰ λεγόμενα. ἴδωμεν τοίνυν καὶ ἐνταῦθα πότερον περὶ γυμνῆς τῆς θεότητος ὁ λόγος αὐτῷ, ἢ μετὰ τῆς οἰκονομίας ἀποφαίνεται περὶ αὐτοῦ ταῦτα, ἅπερ φησί· μᾶλλον δὲ πρότερον δείξωμεν, ποῦ τοῦτο ἐποίησεν ὅπερ εἶπον. ποῦ τοίνυν τοῦτο ἐποίησε; Φιλιππησίοις γράφων φησὶν, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα E θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν. εἶδες πῶς, ὅτε μὲν περὶ τῆς θεότητος διελέγετο μόνης, τὰ μεγάλα ἐκεῖνα εἴρηκε, τὸ ἐν μορφῇ θεοῦ ὑπάρχειν, καὶ τὸ εἶναι ἴσα τῷ γεγεννηκότι, καὶ αὐτῷ τὸ πᾶν ἀνατίθησιν; ἐπειδὴ δὲ ἔδειξεν αὐτόν σοι σαρκωθέντα, κατεβίβασε πάλιν τὸν λόγον. εἰ γὰρ μὴ ταῦτα διέλοις, πολλὴ ἡ μάχη τῶν εἰρημένων. καὶ γὰρ εἰ ἴσα θεῷ ἦν, πῶς τὸν

ἴσον

ἴσον ἑαυτῷ ὑπερύψωσεν; εἰ ἐν μορφῇ θεοῦ ἦν, πῶς ἐχαρίσατο αὐτῷ ὄνομα; ὁ γὰρ χαριζόμενος, τῷ μὴ ἔχοντι χαρίζεται, καὶ ὁ ὑψῶν, τὸν ἔμπροσθεν ταπεινὸν ὄντα ὑψοῖ. εὑρεθήσεται ἄρα ἀτελὴς ὢν, καὶ ἐνδεῶς ἔχων πρὶν ἢ λαβεῖν τὸ ὕψος καὶ τὸ ὄνομα, καὶ μυρία ἕτερα λήμματα ἐντεῦθεν ἕψεται ἄτοπα. ἀλλ' ἐὰν τὴν οἰκονομίαν προσθῇς, οὐχ ἁμαρτήσῃ ταῦτα λέγων. ταῦτα δὴ καὶ ἐνταῦθα λογίζου, καὶ μετὰ τῆς γνώμης ἐκδέχου ταύτης τὰ εἰρημένα.

Μετὰ δὲ τούτων καὶ ἑτέρας αἰτίας ἐροῦμεν. τέως δὲ ἐκεῖνο ἀναγκαῖον εἰπεῖν, ὅτι καὶ περὶ ἀναστάσεως ὁ λόγος ἦν τῷ Παύλῳ, πράγματος ἀδυνάτου δοκοῦντος εἶναι καὶ σφόδρα ἀπιστουμένου· καὶ πρὸς Κορινθίους ἐπέστελλεν, ἔνθα πλείους οἱ φιλόσοφοι οἱ τὰ τοιαῦτα κωμῳδοῦντες ἀεί. καὶ γὰρ ἐν τοῖς ἄλλοις, ἀλλήλοις συῤῥηγνύμενοι, ἐν τούτῳ πάντες, ἅτε ἐξ ἑνὸς στόματος συνέπνευσαν, δογματίζοντες μὴ εἶναι ἀνάστασιν. ἀγωνιζόμενος τοίνυν ὑπὲρ τοιαύτης ὑποθέσεως οὕτως ἀπιστουμένης καὶ καταγελωμένης καὶ διὰ τὴν πρόληψιν τὴν γεγενημένην καὶ διὰ τὴν τοῦ πράγματος δυσκολίαν, καὶ βουλόμενος κατασκευάσαι τὸ δυνατὸν, πρῶτον ἐκ τῆς ἀναστάσεως τοῦ Χριστοῦ τοῦτο ἐργάζεται. καὶ ἀποδείξας αὐτὴν καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τῶν ἑωρακότων, καὶ ἀπὸ τῶν πιστευσάντων, ἐπειδὴ ἔλαβεν ὡμολογημένην τὴν εἰς ἄτοπον ἀπαγωγὴν, καὶ τὴν τῶν ἀνθρώπων κατασκευάζει λοιπόν. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, φησιν, οὐδὲ Χριστὸς ἐγήγερται. εἶτα συνεχῶς ταῦτα ἀντιστρέψας ἐν τοῖς ἔμπροσθεν, ἑτέρως πάλιν ἐπιχειρεῖ, ἀπαρχὴν αὐτὸν καλῶν, καὶ δεικνὺς καταργοῦντα πᾶσαν ἀρχὴν, καὶ ἐξουσίαν, καὶ δύναμιν, καὶ θάνατον ἔσχατον. πῶς οὖν καταργηθείη, φησὶν, ἐὰν μὴ πρότερον, ἅπερ εἶχεν, ἀποβάλῃ σώματα; ἐπεὶ οὖν μεγάλα περὶ τοῦ μονογενοῦς ἐφθέγξατο, ὅτι παραδίδωσι τὴν βασιλείαν, τουτέστιν, ὅτι αὐτὸς ἀνύει ταῦτα, καὶ αὐτὸς τὸν πόλεμον νικᾷ, καὶ πάντα τίθησιν ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπήγαγε, τὴν ἀπιστίαν τῶν πολλῶν διορθούμενος· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. οὐ τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ τὸ, ἄχρις, εἶπεν, ἀλλ' ἀξιόπιστον ποιῶν τὸ εἰρημένον, καὶ θαῤῥεῖν παρασκευάζων. μὴ γὰρ, ἐπειδὴ ἤκουσας, φησιν, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ τὸν διάβολον, καὶ τὰς τῶν δαιμόνων φάλαγγας τὰς τοσαύτας καὶ τῶν ἀπίστων τὰ πλήθη καὶ τοῦ θανάτου τὴν τυραννίδα καὶ τὰ κακὰ ἅπαντα, φοβηθῇς, ὡς ἀτονοῦντος αὐτοῦ. ἕως γὰρ ἂν ποιήσῃ ταῦτα πάντα, δεῖ βασιλεύειν αὐτόν· οὐ τοῦτο λέγων, ὅτι μετὰ τὸ ποιῆσαι, οὐ βασιλεύει, ἀλλ' ἐκεῖνο κατασκευάζων, ὅτι κἂν μὴ νῦν γίνηται, πάντως ἔσται. οὐ γὰρ διακόπτεται αὐτοῦ ἡ βασιλεία. κρατεῖ γὰρ καὶ ἰσχύει καὶ μένει, ἕως ἂν πάντα κατορθώσῃ. τοῦτο δὲ τὸ ἔθος καὶ ἐν τῇ παλαιᾷ εὕροι τις ἂν, ὡς ὅταν λέγῃ, τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν

A eum qui est sibi æqualis? Si erat in forma Dei, quomodo ipsi donavit nomen? Nam qui donat, ei qui non habet donat: & qui exaltat, eum qui prius erat humilis exaltat. Invenietur ergo esse imperfectus & indigens priusquam altitudinem acceperit & nomen: & alia innumerabilia hinc sequentur absurda corollaria. Sed si carnis susceptæ addideris dispensationem, non peccabis hæc dicens. Hæc autem hic quoque cogita, & cum hoc consilio accipe quæ dicta sunt.

5. Cum his autem alias quoque dicemus causas. Interim autem illud necesse B est dicere, quod & a Paulo verba fiebant de resurrectione, quæ videbatur fieri non posse, & quæ minime credebatur: & scribebat ad Corinthios, ubi plures erant philosophi, qui semper irridebant ea quæ sunt hujusmodi. Etenim cum in aliis inter se colliderentur, in hoc dogmate tamquam uno ore omnes conspirabant, statuentes non esse resurrectionem. De hujusmodi ergo causa decertans, cui adeo non creditur, & quæ irridetur, tam propter præjudicatam opinionem, quam propter rei difficultatem; & volens probare id fieri posse, C primum hoc facit ex Christi resurrectione: & cum eam demonstrasset, & ex prophetis, & ex iis qui viderant, & ex iis qui crediderant, postquam accepit ad absurdum deductionem de qua constabat, deinceps probat hominum resurrectionem. Nam si mortui non resurgunt, ne Christus quidem resurrexit. Deinde cum continuo in præcedentibus eorum frequentem dedisset probationem, aliter rursus argumentatur, eam vocans primitias, & ostendens eum abolere omnem principatum, & potestatem, & virtutem, & mortem novissimam. Quomodo ergo, inquit, fuerit abolita, nisi prius amiserit quæ habebat corpora? Post- D quam ergo magna loquutus est de Unigenito, nempe quod tradit regnum, hoc est, quod ipse ea conficit, & ipse bello vincit, & omnia pedibus suis subjicit, subjunxit corrigens multorum incredulitatem. Oportet eum regnare, donec posuerit omnes inimicos sub pedibus suis. Non finem regno imponens dixit illud, *Donec*, sed fide dignum faciens id quod dictum est, & ut bono sint animo & confidant procurans. Non enim postquam audivisti, inquit, eum esse aboliturum omnem principatum, & potestatem, & virtutem, & diabolum & E tam multas dæmonum catervas, & infidelium turbas, & mortis tyrannidem, & mala omnia, timeas, tamquam ipse sit infirmus & imbecillus. Donec enim fecerit hæc omnia oportet eum regnare: non hoc dicens, quod postquam fecerit, non regnabit, sed illud probans, quod etiamsi non nunc factum sit, omnino sit futurum. Non enim conscinditur ejus regnum. Dominatur enim & potens est, & manet, donec omnia recte confecerit. Hunc autem morem inveneris etiam in veteri scriptura, ut quando dicit, *Verbum autem Domini* Psal. 118. 89.

Psal. 101. 28. *manet in æternum.* Et, *Tu autem idem ipse es, & anni tui non deficient.* Hæc autem dicit propheta, & quæ sunt hujusmodi, quando narrat de rebus quæ longo post tempore sunt gerendæ, & omnino futuræ, crassiorum auditorum expellens timorem. Quod autem illud Donec & Usque, si de Deo dicantur, non sint verba finem significantia, audi quid dicat. Psal. 89. 2. *A sæculo & usque in sæculum tu es.* Et iterum, Exod. 3. 14. *Ego sum, & donec consenueritis ego sum.* Propterea & ultimam ponit mortem, ut ex aliorum victoria, hoc quoque facile admittat is qui non credit. Quando ergo diabolum, qui mortem invexit, sustulerit, multo magis ejus opus dissolvet ac perfringet. Quoniam ergo ei omnia attribuit, quod *evacuaverit* principatus & potestates, quod regnum recte gesserit & administrarit, dico autem fidelium salutem, orbis terræ pacem, malorum deletionem: hoc enim est regnum recte gessisse & administrasse, mortem dissolvisse: neque dixit quod Pater per ipsum, sed ipse evacuabit & abolebit & ipse ponet sub pedibus suis, neque usquam meminit Patris, de cætero timuit ne videretur quibusdam a ratione alienioribus, aut major Patre esse Filius, aut aliquod aliud principium ingenitum. (Filius Dei æqualis Patri.) Propterea sibi cavens & rem in tuto collocans, lenit ac mitigat magnitudinem eorum quæ dicta sunt, dicens: Omnia enim posuit sub pedibus suis, res gestas rursus Patri adscribens, non tamquam sit impotens & imbecillus Filius. Quomodo enim esset, de quo tam multa tulit testimonia, & cui attribuit omnia quæ dicta sunt? sed propter quam dixi causam, & ut ostenderet Patri & Filio esse communia quæ facta sunt pro nobis. Nam quod ipse sibi suffecerit ad omnia sibi subjicienda, audi rursus Paulum dicentem: Qui transfigurabit corpus humilitatis nostræ ut sit conforme corpori gloriæ suæ, secundum operationem qua etiam possit ipse subjicere sibi omnia. Deinde etiam usus est correctione dicens: Cum autem dicat, omnia subjecta sunt ei, sine dubio præter eum qui subjecit ei omnia, hinc quoque de Unigeniti gloria non parvum ferens testimonium. Si enim fuisset minor, & longe inferior, nunquam eum subiisset hic metus. Neque hoc fuit contentus, sed aliud etiam ei addit, dicens. Nam ne quispiam suspicaretur & diceret, Quid tum, si non subjectus sit Pater? Hoc non obstat quominus fortior sit Filius: veritus impiam hanc suspicionem, quoniam per illud non satis poterat hoc ostendere, addidit ex multa abundantia: Cum autem subjecta fuerint illi omnia, tunc & ipse Filius subjectus erit illi. Ostendens ejus magnam cum Patre concordiam, & quod is est principium bonorum omnium & causa prima qui eum genuit, qui tam multa potest & recte gerit.

A αἰῶνα· καὶ, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. ταῦτα δὲ λέγει ὁ προφήτης καὶ τὰ τοιαῦτα, ἐπειδὰν περὶ πραγμάτων διηγῆται μακρῷ χρόνῳ κατορθουμένων καὶ πάντως ἐσομένων, τὴν δειλίαν τῶν παχυτέρων ἀκροατῶν ἐκβάλλων. ὅτι δὲ τὸ, ἄχρις, ἐπὶ θεοῦ λεγόμενον, καὶ ἕως, οὐκ ἔστι τέλους, ἄκουσον τί φησιν· ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· καὶ πάλιν, ἐγώ εἰμι· καὶ, ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι. διὰ δὴ τοῦτο καὶ ἔσχατον τίθησιν τὸν θάνατον, ἵνα ἀπὸ τῆς τῶν ἄλλων νίκης καὶ τοῦτο εὐπαράδεκτον γένηται τῷ ἀπιστοῦντι. ὅταν γὰρ τὸν B διάβολον ἀνέλῃ τὸν εἰσαγαγόντα τὸν θάνατον, πολλῷ μᾶλλον τὸ ἔργον τὸ ἐκείνου καταλύσει. ἐπεὶ οὖν πάντα αὐτῷ ἀνέθηκε, τὸ [a] καταργεῖν τὰς ἀρχὰς, τὰς ἐξουσίας, τὸ κατορθῶσαι τὴν βασιλείαν, λέγω δὲ τῶν πιστῶν τὴν σωτηρίαν, τὴν τῆς οἰκουμένης εἰρήνην, τὴν τῶν κακῶν ἀναίρεσιν. τοῦτο γάρ ἐστι τὴν βασιλείαν κατορθῶσαι, τὸ καταλῦσαι τὸν θάνατον· καὶ οὐκ εἶπεν, ὅτι ὁ πατὴρ δι' αὐτοῦ, ἀλλ' αὐτὸς καταργήσει, καὶ αὐτὸς θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ οὐδαμοῦ τοῦ γεγεννηκότος ἐμνημόνευσεν· ἐφοβήθη λοιπὸν, μὴ διὰ τοῦτο δόξῃ παρά τισι τῶν C ἀλογωτέρων ἢ μείζων εἶναι τοῦ πατρὸς ὁ υἱὸς, ἢ ἑτέρα τις ἀρχὴ ἀγέννητος. καὶ διὰ τοῦτο ἠρέμα ἀσφαλιζόμενος παραμυθεῖται τὸν ὄγκον τῶν εἰρημένων, λέγων· πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, πάλιν τῷ πατρὶ τὰ κατορθώματα ἀνατιθεὶς, οὐχ ὡς ἀτονοῦντος τοῦ παιδός. πῶς γὰρ, ᾧ τοσαῦτα ἐμαρτύρησεν ἔμπροσθεν, καὶ πάντα ἀνέθηκε τὰ εἰρημένα; ἀλλὰ διὰ τὴν αἰτίαν ἣν εἶπον, καὶ ἵνα δείξῃ κοινὰ πατρὶ καὶ υἱῷ τὰ ὑπὲρ ἡμῶν γινόμενα ἅπαντα. ὅτι γὰρ αὐτὸς ἑαυτῷ ἤρκεσεν εἰς τὸ ὑποτάξαι αὐτῷ τὰ πάντα, ἄκουσον πάλιν Παύλου λέ- D γοντος· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. εἶτα καὶ ἐπιδιορθώσει κέχρηται λέγων· ὅταν δὲ εἴπῃ, πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα, οὐ μικρὰν κἀντεῦθεν τῷ μονογενεῖ μαρτυρῶν δόξαν. εἰ γὰρ ἐλάττων ἦν καὶ πολὺ καταδεέστερος, οὐκ ἂν τοῦτο ἐφοβήθη τὸ δέος ποτέ. καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων. ἵνα γὰρ μή τις ὑποπτεύῃ καὶ λέγῃ, τί E γὰρ, εἰ καὶ μὴ ὑποτέτακται ὁ πατήρ; οὐδὲν τοῦτο κωλύει ἰσχυρότερον εἶναι τὸν υἱὸν, δείσας τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν, ἐπειδὴ ἐκεῖνο οὐκ ἤρκει καὶ τοῦτο δεῖξαι, προσέθηκεν ἐκ περιουσίας πολλῆς· ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται, τὴν πολλὴν πρὸς τὸν πατέρα ὁμόνοιαν δεικνὺς, καὶ ὅτι ἐκεῖνος ἀρχὴ πάντων τῶν ἀγαθῶν καὶ αἰτία πρώτη, ὁ τὸν τοσαῦτα δυνάμενον καὶ κατορθοῦντα γεγεννηκώς.

a καταργεῖν, alius, καταγεῖν.

Εἰ δὲ πλέον εἴρηκεν, ἢ ἀπῄτει τοῦ πράγματος ἡ ὑπόθεσις, μὴ θαυμάσῃς. τὸν γὰρ διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος, ταῦτα ποιεῖ. καὶ γὰρ αὐτὸς ὁμόνοιαν δεῖξαι βουλόμενος πρὸς τὸν γεγεννηκότα, καὶ ὅτι οὐ παρὰ γνώμην αὐτοῦ ἀφῖκται, τοσοῦτον καταβαίνει, οὐχ ὅσον ἀπῄτει τῆς ὁμονοίας ἡ ἀπόδειξις, ἀλλ' ὅσον ἐδεῖτο τῶν παρόντων ἡ ἀσθένεια. εὔχεται γὰρ τῷ γεγεννηκότι δι' οὐδὲν ἄλλο, ἢ διὰ τοῦτο, καὶ τὴν αἰτίαν τιθεὶς φησιν, ἵνα πιστεύωσιν ὅτι σύ με ἀπέστειλας. τοῦτον οὖν μιμούμενος καὶ ἐνταῦθα ἐκ περιουσίας τῇ λέξει κέχρηται, οὐχ ἵνα δουλείαν κατηναγκασμένην ὑποπτεύσῃς, ἄπαγε, ἀλλ' ἵνα τὰ ἄτοπα ἐκεῖνα δόγματα ἐκ περιουσίας ἐκβάλῃ. καὶ γὰρ ὅταν βούληταί τι πρόῤῥιζον ἀνασπάσαι, πολλῇ κέχρηται τῇ περιουσίᾳ. οὕτω γοῦν καὶ περὶ γυναικὸς πιστῆς λέγων καὶ ἀνδρὸς ἀπίστου ὁμιλούντων ἀλλήλοις νόμῳ γάμου, ἵνα μὴ νομίσῃ ἡ γυνὴ μολύνεσθαι ἀπὸ τῆς μίξεως καὶ τῆς περιπλοκῆς τῶν περὶ τὸν ἄπιστον, οὐκ εἶπεν, ὅτι οὐκ ἔστιν ἀκάθαρτος ἡ γυνή, οὐδὲ, ὅτι οὐδὲν βλάπτεται παρὰ τοῦ ἀπίστου, ἀλλ', ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ ὁ ἄπιστος ἡγίασται δι' αὐτῆς, οὐ τοῦτο δεῖξαι βουλόμενος, ὅτι ὁ Ἕλλην ἅγιος ἐγένετο ἐξ ἐκείνης, ἀλλὰ τῇ ὑπερβολῇ τοῦ ῥήματος τὸν φόβον αὐτῆς ἐκλῦσαι σπεύδων. οὕτω δὲ καὶ ἐνταῦθα τῇ περιουσίᾳ τῆς λέξεως τὸ ἀσεβὲς ἐκεῖνο δόγμα ἀνελεῖν ἐσπουδακὼς, εἶπεν ὅπερ εἴρηκεν. ὥσπερ γὰρ ἀσθενῆ τὸν υἱὸν ὑποπτεύειν, τῆς ἐσχάτης παρανομίας ἐστί· διόπερ αὐτὸ διορθοῦται λέγων, ὅτι πάντας τοὺς ἐχθροὺς αὐτοῦ θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ· οὕτω πάλιν ἀσεβέστερον τοῦτο τὸ ἐλάττονα νομίζειν τὸν πατέρα. διὸ καὶ αὐτὸ μετὰ πολλῆς ἀναιρεῖ τῆς ὑπερβολῆς. καὶ ὅρα πῶς αὐτὸ τίθησιν. οὐ γὰρ εἶπεν, ἐκτὸς τοῦ ὑποτάξαντος ἁπλῶς, ἀλλὰ δῆλον ὅτι, Εἰ γὰρ καὶ ὁμολογεῖται, φησὶν, ἀλλ' ὅμως ἀσφαλίζομαι. καὶ ἵνα μάθῃς, ὅτι αὕτη ἐστὶν ἡ αἰτία τῶν εἰρημένων, ἐκεῖνο ἄν σε ἐροίμην· ἆρα προσθήκη γίνεται ὑποταγῆς τότε τῷ υἱῷ; καὶ πῶς οὐκ ἄτοπον καὶ θεοῦ ἀνάξιον; ἡ γὰρ μεγίστη ὑποταγὴ καὶ ὑπακοὴ αὕτη, τὸ τὸν θεὸν ὄντα δούλου μορφὴν λαβεῖν. πῶς οὖν τότε ὑποταγήσεται; ὁρᾷς ὅτι τὴν ἄτοπον ὑποψίαν ἀναιρῶν, τοῦτο τέθεικε· καὶ τοῦτο δὲ μετὰ τῆς προσηκούσης ὑπονοίας; ὡς γὰρ υἱῷ προσήκει καὶ θεῷ, οὕτως ὑπακούει, οὐκ ἀνθρωπίνως, ἀλλ' ἐλευθεριάζων καὶ ἐξουσίαν πᾶσαν ἔχων. ἐπεὶ πῶς σύνθρονος; πῶς ὡς ὁ πατὴρ ἐγείρει, οὕτω καὶ αὐτὸς οὓς θέλει; πῶς τὰ τοῦ πατρὸς, αὐτοῦ πάντα, καὶ τὰ αὐτοῦ, τοῦ πατρός; ταῦτα γὰρ ἐξουσίαν ἀπηκριβωμένην πρὸς τὸν γεγεννηκότα ἡμῖν ἐνδείκνυται. τί δέ ἐστιν, ὅταν παραδῷ τὴν βασιλείαν; βασιλείας τοῦ θεοῦ δύο οἶδεν ἡ γραφὴ, τὴν μὲν κατ' οἰκείωσιν· τὴν δὲ κατὰ δημιουργίαν. βασιλεύει μὲν γὰρ ἁπάντων, καὶ Ἑλλήνων, καὶ Ἰουδαίων, καὶ δαιμόνων, καὶ τῶν ἀντιτεταγμένων, κατὰ τὸν τῆς δημιουργίας λόγον· βασιλεύει δὲ τῶν πιστῶν, καὶ ἑκόντων, καὶ ὑποτεταγμένων, κατὰ τὸν τῆς οἰκειώσεως. αὕτη ἡ βασιλεία καὶ ἀρχὴν ἔχειν λέγεται. περὶ γὰρ ταύτης φησὶ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ,

6. Si autem plura dixit quam res postulabat, ne mireris. Magistrum enim suum imitans hoc facit. Ipse enim volens ostendere illius concordiam cum eo qui ipsum genuit, & quod non præter ejus voluntatem advenerit, tantum descendit & se demittit, non quantum exigebat concordiæ demonstratio, sed quantum opus habebat præsentium imbecillitas. Patrem enim rogat, non propter aliud quam propter hoc: & causam afferens, dicit, *Ut credant quod tu me misisti.* (Joan. 17. 21.) Hunc ergo imitans, hic quoque dictione utitur ex abundantia: non ut coactam suspiceris servitutem, absit; sed ut absurda illa dogmata validius expellat. Nam quando vult aliquid radicitus evellere, magna utitur abundantia. Sic etiam dicens de muliere fideli, & viro infideli habentibus inter se consuetudinem lege matrimonii; ne existimaret mulier se pollui ex concubitu & complexu infidelis, non dixit mulierem esse immundam, & nihil lædi ab infideli; sed quod est multo amplius, per ipsam sanctificatum esse infidelem: non hoc volens ostendere, quod Græcus factus sit ex illa sanctus, sed verbi exsuperatione studens ejus metum solvere. Ita hic quoque cum dictionis vi studuisset impium illud dogma tollere, dixit id quod dixit. Sicut enim imbecillem Filium suspicari, est extremæ iniquitatis; quamobrem id corrigit, dicens: Omnes inimicos suos ponet sub pedibus suis; ita rursus est hoc magis impium existimare Patrem illo esse minorem. Quamobrem id quoque tollit cum magna exsuperatione. Vide autem quomodo id ponat. Non dixit enim abs re, Præter eum qui subjecit, sed significans, quod etiamsi de eo constet, se tamen id confirmare ac munire. Et ut scias hanc esse causam eorum quæ dicta sunt, illud ex te sciscitabor, Fit-ne tunc accessio subjectionis Filio? Et quomodo non est absurdum, & Deo indignum? Maxima enim est subjectio & obedientia, quod cum sit Deus, servi formam acceperit. Quomodo ergo tunc subjicietur? Vides quod absurdam tollens suspicionem hoc posuerit, idque cum eo quo par est sensu? Nam ut Filium decet & Deum, sic obedit, non more humano, sed libere se gerens, & omnem habens potestatem. Alioqui quomodo est consessor? quomodo sicut pater, sic ipse quoque quos vult suscitat? Quomodo quæ sunt Patris, sunt ejus omnia: & quæ ejus sunt, Patris? Hæc enim nobis indicant exactam & perfectam ejus cum Patre potestatem. Quid est autem, quando tradiderit regnum? Duo regna Dei novit scriptura: unum quidem ex conjunctione seu proprietate: alterum ex creatione. Nam in omnes quidem regnum obtinet, Græcos, Judæos, dæmones, adversarios, ratione creationis. Regnum autem obtinet in fideles, & voluntarios & subjectos, ratione conjunctionis. Hoc regnum dicitur etiam habere imperium. De eo enim dicit etiam in secundo psalmo, *Postula a me, &* (Psal. 2. 8.)

*dabo tibi gentes hereditatem tuam.* De eo etiam ipse dixit discipulis, *Data est mihi omnis potestas a Patre meo*: ei qui genuit omnia adscribens, non quod ipse non sufficiat, sed ostendens quod sit Filius, & non ingenitus. Hoc ergo tradit, hoc est, recte gerit. Quare autem, inquit, nihil dixit de Spiritu? Quoniam nunc de ipso non agitur, neque omnia simul confundit. Nam etiam quando dicit, unus Deus Pater, & unus Dominus Jesus, non omnino minorem sinens esse Spiritum, propterea tacet, sed quoniam tunc res non urgebat, hoc dixit. Scit enim & Patris solius meminisse; nec ideo Filium ejiciemus. Scit etiam & Filii & Spiritus solius meminisse, nec propterea Patrem abolebimus. Quid est autem, *Ut sit Deus omnia in omnibus?* ut omnia ab ipso pendeant. Ne quis existimet duo esse principia sine principio, neque aliud regnum divisum. Nam quando strati quidem jacuerint inimici sub pedibus Filii: qui eos autem habet jacentes sub pedibus, cum Genitore non agitat seditionem, sed est in perfecta cum eo concordia, ipse erit omnia in omnibus. Quidam autem dicunt ipsum hæc dixisse significantia abolitionem vitii, utpote cum omnes deinceps cedant, & nullus resistat, nec maligne se gerat. Nam quando non fuerit peccatum, est perspicuum quod Deus erit omnia in omnibus. Si autem corpora non resurgunt, quomodo sunt hæc vera? Gravissimus enim manet omnium inimicus, nempe mors, iis quæ voluit confectis. Nequaquam, inquit, neque enim amplius peccabunt. Et quid tum? Neque enim de morte animæ, sed de morte corporis hic loquitur. Quomodo ergo illa aboletur? Hoc est enim victoria, ea quæ sunt ablata, & quæ detinentur accepisse. Si autem in terra detinenda sunt corpora, manet ergo ejus tyrannis, cum hæc quidem detineantur, aliud autem non sit corpus ubi vincatur. Si ergo hoc fiat quod dicit Paulus, sicut certe fiet, præclara etiam apparebit victoria, cum Deus potuerit suscitare illa quæ ab ipsa detenta sunt corpora. Nam tunc vincit quispiam inimicum, quando acceperit spolia, non quando ipsa siverit apud eum manere. Si nemo autem audeat quæ sunt ejus accipere, quomodo dixerimus esse victum?

Matt. 28. 18.

7. Hoc etiam modo victoriæ Christus in evangeliis dicit se vicisse his verbis: *Quando alligaverit fortem, tunc & vasa ejus diripiet.* Alioqui si hoc non factum, ne manifesta quidem fuerit victoria. Nam sicut si de morte animæ agatur, qui est mortuus, fuit justificatus a peccato, neque hoc dixerimus esse victoriam; ille enim est qui vicit, non qui malis nihil addidit, sed qui eam quæ jam erat animi motuum solvit captivitatem: ita hic quoque non stitisse mortem corpora depascentem, esse dixerim præclaram victoriam, sed quæ jam detenta erant corpora ab ipsa avelli. Si autem adhuc contendant & dicant de morte animæ

Matt. 12. 29.

A αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. περὶ ταύτης καὶ αὐτὸς εἴρηκε τοῖς μαθηταῖς, ἐδόθη μοι πᾶσα ἐξουσία ὑπὸ τοῦ πατρός μου· τῷ γεγεννηκότι ἅπαντα ἀνατιθείς, οὐχ ὡς αὐτὸς οὐκ ἀρκῶν, ἀλλὰ δεικνὺς ὅτι υἱός ἐστι, καὶ οὐχὶ ἀγέννητος. ταύτην οὖν παραδίδωσι, τουτέστι, κατορθοῖ. τί ποτ' οὖν περὶ τοῦ πνεύματος, φησιν, οὐδὲν εἴρηκεν; ὅτι οὐ περὶ τούτου ὁ λόγος αὐτῷ τὰ νῦν, οὐδὲ ὁμοῦ πάντα συγχεῖ. ἐπεὶ καὶ ὅταν λέγῃ, εἷς ὁ Θεὸς ὁ πατὴρ, καὶ εἷς κύριος Ἰησοῦς, οὐ πάντως ἔλαττον ἀφεὶς εἶναι τὸ πνεῦμα, διὰ B τοῦτο σιγᾷ, ἀλλ' ἐπειδὴ τέως οὐ κατήπειγε, τοῦτο εἶπεν. οἶδε γὰρ καὶ τοῦ πατρὸς μεμνῆσθαι μόνου, καὶ οὐ διὰ τοῦτο τὸν υἱὸν ἐκβαλοῦμεν· οἶδε καὶ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος μόνου, καὶ οὐ διὰ τοῦτο τὸν πατέρα ἀθετήσομεν. τί δέ ἐστιν, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν; ἵνα ἅπαντα εἰς αὐτὸν ἀνηρτημένα ᾖ, ἵνα μὴ δύο τις ἀρχὰς ἀνάρχους ὑποπτεύῃ, μηδὲ ἑτέραν βασιλείαν ἀπεσχισμένην. ὅταν γὰρ οἱ μὲν ἐχθροὶ ὑπὸ τοὺς πόδας ὦσι κείμενοι τοῦ παιδὸς, ὁ δὲ ἔχων αὐτοὺς ὑπὸ πόδας ἐῤῥιμμένους μὴ στασιάζῃ πρὸς τὸν γεγεννηκότα, ἀλλ' ὁμονοῇ μετὰ πολλῆς τῆς ἀκριβείας, C αὐτὸς ἔσται τὰ πάντα ἐν πᾶσι. τινὲς δὲ τῆς κακίας τὴν ἀναίρεσιν δηλοῦντα τοῦτο αὐτὸν εἰρηκέναι φασὶν, ὡς πάντων εἰκόντων λοιπὸν, καὶ οὐδενὸς ἀνθισταμένου, οὐδὲ πονηρευομένου. ὅταν γὰρ ἁμαρτία μὴ ᾖ, εὔδηλον ὅτι ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. εἰ δὲ μὴ ἀνίστανται σώματα, πῶς ταῦτα ἀληθῆ; ὁ γὰρ χαλεπώτατος ἐχθρὸς ἁπάντων θάνατος μένει ἀνύσας ὅσαπερ ἠθέλησεν. οὐχί, φησιν· οὐδὲ γὰρ ἁμαρτήσονται λοιπὸν, φησι. καὶ τί τοῦτο; οὐδὲ γὰρ περὶ τοῦ θανάτου τῆς ψυχῆς, ἀλλὰ περὶ τοῦ σωματικοῦ διαλέγεται ἐνταῦθα· D πῶς οὖν καταργεῖται; νίκη γὰρ τοῦτό ἐστι, τὸ τὰ ἀφαιρεθέντα καὶ κατεχόμενα λαβεῖν. εἰ δὲ μέλλει κατέχεσθαι ἐν τῇ γῇ τὰ σώματα, ἄρα μένει αὐτοῦ ἡ τυραννὶς, τούτων μὲν κατεχομένων, ἑτέρου δὲ οὐκ ὄντος σώματος ἔνθα ἡττηθήσεται. ἂν δὲ τοῦτο, ὅπερ εἶπεν ὁ Παῦλος, γένηται, ὥσπερ οὖν καὶ γενήσεται, καὶ λαμπρὰ ἡ νίκη φανεῖται τοῦ Θεοῦ δυνηθέντος ἀναστῆσαι τὰ κατασχεθέντα ὑπ' αὐτοῦ σώματα. ἐπεὶ καὶ πολέμιον τότε τις νικᾷ, ὅταν λάβῃ τὰ σκῦλα, οὐχ ὅταν ἀφῇ παρ' αὐτῷ μένειν· εἰ δὲ μή τις τολμῴη τὰ αὐτοῦ λαβεῖν, πῶς ἂν φαίημεν αὐτὸν ἡττῆσθαι.

E Τοῦτον καὶ ὁ Χριστὸς τὸν τῆς νίκης τὸν τρόπον ἐν τοῖς εὐαγγελίοις νενικηκέναι φησὶν, οὕτω λέγων· ὅταν δήσῃ τὸν ἰσχυρὸν, τότε καὶ τὰ σκεύη αὐτοῦ διαρπάσει. ἐπεὶ εἰ μὴ τοῦτο γένοιτο, οὐδὲ νίκη σαφὴς ἂν εἴη. ὥσπερ γὰρ ἐπὶ τοῦ θανάτου τῆς ψυχῆς ὁ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, καὶ οὐκ ἂν εἴποιμεν τοῦτο νίκην εἶναι, ἐκεῖνος γάρ ἐστιν ὁ νενικηκὼς, οὐχ ὁ μὴ προστεθεὶς τοῖς κακοῖς, ἀλλ' ὁ τὴν ἤδη γεγενημένην τῶν παθῶν αἰχμαλωσίαν διαλύσας· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τὸ στῆναι τὸν θάνατον ἐπινεμόμενον τὰ σώματα φαίην ἂν εἶναι νίκην λαμπρὰν, ἀλλὰ τὸ τὰ κατασχεθέντα ἤδη παρ' αὐτοῦ ἀποσπασθῆναι. εἰ δὲ ἔτι φιλονεικοῖεν καὶ λέγοιεν περὶ τῆς ψυ-

A χικοῦ θανάτου ταῦτα εἰρῆσθαι, πῶς ἔσχατος καταργεῖται ἐστί; καὶ γὰρ ἐφ' ἑκάστῳ βαπτιζομένῳ κατηργήθη τέλεον. ἂν μέντοι περὶ σώματος λέγῃς, ἔχει χώραν τὸ εἰρημένον, τὸ ὅτι ἔσχατος καταργεῖται. εἰ δέ τις ἀποροίη τίνος ἕνεκεν περὶ ἀναστάσεως διαλεγόμενος, οὐ παρήγαγεν εἰς μέσον τὰ ἀναστάντα σώματα ἐπὶ τοῦ κυρίου, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἦν τοῦτο ὑπὲρ τῆς ἀναστάσεως εἰπεῖν. τὸ γὰρ τοὺς ἀναστάντας δεῖξαι πάλιν ἀποθνήσκοντας, οὐκ ἦν ἀποδεικνύντος ὅτι εἰς τέλος καταργεῖται ὁ θάνατος. διὰ γὰρ τοῦτο καὶ ἔσχατον αὐτὸν εἶπε καταργεῖσθαι, ἵνα μηκέτι ὑποπτεύσῃς αὐτὸν ἀνίστασθαι. τῆς γὰρ κακίας ἀναιρεθείσης, πολλῷ B μᾶλλον ὁ θάνατος παύσεται. οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τῆς πηγῆς ξηραινομένης, τὸν ἐξ αὐτῆς συνεστάναι ποταμὸν, καὶ τῆς ῥίζης ἀφανιζομένης, τὸν καρπὸν μένειν. ἐπεὶ οὖν ἐν τῇ τελευταίᾳ ἡμέρᾳ οἱ ἐχθροὶ καταργοῦνται τοῦ θεοῦ μετὰ τοῦ θανάτου, καὶ τοῦ διαβόλου, καὶ τῶν δαιμόνων, μὴ ἀσχάλλωμεν ἐπὶ τοῖς εὐημεροῦσιν ἐχθροῖς τοῦ θεοῦ. οἱ γὰρ ἐχθροὶ τοῦ κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες, ὡσεὶ καπνὸς ἐξέλιπον. ὅταν ἴδῃς τινὰ ἐχθρὸν τοῦ θεοῦ πλουτοῦντα, δορυφορούμενον, κόλακας ἔχοντα πολλοὺς, μὴ καταπέσῃς, ἀλλὰ στέναξον, δάκρυσον, παρακάλεσον τὸν θεὸν, ὥστε αὐτὸν εἰς τοὺς φίλους καταλέξαι· καὶ ὅσῳ ἂν εὖ πράττῃ ἐχθρὸς ὢν, τοσούτῳ αὐτὸν μᾶλλον πένθησον. τοὺς γὰρ ἁμαρτωλοὺς ἀεὶ μὲν θρηνεῖν δεῖ, μάλιστα δὲ ὅταν καὶ πλούτου καὶ πολλῆς ἀπολαύωσιν εὐημερίας, καθάπερ τοὺς νοσοῦντας, ὅταν γαστρίζωνται καὶ μεθύωσιν. ἀλλ' εἰσί τινες, οἳ καὶ τούτων ἀκούοντες τῶν ῥημάτων, οὕτως ἀθλίως διάκεινται, ὡς στενάζειν ἐπ' αὐτοῖς πικρὸν καὶ λέγειν, ὅτι δακρύων ἄξιος ἐγὼ ὁ μηδὲν ἔχων. καλῶς εἶπες, ὁ μηδὲν ἔχων, οὐκ ἐπειδὴ οὐκ ἔχεις ἅπερ ἐκεῖνος, D ἀλλ' ἐπειδὴ μακαριστὸν τὸ πρᾶγμα νομίζεις· διὸ καὶ μυρίων ἄξιος ἂν εἴης θρήνων· καὶ γὰρ εἴ τις ἐν ὑγείᾳ ζῶν μακαρίζοι τὸν ἀρρωστοῦντα καὶ ἐν μαλακῇ στρωμνῇ κατακείμενον, ἐκείνου πολλῷ ταλαιπωρότερος καὶ ἀθλιώτερός ἐστι, ὅτι τῶν οἰκείων ἀγαθῶν οὐδεμίαν αἴσθησιν ἔχει. ὃ δὴ καὶ ἐπὶ τούτων ἐστὶν ἰδεῖν συμβαῖνον· ὅθεν καὶ ὁ βίος ἡμῶν ἅπας συγκέχυται καὶ τετάρακται. ταῦτα γὰρ τὰ ῥήματα μυρίους ἀπώλεσε, καὶ τῷ διαβόλῳ προέδωκε, καὶ τῶν λιμῷ τηκομένων ἐλεεινοτέρους ἐποίησεν. ὅτι γὰρ οἱ τοῦ πλείονος ἐφιέμενοι, οὗτοι καὶ τῶν προσαιτούντων εἰσὶν ἀθλιώτεροι, ἅτε καὶ μείζονι καὶ δριμυτέρᾳ ἀθυμίᾳ τούτων κατεχόμενοι, δῆλον ἐντεῦθεν. αὐχμὸς κατέλαβέ ποτε τὴν πόλιν τὴν ἡμετέραν, καὶ πάντες ἔτρεμον ὑπὲρ τῶν ἐσχάτων, καὶ τὸν θεὸν παρεκάλουν λῦσαι τουτὶ τὸ δέος. καὶ ἦν ἰδεῖν τότε τὸ ὑπὸ Μωϋσέως εἰρημένον, χαλκοῦν τὸν οὐρανὸν γεγενημένον, καὶ θάνατον τὸν ἁπάντων θανάτων χαλεπώτερον καθ' ἑκάστην προσδοκώμενον τὴν ἡμέραν· ἀλλ' ὕστερον, δόξαν τῷ φιλανθρώπῳ θεῷ, παρ' ἐλπίδα ἅπασαν πολὺς κατεφέρετο καὶ ἄπειρος ἄνωθεν ὑετὸς, καὶ πάντες ἐν πανηγύρει καὶ ἑορτῇ λοιπὸν,

A hæc esse dicta, quomodo illa aboletur ultima? Nam in unoquoque qui baptizatur, plene est abolita. Sed si dicas de corpore, locum habet quod dictum est, nempe quod mors ultima aboleatur. Si quis autem dubitans quærat, cur cum dissereret de resurrectione, in medium non adduxerit corpora quæ resurrexerunt tempore Domini, illud dixerimus, quod hoc non fuisset loqui de resurrectione. Eos enim qui resurrexerunt ostendere rursus mori, non erat demonstrantis quod mors postremo aboleatur. Propterea enim dixit eam aboleri ultimam, ne existimes eam amB plius resurgere. Vitio enim sublato, multo magis mors cessabit. Neque enim fuerit consentaneum, ut si fons arescat, qui ex eo manat consistat fluvius, & si evanescat radix, maneat fructus. Quoniam ergo in die novissimo inimici Dei abolentur cum morte, & diabolo, & dæmonibus, ne tristitia afficiamur si Dei inimicis res prospere succedant. Inimici enim Domini, simulatque glorificati & in altum elati fuerint, deficientes tamquam fumus defecerunt. Quando videris aliquem Dei inimicum divitem, stipatum satellitibus, haC bentem multos assentatores, noli animum abjicere, sed geme, lacrymare, Deum roga, ut eum referat in ordinem & numerum amicorum: & quo magis rem suam bene gesserit cum sit inimicus, eo magis eum luge. Nam peccatores quidem semper oportet deflere, maxime autem quando abundant divitiis, & sunt eis res secundæ, sicut ægrotantes quando ventri indulgent & inebriantur. Sed sunt quidam, qui his verbis auditis, ita misere afficiuntur, ut propter hæc acerbe ingemiscant & dicant, dignus sum lacrymis, qui nihil haD beo. Recte dixisti, Qui nihil habes, non quoniam non habes ea quæ ille habuit: sed quoniam rem ducis dignam quæ beata censeatur, ideo dignus es qui millies lugearis. Etenim si quis bona valetudine fruens, beatum judicet ægrotum, etiam in molli cubili jacentem, iste est illo multo miserior & infelicior, quod bonorum suorum nullum habeat sensum. Quod quidem in his quoque videre licet accidere, unde etiam tota nostra vita confunditur & turbatur. Hæc enim verba innumerabiles perdiderunt, & diabolo tradiderunt, & iis qui fame tabescunt fecerunt miseraE biliores. Nam quod qui plura appetunt, sint etiam mendicis miserabiliores, ut qui majori & acriori laborent animi ægritudine, hinc est perspicuum. Civitatem nostram invasit quondam siccitas, & extrema timebant omnes, Deumque rogabant, ut hunc metum solveret: & tunc licebat videre quod dictum fuit a Moyse, cælum factum æneum, & quotidie exspectari mortem omni morte graviorem. Sed cum postea visum esset benigno & clementi Deo, præter spem omnem, multa atque adeo infinita ex alto cecidit pluvia: & omnes jam festum diem agebant, tamquam qui

Siccitas Antiochiæ.

Deut. 28. 23.

ex ipsis portis mortis ascendissent. Sed in tantis bonis, & communi omnium lætitia, quidam ex iis qui valde opulenti erant, circuibat mœstus & tristis, præ animi ægritudine mortuus, & multis causam rogantibus cur in communi omnium lætitia solus doleret, ne intus quidem continere potuit hanc gravem animi perturbationem, sed a morbi punctus tyrannide, causam in medium protulit. Cum habeam, inquit, innumeras mensuras frumenti, nescio ubi illas deponam. Huncci-ne, dic quæso, pro his verbis beatum ducemus, pro quibus oportuisset eum obrui lapidibus, qui esset quavis fera crudelior, qui esset communis hostis? Quid dicis, o homo? Doles quod non perierint omnes ut aurum cogeres. Non audivisti quid dicat Salomon: Qui frumenti auget precium, est populo exsecrandus? Sed circuis communis inimicus bonorum orbis terræ, & hostis liberalitati Domini totius mundi, & mammonæ amicus, vel potius servus? Annon oportebat linguam illam amputari? Non cor exstingui quod hæc verba pepererat?

8. Vidistin' quomodo aurum non sinat homines esse homines, sed feras & dæmones? Quid enim hoc divite fuerit miserabilius, qui optat quotidie esse famem, ut ei sit aurum? Ad contrarium enim ei redit animi perturbatio. Neque enim lætatur abundantia possessionis fructuum: sed propter hoc ipsum dolet quod infinita possideat. Atqui eum qui multa possidet, lætari oportet: iste autem propter hoc ipsum animo angitur. Viden' quod, sicut dixi, non tantam ex præsentibus accipiunt voluptatem qui sunt divites, quantam animi sustinent ægritudinem ex iis quæ nondum advenerunt? Nam qui frumenti mensuras possidebat innumeras, magis dolebat & ingemiscebat, quam qui esuriebat. Et qui necessarium quidem habebat alimentum, coronabatur, & exsultabat, & Deo agebat gratias. Qui autem tam multa possidebat, ægre ferebat, & se periisse existimabat. Non est ergo abundantia quæ efficit voluptatem, sed mens philosophiæ dedita. Nam absque ea etiamsi quispiam omnia acceperit, tamquam omnibus privatus efficietur & lamentabitur. Hic enim de quo nunc agitur, etiamsi tanto quanto voluisset precio vendidisset quæ habebat, rursus doluisset quod non pluris vendidisset: & si pluris potuisset, rursus aliam quæsivisset exsuperationem: & si modium uno aureo venumdedisset, hic quoque rursus animi ægritudine fuisset laceratus, quod non tanti fuisset semimodius. Si autem ab initio non tanti fuit precium, ne mireris. Nam & qui sunt ebrii, non ab initio incenduntur, sed cum multo mero fuerint impleti, tunc graviorem accendunt flammam. Ergo isti quoque quo plura fuerint complexi, eo in majori sunt inopia: & qui plura lucrantur, ii magis egent. Hæc au-

A ἅτε ἐξ αὐτῶν ἀναβάντες τῶν τοῦ θανάτου πυλῶν. ἀλλ' ἐν τοσούτοις ἀγαθοῖς καὶ τῇ κοινῇ πάντων εὐφροσύνῃ, τῶν [a] ζαπλουτούντων τις τούτων στυγνὸς καὶ κατηφὴς, ἀποτεθνηκὼς ὑπὸ τῆς ἀθυμίας περιήει, καὶ πολλῶν τὴν αἰτίαν πυνθανομένων, δι' ἣν ἐν τῇ κοινῇ πάντων ἀνθρώπων ἡδονῇ μόνος ἀλγεῖ, οὐδὲ κατασχεῖν ἔνδον ἴσχυσε τὸ χαλεπὸν τοῦτο πάθος, ἀλλ' ὑπὸ τῆς τυραννίδος τοῦ νοσήματος κεντούμενος, εἰς μέσον ἐξήνεγκε τὴν αἰτίαν. B μυρία γὰρ μέτρα σίτου κεκτημένος, φησὶν, οὐκ ἔχω πῶς διάθωμαι ταῦτα λοιπόν. ἆρ' οὖν τοῦτον μακαριοῦμεν, εἰπέ μοι, ὑπὲρ τούτων τῶν ῥημάτων, ὑπὲρ ὧν καταλεύεσθαι αὐτὸν ἔδει, τὸν θηρίου παντὸς ὠμότερον, τὸν κοινὸν ἐχθρόν; τί λέγεις, ἄνθρωπε; ἀλγεῖς ὅτι μὴ πάντες ἀπώλοντο, ἵνα συναγάγῃς χρυσίον; οὐκ ἤκουσας τί φησὶν ὁ Σολομὼν, ὁ τιμιουλκῶν σῖτον, δημοκατάρατος; ἀλλὰ περιέρχῃ κοινὸς ἐχθρὸς τῶν τῆς οἰκουμένης ἀγαθῶν, καὶ τῇ φιλοτιμίᾳ τοῦ δεσπότου τῆς οἰκουμένης πολέμιος, καὶ τοῦ μαμωνᾶ φίλος, μᾶλλον δὲ δοῦλος; οὐ γὰρ ἐκκοπῆναι τὴν γλῶτταν ἐκείνην ἔδει; C οὐ γὰρ σβεσθῆναι τὴν καρδίαν τὴν ταῦτα τεκοῦσαν τὰ ῥήματα.

Εἶδες πῶς οὐκ ἀφίησιν ἀνθρώπους εἶναι τοὺς ἀνθρώπους τὸ χρυσίον, ἀλλὰ θηρία καὶ δαίμονας; τί γὰρ ἂν τούτου γένοιτ' ἂν ἐλεεινότερον τοῦ πλουσίου, τοῦ καθ' ἑκάστην ἡμέραν εὐχομένου γενέσθαι λιμὸν, ἵνα αὐτῷ γένηται χρυσίον; καὶ γὰρ εἰς τοὐναντίον αὐτῷ τὸ πάθος περιΐσταται λοιπόν· οὐδὲ γὰρ χαίρει τῇ ἀφθονίᾳ τῆς τῶν καρπῶν κτήσεως, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖ λοιπὸν, ὅτι ἄπειρα κέκτηται. καίτοι τὸν πολλὰ κεκτημένον, χαίρειν ἔδει· οὗτος δὲ δι' αὐτὸ τοῦτο ἀθυμεῖ. ὁρᾷς D ὅτι, ὅπερ ἔλεγον, οὐ τοσαύτην ἀπὸ τῶν παρόντων καρποῦνται τὴν ἡδονὴν οἱ πλουτοῦντες, ὅσην ἀπὸ τῶν μηδέπω προσγεγενημένων ὑπομένουσι τὴν ἀθυμίαν; ὁ γὰρ σίτου μυριάδας ἀπείρους κεκτημένος τοῦ πεινῶντος μᾶλλον ἤλγει καὶ ἔστενε. καὶ ὁ μὲν τὴν ἀναγκαίαν ἔχων τροφὴν, ἐστεφανοῦτο, καὶ ἐσκίρτα, καὶ ηὐχαρίστει τῷ θεῷ· ὁ δὲ τοσοῦτον κεκτημένος ἐδυσχέραινε, καὶ ἀπολωλέναι ἐνόμιζεν. οὐκ ἄρα περιουσία ἐστὶν ἡ τὴν ἡδονὴν ποιοῦσα, ἀλλὰ γνώμη φιλόσοφος· ὡς ταύτης ἄνευ, κἂν τὰ πάντα τις λαβὼν ἔχῃ, ὡς πάντων ἐστερημένος οὕτω διακείσεται καὶ θρηνήσει· ἐπεὶ καὶ οὗτος, E περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, εἰ καὶ τοσαύτης ἀπέδοτο τιμῆς ἅπερ εἶχεν, ὅσης ἐβούλετο, πάλιν ἂν ἤλγησεν ὅτι μὴ πλείονος, καὶ εἰ πλείονος ἴσχυσε, πάλιν ἂν ἑτέραν ἐζήτησεν ὑπερβολὴν, καὶ εἰ τὸ μέδιμνον ἑνὸς χρυσίου διέθετο, κἀνταῦθα διεκόπτετο πάλιν ὑπὸ τῆς ἀθυμίας, ὅτι μὴ τὸ ἡμιμέδιμνον τοσούτου ἦν. εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοσούτου ἡ τιμὴ, μὴ θαυμάσῃς· ἐπεὶ καὶ οἱ μεθύοντες οὐκ ἐξ ἀρχῆς ἐμπίπρανται, ἀλλ' ὅταν πολλοῦ τοῦ ἀκράτου ἐμφορηθῶσι, τότε χαλεπωτέραν ἀνάπτουσι τὴν φλόγα· καὶ οὗτοι τοίνυν ὅσῳ ἂν πλείονα περιβάλωνται, τοσούτῳ ἐν μείζονι ἐνδείᾳ καθίστανται, καὶ οἱ πλείονα κερδαίνοντες, αὐτοὶ μάλιστά εἰσιν οἱ πενόμενοι.

[a] Alius, ζαπλούτων.

A ταῦτα δέ μοι οὐ πρὸς τοῦτον εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ἕκαστον τῶν τὰ τοιαῦτα νοσούντων, καὶ τὴν τῶν ὠνίων τιμὴν ἐπιτεινόντων, καὶ τῶν πλησίον τὴν πενίαν πραγματευομένων. φιλανθρωπίας μὲν γὰρ οὐδεὶς οὐδαμοῦ λόγος· πανταχοῦ δὲ ὁ τῆς πλεονεξίας ἔρως ἐπὶ τοῦ καιροῦ τῆς πράσεως πολλοὺς ἐξάγει· καὶ σῖτον καὶ οἶνον ὁ μὲν θᾶττον, ὁ δὲ βραδύτερον ἀπέδοτο· οὐδέτερος μέντοι ἀπὸ κηδεμονίας, ἀλλ' ὁ μὲν, ἵνα πλείονα λάβῃ, ὁ δὲ ἵνα μὴ ἐλάττω, τραπέντος αὐτοῦ τοῦ καρποῦ. ἐπειδὴ γὰρ οἱ πλείους οὐ πολὺν τὸν τοῦ θεοῦ νόμον ποιούμενοι λόγον, πάντα ἔνδον κατακλείσαντες B ἔχουσιν, ἑτέρως αὐτοὺς εἰς φιλανθρωπίαν ἐξάγων ὁ θεὸς, ἵνα κἂν ἀνάγκῃ τι ποιήσωσι χρηστὸν, μείζονος ζημίας ἐνέβαλε δέος, οὐκ ἀφιεὶς εἰς πολὺν διαρκεῖν χρόνον τῆς γῆς τοὺς καρποὺς, ἵνα κἂν τὴν ἀπὸ τῆς φθορᾶς δεδοικότες βλάβην, προῶνται τοῖς δεομένοις καὶ ἄκοντες, ἅπερ οἴκοι κατορύξαντες τηροῦσι κακῶς. ἀλλὰ γὰρ καὶ μετὰ ταῦτα οὕτω τινές εἰσιν ἄπληστοι, ὡς μηδὲ ἐντεῦθεν παιδεύεσθαι. πολλοὶ γοῦν καὶ πίθους ὁλοκλήρους ἐκένωσαν, πένητι μὲν οὐδὲ κύαθον δόντες, οὐδὲ ἀργυρίου τοῖς δεομένοις, ὄξινον δὲ γενόμενον εἰς τὴν γῆν ῥίψαντες ἅπαντα, καὶ τοὺς πίθους αὐτῶν C προσδιαφθείραντες τῷ καρπῷ. ἕτεροι δὲ πάλιν οὐδὲ μάζης μιᾶς τῷ πεινῶντι μεταδόντες, ὁλόκληρα σιτοδοχεῖα εἰς ποταμὸν ἔρριψαν· καὶ ἐπειδὴ τοῦ θεοῦ κελεύοντος διδόναι τοῖς δεομένοις οὐκ ἤκουσαν, τοῦ σητὸς ἐπιτάττοντος καὶ ἄκοντες τὸ ἔνδον ἅπαν ἐξήντλησαν εἰς ἀπώλειαν καὶ φθορὰν ἐσχάτην, πολὺν μὲν τὸν γέλωτα, πολλὰς δὲ τὰς ἀρὰς κατὰ τῆς ἑαυτῶν κεφαλῆς μετὰ τῆς ζημίας ἐπισπασάμενοι ταύτης. καὶ τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ, τίς παραστήσει λόγος; ὥσπερ γὰρ οὗτοι τὸν σητόβρωτον ἐνταῦθα σῖτον ἄχρηστον γενόμενον εἰς ποταμοὺς ῥίπτουσιν, οὕτω τοὺς D ταῦτα ἐργασαμένους δι' αὐτὸ τοῦτο ἀχρήστους γενομένους εἰς τὸν τοῦ πυρὸς ῥίπτει ποταμὸν ὁ θεός. καθάπερ γὰρ τὸν σῖτον ὁ σὴς καὶ ὁ σκώληξ, οὕτω τὰς τούτων ψυχὰς ἡ ὠμότης καὶ ἡ ἀπανθρωπία διέφαγε. τούτων δὲ αἴτιον, τὸ τοῖς παροῦσι προσηλῶσθαι, καὶ πρὸς τὴν ζωὴν ταύτην κεχηνέναι μόνον. ὅθεν καὶ μυρίας ἀθυμίας μεστοὶ γίνονται οἱ τοιοῦτοι. κἂν γὰρ ὁτιοῦν εἴπῃς ἡδὺ, πάντα ἱκανός ἐστιν ἀφανίσαι τῆς τελευτῆς ὁ φόβος, καὶ τέθνηκεν ὁ τοιοῦτος ἔτι ζῶν. καὶ τὸ μὲν τοὺς ἀπίστους ταῦτα πάσχειν, θαυμαστὸν οὐδέν· ὅταν δὲ οἱ τοσούτων μυστηρίων ἀπολελαυκότες, καὶ τοσαῦτα E περὶ τῶν μελλόντων φιλοσοφήσαντες, τοῖς παροῦσιν ἐμφιλοχωρῶσι, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης; πόθεν οὖν γίνεται τὸ τοῖς παροῦσιν ἐμφιλοχωρεῖν; ἀπὸ τοῦ τρυφῇ προσέχειν, καὶ λιπαίνειν τὴν σάρκα, καὶ θρύπτειν τὴν ψυχὴν, καὶ βαρὺ τὸ φορτίον ἐργάζεσθαι καὶ πολὺ τὸ σκότος καὶ παχὺ τὸ παραπέτασμα. ἐν γὰρ τῇ τρυφῇ τὸ μὲν κρεῖττον δουλοῦται, τὸ δὲ χεῖρον κρατεῖ· καὶ τὸ μὲν τυφλοῦται πάντοθεν καὶ σύρεται πε-

A tem a me non solum illi dicta sunt, sed unicuique eorum qui hoc morbo laborant, & annonæ precium augent, proximoque procurant paupertatem: benignitatis enim & humanitatis nusquam apud illos est ratio. Ubique autem pecuniæ amor venalium tempore multos exagitat, ac frumentum & vinum ille quidem citius, hic vero vendit tardius: neuter autem ob curam quam publicæ rei gerat: sed ille quidem ut plura accipiat, hic autem ne pauciora, sic mutato fructu. Nam quoniam plures legis Dei magnam non habentes rationem, omnia tenent intus inclusa, aliter eos Deus adducens ad benignitatem & humanitatem, ut vel ex necessitate aliquid boni faciant, majoris damni injicit metum: non sinens in multum tempus durare fructus terræ, ut saltem ex eorum corruptione damnum timentes, ea vel inviti tradant egentibus, quæ domi infossa male servant. Verum post hæc etiam sunt quidam adeo inexplebiles, ut ne hinc quidem castigentur. Multi certe etiam integra dolia exinanierunt, & ne cyathum quidem pauperi dederunt, nec pecuniæ tantillum egentibus, acetum autem ex vino factum totum humi jecerunt, doliaque sua simul cum vino corrupere. Alii autem rursus cum ne offam quidem esurienti impertiissent, integras frumenti capsas in fluvium projecerunt: & quoniam Deum non audierunt jubentem dare egenis, jubente tinea vel inviti quidquid erat intus effuderunt ad exitium & extremum interitum, multum quidem risum, multas autem execrationes in suum caput simul cum hoc damno attrahentes. Et quæ hic quidem fiunt sunt ejusmodi: quæ autem illic, quænam explicarit oratio? Sicut enim isti a tinea exesum & inutile redditum frumentum in fluvios jaciunt, eos qui hæc fecerunt, propter hoc ipsum inutiles redditos projicit Deus in fluvium ignis. Sicut enim frumentum tinea & vermis, ita istorum animas exedit crudelitas & inhumanitas. Horum autem causa est quod sint affixi præsentibus; & ad vitam solum præsentem inhient: inde fit ut ingenti pleni sint animi ægritudine. Nam etiamsi quidvis jucundum & suave dixeris, ad omnia delenda sufficit metus mortis: qui autem est hujusmodi, est mortuus adhuc vivens. Et quod infidelibus quidem hæc accidant, non est mirum: quando autem ii qui tot & tanta perceperunt mysteria, & de futuris tam multa sunt philosophati, rebus præsentibus addicti in eis lubenter versentur, quanam fuerint digni venia? Qui fit autem quod lubenter versentur in præsentibus? Ex eo quod incumbant deliciis, carnem saginent, animam frangant ac molliant, & grave onus reddant, multas tenebras, & crassum velum obtendant. Nam in deliciis quidem id quod est melius redigitur in servitutem, quod est autem pejus, dominatum obtinet: & illud quidem undique ex-

Avarorum tenacitas.

cæcatur, mancumque ac mutilum trahitur: hoc autem in omnes partes agit & circumagit, cum deberet esse in loco & ordine eorum quæ aguntur: est enim magnum animæ vinculum cum corpore, idque providit & procuravit opifex, ne tamquam alienum id odisse aliqui persuaderent.

9. Nam Deus quidem jussit diligere inimicos. Diabolus autem tantum potuit, ut persuaserit aliquibus etiam suum corpus odisse. Nam quando dicit id esse diaboli, nihil aliud quam hoc probat, quod est extremi delirii. Si enim est diaboli; quis est hujusmodi consensus & concordia, ut id reddat omni ex parte aptum ad operationes animæ, quæ tenetur studio philosophiæ? At si est, inquit, aptum, quomodo illam excæcat? Non est corpus quod excæcat animam, absit, sed deliciæ. Delicias autem undenam appetimus? Non utique ex eo quod corpus habeamus; sed ex prava liberi arbitrii electione. Corpus enim eget alimento, non deliciis: corpus opus habet ut alatur, non ut infringatur & diffluat. Neque enim animæ tantum, sed etiam ipsi corpori quod alitur, hostes sunt deliciæ. Nam pro robusto fit imbecillius, pro firmo mollius, pro salubri valetudinarium, pro levi gravius, pro denso rarius, & turpe pro formoso, & pro bene olente pejus olens ac fœtidum, & pro mundo immundum, & dolore agitatum pro remisso, inutile pro utili, vetus pro novo, putridum pro forti, tardumque & hebes pro celeri, & claudum pro recto & integro. Atqui si esset diaboli, non oporteret ipsum ab eo lædi, a vitio inquam. Sed neque corpus, neque cibi sunt diaboli, sed solæ deliciæ. Nam per eas sceleratus ille dæmon mala efficit innumerabilia. Sic populum integrum pessumdedit. Impinguatus est enim, inquit, & dilatatus, & recalcitravit dilectus. Porro hinc quoque Sodomis fuit illorum fulminum initium. Quod quidem significans Ezechiel dicebat. Sed hæc iniquitas Sodomorum: in superbia, & in abundantia panis, & in rebus secundis se explebant deliciis. Propterea Paulus quoque dicebat. Quæ autem in deliciis degit, vivens est mortua. Quare? Quoniam circumfert corpus tamquam sepulcrum, colligatum malis innumerabilibus. Si autem corpus ita perit, quomodo afficietur anima, quanto tumultu, quantis fluctibus, quanta tempestate erit referta? Propterea quidem certe ad omnia fit inutilis, & nec dicere, nec audire, neque consultare, neque aliquid agere eorum quæ decet facile poterit. Sed sicut gubernator, si tempestas vicerit artem, cum ipsa nave & vectoribus submergitur: ita etiam anima cum corpore demergitur in gravem abyssum insensibilitatis: nam sicut quamdam molam Deus nobis ventrem indidit, data congruenti & moderata facultate, & certa constituta mensura, quam ipsum quotidie oportet molere. Si quis ergo plura injiciat,

Deut. 32. 15.

Ezech. 16. 48.

1. Tim. 5. 6.

Quanta mala ex gula oriantur.

A πηρωμένον, τὸ δὲ ἄγει καὶ περιάγει πανταχοῦ, ἐν τῇ τῶν ἀγομένων ὀφεῖλον κεῖσθαι τάξει. καὶ γὰρ πολὺς ὁ σύνδεσμος τῆς ψυχῆς πρὸς τὸ σῶμα, τοῦτο τοῦ δημιουργοῦ μηχανησαμένου, ἵνα μὴ ὡς ἀλλότριον αὐτὸ πείθωσί τινες μισεῖν.

Ὁ μὲν γὰρ θεὸς τοὺς ἐχθροὺς ἐκέλευσε φιλεῖν· ὁ δὲ διάβολος τοσοῦτον ἴσχυσεν, ὡς καὶ τὸ οἰκεῖον σῶμα πεῖσαί τινας μισεῖν. ὅταν γὰρ εἴπῃ ὅτι τοῦ διαβόλου ἐστὶν, οὐδὲν ἄλλο κατασκευάζει, ἢ τοῦτο· ὅπερ ἐσχάτης λῃρωδίας ἐστίν. Εἰ γὰρ τοῦ διαβόλου ἐστὶ, τίς ἡ τοσαύτη B συμφωνία, ὡς ἐπιτήδειον αὐτὸ πάντοθεν εἰς τὰς τῆς φιλοσόφου ψυχῆς ἐνεργείας κατασκευάσαι; καὶ εἰ ἐπιτήδειόν, φησι, πῶς αὐτὴν τυφλοῖ; οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψυχὴν, ἄπαγε, ἄνθρωπε, ἀλλ' ἡ τρυφή. τῆς δὲ τρυφῆς πόθεν ἐφιέμεθα; οὐ παρὰ τὸ σῶμα ἔχειν, οὐδαμῶς· ἀλλὰ παρὰ προαίρεσιν πονηράν. τὸ γὰρ σῶμα τροφῆς δεῖται, οὐ τρυφῆς, τὸ σῶμα τοῦ τρέφεσθαι χρήζει, οὐχὶ τοῦ διακόπτεσθαι καὶ διαῤῥεῖν. οὐδὲ γὰρ ψυχῇ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι τῷ τρεφομένῳ πολέμιον ἡ τρυφή. καὶ γὰρ ἀσθενέστερον ἀντὶ C ἰσχυροῦ γίνεται, καὶ μαλακώτερον ἀντὶ στεῤῥοῦ, καὶ ἐπίνοσον ἀντὶ ὑγιεινοῦ, καὶ βαρύτερον ἀντὶ κούφου, καὶ ἀραιότερον ἀντὶ πυκνοῦ, καὶ αἰσχρὸν ἀντὶ ὡραίου, καὶ δυσωδέστερον ἀντὶ εὐώδους, καὶ ἀκάθαρτον ἀντὶ καθαροῦ, καὶ περιώδυνον ἀντὶ ἀνειμένου, καὶ ἄχρηστον ἀντὶ χρησίμου, καὶ παλαιὸν ἀντὶ νέου, καὶ σαθρὸν ἀντὶ ἰσχυροῦ, καὶ βραδὺ καὶ νωθρὸν ἀντὶ ταχέος, καὶ χωλὸν ἀντὶ ἀρτίου. καίτοι εἰ τοῦ διαβόλου ἦν, οὐκ ἐχρῆν ὑπὸ τῶν αὐτοῦ παραβλάπτεσθαι, τῆς κακίας λέγω. ἀλλ' οὔτε τὸ σῶμα, οὔτε τὰ σιτία, τοῦ διαβόλου, ἀλλ' ἡ τρυφὴ μόνη. διὰ γὰρ ταύτης τὰ μυρία ὁ πονηρὸς δαίμων D ἐκεῖνος ἀνύει κακά. οὕτω δῆμον ὁλόκληρον ἐξετραχήλισεν. ἐλιπάνθη γάρ, φησι, καὶ ἐπαχύνθη, καὶ ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καὶ Σοδόμοις δὲ ἐντεῦθεν ἡ ἀρχὴ τῶν κεραυνῶν ἐκείνων ἐγένετο. καὶ τοῦτο δηλῶν ὁ Ἰεζεκιὴλ ἔλεγε· πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων, ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίαις ἐσπατάλων. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. τί δήποτε; ὅτι ὥσπερ τάφον τὸ σῶμα περιφέρει μυρίοις συνδεδεμένον κακοῖς. εἰ δὲ τὸ σῶμα οὕτως ἀπόλλυται, πῶς ἡ ψυ- E χὴ διακείσεται, πόσου θορύβου, πόσων κυμάτων, πόσης ζάλης ἀνάπλεως ἔσται; διά τοι τοῦτο πρὸς πάντα ἄχρηστος γίνεται, καὶ οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι, οὔτε βουλεύσασθαι, οὔτε τι πρᾶξαι τῶν δεόντων ῥᾳδίως δυνήσεται· ἀλλ' ὥσπερ κυβερνήτης, χειμῶνος κρατήσαντος τῆς τέχνης, αὐτῷ τῷ πλοίῳ καὶ τοῖς ἐπιβάταις ὑποβρύχιος γίνεται· οὕτω καὶ ἡ ψυχὴ μετὰ τοῦ σώματος εἰς τὴν χαλεπὴν τῆς ἀναισθησίας καταποντίζεται ἄβυσσον. καὶ γὰρ καθάπερ μύλην τινὰ τὴν γαστέρα ἡμῖν ἐνέθηκεν ὁ θεὸς, σύμμετρον αὐτῇ δύναμιν δοὺς, καὶ τάξας μέτρον ῥητὸν, ὅπερ αὐτὴν ἀλεῖν δεῖ καθ' ἑκάστην ἡμέραν. ἂν οὖν τις ἐπιβάλῃ πλείονα,

ἀκατέργαστα

ἀκατέργαστα γινόμενα τῷ παντὶ λυμαίνεται. ἐντεῦθεν νόσοι, καὶ ἀσθένειαι, καὶ ἀμορφίαι. καὶ γὰρ οὐκ ἐπίνοσον μόνον, ἀλλὰ καὶ αἰσχρὰν ποιεῖ ἡ τρυφὴ τὴν καλήν. ὅταν γὰρ ἐρεύγηται συνεχῶς ἀηδῆ, καὶ σεσηπότος οἴνου πνέῃ, καὶ πλέον τοῦ δέοντος ἐρυθαίνηται, καὶ τὸν προσήκοντα γυναικὶ ῥυθμὸν διαφθείρῃ, καὶ τὴν εὐκοσμίαν ἀπολέσῃ πᾶσαν, καὶ πλαδαρὰ μὲν ἡ σὰρξ γίνηται, ὕφαιμοι δὲ καὶ διατεταμέναι αἱ βλεφαρίδες, καὶ πάχος πλέον τοῦ δέοντος, καὶ πολυσαρκία περιττὴ, ἐννόησον πόση γίνεται ἐντεῦθεν ἀηδία. ἐγὼ δὲ καὶ ἰατρῶν ἤκουσα λεγόντων, ὅτι πολλοὺς καὶ πρὸς ὕψος ἀναδραμεῖν ἡ τρυφὴ μάλιστα ἐκώλυσε. τοῦ γὰρ πνεύματος ἐγκοπτομένου τῷ πλήθει τῶν καταβαλλομένων καὶ περὶ τὴν τούτων ἐργασίαν ἀσχολουμένου, ὅπερ εἰς αὔξησιν ἔδει προχωρεῖν, τοῦτο δαπανᾶται εἰς τὴν τῶν περιττῶν ἐργασίαν. τί ἄν τις εἴποι τὰς ποδαλγίας, τὸ ῥεῦμα τὸ πανταχοῦ πλανώμενον, τὰς ἄλλας νόσους τὰς ἐντεῦθεν, τὴν βδελυρίαν ἅπασαν; οὐδὲν γὰρ οὕτως ἀηδὲς, ὡς γυνὴ πολλὰ σιτουμένη. διὰ τοῦτο ἐν ταῖς πενομέναις πλείονα τὴν εὐμορφίαν ἴδοι τις ἂν τῶν περιττωμάτων ἀναλισκομένων καὶ οὐχὶ προσαναπλασμένων αὐταῖς, πηλοῦ τινος περιττοῦ δίκην, εἰκῇ καὶ μάτην. ἡ γὰρ καθημερινὴ γυμνασία, καὶ οἱ πόνοι, καὶ αἱ ταλαιπωρίαι, καὶ ἡ σύμμετρος τράπεζα, καὶ ἡ λιτὴ δίαιτα πολλὴν μὲν αὐταῖς τὴν εὐεξίαν, πολλὴν δὲ ἐντεῦθεν καὶ τὴν ὥραν παρέχουσιν. εἰ δὲ τὴν ἡδονὴν τῆς τρυφῆς λέγεις, μέχρι τῆς φάρυγγος αὐτὴν εὑρήσεις μόνον. ὁμοῦ τε γὰρ τὴν γλῶτταν παρῆλθε καὶ ἀπέπτη, πολλὰς ἐναφιεῖσα τὰς ἀηδίας. μὴ γάρ μοι κατακειμένους μόνον τοὺς τρυφῶντας ἴδῃς, ἀλλ᾽ ὅταν αὐτοὺς ἀναστάντας ἴδῃς, τότε παρακολούθησον, καὶ ὄψει θηρίων μᾶλλον καὶ ἀλόγων, ἢ ἀνθρώπων σώματα. ὄψει γὰρ καρηβαροῦντας, διατεινομένους, συνδεδεμένους, κλίνης δεομένους καὶ στρωμνῆς καὶ ἡσυχίας πολλῆς, καὶ καθάπερ ἐν κλυδωνίῳ πολλῷ ταραττομένους, καὶ τῶν διασωζόντων δεομένους, καὶ ἐπιθυμοῦντας τῆς καταστάσεως ἐκείνης, ἐν ᾗ πρὶν ἢ διαρραγῆναι ἦσαν. καθάπερ γὰρ αἱ κύουσαι τῶν γυναικῶν, οὕτω βαρούμενοι τὰς γαστέρας περιφέρονται, καὶ μόλις ἐπιβαίνουσι, καὶ μόλις βλέπουσι, καὶ μόλις φθέγγονται, καὶ πάντα μόλις. ἂν δὲ μικρὸν αὐτοὺς τύχῃ καταδαρθεῖν, ὀνείρατα πάλιν ἄτοπα καὶ μυρίων γέμοντα φαντασιῶν ὁρῶσι. τί ἄν τις εἴποι τὴν ἑτέραν τούτων μανίαν, τὴν τῶν ἀφροδισίων λέγω; καὶ γὰρ καὶ αὕτη τὰς πηγὰς ἐντεῦθεν ἔχει· καὶ καθάπερ ἵπποι θηλυμανεῖς, οὕτω τῷ οἴστρῳ τῆς μέθης κεντούμενοι, πᾶσιν ἐπιπηδῶσιν, ἀλογώτερον καὶ μανικώτερον ἐκείνων σκιρτῶντες, καὶ πολλὰ ἕτερα ἀσχημονοῦντες, ἃ μηδὲ εἰπεῖν θέμις. οὐδὲ γὰρ ἴσασι λοιπὸν οὔτε ἃ πάσχουσιν, οὔτε ἃ πράττουσιν. ἀλλ᾽ οὐχ ὁ μὴ τρυφῶν, τοιοῦτος· ἀλλ᾽ ἐν λιμένι κάθηται τὰ ἑτέρων ὁρῶν ναυάγια, καὶ ἡδονῆς ἀπολαύει καθαρᾶς καὶ διαρκοῦς, τὴν ἐλευθέρῳ προσήκουσαν ζωὴν μετιών. ταῦτ᾽



A ea non confecta universo exitium afferunt. Hinc morbi, & imbecillitates, & deformitates: & non solum morbidam, sed & turpem faciunt deliciæ eam quæ pulcra erat. Quando enim injucunda assidue eructat, & putridum vinum spirat, & plusquam par sit rubescit, & eum qui mulieri convenit ornatum corrumpit, omnemque perdit decorem & honestatem: & flaccida quidem fit caro, sanguinea autem & intensa supercilia, & major quam par sit crassitudo, & supervacanea carnis excrescentia; cogita quanta hinc fit insuavitas & molestia. Audivi quoque medicos dicen-
B tes, multis impedimento fuisse delicias ne proceriore essent statura. Nam cum intersecetur spiritus multitudine eorum quæ dejiciuntur, & occupetur in iis conficiendis, quod oportebat ad augmentum procedere, id in supervacaneorum insumitur confectione. Quid dixeris de pedum doloribus, de rheumate quod oberrat in omnes partes, quid de aliis morbis qui hinc oriuntur, & aliis abominandis? Nihil est enim æque injucundum & insuave ut mulier, quæ multa comedit. Propterea in pauperculis videris majorem formæ pulcritudinem,
C dum consumuntur excrementa, & non adhærent, neque frustra adjiciuntur ipsis instar luti supervacanei. Nam quotidiana exercitatio, labores, afflictiones, mensa moderata, & tenuis vitæ ratio, multam eis præbent bonam habitudinem, & hinc quoque magnam pulcritudinem. Si autem obtendas deliciarum voluptatem, eam invenies solum usque ad gulam. Nam simul atque linguam præteriit, avolat, multas immittens molestias. Ne mihi enim solum accumbentes videas eos qui vivunt in deliciis, sed quando eos videris surrexisse, tunc sequere, & videbis magis esse fera-
D rum & brutorum corpora, quam hominum. Videbis enim capite gravatos, pandiculantes, colligatos, lecto opus habentes, stragulis, & multa quiete, & tamquam in multis undis fluctibusque jactatos ac perturbatos, & iis qui servent opus habentes, cupientesque in illo esse statu, in quo erant priusquam disrumperentur. Tamquam enim gravidæ mulieres, ita gravati ventres circumferunt, & vix ingrediuntur, vix aspiciunt, vix loquuntur, & vix omnia. Quod si contigerit eos parum dormire, absurda rursus vident somnia, & referta vi-
E sis innumerabilibus. Quid rursus dixeris de alia illorum insania, de re, inquam, venerea? Nam ea quoque ex hoc fonte manat: & sicut equi in feminas furore perciti, ita ebrietatis œstro stimulati, omnes insiliunt, stolidius & furiosius quam illi exsultantes, & multa alia indecore facientes, quæ nefas quidem est dicere. Neque enim sciunt, ea quæ patiuntur, neque quæ agunt. Sed non est ejusmodi is qui non dat operam deliciis: sed sedet in portu, aliorum videns naufragia, & pura perpetuaque fruitur voluptate, eam quæ libero homini convenit vitam agens. Hæc er-

go scientes, fugiamus mala convivia deliciarum & mensam teneamus tenuem: ut & anima & corpore bene affecti, omnem operemur virtutem, & bona futura assequamur, gratia & benignitate Domini nostri Jesu Christi, quîcum Patri unàque Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A οὕτω εἰδότες, φύγωμεν τὰ πονηρὰ τῆς τρυφῆς συμπόσια, καὶ λιτῆς ἀντεχώμεθα τραπέζης, ἵνα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εὖ διακείμενοι, πᾶσάν τε ἐργασώμεθα ἀρετὴν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XL.

## ΟΜΙΛΙΑ μ'.

29. *Alioqui quid facient qui baptizantur pro mortuis? Si omnino mortui non resurgunt, quid & baptizantur pro illis?*

B Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;

1. ALIUD rursum caput aggreditur, aliquando quidem ex iis quæ Deus facit, aliquando autem ex iis quæ ipsi agunt, probans ea quæ dicuntur. Est autem hoc ad defensionem non parvum argumentum, quando eos qui contradicunt, adducit testes eorum quæ dicuntur, per ea quæ faciunt. Quid est ergo quod dicit? An vultis primum dicam quomodo hanc dictionem adulterant qui morbo laborant Marcionis? Atque scio quidem fore ut risum multum moveam: verum etiam propterea maxime dicam, ut illorum morbum magis fugiatis. Nam postquam catechumenus quispiam apud eos excesserit, sub lecto mortui absconso aliquo vivente, accedunt ad mortuum, & alloquuntur, rogantque velitne accipere baptismum. Deinde illo nihil respondente, qui est absconsus inferne, pro illo dicit se velle baptizari: & sic eum baptizant pro eo qui excessit, perinde ac si in scena luderent: tantum valuit diabolus in ignavorum animis. Deinde cum accusantur, adducunt hoc verbum, dicentes apostolum dixisse, Qui baptizantur pro mortuis. Vidistin' magnam irrisionem? convenit-ne adversus ea disceptare? Ego quidem non arbitror: nisi differere oporteat cum furentibus pro iis quæ loquuntur delirantes. Ut nemo autem capiatur ex simplicioribus, necesse est ut hanc quoque disceptationem adversus eos instituamus. Nam si hoc diceret Paulus, cur minatus est Deus ei qui non baptizatur? Non potest enim fieri ut quispiam deinceps non baptizetur, hoc excogitato. Alioqui vero non est culpa ejus qui excessit, sed ejus qui vivit. Quibusnam autem dixit, *Nisi comederitis carnem meam, & biberitis meum sanguinem, non habebitis vitam in vobis?* vivisne an mortuis, dic quæso? & rursus, *Nisi quis regeneratus fuerit ex aqua & Spiritu, non potest videre regnum Dei?* Si enim hoc permittitur, nec opus est voluntate & instituto ejus qui accipit, nec assensu ejus qui est in vita, quid vetat quominus & Ethnici & Judæi sic fiant fideles, aliis post illorum decessum, pro illis hæc facientibus? Sed ne aranearum telas amplius conscindentes, inaniter labo-

Marcionitarum ritus.

Joan. 6. 53.

Joan. 3. 5.

ΕΤΕΡΩ πάλιν ἐπιχειρεῖ κεφαλαίῳ, ποτὲ μὲν ἐξ ὧν ὁ θεὸς ποιεῖ, ποτὲ δὲ ἐξ αὐτῶν ὧν πράττουσι, τὰ λεγόμενα κατασκευάζων. οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς συνηγορίαν δικαίωμα, ὅταν τοὺς ἀντιλέγοντας αὐτοὺς μάρτυρας παραγάγῃ, δι' ὧν ποιοῦσι, τῶν λεγομένων. τί οὖν ἐστιν ὅ φησιν; ἢ βούλεσθε πρότερον εἴπω, πῶς παραποιοῦσι τὴν ῥῆσιν ταύτην οἱ τὰ Μαρκίωνος νοσοῦντες; C καὶ οἶδα μὲν ὅτι πολὺν κινήσω γέλωτα, πλὴν ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα ἐρῶ, ἵνα μειζόνως αὐτῶν φύγητε τὴν νόσον. ἐπειδὰν γάρ τις κατηχούμενος ἀπέλθῃ παρ' αὐτοῖς, τὸν ζῶντα ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύπτοντες, προσίασι τῷ νεκρῷ, καὶ διαλέγονται, καὶ πυνθάνονται, εἰ βούλοιτο λαβεῖν τὸ βάπτισμα· εἶτα ἐκείνου μηδὲν ἀποκρινομένου, ὁ κεκρυμμένος κάτωθεν ἀντ' ἐκείνου φησὶν, ὅτι δὴ βούλοιτο βαπτισθῆναι, καὶ οὕτω βαπτίζουσιν αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος, καθάπερ ἐπὶ τῆς σκηνῆς παίζοντες. τοσοῦτον ἴσχυσε τῶν ῥαθύμων ψυχαῖς ὁ διάβολος. εἶτα ἐγ- D καλούμενοι, τοῦτο προφέρουσι τὸ ῥῆμα λέγοντες, ὅτι καὶ ὁ ἀπόστολος εἴρηκεν, οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν. εἶδες τὸν καταγέλωτα τὸν πολύν; ἆρ' οὖν πρὸς ταῦτα ἀντειπεῖν ἄξιον; οὐκ ἔγωγε οἶμαι· πλὴν εἰ μὴ τοῖς μαινομένοις ὑπὲρ ὧν παραπαίοντες φθέγγονται, διαλέγεσθαι δεῖ. ἵνα δὲ μηδεὶς τῶν σφόδρα ἀφελεστέρων ἁλῷ, ἀναγκαῖον ὑπομεῖναι καὶ τὴν πρὸς τούτους ἀντίρρησιν. εἰ γὰρ τοῦτο ἔλεγε Παῦλος, τίνος ἕνεκεν ἠπείλησεν ὁ θεὸς τῷ μὴ βαπτιζομένῳ; οὐ γὰρ ἔστι τινὰ μὴ βαπτισθῆναι λοιπὸν ἐπινοηθέντος τούτου· ἄλλως δὲ τὸ ἔγκλημα οὐκέτι παρὰ τὸν ἀπελθόντα γίνε- E ται, ἀλλὰ παρὰ τὸν ζῶντα. τίσι δὲ ἔλεγεν, ἐὰν μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίνητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς; τοῖς ζῶσιν, ἢ τοῖς τετελευτηκόσιν, εἰπέ μοι; καὶ πάλιν, ἂν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ; εἰ γὰρ τοῦτο ἐφεῖται, καὶ οὐ χρεία γνώμης τοῦ λαμβάνοντος, οὐδὲ συγκαταθέσεως τοῦ ἐν τῷ ζῆν, τί κωλύει καὶ Ἕλληνας καὶ Ἰουδαίους οὕτω γενέσθαι πιστοὺς, ἑτέρων μετὰ τὴν τελευτὴν ἐκείνων ὑπὲρ ἐκείνων ταῦτα ποιούντων; ἀλλ' ἵνα μὴ ἐπὶ πλέον τὰ ἀράχνια διακόπτοντες μα-

ταιοπονῶμεν, φέρε τῆς ῥήσεως ταύτης τὴν δύναμιν ὑμῖν ἀναπτύξωμεν. (A) τί οὖν φησιν ὁ Παῦλος; πρότερον δὲ ἀναμνῆσαι βούλομαι τοὺς μεμυημένους ὑμᾶς ῥήσεως, ἣν κατὰ τὴν ἑσπέραν ἐκείνην οἱ μυσταγωγοῦντες ὑμᾶς λέγειν κελεύουσι, καὶ τότε ἐρῶ καὶ τὸ τοῦ Παύλου. οὕτω γὰρ ὑμῖν καὶ τοῦτο ἔσται σαφέστερον. μετὰ γὰρ τὰ ἄλλα πάντα τοῦτο προστίθεμεν, ὃ νῦν ὁ Παῦλος λέγει. καὶ βούλομαι μὲν σαφῶς αὐτὸ εἰπεῖν, οὐ τολμῶ δὲ διὰ τοὺς ἀμυήτους· οὗτοι γὰρ δυσκολωτέραν ἡμῖν ποιοῦσι τὴν ἐξήγησιν, ἀναγκάζοντες ἢ μὴ λέγειν σαφῶς, ἢ εἰς αὐτοὺς ἐκφέρειν τὰ ἀπόρρητα. πλὴν ἀλλ' (B) ὡς ἂν οἷός τε ὦ, συνεσκιασμένως ἐρῶ. μετὰ γὰρ τὴν ἀπαγγελίαν τῶν μυστικῶν ῥημάτων ἐκείνων καὶ φοβερῶν, καὶ τοὺς φρικτοὺς κανόνας τῶν ἐκ τοῦ οὐρανοῦ κατενεχθέντων δογμάτων, καὶ τοῦτο πρὸς τῷ τέλει προστίθεμεν, ὅταν μέλλωμεν βαπτίζειν, κελεύοντες λέγειν· ὅτι πιστεύω εἰς νεκρῶν ἀνάστασιν, καὶ ἐπὶ τῇ πίστει ταύτῃ βαπτιζόμεθα. μετὰ γὰρ τὸ ὁμολογῆσαι τοῦτο μετὰ τῶν ἄλλων, τότε καθιέμεθα εἰς τὴν πηγὴν τῶν ἱερῶν ναμάτων ἐκείνων. τοῦτο τοίνυν ἀναμιμνήσκων ὁ Παῦλος ἔλεγεν· εἰ μή ἐστιν ἀνάστασις, τί καὶ βαπτίζῃ ὑπὲρ τῶν νεκρῶν; τουτέστι, τῶν σωμάτων. (C) καὶ γὰρ ἐπὶ τούτῳ βαπτίζῃ, τοῦ νεκροῦ σώματος ἀνάστασιν πιστεύων, ὅτι οὐκέτι μένει νεκρόν. καὶ σὺ μὲν διὰ τῶν ῥημάτων λέγεις νεκρῶν ἀνάστασιν· ὁ δὲ ἱερεύς, ὥσπερ ἐν εἰκόνι τινὶ, ἅπερ ἐπίστευσας καὶ διὰ τῶν ῥημάτων ὡμολόγησας, δείκνυσί σοι καὶ διὰ τῶν πραγμάτων αὐτῶν. ὅταν χωρὶς σημείου πιστεύῃς, τότε σοι καὶ τὸ σημεῖον παρέχει· ὅταν τὰ σαυτοῦ ποιήσῃς, τότε καὶ ὁ θεός σε πληροφορεῖ. πῶς καὶ τίνι τρόπῳ; διὰ τοῦ ὕδατος. τὸ γὰρ βαπτίζεσθαι καὶ καταδύεσθαι, εἶτα ἀνανεύειν, τῆς εἰς ᾅδου καταβάσεώς ἐστι σύμβολον καὶ τῆς ἐκεῖθεν ἀνόδου. διὸ καὶ τάφον τὸ βάπτισμα ὁ Παῦλος (D) καλεῖ λέγων, συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. ἀπὸ τούτου καὶ τὸ μέλλον ἀξιόπιστον ποιεῖ, τῶν σωμάτων λέγω τὴν ἀνάστασιν. τοῦ γὰρ σῶμα ἀναστῆσαι πολλῷ μεῖζον τὸ ἁμαρτήματα ἀφανίσαι. καὶ τοῦτο ὁ Χριστὸς ἀποφαινόμενος, ἔλεγεν· τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; τὸ μὲν δυσκολώτερον ἐκεῖνο, φησίν· ἐπειδὴ δὲ ἀπιστεῖτε ἅτε ἀδήλῳ ὄντι, καὶ τὸ εὐκολώτερον ἀντὶ δυσκόλου ποιεῖσθε τῆς ἐμῆς δυνάμεως ἀπόδειξιν, οὐδὲ τοῦτο παραιτήσομαι παρασχεῖν ὑμῖν τὸ δεῖγμα. (E) τότε λέγει τῷ παραλυτικῷ, ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

Καὶ πῶς τοῦτο δύσκολόν, φησιν, ὅταν καὶ βασιλεῦσι, καὶ ἄρχουσι δυνατὸν ᾖ; καὶ γὰρ μοιχοὺς, καὶ ἀνδροφόνους ἀφιᾶσιν ἐκεῖνοι. παίζεις, ἄνθρωπε, ταῦτα λέγων· ἁμαρτήματα μὲν γὰρ ἀφεῖναι, μόνῳ θεῷ δυνατόν. ἄρχοντες δὲ καὶ βασιλεῖς, κἂν μοιχοὺς, κἂν ἀνδροφόνους ἀφῶσι, τῆς μὲν κολάσεως τῆς παρούσης ἀπαλλάττουσι, τὴν δὲ ἁμαρτίαν αὐτῶν οὐκ

remus, age hujus dictionis vim explicemus. Quid ergo dicit Paulus? Vobis primum qui mysteriis estis initiati, volo in memoriam revocare eam dictionem, quam in illa vespera jubent vos dicere qui mysterio initiant: & tunc quid dicat Paulus explicabo. Sic enim hoc quoque vobis erit dilucidius. Nam post alia omnia hoc addimus, quod nunc dicit Paulus. Et volo quidem aperte hoc dicere: non audeo autem propter eos qui non sunt initiati: ii enim expositionem nobis faciunt difficiliorem, ut qui nos cogant vel non aperte dicere, aut eis arcana enunciare. Sed tamen dicam, quoad ejus a me fieri poterit, tecte & adumbrate. Nam post mysticorum illorum & terribilium verborum enunciationem, & horrendas regulas dogmatum, quæ e cælo sunt demissa, hoc quoque in fine addimus, quando sumus baptizandi, jubentes dicere, Credo in resurrectionem mortuorum: & in hac fide baptizamur. Postquam enim hoc confessi sumus cum aliis, tunc demittimur in fontem sacrorum illorum fluentorum. Hoc ergo in memoriam revocans dicebat Paulus, *Si non est resurrectio, cur baptizaris pro mortuis?* Id est, pro corporibus. Propter hoc enim baptizaris, mortui corporis credens resurrectionem, nempe quod non maneat mortuum. Et tu quidem per verba dicis mortuorum resurrectionem. Sacerdos autem tamquam in quadam imagine, quæ credidisti & per verba es confessus, etiam per res ipsas ostendit. Quando absque signo credis, tunc tibi etiam præbet signum. Quando quæ tua sunt feceris, tunc Deus quoque te reddit certiorem. Quomodo? Per aquam. Baptizari enim & demergi, deinde sursum remeare & emergere est symbolum seu signum descensus ad inferos, & ex eo ascensus. Quamobrem Paulus quoque baptismum sepulcrum vocat, dicens. *Consepulti enim sumus cum illo per baptismum in mortem.* Ex eo autem rem futuram quoque facit credibilem, corporum, inquam, resurrectionem. Est enim longe majus peccata delere, quam corpus suscitare. Et hoc enuncians Christus dicebat. Quid enim est facilius dicere, Remittuntur tibi peccata, an dicere, Tolle grabbatum tuum & ambula? Illud quidem, inquit, est difficilius. Quoniam autem id minus creditis, ut quod non sit evidens, & quod est facilius pro difficili habetis, nempe potestatis meæ ostensionem, ne hoc quidem indicium recusabo vobis exhibere. Tunc dicit paralytico, surge, tolle lectum tuum, & vade in domum tuam.

Ritus ecclesiæ in baptismo.

Rom. 6. 4.

Matt. 9. 5.

2. Et quomodo est, inquies, difficile, cum hoc possint facere & reges & principes? Adulteros enim & homicidas illi dimittunt. Ludis, o homo, hæc dicens. Nam solus quidem Deus potest peccata remittere. Principes autem & reges, etiamsi dimittant & absolvant adulteros & homicidas, a præsenti quidem liberant supplicio, eorum autem peccatum non emundant &

expiant: & si dimissos quidem provexerint ad magistratus, & vel ipsa induerint purpura, & imposuerint eis diadema; reges quidem sic fecerunt, a peccatis autem non liberarunt. Solus enim Deus hoc facit, quod quidem operatur in lavacro regenerationis. Ipsam enim animam tangit gratia, & illinc peccatum evellit radicitus. Propterea ejus quidem qui est dimissus a rege, sordidam videre licet animam: ejus autem qui est baptizatus, minime, sed ipsius solis radiis puriorem, & qualis fuit generata ab initio, imo vero illa quoque longe meliorem. Fruitur enim Spiritu qui eam omni ex parte inflammat, & auget sanctitatem: & sicut aurum aut argentum refundens, purum & novum facis denuo: ita etiam Spiritus sanctus in baptismo tamquam in fornace eam refundens, & peccata consumens, efficit ut quovis auro puro purius fulgeat. Itemque corporum resurrectionem hinc quoque rursus tibi facit esse credibilem. Nam quoniam peccatum mortem intulit, exsiccata radice non est amplius dubitandum de fructus interitu. Propterea cum prius dixisses remissionem peccatorum, tunc confiteris etiam mortuorum resurrectionem, hinc ad illud deductus. Deinde quoniam non sufficit nomen resurrectionis ad universum ostendendum; multi enim qui resurrexerant rursus excesserunt, ut qui resurrexerunt in veteri, ut Lazarus, ut qui tempore crucis; jubet dicere, & in vitam æternam, ne quis amplius suspicetur mortem post resurrectionem. Hæc ergo verba in memoriam revocans Paulus dicit: Quid facient qui baptizantur pro mortuis? Nam si non est, inquit, resurrectio, hæc verba plane sunt ludus scenicus. Si non est resurrectio, quomodo eis suademus ut credant quæ non damus: ut si quis jubens edere schedulam quod hoc & illud acceperit, minime dederit quæ in ea scripta sunt; deinde postquam subscripta fuerit schedula, exigat quæ in ea sunt scripta. Quid enim de cetero faciet is qui subscripsit, cum se quidem debitorem constituerit, non acceperit autem ea quæ confessus est se accepisse? Hoc enim hic quoque dicit de iis qui baptizantur. Quid facient, inquies, qui baptizantur, qui subscripserunt quidem resurrectionem mortuorum corporum; non recipiunt autem, sed decipiuntur? Quid autem erat omnino opus hac confessione, si res non sequebatur? 30. *Quid & nos periclitamur omni hora?* 31. *Quotidie morior propter vestram gloriam, quam habeo in Christo Jesu.* Vide rursus undenam dogma aggrediatur probare, a suo suffragio: imo vero non solum suo, sed etiam cæterorum apostolorum. Est autem hoc quoque non parvum, adducere doctores qui de eo valde certam habeant persuasionem, & hoc non solum verbis, sed etiam rebus ostendant. Propterea non dicit absolute, Nos quoque id habemus persuasum: neque enim satis erat hoc so-

A ἐκκαθαίρουσι· κἂν εἰς ἀρχὰς ἀγάγωσι τοὺς ἀφεθέντας, κἂν αὐτὴν περιβάλωσι τὴν ἁλουργίδα, κἂν τὸ διάδημα ἐπιθῶσιν, ἀλλὰ βασιλέας μὲν ἐποίησαν αὖ οὕτω, τῆς δὲ ἁμαρτίας οὐκ ἂν ἠλευθέρωσαν· Θεὸς γὰρ μόνος τοῦτο ποιεῖ, ὃ δὴ καὶ ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἐργάζεται. αὐτῆς γὰρ ἅπτεται τῆς ψυχῆς ἡ χάρις, κἀκεῖθεν πρόῤῥιζον ἀνασπᾷ τὴν ἁμαρτίαν. διὰ δὴ τοῦτο τοῦ μὲν ὑπὸ βασιλέως ἀφεθέντος ῥυπῶσαν τὴν ψυχὴν ἔστιν ἰδεῖν, τὴν δὲ τοῦ βαπτισθέντος οὐκέτι, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέραν, καὶ οἵα ἐξ ἀρχῆς γεννηθεῖσα ἦν, μᾶλ-

B λον δὲ καὶ ἐκείνης ἀμείνω πολλῷ. πνεύματος γὰρ ἀπολαύει τοῦ πανταχόθεν αὐτὴν πυροῦντος καὶ τὴν ἁγιωσύνην ἐπιτείνοντος. καὶ ὥσπερ σίδηρον ἢ χρυσὸν ἀναχωνεύων, καθαρὸν καὶ καινὸν ἄνωθεν ποιεῖς· οὕτω δὴ καὶ τὸ πνεῦμα τὸ ἅγιον ὥσπερ ἐν χωνευτηρίῳ τῷ βαπτίσματι ἀναχωνεῦον αὐτὴν, καὶ δαπανῶν τὰ ἁμαρτήματα, χρυσίου παντὸς καθαροῦ καθαρώτερον ἀποστίλβειν παρασκευάζει. καὶ τὴν τῶν σωμάτων δὲ ἀνάστασιν ἀξιόπιστον κἀντεῦθέν σοι πάλιν δεικνῦσιν οὖσαν. ἐπεὶ γὰρ ἡ ἁμαρτία τὸν θάνατον εἰ-

C σήγαγε, τῆς ῥίζης ξηρανθείσης, οὐδὲν δεῖ λοιπὸν ἀμφιβάλλειν ὑπὲρ τῆς τοῦ καρποῦ ἀπωλείας. διὰ τοῦτο πρότερον εἰπὼν ἁμαρτιῶν ἄφεσιν, τότε ὁμολογεῖς καὶ νεκρῶν ἀνάστασιν, ἐντεῦθεν καὶ εἰς ἐκεῖνο χειραγωγούμενος. εἶτα ἐπειδὴ οὐκ ἀρκεῖ τὸ ὄνομα τῆς ἀναστάσεως δεῖξαι τὸ πᾶν· πολλοὶ γὰρ ἀναστάντες πάλιν ἀπῆλθον, ὡς οἱ ἐν τῇ παλαιᾷ, ὡς Λάζαρος, ὡς οἱ ἐν τῷ καιρῷ τοῦ σταυροῦ· κελεύει λέγειν, καὶ εἰς ζωὴν αἰώνιον, ἵνα μηκέτι θάνατον ὑποπτεύσῃ τις μετὰ τὴν ἀνάστασιν ἐκείνην. τούτων τοίνυν τῶν ῥημάτων ἀναμιμνήσκων ὁ Παῦλός φησι· τί ποιήσουσιν οἱ

D βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ γὰρ μὴ ἔστιν ἀνάστασις, φησι, σκηνὴ τὰ ῥήματα ταῦτα. εἰ μὴ ἔστιν ἀνάστασις, πῶς αὐτοὺς πείθομεν πιστεύειν, ἅπερ οὐ δίδομεν· ὥσπερ ἂν εἴ τις κελεύων γραμματεῖον ἐκθέσθαι ὅτι τὸ καὶ τὸ ἔλαβε, μηκέτι δῷη τὰ ἐγγραφέντα, εἶτα μετὰ τὴν ὑπογραφὴν ἀπαιτοίη τὰ ἐγγεγραμμένα. τί γὰρ ποιήσει λοιπὸν ὁ ὑπογράψας, ὑπεύθυνον μὲν ἑαυτὸν ποιήσας, οὐ λαβὼν δὲ ἅπερ ὡμολόγησεν εἰληφέναι; τοῦτο γὰρ καὶ ἐνταῦθα λέγει περὶ τῶν βαπτιζομένων. τί ποιήσουσιν οἱ βαπτιζό-

E μενοι, φησιν, ὑπογράψαντες μὲν ἀνάστασιν σωμάτων νεκρῶν, οὐ λαμβάνοντες δὲ, ἀλλ' ἀπατώμενοι; τί δὲ ὅλως καὶ τῆς ὁμολογίας ταύτης ἔδει, εἰ τὸ ἔργον μὴ εἵπετο; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ. ὅρα πάλιν πόθεν ἐπιχειρεῖ κατασκευάσαι τὸ δόγμα, ἀπὸ τῆς οἰκείας ψήφου, μᾶλλον δὲ οὐ τῆς αὐτοῦ μόνον, ἀλλὰ καὶ τῆς τῶν λοιπῶν ἀποστόλων. οὐ μικρὸν δὲ καὶ τοῦτο τὸ τοὺς διδασκάλους εἰσάγειν σφόδρα πεπληροφορημένους, καὶ τοῦτο δεικνύντας οὐ διὰ λόγων μόνον ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων. διὰ δὴ τοῦτο οὐ λέγει ἁπλῶς, ὅτι καὶ ἡμεῖς πεπείσμεθα, οὐδὲ γὰρ ἤρκει τοῦτο πεῖσαι μό-

νον, ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν παρέχεται· ὡς ἂν εἰ ἔλεγε, ῥήμασι ταῦτα ὁμολογεῖν οὐδὲν ἴσως ὑμῖν δοκεῖ θαυμαστὸν εἶναι· εἰ δὲ καὶ τὴν ἀπὸ τῶν ἔργων ὑμῖν παρεχοίμεθα φωνήν, τί πρὸς τοῦτο ἔχοιτε ἀντειπεῖν; ἀκούσατε τοίνυν, πῶς καὶ διὰ τῶν κινδύνων ταῦτα καθ' ἑκάστην ὁμολογοῦμεν τὴν ἡμέραν. καὶ οὐκ εἶπεν, ἐγώ, ἀλλ', ἡμεῖς, παραλαμβάνων πάντας ὁμοῦ τοὺς ἀποστόλους, καὶ ταύτῃ μετριάζων τε καὶ ἀξιόπιστον ποιῶν τὸν λόγον. τί γὰρ ἂν ἔχοιτε εἰπεῖν; ὅτι ἀπατῶμεν ὑμᾶς ταῦτα κηρύττοντες, καὶ κενοδοξίας ἕνεκεν δογματίζομεν; ἀλλ' οὐκ ἐῶσι ταῦτα ψηφίζεσθαι οἱ κίνδυνοι. τίς γὰρ ἂν ἕλοιτο κινδυνεύειν διηνεκῶς εἰκῇ καὶ μάτην; διὸ καὶ ἔλεγε, τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; εἰ γὰρ καὶ ἕλοιτό τις διὰ κενοδοξίαν, ἅπαξ καὶ δεύτερον τοῦτο αἱρήσεται, οὐχὶ πάντα τὸν βίον, καθάπερ ἡμεῖς. ἡμεῖς γὰρ τὴν ζωὴν ἅπασαν εἰς τοῦτο κατεστησάμεθα. καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ· καύχησιν ἐνταῦθα, τὴν αὐτῶν προκοπὴν λέγων. ἐπειδὴ γὰρ πολλοὺς ἔδειξε τοὺς κινδύνους ὄντας, ἵνα μὴ δόξῃ ὡς ἀποδυρόμενος ταῦτα λέγειν, οὐ μόνον οὐκ ἀλγῶ, φησιν, ἀλλὰ καὶ καυχῶμαι τῷ ταῦτα πάσχειν ὑπὲρ ὑμῶν. διπλῇ δὲ ἐναβρύνεσθαί, φησι, καὶ τῷ δι' αὐτοὺς κινδυνεύειν, καὶ τῷ ὁρᾶν αὐτοὺς ἐπιδιδόντας. εἶτα τὸ αὐτοῦ σύνηθες ποιῶν, ἐπειδὴ μεγάλα ἐφθέγξατο, ἀμφότερα ἀνατίθησι τῷ Χριστῷ. πῶς δὲ ἀποθνήσκει καθ' ἑκάστην ἡμέραν; τῇ προθυμίᾳ, καὶ τῷ παρεσκευάσθαι πρὸς τοῦτο. καὶ τίνος ἕνεκεν ταῦτα λέγει; πάλιν τὸν περὶ τῆς ἀναστάσεως καὶ διὰ τούτων κατασκευάζων λόγον. τίς γὰρ ἂν ἕλοιτο, φησι, τοσούτους ὑπομένειν θανάτους, ἀναστάσεως οὐκ οὔσης, οὐδὲ ζωῆς μετὰ ταῦτα; εἰ γὰρ οἱ πιστεύοντες τῇ ἀναστάσει, μόλις ἂν ὑπὲρ αὐτῆς κινδυνεύσαιεν, εἰ μὴ σφόδρα εἶεν γενναῖοι· πολλῷ μᾶλλον ὁ μὴ πιστεύων, φησίν, οὐκ ἂν ἕλοιτο τοσούτους ὑπομένειν θανάτους, καὶ οὕτω χαλεπούς. καὶ γὰρ κατὰ μικρὸν ὅρα πόσην ποιεῖται τὴν αὔξησιν. εἶπεν, ὅτι κινδυνεύομεν, προσέθηκεν, ὅτι πᾶσαν ὥραν, εἶτα, ὅτι καθ' ἡμέραν, εἶτα, ὅτι οὐ κινδυνεύω μόνον, φησίν, ἀλλὰ καὶ ἀποθνήσκω. δείκνυσι δὴ λοιπὸν καὶ ποταποὺς θανάτους, οὕτω λέγων· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος;

Τί ἐστιν, εἰ κατὰ ἄνθρωπον; ὅσον τὸ εἰς ἀνθρώπους ἧκον, ἐθηριομάχησα. τί γάρ, εἰ ὁ θεὸς ἐξήρπασέ με τῶν κινδύνων; ὥστε ὁ μάλιστα ὑπὲρ τούτων ὀφείλων μεριμνᾶν, ἐγώ εἰμι, ὁ τοσούτοις κινδύνοις ὑπομένων, καὶ μηδεμίαν μηδέπω λαβὼν ἀμοιβήν. εἰ γὰρ μὴ παραγίνεται ὁ τῆς ἀντιδόσεως καιρός, ἀλλὰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα συγκέκλεισται, ἡμεῖς ἐν μείζονι ζημίᾳ ἐσμέν. ὑμεῖς μὲν γὰρ ἀκινδύνως ἐπιστεύσατε, ἡμεῖς δὲ καθ' ἑκάστην σφαττόμεθα τὴν ἡμέραν. ταῦτα δὲ ἅπαντα ἔλεγεν, οὐκ ἐπειδὴ οὐκ εἶχεν ὄφελος καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἀλλὰ διὰ τὴν τῶν πολλῶν ἀσθένειαν, καὶ ὥστε αὐτοὺς εἰς τὸν περὶ τῆς ἀναστάσεως στηρίξαι λόγον· οὐκ ἐπειδὴ αὐτὸς ἐπὶ μισθῷ ἔτρεχεν.

A lum persuadere, sed etiam per res ipsas exhibet demonstrationem: perinde ac si diceret, Verbis hæc confiteri nihil vobis forte videtur esse mirandum: si autem etiam a rebus ipsis vocem vobis exhibeamus, quid ad hæc poteritis contradicere? Audite ergo quomodo etiam per pericula hæc quotidie confiteamur. Et non dixit, ego, sed nos, assumens omnes simul apostolos, & ea ratione modeste se gerens, ac fide dignam faciens orationem. Quid enim dicere potueritis? Quod vos decipiamus hæc prædicantes, & propter inanem gloriam hæc dogmata statuamus? Sed B hanc sententiam ferre non sinunt pericula. Quis enim sua sponte voluerit frustra & temere adire pericula? Et ideo dicebat, Quid & nos periclitamur omni hora? Nam & si quis propter inanem gloriam hoc sua sponte elegerit, semel & iterum hoc faciet, non omni tempore sicut nos. Nos enim totam vitam huic rei addicimus. Quotidie morior per vestram gloriationem, quam habeo in Christo Jesu. Gloriationem hic dicens eorum profectum. Nam quoniam multa ostendit esse pericula, ne videretur tamquam deflens hæc dicere, non solum, C inquit, non doleo, sed etiam glorior quod pro vobis hæc patiar. Duplici autem ratione se dicit gloriari, & quod propter ipsos pericula adeat, & quod ipsos videat incrementum suscipere. Deinde faciens id quod est sibi solitum, quoniam magna est loquutus, utraque Christo tribuit. Quomodo autem moritur quotidie? Animi alacritate, & quod ad hoc sit paratus. Et cur hæc dicit? Rursus per hæc quoque confirmans quod dicitur de resurrectione. Quis enim, inquit, elegerit tam multas subire mortes, si ne sit quidem postea resurrectio, neque vita? Nam si qui credunt re- D surrectioni, vix pro ea pericula adierint nisi sint fortes ac generosi: multo magis is qui non credit, non tam multas & tam graves ac difficiles mortes elegerit. Etenim vide quantum paulatim faciat incrementum. Dixit, Periclitamur; addidit, omni hora; deinde, quotidie; postea non solum dicit, periclitor, sed etiam morior. Deinde ostendit & quot mortes, sic dicens:

32. *Si secundum hominem ad bestias pugnavi Ephesi, quid mihi prodest?*

3. Quid est, si secundum hominem? Quod ad homines attinet, pugnavi cum E bestiis. Quid enim si me Deus eripuit a periculis? Quare qui pro his maxime debeo esse sollicitus, ego sum, qui tam multa sustineo pericula, & adhuc nullam accepi remunerationem. Nam si non advenit tempus remunerationis, sed intra præsens tempus res nostræ sunt conclusæ, nos majus damnum patimur. Nam vos quidem citra periculum credidistis: nos autem mactamur quotidie. Hæc autem omnia dicebat, non quoniam in patiendo nullam haberet utilitatem, sed propter multorum imbecillitatem, & ut ipsos confirmaret in ratione resurrectionis: non quod ipse curreret

propter mercedem: erat enim sufficiens ei remuneratio, id facere quod Deo placeret. Quamobrem etiam quando dicit, Si in hac vita speramus in Christo tantum, miserabiliores omnibus hominibus sumus: illic quoque rursus dicit propter illos, ut metu hujus miseriæ, eorum de resurrectione exagitet incredulitatem: & ad eorum imbecillitatem se demittens sic loquitur. Est enim magna merces, Christo placere in omnibus: etiam absque remuneratione, magna est merces propter ipsum adire pericula. *Si mortui non resurgunt, manducemus & bibamus: cras enim moriemur.* Hoc jam verbum est irridentis. Quamobrem non hoc ex se adduxit, sed magniloquentissimum prophetam produxit Esaiam, qui de iis qui omnem sensum doloris exuerunt & sunt deplorati, dicebat hæc verba. *Qui mactant vitulos, & sacrificant oves, ut carnes comedant, & vinum bibant. Qui dicunt, Comedamus & bibamus, cras enim moriemur. Hæc sunt aperta in auribus Domini Sabaoth: & non remittetur vobis hoc peccatum, donec fueritis mortui.* Si autem venia tunc fuerunt privati qui hæc dicebant, multo magis in gratia. Deinde ne asperiorem redderet orationem, non amplius immoratur in adductione ad absurdum, sed orationem rursus convertit ad exhortationem, dicens: 33. *Nolite seduci: corrumpunt bonos mores colloquia prava.* Hæc autem dicebat, simul quidem eos insectans, tamquam insipientes, bonos enim benigna ac miti appellatione hic significavit, qui facile possunt decipi; simulque quantum potuit, pro præcedentibus ipsis veniam concedens, maximam partem criminum ab eis propulsavit, & in alios transtulit, ut hac quoque ratione eos attraheret ad pœnitentiam. Quod etiam in epistola ad Galatas facit, dicens: *Qui autem vos conturbat, portabit judicium, quisquis ille sit. Evigilate juste, & nolite peccare.* Tamquam ebriis dicit & furentibus. Nam omnia simul & repente e manibus ejicere, ebriorum erat & furentium, eo quod non amplius videant quæ viderunt, neque credant iis quæ prius confessi sunt. Quid est autem, *juste?* ad id quod conducit & est utile. Est enim injuste evigilare & expergisci, quando quispiam fuerit excitatus ad detrimentum suæ animæ. Recte autem addidit illud, *Nolite peccare*, ostendens quod hinc sint ipsis semina incredulitatis. Hoc quoque alibi tacite significat, quod vita corrupta mala gignat dogmata: ut quando dicit, *Radix omnium malorum est avaritia: quam quidam appetentes aberraverunt a fide.* Multi enim male sibi conscii, nec volentes dare pœnas, ab hoc metu læduntur in fide resurrectionis; sicut ii quidem certe qui multa & præclara recte gesserunt, quotidie cupiunt videre illum diem. *Ignorantiam enim Dei quidam habent; ad pudorem id vobis dico.* Vide quomodo rursus crimina transfert in alios. Non enim dixit. Habetis ignorantiam, sed *ignorantiam quidam habent.*

Isai. 26. 13.

Gal. 5. 10.

1. Tim. 6. 10.

ἀρκοῦσα γὰρ ἦν αὐτῷ ἀντίδοσις, τὸ ποιῆσαι τὸ δοκοῦν τῷ θεῷ. ὥστε καὶ ὅταν λέγῃ, Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν, κἀκεῖ πάλιν διὰ ἐκείνους, ὥστε τῷ φόβῳ τῆς ἀθλιότητος ταύτης κλασθῆναι αὐτῶν τὴν ἀπιστίαν τὴν περὶ τῆς ἀναστάσεως, καὶ πρὸς τὴν ἀσθένειαν αὐτῶν συγκαταβαίνων, οὕτω φησί. καὶ γὰρ ὁ μέγας μισθὸς, τὸ ἀρέσκειν διαπαντὸς τῷ Χριστῷ· καὶ χωρὶς τῆς ἀντιδόσεως, μεγίστη ἀμοιβὴ, τὸ δι' αὐτὸν κινδυνεύειν. Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. τοῦτο λοιπὸν τὸ ῥῆμα κωμῳδοῦντός ἐστι. διὸ οὐδὲ οἴκοθεν αὐτὸ παρήγαγεν, ἀλλὰ τὸν προφήτην ἐπέστησε τὸν μεγαλοφωνότατον Ἠσαΐαν, ὃς περὶ τινῶν ἀπηλγηκότων διαλεγόμενος καὶ ἀπεγνωσμένων, ἔλεγε ταυτὶ τὰ ῥήματα· οἱ σφάζοντες μόσχους, καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέα καὶ πιεῖν οἶνον· οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. ἀνακεκαλυμμένα ταῦτά ἐστιν εἰς τὰ ὦτα κυρίου Σαβαώθ· καὶ οὐκ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνητε. εἰ δὲ τότε συγγνώμης ἦσαν ἀπεστερημένοι οἱ ταῦτα λέγοντες· πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. εἶτα ἵνα μὴ τραχύτερον ποιήσῃ τὸν λόγον, οὐκ ἐπὶ πολὺ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐπιμένει, ἀλλὰ πάλιν ἐπὶ παραίνεσιν τρέπει τὸν λόγον, λέγων· μὴ πλανᾶσθε, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν αὐτῶν καθαπτόμενος, ὡς ἀνοήτων, χρηστὰ γὰρ ἐνταῦθα εὐφήμως τὰ εὐεξαπάτητα ἐκάλεσεν, ὁμοῦ δὲ ὡς οἷόν τέ ἐστι καὶ συγγνώμης ὑπὲρ τῶν ἔμπροσθεν αὐτοῖς μεταδιδοὺς, καὶ τὸ πλέον τοῦ ἐγκλήματος ἀποσκευαζόμενος ἀπ' ἐκείνων, καὶ εἰς ἑτέρους μεταθεὶς, ὥστε καὶ ταύτῃ εἰς μετάνοιαν αὐτοὺς ἐφελκύσασθαι. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ ποιεῖ λέγων, ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ὡς πρὸς μεθύοντας καὶ μαινομένους. τὸ γὰρ ἀθρόον πάντα ἀπὸ τῶν χειρῶν ῥῖψαι, μεθυόντων καὶ μαινομένων ἦν, τῷ μηκέτι ὁρᾶν ἃ ἑώρων, μηδὲ πιστεύειν οἷς ἔμπροσθεν ὡμολόγησαν. τί δέ ἐστι, δικαίως; ἐπὶ συμφέροντι καὶ χρησίμῳ. ἔστι γὰρ ἀδίκως νήφειν, ὅταν ἐπὶ βλάβῃ τῆς ἑαυτοῦ ψυχῆς διεγηγερμένος τις ᾖ. καλῶς δὲ καὶ τὸ, μὴ ἁμαρτάνετε, προσέθηκε, δεικνὺς ὅτι ἐντεῦθεν αὐτοῖς τὰ σπέρματα τῆς ἀπιστίας. καὶ πολλαχοῦ τοῦτο αἰνίττεται, ὅτι βίος διεφθαρμένος πονηρὰ τίκτει δόγματα· ὡς ὅταν λέγῃ, ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν τῆς πίστεως. καὶ γὰρ πολλοὶ τῶν πονηρὰ συνειδότων ἑαυτοῖς, καὶ οὐ βουλομένων δοῦναι δίκην ἀπὸ τοῦ φόβου τούτου καὶ εἰς τὴν περὶ τῆς ἀναστάσεως παραβλάπτονται πίστιν· ὥσπερ οὖν οἱ μεγάλα κατορθοῦντες καὶ καθ' ἑκάστην αὐτὴν ἐπιθυμοῦσι τὴν ἡμέραν ἰδεῖν. ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω. ὅρα πῶς πάλιν μετατίθησι τὰ ἐγκλήματα εἰς ἑτέρους. οὐ γὰρ εἶπεν, ὅτι ἀγνωσίαν ἔχετε, ἀλλ', ἀγνωσίαν τινὲς ἔχουσι.

τὸ γὰρ τῇ ἀναστάσει ἀπιστεῖν, οὐ σφόδρα εἰδότος ἐστὶ τὴν τοῦ θεοῦ δύναμιν τὴν ἄμαχον καὶ πρὸς ταῦτα ἀρκοῦσαν. εἰ γὰρ ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησε, πολλῷ μᾶλλον τὰ διαλυθέντα δυνήσεται ἀναστῆσαι. καὶ ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ μεθ' ὑπερβολῆς ἐκωμῴδησεν, εἰς γαστριμαργίαν, εἰς ἄνοιαν, εἰς παραπληξίαν διαβάλλων, παραμυθούμενος τὰ εἰρημένα, φησί· πρὸς ἐντροπὴν ὑμῖν λέγω, τουτέστιν, ὥστε διορθῶσαι, ὥστε ἐπαναγαγεῖν, ὥστε αἰσχυνθέντας ὑμᾶς γενέσθαι βελτίους. δέδοικε γὰρ μὴ πέρα τοῦ δέοντος τεμὼν, ἀποσκιρτῆσαι ποιήσῃ.

Ταῦτα δὲ μὴ πρὸς ἐκείνους εἰρῆσθαι νομίζωμεν μόνον, ἀλλὰ καὶ νῦν εἰρῆσθαι πρὸς ἅπαντας τοὺς τὰ αὐτὰ νοσοῦντας, καὶ τοὺς βίον διεφθαρμένον ἔχοντας. καὶ γὰρ οὐχ οἱ τὰ πονηρὰ δόγματα ἔχοντες μόνον, ἀλλὰ καὶ οἱ ἁμαρτίαις κατεχόμενοι χαλεπαῖς, μεθύουσί τε καὶ παραπαίουσι. διὸ καὶ πρὸς αὐτοὺς ἂν λεχθείη δικαίως τό, ἐκνήψατε, καὶ μάλιστα πρὸς τοὺς τῷ κάρῳ τῆς πλεονεξίας βεβαρημένους, τοὺς κακῶς ἁρπάζοντας. ἔστι γὰρ ἁρπαγὴ καλὴ, ἡ τῶν οὐρανῶν ἁρπαγὴ, ἡ μηδὲν βλάπτουσα. ἐν μὲν γὰρ τοῖς χρήμασιν οὐκ ἔστιν ἕτερον γενέσθαι πλούσιον, μὴ ἑτέρου πρότερον γινομένου πένητος· ἐπὶ δὲ τῶν πνευματικῶν οὐκ ἔνι τοῦτο, ἀλλὰ τοὐναντίον ἅπαν. οὐκ ἔστι τινὰ γενέσθαι πλούσιον, μὴ ἕτερον ποιήσαντα εὔπορον. ἂν γὰρ μηδένα ὠφελήσῃς, οὐ δυνήσῃ γενέσθαι εὔπορος. ἐν μὲν γὰρ τοῖς σωματικοῖς ἡ μετάδοσις μείωσιν ποιεῖ· ἐν δὲ τοῖς πνευματικοῖς ἡ μετάδοσις πλεονασμὸν ἐργάζεται. καὶ τὸ μὴ μεταδοῦναι, τοῦτο πολλὴν πενίαν κατασκευάζει, καὶ κόλασιν ἐσχάτην ἐπάγει. καὶ δείκνυσι τοῦτο ὁ τὸ τάλαντον κατορύξας. καὶ γὰρ ὁ λόγον ἔχων σοφίας, μεταδοὺς ἑτέρῳ, ηὔξησε τὴν περιουσίαν, πολλοὺς ποιήσας τοὺς σοφούς· οἴκοι δὲ κατακρύψας, ἀπεστέρησεν ἑαυτὸν τῆς περιουσίας, οὐ κτησάμενος τὴν τῶν πολλῶν ὠφέλειαν. πάλιν ὁ χαρίσματα ἔχων ἕτερα, πολλοὺς ἰασάμενος ἐξέτεινε τὴν δωρεάν· καὶ οὔτε αὐτὸς ἐξεκενώθη τῇ μεταδόσει, καὶ πολλοὺς ἑτέρους ἐνέπλησε τῆς πνευματικῆς δωρεᾶς. καὶ ἐπὶ πάντων τῶν πνευματικῶν ἀκίνητος οὗτος ὁ κανὼν διαμένει. οὕτω καὶ ἐπὶ τῆς βασιλείας, ὁ μὲν κοινωνοὺς πολλοὺς κατασκευάζων ἑαυτῷ τῆς βασιλείας, ταύτῃ μειζόνως αὐτῆς ἀπολαύσεται πάλιν· ὁ δὲ μηδένα σπουδάζων λαβεῖν κοινωνὸν, καὶ αὐτὸς ἐκπεσεῖται τῶν πολλῶν ἀγαθῶν ἐκείνων. εἰ γὰρ ἡ σοφία ἡ αἰσθητὴ οὐ δαπανᾶται, μυρίων ἁρπαζόντων, οὔτε ὁ τεχνίτης πολλοὺς τοὺς τεχνίτας ποιῶν ἀπόλλυσι τὴν τέχνην, πολλῷ μᾶλλον ὁ τὴν βασιλείαν ἁρπάζων ἐλάττονα οὐκ ἐργάζεται, ἀλλὰ τότε πλείων ἔσται ὁ πλοῦτος ἡμῖν, ὅταν πολλοὺς ἐπὶ τοῦτο καλῶμεν. ἁρπάσωμεν τοίνυν τὰ μὴ ἀναλισκόμενα, ἀλλὰ πλεονάζοντα ἐν τῷ ἁρπάζεσθαι· ἁρπάσωμεν τὰ μηδένα ἔχοντα συκοφάντην, μηδένα βάσκανον. καὶ γὰρ εἰ χρυσίου τόπος ἦν πηγὴν ἔχων ἀναβλύζουσαν ἀέναον, καὶ τοσούτῳ πλέον ἐπέρρει, ὅσῳ πλέον ἐξηντλεῖτο, ἕτερος δὲ τόπος ἦν θησαυρὸν ἔχων κατορωρυγμένον,

A Nam non credere resurrectioni, est ejus qui non valde scit inexpugnabilem Dei virtutem, & ad ea sufficientem. Nam si quæ sunt fecit ex iis quæ non erant, multo magis poterit excitare & restituere ea quæ sunt dissoluta. Et quoniam eos vehementer tetigit, & summopere eos carpsit, reprehendens eos de ingluvie, de ignorantia & stupore, mitigans ea quæ dicta sunt, dicit: ad pudorem vobis loquor, hoc est, ut corrigam, ut reducam, ut vos pudore affecti reddamini meliores. Timuit enim ne si plus quam par esset eos secuisset, re-
B silirent.

4. Hæc autem existimemus non illis solis, sed nunc quoque dicta esse omnibus, qui eodem morbo laborant, & quorum vita est corrupta. Non enim ii solum qui mala habent dogmata, sed ii etiam qui gravibus tenentur peccatis, sunt ebrii & desipiunt. Quamobrem illis quoque dictum fuerit illud, evigilate seu expergiscimini: & maxime iis qui sunt gravati veterno avaritiæ, iis qui improbe rapiunt. Est enim bona rapina, nempe rapina cælorum quæ nihil lædit. Nam in pecuniis quidem nequit fieri ut quispiam evadat dives, nisi
C alius prius factus sit pauper; in spiritualibus autem non ita est, sed totum contrarium. Fieri non potest ut quispiam fiat dives, nisi alterum fecerit opulentum. Etenim si nemini profueris, non poteris effici opulentus. Nam in corporalibus quidem erogatio efficit diminutionem: in spiritualibus autem erogatio operatur abundantiam: & non impertiisse, hoc multam conficit paupertatem, & infert ultimum supplicium. Hoc autem ostendit is qui infodit talentum. Etenim qui rationem habet sapientiæ, & alii impertiit, auget copias, ut qui multos fecerit sapientes. Qui autem
D domi abscondit, seipsum privavit copiis, ut qui non pararit multorum utilitatem. Rursus qui alia habet dona, si multos curaverit, amplificavit donationem: & nec erogatione fuit ipse exinanitus, & multos implevit spirituali donatione. Et in omnibus spiritualibus firma & stabilis permanet hæc regula. Ita etiam in regno, qui sui regni multos reddit participes, hac rursus ratione eo ipse magis fruetur. Qui autem nullum studet habere socium ac participem, ipse quoque excidet a magnis illis
E bonis. Si enim sapientia sensilis non consumitur innumerabilibus rapientibus; neque artifex multos efficiens artifices perdit artem: multo magis qui regnum rapit, minus illud non efficiet, sed tunc nobis majores erunt divitiæ, quando multos ad id vocaverimus. Rapiamus ergo ea quæ non consumuntur, sed dum rapiuntur magis abundant. Rapiamus ea quæ nullum habent calumniatorem, nullum qui invideat. Etenim si auri locus esset perennem habens fontem scaturientem, & eo magis afflueret, quo magis exhauriretur: alius autem esset locus habens thesaurum infossum,

Dives ex aliorum jactura dives efficitur.

ex utro velles ditescere? an non ex illo? Est certe perspicuum. Sed ne verbis hoc solum effingamus, quod dictum est cogitate in aëre & in sole: ea enim rapiuntur ab omnibus, & omnes implent. Sed hæc quidem manent similia, a fruentibus, & non fruentibus non diminuta. Quod autem dixi est multo majus. Non enim manet similis spiritualis sapientia, si distribuatur & non distribuatur: sed magis augetur si distribuatur. Si quis autem non ferat ea quæ dicta sunt, sed adhuc rerum ad victum pertinentium affixus sit inopiæ, ea quæ diminuta sunt rapiens, in hoc quoque rursus in memoriam revocet mannæ alimentum, & timeat exemplum supplicii. Quod enim in illo accidebat, hoc etiam videre licet in iis qui nunc superabundant.

*Deliciarum fructus corruptio est.*

Quid autem tunc accidebat? Ex eo quod superabundabat, scatebant vermes. Hoc quoque nunc in his experimur. Alimenti enim mensura eadem est omnibus. Unum enim ventrem implemus: apud te autem qui expleris deliciis est plus stercoris. Et sicut illic in domibus qui plus colligebant, quam erat constitutum, non manna congregabant, sed plures vermes & putredinem: ita etiam in deliciis, & in superabundantia, non plus alimenti, sed plus corruptionis congregant qui ventri indulgent & inebriantur. Sed tamen qui nunc sunt, tanto sunt illis pejores, quod illi quidem hoc semel passi, castigati sint & sibi temperarint; isti autem quotidie hunc vermem illo multo graviorem, in domos suas introducentes, neque sentiunt, neque satiantur. Nam quod hæc illis sint similia, quod ad inanis laboris attinet rationem; supplicio enim hæc sunt multo graviora; hinc considera. In quo enim differt dives a paupere? Nonne unum induit corpus, nonne unum alit ventrem? In quo ergo plus abundat? In sollicitudinibus, in consumendo, in eo quod Deo non pareat & obediat, in eo quod carnem corrumpat, in eo quod animæ exitium afferat. Hæc enim sunt ea in quibus plus habet quam pauper. Nam si multos impleret ventres, haberet fortasse aliquid quod diceret, nempe pluribus esse opus, & sumtus majorem esse necessitatem. At nunc quoque, inquit, habent quod dicant, quod plures impleant ventres, nempe famulorum & ancillarum. Sed non ex necessitate, neque hoc fit propter benignitatem & humanitatem, sed solum propter fastum & superbiam. Unde nec admitti potest.

*Servorum multitudo vituperatur.*

5. Cur enim multos habent ministros? Sicut enim in vestibus & in mensa solus usus est attendendus, ita etiam in ministris. Quis est ergo usus? Nullus penitus: uno enim famulo unum dominum solum uti oporteret, vel potius duos & tres dominos uno famulo. Si autem hoc est grave, cogita eos qui nullum habent, faciliori autem & expeditiori fruuntur ministerio. Deus enim fecit eos qui sufficerent suo, imo vero & proximi ministerio. Si au-

A πόθεν ἂν ἠθέλησας πλουτεῖν; οὐχὶ ἐκεῖθεν; δῆλον· ἀλλ' ἵνα μὴ λόγῳ τοῦτο μόνον ἀναπλάσωμεν, λογίσασθε ἐπὶ τοῦ ἀέρος τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ἡλίου. ταῦτα γὰρ ἁρπάζεται παρὰ πάντων, καὶ πάντας πληροῖ· ἀλλὰ ταῦτα μὲν καὶ ἀπολαυόντων, καὶ μὴ ἀπολαυόντων, ὅμοια μένει μὴ ἐλαττούμενα. ὃ δὲ ἐγὼ εἶπον, πολλῷ μεῖζόν ἐστιν. οὐ γὰρ ὁμοία μένει ἡ πνευματικὴ σοφία διαδιδομένη, καὶ μὴ διαδιδομένη· ἀλλ' αὔξεται μᾶλλον διαδιδομένη. εἰ δέ τις οὐκ ἀνέχεται τῶν εἰρημένων, ἀλλ' ἔτι τῇ τῆς βιωτικῆς προσ- B τέτηκε πενίᾳ ἁρπάζων τὰ ἐλαττούμενα, κἂν τούτῳ πάλιν ἀναμιμνησκέσθω τῆς τροφῆς τοῦ μάννα, καὶ φοβείσθω τὸ παράδειγμα τῆς κολάσεως. ὅπερ γὰρ ἐπ' ἐκείνης συνέβαινε, τοῦτο καὶ ἐπὶ τῶν πλεονεκτούντων νῦν ἐκβαῖνόν ἐστιν ἰδεῖν. τί δὲ τότε συνέβαινε; σκώληκες ἔβρυον ἀπὸ τῆς πλεονεξίας. τοῦτο καὶ νῦν γίνεται ἐπὶ τούτων. τὸ μὲν γὰρ μέτρον τῆς τροφῆς τὸ αὐτὸ ἅπασι· μίαν γὰρ πληροῦμεν γαστέρα· ἡ δὲ κόπρος παρὰ σοὶ πλείων τῷ τρυφῶντι. καὶ καθάπερ ἐκεῖ ἐν ταῖς οἰκίαις οἱ τὸ πλέον τοῦ νενομισμένου συλλέγοντες, οὐ μάννα συνῆγον, ἀλλὰ σκώληκας πλείους καὶ σηπε- C δόνα· οὕτω δὴ καὶ ἐν τρυφῇ καὶ ἐν τῇ πλεονεξίᾳ, οὐ τρυφὴν πλείονα, ἀλλὰ φθορὰν πλείονα συνάγουσιν οἱ γαστριζόμενοι καὶ μεθύοντες. ἀλλ' ὅμως τοσούτῳ χείρους ἐκείνων οἱ νῦν, ὅσῳ ἐκεῖνοι μὲν ἅπαξ παθόντες τοῦτο, ἐσωφρονίσθησαν· οὗτοι δὲ καθ' ἑκάστην ἡμέραν τὸν σκώληκα τοῦτον ἐκείνου πολλῷ χαλεπώτερον εἰς τὰς οἰκίας τὰς ἑαυτῶν εἰσάγοντες, οὔτε αἰσθάνονται, οὔτε κορέννυνται. ὅτι γὰρ ταῦτα ἐκείνοις ἔοικε κατὰ τὸν τῆς ματαιοπονίας λόγον· τῇ γὰρ τιμωρίᾳ πολλῷ ταῦτα χαλεπώτερα· ἐντεῦθεν σκόπει. τίνι γὰρ διαφέρει ὁ πλούσιος τοῦ πένητος; οὐχ ἓν σῶμα D περιβάλλει; οὐ μίαν τρέφει γαστέρα; τίνι οὖν πλεονεκτεῖ; ταῖς φροντίσι, τῷ δαπανᾶσθαι, τῷ παρακούειν θεοῦ, τῷ διαφθείρειν τὴν σάρκα, τῷ λυμαίνεσθαι τὴν ψυχήν. ταῦτα γάρ ἐστιν, οἷς πλεονεκτεῖ τὸν πένητα· ὡς εἴγε πολλὰς ἐπλήρου γαστέρας, τάχα τι καὶ λέγειν εἶχεν, οἷον ὅτι πλείων ἡ χρεία, καὶ μείζων ἡ τῆς δαπάνης ἀνάγκη. ἀλλὰ καὶ νῦν ἔχουσι, φησιν, εἰπεῖν, ὅτι πολλὰς πληροῦσι, τὰς τῶν οἰκετῶν, τὰς τῶν θεραπαινίδων. ἀλλ' οὐ χρείας ἕνεκεν, οὐδὲ φιλανθρωπίας τοῦτο γίνεται, ἀλλὰ τύφου E μόνον· ὅθεν οὐδ' ἂν ἀνάσχοιτό τις τῆς ἀπολογίας αὐτῶν.

Διὰ τί γὰρ πολλοὺς ἔχει οἰκέτας; ὥσπερ γὰρ ἐν ἱματίοις τὴν χρείαν διώκειν δεῖ μόνον, καὶ ἐν τραπέζῃ, οὕτω καὶ ἐν οἰκέταις. τίς οὖν ἡ χρεία; οὐκ ἔστιν οὐδεμία. καὶ γὰρ ἑνὶ τὸν ἕνα χρῆσθαι δεσπότην οἰκέτῃ μόνον ἐχρῆν· μᾶλλον δὲ καὶ δύο καὶ τρεῖς δεσπότας ἑνὶ οἰκέτῃ. εἰ δὲ βαρὺ τοῦτο, ἐννόησον τοὺς οὐδένα ἔχοντας, καὶ εὐκολωτέρας ἀπολαύοντας θεραπείας. καὶ γὰρ αὐτάρκεις τῇ διακονίᾳ τῇ ἑαυτῶν ἐποίησεν ὁ θεός, μᾶλλον δὲ καὶ τῇ τοῦ πλησίον.

Εἰ

Εἰ δὲ ἀπιστεῖς, ἄκουε Παύλου λέγοντος· Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Εἶτα ὁ μὲν τῆς οἰκουμένης διδάσκαλος καὶ τοῦ οὐρανοῦ ἄξιος, οὐκ ᾐσχύνετο μυρίοις ὑπηρετῶν· σὺ δὲ, εἰ μὴ πολλὰς περιφέρεις ἀνδραπόδων ἀγέλας, αἰσχρὸν εἶναι νομίζεις, οὐκ εἰδὼς ὅτι τοῦτο μὲν οὖν μάλιστά ἐστι τὸ καταισχῦνόν σε; καὶ γὰρ διὰ τοῦτο καὶ χεῖρας ἡμῖν ἔδωκεν ὁ Θεὸς, καὶ πόδας, ἵνα μὴ δεώμεθα οἰκετῶν. οὐδὲ γὰρ χρείας ἕνεκεν τὸ τῶν δούλων ἐπεισήχθη γένος, ἐπεὶ μετὰ τοῦ Ἀδὰμ ἐπλάσθη ἂν καὶ δοῦλος· ἀλλ' ἁμαρτίας ἐστὶ τὸ ἐπιτίμιον, καὶ τῆς παρακοῆς ἡ κόλασις. ὁ δὲ Χριστὸς παραγενόμενος, καὶ τοῦτο ἔλυσεν. ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος οὐδὲ ἐλεύθερος. ὥστε οὐκ ἀναγκαῖον τὸ δοῦλον ἔχειν· εἰ δὲ καὶ ἀναγκαῖον, ἕνα που μόνον, ἢ τὸ πολὺ δεύτερον. τί βούλεται τὰ σμήνη τῶν οἰκετῶν; καθάπερ γὰρ οἱ προβατοπῶλαι καὶ οἱ σωματοκάπηλοι, οὕτως ἐν βαλανείῳ, οὕτως ἐν ἀγορᾷ περιΐασιν οἱ πλουτοῦντες. πλὴν ἀλλ' οὐδὲν ἀκριβολογοῦμαι. ἔστω σοι καὶ δεύτερος οἰκέτης. εἰ δὲ πολλοὺς συνάγεις, οὐ φιλανθρωπίας ἕνεκεν τοῦτο ποιεῖς, ἀλλὰ θρυπτόμενος. ἐπεὶ, εἰ κηδόμενος, μηδένα εἰς διακονίαν ἀπασχολήσῃς τὴν σὴν, ἀλλ' ἀγοράσας, καὶ τέχνας διδάξας ὥστε ἀρκεῖν ἑαυτοῖς, ἄφες ἐλευθέρους. ὅταν δὲ μαστίζῃς, ὅταν δεσμεύῃς, οὐκέτι φιλανθρωπίας τὸ ἔργον. καὶ οἶδα μὲν ὅτι φορτικός εἰμι τοῖς ἀκούουσιν. ἀλλὰ τί πάθω; εἰς τοῦτο κεῖμαι, καὶ οὐ παύσομαι ταῦτα λέγων, ἄν τε γένηταί τι πλέον, ἄν τε μηδέν. τί γάρ σοι βούλεται τὸ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς; μὴ γὰρ μεταξὺ θηρίων περιπατεῖς, ὅτι ἀπελαύνεις τοὺς ἐντυγχάνοντας; μὴ φοβηθῇς· οὐδεὶς δάκνει τῶν προσιόντων, καὶ πλησίον σοι βαδιζόντων. ἀλλ' ὕβριν ἡγῇ τὸ μετὰ πάντων συμβαδίζειν; καὶ πόσης ταῦτα μανίας, πόσης τερατωδείας, τὸν μὲν ἵππον πλησίον ἑπόμενον μὴ νομίζειν φέρειν ὕβριν· ἄνθρωπον δὲ, εἰ μὴ ἀπὸ μυρίων ἐλαύνοιτο σταδίων, καταισχύνειν ἡγεῖσθαι; τί δὲ καὶ παῖδας ῥαβδούχους ἔχεις, ὡς δούλοις κεχρημένος τοῖς ἐλευθέροις, μᾶλλον δὲ αὐτὸς παντὸς ἀτιμότερον οἰκέτου ζῶν; καὶ γὰρ παντὸς εὐτελέστερος οἰκέτου ὁ τοσοῦτον περιφέρων τῦφον. διὰ τοῦτο οὐδὲ ὄψονται τὴν ὄντως ἐλευθερίαν οἱ τῷ χαλεπῷ τούτῳ καταδουλώσαντες ἑαυτοὺς πάθει. εἰ γὰρ ἀπελαύνειν βούλει καὶ σοβεῖν, μὴ τοὺς προσιόντας, ἀλλὰ τὸν τῦφον ἀπέλασον· μὴ διὰ τοῦ παιδὸς, ἀλλὰ διὰ σεαυτοῦ· μὴ τῇ μάστιγι ταύτῃ, ἀλλὰ τῇ πνευματικῇ. νῦν μὲν γάρ σου ὁ παῖς ἀπελαύνει τοὺς συμβαδίζοντας, σὲ δὲ ἄνωθεν ἡ ἀπόνοια αἰσχρότερον, ἢ οἰκέτης τὸν πλησίον. ἂν δὲ ἀπὸ τοῦ ἵππου καταβὰς, ἐλάσῃς αὐτὴν διὰ τῆς ταπεινοφροσύνης, ὑψηλότερον καθεδῇ καὶ ἐν μείζονι σαυτὸν καταστήσεις τιμῇ, οὐδὲν τοῦ παιδὸς εἰς τοῦτο δεόμενος. ὅταν γὰρ μέτριος γενόμενος χαμαὶ βαδίζῃς, ἐπὶ τοῦ ὀχήματος καθεδῇ τῆς ταπεινοφροσύνης τοῦ μέχρι τῶν οὐρανῶν σε ἀνάγοντος, τοῦ πτηνοὺς ἔχοντος ἵππους· ἂν δὲ ἀποπεσὼν ἐκείνου,

A tem non credis, audi Paulum dicentem: *Necessitatibus meis, & iis qui mecum sunt, ministrarunt hæ manus.* (Act. 20. 34.) Siccine totius quidem orbis doctor, & dignus cælis, non erubescebat ministrare innumerabilibus; tu autem turpe esse ducis si non circumferas multos greges mancipiorum, nesciens quidem hoc esse quod te maximo afficit dedecore? Propterea enim dedit nobis Deus & manus & pedes, ne opus haberemus famulis. Neque enim eo quod esset opus, introductum fuit genus famulorum: nam alioqui cum Adamo creatus fuisset famulus: B sed est pœna peccati & mulcta inobedientiæ. Christus autem cum advenisset, hoc quoque solvit: *Nam in Christo Jesu non est servus neque liber.* (Galat. 3. 28.) Quamobrem non est necesse habere servum: si autem necesse est, unum, aut plurimum duos: Quid sibi volunt examina ministrorum? Nam sicut qui vendunt oves, & qui corpora cauponantur; ita in balneo, ita in foro procedunt & obeunt divites: sed summo jure non ago. Sit tibi etiam secundus minister. Si autem multos congregas, non hoc facis benignitatis & humanitatis causa, sed tuis serviens deliciis. Nam si hoc C facis eorum curam gerens, in tuo ministerio neminem occupes, sed cum emeris & artes docueris ut sibi sufficiant ad victum parandum, eos manumitte. Cum autem flagris cædas, cum in vincula conjicias, non est utique opus hoc humanitatis. Et scio quidem me esse molestum auditoribus. Sed quid agam? In hoc positus sum, neque cessabo hæc dicere, sive quid profecero, sive non. Quid enim sibi vult in foro superbe incedere? Num inter feras ambulas, quod obvios expellas? Ne timeas; nullus te mordet eorum qui accedunt, & prope te gradiuntur. At injuriam existimas D simul incedere cum omnibus? Et quam est hoc insanum, quam prodigiosum, equum quidem prope sequentem non existimare afferre injuriam; hominem autem, nisi multis abigatur stadiis, putare dedecore afficere? Quid vero famulos habes lictores, liberis utens tamquam servis; imo vero ipse quovis servo vivens ignominiosius? Est enim quovis servo vilior & ignominiosior qui tantum circumfert fastum. Propterea nec veram videbunt libertatem, qui se huic gravi animi vitio mancipatunt. Si enim vis expellere, superbeque & ma-E gnifice incedere, non accedentes, sed fastum expelle: non per famulum, sed per teipsum: non hoc flagello, sed spirituali. Nam nunc quidem famulus tuus expellit eos qui tecum incedunt: te autem ab alto arrogantia pellit turpius, quam famulus proximum. Si autem ab equo descendens eam abegeris per humilitatem, altius sedebis, & in majori honore teipsum constitues, ad hoc non opus famulo. Quando enim modestus humi incedes, sedebis in curru humilitatis, qui te in cælum sustollit, qui equos habet alatos. Sin autem ab

Contra eos qui cum famulorum agmine incedunt.

A illo cecideris, & in arrogantiæ currum transieris, nihilo melius afficieris quam serpentes humi repentes, imo vero multo vilius & miserabilius. Nam illos quidem sic reptare cogit mutilatio corporis, te autem morbus arrogantiæ. Omnis enim qui se extollit, inquit, humiliabitur. Ne ergo humiliemur, sed extollamur, veniamus ad illam altitudinem. Sic enim inveniemus nostris animis quietem, convenienter divino oraculo, verumque & altissimum honorem consequemur: quem detur nobis omnibus assequi, gratia & benignitate, &c.

Matt. 23. 12.

εἰς τὸ τῆς ἀλαζονείας μεταβῇς, τῶν χαμαὶ συρομένων ἑρπετῶν οὐδὲν ἄμεινον διάκεισαι, ἀλλὰ καὶ ἀθλιώτερον πολλῷ καὶ ἐλεεινότερον. τοὺς μὲν γὰρ ἡ τοῦ σώματος πήρωσις οὕτω καταναγκάζει σύρεσθαι, σὲ δὲ ἡ τῆς ἀλαζονείας νόσος. καὶ γὰρ πᾶς ὁ ὑψῶν ἑαυτόν, φησι, ταπεινωθήσεται. ἵν' οὖν μὴ ταπεινωθῶμεν, ἀλλὰ ὑψωθῶμεν, ἐπὶ τὸ ὕψος ἔλθωμεν ἐκεῖνο. οὕτω γὰρ καὶ ἀνάπαυσιν εὑρήσομεν ταῖς ψυχαῖς ἡμῶν κατὰ τὸν θεῖον χρησμόν, καὶ τῆς ἀληθοῦς καὶ ὑψηλοτάτης ἐπιτευξόμεθα τιμῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

B

## HOMILIA XLI.

## ΟΜΙΛΙΑ μά.

35. *Sed dicet aliquis. Quomodo resurgunt mortui? Quali autem corpore venient? 36. Insipiens, tu quod seminas, non vivificatur nisi prius moriatur.*

Ἀλλ' ἐρεῖ τις, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ.

1. CUM ubique mitis & humilis sit apostolus, hic acriori utitur oratione, propter absurditatem eorum qui contradicebant. Neque tamen est hoc contentus, sed & rationes adducit & exempla, C ea ratione etiam quemque valde contentiosum reprimens. Et superius quidem dicit: Quoniam per hominem mors, & per hominem resurrectio: hic vero solvit objectionem quæ fiebat a Gentibus. Vide autem rursus quomodo diminuat vehementiam reprehensionis. Non dixit enim: Sed fortasse dicetis; sed eum qui contradicit posuit indefinite, ne libere & acriore utens oratione, auditores valde percelleret. Ponit autem duas dubitationes, modi resurrectionis & qualitatis corporum. De utrisque enim dubitabant dicentes: Quomodo suscitatur id quod est dissolutum? D &, quo corpore veniunt? Quid est autem, quo corpore? nempe hoc quod interiit, quod periit, an aliquo alio? Deinde ostendens quod non quærant ea, de quibus dubitatur, sed ea quæ in confesso sunt, acrius occurrit dicens: insipiens, tu quod seminas, non vivificatur, nisi mortuum fuerit. Quod nos quoque solemus facere erga eos qui contradicunt iis de quibus constat. Et cur non statim confugit ad Dei potestatem? Quoniam disserit cum infidelibus: Nam quando verba facit apud fideles, non admodum opus habet ratiociniis. E Quamobrem cum alibi dixisset: Transfigurabit corpus humilitatis vestræ, ut sit configuratam corpori claritatis suæ, & ostendisset aliquid amplius quam sit resurrectio, non posuit exempla, sed pro omni demonstratione Dei potestatem adduxit in medium, addens & dicens: Secundum operationem ejus qui possit subjicere sibi omnia. Hic autem ratiocinia ponit. Nam quoniam hoc confirmavit ex scripturis, hæc quoque de cætero addit ex abundantia apud eos qui non parent scripturis; & dicit: insipiens, tu quod se-

Philip. 3. 21.

ΗΜΕΡΟΣ ὢν σφόδρα καὶ ταπεινὸς ὁ ἀπόστολος πανταχοῦ, ἐνταῦθα καὶ πληκτικώτερον τῷ λόγῳ κέχρηται διὰ τὴν ἀτοπίαν τῶν ἀντιλεγόντων. οὐ μὴν ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ λογισμοὺς καὶ παραδείγματα τίθησι, καὶ τὸν σφόδρα φιλόνεικον ταύτῃ χειρούμενος. καὶ ἀνωτέρω μέν φησιν, ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις· ἐνταῦθα δὲ ἀντίθεσιν λύει τὴν παρὰ Ἑλλήνων εἰσαγομένην. καὶ ὅρα πῶς πάλιν ὑποτέμνεται τὸ σφοδρὸν τῆς διαβολῆς. οὐ γὰρ εἶπεν, ἀλλ' ἴσως ἐρεῖτε, ἀλλ' ἀδιόριστον τέθεικε τὸν ἀντιλέγοντα, ἵνα μετὰ ἀδείας καταφορικῷ χρώμενος τῷ λόγῳ, μὴ σφόδρα πλήξῃ τοὺς ἀκούοντας· καὶ τίθησι δύο τὰς ἐπαπορήσεις, τοῦ τρόπου τῆς ἀναστάσεως, καὶ τῆς ποιότητος τῶν σωμάτων. καὶ γὰρ περὶ ἀμφοτέρων ἠπόρουν λέγοντες, πῶς ἐγείρεται τὸ διαλυθέν; καὶ, ποίῳ σώματι ἔρχονται; τί δέ ἐστι, ποίῳ σώματι; ἀντὶ τοῦ, τούτῳ τῷ φθαρέντι, τῷ ἀπολωλότι, ἢ ἑτέρῳ τινί; εἶτα δεικνὺς ὅτι οὐ τὰ ἀμφιβαλλόμενα ζητοῦσιν, ἀλλὰ τὰ ὡμολογημένα, εὐθέως πληκτικώτερον ἀπαντᾷ λέγων· ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. ὅπερ καὶ ἡμεῖς εἰώθαμεν ποιεῖν ἐπὶ τῶν τοῖς ὡμολογημένοις ἀντιλεγόντων. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐπὶ τὴν δύναμιν τοῦ θεοῦ κατέφυγεν; ὅτι ἀπίστοις διαλέγεται. ὅταν μὲν γὰρ πρὸς πιστοὺς αὐτῷ ὁ λόγος ᾖ, οὐ σφόδρα δεῖται λογισμῶν. διόπερ εἰπὼν ἀλλαχοῦ, ὅτι μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ὑμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, καὶ πλέον τι τῆς ἀναστάσεως ἐνδειξάμενος, οὐ τέθεικε παραδείγματα, ἀλλ' ἀντὶ πάσης ἀποδείξεως τοῦ θεοῦ τὴν δύναμιν εἰς μέσον ἤγαγε προσθεὶς καὶ εἰπών, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑποτάξαι αὐτῷ τὰ πάντα. ἐνταῦθα δὲ καὶ λογισμοὺς κινεῖ. ἐπειδὴ γὰρ ἀπὸ τῶν γραφῶν αὐτὸ κατεσκεύασε, καὶ ταῦτα παρατίθησιν ἐκ περιουσίας λοιπὸν πρὸς τοὺς οὐ πειθομένους ταῖς γραφαῖς, καί φησιν· ἄφρον, σὺ ὃ σπείρεις.

τουτέστι, παρὰ σαυτοῦ τὴν ἀπόδειξιν ἔχεις τούτων, δι' ὧν πράττεις καθ' ἑκάστην ἡμέραν, καὶ ἀμφιβάλλεις ἔτι; διὰ ταῦτά σε ἄφρονα καλῶ, ὅτι τὰ καθ' ἡμέραν ὑπὸ σοῦ γινόμενα ἀγνοεῖς, καὶ αὐτὸς δημιουργὸς ἀναστάσεως ὢν περὶ Θεοῦ ἀμφιβάλλεις. διὸ σφόδρα ἐμφαντικῶς εἶπε, σὺ ὃ σπείρεις, σὺ ὁ θνητὸς καὶ ἀπολλύμενος. καὶ ὅρα πῶς ταῖς λέξεσιν οἰκείως τῇ ὑποκειμένῃ κέχρηται ὑποθέσει. οὐ ζωοποιεῖται γάρ, φησιν, ἐὰν μὴ ἀποθάνῃ. τὰς γὰρ οἰκείας λέξεις τῶν σπερμάτων ἀφεὶς, οἷον ὅτι βλαστάνει, καὶ φύεται, καὶ διαλύεται, τὰς καταλλήλους ἥρμοσε τῇ σαρκὶ τῇ ἡμετέρᾳ, ὅτι ζωοποιεῖται, καὶ ἀποθάνῃ, ὅπερ οὐ σπερμάτων κυρίως ἐστὶν, ἀλλὰ σωμάτων. καὶ οὐκ εἶπεν, ὅτι μετὰ τὸ ἀποθανεῖν ζῇ, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι διὰ τοῦτο ζῇ, ἐπειδὴ ἀποθνήσκει. ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, εἰς τοὐναντίον ἀεὶ περιτρέπει τὸν λόγον; ὃ γὰρ ἐποιοῦντο ἐκεῖνοι τεκμήριον τοῦ μὴ ἀνίστασθαι, τοῦτο τοῦ ἀνίστασθαι ποιεῖται ἀπόδειξιν. καὶ γὰρ ἔλεγον οὐκ ἀνίστασθαι, ἐπειδὴ ἀπέθανε. τί οὖν αὐτὸς ἀντιστρέψας φησί; καὶ μὴν εἰ μὴ ἀπέθανεν, οὐκ ἀνέστη· καὶ διὰ τοῦτο ἀνίσταται, ἐπειδὴ ἀπέθανε. καθάπερ γὰρ ὁ Χριστὸς σαφέστερον αὐτὸ τοῦτο δείκνυται λέγων· ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ἐκεῖθεν καὶ ὁ Παῦλος τὸ παράδειγμα τοῦτο ἑλκύσας, οὐκ εἶπεν, ὅτι οὐ ζῇ, ἀλλ', οὐ ζωοποιεῖται, πάλιν τοῦ Θεοῦ τὴν δύναμιν παραλαμβάνων, καὶ δεικνὺς ὅτι οὐχ ἡ τῆς γῆς φύσις, ἀλλ' αὐτὸς τὸ πᾶν ἐργάζεται. καὶ τί δήποτε οὐχ ὅπερ οἰκειότερον ἦν, τοῦτο ἤγαγεν εἰς μέσον, τὸ σπέρμα λέγω τὸ ἀνθρώπινον; καὶ γὰρ καὶ ἡ ἡμετέρα γέννησις ἀπὸ φθορᾶς ἄρχεται, ὥσπερ ἡ τοῦ σίτου. ὅτι οὐκ ἦν ἴσον; ἀλλὰ τοῦτο πλέον. ὁλόκληρον γάρ τι ζητεῖ φθειρόμενον, ἐκεῖνο δὲ μέρος ἦν. διόπερ τοῦτο εἰς μέσον ἄγει· ἄλλως δὲ, ἐκεῖνο μὲν καὶ ἀπὸ ζῶντος πρόεισι, καὶ εἰς ζῶσαν ἐμπίπτει γαστέρα· ἐνταῦθα δὲ οὐκ εἰς σάρκα, ἀλλ' εἰς τὴν γῆν ὁ σπόρος καταβάλλεται, καὶ εἰς αὐτὴν διαλύεται, καθάπερ τὸ σῶμα τὸ τεθνηκός. διὸ καὶ ταύτῃ οἰκειότερον ἦν τὸ ὑπόδειγμα. καὶ ὁ σπείρων, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρει. τὰ μὲν γὰρ ἔμπροσθεν εἰρημένα, πρὸς τὸ λέγειν πῶς ἐγείρονται· τοῦτο δὲ, πρὸς τὸ διαπορεῖν ποίῳ σώματι ἔρχονται. τί δέ ἐστιν, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις; οὐ στάχυν ὁλόκληρον, οὐδὲ σῖτον νέον. ἐνταῦθα γὰρ οὐκέτι πρὸς τὴν ἀνάστασιν ὁ λόγος, ἀλλὰ πρὸς τὸν τρόπον τῆς ἀναστάσεως, ποταπὸν τὸ σῶμα τὸ μέλλον ἀνίστασθαι, οἷον εἰ τοιοῦτον, ἢ βέλτιον καὶ λαμπρότερον. καὶ ἀμφότερα ἀπὸ τοῦ αὐτοῦ ὑποδείγματος λαμβάνει, δεικνὺς ὅτι πολλῷ βέλτιον.

Ἀλλ' οἱ αἱρετικοὶ μηδὲν τούτων συνιέντες ἐπιπηδῶσι, καὶ λέγουσιν· ὅτι ἕτερον σῶμα πίπτει, καὶ ἕτερον σῶμα ἀνίσταται. πῶς οὖν ἀνάστασις; τοῦ γὰρ πεσόντος ἐστὶν ἡ ἀνά-

A minas. Hoc est, apud teipsum horum habes probationem, per ea quæ facis quotidie, & adhuc ambigis? Propterea te voco insipientem, quod ignores ea quæ a te fiunt quotidie: & cum ipse sis opifex resurrectionis, de Deo dubitas? Propterea cum magna dixit emphasi, Tu quod seminas: tu qui es mortalis & peris. Et vide quomodo utatur dictionibus subjecto argumento congruentibus. Non vivificatur enim, inquit, nisi mortuum fuerit. Propriis enim seminum relictis dictionibus, nempe germinat, pullulat, putrescit & dissolvitur; adaptavit B eas quæ carni nostræ conveniunt, nempe vivificabitur & mortuum fuerit, quod quidem non est proprium seminum, sed corporum. Et non dixit: Postquam mortuum fuerit, vivit, sed quod est majus, propterea vivit, quoniam moritur. Vides quod, sicut frequenter dico, orationem semper vertat in contrarium. Quod enim illi non resurgendi statuebant esse indicium, hoc facit esse certam resurgendi demonstrationem. Dicebant enim non resurgere, quoniam est mortuum. Quid autem opponit ille? Atqui si non esset mortuum, non resurrexisset: & propterea resurgit, quoniam C est mortuum. Sicut enim Christus apertius hoc ostendit, dicens: *Granum frumenti, si cadens in terram non mortuum fuerit, ipsum solum manet. Sin autem mortuum fuerit, multum fructum affert.* (Joan. 12. 24.) Illinc Paulus trahens exemplum, non dixit: Non vivit, sed, non vivificatur; rursus Dei assumens potestatem, & ostendens quod non natura terræ, sed ipse universum operatur. Et cur non adduxit in medium id quod non erat convenientius & magis proprium, semen, inquam, humanum? Nam ortus quoque noster incipit a corruptione D sicut & frumenti. Quoniam non sunt hæc paria? sed hoc est majus. Quærit enim aliquid integrum, quod corrumpatur: illud autem pars erat. Quamobrem hoc affert in medium. Alioquin autem illud quidem procedit a vivente, & in ventrem incidit viventem. Hic autem non in carnem, sed in terram sementis dejicitur, & in eam dissolvitur, sicut corpus mortuum. Quamobrem hac quoque ratione erat exemplum convenientius. 37. *Et qui seminat, non corpus quod futurum est seminat.* Nam quæ prius quidem dicta sunt, spectant ad dicendum quomodo resurgant, hoc autem E ad dubitandum cum quali corpore veniant. Quid est autem, Non corpus quod futurum est seminas? Non spicam integram, non frumentum recens. Hic enim non amplius ad resurrectionem spectat oratio, sed ad modum resurrectionis, cujusmodi est corpus quod est resurrecturum: nempe an tale, an melius & clarius; & ab eodem exemplo sumit utrumque, ostendens quod id sit resurrecturum multo melius.

2. Sed hæretici nihil horum intelligentes insultant, & dicunt: Alterum corpus cadit, & alterum resurgit, quomodo ergo resurrectio? ejus enim quod cecidit est (Contra hæreticos qui dicebant aliud corpus resurgere.)

resurrectio. Ubi est autem admirabilis illa, & quæ opinionem superat adversus mortem victoria, si aliud cadit & aliud resurgit? Neque enim illa utique cernetur reddidisse captivum quod accepit. Quomodo autem iis quæ dicta sunt convenerit exemplum? Non enim alia quidem seminatur essentia, alia autem resurgit; sed eadem melior. Sed neque Christus idem corpus susceperit, qui fuit primitiæ resurgentium: sed secundum vos, illud quidem abjecit, etiamsi nihil peccasset, accepit autem aliud. Unde ergo aliud? Nam hoc quidem ex virgine: illud autem unde? Viden' ad quantam absurditatem devoluta est oratio? Cur enim ostendit figuras & vestigia clavorum, annon hoc volens ostendere illud ipsum esse quod cruci fuit affixum, & ipsum resurrexisse? Quid sibi vult quoque figura

Jonæ. 2. Jonæ? Non enim alius quidem fuit absorptus, alius autem in terram ejectus Jonas.

Joan. 2. 19. Quid etiam dicebat, Solvite templum hoc, & in tribus diebus excitabo ipsum? Nam quod dissolvebatur, id scilicet excitavit. Quamobrem addidit evangelista, Ille autem dicebat de templo sui corporis. Quid ergo dicit, Non corpus quod futurum est seminas? Hoc est, non spicam: est enim eadem, & non eadem. Eadem quidem, quoniam eadem est essentia; non eadem, quoniam hæc est melior, eadem quidem manente essentia, majori autem facta specie ac decore, cum nova sit: quoniam nisi hoc esset, ne esset quidem resurrectio, nisi esset melius resurrectura. Cur enim domum esset diruturus, nisi splendidiorem esset ædificaturus? Hoc igitur dixit illis qui existimabant eumdem esse interitum ac corruptionem. Deinde ne quispiam rursus existimaret hinc dictum esse aliud corpus, datum ænigma lenit, & interpretatur quod dictum est, non concedens auditori ut mentem alio transferat. Quid ergo nostris opus est verbis? audi ipsum, qui dicit, quid sit interpretantem: *Non corpus quod futurum est seminas*. Statim enim subjunxit; *Sed nudum granum, ut puta tritici, aut alicujus hujusmodi seminum.* Hoc est, non corpus quod est futurum, nempe non sic vestitum, neque culmum habens & aristas: sed nudum granum, ut puta tritici aut alicujus ex iis quæ sunt hujusmodi. 38. *Deus autem dat illi corpus sicut vult.* Certe, inquit. Sed illic est opus naturæ. Cujus, dic quæso, naturæ? Nam illic quoque Deus fabricatur universum, non natura, neque terra, neque pluvia. Quamobrem ipse hæc significans, dimissa terra & aëre & pluvia & agricolarum manibus, subjunxit: Deus dat illi corpus sicut voluit. Noli ergo inquirere, & indagare quomodo & quanam ratione, cum audieris Dei potentiam & voluntatem. *Et unicuique seminum proprium corpus.* Ubi ergo alienum? Dat enim proprium. Quamobrem quando dicit: Non quod futurum est seminas, non hoc dicit, quod alia pro alia resurgat essentia, sed quod me-

A στασις. ποῦ δὲ τὸ θαυμαστὸν καὶ παράδοξον κατὰ τοῦ θανάτου νικητήριον, εἰ ἄλλο πίπτει, καὶ ἄλλο ἀνίσταται; οὐκέτι γὰρ φανήσεται ἐκεῖνος ἀποδοὺς, ὅπερ ἔλαβεν αἰχμάλωτον. πῶς δὲ τὸ ὑπόδειγμα ἁρμόσειεν ἂν τοῖς εἰρημένοις; οὐ γὰρ ἄλλη μὲν οὐσία σπείρεται, ἄλλη δὲ ἐγείρεται, ἀλλ' ἡ αὐτὴ βελτίων. ἔσται δὲ οὐδὲ ὁ Χριστὸς τὸ αὐτὸ σῶμα ἀνειληφὼς ἀπαρχὴ τῶν ἀνισταμένων γινόμενος· ἀλλὰ καθ' ὑμᾶς ἐκεῖνο μὲν ἔρριψε, καίτοιγε οὐδὲν ἡμαρτηκὸς, ἕτερον δὲ ἔλαβεν. πόθεν ἄρα τὸ ἕτερον; τοῦτο μὲν γὰρ ἐκ παρθένου,
B ἐκεῖνο δὲ πόθεν; ὁρᾷς εἰς ὅσην ἀτοπίαν ὁ λόγος ἐξεκυλίσθη; διὰ τί γὰρ καὶ τοὺς τύπους δείκνυσι τῶν ἥλων; οὐχὶ τοῦτο ἀποδεῖξαι θέλων, ὅτι αὐτὸ ἐκεῖνό ἐστι τὸ ἀνασκολοπισθὲν, καὶ αὐτὸ πάλιν ἀνέστη; τί δὲ καὶ ὁ τύπος βούλεται αὐτῷ ὁ τοῦ Ἰωνᾶ; οὐ γὰρ δήπου ἄλλος μὲν κατεπόθη, ἄλλος δὲ εἰς τὴν γῆν ἐξηνέχθη Ἰωνᾶς. τί δὲ καὶ ἔλεγε, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; τὸν γὰρ λυόμενον δηλονότι τοῦτον καὶ ἀνίστη. διὸ καὶ προσέθηκεν ὁ εὐαγγελιστὴς, ὅτι ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. τί οὖν φησιν, οὐ τὸ σῶμα γενησόμενον σπείρεις; τουτέστιν, οὐ τὸν ἄσταχυν· καὶ γὰρ αὐτός
C ἐστι, καὶ οὐκ αὐτός· αὐτὸς μὲν, ὅτι αὐτὴ ἡ οὐσία· οὐκ αὐτὸς δὲ, ὅτι βελτίων ἐστὶ, τῆς μὲν αὐτῆς οὐσίας μενούσης, μείζονος δὲ τῆς εὐπρεπείας γινομένης, καὶ καινοῦ τοῦ αὐτοῦ ἀνισταμένου. ἐπειδὴ εἰ μὴ τοῦτο ἦν, οὐδὲ ἀναστάσεως ἔδει, εἰ μὴ βέλτιον ἀνίστασθαι ἔμελλε. τί γὰρ καὶ καθῄρει τὴν οἰκίαν, εἰ μὴ λαμπροτέραν ἔμελλεν οἰκοδομεῖν, τοῦτο τοίνυν πρὸς τοὺς νομίζοντας τὴν αὐτὴν εἶναι φθορὰν εἶπεν· εἶτα, ἵνα μὴ ἄλλο τις πάλιν ὑποπτεύσῃ σῶμα ἐντεῦθεν εἰρῆσθαι, παραμυθεῖται τὸ αἴνιγμα,
D καὶ αὐτὸς ἑρμηνεύει τὸ εἰρημένον, μὴ συγχωρῶν τῷ ἀκροατῇ ἀλλαχοῦ περιάγειν τὴν ἔννοιαν τὴν ἐντεῦθεν. τί τοίνυν δεῖ τῶν ἡμετέρων λόγων; ἄκουσον αὐτοῦ λέγοντος καὶ ἑρμηνεύοντος τί ἐστιν· οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις. εὐθέως γὰρ ἐπήγαγεν, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων σπερμάτων. τουτέστιν, οὐ τὸ σῶμα τὸ γενησόμενον· οὐ γὰρ οὐχ οὕτω περιβεβλημένον, οὐδὲ καλάμην ἔχοντα καὶ ἀνθέρικας, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων. καὶ ὁ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε. ναί φησιν, ἀλλ' ἐκεῖ τῆς
E φύσεως τὸ ἔργον ἐστί. ποίας φύσεως, εἰπέ μοι; καὶ γὰρ καὶ ἐκεῖ τὸ πᾶν ὁ θεὸς ἐργάζεται, οὐχ ἡ φύσις, οὐδὲ ἡ γῆ, οὐδὲ ὁ ὑετός. διόπερ καὶ αὐτὸς ταῦτα δηλῶν, καὶ γῆν καὶ ὑετὸν, καὶ ἀέρα, καὶ ἥλιον καὶ χεῖρας γεωργικὰς ἀφεὶς, ἐπήγαγεν, ὅτι ὁ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε. μὴ τοίνυν περιεργάζου, μηδὲ πολυπραγμόνει, πῶς καὶ τίνι τρόπῳ, ὅταν θεοῦ δύναμιν καὶ θέλημα ἀκούσῃς· καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. ποῦ τοίνυν τὸ ἀλλότριον; τὸ γὰρ ἴδιον δίδωσιν. ὥστε ὅταν λέγῃ, οὐ τὸ γενησόμενον σπείρεις, οὐ τοῦτο λέγει, ὅτι ἄλλη ἀντὶ ἄλλης οὐσίας ἀνίσταται, ἀλλ' ὅτι βελτίων·

ὅτι λαμπροτέρα. ἑκάστῳ γάρ, φησι, τῶν σπερμάτων τὸ ἴδιον σῶμα. ἐντεῦθεν λοιπὸν καὶ τὴν διαφορὰν εἰσάγει τῆς τότε ἐσομένης ἀναστάσεως. μὴ γάρ, ἐπειδὴ σῖτος σπείρεται, καὶ πάντες στάχυες ἀνέρχονται, διὰ τοῦτο νομίσῃς καὶ ἐν τῇ ἀναστάσει ἰσοτιμίαν εἶναι. μάλιστα μὲν γὰρ οὐδὲ ἐν τοῖς σπέρμασι μία τάξις, ἀλλὰ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα. διὸ καὶ ἐπήγαγεν, ἑκάστῳ τὸ ἴδιον σῶμα. πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλ' ἑτέραν ζητεῖ διαφορὰν μείζονα καὶ σαφεστέραν. ἵνα γὰρ μὴ ἀκούσας, ὅπερ ἔφην, ὅτι πάντες ἀνίστανται, πάντας τῶν αὐτῶν ἀπολαύειν νομίσῃς, προκατεβάλετο μὲν καὶ ἐν τοῖς ἔμπροσθεν τῆς ἐννοίας ταύτης τὰ σπέρματα, εἰπών, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. ἐργάζεται δὲ αὐτὸ σαφέστερον καὶ ἐνταῦθα πάλιν λέγων. οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ. τί λέγω γάρ, φησιν, ἐπὶ τῶν σπερμάτων; ἐπὶ τῶν σωμάτων γυμνάσωμεν αὐτὸ τοῦτο, περὶ ὧν ὁ λόγος ἡμῖν νῦν. διὸ καὶ ἐπάγει λέγων. ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ κτηνῶν, καὶ ἄλλη πτηνῶν, καὶ ἄλλη ἰχθύων. καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια. ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

Καὶ τί βούλεται αὐτῷ ταυτὶ τὰ ῥήματα; τίνος ἕνεκεν ἐκ τῆς ἀναστάσεως τῆς τῶν σωμάτων εἰς τὸν περὶ ἀστέρων καὶ ἡλίου λόγον ἐξέπεσεν; οὐκ ἐξέπεσεν, οὐδὲ ἀπερράγη τῆς ὑποθέσεως, ἄπαγε· ἀλλ' ἔτι αὐτῆς ἔχεται. ἐπειδὴ γὰρ τὸν περὶ τῆς ἀναστάσεως κατεσκεύασε λόγον, δείκνυσι λοιπὸν ὅτι πολλὴ τῆς δόξης τότε ἡ διαφορά, εἰ καὶ ἡ ἀνάστασις μία. καὶ διαιρεῖ εἰς δύο τὸ πᾶν τέως, εἰς τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια. ὅτι μὲν γὰρ τὰ σώματα ἀνίσταται, ἔδειξε διὰ τοῦ σίτου· ὅτι δὲ οὐδὲ ἐν τῇ αὐτῇ δόξῃ πάντα, δείκνυσιν ἐντεῦθεν. ὥσπερ γὰρ τὸ ἀπιστεῖν τῇ ἀναστάσει, ὑπτίους ποιεῖ, οὕτω πάλιν ῥαθύμους, τὸ νομίζειν πάντας τῶν αὐτῶν ἀξιοῦσθαι. διόπερ ἀμφότερα διορθοῦται. καὶ τὰ μὲν ἐν τοῖς ἔμπροσθεν ἀπήρτισε· τούτου δὲ ἄρχεται νῦν. καὶ ποιήσας δύο τάγματα δικαίων, καὶ ἁμαρτωλῶν, αὐτὰ τὰ δύο ταῦτα εἰς πολλὰ πάλιν κατατέμνει μέρη, δεικνὺς ὅτι οὔτε δίκαιοι καὶ ἁμαρτωλοὶ τῶν αὐτῶν τεύξονται, οὔτε δίκαιοι πάντες δικαίοις ὁμοίως, οὔτε ἁμαρτωλοὶ ἁμαρτωλοῖς. ποιεῖ τοίνυν πρώτην μίαν τομὴν δικαίων καὶ ἁμαρτωλῶν λέγων, σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· διὰ μὲν τῶν ἐπιγείων τούτους αἰνιττόμενος, διὰ δὲ τῶν ἐπουρανίων ἐκείνους. εἶτα λοιπὸν τῶν ἁμαρτωλῶν διαφορὰν πρὸς ἁμαρτωλοὺς εἰσάγει, λέγων· οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἰχθύων, ἄλλη δὲ πτηνῶν, καὶ κτηνῶν. καίτοι πάντα σώματα, ἀλλὰ τὰ μὲν ἐν πλείονι, τὰ δὲ ἐν ἐλάττονι εὐτελείᾳ. καὶ ἐν ζωῇ δὲ ὁμοίως, καὶ ἐν αὐτῇ τῇ κατασκευῇ. καὶ εἰπὼν τοῦτο, ἀναβαίνει πάλιν εἰς τὸν οὐρανὸν λέγων, ἄλλη δόξα ἡλίου,

A lior, quod splendidior. *Unicuique enim seminum proprium corpus.* Hine jam introducit etiam differentiam resurrectionis tunc futuræ. Ne enim, quoniam seminatur semen, & omnes ascendunt spicæ, propterea existimes parem etiam honorem esse in resurrectione. Etenim ne in seminibus quidem unus est ordo. Nam alia quidem sunt præstantiora & honestiora, alia vero deteriora. Et ideo subjunxit: *Et unicuique proprium corpus.* Cæterum non est hoc contentus, sed aliam quærit differentiam, majorem & manifestiorem. Nam ne cum audivisses, sicut dixi, quod omnes resurgant,
B existimares omnes eadem consequi & iisdem frui, prius quidem jecit in præcedentibus semina hujus sententiæ, dicens: Unusquisque autem in proprio ordine. Facit autem hoc apertius hic quoque rursus, dicens: *Non omnis caro eadem caro.* Quid enim, inquit, dico in seminibus? Hoc ipsum agitemus etiam in corporibus, de quibus a nobis nunc agitur. Quamobrem subjungit, dicens: *Sed alia quidem caro est hominum, alia autem pecorum, alia volucrum, alia autem piscium:* 40. *Et corpora cælestia, & corpora terrestria. Sed alia quidem cælestium*
C *gloria, alia autem terrestrium. Alia est gloria solis, & alia est gloria lunæ, & alia gloria stellarum. Stella enim a stella differt in gloria.*

3. Et quid sibi volunt hæc verba? Quanam de causa a resurrectione corporum excidit in orationem de stellis & sole? Non excidit, neque abductus fuit ab argumento, absit, sed in eo adhuc hæret. Nam quoniam probavit quod dictum est de resurrectione, ostendit jam quod tunc futuræ gloriæ magna sit differentia, etsi una est resurrectio: & in duo interim dividit universum, nempe in cælestia & terrestria. Nam quod corpora quidem resurgant, ostendit per frumentum.
D Quod autem non omnia in eadem gloria, hinc ostendit. Sicut enim non credere resurrectioni, supinos facit, ita etiam negligentes reddit & socordes existimare omnes eadem consequi & iisdem frui. Quamobrem utrumque corrigit. Et alia quidem absolvit in præcedentibus, ab hoc autem nunc incipit: & cum duos fecisset ordines justorum & peccatorum, hos ipsos rursus secat in plures partes: ostendens quod neque justi, neque peccatores eadem assequentur: neque justi omnes eadem quæ justi alii: neque peccatores eadem quæ peccatores. Facit ergo primum
E unam sectionem justorum & peccatorum, dicens: Corpora cælestia, & corpora terrestria: per terrestria quidem hos subindicans; per cælestia autem, illos. Deinde de cætero introducit differentiam peccatorum a peccatoribus, dicens: Non omnis caro eadem caro, sed alia quidem piscium, alia autem volucrum & pecorum. Atqui sunt omnia corpora, sed alia quidem viliora & abjectiora, alia vero minus. In vita quoque similiter & in eadem constitutione. Et cum hoc dixisset, ascendit rursus in cælum, dicens: Alia gloria solis,

& alia gloria lunæ. Sicut enim in terreſtribus corporibus eſt differentia, ita etiam in cæleſtibus eſt differentia, eaque non vulgaris, ſed etiam uſque ad extrema. Non ſolum enim eſt differentia ſolis a luna, neque lunæ a ſtellis, ſed etiam ſtellarum a ſtellis. Nam etiamſi omnia ſint in cælo, alia tamen majorem, alia vero minorem habent gloriam. Quid ergo hinc diſcimus? Quod etiamſi omnes ſint in regno, non omnes tamen eadem conſequentur & iiſdem fruentur: etiamſi omnes peccatores in gehenna, non omnes eadem ſuſtinebunt. Et ideo ſubjunxit: 42. *Sic & reſurrectio mortuorum.* Sic ſunt quodammodo in multa differentia. Deinde hac tamquam probata dimiſſa oratione, rurſus venit ad demonſtrationem & modum ipſius reſurrectionis, dicens: *Seminatur in corruptione, ſurget in incorruptione.* Vide autem prudentiam. In ſeminibus quidem uſus eſt nomine corporum, dicens: Non vivificabitur niſi fuerit mortuum: in corporibus autem appellatione ſeminum, dicens: Seminatur in corruptione, ſurgit in incorruptione. Non dicit: Naſcitur, ne exiſtimes eſſe opus terræ, ſed ſurgit. Seminationem autem hic dicit, non noſtram in matrice generationem, ſed defunctorum in terra ſepulturam, diſſolutionem, cinerem. Quamobrem cum dixiſſet: Seminatur in corruptione, ſurgit in incorruptione, ſubjunxit: 43. *Seminatur in ignobilitate.* Quid enim eſt viſu turpius quam corpus quod diſſolutum eſt? *Surgit in gloria: ſeminatur in infirmitate.* Nondum enim ſunt triginta dies, & periit univerſum: nec poteſt caro ſe continere, neque unum diem durare. *Surgit in virtute.* Tunc enim ejus nihil ſupererit reliquum. Propterea & illis opus habuit exemplis, ne multi hæc audientes, nempe quod ſurgunt in incorruptione, & gloria, & virtute, putarent reſurgentium nullam eſſe differentiam. Nam omnes quidem reſurgunt, & in virtute, & in incorruptione, & in gloria hac incorruptionis, non tamen omnes ejuſdem honoris & ſecuritatis. 44. *Seminatur corpus animale, ſurgit corpus ſpirituale. Eſt corpus animale, & eſt corpus ſpirituale.* Quid dicis? hoc autem nonne eſt ſpirituale? Spirituale quidem, ſed illud multo magis. Nam nunc quidem ſæpe avolat Spiritus ſancti multa gratia aliquibus magna peccantibus. Porro præſente quoque ſpiritu animæ, avolat vita carnis: & quod eſt hujuſmodi, abſque hoc eſt inane. Tunc autem non ſic, ſed perpetuo permanet in carne juſtorum: & ejus erit poteſtas & imperium præſente quoque anima. Aut enim tale quid ſubindicavit, dicens ſpirituale; aut quod futurum ſit levius & ſubtilius, & quod poſſit etiam vehi in aëre; vel potius utrumque. Si autem non credis ei quod dicitur, vide corpora cæleſtia quæ ſunt tam ſplendida & durabilia, & permanent in conditione non ſeneſcendi: & hinc crede, quod Deus poteſt facere hæc quoque corruptibilia incorruptibilia fieri, & multo

A καὶ ἄλλη δόξα σελήνης. ὥσπερ γὰρ ἐν τοῖς ἐπιγείοις σώμασι διαφορὰ, οὕτω καὶ ἐν τοῖς ἐπουρανίοις καὶ διαφορὰ, οὐχ ἡ τυχοῦσα, ἀλλὰ καὶ μέχρι τῶν ἐσχάτων. οὐ γὰρ ἡλίῳ πρὸς σελήνην, οὐδὲ σελήνῃ πρὸς ἀστέρας διαφορὰ μόνον, ἀλλὰ καὶ ἄστρασι πρὸς ἀστέρας. εἰ γὰρ καὶ πάντα ἐν οὐρανῷ, ἀλλὰ τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος μετέχει δόξης. τί τοίνυν ἐντεῦθεν καταμανθάνομεν; ὅτι εἰ καὶ ἐν βασιλείᾳ πάντες, οὐ πάντες τῶν αὐτῶν ἀπολαύσονται· καὶ εἰ πάντες ἐν γεέννῃ οἱ ἁμαρτωλοὶ, οὐ πάντες τὰ αὐτὰ ὑπομενοῦσι. διὸ ἐπήγαγεν. οὕτω καὶ ἡ ἀνάστασις τῶν

B νεκρῶν. οὕτω πως ἐν διαφορᾷ πολλῇ. εἶτα ἀφεὶς τοῦτον τὸν λόγον ὡς ἀρκούντως ἀποδειχθέντα, πάλιν ἐπ' αὐτὴν τῆς ἀναστάσεως τὴν ἀπόδειξιν καὶ τὸν τρόπον ἔρχεται, λέγων. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. καὶ θέα σύνεσιν. ἐπὶ μὲν τῶν σπερμάτων ἀπὸ τῶν σωμάτων ἐχρήσατο ὀνόματι λέγων, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· ἐπὶ δὲ τῶν σωμάτων, τῇ τῶν σπερμάτων προσηγορίᾳ, λέγων, σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. οὐκ εἶπε, φύεται, ἵνα μὴ τῆς γῆς ἔργον νομίσῃς, ἀλλ', ἐγείρεται. σπορὰν δὲ ἐνταῦθα, οὐ τὴν γένεσιν ἡμῶν λέγει τὴν ἐν μήτρᾳ, ἀλλὰ τὴν

C ταφὴν τὴν ἐν τῇ γῇ τῶν τετελευτηκότων σωμάτων, τὴν διάλυσιν, τὴν τέφραν. διὸ εἰπὼν, σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ, ἐπήγαγε. σπείρεται ἐν ἀτιμίᾳ. τί γὰρ εἰδεχθέστερον νεκροῦ διαῤῥυέντος; ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ. οὔπω γὰρ ἡμέραι τριάκοντα, καὶ τὸ πᾶν ἀπώλετο, καὶ κατασχεῖν ἑαυτὴν ἡ σὰρξ οὐ δύναται, οὐδὲ πρὸς μίαν ἀρκέσαι ἡμέραν. ἐγείρεται ἐν δυνάμει. τότε γὰρ αὐτοῦ οὐδὲν περιέσται λοιπόν. διὰ δὴ τοῦτο ἐκείνων ἐδεήθη τῶν ὑποδειγμάτων, ἵνα μὴ ταῦτα ἀκούοντες πολλοὶ, ὅτι ἐν ἀφθαρσίᾳ, καὶ δόξῃ,

D καὶ δυνάμει ἐγείρονται, νομίσωσι μηδεμίαν εἶναι διαφορὰν τῶν ἀνισταμένων. πάντες μὲν γὰρ ἀνίστανται, καὶ ἐν δυνάμει, καὶ ἐν ἀφθαρσίᾳ, καὶ ἐν δόξῃ ταύτῃ τῇ τῆς ἀφθαρσίας, οὐ μέντοι τῆς τιμῆς τῆς αὐτῆς οὐδὲ τῆς ἀσφαλείας πάντες. σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα πνευματικόν. τί λέγεις; τοῦτο δὲ οὐ πνευματικόν; πνευματικὸν μὲν, ἀλλ' ἐκεῖνο πολλῷ πλέον. νῦν μὲν γὰρ καὶ ἀφίπταται τοῦ πνεύματος τοῦ ἁγίου πολλάκις ἡ πολλὴ χάρις, ἁμαρτανόντων μεγάλα τινῶν, καὶ τοῦ πνεύματος δὲ παρόντος τῆς

E ψυχῆς ἡ ζωὴ τῆς σαρκός· καὶ τὸ τοιοῦτο κενόν ἐστι τούτου χωρίς. τότε δὲ οὐχ οὕτως, ἀλλὰ διηνεκῶς παραμένει τῇ σαρκὶ τῶν δικαίων, καὶ αὐτοῦ ἔσται τὸ κράτος παρούσης καὶ τῆς ψυχῆς. ἢ γάρ τι τοιοῦτον ἠνίξατο, εἰπὼν, πνευματικὸν, ἢ ὅτι κουφότερον ἔσται καὶ λεπτότερον, καὶ οἷόν τε καὶ ἐπ' ἀέρος ὀχεῖσθαι, μᾶλλον δὲ ἀμφότερα. εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ, ὅρα τὰ ἐπουράνια σώματα ταῦτα οὕτω λαμπρὰ, καὶ διαρκῆ τέως καὶ ἐν ἀγηράτῳ λήξει διαμένοντα, καὶ πίστευσον ἐντεῦθεν, ὅτι δύναται ὁ θεὸς ποιῆσαι καὶ ταῦτα τὰ φθαρτὰ, ἄφθαρτα καὶ

πολλῷ βελτίω τῶν ὁρωμένων. οὕτω καὶ γέγραπται, ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. καίτοι τὸ μὲν γέγραπται, τὸ δὲ οὐ γέγραπται. πῶς οὖν εἶπεν, ὅτι γέγραπται; ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ μετέφρασεν, ὅπερ ἔθος αὐτῷ συνεχῶς ποιεῖν. καὶ γὰρ ἔθος τοῦ προφήτου. καὶ γὰρ τὴν Ἱερουσαλὴμ, πόλιν δικαιοσύνης ἔφησεν ὁ προφήτης κληθήσεσθαι, καὶ οὐκ ἐκλήθη. τί οὖν; ἐψεύσατο ὁ προφήτης; οὐδαμῶς. τὴν γὰρ διὰ τῶν πραγμάτων ἔκβασιν λέγει. καὶ τὸν Χριστὸν δὲ Ἐμμανουὴλ· καὶ οὐδὲ αὐτὸς οὕτω κέκληται. ἀλλὰ τὰ πράγματα ταύτην ἀφίησι τὴν φωνήν· οὕτω καὶ ἐνταῦθα, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

Ταῦτα δὲ εἶπεν, ἵνα μάθῃς ὅτι καὶ τῆς παρούσης ζωῆς καὶ τῆς μελλούσης τὰ σύμβολα ἤδη καὶ τὰ ἐνέχυρα ἔφθασε, τῆς μὲν παρούσης ὁ Ἀδὰμ, τῆς δὲ μελλούσης ὁ Χριστός. ἐπειδὴ γὰρ τὰ χρηστότερα ἐν ἐλπίσι τίθησι, δείκνυσι τὴν ἀρχὴν ἤδη ἐκβεβηκυῖαν, καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν φανεῖσαν. εἰ δὲ ἡ ῥίζα καὶ ἡ πηγὴ πᾶσι κατάδηλος, οὐδὲν δεῖ περὶ τῶν καρπῶν ἀμφιβάλλειν. διὸ λέγει, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. καὶ ἀλλαχοῦ δὲ, ζωοποιήσει τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. ἄρα τοῦ πνεύματος τὸ ζωοποιεῖν. εἶτα ἵνα μή τις εἴπῃ, διὰ τί πρεσβύτερα τὰ χείρονα, καὶ τὰ μὲν ὅλα ἐξέβη τὰ ψυχικὰ, [a] οὐ μέχρι τῆς ἀπαρχῆς· τὰ δὲ ἕως τῆς ἀπαρχῆς μόνον, δείκνυσιν ὅτι καὶ αἱ ἀρχαὶ ἑκατέρων οὕτω διετάγησαν. οὐ γὰρ πρῶτον, φησὶ, τὸ πνευματικὸν ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν. καὶ οὐ λέγει, διὰ τί; ἀλλ' ἀρκεῖται τῇ τοῦ θεοῦ διατάξει, τὴν ἀπὸ τῶν πραγμάτων ψῆφον ἔχων μαρτυροῦσαν τῇ ἀρίστῃ τοῦ θεοῦ οἰκονομίᾳ, καὶ δεικνὺς ὅτι ἐπὶ τὸ βέλτιον ἀεὶ τὰ ἡμέτερα πρόεισιν, ἅμα κἀντεῦθεν πιστούμενος τὸν λόγον. εἰ γὰρ τὰ ἐλάττονα ἐξέβη, πολλῷ μᾶλλον τὰ βελτίω προσδοκᾶν χρή. ἐπεὶ οὖν τοιούτων μέλλομεν ἀπολαύειν ἀγαθῶν, εἰς ταύτην ἑαυτοὺς καταστήσωμεν τὴν τάξιν, καὶ μὴ κλαίωμεν τοὺς ἀπιόντας, ἀλλὰ τοὺς κακῶς τὸν βίον καταλύοντας. ἐπεὶ καὶ γεωργὸς, ὅταν ἴδῃ τὸν σῖτον διαλυόμενον, οὐ θρηνεῖ· ἀλλ' ἕως μὲν ἂν βλέπῃ στερεὸν ἐν τῇ γῇ μένοντα, δέδοικε καὶ τρέμει· ἐπειδὰν δὲ ἴδῃ διαλυθέντα, χαίρει. ἀρχὴ γὰρ τῆς μελλούσης σπορᾶς, ἡ διάλυσις. οὕτω καὶ ἡμεῖς τότε χαίρωμεν, ὅταν πέσῃ ἡ οἰκία ἡ φθαρτὴ, ὅταν σπαρῇ ὁ ἄνθρωπος. καὶ μὴ θαυμάσῃς, εἰ σπορὰν τὴν ταφὴν ἐκάλεσε· καὶ γὰρ αὕτη βελτίων ἡ σπορά. ἐκείνην μὲν γὰρ διαδέχονται θάνατοι, καὶ πόνοι, καὶ κίνδυνοι, καὶ φροντίδες· ταύτην δὲ, ἂν ὀρθῶς βιῶμεν, στέφανοι καὶ βραβεῖα· καὶ τὴν μὲν, φθορὰ, καὶ θάνατος·

A meliora iis quæ cernuntur. 45. *Sicut scriptum est: Factus est primus homo in animam viventem: novissimus Adam in Spiritum vivificantem.* Atqui illud quidem scriptum est, hoc autem non est scriptum. Quomodo ergo dixit, scriptum est? A rerum eventu, hoc interpretatus: quod solet assidue facere. Est enim hic mos prophetæ. Etenim Jerusalem civitatem justitiæ vocandam fore dixit propheta: & non est vocata. Quid ergo? Falsum-ne dixit propheta? Nequaquam. Nam illam quidem sic vocandam dixit per rerum eventum: Christum quoque dixit vocandum Emmanuelem, & nec ipse quoque sic est vocatus. Sed res ipsæ hanc vocem emittunt. Ita hic quoque novissimus Adam in Spiritum vivificantem.

Gen. 2. Zach. 8.

B

4. Hæc autem dixit, ut discas, quod & vitæ præsentis & futuræ jam venerunt signa & pignora: præsentis quidem Adam, futuræ autem Christus. Nam quoniam quæ sunt meliora ponit in spe, ostendit principium jam evenisse, & radicem & fontem apparuisse. Si autem radix & fons est omnibus manifestus, nihil est dubitandum de fructibus. Et ideo dicit: Novissimus Adam in Spiritum vivificantem. Alibi quoque dicit, Vivificabit mortalia corpora vestra per inhabitantem Spiritum in vobis. Est ergo Spiritus vivificare. Deinde ne quispiam diceret, cur sunt antiquiora ea quæ sunt pejora: & quæ sunt quidem animalia, tota evenerunt; quæ vero spiritualia, ne quidem usque ad primitias; quædam vero usque ad primitias solum: ostendit utriusque principia sic fuisse constituta. 46. *Sed non prius*, inquit, *quod spirituale est, sed quod animale: deinde quod spirituale.* Non dicit autem, quare? sed est contentus Dei ordinatione, habens sententiam quæ procedit a rebus, testimonium ferentem optimæ Dei administrationi, & ostendens quod res nostræ semper procedunt ad id quod est melius ac præstantius: simul etiam hinc quoque ei quod dicit fidem faciens. Nam si quæ sunt minora evenerunt, multo magis quæ sunt meliora sunt exspectanda. Cum ergo futurum sit ut talibus fruamur bonis, nos in hoc ordine collocemus, & ne defleamus eos qui excedunt, sed eos qui vitam male finiunt. Nam agricola cum viderit dissolvi frumentum, non lamentatur; sed quamdiu quidem videt solidum manere in terra, veretur & contremiscit: postquam autem fuerit dissolutum, lætatur. Initium enim futuræ sementis est dissolutio. Sic nos quoque tunc lætemur cum ceciderit domus in quam cadit interitus, quando homo fuerit seminatus. Nec mireris si sepulturam vocarit sementem; ea enim est melior sementis. Nam illi quidem succedit mors & labores, pericula & curæ: huic autem, si recte vivamus, coronæ & præmia; & illi quidem corruptio ac interitus & mors;

C Rom. 8. 11.

D

E

[a] Hic quædam in serie desiderantur, quæ sic restitui posse videntur. καὶ τὰ μὲν ὅλα ἐξέβη τὰ ψυχικὰ· τὰ δὲ πνευματικὰ, τὰ μὲν οὐ μέχρι τῆς ἀπαρχῆς· τὰ δὲ ἕως τῆς ἀπαρχῆς μόνον.

huic autem interitu carere, incorruptio & immortalitas, & bona innumerabilia. In illa seminatione sunt complexus, & voluptates & somnus: in hac autem vox solum e cælis descendens, & omnia simul repente perficiuntur. Et qui resurgit, non amplius deinceps adducitur ad vitam laboriosam, sed ad eam unde effugit dolor, luctus & gemitus. Si autem defensionem requiris & patrocinium, & propterea virum defles, confuge ad omnium communem patronum, defensorem, servatorem, & benefactorem Deum, ad inexpugnabile auxilium, ad facile & promtum adjumentum, ad perpetuam quæ semper & ubique adest protectionem, nos undique munientem. At consuetudo res est desiderabilis & amabilis. Ego quoque id scio. Sed si rationi motum animi commiseris, & apud te reputaveris quis sit qui accepit, & quod si forti animo tuleris, Deo mentem totam offers sacrificium; hunc quoque fluctum poteris vitare, & quod tempus efficit, hoc faciet philosophia. Sin autem mollis fueris & enervatus, tempore quidem desinet animi perturbatio, tibi autem nullam afferet mercedem. Cum his rationibus collige etiam exempla quæ sunt in præsenti vita, quæ sunt in divinis scripturis. Cogita quod Abraham suum jugulavit filium, & neque flevit, neque verbum emisit acerbum. At ille, inquies, erat Abraham. Atqui tu vocatus es ut majora septa transscendas. Job autem tantum quidem doluit, quantum est consentaneum patrem liberos amantem, & magnam curam gerentem eorum qui excesserant. Nam quæ nos quidem nunc facimus, sunt inimicorum & hostium. Neque enim si aliquo in regiam abducto & coronato plangeres, & lamentareris, te dixerim esse coronati amicum, sed valde inimicum, & hostem. At non illum, inquies, lugeo, sed me ipsum. Sed neque hoc est amantis, velle illum propter te angi & vexari, & incerto futuro subjici, cum adsit coronari, & ad portum tendere; aut in mari jactari, cum liceat esse in portu. At nescio, inquies, quo ivit. Cur nescis, dic mihi? Nam sive recte vixit, sive secus, est manifestum quo sit abiturus. Propter hoc ipsum, inquies, plango, quod peccator excessit. Hæc sunt prætextus & effugia. Nam si propterea cum excesserit lugeas, viventem eum transformare & concinnare & componere oportebat. Sed tu quæ tua sunt ubique consideras & tibi proponis, non quæ illius. Si autem etiam peccator excessit, propterea etiam lætari oportet, quod intercissa sunt peccata, & vitio nihil adjecit; & quoad ejus fieri potest, ei succurrere, non lacrymis, sed precibus, supplicationibus, eleemosynis, & oblationibus. Non sunt enim hæc temere excogitata, neque frustra eorum qui excesserunt in divinis mysteriis meminimus, & pro ipsis accedimus, rogantes agnum propositum, qui mundi peccatum tulit: sed ut inde eis aliqua sit consolatio. Neque abs re is qui

Gen. 22.

Mortui non nimis lugendi.

Mortui precibus & bonis operibus juvandi.

A τὴν δὲ ἀφθαρσία, καὶ ἀθανασία, καὶ τὰ μυρία ἀγαθά· ἐπ' ἐκείνης τῆς σπορᾶς, συμπλοκαὶ καὶ ἡδοναὶ, καὶ ὕπνος· ἐπὶ ταύτης δὲ φωνὴ μόνον ἐκ τῶν οὐρανῶν καταβαίνουσα, καὶ πάντα ἀθρόως τελεσφορεῖται. καὶ ὁ ἀνιστάμενος οὐκέτι λοιπὸν ἐπὶ βίον ἄγεται πολύμοχθον, ἀλλ' ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Εἰ καὶ προστασίαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο θρηνεῖς τὸν ἄνδρα, ἐπὶ τὸν κοινὸν πάντων προστάτην καὶ σωτῆρα καὶ εὐεργέτην καταφυγε τὸν θεὸν, ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν εὔκολον βοήθειαν, ἐπὶ τὴν διαρκῆ σκέπην τὴν πανταχοῦ

B παροῦσαν καὶ πανταχόθεν ἡμᾶς τειχίζουσαν. ἀλλ' ἡ συνήθεια ποθεινὸν καὶ ἐπέραστον. οἶδα κἀγώ. ἀλλ' ἂν ἐπιτρέψῃς τῷ λογισμῷ τὸ πάθος, καὶ λογίσῃ πρὸς ἑαυτὸν τίς ὁ λαβὼν, καὶ ὅτι γενναίως ἐνεγκὼν θυσίαν τὴν γνώμην ἀναφέρεις τῷ θεῷ, καὶ τοῦτο τὸ κῦμα δυνήσῃ διαδραμεῖν· καὶ ὅπερ ὁ χρόνος ἐργάζεται, τοῦτο ἡ φιλοσοφία ποιήσει. ἂν δὲ καταμαλακισθῇς, λήξει μὲν τῷ χρόνῳ τὸ πάθος, σοὶ δὲ οὐδένα τὸν μισθὸν οἴσει. μετὰ δὲ τῶν λογισμῶν τούτων καὶ παραδείγματα σύλλεγε, τὰ ἐν τῷ παρόντι βίῳ,

C τὰ ἐν ταῖς θείαις γραφαῖς. ἐννόησον ὅτι ὁ Ἀβραὰμ κατέσφαξε τὸν υἱὸν τὸν αὐτοῦ, καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξέβαλεν. ἀλλ' ἐκεῖνος Ἀβραάμ, φησιν, ἦν. καὶ μὴν σὺ ἐπὶ μείζονα ἐκλήθης σκάμματα. ὁ δὲ Ἰὼβ ἤλγησε μὲν, τοσοῦτον δὲ, ὅσον εἰκὸς πατέρα φιλόπαιδα καὶ σφόδρα κηδόμενον τῶν ἀπελθόντων· ὡς ἄγε νῦν ποιοῦμεν ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστίν. οὐδὲ γὰρ, εἴ τινος εἰς βασίλεια ἀπενεχθέντος καὶ στεφανωθέντος ἐκόπτες σαυτὸν καὶ ἐθρήνεις, φίλον ἄν σε τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν σφόδρα καὶ πολέμιον. ἀλλ' οὐδὲ νῦν ἐκεῖνον

D θρηνῶ, φησιν, ἀλλ' ἐμαυτόν. ἀλλ' οὐδὲ τοῦτο φιλοῦντος, τὸ θέλειν ἔτι ἐναγώνιον εἶναι ἐκεῖνον διὰ σαυτὸν καὶ ὑποκεῖσθαι τῇ ἀδηλίᾳ τοῦ μέλλοντος, παρὸν στεφανοῦσθαι καὶ προσορμεῖν, ἢ πελάγιον σαλεύειν, ἐξὸν ἐν λιμένι εἶναι. ἀλλ' οὐκ οἶδα ποῖ κεχώρηκε, φησι. διὰ τί οὐκ οἶδας, εἰπέ μοι; εἴτε γὰρ ὀρθῶς ἐβίου, εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. δι' αὐτὸ γὰρ τοῦτο κόπτομαι, φησιν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. σκῆψις ταῦτα, καὶ πρόφασις. εἰ γὰρ διὰ τοῦτο ἀπελθόντα ἐθρήνεις, ζῶντα μεταπλάσαι ἐχρῆν καὶ ῥυθμίσαι. ἀλλὰ τὰ σαυτοῦ σὺ πανταχοῦ

E σκοπεῖς, οὐ τὰ ἐκείνου. εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε, καὶ διὰ τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ, καὶ βοηθεῖν ὡς ἂν οἷόν τε ᾖ, οὐ δακρύειν, ἀλλ' εὐχαῖς καὶ ἱκετηρίαις, καὶ ἐλεημοσύναις, καὶ προσφοραῖς. οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ εἰκῇ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν πρόσιμεν, δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' ἵνα τις ἐντεῦθεν αὐτοῖς γένηται παραμυθία. οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ

σιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ· Ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελούντων. Εἰ γὰρ μὴ ὑπὲρ αὐτῶν αἱ μνεῖαι ἐγίνοντο, οὐδ' ἂν ταῦτα ἐλέχθη. οὐ γάρ ἐστι σκηνὴ τὰ ἡμέτερα, μὴ γένοιτο· πνεύματος γὰρ διατάξει ταῦτα γίνεται.

Βοηθῶμεν τοίνυν αὐτοῖς, καὶ μνείαν ὑπὲρ αὐτῶν ἐπιτελῶμεν. Εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων γίνεταί τις αὐτοῖς παραμυθία; εἴωθε γὰρ ὁ Θεὸς καὶ ἑτέροις ὑπὲρ ἑτέρων χαρίζεσθαι. καὶ τοῦτο ἐδείκνυ ὁ Παῦλος λέγων, ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν. μὴ δὴ ἀποκάμνωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν εὐχάς· καὶ γὰρ τὸ κοινὸν τῆς οἰκουμένης κεῖται καθάρσιον. διὰ τοῦτο θαῤῥοῦντες ὑπὲρ τῆς οἰκουμένης δεόμεθα τότε, καὶ μετὰ μαρτύρων αὐτοὺς καλοῦμεν, μετὰ ὁμολογητῶν, μετὰ ἱερέων. καὶ γὰρ ἓν σῶμά ἐσμεν ἅπαντες, κἂν λαμπρότερα μέλη μελῶν· καὶ δυνατὸν πάντοθεν συγγνώμην αὐτοῖς συναγαγεῖν, ἀπὸ τῶν εὐχῶν, ἀπὸ τῶν ὑπὲρ αὐτῶν δώρων, ἀπὸ τῶν μετ' αὐτῶν καλουμένων. τί τοίνυν ἀλγεῖς; τί δὲ θρηνεῖς, ὁπότε τοσαύτην δυνατὸν συγγνώμην συναγαγεῖν τῷ ἀπελθόντι; ἀλλ' ὅτι σὺ γέγονας ἔρημος καὶ προστάτην ἀπώλεσας; ἀλλὰ μηδέποτε τοῦτο εἴπῃς. οὐδὲ γὰρ τὸν Θεὸν ἀπώλεσας. ὥστε ἕως ἂν τοῦτον ἔχῃς, καὶ ἀνδρὸς αὐτὸς ἔσται σοι μείζων, καὶ πατρὸς, καὶ παιδὸς, καὶ κηδεστοῦ· καὶ γὰρ καὶ ζώντων ἐκείνων, αὐτὸς ἦν ὁ τὰ πάντα ποιῶν. ταῦτα τοίνυν ἐννόει, καὶ λέγε κατὰ τὸν Δαυΐδ, Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; εἰπὲ, σὺ εἶ ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν· καὶ ἐπίσπασαι αὐτοῦ τὴν βοήθειαν, καὶ μᾶλλον αὐτὸν ἕξεις νῦν προνοοῦντα, ἢ πρότερον, ὅσον ἐν μείζονι κατέστης ἀπορίᾳ. ἀλλὰ παιδίον ἀπώλεσας; οὐκ ἀπώλεσας, μὴ λέγε. ὕπνος τὸ πρᾶγμά ἐστιν, οὐ θάνατος· μετάστασις, οὐκ ἀπώλεια· ἀποδημία ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ βελτίω. μὴ δὴ παρόξυνε τὸν Θεὸν, ἀλλ' ἵλεω ποίει. ἂν γὰρ ἐνέγκῃς γενναίως, ἔσται τις κἀντεῦθεν τῷ ἀπελθόντι, καὶ σοὶ παραμυθία· ἂν δὲ τοὐναντίον, μᾶλλον ἐξάπτεις τὴν ὀργὴν τοῦ Θεοῦ. καὶ γὰρ εἰ παιδὸς μαστιζομένου ὑπὸ δεσπότου, σὺ παρεστὼς ἐδυσχέρανας, μειζόνως ἂν παρώξυνας κατὰ σαυτοῦ τὸν δεσπότην. μὴ δὴ ποίει τοῦτο, ἀλλ' εὐχαρίστει, ἵνα σοι καὶ ταύτῃ σκεδασθῇ τὸ νέφος τῆς ἀθυμίας. εἰπὲ κατὰ τὸν μακάριον ἐκεῖνον, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ἐννόησον ὅσοι μᾶλλον εὐαρεστοῦντες οὐδὲ ἔλαβον τὴν ἀρχὴν παῖδας, οὐδὲ πατέρες ἐκλήθησαν. οὐδὲ γὰρ ἐγὼ, φησὶν, ἐβουλόμην· καὶ γὰρ βέλτιον ἦν μηδὲ πεῖραν ἔχειν, ἢ μετὰ τὸ γεύσασθαι τῆς ἡδονῆς, ἐκπεσεῖν. μὴ, παρακαλῶ, μὴ λέγε ταῦτα, μὴ παροργίσῃς καὶ ταύτῃ τὸν δεσπότην· ἀλλ' ὑπὲρ μὲν ὧν ἔλαβες, εὐχαρίστησον· ὑπὲρ δὲ ὧν οὐκ εἰς τέλος ἔχεις,

A adstat altari dum veneranda peraguntur mysteria, clamat: Pro omnibus qui in Christo dormierunt, & iis qui pro ipsis celebrant memorias. Nam si pro ipsis non fierent commemorationes, ne hæc quidem dicta essent. Non sunt enim res nostræ ludi scenici, absit: hæc enim fiunt ordinatione Spiritus.

5. Eis ergo opem feramus, & commemorationem eorum peragamus. Si enim Jobi filios expiabat patris sacrificium: quid dubitas, an nobis pro eis qui excesserunt offerentibus, ipsis detur aliqua consolatio?
B Solet enim Deus etiam aliis pro aliis gratificari. Et hoc ostendebat Paulus dicens: Ut in multis personis, ejus quæ in nobis est donationis per multos gratiæ agantur pro vobis. [2. Cor. 1. 11.] Ne nos pigeat opem ferre iis qui excesserunt, & pro eis offerre preces: est enim propositum orbis terræ commune piaculum. Propterea fidenter pro orbe terræ tunc rogamus, & cum martyribus eos vocamus, cum confessoribus, cum Sacerdotibus. Etenim unum corpus omnes sumus, etiamsi sint membra membris splendidiora: & fieri potest ut veniam eis
C omni ex parte conciliemus, a precibus, a donis quæ pro eis offeruntur, ab iis qui cum ipsis vocantur. Cur ergo doles? Cur luges & lamentaris, quando defuncto potest tanta conciliari venia? At luges, quoniam es deserta ac destituta, & perdidisti patronum ac defensorem? Sed nunquam hoc dixeris. Neque enim Deum perdidisti: ideo quamdiu eum habes, ipse erit tibi major & marito, & patre, & filio & socero. Nam & illis viventibus is erat qui faciebat omnia. Hæc ergo cogita, & dic sicut David, Dominus illuminatio mea & salvator meus, quem timebo? [Psal. 26. 1.]
D Dic: Tu es pater orphanorum, & judex viduarum: & ejus attrahe auxilium, & habebis eum nunc magis tibi providentem quam prius, quo in majorem redacta es inopiam. At perdidisti filium? Non perdidisti, ne dicas. Res hæc est somnus, non mors; est migratio, non perditio; est peregrinatio a deterioribus ad meliora. Ne Deum irrites, sed places & reddas propitium. Nam si forti animo tuleris, erit huic & defuncto & tibi quædam consolatio. Sin contra, iram Dei magis accendis: nam si servo a domino flagris cæso tu adstans ægre tuleris, dominum magis contra te irritaveris. Noli hoc
E facere, sed age gratias, ut tibi quoque hac ratione discutiatur nubes animi ægritudinis. Dic sicut ille beatus, Dominus dedit, Dominus abstulit. [Job. 1. 21.] Cogita quam multi magis Deo placentes ne omnino quidem habuere filios, neque vocati sunt patres. Neque ego, inquit, vellem habuisse: melius enim fuisset non habuisse experientiam, quam postquam gustaris voluptatem, ab ea excidisse. Ne rogo, ne hæc dicas, ne sic quoque Dominum ad iram provoces. Sed pro iis quidem quæ accepisti age gratias; pro iis autem quæ perpetuo non ha-

bes, glorifica. Non dixit Job, melius fuisset non accepisse; quod tu insipienter & ingrato animo dicis: sed etiam pro illis agebat gratias, dicens: Dominus dedit; & pro his benedicebat dicens: Dominus abstulit. Sit nomen Domini benedictum in sæcula. Uxori quoque sic os obstruebat apud eam justas afferens rationes, & admirabilia illa verba enuncians: Si bona quidem accepimus a Domino, mala autem non sustinebimus? Atqui gravior post hæc fuit tentatio. Sed ille ne sic quidem fractus erat & enervatus, sed similiter ferebat forti animo, & glorificabat. Tu quoque hoc fac, & apud te reputa; quod non homo accepit, sed Deus qui fecit, qui magis quam tu ejus curam gerit, & scit quid ei conferat, non hostis aliquis, neque insidiator. Vide quam multi viventes, vitam non vitalem fecerunt parentibus. Generosos autem, inquies, & probos non vides? Eos quoque video: sed res quoque eorum minus sunt in tuto quam res tui filii. Nam etsi in bona sunt existimatione, finis tamen eorum est incertus: de illo autem de cætero non times, neque contremiscis, ne quid ei accidat, aut aliquam suscipiat mutationem. Hæc etiam cogita de pulcra uxore, & bona domus custode: & pro omnibus Deo age gratias; & si perdideris uxorem, gratias age. Fortasse te vult Deus adducere ad continentiam; ad majora vocat operum septa: te voluit liberare a vinculo. Si sic philosophemur, & lucrabimur præsentem animi tranquillitatem, & futuras assequemur coronas, &c.

Job. 2.

A δόξαζε. οὐκ εἶπεν ὁ Ἰὼβ, ὅτι βέλτιον ἦν μὴ λαβεῖν τοῦτο ὃ σὺ λέγεις ἀγνωμόνως, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων εὐχαρίστει λέγων, ὁ κύριος ἔδωκε, καὶ ὑπὲρ τούτων ηὐλόγει λέγων, ὁ κύριος ἀφείλετο, εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. καὶ τὴν γυναῖκα οὕτως ἐπεστόμιζε δικαιολογούμενος πρὸς αὐτὴν, καὶ τὰ θαυμαστὰ ἐκεῖνα φθεγγόμενος ῥήματα· εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; B καίτοιγε μετὰ ταῦτα χαλεπώτερος γέγονεν ὁ πειρασμός· ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἐξελύετο, ἀλλ' ὁμοίως ἔφερε γενναίως, καὶ ἐδόξαζε. τοῦτο καὶ σὺ ποίει, καὶ λογίζου πρὸς σαυτὸν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλ' ὁ θεὸς ὁ ποιήσας, ὁ μᾶλλον σοῦ κηδόμενος, καὶ τὸ συμφέρον εἰδὼς, οὐ πολέμιός τις, οὐδὲ ἐπίβουλος. ὅρα πόσοι ζῶντες ἀβίωτον τὸν βίον τοῖς γονεῦσιν ἐποίησαν. τοὺς δὲ γενναίους οὐχ ὁρᾷς, φησιν· ὁρῶ καὶ τούτους, ἀλλὰ καὶ τούτων ἀσφαλέστερα τὰ κατὰ τὸν παῖδα τὸν σόν. εἰ γὰρ εὐδοκιμοῦσιν, ἀλλ' ἐν ἀδήλῳ τὰ τοῦ τέλους αὐτῶν· ὑπὲρ C δὲ ἐκείνου λοιπὸν οὐ δέδοικας, οὐδὲ τρέμεις μή τι πάθῃ, ἢ μεταβολήν τινα δέξηται. ταῦτα καὶ ἐπὶ γυναικὸς λογίζου καλῆς καὶ οἰκουροῦ, καὶ ὑπὲρ πάντων εὐχαρίστει τῷ θεῷ. κἂν ἀπολέσῃς γυναῖκα, εὐχαρίστει. ἴσως σε εἰς ἐγκράτειαν ἀγαγεῖν βούλεται ὁ θεὸς, ἐπὶ μείζονα καλεῖ σκάμματα, ἐλευθερῶσαί σε τοῦ δεσμοῦ ἠθέλησεν. ἂν οὕτω φιλοσοφῶμεν, καὶ τὴν παροῦσαν εὐθυμίαν κερδανοῦμεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα στεφάνων, καὶ τὰ ἑξῆς.

## HOMILIA XLII.

47. *Primus homo de terra terrenus, secundus homo de cælo cælestis.*

1. POSTQUAM animalem dixit primum, & spiritualem secundum, rursus aliam ponit differentiam, terrenum dicens & cælestem. Nam prima quidem est vitæ præsentis & futuræ: hæc autem est ejus qui fuit ante gratiam, & ejus qui est post gratiam. Posuit autem illam ad rectum vitæ institutum dicens; nam ne sicut dixi, fidentes resurrectioni, vitam ex virtute & perfecte agendam negligerent, rursus eos quoque hinc reddit paratos ad decertandum, & hortatur ad virtutem dicens: Primus homo e terra, terrenus: secundus homo, Dominus e cælo: universum appellans hominem: & hunc quidem nominans ab eo quod est melius ac præstantius, illum autem ab eo quod est deterius. 48. *Qualis terrenus, tales & terreni.* Sic peribunt & morientur. *Qualis cælestis, tales & cælestes.* Sic manebunt immortales & fulgentes. Quid vero, annon is quoque est mortuus? Mortuus quidem est, sed inde nihil fuit læsus, sed sic quoque mortem dissolvit. Vidistin' quomodo hinc quoque per mortem constituit dogma

## ΟΜΙΛΙΑ μβ'.

D Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ.

ΕΠΕΙΔΗ ψυχικὸν εἶπε πρῶτον καὶ πνευματικὸν δεύτερον, πάλιν ἄλλην τίθησι διαφορὰν, χοϊκὸν λέγων καὶ ἐπουράνιον. ἡ μὲν γὰρ προτέρα τοῦ παρόντος ἦν βίου, καὶ τοῦ μέλλοντος· αὕτη δὲ τοῦ πρὸ τῆς χάριτος καὶ τοῦ μετὰ τὴν χάριν. τέθεικε δὲ αὐτὴν εἰς πολιτείαν ἀρίστην λέγων· [a] ἵνα γὰρ, ὅπερ ἔφην, μὴ τῇ ἀναστάσει θαρροῦντες ἀμελῶσι βίου καὶ ἀκριβείας, πάλιν καὶ ἐντεῦθεν αὐτοὺς ἐναγωνίους ποιεῖ, καὶ E παρακαλεῖ εἰς ἀρετὴν λέγων· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ, τὸ πᾶν ἄνθρωπον καλῶν, καὶ τὸν μὲν ἀπὸ τοῦ κρείττονος, τὸν δὲ ἀπὸ τοῦ χείρονος ὀνομάζων. οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί. οὕτως ἀπολοῦνται καὶ τελευτήσουσιν. οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· οὕτω μένουσιν ἀθάνατοι καὶ λάμποντες. τί οὖν; οὐχὶ καὶ οὗτος ἀπέθανε; ἀπέθανε μὲν, ἀλλ' οὐδὲν ἐντεῦθεν παρεβλάβη, ἀλλὰ καὶ ταύτῃ τὸν θάνατον κατέλυσεν. εἶδες πῶς κἀντεῦθεν τῷ θανάτῳ τὸ περὶ τῆς ἀναστάσεως συνέστησε δόγμα;

[a] Hic quædam desiderari omnino videntur.

ἔχων γάρ, ὅπερ ἔφθην εἰπών, τὴν ἀρχὴν καὶ τὴν κεφαλήν, φησί, μὴ ἀμφίβαλλε περὶ τοῦ σώματος παντός. πλὴν καὶ τὴν περὶ πολιτείας ἀρίστην ἐντεῦθεν γυμνάζει παραίνεσιν, ὑποδείγματα ὑψηλοῦ, καὶ φιλοσόφου βίου, καὶ οὐ τοιούτου τιθεὶς, καὶ τούτων ἀμφοτέρων παράγων τὰς ἀρχάς, τοῦ μὲν τὸν Χριστόν, τοῦ δὲ τὸν Ἀδάμ. διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, ἐκ γῆς, ἀλλὰ χοϊκὸς, τουτέστι, παχὺς, τοῖς παροῦσι προσηλωμένος· καὶ πάλιν ἐπὶ τοῦ Χριστοῦ τοὐναντίον, ὁ κύριος ἐξ οὐρανοῦ. εἰ δὲ λέγοιεν τινὲς διὰ τοῦτο μὴ ἔχειν τὸν κύριον σῶμα, διὰ τὸ ἐξ οὐρανοῦ εἰρῆσθαι, ἱκανὰ μὲν καὶ τὰ εἰρημένα πάλαι ἐμφράξαι αὐτῶν τὰ στόματα· οὐδὲν δὲ κωλύει καὶ ἐντεῦθεν αὐτοὺς ἐπιστομίσαι. τί γάρ ἐστιν, ὁ κύριος ἐξ οὐρανοῦ; τὴν φύσιν λέγει, ἢ τὴν ἀρίστην πολιτείαν; παντί που δῆλον, ὅτι τὴν πολιτείαν. διὸ καὶ ἐπάγει· καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ· τουτέστι, καθὼς φαῦλα ἐπράξαμεν· φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου· τουτέστιν, ἄριστα πράξωμεν. χωρὶς δὲ τούτων, κἀκεῖνό σε ἡδέως ἂν ἐροίμην, περὶ φύσεως εἴρηται, ὁ ἐκ γῆς χοϊκὸς, καὶ, ὁ κύριος ἐξ οὐρανοῦ; ναί, φησι. τί οὖν, χοϊκὸς μόνον ἦν ὁ Ἀδάμ, ἢ καὶ ἄλλην τινὰ εἶχεν οὐσίαν συγγενῆ τοῖς ἄνω καὶ τοῖς ἀσωμάτοις, ἣν ψυχὴν καλεῖ ἡ γραφή, καὶ πνεῦμα; παντί που δῆλον, ὅτι καὶ ταύτην. οὐκοῦν οὐδὲ ὁ κύριος ἦν ἄνωθεν μόνον, εἰ καὶ ἐξ οὐρανοῦ λέγεται, ἀλλὰ καὶ σάρκα ἀνείληφε. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, τὰς πονηρὰς πράξεις, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, τὴν πολιτείαν τὴν ἐν τοῖς οὐρανοῖς. εἰ δὲ περὶ φύσεως ἦν ὁ λόγος, οὐ παρακλήσεως ἐδεῖτο τὸ πρᾶγμα, οὐδὲ συμβουλῆς· ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ πολιτείας τὸ λεγόμενον. διὸ καὶ συμβουλευτικῶς εἰσάγει τὸν λόγον, καὶ εἰκόνα καλεῖ, καὶ ταύτῃ πάλιν δηλῶν ὅτι περὶ πράξεως, οὐ περὶ φύσεως λέγει. καὶ γὰρ διὰ τοῦτο ἐγενόμεθα χοϊκοὶ, ἐπειδὴ πονηρὰ ἐπράξαμεν· οὐκ ἐπειδὴ ἐξαρχῆς χοϊκοὶ διεπλάσθημεν, ἀλλ' ἐπειδὴ ἡμάρτομεν· καὶ γὰρ ἡ ἁμαρτία πρότερον, καὶ τότε ὁ θάνατος· καὶ τὸ, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. τότε καὶ ὁ τῶν παθῶν εἰσῆλθεν ἑσμός. οὐδὲ γὰρ τὸ, ἐκ γῆς γεγενῆσθαι, ποιεῖ χοϊκὸν ἁπλῶς, ἐπεὶ καὶ ὁ κύριος ἀπὸ τῆς μάζης καὶ τοῦ φυράματος τούτου ἦν, ἀλλὰ τὸ γήϊνα πράττειν· ὥσπερ οὖν καὶ ἐπουράνιον τὸ ἄξια τῶν οὐρανῶν ἐπιδείξασθαι. ἀλλὰ γὰρ τί χρὴ περιττὰ πονεῖν τοῦτο κατασκευάζοντα; σαφέστερον γὰρ ἡμῖν αὐτὸς ἐκκαλύπτει τὸ νόημα, οὕτω λέγων· τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. εἶδες πῶς ἑαυτὸν ἑρμηνεύει πάλιν, ἀπαλλάττων ἡμᾶς πραγμάτων; ὃ πολλαχοῦ ποιεῖ. σάρκα γὰρ ἐνταῦθα τὰς πονηρὰς πράξεις καλεῖ, ὃ καὶ ἀλλαχοῦ πεποίηκεν, οἷον ὡς ὅταν λέγῃ· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί· καὶ πάλιν,

A de resurrectione? Habens enim, ut prius dixi, principium & caput, noli dubitare de toto corpore. Sed & hinc quoque exercet optimam ac præstantissimam vitæ agendæ rationem, ponens exempla vitæ excelsæ ac philosophicæ, & ejus quæ non est hujusmodi, & utriusque adducens principia, illius quidem Christum, hujus vero Adamum. Propterea nec absolute dixit, e terra; sed terrenus: hoc est, crassus, affixus præsentibus. Et rursus de Christo contrarium, Dominus e cælo. Si autem quidam ideo dicant Dominum non habere corpus, quod dictum sit e cælo, sufficiunt quidem B quæ jam pridem dicta sunt ad ora eorum obstruenda. Nihil autem vetat quominus hinc quoque ora eorum obstruamus. Quid est enim, Dominus e cælo? Naturam-ne dicit, an optimam vitæ instituendæ rationem? Cuivis est perspicuum quod optimam vitæ agendæ rationem. Et ideo subjungit. 49. *Sicut portavimus imaginem terreni;* hoc est, sicut mala fecimus; *portemus & imaginem cælestis;* hoc est, faciamus optima. Præter hæc autem, ex te libenter sciscitarer: De natura-ne dictum est, qui ex terra, terrenus, & Dominus e C cælo? Maxime, inquit. Quid ergo, terrenus solum erat Adam, an aliquam etiam aliam habebat essentiam cognatam supernis & incorporeis, quam scriptura vocat animam & Spiritum? Est cuivis perspicuum, quod hanc quoque. Ergo neque Dominus erat solum ex superis, etiamsi dicatur e cælo, sed etiam carnem susceperat. Quod autem dicit, est hujusmodi: Sicut portavimus imaginem terrestris, malas actiones, portemus & imaginem cælestis, nempe vitæ agendæ rationem quæ est in cælis. Si autem loqueretur de natura, non adhortatione neque consilio res egeret. Quamobrem vel hinc perspicuum est, quod D de vitæ agendæ ratione est id quod dicitur. Et ideo consulendo inducit orationem, & appellat imaginem, ea ratione rursus ostendens, quod de actione dicat, non de natura. Propterea enim effecti sumus terreni, quoniam mala fecimus: non quoniam ab initio effecti sumus terreni, sed quoniam peccavimus. Etenim peccatum primum, & tunc mors, & illud: Terra es, & *Gen. 3.* in terram reverteris, tunc etiam intravit examen animi motuum & perturbationum. Neque enim ex terra esse genitum facit absolute terrenum: nam Dominus E quoque erat ex eadem massa & conspersione: sed terrena agere: sicut etiam cæleste, agere quæ sunt digna cælis. Sed quid ad hoc probandum opus est laborare supervacanee? Ipse enim procedens nobis sensum aperit, dicens: 50. *Hoc autem dico, Fratres, quod caro & sanguis regnum Dei non possidebunt.* Vidistin' quomodo rursus seipsum interpretetur, nos liberans a negotiis? quod quidem facit etiam in multis locis. Carnem enim hic vocat mala opera, quod & alibi fecit; quemadmodum quando dicit: Vos autem non estis in carne.

Rom. 8. 9. Et rursus: Qui autem sunt in carne, Deo placere non possunt. Quamobrem quando dicit: Hoc autem dico; nihil aliud dicit, quam se propterea hoc dixisse, ut discas malas actiones in regnum non introducere. Et ideo subjunxit. *Neque corruptio incorruptelam possidebit.* Hoc est, vitium non possidet gloriam illam, & perceptionem ac fruitionem incorruptibilium rerum. Etenim multis in locis rursus usus est hac appellatione dicens: *Qui seminat in carnem, ex carne metet corruptionem.* Si autem diceret de corpore, non autem de mala actione, non dixisset corruptionem; nusquam enim corpus vocat corruptionem: neque enim corruptio est; sed corruptibile. Quamobrem procedens, & de eo differens, non id dixit corruptionem, sed corruptibile, dicens: Oportet corruptibile hoc induere incorruptionem. Deinde cum de vitæ agendæ ratione absolvisset admonitionem, quod semper solet facere, argumentum argumento continuo admiscens, revertitur rursus ad loquendum de resurrectione, sic dicens: 51. *Ecce mysterium vobis dico.*

Gal. 6. 8.

2. Venerandum quidpiam & arcanum, & quod non omnes norunt, est dicturus: quod etiam ostendit magnum honorem quo eos afficit, nempe eis arcana dicere. Quid hoc autem est? *Non omnes quidem moriemur, & omnes immutabimur.* Hoc est autem quod dicit: *Non omnes quidem moriemur, omnes autem immutabimur, etiam qui non moriuntur.* Nam illi quoque sunt mortales. Ne ergo quoniam morieris, propterea, inquit, timeas tamquam non resurrecturus. Sunt enim, sunt etiam aliqui qui hoc effugient: & tamen hoc eis non sufficit ad illam resurrectionem, sed oportet illa quoque corpora quæ non moriuntur, immutari, & transire ad incorruptionem. 52. *In momento, in ictu oculi, in novissima tuba.* Quoniam multum disputavit de resurrectione, tunc opportune ostendit id quod est in ea admirabile & præter opinionem. Non est enim hoc solum mirabile, quod primum putrescunt corpora, & tunc resurgunt, inquit: & quod iis, quæ nunc sunt, meliora ac præstantiora quæ resurgunt: & quod ad longe meliorem transeant conditionem, neque quod unusquisque quod proprium est accipiat, & nullus quod alterius; sed quod tam multa, tanta, & talia, & quæ omnem superant rationem & mentem, fiant in momento, & hoc significans manifestius: In ictu oculi dicit, id est, quanto tempore clauditur cilium. Deinde quoniam dixit rem magnam & stupore plenam, si res tot & tantæ tam repente fiant, subjungit ad demonstrationem, quod dicitur reddens credibile. *Canet enim tuba, & mortui resurgent incorrupti, & nos immutabimur.* Illud, Nos, non dicit de seipso, sed de iis qui tunc invenientur viventes. 53. *Oportet enim corruptibile hoc induere incorruptionem.* Ne enim cum audieris quod caro & sanguis regnum Dei non possidebit,

A οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται· ὥστε ὅταν λέγῃ, τοῦτο δέ φημι, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι διὰ τοῦτο ταῦτα εἶπον, ἵνα μάθῃς ὅτι πονηραὶ πράξεις εἰς βασιλείαν οὐκ εἰσάγουσιν. ἀπὸ γὰρ τῆς ἀναστάσεως εὐθέως καὶ τὸν τῆς βασιλείας εἰσήγαγε λόγον, διὸ καὶ ἐπήγαγεν. οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. τουτέστιν, ἡ κακία τὴν δόξαν ἐκείνην καὶ τὴν τῶν ἀφθάρτων πραγμάτων ἀπόλαυσιν. καὶ γὰρ πολλαχοῦ πάλιν τῇ προσηγορίᾳ ταύτῃ τὴν κακίαν ἐκάλεσεν εἰπών, ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. B εἰ δὲ περὶ σώματος ἔλεγεν, ἀλλ' οὐ περὶ πονηρᾶς πράξεως, οὐκ ἂν εἶπε φθοράν. οὐδαμοῦ γὰρ τὸ σῶμα φθορὰν καλεῖ. οὐδὲ γάρ ἐστι φθορά, ἀλλὰ φθαρτόν. διὸ προϊὼν καὶ περὶ αὐτοῦ διαλεγόμενος, οὐκ εἶπεν αὐτὸ φθοράν, ἀλλὰ φθαρτόν, λέγων· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. εἶτα τὸν περὶ πολιτείας πληρώσας παραίνεσιν, ὅπερ ἀεὶ ποιεῖ, ὑπόθεσιν ὑποθέσει συνεχῶς ἀναμιγνύς, εἰς τὸν περὶ ἀναστάσεως πάλιν τῶν σωμάτων ἐκβαίνει λόγον, οὕτω λέγων· ἰδοὺ μυστήριον ὑμῖν λέγω.

C Φρικτόν τι καὶ ἀπόρρητον, καὶ ὃ μὴ πάντες ἴσασι, μέλλει λέγειν· ὃ καὶ πολλὴν ἐνδείκνυται τὴν εἰς αὐτοὺς τιμήν, τὸ τὰ ἀπόρρητα λέγειν αὐτοῖς. τί δὲ τοῦτό ἐστι; πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ πάντες μὲν ἀποθανούμεθα, πάντες δὲ ἀλλαγησόμεθα, καὶ οἱ μὴ ἀποθνήσκοντες. θνητοὶ γὰρ κἀκεῖνοι. μὴ τοίνυν, ἐπειδὴ ἀποθνήσκεις, διὰ τοῦτο δείσῃς, φησίν, ὡς οὐκ ἀναστησόμενος· εἰσὶ γάρ, τινές εἰσιν, οἳ καὶ τοῦτο διαφεύξονται· καὶ ὅμως οὐκ ἀρκεῖ τοῦτο αὐτοῖς εἰς τὴν ἀνάστασιν ἐκείνην, ἀλλὰ δεῖ καὶ ἐκεῖνα τὰ σώματα D τὰ μὴ ἀποθνήσκοντα ἀλλαγῆναι, καὶ εἰς ἀφθαρσίαν μεταπεσεῖν. ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· ὅτε πολλὰ περὶ ἀναστάσεως διελέχθη, τότε εὐκαίρως, καὶ τὸ πολὺ παράδοξον αὐτῆς δείκνυσιν· οὐ γὰρ τοῦτο θαυμαστὸν μόνον, ὅτι σήπεται πρότερον τὰ σώματα, καὶ τότε ἀνίσταται, φησίν, οὐδ' ὅτι βελτίονα τῶν νῦν τὰ ἐκ τῶν σηπομένων ἀνιστάμενα, οὐδ' ὅτι ἐπὶ πολλῷ μείζονα λῆξιν μεταβαίνει, οὐδ' ὅτι ἕκαστος τὸ ἴδιον ἀπολαμβάνει καὶ οὐδεὶς τὸ ἑτέρου, ἀλλ' ὅτι τὰ τοσαῦτα E καὶ τηλικαῦτα καὶ πάντων λογισμὸν καὶ νοῦν ὑπερβαίνοντα ἐν ἀτόμῳ γίνεται, τουτέστιν, ἐν ἀκαριαίῳ χρόνῳ· καὶ δηλῶν σαφέστερον τοῦτο, ἐν ῥιπῇ ὀφθαλμοῦ, φησίν, ὅσον μῦσαι βλέφαρον. εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἐκστάσεως γέμον, εἰ τοσαῦτα καὶ τηλικαῦτα πράγματα οὕτω γίνεται ταχέως, ἐπάγει εἰς ἀπόδειξιν, τὸ ἀξιόπιστον τοῦ ἐργαζομένου, λέγων· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. τό, ἡμεῖς, οὐ περὶ ἑαυτοῦ λέγει, ἀλλὰ περὶ τῶν ζώντων τῶν τότε εὑρισκομένων. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. ἵνα γὰρ μὴ ἀκούσας τις, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσει,

νομίσῃ τὰ σώματα μὴ ἀνίστασθαι, ἐπήγαγεν, ὅτι δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. φθαρτὸν δὲ τὸ σῶμα, καὶ θνητὸν τὸ σῶμα· ὥστε τὸ σῶμα μένει· αὐτὸ γάρ ἐστι τὸ ἐνδυόμενον. ἡ δὲ θνητότης καὶ ἡ φθορὰ ἀφανίζεται, ἀθανασίας καὶ ἀφθαρσίας ἐπιούσης αὐτῷ. μὴ τοίνυν ἀμφίβαλλε λοιπὸν πῶς ἄπειρον ζήσεται ζωὴν, ὅταν ἀκούσῃς, ὅτι ἄφθαρτον γίνεται· ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, κατεπόθη ὁ θάνατος εἰς νῖκος. ἐπειδὴ γὰρ μεγάλα καὶ ἀπόρρητα εἶπε, πάλιν ἀπὸ προφητείας πιστοῦται τὸν λόγον. κατεπόθη ὁ θάνατος εἰς νῖκος, τουτέστιν, εἰς τέλος· οὐδὲ λείψανον αὐτοῦ μένει, οὐδὲ ὑποστροφῆς ἐλπὶς, τῆς ἀφθαρσίας τὴν φθορὰν ἀναλωσάσης. ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; εἶδες ψυχὴν γενναίαν; καὶ γὰρ ὡς νικητήρια θύων, καὶ ἔνθους γενόμενος, καὶ ὁρῶν ἤδη ὡς γεγενημένα τὰ μέλλοντα, ἐνάλλεται καὶ ἐπεμβαίνει τῷ θανάτῳ κειμένῳ, καὶ τὴν ἐπινίκιον ἀλαλάζει φωνὴν κατὰ τῆς τούτου κεφαλῆς κειμένης, μεγάλα βοῶν καὶ λέγων· ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ, ᾅδη, τὸ νῖκος; οἴχεται καὶ ἀπόλωλε καὶ ἠφάνισται παντελῶς, καὶ εἰκῇ πάντα ἐκεῖνα ἐποίησας· οὐδὲ γὰρ ἀφώπλισε μόνον αὐτὸν, οὐδὲ ἐνίκησεν, ἀλλὰ καὶ ἀπώλεσε, καὶ εἰς τὸ μηδὲ ὅλως εἶναι κατέστησε. τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος. ὁρᾷς πῶς περὶ θανάτου σωματικοῦ ὁ λόγος; οὐκοῦν καὶ περὶ ἀναστάσεως σωματικῆς. εἰ γὰρ μὴ ἀνίσταται ταῦτα, πῶς κατεπόθη ὁ θάνατος; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ πῶς δύναμις τῆς ἁμαρτίας ὁ νόμος; ὅτι μὲν γὰρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, καὶ χαλεπωτέρα ἐκείνου, καὶ ἐν αὐτῇ τὴν ἰσχὺν ἐκεῖνος ἔχει, δῆλον· πῶς δὲ ταύτης καὶ δύναμις, ὁ νόμος; ὅτι χωρὶς αὐτοῦ ἀσθενὴς ἦν, πραττομένη μὲν, οὐ δυναμένη δὲ οὕτω καταδικάσαι. τὸ μὲν γὰρ κακὸν ἐγίνετο, σαφῶς δὲ οὐκ ἐδείκνυτο οὕτως· ὥστε οὐ μικρὸν εἰσήνεγκεν ὁ νόμος, τὸ καὶ γνωρίσαι τὴν ἁμαρτίαν μᾶλλον καὶ ἐπιτεῖναι τὴν κόλασιν. εἰ δὲ βουλόμενος κωλῦσαι χαλεπωτέραν ἀπέφηνεν, οὐ παρὰ τὸν ἰατρὸν τὸ ἔγκλημα, ἀλλὰ παρὰ τὸν κακῶς τῷ φαρμάκῳ χρησάμενον· ἐπεὶ καὶ ἡ παρουσία τοῦ Χριστοῦ μᾶλλον ἐβάρησε τοὺς Ἰουδαίους, ἀλλ' οὐ διὰ τοῦτο αὐτῇ ἐγκαλέσομεν· ἀλλὰ ταύτην μὲν καὶ θαυμασόμεθα, ἐκείνους δὲ μειζόνως μισήσομεν βλαβέντας δι' ὧν ὠφελεῖσθαι ἔδει. ὅτι γὰρ οὐκ αὐτὸς τὴν ἁμαρτίαν ἐδυνάμωσεν, [a] ὁ Χριστὸς αὐτὸς ἐπλήρωσεν ἅπαντα, καὶ ἁμαρτίας ἐκτὸς ἦν· σὺ δέ μοι σκόπει, πῶς καὶ ἐντεῦθεν τὴν ἀνάστασιν πιστοῦται. εἰ γὰρ τοῦ θανάτου αἴτιον τὸ ἁμαρτάνειν, ὁ δὲ Χριστὸς ἐλθὼν ἔλυσε τὴν ἁμαρτίαν, καὶ ἡμᾶς αὐτῆς διὰ τοῦ βαπτίσματος ἀπήλλαξε,

existimes corpora non resurgere, subjunxit: Oportet corruptibile hoc induere incorruptionem, & mortale hoc induere immortalitatem. Corruptibile autem est corpus, & mortale. Mortalitas autem & corruptio deletur & evanescit, ad ipsum accedente immortalitate & incorruptione. Noli ergo deinceps dubitare quomodo vitam vivet infinitam, cum audieris quod fiat incorruptibile & interitui non obnoxium. 54. *Cum autem corruptibile hoc induerit incorruptionem, & mortale hoc induerit immortalitatem, tunc fiet sermo qui scriptus est, Absorpta est mors in victoria.* Nam quoniam magna dixit & arcana, rursus id quod dicit credibile & fide dignum facit ex prophetia. Absorpta est, inquit, mors in victoria, hoc est in finem; ne manent quidem, inquit, ejus reliquiæ, neque spes est reditus, cum incorruptio consumserit corruptionem & interitum: 55. *Ubi est, mors, victoria tua? Ubi est, inferne, stimulus tuus?* Vidisti fortem & generosam animam. Nam tamquam pro victoria sacrificans, & Deo afflatus, & futura videns quasi jam facta, insilit & jacenti morti insultat, & in caput ejus jacens de victoria exsultantem emittit vocem, clamans & dicens, ubi est, mors, stimulus tuus? Ubi est victoria tua, inferne? Periit, & penitus evanuit, & temere fecisti illa omnia. Non solum enim eam armis exuit & vicit, sed etiam perdidit, & eo redegit ut ne esset quidem penitus. 56. *Stimulus autem mortis peccatum est. Virtus vero peccati lex.* Viden' quomodo loquatur de morte corporali? Ergo loquitur etiam de resurrectione corporis. Nam si hæc non resurgunt, quomodo est mors absorpta? Nec hoc solum, sed etiam quomodo peccati virtus est lex? Nam quod peccatum sit stimulus mortis, & illa gravius, & ea in ipso vim habeat, id manifestum est. Quomodo autem ejus quoque virtus est lex? Quoniam absque ea erat imbecillum: ut quod fieret quidem, non posset autem sic condemnari. Nam fiebat quidem malum, non ita autem aperte indicabatur. Quamobrem lex non parum contulit ad cognoscendum peccatum, imo vero etiam ad augendum supplicium. Si autem dum vellet prohibere, id reddidit gravius, non est culpa in medicum conferenda, sed in eum qui male usus est medicamento. Nam Christi quoque adventus gravis fuit ac molestus Judæis: sed non ideo eum vituperabimus, sed eum quidem etiam admirabimur; illos autem magis odio habebimus, qui læsi sunt per ea quæ debebant eis prodesse. Nam quod ipsa vim non dederit peccato, Christus ipsam totam implevit, & erat extra peccatum. Tu autem mihi considera, quomodo hinc quoque facit fidem resurrectioni. Nam si ipsum peccare erat causa mortis, Christus autem cum venisset solvit peccatum, & nos ab ipso liberavit per baptismum,

[a] Obscura & vitiata series videtur, legendumque est ὁ Χριστὸς αὐτὸν, ut legit Gentianus Hervetus; sed nondum tamen plana & certa videtur esse sententia.

Resurrectio probatur.

& cum peccato legem quoque solvit ac fregit, quæ dum violatur ac transilitur, ipsum consistit, quid adhuc dubitas de resurrectione? Quomodo enim mors postea dominatum obtinebit? Num per legem? Sed ea est soluta & abrogata. At per peccatum? Sed id est penitus deletum. 57. *Deo autem gratias qui dedit nobis victoriam per Dominum nostrum Jesum Christum.*

3. Nam tropæum quidem ipse erexit, coronis autem nos quoque frui curavit, idque non ex debito, sed sola sua benignitate. 58. *Itaque fratres, stabiles estote & immobiles.* Justa jam est & opportuna adhortatio. Nihil enim adeo labefactat facitque vacillare, atque existimare se temere affligi & sine causa. *Abundantes in opere Domini semper.* Hoc est, in vita munda. Nec dixit: Bonum operantes, sed abundantes, ut hoc faciamus cum abundantia, & septa transiliamus. *Scientes quod labor vester non est inanis in Domino.* Quid dicis? rursus labor? labor quidem, sed qui habet coronas, & suscipitur pro cælis. Nam prior quidem qui fuit post paradisum, est pœna peccatorum admissorum: hic autem est fundamentum futurorum præmiorum. Quamobrem nec hac ratione fuerit labor, & quod superne magnum nobis detur auxilium. Et ideo subjunxit: In Domino. Nam prior quidem fuit ut daremus pœnas: hic autem ut bona futura consequamur. Ne ergo dormiamus, dilecti. Neque enim fieri potest, ut, si pigri sumus & ignavi, regnum cælorum consequamur, neque si in deliciis agamus, mollesque simus & effeminati. Præclare enim nobiscum agetur, si corpus affligentes & castigantes, & innumerabiles sufferentes ærumnas, difficultates & labores, possimus bona illa consequi. Annon videtis quantum inter cælum & terram intermedium sit spatium? & quantum bellum immineat, & quam sit homo propensus ad vitium, & quomodo nos circumstet peccatum, & quam multi in medio sint laquei? Cur tam multas ergo curas attrahimus extra naturalia & nobis plura exhibemus negotia, majoraque imponimus onera? Non sufficit ventris, & vestium, & domus curam gerere? Non sufficit sollicitudo de iis quæ sunt necessaria? Quamquam etiam ab iis nos abduxit Christus, dicens: *Ne solliciti sitis animæ vestræ quid comedatis, neque corpori vestro quid induamini.* Si autem de alimento necessario, & indumento non oportet esse sollicitos, neque de die sequenti: qui tam multam attrahunt farraginem ac congeriem, & seipsos obruunt, quando poterunt emergere? Non audiisti Paulum dicentem: Nemo militans implicatur hujus vitæ negotiis? Nos autem & deliciis operam damus, & ventri indulgemus, & inebriamur: & pro rebus quidem externis affligimur, in rebus autem cælestibus molles sumus & effeminati. An nescitis quod supra hominem est promissio? Non licet humi ingredienti cæli fastigium ascendere. Nos au-

Matt. 6. 25.

2. Tim. 2. 4.

καὶ μετὰ τῆς ἁμαρτίας καὶ τὸν νόμον ἔπαυσεν, οὗ παραβαινομένου αὕτη συνίσταται, τί λοιπὸν ἀμφιβάλλεις περὶ τῆς ἀναστάσεως; πόθεν γὰρ λοιπὸν ὁ θάνατος κρατήσει; ἀπὸ τοῦ νόμου; ἀλλ' ἐλύθη οὗτος· ἀλλ' ἀπὸ τῆς ἁμαρτίας; ἀλλ' ἀνῃρέθη αὕτη. Τῷ δὲ Θεῷ χάρις τῷ δόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸ μὲν γὰρ τρόπαιον αὐτὸς ἔστησε, τῶν δὲ στεφάνων καὶ ἡμᾶς ἀπολαῦσαι ἐποίησε· καὶ τοῦτο οὐκ ἐξ ὀφειλῆς, ἀλλ' ἀπὸ φιλανθρωπίας μόνης. Ἄρα οὖν, ἀδελφοὶ, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι. Δικαία λοιπὸν καὶ εὔκαιρος ἡ παραίνεσις· οὐδὲν γὰρ οὕτω σαλεύει, ὡς τὸ εἰκῇ νομίζειν κόπτεσθαι καὶ μάτην. Περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε· τουτέστιν, ἐν τῷ βίῳ τῷ καθαρῷ. Καὶ οὐκ εἶπεν, ἐργαζόμενοι τὸ ἀγαθὸν, ἀλλὰ, περισσεύοντες, ἵνα μετὰ περιουσίας αὐτὸ ποιῶμεν, καὶ τὰ σκάμματα ὑπερβαίνωμεν. Εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ. Τί λέγεις; πάλιν κόπος; ἀλλὰ στεφάνους ἔχων, καὶ ὑπὲρ τῶν οὐρανῶν. Ὁ μὲν γὰρ πρότερος ὁ μετὰ τὸν παράδεισον, κόλασις τῶν ἁμαρτηθέντων· οὗτος δὲ ὑπόθεσις τῶν μελλόντων βραβείων· ὥστε οὐδ' ἂν εἴη κόπος, ταύτῃ τε, καὶ τῷ πολλῆς τῆς ἄνωθεν ἀπολαύειν βοηθείας· διὸ καὶ ἐπήγαγεν, ἐν Κυρίῳ· ὁ μὲν γὰρ πρότερος, ἵνα δίκην δῶμεν· οὗτος δὲ, ἵνα τῶν μελλόντων τύχωμεν ἀγαθῶν. Μὴ τοίνυν καθεύδωμεν, ἀγαπητοί· οὐ γάρ ἐστιν, οὐκ ἔστι ῥαθυμοῦντα τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, οὐδὲ τρυφῶντας καὶ μαλακιζομένους. Ἀγαπητὸν γὰρ καταπεινομένους καὶ ὑπωπιάζοντας τὸ σῶμα, καὶ μυρία ὑπομένοντας ἐπίπονα, δυνηθῆναι τυχεῖν τῶν ἀγαθῶν ἐκείνων. Ἢ οὐχ ὁρᾶτε τουτὶ τὸ μέσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν ὅσον ἐστί; καὶ ἡλίκος ὁ πόλεμος ἐφέστηκε; καὶ πῶς ὀξύρροπον ἄνθρωπος πρὸς τὴν κακίαν; καὶ πῶς εὐπερίστατον ἡ ἁμαρτία; καὶ ὅσαι ἐν μέσῳ παγίδες; Τί τοίνυν τοσαύτας ἐπισυρόμεθα φροντίδας ἐκτὸς τῶν φυσικῶν, καὶ πλείονα παρέχομεν ἑαυτοῖς πράγματα, καὶ μείζονα ποιοῦμεν τὰ φορτία; οὐκ ἀρκεῖ τὸ ὑπὲρ γαστρὸς φροντίζειν, καὶ ἱματίων, καὶ οἰκίας; οὐκ ἀρκεῖ ἡ μέριμνα τῶν ἀναγκαίων; καίτοιγε καὶ τούτων ἀπήγαγεν ὁ Χριστὸς, λέγων· Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Εἰ δὲ ὑπὲρ τῆς ἀναγκαίας τροφῆς καὶ περιβολῆς μεριμνᾷν οὐ χρὴ, οὐδὲ ὑπὲρ τῆς ἐπιούσης ἡμέρας, οἱ τὸν τοσοῦτον φορυτὸν ἐπεισάγοντες, καὶ καταχωννύντες ἑαυτοὺς, πότε δυνήσονται ἀνανεῦσαι; οὐκ ἤκουσας Παύλου λέγοντος, Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου [a] μερίμναις; ἡμεῖς δὲ καὶ τρυφῶμεν, καὶ γαστριζόμεθα, καὶ μεθύομεν, καὶ ὑπὲρ μὲν τῶν ἔξω κοπτόμεθα πραγμάτων, ἐν δὲ τοῖς τοῦ οὐρανοῦ μαλακιζόμεθα. Οὐκ ἴστε, ὅτι ὑπὲρ ἄνθρωπον ἡ ἐπαγγελία; οὐκ ἔστι χαμαὶ βαδίζοντα τῶν οὐρανίων ἀψίδων ἐπιβῆναι.

a μερίμναις. In editione novi Testamenti Græca legitur πραγματείαις.

A ἡμεῖς δὲ οὐ κατὰ ἄνθρωπον σπουδάζομεν ζῆν, ἀλλὰ καὶ ἀλόγων γινόμεθα χείρους. οὐκ ἴστε ποίῳ παραστησόμεθα βήματι; οὐκ ἐννοεῖτε, ὅτι καὶ ῥημάτων καὶ ἐνθυμημάτων ἀπαιτούμεθα δίκας; καὶ οὐδὲ πραγμάτων φροντίζομεν; ὁ γὰρ ἐμβλέψας γυναικί, φησι, πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτήν. ἀλλ᾽ ὅμως οἱ καὶ ὄψεως περιέργου λόγον ὑπέχοντες, οὐ παραιτοῦνται καὶ αὐτῇ ἐνσήπεσθαι τῇ ἁμαρτίᾳ. ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, εἰς τὴν γέενναν ἐμπεσεῖται· ἡμεῖς δὲ οὐδὲ τοῖς μυρίοις αὐτοὺς καταισχύνειν ὀνείδεσι καὶ ποικίλως ἐπιβουλεύειν ἀφιστάμεθα. B ὁ τὸν φιλοῦντα φιλῶν, οὐδὲν ἔχει τοῦ ἐθνικοῦ πλέον· ἡμεῖς δὲ καὶ τούτοις βασκαίνομεν. τίνα οὖν ἕξομεν συγγνώμην, ὅταν, ὑπερβῆναι τὰ παλαιὰ κελευόμενοι σκάμματα, καὶ ἐλάττονα ἐκείνου τοῦ μέτρου τὴν ἑαυτῶν πολιτείαν ὑφαίνωμεν; τίς ἡμᾶς ἐξαιρήσεται λόγος; τίς παραστήσεται καὶ βοηθήσει κολαζομένοις; οὐκ ἔστιν οὐδείς, ἀλλ᾽ ἀνάγκη πᾶσα οἰμώζοντας, ὀδυρομένους, βρύχοντας τοὺς ὀδόντας, στρεβλουμένους εἰς τὸ σκότος ἀπάγεσθαι τὸ ἀφεγγὲς ἐκεῖνο, εἰς τὰς ἀπαραιτήτους ὀδύνας, εἰς τὰς ἀνηκέστους τιμωρίας. διὸ δέομαι καὶ παρακαλῶ, καὶ αὐτῶν ἅπτομαι τῶν γονάτων, C ἕως ἂν ἔχωμεν τὸ μικρὸν τοῦτο τῆς ζωῆς ἐφόδιον, κατανυγῆναι τοῖς εἰρημένοις, ἐπιστραφῆναι, βελτίους γενέσθαι· ἵνα μὴ κατὰ τὸν πλούσιον ἐκεῖνον ἀνήνυτα ἐκεῖ θρηνῶμεν ἀπελθόντες, καὶ ἀνίατα λοιπὸν ὀδυρώμεθα. κἂν γὰρ πατέρα ἔχῃς, κἂν υἱόν, κἂν φίλον, κἂν ὁντιναοῦν παῤῥησίαν ἔχοντα πρὸς τὸν θεόν, οὐδείς σέ ποτε ἐξαιρήσεται τούτων ὑπὸ τῶν οἰκείων ἔργων προδιδόμενον. τοιοῦτον γὰρ ἐκεῖνο τὸ δικαστήριον· ἀπὸ τῶν πράξεων δικάζει μόνων, καὶ ἄλλως ἐκεῖ σωθῆναι οὐκ ἔνι. καὶ ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, οὐδ᾽ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ᾽ D ἵνα μὴ ματαίαις μηδὲ ψυχραῖς ἐλπίσι τρεφόμενοι, καὶ εἰς τὸν δεῖνα θαῤῥοῦντες, τῆς καθ᾽ ἑαυτοὺς ἀμελήσωμεν ἀρετῆς. ἂν μὲν γὰρ ῥαθυμήσωμεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἀπόστολος, οὐδεὶς ἡμῖν [a] παραστήσεται. ἂν δὲ σπουδάσωμεν, ἀρκοῦσαν τὴν ἀπὸ τῶν ἔργων συνηγορίαν ἔχοντες, μετὰ παῤῥησίας ἀπολαυσόμεθα καὶ τῶν ἀγαθῶν τῶν ἀποκειμένων τοῖς τὸν θεὸν ἀγαπῶσιν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καὶ τὰ ἑξῆς.

A tem non studemus vivere secundum hominem, sed & brutis evadimus deteriores. Nescitis coram quo sistemur tribunali? An non cogitatis quod & verborum & cogitationum a nobis exigetur ratio? & ne res quidem curamus? Qui enim aspexit mulierem ad concupiscendum eam, jam est mœchatus. (Matt. 5. 28.) Sed tamen qui etiam curiosi aspectus reddunt rationem, non recusant vel in ipso putrescere peccato. Qui dicit fratri suo, stulte, deturbabitur in gehennam. (Matt. 5. 22.) Nos autem innumerabilia probra in eos torquere, & varie eis insidiari non desistimus. B Qui diligit diligentem, non plus habet quam ethnicus. Nos autem eis quoque invidemus. Quamnam ergo consequemur veniam, quando vetera jussi septa transilire, nostram vitæ agendæ rationem etiam illorum mensura conteximus minorem? Quænam nos eripiet oratio? Quis nobis aderit, & opem feret dum castigamur? Nullus. Sed necesse est omnino ejulantes, lugentes, dentibus frementes, tormentis cruciatos, abduci in illas luce carentes tenebras, in dolores inevitabiles, in pœnas intolerabiles. Quamobrem rogo & obsecro, & vestra apprehendens genua C supplico, donec habemus hoc parvum vitæ viaticum, ut iis quæ dicta sunt compungamur, convertamur, reddamur meliores: ne sicut ille dives, inutiliter illic lamentemur cum excesserimus, & defleamus; fletus autem nihil nobis remedii afferat. Nam sive patrem habeas, sive filium, (Luc. 16.) sive quemvis alium qui apud Deum habeat fiduciam, nemo te eripiet, cum propria tua facta te prodant. Tale est enim illud judicium: judicat solum ex operationibus: nec aliter illic salvum esse licet. Hæc autem dico, non ut tibi dolorem inferam, non ut injiciam in desperationem, D sed ne inani & frigida spe nutriti, & huic & illi fidentes, nostram negligamus virtutem. Nam si socordes fuerimus ac negligentes, non justus, non propheta, non apostolus, nemo nobis aderit. Sed si studium & diligentiam adhibuerimus, ex operibus sufficientem habentes defensionem, cum libertate ac fiducia fruemur etiam bonis, quæ sunt reposita iis qui Deum diligunt. Quæ detur nobis omnibus consequi, &c.

## ΟΜΙΛΙΑ μγ'.

## HOMILIA XLIII.

E Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε.

1. *De collectis autem quæ fiunt in Sanctos, sicut ordinavi Ecclesiis Galatiæ, ita & vos facite per unam Sabbati.*

ΑΠΑΡΤΙΣΑΣ τὸν περὶ τῶν δογμάτων λόγον, καὶ μέλλων εἰς τὸ ἠθικώτερον ἐμβαίνειν, πάντα τὰ ἄλλα ἀφείς, ἐπὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν χωρεῖ, περὶ ἐλεημοσύνης ποιούμενος λόγον. ἀλλὰ περὶ τούτου μόνου διαλεχθείς, ἀπηλλάττετο· καίτοιγε οὐδαμοῦ τοῦτο ἐποίησεν.

1. ABSOLUTA oratione de dogmatibus, aggressurus eam quæ magis spectat ad mores, missis aliis procedit ad summam bonorum, verba faciens de eleemosyna. Sed cum de eo solo disseruisset, desinit. Atqui nusquam hoc fecit. (Cap. XVI.)

[a] παραστήσεται. Alius, προστήσεται.

Sed & de eleemosyna, de temperantia, de mansuetudine, de lenitate, de patientia deque aliis omnibus disserit in aliis epistolis in fine. Quare ergo ejus quod spectat ad mores hanc solam hic tractat partem? Quoniam eorum quæ prius dicta sunt, plura magis pertinebant ad mores, per quæ castigavit fornicatorem, per quæ eos admonuit qui foris judicio contendebant, per quæ terruit ebriosos, & eos qui ventri indulgebant, per quæ eos condemnavit qui seditionem agitabant, contendebant, magistratumque & imperia ambibant, per quæ eos qui indigne accedebant ad mysteria, illi intolerando tradidit supplicio, per quæ disseruit de caritate. Propterea ejus solum meminit quo maxime opus habebat, nempe opis ferendæ sanctis. Vide autem ejus solertiam. Quando eis persuasit resurrectionem, eosque fecit promtiores & animo alacriores, tunc demum de eo quoque disserit. Atqui de his quoque antea disseruit, quando dicebat: Si nos vobis spiritualia seminavimus, magnum est si nos vestra carnalia metimus? &, Quis plantat vineam, & de fructu ejus non edit? Sed quoniam præclaræ hujus actionis noverat magnitudinem, non recusat hoc quoque addere fini epistolæ. λογίαν autem collectam vocat, statim ab initio rem faciens levem. Nam quando ab omnibus confertur, leve singulis est quod constituitur. Cum autem dixisset de collecta, non statim dixit: Unusquisque vestrum apud se ponat, recondens quod ipsi placuerit: quamquam hoc erat consequens. Sed cum prius dixisset: *Sicut constitui ecclesiis Galatiæ;* tunc hoc subjunxit, ea narrando quæ ab aliis fiebant, studium ipsis accendens, idque ponens loco narrationis. Quod etiam fecit scribens ad Romanos. Etenim cum illis videretur narrare, cur proficisceretur Jerosolymam, sic sermonem injicit de eleemosyna: Nunc autem vado Jerosolymam ministrans sanctis. (Rom. 15. 25.) Visum est enim Macedoniæ, & Achaiæ, communicationem quamdam facere in pauperes sanctorum. Sed illos quidem per Macedones & Corinthios; hos autem etiam per Galatas adhortatur. *Sicut constitui*, inquit, *ecclesiis Galatiæ, ita & vos facite.* Erubuissent enim videri inferiores Galatis. Non dixit autem: Suasi & consilium dedi, sed constitui: quod quidem majorem ostendit auctoritatem. Neque adducit unam, aut duas, aut tres civitates, sed totam gentem. Quod quidem facit etiam in dogmatibus, dicens: Sicut & in omnibus ecclesiis sanctorum. Si hoc enim ad fidem faciendam dogmatibus est validum, multo magis ad æmulationem. Quid ergo, dic quæso, constituisti? 2. *Per unam Sabbati;* hoc est, die Dominico, *Unusquisque vestrum apud se seponat recondens quod ei bene placuerit.* Vide quomodo etiam adhortatur a tempore. Dies enim erat idoneus ad eos adducendos ad eleemosynam. Recordemini enim, inquit, quænam eo die consequuti estis. Bona enim ineffabilia,

A ἀλλὰ περὶ ἐλεημοσύνης, καὶ περὶ σωφροσύνης, καὶ περὶ πραότητος, καὶ περὶ μακροθυμίας καὶ περὶ τῶν ἄλλων ἁπάντων διαλέγεται ἐν ταῖς ἄλλαις ἐπιστολαῖς τελευτῶν. τίνος οὖν ἕνεκεν ἐνταῦθα τοῦ ἠθικοῦ τοῦτο μόνον γυμνάζει τὸ μέρος; ὅτι καὶ τῶν ἔμπροσθεν εἰρημένων τὰ πλείονα ἠθικώτερα ἦν, δι' ὧν τὸν πόρνον ἐκόλασε, δι' ὧν τοὺς ἔξω δικαζομένους ἐσωφρόνιζε, δι' ὧν τοὺς μεθύοντας καὶ γαστριζομένους ἐφόβησε, δι' ὧν τοὺς στασιάζοντας, καὶ φιλονεικοῦντας, καὶ φιλαρχοῦντας κατεδίκασε, δι' ὧν τοὺς ἀναξίως τοῖς μυστηρίοις B προσιόντας τῇ ἀφορήτῳ δίκῃ ἐκείνῃ παρέδωκε, δι' ὧν περὶ ἀγάπης διελέχθη. διὰ δὴ τοῦτο, οὗ μάλιστα αὐτοῖς ἔδει τῆς εἰς τοὺς ἁγίους ἐπικουρίας, τούτου μέμνηται μόνου. καὶ θέα τὴν σύνεσιν. ὅτε αὐτοὺς περὶ ἀναστάσεως ἔπεισε, καὶ προθυμοτέρους ἐποίησε, τότε λοιπὸν καὶ περὶ τούτου διαλέγεται. καίτοιγε καὶ ὑπὲρ τούτων διελέχθη πρὸς αὐτοὺς ἔμπροσθεν, ὅτε ἔλεγεν· εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; καί, τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἀλλ' ἐπειδὴ ᾔδει τοῦ κατορθώματος τὸ μέγεθος, οὐ παραιτεῖται καὶ τῷ τέλει τῆς C ἐπιστολῆς αὐτὸ προσθεῖναι. λογίαν δὲ τὴν συλλογὴν καλεῖ, ἐκ προοιμίων εὐθέως κοῦφον τὸ πρᾶγμα ποιῶν. ὅταν γὰρ ἐξ ἁπάντων συνεισφέρηται, ἑκάστῳ κοῦφον γίνεται τὸ ἐπίταγμα. εἰπὼν δὲ περὶ τῆς συλλογῆς, οὐκ εὐθέως εἶπεν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων· καίτοιγε τὸ ἀκόλουθον τοῦτο ἦν. ἀλλὰ πρῶτον εἰπών, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, τότε τοῦτο ἐπήγαγεν, εἰς ζῆλον αὐτοὺς τῇ διηγήσει τῶν ἑτέροις κατορθουμένων ἄγων, καὶ ἐν τάξει διηγήματος αὐτὸ θείς· ὃ καὶ Ῥωμαίοις ἐπιστέλλων ἐποίησε. καὶ γὰρ ἐκείνοις δοκῶν διηγεῖσθαι τὴν πρόφασιν τῆς D ἐπὶ τὰ Ἱεροσόλυμα ἀποδημίας, οὕτω τὸν περὶ ἐλεημοσύνης ἐμβάλλει λόγον, λέγων· νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῶν τοῖς ἁγίοις. εὐδόκησε γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων. ἀλλ' ἐκείνους μὲν διὰ Μακεδόνων καὶ Κορινθίων, τούτους δὲ διὰ Γαλατῶν προτρέπει. καθὼς διέταξα γάρ, φησι, ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. καὶ γὰρ ᾐσχύνοντο λοιπὸν ἐλάττους Γαλατῶν φανῆναι. καὶ οὐκ εἶπε, παρῄνεσα, καὶ συνεβούλευσα, ἀλλά, διέταξα, ὅπερ αὐθεντικώ- E τερον. καὶ οὐ παράγει μίαν πόλιν, καὶ δύο, καὶ τρεῖς, ἀλλ' ὁλόκληρον ἔθνος, ὅπερ καὶ ἐπὶ τῶν δογμάτων ποιεῖ λέγων· καθὼς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. εἰ γὰρ πρὸς δογμάτων πίστιν τοῦτο ἰσχυρόν, πολλῷ μᾶλλον πρὸς ἔργων μίμησιν. τί οὖν διέταξας, εἰπέ μοι; κατὰ μίαν σαββάτου. τουτέστι, κυριακήν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ, τι ἂν εὐοδῶται. ὅρα πῶς καὶ ἀπὸ τοῦ καιροῦ προτρέπει. καὶ γὰρ ἡ ἡμέρα ἱκανὴ ἦν ἀγαγεῖν εἰς ἐλεημοσύνην. ἀναμνήσθητε γάρ, φησι, τίνων ἐτύχετε ἐν τῇ ἡμέρᾳ ταύτῃ. τὰ γὰρ ἀπόρρητα ἀγαθὰ,

καὶ

καὶ ἡ ῥίζα καὶ ἡ ἀρχὴ τῆς ζωῆς τῆς ἡμετέρας ἐν ταύτῃ γέγονεν. οὐ ταύτῃ δὲ μόνον ἐπιτήδειος ὁ καιρὸς εἰς προθυμίαν φιλανθρωπίας, ἀλλ' ὅτι καὶ ἄνεσιν ἔχει καὶ πόνων ἀτέλειαν. ψυχὴ γὰρ ἀφιεμένη μόχθων, εὐκολωτέρα καὶ ἐπιτηδειοτέρα πρὸς τὸ ἐλεεῖν γίνεται. μετὰ δὲ τούτων καὶ τὸ μυστηρίων ἐν αὐτῇ κοινωνεῖν οὕτω φρικτῶν καὶ ἀθανάτων, πολλὴν ἐντίθησι προθυμίαν. ἐν αὐτῇ τοίνυν ἕκαστος ὑμῶν, οὐχ ἁπλῶς ὁ δεῖνα, καὶ ὁ δεῖνα· ἀλλ' εἷς ἕκαστος, κἂν πένης ᾖ, κἂν πλούσιος, κἂν γυνή, κἂν ἀνήρ, κἂν δοῦλος, κἂν ἐλεύθερος, παρ' ἑαυτῷ τιθέτω θησαυρίζων. οὐκ εἶπεν, εἰς τὴν ἐκκλησίαν φερέτω, ἵνα μὴ διὰ τὸ μικρὸν αἰσχύνωνται, ἀλλὰ τῇ κατ' ὀλίγον συναγωγῇ αὐξήσας τὴν εἰσφορὰν, τότε δεικνύτω ἐμοῦ παραγινομένου. τέως δὲ παρὰ σαυτῷ τίθει, φησὶ, καὶ ποίησόν σου τὴν οἰκίαν, ἐκκλησίαν· τὸ κιβώτιον, γαζοφυλάκιον· γενοῦ φύλαξ χρημάτων ἱερῶν, αὐτοχειροτόνητος οἰκονόμος πενήτων. ἡ φιλανθρωπία ταύτην σοι δίδωσι τὴν ἱερωσύνην. τούτου σύμβολόν ἐστι καὶ τὸ γαζοφυλάκιον νῦν. ἀλλὰ τὸ μὲν σύμβολον μένει, τὸ δὲ ἔργον οὐδαμοῦ. καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν συνεδρευόντων πάλιν ἡμῖν ἐγκαλέσουσιν, ὅταν ὑπὲρ τούτων διαλεγώμεθα λέγοντες· μὴ, παρακαλῶ, μὴ γίνου φορτικὸς καὶ ἐπαχθὴς τοῖς ἀκούουσιν· ἐπίτρεψον τῇ προαιρέσει, δὸς τῇ γνώμῃ τῶν ἀκουόντων· ὡς νῦν γε καταισχύνεις ἡμᾶς, ἐρυθριᾶν ποιεῖς. ἀλλ' οὐκ ἀνέχομαι τούτων τῶν λόγων. οὐδὲ γὰρ Παῦλος ᾐσχύνετο ὑπὲρ τοιούτων συνεχῶς ἐνοχλῶν, καὶ προσαιτούντων φθεγγόμενος ῥήματα. εἰ μὲν γὰρ τοῦτο ἔλεγον, ὅτι ἐμοὶ δὸς, καὶ εἰς τὴν ἐμὴν κατάθες οἰκίαν, ἴσως ἂν αἰσχύνης ἦν τὸ λεγόμενον· μᾶλλον δὲ οὐδὲ τότε. οἱ γὰρ τῷ θυσιαστηρίῳ, φησὶ, προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται.

Πλὴν ἀλλ' ἴσως ἄν τις ἐπετίμησεν, ὡς ὑπὲρ ἐμαυτοῦ ποιουμένῳ τὸν λόγον· νῦν δὲ ὑπὲρ τῶν δεομένων τὴν ἱκετηρίαν τίθημι, μᾶλλον δὲ οὐχ ὑπὲρ τῶν δεομένων, ἀλλ' ὑπὲρ ὑμῶν τῶν παρεχόντων· διὸ καὶ παρρησιάζομαι. ποία γὰρ αἰσχύνη εἰπεῖν, δὸς τῷ κυρίῳ πεινῶντι, ἔνδυσον αὐτὸν γυμνὸν περιιόντα, ὑπόδεξαι ξένον ὄντα; ὁ δεσπότης σου οὐκ αἰσχύνεται ἐπὶ τῆς οἰκουμένης ταῦτα λέγων· ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ὁ ἀνενδεὴς καὶ μηδενὸς χρῄζων· καὶ ἐγὼ αἰσχυνοῦμαι καὶ ὀκνήσω; ἄπαγε. διαβολικῆς ἐπιβουλῆς αὕτη ἡ αἰσχύνη. οὐ τοίνυν αἰσχυνθήσομαι, ἀλλὰ καὶ μετὰ παρρησίας ἐρῶ, δότε τοῖς δεομένοις, καὶ μετὰ πλείονος, ἢ οἱ δεόμενοι, φωνῆς. εἰ μὲν γὰρ ἔχει τις δεῖξαι καὶ ἐλέγξαι, ὅτι ταῦτα λέγοντες πρὸς ἑαυτοὺς ὑμᾶς ἕλκομεν, καὶ προσχήματι τῶν πενήτων αὐτοὶ κερδαίνομεν, οὐκ αἰσχύνης ἄξια ταῦτα μόνον, ἀλλὰ καὶ μυρίων κεραυνῶν, καὶ οὐδὲ ζῆν ἄξιον τοὺς τὰ τοιαῦτα ποιοῦντας. εἰ δὲ τῇ τοῦ θεοῦ χάριτι οὐδὲν ὑπὲρ ἑαυτῶν ἐνοχλοῦμεν, ἀλλ' ἀδάπανον ὑμῖν τὸ εὐαγγέλιον ἐθήκαμεν,

A & radix, & initium vitæ nostræ, illa die facta sunt. Non hac autem solum ratione aptum est tempus ad benignitatem promto & alacri animo exercendam, sed & quod habeat quietem ac remissionem, immunitatemque & vacationem a laboribus. Nam anima a laboribus libera, redditur expeditior & aptior ad miserendum. Ad hæc autem, venerandis quoque ac immortalibus communicare mysteriis, magnam affert & immittit alacritatem. *In ea ergo unusquisque vestrum*, non absolute hic aut ille; *sed unusquisque*, sive sit pauper, sive dives, si- B ve vir, sive mulier, sive servus, sive liber, *apud se seponat recondens.* Non dixit: Ferat in ecclesiam, ne propter paucitatem erubescant: sed cum ea quæ paulatim accedunt in collectionibus auxerit, cum accessero, tunc ostendat. Interim autem, inquit, apud te sepone: & domum tuam fac ecclesiam: arculam, gazophylacium: esto custos sacræ pecuniæ, a te ipso ordinatus dispensator pauperum. Benignitas & humanitas dat tibi hoc Sacerdotium. Hujus est symbolum ac signum quod nunc est gazophylacium. Sed manet quidem symbo- C lum, res autem nusquam est. Et scio quidem quod multi ex iis qui una assident, nos rursus reprehendent, cum de his disseramus dicentes: Ne rogo, ne sis gravis & molestus auditoribus; sed permitte libero arbitrio & voluntati auditorum. Nam nunc quidem nos pudore afficis & erubescere cogis. Sed hæc verba non feram. Neque enim Paulum pudebat pro his assidue esse molestum, & mendicantium more loqui. Nam si hoc dicerem, Da mihi, & depone in meis ædibus, pudendum forte esset quod dicerem, imo D vero ne tunc quidem. Nam qui altari, inquit, assident, altaris sunt participes.

2. Cæterum fortasse quispiam me reprehenderet, ut qui pro me verba facerem. Nunc autem supplico quidem pro egentibus: imo vero non pro egentibus, sed pro vobis qui præbetis; & ideo loquor libere. Quis est enim pudor dicere, da Domino esurienti: indue illum nudum oberrantem, excipe peregrinum? Non erubescit Dominus tuus hæc dicere in orbe terrarum: Esurivi, & non dedistis mihi quod comederem; qui non erat indi- E gens, nec ulla re opus habebat: & ego erubescam & dubitabo? Absit. Diabolicarum insidiarum est hic pudor. Non ergo erubescam, sed libere dicam: Date egentibus, & majori voce quam qui egent. Nam si quispiam posset ostendere & probare, quod hæc dicentes, ad nos ipsos traheremus, & prætextu pauperum ipsi lucraremur, non solum probro ac dedecore digni essemus, sed qui vel a mille fulminibus feriremur, & qui hæc agerent ne mererentur quidem vivere. Si autem Dei gratia pro nobis minime molesti sumus, sed sine sumtu vobis posuimus evangelium,

1. Cor. 9. 13.

Matt. 25. 42.

non laborantes quidem sicut Paulus, sed contenti propriis, dicam cum omni fiducia: Date egentibus, nec cessabo hoc dicere, & eorum qui non dant, ero gravis accusator. Si enim essem dux exercitus, & milites haberem, non me puderet alimenta petere pro militibus: valde enim amo vestram salutem. Sed ut efficacior sit oratio, assessore accepto Paulo, cum illo vobiscum agam dicens: *Unusquisque vestrum apud se seponat, recondens quod sibi videbitur.* Considera autem hinc quoque quam non sit hoc grave & molestum. Non dixit, Tantum vel tantum, sed quod videatur & recte habeat, sive sit multum, sive modicum. Nec dixit: Quod quis lucratus fuerit; sed quod videatur & recte habeat, ostendens a Deo esse suppeditationem. Non hac autem solum ratione, sed etiam eo quod non uno tempore totum jubeat pendere, symbolam reddit facilem. Eo enim quod paulatim colligatur, insensilis est opera & suppeditatio. Propterea nec statim jubet in medium adducere, sed dat longum tempus constitutum, & causam afferens dicit: *Ut non cum venero, tunc collectæ fiant.* Hoc est, ne in tempore illationis, sive sumtus, necesse habeatis colligere. Et ad hoc rursus eos non leviter est adhortatus. Pauli enim exspectatio eos faciebat promtiores & alacriores. 3. *Cum autem præsens fuero, quos probaveritis per epistolas, hos mittam deferre gratiam vestram in Jerusalem.* Non dixit: Hunc & illum, sed quos vos probaveritis, quos elegeritis, ut ministerium careat suspicione. Quamobrem curat ut ipsi ferant suffragium electionis eorum qui laturi sunt. Non enim dicit: Collatio quidem est vestra, eligendi autem potestas est eorum qui portant, non vestra. Deinde ne ipsis videatur abesse, literas addit dicens: *Quos probaveritis, per epistolas mittam.* Quasi diceret: Ego quoque ero vobiscum, & muneris obeundi ero particeps per literas. Neque dixit, eos mittam ut vestram deferant eleemosynam, sed vestram gratiam, ut ostendat eos magna operari, & inde lucrum consequi. Alibi autem appellat benedictionem & communicationem: illud quidem, ne redderet pigriores; hoc vero ne nimis efferret: nusquam autem hoc nominavit eleemosynam. 4. *Quod si dignum fuerit ut ego eam, mecum ibunt.* Hic rursus eos hortatur ad largitatem & munificentiam. Nam si tanta res sit, inquit, ut mea opus sit præsentia, ne hoc quidem recusabo. Sed statim non est hoc pollicitus, neque dixit: Postquam advenero ipse feram. Neque enim hoc adeo amplificasset, si ab initio id posuisset. Postea autem pulcre & opportune id addit.

2. Cor. 8. & Phil. 1.

A πονοῦντες μὲν οὐδαμῶς καθάπερ Παῦλος, τοῖς δὲ οἰκείοις ἀρκούμενοι, μετὰ παῤῥησίας πάσης ἐρῶ· δότε τοῖς δεομένοις, καὶ οὐ παύσομαι τοῦτο λέγων, καὶ μὴ διδόντων ἔσομαι χαλεπὸς κατήγορος. καὶ γὰρ εἰ στρατηγὸς ἤμην καὶ στρατιώτας εἶχον, οὐκ ἂν ᾐσχύνθην τοῖς στρατιώταις τροφὰς αἰτῶν. σφόδρα γὰρ ἐρῶ τῆς σωτηρίας τῆς ὑμετέρας. ἀλλ' ἵνα καὶ ἐνεργέστερος ὁ λόγος γένηται καὶ δραστήριος μᾶλλον, Παῦλον παραστάτην λαβὼν, μετ' ἐκείνου διαλέξομαι λέγων· ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θη- B σαυρίζων ὅ, τι ἂν εὐοδῶται. σκόπει γὰρ αὐτοῦ κἀντεῦθεν τὸ ἀνεπαχθές. οὐκ εἶπε, τοσόνδε, ἢ τοσόνδε, ἀλλ' ὅ, τι ἂν εὐοδῶται, εἴτε πολὺ, εἴτε ὀλίγον. καὶ οὐκ εἶπεν, ὅ, τι ἂν τις κερδάνῃ, ἀλλ' ὅ, τι ἂν εὐοδωθῇ, δεικνὺς ὅτι παρὰ τοῦ θεοῦ ἡ χορηγία. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ μὴ ἐνὶ χρόνῳ τὸ πᾶν κελεῦσαι καταβαλεῖν, ῥᾳδίαν ποιεῖ τὴν [a] συμβουλήν. τῷ γὰρ κατὰ μικρὸν συλλέγεσθαι ἀνεπαίσθητος ἡ λειτουργία καὶ ἡ δαπάνη. διὰ δὴ τοῦτο οὐδὲ εὐθέως κελεύει εἰς μέσον ἀγαγεῖν, ἀλλὰ πολλὴν δίδωσι τὴν προθεσμίαν, καὶ τὴν αἰτίαν τιθεὶς φησιν· ἵνα μὴ, C ὅταν ἔλθω, τότε λογίαι γίνονται. τουτέστιν, ἵνα μὴ ἐν τῷ καιρῷ τῆς εἰσφορᾶς, τότε ἀναγκάζησθε συλλέγειν. καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτοὺς πάλιν προέτρεψεν. ἡ γὰρ προσδοκία Παύλου προθυμοτέρους αὐτοὺς ἐποίει. ὅταν δὲ ἔλθω, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ. οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ', οὓς ἐὰν ὑμεῖς δοκιμάσητε, οὓς ἐὰν ἕλησθε, ὥστε ἀνύποπτον ποιῆσαι τὴν λειτουργίαν. διὸ αὐτῶν ποιεῖται τὴν ψῆφον τῆς τῶν ἀποκομιζόντων αἱρέσεως. οὐ γὰρ δήπου φησὶν, ἡ μὲν εἰσφορὰ ὑμῶν, ἡ δὲ ἐξουσία τῆς ἐκλογῆς D τῶν ἀποκομιζόντων, οὐχ ὑμῶν. εἶτα ἵνα μὴ αὐτοῖς ἀπολιμπάνεσθαι δόξῃ, τὰ γράμματα προστίθησι, λέγων, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν πέμψω. ὡσανεὶ ἔλεγεν, ὅτι κἀγὼ συνέσομαι αὐτοῖς, καὶ κοινωνήσω τῆς λειτουργίας διὰ τῶν γραμμάτων. καὶ οὐκ εἶπε, τούτους πέμψω ἀπενεγκεῖν τὴν ἐλεημοσύνην ὑμῶν, ἀλλὰ τὴν χάριν ὑμῶν, ἵνα δείξῃ μεγάλα ἐργαζομένους, ἵνα δείξῃ αὐτοὺς κερδαίνοντας. ἀλλαχοῦ δὲ καὶ εὐλογίαν καὶ κοινωνίαν καλεῖ· τὸ μὲν, ἵνα μὴ ῥᾳθυμοτέρους ποιήσῃ, τὸ δὲ, ἵνα μὴ ἐπάρῃ· οὐδαμοῦ μέντοιγε ἐλεημοσύνην ὠνόμασεν. ἐὰν E δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. ἐνταῦθα πάλιν εἰς δαψίλειαν αὐτοὺς προτρέπει. ἐὰν γὰρ τοσοῦτον ᾖ, φησιν, ὡς καὶ τῆς ἐμῆς δεῖσθαι παρουσίας, οὐδὲ τοῦτο παραιτήσομαι. ἀλλ' εὐθέως μὲν τοῦτο οὐκ ἐπηγγείλατο, οὐδὲ εἶπεν, ἐπειδὰν παραγένωμαι, ἐγὼ ἀποκομίζω. οὐδὲ γὰρ ἂν οὕτως αὐτὸ ηὔξησεν, εἰ ἐξαρχῆς αὐτὸ τέθεικεν· ὕστερον μέντοι καλῶς καὶ εὐκαίρως αὐτὸ προστίθησι. διὸ

[a] τὴν συμβουλήν. Savilius legendum suspicatur τὴν συμβολήν, & hæc utique vera lectio est.

δὴ τοῦτο οὐκ εὐθέως ὑπέσχετο, οὔτε καθάπαξ αὐτὸ ἀπεσιώπησεν, ἀλλ' εἰπὼν ὅτι πέμψω, τότε καὶ ἑαυτὸν προστίθησι. καὶ ἐνταῦθα δὲ πάλιν κυρίους αὐτοὺς ἐποίησεν ἐν τῷ εἰπεῖν, ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι· τοῦτο δὲ ἐπ' ἐκείνοις ἔκειτο, τὸ πολὺ ποιῆσαι τὸ συλλεγόμενον, καὶ τοσοῦτον, [a] ὡς δυσωπῆσαι καὶ αὐτὸν ἀναστῆσαι. ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, φησιν, ὅταν Μακεδονίαν διέλθω. εἶπε καὶ ἀνωτέρω τοῦτο, ἀλλὰ τότε μὲν μετὰ θυμοῦ· προσέθηκε γοῦν, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· ἐνταῦθα δὲ προσηνέστερον, ἵνα καὶ ποθήσωσιν αὐτοῦ τὴν παρουσίαν· εἶτα, ἵνα μὴ λέγωσι, τί οὖν Μακεδόνας ἡμῶν προτιμᾷς; οὐκ εἶπεν, ἐπειδὰν ἀπέλθω, ἀλλ', ἐπειδὰν διέλθω Μακεδονίαν. Μακεδονίαν γὰρ διελεύσομαι. πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω. οὐδὲ γὰρ ὁδοῦ βούλομαι ποιήσασθαι πάρεργον ὑμᾶς, ἀλλ', ἐνδιατρίψαι καὶ παραμεῖναι. ὅτε γὰρ ταῦτα ἐπέστελλεν, ἐν Ἐφέσῳ ἦν, χειμῶνος ὄντος. λέγει τοίνυν, ὅτι ἕως Πεντηκοστῆς ἐν Ἐφέσῳ ἐπιμενῶ· μετὰ δὲ ταῦτα ἀπελεύσομαι εἰς Μακεδονίαν, καὶ διελθὼν αὐτὴν, ἥξω πρὸς ὑμᾶς τοῦ θέρους. τυχὸν [b] δὲ καὶ τὸν χειμῶνα πρὸς ὑμᾶς ποιήσω.

Τίνος δὲ ἕνεκεν εἶπε, τυχὸν, καὶ οὐκ ἀπεφήνατο, ὅτι οὐ πάντα προῄδει Παῦλος, καὶ συμφερόντως. διὰ τοῦτο οὐδὲ ἁπλῶς ἀποφαίνεται, ἵνα κἂν μὴ γένηται, ἔχῃ καταφυγὴν, τότε ἀδιορίστως προειπεῖν, καὶ τὴν τοῦ πνεύματος ἐξουσίαν ἄγουσαν αὐτὸν, ὅπουπερ ἐβούλετο, οὐκ ἔνθα αὐτὸς ἐπεθύμει· ὃ καὶ ἐν τῇ δευτέρᾳ τίθησιν ἐπιστολῇ, τῆς μελλήσεως ἕνεκεν ἀπολογούμενος, καὶ λέγων· ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ. ἵνα ὑμεῖς με προπέμψητε, οὗ ἐὰν πορεύωμαι. καὶ τοῦτο ἀγάπης καὶ φιλοστοργίας πολλῆς. οὐ θέλω γὰρ ἄρτι ὑμᾶς ἐν παρόδῳ ἰδεῖν. ἐλπίζω γάρ τινα χρόνον ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος ἐπιτρέψῃ. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν τὴν ἀγάπην δεικνύμενος, ὁμοῦ δὲ τοὺς ἁμαρτάνοντας φοβῶν, οὐ μὴν ἐκκεκαλυμμένως, ἀλλὰ προσχήματι φιλίας. ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς. εἰκότως ἀκριβῶς αὐτοῖς ἅπαντα λέγει, καθάπερ φίλοις δηλῶν. καὶ γὰρ τοῦτο φιλίας, τὸ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν οὐ παρεγένετο, δι' ἣν μένει, καὶ ποῦ διατρίβει. θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ ἀντικείμενοι πολλοί. καὶ εἰ μεγάλη, πῶς ἀντικείμενοι; δι' αὐτὸ μὲν τοῦτο οἱ ἀντικείμενοι πολλοὶ, ἐπειδὴ μεγάλη ἡ πίστις, ἐπειδὴ μεγάλη καὶ εὐρεῖα ἡ εἴσοδος. τί δέ ἐστιν, θύρα μεγάλη; πολλοί εἰσιν οἱ παρεσκευασμένοι τὴν πίστιν δέξασθαι, πολλοὶ ἕτοιμοι προσελθεῖν καὶ [c] ἐπιστρέψαι. εὐρύχωρός μοι ἡ εἴσοδος, ἀκμαζούσης λοιπὸν τῆς τῶν προσιόντων διανοίας εἰς τὴν τῆς πίστεως ὑπακοήν.

A Propterea non statim promisit, neque omnino id siluit: sed cum dixisset se missurum, tunc quoque addit seipsum. Hoc autem quoque rursus in eorum ponit potestate dum dixit: *Si operæ precium fuerit ut ego eam.* In illis autem situm erat multum facere quod colligebatur, & tantum ut ipsos non puderet eum excitare. 5. *Veniam autem ad vos cum Macedoniam pertransiero.* Dixit hoc quoque superius: sed tunc quidem iracunde: Addidit enim: Et cognoscam non sermonem inflatorum, sed virtutem. Hic autem mitius, ut ejus B desiderent præsentiam. Deinde ne dicant: Cur ergo nobis præfers Macedones? Non dixit, Postquam abiero, sed cum Macedoniam pertransiero. *Nam Macedoniam pertransibo. 6. Apud vos autem forsitan manebo, vel etiam hiemabo.* Neque enim volo vos invisere tamquam in transitu, sed vobiscum versari, & apud vos manere. Nam quando hanc scribebat epistolam, erat Ephesi hiemis tempore. Dicit ergo: *Permanebo autem Ephesi usque ad Pentecosten.* (1. Cor. 16. 8.) *Postea autem abibo in Macedoniam: & cum eam pertransiero, veniam ad vos æstate:* C *forte autem & hiemem apud vos transigam.*

3. Cur autem dixit forsitan, & non affirmavit? Quoniam non omnia præsciebat Paulus, idque utiliter. Propterea neque absolute affirmat, ut si non factum fuerit, habeat effugium,* quod tunc dixerit indefinite, & Spiritus potestatem quæ eum quo vellet duceret, non quo ipse cupiebat. Quod etiam ponit in secunda epistola de mora se excusans & dicens: Aut quæ cogito, secundum carnem cogito, ut (2. Cor. 1. 17.) D sit apud me est est, & non non. *Ut vos me deducatis quocumque iero.* Hoc quoque est caritatis & multæ dilectionis. 7. *Nolo enim vos modo in transitu videre. Spero enim me aliquantulum temporis manere apud vos, si Dominus permiserit.* Hæc autem dicebat, simul & caritatem ostendens, & eos qui peccarent terrens, non tamen aperte, sed amicitiæ nomine. 8. *Permanebo autem Ephesi usque ad Pentecosten.* Merito eis omnia dicit exacte, declarans tamquam amicis. Nam & hoc est amicitiæ, dicere causam cur non advenerit, propter quam differat, E & ubi versetur. 9. *Ostium enim mihi apertum est magnum, & evidens, & adversarii multi.* Et, si magnum, quomodo adversarii? Propter hoc ipsum multi sunt adversarii, quoniam magna est fides, & latus ingressus. Quid est autem ostium magnum? Multi sunt parati ad fidem suscipiendam, multi debent accedere & converti. Latus mihi patet aditus, crescente & vigente accedentium mente ad obediendum

[a] ὡς δυσωπῆσαι, hic omnino legendum videtur, ὡς μὴ δυσωπῆσαι.
[b] τυχὸν δὲ, sic omnino legendum ut ex serie liquet, & sic etiam legitur in epistola ad Corinthios. Editi male πολλάκις δέ.
[c] ἐπιστρέψαι. Alius, ἐπιτρέψαι.

fidei. Propterea vehementer ſpirabat diabolus, quoniam videbat multos a ſe deſciſcere. Quamobrem propter utrumque manere oportebat, & quod multum eſſet lucri, & quod magnum certamen. Hoc autem quoque illis animos addebat, quod dixerit verbum jam ubique operari, & facile germinare. Si autem ſunt multi qui inſidiantur, hoc quoque ſignum eſt profectus evangelii. Nunquam enim magis ſævit ac furit ſceleratus ille dæmon, quam cum ex ſuis vaſis & inſtrumentis multa videt diripi. Et nos ergo quando magnum aliquod & præclarum opus gerere voluerimus, ne hoc conſideremus quod magni ſit laboris, ſed ad lucrum aſpiciamus. Vide namque Paulum non propterea vereri ac dubitare, nec propterea refugere, quoniam multi ſunt adverſarii: ſed quoniam magnum erat oſtium, inſtare & permanere. Nam ſicut dixi, hoc erat ſignum quod nudaretur & ſpoliaretur diabolus. Non eſt enim ejus qui parva gerat & mala, malam illam beſtiam irritare. Quamobrem quando videris juſtum magna ac præclara gerere & mala pati innumerabilia, ne mireris. Nam contra mirari oporteret, ſi diabolus multas accipiens plagas quieſceret & vulnera placide ferret. Neque enim ſi ſerpens punctus continuo efferatur, & pungendo inſultet, mirari oportet. Quovis enim ſerpente gravius ſerpit diabolus, omnibus inſultans, & ſurgit ſicut ſcorpius in altum erecto ſtimulo. Ne hoc vos conturbet: eum enim qui a bello & a victoria & cæde revertitur, neceſſe eſt fuiſſe cruentatum, ſæpeque etiam vulnera exhibere. Et tu ergo cum videris aliquem eleemoſynas facientem, & innumerabilia alia bona operantem, & ſic vires diaboli frangentem, deinde incidere in tentationes & pericula, ne propterea conturberis. Ideo enim incidit in tentationes, quod diabolum vehementer ferierit. Et quomodo, inquies, id permiſit Deus? Ut magis coronetur, & majorem diabolus plagam accipiat. Nam quando poſtquam bona fecerit, gravia & aſpera patiens, perpetuo agit gratias, tunc feritur diabolus. Magnum quidem eſt etiam rebus ſecundis & proſpere fluentibus, & miſereri, & virtutem amplecti: multo autem eſt majus, dura & gravia patientem, non deſiſtere ab hac bona operatione. Is enim eſt qui propter Deum hæc maxime facit. Quamobrem etiamſi in periculum veniamus, o dilecti, & quidvis patiamur, cum majori animi alacritate pro virtute labores ſuſcipiamus. Non eſt enim hic tempus mercedis ac remunerationis. Ne hic ergo coronas exigamus, ne in tempore coronarum minor ſit merces ac remuneratio. Quemadmodum enim in artificibus, qui ſeipſos quidem alunt, majorem accipiunt mercedem: qui autem aluntur ab iis qui conduxerunt, non parvam partem de mercede detrahunt: ita etiam in ſanctis, qui bona qui-

A διὰ τοῦτο σφοδρῶς ὁ διάβολος ἔπνει, ἐπειδὴ πολλοὺς ἑώρα ἀφισταμένους αὐτοῦ. διὸ δὴ καὶ ἀμφοτέρων ἕνεκεν μεῖναι ἐχρῆν, καὶ ἐπειδὴ μέγα τὸ κέρδος, καὶ ὅτι πολὺς ὁ ἀγών. καὶ τούτῳ δὲ αὐτοὺς παρεθάρρυνε τῷ εἰπεῖν, ὅτι πανταχοῦ λοιπὸν ὁ λόγος ἐνεργεῖται, καὶ βλαστάνει ῥᾳδίως. εἰ δὲ πολλοὶ οἱ ἐπιβουλεύοντες, καὶ τοῦτο σημεῖον τῆς τοῦ εὐαγγελίου προκοπῆς. οὐδέποτε γὰρ ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀγριαίνει, ἀλλ᾽ ἢ ὅταν πολλὰ τῶν σκευῶν αὐτοῦ ἁρπαζόμενα ἴδῃ. καὶ ἡμεῖς τοίνυν, ὅταν τι μέγα καὶ γενναῖον ἐργάσασθαι βουληθῶμεν, μὴ τοῦτο σκοπῶμεν, ὅτι πολὺν ἔχει B πόνον, ἀλλ᾽ εἰς τὸ κέρδος βλέπωμεν. ὅρα γοῦν καὶ Παῦλον οὐ διὰ τοῦτο ὀκνοῦντα, οὐ διὰ τοῦτο ἀναδυόμενον, ἐπειδὴ ἀντικείμενοι πολλοί, ἀλλ᾽, ἐπειδὴ μεγάλη ἦν ἡ θύρα, ἐπικείμενον καὶ παραμένοντα. καὶ γάρ, ὅπερ ἔφην, σημεῖον τοῦτο ἦν τοῦ γυμνοῦσθαι τὸν διάβολον. οὐδὲ γάρ ἐστι μικρὰ καὶ φαῦλα πράξαντας, παροξῦναι τὸ πονηρὸν θηρίον ἐκεῖνο. ὥστε ὅταν ἴδῃς ἄνδρα δίκαιον μεγάλα κατορθοῦντα, καὶ μυρία πάσχοντα δεινά, μὴ θαυμάσῃς. τοὐναντίον γὰρ ἔδει θαυμάζειν, εἰ πολλὰς λαμβάνων ὁ διάβολος πλη- C γάς, ἔμελλεν ἡσυχάζειν καὶ πράως φέρειν τὰ τραύματα. οὐδὲ γάρ, εἰ ὄφις κεντούμενος συνεχῶς ἀγριαίνοι καὶ ἐφάλλοιτο τῷ κεντοῦντι, θαυμάζειν χρή. καὶ γὰρ ὄφεως παντὸς χαλεπώτερον ἕρπει ὁ διάβολος πᾶσιν ἐπιπηδῶν, καὶ ὥσπερ σκορπίος τὸ κέντρον ἄρας, διανίσταται. μὴ δὴ τοῦτο ὑμᾶς θορυβείτω. καὶ γὰρ τὸν ἐκ πολέμου καὶ νίκης, καὶ σφαγῆς ἐπανιόντα ἀνάγκη καὶ ἡμάχθαι, πολλάκις δὲ καὶ τραύματα ἔχειν. καὶ σὺ τοίνυν ὅταν ἴδῃς τινὰ ἐλεημοσύνας ποιοῦντα, καὶ ἄλλα μυρία ἐργαζόμενον ἀγαθά, καὶ ταύτῃ συγκόπτοντα τοῦ διαβόλου τὴν δύναμιν, εἶτα πειρασμοῖς περιπεσόν- D τα καὶ κινδύνοις, μὴ διὰ τοῦτο θορυβηθῇς. διὰ γὰρ τοῦτο περιέπεσε πειρασμοῖς, ἐπειδὴ σφόδρα ἔπληξε τὸν διάβολον. καὶ πῶς ὁ θεὸς συνεχώρησε, φησίν; ἵνα μᾶλλον στεφανωθῇ, ἵνα πλείονα πληγὴν λάβῃ ἐκεῖνος. ὅταν γὰρ μετὰ τὸ ἀγαθὰ ποιεῖν καὶ δεινὰ πάσχων εὐχαριστῇ διαπαντός, πλήττεται ὁ διάβολος. μέγα μὲν γάρ, καὶ εὐροίας φερομένων τῶν πραγμάτων, καὶ ἐλεεῖν, καὶ ἀρετῆς ἀντέχεσθαι· πολλῷ δὲ μεῖζον τὸ δεινὰ πάσχοντα, μὴ ἀφίστασθαι τῆς καλῆς ταύτης ἐργασίας. οὗτος ἐστὶν ὁ διὰ τὸν θεὸν μάλιστα ταῦτα ποιῶν. ὥστε κἂν κινδυνεύω- E μεν, ἀγαπητοί, κἂν ὁτιοῦν πάσχωμεν, μετὰ πλείονος ἐχώμεθα προθυμίας τῶν ὑπὲρ ἀρετῆς πόνων. οὐδὲ γὰρ οὗτος ὁ τῆς ἀντιδόσεως καιρός. μὴ τοίνυν ἐνταῦθα ἀπαιτῶμεν τοὺς στεφάνους, ἵνα μὴ ἐν τῷ καιρῷ τῶν στεφάνων ἐλαττώσωμεν ἡμῶν τὴν ἀμοιβήν. καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν οἱ μὲν ἑαυτοὺς τρέφοντες καὶ ἐργαζόμενοι, μείζονα τὸν μισθὸν λαμβάνουσιν, οἱ δὲ παρὰ τοῖς μισθωσαμένοις τρεφόμενοι, ἀποτέμνονται τοῦ μισθοῦ οὐ μικρὸν μέρος· οὕτω καὶ ἐπὶ τῶν ἁγίων, ὁ μὲν μυρία

ποιῶν ἀγαθὰ καὶ μυρία πάσχων κακὰ, ἀκέραιον ἔχει τὸν μισθὸν, καὶ πολὺ πλείονα τὴν ἀμοιβὴν, οὐχ ὑπὲρ τῶν ἀγαθῶν ὧν ἐποίησε μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν κακῶν ὧν ἔπαθεν. ὁ δὲ ἀνέσεως ἐνταῦθα ἀπολαύων καὶ τρυφῆς, οὐχ οὕτως ἔχει λαμπροὺς τοὺς στεφάνους ἐκεῖ. μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀντίδοσιν, ἀλλὰ τότε μάλιστα χαίρωμεν, ὅταν κατορθοῦντες πάσχωμεν κακῶς. οὐ γὰρ τὸν ἐκ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τὸν τῶν πειρασμῶν μισθὸν ἡμῖν ὁ θεὸς ἐκεῖ ταμιεύεται.

Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἔστωσαν δύο πλούσιοι ἐλεήμονες, καὶ διδότωσαν πένησιν. εἶτα ὁ μὲν ἐπὶ τῷ πλούτῳ μενέτω, καὶ πάσης εὐημερίας ἀπολαυέτω· ὁ δὲ εἰς πενίαν πιπτέτω καὶ νόσους, καὶ συμφορὰς, καὶ χάριν ἐχέτω τῷ θεῷ. τούτων τοίνυν ἀπελθόντων ἐκεῖ, τίς μείζονα λήψεται τὸν μισθόν; οὐκ εὔδηλον ὅτι ὁ νοσῶν καὶ ταλαιπωρούμενος, ὅτι καὶ εὖ ποιῶν, καὶ πάσχων κακῶς οὐδὲν ἔπαθεν ἀνθρώπινον; παντί που δῆλον. καὶ γὰρ οὗτός ἐστιν ὁ ἀνδριὰς ὁ ἀδαμάντινος, οὗτος ὁ εὐγνώμων οἰκέτης. εἰ δὲ οὐ δι' ἐλπίδα βασιλείας δεῖ τι ποιεῖν ἀγαθὸν, ἀλλὰ διὰ τὸ τῷ θεῷ δοκοῦν, ὃ πάσης βασιλείας μεῖζόν ἐστι, τίνος ἄξιός ἐστιν ὁ διὰ τὸ μὴ λαβεῖν ἐνταῦθα τὴν ἀντίδοσιν ἀργότερος περὶ τὴν ἀρετὴν γινόμενος; μὴ τοίνυν θορυβώμεθα, ὅταν ἴδωμεν, ὅτι ὁ δεῖνα χήρας καλῶν, καὶ δοχὰς συνεχεῖς ἐργαζόμενος, ἀπώλεσε τὴν οἰκίαν ἐμπρησθεῖσαν, ἢ ἑτέραν τινὰ τοιαύτην ὑπέμεινε συμφοράν. καὶ γὰρ διὰ τοῦτο λήψεται τὸν μισθόν· ἐπεὶ καὶ ὁ Ἰὼβ οὐχ οὕτως ἐπὶ ταῖς ἐλεημοσύναις ἐθαυμάζετο, ὡς ἐφ' οἷς ἔπαθε μετὰ ταῦτα. διὰ τοῦτο καὶ οἱ φίλοι ἐξευτελίζονται οἱ τούτου, καὶ οὐδενὸς ἄξιοι λόγου νομίζονται εἶναι, ὅτι τὰς παρούσας ἐζήτουν ἀντιδόσεις, καὶ ἀπὸ τούτων τοῦ δικαίου κατεψηφίζοντο. μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀμοιβὴν, πένητες καὶ πτωχοὶ γενόμενοι. καὶ γὰρ ἐσχάτης τοῦτο εὐτελείας, οὐρανοῦ προκειμένου, καὶ τῶν ὑπὲρ τὸν οὐρανὸν, τὰ ἐνταῦθα περισκοπεῖν. μὴ δὴ οὕτω ποιῶμεν· ἀλλ' ὅπερ ἂν ἐπέλθῃ τῶν ἀδοκήτων ἐπιταγμάτων, ἡμεῖς ἐχώμεθα τοῦ θεοῦ διηνεκῶς, καὶ πειθώμεθα τῷ μακαρίῳ Παύλῳ, καὶ κιβώτιον πενήτων ποιῶμεν ἐπὶ τῆς οἰκίας, καὶ παρὰ τὸν τόπον, ὃν ἕστηκας εὐχόμενος, ἐκεῖ κείσθω, καὶ ὁσάκις ἂν εἰσέλθῃς εὔξασθαι, κατάθες πρῶτον τὴν ἐλεημοσύνην, καὶ τότε ἀνάπεμπε εὐχήν. καὶ ὥσπερ οὐκ ἂν ἕλοιο χερσὶν ἀνίπτοις εὔξασθαι, οὕτω μηδὲ ἐλεημοσύνης χωρίς. καὶ γὰρ τοῦ εὐαγγέλιον κρέμασθαι παρὰ τὴν κλίνην οὐκ ἔλαττον τὸ ἐλεημοσύνην κεῖσθαι. εὐαγγέλιον μὲν γὰρ ἐὰν κρεμάσῃς μηδὲν ποιῶν, οὐδὲν τοσοῦτον ὠφεληθήσῃ. τοῦτο δὲ ἔχων τὸ κιβώτιον, ὅπλον ἔχεις κατὰ τοῦ διαβόλου, τὴν εὐχὴν ὑπόπτερον ποιεῖς, ἁγίαν κατασκευάζεις τὴν οἰκίαν, τροφὰς ἔχων ἀποκειμένας τοῦ βασιλέως.

A dem facit innumerabilia, & innumerabilia patitur mala, integram habet mercedem, & longe majorem remunerationem, non pro bonis solum quæ fecit, sed etiam pro malis quæ passus est. Qui autem hic fruitur quiete & deliciis, non tam præclaras illic habet coronas. Ne hic ergo quæramus remunerationem, sed tunc maxime lætemur quando bona opera agentes male patimur. Non solum enim ex recte factis, sed etiam ex tentationibus Deus nobis illic recondit mercedem.

4. Ut autem quod dico fiat manifestius, sint duo divites misericordes, & dent pau- B peribus. Deinde eorum alter quidem maneat in divitiis, & omnia prospere ei succedant: alter autem incidat in paupertatem, & morbos, & calamitates, & Deo agat gratias. Cum ergo ii hinc illuc excesserint, quis majorem accipiet mercedem? Annon perspicuum est quod qui ægrotat & affligitur: quoniam & bene faciens & male patiens nihil passus est humanum? Id certe palam omnibus est. Hic enim est statua adamantina, hic est servus gratus & benevolus. Si autem non propter spem regni oportet aliquid boni facere, sed pro- C pter id quod Deo videtur ac placet; quod quidem est majus quovis regno, quid meretur qui eo quod non hic accipiat remunerationem, in exercenda virtute est pigrior? Ne ergo conturbemur, quando viderimus, quod hic aut ille advocans viduas, & pauperes frequentibus excipiens conviviis, incendio exustam domum amisit, aut aliquam aliam similem passus est calamitatem. Propterea enim accipiet mercedem. Neque enim Job in tanta admiratione habebatur propter eleemosynas, in quanta propter ea quæ passus postea. Propterea & vilipenduntur ejus amici, & D nullius censentur esse precii, quod præsentes quærerent remunerationes, & ideo in justum iniquam ferrent sententiam. Ne ergo hic quæramus remunerationem, sed efficiamur pauperes & mendici. Hoc enim esset extremæ vilitatis & abjectionis, cum cælum sit propositum, & quæ supra cælum, quæ hic sunt spectare. Ne sic ergo faciamus, sed quodcumque inexspectatum nobis jussum advenerit, nos Deum assidue sequamur, & beato Paulo pareamus, pauperumque arculam domi faciamus, quæ juxta locum in quo stas orans sita sit: & quoties ad orandum fueris ingressus, E depone primum eleemosynam, & tunc emitte precationem: & sicut nolueris manibus illotis ad orandum accedere, sic neque absque eleemosyna. Neque enim minus est eleemosynam ibi depositam esse, quam evangelium juxta lectum appensum esse. Nam si evangelium quidem suspenderis nihil faciens, non adeo magnam accipies utilitatem. Hanc autem habens arculam, habes arma adversus diabolum: precationem reddis alatam: sanctam domum constituis, quæ habeat alimenta regis

Ante precationem manus abluebantur.

intus recondita: ideo & juxta lectum sita sit arcula, noxque nullis perturbabitur visis & insomniis: tantum nihil in eam injiciatur ex injustitia. Res enim ea eleemosyna est: fieri autem non potest ut eleemosyna unquam germinet ex crudelitate. Vultis & vobis dicam undenam impendere & largiri oporteat, ut hac quoque ratione facilem eam faciatis collationem? Opifex, nempe calceorum consarcinator, aut coriarius, aut faber ærarius, aut quivis alius artifex, cum aliquid vendiderit ex iis quæ sua arte fiunt, det Deo primitias precii, ibi parvam partem dejiciat, & ex minori parte cum Deo partiatur. Neque enim magnum quid peto, sed tantum quantum Judæorum infantes, & mille malis pleni, tantum nos qui cælum exspectamus, jaciamus. Hæc autem dico non legem ferens, neque prohibens ne plus eroges, sed æquum censens ut non minus deponas quam partem decimam. Hoc autem fac non solum vendens, sed etiam emens. Hanc legem etiam servent qui prædia possident in proventibus: eam omnes qui justos colligunt proventus. Ad eos enim qui usuram exigunt a me verba non fiunt: neque ad milites qui alios concutiunt, & aliis procurant calamitates. Deus enim nihil inde vult accipere. Sed hæc dico eis qui ex justis laboribus facultates colligunt. Nam si nos ipsos ad eam deduxerimus consuetudinem, nos deinceps punget conscientia, si hanc deseramus legem: neque rem existimabimus gravem, & paulatim veniemus ad majora, & meditati contemnere pecunias, cum malorum radicem evulserimus, & hic vitam secure & tranquille agemus, & vitam consequemur futuram. Quam detur nobis omnibus consequi, &c.

A [a] Παρὰ τοῦτο καὶ τῇ κλίνῃ κείσθω τὸ κιβώτιον, καὶ ἀφαντασίαστος ἔσται ἡ νύξ· μόνον μηδὲν ἐξ ἀδικίας ἐκεῖ βαλλέσθω. ἐλεημοσύνη γὰρ τὸ πρᾶγμά ἐστιν· ἐλεημοσύνην δὲ ἀπὸ ὠμότητος οὐκ ἔνι βλαστῆσαί ποτε. Βούλεσθε καὶ τὰς ἀφορμὰς, ὅθεν δεῖ καταβάλλειν, εἴπω, ὥστε καὶ ταύτῃ ποιῆσαι εὔκολον τὴν τοιαύτην φοράν; ὁ χειροτέχνης, οἷον ὁ ὑποδηματοῤῥάφος, ἢ ὁ σκυτοτόμος, ἢ ὁ χαλκοτύπος, ἢ ἕτερος ὁστισοῦν δημιουργὸς, ἐπειδὰν πωλήσῃ τι τῶν ἀπὸ τῆς τέχνης, ἀπαρχέσθω τῆς τιμῆς τῷ Θεῷ, καταβαλλέτω μικρὸν μέρος αὐτόθι, καὶ μεριζέσθω πρὸς τὸν Θεὸν ἐξ ἐλάττονος μοίρας.
B οὐδὲ γὰρ μέγα τι αἰτῶ· ἀλλὰ τοσοῦτον ὅσον Ἰουδαίων οἱ νήπιοι, καὶ μυρίων γέμοντες κακῶν, τοσοῦτον οἱ τὸν οὐρανὸν προσδοκῶντες ἡμεῖς βάλλωμεν. ταῦτα δὲ οὐ νομοθετῶν, οὐδὲ κωλύων τὸ πλέον λέγω, ἀλλ' ἀξιῶν μὴ ἔλαττον τῆς δεκάτης μοίρας καταθεῖναι. τοῦτο δὲ μὴ πωλῶν μόνον, ἀλλὰ καὶ ἀγοράζων ποίει. τοῦτον καὶ οἱ τοὺς ἀγροὺς κεκτημένοι τηρείτωσαν τὸν νόμον ἐν ταῖς προσόδοις· τοῦτον πάντες οἱ τοὺς δικαίους συλλέγοντες πόρους. πρὸς γὰρ τοὺς τόκους ἀπαιτοῦντας οὐδείς μοι λόγος, οὐδὲ πρὸς
C στρατιώτας διασείοντας ἄλλους, καὶ πραγματευομένους ἀλλοτρίας συμφοράς. οὐδὲν γὰρ ἐκεῖθεν βούλεται δέχεσθαι ὁ Θεός· ἀλλὰ πρὸς τοὺς ἐκ δικαίων πόνων συλλέγοντας τὰ ὄντα, ταῦτα λέγω. καὶ γὰρ ἐὰν ἐν τοιαύτῃ συνηθείᾳ καταστήσωμεν ἑαυτοὺς, ὑπὸ τοῦ συνειδότος κεντούμεθα λοιπὸν, ἄν ποτε τοῦτον ἀπολίπωμεν τὸν νόμον, καὶ οὐδὲ βαρὺ λοιπὸν τὸ πρᾶγμα ἡγησόμεθα, καὶ κατὰ μικρὸν ἐπὶ τὰ μείζονα ἥξομεν, καὶ μελετήσαντες χρημάτων καταφρονεῖν, καὶ τὴν ῥίζαν τῶν κακῶν ἀνασπάσαντες, τόν τε ἐνταῦθα μετὰ ἀδείας βιωσόμεθα βίον, καὶ τῆς μελλούσης τευξόμεθα ζωῆς, ἧς
D γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καὶ τὰ ἑξῆς.

## HOMILIA XLIV.

## ΟΜΙΛΙΑ μδ'.

10. *Si autem venerit Timotheus ad vos, videte ut sine timore sit apud vos.*

Ἐὰν δὲ ἔλθῃ Τιμόθεος πρὸς ὑμᾶς, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς.

1. EXISTIMET fortasse quispiam hanc exhortationem esse indignam virtute Timothei. Sed non hoc dictum est propter Timotheum, sed propter audientes, ne per eas quæ ipsi pararentur insidias seipsos læderent: ille enim semper erat proclivis ac propensus ad adeunda pericula. Nam tamquam filius patri, mecum servivit, inquit, in evangelio. (Philip. 2. 22.) Sed ne ex audacia in discipulum, ad magistrum quoque procederent, & fierent deteriores, eos eminus comprimit & coërcet, dicens: Ut sine timore sit apud vos: hoc est, ne quispiam ex iis qui sunt deplorati in eum insurgat; erat quippe fortasse eos increpaturus de iis quæ scribebat Paulus: denunciarat enim se propterea ipsum

ΤΑΧΑ τις ἡγεῖται ἀνάξιον εἶναι τῆς ἀνδρείας τῆς Τιμοθέου τὴν παράκλησιν ταύτην· ἀλλ' οὐ Τιμοθέου ἕνεκεν τοῦτο εἴρηται, ἀλλὰ τῶν ἀκουόντων, ἵνα μὴ διὰ τῆς εἰς αὐτὸν ἐπιβουλῆς ἑαυτοὺς καταβλάψωσιν. ἐκεῖ-
E νος μὲν γὰρ ἀεὶ πρὸς κινδύνους ἦν [a] παρεμβεβλημένος· ὡς γὰρ πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν ἐν τῷ εὐαγγελίῳ, φησίν· ἀλλ' ἵνα μὴ ἀπὸ τῆς εἰς τὸν μαθητὴν θρασύτητος, καὶ εἰς τὸν διδάσκαλον προέλθωσι, καὶ χείρους γένωνται, πόῤῥωθεν αὐτοὺς καταστέλλει, λέγων, ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς, τουτέστιν, ἵνα μή τις αὐτοῦ κατεξανίσταται τῶν ἀπεγνωσμένων ἐκείνων. καὶ γὰρ ἔμελλεν αὐτοῖς ἴσως ἐπιτιμᾶν, ὑπὲρ ὧν καὶ Παῦλος ἐπέστειλε· καὶ γὰρ ἐπηγγείλατο δι' αὐτὸ τοῦτο πέμπειν αὐτόν,

a παρὰ τοῦτο, forte, διὰ τοῦτο.

b παρεμβεβλημένος, Alius, παραβεβλημένος.

ἔπεμψα γὰρ Τιμόθεον ὑμῖν, φησὶν, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. ἵν' οὖν μὴ εὐγενείᾳ, καὶ πλούτῳ, καὶ τῇ τοῦ δήμου συστάσει, καὶ τῇ ἔξωθεν σοφίᾳ θαῤῥοῦντες ἐπίθωνται, καὶ διαπτύωσι, καὶ ἐπιβουλεύσωσιν, ἀλγοῦντες τοῖς ἐλέγχοις τοῖς παρ' αὐτοῦ, ἢ ὑπὲρ ὧν ὁ διδάσκαλος ἐπετίμησε, δίκην αὐτὸν ἀπαιτήσωσιν ἐκεῖνον ἀμυνόμενοι, διὰ τοῦτό φησιν, ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς. μὴ γάρ μοι τοὺς ἔξωθεν εἴπῃς τοὺς Ἕλληνας καὶ ἀπίστους· τὰ παρ' ὑμῶν ἀπαιτῶ, ὑπὲρ ὧν καὶ ἡ ἐπιστολὴ ἅπασα συνετέθη, οὓς καὶ ἐν ἀρχῇ καὶ προοιμίοις ἐφόβησε. διὰ τοῦτο εἶπε, πρὸς ὑμᾶς. εἶτα ἀπὸ τῆς διακονίας ἀξιόπιστον αὐτὸν ποιεῖ λέγων. τὸ γὰρ ἔργον κυρίου ἐργάζεται. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, φησὶν, εἰ μὴ πλούσιος, εἰ μὴ εὐπαίδευτος, μηδὲ πρεσβύτης, ἀλλὰ τί ἐπιτέτακται, καὶ ἀνύει· τὸ γὰρ ἔργον κυρίου ἐργάζεται. τοῦτο δὲ ἀντὶ πάσης αὐτῷ καὶ εὐγενείας, καὶ πλούτου, καὶ ἡλικίας, καὶ σοφίας ἀπόχρη. καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προσέθηκε· καθὼς καὶ ἐγώ. καὶ ἀνωτέρω· ὅς ἐστί μοι τέκνον ἀγαπητὸν ἐν κυρίῳ, αὐτὸς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ. ἐπεὶ οὖν καὶ νέος ἦν, καὶ μόνος ἐνεχειρίσθη τοσούτου δήμου διόρθωσιν, ἀμφότερα δὲ εἰς καταφρόνησιν ἦγον, εἰκότως ἐπάγει· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. καὶ οὐ τοῦτο ἀπαιτεῖ μόνον, ἀλλὰ καὶ τιμὴν πλείονα, διὸ καί φησι· προπέμψατε δὲ αὐτὸν μετ' εἰρήνης. τουτέστιν, ἀφόβως, μὴ μάχας, καὶ φιλονεικίας ἐμποιοῦντες, μὴ ἔχθρας καὶ ἀπεχθείας, ἀλλ' ὑποταγὴν καὶ τιμὴν, ὡς διδασκάλῳ προσέχοντες. ἵνα ἔλθῃ πρός με. ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. καὶ τοῦτο φοβοῦντος αὐτοὺς ἦν. ἵνα γὰρ εἰδότες, ὅτι πάντα ἐρήσεται πρὸς αὐτὸν ἅπερ ἂν πάθῃ, ἐπιεικέστεροι γένωνται, διὰ τοῦτο προσέθηκεν· ἐκδέχομαι γὰρ αὐτόν. ἄλλως δὲ, καὶ ἐντεῦθεν ἀξιόπιστον ποιεῖ, εἴγε μέλλων ἐξιέναι, αὐτὸν περιμένει, καὶ τὴν εἰς ἐκείνους δείκνυσιν ἀγάπην, ὅταν τὸν οὕτω χρήσιμον δι' αὐτοὺς φαίνηται πέμψας. περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ πολλὰ παρεκάλεσα αὐτὸν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν. οὗτος καὶ εὐπαίδευτος δοκεῖ εἶναι, καὶ πρεσβύτερος τοῦ Τιμοθέου. ἵν' οὖν μὴ λέγωσι, τί δήποτε τὸν μὲν ἄνδρα οὐκ ἀπέστειλε, τὸν δὲ νέον ἀντ' ἐκείνου; ὅρα δὲ καὶ τοῦτο πῶς παραμυθεῖται, ἀδελφόν τε αὐτὸν καλῶν, καὶ πολλὰ παρακεκληκέναι λέγων. ἵνα γὰρ μὴ δόξῃ προτετιμηκέναι αὐτοῦ τὸν Τιμόθεον, καὶ διὰ τοῦτο μὴ ἀπεσταλκέναι, καὶ πλείονα ἐκκαύσῃ τὸν φθόνον, ἐπήγαγε, πολλὰ αὐτὸν παρεκάλεσα, ἵνα ἔλθῃ. τί οὖν, οὐκ εἶξεν ἐκεῖνος, οὐδὲ ἐπένευσεν, ἀλλ' ἀντέστη καὶ ἐφιλονείκησεν; οὐ λέγει τοῦτο, ἀλλ' ἵνα μήτε ἐκεῖνον διαβάλῃ, καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσηται, φησί· καὶ πάντως οὐκ ἦν θέλημα, ἵνα νῦν ἔλθῃ. εἶτα ἵνα μὴ λέγωσιν, ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, ἐπήγαγεν· ἐλεύσεται δὲ πρὸς ὑμᾶς, ὅταν εὐκαιρήσῃ. οὕτω καὶ ὑπὲρ ἐκείνου ἀπελογήσατο, καὶ αὐτοὺς ἐπιποθοῦντας αὐτὸν, τῇ ἐλπίδι τῆς παρουσίας ἀνέπαυσεν. εἶτα δεικνὺς ὅτι οὐκ ἐν τοῖς διδασκάλοις,

A mittere. Misi enim, inquit, ad vos Timotheum, qui vobis in memoriam revocabit vias meas in Christo, sicut ubique in omni ecclesia doceo. Ne ergo nobilitati, & divitiis, & populi commendationi, & externæ sapientiæ confidentes, invaderent, & conspuerent, & insidiarentur, dolentes se ab ipso argui, aut propterea quod magister illos reprehenderet, pœnas exigerent ipsum ulciscentes, propterea dicit: *Ut sine timore sit apud vos.* Ne mihi enim externos dixeris Græcos & infideles, ea a vobis exigo pro quibus tota conscripta est
B epistola, quos etiam in initio terruit & in prooemiis. Propterea dixit: Apud vos. Deinde a ministerio eum facit fide dignum dicens: *Opus enim Domini operatur.* Ne hoc enim spectes, inquit, si non sit dives, si non eruditus, si non senex: sed quid jussus sit, & quid efficiat: opus enim Domini operatur. Hoc autem ei sufficit pro omni & nobilitate, & divitiis, & ætate, & sapientia. Nec hoc fuit contentus, sed addidit: *Sicut & ego.* Et superius, Qui est mihi filius dilectus in Domino, ipse vobis in memoriam revocabit vias meas in Christo. Quoniam ergo juvenis erat, &
C ipsi concredita fuerat tanti populi correctio; utrumque autem ipsum in contemtum adducebat, merito subjungit: 11. *Ne quis ergo illum spernat.* Neque hoc solum exigit, sed etiam majorem honorem. Quamobrem dicit: *Deducite autem illum in pace.* Hoc est, sine timore: non pugnas inferentes & contentiones; non odia & inimicitias, sed subjectionem & honorem, attendentes ipsi tamquam magistro. *Ut veniat ad me; exspecto enim illum cum fratribus.* Et hoc erat terrentis: nam ut cum scirent omnia sibi dicenda quæ passus esset, fierent modestiores, propterea addidit:
D Exspecto enim illum. Alioquin autem eum quoque hinc facit fide dignum. Siquidem exiturus ipsum exspectat, & suam in illos ostendit caritatem, quando eum qui esset adeo utilis, propter ipsos misisse cerneretur. 12. *De Apollo autem fratre vobis notum facio, quod multum rogavi eum, ut ad vos veniret cum fratribus.* Hic videtur esse & bene eruditus, & major ætate Timotheo. Ne ergo dicerent: Cur virum quidem non misit, sed pro illo juvenem? vide quomodo etiam hoc levet, eum & fratrem vocans, &
E dicens se multum illum rogasse ut veniret. Ne enim videretur præposuisse illi Timotheum, & idcirco eum non misisse, hincque majorem accenderet invidiam, subjunxit: multum illum rogavi, ut veniret. Quid ergo non cessit ille, neque annuit, sed restitit & contendit? Non hoc dicit, sed ut neque illum reprehenderet, & se excusaret, dicit: *Et utique non fuit voluntas ejus ut nunc veniret.* Deinde ne dicerent hæc esse obtentum & subterfugium, subjunxit: *Veniet autem cum ei vacuum fuerit.* Sic & illum defendit ac excusavit, & eorum qui ipsum desiderabant spei satisfecit. Ostendens autem ipsos

1 Cor. 4. 17.

A non in magistris, sed in seipsis debere spem salutis habere, dicit: 13. *Vigilate, state in fide.* Non in externa sapientia; non est enim illic stare, sed ferri; sicut quidem certe stare in fide convenit. *Viriliter agite & confortamini.* 14. *Omnia vestra in caritate fiant.* Hæc autem dicens videtur quidem admonere; illos autem tangit tamquam pigros & desides. Et ideo dicit: *Vigilate*, tamquam eis dormientibus; *State*, tamquam labantibus; *Viriliter agite & fortes estote*, ut qui essent molles; *Omnia vestra in caritate fiant*, ut qui seditionem agitent.
B Et adversus eos quidem qui decipiunt est illud: Vigilate, state; adversus eos autem qui insidiantur, est hoc: Viriliter agite. Adversus eos vero qui seditionem agitant & conantur divellere ac distrahere, est illud, *Omnia vestra in caritate fiant*, quod quidem est vinculum perfectionis, & radix fonsque bonorum. Quid est autem illud, Omnia in caritate? Sive quispiam increpat, inquit, sive imperat, sive paret imperio, sive discit, sive docet, omnia cum caritate. Nam & cuncta quæ dicta sunt, ideo contigerant quod caritas neglecta fuisset. Nam si ea non esset neglecta,
C non fuissent inflati: non dixissent, Ego quidem sum Pauli, ego vero Apollo. Si ipsa adfuisset, non foris judicio contendissent, imo ne contendissent quidem. Si ipsa adfuisset, ille uxorem patris non accepisset, non fratres infirmos contemsissent, hæreses non habuissent, propter charismata inanem gloriam non concepissent. Propterea dicit, Omnia cum caritate fiant. 15. *Obsecro autem vos, fratres, nostis domum Stephanæ, quod sunt primitiæ Achaiæ, & in ministerio sanctorum ordinaverunt seipsos.*

1. Cor. 1. 12

2. Etiam in initio hujus meminit dicens: Baptizavi autem & Stephanæ do-
D mum: & nunc eam dicit esse primitias, non solum Corinthi, sed & totius Græciæ. Non est autem hoc quoque parvum encomium, accessisse primum ad Christum. Quamobrem etiam in epistola ad Romanos ex eo quosdam laudans dicebat: Qui etiam ante me geniti sunt in Christo. Nec dixit eos primos credidisse, sed fuisse primitias, ostendens, cum fide, vitam etiam optimam exhibuisse, tamquam ex fructibus se omni ex parte dignos præbentes. Oportet enim primitias esse meliores cæteris, quorum sunt primitiæ. Quod his
E quoque per hanc dictionem suo testimonio tribuit Paulus. Non enim solum, sicut dixi, vere & sincere crediderunt, sed etiam multam ostenderunt pietatem, vegetamque virtutem, & in eleemosynis dandis munificentiam. Non solum autem hinc, sed etiam aliunde eorum ostendit pietatem, ex eo quod totam domum pietate impleverint. Quod autem bonis quoque operibus & recte factis essent ornati, significat per ea quæ deinceps sequuntur, dicens: *In ministerio sanctorum ordinaverunt seipsos.* Audivistis hospitalitatis quanta sint encomia?

Rom. 16. 7.

A ἀλλὰ καὶ ἐν ἑαυτοῖς ὀφείλουσι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, φησί· γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει. Οὐκ ἐν τῇ σοφίᾳ τῇ ἔξω· οὐ γάρ ἐστιν ἐκεῖ ἑστάναι, ἀλλὰ φέρεσθαι· ὥσπερ οὖν ἐν τῇ πίστει ἑστάναι. ἀνδρίζεσθε, κραταιοῦσθε. πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Ταῦτα δὲ λέγων, δοκεῖ μὲν παραινεῖν, καθάπτεται δὲ αὐτῶν ὡς ῥαθυμούντων. διὸ λέγει· γρηγορεῖτε, ὡς καθευδόντων· στήκετε, ὡς σαλευομένων· ἀνδρίζεσθε, ὡς μαλακιζομένων· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω, ὡς στασιαζόντων. καὶ τὸ μὲν πρὸς τοὺς ἀπατῶντας, τὸ γρηγορεῖτε, στήκετε· τὸ δὲ πρὸς
B τοὺς ἐπιβουλεύοντας, τὸ ἀνδρίζεσθε· τὸ δὲ πρὸς τοὺς στασιάζοντας καὶ διασπᾶν ἐπιχειροῦντας, τὸ πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω, ὅπερ σύνδεσμός ἐστι τελειότητος, καὶ ῥίζα καὶ πηγὴ τῶν ἀγαθῶν. τί δέ ἐστι, τὸ πάντα ἐν ἀγάπῃ; εἴτε ἐπιτιμᾷ τις, φησὶν, εἴτε ἄρχει, εἴτε ἄρχεται, εἴτε μανθάνει, εἴτε διδάσκει, πάντα μετὰ ἀγάπης· ἐπειδὴ καὶ τὰ εἰρημένα ἅπαντα ἐκ τοῦ ταύτην ἠμελῆσθαι ἐγίνετο. Εἰ γὰρ αὕτη μὴ ἠμελήθη, οὐκ ἂν ἐφυσιώθησαν, οὐκ ἂν εἶπον, ἐγὼ μέν εἰμι Παύλου,
C ἐγὼ δὲ Ἀπολλώ· Εἰ αὐτὴ ἦν, οὐκ ἂν ἔξω ἐδικάσαντο, μᾶλλον δὲ οὐδ᾽ ἂν ἐδικάσαντο· Εἰ αὐτὴ ἦν, οὐκ ἂν ἐκεῖνος τοῦ πατρὸς τὴν γυναῖκα ἔλαβεν, οὐκ ἂν τῶν ἀσθενούντων ἀδελφῶν κατεφρόνησαν, οὐκ ἂν αἱρέσεις εἶχον, οὐκ ἂν ἐκενοδόξησαν ἐπὶ τοῖς χαρίσμασι. Διὰ τοῦτό φησι, πάντα μετὰ ἀγάπης γινέσθω. παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς.

Καὶ ἀρχόμενος τούτου μέμνηται λέγων, ἐβάπτισα
D δὲ καὶ τὸν Στεφανᾶ οἶκον· καὶ νῦν ἀπαρχὴν αὐτὸν οὐχὶ τῆς Κορίνθου μόνον, ἀλλὰ καὶ ὅλης τῆς Ἑλλάδος φησίν. οὐ μικρὸν δὲ καὶ τοῦτο ἐγκώμιον, τὸ πρῶτον τῷ Χριστῷ προσελθεῖν. διὸ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐντεῦθεν ἐγκωμιάζων τινὰς ἔλεγεν, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ. Καὶ οὐκ εἶπεν, ὅτι πρῶτοι ἐπίστευσαν, ἀλλὰ ἀπαρχὴ ἐγένοντο, δεικνὺς ὅτι μετὰ τῆς πίστεως καὶ βίον ἄριστον ἐπεδείξαντο, ὥσπερ ἐπὶ καρπῶν, πάντοθεν ἑαυτοὺς ἀξίους παρέχοντες. καὶ γὰρ τὴν ἀπαρχὴν, ἀμείνω τῶν λοιπῶν εἶναι χρὴ, ὧν ἐστιν ἀπαρχή· ὃ δὴ καὶ
E τούτοις διὰ τῆς ῥήσεως ταύτης ἐπεμαρτύρησεν ὁ Παῦλος. οὐδὲ γὰρ ἐπίστευσαν μόνον γνησίως, ὅπερ ἔφην, ἀλλὰ καὶ πολλὴν ἐπεδείξαντο τὴν εὐλάβειαν, καὶ ἀκμάζουσαν τὴν ἀρετὴν, καὶ τὴν ἐν ἐλεημοσύναις φιλοτιμίαν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν αὐτῶν τὴν εὐλάβειαν δείκνυσιν, ἐκ τοῦ καὶ τὴν οἰκίαν ἅπασαν εὐσεβείας πληρῶσαι. ὅτι δὲ καὶ ἐν ἔργοις ἐκόμων ἀγαθοῖς, δηλοῖ διὰ τῶν ἑξῆς λέγων· Εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς. ἠκούσατε ἡλίκα τῆς φιλοξενίας τὰ ἐγκώμια; οὐ

οὐ γὰρ εἶπε, διακονοῦσιν, ἀλλ', ἔταξαν ἑαυτούς, τοῦτον τὸν βίον εἵλοντο διαπαντός, ταύτην μελετῶσι τὴν μελέτην. ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις· τουτέστιν, ἵνα συναντιλαμβάνησθε καὶ εἰς δαπάνην χρημάτων, καὶ εἰς σώματος διακονίαν, ἵνα κοινωνῆτε. καὶ γὰρ ἐκείνοις ὁ κόπος ἔσται κοῦφος, ὅταν ἔχωσι συμμάχους, καὶ τὰ τῆς εὐεργεσίας εἰς πλείονας διαβήσεται. καὶ οὐκ εἶπεν ἁπλῶς, συνεργεῖτε, ἀλλὰ καὶ ἐν οἷς ἂν κελεύωσι, πείθεσθε, τὴν ἐπιτεταμένην ὑπακοὴν ἐνδεικνύμενος. καὶ ἵνα μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι, προσέθηκε· καὶ παντὶ τῷ κοπιῶντι, καὶ συνεργοῦντι. κοινός, φησιν, ἔστω ὁ νόμος οὗτος· οὐδὲ γὰρ ἰδιαζόντως περὶ ἐκείνων λέγω, ἀλλ' εἴ τις κατ' ἐκείνους, καὶ οὗτος ἀπολαυέτω τούτων· διὰ τοῦτο καὶ ἀρχόμενος συνιστᾷν, αὐτοὺς μάρτυρας καλεῖ λέγων· παρακαλῶ δὲ ὑμᾶς, οἴδατε τὴν οἰκίαν Στεφανᾶ. ἴστε γάρ, φησι, καὶ ὑμεῖς πῶς κάμνουσι, καὶ οὐ παρ' ἡμῶν δεῖσθε μαθεῖν. ἐχάρην δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ, καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα αὐτοὶ ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ἐξηγριῶσθαι πρὸς τούτους· οὗτοι γὰρ οἱ ἐλθόντες εἰσὶ καὶ δηλώσαντες αὐτῷ τὰ κατὰ τὴν στάσιν. δι' αὐτῶν γὰρ καὶ ἔγραψαν τὰ περὶ τῶν παρθένων, τὰ περὶ τῶν γεγαμηκότων· ὅρα πῶς αὐτοὺς κατεπράϋνεν, ἐν ἀρχῇ μὲν τῆς ἐπιστολῆς εἰπών· ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ὑπὸ τῶν Χλόης, καὶ τούτους κρύψας, κἀκείνους εἰς μέσον ἀγαγών· εἰκὸς γὰρ ἐκείνους διὰ τούτων δηλῶσαι. ἐνταῦθα δέ, τὸ ὑμῶν ὑστέρημα ἀνεπλήρωσαν, καὶ ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν· δεικνὺς ἀντὶ πάντων ἐλθόντας, καὶ ἑλομένους ἀποδημίαν στείλασθαι τοσαύτην ὑπὲρ αὐτῶν. πῶς οὖν τοῦτο τὸ ἴδιον κοινὸν γίνεται; εἰ τὸ ὑστέρημα παραμυθήσεσθε διὰ τῆς εὐνοίας τῆς εἰς αὐτούς, ἐὰν τιμήσητε, ἐὰν ἀποδέξησθε αὐτούς, ἐὰν τῇ εὐποιΐᾳ κοινωνήσητε. διό φησιν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. καὶ ἐπαινῶν τοὺς ἐλθόντας, συμπλέκει καὶ ἐκείνους τῷ ἐγκωμίῳ, τοῖς ἀπεσταλμένοις τοὺς ἀπεσταλκότας, λέγων, ὅτι ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιούτους, ὅτι δι' ὑμᾶς πατρίδα καὶ οἰκίαν κατέλιπον. εἶδες σύνεσιν; οὐ Παύλῳ μόνον, ἀλλὰ καὶ ἐκείνοις αὐτοὺς χαρισαμένους δείκνυσι, τῷ τὴν πόλιν ἅπασαν ἐν αὐτοῖς περιφέρειν· ὃ καὶ τούτους ἀξιοπίστους ἐποίει, καὶ ἐκείνους οὐκ ἠφίει τούτων ἀποσχίζεσθαι, ἅτε δι' αὐτῶν παραστάντας τῷ Παύλῳ. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τῆς Ἀσίας. ἀεὶ συνάγει καὶ συγκολλᾷ τὰ μέλη διὰ τοῦ ἀσπασμοῦ. ἀσπάζονται ὑμᾶς ἐν κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα. παρ' αὐτοῖς γὰρ ἔμενε, σκηνοποιὸς ὤν. σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. καὶ τοῦτο οὐ μικρὰ ἀρετή, τὸ καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι. ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

A Non enim dixit, Ministrant, sed ordinaverunt seipsos: hanc vitam perpetuo elegerunt, in hac se exercent meditatione. 16. *Ut & vos subditi sitis ejusmodi*; hoc est, ut alter alteri opem feratis, & ad impensas pecuniæ, & ad obeundum ministerium corporis, ut communicetis. Nam illis labor erit levis, quando habuerint socios, & ad plures transiverit beneficium. Et non dixit absolute, Cooperamini, sed etiam in iis quæ jusserint parete, accuratam ostendens obedientiam. Et ne eis videatur gratificari, addidit: Et omni coo- B peranti & laboranti. Hæc sit, inquit, lex communis. Neque enim privatim ac seorsum dico de illis, sed si quis est illis similis, his quoque fruatur. Propterea & eos incipiens commendare, ipsos quoque evocat testes dicens: *Obsecro autem vos, nostis domum Stephanæ.* Scitis, inquit, & vos quomodo laborant, neque opus est ut a nobis discatis. 17. *Gavisus sum autem in præsentia Stephanæ & Fortunati & Achaïci, quoniam id quod vobis deerat ipsi suppleverunt.* 18. *Refecerunt enim meum spiritum & vestrum.* Quoniam erat verisimile eos adversus ipsos esse irritatos; ii enim erant C qui venerant & seditionem ei significaverant: per ipsos enim etiam scripserant de virginibus & matrimonio conjunctis; vide quomodo eos mitigat, in principio quidem epistolæ dicens: *Significatum est* enim, inquit, *mihi de vobis ab iis qui sunt Chloes*, & hos celans, & illos in medium adducens: erat enim verisimile illos per hos declarasse. Hic autem, id quod vobis deerat, ipsi suppleverunt, & refecerunt meum spiritum & vestrum: ostendens eos venisse pro omnibus, & sua sponte tantam suscepisse peregrinationem. Quomodo ergo quod est proprium fiet commune? Si D quod vobis defuit reparetis per vestram in eos benevolentiam, si eos honoretis, si excipiatis, si beneficentiæ communicetis. Et ideo dicit: *Cognoscite ergo qui ejusmodi sunt.* Et laudans eos qui convenerant, eos quoque cum laude conjungit qui missi erant, & qui miserant, dicens: Refecerunt meum spiritum & vestrum. Cognoscite ergo qui sunt ejusmodi, quoniam propter vos patriam & domum reliquerunt. Vidistin' prudentiam? Non solum Paulo, sed illis etiam eos ostendit esse gratificatos, quod totam civitatem in se circumferant: quod eos etiam reddebat fide E dignos, & non sinebat eos ab illis abscindi, tamquam qui per ipsos ad Paulum essent adducti. 19. *Salutant vos omnes ecclesiæ Asiæ.* Semper cogit & conglutinat membra per salutationem. *Salutant vos in Domino multum Aquila & Priscilla.* Apud eos enim manebat, cum esset contextor tabernaculorum. *Cum domestica sua ecclesia.* Hoc quoque non parva est virtus, quod domum fecissent ecclesiam. 20. *Salutant vos omnes fratres. Salutate invicem in osculo*

1. Cor. 1. 11.

*Sancto.* Hoc sancti osculi hic solum ponit additamentum. Quamobrem? Valde inter se dissidebant, quod dicerent: Ego quidem sum Pauli, ego autem Apollo, ego autem Cephas, ego vero Christi: eo quod alius quidem esuriret, alius vero esset ebrius: eo quod haberent pugnas, & æmulationes, & lites ac judicia, & ex donis magna esset invidia, magna superbia & arrogantia. Postquam ergo eos conjunxit per exhortationem, merito etiam jubet conjungi per osculum sanctum. Hoc enim unit, & unum corpus facit. Hoc est Sanctum, quod non est cum dolo & simulatione. 21. *Salutatio mea manu Pauli.* Ostendit magno studio compositam fuisse epistolam; & ideo hoc adjecit: 22. *Si quis non amat Dominum nostrum Jesum Christum, sit anathema.*

3. Per unum hoc verbum omnes terruit, qui membra sua faciebant membra meretricis; eos qui fratres offendebant per immolata idolis, eos qui nominabantur ex hominibus, eos qui non credebant resurrectioni. Non solum autem terruit, sed etiam ostendit viam virtutis, & fontem vitii. Sicut enim quæ vehemens fuerit caritas, exstinguit & expellit omnes peccatorum species; ita etiam quando fuerit imbecillior, facit ea germinare. *Maranatha*, Quanam de causa hoc dictum est? & cur voce Hebraïca? Quoniam omnium malorum causa erat fastus. Hunc autem fastum efficiebat externa sapientia: & hoc fuit caput malorum, quod maxime divulsit ac divisit Corinthum: eorum fastum comprimens, ne Græca quidem, sed Hebræa lingua est usus, ostendens se non modo non pudere simplicitatis & imperitiæ, sed eam etiam vehementissime & ardentissime complecti. Quid est autem Maranatha? *Dominus noster venit.* Quanam ergo de causa hoc ipsum dicit? Dispensationis Domini sermonem confirmans, eo quod ex iis maxime composuerit semina resurrectionis. Nec hoc solum, sed illos etiam pudore afficiens. Quasi diceret: Communis omnium Dominus tantum dignatus est descendere: vos autem in iisdem estis, & peccare perseveratis? Non summam caritatem obstupescitis & admiramini, quod est caput bonorum? Hoc solum, inquit, cogita, & tibi sufficiet ad profectum in omni virtute, & omne peccatum poteris exstinguere. 23. *Gratia Domini nostri Jesu Christi vobiscum.* Hoc est doctoris, non solum consiliis opem ferre, sed etiam votis ac precibus. 24. *Caritas mea cum omnibus vobis in Christo Jesu, amen.* Nam ne existimarent quod eis assentans in hoc desierit, dicit: In Christo Jesu. Nihil enim habet humanum, neque carnale, sed est quædam dilectio spiritualis. Quamobrem ea est valde germana & sincera; nam valde amantis erat verbum. Quia enim loco distabat, tamquam alicujus dexteræ extensione, caritatis manibus eos complectitur,

Fastus quot malorum causa.

A ταύτην τὴν τοῦ ἁγίου φιλήματος ἐνταῦθα μόνον τίθησι προσθήκην. τί δήποτε; σφόδρα διεσχίζοντο ἀλλήλων τῷ λέγειν, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ· τῷ, τὸν μὲν πεινᾷν, τὸν δὲ μεθύειν· τῷ, μάχας καὶ ζηλοτυπίας καὶ κρίματα ἔχειν. καὶ ἀπὸ τῶν χαρισμάτων πολὺς ὁ φθόνος ἦν, πολλὴ ἡ ὑπερηφανία. ἐπεὶ οὖν αὐτοὺς συνῆψε διὰ τῆς παραινέσεως, εἰκότως κελεύει καὶ διὰ τοῦ φιλήματος τοῦ ἁγίου συνάπτεσθαι. τοῦτο γὰρ ἑνοῖ, καὶ ἓν τίκτει σῶμα· τοῦτο B ἅγιόν ἐστι, τὸ μὴ μετὰ δόλου καὶ ὑποκρίσεως. ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. δείκνυσι μετὰ πολλῆς σπουδῆς τὴν ἐπιστολὴν συντεθεῖσαν· διὸ καὶ τοῦτο προσέθηκεν· εἴ τις οὐ φιλεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα.

Δι' ἑνὸς τούτου ῥήματος πάντας ἐφόβησε, τοὺς τὰ μέλη αὐτῶν ποιοῦντας πόρνης μέλη, τοὺς σκανδαλίζοντας τοὺς ἀδελφοὺς διὰ τῶν εἰδωλοθύτων, τοὺς ἀπ' ἀνθρώπων ὀνομαζομένους, τοὺς τῇ ἀναστάσει διαπιστοῦντας· οὐκ ἐφόβησε δὲ μόνον, ἀλλὰ καὶ ἔδειξε τῆς ἀρετῆς τὴν ὁδὸν, καὶ τῆς κακίας τὴν C πηγήν. ὥσπερ γὰρ σφοδρὰ περὶ αὐτὸν ἡ ἀγάπη γινομένη, πάντα τῶν ἁμαρτημάτων τὰ εἴδη καταβέννυσι καὶ ἐξωθεῖ· οὕτως ὅταν ἀσθενεστέρα ᾖ, βλαστάνειν ταῦτα ποιεῖ. Μαραναθά. τίνος ἕνεκεν τοῦτο εἴρηται; τί δήποτε καὶ Ἑβραΐδι φωνῇ; ἐπειδὴ πάντων τῶν κακῶν ὁ τῦφος αἴτιος ἦν· τοῦτον δὲ τὸν τῦφον ἡ ἔξωθεν σοφία ἐποίει, καὶ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν ἦν, ὃ μάλιστα τὴν Κόρινθον διέσπασε, καταστέλλων αὐτῶν τὸν τῦφον, οὐδὲ Ἑλλάδι κέχρηται γλώσσῃ ἀλλὰ τῇ Ἑβραΐδι, δεικνὺς ὅτι οὐ μόνον οὐκ αἰσχύνεται τὴν ἰδιωτείαν, ἀλλὰ καὶ μετὰ D πολλῆς ἀσπάζεται τῆς θερμότητος. τί δέ ἐστι Μαραναθά; ὁ κύριος ἡμῶν ἦλθε. τίνος οὖν ἕνεκεν αὐτὸ τοῦτό φησι; τὸν τῆς οἰκονομίας βεβαιῶν λόγον, ἐξ ὧν μάλιστα τὰ σπέρματα τῆς ἀναστάσεως συνετίθηκεν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐκείνους ἐντρέπων· ὡσανεὶ ἔλεγεν, ὁ κοινὸς πάντων δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐστε, καὶ ἐπιμένετε ἁμαρτάνοντες; καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολὴν, τῶν ἀγαθῶν τὸ κεφάλαιον; ἐννόησον γὰρ τοῦτο μόνον, φησὶ, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπὴν, καὶ πᾶσαν δυνήσῃ κα- E τασβέσαι ἁμαρτίαν. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. τοῦτο διδασκάλου, τὸ μὴ μόνον συμβουλαῖς, ἀλλὰ καὶ εὐχαῖς βοηθεῖν. ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, ἀμήν. ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι κολακεύων αὐτοὺς εἰς τοῦτο κατέληξε, φησιν· ἐν Χριστῷ Ἰησοῦ. οὐδὲν γὰρ ἀνθρώπινον ἔχει, οὐδὲ σαρκικὸν, ἀλλὰ πνευματική τίς ἐστι. διὸ σφόδρα γνησία· καὶ γὰρ σφόδρα ἐρῶντος τὸ ῥῆμα ἦν. καὶ γὰρ ἐπειδὴ διειστήκει τῷ τόπῳ, καθάπερ δεξιᾶς τινος ἐκτάσει, τῇ τῆς ἀγάπης αὐτοὺς χειρὶ περι-

περιλαμβάνει λέγων, ἡ ἀγάπη μου μεθ' ὑμῶν, ὡσανεὶ ἔλεγε, μετὰ πάντων ὑμῶν ἐγώ. δι' ὧν δείκνυσιν, ὅτι οὐ θυμοῦ, οὐδὲ ὀργῆς ἦν τὰ γραφέντα, ἀλλὰ κηδεμονίας, ὅπουγε μετὰ τοσαύτην κατηγορίαν οὐκ ἀποστρέφεται, ἀλλὰ καὶ φιλεῖ, καὶ περιλαμβάνει πόρρωθεν αὐτοὺς ὄντας, διὰ τῶν ἐπιστολῶν καὶ τῶν γραμμάτων τούτων αὐτοῖς περιχυθείς. οὕτω γὰρ τὸν διορθοῦντα δεῖ ποιεῖν· ὡς ὅγε ὀργῇ μόνον ποιῶν, οἰκεῖον πάθος πληροῖ· ὁ δὲ μετὰ τὸ διορθῶσαι τὸν ἁμαρτάνοντα, καὶ τὰ τῆς ἀγάπης ἐπιδεικνύμενος, δείκνυσιν ὅτι κἀκεῖνα φιλοστοργίας ἦν, ὅσα ἐπιπλήττων ἔλεγεν. οὕτω δὴ καὶ ἡμεῖς ἀλλήλους παιδεύωμεν, καὶ μήτε ὁ ἐλέγχων ὀργιζέσθω, οὐ γὰρ διορθώσεως τοῦτο, ἀλλὰ πάθους, μήτε ὁ ἐλεγχόμενος δυσχεραινέτω. ἰατρεία γὰρ τὸ γινόμενον, οὐκ ἀπέχθεια. εἰ δὲ ἰατρῶν παῖδες καίουσι καὶ οὐκ ἐγκαλοῦνται, πολλάκις καὶ διαμαρτάνοντες τοῦ τέλους, ἀλλὰ καὶ ἀλγοῦντες οἱ καιόμενοι καὶ τεμνόμενοι, εὐεργέτας εἶναι νομίζουσι τοὺς τὴν ἀλγηδόνα ταύτην διεγείροντας· πολλῷ μᾶλλον τὸν δεχόμενον ἔλεγχον οὕτω διακεῖσθαι χρὴ, καὶ ὡς ἰατρῷ προσέχειν τῷ διορθοῦντι, ἀλλ' οὐχ ὡς ἐχθρῷ. καὶ ἡμεῖς δὲ οἱ ἐπιτιμῶντες προσίωμεν μετὰ πολλῆς τῆς ἡμερότητος, μετὰ πολλῆς τῆς συνέσεως, κἂν ἴδῃς τὸν ἀδελφὸν πλημμελοῦντα, ὡς ὁ Χριστὸς ἐκέλευσε, μὴ δημοσίευε τὸν ἔλεγχον, ἀλλὰ μεταξύ σου καὶ αὐτοῦ μόνου, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων κειμένῳ, ἀλλὰ ἀλγῶν καὶ τηκόμενος· καὶ ἕτοιμον σαυτὸν παρέχε καὶ πρὸς τὸ ἐλέγχεσθαι, εἴ τι διαμαρτάνοις· ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, καθ' ὑπόθεσιν τὸν λόγον γυμνάσωμεν. μὴ γὰρ δὴ γένοιτο ἐπὶ τῆς ἀληθείας αὐτῆς εὐπορῆσαι παραδείγματος τοιούτου. ἔστω τὶς ἀδελφὸς παρθένῳ συνοικῶν, κόσμιος μὲν καὶ σώφρων, πλὴν ἀλλὰ μηδὲ οὕτω διαφευγέτω τὴν πονηρὰν δόξαν· ἂν τοίνυν ἀκούσῃς θρυλλουμένην τὴν συνοίκησιν ταύτην, μὴ καταφρονήσῃς, μηδὲ εἴπῃς· αὐτὸς γὰρ οὐ κέκτηται νοῦν; αὐτὸς γὰρ οὐκ οἶδε τί τὸ συμφέρον; εἰκῇ φιλοῦ, καὶ μὴ μισοῦ εἰκῇ· τί γάρ μοι μέλει ἔχθραν ἀναδέξασθαι περιττήν; ταῦτα ληρώδη ῥήματα τῶν θηρίων, μᾶλλον δὲ τῶν δαιμόνων. οὐ γάρ ἐστιν εἰκῇ μισεῖσθαι τὸν ἐπὶ διορθώσει τοῦτο ποιοῦντα, ἀλλ' ἐπὶ μεγάλοις ἀγαθοῖς καὶ στεφάνοις ἀπορρήτοις. εἰ δὲ λέγοις, τί γὰρ, αὐτὸς οὐκ ἔχει νοῦν; ἀκούσῃ παρ' ἡμῶν, ὅτι οὐκ ἔχει· μεθύει γὰρ τῷ πάθει. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων οἱ ἀδικούμενοι οὐκ ἂν δύναιντο εἰπεῖν ὑπὲρ ἑαυτῶν ζέοντες τῇ ὀργῇ, καίτοιγε οὐκ ἔστιν ἔγκλημα ἡ συμπάθεια αὕτη· πόσῳ μᾶλλον οἱ συνηθείᾳ πονηρᾷ κατεχόμενοι. διὰ τοῦτο λέγω, ὅτι κἂν μυριάκις ᾖ φρόνιμος, οὐκ ἔχει νοῦν ἐγρηγορότα. τί γὰρ τοῦ Δαυὶδ συνετώτερον ἦν, ἀνθρώπου λέγοντος, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι; ἀλλ' ὅτε τὴν τοῦ στρατιώτου γυναῖκα εἶδεν ὀφθαλμοῖς ἀδίκοις,



A dicens: caritas mea vobiscum: quasi diceret: Sum cum vobis omnibus. Per quæ ostendit non esse indignationis & iræ quæ scripta sunt, sed curæ quam eorum gerit, cum post tantam accusationem eos non aversetur, sed amet & complectatur, cum essent procul remoti, per epistolas & has literas eis quasi circumfusus. Sic oportet facere eum qui corrigit. Nam qui ira incitatus solum facit, implet suam animi perturbationem. Qui autem postquam correxit peccantem, caritatem quoque exhibet, ostendit illa quoque esse benevolentiæ quæ dicebat increpans. Sic nos quoque B alter alterum erudiamus & castigemus: & neque qui arguit, irascatur; non est enim hoc correctionis, sed animi perturbationis; neque qui arguitur, ægre ferat. Quod fit enim est medicina; non odium & inimicitiæ. Si autem medici urunt, & non reprehenduntur, etiamsi sæpe aberrent a fine; sed & qui dolent, dum uruntur & secantur, beneficio se affici existimant ab iis qui hunc dolorem excitant: multo magis eum qui suscipit reprehensionem ita affici oportet, ut eum qui corrigit pro medico habeat, non pro inimico. Porro nos C quoque qui increpamus, accedamus cum multa mansuetudine, & cum multa prudentia. Et si videris fratrem tuum delinquentem, sicut Christus jussit, noli in publicum proferre reprehensionem, sed eum reprehende inter te & ipsum solum: non exprobrans, nec jacenti insultans, sed docens & ægre ferens: & te ipsum quoque exhibe paratum ut reprehendaris, si quid pecces. Ut autem quod dico fiat apertius, per hypothesim quod dicimus exerceamus. Absit enim ut in veritate hoc nobis exemplum suppeditetur. Sit frater aliquis habitans cum virgine, honestus quidem & pu- D dicus; sed ne sic quidem malam effugiat existimationem. Si ergo audieris hanc in ore vulgi esse habitationem, ne despexeris, neque dixeris: Annon ipse sapit? annon novit quid expediat? Sine causa ameris, ne sis odio sine causa. Quid enim mihi curæ est supervacaneas suscipere inimicitias? Hæc sunt verba delira bestiarum, vel potius dæmonum. Non potest enim fieri ut temere & sine causa odio habeatur qui hoc facit ob correctionem, sed ut magna bona, coronas ineffabiles consequatur. Si autem dicas: Quid vero, non ipse E sapit? audies a nobis eum non sapere, est enim affectu ebrius. Si enim in externis judiciis ii qui injuria afficiuntur, non possunt pro se dicere, ut qui ira ferveant, quamquam non est vitium hæc commiseratio: multo magis ii qui mala tenentur consuetudine. Propterea dico, etiamsi millies sit sapiens, mentem non habet vigilantem. Quid enim erat Davide sapientius qui dicebat? *Incerta & occulta sapientiæ tuæ manifestasti mihi?* Psal. 50. 7. Sed quando injustis oculis vidit uxorem militis, tunc di-

cebat id sibi accidere quod iis qui navigant in mari furenti: Omnis sapientia ejus est absorpta, & opus habebat aliis qui corrigerent, nec sentiebat quidem in quibus & quantis intus versaretur malis. Quamobrem sua deflens peccata dicebat: *Sicut onus grave gravatæ sunt super me. Putruerunt & corruptæ sunt cicatrices meæ a facie insipientiæ meæ.* (Psal. 37. 4.)

4. Non sapit ergo nec mentem habet qui peccat, est enim ebrius, & ejus caligant oculi. Ne hæc ergo dicas, neque illud addas: non est mihi curæ: unusquisque enim suum onus portabit. Etenim vel maximum tibi crimen oritur, quod cum vidisses errantem, in viam non reduxeris. Si enim jumentum inimici in Judæorum lege non licet despicere: qui non jumentum, neque inimici animam, sed amici despicit, quamnam assequetur veniam? Neque enim ad nostram sufficit excusationem quod ille mentem habeat. Nam nos quoque qui sæpe multas dedimus admonitiones, nobis non sufficimus, nec sumus utiles. De illo ergo peccante hoc quoque considera, quod consentaneum sit eum a te magis quam a seipso optimum accipere consilium. Neque dicas, Quid hæc sunt mihi curæ? Time eum qui primus dixit hoc verbum. Nam illud, *Numquid sum custos fratris mei?* (Gen. 4. 9.) eodem quo hoc recidit. Hinc mala nascuntur omnia, quod quæ sunt nostri corporis aliena esse ducimus. Quid dicis? Frater non est tibi curæ? Sed cui erit curæ? Infideline qui ejus malis lætatur, exprobratque, & insultat? At diabolo qui impellit & supplantat? Et undenam hoc? quod non proficiam dicens & consulens quæ oportet. Undenam autem est perspicuum quod non proficies? Hoc est enim extremæ amentiæ, cum in incerto sit finis, certum subire crimen negligentiæ. Atqui Deus futura præsciens, sæpe dixit, & nihil profecit, & neque sic destitit: idque cum sciret se non persuasurum. Si autem qui præscivit se nihil plus effecturum, non desistit corrigere, quamnam habebis excusationem qui futurum omnino ignoras, pigrescisque & torpescis? Etenim multi sæpe aggressi profecerunt, & cum maxime desperassent, tunc maxime sunt assequuti. Quod si etiam nihil amplius effeceris, fecisti quod tuum est. Ne sis ergo inhumanus, neque immisericors, neque negligens. Nam quod hæc verba sint crudelitatis & socordiæ, illinc est perspicuum. Cur enim cum unum ex tuis membris laborat, non dicis: Quid mihi curæ, & unde mihi constabit, quod si ejus curam geram, convalescet? sed omnia facis, ut etiamsi nihil juveris, te non possis reprehendere, quod aliquid sit prætermissum eorum quæ debent fieri. An vero cum membrorum quidem corporis tantam curam geramus, membra Christi

A τότε ὥσπερ ἐπὶ τῆς θαλάττης τῆς μαινομένης τοὺς ἐμπλέοντας πάσχειν ἔλεγε, πᾶσα ἡ σοφία αὐτοῦ κατεπόθη, καὶ ἑτέρων ἐδεῖτο τῶν διορθωσόντων, καὶ οὐδὲ ᾐσθάνετο οἵων κακῶν ἦν ἐντός. διὸ καὶ θρηνῶν τὰ ἁμαρτήματα αὐτοῦ, ἔλεγεν· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν, καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Οὐ τοίνυν ἔχει νοῦν ὁ ἁμαρτάνων· μεθύει γὰρ καὶ ἐσκότωται. μὴ δὴ ταῦτα λέγε, μηδὲ προστίθει ἐκεῖνο, ὅτι οὐδέν μοι μέλει· ἕκαστος γὰρ τὸ ἴδιον φορτίον B βαστάσει. καὶ γὰρ καὶ σοὶ μέγιστον ἔγκλημα φύεται, ὅτι πεπλανημένον ἰδὼν οὐκ ἀνέστησας. Εἰ γὰρ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ κατὰ τὸν Ἰουδαίων νόμον περιορᾶν οὐ χρή, ὁ μὴ ὑποζύγιον, μηδὲ ἐχθροῦ ψυχὴν ἀπολλυμένην [a] περιορῶν, ἀλλὰ φίλου, ποίαν ἕξει συγγνώμην; οὐδὲ γὰρ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ νοῦν ἔχειν ἐκεῖνον· ἐπεὶ καὶ ἡμεῖς πολλὰ πολλάκις παραινέσαντες, ἑαυτοῖς οὐκ ἠρκέσαμεν, οὐδὲ ἐγενόμεθα χρήσιμοι. τοῦτο τοίνυν καὶ περὶ ἐκείνου σκόπει τοῦ πλημμελοῦντος, ὅτι εἰκὸς αὐτὸν παρὰ σοῦ μᾶλλον, ἢ παρ' ἑαυτοῦ δέξασθαι συμβουλίαν C ἀρίστην· καὶ μὴ λέγε, τί δέ μοι μέλει τούτων; φοβήθητι τὸν πρῶτον εἰρηκότα τοῦτο τὸ ῥῆμα· τὸ γάρ, μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; εἰς ταὐτὸν φέρει τούτῳ· ἐντεῦθεν τὰ κακὰ τίκτεται πάντα, ὅτι τὰ τοῦ σώματος τοῦ ἡμετέρου ἀλλότρια ἡγούμεθα εἶναι. τί φῄς; οὐδέν σοι μέλει τοῦ ἀδελφοῦ; ἀλλὰ τίνι μελήσει; τῷ ἀπίστῳ, τῷ ἐπιχαίροντι καὶ ὀνειδίζοντι καὶ ἐναλλομένῳ; ἀλλὰ τῷ διαβόλῳ, τῷ ὠθοῦντι καὶ ὑποσκελίζοντι; καὶ πόθεν τοῦτο; ὅτι οὐκ ἀνύω, φησί, λέγων καὶ συμβουλεύων τὰ δέοντα. πόθεν δὲ δῆλον ὅτι οὐκ ἀνύσεις; καὶ γὰρ τοῦτο πάλιν D ἐσχάτης ἀνοίας, ἐν ἀδήλῳ τοῦ τέλους κειμένου, ῥᾳθυμίας ὡμολογημένης ἐγκλήματα δέχεσθαι. καίτοι ὁ θεὸς τὰ μέλλοντα προειδώς, πολλάκις εἶπε, καὶ οὐκ ἤκουσε, καὶ οὐδὲ οὕτως ἀπέστη, καὶ ταῦτα εἰδώς, ὅτι οὐ μέλλει πείθειν. Εἰ δὲ ὁ προειδὼς ὅτι οὐδὲν πλέον ποιήσει, τοῦ διορθοῦν οὐκ ἀφίσταται, τίνα ἕξεις ἀπολογίαν ὁ ἀγνοῶν τὸ μέλλον παντελῶς, καὶ ἐκλυόμενος καὶ ναρκῶν; καὶ γὰρ πολλάκις ἐπιχειρήσαντες ἤνυσαν πολλοί· καὶ ὅτε μάλιστα ἀπέγνωσαν, τότε μάλιστα ἐπέτυχον. ἂν δὲ καὶ μηδὲν ποιήσῃς πλέον, τὸ σαυτοῦ πεποίηκας. μὴ τοίνυν ἀπάνθρωπος γίνου, E μήτε ἀνηλεής, μήτε ὀλίγωρος. ὅτι γὰρ ὠμότητος ταῦτα τὰ ῥήματα καὶ ῥᾳθυμίας, δῆλον ἐκεῖθεν. τίνος γὰρ ἕνεκεν, ἑνὸς τῶν μελῶν τοῦ σώματός σου κάμνοντος, οὐ λέγεις, τί μοι μέλει; καὶ πόθεν δῆλον, ὅτι εἰ ἐπιμελείας τυγχάνει, ὑγιαίνει; ἀλλὰ πάντα ποιεῖς, ἵνα κἂν μηδὲν ὠφελήσῃς, μὴ ἔχῃς ἐγκαλεῖν σεαυτῷ, ὅτι τῶν ὀφειλόντων γενέσθαι τι παρελείφθη. Εἶτα τῶν μὲν τοῦ σώματος οὕτω φροντίζομεν μελῶν, τῶν δὲ τοῦ Χριστοῦ

a περιορῶν. Alius, παρορῶν.

ἀμελήσομεν; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; Εἰ γάρ σε μὴ κατακάμπτω λέγων, ὅτι τοῦ μέλους σου φρόντισον, ἵνα κἂν τῷ φόβῳ γένῃ βελτίων, τοῦ σώματός ἀναμιμνήσκω σε τοῦ Χριστοῦ. πῶς γὰρ οὐ φρίκης ἄξιον σηπομένην αὐτοῦ τὴν σάρκα ὁρᾷν, καὶ περιορᾷν; καὶ εἰ μὲν οἰκέτην ἔχοις, ἢ ὄνον σηπεδόνα ἔχοντα, οὐκ ἂν ἀνάσχοιο περιιδεῖν· τὸ δὲ σῶμα τοῦ Χριστοῦ ψώρας ὁρῶν ἐμπεπλησμένον, παρατρέχεις; καὶ οὐχ ἡγῇ ταῦτα μυρίων ἄξια εἶναι κεραυνῶν; διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, διὰ τὴν ἀπανθρωπίαν ταύτην, διὰ τὴν ῥᾳθυμίαν. διὸ δή, παρακαλῶ, ταύτην ἐκβάλωμεν τὴν ὠμότητα· πρόσελθε ἐκείνῳ τῷ συνοικοῦντι τῇ παρθένῳ, καὶ εἰπὲ μικρὸν ἐγκώμιον τοῦ ἀδελφοῦ, ἀπὸ τῶν ἄλλων ὧν ἔχει πλεονεκτημάτων αὐτὸ συντιθείς· καὶ ὥσπερ ὕδατι θερμῷ περικλύζων τοῖς ἐπαίνοις, οὕτω χάλασον αὐτοῦ τὸν ὄγκον τοῦ τραύματος. ταλάνισον καὶ σαυτὸν, κατηγόρησον τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους, δεῖξον ὅτι πάντες ἐν ἁμαρτήμασι τυγχάνομεν· αἴτησον συγγνώμην, εἰπὼν, ὅτι μείζοσι σαυτοῦ πράγμασιν ἐπιχειρεῖς, ἀλλ' ἡ ἀγάπη πάντα πείθει τολμᾷν. εἶτα συμβουλεύων, μὴ ἐπιτακτικῶς, ἀλλ' ἀδελφικῶς τοῦτο ποίει. καὶ τούτοις πᾶσι χαλάσας τὴν φλεγμονὴν, καὶ παραμυθησάμενος τὴν ἀλγηδόνα τὴν ἐκ τῆς τομῆς συμβαίνουσαν τοῦ μέλλοντος ἐλέγχου γίνεσθαι, καὶ πολλάκις τῇ παραιτήσει χρησάμενος, καὶ παρακαλέσας μὴ ὀργισθῆναι, ὅταν αὐτὸν καταδήσῃς τούτοις, τότε ἔπαγε τὴν πληγὴν, μήτε δεσμῶν τὸ πρᾶγμα, μήτε ἐκλύων, ἵνα μήτε ἐκεῖθεν ἀποπηδήσῃ, μήτε ἐντεῦθεν καταφρονήσῃ. ἄν τε γὰρ μὴ καιρίαν δῷς, οὐδὲν ἐργάσῃ πλέον· ἂν δὲ σφοδρὰς πλήξῃς, ἀποσκιρτῆσαι ἐποίησας. διὸ δὴ καὶ μετὰ ταῦτα πάντα ἐλέγχειν μέλλων, ἀνάμιξον πάλιν ἐγκώμιον τοῖς ἐλέγχοις. καὶ ἐπειδὴ αὐτὸ καθ' ἑαυτὸ τὸ γινόμενον οὐ δύναται εἶναι ἐγκώμιον· οὐ γὰρ ἄξιον ἐπαίνου τὸ κόρῃ συνοικεῖν παρθένῳ· ἀπὸ τῆς γνώμης τοῦ συνοικοῦντος τοῦτο ἐργάζου, καὶ εἰπὲ, ὅτι οἶδα μὲν ὅτι διὰ τὸν θεὸν σὺ ποιεῖς, καὶ τὴν ἐρημίαν καὶ τὸ ἀπροστάτευτον τῆς ἀθλίας ἐκείνης ἰδὼν χεῖρα ὤρεξας. κἂν μὴ ταύτῃ ποιῇ τῇ γνώμῃ, σὺ οὕτω λέγε, καὶ μετὰ τοῦτο πρόσθες καὶ ταῦτα· πάλιν παραιτήσει χρώμενος, καὶ λέγων, ὅτι οὐκ ἐπιτάττων, ἀλλ' ὑπομιμνήσκων ταῦτά φημι· διὰ τὸν θεὸν σὺ ποιεῖς· οἶδα κἀγώ· ἀλλ' ἴδωμεν μὴ τίκτηται ἐκ τούτου κακὸν ἕτερον. κἂν μὲν μηδὲν ᾖ, κάτεχε ἔνδον, καὶ ἔχου τῆς καλῆς ταύτης σπουδῆς· ὁ κωλύων οὐδείς. ἂν δὲ βλάβη τις ἐντεῦθεν γίνηται τοῦ κέρδους μείζων, φυλαξώμεθα, παρακαλῶ, μὴ σπεύδοντες μίαν ἀναπαῦσαι ψυχὴν, μυρίας σκανδαλίσωμεν. καὶ μὴ προσθῇς εὐθέως τὰ κείμενα τοῖς σκανδαλίζουσι κολαστήρια, ἀλλὰ τὴν αὐτοῦ προσλάμβανε μαρτυρίαν, λέ-

A negligemus? Et ubinam hæc merentur veniam? Nam si te non inflecto dicens, Membri tui curam gere, ut vel metu fias melior, tibi in memoriam revoco corpus Christi. Quomodo enim non est horrendum putrescentem carnem tuam aspicere & despicere? Et si haberes quidem famulum aut asinum laborantem putredine, non sustineres despicere; Christi autem corpus videns repletum scabie, prætercurris? Et non existimas hæc esse digna mille fulminibus? Propterea omnia susque deque miscentur, propter hanc inhumanitatem, propter hanc negligen-
B tiam. Idcirco rogo hanc expellamus crudelitatem. Accede ad illum qui habitat cum virgine, & parvum dic fratris encomium ex aliis quæ habet commodis & dotibus id componens, & tamquam aqua calida fovens laudibus, ita deprime tumorem ejus vulneris: te quoque ipsum pronuncia miserum, accusa commune genus humanum, ostende nos omnes esse in peccatis, pete veniam, dicens te majora aggredi quam quæ vires tuæ ferre possint; sed caritas persuadet omnia audere. Deinde consulens, hoc fac non tamquam imperans, sed ut frater: &
C cum his omnibus tumorem depresseris, & lenieris dolorem qui accidit ex sectione futuræ reprehensionis, & sæpe usus fueris excusatione, rogaverisque ne irascatur, cum eum his ligaveris, tunc plagam inflige, nec vulnus alligans, nec dissolvens, ut neque illinc resiliat, neque hinc despiciat. Nam si violentum non dederis vulnus, nihil amplius efficies. Sin autem vehementer percusseris, efficies ut resiliat. Propterea & post hæc omnia reprehensurus, misce rursus encomium cum
D reprehensionibus. Et quoniam id quod fit ab eo, per se non potest esse encomium, non est enim laude dignum simul habitare cum puella virgine, hoc fac ex mente & instituto ejus qui simul habitat. Etsi enim scio, inquies, quod tu propter Deum facis, & illius miseræ videas calamitatem, & quod defensore careat & patrono, ei manum præbuisti; etiamsi non hoc animo faciat, tu dic ita: & postea hæc quoque adde, rursus utens excusatione, & dicens: Hæc dico, non jubens, sed in memoriam revocans. Propter Deum tu
E facis: Ego quoque id scio. Sed videamus num ex hoc aliquod aliud nascatur malum. Et si nullum quidem sit, intus contine, pulcrumque hoc & honestum studium persequere: nullus est qui vetet. Sin autem hinc nascitur aliquod damnum majus lucro, caveamus oro ne dum unam studemus recreare animam, mille offendamus. Nec statim addas supplicia proposita iis qui offendunt & scandalum afferunt, sed ejus quoque adsume testimo-

Fratres quomodo corrigendi.

nium, dicens: Non opus est ut hæc à me discas, tu ipse scis, si quis offendat unum, ex his pusillis, quanti supplicii intententur minæ: & cum sic lenieris orationem, & iram mitigaris, impone medicamentum correctionis. Si autem rursus causetur ejus solitudinem, ne sic quidem obtentum reprehenderis, sed dic ei: Nihil horum te terreat. Sufficientem habebis excusationem aliorum scandalum. Non enim propter socordiam: sed illorum curam gerens, destitisti ab hoc studio.

5. Et breve quidem sit consilium: non enim eget magna doctrina: venia autem sit multa & frequens: & continenter confuge ad caritatem, eorum quæ dicta sunt contegens gravitatem & molestiam, dansque ei potestatem & dicens: Ego quidem hæc suadeo & consulo, in tua autem potestate est ut persuadearis: neque enim cogo nec vim affero, sed totum permitto libero tuo arbitrio. Si reprehensionem ita tractemus, facile poterimus peccantes corrigere. Nam quæ nunc facimus, sunt magis bestiarum & rationis expertium quàm hominum. Nam si nunc quidem senserint aliqui quempiam hæc peccantem, illum quidem non alloquuntur, ipsi autem tamquam ebriæ aniculæ inter se susurrant: & illud, sine causa ameris, &, ne temere & sine causa odio habearis, nusquam apud illos videtur locum habere: sed quando cupiunt quidem accusare, despiciunt illud, Non sine causa odio haberi, imo vero etiam puniri. Neque enim hinc solum nascitur odium, sed etiam supplicium. Quando autem opus fuerit correctione, & hoc ipsum & mille alias afferunt excusationes & obtentus. Tunc enim, tunc illud cogitare oporteret quando accusas, quando criminaris, nempe ne temere & sine causa odio habearis, &, nihil proficio, & non est mihi curæ. Nunc autem, nunc quidem es vehementer inaniterque ac supervacanee curiosus, & odium despicis, & mala innumerabilia. Quando autem salutis fratris te curam gerere oporteret, tunc vis esse non curiosus & non gravis ac molestus. Atqui ex maledicentia quidem nascitur odium & apud homines & apud Deum. Et hoc non est tibi curæ. Ex eo autem quod das seorsum consilia, & ex ejusmodi reprehensionibus; & apud illum, & apud Deum erit tibi amicitia. Quod si etiam ipse te oderit, propterea Deus manet te magis diligens. Imo vero nec sic oderit, ut quando odio habebat maledicentem. Sed tunc quidem tamquam inimicum & hostem aversabitur: nunc autem existimabit te quovis patre magis reverendum. Quod si etiam aperte animo ægre ferat, seorsum apud se magnas tibi habebit gratias.

6. Hæc ergo cogitantes, curam geramus nostrorum membrorum: neque linguam alter in alterum acuamus: neque verba loquamur quæ demergant & obruant,

A γων· οὐ χρείαν ἔχεις μαθεῖν ταῦτα παρ' ἐμοῦ, οἶδας καὶ αὐτὸς ὅτι ἐάν τις ἕνα τῶν μικρῶν τούτων σκανδαλίσῃ, πόση ἠπείληται δίκη· καὶ οὕτως ἡδύνας τὸν λόγον, καὶ λεάνας τὴν ὀργὴν, ἐπίθες τὸ φάρμακον τῆς διορθώσεως. Εἰ δὲ προφασίζοιτο πάλιν τὴν ἐρημίαν αὐτῆς, μηδὲ οὕτως ἐλέγξῃς τὴν σκῆψιν, ἀλλ' εἰπὲ πρὸς αὐτόν· μηδέν σε τούτων φοβείτω, ἀπολογίαν ἕξεις ἀρκοῦσαν, τὸ ἑτέρων σκάνδαλον. οὐ γὰρ διὰ ῥαθυμίαν, ἀλλ' ἐκείνων κηδόμενος, ταύτης ἀπέστης τῆς σπουδῆς.

B Καὶ τὰ μὲν τῆς συμβουλῆς ἔστω ἐν βραχεῖ, οὐδὲ γὰρ δεῖται διδασκαλίας πολλῆς, τὰ δὲ τῆς συγγνώμης πάλιν πολλὰ καὶ ἐπάλληλα· καὶ ἐπὶ τὴν ἀγάπην καταφεύγε συνεχῶς, συσκιάζων τὸ φορτικὸν τῶν εἰρημένων, καὶ τὴν ἐξουσίαν αὐτῷ διδοὺς, καὶ λέγων· ὅτι ἐγὼ μὲν ταῦτα παραινῶ καὶ συμβουλεύω, τοῦ δὲ πεισθῆναι κύριος αὐτός. οὐδὲ γὰρ καταναγκάζω καὶ βιάζομαι, ἀλλὰ τῇ οἰκείᾳ σου τὸ πᾶν ἐπιτρέπω γνώμῃ. ἂν οὕτω μεταχειρίζωμεν τὸν ἔλεγχον, δυνησόμεθα ῥᾳδίως τοὺς ἁμαρτάνοντας διορθοῦν· ὡς ἄγε νῦν ποιοῦμεν, θηρίων μᾶλλόν ἐστι, καὶ
C ἀλόγων, ἢ ἀνθρώπων. ἂν γὰρ αἴσθωνταί τινες νῦν τοιαῦτα τινὸς ἁμαρτάνοντος, ἐκείνῳ μὲν οὐδὲν διαλέγονται, αὐτοὶ δὲ καθάπερ γραΐδια μεθύοντα ψιθυρίζουσι μετ' ἀλλήλων· καὶ οὐδαμοῦ τὸ, εἰκῇ φιλοῦ, εἰκῇ μὴ μισοῦ, ἐνταῦθα δοκεῖ χώραν ἔχειν αὐτοῖς. ἀλλ' ὅταν μὲν κατηγορῆσαι ἐπιθυμῶσι, καταφρονοῦσι τοῦ μὴ εἰκῇ μισεῖσθαι, μᾶλλον δὲ καὶ τοῦ κολάζεσθαι, οὐδὲ γὰρ μῖσος ἐντεῦθεν μόνον, ἀλλὰ καὶ κόλασις τίκτεται. ὅταν δὲ διορθώσεως δέῃ, τοῦτό τε αὐτὸ καὶ μυρίας ἑτέρας προφέρουσι προφάσεις. ταῦτα γὰρ τότε ἐννοεῖν ἐχρῆν, ὅταν κατηγορῇς,
D ὅταν διαβάλλῃς, τὸ εἰκῇ μὴ μισοῦ, καὶ τὸ οὐδέν μοι μέλει· νῦν δὲ τότε μὲν πολυπραγμονεῖς σφοδρῶς καὶ περιέργως, καὶ μίσους καταφρονεῖς καὶ μυρίων κακῶν· ὅταν δὲ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀδελφοῦ φροντίζειν δέῃ, τότε καὶ ἀπράγμων καὶ ἀνεπαχθής τις εἶναι βούλει· καίτοι ἀπὸ μὲν κατηγορίας, καὶ τὸ πρὸς ἀνθρώπους, καὶ τὸ πρὸς τὸν θεὸν γίνεται μῖσος, καὶ οὐ σφόδρα σοι τοῦτο μέλει· ἀπὸ δὲ τῆς κατ' ἰδίαν συμβουλῆς καὶ τῶν τοιούτων ἐλέγχων, καὶ πρὸς τοῦτον καὶ πρὸς τὸν θεὸν ἔσται σοι φιλία. ἂν δὲ καὶ αὐτὸς μισῇ, ὁ θεὸς μένει διὰ τοῦτο μᾶλλον φιλῶν· μᾶλλον
E δὲ οὐδὲ οὕτω μισήσει, ὡς ἡνίκα ἐμίσει κατηγοροῦντα· ἀλλὰ τότε μὲν ὡς ἐχθρὸν, καὶ πολέμιον ἀποστραφήσεται, νυνὶ δὲ πατρὸς ἡγήσεται παντὸς αἰδεσιμώτερον. κἂν φανερῶς δυσχεραίνῃ, κατὰ νοῦν καὶ ἰδίᾳ πολλὰς εἴσεταί σοι τὰς χάριτας.

Ταῦτα οὖν ἐννοοῦντες, ἐπιμελώμεθα τῶν μελῶν τῶν ἡμετέρων, καὶ μὴ κατ' ἀλλήλων τὴν γλῶτταν ἀκονῶμεν, μηδὲ λαλῶμεν ῥήματα καταποντισμοῦ

τὴν δόξαν τοῦ πλησίον ὑπορύττοντες, καὶ καθάπερ A ἐν πολέμῳ καὶ μάχῃ βάλλοντες, καὶ βαλλόμενοι. τί γὰρ ὄφελος νηστείας ἢ ἀγρυπνίας λοιπὸν, ὅταν γλῶττα μεθύῃ, καὶ κυνείων κρεῶν ἀκαθαρτοτέραν σιτῆται τράπεζαν, αἱμοβόρος γινομένη, καὶ προχέουσα βόρβορον, καὶ ἀμάρας ὀχετὸν τὸ στόμα ποιῇ, μᾶλλον δὲ καὶ πολὺ ταύτης βδελυρώτερον; τὸ μὲν γὰρ ἐκεῖθεν πρωϊὸν, σῶμα ἐμόλυνε· τὸ δὲ ἐντεῦθεν, ψυχὴν πολλάκις ἀπέπνιξε. ταῦτα οὐ τῶν κακῶς ἀκουόντων μάτην κηδόμενος λέγω· ἐκεῖνοι γὰρ καὶ στεφάνων εἰσὶν ἄξιοι, ὅταν φέρωσι γενναίως B τὰ λεγόμενα, ἀλλ᾽ ὑμῶν τῶν λεγόντων. τὸν μὲν γὰρ κακῶς ἀκούοντα μάτην μακαρίζουσιν αἱ γραφαί, τὸν δὲ κακῶς λέγοντα ἐκβάλλουσι τῶν ἱερῶν μυστηρίων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν περιβόλων. τὸν γὰρ καταλαλοῦντα, φησὶ, λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· καὶ τῆς τῶν ἱερῶν δὲ βίβλων τὸν τοιοῦτον ἀνάξιον εἶναί φησιν ἀναγνώσεως. ἵνα τί γάρ, φησιν, ἐκδιηγῇ σὺ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; εἶτα τὴν αἰτίαν τιθεὶς φησι, καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. καὶ ἐνταῦθα μὲν οὐ διώρισεν, C εἴτε ἀληθῆ, εἴτε ψευδῆ· ἀλλαχοῦ δὲ καὶ τοῦτο ἀπηγόρευσε, δεικνὺς ὅτι κἂν ἀληθῆ λέγῃς, οὐ σοὶ ταῦτα ῥητέα. μὴ κρίνετε γάρ, φησιν, ἵνα μὴ κριθῆτε· ἐπεὶ καὶ ὁ τὸν τελώνην κατηγορῶν κατεδικάζετο, καίτοιγε ἀληθῆ κατηγορῶν ἐκείνου. τί οὖν, ἂν ᾖ τις θρασὺς καὶ μιαρὸς, φησιν, οὐ διορθωτέον αὐτὸν, οὐδὲ ἐλεγκτέον ἡμῖν; ἐλεγκτέον, καὶ διορθωτέον· οὕτω δὲ ὡς ἔμπροσθεν εἶπον. ἐὰν δὲ ὀνειδίζων τοῦτο ποιῇς, ὅρα μὴ τὸν Φαρισαῖον ἐκεῖνον μιμούμενος, τὰ ἐκείνου πάθῃς. οὐδὲν γὰρ ἐντεῦθεν γίνεται κέρδος, οὐ σοὶ τῷ λέγοντι, οὐκ ἐκείνῳ τῷ ἀκούοντι οὕτω κατη- D γορουμένῳ. ἀλλ᾽ ὁ μὲν ἀναισχυντότερος γίνεται. ἕως μὲν γὰρ λανθάνει, καὶ αἰδεῖσθαι οἶδεν· ἐπειδὰν δὲ γένηται δῆλος καὶ καταφανὴς, καὶ τὸν ἐντεῦθεν ἐκβάλλει χαλινόν. ὁ δὲ ἀκούων, πάλιν μειζόνως βλαβήσεται. ἄν τε γὰρ κατορθώματα συνειδῇ ἑαυτῷ, φυσᾶται ταῖς ἑτέρου κατηγορίαις ὀγκούμενος· ἄν τε ἁμαρτήματα, προθυμότερος εἰς πονηρίαν καθίσταται. αὐτός τε ὁ λέγων πάλιν καὶ παρὰ τῷ ἀκούοντι πονηρὰν λήψεται δόξαν, καὶ τὸν θεὸν μειζόνως καθ᾽ ἑαυτοῦ παροξυνεῖ. διὸ, παρακαλῶ, πᾶν δυσῶ- E δες ἐκβάλωμεν ῥῆμα· εἴ τι ἀγαθὸν πρὸς οἰκοδομὴν, τοῦτο λέγωμεν. ἀλλ᾽ ἀμύνασθαι ἐκεῖνον ἐπιθυμεῖς; τί οὖν ἀντ᾽ ἐκείνου σαυτὸν ἀμύνῃ; ὁ γὰρ τοὺς λελυπηκότας ἀμύνασθαι σπουδάζων, οὕτως ὡς ὁ Παῦλος ἀμύνασθαι ἐκέλευσεν, ἀμύνου. ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. ἐὰν δὲ τοῦτο μὲν μὴ ποιῇς, ἐπιβουλεύῃς δὲ μόνον, κατὰ σεαυτοῦ τὸ ξίφος ὠθεῖς. διόπερ ἂν κακῶς ἐκεῖνος λέγῃ, ἐγκωμίοις αὐτὸν ἀμείβου καὶ ἐπαίνοις. οὕτω γὰρ κἀκεῖνον ἀμύνασθαι δυνήσῃ, καὶ σαυτὸν

proximi bonam famam subvertentes, & non secus atque in bello & pugna saucian- tes & sauciati. Quid enim jam prodest jejunium aut vigilia, quando ebria fuerit lingua, & caninis carnibus immundiorem mensam comedit, ut quæ sanguivora effecta sit, & cœnum effundat, & cloacæ canalem os faciat; imo vero eo longe impurius & magis abominandum? Nam quod illinc quidem procedit, corpus polluit: quod hinc autem, sæpe suffocat animam. Hæc dico, non eorum qui male audiunt, temere curam gerens; nam illi quoque digni sunt coronis, cum quæ dicuntur ferunt fortiter: sed vestrûm qui dicitis. Nam eum quidem qui temere & sine causa male audit, beatum pronunciant scripturæ; eum autem qui male dicit, a sanctis expellunt mysteriis, imo ab ipso ambitu ecclesiæ. Eum, inquit, qui clanculum detrahit de suo proximo, persequebar. Quinetiam eum dicit indignum lectione sacrarum litterarum. *Cur*, inquit, *tu enarras justificationes meas, & assumis testamentum meum per os tuum?* (Psal. 49. 16.) Deinde causam afferens dicit: *Sedens contra fratrem tuum loquebaris.* Et hic quidem non distinxit, sintne vera an falsa. Alibi autem hoc quoque prohibuit, ostendens quod etiamsi vera dicas, ea non sunt a te dicenda. *Nolite judicare, inquit, ut non judicemini.* (Matt. 7. 1.) Nam & qui publicanum maledictis insectabatur, est condemnatus, etsi vere illum accusabat. Quid vero si sit, inquis, quispiam audax & exsecrandus, non est ipse a nobis corrigendus & arguendus? Arguendus sane est & corrigendus: sed ita ut prius dixi. Sin autem hoc facis ei exprobrans, vide ne, dum Pharisæum illum imitaris, id tibi quod illi accidat. Nihil enim hinc redit lucri, non ad te qui dicis, non ad illum qui audit sic accusatus. Sed ille quidem evadit impudentior. Nam quamdiu quidem latet, scit erubescere. Postquam autem evaserit manifestus, id quod inde habebat frenum expellit. Qui autem audit, rursus magis lædetur. Nam sive rerum recte a se gestarum fuerit sibi conscius, inflatur, alterius tumens accusationibus; sive peccatorum, fit promtior & alacrior ad vitium. Et ipse rursus qui dicit, apud eum qui audit in mala erit existimatione, & Deum in se magis irritabit. Quamobrem rogo omne verbum obscœnum & fœtidum ejiciamus; si quid bonum ad ædificationem, hoc dicamus. At cupis illum ulcisci? Cur ergo te pro illo ulcisceris? Nam qui studes ulcisci eos qui tibi fuerunt molesti, ita ulciscere ut Paulus jussit ulcisci. Si esurit inimicus tuus, ciba illum; si sitit, da illi potum. (Rom. 12. 20.) Si autem hoc quidem non facis, solum autem insidiaris, in teipsum ensem stringis. Quamobrem si ille maledicat; orna eum laudibus, & encomiis. Sic enim & illum poteris ul-

cisci, & teipsum liberabis a mala suspicione. Nam qui dolet eo quod male audiat, hoc videtur pati ex mala conscientia; qui autem irridet ea quæ dicuntur, maximum profert indicium, quod nullius rei malæ sibi sit conscius. Cum ergo nec audienti, nec tibi, nec ei qui accusatur prosis, & in te ipsum stringas gladium, vel ex hoc ipso evade moderatior. Nam oportebat quidem persuaderi ex regno cælorum, & iis quæ Deo videntur ac placent. Sed quoniam es crassius affectus, & mordes tamquam fera, vel hinc erudiaris, & castigeris; ut his verbis modestior effectus, ex his solis quæ Deo videntur ac placent, possis componi ac concinnari, ut cum omni animi perturbatione superior evaseris, cælestia bona consequaris: quæ detur nobis omnibus consequi gratia & benignitate Domini nostri Jesu Christi, cum quo Patri cum Sancto spiritu sit gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A ἀπαλλάξεις πονηρᾶς ὑποψίας. ὁ μὲν γὰρ ἐπὶ τῷ κακῶς ἀκούειν ἀλγῶν, ἀπὸ συνειδότος δοκεῖ τοῦτο πάσχειν πονηροῦ· ὁ δὲ καταγελῶν τῶν λεγομένων, μέγιστον ἐκφέρει τεκμήριον τοῦ μηδὲν ἑαυτῷ συνειδέναι πονηρόν. ἐπεὶ οὖν οὔτε τὸν ἀκούοντα, οὔτε ἑαυτὸν, οὔτε τὸν διαβαλλόμενον ὠφελεῖς, καὶ κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, κἂν ἐντεῦθεν γενοῦ σωφρονέστερος. ἐχρῆν μὲν γὰρ ἀπὸ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῶν τῷ θεῷ δοκούντων πείθεσθαι· ἐπειδὴ δὲ παχύτερον διάκεισαι, B καὶ ὥσπερ θηρίον δάκνεις, κἂν ἐντεῦθεν παιδεύθητι, ἵνα τοῖς λόγοις τούτοις σωφρονισθεὶς, δυνηθῇς ἀπὸ τῶν τῷ θεῷ δοκούντων μόνον ῥυθμίζεσθαι, καὶ γενόμενος παντὸς πάθους ἀνώτερος ἐπιτύχοις τῶν οὐρανίων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν C αἰώνων, ἀμήν.

*D. Joannis Chrysostomi in primam ad Corinthios Epistolam Commentarii finis.*

ΤΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

## ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους δευτέραν ἐπιστολήν.

SANCTI PATRIS NOSTRI

# JOANNIS

## CHRYSOSTOMI

Archiepiscopi Constantinopolitani.

*In secundam ad Corinthios Epistolam Commentarius.*

---

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως. ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν, εἰς B τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ.

A 1. *Paulus apostolus Jesu Christi per voluntatem Dei, & Timotheus frater, ecclesiæ Dei quæ est Corinthi, cum omnibus Sanctis, qui sunt in universa Achaïa. 2. Gratia vobis & pax a Deo Patre & Domino nostro Jesu Christo. 3. Benedictus Deus, & Pater Domini nostri Jesu Christi, Pater misericordiarum, & Deus totius consolationis, 4. Qui consolatur nos in omni tribulatione nostra; ut possimus & ipsi consolari eos, qui in omni pressura sunt, per consolationem, qua ipsi consolamur a Deo.* CAP. I.

ΑΞΙΟΝ ζητῆσαι πρότερον, τίνος ἕνεκεν δευτέραν προστίθησιν ἐπιστολὴν τῇ προτέρᾳ, καὶ τί δήποτε οὕτως ἄρχεται ἀπὸ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, καὶ τῆς παρακλήσεως. τίνος οὖν ἕνεκεν δευτέραν προστίθησιν; Εἰπὼν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ὅτι ἐλεύσομαι πρὸς ὑμᾶς, καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· καὶ πρὸς τῷ τέλει πάλιν προσηνέστερον αὐτὸ τοῦτο ὑποσχόμενος, ἐλεύσομαι γάρ, φησι, πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω. Μακεδονίαν γὰρ διέρχομαι· πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω. πολλοῦ μεταξὺ γινομένου χρόνου οὐ παρεγίνετο· ἀλλὰ καὶ τῆς προθεσμίας παρελθούσης, ἔμελλεν ἔτι καὶ ἐβράδυνε, τοῦ πνεύματος αὐτὸν κατέχοντος ἐν ἑτέροις πολλῷ τούτων ἀναγκαιοτέροις. διὰ τοῦτο ἐπιστολῆς ἐδεήθη δευτέρας, οὐκ ἂν δεηθεὶς, εἰ παρὰ μικρὸν ὑστέρησεν.

1. PRIUS quærere convenit, cur secundam epistolam priori adjungat, & quare a Dei miserationibus atque a consolatione initium ducat. Cur ergo secundam adjecit? Cum in priori epistola dixisset: *Veniam ad vos, & cognoscam, non sermonem eorum qui inflati sunt, sed virtutem:* & ad calcem rursus hoc ipsum suavioribus verbis pollicitus fuisset: *Veniam enim,* inquit, *ad vos, postquam Macedoniam pertransiero. Macedoniam enim pertransibo, atque apud vos fortasse manebo, aut etiam hiemabo.* Nimirum quia multum temporis intercesserat, nec tamen ad eos se contulerat; quin potius, cum præstitutum tempus jam fluxisset, adhuc tamen cunctabatur, ac moras trahebat; quod scilicet Spiritus eum in aliis longe magis necessariis negotiis retineret. Hac de causa secundam epistolam scribere necesse habuit, non necesse habiturus, si minus tar-

Cur secundam ad Corinth. epistolam Paulus scripserit.

1. Cor. 4. 19.

1. Cor. 16. 5.

Collata cum codice Coisliniano X. sæculi num. 33. & olim. 74.

de venisset. Nec vero hoc dumtaxat nomine, sed ob id etiam, quod ex superiore epistola meliores redditi fuerant. Nam fornicatorem eum, quem prius favore complectebantur, & ob quem insolenter se efferebant, absciderant, ac prorsus ejecerant.
2. Cor. 2. 5. Id quod his verbis indicavit: *Si quis autem contristavit, non me contristavit, sed ex parte, ut non onerem omnes vos.* Sufficit ei, qui ejusmodi est, objurgatio ea quæ fit a pluribus. Ac rursum sermonis progressu
2. Cor. 7. 11. idem innuit, cum ait: *Ecce enim hoc ipsum, quod secundum Deum contristati estis, quantam in vobis solicitudinem effecit? Imo excusationem, imo indignationem, imo timorem, imo desiderium, imo æmulationem, imo vindictam. In omnibus exhibuistis vos incontaminatos esse in negotio.* Quin pecuniam eam, quam imperaverat, summo stu-
2. Cor. 9. 2. dio collegerant. Unde etiam dicebat: *Scio enim alacritatem vestram, de qua glorior apud Macedones: quoniam Achaïa parata est ab anno superiori.* Huc accedit quod Titum, quem ipse miserat, maxima cum benevolentia susceperant. Id quod etiam ostende-
2. Cor. 7. 15. bat, cum rursus diceret: *Viscera ejus abundantius sunt in vobis, reminiscentis omnium vestrum obedientiam, quomodo cum timore & tremore eum suscepistis.* His omnibus caussis adductus, secundam epistolam scribit. Etenim par erat, ut quemadmodum illos, cum peccarent, objurgabat; sic etiam eosdem ad meliorem mentem reversos comprobaret ac laudibus afficeret. Ac proinde nec acrem se ac vehementem per totam epistolam præbet, sed in paucis dumtaxat sub ipsius finem partibus. Nam & apud eos Judæi quidam erant, qui magnifice de se sentirent, ac Paulum, ut arrogantem, nulliusque precii hominem, criminarentur.
2. Cor. 5. 10. Ideo dicebant: *Epistolæ quidem graves, præsentia autem corporis infirma, & sermo contemtibilis.* Quorum verborum hæc erat sententia: Cum adest ille, nullius precii esse videtur; hoc in his verbis significatur: Præsentia corporis infirma: cum autem abscessit, per literas magnopere se jactat: hæc enim horum verborum significatio est, epistolæ graves. Imo ut honorem sibi conciliarent, se nihil accipere simulabant. Quod
2. Cor. 11. 12. etiam ipsum innuebat, cum diceret: *Ut in quo gloriantur, inveniantur sicut & nos.* Ac præterea, quoniam dicendi facultate pollebant, eo nomine animos majorem in modum attollebant. Idcirco ipse sese imperitum appellat, ut ostendat id sibi minime pudori esse, nec rem magni esse precii; imo nullius momenti. Quoniam igitur verisimile erat quosdam eorum oratione a recta sententia deduci, idcirco cum prius ipsos ob id, quod recte fecerant, laudibus extulisset; ac rursus illorum arrogantiam ob Judaïcas ceremonias, quas intempestive jam observare studebant, retudisset, tum denique hoc eos nomine nonnihil objurgat. Atque hujusmodi, ut summatim ac velut obiter dicam, epistolæ ar-

A οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ βελτίους ἦσαν ἀπὸ τῆς προτέρας γεγενημένοι. καὶ γὰρ τὸν πεπορνευκότα, ὃν πρότερον συνεκρότουν, καὶ ἐφ' ᾧ μέγα ἐφρόνουν, τοῦτον ἐξέκοψαν καὶ ἀφώρισαν παντελῶς. καὶ τοῦτο ἐδήλωσεν εἰπών· Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. καὶ προϊὼν πάλιν τὸ αὐτὸ αἰνίττεται λέγων· ἰδοὺ γὰρ τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο
B ἐν ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. καὶ τὴν εὐλογίαν δὲ, ἣν ἐκέλευσε, μετὰ πολλῆς συνήγαγον τῆς σπουδῆς. διὸ καὶ ἔλεγεν· οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι. καὶ [a] τὸν Τίτον, ὃν ἔπεμψε, μετὰ πάσης ἐδέξαντο τῆς εὐνοίας. καὶ τοῦτο αὐτὸ δεικνὺς πάλιν ἔλεγεν, ὅτι τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς, ἀναμιμνησκομέ-
C νου τὴν πάντων ὑμῶν ὑπακοὴν, [b] ὥστε μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. διὰ ταῦτα γράφει τὴν δευτέραν ἐπιστολήν. καὶ γὰρ ἐχρῆν, ὥσπερ ἡνίκα ἡμάρτανον ἐνεκάλει, οὕτω διορθωθέντας ἀποδέξασθαι καὶ ἐπαινέσαι. διόπερ οὐδὲ καταφορικωτέρα ἐστὶ πᾶσα ἡ ἐπιστολὴ, ἀλλ' ὀλίγα τοῦ τέλους αὐτῆς μέρη. καὶ γὰρ ἦσαν καὶ παρ' αὐτοῖς ἐξ Ἰουδαίων μέγα φρονοῦντες, καὶ Παῦλον διαβάλλοντες, ὡς ἀλαζόνα καὶ οὐδενὸς ἄξιον λόγου. διὸ καὶ ἔλεγον· αἱ μὲν ἐπιστολαὶ βαρεῖαι, ἡ δὲ παρουσία τοῦ
D σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. ὃ δὲ ἔλεγον τοῦτο ἦν· ὅταν μὲν παρῇ, φησιν, οὐδενὸς ἄξιος φαίνεται. τοῦτο γάρ ἐστιν, ἡ παρουσία τοῦ σώματος ἀσθενής· ἀπελθὼν δὲ κομπάζει μεγάλα, δι' ὧν ἐπιστέλλει. τὸ γὰρ, αἱ ἐπιστολαὶ βαρεῖαι, τοῦτο σημαίνει. καὶ ἵνα δόξωσι τὰ καθ' ἑαυτοὺς σεμνοποιεῖν, ὑπεκρίνοντο μὴ λαμβάνειν. ὅπερ οὖν καὶ αὐτὸ αἰνιττόμενος ἔλεγεν· ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. μετὰ δὲ τούτων, καὶ τὴν ἀπὸ τοῦ λόγου δύναμιν ἔχοντες, αὐτόθι σφόδρα ἐπήροντο. διὸ
E καὶ ἰδιώτην ἑαυτὸν καλεῖ, δεικνὺς ὅτι οὐκ αἰσχύνεται τούτῳ, οὐδὲ μέγα τι κτῆμα, τοὐναντίον μὲν οὖν ἡγεῖται. ἐπεὶ οὖν εἰκὸς ἦν τινας ὑπὸ τούτων παραπείθεσθαι, πρότερον αὐτοὺς ἐγκωμιάσας ὑπὲρ ὧν κατώρθωσαν, καὶ τὴν ἀπόνοιαν ἐκείνων τὴν ἐπὶ τοῖς Ἰουδαϊκοῖς καταβαλὼν, ἐπειδὴ παρὰ καιρὸν αὐτὰ τηρεῖν ἐφιλονείκουν, τότε συμμέτρως καὶ τὴν ὑπὲρ τούτων ποιεῖται ἐπίπληξιν. ἡ μὲν οὖν ὑπόθεσις τῆς ἐπιστολῆς, ὡς ἄν τις ἐν κεφαλαίῳ, καὶ παρατρέχων εἴποι,

a MSS. Τίτον. Editi male Τιμόθεον.

b ὥστε sic mss. Editi, ὡς.

αὕτη μοι εἶναι δοκεῖ. δεῖ δὲ αὐτοῦ τοῦ προοιμίου τῆς ἐπιστολῆς ἅψασθαι λοιπὸν, καὶ μετὰ τὴν εἰωθυῖαν αὐτοῦ πρόσρησιν εἰπεῖν, τίνος ἕνεκεν οὕτως ἤρξατο ἀπὸ τῶν οἰκτιρμῶν τοῦ θεοῦ. τέως μέντοι αὐτὴν τὴν ἀρχὴν ἀναγκαῖον εἰπεῖν, καὶ ζητῆσαι πῶς τὸν Τιμόθεον ἐνταῦθα ἑαυτῷ συντάττει. Παῦλος γάρ, φησιν, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός. καὶ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐπηγγέλλετο αὐτὸν πέμψειν, καὶ παρήγγελλε, λέγων· ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα [a] ἀφόβως γένηται πρὸς ὑμᾶς· πῶς οὖν ἐνταῦθα αὐτὸν ἑαυτῷ ἐν τῷ προοιμίῳ συντάττει; παραγενόμενος κατὰ τὴν ὑπόσχεσιν τοῦ διδασκάλου· ἔπεμψα γὰρ ὑμῖν Τιμόθεον, φησιν, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ· καὶ διορθώσας ἅπαντα, ἐπανῆλθε. καὶ γὰρ πέμπων αὐτὸν ἔλεγε· προπέμψατε αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

Ἐπεὶ οὖν ἀπέλαβε τὸν διδάσκαλον, καὶ τὰ ἐν Ἀσίᾳ διορθώσας μετ' αὐτοῦ· ἐπιμενῶ γάρ, φησιν, ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς· πάλιν εἰς Μακεδονίαν διέβη, εἰκότως αὐτὸν ἅτε παρόντα ἑαυτῷ συντάττει λοιπόν. καὶ γὰρ τότε μὲν ἐξ Ἀσίας, νῦν δὲ ἀπὸ Μακεδονίας ἐπιστέλλει. συνέταξε δὲ αὐτὸν, ἐκεῖνόν τε σεμνότερον ταύτῃ ποιῶν, καὶ τὴν πολλὴν ἑαυτοῦ ταπεινοφροσύνην ἐνδεικνύμενος· κἂν γὰρ καταδεέστερος αὐτοῦ ἦν, ἀλλ' ἡ ἀγάπη πάντα συνάγει. διὸ καὶ πανταχοῦ αὐτὸν ἑαυτῷ ἐξισάζει, νῦν μὲν λέγων· ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε· νῦν δὲ, τὸ γὰρ ἔργον κυρίου ἐργάζεται, ὡς κἀγώ· ἐνταῦθα δὲ καὶ ἀδελφὸν καλεῖ, διὰ πάντων αἰδέσιμον αὐτὸν Κορινθίοις καθιστάς· καὶ γὰρ ἦν παραγεγονὼς, ὥσπερ ἔφην, αὐτόθι, καὶ πεῖραν τῆς αὐτοῦ δεδωκὼς ἀρετῆς. τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ. πάλιν αὐτοὺς ἐκκλησίαν καλεῖ, συνάγων πάντας εἰς ἓν καὶ συνδέων. οὐ γὰρ ἂν γένοιτο ἐκκλησία μία, διεσπασμένων τῶν ἐν αὐτῇ, καὶ κατ' ἀλλήλων ἑστώτων. σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ. ἅμα καὶ τιμᾷ Κορινθίους, διὰ τῆς τούτων ἐπιστολῆς πάντας προσαγορεύων, καὶ ὁλόκληρον συνάγει τὸ ἔθνος. ἁγίους δὲ καλεῖ, δεικνὺς ὅτι εἴ τις ἀκάθαρτος, ἐκτός ἐστι τῆς προσηγορίας ταύτης. διὰ τί δὲ τῇ μητροπόλει γράφων, πᾶσι δι' αὐτῆς ἐπιστέλλει, οὐ πανταχοῦ τοῦτο ποιῶν; Θεσσαλονικεῦσι γοῦν ἐπιστέλλων οὐδήπου καὶ Μακεδόσιν ἐπέστελλε, καὶ Ἐφεσίοις γράφων ὁμοίως οὐ περιέλαβε τὴν Ἀσίαν ἅπασαν· καὶ ἡ πρὸς Ῥωμαίους δὲ ἐπιστολὴ, οὐχὶ καὶ τοῖς τὴν Ἰταλίαν οἰκοῦσιν ἐστὶν ἐπεσταλμένη. ἀλλ' ἐνταῦθα αὐτὸ ποιεῖ, καὶ ἐν τῇ πρὸς Γαλάτας. οὐδὲ γὰρ ἐκεῖ μιᾷ πόλει, καὶ δύο, καὶ τρισὶν, ἀλλὰ τοῖς πανταχοῦ διεσπαρμένοις ἐπιστέλλει, λέγων· Παῦλος ἀπό-

[a] Mss. ἄφοβος non male



gumentum mihi esse videtur. Sequitur jam ut epistolæ initium attingamus; dicamusque, cur post salutationem, quam pro suo more adhibebat, sic a Dei miserationibus exorsus sit. Prius tamen principium ipsum explicare opus est, ac quærere, quare Timotheum hoc loco sibi copularit. *Paulus* enim, inquit, *apostolus Jesu Christi per voluntatem Dei, & Timotheus frater.* Etenim in priore epistola se illum esse missurum pollicebatur & hortabatur his verbis: *Si autem venerit Timotheus, videte ut sine metu sit apud vos.* (1. Cor. 16. 10.) Cur ergo eum hoc loco in procemio secum conjungit? Cum, ut magister promiserat, ad eos se contulisset; *Misi enim*, inquit, *ad vos Timotheum, qui vos commonefaciet vias meas, quæ sunt in Christo;* (1. Cor. 4. 17.) atque ubi omnia rectius constituisset, ad Paulum se receperat. Siquidem, cum eum mitteret, dicebat: *Deducite eum in pace, ut veniat ad me. Exspecto enim eum cum fratribus.* (1. Cor. 16. 11.)

2. Posteaquam igitur ad magistrum se recepisset, ac restitutis correctisque una cum eo Asiæ negotiis, *Manebo enim*, inquit, *Ephesi usque ad Pentecosten;* (1. Cor. 16. 8.) rursus in Macedoniam transivisset, jam non immerito eum, ut præsentem, sibi copulat. Etenim tunc ex Asia, nunc autem e Macedonia scribit. Ipsum porro sibi conjunxit, tum ut eum honorabiliorem redderet; tum ut ingentis humilitatis suæ specimen exhiberet. Quamvis enim ille inferior ipso esset, tamen caritas omnia connectit. Eoque etiam fit, ut illum ubique sibi exæquet, nunc ita loquens: *Tamquam patri filius mihi inservivit;* (Philip. 2. 22.) nunc rursus: *Opus enim Domini operatur, sicut & ego:* (1. Cor. 16. 10.) ac denique hoc loco fratrem quoque eum appellat: nimirum ut omnibus modis ei apud Corinthios venerationem comparet. Nam eo, ut jam dixi, perrexerat, suæque virtutis documentum præbuerat. *Ecclesiæ Dei quæ est Corinthi.* Rursus eos ecclesiam vocat, ut omnes in unum conciliet, ac devinciat. Neque enim ecclesia una esse queat, divulsis iis, atque inter se dissidentibus, qui in ea sunt. *Cum sanctis omnibus qui sunt in universa Achaia.* Eadem opera & Corinthios honore afficit, dum per eam, quam ad eos scribit epistolam, omnes consalutat: & universam nationem inter se conciliat. Sanctos autem eos vocat, ut ostendat ab hac appellatione alienum esse, quisquis impuris est moribus. Et cur ad Metropolim scribens, omnibus per eam scribit, cum id ubique minime faciat? Siquidem cum ad Thessalonicenses litteras daret, non ad Macedones quoque scribebat: nec item Ephesiis scribens, universam Asiam una complexus est: nec denique epistola ad Romanos, iis etiam, qui in Italia versabantur, missa est. Hic autem hoc facit, atque item in epistola ad Galatas. Neque enim illic uni dumtaxat, aut duabus, aut tribus civitatibus, sed iis qui passim dispersi erant, scribit, his verbis utens: *Paulus apostolus*, (Gal. 1. 1.)

*non ab hominibus, nec per hominem, sed per Jesum Christum, & Deum Patrem, qui suscitavit eum ex mortuis, & qui mecum sunt omnes fratres, ecclesiis Galatiæ: Gratia vobis & pax.* Quin ad Hebræos quoque unam generatim epistolam scripsit, nec eos per civitates distinxit. Quænam igitur hujusce rei causa est? Mea quidem sententia, quod communes hic morbi essent; ideo communem quoque epistolam facit, quia communi correctione indigebant. Etenim Galatæ omnes morbo laborabant, & Hebræi, atque, ut mea opinio fert, hi quoque. Quamobrem cum universam nationem congregasset, atque eos, ut reliquos omnes consueverat, salutasset; Gratia enim & pax, inquit, a Deo Patre nostro, & Domino Jesu Christo; audi jam quomodo accommodate ad institutum argumentum exordiatur. *Benedictus Deus, & Pater Domini nostri Jesu Christi, pater misericordiarum & Deus totius consolationis.* Quonam autem modo, inquies, hoc præsenti argumento congruit? Maxime sane. Sic enim expende. Magna hoc eos molestia & perturbatione afficiebat, quod apostolus illuc minime profectus fuisset, cum id se facturum spopondisset, verum universum tempus in Macedonia consumsisset, aliosque ipsis anteferre videretur. Quare ut hanc perturbationem comprimat, causam exponit, ob quam minime ad eos perrexerit. Nec tamen recta eam ponit, nec ait; Scio quidem quod pollicitus sum me ad vos venturum, sed, quia calamitates mihi impedimento fuere, ignoscite, quæso, nec me superbiæ cujusdam aut negligentiæ condemnate. Verum alia ratione, ac magnificentius, atque ad fidem faciendam accommodatius hoc idem efficit, rem per consolationem amplificans: quo deinceps ipsi non sciscitentur cur ad eos venire cunctatus sit. Ac perinde facit, ut si quis, cum se ad aliquem, quem carum habeat, venturum esse recepisset, ac postea innumeris periculis perfunctus veniat, ac dicat: Gloria tibi sit, Deus, quod faciem mihi caram ac desideratam ostendisti: Benedictus Deus, quibus periculis me liberasti? Si quidem hujusmodi divinæ gloriæ prædicatio purgationis vice apud eum est, qui expostulaturus fuerat, nec eum de cunctatione ac mora conqueri permittit. Erubescit enim eum, qui ob tot ac tanta mala, ex quibus ereptus est, Deo gratias agit, in jus vocare, pœnasque tarditatis ab eo expetere. Ideo sic auspicatur, *Benedictus Deus misericordiarum.* Quibus verbis hoc subindicat, se ipsius ope ex ingentibus periculis eductum ac liberatum fuisse. Quandoquidem David non ubique eodem modo, nec ab iisdem rebus ipsum appellat: verum cum de bello ac victoria verba facit: Diligam te Domine virtus mea, inquit, Dominus protector meus. Cum autem de calamitate, qua liberatus est, ac de animi caligine, quæ ipsum circumdabat: *Dominus illuminatio mea & salus mea.* Atque,

Psal. 26. 1.

A στολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας, χάρις ὑμῖν καὶ εἰρήνη. καὶ Ἑβραίοις δὲ μίαν ἅπασιν ἔγραψεν ἐπιστολὴν, οὐδὲ τούτους διελὼν κατὰ πόλεις· τί ποτ' οὖν ἐστὶ τὸ αἴτιον; ἐμοὶ δοκεῖ τὸ κοινὰ τὰ νοσήματα εἶναι ἐνταῦθα· διὸ καὶ κοινὴν ποιεῖται τὴν ἐπιστολὴν, ἐπειδὴ καὶ κοινῆς ἐδέοντο τῆς διορθώσεως. καὶ γὰρ Γαλάται πάντες ἐνόσουν, καὶ Ἑβραῖοι οἶμαι δὲ καὶ οὗτοι. συναγαγὼν τοίνυν ἅπαν τὸ ἔθνος,

B καὶ προσειπὼν αὐτοὺς, ὡς πάντας αὐτῷ προσαγορεύειν νόμος ἦν· χάρις γὰρ ὑμῖν καὶ εἰρήνη, φησὶν, ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ· ἄκουσον πῶς καταλλήλως ἄρχεται τῇ προκειμένῃ ὑποθέσει. εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως· καὶ ποῦ τοῦτο κατάλληλον τῇ προκειμένῃ ὑποθέσει, φησί; καὶ σφόδρα μὲν οὖν. σκόπει δέ· ἐλύπει λίαν αὐτοὺς καὶ ἐθο-

C ρύβει τὸ μὴ παραγενέσθαι ἐκεῖ τὸν ἀπόστολον, καὶ ταῦτα ἐπαγγειλάμενον, ἀλλὰ τὸν ἅπαντα ἐν Μακεδονίᾳ ἀναλῶσαι χρόνον, καὶ δοκεῖν αὐτῶν ἑτέρους προτετιμηκέναι. διὰ τοῦτο πρὸς τοῦτο ἱστάμενος τὸ θορυβοῦν, λέγει τὴν αἰτίαν δι' ἣν οὐ παρεγένετο· οὐ μὴν ἐξ εὐθείας αὐτὴν τίθησιν, οὐδὲ λέγει, ὅτι οἶδα μὲν ὑποσχόμενος ἥξειν, ἐπειδὴ δὲ διὰ τὰς θλίψεις ἐνεποδίσθην, σύγγνωτε, καὶ μὴ καταγνῶτε τινα ὑπεροψίαν ἢ ῥαθυμίαν ἡμῶν· ἀλλ' ἑτέρως αὐτὸ καὶ μεγαλοπρεπέστερον καὶ ἀξιοπιστότερον κατασ-

D κευάζει, ἐπαίρων τῇ παραμυθίᾳ τὸ πρᾶγμα, ἵνα μηδὲ ἐρωτῶσι λοιπὸν τὴν αἰτίαν δι' ἣν ὑστέρησε. καὶ ταὐτὸν ποιεῖ, οἷον εἴ τις ἐπαγγειλάμενος ἐλθεῖν πρός τινα ποθούμενον, εἶτα μετὰ μυρίους κινδύνους ἐλθὼν λέγοι, δόξα σοι ὁ θεὸς, ὅτι μοι τὸ ποθούμενον ἔδειξας πρόσωπον· εὐλογητὸς ὁ θεὸς, οἵων με κινδύνων ἀπήλλαξας; ἡ γὰρ δοξολογία αὕτη, ἀπολογία γίνεται τῷ μέλλοντι ἐγκαλεῖν, καὶ οὐδὲ ἀφίησι μέμψασθαι τῇ μελλήσει. ἐρυθριᾷ

E γὰρ τὸν ἐπὶ τῇ τῶν τοσούτων ἀπαλλαγῇ κακῶν εὐχαριστοῦντα τῷ θεῷ εἰς δικαστήριον ἕλκειν, καὶ εὐθύνας ἀπαιτεῖν τῆς βραδυτῆτος. διὰ τοῦτο καὶ οὕτως ἄρχεται· εὐλογητὸς ὁ θεὸς τῶν οἰκτιρμῶν, μεγάλων κινδύνων ἐντεῦθεν ἐπαγωγήν τε καὶ ἀπαλλαγὴν αἰνιττόμενος. ἐπειδὴ καὶ ὁ Δαυὶδ οὐχ ὁμοίως αὐτὸν πανταχοῦ καλεῖ, οὐδὲ ἀπὸ τῶν αὐτῶν· ἀλλ' ὅταν μὲν περὶ πολέμου διαλέγηται καὶ νίκης, ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, φησὶ, κύριος ὑπερασπιστής μου· ὅταν δὲ περὶ θλίψεως ἀπαλλαγῆς καὶ τοῦ ζόφου τοῦ κατεσχηκότος αὐτὸν, κύριος φωτισμός μου καὶ σωτήρ μου.

καὶ νῦν μὲν ἀπὸ φιλανθρωπίας, νῦν δὲ ἀπὸ δικαιοσύνης, νῦν δὲ ἀπὸ κρίσεως ἀδεκάστου αὐτὸν ὀνομάζει καταλλήλως τοῖς ὑποκειμένοις καιροῖς· οὕτω δὴ καὶ ὁ Παῦλος ἐνταῦθα ἀρχόμενος, ἀπὸ φιλανθρωπίας αὐτὸν καλεῖ, ὁ θεὸς τῶν οἰκτιρμῶν λέγων· τουτέστιν, ὁ οἰκτιρμοὺς τοσούτους ἐπιδειξάμενος, ὡς ἐξ αὐτῶν ἡμᾶς ἀναγαγεῖν τῶν τοῦ θανάτου πυλῶν.

Τοῦτο γὰρ μάλιστα ἴδιον θεοῦ καὶ ἐξαίρετον, καὶ τῇ φύσει συγκεκληρωμένον, τὸ οὕτως ἐλεεῖν. διὰ τοῦτο θεὸν οἰκτιρμῶν καλεῖ. σὺ δέ μοι κἀντεῦθεν σκόπει τὴν ταπεινοφροσύνην Παύλου· ὑπὲρ γὰρ τοῦ κηρύγματος κινδυνεύων, οὔ φησι διὰ τὴν ἀξίαν σώζεσθαι, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ. ἀλλὰ τοῦτο μὲν ὕστερον σαφέστερόν φησι, νῦν δὲ ἐπάγει λέγων· παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει. οὐκ εἶπεν, ὁ μὴ ἐῶν ἡμᾶς θλίβεσθαι, ἀλλ', ὁ ἐν τῷ θλίβεσθαι παρακαλῶν. τοῦτο γὰρ καὶ τοῦ θεοῦ τὴν δύναμιν δείκνυσι, καὶ τῶν θλιβομένων αὔξει τὴν ὑπομονήν. ἡ γὰρ θλίψις, φησὶν, ὑπομονὴν κατεργάζεται. τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, ἐν θλίψει ἐπλάτυνάς με. οὐκ εἶπεν, ὅτι οὐκ εἴασάς με ἐμπεσεῖν εἰς θλίψιν, οὐδ' ὅτι παρήγαγες ταχέως τὴν θλίψιν, ἀλλ' ὅτι μενούσης αὐτῆς ἐπλάτυνάς με, τουτέστι, πολλὴν τὴν εὐρυχωρίαν καὶ τὴν ἄνεσιν παρέσχες. ὃ δὴ καὶ ἐπὶ τῶν παίδων τῶν τριῶν γέγονεν. οὔτε γὰρ ἐκώλυσεν αὐτοὺς ἐμπεσεῖν, οὔτε ἐμπεσόντων, τὴν φλόγα ἔσβεσεν, ἀλλὰ καιομένης τῆς καμίνου, τὴν εὐρυχωρίαν παρέσχε. τοῦτο καὶ ἀεὶ ποιεῖν εἴωθεν ὁ θεός. ὅπερ αἰνιττόμενος καὶ ὁ Παῦλος ἔλεγεν, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει. καὶ ἕτερον δέ τι διὰ τούτων δείκνυσι. ποῖον δὴ τοῦτο; ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ διηνεκῶς τοῦτο ποιεῖ. οὐδὲ γὰρ νῦν μὲν παρακαλεῖ, νῦν δὲ ἀφίησιν, ἀλλ' ἀεὶ καὶ διαπαντὸς τοῦτο ἐργάζεται. διὸ εἶπεν, ὁ παρακαλῶν, οὐχ, ὁ παρακαλέσας, καὶ, ἐν πάσῃ θλίψει· οὐκ ἐν τῇδε καὶ τῇδε, ἀλλ', ἐν πάσῃ. εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ. εἶδες πῶς προανακρούεται τὴν ἀπολογίαν, καὶ μεγάλης θλίψεως ὑπόνοιαν παρέχει τῷ ἀκροατῇ; καὶ δι' αὐτῶν πάλιν μετριάζει τούτων λέγων, ὅτι καὶ αὐτὸς ὁ οἰκτιρμὸς οὗτος ἐγένετο, οὐ διὰ τὴν αὐτῶν ἀξίαν, ἀλλὰ διὰ τοὺς ὑπ' αὐτῶν ὠφεληθῆναι ὀφείλοντας. διὰ τοῦτο γὰρ παρεκάλεσεν ἡμᾶς, φησιν, ἵνα ἡμεῖς ἀλλήλοις παρακαλῶμεν. διὰ τούτου δὲ καὶ τὸ ἀξίωμα δείκνυσι τῶν ἀποστόλων, ἐμφαίνων ὅτι παρακληθεὶς καὶ ἀναπνεύσας, οὐκ ἀναπίπτει καθάπερ ἡμεῖς, ἀλλ' εἰς τὸ ἑτέρους ἀλείφειν πρόεισι καὶ νευροῦν καὶ διεγείρειν.

A nunc a benignitate & clementia, nunc a justitia, nunc ab incorrupto judicio, prout illa, in quibus versabatur, tempora postulabant, cognomentum ipsi tribuit. Ad eumdem itaque modum hoc loco Paulus incipiens a benignitate & clementia ipsum appellat, Deus misericordiarum, inquiens, hoc est, qui tantæ miserationis specimen edidit, ut nos ex ipsis mortis portis eduxerit.

B 3. Hoc enim maxime Deo proprium ac peculiare est, ipsiusque naturæ insitum, nimirum ad hunc modum misereri. Ideo misericordiarum Deum ipsum vocat. Atque hinc quoque Pauli humilitatem velim consideres. (Pauli humilitas.) Nam quamvis evangelicæ prædicationis causa periclitaretur, non tamen merito suo, sed per Dei miserationes salutem consequutum se esse ait. Verum hoc quidem apertius postea dixit: nunc autem hæc verba subjungit: *Qui consolatur nos in omni tribulatione.* Non dixit: Qui non sinit nos calamitate affici, sed, *Qui in calamitate nos consolatur.* Nam hoc tum Dei C potentiam declarat, tum eorum, qui calamitatibus premuntur, patientiam auget. *Tribulatio* enim, inquit, *patientiam operatur.* (Rom. 5. 3.) Id quod propheta quoque his verbis indicabat: *In tribulatione dilatasti me.* (Psal. 4. 2.) Non dixit: Non passus es me in tribulationem labi, aut, tribulationem confestim submovisti: sed ea manente dilatasti me: hoc est, ingentem cordis latitudinem & voluptatem mihi attulisti. Id quod etiam in tribus pueris contigit. Neque enim, quo minus in fornacem inciderent, prohibuit, nec cum incidissent, flammam exstinxit: verum flagrante fornace latitudinem ipsis D præbuit. Hoc autem Deus perpetuo facere consuevit. Id quod etiam Paulus subindicabat, cum diceret: *Qui consolatur nos in omni tribulatione.* Quin aliud quoque his verbis demonstrat. Quidnam tandem istud? (Deus semper consolatur.) Nempe quod non semel aut iterum, sed semper hoc faciat. Neque enim nunc consolatur, nunc rursus deserit: sed semper ac perpetuo hoc agit. Ob idque dixit, *Qui consolatur*, non, *qui consolatus est*: &, *in omni tribulatione;* non in hac atque illa, sed in omni; *Ut possimus & ipsi consolari eos, qui in omni pressura sunt, per consolationem, qua consolamur & ipsi a Deo.* Videsne E quomodo excusationem præstruat, dum magnæ cujusdam afflictionis suspicionem auditori præbet? Atque etiam per hæc ipsa verba modestiam præ se fert, cum ait hanc quoque ipsam miserationem, non ob ipsorum meritum ac dignitatem, sed propter eos, qui ab ipsis adjuvandi erant, contigisse. Ob id enim, inquit, nos consolatus est, ut nos mutuam consolationem alii aliis adhibeamus. Atque hinc quoque apostolorum dignitatem declarat, dum hoc indicat, quod posteaquam solatio affectus ac recreatus fuit, non sicut nos supinum se atque ignavum præbeat, verum ad cohortandos atque confirmandos & excitandos alios progrediatur. Sunt etiam qui hunc

locum sic exponant, ac si apostolus dicat: Consolatio nostra aliorum quoque consolatio est. Quin mihi etiam ipse in falsos apostolos, qui incassum se jactabant, domique desidebant, ac deliciis operam dabant, per hujusmodi prooemium invehi videtur; verum obscure, ac velut obiter. Cæterum præcipue id agebat, ut cunctationis ac negligentiæ notam a se depelleret. Nam si propterea consolatione afficimur, ut aliis quoque consolationem afferamus, crimini ne vertite, quod ad vos non accesserimus. Si quidem nobis omne tempus in insidiis & invasionibus, depellendisque ingruentibus periculis terebatur. 5. *Quoniam sicut abundant Christi passiones in nobis, ita etiam per Christum abundat consolatio nostra.* Etenim ne discipulorum animos calamitates suas nimium exaggerando consternaret, ostendit rursum ingentem quoque consolationis copiam esse: sicque animos eorum erigit. Neque hac tantum ratione, sed eo etiam, quod eos Christi submoneat, ipsiusque passiones esse asserat: atque ante consolationem ab ipsis quoque calamitatibus consolationem inducit. Quid enim suavius ac jucundius, quam me Christi socium effici, atque ipsius causa hæc perpeti? Quid cum hac consolatione comparandum? Nec vero hinc tantum, sed aliunde quoque, eorum, qui calamitatibus conflictantur, animos attollit. Unde tandem aliunde? Hinc nempe, quod ait, *abundant.* Non enim dixit: Quemadmodum Christi passiones nobis ingruunt; sed, *sicut abundant.* Quibus verbis illud ostendit, quod non modo illius cruciatus, sed his quoque plures perferant. Non enim, inquit, ea tantummodo, quæ ipse passus est, pertulimus, verum his etiam ampliora. Sic enim considera. Vexatus est, persequutionem passus est Christus, flagris cæsus est, mortuus est. At nos, inquit, his plura patimur: quod quidem vel solum ad consolationem satis esse queat. Nec quisquam hunc sermonem arrogantiæ ac temeritatis
Coloss. 1. 24. damnet. Nam & alio loco ait: *Nunc gaudeo in passionibus meis, atque adimpleo ea quæ desunt passionibus Christi in carne mea.* At neutrum horum temeritatis ullius & ar-
Joan. 16 8. rogantiæ est. Sicut enim discipuli majora, quam ipse, miracula fecerunt; qui enim credit in me, inquit, majora his faciet; totum autem ipsi adscribitur, qui in ipsis operabatur: sic etiam plura, quam ipse perpessi sunt. At universum hoc rursus ipsi adscribi debet, qui eos consolabatur, atque ita comparabat, ut ingruentia mala forti animo perferrent.

4. Unde etiam Paulus, quam excelse loquutus esset, agnoscens, vide quomodo hoc rursus his verbis mitiget, *Ita & per Christum abundat consolatio nostra:* totum hoc acceptum illi referens, atque ipsius benignitatem prædicans. Non enim, inquit, quanta calamitate, tanta quoque consolatione afficimur, sed multo majore. Neque enim dixit: Consolatio calamitates

A τινὲς δὲ αὐτὸν καὶ τοῦτο λέγειν φασὶν, ὅτι ἡ παράκλησις ἡμῶν, καὶ ἄλλων παράκλησίς ἐστι. δοκεῖ δέ μοι καὶ πρὸς τοὺς ψευδαποστόλους τοὺς εἰκῆ καυχωμένους, καὶ οἴκοι καθημένους καὶ τρυφῶντας, ἀποτείνεσθαι διὰ τοῦ προοιμίου. ἀλλὰ τοῦτο μὲν αἰνιγματωδῶς, καὶ ὡς ἐν παρέργῳ· τὸ δὲ προηγούμενον τοῦτο ἦν, ἀπολογήσασθαι ὑπὲρ τῆς μελλήσεως. εἰ γὰρ διὰ τοῦτο παρακαλούμεθα, ἵνα καὶ ἄλλους παρακαλῶμεν, μὴ ἐγκαλῆτε ὡς μὴ παραγινομένοις. εἰς γὰρ τοῦτο ἡμῖν ὁ χρόνος ἅπας
B ἐτρίβετο, εἰς τὰς ἐπιβουλὰς, εἰς τὰς ἐπαγωγὰς, εἰς τὸ διαλῦσαι τὰ ἐπιόντα δεινά. ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. ἵνα γὰρ μὴ καταβάλῃ τοὺς μαθητὰς τῷ σφόδρα ἐπαίρειν τὰς συμφορὰς, δείκνυσι πάλιν πολλὴν τὴν περιουσίαν καὶ τῆς παρακλήσεως οὖσαν, καὶ ἀνίστησιν αὐτῶν τὴν διάνοιαν, οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ἀναμνῆσαι τοῦ Χριστοῦ καὶ αὐτοῦ εἰπεῖν εἶναι τὰ παθήματα· καὶ πρὸ τῆς παρακλήσεως ἀπ' αὐτῶν τῶν θλίψεων τὴν
C παραμυθίαν εἰσάγει. τί γὰρ ἥδιον τοῦ τῷ Χριστῷ με γίνεσθαι κοινωνὸν, καὶ δι' αὐτὸν ταῦτα πάσχειν; τί ταύτης ἴσον τῆς παρακλήσεως; οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἐπαίρει τὰ φρονήματα τῶν θλιβομένων. πόθεν ἑτέρωθεν; ἀπὸ τοῦ εἰπεῖν, ὅτι περισσεύει. οὐ γὰρ εἶπεν, ὅτι καθὼς ἔπεισιν ἡμῖν τὰ παθήματα τοῦ Χριστοῦ, ἀλλὰ, καθὼς περισσεύει· δεικνὺς ὅτι οὐ μόνον τὰ ἐκείνου, ἀλλὰ καὶ πλείονα τούτων ὑπομένουσι πάθη. οὐ γὰρ ὅσα ἔπαθε, φησὶν, ἐπάθομεν πάθη, ἀλλὰ καὶ περισσά. σκόπει δέ· ἠλάθη, ἐδιώχθη ὁ Χριστὸς, ἐμαστιγώθη, ἀπέθανεν. ἀλλ' ἡμεῖς πλέον
D τούτων, φησίν· ὅπερ καὶ μόνον ἱκανὸν εἰς παραμυθίαν ἀρκέσειε. ἀλλὰ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· νῦν χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. ἀλλ' οὐδέτερον τόλμης, οὐδὲ ἀπονοίας τινός. καθάπερ γὰρ μείζονα αὐτοῦ εἰργάσαντο σημεῖα· ὁ γὰρ πιστεύων, φησὶν, εἰς ἐμὲ, μείζονα τούτων ποιήσει· τὸ δὲ πᾶν αὐτοῦ γίνεται τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς· οὕτω καὶ πλείονα αὐτοῦ ἔπαθον· τὸ δὲ
E πᾶν αὐτῷ πάλιν ἐστὶ τοῦ παρακαλοῦντος αὐτοὺς, καὶ παρασκευάζοντος φέρειν τὰ συμπίπτοντα δεινά.

Διὸ δὴ καὶ ὁ Παῦλος αἰσθόμενος ἡλίκον ἐφθέγξατο, ὅρα πῶς αὐτὸ συστέλλει πάλιν λέγων, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν· καὶ τὸ πᾶν αὐτῷ ἀνατιθεὶς, καὶ ἀνακηρύττων αὐτοῦ καὶ ἐντεῦθεν τὴν φιλανθρωπίαν. οὐ γὰρ ὅσον θλιβόμεθα, τοσοῦτον παρακαλούμεθα, φησιν, ἀλλὰ πολλῷ πλέον. οὐ γὰρ εἶπεν, ἀντίρροπος ἡ παράκλησις τῶν παθημάτων·

ἀλλὰ, περισσεύει ἡ παράκλησις· ὡς τὸν καιρὸν τῶν ἀγώνων, ἑτέρων στεφάνων πάλιν εἶναι καιρόν. τί γὰρ ἴσον, εἰπέ μοι, τοῦ διὰ τὸν Χριστὸν μαστίζεσθαι, καὶ Θεῷ διαλέγεσθαι, καὶ πάντων εἶναι δυνατώτερον, καὶ τῶν ἐλαυνόντων περιγίνεσθαι, καὶ τῇ οἰκουμένῃ ἀχείρωτον εἶναι, καὶ τοιαῦτα προσδοκᾷν ἐντεῦθεν ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; τί δὲ ἴσον τοῦ θλίβεσθαι δι' εὐσέβειαν, καὶ μυρίων ἀπολαύειν παρὰ τοῦ Θεοῦ παρακλήσεων, καὶ ἁμαρτημάτων ἀπηλλάχθαι τοσούτων, καὶ πνεύματος καταξιοῦσθαι, καὶ ἁγιασμοῦ καὶ δικαιοσύνης, καὶ μηδένα δεδοικέναι καὶ τρέμειν, καὶ πάντων λαμπρότερον φαίνεσθαι ἐν αὐτῷ τῷ κινδυνεύειν; μὴ δὴ καταπίπτωμεν ἐν τοῖς πειρασμοῖς. οὐδεὶς γὰρ κοινωνεῖ τῷ Χριστῷ τρυφῶν, καὶ καθεύδων, καὶ ἀναπίπτων, οὐδεὶς τῶν τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον ζώντων βίον· ἀλλ' ὁ ἐν θλίψει καὶ πειρασμῷ, οὗτος ἐγγὺς ἕστηκεν ἐκείνου, ὁ τὴν στενὴν ὁδεύων ὁδόν. καὶ γὰρ καὶ αὐτὸς ταύτην ἐβάδισε. διὸ καὶ ἔλεγεν, ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. μὴ τοίνυν ἄλγει θλιβόμενος, ἐννοῶν τίνι κοινωνεῖς, καὶ πῶς ἐκκαθαίρῃ διὰ τῶν πειρασμῶν, καὶ ὅσα κερδαίνεις. οὐδὲν γάρ ἐστιν ἀνιαρὸν, ἀλλ' ἢ τὸ τῷ Θεῷ προσκρούειν. τούτου δὲ οὐκ ὄντος, οὐ θλίψις, οὐκ ἐπιβουλαὶ, οὐκ ἄλλο οὐδὲν δυνατὸν λυπῆσαι τὴν εὐφρονοῦσαν ψυχήν. ἀλλὰ καθάπερ σπινθῆρα μικρὸν εἰς ἄβυσσον πολλὴν ἐμβαλὼν εὐθέως κατέσβεσας· οὕτω καὶ ἀθυμίας ἁπάσης ὑπερβολὴ εἰς συνειδὸς ἐμπεσοῦσα ἀγαθὸν ἀπόλλυται, καὶ ἀφανίζεται ῥᾳδίως. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ἔχαιρεν ἀεὶ, ἐπειδὴ ἐν τοῖς κατὰ Θεὸν ἐθάρρει, καὶ οὐδὲ αἴσθησιν τῶν τοσούτων κακῶν ἐλάμβανεν· ἀλλ' ἤλγει μὲν ὡς ἄνθρωπος, οὐ μὴν κατέπιπτεν. οὕτω καὶ ὁ πατριάρχης ἐκεῖνος ἐν ἡδονῇ ἦν, πολλὰ παθὼν ὀδυνηρά. σκόπει δέ· πατρίδος ἐξέπεσεν, ὁδοιπορίας ὑπέστη μακρὰς καὶ χαλεπὰς, ἐπὶ τῆς ἀλλοτρίας ἐλθὼν οὐδὲ βῆμα εἶχε ποδός. ἐντεῦθεν πάλιν λιμὸς αὐτὸν διεδέξατο, καὶ μετανάστην ἐποίησε· καὶ τὸν λιμὸν διαδέχεται πάλιν ἁρπαγὴ γυναικὸς, καὶ θανάτου φόβος καὶ ἀπαιδία, καὶ πόλεμος, καὶ κίνδυνοι, καὶ ἐπιβουλαὶ, καὶ τὸ τελευταῖον ὁ κολοφὼν τῶν ἄθλων, ἡ τοῦ μονογενοῦς καὶ γνησίου παιδὸς σφαγὴ, ἡ ὀδυνηρὰ ἐκείνη καὶ ἀνήκεστος. μὴ δὴ γὰρ, ἐπειδὴ εὐκόλως ὑπήκουσε, νομίσῃς αὐτὸν καὶ ἀπαθῶς πάντα ἐκεῖνα ὑφεστηκέναι. εἰ γὰρ καὶ μυριάκις δίκαιος ἦν, ὥσπερ οὖν καὶ ἦν, ἀλλ' ἄνθρωπος ἦν, καὶ τὰ τῆς φύσεως ἔπασχεν. ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων κατέβαλεν, ἀλλ' εἱστήκει καθάπερ ἀθλητὴς γενναῖος, καὶ στεφανίτης

A æquat: sed *abundat consolatio*: ita ut, certaminum tempus, aliarum rursus coronarum tempus sit. Quid enim, quæso, tam amplum ac præclarum, quam ob Christum flagris cædi, & cum Deo colloqui, omnibusque robore præstare, ac persequutores vincere, neque ab universo terrarum orbe subigi & expugnari posse, atque ejusmodi bona hinc exspectare, quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt? Quid tam egregium, quam pietatis causa premi, atque innumeris Dei consolationibus frui, ac tot tantisque peccatis liberari; & Spiritu sancto, & sancti-
B tate atque justitia donari, nec quemquam metuere ac perhorrescere, atque in ipsismet periculis quovis splendidiorem videri? Ne igitur in tentationibus animo dejiciamur. Nemo enim deliciis studens, & dormiens, ac languens, cum Christo societatem habet; nemo eorum, qui molliter ac remisse vivunt: verum is demum illi vicinus est, qui in calamitate ac tentatione versatur, atque arctum vitæ iter tenet. Nam ipse quoque hac via incessit. Eamque ob causam dicebat: *Filius hominis non habet ubi caput reclinet.* Proinde ne animo dis-
C crucieris, cum calamitate premeris, animadvertens cui communices, & quonam modo per tentationes scelerum maculas eluas, quantumque inde fructum referas. Nihil enim aliud grave atque acerbum est, quam in Dei offensionem incurrere. Hoc sublato, non afflictio, non insidiæ, non aliud quidquam prudentem animam molestia afficere queat. Quin potius, quemadmodum si exiguam scintillam in magnum pelagus injicias, eam protinus exstinxeris: eodem modo molestia omnis, quamlibet ingens, si in animum bene sibi conscium inciderit, confestim perit & evanescit. Ideo Paulus etiam semper gaudebat;
D quandoquidem in iis rebus quæ divinæ voluntati consentaneæ erant, fidentem animum gerebat; ac tot mala ne quidem sentiebat: verum quamvis, ut homo, dolore tangeretur, non tamen animo concidebat. Sic Patriarcha quoque ille in gaudio versabatur, tametsi gravia multa sustineret. Sic enim perpende: Patria excidit, longas ac molestas peregrinationes subiit: atque, cum in alienam regionem venisset, ne pedis quidem vestigium habebat. Hinc rursus cum fames excepit, ac solum vertere coëgit. Famem rursum uxoris ereptio sequuta est, ac
E mortis metus, & sterilitas, & bellum, & pericula, & insidiæ, ac denique, quod ærumnarum caput erat, unigeniti & cari filii mactatio, illa, inquam, acerbissimum atque immedicabilem dolorem afferens. Neque enim existimes, quoniam prompto ac libenti animo Deo paruit, idcirco citra ullum doloris sensum illa omnia pertulisse. Nam etiamsi millies justus fuisset, ut revera erat, tamen homo erat, eaque quæ natura fert, patiebatur. At ipsum tamen nihil horum perculit: sed fortis athletæ instar constitit, atque in uno quoque horum

Matt. 8. 8.

In calamitatibus quomodo agendum.

victoriam adeptus est. Ad eumdem modum beatus quoque Paulus, cum frequentes afflictiones quolibet die in se irruentes perspiceret, haud secus ac si in medio paradiso degeret, ita gaudebat & exsultabat. Ut igitur is, qui hujusmodi gaudio fruitur, a mœrore arripi non potest: sic qui illud minime amplexus est, a quibusvis arripi & expugnari potest. Ac perinde ei accidit, ut ei qui imbecillibus armis instructus est, ac vel levissimo ictu sauciatur: cum contra is, qui probe undique armatus est, ingruentia omnia tela propulset. Etenim quibusvis armis firmior ac valentior est voluptas ea, quæ secundum Deum percipitur. Nec quidquam est, quod hujusmodi virum in tristitiam ac mœrorem conjicere quæat: verum omnia forti ac generoso animo perfert. Quid enim igne gravius? Quid perpetuis cruciatibus acerbius? Nam ut etiam opes, & liberos, ac denique quidvis amittat, hoc tamen ad ciendum dolorem omnibus est violentius. *Pellem* enim, inquit, *pro pelle, & omnia quæ habet homo, dabit pro anima sua.* Nec quidquam corporis tormentis acerbius fingi potest. Sed tamen quæ vel auditu intoleranda sunt, ea ob gaudium illud, quod divinitus concipitur, tolerabilia, atque etiam expetenda fiunt. Ac si a ligno, vel a sartagine, nonnihil adhuc spirantem martyrem eduxeris, tantum gaudium in eo situm comperies, quantum ne verbis quidem ullis exprimi possit. Et quid faciam, inquies, quando martyrii tempus nunc non est? Quid dicis? Martyrii tempus nunc non adest? Nunquam illud abest: sed semper ob oculos nostros versatur, si vigilanti animo simus. Neque enim in ligno tantum pendere, martyrem facit. Nam si ita res haberet, coronarum hujusmodi Job expers esset. Neque enim ad tribunal adductus est, nec judicis vocem audivit, nec carnificem vidit; non enim e ligno sublimis pendens excarnificabatur: & tamen multis martyribus acerbiora passus est; ac voces illæ nunciorum, qui alii aliis succedebant, cum quavis plaga acrius acerbiusque convulnerabant, atque undique lancinabant, vermiumque illorum ora omni ex parte ipsum immanius, quam sexcenti carnifices, corrodebant.

*Job. 2. 4.*

Jobi patientia.

5. Ecquem igitur martyrem hic non æquet? imo vero sexcentos? Nam per omnia rerum genera tum luctabatur, tum palmam obtinebat, nimirum per opes, per liberos, per corpus, per uxorem, per amicos, per hostes, per servos; nam hi quoque in os ejus inspuebant; per famem, per somnia, per dolores, per fœtorem. Ob eamque causam dixi, eum non uni aut duobus, aut tribus, sed sexcentis martyribus æquandum esse. Etenim una cum iis quæ commemorata sunt, tempus quoque magnum ipsius coronis cumulum addit: quippe quod ante legem & gratiam hæc per-

A ἐφ' ἑκάστῳ τούτων ἀνακηρυττόμενος. οὕτω καὶ ὁ μακάριος Παῦλος νιφάδας πειρασμῶν ὁρῶν καθ' ἑκάστην ἐπιούσας ἡμέραν, ὡς ἐν μέσῳ παραδείσῳ τρυφῶν, οὕτως ἔχαιρε, καὶ ἠγάλλετο. ὥσπερ οὖν ὁ ταύτην χαίρων τὴν χαρὰν οὐκ ἔστιν ἁλώσιμος ἀθυμίᾳ, οὕτως ὁ μὴ ταύτην ἐχόμενος πᾶσίν ἐστιν εὐχείρωτος, καὶ πάσχει ταυτὸν, οἷον εἴ τις ὅπλα ἔχων σαθρὰ, καὶ ὑπὸ τῆς τυχούσης τιτρώσκοιτο πληγῆς· ἀλλ' οὐχ ὁ καλῶς πάντοθεν περιπεφραγμένος, ἀλλ' ἅπαν ἀκόντιον ἐπιὸν διακρούεται. B καὶ γὰρ ὅπλου παντὸς ἰσχυρότερον ἡ κατὰ θεὸν ἡδονή· καὶ οὐδὲν τὸν τοιοῦτον ποιῆσαι κατηφῆ, καὶ σκυθρωπὸν δύναιτ' ἂν, ἀλλὰ πάντα φέρει γενναίως. τί γὰρ πυρὸς χεῖρον; τί βασάνων διηνεκῶν ὀδυνηρότερον; κἂν γὰρ μυρία τις ἀπολέσῃ κτήματα, κἂν παῖδας, κἂν ὁτιοῦν· τοῦτο πάντων τυραννικώτερον εἰς ὀδύνης λόγον ἐστί. δέρμα γάρ, φησιν, ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. καὶ οὐδὲν ἂν γένοιτο ὀδυνῶν χαλεπώτερον. ἀλλ' ὅμως καὶ τὰ τῇ ἀκοῇ ἀφόρητα, ταῦτα φο- C ρητὰ καὶ ποθεινὰ διὰ τὴν κατὰ θεὸν ἡδονὴν γίνεται. κἂν ἀγάγῃς τὸν μάρτυρα ἔτι ἐμπνέοντα μικρὸν ἀπὸ τοῦ ξύλου, ἢ ἀπὸ τῶν τηγάνων, τοσαύτην εὑρήσεις τὴν [a] ἀποκειμένην αὐτῷ χαρὰν, ὅσην οὐδὲ εἰπεῖν ἔνι. καὶ τί πάθω, φησὶν, ὅτι μαρτυρίου καιρὸς οὐ πάρεστι νῦν; τί φῄς; οὐ πάρεστι μαρτυρίου καιρός; οὐδέποτε μὲν οὖν αὐτοῦ ἄπεστιν, ἀλλ' ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἐστὶ τῶν ἡμετέρων, ἐὰν νήφωμεν. οὐδὲ γὰρ τὸ ἐπὶ ξύλου κρέμασθαι μόνον, τοῦτο ποιεῖ μάρτυρα· ἐπεὶ εἰ τοῦτο ἦν, ἐκτὸς τῶν στεφάνων τού- D των ὁ Ἰὼβ ἦν. οὔτε γὰρ δικαστηρίῳ παρέστη, οὔτε δικαστοῦ φωνῆς ἤκουσεν, οὐ δήμιον εἶδεν· οὐ γὰρ ἀνηρτημένος ἐπὶ ξύλου, καὶ μετέωρος ὢν, κατεξαίνετο τὰς πλευράς· ἀλλ' ὅμως πολλῶν μαρτύρων χαλεπώτερα ἔπαθε, καὶ αἱ φωναὶ τῶν ἐπαλλήλων ἀγγέλων ἐκείνων πάσης πληγῆς δριμύτερον ἔπληττον, καὶ ἐκέντουν πάντοθεν αὐτὸν, καὶ μυρίων δημίων πικρότερον τῶν σκωλήκων ἐκείνων τὰ στόματα πάντοθεν αὐτὸν κατήσθιε.

Τίνος οὖν οὐκ ἀντάξιος μάρτυρός ἐστι; μυρίων E μὲν οὖν. καὶ γὰρ διὰ πάντων, καὶ ἐπάλαιε, καὶ ἐστεφανοῦτο, διὰ χρημάτων, διὰ παίδων, διὰ σώματος, διὰ γυναικὸς, διὰ φίλων, δι' ἐχθρῶν, δι' οἰκετῶν· καὶ γὰρ καὶ οὗτοι εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον· διὰ λιμοῦ, δι' ὀνειράτων, δι' ὀδυνῶν, διὰ δυσωδίας. διὰ δὴ τοῦτο ἔφην, ὅτι οὐχ ἑνὸς, καὶ δύο, καὶ τριῶν, ἀλλὰ μυρίων ἀντάξιος ἂν εἴη μαρτύρων. μετὰ γὰρ τῶν εἰρημένων, καὶ ὁ χρόνος πολλὴν δίδωσιν αὐτοῦ τοῖς στεφάνοις προσθήκην· οἷον τὸ πρὸ τοῦ νόμου, πρὸ τῆς χάριτος ταῦτα παθεῖν,

[a] Sic mss. Editi vero, κειμένην.

καὶ

καὶ μῆνας πολλοὺς, καὶ πάντα μεθ' ὑπερβολῆς, καὶ τὸ πάντα ὁμοῦ ἐπιθέσθαι αὐτῷ τὰ δεινά. καίτοι καὶ καθ' ἑαυτὸ ἕκαστον αὐτῶν ἀφόρητον· καὶ τὸ δοκοῦν φορητότερον εἶναι, ἡ τῶν χρημάτων ζημία. πολλοὶ γοῦν πληγὰς μὲν ἤνεγκαν, ζημίαν δὲ χρημάτων οὐκ ἤνεγκαν, ἀλλὰ καὶ μαστίζεσθαι ὑπὲρ αὐτῶν [a] εἵλοντο, καὶ μυρία πάσχειν δεινὰ μᾶλλον ἢ ἐκείνων τι προέσθαι· καὶ μείζων αὐτοῖς ἐφάνη ἡ πληγὴ αὕτη, ἢ τῆς ζημίας τῶν χρημάτων. ὥστε καὶ οὗτος ἕτερος πάλιν μαρτυρίου τρόπος τῷ φέροντι γενναίως τὴν τούτων ἀπώλειαν. καὶ πῶς οἴσομεν γενναίως, φησίν; ὅταν μάθῃς ὅτι πλείονα κερδανεῖς ὧν ἀπώλεσας δι' ἑνὸς ῥήματος τοῦ τῆς εὐχαριστίας. ἂν γὰρ ἀκούσαντες τὴν ἀπώλειαν μὴ ταραχθῶμεν, ἀλλ' εἴπωμεν, εὐλογητὸς ὁ θεός· πολλῷ πλείονα πλοῦτον εὑρήκαμεν. οὐ γὰρ δὴ τοσοῦτον καρπώσῃ τὸν πλοῦτον ἀναλίσκων εἰς τοὺς δεομένους, καὶ περιϊὼν, καὶ πένητας ἐπιζητῶν, σκορπίζων τὰ ὄντα τοῖς πεινῶσιν, ὅσα διὰ τούτου τοῦ ῥήματος κερδαίνεις. ἐπεὶ καὶ τὸν Ἰὼβ οὐχ οὕτω θαυμάζω τὴν οἰκίαν ἀνοίγοντα τοῖς δεομένοις, ὡς ἐκπλήττομαι, καὶ ἀνακηρύττω τὴν ἁρπαγὴν τῶν χρημάτων εὐχαρίστως φέροντα. τὸ αὐτὸ δὲ τοῦτο, καὶ ἐπὶ παίδων ἀποβολῆς ἔστι συμβαῖνον ἰδεῖν. οὐδὲ γὰρ ἐνταῦθα ἐλάττονα λήψῃ μισθὸν τοῦ τὸν υἱὸν ἀναγαγόντος καὶ καταθύσαντος, εἰ τελευτῶντα ἰδὼν εὐχαριστήσας τῷ φιλανθρώπῳ θεῷ. τί γὰρ ὁ τοιοῦτος τοῦ Ἀβραὰμ ἔσται χείρων; ἐκεῖνος γὰρ οὐκ εἶδε κείμενον νεκρὸν, ἀλλὰ προσεδόκησε μόνον. ὥστε εἰ πλεονεκτεῖ τῷ μέλλειν καταθύειν, καὶ τὴν χεῖρα ἐκτείνας τὴν μάχαιραν ἁρπάσαι· πλεονεκτεῖται τῷ κεῖσθαι τὸ παιδίον νεκρὸν ἐνταῦθα. καὶ ἄλλως δὲ, ἐκείνῳ μὲν ἡ τοῦ κατορθώματος ἐλπὶς ἔφερε παραμυθίαν, καὶ τὸ τῆς ἰδίας ἀνδρείας ἔργον εἶναι τὴν ἀριστείαν ἐκείνην, καὶ τὸ φωνῆς ἄνωθεν φερομένης ἀκοῦσαι προθυμότερον ἐποίει. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὅθεν ἀδαμαντίνης δεῖ ψυχῆς τῷ μονογενῆ παῖδα, καὶ ἐν πλούτῳ τραφέντα, καὶ χρηστὰς ὑποφαίνοντα ἐλπίδας, ἐπὶ τοῦ βόθρου κείμενον ὁρῶντι, καὶ τεταμένον, ὥστε πράως ἐνεγκεῖν τὸ συμβάν. ὁ τοιοῦτος ἂν δυνηθῇ, τῆς φύσεως τὰ κύματα κατευνάσας, εἰπεῖν τὸ τοῦ Ἰὼβ ἀδακρυτὶ, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· μετὰ τοῦ Ἀβραὰμ αὐτοῦ στήσεται, μετὰ τοῦ Ἰὼβ ἀνακηρυχθήσεται ἀπὸ τοῦ ῥήματος τούτου μόνον. κἂν τοὺς κωκυτοὺς τῶν γυναικῶν παύσας, καὶ τοὺς χοροὺς τῶν θρηνουσῶν διαλύσας, εἰς δοξολογίαν ἅπαντας διεγείρῃ· μυρία ἄνωθεν, μυρία κάτωθεν δέξε-

[a] Mss. εἵλαντο.

A pessus sit, quod multos menses, quod omnia supra modum, quod acerbitates omnes simul in eum impetum fecerint. Atqui unumquodque eorum, vel solum intolerabile erat, ipsaque adeo divitiarum jactura, quæ reliquis tolerabilior esse videbatur. Multi quippe plagas quidem æquo animo tulerunt, qui tamen opum jacturam minime pertulerunt: verum earum causa flagris potius concidi, atque innumeris calamitatibus affici, quam aliquam earum partem projicere maluerunt, gravioremque eam plagam existimarunt, quæ ex opum B detrimento capitur. Itaque hoc quoque aliud martyrii genus est, cum quis earum amissionem forti animo perfert. Et quonam modo, inquiet aliquis, eam forti animo perferemus? Cum didiceris te per unicam vocem, qua Deo gratias agas, plus lucri facturum, quam damni feceris Nam si audita earum amissione minime conturbemur, sed dicamus: Benedictus Deus, longe uberiores divitias invenimus. Neque enim tantum utilitatis capies, si opes tuas in egentes consumas, & obambules, ac pauperes conquiras, facultatesque tuas C in eos, qui fame laborant, spargas, quantum per hoc unum verbum emolumenti feres. Quandoquidem & Jobum non tam admiror, cum domum suam pauperibus apertam habet, quam eumdem suspicio, ac prædico, cum bonorum ereptionem ita fert, ut gratias etiam agat. Quod etiam ipsum in liberorum amissione accidere cernere licet. Neque enim hac in re minorem mercedem capies, quam ille, qui filium suum adduxit, atque immolavit, si cum filium morientem conspexeris, benigno Deo gratias agas. In quo enim is qui hujusmodi animo præditus est, Abrahamo in- D ferior sit? Ille enim non mortuum humi stratum vidit, sed tantum exspectavit. Quocirca si hac ratione superior est, quod filium mactare parabat, atque extenta manu gladium arripuerat, in hoc rursum inferior est, quod hic puer mortuus jaceat. Quinetiam alioqui præclari facinoris spes consolationem ipsi afferebat: atque illud item quod strenuum hujusmodi facinus, propriæ ipsius fortitudinis munus erat: ac præterea vox ea, quæ cælitus mittebatur, ab eo audita, promtiorem eum reddebat. Hic autem nihil ejusmodi est. Ex quo intelligitur, adamantina quadam anima opus E esse, ut quispiam unicum filium, qui in divitiis educatus fuerat, lætamque de se spem afferebat, in tumulo jacentem, & extentum conspiciens, casum hunc leniter ac placide ferat. Qui hoc animo est, si sedatis naturæ fluctibus illud Jobi siccis oculis dicere queat: *Dominus dedit, Dominus* Job. 1. 21. *abstulit;* ob hoc dumtaxat verbum una cum Abrahamo collocabitur, una cum Job victor prædicabitur. Quod si compressis mulierum singultibus, chorisque lugentium dissolutis, omnes ad celebrandas Dei laudes excitarit, innumera in cælo, innu-

mera in terra præmia consequetur, hominibus eum admirantibus, angelis plaudentibus, Deo coronante.

6. Et quî fieri queat, dicet aliquis, ut qui homo est, non lugeat? Nimirum si cogites, nec Patriarchæ, nec Jobo, cum homo uterque esset, quidquam tale accidisse, idque cum uterque ante legem & gratiam ac tantam legum philosophiam exstitisset. Si præterea illud consideres, eum, qui vitam cum morte commutavit, ad meliorem regionem migrasse, atque ad præstantiorem sortem transiliisse, teque non filium amisisse, sed in tuto jam loco collocasse. Quamobrem ne dixeris, jam pater non vocor. Cur enim, non jam voceris, cum filius tuus superstes sit? Num puerum amisisti? Num filium perdidisti? Imo potius adeptus es, tutiusque possides. Ob idque non jam hic solum pater vocaris, sed etiam in cælo. Quamobrem, tantum abest ut patris nomen amiseris, ut copiosius etiam illud tibi accesserit. Neque enim jam mortalis, sed immortalis filii pater vocaberis, strenuique militis, atque intus perpetuo stantis. Neque enim est, quod eum idcirco tibi periisse putes, quia non adest. Etenim si peregre profectus fuisset, non propterea una cum corpore propinquitatis quoque nomen abscessisset. Quocirca ne jacentis vultum attende; sic enim ægritudinem exsuscitas; verum da operam, ut mentem ab eo, qui jacet, ad cælum subducas. Non enim cadaver hoc, quod humi jacet, filius tuus est: sed ille, qui avolavit, atque in immensam altitudinem ascendit. Cum itaque depressos oculos, atque contractum os, & corpus motu carens videris, cave hoc tibi in mentem veniat, quod os istud non jam loquitur, oculi isti non jam cernunt, pedes isti non jam ambulant, sed omnia in corruptionem abierunt. Cave inquam ista dicas; verum his contraria, nempe, Os istud melius loquetur, oculi isti meliora cernent, & pedes in nubibus sublimes tollentur, ac denique corpus istud, quod nunc corrumpitur, immortalitatem induet, illustrioremque filium meum recipiam. Quod si mœrorem tibi ea, quæ cernis, afferunt, interim tecum ipse hæc loquere: Vestimentum hoc est, id exuit, ut ipsum præclarius recipiat. Domus hæc est: ea eversa est, ut luculentior fiat. Quemadmodum enim nos, cum domum purgaturi sumus, eos, qui intus habitant, ne quid pulveris contrahant, ac tumultu offendantur, foras amandamus, ac paulisper secedere jubemus; posteaquam autem domum tutam reddimus, tum denique ipsos libere introire sinimus: eodem modo Deus quoque facit; everso enim putri ipsius tabernaculo, interim eum in paternam domum atque ad se introducit, ut posteaquam illud diruerit, atque instaurarit, tum demum splendidius id ei reddat. Quocirca ne dixeris, periit, nec jam est; eorum enim, qui fide carent, hæc verba sunt; verum hoc

A ται βραβεῖα, ἀνθρώπων αὐτὸν θαυμαζόντων, ἀγγέλων κροτούντων, τοῦ θεοῦ στεφανοῦντος.

Καὶ πῶς δυνατὸν μὴ πενθεῖν ἄνθρωπον ὄντα, φησίν; ἂν ἐννοήσῃς πῶς ὁ πατριάρχης, πῶς ὁ Ἰώβ, ἄνθρωποι ὄντες οἱ ἀμφότεροι, οὐδὲν τοιοῦτον ἔπαθον, καὶ ταῦτα πρὸ νόμου καὶ χάριτος καὶ τῆς τοσαύτης τῶν νόμων φιλοσοφίας ἑκάτερος αὐτῶν γενόμενος· ἂν λογίσῃ, ὅτι εἰς βελτίονα [a] χώραν μετέστη, καὶ πρὸς ἀμείνω λῆξιν ἀπεπήδησεν ὁ τελευτήσας, καὶ οὐκ ἀπώλεσας τὸν υἱὸν, ἀλλ' ἐν ἀσύλῳ λοιπὸν ἀπέθου χωρίῳ. μὴ τοίνυν λέγε, ὅτι
B οὐκέτι καλοῦμαι πατήρ. διὰ τί γὰρ οὐκέτι καλῇ τοῦ υἱοῦ μένοντος; μὴ γὰρ ἀπέβαλες τὸ παιδίον; μὴ γὰρ ἀπώλεσας τὸν υἱόν; μᾶλλον ἐκτήσω, καὶ ἀσφαλέστερον ἔχεις. διὰ τοῦτο οὐκέτι ἐνταῦθα μόνον καλῇ πατήρ, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ· ὥστε οὐ τὸ πατὴρ καλεῖσθαι ἀπώλεσας, ἀλλὰ τὸ μειζόνως καλεῖσθαι προσέλαβες. οὐ γὰρ θνητοῦ παιδίου λοιπὸν, ἀλλ' ἀθανάτου κληθήσῃ πατὴρ, στρατιώτου γενναίου, καὶ ἔνδον ἑστῶτος διηνεκῶς. μὴ γὰρ, ἐπειδὴ μὴ πάρεστι, καὶ ἀπολωλέναι αὐτὸν νό-
C μιζε. οὐ γὰρ, εἰ ἀποδημῶν ἐτύγχανεν, ἀπέστη ἂν σου καὶ τοὔνομα τῆς συγγενείας μετὰ τοῦ σώματος. μὴ δὴ τῇ ὄψει τοῦ κειμένου πρόσεχε, ἐπεὶ ἀναρριπίζεις τὸ πάθος, ἀλλ' ἄπαγε τὴν διάνοιαν ἀπὸ τοῦ κειμένου πρὸς τὸν οὐρανόν. οὐχ οὗτός ἐστι τὸ παιδίον τὸ κείμενον, ἀλλ' ἐκεῖνος ὁ ἀποπτὰς καὶ ἀναδραμὼν εἰς ὕψος ἄπειρον. ὅταν τοίνυν ἴδῃς τοὺς ὀφθαλμοὺς καθημένους, καὶ τὸ στόμα σεσιωπημένον, καὶ τὸ σῶμα ἀκίνητον, μὴ τοῦτο ἐννόει ὅτι τοῦτο τὸ στόμα οὐκέτι φθέγγεται, οὗτοι οἱ ὀφθαλμοὶ οὐκέτι βλέπουσιν, οὗτοι οἱ πόδες οὐκέτι βαδίζουσιν,
D ἀλλ' εἰς φθορὰν πάντα οἴχεται· μὴ ταῦτα λέγε, ἀλλὰ τἀναντία τούτων· ὅτι τοῦτο τὸ στόμα ἄμεινον φθέγξεται, καὶ οἱ ὀφθαλμοὶ μείζονα ὄψονται, καὶ οἱ πόδες ἐπὶ νεφελῶν ἀρθήσονται, καὶ τὸ διαφθειρόμενον τοῦτο σῶμα ἀθανασίαν ἐνδύσεται, καὶ λαμπρότερον τὸν υἱὸν ἀπολήψομαι. εἰ δὲ λυπεῖ σε τὰ ὁρώμενα, τέως εἰπὲ πρὸς ἑαυτόν· ἱμάτιον τοῦτό ἐστι, καὶ ἀπεδύσατο, ὥστε αὐτὸ πολυτελέστερον ἀπολαβεῖν· οἰκία αὕτη ἐστὶ, καὶ καθῃρέθη, ὥστε γενέσθαι αὐτὴν φαιδροτέραν. καθάπερ γὰρ ἡμεῖς, ἐπειδὰν μέλλωμεν καθαιρεῖν οἰκίας, οὐκ ἀφίεμεν τοὺς ἔνδον
E οἰκοῦντας μένειν, ὥστε ἀπαλλαγῆναι τῆς κόνεως καὶ τοῦ θορύβου, ἀλλὰ κελεύσαντες πρὸς βραχὺ μεταστῆναι, ἐπειδὰν κατασκευάσωμεν ἀσφαλὲς τὸ δωμάτιον, τότε αὐτοὺς μετὰ ἀδείας εἰσάγομεν· οὕτω καὶ ὁ θεὸς ποιεῖ, καθελὼν αὐτοῦ τὴν σαθρὰν σκηνὴν τέως εἰς τὴν πατρικὴν αὐτὸν ἔλαβεν οἰκίαν, καὶ πρὸς ἑαυτὸν, ἵν' ὅταν καθαιρεθῇ αὕτη καὶ οἰκοδομηθῇ, λαμπροτέραν αὐτὴν τότε αὐτῷ ἀποδῷ. μὴ τοίνυν εἴπῃς ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔσται· καὶ γὰρ ἀπίστων τὰ ῥήματα ταῦτα· ἀλλ' εἰπὲ,

[a] χώραν μετέστη mss. editi vero χῶρον μέτεισι male.

καθεύδει, καὶ ἀναστήσεται· ἀποδήμησε, καὶ ἥξει μετὰ τοῦ βασιλέως. τίς ταῦτά φησιν; ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. Εἰ γὰρ πιστεύομεν, φησὶν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, οὕτως ὁ θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Εἰ τοίνυν ζητεῖς τὸν υἱὸν, ἐκεῖ ζήτει ἔνθα ὁ βασιλεὺς, ἔνθα τὸ τῶν ἀγγέλων στρατόπεδον· μὴ ἐν τῷ τάφῳ, μηδὲ ἐν τῇ γῇ, ἵνα μὴ, ἐκείνου τοσοῦτον ὑψωθέντος, αὐτὸς μένῃς ἐπὶ τῆς γῆς συρόμενος. ἂν τοίνυν οὕτω φιλοσοφῶμεν, πᾶσαν τοιαύτην ὀδύνην εὐκόλως διακρουσόμεθα. ὁ δὲ θεὸς τῶν οἰκτιρμῶν καὶ πατὴρ πάσης παρακλήσεως, παρακαλέσαι τὰς καρδίας πάντων ἡμῶν, καὶ τῶν τὰ τοιαῦτα [a] ὀδυνωμένων, καὶ τῶν ἑτέρᾳ λύπῃ κατεχομένων, καὶ ἀθυμίας ἀπαλλαγῆναι δῴη πάσης, καὶ πνευματικὴν καρπώσασθαι χαρὰν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ β'

Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν· καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν.

ΕΙΠΩΝ μίαν καὶ πρώτην παρακλήσεως καὶ παραμυθίας ἀφορμὴν, αὕτη δὲ ἦν τὸ τῷ Χριστῷ κοινωνεῖν, τίθησι καὶ δευτέραν ταύτην ἥν φησιν. ἔστι δὲ αὕτη, τὸ αὐτῶν τῶν μαθητευομένων ἐντεῦθεν κατασκευάζεσθαι τὴν σωτηρίαν. μὴ τοίνυν καταπέσητε, φησὶν, ἐπειδὴ θλιβόμεθα, μηδὲ θορυβηθῆτε καὶ δείσητε. καὶ γὰρ δι' αὐτὸ τοῦτο μᾶλλον ἂν εἴη δίκαιον ὑμᾶς θαρρεῖν. Εἰ γὰρ μὴ ἐθλιβόμεθα, πάντας ἂν ὑμᾶς ταῦτα ἀπώλεσε. πῶς, καὶ τίνα τρόπον; ὅτι εἰ μαλακισθέντες, καὶ τὰ δεινὰ δείσαντες, μὴ ἐκηρύξαμεν ὑμῖν τὸν λόγον, ὥστε μαθεῖν τὴν ἀληθῆ γνῶσιν, ἐν ἐσχάτοις ἦν τὰ ὑμέτερα. Εἶδες πάλιν Παύλου τὴν βίαν καὶ τὴν φιλονεικίαν; ἀφ' ὧν [b] ἐθορυβοῦντο, ἀπὸ τούτων αὐτοὺς παραμυθεῖται. ὅσῳ γὰρ ἂν ἐπιτείνηται τὰ τῶν διωγμῶν τῶν ἡμετέρων, φησὶ, τοσούτῳ μᾶλλον ἐπιδιδόναι δεῖ τὰ τῆς χρηστῆς ἐλπίδος ὑμῖν· ἐπειδὴ καὶ τοσούτῳ μᾶλλον αὔξεται τὰ τῆς σωτηρίας τῆς ὑμετέρας, καὶ τὰ τῆς παρακλήσεως. τί γὰρ ἴσον εἰς παρακλήσεως λόγον τοῦ τοσούτων ἐπιτυχεῖν ἀγαθῶν διὰ τοῦ κηρύγματος; Εἶτα ἵνα μὴ δόξῃ εἰς ἑαυτὸν μόνον τὸ ἐγκώμιον περιϊστᾶν, ὅρα πῶς καὶ ἐκείνους ποιεῖ τῶν ἐπαίνων τούτων κοινωνούς. Εἰπὼν γὰρ,

[a] MSS. ὀδυρομένων.

[b] MSS. ἐθορυβοῦντο. Editi, ἐφοβοῦντο.

A potius, Dormit, ac resurget: peregre abiit, atque cum rege venturus est. Quis hoc sermone utitur? Is nempe, qui Christum in se loquentem habet. *Si enim credimus*, inquit, *quod Jesus mortuus est, & resurrexit, ac vivit; ita etiam Deus, eos qui obdormierunt, per Jesum adducet cum eo.* Quare si filium quæris, illic eum quære, ubi rex est, ubi angelorum exercitus, non in sepulcro, non in terra, ne alioqui, eo usque adeo in altum erecto, ipse humi provolutus maneas. Si ad hunc modum philosophemur, omnem ejusmodi dolorem nullo negotio propellemus. Deus autem misera-
B tionum & totius consolationis omnium nostrum corda consoletur, & eorum, qui in ejusmodi doloribus versantur, & eorum, qui alio mœroris genere tenentur, donetque ut omni mœstitia liberemur, ac spirituale gaudium percipiamus, futuraque bona consequamur. Quæ detur omnibus nobis assequi, gratia & benignitate Domini nostri Jesu Christi, cum quo Patri, simulque Sancto Spiritui gloria, potestas, honor, nunc & semper & in sæcula sæculorum, amen.

1. Thess. 4. 14.

C

## HOMILIA II.

6. *Sive autem tribulamur, pro vestra consolatione & salute, quæ operatur in tolerantia earumdem passionum, quas & nos patimur: & spes nostra firma est pro vobis.*

1. POSTQUAM unam ac principem exhortationis atque consolationis causam protulit, nempe quod Christo communicemus, secundam quoque hanc ponit, nimirum quod discipulis ip-
D sis hinc salus comparetur. Ne igitur animis concidatis, inquit, nec perturbemini ac metuatis, propterea quod affligimur. Quandoquidem hoc ipso nomine æquius fuerit vos fiduciam concipere. Nam nisi affligeremur, hæc omnia vobis exitium attulissent. Quî tandem istud? Quoniam si animis fracti, ac periculorum metu perterriti, fidei doctrinam vobis minime prædicavissemus, ut veram scientiam intelligeretis, extremo in discrimine res vestræ sitæ essent. Vides rursus quanta Pauli vis sit atque contentio? Ab his ipsis rebus, quæ metum ac perturbationem ipsis affe-
E rebant, eos consolatur. Quo etenim persequutiones nostræ magis ingravescunt, inquit, eo magis bona vestra spes incrementum capere debet, quandoquidem tanto major saluti consolationique vestræ cumulus accedit. Quidnam enim tantam ad consolandum vim habebat, quam quod prædicationis beneficio tot bona consequebantur? Postea, ne universam laudem solus ipse sibi arrogare videatur, vide quomodo eos quoque in laudis societatem asciscat. Postquam enim dixit, Sive

tribulamur, pro vestra consolatione & salute, subjunxit, *Quæ operatur in tolerantia earumdem passionum, quas & nos patimur.* Ac dilucidius hoc quidem postea exprimit his verbis: *Sicut socii estis passionum, sic eritis & consolationis.* Interim autem hoc loco id subindicavit, cum dixit, *Earumdem passionum*, atque ita sermonem cum illis communicavit. Quod autem ait, hanc sententiam habet: Non nos soli vestræ salutis negotium agimus; sed & vos quoque. Siquidem & nos, dum prædicationis munus obimus, affligimur: & vos, qui sermonem excipitis, in iisdem calamitatibus versamini: nos videlicet, ut, quæ accepimus, vobis impertiamus: vos, ut quod datur, accipiatis, nec amittatis. Quidnam igitur est, quod cum hac humilitate comparari possit; quippe cum eos, qui tanto intervallo ab eo dissiti erant, in eamdem patientiæ laudem dignitatemque subvehat? Inquit enim, *Quæ operatur in tolerantia earumdem passionum.* Neque enim per fidem dumtaxat salus vobis comparatur: verum per id etiam, quod easdem, quas nos, calamitates suffertis. Quemadmodum enim egregius athleta ob probam corporis habitudinem, etiam cum cernitur, atque artem in seipso continet, homines in admirationem trahit, at cum operatur, & plagas perfert, atque adversarium ferit, tum denique potissimum elucet, quoniam tum denique bona ipsius habitudo vim suam exerit, artisque præstantia declaratur: eodem modo salus nostra tum luculentius agitur, hoc est, ostenditur, augetur, amplificatur, cum tolerat & patitur, ac cuncta forti & strenuo animo subit. Ex quo colligitur, salutis negotium non in hoc consistere, ut quispiam alium malo afficiat, sed ut ipse afficiatur. Nec dixit, ἐνεργούσης, hoc est, quæ efficit, sed, ἐνεργουμένης, id est, quæ efficitur: ut videlicet illud ostendat, quod ad eorum promtitudinem atque animi alacritatem divina quoque gratia adjuncta, multas utilitates afferebat, dum in illis operaretur. *Et spes nostra firma est pro vobis.* Hoc est, etiamsi innumeras rerum acerbitates perpetiamini, confidimus tamen fore, ut ne ob vestras quidem persequutiones concidatis. Tantum enim abest, ut sinistri quicquam de vobis, ob ea quæ patimur, suspicemur, ut cum ipsi periclitamini, tum quoque bono animo simus. Vides quantum illi ex priore epistola profecerint? Etenim multo majora ipsis pro testimonio tribuit, quam Macedonibus, quos tamen alioqui passim per totam epistolam laudibus tollit. Nam illorum quidem causa in metu erat, atque aiebat: *Misimus vobis Timotheum, ad confirmandos vos, & exhortandos pro fide vestra, ut nemo moveatur in tribulationibus istis; ipsi enim scitis quod in hoc positi sumus.* Ac rursus: *Propterea & ego amplius non sustinens, misi ad cognoscendam fidem vestram: ne forte tentaverit vos is qui tentat, & inanis fiat labor noster.* De

*Justi virtus in ærumnis lucet & augetur.*

*1. Thess. 3. 2.*

*Ibidem.*

A εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, ἐπήγαγε, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν. σαφέστερον μὲν οὖν αὐτὸ τίθησιν ὕστερον λέγων οὕτως· ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως· ἐνταῦθα δὲ τέως αὐτὸ ἠνίξατο εἰπὼν, τῶν αὐτῶν παθημάτων, καὶ κοινώσας τὸν λόγον. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐχ ἡμῶν ἔργον ἡ ὑμετέρα σωτηρία μόνον, ἀλλὰ καὶ ὑμῶν αὐτῶν. καὶ γὰρ καὶ ἡμεῖς κηρύττοντες θλιβόμεθα, B καὶ ὑμεῖς δεχόμενοι τὸν λόγον, τὰ αὐτὰ πάσχετε· ἡμεῖς μὲν, ἵνα μεταδῶμεν ἅπερ ἐλάβομεν· ὑμεῖς δὲ, ἵνα τὸ διδόμενον δέξησθε, καὶ μὴ ἀποβάλητε. τί τοίνυν ἴσον τῆς ταπεινοφροσύνης ταύτης γένοιτ' ἂν, ὅταν καὶ τοὺς τοσοῦτον αὐτοῦ ἀποδέοντας, εἰς τὸ αὐτὸ ἀξίωμα τῆς ὑπομονῆς ἀνάγῃ; τῆς ἐνεργουμένης γὰρ, φησιν, ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων. οὐ γὰρ διὰ τοῦ πιστεῦσαι μόνον ἡ σωτηρία ὑμῶν γίνεται, ἀλλὰ καὶ διὰ τοῦ πάσχειν τὰ αὐτὰ ἡμῖν, καὶ ὑπομένειν. καθάπερ γὰρ παγκρατιαστὴς C θαυμαστὸς μέν ἐστι, καὶ φαινόμενος, καὶ εὐεκτῶν, καὶ τὴν τέχνην ἔχων ἐν ἑαυτῷ, ὅταν δὲ ἐνεργῇ, καὶ φέρῃ πληγὰς, καὶ πλήττῃ τὸν ἀντίπαλον, τότε μάλιστα ἀπολάμπει, ἐπειδὴ καὶ τότε μάλιστα ἐνεργεῖται αὐτοῦ ἡ εὐεξία, καὶ διαδείκνυται τῆς τέχνης ἡ δοκιμή· οὕτω δὴ καὶ ἡ σωτηρία ὑμῶν τότε ἐνεργεῖται μειζόνως, τουτέστι, δείκνυται, αὔξεται, ἐπιτείνεται, ὅταν ὑπομονὴν ἔχῃ, ὅταν πάσχῃ καὶ γενναίως ἅπαντα φέρῃ. ἄρα ἐνέργεια σωτηρίας, οὐ τὸ ποιεῖν κακῶς, ἀλλὰ τὸ πάσχειν D κακῶς. καὶ οὐκ εἶπε, τῆς ἐνεργούσης, ἀλλὰ, τῆς ἐνεργουμένης, δεικνὺς ὅτι μετὰ τῆς αὐτῶν προθυμίας καὶ ἡ χάρις πολλὰ εἰσέφερεν ἐνεργοῦσα ἐν αὐτοῖς. καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν· τουτέστιν, ὅτι κἂν μυρία πάσχητε δεινὰ, θαρροῦμεν ὅτι οὐ περιτραπήσεσθε, οὔτε ἐπὶ τοῖς ὑμετέροις διωγμοῖς. τοσοῦτον γὰρ ἀπέχομεν ὑποπτεύειν ὑμᾶς, ἐφ' οἷς αὐτοὶ πάσχομεν, ὡς θορυβουμένους, ὅτι ἡνίκα ἂν αὐτοὶ κινδυνεύητε, καὶ τότε θαρροῦμεν. εἶδες ὅση γέγονεν αὐτῶν ἐπίδοσις ἀπὸ τῆς E προτέρας ἐπιστολῆς; πολὺ γὰρ μείζονα αὐτοῖς ἐμαρτύρησε Μακεδόνων, οὓς ἐπαίρει καὶ ἐγκωμιάζει πανταχοῦ τῆς ἐπιστολῆς ἐκείνης. ὑπὲρ μὲν γὰρ ἐκείνων δέδοικε, καί φησιν, ἐπέμψαμεν ὑμῖν Τιμόθεον εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως, εἰς τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα. καὶ πάλιν, διὰ τοῦτο μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

A περὶ δὲ τούτων οὐδὲν τοιοῦτόν φησιν, ἀλλὰ καὶ τοὐναντίον· ὅτι ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν. εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως. ὅτι μὲν γὰρ δι' αὐτοὺς ἐθλίβοντο οἱ ἀπόστολοι, ἀπέδειξεν εἰπὼν, ὅτι εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας. βούλεται δὲ δεῖξαι, ὅτι καὶ δι' αὐτοὺς παρεκαλοῦντο. εἶπε μὲν οὖν αὐτὸ καὶ ἀνωτέρω, εἰ καὶ ἀδιορίστως. εὐλογητὸς γάρ, φησιν, ὁ θεὸς ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει, εἰς τὸ δύνασθαι ἡμᾶς πα- B ρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει. λέγει δὲ αὐτὸ καὶ ἐνταῦθα πάλιν ἑτέρως, σαφέστερόν τε καὶ θεραπευτικώτερον. εἴτε γὰρ παρακαλούμεθα, φησιν, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ παράκλησις ἡμῶν, ὑμῶν γίνεται παραψυχὴ, καὶ χωρὶς τοῦ διὰ λόγου παρακαλεῖν ὑμᾶς. ἂν μικρὸν ἀναπνεύσωμεν μόνον ἡμεῖς, ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ὑμῖν· κἂν αὐτοὶ παρακληθῶμεν, ὑμετέρα τοῦτο παράκλησις γίνεται. ὥσπερ γὰρ τὰ παθήματα τὰ ἡμέτερα, ὑμέτερα εἶναι νομίζετε· οὕτω καὶ τὴν παράκλησιν τὴν ἡμετέραν, ὑμετέραν ἡγεῖσθε. οὐ γὰρ δήπου ἐν τοῖς δυσχερέσι κοινω- C νοῦντες, ἐν τοῖς χρηστοτέροις οὐ κοινωνήσετε. εἰ τοίνυν ἐν πᾶσι κοινωνεῖτε, ἐν θλίψει, καὶ ἐν παρακλήσει· οὐδὲν ἡμῖν ἐγκαλέσετε ὑπὲρ τῆς μελλήσεως καὶ τῆς βραδυτῆτος ταύτης. καὶ γὰρ θλιβόμεθα ὑπὲρ ὑμῶν, καὶ παρακαλούμεθα δι' ὑμᾶς. ἵνα γὰρ μή τις νομίσῃ βαρὺ τὸ εἰπεῖν, ὅτι δι' ὑμᾶς ταῦτα πάσχομεν, λέγει ὅτι καὶ δι' ὑμᾶς παρακαλούμεθα. καὶ οὔτε μόνοι κινδυνεύομεν ἡμεῖς· καὶ γὰρ καὶ ὑμεῖς κοινωνοί ἐστε τῶν αὐτῶν παθημάτων, φησίν.

Ὥστε καὶ τὸ κοινωνοὺς αὐτοὺς λαβεῖν τῶν κινδύνων, D καὶ τῆς παρακλήσεως αὐτῶν αὐτοῖς ἀναθεῖναι τὴν αἰτίαν, καταπραΰνει τὸν λόγον. ἄν τε οὖν ἐπιβουλευώμεθα, θαῤῥεῖτε· ἵνα γὰρ ἡ πίστις ὑμῶν δυνατωτέρα γίνηται, τοῦτο ὑπομένομεν. κἂν παρακαλώμεθα, ὑμεῖς ἐναβρύνεσθε καὶ τούτῳ· καὶ γὰρ δι' ὑμᾶς τούτων ἀπολαύομεν, ὥστε κἀντεῦθεν ὑμῖν γενέσθαι τινὰ παραμυθίαν κοινωνοῦσιν ἡμῖν τῆς ἡδονῆς. καὶ ὅτι τοῦτον λέγει τὸν τρόπον τῆς παρακλήσεως νῦν, ὃν ἐκαρποῦτο, οὐ διὰ τὸ παρακαλεῖσθαι παρ' αὐτῶν μόνον, ἀλλὰ καὶ διὰ E τοῦ μανθάνειν αὐτοὺς ἐν ἀνέσει ὄντας, ἄκουσον τῶν ἑξῆς, δι' ὧν αὐτὸ ἐξεκάλυψεν εἰπὼν, εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως. ὥσπερ γὰρ διωκομένων ἡμῶν ἀλγεῖτε, ὡς αὐτοὶ τοῦτο πάσχοντες· οὕτως ἴσμεν ὅτι καὶ παρακαλουμένων, αὐτοὶ τούτων παραπολαύειν νομίζετε. τί ταύτης ταπεινοφρονέστερον τῆς ψυχῆς; ὃς ἐν μὲν τοῖς κινδύνοις τοσοῦτον πλεονεκτῶν, κοινωνοὺς καλεῖ τοὺς οὐδὲ τὸ πολλοστὸν αὐτῶν ὑπομένοντας· ἐν δὲ τῇ παρακλήσει, τὴν αἰτίαν ἅπασαν ἐκείνοις λογίζεται, οὐ τοῖς οἰκείοις πόνοις. εἶτα, ἐπειδὴ περὶ θλίψεων ἀδιορίστως ἔλεγε,

A his autem nil tale loquitur, sed plane contra. *Spes nostra firma est pro vobis. Sive consolamur, pro vestra consolatione & salute. 7. Scientes quod sicut estis socii passionum, ita eritis consolationis.* Nam quod eorum causa apostoli premerentur, his verbis indicavit, sive tribulamur, pro vestra consolatione & salute. Vult item ostendere, quod eorum etiam causa consolatione afficerentur. Atque hoc quidem superius quoque dixit, tametsi indefinite. *Benedictus* enim, inquit, *Deus, qui consolatur nos in omni tribulatione, ut possimus & ipsi consolari eos, qui in omni pres- B sura sunt.* Ait rursus idem hoc quoque loco apertius, atque ad eorum animos curandos efficacius. Sive enim consolamur, inquit, pro vestra consolatione. Quorum verborum hic sensus est: Consolatio nostra, consolatio vestra existit: etiamsi vos minime sermone consolemur. Nam si paulum ipsi respiremus, id vobis ad consolationem satis est: ac si nos solatio afficiamur, in consolationem vestram hoc cedit. Quemadmodum enim calamitates nostras, vestras esse ducitis: sic etiam nostram consolationem vestram esse censetis. Neque enim certe, cum in adversis rebus socii mihi sitis, in lætis item ac secundis so- C cii non eritis. Quocirca cum in omnibus rebus socios vos habeam, non est quod me hujusce tarditatis ac moræ nomine accusetis. Nam pro vobis affligimur, & propter vos consolatione afficimur. Ne quis enim grave ac molestum id esse existimaret, quod dixerat, propter vos hæc patimur, illud etiam addit, & propter vos consolatione afficimur: ac ne nos quidem soli periclitamur, cum ipsi quoque in earumdem calamitatum partem veniatis.

2. Itaque tum ex eo quod periculorum socios ipsos assumsit, tum ex eo quod con- D solationis suæ causam ipsis adscribit, orationem lenit. Ac propterea, sive insidiis appetamur, firmo animo estote; nam ut fides vestra plus roboris colligat, hoc patimur; sive solatium accipimus, hoc quoque nomine gloriamini: nam propter vos eo fruimur, ut hinc etiam consolationis nonnihil ad vos redeat, dum lætitiæ nostræ participes estis. Atque ut intelligas quod de hoc consolationis modo nunc loquatur, quem ipse percipiebat, non hinc tantum quod consolatione ab ipsis afficeretur, verum etiam quia eos E ab afflictione liberos esse intelligeret, audi quæ deinceps sequuntur, per quæ hoc aperte declaravit, cum dixit, *Scientes quod sicut socii estis passionum, ita eritis & consolationis.* Sicut enim, cum nos persequutionem patimur, vos perinde doletis, ac si ipsi eam subiretis; sic non dubitamus, quin, cum solatium accipimus, vos eo frui existimetis. Quid hoc animo humilius fingi possit? quippe qui periculis tanto eos intervallo superans, socios tamen eos vocat, qui ne minimam quidem eorum partem sustinebant. In consolatione autem universam ipsis causam, non suis laboribus adscribit. Deinde quoniam de afflictionibus generatim loquebatur,

jam locum quoque narrat, in quo hæc perpessus sit. 8. *Non enim volumus vos ignorare, fratres, de tribulatione nostra quæ facta est nobis in Asia.* Hæc, inquit, idcirco dicimus, ne ea, quæ nobis acciderunt, ignoretis. Siquidem rerum nostrarum statum vobis exploratum esse cupimus, atque id summo studio curamus: quod quidem maximum est dilectionis argumentum. Hoc autem in superiore quoque epistola his verbis prius significarat: *Ostium mihi apertum est magnum & evidens, & adversarii multi Ephesi.* Hæc igitur in memoriam ipsis redigens, atque exponens quæ subierat, ait, Nolo vobis ignotam esse afflictionem eam quæ mihi in Asia contigit. Quod etiam ipsum, cum ad Ephesios scriberet, dicebat. Nam cum Tychicum ad eos misisset, hanc ipsi profectionis causam fuisse commemorat. Ideoque dicebat: *Ut autem sciatis & vos quæ circa me sunt, quid faciam, omnia vobis nota faciet Tychicus, carissimus frater & fidelis minister in Domino, quem misi ad vos in hoc ipsum, ut cognoscatis quæ circa nos sunt, & consoletur corda vestra.* In aliis quoque epistolis hoc ipsum facit. Neque id supervacaneum est, sed perquam etiam necessarium: partim ob ingentem caritatem, qua discipulos prosequebatur, partim ob assiduas tentationes, in quibus permagna consolatio erat, compertum habere quonam statu utraque ex parte res se haberent: quo nimirum, si tristes & acerbæ essent, ad eas perferendas se compararent, atque in solicitudine cautioresque essent: sin autem lætæ ac jucundæ, simul gauderent. Cæterum hoc loco, & tentationum invectionem, & quo pacto his liberatus sit, simul exponit. *Quoniam supra modum gravati sumus, supra virtutem.* Non secus videlicet ac navis aliqua, quæ gravi quodam onere demergitur. Atque unam quidem & eamdem rem his verbis intelligere videtur, cum dixit, *Supra modum*, &, *supra virtutem:* non tamen una est, sed duæ. Etenim ne quis dicat, Quid enim, si supra modum quidem erat periculum, vobis autem non magnum erat? Idcirco subdidit, Et magnum erat, & vires nostras superabat, atque usque adeo superabat, ut etiam vivere nos tæderet, hoc est, nullam spem & exspectationem haberemus nos amplius victuros. Id quod David inferorum portas, ac partus dolores, & mortis umbram appellat, hoc nimirum hic quoque Paulus dicit, Ejusmodi periculum subiimus, quod omnino mortem afferret. 9. *Sed ipsi in nobis ipsis responsum mortis habuimus: ut non simus fidentes in nobis, sed in Deo, qui suscitat mortuos.* Quid est, Responsum mortis habuimus? sententiam, judicium, exspectationem. Talem enim res ipsæ vocem mittebant, tale responsum dabant ea quæ evenerant, nempe quod certissime morituri essemus. Verum id usque ad rem ipsam minime processit, sed intra suspicionem nostram substitit. Quamquam enim rerum natura hoc pronunciaverat, tamen Dei potentia sententiam in opus exire non passa est, sed in sola nostra cogitatione, atque in exspectatione,

1. Cor. 16. 9.

Ephes. 6. 21.

A λέγει λοιπὸν καὶ τὸν τόπον, καθ' ὃν ταῦτα ὑπέμεινεν· οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ. Ταῦτα δὲ λέγομεν, φησὶν, ἵνα μὴ ἀγνοῆτε τὰ συμβάντα ἡμῖν. καὶ γὰρ βουλόμεθα ὑμᾶς εἰδέναι τὰ ἡμέτερα, καὶ σφόδρα τοῦτο ἐσπουδάκαμεν· ὅπερ μέγιστον ἀγάπης σημεῖόν ἐστι. τοῦτο δὲ καὶ ἐν τῇ προτέρᾳ ἦν ἐπιστολῇ προμηνύσας, καὶ εἰπὼν, ὅτι θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ οἱ ἀντικείμενοι πολλοὶ, ἐν τῇ Ἐφέσῳ. ἐκείνων οὖν αὐτοὺς ἀναμιμνήσκων, καὶ διηγούμενος ὅσα ἔπαθε, φησίν· οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ. τοῦτο δὲ καὶ Ἐφεσίοις ἐπιστέλλων ἔλεγε. Τυχικὸν γὰρ ἀποστείλας πρὸς αὐτοὺς, ταύτην ἔφη τῆς ἀποδημίας εἶναι τὴν αἰτίαν αὐτῷ. διὸ καὶ ἔλεγεν, ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. καὶ ἐν ἄλλαις δὲ ἐπιστολαῖς αὐτὸ τοῦτο ποιεῖ. καὶ οὐκ ἔστι παρέλκον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον· τοῦτο μὲν διὰ τὴν ἀγάπην ἣν σφόδρα περὶ τοὺς μαθητὰς εἶχε, τοῦτο δὲ διὰ τοὺς συνεχεῖς πειρασμοὺς, ἐν οἷς μεγίστη ἦν παραμυθία τὸ τὰ ἀλλήλων εἰδέναι, ὥστε καὶ λυπηρῶν ὄντων παρασκευάζεσθαι καὶ ἐναγωνίους εἶναι καὶ ἀσφαλεστέρους, καὶ χρηστῶν ὄντων συνήδεσθαι. ἐνταῦθα μέντοι καὶ ἀπαλλαγὴν καὶ ἐπαγωγὴν μηνύει πειρασμῶν λέγων, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν. καθάπερ φορτίῳ τινὶ μεγάλῳ βαπτιζόμενον πλοῖον. καὶ δοκεῖ μὲν ἕν τι εἰρηκέναι, εἰπὼν, καθ' ὑπερβολὴν, καὶ, ὑπὲρ δύναμιν· οὐκ ἔστι δὲ ἓν, ἀλλὰ δύο ταῦτα. ἵνα γὰρ μή τις λέγῃ, τί γὰρ, εἰ καθ' ὑπερβολὴν μὲν ὁ κίνδυνος ἦν, ὑμῖν δὲ οὐ μέγας ἦν; ἐπήγαγεν, ὅτι καὶ μέγας ἦν, καὶ τὴν δύναμιν ἐνίκα τὴν ἡμετέραν, καὶ οὕτως ἐνίκα, ὡς ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν, τουτέστι, μηδὲ προσδοκῆσαι λοιπὸν ἡμᾶς ζῆν. ὅπερ ὁ Δαυὶδ πύλας ᾅδου καλεῖ, καὶ ὠδῖνας καὶ σκιὰν θανάτου, τοῦτο δὴ καὶ αὐτός φησιν, ὅτι κίνδυνον ὑπεμείναμεν πάντως θάνατον τίκτοντα. ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. τί ἐστι, τὸ ἀπόκριμα τοῦ θανάτου; τὴν ψῆφον, τὴν κρίσιν, τὴν προσδοκίαν. τοιαύτην γὰρ ἠφίει τὰ πράγματα φωνὴν, τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα, ὅτι ἀποθανούμεθα πάντως. οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ἡμετέρας. ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο· ἡ δὲ τοῦ θεοῦ δύναμις οὐκ ἀφῆκε τὴν ἀπόφασιν εἰς ἔργον ἐξελθεῖν, ἀλλ' ἐν τῇ διανοίᾳ μόνῃ τῇ ἡμετέρᾳ, καὶ ἐν τῇ προσδοκίᾳ.

τοῦτο συμβῆναι συνεχώρησε. διό φησιν, ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, οὐκ ἐν τῇ πείρᾳ. καὶ τίνος ἕνεκεν συνεχώρησε τοσοῦτον κίνδυνον, ὡς ἀπελπίσαι ἡμᾶς καὶ ἀπογνῶναι; ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, φησιν, ἀλλ' ἐπὶ τῷ θεῷ.

Ταῦτα δὲ ἔλεγεν ὁ Παῦλος, οὐκ ἐπειδὴ αὐτὸς οὕτω διέκειτο, ἄπαγε, ἀλλὰ τοὺς ἄλλους ἐν τοῖς περὶ αὐτοῦ λεγομένοις ῥυθμίζων, ἅμα δὲ καὶ μετριάζειν ἐσπουδακώς. ἐπεὶ καὶ προϊών φησιν, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, τοὺς πειρασμοὺς λέγων, ἵνα μὴ ὑπεραίρωμαι. καίτοι ὁ θεὸς οὐ διὰ τοῦτό φησιν αὐτοὺς συγκεχωρηκέναι, ἀλλὰ δι' ἑτέραν αἰτίαν. ποίαν δὴ ταύτην; ἵνα ἡ δύναμις αὐτοῦ διαλάμψῃ μειζόνως. ἀρκεῖ γάρ σοι, φησὶν, ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀλλ', ὅπερ ἔφην, οὐδαμοῦ ἐπιλανθάνεται τοῦ οἰκείου ἤθους, ἐν τοῖς σφόδρα καταδεεστέροις ἑαυτὸν ἀριθμῶν, καίτοι πολλῆς δεομένοις παιδαγωγίας καὶ διορθώσεως. εἰ γὰρ καὶ τοὺς τυχόντας εἷς καὶ δεύτερος πειρασμὸς ἱκανὸς ἐπελθὼν σωφρονίσαι· πῶς ἐκεῖνος ὁ πάντων ἀνθρώπων μάλιστα ταπεινοφροσύνην ἀσκήσας διὰ παντὸς τοῦ βίου, καὶ τοσαῦτα παθὼν ὡς μηδεὶς ἀνθρώπων, μετὰ τοσαῦτα ἔτη καὶ φιλοσοφίαν τῶν οὐρανῶν ἀξίαν, ταύτης ἐδεῖτο τῆς νουθεσίας; ὅθεν δῆλον ὅτι καὶ μετριάζων ἐνταῦθα, καὶ τοὺς ἐφ' ἑαυτοῖς μέγα φρονοῦντας καὶ ἀλαζονευομένους καταστέλλων λέγει, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ. καὶ ὅρα πῶς αὐτοὺς καὶ ταύτῃ θεραπεύει. οἱ μὲν γὰρ πειρασμοί, φησι, δι' ὑμᾶς ἡμῖν ἐπενεχθῆναι συνεχωρήθησαν· τοσούτου τιμᾶται ὑμᾶς ὁ θεός· εἴτε γὰρ θλιβόμεθα, φησιν, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· ἡ δὲ ὑπερβολὴ, δι' ἡμᾶς, ἵνα μὴ μέγα φρονῶμεν. καθ' ὑπερβολὴν γὰρ [a] ἐβαρύνθημεν, καὶ ὑπὲρ δύναμιν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. πάλιν τοῦ περὶ ἀναστάσεως ἀναμιμνήσκει λόγου, ὑπὲρ οὗ τοσαῦτα εἶπεν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, καὶ ἀπὸ τῶν παρόντων αὐτὴν βεβαιοῖ. διὸ καὶ ἐπήγαγεν, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. οὐκ εἶπεν, ἐκ τοσούτων κινδύνων, ὁμοῦ μὲν δεικνὺς τὸ ἀφόρητον τῶν πειρασμῶν, ὁμοῦ δὲ ἐκεῖνον, ὅνπερ ἔφην, πιστούμενος τὸν λόγον. ἐπειδὴ γὰρ μέλλον πρᾶγμα ἡ ἀνάστασις ἦν, δείκνυσιν ὅτι τοῦτο καθ' ἑκάστην γίνεται τὴν ἡμέραν. ὅταν γὰρ ἄνθρωπον ἀπογνωσθέντα, καὶ πρὸς αὐτὰς ἐλθόντα τοῦ ᾅδου τὰς πύλας ἀνελκύσῃ, οὐδὲν ἕτερον ἢ ἀνάστασιν ἐπιδείκνυται, ἀπ' αὐτοῦ τοῦ στόματος ἀνασπῶν τοῦ θανάτου τὸν ἐμπεσόντα. διὸ καὶ τοῖς πολλοῖς, ἐπὶ τῶν ἀπογνωσθέντων, εἶτα [b] ἀνενεγκόντων ἐξ ἀρρωστίας χαλεπῆς, ἢ ἐκ πειρασμῶν ἀφορήτων, ἔθος τοῦτο λέγειν· ἀνάστασιν νεκρῶν ἑωράκαμεν ἐπὶ τοῦδε. ἠλπίκαμεν δὲ ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν.

[a] Sic mss. recte. Editi ἐβαρήθημεν.

A hoc contingere permisit. Ideoque ait, *In nobisipsis responsum mortis habuimus*, non in re ipsa. Cur autem tantum periculum nobis creari permiserit, ut vitæ spes omnis nobis erepta esset? *Ne*, inquit, *fidentes simus in nobis, sed in Deo.*

3. His autem verbis Paulus, non quod ipse ita affectus esset, absit hoc, sed ut alios, per ea, quæ de seipso dicebat, institueret, simulque etiam modestiæ studio ductus, utebatur. Quandoquidem in progressu quoque ait, *Datus est mihi stimulus carnis*, hoc est, 2. Cor. 12. tentationes, ut ne extollar. Atqui Deus non 7.
B ideo se permisisse ait, sed alteram ob causam. Quam tandem? Nimirum ut ipsius potentia magis eluceret. Sufficit enim tibi, inquit, gratia mea. Nam virtus mea in infirmitate perficitur. Verum, ut a me dictum est, nusquam mores suos obliviscitur, seipsum inter eos, qui longe inferiores erant, ac multa disciplina & correctione opus habebant, accensens. Nam alioqui, cum ad meliorem mentem revocandos etiam vulgares homines, una aut altera tentatio coorta sufficiat; quonam tandem modo is, qui supra mortales omnes humilitatem per omnem vitæ cursum coluerat, pluraque, quam
C quisquam alius, perpessus fuerat, post tot annos, ac cælis dignam philosophiam, hac admonitione opus haberet? Ex quo perspicuum illud est, eum hoc loco, partim modestiæ studio, partim ut eos, qui de seipsis magnifice sentiebant, atque arroganter se jactabant deprimeret ac coërceret, his verbis usum fuisse, Ut non simus fidentes in nobis, sed in Deo. Ac vide quomodo hac quoque ratione animos eorum deliniat. Tentationes enim, inquit, vestra causa nobis inferri permissæ sunt, tanto in precio vos Deus habet; si enim tribulamur, inquit, pro vestra consola-
D tione & salute: at immodica calamitatum magnitudo propter nos contigit, ne magnifice sentiamus. nam supra vires aggravati sumus, ut ne fidentes simus in nobisipsis, sed in Deo qui suscitat mortuos. Rursus doctrinam de resurrectione, de qua tot in priori epistola verba fecerat, in memoriam ipsis revocat, atque a præsentibus rebus ei fidem astruit. Unde etiam subjunxit, 10. *Qui de tantis mortibus nos eripuit.* Non dixit, ex tot periculis: quo simul & intolerandam tentationum acerbitatem ostendat, & illum, quem dixi, sermonem confirmet. Quoniam futura res erat
E resurrectio, idcirco hanc quotidie fieri ostendit. Nam cum Deus hominem, de quo spes omnis jam abjecta erat, quique ad ipsas usque mortis portas accesserat, in sublime revocat, nihil aliud quam resurrectionis specimen præbet, ab ipsis mortis faucibus eum retrahens, qui in eas inciderat. Quo etiam fit, ut de multis, qui cum ab omnibus deplorati fuerint, ac deinde ex gravi morbo aut intolerandis quibusdam tentationibus emerserint, illud usurpari soleat: Mortuorum resurrectionem in hoc homine vidimus. *In quem speramus quoniam & adhuc eripiet;* 11. *adjuvantibus etiam vobis in oratione pro*

[b] Mss. ἀνενεγκόντων ἐξ.

*nobis. Ut ex multorum personis ejus, quæ in nobis est, donationis per multos gratiæ agantur pro nobis.* Quoniam id quod dixerat, *Ut ne simus fidentes in nobisipsis*, commune crimen & accusatio esse videbatur, quæ nonnullos eorum perstringeret, mitigat rursus id quod dixit, preces ipsorum ingentis præsidii loco implorans, illudque simul indicans, vitam nostram in perpetua cura & solicitudine esse oportere. Nam dum ait, Speramus autem quoniam & adhuc eripiet, multarum tentationum agmen prænunciat: nec tamen usquam derelictionem, sed auxilium ac suppetias. Deinde, ne ideo animis consternantur, quod audiant fore, ut in perpetuis periculis versentur, prius, quidnam pericula utilitatis afferant, demonstravit, nempe, ne simus fidentes in nobisipsis, hoc est, ut Deus nos in perpetua humilitate contineat: & ut salus eorum procuretur: atque alia etiam plura exsistant, velut Christo communicare; abundant enim, inquit, passiones Christi in nobis; & pro fidelibus pati; sive enim tribulamur, inquit, pro vestra consolatione ac salute; tum etiam quod hæc ipsa magis eluceat; sic enim ait, Quæ operatur in tolerantia earumdem passionum; illud item, quod hinc fortes ac tolerantes efficiantur: ac præterea, quod resurrectionem ante oculos suos effulgentem cernant; ex tantis enim, inquit, mortibus nos eripuit; ad hæc quod ea ratione soliciti reddantur, atque in eum semper respiciant: Speramus enim, inquit, quod eripiet; ac denique, quod precibus affixi sint, adjuvantibus enim, inquit, vobis in oratione pro nobis. Postea quam igitur afflictionum utilitatem ostendit, ac deinde solicitudinem ipsis injecit, rursus eorum animos acuit, atque ad virtutem promtiores efficit, magnum ipsorum precibus testimonium tribuens, si quidem ob eas Paulum ipsis donarint. Adjuvantibus enim, inquit, vobis in oratione. Quid autem est, *Ut in multis personis ejus, quæ in nobis est, donationis per multos gratiæ agantur pro nobis?* Ex mortibus illis nos eripuit, adjuvantibus etiam vobis in oratione, hoc est, vobis omnibus nostra causa deprecantibus. Beneficium enim in nos collatum, hoc est, salutem nostram, vobis omnibus largiri voluit: ut multæ personæ gratias ipsi agant, quandoquidem multæ quoque gratiam acceperunt.

4. Hæc porro eo dicebat, partim ut ipsos ad preces aliorum quoque causa fundendas, excitaret, partim item, ut pro iis etiam calamitatibus, quibus alii afficerentur, gratiis Deo semper agendis ipsos assuefaceret: ostendens videlicet, id ipsi quoque quam gratissimum esse. Nam qui hæc aliorum causa facere consueverint, multo sane magis utraque hæc ipsi sua causa præstaturi sunt. Quinetiam eos ad humilitatem erudit, atque ad ferventiorem caritatem ducit. Nam cum ipse, qui tot partibus sublimior illis erat, eorum precibus salutem se consequutum esse,

A ἵνα [a] ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν, ἐπειδὴ τὸ, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, κοινὸν ἐδόκει εἶναι ἔγκλημα καὶ κατηγορία, καὶ ἐκείνων ἐνίους αἰνιττομένη, παραμυθεῖται πάλιν τὸ εἰρημένον, τὰς εὐχὰς τὰς ἐκείνων ἀντὶ προστασίας μεγάλης καλῶν καὶ δεικνὺς ἅμα, ὅτι διαπαντὸς ἐναγώνιον εἶναι χρὴ τὸν βίον τὸν ἡμέτερον. τὸ γὰρ εἰπεῖν, ἠλπίκαμεν δὲ ὅτι καὶ ῥύσεται, πολλῶν προαναφωνεῖ πειρασμῶν νιφάδας· οὐ μὴν ἐγκατάλειψιν οὐδαμοῦ, ἀλλὰ B βοήθειαν πάλιν καὶ συμμαχίαν. Εἶτα, ἵνα μὴ ἀκούοντες ὅτι διηνεκῶς μέλλουσι κινδυνεύειν, καταπέσωσιν, ἔδειξε πρότερον τῶν κινδύνων τὸ ὄφελος, οἷον τὸ, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, τουτέστιν, ἵνα ἐν διηνεκεῖ ταπεινοφροσύνῃ κατέχῃ ἡμᾶς, καὶ ἵνα ἡ σωτηρία αὐτῶν ἐνεργῆται, καὶ ἕτερα γοῦν πλείονα, τὸ τῷ Χριστῷ κοινωνεῖν· περισσεύει γάρ, φησι, τὰ παθήματα τοῦ Χριστοῦ ἐν ἡμῖν· τὸ ὑπὲρ τῶν πιστῶν πάσχειν· εἴτε γάρ, φησι, θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τὸ καὶ αὐτὴν ταύτην διαλάμπειν μειζόνως· τῆς C ἐνεργουμένης γάρ, φησιν, ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, τὸ καρτερικοὺς γίνεσθαι· καὶ ἔτι πρὸς τούτοις, τὸ τὴν ἀνάστασιν ὁρᾷν πρὸ τῶν ὀφθαλμῶν διαλάμπουσαν· ἐκ τηλικούτων γὰρ θανάτων ἐῤῥύσατο ἡμᾶς, τὸ ἐναγωνίους εἶναι καὶ πρὸς αὐτὸν διηνεκῶς ὁρᾷν· ἠλπίκαμεν γάρ, φησιν, ὅτι καὶ ῥύσεται, τὸ εὐχαῖς προσηλῶσθαι· συνυπουργούντων γάρ, φησι, καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν· δείξας τοίνυν τὸ κέρδος τῶν θλίψεων, εἶτα ἐναγωνίους ποιήσας, ἀλείφει πάλιν αὐτῶν τὰ φρονήματα, καὶ προθυμοτέρους εἰς ἀρετὴν ποιεῖ, μεγά- D λα αὐτῶν μαρτυρῶν ταῖς εὐχαῖς, εἴγε ταύταις Παῦλον ἐχαρίσατο. συνυπουργούντων γὰρ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, φησί. τί δέ ἐστιν, ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν; ἐῤῥύσατο ἡμᾶς ἐκ τῶν θανάτων ἐκείνων, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει, φησί. τουτέστιν, εὐχομένων πάντων ὑμῶν ὑπὲρ ἡμῶν. τὸ γὰρ εἰς ἡμᾶς χάρισμα, τουτέστι, τὴν σωτηρίαν τὴν ἡμετέραν ἐβουλήθη πᾶσιν ὑμῖν χαρίσασθαι, ἵνα τὰ πολλὰ πρόσωπα αὐτῷ εὐχαριστήσῃ, ἐπειδὴ καὶ τὰ πολλὰ τὴν χάριν ἔλαβε.

E Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν εἰς τὰς ὑπὲρ ἑτέρων εὐχὰς αὐτοὺς διεγείρων, ὁμοῦ δὲ ἐθίζων, καὶ ὑπὲρ ὧν ἂν ἕτεροι πάθωσιν, εὐχαριστεῖν ἀεὶ τῷ θεῷ, δεικνὺς ὅτι μάλιστα τοῦτο βούλεται καὶ αὐτός. οἱ γὰρ μελετήσαντες ὑπὲρ ἑτέρων ταῦτα ποιεῖν, πολλῷ μᾶλλον ὑπὲρ ἑαυτῶν ἐπιδείξονται ταῦτα ἀμφότερα. πρὸς δὲ τούτοις, καὶ ταπεινοφροσύνην αὐτοὺς διδάσκει, καὶ εἰς ἀγάπην ἄγει θερμοτέραν. εἰ γὰρ αὐτὸς ὁ τοσοῦτον αὐτῶν ὑψηλότερος ὤν, ἐκ τῶν εὐχῶν ἐκείνων σεσῶσθαί φησι, καὶ χάρισμα αὐτῶν

ταῖς

[a] In editis Græcis Novi testamenti legitur ἐκ πολλῶν προσώπων.

ταῖς δεήσεσι δεδόσθαι αὐτῷ παρὰ τοῦ θεοῦ, ἐννόησον πῶς ἐκείνους ἔδει διακεῖσθαι καὶ μετριάζειν. σὺ δέ μοι κἀκεῖνο σκόπει· ὅτι κἂν ἀπὸ οἰκτιρμῶν ὁ θεός τι ποιῇ, μεγάλα ἐνταῦθα καὶ ἡ εὐχὴ συμβάλλεται. ἀρχόμενος μὲν γὰρ, τοῖς οἰκτιρμοῖς αὐτοῦ τὴν σωτηρίαν ἐλογίσατο· ὁ θεὸς γὰρ, φησι, τῶν οἰκτιρμῶν, αὐτὸς ἡμᾶς ἐρρύσατο· ἐνταῦθα δὲ καὶ ταῖς εὐχαῖς. ἐπεὶ κἀκεῖνον τὸν τὰ μυρία ὀφείλοντα τάλαντα, μετὰ τὸ προσπεσεῖν ἠλέησε, καίτοιγε εἴρηται, ὅτι σπλαγχνισθεὶς ἀπέλυσεν αὐτόν· καὶ [a] τῇ Χαναναίᾳ δὲ μετὰ τὴν πολλὴν προσεδρίαν ἐκείνην καὶ καρτερίαν, τότε ἐχαρίσατο τῆς θυγατρὸς τὴν σωτηρίαν, καίτοιγε ἀπὸ ἐλέου αὐτὴν ἔσωσεν. ἀπὸ τούτου τοίνυν μανθάνομεν, ὅτι κἂν ἐλεεῖσθαι μέλλωμεν, ἀξίους τοῦ ἐλέου πρότερον παρέχειν ἡμᾶς ἑαυτοὺς χρή. κἂν γὰρ ἔλεος ᾖ, τοὺς ἀξίους ἐπιζητεῖ· οὐ γὰρ ἁπλῶς ἔπεισιν ἅπασι, καὶ τοῖς ἀναισθήτως διακειμένοις. ἐλεήσω γάρ, φησιν, ὃν ἂν ἐλεῶ· καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. ὅρα γοῦν καὶ ἐνταῦθα τί φησι· συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει. καὶ οὔτε τὸ πᾶν αὐτοῖς ἔδωκεν, ἵνα μὴ αὐτοὺς ἐπάρῃ· οὔτε πάντη ἠλλοτρίωσεν αὐτοὺς τοῦ κατορθώματος, ἵνα προτρέψῃ, καὶ προθυμοτέρους ἐργάσηται, καὶ συναγάγῃ πρὸς ἀλλήλους αὐτούς. διὸ καὶ ἔλεγεν, ὅτι ὑμῖν ἐχαρίσατό μου τὴν σωτηρίαν. καὶ γὰρ καὶ πλῆθος δυσωπεῖται πολλάκις ὁ θεὸς ὁμονοοῦν καὶ συμφωνοῦν εἰς εὐχήν. διὸ καὶ πρὸς τὸν προφήτην ἔλεγεν, ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως ταύτης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων; εἶτα ἵνα μὴ νομίσῃς ὅτι πλῆθος αἰδεῖται μόνον, φησίν· ἐὰν ᾖ ὁ ἀριθμὸς τοῦ Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. πῶς οὖν Νινευΐτας ἔσωσεν; ὅτι οὐ πλῆθος μόνον ἦν, ἀλλὰ πλῆθος μετὰ ἀρετῆς. μετενόησε γὰρ ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ σώζων δὲ αὐτοὺς ἔλεγεν, ὅτι οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν. ὅθεν δῆλον, ὅτι καὶ τὰ πρότερα ἐξ ἀφελείας μᾶλλον ἔπταιον, ἢ πονηρίας· καὶ δῆλον, ἐξ ὧν μετεβάλλοντο, ὀλίγων ῥημάτων ἀκούσαντες. εἰ δὲ τὸ δώδεκα μυριάδας εἶναι μόνον ἴσχυσεν εἰς τὸ σῶσαι αὐτοὺς, τί καὶ πρὸ τούτου αὐτοὺς σωθῆναι ἐκώλυσε; καὶ τίνος ἕνεκεν οὐκ εἶπε πρὸς αὐτόν, ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως ταύτης τῆς οὕτω μεταβαλλομένης; ἀλλὰ τὰς μυριάδας παράγει; ἐκ περιουσίας καὶ τοῦτο τιθείς. τὸ μὲν γὰρ ἦν δῆλον, ἡ μεταβολή· ὁ δὲ ἀριθμὸς καὶ ἡ ἀφέλεια, ἄδηλα τῷ προφήτῃ. πάντοθεν τοίνυν αὐτοὺς καταμαλάξαι βούλεται. ἰσχύει γὰρ καὶ πλῆθος, ὅταν καὶ ἀρετὴ ᾖ. τοῦτο γοῦν καὶ ἀλλαχοῦ δηλοῖ λέγουσα ἡ γραφή,

[a] Ms. τὴν Χαναναίαν.

A ac propter ipsorum orationes beneficium accepisse dicat, velim tecum reputes, quo eos animo quamque modesto esse oportebat. Quin illud quoque animadverte, quod etiamsi Deus misericordia permotus aliquid faciat, tamen hic quoque precatio multum adjumenti affert. Etenim in principio salutem suam Dei miserationibus acceptam retulit; Deus enim miserationum, inquit, nos eripuit; hic autem eamdem ipsorum quoque precibus adscripsit. Nam etiam illum, qui talentorum decem millia debebat, postquam ad ipsius pedes accedisset, miseratus est: & Matth. 18. 27.
B tamen dictum est, misericordia motus dimisit eum. Atque item Chananææ, post multam illam assiduitatem ac tolerantiam, tum denique filiæ salutem concessit: etiamsi alioqui misericordia ductus ipsi salutem attulerit. Ex quo nimirum discimus, quamvis Deus misericordiam erga nos adhibiturus sit, nobis tamen istud prius faciendum esse, ut misecordia dignos nosipsos præstemus. Quamvis enim misericordia sit: dignos tamen requirit. Non etenim temere quibusvis obtingit, etiam stupore laborantibus. *Miserebor*, Exod. 33. 19. enim, inquit, *cujus miserebor: & misericordiam præstabo ei, cui miserebor.* Vide quippe
C quidnam hic quoque dicat: Adjuvantibus & vobis in oratione. Nam nec totum ipsis tribuit, ne eorum animos efferat: nec rursus eos omni ex parte ab hujus beneficii laude submovit, ut eos incitet alacrioresque efficiat, atque inter se devinciat. Unde etiam dicebat, salutem meam vobis donavit. Nam persæpe quoque Deus quasi pudore commovetur, cum multitudinem ad precationem concordem atque conspirantem cernit. Ideo prophetæ dicebat, *Ego autem non parcam huic* Jona. 4. 11. *civitati, in qua habitant plus quam centum viginti millia hominum.* Deinde ne putes Deum ob multitudinem dumtaxat ad misericordiam
D inflecti, his verbis utitur: *Si fuerit numerus* Esa. 10. 22. *Israel tamquam arena maris, reliquiæ salvæ fient.* Qui factum est igitur, ut Ninivitas servarit? Nempe quia non multitudo solum erat, sed multitudo virtute prædita. Pœnitentiam enim unusquisque egit, & a via sua prava recessit. Atque etiam ipse, dum salutem ipsis afferret, aiebat: Nesciunt quid sit inter dextram & sinistram. Ex quo perspicuum est, eos in priora peccata simplicitate potius quam animi perversitate lapsos fuisse. Idque ex eo constat, quod paucis verbis auditis ad meliorem mentem se receperunt. Quod si ad eos servandos hoc satis virium
E habuisset, quod centum viginti hominum millia erant, quidnam prius quoque prohibuisset, quin salutem adipiscerentur? Cur igitur, non dixit ei, Ego autem non parcam civitati huic ita immutatæ, sed tot millia profert? Ex abundanti hoc facit. Nam mutatio quidem manifesta erat; numerus autem & simplicitas civium prophetæ ignota erant. Undique igitur eorum animos emollire studet. Nam tum viribus pollet multitudo, cum virtus etiam accedit. Quod etiam alio loco scriptura his verbis declarat: *Oratio autem* Act. 12. 5.

*fiebat sine intermissione ab ecclesia ad Deum pro eo.* Tantamque vim habuit, ut quamvis etiam fores clausæ essent, & catenæ apostolum stringerent, custodesque utrinque ad ipsius latus dormirent, cum tamen eduxerit, atque ex omnibus illis difficultatibus liberarit. Verum, quemadmodum, si virtus adsit, magnam vim habet multitudo: ita si vitium adsit, nullam utilitatem affert. Siquidem & Israëlitæ, quos arenæ maris numerum adæquasse scriptura refert, omnes perierunt. Atque etiam tempore Noë permulti, imo innumeri erant: nec tamen eos quidquam hoc juvit. Orationis vis. Sola enim multitudo nihil potest, verum tum demum cum accessionis loco est. Demus igitur operam, ut in precibus coëamus, alii pro aliis precemur, quemadmodum illi pro apostolis. Sic enim & mandatum explemus: & ad caritatem incitamur: cum autem caritatem dico, omnia bona hoc vocabulo complector; atque etiam majore studio gratias agere discamus. Nam qui pro alienis gratias Deo agunt, multo magis id pro suis faciunt: Hoc David quoque faciebat, Psal. 33. 4. cum diceret: *Magnificate Dominum mecum, & exaltemus nomen ejus in idipsum.* Hoc & apostolus passim exposcit. Hoc igitur nos item faciamus, atque apud omnes Dei beneficium prædicemus, ut eos laudationis socios assumamus. Nam si, cum beneficium aliquod ab hominibus accepimus, atque id celebramus, promtiores eos ad bene de nobis merendum reddimus: multo magis, Dei beneficia prædicantes, ad majorem benevolentiam ipsum attrahemus. Et si, cum beneficium aliquod ab hominibus consequuti sumus, ad gratias nobiscum agendas alios etiam excitamus, multo profecto magis nobis curandum est, ut multos, qui gratias pro nobis agant, ad Deum adhibeamus. Cumque Paulus, qui tantam fiduciam obtinebat, hoc faciat, tanto magis hoc a nobis fieri necesse est. Quocirca sanctos viros etiam atque etiam obsecremus, ut pro nobis gratias agant, atque etiam ipsi pro nobis hoc invicem faciamus. Istud præsertim Sacerdotum munus est, utpote bonum omnium præstantissimum. Accedentes enim, primum pro universo orbe communibusque commodis gratias agimus.

5. Nam etsi communia Dei beneficia sunt: tamen tu quoque in communi salutem es consequutus. Itaque, tum pro privata tua communem gratiarum actionem debes: tum pro communi privatam Deo laudem abs te offerri æquum fuerit. Etenim solem non tibi uni accendit, sed etiam communiter omnibus: & tamen in parte totum habes. Nam ob communem omnium utilitatem tanta magnitudine creatus est: tu tamen solus tantum vides, quantum universi mortales videre queant. Ex quo efficitur, ut tantam gratiarum actionem debeas, quantam universi. Ac te, & pro communibus beneficiis gratias agere par est, & pro aliorum virtute. Multis enim etiam propter alios beneficiis afficimur. Etenim si vel decem soli justi viri in Sodomis inventi fuissent, non in eas, quas pertu-

A προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεὸν γινομένη ὑπὲρ αὐτοῦ· καὶ τοσοῦτον ἴσχυσεν, ὥς, κεκλεισμένων τῶν θυρῶν, καὶ ἁλύσεων ἐπικειμένων, καὶ φυλάκων ἑκατέρωθεν παρακαθευδόντων, ἐξαγαγεῖν τὸν ἀπόστολον, καὶ ἀπαλλάξαι πάντων ἐκείνων. ἀλλ' ὥσπερ, ἀρετῆς οὔσης, μέγα δύναται· οὕτω, κακίας οὔσης, οὐδὲν ὀνίνησι τὸ πλῆθος. καὶ γὰρ οἱ Ἰσραηλῖται, περὶ ὧν φησιν ὅτι ὁ ἀριθμὸς αὐτῶν ἦν ὡς ἡ ἄμμος τῆς θαλάσσης, πάντες ἀπώλοντο. καὶ οἱ ἐπὶ Νῶε δὲ, πολλοὶ καὶ ἄπειροι ἦσαν· καὶ οὐδὲν αὐτοὺς τοῦτο ὤνησε. B καθ' ἑαυτὸ γὰρ οὐδὲν δύναται πλῆθος, ἀλλ' ἐν προσθήκης μέρει. σπουδάζωμεν οὖν συνιέναι ἐν ταῖς δεήσεσι, καὶ ὑπὲρ ἀλλήλων εὐχώμεθα, καθάπερ ὑπὲρ τῶν ἀποστόλων ἐκεῖνοι. καὶ γὰρ ἐντολὴν πληροῦμεν, καὶ εἰς ἀγάπην ἀλειφόμεθα· ὅταν δὲ ἀγάπην εἴπω, πάντα λέγω τὰ ἀγαθά, καὶ εὐχαριστεῖν σπουδαιότερον μανθάνωμεν. οἱ γὰρ ὑπὲρ τῶν ἀλλοτρίων εὐχαριστοῦντες, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἰδίων. τοῦτο καὶ ὁ Δαυῒδ ἐποίει λέγων, μεγαλύνατε τὸν κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό· τοῦτο καὶ C ὁ ἀπόστολος πανταχοῦ ζητεῖ· τοῦτο καὶ ἡμεῖς ἐργαζώμεθα, καὶ εἰς πάντας τοῦ θεοῦ τὴν εὐεργεσίαν ἐκφέρωμεν, ἵνα κοινωνοὺς λάβωμεν τῆς εὐφημίας. εἰ γὰρ παρὰ ἀνθρώπων τι παθόντες ἀγαθὸν, ὅταν ἀνακηρύξωμεν, προθυμοτέρους αὐτοὺς ποιοῦμεν· πολλῷ μᾶλλον τοῦ θεοῦ τὰς εὐεργεσίας ἀναγορεύοντες, εἰς πλείονα αὐτὸν ἐπισπασόμεθα εὔνοιαν. καὶ εἰ παρὰ ἀνθρώπων εὐεργετηθέντες, καὶ ἄλλους διεγείρομεν εἰς τὴν κοινωνίαν τῆς εὐχαριστίας· πολλῷ μᾶλλον τῷ D θεῷ πολλοὺς προσάγειν χρὴ τοὺς ὑπὲρ ἡμῶν εὐχαριστήσοντας. εἰ γὰρ Παῦλος τοῦτο ποιεῖ, τοσαύτην ἔχων τὴν παῤῥησίαν, πολλῷ μᾶλλον ἡμᾶς ἀναγκαῖον τοῦτο ποιεῖν. παρακαλῶμεν τοίνυν τοὺς ἁγίους ὑπὲρ ἡμῶν εὐχαριστεῖν, καὶ αὐτοὶ ὑπὲρ ἀλλήλων τοῦτο ποιῶμεν. τοῦτο ἱερέων μάλιστά ἐστι κατόρθωμα, ἐπειδὴ μέγιστον ἀγαθόν. προσιόντες γὰρ, πρότερον ὑπὲρ τῆς οἰκουμένης καὶ τῶν κοινῶν εὐχαριστοῦμεν ἀγαθῶν.

Εἰ γὰρ καὶ κοιναὶ αἱ εὐεργεσίαι τοῦ θεοῦ, ἀλλὰ καὶ σὺ ἐν τῷ κοινῷ ἐσώθης. ὥστε καὶ ὑπὲρ E τῆς ἰδίας κοινὴν ὀφείλεις χάριν, καὶ ὑπὲρ τῆς κοινῆς ἰδιάζουσαν δίκαιος ἂν εἴης ἀναφέρειν εὐφημίαν. καὶ γὰρ τὸν ἥλιον ἀνῆψεν οὐ σοὶ μόνῳ, ἀλλὰ καὶ τῷ κοινῷ· ἀλλ' ὅμως ἐν τῷ μέρει τὸ ὅλον ἔχεις. καὶ γὰρ τοσοῦτος γέγονε διὰ τὸ κοινόν· καὶ ὁρᾷς σὺ μόνος τοσοῦτον, ὅσον εἶδον πάντες ἄνθρωποι. ὥστε τοσαύτην ὀφείλεις εὐχαριστίαν, ὅσην ἅπαντες· καὶ ὑπὲρ τῶν κοινῶν εὐχαριστεῖν ἂν εἴης δίκαιος, καὶ ὑπὲρ τῆς ἑτέρων ἀρετῆς. πολλὰ γὰρ καὶ δι' ἄλλους πάσχομεν καλῶν. καὶ γὰρ εἰ δέκα μόνον ἐν Σοδόμοις εὑρέθησαν δίκαιοι, οὐκ ἂν

ἔπαθον, ἅπερ ἔπαθον. ὥστε καὶ ὑπὲρ τῆς ἑτέρων παῤῥησίας εὐχαριστῶμεν. καὶ γὰρ ἀρχαῖος οὗτός ἐστιν ὁ νόμος, ἄνωθεν ἐν τῇ ἐκκλησίᾳ πεφυτευμένος. οὕτω καὶ Παῦλος εὐχαριστεῖ ὑπὲρ Ῥωμαίων, ὑπὲρ Κορινθίων, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης. καὶ μή μοι λέγε, οὐκ ἔστιν ἐμὸν τὸ κατόρθωμα. κἂν γὰρ μὴ σὸν ᾖ, καὶ οὕτως εὐχαριστεῖν ὀφείλεις, ὅτι τὸ μέλος σου τοιοῦτόν ἐστιν. ἄλλως δὲ, καὶ σὸν αὐτὸ ποιεῖς διὰ τῆς εὐφημίας, καὶ κοινωνεῖς τῶν στεφάνων, καὶ λήψῃ καὶ αὐτὸς τὸ χάρισμα. διά τοι τοῦτο, καὶ τὰς εὐχὰς [a] οὕτω γίνεσθαι κελεύουσιν οἱ τῆς ἐκκλησίας νόμοι, οὐ τὰς ὑπὲρ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τὰς ὑπὲρ τῶν κατηχουμένων. τοὺς γὰρ πιστοὺς ὁ νόμος διεγείρει πρὸς τὴν τῶν ἀμυήτων ἱκετηρίαν. ὅταν γὰρ ὁ διάκονος λέγῃ, ὑπὲρ τῶν κατηχουμένων ἐκτενῶς δεηθῶμεν, οὐδὲν ἄλλο ἢ τὸν δῆμον ἅπαντα τῶν πιστῶν διανίστησιν εἰς τὰς ὑπὲρ ἐκείνων εὐχάς. καίτοιγε ἀλλότριοι τέως εἰσὶν οἱ κατηχούμενοι. οὐδέπω γὰρ τοῦ σώματός εἰσι τοῦ Χριστοῦ, οὐδέπω μυστηρίων ἐκοινώνησαν, ἀλλ' ἔτι διῃρημένοι τυγχάνουσι τῆς ἀγέλης τῆς πνευματικῆς. εἰ δὲ ὑπὲρ τούτων παρακαλεῖν δεῖ, πολλῷ μᾶλλον ὑπὲρ τῶν μελῶν τῶν ἡμετέρων. διὰ γὰρ τοῦτο καὶ ἐκτενῶς, φησὶ, δεηθῶμεν, ἵνα μὴ ὡς ἀλλοτρίους ἀποποιήσῃ, ἵνα μὴ ὡς ξένους ἀγνοήσῃ. οὐδέπω γὰρ εὐχὴν ἔχουσι τὴν νενομισμένην καὶ εἰσενεχθεῖσαν ὑπὸ τοῦ Χριστοῦ, οὐδέπω παῤῥησίαν κέκτηνται, ἀλλ' ἑτέρων δέονται τῶν μυσταγωγηθέντων. ἔξω γὰρ τῶν βασιλικῶν ἑστήκασιν αὐλῶν, πόῤῥω τῶν ἱερῶν περιβόλων. διὰ τοῦτο καὶ ἀπελαύνονται, τῶν φρικτῶν εὐχῶν ἐκείνων γινομένων. διὰ τοῦτο καὶ σὲ παρακαλεῖ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα μέλη γένωνται σὰ, ἵνα μὴ ἔτι ὦσι ξένοι καὶ ἠλλοτριωμένοι. τὸ γὰρ, δεηθῶμεν, οὐ τοῖς ἱερεῦσι λέγεται μόνον, ἀλλὰ καὶ τοῖς εἰς τὸν λαὸν συντελοῦσιν. ὅταν γὰρ εἴπῃ, στῶμεν καλῶς, δεηθῶμεν, πάντας εἰς τὴν εὐχὴν παρακαλεῖ. εἶτα ἀρχόμενος τῆς εὐχῆς φησιν, ἵνα ὁ πανελεήμων καὶ οἰκτίρμων θεὸς ἐπακούσῃ τῶν δεήσεων αὐτῶν. ἵνα γὰρ μὴ λέγῃς, τί δεηθῶμεν; ἠλλοτριωμένοι εἰσὶν, οὐδέπω συνημμένοι· πόθεν ἔχω δυσωπῆσαι τὸν θεόν; πόθεν ἔχω πεῖσαι μεταδοῦναι ἐλέου καὶ συγγνώμης αὐτοῖς; ἵνα μὴ ταῦτα ζητῶν ἀπορῇς, ὅρα πῶς σου λύει τὴν ἀπορίαν λέγων, ἵνα ὁ πανελεήμων καὶ οἰκτίρμων θεός. ἤκουσας, πανελεήμων θεός; μὴ ἀπόρει λοιπόν. ὁ γὰρ πανελεήμων πάντας ἐλεεῖ, καὶ ἁμαρτωλοὺς, καὶ φίλους. μὴ τοίνυν λέγε· πῶς ὑπὲρ αὐτῶν προσέλθω; αὐτὸς ἐπακούσει τῶν δεήσεων αὐτῶν. δέησις δὲ κατηχουμένων τίς ἂν εἴη, ἀλλ' ἢ ὥστε μὴ μεῖναι κατηχουμένους; εἶτα καὶ ὑπαγορεύει τῆς ἱκετηρίας τὸν τρόπον. τίς δὲ οὗτός ἐστιν; ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν. [b] μέμυκε γὰρ ἔτι, καὶ βέβυσται. ὦτα δὲ οὐ ταῦτά

lerunt, calamitates incidissent. Quamobrem pro aliorum quoque apud Deum libertate ac fiducia gratias agamus. Siquidem prisca lex hæc est, atque antiquitus in ecclesia instituta. Sic Paulus pro Romanis, pro Corinthiis, pro universo orbe gratias agit. Nec vero illud mihi dixeris: Hoc præclarum facinus meum non est. Quamvis enim tuum non sit, sic quoque tamen gratias agere debes, quod membrum tuum tale sit. Quamquam etiam illud tuum facis, cum laudas & in coronarum partem ipse etiam venis: atque eamdem gratiam percipies. Ob eamque causam ecclesiæ leges ad hunc modum preces fieri jubent: non eas dumtaxat, quæ pro fidelibus, sed eas etiam quæ pro Catechumenis adhibentur. Siquidem lex ad supplicandum pro his, qui nondum initiati sunt, fideles excitat. Nam cum diaconus ait, *Pro Catechumenis intente oremus*, nihil aliud facit, quam ut universam fidelium multitudinem ad preces pro illis obeundas excitet. Atqui alieni adhuc sunt catechumeni. Nondum enim corpori Christi insiti sunt, nec mysteriorum participes effecti, verum a spirituali grege adhuc divisi. Quod si ergo pro his orandum est, multo sane magis pro nostris membris. Ob idque etiam ait, *Intente oremus*. Ne videlicet eos tamquam alienos abdices ac rejicias, ne tamquam peregrinos non agnoscas. Nondum enim lege sancitam, atque a Christo invectam precationem habent, nondum liberius orandi potestatem nacti sunt; sed aliorum, qui mysteriis initiati sint, ope indigent. Etenim extra vestibula regia stant, longeque a sacris cancellis. Eaque etiam de causa, cum tremendæ preces fiunt, ablegantur. Quo fit, ut te quoque hortetur, ut pro illis ores, quo membra tua fiant, nec jam peregrini atque alieni sint. Illud enim, *Oremus*, non ad sacerdotes tantum, sed etiam ad populum spectat. Nam cum ait, *Recte stemus, oremus*, omnes ad precandum hortatur. Ac tum precationem auspicans, ait, *Ut misericordissimus ac miserator Deus orationes eorum exaudiat*. Etenim ne dicas, Quid est quod oremus? Alieni sunt, nondum nobiscum conjuncti. Unde Deum permovere possum? Unde eum adducere, ut misericordiam ac veniam illis impertiat? Ne, inquam, hæc quærens hæreas, vide quomodo his verbis dubitationem tuam discutiat, *Ut misericordissimus ac miserator Deus*. Audisti, misericordissimus Deus? perplexo jam animo esse desine. Misericordissimus enim ille, omnium, hoc est tam peccatorum quam amicorum, miseretur. Quocirca ne dixeris, Quonam modo eorum causa Deum adibo? Ipse enim eorum preces exaudiet. Quænam porro alia catechumenorum precatio fuerit, quam ut ne catechumeni maneant? Mox supplicationis quoque modum dictat. Quisnam autem ille est? *Ut cordium ipsorum aures aperiat*. Occlusæ enim & obturatæ adhuc sunt. Aures por-

Preces pro catechumenis.

[a] Mss. οὕτω τιμᾶσθαι. Editi, οὕτω γίνεσθαι. Quæ de catechumenis hic dicuntur, pluribus disquisita reperies in præfatione generali.

[b] μέμυκε. Mss. βέβυκε. Error ortus ex similitudine literarum β & μ, in manuscriptis ævi cujusdam, ut videre possis in Palæographia nostra p. 336. hæc literarum commutatio passim occurrit in hoc codice.

ro non externas haſce, ſed mentis intelligit. *Ut audiant quæ oculus non vidit, nec auris audivit, nec in cor hominis aſcenderunt.* Neque enim arcana myſteria audierunt, ſed procul & eminus ſtant. Atque etiam ſi audiant, haud tamen, quid dicatur, intelligunt. Siquidem ea ingentem ſagacitatem & intelligentiam requirunt, non autem ut dumtaxat audiantur. Ipſi vero internas aures nondum acceperunt. Unde etiam prophetiæ gratiam ipſis optat. Siquidem propheta ad hunc mo-
Iſai. 50. 4. dum loquebatur. *Dominus dat mihi linguam eruditam, ut ſciam quando oporteat proferre ſermonem : quoniam ipſe aperit os meum, poſuit me mane, appoſuit mihi aurem audientem.* Quemadmodum enim prophetæ alio modo ac reliqui homines audiebant: ſic fideles quoque alio modo quam catechumeni. Atque hinc etiam docetur catechumenus, ſe ab ho-
Matt. 23. 1. minibus hæc non diſcere, neque audire : *Nolite* enim, inquit, *vocare vobis magiſtrum in*
Iſai. 54. 13. *terra;* ſed ſublimitus atque e cælis. Erunt enim omnes, inquit ſcriptura, docibiles Dei. Atque idcirco ait, *Et inſtillet ipſis verbum veritatis.* Ita ut interne in ipſos infundatur. Necdum enim, ut par eſt, veritatis verbum norunt. *Ut timorem ſuum in ipſis ſeminet.* At hoc minime ſufficit: alia enim ceciderunt ſecus viam, alia ſuper petras.

6. Verum nos non ad hunc modum poſtulamus; ſed ſicut aratrum in pingui terra ſulcos aperit, ſic etiam hic ut fiat precamur, nempe ut in mentis imo innovati, ſemina injecta excipiant, ac quidquid audierint accurate retineant. Unde etiam hæc verba ſubnectit, *Et confirmet fidem ſuam in animis eorum.* Hoc eſt, ut ne in ſuperficie jaceat, ſed alte radices agat. *Ut juſtitiæ evangelium ipſis revelet.* Duplex velamen eſſe oſtendit; alterum quia mentis ipſorum oculi clauſi ſunt, alterum quia opertum illis eſt evangelium. Ac proinde ſuperius quidem dicebat, *Ut aperiat aures cordis ipſorum.* Hic autem, ut juſtitiæ evangelium ipſis detegat, hoc eſt, ut ſapientes eos, & ad illud excipiendum idoneos reddat, atque ut doceat, ac ſemina jaciat. Nam ſive idonei ſint, nihil tamen id ipſis emolumenti attulerit, niſi Deus detexerit: ſive Deus detegat, ipſi autem repudient, in idem rurſus detrimentum prolabentur. Hac de cauſa utrumque petimus, nempe ut & corda aperiat, & evangelium patefaciat. Neque enim ſi regium paludamentum ſuperjecto velo tectum jaceat, quicquam hoc intuentium oculis profuerit: quemadmodum rurſum nil detectum illud eſſe juverit, ſi oculi minime vigilent. Ambo porro iſta contingent, ſi illi prius voluerint. Quidnam autem eſt juſtitiæ evangelium? nimirum quod juſtos efficit. His enim verbis baptiſmi deſiderium in ipſis ciet, dum illud oſtendit, evangelium non tantum peccata

A φησι τὰ ἔξωθεν, ἀλλὰ τὰ τῆς διανοίας· ὥστε ἀκοῦσαι ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. οὐδὲ γὰρ ἤκουσαν τῶν ἀποῤῥήτων μυστηρίων, ἀλλὰ πόῤῥω που καὶ μακρὰν ἑστήκασι. κἂν ἀκούσωσι δὲ, οὐκ ἴσασι τὰ λεγόμενα· συνέσεως γὰρ δεῖται πολλῆς ἐκεῖνα, οὐκ ἀκροάσεως μόνης. τὰς ἔνδον δὲ οὐδέπω ἔχουσιν ἀκοάς. διὸ καὶ προφητικὸν αὐτοῖς ἐπεύχεται χάρισμα. καὶ γὰρ ὁ προφήτης οὕτως ἔλεγεν· ὁ Θεὸς δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. ὅτι αὐτὸς ἀνοίγει μου τὸ στόμα, ἔθηκέ
B μοι πρωῒ, προσέθηκέ μοι ὠτίον [a] ἀκούειν. ὥσπερ γὰρ οἱ προφῆται ἄλλως ἤκουον παρὰ τοὺς πολλοὺς, οὕτω καὶ οἱ πιστοὶ παρὰ τοὺς κατηχουμένους. ἐντεῦθεν μανθάνει καὶ ὁ κατηχούμενος, μὴ παρὰ ἀνθρώπων ταῦτα μανθάνειν, μηδὲ ἀκούειν, μὴ καλέσητε γάρ, φησι, διδάσκαλον ἐπὶ τῆς γῆς, ἀλλ' ἄνωθεν ἐκ τῶν οὐρανῶν. ἔσονται γὰρ πάντες διδακτοὶ Θεοῦ. διό φησι, καὶ κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας· ὥστε ἔνδοθεν αὐτοῖς ἐνηχεῖσθαι. ὡς γὰρ εἰδέναι χρὴ, οὐδέπω ἴσασι τὸν λόγον τῆς ἀληθείας. ἵνα κατασπείρῃ τὸν φόβον αὐτοῦ ἐν αὐτοῖς. ἀλλ'
C οὐκ ἀρκεῖ τοῦτο· τὰ μὲν γὰρ ἔπεσε παρὰ τὴν ὁδὸν, τὰ δὲ ἐπὶ τὰς πέτρας.

Ἀλλ' ἡμεῖς οὐχ οὕτως αἰτοῦμεν· ἀλλ' ὥσπερ ἐπὶ γῆς λιπαρᾶς ἀνοίγει τὰς αὔλακας τὸ ἄροτρον, οὕτω καὶ ἐνταῦθα γενέσθαι δεόμεθα, ὥστε νεωθέντας ἐν τῷ βάθει τῆς διανοίας δέξασθαι τὰ καταβαλλόμενα, καὶ πᾶν ὅπερ ἤκουσαν μετὰ ἀκριβείας κατασχεῖν. διὸ καὶ ἐπάγει λέγων, καὶ βεβαιώσῃ τὴν πίστιν αὐτοῦ ἐν ταῖς διανοίαις αὐτῶν· τουτέστιν, ἵνα μὴ ἐξ ἐπιπολῆς κέηται, ἀλλ' ἵνα κατὰ βάθους βάλῃ τὴν ῥίζαν. ἵνα
D ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. δείκνυσι διπλοῦν τὸ κάλυμμα· τὸ μὲν, διὰ τὸ μεμυκέναι αὐτῶν τοὺς ὀφθαλμοὺς τῆς διανοίας· τὸ δὲ διὰ τὸ κεκαλύφθαι αὐτοῖς τὸ εὐαγγέλιον. διὸ ἀνωτέρω μὲν ἔλεγεν, ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν· ἐνταῦθα δὲ, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης, τουτέστιν, ἵνα καὶ αὐτοὺς σοφοὺς ἐργάσηται, καὶ ἐπιτηδείους πρὸς ὑποδοχὴν, καὶ ἵνα διδάξῃ, καὶ καταβάλῃ τὰ σπέρματα. ἄν τε γὰρ ἐπιτήδειοι ὦσιν, οὐδὲν ὄφελος, τοῦ Θεοῦ μὴ ἐκκαλύπτοντος· ἄν τε ἀποκαλύψῃ, μὴ δέξωνται δὲ, πάλιν εἰς
E τὸ αὐτὸ ἡ ζημία περιΐσταται. διὰ τοῦτο ἀμφότερα αἰτοῦμεν. ἵνα καὶ ἀνοίξῃ τὰς καρδίας, καὶ ἀποκαλύψῃ τὸ εὐαγγέλιον. οὐδὲ γάρ, εἰ κόσμος κέοιτο βασιλικὸς ἄνωθεν κεκαλυμμένος, ἔσται τι πλέον ὀφθαλμῶν βλεπόντων· ὥσπερ οὖν οὐδὲ γεγυμνωμένου, τούτων μὴ ἐγρηγορότων. ταῦτα δὲ ἀμφότερα γίνεται, ἂν ἐκεῖνοι ἕλωνται πρότερον. τί δή ἐστιν, εὐαγγέλιον δικαιοσύνης; τὸ ποιοῦν δικαίους. διὰ τούτων γὰρ εἰς ἐπιθυμίαν αὐτοὺς ἄγει τοῦ βαπτίσματος, δεικνὺς ὅτι οὐχ ἁμαρτημάτων ἀφέσεώς ἐστι μόνον τὸ εὐαγγέλιον,

[a] Mſſ. ἀκούειν, & ita legitur in Bibliis. Editi, ἀκοῦειν.

ἀλλὰ καὶ δικαιοσύνης ποιητικόν. ἵνα αὐτοῖς δῴη νοῦν ἔνθεον, σώφρονα λογισμὸν, καὶ ἐνάρετον πολιτείαν. ἀκουέτωσαν οἱ πιστοὶ, ὅσοι τοῖς βιωτικοῖς εἰσι προσηλωμένοι πράγμασιν. εἰ γὰρ τοῖς ἀμυήτοις κελευόμεθα ταῦτα αἰτεῖν, ἐννόησον ἐν ποίῳ ἡμᾶς εἶναι χρὴ, τοὺς ταῦτα ἑτέροις αἰτοῦντας. καὶ γὰρ ἐφάμιλλον δεῖ τῷ εὐαγγελίῳ τὴν πολιτείαν ἔχειν. διὸ δὴ καὶ τῆς εὐχῆς ὁ νόμος ἀπὸ τῶν δογμάτων ἐπὶ τὴν πολιτείαν μεταβαίνει. εἰπὼν γὰρ, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης, ἐπήγαγεν, ἵνα δῷ αὐτοῖς νοῦν ἔνθεον. τί δέ ἐστιν, ἔνθεον; ἵνα ὁ θεὸς οἰκῇ ἐν αὐτῷ. ἐνοικήσω γάρ, φησιν, ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. ὅταν γὰρ γένηται δίκαιος ὁ νοῦς, ὅταν ἀποδύσηται τὰ ἁμαρτήματα, οἶκος γίνεται τοῦ θεοῦ. ὅταν δὲ ὁ θεὸς ἐνοικῇ, οὐδὲν ἀνθρώπινον ἔσται λοιπόν. καὶ οὕτω γίνεται ἔνθεος ὁ νοῦς, ἅπαντα φθεγγόμενος ἐκεῖθεν, ὥσπερ οὖν ὁ οἶκος τοῦ θεοῦ ἔνδον οἰκοῦντος. ὁ αἰσχρολογῶν ἄρα οὐκ ἔχει ἔνθεον νοῦν· οὐδὲ ὁ εὐτραπελίᾳ καὶ γέλωτι χαίρων, σώφρονα λογισμόν. καὶ τί ποτέ ἐστι σώφρονα λογισμὸν ἔχειν; τὸ τὴν ὑγείαν κεκτῆσθαι τὴν κατὰ ψυχήν. ὡς ὅ γε κατεχόμενος ἐπιθυμίᾳ πονηρίας, καὶ πρὸς τὰ παρόντα ἐπτοημένος, οὐκ ἂν εἴη σώφρων, τουτέστιν, ὑγιής. καὶ ὥσπερ ὁ νοσῶν τῶν οὐ προσηκόντων ἐπιθυμεῖ, οὕτω καὶ οὗτος. καὶ ἐνάρετον πολιτείαν. τὰ γὰρ δόγματα, πολιτείας χρείαν ἔχει. ἀκούσατε τούτων οἱ πρὸς τῷ τέλει τοῦ βίου ἐπὶ τὸ βάπτισμα ἰόντες. ἡμεῖς μὲν γὰρ εὐχόμεθα, ἵνα μετὰ τὸ βάπτισμα, καὶ πολιτείαν ἔχητε· σὺ δὲ σπεύδεις, καὶ πάντα ποιεῖς, ὥστε πολιτείας ἔρημος ἀπελθεῖν. τί γὰρ εἰ καὶ δίκαιος γένῃ; ἀλλ' ἀπὸ τῆς πίστεως μόνης. ἡμεῖς δὲ καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων εὐχόμεθα σοι εἶναι παῤῥησίαν. διαπαντὸς τὰ αὐτοῦ νοεῖν, τὰ αὐτοῦ φρονεῖν, τὰ αὐτοῦ μελετᾷν. σώφρονα γὰρ λογισμὸν καὶ ἐνάρετον πολιτείαν, οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς αἰτοῦμεν μόνον, ἀλλὰ διὰ παντὸς τοῦ βίου καὶ τῆς ζωῆς· καὶ τὴν ὑπόθεσιν τῶν ἀγαθῶν ἁπάντων, τὸ τὰ αὐτοῦ φρονεῖν. οἱ γὰρ πολλοὶ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ. πῶς οὖν τοῦτο ἂν γένοιτο; δεῖ γὰρ μετὰ τῆς εὐχῆς καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν. ἐὰν ἐν τῷ νόμῳ αὐτοῦ καταγινώμεθα ἡμέρας καὶ νυκτός. διὸ καὶ ἐπάγει τοῦτο αἰτῶν, ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι. καὶ ὥσπερ ἄνω τὸ, διαπαντὸς εἶπεν, οὕτως ἐνταῦθα, ἡμέρας καὶ νυκτός. διὸ καὶ αἰσχύνομαι διὰ τοὺς ἅπαξ τοῦ ἐνιαυτοῦ μόλις ἐν ἐκκλησίᾳ φαινομένους. τίνα γὰρ ἕξειεν ἀπολογίαν, οἱ δι' ἡμέρας καὶ νυκτὸς οὐχ ἁπλῶς ὁμιλεῖν τῷ νόμῳ, ἀλλὰ καταγίνεσθαι κελευόμενοι, τουτέστι προσαδολεσχεῖν, καὶ μηδὲ τὸ πολλοστὸν μέρος τῆς ζωῆς τοῦτο ποιοῦντες, τῶν ἐντολῶν αὐτοῦ μνημονεύειν, τὰ δικαιώματα αὐτοῦ φυλάσσειν;

Εἶδες σειρὰν ἀρίστην, καὶ πῶς ἕκαστον αὐτῶν τοῦ πλη-

A remittere, sed justitiam etiam afferre. *Ut det illis mentem divinam, castam cogitationem, vitam cum virtute conjunctam.* Audiant hæc fideles, qui vitæ hujusce negotiis affixi sunt. Nam si iis, qui minime initiati sunt, hæc postulare jubemur, animadvertas velim, quales nosipsos esse oporteat, qui hæc aliis postulamus. Siquidem id agendum est, ut vita nostra evangelio respondeat. Quo etiam fit, ut precationis lex a doctrina ad vitam transeat. Postquam enim dixit, *Ut justitiæ evangelium ipsis detegat*, subjunxit, *ut det ipsis mentem divinam.* Quid est divinam? Hoc B est, ut Deus in ea habitet. Inhabitabo enim in ipsis, inquit, & inambulabo. Nam cum mens justitia prædita est, ac peccata exuit, Dei domus efficitur. Cum autem in ea domicilium sibi constituerit, nihil posthac humanum erit. Sicque divina mens redditur, divinitus omnia proloquens, ac velut domus Dei in ea habitantis. Ex quo colligitur, eum mentem divinam non habere, qui turpibus sermonibus utitur: nec castam cogitationem, qui scurrilitate ac risu delectatur. Quidnam autem est castam cogitationem habere? nempe spirituali sanitate præditum esse. Etenim is, qui vitii cupiditate correptus tenetur, C præsentiaque ad stuporem usque miratur, castus, hoc est sanus, esse nequit. Quemadmodum enim qui in morbo versatur, ea etiam appetit, quæ minime convenit: eodem hic quoque modo. *Vitam cum virtute conjunctam.* Doctrina quippe vitam etiam desiderat. Audite hæc, qui sub vitæ finem ad baptismum acceditis. Nam nos quidem id precibus a Deo contendimus, ut post baptismum quoque probam vitam habeatis: tu contra in hoc incumbis, nihilque non facis, ut sine proba vita hinc excedas. Quid enim, si justus quidem fias, sed a fide dumtaxat? D At nos ut a virtutum quoque muneribus tibi fiducia comparetur, oramus. *Perpetuo quæ ipsius sunt cogitare, quæ ipsius sunt sapere, quæ ipsius sunt meditari.* Castam enim cogitationem atque honestam vitam, non ad unum dumtaxat aut duos, aut tres dies, sed per universum vitæ curriculum petimus, &, quod bonorum omnium causa est, quæ ipsius sunt sapere. Plerique enim quæ sua sunt quærunt, non quæ Jesu Christi. Quonam igitur modo hoc fieri possit? ad precem enim hoc quoque accedat oportet, ut quæ nostra sunt præstemus. Si in ipsius lege dies noctesque versemur; unde etiam deinceps hoc E petit, *In ipsius lege die ac nocte morari.* Et quemadmodum superius dixerat, *Perpetuo:* eodem modo hic, *Die ac nocte.* Itaque eorum me pudet, qui toto anno vix semel in ecclesia conspiciuntur. Quam enim excusationem nancisci queant, qui cum diu ac noctu in Dei lege, non dicam versari, sed morari, hoc est semper meditari jubeantur, tamen ne minimam quidem vitæ partem in hoc impendunt, ut ipsius mandata memoria usurpent, atque ipsius justificationes custodiant?

Levit. 26. 12

Philip. 2. 21.

7. Vides-ne catenam optimam, quamque apte singula hæc inter se cohæreant, atque

quavis aurea catena firmius & elegantius? Postquam enim mentem divinam postulavit, exponit quonam pacto talis esse queat. Quomodo autem? Nimirum si quis perpetuo ea, quæ Dei sunt, meditetur. Hoc autem quanam ratione quispiam consequi possit? Si divinæ legi operam dare nunquam intermittat. Quonam pacto id mortalibus persuaderi queat? Si mandata ipsius observent. Quin potius ex eo ipso, quod legi divinæ quispiam studeat, id consequitur, ut mandata servet; quemadmodum scilicet ex eo quod quis ea, quæ ipsius sunt, sapit, ac mentem divinam habet, illud adipiscitur, ut quæ ipsius sunt meditetur. Singula enim ex his, quæ diximus, & id quod vicinum est efficiunt, & ab eo efficiuntur: & ipsum continent, & ab ipso continentur. *Intensius adhuc pro ipsis rogemus.* Quoniam animus in prolixa oratione obdormiscere consuevit, rursus eum excitat. Magna enim rursum atque excelsa postulare vult. Ideoque ait, *Intensius adhuc pro ipsis rogemus.* Quidnam autem hoc est? *Ut eripiat eos ab omni malo & absurdo negotio.* Hoc loco id ipsis petimus, ut ne intrent in tentationem, atque ut ab omnibus, tam corporeis, quam spiritualibus insidiis liberentur. Ob id etiam hæc verba subjunxit, *Ab omni peccato diabolico, & omni obsidione adversarii.* Quibus verbis tentationes ac peccata significat. Peccati enim ea natura

Peccati natura.

est, ut facile hominem obsideat, atque undique stet, a fronte nempe & a tergo, sicque nos dejiciat. Postquam enim, quæ a nobis præstanda sint, exposuit, hoc est, ut in ejus lege versemur, ipsius mandata memoria teneamus, justificationes ejus custodiamus, hoc jam admonet, ne ista quidem sufficere, nisi adsit ipse, atque opem ferat. *Nisi*

Psal. 126. 1.

enim *Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam.* Ac præsertim in iis, qui diabolo adhuc objecti sunt, ac sub ipsius imperio & ditione. Ac vos hæc nostis, qui sacris initiati estis. Facile enim illa verba vobis in memoriam redeant, per quæ ipsius tyrannidi nuncium remisistis, cum flexo genu ad regem transfugistis, ac tremenda illa verba protulistis, quibus tyranno nullo prorsus modo obsequi docemur. Adversarium porro ac diabolum ipsum appellat, quoniam & Deum apud homines, & homines apud Deum, ac nosipsos inter nos criminatur. Etenim ipse olim Jobum apud Deum in crimen vocabat, cum diceret,

Job. 1. 9.

*Num Job frustra colit Deum?* Ac rursum Deum apud Jobum his verbis: Ignis descendit de cælo: atque item Deum apud Adamum,

Gen. 3. 5.

cum diceret fore, ut eorum oculi aperirentur: ac nunc etiam apud plerosque mortalium, dicens: Deus iis, quæ oculis cernuntur non prospicit, sed res vestras dæmonibus permisit. Quin apud complures quoque Judæos Christum traducebat, impostorem ac præstigiatorem eum appellans. Quonam autem modo operetur, audire fortasse aliquis cu-

A σιον ἔχεται, πάσης χρυσῆς ἀλύσεως ἀσφαλέστερόν τε καὶ εὐπρεπέστερον συγκείμενον; αἰτήσας γὰρ νοῦν ἔνθεον, λέγει πῶς ἂν γένοιτο τοῦτο. πῶς δὴ ἂν γένοιτο; ἐκ τοῦ διαπαντὸς αὐτὸν μελετᾶν. τοῦτο δὲ πῶς ἂν συμβαίη; ἐκ τοῦ τῷ νόμῳ προσέχειν διηνεκῶς. πῶς δὴ ἂν πεισθείησαν ἄνθρωποι τοῦτο; εἰ τὰς ἐντολὰς αὐτοῦ τηροῖεν· μᾶλλον δὲ ἐκ τοῦ τῷ νόμῳ προσέχειν, καὶ τὸ τὰς ἐντολὰς τηρεῖν γίνεται· ὥσπερ οὖν καὶ ἐκ τοῦ τὰ αὐτοῦ φρονεῖν καὶ ἔνθεον ἔχειν νοῦν, τὸ τὰ αὐτοῦ μελετᾶν. ἕκαστον γὰρ τῶν B εἰρημένων καὶ συγκατασκευάζει τὸ πλησίον, καὶ συγκατασκευάζεται παρ' αὐτοῦ, συνέχον τε αὐτὸ, καὶ συνεχόμενον παρ' αὐτοῦ. Ἔτι ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν. ἐπειδὴ γὰρ ἐν τῷ μακρῷ λόγῳ [a] καταδαρθάνειν εἴωθεν ἡ ψυχὴ, πάλιν αὐτὴν διανίστησι. μεγάλα γὰρ βούλεταί τινα αἰτῆσαι πάλιν, καὶ ὑψηλά. διό φησιν, Ἔτι ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν. τί δὲ τοῦτό ἐστιν; Ἵνα ἐξέληται αὐτοὺς ἀπὸ παντὸς πονηροῦ καὶ ἀτόπου πράγματος. ἐνταῦθα τὸ μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ τὸ πάσης ἐπιβουλῆς ἀπαλλαγῆναι αἰτοῦμεν αὐτοῖς, [b] σωματικῶν τε ὁμοῦ, καὶ πνευματικῶν. C διὸ καὶ ἐπάγει λέγων, Ἀπὸ παντὸς ἁμαρτήματος διαβολικοῦ, καὶ πάσης ἐπιστάσεως τοῦ ἀντικειμένου· τοὺς πειρασμοὺς δηλῶν καὶ τὰς ἁμαρτίας. εὐπερίστατον γὰρ ἡ ἁμαρτία, πάντοθεν ἱσταμένη, ἔμπροσθεν, ὄπισθεν, καὶ οὕτως ἡμᾶς καταβάλλουσα. ἐπειδὴ γὰρ εἶπεν ἃ δεῖ γενέσθαι παρ' ἡμῶν ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι, τῶν ἐντολῶν αὐτοῦ μνημονεύειν, τὰ δικαιώματα αὐτοῦ φυλάττειν· παιδεύει λοιπὸν, ὅτι οὐδὲ ταῦτα ἀρκεῖ, ἂν μὴ αὐτὸς παρῇ καὶ βοηθῇ. ἐὰν γὰρ μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. D καὶ μάλιστα ἐπὶ τούτων, οἳ ἔτι περίκεινται τῷ διαβόλῳ, καὶ ὑπὸ τὴν ἀρχήν εἰσι τὴν αὐτοῦ. καὶ ἴστε ταῦτα οἱ μεμυημένοι. ἀναμνήσθητε γοῦν τῶν ῥημάτων ἐκείνων, δι' ὧν ἀπετάξασθε αὐτοῦ τῇ τυραννίδι, γόνυ κλίναντες, καὶ πρὸς τὸν βασιλέα αὐτομολήσαντες, καὶ τὰ φρικώδη ἐκεῖνα φθεγξάμενοι ῥήματα, δι' ὧν παιδευόμεθα μηδὲν αὐτῷ καθόλου πείθεσθαι. ἀντικείμενον δὲ αὐτὸν καλεῖ, καὶ διάβολον, ἐπειδὴ καὶ θεὸν πρὸς ἀνθρώπους διαβάλλει, καὶ ἡμᾶς πρὸς θεὸν, καὶ πάλιν ἡμᾶς αὐτοὺς πρὸς ἀλλήλους. ποτὲ μὲν γὰρ τὸν Ἰὼβ πρὸς E τὸν θεὸν, λέγων, Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν κύριον; καὶ πάλιν τὸν θεὸν πρὸς τὸν Ἰώβ· Πῦρ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ. καὶ πρὸς τὸν Ἀδὰμ πάλιν τὸν θεὸν, ὅτε ἔλεγε διανοιχθήσεσθαι αὐτῶν τοὺς ὀφθαλμούς. καὶ πρὸς πολλοὺς τῶν νῦν ἀνθρώπων, λέγων, οὐ προνοεῖ θεὸς τῶν ὁρωμένων, ἀλλὰ δαίμοσιν ἀφῆκε τὰ καθ' ὑμᾶς· καὶ πρὸς πολλοὺς δὲ τῶν Ἰουδαίων τὸν Χριστὸν διέβαλε, πλάνον καὶ γόητα καλῶν. πῶς δὲ ἐνεργεῖ, ἴσως βούλεταί τις ἀκοῦσαι.

a Editi, λόγῳ καλαδαρθάνειν. MSS. λόγῳ καταπίπτειν.
b MSS. σωματικῶν τε ὁμοῦ καὶ πνευματικῶν, melius quam Editi, σωματικόν τε ὁμοῦ καὶ πνευματικόν.

ὅταν μὴ εὕρῃ νοῦν ἔνθεον, ὅταν μὴ σώφρονα ψυχήν· ὅταν μὴ μνημονεύῃ τῶν ἐντολῶν τοῦ θεοῦ, μηδὲ φυλάσσῃ τὰ δικαιώματα αὐτοῦ, τότε αἰχμάλωτον λαβὼν ἄπεισιν. ὁ γοῦν Ἀδὰμ εἰ ἐμνημόνευε τῆς ἐντολῆς λεγούσης, ἀπὸ παντὸς ξύλου φαγῇ, εἰ ἐφύλαξε τὸ δικαίωμα τὸ λέγον, ᾗ ἂν ἡμέρᾳ φάγητε, τότε θανάτῳ ἀποθανεῖσθε· οὐκ ἂν ἔπαθεν ἅπερ ἔπαθεν. ἵνα καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν. τὰ μὲν γὰρ παρόντα αἰτούμεθα, τὰ δὲ μέλλοντα· καὶ φιλοσοφοῦμεν ὑπὲρ τοῦ λουτροῦ, καὶ ἐν τῇ αἰτήσει παιδεύομεν αὐτοὺς εἰδέναι αὐτοῦ τὴν ἰσχύν. ἐντεῦθεν γὰρ ἤδη ὁ λόγος αὐτοὺς συνεθίζει εἰδέναι, ὅτι ἀναγέννησις τὸ πρᾶγμά ἐστι, καὶ πάλιν γεννώμεθα, ὥσπερ ἀπὸ τῆς μήτρας, οὕτως ἀπὸ τῶν ὑδάτων· ἵνα μὴ λέγωσι κατὰ τὸν Νικόδημον, πῶς δύναταί τις γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ εἰσελθεῖν, καὶ γεννηθῆναι ἄνωθεν; εἶτα, ἐπειδὴ ἄφεσιν εἶπεν ἁμαρτιῶν, διὰ τοῦ ἑξῆς αὐτὴν πιστοῦται λέγων, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας. ὁ γὰρ υἱότητα ἐνδυόμενος, δῆλον ὅτι ἄφθαρτος γίνεται. τί δέ ἐστιν, ἐν καιρῷ εὐθέτῳ; ὅταν εὖ διακείμενος ᾖ, ὅταν μετὰ προθυμίας καὶ πίστεως προσίῃ. τοῦ γὰρ πιστοῦ καιρὸς εὔθετος οὗτός ἐστιν. ἵνα εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους, πάντα τὸν βίον αὐτῶν. ἐνταῦθα δὲ καὶ σωματικόν τι αἰτεῖν κελεύονται, ὡς ἔτι ἀσθενέστεροι ὄντες. τοὺς οἴκους αὐτῶν, καὶ τὰς οἰκετίας· τουτέστιν, ἄν τε θεράποντας ἔχωσιν, ἄν τε συγγενεῖς, ἄν τε ἑτέρους τινὰς προσήκοντας. ταῦτα γὰρ ἦν τῆς παλαιᾶς τὰ ἔπαθλα. καὶ οὐδὲν οὕτω δεινὸν ἐδόκει εἶναι, ὡς χηρεία, ὡς ἀπαιδία, ὡς τὰ πένθη τὰ ἄωρα, ὡς τὸ ἐν λιμῷ εἶναι, ὡς τὸ μὴ ἐξ οὐρίας τὰ πράγματα αὐτοῖς φέρεσθαι. διὰ δὴ τοῦτο καὶ τούτους ἀφίησιν ἐμφιλοχωρεῖν ταῖς αἰτήσεσι ταῖς σωματικωτέραις, κατὰ μικρὸν αὐτοὺς ἀναβιβάζων. τοῦτο γὰρ καὶ ὁ Χριστὸς ποιεῖ, τοῦτο καὶ ὁ Παῦλος, παλαιῶν μεμνημένος εὐλογιῶν· ὁ μὲν Χριστὸς, ὅταν λέγῃ, μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι γῆν· ὁ δὲ Παῦλος, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. τὰ τέκνα αὐτῶν ἵνα αὐξήσας εὐλογήσῃ, καὶ εἰς μέτρον ἡλικίας ἀγαγὼν σοφίσῃ.

Πάλιν ἐνταῦθα καὶ σωματικὸν καὶ πνευματικὸν, ἅτε νηπιωδέστερον διακειμένοις. εἶτα τὸ ὕστερον καθόλου πνευματικόν· ἵνα κατευθύνῃ αὐτοῖς πάντα τὰ προκείμενα πρὸς τὸ συμφέρον. οὐ γὰρ ἁπλῶς τὰ προκείμενα, ἀλλὰ πρὸς τὸ συμφέρον. πολλάκις γὰρ πρόκειται ἀποδημία, ἀλλ' οὐ συμφέρει· ἕτερόν τι τοιοῦτον, ἀλλ' οὐκ ἔστι λυσιτελοῦν. ἀπὸ τούτων παιδεύονται ἐν πᾶσιν εὐχαριστεῖν τῷ θεῷ, ὡς συμφερόντως γινομένοις. καὶ μετὰ ταῦτα πάντα, ἐγείρεσθαι κελεύει λοιπόν. πρότερον γὰρ αὐτοὺς χαμαὶ ῥίψας, ὅτε ᾔτησαν ἅπερ ᾔτησαν, καὶ παρρησίας ἐνεπλήσθησαν, ἀνίστησιν αὐτοὺς ὁ λόγος,

A pit. Cum mentem non divinitus afflatam & non sobriam cogitationem invenit, quæ Dei mandata non recordetur, nec ipsius justificationes custodiat, tum demum captivam eam secum abducit. Adamus quippe, si hujusce mandati meminisset, De omni ligno comede, si legem eam servasset quæ dicebat, In quacumque die comederitis, morte moriemini; non ea, quæ passus est, passus fuisset. *Ut dignetur eos in tempore opportuno lavacro regenerationis, & remissione peccatorum.* Quædam enim præsentia petimus, quædam futura: ac de lavacro philosophamur; B atque in ipsa petitione docemus eos vim baptismi cognitam habere. Hinc enim jam sermo eos assuefacit, ut intelligant rem eam regenerationem esse, nosque, ut a vulva, sic ab aquis denuo gigni: ut ne illi cum Nicodemo dicant, *Quomodo potest homo nasci cum sit senex? Potes-ne in ventrem matris suæ introire, ac nasci denuo?* Deinde postquam peccatorum remissionem dixit, per ea quæ sequuntur ipsam confirmat dicens: *Indumento incorruptionis.* Etenim qui filii dignitatem induit, procul dubio incorruptibilis efficitur. Quid autem est, *In tempore opportuno?* C Nimirum cum quis probe affectus est, cum, animo alacri & cum fide accedit. Fidelis etenim hominis opportunum tempus hoc est. *Ut benedicat introitus, & exitus eorum, omnem vitam ipsorum.* Hoc loco aliquid, quod ad corpus spectet, petere jubentur, ut qui adhuc imbecilles sint. *Domos eorum, & habitationes.* Hoc est, sive famulos habeant, sive cognatos, sive alios quosdam necessarios. Hæc enim erant veteris testamenti præmia: nec quidquam perinde grave, atque acerbum esse videbatur, ut viduitas, ut sterilitas, ut præmatura funera, ut fames, & adversi rerum successus. D Ob eam causam in petitionibus ad corpus pertinentibus eos immorari sinit, paulatim ipsos in altum subvehens. Hoc enim & Christus facit, & Paulus, antiquas videlicet benedictiones uterque in memoriam revocans: Christus nempe, cum ait, *Beati mites, quoniam ipsi possidebunt terram:* Paulus autem, *Honora patrem tuum & matrem tuam, ut sis longævus super terram. Filios eorum, ut eos augeas & benedicas, atque ad mensuram ætatis perductos sapientia instruas.*

Gen. 2. 17.

Joan. 3. 4.

Matt. 5. 4.

Ephes. 6. 3.

8. Hic rursus partim corporeum, partim spirituale beneficium ipsis poscit, utpote puerili adhuc animo præditis. Quod autem sequitur, E omni ex parte spirituale est, *Ut omnia quæ ipsis proposita erunt, ad utilitatem dirigat.* Non enim simpliciter quæ proposita erunt, sed quæ ad utilitatem. Sæpe enim peregrinatio aliqua instituitur, sed minime conducit: atque aliud quiddam simile, quod nec item utile est. Ex quibus hoc discunt, Deo in omnibus rebus gratias agere, ut quæ ad eorum commodum & utilitatem fiant. Posthæc omnia, jam eos surgere jubet. Nam cum prius eos humi prostratos tenuisset, postea quam ea petierunt, quæ petierunt, ac fiducia repleti, jam eos sermo erigit, ac

deinceps ipsos quoque precationem ad Deum amplecti jubet. Siquidem quædam nos dicimus, quædam rursus ipsis committimus, petitionis nempe januas ipsis aperientes: non secus videlicet ac pueros primum ipsi docemus, post autem ipsos quoque loqui jubemus. Itaque hoc ipsis dicimus, *Angelum pacis petite, o catechumeni.* Est quippe angelus etiam

Psal. 77. 54. cruciatum inferens, ut cum ille ait, Immissionem per angelos malos. Est & angelus exterminator. Ac provide eos angelum pacis petere jubemus, docentes eos, id, quod bonorum omnium vinculum est, hoc est, pacem postulare: ita ut ab omni pugna, ab omni bello, & ab omni dissidio absint. *Pacifica vobis omnia quæ proponuntur.* Ut cumque enim grave aliquid sit, dum tamen pacem quispiam habeat, leve est. Eoque etiam nomi-

Joan. 14. 27. ne Christus dicebat, Pacem meam do vobis. Neque enim ullum armorum genus diabolo æque firmum ac validum est, ut pugna, & simultas ac bellum. *Pacificum hunc diem, atque omnes vitæ vestræ dies postulate.* Vidistin' rursus quomodo universam vitam in virtute transigi jubeat? *Christianos vestros fines.* Et, quod bonorum caput est, *Quod honestum est, & quod utile.* Nam quod honestum non est, id ne utile quidem esse potest. Alia enim rerum utilium apud nos natura est, quam vulgus opinatur. *Vos ipsos Deo viventi, ac Christo ipsius commendate.* Nondum enim hoc illis committimus, ut pro aliis orent: sed præclare agi putamus, si pro seipsis orare queant. Vides-ne quam plena & numeris omnibus absoluta precatio sit, sive doctrinam, sive vitam consideres? Nam cum evangelium dicimus, cum incorruptionis indumentum, cum regenerationis lavacrum, doctrinam universam his verbis complectimur. Rursus cum mentem divino numine afflatam, cum sobriam cogitationem, cum denique cætera, quæ a nobis commemorata sunt, vitam significamus. Demum eos capita inclinare jubemus, hoc videlicet argumento preces exauditas esse statuentes, quod Deus eos benedicat. Neque enim homo est qui benedicit, sed per illius manum ac linguam regi ipsi capita eorum, qui adsunt, offerimus. Ac tum inclamant omnes, amen. Hæc autem omnia quorsum tandem a me dicta sunt? Ut doceam nos aliorum commoda quærere debere, ac ne putent fideles hæc, cum recitantur, nihil ad se pertinere. Neque enim ad parietes diaconus loquitur, cum ait, *Oremus pro catechumenis.* Verum nonnulli adeo amentes, atque ignavi ac dissoluti sunt, ut non modo in catechumenorum, sed etiam fidelium tempore stent atque confabulentur. Hinc omnia subversa sunt, hinc omnia perierunt: quia quo tempore maxime curandum est ut Deum nobis reconciliemus, hoc ipso ita discedimus, ut ejus iram in nos concitemus. Siquidem coram fidelibus pro episcopis, pro presbyteris, pro regibus, pro imperatoribus, pro terra & mari, pro aëris temperie, denique pro universo terrarum orbe benignum Domi-

a Editi τῶν παρεστώτων. MSS. τῶν περιεστώτων.

A καὶ κελεύει λοιπὸν καὶ αὐτοὺς ἔχεσθαι τῆς πρὸς τὸν θεὸν ἱκετηρίας. τὰ μὲν γὰρ ἡμεῖς λέγομεν, τὰ δὲ αὐτοῖς ἐπιτρέπομεν, ἤδη τὰς θύρας αὐτοῖς ἀνοίγοντες τοῦ αἰτεῖν· καθάπερ τοὺς παῖδας πρότερον μὲν αὐτοὶ διδάσκομεν, ἔπειτα δὲ καὶ δι' ἑαυτῶν φθέγγεσθαι κελεύομεν· λέγοντες, τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε οἱ κατηχούμενοι. ἔστι γὰρ ἄγγελος κόλασιν ἔχων· ὡς ὅταν λέγῃ, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν· ἔστιν ὀλοθρευτής. διὰ τοῦτο τὸν ἄγγελον τῆς εἰρήνης κελεύομεν αἰτεῖν, παιδεύοντες, B ὃ πάντων ἐστὶ σύνδεσμος τῶν ἀγαθῶν εἰρήνη, τοῦτο ζητεῖν, ὥστε πάσης ἀπηλλάχθαι μάχης, παντὸς πολέμου, πάσης στάσεως. εἰρηνικὰ ὑμῖν πάντα τὰ προκείμενα. κἂν γὰρ φορτικὸν ᾖ τι, εἰρήνην δὲ ἔχῃ, κοῦφόν ἐστι. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. οὐδὲν γὰρ οὕτως ὅπλον ἰσχυρὸν τῷ διαβόλῳ, ὡς μάχη, καὶ ἔχθρα, καὶ πόλεμος. Εἰρηνικὴν τὴν παροῦσαν ἡμέραν, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν αἰτήσασθε. εἶδες πῶς πάλιν ὁλόκληρον τὸν βίον ἐν ἀρετῇ κελεύει εἶναι; Χριστιανὰ ὑμῶν τὰ C τέλη· τὸ κεφάλαιον τῶν ἀγαθῶν, τὸ καλὸν καὶ τὸ συμφέρον. ὃ γὰρ μὴ καλὸν, οὐδὲ συμφέρον. ἄλλη γὰρ παρ' ἡμῖν τῶν συμφερόντων ἡ φύσις παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν. ἑαυτοὺς τῷ ζῶντι θεῷ, καὶ τῷ Χριστῷ αὐτοῦ παραθέσθαι. οὔπω γὰρ τὴν ὑπὲρ ἑτέρων αὐτοῖς ἐπιτρέπομεν, ἀλλ' ἀγαπητὸν ὑπὲρ αὐτῶν δύνασθαι δεῖσθαι. εἶδες εὐχὴν ἀπηρτισμένην, καὶ δογμάτων ἕνεκεν καὶ πολιτείας; ὅταν γὰρ εὐαγγέλιον εἴπωμεν, ὅταν ἔνδυμα ἀφθαρσίας, ὅταν λουτρὸν παλιγγενεσίας, τὰ δόγματα εἴπομεν πάντα· ὅταν νοῦν ἔνθεον, ὅταν σώφρο- D να λογισμὸν, ὅταν τὰ ἄλλα ἅπερ εἰρήκαμεν, τὴν πολιτείαν ᾐνιξάμεθα. εἶτα κλῖναι τὰς κεφαλὰς κελεύομεν, τεκμήριον τοῦ τὰς εὐχὰς ἀκουσθῆναι ποιούμενοι τὸ τὸν θεὸν εὐλογεῖν. οὐ γὰρ δὴ ἄνθρωπός ἐστιν ὁ εὐλογῶν, ἀλλὰ διὰ τῆς ἐκείνου χειρὸς καὶ γλώττης, αὐτῷ προσάγομεν τῷ βασιλεῖ τὰς κεφαλὰς τῶν [a] περιεστώτων, καὶ ἐπιβοῶσιν ἅπαντες τὸ, ἀμήν. Ταῦτα δέ μοι πάντα τίνος ἕνεκεν εἴρηται; ἵνα διδάξω ὅτι τὸ ἑτέρων δεῖ ζητεῖν, ἵνα μὴ νομίσωσιν οἱ πιστοὶ μηδὲν εἶναι πρὸς αὐτοὺς ὅταν ταῦτα λέγηται. οὐ γὰρ δὴ τοῖς τοίχοις ὁ διάκονος λέγει, δεηθῶμεν ὑπὲρ τῶν κατηχουμένων. ἀλ- E λά τινες οὕτως εἰσὶν ἀνόητοι καὶ βλᾶκες καὶ διαλελυμένοι, ὡς μὴ μόνον ἐν τῷ καιρῷ τῶν κατηχουμένων, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῶν πιστῶν ἑστάναι καὶ διαλέγεσθαι. ἐντεῦθεν πάντα διέστραπται, ἐντεῦθεν πάντα ἀπόλωλεν, ὅτι ἐν τῷ καιρῷ, ἐν ᾧ μάλιστα δεῖ τὸν θεὸν καταλλάττειν, ἐν τούτῳ [b] παροξύνοντες ἄπιμεν. καὶ γὰρ ἐπὶ τῶν πιστῶν, ὑπὲρ ἐπισκόπων, ὑπὲρ πρεσβυτέρων, ὑπὲρ βασιλέων, ὑπὲρ τῶν κρατούντων, ὑπὲρ γῆς καὶ θαλάσσης, ὑπὲρ ἀέρων, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης κελευόμεθα

b MSS. παροξύνοντες.

προσιέναι

A προσιέναι τῷ φιλανθρώπῳ θεῷ. ὅταν οὖν οἱ τοσαύτην ὀφείλοντες ἔχειν παῤῥησίαν, ὡς ὑπὲρ ἀλλοτρίων δεῖσθαι, μηδὲ ὑπὲρ ἑαυτῶν νήφοντες προσευχώμεθα, τίς ἡμῖν ἡ ἀπολογία; ποία συγγνώμη; διὸ δὴ παρακαλῶ ταῦτα πάντα [a] ἐννοήσαντες, εἰδέναι καιρὸν εὐχῆς, καὶ μεταρσίους γίνεσθαι, καὶ ἀπαλλάττεσθαι τῆς γῆς, καὶ αὐτῶν ἅπτεσθαι τῶν ἁψίδων τοῦ οὐρανοῦ· ἵνα δυνηθῶμεν τὸν θεὸν ἵλεων ποιῆσαι, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν B Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A num adire jubemur. Quamobrem cum nos, qui tanta fiducia præditi esse debemus, ut etiam pro aliis oremus, ne pro nobis quidem attento ac vigilanti animo precemur, quinam excusationis, quinam veniæ nobis locus esse possit? Ac proinde obsecro, ut hæc omnia animo ac mente complectentes, precationis tempus agnoscamus, sublimesque efferamur, atque a terra excedamus, ipsumque cæli fornicem attingamus, ut Deum nobis propitium & placidum reddere, ac promissa bona consequi possimus. Quæ utinam consequi nobis contingat per gratiam B ac misericordiam Domini nostri Jesu Christi, quîcum Patri & Spiritui Sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ γ'.

Η γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ.

ΕΝΤΑΥΘΑ πάλιν καὶ ἑτέραν παρακλήσεως ὑπόθεσιν οὐ μικρὰν ἡμῖν ἀνακαλύπτει, C ἀλλὰ καὶ σφόδρα μεγάλην, καὶ ἱκανὴν ἀνορθῶσαι διάνοιαν ὑπὸ κινδύνων βαπτιζομένην. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὁ θεὸς ἡμᾶς ἐῤῥύσατο, καὶ τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ ταῖς εὐχαῖς τούτων τὸ πᾶν ἀνέθηκεν, ἵνα μὴ ταύτῃ τὸν ἀκροατὴν ὕπτιον ποιήσῃ, τῷ ἐλέῳ τοῦ θεοῦ μόνον καὶ τῶν ἑτέρων εὐχαῖς θαῤῥοῦντα, δείκνυσιν ὅτι καὶ αὐτοὶ οὐ μικρὸν οἴκοθεν συνεισήνεγκαν. καὶ ἐδήλωσε μὲν αὐτὸ καὶ ἔμπροσθεν εἰπὼν, ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ, περισσεύει καὶ παράκλησις ἡμῶν· ἐνταῦθα δὲ καὶ ἕτερόν D τι λέγει οἰκεῖον κατόρθωμα. ποῖον δὴ τοῦτο; ὅτι ἐν καθαρῷ συνειδότι καὶ ἀδόλῳ, πανταχοῦ τῆς οἰκουμένης ἀναστρεφόμεθα, φησιν· οὐ μικρὸν δὲ τοῦτο ἡμῖν εἰς παραμυθίαν καὶ παράκλησιν· μᾶλλον δὲ οὐκ εἰς παράκλησιν μόνον, ἀλλὰ καὶ εἰς ἕτερον, ὃ πολλῷ μεῖζον τῆς παρακλήσεώς ἐστι, καὶ εἰς καύχησιν. ταῦτα δὲ ἔλεγε, κἀκείνους παιδεύων ἐν ταῖς θλίψεσι μὴ καταπίπτειν, ἀλλὰ καὶ [b] ἐναβρύνεσθαι, ὅταν καθαρὸν ἔχωσι συνειδὸς, καὶ ἠρέμα καθαπτόμενος τῶν ψευδαποστόλων. καὶ ὥσπερ ἐν τῇ προτέρᾳ φησὶν, ὅτι ἀπέστειλέ με Χριστὸς εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ E λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, καὶ ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ· οὕτω καὶ ἐνταῦθά φησιν, οὐκ ἐν σοφίᾳ, ἀλλ' ἐν χάριτι Χριστοῦ. καὶ ἕτερον δέ τι ᾐνίξατο εἰπὼν, οὐκ ἐν σοφίᾳ, τουτέστιν, οὐκ ἐν ἀπάτῃ· καὶ ταύτῃ βάλλων τὴν ἔξω παίδευσιν. ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστί, φησι, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν· τουτέστιν, ἡ συνείδησις ἡμῶν,

[a] ἐννοήσαντες. Videtur legendum, ἐννοήσαντας.

## HOMILIA III.

12. *Nam gloria nostra hæc est, testimonium conscientiæ nostræ, quod in simplicitate & sinceritate Dei, & non in sapientia carnali, sed in gratia Dei conversati sumus in mundo.*

C 1. HIC rursum aliud quoque non parvum consolationis argumentum nobis aperit, imo perquam ingens, quodque animum in periculis demersum erigere queat. Quoniam enim dixerat, Deus nos eripuit, atque id totum miserationibus Dei, precibusque ipsorum adscripserat, ne hac ratione auditoris animum supinum ac languidum redderet, utpote Dei misericordiæ dumtaxat, aliorumque precibus confidentem, ostendit ipsos quoque ex se non parum ex se præstitisse. Atque id quidem prius etiam his verbis declaravit; *Sicut abundant passiones Christi in nobis, sic etiam abundat consolatio* D *nostra.* Hic autem aliud a se recte factum commemorat. Quodnam hoc? Quoniam in pura conscientia, minimeque ficta mente, ubique terrarum conversati sumus, inquit. Hoc porro ad nostram consolationem & cohortationem non parum momenti habet; nec ad consolationem tantum, sed ad aliud etiam insuper, quod consolatione longe præstantius est, hoc est, ad gloriationem. His autem verbis partim eos docet, ut in afflictionibus minime animis frangantur, sed potius glorientur, cum puram conscientiam habeant: partim etiam falsos apostolos tacite perstringit. Et quemadmodum in supe- E riore epistola ait, *Misit me Christus ut evangelizem, non in sapientia sermonis, ne evacuetur crux Christi, & ut fides vestra non sit in sapientia hominum, sed in potentia Dei:* sic etiam hoc loco ait, *Non in sapientia, sed in gratia Christi.* Quin aliud quoque his verbis subindicavit, *Non in sapientia*, hoc est, non in fraude: nimirum hic quoque profanam eruditionem impetens. *Gloria enim nostra hæc est*, inquit, *testimonium conscientiæ nostræ.* Hoc est, conscientia nostra, cum

Ex pura conscientia quanta consolatio oriatur.

1. Cor. 1. 17.

1. Cor. 2. 5.

[b] MSS. ἐγκαβρύνεσθαι.

nos condemnare nequeat, tamquam qui ob improba facinora exagitemur. Quamvis enim innumeris calamitatibus afficiamur, atque undique impetamur & periclitemur, nobis tamen ad consolationem, nec ad consolationem tantum, sed etiam ad coronam sufficit conscientia, quæ pura est, nobisque hoc testificatur, nos non sceleris ullius causa, sed ob Dei voluntatem, ob virtutem, ob philosophiam, ob multorum salutem hæc pati. Ac prior quidem illa consolatio a Deo manabat: hæc autem ab ipsis, atque a vitæ puritate colligebatur. Unde etiam gloriam ipsam vocat, quoniam propria eorum virtute comparabatur. Quænam igitur est hæc gloria, & quidnam nobis conscientia nostra testificatur, *Quoniam in simplicitate & in sinceritate*? Hoc est, nihil fraudulentum, nihil per hypocrisim, per simulationem, per assentationem, per insidias, per fallaciam, ac per aliud quidquam ejusmodi fecimus: sed in omni libertate, in veritate, in pura minimeque maligna voluntate, in mente ab omni dolo vacua, nihil tectum & adumbratum, nihil fucatum ac veteratorium habentes. *Non in sapientia carnali*; hoc est, non in vafricie & improbitate, nec in sermonis facundia, nexuque sophismatum. Hæc enim per carnalem sapientiam intelligit. Atque id, unde illi magnopere gloriabantur, inficiatur ipse ac rejicit: ex abundanti videlicet ostendens, haud dignum istud esse, de quo quisquam glorietur; quippe cum ipse non modo id non requirat, verum etiam submoveat ac probro ducat. *Sed in gratia Dei conversati sumus in mundo.* Quid est, in gratia Dei? Hoc est, sapientiam ac potentiam ipsius beneficio nobis concessam per miracula declarantes: atque hinc etiam, quod, cum rudes essemus, nihilque externæ doctrinæ nobiscum afferremus, doctos tamen, oratores, philosophos, reges ac populos vicerimus. Porro non vulgaris est hæc consolatio ac gloriatio, nempe quod ipsi sibi conscii essent, se non humanam potentiam adhibere, sed divina gratia omnia conficere. *In mundo.* Ita non Corinthi tantum, sed passim quoque toto terrarum orbe. *Abundantius autem apud vos.* Quid abundantius ad vos? *In gratia Dei conversati sumus.* Nam & signa & miracula apud vos edidimus, & diligentiam majorem adhibuimus, vitamque ab omni reprehensione alienam. Nam hoc quoque gratiam Dei vocat, nimirum ea etiam, quæ cum virtute gessit, ipsi adscribens. Illic enim ultra septa prosiliit, dum sine sumtu evangelium poneret, ut eorum imbecillitati consuleret. 13. *Non enim alia scribimus vobis, quam quæ legitis & agnoscitis.* Quoniam magnifica de se proloquutus fuerat, sibique ipsi testimonium dixerat, id quod importunum erat, rursum eorum, quæ dicit, ipsos testes producit. Ne quis enim, inquit, existimet, ea, quæ a me dicuntur, verborum dumtaxat pompam esse. Hæc enim vobis commemoramus, quæ vobis ipsis explorata sunt. Quodque nos mini-

A οὐκ ἔχουσα ἡμᾶς καταδικάζειν, ὡς ἐπὶ πονηροῖς πράγμασιν ἐλαυνομένους. κἂν γὰρ μυρία πάσχωμεν δεινὰ, κἂν πάντοθεν βαλλώμεθα καὶ κινδυνεύωμεν, ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν, μᾶλλον δὲ οὐ μόνον εἰς παραμυθίαν, ἀλλὰ καὶ εἰς τὸ στεφανοῦσθαι, τὸ συνειδὸς, καθαρὸν ὂν, καὶ μαρτυροῦν ἡμῖν, ὅτι δι' οὐδὲν πονηρὸν, ἀλλὰ διὰ τὸ τῷ θεῷ δοκοῦν, ταῦτα πάσχομεν, δι' ἀρετὴν, διὰ φιλοσοφίαν, διὰ τὴν τῶν πολλῶν σωτηρίαν. ἐκείνη μὲν οὖν ἡ προτέρα παράκλησις παρὰ τοῦ θεοῦ ἦν· αὕτη δὲ παρ' αὐτῶν, καὶ τῆς τοῦ βίου καθαρότητος συνεισήγετο. διὸ καὶ καύχη-

B σιν αὐτὴν καλεῖ, ὅτι τῆς οἰκείας αὐτῶν ἀρετῆς κατόρθωμα ἦν. τίς οὖν ἐστιν ἡ καύχησις, καὶ τί μαρτυρεῖ ἡμῖν τὸ συνειδὸς ἡμῶν; ὅτι ἐν ἁπλότητι καὶ ἐν εἰλικρινείᾳ· τουτέστιν, οὐδὲν δολερὸν, οὐχ ὑπόκρισιν, οὐκ εἰρωνείαν, οὐ κολακείαν, οὐκ ἐπιβουλὴν καὶ ἀπάτην, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν, ἀλλ' ἐν ἐλευθερίᾳ πάσῃ, ἐν ἁπλότητι, ἐν ἀληθείᾳ, ἐν καθαρᾷ καὶ ἀπονήρῳ γνώμῃ, ἐν ἀδόλῳ διανοίᾳ, οὐδὲν ἔχοντες συνεσκιασμένον, οὐδὲ ὕπουλον. οὐκ ἐν σοφίᾳ σαρκικῇ, τουτέστιν, οὐκ ἐν κακουργίᾳ, οὐδὲ πονηρίᾳ, οὐδὲ ἐν δεινότητι λόγων, ἢ ἐν συμπλοκῇ σοφισμάτων· ταύτην

C γὰρ λέγει σοφίαν σαρκικήν. καὶ ἐφ' ᾧ μέγα ἐφρόνουν ἐκεῖνοι, τοῦτο οὗτος ἀρνεῖται καὶ διωθεῖται, δεικνὺς ἐκ πολλοῦ τοῦ περιόντος οὐκ ὂν ἄξιον καυχήσεως τοῦτο, καὶ ὅτι οὐ μόνον αὐτὸ οὐ ζητεῖ, ἀλλὰ καὶ διακρούεται καὶ ἐπαισχύνεται. ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ. τί ἐστιν, ἐν χάριτι θεοῦ; τὴν παρ' αὐτοῦ σοφίαν, τὴν παρ' αὐτοῦ δύναμιν δεδομένην ἡμῖν ἐνδεικνύμενοι διὰ τῶν σημείων, διὰ τοῦ περιγενέσθαι σοφῶν, ῥητόρων, φιλοσόφων, βασιλέων, δήμων, ἰδιῶται τυγχάνοντες, καὶ μηδὲν τῆς ἔξωθεν σοφίας ἐπιφερόμενοι. οὐχ ἡ τυχοῦσα δὲ αὕτη παράκλησίς τε καὶ καύχη-

D σις [a] τοῦ συνειδέναι ἑαυτοῖς, ὅτι οὐκ ἀνθρωπίνῃ [a] δυνάμει ἐκέχρηντο, ἀλλὰ θείᾳ χάριτι πάντα κατώρθουν. ἐν τῷ κόσμῳ. οὕτως οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης. περισσοτέρως δὲ πρὸς ὑμᾶς. τί περισσοτέρως πρὸς ὑμᾶς; ἐν χάριτι θεοῦ ἀνεστράφημεν. καὶ γὰρ σημεῖα καὶ θαύματα παρ' ὑμῖν ἐπεδειξάμεθα, καὶ πλείονα ἀκρίβειαν, καὶ βίον ἄληπτον. καὶ γὰρ καὶ τοῦτο χάριν θεοῦ καλεῖ, καὶ τὰ οἰκεῖα κατορθώματα αὐτῇ λογιζόμενος. ἐκεῖ γὰρ καὶ τὰ σκάμμα-

E τα ὑπερέβη, ἀδάπανον τιθεὶς τὸ εὐαγγέλιον, διὰ τὸ τῆς ἀσθενείας αὐτῶν φείδεσθαι. οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. ἐπειδὴ γὰρ μεγάλα ἐφθέγξατο ὑπὲρ ἑαυτοῦ, καὶ ἔδοξεν ἑαυτῷ μαρτυρεῖν, ὅπερ ἦν φορτικὸν, πάλιν αὐτοὺς παράγει μάρτυρας τῶν λεγομένων. μὴ γάρ τις νομιζέτω [b] πραγμάτων εἶναι κόμπον [b] τὰ λεγόμενα, φησι· ταῦτα γὰρ ὑμῖν δηλοῦμεν, ἃ αὐτοὶ ὑμεῖς ἴστε· καὶ ὅτι οὐ ψευδόμεθα,

[a] Mss. τὸ συνειδέναι.
[b] πραγμάτων, forte melius, ῥημάτων εἶναι κόμπον, & sic legit Interpres Latinus.

A πρὸ τῶν ἄλλων ἂν ἡμῖν μαρτυρήσετε. ἀναγινώσκοντες γὰρ ἐπιγινώσκετε, ὅτι ἃ σύνιστε ἡμῖν ἐν τοῖς ἔργοις, ταῦτα καὶ ἐν τοῖς γράμμασι λέγομεν· καὶ οὐκ ἐναντιοῦται ὑμῶν ἡ μαρτυρία ταῖς ἐπιστολαῖς, ἀλλὰ συνᾴδει τῇ ἀναγνώσει ἡ γνῶσις, ἣν προλαβόντες εἴχετε περὶ ἡμῶν. καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους. οὐδὲ γὰρ ἐξ ἀκοῆς ἴστε, φησὶ, τὰ καθ' ἡμᾶς, ἀλλ' ἀπ' αὐτῆς τῆς πείρας. τὸ δὲ, ἀπὸ μέρους, μετριάζων εἶπεν. ἔθος γὰρ αὐτῷ τοῦτο, ἐπειδὰν μέγα τι φθέγξηται κατεπειγούσης ἀνάγκης, οὐδὲ γὰρ ἄλλως αὐτὸ ποιεῖ, ταχέως συστέλλειν πάλιν τὸν ἐκ τῶν εἰρημένων ὄγκον βουλόμενος. ἐλπίζω B δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε.

Εἶδες πάλιν ἀπὸ τῶν παρελθόντων τὰ μέλλοντα πιστούμενον· καὶ οὐκ ἀπὸ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως; οὐ γὰρ ἁπλῶς ἀπεφήνατο, ἀλλὰ τὸ πᾶν ἐπ' αὐτὸν ἔρριψε καὶ τὴν εἰς αὐτὸν ἐλπίδα. ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐνταῦθα τὸν ἐκ τῶν εἰρημένων ὑποτέμνεται φθόνον, μεριστὰς αὐτοὺς καὶ κοινωνοὺς ποιήσας τῆς δόξης τῶν αὐτοῦ κατορθωμάτων. C οὐ γὰρ μέχρις ἡμῶν ἕστηκεν, ἀλλὰ καὶ εἰς ὑμᾶς διαβαίνει, καὶ πάλιν ἀφ' ὑμῶν εἰς ἡμᾶς. ἐπειδὴ γὰρ ἐπῆρεν ἑαυτὸν, καὶ τῶν παρελθόντων παρέσχεν ἀπόδειξιν, καὶ τὰ μέλλοντα ἐνεγυήσατο· ὥστε μὴ ἐπισκῆψαι τοὺς ἀκούοντας ὡς μεγαληγοροῦντι, μηδὲ εἰς βασκανίαν, ὅπερ ἔφην, ἐξενεχθῆναι, κοινοῖ τὸ καύχημα, καὶ αὐτῶν εἶναί φησι τὸν τῶν ἐγκωμίων στέφανον τοῦτον. ἂν γὰρ τοιοῦτοι φανῶμεν, φησιν, ὁ ἔπαινος ἡμῶν, ὑμῶν ἡ δόξα· ὥσπερ οὖν καὶ ὑμῶν εὐδοκιμούντων ἡμεῖς ἀγαλλόμεθα, καὶ σκιρτῶμεν, καὶ στεφανούμεθα. D πάλιν κἀνταῦθα πολὺ τὸ τῆς ταπεινοφροσύνης αὐτοῦ δι' ὧν εἴρηκεν ἐπιδείκνυται. οὐ γὰρ ὡς διδάσκαλος μαθηταῖς, ἀλλ' ὡς μαθητὴς μαθηταῖς ὁμοτίμοις διαλεγόμενος, οὕτως ἐξισάζει τὸν λόγον. καὶ θέα πῶς αὐτοὺς ὑψηλοὺς ποιεῖ, καὶ φιλοσοφίας πληροῖ, παραπέμπων ἐκείνῃ τῇ ἡμέρᾳ. μὴ γάρ μοι τὰ παρόντα εἴπητε, φησι, τουτέστι, τὰ ὀνείδη, τὰς λοιδορίας, τὰ σκώμματα τὰ παρὰ τῶν πολλῶν, οὐδὲν γὰρ μέγα τὰ ἐνταῦθα, οὔτε τὰ χρηστὰ, οὔτε τὰ λυπηρὰ, οὐ τὰ σκώμματα, οὐ τὰ ἐγκώμια τὰ παρὰ τῶν ἀνθρώπων, E ἀλλ' ἀναμνήσθητέ μοι τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς καὶ φρικώδους, ἐν ᾗ πάντα ἀνακεκαλυμμένα. τότε γὰρ καὶ ἡμεῖς ἐν ὑμῖν καὶ ὑμεῖς ἐν ἡμῖν καλλωπισθήσεσθε· ὅταν καὶ ὑμεῖς φαίνησθε τοιούτους ἔχοντες διδασκάλους, μηδὲν ἀνθρώπινον διδάσκοντας, μηδὲ πονηρίᾳ συνεζηκότας, μηδὲ λαβήν τινα δεδωκότας, καὶ ἡμεῖς τοιούτους ἔχοντες μαθητὰς μηδὲν ἀνθρώπινον πάσχοντας, μηδὲ σαλευομένους, ἀλλὰ μετὰ προθυμίας πάντα ὑποδεχομένους, καὶ μηδαμόθεν παραλογιζομένους. καὶ νῦν μὲν γὰρ ταῦτα δῆλα τοῖς νοῦν ἔχουσι· τότε δὲ πᾶσιν.



me mentiamur, præ cæteris ipsi testes esse queatis. Legentes enim agnoscitis, quod, quæ nos re ipsa præstitisse compertum habetis, ea per literas quoque prædicamus: nec testimonium vestrum literis nostris repugnat, sed earum ipsarum lectioni consonat hæc cognitio, quam ante de nobis habebatis. 14. *Sicut & cognovistis nos ex parte.* Neque enim ex aliorum sermone res nostras cognovistis, sed ex ipsa experientia. Illud autem, *ex parte*, modestiæ causa dixit. Hoc enim ipsi in more positum est, cum necessitate adductus, neque enim alias hoc facit, magni de se quidpiam pronunciarit, ut eorum, quæ dixit, tumorem statim retundat. *Spero autem quod etiam usque in finem cognoscetis.*

2. Vides rursum quo pacto a præteritis, fidem futuris astruat: nec a præteritis tantum, sed etiam a Dei potentia? Neque enim absolute affirmavit: sed hoc totum ad ipsum, spemque, quam in ipso positam habe[illegible], relegavit. *Quod gloria vestra sumus, sicut & vos nostra in die Domini nostri Jesu Christi.* Hoc loco invidiam, quam ea, quæ superius dixerat, ipsi concitare potuerant, succidit, dum ad eorum, quæ recte, & cum virtute gesserat, consortium ac societatem ipsos adsciscit. Non enim intra nos constiterunt, sed ad vos quoque dimanant, ac vicissim a vobis ad nos. Quoniam enim seipsum extulerat, ac præteritorum argumentum exhibuerat, & de futuris spoponderat, ne auditores eum tamquam magna de se prædicantem, incesserent, atque in invidiam, ut dixi, prolaberentur, gloriationem cum ipsis communicat, atque hanc laudum coronam ad ipsos pertinere ait. Nam si tales appareamus, inquit, nostra laus, vestra gloria est: quemadmodum scilicet nos quoque, dum vos laude atque gloria floretis, exsultamus, gestimus & coronamur. Atque hic quoque rursus, per ea quæ dixit, ingentem humilitatis suæ significationem præbet. Non enim ut magister ad discipulos, sed ut discipulus discipulos alloquens, ita sermonem exæquat. Ac vide quo pacto eos sublimes efficiat, ac philosophia impleat, dum ipsos ad illum diem transmittit. Ne enim mihi præsentia commemoretis, inquit, hoc est probra, convitia, scommata, quæ vobis a plerisque inferuntur: neque enim quidquam hic magni momenti est, non læta, non molesta, non scommata, non humanæ laudes; verum tremendi illius atque horrendi diei vobis in mentem veniat, in quo omnia aperta erunt. Tum enim & nos in vobis, & vos in nobis gloriabimini, cum & vos tales magistros habuisse perspicuum erit, qui nec humani quidquam docuerint, nec improbe ac flagitiose vixerint, nec ullam vitii ansam cuiquam porrexerint, ac nobis rursus tales discipulos fuisse, qui nec humani aliquid passi fuerint nec vacillarint, sed alacri ac promto animo cuncta exceperint, nec ulla ex parte fallaciam sibi fieri permiserint. Et hæc quidem nunc mente præditis manifesta sunt: tum autem cunctis erunt.

Itaque etiamsi nunc affligimur, non mediocris hæc quoque nobis consolatio suppetit: quæ quidem nunc a conscientia proficiscitur, tum autem ab ipsa manifestatione. Nunc enim conscientia quidem nostra hoc perspectum habet, nos Dei gratia omnia efficere, quemadmodum ipsi quoque scitis ac scietis: at tum omnes etiam mortales, tam nostra, quam vestra cognoscent, nosque mutuo alios ab aliis celebrari perspicient. Etenim ne solus ipse splendorem ex gloriatione consequi videatur, ipsis quoque gloriandi causam præbet, atque a præsentibus molestiis eos avocat. Quodque in consolatione fecerat, cum diceret, propter vos consolatione afficimur, hoc etiam hic facit, cum ait, propter vos gloriamur, quemadmodum vos quoque propter nos: ubique scilicet eos rerum omnium socios adhibens, consolationis, passionum, suæ denique salutis. Nam hanc salutem precibus quoque ipsorum assignat. Adjuvantibus enim, inquit, vobis in oratione, Deus nos eripuit. Ad hunc igitur modum ea quoque, ob quæ gloriatur, communia cum ipsis facit. Ut enim illic ait, Scientes quoniam sicut socii estis passionum, ita & consolationis: eodem hic quoque modo, gloria vestra sumus, ut & vos nostra. 15. *Et hac confidentia volebam prius venire ad vos.* Quanam confidentia? Quod virtuti vestræ majorem in modum confidam, quod propter vos glorier; quod gloriatio nostra sitis, quod vos unice amem, quod nullius mali mihi conscius sim, quod non dubitem quin omnia apud nos spiritualia sint, ac vos harum rerum testes habeam. *Volebam venire ad vos*, 16. *& per vos transire in Macedoniam.* Atqui contrarium in priore epistola pollicitus fuerat, his verbis utens: 1. Cor. 16. 5. *Veniam autem ad vos, cum Macedoniam transiero. Macedoniam enim pertransibo.* Quî fit itaque, ut hic pugnantia dicat? Non pugnantia dicit, absit, Hæc enim cum iis quidem quæ scripserat, pugnabant: cum iis autem, quæ in animo habebat, minime pugnabant. Ideo non hic dixit, Scripsi me per vos in Macedoniam transiturum, sed, *volebam.* Nam etiamsi non ita scripserim, inquit, tamen studebam ac cupiebam prius quoque ad vos proficisci: tantumque abest, ut serius, quam promiseram, ad vos me conferrem, ut ipsam quoque pollicitationem antevertere cuperem. *Ut secundam gratiam haberetis.* Quid est, *secundam?* Duplicem: alteram nempe per literas, alteram per præsentiam. Per gratiam porro hoc loco lætitiam intelligit. *Et per vos transire in Macedoniam, & rursus a Macedonia transire ad vos, & a vobis deduci in Judæam.* 17. *Cum ergo hoc vellem numquid levitate usus sum?*

3. Hic jam recta & aperte cunctationis absentiæque crimen a se propulsat. Quod enim ait, hanc sententiam habet: Volebam venire ad vos. Cur ergo non veni? An quod levitate & inconstantia laborarem? Hoc enim significat istud, *Numquid levitate usus sum?* minime. Quid igitur causæ est? *Quoniam*

A ὥστε εἰ καὶ θλιβόμεθα νῦν, οὐ μικρὰν καὶ ταύτην ἔχομεν παραμυθίαν· νῦν μὲν τὴν ἀπὸ τοῦ συνειδότος, τότε δὲ καὶ τὴν ἀπὸ τῆς ἐκλάμψεως αὐτῆς. νῦν μὲν γὰρ τὸ συνειδὸς ἡμῶν οἶδεν ὅτι χάριτι θεοῦ πάντα ποιοῦμεν, ὡς καὶ ὑμεῖς ἴστε, καὶ εἴσεσθε· τότε δὲ καὶ πάντες μαθήσονται ἄνθρωποι καὶ τὰ ἡμέτερα καὶ τὰ ὑμῶν, καὶ ὄψονται δι' ἀλλήλων ἡμᾶς δοξαζομένους. ἵνα γὰρ μὴ δόξῃ μόνος αὐτὸς εἶναι λαμπρὸς ἀπὸ τῆς καυχήσεως, καὶ αὐτοῖς δίδωσιν αἰτίαν τοῦ καυχήματος, καὶ ἀπάγει τῶν παρόντων λυπη-
B ρῶν. καὶ ὅπερ ἐπὶ τῆς παρακλήσεως ἐποίησεν εἰπὼν, ὅτι δι' ὑμᾶς παρακαλούμεθα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, δι' ὑμᾶς καυχώμεθα λέγων, ὥσπερ καὶ ὑμεῖς δι' ἡμᾶς, πανταχοῦ κοινωνοὺς αὐτοὺς ποιῶν ἁπάντων, τῆς παρακλήσεως, τῶν παθημάτων, τῆς σωτηρίας τῆς αὐτοῦ. καὶ γὰρ τὴν σωτηρίαν ταύτην ταῖς εὐχαῖς αὐτῶν λογίζεται. συνυπουργούντων γὰρ ὑμῶν τῇ δεήσει, φησὶν, ἐῤῥύσατο ἡμᾶς ὁ θεός. οὕτω δὴ καὶ τὰ καυχήματα κοινὰ τίθησιν. ὥσπερ γὰρ ἐκεῖ φησιν, Εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως· οὕτω καὶ ἐνταῦθα, καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν.
C Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρότερον πρὸς ὑμᾶς ἐλθεῖν. ποίᾳ πεποιθήσει; τῷ σφόδρα θαῤῥεῖν ὑμῖν, τῷ καυχᾶσθαι ἐφ' ὑμῖν, τῷ καύχημα ὑμῶν εἶναι, τῷ σφόδρα ὑμᾶς ἀγαπᾷν, τῷ μηδὲν ἑαυτῷ συνειδέναι πονηρὸν, τῷ πεποιθέναι ὅτι πάντα πνευματικὰ παρ' ἡμῖν, καὶ ὑμᾶς τούτων μάρτυρας ἔχειν. ἐβουλόμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν. καὶ μὴν τοὐναντίον ἐπηγγείλατο ἐν τῇ προτέρᾳ οὕτω, λέγων· ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι. πῶς οὖν ἐνταῦθα τἀναντία
D φησίν; οὐ τὰ ἐναντία φησὶν, ἄπαγε. ταῦτα γὰρ ἐναντία μέν ἐστιν οἷς ἔγραψεν, οὐκ ἐναντία δὲ οἷς ἐβούλετο. διὸ καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι ἔγραψα δι' ὑμῶν ἀπελθεῖν εἰς Μακεδονίαν, ἀλλ', ἐβουλόμην. εἰ γὰρ καὶ οὐχ οὕτως ἔγραψα, φησιν, ἀλλ' ὅμως ἐσπούδαζον, καὶ ἐβουλόμην, καὶ [a] πρὸ τούτου ἐλθεῖν πρὸς ὑμᾶς· τοσοῦτον ἀπέχον τοῦ βουληθῆναι ὑστερῆσαι τῆς ὑποσχέσεως, ὅτι καὶ φθάσαι αὐτὴν ἠθέλησα. ἵνα δευτέραν χάριν ἔχητε. τί ἐστι, δευτέραν; ἵνα διπλῆν χάριν ἔχητε, καὶ τὴν διὰ τῶν γραμμάτων, καὶ τὴν διὰ τῆς πα-
E ρουσίας. χάριν δὲ ἐνταῦθα, χαρὰν λέγει. Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. τοῦτο οὖν βουλόμενος, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην;

Ἐνταῦθα λοιπὸν ἐξ εὐθείας ἀποδύεται τὸ ἔγκλημα τὸ ἐκ τῆς μελλήσεως καὶ τῆς ἀπουσίας. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· ἐβουλόμην ἐλθεῖν πρὸς ὑμᾶς· τίνος οὖν ἕνεκεν οὐκ ἦλθον; ἆρα ὡς κοῦφος καὶ εὐρίπιστος; τοῦτο γάρ ἐστι, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; οὐδαμῶς· ἀλλὰ διὰ τί;

[a] πρὸ τούτου, sic mss. Editi vero, περὶ τοῦ male.

ὅτι ἃ βουλεύομαι, οὐ κατὰ σάρκα βουλεύομαι. τί ἐστιν, οὐ κατὰ σάρκα; οὐ σαρκικῶς βουλεύομαι. ἵνα ᾖ παρ' ἐμοὶ τὸ, ναὶ ναὶ, καὶ τὸ, οὒ οὔ. ἀλλ' ἔτι καὶ τοῦτο ἀσαφές. τί οὖν ἐστιν ὅ φησιν; ὁ σαρκικὸς ἄνθρωπος, τουτέστιν, ὁ τοῖς παροῦσι προσηλωμένος, καὶ ἐν τούτοις διαπαντὸς ὢν, καὶ τῆς τοῦ πνεύματος ἐνεργείας ἐκτὸς τυγχάνων, πανταχοῦ ἀπιέναι δύναται, καὶ πλανᾶσθαι ὅπου βούλεται, ὁ δὲ ὑπηρέτης τοῦ πνεύματος, καὶ ὑπ' ἐκείνου ἀγόμενος καὶ περιαγόμενος, οὐ δύναται κύριος εἶναι τῆς ἑαυτοῦ γνώμης πανταχοῦ, τῆς ἐκεῖθεν ἐξουσίας ἐξαρτήσας αὐτήν· ἀλλὰ τοιοῦτον ὑπομένει, οἷ' ἂν εἰ δοῦλος εὐδοκιμῶν, καὶ πανταχοῦ περιελκόμενος ὑπὸ τῶν δεσποτικῶν ἐπιταγμάτων, καὶ οὐκ ἔχων ἐξουσίαν ἑαυτοῦ, οὐδὲ ἀναπνεῦσαι δυνάμενος οὐδὲ μικρὸν, ἐπαγγέλλοιτό τινα τοῖς συνδούλοις, εἶτα τῷ δεσπότῃ τἀναντία δοκοῦντα, μὴ ἀνύοι τὰ ἀπηγγελμένα. τοῦτο οὖν φησιν, ὅτι οὐ κατὰ σάρκα βουλεύομαι, καὶ οὐκ εἰμὶ τῆς τοῦ πνεύματος ἐκτὸς κυβερνήσεως, οὐδὲ ἐξουσίαν ἔχω βαδίζειν ὅπου βούλομαι. καὶ γὰρ ὑπόκειμαι δεσποτείᾳ τῇ τοῦ παρακλήτου καὶ ἐπιτάγμασι, καὶ ταῖς ἐκείνου ψήφοις ἄγομαι καὶ περιάγομαι. διὰ τοῦτο οὐκ ἠδυνήθην ἐλθεῖν· οὐ γὰρ ἔδοξεν τῷ πνεύματι· ὃ καὶ ἐν ταῖς πράξεσι πολλαχοῦ γέγονεν. ἀλλαχοῦ γὰρ παρῃρημένον ἐλθεῖν, τὸ πνεῦμα ἀλλαχοῦ βαδίζειν ἐκέλευεν. ὥστε οὐ τῆς ἐμῆς ἐλαφρίας, τουτέστι, κουφότητος, τὸ μὴ ἐλθεῖν· ἀλλὰ τὸ τοῦ πνεύματος, ὑποκείμενον ἐκείνῳ πείθεσθαι. εἶδες πάλιν αὐτοῦ τὸ συνῆθες θεώρημα; ἀφ' ὧν ἐνόμιζον αὐτὸν δεικνύναι σαρκικῶς βουλευόμενον, ἐκ τοῦ μὴ πληρῶσαι τὴν ὑπόσχεσιν, ἐκ τούτου δείκνυσι μάλιστα πνευματικῶς βεβουλευμένον, καὶ τοὐναντίον σαρκικῶς βουλεύεσθαι. τί οὖν φησιν; οὐ μετὰ τοῦ πνεύματος ἐπηγγείλατο; οὐδαμῶς. καὶ γὰρ καὶ ἤδη εἶπον, ὅτι οὐ πάντα προῄδει Παῦλος τὰ μέλλοντα, καὶ συμφέροντα. διὰ δὴ τοῦτο, ἐν μὲν τῇ προτέρᾳ φησὶν, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι, δεδοικὼς αὐτὸ τοῦτο, μὴ εἰς τὴν Ἰουδαίαν εἰπὼν, ἀναγκασθῇ ἑτέρωθι ἀπελθεῖν. ἐνταῦθα δὲ ἐπειδὴ ἀπέτυχε, λέγει αὐτὸ, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. ὃ μὲν γὰρ ἦν ἀγάπης, τίθησι, τὸ ἐλθεῖν πρὸς αὐτούς· ὃ δὲ οὐδὲν πρὸς αὐτοὺς ἦν, τὸ ἀπελθεῖν εἰς τὴν Ἰουδαίαν, οὐκέτι καὶ τοῦτο προστίθησι διωρισμένως. ἐπειδὴ δὲ ἐλήλεγκται, ἐνταῦθα θαῤῥῶν λέγει λοιπὸν, ὅτι εἰς τὴν Ἰουδαίαν. καὶ τοῦτο δὲ συμφερόντως ἐγίνετο, ἵνα μή τις αὐτῶν μείζονα περὶ αὐτὸν τῆς ἀξίας ὑπόνοιαν ἔχῃ. εἰ γὰρ καὶ τούτων ὄντων θύειν αὐτοῖς ἐβούλοντο ταύρους, ποῦ οὐκ ἂν ἐξώκειλαν ἀσεβείας, εἰ μὴ πολλὰ δείγματα τῆς ἀνθρωπίνης ἀσθενείας παρείχοντο; καὶ τί θαυμάζεις, εἰ τὰ μέλλοντα πάντα οὐκ ᾔδει, ὅπου καὶ ἐν εὐχαῖς πολλαχοῦ τὸ συμφέρον ἀγνοεῖ; τὸ γὰρ, τί προσευξόμεθα, φησὶ, καθὸ δεῖ, οὐκ οἴδαμεν. καὶ οὐ λέγει τοῦτο μόνον,

*quæ cogito, non secundum carnem cogito.* Quid est, non secundum carnem cogito? Non carnali modo. *Ut sit apud me, est est, non non.* At id quoque obscurum est. Quidnam igitur his verbis sibi vult? Carnalis homo, hoc est, qui præsentibus rebus affixus est, ac perpetuo in iis versatur, a Spiritus operatione alienus est, quaslibet in oras proficisci & vagari pro lubito potest. At Spiritus minister, quique ab eo afflatur ac circumducitur, non potest ubique pro arbitrio suo se gerere, quippe quem Spiritus auctoritati ita addixerit, ut ex ipsius nutu pendeat: verum perinde illi accidit, ut si probus quispiam servus, qui ob herilia imperia quoquoversum distrahitur, nec sui juris atque arbitrii est, ac ne tantillum quidem respirandi facultatem habet, conservis suis aliqua promittat, ac deinde, quia domino aliter placeat, minime præstet quæ promiserat. Hoc igitur ait, Non secundum carnem consulto, neque a Spiritus gubernatione liber atque immunis sum, nec mihi, quo libeat, proficisci licet. Nam Paracleti imperio & edictis subjicior, atque ad ipsius calculum agor ac circumagor. Hinc factum est ut venire nequiverim: non enim Spiritui placuit. Id quod etiam in Actuum libro plerisque locis ipsi usu venit. (Act. 16.) Alio enim se conferre constituentem Spiritus alio proficisci jubebat. Quamobrem non meæ levitatis, & inconstantiæ est, inquit, quod non venerim, sed quod Spiritui, cui subjectus sum, parendum esset. Vides rursum consuetam ipsi argumentandi rationem? Unde enim ipsi se probaturos existimabant, eum iis consiliis uti, quæ a carne proficiscerentur, quod nimirum promissis non stetisset; hinc ipse vel maxime se spirituali consilio ductum fuisse ostendit, ac contra carnali modo cogitaturum fuisse, si contrarium fecisset. Quid igitur, dicet aliquis, an non ex Spiritu pollicitus fuerat? Minime vero. Etenim jam a me dictum est, non omnia ea Paulo cognita fuisse quæ futura erant, & conducebant. Ideo in superiore quidem epistola his verbis utitur, *Ut vos me deducatis quocumque proficiscar:* (1. Cor. 16. 6.) hoc videlicet metuens, ne cum in Judæam dixisset, alio abire cogeretur. Hic autem, quoniam hac spe delusus fuerat, istud ait, *Et a vobis deduci in Judæam.* Nam quod caritatis erat, id ponit, hoc est ad eos venire: quod autem eorum nihil intererat, nempe ut in Judæam abiret, hoc non jam diserte addit. Postquam autem convictus est, hic jam fidenter dicit, *In Judæam.* Atque hoc utiliter contingebat, ne quis ipsorum majorem, quam par esset, opinionem de eo haberet. Etenim si, cum hæc etiam ita se haberent, tamen non defuerunt, qui tauros ipsis immolare vellent, quo tandem impietatis non proruissent, nisi multa humanæ imbecillitatis documenta præbuissent? Et cur miraris ea omnia, quæ futura erant, Paulo minime nota fuisse, cum etiam in precibus plerumque quod expediat ignoret. Quid enim oremus, inquit, quemadmodum oportet nescimus. (Rom. 8 26.) Nec vero hoc eo dumtaxat ait, ut mode-

stiæ opinionem colligat: sed etiam ostendit, ubinam, quid in precibus utile esset, ignorarit. Ubinam autem ignoravit? Nempe cum precibus a Deo contendebat, ut e tentationibus eriperetur, his verbis utens, *Datus est mihi stimulus carnis, angelus Satanæ qui me colaphizet. Propter quod ter Dominum rogavi: & dixit mihi; Sufficit tibi gratia mea; Virtus enim mea in infirmitate perficitur.* Vides quomodo quid ex usu esset, postulare nescierit, ac propterea non acceperit, cum tamen sæpe postulasset? 18. *Fidelis autem Deus quia sermo noster, qui fuit ad vos, non fuit, Est & Non.* Exorientem objectionem præclare discutit. Dicere enim potuissent: Si cum ipse te ad nos venturum receperis, id tamen facere distulisti, atque ita non est apud te, Est est, Non non, verum quæ nunc dicis, postea subvertis, ut in tua ad nos profectione fecisti; væ nobis, si hoc quoque in evangelii prædicatione contingit. Ut ergo hæc nec cogitarent, nec perturbarent, ait, *Fidelis Deus, quia sermo noster ad vos non fuit Est & Non.* Hoc enim, inquit, in prædicatione non contigit, sed in viis ac peregrinationibus dumtaxat. Nam in prædicatione, firma atque immota manent quæ diximus. Per sermonem enim hoc loco prædicationem significat. Postea irrefutabile argumentum hujus rei affert, ad Deum hoc totum referens. Quod autem ait, hunc sensum habet: Adventus mei pollicitatio, mea erat, atque ego mea sponte id promiseram: at prædicatio non mea erat, nec humana; sed Dei. Quod autem Dei est, in id mendacium cadere nequit. Unde etiam dicit, *Fidelis autem Deus.* Hoc est, verax. Quamobrem nihil est, cur ea, quæ illius sunt, vobis suspecta sint: nihil enim in ipsis humanum est. Ac posteaquam sermonem dixit, de quo sermone loquatur, deinceps exponit.

2. Cor. 12. 7.

4. Quisnam igitur hic sermo est? 19. *Dei enim Filius, qui in vobis per nos prædicatus est, per me & Silvanum, & Timotheum, non fuit Est & Non.* Ob eam enim causam magistrorum chorum in medium adducit, hinc quoque testimonio suo fidem astruens, non per auditores tantum, sed etiam per magistros. Atqui discipuli illi erant; sed modestiæ studio eos in magistrorum album refert. Quid autem est, Non fuit Est & Non? Non ea subverti, inquit, quæ prius inter concionandum dixi: Non modo hoc, modo illud apud vos disserui. Hoc enim non fidei fuerit, sed animi aberrantis. *Sed Est in illo fuit.* Hoc est, immotus ac firmus sermo manet. 20. *Quotquot enim promissiones Dei sunt, in illo Est, & in ipso Amen, Deo ad gloriam per nos.* Quid est, *Quotquot promissiones Dei?* Prædicatio evangelica multa promittebat: atque ipsi multa hæc promittebant ac prædicabant. Nam & de resurrectione verba fecerant, & de assumtione & de incorruptione, & de magnis præmiis, atque arcanis illis bonis. Has pollicitationes firmas ac stabiles manere ait. Et non fuit Est & Non in illis, hoc est, non quandoque vera, quæ dixi, quandoque fal-

[a] ἵνα δόξῃ μετριάζειν, ἀλλὰ καὶ δείκνυσι, πού, τὸ συμφέρον ἐν εὐχαῖς ἠγνόησε. πού τοίνυν ἠγνόησεν; ἡνίκα παρεκάλει τῶν πειρασμῶν ἀπαλλαγῆναι, λέγων, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατὰν, ἵνα με κολαφίζῃ· ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. εἶδες πῶς οὐκ ἔγνω τὰ συμφέροντα αἰτῆσαι; διὸ οὐδὲ ἔλαβε, καὶ πολλάκις αἰτήσας. πιστὸς δὲ ὁ θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ. καλῶς ἀντίθεσιν ἀνακύπτουσαν καταλύει. εἰ γὰρ ὑποσχόμενος, φησὶ, παραγενέσθαι ὑπερέθου, καὶ οὐκ ἔστι παρὰ σοὶ ναὶ ναὶ, καὶ οὔ οὔ, ἀλλὰ ἃ νῦν λέγεις ἀνατρέπεις μετὰ ταῦτα, ὥσπερ ἐπὶ τῆς σῆς ἐπιδημίας ἐποίησας· οὐαὶ ἡμῖν, μήποτε καὶ ἐν τῷ κηρύγματι τοῦτο γέγονεν. ἵν' οὖν μὴ ταῦτα ἐννοῶσι, μηδὲ θορυβῶνται, φησί· πιστὸς δὲ ὁ θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ. ἐν γὰρ τῷ κηρύγματι, φησὶ, τοῦτο οὐκ ἐγένετο, ἀλλ' ἐν ταῖς ὁδοῖς καὶ ταῖς ἀποδημίαις μόνον· ἐν δὲ τῷ κηρύγματι μένει βέβαια καὶ ἀκίνητα ἅπερ εἰρήκαμεν. λόγον γὰρ ἐνταῦθα τὸ κήρυγμα καλεῖ. εἶτα ἀπόδειξιν ἀναντίρρητον παρέχει τούτου, εἰς τὸν θεὸν τὸ πᾶν ἀνάγων. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ ὑπόσχεσις τῆς παρουσίας, ἐμὴ ἦν, καὶ ἐγὼ οἴκοθεν ἐπηγγειλάμην ἐκεῖνο· τὸ δὲ κήρυγμα, οὐκ ἐμὸν, οὐδὲ ἀνθρώπινον, ἀλλὰ τοῦ θεοῦ· τὰ δὲ τοῦ θεοῦ ἀμήχανον διαψεύσασθαι. διὸ καὶ ἔφη, πιστὸς δὲ ὁ θεός· τουτέστιν, ἀληθής. μὴ τοίνυν ὑποπτεύετε τὰ ἐκείνου· οὐδὲν γὰρ ἐν αὐτοῖς ἀνθρώπινον. καὶ ἐπειδὴ εἶπε λόγον, ἐπάγει λοιπὸν δεικνὺς ποῖον λόγον φησί.

Ποῖος οὖν λόγος οὗτός ἐστιν; ὁ γὰρ τοῦ θεοῦ υἱὸς, φησὶν, ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ. διὰ γὰρ τοῦτο καὶ τὸν χορὸν εἰσάγει τῶν διδασκάλων εἰς μέσον, ἀξιόπιστον κἀντεῦθεν τὴν μαρτυρίαν ποιῶν, οὐ διὰ τῶν ἀκουσάντων μόνον, ἀλλὰ καὶ διὰ τῶν διδαξάντων. καίτοι μαθηταὶ ἦσαν· ἀλλὰ μετριάζων, ἐν τάξει διδασκάλων αὐτοὺς ἀριθμεῖ. τί δέ ἐστιν, οὐκ ἐγένετο ναὶ καὶ οὔ; οὐκ ἀνέτρεψα, φησὶν, ἃ πρότερον εἶπον ἐν τῷ κηρύγματι· οὐ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο διελέχθην ὑμῖν. τοῦτο γὰρ οὐκέτι πίστεως, ἀλλὰ πεπλανημένης διανοίας ἐστίν. ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε· τουτέστιν, ἀπαρασάλευτος καὶ βέβαιος ὁ λόγος μένει. ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναὶ, καὶ ἐν αὐτῷ τὸ ἀμὴν, τῷ θεῷ πρὸς δόξαν δι' ἡμῶν. τί ἐστιν, ὅσαι ἐπαγγελίαι θεοῦ; πολλὰ τὸ κήρυγμα ὑπισχνεῖτο, καὶ αὐτοὶ τὰ πολλὰ ταῦτα ἐπηγγέλλοντο καὶ ἐκήρυττον. καὶ γὰρ περὶ ἀναστάσεως διελέχθησαν, καὶ περὶ ἀναλήψεως, καὶ περὶ ἀφθαρσίας, καὶ περὶ τῶν μεγάλων ἐπάθλων καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων. ταύτας οὖν τὰς ἐπαγγελίας μένειν ἀκινήτους φησί. καὶ οὐκ ἐγένετο ναὶ καὶ οὒ ἐν αὐταῖς· τουτέστιν, οὐ ποτὲ μὲν ἀληθῆ τὰ εἰρημένα,

[a] ἵνα δόξῃ. Sic legendum, & ita legit interpres Latinus. Editi male, ἵνα μὴ δόξῃ.

ποτὲ δὲ ψευδῆ, καθάπερ ἡ ἐπιδημία ἡ ἐμή, ἀλλ' ἀεὶ ἀληθῆ. καὶ πρῶτον μὲν ὑπὲρ τῶν τῆς πίστεως δογμάτων καὶ τοῦ περὶ Χριστοῦ λόγου ἀγωνίζεται λέγων, ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐγένετο ναὶ καὶ οὔ. ἔπειτα ὑπὲρ τῶν ὑποσχέσεων· ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί. εἰ δὲ ἃ ὑπέσχετο βέβαια, καὶ δώσει πάντως· πολλῷ μᾶλλον αὐτός, καὶ ὁ περὶ αὐτοῦ λόγος ἐστὶ βέβαιος, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι νῦν μέν ἐστι, νῦν δὲ οὐκ ἔστιν, ἀλλ' ἀεί ἐστι, καὶ ὁ αὐτός ἐστι. τί δέ ἐστιν, ἐν αὐτῷ τὸ ναί, καὶ τὸ ἀμήν; τὸ πάντως ἐσόμενον δηλοῖ. αἱ γὰρ ἐπαγγελίαι, ἐν αὐτῷ, οὐκ ἐν ἀνθρώπῳ, τὸ γενέσθαι ἔχουσι καὶ πληρωθῆναι. μὴ τοίνυν δείσῃς. οὐ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ὑποπτεύσῃς, ἀλλὰ θεός ἐστιν, ὁ καὶ εἰπὼν καὶ πληρῶν. τῷ θεῷ πρὸς δόξαν δι' ἡμῶν· τί ἐστι, πρὸς δόξαν δι' ἡμῶν; πληροῖ αὐτὰς δι' ἡμῶν· τουτέστι, διὰ τῶν εἰς ἡμᾶς εὐεργεσιῶν πρὸς δόξαν αὐτοῦ· τοῦτο γάρ ἐστι τῷ θεῷ πρὸς δόξαν. εἰ δὲ πρὸς δόξαν τοῦ θεοῦ, πάντως ἔσται. τῆς γὰρ αὐτοῦ δόξης οὐ καταφρονήσει, εἰ καὶ τῆς ἡμετέρας κατεφρόνει σωτηρίας· καὶ διὰ τὸ σφόδρα φιλάνθρωπος εἶναι, καὶ πρὸς τοῦτο ἡμῶν ἡ σωτηρία συνδέδεται τῇ αὐτοῦ δόξῃ τῇ ἐπὶ τούτοις. ὥστε εἰ πρὸς δόξαν αὐτοῦ εἰσιν αἱ ἐπαγγελίαι, πάντως καὶ ἡ σωτηρία ἡμῶν ἕψεται. ὁ καὶ ἐν τῇ πρὸς Ἐφεσίους συνεχῶς περιστρέφει λέγων, εἰς περιποίησιν τῆς δόξης αὐτοῦ. καὶ πανταχοῦ τοῦτο τίθησι, δεικνὺς τὸ ἀναγκαῖον τῆς ἐκβάσεως· ὁ καὶ ἐνταῦθά φησιν, ὅτι αἱ ἐπαγγελίαι αὐτοῦ οὐ ψεύδονται. οὐ γὰρ ἡμᾶς μόνον σώζουσιν, ἀλλὰ καὶ αὐτὸν δοξάζουσι. μὴ τοίνυν τοῦτο ἐννοήσῃς, ὅτι δι' ἡμῶν ἐπηγγέλθησαν, καὶ διστάσῃς. οὐ γὰρ δι' ἡμῶν πληροῦνται, ἀλλὰ δι' αὐτοῦ· καὶ αἱ ἐπαγγελίαι δὲ δι' αὐτοῦ. οὐ γὰρ τὰ ἡμέτερα, ἀλλὰ τὰ αὐτοῦ πρὸς ὑμᾶς εἰρήκαμεν. ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστόν, καὶ χρίσας ἡμᾶς, θεός· καὶ σφραγισάμενος, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. πάλιν ἀπὸ τῶν παρελθόντων τὰ μέλλοντα βεβαιοῦται. εἰ γὰρ αὐτός ἐστιν ὁ βεβαιῶν ἡμᾶς εἰς Χριστόν, τουτέστιν, ὁ μὴ ἐῶν ἡμᾶς παρασαλεύεσθαι ἐκ τῆς πίστεως τῆς εἰς τὸν Χριστόν, καὶ αὐτὸς ὁ χρίσας ἡμᾶς, καὶ δοὺς τὸ πνεῦμα ἐν ταῖς καρδίαις ἡμῶν· πῶς τὰ μέλλοντα οὐ δώσει; εἰ γὰρ τὰς ἀρχάς, καὶ τὰς ὑποθέσεις ἔδωκε, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγήν, οἷον τὴν ἀληθῆ περὶ αὐτοῦ γνῶσιν, τὴν τοῦ πνεύματος μετάληψιν, πῶς τὰ ἐκ τούτων οὐ δώσει; εἰ γὰρ ἐκεῖνα διὰ ταῦτα δίδονται· πολλῷ μᾶλλον ὁ ταῦτα δούς, καὶ ἐκεῖνα παρέξει· καὶ εἰ ταῦτα ἐχθροῖς οὖσιν ἔδωκε, πολλῷ μᾶλλον ἐκεῖνα φίλοις γενομένοις χαριεῖται. διὰ τοῦτο οὐδὲ πνεῦμα εἶπεν ἁπλῶς, ἀλλ' ἀρραβῶνα ὠνόμασεν· ἵνα ἀπὸ τούτου καὶ περὶ τοῦ παντὸς θαρρῇς. οὐ γάρ, εἰ μὴ ἔμελλε τὸ πᾶν διδόναι, εἵλετο ἂν τὸν ἀρραβῶνα

A ſa fuerunt, ut meus ad vos acceſſus: ſed ſemper vera. Ac primum quidem pro fidei dogmatibus, ſermoneque de Chriſto contendit dicens: Sermo meus, & prædicatio mea non fuit Eſt, & Non: deinde pro ipſius pollicitationibus pugnat. Quotquot enim, inquit, promiſſiones Dei ſunt, in illo, Eſt. Quod ſi firma ac certa ſunt quæ promiſit, nec dubium eſt, quin ea daturus ſit, multo utique magis ipſe, ac ſermo qui de eo habetur, firmus ac certus eſt; neque iſtud dici poteſt, quod nunc quidem ſit, nunc autem non ſit: ſed ſemper eſt, atque idem eſt. Quid eſt autem, *In illo Eſt, & Amen?* His verbis, id quod omnino futurum eſt, ſignificat. Pro- (Promiſſa Dei quam firma.)
B miſſiones enim in ipſo ac non in homine, hoc habent, ut contingant & expleantur. Quare nihil eſt quod metuas. Non enim homo eſt, ut ſuſpectum eum habere poſſis: ſed Deus, qui & dixit, & explet. *Deo ad gloriam per nos.* Quid eſt, *Ad gloriam per nos?* Eas per nos explet, hoc eſt, per collata in nos beneficia ad gloriam Dei. Hoc enim in Dei gloriam cedit. Si autem ad Dei gloriam, quin fiat non eſt dubitandum: tum quia, etiamſi ſalutem noſtram contemtui haberet, non tamen gloriam ſuam contemturus eſt: tum quia ſingularem erga homines benevolentiam gerit. Adde quod noſtra ſalus, cum
C gloria ea, quæ hinc ad ipſum redit, conjuncta eſt. Quo fit, ut cum promiſſiones ad ipſius gloriam pertineant, dubium eſſe non poſſit, quin ſalus quoque noſtra conſequatur. Quod etiam in epiſtola ad Epheſios crebro inculcat dicens, In acquiſitionem gloriæ ipſius. (Epheſ. 1. 14.) Atque ubique iſtud ponit, ut oſtendat id neceſſario eventurum. Quod etiam hoc loco ait, nempe quod ipſius pollicitationes minime fallant. Neque enim nobis dumtaxat ſalutem, ſed ipſi quoque gloriam afferunt. Ne ergo illud tecum reputes, quod per nos iſta promiſſa ſint; nec propterea de
D iis dubites. Neque enim per nos, ſed per eum explentur: promiſſiones enim per ipſum ſunt; non enim noſtra, ſed quæ Dei ſunt, vobis diximus. 21. *Qui autem confirmat nos vobiſcum in Chriſto, & qui unxit nos, Deus: 22. Qui & ſignavit vos, & dedit pignus ſpiritus in cordibus noſtris.* Rurſum per præterita fidem futuris conciliat. Nam ſi ipſe eſt, qui nos in Chriſto confirmat, hoc eſt, qui nos a fide, quæ in Chriſtum eſt, dimoveri non ſinit; atque ipſe etiam eſt, qui nos unxit, ſpiritumque in cordibus noſtris dedit,
E quomodo non futura quoque daturus eſt? Nam cum principia, & materiam, ac radicem & fontem, hoc eſt, veram ipſius cognitionem, ac Spiritus participationem largitus ſit, quî fieri poteſt, ut non ea etiam largiatur, quæ ex his oriuntur? Nam cum illa horum cauſa donentur, multo magis is, qui hæc dedit, illa quoque præbebit. Et cum hæc adhuc hoſtibus dederit, multo magis illa amicis donabit. Ac proinde ne Spiritum quidem ſimpliciter dixit, ſed pignus nominavit: ut per hoc de toto fiduciam concipias. Neque enim ſi totum daturus non eſſet, pignus præbere, ac fruſtra & temere per-

dere in animum induxisset. Ac vide, quæso, A
Pauli probitatem. Quid enim, inquit, di-
cere attinet, promissionum veritatem in no-
bis minime sitam esse? Imo hoc ipsum,
quod vos firmi atque immobiles statis, non
in nobis est: sed Dei beneficium est. Qui
enim confirmat vos, inquit, Deus est. Non
ergo nos sumus, qui vos fulcimus. Nam ipsi
quoque confirmantis ope indigemus. Quo-
circa non est quod quisquam prædicationem
in nobis periclitari existimet. Ipse totum hoc
in se recepit: ipsi totius negotii cura est.

5. Quid autem est, *Qui unxit, & signa-
vit?* Hoc est, qui spiritum dedit, per quem B
utrumque horum effecit, nimirum simul &
prophetas, & sacerdotes, & reges efficiens.
Siquidem hæc hominum genera olim unge-
bantur. At nos, non unam, sed tres istas
dignitates præstantiore conditione obtine-
mus. Nam & regno potituri sumus, &, cum
victimæ loco corpora nostra offerimus, sa-
Rom. 12. 1. cerdotes efficimur; *Exhibete* enim, inquit,
*membra vestra hostiam viventem, placentem
Deo;* atque insuper prophetæ constituimur.
1. Cor. 2. Quæ enim oculus non vidit, nec auris audi-
vit, ea nobis patefacta sunt. Quamquam
etiam alia ratione reges efficimur, si impro- C
bis cogitationibus imperare voluerimus. Nam
quod is, qui talis sit regnet, & quidem ma-
gis, quam qui diademate cinctus est, liqui-
do jam vobis demonstrabo. Multos ille exer-
citus habet: at nos quoque plures illis cogi-
tationes habemus. Neque enim infinita co-
gitationum, quæ in nobis sunt, multitudo
enumerari potest. Nec vero multitudinem
dumtaxat intueri licet, sed etiam multos in
hac cogitationum copia duces, tribunos,
turmarum præfectos, sagittarios, fundibu-
larios. Quid aliud est, quod regem efficiat?
Vestes-ne? At hic quoque meliori ac præ-
stantiori veste amictus est, quam nec tinea D
exest, nec vetustas conficit. Quin multipli-
cem quoque coronam habet, nempe gloriæ
Psal. 102. 4. & miserationum Dei: Benedic enim, inquit,
anima mea Domino, qui coronat te in mi-
Psal. 8. 6. sericordia & miserationibus: & gloriæ; glo-
ria enim, inquit, & honore coronasti eum;
Psal. 5. 15. & bonæ voluntatis: ut scuto enim, inquit,
bonæ voluntatis coronasti nos; & gratia-
Prov. 1. 9. rum: Coronam enim, inquit, gratiarum
accipies capiti tuo. Vides-ne quam varie tex-
tum quantoque gratius ac venustius sit istud
diadema? Verum altius rursum & accura-
tius horum regum statum expendamus. Il- E
le stipatoribus suis dominatur, & cunctis
imperat, omnesque ipsi parent, & obsequun-
tur. At ego hic majus præstantiusque impe-
rium tibi ostendo. Nam multitudo quidem
par est, aut etiam amplior. Superest autem
ut subjectionem ipsam consideremus. Ac ne
mihi eos in medium proferas, qui regia di-
gnitate lapsi sunt, atque ab ipsismet satelliti-
bus suis trucidati. Ne, inquam, eos in me-
dium producamus: verum eos conquira-
mus, qui pulcre in utraque parte regnum
administrarunt. Ac tu quidem, quos libue-
Gen. 22. rit, pone: ego autem patriarcham unum
cunctis oppono. Nam cum ipse filium ma-

A παραχεῖν, καὶ ἀπολέσαι εἰκῆ καὶ μάτην. καὶ ὅρα εὐγνωμοσύνην Παύλου. τί γὰρ δεῖ λέγειν, φησίν, ὅτι οὐκ ἐν ἡμῖν ἡ τῶν ἐπαγγελιῶν ἀλήθεια; αὐτὸ τοῦτο τὸ ἑστάναι ἀπεριτρέπτως, καὶ πεπηγέναι ὑμᾶς, οὐκ ἐν ἡμῖν, ἀλλὰ καὶ τοῦτο τοῦ θεοῦ. ὁ γὰρ βεβαιῶν ὑμᾶς, φησι, θεός. οὐκ ἄρα ἡμεῖς ἐσμεν οἱ στηρίζοντες ὑμᾶς· καὶ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ βεβαιοῦντος. ὥστε μηδεὶς ἐν ἡμῖν νομιζέτω κινδυνεύεσθαι τὸ κήρυγμα. αὐτὸς τὸ πᾶν ἀνεδέξατο, αὐτῷ μέλει τοῦ παντός.

B Τί δέ ἐστι, χρίσας, καὶ σφραγισάμενος; τὸ πνεῦμα δούς, δι' οὗ ταῦτα ἀμφότερα ἐποίησεν, ὁμοῦ προφήτας καὶ ἱερεῖς καὶ βασιλέας ἐργαζόμενος. ταῦτα γὰρ τὸ παλαιὸν ἐχρίετο τὰ γένη. ἀλλ' ἡμεῖς οὐχ ἕν, ἀλλὰ τὰ τρία μεθ' ὑπεροχῆς ἔχομεν ἀξιώματα νῦν. καὶ γὰρ βασιλείας μέλλομεν ἀπολαύειν, καὶ ἱερεῖς γινόμεθα προσφέροντες θυσίαν τὰ σώματα ἡμῶν· παραστήσατε γὰρ τὰ μέλη ὑμῶν, θυσίαν ζῶσαν, εὐάρεστον τῷ θεῷ, φησι· καὶ μετὰ τούτων καὶ προφῆται καθιστάμεθα. ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς C οὐκ ἤκουσε, ταῦτα ἐκκεκαλυμμένα ἡμῖν ἐστι. καὶ ἄλλως δὲ βασιλεῖς γινόμεθα, ἐὰν βουληθῶμεν κρατεῖν τῶν ἀτόπων λογισμῶν. ὅτι γὰρ ὁ τοιοῦτος βασιλεύει, καὶ μᾶλλον ἢ ὁ τὸ διάδημα περικείμενος, ἤδη τοῦτο ποιήσω δῆλον ὑμῖν. πολλὰ ἔχει στρατόπεδα ἐκεῖνος, ἀλλὰ καὶ ἡμεῖς τούτων πλείους ἔχομεν λογισμούς. οὐ γάρ ἐστιν ἀριθμῆσαι τὸ ἄπειρον τῶν ἐννοιῶν πλῆθος τῶν ἐν ἡμῖν. οὐ πλῆθος δὲ μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ πολλοὺς ἐν τῷ πλήθει τούτῳ τῶν λογισμῶν καὶ στρατηγούς, καὶ ταξιάρχους, καὶ D λοχαγούς, καὶ τοξότας, καὶ σφενδονίτας. τί ἕτερον ποιεῖ βασιλέα; τὰ ἱμάτια; ἀλλὰ καὶ οὗτος βελτίω περίκειται καὶ ἀμείνω στολήν, ἣν οὔτε σὴς ἐσθίει, οὔτε χρόνος δαπανᾷ· καὶ στέφανον ἔχει ποικίλον, τὸν τῆς δόξης, τὸν τῶν οἰκτιρμῶν τοῦ θεοῦ. εὐλόγει γὰρ ἡ ψυχή μου, φησί, τὸν κύριον, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. καὶ τὸν τῆς δόξης· δόξῃ γὰρ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. καὶ τὸν τῶν χαρίτων· στέφανον γὰρ χαρίτων δέξῃ σῇ κεφαλῇ. εἶδες πολύπλοκον, καὶ χαριέστερον τουτὶ τὸ διάδημα; πλὴν ἀλλ' ἄνωθεν αὐτὰ ἀκριβέστε- E ρον ἐξετάσωμεν πάλιν τὰ τῶν βασιλέων τούτων. ἐκεῖνος κρατεῖ τῶν δορυφόρων, καὶ πᾶσιν ἐπιτάττει, καὶ πάντες ὑπακούουσι, καὶ διακονοῦσιν αὐτῷ· ἀλλ' ἐγὼ δείκνυμι μείζονα ἐνταῦθα τὴν ἀρχήν. τὸ μὲν γὰρ πλῆθος ἴσον, ἢ καὶ πλεῖον· λοιπὸν δὲ περὶ τῆς ὑποταγῆς ἐξετάζειν δεῖ. καὶ μή μοι εἰς μέσον ἀγάγῃς τοὺς ἐκπεσόντας τῆς βασιλείας, καὶ σφαγέντας ὑπ' αὐτῶν τῶν σωματοφυλάκων. μὴ τοίνυν τούτους εἰς μέσον ἄγωμεν, ἀλλὰ τοὺς καλῶς ἐν ἀμφοτέροις τὴν ἑαυτῶν διοικήσαντας βασιλείαν ζητήσωμεν. καὶ σὺ μέν, οὓς βούλει, τίθει· ἐγὼ δέ σοι τὸν πατριάρχην ἀντιτάττω πᾶσιν. ὅτε γὰρ τὸν υἱὸν ἐκελεύετο

ἐκελεύετο σφαγιάσαι, ἐννόησον πόσοι τότε ἐπανέστησαν αὐτῷ λογισμοί. ἀλλ' ὅμως πάντας ὑπέταξε, καὶ πάντες αὐτὸν ἔτρεμον μᾶλλον, ἢ βασιλέα οἱ δορυφόροι. καὶ βλέμματι μόνῳ πάντας κατέστελλε, καὶ οὐδὲ γρύξαι ἐτόλμα τούτων οὐδεὶς, ἀλλ' ὑπέκυπτον, καὶ ὡς βασιλεῖ παρεχώρουν ἅπαντες, καίτοιγε ὀξύτατοι ὄντες καὶ σφόδρα ἀπότομοι. οὐδὲ γὰρ οὕτως εἰσὶν αἱ τῶν δοράτων αἰχμαὶ φοβεραὶ, ὀρθαὶ ὑπὸ πολλῶν ἀνιστάμεναι στρατιωτῶν, ὡς ἐκεῖνοί ποτε ἦσαν φοβεροὶ οἱ λογισμοί. οὐ δοράτων ἦν χαλεπωτέρα ἡ τῆς φύσεως συμπάθεια; διὸ καὶ αἰχμῆς ἠκονημένης μᾶλλον τέμνειν ἠδύναντο τὴν ἐκείνου ψυχήν. οὐ γὰρ οὕτως ὀξὺ δόρυ γένοιτ' ἄν ποτε, ὡς ἐκείνων τῶν λογισμῶν τὰ κέντρα κάτωθεν ἀπὸ τῶν σπλάγχνων ὀξυνόμενά τε καὶ ὀρθούμενα διέπειρε τοῦ δικαίου τὴν διάνοιαν. ἐνταῦθα μὲν γὰρ καὶ χρόνου δεῖ, καὶ βουλῆς, καὶ πληγῆς, καὶ ὀδύνης, καὶ τότε ὁ θάνατος ἔσεται· ἐκεῖ δὲ οὐδενὸς τούτων ἔδει· οὕτω ταχύτερα καὶ δριμύτερα ἦν τὰ τραύματα. ἀλλ' ὅμως τοσούτων τότε ὁπλισθέντων κατ' αὐτοῦ λογισμῶν, πολλὴ ἦν ἡσυχία, καὶ πάντες εἱστήκεσαν εὐτάκτως, κοσμοῦντες μᾶλλον αὐτὸν, ἢ φοβοῦντες. ὅρα γοῦν τὴν μάχαιραν αὐτὸν ἐκτείνοντα, καὶ ὅσους βούλει τίθει βασιλεῖς εἰς τὸ μέσον, Αὐγούστους, Καίσαρας. ἀλλ' οὐδὲν τοσοῦτον ἐρεῖς, οὐδὲ ἕξεις σχῆμα δεῖξαι τοιοῦτον, οὕτω μεγαλοφυὲς καὶ τῶν οὐρανῶν ἄξιον. τὸ γὰρ τυραννίδος δυνατωτάτης ἔστησε τρόπαιον ὁ δίκαιος τότε ἐκεῖνος. οὐδὲν γὰρ φύσεως τυραννικώτερον. κἂν μυρίους τιθῇς τυραννοκτόνους, οὐδένα τοιοῦτον ἐπιδείξῃς ἡμῖν. καὶ ἀγγέλου τὸ τρόπαιον ἦν, οὐκ ἀνθρώπου τότε. σκόπει δέ· ἡ φύσις ἔρριπτο χαμαὶ μετὰ τῶν ὅπλων τῶν αὐτῆς, μετὰ τοῦ στρατοπέδου παντὸς, καὶ αὐτὸς εἱστήκει τὴν χεῖρα ἀνατείνας, οὐχὶ στέφανον ἔχουσαν, ἀλλὰ μάχαιραν στεφάνου παντὸς λαμπροτέραν, καὶ ὁ τῶν ἀγγέλων ἐπεκρότει δῆμος, καὶ ὁ θεὸς ἐκ τῶν οὐρανῶν ἀνεκήρυττεν. ἐπειδὴ γὰρ ἐν οὐρανοῖς ἐπολιτεύετο, ἐκεῖθεν ἐδέχετο καὶ τὸ κήρυγμα. τί τούτου λαμπρότερον; μᾶλλον δὲ, τί τούτου γένοιτ' ἂν ἴσον τοῦ τροπαίου; εἰ γὰρ, ἀθλητοῦ νικήσαντος, μὴ κῆρυξ κάτωθεν, ἀλλ' ἄνωθεν αὐτὸς ὁ βασιλεὺς ἀναστὰς ἀνηγόρευσε τὸν Ὀλυμπιονίκην, ἆρ' οὐχὶ τοῦτο τῶν στεφάνων αὐτῷ λαμπρότερον ἔδοξεν εἶναι, καὶ τὸ θέατρον ἅπαν ἐπέστρεψεν ἄν; ὅταν οὖν μὴ ἄνθρωπος βασιλεὺς, ἀλλ' αὐτὸς ὁ θεὸς, οὐκ ἐν θεάτρῳ τούτῳ, ἀλλ' ἐν θεάτρῳ τῷ τῆς οἰκουμένης, ἐν τῷ δήμῳ τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, αὐτὸν ἀνακηρύττῃ λαμπρᾷ τῇ φωνῇ βοῶν ἄνωθεν, ποῦ θήσομεν τὸν ἅγιον τοῦτον, εἰπέ μοι; εἰ δὲ δοκεῖ, καὶ αὐτῆς ἀκουσώμεθα τῆς φωνῆς. τίς οὖν ἡ φωνή; Ἀβραὰμ, Ἀβραὰμ, μὴ ἐπενέγκῃς τὴν χεῖρά σου ἐπὶ Ἰσαὰκ, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν θεὸν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ.



A mactare juberetur, cogites velim quotnam tum adversus eum cogitationes insurrexerint. Et tamen omnes subegit, atque omnes eum, magis quam regem satellites, pertimescebant: ac vel solo obtutu omnes comprimebat, ita ut ne hiscere quidem earum ulla auderet; verum cunctæ caput summitterent, ac velut regi cederent, quamvis alioqui acerrimæ essent atque imprimis acerbæ. Neque enim hastarum cuspides tam horrendæ sunt, cum a multis militibus surriguntur, quam tum formidabiles erant illæ cogitationes. Annon enim hastis atrocior erat illa, quam natura ciebat, commiseratio? Ac proinde animam B illam, magis quam præacuta cuspis, exscindere poterant. Nec enim ulla hasta tam acuta unquam esse queat, quam cogitationum illarum aculei, qui ab intimis visceribus acuebantur, ac surrigebantur, justi viri animam transfigebant. Nam hic & tempore, & consilio, & plaga, & dolore opus est: ac tum mors sequitur. Illic autem nihil horum requirebatur; adeo tum celeriora, tum acriora vulnera erant. Et tamen, cum adversus eum cogitationes arma induissent, ingens erat tranquillitas: omnesque composite stabant, ornantes potius ipsum quam C terrore afficientes. Eum enim, gladium extendentem, ante oculos tibi pone, ac quos volueris Reges, Augustos, Cæsares, in medium profer. Nihil enim simile dixeris, nec speciem ullam ejusmodi, tamque amplam & insignem ac cælis dignam ostendere poteris. Tum enim vir ille justus de potentissima tyrannide triumphum egit. Nihil enim est quod majorem tyrannidem habeat, quam natura. Atque ut sexcentos, qui necem tyrannis intulerint proferas, nullum tamen ejusmodi nobis ostenderis. Etenim hæc palma Angeli verius quam hominis tunc erat. Sic quippe considera. Natura cum armis D suis, cum militaribus omnibus copiis suis humi jacebat: ipse autem stabat extenta manu, non coronam, sed gladium, quavis corona illustriorem, tenente: atque Angelorum agmen applaudebat, ac Deus e cælis victorem eum pronunciabat. Quoniam enim in cælis conversatio erat, idcirco cælesti quoque preconio celebrabatur. Quidnam hoc splendidius? Imo quidnam cum hoc tropæo conferri queat? Nam si, cum athleta vicisset, non preco quidam ex inferiori loco, sed rex ipse e superiore assurgens victoris laudes prædicaret, annon hoc ille coronis ipsis honorificentius sibi esse duceret, E omniumque spectatorum oculos ad se converteret? Cum igitur non mortalis quispiam rex, sed Deus ipse, non in hoc theatro, sed toto orbe inspectante, atque Angelorum & Archangelorum grege, alta voce de cælo clamans, victorem ipsum pronunciet, ubinam, quæso, justum illum collocabimus? Quin, si placet, vocem quoque ipsam audiamus. Quænam ergo hæc vox est? *Abraham, Abraham, non extendas manum tuam in Isaac, nec facias illi quidquam. Nunc enim cognovi quod tu timeas Dominum, quoniam non pepercisti unigenito filio tuo propter me.* Quid au-

Abrahæ fides & virtus prædicatur.

Gen. 22. 12.

tem hoc? Isne qui omnia novit antequam oriantur, nunc demum cognovit? Atqui hominibus quoque perspecta jam erat ipsius pietas. Tot suæ erga Deum benevolentiæ argumenta dederat, cum Deus ad eum dixisset, *Egredere de terra tua, & de cognatione tua*: (Gen. 12. 1.) cum ob ipsum, atque honoris ipsius causa nepoti suo primatu cessisset: cum eum e tot tantisque periculis extraxisset: cum in Ægyptum ipsius jussu profectus fuisset, atque uxore sibi adempta non indignationem concepisset, aliaque multa fecisset. Quibus ex rebus homo etiam, ut jam dixi, pietatem ipsius compertam habere potuisset, nedum Deus, qui non exspectat ut per ipsas res finem noscat? Quonam autem modo illum justum pronunciasset, si ipsum ignorasset? (Rom. 4. 3.) *Credidit* enim, inquit, *Abraham: & reputatum est ipsi ad justitiam.*

6. Quid igitur est istud, *Nunc cognovi*? Syrus quidem sic habet, *Nunc declarasti*, subaudi, hominibus. Nam ipse jampridem, atque ante omnia jussa, id noram. Cur autem nunc quoque hominibus? Annon illa ad declarandam ipsius erga Deum benevolentiam sufficiebant? Sufficiebant sane. Verum hoc tanto illa omnia antecellit, ut præ eo nihil prorsus illa esse videantur. Quamobrem, ut præclarum hoc facinus amplificaret, atque reliquis omnibus præstantius esse ostenderet, his verbis usus est. Siquidem etiam hoc in hominum consuetudine positum est, ut in eximiis ac præcellentibus rebus, palmamque obtinentibus, ad hunc modum loquantur[b]: verbi gratia, cum quis majus quam antea, munus a quodam accipit, sæpe ita loquitur: Nunc perspexi, quod me ille amet: non hoc dicens quasi ea, quæ præcedentis temporis erant, ignoret; sed ut hac ratione ostendat, munus istud, quo nunc affectus est, cæteris omnibus præstare. Sic Deus quoque humano more loquens, Nunc, inquit, cognovi: nihil hisce verbis, quam certaminis magnitudinem exprimere volens, non autem quod tum dumtaxat, aut timorem, aut timoris magnitudinem cognosceret. (Gen. 18.) Nam etiam cum ait, Venite descendamus ac videamus, non idcirco hac oratione utitur, quod descensu opus habeat; quippe qui omnia impleat, atque omnia apertissime cognoscat: sed ut hinc discamus, de re aliqua non temere pronunciare. Atque item, cum ait scriptura, Deus de cælo prospexit, per metaphoram ab hominibus ductam, exactissimam cognitionem intelligit. Eodem modo hic quoque, Nunc cognovi, ait: ut hoc omnibus prioribus majus excellentiusque esse demonstret. Hoc ita esse probat ex eo, quod deinceps subjungit, Quia non pepercisti filio tuo dilecto propter me. Non dumtaxat dixit, Filio tuo, sed, filio dilecto. Non enim adversus naturam tantum, sed etiam adversus benevolentiæ affectum, qui, tum ob proprios mores, tum ob magnam pueri virtutem ingens erat, intrepidum se præbuit. Quod si, ne ut improbos quidem

A τί τοῦτο; ὁ πάντα πρὸ γενέσεως αὐτῶν εἰδὼς, νῦν ἔγνω; καίτοιγε καὶ ἀνθρώπῳ δήλη ἦν ἡ εὐλάβεια τἀνδρός· τοσαῦτα παρέσχετο δείγματα τῆς περὶ τὸν θεὸν εὐνοίας, ὅτε εἶπεν αὐτῷ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, ὅτε δι' αὐτὸν καὶ τὴν εἰς αὐτὸν τιμὴν, τῶν πρωτείων παρεχώρησε τῷ ἀδελφιδῷ, ὅτε αὐτὸν τῶν τοσούτων ἐξείλετο κινδύνων, ὅτε ἐκέλευσεν εἰς Αἴγυπτον ἐλθεῖν, καὶ τὴν γυναῖκα ἀφαιρούμενος, οὐκ ἐδυσχέραινε, καὶ ἕτερα πλείονα. καὶ ὅπερ ἔφην, κἂν ἄνθρωπος ἀπὸ τούτων ἔμαθεν ἂν [a] τἀνδρὸς τὴν εὐλάβειαν,
B μήτιγε ὁ θεὸς, ὁ μὴ περιμένων ἀπὸ τῶν πραγμάτων μαθεῖν τὸ τέλος. πῶς δὲ αὐτὸν καὶ ἐδικαίωσεν ἀγνοῶν; ἐπίστευσε γάρ, φησιν, Ἀβραὰμ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Τί οὖν ἐστι τὸ, νῦν ἔγνων; ὁ μὲν Σύρος φησὶ, νῦν ἐγνώρισας· τουτέστι, τοῖς ἀνθρώποις. ἐγὼ γὰρ ᾔδειν πάλαι, καὶ πρὸ τῶν ἐπιταγμάτων ἁπάντων ἐκείνων. διὰ τί δὲ καὶ τοῖς ἀνθρώποις νῦν; ἐκεῖνα γὰρ οὐχ ἱκανὰ δεῖξαι τὴν περὶ τὸν θεὸν εὔνοιαν; ἱκανὰ μέν· ἀλλὰ τοσούτῳ πάντων τοῦτο
C ἐκείνων μεῖζον, ὡς μηδὲν ἐκεῖνα πρὸς τοῦτο φαίνεσθαι. τοῦτο τοίνυν ἐπαίρων τὸ κατόρθωμα, καὶ δεικνὺς πάντων ἀνώτερον, ταῦτα εἴρηκε. καὶ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἐπὶ τοῖς ὑπερέχουσι, καὶ τὰ πρῶτα νικῶσιν, οὕτως εἰώθασι λέγειν· οἷον ὅταν τις μεῖζον τῶν προτέρων λάβῃ τι [b] παρ' αὐτοῦ δῶρον, πολλάκις λέγει, νῦν ἔγνων ὅτι με ἀγαπᾷ ὁ δεῖνα· οὐ τοῦτο λέγων, ὅτι τῶν ἔμπροσθεν ἠγνόει χρόνον, ἀλλὰ δηλῶσαι βουλόμενος, ὅτι πάντων μεῖζον τὸ δοθὲν νῦν. οὕτω
D καὶ ὁ θεὸς ἀνθρωπίνως διαλεγόμενος, νῦν ἔγνων φησὶν, οὐδὲν ἄλλο ἢ τὴν ὑπερβολὴν παραστῆσαι τοῦ ἄθλου βουλόμενος, οὐχὶ τότε μαθὼν, οὐ τὸν φόβον, ἢ τὸ μέγεθος τοῦ φόβου. καὶ γὰρ ὅταν λέγῃ, δεῦτε, καταβάντες ἴδωμεν, οὐ καταβάσεως δεόμενος λέγει· καὶ γὰρ τὰ πάντα πληροῖ, καὶ πάντα οἶδε σαφῶς, ἀλλὰ παιδεύων ἡμᾶς, μὴ ἁπλῶς ἀποφαίνεσθαι. καὶ ὅταν λέγῃ, κύριος ἐξέκυψεν ἐκ τοῦ οὐρανοῦ, ἀπὸ μεταφορᾶς τῶν ἀνθρώπων τὴν ἀκριβῆ λέγει γνῶσιν. οὕτω καὶ ἐνταῦθα,
E νῦν ἔγνων, φησὶ, τοῦτο δεικνὺς μεῖζον ἁπάντων ὂν τῶν ἔμπροσθεν. τούτου καὶ ἀπόδειξιν αὐτοῦ παρέχεται ἐπάγων, καὶ λέγων, ὅτι οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. οὐκ εἶπε, τοῦ υἱοῦ μόνον, ἀλλ' καὶ τοῦ ἀγαπητοῦ. οὐδὲ γὰρ φύσεως μόνον, ἀλλὰ καὶ φιλοστοργίας, ἧς καὶ διὰ τὸν οἰκεῖον τρόπον, καὶ τὴν ἀρετὴν τοῦ παιδὸς πολλὴν οὖσαν ἐν αὐτῷ, κατετόλμησεν. εἰ δὲ φαύλων παίδων οὐκ ἂν εὐ-

a τἀνδρὸς, mss. τοῦ ἀνδρός.

b παρ' αὐτοῦ. Savil. putat legendum παρά του, seu παρά τινος.

κόλως καταφρονήσαιεν πατέρες, ἀλλὰ καὶ τούτους πενθοῦσιν· ὅταν καὶ υἱὸς ᾖ, καὶ γνήσιος, καὶ μονογενὴς, καὶ ἀγαπητὸς, καὶ Ἰσαὰκ, καὶ ὑπ' αὐτοῦ μέλλῃ σφάττεσθαι τοῦ παιδὸς, τίς ἂν εἴποι τὴν ὑπερβολὴν τῆς φιλοσοφίας; ἐπεὶ μυρίων διαδημάτων καὶ στεφάνων ἀπείρων ὁ ἆθλος φαιδρότερος. τῷ μὲν γὰρ τὸν στέφανον ἐκεῖνον περικειμένῳ καὶ θάνατος ἐπελθὼν πολλάκις ἐπηρέασε, καὶ πρὸ τοῦ θανάτου μυρίαι πραγμάτων ἐπιβουλαί· τοῦτο δὲ οὐδεὶς οὐδὲ μετὰ τελευτὴν τὸ διάδημα ἀφελέσθαι δυνήσεται τὸν περικείμενον, οὐ τῶν ἰδίων, οὐ τῶν ἀλλοτρίων. ἴδε δέ μοι καὶ τὸν τιμιώτατον λίθον τοῦ διαδήματος τούτου. ὥσπερ γὰρ λίθος τίμιος, οὕτως αὐτὸ συνδεῖ πρὸς τῷ τέλει. τί δὲ τοῦτό ἐστι; τὸ, δι' ἐμέ. οὐδὲ γὰρ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐκ ἐφείσατο, ἀλλ' ὅτι δι' αὐτόν. ὢ δεξιᾶς μακαρίας, οἵας κατηξιώθη μαχαίρας; ὢ μαχαίρας θαυμαστῆς, ποίας κατηξιώθη δεξιᾶς; ὢ μαχαίρας θαυμαστῆς, εἰς ποίαν παρεσκευάσθη χρείαν, καὶ ποίαν ἤνυσε διακονίαν, καὶ ποίῳ ὑπηρέτησε τύπῳ; πῶς ἡμάχθη, πῶς οὐχ ἡμάχθη; οὐδὲ γὰρ οἶδα τί εἴπω, οὕτω φρικτὸν τὸ μυστήριον ἦν. οὐχ ἥψατο τῆς τοῦ παιδὸς δέῤῥης, οὐδὲ διῆλθε διὰ τοῦ λαιμοῦ τοῦ ἁγίου ἐκείνου, οὐδὲ ἐφοινίχθη αἵματι δικαίου· μᾶλλον δὲ καὶ ἥψατο, καὶ διῆλθε, καὶ ἐφοινίχθη, καὶ ἐβαπτίσθη, καὶ οὐκ ἐβαπτίσθη. τάχα ἐξεστηκέναι ὑμῖν δοκῶ οὕτως ἐναντιολογῶν· καὶ γὰρ ἐξέστηκα, τὸ θαῦμα ἐννοῶν τοῦ δικαίου, ἀλλ' οὐκ ἐναντιολογῶ. ἡ μὲν γὰρ τοῦ δικαίου χεὶρ ἐνέπηξεν αὐτὴν τῇ φάρυγγι τοῦ παιδός· ἡ δὲ τοῦ θεοῦ χεὶρ καὶ ἐμπαγεῖσαν οὐκ ἀφῆκεν αἵματι μολυνθῆναι τοῦ παιδός. καὶ γὰρ οὐχ ὁ Ἀβραὰμ αὐτὴν κατεῖχε μόνον, ἀλλὰ καὶ ὁ θεός. καὶ ὁ μὲν ὤθει διὰ τῆς γνώμης· ὁ δὲ θεὸς ἀνέστελλε διὰ τῆς φωνῆς. ἡ γὰρ αὐτὴ φωνὴ καὶ ὥπλισε τὴν δεξιὰν, καὶ κατέστειλε· καὶ καθάπερ ὑπὸ στρατηγοῦ ταττομένη τοῦ θεοῦ, πάντα τῷ ἐκείνου νεύματι διεπράττετο, καὶ πάντα τῇ ἐκείνου φωνῇ διηκόνει. σκόπει δέ· εἶπε, σφάξον, καὶ εὐθέως ὡπλίζετο· εἶπε, μὴ σφάξῃς, καὶ εὐθέως ἀφωπλίζετο. καὶ γὰρ ἦν πάντα ἀπηρτισμένα. καὶ ἐδείκνυ λοιπὸν ὁ θεὸς τὸν στρατιώτην καὶ στρατηγὸν τῇ οἰκουμένῃ, τὸν στεφανίτην τῷ θεάτρῳ τῶν ἀγγέλων, τὸν ἱερέα, τὸν βασιλέα, τὸν διαδήματος μᾶλλον τῇ μαχαίρᾳ στεφανούμενον, τὸν τροπαιοῦχον, τὸν ἀριστέα, τὸν χωρὶς συμβολῆς νικῶντα. καὶ γὰρ ὥσπερ ἂν εἴ τις στρατηγὸς ἄριστον ἔχων στρατιώτην, ἀπὸ τῆς ὁπλοδεξίας, ἀπὸ τῆς στάσεως, ἀπὸ τῆς ῥώμης καταπλήξειε τὸν ἀντίδικον· οὕτω καὶ ὁ θεὸς, ἀπὸ τῆς γνώμης, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς στάσεως μόνης τοῦ δικαίου τὸν κοινὸν ἁπάντων ἡμῶν ἐχθρὸν διάβολον κατέπληξε καὶ ἐφυγάδευσε. καὶ γὰρ οἶμαι κἀκεῖνον τότε φρίξαντα ἀναχωρῆσαι. εἰ δὲ λέγει τις, καὶ τίνος ἕνεκεν οὐκ εἴασε βαπτισθῆναι τὴν δεξιὰν, εἶτα ἀθρόον ἀνέστησε τὸν σφαγιασθέντα; ὅτι θεῷ θέμις οὐκ ἦν αἵματα δέχεσθαι τοιαῦτα,

A filios aspernentur, facile adduci parentes queunt, verum eos quoque lacrymis prosequuntur: cum & filius fuerit, & germanus, & unigenitus, & dilectus, & Isaac, & ab ipso patre jugulandus sit, quisnam incredibilem illam philosophiam verbis complecti possit? Nimirum hoc certamen mille diademata, atque innumeras coronas splendore superat. Etenim ei, qui coronam illam gerit, plerumque & mors superveniens infesta est, & mille etiam ante mortem rerum insidiæ. Hoc autem diademate quisquis redimitus fuerit, id ei ne post mortem quidem quisquam eripere poterit, non suorum, non alienorum. B Atque etiam preciosissimum hujus diadematis lapidem perspicias velim. Ut enim preciosus lapis, sic eum ad extremum cingit. Quidnam autem hoc est? *Propter me.* Neque enim hoc est, quod admirationem mereatur, nempe quod non pepercerit, sed quod propter eum. O dexteram beatam, quali gladio donata est! O admirandum gladium, quali dextera donatus est! O beatum inquam gladium, ad quod ministerium paratus est! quod munus obivit, & cui figuræ subservivit! quonam pacto cruore tinctus est, & cruore non est tinctus? C Neque enim, quo verbo utar, scio: adeo tremendum istud mysterium erat. Non pueri pellem attigit, nec sancti illius guttur penetravit, nec justi cruore rubuit. Imo vero & attigit, & penetravit, & cruore rubuit: & immersus est, & non immersus. Mentis errore affici fortasse vobis videor, qui ita pugnantia loquar. Et certe afficior, dum justi illius miraculum animo contemplor, nec tamen pugnantia loquor. Etenim justi viri manus eum in pueri gutture defixit: at Deus etiam infixum non permisit pueri cruore contaminari. Neque enim Abraham solus eum tenebat: sed etiam Deus. D Ille per voluntatem impellebat: hic per vocem reprimebat. Nam eadem vox dextram illius, & armavit, & compescuit: atque Deo, tamquam bellico cuidam imperatori, subdita, ad ipsius nutum omnia exsequebatur: cunctaque ad illius vocem administrabantur. Sic enim considera. Dixit, Occide: ac statim armabatur. Dixit, Ne occidas: ac statim arma deponebat. Siquidem omnia parata jam erant. Ac postea Deus militem suum ac ducem orbi ostendit, victorem angelorum theatro, illum inquam sacerdotem, illum regem, gladio magis, quam ullo diademate, coronatum, E illum tropæo præstantem, ac sine conflictu victorem. Quemadmodum enim si quis imperator strenuissimum militem habeat, etiam ipsa gerendorum armorum dexteritate, ipsa statione, ipso impetu, hostem metu percellit: sic Deus sola justi viri voluntate, solo gestu, sola denique statione, communem omnium nostrum hostem diabolum exterruit, atque in fugam vertit. Nam & illum existimo tum tremebundum recessisse. At, dixerit fortasse aliquis, quare Deus dextram cruentari non permiserit, ac postea mactatum repente ad vitam revocarit? Quoniam fas non erat Deum hujusmodi sanguinem capere:

ſed peſtiferos dæmones menſa hæc decebat. Atque hic utrumque declarabatur, nempe & Domini benignitas, & ſervi probitas. Ac prius quidem de terra ſua egreſſus fuerat: tum vero ab ipſa quoque natura exceſſit. Eoque nomine ſortem cum fœnore accepit, idque admodum merito. Patris enim nomen amittere maluit, quam a probi ſervi officio recedere. Eoque factum eſt, ut non modo pater, ſed etiam ſacerdos exſiſteret. Et quia Dei cauſa etiam a ſuis abſceſſerat: idcirco Deus ipſi cum illis ſua quoque largitus eſt. Ac quidem ipſe, cum ab hoſtibus inſidiæ creantur, etiam uſque ad rem ipſam progreditur, ac miracula edit: ut in fornace, ac leonibus uſu venit. Cum autem ipſemet eſt qui imperat, intra animi promtitudinem imperium ſuum ſiſtit.

Dan. 3. & 6.

7. Quid enim, heus tu, in illa animi fortitudine ac præſtantia jam deſiderabatur? Num Abraham, quod eventurum erat, præſciebat? Num Dei miſericordiam ullo artificio captabat? Nam licet propheta eſſet; at propheta non omnia novit. Itaque ſupervacanea jam ac Deo indigna trucidatio exſtitiſſet. Quod ſi illud operæ precium fuerat ſcire, Deum mortuos ad vitam revocare poſſe, multo ſcilicet admirabilius id ab uxoris vulva intellexerat, imo ante hanc quoque demonſtrationem, ut qui fide præditus eſſet. Tu vero juſtum illum non ſolum admireris, ſed etiam imiteris. Cumque eum in tanto tumultu, ac tanta fluctuum tempeſtate, non ſecus atque in tranquillitate navigantem cernis, fac etiam ut obedientiæ & fortitudinis clavum arripias. Nec mihi illud tantum commemora, quod altare exſtruxerit, & ligna pararit; ſed pueri quoque vocem in mentem revoca, tecumque illud reputa, quanta exercituum agmina impetum in eum fecerint, ipſi pavorem injicientia, cum puerum dicentem audivit, Pater ubinam eſt victima? Animadverte, quot tum cogitationes commotæ ſint, non ferro, ſed igneis haſtis armatæ, atque undique eum pungentes & conſcindentes. Nam ſi nunc quoque multi etiam, qui patres non ſunt, dolore franguntur, & collacrymaſſent, niſi rei exitum perſpectum haberent, imo etiam complures, quamquam illum norint, lacrymantes tamen intueor: quo tandem cruciatu affectum eum fuiſſe probabile eſt, qui ipſum genuerat, qui educaverat, qui in ſenectute, qui ſolum habebat, qui talem, qui cernebat, qui audiebat, qui jamjam de medio ſublaturus erat? Quæ verborum prudentia? quæ reſponſionis manſuetudo? Quis autem tum operabatur? Diabolus-ne, ut faces quaſdam naturæ admoveret? minime: verum Deus, ut auream juſti animam magis exploraret. Etenim cum Jobi uxor verba faceret, diabolus operabatur. Tale quippe illud conſilium erat. Hic vero nihil impie loquebatur, ſed perquam pie & circumſpecte: ac multa venuſtas in verbis efflorebat, magnaque mellis copia e ſermonibus manabat, a tranquilla illa & placida anima fluens. Atque hæc verba tantam vim habebant, ut vel ſaxeum pectus emollire

Abrahæ constantia.

A ἀλλὰ ἀλαστόρων δαιμόνων ἡ τοιαύτη τράπεζα. ἐνταῦθα δὲ ἀμφότερα ἐδείκνυτο, καὶ ἡ τοῦ δεσπότου φιλανθρωπία, καὶ ἡ τοῦ δούλου εὐγνωμοσύνη. καὶ πρότερον μὲν ἐξῆλθεν ἀπὸ τῆς γῆς· τότε δὲ ἀπὸ τῆς φύσεως αὐτῆς ἀνεχώρησε. διὸ καὶ ἔλαβε μετὰ τόκου τὸ κεφάλαιον· καὶ μάλα εἰκότως. εἵλετο γὰρ μὴ κληθῆναι πατὴρ, ὥστε δοῦλος εὐγνώμων φανῆναι. διὰ τοῦτο οὐχὶ πατὴρ μόνον, ἀλλὰ καὶ ἱερεὺς ἐγίνετο· καὶ ἐπειδὴ ἀπέστη τῶν ἑαυτοῦ διὰ τὸν θεὸν, διὰ τοῦτο καὶ ὁ θεὸς μετὰ τούτων ἐχαρίσατο αὐτῷ καὶ τὰ αὐτοῦ. ὅταν μὲν οὖν πολέμιοι ἐπιβουλεύωσι, B καὶ μέχρι τῆς πείρας πρόεισι θαυματουργῶν· οἷον ἐπὶ τῆς καμίνου, καὶ τῶν λεόντων. ὅταν δὲ αὐτὸς ἐπιτάττῃ, μέχρι προθυμίας ἵστησι τὸ ἐπίταγμα.

Τί γὰρ ἔλειπεν, εἰπέ μοι, τῇ ἀριστείᾳ ταύτῃ λοιπόν; μὴ γὰρ προῄδει τὸ μέλλον ὁ Ἀβραάμ; μὴ γὰρ ἐπραγματεύετο τοῦ θεοῦ τὴν φιλανθρωπίαν; εἰ γὰρ καὶ προφήτης ἦν, ἀλλ' οὐ πάντα ὁ προφήτης οἶδεν. ὥστε περιττὴ λοιπὸν ἦν ἡ σφαγὴ, καὶ ἀναξία θεοῦ. εἰ δὲ ἔδει μαθεῖν, ὅτι ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεὸς, ἀπὸ τῆς μήτρας πολλῷ θαυμαστότερον τοῦτο ἔμαθε· μᾶλλον δὲ, C καὶ πρὸ τῆς ἀποδείξεως ἐκείνης, πιστὸς γὰρ ἦν. σὺ δὲ μὴ θαύμαζε τὸν δίκαιον μόνον, ἀλλὰ καὶ ζήλου· καὶ ὁρῶν αὐτὸν ἐν τοσούτῳ θορύβῳ καὶ ζάλῃ κυμάτων, ὡς ἐν γαλήνῃ πλέοντα, ὁμοίως καὶ σὺ μεταχειρίζου τῆς ὑπακοῆς καὶ τῆς ἀνδρείας τὸ πηδάλιον. μὴ γάρ μοι τοῦτο εἴπῃς μόνον, ὅτι θυσιαστήριον ᾠκοδόμησε, καὶ τὰ ξύλα· ἀλλὰ ἀναμνήσθητι καὶ τῆς φωνῆς τοῦ παιδίου, καὶ λόγισαι πόσαι νιφάδες ἐπῆλθον αὐτῷ στρατοπέδων ἐκδειμα- D τοῦσαι, ὅτε ἤκουσε τοῦ παιδίου λέγοντος, ὁ πατὴρ, τὸ πρόβατον ποῦ; ἐννόησον πόσοι τότε ἐκινήθησαν λογισμοὶ, οὐ σιδήρῳ, ἀλλὰ φλογίνοις δόρασιν ὡπλισμένοι, καὶ πάντοθεν κατακεντοῦντες αὐτὸν καὶ διατέμνοντες. εἰ γὰρ καὶ νῦν κατακλῶνται πολλοὶ καὶ μὴ πατέρες ὄντες, καὶ ἐδάκρυσαν εἰ μὴ τὸ τέλος ᾔδεισαν, πολλοὺς δὲ, καίτοι τοῦτο εἰδότας, δακρύοντας ὁρῶ· τί πάσχειν ἐκεῖνον εἰκὸς ἦν; τὸν αὐτὸν γεννήσαντα, τὸν θρέψαντα, τὸν ἐν γήρᾳ, τὸν μόνον ἔχοντα τοιοῦτον, τὸν ὁρῶντα, τὸν ἀκούοντα, εὐθέως μέλλοντα ἀναιρεῖν; τίς ἡ σύνεσις τῶν E ῥημάτων; τίς ἡ ἐπιείκεια τῆς πεύσεως; τίς ἄρα ὁ ἐνεργῶν; ὁ διάβολος, ὥστε ἐμπρῆσαι τὴν φύσιν, μὴ γένοιτο, ἀλλ' ὁ θεὸς, ἵνα μᾶλλον βασανίσῃ τὴν χρυσῆν τοῦ δικαίου ψυχήν. ὅταν μὲν γὰρ ἡ γυνὴ φθέγγηται τοῦ Ἰὼβ, διάβολος ἐνεργεῖ· τοιαύτη γὰρ ἡ συμβουλή. οὗτος δὲ οὐδὲν βλάσφημον φθέγγεται, ἀλλὰ καὶ σφόδρα ἀσεβὲς, καὶ μεμεριμνημένον· καὶ πολλὴ ἡ χάρις ἐπήνθει τοῖς ῥήμασι, πολὺ τὸ μέλι τῶν λόγων ἀπέσταξεν ἀπὸ γαλήνης καὶ ἡμέρου ῥέον ψυχῆς· καὶ λιθίνην ἱκανὰ ταῦτα ἦν μαλάξαι διάνοιαν τὰ ῥήματα.

ἀλλ' οὐ τὸν ἀδάμαντα ἐκεῖνον περιέτρεψεν, ἀλλ' οὐδὲ ἔσεισεν· οὐδὲ εἶπε, τί πατέρα καλεῖς τὸν μικρὸν ὕστερον οὐκ ἐσόμενόν σου πατέρα, τὸν ἤδη ταύτην ἀπολέσαντα τὴν τιμήν; τίνος δὲ ἕνεκεν καὶ ὁ παῖς ἐρωτᾷ; οὐ περιεργαζόμενος ἁπλῶς, οὐδὲ πολυπραγμονῶν, ἀλλ' ἀγωνιῶν ὑπὲρ τῶν προκειμένων. καὶ γὰρ ἐνενόει ὅτι εἰ μὴ ἐβούλετο λαβεῖν κοινωνὸν τῶν γινομένων, οὐκ ἂν τοὺς μὲν παῖδας ἀφῆκε κάτω μένειν, αὐτὸν δὲ μόνον παρέλαβε. διὰ δὴ τοῦτο, καὶ ὅτε μόνοι γεγόνασι, τότε αὐτὸν ἐρωτᾷ, ὅτε οὐδεὶς ἤκουε τῶν λεγομένων. τοσαύτη τοῦ παιδὸς ἡ σύνεσις ἦν. ἆρα οὐ διεθερμάνθητε πάντες, καὶ ἄνδρες, καὶ γυναῖκες; οὐχὶ ἕκαστος ὑμῶν περιπτύσσεται τῇ διανοίᾳ καὶ καταφιλεῖ τὸ παιδίον, καὶ θαυμάζει τὴν σύνεσιν, καὶ αἰδεῖται τὴν εὐλάβειαν, μεθ' ἧς, καὶ συμποδιζόμενος, καὶ ἐπὶ τοῖς ξύλοις ἐπιτιθέμενος, οὐκ ἐξεπλήττετο, οὐκ ἐσκίρτα, οὐ κατεγίνωσκε τοῦ πατρὸς ὡς μαινομένου, ἀλλὰ καὶ ἐδεσμεῖτο, καὶ ἀνεβιβάζετο, καὶ ἐπετίθετο, καὶ πάντα ἔφερε σιγῇ, καθάπερ τις ἀρνειός· μᾶλλον δὲ, καθάπερ ὁ κοινὸς πάντων δεσπότης; καὶ γὰρ ἐκείνου ἐμιμεῖτο τὴν ἐπιείκειαν, καὶ τὸν τύπον ἐφύλαττεν. ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. καίτοιγε ἐφθέγξατο οὗτος· καὶ γὰρ καὶ ὁ δεσπότης αὐτοῦ ἐφθέγξατο. πῶς οὖν ἄφωνος; τουτέστιν, οὐδὲν αὔθαδες εἶπεν, οὐδὲ τραχὺ, ἀλλὰ πάντα ἥμερα καὶ προσηνῆ, καὶ μᾶλλον τῆς σιγῆς τὰ ῥήματα τὴν ἐπιείκειαν ἐδήλου. ἐπεὶ καὶ ὁ Χριστὸς ἔλεγεν, εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; καὶ τὴν ἐπιείκειαν μᾶλλον ἐδήλωσεν, ἢ εἰ ἐσίγησε. καὶ ὥσπερ οὗτος τῷ πατρὶ ἀπὸ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐκεῖνος ἀπὸ τοῦ σταυροῦ διαλέγεται, πάτερ, ἄφες αὐτοῖς, λέγων, οὐ γὰρ οἴδασι τί ποιοῦσι. τί οὖν ὁ πατριάρχης; ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. ἑκάτεροι τὰ ὀνόματα τῆς φύσεως καλοῦσιν· ἐκεῖνος πατέρα, καὶ τέκνον οὗτος. καὶ χαλεπὸς ἑκατέρωθεν ὁ πόλεμος διεγείρεται, καὶ πολλὴ ἡ ζάλη· καὶ ναυάγιον οὐδαμοῦ. ἡ γὰρ φιλοσοφία πάντων κρατεῖ. εἶτα ἐπειδὴ ἤκουσε τὸν θεὸν, οὐκέτι εἶπεν οὐδὲν, οὐδὲ περιειργάσατο· οὕτω συνετὸν ἦν τὸ παιδίον, καὶ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει. εἶδες τὸν βασιλέα πόσων ἐκράτησε στρατοπέδων, πόσων πολέμων ἐπιόντων; οὐδὲ γὰρ οὕτως ἦσαν οἱ βάρβαροι τῇ πόλει τῶν Ἱεροσολύμων φοβεροὶ, ὅτε ἐπῆλθον αὐτῇ πολλάκις, ὡς οἱ λογισμοὶ τούτων πάντοθεν αὐτὸν περικαθήμενοι· ἀλλ' ὅμως ἁπάντων περιεγένετο. βούλει καὶ τὸν ἱερέα ἰδεῖν; οὐ πόρρωθεν τὸ ὑπόδειγμα. ὅταν γὰρ αὐτὸν ἴδῃς πῦρ ἔχοντα, καὶ μάχαιραν, καὶ θυσιαστηρίῳ ἐφεστῶτα, τί λοιπὸν ἀμφιβάλλεις ὑπὲρ τῆς ἱερωσύνης; εἰ δὲ βούλει καὶ τὴν θυσίαν ἰδεῖν, ὅρα διπλῆν. προσήνεγκε υἱὸν παῖδα, προσήνεγκε καὶ πρόβατον· μᾶλλον δὲ πρὸ πάντων, τὴν ἑαυτοῦ γνώμην· καὶ τῷ μὲν αἵματι

A possent. Nec tamen adamantem illum perculerunt, imo nec concusserunt. Nec dixit, Quid patrem vocas, qui paulo post pater tuus futurus non est, quique jam hujus honoris jacturam fecit? Quanam porro de causa puer quoque sciscitatur? certe non quod curiositate duceretur, sed quod de iis, quæ proposita erant, anxio ac solicito animo esset. Sic enim secum cogitabat, nisi pater eum participem earum rerum, quæ gerebantur, adhibere voluisset, minime facturum fuisse, ut servis infra manere jussis, ipsum solum assumeret. Ob idque tum denique ipsum interrogat, cum jam soli essent, nec B quisquam ea, quæ dicebantur, audiret. Tanta pueri prudentia erat. Annon omnes, tam viri, quam uxores, incaluistis? Annon unusquisque vestrum puerum illum animo complectitur, & exosculatur, prudentiamque suspicit, atque ipsius pietate commovetur, qua fiebat, ut cum etiam colligaretur, ac rogo imponeretur, non metu concuteretur, nec resiliret, nec patrem ut furore percitum accusaret: verum & vinculis astringeretur, & sustolleretur, ac imponeretur, cunctaque, velut agnus quispiam, vel potius, ut communis omnium Dominus, si-C lentio ferret? Etenim illius mansuetudinem imitabatur, ac figuram tenebat. *Tamquam ovis* enim, inquit, *ad occisionem ductus est, & quasi agnus coram tondente se obmutuit.* Isai. 53. 7. Atqui loquutus est iste: Nam & Dominus quoque ipsius loquutus est. Quonam igitur modo obmutuit? Hoc est, nihil arrogans, nihil asperum loquutus est, sed blanda omnia & mansueta: ac verba ipsa plus mansuetudinis præ se ferebant, quam si tacuisset. Quandoquidem etiam Christus dicebat, Si male loquutus sum, testimonium perhibe de malo: si autem bene, quid me cædis? Et Joan. 18. 23. tamen sic mansuetudinem suam magis decla-D ravit, quam si silentio usus fuisset. Et ut hic patri ex altari, sic ille etiam e cruce loquitur, Pater dimitte illis, quia nesciunt quid faciunt. Luc. 23. 24. Quid igitur ad ista patriarcha? *Deus providebit sibi victimam in holocaustum, fili.* Gen. 22. 8. Uterque naturæ vocabula usurpat. Ille patrem, hic filium vocat. Ac grave utrinque bellum excitatur, atque ingens tempestas: nusquam tamen naufragium. Philosophia enim omnia vincit. Deinde ut Dei nomen audivit, nullum ultra verbum addidit, nec curiosius inquisivit. Usque adeo prudens erat hic puer, idque in ipso ætatis flore. Vi-E des quot exercitus rex hic superarit, quot irruentia bella compresserit? Neque enim Jerosolymæ tam formidabiles erant barbari, cum eam sæpe numero aggrederentur, quam hæ cogitationes undique ipsum circumsidentes. Et tamen omnes superavit. Vis etiam sacerdotem cernere? Non longe exemplum est. Nam cum eum ignem & gladium habentem, & altari astantem intueris, quid jam est quod de sacerdotio dubites? Quod si vis victimam quoque videre, duplicem cernas licet. Obtulit enim filium, obtulit & ovem, vel, ut rectius loquar, ante omnia voluntatem suam. Atque per ovis quidem

cruorem, manum; per filii autem mactationem animam sanctificavit. Atque ita sacerdos creatus est, per Unigeniti sanguinem, per Agni sacrificium. Nam & sacerdotes per victimarum, quæ Deo offerebantur, sanguinem olim sanctificari solebant. Vis-ne etiam
Joan. 5. 35. prophetam conspicere? *Abraham pater vester exsultavit ut videret diem meum: Et vidit, & gavisus est.* Ad eumdem modum tu quoque in baptismo rex, & sacerdos, & propheta efficeris: Rex, cum omnes pravas actiones in terram abjecisti, ac peccata interemisti: Sacerdos, cum teipsum Deo obtulisti, ac corpus mactasti, atque ipse quo-
2. Tit. 2. 11. que mactatus es. *Si enim ei commortui sumus*, inquit, *& convivemus ei.* Propheta denique, cum futura discis, ac divino numine afflaris, atque obsignaris. Quemadmodum enim nota quædam militibus, ita fidelibus quoque spiritus imponitur. Quo fit, ut si ordinem deserueris, perspicuus omnibus fias. Judæi enim signi loco circumcisionem habebant: nos autem pignus Spiritus. Hæc igitur scientes, ac dignitatem nostram considerantes, vitam gratia dignam præstemus, ut futuro quoque regno potiamur. Quod detur omnibus nobis assequi, gratia & benignitate Domini nostri Jesu Christi, cum quo Patri, simulque sancto Spiritui gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A τοῦ προβάτου, τὴν δεξιάν· τῇ δὲ σφαγῇ τοῦ παιδὸς, τὴν ψυχὴν ἡγίασεν. οὕτως ἐχειροτονήθη ἱερεὺς, αἵματι μονογενοῦς, θυσίᾳ ἀμνοῦ. καὶ γὰρ καὶ οἱ ἱερεῖς αἵματι ἡγιάζοντο τῶν ἱερείων τῶν τῷ θεῷ προσαγομένων. βούλει καὶ προφήτην ἰδεῖν; Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη, φησίν. οὕτω καὶ σὺ γίνῃ βασιλεὺς, καὶ ἱερεὺς, καὶ προφήτης ἐν τῷ λουτρῷ· βασιλεὺς μὲν, πάσας χαμαὶ ῥίψας τὰς πονηρὰς πράξεις, καὶ τὰ ἁμαρτήματα κατασφάξας· ἱερεὺς δὲ, ἑαυτὸν προσενεγκὼν
B τῷ θεῷ, καὶ καταθύσας τὸ σῶμα, καὶ σφαγεὶς καὶ αὐτός. εἰ γὰρ συναπεθάνομεν αὐτῷ, φησι, καὶ συζήσομεν αὐτῷ. προφήτης δὲ, τὰ μέλλοντα μανθάνων, καὶ ἔνθους γινόμενος, καὶ σφραγισάμενος. καθάπερ γὰρ στρατιώταις σφραγὶς, οὕτω καὶ τοῖς πιστοῖς τὸ πνεῦμα ἐπιτίθεται. κἂν λειποτακτήσῃς, κατάδηλος γίνῃ πᾶσιν. Ἰουδαῖοι μὲν γὰρ εἶχον σφραγῖδα τὴν περιτομὴν, ἡμεῖς δὲ τὸν ἀρραβῶνα τοῦ πνεύματος. ταῦτα οὖν εἰδότες, καὶ τὸ ἀξίωμα τὸ ἑαυτῶν ἐννοήσαντες, ἄξιον τῆς χάριτος ἐπιδειξώμεθα βίον, ἵνα καὶ τῆς μελλούσης ἐπιτύχωμεν βασιλείας· ἧς
C γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA IV.

23. *Ego autem testem Deum invoco in animam meam, quod parcens vobis non ultra veni Corinthum.*

1. QUID ais, beate Paule? Parcens eis non venisti Corinthum? Ergo sermonem secum pugnantem nobis hoc loco inducis. Superius enim hoc asserebas, hanc tibi non veniendi causam fuisse, quod carni consentanea consilia minime admitteres, nec tui juris esses, verum Spiritus arbitrio ubique circumagereris: atque afflictiones etiam in medium proferebas. Hoc autem loco tui arbitrii fuisse ais, quod non veneris, non autem auctoritatis ac potestatis Spiritus. Parcens enim vobis, inquit, non veni Corinthum. Quidnam igitur dicendum? Nempe quod hoc quoque ipsum a Spiritu proficiscebatur: cumque venire ipse vellet, in mentem ei Spiritus injecit, ut non veniret, hoc videlicet proponens, ipsis indulgendum esse. Aut certe de altero adventu loquitur, atque hoc significat, sibi quidem in animo fuisse, priusquam superiorem epistolam scriberet, ad eos se conferre, cæterum sese ob caritatem continuisse, ne eos incorrectos ostenderet. Probabile autem est, post illam epistolam, Spiritu jam eum minime prohibente, suapte sponte ob hanc causam mansisse. Quod etiam magis conjicere est, nempe quod initio quidem Spiritus prohibebat: post autem ipse quoque secum reputans id melius esse, manserit. Tu vero

## ΟΜΙΛΙΑ δ'

Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον.

ΤΙ φῂς, ὦ μακάριε Παῦλε; φειδόμενος
D αὐτῶν οὐκ ἦλθες εἰς Κόρινθον; οὐκοῦν ἐναντιολογίαν τινὰ ἡμῖν εἰσάγεις ἐνταῦθα. ἀνωτέρω μὲν γὰρ ἔλεγες, ὅτι διὰ τοῦτο οὐκ ἦλθες, ἐπειδὴ οὐ κατὰ σάρκα βουλεύῃ, οὐδὲ κύριος εἶ σαυτοῦ, ἀλλ' ὑπὸ τῆς τοῦ πνεύματος ἐξουσίας πανταχοῦ περιάγῃ· καὶ τὰς θλίψεις εἰς μέσον ἦγες· ἐνταῦθα δὲ σὸν φῂς εἶναι τὸ μὴ ἐλθεῖν, οὐκέτι τῆς τοῦ πνεύματος ἐξουσίας. καὶ γάρ φησιν, ὅτι φειδόμενος ὑμῶν, οὐκ ἦλθον εἰς Κόρινθον. τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι καὶ
E τοῦτο αὐτὸ τοῦ πνεύματος ἦν, καὶ ἠθέλησε μὲν αὐτὸς ἐλθεῖν, ὑπέβαλε δὲ τὸ πνεῦμα μὴ παραγενέσθαι, τὴν φειδὼ τὴν αὐτῶν προβαλλόμενον· ἢ περὶ ἑτέρας λέγει παρουσίας, δηλῶν ὅτι πρὶν ἢ γράψαι τὴν προτέραν ἐπιστολὴν, ἠθέλησεν ἐλθεῖν, καὶ κατέσχεν ἑαυτὸν δι' ἀγάπην, ὥστε μὴ ἀδιορθώτοις ἐπιστῆναι. εἰκὸς δὲ καὶ μετὰ τὴν δευτέραν ἐπιστολὴν, τοῦ πνεύματος μηκέτι κωλύοντος αὐτὸν, ἑκόντα διὰ τὴν αἰτίαν ταύτην μεῖναι. ὃ καὶ μᾶλλόν ἐστιν ὑποπτεῦσαι, ὅτι παρὰ μὲν τὴν ἀρχὴν τὸ πνεῦμα ἐκώλυεν· ὕστερον δὲ καὶ αὐτὸς ἐπιλογισάμενος ὅτι τοῦτο βέλτιον, ἔμεινε.

σὺ δέ μοι σκόπει πῶς πάλιν ἑαυτοῦ μέμνηται, ὃ A συνεχῶς λέγων οὐ παύσομαι, ἀπὸ τῶν ἐναντίων ἑαυτῷ συνιστάμενος. ἐπειδὴ γὰρ καὶ τοῦτο εἰκὸς ἦν ὑποπτεύειν αὐτοὺς, καὶ λέγειν, ὅτι διὰ τοῦτο οὐκ ἠθέλησας ἐλθεῖν· ἐμίσησας γὰρ ἡμᾶς, δείκνυσι τοὐναντίον, ὅτι διὰ τοῦτο οὐκ ἠθέλησεν, ἐπειδὴ ἐφίλει αὐτούς. τί δέ ἐστι τὸ, φειδόμενος; ἤκουσα, φησιν, ὅτι ἐπόρνευσαν τινες παρ' ὑμῖν· οὐκ ἤθελον οὖν ἐλθὼν λυπῆσαι ὑμᾶς. καὶ γὰρ ἀνάγκη παρόντα ἐξετάσαι τὸ πρᾶγμα, καὶ ἐπεξελθεῖν καὶ κολάσαι, καὶ πολλοὺς ἀπαιτῆσαι δίκην. βέλ- B τιον οὖν εἶναι ἐνόμισα ἀπεῖναι, καὶ ἐνδοῦναι μετανοῆσαι, ἢ παρὼν ἐπεξελθεῖν, καὶ παροξυνθῆναι μειζόνως. καὶ γὰρ πρὸς τῷ τέλει τῆς ἐπιστολῆς σαφῶς αὐτὸ προεδήλωσεν εἰπὼν, φοβοῦμαι μήπως ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ, ᾗ ἔπραξαν. τοῦτο τοίνυν καὶ ἐνταῦθα ἐνδείκνυται, καὶ λέγει μὲν [a] αὐτὸς ὡς ἀπολογούμενος, ἐπιστύφει δὲ αὐτοὺς σφοδρότατα, καὶ φοβεῖ. καὶ γὰρ ἠνίξατο C τιμωρίας ὄντας αὐτοὺς ὑπευθύνους, καί τι καὶ πεισομένους, εἰ μὴ ταχέως διορθωθεῖεν. ὃ δὲ αὐτὸ πάλιν ἐν τῷ τέλει τῆς ἐπιστολῆς φησιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. πλὴν ἀλλ' ἐκεῖ μὲν σαφέστερον, ἐνταῦθα δὲ, ἐπειδὴ προοίμιον ἦν, οὐχ οὕτως αὐτὸ λέγει, ἀλλ' ὑπεσταλμένως· καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ αὐτὸ τοῦτο πάλιν θεραπεύει, ἐπιδιορθώσει κεχρημένος. ἐπειδὴ γὰρ ὥσπερ ἐξουσίαν πολλὴν ἐνδεικνυμένου τὸ ῥῆμα ἦν, φείδεται γάρ τις ἐκείνων, οὓς καὶ κολάσαι κύριός ἐστι. τοῦτο αὐτὸ παραμυθούμενος, καὶ τὸ δο- D κοῦν εἶναι τραχὺ συσκιάζων φησὶν, οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως· τουτέστι, οὐ διὰ τοῦτο εἶπον, ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον, ὡς κυριεύων ὑμῶν. καὶ οὐκ εἶπεν, ὑμῶν, ἀλλὰ, τῆς πίστεως· ὃ καὶ πρᾳότερον ἦν καὶ ἀληθέστερον. τὸν γὰρ μὴ βουλόμενον πιστεῦσαι τίς κύριος ἀναγκάσαι; ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. ἐπειδὴ γὰρ, φησιν, ἡ χαρὰ ὑμῶν ἡμετέρα ἐστὶν, οὐκ ἦλθον, ἵνα μὴ ἐμβάλω εἰς λύπην ὑμᾶς, καὶ αὐξήσω τὴν ἀθυμίαν τὴν ἐμήν· ἀλλ' ἔμεινα, ἵνα διορθωθέντες ἀπὸ τῆς ἀπειλῆς, εὐφρανθῆτε. πάντα γὰρ ποιοῦμεν ὑπὲρ τῆς χαρᾶς E τῆς ὑμετέρας, καὶ ὑπὲρ τούτου σπεύδομεν· ἐπειδὴ καὶ αὐτοὶ κοινωνοῦμεν αὐτῇ. τῇ γὰρ πίστει ἑστήκατε. ὅρα πάλιν ὑπεσταλμένως διαλεγόμενον. δέδοικε γὰρ αὐτῶν καθάψασθαι πάλιν, ἐπειδὴ σφοδρῶς αὐτῶν ἐν τῇ προτέρᾳ καθίκετο ἐπιστολῇ, καί τινα μεταβολὴν ἐπεδείξαντο· καὶ ἔμελλεν αὐτοὺς τοῦτο ἀνατρέπειν, εἰ μεταβαλλόμενοι πάλιν τὴν αὐτὴν ἐπιτίμησιν ὑπέμενον. διὸ πολλῷ τῆς προτέρας ἡμερωτέρα αὕτη· ἔκρινα δὲ ἐμαυτῷ τὸ μὴ πάλιν ἐν λύπῃ ἐλθεῖν πρὸς ὑμᾶς· τὸ, πάλιν,

consideres velim quo pacto rursus mentionem sui faciat. Quod quidem idcirco facit; id enim inculcare non desinam; ut a contrariis patrocinium sibi quærat. Quoniam enim verisimile erat eos sinistri aliquid suspicari ac dicere: Idcirco ad nos non venisti, quia nobis infensus esses; contrarium ostendit, nempe se ideo ad eos profectum non esse, quod eos amaret. Quid autem est, *Parcens?* Audivi, inquit, nonnullos esse apud vos qui stuprum perpetrarint: noluique ad vos venire, ne vos in mœrorem conjicerem. Coram enim necesse fuisset facinus examinare, & vindicare ac punire, atque de multis pœnas sumere. Itaque satius esse duxi abesse, ac resipiscentiæ locum vobis concedere, quam præsens facinus ulcisci, graviusque irasci. Etenim sub epistolæ finem apertius istud declaravit, cum dixit: Timeo autem, *Ne forte cum venero, humiliet me Deus apud vos, & lugeam multos ex iis, qui ante peccaverunt, & non egerunt pœnitentiam super immunditia & fornicatione quam fecerunt.* 2. Cor. 12. 21. Hoc igitur hic quoque ostendit, atque id quidem profert, tamquam se excusans: eosque acerrime perstringit, ac terret. His enim verbis significavit, eos pœnæ obnoxios esse: atque adeo fore ut acerbi aliquid patiantur, nisi quamprimum emendentur. Quod etiam ipsum rursus ad epistolæ calcem ait, Si rursus venero, non parcam. Cæterum illic apertius istud exprimit: hic autem, quoniam initium scribendi faciebat, non ita hoc dicit, sed submissius. Ac ne hoc quidem contentus, id quoque ipsum rursus mitigat, ac correctione quadam utitur. Quia enim hoc dictum hominis esse videbatur haud parvam auctoritatem præ se ferentis; iis enim parcit aliquis, in quos suo jure animadvertere potest, idcirco illud molliens, atque id, quod speciem asperitatis habebat, adumbrans, ait, 24. *Non quia dominamur fidei vestræ.* Hoc est: Non idcirco dixi, me, ut vobis parcerem, Corinthum non venisse, ac si vobis dominer. Nec dixit, *Vobis*; sed, quod mitius ac verius erat, *Fidei vestræ.* Nam credere nolentem quis est qui cogere queat? *Sed adjutores sumus gaudii vestri.* Quoniam, inquit, gaudium vestrum nostrum est, ideo non veni, ne vos in mœrorem conjicerem, atque ita mœrorem meum augerem. Sed mansi ut minis correcti lætemini. Omnia enim lætitiæ vestræ causa facimus, & hac in re studium ponimus; quia illam vobiscum communem habemus. *Nam fide statis.* Vide quo pacto rursum submisse loquatur: veretur enim iterum eos perstringere, quoniam in priore epistola vehementer ipsos incesserat, ac resipiscentiam quamdam exhibuerant. Atque hoc eorum animos subversurum erat, si, cum ad meliorem frugem se convertissent, eamdem objurgationem subiissent. Cap. II. Ideo hæc epistola superiore multo lenior est. 1. *Statui autem hoc ipsum apud me, ne iterum in tristitia venirem ad vos.*

a εἰς post αὐτὸς, non habetur in editis; sed in mss. legitur, & interpres Latinus ita legit.

Cum ait, *iterum*, ostendit se jam ab illis moerore affectum fuisse: cumque se excusare videtur, eos tacite perstringit. Nam si jam ei moerorem attulerant, ac rursus allaturi erant, cogites velim quantus moeror ipsius verisimiliter futurus erat. Verum hoc non dicit, quod moestitia ab ipsis affectus sit, sed alio modo loquens, hoc ipsum innuit, aitque: Propterea non veni, ne vos moerore afficiam. Quod eamdem quidem vim habet atque id quod dixi, aequioribus autem animis excipitur. 2. *Si enim ego contristo vos, & quis est qui me laetificet, nisi is qui contristatur ex me?* Quaenam haec consequentia est? Maxima certe. Sic enim considera. Nolui, inquit, ad vos proficisci, ne vos amplius contristem, objurgans, excandescens, aversans. Deinde, quoniam hoc quoque grave erat, atque ipsorum accusationem complectebatur, si quidem ita viverent, ut Paulum moestitia afficerent, correctionem adhibet, aitque: Si enim ego contristo vos, & quis est qui me laetificet, nisi is qui contristatur ex me? Horum autem verborum hic sensus est: Quod si etiam futurum esset, ut in dolore versarer, dum scilicet vos objurgare, ac moestos videre cogerer: at ex hoc quoque ipso voluptatem caperem. Maximum enim hoc amoris argumentum est, tanti me a vobis pendi, ut animos vestros mordere queam, dum vos aversor.

Pauli prudentia.

2. Ac vide prudentiam. Nam quod in more discipulorum positum est, ut doleant atque aegre ferant cum objurgantur, sic tamen eos inducit, tamquam hac in re ipsi gratificentur. Neque enim, inquit, me quispiam perinde exhilarat ut ille qui verba mea curat, ac discruciatur cum me iratum cernit. Et quidem consentaneum erat ut diceret: Si enim ego contristo vos, ecquis est qui laetitiam vobis afferre possit? At hoc tamen non dicit, sed id rursus invertit, eos videlicet deliniens, ac dicens: Etiamsi vos molestia afficio, in hoc tamen maximum a vobis beneficium capio, quod sermonibus meis animi vestri perstringantur. 3. *Etenim hoc ipsum scripsi vobis.* Quidnam? Quod ut vobis parcerem, non venerim. Quando autem id scribebat? An in priore epistola, cum dicebat: *Nolo autem nunc vos in transitu videre?* Non quidem, ut opinor: sed in eadem epistola, cum diceret: Ne cum venero rursus, humiliet me Deus apud vos. Scripsi ergo, inquit, in fine epistolae: *Ne forte cum venero humiliet me Deus, & lugeam multos ex iis qui ante peccaverunt.* Cur autem scribas? *Ut non cum venero, tristitiam habeam de iis, de quibus oporteat me gaudere: confidens in omnibus vobis, quia gaudium meum, omnium vestrum est.* Quia enim dixerat voluptate se affici, cum ipsi angerentur, atque hoc adhuc asperius arrogantiusque videri poterat, id rursus alio modo invertit, ac per ea, quae subjunxit, mitigavit. Ideo enim, inquit, prius ad vos scrpsi, ne dolenti animo vos inveniam non correctos. Ob idque dixi: *Ut non contrister;* non quod hac in re commodum meum spectem,

1. Cor. 16. 7.

2. Cor. 12. 21.

A δείκνυσι καὶ ἤδη λυπηθέντα ἐκεῖθεν· καὶ δοκῶν ἀπολογεῖσθαι, λεληθότως αὐτῶν καθάπτεται. εἰ δὲ καὶ ἤδη ἐλύπησαν, καὶ πάλιν ἔμελλον λυπεῖν, ἐννόησον ὅσην εἰκὸς γενέσθαι [a] τὴν ἀηδίαν. ἀλλὰ τοῦτο μὲν οὐ λέγει, ὅτι ἐλυπήσατε· ἑτέρως δὲ μεθοδεύει τὸν λόγον τὸ αὐτὸ τοῦτο αἰνιττόμενος, καὶ λέγων, ὅτι διὰ τοῦτο οὐκ ἦλθον, ἵνα μὴ λυπήσω ὑμᾶς· ὃ τὴν αὐτὴν μὲν ἰσχὺν ἔχει τούτῳ ὃ εἶπον, εὐπαράδεκτον δὲ μᾶλλόν ἐστι. εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ποία αὕτη ἀκολουθία; μεγίστη μὲν οὖν. σκόπει δέ· οὐκ ἠθέλησα, φησὶν, ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα μὴ λυπήσω ὑμᾶς πλέον, ἐπιτιμῶν, ἀγανακτῶν, ἀποστρεφόμενος. εἶτα ἐπειδὴ καὶ αὐτὸ σφοδρὸν ἦν, καὶ κατηγορίαν αὐτῶν εἶχεν, εἴγε οὕτως ἔζων ὡς Παῦλον λυπεῖν, ἐπιδιορθώσει χρώμενός φησιν· εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ δὲ καὶ ἐν λύπῃ ἔμελλον εἶναι, ἀναγκαζόμενος ὑμῖν ἐπιτιμᾶν, καὶ ὁρᾶν λυπουμένους, ἀλλ' ὅμως καὶ αὐτὸ τοῦτο ηὔφραινέ με. μεγίστης γὰρ τοῦτο ἀγάπης τεκμήριον, τὸ τοσοῦτον παρ' ὑμῖν ἄξιον εἶναί με ὡς δύνασθαι δάκνειν ὑμᾶς ἀποστρεφόμενον.

Καὶ ὅρα σύνεσιν. ὃ γὰρ τοῦ νόμου τῶν μαθητῶν ἦν, τὸ ἀλγεῖν καὶ αἰσθάνεσθαι ἐπιτιμωμένους, τοῦτο ὡς χαριζομένους αὐτοὺς εἰσάγει· οὐδεὶς γάρ με οὕτως εὐφραίνει, φησὶν, ὡς ἐκεῖνος ὁ ἐπιστρεφόμενος τῶν ἐμῶν ῥημάτων, καὶ λυπούμενος ὅταν βλέπῃ με ὀργιζόμενον. καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν· εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ δυνάμενος ὑμᾶς εὐφρᾶναι; ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' ἀντιστρέφει πάλιν αὐτὸ, θεραπεύων αὐτοὺς, καὶ λέγων, εἰ καὶ λυπῶ ὑμᾶς, χάριν μοι παρέχετε κἂν τούτῳ μεγίστην, ὅτι δάκνεσθε ὑπὸ τῶν παρ' ἐμοῦ λεγομένων. καὶ γὰρ ἔγραψα ὑμῖν αὐτὸ τοῦτο. ποῖον; ὅτι διὰ τοῦτο οὐκ ἦλθον, φειδόμενος ὑμῶν. πότε ἔγραφεν; ἐν τῇ προτέρᾳ, ὅτε ἔλεγεν, οὐ θέλω ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν; οὐκ ἔγωγε οἶμαι, ἀλλ' ἐν αὐτῇ τῇ ἐπιστολῇ, ὅτε εἶπε, μὴ ἐλθόντα με πάλιν ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς. ἔγραψα οὖν αὐτὸ τοῦτο πρὸς τῷ τέλει, φησὶ, μή πως ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων. διὰ τί δὲ ἔγραφες; ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι εὐφραίνομαι, ἀλγούντων ὑμῶν, καὶ ἔτι αὐθαδέστερον τοῦτο ἦν καὶ τραχύτερον, πάλιν αὐτὸ ἀνέστρεψεν ἑτέρως, καὶ ἡμερώτερον αὐτὸ ἐποίησεν οἷς ἐπήγαγε. διὰ τοῦτο γάρ, φησι, προέγραψα ὑμῖν, ἵνα μὴ ἐν ὀδύνῃ ὑμᾶς εὕρω μὴ διορθωθέντας. διὰ τοῦτο εἶπον, ἵνα μὴ λυπηθῶ, οὐ τὸ ἐμαυτοῦ σκοπῶν,

a. In editis legitur τὴν αἰδίαν, in ms. τὴν ἄνοιαν male. Savil. in margine aliam profert lectionem τὴν ἀηδίαν, quae optime consonat, & ita legit interpres Latinus.

ἀλλὰ

A ἀλλὰ τὸ ὑμέτερον. οἶδα γὰρ ὅτι ἐὰν ἴδητε χαίροντα, χαίρετε· κἂν πάσχοντα ἀλγοῦντα, ἀλγεῖτε. ὅρα τοίνυν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων· οὕτω γὰρ εὐμαθέστερος ἡμῖν ἔσται ὁ λόγος. οὐκ ἦλθόν, φησιν, ἵνα μὴ λυπήσω ὑμᾶς, ἀδιορθώτους εὑρών. τοῦτο δὲ ἐποίουν, οὐ τὸ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον. ἐγὼ μὲν γὰρ λυπουμένων ὑμῶν, ἔχω ἡδονὴν οὐ μικρὰν, ὅταν ἴδω τοσοῦτον ἐμοῦ φροντίζοντας, ὡς καὶ λυπεῖσθαι καὶ ἀλγεῖν ἀγανακτοῦντος ἐμοῦ. τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; πλὴν ἀλλὰ καὶ οὕτω διακείμενος, ἐπει- B δὴ τὸ ὑμέτερον σκοπῶ, ἔγραψα ὑμῖν τὸ αὐτὸ τοῦτο, ἵνα μὴ λυπηθῶ· καὶ ἐν τούτῳ πάλιν, οὐ τὸ ἐμὸν σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον. οἶδα γὰρ ὅτι καὶ ὑμεῖς μέλλετε λυπεῖσθαι, ἀλγοῦντά με ὁρῶντες· ὥσπερ οὖν καὶ εὐφραίνεσθε, χαίροντα θεωροῦντες. σκόπει τοίνυν σύνεσιν. εἶπεν, ἵνα μὴ λυπήσω οὐκ ἦλθον, καίτοιγε εὐφραίνομαι, φησιν. εἶτα, ἵνα μὴ δόξῃ ἐκείνων ἀλγούντων εὐφραίνεσθαι, κατὰ τοῦτό φησι, χαίρω, καθὸ καθάπτομαι· ἐπεὶ καθ' ἕτερον λυποῦμαι, ὅταν τοὺς οὕτω φιλοῦντας ἀναγκάζω- C μαι λυπεῖν, οὐ τούτῳ μόνον τῷ ἐπιτιμᾶν, ἀλλὰ τῷ καὶ αὐτὸς ἐν λύπῃ εἶναι, καὶ ὑμᾶς διὰ τούτου πάλιν λυπεῖν. σκόπει δὲ πῶς αὐτὸ καὶ μετ' ἐγκωμίου τίθησι λέγων, ἀφ' ὧν ἔδει με χαίρειν. τοῦτο γὰρ γνησιότητα μαρτυροῦντός ἐστι, καὶ πολλὴν φιλοστοργίαν· ὡς ἂν εἰ περὶ υἱῶν τις εἶπε πολλὰ εὐεργετηθέντων, καὶ περὶ οὓς ἐπόνησεν. εἰ τοίνυν διὰ τοῦτο γράφω, καὶ οὐκ ἔρχομαι, μέγα τι οἰκονομῶν οὐκ ἔρχομαι, καὶ οὐ μισῶν, οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ καὶ σφόδρα φιλῶν. εἶτα, ἐπειδὴ εἶπεν, ὅτι ὁ λυπῶν εὐφραίνει, ἵνα μὴ λέγωσι, τοῦτο οὖν D αὐτὸ σπουδάζεις, ἵνα εὐφραίνῃ, καὶ ἐπιδείξῃ πᾶσι πόσην ἔχῃς ἰσχύν; ἐπήγαγεν· ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων· οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. τί ταύτης φιλοστοργότερον τῆς ψυχῆς; αὐτῶν γὰρ τῶν ἡμαρτηκότων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον δείκνυσι ἑαυτὸν ἀλγήσαντα. οὐ γὰρ ἀπὸ θλίψεώς φησι μόνον, ἀλλ' ἀπὸ πολλῆς· οὐδὲ δακρύων, ἀλλὰ διὰ πολλῶν δακρύων καὶ συνοχῆς καρδίας· τουτέστιν, ἀπηγχονιζόμην, ἀπεπνιγόμην ὑπὸ τῆς ἀθυμίας. καὶ μηκέτι φέρων τῆς E ἀθυμίας τὸ νέφος, ἔγραψα ὑμῖν· οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα γνῶτε τὴν ἀγάπην, φησὶν, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς· καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα διορθωθῆτε. καὶ γὰρ διὰ τοῦτο ἔγραψεν· ἀλλ' οὐ λέγει τοῦτο, ἀλλὰ καταγλυκαίνων μᾶλλον τὸν λόγον, καὶ εἰς μεῖζον φίλτρον αὐτοὺς ἐπισπώμενος, τοῦτο ἀντ' ἐκείνου τίθησι, δεικνὺς ὅτι πάντα ἀπὸ ἀγάπης ποιεῖ. καὶ οὐχ ἁπλῶς φησιν, ἀγάπην,



A ſed veſtrum. Scio enim vos, cum me lætum cernitis, lætos quoque eſſe: cum dolentem conſpicitis, in dolore etiam verſari. Vide igitur rurſus quo pacto, quæ dicta ſunt, inter ſe cohæreant. Sic enim, quid Paulus dicat, facilius intellectu aſſequemur. Idcirco, inquit, non veni, ne vos mœrore afficerem, ſi incorrectos offendiſſem. Hoc autem non mea, ſed veſtra cauſa faciebam. Ego enim ex veſtro mœrore haud parvam voluptatem capio, cum me vobis tantæ curæ eſſe cerno, ut etiam in mœrore ac dolore ſitis, cum indignatione afficior; quis enim eſt qui me ex- B hilaret, niſi qui ex me contriſtatur? tamen quamvis animo ita conſtitutus ſim, quoniam veſtri rationem habeo, hoc ipſum ad vos ſcripſi, ut ne contriſter: in hoc quoque rurſus, non meum, ſed veſtrum commodum ſpectans. Neque enim me fugit, quin ea res vobis mœrori futura ſit, ſi dolentem me videritis: ut contra lætitiæ, ſi me lætum conſpexeritis. Vide itaque prudentiam: dixerat, Non veni, ut ne vos contriſter; & tamen gaudeo, inquit. Deinde, ne ex eorum dolore voluptatem ſibi eſſe videatur, in hoc, inquit, gaudeo, quod vos perſtringam. Nam C alioqui diſcrucior, cum eos, a quibus tantopere amor, moleſtia afficere cogor, non ob id tantum quod objurgem, ſed ob id etiam, quod ipſe quoque in mœrore ſim, ac vobis rurſus hoc nomine mœrorem accerſam. Animadverte autem quo pacto iſtud etiam cum laude ponat dicens, *De quibus oportuerat me gaudere.* Hæc enim verba hominis ſunt, ſinceritatem atque ingentem amoris affectum teſtificantis; non ſecus ac ſi quis de filiis, quos multis beneficiis affeciſſet, & quorum cauſa plurimum laboris ſuſcepiſſet, loqueretur. Quocirca, inquit, ſi hac ratione ſcribo, ac non venio, ut magni D aliquid procurem non venio, ac non quod vos oderim atque averſer, ſed quod admodum amem. Deinde quoniam dixerat, Qui me contriſtat, me lætificat, ne illi dicerent, Hoccine igitur tibi ſtudio eſt, ut lætificeris, atque omnibus vim tuam oſtentes? ideo ſubjunxit, 4. *Nam ex multa tribulatione & anguſtia cordis ſcripſi vobis per multas lacrymas, non ut contriſtemini, ſed ut ſciatis quam caritatem habeam abundantius erga vos.* Quid hac anima ad amandum propenſius? Oſtendit enim ſe non minus, imo etiam multo magis doluiſſe, quam illi ipſi, qui peccaverant. Non enim ex tribulatione tantum dixit, ſed, *Ex multa:* nec per lacrymas ſolum, E ſed, *Per multas lacrymas, & cordis anguſtiam.* Hoc eſt, mœrore præfocabar, ac ſtrangulabar. Ac triſtitiæ nubem jam non ferens, ad vos ſcripſi: non ut contriſtemini, inquit, ſed ut caritatem eam noſcatis, quam abundantius erga vos habeo. Atqui ſermonis ſeries hoc poſtulabat, ut diceret, Non ut contriſtemini, ſed ut reſipiſcatis; etenim hac de cauſa ſcripſerat. Hoc tamen non dicit: ſed, ut plus ſuavitatis orationi ſuæ conciliet, atque in majorem ſui amorem eos pertrahat, hoc illius loco ponit, oſtendens ſe amore ductum omnia facere. Nec caritatem tantum dixit,

Pauli amor erga diſcipulos.

sed, *Quam abundantius habeo erga vos.* Vult enim hac quoque ratione animos eorum allicere, dum se eos præ cæteris amare, atque ut erga eximios discipulos affectum esse demonstrat. Unde etiam ait, Et si aliis non sum apostolus, at vobis tamen sum. Et si multos pædagogos habeatis, non tamen multos patres. Ac rursus. In gratia Dei conversati sumus in mundo: abundantius autem apud vos. Atque infra etiam, inquit, abundantius vos diligens, minus diligor. Et hoc loco. *Quam habeo abundantius erga vos.*

1. Cor. 9. 2. & 4. 15.

2. Cor. 12. 15.

3. Itaque etiamsi verba iracundiæ plena erant, tamen hæc animi concitatio ex ingenti caritate ac dolore nascebatur. Cumque epistolam scriberem, inquit, dolebam & angebar, non hoc tantum nomine, quod peccassetis, sed etiam, quod vobis mœrorem afferre cogerer. Verum hoc quoque ipsum ex amore: non secus ac si quis, cum filium in primis carum habeat, qui sanie laboret, cumque secare atque urere cogatur, utroque nomine doleat, tum quod æger sit, tum quod eum secare necesse habeat. Ac proinde id quod mei in vos odii signum esse existimatis, magni amoris argumentum erat. Quod si hoc ipsum, quod vos contristarim, ab amore ortum trahit, multo sane illud magis, quod, dum in mœrore estis, in lætitia verser. Cum ergo se ipse excusasset; siquidem plerisque locis se excusat: nec propterea erubescit. Nam cum Deus id faciat dicens, *Popule meus, quid feci tibi?* multo magis id Paulum facere convenit; cum, inquam, se ipse excusasset, ac jam pro eo verba facere pararet, qui stupri crimine se obstrinxerat, ne illi, tamquam qui contraria jussa acciperent, distorquerentur pertinaciusque contenderent, quia idem ipse erat, qui & tum ira exarserat, & nunc eum missum facere jubebat, vide quo pacto, tum per ea, quæ dixit, tum per ea, quæ dicturus est, hoc præmuniverit. Quid enim ait? ỷ. *Si quis autem contristavit, non me contristavit.* Posteaquam prius illos laudavit, quod iisdem rebus & gauderent & angerentur, tum demum sermonem de hac re aggreditur: cum prius dixisset, Gaudium meum, vestrum omnium est. Quod si gaudium meum, omnium vestrum est, oportet ut mecum nunc quoque gaudeatis, ut tunc mecum doluistis. Nam ut tum dolendo mihi voluptatem attulistis, ita nunc gaudendo, siquidem gavisi fueritis, idem efficietis. Nec dixit, Mœror meus, mœror omnium vestrum est; sed cum in aliis locis hoc adstruxisset, nunc id solum, quo habebat opus, posuit, nempe gaudium; dicens, Gaudium meum, omnium vestrum est. Deinde superiorum quoque meminit his verbis: *Si quis autem contristavit, non me contristavit, sed ex parte: ut non onerem vos omnes.* Scio, inquit, quod ira & indignatione mecum commoti fuistis propter eum qui stuprum admiserat: atque hoc facinus vos omnes ex parte mœstitia affecit. Atque ideo dixi, *Ex parte*, non quod vos minorem inde mœrorem acceperi-

Mich. 6. 3.

A ἀλλ', ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. βούλεται γὰρ αὐτοὺς καὶ ταύτῃ ἐπισπάσασθαι, τῷ δεῖξαι ὅτι πλέον πάντων αὐτοὺς φιλεῖ, καὶ ὡς πρὸς ἐξαιρέτους μαθητὰς διάκειται. διό φησιν, εἰ καὶ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· καὶ, ἐὰν πολλοὺς παιδαγωγοὺς ἔχητε, ἀλλ' οὐ πολλοὺς πατέρας· καὶ πάλιν, ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς· καὶ προϊών φησι, καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι· καὶ ἐνταῦθα, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

B Ὥστε εἰ καὶ θυμοῦ τὰ ῥήματα ἔγεμεν, ἀλλ' ἀπὸ ἀγάπης ἦν πολλῆς καὶ ὀδύνης ὁ θυμός. καὶ γράφων τὴν ἐπιστολὴν, ἔπασχον, ἤλγουν, οὐχ ὅτι ἡμαρτήκατε μόνον, ἀλλ' ὅτι καὶ ἠναγκαζόμην λυπεῖν. καὶ τοῦτο δὲ αὐτὸ ἐξ ἀγάπης· ὥσπερ ἂν ἔχων τις παῖδα γνήσιον σηπεδόνα ἔχοντα, ἀναγκαζόμενος τέμνειν καὶ καίειν, δι' ἀμφότερα πάσχει, καὶ ὅτι νοσεῖ, καὶ ὅτι ἀναγκάζεται αὐτὸν τέμνειν. ὥστε ὃ νομίζετε εἶναι τοῦ μισεῖν ὑμᾶς σημεῖον, τοῦτο τοῦ σφόδρα φιλεῖν ἦν. εἰ δὲ τὸ λυπῆσαι ἐξ ἀγάπης, πολλῷ μᾶλλον τὸ εὐφραίνεσθαι λυπουμένων. ἀπο-
C λογησάμενος τοίνυν ὑπὲρ ἑαυτοῦ· καὶ γὰρ ἀπολογεῖται πολλαχοῦ· καὶ οὐκ αἰσχύνεται. εἰ γὰρ ὁ θεὸς αὐτὸ ποιεῖ λέγων, λαός μου, τί ἐποίησά σοι; πολλῷ μᾶλλον Παῦλος· ἀπολογησάμενος οὖν ὑπὲρ ἑαυτοῦ, καὶ μέλλων μετιέναι λοιπὸν ἐπὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ τοῦ πεπορνευκότος, ἵνα μὴ [a] διαστραφῶσιν ὡς τἀναντία κελευόμενοι, καὶ προσφιλονεικήσωσιν, ἐπειδὴ αὐτὸς ἦν ὁ καὶ τότε ὀργισθεὶς, καὶ νῦν κελεύων αὐτὸν ἀφιέναι· ὅρα πῶς αὐτὸ προῳκονόμησεν, ἀπό τε τῶν εἰρημένων, ἀπό τε τῶν ῥηθησομένων. τί γάρ φησιν; εἰ
D δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκε. πρότερον αὐτοὺς ἐπαινέσας, ὡς τὰ αὐτὰ χαίροντας, καὶ τὰ αὐτὰ λυπουμένους, τότε ἐμβάλλει εἰς τὸν περὶ τούτου λόγον, εἰπὼν πρότερον, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. εἰ δὲ ἡ χαρὰ [b] πάντων ὑμῶν ἐμὴ χαρὰ, δεῖ μετ' ἐμοῦ καὶ νῦν ἡσθῆναι, ὥσπερ ἠλγήσατε μετ' ἐμοῦ τότε. καὶ γὰρ δι' ὧν ἐλυπήθητε, ηὐφράνατε· καὶ δι' ὧν χαίρετε νῦν, ἂν ἄρα ἡσθῆτε, τὸ αὐτὸ ποιήσετε. καὶ οὐκ εἶπεν, ἡ ἐμὴ λύπη, πάντων ὑμῶν ἐστιν· ἀλλ' ἐν τοῖς ἄλλοις κατασκευάσας τοῦτο, νῦν μόνον οὗ ἔχρῃζε, τοῦ-
E το τέθεικε, τὴν χαρὰν, εἰπὼν ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. εἶτα καὶ τῶν προτέρων μέμνηται λέγων, εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. οἶδα, φησὶν, ὅτι συνωργίσθητέ μοι καὶ συνηγανακτήσατε ἐπὶ τῷ πεπορνευκότι, καὶ ἐκ μέρους πάντας ὑμᾶς ἐλύπησε τὸ συμβάν. διὰ τοῦτο δὲ εἶπον, ἐκ μέρους, οὐχ ὡς ὑμῶν ἐλάττονα ἀλγησάντων,

a MSS. ἐπιστραφῶσι.

b πάντων ὑμῶν ἐμὴ χαρά. Sic mss.

ἢ ἐγώ, ἀλλ' ἵνα μὴ βαρήσω ἐκεῖνον τὸν πορνεύσαντα. οὐκ ἐμὲ τοίνυν μόνον ἐλύπησεν, ἀλλὰ καὶ ὑμᾶς ὁμοίως· καὶ φειδόμενος αὐτοῦ εἶπον, ἀπὸ μέρους. εἶδες πῶς αὐτῶν εὐθέως ἐχάλασε τὸν θυμόν, δείξας καὶ τῆς ἀγανακτήσεως κοινωνοὺς γενομένους; ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. καὶ οὐ λέγει, τῷ πεπορνευκότι, ἀλλὰ πάλιν τῷ τοιούτῳ, ὡς καὶ ἐν τῇ προτέρᾳ· ἀλλ' οὐ διὰ τὴν αὐτὴν αἰτίαν· ἀλλ' ἐκεῖ μὲν αἰσχυνόμενος, ἐνταῦθα δὲ φειδόμενος. διὸ οὐδὲ μέμνηται λοιπὸν οὐδαμοῦ τῆς ἁμαρτίας· καιρὸς γὰρ ἀπολογίας ἦν. ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. οὐ γὰρ μόνον κελεύει λῦσαι τὴν ἐπιτίμησιν, ἀλλὰ καὶ ἐπὶ τὰ πρότερα ἐπανάγει. τὸν γὰρ μαστιγωθέντα ἂν μόνον τις ἀφῇ, καὶ οὐ θεραπεύσῃ, οὐδὲν ἐποίησεν. ὅρα δὲ πῶς κἀκεῖνον πάλιν καταστέλλει, ἵνα μὴ τῇ συγχωρήσει γένηται χείρων. εἰ γὰρ καὶ ἐξωμολογήσατο, καὶ μετενόησε, δείκνυσιν ὅτι οὐ τοσοῦτον ἀπὸ τῆς μετανοίας, ὅσον ἀπὸ τῆς δωρεᾶς λαμβάνει τὴν ἄφεσιν. διό φησι, χαρίσασθαι καὶ παρακαλέσαι. καὶ τὸ ἑξῆς πάλιν τὸ αὐτὸ δηλοῖ. οὐ γάρ, ἐπειδὴ ἄξιός ἐστιν· οὐδέ, ἐπειδὴ ἀρκοῦσαν μετάνοιαν ἐπεδείξατο, ἀλλ' ἐπειδὴ ἀσθενής ἐστι, διὰ τοῦτό, φησιν, ἀξιῶ. διὸ καὶ ἐπήγαγε, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. τοῦτο δὲ καὶ μαρτυροῦντος ἦν αὐτῷ πολλὴν τὴν μετάνοιαν, καὶ οὐκ ἀφιέντος εἰς [a] ἀπόνοιαν ἐλθεῖν. τί δέ ἐστι τὸ, καταποθῇ; ἢ τοῦτο ποιήσας ὅπερ καὶ Ἰούδας ἐποίησεν, ἢ καὶ ἐν τῷ ζῆν χείρων γενόμενος. κἂν γὰρ ἀποσκιρτήσῃ, φησί, τῷ μὴ φέρειν ἐπὶ πλέον τὴν ἐκ τῆς ἐπιτεινομένης ἐπιπλήξεως ὀδύνην· πολλάκις καὶ ἀπογνοὺς, ἢ εἰς ἀγχόνην, ἢ εἰς μείζονα λοιπὸν ἥξει κακίαν. δεῖ τοίνυν προκαταλαβεῖν, ἵνα μὴ χαλεπώτερον τὸ ἕλκος γένηται, μηδέ, ὅπερ κατωρθώσαμεν, ἀπολέσωμεν τῇ ἀμετρίᾳ.

Ταῦτα δὲ ἔλεγεν, ἐκεῖνον, ὅπερ ἔφθην εἰπών, καὶ καταστέλλων, καὶ παιδεύων μὴ γενέσθαι μετὰ τὴν ἄφεσιν ῥαθυμότερον. οὐ γὰρ ὡς ἀπονιψάμενον τέλεον, ἀλλ' ὡς δεδοικὼς μὴ χαλεπώτερόν τι ἐργάσηται, οὕτω ἐδεξάμην, φησίν. ὅθεν μανθάνομεν, ὅτι οὐ δεῖ μόνον πρὸς τὴν φύσιν τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὴν διάνοιαν καὶ τὴν ἕξιν τῶν ἁμαρτανόντων τὴν μετάνοιαν ὁρίζειν· ὃ καὶ τότε ὁ ἀπόστολος ἐποίησε· καὶ γὰρ ἐφοβεῖτο αὐτοῦ τὸ ἀσθενές· καὶ διὰ τοῦτο ἔλεγε, μὴ καταποθῇ, ὡς ἐπὶ θηρίου, ὡς ἐπὶ χειμῶνος, ὡς ἐπὶ κλύδωνος. διὸ παρακαλῶ ὑμᾶς. οὐκέτι ἐπιτάττει, ἀλλὰ παρακαλεῖ, οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς ὁμότιμος, κἀκείνους ἐπὶ τοῦ θρόνου καθίσας τοῦ δικαστικοῦ, ἑαυτὸν ἔστησεν ἐν τάξει συνηγόρου. ἐπειδὴ γὰρ κατώρθωσεν ὅπερ

A tis, quam ego: sed ne illum, qui stuprum perpetravit, nimium onerem. Quocirca non me solum ille in mœrorem conjecit, sed vos etiam omnes. Atque, ut indulgentius cum eo agerem dixi, *Ex parte.* Vides quomodo statim iratos eorum animos lenierit, cum ostendit ipsos indignationis quoque participes fuisse? 6. *Sufficit illi, qui ejusmodi est, objurgatio ea quæ fit a pluribus.* Non dixit, fornicatori, sed rursus, *ei qui ejusmodi est*, ut & in præcedenti epistola: verum non eamdem ob causam. Illic enim ob pudorem ita loquebatur, hic ob indulgentiam. Ob idque B nec jam uspiam peccati mentionem facit, quod tempus esset, ut ipsius patrocinium susciperet. 7. *Ita ut e contrario magis donetis & consolemini: ne forte abundantiore tristitia absorbeatur qui est ejusmodi.* Non enim solum jubet objurgationi finem imponi, sed etiam illum ad priorem statum reduci. Etenim si quis eum, qui verberibus cæsus sit, tantummodo missum faciat, nec ei medeatur, nihil fecit. Vide autem quonam rursus modo illum quoque coërceat, ne ob condonatum peccatum deterior fiat. Nam quamvis peccatum confessus fuerit, ipsiusque eum pœnituerit: ostendit tamen eum non tam pœ- C nitentiæ opera, quam gratia & beneficio veniam consequi. Ob idque ait, *Donetis & consolemini.* Et quod sequitur, idem declarat. Non enim quod id promereatur, nec quod eam, quam par sit, pœnitentiam præstiterit: sed quia infirmus est, idcirco, ait, hoc peto. Unde etiam subjunxit, *Ne forte abundantiori tristitia absorbeatur qui est ejusmodi.* Quæ verba sunt hominis magnæ pœnitentiæ testimonium ipsi tribuentis, nec eum in desperationem ruere sinentis. Quid est autem, *absorbeatur?* Nempe vel hoc faciens, quod a Juda factum est: vel etiam, si vitæ usura fruatur, deterior factus. Ete- D nim si resiliat, inquit, quod contractum ex longiore objurgatione dolorem non amplius ferre queat; desperata salute, aut in laqueum, aut in majorem deinceps improbitatem ruet. Itaque occurrendum est, ne ulcus ingravescat, neve id quod recte fecimus, ob neglectum modum amittamus.

4. Hæc autem eo dicebat, ut & illum, quod jam dixi, coërceret, & admoneret, ne post impetratam veniam ignavior fieret. Non enim, inquit, eum ita excepi, quasi sordes penitus absterserit, sed quod vererer ne gravius aliquid in se admitteret. Ex quo illud discimus, non ex scelerum tantum natura, E sed ex peccantium etiam animo atque affectione indicendam esse pœnitentiam, ut tum fecit apostolus, quod ipsius imbecillitatem extimesceret. Ideoque dicebat, *Ne absorbeatur*, velut a bellua quadam, atque a tempestate, ac procellis. 8. *Propter quod obsecro vos.* Non jam imperat, sed obsecrat, non ut præceptor, sed ut æqualis, atque illis in judiciaria sede constitutis, ipse in patroni loco atque ordine se collocavit. Quoniam enim id, quod in animo habebat, confecerat, præ

a ἀπόνοια, hic omnino desperationem significare videtur; sed alibi passim apud Chrysostomum ἀπόνοια arrogantiam vel superbiam exprimit.

gaudio jam modum in supplicando excedit. Quidnam est, quæso, de quo obsecras? *Ut firmetis in eum caritatem.* Hoc est, constabiliatis, nec eum leviter ac vulgari modo suscipiatis. Quibus etiam verbis summæ virtutis testimonium ipsis tribuebat: si quidem ii, qui hominem illum usque adeo amabant ac tuebantur, ut etiam animis inflarentur, adeo rursus eum aversati sint, ut tantopere laborandum Paulo fuerit, ut caritatem in eum firmarent. Hæc discipulorum, hæc magistri virtus est: quod illi tam morigeros se præbeant, hic tam præclare ipsos componat ac moderetur. Hoc si nunc quoque fieret, qui peccant, haud sine sensu peccarent. Nec enim temere amare oportet, nec sine ratione aversari. 9. *In hoc enim etiam scripsi vobis, ut cognoscam experimentum vestrum, an in omnibus obedientes sitis.* Hoc est, non modo in amputando: sed etiam in adjungendo. Vides quonam pacto hic quoque rursus metum immittat? Ut enim cum ille peccasset, terrorem ipsis injecit, nisi eum abscinderent, dicens, *Exiguum fermentum totam massam corrumpit*, aliaque plura: eodem hic quoque modo inobedientiæ metum iisdem injicit, his fere verbis utens: ut tunc non pro illo tantum, sed etiam pro vobis, si nunc quoque non magis illius, quam vestra causa consilium vobis capiendum est, ne pervicaces, atque inhumani esse videamini, nec in omnibus obedientes. Ac proinde ait, *In hoc enim etiam scripsi vobis, ut cognoscam experimentum vestrum, an in omnibus obedientes estis.* Etenim illud invidiæ fortasse ac livoris esse videri potuisset: hoc autem puram in primis ac sinceram obedientiam ostendit, & an ad humanitatis officia idonei sitis. Hoc enim proborum discipulorum est, nempe non modo illa, sed contraria quoque imperanti obtemperare. Ideo dixit, *Ad omnia.* Quibus verbis ostendit, nisi obediant, id non tam ei, quam sibi ipsis probro ac dedecori fore, ut qui pervicaciæ opinionem collecturi sint. Hoc autem facit, ut hinc quoque ipsos ad parendum impellat. Unde etiam ait, *In hoc enim & scripsi vobis.* Neque enim ob eam causam scripsit: sed hoc idcirco dixit, ut eorum animos pelliceret. Quod enim præcipue agebatur, erat illius salus, qui peccarat. Verum ubi nihil damni, ipsis etiam gratificatur. Per hæc autem verba, *Ad omnia*, rursus eos laudat, pristinam eorum obedientiam commemorans, atque in medium adducens. 10. *Cui autem aliquid donatis, & ego.* Vides quo pacto rursus posteriores sibi tribuit, illos videlicet duces atque auspices, se vero comitem dumtaxat ostendens? Sic nimirum exacerbatus animus mitigatur: sic durus ac pertinax emollitur. Postea ne supinos eos reddat, ut penes quos negotii summa sit, & ne illum missum faciant, ad hoc ipsos impellit, dum ait se quoque illi condonasse. *Nam & ego si quid donavi, quod donavi, propter vos.* Quin hoc quoque ipsum vestra causa feci, inquit. Et sicut, cum illum amputari jubebat, nec ei indulgendi arbitrium ipsis permisit, dicens:

2. Cor. 5. 6.

Discipulorum officium.

A ἐβούλετο, ἀπλήστως ὑπὸ χαρᾶς τῇ ἱκετηρίᾳ κέχρηται. καὶ τί ποτέ ἐστιν ὃ παρακαλεῖς, εἰπέ μοι; κυρῶσαι εἰς αὐτὸν ἀγάπην· τουτέστι, βεβαιῶσαι, μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, προσέσθαι. τοῦτο δὲ πάλιν μαρτυροῦντός ἐστιν αὐτοῖς ἀρετὴν μεγίστην· εἴγε οἱ οὕτω φιλοῦντες αὐτὸν, καὶ συγκροτοῦντες, ὡς καὶ φυσιωθῆναι, οὕτως ἀπεστράφησαν, ὡς τοσαῦτα κάμνειν τὸν Παῦλον, ἵνα κυρώσωσιν εἰς αὐτὸν ἀγάπην. τοῦτο ἀρετὴ μαθητῶν, τοῦτο ἀρετὴ διδασκάλων, τὸ οὕτως ἐκείνους εὐηνίους εἶναι, τὸ οὕτως B αὐτὸν ῥυθμίζειν αὐτούς. τοῦτο εἰ καὶ νῦν ἐγίνετο, οὐκ ἂν οἱ ἁμαρτάνοντες ἀναισθήτως ἐπλημμέλησαν. οὔτε γὰρ φιλεῖν ἁπλῶς δεῖ, οὔτε ἀποστρέφεσθαι ἄνευ λόγου τινός. εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε· μὴ μόνον ἐν τῷ ἀποτέμνειν, ἀλλὰ καὶ ἐν τῷ συνάπτειν. εἶδες πῶς πάλιν καὶ ἐνταῦθα αὐτοῖς περιΐστησι τὸν ἀγῶνα; ὥσπερ γὰρ ἡνίκα ἥμαρτεν ἐναγωνίους αὐτοὺς ἐποίησεν, εἰ μὴ ἐκτέμοιεν, εἰπὼν, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, καὶ ἕτερα πλείονα· οὕτω καὶ ἐνταῦ- C θα πάλιν τὸν τῆς παρακοῆς αὐτοῖς ἐφίστησι φόβον, μονονουχὶ λέγων, ὅτι ὥσπερ τότε οὐχ ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ ὑπὲρ ὑμῶν, καὶ νῦν οὐχ ὑπὲρ ἐκείνου μᾶλλον ἢ ὑμῶν αὐτῶν βουλευτέον ὑμῖν ἐστι, μὴ δόξητε φιλόνεικοί τινες εἶναι, καὶ ἀπάνθρωποι, καὶ οὐκ ἐν ἅπασιν ὑπήκοοι. διό φησιν, εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ἐκεῖνο μὲν γὰρ ἔδοξεν ἂν καὶ φθόνου εἶναι, καὶ βασκανίας· τοῦτο δὲ δείκνυσι καθαρὰν μάλιστα τὴν ὑπακοὴν, καὶ εἰ πρὸς φιλανθρω- D πίαν ἐστὲ ἐπιτήδειοι. τοῦτο γὰρ μαθητῶν εὐγνωμόνων, τὸ μὴ μόνον ἐκεῖνα, ἀλλὰ καὶ τὰ ἐναντία κελεύσαντι πείθεσθαι. διὰ τοῦτο εἶπεν, εἰς πάντα, δεικνὺς ὅτι, ἐὰν μὴ ὑπακούσωσιν, οὐχ οὕτως ἐκεῖνον ὡς ἑαυτοὺς καθυβρίζουσι, φιλονεικίαν λαμβάνοντες δόξαν. ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν αὐτοὺς ὠθήσῃ πρὸς τὸ πεισθῆναι. διὸ καὶ λέγει, εἰς τοῦτο γὰρ ἔγραψα ὑμῖν. καίτοι οὐ διὰ τοῦτο ἔγραφε· λέγει δὲ διὰ τοῦτο, ὥστε αὐτοὺς ἐπισπάσασθαι. τὸ γὰρ προηγούμενον ἦν ἡ σωτηρία. ἀλλ' ἔνθα μηδὲν βλάπτεται, κἀκείνοις χαρίζεται. τῷ δὲ εἰπεῖν, εἰς πάντα, πάλιν E ἐγκωμιάζει, τῆς προτέρας ὑπακοῆς ἀναμνήσας, καὶ εἰς μέσον αὐτὴν ἀγαγών. ᾧ δέ τι χαρίζεσθε, κἀγώ. ὁρᾷς πῶς πάλιν τὰ δευτερεῖα ἑαυτῷ δίδωσιν, ἐκείνους μὲν ἄρχοντας, ἑαυτὸν δὲ ἑπόμενον δεικνύς; τοῦτό ἐστι μαλάξαι τραχυνομένην γνώμην, τοῦτο ἐκλῦσαι φιλονεικοῦσαν. εἶτα ἵνα μὴ ὑπτίους ποιήσῃ, ὡς κυρίους ὄντας, καὶ μὴ ἀφῶσιν αὐτὸν, πάλιν αὐτοὺς ἄγει πρὸς τοῦτο, λέγων, ὅτι καὶ αὐτὸς ἐχαρίσατο. καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ὃ κεχάρισμαι, δι' ὑμᾶς. καὶ τοῦτο γὰρ αὐτὸ δι' ὑμᾶς ἐποίησα, φησί. καὶ ὥσπερ ἡνίκα ἐκέλευεν ἀποτεμεῖν, οὔτε ἀφῆκεν αὐτοὺς γενέσθαι κυρίους χαρίσασθαι, εἰπὼν,

ἤδη κέκρικα παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ, καὶ ἔλαβε πάλιν κοινωνοὺς αὐτοὺς τῆς ψήφου εἰπών, συναχθέντων ὑμῶν παραδοῦναι αὐτόν, δύο τὰ μέγιστα κατασκευάζων, καὶ τὸ ἐξενεχθῆναι τὴν ἀπόφασιν, καὶ τὸ μὴ χωρὶς ἐκείνων, ὥστε μὴ δόξαι ταύτῃ πλήττειν, καὶ οὔτε μόνος αὐτὴν ἐκφέρει, ἵνα μὴ νομίσωσιν αὐθάδη εἶναι, καὶ ὑπερωφθῆναι αὐτοί, οὔτε τὸ πᾶν αὐτοῖς ἐπιτρέπει, ἵνα μὴ κύριοι γενόμενοι προδῶσι τὸν ἡμαρτηκότα, ἀκαίρως αὐτῷ χαριζόμενοι· οὕτω καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι ἐγὼ ἤδη ἐχαρισάμην, ὃς ἐν τῇ προτέρᾳ ἤδη κέκρικα. εἶτα ἵνα μὴ πληγῶσιν, ὡς ὑπεροφθέντες, φησί, δι' ὑμᾶς. τί οὖν; δι' ἀνθρώπους συνεχώρησεν; οὐχί. διὰ γὰρ τοῦτο καὶ προσέθηκεν, ἐν προσώπῳ Χριστοῦ. τί ἐστιν, ἐν προσώπῳ Χριστοῦ; ἢ κατὰ θεόν, φησιν, ἢ εἰς δόξαν τοῦ Χριστοῦ. ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. εἶδες πῶς καὶ τὴν ἐξουσίαν αὐτοῖς ἐπιτρέπει, καὶ πάλιν ἀφαιρεῖται αὐτήν, ἵνα ἐκείνῳ μὲν μαλάξῃ, τούτῳ δὲ τὸ αὔθαδες αὐτῶν ἐκκόψῃ; οὐ τοῦτο δὲ μόνον ἐντεῦθεν κατασκευάζει, ἀλλὰ καὶ τὸ δεῖξαι κοινὴν τὴν βλάβην οὖσαν, εἰ παρακούσαιεν· ὅπερ καὶ ἐν ἀρχῇ πεποίηκε. καὶ γὰρ τότε ἔλεγε, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· καὶ ἐνταῦθα πάλιν, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. καὶ πανταχοῦ, καὶ αὐτοῦ, καὶ ἐκείνων ποιεῖ τὴν ἄφεσιν.

Σκόπει δὲ ἄνωθεν. Εἰ δέ τις λελύπηκε, φησιν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. εἶτα πάλιν, ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. τοῦτο αὐτοῦ ψῆφος καὶ γνώμη· ἀλλ' οὐκ ἔστη μέχρι τῆς ψήφου, ἀλλὰ πάλιν αὐτοὺς κοινωνοὺς ποιεῖ, λέγων, ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι. διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην. πάλιν ἐκείνων τὸ ὅλον ποιήσας, εἰς τὴν ἐξουσίαν τὴν ἑαυτοῦ μεταβαίνει, λέγων, εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. εἶτα πάλιν αὐτῶν ποιεῖ τὴν χάριν, λέγων, ᾧ δέ τι χαρίζεσθε. εἶτα αὐτοῦ, κἀγώ, λέγων, εἴ τι κεχάρισμαι, δι' ὑμᾶς. εἶτα καὶ ἐκείνων καὶ ἑαυτοῦ· καὶ γὰρ ἐγώ, φησιν, εἴ τι κεχάρισμαι, δι' ὑμᾶς, ἐν προσώπῳ Χριστοῦ· ἢ εἰς δόξαν Χριστοῦ, ἢ ὡς τοῦ Χριστοῦ καὶ τοῦτο κελεύοντος· ὃ μάλιστα αὐτοὺς ἔπειθε. καὶ γὰρ ἐδεδοίκεισαν λοιπὸν μὴ χαρίσασθαι πρᾶγμα εἰς δόξαν αὐτοῦ διαβαῖνον, καὶ αὐτῷ δοκοῦν. εἶτα πάλιν τὸ κοινὸν βλάβος, εἰ παρακούσαιεν, τίθησι λέγων, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ, καλῶς πλεονεξίαν ὀνομάσας. οὐ γὰρ τὰ αὐτοῦ λαμβάνει λοιπόν, ἀλλὰ τὰ ἡμῶν ἁρπάζει. μὴ δέ μοι τοῦτο εἴπῃς, ὅτι μόνος θηριάλωτον γέγονε, ἀλλὰ καὶ τοῦτο σκόπησον, ὅτι ἐλαττοῦται τῆς ἀγέλης ὁ ἀριθμός· καὶ νῦν μάλιστα,

A *Jam judicavi tradere hujusmodi hominem Satanæ*, ac rursus tamen eos sententiæ socios ascivit, cum diceret, Congregatis vobis tradere eum: duas videlicet res maximas struens, nempe ut & sententia ferretur, & tamen non sine illis, ne hac ratione eos lædere videretur; ac neque solus eam proferebat, ne illi eum arrogantem esse, ac se ab eo contemni judicarent: nec rursus rem totam ipsorum arbitrio committebat, ne accepta hujusce rei potestate proderent eum qui peccaverat, intempestivam erga ipsum indulgentiam adhibentes: ita hic quoque facit, dicens: Ego jam condonavi, qui in priore epistola jam condemnaram. Deinde ne, tamquam contemti, animis offenderentur, ait, *propter vos.* Quid igitur? An ut ab hominibus gratiam iniret, ipsi ignovit? minime. Ideoque adjecit, *In persona Christi.* Quid est, *In persona Christi?* hoc est, secundum Deum, vel, ad Christi gloriam. *Ne circumveniamur a Satana.* 11. *Non enim ignoramus cogitationes ejus.* Viden', ut & illis potestatem concedat, & eamdem rursus adimat: ut illinc quidem eos mitiget ac emolliat, hinc autem eorum arrogantiam amputet? Nec vero id solum hoc loco molitur, C sed illud quoque, ut ostendat commune detrimentum fore, si non obedierint. Quod etiam in principio fecit. Nam tum etiam dicebat, modicum fermentum totam massam corrumpit: & rursus hic, *Ut non circunveniamur a Satana:* atque illius qui peccarat, absolutionem, ubique sibi & illis arrogat. 1. Cor. 5. 5.

5. Verum altius rem considera. *Si quis autem me contristavit*, inquit, *non me contristavit, sed ex parte, ut non onerem omnes vos.* Ac deinde rursus, *Sufficit ei qui ejusmodi est, objurgatio ea, quæ fit a pluribus.* Hoc ipsius decretum est, atque sententia: nec tamen in hoc decreto constitit: sed rursum eos D quoque socios adhibet, dicens: *Ut e contrario magis condonetis & consolemini. Propter quod obsecro vos, ut firmetis in eum caritatem.* At postea quam totum istud eorum arbitrio permisit, ad auctoritatem suam deinceps transit, his verbis utens, *In hoc enim scripsi vobis, ut cognoscam experimentum vestrum, an in omnibus obedientes estis.* Mox rursus gratiam ipsis adscribit, cum ait, *Cui autem donastis.* Tum rursus sibi, dicens: *Et ego: Si cui donavi, propter vos.* Deinde simul & ipsis & sibi eam vendicat, cum ait, *Nam & ego, si quid donavi, propter vos, in* E *persona Christi.* Hoc est, ad gloriam Christi: vel, tamquam Christo hoc etiam imperante: idque maxime illos movebat; timebant enim ne indulgentia minus uterentur in re, quæ ad Christi gloriam pertineret, ipsique placeret. Deinde rursus commune detrimentum, si obedire negligerent, proponit dicens, *Ut non circunveniamur a Satana.* Quo loco pulcre πλεονεξίας vocabulum usurpavit. Neque enim ille sua jam capit: sed nostra eripit. Nec vero mihi hoc dixeris, quod solus ille fornicator belluæ in prædam cedat; verum illud quoque tecum reputa, quod gregis numerus minor fit: ac nunc præsertim, cum id, 1. Cor. 5. 5.

quod amissum est recuperare licet. *Non enim ejus cogitationes ignoramus.* Nempe quod pietatis prætextu nobis exitium afferat. Non enim hinc solum, quod aliquem ad stuprum inducat, sed a contrario quoque perniciem afferre potest, nimirum ab immodico mœrore ex pœnitentia contracto. Cum igitur una cum suis nostros quoque abripiat, cum & peccare jubens perdat, &, nobis pœnitentiam indicentibus, rapiat, annon istud πλεονεξία est, hoc est, alienæ rei usurpatio? Non enim satis habet per peccatum nos dejicere: sed per pœnitentiam quoque, nisi vigilemus, idem efficit. Atque ideo πλεονεξίαν merito appellavit, cum per ea etiam quæ nostra sunt, victoriam adipiscitur. Etenim per peccatum capere proprium ipsius est: at per pœnitentiam, non item. Nostrum enim, non autem illius, est hoc armorum genus. Quamobrem cum hinc quoque capere potest, animadverte quam turpis sit hæc clades: quantumque ille, ut imbelles & miseros irrisurus atque exagitaturus est, siquidem nos nostrismet armis subegerit. Perquam enim ridiculum ac summe pudendum illud est, quod per medicamenta nostra, ipse vulnera efficiat. Ideo Paulus dicebat, Non enim ipsius cogitationes ignoramus: hoc est: quam multiplex, quam vafer, quam veterator, ac versutus sit, quam denique sub pietatis obtentu infestum nobis hostem præbeat. Hæc igitur nos quoque cogitantes neminem unquam contemnamus, nec peccantes desperemus, nec rursum socordia langueamus: verum, cum peccatum admisimus, animum conteramus, nec verba dumtaxat proferamus. Siquidem complures novi qui se quidem peccata sua deflere aiunt, at interim nil magni operantur: verum jejunant illi quidem ac vestes asperas gestant: cæterum majori pecuniarum cupiditate flagrant, quam caupones: ira magis corripiuntur, quam feræ: atque obtrectatione magis, quam alii laudationibus delectantur. Pœnitentia, ista non sunt. Pœnitentiæ larva atque umbra ista sunt, non pœnitentia. Ob idque ad ejusmodi homines illud usurpare licet, Videte ne circumveniamur a Satana; non enim ejus cogitationes ignoramus. Alios quippe per peccata, alios per pœnitentiam, alios alio modo perdit: dum videlicet eos nullum ex pœnitentia fructum percipere sinit. Nam cum quibusdam recta via perniciem afferre nequit, alteram viam init, sicque se comparat, ut labores quidem augeat, fructus autem adimat, ipsisque hoc persuadeat, ut tamquam omni ex parte officio perfuncti, reliqua negligant. Quocirca ne incassum nosipsos vexemus, brevem ad hujusmodi mulieres orationem habeamus. Mulierum enim potissimum hic
Pœnitentia vera quæ. morbus est. Præclarum quidem hoc quoque est, quod nunc facitis, hoc est jejunare & humi cubare, ac cinerem adhibere: sed nisi alia insuper accesserint, nulla hinc utilitas consequetur. Ostendit Deus quo pacto peccata remittat. Quid igitur relicta hac via alteram vobis sternitis? Peccarunt quondam Ninivitæ, eaque fecerunt, quæ vos quoque

A ὅτε δύναται ὅπερ ἀπέβαλεν ἀνακτήσασθαι. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν· ὅτι καὶ προσχήματι εὐλαβείας ἀπόλλυσιν. οὐ γὰρ μόνον τῷ εἰς πορνείαν ἀγαγεῖν, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐναντίου δύναται διαφθείρειν, τῆς ἀμέτρου λύπης τῆς ἐπὶ τῇ μετανοίᾳ. ὅταν οὖν μετὰ τῶν ἰδίων καὶ τοὺς ἡμετέρους λαμβάνῃ, ὅταν καὶ ἁμαρτάνειν κελεύων ἀπολλύῃ, καὶ μετανοεῖν κελευόντων ἡμῶν ἁρπάζῃ, πῶς οὐχὶ πλεονεξία τὸ πρᾶγμα; οὐ γὰρ ἀρκεῖ αὐτῷ δι' ἁμαρτίας καταβάλλειν· ἀλλὰ καὶ διὰ μετανοίας, ἂν μὴ νήφωμεν, τοῦτο ποιεῖ. διὸ καὶ πλεονεξίαν εἰκότως ἐκάλεσεν, ὅταν καὶ διὰ τῶν ἡμετέρων κρατῇ. B τὸ γὰρ δι' ἁμαρτίας λαμβάνειν, ἴδιον αὐτοῦ ἐστι· τὸ μέντοι διὰ μετανοίας, οὐκέτι. ἡμέτερον γάρ, οὐκ ἐκείνου τὸ ὅπλον. ὅταν οὖν καὶ ἐντεῦθεν δύνηται λαμβάνειν, σκόπησον πῶς ἡ ἧττα αἰσχρά, πῶς ὡς ἀσθενῶν καὶ ταλαιπώρων καταγελάσεται καὶ καταδραμεῖται, εἴγε τοῖς ἡμετέροις ὅπλοις ἡμᾶς μέλλει χειροῦσθαι. καὶ γὰρ σφόδρα καταγέλαστον, καὶ τῆς ἐσχάτης αἰσχύνης, διὰ τῶν ἡμετέρων φαρμάκων τὰ τραύματα αὐτὸν κατασκευάζειν. διὰ τοῦτο ἔλεγεν· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν, τὸ ποικίλον, τὸ δολερόν, τὸ κακομήχανον, τὸ κακοῦργον, C τὸ ἐπὶ προσχήματι εὐλαβείας ἐπηρεαστικὸν ἐμφαίνειν. ταῦτ' οὖν καὶ ἡμεῖς ἐννοοῦντες, μηδέποτε μηδενὸς καταφρονῶμεν, μηδέποτε ἁμαρτάνοντες ἀπογινώσκωμεν, μηδ' αὖ ῥαθυμῶμεν πάλιν, ἀλλὰ συντρίβωμεν τὴν διάνοιαν πλημμελοῦντες, μὴ ἁπλῶς ῥήματα προβαλλώμεθα. καὶ γὰρ οἶδα πολλοὺς ἐγώ, οἳ λέγουσι μὲν πενθεῖν τὰ ἁμαρτήματα, οὐδὲν δὲ μέγα ἐργάζονται· ἀλλὰ νηστεύουσι μέν, καὶ τραχέα φοροῦσιν ἱμάτια, χρημάτων δὲ μᾶλλον τῶν καπηλευόντων ἐφίενται, καὶ ὀργῇ πλέον θηρίων D ἁλίσκονται, καὶ κακηγορίαις χαίρουσι μᾶλλον, ἢ ἐγκωμίοις ἕτεροι. οὐκ ἔστι ταῦτα μετάνοια· εἰκὼν ἐστὶ μετανοίας ταῦτα, καὶ σκιὰ μόνον, οὐ μετάνοια. διὸ καὶ ἐπὶ τούτων καλὸν εἰπεῖν, σκοπεῖτε μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. τοὺς μὲν γὰρ δι' ἁμαρτημάτων, τοὺς δὲ διὰ μετανοίας ἀπόλλυσι, τούτους δὲ ἑτέρῳ τρόπῳ πάλιν, τῷ μηδὲν ἀπὸ μετανοίας ἀφεῖναι καρποῦσθαι. ἐπειδὴ γὰρ ἀπολέσαι ἐξ εὐθείας οὐχ εὗρεν, ἑτέραν ἦλθεν ὁδόν, τοὺς μὲν πόνους ἐπιτείνων, τοὺς δὲ καρποὺς ἀφαιρούμενος, E καὶ πείθων ὡς τὸ πᾶν κατωρθωκότας, οὕτω τῶν ἄλλων ἀμελεῖν. ἵν' οὖν μὴ εἰκῇ κοπτώμεθα ἑαυτούς, μικρὰ πρὸς τὰς τοιαύτας διαλεχθῶμεν γυναῖκας. γυναικῶν γὰρ μάλιστα τοῦτο τὸ νόσημα. καλὸν μὲν καὶ τοῦτο ὃ πράττετε νῦν, νηστεία, καὶ χαμευνία, καὶ σποδός· ἀλλ' ὅταν τὰ ἄλλα μὴ προσῇ, τούτων ὄφελος οὐδέν. ἔδειξε πῶς ἀφίησιν ἁμαρτίας ὁ θεός. τί τοίνυν ἐκείνην ἀφέντες τὴν ὁδόν, ἑτέραν αὐτοῖς τέμνετε; ἥμαρτον οἱ Νινευῗταί ποτε, καὶ ἐποίησαν ταῦτα, ἃ καὶ ὑμεῖς ποιεῖτε νῦν·

ἀλλ᾽ ἴδωμεν τί αὐτοὺς ὠφέλησε. καθάπερ γὰρ ἐπὶ τῶν καμνόντων πολλὰ μὲν ἐπάγουσιν οἱ ἰατροί· ὁ δὲ συνετὸς οὐ τοῦτο σκοπεῖ, ὅτι τὸ καὶ τὸ ἐποίησεν ὁ ἀρρωστῶν, ἀλλὰ τί αὐτὸν ὠφέλησεν· οὕτω καὶ ἐνταῦθα σκοπεῖν δεῖ. τί οὖν ὠφέλησε τοὺς βαρβάρους ἐκείνους; ἐπέθηκαν νηστείαν τοῖς τραύμασι, καὶ σφοδρὰν νηστείαν ἐπέθηκαν, καὶ χαμευνίαν, καὶ σάκκου περιβολὴν, καὶ τέφραν, καὶ ὀδυρμούς· ἐπέθηκαν καὶ μεταβολὴν βίου.

Ἴδωμεν οὖν τί τούτων ἐποίησεν αὐτοὺς ὑγιεῖς. καὶ πόθεν εἰσόμεθα, φησίν; ἂν πρὸς τὸν ἰατρὸν ἔλθωμεν, ἂν αὐτὸν ἐρωτήσωμεν. οὐ γὰρ ἀποκρύψεται ἡμᾶς, ἀλλὰ καὶ σφόδρα ἐρεῖ. μᾶλλον δὲ ἵνα μηδεὶς ἀγνοῇ, μηδὲ ἐρέσθαι δέηται, καὶ ἀνέγραψε τὸ φάρμακον τὸ ἀναστῆσαν αὐτούς. τί οὖν τοῦτό ἐστιν; Εἶδε, φησὶν, ὁ θεὸς ὅτι ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς. οὐκ εἶπεν, ὅτι εἶδε νηστείαν, καὶ σάκκον, καὶ σποδόν. καὶ ταῦτα οὐ νηστείαν ἀναιρῶν λέγω· μὴ γένοιτο· ἀλλὰ τὸ τῆς νηστείας κρεῖττον ποιεῖν παραινῶν, τὸ πάσης κακίας ἀπέχεσθαι. ἥμαρτε καὶ ὁ Δαυίδ. ἴδωμεν οὖν καὶ οὗτος πῶς μετενόησε. τρεῖς ἡμέρας ἐκάθισεν ἐπὶ τέφρας. ἀλλ᾽ ἐκεῖνος οὐχ ὑπὲρ τῆς ἁμαρτίας ἐποίει, ἀλλ᾽ ὑπὲρ τοῦ παιδίου, μεθύων ἔτι τῷ πάθει· τὴν δὲ ἁμαρτίαν ἑτέρως ἀπέσμηχε, ταπεινοφροσύνῃ, συντριβῇ καρδίας, κατανύξει ψυχῆς, τῷ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, τῷ μεμνῆσθαι διηνεκῶς αὐτῆς, τῷ φέρειν εὐχαρίστως τὰ ἐπιόντα ἅπαντα, τῷ φείδεσθαι τῶν λυπούντων, τῷ μὴ ἀμύνεσθαι τοὺς ἐπιβουλεύοντας, ἀλλὰ καὶ τοὺς βουλομένους τοῦτο ποιεῖν, κωλύειν. ὅτε γοῦν αὐτὸν ὁ Σεμεεὶ μυρίοις ἔπλυνεν ὀνείδεσι, τοῦ στρατηγοῦ τοῦ παρόντος ἀγανακτοῦντος, ἔλεγεν, ἄφες αὐτὸν καταρᾶσθαί με, ὅτι κύριος ἐνετείλατο αὐτῷ. καρδίαν γὰρ συντετριμμένην καὶ τεταπεινωμένην εἶχεν, ὃ μάλιστα αὐτῷ τὰ ἁμαρτήματα ἀπέσμηχε. καὶ γὰρ τοῦτο ἐξομολόγησις, τοῦτο μετάνοια. ἂν δὲ νηστεύοντες ἀλαζόνες ὦμεν, οὐ μόνον οὐδὲν ὠφελήθημεν, ἀλλὰ καὶ ἐβλάβημεν. ταπείνωσον τοίνυν τὴν καρδίαν καὶ σὺ, ἵνα τὸν θεὸν ἐπισπάσῃ. ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. οὐχ ὁρᾷς ἐν ταῖς οἰκίαις ταῖς λαμπραῖς τοὺς ἠτιμωμένους, πῶς οὐδὲ τῶν ἐλαττόνων οἰκετῶν ὑβριζόντων αὐτοὺς ἀντιλέγουσιν, ἀλλὰ φέρουσι διὰ τὴν ἀτιμίαν, ἣν περιέβαλεν αὐτοὺς ἡ ἁμαρτία; οὕτω καὶ σὺ ποίει· κἂν λοιδορήσῃ σέ τις, μὴ ἀγριάνῃς, ἀλλὰ στέναξον, μὴ ἐπὶ τῇ ὕβρει, ἀλλ᾽ ἐπὶ τῇ ἁμαρτίᾳ τῇ σε εἰς ἀτιμίαν ἐμβαλούσῃ. στέναξον ὅταν ἁμάρτῃς, μὴ ὅτι κολάζεσθαι μέλλεις· τοῦτο γὰρ οὐδέν· ἀλλ᾽ ὅτι προσέκρουσάς σου τῷ δεσπότῃ τῷ οὕτως ἡμέρῳ, τῷ οὕτω σε φιλοῦντι καὶ ἐκκρεμαμένῳ τῆς σωτηρίας τῆς σῆς,

A nunc facitis: sed videamus quidnam ipsis utilitatem attulerit. Quemadmodum enim medici ægrotis multa quidem remedia adhibent: sed qui sagaci ingenio est, non hoc perpendit, quod hoc atque illo medicamento usus sit is qui adversa valetudine laborat, sed quam utilitatem hinc sit consequutus: eodem modo hic etiam res expendenda est. Quidnam igitur barbaris illis utilitati fuit? Vulneribus suis jejunium adhibuerunt, humi cubationem, saccum, cinerem, fletum: adjunxerunt etiam vitæ mutationem.

B 6. Videamus igitur quidnam horum sanitatem ipsis attulerit. Unde autem hoc sciemus, inquies? Si ad medicum accedamus, atque ipsum interrogemus. Neque enim id nos celabit: imo etiam libenter dicet. Imo potius ne quis ignoret, aut sciscitari necesse habeat, pharmacum quoque, quod eos erexit, literis mandavit. Quodnam igitur istud est? *Vidit*, inquit, *Deus quod conversus est* Jonæ. 3.
*unusquisque a via sua prava: & pœnituit eum* 10.
*malorum quæ loquutus fuerat ut faceret eis.* Non dixit, Vidit jejunium & cilicium, ac cinerem. Nec tamen hæc eo dico, ut jejunium tollam; avertat hoc Deus; sed ut vos ad id, quod jejunio præstantius est, faciendum hor-
C ter, hoc est, ut ab omni vitio abstineatis. Peccavit etiam David. Videamus igitur quo pacto hic quoque pœnitentiam egerit. Tres 1. Reg. 18.
totos dies in cinere sedit. At ille quidem hoc non ob peccatum fecit, sed filii causa, calamitate nimirum adhuc temulentus: peccatum autem alio modo abstersit, nempe per humilitatem, per cordis contritionem, per animæ compunctionem, dum etiam illud cavet, ne in eadem relabatur, dum peccati nunquam memoriam abjicit, dum irruentes omnes acerbitates grato animo fert, dum iis, a quibus molestia afficitur, parcit, dum eos, qui ipsi insidias parant, non ulciscitur, imo
D eos, qui id facere cupiunt, prohibet. Nam cum Semei eum innumeris probris obrueret, ac militarium copiarum præfectus, qui tum aderat, id indigno animo ferret, dicebat, *Sine illum mihi maledicere: Deus enim hoc ei* 2. Reg. 16.
*præcepit.* Cor quippe contritum & humilia- 11.
tum habebat, quod ipsius peccata maxime Psal 50. 19.
abstergebat. Nam hoc confessio, hoc pœnitentia est. Quod si jejunantes arrogantia laboremus, non modo nullum hinc emolumentum, sed etiam detrimentum capiemus. Quamobrem tu quoque cor tuum demitte, ut Deum allicias. Prope enim est his qui tri- Psal. 33.
E bulato sunt corde. Annon vides quomodo 18.
in splendidis ædibus, ii, qui dedecore affecti sunt, cum etiam ab infimis quibusque servis contumeliam accipiunt, non tamen colluctentur, sed ob infamiam eam, quam peccatum ipsis inussit, æquo animo id ferant? Idem quoque tu facias. Si quis te convitiis insectetur, ne exasperetis, sed ingemiscas, non ob illatam tibi contumeliam, sed ob peccatum quod te in ignominiam conjecit. Cum peccaveris ingemisce, non quod pœnas daturus sis, nihil enim hoc est; sed quod Dominum tuum offenderis, tam benignum, tam te amantem, tam denique saluti tuæ appensum,

ut filium quoque suum tua causa tradiderit.
Ingemisce ideo, neque unquam id facere in-
termitte. Etenim hoc demum est confessio.
Non nunc lætum, cras autem mœstum ac
rursum lætum te præbe; verum perpetuo in
Matt. 5. 4. luctu ac tui contritione mane. Beati enim,
inquit, qui lugent, hoc est, qui assidue hoc
faciunt. Hoc semper facias, tibique atten-
das, ac pectus tuum conteras, non secus ac
si quis amisso filio unice caro in luctu verse-
Joel. 2. 13. tur. Scindite etenim, inquit, corda vestra,
& non vestimenta vestra. Quod fractum est,
haudquaquam se in altum extulerit: quod
contrarium est, non exsurrexerit. Ob eam-
que causam alter ait, Scindite: alter autem,
Psal. 50. 19. Cor contritum & humiliatum Deus non
despiciet. Etsi sapiens es, etsi dives, etsi
princeps, pectus tamen scinde, nec ipsum
alte de se sentire, atque inflari sine. Nam
quod scissum est, non inflatur: etiamsi ali-
quid sit a quo extollatur; tamen quia scissum
est, inflationem ferre nequit. Sic tu quoque
Luc. 18. modestiæ atque animi summissioni stude. Il-
lud tibi in mentem veniat, Publicanum ob
unum verbum justificatum fuisse. Quam-
quam ne modestia quidem erat illa, sed vera
confessio. Quod si hoc tantam vim habet,
quanto quæso majorem habitura est humili-
tas? Iis, qui in te deliquerint, peccata re-
mitte. Nam hinc quoque peccata remittun-
tur. Ac de priori quidem ait, *Vidi quod ambula-*
Isai. 57. 18. *verit tristis: & sanavi vias ejus.* Et in Achab
istud Dei iram sustulit. De posteriore autem,
Luc. 7. 37. Dimittite, & dimittetur vobis. Est etiam alia
via, hoc pharmacum nobis ferens, scelerum
Isai. 43. 26. condemnatio. Dic enim tu prior iniquitates
tuas, inquit, ut justificeris. Illud item pec-
cata delet, si calamitate affectus gratias agas.
Ac demum id præstat, ea quæ omnibus an-
tecellit, eleemosyna. Numera igitur reme-
dia, quibus vulnera tua sanantur: atque om-
nia continenter impone, humilitatem nem-
pe, confessionem, injuriarum oblivionem,
gratiarum actionem in rebus adversis, mise-
ricordiam in juvandis tam pecunia quam stu-
dio atque officio proximis, firmas denique
ac continuas preces. Sic vidua illa immanis
Luc. 18. illius & crudelis judicis animum mitigavit.
Quod si illa iniquum, quanto magis tu man-
suetum ac facilem? Est & alia præter eas,
quas commemoravimus, via, nempe iis qui
injuria afficiuntur, præsidio esse. *Judicate*
Isai. 1. 17. enim *pupillo*, inquit, *& viduam justificate:*
*& venite, & disputemus. Si fuerint peccata*
*vestra sicut coccinum, quasi nivem ea dealba-*
*bo.* Quanam porro excusatione digni eri-
mus, si cum tot vias habeamus nos in cæ-
lum subvehentes, cum tot pharmaca, quæ
etiam post baptismum vulneribus medean-
tur, in iisdem tamen vitæ studiis persevere-
mus? Ne quæso perseveremus, verum ii qui-
dem, qui nondum lapsi sunt, in sua pulcri-
tudine perstent, imo eam magis, ac ma-
gis, excolant. Nam etiamsi præclara hæc of-
ficia peccata nulla reperiant, cumulatiorem
certe pulcritudinem reddunt. Nos vero, qui
peccata multa perpetravimus, ad correctio-

A ὡς καὶ τὸν υἱὸν ἐπιδοῦναι ὑπὲρ σοῦ. διὰ ταῦτα
στέναξον, καὶ τοῦτο ποίει διηνεκῶς. τοῦτο γὰρ ἐξο-
μολόγησις. μὴ νῦν μὲν φαιδρὸς, αὔριον δὲ σκυθρω-
πὸς, εἶτα φαιδρός· ἀλλὰ διαπαντὸς μένε ἐν
τῷ πενθεῖν καὶ συντρίβειν σαυτόν. μακάριοι γάρ,
φησιν, οἱ πενθοῦντες, τουτέστιν, οἱ διηνεκῶς τοῦτο
ποιοῦντες. μένε τοῦτο ποιῶν διηνεκῶς, καὶ σαυτῷ
προσέχων, καὶ συντρίβων σου τὴν καρδίαν, ὡς
ἄν τις γνήσιον υἱὸν ἀποβαλὼν, πενθοίη. διαῤῥήξατε,
φησι, τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν.
B τὸ γὰρ διεῤῥωγὸς οὐκ ἂν ἐπαρθείη· τὸ συντετριμ-
μένον οὐκ ἂν ἐξαναστάίη. διὰ τοῦτο ὁ μὲν λέγει,
διαῤῥήξατε· ὁ δὲ λέγει, καρδίαν συντετριμμένην
καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. κἂν
σοφὸς ᾖς, κἂν πλούσιος, κἂν δυνάστης, διάῤῥη-
ξον τὴν καρδίαν, μὴ ἀφῇς αὐτὴν μέγα φρονεῖν,
μηδὲ φυσᾶσθαι. τὸ γὰρ διεῤῥωγὸς οὐ φυσᾶται· κἂν
ᾖ τι τὸ ἐπαῖρον, οὐ δύναται στέγειν τὸ φύσημα διὰ τὸ
διεῤῥῆχθαι. οὕτω καὶ σὺ ταπεινοφρόνησον· ἐννόησον
ὅτι τελώνης ἀπὸ ῥήματος ἑνὸς ἐδικαιώθη. καίτοιγε
οὐδὲ ταπεινοφροσύνη ἐκεῖνο ἦν, ἀλλ᾽ ὁμολογία
C ἀληθής. εἰ δὲ τοῦτο τοσαύτην ἔχει ἰσχὺν, πόσῳ
μᾶλλον ταπεινοφροσύνη; ἄφες ἁμαρτήματα τοῖς
πεπλημμεληκόσιν εἰς σέ. καὶ γὰρ καὶ τοῦτο ἁμαρ-
τίας ἀφίησι. καὶ περὶ μὲν τοῦ προτέρου φησὶν, εἶδον
ὅτι ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ.
καὶ ἐπὶ τοῦ Ἀχαὰβ δὲ τοῦτο τὴν ὀργὴν ἔλυσε τοῦ
θεοῦ. περὶ δὲ τοῦ δευτέρου, ἄφετε, καὶ ἀφεθήσεται
ὑμῖν. ἔστι καὶ πάλιν ἄλλη ὁδὸς τοῦτο φέρουσα τὸ
φάρμακον ἡμῖν, ἡ κατάγνωσις τῶν πεπλημμελη-
μένων. λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα
δικαιωθῇς. καὶ τὸ κακῶς πάσχοντα εὐχαριστεῖν· λύει
D τὰ ἁμαρτήματα, καὶ ἡ πασῶν μείζων ἐλεημο-
σύνη. ἀρίθμει τοίνυν τὰ φάρμακα τὰ ἰώμενά σου
τραύματα, καὶ πάντα ἐπιτίθει συνεχῶς, ταπεινο-
φροσύνην, ἐξομολόγησιν, τὸ μὴ μνησικακεῖν, τὸ
πάσχοντα κακῶς εὐχαριστεῖν, τὸ ἐλεεῖν διὰ χρη-
μάτων, διὰ πραγμάτων, τὸ εὔχεσθαι καρτε-
ρικῶς. οὕτως ἡ χήρα τὸν ὠμὸν καὶ ἀπηνῆ ἐξιλεώ-
σατο δικαστήν. εἰ δὲ ἐκείνη τὸν ἄδικον, πολλῷ
μᾶλλον σὺ τὸν ἥμερον. ἔστι καὶ ἑτέρα μετὰ τού-
των ὁδὸς, τὸ προΐστασθαι τῶν ἀδικουμένων. κρί-
νατε γάρ, φησιν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν·
E καὶ δεῦτε, καὶ διαλεχθῶμεν, καὶ ἐὰν ὦσιν αἱ
ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ.
ποίας οὖν ἂν εἴημεν ἀπολογίας ἄξιοι, εἰ τοσαύτας
ἔχοντες ὁδοὺς εἰς τὸν οὐρανὸν ἀναγούσας, καὶ τοιαῦτα
φάρμακα ἰώμενα τὰ τραύματα, καὶ μετὰ τὸ λουτρὸν,
τοῖς αὐτοῖς ἐπιμένομεν; μὴ τοίνυν ἐπιμένωμεν·
ἀλλ᾽ οἱ μὲν μηδέπω πεσόντες, ἐν τῷ οἰκείῳ μενέ-
τωσαν κάλλει, μᾶλλον δὲ ἐπιπλέον ἀσκείτωσαν τοῦτο·
κἂν γὰρ μὴ εὕρῃ ἁμαρτήματα, ταῦτα τὰ κατορθώ-
ματα πλείονα ποιεῖ τὴν εὐμορφίαν. ἡμεῖς δὲ οἱ πολλὰ
πεπλημμεληκότες, εἰς τὴν τῶν ἁμαρτημάτων
διόρθωσιν

διόρθωσιν χρησώμεθα τοῖς εἰρημένοις, ἵνα τῷ βήματι τοῦ Χριστοῦ μετὰ παῤῥησίας παραστῶμεν πολλῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. A

## ΟΜΙΛΙΑ ε.

B

Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου.

ΤΑΥΤΑ δοκεῖ μὲν ἀνάξια εἶναι Παύλου τὰ ῥήματα, εἰ διὰ ἀπουσίαν ἀδελφοῦ τοσαύτην προήκατο σωτηρίαν. δοκεῖ δὲ καὶ τῆς ἀκολουθίας ἀπηρτῆσθαι. τί οὖν; βούλεσθε πρότερον ἀποδείξωμεν ὅτι τῆς ἀκολουθίας ἤρτηται, ἢ ὅτι οὐδὲν ἀνάξιον εἴρηκεν ἑαυτοῦ; ἐμοὶ δοκεῖ τὸ δεύτερον. οὕτω γὰρ C κἀκεῖνο ἡμῖν εὐκολώτερον ἔσται καὶ σαφέστερον. πῶς οὖν ἤρτηται τῶν προτέρων ταῦτα; ἀναμνησθῶμεν αὐτῶν ἐκείνων, καὶ οὕτως εἰσόμεθα τοῦτο. τίνα οὖν ἦν τὰ πρότερα; ἅπερ ἔλεγεν ἀρχόμενος· οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως, φησὶ, τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν· καὶ δείξας πῶς ἀπηλλάγη, καὶ τὰ ἐν μέσῳ παρενθεὶς, ἀναγκαίως διδάσκει πάλιν ὅτι καὶ ἑτέρως ἐθλίβη. πῶς καὶ τίνι τρόπῳ; τῷ μὴ εὑρεῖν Τίτον. δεινὸν μὲν γὰρ, καὶ ἱκανὸν κα- D ταβαλεῖν ψυχὴν, καὶ τὸ πειρασμοὺς ὑπομένειν· ὅταν δὲ ὁ παραμυθούμενος μὴ ᾖ, καὶ δυνάμενος τὸ φορτίον συνδιενεγκεῖν, μείζων γίνεται ὁ χειμών. Τίτος δὲ αὐτός ἐστιν, ὅν φησι προϊὼν πρὸς αὐτὸν ἀφῖχθαι παρ' αὐτῶν, καὶ περὶ οὗ πολλὰ καὶ μεγάλα διεξέρχεται ἐγκώμια, καὶ ὃν ἔφησεν ἀπεσταλκέναι. δεῖξαι τοίνυν βουλόμενος ὅτι καὶ ταύτῃ δι' αὐτοὺς ἐθλίβη, ταῦτα εἴρηκεν. ὅτι μὲν οὖν ἤρτηται τῶν προτέρων τὰ εἰρημένα, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐδὲ ἀνάξια Παύλου, καὶ τοῦτο δεῖξαι πειρασόμεθα. οὐ γὰρ λέγει, ὅτι ἐνεπόδισε τῇ σωτηρίᾳ τῶν προσ- E ιέναι μελλόντων ἡ ἀπουσία Τίτου, οὐδ' ὅτι παρεῖδε τοὺς πιστεύσαντας διὰ τοῦτο, ἀλλ' ὅτι οὐκ ἔσχηκεν ἄνεσιν, τουτέστιν, ἐθλίβη, ὠδυνήθη διὰ τὴν ἀπουσίαν τοῦ ἀδελφοῦ, δεικνὺς ὅσον ἐστὶν ἀδελφοῦ ἀπουσία· καὶ διὰ τοῦτο ἀπῆλθεν ἐκεῖθεν. τί δέ ἐστιν, ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον; οὐχ ἁπλῶς, φησιν, ἐπεδήμησα, ἀλλ' ὥστε κηρύξαι. ἀλλ' ὅμως καὶ διὰ τοῦτο ἐλθὼν, καὶ εὑρὼν ἔργον μέγιστον· θύρας γάρ μοι ἀνεῳγμένης ἐν κυρίῳ· οὐκ ἔσχηκα ἄνεσιν, φησιν. οὐ μὴν διὰ τοῦτο

nem, ea quæ diximus, adhibeamus: ut ad Christi tribunal cum magna fiducia adstemus; cujus utinam nos omnes participes simus, per gratiam & benignitatem Domini nostri Jesu Christi, cum quo Patri, & Spiritui sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA V.

12. *Cum autem venißem Troadem propter evangelium Christi, & ostium mihi apertum esset in Domino, non habui requiem spiritui meo, eo quod non invenerim Titum fratrem meum.*

1. HÆC quidem verba indigna Paulo esse videntur, nempe quod ob fratris absentiam tantam salutis afferendæ occasionem abjecerit. Ac præterea videntur ista non satis cum prioribus cohærere. Quid igitur? vultis ut prius ostendam, eum nihil seipso indignum dixisse? aut hæc ad seriem quadrare? Meo quidem judicio satius fuerit, posterius priore loco demonstrare. Sic enim alterum quoque facilius ac dilucidius fuerit. Quomodo igitur hæc cum superioribus cohærent? Illa ipsa in memoriam redigamus, atque ita istud intelligemus. Quænam igitur illa erant? Quæ initio dicebat, *Nolo vos ignorare de tribulatione quæ facta est nobis in Asia, quoniam supra modum gravati sumus supra virtutem.* Postea autem ubi ostendit quomodo liberatus sit, eaque, quæ in medio sunt, interjecit, necessario rursus docet se alio quoque modo afflictum fuisse. Quî tandem istud? Quod Titum non invenerit. Etenim istud quidem grave est, atque ad consternandum animum magnam vim habens, nempe tentationes subire: at cum deest qui consoletur, sarcinamque una sufferre queat, tum major est tempestas. Titus porro ipse est, quem infra ab illis ad se venisse refert, & de quo multas ac præclaras laudes recenset, quemque a se missum esse dicebat. Ut ostendat ergo se ipsorum causa hanc quoque afflictionem subiisse, his verbis usus est. Quod itaque hæc verba pulcre cum superioribus cohæreant, hinc perspicue patet; quod autem Paulo non indigna sint, id quoque planum facere conabor. Neque enim hoc dicit, quod Titi absentia eorum qui ad fidem accessuri erant, saluti moram attulerit, nec quod propterea eos qui fidem susceperant, contemserit, sed quod requiem non habuerit, hoc est, ob fratris absentiam in afflictione ac dolore versatus sit; hinc nimirum ostendens quanti momenti sit fratris absentia; atque ideo illinc excesserit. Quid autem hæc verba sibi volunt, *Cum venissem Troadem propter evangelium?* Non, inquit, temere eo profectus sum, sed ut prædicarem. Et tamen licet ea de causa eo me contulissem, ac maximum opus reperissem; *ostium* enim, inquit, *mihi apertum esset in Domino;* non habui requiem: tametsi non propterea opus im-

peditum fuerit. Cur ergo dicit, 13. *Valefaciens eis, abii?* hoc est, præ animi angustia ac dolore non diuturno tempore illic moratus sum. Ac fortasse etiam illius absentia negotio impedimentum afferebat. Hoc porro non parvæ quoque consolationi ipsis erat. Nam si, cum fores illic apertæ essent, atque ob eam causam venisset, quoniam fratrem non invenit, confestim abscessit, multo æquius est, inquit, vos negotiorum angustiis ac necessitatibus ignoscere, quæ nos quaquaversum agunt, ac circumagunt, nec ad eos, quos volumus, arbitratu nostro proficisci, ac diutius apud eos morari sinunt. Unde etiam, ut supra Spiritui, ita hic quoque Deo peregrinationes suas adscribens, hæc subjungit: 14. *Deo autem gratias, qui semper triumphat nos in Christo Jesu, & bonum odorem notitiæ suæ manifestat per nos in omni loco.* Etenim ne tamquam lugens hæc deplorare videatur, gratias Deo agit. Quod autem ait, hunc sensum habet: ubique afflictio, ubique anxietas. Veni in Asiam: gravatus sum supra vires. Veni Troadem: fratrem non inveni. Ad vos non veni: hoc quoque non parvam, imo perquam ingentem mœstitiam mihi attulit. Illudque præterea, quod multi apud vos peccaverint, eaque mihi, cur vos minime viderem, causa fuerit. Parcens enim vobis non veni Corinthum, inquit. Quare ne hæc per deplorationem dicere videretur, subdit, Non modo non dolemus in hisce tribulationibus, sed etiam gaudemus: quodque majus est, non modo propter futura præmia, sed etiam ob præsentia. Siquidem hic quoque ob eam causam clari atque illustres sumus. Quocirca tantum abest ut luctu afficiamur, ut etiam triumphum rem istam appellemus, atque ob ea quæ contingunt, gloriemur. Eoque nomine dicebat, *Gratias autem Deo, qui semper triumphat nos*, hoc est, qui nos apud omnes splendidos reddit. Nam quod dedecoris speciem habet, nimirum undique pelli, hoc nos summo honori ducimus. Ideo non dixit: qui nos conspicuos reddit, sed *qui triumphat.* Qua voce hoc indicat, hujusmodi persequutiones ubique terrarum perpetua adversus diabolum tropæa erigere. Deinde una cum eo, qui triumphat, causam etiam afferens, hinc quoque auditoris animum erigit. Non enim, inquit, a Deo tantum in triumphum agimur, sed etiam in Christo, hoc est, propter Christum ac prædicationem. Nam cum triumphare opus sit, omnino nos quoque qui tropæum ferimus, conspicuos esse necesse est, quandoquidem ipsum gestamus. Ob idque clari ac celebres sumus. *Et odorem notitiæ suæ manifestat per nos in omni loco.*

2. Superius dixit: *semper triumphat:* hic, *in omni loco*, inquit: illud nimirum indicans, nec locum, nec tempus ullum esse, quod non apostolicis certaminibus impletum sit. Atque altera rursus metaphora utitur, a suavi odore ducta. Ut enim qui unguentum ge-

A ἐνεπόδισε τὸ ἔργον. πῶς οὖν φησιν, ὅτι ἀποταξάμενος ἐξῆλθον; τουτέστιν, οὐ διέτριψα πλείονα χρόνον, στενοχωρούμενος, ὀδυνώμενος. ἴσως δὲ καὶ ἐνεποδίζετο τὸ ἔργον, ἐκείνου ἀπόντος. τοῦτο δὲ οὐ μικρὰ καὶ τούτοις παραμυθία. εἰ γὰρ ἐκεῖ θύρας ἀνεῳγμένης, καὶ εἰς τοῦτο ἐλθὼν, ἐπειδὴ τὸν ἀδελφὸν οὐχ εὗρεν, ἀπεπήδησε ταχέως, πολλῷ μᾶλλον ὑμᾶς, φησὶ, συγγινώσκειν χρὴ ταῖς τῶν πραγμάτων ἀνάγκαις ἀγούσαις καὶ περιαγούσαις ἡμᾶς πανταχοῦ, καὶ οὐκ ἐώσαις, ὡς βουλόμεθα, οὔτε ἀποδημεῖν, B οὔτε ἐνδιατρίβειν οἷς ἂν ἐθέλωμεν ἐπιπλέον. διὸ καὶ ἐπάγει πάλιν, ὥσπερ ἄνω τῷ πνεύματι, οὕτω καὶ ἐνταῦθα τῷ θεῷ τὰς ἀποδημίας ἀνατιθεὶς, καὶ λέγων, τῷ δὲ θεῷ χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. ἵνα γὰρ μὴ δόξῃ ὡς θρηνῶν ταῦτα ἀποδύρεσθαι, χάριν ἀναπέμπει τῷ θεῷ. ὃ δὲ λέγει, τοῦτό ἐστι· πανταχοῦ θλίψις, πανταχοῦ στενοχωρία. ἦλθον εἰς τὴν Ἀσίαν· ἐβαρήθην ὑπὲρ δύναμιν. ἦλθον εἰς τὴν Τρωάδα· οὐχ εὗρον τὸν ἀδελφόν. οὐκ ἦλθον πρὸς ὑμᾶς· οὐ μικρὰν μοι καὶ τοῦτο ἀθυμίαν ἐνεποίησεν, C ἀλλὰ καὶ σφόδρα μεγάλην, καὶ τὸ πολλοὺς ἡμαρτηκέναι παρ' ὑμῖν, καὶ τὸ διὰ τοῦτο ὑμᾶς μὴ ὁρᾷν. φειδόμενος γὰρ ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθόν, φησιν. ἵν' οὖν μὴ δόξῃ ὀλοφύρεσθαι ταῦτα λέγων, ἐπάγει, ὅτι οὐ μόνον οὐκ ἀλγοῦμεν ἐν ταῖς θλίψεσι ταύταις, ἀλλὰ καὶ χαίρομεν· καὶ τὸ μεῖζον, οὐ τῶν μελλόντων ἕνεκεν μόνον ἐπάθλων, ἀλλὰ καὶ αὐτῶν τῶν παρόντων. καὶ γὰρ ἐνταῦθά ἐσμεν λαμπροὶ ἐκ τούτων καὶ περιφανεῖς. τοσοῦτον τοίνυν ἀπέχομεν τοῦ θρηνεῖν, ὅτι καὶ θρίαμβον τὸ πρᾶγμα καλοῦμεν, καὶ ἐγκαλλωπιζόμεθα τοῖς γινομένοις. D διὸ καὶ ἔλεγε, τῷ δὲ θεῷ χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι· τουτέστι, τῷ πᾶσι ποιοῦντι περιφανεῖς. ὃ γὰρ δοκεῖ εἶναι ἀτιμίας, τὸ πάντοθεν ἐλαύνεσθαι, τοῦτο τιμῆς ἡμῖν εἶναι φαίνεται μεγίστης. διὸ οὐκ εἶπε, τῷ καταδήλους ποιοῦντι, ἀλλὰ, τῷ θριαμβεύοντι· δεικνὺς, ὅτι οἱ διωγμοὶ οὗτοι τρόπαια συνεχῆ κατὰ τοῦ διαβόλου πανταχοῦ τῆς γῆς ἀνιστῶσιν. εἶτα μετὰ τοῦ θριαμβεύοντος θεὶς καὶ τὴν ὑπόθεσιν, ἀνίστησι κἀντεῦθεν τὸν ἀκροατήν. οὐ γὰρ μόνον ὑπὸ τοῦ θεοῦ θριαμβευόμεθα, ἀλλὰ E καὶ ἐν Χριστῷ· τουτέστι, διὰ Χριστὸν καὶ τὸ κήρυγμα. ἐπειδὴ γὰρ θριαμβεῦσαι δέῃ, ἀνάγκη πᾶσα καὶ ἡμᾶς τοὺς φέροντας τὸ τρόπαιον καταδήλους εἶναι, ἐπειδὴ αὐτὸν βαστάζομεν. διὰ τοῦτο περίβλεπτοί ἐσμεν, καὶ περιφανεῖς. καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ.

Ἄνω εἶπε, πάντοτε θριαμβεύοντι, ἐνταῦθα, ἐν παντὶ τόπῳ φησί· δεικνὺς ὅτι καὶ τόπος καὶ καιρὸς πᾶς τῶν ἄθλων ἐμπέπλησται τῶν ἀποστολικῶν. καὶ ἑτέρᾳ πάλιν κέχρηται μεταφορᾷ τῇ τῆς εὐωδίας. καθάπερ γὰρ μύρον βαστάζοντες, οὕτω πᾶσίν ἐσμεν

καταδήλοι, φησί· μύρον πολύτιμον τὴν γνῶσιν λέγων. καὶ οὐκ εἶπε, τὴν γνῶσιν, ἀλλ᾽, ὀσμὴν γνώσεως. τοιοῦτον γὰρ ἡ παροῦσα γνῶσις· οὐ σφόδρα σαφής, οὐδὲ ἐκκεκαλυμμένη. διὸ καὶ ἐν τῇ προτέρᾳ ἔλεγεν ἐπιστολῇ, βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι· καὶ ἐνταῦθα ὀσμὴν [a] τὸ τοιοῦτον μύρον καλεῖ. ὁ δὲ τὴν ὀσμὴν εἰδὼς, ὅτι μέν ἐστι μύρον που κείμενον οἶδε· ποταπὸν δὲ τὴν οὐσίαν, οὐκέτι, ἐὰν μὴ πρότερον αὐτὸ εἰδὼς τύχῃ. οὕτω καὶ ἡμεῖς, ὅτι μέν ἐστι θεὸς ἴσμεν· τί δὲ τὴν οὐσίαν, οὐκέτι· ὥσπερ οὖν θυμιατήριόν ἐσμεν βασιλικὸν, ὅπου ἂν ἀπέλθωμεν τοῦ οὐρανίου πνέοντες μύρου, καὶ τῆς πνευματικῆς εὐωδίας. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ τοῦ κηρύγματος δεικνὺς τὴν ἰσχὺν, ὅτι δι᾽ ὧν ἐπιβουλεύονται, διὰ τούτων λάμπουσι μᾶλλον τῶν διωκόντων αὐτοὺς, καὶ πᾶσαν τὴν οἰκουμένην ποιούντων εἰδέναι καὶ τὰ τρόπαια αὐτῶν καὶ τὴν εὐωδίαν, καὶ παρακαλῶν ὑπὲρ τῶν θλίψεων αὐτοὺς καὶ τῶν πειρασμῶν, ὥστε πάντα φέρειν γενναίως, εἴγε καὶ πρὸ τῆς ἀντιδόσεως ἄφατον καρποῦνται τὸ κλέος. ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. ἄν τε γὰρ σώζηταί τις, φησὶν, ἄν τε ἀπόλληται, τὸ εὐαγγέλιον τὴν οἰκείαν ἀρετὴν ἔχον μένει. [b] καὶ καθάπερ ὁ ἥλιος, κἂν σκοτίζῃ τοὺς ἀσθενεῖς, φῶς ἐστι, καίτοι σκοτίζον· καὶ τὸ μέλι κἂν πικρὸν ᾖ τοῖς νοσοῦσι, γλυκὺ τὴν φύσιν ἐστὶν, οὕτω καὶ τὸ εὐαγγέλιον εὐῶδές ἐστι, κἂν ἀπολλύωνταί τινες ἀπιστοῦντες. οὐ γὰρ αὐτοῦ ἔργον ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. καὶ ταύτῃ δὲ μάλιστα ἡ εὐωδία αὐτοῦ φαίνεται, ᾗ οἱ διεφθαρμένοι καὶ πονηροὶ ἀπόλλυνται. ὥστε οὐκ ἀπὸ τῆς τῶν ἀγαθῶν σωτηρίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν πονηρῶν ἀπωλείας δείκνυται αὐτοῦ ἡ ἀρετή. ἐπεὶ καὶ ὁ ἥλιος, ἐπειδὴ σφόδρα φαιδρός ἐστι, διὰ τοῦτο μάλιστα πλήττει τῶν ἀσθενούντων τὰς ὄψεις· καὶ ὁ σωτὴρ εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασίν ἐστιν, ἀλλ᾽ ὅμως μένει σωτὴρ ὢν, καὶ μυρίων πιπτόντων· καὶ ἡ παρουσία αὐτοῦ μειζόνως ἐκόλασε τοὺς μὴ πειθομένους, ἀλλ᾽ ὅμως μένει σωτήριος οὖσα. διὰ τοῦτο καὶ αὐτὸς φησὶν, ὅτι τῷ θεῷ εὐωδία ἐσμέν· τουτέστι, κἂν ἀπολλύωνταί τινες, ἡμεῖς μένομεν τοῦτο ὄντες ὅπερ ἐσμέν. καὶ οὐχ ἁπλῶς εἶπεν, εὐωδία, ἀλλὰ, τῷ θεῷ. ὅταν δὲ τῷ θεῷ εὐωδία ὦμεν, κἀκεῖνος ταῦτα ψηφίζηται, τίς ἀντερεῖ λοιπόν; καὶ τὸ, Χριστοῦ δὲ εὐωδία, διπλῆν μοι τὴν ἐξήγησιν ἔχειν δοκεῖ. ἢ γὰρ τοῦτό φησιν, ὅτι ἑαυτοὺς θυσίαν προσέφερον ἀποθνήσκοντες, ἢ ὅτι τῆς τοῦ Χριστοῦ σφαγῆς εὐωδία ἐσμέν· ὡς ἂν εἴποι τις, τοῦδε τοῦ ἱερείου εὐωδία ἐστὶ τόδε τὸ θυμίαμα. ἢ τοῦτο οὖν ἐμφαίνει τῆς εὐωδίας τὸ ὄνομα· ἢ, ὅπερ ἔφθην, ὅτι καθημέραν θύονται διὰ τὸν Χριστόν. εἶδες ποῦ τοὺς πειρασ-

stant, inquit, sic cunctis ipsi conspicui sumus: preciosum unguentum, Dei cognitionem vocans. Nec dixit: *Notitiam*, sed, *odorem notitiæ*. Ejusmodi enim est præsens cognitio, hoc est, non admodum perspicua & reserata. Ob idque in priore epistola dicebat: Videmus nunc per speculum in ænigmate. (1. Cor. 13. 12.) Atque hic odorem hoc unguentum vocat. Porro qui odorem sensit, illud quidem novit, unguentum alicubi conditum esse: at cujusmodi naturæ, non item, nisi prius id perspectum habuerit. Eodem nos quoque modo quod sit Deus, scimus: quidnam autem natura sit, non item. Itaque tamquam thuribulum regium sumus, cæleste unguentum, ac spiritualem fragrantiam, quoquo Gentium pergamus, redolentes. Hæc autem dicebat, partim ut evangelicæ prædicationis vim demonstraret; nempe quod per eos, a quibus insidiæ ipsis pararentur, magis elucerent, dum videlicet eorum persequutores hoc facerent, ut universus orbis, tum eorum tropæa, tum odoris suavitatem exploratam haberet; partim etiam ut eos ad omnes afflictiones & tentationes forti animo perferendas cohortaretur: quippe cum etiam ante cæleste præmium gloriam perciperent, quæ nullis verbis explicari posset. 15. *Quia Christi bonus odor sumus Deo in iis qui salvi fiunt, & in iis qui pereunt.* Sive enim quis salutem consequatur, inquit, sive pereat, evangelio semper virtus sua constat. Et sicut sol, licet infirmis oculis tenebras offundat, lumen tamen est: ac mel, etiamsi ægrotis amarum sit, suapte tamen natura dulce est; sic evangelium suavi odore præditum est, etiamsi quidam non credentes pereant. Neque enim illud exitii causa est, sed eorum perversitas. Quin hinc quoque vel maxime ipsius suavitas perspicitur, quod qui improbi ac corrupti sunt, pereant. Ac proinde non modo per bonorum salutem, sed etiam per improborum interitum ipsius virtus declaratur. Nam & sol, quia perquam clarus est, ea re potissimum infirmorum oculos perstringit. Ac Salvator in multorum ruinam & resurrectionem est: & tamen Salvator manet, quamvis innumeri cadant. Atque ipsius præsentia gravius punit eos qui non obsequuntur, tamenque salutaris manet. Ideo Paulus ait: *Deo bonus odor sumus;* hoc est: Quamvis nonnulli pereant, interim tamen id esse perstamus, quod sumus. Nec absolute dixit: *Bonus odor sumus;* sed, *Deo.* Porro cum Deo bonus odor simus, atque ille hæc calculo suo comprobet, quis jam contradicat? Quin hæc verba, *Christi bonus odor sumus*, mihi duplici modo exponi posse videntur. Aut enim hoc ait, quod seipsos victimam offerrent, dum mortem oppeterent: vel, quod necis Christi bonus odor simus: perinde ac si quis dicat: Hujusce victimæ bonus odor est hic suffitus. Aut igitur hoc significat boni odoris vocabulum, aut, quod ante dixi, quod quotidie Christi causa mactentur. Vides quo tentationes subvexerit,

[a] Mss. τὸ τοιοῦτον μύρον. In editis μύρον deest. In Coisliniano Mss. hic aliquot folia ablata fuere.

[b] ὁ ἥλιος, sic legit interpres Latinus & sic legendum. Editi, τὸ φῶς habent.

cum triumphum eas, & odorem, oblatumque Deo sacrificium appellat? Deinde postquam dixit: *Bonus odor sumus in iis qui pereunt*, ne hoc existimes illos quoque Deo gratos & acceptos esse, subjunxit, 16. *Aliis quidem odor mortis in mortem, aliis autem odor vitæ in vitam.* Hanc enim fragrantiam quidam ita suscipiunt, ut salvi fiant: quidam rursus ita, ut pereant. Itaque etiamsi pereat aliquis, ipse in culpa est. Nam & sues unguento suffocari dicuntur: & lumen, ut antea dixi, infirmis oculis tenebras offundit. Atque hujusmodi bonorum natura est, ut non ea tantum, quæ ipsis familiaria sunt, sanent, sed etiam contraria perdant. Hincque maxime vis eorum declaratur. Siquidem & ignis, non solum cum illuminat, aut cum aurum purgat, sed etiam cum spinas absumit, vim suam maxime indicat, atque hac ratione ignem se esse demonstrat. Eodem modo Christus hinc quoque majestatis suæ specimen edit, cum oris sui spiritu antichristum opprimit, ac per adventum præsentiæ suæ de medio tollit. *Et ad hæc quis idoneus?* Quoniam magnifice loquutus erat dicens, Christi sacrificium, ac bonus odor sumus, atque ubique triumphamus, rursus moderatione utitur, Deo cuncta assignans. Ob idque ait: *Et ad hæc quis idoneus?* Hoc enim totum Christi est, inquit: nihil est quod nobis arrogemus. Viden' quomodo secus quam pseudapostoli loquatur? Etenim illi gloriabantur, perinde ac si ad prædicationem aliquid ex se afferrent: hic autem eo nomine se gloriari ait, quod nihil ipsius sit. *Gloria enim nostra hæc est*, inquit, *testimonium conscientiæ nostræ, quoniam non in sapientia carnali, sed in gratia Dei conversati sumus in mundo.* Ob cujus rei, hoc est, externæ sapientiæ, adeptionem, gloriandum sibi illi existimabant, de hujus rei sublatione hic gloriatur. Unde etiam hoc loco ait, *Et ad hæc quis idoneus?* Quod si minime idonei sumus, gratiæ profecto id est quod geritur. 17. *Non enim sumus sicut reliqui adulterantes verbum Dei.*

Sues unguento suffocantur.

2. Cor. 1. 12.

3. Nam etsi magna quædam loquimur; tamen nihil nostra opera recte factum fuisse, sed omnia Christi esse diximus. Neque enim pseudapostolos imitabimur, qui pleraque sua esse dicunt. Hoc enim est cauponari, cum quis vinum adulterat: cum quis pecunia id vendit, quod gratis dare debebat. Hoc enim loco, & de quæstu eos perstringere videtur, & rursus, id quod dixi, subindicare, nempe quod sua illi divinis admisceant. Qua de re Esaias etiam accusabat, Caupones tui vinum aqua miscent. Nam etsi de vino hoc dictum est, non tamen aberrarit, qui de doctrina hoc quoque intellexerit. At non nos, inquit, ad hunc modum: sed qualia nostræ fidei commissa sunt, talia quoque ea præbemus, doctrinam meram propinantes. Unde subjunxit: *Sed ex sinceritate tamquam ex Deo, coram Deo in Christo loquimur.* Non ut vos decipiamus ita prædicamus, inquit, tamquam vobis gratificantes, aut tamquam a

Isai. 1. 22.

A μοὺς ἀνήγαγε, θρίαμβον καὶ εὐωδίαν καλῶν, καὶ θυσίαν τῷ Θεῷ προσαγομένην; Εἶτα, ἐπειδὴ εἶπεν, εὐωδία ἐσμὲν, καὶ ἐν τοῖς ἀπολλυμένοις, ἵνα μὴ νομίσῃς ὅτι κἀκεῖνοι εὐπρόσδεκτοί εἰσιν, ἐπήγαγε· τοῖς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον· τοῖς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν. τὴν γὰρ εὐωδίαν ταύτην οἱ μὲν οὕτω προσίενται ὥστε σωθῆναι· οἱ δὲ οὕτως, ὥστε ἀπόλλεσθαι. ὥστε κἂν ἀπολλύηταί τις, παρ' αὐτοῦ ἡ αἰτία. ἐπεὶ καὶ τὰς ὗς τὸ μύρον λέγεται πνίγειν, καὶ τὸ φῶς, ὅπερ ἔφθην εἰπὼν, τοὺς ἀσθενεῖς σκοτίζειν. καὶ τοιαύτη ἀγαθῶν ἡ φύσις· οὐ τὰ οἰκεῖα διορθοῦται μόνον, B ἀλλὰ καὶ τὰ ἐναντία ἀπόλλυσι. καὶ ταύτῃ μάλιστα διαδείκνυται αὐτῶν ἡ δύναμις. καὶ γὰρ καὶ τὸ πῦρ οὐχ ὅταν φωτίζῃ μόνον, οὐδ' ὅταν χρυσίον καθαίρῃ, ἀλλὰ καὶ ὅταν ἀκάνθας δαπανᾷ, μάλιστα τὴν οἰκείαν ἰσχὺν ἐπιδείκνυται, καὶ ταύτῃ φαίνεται πῦρ· καὶ ὁ Χριστὸς δὲ ταύτῃ τὴν μεγαλωσύνην αὐτοῦ ἐνδείκνυται, ὅταν ἀναλώσῃ τὸν ἀντίχριστον τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσῃ τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. καὶ πρὸς ταῦτα τίς ἱκανός; ἐπειδὴ μεγάλα ἐφθέγξατο, ὅτι θυσία ἐσμὲν τοῦ Χριστοῦ, C καὶ εὐωδία, καὶ θριαμβευόμεθα πανταχοῦ, πάλιν μετριάζει, τῷ Θεῷ πάντα ἀνατιθείς. διὸ καί φησι, καὶ πρὸς ταῦτα τίς ἱκανός; τὸ γὰρ πᾶν τοῦ Χριστοῦ, φησιν, ἐστιν· οὐδὲν ἡμέτερον. ὁρᾷς ἀπεναντίας τοῖς ψευδαποστόλοις φθεγγόμενον; οἱ μὲν γὰρ καυχῶνται ὡς παρ' ἑαυτῶν εἰσφέροντές τι εἰς τὸ κήρυγμα, οὗτος δὲ διὰ τοῦτό φησι καυχᾶσθαι, ἐπειδὴ οὐδὲν αὐτοῦ φησιν εἶναι. ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως, ὅτι οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ. καὶ οὗ τὴν κτῆσιν ἐνόμιζον ἐκεῖνοι εἶναι καύχη- D μα, τῆς σοφίας λέγω τῆς ἔξωθεν, οὗτος τὴν ἀναίρεσιν· διὸ καὶ ἐνταῦθά φησι, καὶ πρὸς ταῦτα τίς ἱκανός; Εἰ δὲ μὴ ἱκανοὶ, χάριτος τὸ γινόμενον. οὐ γάρ ἐσμεν, ὥσπερ οἱ λοιποὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Εἰ γὰρ καὶ μεγάλα φθεγγόμεθα, ἀλλ' οὐδὲν ἡμέτερον ἔφαμεν εἶναι κατόρθωμα, ἀλλὰ τὰ πάντα τοῦ Χριστοῦ. οὐδὲ γὰρ μιμησόμεθα τοὺς ψευδαποστόλους, τοὺς τὰ πολλὰ αὐτῶν εἶναι λέγοντας. τοῦτο γάρ ἐστι καπηλεῦσαι, ὅταν τις νοθεύῃ τὸν οἶνον, ὅταν τις χρημάτων πωλῇ, ὅπερ δωρεὰν ἔδει E δοῦναι. ἐνταῦθα γὰρ καὶ εἰς χρήματα αὐτοὺς σκώπτειν μοι δοκεῖ, καὶ ὅπερ εἶπον αἰνίττεσθαι πάλιν, οἷον, ὅτι τὰ αὐτῶν ἀναμιγνύουσι τοῖς θείοις· ὅπερ καὶ Ἡσαΐας ἐγκαλῶν ἔλεγεν, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. Εἰ γὰρ καὶ περὶ οἴνου τοῦτο εἴρηται, οὐκ ἄν τις ἁμάρτοι καὶ εἰς διδασκαλίαν αὐτὸ ἐκλαμβάνων. ἀλλ' οὐχ ἡμεῖς, φησιν, οὕτως· ἀλλ' οἷα ἐπιστεύθημεν, τοιαῦτα παρέχομεν, ἀκέραιον κιρνῶντες τὸν λόγον. διὸ ἐπήγαγεν· ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν. οὐκ ἀπατῶντες ὑμᾶς, φησιν, οὕτω κηρύττομεν, οὐδὲ ὡς χαριζόμενοι ὑμῖν·

ἢ παρ' ἑαυτῶν τι εἰσφέροντες καὶ ἀναμιγνῦντες, ἀλλ' ὡς ἐκ Θεοῦ· τουτέστιν, οὐ λέγομεν ὅτι οἴκοθέν τι χαριζόμεθα, ἀλλ' ὅτι πάντα ὁ Θεὸς ἔδωκε. τοῦτο γάρ ἐστι τὸ, ἐκ Θεοῦ· τὸ μηδὲν καυχᾶσθαι ὡς ἴδιον ἔχοντα, ἀλλὰ πάντα εἰς αὐτὸν ἀναφέρειν. ἐν Χριστῷ λαλοῦμεν· οὐδὲν τῇ ἡμετέρᾳ σοφίᾳ, ἀλλὰ τῇ παρ' ἐκείνου δυνάμει ἐνηχούμενοι. οἱ δὲ καυχώμενοι, οὐχ οὕτως, ἀλλ' ὡς παρ' ἑαυτῶν τι εἰσφέροντες. διὸ καὶ ἀλλαχοῦ αὐτοὺς κωμῳδεῖ λέγων, τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; αὕτη μεγίστη ἀρετὴ, τὸ πάντα τῷ Θεῷ ἀναθεῖναι, τὸ μηδὲν οἰκεῖον εἶναι νομίζειν, τὸ μηδὲν πρὸς ἀνθρώπων δόξαν ποιεῖν, ἀλλὰ πρὸς τὸ δοκοῦν τῷ Θεῷ. οὗτος γάρ ἐστιν ὁ τὰς εὐθύνας ἀπαιτῶν. νῦν δὲ ἡ τάξις ἀντέστραπται· καὶ τὸν μὲν ἐπὶ τοῦ βήματος καθήμενον, καὶ τὰς εὐθύνας ἀπαιτήσοντα οὐ σφόδρα δεδοίκαμεν· τοὺς δὲ μεθ' ἡμῶν ἑστῶτας καὶ κρινομένους φρίττομεν. πόθεν οὖν ἡ νόσος αὕτη; πόθεν εἰς τὰς ἡμετέρας κατέσκηψε ψυχάς; ἀπὸ τοῦ μὴ διηνεκῶς τὰ ἐκεῖ λογίζεσθαι, ἀλλὰ τοῖς παροῦσι προσηλῶσθαι. ἐντεῦθεν καὶ ἐν ταῖς πονηραῖς πράξεσιν εὐκόλως πίπτομεν· κἂν ἀγαθόν τι πράξωμεν, πρὸς ἐπίδειξιν ποιοῦμεν, ὥστε κἀντεῦθεν ἡμῖν γίνεσθαι τὴν ζημίαν. εἶδε γυναῖκά τις ἀκολάστοις ὀφθαλμοῖς τινα πολλάκις, καὶ ἔλαθε καὶ τὴν ὀφθεῖσαν καὶ τοὺς συμβαδίζοντας· ἀλλὰ τὸν ἀκοίμητον οὐκ ἔλαθεν ὀφθαλμόν. ἐκεῖνος γὰρ καὶ πρὶν ἢ τὴν ἁμαρτίαν ἐργάσασθαι, εἶδε τὴν ψυχὴν τὴν ἀκόλαστον, καὶ τὴν μανίαν τὴν ἔνδον, καὶ τοὺς λογισμοὺς τοὺς στρεφομένους ἐν ζάλῃ καὶ κλύδωνι. οὐδὲ γὰρ δεῖται μαρτύρων καὶ τεκμηρίων ὁ πάντα εἰδώς. μὴ τοίνυν πρὸς τοὺς συνδούλους ὅρα. κἂν γὰρ ἐπαινέσῃ ἄνθρωπος, οὐδὲν ὄφελος, ὅταν ὁ Θεὸς μὴ ἀποδέξηται. κἂν καταγνῷ ἄνθρωπος, οὐδὲν βλάβος, ὅταν ὁ Θεὸς μὴ καταγνῷ. μὴ δὴ ταύτῃ παροξύνωμεν τὸν δικαστὴν, τῶν μὲν συνδούλων πολλὴν ποιούμενοι λόγον, αὐτὸν δὲ ἀγανακτοῦντα οὐ δεδοικότες καὶ τρέμοντες. καταφρονήσωμεν τοῦ παρ' ἀνθρώπων ἐπαίνου. μέχρι πότε εὐτελεῖς καὶ χαμαίζηλοι; μέχρι πότε τοῦ Θεοῦ πρὸς τὸν οὐρανὸν ἡμᾶς αἴροντος, αὐτοὶ χαμαὶ σύρεσθαι ἐσπουδάκαμεν; οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ, εἰ τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν εἶχον, ὡς ἔχειν ἔδει, οὐκ ἂν ἐπ' ἐρημίας τὸν ἀδελφὸν λαβόντες ἀπέκτειναν. ὁ Κάϊν πάλιν εἰ τὴν ψῆφον ἐκείνου ἐδεδοίκει, ὡς δεδοικέναι ἔδει, οὐκ ἂν εἶπε, δεῦρο, καὶ ἐξέλθωμεν εἰς τὸ πεδίον. τί γὰρ, ὦ δειλὲ καὶ ταλαίπωρε, χωρίζεις αὐτὸν τοῦ γεγεννηκότος, καὶ εἰς ἐρημίαν ἐξάγεις; μὴ γὰρ ὁ Θεὸς οὐχ ὁρᾷ καὶ ἐν τῷ πεδίῳ τὸ τόλμημα; ἀπὸ τῶν τῷ πατρί σου συμβεβηκότων οὐκ ἐπαιδεύθης, ὅτι πάντα οἶδε, καὶ πᾶσι πάρεστι τοῖς γινομένοις; καὶ τίνος ἕνεκεν οὐκ εἶπε τοῦτο πρὸς αὐτὸν ὁ Θεὸς ἀρνούμενον, ἐμὲ κρύπτεις τὸν πανταχοῦ παρόντα, καὶ τὰ ἀπόρρητα ἐπιστάμενον; ὅτι οὔπω ταῦτα φιλοσοφεῖν ἐκεῖνος ἤδει καλῶς. ἀλλὰ τί φησι; φωνὴ αἵματος τοῦ ἀδελφοῦ

A nobis aliquid afferentes, atque admiscentes, sed tamquam ex Deo; id est, non dicimus nos aliquid nostrum elargiri; sed Deum omnia dedisse; hoc enim sibi vult illud, *ex Deo*, ut non gloriemur quasi aliquid habeamus, sed omnia ipsi referentes. *In Christo loquimur*; non nostra sapientia, sed illius potentia afflati. Qui autem gloriantur, non ad hunc modum se gerunt, verum perinde ac si aliquid a seipsis afferant. Unde etiam eos alio loco his verbis traducit: *Quid enim habes, quod non acceperis? Si autem accepisti, quid gloriaris quasi non acceperis?* (1. Cor. 4. 7.) Hæc maxima virtus est, omnia Deo adscribere, nihil suum esse (Virtus maxima omnia Deo adscribere.) B ducere, nihil gloriæ humanæ causa facere, sed secundum Dei voluntatem. Hic enim est, qui vitæ actæ rationes exacturus est. Nunc vero rei ordo inversus est: atque illum quidem qui pro tribunali sessurus, ac rationes repetiturus est, non valde metuimus: eos autem, qui nobiscum stabunt, ac judicium subituri sunt, expavescimus. Unde igitur hic morbus? unde in nostras animas invasit? Hinc nimirum, quod non assidue res illas animo volutemus, sed præsentibus affixi teneamur. Hinc fit, ut & in exitiosas actiones facile prolabamur, &, si quid boni agimus, ostentationis causa faciamus, atque id quoque in detrimentum nobis cedat. Siquidem (Dei oculum nemo fugit.) C vidit fortasse quispiam impudicis oculis mulierem, nec id, aut mulier quæ conspecta est, aut ii qui una gradiebantur, senserunt: verum oculum illum pervigilem minime fugit. Nam ille, prius etiam quam peccatum admissum esset, impudicam animam, & internum furorem, & cogitationes in tempestate ac procella sese convolventes perspexit. Neque enim testibus & conjecturis ille opus habet, cui omnia explorata sunt. Quocirca ne oculos ad conservos tuos convertas. Nam etiamsi homo laudet, nihil tamen hoc prodest, cum Deus non approbat, nec si condem- D net homo, quidquam hinc detrimenti redit, cum Deus non condemnat. Ne hac quoque ratione judicem ad iracundiam concites, dum conservorum quidem magnam rationem habes, ipso autem indignante, nec metu nec tremore afficeris. Quare, laudem eam, quæ ab hominibus proficiscitur, contemnamus. Quousque tandem viles & abjecti erimus? Quousque Deo ad cælum nos attollente, ipsi humi serpere contendemus? (Gen. 37.) Fratres Josephi, si Dei timorem ante oculos habuissent, ut habere par erat, non captum E in solitudine fratrem interemissent. Caïn rursus, si sententiam ipsius, ut par erat, extimuisset, non dixisset: *Veni & egrediamur in agrum.* Quid enim, o miser, & calamitose, a patre ipsum distrahis, atque in campum abducis? Annon Deus etiam in campo facinus tuum cernit? Annon ab iis, quæ patri tuo acciderunt, didicisti, quod omnia norit, atque omnibus, quæ fiunt, intersit? Quid autem causæ est, cur non ad eum scelus inficiantem ita loquutus sit, Me-ne celas, qui ubique adsum, & arcana novi? Quia non- (Gen. 4. 10.) dum ille hæc recte ac sapienter percipere poterat. Quid autem ait? *Vox sanguinis fratris*

*tui clamat ad me.* Non quod sanguis vocem habeat: sed eodem modo, quo de perspicuis ac manifestis dicere solemus, res clamat. Ac proinde Dei sententiam ob oculos semper habere opus est: moxque omnia mala exstincta erunt. Sic in precibus quoque vigilantem animum præstare possumus, si, quem alloquamur, cogitemus; si illud reputemus, nos sacrificium offerre, gladiumque in manibus, ignem ac ligna habere; si cæli portas per cogitationem reseramus, si illuc migremus, acceptumque Spiritus gladium in victimæ jugulo defigamus, ipsique vigilantiam immolemus, ac lacrymas effundamus. Hic enim hujus victimæ sanguis est. Tali altare illud cæde tingitur. Ne igitur sinas quidquam humanarum cogitationum animam tuam tum occupare.

4. Subeat in mentem, Abrahamum, cum sacrificium offerret, non uxori, non servo, non alii cuiquam, ut adesset permisisse. Eodem modo tu quoque ne sinas ut servilis ullus & illiberalis affectus tibi adsit, sed solus in montem ascende, ad quem ille ascendit, & ad quem nefas est alium quemquam ascendere. Quod si quæ hujusmodi cogitationes una conscendere conentur, impera

Gen. 22. 5. eis cum auctoritate, ac dic: Sedete hic, ego autem & filius, postquam adoraverimus, revertemur: atque asina & pueris, & si quid brutum ac stolidum est, infra relictis, si quid ratione præditum est, accipe atque ascende, quemadmodum ille assumsit Isaac. Altare quoque perinde ut ille, exstrue, tamquam humani nihil habens, atque extra naturam raptus, quandoquidem & ille, nisi a natura excessisset, filium non jugulasset. Nec quidquam tum te interturbet, sed supra ipsos etiam cælos assurge. Acerbe ingemisce,

Isai. 42. 26. confessionem macta. *Dic enim tu prior iniquitates tuas*, inquit, *ut justificeris.* Macta contritionem cordis. Hæ victimæ non in cinerem desinunt, nec in fumum dilabuntur, nec lignis & igne opus habent: sed dumtaxat animo compuncto. Hoc ligna, hoc ignis est, urens illa, sed non perurens. Nam qui ferventer orat, uritur quidem, at non peruritur: sed sicut aurum, quod igne exploratur, splendidius efficitur. Ad hæc illud cave, ne ullum in oratione verbum emittas, quod Dominum irritet, vel in hostium tuo-

Non precandum contra inimicos.

rum perniciem ipsum adeas. Nam si vel hostes habere, probro non caret, cogita quantum malum sit adversus eos orare? Pro eo oportebat excusare te quod hostes habes, tu contra eos quoque accusas. Et quam tandem veniam obtinere queas, cum eo quoque tempore aliis obtrectes, quo ingenti ipse misericordia opus habes? Etenim eo accessisti, ut pro tuis peccatis orares. Ne igitur alienorum peccatorum recorderis: ne alioqui tuorum ipse memoriam refrices. Nam si dixeris: Hostem percute, os tuum obstruxisti: jam linguæ fiduciam præcidisti. Primum nempe, quia ab ipso statim initio Dominum ad iracundiam incitasti: dein-

A σου βοᾷ πρός με· οὐχ ὡς αἵματος φωνὴν ἔχοντος, ἀλλ' ὅπερ ἡμεῖς λέγομεν, ὅτι τὸ πρᾶγμα βοᾷ, ἐπὶ τῶν δήλων, καὶ σαφῶν. διὸ δὴ τὴν ψῆφον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχειν δεῖ, καὶ πάντα σβέννυται τὰ δεινά. οὕτω καὶ ἐν εὐχαῖς νήφειν δυνάμεθα, ἂν ἐννοήσωμεν τίνι διαλεγόμεθα, ἂν ἀναλογισώμεθα ὅτι θυσίαν προσάγομεν, καὶ μάχαιραν μετὰ χεῖρας ἔχομεν, καὶ πῦρ, καὶ ξύλα, ἂν ἀναπετάσωμεν τοῦ οὐρανοῦ τὰς πύλας τῷ λογισμῷ, ἂν μεταστῶμεν ἐκεῖ, καὶ λαβόντες τὴν μάχαιραν τοῦ πνεύματος ἐμπήξωμεν εἰς τὸν τοῦ ἱερείου λαιμὸν, καὶ καταθύσωμεν αὐτοῦ νῆψιν, καὶ B ἐκχέωμεν αὐτοῦ δάκρυα. τοιοῦτον γὰρ τὸ αἷμα τοῦ ἱερείου τούτου· τοιαύτῃ τὸ θυσιαστήριον ἐκεῖνο φοινίσσεται σφαγῇ. μηδὲν τοίνυν ἀφῇς τῶν ἀνθρωπίνων λογισμῶν κατέχειν σου τὴν ψυχὴν τότε.

Ἐννόησον ὅτι καὶ ὁ Ἀβραὰμ θυσίαν ἀνάγων, οὐ γυναῖκα, οὐ δοῦλον, οὐκ ἄλλον τινὰ ἀφῆκε παρεῖναι. μὴ τοίνυν μηδὲ σὺ τῶν δουλικῶν καὶ ἀνελευθέρων παθῶν ἀφῇς τινά σοι παρεῖναι· ἀλλ' ἀνάβηθι μόνος εἰς τὸ ὄρος, ἔνθα ἐκεῖνος ἀνέβη, ἔνθα ἀναβῆναι θέμις οὐδένα ἕτερον. κἂν ἐπιχειρῶσι συναναβαίνειν τινὲς τῶν τοιούτων ἐννοιῶν, ἐπίταξον αὐταῖς μετ' C ἐξουσίας, καὶ εἰπὲ καθίσατε αὐτοῦ· ἐγὼ δὲ καὶ τὸ παιδίον προσκυνήσαντες ὑποστρέψομεν. καὶ τὴν ὄνον καὶ τοὺς παῖδας ἀφεὶς κάτω εἴ τι ἄλογον καὶ ἀνόητον· εἴ τι λογικὸν, λαβὼν ἀνάβηθι, ὥσπερ ἐκεῖνος τὸν Ἰσαάκ. καὶ τὸ θυσιαστήριον οἰκοδόμησον οὕτως ὡς ἐκεῖνος, ὡς μηδὲν ἔχων ἀνθρώπινον, ἀλλ' ἔξω τῆς φύσεως γενόμενος. ἐπεὶ καὶ ἐκεῖνος, εἰ μὴ ἔξω τῆς φύσεως ἦν, οὐκ ἂν τὸν παῖδα κατέσφαξε. καὶ μηδὲν ἐνοχλείτω σοι τότε, ἀλλ' αὐτῶν γίνου τῶν οὐρανῶν ὑψηλότερος. στέναξον πικρὸν, κατάθυσον ἐξομολόγησιν· λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, φησὶν, ἵνα δικαιωθῇς· D κατάθυσον συντριβὴν καρδίας. ταῦτα τὰ ἱερεῖα οὐκ εἰς τέφραν τελευτᾷ, οὐδὲ εἰς καπνὸν διαλύεται, οὐδὲ ξύλων δεῖται καὶ πυρὸς, ἀλλὰ κατανενυγμένης διανοίας μόνης. τοῦτο ξύλα, τοῦτο πῦρ καῖον αὐτὰ, καὶ οὐ κατακαῖον. ὁ γὰρ μετὰ θερμότητος εὐχόμενος, καίεται, καὶ οὐ κατακαίεται· ἀλλ' ὥσπερ χρυσίον πυρὶ βασανιζόμενον, λαμπρότερος γίνεται. μετὰ δὲ τούτων κἀκεῖνο φυλάττου, τὸ μηδὲν εἰπεῖν εὐχόμενος τῶν παροξυνόντων σου τὸν δεσπότην· μηδὲ κατ' ἐχθρῶν προσέλθῃς. εἰ γὰρ τὸ ἔχειν ἐχθροὺς ὄνειδος, τὸ E κατεύχεσθαι αὐτῶν ἐννόησον ἡλίκον κακόν. δέον γάρ σε ἀπολογήσασθαι διὰ τί ἐχθροὺς ἔχεις· σὺ δὲ αὐτῶν καὶ [a] κατηγορεῖς. καὶ ποίας τεύξῃ συγγνώμης, καὶ κακηγορῶν, καὶ ἐν καιρῷ τοιούτῳ, ὅτε ἐλέου σοι δεῖ πολλοῦ; καὶ γὰρ ὑπὲρ οἰκείων προσῆλθες ἁμαρτημάτων δεόμενος. μὴ τοίνυν μνημονεύσῃς τῶν ἀλλοτρίων, ἵνα μὴ τῶν ἰδίων ἀναμνήσῃς. ἂν γὰρ εἴπῃς, πάταξον τὸν ἐχθρὸν, ἐνέφραξάς σου τὸ στόμα, οὐκέτι παῤῥησίαν ἔδωκας τῇ γλώττῃ. πρῶτον μὲν, ὅτι παρώργισας τὸν δικαστὴν ἐκ προοιμίων εὐθέως· δεύτερον,

[a] κατηγορεῖς, mss. κακηγορεῖς.

ὅτι ἐναντία αἰτεῖς τῷ σχήματι τῆς εὐχῆς. εἰ γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων [a] προσεύχῃ, πῶς ὑπὲρ κολάσεως διαλέγῃ; τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν, καὶ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα τοῦτο καὶ ὑπὲρ ἑαυτῶν μετὰ παῤῥησίας παρακαλέσωμεν. νυνὶ δὲ προκατέλαβες τοῦ δικαστοῦ τὴν ψῆφον διὰ τῆς σῆς, ἀξιῶν τοὺς ἁμαρτάνοντας κολάζειν· ὃ καὶ συγγνώμης ἀποστερεῖ πάσης. ἂν δὲ ὑπὲρ αὐτῶν εὔξῃ, κἂν μηδὲν ὑπὲρ τῶν σῶν εἴπῃς, τὸ πᾶν ἤνυσας. ἐννόησον πόσαι θυσίαι εἰσὶν ἐν τῷ νόμῳ· θυσία αἰνέσεως, θυσία ἐξομολογήσεως, θυσία σωτηρίου, θυσία καθαρμῶν, καὶ ἕτεραι μυρίαι, καὶ οὐδεμία κατ' ἐχθρῶν, ἀλλ' ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων ἑκάστη, ἢ καὶ κατορθωμάτων. μὴ γὰρ ἄλλῳ προσέρχῃ θεῷ; ἐκείνῳ προσέρχῃ τῷ εἰπόντι, εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. πῶς οὖν αὐτῶν καταβοᾷς; πῶς παρακαλεῖς τὸν θεὸν τὸν οἰκεῖον λῦσαι νόμον; οὐκ ἔστι τοῦτο ἱκέτου σχῆμα· οὐδεὶς ἱκετεύει ἵνα ἄλλος ἀπόληται, ἀλλ' ἵνα αὐτὸς σωθῇ. τί τοίνυν σχῆμα μὲν ἱκέτου περίκεισαι, ῥήματα δὲ ἔχεις κατηγόρου; καὶ ὅταν μὲν ὑπὲρ ἑαυτῶν εὐχώμεθα, καὶ κνώμεθα, καὶ χασμώμεθα, καὶ εἰς μυρίους ἐμπίπτομεν λογισμούς· ὅταν δὲ κατ' ἐχθρῶν, νήφοντες τοῦτο ποιοῦμεν. ἐπειδὴ γὰρ οἶδεν ὁ διάβολος, ὅτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦμεν, οὐ περιέλκει, οὐδὲ περισπᾷ τότε, ἵνα μειζόνως ἡμῖν λυμήνηται. ἀλλὰ ἠδίκημαι, φησι, καὶ θλίβομαι. οὐκοῦν κατὰ τοῦ διαβόλου εὖξαι, τοῦ μάλιστα πάντων ἀδικοῦντος ἡμᾶς. τοῦτο καὶ ἐπετάγης λέγειν, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐκεῖνός ἐστιν ὁ ἀκατάλλακτος ἐχθρός. ἄνθρωπος δὲ, ὅσα ἂν ποιῇ, φίλος ἐστὶ, καὶ ἀδελφός. ἐκείνῳ τοίνυν πάντες ὀργιζώμεθα, κατ' αὐτοῦ παρακαλῶμεν τὸν θεὸν λέγοντες, σύντριψον τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν. οὗτος γὰρ τίκτει καὶ τοὺς ἐχθρούς. ἂν δὲ κατ' ἐχθρῶν εὔξῃ, τὴν εὐχὴν, ἣν ἐκεῖνος βούλεται, εὔχῃ· ὥσπερ οὖν ἂν ὑπὲρ ἐχθρῶν, κατὰ τούτου. τί τοίνυν τὸν ὄντως ἐχθρὸν ἀφεὶς, τὰ μέλη δάκνεις τὰ σὰ, θηρίων χαλεπώτερος ταύτῃ γινόμενος; ἀλλ' ὕβρισέ, φησι, καὶ χρήματα ἀπεστέρησε. καὶ τίνα δεῖ πενθεῖν, τὸν παθόντα κακῶς, ἢ τὸν ποιήσαντα κακῶς; [b] ὅτι χρήματα κερδάνας, τῆς εὐνοίας ἑαυτὸν ἐξέβαλε τοῦ θεοῦ. καὶ μείζονα ἀπώλεσεν ἢ ἔλαβεν. ὥστε ἐκεῖνός ἐστιν ὁ ἠδικημένος. οὐκοῦν οὐχὶ κατεύχεσθαι δεῖ, ἀλλ' ὑπερεύχεσθαι αὐτοῦ, ἵνα ὁ θεὸς ἵλεως αὐτῷ γένηται.

Ὅρα πόσα ἔπαθον οἱ παῖδες οἱ τρεῖς, οὐδὲν ποιήσαντες δεινόν· ἐξέπεσον πατρίδος, ἐλευθερίας, ἐξηχμαλωτίσθησαν, καὶ ἐγένοντο δοῦλοι, καὶ εἰς ἀλλοτρίαν καὶ βάρβαρον ἀπενεχθέντες χώραν, καὶ σφάττεσθαι ἔμελλον διὰ τὸ ὄναρ, εἰκῆ καὶ μάτην. τί οὖν εἰσελθόντες μετὰ τοῦ Δανιὴλ, τί ηὔξαντο; τί δὲ εἶπον; κατάῤῥαξον τὸν Ναβουχοδονόσορ; κατάσπασον αὐτοῦ τὸ διάδημα; κατάβαλε αὐτὸν ἀπὸ τοῦ θρόνου; οὐδὲν τοιοῦτον·

A de quia contraria postulas, quam oratio ferat. Nam si pro peccatorum remissione Deum precaris, quî fit, ut pro supplicio verba facias? Quin contra potius faciendum erat, pro ipsis quoque preces fundere, ut hoc pro nobis quoque cum fiducia peteremus. Nunc vero judicis sententiam per tuam occupasti, dum petis ut de peccantibus supplicium sumat: quod quidem omnem tibi veniam adimit. Contra si pro ipsis preceris, etiamsi pro peccatis tuis nullum verbum feceris, rem totam confecisti. Cogita quotnam in lege sacrificia sint: sacrificium laudis, sacrificium confessionis, sacrificium salutis, sacrificium B purgationum, ac sexcenta alia. Atque interim nullum est adversus inimicos: sed pro propriis peccatis aut etiam recte factis. Num alium Deum adis? Annon ad illum accedis, qui dixit, orate pro inimicis vestris? Quonam igitur modo adversus illos clamitas? Cur Deum, ut legem suam infringat, rogas? A supplicis persona istud alienum est. Nemo supplicat ut alius pereat, sed ut ipse salutem consequatur. Quid igitur supplicis quidem personam geris, dum accusatoris verba habes? Ac quidem cum pro nobisipsis oramus, scabimus nos, oscitamus, & in sexcentas cogitationes labimur: cum autem C adversus inimicos, attenti ac vigilantes hoc facimus. Quia enim diabolus illud novit, quod in nos ipsos gladium impellimus; nos minime distrahit, vel avocat, ut hac ratione majorem nobis perniciem afferat. At, inquies, læsus sum, & affligor. Ergo adversus diabolum ora, qui omnium maxime nos injuria afficit. Hoc etiam dicere præciperis, Libera nos a malo: ille implacabilis hostis est. At homo, quidquid tibi faciat, amicus ac frater est. Quocirca omnes adversus illum irascamur, adversus eum Deum obsecremus, dicentes: Contere Satanam sub pedibus nostris. Ille enim inimicos quoque nobis parit. D Quod si adversum inimicos preceris, id precaris, quod ipse quoque in votis habet: ut si pro inimicis ores, adversus eum precaris. Quid igitur relicto vero hoste membra tua mordes, atque hac ratione feris ipsis immaniorem te præbes? At, inquis, contumeliam mihi intulit, ac bona ademit. Et quem luctu prosequi convenit, eumne qui injuriam accepit, an qui intulit? Qui pecunias lucratus est, a Dei benevolentia seipsum exclusit, pluraque perdidit quam accepit: ac proinde ipse est qui læsus est. Ob idque non adversus eum, sed pro eo potius orandum est, ut Deus propitium se illi præ- E beat.

5. Vide quot calamitatibus affecti sint tres pueri, cum tamen nihil mali admisissent. Patria & libertate exciderant, captivi abducti, ac servi effecti, atque in alienam ac barbaram regionem abstracti fuerant, frustraque ac temere propter insomnium obtruncandi erant. Quid igitur cum Daniele ingressi, quid inquam orarunt? Quid dixerunt? Contere Nabuchodonosor, ipsius diadema abripe, e regio solio eum deturba? Nihil ejusmodi: ve-

a προσεύχῃ. Mss. προσέρχῃ. Paulopost idem, ἵνα τοῦτο. Editi, τί τον

b ὅτι χρήματα, videtur omnino legendum : τὰ χρήματα.

rum Dei misericordiam implorabant. Et cum in fornace essent, eodem modo se gesserunt. At vos non perinde: sed longe quam illi minora passi, ac plerumque merito, sexcenta tamen mala imprecari non desinitis. Atque alius quidem sic loquitur, Prosterne inimicum, ut Pharaonis currum demersisti. Alius, Carnem illius feri. Alius rursus: Redde illi in filios. Annon hujusmodi verba agnoscitis? Unde igitur vobis hic risus? Vides quam ridicula hæc sint, cum citra animi perturbationem dicuntur? Et sane peccatum omne, tum denique quam fœdum sit, patet, cum ab eo, qui id admittit, affectum detraxeris. Si ei qui iratus fuit, in memoriam ea verba redigas, quæ in iracundia protulit, erubescet, & seipsum irridebit, ac mille mala perpeti, quam verba illa protulisse malet. Si impudicum hominem post coïtum ad mulierem eam, cui stuprum obtulit, adduxeris, hic quoque ut exsecrandam, ipsam aversabitur. Eodem modo vos qui ab hoc affectu liberi estis, hujusmodi verba ridetis: ridicula enim sunt, ac temulentis vetulis digna, muliebrique simultate. Quin etiam Joseph, licet venditus ac servus effectus, atque in carcerem conjectus, ne sic tamen acerbum adversus eos, a quibus læsus fuerat, verbum emisit. Sed quid ait? Furtim sublatus sum de terra Hebræorum: nec addit, a quo. Pudet enim eum malorum fratrum, magis quam eos ipsos, qui hæc perpetraverant. Ita nos quoque affici convenit, ut pro iis, qui nobis injuriam inferunt, vehementius angamur, quam illi ipsi. Detrimentum enim ad illos transit. Sicut enim qui clavos calcibus impetunt, altumque sapiunt, hujusmodi furoris ergo commiseratione ac lacrymis digni sunt: eodem modo qui eos lædunt, a quibus nihil injuriæ acceperunt, multis lamentis ac fletibus potius, quam exsecrationibus digni sunt, ut qui suas ipsimet animas feriant. Nihil enim sceleratius est anima malum imprecante, nec impurius lingua, hujusmodi sacrificia offerente. Homo es: ne aspidum virus evomas. Homo es: ne bellua fias. Ideo os tibi datum est, non ut mordeas, sed ut aliorum vulneribus medearis. Recordare quid tibi præceperim, inquit Deus, remittere nempe ac condonare. Tu vero me obsecras, ut socium me tibi ad evertenda præcepta mea adjungam: ac fratrem corrodis, linguam cruentas, non secus ac furiosi propriis carnibus dentes cruore perfundunt. Quanta diabolum voluptate affici, quanto risu existimas, cum ejusmodi preces audit? Quam Deum irasci, teque aversari, atque odisse, cum talia rogas? Quo quid gravius esse queat? Nam si nefas est eum ad mysteria accedere, qui inimicos habet, annon is, qui non tantum hostem habet; sed etiam ei imprecatur, ab ipso quoque templi ambitu arcendus est? Hæc igitur cogitantes, atque hujus sacrificii causam agnoscentes, nempe quod pro hostibus mactatus Christus sit, id demus operam, ut ne inimicum quidem habeamus; ac si habea-

Auditorum Chrysostomi risus.

Gen. 40. 15.

A ἀλλ᾽ ἐζήτουν οἰκτιρμοὺς παρὰ τοῦ θεοῦ. καὶ ὅτε ἐν τῇ καμίνῳ ἦσαν, ὁμοίως. ἀλλ᾽ οὐχ ὑμεῖς· ἀλλὰ πολλῷ ἐλάττονα ἐκείνων πάσχοντες, καὶ δικαίως πολλάκις, οὐ παύεσθε ἀρώμενοι μυρία. καὶ ὁ μέν φησι, κατάβαλε τὸν ἐχθρὸν, ὡς καταποντίσας τὸ ἅρμα τοῦ Φαραώ· ὁ δὲ, πλῆξον αὐτοῦ τὴν σάρκα· ἕτερος πάλιν, ἀπόδος εἰς τὰ τέκνα. ἢ οὐκ ἐπιγινώσκετε ταυτὶ τὰ ῥήματα; πόθεν οὖν ὑμῖν ὁ γέλως ἐστί; ὁρᾷς πῶς ἐστι καταγέλαστα, ὅταν χωρὶς πάθους λέγηται; καὶ πᾶσα δὲ ἁμαρτία τότε δείκ- B νυται πῶς ἐστιν αἰσχρὰ, ὅταν αὐτὴν γυμνώσῃς τῆς διαθέσεως τοῦ τολμῶντος. ἂν τὸν ὀργισθέντα ὑπομνήσῃς τῶν ῥημάτων, ὧν εἶπεν ἐν τῷ θυμῷ, καταδύσεται, καὶ καταγελάσεται ἑαυτοῦ, καὶ βουλήσεται μυρία πεπονθέναι, ἢ ἐκεῖνα αὐτοῦ εἰρῆσθαι τὰ ῥήματα. κἂν τὸν ἀκόλαστον ἀγάγῃς μετὰ τὴν μίξιν πρὸς τὴν πορνευομένην γυναῖκα, καὶ αὐτὸς ταύτην ἀποστραφήσεται ὡς μυσαράν. οὕτω καὶ ὑμεῖς οἱ μὴ ὄντες ἐν τῷ πάθει, καταγελᾶτε νῦν· καταγέλαστα γάρ, καὶ παιδίων τὰ ῥήματα ταῦτα μεθυόντων, καὶ γυναικώδους [a] μικροψυχίας. C καὶ ὁ Ἰωσὴφ δὲ πραθεὶς καὶ δοῦλος γενόμενος, καὶ δεσμωτήριον οἰκήσας, οὐδ᾽ οὕτως ἐξέβαλε ῥῆμα πικρὸν κατὰ τῶν λελυπηκότων. ἀλλὰ τί φησι; κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ οὐ προςτίθησιν ὑπό τινος· αἰσχύνεται γὰρ ὑπὲρ τῶν ἀδελφικῶν κακῶν, μᾶλλον ἐκείνων τῶν ποιησάντων αὐτά. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ μᾶλλον τῶν ἐπηρεαζόντων αὐτῶν ἀλγεῖν ὑπὲρ αὐτῶν. ἡ βλάβη γὰρ εἰς ἐκείνους διαβαίνει. ὥσπερ οὖν οἱ λακτίζοντες ἥλους, καὶ μέγα φρονοῦντες, ἐλέου ἄξιοι, καὶ θρήνου τῆς μανίας ἕνεκα ταύτης εἰσίν· οὕτως D οἱ ἀδικοῦντες τοὺς οὐδὲν ποιοῦντας αὐτοῖς κακὸν, ἅτε τὰς ἑαυτῶν πλήττοντες ψυχὰς, πολλῶν ὀδυρμῶν ἄξιοι καὶ θρήνων, οὐκ ἀρῶν. οὐδὲν γὰρ μιαρώτερον ψυχῆς ἀρωμένης, οὐδὲ γλώττης ἀκαθαρτότερον τοιαῦτα θυούσης. ἄνθρωπος εἶ· μὴ ἀσπίδων ἰὸν ἐμέσῃς. ἄνθρωπος εἶ· μὴ γένῃ θηρίον. διὰ τοῦτό σοι στόμα γέγονεν, οὐχ ἵνα δάκνῃς, ἀλλ᾽ ἵνα θεραπεύῃς τὰ ἑτέρων τραύματα. ἀναμνήσθητι τί σοι παρήνεσα, φησὶν ὁ θεός· συγχωρεῖν, καὶ ἀφιέναι. σὺ δὲ καὶ ἐμὲ παρακαλεῖς κοινωνὸν γενέσθαι τῆς ἀνατροπῆς τῶν ἐμῶν προσταγμάτων, καὶ E ἐσθίεις τὸν ἀδελφὸν, καὶ φοινίττεις τὴν γλῶτταν, καθάπερ οἱ μαινόμενοι ἀπὸ τῶν οἰκείων μελῶν τοὺς ὀδόντας. πῶς οἴει τὸν διάβολον ἥδεσθαι καὶ γελᾶν, ὅταν τοιαύτης εὐχῆς ἀκούσῃ; πῶς τὸν θεὸν παροξύνεσθαι, καὶ ἀποστρέφεσθαι, καὶ μισεῖν, ὅταν τοιαῦτα παρακαλῇς; οὗ τί γένοιτ᾽ ἂν χαλεπώτερον; εἰ γὰρ μυστηρίοις οὐ χρὴ προσιέναι ἐχθροὺς ἔχοντα· τὸν οὐκ ἔχοντα μόνον, ἀλλὰ καὶ καταρώμενον, πῶς οὐχὶ καὶ τῶν περιβόλων αὐτῶν ἀπείργεσθαι δεῖ; ταῦτ᾽ οὖν ἐννοοῦντες, καὶ τῆς θυσίας τὴν ὑπόθεσιν εἰδότες, ὅτι ὑπὲρ ἐχθρῶν ἐτύθη, μήτε ἐχθρὸν ἔχωμεν·

[a] μικροψυχίας, hic pro animi imbecillitate habuit interpres Latinus. Sed hic significat, simultatem, contentionem, indignationem, ut sæpe aliàs vidimus.

καὶ

A κἂν ἔχωμεν, ἐπευχώμεθα· ἵνα καὶ ἡμεῖς τῶν ἡμαρτημένων ἡμῖν λαβόντες συγχώρησιν, μετὰ παῤῥησίας τῷ βήματι τοῦ Χριστοῦ παραστῶμεν· ᾧ ἡ δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ ϛʹ.

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; εἰ μὴ χρήζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν;

B ΟΠΕΡ ἔμελλεν αὐτῷ παρὰ τῶν ἑτέρων ἀνθυποφέρεσθαι, ὅτι ἐπαίρεις σαυτὸν, τοῦτο προλαβὼν αὐτὸς τέθηκε· καίτοι τοσαύτῃ ἐπιδιορθώσει χρησάμενος ἔμπροσθεν, καὶ εἰπὼν, πρὸς ταῦτα τίς ἱκανός; καὶ, ὅτι ἐξ εἰλικρινείας λαλοῦμεν· ἀλλ' ὅμως οὐκ ἀρκεῖται ἐκείνοις. τοιοῦτον γὰρ αὐτοῦ τὸ ἦθος· τοῦ δοκεῖν περὶ ἑαυτοῦ μέγα τι λέγειν πόῤῥω καθέστηκε, καὶ μετὰ πολλῆς τῆς περιουσίας αὐτὸ φεύγει, καὶ ὑπερβολῆς. σὺ δέ μοι κἀντεῦθεν σκόπει τὴν περιουσίαν αὐτοῦ τῆς σοφίας. πρᾶγμα γὰρ δοκοῦν εἶναι σκυθρωπὸν, τὰς θλίψεις C λέγω, οὕτως ἐπῆρε, καὶ ἔδειξε λαμπρὸν ὂν καὶ περιφανὲς, ὡς ταύτην αὐτῷ τὴν ἀντίθεσιν ἐκ τῶν εἰρημένων ἀνακύψαι. ποιεῖ δὲ αὐτὸ καὶ πρὸς τῷ τέλει. μετὰ γὰρ τὸ μυρίους ἀριθμῆσαι κινδύνους, ὕβρεις, στενοχωρίας, ἀνάγκας, καὶ ὅσα τοιαῦτα, ἐπήγαγε λέγων, οὐχ ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ τίθησιν αὐτὸ πάλιν ἐκεῖ σφοδρῶς, καὶ μετὰ πλείονος παραμυθίας. ἐνταῦθα μὲν γὰρ ἀγάπης ἐστὶ τὰ ῥήματα, εἰ μὴ χρήζομεν ὥς τινες συστατικῶν ἐπιστολῶν· ἐκεῖ δὲ γέμει τινὸς τοῦ φρονήματος τὰ λεγόμενα, ἀναγκαίως καὶ χρη- D σίμως, [a] καὶ φρονήματος, καὶ θυμοῦ. οὐ γὰρ πάλιν φησὶν, ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ, πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; ὅτι κατενώπιον τοῦ θεοῦ ἐν Χριστῷ λαλοῦμεν. φοβοῦμαι γὰρ μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. ἵνα γὰρ μὴ δόξῃ κολακείας δόξαν λαμβάνειν, ὡς ἐφιέμενος τῆς παρ' αὐτῶν τιμῆς, ταῦτά φησι, φοβοῦμαι μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. ἀλλὰ ταῦτα μὲν μετὰ κατηγορίας πολλῆς· E ἐν ἀρχῇ δὲ οὐχ οὕτως ἀλλ' ἡμερώτερον. τί δέ ἐστιν ὅ φησιν; εἶπε περὶ τῶν πειρασμῶν καὶ τῶν κινδύνων, καὶ ὅτι πανταχοῦ πομπεύεται παρὰ τοῦ θεοῦ ἐν τῷ Χριστῷ, καὶ ἡ οἰκουμένη πᾶσα τοὺς θριάμβους οἶδε τούτους. ἐπεὶ οὖν μεγάλα περὶ αὐτοῦ ἐφθέγξατο, ἀνθυποφέρει ἑαυτῷ λέγων, ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; ὃ δὲ λέγει τοῦτό ἐστιν· ἴσως τις ἡμῖν ἀντερεῖ, τί τοῦτο, ὦ Παῦλε; ταῦτα περὶ σαυτοῦ λέγεις, καὶ σαυτὸν ἐπαίρεις; ταύτην οὖν λύων τὴν ὑπόνοιαν, φησὶν, ὅτι οὐ τοῦτο βουλόμεθα, οἷον οὐ κομπάζειν καὶ ἑαυτοὺς ἐπαίρειν·

[a] Sic mss. In editis, καὶ φρονήματος deest.

mus, pro illo precemur: ut nos quoque peccatorum nostrorum veniam consequuti, cum fiducia tribunali Christi adstemus, cui gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA VI.

1. *Incipimus iterum nosmetipsos commendare? Aut numquid egemus, sicut quidam, commendatitiis Epistolis ad vos, aut ex vobis?* Cap. III.

1. QUOD futurum erat, ut ipsi ab aliis objiceretur, nempe quod seipsum attolleret, hoc ipse antevertens posuit: quamvis etiam tanta præmonitione ante usus fuisset, ac dixisset: *Et ad hæc quis idoneus est?* &, *Et si caritate loquimur.* Sed tamen hæc ipsi minime sufficiunt. Ea enim ipsius consuetudo est; ut longe absit, ut magni quidpiam de se dicere videatur, vehementerque, atque incredibilem quemdam in modum istud fugit. Tu vero hinc quoque singularem ipsius sapientiam animadverte. Rem enim, quæ tristitiæ speciem habet, hoc est afflictiones, usque adeo extulit, ac luculentam & illustrem rem esse ostendit, ut ex his, quæ dixerat, hæc ei objectio emerserit. Quod etiam in epistolæ fine facit. Postquam enim innumera pericula, contumelias, anxietates, angustias, ac cætera ejusmodi recensuit, hæc verba mox subjunxit: Non nosipsos commendamus: sed occasionem vobis damus gloriandi. Atque istud quoque rursus illic vehementer, atque cum majori consolatione ponit. Etenim hic caritatis verba sunt: *Aut numquid egemus, sicut quidam commendatitiis epistolis?* Illic autem necessario sane ac utiliter sensu & animo plena sunt quæ dicit. Non enim, inquit, rursus nos commendamus: sed occasionem vobis damus gloriandi. Ac rursus: *Putatis quod vobis nosipsos excusemus? Coram Deo in Christo loquimur. Timeo autem ne forte cum venero, non quales volo inveniam vos: & ego inveniar a vobis qualem non vultis.* Siquidem ne adulationis opinionem subeat, ut qui honorem ab ipsis ambiat, his verbis utitur: Timeo ne forte cum venero, non quales volo inveniam vos: & ego inveniar a vobis, qualem non vultis. Verum hæc quidem non sine multa reprehensione. At initio non ita: sed mitiori sermone utitur. Quidnam autem his verbis sibi vult? De tentationibus ac periculis loquutus est, quodque ubique a Deo triumphatur in Christo, atque orbis universus hos triumphos novit. Quoniam igitur magnifica quædam de se proloquutus erat, idcirco objectionem sibi ipsemet struit, dicens: *Incipimus iterum nosipsos commendare?* Quod autem ait, hunc sensum habet: fortasse quispiam hoc nobis objecerit. Quid hoc est, Paule? Hæc de te loqueris, ac teipsum effers? Hanc igitur suspicionem solvens, ait: Non hoc volumus, nempe nosipsos jactare atque attollere:

Pauli sapientia.

2. Cor. 12. 12.

2. Cor. 12. 19.

imo tantum abest ut commendatitiis ad vos epistolis opus habeamus, ut vos ipsi nobis epistolæ instar sitis. 2. *Nam epistola nostra vos estis*, inquit. Quid est *vos estis?* Si commendatione apud alios opus mihi fuisset, vos epistolæ loco in medium produxissem: quod & in priori epistola dicebat: Signaculum enim apostolatus mei vos estis. At hoc loco id non ita exprimit, sed per ironiam quamdam, ut majores aculeos orationi addat. *Aut numquid egemus commendatitiis epistolis?* Atque pseudapostolos innuens, subjecit, *Sicut quidam ad vos*, aut ex vobis commendatitiis epistolis ad alios. Deinde quoniam grave erat, quod dixerat, id mitigat, hæc verba subjungens: *Epistola nostra vos estis scripta in cordibus nostris, quæ scitur, & legitur ab omnibus hominibus: 3. Manifestati quod epistola estis Christi.* Hoc loco non solum amoris, sed etiam recte factorum testimonium ipsis tribuit, quippe qui ejusmodi sint, ut magistri dignitatem per virtutem suam demonstrare queant. Hoc enim significat quod ait, *Epistola nostra vos estis;* Id quod literæ fecissent, nempe ut nos commendarent, ac reverentiam nobis conciliarent; hoc ipsi præstatis, dum homines vos vident, atque audiunt. Discipulorum enim virtus magistro plus ornamenti, atque commendationis affert, quam ulla epistola. *Scripta in cordibus nostris.* Hoc est, quam omnes norunt. Adeo nimirum vos quoque Gentium circumferimus, atque animo versamus. Non secus ac si diceret: Nostra apud alios commendatio vos estis: vos enim in corde semper habemus, ac vestra recte facta apud omnes prædicamus. Quo fit, ut non modo quia apud alios quoque commendationis instar nobis estis, epistolis vestris minime indigeamus: sed ideo quoque commendatione nobis apud vos minime opus est, quod vos apprime amem. Etenim ad ignotos quidem literis quispiam opus habet: vos autem nobis in animo estis. Nec vero solum dixit, *estis*, sed *inscripti*, hoc est, nec mihi ex animo excidere potestis. Sicut enim ex literis, qui eas legunt, si ex corde nostro, qui hoc norunt, nostram erga vos dilectionem perspectam habent.

1. Cor. 9. 2.

Discipulorum virtus est magistri ornamentum.

2. Quocirca si literarum hoc munus est, ut ex iis liqueat hunc aut illum mihi amicum esse, hic libertate fruatur, ad id totum conficiendum satis est vestra erga me caritas. Nam sive ad vos proficiscamur, aliorum commendatione minime indigemus, quod amor erga me vester id muneris jam occuparit: sive ad alios, literis rursus nihil nobis opus est, utpote quibus eadem dilectio earum loco satis sit. Circumferimus enim epistolam in cordibus nostris. Mox altius adhuc eos attollens, epistolam quoque Christi eos vocat, dicens: *Manifestati quod epistola estis Christi.* Atque id loquutus occasionem hinc atque initium sumit legem examinandi. Atque alio modo suam eos epistolam esse hic ait. Superius enim eos idcirco epistolam appellabat, quod ab ipsis commendaretur:

A ἀλλὰ τοσοῦτον ἀπέχομεν τοῦ δεηθῆναι πρὸς ὑμᾶς συστατικῶν ἐπιστολῶν, ὡς ὑμᾶς ἀντὶ ἐπιστολῆς ἔχειν. ἡ γὰρ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ, φησι. τί ἐστιν, ὑμεῖς ἐστε; εἰ ἔδει πρὸς ἑτέρους ἡμᾶς συστῆναι, ὑμᾶς ἂν προηγάγομεν εἰς μέσον ἀντ' ἐπιστολῆς· ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε. ἀλλ' οὕτω μὲν ἐνταῦθα οὐ λέγει, μετ' εἰρωνείας δέ, ὥστε πληκτικώτερον ποιῆσαι τὸν λόγον· εἰ μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν; καὶ αἰνιττόμενος τοὺς ψευδαποστόλους, ἐπήγαγεν, ὥς τινες, B πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν ἐπιστολῶν πρὸς ἄλλους. εἶτα, ἐπειδὴ βαρὺ ἦν τὸ εἰρημένον, παραμυθεῖται αὐτὸ ἐπάγων, καὶ λέγων· ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη ὑπὸ πάντων. Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ. ἐνταῦθα οὐ μόνον αὐτοῖς ἀγάπην, ἀλλὰ καὶ κατορθώματα μαρτυρεῖ· εἴγε ἱκανοί εἰσι δεῖξαι πᾶσιν ἀνθρώποις διὰ τῆς οἰκείας ἀρετῆς, τοῦ διδασκάλου τὸ ἀξίωμα. τοῦτο γάρ ἐστιν, ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε. ὅπερ ἂν ἐποίησε τὰ γράμματα συνιστῶντα ἡμᾶς καὶ αἰδεσί- C μους ποιοῦντα, τοῦτο ὑμεῖς ποιεῖτε, καὶ ὁρώμενοι καὶ ἀκουόμενοι. μαθητῶν γὰρ ἀρετὴ τὸν διδάσκαλον εἴωθε κοσμεῖν, καὶ συνιστᾶν πάσης μᾶλλον ἐπιστολῆς. ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν. τουτέστιν, ἣν πάντες ἴσασιν, οὕτως ὑμᾶς πανταχοῦ περιφέρομεν, καὶ ἐν νῷ ἔχομεν· ὡς ἂν εἰ ἔλεγεν, ἡ σύστασις ἡμῶν πρὸς ἑτέρους ὑμεῖς ἐστε· καὶ γὰρ ἔχομεν ὑμᾶς ἐν τῇ καρδίᾳ διηνεκῶς, καὶ πρὸς ἅπαντας τὰ ὑμέτερα ἀνακηρύττομεν κατορθώματα. οὐ τοίνυν τῷ καὶ πρὸς ἑτέρους ὑμᾶς εἶναι σύστασιν ἡμῶν, δεόμεθα ἐπιστολῶν παρ' ὑμῶν· ἀλλὰ καὶ τῷ σφόδρα D φιλεῖν ὑμᾶς, οὐ δεόμεθα πρὸς ὑμᾶς συστάσεως· πρὸς γὰρ τοὺς ἀγνῶτάς τις δεῖται γραμμάτων· ὑμεῖς δὲ ἐν τῇ διανοίᾳ ὑμῶν ἐστε. καὶ οὐκ εἶπεν, ἐστέ, ἁπλῶς, ἀλλά, ἐγγεγραμμένη· τουτέστιν, οὐδὲ ἀποπεσεῖν δύνασθε· ὥσπερ γὰρ ἀπὸ γραμμάτων ἀναγινώσκοντες, οὕτως ἀπὸ τῆς καρδίας ἡμῶν γινώσκοντες ἴσασι πάντες τὴν ἀγάπην ἡμῶν, ἣν ἔχομεν περὶ ὑμᾶς.

Εἰ τοίνυν τὰ γράμματα διὰ τοῦτό ἐστιν, ἵνα δηλώσῃ ὅτι ὁ δεῖνά μοι φίλος, καὶ ἀπολαυέτω [a] παρρησίας, ἀρκεῖ ἡ ὑμετέρα ἀγάπη τὸ πᾶν ἀνύσαι. E ἄν τε γὰρ πρὸς ὑμᾶς ἴωμεν, οὐ δεόμεθα ἑτέρων τῶν συνιστώντων ἡμᾶς, τῆς φιλίας ὑμῶν προλαμβανούσης· ἄν τε πρὸς ἑτέρους, οὐ χρῄζομεν πάλιν γραμμάτων, τῆς αὐτῆς ἀγάπης ἀντὶ τούτων ἀρκούσης ἡμῖν. περιφέρομεν γὰρ τὴν ἐπιστολὴν ἐν ταῖς καρδίαις ἡμῶν. εἶτα ἐπὶ μεῖζον ἐπαίρων αὐτούς, καὶ ἐπιστολὴν Χριστοῦ καλεῖ, λέγων· Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ. καὶ τοῦτο εἰπών, λαμβάνει λοιπὸν ὑπόθεσιν, καὶ ἀρχὴν ἐντεῦθεν ἐξετάσαι τὰ τοῦ νόμου. καὶ ἄλλως δὲ αὐτοὺς ἐνταῦθα, φησιν, εἶναι ἐπιστολήν· ἀνωτέρω μὲν γὰρ ὡς συνιστῶντας, διὸ ἐπιστολὴν ἐκάλεσεν·

[a] Editi παῤῥησίας mss. προστασίας.

A ἐνταῦθα δὲ ἐπιστολὴν Χριστοῦ, ὡς ἔχοντας τὸν νόμον ἐγγεγραμμένον τοῦ Θεοῦ, ἃ γὰρ ἐβούλετο ὁ Θεὸς δηλῶσαι πᾶσι, καὶ ὑμῖν, ταῦτα γέγραπται ἐν ταῖς καρδίαις ὑμῶν. ἡμεῖς δὲ παρεσκευάσαμεν ὑμᾶς, ὥστε δέξασθαι τὰ γράμματα. καθάπερ Μωϋσῆς τοὺς λίθους καὶ τὰς πλάκας ἐξέλαψεν, οὕτως ἡμεῖς τὰς ὑμετέρας ψυχάς. διό φησι, διακονηθεῖσα ὑφ' ἡμῶν. ἀλλ' ἐν τούτῳ τὸ ἴσον εἶχον. καὶ γὰρ ἐκεῖναι ὑπὸ Θεοῦ ἐγράφησαν, καὶ αὗται ὑπὸ τοῦ Πνεύματος. ποῦ τοίνυν ἡ διαφορά; ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας B σαρκίναις. ὅσον δὲ τὸ μέσον Πνεύματος καὶ μέλανος, καὶ λιθίνης πλακὸς, καὶ σαρκίνης, τοσοῦτον τὸ διάφορον τούτων κἀκείνων· οὐκοῦν καὶ οἱ διακονήσαντες, τοῦ διακονήσαντος ἐκείνοις. διά τοι τοῦτο, ἐπεὶ μέγα ἐφθέγξατο, ταχέως ἐπιλαμβάνεται ἑαυτοῦ, λέγων· πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν. καὶ πάλιν ὅλον ἀνατίθησι τῷ Θεῷ. τούτων γὰρ ἡμῖν ὁ Χριστὸς αἴτιός, φησιν. οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν τι λογίζεσθαι, ὡς ἐξ ἑαυτῶν. ὅρα πάλιν καὶ ἑτέραν ἐπιδιόρθωσιν. καὶ γὰρ μεθ' ὑπερβολῆς τὴν ἀρετὴν ταύτην μάλιστα κέκτηται, τὴν ταπεινοφροσύνην λέγω. C διόπερ ὅταν εἴπῃ τι μέγα περὶ ἑαυτοῦ, πάσῃ κέχρηται σπουδῇ, ὥστε σφοδρῶς παραμυθήσασθαι τὸ εἰρημένον τρόπῳ παντί· ὃ καὶ ἐνταῦθα ποιεῖ, λέγων, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν τι λογίσασθαι, ὡς ἐξ ἑαυτῶν· τουτέστιν, οὐχ οὕτως εἶπον, πεποίθησιν ἔχομεν, ὡς τὸ μὲν ἡμέτερον εἶναι, τὸ δὲ τοῦ Θεοῦ· ἀλλὰ τὸ πᾶν αὐτῷ ἀνατίθημι καὶ λογίζομαι. ἡ γὰρ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης. τί ἐστιν, ἱκάνωσε; δυνατοὺς ἐποίησε καὶ ἐπιτηδείους. οὐ μικρὸν δὲ τοῦτο, τὸ κομίσαι τοιαύτας D πλάκας καὶ ἐπιστολὰς τῇ οἰκουμένῃ, πολὺ μείζους τῶν προτέρων. διὸ καὶ ἐπήγαγεν. οὐ γράμματος, ἀλλὰ πνεύματος. ἰδοὺ πάλιν ἄλλη διαφορά. τί οὖν; ἐκεῖνος οὐκ ἦν πνευματικὸς ὁ νόμος; πῶς οὖν φησιν, οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστι; πνευματικὸς μέν, ἀλλ' οὐ πνεῦμα παρεῖχεν. οὐ γὰρ πνεῦμα ἐκόμισε Μωϋσῆς, ἀλλὰ γράμματα· ἡμεῖς δὲ ἐπιστεύθημεν πνεῦμα διδόναι. διὸ καὶ ἐπεξεργάζεται αὐτὸ λέγων. τὸ γὰρ γράμμα ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ. ταῦτα δὲ οὐχ ἁπλῶς φησιν, ἀλλ' ἐκείνους αἰνιττόμενος τοὺς μεγαλοφρονοῦντας ἐπὶ τοῖς Ἰουδαϊκοῖς. E γράμμα δὲ ἐνταῦθα τὸν νόμον φησί, τὸν κολάζοντα τοὺς πλημμελοῦντας· πνεῦμα δὲ τὴν χάριν τὴν διὰ τοῦ βαπτίσματος τοὺς ὑπὸ τῆς ἁμαρτίας νεκρωθέντας ζωοποιοῦσαν. εἰπὼν γὰρ τὴν διαφορὰν τὴν ἀπὸ τῆς φύσεως τῶν πλακῶν, οὐκ ἐνδιατρίβει αὐτῇ, ἀλλὰ παραδραμὼν αὐτὴν, ταύτην ἐπιπλεῖον ἐργάζεται, ἣ μάλιστα ἑλεῖν τὸν ἀκροατὴν ἠδύνατο, ἀπὸ τοῦ συμφέροντος καὶ κούφου. οὔτε γὰρ πόνον ἔχει, φησί, καὶ μείζονα παρέχει τὴν χάριν. εἰ γὰρ περὶ Χριστοῦ διαλεγόμενος, ἐκεῖνα μάλιστα τίθησιν, ἃ τῆς φιλανθρωπίας αὐτοῦ ἐστι μᾶλλον ἢ τῆς ἀξίας, καὶ ἀλλήλοις συν-

A hic autem epistolam Christi eos vocat, ut qui Dei legem inscriptam habeant. Nam quæ Deus, cum omnibus aliis, tum vobis etiam nota esse volebat, hæc in corbibus vestris inscripta sunt. Nos porro ita vos comparavimus, ut literas exciperetis. Ut enim Moses lapides & tabulas sculpsit: sic nos quoque animas vestras. Ideo ait, *Ministrata a nobis.* At in hoc pari conditione erant. Nam & illæ a Deo conscriptæ erant, & hæc a Spiritu. Quanam ergo in re discrimen situm est? *Scripta non atramento, sed Spiritu Dei viventis: non in tabulis lapideis, sed in tabulis cor-* B *dis carnalibus.* Quantum autem inter Spiritum & atramentum, atque inter lapideas & carnales tabulas interest, tantum etiam inter has & illas est discriminis: ac proinde inter eos quoque, qui his operam navarunt, & eum, qui illis operam navavit. Ob eamque causam, quia magnifice loquutus fuerat, confestim seipsum carpit, dicens: 4. *Fiduciam autem talem habemus per Christum ad Deum.* Ac rursus totum id Deo adscribit. Horum enim nobis Christus causa est, inquit, 5. *Non quod sufficientes simus cogitare aliquid ex nobis, tamquam ex nobis.* Vide rursus alteram etiam præmunitionem. Siquidem C hac virtute, hoc est humilitate, in primis Paulus excellit. Eoque fit, ut quoties de seipso magnifice aliquid ait, nihil non studii adhibeat, ut id quovis modo mitiget ac molliat. Quod etiam hoc loco his verbis facit: *Non quod simus sufficientes cogitare aliquid ex nobis, tamquam ex nobis.* Hoc est: Non ita dixi: *Fiduciam habemus*, ac si aliud nostrum sit, aliud Dei: sed totum istud Deo adscribo. *Nostra enim sufficientia ex Deo est*, 6. *Qui & idoneos nos fecit ministros novi Testamenti.* Quid est idoneos nos fecit? Fecit D ut huic muneri pares esse possimus. Parvum porro hoc non est, nimirum tales tabulas, & epistolas, prioribus multo majores ac præstantiores orbi attulisse. Unde etiam subjunxit: *Non literæ, sed Spiritus.* En rursus aliud discrimen. Quid autem? annon lex quoque illa spiritualis erat? Quomodo ergo ait, Scimus quod lex spiritualis est? Spiritualis quidem erat: sed Spiritum minime præbebat. Non enim Moses Spiritum, sed literas attulit. At nostræ fidei commissum est, ut Spiritum demus. Unde etiam istud studiose prosequitur, dicens: *Litera enim occidit, Spiritus autem vivificat.* Hæc autem non temere dixit, sed E eos subindicans qui de Judaïcis altum sapiebant. Per literam autem hoc loco legem intelligit, quæ peccantes supplicio afficiebat: per Spiritum autem, gratiam baptismi, qua ii, qui a peccato interemti sunt, ad vitam revocantur. Postquam enim discrimen illud commemoravit, quod inter utriusque tabulæ naturam erat, non in eo hæret, sed ulterius progressus, hoc latius prosequitur: qua ratione auditorem magis capere poterat, nimirum ab utilitate & facilitate. Neque enim laborem habet, inquit: & majorem gratiam affert. Nam si de Christo loquens, ea potissimum ponit quæ benignitatis ipsius potius, quam nostri meriti sunt, quæque inter se

Rom. 7. 14.

devincta sunt, multo magis hoc necessario facit, cum de testamento loquitur. Quidnam igitur hæc verba significant: *Litera occidit?* Dixerat quidem in tabulis lapideis & cordibus carneis: at nondum magnum quoddam discrimen proferre videbatur. Adjunxit itaque, quod illa, litera aut atramento, hæc Spiritu perscripta sit. Hoc autem non eos admodum excitabat: hoc ergo demum dicit, quod vel pennas illis afferre queat, nempe, *Litera occidit: Spiritus autem vivificat.*

4. Quidnam autem hoc est? In lege, is, qui peccatum habet, punitur: hic qui peccatum habet, accedens baptizatur, ac justus efficitur. Justus autem effectus, vivit, utpote peccati morte liberatus. Lex, si homicidam arripuerit, eum morte afficit: gratia, si homicidam ceperit, illuminat ac vivificat.
Num. 15. Quid autem homicidam dico? Lex eum, qui sabbati die ligna collegerat, arreptum lapidibus obruit; hoc enim est quod ait, Litera occidit; gratia contra, sexcentos homicidas & latrones accepit, ac baptismi aqua tinctos prioribus malis liberat. Hoc est, Spiritus vivificat. Illa eum, qui deprehensus est, ex vivo mortuum reddit: hæc reum ex mor-
Matt. 11. 28. tuo vivum efficit. Venite enim, inquit, ad me omnes qui laboratis & onerati estis: & non dixit, excruciabo vos, sed, reficiam vos. Etenim in baptismo peccata sepeliuntur, priora delentur, homo vivificatur, omnis gratia in ipsius pectore, tamquam in tabulis, inscribitur. Itaque reputes, velim, quanta Spiritus dignitas sit, quippe cum ipsius tabulæ prioribus meliores sint, atque ipsa etiam resurrectione præstantius aliquid ostendat. Nam & mors ea, a qua ipsa liberat, priore gravior est, & quidem tanto, quanto anima corpori præstat: atque ea vita, quam Spiritus impertit, per eam conflatur. Quod si hanc afferre potest, multo magis minorem. Illam etenim prophetæ quoque contulerunt: hanc autem non perinde. Nemo enim, Deo uno excepto, peccata remittere potest. Quin ne illam quidem citra Spiritus opem præbebant prophetæ. Nec vero hoc dumtaxat mirum est, quod vivificet: sed etiam quod id facien-
Joan. 20. 22. di potestatem aliis quoque præbuerit. *Accipite* enim, inquit, *Spiritum sanctum.* Quid ita? An id sine Spiritu non licebat? Sed ut ostenderet Deus illum supremæ potentiæ, ac regiæ illius essentiæ esse, eademque vim habere, his verbis utitur. Ideoque subjungit. *Quorum remiseritis peccata, remittuntur eis: & quorum retinueritis, retenta sunt.* Quandoquidem igitur nos vita donavit, viventes maneamus, nec ad priorem mortem rursus
Rom. 6. 10. redeamus. Christus enim non jam moritur. Quod enim mortuus est, peccato mortuus est semel, nec vult semper nos gratiæ beneficio salutem consequi. Alioqui enim omnium vacui futuri sumus. Ac proinde a nobis quoque aliquid conferri vult. Itaque hoc conferamus, ut animam viventem conser-
Animæ vita, quæ. vemus. Quid autem animæ vita sit, a corpore disce. Etenim corpus tum demum vivere dicitur, cum sano quodam gressu ince-

A δέδεται· πολλῷ μᾶλλον ἐπὶ τῆς διαθήκης ἀναγκαίως τοῦτο ποιεῖ. τί οὖν ἐστὶ τὸ, γράμμα ἀποκτείνει; εἶπεν ὅτι ἐν πλαξὶ λιθίναις, καὶ καρδίαις σαρκίναις· οὐδέπω δὲ μεγάλην ἐδόκει διαφορὰν λέγειν. προσέθηκε οὖν ὅτι ἐκείνη γράμματι ἢ μέλανι, αὕτη δὲ πνεύματι· οὔτε τοῦτο πάνυ αὐτοὺς διήγειρε. λέγει οὖν λοιπὸν ὅπερ ἱκανὸν αὐτοὺς πτερῶσαι· ὅτι τὸ μὲν ἀποκτείνει, τὸ δὲ ζωοποιεῖ.

Τί δὲ τοῦτό ἐστιν; ἐν τῷ νόμῳ ὁ ἁμάρτημα ἔχων, κολάζεται· ἐνταῦθα ὁ ἁμάρτημα ἔχων, προσελθὼν
B βαπτίζεται, καὶ γίνεται δίκαιος· δίκαιος δὲ γενόμενος ζῇ, τοῦ θανάτου τῆς ἁμαρτίας ἀπαλλαγείς. ὁ νόμος ἐὰν λάβῃ φονέα, ἀναιρεῖ· ἡ χάρις ἐὰν λάβῃ φονέα, φωτίζει καὶ ζωοποιεῖ. καὶ τί λέγω φονέα; ξύλα ἔλαβεν ἐν σαββάτῳ συλλέξαντα ὁ νόμος, καὶ ἐλίθασε· τοῦτό ἐστι, τὸ γράμμα ἀποκτείνει. μυρίους ἀνδροφόνους καὶ λῃστὰς λαμβάνει ἡ χάρις, καὶ βαπτίζουσα ἀπαλλάττει τῶν προτέρων κακῶν· τοῦτό ἐστι, τὸ πνεῦμα ζωοποιεῖ. ἐκεῖνος ἀπὸ ζῶντος νεκρὸν ἐργάζεται τὸν ἁλόντα· αὕτη ἀπὸ νεκροῦ ζῶντα κατασκευάζει τὸν ὑπεύθυνον. δεῦτε
C γάρ πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· καὶ οὐκ εἶπε, κολάσω ὑμᾶς, ἀλλ᾽, ἀναπαύσω ὑμᾶς. ἐν γὰρ τῷ βαπτίσματι θάπτεται τὰ ἁμαρτήματα, ἐξαλείφεται τὰ πρότερα, ζωοποιεῖται ὁ ἄνθρωπος, ὥσπερ εἰς πλάκα αὐτοῦ τὴν καρδίαν ἐγγράφεται πᾶσα ἡ χάρις. ἐννόησον τοίνυν ὅση τοῦ πνεύματος ἡ ἀξία, ὅταν αἱ πλάκες αὐτοῦ βελτίους τῶν προτέρων, ὅταν μεῖζόν τι καὶ αὐτῆς τῆς ἀναστάσεως ἐπιδείκνυνται. καὶ γὰρ ἡ νέκρωσις αὕτη τῆς προτέρας χαλεπωτέρα, ἧς καὶ ἀπαλλάττει, καὶ τοσούτῳ, ὅσῳ ψυχὴ σώματος βελτίων· καὶ αὕτη δι᾽ ἐκείνης
D συνίσταται ἡ ζωὴ, ἣν τὸ πνεῦμα δίδωσιν. εἰ δὲ ταύτην δυνατὸν χαρίσασθαι, πολλῷ μᾶλλον τὴν ἐλάττονα. ἐκείνην μὲν γὰρ προφῆται εἰργάσαντο· ταύτην δὲ οὐκέτι. οὐδεὶς γὰρ δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός. οὐδὲ ἐκείνην δὲ χωρὶς πνεύματος παρεῖχον οἱ προφῆται. οὐ τοῦτο δέ ἐστι μόνον τὸ θαυμαστὸν, ὅτι ζωοποιεῖ, ἀλλ᾽ ὅτι καὶ ἑτέροις τοῦτο παρέχει ποιεῖν. λάβετε γάρ, φησι, πνεῦμα ἅγιον. διατί; χωρὶς πνεύματος γὰρ οὐκ ἐνῆν; ἀλλὰ δεικνὺς ὁ θεὸς, ὅτι τοῦτο τῆς ἐξουσίας ἐστὶ τῆς ἀνωτάτω, καὶ τῆς οὐσίας τῆς βασιλικῆς ἐκείνης, καὶ τὴν αὐτὴν ἔχει ἰσχὺν, καὶ τοῦτό
E φησι. διὸ καὶ ἐπάγει, ὧν ἐὰν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται, καὶ ὧν ἐὰν κρατῆτε, κεκράτηνται. ἐπεὶ οὖν ἐζωοποίησεν ἡμᾶς, μένωμεν ζῶντες, καὶ μὴ πάλιν ἐπὶ τὴν προτέραν ἐπανίωμεν νεκρότητα. ὁ Χριστὸς γὰρ οὐκέτι ἀποθνήσκει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· καὶ οὐ βούλεται ἀεὶ χάριτι ἡμᾶς σώζεσθαι· ἐπεὶ κενοὶ πάντων ἡμεῖς ἐσόμεθα. διὸ καὶ παρ᾽ ἡμῶν εἰσφέρεσθαί τι βούλεται. εἰσενέγκωμεν τοίνυν, καὶ τὴν ψυχὴν ζῶσαν διατηρῶμεν. τί δέ ἐστι ψυχῆς ζωὴ, ἀπὸ τοῦ σώματος μάνθανε. καὶ γὰρ τὸ σῶμα τότε λέγομεν ζῆν, ὅταν βαδίζῃ ὑγιῆ τινα βάδισιν·

A ὅταν δὲ καταχέηται διαλυθὲν, καὶ παρὰ τάξιν κινῆται, κἂν δοκῇ ζῆν, ἢ βαδίζειν, παντὸς θανάτου χαλεπωτέρα ἡ τοιαύτη ζωή. κἂν φθέγγηται μηδὲν ὑγιὲς, ἀλλὰ τὰ τῶν παραπλήγων ῥήματα, καὶ ἕτερα ἀνθ' ἑτέρων βλέπῃ, πάλιν τῶν τετελευτηκότων ἐλεεινότερος ὁ τοιοῦτος. οὕτω καὶ ἡ ψυχὴ, ὅταν μηδὲν ὑγιὲς ἔχῃ, κἂν δοκῇ ζῆν, τέθνηκεν· ὅταν τὸ χρυσίον μὴ βλέπῃ ὡς χρυσίον, ἀλλ' ὡς μέγα τι καὶ τίμιον, ὅταν τὰ μέλλοντα μὴ ἐννοῇ, ἀλλὰ χαμαὶ σύρηται, ὅταν ἀνθ' ἑτέρων ἕτερα πράττῃ. πόθεν γὰρ δῆλον ὅτι ψυχὴν ἔχομεν; οὐκ ἀπὸ τῶν ἐνεργειῶν; ὅταν B οὖν τὰ αὐτῆς μὴ ἐνεργῇ, οὐχὶ τέθνηκεν; οἷον, ὅταν μὴ ἐπιμελῆται ἀρετῆς, ἀλλὰ ἁρπάζῃ, καὶ παρανομῇ. πόθεν δυνάμεθα εἰπεῖν ὅτι ψυχὴν ἔχεις, ὅτι βαδίζεις; ἀλλὰ τοῦτο καὶ τῶν ἀλόγων. ἀλλ' ὅτι ἐσθίεις καὶ πίνεις; ἀλλὰ τοῦτο καὶ τῶν θηρίων. ἀλλ' ὅτι ὀρθὸς ἕστηκας ἐπὶ δύο ποσί; τοῦτό μοι μᾶλλον δείκνυσιν, ὅτι θηρίον εἶ ἀνθρωπόμορφον. ὅταν μὲν γὰρ τὰ ἄλλα ἔχῃς ἐκείνου, τὴν δὲ διανάστασιν μηκέτι, μᾶλλόν με ταράττεις καὶ ἐκδειματοῖς, καὶ μᾶλλον τέρας εἶναι νομίζω τὸ φαινόμενον. καὶ γὰρ εἰ θηρίον εἶδον ἀνθρωπίνῃ φθεγγόμενον τῇ φωνῇ, οὐκ ἂν δι' αὐτὸ [a] τοῦτο C ἔφην ἄνθρωπον εἶναι, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο θηρίον θηρίου τερατωδέστερον. πόθεν οὖν δυνήσομαι μαθεῖν ὅτι ψυχὴν ἔχεις ἀνθρώπου, ὅταν λακτίζῃς ὡς οἱ ὄνοι, ὅταν μνησικακῇς ὡς αἱ κάμηλοι, ὅταν δάκνῃς ὡς αἱ ἄρκτοι, ὅταν ἁρπάζῃς ὡς οἱ λύκοι, ὅταν κλέπτῃς ὡς αἱ ἀλώπεκες, ὅταν δολερὸς ᾖς ὡς οἱ ὄφεις, ὅταν ἀναισχυντῇς ὡς ὁ κύων; πόθεν δυνήσομαι μαθεῖν ὅτι ψυχὴν ἔχεις ἀνθρώπου; βούλεσθε δείξω νεκρὰν ψυχὴν, καὶ ζῶσαν; ἀγάγωμεν τὸν λόγον πάλιν ἐπὶ τοὺς ἀρχαίους ἄνδρας ἐκείνους, καὶ, εἰ δοκεῖ, τὸν πλούσιον εἰς μέσον D καταθώμεθα τὸν ἐπὶ τοῦ Λαζάρου, καὶ εἰσόμεθα τί ποτέ ἐστι ψυχῆς νέκρωσις. καὶ γὰρ ἐκεῖνος νεκρὰν εἶχε ψυχὴν, καὶ δῆλον ἀφ' ὧν ἐποίει. τῶν μὲν γὰρ ψυχῆς ἔργων οὐδὲν ἔπραττεν· ἤσθιε δὲ καὶ ἔπινε καὶ ἐτρύφα μόνον.

Τοιοῦτοί εἰσι καὶ νῦν οἱ ἀνελεήμονες καὶ ὠμοί· νεκρὰν γὰρ ἔχουσι καὶ οὗτοι ψυχὴν, ὥσπερ ἐκεῖνος. τὸ γὰρ θερμὸν αὐτῆς ἅπαν τὸ ἀπὸ τῆς φιλίας τῆς εἰς τὸν πλησίον ἀνήλωται, καὶ ἔστιν ἀψύχου σώματος νεκροτέρα. ὁ δὲ πένης οὐ τοιοῦτος, ἀλλ' ἐν αὐτῷ τῷ ἄκρῳ τῆς φιλοσοφίας ἑστὼς διέλαμ- E πε· καὶ λιμῷ παλαίων διηνεκεῖ, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, οὐδὲ οὕτως εἶπέ τι βλάσφημον εἰς τὸν θεὸν, ἀλλ' ἔφερεν ἅπαντα γενναίως. οὐ μικρὸν δὲ τοῦτο ψυχῆς ἔργον, ἀλλὰ καὶ τῆς εὐτονίας καὶ τῆς ὑγείας τεκμήριον μέγιστον. ὅταν δὲ ταῦτα μὴ ᾖ, δῆλον ὅτι παρὰ τὸ νενεκρῶσθαι ἀπόλωλεν. ἢ οὐ νεκρὰν ἐκείνην εἶναι φήσομεν, εἰπέ μοι, ἣ ἔπεισι μὲν ὁ διάβολος πλήττων, κεντῶν, δάκνων, λακτίζων,

[a] Hæc τοῦτο ἔφην ἄνθρωπον εἶναι, &c. deerant in Morelli edito.

dit: at ubi dissolutum jacet, ac præpostere movetur, etiamsi vivere, aut ambulare videatur, tamen quavis morte gravior est hujusmodi vita. Eodem modo si nihil sani loquatur, sed eorum, qui mentis emotæ sunt, verbis utatur, atque alia pro aliis cernat, rursus miserabilior est ille, quam mortui. Sic anima quoque, cum nihil sani habet, etiamsi viventis speciem præbeat, tamen mortua est: cum aurum non ut aurum, sed ut magnum aliquid ac preciosum cernit; cum futura non cogitat, sed humi serpit; cum pro aliis alia facit. Unde enim nos anima præditos esse constat? Annon ex actionibus? Cum igitur suis ipsa muneribus non fungitur, annon mortua est? Verbi gratia, cum virtutis cura non tenetur, sed rapit, ac flagitiose vivit, unde queam dicere animam tibi inesse? An quod ambules? At hoc bruta etiam habent. An quod edas ac bibas? At hoc ferarum quoque est. An quod recto corpore sis, ac duobus pedibus insistas? At hoc mihi potius indicat te belluam humana forma esse. Nam cum cætera eadem tibi cum bellua sint, erectio autem non item, hoc ipso vehementius me turbas ac perterrefacis, magisque portentum id esse existimo, quod cerno. Etenim si feram humana lingua loquentem cernerem, non propterea hominem esse dicerem: quin hoc ipso nomine potius feram, fera prodigiosiorem. Unde ergo mihi exploratum esse queat, humanam animam tibi inesse, cum ut asini calcitres, ut cameli memor sis injuriarum, ut ursi mordeas, ut lupi rapias, ut vulpes fureris, ut serpentes vafer ac fraudulentus sis, ut canis impudenter te geras? Unde, inquam, te humana anima præditum esse intelligere queam? Vultis mortuam ac viventem animam ostendam? Ad priscos illos viros sermonem conferamus, ac, si placet, divitem illum, qui Lazari tempore erat, in medium proferamus: atque, quidnam tandem mors animæ sit, intelligemus. Etenim ille mortuam animam habebat: idque ex iis quæ faciebat liquet. Eorum enim munerum, quæ animæ sunt, nullum exsequebatur: & solum edebat ac bibebat, & voluptatibus operam dabat. *Luc. 16.*

5. Tales nunc etiam sunt, qui immisericordia & crudelitate laborant. Mortuam enim hi quoque animam habent, ut & ille. Universus enim is calor, qui ab amore erga proximum manat, absumtus est, ipsaque magis quam exanime corpus mortua est. At pauper non ita: sed in ipsa philosophiæ arce stans, elucebat. Et quamvis perpetua fame conflictaretur, ac ne necessarius quidem cibus ipsi suppeteret: tamen ne sic quidem blasphemi quidquam adversus Deum loquutus est, sed omnia generoso animo tulit. Hoc porro non parvum animæ opus est, sed maximum, & nervorum, & sanitatis argumentum. Cum autem hæc desiderantur, liquet ideo ea interiisse, quia anima mortua sit. Annon mortuam animam illam esse dicemus, quam invadit diabolus, feriens, lancinans, mordens, calcibus impetens,

nec tamen ea quidquam horum sentit, sed mortua jacet, nec, cum ipsi opes suæ adimuntur, dolet: verum ille quidem insultat, hæc autem immobilis manet, & instar corporis anima orbati nullo sensu afficitur? Nam cum Dei timor una cum cura ac diligentia non adest, talem eam esse necesse est, ac mortuis misseriorem. Neque enim in saniem & cinerem ac pulverem, corporis in modum, anima dilabitur, sed in ea, quæ his fœtidiora sunt: in ebrietatem, in avaritiam, in absurdos amores & intempestivas cupiditates. Quod si ipsius fœtorem certius intueri cupis, da mihi puram animam: ac tum perspicue cernes quam fœtida sit turpis illa & impura. Nunc enim id minime perspicere poteris. Nam quamdiu fœtori assueti sumus, id non sentimus. At cum spiritualibus sermonibus alimur, tunc malum illud agnoscimus: Etiamsi permultis indifferens esse videatur. Ac de gehenna nondum loquor: sed si lubet præsentia expendamus, nec eum qui turpia perpetrat, sed eum qui turpia loquitur, consideremus, quam ridiculus sit, quamque sese primum contumelia afficiat, atque, ut qui cœnum aliquod ex ore emittit, sic se ipse contaminet. Etenim si fluxio usque adeo impura est, cogita, quæso, qualis hujus cœni scaturigo sit. Ex abundantia enim cordis os loquitur. Ego vero non hoc tantum nomine lugeo! sed quod apud nonnullos ne turpe quidem istud videatur. Hinc mala omnia incrementum capiunt, cum & peccamus, nec tamen peccare nobisipsis videmur. Visne igitur scire quantum malum sit turpia loqui? Animadverte quomodo eos, qui te audiunt, obscœnitatis tuæ pudeat. Quid enim vilius, quid contemtius homine turpia loquente? Nam qui tales sunt, in histrionum classem, atque in prostitutæ pudicitiæ mulierum ordinem sese contrudunt. Imo etiam plus illis, quam vobis, pudoris inest. Quonam autem modo uxorem ad pudicitiam erudire queas, cum per hujusmodi verba eam ad libidinem instituas? Præstat saniem ex ore emittere, quam verbum obscœnum. Ac nunc, si fœteat os, ne ad communes quidem cibos admitteris: cum autem anima usque adeo fœteat, heus tu, mysteria percipere non dubitas? Ac si aliquis vas impurum acciperet, atque in mensa tua collocaret, fustibus quoque cæsum, illum exigeres: tu vero Deum habens in mensa ipsius; mensa enim ipsius, os nostrum est, cum gratiarum actione plenum est; quovis impuro vase exsecrabiliora verba proferens, quæso te, non eum ad iracundiam provocare putas? Et qui hoc fieri queat? Nihil enim æque sanctum illum ac purum exacerbat, ut verba hæc. Nihil ita temerarios & impudentes homines reddit, ut hujusmodi verba loqui, & audire. Nihil æque pudicitiæ nervos infringit, ut flamma, quæ per ea excitatur. Deus unguentum ori tuo imposuit: tuo vero cadavere fœtidiora verba in eo recondis, atque animam ipsam oc-

*Matt.* 12. 34.

Obscœna loqui quantum malum.

A αἰσθάνεται δὲ ἐκείνη οὐδενὸς τούτων, ἀλλὰ κεῖται νενεκρωμένη, καὶ τῆς περιουσίας αὐτῆς ἀφαιρουμένης οὐκ ἀλγεῖ, ἀλλ' ἐφάλλεται μὲν ἐκεῖνος, μένει δὲ αὕτη ἀκίνητος, ὥσπερ σῶμα ψυχῆς ἀπελθούσης, οὐδὲ αἰσθανομένη; ὅταν γὰρ ὁ τοῦ θεοῦ φόβος μὴ παρῇ μετὰ ἀκριβείας, τοιαύτην αὐτὴν εἶναι ἀνάγκη, καὶ νεκρῶν ἀθλιωτέραν. οὐδὲ γὰρ εἰς ἰχῶρα διαλύεται καὶ τέφραν καὶ κόνιν ἡ ψυχὴ, καθάπερ τὸ σῶμα, ἀλλ' εἰς τὰ τούτων δυσωδέστερα, εἰς μέθην, καὶ θυμὸν, καὶ πλεονεξίαν, εἰς ἀτόπους ἔρωτας, καὶ ἀκαίρους ἐπιθυμίας. B εἰ δὲ βούλει αὐτῆς ἀκριβέστερον ἰδεῖν τὸ δυσῶδες, δός μοι ψυχὴν καθαρὰν, καὶ τότε ὄψει σαφῶς πῶς ἐστι δυσώδης ἡ αἰσχρὰ αὕτη καὶ ἀκάθαρτος. νῦν μὲν γὰρ οὐ δυνήσῃ συνιδεῖν. ἕως γὰρ ἂν ὦμεν ἐν συνηθείᾳ δυσωδίας, οὐκ αἰσθανόμεθα· ὅταν δὲ πνευματικοῖς τρεφώμεθα ῥήμασι, τότε εἰσόμεθα ἐκεῖνο τὸ κακόν. καίτοι πολλοῖς ἀδιάφορον τοῦτο εἶναι δοκεῖ. καὶ οὐδέπω λέγω περὶ γεέννης· ἀλλ', εἰ βούλεσθε, τὰ παρόντα ἐξετάσωμεν, καὶ μὴ τὸν αἰσχρὰ πράττοντα, ἀλλὰ τὸν αἰσχρὰ φθεγγόμενον, πῶς ἐστι καταγέλαστος, πῶς ἑαυτὸν καθυβρίζει πρῶτον, καθάπερ τις βόρβορόν C τινα ἀπὸ τοῦ στόματος ἀφιεὶς, οὕτως ἑαυτὸν μολύνει. εἰ γὰρ τὸ ῥεῖθρον οὕτως ἀκάθαρτον, ἐννόησον οἵα ἡ πηγὴ τοῦ βορβόρου τούτου. ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. ἐγὼ δὲ οὐ διὰ τοῦτο πενθῶ μόνον, ἀλλ' ὅτι οὐδὲ εἶναι δοκεῖ τῶν ἀτόπων τοῦτο παρά τισιν. ἐντεῦθεν ἅπαντα αὔξεται τὰ κακὰ, ὅταν καὶ ἁμαρτάνωμεν, καὶ μηδὲ πλημμελεῖν νομίζωμεν. βούλει οὖν μαθεῖν ὅσον κακὸν τὸ αἰσχρὰ φθέγγεσθαι, ἐννόησον τοὺς ἀκούοντας, πῶς ἐρυθριῶσιν ἐν τῇ ἀσχημοσύνῃ τῇ σῇ. τί γὰρ εὐτελέστερον ἀνδρὸς αἰσχρολόγου; τί ἀτιμότερον; εἰς γὰρ τὴν τῶν μίμων ὠθοῦσιν ἑαυτοὺς D οἱ τοιοῦτοι τάξιν, καὶ εἰς τὴν τῶν πεπορνευμένων γυναικῶν· μᾶλλον δὲ, ἐκεῖναι ἐρυθριῶσι, ἢ ὑμεῖς. πῶς δυνήσῃ διδάξαι γυναῖκα σωφρονεῖν, παιδεύων αὐτὴν εἰς ἀσέλγειαν διὰ τούτων ἐκβαίνειν τῶν ῥημάτων; βέλτιον σηπεδόνα ἀπὸ τοῦ στόματος ἀφιέναι, ἢ ῥῆμα αἰσχρόν. νῦν δὲ ἂν μὲν ὄζῃ τὸ στόμα, οὐδὲ τῶν κοινῶν μετέχεις σιτίων· τοσαύτης δὲ δυσωδίας οὔσης ἐν τῇ ψυχῇ, μυστηρίων τολμᾷς κοινωνεῖν, εἰπέ μοι; καὶ εἰ μὲν σκεῦος ἀκάθαρτόν τις λαβὼν, ἐπὶ τῆς τραπέζης κατέθετο τῆς σῆς, ξύλοις αὐτὸν ἂν παίων ἤλασας· τὸν δὲ θεὸν ἐπὶ τῆς τραπέζης τῆς αὐτοῦ· τράπεζα γὰρ αὐτοῦ, E τὸ στόμα τὸ ἡμέτερον εὐχαριστίας πληρούμενον· σκεύους ἀκαθάρτου παντὸς ῥήματα βδελυρώτερα προφέρων, οὐκ οἴει παροξύνειν, εἰπέ μοι; καὶ πῶς ἔνι τοῦτο; οὐδὲν γὰρ οὕτω παροργίζει τὸν ἅγιον, καὶ τὸν καθαρὸν, ὡς τὰ ῥήματα ταῦτα· οὐδὲν οὕτως ἰταμοὺς καὶ ἀναισχύντους ποιεῖ, ὡς τὸ λέγειν τοιαῦτα καὶ ἀκούειν· οὐδὲν οὕτως [a] ἐκλύει τὰ νεῦρα τῆς σωφροσύνης, ὡς ἡ διὰ τούτων ἀναπτομένη φλόξ. μύρον ἐνέθετό σου τῷ στόματι ὁ θεός· σὺ δὲ νεκροῦ δυσωδέστερα ἀποτίθεσαι ῥήματα, καὶ αὐτὴν ἀναιρεῖς τὴν ψυχὴν,

[a] ἐκλύει, mss. διαλύει.

καὶ ἀκίνητον ποιεῖς. καὶ γὰρ ὅταν ὑβρίζῃς, οὐκ ἔστι A
τοῦτο ψυχῆς φωνὴ, ἀλλὰ θυμοῦ· ὅταν αἰσχρὰ λέ-
γῃς, οὐκ ἐκείνη ἐφθέγξατο, ἀλλ' ἡ ἀκολασία· ὅταν
κακηγορῇς, ἡ βασκανία· ὅταν ἐπιβουλεύῃς, ἡ πλεο-
νεξία. ταῦτα γὰρ οὐκ ἐκείνης, ἀλλὰ τῶν παθῶν αὐτῆς,
καὶ νοσημάτων. ὥσπερ οὖν τὸ φθείρεσθαι, οὐχ ἁπλῶς τοῦ
σώματος, ἀλλὰ τοῦ θανάτου, καὶ τοῦ πάθους τοῦ ἐν τῷ
σώματι· οὕτω δὴ καὶ ταῦτα, τῶν προσγινομένων αὐτῇ
παθῶν. εἰ γὰρ βούλει ψυχῆς ἀκοῦσαι φωνῆς ζώσης,
ἄκουσον Παύλου λέγοντος, ἔχοντες τροφὰς καὶ σκε-
πάσματα, τούτοις ἀρκεσθησόμεθα. καὶ, ἔστι πορισμὸς B
μέγας ἡ εὐσέβεια. καὶ, ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ
τῷ κόσμῳ. ἄκουσον Πέτρου λέγοντος, ἀργύριον καὶ
χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι.
ἄκουσον τοῦ Ἰὼβ εὐχαριστοῦντος, καὶ λέγοντος, ὁ κύριος
ἔδωκεν, ὁ κύριος ἀφείλετο. ταῦτα ψυχῆς ζώσης τὰ
ῥήματα, ταῦτα ἐνεργούσης τὴν οἰκείαν ἐνέργειαν. οὕτω καὶ
Ἰακὼβ ἔλεγεν, ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ
ἱμάτιον περιβαλέσθαι. οὕτω καὶ Ἰωσὴφ, πῶς ποιήσω
τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐνώπιον
τοῦ θεοῦ; ἀλλ' οὐχ ἡ βάρβαρος ἐκείνη· ἀλλ' ὥσπερ με-
θύουσα καὶ παραπαίουσα, οὕτως ἐφθέγγετο λέγουσα, C
κοιμήθητι μετ' ἐμοῦ. ταῦτ' οὖν εἰδότες, ζηλώσωμεν τὴν
ζῶσαν ψυχὴν, φύγωμεν τὴν νενεκρωμένην, ἵνα καὶ τῆς
μελλούσης ἐπιτύχωμεν ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς
μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

cidis & immobilem reddis. Etenim cum ali-
quem contumelia afficis, hoc non animæ,
sed iracundiæ vox est. Cum obscœna loque-
ris, non illa, sed libido loquuta est; cum
obtrectas, invidia; cum insidias struis, a-
varitia. Hæc enim non animæ sunt, sed
perturbationum ipsius ac morborum. Quem-
admodum enim corrumpi, non simpliciter
corporis est, sed mortis & vitii quod in cor-
pore est; eodem modo ista quoque, ad-
ventitiarum animæ perturbationum sunt.
Nam si viventis animæ vocem audire vis,
audi Paulum dicentem: Habentes alimenta, 1. Tim. 6. 8.
& quibus tegamur, his contenti sumus. Ibidem.
Et, Quæstus magnus est pietas. Et, Mihi Gal. 6. 14.
mundus crucifixus est, & ego mundo. Au- Act. 3. 6.
di Petrum dicentem: Argentum & aurum
non est mihi: quod autem habeo, hoc ti-
bi do. Audi Job, gratias agentem ac di- Job. 1. 21.
centem: Dominus dedit, Dominus abstu-
lit. Hæc viventis animæ verba sunt, hæc
suam vim exerentis. Sic Jacob etiam dice- Gen. 28. 20.
bat: Si dederit mihi Dominus panem ad
manducandum, & vestimentum ad induen-
dum. Sic & Joseph: Quo pacto faciam ver- Gen. 39. 9.
bum hoc malum, & peccabo coram Deo?
At non perinde barbara illa, sed velut ebria ac
delirans, ita loquebatur dicens: Dormi me- Gen. 39. 12.
cum. Hæc igitur cum noverimus, viventem
animam æmulemur: mortuam fugiamus, ut
futuram quoque vitam consequamur; quam
utinam nobis omnibus consequi contingat,
per gratiam & benignitatem, &c.

## ΟΜΙΛΙΑ ζ'

Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπω-
μένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι
ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον D
Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ
τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ δια-
κονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ;

ΕΙΠΕΝ ὅτι λίθιναι αἱ πλάκες αἱ Μωϋσέως,
ὡς ὅτι γράμματα εἶχον καὶ ὅτι σάρκιναι
αὗται· αἱ καρδίαι δὲ τῶν ἀποστόλων καὶ πνεύματι
ἦσαν ἐγγεγραμμέναι· καὶ ὅτι τὸ μὲν γράμμα
ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ· ἐλείπετο λοι-
πὸν τῇ συγκρίσει ταύτῃ προσθεῖναι καὶ ἕτερον οὐ
μικρὸν, τὸ τῆς δόξης Μωϋσέως· ὅπερ ἐνταῦθα E
οὐδεὶς εἶδεν ἐπὶ τῆς καινῆς, τοῖς τοῦ σώματος ὀφ-
θαλμοῖς· διὸ καὶ μέγα ἐδόκει εἶναι, ἐπειδὴ αἰσθη-
τὴ ἦν δόξα· ὀφθαλμοῖς γὰρ ἑωρᾶτο σώματος,
εἰ καὶ ἀπρόσιτος ἦν· ἡ δὲ τῆς καινῆς, νοητή.
οὐ γὰρ σαφὴς τοῖς ἀσθενεστέροις τῆς τοιαύτης ὑπερο-
χῆς ἡ κατάληψις· ἀλλ' ἐκείνη μᾶλλον αὐτοὺς
ἦρε, καὶ ἐπέστρεφε πρὸς ἑαυτήν. ἐπεὶ οὖν εἰς
ταύτην ἐνέπεσε τὴν σύγκρισιν, καὶ σπουδάζει
δεῖξαι τὴν ὑπεροχὴν, σφόδρα δὲ δύσκολον ἦν
διὰ τὸ παχὺ τῶν ἀκροατῶν· ὅρα τί ποιεῖ, καὶ
πῶς αὐτὸ μεθοδεύει, πρῶτον ἀπὸ λογισμῶν τὴν

## HOMILIA VII.

7. *Quod si ministratio mortis literis efforma-
ta in lapidibus, fuit in gloria, ita ut non
possent filii Israël intendere in faciem Moy-
sis, propter gloriam vultus ejus, quæ evacua-
tur: 8. Quomodo non magis ministratio Spi-
ritus erit in gloria?*

1. DIXERAT quod Mosis tabulæ la-
pideæ essent, ac literas haberent;
& hæ carnales essent: apostolorum vero cor-
da Spiritu descripta, & quod litera occi-
deret; Spiritus autem vivificaret. Supere-
rat jam huic comparationi aliud non modi-
cum adjiciendum, nempe Mosis gloria:
quam quidem nemo hic in novo Testamen-
to corporeis oculis vidit. Unde etiam magna
videbatur, quoniam gloria ea sub sensum ca-
debat; corporis enim oculis cernebatur, li-
cet ad eam accedere nemo posset; cum con-
tra gloria novi Testamenti intellectu cerne-
retur. Neque enim imbecillioribus perspi-
cua est hujusmodi præcellentiæ cognitio: ve-
rum gloria illa magis eos attollebat, atque
ad se convertebat. Quoniam igitur in hujus-
modi comparationem inciderat, atque quan-
tum hæc illam antecellat, demonstrare stu-
debat, idque propter auditorum crassitiem
difficile erat, vide quid faciat, & qua ar-
te id moliatur: primo rationes, ex quibus

discrimen agnoscatur, inducens, easque ex iis, quæ ante dixerat, contexens. Nam si illa mortis, inquit, hæc autem vitæ ministratio est; dubium esse non potest, quin hæc quoque gloria illam antecellat. Quia enim facere non poterat, ut corporeis oculis eam spectandam proponeret, ipsius præstantia argumento declaravit dicens: *Quod si ministratio mortis fuit in gloria, quomodo non magis ministratio spiritus erit in gloria?* Per mortis autem ministerium legem intelligit. Atque interim vide, quam sedulo in ista comparatione caveat, ne ullam hæreticis ansam præbeat. Non enim dixit: Lex mortem efficit: sed, *mortis ministratio est.* Mortem enim ministrabat, non autem pariebat. Nam peccatum id erat, quod mortem efficiebat: Lex autem supplicium invehebat, ac peccatum indicabat; non autem faciebat. Malum enim apertius detegebat, ac plectebat, non autem ad malum impellebat. Neque ad id ministrabat, ut peccatum fieret, aut mors exsisteret, sed ut pœnas daret is qui peccasset: ac proinde hac quoque ratione peccatum delebat. Nam dum ipsa peccatum adeo formidandum esse ostenderet, proculdubio hoc etiam faciebat, ut ipsum fugiendum esse videretur. Sicut igitur is, qui ensem in manus sumit, ac sonti caput amputat, judici pronuncianti ministrum se præbet: neque ipse est qui interimit, etiamsi ipse caput abscindat; nec rursum is, qui sententiam profert & condemnat: sed ejus, de quo supplicium sumitur, improbitas: ita hic quoque, non lex necem afferebat, sed peccatum ipsum erat, quod & interimebat & condemnabat. Hæc porro, insontem animadvertens, vim illius succidebat, supplicii metu eum coërcens. Nec vero satis habuit Paulus præstantiæ declarandæ causa hoc solum protulisse, sed aliud quoque adjungit, dicens: *In literis, deformata in lapidibus.* Vide quomodo rursus Judaïcos spiritus deprimat. Nihil enim aliud lex erat, quam literæ, non autem subsidium ullum e literis prodiens, atque aspirans, iis qui dimicant, sicut in Baptismo: sed tabulæ & scripturæ, mortem iis, qui literas violabant, afferentes. Vides quo pacto Judaïcum contentionis studium retundens, per ipsa quoque vocabula auctoritatem legis nunc dejiciat, lapidem dicens, & literas, & ministrationem mortis, addensque præterea, quod deformata atque impressa? Hinc enim nil aliud designat, quam quod lex in uno loco defixa erat, non quemadmodum Spiritus, qui ubique aderat, vim magnam cunctis inspirans. Vel certe hoc indicat, quod literæ minas multas efflabant, & quidem ejusmodi minas, quæ deleri non possent, sed semper manerent, utpote saxis insculptæ. Deinde etiam, dum vetera laudibus efferre videtur, rursus Judæorum accusationem simul inspergit. Cum enim dixisset, *In literis, deformata in lapidibus, fuit in gloria,* subjunxit, *ita ut non possent filii Israël intendere in faciem Moysi.* Quod quidem magnam eorum imbecillitatem, animique ad res terrenas propensionem declarabat. Ac rursus, *non propter tabularum gloriam.* Dixit,

Lex quomodo mortem afferebat.

A διαφορὰν εἰσάγων, καὶ πλέκων αὐτοὺς ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων. Εἰ γὰρ ἐκείνη μὲν θανάτου, αὕτη δὲ ζωῆς ἡ διακονία, ἀναμφίβολον ὅτι καὶ ἡ δόξα αὕτη μείζων ἐκείνης, φησίν. ἐπειδὴ γὰρ οὐκ εἶχεν αὐτὴν δεῖξαι τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς, καὶ συλλογισμῷ παρέστησεν αὐτῆς τὸ ὑπερέχον, λέγων· εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐγενήθη ἐν δόξῃ, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; διακονίαν δὲ θανάτου, τὸν νόμον λέγει. καὶ σκόπει πῶς ἐν τῇ συγκρίσει πολλὴν ποιεῖται τὴν ἀσφάλειαν, ὥστε μηδεμίαν δοῦναι τοῖς αἱρετικοῖς λαβήν. οὐ γὰρ εἶπεν, ὁ
B ποιητικὸς τοῦ θανάτου, ἀλλ', ἡ διακονία τοῦ θανάτου. διακονεῖ γὰρ εἰς θάνατον, οὐκ ἔτικτε θάνατον. ἡ γὰρ τοῦ θανάτου ποιητική, ἡ ἁμαρτία ἦν· αὐτὸς δὲ τὴν κόλασιν ἐπῆγε, καὶ τῆς ἁμαρτίας δεικτικὸς ἦν, οὐ ποιητικός. ἀπεκάλυπτε γὰρ σαφέστερον τὸ κακὸν, καὶ ἐκόλαζεν, οὐκ ὤθει εἰς τὸ κακόν· καὶ διηκόνει, οὐ πρὸς τὸ γενέσθαι ἁμαρτίαν ἢ θάνατον, ἀλλὰ πρὸς τὸ δοῦναι δίκην τὸν ἁμαρτόντα. ὥστε καὶ ἀναιρετικὸς ἦν ταύτῃ τῆς ἁμαρτίας. ὁ γὰρ οὕτω φοβερὰν αὐτὴν δεικνὺς, εὔδηλον ὅτι καὶ φευκτὴν ποιεῖ. ὥσπερ οὖν ὁ τὸ ξίφος με-
C ταχειρίζων, καὶ τὸν κατάδικον ἀποτέμνων, διακονεῖ τῷ δικαστῇ ἀποφαινομένῳ, καὶ οὐκ αὐτός ἐστιν ὁ ἀναιρῶν, καίτοιγε αὐτὸς ἀποτέμνων, ἀλλ' οὐδὲ ὁ ἀποφαινόμενος καὶ καταδικάζων, ἀλλ' ἡ τοῦ κολαζομένου πονηρία· οὕτω δὴ καὶ ἐνταῦθα οὐκ αὐτὸς ἀναιρεῖ, ἀλλ' ἡ ἁμαρτία· αὕτη καὶ ἀνῄρει καὶ κατεδίκαζε· τιμωρούμενος δὲ αὐτὸς, ἐκείνης ὑπετέμνετο τὴν ἰσχὺν, τῷ φόβῳ τῆς τιμωρίας ἀναστέλλων αὐτήν. οὐκ ἠρκέσθη δὲ τούτῳ μόνῳ εἰς τὴν παράστασιν τῆς ὑπεροχῆς, ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων, ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις. ὅρα πῶς πάλιν ὑποτέμνεται
D τὸ φρόνημα τὸ Ἰουδαϊκόν. οὐδὲν γὰρ ἕτερον ἦν, ἢ γράμματα ὁ νόμος· οὐ βοήθειά τις ἀπὸ τῶν γραμμάτων ἐκπηδῶσα, καὶ ἐμπνέουσα τοῖς ἀγωνιζομένοις, καθάπερ ἐπὶ τοῦ βαπτίσματος, ἀλλὰ στῆλαι καὶ γραφαὶ θάνατον φέρουσαι τοῖς τὰ γράμματα παραβαίνουσιν. εἶδες πῶς διορθούμενος τὴν Ἰουδαϊκὴν φιλονεικίαν, καὶ διὰ τῶν ὀνομάτων αὐτῶν καθαιρεῖ τὸ ἀξίωμα λίθον εἰπὼν, καὶ γράμματα, καὶ διακονίαν θανάτου, καὶ προσθεὶς ὅτι ἐντετυπωμένη; ἐντεῦθεν γὰρ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι ἐν ἑνὶ χωρίῳ ὁ νόμος ἵδρυτο, οὐ καθάπερ
E τὸ πνεῦμα πανταχοῦ παρὸν πολλὴν ἐμπνέον τὴν ἰσχὺν ἅπασιν· ἢ ὅτι πολλὴν ἐμπνεῖ τὴν ἀπειλὴν τὰ γράμματα, καὶ ἀπειλὴν οὐδὲ ἀφανισθῆναι δυναμένην, ἀλλὰ διαπαντὸς μένουσαν, ἅτε λίθοις ἐγκεκολαμμένην. Εἶτα καὶ δοκῶν ἐγκωμιάζειν τὰ παλαιὰ, κατηγορίαν πάλιν ἀναμίγνυσιν Ἰουδαίων. Εἰπὼν γὰρ, ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ἐπήγαγεν, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως· ὃ πολλῆς ἦν αὐτῶν ἀσθενείας καὶ χαμαιζηλίας. καὶ πάλιν, οὐ διὰ τὴν δόξαν τῶν πλακῶν,

ἀλλὰ

ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, φησί. δείκνυσι γὰρ τὸν φέροντα δοξαζόμενον, οὐκ ἐκείνας. οὐ γὰρ εἶπε, διὰ τὸ μὴ δύνασθαι ἀτενίσαι εἰς τὰς πλάκας, ἀλλ' εἰς τὸ πρόσωπον Μωϋσέως. καὶ πάλιν, οὐ διὰ τὴν δόξαν τῶν πλακῶν, ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. εἶτα ἐπειδὴ ἐπῆρεν αὐτὴν, ὅρα πῶς πάλιν καθαιρεῖ λέγων, τὴν καταργουμένην. οὐ μὴν τοῦτο κατηγορίας ἐστὶν, ἀλλὰ ἐλαττώσεως. οὐδὲ γὰρ εἶπε, τὴν διεφθαρμένην, τὴν πονηρὰν, ἀλλὰ τὴν παυομένην, καὶ τέλος λαμβάνουσαν. πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; τεθαῤῥηκὼς γὰρ λοιπὸν τὰ τῆς καινῆς αἴρει, ὡς ἀναμφισβήτητα. καὶ σκόπει τί ποιεῖ. ἀντέστησε λίθον καρδίᾳ, καὶ γράμμα πνεύματι. εἶτα δείξας τὰ ἐξ ἀμφοτέρων, οὐκέτι τίθησι τὰ ἐξ ἀμφοτέρων· ἀλλὰ τὸ ἀπὸ τοῦ γράμματος θεὶς, τὸν θάνατον καὶ τὴν κατάκρισιν, τὸ ἀπὸ τοῦ πνεύματος οὐκέτι τίθησι, τὴν ζωὴν, καὶ τὴν δικαιοσύνην, ἀλλ' αὐτὸ τὸ πνεῦμα· ὅπερ μείζονα ἐποίει τὸν λόγον. ἡ γὰρ καινὴ διαθήκη οὐ ζωὴν ἐδίδου μόνον, ἀλλὰ καὶ πνεῦμα ἐχορήγει τὸ τὴν ζωὴν παρέχον· ὃ πολλῷ μεῖζον τῆς ζωῆς ἦν. διόπερ εἶπεν, ἡ διακονία τοῦ πνεύματος. εἶτα πάλιν τὸ αὐτὸ περιστρέφει, λέγων. εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα.

Καὶ ἑρμηνεύει σαφέστερον τί ἐστι, τὸ γράμμα ἀποκτείνει, τοῦτο λέγων ὅπερ ἔμπροσθεν εἰρήκαμεν, ὅτι δεικτικὸς ἁμαρτίας ἦν ὁ νόμος, οὐ ποιητικός. πολλῷ μᾶλλον ἡ διακονία τῆς δικαιοσύνης περισσεύει ἐν δόξῃ. ἐκεῖναι μὲν γὰρ αἱ πλάκες τοὺς ἁμαρτωλοὺς ἐδείκνυον, καὶ ἐκόλαζον· αὕτη δὲ τοὺς ἁμαρτωλοὺς οὐ μόνον οὐκ ἐκόλαζεν, ἀλλὰ καὶ δικαίους ἐποίει. τοῦτο γὰρ τὸ βάπτισμα ἐχαρίζετο. καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον, ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. ἐν μὲν οὖν τοῖς προτέροις ἔδειξεν, ὅτι καὶ τοῦτο ἐν δόξῃ, καὶ οὐχ ἁπλῶς ἐν δόξῃ, ἀλλὰ καὶ περισσεύει. οὐ γὰρ εἶπε, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; ἀλλὰ, περισσεύει ἐν δόξῃ, τὴν ἀπὸ τῶν λογισμῶν τῶν εἰρημένων ἔχων ἀπόδειξιν. ἐνταῦθα καὶ τὴν ὑπεροχὴν, ὅση, δείκνυσι λέγων, ὅτι ἐὰν συγκρίνω ταύτην ἐκείνῃ, οὐδὲ δόξα ἐστὶν ἡ δόξα τῆς παλαιᾶς· οὐχ ἁπλῶς τὸ μὴ εἶναι δόξαν κατασκευάζων, ἀλλὰ τῷ τῆς συγκρίσεως λόγῳ. διὸ καὶ ἐπήγαγε, τούτῳ τῷ μέρει· τουτέστι, κατὰ τὸν τῆς συγκρίσεως λόγον. οὐ μὴν τοῦτο διαβάλλει τὴν παλαιὰν, ἀλλὰ καὶ σφόδρα αὐτὴν συνίστησιν. αἱ γὰρ συγκρίσεις ἐπὶ τῶν συγγενῶν εἰώθασι γίνεσθαι. εἶτα καὶ ἄλλον κινεῖ λογισμὸν τὸν ἀποδεικνύντα τὴν ὑπεροχὴν καὶ ἑτέρωθεν. ποῖον δὴ τοῦτον; τὸν ἀπὸ τοῦ χρόνου, λέγων. εἰ δὲ τὸ καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ. τὸ μὲν γὰρ ἐπαύσατο· τὸ δὲ μένει διηνεκῶς. ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα. ἐπειδὴ γὰρ τοσαῦτα καὶ τηλικαῦτα ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς καινῆς,

A *sed, propter gloriam vultus ejus, quæ evacuatur:* Ostendit enim eum, qui tabulas ferebat, gloria affici, non autem illas. Non enim dixit: quia non possent intendere in tabulas, sed, in vultum Moysis. Ac rursus non dixit: *Propter gloriam tabularum*, sed, *propter gloriam vultus ipsius.* Deinde postquam eam extulit, vide quo pacto eam rursus dejiciat dicens: *Quæ evacuatur.* Quamquam hoc accusationis rationem non habet, sed extenuationis. Non enim dixit: quæ corrupta est, aut, quæ mala est: sed, quæ desinit, ac finem accipit. *Quomodo non magis ministratio Spiritus*
B *erit in gloria?* Fidenti enim animo jam novi Testamenti dignitatem attollit, ut omnis dubitationis expertem. Ac vide quid agit. Opposuit lapidem cordi, & literas Spiritui. Deinde cum ea, quæ ex utrisque orirentur, indicasset, non jam, quæ ex utrisque sint, ponit: sed, postea quam id, quod a litera ortum habet, expressit, nempe mortem & condemnationem, id, quod a Spiritu proficiscitur, non item exprimit, hoc est, vitam & justitiam, sed ipsum Spiritum: quod quidem sermonem amplificabat. Novum enim Testamentum non vitam solum dabat, sed etiam Spiritum,
C a quo vita afferebatur, subministrabat; quod vita multo majus erat. Ideo dixit, *ministratio Spiritus.* Ac postea rursus eamdem rem inculcat, dicens: 9. *Nam si ministratio damnationis, gloria.*

2. Ac dilucidius exponit quidnam his verbis significetur: *Litera occidit;* hoc videlicet inquiens, quod ante diximus, nempe legem peccatum indicare, non autem efficere. *Multo magis ministratio justitiæ abundat in gloria.* Etenim tabulæ illæ peccatores ostendebant, ac supplicio afficiebant: hæc autem peccatores non modo non puniebat, sed etiam justos efficiebat. Baptismus enim
D hoc largiebatur. 10. *Non enim glorificatum est, quod glorificatum est, in hac parte, propter excellentem gloriam.* Superioribus verbis id quidem ostendit, quod hoc quoque in gloria sit, nec simpliciter in gloria, sed quod etiam abundet. Non enim dixit: quomodo non magis ministratio Spiritus erit in gloria? sed, Abundat in gloria: supradictis nimirum argumentis id probans. Hic vero præcellentia quoque quanta sit, his verbis ostendit. Si hanc cum illa comparem, ne gloria quidem est, veteris Testamenti gloria. Quibus verbis non hoc simpliciter adstruit, quod gloria non sit, sed comparationis ratione. Unde etiam subjunxit: *In hac parte*, hoc est, si com-
E paratio habeatur. Nec tamen hoc vetus Testamentum traducit: sed vehementer etiam ipsum commendat. Etenim comparationes de rebus cognatis fieri consueverunt. Mox aliud argumentum movet, quod alia quoque ratione præstantiam demonstrat. Quale istud? Nimirum a tempore, dicens: 11. *Si autem quod evacuatur, per gloriam est; multo magis id quod manet, est in gloria.* Illud enim finem accepit: hoc perpetuo manet. 12. *Habentes igitur talem spem, multa fiducia utimur.* Quia enim auditor tot ac tanta de novo Testamen-

to audierat, atque hanc gloriam oculis ipsis usurpare cupiebat, vide quonam pacto ipsum ad futurum ævum rejiciat. Ideo spem in medium protulit dicens : *Habentes igitur talem spem.* Qualem tandem? Quod majorem dignitatem, quam Moses, consequuti sumus, non tantum nos apostoli, sed etiam omnes fideles. *Multa fiducia utimur.* Apud quem, quæso? Apud Deum, an apud discipulos? Apud vos, inquit, quos discipulos habeo, hoc est; cum libertate ubique loquimur, nihil occultantes, nihil dissimulantes, nihil suspicantes, sed perspicue loquentes. Nec veremur ne oculorum vestrorum aciem perstringamus, quemadmodum Moses Judæorum. Nam quod istud subindicarit, audi quæ sequuntur. Imo vero historiam prius referre necessarium est. Nam & ipse assidue versat. Quænam igitur est hæc historia? Cum Moses acceptis denuo tabulis descenderet, gloria quædam ex ipsius vultu exsiliens, adeo effulgebat, ut Judæi nec ad eum accedere, nec cum eo colloqui possent, quousque faciei suæ velamen imposuisset. Sic enim in Exodo scriptum est : Cum descendisset Moyses de monte, duæ tabulæ erant in manibus ejus : & ignorabat quod glorificatus esset aspectus faciei ejus : & timuerunt appropinquare ei. Et vocavit eos Moyses, & loquutus est ad eos. Et postquam cessavit loqui ad eos, imposuit faciei suæ velamen. Cum autem ingrediebatur ut loqueretur coram Domino, tollebat velamen quousque egrederetur. Hujus historiæ mentionem faciens ait : 13. *Et non sicut Moyses ponebat velamen super faciem suam, ut non intenderent filii Israel in faciem ejus quod evacuatur.* Quod autem dicit, est ejusmodi : Nihil necesse est, ut Mosis instar nosipsos obvelemus. Potestis enim ipsi in gloriam hanc, qua cincti & ornati sumus, intueri, etsi multo major ac splendidior est, quam illa Mosis. Vides-ne quantum illi profecerint? Nam qui in priore epistola dicebat : Lac vobis potum dedi, non cibum, hic ait : *Multa fiducia utimur :* ac Mosem in medium producit, sermonemque per comparationem provehit, ut hac quoque ratione auditorem in altum subducat. Ac primum Judæis ipsos anteponit dicens : Non opus habemus velamine, quemadmodum ille apud eos, quibus præerat. Quæ sequuntur autem ad legislatoris dignitatem ducunt, & multo majora sunt. Interim autem, quæ deinceps sequuntur, audiamus. 14. *Sed obtusi sunt sensus eorum. Usque in hodiernum enim diem idipsum velamen in lectione veteris Testamenti manet non revelatum; quoniam in Christo evacuatur.* Vide quid per hæc verba adstruat. Nam quod tum semel in Mose contigit, hoc perpetuo in lege contingit. Nec tamen his verbis legem criminatur, quemadmodum nec Mosem tum sese obvelantem, sed Judæorum vecordiam. Illa enim suam gloriam habet : at isti eam intueri nequiverunt. Quid igitur mirum vo-

Exod. 34. 29.

1. Cor. 3. 2.

A ἐζήτει, καὶ ὀφθαλμοφανῶς τὴν δόξαν ταύτην ἰδεῖν, ὅρα πῶς αὐτὸν ἐξακοντίζει πρὸς τὸν μέλλοντα αἰῶνα. διὸ καὶ τὴν ἐλπίδα εἰς μέσον ἔθηκε λέγων, ἔχοντες οὖν τοιαύτην ἐλπίδα. τοιαύτην; ποταπήν; ὅτι μειζόνων ἠξιώθημεν ἢ Μωϋσῆς, οὐχ οἱ ἀπόστολοι μόνοι ἡμεῖς, ἀλλὰ καὶ πάντες οἱ πιστοί. πολλῇ παῤῥησίᾳ χρώμεθα. πρὸς τίνα, εἰπέ μοι; πρὸς τὸν θεὸν, ἢ πρὸς τοὺς μαθητάς; πρὸς ὑμᾶς τοὺς μαθητευομένους, φησί· τουτέστι, μετ᾽ ἐλευθερίας πανταχοῦ φθεγγόμεθα, οὐδὲν ὑποστελλόμενοι, οὐδὲν ἀποκρυπτόμενοι, οὐ- B δὲν ὑφορώμενοι, ἀλλὰ σαφῶς λέγοντες· καὶ οὐ δεδοίκαμεν μὴ πλήξωμεν ὑμῶν τὰς ὄψεις, καθάπερ Μωϋσῆς τὰς Ἰουδαίων. ὅτι γὰρ τοῦτο ᾐνίξατο, ἄκουσον τῶν ἑξῆς· μᾶλλον δὲ τὴν ἱστορίαν πρότερον ἀναγκαῖον εἰπεῖν. καὶ γὰρ αὐτὸς αὐτὴν συνεχῶς περιστρέφει. τίς οὖν ἡ ἱστορία; ὅτε ἐκ δευτέρου τὰς πλάκας κατῄει λαβὼν ὁ Μωϋσῆς, δόξα τις ἐκπηδῶσα τοῦ προσώπου αὐτοῦ τοσοῦτον ἀπέλαμπεν, ὡς μὴ δύνασθαι τοὺς Ἰουδαίους προσιέναι αὐτῷ καὶ διαλέγεσθαι, ἕως ὅτε ἐπέθηκε κάλυμμα τῷ προσώπῳ. καὶ γέγραπται οὕτως ἐν τῇ ἐξόδῳ· ἡνίκα κατέβη Μωϋσῆς ἐκ τοῦ ὄρους, αἱ C δύο πλάκες ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ οὐκ ᾔδει Μωϋσῆς ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ· καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ. καὶ ἐκάλεσεν αὐτοὺς Μωϋσῆς, καὶ ἐλάλησε πρὸς αὐτούς. καὶ ἐπειδὴ κατέπαυσε Μωϋσῆς λαλῶν πρὸς αὐτοὺς, ἐπέθηκεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ κάλυμμα. ἡνίκα δὲ εἰσεπορεύετο ἐναντίον τοῦ κυρίου λαλεῖν, περιῄρει τὸ κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι αὐτόν. ταύτης οὖν ἀναμνήσας τῆς ἱστορίας, φησί· καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου. ὃ D δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ χρεία καλύπτεσθαι ἡμᾶς, καθάπερ Μωϋσῆς. δυνατοὶ γὰρ ὑμεῖς ἰδεῖν εἰς τὴν δόξαν ταύτην, ἣν περικείμεθα, καίτοι πολλῷ μείζονα καὶ φαιδροτέραν οὖσαν ἐκείνης. εἶδες τὴν προκοπήν; ὁ γὰρ ἐν τῇ προτέρᾳ εἰπὼν, γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, ἐνταῦθα λέγει, ὅτι πολλῇ παῤῥησίᾳ χρώμεθα· καὶ Μωϋσέα εἰς μέσον παράγει, κατὰ σύγκρισιν προάγων τὸν λόγον, καὶ ταύτῃ τὸν ἀκροατὴν ἀνάγων. καὶ τέως Ἰουδαίων αὐτοὺς προτίθησι λέγων, ὅτι οὐ δεόμεθα καλύμματος, καθάπερ ἐκεῖνος ἐπὶ τῶν ἀρχομένων· τὰ δὲ μετὰ ταῦτα, καὶ εἰς αὐτὸ τοῦ νομο- E θέτου τὸ ἀξίωμα ἀνάγει, ἃ καὶ πολλῷ μεῖζον. τέως δὲ τῶν ἑξῆς ἀκούσωμεν. ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον, τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. ὅρα τί κατασκευάζει διὰ τούτων. ὅπερ γὰρ γέγονεν ἐπὶ Μωϋσέως τότε ἅπαξ, τοῦτο καὶ ἐπὶ τοῦ νόμου γίνεται διηνεκῶς. οὐκ ἄρα τοῦ νόμου διαβολὴ τὸ εἰρημένον, ὥσπερ οὐδὲ Μωϋσέως τότε καλυπτομένου, ἀλλὰ τῶν ἀγνωμόνων Ἰουδαίων. ἐκεῖνος μὲν γὰρ εἶχε τὴν οἰκείαν δόξαν· οὗτοι δὲ αὐτὴν ἰδεῖν οὐκ ἠδυνήθησαν. τί τοίνυν διαπορεῖτε,

φησὶν, εἰ τὴν δόξαν ταύτην ἰδεῖν οὐ δύνανται τὴν τῆς χάριτος, ὅπουγε τὴν ἐλάττω τὴν Μωϋσέως οὐκ εἶδον, οὐδὲ πρὸς τὸ πρόσωπον ἴσχυσαν ἀτενίσαι τὸ ἐκείνου; τί δὲ ταράττεσθε, εἰ οὐ πιστεύουσιν Ἰουδαῖοι Χριστῷ, ὅπουγε οὐδὲ τῷ νόμῳ πιστεύουσι; διὰ γὰρ τοῦτο καὶ τὴν χάριν ἠγνόησαν, ἐπειδὴ οὐδὲ τὴν παλαιὰν διαθήκην εἶδον, οὐδὲ τὴν ἐν αὐτῇ δόξαν.

Δόξα γὰρ νόμου, πρὸς Χριστὸν ἐπιστρέψαι. ὁρᾷς πῶς κἀντεῦθεν καθαιρεῖ τὸ τῶν Ἰουδαίων φύσημα; ἀφ᾽ ὧν γὰρ ἐδόκουν πλεονεκτεῖν, τοῦ τὴν ὄψιν Μωϋσέως ἐξαστράπτειν, ἀπὸ τούτων δείκνυσιν αὐτῶν τὸ παχὺ καὶ χαμαίζηλον. μὴ τοίνυν τούτῳ καλλωπιζέσθωσαν. τί γὰρ τοῦτο πρὸς Ἰουδαίους τοὺς μὴ ἀπολαύσαντας; διὸ καὶ συνεχῶς αὐτὸ περιστρέφει, νῦν μὲν λέγων, ὅτι τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται· νῦν δὲ, ὅτι ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, τὸ αὐτὸ κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, καὶ ἐν τῇ ἀναγνώσει καὶ ἐν τῇ καρδίᾳ αὐτῶν δεικνὺς ἐπικείμενον· ἀνωτέρω δὲ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· οὗ τί γένοιτ᾽ ἂν εὐτελέστερον; ὅταν μηδὲ καταργουμένης δόξης, μᾶλλον δὲ τῆς μηδὲ οὔσης τῇ συγκρίσει, δύνωνται θεαταὶ γενέσθαι, ἀλλὰ καλύπτηται ἀπ᾽ αὐτῶν, εἰς τὸ μὴ ἀτενίσαι εἰς τὸ τέλος τοῦ καταργουμένου, τουτέστι, τοῦ νόμου, ὅ, τι τέλος ἔχει. ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν. καὶ τί τοῦτο πρὸς τὸ κάλυμμα, φησί, τότε; ὅτι τὰ μέλλοντα προδιέγραφεν. οὐ γὰρ μόνον τότε οὐκ εἶδον, ἀλλ᾽ οὐδὲ νῦν ὁρῶσι τὸν νόμον. καὶ ἡ αἰτία, [a] παρ᾽ αὐτοῖς. ἡ γὰρ πώρωσις, γνώμης ἐστὶν ἀναισθήτου καὶ ἀγνώμονος. ὥστε ἡμεῖς ἐσμεν οἱ καὶ τὸν νόμον εἰδότες· ἐκείνοις δὲ οὐχ ἡ χάρις μόνον, ἀλλὰ καὶ οὗτος συνεσκίασται. ἄχρι γὰρ τῆς σήμερον, τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, φησὶ, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. ὃ δὲ λέγει τοῦτό ἐστι· τὸ αὐτὸ οὐ δύνανται συνιδεῖν ὅτι πέπαυται, ἐπειδὴ τῷ Χριστῷ οὐ πιστεύουσιν. εἰ γὰρ διὰ τοῦ Χριστοῦ πέπαυται, ὥσπερ οὖν πέπαυται, καὶ ὁ νόμος τοῦτο προλαβὼν εἶπε, πῶς οἱ μὴ δεχόμενοι τὸν Χριστὸν τὸν καταργήσαντα τὸν νόμον, δυνήσονται ἰδεῖν ὅτι κατήργηται ὁ νόμος; οὐ χωροῦντες δὲ τοῦτο ἰδεῖν, εὔδηλον ὅτι καὶ αὐτοῦ τοῦ νόμου τοῦ ταῦτα λέγοντος τὴν ἰσχὺν ἀγνοοῦσι, καὶ τὴν δόξαν ἅπασαν. καὶ ποῦ τοῦτο εἶπε, φησιν, ὅτι ἐν Χριστῷ καταργεῖται; οὐκ εἶπε μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἔδειξε· καὶ πρῶτον μὲν, τῷ τὰς θυσίας καὶ τὴν ἁγιστείαν ἅπασαν ἐν ἑνὶ κατακλεῖσαι τόπῳ, τῷ ναῷ, καὶ αὐτὸν ὕστερον καθελεῖν. εἰ γὰρ μὴ ἐβούλετο αὐτὰς παύσασθαι, καὶ τὸν περὶ τούτων νόμον ἅπαντα, δυοῖν θάτερον ἂν ἐποίησεν, ἢ οὐκ ἂν καθεῖλε τὸν ναὸν, ἢ καθελὼν, οὐκ ἂν ἀπηγόρευσεν ἀλλαχοῦ θύεσθαι.

[a] Editi, παρ᾽ αὐτοὺς, mss. παρ᾽ αὐτοῖς.

bis est, inquit, si hanc gratiæ gloriam cernere nequeant, cum minorem illam Mosis non perspexerint, nec illius vultum obtueri potuerint? Quid turbamini, si Judæi Christo non credant, cum ne legi quidem credant? Nam ob id gratiam etiam ignorarunt, quoniam ne vetus quidem Testamentum, nec ipsius gloriam cognoverunt.

3. Siquidem legis gloria in hoc sita est, quod ad Christum animos convertat. Vides ut hinc quoque Judæorum fastum retundat? Etenim unde illi præstantiore conditione se esse existimabant, nempe quod Mosis facies fulgorem emitteret, hinc eorum crassitiem & abjectionem ostendit. Ne ergo hoc nomine illi glorientur. Quid enim hoc ad Judæos qui frui non potuerunt? Unde etiam id assidue inculcat, nunc videlicet ipsum velamen in veteris Testamenti lectione non revelatum manere dicens, quia in Christo evacuetur: nunc usque in hodiernum diem, quo tempore legitur Moses, id ipsum velamen in ipsorum corde positum esse; ac tum in lectione, tum in eorum corde imponi dicens. Superius vero dixerat: Ut intendere non possent filii Israël in faciem Mosis, propter gloriam vultus ejus quæ evacuatur. Quo quid abjectius fingi possit? cum ne ejus quidem gloriæ, quæ evanescit, imo si cum altera conferatur, nulla sit, spectatores esse queant, sed ab ipsis ea obtegatur, ut non intendant in finem ejus quod evacuatur, hoc est in legem, quæ finem habet. *Sed obtusi sunt sensus eorum.* Et quid hoc, dixerit aliquis, ad velamen illud? Quoniam futura præsignabat. Neque enim tunc tantum non viderunt, sed ne nunc quidem legem vident: hoc autem ipsorum vitio fit. Obtusio enim mentis stuporem ac vecordiam declarat. Itaque nos sumus, qui legem cognitam habemus. Nam illis, non modo gratia, sed ipsa quoque lex obumbrata est. Usque in hodiernum enim diem idipsum velamen in lectione veteris Testamenti manet, inquit, non revelatum, quia in Christo evacuatur. Quod autem ait, hanc sententiam habet: Hoc ipsum cernere nequeunt, eam finem accepisse, quia Christo non credunt. Etenim si per Christum finem accepit, ut vere accepit, idque etiam lex ante dixit, qui fieri queat, ut qui Christum, a quo lex antiquata est, non recipiunt, legem ipsam antiquatam esse perspiciant? Porro qui hoc perspicere nequeunt, palam sane est, quod ipsius etiam legis, quæ hæc dicit, vim ac robur, gloriamque universam ignorent. At ubinam dixit, inquies, lex se in Christo aboleri? Non solum dixit, sed etiam per res ipsas demonstravit. Ac primum quidem quod sacrificia & sanctificationem omnem in uno loco, hoc est in templo concluserit, atque hoc ipsum templum postea destructum sit. Nisi enim sacrificia & legem omnem de his institutam finem habere voluisset, duorum alterum fecisset, aut templum non sustulisset, aut, si sustulisset, sacrificia certe aliis in locis fieri non prohi-

Legis gloria, quæ.

buisset. Nunc vero, cum universo terrarum orbi, & ipsi quoque Jerusalem aditum ad hujusmodi sacrificia præcluserit, solumque templum ipsis permiserit & assignarit, atque hoc ipsum postea sustulerit; per res ipsas tandem declaravit, legis ritus per Christum finem accepisse. Siquidem templum a Christo sublatum est. Quod si per verba quoque videre libet, quomodo per Christum lex abrogata sit, ipsummet legislatorem audi,
Deut. 18. 18. sic loquentem: *Prophetam vobis suscitabit Deus de medio fratrum vestrorum, tamquam me, ipsum audietis in omnibus, quæcumque mandaverit vobis. Et erit, omnis anima quæ prophetam illum non audierit, exterminabitur.* Vides quo pacto lex ostenderit, quod in Christo finem acceptura esset? [E]tenim propheta hic, id est Christus secundum carnem, quem Moses audire jussit, & sabbatum & circumcisionem, aliaque omnia sustulit. Ac David hoc quoque ipsum indi-
Psal. 109. 4. cans, de Christo dicebat: Tu es sacerdos in æternum secundum ordinem Melchisedec, non autem secundum ordinem Aaron. Ob
Heb. 7. 12. eamque causam Paulus perspicue hoc exponens, ait, Translato sacerdotio, necesse est ut legis translatio fiat. Atque alio loco his
Psal. 40. 7. rursum verbis utitur: Sacrificium & oblationem noluisti: holocausta & pro peccato non placuerunt tibi: tunc dixi, Ecce venio. Atque alia multo his plura testimonia ex veteri Testamento proferre licet, quibus, quomodo lex per Christum abrogata sit, perspicuum fiat. Itaque posteaquam a lege abscesseris, tum demum legem pulcre perspicies: quamdiu autem eam retinueris, nec Christo credideris, ne legem quidem ipsam perspectam habiturus es. Ideo, ut hoc ipsum luculentius adstruat, subjunxit: 15. *Sed in hodiernum usque diem cum legitur Moyses, velamen positum est super cor eorum.* Quoniam enim dixerat, in veteris Testamenti lectione velamen manere; ne quis hæc verba de legis obscuritate intelligenda esse existimaret, tum per alia verba hoc ipsum prius demonstravit; nam cum dixisset, *Obtusi sunt sensus eorum*, ostendit eos in culpa esse; tum rursus in his quoque verbis. Non enim dixit: *In literis manet velamen*, sed, *in lectione.* Lectio porro legentium actio est. Ac rursum, *cum legitur Moyses.* Dilucidius autem istud deinceps indicavit, aperte dicens, *Velamen positum est super cor eorum.* Quandoquidem & in Moysis facie non ob Moysem positum erat: sed propter eorum crassitiem, & carnalem mentem.

4. Cum igitur eos satis coarguisset, jam correctionis etiam modum ostendit. Quinam autem hic modus est? 16. *Cum autem conversus fuerit ad Dominum;* hoc est, a lege abscesserit, *auferetur velamen.* Viden' velamen illud non faciem Moysis, sed faciem Judæorum obtexisse? Non enim ut Moysis gloria occultaretur, hoc fiebat: sed ne illi viderent. Neque enim capaces erant. Itaque

A νῶν δὲ τὴν οἰκουμένην ἅπασαν, καὶ αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ, ἄβατον ταῖς τοιαύταις κατέστησεν ἱερουργίαις· μόνον δὲ τὸν ναὸν αὐτοῖς ἀνεὶς καὶ ἀποτάξας, εἶτα αὐτὸν τοῦτον ὕστερον καθελὼν, καὶ εἰς τέλος ἔδειξε διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι πέπαυται τὰ τοῦ νόμου διὰ Χριστοῦ. καὶ γὰρ τὸν ναὸν καθεῖλεν ὁ Χριστός. εἰ δὲ βούλει καὶ διὰ ῥημάτων ἰδεῖν πῶς διὰ τοῦ Χριστοῦ καταργεῖται, ἄκουσον αὐτοῦ τοῦ νομοθέτου λέγοντος οὕτω· προφήτην ὑμῖν ἀναστήσει κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν ἐντελῆται ὑμῖν. καὶ ἔσται, πᾶσα ψυχὴ ἥτις
B ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται. εἶδες πῶς ἔδειξεν ὁ νόμος ὅτι ἐν Χριστῷ παύεται; ὁ γὰρ προφήτης οὗτος, τουτέστιν, ὁ Χριστὸς τὸ κατὰ σάρκα, οὗ ἀκούειν ἐκέλευσε Μωϋσῆς, καὶ σάββατον, καὶ περιτομὴν, καὶ τἄλλα πάντα ἔπαυσε. καὶ ὁ Δαυὶδ δὲ τὸ αὐτὸ τοῦτο δηλῶν, ἔλεγε περὶ τοῦ Χριστοῦ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρών. διὸ καὶ σαφῶς ὁ Παῦλος ἑρμηνεύων αὐτὸ, φησιν, ὅτι μετατιθεμένης τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. καὶ
C ἀλλαχοῦ δὲ πάλιν φησὶ, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας· τότε εἶπον, ἰδοὺ ἥκω. καὶ ἑτέρας δὲ πολλῷ τούτων πλείους δυνατὸν ἐκ τῆς παλαιᾶς παραγαγεῖν μαρτυρίας, δηλούσας πῶς διὰ τοῦ Χριστοῦ καταργεῖται ὁ νόμος. ὥστε ὅταν ἀποστῇς τοῦ νόμου, τότε ὄψει τὸν νόμον καλῶς· ἕως δ' ἂν αὐτὸν κατέχῃς, καὶ μὴ πιστεύῃς Χριστῷ, οὐκ οἶδας οὐδὲ αὐτὸν τὸν νόμον. διὸ καὶ ἐπήγαγεν, σαφέστερον τοῦτο αὐτὸ κατασκευάζων. ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν
D κεῖται. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει τὸ κάλυμμα, ἵνα μή τις νομίσῃ τῆς ἀσαφείας τοῦ νόμου εἶναι τὸ εἰρημένον, καὶ δι' ἑτέρων μὲν αὐτὸ καὶ ἔμπροσθεν ἔδειξε, τῷ γὰρ εἰπεῖν, ἐπωρώθη τὰ νοήματα αὐτῶν, δείκνυσιν αὐτῶν τὸ ἔγκλημα ὂν, καὶ ἐν αὐτῷ δὲ τούτῳ πάλιν. οὐ γὰρ εἶπεν, ἐν τοῖς γράμμασι μένει τὸ κάλυμμα, ἀλλ', ἐν τῇ ἀναγνώσει. ἡ δὲ ἀνάγνωσις ἐνέργεια τῶν ἀναγινωσκόντων ἐστί. καὶ πάλιν, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς. σαφέστερον δὲ αὐτὸ τῇ λέξει τῇ ἑξῆς ἐδήλωσεν, ἀνακεκαλυμμένως εἰπὼν, κάλυμμα ἐπὶ
E τὴν καρδίαν αὐτῶν κεῖται. ἐπεὶ καὶ ἐν τῇ ὄψει Μωϋσέως, οὐ διὰ Μωϋσέα ἔκειτο, ἀλλὰ διὰ τὴν τούτων παχύτητα καὶ σαρκικὴν γνώμην·

Κατηγορήσας τοίνυν αὐτῶν ἱκανῶς, δείκνυσι καὶ τὸν τρόπον τῆς διορθώσεως. τίς δὲ οὗτός ἐστιν; ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, ὅπερ ἐστὶν ἀποστῆναι τοῦ νόμου, περιαιρεῖται τὸ κάλυμμα. ὁρᾷς ὅτι οὐ τοῦ προσώπου Μωϋσέως κάλυμμα ἦν ἐκεῖνο; ἀλλὰ τῆς ὄψεως τῆς Ἰουδαϊκῆς; οὐ γὰρ ἵνα κρύπτηται ἡ δόξα Μωϋσέως τοῦτο ἐγίνετο, ἀλλ' ἵνα ἐκεῖνοι μὴ βλέπωσιν. οὐδὲ γὰρ ἐχώρουν.

ὥστε ἐκείνων ἐλάττωμα τοῦτο. οὐδὲ γὰρ τοῦτον ἐποίει τι ἀγνοεῖν, ἀλλ' ἐκείνους. καὶ οὐκ εἶπε μέν, ἡνίκα ἂν ἀφῇ τὸν νόμον, τοῦτο δὲ ᾐνίξατο· ὅτε γὰρ ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. μέχρι τέλους ἐπέμεινε τῇ ἱστορίᾳ. καὶ γὰρ ὅτε Ἰουδαίοις διελέγετο Μωϋσῆς, ἐκάλυπτεν αὐτοῦ τὸ πρόσωπον· ὅτε δὲ πρὸς τὸν θεὸν ἐπέστρεφεν, ἀποκεκαλυμμένον ἦν. τοῦτο δὲ τύπος ἦν τοῦ μέλλοντος ἔσεσθαι, ὅτι ὅταν ἐπιστρέψωμεν πρὸς κύριον, τότε ὀψόμεθα τὴν δόξαν τοῦ νόμου, καὶ γυμνὸν τὸ πρόσωπον τοῦ νομοθέτου· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ τότε ἐσόμεθα καὶ ἐν τάξει Μωϋσέως. Εἶδες πῶς ἐκκαλεῖται τὸν Ἰουδαῖον ἐπὶ τὴν πίστιν; δεικνὺς ὅτι οὐ μόνον Μωϋσέα δύναται ἰδεῖν, πρὸς τὴν χάριν ἐλθών, ἀλλὰ καὶ ἐν αὐτῇ γίνεσθαι τῇ τάξει τοῦ νομοθέτου; οὐ γὰρ μόνον φησί, τὴν δόξαν ὄψει ἣν τότε οὐκ εἶδες, ἀλλὰ καὶ αὐτὸς ἐν δόξῃ ἔσῃ τῇ αὐτῇ· μᾶλλον δὲ πολλῷ πλείονι, καὶ τοσαύτῃ, ὥστε μηδὲ δόξαν ἐκείνην φαίνεσθαι ταύτῃ παραβαλλομένην. πῶς καὶ τίνι τρόπῳ; ὅτι πρὸς τὸν κύριον ἐπιστρέψας, καὶ γενόμενος ἐν τῇ χάριτι, ἐκείνης ἀπολαύσῃ τῆς δόξης, πρὸς ἣν ἡ δόξα Μωϋσέως συγκρινομένη οὕτως ἐλάττων ἐστίν, ὡς μηδὲ δόξα εἶναι. ἀλλ' ὅμως εἰ καὶ μικρά, καὶ σφόδρα ἀποδέουσα ἐκείνης, Ἰουδαῖος μὲν ὤν, οὐδὲ ταύτης ἀξιωθήσῃ· [a] οὐκ οὖν ἴδον αὐτὴν Ἰουδαῖοι οἱ τότε, οὐ νῦν. πιστὸς δὲ γενόμενος, καὶ τὴν πολλῷ μείζονα αὐτῆς καταξιωθήσῃ θεάσασθαι. καὶ ὅτε μὲν τοῖς πιστοῖς διελέγετο, οὐ δεδοξάσθαι τὸ δεδοξασμένον ἔλεγεν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πῶς; ὅταν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα, κατὰ μικρὸν αὐτὸν ἀνάγων, καὶ ἐν τάξει Μωϋσέως πρῶτον ἱστάς, καὶ τότε τῶν μειζόνων ποιῶν κοινωνόν. ὅταν γὰρ ἴδῃς τὸν Μωϋσέα ἐν δόξῃ, τότε λοιπὸν καὶ πρὸς τὸν θεὸν ἐπιστρέψας, καὶ μείζονος ἀπολαύσεις ταύτης. ὅρα τοίνυν ἐξ ἀρχῆς πόσα τέθεικε τὰ ποιοῦντα τὴν διαφορὰν, καὶ δεικνύντα τῆς καινῆς πρὸς τὴν παλαιὰν τὴν ὑπεροχήν, οὐ τὴν μάχην, οὐδὲ τὴν ἐναντίωσιν. ἐκείνη γράμμα, φησί, καὶ λίθος, καὶ θανάτου διακονία, καὶ καταργεῖται· καὶ ὅμως οὐδὲ ταύτης ἠξιώθησαν οἱ Ἰουδαῖοι τῆς δόξης· αὕτη σαρκίνη ἡ πλάξ, καὶ πνεῦμα, καὶ δικαιοσύνη, καὶ μένει· καὶ πάντες αὐτῆς καταξιούμεθα, οὐχ εἷς μόνος, καθάπερ Μωϋσῆς τῆς ἐλάττονος τότε. ἡμεῖς γάρ, φησι, πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτριζόμεθα, οὐ τὴν Μωϋσέως. ἀλλ' ἐπειδή τινες τό, ἡνίκα ἂν ἐπιστρέψῃ πρὸς κύριον, περὶ τοῦ υἱοῦ εἰρῆσθαί φασι, τοῖς σφόδρα ὡμολογημένοις [b] ἀντιπίπτοντες, ἀκριβέστερον αὐτὸ ἐξετάσωμεν, θέντες πρότερον ἐκεῖνο, ἀφ' οὗ δοκοῦσιν αὐτὸ κατασκευάζειν. τί δὲ τοῦτό ἐστι; καθάπερ, φησί, λέγει πνεῦμα ὁ θεός, οὕτω καὶ ἐνταῦθα, πνεῦμα ὁ κύριος. ἀλλ' οὐκ εἶπε,

[a] Hæc, οὐκ οὖν ἴδον αὐτὴν Ἰουδαῖοι οἱ τότε, οὐ νῦν, quæ in editis deerant, & interpres Latinus legerat, ex mss. mutuamur.

A illorum hoc vitium erat. Neque enim hinc fiebat, ut ille quidquam ignoraret, sed ut illi. Nec dixit: Cum legem reliquerit; sed hoc subindicavit cum diceret: *Cum enim conversus fuerit ad Dominum, auferetur velamen.* Ad extremum usque in historia perstitit. Etenim cum Moses Judæos alloqueretur, faciem suam obvelabat: cum autem ad Dominum se convertebat, eam detegebat. Hoc autem rei futuræ figura erat; nempe quod, cum ad Dominum nosipsos converterimus, tunc legis gloriam, ac nudam legislatoris faciem perspiciemus: imo non hoc B tantum, sed in Moysis classe atque ordine erimus. Vides quo pacto Judæum ad fidem excitet? dum ostendit eum, si ad fidem accesserit, non modo Moysem intueri posse, sed etiam in eodem, quo legislator ille, gradu atque ordine esse. Non modo enim eam gloriam cernes, inquit, quam tum minime vidisti, & sed ipse, in eadem qua ille, gloria futurus es, imo multo etiam majore, atque tanta, ut ne illa quidem gloriæ speciem præbeat, si cum hac comparetur. Quonam tandem modo? Quoniam, cum ad Dominum conversus fueris, atque in gratia esse cœperis, illa gloria frueris, cum qua Moysis gloria C collata, usque adeo inferior est, ut ne gloria quidem sit. Et tamen quamvis exigua ea sit, longeque minor ista, tamen quamdiu Judæus eris ne hanc quidem consequeris; ergo neque tunc Judæi illam videbant, neque nunc vident. Si autem fidem amplexus fueris, hac multo majorem divino beneficio perspicies. Et quidem, cum fidelibus verba faceret, glorificatum fuisse negabat id quod glorificatum fuerat: hic autem non ita: sed quo pacto? *Cum conversus fuerit ad Dominum, tolletur velamen;* sensim videlicet illum subvehens, ac primum quidem in eodem cum Moyse D gradu collocans, deinde autem majorum rerum consortem eum faciens. Nam cum Moysem, inquit, in gloria videris, tum demum ad Deum te convertes, amplioreque, quam hæc sit, gloria frueris. Itaque a principio vide quotnam res posuerit, quæ discrimen efficerent, atque illud ostenderent, novum Testamentum veteri præstare, non autem cum eo pugnare atque ipsi adversari. Illud, inquit, & litera, & lapis, & mortis ministratio erat, & aboletur: & tamen ne hac quidem gloria Judæi digni habiti sunt. Hoc autem carnalis tabula est, & spiritus, & justitia, & E constanter manet: atque omnes eo digni habemur, non unus tantum, ut tum Moyses illo minore. Nos enim omnes, inquit, revelata facie gloriam, non Moysis, sed Domini intuemur. Verum quoniam nonnulli, rebus quæ in confesso erant reluctantes, hæc verba, Cum autem conversus fuerit ad Dominum, de Filio dicta esse contendunt, accuratius istud expendamus, illud prius ponentes, unde id se adstruere ac confirmare putant. Quidnam autem hoc est? Quemadmodum inquiunt, Scriptura dicit, Spiritus est Deus: eodem modo etiam hoc loco, Spiritus Dominus est. Non enim dixit, Spiritus

[b] Editi ἀντιπίπτοντες; mss. ἀντιτείνοντες.

est Dominus, sed, Dominus est Spiritus. Multum porro inter hanc & illam compositionem interest. Nam cum ita loqui vult, ut tu ais, adjectivo articulum non addit. Quin aliter etiam omnia ea, quæ supra commemorata sunt, de quonam dixerit, videamus: velut cum dicebat: Litera occidit, Spiritus autem vivificat: ac rursus: Scripta non atramento, sed Spiritu Dei viventis. Utrum de Filio an de Spiritu? Liquet profecto quod de Spiritu. Ad eum enim, a litera, eos vocabat. Etenim ne quis, cum Spiritus vocabulum audivisset, ac deinde hoc secum reputans: Si Moyses ad Dominum conversus fuerit, ipse autem ad Spiritum, inferiore conditione esse arbitraretur: ut hujusmodi suspicioni medeatur, his verbis utitur: 17. *Dominus autem Spiritus est;* hoc est, Ipse quoque Dominus est. Atque ut intelligas ipsi de Paracleto sermonem esse subjunxit: *Ubi autem Spiritus Domini, ibi libertas.* Neque enim dixeris, eum ita loquutum fuisse: Ubi autem Dominus Domini. Libertatem autem dixit, habita ratione pristinæ servitutis. Deinde ne eum de futuro tempore loqui putes, ait, 18. *Nos autem omnes revelata facie gloriam Domini speculantes*, non illam, inquam, quæ finem accipit, sed quæ manet: *In eamdem imaginem transformamur a claritate in claritatem tamquam a Domino Spiritu.* Vides quo pacto rursus Spiritum in Dei ordine collocet, eosque in apostolorum classem subvehat? Etenim prius dixerat, Epistola estis Christi. Et hoc loco, *Nos autem omnes revelata facie.* Atqui ipsi legem, Moysis instar, gestantes venerant. Sed quemadmodum, inquit, nos velamine non opus habuimus: sic nec vos quidem, qui evangelium suscepistis. Atqui longe major est hæc gloria. Neque enim vultus nostri est, sed Spiritus. Et tamen vos, æque ac nos, in eam oculorum aciem intendere potestis. Illi namque nec per mediatorem; vos autem sine mediatore potestis majorem videre. Illi Moysis faciem cernere non potuerunt: vos Spiritus quoque gloriam potestis. Quod si Spiritus inferiorem locum obtineret, hæc certe, ut illis majora, minime posuisset.

Spiritus S. in Dei ordine est.

5. Quidnam autem est: *Gloriam Domini speculantes, in eamdem imaginem transformamur?* Apertius id quidem demonstrabatur, cum miraculorum dona vim suam exererent. Tamen ne nunc quidem id perspicere difficile fuerit ei, qui fidei oculis præditus fuerit. Nam simul atque baptizamur, supra solem anima exsplendescit, a Spiritu perpurgata. Ac non modo gloriam Dei prospicimus: sed illinc quoque splendorem aliquem haurimus. Sicut enim purum argentum, ad solis radios situm, ipsum quoque radios emittit, non ob suam dumtaxat naturam, sed etiam ob solarem fulgorem: eodem modo anima defæcata, atque argento splendidior effecta, a Spiritus gloria radium suscipit, ac vicissim remittit. Unde etiam ait, *Speculantes in eamdem imaginem transformamur a gloria*, Spiritus, *in gloriam* nostram, quam contrahimus, quæque

A πνεῦμα ὁ κύριος, ἀλλ', ὁ κύριος τὸ πνεῦμά ἐστι. πολὺ δὲ ταύτης κἀκείνης τῆς συνθήκης τὸ μέσον. ὅταν γὰρ βούληται οὕτω λέγειν, ὡς σὺ φῂς, τῷ ἐπιθέτῳ ἄρθρον οὐ προστίθησιν. ἄλλως δὲ, ἴδωμεν πάντα ὅσα διελέχθη ἄνωθεν, περὶ τίνος εἴρηκεν· οἷον, ὅτε ἔλεγε, τὸ γράμμα ἀποκτείνει, τὸ πνεῦμα ζωοποιεῖ· καὶ πάλιν, ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος. ἆρα περὶ τοῦ υἱοῦ, ἢ περὶ τοῦ πνεύματος; εὔδηλον ὅτι περὶ τοῦ πνεύματος. πρὸς γὰρ τοῦτο ἀπὸ τοῦ γράμματος αὐτοὺς ἐκάλει. ἵνα γὰρ μὴ ἀκούσας τις πνεῦμα, εἶτα λογισάμενος, εἰ Μωϋσῆς πρὸς κύ-
B ριον ἐπέστρεψεν, αὐτὸς δὲ πρὸς πνεῦμα, ἔλαττον ἔχειν νομίσῃ, διορθούμενος τὴν τοιαύτην ὑπόνοιαν, φησίν· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. καὶ τοῦτο κύριός ἐστι φησί. καὶ ἵνα μάθῃς ὅτι περὶ τοῦ παρακλήτου ὁ λόγος, ἐπήγαγεν· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία. οὐ γὰρ δήπου τοῦτο ἂν εἴποις αὐτὸν λέγειν, οὗ δὲ ὁ κύριος τοῦ κυρίου. ἐλευθερίαν δὲ εἶπε πρὸς τὴν ἔμπροσθεν δουλείαν. εἶτα, ἵνα μὴ νομίσῃς, ὅτι περὶ μέλλοντος χρόνου λέγει, φησίν. ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι. οὐ τὴν παυομένην
C ἐκείνην, ἀλλὰ τὴν μένουσαν. τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. εἶδες πῶς πάλιν ἐν τάξει τοῦ θεοῦ τὸ πνεῦμα τίθησι, καὶ αὐτοὺς εἰς τὴν τάξιν ἀναβιβάζει τῶν ἀποστόλων; καὶ γὰρ ἔμπροσθεν εἴρηκεν, ἐπιστολὴ ἐστε Χριστοῦ· καὶ ἐνταῦθα, ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ. καίτοι αὐτοὶ ἦλθον φέροντες κατὰ Μωϋσέα νόμον. ἀλλ' ὥσπερ ἡμεῖς, φησιν, οὐκ ἐδεήθημεν καλύμματος, οὕτως οὐδὲ ὑμεῖς οἱ δεξάμενοι. καίτοιγε πολλῷ μείζων αὕτη ἡ δόξα. οὐ γὰρ τοῦ προσώπου ἡμῶν αὕτη, ἀλλὰ τοῦ πνεύματος. ἀλλ'
D ὅμως ἡμῖν ὁμοίως ἀτενίσαι δύνασθε εἰς ταύτην. ἐκεῖνοι μὲν γὰρ οὐδὲ διὰ μεσίτου, ὑμεῖς δὲ καὶ χωρὶς μεσίτου δύνασθε τὴν μείζονα. ἐκεῖνοι εἰς τὴν Μωϋσέως οὐκ ἴσχυσαν· ὑμεῖς καὶ εἰς τὴν τοῦ πνεύματος. οὐκ ἂν δὲ, εἰ καταδεέστερον τὸ πνεῦμα ἦν, ὡς μείζονα ταῦτα ἐκείνων ἔθηκε.

Τί δέ ἐστι, τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα; σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει. πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τοὺς πιστοὺς ὀφθαλμοὺς ἔχοντι. ὁμοῦ τε γὰρ βαπτιζόμεθα,
E καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει, τῷ πνεύματι καθαιρομένη. καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. ὥσπερ ἂν εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς· οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ πνεύματος, καὶ ταύτην ἀντιπέμπει. διὸ καί φησι, κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης, τῆς τοῦ πνεύματος, εἰς

A δόξαν τὴν ἡμετέραν, τὴν ἐγγινομένην, καὶ τοιαύτην, οἵαν εἰκὸς ἀπὸ κυρίου πνεύματος. ὅρα πῶς καὶ ἐνταῦθα τὸ πνεῦμα κύριον καλεῖ. καὶ ἀλλαχοῦ δὲ αὐτοῦ τὴν κυριότητά ἐστιν ἰδεῖν. λειτουργούντων γὰρ αὐτῶν, καὶ νηστευόντων τῷ κυρίῳ, φησὶν, εἶπε τὸ πνεῦμα, ἀφορίσατέ μοι Παῦλον καὶ Βαρνάβαν. διὰ γὰρ τοῦτο εἶπε, λειτουργούντων αὐτῶν τῷ κυρίῳ, ἀφορίσατέ μοι, ἵνα τὸ ὁμότιμον δείξῃ. καὶ πάλιν ὁ Χριστός φησιν, ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ. τὸ δὲ πνεῦμα, ὡς ἄνθρωπος οἶδε τὰ ἑαυτοῦ, οὕτως οἶδε τὰ τοῦ θεοῦ, οὐχὶ διδασκόμενον· [a] ἐπεὶ ἡ εἰκὼν οὐ μένει. B καὶ τὸ ἐνεργεῖν δὲ καθὼς βούλεται, δείκνυσιν αὐτοῦ τὴν ἐξουσίαν, καὶ τὴν κυριότητα. τοῦτο μεταμορφοῖ, τοῦτο οὐκ ἐᾷ συσχηματίζεσθαι ἡμᾶς τῷ αἰῶνι τούτῳ, τοῦτο δημιουργὸν τῆς τοιαύτης κτίσεως. ὥσπερ γάρ φησι, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ, οὕτω φησὶ, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. βούλει σοι δείξω τοῦτο, καὶ ἀπὸ τῶν ἀποστόλων, αἰσθητικώτερον, ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει· Πέτρον, οὗ καὶ αἱ σκιαὶ ἴσχυον. οὐ γὰρ ἂν, εἰ μὴ βασιλέως ἔφερον εἰκόνα, καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαὶ, C τοσοῦτον τὰ ἱμάτια αὐτῶν καὶ αἱ σκιαὶ ἐνήργησαν. βασιλέως γὰρ ἱμάτια καὶ τοῖς λῃσταῖς ἐστὶ φοβερά. θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; ἀτενίσαντες, φησὶν, εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον ἀγγέλου. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν. ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον· μᾶλλον δὲ καὶ πολλῷ πλέον. τὸ μὲν γὰρ Μωϋσέως, αἰσθητικώτερον ἦν· τοῦτο δὲ ἀσώματον. καὶ καθάπερ πυραυγῆ σώματα ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὸ πλησίον ἀποῤῥέοντα, D καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει. διὰ δὴ τοῦτο, τῆς γῆς ἀπαλλάττονται οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ὀνειροπολοῦσιν. οἴμοι· καλὸν γὰρ ἐνταῦθα καὶ στενάξαι πικρὸν, ὅτι τοσαύτης ἀπολαύοντες [b] εὐγενείας, τὰ οὐδὲ λεγόμενα ἴσμεν, διὰ τὸ ταχέως ἀπολλύναι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. αὕτη γὰρ ἡ δόξα ἡ ἀπόῤῥητος καὶ φρικώδης, μέχρι μὲν μιᾶς καὶ δευτέρας ἡμέρας ἐν ἡμῖν μένει· λοιπὸν δὲ αὐτὴν κατασβέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων, καὶ τῇ πυκνότητι τῶν νεφῶν E ἀποκρουόμενοι τὰς ἀκτῖνας. χειμὼν γὰρ τὰ βιωτικὰ, καὶ χειμῶνος σκυθρωπότερα. οὐ γὰρ κρυμὸς τίκτεται ἐντεῦθεν, οὐδὲ ὑετὸς, οὐδὲ πηλὸν ποιεῖ καὶ τέλμα βαθὺ, ἀλλὰ τὰ πάντων χαλεπώτερα τούτων, γέενναν συνίστησι, καὶ τὰ τῆς γεέννης κακά. καὶ καθάπερ ἐν κρυμῷ σφοδρῷ πέπηγε πάντα τὰ μέλη, καί ἐστι νεκρά· οὕτω δὴ καὶ ἐν τῷ χειμῶνι τῶν ἁμαρτημάτων φρίττουσα ἡ ψυχὴ, οὐδὲν τῶν αὐτῆς ἐργάζεται,

talis est, qualem esse par est, *a Domino Spiritu.* Viden' quomodo hoc item loco Spiritum Dominum appellet? Atque alibi quoque ipsius dominationem perspicere licet. *Ministrantibus* enim *ipsis Domino*, inquit, *ac jejunantibus, dixit Spiritus sanctus, Segregate mihi Paulum & Barnabam.* Ob id enim his verbis scriptura utitur, ut eum ejusdem dignitatis esse ostendat. Ac rursum ait Christus: *Servus nescit quid faciat Dominus ejus.* Ut autem homo novit ea quæ sua sunt, ita Spiritus novit quæ Dei sunt, non quod edoceatur: nam ita similitudo non sibi constaret. Quin hinc quoque auctoritatem ac dominationem suam ostendit, quod, prout vult, operatur. Hic nos transformat: hic nos huic sæculo conformari non sinit: hic hujusmodi creationis artifex est. Quemadmodum enim ait, Creati in Christo Jesu: eodem modo ait, *Cor mundum crea in me Deus: & spiritum rectum innova in visceribus meis.* Vis hoc tibi ab apostolis quoque sensibiliori modo ostendam? Paulum cogita, cujus vestes operabantur; Petrum, cujus ipsæ quoque umbræ viribus pollebant. Neque enim, nisi regis imaginem gestassent, & incomparabilis quidem fulgor ex ipsis effulsisset, eorum vestes atque umbræ tot miracula edidissent. Regis quippe vestes, latronibus etiam terrori sunt. Libet-ne videre hanc per corpus quoque collucentem? *Intuentes*, inquit, *faciem Stephani, viderunt tamquam faciem angeli.* Quamquam nihil istud erat, præ gloria ea, quæ interne rutilabat. Nam quod Moyses in vultu habebat, hoc isti in anima circumferebant, atque adeo multo amplius. Etenim id quod Moysi contingebat, sensui subjectum erat: hoc autem corporis expers est. Et sicut ignea corpora, a splendidis corporibus, in id, quod propinquum est, defluentia, ipsis quoque splendorem suum impertiunt: eodem modo in fidelibus quoque usu venit. Ob eamque causam a terra abscedunt, qui ita affecti sunt: cælestiaque sola ipsis in mente versantur. Hei mihi! Hîc enim acerbe quoque ingemiscere pulcrum fuerit, quod, cum tanta nobilitate præditi simus, tamen ne ea quidem, quæ dicuntur, novimus: quia confestim has res nobis perire sinimus, atque iis, quæ in sensum cadunt, inhiamus. Arcana enim hæc & tremenda gloria, ad unum quidem aut alterum diem in nobis manet: deinceps autem eam exstinguimus, dum negotiorum hujusce vitæ tempestatem accersimus, ac per nubium densitatem radios propulsamus. Tempestas enim, res hujusce vitæ sunt, ac tempestate tristiores. Neque enim hinc frigus oritur, nec pluvia, nec lutum, ac profundus limus: sed, quæ his omnibus graviora sunt, nempe gehenna, & gehennæ mala. Et quemadmodum grassante acerrimo frigore membra omnia concrescunt, ac mortua sunt: sic etiam animus in peccatorum frigore contremiscens, nullum munus suum exsequitur,

Act. 13. 2.

Spiritus S. ejusdem dignitatis cujus Pater est.

Joan. 15. 15.

Ephes. 2. 10.

Psal. 50. 11.

Actor. 6. 15.

Hæc vita tempestas est.

[a] ἐπεὶ ἡ εἰκὼν οὐ μένει. Hæc quo spectent non facile videas.
[b] εὐγενείας, sic mss. & ita legit interpres Latinus. Editi, εὐεργεσίας.

ut qui videlicet conscientia, ac si gelu concretus sit. Quod enim corpori frigus est, hoc animo mala conscientia. Unde etiam timiditas existit. Nihil enim homine mundanis rebus affixo timidius fingi potest. Nam qui ejusmodi est, ut Caïn vivit, quotidie tremens. Quid autem mortes & detrimenta, & offensiones, & assentationes, & obsequia commemorem? Nam, ut hæc omittam, sexcentas mutationes extimescit. Atque arca quidem auro referta est: animus autem paupertatis metu minime vacat. Ac merito quidem. In rebus enim imbecillis, & quæ facile mutentur, ancoram figit. Etiamsi ipse naufragium non patiatur, in aliis tamen id perspiciens, exanimatur. Atque ut ingenti timiditate, ita ingenti ignavia laborat. Neque enim hujusmodi homo in periculis dumtaxat, sed in omnibus aliis ignavus est. Nam si pecuniarum cupiditas irruerit, non ut ingenuus vir impetum propulsat: sed ut precio emtum mancipium quidvis facit, avaritiæ tamquam acerbæ dominæ serviens. Si formosam aliquam puellam conspicatus fuerit, protinus captus trepidat, rabidique canis in morem eam sequitur, cum contra faciendum sit. Etenim cum formosam mulierem cernis, ne hoc spectes quomodo cupiditatis tuæ compos fias, sed quomodo cupiditate libereris. Et quanam ratione hoc fieri possit, inquies? Neque enim amare mei est arbitrii. Cujus ergo, dic mihi? Insultus dæmonis. Omnino igitur dæmonem esse arbitraris, qui insidias struat?

Gen. 4.

6. Luctare igitur, ac pugna cum morbo. At non possum, inquies. Age igitur hoc primum te docebimus, ignaviæ tuæ esse, id quod tibi accidit: teque ab initio dæmoni aditum præbuisse: ac nunc, si voluntas ita tulerit, eum facillime propellere posse. Dic mihi, qui adulterium perpetrant, utrum amore ducti id perpetrant, an quod simpliciter pericula expetant? Amore ducti haud dubie. Num igitur veniam propterea obtinent? Minime. Quid ita? Quoniam ipsorum est peccatum. At quid syllogismos nectis, inquies? Conscius mihi ipse sum, me affectum hunc submovere velle, nec tamen id possum: verum id imminet, graviterque me premit, & excruciat. Vis quidem illud, o homo, submovere: at non ea facis, quæ repellere possint. Verum perinde facis, ut si quis febri correptus, ac sese frigida aqua ingurgitans, dicat: Quanta comminiscor, dum febrim exstinguere studeo nec possum, sed flammam potius meam accendo? Videamus igitur num tu quoque ea facias, quæ morbum inflamment, cum te ea excogitare putes, quæ exstinguant. Non, inquis. Dic igitur, quidnam, ut morbum exstingueres, facere unquam es conatus? Quid autem omnino est, quod morbum augeat? Etenim licet non omnes his criminibus obnoxii simus; plures enim reperire est, qui pecuniarum, quam qui corporum amore teneantur; commune tamen omnibus, tam his quam illis remedium

Cupiditatis exstinguendæ modus.

A πεπηγυῖα καθάπερ ὑπὸ κρυμοῦ, τοῦ συνειδότος. ὅπερ γὰρ τῷ σώματι ψῦχος, τοῦτο πονηρὸν συνειδὸς τῇ ψυχῇ· ὅθεν καὶ δειλία γίνεται. οὐδὲν γὰρ δειλότερον τοῦ τοῖς βιωτικοῖς προσηλωμένου. τὸν γὰρ τοῦ Κάϊν βίον ὁ τοιοῦτος ζῇ, καθ' ἑκάστην ἡμέραν τρέμων. καὶ τί λέγω θανάτους, καὶ ζημίας, καὶ προσκρούματα, καὶ κολακείας, καὶ θεραπείας; καὶ γὰρ καὶ τούτων χωρὶς, μυρίας δέδοικε μεταβολάς. καὶ τὸ μὲν ταμιεῖον γέμει χρυσίου· ἡ ψυχὴ δὲ οὐκ ἀπήλλακται τοῦ τῆς πενίας φόβου. καὶ μάλα B εἰκότως. ὡς ἐπὶ πραγμάτων γὰρ [a] ὁρμεῖ σαθρῶν, καὶ εὐμεταπτώτων· κἂν μὴ αὐτὸς ὑπομείνῃ τὴν μεταβολὴν, ἐν ἑτέροις γινομένην ὁρῶν, ἀπόλωλε· καὶ πολλὴ μὲν ἡ δειλία, πολλὴ δὲ ἡ ἀνανδρεία. οὐ γὰρ μόνον πρὸς κινδύνους ἄτολμος ὁ τοιοῦτος, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα πάντα. κἂν ἐπιθυμία χρημάτων ἐμπέσῃ, οὐχ ὡς ἀνὴρ ἐλεύθερος ἀποκρούεται τὴν προσβολὴν, ἀλλ' ὡς ἀργυρώνητος πάντα πράττει· καθάπερ δεσποίνῃ χαλεπῇ τῇ φιλαργυρίᾳ δουλεύων· κἂν εὔμορφόν τινα κόρην ἴδῃ, κατέπληκται εὐθέως ἁλοὺς, καὶ ὥσπερ κύων C λυττῶν ἕπεται, δέον τοὐναντίον ποιεῖν. ὅταν γὰρ ἴδῃς γυναῖκα ὡραίαν, μὴ τοῦτο σκόπει ὅπως ἀπολαύσῃς τῆς ἐπιθυμίας, ἀλλὰ πῶς ἀπαλλαγῇς τῆς ἐπιθυμίας. καὶ πῶς τοῦτο ἔνι, φησίν; οὐ γάρ ἐστι τὸ ἐρᾷν ἐμόν. ἀλλὰ τίνος, εἰπέ μοι; τῆς τοῦ δαίμονος ἐπηρείας. ὅλως δαίμονα εἶναι νομίζεις τὸ ἐπιβουλεῦον;

Οὐκοῦν πύκτευε, καὶ μάχου νοσήματι. ἀλλ' οὐ δύναμαι, φησί. φέρε οὖν, πρῶτον τοῦτό σε διδάξομεν, ὅτι τῆς σῆς ῥαθυμίας τὸ γινόμενον, καὶ ὅτι σὺ παρὰ τὴν ἀρχὴν τῷ δαίμονι δέδωκας πάροδον· καὶ νῦν ἂν ἐθέλῃς, μετὰ πολλῆς αὐτὸν ἀπώσῃ τῆς εὐκολίας. D εἰπὲ γάρ μοι, οἱ μοιχεύοντες ἐρῶντες μοιχεύουσιν, ἢ ἁπλῶς κινδύνων ἐπιθυμοῦντες; εὔδηλον ὅτι ἐρῶντες. ἆρ' οὖν συγγνώμης τυγχάνουσιν; οὐδαμῶς. τί δήποτε; ὅτι αὐτῶν ἐστι τὸ ἁμάρτημα. ἀλλὰ τί μοι συλλογισμοὺς πλέκεις, φησίν; ἐγὼ σύνοιδα ἐμαυτῷ βουλόμενος ἀποκρούσασθαι τὸ πάθος, καὶ οὐκ ἰσχύω, ἀλλ' ἐφέστηκε, καὶ πιέζει, καὶ ὀδυνᾷ χαλεπῶς. βούλει μὲν ἀποκρούσασθαι, ἄνθρωπε· οὐ ποιεῖς δὲ ἃ τῶν ἀποκρουομένων ἐστίν. ἀλλὰ ταὐτὸν πάσχεις, οἷον ἂν εἴ τις πυρέττων, καὶ ψυχρῶν ἐμφορούμενος ναμάτων, λέγοι· πόσα ἐπινοῶ βουλόμενος E σβέσαι τὸν πυρετὸν καὶ οὐκ ἰσχύω, ἀλλὰ μᾶλλόν μου τὴν φλόγα ἀνάπτω; ἴδωμεν οὖν μήποτε καὶ σὺ τὰ μὲν ἐκκαίοντα ποιεῖς, νομίζεις δὲ ἐπινοεῖν τὰ σβεννύντα. οὐ, φησίν. εἰπὲ οὖν, τί ποτε ἐπεχείρησας ποιῆσαι πρὸς τὸ σβέσαι τὸ πάθος; τί δέ ἐστιν ὅλως τὸ τοῦ πάθους αὐξητικόν; εἰ γὰρ μὴ πάντες ὑπεύθυνοι τοῖς ἐγκλήμασι τούτοις ἐσμέν· πλείους γὰρ ἂν εὕροιμεν τῷ τῶν χρημάτων, ἢ τῷ τῶν σωμάτων ἁλισκομένους ἔρωτι, ἀλλὰ κοινὸν πᾶσι πρόκειται τὸ φάρμακον, καὶ τούτοις

[a] Editi ὁρμᾷ, mss. ὁρμῇ, Savil. legendum putat ὁρμεῖ, & hanc lectionem veriorem esse probat Dounæus in Notis Savilianis, exemplis ex Demosthene & ex Thucydide mutuatis.

κἀκείνοις. καὶ γὰρ κἀκεῖνο ἔρως ἄτοπος, καὶ τοῦτο· ἀλλ' ἔστιν ἐκείνου δριμύτερος, καὶ ὀξύτερος. ὅταν οὖν τοῦ μείζονος περιγενώμεθα, εὔδηλον ὅτι καὶ τὸν ἐλάττω ῥᾳδίως αἱρήσομεν. καὶ πῶς, εἰ δριμύτερος ἐστί, φησιν, οὐ πάντες ἁλίσκονται τῷ κακῷ, ἀλλ' οἱ πλείους περὶ χρήματα μεμήνασιν; ὅτι πρῶτον μὲν ἀκίνδυνος αὕτη εἶναι δοκεῖ ἡ ἐπιθυμία· ἔπειτα, εἰ καὶ ὀξυτέρα ἐστὶν ἡ τῶν σωμάτων, ἀλλὰ θᾶττον ἐκείνη σβέννυται· ὡς εἴγε παρέμενεν, ὡς ἡ τῶν χρημάτων, κἂν ἀπώλεσε τὸν ἁλόντα ἄρδην. φέρε οὖν, περὶ τούτου ὑμῖν διαλεχθῶμεν τοῦ τῶν σωμάτων, καὶ ἴδωμεν πόθεν αὔξεται τὸ κακόν. οὕτω γὰρ εἰσόμεθα, εἴτε ἡμέτερον τοῦτο ἔγκλημα, εἴτε οὐχ ἡμέτερον. καὶ εἰ μὲν ἡμέτερον, πάντα πράξωμεν, ὥστε περιγενέσθαι· εἰ δὲ οὐχ ἡμέτερον, τί μάτην κόπτομεν ἑαυτούς; τί δὲ οὐ συγγινώσκομεν, ἀλλ' ἐγκαλοῦμεν τοῖς ἁλισκομένοις; πόθεν οὖν τίκτεται οὗτος ὁ ἔρως; ἀπὸ εὐμορφίας προσώπου, φησιν, ὅταν καλὴ καὶ εὐειδὴς ἡ πειρῶσα κόρη ᾖ. εἰκῇ ταῦτα λέγεις, καὶ μάτην. εἰ γὰρ τῆς εὐμορφίας τὸ ἐραστὰς ἐπισπάσασθαι, πάντας ἂν εἶχεν ἐραστὰς ἡ τοιαύτη κόρη· εἰ δὲ οὐ πάντας ἔχει, οὐ τῆς φύσεως τοῦτο, οὐδὲ τῆς εὐμορφίας, ἀλλὰ τῶν ἀκολάστων ὀφθαλμῶν. ὅταν γὰρ ἰδὼν περιέργως θαυμάσῃς, καὶ ἐρασθῇς, ἐδέξω τὸ βέλος. καὶ τίς ἂν δύναιτο καλὴν γυναῖκα ὁρῶν, μὴ ἐπαινέσαι τὴν ὁρωμένην, φησίν; εἰ τοίνυν οὐ τῆς προαιρέσεως ἡμῶν τὸ τὰ τοιαῦτα θαυμάζειν, οὐκ ἐν ἡμῖν ἄρα ὁ ἔρως. ἐπίσχες, ἄνθρωπε. τί πάντα φύρεις ὁμοῦ, πανταχοῦ περιτρέχων, καὶ τοῦ κακοῦ τὴν ῥίζαν οὐκ ἐθέλων ἰδεῖν; καὶ γὰρ πολλοὺς ὁρῶ θαυμάζοντας, καὶ ἐπαινοῦντας, οὐκ ἐρῶντας δέ· καὶ πῶς ἔνι θαυμάζοντας, μὴ ἐρᾷν; μὴ θορύβει· τοῦτο γὰρ ἔρχομαι εἰπεῖν. ἀλλ' ἀνάμεινον, καὶ ἀκούσῃ τοῦ Μωϋσέως θαυμάζοντος τὸν παῖδα τοῦ Ἰακώβ, καὶ λέγοντος, καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα. ἆρα οὖν ἤρα ὁ ταῦτα λέγων; οὐδαμῶς. οὐδὲ γὰρ ἑώρα, φησί, τὸν ἐπαινούμενον. ἀλλὰ καὶ πρὸς ἀκουόμενα κάλλη πάσχομέν τι τοιοῦτον, οὐ πρὸς τὰ ὁρώμενα μόνον. ἵνα δὲ μὴ φιλονεικῇς ἡμῖν ἐν τούτοις, ὁ Δαυὶδ οὐκ ἦν ὡραῖος σφόδρα, καὶ ὑπόπυρρος μετὰ κάλλους ὀφθαλμῶν; ὃ δὴ μάλιστα ἐστὶ τυραννικώτερον μέρος τῆς εὐμορφίας, τῶν ὀφθαλμῶν τὸ κάλλος. ἆρ' οὖν ἠράσθη τις αὐτοῦ; οὐδαμῶς. οὐκ ἄρα μετὰ τοῦ θαυμάζειν καὶ τὸ ἐρᾷν γίνεται. καὶ γὰρ καὶ μητέρας ἔσχον πολλοὶ σφόδρα ἀνθούσας τῇ τοῦ σώματος ὥρᾳ. τί οὖν; ἠράσθησαν αὐτῶν οἱ παῖδες; ἄπαγε. ἀλλὰ θαυμάζουσι μὲν τὸ ὁρώμενον, οὐκ ἐμπίπτουσι δὲ εἰς ἔρωτα αἰσχρόν. πάλιν γὰρ τῆς φύσεως τὸ κατόρθωμά ἐστι. ποίας φύσεως, εἰπέ μοι; ὅτι μητέρες εἰσί, φησιν. εἶτα οὐκ ἀκούεις, ὅτι Πέρσαι, μηδενὸς καταναγκάζοντος, ταῖς αὐτῶν μίγνυνται μητράσι, καὶ οὐχ εἷς, οὐδὲ δεύτερος, ἀλλ' ὁλόκληρον ἔθνος;

A proponetur. Nam & ille amor absurdus est, & hic quoque: verum hic illo acrior est, ac vehementior. Quamobrem si majorem superaverimus, non est dubium quin minorem quoque facile vincamus. At, inquies, si acrior hic amor est, quî fit, ut non omnes hoc malo corripiantur, sed plures ad insaniam usque pecunias ament? Primum quia periculo carere videtur hæc cupiditas; deinde quoniam, etsi corporum cupiditas acrior est, tamen citius exstinguitur. Nam si perstaret, ut pecuniarum cupiditas, eum, qui captus esset, funditus perderet. Age igitur, de hoc corporum amore ad vos disseramus, ac videamus undenam incrementum sumat hoc B malum. Sic enim perspectum habebimus, utrum culpa nostra contrahatur, necne. Ac, si culpa nostra contrahitur, nihil non faciamus, quo superiores eo simus: si autem extra culpam sumus, quid frustra nosipsos maceramus? Quid item non iis, qui eo capiuntur, ignoscimus potius, quam succenseamus? Unde igitur nascitur hic amor? Ab elegantia formæ, inquies, cum scilicet pulcra & venusta ea fuerit, quæ vulnus infert. Frustra & temere hæc dicis. Nam si formæ pulcritudo amatores alliceret, omnes haberet amatores hæc puella. Quod si non omnes habet, proinde nec naturæ, nec eleganti formæ, sed im- C pudicis oculis istud adscribendum est. Nam cum eam curiose intuens suspexeris, atque adamaris, telum excepisti. Quisnam autem, inquies, facere possit, ut pulcram mulierem cernens, non eam laudet? Quo fit, ut cum res hujusmodi mirari, voluntatis nostræ minime sit, ne amor quidem in nostro arbitrio situs sit. Absiste, o homo! Quid omnia simul confundis, undique in orbem excurrens, nec mali radicem perspicere volens? Siquidem plerosque video, qui formam admirentur ac laudibus efferant, nec tamen ament. Et quî fieri potest, inquis, ut qui D mirantur, non item ament? Ne tumultuare, quæso; hoc enim dicere paro: sed exspecta, & audies Mosem, filium Jacob admirantem, ac dicentem: Et erat Joseph pulcra facie, & aspectu decorus valde. *Gen. 39. 6.* Num igitur propterea is amabat, qui hæc dicebat? Minime. Non enim, inquies, eum, quem laudabat, cernebat. Atqui erga auditas quoque formas ita quodammodo afficimur, non modo erga conspectas. Verum ne mihi in his rebus contentionem moveas; annon David admodum formosus erat, ac subrufus cum oculo- E rum pulcritudine? Quæ oculorum elegantia maxime violenta pulcritudinis pars est. Num igitur quispiam ipsius amore captus est? Minime. Non igitur una cum admiratione amor etiam nascitur. Nam & matres multi habuerunt corporis pulcritudine florentissimas. Num igitur filii earum amore incensi sunt? Absit istud. Quamquam enim id quod cernunt admirentur: tamen in fœdum amorem non incidunt. At, rursum inquies, hoc ipsis natura præstat. Quænam oro natura? Quia matres sunt, inquies. Annon audis Persas nemine cogente, cum matribus suis misceri, nec unum aut duos, sed universam

*Persæ cum matribus suis coeunt.*

gentem? Quin citra hæc liquido hinc conſtat morbum hunc, non corporis elegantiæ, nec ſimpliciter pulcritudini adſcribendum eſſe, ſed animi ſocordiæ, atque oberrationi. Permulti etenim, cum innumeras præſtanti forma mulieres præteriiſſent, deformibus ſeſe dederunt. Ex quo perſpicuum eſt, amorem a formæ venuſtate minime proficiſci. Nam ſi ita eſſet, ii, qui in amorem inciderunt, ab illis potius quam ab iſtis, capti fuiſſent. Quidnam igitur in cauſa eſt, inquies? Nam ſi formæ honeſtas non facit ut quiſpiam amet, unde igitur amor cauſam ac radicem habet? An a malo dæmone? Habet quoque illinc ortum, ſed non hoc eſt quod quæritur: verum annon ipſi quoque in cauſa ſimus. Neque enim illorum dumtaxat ſunt inſidiæ, ſed cum illis a nobis primum. Non aliunde perniciosſus hic morbus æque ortum trahit, atque a conſuetudine & verborum blanditiis, & otio ac ceſſatione, quodque nihil, quod agamus, habeamus.

7. Magna quippe, magna, inquam, conſuetudinis vis eſt, atque adeo tanta, ut in naturæ neceſſitatem migret. Quod ſi conſuetudinis eſt hanc procreare, non dubium quin etiam exſtinguere. Sane multi amantes ſic amare deſierunt, cum, quas amabant, non cernerent. Hoc autem ad breve quidem tempus acerbum ac perquam injucundum eſſe videtur: at progreſſu temporis ſuave efficitur, ac, ne ſi velint quidem, morbum revocare queant. Quid igitur, inquies, cum citra conſuetudinem ullam ab ipſo primo aſpectu captus fuero? Hic quoque in cauſa eſt corporis deſidia, aut alimentum aut quod ea, quæ opus ſunt, non cures, nec in neceſſariis negotiis verſeris. Nam qui talis eſt, inſtar erronis cujuſpiam quovis malo transfigitur: atque hujuſmodi animam, non ſecus ac puerum vagantem, quiſquis vult in ſervitutem trahit. Quoniam enim ipſa hoc in more poſitum habet, ut aliquid operetur, ſi ipſius in rebus honeſtis actionem comprimas, quia nihil agere non poteſt, alia pariat neceſſe eſt. Sicut enim terra, cum nec ſeritur, nec plantatur, herbam dumtaxat profert: ita & anima, cum neceſſariarum rerum nihil habet quod agat, atque aliquid agere cupiat, pravis rebus ſe tradit. Et ſicut oculus, qui cernere non ceſſat, prava cernat neceſſe eſt, cum bonis objectis caret: ſic etiam animus, cum ſe a neceſſariis abduxerit, jam circa inutilia verſatur. Alioqui quod occupatio & cura primum quoque impetum propellere queat, multis argumentis liquet. Quamobrem cum pulcram mulierem conſpexeris, ab eaque te affectum ſenſeris, eam ne ultra cernas: & liberatus es. Et quî fieri poterit, inquies, ut eam ultra non cernam, cum cupiditate trahar? Aliis rebus, quæ animam diſtrahant, fac te addicas, libris nimirum, neceſſariis curis, patrociniis, opitulationibus eorum, quibus injuria infertur, precibus, rerum futurarum meditationi. His animum adſtringe. Sic non recens tantum vulnus curabis, ſed concretum etiam atque inveteratum fa-

Modus exſtinguendæ libidinis.

a Mſ. καὶ ἡμῶν πρώτων.

A χωρὶς δὲ τούτων, κἀκεῖθεν δῆλον, ὅτι τὸ νόσημα τοῦτο, οὐ τῆς ὥρας τοῦ σώματος, οὐδὲ τῆς εὐμορφίας ἐστὶν ἁπλῶς, ἀλλὰ τῆς ῥαθύμου καὶ πλανωμένης ψυχῆς. πολλοὶ γοῦν πολλάκις μυρίας εὐπρεπεῖς παραδραμόντες γυναῖκας, ταῖς αἰσχροτέραις ἔδωκαν ἑαυτούς· ὅθεν δῆλον ὅτι οὐ τῆς εὐμορφίας τὸ ἐρᾷν. ἢ γὰρ ἂν εἷλον ἐκεῖναι περὶ τούτων τοὺς ἐμπεσόντας. τί οὖν τὸ αἴτιον; εἰ γὰρ μὴ τῆς εὐμορφίας τὸ ἐρᾷν, πόθεν ἔχει τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, φησίν; ἀπὸ δαίμονος πονηροῦ; ἔχει μὲν καὶ ἐκεῖθεν· ἀλλ' οὐ τοῦτό ἐστι τὸ B ζητούμενον, ἀλλ' εἰ μὴ καὶ ἡμεῖς αἴτιοι. οὐ γὰρ ἐκείνων μόνον ἡ ἐπιβουλὴ, ἀλλὰ μετ' ἐκείνων [a] καὶ ἡμῶν προτέρων. οὐδαμόθεν γὰρ ἑτέρωθεν οὕτω τίκτεται τὸ πονηρὸν τοῦτο νόσημα, ὡς ἀπὸ συνηθείας, καὶ κολακείας ῥημάτων, καὶ σχολῆς, καὶ ἀργίας, καὶ τοῦ μηδὲν ἔχειν ποιεῖν.

Μεγάλη γὰρ, μεγάλη τῆς συνηθείας ἡ τυραννὶς, καὶ τοσαύτη, ὡς εἰς φύσεως ἀνάγκην [b] μεθίστασθαι. εἰ δὲ συνήθεια τὸ τίκτειν αὐτὴν, εὔδηλον ὅτι καὶ τὸ σβεννύναι. πολλοὶ γοῦν ἐρῶντες, οὕτως ἐπαύσαντο, μὴ ὁρωμένων τῶν ἐρωμένων. τοῦτο δὲ πρὸς βραχὺ μὲν C δοκεῖ πικρὸν εἶναι, καὶ σφόδρα ἀηδές· τῷ χρόνῳ δὲ ἡδὺ γίνεται, καὶ οὐδὲ βουλομένοις λοιπὸν ἔνι ἀνακλήσασθαι τὸ πάθος. τί οὖν, ὅταν συνηθείας χωρὶς ἀπὸ πρώτης τῆς ὄψεως ἁλῷ; κἀνταῦθα ἀργία τοῦ σώματος, ἢ τρυφὴ, καὶ τὸ μὴ φροντίζειν τῶν προσηκόντων, μηδὲ ἐν ἀναγκαίοις εἶναι πράγμασι. καθάπερ γὰρ πλάνος τις ὁ τοιοῦτος περιερχόμενος, παντὶ περιπείρεται πονηρῷ· καὶ καθάπερ παιδίον ἄφετον, ὁ βουλόμενος ἀνδραποδίζει τὴν τοιαύτην ψυχήν. ἐπειδὴ γὰρ ἔθος αὐτῇ ἐνεργεῖν, ὅταν αὐτῆς παύσῃς τὴν ἐνέργειαν τὴν ἐν τοῖς ἀγαθοῖς, ἐπειδὴ ἀργεῖν οὐ δύναται, D ἀναγκάζεται ἕτερα τίκτειν. καθάπερ ἡ γῆ, ὅταν μὴ σπείρηται, μηδὲ φυτεύηται, βοτάνην ἀναδίδωσιν ἁπλῶς· οὕτω καὶ ἡ ψυχὴ, ὅταν μὴ ἔχῃ τι πρᾶξαι τῶν ἀναγκαίων, πάντως τοῦ πράττειν ἐπιθυμοῦσα, πονηροῖς ἑαυτὴν δίδωσι πράγμασι. καὶ ὥσπερ ὀφθαλμὸς τοῦ μὲν ὁρᾷν οὐ παύεται, καὶ διὰ τοῦτο ὄψεται πονηρὰ, ὅταν ἀγαθὰ μὴ ᾖ ὑποκείμενα· οὕτω καὶ ὁ λογισμὸς, ὅταν τῶν ἀναγκαίων ἑαυτὸν ἀπαγάγῃ, περὶ τὰ ἄχρηστα στρέφεται λοιπόν. ἐπεὶ ὅτι καὶ τὴν πρώτην προσβολὴν δύναE ται ἀποκρούσασθαι ἀσχολία καὶ φροντὶς, πολλαχόθεν δῆλον. ὅταν οὖν ἴδῃς γυναῖκα καλὴν, καὶ πάθῃς τι πρὸς αὐτὴν, μηκέτι ἴδῃς, καὶ ἀπηλλάγης. καὶ πῶς δυνήσομαι μηκέτι ἰδεῖν ὑπὸ τῆς ἐπιθυμίας ἑλκόμενος, φησίν; ἑτέροις σεαυτὸν δὸς, περιέλκουσι τὴν ψυχὴν, βιβλίοις, φροντίσιν ἀναγκαίαις, προστασίαις, βοηθείαις ἀδικουμένων, εὐχαῖς, φιλοσοφίᾳ τῇ περὶ τῶν μελλόντων, τούτοις κατάδησον τὴν ψυχήν. οὕτως οὐχὶ νεαρὸν ἕλκος διορθώσῃ μόνον, ἀλλὰ παλαιὸν, καὶ χρόνιον γενόμενον ἀποτρίψῃ ῥᾳδίως.

b Mſ. καθίστασθαι.

Εἰ γὰρ ὕβρεις τὸν ἐρῶντα πείθει καταλύειν τὸν ἔρωτα, κατὰ τὴν παροιμίαν, πῶς οὐ πολλῷ μᾶλλον αἱ πνευματικαὶ αὗται ἐπῳδαὶ περιέσονται τοῦ κακοῦ, μόνον ἂν ἐθέλωμεν ἀποστῆναι; ἂν δὲ ἀεὶ προσομιλῶμεν, καὶ συναναστρεφώμεθα ταῖς τοξευούσαις ἡμᾶς τὰ τοιαῦτα τοξεύματα, καὶ λέγοντες, καὶ ἀκούοντες τὰ παρ' ἐκείνων, τρέφομεν τὸ νόσημα. πῶς οὖν ἀξιοῖς σβεσθῆναι τὸ πῦρ, καθ' ἑκάστην ἡμέραν τὴν φλόγα ἀνάπτων; καὶ ταῦτα μὲν ἡμῖν τὰ τῆς συνηθείας πρὸς τοὺς νέους εἰρήσθω. ὡς τοῖς γε ἀνδράσι, καὶ φιλοσοφεῖν ἐπισταμένοις, πάντων μείζων ὁ τοῦ θεοῦ φόβος, ἡ τῆς γεέννης μνήμη, ἡ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιθυμία. ἱκανὰ γὰρ ταῦτα σβέσαι τὸ πῦρ. μετὰ δὲ τούτων, κἀκεῖνο ἐννόει, ὅτι οὐδέν ἕτερόν ἐστι τὸ ὁρώμενον, ἢ φλέγμα, καὶ αἷμα, καὶ τροφῆς διασεσηπυίας χυμός. ἀλλὰ φαιδρὸν τὸ ἄνθος τῆς ὄψεως, φησιν. ἀλλ' οὐδὲν τῶν ἀνθῶν τῶν ἀπὸ τῆς γῆς φαιδρότερον· ἀλλὰ καὶ ταῦτα σήπεται καὶ μαραίνεται. μὴ τοίνυν μηδὲ ἐνταῦθα τοῖς ἄνθεσι πρόσεχε· ἀλλ' ἐνδότερον διάβηθι τῷ λογισμῷ, καὶ τὸ δέρμα τὸ καλὸν ἐκεῖνο περιελὼν τῷ λογισμῷ, περιεργάζου τὰ ὑπὸ τοῦτο κείμενα. ἐπεὶ καὶ τὸ τῶν ὑδεριώντων σῶμα ἀποστίλβει λαμπρὸν, καὶ οὐδὲν ἡ ἐπιφάνεια φαῦλον ἔχει, ἀλλὰ τῇ ἐννοίᾳ τοῦ ἔνδον ἀποκειμένου χυμοῦ πληττόμενοι, φιλεῖν τοὺς τοιούτους οὐ δυνάμεθα. ἀλλ' ὑγρὸς ὁ ὀφθαλμὸς, καὶ γοργὸς, καὶ καλῶς ἀποτεταμένη ἡ ὀφρὺς, καὶ κυαναῖ αἱ βλεφαρίδες, καὶ ἥμερος ἡ κόρη, καὶ γαληνὸν τὸ ὄμμα. ἀλλ' ὅρα ὅτι αὐτὸ τοῦτο πάλιν οὐδὲν ἕτερόν ἐστιν, ἢ νεῦρα, καὶ φλέβες, καὶ ὑμένες, καὶ ἀρτηρίαι. σὺ δέ μοι τὸν καλὸν τοῦτον ὀφθαλμὸν ἐννόησον νοσοῦντα, γηράσαντα, ὑπὸ ἀθυμίας μαραινόμενον, ὑπὸ ὀργῆς οἰδοῦντα, πῶς εἰδεχθὴς, πῶς ταχέως ἀπόλλυται, καὶ τῶν γεγραμμένων τάχιον ἀφανίζεται. ἀπὸ τούτων μετάγαγε τὴν διάνοιαν ἐπὶ τὸ κάλλος τὸ ἀληθινόν. ἀλλ' οὐχ ὁρῶ, φησι, κάλλος ψυχῆς. ἀλλ' ἂν ἐθέλῃς, ὄψει. καὶ ὥσπερ τοὺς ἀπόντας καλούς ἐστιν ὀφθαλμοῖς μὴ ἰδόντα τῷ νῷ θαυμάσαι· οὕτω δυνατὸν ψυχῆς κάλλος χωρὶς ὀφθαλμῶν ἰδεῖν. οὐχ ὑπέγραψας πολλάκις μορφὴν εὐειδῆ, καὶ ἔπαθές τι πρὸς τὴν διάπλασιν; ἀνατύπωσον καὶ νῦν ψυχῆς κάλλος, καὶ ἐντρύφα τῇ εὐμορφίᾳ. ἀλλ' οὐχ ὁρῶ, φησιν, ἀσώματα. καὶ μὴν τῶν σωμάτων αὐτὰ μᾶλλον ὁρῶμεν τῷ νῷ. διὰ τοῦτο γοῦν θαυμάζομεν καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους καίτοιγε μὴ ὁρῶντες, καὶ τρόπων ἤθη, καὶ ψυχῆς ἀρετήν. κἂν ἴδῃς ἄνθρωπον ἐπιεικῆ καὶ μέτριον, μᾶλλον θαυμάσῃ τοῦτον ἢ ἐκείνην τὴν εὔμορφον ὄψιν. κἂν ἴδῃς ὑβριζόμενον, καὶ φέροντα ἀδικούμενον, μετὰ τοῦ θαυμάζειν ἐρᾷ τῶν τοιούτων, κἂν γεγηρακότες ὦσι. καὶ γὰρ τοιούτων τὸ τῆς ψυχῆς τὸ κάλλος, καὶ ἐν γήρᾳ πολλοὺς ἔχει τοὺς ἐραστὰς, καὶ οὐδέποτε μαραίνεται, ἀλλ' ἀνθεῖ διηνεκῶς. ἵν' οὖν καὶ αὐτοὶ τοῦτο κτησώμεθα, τοὺς ἔχοντας αὐτὸ θηρῶμεν, καὶ ἐρασταὶ τούτων γινώμεθα. οὕτω γὰρ καὶ

A cile discuties. Nam si contumelia, ut est in proverbio, amanti persuadet, ut amorem abrumpat, quomodo non multo magis spirituales hæ incantationes malum istud superent, dummodo ab eo nos removere in animum inducamus? Quod si cum illis versemur, ac confabulemur, quæ hujusmodi tela in nos contorquent, ac de illis, tum loquamur, tum audiamus, morbum hoc pacto alimus. Quonam ergo modo ignem exstingui cupis, cum quotidie flammam accendas? Ac de consuetudine hæc mihi ad juvenes dicta sint. Nam quod ad viros attinet, eosque qui philosophari norunt, nihil perinde juvat, B ut Dei timor, gehennæ memoria, regni cælorum cupiditas. Hæc enim ad exstinguendum ignem sufficiunt. Ac præterea illud tecum reputa, id, quod cernis, nihil aliud esse, quam pituitam & sanguinem, ac corrupti alimenti succum. At lætus ac splendidus oris flos est, inquies. Sed terræ etiam floribus nihil lætius ac jucundius est: qui tamen etiam marcescunt, atque in putredinem abeunt. Quocirca ne hic quoque ad florem attende, sed interius animo transi, a pulcra illa cuti cogitationem avertens, explora quæ sub ea sita sint. Quandoquidem etiam hydropicorum C corpus nitet ac lucet, nec quidquam fœdi in superficie habet: sed tamen humoris illius, qui intus conditus est, cogitatione perculsi, hujusmodi homines osculari non sustinemus. At tener & versatilis est oculus, ac recte porrectum supercilium, & cæruleæ palpebræ, & suavis pupilla, & serenus aspectus? At rursum hoc vide, quod istud quoque nil aliud est, quam nervi, & venæ, atque arteriæ. Quin tu hunc ipsum pulcrum oculum, ægrum, senio affectum, mœrore afflictum, ira tumentem cogita, quam scilicet deformis sit, quam celeriter pereat, quam, citius etiam D pictura, evanescat. Ab his jam cura, ut ad veram pulcritudinem animum traducas. At, inquis, animæ pulcritudinem non cerno. At, si libuerit, cernes. Et sicut absentes formosos, licet oculis non cernas, mente admirari potes; eodem modo animæ pulcritudinem etiam sine oculis perspicere licet. Annon egregiam formam sæpe cogitatione formasti, eoque figmento nonnihil te affici sensisti? Effinge nunc quoque animæ pulcritudinem: atque hujusmodi formæ elegantia te oblecta. At, inquis, non cerno ea, quæ corpore vacant. Atqui ista animo magis intuemur, quam E corpora. Siquidem ob hanc quoque causam, & angelos, & archangelos admiramur, quamvis eos minime cernamus: probos item mores, animæque virtutem. Ac si probum hominem & moderatum videris, magis hunc admiraberis, quam elegantem illam faciem. Quod si injuria affectum videris, eamque patienter ferentem, hujusmodi hominem ama, etiamsi senio confectus sit. Nam hujusmodi animæ pulcritudo, in senectute quoque amatores multos habet, nec unquam marcescit, sed perpetuo floret. Igitur ut hanc quoque ipsi pulcritudinem adipiscamur, eos, qui hac pollent, captemus, atque ipsorum amatores simus. Sic enim nos quoque hanc pulcritu-

dinem consequuti, ad æterna bona pervenire poterimus. Quæ utinam nobis consequi detur, per gratiam & benignitatem, &c.

A αὐτοὶ δυνησόμεθα, ταύτην λαβόντες τὴν εὐμορφίαν, τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA VIII.

## ΟΜΙΛΙΑ η'.

Cap. iv. 1. *Ideo habentes hanc ministrationem, juxta quod misericordiam consequuti sumus, non deficimus, sed abdicavimus occulta dedecoris.*

Ἔχοντες οὖν τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν. ἀλλ' ἀπειπάμεθα τὰ
B κρυπτὰ τῆς αἰσχύνης.

1. QUONIAM magna quædam loquutus fuerat, ac seipsum & fideles omnes Moysi anteposuerat, atque tantam eorum, quæ dixerat, magnitudinem esse sentiebat, vide quo pacto rursus modestiam præ se ferat. Nam & propter pseudapostolos atque auditores sese efferre debebat, & rursum tumorem illum mitigare, non autem omnino tollere; nam hoc ludentis fuisset. Quocirca hoc alia via aggreditur, ostendens id omne non nostris meritis ac virtutibus, sed divina benignitate contigisse. Proinde ait, *Habentes igitur ministrationem hanc.* Neque enim quidquam amplius erogavimus, quam quod ministri exstitimus, beneficiisque a Deo datis administram operam præbuimus. Quo fit, ut nec largitionis, nec suppeditationis, sed ministerii vocabulo usus sit. Ac ne hoc quidem contentus addidit: *Juxta quod misericordiam consequuti sumus.* Nam hoc quoque ipsum, quod his ministravimus, a Dei misericordia & benignitate profectum est. Quamquam misericordiæ est, e malis exemisse: non autem tot insuper beneficiis affecisse. Sed hoc etiam habet Dei misericordia. *Non deficimus.* Hoc quoque ipsius humanitati acceptum referendum est. Nam illa verba: *Juxta quod misericordiam consequuti sumus*, existimare debes, tam ad ministerium referri, quam ad id, quod sequitur. *Non deficimus.* Ac velim animadvertas, quam seipsum deprimere studeat. Nam qui tot ac tantis, inquit, beneficiis ornatus sit, idque divina tantum misericordia & benignitate, non magni quidpiam fecit, si tales labores suscepit, si pericula adit, ac tentationes sustinet. Ideo non solum non concidimus animo, sed etiam gaudemus, ac verborum libertate utimur. Postquam enim dixit, *Non deficimus*, subnectit, *sed abdicavimus occulta dedecoris, non ambulantes in astutia, neque adulterantes verbum Dei.* Quid sibi volunt hæc, *occulta dedecoris?* Non, inquit, magna profitemur ac pollicemur, cum alia rebus ipsis ostendamus, quemadmodum illi; unde etiam dice-
2. Cor. 10. 7. bat: Quæ in faciem sunt, perspicitis; verum tales omnino sumus, quales cernimur, non fictum ac velut duplicem animum gerentes, nec ea dicentes atque agentes, quæ præ pudore ac rubore occultanda, & velut umbris quibusdam obvolvenda sint. Idque exponens, subjunxit, *Non ambulantes in astutia.* Nam quod illi laudi ducebant, hoc ipse fœdum ac ridiculum esse statuit. Quidnam autem est, *in astutia?* In ea existimatione illi

ΕΠΕΙΔΗ μεγάλα ἐφθέγξατο, καὶ Μωϋσέως ἑαυτὸν προὔθηκε, καὶ τοὺς πιστοὺς πάντας, αἰσθόμενος τῆς ὑπερβολῆς καὶ τοῦ μεγέθους τῶν εἰρημένων, ὅρα πῶς μετριάζει πάλιν. καὶ γὰρ ἐπαίρειν ἔδει διὰ τοὺς ψευδαποστόλους, καὶ τοὺς ἀκροατάς, καὶ πάλιν παραμυθεῖσθαι τὸν ὄγκον, οὐχὶ καθαιρεῖν· ἐπεὶ τοῦτο παίζοντος ἦν. διόπερ ἑτέρως αὐτὸ μεθοδεύει, τῷ δεικνύναι, ὅτι οὐκ ἐκ τῶν οἰκείων κατορθωμάτων γέγονεν, ἀλλ' ἐκ τῆς τοῦ
C θεοῦ φιλανθρωπίας τὸ πᾶν. διὸ καί φησιν, ἔχοντες οὖν τὴν διακονίαν ταύτην. οὐδὲν γὰρ πλέον ἡμεῖς εἰσηνέγκαμεν, ἀλλ' ἢ διάκονοι μόνον ἐγενόμεθα, καὶ τοῖς παρὰ τοῦ θεοῦ δοθεῖσιν ὑπηρετήσαμεν· διόπερ οὐκ εἶπε παροχήν, οὐδὲ χορηγίαν, ἀλλὰ διακονίαν. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, καθὼς ἠλεήθημεν. καὶ γὰρ τοῦτο αὐτό, φησι, τὸ διακονήσασθαι τούτοις, ἀπὸ ἐλέου καὶ φιλανθρωπίας. καίτοιγε ἐλέους ἐστὶ τὸ κακῶν ἀπαλλάξαι, οὐχὶ τὸ καὶ τοσαῦτα δοῦναι ἀγαθά. ἀλλ' ὁ τοῦ θεοῦ ἔλεος καὶ τοῦτο ἔχει. οὐκ ἐκκα-
D κοῦμεν. καὶ τοῦτο δὲ αὐτοῦ τῇ φιλανθρωπίᾳ λογιστέον. τὸ γάρ, καθὼς ἠλεήθημεν, καὶ ὑπὲρ τῆς διακονίας, καὶ ὑπὲρ τοῦ, οὐκ ἐκκακοῦμεν, εἰρῆσθαι νόμιζε. καὶ σκόπει πῶς σπουδάζει τὰ καθ' ἑαυτὸν καθαιρεῖν. τὸν γὰρ τοιούτων ἀξιωθέντα, φησί, καὶ τηλικούτων, καὶ ταῦτα ἀπὸ ἐλέου μόνον, καὶ φιλανθρωπίας, οὐδὲν μέγα τοιούτους ἐπιδείκνυσθαι πόνους, καὶ κινδυνεύειν καὶ πειρασμοὺς ὑπομένειν. διὰ τοῦτο οὐ μόνον οὐ καταπίπτομεν, ἀλλὰ καὶ χαίρομεν, καὶ παρρησιαζόμεθα. εἰπὼν γοῦν, οὐκ ἐκκακοῦμεν, ἐπήγαγεν· ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ
E δολοῦντες τὸν λόγον τοῦ θεοῦ. καὶ τί ἐστι, τὰ κρυπτὰ τῆς αἰσχύνης; οὐκ ἐπαγγελλόμεθα, φησι, καὶ ὑπισχνούμεθα μεγάλα, καὶ ἕτερα δὲ ἐπὶ τῶν ἔργων δείκνυμεν, καθάπερ ἐκεῖνοι· διὸ καὶ ἔλεγε, τὰ κατὰ πρόσωπον, βλέπετε· ἀλλὰ τοιοῦτοί ἐσμεν, οἷοι ὁρώμεθα, οὐχὶ διπλῆν τινὰ ἔχοντες, οὔτε τοιαῦτα λέγοντες καὶ ποιοῦντες ἃ κρύπτειν δεῖ, καὶ συσκιάζειν αἰσχυνομένους καὶ ἐρυθριῶντας. καὶ τοῦτο ἑρμηνεύων, ἐπήγαγε, μὴ περιπατοῦντες ἐν πανουργίᾳ. ὃ γὰρ ἐνόμιζον ἐγκώμιον εἶναι ἐκεῖνοι, τοῦτο αἰσχρὸν καὶ καταγέλαστον ἀποφαίνει. τί δέ ἐστιν, ἐν πανουργίᾳ; δόξαν

A εἶχον μὴ λαμβανόντων ἐκεῖνοι, ἐλάμβανον δὲ καὶ ἔκρυπτον. δόξαν εἶχον ἁγίων, καὶ ἀποστόλων δοκίμων, ἦσαν δὲ μυρίων γέμοντες κακῶν. ἀλλ' ἡμεῖς, φησὶ, τούτοις ἀπειπάμεθα, ταῦτα γὰρ καὶ κρυπτὰ αἰσχύνης καλεῖ, τοιοῦτοι ὄντες οἷοι φαινόμεθα, καὶ οὐδὲν ἔχοντες συνεσκιασμένον, καὶ οὐκ ἐν τῷ βίῳ μόνον τούτῳ, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κηρύγματι. τοῦτο γάρ ἐστιν. οὐδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ· ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας. οὐ τῷ προσώπῳ, καὶ τῇ ἐπιδείξει, ἀλλ' αὐτῇ τῇ τῶν πραγμάτων ἀποδείξει. συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν
B ἀνθρώπων. οὐ γὰρ πιστοῖς μόνον, ἀλλὰ καὶ ἀπίστοις ἐσμὲν καταδῆλοι, προκείμενοι πᾶσιν εἰς τὸ βασανίσαι τὰ ἡμέτερα, ὡς ἂν ἐθέλοιεν· καὶ ἀπὸ τούτου συνίσταμεν ἑαυτοὺς, οὐκ ἀπὸ τοῦ ὑποκρίνεσθαι, καὶ προσωπεῖον περιφέρειν φαιδρόν. λέγομεν οὖν μηδὲν λαμβάνειν, καὶ μάρτυρας ὑμᾶς καλοῦμεν· λέγομεν μηδὲν συνειδέναι ἑαυτοῖς πονηρὸν, καὶ τούτου πάλιν τὴν μαρτυρίαν παρ' ὑμῶν ἕλκομεν· οὐ καθάπερ ἐκεῖνοι, συσκιάζοντες τὰ καθ' ἑαυτοὺς, πολλοὺς ἀπατῶσιν. ἡμεῖς δὲ καὶ τὸν βίον ἡμῶν πᾶσιν εἰς μέσον προτίθεμεν, καὶ τὸ κήρυγμα ἀπογυμνοῦμεν, ὥστε πάντας
C αὐτὸ καταμανθάνειν. εἶτα ἐπειδὴ οἱ ἄπιστοι ἠγνόουν αὐτοῦ τὴν ἰσχὺν, ἐπήγαγεν, ὅτι οὐχ ἡμῶν τοῦτο ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀναισθησίας. διὸ καί φησιν· Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον· ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. ὅπερ καὶ ἔμπροσθεν εἶπεν, οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωὴν, τοῦτο καὶ ἐνταῦθά φησι.

Τί δέ ἐστιν, ὁ θεὸς τοῦ αἰῶνος τούτου; οἱ μὲν τὰ Μαρκίωνος νοσοῦντες, λέγουσι περὶ τοῦ δημιουργοῦ τοῦ
D δικαίου μόνον, καὶ οὐκ ἀγαθοῦ, ταῦτα εἰρῆσθαι. λέγουσι γὰρ εἶναί τινα θεὸν δίκαιον, καὶ οὐκ ἀγαθόν. Μανιχαῖοι δέ φασι τὸν διάβολον ἐνταῦθα λέγεσθαι, ἐκ τούτου δημιουργὸν τῆς κτίσεως ἕτερον ἐπεισαγαγεῖν παρὰ τὸν ὄντα βουλόμενοι, σφόδρα ἀνοήτως· οἶδε μὲν γὰρ πολλάκις ἡ γραφὴ θεὸν καλεῖν, οὐκ ἀπὸ τῆς ἀξίας τοῦ καλουμένου, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑποταττομένων· ὡς ὅταν τὸν μαμωνᾶν, κύριον λέγῃ, καὶ τὴν κοιλίαν θεόν. ἀλλ' οὐ παρὰ τοῦτο, οὔτε ἡ κοιλία θεὸς, οὔτε ὁ μαμωνᾶς κύριος, ἀλλ' ἐκείνων τῶν ὑποκατακλινόντων ἑαυτούς. ἡμεῖς δὲ ἐκεῖνό φαμεν, ὅτι οὔτε περὶ
E τοῦ διαβόλου τοῦτο εἴρηται, ἀλλὰ τοῦ τῶν ὅλων θεοῦ· καὶ οὕτως ἀναγνωστέον, ὅτι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ θεὸς τὰ νοήματα. ὁ γὰρ μέλλων, οὐκ ἔχει ἀπίστους, ἀλλ' ὁ παρὼν μόνος. εἰ δὲ καὶ ἑτέρως τις ἀναγινώσκει, οἷον, ὅτι ὁ θεὸς τοῦ αἰῶνος τούτου, οὐδὲ τοῦτο ἔχει τινὰ λαβήν. οὐ γὰρ τοῦτο δείκνυσιν αὐτὸν τούτου μόνον ὄντα τοῦ αἰῶνος θεόν. καὶ γὰρ ὁ θεὸς οὐρανοῦ λέγεται, ἀλλ' οὐκ ἔστιν οὐρανοῦ μόνον θεός. καὶ ὁ θεὸς τῆς παρούσης ἡμέρας λέγομεν· καὶ οὐκ εἰς ἐκείνην μόνην συγκλείοντες αὐτοῦ τὴν ἀρχὴν, τοῦτό φαμεν. καὶ ὁ θεὸς δὲ

erant, quasi ab accipiendis muneribus abstinerent; cum tamen occulte acciperent: sanctorum ac proborum apostolorum existimatione florebant; cum interim innumeris vitiis scaterent. At nos, inquit, hæc abjecimus; nam hæc sunt, quæ occulta dedecoris vocat, quippe qui tales simus, quales videmur: nec quicquam, non modo in vita nostra & moribus, sed nec prædicatione, tectum atque adumbratum habemus. Hoc enim significat, quod ait: *Neque adulterantes verbum Dei, sed in manifestatione veritatis;* hoc est, non vultu & ostentatione, sed ipso rerum documento. *Commendantes nosipsos ad omnem conscientiam hominum.* Non enim fidelibus tantum, sed & infidelibus, perspicui sumus, ac quibusvis expositi, ut res nostras explorent: atque hinc nosipsos commendamus, non a fuco ac simulatione, aut quod splendidam larvam circumferamus. Dicimus itaque nos nullum munus accipere: atque hujus rei vos testes vocamus. Dicimus nos nullius flagitii nobis conscios esse: atque hujus rei rursus a vobis testimonium petimus: non ut illi solent, qui vitia sua obtegentes multos decipiunt. Nam nos & vitam nostram cunctis in medium proponimus: & doctrinam ita patefacimus, ut quivis eam intelligere possint. Mox autem, quia infideles vim hujusce doctrinæ minime perspectam habebant, subjunxit, hoc non sibi, sed eorum stupori assignandum esse, dicens: 3. *Quod si etiam opertum est evangelium nostrum, in iis qui pereunt opertum est,* 4. *in quibus Deus hujus sæculi excæcavit mentes infidelium.* Quod hic dicit, eamdem vim habet, quam ea, quæ prius dixit: *Aliis odor mortis sumus in mortem, aliis odor vitæ in vitam.* 2. Cor. 2. 16.

2. Quid sibi vult illud, *Deus hujus sæculi?* Qui Marcionis morbo laborant, de rerum opifice, justo quidem illo, sed non item bono, hæc dicta esse contendunt. Aiunt enim Deum quemdam justum esse, qui non sit bonus. Manichæi autem his verbis diabolum significari asserunt: hinc nimirum alium rerum conditarum effectorem, præter eum qui vere est, perquam stolide inducere cupientes. Habet enim hoc familiare scriptura, ut Deum, non ex ipsius dignitate, sed ex eorum, qui ipsius imperio subsunt, imbecillitate nuncupet: ut cum Mammonam dominum dicit, & ventrem Deum. Neque enim propterea, aut venter Deus est, aut Mammona dominus: sed eorum demum, qui sese ipsis subjecerint. At vero nos illud dicimus, non de diabolo quidem hæc verba habita esse, sed de universorum Deo: sicque legendum esse: *Infidelium hujus sæculi mentes Deus excæcavit.* Nam futurum ævum infideles non habiturum est, sed hoc dumtaxat. Si vero quis aliter legat, nempe *Deus hujus sæculi*, ne hinc quidem ulla calumniæ ansa porrigitur. Neque enim hinc ostenditur, eum hujus tantum sæculi Deum esse. Nam & Deus cæli dicitur: nec tamen cæli tantum Deus est. Et, Deus præsentis diei dicimus: nec tamen hæc ita dicimus, quasi ipsius imperium unius diei angustiis circumscribamus. Quin Deus quo-

Marcionistarum & Manichæorum errores.

que Abrahæ dicitur, & Deus Isaac, & Deus Jacob: cum tamen non eorum tantum sit Deus. Ac pleraque etiam alia hujusmodi testimonia in scripturis inveniri possunt. Quonam porro modo excæcavit? Non sane quod in hoc ulla ipsius actio fuerit, absit: sed quia id passus est, ac permisit. Nam scripturæ mos

Rom. 1. 28. est ita loqui, ut cum ait: Tradidit eos Deus in reprobum sensum. Quoniam enim illi prius fidem abrogarunt, seque indignos reddiderunt qui mysteria viderent, illos ipse dereliquit. Quid enim hic faciendum erat? An invitos trahere, suaque arcana iis, qui ea cernere recusabant, aperire? At magis contempsissent illi, nec videre voluissent. Unde etiam mox subjunxit: *Ut non fulgeat eis illuminatio evangelii gloriæ Christi.* Non ad hoc ut Deo non credant, sed ut quæ sint interna mysteria infidelis mens minime perspiciat: quod etiam ille nobis præcepit, ut ne margaritas

Matt. 7. 6. ante porcos conjiciamus. Etenim si ea infidelibus detexisset, eorum morbus magis incruduisset: nam si quis oculis laborantem cogat solares radios respicere, illius infirmitatem magis auget. Ideo medici eos in tenebris abditos tenent, ne morbus ingravescat. Sic ergo hic etiam intelligendum est, nempe quod isti vitio suo increduli extiterunt. Increduli autem effecti, evangelii arcana minime jam perspexerunt, Deo nimirum radios suos illis deinceps subducente. Id quod etiam

Marc. 4. 12. discipulis dicebat: Propterea in parabolis loquor ipsis, quia audientes non audiunt. Verum ut quod dico exemplo dilucidius fiat, finge Gentilem esse quemdam, qui res nostras pro fabulis habeat. Hic igitur plusne ex eo commodi capiet, si ingressus fuerit, ac mysteria conspexerit, quam si foris maneat? Ideo ait: *Ut non fulgeat illis illuminatio;* in Mosis videlicet historia adhuc hærens. Nam quod illius ætate Judæis accidit hoc evangelii tempore, omnibus infidelibus usu venit. Quidnam autem sit, quod ait opertum illis fuisse, ac minime declaratum, audi quid ipse dicat: *Ut non fulgeat eis illuminatio evangelii gloriæ Christi, qui est imago Dei.* Nempe quod orbis salus crux est, ipsiusque gloria quod is qui crucifixus est cum multo splendore venturus sit atque alia omnia, tam præsentia, quam futura, tam in aspectum cadentia, quam occulta & ineffabilis rerum quæ exspectantur adventus. Unde etiam αὐγάσαι dixit, hoc est irradiare: ne tu totum in hac vita quæras. Est enim velut radius quispiam Spiritus, id quod nunc datur. Id quod etiam superius indicans, odoris, ac rursum pignoris vocabulo usus est, declarans multo majorem partem in futuro ævo exspectandam esse. Sed tamen hæc omnia ipsis occultata sunt: & ob id occultata, quia prius ipsi fidem Deo abrogarunt. Postea, ut ostendat, non Christi modo, sed etiam Patris gloriam iis incognitam esse, qui eam non viderunt, adjecit, *qui est imago Dei.* Cave enim in Christo solo consistas. Ut enim, per eum, Patrem cernis, ita, si ipsius gloriam ignores, ne Patris quidem gloriam cognitam habebis. 5. *Non enim nos ipsos prædicamus: sed Christum Jesum Dominum*

A Ἀβραὰμ λέγεται, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἰακώβ· καὶ οὐκ ἐκείνων μόνον ἐστὶ θεός. καὶ πολλὰς ἄν τις δὲ ἑτέρας τοιαύτας ἐν ταῖς γραφαῖς εὕροι μαρτυρίας. πῶς οὖν ἐτύφλωσεν; οὐκ ἐνεργήσας εἰς τοῦτο· ἄπαγε· ἀλλ' ἀφεὶς καὶ συγχωρήσας. καὶ γὰρ ἔθος τῇ γραφῇ οὕτω λέγειν· ὡς ὅταν λέγῃ, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν. ἐπειδὴ γὰρ αὐτοὶ ἠπίστησαν πρότεροι, καὶ ἀναξίους ἑαυτοὺς κατεσκεύασαν τοῦ ἰδεῖν τὰ μυστήρια, καὶ αὐτὸς λοιπὸν εἴασεν. ἀλλὰ τί ἔδει ποιῆσαι; πρὸς βίαν ἕλκειν, καὶ ἐκκαλύπτειν μὴ B βουλομένοις ἰδεῖν; ἀλλὰ μᾶλλον ἂν κατεφρόνησαν, καὶ οὐδ' ἂν εἶδον. διὸ καὶ ἐπήγαγεν. εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. οὐ πρὸς τὸ ἀπιστῆσαι τῷ θεῷ, ἀλλὰ πρὸς τὸ τὴν ἀπιστίαν μὴ ἰδεῖν τίνα ἐστὶ τὰ ἔνδον. ὃ καὶ ἡμῖν ἐπέταξε, μὴ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων κελεύσας. εἰ γὰρ καὶ ἀπιστοῦσιν ἐξεκάλυψε, μᾶλλον ἂν ἡ νόσος αὐτῶν ἐπετείνετο. καὶ γὰρ εἰ ὀφθαλμιῶντά τις ἀναγκάσειε πρὸς τὰς ἀκτῖνας ἰδεῖν, ἐπιτείνει μᾶλλον αὐτοῦ τὴν ἀσθένειαν. διὰ τοῦτο καὶ ἐν σκότει κατακλείουσιν αὐτοὺς ἰατρῶν παῖδες, ὥστε μὴ ἐπιτεῖναι C τὸ νόσημα. οὕτω τοίνυν καὶ ἐνταῦθα νοητέον, ὅτι οὗτοι μὲν γεγόνασιν ἄπιστοι δι' ἑαυτούς· γενόμενοι δὲ ἄπιστοι, οὐκέτι ἑώρων τὰ ἀπόρρητα τοῦ εὐαγγελίου, τοῦ θεοῦ λοιπὸν ἀποκλείοντος τὰς ἀκτῖνας αὐτοῖς. ὅπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν, ὅτι διὰ τοῦτο ἐν παροιμίαις λαλῶ αὐτοῖς, ὅτι ἀκούοντες οὐκ ἀκούουσιν. ἵνα δὲ καὶ ἐπὶ παραδείγματος σαφέστερον ὃ λέγω γένηται, ὑπόθου τινὰ Ἕλληνα εἶναι μύθους τὰ ἡμέτερα ἡγούμενον. οὗτος οὖν πῶς ὠφεληθήσεται μᾶλλον εἰσελθών, καὶ ἰδὼν τὰ μυστήρια, ἢ ἔξω μένων; διὰ τοῦτό φησιν, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμόν, ἐπιμένων ἔτι τῇ ἱστορίᾳ D Μωϋσέως. ὅπερ γὰρ περὶ Ἰουδαίους γέγονεν ἐπ' ἐκείνου, τοῦτο ἐπὶ πάντων τῶν ἀπίστων γίνεται ἐπὶ τοῦ εὐαγγελίου. καὶ τί ἐστι τὸ συνεσκιασμένον, καὶ ὅπερ αὐτοῖς οὐκ ἔστι πεφωτισμένον, ἄκουσον αὐτοῦ λέγοντος· εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. δόξα, ὅτι ὁ σταυρὸς τῆς οἰκουμένης σωτηρία, καὶ αὐτοῦ δόξα, ὅτι αὐτός ἐστιν ὁ σταυρωθεὶς μετὰ πολλῆς περιφανείας μέλλει παραγίνεσθαι, τὰ ἄλλα πάντα, τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ οὐχ ὁρώμενα, ἡ ἀπόρρητος τῶν προσδοκω- E μένων περιφάνεια. διὸ καὶ αὐγάσαι εἶπεν, ἵνα μὴ τὸ ὅλον ἐνταῦθα ζητῇς· ὥσπερ γὰρ αὐγή τίς ἐστι μόνον τοῦ πνεύματος ἡ δεδομένη. τοῦτο γοῦν καὶ ἀνωτέρω δηλῶν, ὀσμὴν εἶπε, καὶ πάλιν ἀρραβῶνα, δεικνὺς ὅτι τὸ πλέον ἐκεῖ μένει. ἀλλ' ὅμως ταῦτα ἅπαντα κέκρυπται ἀπ' αὐτῶν· κέκρυπται δέ, ἐπειδὴ ἠπίστησαν πρότεροι. εἶτα δεικνύς, ὅτι οὐχὶ τὴν τοῦ Χριστοῦ δόξαν ἀγνοοῦσι μόνον, ἀλλὰ καὶ τὴν τοῦ πατρός, οἱ ταύτην οὐκ ἰδόντες, ἐπήγαγεν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. μὴ γὰρ μέχρι τοῦ Χριστοῦ στῇς μόνον. ὥσπερ γὰρ διὰ τούτου τὸν πατέρα ὁρᾷς· οὕτως ἀγνοήσας τὴν τούτου δόξαν, οὐδὲ τὴν ἐκείνου εἴσῃ. οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν

κύριον· ἑαυτοὺς δὲ, δούλους ὑμῶν διὰ Ἰησοῦν.

Καὶ ποία αὕτη ἀκολουθία; τί τοῦτο πρὸς τὰ εἰρημένα ἔχει κοινόν; ἢ ἐκείνους αἰνίττεται, ὡς ἐπαίροντας ἑαυτοὺς, καὶ πείθοντας τοὺς μαθητὰς ἀπ' αὐτῶν ἑαυτοὺς ὀνομάζειν, ὅπερ ἐν τῇ προτέρᾳ ἔλεγεν, ἐγώ εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ· ἢ ἕτερόν τι βαρύτατον. ποῖον δὴ τοῦτο; ἐπειδὴ σφόδρα αὐτοὺς ἐπολέμουν, καὶ ἐπεβούλευον αὐτοῖς πάντοθεν. μὴ γὰρ ἡμῖν μάχεσθε, φησὶ, καὶ πολεμεῖτε; [a] ἢ τῷ δι' ἡμῶν κηρυττομένῳ; οὐ γὰρ ἑαυτοὺς κηρύττομεν· ἐγὼ δοῦλός εἰμι, ἐγὼ διάκονός εἰμι καὶ τῶν δεχομένων τὸ κήρυγμα, ἑτέρῳ πάντα πραγματευόμενος, καὶ ὑπὲρ τῆς ἐκείνου δόξης πᾶν ὁτιοῦν ποιῶν. ὥστε ἐμοὶ πολεμῶν, τὰ ἐκείνου καταβάλλεις. τοσοῦτον γὰρ ἀπέχω εἰς ἐμαυτόν τι περιστῆσαι τῶν τοῦ εὐαγγελίου, ὅτι καὶ ὑμῶν οὐ παραιτήσομαι εἶναι δοῦλος διὰ τὸν Χριστὸν, ἐπειδὴ ἐκείνῳ ἔδοξεν οὕτω τιμῆσαι ὑμᾶς, ἐπειδὴ οὕτως ὑμᾶς ἐφίλησε, καὶ πάντα ὑπὲρ ὑμῶν ἔπραξε. διὸ καὶ λέγει, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Χριστόν. εἶδες ψυχὴν δόξης καθαράν; οὐ γὰρ δὴ μόνον φησὶ, τῶν δεσποτικῶν οὐδὲν νοσφιζόμεθα, ἀλλὰ καὶ ὑμῖν ἑαυτοὺς ὑποτασσόμεθα δι' ἐκεῖνον. ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν. εἶδες πῶς πάλιν τοῖς ζητοῦσι τὴν δόξαν ἐκείνην ἰδεῖν τὴν ὑπερβάλλουσαν, τὴν Μωϋσέως λέγω, δείκνυσι μετὰ προσθήκης ἀστράπτουσαν; καθάπερ εἰς τὸ πρόσωπον Μωϋσέως, οὕτως εἰς τὰς ὑμετέρας καρδίας ἔλαμψε, φησί. καὶ πρότερον ἀναμιμνήσκει τῶν ἐν ἀρχῇ τῆς κτίσεως γενομένων, αἰσθητοῦ φωτὸς, καὶ σκότους αἰσθητοῦ, δεικνὺς ὅτι αὕτη μείζων ἡ δημιουργία. καὶ ποῦ εἶπεν, ἐκ σκότους φῶς λάμψαι; ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τῆς κτίσεως. σκότος γὰρ ἦν, φησὶν, ἐπάνω τῆς ἀβύσσου. καὶ εἶπεν ὁ θεὸς, γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. ἀλλὰ τότε μὲν εἶπε, γενηθήτω, καὶ ἐγένετο· νῦν δὲ οὐκ εἶπεν, ἀλλ' αὐτὸς ἡμῖν γέγονε φῶς. οὐ γὰρ εἶπεν, * ὅ,τι καὶ νῦν εἶπεν, ἀλλ' αὐτὸς ἔλαμψε. διὰ τοῦτο οὐδὲ αἰσθητὰ πράγματα ὁρῶμεν τοῦ φωτὸς λάμποντος τούτου, ἀλλ' αὐτὸν τὸν θεὸν διὰ τοῦ Χριστοῦ. ὁρᾷς τὸ ἀπαράλλακτον τῆς τριάδος; περὶ μὲν γὰρ τοῦ πνεύματός φησιν· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. περὶ δὲ τοῦ υἱοῦ, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. περὶ δὲ τοῦ πατρός· ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Χριστοῦ. ὥσπερ γὰρ εἰπὼν, τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ἐπήγαγεν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ, δεικνὺς ὅτι καὶ τῆς ἐκείνου δόξης ἀπεστερήθησαν· οὕτως εἰπὼν, τῆς γνώσεως τοῦ θεοῦ, ἐπήγαγεν, ἐν προσώπῳ Χριστοῦ, δεικνὺς ὅτι διὰ τούτου τὸν πατέρα γινώσκομεν, ὥσπερ οὖν καὶ διὰ τοῦ πνεύματος αὐτῷ προσαγόμεθα.

A *nostrum, nos autem servos vestros per Jesum.*

3. Quinam hic sermonis tenor est? Quid hoc, cum iis, quæ ante dicta sunt, commune habet? Vel eos notat, ut insolentius sese efferentes, ut ab eorum nominibus sibi discipuli nomen imponant, sicut in superiore epistola dicebat: Ego sum Pauli, ego autem Apollo: aut aliud quiddam gravissimum significat. Quidnam hoc? Quoniam acerrimum in ipsos bellum illi gerebant, atque insidias undique ipsis struebant. Num, inquit, adversum nos pugnatis, annon adversus eum qui a nobis prædicatur? Neque enim nosipsos prædicamus. Ego servus sum, ego eorum, B qui prædicationem excipiunt, minister, operam omnem alteri navans, atque ipsius gloriæ causa quidvis faciens. Ita, dum mihi bellum infers, ea, quæ illius sunt, dejicis. Tantum enim abest, ut ex evangelico munere quidquam mihi arrogem, ut ne servus quidem vester esse propter Christum recusaturus sim, quandoquidem ipsi visum est tanto in precio vos habere, tantoque amore vos complecti, ac salutis vestræ causa quidvis agere. Unde etiam ait: *Nos autem servos vestros propter Christum.* Viden' animum ab omni gloriæ studio purum? Tantum abest, C inquit, ut eorum, quæ Domini sunt, quidquam usurpemus, ut etiam nosipsos vobis propter eum subjiciamus: 6. *Quoniam Deus, qui dixit de tenebris lumen splendescere, ipse illuxit in cordibus vestris.* En quomodo rursus iis, qui eximiam illam gloriam, Moysis videlicet, videre cupiebant, ostendit etiam cum additamento fulgentem. Sicut in vultum Mosis, inquit, ita in corda vestra effulsit. Et quidem prius ea, quæ in rerum conditarum initio exstiterunt, in memoriam revocat, lucem nimirum in sensum cadentem, & tenebras; ostendens hoc opificium illo præstantius esse. Verum ubinam dixit, D *De tenebris lucem splendescere?* In principio, ac rerum conditarum primordiis. Tenebræ enim, inquit, erant super faciem abyssi. Et dixit Deus, Fiat lux, & facta est lux. Sed tunc quidem dixit, fiat, & factum est; nunc autem non dixit, sed ipse nobis lux factus est. Quocirca, nec res sensiles, hac luce affulgente intuemur, sed Deum ipsum per Christum. Vides-ne quo pacto nihil in Trinitate sit diversum? Nam de Spiritu dicit: *Nos autem omnes, revelata facie gloriam Domini speculantes, in eamdem imaginem transformamur a gloria in gloriam, tamquam a Domino Spiritu.* De Filio: *Ut non fulgeat illis il-* E *luminatio evangelii gloriæ Christi, qui est imago Dei.* De Patre denique: *Qui dixit de tenebris lucem splendescere, ipse illuxit in cordibus vestris ad illuminationem scientiæ claritatis Dei in facie Christi.* Quemadmodum enim cum dixisset, *Evangelii gloriæ Christi*, subjecit, *qui est imago Dei*, his verbis indicans eos, illius quoque gloria orbatos esse: ita cum dixisset, *scientiæ* Dei, adjecit, *in facie Christi*, ut ostendat nos per Christum ad Patris cognitionem pervenire, ut etiam per Spiritum ad eum adducimur. 7. *Habemus*

1. Cor. 1. 12.

Gen. 1.

2. Cor. 3. 18.

a ἢ τῷ. Sic legendum monet Savilius & sic legerat interpres Latinus. In editis ἢ deest.

*autem istum thesaurum in vasis fictilibus: ut sublimitas sit virtutis Dei, & non ex nobis.* Quoniam enim de arcana illa gloria multa & ampla verba fecerat, ne quis diceret: Quî fit igitur, ut tantam gloriam consequuti, in mortali corpore maneamus? hoc ipsum, inquit, est summopere mirandum, ac luculentissimum divinæ potentiæ argumentum, quod fictile vasculum tantum splendorem ferre, ac tantum thesaurum tueri potuerit. Cujus etiam rei admiratione ipse commotus dicebat: *Ut sublimitas sit virtutis Dei, & non ex nobis;* his verbis eos rursus subindicans, qui in seipsis gloriabantur. Nam & donorum magnitudo, & eorum, qui his affecti sunt, imbecillitas, vim Dei demonstrant, non modo quia magna largitus est, sed quia parvis & abjectis. Fictile quippe dixit, ut humanæ naturæ fragilitatem significaret, carnisque nostræ imbecillitatem conspicuam redderet. Testa namque nihilo melius illa se habet, adeo offensionibus patet, ac morte, morbis, cæli intemperiis, atque innumeris aliis malis facile dissolvitur. Hæc porro dicebat, tum ut eorum arrogantiam comprimeret, tum ut nihil rerum nostrarum humanum esse demonstraret.

4. Nam tum demum Dei vis maxime elucet, cum per viles & abjectos ingentes res patrat. Ac proinde alio etiam loco aiebat: *Virtus mea in infirmitate perficitur.* (2. Cor. 12. 9.) Qui in veteri quoque Testamento per culices & muscas totos barbarorum exercitus in fugam vertebat. Ideo erucam magnam vim suam appellabat: & olim linguas dumtaxat confundendo, ingentem illam turrim Babylonicam delevit. In bellis insuper, nunc per trecentos viros infinitam hostium manum profligabat, nunc tubarum clangore urbes evertebat: ac postea per exiguum ac vilem adolescentem Davidem universam barbarorum aciem in fugam agebat. Eodem itaque modo hic quoque missis solum duodecim viris de orbe victoriam adeptus est: idque etiam, cum ipsi infesta omnia haberent, ac bello ab omnibus vexarentur. Dei ergo potentiam admiremur & adoremus. Sciscitemur ex Judæis, sciscitemur ex Gentilibus, quisnam universo terrarum orbi persuaserit, ut a patriis institutis abscederet, atque ad alteram vivendi rationem sese conferret? piscator, an tentoriorum effector? publicanus, an indoctus ac literarum expers? Quam autem hoc rationem haberet, nisi vis divina fuisset, quæ per illos omnia conficeret? Nam quid dicentes illi, persuadebant? (Act. 2.) Baptizemini in nomine crucifixi. Cujus tandem? quem nunquam viderant. Et tamen cum hæc dicerent ac prædicarent, auditoribus persuadebant, eos, qui vaticinabantur, atque a majoribus traditi ipsis erant; Deos non esse. Christus vero clavis affixus omnes attrahebat. Atqui, quod in crucem sublatus, ac sepultus fuisset, apud omnes constabat: quod autem resurrexisset, pauci omnino viderant.

a Alius legit τὸ εὔφθαρτον.

A ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. ἐπειδὴ γὰρ πολλὰ καὶ μεγάλα εἶπε περὶ τῆς ἀπορρήτου δόξης, ἵνα μή τις λέγῃ, καὶ πῶς τοσαύτης δόξης ἀπολαύοντες μένομεν ἐν θνητῷ σώματι; φησὶν, ὅτι τοῦτο μὲν οὖν αὐτὸ μάλιστά ἐστι τὸ θαυμαστὸν, καὶ δεῖγμα μέγιστον τῆς τοῦ θεοῦ δυνάμεως, ὅτι σκεῦος ὀστράκινον τοσαύτην ἠδυνήθη λαμπρότητα ἐνεγκεῖν, καὶ τηλικοῦτον φυλάξαι θησαυρόν. ὅπερ οὖν καὶ τὸ θαυμάζων ἔλεγεν, ἵνα ἡ ὑπερβολὴ τῆς
B δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν· πάλιν ἐκείνους αἰνιττόμενος τοὺς καυχωμένους ἐφ᾽ ἑαυτοῖς. τό τε γὰρ μέγεθος τῶν δοθέντων, τό τε ἀσθενὲς τῶν δεξαμένων δείκνυσι τὴν ἰσχὺν, οὐχ ὅτι μεγάλα ἐχαρίσατο μόνον, ἀλλ᾽ ὅτι καὶ μικροῖς οὖσι. τὸ γὰρ ὀστράκινον, [a] τὸ εὔθραυστον τῆς θνητῆς φύσεως αἰνιττόμενος ἔλεγε, καὶ τὸ τῆς σαρκὸς ἡμῶν ἀσθενὲς ἐμφαίνων. ὀστράκου γὰρ ἄμεινον οὐδὲν αὕτη διάκειται, οὕτως ἐστὶν εὐεπηρέαστος, καὶ θανάτῳ, καὶ νόσοις, καὶ ἀέρων ἀνωμαλίαις, καὶ ἑτέροις μυρίοις διαλυομένη ῥᾳδίως. ταῦτα δὲ ἔλεγε, καὶ καταστέλλων ἐκείνων τὸ φύσημα, καὶ πᾶσι δεικνὺς ὅτι οὐδὲν ἀνθρώπινον τῶν καθ᾽ ἡμᾶς.

C Καὶ γὰρ τότε μάλιστα διαφαίνεται ἡ τοῦ θεοῦ δύναμις, ὅταν δι᾽ εὐτελῶν ἐνεργῇ μεγάλα. διὸ καὶ ἀλλαχοῦ ἔλεγεν, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. καὶ ἐν τῇ παλαιᾷ δὲ, διὰ κωνώπων καὶ μυιῶν ὁλόκληρα στρατόπεδα βαρβάρων ἐτροποῦτο. διὸ καὶ μεγάλην δύναμιν αὐτοῦ τὴν κάμπην ἐκάλει· καὶ ἐν ἀρχῇ γλώττας συγχέων μόνον, τὸν μέγαν πύργον ἐκεῖνον τὸν ἐν Βαβυλῶνι κατέλυε. καὶ ἐν τοῖς πολέμοις δὲ, νῦν μὲν διὰ τριακοσίων ἄπειρα στρατόπεδα ἤλασε, νῦν δὲ διὰ σαλπίγγων πόλεις καθεῖλε· μετὰ δὲ ταῦτα διὰ παιδίου μικροῦ καὶ εὐτε-
D λοῦς τοῦ Δαυὶδ, ἅπασαν τῶν βαρβάρων τὴν παράταξιν ἐτροπώσατο. οὕτω δὴ καὶ ἐνταῦθα δώδεκα μόνους ἀποστείλας, τῆς οἰκουμένης περιεγένετο, δώδεκα, καὶ τούτους ἐλαυνομένους, πολεμουμένους. ἐκπλαγῶμεν οὖν τοῦ θεοῦ τὴν δύναμιν, θαυμάσωμεν, προσκυνήσωμεν. ἐρωτήσωμεν Ἰουδαίους, ἐρωτήσωμεν Ἕλληνας, τίς ἔπεισε τὴν οἰκουμένην ἅπασαν ἀποστῆναι τῶν πατρίων ἐθῶν, καὶ πρὸς ἑτέραν μεταταξάσθαι πολιτείαν; ὁ ἁλιεὺς, ἢ ὁ σκηνοποιός; ὁ τελώνης, ἢ ὁ ἀγράμματος καὶ ἰδιώτης; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, εἰ μὴ θεία
E δύναμις ἦν ἡ πάντα κατορθοῦσα δι᾽ ἐκείνων; τί δὲ καὶ λέγοντες ἔπειθον ἐκεῖνοι; βαπτίσθητε ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος. ποίου; ὃν οὐκ εἶδον, οὐδὲ ἐθεάσαντο. ἀλλ᾽ ὅμως ταῦτα λέγοντες καὶ κηρύττοντες, ἔπειθον, ὅτι οἱ μὲν μαντευόμενοι, καὶ ἐκ προγόνων αὐτοῖς παραδοθέντες, οὐκ εἰσὶ θεοί· ὁ δὲ προσηλωθεὶς σταυρῷ Χριστὸς, πάντας ἐφείλκετο. καίτοιγε ὅτι μὲν ἐσταυρώθη καὶ ἐτάφη, παντί που δῆλον ἦν· ὅτι δὲ ἀνέστη, οὐδεὶς πλὴν ὀλίγων εἶδεν.

ἀλλ' ὅμως καὶ τοῦτο ἔπεισαν τοὺς οὐχ ἑωρακότας· καὶ οὐχ ὅτι ἀνέστη μόνον, ἀλλ' ὅτι καὶ εἰς οὐρανοὺς ἀνῆλθε, καὶ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. πόθεν οὖν τὸ πιθανὸν τοῖς λόγοις τούτοις, εἰπέ μοι; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως. καὶ γὰρ πρῶτον αὐτὴ ἡ καινοτομία πᾶσι προσίστατο. ὅταν τε καὶ τοιαῦτά τις καινοτομῇ, χαλεπώτερον τὸ πρᾶγμα γίνεται· ὅταν ἀναμοχλεύῃ παλαιᾶς συνηθείας θεμέλια, ὅταν ἐκ βάθρων ἀνασπᾷ νόμους. πρὸς δὲ τούτοις, οὐδὲ οἱ κήρυκες ἀξιόπιστοι εἶναι ἐδόκουν, ἀλλὰ καὶ ἔθνος παρὰ πᾶσι μεμισημένον, καὶ δειλοὶ, καὶ ἀμαθεῖς. πόθεν οὖν περιεγένοντο τῆς οἰκουμένης; πόθεν ὑμᾶς καὶ τοὺς ὑμετέρους προγόνους τοὺς δοκοῦντας φιλοσοφεῖν, μετὰ τῶν θεῶν αὐτῶν ἐξέβαλον; οὐκ εὔδηλον ὅτι ἀπὸ τοῦ τὸν θεὸν ἔχειν μεθ' ἑαυτῶν; οὐδὲ γὰρ ἔνι ταῦτα ἀνθρωπίνης δυνάμεως κατορθώματα, ἀλλὰ θείας τινὸς καὶ ἀπορρήτου. οὐχί, φησιν, ἀλλὰ γοητικῆς. οὐκοῦν αὐξηθῆναι ἔδει τὴν τῶν δαιμόνων ἀρχὴν, καὶ ἐπιταθῆναι τὴν τῶν εἰδώλων θεραπείαν. πῶς οὖν καθῄρηται, καὶ ἠφάνισται, καὶ ἀπεναντίας ἐκείνοις τὰ ἡμέτερα; ὥστε κἀντεῦθεν δῆλον, ὅτι τοῦ θεοῦ ψῆφος ἦν τὰ γινόμενα· οὐκ ἀπὸ τοῦ κηρύγματος μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πολιτείας αὐτῆς. πότε γὰρ παρθενία τοσαύτη πανταχοῦ τῆς γῆς ἐφυτεύθη; πότε χρημάτων ὑπεροψία, καὶ ζωῆς, καὶ τῶν ἄλλων ἁπάντων; οἱ γὰρ μοχθηροὶ, καὶ γόητες, οὐδὲν τοιοῦτον ἀνύσαιεν, ἀλλὰ τἀναντία ἅπαντα. οὗτοι δὲ ἀγγέλων ἡμῖν εἰσηγήσαντο πολιτείαν· οὐκ εἰσηγήσαντο δὲ μόνον, ἀλλὰ καὶ κατώρθωσαν, ἐν τῇ ἡμετέρᾳ, ἐν τῇ τῶν βαρβάρων, ἐν αὐταῖς τῆς γῆς ταῖς ἐσχατιαῖς. ὅθεν δῆλον ὅτι πάντα ἡ τοῦ Χριστοῦ πανταχοῦ δύναμις ἤνυσεν, ἡ πανταχοῦ λάμπουσα, καὶ ἀστραπῆς ἁπάσης ὀξύτερον τὰς τῶν ἀνθρώπων καταυγάζουσα διανοίας. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, καὶ τῆς τῶν μελλόντων ὑποσχέσεως τὰ γεγενημένα λαβόντες ἀπόδειξιν ἐναργῆ, προσκυνήσατε μεθ' ἡμῶν τὴν ἄμαχον τοῦ σταυρωθέντος ἰσχύν· ἵνα καὶ τὰς ἀφορήτους φύγητε κολάσεις, καὶ τῆς αἰωνίου βασιλείας ἐπιτύχητε· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

A Nihilo secius tamen hoc ipsum iis, qui non viderant, persuaserunt: nec id solum, sed etiam, quod in cælos ascendisset, atque ad judicium de vivis ac mortuis ferendum venturus esset. Unde igitur, quæso, persuadendi vis in his sermonibus? Non aliunde, quam a Dei potentia. Primum enim novitas ipsa omnium animos offendebat. Cum autem in hujusmodi rebus quispiam innovat, tunc gravior res efficitur, ut cum priscorum rituum fundamenta effringit, ac leges radicitus evellit. Huc accedit, quod precones non fide digni viderentur. Nam & ex ea natione erant, quæ omnibus odiosa esset; & ipsi timidi ac B doctrinæ expertes erant. Unde igitur orbem subegerunt? Unde vos & majores vestros, qui philosophi videbantur, atque deos ipsos ejecerunt? Annon liquet illos Deum secum habuisse? Neque enim tam præclara facinora in humanam potentiam cadunt, sed in divinam quamdam & ineffabilem. Minime vero, inquiunt isti: sed præstigiis usi sunt. Ergo dæmonum imperium augeri oportebat, atque idolorum cultum amplificari. Quî igitur factum est, ut ea deleta atque exstincta sint, & ex contrario nostra efflorescant? Quare hinc quoque liquet, Dei calculo hæc contigisse: neque a prædicatione tantum, sed ab C ipsa quoque vitæ ratione. Quando enim tanta virginitas passim toto orbe consita est? Quando par opum, vitæ, atque aliarum omnium rerum contemtus? Nam flagitiosi, ac præstigiatores, nihil ejusmodi effecerint: sed contraria omnia. At hi angelicam vitæ rationem nobis, & in nostra, & in barbara regione, atque in extremis terræ recessibus non modo induxerunt, sed etiam perfecerunt. Unde perspicuum est, Christi vim fuisse, quæ hoc totum ubique fecerit, vim, inquam, illam ubique lucentem, ac fulgu- D re quovis celerius hominum mentes illustrantem. Hæc igitur omnia cogitantes, atque apertum promissionis futurorum bonorum argumentum, ex iis quæ facta sunt, capientes, invictam illam Crucifixi potentiam nobiscum adorate: ut & intolerandos cruciatus effugiatis, & sempiternum regnum assequamini. Quod utinam nobis contingat, per gratiam & benignitatem, &c.

Apostoli quomodo orbem subegerunt.

## ΟΜΙΛΙΑ θʹ.

Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι.

ΕΤΙ μένει δεικνὺς, ὅτι τῆς τοῦ θεοῦ δυνάμεως ἔργον τὸ πᾶν ἐστι, καταστέλλων ἐκείνων τὰ φρονήματα τῶν καυχωμένων ἐφ' ἑαυτοῖς. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ, φησι, θαυμαστὸν, ὅτι ἐν ὀστρακίνοις σκεύεσι φυλάττομεν τὸν θησαυρὸν τοῦτον, ἀλλ' ὅτι καὶ μυρία πάσχοντες δεινὰ, καὶ πανταχοῦ περι-

## HOMILIA IX.

E 8. *In omnibus tribulationem patimur, sed non angustiamur: aporiamur, sed non destituimur: 9. Persequutionem patimur, sed non derelinquimur.*

1. IN eo adhuc immoratur, ut ostendat omne hoc negotium divinæ potentiæ adscribendum esse: quo eorum arrogantiam coërceat, qui in seipsis gloriabantur. Non enim, inquit, hoc solum mirabile est, quod hunc thesaurum in fictilibus vasis asservemus: sed etiam quod, cum sexcentis incommodis

premamur, atque omni ex parte pulsemur, eum tamen tuemur, nec amittimus. Et quidem si vel adamantinum vas esset, tanto tamen thesauro gestando, tantisque insidiis sustinendis impar esset. Nunc autem & ferimus & per Dei gratiam nihil grave patimur. *In omnibus tribulationem patimur, sed non angustiamur.* Quid est, *in omnibus?* In hostibus, in amicis, in necessariis, in aliis, quorum penuria laboramus, ab hostibus, a nostris. *Sed non angustiamur.* Ac vide quomodo pugnantes res dicat, ut hinc quoque Dei vim commonstret. Tribulationem patimur, inquit, sed non angustiamur: aporiamur, sed non destituimur: hoc est, non ad extremum usque concidimus. Plerisque enim in locis dolemus, nec quod volumus, assequimur: non sic tamen ut a propositis rebus excidamus. Hæc quippe non eo permittit Deus, ut vincamur, sed ut exerceamur. *Persequutionem patimur, sed non derelinquimur: dejicimur, sed non perimus.* Quamvis enim tentationes contingant: non ea tamen contingunt, quæ ex tentationibus oriri solent: idque per Dei potentiam & gratiam. Alibi autem hæc Deum idcirco permittere ait, tum ob ipsorum humilitatem, tum ad aliorum securitatem. Ne enim insolentius efferar, inquit, datus est mihi stimulus. Et rursus: Ne quis existimet de me, supra id quod videt, & audit ex me. Et alio loco, ne fidentes simus in nobisipsis. Hic vero: ut Dei potentia elucescat. Videsne quantus quæstus ex tentationibus redeat? Nam & Dei vim ostendebant, & gratiam amplius detegebant; sufficit enim tibi gratia mea, inquit; & ad humilitatem concitabant, alios compescebant, & illos tolerantiores efficiebant. Patientia enim, inquit, probationem operatur, probatio spem. Nam qui in quamplurima pericula inciderant, atque ex iis spe divina freti emerserant, hinc docebantur ut illi magis hærerent in omnibus. 10. *Semper mortificationem Jesu in corpore nostro circumferentes: ut & vita Jesu manifestetur in corpore nostro.* Quidnam erat hæc mortificatio Domini Jesu, quam circumferebant? mortes quotidianæ, per quas resurrectionis specimen edebatur. Nam si quis est, inquit, qui Christum mortem obiisse, atque resurrexisse non credat, in nos intueatur, qui singulis diebus morimur, atque ad vitam revocamur: ac tum resurrectioni fidem habeat. Viden' quomodo aliam adhuc tentationum causam invenerit? Quam tandem? *Ut & vita Jesu*, inquit, *manifestetur in corpore nostro*: in eo videlicet, quod nos e periculis extrahat. Ita fit, ut quod infirmitatis ac derelictionis speciem habet; hoc ipsius resurrectionem prædicet. Neque enim, si nullis molestiis afficeremur, perinde ipsius potentia declarata fuisset, ut nunc declaratur, cum patimur, nec tamen vincimur. 11. *Etenim nos qui vivimus, in mortem tradimur propter Jesum: ut & vita Jesu ma-*

2. Cor. 12. 7.

2. Cor. 1. 8.

Ex tentationibus quantum lucrum.

2. Cor. 12. 9.

Rom. 5. 4.

A κρουόμενοι, τηρούμεν αὐτὸν, καὶ οὐκ ἀπολλύμεν. καίτοι εἰ καὶ ἀδαμάντινον σκεῦος ἦν, οὔτε θησαυρὸν τοσοῦτον βαστάσαι ἴσχυσεν ἄν, οὐδ᾽ ἂν πρὸς τοσαύτας ἤρκησεν ἐπιβουλάς· νῦν δὲ καὶ φέρει, καὶ οὐδὲν πάσχει δεινὸν, διὰ τὴν τοῦ θεοῦ χάριν. ἐν παντὶ γὰρ θλιβόμενοι, φησιν, ἀλλ᾽ οὐ στενοχωρούμενοι. τί ἐστιν, ἐν παντί; ἐν τοῖς ἐχθροῖς, ἐν τοῖς φίλοις, ἐν τοῖς ἀναγκαίοις, ἐν ταῖς ἄλλαις χρείαις, ὑπὸ τῶν πολεμίων, ὑπὸ τῶν οἰκείων. ἀλλ᾽ οὐ στενοχωρούμεθα. καὶ ὅρα πῶς πράγματα ἐναντία λέγει, ἵνα κἀντεῦθεν δείξῃ τοῦ θεοῦ τὴν ἰσχύν. θλιβόμενοι γὰρ

B οὐ στενοχωρούμεθα, φησιν· ἀπορούμενοι οὐκ ἐξαπορούμεθα· τουτέστιν, οὐκ εἰς τέλος ἐκπίπτομεν. ἀλγοῦμεν γὰρ πολλαχοῦ, καὶ ἀποτυγχάνομεν· ἀλλ᾽ οὐχ οὕτως, ὥστε ἐκπεσεῖν τῶν προκειμένων. εἰς γυμνασίαν γὰρ ὑμῶν ταῦτα, οὐκ εἰς ἧτταν συγκεχώρηται παρὰ τοῦ θεοῦ. διωκόμενοι, ἀλλ᾽ οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι. οἱ μὲν γὰρ πειρασμοὶ συμβαίνουσι· τὰ δὲ ἀπὸ τῶν πειρασμῶν, οὐκέτι. καὶ τοῦτο δὲ διὰ τὴν τοῦ θεοῦ δύναμιν καὶ χάριν. ἀλλαχοῦ δέ φησι, καὶ διὰ τὴν αὐτῶν ταπεινοφροσύνην, καὶ

C διὰ τὴν ἑτέρων ἀσφάλειαν συγκεχωρῆσθαι ταῦτα. ἵνα γὰρ μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ, φησί. καὶ πάλιν, ἵνα μή τις λογίσηται εἰς ἐμὲ ὑπὲρ ὃ βλέπει, καὶ ἀκούει τι ἐξ ἐμοῦ. καὶ ἀλλαχοῦ πάλιν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς. ἐνταῦθα μέντοι, ἵνα φανῇ τοῦ θεοῦ ἡ δύναμις. ὁρᾷς τῶν πειρασμῶν τὸ κέρδος; καὶ γὰρ τοῦ θεοῦ τὴν δύναμιν ἐδείκνυ, καὶ τὴν χάριν ἀπεκάλυπτε μειζόνως· ἀρκεῖ γάρ σοι ἡ χάρις μου, φησί· καὶ εἰς ταπεινοφροσύνην ἤλειφε, καὶ τοὺς ἄλλους καταστέλλεσθαι παρεσκεύαζε, καὶ αὐτοὺς καρτερικωτέρους εἰργάζε-

D το. ἡ γὰρ ὑπομονή, φησι, δοκιμὴν κατεργάζεται· ἡ δὲ δοκιμὴ, ἐλπίδα. οἱ γὰρ μυρίοις περιπεσόντες κινδύνοις, καὶ ἐκ τῆς εἰς τὸν θεὸν ἐλπίδος ἀνενεγκόντες, ἐπαιδεύοντο ταύτης ἔχεσθαι ἐπιπλεῖον ἐν πᾶσι. πάντοτε τὴν νέκρωσιν τοῦ κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν. καὶ τί ἐστιν ἡ νέκρωσις τοῦ κυρίου Ἰησοῦ, ἣν περιέφερον; οἱ θάνατοι οἱ καθημερινοὶ, δι᾽ ὧν καὶ ἡ ἀνάστασις ἐδείκνυτο. εἰ γάρ τις ἀπιστεῖ, φησιν, ὅτι ἀπέθανεν Ἰησοῦς, καὶ ἀνέστη, ἡμᾶς ὁρῶν τοὺς καθ᾽ ἑκάστην ἡμέραν ἀποθνή-

E σκοντας καὶ ἀνισταμένους, πιστευέτω λοιπὸν τῇ ἀναστάσει. εἶδες πῶς καὶ ἑτέραν αἰτίαν εὕρηκε τῶν πειρασμῶν; ποίαν δὴ ταύτην; ἵνα καὶ ἡ ζωὴ αὐτοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν, φησι, τῷ ἐξαρπάζειν ἡμᾶς τῶν κινδύνων. ὥστε τοῦτο, ὃ δοκεῖ ἀσθενείας εἶναι, καὶ ἐγκαταλείψεως, τοῦτο αὐτοῦ κηρύττει τὴν ἀνάστασιν. οὐ γὰρ ἂν οὕτως ἐφάνη, μηδὲν πασχόντων ἡμῶν ἀηδὲς, ἡ δύναμις ἡ ἐκείνου, ὡς νῦν δείκνυται, πασχόντων μὲν, οὐ νικωμένων δέ. καὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ

ἐν ἡμῖν ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. πανταχοῦ γὰρ ὅταν τι ἀσαφὲς εἴποι, ἑαυτὸν ἑρμηνεύει πάλιν. ὃ δὴ καὶ ἐνταῦθα ἐποίησε, τοῦτο, ὅπερ εἶπεν, ἑρμηνεύων σαφῶς. Διὰ τοῦτο γὰρ παραδιδόμεθα, φησὶ, τουτέστι, τὴν νέκρωσιν περιφέρομεν, ἵνα ἡ δύναμις αὐτοῦ τῆς ζωῆς φανῇ, μὴ συγχωροῦντος σάρκα θνητὴν τοσαῦτα πάσχουσαν, ὑπὸ τῆς νιφάδος τῶν κακῶν νικηθῆναι. καὶ ἑτέρως δὲ αὐτὸ ἐκλαβεῖν. πῶς; ὡς ἀλλαχοῦ φησιν, Εἰ συναπεθάνομεν, καὶ συζήσομεν. ὥσπερ γὰρ τὸν θάνατον αὐτοῦ ὑπομένομεν νῦν, καὶ αἱρούμεθα ζῶντες ἀποθανεῖν δι' αὐτόν· οὕτω καὶ αὐτὸς αἱρήσεται ἀποθανόντας ζωογονῆσαι τότε. Εἰ γὰρ ἡμεῖς ἀπὸ ζωῆς εἰς θάνατον ἐρχόμεθα· καὶ αὐτὸς ἀπὸ θανάτου εἰς ζωὴν ἡμᾶς χειραγωγήσει. ὥστε ὁ θάνατος ἐνεργεῖται ἐν ἡμῖν, ἡ δὲ ζωὴ ἐν ὑμῖν. οὐκέτι περὶ τοῦ θανάτου λέγων, ἀλλὰ περὶ πειρασμῶν, καὶ ἀνέσεως. ἡμεῖς μὲν γὰρ ἐν κινδύνοις καὶ ἐν πειρασμοῖς, φησιν· ὑμεῖς δὲ ἐν ἀνέσει, τὴν ἐκ τούτων τῶν κινδύνων καρπούμενοι ζωήν. καὶ τὰ μὲν ἐπικίνδυνα ἡμεῖς ὑπομένομεν, τῶν δὲ χρηστῶν ὑμεῖς ἀπολαύετε. οὐ γὰρ τοσούτους ὑπομένετε πειρασμούς. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ὅτι ὁ ἐγείρας τὸν κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ. ἀνέμνησεν ἡμᾶς ψαλμοῦ πολλὴν ἔχοντος φιλοσοφίαν, καὶ ἱκανοῦ μάλιστα ἐν κινδύνοις ἀλείφειν. τὴν γὰρ ῥῆσιν ταύτην, ἐν μεγάλοις κινδύνοις ὢν ὁ δίκαιος ἐκεῖνος ἐφθέγξατο, καὶ ἐξ ὧν οὐκ ἦν ἄλλως ἀνενεγκεῖν, ἢ διὰ τῆς τοῦ θεοῦ βοηθείας.

Ἐπεὶ οὖν τὰ συγγενῆ μάλιστα οἶδε παραμυθεῖσθαι, διὰ τοῦτό φησιν, ἔχοντες τὸ αὐτὸ πνεῦμα· τουτέστιν, ἀπὸ τῆς αὐτῆς συμμαχίας, ἀφ' ἧς ἐκεῖνος ἐσώθη, καὶ ἡμεῖς σωζόμεθα· ἀπὸ τοῦ πνεύματος ἀφ' οὗ ἐφθέγξατο, καὶ ἡμεῖς φθεγγόμεθα. ὅθεν δείκνυσι πολλὴν τῇ καινῇ πρὸς τὴν παλαιὰν τὴν συμφωνίαν οὖσαν, καὶ τὸ αὐτὸ πνεῦμα ἐν ἑκατέροις ἐνεργῆσαν, καὶ ὅτι οὐχ ἡμεῖς μόνον ἐν κινδύνοις, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες, καὶ δεῖ πίστει καὶ ἐλπίδι διορθοῦσθαι, καὶ μὴ λύσιν εὐθέως ζητεῖν τῶν ἐπικειμένων. ἐπειδὴ γὰρ ἔδειξε διὰ τῶν λογισμῶν τὴν ἀνάστασιν καὶ τὴν ζωὴν, καὶ ὅτι οὐκ ἀσθενείας, οὐδὲ ἐγκαταλείψεως ὁ κίνδυνος· λοιπὸν καὶ τὴν πίστιν εἰσάγει, καὶ αὐτῇ τὸ πᾶν ἐπιτρέπει. ἀλλ' ὅμως καὶ αὐτῆς ἀπόδειξιν παρέχεται τὴν Χριστοῦ τὴν ἀνάστασιν εἰπών· ὅτι καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. τί πιστεύομεν, εἰπέ μοι; ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν. τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ. πάλιν πληροῖ φρονήματος αὐτοὺς, ἵνα μὴ ἀνθρώποις χάριν εἰδῶσι, τοῖς ψευδαποστόλοις, λέγω. τοῦ γὰρ θεοῦ τὸ πᾶν, ὃς βούλεται πολλοῖς χαρίσασθαι, ὥστε μείζονα

*nifestetur in nobis in carne nostra mortali.* Passim hunc morem tenet, ut cum quidpiam obscure dixerit, id rursus exponat. Id quod hoc quoque loco fecit, illud quod dixerat apertius declarans. Propterea tradimur, inquit, hoc est mortificationem circumferimus, ut vitæ ipsius potentia perspicua fiat, non sinentis nimirum mortalem carnem tanta perpetientem, malorum agmine vinci. Hoc aliter quoque accipi potest. Quomodo? ut alio loco ait, si commoriamur, & convivemus. (Rom. 6. 8.) Ut enim nunc ipsius mortem perferimus, atque ipsius causa vitam cum morte commutare volumus, ita etiam ipse exstinctos ad vitam revocare tunc volet. Nam si nos e vita ad mortem venimus, ipse quoque e morte ad vitam nobis dux erit. 12. *Ergo mors in nobis operatur, vita autem in vobis.* Non jam de corporea morte, sed de tentationibus, & de quiete, cum ait, nos quidem in periculis ac tentationibus versamur: vos autem in quiete vitam eam, quæ in periculis comparatur, percipitis. Atque ea quidem, quæ cum periculo conjuncta sunt, ipsi sustinemus: at vos rebus secundis fruimini. Neque enim pares tentationes suffertis. 13. *Habentes autem eumdem spiritum fidei sicut scriptum est: Credidi propter quod loquutus sum, & nos credimus propter quod & loquimur: scientes,* (Psal. 115. 1.) 14. *quoniam qui suscitavit Dominum Jesum, & ipse suscitabit nos per Jesum.* Submonuit nos psalmi, insignem philosophiam complectentis, qui maxime possit in periculis excitare. Hæc enim verba vir justus pronunciavit, cum in magnis periculis esset, & e quibus non aliunde, quam per divinam opem emergere poterat.

2. Quoniam igitur quæ cognata sunt, magnam ad consolandum vim habere solent, idcirco dixit: *Habentes eumdem Spiritum;* id est: eodem subsidio freti, quo ille e periculo ereptus est, nos quoque servamur: ex eodem spiritu, quo ille loquutus est, nos quoque loquimur. Quibus verbis illud ostendit, miram esse inter novum & vetus Testamentum concordiam, atque eumdem spiritum esse, qui in utroque vim suam exeruerit: illudque præterea, non nos solos in periculis versari, sed etiam veteres omnes: ob idque fide ac spe animos erigendos esse, nec urgentium malorum finem statim petendum. Postquam enim rationibus resurrectionem ac vitam demonstravit, illudque insuper, pericula imbecillitatis ac desertionis argumentum non esse, deinceps jam fidem etiam invehit, eique omnia committit. (Christi resurrectio, omnium resurrectionem probat.) Quamquam ipsam quoque ut probet, Christi resurrectionem in medium affert, cum ait: *Nos quoque credimus, propter quod loquimur.* Quid credimus, heus tu? *Quod is qui Christum suscitavit, nos etiam excitabit, & constituet vobiscum.* 15. *Omnia enim propter vos, ut gratia abundans, per multos in gratiarum actione abundet in gloriam Dei.* Rursus animos eorum effert, ut non hominibus gratiam habeant, hoc est pseudapostolis. Hoc enim totum Dei est, qui compluribus gratificari vult, ut major

gratia appareat. Propter vos quippe & resurrectio ipsius extitit, & cætera omnia. Neque enim unius dumtaxat hominis causa hæc fecit, sed omnium. 16. *Propter quod non deficimus: sed licet is, qui foris est, noster homo corrumpitur: tamen is, qui intus est, renovatur de die in diem.* Quomodo corrumpitur? Cum flagris cæditur, exagitatur, sexcentis acerbitatibus afficitur. *Is tamen qui intus est, renovatur de die in diem.* Quo pacto renovatur? Fide, spe, animi promtitudine. Restat igitur, ut ad pericula intrepidum animum afferamus. Quo enim pluribus incommodis corpus divexatur, eo lætiori spe animus fruitur, ac splendidior efficitur, non secus atque aurum, cui ignis diutius adhibetur. Ac vide quomodo præsentis vitæ molestias abstergat. 17. *Id enim quod in præsenti est momentaneum ac leve tribulationis nostræ, supra modum in sublimitate æternum gloriæ pondus operatur in nobis,* 18. *non contemplantibus nobis quæ videntur, sed quæ non videntur.* Spe negotium conclusit, quodque in epistola ad Romanos, dicebat: Spe salvi facti sumus, spes autem quæ videtur non est spes: hoc etiam hic adstruens, præsentia cum futuris componit: præsens cum æterno, leve cum gravi, tribulationem cum gloria. Ac ne hoc quidem contentus, alteram vocem adjungit, eamque conduplicat, cum ait: *Supra modum in sublimitate.* Deinde modum declarat, quo tot ac tantæ afflictiones leves efficiuntur. Quonam igitur modo levantur? *Non contemplantibus nobis quæ videntur, sed quæ non videntur.* Ita nimirum & præsentes molestiæ leves, & futurum illud præmium ingens erit, si a visibilibus nos abduxerimus. *Quæ enim videntur temporaria sunt.* Ergo & ejusmodi sunt afflictiones. *Quæ autem non videntur, æterna.* Igitur & coronæ quoque tales. Nec dixit: Tales sunt tribulationes, *sed omnia quæ videntur;* sive supplicium dicas, sive quietem: ut non sit cur aut hinc emolliaris, aut illinc frangaris. Quocirca nec de futuris verba faciens, dixit: Regnum æternum; sed, *quæ non videntur æterna sunt*, sive regnum sit, sive cruciatus: ut & hinc terrorem nobis incutiat: illinc nos adhortetur. Cum igitur, quæ videntur, temporalia sint, quæ autem non videntur, æterna, ad hæc, oculorum aciem intendamus. Ecqua enim nobis excusatio futura est, si fluxa sempiternis prætulerimus? Nam etsi suave est quod præsens est: non est tamen perpetuum. At acerbitas, quæ ex hac suavitate nascitur, nec finem habet, nec veniam. Quam enim excusationem habituri sunt, qui, cum spiritum acceperint, tantoque beneficio affecti sint, abjectis tantum rebus incumbunt, atque in terra collabuntur? Etenim complures audio qui ridiculis hisce verbis utuntur: Da mihi hodiernum diem, & tu crastinum sume. Nam si talis est in futuro ævo rerum status, qualem dicitis, unum pro uno fuerit. Si vero ex iis nihil omnino est, duo pro nihilo erunt. Quid his vocibus sceleratius, quid dementius fingi potest? Nos de

Rom. 8. 24. (margin, beside "conclusit")

Rom. 8. (margin, beside "Quocirca")

Impiorum dictum. (margin, beside "Da mihi hodiernum diem")

A ὀφθῶναι τὴν χάριν. διὰ ὑμᾶς γοῦν ἡ ἀνάστασις, καὶ τὰ ἄλλα πάντα. οὐ γὰρ ἑνὸς ἕνεκεν μόνου ταῦτα πεποίηκεν, ἀλλὰ πάντων. διὸ καὶ οὐκ ἐκκακοῦμεν· ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ᾽ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. πῶς φθείρεται; μαστιζόμενος, ἐλαυνόμενος, μυρία πάσχων δεινά. ἀλλ᾽ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. πῶς ἀνακαινοῦται; τῇ πίστει, τῇ ἐλπίδι, τῇ προθυμίᾳ. τὸ λοιπὸν δεῖ κατατολμᾶν τῶν δεινῶν. ὅσῳ γὰρ ἂν μυρία πάσχῃ τὸ σῶμα,
B τοσούτῳ χρηστοτέρας ἔχει τὰς ἐλπίδας ἡ ψυχὴ, καὶ λαμπροτέρα γίνεται, καθάπερ χρυσίον πυρούμενον ἐπιπλέον. καὶ ὅρα πῶς καθαιρεῖ τὰ λυπηρὰ τοῦ παρόντος βίου. τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεώς, φησιν, εἰς ὑπερβολὴν καθ᾽ ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. εἰς τὴν ἐλπίδα τὸ πρᾶγμα κατακλείσας, καὶ ὅπερ ἐν τῇ πρὸς Ῥωμαίους ἔλεγεν, ὅτι τῇ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπὶς, τοῦτο καὶ ἐνταῦθα κατασκευάζων, τίθησι παράλληλα τὰ πα-
C ρόντα τοῖς μέλλουσι, τὸ παραυτίκα πρὸς τὸ αἰώνιον, τὸ ἐλαφρὸν πρὸς τὸ βαρὺ, τὴν θλίψιν πρὸς τὴν δόξαν. καὶ οὐδὲ τούτοις ἀρκεῖται, ἀλλ᾽ ἑτέραν τίθησι λέξιν, διπλασιάζων αὐτὴν, καὶ λέγων, καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολήν. εἶτα καὶ τὸν τρόπον δείκνυσι πῶς ἐλαφρὸν τὸ τῶν τοσούτων θλίψεων. πῶς οὖν ἐλαφρόν; μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὕτω καὶ τοῦτο κοῦφον τὸ παρὸν, κἀκεῖνο μέγα τὸ μέλλον, ἂν τῶν ὁρωμένων ἀπαγάγωμεν ἑαυτούς. τὰ γὰρ βλεπόμενα, πρόσκαιρα. οὐκοῦν καὶ αἱ θλίψεις τοιαῦται. τὰ δὲ μὴ βλεπόμενα,
D αἰώνια. οὐκοῦν καὶ οἱ στέφανοι τοιοῦτοι. καὶ οὐκ εἶπεν, αἱ θλίψεις τοιαῦται, ἀλλὰ, τὰ βλεπόμενα πάντα, κἂν κόλασις ᾖ, κἂν ἀνάπαυσις· ὥστε μήτε ἐκεῖθεν χαυνοῦσθαι, μήτε ἐντεῦθεν βιάζεσθαι. διὰ τοῦτο οὐδὲ περὶ τῶν μελλόντων λέγων, εἶπεν, ἡ βασιλεία αἰώνιος, ἀλλὰ τὰ μὴ βλεπόμενα, αἰώνια, κἂν βασιλεία, κἂν κόλασις ᾖ· πάλιν, ὥστε καὶ ἐκεῖθεν φοβῆσαι, καὶ ἐκεῖσε προτρέψασθαι. ἐπεὶ οὖν τὰ βλεπόμενα, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια, πρὸς ἐκεῖνα βλέπωμεν. ποίαν γὰρ καὶ σχοίημεν ἀπολογίαν, τὰ πρόσκαιρα ἀντὶ τῶν αἰωνίων
E αἱρούμενοι; εἰ γὰρ καὶ τὸ παρὸν ἡδὺ, ἀλλ᾽ οὐ διηνεκές· τὸ μέντοι ὀδυνηρὸν αὐτοῦ, διηνεκὲς καὶ ἀσύγγνωστον. ποίαν γὰρ ἕξουσιν ἀπολογίαν οἱ πνεύματος καταξιωθέντες, καὶ τοσαύτης ἀπολαύσαντες δωρεᾶς, καὶ χαμαίζηλοι γινόμενοι, καὶ καταπίπτοντες πρὸς τὴν γῆν; καὶ γὰρ πολλῶν ἀκούω λεγόντων τὰ καταγέλαστα ταῦτα ῥήματα· δός μοι τὴν σήμερον, καὶ λαβὲ τὴν αὔριον. ἂν μὲν γὰρ τοιαῦτα ᾖ, φησιν, οἷα καί φατε ἐκεῖ, ἓν ἀνθ᾽ ἑνὸς γέγονεν· ἂν δὲ μηδὲν ὅλως ᾖ, δύο ἀντ᾽ οὐδενός. τί τῶν ῥημάτων τούτων παρανομώτερον; τί δὲ ληρωδέστερον;

ἡμεῖς περὶ οὐρανοῦ διαλεγόμεθα, καὶ τῶν ἀποῤῥήτων ἀγαθῶν ἐκείνων· καὶ σὺ τὰ τῶν ἱπποδρομιῶν ἡμῖν ἄγεις εἰς μέσον, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐγκαλύπτῃ τοιαῦτα φθεγγόμενος, ἃ τῶν παραπαιόντων ἐστίν; οὐκ ἐρυθριᾷς, οὕτω προσηλωμένος τοῖς παροῦσιν; οὐ παύσῃ παραφρονῶν, καὶ ἐξεστηκὼς, καὶ ἐν νεότητι ληρῶν; καὶ τὸ μὲν Ἕλληνας ταῦτα λέγειν, οὐδὲν θαυμαστόν· τὸ δὲ πιστοὺς ἀνθρώπους τοιαῦτα ληρεῖν, ποίαν ἔχει συγγνώμην; ὅλως γὰρ ὑποπτεύεις τὰς ἀθανάτους ἐλπίδας ἐκείνας; ὅλως νομίζεις ἀμφίβολα ταῦτα εἶναι; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης; καὶ τίς ἦλθε, φησὶ, καὶ ἀπήγγειλε τὰ αὐτόθι; ἀνθρώπων μὲν οὐδείς· ὁ θεὸς δὲ ὁ πάντων ἀξιοπιστότερος ταῦτα ἀπεφήνατο. ἀλλ' οὐχ ὁρᾷς τὰ ἐκεῖ· οὐδὲ γὰρ τὸν θεὸν βλέπεις. ἆρ' οὖν οὐχ ἡγήσῃ εἶναι θεὸν, ὅτι μὴ ὁρᾷς; καὶ σφόδρα ἡγοῦμαι, φησίν.

Ἂν οὖν σε ἔρηταί τις τῶν ἀπίστων, καὶ τίς ἦλθεν ἀπὸ τοῦ οὐρανοῦ, καὶ ταῦτα ἀπήγγειλε, τί ἐρεῖς; πόθεν οἶδας ὅτι ἐστὶ θεός; ἀπὸ τῶν ὁρωμένων, φησὶν, ἀπὸ τῆς εὐταξίας τῆς ἐν πάσῃ τῇ κτίσει, ἀπὸ τοῦ πᾶσιν εἶναι τοῦτο κατάδηλον. οὐκοῦν καὶ τὸν περὶ κρίσεως οὕτω δέχου λόγον. πῶς, φησίν; ἐρήσομαί σε· σὺ δέ μοι ἀπόκριναι. δίκαιός ἐστιν οὗτος ὁ θεὸς, καὶ τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ· ἢ τοὐναντίον, τοὺς μὲν ἀδίκους βούλεται εὐημερεῖν καὶ τρυφᾶν, τοὺς δὲ ἀγαθοὺς ἐν τοῖς ἐναντίοις εἶναι; οὐδαμῶς, φησίν· οὐδὲ γὰρ ἄνθρωπος τοῦτο πάθοι. ποῦ οὖν οἱ καλῶς ἐνταῦθα πράξαντες, τῶν ἀγαθῶν ἀπολαύσονται; ποῦ δὲ οἱ πονηροὶ τῶν ἐναντίων, εἰ μὴ μέλλοι τις ζωὴ μετὰ ταῦτα καὶ ἀντίδοσις εἶναι; ὁρᾷς ὅτι ἓν ἀνθ' ἑνὸς τέως, καὶ οὐχὶ δύο ἀνθ' ἑνός; ἐγὼ δέ σοι δείξω περιιὼν, ὅτι οὐδὲ ἓν ἀνθ' ἑνός· ἀλλὰ δύο ἀνθ' ἑνὸς ἔσται τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς καὶ ἐνταῦθα τρυφῶσι, τοὐναντίον ἅπαν. οἱ μὲν γὰρ ἐνταῦθα τρυφήσαντες, οὐδὲ ἓν ἀνθ' ἑνὸς ἔλαβον· οἱ δὲ ἐν ἀρετῇ διάγοντες, δύο ἀνθ' ἑνός. τίνες γὰρ ἐν ἀνέσει, οἱ τῷ παρόντι παραχρησάμενοι βίῳ, ἢ οἱ φιλοσοφήσαντες; σὺ μὲν ἴσως ἐκείνους ἐρεῖς, ἐγὼ δὲ τούτους δείκνυμι, μάρτυρας αὐτοὺς ἐκείνους καλῶν, τοὺς ἀπολελαυκότας τῶν παρόντων· καὶ οὐκ ἀναισχυντήσουσι πρὸς ἃ μέλλω λέγειν. καὶ γὰρ προμνηστρίαις ἐπηράσαντο πολλάκις, καὶ τῇ ἡμέρᾳ καθ' ἣν ἐπλάκησαν αἱ παστάδες, καὶ τοὺς μὴ γεγαμηκότας ἐμακάρισαν. πολλοὶ δὲ τῶν νέων, καὶ παρὸν αὐτοῖς γαμεῖν, δι' οὐδὲν ἕτερον παρῃτήσαντο, ἀλλ' ἢ διὰ τὸ φορτικὸν τοῦ πράγματος. καὶ ταῦτα λέγω, οὐ τὸν γάμον διαβάλλων, τίμιος γὰρ, ἀλλὰ τοὺς κακῶς αὐτῷ κεχρημένους. εἰ δὲ οἱ γάμοις ὡμιληκότες ἀβίωτον πολλάκις τὸν βίον ἐνόμισαν, τί ἂν εἴποιμεν περὶ τῶν εἰς πορνικὰ βάραθρα κατενεχθέντων, καὶ παντὸς αἰχμαλώτου

A cælo disserimus, de arcanis & ineffabilibus illis bonis: & tu verba e circo petita in medium profers, nec pudore suffunderis ea proloquens, quæ mente captorum hominum sunt, nec erubescis, præsentibus rebus ita infixus? Non desipere ac mente excedere desines, atque in juvenili ætate delirare? Quod si hæc verba ex Gentilium ore mitterentur, nihil mirum esset. At vero fide præditos homines ejusmodi sermones effutire, quam tandem veniam mereri id queat? An spes illas immortales omnino suspectas habes? An hæc prorsus incerta esse censes? Qua tandem B venia hæc digna esse queant? Et quisnam, inquiunt, ad nos venit, ac, quæ illic gerantur, exposuit? Hominum sane nemo: sed Deus ipse, omnium fide dignissimus, hæc declaravit. Sed non vides res illas; neque enim Deum cernis. Quid ergo, an proinde Deum esse non existimabis, quia eum non vides? Et valde quidem existimo, inquies.

3. Igitur si quispiam, ex infidelibus, percontetur, ecquis e cælo venit, atque hæc narravit, quid dicturus es? Unde nosti Deum esse? Ab iis rebus quæ in aspectum cadunt, inquies, ab eo ordine, qui in rebus omnibus conditis elucet: hinc denique quod de C eo inter omnes constat. Sic igitur sermonem quoque de extremo judicio excipe. Quo pacto, inquies? Percontabor te: tu vero responde. Justus-ne hic Deus, ac cuique quod meretur tribuit: an contra sceleratos florere, atque in deliciis versari vult: probos autem contraria habere? Minime, inquies: nam ne homini quidem hoc acciderit. Ubinam igitur, qui virtutem in hac vita coluerunt, bonis fruentur? ubinam rursus, improbis pœna constituta erit, si nulla vita, nulla merces, aut pœna futura est? Videsne, quod unum pro uno adhuc est, & non duo pro uno? Ego vero illud tibi ostenD dam, ne unum quidem pro uno improbos habere. Sed duo pro uno justis erunt; peccatoribus vero & deliciantibus contra omnino. Nam qui in hac vita se voluptatibus dediderunt, ne unum quidem pro uno acceperunt: qui autem in virtute vitam ducunt, duo pro uno. Utri, quæso, in voluptate sunt, qui præsenti vita abusi sunt, an qui philosophiæ operam dederunt? Tu fortasse illos dices: ego autem hos esse ostendam, & quidem eos ipsos testes citans, queis præsentibus bonis frui contigit. Nec vero E ita perfricta fronte erunt, ut adversus ea, quæ dicturus sum, niti audeant. Nam & pronubas sæpe diris omnibus devoverunt, ipsumque diem quo thalami strati sunt: eosque felices prædicarunt, qui uxorem non duxerunt. Multi quoque juvenes, cum ineundi matrimonii potestas esset, non aliam ob caussam abnuerunt, quam ob rei incommoda. Nec vero hæc eo a me dicuntur, ut matrimonium accusem, honorabile enim; sed eos, qui eo præpostere usi sunt. Quod si ii qui matrimonium inierunt, acerbissimam plerumque hanc vitam esse judicarunt, quid de iis dicemus, qui in prostibulorum voraginem prolapsi sunt, ac captivo quovis ser-

vilius & miserius sese affecerunt? quid de iis, qui in deliciarum cœno computruerunt, ac sexcentis morbis corpus involverunt? At gloria pollere dulce est? Nihil hac gloria acerbius. Nam qui ita inanis gloriæ cupiditate captus est, ut quibuslibet placere studeat, mancipiis quibusvis servilior est. Qui autem eam calcat, nec gloriam hominum curat, omnibus superior est. At opes habere est expetendum. Verum a nobis sæpe demonstratum est, eos magis divitiis & quiete frui, qui opibus vacui, nihil habent. Sed inebriari suave est? Et quis hoc dixerit? Quocirca si suavius est, inopem esse, quam divitem, a matrimonio abstinere quam matrimonium subire, inanem gloriam aspernari, quam appetere, a deliciis abhorrere, quam deliciis studere, & hic plus habent ii qui præsentibus non sunt affixi. Hoc autem dico, quod vir quidem probus, tametsi innumeris tormentis excrucietur, habet tamen spem lætam, quæ ipsum fulciat: improbus contra etiam si innumeris voluptatibus fruatur; habet tamen futuri supplicii metum, voluptatem ipsius perturbantem. Nam ne hic quidem supplicii modus parvus est: contrarius vero, voluptatis & oblectationis. Est etiam tertius modus præter hos duos. Quinam tandem? quod hujusce vitæ deliciæ, ne tum quidem apparent, cum adsunt, utpote quas, & natura, & tempus coarguat: illæ contra non modo sunt, sed firmæ quoque manent. Viden' quod non modo duo pro nullo, sed etiam tria, quinque, atque adeo sexcenta pro nullo ponere poterimus? quod ut exemplo intelligas; dives ille ac Lazarus, ille
*Luc. 16.* præsentia, hic futura percepit. An porro unum & unum esse statuis per omne tempus puniri, atque ad exiguam horam fame vexari? in mortali corpore ægrotare, & in immortali acerbum in modum igne cruciari? Parvo illo morbo perfunctum, coronari, & æternis postea deliciis circumflere; aut post brevem fructum sempiternis postea suppliciis torqueri? Et quis hæc dixerit? Quid vis ponamus? Qualitatemne an quantitatem? ordinem Dei aut sententiam de utroque latam? Quousque tandem scarabæorum in cœno semper sese volutantium verba loquemini? Neque enim hominum ratione præditorum est, animam, quæ tanti precii est, pro re nullius momenti projicere: cum oporteret pro exiguo labore cælum capere. Vis-ne ut aliunde te doceam, horrendum in altero ævo tribunal esse? Conscientiæ tuæ januam aperi: ac judicem in animo tuo velut pro tribunali sedentem intuere. Quod si tu, quamvis præpostero tui amore affectus, teipsum condemnas, nec iniquam sententiam ferre sustines, an non multo majori curæ jus Deo erit, atque incorruptum ille de omnibus judicium feret? Sed temere hæc omnia ferri sinet? Ecquis tandem hoc dixerit? Nemo profecto. Nam & Græci & Barbari, & poëtæ, & philosophi, & omnes denique mortales, in hoc nobiscum,

*Judicium futurum horrendum erit.*

A δουλικώτερον καὶ ἀθλιώτερον διατεθέντων; τί περὶ τῶν ἐν τρυφῇ κατασαπέντων, καὶ μυρία τῷ σώματι νοσήματα περιβεβληκότων; ἀλλὰ τὸ ἐν δόξῃ εἶναι, ἡδύ. οὐδὲν μὲν οὖν ταύτης δόξης πικρότερον. καὶ γὰρ πάντων ἀνδραπόδων μᾶλλόν ἐστι δουλικώτερος ὁ κενόδοξος, καὶ τοῖς τυχοῦσιν ἀρέσαι βουλόμενος· ὁ δὲ ταύτην καταπατήσας, πάντων ἐστὶν ἀνώτερος, ὁ μὴ φροντίζων τῆς παρὰ ἑτέρων δόξης. ἀλλὰ τὸ χρήματα ἔχειν, ἐπέραστον. ἀλλὰ πολλάκις ἀπεδείξαμεν, ὅτι ἐν πλείονι πλούτῳ καὶ ἀνέσει, οἱ τούτων ἀπηλλαγ-
B μένοι καὶ μηδὲν ἔχοντες, μᾶλλόν εἰσιν. ἀλλὰ τὸ μεθύειν, ἡδύ. καὶ τίς ἂν εἴποι τοῦτο; οὐκοῦν εἰ τὸ μὴ πλουτεῖν τοῦ πλουτεῖν ἥδιον, καὶ τὸ μὴ γαμεῖν τοῦ γαμεῖν, καὶ τὸ μὴ κενοδοξεῖν, τοῦ κενοδοξεῖν, καὶ τὸ μὴ τρυφᾶν τοῦ τρυφᾶν· καὶ ἐνταῦθα τὸ πλέον ἔχουσιν οἱ μὴ τοῖς παροῦσι προσηλωμένοι. καὶ οὕτω λέγω, ὅτι ἐκεῖνος μὲν κἂν μυρίαις βασάνοις κατατείνηται, ἔχει τὴν χρηστὴν ἐλπίδα διαβαστάζουσαν αὐτόν· οὗτος δὲ κἂν μυρίας ἀπολαύῃ τρυφῆς, ἔχει τὸν φόβον τοῦ μέλλοντος ἐπιταράττοντα αὐτῷ τὴν ἡδονήν, καὶ συγχέοντα. καὶ γὰρ καὶ οὗτος οὐ μικρὸς τρόπος κολάσεως· ὥσπερ οὖν
C ὁ ἐναντίος, τρυφῆς καὶ ἀνέσεως. καὶ τρίτος δὲ μετὰ τούτων ἐστὶ τρόπος. ποῖος δὲ οὗτος; ὅτι τὰ μὲν τῆς τρυφῆς τῆς βιωτικῆς, οὐδὲ ἡνίκα ἐστί, φαίνεται, τῇ τε φύσει καὶ τῷ χρόνῳ ἐλεγχόμενα· ἐκεῖνα δὲ οὐ μόνον ἐστίν, ἀλλὰ καὶ ἀκίνητα μένει. ὁρᾷς ὅτι οὐ δύο ἀντ' οὐδενὸς μόνον, ἀλλὰ καὶ τρία, καὶ πέντε, καὶ δέκα, καὶ εἴκοσι, καὶ μυρία ἀντ' οὐδενὸς δυνησόμεθα θεῖναι; ἵνα δὲ ἐπὶ ὑποδείγματος αὐτὸ τοῦτο μάθῃς, ὁ πλούσιος, καὶ ὁ Λάζαρος, ὁ μὲν τῶν παρόντων, ὁ δὲ τῶν μελλόντων ἀπήλαυσαν. ἆρ' οὖν σοι δοκεῖ ἓν εἶναι, καὶ
D ἕν, τὸ ἐν παντὶ τῷ χρόνῳ κολάζεσθαι, καὶ τὸ ἐν βραχείᾳ ὥρᾳ πεινῆν; τὸ νοσεῖν ἐν φθαρτῷ σώματι, καὶ τὸ ἐν ἀθανάτῳ χαλεπῶς ἀποτηγανίζεσθαι, τὸ στεφανοῦσθαι, καὶ τρυφᾶν ἀθάνατα μετὰ τὴν μικρὰν ἀρρωστίαν ἐκείνην, καὶ τὸ βασανίζεσθαι ἀπέραντα μετὰ τὴν βραχεῖαν τῶν ὄντων ἀπόλαυσιν; καὶ τίς ἂν ταῦτα εἴποι; τί γὰρ βούλει θῶμεν; τὴν ποσότητα, τὴν ποιότητα, τὴν τάξιν τοῦ Θεοῦ, τὴν περὶ ἑκάτερον ψῆφον; μέχρι τίνος τὰ κανθάρων φθέγγεσθε ῥήματα, τῶν τῷ βορβόρῳ διηνεκῶς ἐγκαλινδουμένων; οὐδὲ γὰρ ἀνθρώπων ταῦτα λογικῶν, ψυχὴν οὕτω τιμίαν
E ἀντ' οὐδενὸς προΐεσθαι, δέον ὀλίγου πόνου τοὺς οὐρανοὺς λαβεῖν. βούλει σε καὶ ἑτέρωθεν διδάξω, ὅτι ἐστὶν ἐκεῖ κριτήριον φοβερόν; ἄνοιξόν σου τὰς θύρας τοῦ συνειδότος, καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου καθήμενον δικαστήν. εἰ δὲ σὺ σαυτὸν καταδικάζεις, καίτοιγε φίλαυτος ὤν, καὶ οὐκ ἂν ἀνάσχοιο μὴ δικαίαν τὴν κρίσιν ἐνεγκεῖν· οὐ πολλῷ μᾶλλον ὁ Θεὸς πολλὴν ποιήσεται τοῦ δικαίου πρόνοιαν, καὶ τὴν ἀδέκαστον περὶ πάντων οἴσει ψῆφον, ἀλλ' ἁπλῶς καὶ εἰκῇ πάντα φέρεσθαι ἐάσει; καὶ τίς ἂν ταῦτα εἴποι; οὐκ ἔστιν οὐδείς· ἀλλὰ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ ποιηταί, καὶ φιλόσοφοι, καὶ πᾶν ἀνθρώπων γένος συμφωνοῦσιν ἐν τούτοις ἡμῖν,

A εἰ καὶ μὴ ὁμοίως, καί φασιν εἶναί τινα δικαστήρια ἐν ᾅδου· οὕτω φανερὸν, καὶ ὡμολογημένον τὸ πρᾶγμά ἐστι. καὶ τίνος ἕνεκεν οὐκ ἐνταῦθα κολάζει, φησίν; ἵνα τὴν μακροθυμίαν ἐπιδείξηται τὴν αὐτοῦ, καὶ τὴν ἐκ μετανοίας ἡμῖν παράσχῃ σωτηρίαν, καὶ μὴ τότε τὸ γένος ἡμῶν ἀνάρπαστον ἐργάσηται, τούς τε ἐκ μεταβολῆς ἀρίστης δυναμένους σωθῆναι μὴ προεξαρπάσῃ τῆς σωτηρίας. εἰ γὰρ εὐθέως ἐκόλαζε παρὰ τὰ ἁμαρτήματα, καὶ ἀνῄρει, πῶς ἂν ἐσώθη Παῦλος, πῶς δὲ Πέτρος, οἱ κορυφαῖοι τῆς οἰκουμένης διδάσκαλοι; πῶς ἂν ὁ Δαυὶδ τὴν ἀπὸ τῆς μετανοίας ἐκαρπώσατο σωτηρίαν; πῶς οἱ Γαλάται; πῶς ἕτεροι πλείους; B διὰ τοῦτο, οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκας, ἀλλ' ἐκ τῶν πάντων ἐνίους· οὔτε ἐκεῖ πάντας, ἀλλὰ τοὺς μὲν ἐνταῦθα, τοὺς δὲ ἐκεῖ, ἵνα καὶ τοὺς σφόδρα [a] ἀναισθήτους διεγείρῃ δι' ὧν κολάζει, καὶ τὰ μέλλοντα προσδοκᾶν ποιήσῃ δι' ὧν οὐ κολάζει. ἢ οὐχ ὁρᾷς ἐνταῦθα κολαζομένους πολλοὺς, οἷον ὡς τοὺς τῷ πύργῳ καταχωσθέντας, ὡς ἐκείνους ὧν τὸ αἷμα ταῖς θυσίαις ἀνέμιξεν ὁ Πιλάτος, ὡς τοὺς ἀώρῳ θανάτῳ παρὰ Κορινθίοις τελευτήσαντας διὰ τὸ τῶν μυστηρίων ἀναξίως μεταλαβεῖν, ὡς τὸν Φαραὼ, ὡς τοὺς C Ἰουδαίων τοὺς ὑπὸ τῶν βαρβάρων κατασφαγέντας, ὡς ἑτέρους πολλοὺς, καὶ τότε, καὶ νῦν, καὶ διηνεκῶς; καὶ ἕτεροι δὲ πολλὰ ἁμαρτόντες, ἀπῆλθον μὴ δόντες ἐνταῦθα δίκην· ὡς ὁ πλούσιος ἐπὶ τοῦ Λαζάρου, ὡς ἕτεροι πολλοί.

Ταῦτα δὲ ποιεῖ, καὶ τοὺς διαπιστοῦντας τοῖς μέλλουσι διεγείρων, καὶ τοὺς πιστεύοντας καὶ ῥᾳθυμοῦντας σπουδαιοτέρους ποιῶν. ὁ γὰρ θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἂν δὲ τῇ μακροθυμίᾳ παραχρησώμεθα, ἔσται καιρὸς, ὅτε οὐδὲ βραχὺ μακροθυμήσει D λοιπὸν, ἀλλ' εὐθέως ἐπάξει τὴν δίκην. μὴ τοίνυν, ἵνα μίαν ῥοπὴν τρυφήσωμεν· τοῦτο γὰρ ὁ παρὼν βίος· ἀπείρων αἰώνων ἐπισπασώμεθα κόλασιν, ἀλλὰ ῥοπὴν πονήσωμεν, ἵνα διηνεκῶς στεφανωθῶμεν. οὐχ ὁρᾶτε, ὅτι καὶ ἐν τοῖς βιωτικοῖς οὕτως οἱ πλείους τῶν ἀνθρώπων ποιοῦσι, καὶ τὸν ὀλίγον πόνον αἱροῦνται ὑπὲρ τῆς μακρᾶς ἀναπαύσεως, εἰ καὶ τοὐναντίον αὐτοῖς ἐκβαίνει; ἐνταῦθα μὲν γὰρ ἰσομοιρία καὶ πόνων καὶ κερδῶν· πολλάκις δὲ τοὔμπαλιν, ὁ μὲν πόνος ἄπειρος, ὁ δὲ καρπὸς ὀλίγος· ἢ οὐδὲ ὀλίγος πολλάκις. E ἐπὶ δὲ τῆς βασιλείας, ἀντιστρόφως· ὀλίγον μὲν τὸ ἐπίπονον, πολὺ δὲ τὸ ἡδὺ, καὶ ἄπειρον. σκόπει δέ· ὁ γεωργὸς δι' ὅλου πονεῖ τοῦ ἔτους, καὶ πρὸς αὐτῷ τῷ τέλει [b] τῆς ἐλπίδος ἐκπίπτει πολλάκις τοῦ καρποῦ τῶν πολλῶν πόνων. ὁ κυβερνήτης πάλιν, καὶ ὁ στρατιώτης, μέχρις ἡλικίας ἐσχάτης ἐν πολέμοις καὶ πόνοις· καὶ πολλάκις ἑκάτερος αὐτῶν ἀπῆλθεν, ὁ μὲν τοῦ πλούτου τῶν φορτίων, ὁ δὲ μετὰ τῆς νίκης, καὶ τῆς ζωῆς αὐτῆς ἐκπεσών. τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι, ἐν μὲν τοῖς βιωτικοῖς τὰ ἐπίπονα προτιμῶντες·

[a] ἀναισθήτους. Alius, ἀνοήτους.

[b] τῆς ἐλπίδος ἐκπίπτει. Alius, τοῦ κέρδους ἐκπίπτει.

A etsi dispari modo, consentiunt: ac quædam in inferis tribunalia esse aiunt. Usque adeo perspicua & indubitata hæc res est. Et cur, inquies, Deus hic non punit? Nimirum ut longanimitatem suam ostendat, nobisque per pœnitentiam viam ad salutem muniat, ac non universum mortalium genus funditus deleat, eosque qui per optimam vitæ mutationem salutem consequi poterant, priusquam ad eam perveniant, de medio tollat. Nam si de peccatis homines confestim pœnis ac morte afficeret, quomodo salutem accepisset Paulus, quomodo Petrus, principes B illi, ac totius orbis magistri? Quomodo David salutem ex pœnitentia percepisset? Quomodo Galatæ, aliique plures? Quamobrem nec ab omnibus in hac vita pœnas expetit, sed ex omnibus illis, paucis tantum supplicia infert: ne rursus in altero ævo, de omnibus pœnas sumat, sed de aliis hic, de aliis illic. Ut & per eos, quos hic plectit, vel stupidissimos excitet per eos quos castigat, & per eos quos impunitos sinit, illud efficiat, ut futura exspectemus. An non vides plerosque hic pœnas luere, ut eos, qui turris ruina oppressi sunt, ut eos, quorum sanguinem Pilatus cum sacrificiis commiscuit, ut Corinthios C eos, qui ob indigne percepta mysteria præmaturam mortem obierunt, ut Pharaonem, ut Judæos, qui a Barbaris trucidati sunt, ut plerosque alios: & tunc & nunc, & perpetuo? Rursus alii multi, nullis hic scelerum pœnis persolutis e vita discesserunt: ut dives ille Lazari tempore, aliique complures. Luc. 13.

4. Hæc porro ideo facit, partim ut eos qui futura non credunt excitet: partim, ut eos, qui credunt ac segnitie laborant, diligentes reddat. Deus enim justus est judex, & fortis, & longanimis: nec per singulos dies iram inducit. Quod si ipsius longanimitate abutamur, erit tempus, cum jam ne tantillo quidem D tempore longanimitatem adhibebit, verum statim pœnam inferet. Ne itaque dum ad unicum momentum; momenti enim instar est hæc vita; deliciis indulgere volumus, infinitorum sæculorum pœnam nobis accersamus: verum ad momentum potius laboremus, ut perpetuis coronis cingamur. Annon cernitis in hujusce quoque vitæ negotiis bonam hominum partem id facere, ac brevem laborem diuturnæ quietis causa suscipere: tametsi sæpe contra res evenit, quam sperabant? Hic enim laborum ac quæstus æqua est portio: sæpe etiam infinitus est la- E bor, fructus autem tenuis, ac sæpe ne tenuis quidem. At vero, cum de cælesti regno agitur, contraria est ratio: parvum enim laborem magna atque infinita jucunditas excipit. Perpende autem: agricola totum annum laborat: & in fine spe & diuturnorum laborum fructu sæpe excidit. Rursus navis gubernator, & miles, ad extremam usque ætatem in bellis & laboribus versati, sæpe ita hinc excedunt, ut & ille mercium suarum opibus labatur, & hic vitam una cum victoria amittat. Ecquam ergo, te rogo, excusationem habituri sumus, qui cum in rebus

fluxis ea quæ cum labore conjuncta sunt, præferimus ut parum conquiescamus, vel ne parum quidem; dubia quippe hæc spes est; in spiritualibus contrario omnino modo faciamus, ac propter exiguam ignaviam, cruciatus, qui nullis verbis explicari possint, nobis attrahamus? Quocirca vos omnes oro, ut tandem aliquando ex hoc stupore vos ipsos recipiatis. Nemo enim tum erit, qui nos e pœnis eximat, non pater, non filius, non amicus, non vicinus, non quisquam alius: sed, si nos opera nostra prodiderint, omnia pessum ibunt, ac prorsus de nobis actum erit. Quantos dives ille luctus emisit, quantis precibus a patriarcha contendit, ut Lazarum ad se mitteret? Verum audi quid responsi ab

Luc. 16. 26. Abrahamo tulerit: *Chaos magnum inter vos & nos. Ita ut ne ii quidem, qui volunt illuc transire, id possint.* Quam obnixis precibus virgines illæ cum æqualibus suis egerunt, ut parum olei acciperent? verum audi quid ip-

Matt. 25. 9. sæ quoque dicant: *Ne forte non sufficiat nobis & vobis.* Nec potuit quisquam eas in thalamum introducere. Hæc itaque animis nostris reputantes, nos quoque vitæ nostræ curam geramus. Nam quoslibet labores dixeris, quoslibet cruciatus admoveris, nihil hæc omnia erunt, si cum futuris bonis conferantur. Pone enim, si ita lubet, ignem, & ferrum, & belluas, ac si quid his acerbius est: hæc tamen præ tormentis illis ne umbræ quidem sunt. Hæc quippe, cum vehementius adhibentur, tum potissimum levia efficiuntur; quod cito transeant, quod corpus ferendæ doloris acerbitati ac diuturnitati minime par sit. At vero illic secus res habet: nam & longinquitas, & incredibilis quædam magnitudo simul concurrunt, tam in rebus jucundis, quam in acerbis. Proinde, quamdiu tempus est, præoccupemus faciem Domini in confessione: ut tum eum suavem ac placidum cernamus, ac minaces illas potestates effugiamus. Annon hos lictores conspicis, qui præfectis administram operam navant, quomodo trahant, quomodo vinciant, quomodo flagris afficiant, quomodo latera perfodiant, quomodo faces in tormentis admoveant, quomodo secent? Atqui hæc cuncta merus ludus ac risus sunt, si cum illis suppliciis comparentur. Etenim hæc tormenta temporaria sunt: illic autem nec vermis moritur, nec ignis exstinguitur. Corpus quippe tunc incorruptibile erit. Faxit autem Deus, ne hæc experimento discamus, sed intra verba hi terrores consistant, nec carnificibus illis tradamur, verum hic potius castigemur. Quantum verborum tum profundemus, nos ipsos accusantes! quos gemitus, quos singultus edemus! Sed tunc nihil inde fructus consequemur, quandoquidem nautæ fracta ac depressa nave nihil prodesse possunt, nec medici exstincto ægroto; verum sæpe quidem dicent, quod hoc atque illud facere oportebat: cæterum frustra omnia atque incassum dicentur. Quamdiu enim per vitæ ac morum emendationem salutis spes adhuc maneat, nihil non dicere ac facere opus est: cum autem nulla jam res arbitrii nostri erit, re tota

A ἵνα μικρὸν ἀναπαυσώμεθα, ἢ οὐδὲ μικρόν· καὶ γὰρ ἄδηλος ἡ ἐλπίς· ἐν δὲ τοῖς πνευματικοῖς ἀντιστρόφως τοῦτο ποιοῦντες, καὶ ἄφατον κόλασιν ἐπισπώμενοι διὰ μικρὰν ῥᾳθυμίαν; διὸ παρακαλῶ πάντας ὑμᾶς ὀψέ γοῦν ποτε ἐκ τῆς παραπληξίας ταύτης ἀνενεγκεῖν. οὐδεὶς γὰρ ἡμᾶς ἐξαιρήσεται ἐν ἐκείνῳ τῷ καιρῷ, οὐκ ἀδελφὸς, οὐ πατὴρ, οὐ παῖς, οὐ φίλος, οὐ γείτων, οὐκ ἄλλος οὐδείς· ἀλλ᾽ ἂν ὑπὸ τῶν ἔργων προδοθῶμεν, πάντα οἰχήσεται, καὶ ἀπολούμεθα πάντως. πόσα ὁ πλούσιος ἐθρήνησεν ἐκεῖνος, καὶ τὸν πατριάρχην παρεκάλεσε, καὶ πεμφθῆναι τὸν Λάζαρον

B ᾔτησεν; ἀλλ᾽ ἄκουσον τί πρὸς αὐτὸν ἔλεγεν Ἀβραάμ· χάος μέγα μεταξὺ ὑμῶν καὶ ἡμῶν, ὥστε μηδὲ βουλομένους ἐξεῖναι διαβῆναι ἐκεῖ. πόσα παρεκάλεσαν αἱ παρθένοι ἐκεῖναι τὰς ὁμήλικας ὑπὲρ ὀλίγου ἐλαίου; ἀλλ᾽ ἄκουσον καὶ ἐκεῖναι τί λέγουσι· μήποτε οὐ μὴ ἀρκέσῃ ὑμῖν καὶ ἡμῖν· καὶ οὐδεὶς αὐτὰς ἴσχυσεν εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν. ταῦτα δὴ λογιζόμενοι καὶ ἡμεῖς ἐπιμελώμεθα τῆς ἡμετέρας ζωῆς. ὅσους γὰρ ἂν εἴποις πόνους, καὶ ὅσας ἂν περιενέγκῃς τιμωρίας, οὐδὲν ἅπαντα ταῦτα ἔσται πρὸς τὰ μέλλοντα ἀγαθά. τίθει

C γοῦν, εἰ βούλει, πῦρ, καὶ σίδηρον, καὶ θηρία, καὶ εἴ τι τούτων χαλεπώτερον· ἀλλ᾽ ὅμως οὐδὲ σκιὰ ταῦτα πρὸς ἐκεῖνα τὰ βασανιστήρια. ταῦτα μὲν γὰρ ὅταν σφοδρότερον ἐπιτεθῇ, τότε μάλιστα γίνεται κοῦφα, ταχεῖαν ποιοῦντα τὴν ἀπαλλαγὴν, τοῦ σώματος οὐκ ἀρκοῦντος καὶ εἰς σφοδρότητα καὶ εἰς μῆκος κολάσεως. ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ᾽ ἀμφότερα συνέρχεται, καὶ παράτασις, καὶ ὑπερβολὴ, καὶ ἐν τοῖς χρηστοῖς, καὶ ἐν τοῖς λυπηροῖς. ἕως οὖν ἐστὶ καιρὸς, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει· ἵνα ἥμερον αὐτὸν ἴδωμεν τότε καὶ γαληνὸν, ἵνα τὰς ἀπειλησφόρους

D ἐκείνας δυνάμεις διαφύγωμεν. οὐχ ὁρᾷς τοὺς ἐνταῦθα στρατιώτας, τοὺς τοῖς ἄρχουσι διακονουμένους, πῶς ἕλκουσι, πῶς δεσμοῦσι, πῶς μαστιγοῦσι, πῶς τὰς πλευρὰς διορύττουσι, πῶς λαμπάδας ταῖς βασάνοις προσάγουσι, πῶς ἀποτέμνουσιν; ἀλλὰ πάντα ταῦτα παίγνια καὶ γέλως πρὸς ἐκείνας τὰς τιμωρίας. καὶ γὰρ πρόσκαιροι αὗται αἱ κολάσεις· ἐκεῖ δὲ οὔτε ὁ σκώληξ τελευτᾷ, οὔτε τὸ πῦρ σβέννυται· καὶ γὰρ τὸ σῶμα ἄφθαρτον ἔστιν. ἀλλὰ μὴ γένοιτο πείρᾳ ταῦτα ἡμᾶς μαθεῖν, ἀλλὰ μέχρι ῥήματος στῆναι ἡμῖν τὰ φοβερά· μηδὲ πα-

E ραδοθῆναι τοῖς βασανισταῖς ἐκείνοις, ἀλλ᾽ ἐνταῦθα σωφρονισθῆναι. πόσα τότε ἐροῦμεν, ἑαυτῶν κατηγοροῦντες; πόσα ὀλοφυρούμεθα; πόσα οἰμώξομεν; ἀλλ᾽ οὐδὲν ὄφελος λοιπόν· ἐπεὶ οὐδὲ οἱ ναῦται, τοῦ πλοίου διαλυθέντος καὶ καταδύντος, ὠφελῆσαί τι δύναιντ᾽ ἂν λοιπόν· οὔτε ἰατροὶ, τοῦ κάμνοντος ἀπελθόντος. ἀλλ᾽ ἐροῦσι μὲν πολλάκις, ὅτι τὸ καὶ τὸ ποιῆσαι ἐχρῆν· πάντα δὲ εἰκῆ, καὶ μάτην. ἕως μὲν γὰρ ἐκ τῆς διορθώσεως ἐλπίδες μένουσι, καὶ λέγειν ἅπαντα, καὶ ποιεῖν χρή· ἐπειδὰν δὲ μηκέτι κύριοι μηδενὸς ὦμεν,

τοῦ

τοῦ παντὸς διαφθαρέντος, εἰκῆ καὶ λέγεται πάντα καὶ γίνεται. καὶ γὰρ Ἰουδαῖοι ἐροῦσι τότε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ἀλλ' οὐδὲν ταύτης ἀπόνασθαι δυνήσονται τῆς φωνῆς, εἰς τὸ τὴν κόλασιν διαφυγεῖν. ὅτε γὰρ ἔδει εἰπεῖν, οὐκ εἶπον. ἵν' οὖν μὴ καὶ ἡμεῖς ἐπὶ τῆς πολιτείας τοῦτο πάθωμεν, ἐντεῦθεν ἤδη μεταβαλλώμεθα, ἵνα τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας παραστῶμεν πάσης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, καὶ τὰ ἑξῆς.

A perdita & corrupta, tum frustra & dicentur omnia, & fient. Nam & Judæi tum dicturi sunt: *Benedictus qui venit in nomine Domini*: at nullum hujus vocis fructum capere poterunt, ut pœnam effugiant: Cum enim hoc dicendum erat, non dixerunt. Ne ergo hoc quoque nobis in vita accidat, hic jam vitam in melius commutemus, ut ad Christi tribunal cum omni fiducia sistamur: quam utinam omnes consequamur per gratiam & benignitatem Domini nostri Jesu Christi, cum quo Patri & Spiritui sancto gloria, &c. Joan. 12. 13.

B

## ΟΜΙΛΙΑ ι.

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.

ΠΑΛΙΝ τὴν προθυμίαν αὐτῶν διεγείρει, διὰ τὸ πολλοὺς ἐπάγεσθαι πειρασμούς. καὶ γὰρ εἰκὸς αὐτοὺς διὰ τὴν ἀπουσίαν τὴν αὐτοῦ, πρὸς τοῦτο ἀσθενεστέρους γεγενῆσθαι. τί οὖν φησιν; οὐ δεῖ θαυμάζειν ὅτι κακῶς πάσχομεν, οὐδὲ θορυβεῖσθαι· καὶ γὰρ πολλὰ κέρδη ἐντεῦθεν καρπούμεθα. καὶ τὰ μὲν ἔμπροσθεν εἶπεν, οἷον, ὅτι καὶ νέκρωσιν τοῦ Ἰησοῦ περιφέρομεν, καὶ τῆς δυνάμεως αὐτοῦ ἀπόδειξιν παρεχόμεθα μεγίστην· ἵνα γάρ, φησιν, ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ· καὶ τῆς ἀναστάσεως τεκμήριον ἐκφέρομεν σαφές. ἵνα γάρ, φησιν, ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. ἐπειδὴ δὲ μετὰ τούτων εἶπεν, ὅτι καὶ ὁ ἔσω ἡμῶν ἄνθρωπος βελτίων γίνεται οὕτως· εἰ γὰρ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, φησιν, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ· δεικνὺς πάλιν ὅτι τοσοῦτο χρήσιμον τοῦτο τὸ μαστίζεσθαι καὶ ἐλαύνεσθαι, ἐπάγει λέγων, ὅτι ὅταν ὁλοκλήρως τοῦτο γένηται, τότε τὰ μυρία ἀγαθὰ ἀναβλαστήσει τοῖς ταῦτα ὑπομεμενηκόσιν. ἵνα γὰρ μὴ ἀκούων, ὅτι φθείρεται ὁ ἄνθρωπός σου ὁ ἔξω, ἀλγῇς, λέγει ὅτι ὅταν παντελῶς τοῦτο γένηται, τότε μάλιστα χαρήσῃ, καὶ ἥξεις ἐπὶ βελτίονα λῆξιν. ὥστε οὐ μόνον ἀλγεῖν οὐ δεῖ, ἐκ μέρους αὐτοῦ φθειρομένου νῦν, ἀλλὰ καὶ τὸ ὅλον τῆς φθορᾶς ταύτης ἐπιζητεῖν. αὕτη γάρ σε μάλιστα εἰς ἀφθαρσίαν ἄγει· διὸ καὶ ἐπήγαγεν, οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. ἐπειδὴ γὰρ τὸν περὶ ἀναστάσεως γυμνάζει λόγον πάλιν, εἰς ὃν μάλιστα ἐνόσουν, προσλαμβάνει καὶ τὴν τῶν ἀκουόντων κρίσιν, καὶ οὕτως αὐτὸν κατασκευάζει. ἀλλ' οὐχ ὁμοίως ὡς ἔμπροσθεν, ἀλλ' ὡς ἐξ ἑτέρας ὑποθέσεως εἰς τοῦτο ἐλθών· καὶ γὰρ ἦσαν διορθωθέντες ἤδη· καί φησιν, οἴδαμεν ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, ὅτι οἰκο-

## HOMILIA X.

1. *Scimus enim quoniam si terrestris domus nostra hujus tabernaculi dissolvatur, ædificationem ex Deo habemus, domum non manufactam, æternam in cælis.* Cap. V.

1. RURSUS eorum alacritatem excitat, quia multæ ipsis tentationes inferebantur. Verisimile enim erat eorum animos ob ipsius absentiam debilitatos fuisse. C Quid igitur ait? Nihil est quod miremur ac perturbemur ob calamitates eas, quibus afficimur: multa enim commoda hinc percipimus. Quorum alia quidem prius dixit, ut, quod mortificationem Jesu circumferamus, ac potentiæ ipsius specimen maximum exhibeamus; *Ut enim*, inquit, *sublimitas virtutis sit Dei*; & perspicuum resurrectionis argumentum edimus; ut ex his verbis patet, *Ut vita Jesu manifestetur in carne nostra mortali.* Posteaquam autem illud præterea dixit, interiorem quoque nostrum hominem hoc pacto meliorem fieri; etsi enim, inquit, is qui foris est noster homo corrumpitur, is D tamen qui intus est renovatur de die in diem; ostendens rursum quantum utilitatis afferat vapulare ac divexari, illud subjungit, quod cum plene atque integre hoc fit, tum innumera bona iis, qui hæc incommoda pertulerint, hinc pullulabunt. Etenim ne externum tuum hominem corrumpi audiens, animo discrucieris, hoc asserit, quod cum istud plene atque omnino acciderit, tum maxime gaudebis, atque ad meliorem sortem venies. Itaque non modo non est dolendum, cum ille aliqua ex parte nunc corrumpitur; verum etiam, ut omni ex parte E corrumpatur expetendum est. Hæc enim corruptio ad incorruptionem maxime te ducit. Ac proinde hæc quoque subjungit: *Scimus enim quia si terrestris domus nostra hujus tabernaculi dissolvitur, ædificationem ex Deo habemus, non manufactam æternam in cælis.* Quia enim resurrectionis doctrinam, in qua potissimum ægrotabant, rursus prosequitur, idcirco auditorum judicium etiam assumit, eamque hoc pacto adstruit: non tamen perinde ut ante, sed velut ex altera occasione in eum sermonem ingressus: jam enim eorum errorem correxerat, aitque: *Scimus quod si terrestris domus nostra hujus tabernaculi dissolvatur,*

*ædificationem ex Deo habemus, domum non manufactam, æternam in cælis.* Sunt qui per terrestrem domum, mundum hunc intelligant: ego vero his verbis corpus potius subindicari contenderim. Atque hic velim consideres, quomodo per nomina ipsa ostendat, quantum futura præsentibus antecellant. Nam cum terrestrem dixisset, cælestem opposuit: cum tabernaculi domum; quo verbo fluxam & fragilem ipsius naturam declarat, æternam objecit. Etenim tabernaculi nomen plerumque temporarium quiddam indicat. Ac proinde aiebat Christus: *In domo patris mei mansiones multæ sunt.* Quod si scriptura quietem sanctorum tabernaculi nomine uspiam appellat, non simpliciter dicit tabernacula, sed cum addito. Non enim dixit: Ut vos recipiant in tabernacula, sed in æterna tabernacula. Jam vero cum dixit, *non manufactam*, eam, quæ manu constructa est, subindicavit. Quid igitur, corpus-ne manu conditum est? Minime vero. Sed, vel domos manufactas designat: vel si non ita, domum tabernaculi, corpus non manufactum vocavit. Non enim ad comparationem illud opposuit; sed encomia & laudes adjiciens. 2. *Nam & in hoc ingemiscimus, habitationem nostram, quæ de cælo est, superindui cupientes.* Quam habitationem? corpus a corruptione alienum. Et cur nunc ingemiscimus? Quoniam illud longe melius est. De cælo autem ipsum esse ait, quia ab omni corruptione immune est. Non enim corpus e cælo ad nos delabitur: sed hoc vocabulo gratiam illinc manantem indicat. Quocirca tantum abest ut ob certum aliquod tentationum genus dolendum sit, ut etiam quodvis tentationum genus expetere debeamus: ac si diceret: Ingemiscis ob persequutiones, & quia externus tuus homo corrumpitur? Imo ingemisce quod non majorem in modum hoc fiat, nec in totum corrumpatur. Videsne quonam pacto sermonem in contrarium verterit; ostendens ideo ingemiscendum esse, quod non confertim venerint, cum illi ingemiscant quod per partes veniant? Ideo jam corpus, non tabernaculum appellat, sed habitationem; idque non sine magna ratione. Tabernaculum enim facile dissolvitur: illud autem perpetuo manet. 3. *Si tamen vestiti & non nudi inveniamur:* hoc est, etiamsi corpus deposuerimus, non tamen sine corpore illic sistemur: sed cum eodem incorruptibili effecto. Quidam dicunt, id quod admodum probo; si quidem vestiti, non nudi inveniamur. Ne enim omnes ob resurrectionem confidant, ait, *Si tamen vestiti:* hoc est, incorruptibilitatem, atque immortale corpus consequuti; *ac non nudi inveniamur*, gloria ac securitate. Id quod in superiore quoque ad Corinthios epistola dicebat, Omnes quidem resurgemus; & in suo quisque ordine. Et, sunt corpora cælestia: sunt & terrestria. Nam communis est omnium re-

Joan. 14. 2.

Luc. 16. 9.

1. Cor. 15. 23.

A οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. τινὲς μὲν τὴν οἰκίαν τὴν ἐπίγειον τὸν κόσμον τοῦτόν φασιν· ἐγὼ δὲ τὸ σῶμα μᾶλλον ἂν φαίην αὐτὸν αἰνίττεσθαι. σὺ δέ μοι σκόπει, πῶς διὰ τῶν ὀνομάτων δείκνυσι τὴν ὑπεροχὴν τῶν μελλόντων πρὸς τὰ παρόντα. εἰπὼν γὰρ ἐπίγειον, ἀντέθηκε τὴν οὐρανίαν· εἰπὼν οἰκίαν σκήνους, καὶ τὸ εὐδιάλυτον καὶ πρόσκαιρον δείξας ἐντεῦθεν, ἀντέθηκε τὴν αἰωνίαν. τὸ γὰρ τῆς σκηνῆς ὄνομα, τὸ πρόσκαιρον πολλάκις δείκνυσι. διό φησιν, ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. εἰ δέ που B καὶ σκηνὰς καλοίη τῶν ἁγίων τὰς ἀναπαύσεις, οὐχ ἁπλῶς σκηνὰς, ἀλλὰ μετὰ προσθήκης. οὐ γὰρ εἶπεν, ἵνα δέξωνται εἰς τὰς σκηνὰς αὐτῶν, ἀλλ', εἰς τὰς αἰωνίους σκηνάς. εἰπὼν δὲ καὶ ἀχειροποίητον, ἠνίξατο τὴν χειροποίητον. τί οὖν; τὸ σῶμα χειροποίητον; οὐδαμῶς. ἀλλ' ἢ τὰς οἰκίας ἐνταῦθα αἰνίττεται τὰς χειροποιήτους· ἢ εἰ μὴ τοῦτο, ἀλλ' οἰκίαν σκήνους τὸ σῶμα ἐκάλεσε τὸ ἀχειροποίητον. οὐ γὰρ πρὸς ἀντιδιαστολὴν τούτου ἀντέθηκεν, ἀλλ' αὔξων τὰ ἐγκώμια, καὶ προστιθεὶς τοὺς ἐπαίνους. C καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ, ἐπενδύσασθαι ἐπιποθοῦντες. ποῖον οἰκητήριον, εἰπέ μοι; τὸ σῶμα τὸ ἄφθαρτον. καὶ διὰ τί στενάζομεν νῦν; ἐπειδὴ πολλῷ βέλτιον ἐκεῖνο. ἐξ οὐρανοῦ δὲ αὐτό φησι, διὰ τὸ ἄφθαρτον. οὐ γὰρ δὴ ἄνωθεν ἡμῖν κάτεισι σῶμα, ἀλλὰ τὴν ἐκεῖθεν πεμπομένην χάριν δηλοῖ τῷ ὀνόματι τούτῳ. τοσοῦτον οὖν οὐ δεῖ ἀλγεῖν ἐπὶ τοῖς κατὰ μέρος πειρασμοῖς, ὅτι καὶ τὸ καθολικὸν δεῖ ζητεῖν. ὡσανεὶ ἔλεγε, στένεις ὅτι διώκῃ, ὅτι φθείρεταί σου ὁ ἄνθρωπος ὁ ἔξω; D στέναζον ὅτι οὐ μεθ' ὑπερβολῆς τοῦτο γίνεται, μηδὲ ὁλοκλήρως φθείρεται. εἶδες πῶς εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, ἀποδείξας, ὅτι ὑπὲρ τούτων δεῖ στενάζειν μὴ γινομένων ὁλοκλήρως, ὑπὲρ ὧν μερικῶς γινομένων ἐστέναζον; διὰ τοῦτο οὐδὲ σκῆνος αὐτὸ καλεῖ λοιπὸν, ἀλλ' οἰκητήριον· καὶ μάλα εἰκότως. ἡ μὲν γὰρ σκηνὴ καταλύεται ῥᾳδίως· ἐκεῖνο δὲ μένει διηνεκῶς. εἴγε καὶ [a] ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα· τουτέστι, κἂν ἀποθώμεθα τὸ σῶμα, οὐ χωρὶς σώματος ἐκεῖ παραστησόμεθα, ἀλλὰ καὶ μετὰ τοῦ αὐτοῦ ἀφθάρτου γενομένου. E τινὲς δέ φασιν ὃ καὶ μάλιστα ἐγκειτέον· εἴπερ καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα. ἵνα γὰρ μὴ ἀπὸ τῆς ἀναστάσεως πάντες θαῤῥῶσι, φησίν· εἴγε καὶ ἐνδυσάμενοι, τουτέστιν, ἀφθαρσίαν, καὶ σῶμα ἄφθαρτον λαβόντες, οὐ γυμνοὶ εὑρεθησόμεθα δόξης καὶ ἀσφαλείας. ὃ καὶ ἐν τῇ πρὸ ταύτης πρὸς Κορινθίους ἔλεγεν, ὅτι πάντες μὲν ἀναστησόμεθα, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· καὶ ἔστι σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια. ἡ μὲν γὰρ ἀνάστασις, κοινὴ πάντων· ἡ δὲ δόξα οὐκέτι

a ἐνδυσάμενοι. In epistolis Pauli Græce legitur etiam ἐκδυσάμενοι, sed certum videtur, Chrysostomum hic legisse ἐνδυσάμενοι, ut ex serie ejus comprobatur.

κοινή, ἀλλ' οἱ μὲν ἐν τιμῇ, οἱ δὲ ἐν ἀτιμίᾳ, καὶ οἱ μὲν εἰς βασιλείαν, οἱ δὲ εἰς κόλασιν ἀναστήσονται. τοῦτο γοῦν καὶ ἐνταῦθα ἐδήλωσεν εἰπών, εἴγε ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ, στενάζομεν, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι.

Ἐνταῦθα πάλιν ὁλοσχερῶς καὶ σαφῶς ἀπέφραξε τὰ στόματα τῶν αἱρετικῶν, δείξας ὅτι οὐ περὶ σώματος ἁπλῶς διαλέγεται ἄλλου καὶ ἄλλου, ἀλλὰ περὶ φθορᾶς καὶ ἀφθαρσίας. οὐ γὰρ διὰ τοῦτο στενάζομεν, φησιν, ἵνα τοῦ σώματος ἀπαλλαγῶμεν, τοῦτο γὰρ οὐδὲ ἐκδύσασθαι βουλόμεθα, ἀλλὰ τῆς φθορᾶς τῆς ἐν αὐτῷ σπεύδομεν ἐλευθερωθῆναι. διό φησιν, οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι αὐτῷ τὴν ἀφθαρσίαν. εἶτα καὶ ἑρμηνεύει αὐτό· ἵνα καταποθῇ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς. ἐπειδὴ γὰρ πολλοῖς φορτικὸν εἶναι ἐδόκει τὸ ἀποθέσθαι τὸ σῶμα, καὶ ταῖς ψήφοις ταῖς ἁπάντων ἐναντιοῦτο λέγων, ὅτι στενάζομεν, οὐ βουλόμενοι αὐτοῦ ἀπαλλαγῆναι· εἰ γὰρ τοιαῦτα πάσχει, καὶ ὀδύρεται αὐτοῦ ἡ ψυχὴ χωριζομένη, πῶς σὺ λέγεις, φησὶν, ὅτι στενάζομεν ἐπειδὴ οὐ χωριζόμεθα αὐτοῦ. ἵν' οὖν μὴ ταῦτα αὐτῷ ἀνθυποφέρηται, οὐδὲ ἐγὼ τοῦτο λέγω, φησὶν, ὅτι διὰ τοῦτο στενάζομεν, ἵνα αὐτὸ ἀποθώμεθα, οὐδεὶς γὰρ ἀλύπως αὐτὸ ἀποτίθεται· ὅπου γε περὶ Πέτρου φησὶν ὁ Χριστὸς, ὅτι οἴσουσί σε, καὶ ἄξουσιν ὅπου οὐ θέλεις, ἀλλ' ἵνα ἐπενδυσώμεθα αὐτῷ τὴν ἀφθαρσίαν. καὶ γὰρ τοῦτό ἐστιν, ᾧ τὸ σῶμα βαρυνόμεθα· οὐχ ὅτι σῶμα, ἀλλ' ὅτι φθαρτὸν περικείμεθα σῶμα, καὶ παθητόν. τοῦτο γὰρ ἡμῖν καὶ τὴν λύπην παρέχει. ἀλλὰ ἀναλίσκει καὶ δαπανᾷ τὴν φθορὰν ἡ ζωὴ παραγινομένη· τὴν φθορὰν, οὐ τὸ σῶμα. καὶ πῶς γίνεται τοῦτό, φησι; μὴ ζήτει, ὁ θεὸς ποιεῖ· μὴ περιεργάζου. διὸ καὶ ἐπήγαγεν, ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, θεός. ἐντεῦθεν δείκνυσι ταῦτα ἄνωθεν προτυπωθέντα. οὐ γὰρ νῦν τοῦτο [a] ἔδοξεν, ἀλλ' ὅτε ἐξ ἀρχῆς ἔπλαττεν ἡμᾶς ἀπὸ γῆς, καὶ τὸν Ἀδὰμ ἐδημιούργει. οὐκ εἰς τοῦτο δὲ ἐδημιούργει, ἵνα ἀποθάνῃ, ἀλλ' ἵνα καὶ ἀθάνατον ἐργάσηται. εἶτα τὸ ἀξιόπιστον δεικνὺς, καὶ τὴν ἀπόδειξιν παρέχων, ἐπήγαγεν, ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. καὶ γὰρ καὶ τότε ἐπὶ τούτῳ διέπλασε, καὶ νῦν εἰς τοῦτο κατειργάσατο διὰ τοῦ βαπτίσματος, καὶ τούτου παρέσχεν ἡμῖν ἐνέχυρον οὐ μικρὸν, τὸ πνεῦμα τὸ ἅγιον. συνεχῶς δὲ ἀρραβῶνα καλεῖ, ὀφειλέτην αὐτὸν ἀποδεῖξαι βουλόμενος τοῦ παντὸς, καὶ ἀξιοπιστότερον καὶ ἐντεῦθεν τοῖς παχυτέροις καταστῆσαι τὸν λόγον. θαρροῦντες πάντοτε, καὶ εἰδότες. τὸ θαρροῦντες, πρὸς τοὺς διωγμοὺς, πρὸς τὰς ἐπιβουλὰς, πρὸς τοὺς θανάτους τοὺς συνεχεῖς εἴρηται, ὡς ἂν εἰ ἔλεγεν, ἐλαύνει σέ τις, καὶ διώκει, καὶ ἀναιρεῖ; μὴ καταπέσῃς· ὑπὲρ σοῦ τὸ πᾶν γίνεται· μὴ φοβηθῇς, ἀλλὰ θάρρει. καὶ γὰρ δι' ὃ στενάζεις καὶ ἀλγεῖς, ὅτι

A surrectio, sed gloria non item communis est: verum alii cum honore, alii cum ignominia, alii ad regnum, alii ad pœnam resurrecturi sunt. Quod etiam ipsum hic indicavit, cum dixit, *Si tamen vestiti ac non nudi inveniamur. 4. Nam & nos, qui sumus in hoc tabernaculo, ingemiscimus gravati, eo quod nolumus exspoliari, sed supervestiri.*

2. Hoc rursum loco plene atque aperte hæreticorum ora obstruxit, cum ostendit, se non de alio atque alio corpore simpliciter verba facere, sed de corruptione, atque incorruptione. Neque enim ea nobis ingemiscendi B causa est, ut corpore liberemur; hoc quippe non exuere volumus; verum de corruptione, quæ ipsi inest, solvi properamus. Unde etiam dicit, Nolumus corpus exuere, sed ipsum incorruptione supervestire. Atque hæc verba mox exponit, *Ut absorbeatur, quod corruptibile est, a vita.* Quia enim molestum plerisque esse videbatur corpus deponere, atque cum omnium mortalium suffragiis pugnabat, dicens, Ingemiscimus, nolentes eo liberari. Si enim anima cum ab ipso disjungitur, in tanto luctu versatur, quorsum hoc ais, nos idcirco ingemiscere, quod non ab eo distrahamur? Ne igitur hæc ipsi objiciantur, C occurrit, & ait. Non ego hoc dico, quod ob id ingemiscamus, ut corpus deponamus; nemo enim est, qui sine animi mœstitia ipsum deponat. quippe cum de Petro quoque dicat Christus, *Tollent te, ac ducent quo non vis;* sed ut immortalitatis veste ipsum superinduamus. Hoc enim est, per quod corpore gravamur, non quod corpore convestiti sumus, sed quod incorruptibili & passibili corpore. Nam hoc est quod nobis mœrorem affert. Verum accedens vita, corruptionem conficit atque absumit, non item corpus. Et quomodo hoc fit, inquit? Ne quæras, Deus hoc facit: ne curiose hoc exquiD ras. Unde etiam subjecit. 5. *Qui autem nos effecit in hoc ipsum, Deus.* Quibus verbis ostendit hæc jam olim decreta fuisse. Non enim nunc primum ita visum est Deo: sed cum a principio nos ex terra formavit, atque Adamum condidit. Nec vero eum in hoc condidit, ut moreretur: sed ut immortalem eum efficeret. Postea ut fidem dictis adstrueret, subjunxit, *Qui etiam dedit nobis pignus Spiritus.* Nam & tunc in hunc finem hominem effinxit, & nunc per baptismum efficit, ejusque rei non parvum nobis pignus E præbuit, nempe Spiritum sanctum. Frequenter autem pignoris vocabulo utitur, tum ut demonstret se totius hujus rei debitorem esse, tum ut majorem fidem apud obtusiores verbis suis conciliet. *Audentes igitur semper ac scientes.* Audentes dixit, propter persequutiones, insidias, ac mortes assiduas, perinde ac si diceret: Exagitat te aliquis, insectatur, obtruncat? Ne animo concidas, bono tuo hoc omne fit. Ne timeas: sed confide. Id enim, de quo ingemiscis & doles, nimirum

Joan. 21. 18.

a ἔδοξεν, alia lectio quam in margine affert Savilius, ἔδειξεν non spernenda videtur.

quod corruptioni ſervias, deinceps de medio tollit, atque ex hac ſervitute celerius liberat. Ac proinde dicit, *Audentes igitur ſemper*: non modo in quiete, ſed etiam in afflictionibus. *Et ſcientes, quoniam dum verſamur in corpore, peregrinamur a Domino*: 7. *per fidem enim ambulamus & non per ſpeciem*; 8. *audemus autem, & bonam voluntatem habemus peregrinari a corpore, & præſentes eſſe ad Dominum.* Quod omnibus ſublimius eſt, poſteriore loco poſuit. Præſtantius enim eſt cum Chriſto eſſe, quam corpus a corruptione liberum accipere. Hoc autem vult ſignificare: Vitam noſtram is non exſtinguit, qui nos oppugnat, ac morte afficit: ne timeas. Confide cum conciderìs. Neque enim ille dumtaxat te a corruptione vindicat, ac gravi ſarcina levat, ſed etiam ad Dominum confeſtim tranſmittit. Ideo non dixit, dum ſumus in corpore, quaſi hic ſimus in externa regione. *Scientes igitur, quod dum verſamur in corpore, peregrinamur a Domino. Audemus autem, & bonam voluntatem habemus magis peregrinari a corpore, & præſentes eſſe apud Dominum.* Viden' quo pacto moleſta illa mortis & obitus vocabula reticens, alia perquam ſuavia in eorum vicem ſubſtituerit, præſentiam nimirum ad Deum ea nuncupans, ac prætermiſſis illis vocabulis, quæ jucunditatis ſpeciem habebant, quæ ad vitam pertinent, a triſtibus nuncupavit, peregrinationem a Domino vitam hanc appellans? Hoc autem eo conſilio fecit, ne quiſquam in præſentibus libenter immoretur, ſed ea potius graviter ferat; nec rurſus, ex hac vita exceſſurus, perturbetur, ſed potius lætetur, ut ad majora bona proficiſcens. Poſtea, ne quis hæc audiens, *peregrinamur a Domino*, diceret: Quid ais? Num a Deo abalienamur, quia hic ſumus? Objectionem hanc prævertens, dixit, *Per fidem enim ambulamus, non per ſpeciem.* Atque hic quidem ipſum noſcimus: ſed non ita clare. Id quod alio loco dicit. Per ſpeculum, & in ænigmate. *Audemus autem & bonam voluntatem habemus.* Papæ, quo ſermonem circumduxit: nempe ad ſummum mortis deſiderium; id, quod moleſtum eſt, ſuave eſſe oſtendens, & quod ſuave, moleſtum. Quod enim ait, *bonam voluntatem habemus*, id eſt, expetimus. Quid expetimus? Excedere e corpore, atque apud Dominum præſentes eſſe. Hoc autem, ut jam dixi, Paulus ſemper facit, ut eorum, qui ipſi adverſantur, ſermonem in contrarium torqueat. 9. *Unde & contendimus, ſive præſentes, ſive abſentes ipſi placere.* Hoc enim nobis propoſitum eſt, inquit, ut ſive illic, ſive hic ſimus, ex ipſius voluntate & ſententia vivere. Hoc enim ſtudio nihil eſt nobis antiquius. Itaque hinc jam regnum habes ſine probatione. Nam ne rurſus, cum in tantam cupiditatem veniſſent, illius peregrinationis moras ægre ferrent, hic jam ipſis, quod bonorum omnium caput eſt, tribuit. Quid illud eſt? ut Deo grati ſint. Neque enim ſimpliciter hinc excedere præclarum eſt: ſed excedere cum vitæ probitate; hinc enim præclarum quoque illud efficitur. Nec rurſus hic ſimpliciter eſſe grave eſt, ſed cum offenſione Dei hic eſſe.

A φθορᾷ δουλεύεις, τοῦτο ἀναιρεῖ λοιπὸν ἐκ τοῦ μέσου, καὶ ταχύτερόν σε ταύτης ἀπαλλάττει τῆς δουλείας. διὸ καὶ λέγει, θαῤῥοῦντες οὖν πάντοτε, οὐχὶ ἐν ταῖς ἀνέσεσιν, ἀλλὰ καὶ ἐν ταῖς θλίψεσι. καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἀποδημοῦμεν ἀπὸ τοῦ κυρίου· διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους· θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν ἀποδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. τὸ μεῖζον πάντων, ὕστερον τέθεικε. τοῦ γὰρ ἄφθαρτον λαβεῖν, τὸ μετὰ Χριστοῦ εἶναι βέλτιον. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ σβέννυσιν ἡμῶν τὴν ζωὴν ὁ B πολεμῶν, καὶ ἀναιρῶν· μὴ φοβηθῇς. θάῤῥει κατακοπτόμενος. οὐ γὰρ μόνον φθορᾶς σε ἀπαλλάττει καὶ βάρους, ἀλλὰ καὶ τῷ κυρίῳ σε παραπέμπει ταχέως. διὸ οὐδὲ εἶπεν, ὄντες ἐν τῷ σώματι, ὡς ἐν ἀλλοτρίᾳ ὄντων, καὶ ξένῃ. εἰδότες οὖν ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου· θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν ἐκδημῆσαι ἀπὸ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. εἶδες πῶς τὰ λυπηρὰ ἀποκρυψάμενος τὰ ὀνόματα τοῦ θανάτου, καὶ τῆς τελευτῆς, τὰ σφόδρα ποθεινὰ ἀντ' αὐτῶν τέθεικεν, C ἐνδημίαν αὐτὰ καλῶν πρὸς τὸν θεόν· καὶ τὰ δοκοῦντα εἶναι γλυκέα ἀφεὶς, τὰ τῆς ζωῆς, ἀπὸ τῶν λυπηρῶν αὐτὰ ὠνόμασεν, ἐκδημίαν ἀπὸ κυρίου τὴν ἐνταῦθα καλέσας ζωήν; τοῦτο δὲ ἐποίησεν, ἵνα μηδεὶς μήτε τοῖς παροῦσιν ἐμφιλοχωρῇ, ἀλλὰ καὶ βαρύνηται· μήτε μέλλων τελευτᾷν ἀλύῃ, ἀλλὰ καὶ χαίρῃ, ὡς ἐπὶ μείζονα ἀπιὼν ἀγαθά. εἶτα ἵνα μηδεὶς εἴπῃ ἀκούων, ὅτι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου, τί ταῦτα λέγεις; ἀλλοτριούμεθα οὖν αὐτοῦ ἐνταῦθα ὄντες; προδιώρθωσε τοῦτο εἰπὼν, διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. καὶ D ἐνταῦθα μὲν αὐτὸν ἴσμεν, ἀλλ' οὐχ οὕτω σαφῶς· ὃ καὶ ἀλλαχοῦ λέγει, ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι. θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν. βαβαὶ, ποῦ τὸν λόγον περιήγαγεν, εἰς ἐπιθυμίαν ἄκραν τελευτῆς, τὸ φορτικὸν, ἡδὺ δείξας, καὶ τὸ ἡδὺ, φορτικόν. τὸ γὰρ, εὐδοκοῦμεν, ἐπιθυμοῦμέν, φησι. τί ἐπιθυμοῦμεν; ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς κύριον. τοῦτο δὲ ἀεὶ ποιεῖ, ὃ καὶ ἔμπροσθεν ἔδειξα, εἰς τἀναντία περιτρέπων τὸν λόγον τῶν ἀντιλεγόντων αὐτῷ. διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. τὸ E γὰρ ζητούμενον τοῦτό ἐστι φησίν· ἄν τε ἐκεῖ ὦμεν, ἄν τε ἐνταῦθα, κατὰ γνώμην αὐτοῦ ζῆν. τοῦτο γάρ ἐστι τὸ προηγούμενον. ὥστε ἐντεῦθεν ἤδη τὴν βασιλείαν ἔχεις ἄνευ δοκιμῆς. ἵνα γὰρ μὴ πάλιν εἰς τοσαύτην ἐλθόντες ἐπιθυμίαν ἀλύωσι πρὸς τὴν μέλλησιν τῆς ἐπιδημίας, ἐντεῦθεν ἤδη δίδωσιν αὐτοῖς τὸ κεφάλαιον τῶν ἀγαθῶν. τί δὲ τοῦτό ἐστι; τὸ εὐαρέστους εἶναι. οὐδὲ γὰρ τὸ ἀπελθεῖν ἁπλῶς, καλόν· ἀλλὰ τὸ εὐδοκιμοῦντα, δι' ὃ γοῦν καλὸν κἀκεῖνο· οὐδὲ τὸ ἁπλῶς ἐνταῦθα εἶναι, βαρύ· ἀλλὰ τὸ προσκρούοντα.

A Μὴ τοίνυν νόμιζε τὴν ἐκ τοῦ σώματος ἀποδημίαν ἀρκεῖν. ἀρετῆς γὰρ πανταχοῦ χρεία. ὥσπερ γὰρ εἰπὼν ἀνάστασιν, οὐκ ἀφῆκεν αὐτῇ θαῤῥεῖν μόνον, λέγων, εἴγε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα· οὕτω καὶ ἀποδημίαν δείξας, ἵνα μὴ νομίσῃς αὐτὴν [a] ἀρκεῖν σοι πρὸς σωτηρίαν, τὸ εὐαρέστους δεῖ εἶναι προσέθηκεν. ἐπειδὴ τοίνυν προὔτρεψεν ἀπὸ πολλῶν χρηστῶν, λοιπὸν καὶ ἀπὸ τῶν σκυθρωποτέρων φοβεῖ. τὸ γὰρ συμφέρον, καὶ ἐν τῇ κτήσει τῶν ἀγαθῶν, καὶ ἐν τῇ φυγῇ τῶν κακῶν συνίσταται· ὅπερ ἐστὶ γέεννα, καὶ βασιλεία. B ἐπειδὴ δὲ τοῦτο μείζονα ἔχει τὴν ἰσχὺν, τὸ φυγεῖν κόλασιν, ἔνθα μὲν γὰρ μέχρι τοῦ μὴ λαβεῖν τὰ ἀγαθὰ ἡ ζημία, εὐκόλως οἱ πολλοὶ τοῦτο οἴσουσιν· ἂν δὲ καὶ μέχρι τοῦ κακῶς παθεῖν, οὐκέτι· ἔδει μὲν γὰρ ἐκείνην ἀφόρητον νομίζειν· ἀλλὰ διὰ τὴν ἀσθένειαν τῶν πολλῶν καὶ τὸ χαμαίζηλον, τοῦτο φαίνεται αὐτοῖς χαλεπώτερον. ἐπεὶ οὖν οὐχ οὕτω διεγείρει τὸν ἀκροατὴν τὸν πολὺν ἡ τῶν ἀγαθῶν δόσις, ὡς ἡ τῶν κολάσεων ἀπειλὴ, ἀναγκαίως ἐνταῦθα καταλύει, λέγων, τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ C Χριστοῦ. εἶτα φοβήσας καὶ κατασείσας τῇ μνήμῃ τοῦ βήματος ἐκείνου τὸν ἀκούοντα, οὐδὲ ἐνταῦθα χωρὶς τῶν χρηστῶν τέθεικε τὰ λυπηρὰ, ἀλλὰ ἀνέμιξέ τινα ἡδονὴν, εἰπὼν, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος, ὅσα ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. ταῦτα δὲ λέγων, τούς τε κατωρθωκότας καὶ ἐλαυνομένους, ἀνιστᾷ ταῖς ἐλπίσι· τούς τε ἀναπεπτωκότας, σπουδαιοτέρους ποιεῖ τῷ φόβῳ. καὶ τὸν περὶ τῆς ἀναστάσεως δὲ τῆς σωμάτων ἐβεβαίου λόγον. οὐ γὰρ δήπου τὸ διακονησάμενον εἰς τοῦτο κἀκεῖνο, D τῶν ἀμοιβῶν ἔξω στήσεται, φησίν· ἀλλὰ μετὰ τῆς ψυχῆς, τὰ μὲν κολάζεται, τὰ δὲ στεφανοῦται. ἀλλά τινες τῶν αἱρετικῶν φασιν, ὅτι ἕτερον ἐγείρεται σῶμα. πόθεν, εἰπέ μοι; ἄλλο ἥμαρτε, καὶ ἄλλο κολάζεται; ἄλλο κατώρθωσε, καὶ ἄλλο στεφανοῦται; τί δὲ ἐρεῖτε λέγοντι Παύλῳ, οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι; πῶς δὲ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς καταπίνεται; οὐ γὰρ εἶπεν, ἵνα καταποθῇ τὸ θνητὸν, ἢ τὸ φθαρτὸν σῶμα ὑπὸ τοῦ ἀφθάρτου σώματος· ἀλλ' ἵνα ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τότε γὰρ τοῦτο γίνεται, ὅταν τὸ αὐτὸ ἐγείρηται σῶμα· ἐὰν δὲ ἐκεῖνο ἀφεὶς, ἄλλο κατασκευάσῃ, οὐκέτι καταπίνεται, E ἀλλὰ μένει ἡ φθορὰ κρατήσασα. διὰ τοῦτο γίνεται τοῦτο· ἀλλὰ δεῖ τὸ φθαρτὸν τοῦτο, τουτέστι, τὸ σῶμα, ἐνδύσασθαι ἀφθαρσίαν. τὸ γὰρ σῶμα, μέσον ἐστί· νῦν μὲν ἐν τούτῳ γινόμενον, ὕστερον δὲ ἐσόμενον ἐν ἐκείνῳ. καὶ διὰ τοῦτο ἐν τούτῳ πρότερον, ἐπειδὴ τὴν ἀφθαρσίαν λυθῆναι οὐκ ἔνι. οὐ γὰρ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ, φησίν, ἐπεὶ πῶς ἔνι ἀφθαρσία; ἀλλὰ τοὐναντίον, καταπίνεται ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τοῦτο μὲν γὰρ ἐκείνου περιγίνεται, ἐκεῖνο δὲ τοῦτο οὐκέτι.

a ἀρκεῖν. Savil. in marg. ἀποχρῆν.

3. Cave ergo existimes excessum e corpore sufficere. Virtute quippe ubique est opus. Sicut enim, cum resurrectionis vocabulo usus esset, non sivit nos in ea sola fiduciam habere, dicens, *Si tamen vestiti, & non nudi inveniamur*: sic, cum peregrinationem ostendisset, ne eam tibi ad salutem satis esse crederes, hoc adjecit, placere Deo oportet. Postquam igitur a multis rebus lætis eorum animos incitavit, deinceps a tristioribus metum incutit. Quod enim utile est, tam in bonorum adeptione, quam in malorum fuga consistit, quæ quidem sunt gehenna & regnum. Cæterum quoniam pœnam effugere majorem vim habet: nam plerique jacturam bonorum facile ferrent; si autem tormenta sint ferenda, non item; oporteret enim priorem jacturam, intolerabilem existimare. Sed ex infirmitate & abjectione multi pœnam graviorem existimant. Etiamsi profecto intolerabilis regni cœlestis jactura existimanda erat: sed facit permultorum imbecillitas, abjectarumque rerum studium, ut hoc ipsis gravius esse videatur. Quoniam ergo magnam auditorum partem bonorum largitio non perinde excitat, ut tormentorum comminatio, necessitate compulsus sic sermonem concludit: 10. *Omnes enim nos manifestari oportet ante tribunal Christi.* Mox tamen, ubi tribunalis illius memoria auditorem terruit, ne hic quidem tristia sine lætis posuit, sed voluptate quadam miscuit, dicens, *Ut referat unusquisque propria corporis, prout gessit, sive bonum, sive malum.* Quibus verbis, & eos, qui præclare se gesserant, atque vexabantur, in spem erigit: & eos qui conciderant, injecto terrore diligentiores reddit: ac denique corporum resurrectionem confirmat. Non enim, inquit, id quod, tum ad virtutem, tum ad vitium, operam dedit, a præmio vel pœna excludetur: sed una cum animis corpora, partim excruciabuntur, partim coronas consequentur. At sunt hæretici, qui aliud corpus resurgere asserant? Unde hoc quæso? Aliud peccavit, aliud punitur? aliud recte fecit, aliud coronatur? Quid ad hæc Pauli verba dicturi estis, Nolumus spoliari, sed supervestiri? quomodo id quod corruptibile est, a vita absorbetur? Nec enim dixit Paulus, Ut absorbeatur mortale, vel corruptibile corpus ab incorruptibili corpore: sed, *ut corruptio a vita.* Hoc enim tum contingit, cum illud ipsum corpus ad vitam redit. Quod si relicto illo aliud exstruatur, non jam absorbetur corruptio, sed manet ac dominatur. Quocirca minime hoc fit: verum oportet corruptibile hoc, corpus nempe, induere incorruptionem. Corpus enim in medio est, ac nunc in corruptione est, post autem in incorruptione erit: ideo in corruptione prius: quoniam incorruptio solvi non poterat. Neque enim corruptio, inquit, incorruptionem hereditate possidebit; quomodo enim posset cum sit incorruptio? verum contra corruptio a vita absorbetur. Illa enim hanc vincit: hæc autem illam non item. Ut enim

Hæretici quidam aliud corpus resurgere dicebant.

1. Cor. 15. 50.

cera ignis ardore colliquescit, cera autem ignem non solvit: sic corruptio ab incorruptibilitate solvitur, atque exstinguitur: huic autem illa dominari nunquam poterit. Audiamus ergo vocem Pauli dicentis, Oportet nos sisti ad tribunal Christi: ac tribunal illud animo depingamus, existimemusque ipsum jam adesse, ac vitæ rationes a nobis exposci. Ego enim fusius exponam. Nam Paulus, quia de afflictione sermonem habebat, nec eos rursum premere volebat, non diutius in hac oratione immorandum esse duxit, sed paucis his verbis, *Unusquisque referet prout gessit*, id quod acerbitatem afferebat, complexus, statim ulterius transiit. Existimemus igitur diem illum extremum nunc adesse: quisque conscientiam consideret, fingatque animo adesse jam judicem, omniaque detegi, atque in medium proferri. Neque enim sisti tantum nobis necesse est, sed etiam manifestari. Annon erubuistis? Annon mente excessistis? Quod si nunc re nondum præsente, sed efficta dumtaxat, atque animo adumbrata, conscientia nostra pene nos exanimat, quid tandem faciemus, cum dies ille venerit, cum totus orbis terrarum adfuerit, cum angeli & archangeli, cum densa agmina, atque omnium cursus & raptus in nubibus, & acies tremoris plena? cum tubæ aliæ atque aliæ, & continuæ illæ voces? Nam, etiamsi nulla gehenna esset, tamen in tanto splendore rejici, & cum ignominia secedere, quantum tormentum esset? Etenim si imperatore cum suis urbem ingrediente, suam quisque nostrum paupertatem intuentes, non tantum ex hujusmodi spectaculo voluptatis, quantum ex eo, quod earum rerum, quæ circum Imperatorem sunt, nullo modo participes efficimur, nec prope eum, qui rerum potitur, sumus, mœroris capimus; quid tum futurum est? An vero leve tormentum esse censes, non adscribi in illum chorum, ad arcanam illam gloriam non admitti? ab illa celebritate, ac bonis, quæ nullo sermone explicari possunt, procul ac longe projici? Cum vero tenebræ insuper sint, & dentium stridor, & vincula insolubilia, & vermis immortalis, & ignis nunquam exstinguendus, & oppressio, atque angustia, & linguæ conflagratio, quemadmodum illa divitis, cum ejulemus & nemo audiat: ingemiscamus, ac præ dolorum acerbitate rugiamus, & nemo attendat: in omnes partes oculos convertamus, & nusquam sit qui solatium ferat: quo tandem loco eos constituemus, qui in tanta calamitate versabuntur?

Judicii postremi descriptio.

4. Quid illis animis miserius? quid miserabilius? Nam si, cum in carcerem quemdam ingressi, alios squalore confectos, alios catenis vinctos, ac fame laborantes, alios in tenebris clausos conspicimus, animis commovemur, ac perhorrescimus, nihilque non facimus, ut ne in eum locum incidamus; cum ad ipsos gehennæ equuleos obrepti trahemur, quinam futuri sumus? Non enim vincula illa ex ferro confecta sunt, sed igne

a περὶ θλίψεως. Alius περὶ ἀναστάσεως. Utraque lectio quadrat.

A ὥσπερ γὰρ κηρὸς λύεται μὲν ὑπὸ πυρὸς, αὐτὸς δὲ οὐκέτι λύει τὸ πῦρ· οὕτω καὶ ἡ φθορὰ τήκεται ὑπὸ τῆς ἀφθαρσίας καὶ ἀφανίζεται. αὕτη δὲ ἐκείνης κρατῆσαι οὐδέποτε δύναται. ἀκούσωμεν τοίνυν τῆς Παύλου φωνῆς λεγούσης, ὅτι δεῖ ἡμᾶς παρασταθῆναι τῷ βήματι τοῦ Χριστοῦ, καὶ ὑπογράψωμεν ἐκεῖνο τὸ δικαστήριον, καὶ νομίσωμεν αὐτὸ παρεῖναι νῦν, καὶ τὰς εὐθύνας ἀπαιτεῖσθαι. ἐγὼ γὰρ αὐτὸ πλατύτερον ἐρῶ. Παῦλος γὰρ, ἐπειδὴ [a] περὶ θλίψεως ἦν ὁ λόγος αὐτῷ, καὶ οὐκ ἐβούλετο πάλιν θλίψαι αὐτοὺς, οὐκ ἐνδιέτριψε τῷ λόγῳ· ἀλλ' ἐν βραχεῖ τὸ στύφον εἰ-
B πὼν, ἕκαστος κομίσεται πρὸς ἃ ἔπραξε, ταχέως παρέδραμε. νομίσωμεν οὖν αὐτὸ παρεῖναι νῦν, καὶ ἕκαστος τὸ ἑαυτοῦ συνειδὸς ἀναλογιζέσθω, καὶ ἤδη λογιζέσθω παρεῖναι τὸν δικαστὴν, καὶ πάντα ἀνακαλύπτεσθαι, καὶ εἰς μέσον ἄγεσθαι. οὐ γὰρ παραστῆναι ἡμᾶς ἁπλῶς δεῖ, ἀλλὰ καὶ φανερωθῆναι. ἆρα οὐκ ἠρυθριάσατε; ἆρα οὐκ ἐξέστητε; εἰ δὲ νῦν οὔπω τοῦ πράγματος παρόντος, ἀλλὰ ἁπλῶς καθ' ὑπόθεσιν δοθέντος, καὶ λογισμῷ τυπωθέντος, ἀπωλόμεθα ὑπὸ τοῦ συνειδότος· τί ποιήσομεν ὅταν παραγένηται, ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, ὅταν
C ἄγγελοι καὶ ἀρχάγγελοι, ὅταν ἐπάλληλοι τάξεις, καὶ δρόμος ἁπάντων, καὶ ἁρπαγαὶ ἐπὶ τῶν νεφελῶν, καὶ παράταξις τρόμου γέμουσα; ὅταν αἱ σάλπιγγες αἱ ἐπάλληλοι, αἱ συνεχεῖς ἐκεῖναι φωναί; Εἰ γὰρ μὴ γέεννα ἦν, τὸ ἐν τοσαύτῃ λαμπρότητι ἀπωσθῆναι, καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις; καὶ γὰρ εἰ νῦν, βασιλέως εἰσελαύνοντος καὶ τῶν μετ' αὐτοῦ, θεωροῦντες ἕκαστος τὴν ἑαυτοῦ πενίαν, οὐ τοσαύτην ἀπὸ τῆς θέας λαμβάνομεν ἡδονὴν, ὅσην ἀπὸ τοῦ μηδενὸς μετέχειν τῶν περὶ τὸν βασιλέα, μηδὲ ἐγγὺς εἶναι τοῦ
D κρατοῦντος, ἀθυμίαν ὑπομένομεν· τί τότε ἔσται; ἢ μικρὰν εἶναι νομίζεις κόλασιν, τὸ μὴ κατατάττεσθαι ἐν ἐκείνῳ τῷ χορῷ, τὸ μὴ καταξιοῦσθαι τῆς ἀπορρήτου δόξης, τὸ τῆς πανηγύρεως ἐκείνης καὶ τῶν ἀφράστων ἀγαθῶν πόῤῥω που καὶ μακρὰν ἀπεῤῥίφθαι; ὅταν δὲ καὶ σκότος ᾖ, καὶ βρυγμὸς ὀδόντων, καὶ δεσμὰ ἄλυτα, καὶ σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον, καὶ θλίψις, καὶ στενοχωρία, καὶ γλῶσσαι τηγανιζόμεναι, καθάπερ ἡ τοῦ πλουσίου, καὶ ὀλοφυρώμεθα, καὶ μηδεὶς ἀκούῃ, καὶ στένωμεν, καὶ βρύχωμεν ὑπὸ τῶν ἀλγηδόνων, καὶ μηδεὶς προσέχῃ, καὶ πανταχοῦ βλέπωμεν, καὶ μη-
E δαμοῦ μηδεὶς ὁ παραμυθούμενος ᾖ, ποῦ τάξομεν τοὺς ἐν τούτοις ὄντας;

Τί δὲ ἐκείνων ἀθλιώτερον τῶν ψυχῶν; τί δὲ ἐλεεινότερον; εἰ γὰρ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες, τοὺς δὲ δεδεμένους καὶ πεινῶντας, τοὺς δὲ ἐν σκότῳ [b] κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν, πάντα ὑπὲρ τοῦ μήποτε ἐμπεσεῖν ἐκεῖσε πράττομεν· ὅταν ἀπαγώμεθα συρόμενοι εἰς αὐτὰ τῆς γεέννης τὰ βασανιστήρια, τίνες ἐσόμεθα; οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα,

b Alius, κατακεκλειμένους.

ἀλλ' ἀπὸ πυρὸς οὐδέποτε σβεννυμένου· οὐδὲ ὁμότιμοι οἱ ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι· ἀλλ' ἄγγελοι, οἷς οὐδὲ προσβλέψαι θέμις, σφοδρῶς ὑπὲρ ὧν τὸν δεσπότην ὑβρίκαμεν ὀργιζόμενοι. οὐκ ἔστι, καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφάς, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν, καὶ παραμυθίας τυχεῖν· ἀλλὰ πάντα ἀσύγγνωστα ἐκεῖ. κἂν Νῶε ᾖ, κἂν Ἰώβ, κἂν Δανιήλ, καὶ τοὺς οἰκείους ἴδῃ κολαζομένους, οὐ τολμᾷ παραστῆναι. καὶ γὰρ καὶ τὴν ἐκ τῆς φύσεως συμπάθειαν τότε ἀναιρεῖσθαι συμβαίνει. ἐπειδὴ γὰρ συμβαίνει δικαίους εἶναι παῖδας πατέρων πονηρῶν, καὶ [a] παίδων πατέρας, ὥστε καθαρὰν εἶναι τὴν ἡδονήν, καὶ μὴ τῇ τῆς συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τοὺς ἀπολαύοντας τῶν ἀγαθῶν, καὶ ταύτην σβέννυσθαι τὴν συμπάθειάν φημι, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. εἰ γὰρ ἄνθρωποι οἱ τυχόντες, ὅταν ἴδωσι φαύλους τοὺς αὐτῶν παῖδας, ἀποκηρύττουσι καὶ τῆς συγγενείας ἐκτέμνουσι· πολλῷ μᾶλλον οἱ δίκαιοι τότε. τοιγαροῦν μηδεὶς ἐλπιζέτω χρηστά, μὴ ἐργαζόμενός τι χρηστόν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. ἕκαστος γὰρ κομίσεται πρὸς ἃ ἔπραξε τὰ διὰ τοῦ σώματος. ἐνταῦθά μοι δοκεῖ καὶ τοὺς πορνεύοντας αἰνίττεσθαι, καὶ τοὺς ἐκεῖθεν ἐπιτειχίζων φόβον αὐτοῖς· οὐκ ἐκείνοις δὲ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ὁτιοῦν πλημμελοῦσι. ἀκούωμεν τοίνυν καὶ ἡμεῖς· κἂν πῦρ ἔχῃς ἐπιθυμίας, ἀντίστησον ἐκεῖνο τὸ πῦρ, καὶ τοῦτο εὐθέως κατασβεσθὲν οἰχήσεται. κἂν βουληθῇς τι φθέγξασθαι ἀπηχές, ἐννόησον τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ χαλινὸς ἔσται σοι ὁ φόβος. κἂν ἁρπάσαι βουληθῇς, ἄκουσον τοῦ δικαστοῦ κελεύοντος καὶ λέγοντος, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· καὶ ἐκβαλεῖς καὶ ταύτην οὕτω τὴν ἐπιθυμίαν. κἂν μεθύῃς καὶ κραιπάλαν διατελῇς, ἄκουσον τοῦ πλουσίου λέγοντος, πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ καταψύξῃ τὴν τηγανιζομένην γλῶσσαν, καὶ οὐ τυγχάνοντος· καὶ ἀποστήσῃ τοῦ πάθους. εἰ δὲ τρυφῆς ἐρᾷς, ἐννόησον τὴν ἐκεῖ θλῖψιν καὶ τὴν στενοχωρίαν, καὶ οὐδὲν ἐννοήσεις ταύτην. εἰ δὲ ἀπηνὴς εἶ καὶ ὠμός, ἀναμνήσθητι τῶν παρθένων ἐκείνων, αἳ, τῶν λαμπάδων αὐταῖς σβεσθεισῶν, οὕτω τοῦ νυμφῶνος ἐξέπεσον· καὶ ταχέως ἔσῃ φιλάνθρωπος. ἀλλὰ νωθρὸς εἶ καὶ παρειμένος; λογίζου τὸν τὸ τάλαντον κατακρύψαντα, καὶ ἔσῃ πυρὸς σφοδρότερος. ἀλλὰ κατεσθίει σε ἡ τῆς τοῦ πλησίον [b] οὐσίας ἐπιθυμία; λογίζου τὸν σκώληκα τὸν ἀτελεύτητον, καὶ εὐκόλως καὶ τοῦτο ἀποθήσεις τὸ νόσημα, καὶ τὰ ἄλλα πάντα κατορθώσεις. οὐδὲν γὰρ φορτικὸν, οὐδὲ ἐπαχθὲς ἐπέταξε. πόθεν οὖν ἡμῖν φορτικὰ φαίνεται τὰ ἐπιτάγματα; ἀπὸ τῆς ἡμετέρας ῥαθυμίας. ὥσπερ γάρ, ἐὰν σπουδάζωμεν, καὶ τὰ δοκοῦντα ἀφόρητα εἶναι, κοῦφα ἔσται

A perpetuo ardente: nec nobis æquales ii, qui cruciandis nobis præficientur, quos etiam sæpenumero placare queas; sed angeli, quos ne obtueri quidem possis, propter eas, quas Domino intulimus, contumelias, ira flagrantes. Nec vero, ut in hac vita, cernere est, alios qui pecuniam, alios qui cibum, qui cohortatorios sermones afferant, consolationemque aliquam: verum omnia illic venia carent. Etiamsi adsit Noë, etiamsi Job, etiamsi Daniel, ac propinquos excruciari videat, iis auxilio esse non audet. Nam tum omnis illa commiseratio, a natura indita, B exstinguitur. Quia enim ita fieri potest, ut improborum parentum justi sint liberi, ac contra proborum filiorum mali parentes; ut pura atque omni mœrore vacua lætitia sit, nec ii qui bonis illis fruuntur, commiserationis necessitate torqueantur; hunc quoque commiserationis affectum in eis exstingui assero, ipsosque una cum Domino adversus viscera sua iracundia incendi. Nam si vulgares etiam homines, cum filios suos improbos esse vident, eos abdicant, atque a familia exscindunt, multo sane magis id tum justis usu venturum est. Quocirca nemo sibi bona polliceatur, si nihil boni fecerit, quamvis C sexcentos etiam justos avos habeat. *Unusquisque enim referet, prout gessit, propria corporis.* Atque hic scortatores mihi perstringere videtur, ac futurorum suppliciorum metum ipsis injicere, nec ipsis dumtaxat, sed & omnibus qui alio scelere sese devinciunt. Hæc igitur nos quoque audiamus: si libidinis igne flagras, ignem illum oppone: atque hic confestim exstinguetur & evanescet. Si quid, quod absonum sit, loqui gestis, dentium stridorem cogita: & freni instar tibi hic metus erit. Si vis cuipiam aliquid eripere, audi judicem imperantem, ac dicentem, *Ligate manus ejus ac pedes, & eji-* Matt. 22. 13.
D *cite eum in tenebras exteriores:* Ita fiet, ut hanc cupiditatem exturbes. Si vino deditus es, nec a crapula abstrahi potes, audi divitem illum dicentem, Mitte Lazarum, ut extremo digito suo linguam meam, ignis ardore conflagrantem, refrigeret, nec tamen id obtinentem: ita hoc vitio laborare desines. Si deliciarum amore teneris, afflictionem illam & angustiam cogita: & delicias ne quidem cogitabis. Si sævus & crudelis es, virginum illarum tibi in mentem veniat, quæ ob exstinctas lampades ad thalamum minime admissæ sunt: & humanitatem quam E primum indues. Si segnitie ac languore torpes, eum qui talentum abscondit cogita: & ignem ipsum acrimonia vinces. At fortasse alienarum opum cupiditas te arrodit? Vermem illum immortalem in mente habe: ac perfacile hunc morbum profligabis, & alia omnia Dei præcepta explebis. Neque enim ille quidquam durum ac grave imperavit. Unde fit igitur, ut quæ edixit, molesta nobis videantur? est socordia nostra & inertia. Ut enim, si studium ac diligentiam adhibeamus, etiam quæ intoleranda videntur, faci-

Ezech. 14.

Luc. 16. 24.

[a] παίδων πατέρας. Sic omnino legendum, ut legit interpres Latinus. Editi, παῖδας πατέρων, male.

[b] οὐσίας. Alius, περιουσίας.

lia & levia erunt; ita si desidia laboremus, etiam quæ tolerabilia sunt, difficilia nobis apparebunt. Hæc itaque omnia cogitantes, non eos qui deliciis indulgent, spectemus: sed quis eorum sit exitus; hic nempe stercus, & corporis obesitas; illic vermis & ignis. Non eos qui aliena rapiunt, sed quis eorum sit finis; hic videlicet curæ ac metus & angores; illic vincula insolubilia. Non eos, qui gloriæ studio ducuntur, sed quid ex ea nascatur; hoc est, servitus hic & simulationes; illic damnum intolerabile, ac perpetuus flammæ cruciatus. Nam si hæc cum animis nostris disseramus, & similia pravis cupiditatibus nostris occinamus, cito præsentium rerum amorem expellemus, & futurarum incendemus. Incendamus igitur eum, atque inflammemus. Nam si harum rerum cogitatio, quamvis obscura sit, tantam affert voluptatem; cogita, quæso, quantum oblectamenti perspicua earum fruitio nobis allatura sit. Beati ac ter & sæpius beati, quibus bonis illis frui contingit: quemadmodum contra miseri ac ter miseri, qui contraria his mala patiuntur. Ut ergo ex illorum, non ex horum, numero simus, virtutis studium capessamus. Sic enim ad futura bona perveniemus: ad quæ utinam pervenire nobis omnibus detur per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & sancto Spiritu sit gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ ῥᾴδια· οὕτως ἐὰν ῥαθυμῶμεν, καὶ τὰ φορητὰ δύσκολα ἡμῖν φανεῖται. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, μὴ τρυφῶντας ἐννοῶμεν, ἀλλὰ τί τὸ τέλος αὐτῶν. ἐνταῦθα μὲν κόπρος καὶ πολυσαρκία· ἐκεῖ δὲ σκώληξ καὶ πῦρ. μὴ τοὺς ἁρπάζοντας, ἀλλὰ τί τὸ τέλος αὐτῶν. φροντίδες ἐνταῦθα, καὶ φόβοι, καὶ ἀγωνίαι· ἐκεῖ δὲ δεσμὰ ἄλυτα. μὴ τοὺς δόξης ἐρῶντας, ἀλλὰ τί τὸ ἐκ τούτων τικτόμενον· δουλεῖαι ἐνταῦθα, καὶ εἰρωνεῖαι· ἐκεῖ δὲ καὶ ζημία ἀφόρητος, καὶ τὸ ἐμπυρίζεσθαι διηνεκῶς. ἂν γὰρ οὕτως ἑαυτοῖς διαλεγώμεθα, B καὶ ταῦτα καὶ τὰ τοιαῦτα ἐπᾴδωμεν συνεχῶς ταῖς πονηραῖς ἡμῶν ἐπιθυμίαις· ταχέως καὶ τὸν τῶν παρόντων ἐκβαλοῦμεν ἔρωτα, καὶ τὸν τῶν μελλόντων ἀνάψομεν. ἀνάψωμεν τοίνυν αὐτὸν, καὶ ἐκκαύσωμεν. εἰ γὰρ ἡ ἔννοια αὐτῶν, καίτοιγε ἀμυδρά τις οὖσα, τοσαύτην παρέχει τὴν ἡδονήν· ἐννόησον ὅσην αὐτὴ ἡ πεῖρα ἡ σαφὴς οἴσει τὴν εὐφροσύνην ἡμῖν. μακάριοι καὶ τρισμακάριοι καὶ πολλάκις τοῦτο οἱ τῶν ἀγαθῶν ἀπολαύοντες ἐκείνων· ὥσπερ οὖν ἐλεεινοὶ καὶ τρισάθλιοι οἱ τἀναντία τούτων ὑπομένοντες. ἵν' οὖν μὴ τούτων, ἀλλ' ἐκεί- C νων γενώμεθα, ἑλώμεθα τὴν ἀρετήν. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XI.

## ΟΜΙΛΙΑ ια΄.

11. *Scientes ergo timorem Domini, hominibus suademus: Deo autem manifesti sumus. Spero autem nos & in conscientiis vestris manifestos esse.*

Εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου, ἀνθρώποις πείθομεν, θεῷ δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ D ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

1. HÆC igitur scientes, inquit, hoc est, horrendum illud tribunal, omnem operam adhibemus, ut ne ansam ullam vobis demus, aut offendiculum, aut falsam aliquam adversum nos malæ actionis suspicionem. Viden' accuratum vitæ institutum studiumque animæ solicitæ? Neque enim tum solum accusamur, cum quid mali perpetravimus sed quamvis etiam nihil perpetremus, tamen si in suspicionem veniamus, nec eam amoliri, cum liceat, curemus, pœnas utique subituri sumus. 12. *Non iterum commendamus nos vobis: sed occasionem vobis damus gloriandi pro nobis.* Vide quomodo frequenter ejusmodi suspicionem a se removeat, quasi suas ipse laudes canere videatur. Nihil enim perinde auditorum animos offendit, ut cum quis magna & eximia quædam de se prædicat. Quoniam igitur in hujus argumenti sermonem incidere necesse habuerat, correctionem adhibuit dicens, Hoc vestra causa feci, non nostra: ut habeatis unde gloriemini, non nos: neque id simpliciter, sed propter falsos apostolos. Unde etiam subdidit, *Ad eos qui in facie gloriantur, & non in*

ΤΑΥΤΑ οὖν εἰδότες, φησὶ, τὸ δικαστήριον ἐκεῖνο τὸ φοβερὸν, πάντα πράττομεν ὥστε μὴ δοῦναι ὑμῖν λαβὴν, μηδὲ πρόσκομμα, μηδὲ ψευδῆ τινα ὑποψίαν πονηρᾶς πράξεως καθ' ἡμῶν. εἶδες πολιτείας ἀκρίβειαν, καὶ σπουδὴν ψυχῆς κηδεμονικῆς; οὐ γὰρ δὴ μόνον, ἂν πονηρόν τι πράξωμεν, φησὶν, ἐγκαλούμεθα· ἀλλὰ κἂν μὴ πράξωμεν, ὑποπτευώμεθα δὲ, καὶ κύριοι τὴν ὑποψίαν ὄντες ἀποκρούσασθαι, καταφρονήσωμεν, δίκην E τίνομεν. οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν. ὅρα πῶς συνεχῶς διορθοῦται τὴν τοῦ δοκεῖν ἐγκωμιάζειν ἑαυτὸν ὑπόνοιαν. οὐδὲν γὰρ οὕτω προσίσταται τοῖς ἀκούουσιν, ὡς τὸ περὶ ἑαυτοῦ τινα λέγειν μεγάλα καὶ θαυμαστά. ἐπεὶ οὖν ἠναγκάζετο εἰς ταύτην τὸν λόγον ἐμπεσεῖν τὴν ὑπόθεσιν, ἐπιδιορθώσει κέχρηται λέγων, ὅτι τοῦτο δι' ὑμᾶς ποιοῦμεν, οὐ δι' ἡμᾶς· ἵνα ὑμεῖς ἔχητε καλλωπίζεσθαι, οὐχ ἵνα ἡμεῖς· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ διὰ τοὺς ψευδαποστόλους. διὸ καὶ ἐπήγαγε, πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ

καὶ ἐν καρδίᾳ. Εἶδες πῶς αὐτοὺς ἀπέστησεν ἐκείνων, καὶ πρὸς ἑαυτὸν εἵλκυσεν, ἐνδειξάμενος, ὅτι καὶ αὐτοὶ ποθοῦσι οἱ Κορίνθιοι λαβεῖν τινα ἀφορμὴν, δι' ἧς δυνήσονται ὑπὲρ αὐτοῦ λέγειν, καὶ ἀπολογεῖσθαι τοῖς ἐγκαλοῦσιν; οὐ γὰρ ἵνα ἡμεῖς καυχησώμεθα, φησὶ, ταῦτα φαμὲν, ἀλλ' ἵνα ὑμεῖς ἔχητε ἐλευθεροστομεῖν ὑπὲρ ἡμῶν· ὅπερ πολλὴν αὐτοῖς ἐστὶ μαρτυροῦντος ἀγάπην· καὶ οὐχ ἵνα ἁπλῶς καυχήσησθε, ἀλλ' ἵνα μὴ παρασυρῆτε. ἀλλ' οὕτω μὲν οὐ λέγει σαφῶς, ἑτέρως δὲ καὶ ἡμερώτερον μεθοδεύει τὸν λόγον, καὶ χωρὶς τοῦ πλῆξαι ἐκείνους, λέγων· ἵνα ἔχητε καυχᾶσθαι πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους. ἀλλ' οὐδὲ τοῦτο ἁπλῶς κελεύει ποιεῖν, αἰτίας οὐκ οὔσης· ἀλλ' ὅταν ἐκεῖνοι ἑαυτοὺς ἐπαίρωσι. πανταχοῦ γὰρ τὸν καιρὸν ἐπιζητεῖ. οὐ τοίνυν ἵνα ἑαυτὸν δείξῃ λαμπρὸν, ἀλλ' ἵνα ἐκείνους παύσῃ ἀλόγως καὶ ἐπὶ βλάβῃ τούτων τῷ πράγματι χρωμένους, τοῦτο ποιεῖ. τί δέ ἐστιν, ἐν προσώπῳ; ἐν τοῖς ὁρωμένοις, ἐν τοῖς πρὸς ἐπίδειξιν. τοιοῦτοι γὰρ ἦσαν ἐκεῖνοι, πρὸς φιλοτιμίαν πάντα ποιοῦντες, καὶ ἔνδοθεν ὄντες κενοὶ, καὶ εὐλαβείας μὲν ἔχοντες πρόσωπον, καὶ σεμνοὶ φαινόμενοι, ἔργων δὲ ἀγαθῶν ἔρημοι καθεστῶτες. εἴτε γὰρ ἐξέστημεν, θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. ἄν τε τι, φησὶ, μέγα φθεγξώμεθα· ἔκστασιν γὰρ τοῦτο καλεῖ, ὥσπερ οὖν καὶ ἀλλαχοῦ ἀφροσύνην, διὰ τὸν θεὸν τοῦτο ποιοῦμεν· ἵνα μὴ ὑμεῖς νομίζοντες ἡμᾶς εὐτελεῖς, καταφρονήσητε, καὶ ἀπόλησθε. ἄν τε μέτριόν τι, καὶ ταπεινόν· δι' ὑμᾶς, ἵνα μάθητε ταπεινοφρονεῖν. ἢ καὶ ἐκεῖνο πάλιν φησὶν, εἰ μὲν μαίνεσθαί τις ἡμᾶς νομίζει, ἡμεῖς παρὰ τοῦ θεοῦ τὸν μισθὸν ἀπαιτοῦμεν, δι' ὃν ἐπὶ τούτοις ὑποπτευόμεθα· εἰ δὲ σωφρονεῖν ἡγεῖται, αὐτὸς ἀπολαυέτω τῆς σωφροσύνης ἡμῶν. καὶ πάλιν ἄλλως· μαίνεσθαι τὶς ἡμᾶς φησι; διὰ τὸν θεὸν τοιαῦτα μαινόμεθα. διὸ καὶ ἐπάγει· ἡ γὰρ ἀγάπη τοῦ θεοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο. οὐ γὰρ ὁ τῶν μελλόντων φόβος, φησὶ, μόνον, ἀλλὰ καὶ τὰ ἤδη γεγενημένα οὐκ ἀφίησιν ἡμᾶς ῥαθυμῆσαι, οὐδὲ ὑπνῶσαι, ἀλλὰ διανίστησι πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους, καὶ ὠθεῖ. καὶ τίνα ἐστὶ τὰ ἤδη γεγενημένα; ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. οὐκοῦν ὡς πάντων ἀπολομένων, φησίν. οὐ γὰρ ἂν εἰ μὴ πάντες ἀπέθανον, ὑπὲρ πάντων ἀπέθανεν. ἐνταῦθα γάρ εἰσιν αἱ τῆς σωτηρίας ἀφορμαὶ, ἐκεῖ δὲ οὐκέτι. διὰ τοῦτό φησι, συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ θεοῦ, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἡσυχάζειν. ἐσχάτης γάρ ἐστιν ἀθλιότητος, καὶ γεέννης αὐτῆς χαλεπώτερον, αὐτοῦ πρᾶγμα τοσοῦτον ἐπιδειξαμένου, εὑρεθῆναί τινας μετὰ τὴν τοσαύτην αὐτοῦ πρόνοιαν μηδὲν καρπουμένους. καὶ γὰρ πολλὴ τῆς ἀγάπης ἡ ὑπερβολὴ,

A *corde.* Vides-ne ut hos ab illis abduxerit, atque ad suas partes pertraxerit, cum illud ostendit, quod ipsi quoque Corinthii occasionem aliquam arripere cupiant, qua ipsius causam tueri, iisque, a quibus in crimen vocabatur, respondere queant? Non enim, inquit, hæc eo dicimus, ut ipsi gloriemur: sed ut vos pro nobis liberam vocem mittere possitis. Id quod hominis erat ingentem illis erga se amorem testificantis. Nec vero ut tantum gloriemini: sed etiam ut ne ab ipsis in fraudem impellamini. Illud tamen haud
B aperte dicit: verum mitioribus aliis verbis eamdem rem aggreditur, ac citra illorum perstrictionem dicens: *Ut habeatis unde gloriemini ad eos, qui in facie gloriantur.* Ac ne hoc quidem temere & sine causa ab iis fieri vult, sed tum demum, cum eos insolentius sese efferre conspexerint. Ubique enim occasionem exquirit. Non igitur, ut seipsum illustrem ostendat, sed ut illos, præpostere atque in Corinthiorum detrimentum sese venditantes compescat, hoc facit. Quid autem est, *in facie?* In iis, quæ oculis cernuntur,
C atque ad ostentationem tendunt. Tali enim animo illi prædití erant, ut qui ad honores & gloriam actiones suas omnes referrent, intusque inanes essent, ac pietatis quidem larvam gererent, gravitatisque speciem haberent, cæterum bonis operibus carerent. 13. *Sive enim mente excedimus, Deo: sive sobrii sumus, vobis.* Sive enim, inquit, magni aliquid loquamur; nam hoc mentis excessum vocat, ut & alio loco, insipientiam; Dei causa facimus: ne vos, dum de nobis ut vilibus, existimatis, contemtui nos habeatis ac pereatis: sive humile aliquid ac demissum, vestri gratia hoc facimus, ut modeste
D de vobis sentire discatis. Vel etiam hoc ait, Si quis nos insanire existimat, a Deo propter quem in hanc suspicionem venimus, mercedem efflagitamus: sin autem nos sanæ mentis esse censet, fruatur ille sane nostra sobrietate. Ac rursus aliter: Insanire nos quispiam dicit? Propter Deum hujusmodi insania laboramus. Unde etiam subdit: 14. *Caritas enim Dei urget nos:* 15. *æstimantes hoc.* Non modo, inquit, futurorum metus, sed etiam, quæ jam contigerunt, non sinunt nos desidia torpere atque obdormiscere: verum ad suscipiendos salutis vestræ causa labores exsuscitant, atque impellunt. Quænam au-
E tem sunt ea, quæ jam contigerunt? *Quoniam si unus pro omnibus mortuus est, ergo omnes mortui sunt.* Ergo ita loquitur Paulus, ac si omnes periissent. Neque enim pro omnibus Christus mortem oppetiisset, nisi omnes mortem obiissent. Hic enim sunt salutis occasiones, illic autem non item. Proinde caritas, inquit, Dei urget nos, nec sinit conquiescere. Extremæ enim miseriæ fuerit, ac vel gehenna ipsa atrocius, cum ille tam præclarum facinus ediderit, inveniri quosdam, qui ex tanta ipsius cura nullum fructum capiant. Magnæ enim ac singularis cujusdam est caritatis,

pro tanto terrarum orbe, atque ita affecto, mortem subiisse. *Ut qui vivunt, non jam sibi vivant, sed ei qui pro ipsis mortuus est ac resurrexit.* Si itaque nos nobisipsis vivere non oportet, ne turbemini, inquit, neque tumultuemini, instantibus periculis, & morte. Ac rationem haud dubiam affert, quamobrem id facere debeamus. Etenim cum per ipsum morte functum vivamus, ei utique, per quem vivimus, vivere debemus. Atque unum & idem esse videtur id quod dictum est: cæterum, si quis accurate rem expendat, duo hæc esse comperiet; unum nimirum, quod propter ipsum vivimus, alterum quia ipse nostri causa mortuus est. Quorum utrumque, vel seorsim consideratum, nos ei obnoxios reddere queat. Cum autem ambo in unum confluant, cogites velim quanto ei beneficio sis devinctus. Imo tria hæc sunt. Etenim primitias propter te excitavit, atque in cælum evexit. Unde etiam addidit, *ei qui pro nobis mortuus est ac resurrexit.* 16. *Itaque nos ex hoc jam neminem novimus secundum carnem.* Nam si omnes mortui sunt, & omnes resurrexerunt, atque ita mortui sunt, ut peccati tyrannis eos condemnabat: resurrexerunt autem per regenerationis lavacrum & Spiritus sancti renovationem; jure dicit, Neminem fidelium novimus secundum carnem. Etsi enim in carne sunt, quid tum? Nam carnalis illa vita interiit: ac desuper in Spiritu geniti sumus, atque aliam vitæ rationem, aliumque vitæ statum, nimirum eum, qui in cælis est, novimus. Ac rursum hujus beneficii auctorem Christum esse ostendit, ac propterea subjunxit: *Etsi cognovimus Christum secundum carnem: sed nunc jam non novimus.*

2. Quid igitur? dices, An carnem exuit, ac nunc corporis est expers? Apage. Nam nunc quoque in carne est. Hic enim Jesus, qui a vobis assumtus est in cælum, sic veniet. Quomodo, sic? In carne videlicet, & cum corpore. Cur ergo dicit, *etsi cognovimus Christum secundum carnem, sed nunc jam non novimus?* Cum de nobis sermo est, *secundum carnem*, idem est, quod in peccatis esse: contra, *non secundum carnem*, idem quod in peccatis non esse. At cum de Christo sermo habetur, secundum carnem nihil aliud significat, quam in naturæ affectionibus esse, ut in fame, in siti, in fatigatione, in somno. Peccatum enim non fecit, nec inventus est

Joan. 8. 46. 14. 4. dolus in ore ejus. Atque idcirco dicebat, Quis ex vobis arguet me de peccato? Et rursus: Venit princeps mundi hujus: & in me non habet quidquam. Illud vero, non secundum carnem, nihil aliud indicat, quam eum hujusmodi affectionibus jam vacare, non autem quod extra carnem sit. Nam cum hac quoque, impatibili jam atque immortali, ad judicium de orbe ferendum venturus est. Ad quam etiam dignitatem nos proficiscemur, cum corpus nostrum conforme effectum fuerit corpori claritatis ipsius. 17. *Itaque si qua in Christo nova creatura.* Postquam enim a caritate ad virtutem incitavit, jam ab ipsis quoque rebus ad eam nos exstimulat.

A καὶ τὸ ἀποθανεῖν ὑπὲρ τοσαύτης οἰκουμένης, καὶ οὕτω διακειμένης ἀποθανεῖν. ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἰ τοίνυν οὐ δεῖ ἡμᾶς ἑαυτοῖς ζῆν, μὴ ταράττεσθε, φησὶ, μηδὲ θορυβεῖσθε κινδύνων ἐπιόντων, καὶ θανάτων. καὶ λογισμὸν δὲ τίθησιν ἀναμφίβολον, δι' οὗ δείκνυσιν ὀφειλὴν τὸ πρᾶγμα ὄν. εἰ γὰρ δι' αὐτοῦ ζῶμεν ἀποθανόντος, αὐτῷ ζῆν ὀφείλομεν δι' οὗ ζῶμεν. καὶ δοκεῖ μὲν ἓν εἶναι τὸ εἰρημένον· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, δύο ταῦτά ἐστιν· ἓν

B μὲν, ὅτι δι' αὐτὸν ζῶμεν· ἕτερον δὲ, ὅτι αὐτὸς δι' ἡμᾶς ἀπέθανεν. ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ὑπευθύνους ποιῆσαι· ὅταν δὲ καὶ ἀμφότερα συνέλθῃ, ἐννόησον ἡλίκον ἐστὶ τὸ ὀφείλημα. μᾶλλον δὲ καὶ τρία ταῦτά ἐστι. καὶ γὰρ τὴν ἀπαρχὴν διὰ σὲ ἀνέστησε, καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγε. διὸ καὶ προσέθηκε, τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα. εἰ γὰρ πάντες ἀπέθανον, καὶ πάντες ἀνέστησαν, καὶ ἀπέθανον μὲν οὕτως, ὡς τῆς ἁμαρτίας ἡ τυραννὶς κατεδίκαζεν, ἀνέστησαν δὲ διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου· εἰκότως φησὶν, οὐδένα οἴδα-

C μεν κατὰ σάρκα τῶν πιστῶν. τί γὰρ εἰ καὶ ἐν σαρκί εἰσιν; ἀλλὰ ἡ ζωὴ ἐκείνη ἡ σαρκικὴ ἀπώλετο, καὶ ἄνωθεν ἐγεννήθημεν ἐν πνεύματι, καὶ ἑτέραν οἴδαμεν πολιτείαν, καὶ διαγωγὴν, καὶ ζωὴν, καὶ κατάστασιν τὴν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν τούτου αὐτοῦ ἀρχηγὸν τὸν Χριστὸν ὄντα δείκνυσι· διὸ καὶ ἐπήγαγεν, εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.

Τί οὖν; εἰπέ μοι; τὴν σάρκα ἀπέθετο, καὶ νῦν

D οὐκ ἔστι μετὰ τοῦ σώματος; ἄπαγε. καὶ γὰρ καὶ νῦν ἐν σαρκί ἐστιν. οὗτος γὰρ ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται. πῶς, οὕτω; ἐν σαρκὶ, μετὰ τοῦ σώματος. πῶς οὖν φησιν, εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι; ἡμῶν μὲν γὰρ τὸ κατὰ σάρκα, τὸ ἐν ἁμαρτίαις εἶναι· τὸ δὲ, μὴ κατὰ σάρκα, τὸ μὴ ἐν ἁμαρτίαις εἶναι. Χριστοῦ δὲ τὸ κατὰ σάρκα, τὸ ἐν τοῖς παθήμασιν εἶναι τῆς φύσεως, οἷον, ἐν τῷ διψῆν, ἐν τῷ πεινῆν, ἐν τῷ κοπιᾷν, ἐν τῷ καθεύδειν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν,

E οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. διὸ καὶ ἔλεγε, τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ πάλιν, ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. τὸ δὲ, μὴ κατὰ σάρκα, τὸ καὶ τούτων ἀπηλλάχθαι λοιπὸν, οὐ τὸ ἐκτὸς σαρκὸς εἶναι. καὶ γὰρ μετὰ ταύτης ἔρχεται κρίνων τὴν οἰκουμένην, ἀπαθῆ αὐτὴν ἔχων, καὶ ἀκήρατον· εἰς ὃ καὶ ἡμεῖς βαδιούμεθα, συμμόρφου τοῦ σώματος ἡμῖν γινομένου τῷ σώματι τῆς δόξης αὐτοῦ. ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀγάπης προέτρεψεν εἰς τὴν ἀρετὴν, λοιπὸν καὶ ἐξ αὐτῶν τῶν πραγμάτων

εἰς τοῦτο ἀνάγκη. διὸ καὶ ἐπήγαγεν, Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· εἴ τις ἐπίστευσεν αὐτῷ, φησιν, εἰς ἑτέραν ἦλθε δημιουργίαν. καὶ γὰρ ἄνωθεν ἐγεννήθη διὰ πνεύματος. ὥστε καὶ διὰ τοῦτό, φησιν, ὀφείλομεν αὐτῷ ζῆν, οὐχ ὅτι οὐκ ἐσμὲν ἑαυτῶν μόνον, οὐδ᾽ ὅτι ἀπέθανεν ὑπὲρ ἡμῶν μόνον, οὐδ᾽ ὅτι ἀνέστησεν ἡμῶν τὴν ἀπαρχὴν μόνον, ἀλλ᾽ ὅτι καὶ εἰς ἄλλην ἤλθομεν ζωήν. ὅρα πόσα δικαιώματα τοῦ καλῶς ζῆν τίθησι. διὰ γὰρ τοῦτο καὶ παχυτέρῳ ὀνόματι καλεῖ τὴν διόρθωσιν, ἵνα πολλὴν δείξῃ τὴν μετάστασιν καὶ τὴν μεταβολήν. εἶτα περαιτέρω ἐπεξιὼν τῷ εἰρημένῳ, καὶ δεικνὺς πῶς καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθε, φησιν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. ποῖα ἀρχαῖα; ἤτοι τὰ ἁμαρτήματά φησι, καὶ τὰς ἀσεβείας, ἢ τὰ Ἰουδαϊκὰ πάντα· μᾶλλον δὲ καὶ ταῦτα, κἀκεῖνά φησιν. ἰδοὺ γέγονε τὰ πάντα καινά. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. οὐδὲν ἐξ ἡμῶν. καὶ γὰρ ἄφεσις ἁμαρτημάτων, καὶ υἱοθεσία, καὶ ἡ δόξα ἄφθαρτος ἐξ αὐτοῦ ἡμῖν δεδώρηται. οὐκέτι γὰρ ἀπὸ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων αὐτοὺς προτρέπει. σκόπει δέ· εἶπεν, ὅτι μέλλομεν ἀνίστασθαι, καὶ εἰς ἀφθαρσίαν χωρεῖν, καὶ οἰκίαν ἔχειν αἰώνιον. ἀλλ᾽ ἐπεὶ μείζονα ἰσχὺν εἰς τὸ προτρέψαι ἔχει τὰ παρόντα τῶν μελλόντων πρὸς τοὺς μὴ πιστεύοντας τούτοις, ὡς δεῖ πιστεύειν, δείκνυσιν ὅσα καὶ ἤδη ἔλαβον, καὶ τίνες ὄντες. τίνες οὖν ὄντες ἔλαβον; νεκροὶ πάντες, πάντες γάρ, φησιν, ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν· οὕτω πάντας ὁμοίως ἠγάπα, πεπαλαιωμένοι, γεγηρακότες ἅπαντες τοῖς κακοῖς. ἀλλ᾽ ἰδοὺ καὶ ψυχὴ καινή, ἐκαθάρθη γάρ, καὶ σῶμα καινόν, καὶ λατρεία καινή, καὶ ἐπαγγελίαι καιναί, καὶ διαθήκη, καὶ ζωή, καὶ τράπεζα, καὶ στολή, καὶ πάντα καινὰ ἁπλῶς. καὶ γὰρ ἀντὶ τῆς κάτω Ἱερουσαλήμ, ἐλάβομεν τὴν ἄνω μητρόπολιν· καὶ ἀντὶ ναοῦ αἰσθητοῦ, ναὸν εἴδομεν πνευματικόν· ἀντὶ πλακῶν λιθίνων σαρκίνας, ἀντὶ περιτομῆς βάπτισμα, ἀντὶ τοῦ μάννα σῶμα δεσποτικόν, ἀντὶ ὕδατος ἀπὸ πέτρας, αἷμα πλευρᾶς, ἀντὶ ῥάβδου Μωϋσέως ἢ Ἀαρών, τὸν σταυρόν, [a] ἀντὶ τῆς ἐπαγγελίας τὴν βασιλείαν τῶν οὐρανῶν, ἀντὶ μυρίων ἱερέων ἕνα ἀρχιερέα, ἀντὶ ἀμνοῦ ἀλόγου ἀμνὸν πνευματικόν. ταῦτα καὶ τὰ τοιαῦτα λογιζόμενος ἔλεγε, καινὰ τὰ πάντα. ταῦτα δὲ πάντα ἐκ τοῦ θεοῦ, διὰ Χριστοῦ καὶ τῆς αὐτοῦ δωρεᾶς. διὸ καὶ ἐπήγαγε· τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ τοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. ἀπὸ γὰρ τούτου πάντα τὰ ἀγαθά. ὁ γὰρ φίλους ἡμᾶς ποιήσας, αὐτὸς καὶ τῶν ἄλλων αἴτιος, ἃ τοῖς φίλοις ἔδωκεν ὁ θεός. οὐ γὰρ ἀφεὶς μένειν ἐχθρούς, οὕτως ἡμᾶς ἠμείψατο· ἀλλὰ φίλους ποιήσας ἑαυτῷ. ὅταν δὲ εἴπω, ὅτι Χριστὸς αἴτιος τῆς καταλλαγῆς, καὶ τὸν πατέρα λέγω· ὅταν εἴπω τὸν πατέρα δεδωκέναι,

Ac propterea subjungit; *Itaque si qua in Christo nova creatura.* Si quis ipsius fidem amplexus est, inquit, ad alterum opificii genus venit. Etenim superne per Spiritum genitus est. Atque ideo par est ut ipsi vivamus, non tantum quia nostri juris non sumus, aut quia ipse pro nobis mortem oppetiit, aut quia primitias generis nostri a morte ad vitam revocavit, sed etiam quia ad alteram vitam accessimus. Vide quot æquas rationes afferat, cur recte nobis ducenda vita sit. Nam ob id quoque crassiore vocabulo correctionem hujusmodi appellandam censuit, ut magnam migrationem ac vitæ commutationem ostendat. Postea ulterius prosequens id quod dixit, atque ostendens quomodo nova creatura simus, *Vetera transierunt*, inquit, *ecce facta sunt omnia nova.* Quænam vetera? Peccata & impietates: vel etiam Judaïcæ omnes ceremoniæ: vel potius hæc simul & illa. *Ecce facta sunt omnia nova.* 18. *Omnia autem ex Deo.* Nihil a nobis profectum est. Nam & peccatorum condonatio, & adoptatio, & gloria incorrupta ipsius munere nobis concessa est. Non enim jam a futuris tantum, sed a præsentibus quoque illos cohortatur. Attende enim: dixerat fore, ut resurgeremus, atque ad incorruptionem veniremus, domumque sempiternam haberemus. Verum quoniam apud eos, qui futura non perinde, ut oportet, credunt, præsentia majorem ad excitandos animos vim habent, quam futura, quanta jam acceperint demonstrat, & qui tum essent, cum hujusmodi beneficiis ornati sunt. Quinam ergo erant? Mortui utique omnes; omnes enim mortui sunt: & pro omnibus mortuus est, tanto erga omnes amore flagrabat, ac vitii senio & vetustate omnes confecti. At ecce jam anima nova, purgata enim est; & corpus novum, & novum adorationis genus, & pollicitationes novæ, & Testamentum, & vita, & mensa, & vestis, & omnia nova sunt. Etenim pro terrena Jerusalem, cælestem metropolim accepimus: pro visibili templo, templum spirituale cernimus: pro lapideis tabulis carneas, pro circumcisione baptismum, pro manna corpus Dominicum, pro aqua e petra, cruorem e latere profluentem, pro virga Mosis aut Aaronis, crucem, pro terra illa Judæis promissa cælorum regnum, pro sexcentis sacerdotibus unum pontificem, pro agno rationis experte agnum spiritualem. Hæc aliaque Paulus animo volvens, dicebat, *nova facta sunt omnia. Omnia autem ex Deo.* Per Christum videlicet, ac per beneficium ab eo acceptum. Unde etiam subjungit, *qui nos reconcilians sibi per Christum: & dedit nobis ministerium reconciliationis.* Ex hoc enim omnia bona. Nam ei qui nos amicos reddidit, eidem quoque alia accepta referenda sunt, quæ Deus nobis in amicitiam receptis largitus est. Neque enim nos hostes manere sinens hujusmodi munere affecit: sed prius in amicitiam ipsius restitutos. Porro cum aio Christum reconciliationis nobis auctorem extitisse, Patrem quoque dico: cum dico Patrem dedisse,

Omnia jam nova sunt, quomodo.

[a] ἀντὶ τῆς ἐπαγγελίας, forte legendum, ἀντὶ τῆς γῆς τῆς ἐπαγγελίας, ut suspicatur Savilius.

Filium quoque dico. Omnia enim per eum facta sunt : atque ipse hujus rei auctor existit. Neque enim nos ad eum accurrimus : sed ipse nos vocavit. Quonam modo vocavit ? Per Christi necem. *Qui nobis dedit ministerium reconciliationis.* Hic rursus apostolorum dignitatem ostendit, declarans, & quantum munus ipsorum fidei commissum sit, & quam eximius ac singularis sit Dei erga nos amor. Non enim postquam legati illius, qui venerat, vocem audire neglexerunt, ira incensus est, eosque deseruit : sed perstat adhuc, tum per se, tum per alios admonens, & exhortans. Ecquis est qui tantam salutis nostræ curam pro dignitate admirari possit ? Interemtus est Filius, qui dirimendæ injuriæ causa venerat, Filius, inquam, verus atque unigenitus : ac ne sic quidem Pater eos, qui ipsi necem intulerunt, aversatus est, nec dixit, Misi legationis causa filium meum : illi autem non modo ipsum audire recusarunt, sed ipsum de medio sustulerunt, atque in crucem egerunt : æquum est jam eos derelinquere. Verum contra omnino fecit : & quia ille abscessit, nobis hanc provinciam mandavit. *Qui dedit nobis ministerium reconciliationis :* 19. *quoniam quidem Deus erat in Christo mundum reconcilians sibi, non reputans illis delicta ipsorum.* Vides-ne caritatem, vim omnem verborum, cogitationem omnem excedentem ? Quisnam erat, qui injuriam acceperat ? Ipse. Quisnam fuit, qui primus ad delendam inimicitiam venit ? Ipse. At, inquies, Filium misit, non autem ipse venit. Filium quidem misit : sed tamen non ipse solum hortabatur, sed Pater quoque, & cum eo, & per eum. Ob idque etiam dicebat apostolus, *Deus erat mundum sibi reconcilians in Christo.* Hoc est, per Christum. Quoniam enim dixerat, *Qui dedit nobis ministerium reconciliationis*, temperamento quodam utitur, dicens : Ne existimetis summam hujus rei auctoritatem penes nos esse : ministri tantum sumus. Deus est qui totum hoc efficit, qui per Unigenitum terrarum orbem reconciliavit. Quo tandem id modo ? Nam hoc est admirabile, non solum quod amicus effectus sit ; sed etiam quod sic amicus. Quomodo ? Peccata ipsis remittens, nam aliter amicitia contrahi non poterat. Unde etiam subdidit, *non reputans illis delicta ipsorum.* Etenim si admissorum peccatorum rationem exposcere voluisset, omnes periissemus. Omnes quippe mortui erant. Sed tamen cum tantus peccatorum numerus esset, non modo nullas a nobis pœnas expetivit, sed etiam nobiscum in gratiam rediit : non modo remisit, sed nec imputavit. Sic & nobis faciendum est, ut inimicis nostris ignoscamus : quo eamdem veniam impetremus. *Et posuit in nobis verbum reconciliationis.* Neque enim nos ad grave aliquod negotium venimus, sed ut omnes Deo amicos efficiamus. Quoniam, inquit, verbis meis fidem non adhibuerunt, in exhortando ipsi perstate, donec persuaseritis. Ideo subjunxit : 20. *Pro Christo legatione fungimur, tamquam Deo exhortante per nos. Obsecramus pro Christo, reconciliamini Deo.*

Apostolorum dignitas.

A καὶ τὸν υἱὸν λέγω. πάντα γὰρ δι᾽ αὐτοῦ ἐγένετο· καὶ τούτου δὲ αὐτὸς αἴτιος. οὐ γὰρ ἡμεῖς αὐτῷ προσεδράμομεν, ἀλλ᾽ αὐτὸς ἡμᾶς ἐκάλεσε. πῶς ἐκάλεσε; διὰ τῆς τοῦ Χριστοῦ σφαγῆς. καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. πάλιν ἐνταῦθα δείκνυσι τὸ τῶν ἀποστόλων ἀξίωμα, δεικνὺς ἡλίκον πρᾶγμα ἐνεχειρίσθησαν, καὶ τῆς ἀγάπης τοῦ θεοῦ τὴν ὑπερβολήν. οὐδὲ γὰρ, ἐπειδὴ παρήκουσαν τοῦ ἐλθόντος πρεσβευτοῦ, παρωξύνθη, καὶ ἀφῆκεν αὐτοὺς, ἀλλ᾽ ἐπιμένει παρακαλῶν, καὶ δι᾽ ἑαυτοῦ, καὶ δι᾽ ἑτέρων. B τίς ἂν ταύτην ἀξίως ἐκπλαγείη τὴν κηδεμονίαν; ἐσφάγη ὁ υἱὸς ἐπὶ καταλλαγὰς ἐλθὼν, ὁ γνήσιος καὶ μονογενὴς, καὶ οὐδὲ οὕτως ἀπεστράφη τοὺς ἀνῃρηκότας ὁ πατὴρ, οὐδὲ εἶπεν, ἔπεμψα τὸν υἱόν μου πρεσβευσόμενον, οἱ δὲ οὐ μόνον οὐκ ἠθέλησαν ἀκοῦσαι, ἀλλὰ καὶ ἀνεῖλον καὶ ἐσταύρωσαν· ἄξιον αὐτοὺς ἀφεῖναι λοιπόν. ἀλλὰ τοὐναντίον ἅπαν, ἐπειδὴ ἐκεῖνος ἀπῆλθεν, ἡμῖν τὸ πρᾶγμα ἐπίστευσε. δόντος γὰρ ἡμῖν, φησι, τὴν διακονίαν τῆς καταλλαγῆς. ὡς ὅτι θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. C εἶδες ἀγάπην πάντα λόγον, πάντα ὑπερβαίνουσαν νοῦν; τίς ὁ ὑβρισμένος; αὐτός. τίς ὁ πρῶτος ἐλθὼν εἰς καταλλαγάς; αὐτός. καὶ μὴν τὸν υἱὸν ἔπεμψε, φησιν, οὐκ αὐτὸς ἦλθε. τὸν υἱὸν μὲν ἔπεμψεν· οὐκ αὐτὸς δὲ παρεκάλει μόνον, ἀλλὰ καὶ μετ᾽ αὐτοῦ καὶ δι᾽ αὐτοῦ ὁ πατήρ. διὸ ἔλεγεν, ὅτι ὁ θεὸς ἦν ὁ καταλλάσσων ἑαυτῷ τὸν κόσμον ἐν Χριστῷ· τουτέστι, διὰ τοῦ Χριστοῦ. ἐπειδὴ γὰρ εἶπε, τοῦ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, ἐπιδιορθώσει κέχρηται, λέγων, μὴ νομίσητε, ὅτι ἡμεῖς ἐσμεν οἱ τοῦ πράγ- D ματος αὐθένται· διάκονοί ἐσμεν· ὁ δὲ τὸ πᾶν ἐργαζόμενος, θεός ἐστιν, ὁ διὰ τοῦ μονογενοῦς τὴν οἰκουμένην καταλλάξας. καὶ πῶς κατήλλαξεν ἑαυτῷ; τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, οὐχ ὅτι φίλος ἐγένετο μόνον, ἀλλ᾽ ὅτι καὶ οὕτω φίλος. οὕτω; πῶς; ἀφεὶς αὐτοῖς τὰ ἁμαρτήματα· ἄλλως γὰρ οὐκ ἦν. διὸ καὶ ἐπήγαγε, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. εἰ γὰρ εἰ ἠθέλησεν ἀπαιτῆσαι λόγον τῶν πεπλημμελημένων, πάντες ἂν ἀπωλόμεθα. οἱ γὰρ πάντες ἀπέθανον. ἀλλ᾽ ὅμως τοσούτων ὄντων τῶν ἁμαρτημάτων, οὐ μόνον οὐκ ἀπῄτησε δίκην, ἀλλὰ E καὶ κατηλλάγη· οὐ μόνον ἀφῆκεν, ἀλλ᾽ οὐδὲ ἐλογίσατο. οὕτω δεῖ ἡμᾶς ἀφιέναι χρὴ τοῖς ἐχθροῖς, ἵνα τῆς αὐτῆς καὶ αὐτοὶ τύχωμεν ἀφέσεως. καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. οὐδὲ γὰρ ἡμεῖς ἐπί τι φορτικὸν ἤλθομεν νῦν, ἀλλ᾽ ἵνα φίλους πάντας ποιήσωμεν τῷ θεῷ. ἐπειδὴ γὰρ ἐμοί, φησιν, οὐκ ἐπείσθησαν, παραμείνατε παρακαλοῦντες ὑμεῖς, ἕως ἂν πείσητε. διὸ καὶ ἐπήγαγεν. ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ θεῷ.

Εἶδες πῶς ἦρε τὸ πρᾶγμα, τὸν Χριστὸν εἰσαγαγὼν τιθέντα τὴν ἱκετηρίαν ταύτην; μᾶλλον δὲ οὐχὶ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα; ὃ γὰρ λέγει τοῦτό ἐστιν· ἔπεμψε τὸν υἱὸν ὁ πατὴρ παρακαλέσαι, καὶ πρεσβεύσασθαι πρὸς τὴν τῶν ἀνθρώπων φύσιν ὑπὲρ αὐτοῦ. ἐπεὶ οὖν σφαγεὶς ἐκεῖνος ἀπῆλθεν, ἡμεῖς διεδεξάμεθα τὴν πρεσβείαν, καὶ ἀντ' αὐτοῦ καὶ τοῦ πατρὸς παρακαλοῦμεν ὑμᾶς. τοσούτου τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, ὅτι καὶ τὸν υἱὸν ἐπέδωκε, καὶ ταῦτα εἰδὼς ὅτι σφαγήσεται· καὶ ἀποστόλους ἡμᾶς δι' ὑμᾶς ἐποίησεν· ὥστε εἰκότως ἔλεγε, πάντα δι' ὑμᾶς. ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν· τουτέστιν, ἀντὶ τοῦ Χριστοῦ· ἡμεῖς γὰρ ἀνεδεξάμεθα τὰ ἐκείνου. εἰ δὲ μέγα σοι δοκεῖ τοῦτο εἶναι, ἄκουσον καὶ τῶν ἑξῆς, δι' ὧν δείκνυσιν, ὅτι οὐκ ἀντ' αὐτοῦ μόνον, ἀλλὰ καὶ ἀντὶ τοῦ πατρὸς τοῦτο ποιοῦσι. διὰ γὰρ τοῦτο καὶ ἐπήγαγεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν. οὐ γὰρ διὰ τοῦ υἱοῦ αὐτοῦ παρακαλεῖ μόνον, ἀλλὰ καὶ δι' ἡμῶν τῶν τὸ ἐκείνου ἀναδεξαμένων ἔργον. μὴ τοίνυν νομίσητε, φησιν, ὑφ' ἡμῶν ἀξιοῦσθαι· αὐτὸς ὁ Χριστὸς ὑμᾶς παρακαλεῖ, αὐτὸς ὁ τοῦ Χριστοῦ πατὴρ δι' ἡμῶν. τί ταύτης τῆς ὑπερβολῆς γένοιτ' ἂν [a] ἴσον; αὐτὸς γὰρ ὁ μυρία εὐεργετήσας ὑβρισθεὶς, οὐ μόνον οὐκ ἀπῄτησε δίκην, ἀλλὰ καὶ ἔδωκε τὸν υἱὸν αὐτοῦ, ἵνα καταλλαγῶμεν. οὐ κατηλλάγησαν οἱ δεξάμενοι, ἀλλὰ καὶ ἔσφαξαν. πάλιν ἔπεμψεν ἑτέρους πρέσβεις παρακαλοῦντας· καὶ τούτων πεμφθέντων, αὐτός ἐστιν ὁ ἀξιῶν. τί δὲ ἀξιοῖ; καταλλάγητε τῷ θεῷ. καὶ οὐκ εἶπε, καταλλάξατε ἑαυτοῖς τὸν θεόν. οὐ γὰρ ἐκεῖνός ἐστιν ὁ ἐχθραίνων, ἀλλ' ὑμεῖς. θεὸς γὰρ οὐδέποτε ἐχθραίνει. καὶ δικαιολογούμενος δὲ καθάπερ πρεσβευτὴς ἀποσταλεὶς, τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε, φησιν. οὐ λέγω τὰ πρότερα, ὅτι ὑβρίσατε, ὅτι οὐδὲν ἠδικηκότα, ὅτι εὐεργετήσαντα, ὅτι δίκην οὐκ ἀπῄτησεν, ὅτι παρακαλεῖ πρότερος, ὑβρισθεὶς πρότερος· μηδὲν ἐκείνων κείσθω τέως. διὰ τοῦτο μόνον οὐκ ἂν εἴητε δίκαιοι καταλλαγῆναι, δι' ὅπερ ἐποίησεν εἰς ὑμᾶς νῦν; καὶ τί ἐποίησε; τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, δι' ὑμᾶς ἁμαρτίαν ἐποίησεν. εἰ γὰρ μηδὲν ἤνυσε, τοῦτο δὲ μόνον εἰργάσατο, ἐννόησον ἡλίκον ἦν τὸ ὑπὲρ τῶν ὑβρικότων τὸν υἱὸν δοῦναι. νυνὶ δὲ καὶ μεγάλα κατώρθωσε, καὶ μετὰ τούτων τὸν οὐδὲν ἠδικηκότα ὑπὲρ τῶν ἠδικηκότων κολασθῆναι εἴασεν. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ πολλῷ μεῖζόν ἐστι τούτου τέθεικε. ποῖον δὴ τοῦτο; τὸν μὴ γνόντα ἁμαρτίαν, φησὶ, τὸν αὐτοδικαιοσύνην ὄντα, ἁμαρτίαν ἐποίησε· τουτέστιν, ὡς ἁμαρτωλὸν καταχριθῆναι ἀφῆκεν, ὡς ἐπικατάρατον ἀποθανεῖν. ἐπικατάρατος γὰρ ὁ κρεμάμενος ἐπὶ ξύλου. τοῦ γὰρ ἀποθανεῖν τὸ οὕτως ἀποθανεῖν πολλῷ μεῖζον ἦν. ὅπερ καὶ ἀλλαχοῦ αἰνιττόμενός,

3. Vides quomodo hoc negotium extulerit, cum Christum ipsum supplicantem induxit? imo non Christum solum, sed etiam Patrem. Horum enim verborum hic sensus est: Pater Filium misit, qui ipsius nomine exhortaretur, atque apud hominum genus legationis munus susciperet. Sed quoniam ille necatus abscessit, nos legationi illi successimus, atque & illius, & Patris nomine, vos exhortamur. Tanto nimirum in precio est apud eum hominum genus, ut & Filium dederit, idque cum eum mactatum iri sciret: & vestra causa nos apostolos crearit. Itaque non abs re dicebat, *omnia propter vos. Pro Christo igitur legatione fungimur*, ac si diceret *Christi vice.* Nos enim ipsius muneri successimus. Quod si hoc magnificentius aliquanto tibi dictum videtur, audi quæ sequuntur: ex quibus ostendit, quod non Christo dumtaxat, sed Patri quoque hoc faciant. Nam ob id etiam adjunxit, *tamquam Deo per nos exhortante.* Non enim per Filium tantum suum, sed & per nos quoque, qui ipsius muneri successimus, exhortamur. Quamobrem ne existimetis vos a nobis rogari: Christus ipse vos rogat: Pater ipse per nos vos orat. Ecquid est quod cum tam eximia benignitate conferri possit? Ipse enim post innumera sua beneficia contumeliis affectus, non modo nullas pœnas sumsit, verum etiam Filium suum dedit, ut ipsi reconciliemur. Qui autem eum acceperunt, adeo in gratiam reduci non curarunt, ut etiam eum morte affecerint. Rursum alios deprecatores misit: iisque missis, ipse est qui rogat. Quid autem rogat? *Reconciliamini Deo.* Non dixit, Dei gratiam recuperate: neque enim ipse est qui inimicitias gerit, sed vos. Deus quippe nunquam inimicitias gerit. Atque etiam ut legatus missus, causam disceptans, 21. *Eum enim*, inquit, *qui non noverat peccatum, pro nobis peccatum fecit.* Non priora dico, inquit, nempe quod contumelia eum affecistis, quod eum, a quo nihil injuriæ acceperatis, quod præclare de vobis meritum: quod nullas a vobis pœnas expetivit, quod prior injuria affectus, prior rogat: nihil horum nunc commemoretur. Annon vel ob unum hoc beneficium, quod nunc in vos contulit, æquum fuerit ut cum ipso in gratiam redeatis? Et quod tandem? *Eum qui non noverat peccatum, pro vobis peccatum fecit.* Nam etiamsi nihil omnino præstitisset, sed hoc dumtaxat fecisset, cogita, quæso, quanti illud æstimandum erat, quod Filium suum pro iis, a quibus contumelia affectus fuerat, dedisset? Nunc vero, & magna præstitit, & præterea eum, qui læsus fuerat, pro iis, qui læserant, cruciari permisit. At hoc minime quidem dixit apostolus: sed, quod multo his majus erat, posuit. Quidnam autem? Eum, inquit, qui non noverat peccatum, qui ipsamet justitia erat, peccatum fecit, hoc est ut peccatorem condemnari passus est, ut maledictum hominem mori. *Maledictus* enim, Deut. 21. 23.
*qui pendet in ligno.* Multo quippe atrocius erat ita mori, quam dumtaxat mori. Quod ipse quoque alio loco subindicat,

a Aliam lectionem affert in margine Savilius, ἴσον; ὑβρίσθη μυρία | εὐεργετήσας, ὑβρίσθη.

Philip. 2. 8. dicens, *Factus obediens usque ad mortem, mortem autem crucis.* Neque enim cruciatum dumtaxat ea res habebat, sed & ignominiam. Animadverte itaque quot ab eo beneficia acceperis. Magnum enim censendum est, cum quis, etiam peccator, pro alio, quicumque sit, mortem oppetit: at cum justus etiam est qui patitur, & pro peccatoribus moritur, nec solum moritur, sed etiam ut exsecrandus; nec ut exsecrandus tantum moritur, verum etiam ingentia hinc, & quæ nunquam exspectaveramus, bona nobis conciliat; ut enim efficiamur Dei justitia in ipso, inquit, quænam hæc oratio, quænam mens hæc consequi atque exprimere queat? Eum enim, qui justus erat, inquit, peccatorem fecit: ut peccatores justos efficiat. Imo ne sic quidem loquutus est: sed quod longe sublimius erat, dixit. Neque enim affectionem, sed qualitatem ipsam posuit. Non enim dixit, *Fecit peccatorem:* sed, *fecit peccatum.* Non, eum qui peccatum non perpetrarat, sed, qui ne peccatum quidem norat: ut & nos efficiamur, non justi, sed justitia ipsa, atque adeo Dei justitia. Dei enim ipsa est, cum non ex operibus; nam in iis nullam labem inveniri necesse esset: sed ex gratia, quæ peccatum omne prorsus delet, justificamur. Hoc porro simul nec animis efferri nos sinit, quod Deus id totum nobis tribuerit; & beneficii magnitudinem ostendit. Prior enim illa, legis atque operum justitia est: hæc vero Dei justitia. Hæc igitur cogitantes, magis verba ista, quam gehennam timeamus: magis has res, quam ipsum cælorum regnum admiremur: nec grave esse judicemus pœna affici, sed, peccare. Nam etiamsi ipse in nos minime animadverteret, nos tamen de nobis ipsis pœnas sumere deberemus, qui tam ingrati in bene de nobis meritum exstitimus. Et quidem, amasiam quispiam habens, sæpe etiam sibi mortem consciivit, quod ea potiri non potuisset: atque etiam potitus, si quid in eam peccarit, ne luce quidem se dignum existimat: nos autem tam benignum Dominum contumeliis incessentes, non nosipsos in gehennæ flammam injiciemus? Mirum aliquid, singulare, quodque plerisque incredibile videbitur, dicam. Major ei, qui, cum tam benignum Dominum ostenderit, pœnas luit, consolatio futura est, si sana mente sit, eumque, ut par est, amet; quam ei, de quo supplicium non sumitur.

4. Atque hoc vel ex communi consuetudine perspici potest. Nam qui hominem sibi carissimum læsit, tum maxime quiescit, cum a seipso pœnas exegerit, ac mali aliquid perpessus fuerit. Ut & David dicebat, *Ego, qui* 2. Reg. 24. 17. *pastor sum, peccavi, ego, qui pastor sum, inique egi: isti qui oves sunt, quid fecerunt? Vertatur obsecro manus tua contra me, & contra domum patris mei.* Ad hæc cum Absalonem amisit, gravissimas a seipso pœnas exposcebat. Atqui non ipse erat, qui injuriam intulerat: sed qui acceperat. Sed tamen quia ingenti amore filium defunctum complectebatur, doloribus sese conficiebat, hac ratione leviorem sibi suum casum efficiens. Sic nos igitur, cum in eum peccamus, in quem

A φησιν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. οὐδὲ γὰρ κόλασιν εἶχε μόνον τὸ πρᾶγμα, ἀλλὰ καὶ αἰσχύνην. ἐννόησον τοίνυν ὅσα σοι παρέσχε. μέγα μὲν γὰρ καὶ τὸ ἁμαρτωλὸν ὄντα ὑπὲρ ὁτουοῦν ἀποθανεῖν· ὅταν δὲ καὶ δίκαιος ὁ τοῦτο πάσχων ᾖ, καὶ ὑπὲρ ἁμαρτωλῶν ἀποθάνῃ, καὶ μὴ ἀποθάνῃ μόνον, ἀλλὰ καὶ ὡς ἐπικατάρατος, καὶ μὴ ὡς ἐπικατάρατος μόνον, ἀλλὰ καὶ τὰ μεγάλα ἡμῖν ἐντεῦθεν χαρίζηται ἀγαθὰ, ἃ μηδέποτε προσεδοκήσαμεν, ἵνα γὰρ γενώμεθα θεοῦ δικαιοσύνη ἐν αὐτῷ, φησι· ποῖος ταῦτα λόγος, ποῖος ταῦτα παραστῆσαι δυνήσεται νοῦς; τὸν
B γὰρ δίκαιον, φησιν, ἐποίησεν ἁμαρτωλὸν, ἵνα τοὺς ἁμαρτωλοὺς ποιήσῃ δικαίους. μᾶλλον δὲ οὐδὲ οὕτως εἶπεν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν. οὐ γὰρ ἕξιν ἔθηκεν, ἀλλ' αὐτὴν τὴν ποιότητα. οὐ γὰρ εἶπεν, ἐποίησεν ἁμαρτωλὸν, ἀλλ' ἁμαρτίαν· οὐχὶ τὸν μὴ ἁμαρτόντα μόνον, ἀλλὰ τὸν μηδὲ γνόντα ἁμαρτίαν· ἵνα καὶ ἡμεῖς γενώμεθα, οὐκ εἶπε, δίκαιοι, ἀλλὰ δικαιοσύνη, καὶ θεοῦ δικαιοσύνη. θεοῦ γάρ ἐστιν αὕτη, ὅταν μὴ ἐξ ἔργων· ὅταν καὶ κηλῖδα ἀνάγκη τινὰ μὴ εὑρεθῆναι, ἀλλ' ἀπὸ χάριτος δικαιωθῶ-
C μεν, ἔνθα πᾶσα ἁμαρτία ἠφάνισται. τοῦτο δὲ ὁμοῦ, οὔτε ἐπαρθῆναι ἀφίησιν, ἅτε τοῦ θεοῦ τὸ πᾶν χαρισαμένου· καὶ διδάσκει τοῦ δοθέντος τὸ μέγεθος. ἐκείνη γὰρ ἡ προτέρα, νόμου καὶ ἔργων δικαιοσύνη· αὕτη δὲ θεοῦ δικαιοσύνη. ταῦτ' οὖν ἐννοήσαντες φοβηθῶμεν τῆς γεέννης μᾶλλον τὰ ῥήματα ταῦτα, αἰδεσθῶμεν μᾶλλον τῆς βασιλείας τὰ πράγματα· καὶ μὴ νομίσωμεν χαλεπὸν εἶναι τὸ κολάζεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν. καὶ γὰρ αὐτὸς εἰ μὴ ἐκόλαζεν ἡμᾶς, αὐτοὺς ἐχρῆν ἀπαιτῆσαι δίκην ἑαυτοὺς, οὕτως ἀγνώμονας περὶ τὸν εὐεργέτην γενομένους. νῦν δὲ ἐρωμένην
D μέν τις ἔχων, πολλάκις καὶ ἑαυτὸν κατέσφαξε, μὴ τυχὼν τοῦ ἔρωτος· καὶ τυχὼν δὲ πεπλημμεληκὼς εἰς αὐτὴν, οὐδὲ ἄξιον ζῆν ἡγεῖται. εἰς δὲ τὸν οὕτω φιλάνθρωπον καὶ ἥμερον ὑβρίζοντες, οὐχ ἑαυτοὺς ἐμβαλοῦμεν εἰς τὸ πῦρ τῆς γεέννης; εἴπω τι παράδοξον, καὶ θαυμαστὸν, καὶ πολλοῖς ἴσως ἄπιστον· μείζων ἔσται παραμυθία τῷ κολαζομένῳ μετὰ τὸ παροξῦναι τὸν οὕτω φιλάνθρωπον, ἐὰν νοῦν ἔχῃ, καὶ φιλῇ τὸν δεσπότην, ὡς φιλεῖν δεῖ, ἢ τῷ μὴ κολαζομένῳ.

Καὶ τοῦτο καὶ ἀπὸ τῆς κοινῆς συνηθείας ἐστὶν ἰδεῖν.
E ὁ γὰρ εἰς τὸν φίλτατον ἠδικηκὼς, τότε μάλιστα ἀναπαύεται, ὅταν ἑαυτὸν ἀπαιτήσῃ δίκην, καὶ πάθῃ κακῶς. ὥσπερ οὖν καὶ ὁ Δαυὶδ ἔλεγεν, ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον, τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ ὅτε τὸν Ἀβεσαλὼμ ἀπώλεσε, δίκην ἑαυτὸν ἀπῄτει τὴν ἐσχάτην· καίτοιγε οὐκ ἦν αὐτὸς ὁ ἠδικηκὼς, ἀλλ' ὁ ἠδικημένος. ἀλλ' ὅμως ἐπειδὴ σφόδρα ἐφίλει τὸν ἀπελθόντα, κατέτεινεν ἑαυτὸν ταῖς ὀδύναις, ταύτῃ παραμυθούμενος ἑαυτόν. καὶ ἡμεῖς τοίνυν, ὅταν ἁμαρτάνωμεν εἰς ὃν οὐκ ἐχρῆν

A ἁμαρτάνειν, δίκην ἑαυτοὺς ἀπαιτοῦμεν. οὐχ ὁρᾶτε τοὺς ἀποβαλόντας παῖδας γνησίους, ὅτι διὰ τοῦτο καὶ κόπτονται καὶ τρίχας τίλλουσιν, ἐπειδὴ παραμυθίαν ἔχει τὸ κολάζειν ἑαυτοὺς ὑπὲρ τῶν φιλουμένων; εἰ δὲ ὅταν μηδὲν ἐργασώμεθα ἡμεῖς τοὺς φιλτάτους δεινὸν, φέρει παραμυθίαν ἡμῖν τὸ κακῶς παθεῖν, ὑφ' ὧν ἐκεῖνοι κακῶς πεπόνθασιν· ὅταν αὐτοὶ ὦμεν οἱ παροξύναντες καὶ ὑβρικότες, οὐ πολλῷ μᾶλλον ἡμᾶς ἀναπαύσει τὸ δίκην δοῦναι, [a] ἢ τὸ μὴ κολάζεσθαι κόλασιν; παντί που δῆλον. B εἴ τις φιλεῖ τὸν Χριστὸν, ὡς φιλεῖν δεῖ, οἶδεν ὃ λέγω, πῶς οὐδὲ αὐτοῦ συγχωροῦντος ἀνέξεται μὴ κολάζεσθαι. τὴν γὰρ μεγίστην κόλασιν ὑπομένει παροξύνας αὐτόν. καὶ οἶδα μὲν τοῖς πολλοῖς ἄπιστα λέγων· πλὴν ἀλλ' οὕτως ἐστὶν ὥσπερ εἴρηκα. ἐὰν τοίνυν φιλῶμεν τὸν Χριστὸν, ὡς φιλεῖν δεῖ, ἑαυτοὺς τιμωρησόμεθα ἁμαρτάνοντες. τοῖς γὰρ ὁτουοῦν ἐρῶσιν, οὐ τὸ κακόν τι παθεῖν, ἀηδὲς, ὑφ' ὧν παρώξυναν τὸν ἐρώμενον, ἀλλ' αὐτὸ πρὸ πάντων τὸ παροξῦναι τὸν ἀγαπώμενον. κἂν ὀργισθεὶς C ἐκεῖνος μὴ κολάσῃ, μειζόνως ἐβασάνισε τὸν ἐραστήν· ἂν δὲ δίκην ἀπαιτήσῃ, μᾶλλον παρεμυθήσατο. μὴ τοίνυν γέενναν φοβώμεθα, ἀλλὰ τὸ προσκροῦσαι τῷ θεῷ. τοῦτο γὰρ ἐκείνου χαλεπώτερον, ὅταν ἀποστρέφηται ὀργιζόμενος· τοῦτο πάντων χεῖρον, τοῦτο πάντων φορτικώτερον. καὶ ἵνα μάθῃς ἡλίκον ἐστὶν, ἐννόησον τοῦτο ὃ λέγω. εἴ τις κολαζόμενον ἰδὼν ἄνθρωπον λῃστὴν καὶ κακοῦργον, αὐτὸς βασιλεὺς ὢν, τὸν ἀγαπητὸν υἱὸν καὶ μονογενῆ καὶ γνήσιον ἔδωκεν ὥστε σφαγῆναι, καὶ μετὰ τοῦ θανάτου D καὶ τὴν αἰτίαν ἀπ' ἐκείνου μετήνεγκεν ἐπὶ τὸν υἱὸν οὐκ ὄντα τοιοῦτον, ἵνα καὶ σώσῃ τὸν κατάδικον, καὶ τῆς πονηρᾶς ὑπολήψεως ἀπαλλάξῃ, εἶτα μετὰ ταῦτα εἰς μεγάλην ἀρχὴν αὐτὸν ἀναγαγὼν, μετὰ τὴν σωτηρίαν καὶ τὴν δόξαν τὴν ἀπόρρητον, ὑβρίζετο παρὰ τοῦ τοιαῦτα πεπονθότος, οὐκ ἂν εἵλετο μυριάκις ἀποθανεῖν ἐκεῖνος, εἴγε νοῦν εἶχεν, ἢ τοσαύτῃ ἀγνωμοσύνῃ φανῆναι ὑπεύθυνος ὤν; τοῦτο δὴ καὶ νῦν λογιζώμεθα, καὶ στένωμεν πικρῶς ἐφ' οἷς παροξύναμεν τὸν εὐεργέτην· E μηδὲ, ἐπειδὴ μακροθύμως ὑβριζόμενος φέρει, διὰ τοῦτο θαρρῶμεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο δακνώμεθα. καὶ ἐπὶ τῶν ἀνθρώπων, ὅταν τις πληγεὶς τὴν δεξιὰν σιαγόνα, δῷ καὶ τὴν ἀριστεράν, μειζόνως ἠμύνατο, ἢ εἰ μυρίας ἔδωκε πληγάς· καὶ ὅταν λοιδορηθεὶς, μὴ μόνον οὐκ ἀντιλοιδορήσῃ, ἀλλὰ καὶ εὐλογήσῃ, χαλεπώτερον ἔπληξεν, ἢ εἰ μυρίοις ὀνείδεσιν ἔπλυνεν. εἰ δὲ ἐπ' ἀνθρώπων, ὅταν ὑβρίζοντες μακροθυμίας ἀπολαύωμεν, καταισχυνόμεθα·

peccare minime oportebat, pœnam de nobisipsis sumamus. Annon eos videtis, qui clarissimis filiis orbati sunt, quomodo discrucientur, ac capillos vellant quoniam solatii loco illis est, pro iis, quos amant, sese affligere? Quod si, cum nihil mali in homines nobis carissimos admiserimus, levamur tamen, cum ex eorum calamitatibus dolore ipsi afficimur; annon cum ipsi sumus, qui eos ad iracundiam concitavimus, & injuriam intulimus, multo magis nos recreabit pœnas dare, quam pœna non affici? Nemini id dubium est. Si quis erga Christum eo amore est, quo debet, quid dicam intelligit, quomodo, ne ipso quidem ignoscente, quin seipsum cruciet non sustinebit. Maximum enim supplicium eo ipso pendit, quod ipsum ad iracundiam exstimulavit. Nec vero me fugit incredibilia plerisque videri quæ dico: sed tamen ita se res habet, ut dixi. Quocirca si Christum ita amemus, ut amandus est, peccatorum nostrorum ipsimet vindices erimus. Iis enim, qui cujusvis hominis amore flagrant, non illud molestum est, quod pro offenso ejus, quem amant, gravius aliquid patiantur; sed illud ante omnia, quod eum, quem diligunt, offenderint. Ac si ille ira commotus, injuriam acceptam non ulciscatur, hoc ipso amicum gravius excruciat: contra, si quid pœnarum sumat, plus ei levationis affert. Ne igitur gehennam perhorrescamus, sed id potius timeamus ne Deum offendamus; hoc enim illo atrocius est, cum infensus vultum suum a nobis avertit; hoc quovis supplicio gravius atque acerbius. Atque ut quantum hoc malum sit intelligas, animadverte quod dico. Si quis rex latronem aliquem ac facinorosum hominem pœnas luentem conspiciens, carum & unicum ac germanum filium necandum dederit, atque una cum morte crimen quoque ab illo ad filium, longe ab illius flagitiis remotum, transtulerit, ut reum & a supplicio eximat, & ab infamia vindicet, atque insuper ad ingentem dignitatem evexerit: ac deinde ipse post allatam illi ejusmodi salutem amplissimamque gloriam, ab eo, in quem tanta beneficia contulerit, contumeliis afficiatur; annon ille, si modo mente constet, millies mortem oppetere mallet, quam tam ingrati animi crimine laborare? Hoc itaque nunc quoque perpendamus, atque ob offensum beneficum, acerbos gemitus emittamus: nec quia injuriis a nobis lacessitus longanimem se præbet, fidentem animum præferamus; verum ob id quoque ipsum distorqueamur. Nam etiam apud homines, cum quis impacta sibi in dextram maxillam alapa, sinistram quoque præbet, majorem ultionem sumit, quam si mille plagas inflixisset: & cum maledictis impetitus, non modo maledicta non regerit, sed etiam convitiatori suo fausta precatur, gravius eum ferit, quam si sexcentis eum probris aspersisset. Quod si in hominibus, cum is, quem injuria affecimus, lenem se nobis præbet, erubescamus; quan-

[a] ἢ τὸ μὴ, sic legendum, ut notavit Savilius & interpres Latinus legit. Editi, καὶ τὸ μή.

to magis in Deo metuendum illis est, qui peccandi finem non faciunt, nec quidquam adversi patiuntur. Siquidem in capitis ipsorum perniciem, inenarrabilis cruciatus asservatur. Hæc igitur animo volventes, peccatum ante omnia timeamus. Hoc enim pœna est, hoc gehenna, hoc innumera mala. Nec vero tantum timeamus, sed etiam fugiamus, ac Deo perpetuo placere studeamus. Hoc enim regnum est, hoc vita, hoc innumera bona. Ita fiet ut & hîc jam regno potiamur, & futuris bonis: quæ utinam omnes consequamur per gratiam ac benignitatem Domini nostri Jesu-Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum. Amen.

A πολλῷ μᾶλλον ἐπὶ θεοῦ δεδοικέναι χρὴ τοὺς ἁμαρτάνοντας διηνεκῶς, καὶ οὐδὲν πάσχοντας δεινόν. καὶ γὰρ καὶ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς ἡ ἄφατος αὐτοῖς θησαυρίζεται τιμωρία. ταῦτ' οὖν ἐννοοῦντες, πρὸ πάντων ἁμαρτίαν φοβώμεθα. τοῦτο γὰρ κόλασις, τοῦτο γέεννα, τοῦτο τὰ μυρία κακά. μὴ φοβώμεθα δὲ μόνον, ἀλλὰ καὶ φεύγωμεν, καὶ τῷ θεῷ σπουδάζωμεν διηνεκῶς ἀρέσκειν. τοῦτο γὰρ βασιλεία, τοῦτο B ζωὴ, τοῦτο τὰ μυρία καλά· οὕτω καὶ ἐντεῦθεν ἤδη τῆς βασιλείας ἐπιτευξόμεθα, καὶ τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XII.

## ΟΜΙΛΙΑ ιβ'.

Cap. vi. 1. *Adjuvantes autem exhortamur, ne in vacuum gratiam Dei recipiatis. 2. Ait enim: Tempore accepto exaudivi te, & in die salutis auxiliatus sum tibi.*

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς. λέγει γὰρ, καιρῷ δεκτῷ C ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.

1. QUONIAM enim Deum rogare dixerat, apostolos autem legatione fungi, atque obsecrare ut cum Deo in gratiam redirent, ne segniores inde redderentur, hinc rursus eos terret & excitat dicens, *Exhortamur ne in vanum Dei gratiam recipiatis.* Neque enim propterea nos socordiæ demus, inquit, quia Deus nos rogat, ac legatos ad nos misit: imo vero ob hoc ipsum majore studio & diligentia Deo placere, ac spirituales merces colligere curemus. Id quod etiam superius dicebat, caritas Dei urget nos, hoc est, premit, impellit: ne alioqui post tantam Dei solicitudinem collapsi, nec ullum egregium virtutis specimen edentes, tantis bonis excidamus. Ne igitur existimetis, inquit, quia hortatores misit, perpetuum id fore. Usque ad secundum ipsius adventum hoc erit, tantum hortatur dum hic sumus. Postea sequitur pœna & cruciatus. Propterea urgemur, inquit. Neque enim eos solum a bonorum magnitudine ac Dei benignitate, sed etiam a temporis brevitate semper exstimulat. Unde & alio loco ait: Rom. 13. 11. *Nunc enim propior est nostra salus.* Et rursus: Philip. 4. 5. *Dominus prope est.* Hic vero quidpiam amplius facit. Neque enim hinc tantum eos ad salutem impellit, quod breve atque exiguum sit id temporis quod restat: sed hinc etiam, quod solum hoc tempus ad eam adipiscendam appositum sit. *Ecce enim nunc tempus acceptabile: ecce dies salutis.* Ne igitur occasionem nobis perire sinamus. Sed dignum accepta gratia studium exhibeamus. Nam ideo & ipsi festinamus, quod & brevitatem & opportunitatem temporis perspectam habeamus. Unde etiam dicebat, *Adjuvantes autem exhortamur.* Adjuvantes, vos scilicet.

ΕΠΕΙΔΗ γὰρ εἶπεν, ὅτι ὁ θεὸς παρακαλεῖ, καὶ ἡμεῖς πρεσβεύομεν, καὶ ἱκετεύομεν, καταλλάγητε τῷ θεῷ· ἵνα μὴ ἀναπέσωσιν, ἐντεῦθεν αὐτοὺς πάλιν φοβεῖ καὶ διανίστησι λέγων, παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς. μὴ γὰρ, ἐπειδὴ παρακαλεῖ, φησι, καὶ ἔπεμψε πρεσβευσομένους, διὰ τοῦτο ῥαθυμῶμεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ ἐπειγώμεθα πρὸς τὸ ἀρέσαι τῷ θεῷ, καὶ πνευματικὴν συναγαγεῖν ἐμπορίαν, ὅπερ καὶ ἀνωτέρω ἔλεγεν, ὅτι ἡ ἀγάD πη τοῦ θεοῦ συνέχει ἡμᾶς· τουτέστι, θλίβει, ὠθεῖ, κατεπείγει, ἵνα μὴ μετὰ τοσαύτην κηδεμονίαν [a] ἀναπεσόντες, καὶ μηδὲν γενναῖον ἐπιδειξάμενοι, τῶν τοσούτων ἐκπέσητε ἀγαθῶν. μὴ τοίνυν, ἐπειδὴ ἔπεμψε παρακαλέσοντας, νομίσητε τοῦτο ἀεὶ εἶναι. μέχρι τῆς παρουσίας αὐτοῦ τῆς δευτέρας τοῦτο ἔσται, μέχρι τότε παρακαλεῖ, ἕως ἂν ὦμεν ἐνταῦθα· μετὰ δὲ ταῦτα, δίκη καὶ κόλασις. διὰ τοῦτο συνεχόμεθα, φησιν. οὐδὲ γὰρ ἀπὸ τοῦ μεγέθους τῶν ἀγαθῶν αὐτοὺς, καὶ τῆς φιλανθρωπίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς βραχύτητος τῆς τοῦ καιροῦ κατεπείγει ἀεί. διὸ καὶ E ἀλλαχοῦ φησι, νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία· καὶ πάλιν, ὁ κύριος ἐγγύς. ἐνταῦθα δέ τι καὶ πλέον ποιεῖ. οὐδὲ γὰρ ἀπὸ τοῦ τὸ λειπόμενον τοῦ χρόνου βραχὺ καὶ μικρὸν εἶναι, ἀλλὰ καὶ ἀπὸ τοῦ τοῦτον μόνον τὸν καιρὸν ἐπιτήδειον εἶναι εἰς σωτηρίαν, ἐνάγει. ἰδοὺ γὰρ, φησι, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ ἡμέρα σωτηρίας. μὴ τοίνυν προδῶμεν τὸ εὔκαιρον, ἀλλ' ἐπιδειξώμεθα ἀξίαν τῆς χάριτος τὴν σπουδήν. διὰ τοῦτο γὰρ καὶ ἡμεῖς ἐπειγόμεθα, καὶ τὸ βραχὺ καὶ τὸ ἐπιτήδειον εἰδότες τοῦ καιροῦ. διὸ καὶ ἔλεγε, συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν. συνεργοῦντες ὑμῖν.

[a] ἀναπεσόντες. Savil. in marg. καταπεσόντες.

ὑμῖν γὰρ συνεργοῦμεν μᾶλλον, ἢ τῷ θεῷ, ὑπὲρ οὗ πρεσβεύομεν. οὐδενὸς γὰρ ἐκεῖνος δεῖται· ἀλλ' ἡ σωτηρία πᾶσα εἰς ὑμᾶς διαβαίνει. εἰ δὲ καὶ τῷ θεῷ λέγει συνεργεῖν, οὐδὲ τοῦτο παραιτεῖται. καὶ γὰρ ἀλλαχοῦ φησι, θεοῦ ἐσμεν συνεργοί. ταύτῃ φησὶ τοὺς ἀνθρώπους σώζειν πάλιν· καὶ παρακαλοῦμεν. ἐκεῖνος μὲν γὰρ παρακαλῶν, οὐχ ἁπλῶς παρακαλεῖ, ἀλλὰ ταῦτα προτεινόμενος τὰ δικαιώματα· ὅτι τὸν υἱὸν ἔδωκε τὸν δίκαιον, τὸν οὐδὲ ἁμαρτίαν εἰδότα, καὶ ἁμαρτίαν αὐτὸν ἐποίησεν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα ἡμεῖς γενώμεθα δίκαιοι· ἅπερ ἔχοντα, καὶ θεὸν ὄντα, οὐδὲ παρακαλεῖν δεῖ, καὶ ταῦτα ἀνθρώπους, καὶ προσκεκρουκότας, ἀλλὰ παρακαλεῖσθαι καθ' ἑκάστην ἡμέραν· ἀλλ' ὅμως παρακαλεῖ· ἡμεῖς δὲ παρακαλοῦμεν, δικαίωμα μὲν μηδὲν ἔχοντες ἡμῶν εἰπεῖν, οὐδὲ εὐεργέτημα, ἓν δὲ μόνον, τὸ ὑπὲρ θεοῦ, καὶ τοιαῦτα ἐπιδεξαμένου, παρακαλεῖν. παρακαλοῦμεν δὲ ἵνα τὴν εὐεργεσίαν δέξησθε, καὶ μὴ ἀποκρούσησθε τὴν δωρεάν. πείσθητε τοίνυν ἡμῖν, καὶ μὴ εἰς κενὸν τὴν χάριν δέξησθε. ἵνα γὰρ μὴ νομίσωσιν ὅτι τοῦτό ἐστι καταλλαγὴ μόνον, τὸ πιστεῦσαι τῷ καλοῦντι, ἐπάγει ταῦτα, τὴν περὶ τὸν βίον σπουδὴν ἀπαιτῶν. τὸ γὰρ ἀπαλλαγέντα ἁμαρτημάτων, καὶ φίλον γενόμενον, τοῖς προτέροις ἐγκαλινδεῖσθαι, πάλιν ἐπ' ἔχθραν ἐπανελθεῖν ἐστι, καὶ εἰς κενὸν τὴν χάριν δέξασθαι, κατὰ τὸν τοῦ βίου λόγον. οὐδὲν γὰρ ἀπὸ τῆς χάριτος μέγα ὠφελούμεθα εἰς σωτηρίαν, ἀκαθάρτως ζῶντες· ἀλλὰ καὶ βλαπτόμεθα μειζόνως ταύτῃ βαρούμενοι καὶ ἐν τοῖς ἁμαρτήμασιν, ὅτι καὶ μετὰ ἐπίγνωσιν τοιαύτην καὶ δωρεάν, ἐπὶ τὰ πρότερα ἐπανήλθομεν κακά. ἀλλὰ τοῦτο μὲν οὐδέπω τίθησιν, ὥστε μὴ τραχὺν ποιῆσαι τὸν λόγον· ὅτι δὲ οὐδὲν ὠφελούμεθα λέγει μόνον. εἶτα καὶ προφητείας ἀναμιμνήσκει, κατεπείγων αὐτούς, καὶ συνωθῶν εἰς τὸ διαναστῆναι πρὸς τὴν τῆς οἰκείας σωτηρίας ἀντίληψιν. λέγει γάρ, φησι, καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. καιρὸς εὐπρόσδεκτος. ποῖος οὗτος; ὁ τῆς δωρεᾶς, ὁ τῆς χάριτος, ὅτε οὐκ ἔστιν εὐθύνας ἀπαιτηθῆναι τῶν ἁμαρτημάτων, οὐδὲ δίκην δοῦναι, ἀλλὰ μετὰ τῆς ἀπαλλαγῆς καὶ μυρίων ἀπολαῦσαι ἀγαθῶν, δικαιοσύνης, ἁγιασμοῦ, τῶν ἄλλων ἁπάντων. πόσα γὰρ ἔδει καμεῖν, ὥστε ἐπιτυχεῖν τοῦ καιροῦ τούτου; ἀλλ' ἰδού, μηδὲν καμόντων ἡμῶν, παραγέγονεν ἄφεσιν φέρων ἁπάντων τῶν ἔμπροσθεν. διὸ καὶ εὐπρόσδεκτον καλεῖ, ἐπεὶ καὶ τοὺς μυρία πεπλημμεληκότας προσεδέχετο, καὶ οὐχ ἁπλῶς προσεδέχετο, ἀλλ' εἰς τὴν ἀνωτάτω ἦγε τιμήν· καθάπερ ἐπειδὰν ἔλθῃ βασιλεύς, οὐ δικαστηρίου καιρός, ἀλλὰ χάριτος καὶ σωτηρίας. διὸ καὶ εὐπρόσδεκτον αὐτὸν καλεῖ, ἕως οὗ ἔτι ἐν τῷ σκάμματί ἐσμεν, ἕως ἐν τῷ ἀμπελῶνι ἐργαζόμεθα, ἕως λείπεται ἡ ἑνδεκάτη.

A Vos enim potius, quam Deum pro quo legationis munus obimus, adjuvamus. Ipse enim nulla re indiget: verum salus omnis ad vos permeat. Atque ut etiam Dei adjutorem se esse dicat, ne hoc quidem ille repudiat. Nam & alio loco dicit, *Dei adjutores sumus.* (1. Cor. 3. 9.) Atque hac ratione homines rursum salutem impertire ait. *Et exhortamur.* Ille quippe cum exhortatur, non simpliciter exhortatur: sed has justificationes affert; quod justum illum Filium, qui ne peccatum quidem nosset, donaverit, & pro nobis peccatoribus ipsum peccatum fecerit, ut nos justi efficiamur: quæ quidem cum habeat, ac Deus sit, ne B rogare quidem eum oportet, homines præsertim, & a quibus offensus fuerat, verum singulis diebus rogari. Nihilo secius tamen rogat. At nos, cum rogamus, nullum omnino jus, nullum beneficium proferre possumus: verum unum hoc, quod Dei, qui tanta bona dederit, nomine vos obsecramus. Obsecramus porro, ut oblatum beneficium accipiatis, nec munus repudietis. Morem itaque nobis gerite: ac videte ne in vacuum gratiam accipiatis. Etenim ne illi in hoc uno reconciliationem positam esse existimarent, ut vocanti fidem adhiberent, ideo hæc verba adjungit, quibus studium in vitæ ratione C efflagitat. Nam qui, posteaquam peccatis liberatus, atque in amicitiam receptus est, in prioribus flagitiis rursus volutatur, is ad inimicitias redit: ac frustra, quantum ad vitam attinet, gratiam Dei accepit. Neque enim magnum quidpiam ad salutem nobis affert gratia, si impure vivamus: quin potius detrimentum in nos accersit, vehementius in peccatis gravatos, ut qui post ejusmodi cognitionem ac beneficium ad priora vitia nos ipsos referamus. At nondum hoc ponit, ne molestam atque asperam orationem reddat; hoc solum dicit, nullam hinc ad nos utilitatem redire. Deinde prophetiæ quoque me- D moriam refricat, quo eorum animos ad capessendum salutis studium impellat & urgeat. Ait enim: *Tempore accepto exaudivi te, & in die salutis auxiliatus sum tibi. Ecce nunc tempus acceptabile: ecce nunc dies salutis.* Tempus acceptabile. Quodnam istud? Tempus videlicet beneficii & gratiæ, in quo de peccatis admissis rationes non exposcuntur, nec pœnæ penduntur, in quo, una cum reconciliatione, innumeris quoque bonis fruimur, justitia nimirum, sanctificatione, aliisque omnibus. Quantos enim labores suscipere E par erat, ut hanc occasionem nancisceremur? At, ecce, nullo a nobis suscepto labore, adest, omnium ante admissorum veniam afferens. Ac proinde acceptabile hoc tempus vocat: quoniam eos quoque, qui innumeris sceleribus sese obstrinxerant, admittebat: nec tantum admittebat, sed ad summum etiam honoris gradum subvehebat: non secus atque adveniente rege judicii tempus non est, sed gratiæ ac salutis. Ob eam causam acceptabile hoc tempus vocat, quamdiu adhuc in scammate versamur, quamdiu adhuc in excolenda vinea operam navamus, quamdiu undecima hora superest.

Gratia non multum juvat ad salutem, si impure vivamus.

 VVu

2. Accedamus, ac vitam nostram recte instituamus. Id enim facile est. Nam qui eo tempore certat, quo tantum beneficium, ac tanta gratia effusa est, palmam facili negotio consequetur. Etenim apud terrenos quoque imperatores, cum festi eorum dies agitantur, atque in consulari habitu cernuntur, is etiam qui exiguum munus offert, magnis donis afficitur: iis autem diebus, queis judicis munus exercent, magna diligentia, magnoque examine opus est. Sic nos etiam hujus beneficii tempore decertemus. Dies gratiæ est, divinæ inquam gratiæ: unde etiam facile coronas adipiscemur. Nam si cum tot vitiis scateremus, & admisit nos, & iis liberavit; omnibus solutos, eaque, quæ nostri muneris sunt, præstantes, annon multo magis admissurus est? Postea id quod perpetuo facit, ut se ipsum in medium proponat, atque hinc exemplum sumere jubeat, hic quoque facit. Unde etiam subjungit, 3. *Nemini dantes ullam offensionem: ut non vituperetur ministerium nostrum.* Non modo a tempore, sed etiam ab iis, qui præclare se gesserunt, eos permovere studet. Ac vide quam sine fastu atque arrogantia. Non enim dixit, Intuemini in nos, quia tales sumus: verum prius quæ ad se spectant enarrat, ut omnem reprehensionis causam submoveat. Ac duo eximia immaculatæ vitæ argumenta ponit, dum ait, *Nemini dantes ullam.* Nec dixit accusationem, sed, quod longe minus erat, offensionem; ac si diceret, reprehensionis & querimoniæ locum nulli dantes. *Ut non vituperetur ministerium nostrum:* hoc est, ne quis illud carpat. Nec rursus dixit, Ut non accusetur: sed, ut ne levissima quædam in eo culpa hæreat, nec quispiam sit, qui ulla in re illud insectari queat. 4. *Sed in omnibus exhibentes nosmetipsos sicut Dei ministros.* Hoc multo majus est; neque enim in pari laude ponendum est, reprehensione vacare: atque ita se comparare, ut undique perspicuum sit, eos Dei ministros esse. Non enim paris laudis est, a reprehensione liberum esse, & laudum ornamentis abundare. Nec dixit, *apparentes*, sed *exhibentes*, hoc est, demonstrantes. Deinde unde tales effecti sint exponit. Undenam igitur? *In multa patientia*, inquit. Quibus verbis bonorum omnium fundamentum posuit. Ideo non simpliciter patientiam dixit, sed multam addit, ut illius magnitudinem declararet. Unam aut alteram tulisse tentationem non magnum esset; sed ille tentationum ceu imbrem inducit, dicens, *In tribulationibus, in necessitatibus.* Hoc afflictionum augmentum est, cum mala vitari nequeunt: ac velut necessitas quædam acerbitatum incumbit, ex qua vix te expedire queas. *In angustiis:* famis scilicet, aliarumque rerum necessariarum, vel simpliciter, tentationum. 5. *In plagis, in carceribus, in seditionibus.* Atqui quodlibet horum, vel solum, intolerabile erat, & flagris cædi solum, & vinciri solum, & pulsum nusquam consistere posse. Hoc enim significat, *In instabilitatibus.* At cum & hæc omnia, & simul ingruunt, cogita, quam firmum animum requirant.

A Προσέλθωμεν, καὶ βίον ἐπιδειξώμεθα ἀγαθόν. καὶ γὰρ εὔκολον. ὁ γὰρ ἐν τοιούτῳ καιρῷ ἀγωνιζόμενος, ἐν ᾧ τοσαύτη κέχυται δωρεὰ, ἐν ᾧ τοσαύτη χάρις, εὐκόλως ἐπιτεύξεται τῶν βραβείων. καὶ γὰρ ἐπὶ βασιλέων τῶν κάτω, ἐν μὲν τῷ καιρῷ τῆς ἑορτῆς αὐτῶν, καὶ ὅτε ἐν ὑπάτων φαίνονται σχήματι, καὶ ὁ μικρὸν προσενεγκὼν μεγάλας λαμβάνει δωρεάς· ἐν δὲ ταῖς ἡμέραις αἷς ἂν δικάζωσι, πολλῆς ἀκριβείας χρεία, πολλῆς ἐξετάσεως. καὶ ἡμεῖς τοίνυν ἐν τῷ καιρῷ τῆς δωρεᾶς ταύτης ἀγωνισώμεθα. ἡμέρα χάριτός ἐστι, B χάριτος θείας. διὸ καὶ εὐκόλως ἐπιτευξόμεθα τῶν στεφάνων. εἰ γὰρ τοσούτων γέμοντας κακῶν καὶ προσήκατο, καὶ ἀπήλλαξε· πάντων ἀπαλλαγέντας, καὶ τὰ παρ' ἑαυτῶν εἰσφέροντας, οὐ πολλῷ μᾶλλον προσδέξεται; εἶτα, ὅπερ ἀεὶ ποιεῖ, ἑαυτὸν μέσον τιθεὶς, καὶ ἐντεῦθεν κελεύων τὸ παράδειγμα λαμβάνειν, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. διὸ καὶ ἐπάγει, μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν· οὐκ ἀπὸ τοῦ καιροῦ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν κατορθωσάντων αὐτοὺς πείθων. καὶ ὅρα πῶς ἀτύφως. οὐ γὰρ εἶπε, προσέχετε εἰς ἡμᾶς ὅτι τοιοῦτοί ἐσμεν· ἀλλὰ τέως ἐπ' C ἀναιρέσει κατηγορίας, τὰ καθ' ἑαυτὸν διηγεῖται. καὶ δύο τίθησιν ὑπερβολὰς ἀμώμου βίου, μηδεμίαν ἐν μηδενὶ, λέγων. καὶ οὐκ εἶπε κατηγορίαν, ἀλλ' ὃ πολλῷ ἔλαττον ἦν, προσκοπήν· τουτέστι, μέμψιν, κατάγνωσιν μηδενὶ παρέχοντες καθ' ἡμῶν. ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν· τουτέστιν, ἵνα μή τις αὐτῆς ἐπιλάβηται. καὶ οὐκ εἶπε πάλιν, ἵνα μὴ κατηγορηθῇ, ἀλλ' ἵνα μηδὲ τὴν τυχοῦσαν αἰτίαν ἔχῃ, μή τις αὐτῇ εἰς ὁτιοῦν ἐπισκῆψαι δυνηθῇ. ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς θεοῦ διάκονοι. τοῦτο πολλῷ μεῖζον. οὐ γάρ ἐστιν ἴσον κατηγορίας ἐλεύθερον D εἶναι, καὶ τοιαῦτα ἐπιδείκνυσθαι, ὡς πάντοθεν φαίνεσθαι διακόνους ὄντας θεοῦ. οὐ γάρ ἐστιν ἴσον ἀπηλλάχθαι κατηγορίας, καὶ ἐγκωμίοις βρύειν. καὶ οὐκ εἶπε, φαινόμενοι, ἀλλὰ συνιστῶντες· τουτέστιν, ἀποδεικνύντες. εἶτα λέγει καὶ πόθεν τοιοῦτοι ἐγένοντο. πόθεν οὖν ἐγένοντο; ἐν ὑπομονῇ πολλῇ, φησι· τὸν θεμέλιον τῶν ἀγαθῶν τιθείς. διόπερ οὐδὲ ἁπλῶς ὑπομονὴν εἶπεν, ἀλλὰ πολλήν· καὶ δεικνύσιν αὐτῆς καὶ τὸ μέγεθος. τὸ γὰρ ἕν τι καὶ δεύτερον ἐνεγκεῖν, οὐδὲν μέγα· ἀλλ' ἐπάγει καὶ τὰς νιφάδας E τῶν πειρασμῶν, λέγων, ἐν θλίψεσιν, ἐν ἀνάγκαις. τοῦτο ἐπίτασις θλίψεως, ὅταν ἄφυκτα ᾖ τὰ κακὰ, καὶ ὥσπερ ἀνάγκη τις ἐπικέηται τῶν δεινῶν δυσδιεξόδευτος. ἐν στενοχωρίαις. ἤτοι ταῖς τοῦ λιμοῦ, φησι, καὶ ταῖς τῶν ἄλλων ἀναγκαίων· ἢ καὶ ἁπλῶς ταῖς τῶν πειρασμῶν. ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις. καίτοι τούτων καθ' ἑαυτὸ ἕκαστον ἀφόρητον ἦν· καὶ τὸ μαστίζεσθαι μόνον, καὶ τὸ δεδέσθαι μόνον, καὶ τὸ μηδαμοῦ δύνασθαι στῆναι ἐλαυνόμενον· τοῦτο γάρ ἐστιν ἐν ἀκαταστασίαις. ὅταν δὲ καὶ πάντα, καὶ ὁμοῦ πάντα ἐπίῃ, ἐννόησον ἡλίκης δεῖται ψυχῆς.

Εἶτα μετὰ τῶν ἔξωθεν, καὶ τὰ παρ' ἑαυτοῦ τίθησιν. ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι. διὰ τούτων τοὺς καμάτους αἰνίττεται, οὓς ἔκαμε περιιὼν καὶ ἐργαζόμενος, τὰς νύκτας ἐν αἷς ἐδίδασκεν· ἢ ὅτι καὶ ἐν αὐταῖς εἰργάζετο. καὶ μετὰ τούτων ἁπάντων οὐδὲ τῆς νηστεύειν ἠμέλει, καίτοιγε ταῦτα ἀντὶ μυρίων ἤρκει νηστειῶν. ἁγνότητα δὲ ἐνταῦθα, ἢ σωφροσύνην πάλιν, ἢ τὴν ἐν ἅπασι καθαρότητα, ἢ τὸ ἀδωροδόκητον, ἢ καὶ τὸ δωρεὰν τὸ εὐαγγέλιον κηρύττειν. ἐν γνώσει. τί ἐστιν, ἐν γνώσει; ἐν σοφίᾳ τῇ παρὰ τοῦ θεοῦ δεδομένῃ, τῇ ὄντως γνώσει· οὐ καθάπερ ἐκεῖνοι οἱ δοκοῦντες εἶναι σοφοὶ, καὶ τῇ ἔξωθεν παιδεύσει κομπάζοντες, ταύτῃ δὲ ἐλαττούμενοι. ἐν μακροθυμίᾳ, ἐν χρηστότητι. πολὺ γὰρ καὶ ταῦτα γενναίας ἦν ψυχῆς, τὸ πάντοθεν παροξυνόμενον καὶ κεντούμενον, μακροθύμως ἅπαντα φέρειν. εἶτα δεικνὺς πόθεν τοιοῦτος γέγονεν, ἐπήγαγεν, ἐν πνεύματι ἁγίῳ. ἐν αὐτῷ γὰρ πάντα ταῦτα κατορθοῦμεν, φησίν. ἀλλ' ὅρα πότε τὴν παρὰ τοῦ πνεύματος ἔθηκε τοῦ ἁγίου βοήθειαν· ὅτε τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο. ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερον λέγειν διὰ τούτου. ποῖον δὴ τοῦτο; ὅτι καὶ πνεύματος πολλοῦ πεπληρώμεθα, καὶ ἀποδείκνυμεν καὶ ἐντεῦθεν τὴν ἀποστολὴν, ἀπὸ τῶν χαρισμάτων ἠξιῶσθαι πνευματικῶν. εἰ γὰρ καὶ χάρις τοῦτο, ἀλλὰ καὶ αὐτὸς αἴτιος ὁ διὰ τῶν κατορθωμάτων καὶ τῶν ἱδρώτων τὴν χάριν ἐπισπασάμενος. Εἰ δέ τις εἴποι, μετὰ τῶν εἰρημένων αὐτὸν ἐμφαίνειν τὸ ὅτι καὶ ἐν τῇ χάριτι τῇ πνευματικῇ οὐδεμίαν ἔδωκε προσκοπὴν, οὐκ ἂν ἁμάρτοι τῆς ἐννοίας. καὶ γὰρ οἱ τὰς γλώσσας λαβόντες παρ' αὐτοῖς, καὶ ἐπαρθέντες, ἐμωμήθησαν. ἔστι γὰρ καὶ χάρισμα λαβόντα πνευματικὸν, οὐκ εἰς δέον αὐτῷ χρήσασθαι. ἀλλ' οὐχ ἡμεῖς, φησίν· ἀλλὰ καὶ ἐν πνεύματι, τουτέστιν, ἐν τοῖς χαρίσμασιν ἀμώμητοι ἐγενόμεθα. ἐν ἀγάπῃ ἀνυποκρίτῳ.

Τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν, τοῦτο τοιοῦτον αὐτὸν εἰργάζετο, τοῦτο καὶ τὸ πνεῦμα μένειν ἐποίει παρ' αὐτῷ, δι' οὗ καὶ πάντα αὐτῷ κατωρθοῦτο. ἐν λόγῳ ἀληθείας. ὃ πολλαχοῦ λέγει, ὅτι οὐ δολοῦντες τὸν λόγον τοῦ θεοῦ, οὐδὲ νοθεύοντες διετελέσαμεν. ἐν δυνάμει θεοῦ. ὅπερ ἀεὶ ποιεῖ, οὐδὲν ἑαυτῷ, ἀλλὰ τῷ θεῷ τὸ πᾶν ἀνατιθεὶς, καὶ αὐτῷ λογιζόμενος τὰ αὐτοῦ κατορθώματα, τοῦτο καὶ ἐνταῦθα πεποίηκεν. ἐπειδὴ γὰρ μεγάλα ἐφθέγξατο, καὶ ἔφησεν ἄληπτον παρεσχῆσθαι βίον διὰ πάντων, καὶ φιλοσοφίαν ἄκραν· τῷ πνεύματι, καὶ τῷ θεῷ ταῦτα ἀνατίθησιν. οὐδὲ γὰρ τὰ τυχόντα ἦν τὰ εἰρημένα. Εἰ γὰρ καὶ ἐν ἡσυχίᾳ ζῶντα δύσκολον κατορθοῦν, καὶ ἄληπτον εἶναι, τὸν ὑπὸ τοσούτων ἐνοχλούμενον πειρασμῶν, καὶ διὰ πάντων λάμψαντα, ἐννόησον ἡλίκης ἐστὶ ψυχῆς. καίτοι οὐδὲ ταῦτα ὑπέμεινε μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα τούτων, ἅπερ ἑξῆς τίθησι. καὶ τὸ δὴ θαυμαστὸν, οὐχ ὅτι ἄληπτος ἦν ἐν τοσούτοις κύμασι πλέων, οὐδ' ὅτι πάντα ὑπέμεινε γεν-



A Deinceps una cum externis sua recenset. *In laboribus, in vigiliis, in jejuniis, 6. in castitate.* His verbis ærumnas eas innuit, quas huc atque illuc cursando, ac victum sibi manibus quærendo, exantlabat, noctesque, quas in docendo, vel etiam laborando, conterebat. Ad hæc etiam nec jejunium omittebat: tametsi illa mille jejuniorum instar essent. Per castitatem rursus hoc loco, vel pudicitiam intelligit, vel in omnibus rebus puritatem, vel quod muneribus abjectis gratis evangelium prædicaret. *In scientia.* Quid est, *In scientia?* In sapientia a Deo concessa,
B quæ vera scientia est: non ut illi, qui sapientes videntur, ac de externa scientia gloriantur, hac vero destituti sunt. *In longanimitate, & suavitate.* Hæc quoque perquam generosi animi sunt, nempe, cum undique provoceris, ac pungaris, æquo animo fers omnia. Tum autem ostendens, unde talis effectus sit, subjunxit, *In Spiritu sancto.* In ipso enim omnia hæc consequimur. At vide quandonam Spiritus sancti auxilium posuit, postquam nempe sua ostenderat. Quamquam mihi aliud quoque his verbis indicare videtur. Quidnam hoc? Nempe quod copioso Spiritu repletus esset, atque hinc quoque
C missionis suæ argumentum præberet, quia spiritualibus gratiis donatus fuisset. Nam etsi id quoque gratia erat: at ipse quoque causa item erat, ut qui per sua recte facta & sudores gratiam attraxisset. Quod si quis insuper id quoque ab apostolo indicari contendat, quod in spirituali etiam illa gratia nullam offensionis ansam dederit, ab ipsius sententia non aberrarit. Etenim illi, qui apud eos linguarum donum acceperant, ideoque arrogantiam conceperant, vituperati sunt. Fieri enim potest, ut qui spiritualem gratiam acceperit, non ea, ut par est, utatur. At nos non ita; verum in Spiritu etiam, hoc
D est in spiritualibus gratiis, inculpati fuimus. *In caritate non ficta.*

3. Hæc bonorum omnium causa erat; hæc talem ipsum efficiebat: hæc id præstabat, ut Spiritus, cujus ope omnia recte efficiebat, apud ipsum maneret. 7. *In verbo veritatis.* Hoc est quod plerumque ait, non dolo tractantes nec adulterantes verbum Dei perstitimus. *In virtute Dei.* Quod nusquam non facit, ut nihil sibi, sed Deo accepta omnia referat, eaque, quæ cum laude gesse-
E rit, adscribat, hoc etiam hic fecit. Quoniam enim magna quædam loquutus fuerat, dixeratque se vitam semper reprehensione alienam, ac summam philosophiam exhibuisse, Spiritui, ac Deo hæc attribuit. Neque vulgaria erant quæ dixerat. Nam si quietam vitam agenti virtutem assequi, & irreprehensibilem esse, difficile est, illud tecum reputa, quam egregii animi sit, tot tentationibus vexatum semper effulsisse. Atqui non hæc sola sustinuit: sed multo his plura, quæ deinceps enumerat. In quo illud admirandum est, non quod tot tantisque fluctibus irreprehensibilis fuerit, nec quod omnia forti animo pertulerit, sed

quod etiam cum voluptate omnia; quæ deinde his verbis declarat, *Per arma justitiæ, a dextris & a sinistris.* Vides-ne animi præsentiam, firmosque sensus? Afflictiones enim arma esse ostendit, quæ non modo non dejiciant, sed etiam muniant ac firmiores efficiant. Sinistra autem ea vocat, quæ molestiæ speciem habent. Nam ejusmodi sunt ea, quæ mercedem habent. Cur igitur hoc iis nomen imponit? Vel secundum vulgi opinionem, vel quia jussit nos Deus orare, ne in tentationem intremus. 8. *Per gloriam & ignominiam, per infamiam & bonam famam.* Quid ais? Magnum-ne ad laudem tibi esse censes gloria frui? Maxime, inquit. Quid ita? Nam ignominiam quidem ferre magnum est. In gloria autem versari, annon strenuum animum requirit? Strenuum plane, ac perquam ingentem, ut ne is, qui ea fruitur, obruatur. Quo fit, ut in eo quoque Paulus glorietur, ut & in illo: quoniam in utraque re peræque elucebat. Quomodo arma justitiæ? Quoniam multos ad pietatis studium incitat, cum magistros in honore esse conspiciunt: atque bonorum operum hoc argumentum est, & hinc Dei gloria celebratur. Quin illud quoque divini artificii erat, nimirum evangelii prædicationi aditum per contraria aperire. Sic enim cogita: Vinctus erat Paulus? Id quoque ad

[Philip. 1. 12.] evangelii commodum cedebat. Quæ circa me sunt, inquit, magis ad profectum evangelii venerunt: ita ut plures e fratribus confidentes in vinculis meis abundantius auderent sine timore verbum Dei loqui. Rursum in gloria versabatur? Hoc quoque rursum promtitudinem illis majorem afferebat. *Per infamiam & bonam famam.* Non enim ea solum quæ corpore excipiebat, forti animo perferebat, afflictiones, eaque omnia, quæ recensuit: sed ea etiam, quæ animum solum perstringebant. Neque enim hæc tumultus excitare consueverunt. Ipse quippe

[Jer. 20. 9.] Jeremias, cum multas tentationes tulisset, ad has fatiscebat, & cum conviciis incesseretur, dicebat, *Non prophetabo, nec loquar ultra in nomine Domini.* David etiam sæpe in probro se esse deplorat. Atque Esaias post alia multa pro hac re sic cohortatur:

[Isai. 51. 7.] *Nolite timere opprobrium hominum, & despectum eorum ne metuatis.* Ac rursum Chri-

[Matt. 5. 11.] stus discipulis: Cum dixerint, inquit, omne malum adversum vos, mentientes, gaudete & exsultate, quoniam merces vestra copiosa

[Luc. 6. 23.] est in cælis. Et alio loco dicit, *Et exsultate.* Atqui non tantam mercedem constituisset, nisi ingens esset certamen. In cruciatibus enim, corpus cum animo dolores partitur: hoc quippe habet dolor, ut & corpus & animum afficiat: at in probris animus solus vexatur. Multi certe his solis prostrati sunt, animæque suæ jacturam fecerunt. Atque ipsi Jobo vermibus & ulceribus graviora ea probra fuere, quibus ab amicis oneratus fuit. Nihil enim est, nihil inquam est iis, qui doloribus premuntur, intolerabilius, quam oratio, quæ illos mordeat. Quocirca

A ναίως, ἀλλ' ὅτι καὶ μεθ' ἡδονῆς πάντα. ἅπερ διὰ τῶν ἑξῆς ἡμῖν πάντα ποιεῖ φανερὰ, λέγων οὕτω· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. εἶδες ψυχῆς παράστημα, καὶ φρόνημα εὔτονον; δείκνυσι γὰρ ὅτι ὅπλα εἰσὶν αἱ θλίψεις, οὐ μόνον οὐ καταβάλλοντα, ἀλλὰ καὶ τειχίζοντα, καὶ ἰσχυροτέρους ποιοῦντα. ἀριστερὰ δὲ καλεῖ τὰ δοκοῦντα εἶναι λυπηρά. καὶ γὰρ τοιαῦτά ἐστι τὰ τὸν μισθὸν ἔχοντα. τίνος οὖν ἕνεκεν οὕτως αὐτὰ καλεῖ; ἢ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν, ἢ ἐπειδὴ

B ἐκέλευσεν ὁ θεὸς εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας. τί λέγεις; ὅτι δόξης ἀπολαύεις, μέγα τοῦτο τίθης εἶναι; ναί, φησι. τί δήποτε; τὸ μὲν γὰρ ἀτιμίαν ἐνεγκεῖν, μέγα· τὸ δὲ δόξης μετασχεῖν, οὐ νεανικῆς δεῖται ψυχῆς; νεανικῆς μὲν οὖν, καὶ σφόδρα μεγάλης, ὥστε αὐτῆς ἀπολαύοντα μὴ ἐκτραχηλισθῆναι. διὸ καὶ ἐπὶ τούτῳ φρονεῖ, ὡς ἐπ' ἐκείνῳ. καὶ γὰρ ἐν ἀμφοτέροις ὁμοίως ἔλαμπε. πῶς δὲ ὅπλον γίνεται δικαιοσύνης; ὅτι ἐνάγει πολλοὺς εἰς εὐσέβειαν τὸ ἐν τίμῃ εἶναι τοὺς διδασκά-

C λους· καὶ ἔργων δὲ ἀγαθῶν τοῦτο δεῖγμά ἐστι, καὶ τὸν θεὸν τοῦτο δοξάζει. καὶ τοῦτο δὲ τῆς τοῦ θεοῦ εὐμηχανίας, τὸ διὰ τῶν ἐναντίων εἰσάγειν τὸ κήρυγμα. σκόπει δέ· ἐδέδετο ὁ Παῦλος; καὶ τοῦτο ἦν ὑπὲρ τοῦ εὐαγγελίου. τὸ γὰρ κατ' ἐμὲ, φησιν, εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν. δόξης πάλιν ἀπήλαυε; καὶ τοῦτο πάλιν ἐκείνους προθυμοτέρους εἰργάζετο. διὰ δυσφημίας, καὶ εὐφημίας. οὐ γὰρ μόνον ἐκεῖνα γενναίως ἔφερε τὰ ἐν τῷ σώματι, τὰς θλίψεις, καὶ

D ὅσα ἀπηριθμήσατο, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς μόνης καθαπτόμενα. οὐδὲ γὰρ καὶ ταῦτα ἁπλῶς θορυβεῖν εἴωθεν. ὁ γοῦν Ἱερεμίας πολλοὺς ἐνεγκὼν πειρασμοὺς, πρὸς ταῦτα ἀπηγόρευε· καὶ ἐπειδὴ ὠνειδίζετο, ἔλεγεν, οὐ μὴ προφητεύσω, οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα κυρίου. καὶ ὁ Δαυὶδ πολλαχοῦ τὸν ὀνειδισμὸν ἀποδύρεται. καὶ ὁ Ἡσαΐας μετὰ πολλὰ, ὑπὲρ τούτου παρακαλεῖ λέγων, ὀνειδισμὸν τῶν ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. καὶ ὁ Χριστὸς δὲ πάλιν τοῖς μαθηταῖς, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδό-

E μενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, φησιν, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἀλλαχοῦ δέ φησι, καὶ σκιρτήσατε. οὐκ ἂν δὲ τοσοῦτον ἔθηκε τὸν μισθὸν, εἰ μὴ πολὺς ἦν ὁ ἀγών. ἐν μὲν γὰρ ταῖς βασάνοις καὶ τὸ σῶμα μερίζεται μετὰ τῆς ψυχῆς τὰς ἀλγηδόνας· καὶ γὰρ τοῦ σώματος καὶ τῆς ψυχῆς ὁ πόνος ἐστίν· ἐκεῖ δὲ τῆς ψυχῆς μόνης. πολλοὶ γοῦν ἀπὸ τούτων μόνον ἔπεσον, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν ἀπώλεσαν. καὶ τῷ Ἰὼβ δὲ τῶν σκωλήκων καὶ τῶν τραυμάτων φορτικώτερα ἐφάνη τὰ παρὰ τῶν φίλων ὀνείδη. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀφορητότερον τοῖς ὀδυνωμένοις λόγου δυναμένου δακεῖν

ψυχήν. διὸ μετὰ τῶν κινδύνων καὶ τῶν ἱδρώτων, καὶ ταῦτα τίθησι, λέγων, διὰ δόξης καὶ ἀτιμίας. πολλοὶ γοῦν καὶ τῶν Ἰουδαίων, διὰ τὴν δόξαν τὴν τῶν πολλῶν, οὐκ ἠθέλησαν πιστεῦσαι. ἐφοβοῦντο γὰρ οὐχ ἵνα μὴ κολασθῶσιν, ἀλλ' ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. διὸ λέγει, πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες; καὶ πολλοὺς ἂν ἴδοιμεν, οἱ πάντων μὲν κατεφρόνησαν τῶν δεινῶν, ὑπὸ δὲ δόξης ἡττήθησαν. ὡς πλάνοι, καὶ ἀληθεῖς· τοῦτό ἐστι, διὰ δυσφημίας, καὶ εὐφημίας. ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι. τοῦτό ἐστι, διὰ δόξης καὶ ἀτιμίας. τοῖς μὲν γὰρ ἦσαν γνώριμοι, καὶ περιεσπούδαστοι· οἱ δὲ οὐδὲ εἰδέναι αὐτοὺς ἠξίουν. ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς ἐπιθανάτιοι καὶ κατάδικοι· ὅπερ καὶ αὐτὸ ἀτιμίας ἦν.

Τοῦτο δὲ ἔλεγε, δεικνὺς καὶ τὴν τοῦ θεοῦ δύναμιν τὴν ἄφατον, καὶ τὴν αὐτῶν ὑπομονήν. τὸ μὲν γὰρ τῶν ἐπιβουλευόντων μέρος, ἀπεθάνομεν, καὶ τοῦτο πάντες νομίζουσι· διὰ δὲ τὸν θεὸν διεφύγομεν τοὺς κινδύνους. εἶτα δηλῶν καὶ τίνος ἕνεκεν ταῦτα συγχωρεῖ ὁ θεὸς, ἐπήγαγεν, ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· μέγα ἀπὸ τῶν πειρασμῶν, καὶ πρὸ τῶν μισθῶν, δεικνὺς τὸ κέρδος αὐτοῖς ἐγγινόμενον, καὶ τοὺς ἐχθροὺς ἄκοντας αὐτοὺς ὠφελοῦντας. ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες. παρὰ μὲν γὰρ τοῖς ἔξωθεν ὑποπτευόμεθα, ὡς ἐν ἀθυμίᾳ εἶναι· ἡμεῖς δὲ οὐκ ἐκείνοις προσέχομεν, ἀλλὰ τὴν ἡδονὴν ἀκμάζουσαν ἔχομεν. καὶ οὐκ εἶπε, χαίροντες, μόνον, ἀλλὰ προσέθηκε καὶ τὸ διηνεκές· ἀεὶ γὰρ χαίροντές, φησι. τί τοίνυν ταύτης ἴσον γένοιτ' ἂν τῆς ζωῆς, ἐν ᾗ τοσούτων ἐπιόντων δεινῶν, μείζων ἡ χαρὰ γίνεται; ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες. τινὲς μέν φασι πλοῦτον ἐνταῦθα λέγεσθαι τὸν πνευματικόν· ἐγὼ δὲ εἴποιμ' ἂν καὶ τὸν σαρκικόν. καὶ γὰρ καὶ τοῦτον ἐπλούτουν, καινῷ τινι τρόπῳ τὰς ἁπάντων ἔχοντες οἰκίας ἀνεῳγμένας αὐτοῖς. καὶ τοῦτο ἐδήλωσε διὰ τῶν ἑξῆς, εἰπὼν, ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. καὶ πῶς ἔνι τοῦτο; πῶς μὲν οὖν τὸ ἐναντίον ἔνι; ὁ γὰρ πολλὰ κατέχων, οὐδὲν ἔχει· ὁ δὲ μηδὲν ἔχων, τὰ πάντα κέκτηται. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ὑπὸ τῶν ἐναντίων τὰ ἐναντία ἐγίνετο. εἰ δὲ θαυμάζεις πῶς ἐστι τὸν μηδὲν ἔχοντα τὰ πάντα ἔχειν, αὐτὸν τοῦτον εἰς μέσον ἀγάγωμεν, ὃς τῇ οἰκουμένῃ ἐπέταττε, καὶ οὐχὶ τῶν χρημάτων αὐτῶν, ἀλλὰ καὶ αὐτῶν τῶν ὀφθαλμῶν κύριος ἦν. εἰ δυνατόν, φησι, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ταῦτα δὲ λέγει, παιδεύων μὴ ταράττεσθαι πρὸς τὰς τῶν πολλῶν δόξας, κἂν πλάνους λέγωσι, κἂν ἀγνοῶσι, κἂν καταδίκους νομίζωσι, κἂν ἐπιθανατίους, κἂν λυπεῖσθαι, κἂν ἐν πτωχείᾳ εἶναι, κἂν μηδὲν ἔχειν, κἂν τοὺς ἐν εὐθυμίᾳ ἀθυμεῖν· ὅτι οὐδὲ τοῖς τυφλοῖς ὁ ἥλιος καταφανής, οὐδὲ τοῖς παραπαίουσιν ἡ τῶν σωφρονούντων ἡδονὴ δήλη. μόνοι γὰρ οἱ πιστοὶ ὀρθοὶ κριταὶ τῶν πραγμάτων

A cum periculis ac sudoribus hæc collocat, dicens, *Per gloriam & ignominiam.* Multi quippe, etiam ex Judæis, ne ea gloria, in qua apud vulgus erant, laberentur, fidem amplecti noluerunt. Timebant enim, non ne supplicio afficerentur, sed ne ex synagoga proscriberentur. Unde etiam dicebat Christus, *Quomodo potestis credere, qui gloriam ab invicem accipitis?* Ac multos cernere est, qui cum acerba omnia contemsissent, a gloria superati sunt. *Ut seductores, & veraces.* Idem est cum illo, *Per infamiam, & bonam famam. Sicut qui ignoti, & cogniti.* Hoc B idipsum est quod, *Per gloriam & ignominiam.* Quibusdam enim noti erant, ab iisque colebantur: quidam ne cognoscere quidem eos dignabantur. *Quasi morientes, & ecce vivimus.* Ut morti obnoxii ac damnati. Quod ipsum quoque ignominia erat.

Joan. 12. 42.

Joan. 5. 44.

4. Hoc porro dicebat, tum ut inenarrabilem Dei potentiam, tum patientiam suam declararet. Nam, quantum penes insidiatores est, mortui sumus: atque ita omnes existimant: at divina potentia factum est, ut ex periculis erepti simus. Postea, cur hæc Deus permittat, explanans, subjungit, *Ut castigati, & non mortificati.* Quibus indicat, C ex tentationibus ingentem, etiam ante ipsa præmia, fructum ipsis exoriri, hostesque vel invitos sibi utiles esse: 10. *Quasi tristes, semper autem gaudentes.* Exteri suspicantur nos in mœrore esse: at nos, quid ipsi existiment, haud attendimus, verum florentissima voluptate fruimur. Nec vero gaudentes solum dixit, sed addidit, semper. *Semper* enim *gaudentes*, inquit. Ecquid igitur huic vitæ par esse queat, in qua tot calamitatibus incursantibus, auctior voluptas efficitur? *Sicut egentes, multos autem locupletantes.* Quidam aiunt hoc loco de spiritualibus opibus verba haberi: ego autem de iis quo- D que, quæ ad carnem attinent. Nam & his novo quodam modo præditi erant, ut quibus omnium ædes paterent. Atque hoc perspicuum fecit ex eo quod deinceps ait, *Tamquam nihil habentes, & omnia possidentes.* Et quî fieri hoc potest, inquies? Imo quî contrarium fieri potest? Nam qui multa possidet, nihil habet: qui autem nihil habet, omnia possidet. Neque hic solum hoc usu venit, sed & in aliis rebus, e contrariis contraria existunt. Quod si miraris quonam modo fiat, ut qui rebus omnibus caret, cuncta habeat, hunc ipsum Paulum in medium adducamus, qui orbi terrarum imperabat, nec E pecuniarum tantum, sed & oculorum omnium dominus erat. *Si fieri potuisset*, inquit, *oculos vestros eruissetis, & mihi dedissetis.* Gal. 4. 15. Hæc porro dicit, ut nos doceat ut ne ob vulgi opiniones turbemur, etiamsi nos impostores appellent, etiamsi nos ignorent, damnatos existiment, etiamsi in mœrore atque egestate versari putent, & inopia premi; etiamsi, cum læti simus, mœsto animo esse dicant. Quandoquidem nec cæcis perspicuus est solis splendor, nec insanis sapientium voluptas. Soli enim pii viri, recti sunt rerum judices, nec de iisdem, quibus alii,

rebus vel gaudent vel anguntur. Nam si quis palæstræ rudis pugilem vulneribus affectum ac corona redimitum spectet, eum ob vulnera discruciari judicarit, quod quantam ei corona voluptatem pariat, ignoret: eodem modo isti, quia quæ patimur norunt, ea autem ob quæ patimur nesciunt, non mirum si hæc sola suspecta habeant, ut qui certamina quidem & pericula perspiciant, præmia autem & coronas, & certaminum causam, non item. Quænam ergo ea omnia erant, quæ Paulus possidebat, cum diceret, *Tamquam nihil habentes & omnia possidentes?* Mundana, & spiritualia. Ille enim quem urbes velut angelum exciperent, ac pro quo effossos oculos tradere, pro quo cervices suas exponere parati multi essent, annon ille omnia eorum bona possidebat? Quod si spiritualia quoque perspicere libet, videbis eum in iis maxime locupletem. Nam qui in tanta omnium Regis amicitia versabatur, ut angelorum Dominus arcana sua ipsi impertiret, quî fieri poterat, quin omnes opibus anteiret, atque omnia possideret? Non enim alioqui dæmones ita ei cessissent: non ita dolores ac morbi fugam corripuissent. Proinde nos quoque, cum propter Christum malo afficimur, non modo fortem, sed etiam lætum animum præbeamus. Si jejunamus, perinde exsultemus ac si in voluptate essemus. Si contumelias accipimus, ac si laudaremur choreas agamus. Si sumtus facimus, ita affecti simus, ac si quæstus faciamus. Si pauperibus largimur, nosipsos accipere arbitremur. Nam qui non eo animo dat, nec facile dabit. Quare cum vis spargere, non id solum specta, quod expendis: sed hoc etiam quod plura lucraris: & hoc prius quam illud. Nec vero in eleemosyna solum, sed in omni quoque virtute, non laborum acrimoniam, sed præmiorum suavitatem, atque ante omnia Christum, qui certaminum causa est, tibi propone. Sic fiet, ut certamina impigre adeas, atque omnem vitæ cursum cum voluptate conficias. Neque enim quidquam est, quod tantam voluptatem afferat, ut animus sibi bene conscius. Propterea Paulus quidem, cum singulis diebus vexaretur, gaudebat & exsultabat. Nunc autem homines ne per somnium quidem horum aliquid perpetientes, dolent ac mœsti sunt, nullam aliam ob causam, quam quod philosophico animo præditi non sint. Alioqui enim exponas mihi velim quid sit quamobrem lugeas? An quia pauper es, ac rerum necessariarum inopia premeris? Ergo ideo potius lugendus es, non quia ploras, nec quia eges, sed quia abjecto es animo: non quia nummis cares, sed quia nummos tanti æstimas. In singulos dies morte fungebatur Paulus, nec tamen plorabat, imo etiam lætabatur. Cum perpetua fame luctabatur, nec dolebat, imo etiam gloriabatur.

Eleemosyna commendatur.

5. At tu, quia totius anni proventus reconditos non habes, angeris, teque affligis? Non mirum, inquis. Ille enim de se tantum erat solicitus: me vero, & servi, & liberi,

A εἰσί, καὶ οὐκ ἐπὶ τοῖς αὐτοῖς χαίρουσι καὶ ἀλγοῦσι τοῖς ἄλλοις. καὶ γὰρ εἴ τις ἄπειρος ἀγώνων πυκτεύοντα θεάσαιτο τραύματα ἔχοντα, καὶ στέφανον περικείμενον, ἡγήσαιτο αὐτὸν ἀλγεῖν διὰ τραύματα, οὐκ εἰδὼς τὴν ἡδονὴν τὴν ἀπὸ τοῦ στεφάνου· καὶ οὗτοι τοίνυν ἐπειδὴ ἃ πάσχομεν ἴσασιν, ὑπὲρ δὲ ὧν πάσχομεν ἀγνοοῦσιν, εἰκότως ταῦτα μόνα ὑποπτεύουσι, τὰ παλαίσματα μὲν καὶ τοὺς κινδύνους ὁρῶντες, τὰ δὲ ἔπαθλα καὶ τοὺς στεφάνους, καὶ τὴν τῶν ἀγώνων ὑπόθεσιν οὐκέτι. τί οὖν ἦν πάντα ἅπερ Παῦλος κατεῖχε, λέγων, ὡς B μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες; τὰ βιωτικὰ, τὰ πνευματικά. ὃν γὰρ ὡς ἄγγελον αἱ πόλεις ἐδέχοντο, ὑπὲρ οὗ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐξορύξαντες ἂν ἔδωκαν, ὑπὲρ οὗ τὸν ἑαυτῶν τράχηλον ὑπέθεντο, πῶς οὐκ οὐ πάντα εἶχε τὰ ἐκείνων; εἰ δὲ βούλει καὶ τὰ πνευματικὰ ἰδεῖν, ὄψει καὶ ἐν τούτοις μάλιστα πλουτοῦντα. ὁ γὰρ οὕτω τῷ βασιλεῖ τῶν πάντων φίλος, ὡς καὶ ἀποῤῥήτων κοινωνεῖν τῷ δεσπότῃ τῶν ἀγγέλων, πῶς οὐ πάντων εὐπορώτερος ἦν, καὶ πάντα εἶχεν; οὐκ ἂν οὕτως ὑπέκειντο δαίμονες, οὐκ ἂν οὕτως ἐδραπέτευσε πάθη καὶ νοσήματα. C καὶ ἡμεῖς τοίνυν, ὅταν τι πάσχωμεν διὰ τὸν Χριστὸν, μὴ μόνον γενναίως φέρωμεν, ἀλλὰ καὶ χαίρωμεν. κἂν νηστεύωμεν, ὡς τρυφῶντες σκιρτῶμεν· κἂν ὑβριζώμεθα, ὡς ἐγκωμιαζόμενοι χορεύωμεν· [a] κἂν ἀναλίσκωμεν, ὡς κερδαίνοντες διακεώμεθα· κἂν πένησι παρέχωμεν, λαμβάνειν νομίζωμεν. ὁ γὰρ μὴ οὕτω διδοὺς, οὐδὲ δώσει ῥᾳδίως. ὅταν τοίνυν θέλῃς σκορπίσαι, μὴ τοῦτο ἴδῃς μόνον, ὅτι ἀναλίσκεις, ἀλλ' ὅτι καὶ πλείονα κερδαίνεις· καὶ τοῦτο πρὸ ἐκείνου. καὶ μὴ μόνον ἐπὶ ἐλεημοσύνης, ἀλλὰ καὶ ἐπὶ πάσης D ἀρετῆς, μὴ τὸ δριμὺ τῶν πόνων, ἀλλὰ καὶ τὸ γλυκὺ τῶν ἐπάθλων λογίζου· καὶ πρὸ πάντων, τὴν ὑπόθεσιν τῶν παλαισμάτων τὸν κύριον ἡμῶν Ἰησοῦν· καὶ ῥᾳδίως ἐπιβήσῃ τῶν ἀγώνων, καὶ ἐν ἡδονῇ τὸν ἅπαντα βιώσῃ χρόνον. οὐδὲν γὰρ οὕτω ποιεῖν ἡδονὴν εἴωθεν, ὡς συνειδὸς ἀγαθόν. διὰ τοῦτο Παῦλος μὲν καθ' ἑκάστην κακούμενος τὴν ἡμέραν, ἔχαιρε καὶ ἠγάλλετο. οἱ νῦν, οὐδὲ ὄναρ ὑπομένοντές τι τούτων, ἀλγοῦσι καὶ θρηνοῦσιν, οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἐκ τοῦ μὴ φιλόσοφον ἔχειν γνώμην. ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, ὁ θρῆνος; ὅτι πένης E εἶ, καὶ τῶν ἀναγκαίων ἀπορεῖς; οὐκοῦν διὰ τοῦτό σε μᾶλλον θρηνεῖν δεῖ, οὐχ ὅτι κλαίεις, οὐχ ὅτι πένης εἶ, ἀλλ' ὅτι μικρόψυχος· οὐχ ὅτι χρήματα οὐκ ἔχεις, ἀλλ' ὅτι τοσούτου τὰ χρήματα τιμᾷς. καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε Παῦλος, καὶ οὐκ ἔκλαιεν, ἀλλὰ καὶ ἔχαιρε. λιμῷ ἐμάχετο διηνεκεῖ, καὶ οὐκ ἤλγει, ἀλλὰ καὶ ἐκαλλωπίζετο.

Σὺ δὲ ὅτι μὴ πάντα ἔχεις τὰ τοῦ ἐνιαυτοῦ κείμενα, ἀλγεῖς καὶ κόπτεις ἑαυτόν; ναί, φησιν. ἐκεῖνος γὰρ τὰ ἑαυτοῦ μόνον ἐμερίμνα, ἐγὼ δὲ καὶ ὑπὲρ οἰκετῶν,

a Savil. in marg. κἂν ἀναλίσκοντες.

καὶ παίδων, καὶ γυναικός. ἐκεῖνος μὲν οὖν μόνος τὰ ἑαυτοῦ οὐκ ἐμερίμνα, ἀλλὰ τὰ τῆς οἰκουμένης ἁπάσης. καὶ σὺ μὲν ὑπὲρ οἰκίας μιᾶς· ἐκεῖνος δὲ ὑπὲρ τῶν ἐν Ἱεροσολύμοις πενήτων τοσούτων ὄντων, ὑπὲρ τῶν ἐν Μακεδονίᾳ, ὑπὲρ τῶν πανταχοῦ πτωχευόντων, ὑπὲρ τῶν διδόντων ἐκείνοις οὐχ ἧττον, ἢ τῶν λαμβανόντων. καὶ γὰρ διπλῆ ἦν αὐτῷ ἡ φροντὶς ὑπὲρ τῆς οἰκουμένης· καὶ ὅπως τῶν ἀναγκαίων μὴ ἀποροῖεν, καὶ ὅπως ἐν τοῖς πνευματικοῖς πλουτοῖεν. καὶ οὐχ οὕτως ἐλύπει τὰ παιδία πεινῶντα, ὡς ἐκεῖνον τὰ τῶν πιστῶν πράγματα πάντα. τί λέγω τὰ τῶν πιστῶν; οὐδὲ γὰρ τῆς ὑπὲρ τῶν ἀπίστων φροντίδος ἐλεύθερος ἦν, ἀλλ' οὕτως ὑπὸ ταύτης ἐτήκετο, ὡς εὔχεσθαι καὶ ἀνάθεμα γίνεσθαι ὑπὲρ αὐτῶν· σὺ δὲ, κἂν μυριάκις ἐπικεφαλήσῃ λιμὸς, οὐκ ἂν ἕλοιό ποτε ἀποθανεῖν ὑπὲρ ὁτουοῦν. καὶ σὺ μὲν ὑπὲρ γυναικὸς μιᾶς μεριμνᾷς, ἐκεῖνος δὲ ὑπὲρ πασῶν τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν. ἡ γὰρ μέριμνα μου, φησὶ, πασῶν τῶν ἐκκλησιῶν. μέχρι τίνος οὖν παίζεις, ἄνθρωπε, Παύλῳ σαυτὸν παραβάλλων, καὶ οὐ παύσῃ τῆς πολλῆς ταύτης μικροψυχίας; δακρύειν γὰρ, οὐχ ὅταν ἐν πενίᾳ ὦμεν, ἀλλ' ὅταν ἁμαρτάνωμεν, δεῖ. τοῦτο γὰρ θρήνων ἄξιον. ὡς τάγε ἄλλα καὶ γέλωτος. ἀλλ' οὐ τοῦτό με λυπεῖ, φησὶ, μόνον, ἀλλ' ὅτι καὶ ὁ δεῖνα ἐν δυναστείᾳ, ἐγὼ δὲ ἄτιμος καὶ ἀπερριμμένος. καὶ τί τοῦτο; καὶ γὰρ ὁ μακάριος Παῦλος ἄτιμος καὶ ἀπερριμμένος εἶναι ἐδόκει τοῖς πολλοῖς. ἀλλ' ἐκεῖνος Παῦλος ἦν, φησίν. οὐκοῦν οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ τῆς γνώμης ἀσθένεια ποιεῖ σοι τὴν ἀθυμίαν. μὴ τοίνυν τὴν πενίαν θρήνει, ἀλλὰ σαυτὸν τὸν οὕτω διακείμενον· μᾶλλον δὲ μὴ σαυτὸν θρήνει, ἀλλὰ διόρθου· μηδὲ χρήματα ζήτει. ἀλλ' ὃ μυρίων χρημάτων φαιδροτέρους ποιεῖ, τοῦτο δίωκε, φιλοσοφίαν καὶ ἀρετήν. ταύτης μὲν γὰρ οὔσης, οὐδὲν πενίας βλάβος· ταύτης δὲ οὐκ οὔσης, οὐδὲν χρημάτων ὄφελος. τί γὰρ ὄφελος, εἰπέ μοι, τῶν πλουτούντων μὲν, πενιχρὰς δὲ ἐχόντων ψυχάς; οὐχ οὕτω σὺ σαυτὸν ταλανίζεις, ὡς ἐκεῖνος ὁ πλούσιος ἑαυτὸν, ὅτι μὴ τὰ πάντων ἔχει. εἰ δὲ μὴ κλαίει, καθάπερ σὺ, ἀνακάλυψον αὐτοῦ τὸ συνειδὸς, καὶ ὄψει τοὺς θρήνους καὶ τοὺς κωκυτούς. θέλεις σοι δείξω τὸν πλοῦτον τὸν σὸν, ἵνα παύσῃ μακαρίζων τοὺς ἐν χρήμασι πλουτοῦντας; ὁρᾷς τουτονὶ τὸν οὐρανὸν, πῶς μὲν καλὸς, πῶς δὲ μέγας, πῶς δὲ ἐφ' ὑψηλοῦ κεῖται; τούτου τοῦ κάλλους οὐχὶ πλέον μὲν ἀπολαύει ἐκεῖνος· οὐδ' ἂν δυνηθείη σε παρώσασθαι, καὶ αὐτοῦ ποιῆσαι τὸ πᾶν. ὥσπερ γὰρ δι' ἐκεῖνον γέγονεν, οὕτω καὶ διὰ σέ. τί δὲ ὁ ἥλιος; τὸ φαιδρὸν τοῦτο ἄστρον, καὶ τηλαυγὲς, καὶ τὰς ὄψεις ἡμῶν εὐφραῖνον, οὐχὶ κοινὸς ἅπασι καὶ ἐν μέσῳ πρόκειται, καὶ πάντες ἀπολαύουσιν ἐξίσης αὐτοῦ, καὶ πλούσιοι, καὶ πένητες; ἀλλ' ὁ τῶν ἄστρων στέφανος, καὶ ὁ τῆς σελήνης κύκλος, οὐχ ὁμοίως πᾶσιν ἀνεῖται; μᾶλλον δὲ, εἰ δεῖ τι θαυμαστὸν εἰπεῖν, πλέον ἡμεῖς οἱ πένητες ἀπολαύομεν, ἢ ἐκεῖνοι. ἐκεῖνοι μὲν γὰρ τὰ πολλὰ μέθῃ βαπτιζόμενοι,

A & uxor solicitum tenent. Imo vero ille non rerum suarum tantum solicitudinem gerebat, sed universi terrarum orbis. Ac tu quidem pro unica domo solicitudine afficeris: ille autem pro tot Jerosolymitanis pauperibus, pro Macedonicis, pro omnibus denique egenis qui ubique erant, nec minus pro iis, qui ipsis largiebantur, quam pro iis, qui accipiebant. Duplex enim ipsum in terrarum orbem cura tangebat, nempe ut ne rebus ad vitam necessariis indigerent, & ut spiritualibus opibus abundarent. Nec vero tantum mœroris parentibus afferunt filii B fame laborantes, quantum ipsi fidelium omnium negotia. Quid dico fidelium? Nam neque ab infidelium cura vacabat: verum ea ita conficiebatur, ut eorum loco anathema quoque fieri optaret; tu vero, ne si millies quidem fames invalesceret, pro ullo tamen homine mori velles. Ac tu quidem pro unica uxore in cura es: ille autem pro omnibus totius orbis ecclesiis. *Solicitudo* 2. Cor. 11. 28. enim *mea*, inquit, *omnium ecclesiarum*. Quousque ergo ludes, o homo, teipsum cum Paulo conferens? Non tu hac tanta animi imbecillitate laborare desines? Collacrymandum enim est, non cum in paupertate sumus, C sed cum peccamus. Hoc quippe est, quod lacrymas meretur; nam alia risu digna sunt. At non hoc dumtaxat mihi mœrori est, inquis, sed illud quoque, quod hic potentia præditus est; ego autem jaceo. Quid tum? Ipse quoque Paulus ignobilis atque abjectus plerisque videbatur. Verum Paulus ille erat, inquis. Ergo non rerum natura, sed animi imbecillitas hanc tibi mœstitiam affert. Quocirca paupertatem noli deflere, verum te ipsum, qui ita affectus sis: imo vero teipsum ne defle, sed potius corrige: nec opes quære, sed, quod majorem quam infinitæ opes lætitiam parit, consectare, nem- D pe philosophiam ac virtutem. Hæc enim si adsit, nihil nocet paupertas: si desit, nihil prosunt opes. Quid enim, oro te, utilitatis capiunt, qui opibus quidem affluunt, verum pauperes animos habent? Non tu tam miserum teipsum censes, quam dives ille seipsum, quia non omnium opes habet. Quod si non perinde ut tu lamentatur, ipsius conscientiam explica, & lamentationes atque singultus videbis. *Opes quænam veræ sint.* Vis tuas tibi opes ostendam, ut beatos eos existimare desinas, qui sunt locupletes? Vides hoc cælum, quam præclarum, quam ingens, quam sublimi lo- E co situm? Hac ille pulcritudine nihilo amplius fruitur quam tu: nec te ille propellere, totumque sui juris efficere queat. Ut enim propter illum est creatum, ita etiam propter te. Quid Sol? splendidum hoc sidus ac rutilans, atque oculos nostros oblectans? Annon communis hic quoque omnibus mortalibus patet, atque omnes æque, tam divites, quam egentes eo fruuntur? Quid stellarum corona, quid lunæ orbis? annon omnibus æque concessa sunt? Imo vero, quod dictu mirabile est, nos, qui pauperes sumus, uberius iis fruimur, quam illi. *Pauperes divitibus feliciores.* Etenim illi, mero ut plurimum obruti,

atque in comessationibus altissimoque somno vitam degentes, ne hæc quidem sentiunt, ut qui sub tecto se teneant, atque in umbra alantur. Pauperes contra ea conditione sunt, ut nulli mortalium parem ex elementis voluptatem capiant. Quin si aërem ipsum, qui ubique fusus est, exploraveris, puriore utique eo atque uberiore pauperem frui perspicies. Nam & viatores, & agricolæ, lætius eo afficiuntur, quam qui in urbibus degunt: &, si hos quoque spectes, lætius artifices, quam qui toto die perbacchantur. Nam quid de terra dicam? Annon cunctis æque patet? minime inquies. Quid ita? Quoniam is, qui dives est, & in urbe multa terræ jugera adeptus, longa pomœria extruit, & in agris multas partes desecat. Quid ergo? An quia desecat, solus proinde iis fruitur? Haud sane, quamlibet adnitatur. Fructus etenim in omnes distribuere cogitur, ac triticum, vinum, & oleum tibi elaborat, ac nusquam non tibi inservit. Amplorum etiam septorum ac domiciliorum, post incredibiles sumtus & labores atque ærumnas, usum tibi comparat, exiguis a te pro hujusmodi ministerio nummis acceptis. Atque hoc, & in balneis, & in aliis omnibus rebus usu venire comperias, ut qui divitiis circumfluunt, curis & laboribus conficiantur: qui autem opibus carent, paucis obolis hoc assequuntur, ut his omnibus cum summa securitate fruantur. Nec vero plus fructus e terra ad divitem redit. Neque enim ille decem ventres implet: cum tu unum dumtaxat. At exquisitioribus cibis ille vescitur? Sane quidem istud haud magna præstantia est. Cæterum hic pauperem plus habere comperiemus. Nam si profusa illa & exquisita vitæ ratio ideo tibi beata & expetenda esse videtur, quod majore voluptate perfusa sit; amplior voluptas penes pauperem est, nec solum voluptas, sed etiam sanitas. Atque in hoc solo superior est dives, quod imbecillius sibi corpus efficiat, ac plures morborum fontes colligat. Quidquid enim pauper edit, modo rationi consentaneo administratur: quidquid autem dives, quia modum excedit, in corruptionem desinit & morbum.

6. Quod si placet, exemplo istud ipsum perspiciamus. Si rogus accendendus sit, atque ille quidem sericas vestes, & permulta tenui filo contexta lintea injiciat, atque ita eum accendat, hic contra quercea & picea ligna, quid amplius ille habet quam hic? Nihil sane: imo inferius etiam quidpiam. Nihil enim prohibet quominus idem exemplum alio modo invertamus. Si alter ligna, alter corpora exurenda in rogum injecerit, utri tandem rogo lubentius affueris, huicne qui lignis, an ei, qui corporibus inflammatus sit? Liquet profecto quod ei qui lignis incensus sit. Ille enim, ut naturæ consentaneum est, ardet, ac jucundum spectaculum præbet; hic contra ejusmodi est, qui nidore & sanie ac fumo, & ossium fœtore, omnes procul abigat. Cohorruisti ad hæc verba,

A καὶ ἐν κώμοις διάγοντες καὶ ὕπνῳ βαθεῖ, οὐδὲ ἐπαισθάνονται τούτων, ὑπωρόφιοι ὄντες, καὶ σκιατραφούμενοι· οἱ δὲ πένητες μάλιστα πάντων εἰσὶν οἱ τοῖς στοιχείοις ἐντρυφῶντες τούτοις. κἂν τὸν ἀέρα δὲ ἐξετάσῃς τὸν πανταχοῦ κεχυμένον, τὸν πένητα καθαρωτέρου καὶ πλείονος ἀπολαύοντα ὄψει. καὶ γὰρ ὁδοιπόροι, καὶ γεωργοὶ, τῶν ἐν ἄστει μᾶλλον ἐντρυφῶσι τούτοις, καὶ αὐτῶν πάλιν τῶν ἐν ἄστει τούτων, πλέον οἱ χειροτέχναι, τῶν δι' ὅλης μεθυόντων τῆς ἡμέρας. τί δὲ ἡ γῆ, οὐχὶ κοινὴ πᾶσιν ἀνεῖται; οὐχί, φησι. πῶς τοῦτο λέγεις, εἰπέ μοι; ὅτι ὁ πλουτῶν, καὶ ἐν ἄστει B πλέθρα ἀπολαβὼν πλείονα, μακροὺς ἀνίστησι περιβόλους, καὶ ἐν ἀγροῖς πολλὰ ἀποτέμνεται μέρη. τί οὖν, ἐπειδὴ ἀποτέμνεται αὐτὰς, αὐτῶν ἀπολαύει μόνος; οὐδαμῶς, κἂν μυρία φιλονεικήσῃ. καὶ γὰρ τοὺς καρποὺς εἰς ἅπαντας ἀναγκάζεται διανέμειν, καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιόν σοι γεωργεῖ, καὶ διακονεῖταί σοι πανταχοῦ. καὶ τῶν περιβόλων τῶν μακρῶν, καὶ τῶν οἰκημάτων, μετὰ τὴν ἄφατον δαπάνην καὶ τοὺς πόνους καὶ τὰς ταλαιπωρίας, σοὶ παρασκευάζει τὴν χρῆσιν, ὀλίγον παρὰ σοῦ τῆς τοσαύτης διακονίας ἀργύριον λαβών. καὶ ἐν βαλανείοις, καὶ παν- C ταχοῦ τὸ αὐτὸ συμβαῖνον ἴδοι τις ἄν· τοὺς μὲν πλουτοῦντας, καὶ χρήμασι, καὶ φροντίσι, καὶ πόνοις δαπανωμένους· τοὺς δὲ πένητας, ὀλίγων ὀβολῶν μετὰ ἀδείας ἅπαντα καρπουμένους ταῦτα. καὶ πλέον οὐδὲν ἀπολαύει σου τῆς γῆς. οὐ γὰρ δὴ ἐκεῖνος μὲν δέκα γαστέρας, σὺ δὲ μίαν πληροῖς. ἀλλὰ πολυτελεστέρων αὐτὸς μετέχει σιτίων; μάλιστα μὲν οὐ πολλὴ τούτου πλεονεξία. πλὴν κἀνταῦθά σε τὸ πλέον ἔχοντα εὑρήσομεν. εἰ γὰρ πολυτέλεια αὕτη διὰ τοῦτό σοι ζηλωτὴ εἶναι δοκεῖ, ἐπειδὴ D πλείονα ἔχει τὴν ἡδονήν· ἀλλ' αὕτη παρὰ τῷ πένητι πλείων, οὐχ ἡδονὴ δὲ μόνον, ἀλλὰ καὶ ὑγεία. κἂν τούτῳ πλεονεκτῇ μόνον ὁ πλούσιος, τῷ τὸ σῶμα ἀσθενέστερον κατασκευάζειν, καὶ πλείονας συνάγειν τὰς πηγὰς τῶν ἀῤῥωστημάτων. τὰ μὲν γὰρ τοῦ πένητος κατὰ φύσιν οἰκονομεῖται πάντα· τὰ δὲ ἐκείνου διὰ τὴν ἀμετρίαν εἰς φθορὰν τελευτᾷ, καὶ ἀῤῥωστίαν.

Εἰ δὲ βούλεσθε, καὶ ἐπὶ ὑποδείγματος αὐτὸ τοῦτο κατίδωμεν. εἰ γὰρ δέοι κάμινον ἀνάψαι, εἶτα ὁ μὲν σηρικὰ ἱμάτια καὶ ὀθόνας λεπτὰς κα- E ταβάλοι πολλὰς καὶ ἀπείρους, καὶ οὕτως αὐτὴν ἀνακαίοι, ὁ δὲ ξύλα δρυὸς καὶ πεύκης, τί πλέον ἔχει οὗτος ἐκείνου; οὐδέν· ἀλλὰ καὶ ἔλαττόν τι δέ· οὐδὲν γὰρ κωλύει καὶ ἑτέρως περιτρέψαι τὸ ὑπόδειγμα· εἰ ὁ μὲν ξύλα βάλοι, ὁ δὲ σώματα ὑποκαίοι, ποίᾳ ἂν ἡδέως παρέστης καμίνῳ, τῇ τῶν ξύλων, ἢ τῇ τῶν σωμάτων; εὔδηλον ὅτι τῇ τῶν ξύλων. ἐκείνη μὲν γὰρ κατὰ φύσιν καίεται, καὶ ἡδὺ θέαμα τοῖς ὁρῶσίν ἐστιν· αὕτη δὲ τῇ κνίσῃ, καὶ τῷ ἰχῶρι, καὶ τῷ καπνῷ, καὶ τῇ τῶν ὀστέων δυσωδίᾳ πάντας ἂν ἀπελάσειεν. ἔφριξας ἀκούσας, καὶ

καὶ ἐβδελύξω τὴν κάμινον; τοιαῦται αἱ τῶν πλουσίων γαστέρες εἰσί. πλείονα γὰρ ἐν τούτοις σηπεδόνα, ἢ ἐν τῇ καμίνῳ ἐκείνῃ εὕροι τις ἄν· καὶ πνεύματα δυσώδη, καὶ ῥεύματα ἀκάθαρτα, τῷ πανταχοῦ καὶ ἐν ἑκάστῳ μορίῳ πολλὴν εἶναι τὴν ἀπεψίαν διὰ τὴν πλησμονήν. τῆς γὰρ κατὰ φύσιν θερμοῦ οὐκ ἀρκοῦντος ἅπαντα κατεργάσασθαι, ἀλλὰ καταχωννυμένου, ἐπίκειται ἐκεῖνα ἄνωθεν καπνιζόμενα, καὶ πολλὴν ποιοῦντα τὴν ἀηδίαν. τίνι οὖν ἄν τις παραβάλοι τὰς ἐκείνων γαστέρας; ἀλλὰ μὴ δυσχεράνητε πρὸς τὸν λόγον· ἀλλ' εἰ μὴ ἀληθῆ λέγω, διελέγξατε· τίνι οὖν ἄν τις αὐτὰς παραβάλοι; οὐδὲ γὰρ ἀρκεῖ τὰ εἰρημένα δεῖξαι αὐτῶν τὴν ἀθλιότητα. εὗρον καὶ ἑτέραν εἰκόνα. τίνα δὴ ταύτην; καθάπερ ἐπὶ τῶν ἀμαρῶν ἔνθα πολλοὶ οἱ φορυτοὶ κόπρου, χόρτου, καλάμης, λίθων, πηλοῦ, συνεχεῖς ἐμφράξεις γίνονται, καὶ ὑπερεκχεῖται λοιπὸν ἄνωθεν ἡ τοῦ βορβόρου ῥύμη· οὕτω καὶ ἐπὶ τῆς τούτων κοιλίας συμβαίνει. φραττομένης γὰρ αὐτῆς κάτωθεν, ἄνωθεν ἀναβλύζει τὰ πλείονα τῶν πονηρῶν τούτων ῥευμάτων. ἀλλ' οὐκ ἐπὶ τῶν πενήτων οὕτως· ἀλλ' ὥσπερ αἱ τὰ καθαρὰ προχέουσαι ῥεῖθρα πηγαὶ, καὶ κήπους ἄρδουσαι καὶ παραδείσους, οὕτω καὶ αἱ τούτων γαστέρες εἰσὶ καθαραὶ τῶν τοιούτων περιττευμάτων. ἀλλ' οὐχ αἱ τῶν πλουτούντων, μᾶλλον δὲ τρυφώντων, τοιαῦται· ἀλλὰ χυμῶν, φλεγμάτων, χολῆς, αἵματος διεφθορότος, ῥεύματος σεσηπότος, καὶ τῶν ἄλλων τῶν τοιούτων εἰσὶ πεπληρωμέναι. διόπερ οὐδεὶς κἂν πρὸς βραχὺν ἀρκέσῃ χρόνον διαπαντὸς ἐν τρυφῇ ζῶν, ἀλλ' ἐν ἀρρωστίαις βιώσεται διηνεκέσι. διὸ καὶ ἡδέως ἂν ἠρόμην αὐτοὺς, τίνος ἕνεκεν τὰ σιτία δέδοται· ἵνα φθειρώμεθα, ἢ ἵνα τρεφώμεθα; ἵνα νοσῶμεν, ἢ ἵνα ὑγιαίνωμεν; ἵνα ἀσθενῶμεν, ἢ ἵνα ἰσχύωμεν; εὔδηλον ὅτι διὰ τροφὴν, καὶ ὑγείαν, καὶ ἰσχύν. τίνος οὖν ἕνεκεν εἰς τοὐναντίον αὐτοῖς ἀποκέχρησθε, νόσον καὶ ἀσθένειαν διὰ τούτων δημιουργοῦντες τῷ σώματι; ἀλλ' οὐχ ὁ πένης, ἀλλ' ὑγείαν καὶ εὐρωστίαν καὶ ἰσχὺν διὰ τῆς λιτῆς ὠνεῖται τροφῆς. μὴ δὴ κλαῖε διὰ πενίαν τὴν ὑγείας μητέρα, ἀλλὰ καὶ ἀγάλλου· καὶ, εἰ βούλει πλουτεῖν, καταφρόνει πλούτου. οὐ γὰρ τὸ χρήματα ἔχειν, ἀλλὰ τὸ μὴ δεῖσθαι τοῦ ἔχειν, τοῦτο μάλιστα εὐπορία. ἂν τοῦτο κατορθώσωμεν, καὶ ἐνταῦθα τῶν πλουτούντων πάντων εὐπορώτεροι ἐσόμεθα, καὶ ἐκεῖ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A atque rogum hunc exsecraris? Tales utique sunt divitum ventres. Majorem in illis, quam in illo rogo putredinem quis reperiat; ut foetidos halitus, & impuras defluxiones, quod toto corpore, atque in singulis partibus, ingens ob saturitatem cruditas exsistat. Nam cum naturalis calor conficiendis omnibus cibis haud par sit, verum is obruatur, urgent illi, fumum sursum excitantes, atque ingentem molestiam afferentes. Cuinam igitur rei eorum ventres conferre quis possit? ac velim ne vos offendat quod dicturus sum: verum si falsa loquar, orationem meam refutate; cuinam, inquam, rei ejusmodi ventres
B conferre quispiam possit? Neque enim quæ diximus, ad declarandam eorum miseriam sufficiunt. Alteram rursum imaginem reperi. Quam tandem? Quemadmodum in cloacis, in quibus magna est stercoris, fœni, stipulæ, lapidum ac luti colluvies, crebræ obstructiones oriuntur, ex quibus fit tandem, ut cœnum ad superiores partes sese diffundat: ita etiam in horum ventre usu venit. Eo quippe ab inferiori parte obstructo, malæ illæ defluxiones magna ex parte ad superiores partes regurgitant. At apud pauperes secus res habet. Ut enim fontes, qui puros latices fun-
C dunt, atque hortos & prata irrigant, ita horum quoque ventres ab his excrementis puri sunt: cum contra divitum, vel potius deliciis studentium ventres, humoribus noxiis, pituita, bile, corrupto sanguine, putrique defluxione, aliisque hujusmodi rebus pleni sint. Ex quo fit, ut ne ad breve quidem tempus incolumis quis perstare possit, qui semper in deliciis vivat: verum in perpetuis morbis versetur. Quocirca lubens ex istis sciscitér, quam ob causam cibi nobis concessi sint: ut intereamus, an ut alamur? ut adversa valetudine laboremus, an ut sani simus? ut im-
D becilles simus, an ut firmi ac robusti? Perspicuum est quod alimoniæ, sanitatis, viriumque tuendarum causa datæ sint. Cur ergo iis in contrarium abutimini, morbos atque imbecillitatem per eos corpori procurantes? Contra pauper frugali ac tenui cibo valetudinem, corporisque firmitatem ac robur sibi comparat. Proinde ob paupertatem, sanitatis parentem, ne lacrymare, sed potius exsulta: &, si tibi divitiæ cordi sunt, divitias contemne. In hoc enim potissimum opes positæ sunt, non ut quis divitias habeat, sed ut ne habere quidem curet. Id quod si adepti fuerimus; & hic divitibus
E omnibus copiosiores erimus, & illic futura bona consequemur: quæ utinam consequamur, per gratiam ac benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA XIII.

11. *Os nostrum patet ad vos, o Corinthii: cor nostrum dilatatum est.* 12. *Non angustiamini in nobis: angustiamini autem in visceribus vestris.*

1. POSTQUAM tentationes suas & afflictiones exposuit; in patientia enim, inquit, in ærumnis, in necessitatibus, in angustiis, in plagis, in carceribus, incertis sedibus, in laboribus, in vigiliis; atque ingens id bonum esse ostendit: *Sicut tristes* enim, inquit, *semper autem gaudentes; sicut egentes, multos autem locupletantes; tamquam nihil habentes, & omnia possidentes:* tum etiam arma ea esse dixit; *Ut castigati* enim, ait, *& non mortificati:* atque insuper magnam Dei erga nos curam ac potentiam per ea declaravit; *Ut* enim, inquit, *sublimitas virtutis sit Dei, & non ex nobis:* ac præterea certamina quoque sua enumeravit; *Semper* enim, inquit, *ipsius mortificationem circumferimus.* Illudque item addidit, ea perspicuum resurrectionis argumentum esse; *Ut* enim *& vita Jesu*, inquit, *manifestetur in carne nostra mortali:* ad hæc quarum rerum particeps exstiterit, quæque ipsius fidei commissa fuerint. *Pro Christo* enim *legatione fungimur*, inquit, *tamquam Deo per nos exhortante:* atque insuper quarum rerum minister sit, nimirum non literæ, sed spiritus: ac denique quod non eo tantum nomine venerandus sit, sed etiam ob tentationes; *Deo* enim, inquit, *gratia, qui nos semper triumphat;* jam ad eos objurgandos se accingit, ut parum sui studiosos. Nec ad hoc statim orationem confert, verum id prius agit, ut suam erga eos dilectionem ostendat: atque ita demum in hujusmodi sermonem ingreditur. Nam etsi a rebus præclare gestis venerabilis est is qui increpat; attamen cum amicitiam exhibet erga eos quos corripit, tolerabiliorem sermonem reddit. Ideo ipse quoque Paulus e tentationibus suis ac sudoribus & certaminibus egressus, ad sermonem de caritate transit, & sic illos objurgat. Quænam ergo suæ erga eos caritatis argumenta affert? *Os nostrum patet ad vos, o Corinthii.* Et quod caritatis argumentum hoc est? aut quid omnino hæc sibi verba volunt? Non sustinemus, inquit, silentio ad vos uti: sed continenter vos alloqui, atque orationem ad vos habere gestimus; qui amantium mos est. Nam quod in corpore sunt manuum complexus, hoc in animo est sermonis commercium. Ad hoc etiam aliud subindicatur. Quid illud? Apud vos, inquit, quos carissimos habemus, cuncta libere loquimur, nihil dissimulantes, aut reservantes. Quoniam enim jam objurgaturus est, idcirco veniam petit; illud ipsum, quod eos libere objurget, ingentis sui erga eos amoris documentum esse statuens. Jam ipsa quoque nominis adjectio magnæ amicitiæ ac ferventis affectus specimen habet. Nam

A

## ΟΜΙΛΙΑ ιγ'

Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται. οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

ΔΙΗΓΗΣΑΜΕΝΟΣ περὶ τῶν ἑαυτοῦ πειρασμῶν καὶ θλίψεων· ἐν ὑπομονῇ γάρ, φησιν, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κό-
B ποις, ἐν ἀγρυπνίαις· καὶ δείξας ὅτι μέγα ἀγαθὸν τὸ πρᾶγμα· ὡς λυπούμενοι γάρ, φησιν, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες· καὶ ὅπλα αὐτὰ εἰπών· ὡς παιδευόμενοι γάρ, φησι, καὶ μὴ θανατούμενοι· καὶ τὴν τοῦ θεοῦ πολλὴν κηδεμονίαν διὰ τούτων ἐμφήνας καὶ τὴν δύναμιν· ἵνα γὰρ ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, φησι, καὶ μὴ ἐξ ἡμῶν· καὶ τοὺς ἄθλους αὐτοῦ καταλέξας· πάντοτε γὰρ τὴν νέκρωσιν αὐτοῦ, φησι, περιφέρομεν. καὶ ὅτι ἀναστάσεως τοῦτο ἀπόδειξις σαφής· ἵνα γὰρ καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ
C φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν, φησι· καὶ ὧν γέγονε κοινωνός, καὶ τίνα ἐπιστεύθη. ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, φησιν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν· καὶ τίνων ἐστὶ διάκονος, ὅτι οὐ γράμματος, ἀλλὰ πνεύματος· καὶ ὅτι οὐ τούτῳ μόνον αἰδέσιμος, ἀλλὰ καὶ τοῖς πειρασμοῖς· τῷ θεῷ γάρ, φησι, χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι· μέλλει λοιπὸν αὐτοῖς καὶ ἐπιτιμᾷν, ὡς οὐ σφόδρα περὶ αὐτὸν διακειμένοις. ἀλλὰ μέλλων, οὐκ εὐθέως ἐπὶ τοῦτο ἔρχεται· ἀλλὰ πρότερον τὰ περὶ τῆς ἀγάπης εἰπών, ἣν περὶ αὐτοὺς ἐπεδείκνυτο, τότε ἐμβαίνει καὶ εἰς τὸν περὶ τούτων λόγον. εἰ γὰρ
D καὶ ἀπὸ τῶν οἰκείων κατορθωμάτων αἰδέσιμος ὁ ἐπιτιμῶν εἴη, ἀλλ' ὅμως ὅταν καὶ τὴν φιλίαν, ἣν ἔχει πρὸς τοὺς ἐγκαλουμένους, ἐπιδείξηται, ἀνεπαχθέστερον ποιεῖ τὸν λόγον. διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν πειρασμῶν καὶ τῶν ἱδρώτων τῶν ἑαυτοῦ καὶ τῶν ἀγώνων ἐκβάς, εἰς τὸν περὶ τῆς ἀγάπης μεταβαίνει λόγον. καὶ οὕτως αὐτῶν καθάπτεται. τίνα οὖν ἐστι τὰ τῆς ἀγάπης ἐνδεικτικά; τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι. καὶ ποῖον τοῦτο σημεῖον ἀγάπης; τί δὲ καὶ ἔστιν ὅλως τὸ εἰρημένον; οὐκ ἀνεχόμεθα, φησι, σιγᾷν πρὸς ὑμᾶς, ἀλλ' ἀεὶ βουλόμεθα καὶ ἐπιθυμοῦμεν φθέγγεσθαι καὶ
E διαλέγεσθαι ὑμῖν· ὅπερ ἔθος τῶν ἀγαπώντων ἐστί. καὶ γὰρ ὅπερ εἰσὶν ἐπὶ σώματος περιπλοκαὶ χειρῶν, τοῦτο ἐπὶ ψυχῆς συνουσία λόγου. μετὰ δὲ τούτου καὶ ἕτερον αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι πάντα μετὰ παρρησίας ὑμῖν διαλεγόμεθα, ὡς ἀγαπητοῖς, καὶ οὐδὲν ὑποστελλόμενοι, οὐδὲ ταμιευόμενοι. ἐπειδὴ γὰρ λοιπὸν μέλλει ἐπιτιμᾷν, συγγνώμην αἰτεῖ· αὐτὸ τὸ ἐπιτιμᾷν μετὰ παρρησίας ἀπόδειξιν ποιούμενος τοῦ σφόδρα αὐτοὺς φιλεῖν. καὶ ἡ προσθήκη δὲ τοῦ ὀνόματος, φιλίας πολλῆς, καὶ διαθέσεως, καὶ θερμότητος.

ὃ γὰρ εἰώθαμεν τῶν ἀγαπωμένων συνεχῶς γυμνὰ τὰ ὀνόματα περιστρέφειν. ἡ καρδία ἡμῶν πεπλάτυνται. καθάπερ γὰρ τὸ θερμαῖνον εὐρύνειν εἴωθεν· οὕτω καὶ τῆς ἀγάπης ἔργον, τὸ πλατύνειν ἐστί. θερμὴ γάρ ἐστιν ἡ ἀρετὴ καὶ ζέουσα. αὕτη καὶ τὸ στόμα ἀνεπέτασε Παύλου, καὶ τὴν καρδίαν ἐπλάτυνεν. οὐδὲ γὰρ τῷ στόματι μόνον φιλῶ, φησιν, ἀλλὰ καὶ τὴν καρδίαν συνᾴδουσαν ἔχω. διὰ τοῦτο μετὰ παρρησίας φθέγγομαι, ὅλῳ τῷ στόματι, ὅλῃ τῇ διανοίᾳ. οὐδὲν γὰρ τῆς Παύλου καρδίας πλατύτερον, ἢ τοὺς πιστοὺς ἅπαντας, καθάπερ ἄν τις ἐρώμενον, οὕτω σφοδρῶς ἠγάπα· οὐ σχιζομένης αὐτοῦ τῆς φιλίας καὶ ἀσθενεστέρας γινομένης, ἀλλ' ὁλοκλήρου ἐν ἑκάστῳ μενούσης. καὶ τί θαυμαστὸν ἐπὶ πιστῶν, ὅπουγε καὶ ἐπὶ τῶν ἀπίστων, τὴν οἰκουμένην πᾶσαν ἐδέχετο ἡ καρδία Παύλου; διὰ τοῦτο οὐκ εἶπε, φιλῶ ὑμᾶς, ἀλλ' ἐμφαντικώτερον, τὸ στόμα ἡμῶν ἀνέῳγεν, ἡ καρδία ἡμῶν πεπλάτυνται· πάντας ἔνδον ἔχομεν· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ μετ' εὐρυχωρίας πολλῆς. ὁ γὰρ φιλούμενος, μετὰ πολλῆς ἔνδον ἐν τῇ καρδίᾳ τοῦ φιλοῦντος βαδίζει τῆς ἀδείας. διό φησιν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. καὶ τὴν ἐπιτίμησιν ὅρα μετὰ φειδοῦς γινομένην· ὃ τῶν σφόδρα φιλούντων ἐστίν. οὐκ εἶπεν, οὐ φιλεῖτε ἡμᾶς, ἀλλ' οὐ μετὰ τοῦ αὐτοῦ μέτρου. οὐ γὰρ βούλεται αὐτῶν σφόδρα καθάψασθαι. καὶ πανταχοῦ δὲ ἴδοι τις ἂν πῶς ἐκκαίεται τῶν πιστῶν, ἐκλέγων ἑκάστης ἐπιστολῆς αὐτοῦ τὰ ῥήματα. Ῥωμαίοις μὲν γάρ φησιν, ἐπιποθῶ δὲ ἰδεῖν ὑμᾶς, καὶ πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐλθεῖν πρὸς ὑμᾶς. Γαλάταις δέ φησι, τεκνία μου, οὓς πάλιν ὠδίνω. Ἐφεσίοις πάλιν, τούτου χάριν κάμπτω τὰ γόνατά μου ὑπὲρ ὑμῶν. [a] Φιλιππησίοις δὲ, τίς γάρ μοί ἐστιν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; καὶ ἐν τῇ καρδίᾳ, καὶ ἐν τοῖς δεσμοῖς αὐτοὺς περιφέρειν ἔλεγε. Κολοσσαεῦσι δὲ, θέλω δὲ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν, καὶ ὅσοι οὐχ ἑωράκασί με ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι ὑμῶν. Θεσσαλονικεῦσι δὲ, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν ὑμῖν μεταδοῦναι οὐ μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς. Τιμοθέῳ δὲ, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ. Τίτῳ δὲ, τῷ ἀγαπητῷ τέκνῳ· καὶ Φιλήμονι ὁμοίως.

Καὶ Ἑβραίοις δὲ πολλὰ ἕτερα τοιαῦτα γράφει, καὶ οὐ παύεται παρακαλῶν, καὶ λέγων, ἔτι μικρὸν ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· καθάπερ παῖδας δυσχεραίνοντας μήτηρ. οὕτω καὶ αὐτοῖς, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, φησιν. οὐ λέγει δὲ μόνον ὅτι φιλεῖ, ἀλλ' ὅτι καὶ φιλεῖται παρ' αὐτῶν ἵνα καὶ ταύτῃ μᾶλλον αὐτοὺς ἐπισπάσηται. καίτοι τοῖς μὲν τοῦτο μαρτυρῶν φησιν, ὅτι ἦλθε Τίτος ἀπαγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν,

& eorum, quos amamus nuda, nomina nobis identidem in ore verſari ſolent, *Cor noſtrum dilatatum eſt.* Quemadmodum enim id, quod calorem affert, dilatare ſolet: ita etiam caritatis munus eſt dilatare. Calida quippe ac fervens eſt virtus. Hæc os quoque Pauli aperiebat, & cor dilatabat. Neque enim ore tantum amo, inquit: verum etiam cor ipſum in amore conſonat. Ideo cum fiducia loquor, tote ore, ac tota mente. Non enim Pauli corde quidquam latius erat, quod pios omnes, perinde atque amaſius quiſpiam, adeo arcto amore complectebatur, non ſeſe ſcindente ipſius amicitia, & imbecillitatem contrahente, ſed integra in unoquoque manente. Et quid mirum talem ipſius in pios viros animum fuiſſe, cum etiam in infidelibus cor ipſius univerſum terrarum orbem amplecteretur? Ideo non dixit, Amo vos, ſed, quod majorem emphaſim habet, *Os noſtrum patet, cor noſtrum dilatatum eſt:* omnes intus habemus: ac ne id quidem utcumque, ſed cum ingenti amplitudine. Nam qui amatur, in intimo amantis corde ſine ullo metu obambulat. Idcirco ait, *Non anguſtiamini in nobis: anguſtiamini autem in viſceribus veſtris.* Objurgationem vide non parva indulgentia temperatam: id quod magnopere amantium eſt. Non dixit, Vos me non amatis: ſed non pari modo. Neque enim vult aſperius eos inſectari. Ac paſſim cernere eſt, quomodo incredibili quodam fidelium amore flagret, ſi quis ex ſingulis epiſtolis teſtimonia ſeligat. Ad Romanos enim ſcribens ait: *Cupio videre vos.* Et: *Sæpe propoſui venire ad vos.* Et: *Si quo modo tandem aliquando proſperum iter habeam ad vos.* Ad Galatas autem hæc dicit: *Filioli mei, quos iterum parturio.* Ad Epheſios rurſus: *Hujus rei gratia flecto genua mea pro vobis.* Ad Philippenſes autem: *Quæ enim eſt ſpes mea aut gaudium, aut gloriæ corona? annon vos?* Quin ſe, & in corde, & in vinculis, eos circumferre dicebat. Porro cum ad Coloſſenſes ſcribit, *Cupio*, inquit, *videre vos quantum certamen habeam pro vobis, & quicumque faciem meam non viderunt in carne: ut conſolationem habeant cordi veſtra.* Et ad Theſſalonicenſes: *Quemadmodum ſi nutrix foveat filios ſuos, ita deſiderantes vos, cupiebamus vobis dare, non ſolum Evangelium, ſed etiam animas noſtras.* Tum etiam ad Timotheum: *Memor lacrymarum tuarum, ut gaudio implear.* Et cum ad Titum ſcribit, dilecto filio: & item ad Philemonem, ſimiliter.

Pauli amor erga omnes quantus.

Rom. 1. 11. Gal. 4. 19. Epheſ. 3. 14. 1. Theſ. 2. 19. Coloſ. 2. 1. 1. Theſ. 2. 7. 2. Tim. 1. 4. Tit. 1. 4. Philem. 1.

2. Ad hæc in epiſtola ad Hebræos, multa alia ejuſmodi ſcribit, nec ceſſat conſolari ac dicere: *Adhuc modicum aliquantulum: & qui venturus eſt, veniet, & non tardabit:* perinde videlicet ac ſi mater filios tædio ac mœrore laborantes alloquatur. Sic & illis, *Non anguſtiamini in nobis*, inquit. Nec vero ſe dumtaxat eos amare ait: ſed ab ipſis etiam amari: quo nimirum hinc quoque eorum animos alliciat. Atque de his quidem hoc teſtificans, ait: *Titus venit, referens nobis veſtrum deſiderium, veſtrum fletum, ve-*

Hebr. 10. 37. 2. Cor. 6. 12. 2. Cor. 7. 7.

[a] Φιλιππησίοις. Non in epiſtola ad Philippenſes; ſed in epiſtola prima ad Theſſalonicenſes eſt hic locus.

Gal. 4. 15. *stram æmulationem.* Et de Galatis, dicens: *Si fieri potuisset, oculos vestros eruissetis, & dedissetis mihi.* Et de Thessalonicensibus:
1. Thess. 1. 9. *Qualem introitum habuerimus ad vos.* Et rursus
2. Tim. 1. 4. de Timotheo: *Memor lacrymarum tuarum, ut gaudio implear.* Ac denique passim in epistolis hoc videas, ipsum discipulis testificantem, quod & eos amet, & vicissim ab iis ametur: non tamen similiter. Hîc quoque di-
2. Cor. 12. 15. cit: *Licet abundantius vos diligens, minus diligar.* Verum hoc quidem ad epistolæ calcem ait, interim autem acrius, *Non angustiamini*, inquit, *in nobis: angustiamini autem in cordibus vestris.* Vos, inquit, unum capitis: ego urbem universam, ac plebem tantam. Nec dixit, Non nos capitis: sed, *Angustiamini:* idem nimirum subindicans, sed molliori verbo utens, ne acrius eos perstringeret. 13. *Eamdem autem habentes remunerationem, tamquam filiis dico, dilatamini & vos.* Atqui minime par est, prius amari, deinde amare. Quamvis enim parem amoris mensuram quis afferat, hoc tamen nomine vincitur, quod posterior ad amandum venerit. Verum hæc non accurate requiro, inquit: mihi satis fuerit, si vel meo amore provocati, mutuæ erga me benevolentiæ significationem præbeatis, diligo & amplector. Postea, ut eos ad hoc obstringi ostendat, atque ea, quæ dicit, ab omni assentationis suspicione vindicet, Tamquam filiis dico, inquit. Quid est, tamquam filiis? Nil magni postulo, si, cum pater vester sim, a vobis amari velim. Ac
Pauli prudentia & modestia. vide ipsius prudentiam & modestiam. Non hîc pericula pro ipsis suscepta, non labores ac mortes ponit, quamvis multa ejusmodi commemorare queat, adeo ab omni fastu alienus est, verum unum hoc, quod eos amet, ac proinde amari quoque velit: quia pater vester sum, inquit, quia acerrimo vestri amore incendor. Etenim illud sæpe eum, qui amatur, offendit, cum quis collata in eum beneficia profert: exprobrare enim videtur. Quocirca hoc minime facit Paulus, verum, ut filii, parentem diligite, inquit: quod quidem naturæ potius est, ac tale ut patri hoc suo quisque præstare debeat. Postea, ne quis existimet eum sua causa hæc dicere, demonstrat se commodis eorum consulere, cum eorum benevolentiam ad se attrahit. Unde etiam subjungit, 14. *Nolite jugum ducere cum infidelibus.* Non dixit, Nolite commisceri cum infidelibus: sed vehementius eos perstringens, utpote jus violantes, Ne deflectatis vosipsos, inquit. *Quæ enim participatio justitiæ cum iniquitate?* Hîc jam non sui amoris, & eorum, qui Corinthios corrumpebant, comparationem affert: sed Corinthiorum nobilitatem cum illorum ignominia comparat. Sic enim & plus gravitatis oratio contrahebat, & ipsius personæ magis conveniebat, ac denique Corinthios conjunctiores ipsi reddebat. Quemadmodum si quis filio parentes aspernanti, ac sceleratis totum se tradenti, dicat, Quid facis, o puerule? Patrem contemnis, eique sceleestos ho-

A τὸν ὑμῶν ζῆλον. καὶ Γαλάταις, Εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. καὶ Θεσσαλονικεῦσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. καὶ Τιμοθέῳ δὲ, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ. καὶ πανταχοῦ δὲ τῶν ἐπιστολῶν εὕροι τις ἂν αὐτὸν τοῦτο μαρτυροῦντα τοῖς μαθηταῖς, καὶ ὅτι ἐφίλησε, καὶ ὅτι φιλεῖται· οὐ μὴν ὁμοίως. καὶ ἐνταῦθά φησιν, Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι. ἀλλὰ τοῦτο μὲν πρὸς τὸ τέλος, τέως δὲ σφοδρότερον, Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.
B ὑμεῖς ἕνα δέχεσθέ, φησιν· ἐγὼ δὲ πόλιν ὁλόκληρον, καὶ δῆμον τοσοῦτον. καὶ οὐκ εἶπεν, οὐ δέχεσθε ἡμᾶς, ἀλλ' ὅτι στενοχωρεῖσθε· τὸ αὐτὸ μὲν αἰνιττόμενος, μετὰ φειδοῦς δὲ, καὶ τοῦ μὴ σφόδρα καθάψασθαι. τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς. καίτοι οὐκ ἔστιν ἴσον, πρότερον ἀγαπηθῆναι εἶτα ἀγαπῆσαι. κἂν γὰρ τὸ ἴσον τις εἰσενέγκῃ μέτρον, ἠλάττωται τῷ δεύτερος ἐπανελθεῖν. ἀλλ' ὅμως οὐδὲν ἀκριβολογοῦμαι, φησι, κἂν παρ' ἐμοῦ λαβόντες τὰς ἀρχὰς τὸ αὐτὸ μέτρον ἐπιδείξησθε,
C ἀγαπῶ καὶ στέργω. εἶτα ἵνα δείξῃ ὅτι καὶ ὀφειλὴ τὸ πρᾶγμα ἦν, καὶ ὅτι κολακείας ἐκτὸς τὰ εἰρημένα, ὡς τέκνοις λέγω, φησί. τί ἐστιν, ὡς τέκνοις; οὐδὲν μέγα αἰτῶ, εἰ πατὴρ ὢν βούλομαι φιλεῖσθαι παρ' ὑμῶν. καὶ ὅρα σύνεσιν, καὶ μετριοφροσύνην. οὐ τίθησιν ἐνταῦθα τοὺς κινδύνους τοὺς ὑπὲρ αὐτῶν, καὶ τοὺς θανάτους, καίτοι πολλὰ ἔχων εἰπεῖν, οὕτως ἐστὶν ἄτυφος, ἀλλὰ τὸ φιλεῖν· καὶ διὰ τοῦτο ἀξιοῖ φιλεῖσθαι, ὅτι πατὴρ ὑμῶν ἐγενόμην, φησὶν, ὅτι σφόδρα ὑμῶν περικαίομαι· ὃ μάλιστα [a] προσίσταται τῷ φιλουμένῳ πολλάκις, ὅταν τις αὐτῷ τὰς εὐεργε-
D σίας προσφέρῃ. δοκεῖ γὰρ ὀνειδίζειν. διὸ οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλ' ὡς τέκνα πατέρα ἀγαπήσατέ, φησιν· ὃ τῆς φύσεως μᾶλλόν ἐστι, καὶ ὀφειλόμενον ἑκάστῳ πατρί. εἶτα ἵνα μὴ δόξῃ δι' ἑαυτὸν ταῦτα λέγειν, δείκνυσιν ὅτι διὰ τὸ ἐκείνων κέρδος καὶ τὴν παρ' αὐτῶν ἐπισπᾶται φιλίαν. διὸ καὶ ἐπήγαγε, μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. καὶ οὐκ εἶπε, μὴ ἀναμίγνυσθε ἀπίστοις, ἀλλὰ μᾶλλον αὐτῶν καθαπτόμενος ἅτε ἀδικούντων τὸ δίκαιον, μὴ ἐκκλίνητε ἑαυτούς, φησι. τίς γὰρ μετοχὴ
E δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἐνταῦθα λοιπὸν σύγκρισιν ποιεῖται οὐχὶ τῆς ἑαυτοῦ ἀγάπης, καὶ τῆς ἐκείνων τῶν διαφθειρόντων αὐτοὺς, ἀλλὰ τῆς αὐτῶν εὐγενείας, καὶ τῆς ἐκείνων ἀτιμίας. οὕτω γὰρ καὶ σεμνότερος ὁ λόγος γέγονε, καὶ αὐτῷ πρεπωδέστερος, καὶ μᾶλλον αὐτοὺς ἐπεσπᾶτο. ὡς ἂν εἴ τις παιδὶ τῶν γεγεννηκότων ὑπερορῶντι, καὶ μιαροῖς ἑαυτὸν ἐκδιδόντι, λέγοι, τί ποιεῖς, ὦ παιδίον; τοῦ μὲν πατρὸς καταφρονεῖς; προτιμᾷς δὲ

[a] προσίσταται. Sic omnino legendum ut suspicatus est Savilius & interpres Latinus legit, qui vertit *offendit*, quo sensu hoc verbum apud Chrysostomum passim usurpatur. Editi male, προΐσταται.

τοὺς μιαροὺς ἄνδρας, καὶ μυρίας γέμοντας κακίας; A οὐκ οἶσθα πόσον αὐτῶν βελτίων εἶ καὶ σεμνότερος; οὕτω γὰρ μᾶλλον αὐτὸν ἀφίστησι τῆς ἐκείνων συνουσίας, ἢ εἰ τὸν πατέρα θαυμάζοι. ἂν μὲν γὰρ λέγῃ, οὐκ οἶσθα πόσον ἐστὶν ὁ πατήρ σου βελτίων ἐκείνων; οὐδὲν τοσοῦτον ἐργάσεται. ἂν δὲ τὸν πατέρα ἀφεὶς, αὐτὸν αὐτῶν προκρίνοι, λέγων, οὐκ οἶσθα τίς μὲν σὺ, τίνες δὲ ἐκεῖνοι; οὐκ ἐννοεῖς σου τὴν εὐγένειαν καὶ τὴν ἐλευθερίαν, καὶ τὴν ἀτιμίαν τὴν ἐκείνων; τίς γὰρ κοινωνία σοι κἀκείνοις τοῖς κλέπταις, τοῖς μοιχοῖς, τοῖς γόησι; ταχέως αὐτὸν τοῖς ἐγκωμίοις τοῖς αὐτοῦ πτερώσας, B ἀπορραγῆναι ἐκείνων παρασκευάσει. τὸν μὲν γὰρ πρότερον οὐ σφόδρα δέξεται λόγον, ὅτι κατηγορία αὐτοῦ ἐστιν ἡ προτίμησις τοῦ πατρὸς, ὅταν μὴ μόνον πατέρα φαίνηται λυπῶν, ἀλλὰ καὶ πατέρα τοιοῦτον· ἐνταῦθα δὲ οὐκέτι οὐδὲν τοιοῦτον πείσεται. οὐδεὶς γὰρ ἂν ἕλοιτο μὴ ἐγκωμιάζεσθαι· καὶ δι' αὐτοῦ δὴ, μετὰ τῶν ἐπαίνων τοῦ ἀκούοντος, ὁ ἔλεγχος γίνεται εὐπαράδεκτος. χαλᾶται γὰρ ὁ ἀκροατὴς, καὶ φρονήματος πληροῦται μεγάλου, καὶ διαπτύει τὴν ἐκείνων συνουσίαν. οὐ τοῦτο δὲ μόνον αὐτοῦ ἐστι τὸ θαυμαστὸν, ὅτι οὕτω προήγαγε τὴν σύγκρισιν, ἀλλ' ὅτι καὶ ἕτερόν C τι μεῖζον ἐπενόησε, καὶ ἐκπληκτικώτερον· πρῶτον μὲν κατ' ἐρώτησιν [a] προσαγαγὼν τὸν λόγον, ὅπερ τῶν σαφῶν καὶ ὁμολογουμένων ἐστίν· ἔπειτα δὲ πλατύνων τῇ πυκνότητι καὶ τῷ πλήθει τῶν ὀνομάτων. οὐ γὰρ ἓν, καὶ δύο, καὶ τρία, ἀλλὰ πλείονα πρὸς τούτοις ἀντὶ τῶν προσώπων τὰ ὀνόματα τῶν πραγμάτων τίθησι, καὶ ἄκραν ἐνταῦθα ἀρετὴν, καὶ ἐσχάτην ἐκεῖ κακίαν ὑπογράφει· καὶ πολὺ τὸ μέσον καὶ ἄπειρον δείκνυσιν, ὡς μηδὲ δεηθῆναι κατασκευῆς. τίς γὰρ, φησι, μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία D φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; ἢ τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων;

Εἶδες πῶς γυμνὰ τὰ ὀνόματα τίθησι, καὶ ἀρκοῦντα αὐτὰ πρὸς ἀποτροπήν; οὐδὲ γὰρ εἶπε, παρανομίᾳ, ὃ πλέον ἦν, οὐδὲ εἶπε, τοῖς τοῦ φωτὸς, καὶ τοῖς τοῦ σκότους· ἀλλ' αὐτὰ τὰ ἐναντία τίθησι, τὰ ἀπαράδεκτα τῶν ἐναντίων, φῶς καὶ σκότος. οὐδὲ εἶπε, τοῖς τοῦ Χριστοῦ καὶ τοῖς τοῦ διαβόλου, ἀλλ' ὃ πολλῷ πλέον ἀφειστήκει, Χριστῷ καὶ Βελίαρ· τῇ Ἑβραϊκῇ φωνῇ τὸν ἀπο- E στάτην καλέσας οὕτως. ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; ἐνταῦθα λοιπὸν, ἵνα μὴ δόξῃ κακίας ἁπλῶς κατηγορίαν, καὶ ἀρετῆς ἐγκώμιον διεξιέναι, μέμνηται καὶ προσώπων ἀδιορίστως. καὶ οὐκ εἶπε κοινωνίαν, ἀλλὰ τὰ ἔπαθλα τέθεικε, μερίδα εἰπών. τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε ζῶντος. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὔτε ὁ βασιλεὺς ὑμῶν ἔχει τι κοινὸν πρὸς αὐτὸν, τίς γὰρ συμφωνία Χριστῷ πρὸς Βελίαρ; οὔτε τὰ πράγματα.

[a] προσαγαγὼν, alius, προαγαγών. Forte melius.

mines atque innumeris vitiis coopertos anteponis? An te fugit, quantum illos probitate ac nobilitate superes? Hac namque ratione ipsum magis ab eorum societate abstrahet, quam si paternas laudes prædicaret. Etenim si ita loquatur, An nescis quanto illis melior sit pater tuus? non tantum efficiet. Sin autem omisso patre ipsum illis præferat, dicens: An ignoras quis tu sis, & quinam illi? Non in mentem venit tua nobilitas atque ingenuitas, & illorum ignominia? Ecquid enim tibi commercii est cum furibus illis, cum adulteris, cum præstigiatoribus? confestim eum ejusmodi laude, tamquam pennis erectum eo adducet, ut ab illorum societate se abducat. Nam priorem orationem non ita libenter excipiet: quia hoc ipso, quod pater illi antefertur, reprehenditur ipse, ut qui non modo patri mœrori sit, sed etiam ejusmodi patri. Hic autem nil tale ipsi accidet. Neque enim ullus est qui laudari nolit. Quin etiam illi auditoris laude acceptior est reprehensio. Cedit enim ille monenti, animosque magnos concipit, penitusque eorum societatem respuit. Enimvero non hoc solum mirandum est, quod Paulus talem comparationem invexerit, sed quod majus etiam aliquid excogitarit, atque ad incutiendum terrorem accommodatius. Primum videlicet, quia per interrogationem sermonem inducit, id quod in perspicuis & certissimis rebus fieri consuevit. Deinde quia per nominum multitudinem eum dilatat atque amplificat. Non enim unum, aut duo, aut tria, sed plura ponit personarum loco, rerum nomina, atque hinc summam virtutem, illic extremum vitium describit: ac multum, imo infinitum inter utrumque discrimen esse ostendit, ut nec probatione res indigeat. *Quæ enim*, inquit, *participatio est justitiæ cum iniquitate? Aut quæ societas luci ad tenebras?* 15. *Quæ autem conventio Christi ad Belial? Aut quæ pars fideli cum infideli?* 16. *Qui autem consensus templo Dei cum idolis?*

3. Vides quo pacto nuda nomina ponit, quæ satis sint ad eos ab hujusmodi rebus avertendos? Non enim dixit, *prævaricationi*, quod plus erat quam iniquitas: nec dixit, iis qui sunt lucis, &, iis qui sunt tenebrarum, sed res ipsas inter se contrarias ponit, talesque, ut quæ sibi contraria sunt nullo modo admittere queant, nempe lucem ac tenebras. Nec dixit, Iis qui sunt Christi, &, iis qui sunt diaboli: verum, quod multo remotius erat, Christo & Belial: Hebraïca voce apostatam illum ita appellans. *Aut quæ pars fideli cum infideli?* Hic jam, ne vitii tantum insectationem, ac virtutis commendationem prosequi videatur, personarum quoque indefinite meminit. Nec dixit, *quæ societas?* sed, *quæ pars?* hoc est, præmium ac merces? *Quis consensus templo Dei cum idolis? Vos enim estis templum Dei vivi.* Horum verborum hic sensus est: Quemadmodum rex vester nihil cum diabolo commune habet; quæ enim concordia Christo cum Belial? ita nec res ipsæ inter se commercium ullum habent. Quæ

A enim communicatio luci cum tenebris? Proinde nec vobis ullum cum istis commercium esse debet. Ac priore loco regem ponit, secundo ipsos: hac ratione magis illos abscindens. Tum autem, postquam dixit, *templo Dei cum idolis*, atque eos Dei vivi templum esse pronunciavit, necessario jam testimonium quoque subjungit, ostendens se assentatione minime uti. Nam qui aliquem laudat, nisi probationem quoque afferat, adulari videtur. Quodnam ergo est hoc testimo-
B Levit. 26. 12. nium? *Quoniam inhabitabo in illis & inambulabo.* Inhabitabo in templis & spatiabor, uberiorem videlicet erga eos affectum indicans. *Et erunt mihi in populum, & ero illorum Deus.* Quid ais, inquit? Deum in teipso gestas, & ad illos curris? Deum, inquam, cui cum illis nihil commune est? Hæccine venia digna sunt? Animadverte quis in te inambulet, quis inhabitet. 17. *Propter quod exite* Isai. 52. 11. *de medio eorum, & separamini, & immundum ne tetigeritis: & ego recipiam vos, dicit Dominus.* Non dixit, Immunda ne faciatis, sed accurationem majorem requirens, Ne attingatis, inquit, nec appropinquetis. Quid au-
C tem est carnis immunditia? Adulterium, stuprum, impudicitia. Quid autem animæ? impuræ cogitationes, libidinosus aspectus, injuriarum memoria, fraudes & cætera hujusmodi. Vult itaque nos utrinque puros esse. Vides-ne quantum hinc præmii exsistat? Nimirum ab improbis separari, ac cum Deo con-
Jerem. 31. 1. jungi. Audi quæ sequuntur, 18. *Et ego ero vobis in patrem: & vos eritis mihi in filios, & filias, dicit Dominus.* Vides-ne ut propheta præsentem nobilitatem, hoc est regeneratio-
Cap. VII. nem per gratiam, longe ante prædicat. 1. *Has ergo promissiones habentes, carissimi.* Quas?
D Quod templa, quod Dei filii ac filiæ simus, quod hospitem ipsum & in nobis deambulantem habeamus, quod populus ipsius efficiamur, quod Deum ipsum ac patrem possideamus, *Emundemus nos ab omni inquinamento carnis, & spiritus.* Ne impura contrectemus; hoc enim carnis inquinamentum est, nec ea, quæ animam contaminant: hæc quippe est spiritus impuritas. At ne hoc quidem contentus, subjungit, *Perficientes sanctificationem in timore Dei.* Non enim puri efficimur, si nihil impuri attingamus: sed ad hoc ut sancti simus, aliud præterea requiritur, nempe studium, attentio, pietas. Pulcre addidit, *In timore Dei.* Fieri enim potest, ut
E quis pudicitiam præstet, non tamen id Dei metu faciat, sed ex inanis gloriæ studio. Postea aliud per hæc verba, *In timore Dei*, subindicat, modum videlicet, quo sanctitas perficiatur. Nam etsi cupiditatis magna vis tyrannis est: tamen, si Dei timore animum obseptum habeas, ipsius furorem infringes. Per sanctificationem hoc loco non pudicitiam dumtaxat intelligit, sed ab omni peccato liberationem. Sanctus enim est, qui puritate præditus est. Purus autem tum demum effici quispiam poterit, si non solum scortatione vacet, sed etiam avaritia, livore, arrogantia, inani gloria: ac potissimum hac postre-

A τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; οὐκοῦν οὐδὲ ὑμᾶς δεῖ. καὶ πρῶτον τίθησι τὸν βασιλέα, καὶ δεύτερον αὐτοὺς, τούτῳ μάλιστα αὐτοὺς ἀποσχίζων. εἶτα εἰπὼν, ναοῦ θεοῦ μετὰ εἰδώλων, καὶ ἀποφηνάμενος, ὅτι ὑμεῖς γὰρ ναὸς θεοῦ ζῶντος, ἀναγκαίως καὶ τὴν μαρτυρίαν ἐπάγει, δεικνὺς ὅτι οὐ κολακεία τὸ πρᾶγμά ἐστιν· ὁ γὰρ ἐγκωμιάζων, ἂν μὴ καὶ ἀπόδειξιν παρέχηται, δοκεῖ κολακεύειν. τίς οὖν ἡ μαρτυρία; ἐνοικήσω γὰρ ἐν αὐτοῖς
B φησι, καὶ ἐμπεριπατήσω. ἐνοικήσω ἐν ναοῖς, καὶ ἐμπεριπατήσω· τὴν πλείονα πρὸς αὐτοὺς σχέσιν δηλῶν. καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. τί, φησί; θεὸν φέρεις ἐν σεαυτῷ, καὶ πρὸς ἐκείνους τρέχεις; θεὸν τὸν οὐδὲν ἔχοντα κοινὸν πρὸς αὐτούς; καὶ πῶς ταῦτα ἄξια συγγνώμης; ἐννόησον τίς ἐμπεριπατεῖ σοι, τίς ἐνοικεῖ. διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, λέγει κύριος. καὶ οὐκ εἶπε, μὴ πράττετε ἀκάθαρτα· ἀλλὰ πλείονα ἀκρίβειαν ζητῶν, μηδὲ ἅπτεσθέ, φησι, μηδὲ ἐγγὺς γίνεσθε. τί δέ ἐστι μο-
C λυσμὸς σαρκός; μοιχεία, πορνεία, ἀσέλγεια πᾶσα. τί δὲ ψυχῆς; ἀκάθαρτοι λογισμοὶ, ὡς τὸ ἐμβλέψαι ἀκολάστοις ὀφθαλμοῖς, μνησικακίαι, δόλοι, καὶ ὅσα τοιαῦτα. βούλεται τοίνυν ἑκατέρωθεν εἶναι καθαρούς. εἶδες τὸ ἔπαθλον ὅσον; τὸ ἀπαλλαγῆναι τῶν πονηρῶν, τὸ ἑνωθῆναι θεῷ. ἄκουε καὶ τῶν ἑξῆς. καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος. εἶδες ἄνωθεν τὴν παροῦσαν εὐγένειαν τὸν προφήτην προαναφωνοῦντα, τὴν διὰ τῆς χάριτος ἀναγέννησιν; ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί. ποίας; τὸ ναοὺς θεοῦ εἶναι, τὸ υἱοὺς καὶ
D θυγατέρας, τὸ ἔνοικον αὐτὸν ἔχειν καὶ ἐμπεριπατοῦντα, τὸ λαὸν αὐτοῦ γίνεσθαι, τὸ τὸν θεὸν αὐτὸν καὶ πατέρα κεκλῆσθαι· καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. μήτε ἀκαθάρτων ἁπτώμεθα· τοῦτο γὰρ σαρκὸς [a] μολυσμός· μήτε τῶν τὴν ψυχὴν μολυνόντων· τοῦτο γὰρ πνεύματος. καὶ οὐκ ἀρκεῖται τούτῳ μόνον, ἀλλὰ καὶ ἐπάγει, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ. οὐ γὰρ τὸ μὴ ἀκαθάρτου ἅπτεσθαι ποιεῖ καθαρὸν, ἀλλὰ καὶ ἑτέρου τινὸς ἡμῖν δεῖ ὥστε γενέσθαι ἡμᾶς ἁγίους· σπουδῆς, προσοχῆς, εὐλαβείας. καὶ καλῶς εἶπε, ἐν φόβῳ θεοῦ. ἔστι γὰρ ἐπιτελεῖν σωφροσύνην, οὐκ ἐν φόβῳ
E θεοῦ, ἀλλὰ διὰ κενοδοξίαν. μετὰ δὲ τούτου καὶ ἕτερον αἰνίττεται εἰπὼν, ἐν φόβῳ θεοῦ, τὸν τρόπον καθ' ὃν ἂν ἀνυσθείη ἡ ἁγιωσύνη. εἰ γὰρ καὶ τυραννικὸν ἡ ἐπιθυμία, ἀλλ', ἂν ἐπιτειχίσῃς τὸν τοῦ θεοῦ φόβον, κατέλυσας τὴν αὐτῆς μανίαν. ἁγιωσύνην δὲ ἐνταῦθα, οὐχὶ σωφροσύνην μόνον λέγει, ἀλλὰ τὴν πάσης ἁμαρτίας ἀπαλλαγήν. ἅγιος γάρ ἐστιν ὁ καθαρός. καθαρὸς δὲ ἄν τις γένοιτο, οὐχὶ εἰ πορνείας ἀπαλλαγείη μόνον, ἀλλὰ καὶ πλεονεξίας, καὶ βασκανίας, καὶ ἀπονοίας, καὶ κενοδοξίας· καὶ μάλιστα κενοδοξίας,

a μολυσμὸς, alius καθαρμός.

A τῶν πανταχοῦ μὲν φυγεῖν δεῖ, πολλῷ δὲ πλέον ἐπὶ ἐλεημοσύνης· ἐπεὶ οὐδὲ ἂν εἴη ἐλεημοσύνη, εἰ τοῦτο ἔχει τὸ νόσημα, ἀλλ' ἐπίδειξις καὶ ὠμότης. ὅταν γὰρ μὴ ἐλεῶν, ἀλλ' ἐκπομπεύων ποιῇς, οὐ μόνον οὐκ ἔστιν ἐλεημοσύνη τὸ τοιοῦτον, ἀλλὰ καὶ ὕβρις. παρεδειγμάτισας γὰρ τὸν ἀδελφόν. οὐκ ἄρα τὸ διδόναι χρήματα, ἀλλὰ τὸ ἐλεοῦντα διδόναι, ἐλεημοσύνη. ἐπεὶ καὶ οἱ ἐν τοῖς θεάτροις διδόασι καὶ παισὶ πεπορνευμένοις, καὶ ἑτέροις τοῖς ἐπὶ τῆς σκηνῆς· ἀλλ' οὐκ ἐλεημοσύνη τὸ τοιοῦτον. καὶ αὐτοὶ δὲ οἱ ὑβρίζοντες εἰς τὸ σῶμα τῶν πορνευομένων γυναικῶν διδόασιν· ἀλλ' B οὐ φιλανθρωπία τοῦτο, ἀλλὰ παροινία. τούτῳ καὶ ὁ κενόδοξος ἔοικε. καθάπερ γὰρ ἐκεῖνος ὑβρίζων εἰς τὸ σῶμα τῆς πόρνης, μισθὸν αὐτῇ δίδωσι τῆς ὕβρεως· οὕτω καὶ σὺ μισθὸν ἀπαιτεῖς τὸν λαμβάνοντα τῆς ὕβριν, καὶ τὸ πονηρᾷ δόξῃ περιβαλεῖν καὶ σαυτὸν, κἀκεῖνον. καὶ μετὰ τούτων, ἡ ζημία ἄφατος. καθάπερ γὰρ θηρίον, καὶ κύων μαινόμενος ἐπιπηδῶν, οὕτως ἡμῶν ἁρπάζει τὰ ἀγαθὰ τὸ πονηρὸν τοῦτο νόσημα, καὶ ἡ ἀπανθρωπία αὕτη. καὶ γὰρ ἀπανθρωπία καὶ ὠμότης τὸ τοιοῦτόν ἐστι· μᾶλλον δὲ καὶ τούτου χαλεπώτερον. ὁ μὲν γὰρ ὠμὸς οὐκ ἂν δοίη τῷ δεομένῳ· σὺ δὲ τούτου C πλέον ποιεῖς· τοὺς βουλομένους δοῦναι κωλύεις. ὅταν γὰρ ἐκπομπεύῃς τὴν δόσιν, καὶ τὴν δόξαν καθαιρεῖς τοῦ λαβόντος, καὶ τὸν μέλλοντα παρέχειν ἀνεχαίτισας, ἂν ῥᾴθυμος ᾖ. οὐδὲ γὰρ δώσει λοιπὸν, ὡς εἰληφότι, καὶ οὐχ οὕτω δεομένῳ· ἀλλὰ καὶ καταγνώσεται πολλάκις, ἂν προσελθὼν αἰτήσῃ μετὰ τὸ λαβεῖν, καὶ ἀναίσχυντον ἡγήσεται.

Ποία οὖν ἐλεημοσύνη τοῦτο, ὅταν καὶ σαυτὸν καταισχύνῃς, καὶ τὸν εἰληφότα, καὶ τὸν ἐπιτάξαντα διπλῇ, ὅτι τε αὐτὸν θεατὴν ἔχων τῆς ἐλεημοσύνης, ἐπι- D ζητεῖς τοὺς τῶν συνδούλων ὀφθαλμοὺς μετ' ἐκεῖνον, καὶ ὅτι τὸν νόμον τὸν ταῦτα ἀπαγορεύοντα κείμενον ὑπ' αὐτοῦ παραβαίνεις; ἐβουλόμην καὶ τοῖς ἄλλοις ἐπεξελθεῖν, καὶ νηστείᾳ, καὶ εὐχῇ· καὶ δεῖξαι ὅσα καὶ ἐκεῖ [a] λυμαίνεται ἡ κενοδοξία· ἀλλ' ἀνεμνήσθην, ὅτι λόγον τινὰ οὐκ ἤνυσα ἀναγκαῖον, ἐν τῇ περὶ ταύτης διαλέξει. τίς δὲ ὁ λόγος ἦν; ἔλεγον ὅτι οἱ πένητες τῶν πλουτούντων πλεονεκτοῦσιν ἐν τοῖς βιωτικοῖς, ὅτε περὶ ὑγείας καὶ ἡδονῆς διελεγόμην· καὶ σαφῶς τοῦτο ἐδείκνυτο. φέρε οὖν σήμερον αὐτὸ δείξωμεν, ὅτι οὐκ ἐν τοῖς βιωτικοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀνωτέρω E παρὰ τούτοις τὸ πλέον ἐστί. τί γὰρ εἰς βασιλείαν εἰσάγει, πλοῦτος, ἢ πενία; ἀκούσωμεν αὐτοῦ τοῦ τῶν οὐρανῶν δεσπότου λέγοντος, περὶ μὲν ἐκείνων, ὅτι εὐκοπώτερον κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφίδος, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. περὶ δὲ πενήτων τοὐναντίον· εἰ γὰρ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. εἰ δὲ βούλεσθε, ἑκατέρωθεν ἴδωμεν τὸ εἰρημένον. στενὴ,

A ma, quæ in omnibus rebus fugienda, maximeque in eleemosyna; nam eleemosyna non fuerit, si hoc morbo laboret: sed ostentatio & crudelitas. Nam cum ad largiendum non miseratione, sed beneficii evulgandi studio duceris, non modo id eleemosyna non est, sed etiam contumelia. Fratrem quippe traduxisti. Proinde non pecunias tantummodo dare eleemosyna est: sed ex commiseratione dare. Quandoquidem ii, qui in theatris spectant, tum cinædis largiuntur, tum aliis qui in scena versantur; nec tamen ea res eleemosyna est: & qui cum scortis congrediuntur, B dant quidem item; nec tamen humanitas id dici potest, sed contumelia. Huic porro non dissimilis est qui gloriæ cupiditate laborat. Sicut enim ille, cum meretrici stuprum intulit, contumeliæ mercedem ipsi persolvit: ita tu quoque ab eo exigis, qui contumeliam accepit: tibique simul, atque illi sinistræ famæ notam inuris: ac præterea majori, quam dici queat, detrimento teipsum afficis. Ut enim bellua quædam, aut canis rabidus insiliens; ita flagitiosus hic morbus atque hæc inhumanitas bona nostra nobis eripit. Inhumanitas quippe ac sævitia est hæc res: imo etiam scelus ea gravius. Nam qui crudelis est, egenti qui- C dem nihil impertit: at tu pejus eo facis. Iis enim, qui dare volunt impedimento es. Nam cum munus tuum jactas, atque in vulgus effers, simul & accipientis famam deles, & eum qui dare parat, si ignavi animi fuerit, reprimis. Neque enim jam ei daturus est, ut qui jam acceperit, nec perinde egeat: sed illum sæpe insectabitur, si postquam acceperit accedat; & impudens habebitur.

*Eleemosyna ostentatione careat oportet.*

4. Ecqua ergo eleemosyna hæc est, cum, & teipsum, & eum, qui accipit, dedecore afficis, & duplici quoque nomine eum, qui D hoc edixit: quia eo eleemosynæ tuæ spectatore non contentus, oculos quoque conservorum præter eum requiris, & quia legem ab eo institutam, qua id prohibetur, violas? Volebam alia quoque persequi, velut jejunium & precationem; ac quantam illic quoque inanis gloriæ studium perniciem afferat, demonstrare: verum in mentem mihi venit, me sermonem quemdam necessarium superiore disputatione non absolvisse. Et quis tandem hic sermo erat? Dicebam scilicet, quod pauperes etiam in rebus temporariis meliori conditione sint, quam divites, cum de sanitate ac lætitia verba facerem: atque id aperte E demonstrabatur. Age itaque hodie hoc planum faciamus, eos non in sæcularibus modo, sed in sublimioribus quoque rebus superiores partes ferre. Utra enim ad cælorum regnum inducit, opulentia an paupertas? ab ipso cælorum Domino audiamus: de illis enim ait, facilius esse camelum introire per foramen acus, quam divitem in regnum cælorum. De pauperibus autem contra omnino: *Si enim vis*, inquit, *perfectus esse, vende quæ habes, & da pauperibus, & veni, sequere me, & habebis thesaurum in cælis.* Quod si placet, alia quoque ratione id, quod a nobis dictum est, consideremus. *Arcta*,

*Pauperes feliciores sunt divitibus in rebus ad salutem pertinentibus.*

*Matt. 19. 24.*

[a] λυμαίνεται. Savil. in marg. μαίνεται, quæ lectio etiam forte quadrare posset.

Matt. 7. 14. inquit, *& angusta est via, quæ ducit ad vitam.* A Uter ergo per arctam viam iter facit, isne qui in deliciis, an qui in egestate degit? Isne qui solus est, an qui infinitas sarcinas gestat? Qui mollis est ac dissolutus, an qui curis ac solicitudinibus afficitur? Verum quid verbis opus est, cum ad personas ipsas venire liceat? Luc. 16. Pauper erat Lazarus, & valde pauper: dives contra is, qui foribus jacentem præteribat. Uter in regnum cælorum ingressus est, atque Abrahæ sinu deliciatur? Uter rursus in flammis excruciatur, ac ne stillam quidem aquæ consequi potest? At etiam pauperes plerique perituri sunt, inquis: ac contra divites multi arcanis illis bonis B fruentur. Imo contra cernere est, paucos quidem divites, pauperes autem multo plures ad salutem pervenire. Ac velim diligenter consideres, hinc opum impedimenta, hinc paupertatis vitia. Quamquam, nec opum, nec paupertatis hæc vitia sunt: sed utrumque eorum, qui his præditi sunt. Sed tamen utrum e duobus telum firmius muniat, videamus. Quodnam vitium paupertas habere videtur? mendacium. Quodnam rursus divitiæ? superbiam, malorum omnium matrem, quæ etiam diabolum, ut diabolus esset, cum 1. Tim. 6. 10. prius talis minime esset, effecit. Rursus ma- C lorum omnium radix est avaritia. Uter itaque huic radici vicinior est, dives-ne an pauper? Dives proculdubio. Quo enim quis pluribus opibus undique cinctus est, eo plures expetit. Adhæc inanis gloriæ studium sexcentas virtutes labefactat. At non procul item ab hac sedes habet dives. Quid autem, inquit, pauperis incommoda non affers, afflictionem videlicet atque angustiam? At hæc illi cum divite sunt communia: imo etiam majore ex parte hujus sunt, quam illius. Ita fit, ut quæ paupertatis mala esse videntur, utriusque communia sint: quæ autem divitiarum, ea divitem solum vexent. Quid vero, D inquies, cum pauper ob rerum necessariarum penuriam multa scelera perpetrat? At nullus pauper tot scelera ob egestatem admittit, quot divites ob amplas & uberes opes admittunt, & ne, quæ domi congesta habent, amittant. Neque enim pauper necessaria perinde expetit, ut dives supervacanea: nec rursus tantam ad improbitatem exercendam vim ac facultatem habet, quantam ille. Proinde si & vult magis, & plus potest, liquet profecto quod plura quoque designabit. Neque enim pauper famem ita reformidat, ut dives metu contremiscit, ac pene exanimatur, ne bona ei sua pereant, & discruciatur se nondum om- E nia omnium bona accepisse. Proinde cum & inani gloriæ, & superbiæ, & avaritiæ, quæ malorum omnium radix est, propinquior sit; quam tandem salutis spem habiturus est, nisi insignis cujusdam virtutis specimen edat? Quonam modo per arctam viam gradietur? Quæ cum ita sint, vulgi opiniones ne circumferamus, sed res ipsas expendamus. Annon absurdum fuerit, nos, cum de pecuniis agitur, aliis fidem non habere, sed numero & calculo id committere; cum autem de rebus judicandum est, in aliorum opiniones

A καὶ τεθλιμμένη ἡ ὁδός, φησιν, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. τίς οὖν βαδίζει τὴν στενήν, ὁ ἐν τρυφῇ, ἢ ὁ ἐν πτωχείᾳ; ὁ μόνος, ἢ ὁ μυρία βαστάζων φορτία; ὁ χαῦνος καὶ διαλελυμένος, ἢ ὁ φροντίζων καὶ μεμεριμνημένος; ἀλλὰ τίς χρεία τῶν λογισμῶν, δέον ἐπ' αὐτὰ τὰ πρόσωπα ἐλθεῖν; πένης ὁ Λάζαρος ἦν, καὶ σφόδρα πένης· πλούσιος δὲ ὁ παρατρέχων ἐν τῷ πυλῶνι κείμενον τοῦτον. τίς οὖν εἰσῆλθεν εἰς τὴν βασιλείαν, καὶ τοῖς κόλποις ἐνετρύφα τοῦ Ἀβραάμ; τίς δὲ ἀπετηγανίζετο, καὶ οὐδὲ σταγόνος ἦν κύριος; ἀλλὰ καὶ πένητες ἀπολοῦνται πολλοί, φησι, καὶ B πλούσιοι τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσονται ἀγαθῶν. τοὐναντίον μὲν οὖν ἐστιν ἰδεῖν· πλουσίους μὲν ὀλίγους, τῶν δὲ πενήτων πολλῷ πλείους σωζομένους. σκόπει δὲ ἀκριβῶς ἐξετάζων τὰ τοῦ πλούτου κωλύματα, καὶ τὰ τῆς πενίας ἐλαττώματα· μᾶλλον δὲ οὔτε τοῦ πλούτου οὔτε τῆς πενίας, ἀλλ' ἑκάτερα τῶν κεκτημένων ἐστί. πλὴν ἀλλὰ ποῖον εὐκολώτερον ὅπλον ἴδωμεν. τί οὖν ἡ πενία ἐλάττωμα ἔχειν δοκεῖ; ψεῦδος. τί δὲ ὁ πλοῦτος; ὑπερηφανίαν, τὴν μητέρα τῶν κακῶν· ἣ καὶ τὸν διάβολον ἐποίησεν εἶναι διάβολον, οὐκ ὄντα τοιοῦτον ἔμπροσθεν. C πάλιν, ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία. τίς οὖν ἕστηκε τῆς ῥίζης ταύτης πλησίον, ὁ πλούσιος, ἢ ὁ πένης; οὐκ εὔδηλον ὅτι ὁ πλούσιος; ὅσῳ γὰρ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ. κενοδοξία πάλιν τὰ μυρία λυμαίνεται κατορθώματα· ἀλλὰ καὶ ταύτης πάλιν ἐγγὺς ὁ πλουτῶν ἐσκήνωται. τὰ δὲ τοῦ πένητος, φησιν, οὐ τιθεῖς, τὴν θλῖψιν, τὴν στενοχωρίαν; ἀλλὰ τοῦτο καὶ τοῦ πλουτοῦντος κοινόν, καὶ τούτου μᾶλλον ἢ τοῦ πένητος· ὥστε ἃ μὲν τῆς πενίας δοκεῖ εἶναι κακά, κοινὰ ἑκατέρων ἐστίν· D ἃ δὲ τοῦ πλούτου, μόνα ἐκείνου. τί δέ, φησιν, ὅταν διὰ τὴν τῶν ἀναγκαίων ἀπορίαν πολλὰ δεινὰ ὁ πένης ἐργάζηται; ἀλλ' οὐδεὶς πένης, οὐδεὶς τοσαῦτα ἐργάζεται δεινὰ δι' ἔνδειαν, ὅσα οἱ πλουτοῦντες διὰ τὸ πλείονα περιβάλλεσθαι, καὶ τὰ ἔνδον μὴ ἀπολλύναι. οὐ γὰρ οὕτω πένης ἐφίεται τῶν ἀναγκαίων, ὡς τῶν περιττῶν ὁ πλουτῶν· οὐδ' αὖ τοσαύτην ἰσχὺν ἔχει πρὸς τὸ χρήσασθαι τῇ πονηρίᾳ, ὅσην δύναμιν ἐκεῖνος. εἰ τοίνυν καὶ βούλεται μᾶλλον, καὶ δύναται· εὔδηλον ὅτι μᾶλλον, καὶ πλείονα ἐργάζεται. οὐδὲ γὰρ οὕτω δέδοικεν ὁ πένης ὑπὲρ λιμοῦ, ὡς ὁ πλούσιος ὑπὲρ τῆς ἀπωλείας τῶν ὄντων τρέμει καὶ ἄγχεται, καὶ ὑπὲρ τοῦ μηδέπω τὰ πάν- E των λαβεῖν. ὅταν οὖν δὲ κενοδοξίας ἑστήκῃ πλησίον, καὶ ὑπερηφανίας, καὶ φιλαργυρίας τῆς ῥίζης τῶν κακῶν ἁπάντων· ποίαν ἕξει σωτηρίας ἐλπίδα, ἂν μὴ πολλὴν ἐπιδείξηται φιλοσοφίαν; πῶς δὲ βαδιεῖται τὴν στενὴν ὁδόν; μὴ τοίνυν τὰς τῶν πολλῶν δόξας περιφέρωμεν, ἀλλὰ τὰ πράγματα ἐξετάζωμεν. πῶς γὰρ οὐκ ἄτοπον ὑπὲρ μὲν χρημάτων μὴ ἑτέροις πιστεύειν, ἀλλ' ἀριθμῷ καὶ ψήφῳ τοῦτο ἐπιτρέπειν· ὑπὲρ δὲ πραγμάτων ψηφιζομένους, ἁπλῶς ταῖς ἑτέρων παρασύρεσθαι δόξαις

καὶ

καὶ ταῦτα ἀκριβῆ ζυγὸν ἁπάντων ἔχοντας, καὶ γνώμονα, καὶ κανόνα, τῶν θείων νόμων τὴν ἀπόφασιν; διὸ παρακαλῶ καὶ δέομαι πάντων ὑμῶν, ἀφέντες τί τῷ δεῖνι καὶ τῷ δεῖνι δοκεῖ περὶ τούτων, παρὰ τῶν γραφῶν ταῦτα ἅπαντα πυνθάνεσθε, καὶ τὸν ἀληθῆ πλοῦτον μαθόντες, τοῦτον διώκωμεν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A temere trahi: idque cum exactam rerum omnium lancem ac normam & amussim habeamus, nempe divinarum legum sententiam? Quocirca vos omnes rogo atque obsecro, ut, quid hic aut ille de his rebus sentiat nihil morantes, Scripturas sacras de iis consulatis, ac quæ veræ sint opes cognoscatis, cognitas omni studio consectemini, ut & æternis perfruamur bonis: quæ utinam nos omnes consequamur per gratiam ac benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, honor, imperium, nunc & semper & in sæcula sæculorum, amen. B

## ΟΜΙΛΙΑ ιδ'.

## HOMILIA XIV.

Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. οὐ πρὸς κατάκρισιν λέγω. προείρηκα γὰρ, ὡς καὶ προεῖπον, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

2. *Capite nos, neminem læsimus, neminem corrupimus, neminem circumvenimus.* 3. *Non ad condemnationem vestram dico. Prædiximus enim, quod in cordibus nostris estis ad commoriendum & convivendum.*

ΠΑΛΙΝ τὸν περὶ ἀγάπης κινεῖ λόγον, συστέλλων τὸ τραχὺ τῆς ἐπιτιμήσεως. ἐπειδὴ γὰρ ἤλεγξε καὶ ἐπέπληξεν, ὡς φιλουμένοις μὲν, οὐχ C ὁμοίως δὲ φιλοῦσιν, ἀλλ' ἀπορρηγνυμένοις τῆς ἀγάπης τῆς αὐτοῦ καὶ ἑτέροις φθόροις ἀναμιγνυμένοις, πάλιν λεαίνει τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως λέγων, χωρήσατε ἡμᾶς, τουτέστι, φιλήσατε ἡμᾶς, καὶ χάριν αἰτεῖ λαβεῖν ἀνεπαχθῆ, καὶ τοῖς παρέχουσι περὶ τῶν λαμβανόντων λυσιτελῆ. καὶ οὐκ εἶπε, φιλήσατε, ἀλλ' ἐλεεινότερον, χωρήσατε. τίς ἡμᾶς ἀπήλασε, φησι; τίς ἐξέβαλε τῆς διανοίας τῆς ὑμετέρας, πόθεν στενοχωρούμεθα ἐν ὑμῖν; ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν· D ἐνταῦθα αὐτὸ σαφέστερον δηλῶν ἔλεγε, χωρήσατε ἡμᾶς, καὶ ταύτῃ πάλιν αὐτοὺς ἐφελκόμενος. οὐδὲν γὰρ οὕτω ποιεῖ φιλίαν, ὡς τὸ μαθεῖν τὸν φιλούμενον ὅτι σφόδρα αὐτοῦ ἐφίεται τῆς ἀγάπης ὁ φιλῶν. οὐδένα ἠδικήσαμεν. ὅρα πῶς πάλιν οὐ τίθησι τὰς εὐεργεσίας, ἀλλὰ καὶ ἀνεπαχθέστερον καὶ πληκτικώτερον ἑτέρως τὸν λόγον ποιεῖ. ἅμα δὲ καὶ αἰνίττεται τοὺς ψευδαποστόλους, οὐδένα ἠδικήσαμεν, λέγων, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. τί ἐστιν, ἐφθείραμεν; τουτέστιν, οὐδένα ἠπατήσαμεν· ὥσπερ E καὶ ἀλλαχοῦ λέγει, μήποτε ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. οὐδένα ἐπλεονεκτήσαμεν, οὐχ ἡρπάσαμεν, οὐκ ἐπενοήσαμεν. καὶ οὐ λέγει τέως, τὰ καὶ τὰ ὠφελήσαμεν, ἀλλ' ἐντρεπτικώτερον ποιῶν τὸν λόγον, οὐκ ἠδικήσαμεν, φησι· μονονουχὶ λέγων, ὅτι εἰ καὶ μηδὲν ἦμεν εὐεργετηκότες, οὐδὲ οὕτως ἡμᾶς ἀποστρέφεσθαι ἔδει. οὐδὲ γὰρ οὐ μικρὸν, οὐ μέγα ἔχετε ἡμῖν ἐγκαλεῖν. εἶτα ἐπειδὴ ᾔσθετο τῆς βαρύτητος, ἐπιδιορθοῦται πάλιν. καὶ οὔτε ἐσίγησε καθάπαξ· οὐ

1. RURSUM de caritate sermonem movet, increpationis asperitatem reprimens. Postquam enim eos coarguit, atque hoc nomine objurgavit, quod amati non perinde redamarent, sed ab ipsius amore sese abrumpentes, aliis pestiferis hominibus sese adjungerent, rursus objurgationis acerbitatem lenit dicens, *Capite nos:* hoc est, amate nos. Beneficium poscit minime grave, & quod majori iis, qui dant, quam qui accipiunt, utilitati sit. Nec dixit, *Amate:* sed, quod miserationem redolebat, *capite.* Quisnam nos, inquit, a vestris mentibus abegit? quis ejecit? Quid causæ est, quamobrem in vobis coarctemur? Quoniam enim supra dixit, *Angustiamini in visceribus vestris,* hoc loco id apertius declarat dicens: *Capite nos:* atque hac rursus ratione ipsos ad se pertrahit. Neque enim quidquam est, quod perinde ad amandum alliciat, ut cum is qui amatur intelligit eum, qui amat, dilectionem suam summopere expetere. *Neminem læsimus.* Vide quo pacto rursus beneficia sua non recenset, verum alio modo ita loquitur, ut & minus molestiæ oratio habeat, & tamen acrius feriat. Simul etiam pseudoapostolos notat, cum ait, *Neminem læsimus, neminem corrupimus, neminem circumvenimus.* Quid est, *corrupimus?* hoc est, neminem in fraudem induximus: quemadmodum & alio loco ait, *Ne forte ut serpens Evam decepit, ita corrumpantur sensus vestri.* 2. Cor. 11. 3. *Neminem circumvenimus*, non rapuimus, non insidias struximus. Nondum dicit, Hæc atque illa commoda vobis attulimus: sed, quo majorem ad pudorem incutiendum vim oratio haberet, *neminem læsimus*, inquit; ac si diceret: Etiamsi nullum in nos beneficium contulissemus, tamen ne sic quidem nos aversari debebatis. Neque enim aliquid aut parvum aut magnum habetis, quod mihi objicere possitis. Postea autem dicti asperitatem sentiens, sermonem rursus temperavit. Nec prorsus tacuit; neque enim

eorum animos excitasset; nec rursum sermonis acerbitatem sine temperamento conditam reliquit. Nam alioqui gravius ipsis vulnus inflixisset. Et quid ait? *Non ad condemnationem vestram dico.* Unde id liquet? *Prædixi enim*, inquit, *quod in cordibus nostris estis ad commoriendum & convivendum.* Maxima vis amoris hæc est, cum, etiam contemtus, una cum ipsis & mori & vivere vult. Neque enim utcumque estis in cordibus nostris: sed ita ut dixi. Fieri non potest, ut & amet quis, & pericula fugiat. At nos non ita. Hic quoque miram apostoli prudentiam perspice. Non enim quibus eos beneficiis jam affecisset narravit, ne ea rursus exprobrare videretur: sed de futuris pollicetur. Nam si pericula inferri contingat, inquit, quidvis pro vobis impigro animo patiar. Neque enim mihi, vel mors per se, vel vita, ullius momenti esse censetur: sed ubicumque vos fueritis, vel mihi mortem vita, vel vitam morte cariorem efficietis. At mortem pro aliquo oppetere, amicitiæ apertum argumentum est: vivere autem quis nolit, etiam eorum, qui minime amici sunt? Cur ergo id, velut magnum posuit? Quia perquam magnum hoc est. Sunt enim multi, qui male agentibus amicis condoleant: at non perinde de eorum gloria gaudeant, verum invidia tangantur. Nos autem secus. Nam sive in calamitatibus sitis, adversarum rerum vestrarum participes esse non metuimus: sive prospere agatis, livore minime percutimur. Demum, quia hæc sæpe oratione versavit dicens: *Non angustiamini in nobis*: &, *Angustiamini in visceribus vestris*: &, *Capite nos*: &, *Dilatamini & vos*: &, *Neminem læsimus*: atque hæc omnia ad eorum reprehensionem spectare videbantur; vide quomodo aliter quoque asperitatem his verbis mitiget, 4. *Multa mihi fiducia est ad vos.* Ideo inquit, talia audeo, non quod vos condemnem, sed quod ingenti fiducia nitar. Id quod superius etiam dicebat, *Multa est mihi gloriatio pro vobis.* Cavete enim existimetis, inquit, a me hæc idcirco dici, quod vos semel ac prorsus condemnem: nam de vobis magnopere mihi placeo, ac glorior; sed quia vobis consultum volo, ac vos majora virtutis incrementa facere cupio. Id quod Hæbræis quoque post multam objurgationem dicebat: *Confidimus autem de vobis meliora, & viciniora saluti, tametsi ita loquimur. Cupimus autem unumquemque vestrum eamdem ostentare solicitudinem ad expletionem spei usque in finem.* Sic enim hoc loco, *Multa mihi gloriatio est pro vobis.* Apud alios, inquit, de vobis gloriamur. Vides quam sinceram consolationem adhibuerit? Nec utcumque glorior, dixit: sed magnopere. Subjungit mox, *repletus sum consolatione.* Qua consolatione? a vobis videlicet manante: quia ad meliorem frugem reversi, per opera me consolati estis. Amantis enim hoc est, tum de eo, quod non ametur, expostulare, tum metuere ne modum in accusando excedens, mœrorem afferat. Ideo dicit, *Repletus sum consolatione, superabundo gaudio.*

Pauli prudentia quanta.

Hebr. 6. 9.

A γὰρ ἂν διανέστησεν· οὔτε ἀδιόρθωτον εἴασε τὸ τραχὺ τοῦ λόγου· ἢ γὰρ ἂν πλέον ἔπληξε. καὶ τί φησιν; οὐ πρὸς κατάκρισιν λέγω. πόθεν δῆλον; προείρηκα γάρ, φησιν, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν. μεγίστη φιλία αὕτη, ὅταν καὶ καταφρονούμενος, καὶ συναποθανεῖν αὐτοῖς καὶ συζῆν αἱρῆται. οὐδὲ γὰρ ἁπλῶς ἐστε ἐν ταῖς καρδίαις ἡμῶν, ἀλλ' οὕτω, φησὶν, ὡς εἶπον. ἔνι γὰρ καὶ φιλεῖν, καὶ κινδύνους φεύγειν· ἀλλ' οὐχ ἡμεῖς οὕτω. καὶ ὅρα κἀνταῦθα σύνεσιν ἄφατον. οὐ B γὰρ τὰ γεγενημένα ὑπὲρ αὐτῶν εἶπεν, ἵνα μὴ δόξῃ πάλιν ὀνειδίζειν, ἀλλ' ὑπὲρ τῶν μελλόντων ἐπαγγέλλεται. ἂν γὰρ συμβῇ, φησιν, ἐπενεχθῆναι κίνδυνον, πάντα ἕτοιμος ὑπὲρ ὑμῶν παθεῖν. καὶ οὔτε θάνατος, οὔτε ζωή μοί τι καθ' ἑαυτὸ φαίνεται· ἀλλ' ἔνθα ἂν ἦτε ὑμεῖς, τοῦτο ἐμοὶ προτιμότερον, καὶ θάνατος ζωῆς, καὶ ζωὴ θανάτου. ἀλλὰ τὸ μὲν ἀποθανεῖν, δῆλον ὅτι φιλίας· τὸ δὲ ζῆν τίς οὐκ ἂν ἕλοιτο καὶ τῶν μὴ φίλων; τίνος οὖν ἕνεκεν ὡς μέγα αὐτὸ τίθησιν; ὅτι καὶ σφόδρα μέγα ἐστί. πολλοὶ μὲν γὰρ κακῶς πράττουσι συναλγοῦσι τοῖς φίλοις· εὐδοκιμοῦσι δὲ C οὐκέτι συνήδονται, ἀλλὰ φθονοῦσιν. ἀλλ' οὐχ ἡμεῖς. ἀλλ' ἄν τε ἐν συμφοραῖς ἦτε, οὐ φοβούμεθα κοινωνῆσαι τῆς δυσημερίας ὑμῖν· ἄν τε καλῶς πράττητε, οὐ βαλλόμεθα τῷ φθόνῳ. εἶτα ἐπειδὴ συνεχῶς ταῦτα ἔστρεψε λέγων, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, καὶ, στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν, καὶ, χωρήσατε ἡμᾶς, καὶ, πλατύνθητε καὶ ὑμεῖς, καὶ οὐδένα ἠδικήσαμεν, καὶ ἐδόκει πάντα ταῦτα αὐτῶν εἶναι κατάγνωσις· ὅρα πῶς καὶ ἑτέρως τὸ βαρὺ τοῦτο παραμυθεῖται λέγων, πολλή μοι παῤῥησία πρὸς ὑμᾶς. διὰ τοῦτο D. τοιαῦτα τολμῶ, φησιν, οὐ πρὸς κατάκρισιν λέγων, ἀλλὰ διὰ τὴν πολλὴν παῤῥησίαν. ὃ καὶ ἀνωτέρω δηλῶν ἔλεγε, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν. μὴ γὰρ δὴ νομίσητε, φησιν, ὅτι ἐπειδὴ ταῦτα λέγω, ὡς κατεγνωκὼς ὑμῶν καθάπαξ λέγω· σφόδρα γὰρ ἐφ' ὑμῖν καλλωπίζομαι καὶ καυχῶμαι, ἀλλὰ καὶ κηδόμενος, καὶ βουλόμενος ἐπιδοῦναι μειζόνως ὑμᾶς πρὸς ἀρετήν. ὃ καὶ τοῖς Ἑβραίοις μετὰ πολλὴν ἐπιτίμησιν ἔλεγε· πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν E αὐτὴν ἐνδείκνυσθαι σπουδὴν, εἰς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους. οὕτω δὴ καὶ ἐνταῦθα, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν· πρὸς ἑτέρους καυχώμεθα, φησιν, ὑπὲρ ὑμῶν. εἶδες πῶς παρεμυθήσατο γνησίως; καὶ οὐκ ἁπλῶς καυχῶμαι, φησιν, ἀλλὰ καὶ σφόδρα· ἐπήγαγε γοῦν λέγων, ὅτι πεπλήρωμαι τῇ παρακλήσει. ποίᾳ παρακλήσει; τῇ παρ' ὑμῶν, ὅτι διορθωθέντες, διὰ τῶν ἔργων παρεκαλέσατέ με. τοῦτο φιλοῦντός ἐστι, καὶ ἐγκαλεῖν ὑπὲρ τοῦ μὴ φιλεῖσθαι, καὶ δεδοικέναι μὴ, πέρα τοῦ μέτρου ἐγκαλέσας, λυπήσῃ. διὰ τοῦτό φησι, πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ.

Ἀλλὰ ταῦτα δοκεῖ, φησιν, ἐναντία εἶναι τοῖς προτέροις· ἀλλ' οὐκ ἔστιν, ἀλλὰ καὶ σφόδρα συμβαίνοντα. ταῦτα γὰρ ἐκεῖνα εὐπαράδεκτα ποιεῖ, καὶ ὁ διὰ τούτων ἔπαινος τὴν ἀπὸ τῶν ἐλέγχων ἐκείνων ὠφέλειαν γνησιωτέραν ἐργάζεται, ὑποκλέπτων αὐτῶν τὸ ὀδυνηρόν. διὸ καὶ σφόδρα γνησίως κέχρηται τοῖς ῥήμασι τούτοις, καὶ φιλοτίμως. οὐδὲ γὰρ εἶπε, πεπλήρωμαι τῇ χαρᾷ, ἀλλά, περισσεύομαι· μᾶλλον δὲ, οὐδὲ περισσεύομαι, ἀλλ' ὑπερπερισσεύομαι, κἀντεῦθεν πάλιν δεικνὺς τὸν πόθον, ὅτι κἂν οὕτω φιλῆται, ὡς χαίρειν καὶ ἀγάλλεσθαι, οὐδέπω ἡγεῖται φιλεῖσθαι, ὡς φιλεῖσθαι χρὴ, οὐδὲ τὸ πᾶν εἰληφέναι· οὕτως ἀκόρεστος τῷ σφόδρα φιλεῖν αὐτοὺς ἦν. τὸ γὰρ παρὰ τῶν ἐρωμένων ὁπωσοῦν φιλεῖσθαι, πολλὴν φέρει τὴν χαρὰν, διὰ τὸ σφόδρα αὐτοὺς φιλεῖν. ὥστε τοῦτο πάλιν τῆς αὐτοῦ ἀγάπης σημεῖον ἦν. καὶ ἐπὶ μὲν τῆς παρακλήσεώς φησι, πεπλήρωμαι· ἀπέλαβον ὅπερ ὠφείλετό μοι· ἐπὶ δὲ τῆς χαρᾶς, ὑπερπερισσεύομαι· τουτέστιν, ἠθύμησα πρὸς ὑμᾶς, ἀλλ' ἀπελογήσασθε ἀρκούντως, καὶ παρεμυθήσασθε· οὐδὲ γὰρ μόνον ἀνείλετέ μοι τὴν ὑπόθεσιν τῆς λύπης, ἀλλὰ καὶ χαρὰν ἐποιήσατε πλείονα. εἶτα δηλῶν αὐτῆς τὸ μέγεθος, οὐ τούτῳ μόνον δείκνυσιν αὐτὸ, τῷ εἰπεῖν, ὅτι ὑπερπερισσεύομαι τῇ χαρᾷ, ἀλλὰ καὶ τῷ ἐπαγαγεῖν, ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. τοσαύτη γὰρ ἦν ἡ δι' ὑμᾶς ἡμῖν ἡδονὴ γινομένη, ὡς μηδὲ τοσαύτῃ ἀμαυρωθῆναι θλίψει, ἀλλὰ τῇ περιουσίᾳ τοῦ οἰκείου μεγέθους περιγενέσθαι τῶν καταλαβόντων ἡμᾶς λυπηρῶν, καὶ μὴ ἀφεῖναι αἴσθησιν ἡμᾶς αὐτῶν λαβεῖν. καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν. ἐπειδὴ γὰρ εἶπε, τῇ θλίψει, λέγει καὶ ποταπῇ θλίψει· καὶ ἐπαίρει ταύτην τῷ λόγῳ, ἵνα δείξῃ μεγάλην οὖσαν τὴν ἐκ τούτων παραμυθίαν καὶ χαρὰν, εἴγε τοσαύτην ἀπεκρούσατο ὀδύνην. ἀλλ' ἐν παντὶ θλιβόμενοι. πῶς ἐν παντί; ἔξωθεν μάχαι· παρὰ τῶν ἀπίστων. ἔσωθεν φόβοι· διὰ τοὺς ἀσθενεῖς τῶν πιστῶν, μὴ παρασυρῶσιν. οὐδὲ γὰρ παρὰ Κορινθίοις μόνον τοιαῦτα συνέβαινεν, ἀλλὰ καὶ ἀλλαχοῦ. ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ἐπὶ τῇ παρουσίᾳ Τίτου. ἐπειδὴ γὰρ μεγάλα αὐτοῖς ἐμαρτύρησεν εἰπὼν, ἵνα μὴ δόξῃ κολακεύειν, μάρτυρα παράγει Τίτον τὸν ἀδελφὸν, ὃς παρ' αὐτῶν ἀφίκετο πρὸς τὸν Παῦλον μετὰ τὴν προτέραν ἐπιστολὴν διηγούμενος αὐτῷ τὰ τῆς αὐτῶν διορθώσεως. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ μέγα τίθεται τὴν παρουσίαν Τίτου. καὶ γὰρ ἔμπροσθέν φησιν, ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου. καὶ ἐνταῦθα πάλιν, ἐπὶ τῇ παρουσίᾳ Τίτου παρεκλήθημεν, φησι. καὶ γὰρ βούλεται ἀξιόπιστον αὐτοῖς καταστῆσαι τὸν ἄνδρα, καὶ φίλον σφόδρα ποιῆσαι· καὶ ὅρα πῶς ἀμφότερα κα-

A 2. Atqui hæc cum prioribus pugnare videntur, inquies. Minime vero pugnant, sed mirifice potius consentiunt. Hæc enim efficiunt, ut illa æquioribus animis excipiantur: atque harum rerum laudatio utilitatem eam, quam reprehensiones illæ afferebant, sinceriorem reddit, ut quæ dolorem earum subducat. Ideo perquam apposite & amanter his verbis usus est. Non enim dixit, Impletus sum gaudio: sed, *abundo:* imo non abundo, *sed superabundo:* hinc rursus ostendens, quanta cupiditate incensus sit, utpote qui, tametsi usque adeo ametur, ut gaudeat & exsultet, nondum tamen, quantum amari debeat, B tantum amari se existimet, nec totum accepisse. Usque adeo per ingentem suum erga eos amorem inexplebili cupiditate tenebatur. Nam ab iis, quos quis amat, vel utcumque amari, non parvam voluptatem affert; quod ipse vehementer eos amet. Itaque hoc rursum caritatis ipsius argumentum erat. Ac de consolatione quidem dixit, *repletus sum.* Accepi quod mihi debebatur. De gaudio autem, *superabundo.* Quasi dicat: Magno contra vos mœrore affectus sum: verum abunde mihi satis fecistis, ac solatium attulistis. Neque enim mihi solum mœ- C roris causam ademistis: sed etiam uberiore lætitia me perfudistis. Deinde ipsius magnitudinem declarans, non hinc solum hoc ostendit, quod dixerit, *superabundo gaudio:* sed ex eo etiam, quod subdit, *in omni tribulatione nostra.* Tanta, inquit, erat ea voluptas, quæ mihi a vobis allata est, ut ne tanta quidem afflictione obscurari potuerit, sed magnitudinis suæ exuberantia molestias omnes, quæ nos invaserant, fregerit, nec earum sensu nos affici permiserit. 5. *Nam & cum venissemus in Macedoniam, nullam requiem habuit caro nostra.* Quoniam enim dixit, *Tribulatione,* idcirco quanta etiam ea tribulatio fuerit exponit, eamque verbis D exaggerat, ut ostendat magnam eam consolationem ac lætitiam, qua ab ipsis affectus fuerit, extitisse, quæ tantum dolorem propulsarit. *Sed omnem tribulationem passi sumus.* Quomodo omnem? *Foris pugnæ,* ab infidelibus: *intus timores,* ob eos, quorum fides imbecilla erat, ne in errorem pertraherentur. Neque enim apud Corinthios tantum, sed alibi etiam hæc contingebant. 6. *Sed qui consolatur humiles, consolatus est nos in adventu Titi.* Quoniam enim præclarum eis testimonium dixerat, ut assentationis opinionem a se removeret, Titum fratrem te- E stem adducit, qui post superiorem epistolam a Corinthiis ad Paulum reversus, de eorum emendatione certiorem eum fecerat. At tu mihi velim consideres, quomodo ubique Titi præsentiam permagni æstimet. Nam & prius his verbis usus est, *Cum autem venissem Troadem propter evangelium, non habui requiem spiritui meo, eo quod non invenerim Titum fratrem meum.* 2. Cor. 2. 12. Et hic rursus, *In adventu Titi consolationem accepimus,* inquit. Vult quippe apud eos auctoritatem ipsi conciliare, atque efficere, ut summopere ab iis ametur. Ac vide quomodo utrumque ad-

struat. Ex eo enim quod ait, *Non habui requiem spiritui meo*, virtutis ipsius magnitudinem commonstrat: ex eo rursum quod ait, *In tribulatione nostra, ex ipsius adventu, consolationem accipiens; 7. nec solum ex ipsius adventu, sed etiam ex consolatione, qua consolatus est in vobis*, Corinthiorum benevolentiam ipsi conciliat. Nihil enim perinde amicitias gignit atque conglutinat, ut cum quis lætum aliquid ac sanum de quopiam commemorat. Id quod de Tito affirmat, dicens, Reversus ille summa lætitia animum nostrum erexit, tam fausta de vobis nunciavit, ideo ipsius adventus magnæ nobis voluptati fuit. Non enim solum ipsius adventus nos lætitia affecit: sed etiam ea consolatio, quam ipse a vobis accepit. Quonam autem modo consolationem accepit? Per virtutem vestram, ac recte facta. Unde etiam subjungit, *Annuncians nobis vestrum desiderium, vestrum fletum, vestram æmulationem pro me.* Hæc sunt quæ ipsum oblectarunt, inquit: hæc sunt, quæ ipsi solatio fuerunt. Vides quo pacto ipsum quoque magno eorum amore flagrare ostendat: ut qui eorum probitatem atque gloriam consolationem suam esse ducat, ac, velut ob bona sua, reversus ad Paulum glorietur? Ac vide quam ferventi affectu ea exponat, *Vestrum desiderium, vestrum fletum, vestram æmulationem.* Verisimile enim est eos in luctu ac dolore fuisse, quod beatus Paulus tantopere stomacharetur, ac tamdiu ab ipsis abesset. Quocirca non simpliciter dixit, *lacrymas*, sed, lamentationem: nec, cupiditatem, sed, acre desiderium: nec iram, sed zelum, & quidem zelum pro ipso, id est, quo in fornicatorem, atque in Pauli accusatores exarserant. Vos, inquit, acceptis meis litteris inflammati atque incensi estis. Ob eam causam gaudio abundat, ob eam causam consolatione repletus est: quod ipsos perstrinxisset. Mihi porro ista non tantum ad eorum, quæ præcesserant, consolationem dicta esse videntur: sed etiam ad eorum, qui hæc præstiterant, cohortationem. Quamvis enim nonnulli, ut quidem existimo, prioribus criminibus obnoxii, atque his laudibus indigni essent, non tamen eos discernit: verum communes ponit & laudes, & reprehensiones: hoc videlicet auditorum conscientiæ tribuens, ut singuli quæ ad se pertinerent, seligerent. Ita enim & reprehensiones non molestæ erant, & laudes ingentem zelum excitabant.

3. Eodem nunc quoque modo ii qui accusantur, affici debent, hoc est, ut lugeant, ac lamententur, & magistrorum suorum desiderio flagrent, avidiusque eos, quam ipsos parentes, requirant. Ab his quippe vivere, ab illis bene vivere habent. Sic paternas objurgationes ferre convenit: sic una cum antistitibus, ob eos qui peccant, dolore affici. Non enim in ipsis totum positum est: sed partim etiam in nobis. Etenim si is, qui flagitium admisit, se quidem a patre reprehendi, a fratribus autem deliniri videat, segnior efficitur. Proinde cum pater objurgat, tu quoque cum eo irascaris, tum ut fratris cu-

A κατασκευάζει. τῷ μὲν γὰρ εἰπεῖν, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τὸ μέγεθος αὐτοῦ δείκνυσι τῆς ἀρετῆς· τῷ δὲ εἰπεῖν, ὅτι ἐπὶ τῇ θλίψει ἡμῶν ἡ παρουσία αὐτοῦ ἤρκεσεν εἰς παραμυθίαν, οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν, οἰκειοῖ τοῖς Κορινθίοις τὸν ἄνδρα. οὐδὲν γὰρ οὕτω φιλίας ποιεῖ καὶ συγκροτεῖ, ὡς τὸ δεξιόν τι καὶ ὑγιὲς περί τινος εἰπεῖν· ὃ καὶ Τίτῳ μαρτυρεῖ λέγων, ὅτι παραγενόμενος ἐπτέρωσεν ἡμᾶς ὑπὸ τῆς ἡδονῆς, τοιαῦτα περὶ ὑμῶν ἀπήγγειλε. B διὰ τοῦτο ἡ παρουσία αὐτοῦ ηὔφρανεν ἡμᾶς. οὐ γὰρ μόνον ἐν τῇ παρουσίᾳ αὐτοῦ ἥσθημεν, ἀλλὰ καὶ ἐπὶ τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν. καὶ πῶς παρεκλήθη; διὰ τῆς ἀρετῆς ὑμῶν, διὰ τῶν κατορθωμάτων. διὸ καὶ ἐπάγει· ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ. ταῦτα αὐτὸν ηὔφρανε, φησι, ταῦτα παρεκάλεσεν. εἶδες πῶς καὶ αὐτὸν δείκνυσιν αὐτῶν σφοδρὸν ἐραστὴν, εἴγε τὴν ἐκείνων εὐδοκίμησιν, οἰκείαν παράκλησιν εἶναι ἡγεῖται, καὶ ὡς ἐπ' οἰκείοις ἀγαθοῖς ἐλθὼν ἐκαυχᾶτο παρὰ Παύλῳ; καὶ ὅρα πῶς αὐτὰ θερμῶς ἀπαγγέλ- C λει, τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον. εἰκὸς γὰρ αὐτοὺς πενθεῖν καὶ ἀλγεῖν. τί οὕτως ἐδυσχέρανεν ὁ μακάριος Παῦλος; τί τοσοῦτον ἀπέστη χρόνον; διὸ οὐδὲ ἁπλῶς εἶπε, δάκρυα, ἀλλ', ὀδυρμόν· οὐδὲ, ἐπιθυμίαν, ἀλλ', ἐπιπόθησιν· οὐδὲ, ὀργὴν, ἀλλὰ, ζῆλον, καὶ ζῆλον πάλιν τὸν ὑπὲρ αὐτοῦ, τὸν ἐκ τοῦ πεπορνευκότος, τὸν ἐκ τῶν κατηγορούντων. ἐπυρώθητε γὰρ, φησι, καὶ ἐξεκάητε δεξάμενοι μου τὰ γράμματα. διὰ ταῦτα περισσεύει τῇ χαρᾷ, διὰ ταῦτα πεπλήρωται τῇ παρακλήσει, ὅτι αὐ- D τῶν καθήψατο. ἐμοὶ δὲ δοκεῖ ταῦτα οὐ πρὸς παραμυθίαν τῶν ἔμπροσθεν εἰρῆσθαι μόνον, ἀλλὰ καὶ εἰς προτροπὴν τῶν κατωρθωκότων αὐτά· καὶ γὰρ εἰ καὶ τοῖς ἔμπροσθεν ἐγκλήμασιν εἶναί τινας ὑπευθύνους ἡγοῦμαι, καὶ τῶν ἐπαίνων τούτων ἀναξίους· ἀλλ' ὅμως αὐτοὺς οὐ διαιρεῖ, ἀλλὰ κοινὰ τίθησι καὶ τὰ ἐγκώμια καὶ τὰ ἐγκλήματα, διδοὺς τῷ συνειδότι τῶν ἀκουόντων ἐπιλέξασθαι τὰ οἰκεῖα. οὕτω γὰρ κἀκεῖνα ἀνεπαχθῆ ἐγίνετο, καὶ ταῦτα εἰς ζῆλον ἦγε πολύν.

E Οὕτω καὶ νῦν χρὴ τοὺς ἐγκαλουμένους διακεῖσθαι, θρηνεῖν, καὶ ὀδύρεσθαι, οὕτω τοὺς διδασκάλους ποθεῖν, οὕτω μᾶλλον πατέρων ἐπιζητεῖν. δι' ἐκείνων μὲν γὰρ τὸ ζῆν, διὰ δὲ τούτων τὸ καλῶς ζῆν γίνεται. οὕτω χρὴ φέρειν ἐπιτιμήσεις πατέρων, οὕτω τοῖς προηγουμένοις χρεὼν συναλγεῖν ἐπὶ τοῖς ἁμαρτάνουσι. οὐ γὰρ ἐν αὐτοῖς κεῖται τὸ πᾶν, ἀλλὰ καὶ ἐν ὑμῖν. κἂν γὰρ ἴδῃ ὁ ἡμαρτηκὼς ὅτι ἐπετιμήθη μὲν παρὰ τοῦ πατρὸς, ἐκολακεύθη δὲ παρὰ τῶν ἀδελφῶν, ῥᾳθυμότερος γίνεται. ἀλλ' ὅταν ὁ πατὴρ ἐπιτιμήσῃ, συνοργίσθητι καὶ σὺ, εἴτε ὡς ἀδελφοῦ κηδό-

μένος, εἴτε ὡς πατρὶ συναγανακτῶν· μόνον ἐπίδειξαι πολλὴν τὴν σπουδὴν, καὶ πένθησον, μὴ ὅτι ἐπετιμήθη, ἀλλ' ὅτι ἥμαρτεν. ἂν δὲ οἰκοδομήσω μὲν ἐγὼ, καταλύσῃς δὲ σὺ, τί ὠφελησόμεθα πλέον ἢ κόπους; μᾶλλον δὲ οὐ μέχρι τούτου σοι τὰ τῆς ζημίας, ἀλλὰ καὶ κόλασιν ἄγεις ἐπὶ σαυτόν. ὁ γὰρ κωλύων τὸ τραῦμα θεραπευθῆναι, τοῦ πεποιηκότος αὐτὸ οὐκ ἐλάττονα ἕξει κόλασιν, ἀλλὰ καὶ μείζονα. οὐ γάρ ἐστιν ἴσον πλῆξαι, καὶ τὸν πληγέντα κωλῦσαι θεραπευθῆναι. τοῦτο μὲν γὰρ θάνατον τίκτει πάντως, ἐκεῖνο δὲ οὐ πάντως. ταῦτα δέ μοι εἴρηται πρὸς ὑμᾶς, ἵνα συνοργίζησθε τοῖς ἄρχουσιν, ἐφ' οἷς δικαίως ἀγανακτοῦσιν· ἵν', ὅταν ἴδητέ τινα ἐπιτιμώμενον, πάντες ἀποστρέφησθε μειζόνως ἢ ὁ διδάσκαλος. ὑμᾶς φοβείσθω μᾶλλον, ἢ τοὺς ἄρχοντας ὁ πεπλημμεληκώς. ἂν μὲν γὰρ τὸν διδάσκαλον φοβηθῇ μόνον, ταχέως ἁμαρτήσεται· ἂν δὲ τοσούτους ὀφθαλμοὺς περιστέλληται, τοσαῦτα στόματα, ἐν πλείονι ἔσται ἀσφαλείᾳ. ὥσπερ γὰρ, εἰ μὴ ταῦτα ποιοῦμεν, τὴν ἐσχάτην δώσομεν δίκην· οὕτως εἰ ταῦτα ἐργαζόμεθα, τοῦ κέρδους τοῦ ἐπὶ τῇ διορθώσει κοινωνήσομεν. οὕτω τοίνυν ποιῶμεν· κἂν εἴποι τις, ὅτι φιλανθρωπεύσασθαι τὸν ἀδελφὸν, τοῦτο πρέπει Χριστιανοῖς· μανθανέτω, ὅτι ὁ ὀργιζόμενος φιλανθρωπεύεται, οὐκ ἐκεῖνος, [a] ὁ πρὸ τοῦ καιροῦ καλῶν αὐτὸν, καὶ μηδὲ ἀφιεὶς αἴσθησιν λαβεῖν τοῦ πλημμελήματος. τίς γὰρ, εἰπέ μοι, τὸν πυρεταίνοντα καὶ φρενίτιδι κατεχόμενον ἐλεεῖ, ὁ κατακλίνων ἐπὶ τῆς εὐνῆς, καὶ δεσμῶν, καὶ σίτων καὶ ποτῶν τῶν οὐ προσηκόντων ἀπάγων, ἢ ὁ διδοὺς ἀκράτου ἐμφορηθῆναι, καὶ ἐν ἐξουσίᾳ κελεύων εἶναι, καὶ πάντα ποιεῖν ἅπερ τοὺς ὑγιαίνοντας δεῖ; οὐχὶ οὗτος μὲν καὶ ἐπιτείνει τὸ νόσημα, ὁ δοκῶν φιλανθρωπεύεσθαι, ἐκεῖνος δὲ διορθοῦται; οὕτω δὴ καὶ ἐνταῦθα [b] ψηφιζόμεθα. καὶ γὰρ φιλανθρωπίας ἐστὶ, τὸ μὴ πανταχοῦ χαρίζεσθαι τοῖς κάμνουσι, μηδὲ κολακεύειν τὰς ἀτόπους αὐτῶν ἐπιθυμίας. οὐδεὶς οὕτως ἐφίλει τὸν πορνεύσαντα παρὰ Κορινθίοις, ὡς Παῦλος, ὁ κελεύων αὐτὸν παραδοῦναι τῷ Σατανᾷ· οὐδεὶς οὕτως αὐτὸν ἐμίσει, ὡς οἱ συγκροτοῦντες καὶ θεραπεύοντες. καὶ τὸ πέρας ἔδειξεν. ἐκεῖνοι μὲν γὰρ αὐτὸν καὶ ἐφύσησαν, καὶ τὴν φλεγμονὴν μείζονα εἰργάσαντο· οὗτος δὲ καὶ κατέστελλε, καὶ οὐκ ἀπέστη, ἕως πρὸς καθαρὰν ὑγίειαν ἤγαγε. καὶ οἱ μὲν τῷ ὄντι κακῷ προσετίθεσαν, οὗτος δὲ καὶ τὸ ἐξ ἀρχῆς γινόμενον ἀνέσπασε. τούτους καὶ ἡμεῖς μάθωμεν τῆς φιλανθρωπίας τοὺς νόμους. καὶ γὰρ ἵππον ἂν ἴδῃς κατὰ κρημνῶν φερόμενον, χαλινὸν ἐμβάλλεις, καὶ ἀναχαιτίζεις μετὰ σφοδρότητος, καὶ μαστίζεις πολλάκις· καίτοιγε τοῦτο κόλασίς ἐστιν· ἀλλ' ἡ κόλασις αὕτη σωτηρίας μήτηρ ἐστίν· οὕτω καὶ ἐπὶ τῶν ἁμαρτανόντων ποίησον. δῆσον τὸν πλημμελήσαντα, ἕως ἂν ἐξιλεώσῃ τὸν θεόν· μὴ ἀφῇς λελυμένον,

A ram gerens: tum ut cum patre indignatus: magnum studium exhibe & lacrymare, non quia objurgatus est, sed quia peccavit. Alioqui si exstruam quidem ego, tu vero destruas, quid aliud assequimur, quam ut labore nos ipsos conficiamus? Imo non modo tibi damnum infers, verum pœnam quoque tibi accersis. Nam qui obstat, quo minus vulnus curetur, non minori, quam qui inflixit, imo etiam graviori supplicio afficitur. Neque enim par crimen est, aliquem ferire: & impedire ne remedium afferatur. Hoc enim omnino mortem gignit: illud autem non B omnino. Hæc autem vobis a me dicta sunt, ut cum antistites justis de causis irascuntur, vos quoque cum ipsis irascamini: ut cum quempiam objurgatum videritis, ipsi eum magis etiam aversemini, quam magister ipse. Qui deliquit, vos magis, quam magistros pertimescat. Etenim si magistri solius timor in ipsius animo versetur, cito peccabit. Sin autem tot oculos ac tot ora pertimuerit, cautius vitam instituet. Quemadmodum enim nisi hæc faciamus, extremas pœnas daturi sumus: ita si hæc præstemus, quæstum quem peccantium correctio parit, una consequemur. C Quamobrem ita faciamus. Quod si quis Christianis convenire dixerit, humanitatem erga peccantem fratrem adhibere, discat ille, humanitate eum uti, qui irascitur, non eum, a quo præmature, qui peccat, advocatur, nec peccati sui sensu affici sinitur. Uter enim, quæso, febre ac phrenesi laborantem misericordia prosequitur? Isne qui in lecto eum sternit, ac vinculis astringit, atque a noxiis cibis & potionibus arcet, an qui ei mero se ingurgitandi facultatem præbet, ac sui juris & arbitrii eum esse jubet, omniaque facere sinit, quæ ab homine sano fieri debent? Annon morbum quoque hic auget, D qui humanitatis officio fungi sibi videtur: cum contra ille morbum pellat? Eodem modo hic quoque judicamus. Humanitatis enim est, ægrotis non ubique indulgere, nec præposteris ipsorum cupiditatibus adblandiri. Nemo eum, qui apud Corinthios fornicatus erat, tam amabat, quam Paulus, qui eum Satanæ tradi jubebat: nemo rursus tam eum oderat, quam ii, qui peccanti applaudebant, & obsequebantur. Atque hoc exitus rei comprobavit. Illi enim ipsius etiam animum inflarunt, ac tumorem majorem effecerunt: hic autem tumorem compressit, nec ante abstitit, quam eum integræ valetudini reddidisset. Atque illi quidem malum, quod jam E erat, auxerunt: hic vero id, quod primum contractum fuerat, evulsit. Quocirca nos etiam has humanitatis leges addiscamus. Nam & tu, si equum videris, qui in præcipitia feratur, frenum injicis, acriterque inhibes, ac sæpe flagellas. Atqui cruciatus hoc est: verum hujusmodi cruciatus salutem ei affert. Eamdem igitur erga eos qui peccant, rationem tene. Vinculis eum, qui scelus admisit, coërce, usque dum ipse Deum sibi propitium reddiderit. Solutum eum ne linquas:

Erga peccantes fratres quomodo agendum.

1. Cor. 5

a ὁ πρὸ τοῦ καιροῦ καλῶν. Hic videtur aliquid vitii subesse. καλῶν hic non placet.

b ψηφιζόμεθα. Savilius legendum putat ψηφιζώμεθα. Utraque lectio quadrat.

ne arctioribus divinæ iræ vinculis constringatur. Si vincula ipse injecero, Deus non jam vinciet: sin autem in vinculis eum non tenuero, ejusmodi eum vincula manent, quæ
1. Cor. 11. 31. frangi non queant. *Si enim nosipsos judicaremus, non utique judicaremur.* Ne hanc rem crudelitatis ac sævitiæ esse arbitreris, sed summæ benigitatis, præstantissimæque medendi rationis, nec vulgaris solicitudinis. Verum satis diu pœnas expenderunt, inquis. Quamdiu quæso? Annum unum, & alterum, ac tres? Atqui temporis moram non quæro: sed animæ correctionem. Hoc itaque fac demonstres, sintne compuncti, sintne in melius immutati: & res tota confecta erit. Quod nisi ita sit, nihil profecto temporis diuturnitas emolumenti attulerit. Neque enim sæpiusne obligatum vulnus fuerit, quærimus: sed an ligamen illud profuerit. Ac si etiam ad exiguum tempus adhibitum profuit, non amplius adhibeatur: si autem nihil juvit, etiam post decem annos adhibeatur. Hic solvendi vincti terminus esto, utilitas. Si ad hunc modum, & nostri, & cæterorum curam geramus, ac non hominum gloriam aut ignominiam spectemus, verum futuræ vitæ cruciatum ac probrum, atque ante omnia Dei offensionem nobis ob oculos ponentes, pœnitentiæ pharmaca non leviter imponamus, tum ad integram sanitatem quamprimum veniemus, tum futura bona consequemur: Quæ utinam omnes consequamur, per gratiam ac benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, honor, imperium nunc & semper & in sæcula sæculorum, amen.

A ἵνα μὴ πλέον δεθῇ τῇ τοῦ θεοῦ ὀργῇ. ἂν ἐγὼ δήσω, ὁ θεὸς οὐκέτι δεσμεῖ· ἂν δὲ ἐγὼ μὴ δήσω, τὰ ἄρρηκτα αὐτὸν μένει δεσμά. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. μὴ δὴ ὠμότητος εἶναι νόμιζε τὸ τοιοῦτον καὶ ἀπανθρωπίας, ἀλλὰ τῆς ἄκρας ἡμερότητος, καὶ τῆς ἀρίστης ἰατρείας, καὶ πολλῆς τῆς κηδεμονίας. ἀλλ' ἱκανὸν ἔδοσαν χρόνον τιμωρίαν, φησί. πόσον, εἰπέ μοι; ἐνιαυτὸν, καὶ ἔτη δύο, καὶ τρία; ἀλλ' οὐ τοῦτο ζητῶ χρόνου πλῆθος, ἀλλὰ ψυχῆς διόρθωσιν. τοῦτο τοίνυν ἐπίδειξον, εἰ κατενύγησαν, εἰ μετεβάλοντο, καὶ τὸ πᾶν γέγονεν· ὡς ἂν μὴ τοῦτο
B ᾖ, οὐδὲν ὄφελος τοῦ χρόνου. οὐδὲ γὰρ εἰ πολλάκις ἐπεδέθη τὸ τραῦμα ζητοῦμεν, ἀλλ' εἰ ὤνησέ τι ὁ δεσμός. εἰ μὲν οὖν ὠφέλησε καὶ ἐν χρόνῳ βραχεῖ, μηκέτι προσκείσθω· εἰ δὲ μηδὲν ὤνησε, καὶ μετὰ δέκα ἐνιαυτοὺς ἔτι προσκείσθω· καὶ ὅρος ἔστω λύσεως, τοῦ δεδεμένου τὸ κέρδος. ἂν οὕτω καὶ ἡμῶν αὐτῶν καὶ τῶν λοιπῶν ἐπιμελώμεθα, καὶ μὴ πρὸς ἀνθρώπων βλέπωμεν δόξαν καὶ αἰσχύνην, ἀλλὰ τὴν ἐκεῖ κόλασιν καὶ τὸ ὄνειδος ἐννοοῦντες, καὶ πρὸ πάντων τὸ τὸν θεὸν παροξύνεσθαι, σφόδρα τῆς μετανοίας ἐπιτιθῶμεν τὰ φάρμακα· καὶ ἐπὶ τὴν κα-
C θαρὰν ἥξομεν ὑγίειαν ταχέως, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XV.

8. *Quare etsi contristavi vos per epistolam, non me pœnitet, etiamsi pœnituerit.*

1. JAM de epistola se excusat, cum correcto peccato sine periculo blandius eos alloqui poterat: ostenditque quanta ex ea re utilitas parta sit. Atque hoc quidem
2. Cor. 2. 4. etiam jam ante fecerat, dicens. *Ex multa enim tribulatione & angustia cordis scripsi vobis, non ut contristemini, sed ut caritatem cognoscatis, quam abundantius habeo erga vos:* hoc autem etiam nunc facit, ac pluribus vestris astruit. Nec dixit, Prius quidem me pœnitebat: nunc autem non me pœnitet. Quonam igitur modo? Non me pœnitet nunc, etiamsi me pœnituerit, quasi diceret: Etiamsi ejusmodi essent ea quæ scripseram, ut increpationis modum excederent, ac me pœnitudine afficerent: tamen magnum illud commodum, quod ex iis litteris extitit, non jam me pœnitudine tangi sinit. Hæc porro non eo dicebat, quod immodica in eos objurgatione usus esset: sed ut eorum laudes amplificaret. Tantam enim, inquit, emendationem præ vobis tulistis, ut etiamsi mihi tam acrem vobis plagam inferre contigisset, ut me ideo condemnarem, nunc tamen perspecto rei exitu factum meum laudem.

## ΟΜΙΛΙΑ ιε.

D Ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην.

ΑΠΟΛΟΓΕΙΤΑΙ λοιπὸν ὑπὲρ τῆς ἐπιστολῆς, ὅτε ἀκίνδυνον ἦν αὐτοὺς θεραπεύειν, τῆς ἁμαρτίας διορθωθείσης· καὶ δείκνυσι τοῦ πράγματος τὴν ὠφέλειαν. ἐποίησε μὲν γὰρ αὐτὸ καὶ ἔμπροσθεν, εἰπὼν, ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. ποιεῖ δὲ αὐτὸ καὶ νῦν, διὰ πλειόνων οὕτως αὐτὸ κατασκευάζων. καὶ οὐκ εἶπε, πρότερον μὲν μετεμελόμην, νῦν δὲ
E οὐ μεταμέλομαι· ἀλλὰ πῶς; οὐ μεταμέλομαι νῦν, εἰ καὶ μετεμελόμην. εἰ καὶ τοιαῦτα ἦν, φησι, τὰ γεγραμμένα παρ' ἐμοῦ, ὡς ὑπερβαίνειν τὸ μέτριον τῆς ἐπιτιμήσεως, καὶ ποιῆσαί με μεταμεληθῆναι· ἀλλὰ τὸ πολὺ κέρδος τὸ ἐξ αὐτῶν, οὐκ ἐᾷ με μεταμεληθῆναι. ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμέτρως ἐπιτιμήσας, ἀλλὰ τὰ ἐγκώμια αὐτῶν αὔξων. τοσαύτην γὰρ ἐπεδείξασθε τὴν διόρθωσιν, φησιν, ὡς, εἰ καὶ ἔτυχον σφοδρότερον πλήξας οὕτως, ὡς καὶ καταγνῶναι ἐμαυτοῦ, ἐπαινεῖν με νῦν ἐμαυτὸν ἀπὸ τοῦ τέλους.

καθάπερ γὰρ ἐπὶ τῶν παιδίων, ὅταν δέξηται θεραπείαν λυποῦσαν, οἱονεὶ τομὴν, ἢ καῦσιν, ἢ πικρὸν φάρμακον, ἀδεῶς αὐτὰ λοιπὸν κολακεύομεν· οὕτω καὶ ὁ Παῦλος ποιεῖ. βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς· νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. εἰπὼν ὅτι οὐ μεταμέλομαι, λέγει καὶ τὴν αἰτίαν, τὸ χρήσιμον τιθεὶς τὸ ἀπὸ τῶν γραμμάτων, καὶ συνετῶς ἀπολογούμενος καὶ λέγων, εἰ καὶ πρὸς ὥραν. τὸ μὲν γὰρ λυπηρὸν, βραχύ· τὸ δὲ ὠφέλιμον, διηνεκές. καὶ τὸ μὲν ἀκόλουθον ἦν εἰπεῖν, εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, ἀλλὰ διὰ παντὸς ηὔφρανεν ὑμᾶς, καὶ ὠφέλησεν. ἀλλ' οὐ λέγει τοῦτο· ἀλλὰ πρὶν ἢ τὸ κέρδος εἰπεῖν, μεταβαίνει πάλιν ἐπὶ τὰ ἐγκώμια αὐτῶν, καὶ τὴν ἀπόδειξιν τῆς ἑαυτοῦ κηδεμονίας λέγων, νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε. τί γάρ μοι κέρδος ἀπὸ τοῦ λυπηθῆναι ὑμᾶς; ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ὅτι ἔσχε τι κέρδος ἡ λύπη. ἐπεὶ καὶ πατὴρ ὅταν ἴδῃ παῖδα τεμνόμενον, οὐχ ὅτι ὀδυνᾶται χαίρει, ἀλλ' ὅτι διορθοῦται· οὕτω καὶ οὗτος. ὅρα δὲ πῶς ἀπὸ τῶν πραγμάτων ἐπ' αὐτοὺς μεταφέρει τὸ πᾶν κατόρθωμα, καὶ τὸ λυπηρὸν τῇ ἐπιστολῇ λογίζεται, ὅτι πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, λέγων, τὸ δὲ ἐξ αὐτῆς χρήσιμον εἶναι αὐτῶν κατόρθωμά, φησιν. οὐ γὰρ εἶπεν, ὅτι διώρθωσεν ὑμᾶς ἡ ἐπιστολὴ, εἰ καὶ οὕτως εἶχεν, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. ἐλυπήθητε γὰρ κατὰ θεὸν, ἵνα ἐν μηδενὶ ἐξ ἡμῶν ζημιωθῆτε. εἶδες σύνεσιν ἄφατον; εἰ γὰρ μὴ τοῦτο ἐποιήσαμεν, φησιν, ἐζημιώσαμεν ἂν ὑμᾶς. καὶ τὸ μὲν κατόρθωμα αὐτῶν φησιν εἶναι, τὴν δὲ ζημίαν αὐτοῦ, εἴπερ ἐσιώπησεν. εἰ γὰρ μέλλοιεν ἐξ ἐπιπλήξεως διορθοῦσθαι, εἰ μὴ ἐπεπλήξαμεν, ἐζημιώσαμεν ἂν ὑμᾶς· καὶ οὐχὶ περὶ ὑμᾶς μόνον, ἀλλὰ καὶ περὶ ἡμᾶς ἂν ἡ βλάβη γέγονε. καθάπερ γὰρ ὁ μὴ διδοὺς τῷ ἐμπόρῳ τὰ πρὸς τὴν ναυτιλίαν, αὐτός ἐστιν ὁ τὴν ζημίαν ποιῶν· οὕτω καὶ ἡμεῖς, εἰ μὴ παρέσχομεν ὑμῖν τὰς ἀφορμὰς τῆς μετανοίας, ἐζημιώσαμεν ἂν ὑμᾶς. ὁρᾷς ὅτι τὸ μὴ ἐπιτιμᾷν τοῖς ἁμαρτάνουσι, ζημία ἐστὶ καὶ τῷ διδασκάλῳ, καὶ τῷ μαθητῇ; ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. διὰ τοῦτό φησιν, εἰ καὶ μετεμελόμην πρὶν ἢ τὸν καρπὸν ἰδεῖν καὶ τὸ κέρδος ὅσον, οὐ μεταμέλομαι νῦν. τοιοῦτον γὰρ ἡ κατὰ θεὸν λύπη. καὶ λοιπὸν περὶ αὐτῆς φιλοσοφεῖ, δεικνὺς ὅτι οὐ πανταχοῦ χαλεπὸν λύπη, ἀλλ' ὅταν κατὰ κόσμον γίνηται. τί δέ ἐστι, κατὰ κόσμον; ἐὰν λυπηθῇς διὰ χρήματα, διὰ δόξαν, διὰ τὸν ἀπελθόντα, πάντα ἐκεῖνα κατὰ κόσμον. διὸ καὶ θάνατον ποιεῖ. ὁ γὰρ διὰ δόξαν λυπούμενος, φθονεῖ, καὶ ἀναγκάζεται πολλάκις ἀπόλλυσθαι· οἵαν καὶ ὁ Κάϊν ἐλυπήθη λύπην, οἵαν ὁ Ἡσαῦ. τὴν οὖν κατὰ κόσμον λύπην

A Ut in pueris usu venit, ut cum grave aliquod ipsis & acerbum medicamenti genus adhibitum est, sectio puta, vel ustio, vel amara potio quædam, tuto jam iis blandiamur: Ita hic quoque Paulus facit. *Videns quod epistola illa, etsi ad horam, vos contristavit: 9. nunc gaudeo, non quia contristati estis, sed quia contristati estis ad pœnitentiam.* Postquam dixit, *Non me pœnitet*, causam hujus rei affert, fructum qui ex literis illis ortus est, ponens, ac prudenter se purgans his verbis, *etsi ad horam.* Brevis enim, inquit, ea molestia fuit: at utilitas perpetua. Ac tenor quidem orationis postulabat ut ita diceret,
B Etsi ad horam vos contristavit: at perpetuæ vobis lætitiæ atque utilitati postea fuit. Verum his verbis non utitur: sed priusquam utilitatem eam exponat, ad eorum laudes rursus transit, ostenditque qua solicitudine ipsis prospiciat dicens: *Nunc gaudeo, non quia contristati estis.* Quid enim ex eo, quod mœrore affecti sitis, ad me lucri redit? *Sed quia contristati estis ad pœnitentiam;* quia fructum aliquem habuit hic mœror. Ut pater, qui cum filium secari conspicit, non eo gaudet, quod excrucietur, sed quod morbus propulsetur: ita quoque Paulus. Ac vide
C quomodo a rebus ad eos prosperum omnem successum transferat, & molestiam literis suis adscribat, cum ait, *etsi ad horam vos contristavit*, atque utilitatem ex literis allatam eorum virtuti tribuat. Non enim dixit, quia vos epistola correxit, tametsi ita se res habeat: sed, *Quia contristati estis ad pœnitentiam. Contristati enim estis secundum Deum, ut in nulla re detrimentum patiamini.* Vides prudentiam ineffabilem? Nisi enim hoc fecissemus, inquit, magnum a nobis damnum accepissetis. Ac bonum inde partum ipsis adscribit; damnum vero se allaturum
D fuisse ait, si tacuisset. Nam si ex correctione emendatio sequutura erat; nisi increpassem, vobis damnum intulissem, quod & mihi & vobis commune fuisset. Quemadmodum enim qui mercatori ea, quæ ad navigandum necessaria sunt, non suppeditat, ipse est qui damnum infert; eodem modo, nisi pœnitentiæ occasionem vobis præbuissemus, vos damno affecissemus. Vides quo pacto peccantes non increpare, tum magistro, tum discipulo detrimentum afferat? 10. *Quæ enim secundum Deum tristitia est, pœnitentiam in salutem stabilem operatur.* Propterea, inquit, etsi me pœnituit, priusquam
E fructum & lucrum perspexissem: nunc tamen haud me pœnitet. Talis enim est mœstitia, quæ secundum Deum suscipitur; de qua jam verba facit, ostendens tristitiam non semper gravem esse, sed cum secundum mundum concipitur. Quid autem est secundum mundum? Si ob amissas opes, si ob gloriam, si ob alicujus mortem in mœrore verseris, hæc omnia secundum mundum sunt: ideo mortem etiam accersunt. Nam qui gloriæ causa mœrore afficitur, is etiam invidet, ac plerumque interire cogitur. Cujusmodi scilicet mœrore Caïn & Esaü laborarunt. Itaque per sæculi tristitiam, eam in-

telligit, quæ mœrentibus detrimentum affert. Nam mœror ad peccata dumtaxat utilis est. Id quod hinc liquido perspici potest: qui ob amissas opes in mœrore est, damnum minime sarcit. Qui mortem alicujus mœrore prosequitur, jacentem non excitat. Qui ob morbum discruciatur, is eum adeo non depellit, ut etiam augeat. At is cui peccata mœrori sunt, solus e mœrore fructum capit: peccata enim absumit ac delet. Quia enim medicamentum istud ad hoc tantum comparatum est, idcirco hîc etiam dumtaxat vim habet, utilitatemque suam exerit: in aliis vero rebus lædit.

2. At, dicet aliquis, Caïn ideo in mœrore jacebat, quod apud Deum laudem non consequeretur. Imo non eam ob causam: sed quia splendentem fratrem cernebat. Nam si ob illud doluisset, fratris virtutem imitari, eique gratulari debebat. Nunc autem dolens, ostendebat se mœstitia huic mundo consentanea teneri. At non ita David, non Petrus, non cæteri justi: qui omni laude florebant, quod aut propter sua, aut propter aliena peccata dolerent. Quamquam quid mœrore gravius? Sed tamen, cum secundum Deum suscipitur, lætitia, quæ in mundo sita est, præstabilior est. Hæc enim in nihilum desinit, ille pœnitentiam in salutem, cujus nos nunquam pœniteat, gignit. Hoc enim ille mirum habet, quod qui sic doluerit, eo nomine nunquam pœnitentia ducetur; id quod maxime tristitiæ mundanæ proprium. Quid enim legitimo filio carius? Quid rursus hujusmodi morte acerbius fingi potest? Et tamen parentes, qui in ipsa doloris vi nullius consolationem admittere sustinent, seque ipsos excruciant, iidem postea ob immodicum luctum pœnitudine afficiuntur, ut qui non modo nihil inde commodi ceperint, sed gravius etiam seipsos vexarint. At non talis est mœror secundum Deum susceptus. Quin potius duplex emolumentum habet, & quod dolor ille non improbetur, & quod in salutem desinat; quo utroque lucro mundanus dolor privatur. Nam qui ita dolent, & in perniciem suam dolent: & postquam doluerint, seipsos improbant; quod signum maximum est, ipsos in perniciem suam doluisse. Contra vero in mœrore illo qui secundum Deum est. Ideo etiam dicebat Paulus, *pœnitentiam in salutem non pœnitendam operatur.* Nemo enim sese improbabit, quod ob peccata sese mœrore luctuque afflixerit atque obtriverit. Quod cum dixisset Paulus, non aliunde exemplum proferre, eosque quorum mœrores priscæ historiæ monumentis proditi sunt, in medium adducere, necesse habuit: verum Corinthios ipsos producit, atque ab iis, quæ fecerunt, verbis suis fidem astruit, ut una cum laudibus ipsos etiam erudiat, arctiusque sibi devinciat.

11. *Ecce enim*, inquit, *hoc ipsum quod secundum Deum contristati estis, quantam in vobis operatum est solicitudinem?* Vos enim, inquit, non modo eò non injecit hæc mœstitia, ut vosmetipsos condemnaretis, ut qui frustra

A λέγει ταύτην τὴν ἐπὶ βλάβῃ τῶν λυπουμένων. καὶ γὰρ εἰς ἁμαρτίας μόνον ἡ λύπη χρήσιμον. καὶ τοῦτο δῆλον ἐντεῦθεν· ὁ λυπούμενος ὑπὲρ χρημάτων ἀπωλείας, τὴν ζημίαν οὐ λύει· ὁ λυπούμενος ὑπὲρ τετελευτηκότος, τὸν κείμενον οὐκ ἀνίστησιν· ὁ λυπούμενος ἐπὶ νόσῳ, οὐ μόνον οὐ διορθοῦται, ἀλλὰ καὶ ἐπιτείνει τὸ νόσημα· ὁ λυπούμενος ἐφ' ἁμαρτίαις, οὗτος μόνος ἀνύει τι πλέον ἀπὸ τῆς λύπης. δαπανᾷ γὰρ καὶ ἀφανίζει τὰς ἁμαρτίας. ἐπειδὴ γὰρ πρὸς τοῦτο κατεσκεύασται τὸ φάρμακον, ἐνταῦθα ἰσχύει μόνον καὶ ὠφέλειαν ἐπι-
B δείκνυται· ἐπὶ δὲ τῶν ἄλλων καὶ βλάπτει.

Καὶ μὴν ὁ Κάϊν, φησὶ, διὰ τὸ μὴ παρὰ τῷ θεῷ εὐδοκιμεῖν, ἐλυπεῖτο· οὐ διὰ τοῦτο, ἀλλ' ἐπειδὴ τὸν ἀδελφὸν εἶδε λάμποντα· ἐπεὶ εἰ διὰ τοῦτο ἤλγει, ζηλοῦν ἔδει, καὶ συγχαίρειν ἐκείνῳ. νυνὶ δὲ ἀλγῶν, ἐδείκνυ κατὰ κόσμον λυπούμενος. ἀλλ' οὐχ ὁ Δαυὶδ οὕτως, οὐδὲ ὁ Πέτρος, οὐδὲ τῶν δικαίων ἕκαστος. διὸ ηὐδοκίμουν, ἢ ὑπὲρ οἰκείων, ἢ ὑπὲρ ἀλλοτρίων ἀλγοῦντες ἁμαρτημάτων. καίτοι τί λύπης φορτικώτερον; ἀλλ' ὅταν κατὰ θεὸν γίνηται, τῆς ἐν τῷ κόσμῳ
C χαρᾶς βελτίων ἐστίν. αὕτη μὲν γὰρ εἰς οὐδὲν τελευτᾷ· ἐκείνη δὲ μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτό ἐστιν, ὅτι οὐδ' ἂν μετανοήσειέ τις ἀλγήσας οὕτως· ὃ μάλιστα τῆς κοσμικῆς λύπης ἴδιόν ἐστι. τί γὰρ παιδὸς ποθεινότερον γνησίου; τί δὲ ἀλγεινότερον τῆς τοιαύτης τελευτῆς; ἀλλ' ὅμως οἱ ἐν ἀκμῇ τοῦ πένθους μηδενὸς ἀνεχόμενοι πατέρες, καὶ κατακόπτοντες ἑαυτοὺς, οὗτοι μετὰ χρόνον μετανοοῦσιν, ἐπειδὴ ἀμέτρως ἤλγησαν, ὡς οὐδὲν ὀνήσαντες ἐντεῦθεν, ἀλλὰ καὶ μειζόνως ἑαυτοὺς ἐπιτρίψαντες. ἀλλ' οὐχ ἡ κατὰ
D θεὸν λύπη τοιαύτη· ἀλλ' ἔχει δύο πλεονεκτήματα, τὸ μὴ καταγινώσκεσθαι ἐφ' οἷς ἀλγεῖ τις, καὶ τὸ τὴν λύπην ταύτην εἰς σωτηρίαν τελευτᾷν· ὧν ἑκατέρων ἐκείνη ἐστέρηται. καὶ γὰρ εἰς βλάβην ἀλγοῦσι, καὶ μετὰ τὸ ἀλγῆσαι σφόδρα, καταγινώσκουσιν ἑαυτῶν, μέγιστον τοῦτο σημεῖον ἐκφέροντες τοῦ ἐπὶ βλάβῃ τοῦτο ποιῆσαι. ἡ δὲ κατὰ θεὸν, τοὐναντίον. διὸ καὶ ἔλεγε, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. οὐδεὶς γὰρ ἑαυτοῦ καταγνώσεται, ἐὰν λυπηθῇ ἐφ' ἁμαρτίᾳ, ἐὰν πενθήσῃ καὶ ἑαυτὸν συντρίψῃ. ὅπερ καὶ ὁ μακάριος Παῦλος εἰπὼν,
E οὐ δεῖται ἑτέρωθεν τὸ ὑπόδειγμα παραγαγεῖν ὧν εἶπεν, οὐδὲ τοὺς ἐν παλαιαῖς ἱστορίαις λυπηθέντας παρενεγκεῖν εἰς μέσον, ἀλλ' αὐτοὺς Κορινθίους παράγει· καὶ ἀφ' ὧν ἐποίησαν, ἀπὸ τούτων τὴν ἀπόδειξιν παρέχεται, ἵνα καὶ μετ' ἐγκωμίων αὐτοὺς παιδεύσῃ, καὶ μᾶλλον αὐτοὺς ἐπισπάσηται. ἰδοὺ γὰρ, φησιν, αὐτὸ τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; οὐ μόνον γάρ, φησιν, οὐκ ἐνέβαλεν ὑμᾶς εἰς τὸ καταγνῶναι ἑαυτῶν ἡ ἀθυμία, ὡς εἰκῆ τοῦτο πεποιηκότων· ἀλλὰ καὶ σπουδαιοτέρους ἐποίησεν. Εἶτα

εἶτα λέγει τῆς σπουδῆς τὰ τεκμήρια. ἀλλὰ ἀπολογίαν· πρὸς ἐμέ. ἀλλὰ ἀγανάκτησιν· πρὸς ἐκεῖνον τὸν ἡμαρτηκότα. ἀλλὰ φόβον. καὶ γὰρ σφόδρα δεδοικότων ἦν ἡ τοσαύτη σπουδὴ καὶ ἡ ταχίστη διόρθωσις. καὶ ἵνα μὴ δόξῃ ἐπαίρειν ἑαυτὸν, ὅρα πῶς ταχέως αὐτὸ παρεμυθήσατο εἰπὼν, ἀλλ' ἐπιπόθησιν· τὴν εἰς ἐμέ. ἀλλὰ ζῆλον· τὸν ὑπὲρ τοῦ θεοῦ. ἀλλ' ἐκδίκησιν. καὶ γὰρ ἐξεδικήσατε τοὺς τοῦ θεοῦ νόμους ὑβρισθέντας. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. οὐχὶ τῷ μὴ τολμῆσαι μόνον· τοῦτο γὰρ πρόδηλον ἦν· ἀλλὰ καὶ τῷ μὴ συνήδεσθαι. ἐπειδὴ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγε, καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, ἐνταῦθά φησι, καὶ ταύτης ἑαυτοὺς [a] ἀπηλλάξατε τῆς ὑποψίας, οὐχὶ τῷ μὴ ἐπαινέσαι μόνον, ἀλλὰ καὶ τῷ ἐπιτιμῆσαι καὶ ἀγανακτῆσαι. ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος. ἵνα γὰρ μὴ λέγωσι, τί οὖν ἡμῖν ἐπιτιμᾷς, εἰ ἁγνοὶ ἦμεν ἐπὶ τῷ πράγματι; πρὸς τοῦτο ἱστάμενος καὶ ἀνωτέρω, καὶ προδιοικούμενος αὐτὸ, ἔλεγεν ἅπερ ἔλεγεν, ὅτι, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· τοσοῦτον γὰρ ἀπέχω τοῦ μετανοεῖν νῦν ἐφ' οἷς ἔγραψα τότε, φησὶν, ὅτι τότε μᾶλλον μετενόησα ἢ νῦν ὅτε ἑαυτοὺς συνεστήσατε. εἶδες πάλιν αὐτοῦ τὸ βίαιον καὶ φιλόνεικον, πῶς εἰς τοὐναντίον τὸν λόγον περιέτρεψεν; ἐξ ὧν γὰρ ἐνόμιζον αὐτὸν διατετράφθαι, ὡς εἰκῇ ἐπιτιμήσαντα, διὰ τὴν προκοπὴν αὐτῶν, ἀπὸ τούτων δείκνυσιν ὅτι παρρησιάζεσθαι αὐτὸν δίκαιον. οὐδὲ γὰρ παραιτεῖται λοιπὸν χαρίζεσθαι ἀδεῶς, ὅταν ἐξῇ τοῦτο ποιεῖν. ὁ γὰρ τοιαῦτα λέγων ἀνωτέρω, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι· καὶ, παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός· καὶ, πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστι, καὶ ὅσα τοιαῦτα, πῶς ἐνταῦθά φησιν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος; οὐκ ἐναντιούμενος ἑαυτῷ, ἀλλὰ καὶ σφόδρα ἀκολουθῶν. πῶς ἑαυτῷ ἀκολουθῶν; ὅτι περισπούδαστον ἦν αὐτῷ, δεῖξαι τὸ φίλτρον ὃ περὶ αὐτοὺς εἶχεν. οὐ τοίνυν ἀναιρεῖ τὸ κήδεσθαι ἐκείνου, ἀλλ' ἐνδείκνυται καὶ τὴν ἀγάπην τὴν περὶ αὐτοὺς, ὅπερ ἔφην, καὶ ὅτι μείζων αὐτὸν κατέσεισε φόβος περὶ πάσης τῆς ἐκκλησίας. ἐδεδοίκει γὰρ μὴ ἐπιπλέον νεμηθῇ τὸ κακὸν, καὶ ὁδῷ βαδίζον, ὅλην καταλάβῃ τὴν ἐκκλησίαν. διὸ καὶ ἔλεγε, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἀλλὰ τοῦτο μὲν τότε· νῦν δὲ, ἐπειδὴ κατώρθωσαν, οὐκέτι αὐτὸ οὕτω τίθησιν, ἀλλ' ἑτέρως· καὶ τὸ αὐτὸ μὲν αἰνίττεται, γλυκύτερον δὲ μεταχειρίζει τὸν λόγον, λέγων, ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς· τουτέστιν,

A hoc fecissetis: verum contra diligentiores reddidit. Subjungit deinde solicitudinis eorum argumenta. *Sed defensionem*: hoc est, purgationem apud me. *Sed indignationem*, contra illum qui peccaverat. *Sed timorem*; etenim valde metuentium erat tantum studium ac celerrima illa correctio. Ac, ne seipsum efferre videatur, vide quam propere id leniat dicens, *sed desiderium*, erga me. *Sed æmulationem*, pro Deo. *Sed vindictam.* Nam violatæ divinæ legis vindices exstitistis. *In omnibus exhibuistis vosipsos incontaminatos esse in negotio.* Non modo quia nullum facinus aggressi essent; perspicuum enim hoc erat; B sed etiam quia id perpetranti minime faverent. Quia enim in priore epistola dicebat, Et vos inflati estis; hîc ait, Hac quoque suspicione vosipsos liberastis, dum non modo facinus istud non laudastis, verum etiam ei, a quo admissum fuerat, succensuistis. 12. *Igitur etsi scripsi vobis, non propter eum, qui fecit injuriam, nec propter eum qui passus est.* Nam ne dicerent, Ecquid igitur nos objurgas, si huic facinori affines non eramus? Huic objectioni superius etiam occurrens, atque ad id sibi viam præmuniens, ea dicebat, quæ dicebat, nempe: Non me pœnitet, C etiamsi pœnituerat. Tantum enim abest, inquit, ut de iis, quæ tum scripsi, me pœniteat, ut tum magis me pœnituerit, quam nunc, cum vos puros exhibuistis. Vides-ne rursus, quanta dicendi vi atque contentione Paulus utatur, & quomodo sermonem in contrarium retorserit? Ex eo enim ipso, unde eum pudore affectum fuisse existimabant, ut qui frustra eos objurgasset, quod in melius profecissent, ex eo ipso demonstrat se justam liberius eos alloquendi causam habuisse. Neque enim ipsis jam ad gratiam loqui recusat, cum id se facere posse videt. Etenim cum superius dixerit, *Qui adhæret* 1. Cor 6.
D *meretrici, unum corpus efficitur*: &, *Tradite* Ibid. 5. 5.
*hujusmodi hominem Satanæ in interitum carnis*: &, *Omne peccatum quodcumque fecerit* Ibid. 6. 18.
*homo, extra corpus est*: & cætera omnia ejusdem generis: quî fit ut hîc dicat, *Non propter eum qui fecit injuriam, nec propter eum qui passus est?* Non secum ipse pugnat, cum ita loquitur, imo pulcre concordat. Quomodo secum concordat? Quoniam summo ei studio erat, vim sui erga eos amoris declarare. Quocirca non hoc amputat, quod fornicatoris illius saluti consultum velit: verum simul, ut jam dixi, suam erga eos caritatem ostendit: seque longe magis hoc metu E perculsum fuisse, quod vereretur ne ecclesia tota detrimentum ex eo flagitio acciperet, malumque latius serperet, ac sensim grassans, totam ecclesiam occuparet. Ideo dicebat, *Modicum fermenti totam massam* 1. Cor. 5.
*corrumpit.* Verum id quidem tunc dicebat: 6.
Nunc autem, quoniam ad meliorem frugem se receperant, non jam ita loquitur, verum alio modo. Atque idipsum quidem subindicat: sed suavius orationem tractat dicens, *Ad manifestandam solicitudinem nostram, quam habemus pro vobis ad vos.* Hoc est, ut explo-

[a] ἀπηλλάξατε. Savilius habet, ἀπαλλάξατε; sed in margine legendum indicat, ἀπηλλάξατε.

ratum habeatis, quantopere vos amem. Hoc autem ipsum prius dixit: sed aliis verbis explicatum, speciem aliam præbere videtur. Nam quod idem sit, mentem Pauli excute, nec quidquam discriminis esse comperies. Quoniam enim, inquit, valde vos amo, verebar ne quid inde molestiæ caperetis, atque ipsi mœrore afficeremini. Sicut cum ait:
1. Cor. 9. 9. *Num de bobus cura est Deo?* Non hoc dicit, ei boum curam minime esse; neque enim res ulla Dei providentia destituta conservari potest; sed his verbis hoc vult, Deum, cum legem illam sanciret, non præcipuam boum curam habuisse. Sic & hoc loco, Propter vos, inquit, potissimum scripsi: deinde etiam illius causa. Atque infixum quidem in animo vestri amorem habebam, etiamsi nihil ad vos litterarum dedissem: cæterum eum vobis per litteras illas, atque omnibus in universum declarare cupiebam. *Ideo consolati sumus:* quoniam & nostrum erga vos studium ostendimus: & officio plene perfuncti sumus.
1. Thess. 3. 8. Sic alio quoque loco dicebat, Nunc vivimus, si vos statis in Domino. Et rursus:
Ibid. 2. 19. Quæ est ergo spes nostra, aut gaudium, aut corona gloriæ? Nonne vos? Discipulorum enim incrementum mente prædito magistro & vita, & cohortatio, & consolatio est.

3. Nihil enim eum, qui imperium gerit, æque indicat, ut amor atque indulgentia erga eos quibus præest. Nam patrem non modo sobolis procreatio facit: sed etiam post procreationem amor. Quod si ubi natura est, tantus amor requiritur: quanto magis ubi gratia? Ita veteres omnes splenduerunt. Hinc quippe omnes, qui apud Hebræos in gloria fuerunt, nominis splendorem assequuti sunt. Sic Samuël magnum se præbuit, cum
1. Reg. 12. 23. diceret: *Absit a me hoc peccatum in Domino, ut cessem orare pro vobis.* Sic David, sic Abraham, sic Elias, sic justi omnes, tam in veteri, quam in novo Testamento. Etenim Moyses subditorum amore ductus, ingentes opes ac thesauros omni sermone sublimiores reliquit, potius habens affligi cum populo Dei. Quin prius etiam, quam dux creatus fuisset, reipsa populi moderator erat. Quare perquam stolide ad eum Hebræus ille dicebat,
Exod. 2. 14. *Quis te constituit principem ac judicem super nos?* Quid ais? Opera cernis, & de nomine dubitas? Perinde ac si quis medicum peritissime secantem, atque ægræ corporis parti opem afferentem, conspiciens dicat, Quis te medicum constituit, ac secare jussit? Ars nimirum ipsa, vir optime, ac morbus tuus. Eodem modo hunc quoque artis scientia ad talem dignitatem evexit. Neque enim imperium tenere, dignitas tantum est: sed ars etiam, & quidem artium omnium præstantissima. Nam si externum imperium ars est, & scientia omnium præclarissima: multo profecto magis hoc nostrum. Tanto quippe hoc imperium illo præstantius est, quanto illud reliquis antecellit: imo vero longe etiam magis. Ac si placet, hunc sermonem accuratius expendamus. Ars est agricultura, ars est textrina, ars est ædificatio: quæ etiam ipsæ perquam necessariæ sunt, ac vitam no-

A ἵνα εἰδῆτε πῶς ὑμᾶς φιλῶ. τοῦτο δὲ τὸ αὐτὸ μέν ἐστι τῷ προτέρῳ, ἑτέρως δὲ ἑρμηνευθὲν, ἑτέραν ἔδοξεν ἔμφασιν παρέχειν. ἐπεὶ ὅτι τὸ αὐτό ἐστιν, ἀνάπτυξον αὐτοῦ τὴν ἔννοιαν, καὶ οὐδὲν ὄψει τὸ μέσον. ἐπειδὴ γὰρ σφόδρα φιλῶ ὑμᾶς, φησιν, ἐδεδοίκειν μή τι πάθητε ἐκεῖθεν ἀηδὲς, μὴ αὐτοὶ δέξησθε τὴν λύπην. ὥσπερ οὖν ὅταν λέγῃ, μὴ τῶν βοῶν μέλει τῷ θεῷ; οὐ τοῦτο λέγει, ὅτι οὐ μέλει· οὐ γὰρ ἔνι τι συστῆναι τῶν ὄντων, τῆς προνοίας ἀποστερηθὲν τοῦ θεοῦ· ἀλλ᾽ ὅτι οὐ προηγουμένως διὰ τοὺς βόας ἐνομοθέτει·
B οὕτω καὶ ἐνταῦθα, πρῶτον μὲν δι᾽ ὑμᾶς ἔγραφον, δεύτερον δὲ καὶ δι᾽ ἐκεῖνον. καὶ εἶχον μὲν τὴν ἀγάπην ἐν ἑαυτῷ, καὶ χωρὶς τῆς ἐπιστολῆς, φησιν· ἐβουλόμην δὲ αὐτὴν καὶ ὑμῖν δεῖξαι, καὶ πᾶσιν ἁπλῶς διὰ τῶν γραμμάτων ἐκείνων. διὰ τοῦτο παρακεκλήμεθα· ἐπειδὴ καὶ τὴν σπουδὴν ἐδείξαμεν τὴν περὶ ὑμᾶς, καὶ τὸ πᾶν ἡμῖν κατώρθωται. καθάπερ καὶ ἀλλαχοῦ ἔλεγε, νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν κυρίῳ· καὶ πάλιν, τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; τοῦτο γὰρ ζωὴ, τοῦτο παράκλησις, τοῦτο παραμυθία διδασκάλῳ νοῦν ἔχοντι, ἡ ἐπίδοσις τῶν μαθητευομένων.

C Οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους. καὶ γὰρ πατέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι. εἰ δὲ ἔνθα φύσις, τοσαύτη χρεία ἀγάπης, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις. οὕτως οἱ παλαιοὶ πάντες ἔλαμψαν. ὅσοι γοῦν τῶν παρ᾽ Ἑβραίοις εὐδοκίμησαν, ἐντεῦθεν ἐφάνησαν. οὕτω Σαμουὴλ μέγας ἐδείχθη λέγων, ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τῷ θεῷ τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν· οὕτως
D ὁ Δαυὶδ, οὕτως ὁ Ἀβραὰμ, οὕτως ὁ Ἠλίας, οὕτως ἕκαστος τῶν δικαίων, τῶν ἐν τῇ καινῇ, τῶν ἐν τῇ παλαιᾷ. καὶ γὰρ Μωϋσῆς διὰ τοὺς ἀρχομένους πλοῦτον τοσοῦτον καὶ θησαυροὺς ἀφάτους κατέλιπεν, ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ· καὶ πρὸ τῆς χειροτονίας δημαγωγὸς ἦν διὰ τῶν ἔργων. διὸ καὶ σφόδρα ἀνοήτως ἔλεγε πρὸς αὐτὸν ὁ Ἑβραῖος ἐκεῖνος, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς; τί λέγεις; τὰ ἔργα ὁρᾷς, καὶ περὶ τῆς προσηγορίας ἀμφιβάλλεις; ὥσπερ ἂν εἴ τις ἰδὼν τέμνοντα ἰατρὸν ἄριστα, καὶ τῷ πεπονηκότι μέλει τοῦ σώματος βοη-
E θοῦντα, λέγοι, τίς σε κατέστησεν ἰατρὸν, καὶ τέμνειν ἐκέλευσεν; ἡ τέχνη, ὦ βέλτιστε, καὶ ἡ νόσος ἡ σή. οὕτω καὶ τοῦτον ἡ ἐπιστήμη τοιοῦτον ἐποίησε. καὶ γὰρ τέχνη τὸ ἄρχειν ἐστὶν, οὐκ ἀξίωμα μόνον· καὶ τέχνη τεχνῶν ἁπασῶν ἀνωτέρα. εἰ γὰρ ἡ τῶν ἔξωθεν ἀρχὴ, τέχνη καὶ ἐπιστήμη πασῶν βελτίων ἐστὶ, πολλῷ μᾶλλον αὕτη. καὶ γὰρ τοσούτῳ ἀμείνων ἐκείνης αὕτη ἡ ἀρχὴ, ὅσῳ τῶν ἄλλων ἐκείνη· μᾶλλον δὲ καὶ πολλῷ πλέον. καὶ, εἰ βούλεσθε, τὸν λόγον τοῦτον ἀκριβέστερον ἐξετάσωμεν. ἔστι τέχνη γεωργικὴ, ἔστιν ὑφαντικὴ, οἰκοδομική· αἳ καὶ ἀναγκαῖαι σφόδρα εἰσὶ, καὶ μάλιστα συνέχουσιν ἡμῶν τὸν βίον.

αἱ γὰρ δὴ ἄλλαι, διάκονοι τούτων εἰσὶν χαλκευτικὴ, ἡ τεκτονικὴ, ἡ ποιμαντική. ἀλλὰ καὶ τούτων αὐτῶν τῶν τεχνῶν ἀναγκαιοτέρα πασῶν ἡ γεωργική· ἣν καὶ πρώτην εἰσήγαγεν ὁ θεὸς, τὸν ἄνθρωπον πλάσας. ὑποδημάτων μὲν γὰρ ἄνευ καὶ ἱματίων δυνατὸν ζῆν· γεωργικῆς δὲ χωρὶς, ἀμήχανον. τοιούτους τοὺς [a] Ἀμαξοβίους εἶναί φασι, τοὺς παρὰ Σκύθαις Νομάδας, τοὺς Γυμνοσοφιστὰς τοὺς τῶν Ἰνδῶν. οὗτοι γὰρ καὶ οἰκοδομικὴν, καὶ ὑφαντικὴν, καὶ τὴν τῶν ὑποδημάτων εἴασαν τέχνην· μόνης δὲ τῆς γεωργικῆς δέονται. αἰσχύνθητε οἱ τῶν περιττῶν χρῄζοντες τεχνῶν, καὶ μαγείρων, καὶ πλακουντοποιῶν, καὶ ποικιλτῶν, καὶ μυρίων ἑτέρων τοιούτων, ἵνα ζῆτε. αἰσχύνθητε οἱ τὰς ματαιοτεχνίας εἰσαγαγόντες τῷ βίῳ. αἰσχύνθητε ἐκείνους τοὺς βαρβάρους ὑμεῖς οἱ πιστοὶ, τοὺς μὴ δεομένους τέχνης. καὶ γὰρ σφόδρα αὐτάρκη τὴν φύσιν ἐξ ὀλίγων ἐποίησεν ὁ θεός. πλὴν οὐκ ἀναγκάζω, οὐδὲ νομοθετῶ οὕτω ζῆν· ἀλλ' ὡς ὁ Ἰακὼβ ᾔτησε. τί δὲ ᾔτησεν ἐκεῖνος; ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων, ἔχοντες δὲ [b] τροφὴν καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. πρώτη μὲν οὖν ἡ γεωργικὴ, δευτέρα δὲ ὑφαντικὴ, καὶ τρίτη μετ' ἐκείνην οἰκοδομική· ἡ δὲ τῶν ὑποδημάτων, πασῶν ἐσχάτη. παρὰ γοῦν ἡμῖν εἰσι πολλοὶ καὶ οἰκέται καὶ γεωργοὶ χωρὶς ὑποδημάτων ζῶντες. οὐκοῦν αἱ χρήσιμοι καὶ ἀναγκαῖαι, αὗται. φέρε οὖν, παραβάλωμεν αὐτὰς τῇ ἀρχικῇ. διὰ γὰρ τοῦτο τὰς πασῶν κυριωτέρας παρήγαγον, ἵν' ὅταν φανῇ αὕτη βελτίων ἐκείνων, ἀναμφισβήτητος ἡ κατὰ τῶν ἄλλων αὐτῇ νίκη ᾖ. πόθεν οὖν αὐτὴν δείξομεν ἀναγκαιοτέραν οὖσαν πασῶν; ὅτι ταύτης ἄνευ οὐδὲν ἐκείνων ὄφελος. καὶ, εἰ δοκεῖ, τὰς ἄλλας ἀφέντες, τὴν πασῶν ἀνωτέρω καὶ κυριωτέραν εἰς μέσον ἀγάγωμεν, τὴν γεωργικήν. τί οὖν ἔσται πλέον τῆς τῶν γεωργῶν πολυχειρίας, ὅταν ἀλλήλοις πολεμῶσι, καὶ τὰ ἀλλήλων ἁρπάζωσι; νῦν μὲν γὰρ ὁ τοῦ ἄρχοντος φόβος κατέχει, καὶ τὰ ὑπ' ἐκείνων γινόμενα φυλάττει· ἐὰν δὲ ταύτην ἀνέλῃς, περιττὸς ὁ πόνος ἐκεῖνος. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἑτέραν ἀρχὴν εὑρήσει μητέρα ταύτης καὶ σύνδεσμον οὖσαν. ποίαν δὴ ταύτην; καθ' ἣν ἕκαστον αὐτόν τινα ἑαυτοῦ κρατεῖν καὶ ἄρχειν δεῖ, τὰ μὲν ἀνελεύθερα κολάζοντα πάθη, πάντα δὲ τὰ τῆς ἀρετῆς βλαστήματα ἐκτρέφοντά τε καὶ αὔξοντα μετὰ ἀκριβείας ἁπάσης. ἔστι γὰρ ἀρχῆς εἴδη· ἓν μὲν καθ' ὃ δήμων καὶ πόλεων

A stram maxime tuentur. Nam cæteræ, ut ferraria, fabrilis, eaque, quæ in ovibus armentisque pascendis sita est, his dumtaxat ancillantur. Sed harum artium quæ maxime necessaria, est agricultura, quam etiam Deus primam invexit, cum hominem creavit. Etenim sine calceis ac vestimentis vita duci potest: sine agricultura autem nullo modo potest. Tales Hamaxobios esse ferunt: tales Nomadas qui apud Scythas in pascuis degunt: tales apud Indos Gymnosophistas. Hi enim & ædificandi, & texendi, & conficiendarum vestium artem reliquerunt: solaque agricultura opus habent. *Hamaxobii, Nomades & Gymnosophistæ.* B Pudeat vos, qui supervacaneis artibus indigetis, & coquis & placentarum cupediarumque artificibus aliisque ejusdem generis permultis, ut vitam transigatis. Pudeat vos qui vanas artes in vitam humanam induxistis. Vobis, qui in Christum creditis, barbari illi pudorem incutiant, quibus arte opus non est. Etenim Deus naturam ita fecit, ut paucis admodum contenta sit. Quamquam nec vos cogo, nec legem impono ut ita vivatis: verum ut Jacob postulavit. Quid autem ille postulavit? *Si mihi dederit Deus panem ad vescendum, & vestimentum ad induendum.* Gen. 28. 20. Sic etiam Paulus C imperabat, dicens: *Habentes autem alimenta, & quibus tegamur, his contenti simus.* 1. Tim. 6. 20. Prima itaque est agricultura: secunda textoria ars: tertia ea, quæ in exstruendis ædibus sita est. Quæ autem in calceamentis versatur, omnium postrema est. Apud nos quippe, & famuli complures, & agricolæ sunt, qui sine calceamentis vitam transigant. Proinde utiles ac necessariæ artes, hæ sunt. Age igitur, ipsas cum imperandi arte conferamus. Hæc enim mihi causa fuit, cur eas artes, quæ magis usui sunt, in medium adduxerim, ut cum hanc illis præstantiorem esse demonstra- D tum fuerit, sine controversia de aliis quoque ipsa palmam ferat. Unde igitur hanc omnibus aliis magis necessariam esse probabimus? Quia hac sublata nihil illæ prosunt. Ac, si lubet, omissis aliis, agriculturam, quæ omnibus præstat, magisque necessaria est, in medium proferamus. Ecquid igitur ex agricolarum labore emolumenti afferetur, si homines inter se bellum gerant, aliique aliorum bona diripiant? Nunc enim principis metus eos reprimit, conservatque ea, quæ ab illis elaborantur. Quem tu metum si semel sustuleris, frustra labor ille susceptus E fuerit. Quod si quis accurate rem expendat, alterum quoque imperium, quod hoc gignat ac tueatur, inveniet. Quodnam hoc tandem? Illud scilicet, per quod cuique hoc agendum est, ut sibi ipse præsit ac dominetur, atque ita se comparet, ut illiberales animi motus coërceat, & rursus virtutis surculos alat, atque omni studio augeat. Duplex enim imperii genus est: alterum cujus opera homi-

a De Hamaxobiis Scythiæ & Sarmatiæ populis, qui in plaustris quasi domibus habitabant, plurimi Scriptores egerunt. Erant etiam in Africa Hamaxobii, de quibus Silius Italicus.

*Nulla domus, plaustris habitant, migrare per arva*
*Mos, atque errantes circumvectare penates.*

De Nomadis etiam qui in pascendis gregibus vitam agebant vide Strabonem multis in locis; eorumque frequens mentio est apud scriptores multos. Dicitur autem hinc Numidarum in Africa nomen manavisse.

De Gymnosophistis Indorum philosophis innumeri pene egerunt; sic autem vocabantur, quod γυμνοὶ nudi incederent.

b τροφὴν, alii, διατροφάς.

nes & populis & urbibus imperant, ac civilem hanc vitam moderantur, id quod Paulus indicabat, cum diceret: *Omnis anima potestatibus sublimioribus subdita sit; non est enim potestas nisi a Deo.* Ac postea, quantum hinc commodi comparetur ostendens, hæc verba subjunxit: *Magistratus Dei minister est in bonum.* Ac rursus: *Dei minister est, vindex in iram ei, qui malum egit.* Alterum, per quod imperium in se gerit, quisquis mente ac prudentia præditus est: quod ipsum quoque Paulus his verbis declaravit: Quod si vis non timere potestatem, bonum fac: de eo loquens, qui sibiipsi imperat.

Rom. 13. 1.

Ecclesiæ imperium quodnam.

4. At vero hîc aliud quoque imperii genus est, ac civili quidem imperio sublimius. Quodnam igitur hoc est? Quod in ecclesia viget: cujus etiam ipsius mentionem Paulus facit, cum ait: *Obedite præpositis vestris, & subjacete eis. Ipsi enim pervigilant, quasi rationem pro animabus vestris reddituri.* Hoc enim imperium tanto civili excellentius est, quanto cælum terra: imo etiam multo præstantius. Primum namque non hoc præcipue curat, ut perpetrata scelera vindicet, sed ut ne omnino quidem perpetrentur. Deinde si perpetrata sint, non ut ægrotantem de medio tollat: sed ut ipsa deleantur. Ad hæc rerum quidem hujus vitæ parvam omnino rationem habet: verum pro cælestibus omnia agit. *Nostra quippe conversatio in cælis est: nostra quoque vita illic; abscondita est* enim, inquit, *cum Christo in Deo.* Præmia etiam illic sunt: ac pro coronis illic reconditis hîc curritur. Neque enim hæc vita post mortem deletur: imo tum demum clarius lucet. Quocirca non modo majorem, quam provinciarum præfecti, sed etiam quam illi ipsi, qui diademate cincti sunt, honorem acceperunt, qui hoc imperium gerunt: ut qui in majoribus rebus, & ob majora commoda, homines fingant. At vero, nec qui civile, nec qui spirituale imperium expetunt, id rite ac præclare administrare poterunt, nisi sibiipsis prius, ut par est, imperent, atque utriusque politiæ leges summo studio servent. Ut enim duplex quodammodo est imperium populare: sic illud etiam quod in se quisque habet. Atque hîc quoque rursus spirituale imperium civili præstat, ut a nobis est demonstratum. Porro artes etiam quasdam perspicere est, quæ imperii speciem imitentur: ac potissimum agriculturam. Est enim plantarum velut præfectus quidam agricola: quippe qui partim eas amputet, ac cohibeat, partim augeat & excolat: non secus ac præclarissimi quique principes flagitiosos homines, ac pluribus labem & perniciem afferentes suppliciis afficiunt, atque exscindunt, bonos contra & modestos viros ad majus quidpiam provehunt. Quo fit ut scriptura vinitoribus antistites comparet. Quid enim si plantæ vocem nullam mittunt, ut in urbibus ii solent quibus injuria fit? At per ipsum tamen aspectum injuriam acceptam ostendunt, ut quæ a noxiis herbis in arctum coactæ marcescant. Atque ut improbitas legibus coërcetur: ita hîc quoque artis hujus adjumen-

Hebr. 13. 17.

Philip. 3. 20.

Coloss. 3. 3.

A ἄρχουσιν ἄνθρωποι, τὸν πολιτικὸν τοῦτον διορθοῦντες βίον· ὅπερ ὁ Παῦλος δηλῶν ἔλεγε· Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ θεοῦ. Εἶτα δεικνὺς αὐτῆς τὸ κέρδος, ἐπήγαγε λέγων, ὅτι ὁ ἄρχων, θεοῦ διάκονός ἐστιν εἰς τὸ ἀγαθόν. καὶ πάλιν, θεοῦ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. ἕτερον δὲ καθ' ὃ ἑαυτοῦ τις ἕκαστος ὁ νοῦν ἔχων ἄρχει. ὃ καὶ αὐτὸ προεδήλωσεν εἰπὼν, εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει· τὸν ἑαυτοῦ ἄρχοντα λέγων.

B Ἐνταῦθα δέ ἐστι καὶ ἑτέρα ἀρχὴ τῆς πολιτικῆς ἀρχῆς ἀνωτέρα. τίς οὖν ἐστιν αὕτη; ἡ ἐν τῇ ἐκκλησίᾳ· ἧς καὶ αὐτῆς ὁ Παῦλος μέμνηται λέγων, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. αὕτη γὰρ ἡ ἀρχὴ τοσοῦτον τῆς πολιτικῆς ἀμείνων, ὅσον τῆς γῆς ὁ οὐρανός· μᾶλλον δὲ καὶ πολλῷ πλέον. πρῶτον μὲν γὰρ οὐχ ὅπως γινόμενα κολάσειεν ἁμαρτήματα σκοπεῖ προηγουμένως, ἀλλ' ὅπως μὴ γίνοιτο τὴν ἀρχήν· ἔπειτα γινόμενα, οὐχ ὅπως ἀπενέγκοι τὸν κάμνοντα, ἀλλ' ὅπως ἀφανισθείη. καὶ βιωτικῶν μὲν οὐ πολὺς αὐτῇ λόγος· πάντα δὲ ὑπὲρ τῶν ἐν οὐρανοῖς πραγμάτων χρηματίζει. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, καὶ ἡ ζωὴ ἡμῶν ἐκεῖ. κέκρυπται γάρ, φησι, σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. καὶ τὰ ἔπαθλα ἐκεῖ, καὶ οἱ δρόμοι περὶ τῶν ἐκεῖ στεφάνων. οὐδὲ γὰρ καταλύεται μετὰ τὴν τελευτὴν αὕτη ἡ ζωὴ, ἀλλὰ τότε διαλάμπει μειζόνως. διὰ δὴ τοῦτο, οὐχ ὑπάρχων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν τὰ διαδήματα περικειμένων μείζονα εἰσὶν ἐγκεχειρισμένοι τιμὴν οἱ ταύτην ἔχοντες τὴν ἀρχήν, ἅτε ἐν μείζοσι καὶ ἐπὶ μείζοσι πλάττοντες τοὺς ἀνθρώπους. ἀλλ' οὔτε ὁ τὴν πολιτικὴν ἀρχὴν μετιὼν, D οὔτε ὁ τὴν πνευματικὴν, δυνήσονται καλῶς ταύτας μεταχειρίζειν, εἰ μὴ πρότερον ἑαυτῶν ἄρξαιεν, ὡς χρὴ, καὶ τοὺς ἑκατέροις νόμους τῆς πολιτείας φυλάξαιεν μετὰ ἀκριβείας ἁπάσης. ὥσπερ γὰρ ἡ τῶν πολλῶν ἀρχὴ διπλῆ τίς ἐστιν, οὕτω καὶ ἣν ἑαυτοῦ τις ἕκαστος ἄρχει. καὶ πάλιν κἀνταῦθα ἀμείνων τῆς πολιτικῆς ἡ πνευματικὴ, ὥσπερ ὁ λόγος ἀπέδειξεν. ἴδοι δ' ἄν τις καὶ τῶν τεχνῶν ἐνίας ἀρχὴν μιμουμένας, καὶ μάλιστα τὴν γεωργικήν. καθάπερ γὰρ ἄρχων τίς ἐστι τῶν φυτῶν ὁ γηπόνος, τὰ μὲν περικόπτων καὶ κωλύων, τὰ δὲ αὔξων καὶ θεραπεύων· E καθάπερ καὶ οἱ τῶν ἀρχόντων ἄριστοι τοὺς μὲν πονηροὺς, καὶ τοῖς πλείοσι λυμαινομένους, τιμωροῦνται καὶ ἐκκόπτουσι, τοὺς δὲ χρηστοὺς καὶ ἐπιεικεῖς ἐπὶ μεῖζον ἄγουσι. διὰ τοῦτο καὶ ἡ γραφὴ τοὺς ἄρχοντας ἀμπελουργοῖς ἀπεικάζει. τί γὰρ εἰ μὴ φωνὴν ἀφιᾶσι τὰ φυτὰ, καθάπερ ἐπὶ τῶν πόλεων οἱ κακῶς πάσχοντες; ἀλλ' ὅμως διὰ τῆς ὄψεως δεικνύουσι τὴν ἀδικίαν, μαραινόμενα, στενοχωρούμενα ὑπὸ τῶν πονηρῶν βοτανῶν. καὶ καθάπερ νόμοις κολάζεται ἡ πονηρία, οὕτω δὴ καὶ ἐνταῦθα τῇ τέχνῃ ταύτῃ,

καὶ γῆς κακία, καὶ φυτοῦ δυσγένεια καὶ ἀγριότης διορθοῦται. καὶ γὰρ ὅσα ἐν τοῖς ἤθεσίν ἐστι τοῖς ἀνθρωπίνοις, εὑρήσομεν καὶ ἐκεῖ, τραχύτητα, μαλακότητα, δειλίαν, προπέτειαν, ἀστάθειαν, καὶ τὰ μὲν αὐτῶν πλούτῳ κομῶντα ἀκαίρως καὶ ἐπὶ κακῷ τῶν πλησίον, τὰ δὲ πενόμενα καὶ ἀδικούμενα· οἷς ὅταν οἱ φραγμοὶ κομῶντες ἐπὶ κακῷ τῶν ἐγγὺς φυτῶν αἴρωνται, ὅταν ἕτερα δένδρα ἄκαρπα καὶ ἀνήμερα εἰς ὕψος ἀναδραμόντα τὴν αὔξησιν τῶν ὑποκειμένων κωλύῃ. καὶ καθάπερ οἱ ἄρχοντες καὶ οἱ βασιλεῖς ἔχουσι τοὺς λυμαινομένους αὐτῶν τῇ ἀρχῇ καὶ πολεμοῦντας· οὕτω καὶ ὁ γηπόνος θηρίων ἔφοδον, ἀνωμαλίαν ἀέρων, χάλαζαν, ἐρυσίβην, ἐπομβρίας, αὐχμούς, ὅσα τοιαῦτα. ταῦτα δὲ γίνεται, ἵνα πρὸς τὴν τοῦ Θεοῦ διηνεκῶς ἐλπίδα βλέπῃς. αἱ μὲν γὰρ ἄλλαι τέχναι καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων σωίζονται σπουδῆς· αὕτη δὲ τὸ πλέον ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ ἔχει, καὶ ὅλη σχεδὸν ἐκεῖθεν ἤρτηται· καὶ δεῖ μὲν τῶν ἄνωθεν ὑετῶν, δεῖ δὲ τῆς ὡρῶν κράσεως, καὶ πρὸ πάντων τῆς αὐτοῦ προνοίας. οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων τί ἐστιν, ἀλλ' ὁ αὐξάνων Θεός. ἔστι καὶ θάνατος ἐνταῦθα, καὶ ζωή, καὶ ὠδῖνες, καὶ τόκοι, καθάπερ ἐπ' ἀνθρώπων. ἔστι γὰρ καὶ ἀποτμηθῆναι, καὶ καρπὸν ἐνεγκεῖν, καὶ ἀποθανεῖν, καὶ γενέσθαι τὸ τεθνηκὸς αὐτὸ πάλιν ἄνωθεν· ἔνθα καὶ ποικίλως ἡμῖν καὶ σαφῶς διαλέγεται περὶ ἀναστάσεως ἡ γῆ. ὅταν γὰρ ἡ ῥίζα ἐνέγκῃ καρπόν, ὅταν τὸ σπέρμα φυῇ, οὐκ ἀνάστασις τὸ πρᾶγμά ἐστι; καὶ πολλὴν ἄν τις ἴδοι τῇ ἀρχῇ ταύτῃ παρὰ τοῦ Θεοῦ πρόνοιαν ἐγκειμένην καὶ σοφίαν, εἰ καθέκαστον ἐπεξίοι. ἀλλ' ὅπερ ἐβουλόμην εἰπεῖν, ὅτι αὕτη μὲν περὶ γῆν ἐστι καὶ φυτά· ἡ δὲ ἡμετέρα περὶ ψυχῶν [a] θεραπείαν. ὅσον δὲ φυτῶν καὶ ψυχῶν τὸ μέσον, τοσοῦτον αὕτη βελτίων ἐκείνης. οἱ δὲ τοῦ βίου τοῦ παρόντος ἄρχοντες, τοσοῦτον αὐτῆς ἐλάττους πάλιν, ὅσον τὸ ἑκόντος τοῦ ἄκοντος κρατεῖν, βέλτιον. αὕτη γάρ ἐστι καὶ ἡ φύσει ἀρχή. ἐκεῖ μὲν γὰρ τὸ πᾶν τῷ φόβῳ γίνεται καὶ τῇ ἀνάγκῃ· ἐνταῦθα δὲ τῆς προαιρέσεως, καὶ τῆς γνώμης ἐστὶ κατόρθωμα. καὶ οὐ ταύτῃ μόνον αὕτη βελτίων ἐκείνης, ἀλλ' ὅτι οὐκ ἀρχὴ μόνον ἐστίν, ἀλλὰ καὶ πατρότης, ὡς ἄν τις εἴποι. καὶ γὰρ πατρὸς ἔχει τὸ ἥμερον, καὶ μείζονα ἐπιτάττουσα πείθει. ὁ μὲν γὰρ ἔξωθεν ἄρχων φησίν, ἐὰν μοιχεύσῃς, ἀπέθανες· οὗτος δὲ κἂν ἀκολάστοις ὀφθαλμοῖς ἴδῃς, τὰ μέγιστα ἀπειλεῖ. καὶ γὰρ σεμνὸν τοῦτο δικαστήριον, καὶ ψυχῆς, οὐχὶ σώματος μόνον διορθωτικόν.

Ὅσον οὖν ψυχῆς καὶ σώματος τὸ μέσον, τοσοῦτον πάλιν αὕτη διέστηκεν ἐκείνης ἡ ἀρχή. κἀκεῖνος μὲν τῶν φανερῶν κάθηται κριτής·

[a] θεραπείαν, alii, σωτηρίαν.

to, & terræ vitium, & plantæ ignobilitas ac feritas corrigitur. Etenim ea omnia quæ in humanis moribus exiſtunt, illic quoque reperiemus, aſperitatem nimirum, mollitiem, timiditatem, temeritatem, inconſtantiam, ac ramos quidem alios opibus intempeſtive, atque in vicinorum perniciem florentes, alios rurſus egentes injuriaque affectos, velut cum ſepes quædam in vicinarum plantarum exitium aſſurgunt, atque item infrugiferæ aliæ arbores & agreſtes in altum elatæ ſubjectarum arborum incrementum impediunt. Et ſicut præfecti ac reges habent qui imperium ſuum labefactent atque oppugnent: ita etiam agricola ferarum incurſus, aëris intemperiem, grandinem, rubiginem, imbrem, ſiccitatem, aliaque ejuſdem generis. Quæ quidem eo fiunt, ut perpetuo ſpes tua in Deo ſita ſit. Nam cæteræ quidem artes hominum quoque ſtudio ac præſidio ſeſe tuentur: hæc vero ubertatis ſpem magna ex parte in Dei ope atque auxilio poſitam habet, totaque pene omnino hinc pendet: at tametſi pluvias etiam, partiumque anni temperiem deſideret, potiſſimum tamen Dei providentiam requirit. Neque enim, qui plantat, aut qui rigat eſt aliquid: ſed, qui incrementum dat, Deus. 1. Cor. 3. 7. Quin hîc quoque & mors & vita eſt, & parturigines, & partus, ut in hominibus. Nam & exſcindi contingit, & fructum ferre, & mori, &, quod mortuum fuerit, rurſus ad vitam redire. In quo etiam nobis varie ac perſpicue terra de reſurrectione ſermocinatur. Nam cum radix fructum fert, ac ſemen edit, annon id reſurrectio eſt? Ac multam utique Dei providentiam & ſapientiam imperio adjunctam cernere quis poſſit, ſi ſingula perſequi velit. Verum, ut ad inſtitutam orationem veniam, imperium illud circa terram ac ſtirpes verſatur: noſtrum autem circa curam animarum. Quanto itaque inter ſtirpes & animas intereſt, tanto hoc imperium illo præſtabilius cenſeri debet. Rurſus qui præſentis vitæ imperio potiuntur, tanto iis, penes quos eccleſiaſticum imperium eſt, inferiores ſunt, quanto minus præclarum eſt invitis, quam volentibus imperare. Nam hoc etiam naturæ conſentaneum imperium eſt. Etenim illic quidem omnia metu ac neceſſitate perficiuntur: hîc voluntas liberaque animi ſententia omnia exſequitur. Neque hac tantum ratione hoc imperium illi præſtat, ſed etiam quia non imperium modo, verum & paternitas, ut ita dicam, eſt. Nam patris manſuetudinem habet: cumque majora præcipiat, ea tamen perſuadet. Externus enim princeps dicit, Si adulterium admiſeris, actum de te erit: at hic graviſſimas pœnas minatur, ſi impudicis oculis mulierem conſpexeris. Etenim grave ac venerandum eſt hoc tribunal: nec corpus ſolum, ſed animam etiam corrigit. Tribunal Eccleſiæ.

5. Quantum ergo inter corpus & animum diſcriminis eſt, tantum item hoc imperium ab illo diſtat. Ad hæc qui imperio illo fungitur, perſpicuorum dumtaxat criminum judex ſe-

det, imo ne horum quidem omnium, verum eorum tantum, quæ comperta sunt. Quin plerumque etiam accidit, ut prodito jure ea dissimulet. At contra tribunal nostrum omnes, qui ingrediuntur, hoc docet, quod qui apud nos judicis partes tenet, nuda omnia & aperta in communi totius terrarum orbis theatro proferet: nec cuiquam sese occultandi facultas erit. Ac proinde Christiana lex multo magis vitam nostram tuetur & continet, quam externæ. Nam si de tectis atque occultis peccatis contremiscere, cautiorem hominem reddit, quam de perspicuis tantum in metu esse, atque is, qui de levibus etiam noxis pœnas expetit, ad virtutis studium magis excitat, quam qui gravissima dumtaxat punit, non est profecto dubium quin vita nostra hoc imperio maxime fulciatur & conservetur. Quod si placet, utriusque etiam principis ordinationem consideremus. Hic quippe multum discrimen perspicies. Non enim numerata pecunia hoc imperium accipere licet: sed edito probatissimæ vitæ documento. Nec vero ad hoc imperium ita provehitur is, qui ordinatus est, quasi ad humanam gloriam, & privatam requiem, sed velut ad labores & sudores, ac publicam utilitatem. Unde etiam haud parvum a Spiritu sancto auxilium consequitur. Atque illic quidem non ultra progreditur, is qui imperat, quam ut, quæ facienda sint, edicat: hic vero precum etiam, & gratiæ subsidium adjungit. Quin potius illic ne verbum quidem ullum de philosophia habetur, nec sedet quisquam qui doceat, quid sit anima, quid mundus, quid ipsi postea futuri, & ad quæ hinc migraturi sumus, quaque ratione virtutem adipisci queamus: verum de pactis quidem & contractibus, ac pecuniis multa verba funduntur, harum autem rerum nulla prorsus cura est. At in ecclesia sermones omnes hisce de rebus institui conspicias. Ob eamque causam quidvis eam merito nuncuparis, tribunal, medicinæ & philosophiæ scholam, & animæ ludum literarium, & gymnasium cursuum in cælum ferentium. Jam vero, quod hoc imperium omnium imperiorum lenissimum sit, etiamsi alioqui plus diligentiæ requiras, hinc liquet. Nam qui externum imperium gerit, si adulterum arripuerit, protinus in eum animadvertit. Ecquid porro hinc commodi existit? Hoc enim non vitium est de medio tollere, sed sauciam animam abigere. At qui hic imperat, non hoc curat ut de nocente supplicium sumat, sed ut vitium evellat. Nam tu quidem perinde facis, ac si morbo aliquo in capite enato, non morbum comprimas, sed caput amputes: ego vero non ita, sed morbum trunco: atque eum quidem a mysteriis sacrisque septis arceo; cæterum eumdem postea excitatum, ac vitio liberatum, melioremque per pœnitentiam effectum, rursus assumo. Et qui fieri potest, inquis, ut adulterium eximatur? Potest, inquam, & quidem facile: si quis his legibus

A μᾶλλον δὲ οὐδὲ τούτων ἁπάντων, ἀλλὰ τῶν ἐλεγχομένων· πολλάκις δὲ καὶ τούτων προδότης γίνεται. τὸ δὲ κριτήριον τοῦτο παιδεύει τοὺς εἰσιόντας, ὅτι ὁ παρ᾽ ἡμῖν δικάζων, πάντα γυμνὰ καὶ τετραχηλισμένα εἰς μέσον ἄξει ἐπὶ τοῦ κοινοῦ τῆς οἰκουμένης θεάτρου, καὶ λαθεῖν ἀμήχανον. ὥστε πολλῷ μᾶλλον τῶν ἔξωθεν νόμων ὁ Χριστιανισμὸς τὸν ἡμέτερον συνέχει βίον. Εἰ γὰρ καὶ τὸ περὶ τῶν κεκρυμμένων τρέμειν τοῦ περὶ τῶν φανερῶν μόνον δεδοικέναι ἀσφαλέστερον ποιεῖ τὸν ἄνθρωπον, καὶ τοῦ τὰ μείζω κολάζειν τὸ καὶ τῶν ἐλαττόνων ἀπαιτεῖν εὐθύνας μᾶλλον αὐτὸν διανίστησι πρὸς B ἀρετήν· εὔδηλον ὅτι πάντων μάλιστα αὕτη ἡ ἀρχὴ τὴν ἡμετέραν συγκροτεῖ ζωήν. Εἰ δὲ βούλει, καὶ τὰς χειροτονίας τῶν ἀρχόντων ἴδωμεν· καὶ γὰρ ἐνταῦθα πολὺ τὸ μέσον ὄψει. οὐ γὰρ χρήματα δόντας ἔστι λαβεῖν τὴν ἀρχὴν ταύτην, ἀλλὰ τρόπον [a] ἐπιδειξάμενον ἄριστον. οὐδὲ ὡς ἐπὶ δόξαν ἀνθρωπίνην, [a] καὶ ἄνεσιν οἰκείαν, ἀλλ᾽ ὡς εἰς πόνους καὶ ἱδρῶτας καὶ τὸ τῶν πολλῶν συμφέρον, οὕτως ἐπὶ τὴν ἀρχὴν ἄγεται ταύτην ὁ χειροτονηθείς. διὸ καὶ πολλῆς ἀπολαύει τῆς ἄνωθεν βοηθείας παρὰ τοῦ πνεύματος. C κἀκεῖ μὲν μέχρι τοῦ διαγορεῦσαι τὰ πρακτέα μόνον ἕστηκεν ἡ ἀρχή· ἐνταῦθα δὲ καὶ τὴν ἀπὸ τῶν εὐχῶν, καὶ τὴν ἀπὸ τῆς χάριτος προστίθησι συμμαχίαν. μᾶλλον δὲ ἐκεῖ μὲν οὐδὲ λόγος ὑπὲρ φιλοσοφίας οὐδείς, οὐδὲ κάθηταί τις διδάσκων τί ψυχή, καὶ τί ποτε κόσμος, καὶ τί μέλλομεν εἶναι μετὰ ταῦτα, καὶ ἐπὶ τίσιν ἀπελευσόμεθα ἐντεῦθεν, καὶ πῶς ἀρετῆς περιεσόμεθα, ἀλλὰ περὶ μὲν συναλλαγμάτων καὶ συμβολαίων καὶ χρημάτων πολὺς ὁ λόγος, τούτων δὲ οὐδεμία φροντίς· ἐν δὲ τῇ ἐκκλησίᾳ πάντας ὑπὲρ τούτων τοὺς λόγους ἴδοι D τις ἂν γινομένους. διὸ καὶ δικαίως πάντα ἄν τις αὐτὴν καλέσειε, καὶ δικαστήριον, καὶ ἰατρεῖον, καὶ φιλοσοφίας διδασκαλεῖον, καὶ ψυχῆς παιδευτήριον, καὶ γυμνάσιον δρόμων τῶν εἰς οὐρανοὺς φερόντων. ὅτι δὲ καὶ ἡμερωτάτη πασῶν ἡ ἀρχή, καίτοι μείζονα ἀκρίβειαν ἀπαιτοῦσα, δῆλον ἐντεῦθεν. ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἂν λάβῃ μοιχόν, εὐθέως ἐκόλασε. καίτοι τί τὸ κέρδος; τοῦτο γὰρ οὐχὶ τὸ πάθος ἐστὶν ἀνελεῖν, ἀλλὰ τὸ τραῦμα ἔχουσαν ἀποπέμψαι τὴν ψυχήν. ὁ δὲ ἐνταῦθα ἄρχων εὑρών, οὐχ ὅπως τιμωρήσηται, ἀλλ᾽ ὅπως E ἐξέλῃ τὸ πάθος, [b] σπεύδει. σὺ μὲν γὰρ ταυτὸν ποιεῖς, [b] ὥσπερ ἂν περὶ τὴν κεφαλὴν νοσήματος γινομένου, μὴ τὸ νόσημα παύσῃς, ἀλλὰ τὴν κεφαλὴν ἀποτέμοις· ἐγὼ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ νόσημα ἀποτέμνω. καὶ εἴργω μὲν αὐτὸν μυστηρίων καὶ ἱερῶν περιβόλων· ἀναστησάμενος δὲ αὐτόν, καὶ ἀπαλλαγέντα τῆς κακίας, καὶ ἀμείνω τῇ μετανοίᾳ γενόμενον ἀναλαμβάνω πάλιν. καὶ πῶς ἐστιν ἐξελεῖν μοιχείαν, φησίν; ἔστι, καὶ σφόδρα ἐστὶν ὑπὸ τοῖς νόμοις γινόμενον

[a] ἐπιδειξάμενον. In notis Savilianis Dounæus vult legi ἐπιδειξαμένους. At ἐπιδειξάμενον etiam bene habet.

[b] σπεύδει. Al, σκοπεῖ,

A τούτοις. βαλανεῖον γάρ ἐστιν ἡ ἐκκλησία πνευματικὸν, οὐ ῥύπον σώματος, ἀλλὰ ψυχῆς ἀποσμῆχον κηλῖδας τοῖς πολλοῖς τῆς μετανοίας τρόποις. σὺ μὲν γὰρ ἄν τε ἀφῇς ἀτιμώρητον, χείρονα εἰργάσω· ἄν τε κολάσῃς, ἀνίατον εἴασας. ἐγὼ δὲ οὔτε ἀφίημι ἀτιμώρητον, οὔτε κολάζω, ὡς σύ· ἀλλὰ καὶ δίκην ἀπαιτῶ τὴν ἐμοὶ πρέπουσαν, καὶ διορθοῦμαι τὸ γεγενημένον. βούλει καὶ ἑτέρως μαθεῖν, πῶς σὺ μὲν ξίφη γυμνῶν, καὶ φλόγα δεικνὺς τοῖς ἁμαρτάνουσιν, οὐ πολλὴν ἐργάζῃ τὴν ἰατρείαν, ἐγὼ δὲ τούτων χωρὶς πρὸς καθαρὰν ἐξαγαγὼν τὴν ὑγίειαν; B οὐ δεῖ δέ μοι λόγων, οὐδὲ ῥημάτων, ἀλλὰ γῆν καὶ θάλατταν εἰς μέσον ἄγω, καὶ αὐτὴν τῶν ἀνθρώπων τὴν φύσιν. καὶ ἐξέτασον, πρὶν ἢ τὸ δικαστήριον τοῦτο καθίσαι, πῶς τὰ ἀνθρώπινα διέκειτο πράγματα, πῶς οὐδὲν τῶν νῦν κατορθωθέντων οὐδὲ μέχρις ὀνόματος ἦν ἀκοῦσαί ποτε. τίς γὰρ θανάτου κατετόλμησε; τίς χρημάτων κατεφρόνησε; τίς δόξης ὑπερεῖδε; τίς τοὺς ἐν μέσῳ θορύβους φυγὼν, καὶ ἐρημίαν τὴν μητέρα τῆς φιλοσοφίας ἠσπάσατο; ποῦ παρθενίας ὄνομά ποτε ἦν; ταῦτα γὰρ πάντα, καὶ τὰ τούτων πλείονα, C τούτου τοῦ δικαστηρίου κατόρθωμα γέγονε, ταύτης τῆς ἀρχῆς ἔργα. ταῦτ' οὖν εἰδότες καὶ καταμαθόντες, ὡς ἐντεῦθεν πᾶσα ὠφέλεια τοῦ βίου, καὶ ἡ τῆς οἰκουμένης διόρθωσις, θαμινὰ βαδίζετε παρὰ τὴν τῶν θείων λόγων ἀκρόασιν, καὶ τὰς συνόδους τὰς ἐνταῦθα, καὶ τὰς εὐχάς. ἂν γὰρ οὕτως ἑαυτοὺς ῥυθμίζητε, δυνήσεσθε τῶν οὐρανῶν ἀξίαν ἐπιδειξάμενοι πολιτείαν, τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

sese submittat. Balneum enim spiritale est ecclesia, non corporis spurcitiem, sed animæ labes variis pœnitentiæ modis abstergens. Nam tu quidem, si eum impunitum dimiseris, pejorem reddis; si supplicio affeceris, incurabilem reliquisti: ego autem nec impunitum abire sino, nec tuo more plecto: verum simul & pœnam, quam debeo, ab eo expeto, & quod commissum est, corrigo. Vis-ne etiam aliter ex me discere quo pacto tu gladium stringens, ac flammam peccatoribus ostendens, haud magnam iis medicinam afferas, ego autem his etiam remotis ad integram eos sanitatem ducam? Nec vero mihi oratione ac verbis opus est, sed terram ac mare, atque adeo ipsam hominum naturam in medium adduco. Ac mihi velim expendas, priusquam tribunal hoc fixum esset, quinam rerum humanarum status erat; quomodo nihil eorum, quæ nunc præstantur, ne nomine quidem tenus olim audiri poterat. Ecquis enim adversus mortem intrepidum animum præbuit? Ecquis opes contemsit? Quis gloriam pro nihilo duxit? Quis fuga relictis mundi tumultibus solitudinem, philosophiæ matrem, complexus est? Ubinam virginitatis nomen olim erat? Hæc quippe omnia, atque his plura, tribunalis hujus beneficio nobis contigerunt: hæc nobis hoc imperium effecit. Cum igitur hæc perspecta habeatis, atque omnem hujus vitæ utilitatem, orbisque universi correctionem hinc fluere intelligatis, date operam, ut ad divinorum sermonum auditionem, atque ad hos conventus, & precationes crebro veniatis. Nam si ad hunc modum vos componatis, vitamque ac mores cælis dignos exhibeatis, promissa bona consequi poteritis, per gratiam & benignitatem, &c.

D

## ΟΜΙΛΙΑ ις'

Διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν.

ΟΡΑ πάλιν πῶς ἐπαίρει αὐτῶν τὰ ἐγκώμια, καὶ δείκνυσι τὴν ἀγάπην. εἰπὼν γὰρ, ὅτι ἥσθην ὅτι τοσοῦτον ἡ ἐπιστολὴ ἤνυσε, καὶ ὅτι τοσοῦτον ἐκερδάνατε· χαίρω γάρ, φησιν, οὐχ ὅτι E ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· καὶ δείξας αὐτοῦ τὴν ἀγάπην· φησὶ γὰρ ὅτι εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς· λέγει πάλιν ἄλλο σημεῖον τῆς αὐτῶν εὐνοίας, ὃ πολὺ αὐτοῖς φέρει τὸν ἔπαινον, καὶ δείκνυσι τῆς ἀγάπης αὐτῶν τὸ γνήσιον. ἐπὶ γὰρ τῇ παρακλήσει ὑμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, φησί· καίτοιγε τοῦτο οὐκ ἔστι φιλοῦντος σφοδρῶς,

## HOMILIA XVI.

13. *Ideo consolati sumus in consolatione vestra; abundantius autem magis gavisi sumus super gaudio Titi, quia refectus est spiritus ejus ab omnibus vobis.*

1. En rursus quomodo laudes eorum attollat, eorumque caritatem ostendat. Posteaquam enim magnam se voluptatem cepisse asseruit, quod tantum ipsius epistola præstitisset, quodque tantum inde emolumenti ad Corinthios rediisset; *Gaudeo enim*, inquit, *non quia contristati estis: sed quia contristati estis ad pœnitentiam*; suamque erga eos caritatem his verbis declarasset: *Etiamsi scripsi vobis, non propter eum qui fecit injuriam, nec propter eum qui passus est, sed ad manifestandam solicitudinem nostram, quam habemus pro vobis ad vos*; rursus aliud eorum benevolentiæ argumentum commemorat, quod magnam ipsis laudem conciliat, ostenditque quam sincera caritate præditi sint. *In consolatione enim vestra*, inquit, *abundantius gavisi sumus super gaudio Titi.* Atqui non est hoc hominis magno amore flagrantis;

ob eum majori lætitia affici, quam ob illos. Imo vero, inquit Paulus, magni amoris hoc argumentum est. Non enim tam illius, quam vestra causa, sum delectatus. Unde etiam mox subdit: *Quia viscera ejus refecta sunt a vobis omnibus.* Non dixit, *Ipse*: sed, *viscera ipsius*; hoc est, caritas ea, qua vos complectitur. Quonam autem modo refecta sunt? Ab omnibus. Nam id quoque amplissimæ laudi ducendum est. 14. *Et si quid apud illum de vobis gloriatus sum.* Magna hæc laus habenda est, cum præceptor gloriatur. Ait enim, *non sum confusus.* Ob id gavisus sum, quod meliores exstitistis, ac rebus ipsis verba mea comprobastis. Ex quo mihi duplex ornamentum comparatum est, tum quia vestra virtus altius provecta est, tum quia minime a veritate aberrasse visus sum. *Sed sicut omnia vobis in veritate loquuti sumus, ita & gloriatio nostra, quæ fuit ad Titum, veritas facta est.* Hoc loco aliud quoque subindicat. Quemadmodum, inquit, apud vos omnia de Tito vere loquuti sumus; verisimile enim est, cum multas apud illos Titi laudes protulisse; sic vicissim ea, quæ de vestris laudibus a me ad Titum dicta sunt, vera comperta sunt. 15. *Et viscera ipsius abundantius in vobis sunt.* His verbis jam eum commendat, ut magno amore inflammatum, atque ipsis devinctum. Non enim dixit, caritas ipsius, sed, *viscera ipsius.* Deinde ne assentari videatur, ubique amicitiæ causas affert: tum ne, uti jam dixi, in adulationis suspicionem incidat, tum ut eos ad virtutem acrius incitet, laudem ad eos referens, atque ostendens eos esse, qui tantæ benevolentiæ initium atque argumentum Tito injecerint. Nam cum dixisset: *Viscera ejus abundantius sunt ad vos*, subjungit: *Reminiscentis omnium vestrum obedientiam.* Hoc autem Titi quoque gratum animum erga homines de se bene meritos ostendit, ut qui eos omnes animo complexus rediisset, perpetuaque memoria circumferret, atque & ore & mente versaret. Corinthios etiam majorem in modum ornat, quod ipsum ita sibi devinctum dimisissent. Mox obedientiam etiam ipsorum exponit, ut eorum studio stimulos addat. Unde & subnectit hæc verba: *quomodo cum timore & tremore suscepistis eum.* Non modo cum caritate, sed etiam cum summo honore. Viden' quomodo duplicis virtutis testimonium ipsis tribuat: quod & ut patrem eum amarent, & ut antistitem metuerent: nec metu eorum benevolentiam obscurante, nec benevolentia metum solvente? Atque id est quod superius dicebat: quod secundum Deum contristati estis, quantam in vobis operatum est solicitudinem, sed timorem, sed desiderium? 16. *Gaudeo igitur quoniam in omnibus confido in vobis.* Viden' quomodo ob ipsos magis gaudeat? Quoniam, inquit, præceptori vestro dedecori minime fuistis, nec testimonio meo indignos vos reddidistis. Proinde non tam ob Titum lætabatur, quod tantum honorem accepisset, quam ob eos, quod tantum grati animi specimen edidissent. Nam ne illius potius amicitia ductus, in lætitia versari videatur,

Titi laus.

A τὸ ἐπ' ἐκείνῳ μᾶλλον χαρῆναι, ἢ ἐπ' αὐτοῖς. ναί φησιν· οὐδὲ γὰρ δι' ἐκεῖνον τοσοῦτον, ὅσον δι' ὑμᾶς ἥσθην. διὰ τοῦτο καὶ τὴν αἰτίαν ἐπάγει λέγων, ὅτι τὰ σπλάγχνα αὐτοῦ ἀναπέπαυται ἀπὸ πάντων ὑμῶν. οὐκ εἶπεν, αὐτὸς, ἀλλὰ, τὰ σπλάγχνα αὐτοῦ· τουτέστιν, ἡ ἀγάπη αὐτοῦ ἡ περὶ ὑμᾶς. καὶ πῶς ἀναπέπαυται; ἀπὸ πάντων. καὶ γὰρ καὶ τοῦτο μέγιστον ἐγκώμιον· ὅτι εἴ τι αὐτῷ κεκαύχημαι ὑπὲρ ὑμῶν. μέγας ὁ ἔπαινος, ὅταν ὁ διδάσκαλος καυχᾶται. φησὶ γὰρ ὅτι· οὐ κατῃσχύνθην. διὰ τοῦτο ἐχάρην, ὅτι βελτίους ἐφάνητε, καὶ διὰ τῶν ἔργων ἐδείξατέ μου τὰ B ῥήματα. ὥστε διπλοῦς ὁ κόσμος ἐμοὶ, καὶ ὅτι ὑμεῖς ἐπεδώκατε, καὶ ὅτι ἐγὼ οὐκ ἐφάνην τῆς ἀληθείας διαπίπτων. ἀλλ' ὡς πάντοτε ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν, ἡ ἐπὶ Τίτου, ἀλήθεια γέγονεν. ἐνταῦθα καὶ ἄλλο τι αἰνίττεται· ὅτι ὥσπερ πρὸς ὑμῖν μετὰ ἀληθείας πάντα ἐφθεγξάμεθα· εἰκὸς γὰρ αὐτὸν καὶ περὶ τούτου πολλὰ αὐτοῖς εἰπεῖν ἐγκώμια· οὕτω καὶ τὰ περὶ ὑμῶν ἡμῖν Τίτῳ εἰρημένα, ἀληθῆ ἐφάνη. καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς. τοῦτο λοιπὸν ἐκεῖνον C συνιστῶντός ἐστιν, ὡς σφόδρα ἐκκαιόμενον, καὶ συνδεδεμένον αὐτοῖς. καὶ οὐκ εἶπεν, ἡ ἀγάπη αὐτοῦ, ἀλλὰ τὰ σπλάγχνα αὐτοῦ. εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν, πανταχοῦ τίθησι τῆς φιλίας τὰς αἰτίας· ἵν', ὅπερ εἶπον, καὶ τὴν κολακείαν διαφύγῃ, καὶ ἐκείνοις μᾶλλον περιτρέψῃ, καὶ ἐγκώμιον εἰς αὐτοὺς περιστὰς, καὶ δεικνὺς τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν τῆς τοσαύτης ἀγάπης ἐκείνους ἐμβαλόντας αὐτῷ. εἰπὼν γὰρ ὅτι τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς, ἐπήγαγεν· ἀναμιμνησκομένου τὴν ἁπάντων ὑμῶν ὑπακοήν. τοῦτο δὲ καὶ τὸν Τίτον εὐγνώμονα D δείκνυσι περὶ τοὺς εὐεργέτας, εἴγε λαβὼν αὐτοὺς ἐν τῇ ψυχῇ ἐπανῆλθεν ἅπαντας, καὶ διηνεκῶς αὐτῶν μέμνηται, καὶ ἐκείνους ἐπὶ στόματος ἔχει καὶ ἐπὶ διανοίας. καὶ Κορινθίους πάλιν κοσμεῖ μειζόνως, ὅτι αὐτὸν οὕτω χειρωσάμενοι ἐξέπεμψαν. εἶτα καὶ τὴν ὑπακοὴν αὐτῶν λέγει, ἐπιτείνων αὐτῶν τὴν σπουδήν. διὸ καὶ ἐπάγει ταῦτα· ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. οὐ μετὰ ἀγάπης μόνον, ἀλλὰ καὶ μετὰ τιμῆς ἐπιτεταμένης. εἶδες πῶς διπλῆν αὐτοῖς ἀρετὴν μαρτυρεῖ, καὶ ὅτι ὡς πατέρα ἐφίλουν, καὶ ὡς ἄρχοντα ἐδεδοίκεσαν, οὔτε διὰ τὸν φόβον ἀμαυ-E ροῦντες τὴν ἀγάπην, οὔτε διὰ τὴν ἀγάπην ἐκλύοντες τὸν φόβον; τοῦτο καὶ ἀνωτέρω ἔλεγεν, ὅτι τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; ἀλλὰ φόβον; ἀλλὰ ἐπιπόθησιν; χαίρω οὖν ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν. ὁρᾷς ὅτι δι' αὐτοὺς μᾶλλον χαίρει; ὅτι οὐδαμοῦ τὸν διδάσκαλον κατῃσχύνατε, φησὶν, οὐδὲ ἀνάξιοι φαίνεσθε τῆς ἐμῆς μαρτυρίας. ὥστε οὐχ οὕτω διὰ Τίτον ἔχαιρεν, ὅτι τιμῆς ἀπήλαυσε τοσαύτης, ὡς δι' αὐτοὺς, ὅτι τοσαύτην ἐπεδείξαντο εὐγνωμοσύνην. ἵνα γὰρ μὴ νομισθῇ δι' ἐκεῖνον χαίρειν μᾶλλον,

ὅρα

ὅρα πῶς καὶ ἐνταῦθα τὴν αἰτίαν τίθησιν. ὥσπερ γὰρ ἀνωτέρω εἶπεν, ὅτι εἴ τι αὐτῷ κεκαύχημαι ὑπὲρ ὑμῶν, οὐ κατῃσχύνθην· οὕτω καὶ ἐνταῦθα, ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν. κἂν ἐπιπλῆξαι δέοι, οὐ δέδοικα μὴ ἀποῤῥαγῆτε· κἂν καυχήσασθαι, οὐ φοβοῦμαι, ὡς ἐλεγχόμενος· κἂν ὡς πειθηνίους ἐπαινέσαι, κἂν ὡς ἀγαπητικούς, κἂν ὡς ζῆλον ἔχοντας, θαῤῥῶ ἐν ὑμῖν. εἶπον ἐκκόψαι, καὶ ἐξεκόψατε. εἶπον δέξασθαι, καὶ ἐδέξασθε· εἶπον ὅτι μεγάλοι τινές ἐστε καὶ θαυμαστοὶ ἐπὶ Τίτου καὶ διδασκάλους [a] εἰδότες αἰδεῖσθαι, ἀληθῆ διὰ τῶν ἔργων ταῦτα ἐδείξατε. καὶ οὐχ οὕτως ἔμαθε ταῦτα παρ' ἐμοῦ, ὡς παρ' ὑμῶν. ἐπανῆλθε γοῦν σφοδρὸς ἐραστὴς ὑμῶν γενόμενος, πλείονα τῶν λόγων ἐπιδειξαμένων ὑμῶν. γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας.

Ἐπάρας αὐτοὺς τοῖς ἐγκωμίοις, παραινέσιν πάλιν καθίησι. διὰ γὰρ τοῦτο τῇ ἐπιπλήξει παρέμιξε τοὺς ἐπαίνους, ἵνα μὴ ἀπὸ ἐπιπλήξεως εἰς παραίνεσιν κατελθὼν δυσπαράδεκτον ποιήσῃ τὸν λόγον, ἀλλὰ λεάνας αὐτῶν τὴν ἀκοήν, οὕτω προοδοποιήσῃ τῇ παραινέσει. βούλεται γὰρ περὶ ἐλεημοσύνης διαλεχθῆναι. διὸ καὶ προλαβὼν εἶπε, χαίρω ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν· ἀπὸ τῶν ἤδη κατωρθωμένων καὶ εἰς τοῦτο προθυμοτέρους ποιῶν. καὶ οὐκ εἶπεν εὐθέως, δότε οὖν ἐλεημοσύνην· ἀλλ' ὅρα τὴν σύνεσιν, πῶς πόῤῥωθεν καὶ ἀφ' ὑψηλοῦ προκατασκευάζει τὸν λόγον. γνωρίζω γὰρ ὑμῖν, φησι, τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. ἵνα γὰρ μὴ ἐπαίρωνται, χάριν τὸ πρᾶγμα καλεῖ· καὶ τὰ ἑτέρων διηγούμενος, τοῖς ἑτέρων ἐγκωμίοις σπουδαιοτέρους τούτους ἐργάζεται. καὶ δύο συντίθησιν ἐπαίνους Μακεδόσι, μᾶλλον δὲ καὶ τρεῖς· καὶ ὅτι πειρασμοὺς γενναίως φέρουσι, καὶ ὅτι ἐλεεῖν ἴσασι, καὶ ὅτι πένητες ὄντες, δαψίλειαν ἐνεδείκνυντο ἐν ἐλεημοσύνῃ· καὶ γὰρ ἡρπάγησαν αὐτῶν αἱ οὐσίαι. καὶ τοῦτο δηλῶν ἔλεγεν, ἡνίκα αὐτοῖς ἐπέστελλεν, ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, φησι, τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν ἐν τῇ Ἰουδαίᾳ· ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἄκουσον τί μετὰ ταῦτα Ἑβραίοις ἐπιστέλλων ἔλεγε· καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. χάριν δὲ τὸ πρᾶγμα καλεῖ, οὐχὶ καταστέλλων αὐτοὺς μόνον, ἀλλὰ καὶ ἐκκαλούμενος, καὶ ἀνεπίφθονον τὸν λόγον ἐργαζόμενος. διὸ καὶ τὸ τῶν ἀδελφῶν ὄνομα προσέθηκεν, ὥστε πᾶσαν ὑποτεμέσθαι βασκανίαν. καὶ γὰρ μέλλει μεθ' ὑπερβολῆς ἐγκωμιάζειν αὐτούς. ἄκουσον γοῦν τῶν ἐπαίνων. εἰπὼν γάρ, γνωρίζω ὑμῖν τὴν χάριν τοῦ θεοῦ, οὐκ εἶπε, τὴν δεδομένην ἐν τῇδε καὶ τῇδε τῇ πόλει, ἀλλ' ὁλόκληρον ἐπαινεῖ τὸ ἔθνος λέγων, ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. εἶτα καὶ αὐτὴν διηγεῖται τὴν χάριν.

vide quomodo hîc quoque caufam afferat. Ut enim fuperius dixit : Quod fi quid de vobis gloriatus fum, non fum confufus : fic etiam hoc loco, *Quoniam in omnibus confido in vobis.* Sive objurgatio adhibenda fit, non timeo, ne vos a me feparemini ; five gloriandum fit, non vereor ne redarguar ; five vos, ut morigeros, five ut caritate, aut etiam zelo præditos, laudandos habeam, confido de vobis. Edixi ut exfcinderetis, & exfcidiftis ; Edixi ut reciperetis, & recepiftis. Dixi coram Tito vos magnos quofdam & admirandos viros effe, magiftrofque vereri noffe : hæc rebus ipfis vera effe demonftraftis. Nec perinde ille hæc ex me didicit, ut ex vobis. Quocirca ingenti veftri amore incenfus ad me reverfus eft : quod plura exhibueritis, quam verba mea ferrent. 1. *Notam autem vobis facio, fratres, gratiam Dei, quæ data eft in ecclefiis Macedoniæ.* Cap. VIII.

2. Poftquam eos laudibus extulit, admonitionem rurfus adhibet. Ideo enim objurgationi laudes admifcuit, ne ab objurgatione ad monendum delapfus, minus acceptam orationem redderet, verum lenitis prius ipforum auribus, ita fibi viam ad monendum pararet. Vult enim de eleemofyna verba facere. Unde etiam prius dixit : *Gaudeo quod in omnibus confido in vobis.* Nimirum ab iis, quæ jam egregie præftiterant, ad hoc promtiores reddens. Nec vero protinus dixit : eleemofynam igitur date : fed animadverte fagax ipfius confilium, quomodo eminus atque ab alto orationem præmuniat. *Notam enim, inquit, vobis facio gratiam Dei, quæ data eft in ecclefiis Macedoniæ.* Gratiam id vocat, ne animis efferantur : ac res aliorum narrans id agit, ut dum alios laudat, diligentiores hos efficiat. Ac duas, imo tres Macedonibus laudes tribuit ; quod tentationes ftrenuo animo perferrent ; quod egentibus opem ferre noffent ; quod quamvis ipfi inopia laborarent, munificentiam tamen in eleemofynis exhiberent. Nam illis fuæ quoque facultates ereptæ fuerant. Idque fignificabat, cum in epiftola, quam ad ipfos fcribebat, diceret : *Vos enim imitatores facti eftis ecclefiarum Dei, quæ funt in Judæa, quoniam eadem paffi eftis a contribulibus veftris, quæ illi a Judæis.* Audi jam quibus poftea verbis utatur, cum ad Hebræos fcribit : *Nam & rapinam veftrorum bonorum cum gaudio fufcepiftis.* Gratiam porro hanc rem vocat, non folum ut eos in modeftia contineat, fed etiam ut illos excitet, nec invidiofam orationem reddat. Quocirca fratrum quoque nomen adjunxit, ut livorem omnem fuccidat. Eximiis enim laudibus Macedones ornare parat. Audi quippe quid de iis prædicet. Nam cum dixiffet : Notam vobis facio gratiam Dei, non dixit, quæ data eft in hac vel in illa civitate : verum univerfam gentem laudibus ornat dicens : *In ecclefiis Macedoniæ.* Mox ipfam quoque gratiam declarat. 2. *Quo-*

1. Thef. 2. 14.

Hebr. 10. 34.

[a] εἰδότες αἰδεῖσθαι, fic in margine notat Savilius, atque ita legendum fufpicatur, qui in ferie pofuit αἰδεῖσθε. Sed αἰδεῖσθαι legit interpres Latinus, quem fequimur ; & hæc lectio melius quadrat ad feriem. Mox editi omnes habent ἐμάθετε ; fed interpres Latinus legit ἔμαθε, atque ita omnino legendum effe feries fuadet.

*niam in multo experimento tribulationis abundantia gaudii ipsorum fuit.* Viden' Pauli sagacitatem? Priore enim loco istud non dicit, quod volebat, sed alterum anteponit: ne consulto hoc facere videatur, sed ex altera verborum serie ad hoc venire. *In multo experimento tribulationis.* Id quod ad ipsos quoque Macedones, cum ad eos scriberet, dicebat: *Imitatores facti estis Domini, excipientes verbum in tribulatione multa, cum gaudio Spiritus sancti.* Et rursus: *A vobis etiam diffamatus est sermo Domini, non solum in Macedonia, & in Achaia, sed etiam in omni loco vestra fides, quæ est ad Deum, profecta est.* Quidnam autem his verbis sibi vult: *In multo experimento tribulationis, abundantia gaudii eorum fuit?* Utrumque, inquit, mirum in modum ipsis contigit, & tribulatio, & lætitia. Ex quo incredibile quidpiam nascebatur, quod tanta voluptatis ubertas & copia ex afflictione ipsis oriretur. Neque enim modo mœrorem illis nullum tribulatio pepererat, sed lætitiæ quoque ipsis causam præbuerat; etsi multa erat. His porro verbis utebatur, ut eos ad certamen ungeret, ac strenuos constantesque redderet. Non enim leviter vexati fuerant, sed ita, ut per patientiam virtus eorum explorata fuerit. Imo vero, non, per patientiam, dixit, sed quod plus erat quam patientia, gaudium; nec gaudium simpliciter dicit, sed gaudii abundantiam. Ingens enim & quæ verbis explicari nequeat, lætitia in ipsis nata est. *Et altissima paupertas eorum abundavit in divitias simplicitatis eorum.* Utrumque rursus hoc cum exsuperantia. Quemadmodum enim multiplex gaudium, & gaudii abundantiam peperit: ita ex magna paupertate ingentes eleemosynæ opes ortæ sunt. Hoc enim his verbis significavit, *Abundavit in divitias simplicitatis eorum.* Neque enim ex donorum mensura, sed ex donantium animo liberalitas æstimatur. Quamobrem nusquam donorum copiam dicit; sed divitias simplicitatis eorum. Id autem perinde est ac si diceret: Non modo ipsis ad liberalitatem nihil impedimenti paupertas attulit: verum occasio ipsis fuit uberius largiendi, non secus ac tribulatio amplius gaudendi. Quo enim egentiores erant, hoc majori animi promtitudine largiebantur. Unde etiam magnopere eos laudat ac suspicit, quod in tanta egestate tantæ liberalitatis specimen dederint. *Altissima enim eorum paupertas*, id est, ingens atque ineffabilis, simplicitatem eorum demonstravit. At vero non dixit, *demonstravit*, sed, *abundavit*: nec item *simplicitatem*, sed, *divitias simplicitatis*, hoc est quæ paupertatis magnitudini responderet; quin potius multo majorem liberalitatem præstiterunt. Tum hoc apertius etiam exponit, dicens: 3. *Quia secundum virtutem testificor*, fide dignus testis, *& supra virtutem*: hoc est: Exuberavit in divitias simplicitatis eorum. Imo non per hoc tantum, sed & per ea, quæ sequuntur, id indicat. *Voluntarii enim fuerunt*, inquit. En alteram etiam amplificationem.

Pauli sagacitas.

1. Thess. 1. 6.

A ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν. Εἶδες σύνεσιν; πρῶτον γὰρ ἐκεῖνο λέγει, οὐχ ὃ βούλεται, ἀλλ' ἕτερον πρὸ αὐτοῦ, ἵνα μὴ δόξῃ ἐπίτηδες τοῦτο ποιεῖν, ἀλλὰ ἀπὸ ἀκολουθίας ἑτέρας ἐπ' αὐτὸ ἔρχεσθαι. ἐν πολλῇ δοκιμῇ θλίψεως. ὃ καὶ αὐτοῖς Μακεδόσι ἐπιστέλλων ἔλεγεν, ὅτι μιμηταὶ ἐγενήθητε τοῦ κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. καὶ πάλιν, ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ B ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθε. τί δέ ἐστιν, ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν; ἀμφότερα μεθ' ὑπερβολῆς γέγονεν αὐτοῖς, φησι, καὶ ἡ θλίψις, καὶ ἡ χαρά. διὸ καὶ πολὺ τὸ παράδοξον ἦν, ὅτι τοσαύτη ἡδονῆς περιουσία ἀπὸ θλίψεως αὐτοῖς ἐβλάστησεν. οὐ γὰρ δὴ μόνον λύπην οὐκ ἔτεκεν, ἀλλὰ καὶ ἀφορμὴ γέγονεν αὐτοῖς εὐφροσύνης ἡ θλίψις· καὶ ταῦτα πολλὴ οὖσα. τοῦτο δὲ ἔλεγεν, ἀλείφων αὐτοὺς ἐν τοῖς πειρασμοῖς γενναίους εἶναι καὶ ἀπεριτρέπτους. οὐδὲ γὰρ ἁπλῶς ἐθλίβησαν, ἀλλ' οὕτως ὡς καὶ δόκιμοι γενέσθαι διὰ τῆς ὑπομονῆς· μᾶλλον δὲ οὐ λέγει, C διὰ τῆς ὑπομονῆς, ἀλλ', ὃ πλέον ἦν τῆς ὑπομονῆς, [a] χαράν. καὶ οὐδὲ χαρὰν ἁπλῶς λέγει, ἀλλὰ, περισσείαν χαρᾶς. καὶ γὰρ πολλὴ καὶ ἄφατος ἐβλάστησεν ἐν αὐτοῖς. καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. πάλιν ἀμφότερα ταῦτα μεθ' ὑπερβολῆς. ὥσπερ γὰρ ἡ πολλὴ θλίψις πολλὴν χαρὰν ἔτεκε, καὶ περισσείαν χαρᾶς· οὕτως ἡ πολλὴ πενία πολὺν πλοῦτον ἔτεκεν ἐλεημοσύνης. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ γνώμῃ τῶν παρεχόντων ἡ φιλοτιμία κρίνεται. D διὸ οὐδαμοῦ λέγει πλοῦτον τῶν δοθέντων, ἀλλὰ, πλοῦτον τῆς ἁπλότητος αὐτῶν· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον οὐκ ἐνεπόδισεν αὐτοῖς πρὸς δαψίλειαν ἡ πτωχεία, ἀλλὰ καὶ ἀφορμὴ γέγονε τοῦ περισσεῦσαι, ὥσπερ ἡ θλίψις τοῦ ἡσθῆναι. ὅσῳ γὰρ ἦσαν πένητες, τοσούτῳ μᾶλλον ἐφιλοτιμοῦντο, καὶ προθυμότερον παρεῖχον. διὸ καὶ σφόδρα αὐτοὺς θαυμάζει, ὅτι ἐκ τοσαύτης πενίας τοσαύτην ἐπεδείξαντο φιλοτιμίαν. ἡ γὰρ κατὰ βάθους πτωχεία αὐτῶν· τουτέστιν, ἡ πολλὴ καὶ ἄφατος· ἔδειξεν αὐτῶν E τὴν ἁπλότητα. ἀλλ' οὐκ εἶπεν, ἔδειξεν, ἀλλὰ, ἐπερίσσευσε· καὶ οὐκ εἶπεν, ἁπλότητα, ἀλλὰ, πλοῦτον ἁπλότητος, τουτέστιν, ἀντίρροπον τοῦ μεγέθους τῆς πτωχείας. μᾶλλον δὲ, καὶ πολλῷ μείζονα τὸν ὄγκον ἐπεδείξατο τῆς δαψιλείας. εἶτα αὐτὸ καὶ ἑρμηνεύει σαφέστερον λέγων· ὅτι κατὰ δύναμιν μαρτυρῶ· ἀξιόπιστος ὁ μάρτυς· καὶ ὑπὲρ δύναμιν. τουτέστιν, ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. μᾶλλον δὲ οὐ διὰ τούτου μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς ἁπάντων αὐτὸ δηλοῖ. αὐθαίρετοι γάρ, φησιν. ἰδοὺ καὶ ἑτέρα ὑπερβολή.

[a] χαρὰν, al. χαρὰ, ut notat in margine Savilius; vel fortasse melius χαρᾶς; ut supra in scripturæ versu.

μετὰ πολλῆς παρακλήσεως. ἰδοὺ καὶ τρίτη, καὶ τετάρτη. δεόμενοι ἡμῶν. ἰδοὺ ἡ πέμπτη. καὶ ἐν θλίψει ὄντες, καὶ ἐν πενίᾳ· αὕτη ἕκτη. ἡ ἑβδόμη, καὶ μεθ' ὑπερβολῆς ἔδωκαν.

Εἶτα ἐπειδὴ τοῦτο μάλιστα βούλεται κατασκευάσαι παρὰ Κορινθίοις, τὸ μετὰ προαιρέσεως διδόναι, αὐτοῦ μάλιστα ἐνδιατρίβει, λέγων, μετὰ πολλῆς παρακλήσεως, καὶ, δεόμενοι ἡμῶν. οὐχ ἡμεῖς αὐτῶν ἐδεήθημεν, ἀλλ' αὐτοὶ ἡμῶν. τί δεόμενοι ἡμῶν; τὴν χάριν, καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους. εἶδες πῶς πάλιν ἐπαίρει τὸ πρᾶγμα, σεμνοῖς ὀνόμασιν αὐτὸ καλῶν; καὶ γὰρ ἐπειδὴ ζηλωταὶ ἦσαν πνευμάτων, χάριν αὐτὸ ὀνομάζει, ἵνα ἐπιδράμωσι· καὶ κοινωνίαν πάλιν, ἵνα μάθωσιν ὅτι λαμβάνουσιν, οὐ διδόασι μόνον. τοῦτο οὖν ἡμᾶς παρεκάλουν, φησὶν, ὥστε ἡμᾶς ἀναδέξασθαι τὴν τοιαύτην διακονίαν. καὶ οὐ καθὼς ἠλπίσαμεν. τοῦτο καὶ πρὸς τὴν ποσότητά φησι, καὶ πρὸς τὰς θλίψεις· οὐ γὰρ ἂν ἠλπίσαμεν, φησιν, ὅτι ἐν τοσαύτῃ θλίψει ὄντες καὶ πενίᾳ, καὶ κατήπειξαν ἂν ἡμᾶς, καὶ τοσαῦτα παρεκάλεσαν. καὶ τὴν τοῦ λοιποῦ δὲ βίου ἐπιμέλειαν αὐτῶν ἐδήλωσεν εἰπών. ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος θεοῦ. ἐν πᾶσι γὰρ ὑπήκουσαν πλέον, ἢ προσεδοκήσαμεν. οὐδὲ, ἐπειδὴ ἠλέουν, τῶν ἄλλων ἠμέλησαν ἀρετῶν· ἀλλὰ πρῶτον ἑαυτοὺς ἔδωκαν τῷ κυρίῳ. τί ἐστιν, ἔδωκαν ἑαυτοὺς τῷ κυρίῳ; ἀνέθηκαν, δόκιμοι περὶ τὴν πίστιν ἐφάνησαν, πολλὴν τὴν ἀνδρείαν ἐν τοῖς πειρασμοῖς ἐπεδείξαντο, τὴν κοσμιότητα, τὴν ἐπιείκειαν, τὴν ἀγάπην, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς προθυμίαν τε καὶ σπουδήν. τί ἐστι, καὶ ἡμῖν; πειθήνιοι γεγόνασιν ἡμῖν, ἠγάπησαν, ὑπήκουσαν, καὶ τοὺς τοῦ θεοῦ νόμους πληροῦντες, καὶ ἡμῖν διὰ τῆς ἀγάπης συνδεδεμένοι. σκόπει δὲ πῶς καὶ ἐνταῦθα τὴν ἐπίτασιν δείκνυσι, λέγων, ἔδωκαν ἑαυτοὺς τῷ κυρίῳ. οὐχὶ τὰ μὲν τῷ θεῷ ὑπήκουσαν, τὰ δὲ τῷ κόσμῳ· ἀλλὰ πάντα αὐτῷ, καὶ ὅλους ἑαυτοὺς ἔδωκαν τῷ θεῷ. οὐδὲ γὰρ, ἐπειδὴ ἠλέουν, ἀπενοήθησαν· ἀλλὰ πολλὴν ἐπιδειξάμενοι ταπεινοφροσύνην, πολλὴν ὑπακοὴν, πολλὴν τιμὴν, πολλὴν [a] φιλοσοφίαν, οὕτω καὶ τὴν ἐλεημοσύνην εἰργάσαντο. τί δέ ἐστι, διὰ θελήματος θεοῦ; ἐπειδὴ εἶπεν, ἡμῖν ἔδωκαν ἑαυτοὺς· οὐδὲ ἡμῖν ἀνθρωπίνως, ἀλλὰ καὶ τοῦτο κατὰ τὴν τοῦ θεοῦ γνώμην ἐποίουν. ὥστε ἡμᾶς παρακαλέσαι Τίτον, ἵνα καθὼς προενήρξατο ἐν ὑμῖν, οὕτως ἐπιτελέσῃ καὶ τὴν χάριν ταύτην. καὶ ποία ἀκολουθία αὕτη; πολλὴ καὶ σφόδρα τῶν ἔμπροσθεν ἐχομένη. ἐπειδὴ γὰρ [b] εἴδομεν αὐτοὺς σφοδρούς, φησιν, καὶ θερμοὺς ἐν ἅπασιν, ἐν πειρασμοῖς, ἐν ἐλεημοσύνῃ, ἐν τῇ πρὸς ἡμᾶς ἀγάπῃ, ἐν τῇ λοιπῇ τοῦ βίου καθαρότητι·

[a] φιλοσοφίαν. Alii, σοφίαν.

A 4. *Cum multa exhortatione.* En tertiam ac quartam. *Obsecrantes nos.* En quintam. Et quidem cum afflictione ac paupertate premerentur. Sexta hæc est. Septima, quod copiosissime dederint.

3. Postea, quia hoc potissimum apud Corinthios efficere studebat, ut libenter largirentur, in ea re præsertim immoratur, dicens: *Cum multa exhortatione*: &, *obsecrantes nos.* Non eos, inquit, rogavimus, sed ipsi nos. Quid autem obsecrantes nos? *Gratiam & communicationem ministerii, quod fit in sanctos.* Vides-ne rursus quo pacto rem amplificet, insignibus nominibus eam nuncupans? B Quia enim illi spirituum studiosi erant, gratiam id appellat, ut ad eam accurrerent: ac rursus communicationem, ut intelligerent se non tantum dare, sed etiam accipere. Hoc itaque, inquit, a nobis precibus contendebant, ut hujusmodi ministerium susciperemus. 5. *Et non sicut speravimus.* Hæc verba tum ad largitionis amplitudinem, tum ad calamitates refert. Nunquam fore speravissemus, inquit, ut, cum in tanta calamitate ac paupertate versarentur, nos etiam urgerent, ac tantopere obsecrarent. Ad hæc, qua solicitudine in reliqua vita excolenda uterentur, his verbis declaravit: *Sed seipsos* C *primum dederunt Domino; deinde nobis per voluntatem Dei.* In omnibus enim eorum obedientia exspectationem nostram superavit. Nec enim, quia egentibus dabant, idcirco aliarum virtutum curam abjiciebant: sed seipsos Domino primum obtulerunt. Quid autem est, *Domino semetipsos dederunt?* Hoc est, consecrarunt: probati in fide extiterunt: animi magnitudinem in tentationibus adhibuerunt: moderationem, facilitatem, caritatem, studiumque in aliis omnibus virtutibus atque alacritatem præ se tulerunt. Quid his verbis sibi vult: *& nobis?* hoc est, obedientes se nobis præbuerunt; D dilexerunt, paruerunt: ut & Dei leges implerent, & caritatis vinculo nobiscum astringerentur. Ac perpende, quomodo hic quoque eorum intentissimum studium ostendat, dicens: *semetipsos dederunt Domino.* Non, inquit, partim Deo, partim mundo obedierunt: sed omnia Deo, atque etiam seipsos totos ei dederunt. Neque enim ob piam largitionem arrogantia elati sunt: verum cum ingentem prius humilitatem, ingentem obedientiam, & honorem, magnam philosophiam exhibuissent, ita demum E eleemosynam elargiti sunt. Quid porro his verbis significatur, *per voluntatem Dei?* Quoniam dixerat, *Semetipsos nobis dederunt*, non, inquit, humano affectu, sed secundum Dei voluntatem hoc fecere. 6. *Ita ut rogaremus Titum, ut quemadmodum cœpit, ita & perficiat in vobis gratiam istam.* Et quænam est hæc verborum series? Egregia sane ac cum iis, quæ præcesserunt, pulcre cohærens. Quoniam enim, inquit, eos in omnibus, hoc est in tentationibus, in eleemosynis, in nostri amore, ac reliqua vitæ puritate, acres ac ferventes esse comperimus; ut vos quo-

[b] εἴδομεν, al. οἴδαμεν forte melius, sic notat in marg. Sav.

que ipsorum virtutem adæquetis, Titum misimus. Id enim his verbis indicavit, etsi non ita sit loquutus. Ac consideres velim amoris magnitudinem. Ab illis, inquit, cum rogaremur, & obsecraremur, de vobis solliciti eramus, nimirum ne ab illis vinceremini. Quæ etiam nobis mittendi Titi causa fuit, ut hinc quoque excitati & commonefacti, Macedonas æmularemini. Etenim illic erat Titus, cum hæc epistola scriberetur. Ostendit autem eum jam ante Pauli cohortationem hoc facere cœpisse, cum ait, *quemadmodum ante cœpit*. Unde etiam mirificis laudibus eum afficit, tum in exordio; sic loquens: *Eo quod non invenerim Titum fratrem, non habui requiem spiritui meo;* tum hoc loco per omnia hæc verba quæ de eo habuit: ac denique per hoc ipsum. Neque enim exigua laus est, incipere, quippe quæ ferventem animum indicet. Ideoque illum misit, ex Titi præsentia magnum illis ad largitionis studium calcar addens. Ac propterea laudibus eum extollit, ut eum Corinthiis vehementius conciliet. Nam & istud magnum ad persuadendum pondus habet, cum is qui monet, benevolo animo est. Pulcre autem semel, & iterum, ac tertio, eleemosynæ mentionem faciens, gratiam eam vocat. Nunc enim ait, *Notam autem vobis facio, fratres, gratiam Dei, quæ data est in ecclesiis Macedoniæ:* nunc, *Voluntarii fuerunt, cum multa oratione obsecrantes nos gratiam & communicationem;* ac rursus: *Ut quemadmodum prius cœpit, ita & perficiat in vobis gratiam istam.* Etenim ingens bonum ac Dei donum hoc est, quod si præstetur, Deo ipsi nos, quantum fieri potest, similes efficiat. Hoc enim potissimum homo est. Unde etiam hominis indicium quidam dicens, hoc posuit.

2. Cor. 2. 13.

4. Magna res est, inquit, homo, ac magni precii vir eleemosynæ studiosus. Major hæc gratia est, quam mortuos ad vitam revocare. Christum enim fame laborantem alere multo præstantius est, quam in nomine Jesu a morte ad vitam homines excitare. Illic enim Christo beneficium das: hic ille tibi. Porro non iis, qui beneficium accipiunt, sed iis qui dant, merces est constituta. Etenim in miraculorum editione debitorem te Deus habet: in eleemosyna autem tu Deum tibi obstrictum habes. Eleemosyna vero tum demum est, cum tu alacri animo, cum large & copiose tribuis: cum teipsum, non dare, sed accipere existimas: cum, ut beneficium accipiens, & quæstum faciens, ac non tamquam perdens largiris. Nam hoc ne beneficium quidem censendum fuerit. Qui enim inopiam alterius sublevat, is læto animo esse nec moleste ferre debet. Annon absurdum fuerit, si, cum alterius mœrorem discutias, mœreas ipse? Neque enim ipsi jam eleemosynæ nomen reliquum facis. Nam si idcirco mœres, quod alterius mœrorem depuleris, extremæ cujusdam crudelitatis ac feritatis argumentum edis. Præstat enim non depellere, quam

Eleemosynam erogare majus est, quam mortuos ad vitam revocare.

A ἵνα καὶ ὑμεῖς αὐτοῖς ἐξισωθῆτε, ἐπέμψαμεν Τίτον· ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τοῦτο δὲ ἐδήλωσε. σκόπει φιλίας ὑπερβολήν. παρ' ἐκείνων γὰρ παρακαλούμενοι, φησὶ, καὶ ἀξιούμενοι, τὰ ὑμέτερα ἐμεριμνῶμεν, μήπως αὐτῶν ἐλαττωθῆτε. διὸ καὶ ἀπεστείλαμεν Τίτον, ἵνα κἀντεῦθεν διεγερθέντες, ὑπομνησθέντες, ζηλώσητε Μακεδόνας. καὶ γὰρ ἐτύγχανεν ἐκεῖ ὢν ὁ Τίτος, ὅτε ἡ ἐπιστολὴ αὕτη ἐγράφετο. δείκνυσι δὲ αὐτὸν καὶ κατάρξαντα τούτου πρὸ τῆς Παύλου προτροπῆς· ἵνα καθὼς προενήρξατο, φησί. διὸ καὶ μεγάλα αὐτοῦ λέγει ἐγκώμια, ἐν ἀρχῇ μὲν, ὅτι τῷ μὴ εὑρεῖν με
B Τίτον τὸν ἀδελφόν μου, οὐκ ἔσχον ἄνεσιν τῷ πνεύματί μου· ἐντεῦθεν δὲ ταῦτα ἅπερ εἴρηκεν ἅπαντα, καὶ τοῦτο δὲ αὐτό. οὐ μικρὸν γὰρ καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ προενάρξασθαι. θερμῆς γὰρ τοῦτο καὶ ζεούσης ψυχῆς. διὸ καὶ ἔπεμψεν αὐτὸν, μεγίστην αὐτοῖς ἐντιθεὶς κἀντεῦθεν προτροπὴν τοῦ [a] δοῦναι, τὴν παρουσίαν Τίτου. διὰ τοῦτο καὶ ἐπαίρει τοῖς ἐπαίνοις αὐτὸν, οἰκειῶσαι βουλόμενος σφοδρότερον τοῖς Κορινθίοις τὸν ἄνθρωπον. καὶ γὰρ καὶ τοῦτο πρὸς τὸ πεῖσαι μέγα, τὸ οἰκείως διακεῖσθαι τὸν συμβουλεύοντα. καλῶς δὲ καὶ
C ἅπαξ, καὶ δὶς, καὶ τρὶς μνημονεύσας τῆς ἐλεημοσύνης, χάριν τὸ πρᾶγμα καλεῖ, νῦν μὲν λέγων, γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας· νῦν δὲ, αὐθαίρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν· καὶ πάλιν, ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. καὶ γὰρ μέγα ἐστὶν ἀγαθὸν καὶ θεοῦ δῶρον τοῦτο, καὶ αὐτῷ τῷ θεῷ κατὰ δύναμιν ἡμᾶς ἐξομοιοῖ κατορθούμενον· τοῦτο γὰρ μάλιστα ἄνθρωπος. λέγων γοῦν
D τις δεῖγμα ἀνθρώπου, τοῦτο τέθεικε·

Μέγα γὰρ, φησὶν, ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. αὕτη μείζων ἡ χάρις, ἢ νεκροὺς ἀνιστᾷν. τοῦ γὰρ ἐν τῷ ὀνόματι Ἰησοῦ τοὺς ἀποθανόντας ἐγείρειν πολλῷ μεῖζον τὸ πεινῶντα τρέφειν τὸν Χριστόν. ἐνταῦθα μὲν γὰρ σὺ τὸν Χριστὸν εὐεργετεῖς, ἐκεῖ δὲ αὐτός σε. καὶ ὁ μισθὸς δὲ ἐν τῷ ποιεῖν εὖ, οὐκ ἐν τῷ πάσχειν εὖ. ἐνταῦθα μὲν γὰρ, ἐπὶ τῶν σημείων λέγω, αὐτὸς ὀφείλεις τῷ θεῷ· ἐπὶ δὲ τῆς ἐλεημοσύνης, τὸν θεὸν ὀφειλέτην ἔχεις. ἐλεημοσύνη δέ ἐστιν,
E ὅταν μετὰ προθυμίας γίνηται, ὅταν μετὰ δαψιλείας, ὅταν μὴ νομίσῃς διδόναι, ἀλλὰ λαμβάνειν, ὅταν ὡς εὐεργετούμενος, ὅταν ὡς κερδαίνων καὶ μὴ ἀπολλύς· ἐπεὶ τοῦτο οὐδὲ χάρις. τὸν γὰρ ἕτερον ἐλεοῦντα, χαίρειν, οὐ δυσχεραίνειν δεῖ. πῶς γὰρ οὐκ ἄτοπον, εἰ τὴν ἑτέρου λύων ἀθυμίαν, αὐτὸς ἀθυμοίης; οὐκέτι γὰρ ἐᾷς αὐτὴν ἐλεημοσύνην εἶναι· εἰ γὰρ ἀθυμεῖς ὅτι ἕτερον ἀπήλλαξας ἀθυμίας, ἐσχάτης ὠμότητος καὶ ἀπανθρωπίας δεῖγμα ἐκφέρεις. βέλτιον γὰρ μὴ ἀπαλλάττειν,

a δοῦναι. Savilius in margine ἐπιδοῦναι.

ἢ οὕτως ἀπαλλάττειν. τί δὲ ὅλως καὶ ἀθυμεῖς, ἄνθρωπε; μὴ ἔλαττόν σοι γένηται τὸ χρυσίον; ὅλως, εἰ τοιαύτην ἔχεις προαίρεσιν, μηδὲ δῷς· εἰ μὴ θαρρεῖς ὅτι πολυπλασιάζεταί σοι ἐν οὐρανοῖς, μὴ παράσχῃς. ἀλλ' ἐνταῦθα ζητεῖς τὴν ἀντίδοσιν. διὰ τί; ἄφες τὴν ἐλεημοσύνην ἐλεημοσύνην εἶναι, καὶ μὴ ἐμπορείαν. πολλοὶ μὲν οὖν καὶ ἐνταῦθα ἀπέλαβον· ἀλλ' οὐχ οὕτως ἔλαβον, ὡς ταύτῃ πλέον ἕξοντες τῶν οὐ λαβόντων ἐνταῦθα. ἀλλ' ἔνιοι τούτων ὡς ἀσθενέστεροι, ἐπειδὴ τοῖς ἐκεῖ οὐ σφόδρα ἐφείλκοντο. καὶ ὥσπερ οἱ λίχνοι καὶ ἀπειρόκαλοι καὶ γαστρὸς δοῦλοι ἐπὶ βασιλικὴν κληθέντες τράπεζαν, καὶ τὸν προσήκοντα καιρὸν οὐκ ἀναμένοντες, κατὰ τὰ παιδία τὰ μικρὰ, λυμαίνονται αὐτῶν τὴν εὐφροσύνην, προλαμβάνοντες, καὶ κορεννύοντες ἑαυτοὺς σιτίοις καταδεεστέροις· οὕτω δὴ καὶ οὗτοι οἱ ἐνταῦθα ἐπιζητοῦντες καὶ λαμβάνοντες, τὸν μισθὸν ἐλαττοῦσι τὸν ἐκεῖ. εἶτα δανείζων μὲν, μετὰ πλείονα χρόνον ἐπιθυμεῖς ἀπολαβεῖν τὸ χρέος, τάχα δὲ οὐδὲ ἀπολαβεῖν, ἵνα τῇ μελλήσει πλείονα τὸν τόκον ἐργάσῃ· ἐνταῦθα δὲ εὐθέως ἀπαιτεῖς, καὶ ταῦτα οὐ μέλλων ἐνταῦθα εἶναι, ἀλλ' ἐκεῖ διηνεκῶς, οὐ μέλλων ἐνταῦθα δικάζεσθαι, ἀλλ' ἐκεῖ τὰς εὐθύνας [a] ὑφέξων; καὶ εἰ μέν τίς σοι κατεσκεύαζεν οἰκίας, ἔνθα μὴ ἔμελλες μένειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ἄν· νυνὶ δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας μέλλεις πολλάκις ἀποδημεῖν; οὐκ οἶδας ὅτι ἐπ' ἀλλοτρίας διατρίβομεν, καθάπερ ξένοι καὶ πάροικοι; οὐκ οἶδας ὅτι παροίκων ἐστὶν ἐκβάλλεσθαι, ὅτε μὴ προσδοκῶσι, μηδὲ ἐλπίζουσιν; ὅπερ καὶ ἡμεῖς πάσχομεν. διὰ δὴ τοῦτο, ὅσα ἂν κατασκευάσωμεν, ἐνταῦθα ἀφίεμεν. οὐ γὰρ συγχωρεῖ ὁ δεσπότης λαμβάνοντας αὐτὰ ἀπελθεῖν, ἄν τε οἰκίας οἰκοδομήσωμεν, ἄν τε ἀγροὺς ἀγοράσωμεν, ἄν τε ἀνδράποδα, ἄν τε σκεύη, ἄν τε ἕτερόν τι τοιοῦτον. οὐ μόνον δὲ οὐκ ἀφίησιν ἐντεῦθεν λαβόντας ἀπελθεῖν, ἀλλ' οὐδὲ λογίζεταί σοι τὸν μισθόν. προεῖπε γάρ σοι, ὅτι μὴ οἰκοδομήσῃς, μηδὲ δαπανήσῃς τὰ ἀλλότρια, ἀλλὰ τὰ σά. τί τοίνυν τὰ σὰ ἀφεὶς, ἐν τοῖς ἀλλοτρίοις ἐργάζῃ, καὶ δαπανᾷς, ἵνα ἀπολέσῃς καὶ τὸν πόνον καὶ τὸν μισθὸν, καὶ κόλασιν τὴν ἐσχάτην ὑπομείνῃς; μὴ, παρακαλῶ· ἀλλ' ἐπειδὴ τῇ φύσει ἐσμὲν πάροικοι, γενώμεθα καὶ προαιρέσει, ἵνα μὴ ἐκεῖ γενώμεθα πάροικοι, καὶ ἄτιμοι, καὶ ἀπερριμμένοι. ἂν γὰρ ἐνταῦθα βουληθῶμεν γενέσθαι πολῖται, οὔτε ἐνταῦθα ἐσόμεθα, οὔτε ἐκεῖ· ἂν δὲ πάροικοι μείνωμεν ὄντες, καὶ διαγάγωμεν οὕτως, ὡς παροίκους διατρίβειν εἰκὸς, πολιτῶν καὶ ἐνταῦθα καὶ ἐκεῖ ληψόμεθα παῤῥησίαν. ὁ γὰρ δίκαιος, καὶ μηδὲν ἔχων, καὶ ἐνταῦθα ἐν τοῖς ἁπάντων, ὡς ἐν τοῖς ἑαυτοῦ διατρίψει, καὶ πρὸς τὸν οὐρανὸν ἀπελθὼν, ὄψεται τὰς αἰωνίους αὐτοῦ σκηνάς· καὶ οὔτε ἐνταῦθα πείσεταί τι τῶν ἀηδῶν· οὔτε γὰρ ξένον αὐτόν τις ποιῆσαι δυνήσεται τὸν πᾶσαν τὴν γῆν ἔχοντα πόλιν· καὶ τὴν αὐτοῦ πατρίδα ἀπολαβὼν, ἐπιδέξεται τὸν ἀληθῆ πλοῦτον. ἵν' οὖν

[a] ὑφέξων. Alii, ἐφέξειν.

A ita depellere. Quid autem omnino est, o homo, quod mœres? An ne aurum tuum minuatur? Si hoc animo es, prorsus ne des quidem. Nisi tibi in cælis aurum tuum multis partibus augeri confidis; ne tribuas. At hic vicem tibi rependi postulas? Quid ita? Sine eleemosynam eleemosynam esse, non negotiationem. Sane multi in hac quoque vita receperunt: verum non ita receperunt, quasi superiores iis futuri, qui hic nihil acceperunt. Quin potius nonnulli ex illis, ut imbecilliores, quia futuris bonis non admodum alliciebantur, hic receperunt. Et sicut B helluones & imperiti homines, ventrisque mancipia, ad regiam mensam acciti, congruum tempus, puerorum more, minime exspectantes, voluptatem suam labefactant, antevertentes ipsi, vilioribus epulis sese ingurgitant: ita hi quoque, qui in hac vita bona quærunt & accipiunt, futuræ mercedem minuunt. Itane vero tu, cum pecuniam fœnori das, sortem tuam longo post tempore recipere cupis, ac fortasse ne recipere quidem, ut ex mora fœnus tibi augeatur: hic contra statim exigis, idque cum non hic, sed illic, perpetuo futurus sis: non hic judicium subiturus, sed illic causam dictu- C rus? Et quidem si tibi quispiam ædes illic appararet, ubi commoraturus minime esses, contumeliæ id duceres: nunc autem hic dives esse studes, unde ante vesperam quoque fortasse migrandum tibi est? An te fugit nos in aliena regione tamquam hospites & advenas versari? An nescis advenas ea esse conditione, ut tum ejiciantur, cum minime id exspectant, & opinantur? Id quod nobis usu venit. Ac propterea quidquid exstruxerimus, hic relinquimus. Neque enim sinit nos Dominus ea nobiscum hinc efferre, sive domos condiderimus, sive prædia emerimus, sive mancipia, sive vasa, sive aliud quidpiam D ejusdem generis. Nec vero te dumtaxat minime sinit ea tecum efferre: sed ne mercedem quidem tibi assignat. Prædixit enim tibi ac denunciavit, ne ædifices atque consumas aliena, sed tua. Quid igitur causæ est, cur relictis tuis, in alienis operam naves, & sumtus facias: ut sic & laborem & mercedem perdas, & extremas pœnas subeas? Ne quæso, hoc committamus: verum quia natura advenæ sumus, animo quoque ac voluntate simus: ne alioqui illic advenæ simus, atque contemti & abjecti. Nam si cives hic effici E in animum induxerimus, nec hic cives erimus, nec illic. Sin autem hic advenæ esse perseveraverimus, atque ita, ut advenas decet, vitam degamus, civium libertatem ac fiduciam, & in hac & in futura vita consequemur. Vir quippe justus, etiamsi nullas opes habeat, tamen, & hic in omnium bonis, tamquam in suis, versabitur: & ad cælum profectus, æterna tabernacula sua conspiciet: ac neque hic injucundi quidquam perpetietur; nec enim quisquam eum, qui terram universam pro civitate sua habeat, peregrinum facere poterit; & patriæ suæ restitutus, veras opes accipiet. Ut igitur,

& hujus, & illius vitæ bona lucremur, facultatibus nostris, ut par est, utamur. Sic enim fiet, ut cælorum cives simus, & multa libertate ac fiducia perfruamur: qua utinam nobis omnibus frui contingat, per gratiam & benignitatem, &c.

A ἀμφότερα κερδάνωμεν, καὶ τὰ ἐνταῦθα, καὶ τὰ ἐκεῖ, εἰς δέον τοῖς οὖσι χρησώμεθα. οὕτω γὰρ ἐσόμεθα τῶν οὐρανῶν πολῖται, καὶ πολλῆς ἀπολαυσόμεθα παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XVII.

*7. Sed ut in omnibus abundetis fide & sermone, & scientia, & omni solicitudine.*

1. VIDE quomodo rursus ad laudes cohortationem adjungat: ut eorum animos ad majores laudes excitet. Nec dixit: Ut detis, sed, *Ut abundetis in fide* donorum spiritualium, *& sermone*, sapientiæ; *& scientia*, dogmatum fidei, *& omni solicitudine*, hoc est studio cæterarum virtutum. *Insuper & caritate vestra in nos;* de qua prius loquutus sum, & cujus demonstrationem feci. *Ut & in hac gratia abundetis.* Vides eum ideo ab illis laudibus exorsum esse, ut via progrediens, eos in his quoque ad idem studium pertraheret. 8. *Non quasi imperans dico.* Vide quomodo assidue illis indulgeat, quomodo minime gravem ac violentum & imperiosum se præbeat. Imo vero utrumque his verbis complectitur; & minime molestus est, & necessitatem non inducit. Quoniam enim frequenter admonuit, ac Macedonas summis laudibus extulit, ne hoc coactionis speciem habere videatur, ait, *Non quasi imperans dico: sed per aliorum solicitudinem vestræ caritatis sinceritatem comprobans.* Non ut dubitans; neque enim istud hoc loco significat; sed probam eam efficiens ac declarans, & firmiorem reddens. Ob id enim his verbis utor, ut vos ad eamdem animi promtitudinem exstimulem. Ideo studium eorum commemoro, ut animi vestri propensionem illustrem atque excitem. Deinde hinc ad aliud quiddam majus delabitur. Neque enim ullum admonitionis modum prætermittit: verum omnia movet, ac quovis modo orationem tractat. Nam & per aliorum laudes eos cohortatus est, dicens: *Notam autem vobis facimus gratiam Dei, quæ data est in ecclesiis Macedoniæ;* & eos etiam ipsos laudando, cum ait: *Sed ut in omnibus abundetis, in sermone, in scientia.* Hoc enim acrius hominem mordet, cum quis a seipso vincitur, quam cum ab aliis. Postea denique ad id, quod admonitionis caput & coronis erat, se confert. 9. *Scitis enim gratiam Domini nostri, quoniam propter nos egenus factus est, cum dives esset: ut illius inopia nos divites essemus.* Cogitate, inquit, ac cum animis vestris reputate gratiam Dei: nec temere eam præterite, verum, quæ & quanta sit illius magnitudo, conjicite. Ita fiet, ut nullis vestris rebus parcatis. Ille gloriam suam exinanivit: ut vos, non illius opibus, sed egestate ditemini. Si adduci nequis, ut egestatem divitiarum efficientem esse cre-

## ΟΜΙΛΙΑ ιζʹ.

Ἀλλ' ὡς ἐν παντὶ περισσεύητε, πίστει καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ.

B ὍΡΑ πάλιν μετ' ἐγκωμίων, τὴν προτροπὴν γινομένην ἐγκωμίων μειζόνων. καὶ οὐκ εἶπεν, ἵνα δῶτε, ἀλλ', ἵνα περισσεύητε, πίστει τῇ τῶν χαρισμάτων, καὶ λόγῳ τῷ τῆς σοφίας, καὶ γνώσει τῇ τῶν δογμάτων, καὶ πάσῃ σπουδῇ πρὸς τὴν ἄλλην ἀρετήν. καὶ τῇ ἐξ ὑμῶν ἀγάπῃ. ταύτῃ ἣ προεῖπον, ἧς καὶ τὴν ἀπόδειξιν ἐποιησάμην. ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε. εἶδες ὅτι διὰ τοῦτο ἐκεῖθεν ἤρξατο ἀπὸ τῶν ἐπαίνων ἐκείνων, ἵνα ὁδῷ προβαίνων, εἰς τὴν αὐτὴν αὐτοὺς καὶ ἐν τούτοις ἑλκύσῃ σπουδήν. C οὐ κατ' ἐπιταγὴν λέγω. ὅρα πῶς συνεχῶς αὐτοῖς χαρίζεται, πῶς ἀνεπαχθὴς γίνεται, καὶ οὐ βίαιος, οὐδὲ ἀναγκαστικός· μᾶλλον δὲ ἀμφότερα ὁ λόγος ἔχει, καὶ τὸ ἀνεπαχθὲς, καὶ τὸ ἀκατανάγκαστον. ἐπειδὴ γὰρ συνεχῶς παρῄνεσε, καὶ σφόδρα Μακεδόνας ἐνεκωμίασεν, ἵνα μὴ δόξῃ τοῦτο ἀνάγκη εἶναι, φησὶν, οὐ κατ' ἐπιταγὴν λέγω. ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων. οὐχ ὡς ἀμφισβητῶν· οὐ γὰρ τοῦτο ἐνταῦθα δηλοῖ· ἀλλὰ δόκιμον αὐτὸ ποιῶν, καὶ ἀποφαίνων, καὶ ἰσχυρότερον κατασκευάζων. D διὰ γὰρ τοῦτο ταῦτά φημι, ἵνα ὑμᾶς παροξύνω πρὸς τὴν αὐτὴν προθυμίαν· καὶ μέμνημαι τῆς ἐκείνων σπουδῆς, λαμπρύνων, φαιδρύνων, ἐρεθίζων τὴν ὑμετέραν διάθεσιν. εἶτα ἀπὸ τούτου εἰς ἕτερον μεῖζον κατήντησε. καὶ γὰρ οὐδένα παρίησι τρόπον συμβουλῆς, ἀλλὰ πάντα κινεῖ, καὶ μεταχειρίζεται τὸν λόγον. καὶ γὰρ ἀπὸ τῶν ἀλλοτρίων ἐγκωμίων προέτρεψε λέγων, γνώσκετε τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας· καὶ ἀπὸ τῶν οἰκείων, ἀλλ' ὡς ἐν παντὶ περισσεύητε, λόγῳ, καὶ γνώσει. μειζόνως γὰρ δύναται τοῦτο δακεῖν, ὅταν ὑφ' ἑαυτοῦ τις ἡττᾶται, ἢ ὅταν ὑφ' ἑτέρων. E εἶτα λοιπὸν ἐπὶ τὸ κεφάλαιον καὶ τὴν κορωνίδα τῆς συμβουλῆς ἵεται. γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν, ὅτι δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὢν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. ἐννοήσατε γάρ, φησιν, ἐνθυμήθητε, καὶ λογίσασθε τὴν χάριν τοῦ θεοῦ, καὶ μὴ ἁπλῶς αὐτὴν παραδράμητε, ἀλλὰ στοχάσασθε αὐτῆς τὸ μέγεθος, ὅση ἐστὶ καὶ ἡλίκη, καὶ οὐδενὸς [a] φείσεσθε τῶν ὑμετέρων. ἐκεῖνος δόξαν ἐκένωσεν, οὐχ ἵνα ὑμεῖς τῷ πλούτῳ αὐτοῦ, ἀλλὰ τῇ πτωχείᾳ πλουτήσητε. εἰ μὴ πιστεύεις ὅτι ἡ πτωχεία πλούτου ἐστὶ ποιητικὴ,

a φείσεσθε τῶν ὑμετέρων. Savil. in marg. φείσῃ τῶν σῶν.

ἐννόησόν σου τὸν δεσπότην, καὶ οὐκέτι ἀμφιβάλης. εἰ μὴ γὰρ ἐκεῖνος ἐγένετο πτωχὸς, οὐκ ἂν ἐγένου σὺ πλούσιος. τὸ γὰρ θαυμαστὸν τοῦτο, ὅτι πτωχεία ἐπλούτησε πλοῦτον. πλοῦτον δὲ ἐνταῦθά φησι, τὴν γνῶσιν τῆς εὐσεβείας, τὸν τῶν ἁμαρτημάτων καθαρισμὸν, τὴν δικαιοσύνην, τὸν ἁγιασμὸν, τὰ μυρία, ἅπερ παρέσχεν ἡμῖν ἀγαθὰ, καὶ μέλλει παρέχειν. καὶ ταῦτα ἅπαντα διὰ τῆς πτωχείας γέγονεν ἡμῖν. ποίας πτωχείας; διὰ τοῦ σάρκα ἀναλαβεῖν καὶ γενέσθαι ἄνθρωπον, καὶ παθεῖν ἅπερ ἔπαθε. καίτοιγε ἐκεῖνος ταῦτα οὐκ ὤφειλε· σὺ δὲ ὀφείλεις αὐτῷ. καὶ γνώμην ὑμῖν ἐν τούτῳ δίδωμι πρὸς τὸ συμφέρον. ὅρα πῶς πάλιν τοῦ ἀνεπαχθὴς εἶναι φροντίζει, καὶ δύο τούτοις παραμυθεῖται τὸν λόγον, καὶ τῷ εἰπεῖν γνώμην δίδωμι, καὶ πρὸς τὸ ὑμῶν συμφέρον. οὔτε γὰρ καταναγκάζω καὶ βιάζομαι, φησι, καὶ παρὰ ἀκόντων ἀπαιτῶ· οὔτε τὸ τῶν λαμβανόντων ὡς τὸ ὑμῖν λυσιτελὲς σκοπῶν, ταῦτα λέγω. εἶτα καὶ τὸ παράδειγμα λοιπὸν ἐξ αὐτῶν, ἀλλὰ οὐκ ἐξ ἑτέρων. οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι. ὅρα πῶς δείκνυσι καὶ αὐτοὺς ἑκόντας καὶ χωρὶς προτροπῆς ἐπὶ τοῦτο ἐλθόντας. ἐπειδὴ γὰρ τοῦτο ἐμαρτύρησε Θεσσαλονικεῦσιν, ὅτι αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως ἥψαντο τῆς ἐλεημοσύνης, βούλεται καὶ τούτων δεῖξαι τὸ κατόρθωμα τοῦτο ὄν. διὸ εἶπεν, οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν· καὶ οὐχὶ, ἐνήρξασθε, ἀλλὰ, προενήρξασθε ἀπὸ πέρυσι. ἐπὶ ταῦτα οὖν ὑμᾶς παρακαλῶ, ἐφ' ἃ ἑαυτοὺς φθάσαντες διηγείρατε μετὰ προθυμίας ἁπάσης. νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε. οὐκ εἶπεν, ἐποιήσατε, ἀλλ' ἐπεθήκατε τέλος· ὅπως καθάπερ ἡ προθυμία ἐκ τοῦ θέλειν, οὕτω καὶ τὸ ποιῆσαι ἐκ τοῦ ἔχειν. ἵνα μὴ μέχρι προθυμίας στῇ τὸ καλὸν τοῦτο κατόρθωμα, ἀλλὰ καὶ τὸν ἀπὸ τῶν ἔργων λάβῃ μισθόν. εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἂν ἔχει τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει. ὅρα σοφίαν ἄφατον. δείξας τοὺς ὑπὲρ δύναμιν ποιοῦντας, τοὺς Θεσσαλονικέας λέγω, καὶ ἐπαινέσας αὐτοὺς ἐπὶ τούτῳ, καὶ εἰπὼν, ὅτι μαρτυρῶ [a] αὐτοῖς, ὅτι καὶ ὑπὲρ δύναμιν· ἐπειδὴ κατὰ δύναμιν παρακαλεῖ μόνον, ἀφεὶς τὸ ὑπόδειγμα ἐργάσασθαι τὸ ἑαυτοῦ· ἤδει γὰρ ὅτι οὐχ οὕτω παραίνεσις, ὡς ζῆλος ἐγείρει πρὸς τὴν τῶν ὁμοίων μίμησιν· διό φησιν, εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἐὰν ἔχῃ, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει. μὴ φοβηθῇς, φησιν, ἐπειδὴ ἐκεῖνα εἴρηκα. τῆς γὰρ ἐκείνων φιλοτιμίας ἐγκώμιον τὸ εἰρημένον· ὁ δὲ θεὸς τὰ κατὰ δύναμιν ἀπαιτεῖ, καὶ καθ' ὃ ἔχει τις, [b] οὐ καθ' ὃ οὐκ ἔχει. [b] τὸ γὰρ, εὐπρόσδεκτος, ἐνταῦθα τὸ, ἀπαιτεῖται, δηλοῖ. καὶ σφόδρα λιπαίνει, τούτῳ θαρρῶν τῷ ὑποδείγματι, καὶ τῷ δοῦναι ἐξουσίαν μᾶλλον ἐφελκόμενος. διὸ καὶ ἐπήγαγεν.

das, Dominum tuum cogita, & de ea re ambigere desines. Nisi enim ille pauper factus fuisset, tu dives minime exstitisses. In quo illud mirandum est, quod paupertas opibus circumfluxit. Divitias porro hoc loco appellat pietatis cognitionem, peccatorum purgationem, justitiam, sanctificationem, ac mille alia bona, quæ nobis largitus est, ac largietur. Atque hæc omnia paupertatis beneficio nobis contigerunt. Cujus paupertatis? Quod carnem susceperit, atque homo factus sit, eaque pertulerit. Quamquam hæc ille minime debebat: cum tu contra ipsi debeas. 10. *Et consilium in hoc do: hoc enim vobis utile est.* Vide rursus quantam curam adhibeat, ne gravis ac molestus sit, atque his duabus rebus sermonem mitiget, dum ait: *Consilium do:* &, *quod vobis utile est.* Neque enim cogo ac vim infero, inquit, neque ab invitis extorqueo: sed in his verbis, neque tam eorum, qui accipiunt, quam vestram utilitatem mihi propono. Deinde exemplum & ab ipsis sumit, non ab aliis; *qui non solum facere, sed & velle prius cœpistis ab anno superiore.* Vide quomodo ostendat eos ultro, ac citra cujusquam cohortationem, eo venisse. Quoniam enim hoc de Thessalonicensibus asseruerat, quod ultro, & cum magna exhortatione, ad eleemosynam se contulerant, vult jam ostendere hos idem quoque præstitisse. Ac proinde dixit, *non solum facere, sed & velle;* & non, *cœpistis,* sed, *prius cœpistis ab anno superiori.* Ad eadem ergo vos hortor, inquit, ad quæ antehac cum omni alacritate vosipsos excitastis. 11. *Nunc vero & facto perfecistis.* Non dixit, *fecistis,* sed, finem imposuistis. *Ut quemadmodum promtus est animus voluntatis: ita & fit perficiendi ex eo quod habetis.* Ut præclara hæc virtus non intra animi promtitudinem consistat, sed etiam mercedem, quam opera afferunt, consequatur. 12. *Si enim voluntas promta est, secundum id quod quis habet, accepta est, non secundum id quod non habet.* Vide sapientiam ineffabilem. (Pauli sapientia.) Cum quosdam ostendisset, qui facultates suas in largiendo excederent, Thessalonicenses nimirum, eosdem hoc nomine collaudasset, dixissetque, Testimonium reddo eis, quod etiam supra virtutem; quia secundum facultates jam hortatur, sinens exemplum partes suas agere; norat enim admonitionem ad earumdem rerum imitationem non perinde animum excitare, ac zelum; idcirco ait: *Si enim voluntas propria est, secundum id quod habet accepta est, non secundum id quod non habet.* Ne timeas, inquit, quia illa dixi. Etenim mirificam illorum liberalitatem prædicabam: at Deus ea tantum expetit, quæ nostrarum virium sunt, secundum id quod quis habet, non secundum id quod non habet. Vox enim εὐπρόσδεκτος, hoc loco idem indicat, quod ἀπαιτεῖται, id est, postulatur. Atque his verbis valde ipsos delinit, exemplo illo fretus, eoque magis illos alliciens, quod potestatem illis daret. Unde etiam subjunxit:

[a] Editi, αὐτοὺς male.

[b] τὸ γὰρ εὐπρόσδεκτος ἐνταῦθα, τὸ, ἀπαιτεῖται δηλοῖ; id est, voluntas seu προθυμία illa accepta est, quia illud quod ἀπαιτεῖται seu requiritur & postulatur implet.

13. *Non enim ut aliis sit remissio, vobis autem tribulatio.*

Marc. 12. 41. 2. Atqui Christus contrarium in vidua illa laudavit, quod videlicet victum totum suum profudisset, atque ex penuria sua tribuisset.
1. Cor. 9. 15. Sed quia Corinthios alloquebatur, ubi esurire malebat; melius est enim mihi mori, inquit, quam ut gloriam meam quis evacuet; ob eam causam admonitionem suam temperat. Illos quidem, qui supra vires largiuntur, laudans: hos tamen, ut idem faciant, haud adigens. Non quod nollet: sed quia imbecilliores erant. Alioqui cur illos hoc nomine laudibus effert, quod in multo experimento tribulationis, abundantia gaudii eorum fuerit, & altissima paupertas eorum superabundaverit in divitias simplicitatis eorum: & quod supra vires tribuerint? Annon perspicuum est, eum hos quoque ad earumdem virtutum studium incitare? Quocirca, etiamsi minora ipsis concedere videatur, hoc tamen eo consilio facit; ut ipsos, per illa ad hæc subvehat. Considera quippe quomodo per ea etiam, quæ sequuntur, id occulte adstruat. Postquam enim his verbis usus est, subdidit, *Vestra abundantia illorum inopiam suppleat.* Non enim superioribus tantum, sed etiam his verbis efficere studet, ut præceptum hoc leve ipsis esse videatur. Ac ne hinc quidem dumtaxat, sed etiam a mercede rursus illud facilius reddit, ac magnificentius, quam pro eorum dignitate, loquitur dicens: 14. *Ut fiat æqualitas in præsenti tempore: & illorum abundantia vestram inopiam suppleat.* Quid autem est quod ait? Vos opibus floretis: illi vitæ integritate, & libertate ac fiducia erga Deum. Proinde de opibus quæ vobis redundant, ipsis autem desunt, eis impertite: ut de ea fiducia, qua ipsi abundant, vos autem indigetis, vicissim accipiatis. Vide quomodo occulte hoc adstruxerit, ipsos supra vires, atque ex penuria dare debere. Si enim, inquit, de redundantia accipere vis, de redundantia quoque tribue. Si autem totum attrahere cupis, de penuria quoque ac supra vires præbe. At hoc quidem minime dixit: verum auditoribus cogitandum relinquit. Ipse autem id, quod sibi proponebat, ac temperatam admonitionem interim efficit, secundum id quod apparebat subjungens, ac dicens: *Ut fiat æqualitas in præsenti tempore.* Quomodo æqualitas? Vobis, atque illis mutuo, quæ utrisque redundant, tribuentibus ac quæ desunt supplentibus. Atenim quæ est ista æqualitas pro carnalibus spiritualia rependere? Multo enim præstantiora hæc sunt, quam illa. Quo pacto igitur æqualitatem vocat? Nimirum vel quantum ad redundantiam & inopiam, vel quantum ad præsentem dumtaxat vitam attinet, hanc æqualitatem fieri dicit. Ob id enim cum dixisset, *æqualitas*, subjunxit: *In præsenti tempore.* Hæc autem dicebat, tum ut divitum arrogantiam comprimeret: tum ut ostenderet post discessum ex hac vita spiritales homines præstantiore conditione fore. Etenim in hac vita æqualitate magna omnes fruimur: at tum magna distinctio erit,

A οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις.

Καίτοιγε ὁ Χριστὸς τοὐναντίον ἐπῄνεσεν ἐπὶ τῆς χήρας, ὅτι τὸν βίον ὅλον ἐκένωσε, καὶ ἐκ τοῦ ὑστερήματος ἔδωκεν. ἀλλ' ἐπειδὴ Κορινθίοις διελέγετο, ἔνθα ᾑρεῖτο λιμώττειν· καλὸν γάρ μοι μᾶλλον τὸ ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ· διὰ τοῦτο συμμεμετρημένῃ χρῆται τῇ παραινέσει, ἐπαινῶν μὲν τοὺς ὑπὲρ δύναμιν, οὐκ ἀναγκάζων δὲ τούτους ποιῆσαι τοῦτο· οὐκ ἐπειδὴ οὐκ ἐβούλετο, ἀλλ' ἐπειδὴ ἀσθενέστεροι ἦσαν. ἐπεὶ τίνος ἕνεκεν ἐκείνους ἐγκωμιάζει, B ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους αὐτῶν πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, καὶ ὅτι ὑπὲρ δύναμιν ἔδωκαν; οὐκ εὔδηλον, ὅτι καὶ τούτους εἰς ταῦτα ἐνάγων; ὥστε εἰ καὶ δοκεῖ τὰ ἐλάττονα συγχωρεῖν· ἵνα δι' ἐκείνων ἐπὶ ταῦτα ἀναβιβάσῃ, τοῦτο ποιεῖ. σκόπει γοῦν καὶ διὰ τῶν ἑξῆς πῶς λανθανόντως αὐτὸ κατασκευάζει. εἰπὼν γὰρ ταῦτα, ἐπήγαγε· τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα. οὐ γὰρ τοῖς εἰρημένοις μόνον, ἀλλὰ καὶ τούτοις κούφην ποιῆσαι βούλεται τὴν ἐντολήν. καὶ οὐκ ἐντεῦ- C θεν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀντιδόσεως πάλιν εὐκολωτέραν αὐτὴν καθίστησι, καὶ μείζονα φθέγγεται τῆς ἀξίας αὐτῶν λέγων· ἵνα γένηται ἰσότης ἐν τῷ νῦν καιρῷ, καὶ τὸ ἐκείνων περίσσευμα εἰς τὸ ὑμῶν ὑστέρημα. τί δέ ἐστιν ὅ φησι; κομᾶτε χρήμασιν ὑμεῖς· κομῶσιν ἐκεῖνοι βίῳ, καὶ παρρησίᾳ τῇ πρὸς τὸν θεόν. δότε τοίνυν αὐτοῖς ἀφ' ὧν περισσεύετε χρημάτων, ἐκεῖνοι δὲ οὐκ ἔχουσιν· ἵνα λάβητε ἀπὸ τῆς παρρησίας καθ' ἣν πλουτοῦσιν ἐκεῖνοι, ὑστερεῖσθε δὲ ὑμεῖς. ὅρα πῶς τὸ ὑπὲρ δύναμιν, καὶ τὸ ἐκ τοῦ ὑστερήματος διδόναι κατεσκεύασε λανθα- D νόντως. εἰ γὰρ βούλει, φησὶν, ἐκ τοῦ περισσεύματος λαβεῖν, ἐκ τοῦ περισσεύματος δός· εἰ δὲ ὁλόκληρον ἐπισπάσασθαι, ἐκ τοῦ ὑστερήματος παρέξεις, καὶ ὑπὲρ δύναμιν. ἀλλὰ τοῦτο μὲν οὐ λέγει· καταλείπει δὲ αὐτὸ τῷ λογισμῷ τῶν ἀκροατῶν· αὐτὸς δὲ τὸ προκείμενον, καὶ τὴν σύμμετρον παραίνεσιν τέως ἐργάζεται, κατὰ τὸ φαινόμενον ἐπάγων καὶ λέγων, ὅπως γένηται ἰσότης ἐν τῷ νῦν καιρῷ. πῶς ἰσότης; τὰ περισσεύματα ἀντιδιδόντων ὑμῶν κἀκείνων, καὶ τὰ ὑστερήματα πληρούντων. καὶ ποία αὕτη ἰσότης, σαρ- E κικῶν πνευματικὰ ἀντιδιδόναι; πολλὴ γὰρ ἐνταῦθα ὑπεροχή· πῶς οὖν ἰσότητα καλεῖ; ἢ κατὰ τὸ περισσεύειν καὶ ὑστερεῖσθαι, ἢ κατὰ τὸν παρόντα βίον τοῦτό, φησι, γενέσθαι μόνον. διὰ γὰρ τοῦτο εἰπὼν, ἰσότης, ἐπήγαγεν, ἐν τῷ νῦν καιρῷ. ταῦτα δὲ ἔλεγε, καὶ τῶν πλουτούντων καταστέλλων τὰ φρονήματα· καὶ δεικνὺς, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἐν πλείονι οἱ πνευματικοὶ ὑπεροχῇ. ἐντεῦθεν μὲν γὰρ πολλῆς ἅπαντες ἀπολαύομεν ἰσοτιμίας· τότε δὲ πολλὴ διάκρισις,

καὶ

καὶ μεγίστη ὑπεροχή, ὑπὲρ τὸν ἥλιον λαμπόντων τῶν δικαίων. Εἶτα ἐπειδὴ ἔδειξεν αὐτοὺς οὐ διδόντας μόνον, ἀλλὰ καὶ ἀντιλαμβάνοντας μείζονα, καὶ ἑτέρωθεν βούλεται κατασκευάσαι τὴν προθυμίαν αὐτῶν, δεικνὺς ὅτι οὐδ' εἰ μὴ μεταδοῖεν ἑτέροις, ἕξουσί τι πλέον, πάντα ἔνδον συνάγοντες. καὶ παράγει παλαιὰν ἱστορίαν οὕτω λέγων· καθὼς γέγραπται, ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε. τοῦτο δὲ ἐπὶ τοῦ μάννα γέγονεν. οἵ τε γὰρ πλεῖον συναγαγόντες, οἵ τε ἔλαττον τὸ αὐτὸ μέτρον εὑρίσκοντο ἔχοντες, τὴν ἀπληστίαν τοῦ θεοῦ ταύτῃ κολάζοντος. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ φοβῶν αὐτοὺς ἀπὸ τῶν τότε γενομένων, καὶ μηδαμοῦ τοῦ πλείονος ἐφίεσθαι πείθων, μηδὲ ἀλγεῖν ἐπὶ τῷ ἔλαττον ἔχειν. τοῦτο δὲ καὶ νῦν γινόμενόν ἐστιν ἰδεῖν ἐπὶ τῶν βιωτικῶν πραγμάτων, οὐκ ἐπὶ τοῦ μάννα μόνον. εἰ γὰρ ἅπαντες μίαν γαστέρα πληροῦμεν, καὶ τὸν αὐτὸν χρόνον ζῶμεν, καὶ ἓν σῶμα περιβαλλόμεθα· οὐδὲν οὔτε τῷ πλουτοῦντι πλέον ἀπὸ τῆς περιουσίας ἔσται, οὔτε τῷ πένητι ἀπὸ τῆς πτωχείας ἔλαττον. τί τοίνυν τρέμεις πενίαν; τί δὲ διώκεις πλοῦτον; δέδοικα, φησὶ, μὴ ἀναγκασθῶ ἐπὶ τὰς ἑτέρων θύρας ἐλθεῖν, καὶ δεηθῆναι τοῦ πλησίον. πολλῶν δὲ εὐχομένων τοῦτο ἀκούω συνεχῶς, καὶ λεγόντων, μή με ἀφῇς ἐν χρείᾳ ἀνθρώπων καταστῆναί ποτε· καὶ σφόδρα γελῶ ταῦτα ἀκούων. καὶ γὰρ παιδικὸς ὁ φόβος. καθ' ἑκάστην γὰρ ἡμέραν, καὶ ἐν ἅπασιν, ὡς εἰπεῖν, ἐν χρείᾳ ἀλλήλων καθεστήκαμεν. ὥστε ἀπειροκάλου ψυχῆς, καὶ πεφυσιωμένης ταυτὶ τὰ ῥήματα, καὶ οὐ διαγινωσκούσης σαφῶς τὴν τῶν πραγμάτων φύσιν. οὐχ ὁρᾷς ὅτι πάντες ἀλλήλων χρῄζομεν; ὁ στρατιώτης, τοῦ χειροτέχνου· ὁ χειροτέχνης, τοῦ ἐμπόρου· ὁ ἔμπορος, τοῦ γεωργοῦ· ὁ δοῦλος, τοῦ ἐλευθέρου· ὁ δεσπότης, τοῦ δούλου· ὁ πένης, τοῦ πλουσίου· ὁ πλούσιος, τοῦ πένητος· ὁ μηδὲν ἐργαζόμενος, τοῦ διδόντος ἐλεημοσύνην· ὁ παρέχων, τοῦ λαμβάνοντος· καὶ γὰρ ὁ λαμβάνων ἐλεημοσύνην, μεγίστην χρείαν πληροῖ, καὶ πάντων μείζονα. εἰ γὰρ μὴ πένητες ἦσαν, τὸ πλέον ἂν ἀνετράπη τῆς ἡμετέρας σωτηρίας, οὐκ ἐχόντων ποῦ καταβαλεῖν τὰ χρήματα. ὥστε καὶ ὁ δοκῶν ἁπάντων ἀχρηστότερος εἶναι πένης, οὗτος ἁπάντων ἐστὶ χρησιμώτερος. εἰ δὲ τὸ ἑτέρου δεῖσθαι, αἰσχρόν· ἀποθανεῖν λείπεται. οὐ γὰρ ἔνι ζῆσαι τοῦτο δεδοικότα. ἀλλ' οὐ δύναμαι, φησὶν, ἐνεγκεῖν ὀφρῦν ἀνεσπασμένην. τί ἄλλον διαβάλλων ἐπ' ἀλαζονείᾳ, σαυτὸν καταισχύνεις τῇ κατηγορίᾳ ταύτῃ; καὶ γὰρ ἀλαζονικὸν, τὸ μὴ φέρειν ὑπερηφάνου ψυχῆς [a] φύσημα. τί δὲ, τὰ μηδενὸς ὄντα λόγου ἄξια ταῦτα δέδοικας, ταῦτα τρέμεις, καὶ διὰ ταῦτα τὴν πενίαν φρίττεις; κἂν γὰρ πλούσιος ᾖς, ἐν πλειόνων καταστήσῃ χρείᾳ, καὶ πλειόνων, καὶ εὐτελεστέρων. ὅσῳ γὰρ ἂν πλουτῇς, τοσοῦτον τῇ ἀρᾷ ταύτῃ σαυτὸν ὑποβάλλεις.

[a] φύσημα. Savil. in marg. νόσημα.

A ac summa præcellentia, justis solem splendore superantibus. Postquam eos non tantum dare, sed etiam majora vicissim accipere demonstravit, alia quoque ratione alacres eos ad dandum efficere molitur, illud ostendens, quod ne si sua quidem aliis non impertiverint, quidquam tamen amplius habituri sint, etiamsi omnia domi congesta habuerint. Ac veterem historiam profert, ad hunc modum loquens: 15. *Sicut scriptum est: Qui multum, non abundavit: & qui modicum, non minoravit.* Hoc autem in manna contigit. Nam & qui amplius, & qui minus collegerant, eamdem mensuram habere comperiebantur: Deo hac ratione inexplebilem aviditatem coërcente. Hoc porro dicebat Paulus, tum ut ob ea, quæ tum contigerunt, Corinthiis metum injiceret: tum ut eos dehortaretur, ne plus habendi cupiditate usquam tenerentur, nec quod minus haberent, angerentur. Hoc nunc quoque videre est in rebus humanis, neque in manna tantum. Nam cum omnes unum tantum ventrem expleamus, unum vitæ cursum conficiamus, & uno tantum corpore cooperiamur; nihil profecto, nec amplius diviti ex opum affluentia, nec minus pauperi ex egestate futurum est. Cur ergo paupertatem formides, cur opes expetas? Timeo, inquies, ne cogar ad aliorum ostia venire, & stipem petere. Multos quippe assidue sic precantes ac dicentes audio. Ne me eo redigi sinas, ut hominum auxilio opus habeam; & hæc audiens ingentem risum edo; puerilis siquidem est hic metus. Nullus enim dies, nulla, ut ita dicam, res est, in qua alii aliis non indigeamus. Itaque inconsiderati atque arrogantia tumentis animi hæc verba sunt, nec rerum naturam perspicue agnoscentis. Annon cernis nos omnes aliorum ope carere non posse? Nam & artifice miles opus habet, & artifex mercatore, & mercator agricola, & servus libero, & herus servo, & pauper divite, & dives paupere, & qui nil operis facit, eo, qui eleemosynam præbet, & qui præbet, eo qui accipit. Etenim is, qui eleemosynam accipit, rem necessariam, & omnium præstantissimam explet. Nisi enim pauperes essent, salus nostra magna ex parte eversa esset, ut qui, ubi pecunias ferere possemus, non haberemus. Ex quo fit, ut pauper, qui omnium minime utilis esse videtur, omnium maxime sit utilis. Quod si alterius ope indigere turpe est, nihil aliud reliquum est, quam ut intereamus. Neque enim fieri potest ut vivat, qui hoc timet. At, inquis, elatum supercilium ferre nequeo. Ecquid alium arrogantiæ insimulans, teipsum per hanc accusationem probro afficis? Arrogantis enim est hominis, superbi animi fastum ferre non posse. Ecquid vero hæc, quæ nihil æstimanda sunt, metuis? ad hæc contremiscis? ob hæc paupertatem reformidas? Nam si dives fueris, eo pluribus & vilioribus indigebis. Quo enim ad majores opes perveneris, eo magis te huic maledicto subjicies.

Exod. 16. 18.

Qui arrogantia laborant, arrogantes non ferunt.

3. Ita quid preceris, nescis, dum opes eo petis, ut nullius opem desideres: ac si quis mare ingressus, ubi & nautis, & nave, & amplissimo apparatu opus est, vota faciat, ut nullius omnino hominis opera indigeat. Nam si vis nullo valde opus habere, paupertatem opta. Ita fiet, ut si cujuspiam ope indigeas, pro pane tantum aut veste indigeas. Quod si dives fueris, & pro agris, & pro ædibus, & pro pensionibus, & pro mercedibus, & dignitate, & pro vitæ præsidio, & pro gloria, & pro iis, qui imperium gerunt, opus his habebis; neque his tantum; sed & iis qui illis subsunt, & iis qui in urbibus, & iis qui ruri degunt, & mercatoribus, & cauponibus. Jamne perspicitis quam extremæ amentiæ hæc verba sint? Horrendum omnino esse censes, cujusquam ope indigere? Fieri omnino nequit, ut in hac re liber sis. Cæterum si tumultum fugere cupis, id enim licet, in tranquillum paupertatis portum confugiens, multiplicem negotiorum tumultum amputa, nec turpe esse statue altero opus habere. Hoc enim ineffabili Dei sapientia ita comparatum est. Nam si alii aliis opus habeamus, necessitas illa non parit mutuam amicitiam; si nobisipsis sufficeremus, annon immanes feræ essemus? Quocirca Deus vi ac necessitate nos invicem subjecit? & tamen quotidie mutuis offensionibus inter nos collidimur. Quod si hoc frænum abscidisset, quis proximi amicitiam promto animo appetiisset? Proinde nec turpe hoc esse ducamus, nec deprecemur, ac dicamus: Ne sinas nos alicujus auxilio opus habere: verum ita precemur: Ne sinas, cum in necessitate constituti sumus, preces nostras ab iis repudiari, a quibus juvari possumus. Non enim aliorum ope indigere grave est: sed aliorum facultates eripere. At nunc, pro hac quidem re nunquam preces fudimus, nec diximus: Ne me sinas alienis bonis cupiditatis oculos adjicere: penuria autem premi, id nobis aversandum esse videtur. Atqui Paulus persæpe eguit: nec tamen id dedecori, sed ornamento ducebat, eosque quorum opera usus fuerat, laudibus efferebat dicens: Quia semel & bis in usum misistis. Et rursus: Alias ecclesias exspoliavi, stipendium accipiens ad ministerium vestrum. Quocirca non ingenui, sed mollis ac degeneris & stulti animi est hoc nomine pudore affici. Nam ita Deo placet, ut alii aliis indigeamus. Ac proinde ultra modum philosophari ne stude. At, inquis, hominem eum ferre nequeo, qui crebro rogatus, precibus meis minime cedat. Et quomodo te Deus feret, a quo sæpe rogaris nec flecteris: & quidem rogaris de iis rebus, quæ tua intersunt? *Pro Christo* enim, inquit, *legatione fungimur, tamquam Deo obsecrante per nos: Reconciliamini Deo.* Et tamen ipsius Dei servus sum, inquis. Quid tum? Cum enim tu, qui servus es, mero te ingurgites; ille autem, qui herus est,

Philip. 4. 16.

2. Cor. 11. 8.

2. Cor. 5. 20.

A Οὕτως ἀγνοεῖς ὅπερ εὔχῃ, χρήματα μὲν αἰτῶν ὑπὲρ τοῦ μηδενὸς δεῖσθαι· ὥσπερ ἂν εἴ τις εἰς πέλαγος ἐλθὼν, ἔνθα καὶ ναυτῶν, καὶ πλοίου, καὶ μυρίας χρεία κατασκευῆς, εὔχοιτο μηδενὸς ὅλως ἐν χρείᾳ γενέσθαι. Εἰ γὰρ βούλει μηδενὸς σφόδρα δεῖσθαι, εὔχου πενίαν. πένης μὲν γὰρ ὢν, κἂν τινος δεηθῇς, ὑπὲρ ἄρτου δεήσῃ μόνον, ἢ ἱματίου· πλουτῶν δὲ, καὶ ὑπὲρ ἀγρῶν, καὶ ὑπὲρ οἰκιῶν, καὶ ὑπὲρ τελεσμάτων, καὶ ὑπὲρ μισθωμάτων, καὶ ὑπὲρ ἀξιώματος, καὶ ὑπὲρ ἀσφαλείας, καὶ ὑπὲρ δόξης, B καὶ ὑπὲρ ἀρχόντων χρείαν ἕξεις· οὐ τούτων δὲ μόνον, ἀλλὰ καὶ τῶν ὑποτεταγμένων ἐκείνοις, καὶ τῶν ἐν πόλει, καὶ τῶν ἐν ἀγροῖς, καὶ ἐμπόρων, καὶ καπήλων. ὁρᾶτε ὅτι ἀνοίας ἐσχάτης ταυτὶ τὰ ῥήματα; ὅλως γὰρ εἰ φρικτὸν εἶναί σοι δοκεῖ τὸ χρῄζειν τινός· καθόλου μὲν οὐ δυνατὸν ἀπαλλαγῆναι τούτου. Εἰ δὲ θέλεις τὸν ὄχλον φυγεῖν, ἔξεστι γὰρ, ἐπὶ τὸν ἀκύμαντον τῆς πενίας καταφυγὼν λιμένα, τὸν πολὺν τῶν πραγμάτων ὄχλον περίκοψον, καὶ μηδὲν αἰσχρὸν τοῦτο νόμιζε τὸ δεῖσθαι ἑτέρου. τῆς γὰρ ἀφάτου σοφίας τοῦ θεοῦ τοῦτο γέγονεν ἔργον. Εἰ γὰρ ἀλλή- C λων χρῄζομεν, καὶ οὐδὲ ἡ τῆς χρείας ἀνάγκη συνάγει εἰς φιλίαν ἡμᾶς· εἰ αὐτάρκεις ἦμεν, οὐκ ἦμεν ἂν θηρία ἀτίθασσα; βίᾳ οὖν καὶ ἀνάγκῃ ἡμᾶς ὑπέταξεν ἀλλήλοις ὁ θεὸς, καὶ καθ' ἑκάστην συγκρουόμεθα ἀλλήλοις ἡμέραν. καὶ εἰ τοῦτον περιεῖλε τὸν χαλινὸν, τίς ἂν ταχέως ἠράσθη τῆς τοῦ πλησίον φιλίας; μηδὲ τοῦτο οὖν νομίζωμεν εἶναι αἰσχρὸν, μηδὲ ἀπευχώμεθα καὶ λέγωμεν, μὴ δῷς ἡμᾶς ἐν χρείᾳ τινὸς καταστῆναι· ἀλλ' εὐχώμεθα λέγοντες, μὴ ἀφῇς, ἐν χρείᾳ καταστάντων ἡμῶν, ἀνανεῦσαι τοὺς δυναμένους ἡμᾶς D ὠφελεῖν. οὐ τὸ ἐν χρείᾳ ἑτέρων καταστῆναι, ἀλλὰ τὸ ἁρπάζειν τὰ ἑτέρων, φορτικόν. νῦν δὲ ὑπὲρ μὲν ἐκείνων οὐδέποτε εὐξάμεθα, οὐδὲ εἴπομεν, μὴ δῷς μοι ἐπιθυμῆσαι τῶν ἀλλοτρίων· τὸ δὲ ἐν χρείᾳ καταστῆναι, τοῦτο δοκεῖ ἀπευκταῖον εἶναι. καίτοι Παῦλος ἐν χρείᾳ κατέστη πολλάκις, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ καὶ ἐκαλλωπίζετο, καὶ ἐνεκωμίαζε τοὺς διακονησαμένους, λέγων ὅτι καὶ ἅπαξ, καὶ δὶς ἐν ταῖς χρείαις μου ἐπέμψατε. καὶ πάλιν, ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν. οὐ τοίνυν ἐλευθερίας ἐστὶ τὸ ταῦτα αἰσχύνεσθαι, ἀλλὰ E μαλακίας, καὶ βαναύσου ψυχῆς, καὶ ἀνοήτου. καὶ γὰρ τῷ θεῷ δοκεῖ χρείαν ἡμᾶς ἀλλήλων ἔχειν. μὴ τοίνυν φιλοσόφει πέρα τοῦ μέτρου. ἀλλ' οὐ δύναμαι, φησιν, ἐνεγκεῖν ἄνθρωπον παρακαλούμενον πολλάκις, καὶ οὐκ εἴκοντα. καὶ πῶς σε οἴσει ὁ θεὸς παρακαλούμενον ὑπ' αὐτοῦ, καὶ οὐ πειθόμενον, καὶ παρακαλούμενον ὑπὲρ τῶν σοι συμφερόντων; ὑπὲρ γὰρ Χριστοῦ πρεσβεύομεν, φησιν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ θεῷ· καὶ μέντοι δοῦλος αὐτοῦ, φησιν, εἰμί. καὶ τί τοῦτο; ὅταν γὰρ σὺ μὲν μεθύῃς ὁ δοῦλος, ἐκεῖνος δὲ πεινᾷ ὁ δε-

A σπότης, καὶ μηδὲ τῆς ἀναγκαίας ἀπολαύῃ τροφῆς, τί σου τὸ τῆς δουλείας ὄνομα προσήσεται; τοῦτο μὲν οὖν αὐτό σε καὶ βαρήσει μειζόνως· ὅταν μὲν σὺ ἐν τριωρόφοις μένῃς, ἐκεῖνος δὲ μηδὲ χρηστῆς μετέχῃ στέγης, ὅταν σὺ μὲν ἐν ἁπαλαῖς στρωμναῖς, ἐκεῖνος δὲ μηδὲ προσκεφάλαιον ἔχῃ· ἀλλ' ἔδωκα, φησίν. ἀλλ' οὐ χρὴ διαλιμπάνειν ταῦτα ποιοῦντα. τότε γὰρ μόνον ἀπολογήσῃ, ὅταν μὴ ἔχῃς, ὅταν μηδὲν κεκτημένος ᾖς· ἕως δ' ἂν ἔχῃς, κἂν μυρίοις ᾖς δεδωκὼς, ὦσι δὲ ἕτεροι πεινῶντες, οὐδεμία σοι ἀπολογία. ὅταν δὲ καὶ ἀποκλείῃς σῖτον, καὶ τὴν τιμὴν ἐπι-

B τείνῃς, καὶ ἑτέρας καπηλείας ξένας ὁδοὺς ἐπινοῇς, ποίαν ἕξεις σωτηρίας ἐλπίδα λοιπόν; δωρεὰν ἐκελεύσθης διδόναι τῷ πεινῶντι, σὺ δὲ οὐδὲ μετὰ συμμέτρου δίδως τιμῆς; αὐτὸς διὰ σὲ τὴν τοσαύτην δόξαν ἐκένωσε, σὺ δὲ αὐτὸν οὐδὲ ἄρτου ἀξιοῖς; ἀλλ' ὁ μὲν κύων ἐμπέπλησται, ὁ δὲ Χριστὸς λιμῷ τήκεται· καὶ ὁ μὲν οἰκέτης διαῤῥήγνυται ὑπὸ πλησμονῆς, ὁ δὲ σὸς κἀκείνου δεσπότης ἀναγκαίας ἀπορεῖ τροφῆς. καὶ ποῦ ταῦτα φίλων τὰ πράγματα; καταλλάγητε τῷ Θεῷ. ταῦτα γὰρ ἐχθρῶν ἐστι, καὶ

C ἐκπεπολεμωμένων. αἰσχυνθῶμεν τοίνυν ὅσα εὐηργετήθημεν, ὅσα εὐεργετεῖσθαι μέλλομεν. κἂν προσέλθῃ πένης δεόμενος, μετὰ πολλῆς αὐτὸν δεχώμεθα τῆς εὐνοίας, παρακαλοῦντες, ἀνιστῶντες τῷ λόγῳ· ἵνα καὶ αὐτοὶ τῶν αὐτῶν τύχωμεν, καὶ παρὰ τοῦ Θεοῦ, καὶ παρὰ τῶν ἀνθρώπων. ὅσα γὰρ ἐὰν θέλητε ἵνα ποιήσωσιν ὑμῖν, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὐδὲν φορτικὸν, οὐδὲν ἐπαχθὲς οὗτος ὁ νόμος ἔχει. ἃ θέλεις παθεῖν, ταῦτα ποίει, φησίν. ἴση ἡ ἀντίδοσις. καὶ οὐκ εἶπεν, ἃ μὴ θέλετε παθεῖν, μηδὲ ποιεῖτε· ἀλλὰ τὸ πλέον. ἐκεῖνο μὲν γὰρ ἀποχὴ κακῶν,

D τοῦτο δὲ ἐργασία καλῶν· κἀκείνῳ τοῦτο συμπεριείληπται. καὶ οὐκ εἶπε, ταῦτα καὶ ὑμεῖς θέλετε, ἀλλὰ ποιεῖτε αὐτοῖς. καὶ τί τὸ κέρδος; οὗτός ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. ἐλεεῖσθαι βούλει; οὐκοῦν ἐλέει. συγγνώμης θέλεις τυχεῖν; οὐκοῦν μεταδίδου. βούλει μὴ ἀκούειν κακῶς; οὐκοῦν μηδὲ κακῶς λέγε. ἐπιθυμεῖς ἐπαινεῖσθαι, οὐκοῦν ἐγκωμίαζε· θέλεις μὴ πλεονεκτεῖσθαι; οὐκοῦν μὴ ἅρπαζε. εἶδες πῶς ἔδειξε φυσικὸν ὂν τὸ καλὸν, καὶ οὐ δεομένους νόμων τῶν ἔξωθεν ἡμᾶς, οὐδὲ διδασκάλων; ἐν οἷς γὰρ θέλομεν παθεῖν, ἢ μὴ παθεῖν πα-

E ρὰ τῶν πλησίον, νομοθετοῦμεν ἡμῖν ἑαυτοῖς. ὥστε ἂν ἐθέλῃς μὲν μὴ παθεῖν, ποιῇς δὲ, [a] ἢ εἰ θέλεις μὲν παθεῖν, μὴ ποιῇς δέ· αὐτοκατάκριτος γέγονας, καὶ οὐδεμίας λοιπὸν ἀπολαύεις ἀπολογίας, ὡς ἀγνοῶν, καὶ οὐκ εἰδὼς τὰ πρακτέα. διὸ, παρακαλῶ, τοῦτον ἐν ἑαυτοῖς δι' ἑαυτοὺς ἀναστήσαντες τὸν νόμον, καὶ ταῦτα ἀναγινώσκοντες τὰ γράμματα τὰ σαφῆ καὶ σύντομα, τοιοῦτοι περὶ τοὺς πλησίον γινώμεθα, οἵους περὶ ἡμᾶς αὐτοὺς εἶναι βουλόμεθα.

A fame laboret, ac ne necessario quidem alimento fruatur, quidnam tibi præsidii servitutis nomen allaturum est? Imo vero hoc te gravius onerabit, cum tu in ædibus, quæ triplex tabulatum habent, commoreris, ille ne commodum quidem tectum habeat: cum tu in mollibus stragulis conquiescas, illi ne cervical quidem præsto sit. At dedi, inquis: sed non est intermittendum hoc facere. Nam tum dumtaxat tibi erit excusatio, cum, quod des, non habueris, ac rebus omnibus carueris. Quamdiu autem habueris, etiamsi sexcentis dederis, sint autem alii qui fame

B laborent, nulla tibi excusatio suppetet. At vero, cum & frumentum claudis, & precium auges, & inusitatas cauponandi rationes comminisceris, ecqua jam tibi salutis spes futura est? Esurienti gratis dare jussus es: at tu ne cum æquo quidem precio das. Ipse tua causa tanta se gloria spoliavit: tu eum nec dignum ducis, cui panem impertias: verum cum canis tuus cibis distentus sit, Christus contra fame conficitur: cum famulus tuus ciborum copia disrumpatur, tuus contra illiusque Dominus necessario victu caret. Hæccine tandem amicorum sunt? Deo reconciliemini. Hæc enim inimicorum

C sunt, infestorumque hostium. Quocirca pudorem nobis ea omnia beneficia incutiant, quæ accepimus, atque accepturi sumus: ac si quis pauper accedat, opemque nostram imploret, magna cum animi benevolentia eum excipiamus, consolantes ipsum ac verbis erigentes: ut eadem ipsi tum a Deo, tum ab hominibus consequamur. Omnia enim, quæ vultis ut faciant vobis homines, & vos facite illis. Nihil grave, nihil molestum hæc lex habet. Quæ tibi fieri vis, inquit, hæc ipse facito. Æquæ sunt vices. Nec vero dixit: Quæ non vultis vobis fieri, hæc ne quidem ipsi facite: sed quod majus est.

*Matt. 7. 12.*

D Illic enim a malis tantum abstinetur: hic vero bona quoque efficiuntur: atque hoc illo continetur. Nec dixit: Hæc vos quoque velitis: sed, Facite illis. Quidnam autem hinc lucri? In hoc lex sita est & prophetæ. Misericordiam tibi adhiberi vis? adhibe ipse. Veniam vis impetrare? ignosce ipse. Non vis male audire? male ne dixeris. Laudari expetis? lauda ipse. Non vis tua tibi per injuriam extorqueri? aliena ne eripe. Viden' quomodo virtutem naturale quoddam bonum esse ostenderit, nosque externis legibus ac magistris minime opus habere?

Alteri fac quod tibi fieri velis.

E In iis enim, quæ nobis a proximis nostris, vel accidere, vel non accidere volumus, nobismet ipsi legem imponimus. Quamobrem si, quod tibi fieri nolis, alteri facias, aut si quid tibi fieri velis, quod ipse minime facias, tuometipse te calculo condemnas, nec jam quidquam habes, quo excusari possis, velut, quæ facienda sint, ignorans. Ideo operam quæso demus, ut hanc per nosipsos in animis nostris legem statuentes, ac perspicuas hasce & compendiosas literas pervolventes, tales nos erga proximos nostros præbeamus, quales eos erga nos esse volu-

a ἢ εἰ θέλεις μὲν, &c. Sic legerat interpres Latinus, & sic legendum jure suspicatur Savilius. In editis ἢ deest.

mus: ut & præsenti tranquillitate fruamur, & futura bona consequamur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA XVIII.

16. *Gratias autem Deo qui dedit eamdem solicitudinem pro vobis in corde Titi.*

1. RURSUS Titum laudat. Quoniam enim de eleemosyna sermonem habuerat, jam de iis quoque verba facit, qui pecunias ab ipsis accepturi ac deportaturi erant. Hoc enim ad hujusmodi collectionem, & ad augendam eorum, qui erogabant, alacritatem adjumentum afferebat. Nam qui eorum, qui legendis ac suscipiendis pecuniis operam navant, integritati confidit, nec quid sinistri de accipientibus suspicatur, uberius copiosiusque erogare solet. Quod quidem, ut tunc quoque fieret, audi quomodo eos commendat, qui ad hoc munus obeundum perrexerant: inter quos principem locum Titus tenebat. Ideoque dicit: *Gratias autem Deo, qui dedit eamdem solicitudinem in corde Titi.* Quid est, *eamdem?* quam pro Thessalonicensibus quoque habebat: vel eamdem quam ego. Ac prudentiam Pauli animadverte. Dei beneficium hoc esse ostendit, proindeque ejus auctori gratias agit: ut hac quoque ratione animos eorum moveat atque incitet. Nam cum Deus illum excitarit, & ad vos miserit, ipse proculdubio per illum petit. Cavete igitur existimetis humanitus hoc contigisse. At unde liquet quod Deus ipsum cohortatus sit? 17. *Quoniam exhortationem quidem suscepit: sed cum solicitior esset, sua voluntate profectus est.* Vide quomodo eum ostendat, ad hoc ut partes suas obiret, nullius cohortatione opus habuisse. Et postquam Dei gratiam dixit, non sivit id totum Deo adscribi: ut sic eos ad majorem Titi amorem pertrahat, cum ait eum sua quoque sponte excitatum fuisse. Cum enim solicitior esset, inquit, sua voluntate profectus est, hoc est, provinciam hanc præripuit: in thesaurum insiliit: suismet commodis consulere judicavit, operam vobis navando: tantaque in eo vis amoris erga vos fuit, ut ne cohortatione quidem nostra eguerit: quamquam fuit illa quidem a nobis adhibita: cæterum haud quaquam hinc ille, sed a seipso, & a Dei gratia excitatus est. 18. *Misimus autem etiam cum illo fratrem, cujus laus est in evangelio per omnes Ecclesias.*

Quis sit frater cujus laus est in evangelio.

Et quisnam est hic frater? Nonnulli his verbis Lucam significari putant: atque hoc dicunt propter eam historiam, quam litteris mandavit. Alii Barnabam: prædicationem quoque non scriptam evangelium nuncupat. Cur eorum nomina non scribit, sed Titum quidem nominatim declarat, & ab evangelicæ functionis societate appellat, quippe cujus opera tanto usui esset, ut ob ipsius absentiam

A ἵνα καὶ τῆς παρούσης ἀπολαύσωμεν ἀδείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ ιή.

Χάρις δὲ τῷ θεῷ τῷ δόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου.

B ΠΑΛΙΝ ἐπαινεῖ τὸν Τίτον. ἐπειδὴ γὰρ περὶ ἐλεημοσύνης διελέχθη, διαλέγεται λοιπὸν καὶ περὶ τῶν μελλόντων ὑποδέχεσθαι παρ' αὐτῶν τὰ χρήματα, καὶ ἀποκομίζειν αὐτά. τοῦτο γὰρ συνεβάλλετο πρὸς τὴν συλλογὴν ταύτην, καὶ πρὸς τὸ μείζω ποιῆσαι τὴν προθυμίαν τῶν εἰσφερόντων. ὁ γὰρ θαῤῥῶν ὑπὲρ τοῦ διακονουμένου, καὶ μὴ ὑποπτεύων τοὺς ὑποδεχομένους, μετὰ πλείονος τῆς δαψιλείας ἐπιδίδωσιν. ὅπερ ἵνα καὶ τότε γένηται, ἄκουσον πῶς [a] συνίστησι τοὺς ἐπὶ τοῦτο ἀφικομένους, ὧν a ἦν πρῶτος Τίτος. διὸ καί φησι, χάρις δὲ τῷ θεῷ C τῷ δόντι τὴν αὐτὴν σπουδὴν ἐν τῇ καρδίᾳ Τίτου. τί ἐστι, τὴν αὐτήν; ἥνπερ καὶ ὑπὲρ Θεσσαλονικέων εἶχεν, ἢ τὴν αὐτὴν ἐμοί. καὶ σκόπει σύνεσιν. τοῦ θεοῦ δείκνυσι ἔργον τοῦτο ὄν, καὶ εὐχαριστεῖ τῷ δεδωκότι, ὥστε καὶ ταύτῃ προτρέψαι. εἰ γὰρ ὁ θεὸς αὐτὸν διήγειρε, καὶ ἀπέστειλε πρὸς ὑμᾶς· αὐτὸς αἰτεῖ δι' ἐκείνου. μὴ τοίνυν νομίσητε ἀνθρώπινον εἶναι τὸ γεγενημένον. καὶ πόθεν δῆλον ὅτι ὁ θεὸς αὐτὸν προέτρεψεν; ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο· σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθεν. ὅρα πῶς καὶ αὐτὸν δείκνυσι τὰ D αὐτοῦ πληροῦντα, ἑτέρων μὴ δεηθέντα. καὶ εἰπὼν τοῦ θεοῦ τὴν χάριν, οὐκ ἀφίησι τοῦ θεοῦ τὸ πᾶν εἶναι. πάλιν ἵνα καὶ ταύτῃ εἰς πλείονα ἐπισπάσηται αὐτοὺς ἀγάπην, εἰπὼν ὅτι καὶ οἴκοθεν [b] ἐγήγερται. σπου- b δαιότερος γὰρ ὑπάρχων, αὐθαίρετος ἐξῆλθεν, ἥρπασε τὸ πρᾶγμα, ἐπεπήδησε τῷ θησαυρῷ, οἰκείαν ἐνόμισεν ὠφέλειαν τὴν ὑμετέραν διακονίαν· καὶ τῷ σφόδρα ὑμᾶς φιλεῖν, οὐδὲ ἐδεήθη τῆς παρ' ἐμοῦ παρακλήσεως· ἀλλὰ παρεκλήθη μὲν καὶ ὑπ' ἐμοῦ, οὐ μέντοι ἐντεῦθεν διηγέρθη, ἀλλ' οἴκοθεν, καὶ ἀπὸ τῆς E τοῦ θεοῦ χάριτος. συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. καὶ τίς οὗτός ἐστιν ὁ ἀδελφός; τινὲς μὲν τὸν Λουκᾶν· καί φασι, διὰ τὴν ἱστορίαν ἥνπερ ἔγραψε· τινὲς δὲ τὸν Βαρνάβαν· καὶ γὰρ καὶ τὸ ἄγραφον κήρυγμα εὐαγγέλιον καλεῖ. καὶ τίνος ἕνεκεν οὐ τίθησιν αὐτῶν τὰ ὀνόματα, ἀλλὰ τὸν μὲν Τίτον καὶ ὀνομαστὶ γνωρίζει, καὶ ἀπὸ τῆς εἰς τὸ εὐαγγέλιον συνεργίας καλεῖ· εἴγε τοσοῦτον ἦν χρήσιμος, ὡς διὰ ἀπουσίαν αὐτοῦ μηδὲ δυνηθῆναι μέγα τι καὶ γενναῖον

a συνίστησι. Al. περιΐστησι.

b ἐγήγερται. Al. διεγήγερται.

ποιῆσαι τὸν Παῦλον· τῷ γὰρ μὴ εὑρεῖν Τίτον τὸν ἀδελφόν μου, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου· καὶ ἀπὸ τῆς ἀγάπης τῆς εἰς αὐτούς· τὰ γὰρ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστί, φησι, πρὸς ὑμᾶς· καὶ ἀπὸ τῆς περὶ τὸ πρᾶγμα σπουδῆς· αὐθαίρετος γάρ, φησιν, ἐξῆλθε, τούτους δὲ οὔτε ὁμοίως συνίστησιν, οὔτε ὀνομαστὶ τίθησι; τί οὖν ἐστιν εἰπεῖν; ἴσως ἀγνοοῦντες ἦσαν αὐτούς· διόπερ οὐκ ἐμφιλοχωρεῖ τοῖς ἐγκωμίοις, ἐπειδὴ μηδέπω πεῖραν αὐτῶν εἰλήφεισαν, ἀλλὰ τοσοῦτον λέγει, ὅσον εἰς σύστασιν αὐτοῖς ἤρκει μόνον, καὶ τὸ φυγεῖν τὴν πονηρὰν ὑποψίαν. πλὴν ἀλλ᾽ ἴδωμεν πόθεν καὶ αὐτὸν τοῦτον ἐγκωμιάζει. πόθεν οὖν ἐγκωμιάζει; πρῶτον ἀπὸ τοῦ κηρύγματος ἐπαινῶν, οὐχ ὅτι ἐκήρυττε μόνον, ἀλλ᾽ ὅτι καὶ ὡς ἐχρῆν, καὶ μετὰ τῆς προσηκούσης σπουδῆς. οὐ γὰρ εἶπεν, ὅτι κηρύττει καὶ εὐαγγελίζεται· ἀλλ᾽ ὅτι, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. καὶ ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλ᾽ ὁλοκλήρους ἐκκλησίας ἄγει μαρτυρούσας αὐτῷ, λέγων, διὰ πασῶν τῶν ἐκκλησιῶν. εἶτα καὶ ἀπὸ τῆς κρίσεως τῶν χειροτονησάντων αἰδέσιμον αὐτὸν ποιεῖ· οὐ μικρὸν δὲ καὶ τοῦτο. διά τοι τοῦτο εἰπών, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν, ἐπήγαγεν. οὐ μόνον δέ. τί ἐστιν, οὐ μόνον δέ; οὐ μόνον ἀπὸ τούτου, φησίν, ἐστιν αἰδέσιμος, ὅτι κηρύττων εὐδοκιμεῖ, καὶ ἐπαινεῖται παρὰ πάντων· ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν σὺν ἡμῖν. ὅθεν μοι δοκεῖ τὸν Βαρνάβαν αἰνίττεσθαι· καὶ πολὺ τὸ ἀξίωμα αὐτοῦ σημαίνει. δείκνυσι γὰρ καὶ ἐπὶ τίνι κεχειροτόνηται. συνέκδημος γὰρ ἡμῶν, φησι, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. εἶδες ὅσα αὐτοῦ τὰ ἐγκώμια; εὐαγγελιζόμενος ἔλαμψε, καὶ τὰς ἐκκλησίας ἔσχεν ἐπὶ τούτῳ μαρτυρούσας πάσας. ἐχειροτονήθη ὑφ᾽ ἡμῶν, καὶ ἐφ᾽ οἷς Παῦλος· καὶ πανταχοῦ κοινωνὸς αὐτῷ γέγονε, καὶ κατὰ τοὺς πειρασμούς, καὶ κατὰ τοὺς κινδύνους. τὸ γὰρ ὄνομα τῆς ἐκδημίας τοῦτο αἰνίττεται. τί δέ ἐστι, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν; ὥστε τὸν λόγον καταγγέλλειν, φησί, καὶ τὸ εὐαγγέλιον κηρύττειν, ἢ ὥστε καὶ πρὸς τὰ χρήματα ὑπηρετήσασθαι· μᾶλλον δέ, πρὸς ἀμφότερά μοι δοκεῖ λέγειν. εἶτα ἐπάγει. πρὸς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἠξιώσαμεν, φησι, χειροτονηθῆναι αὐτὸν μεθ᾽ ἡμῶν, καὶ εἰς τὸ ἔργον τοῦτο προχειρισθῆναι, ὥστε οἰκονόμον γενέσθαι τῶν ἱερῶν χρημάτων καὶ διάκονον· οὐδὲ γὰρ τοῦτο μικρὸν ἦν. ἐπισκέψασθε γάρ, φησιν, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά· καὶ ἐχειροτονήθη ὑπὸ τῶν ἐκκλησιῶν, καὶ ψῆφος τοῦ δήμου παντὸς ἐγένετο. τί ἐστιν, εἰς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν; ἵνα καὶ θεὸς δοξάζηται, καὶ ὑμεῖς προθυμότεροι γίνησθε, τῶν ὑποδεχομένων τὰ χρήματα ταῦτα δοκίμων ὄντων, καὶ οὐδενὸς ψευδῆ τινα ὑποψίαν κατ᾽ αὐτῶν τεκεῖν δυναμένου.

A non magnum quid efficere Paulus potuerit: Eo enim, inquit, quod Titum fratrem meum non invenerim, non habui requiem spiritui meo; & ab ipsius erga eos amore: Viscera enim ipsius, inquit, abundantius sunt ad vos; & a diligentia, qua in hoc munus incubuit: Sua enim voluntate, inquit, profectus est, hos autem nec perinde commendat, nec nominatim citat? Quid igitur dici potest? Fortasse ipsi Corinthiis ignoti erant: ac proinde in prædicandis eorum laudibus quorum virtutis periculum nondum fecerant, non mul- B tum immoratur: verum hactenus de iis verba facit, quatenus ipsis ad commendationem, vitandamque sinistram suspicionem satis erat. Cæterum videamus, unde huic laudem texat. Unde igitur laudis argumentum petit? Primum a prædicatione ipsum laudat, quod non solum prædicaret, sed etiam, ut par erat, & eo, quo conveniebat, studio. Neque enim dixit, quod evangelium prædicaret; sed, *cujus laus est in evangelio.* Ac ne in assentationis suspicionem veniat, non unum aut alterum aut tres, sed universas ecclesias testes C ipsi citat, dicens: *per omnes ecclesias.* Deinde ab eorum quoque calculo, a quibus ordinatus fuerat, venerationem ipsi conciliat: quæ non parva res est. Ideo postquam dixit: Cujus laus est in evangelio per omnes ecclesias, subjunxit: 19. *Non solum autem.* Quid sibi hæc volunt: *Non solum autem?* Non, inquit, ideo tantum venerationem meretur, quod prædicationis laude floreat, atque ab omnibus commendetur: sed etiam, quod ab ecclesiis nobiscum ordinatus sit. Ex quo mihi Barnabam significare videtur. Ac magnam ipsius dignitatem indicat. Ostendit enim qua de causa ordinatus sit: *Comes enim,* D inquit, *peregrinationis nostræ in hanc gratiam quæ ministratur a nobis.* Vides quot ipsum laudibus afficiat? In evangelii prædicatione emicuit, deque ea re ecclesias omnes testes habuit: ordinatus est a nobis ad eadem quæ Paulus præstanda: & ubique socius ipsi tam in tentationibus, quam in periculis exstitit. Hoc enim peregrinatio subindicat. Quinam autem horum verborum sensus est, *In hanc gratiam, quæ ministratur a nobis?* hoc est, In hoc, ut Verbum annunciet, evangeliumque prædicet: vel, ut in ratione pecuniaria operam navet. Imo utrumque his verbis mihi intelligi videtur. Subjicit postea: *Ad Domini gloriam, & alacritatem vestram.* E Quæ verba hunc sensum habent. Postulavimus, inquit, ut ipse nobiscum eligeretur, atque ad hoc munus designaretur, ut sacrarum pecuniarum promus condus ac minister esset. Neque enim parva hæc dignitas erat; considerate enim, inquiebat Petrus, viros *Act. 6. 3.* ex vobis boni testimonii septem, atque ab ecclesiis, consentientibus totius populi calculis, creatus est. Quid autem hæc verba significant: *Ad gloriam Domini & vestram alacritatem?* Hoc est, ut & Dei gloria celebretur, & vos promtioribus animis sitis, cum probos eos esse perspexeritis, qui pecunias suscipiunt, nec quemquam esse, qui ullam de ipsis, ne falsam quidem suspicionem conflare possit.

2. Ideo tales viros conquisivimus: nec uni dumtaxat id muneris commisimus: verum una cum eo, ut hanc quoque suspicionem fugiat, Titum etiam misimus, & cum illo alium. Postea autem hæc ipsa verba exponens: *Ad gloriam Domini & alacritatem vestram*, subdidit, 20. *Devitantes hoc, ne quis nos vituperet in hac plenitudine, quæ ministratur a nobis.* Quam tandem sententiam hic sermo habet? Dignam profecto Pauli virtute: & quæ ipsius curam & solicitudinem, atque indulgentiam declarat. Ne quis enim, inquit, sinistri aliquid de nobis suspicetur, ac vel levissimam reprehensionis ansam adversum nos habeat, velut de commissa nobis pecunia aliquid intervertentibus, idcirco tales viros misimus, non unum dumtaxat, sed & duos, & tres. Vides quo pacto ipsos ab omni suspicione vindicet, non solum quod evangelium prædicent, aut quod ordinati fuerint, sed etiam, quod probitate præstent, ob idque ipsum ordinati sint: ne locus ullus suspicioni detur. Nec dixit: Ne vos vituperetis; sed, Ne quis alius. Atqui eorum causa hoc fecerat: idque his verbis indicavit, *Ad gloriam Domini, & alacritatem vestram.* Cæterum eos perstringere non vult; sed alio modo ait: *Devitantes hoc facere.* Ac ne hoc quidem contentus, rursus ipsos per ea, quæ sequuntur, delinit, his verbis, *In hac plenitudine quæ ministratur à nobis;* atque ita id, quod grave erat, cum laudibus ponens. Ne dolerent ac dicerent: Habes-ne quod de nobis suspiceris? atque ita miseri sumus, ut de his rebus apud te in suspicionem veniamus? hinc objectioni medetur, inquiens: Multæ pecuniæ a vobis mittuntur: atque hæc plenitudo, hoc est, pecuniarum copia, satis magnam vim habet ad sinistram suspicionem in improborum animis ciendam; nisi cautionem adhibeamus. 21. *Providemus enim bona non solum coram Domino, sed etiam coram hominibus.* Ecquid Pauli par esse queat? Non enim dixit: Pereat, atque ejulet, qui hujusmodi quidpiam suspicari in animum induxerit: donec me conscientia mea condemnet, hujusmodi suspiciones nihil moror. Sed quo imbecilliores ipsi erant, eo magis ad eos sese demittebat. Ægrotanti quippe, non succensere, sed opem afferre oportet. Et quidem, a quo peccato tam longe remoti sumus, quam ille ab ejusmodi suspicione? Nam ne si dæmon quidem fuisset, hoc beati illius viri ministerium suspectum habuisset. Et tamen ille, quamlibet ab hac præpostera suspicione procul dissitus, nihil non tamen agit ac molitur, ut ne umbram quidem ullam iis relinquat, qui quoquo modo suspicari aliquid mali velint. Ac non modo accusationes fugit; sed etiam leves reprehensiones, ac nudas suspiciones. 22. *Misimus autem cum illis & fratrem nostrum.* En rursus alium quoque adjungit, eumque non sine laude, calculoque tum suo, tum aliorum multorum. *Quem probavimus in multis sæpe solicitum esse, nunc autem multo solicitiorem.* Posteaquam eum ab his, quibus

Pauli laus.

A Διὰ τοῦτο τοιούτους ἐπεζητήσαμεν, καὶ οὐχὶ ἑνὶ μόνῳ τὸ πᾶν ἐπετρέψαμεν, ἵνα καὶ ταύτην φύγῃ τὴν ὑποψίαν, ἀλλὰ καὶ Τίτον ἐπέμψαμεν, καὶ μετὰ τούτου ἕτερον. εἶτα ἑρμηνεύων αὐτὸ τοῦτο τὸ, πρὸς τὴν δόξαν τοῦ κυρίου καὶ προθυμίαν ὑμῶν, ἐπήγαγε. στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. τί ποτέ ἐστι τὸ λεγόμενον; ἄξιον τῆς ἀρετῆς Παύλου, καὶ τὴν πολλὴν αὐτοῦ κηδεμονίαν ἐμφαῖνον, καὶ τὴν συγκατάβασιν. ἵνα γὰρ μή τις ἡμᾶς ὑποπτεύσῃ, φησὶ, μηδὲ τὸν τυχόντα μῶμον καθ' ἡμῶν ἔχῃ, ὡς νοσφιζομένων B ἐκ τῶν ἐγχειριζομένων ἡμῖν χρημάτων, διὰ τοῦτο τοιούτους ἐπέμψαμεν, καὶ οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δύο, καὶ τρεῖς. εἶδες πῶς ἀπαλλάττει πάσης ὑποψίας αὐτούς; οὐκ ἀπὸ τοῦ εὐαγγελίου, οὐδὲ ἀπὸ τοῦ χειροτονηθῆναι μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ, δοκίμους, καὶ δι' αὐτὸ τοῦτο χειροτονηθῆναι, ἵνα μὴ ὑποπτεύωνται. καὶ οὐκ εἶπε, μὴ ὑμεῖς μωμήσησθε, ἀλλὰ, μή τις ἄλλος. καίτοιγε δι' αὐτοὺς τοῦτο ἐποίησε, καὶ ᾐνίξατο εἰπὼν, εἰς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν· ἀλλ' ὅμως οὐ βούλεται αὐτοὺς πλῆξαι, ἀλλ' ἑτέρως φησὶ, στελλόμενοι τοῦτο ποιῆσαι. καὶ οὐδὲ τούτῳ ἀρ- C κεῖται, ἀλλὰ καὶ τῇ ἐπαγωγῇ θεραπεύει πάλιν λέγων, ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν· καὶ μετ' ἐγκωμίου τὸ βαρὺ τιθείς. ἵνα γὰρ μὴ ἀλγήσωσι, μηδὲ εἴπωσιν, ἡμᾶς οὖν ὑφορᾶσθαι ἔχεις, καὶ οὕτως ἐσμὲν ἄθλιοι, ὡς ὑποπτεύεσθαί ποτε ἐπὶ τούτοις; ἐπιδιορθούμενος αὐτούς φησι, πολλὰ τὰ χρήματα ὑφ' ὑμῶν ἐστι πεμπόμενα, καὶ αὕτη ἡ ἁδρότης, τουτέστι, τὸ πλῆθος τῶν χρημάτων, ἱκανὸν τοῖς πονηροῖς παρασχεῖν ὑποψίαν, εἰ μὴ [a] ἐπεδειξάμεθα τὴν ἀσφάλειαν. προνοούμενοι γὰρ καλὰ, οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ D ἐνώπιον ἀνθρώπων. τί ἴσον Παύλου γένοιτ' ἄν; οὐδὲ γὰρ εἶπεν, ἀπολλύσθω, καὶ οἰμωζέτω ὁ βουλόμενος τοιοῦτόν τι ὑποπτεύειν· ἕως ἂν μὴ καταγινώσκῃ μου τὸ συνειδὸς, οὐδείς μοι λόγος τῶν ὑποπτευόντων· ἀλλ' ὅσῳ ἀσθενέστεροι ἦσαν, τοσούτῳ συγκατέβαινε μᾶλλον. τῷ γὰρ κάμνοντι, οὐκ ἀγανακτεῖν, ἀλλὰ βοηθεῖν χρή. καίτοιγε τίνος ἁμαρτήματός ἐσμεν πόρρω, ὡς ἐκεῖνος τῆς τοιαύτης ὑποψίας; οὐδὲ γὰρ, εἰ δαίμων τις ἦν, ὑπώπτευσεν ἂν τὸν μακάριον ἐκεῖνον εἰς τὴν [b] διακονίαν ταύτην. ἀλλ' ὅμως καὶ τοσοῦτον ἀπέχων τῆς ὑπονοίας τῆς πονηρᾶς, πάν- E τα ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ σκιάν τινα καταλιπεῖν τοῖς κἂν ὁπωσοῦν ὑπονοῆσαί τι πονηρὸν βουλομένοις· καὶ οὐ μόνον κατηγορίας φεύγει, ἀλλὰ καὶ μώμους, καὶ τὴν τυχοῦσαν κατάγνωσιν, καὶ ψιλὴν ὑπόνοιαν. συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν. ἰδοὺ πάλιν καὶ ἕτερον προστίθησι, καὶ τοῦτον μετ' ἐγκωμίου, καὶ τῆς αὐτοῦ ψήφου, καὶ πολλῶν ἑτέρων μαρτύρων. ὃν ἐδοκιμάσαμεν, φησιν, ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον. ἐγκωμιάσας αὐτὸν ἀπὸ τῶν

a ἐπεδειξάμεθα. Savil. in marg. ἐπιδειξόμεθα.

b διακονίαν. Savil. in marg. ἀπιστίαν.

οἰκείων κατορθωμάτων, καὶ ἀπὸ τῆς πρὸς ἐκείνους ἀγάπης ἐπαίρει. καὶ ὃ περὶ Τίτου ἔλεγεν, ὅτι σπουδαιότερος ὑπάρχων αὐθαίρετος ἐξῆλθε, τοῦτο καὶ περὶ τούτου, εἰπὼν, νῦν δὲ πολὺ σπουδαιότερον· σπέρματα αὐτοῖς προαποτιθέμενος τῆς πρὸς Κορινθίους ἀγάπης. καὶ λοιπὸν, ἐπειδὴ ἐπέδειξεν αὐτῶν τὴν ἀρετὴν, παρακαλεῖ καὶ αὐτοὺς ὑπὲρ αὐτῶν, λέγων. εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός. τί ἐστιν, εἴτε ὑπὲρ Τίτου; εἴ δεῖ τι εἰπεῖν, φησιν, ὑπὲρ Τίτου, ταῦτα ἔχω λέγειν, ὅτι κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός. ἢ γὰρ τοῦτό φησιν, [a] ἢ, εἴ τι ὑπὲρ Τίτου ποιήσετε, ὅτι οὐκ εἰς τὸν τυχόντα ποιήσετε. κοινωνὸς γάρ ἐμός ἐστι. καὶ δοκῶν ἐγκωμιάζειν τοῦτον, ἐκείνους ἐπαίρει· δεικνὺς οὕτω περὶ αὐτὸν διακειμένους, ὡς ἀρκεῖν εἰς τιμῆς ὑπόθεσιν παρ' αὐτοῖς, τὸ κοινωνόν αὐτοῦ τινα φαίνεσθαι. ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγε λέγων, εἰς ὑμᾶς συνεργός. οὐχ ἁπλῶς συνεργὸς, ἀλλ' ἐν τοῖς πρὸς ὑμᾶς, ἐν τῇ προκοπῇ [b] τῇ ὑμετέρᾳ, ἐν τῇ ἐπιδόσει, ἐν τῇ φιλίᾳ, ἐν τῇ σπουδῇ τῇ περὶ ὑμᾶς· ὅθεν μάλιστα οἰκειῶσαι αὐτοῖς αὐτὸν ἠδύνατο. εἴτε ἀδελφοὶ ἡμῶν. εἴτε ὑπὲρ τῶν ἄλλων, φησὶν, ἀκοῦσαί τι βούλεσθε, καὶ οὗτοι μέγιστα ἔχουσι δικαιώματα συστάσεως τῆς πρὸς ὑμᾶς. καὶ γὰρ καὶ αὐτοί, φησιν, ἀδελφοὶ ὑμῶν, καὶ ἀπόστολοι ἐκκλησιῶν· τουτέστιν, ὑπὸ ἐκκλησιῶν πεμφθέντες. εἶτα τὸ μεῖζον ἁπάντων. δόξα Χριστοῦ. εἰς ἐκεῖνον γὰρ ἀναφέρεται ἅπερ ἂν εἰς τούτους γίνηται. εἴτε οὖν ὡς ἀδελφοὺς βούλεσθε δέξασθαι, εἴτε ὡς ἀποστόλους τῶν ἐκκλησιῶν, εἴτε ὡς εἰς δόξαν Χριστοῦ ποιοῦντες, πολλὰς ἔχετε ἀφορμὰς τῆς περὶ αὐτοὺς εὐνοίας. ὑπὲρ μὲν γὰρ Τίτου ἔχω λέγειν, ὅτι καὶ ἐμὸς κοινωνὸς, καὶ ὑμῶν ἐραστής· ὑπὲρ δὲ τούτων, ὅτι ἀδελφοὶ, ὅτι ἀπόστολοι ἐκκλησιῶν, ὅτι δόξα Χριστοῦ.

Ὁρᾷς ὅτι κἀντεῦθεν δῆλον, ὅτι τῶν ἀγνώστων ἦσαν αὐτοῖς; ἢ γὰρ ἂν αὐτοὺς καὶ ἀπὸ τούτων ἐκόσμησεν, ἀφ' ὧν καὶ Τίτον· λέγω δὴ τῆς περὶ αὐτοὺς ἀγάπης. ἀλλ' ἐπειδὴ οὐδέπω γνώριμοι ἦσαν, ὡς ἀδελφοὺς δέξασθέ, φησιν, ὡς ἀποστόλους τῶν ἐκκλησιῶν, ὡς εἰς δόξαν Χριστοῦ ποιοῦντες. διὸ ἐπάγει· τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε, εἰς πρόσωπον τῶν ἐκκλησιῶν. νῦν δείξατέ, φησι, πῶς μὲν ἡμᾶς ἀγαπᾶτε, πῶς δὲ ἡμεῖς οὐχ ἁπλῶς οὐδὲ εἰκῇ καυχώμεθα ἐν ὑμῖν. δείξετε δὲ τοῦτο, ἐὰν εἰς αὐτοὺς ἀγάπην ἐνδείξησθε. εἶτα καὶ φρικωδέστερον ποιεῖ τὸν λόγον λέγων, εἰς πρόσωπον τῶν ἐκκλησιῶν. εἰς δόξαν, φησὶ, τῶν ἐκκλησιῶν, εἰς τιμήν. ἂν γὰρ τούτους τιμήσητε, τὰς ἀποστειλάσας ἐκκλησίας ἐτιμήσατε. οὐ γὰρ εἰς αὐτοὺς διαβαίνει μόνον ἡ τιμὴ, ἀλλὰ καὶ εἰς τοὺς ἐκπέμψαντας, οἳ ἐχειροτόνησαν αὐτούς· καὶ πρὸ ἐκείνων, εἰς τὴν τοῦ θεοῦ δόξαν.

præditus erat, virtutibus laudavit, ab ea quoque, qua illos complectebatur, benevolentia eum laudibus vehit: quodque de Tito dixerat, *cum solicitior esset, sua voluntate profectus est*, hoc de eo quoque prædicat dicens: *Nunc autem multo solicitiorem.* Paulus studii erga Corinthios, atque amoris semina prius in ipsorum animis inseverat. Ac demum eorum virtute declarata, Corinthios jam pro ipsis sic hortatur. 23. *Sive pro Tito, qui est socius meus & in vobis adjutor.* Quid est, sive pro Tito? Si quid dicere necesse est, inquit, hoc dicere habeo, quod socius meus est, & in vobis adjutor. Hoc enim est quod ait. Vel certe hoc vult: si pro Tito aliquid feceritis, non vulgari cuipiam homini feceritis: socius quippe meus est. Quibus verbis cum eum laudare videatur, eos ipsos effert, ita affectos eos esse demonstrans, ut ad honorem alicui habendum satis ampla apud eos materia sit, ipsius socium esse. At hoc minime contentus, alterum quoque adjecit dicens: *In vobis adjutor.* Non utcumque adjutor: sed in iis rebus, quæ vestra intersunt, in vestro profectu atque incremento, in amicitia, in studio erga vos; id quod ad eorum benevolentiam ipsi conciliandam maximam vim habebat. *Sive fratres nostri.* Sive de aliis, inquit, quidpiam audire vultis, hi quoque maximas apud vos æquissimasque commendationis causas habent. Nam & ipsi fratres vestri sunt, inquit, *& apostoli ecclesiarum*; hoc est, ab ecclesiis legati sunt; deinde quod omnibus præstat, *Gloria Christi.* Ad eum enim omnia ea referuntur, quæ in ipsos facta fuerint. Quocirca, si ipsos, ut fratres excipere vultis, sive ut ecclesiarum legatos, sive ut Christi gloriam vobis proponentes, multas erga eos benevolentiæ occasiones habetis. Nam pro Tito quidem hoc dicere habeo, quod socius quoque meus sit, vestrique amans: pro iis autem, quod fratres, quod ecclesiarum legati, quod gloria Christi.

3. Vides-ne perspicuum hinc quoque esse, illos Corinthiis tum ignotos fuisse? Alioqui enim a quibus rebus Titum, ab iisdem etiam ipsos ornasset, nempe a benevolentia, quam erga eos haberent. Sed quia nondum ipsis noti erant: ut fratres, inquit, eos suscipite; ut ecclesiarum apostolos, denique ut ad Christi gloriam hoc facientes. Unde subjungit: 24. *Ostensionem ergo quæ est caritatis vestræ & nostræ gloriæ pro vobis, in illos ostendite in facie ecclesiarum.* Nunc, inquit, planum facite quam me ipsi ametis, quamque ego rursus in vobis non frustra ac temere glorier. Hoc porro ita demum planum facietis, si ipsis caritatem præstiteritis. Postea terrorem quoque sermoni suo adjicit dicens: *in facie ecclesiarum*; hoc est, ad ecclesiarum gloriam & honorem. Nam si ipsis honorem habueritis, ecclesiis profecto, a quibus missi sunt, honor a vobis habitus erit. Neque enim ad eos dumtaxat honor permanat: sed ad illos etiam, a quibus missi atque ordinati sunt: & præ omnibus id ad Dei

a Savil. in marg. aliam lectionem ponit, ἢ ὅτι ὑπὲρ Τίτου τι ποιήσετε.

b τῇ ὑμετέρᾳ. Editi male, τῇ ἡμετέρᾳ.

gloriam tendit. Nam cum eos, qui illi ministrant, honore afficimus, ad illum utique laus ea pervadit. In communi ecclesiarum; hoc est, in publico ecclesiarum cœtu. Quod quidem non leve ducendum est. Magna quippe sacri conventus, hoc est, ecclesiarum, vis ac potentia est. Animadverte quanta sit vis cœtus ecclesiæ. Oratio Petrum e
Act. 12. vinculis exemit: Pauli os aperuit. Horum suffragium eos, qui ad spiritales dignitates veniunt, haud leviter exornat. Ac propterea is, qui ordinaturus est, illorum preces tum poscit, atque ipsi calculum suum addunt, acclamantque ea quæ norunt, qui mysteriis initiati sunt. Neque enim fas est coram profanis cuncta detegere. Interdum autem nihil inter sacerdotem interest, & eos quibus præest, velut cum tremenda mysteria percipienda sunt. Æque enim omnes ad ea admittimur: non sicut in veteri testamento, alia subditus edebat, nec plebi fas erat iis vesci, quibus sacerdos vescebatur. Nunc enim secus se res habet. Omnibus siquidem unum corpus, unum poculum proponitur. In precationibus quoque populum videris multum conferre. Etenim pro energumenis, & pro iis, qui in pœnitentia sunt, commu-
Ritus ecclesiæ multi. nes, & a sacerdote, & ab ipsis preces fiunt: atque omnes unam eamdemque precem concipiunt, precem, inquam, misericordia plenam. Rursus cum eos, qui sacrosanctæ mensæ participes esse nequeunt, a sacris septis arcemus, ineunda est altera oratio, in qua omnes æque humi jacemus, omnes æque consurgimus. Ad hæc cum pax danda, vicissimque accipienda est, omnes mutuo nos exosculamur. Jam in tremendis quoque mysteriis, ut sacerdos pro plebe, ita plebs pro sacerdote vota facit. Hæc enim verba: *Et cum spiritu tuo*, nihil aliud, quam hoc, significant. Rursus ea oratio, qua Deo gratiæ aguntur, utriusque communis est. Neque enim ipse solus gratias agit: sed etiam plebs universa. Nam cum prius illorum vocem sumsit, atque illi assenserunt id digne ac juste fieri, tum demum gratiarum actionem auspicatur. Quid autem miraris, si cum sacerdote plebs interdum loquatur, cum etiam cum ipsis Cherubim, ac supernis virtutibus sacrosanctos illos hymnos communiter in cælum mittat? Hæc porro cuncta eo a me dicuntur, ut unusquisque, etiam ex iis qui subsunt, advigilet: illudque intelligamus, nos omnes unum corpus esse, tantumque dumtaxat inter nos differre, quantum membra a membris differunt: ac proinde ne omnia ad sacerdotes rejiciamus: quin potius nos ecclesiæ totius, perinde ac communis corporis, cura afficiamur. Hoc enim & majorem securitatem affert: & majus virtutis incrementum vobis comparat. Audi quippe quomodo apostolorum tempestate ipsi persæpe eos, quibus præerant, consilii socios adhibebant. Nam cum septem Diaconos crearent, ad plebem prius retulerunt: & cum Petrus Matthiam, de ea re cum omnibus, qui tum aderant, tam viris quam mulieribus, agitavit. Neque enim hic qui præ-

A ὅταν γὰρ τοὺς ἐκείνῳ διακονουμένους τιμήσωμεν, εἰς αὐτὸν διαβαίνει τὰ τῆς εὐφημίας. Εἰς τὸ κοινὸν τῶν ἐκκλησιῶν. οὐ μικρὸν δὲ καὶ τοῦτο. καὶ γὰρ μεγάλη ἡ δύναμις τῆς συνόδου, ἤγουν τῶν ἐκκλησιῶν. σκόπει πῶς μεγάλη ἐστὶν ἡ δύναμις τῆς συνόδου. ἡ τῆς ἐκκλησίας εὐχὴ τὸν Πέτρον ἀπὸ τῶν δεσμῶν ἔλυσε, τοῦ Παύλου τὸ στόμα ἠνέῳξεν· ἡ τούτων ψῆφος, οὐχ ὡς ἔτυχε, καὶ τοὺς ἐπὶ τὰς πνευματικὰς ἀρχὰς ἐρχομένους κατακοσμεῖ. διά τοι τοῦτο καὶ ὁ μέλλων χειροτονεῖν, καὶ τὰς ἐκείνων εὐχὰς καλεῖ τότε, καὶ
B αὐτοὶ ἐπιψηφίζονται, καὶ ἐπιβοῶσιν ἅπερ ἴσασιν οἱ μεμυημένοι. οὐ γὰρ δὴ θέμις ἐπὶ τῶν ἀμυήτων ἐκκαλύπτειν ἅπαντα. ἔστι δὲ ὅπου οὐδὲ διέστηκεν ὁ ἱερεὺς τοῦ ἀρχομένου· οἷον, ὅταν ἀπολαύειν δέῃ τῶν φρικτῶν μυστηρίων. ὁμοίως γὰρ πάντες ἀξιούμεθα τῶν αὐτῶν. οὐ καθάπερ ἐπὶ τῆς παλαιᾶς, τὰ μὲν ὁ ἱερεὺς ἤσθιε, τὰ δὲ ὁ ἀρχόμενος· καὶ θέμις οὐκ ἦν τῷ λαῷ μετέχειν ὧν μετεῖχεν ὁ ἱερεύς. ἀλλ' οὐ νῦν· ἀλλὰ πᾶσιν ἓν σῶμα πρόκειται, καὶ ποτήριον ἕν· καὶ ἐν ταῖς εὐχαῖς δὲ πολὺ τὸν λαὸν ἴδοι τις ἂν συνεισφέροντα. καὶ γὰρ ὑπὲρ
C τῶν ἐνεργουμένων, ὑπὲρ τῶν ἐν μετανοίᾳ, κοιναὶ καὶ παρὰ τοῦ ἱερέως, καὶ παρ' αὐτῶν γίνονται αἱ εὐχαί· καὶ πάντες μίαν λέγουσιν εὐχὴν, εὐχὴν τὴν ἐλέου γέμουσαν. πάλιν ἐπειδὰν εἴρξωμεν τῶν ἱερῶν περιβόλων τοὺς οὐ δυναμένους τῆς ἱερᾶς μετασχεῖν τραπέζης, ἑτέραν δεῖ γενέσθαι εὐχὴν, καὶ πάντες ὁμοίως ἐπ' ἐδάφους κείμεθα, καὶ πάντες ὁμοίως ἀνιστάμεθα· ὅταν εἰρήνης πάλιν μεταλαμβάνειν καὶ μεταδιδόναι δέῃ, πάντες ὁμοίως ἀσπαζόμεθα. ἐπ' αὐτῶν πάλιν τῶν φρικωδεστάτων μυστηρίων ἐπεύ-
D χεται ὁ ἱερεὺς τῷ λαῷ, ἐπεύχεται καὶ ὁ λαὸς τῷ ἱερεῖ. τὸ γὰρ, μετὰ τοῦ πνεύματός σου, οὐδὲν ἄλλο ἐστὶν, ἢ τοῦτο. τὰ τῆς εὐχαριστίας πάλιν κοινά. οὐδὲ γὰρ ἐκεῖνος εὐχαριστεῖ μόνος, ἀλλὰ καὶ ὁ λαὸς ἅπας. πρότερον γὰρ αὐτῶν λαβὼν φωνὴν, εἶτα συντιθεμένων ὅτι ἀξίως καὶ δικαίως τοῦτο γίνεται, τότε ἄρχεται τῆς εὐχαριστίας. καὶ τί θαυμάζεις, εἴ που μετὰ τοῦ ἱερέως ὁ λαὸς φθέγγεται, ὅπουγε καὶ μετ' αὐτῶν τῶν Χερουβὶμ καὶ τῶν ἄνω δυνάμεων, κοινῇ τοὺς ἱεροὺς ἐκείνους ὕμνους ἀναπέμπει; ταῦτα δέ μοι πάντα ἐκεῖνα εἴρηται, ἵνα ἕκαστος καὶ τῶν ἀρχομένων νήφῃ, ἵνα μάθωμεν ὅτι σῶ-
E μά ἐσμεν ἅπαντες ἓν, τοσαύτην ἔχοντες πρὸς ἀλλήλους διαφορὰν, ὅσην μέλη πρὸς μέλη, καὶ μὴ τὸ πᾶν ἐπὶ τοὺς ἱερέας ῥίπτωμεν, ἀλλὰ καὶ αὐτοὶ, ὥσπερ κοινοῦ σώματος, τῆς ἐκκλησίας ἁπάσης οὕτω φροντίζωμεν. τοῦτο γὰρ καὶ ἀσφάλειαν πλείονα, καὶ ὑμῖν ἐπιδίδωσι μείζονα κατασκευάζειν πρὸς ἀρετήν. ἄκουσον γοῦν ἐπὶ τῶν ἀποστόλων, πῶς ἀλλαχοῦ τοὺς ἀρχομένους κοινωνοὺς τῆς γνώμης ἐλάμβανον. καὶ γὰρ ὅτε τοὺς ἑπτὰ ἐχειροτόνουν, τῷ δήμῳ πρότερον ἐκοινώσαντο· καὶ ὅτε τὸν Ματθίαν ὁ Πέτρος, τοῖς παροῦσιν ἅπασι τότε, καὶ ἀνδράσι, καὶ γυναιξίν.

οἱ

οὐ γὰρ ἀρχόντων τῦφός ἐστι τὰ ἐνταῦθα, οὐδὲ ἀρχομένων δουλοπρέπεια· ἀλλὰ ἀρχὴ πνευματική, τούτῳ μάλιστα πλεονεκτοῦσα, τῷ τὸ πλέον τῶν πόνων ὑπὲρ τῆς ὑμῶν ἀναδέχεσθαι φροντίδος, οὐ τῷ τιμὰς πλείους ἐπιζητεῖν. καὶ γὰρ ὡς μίαν οἰκίαν δεῖ τὴν ἐκκλησίαν οἰκεῖν, ὡς σῶμα ἕν, οὕτω διακεῖσθαι πάντας. ὥσπερ οὖν καὶ βάπτισμα ἕν ἐστι, καὶ τράπεζα μία, καὶ πηγὴ μία, καὶ κτίσις μία, καὶ πατὴρ εἷς. τί τοίνυν διῃρήμεθα, τοσούτων συναγαγόντων ἡμᾶς; τί διεσπάσμεθα; ἀναγκαζόμεθα γὰρ πάλιν τὰ αὐτὰ ὀδύρεσθαι, ἃ πολλάκις ἐθρήνησα. πένθους ἄξια τὰ παρόντα· οὕτω σφόδρα ἀπ' ἀλλήλων ἐσμὲν ἀπερρηγμένοι, δέον ἑνὸς σώματος μιμεῖσθαι συνάφειαν. οὕτω γὰρ καὶ παρὰ τοῦ ἐλάττονος ὁ μείζων κερδᾶναι δυνήσεται. εἰ γὰρ Μωϋσῆς παρὰ τοῦ κηδεστοῦ τι τῶν συμφερόντων ἔμαθεν ὅπερ αὐτὸς οὐ συνεῖδε, πολλῷ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ τοῦτο ἂν γένοιτο. καὶ τί δήποτε, ὃ συνεῖδεν ὁ ἄπιστος, οὐ συνεῖδεν ὁ πνευματικός; ἵνα μάθωσιν ἅπαντες οἱ τότε, ὅτι ἄνθρωπος ἦν, κἂν θάλατταν σχίζῃ, κἂν πέτραν ῥηγνύῃ, τῆς τοῦ θεοῦ ῥοπῆς δεῖται· καὶ ὅτι ἐκεῖνα οὐκ ἀνθρωπίνης φύσεως ἦν, ἀλλὰ θεοῦ δυνάμεως. καὶ νῦν εἰ οὐ λέγει τὰ [a] συμφέροντα ὁ δεῖνα, ἕτερος ἀναστὰς εἰπάτω· κἂν ἐλάττων ᾖ, λέγῃ δέ τι τῶν συμφερόντων, κύρωσον τὴν γνώμην· κἂν τῶν σφόδρα εὐτελεστάτων ᾖ, μὴ ἀτιμάσῃς. οὐδεὶς γὰρ τούτων ἀφέστηκε τοῦ πλησίον, ὅσον ὁ κηδεστὴς τοῦ Μωϋσέως. ἀλλ' οὐκ ἀπηξίωσεν ἀκοῦσαι, ἀλλὰ καὶ ἐδέξατο τὴν γνώμην, καὶ ἐπείσθη, καὶ ἀνάγραπτον ἐποίησε, καὶ οὐκ ᾐσχύνθη ταῦτα ἱστορίᾳ παραδοῦναι, τὸν τῶν πολλῶν τῦφον καθαιρῶν. διὸ καὶ ὡς ἐν στήλῃ τῷ βίῳ γράψας κατέλιπεν· ᾔδει γὰρ πολλοῖς χρήσιμον ἐσομένην τὴν ἱστορίαν. μὴ δὴ περιορῶμεν τοὺς τὰ δέοντα συμβουλεύοντας, κἂν τῶν ἀρχομένων τις ᾖ, κἂν τῶν εὐτελῶν, μηδὲ ἅπερ ἂν ἡμεῖς εἰσηγησόμεθα, ταῦτα πάντως κρατεῖν ἀξιῶμεν· ἀλλ' ἅπερ ἂν συμφέροντα φανῇ, ταῦτα παρὰ πάντων κυρούσθω· πολλοὶ γὰρ τῶν ἀμβλυωττόντων πολλὰ συνεῖδον μᾶλλον ὑπὲρ τοὺς ὀξὺ βλέποντας, διὰ τὸ σπουδάζειν καὶ συντετάσθαι· μηδὲ λέγε, τί με καλεῖς εἰς συμβουλήν, εἰ μὴ ἀκούεις ὃ λέγω; οὐκ ἔστι συμβούλου ταυτὶ τὰ ἐγκλήματα, ἀλλὰ τυράννου. ὁ γὰρ σύμβουλος, εἰπεῖν τὰ παρ' αὐτοῦ κύριός ἐστι μόνον· ἂν δὲ καὶ ἕτερον λυσιτελέστερον φανῇ, ὁ δὲ τὰ παρ' αὐτοῦ [b] πράττειν ἐθέλῃ, οὐκέτι σύμβουλός ἐστιν, ἀλλὰ τύραννος, ὥσπερ ἔφην. μὴ δὴ οὕτω ποιῶμεν, ἀλλὰ τύφου παντὸς καὶ ἀπονοίας ἀπαλλάξαντες τὴν ψυχήν, σκοπῶμεν οὐχ ὅπως μόνον τὰ ἡμέτερα στῇ, ἀλλ' ὅπως ἡ συμφέρουσα γνώμη κρατήσῃ, κἂν μὴ παρ' ἡμῶν εἰσφέρηται. οὐδὲ γὰρ μικρὸν

A sunt fastum præ se ferre debent, nec qui subsunt, servi habendi sunt: verum spirituale imperium est, hoc præsertim nomine superiores partes obtinens, quod pro vestræ salutis cura plures labores suscipiat, non autem quod plures honores requirat. Etenim omnes, ut domum unam, sic ecclesiam habitare; ut unum corpus, ita affectos esse convenit. Sicut ergo & baptisma unum est, & mensa una, & fons unus, & creatio una, sic & pater unus. Cur ergo, disjuncti, & disſecti sumus, cum tot summæ conjunctionis vincula habeamus? Rursum enim eadem deplorare cogimur, quæ sæpenumero luctu prosequuti sumus. B Luctu quippe dignus est hic rerum status, in quo alii ab aliis usque adeo abrupti sumus: cum contra corporis unius compagem imitari nos oporteat. Sic enim a minore quoque, is, qui major est, lucri aliquid facere queat. Nam si Moses quidpiam, quod in rem esset, ex socero didicerit, quod non animadvertebat: quanto magis in ecclesia hoc usu venire possit? Quid autem causæ est, cur, quod profanus homo perspiciebat, hoc spiritualem fugeret? Ut omnes qui tunc erant, hominem eum esse intelligerent, & in secando mari, & in effringenda petra C Dei auxilio indigere, miraculaque ea, non humanæ naturæ, sed divinæ potentiæ adscribi debere. Nunc quoque, si quispiam parum utilem sententiam dixerit, surgat alter ac loquatur. Quod si quamvis inferior sit, aliquid tamen, quod ex usu sit, dicat, sententiam illius comproba: nec eum quamlibet abjectum asperneris. Neque enim quisquam horum tam a proximo suo distat, quam socer ille a genero Mose, qui tamen sermonem ipsius minime fastidivit: verum & consilium excepit, eique paruit, litteris quoque mandavit, nec ejusmodi rem historiæ prodere erubuit: ut multorum hominum fastum D dejiceret, ob idque hæc tamquam in cippo insculpta reliquit, quod multis hanc historiam utilitati fore perspectum haberet. Ne ergo eos, qui optima dant consilia, etiamsi ex subditorum numero sint, & abjectæ sortis, contemnamus: nec quæ ipsi censuerimus, ea prorsus obtinere velimus: verum ut ea, quæ utilia visa fuerint, omnium calculis comprobentur. Plerique enim cæcutientium, multa clarius perspexerunt, quam qui acute cernebant, quod contentionem majorem ac studium adhibuissent. Nec vero dicas, ecquid me in consilium vocas, si verbis meis non obtemperas? Non enim consultoris, sed tyE ranni hæ accusationes sunt. Nam qui consultor est, hoc solum in arbitrio suo habet, ut, quid censeat, dicat: quod si sententia alia conducibilior appareat; & ipse suam sequi velit; non jam consultorem, ut jam dixi, sed tyrannum agit. Ne igitur sic faciamus: sed animum ab omni fastu atque arrogantia eximentes, id spectemus, non ut ea solum, quæ ipsi decreverimus, stent; sed ut ea sententia, quæ conducibilior fuerit, valeat, etiamsi a nobis minime allata sit. Neque enim pa-

*Exod.* 18.

Moyses cur Jethro soceri consilium admiserit.

[a] συμφέροντα. Savil. in marg. δέοντα, & paulopost pro συμφερόντων, Savil. in marg. συντελούντων.

[b] πράττειν, Savil. suspicatur legendum κρατεῖν.

rum lucri hinc colligemus, etiamsi ipsi, quæ in rem sint, non reperiamus, si ea quæ ab aliis utilius animadversa fuerint, amplectamur: & magnam a Deo mercedem accipiemus, & inde maxime gloriam consequemur. Ut enim is, qui utilem sententiam dixit, sapiens; ita nos, qui eam complexi sumus, prudentiæ candorisque laudem feremus. Ad hunc modum, & domus, & civitates: & ad hunc modum ecclesia gubernata, majoribus incrementis augebitur: nos quoque præsenti vita optime instituta, futuris bonis potiemur, quibus utinam omnes potiamur per gratiam & benignitatem, &c.

κερδανοῦμεν, κἂν μὴ τὰ δέοντα εὕροιμεν, αὐτοὶ τὰ παρ' ἑτέρων φανέντα δεχόμενοι, καὶ παρὰ τοῦ θεοῦ πολλὴν ληψόμεθα τὸν μισθὸν, καὶ δόξης δὲ οὕτω μάλιστα ἀπολαύσομεν. ὥσπερ γὰρ ἐκεῖνος ὁ τὰ συμφέροντα εἰπὼν, σοφός· οὕτως ἡμεῖς καταδεξάμενοι, καὶ αὐτοὶ συνέσεως καὶ εὐγνωμοσύνης καρπωσόμεθα ἔπαινον· οὕτω καὶ οἰκίαι, καὶ πόλεις, οὕτω καὶ ἐκκλησία οἰκονομουμένη, μείζονα λήψεται προσθήκην· οὕτω καὶ ἡμεῖς τὸν παρόντα βίον ἄριστα οἰκονομήσαντες, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XIX.

## ΟΜΙΛΙΑ ιθ'.

CAP. IX. 1. *Nam de ministerio quod fit in sanctos, superfluum est mihi scribere ad vos.*

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν.

1. POSTEAQUAM tot verba de ea re habuit, ait: superfluum est mihi scribere ad vos. Nec vero in hoc tantum ipsius prudentia enitet, quod, tam longa oratione habita, supervacaneum esse ait ad eos scribere: sed in hoc etiam, quod de eadem re rursus verba facit. Nam ea quidem, quæ paulo ante dixit, de iis dixit, qui pecunias susceperant, hoc videlicet agens, ut ipsi magno in honore haberentur. Ea vero, quæ de Macedonibus antea disserebat, nempe quod altissima eorum paupertas in divitiis simplicitatis eorum abundaret, cæteraque omnia, ad beneficentiam eleemosynamque spectabant. Et tamen, quamvis tam multa, & prius dixisset, & rursus dicturus esset, superfluum mihi est, inquit, scribere ad vos. Hoc porro eo facit, ut eorum animos alliciat. Pudet quippe hominem, qui ea existimatione est, ut ne consilio quidem egere videatur, mortalium de se opinioni imparem reperiri. Plerumque etiam, cum accusatione utendum est, ita facit, quædam prætermittens: hoc enim non parvam vim habet. Judex siquidem, accusatoris magnanimitatem perspiciens, nihil deinceps suspicionis habet. Id enim secum reputat, nullo modo fieri posse, ut qui, cum multa dicere in promtu haberet, tamen dicere supersederit, is falsa crimina confingat. Sic etiam plura suspicari suadet, quam ipse dixerit: sibique ipsi probitatis existimationem conciliat. Atque hoc, tum in consiliis, tum in laudibus facit. Postquam enim dixit: superfluum est mihi scribere, vide quo pacto eos moneat. 2. *Scio enim promtum animum vestrum, pro quo de vobis glorior apud Macedones.* Magnum est quod ipse novit; multo majus quod ad alios efferat. Majoris quippe hoc ponderis est. Non enim in tanta hominum multitudine dedecore affici voluissent. Vides-ne quam in monendo prudentiam adhibeat? Ab aliis, nempe a Macedonibus, eos cohortatus est. Notam enim, inquit, facio vobis gratiam Dei, quæ data est in ecclesiis Macedoniæ. Ab ipsis hortatus est, his verbis utens. Qui non so-

ΤΟΣΑΥΤΑ περὶ αὐτῆς εἰπὼν, ἐνταῦθά φησι, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν. καὶ οὐ τοῦτο μόνον ἐστὶν αὐτοῦ τὸ συνετὸν, ὅτι τοσαῦτα εἰπὼν, λέγει, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν· ἀλλ' ὅτι καὶ πάλιν λέγει περὶ αὐτῆς. ταῦτα μὲν γὰρ ἃ μικρὸν ἔμπροσθεν εἴρηκε, περὶ τῶν τὰ χρήματα ὑποδεξαμένων εἶπεν, ὥστε τιμῆς ἀπολαῦσαι πολλῆς· τὰ δὲ πρὸ ἐκείνων, ἃ περὶ Μακεδόνων διελέγετο, ὅτι ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, καὶ τὰ ἄλλα πάντα, περὶ φιλανθρωπίας καὶ ἐλεημοσύνης. ἀλλ' ὅμως, καὶ ἔμπροσθεν τοσαῦτα εἰπὼν, καὶ πάλιν μέλλων ἐρεῖν, περιττόν μοί ἐστι, φησι, τὸ γράφειν ὑμῖν. ποιεῖ δὲ τοῦτο, [a] ὥστε μᾶλλον αὐτοὺς ἐπισπάσασθαι. αἰσχύνεται γὰρ ἄνθρωπος δόξαν τοιαύτην ἔχων, ὡς μηδὲ δεῖσθαι συμβουλῆς, ἐλάττων φανῆναι τῆς ὑπολήψεως, καὶ ὑστερεῖσθαι. οὕτω καὶ ἐπὶ τῆς κατηγορίας ποιεῖ πολλάκις, κατὰ παράλειψιν, λέγων. καὶ γὰρ μεγάλην ἔχει τὴν ἰσχύν. ὁ γὰρ δικαστὴς ὁρῶν τὴν μεγαλοψυχίαν τοῦ κατηγόρου, οὐδὲ ὑποπτεύει λοιπόν. λογίζεται γὰρ, ὅτι ὁ πολλὰ ἐξὸν εἰπεῖν, οὐκ εἰπὼν, πῶς ἂν τὰ οὐκ ὄντα πλάσειε; καὶ δίδωσι καὶ μεῖζον ὑποπτεύειν, ἢ εἰπεῖν· καὶ ἤθους χρηστοῦ ὑπόνοιαν περιτίθησιν ἑαυτῷ. τοῦτο καὶ ἐπὶ τῆς συμβουλῆς, καὶ ἐπὶ τῶν ἐγκωμίων ποιεῖ. εἰπὼν γὰρ, περιττόν ἐστι τὸ γράφειν, ὅρα πῶς συμβουλεύει· οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσι. μέγα μὲν οὖν καὶ τὸ αὐτὸν εἰδέναι· πολλῷ δὲ πλέον καὶ τὸ εἰς ἑτέρους ἐξενεγκεῖν. μείζονα γὰρ ἔχει τὴν ἰσχύν. οὐ γὰρ ἂν ἠθέλησαν ἐπὶ τοσοῦτον καταισχυνθῆναι. εἶδες σύνεσιν προαιρέσεως; ἀπὸ ἄλλων, τῶν Μακεδόνων, προέτρεψε. γνωρίζω γὰρ ὑμῖν, φησι, τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. προέτρεψεν ἀπ' αὐτῶν. οἵτινες γὰρ, φησιν, οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ

[a] ὥστε μᾶλλον. Savil. in marg. ὡς μέλλων.

τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι. προέτρεψεν ἀπὸ τοῦ κυρίου. γινώσκετε γάρ, φησι, τὴν χάριν τοῦ κυρίου ἡμῶν, ὅτι δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν. πάλιν ἐπὶ τὸ ἰσχυρὸν κεφάλαιον καταφεύγει, τὸ ἀφ' ἑτέρων. ζηλότυπον γὰρ τὸ τῶν ἀνθρώπων γένος. καὶ ἔδει μὲν τὸ τοῦ κυρίου ὑπόδειγμα μᾶλλον αὐτοὺς ἐφελκύσασθαι, καὶ μετ' ἐκεῖνο, τὸ τῆς ἀντιδόσεως. ἀλλ' ἐπειδὴ ἀσθενέστεροι ἦσαν, τούτῳ μᾶλλον ἐφέλκεται. οὐδὲν γὰρ τοσοῦτον, ὅσον ὁ ζῆλος, ποιεῖ. σκόπει δὲ πῶς αὐτὸ καὶ καινοτέρως εἰσάγει. οὐ γὰρ εἶπε, τούσδε μιμήσασθε· ἀλλὰ τί; ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. τί λέγεις; πρὸ μικροῦ ἔλεγες, ὅτι αὐτεπάγγελτοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν. πῶς οὖν ὁ ἐξ ὑμῶν ζῆλος; ναί, φησιν· οὐ συνεβουλεύσαμεν, οὐ παρεκαλέσαμεν, ἀλλ' ἐπῃνέσαμεν μόνον ὑμᾶς, ἐκαυχησάμεθα μόνον, καὶ τοῦτο ἤρκεσεν αὐτοῖς εἰς προτροπήν. εἶδες πῶς δι' ἀλλήλων αὐτοὺς διεγείρει, τούτους μὲν δι' ἐκείνων, ἐκείνους δὲ διὰ τούτων, καὶ τῷ ζήλῳ καὶ ἐγκώμιον ἀνέμιξε μέγιστον; εἶτα ἵνα μὴ αὐτοὺς ἐπαίρῃ, κεκολασμένως μεθοδεύει λέγων, ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. ἐννόησον τοίνυν ὅσον ἐστὶν [a] ἑτέροις γενομένους αἰτίους τῆς φιλοτιμίας ταύτης, αὐτοὺς ὑστερεῖσθαι κατὰ τὴν εἰσφορὰν ταύτην. διὰ τοῦτο οὐκ εἶπε, μιμήσασθε ἐκείνους· οὐ γὰρ τοσοῦτον εἶχε τὸν ζῆλον· ἀλλὰ πῶς; ἐκεῖνοι ὑμᾶς ἐμιμήσαντο· μηδὲ φανῆτε τῶν μαθητῶν ἐλάττους οἱ διδάσκαλοι. καὶ ὅρα πῶς διεγείρων αὐτοὺς καὶ ἀνάπτων μειζόνως, ὑποκρίνεται μετ' αὐτῶν ἑστάναι, καθάπερ ἐν φιλονεικίᾳ τινὶ καὶ ἁμίλλῃ, τὸ μέρος αὐτῶν ἐπιλεγόμενος. καθάπερ γὰρ ἀνωτέρω ἔλεγεν, ὅτι αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως προσῆλθον ἡμῖν, εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο, οὕτως ἐπιτελέσῃ καὶ τὴν χάριν ταύτην· οὕτω καὶ ἐνταῦθα φησιν, ὅτι· διὰ τοῦτο ἔπεμψα τοὺς ἀδελφούς, ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν. εἶδες αὐτὸν ἀγωνιῶντα καὶ τρέμοντα, ἵνα μὴ δόξῃ προτροπῆς ἕνεκεν εἰρηκέναι μόνον ἃ εἶπον, ἀλλὰ τῷ οὕτως ἔχειν, φησὶν, ἔπεμψα τοὺς ἀδελφούς· τοσαύτην ὑπὲρ ὑμῶν ποιοῦμαι σπουδήν, ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν. καὶ δοκεῖ τοῦ μέρους ἑαυτὸν ποιεῖν τῶν Κορινθίων διὰ πάντων, καίτοι πάντων ὁμοίως κηδόμενος. ὃ δὲ λέγει τοῦτό ἐστι· πάνυ σεμνύνομαι ἐφ' ὑμῖν, καλλωπίζομαι παρὰ πᾶσιν, ἐκαυχησάμην πρὸς ἐκείνους. ὥστε ἂν ὑστερήσητε, κοινὰ τὰ τῆς αἰσχύνης. καὶ τοῦτο δὲ μεμετρημένως. προσέθηκε γάρ· ἐν τούτῳ τῷ μέρει· οὐ πανταχοῦ· ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε. οὐδὲ γὰρ εἶπον, ὅτι μέλλουσιν, ἀλλ' ὅτι πάντα ηὐτρέπισται, καὶ οὐδὲν αὐτοῖς ἐνδεῖ λοιπόν. τοῦτο οὖν βούλομαι διὰ τῶν ἔργων δειχθῆναι, φησιν. εἶτα καὶ αὔξει τὴν ἀγωνίαν, λέγων· μή πως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καταισχυνθῶμεν ἡμεῖς·

A lum facere, sed & velle cœpistis ab anno superiori. Tum a Domino quoque hortatus est, dicens: Nostis enim gratiam Domini nostri, quoniam propter vos egenus factus est, cum dives esset. Rursus ad firmum caput confugit, ab aliis exemplum petens. Zelotypum enim est mortalium genus. Et quidem par erat ut illi, Domini potius exemplo, ac deinde præmiorum spe moverentur; sed quia imbecilliores erant, hac potius ratione ipsos pertrahit. Neque enim quidquam est, quod tantum efficiat, quantum zelus. Ac velim animadvertas quam novo modo hoc invehat. Non enim dixit; hos imitemini: sed quid? *Vestra æmulatio provocavit plu-*
B *rimos.* Quid ais? Aliquanto ante dicebas, quod voluntarie, & cum multa deprecatione, obsecrantes nos. Qomodo ergo vestra æmulatio? Ita est, inquit: non suasimus, non cohortati sumus: vos laudibus tantum extulimus, de vobis gloriati sumus: idque ad excitandos illos abunde fuit. Vides quomodo hos per illos, ac vicissim illos per hos excitet, atque zelotypiæ maximam laudem adjungat? Mox, ne animos illis attollat, orationem arte quadam castigantis more temperat, inquiens: *Vestra æmulatio provocavit plurimos.* Perpende itaque quam turpe
C sit, eos ipsos, qui hujusce liberalitatis auctores aliis exstiterunt, in hoc largitionis genere posteriores partes ferre. Ideo non dixit: illos imitemini: neque enim tanto illos zelo inflammasset; sed quomodo? Vestrum illi exemplum sequuti sunt: ne magistri, discipulis inferiores videamini. Ac perspice quomodo, ut eos vehementius excitet atque incendat, cum iis se stare simulet, non secus atque in certamine quodam & contentione ad eorum partes se conferens. Ut enim superius dicebat: voluntarii & cum multa exhortatione nos deprecantes, ad nos venerunt, ita ut Titum rogaremus, ut quemad-
D modum cœpit, ita & perficiat gratiam istam; ita hic quoque ait. 3. *Idcirco misi fratres, ut ne quod gloriemur, evacuetur in hac parte.* Videsne quam anxio ac trepido animo sit, ne ea quæ dixit, cohortationis tantum causa dixisse videatur, verum quia res ita se habeat, fratres, inquit, misi. Tantæ videlicet mihi propter vos curæ est, ne gloriatio nostra evacuetur. In quo ita se gerit Paulus, ut prorsus ad Corinthiorum partes sese adjungere videatur: tametsi revera omnibus æque consulit. Horum porro verborum hic sensus est: magnopere propter vos glorior:
E apud omnes me effero, apud illos etiam me jactavi. Quocirca si procrastinetis, commune mihi vobiscum hoc dedecus erit. Atque hic quoque sermonem temperavit: adjecit enim: *in hac parte*; non omnibus in rebus. *Ut, quemadmodum dixi, parati sitis.* Neque enim dixeram eos paratos fore: sed omnia jam promta ac parata esse, nec quidquam jam ipsis deesse. Hoc igitur, inquit, reipsa comprobari volo. Postea animi anxietatem his verbis amplificat. 4. *Ne, si venerint Macedones mecum, & imparatos vos invenerint, confun-*

[a] ἑτέροις, sic Savil. in margine, & sic legit Interpres Latinus, atque ita legendum videtur. In editis, ἑτέρους.

*damur nos, ut non dicamus vos, in hac substantia gloriationis.*

2. Major incutitur pudor, cum quis permultos spectatores adhibet, & eos qui audierunt. Nec vero dixit: Macedones mecum duco, mecum enim illi ad vos se conferunt: ne hoc dedita opera facere videatur. Quonam autem modo? *Ne forte, si venerint Macedones*; fieri siquidem potest ut veniant. Hoc quippe modo suspicionem omnem a se removet; si alio modo dixisset, contentiosiores illos redditurus erat. Vide quomodo non tantum spiritualibus, sed humanis etiam rationibus eos impellat. Nam etsi me, inquit, haud magni ducitis, ac fidenti animo estis, ut a me veniam impetraturi: at certe Macedonas vobis animo proponite: ne forte, si veniant, ac vos offendant; non dixit, nolentes, sed imparatos, nondumque munere vestro plene perfunctos, &c. Quod si non confestim largiri, turpe est, nihil prorsus, aut certe minus, quam par sit, largiri, cujus tandem dedecoris sit, cogites licet. Postea leniter simul, atque ad feriendum accommodate, id quod hinc eventurum est, exponit his verbis: *Confundamur nos, ut non dicamus vos.* Rursusque orationem reprimit, dicens: *in hac substantia gloriationis.* Non, ut ipsos segniores efficiat: sed ut ostendat eos, qui aliis virtutibus floreant, curare debere ut in hac quoque magna cum animi fiducia versentur. 5. *Necessarium ergo existimavi rogare fratres, ut prius perveniant ad vos, & præparent repromissam benedictionem hanc paratam esse, sic quasi benedictionem, non tamquam avaritiam.* Rursus istud alio modo repetit. Ac ne temere his verbis uti videatur, nullam aliam hujus itineris suscipiendi causam esse ait, quam ne ipsi pudore suffundantur. Vides-ne jam, quomodo illa verba: *Superfluum est mihi scribere ad vos*, admonitionis exordium fuerint? Perspicis quippe quot de hujusmodi ministerio verba fundat. Ad hæc illud quoque dicere licet, quod, ne secum ipse pugnare videatur, qui cum dixisset: *Superfluum*, tamen de ea re verba faciat, præterquam quod de celeritate ac munificentia promtitudineque animi disserit, per hæc illud etiam efficit. Hæc enim tria exigit: atque hæc quidem capita etiam in initio epistolæ movit. Nam cum diceret: *in multo experimento tribulationis abundantia gaudii ipsorum fuit, & altissima paupertas abundavit in divitias simplicitatis eorum*, nil aliud his verbis significabat, quam quod multum contulissent, & cum gaudio ac celeritate: ac munerum amplitudo non modo illos mœrore minime affecisset, sed ne illud quidem, quod in tentationibus versarentur, quod tamen gravius erat, quam facultates suas impertire. Atque etiam in his verbis: *seipsos nobis dederunt*; eorum animi promtitudinem magnamque fidem ostendit. Rursum autem eadem hic quoque tractat. Quoniam enim liberalitas & hilaritas fere inter se pugnant, atque is quidem, qui multum

2.Cor.8.2.

A ἵνα μὴ λέγωμεν, ὑμεῖς· ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.

Μείζων ἡ ἐντροπὴ, ὅταν πολλοὺς ἐπιστήσῃ τοὺς θεατὰς, αὐτοὺς τοὺς ἀκηκοότας. καὶ οὐκ εἶπε, φέρω γὰρ Μακεδόνας μετ᾽ ἐμοῦ, ἔρχονται γὰρ Μακεδόνες μετ᾽ ἐμοῦ· ἵνα μὴ δόξῃ ἐπίτηδες αὐτὸ ποιεῖν. ἀλλὰ πῶς; μή πως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες. συμβαίνει γὰρ τοῦτό, φησι, γενέσθαι, τῶν ἐγχωρούντων ἐστίν. οὕτω γὰρ καὶ ἀνύποπτον ἐποίει τὸν λόγον· εἰ δὲ ἐκείνως εἶπε, καὶ φιλονεικοτέρους B ἐποίησεν ἄν. ὅρα πῶς οὐκ ἀπὸ τῶν πνευματικῶν μόνον αὐτοὺς ἐνάγει, ἀλλὰ καὶ ἀπὸ τῶν ἀνθρωπίνων. εἰ γὰρ καὶ ἐμὲ οὐδὲν μέγα τίθεσθέ, φησι, θαῤῥεῖτε δὲ ὡς συγγινώσκοντι, ἀλλ᾽ ἐννοεῖτε Μακεδόνας· μή πως, ἐὰν ἔλθωσι, καὶ εὕρωσιν ὑμᾶς· καὶ οὐκ εἶπε, μὴ βουλομένους, ἀλλὰ, ἀπαρασκευάστους, μηδέπω τὸ πᾶν πεπληρωκότας. εἰ δὲ τοῦτο αἰσχύνη, τὸ μὴ ταχέως ἐνεγκεῖν· τὸ μηδὲ ὅλως εἰσενεγκεῖν, ἢ ἔλαττον τοῦ δέοντος, ἐννόησον ἡλίκον. εἶτα πράως τὸ ἐξ αὐτοῦ συμβησόμενον, καὶ πληκτικῶς τίθησιν, οὕτως εἰπὼν, C καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν, ὑμεῖς. καὶ κολάζει πάλιν λέγων, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως· οὐ ῥαθυμοτέρους ποιῶν, ἀλλὰ δεικνὺς, ὅτι τοὺς ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντας, καὶ ἐν ταύτῃ πολλὴν ἔχειν δεῖ τὴν παῤῥησίαν. ἀναγκαῖον οὖν ἡγησάμην προπέμψαι τοὺς ἀδελφοὺς, ἵνα προκαταρτίσωσι ταύτην τὴν εὐλογίαν ὑμῶν ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεονεξίαν. πάλιν αὐτὸ ἀνέλαβεν ἑτέρως· καὶ ἵνα μὴ δόξῃ ἁπλῶς ταῦτα λέγειν, καὶ τὴν αἰτίαν τῆς ὁδοῦ οὐκ D ἄλλην εἶναί φησιν, ἀλλ᾽ ὥστε μὴ καταισχυνθῆναι αὐτούς. ὁρᾷς ὅτι τὸ, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν, ἀρχὴ συμβουλῆς ἦν; ὁρᾷς γοῦν ὅσα περὶ ταύτης διαλέγεται τῆς διακονίας; μετὰ δὲ τούτου, κἀκεῖνό ἐστιν εἰπεῖν· ὅτι ἵνα μὴ δόξῃ ἐναντιολογεῖσθαι εἰπὼν περιττὸν, καὶ περὶ αὐτοῦ διαλεγόμενος, πρὸς τῷ περὶ τάχους διαλέγεσθαι, καὶ δαψιλείας, καὶ προθυμίας, διὰ τούτων κἀκεῖνο κατασκευάζει. τὰ γὰρ τρία ταῦτα ἀπαιτεῖ, καὶ ἐκίνησε μὲν ταυτὶ τὰ κεφάλαια καὶ ἐν ἀρχῇ. ὅταν γὰρ λέγῃ, ἐν πολλῇ δοκιμῇ θλί- E ψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι καὶ πολὺ εἰσήνεγκαν, καὶ μετὰ χαρᾶς, καὶ μετὰ τάχους, καὶ οὐ μόνον τὸ δοῦναι [a] οὐ πολὺ ἐλύπησεν, ἀλλ᾽ οὐδὲ τὸ ἐν πειρασμοῖς εἶναι· ὃ τοῦ δοῦναί φορτικώτερον. καὶ τὸ, ἡμῖν ἔδωκαν ἑαυτοὺς, καὶ τοῦτο καὶ τὴν προθυμίαν αὐτῶν δείκνυσι, καὶ τὸ σφόδρα αὐτοὺς πιστεύειν. πάλιν δὲ καὶ ἐνταῦθα αὐτὰ μεταχειρίζει. ὅπερ γὰρ ταῦτα ἐναντία ἐστὶ, φιλοτιμία καὶ προθυμία, καὶ ὁ μὲν πολὺ δοὺς πολλάκις ἀθυμεῖ,

a οὐ πολὺ ἐλύπησεν. Sic legit interpres Latinus, atque ita legendum. In editis οὐ deest.

A ὁ δὲ ὑπὲρ τοῦ μὴ ἀλγεῖν ἔλαττον δίδωσιν, ὅρα πῶς[a] ἑκατέρους ἐπιμελεῖται, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ συνέσεως. οὐ γὰρ εἶπεν, ὀλίγον βέλτιον δοῦναι καὶ μετὰ προαιρέσεως, ἢ πολὺ μετὰ ἀνάγκης· ἐπειδὴ καὶ πολὺ, καὶ μετὰ προαιρέσεως ἠβούλετο αὐτοὺς εἰσενεγκεῖν· ἀλλὰ πῶς; ἵνα προκαταρτίσωσι τὴν εὐλογίαν ὑμῶν ἑτοίμην εἶναι ὡς εὐλογίαν, μὴ ὡς πλεονεξίαν. πρότερον ἀπὸ τοῦ ἡδίστου, καὶ κουφοτέρου ἄρχεται, τοῦ μὴ μετὰ ἀνάγκης. εὐλογία γάρ, φησιν, ἐστίν. ὅρα πῶς ἐν τάξει παραινέσεως τὸν καρπὸν εὐθέως δείκνυσι βλαστάνοντα, καὶ εὐλογίας πεπληρωμένους τοὺς παρέχοντας. B καὶ τῇ προσηγορίᾳ αὐτοὺς ἐπεσπάσατο. οὐδεὶς γὰρ εὐλογίαν δίδωσι μετὰ λύπης. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, μὴ ὡς πλεονεξίαν. μὴ νομίσητε, φησιν, ὅτι ὡς πλεονεκτοῦντες αὐτὴν λαμβάνομεν, ἀλλ' ὥστε αἴτιοι γενέσθαι ὑμῖν εὐλογίας. ἡ γὰρ πλεονεξία, ἀκόντων ἐστίν· ὥστε ὁ διδοὺς ἐλεημοσύνην ἄκων, πλεονεξίαν δίδωσιν. εἶτα ἀπὸ τούτου πάλιν ἐπ' ἐκεῖνο μετέβη, τὸ φιλοτίμως διδόναι. τοῦτο δὲ λέγω. τουτέστιν, ὅτι μετὰ τούτου κἀκεῖνό φημι. ποῖον; ὅτι ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ C σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. καὶ οὐκ εἶπε, μικρολόγως, ἀλλ' εὐφημότερον, τὸ τοῦ φειδωλοῦ θεὶς ὄνομα. καὶ σπόρον τὸ πρᾶγμα ἐκάλεσεν, ἵνα εὐθέως πρὸς τὴν ἀντίδοσιν ἴδῃς, καὶ τὸν ἄμητον ἐννοήσας, μάθῃς ὅτι πλείονα λαμβάνεις ἢ δίδως. διὸ οὐκ εἶπεν, ὁ διδοὺς, ἀλλ', ὁ σπείρων· καὶ οὐκ εἶπεν, ὑμεῖς ἐὰν σπείρητε, ἀλλὰ καθολικὸν τὸν λόγον ποιεῖ. οὐδὲ εἶπε, δαψιλῶς, ἀλλ', ἐπ' εὐλογίαις· ὃ πολὺ τούτου μεῖζον ἦν. καὶ πάλιν ἐπὶ τὸ πρότερον τὸ ἡδὺ καταφεύγει, λέγων. ἕκαστος καθὼς D προαιρεῖται τῇ καρδίᾳ. μᾶλλον γὰρ ἐξουσίαν τις λαβὼν, ἢ ἀναγκαζόμενος ποιεῖ. διὸ καὶ τούτῳ ἐνδιατρίβει. εἰπὼν γὰρ, καθὼς προαιρεῖται, ἐπήγαγε. μὴ ἐκ λύπης, μηδὲ ἐξ ἀνάγκης. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἀπὸ γραφῆς μαρτυρίαν ἐπάγει, λέγων. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. εἶδες πῶς συνεχῶς τοῦτο τίθησιν; οὐ κατ' ἐπιταγὴν λέγω, καί, γνώμην ἐν τούτῳ δίδωμι, καί, ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεονεξίαν, καὶ πάλιν, μὴ ἐκ λύπης, μηδὲ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός· ἐνταῦθα οἶμαι τὸ, ἱλαρὸν, δαψιλῆ λέγεσθαι. πλὴν E αὐτὸς εἰς τὸ μετὰ προθυμίας διδόναι αὐτὸ παρέλαβεν. ἐπειδὴ γὰρ τὸ παράδειγμα Μακεδόνων, καὶ τὰ ἄλλα ἅπαντα ἱκανὰ ἦν ἐργάσασθαι τὴν πολυτέλειαν· οὐ πολλὰ περὶ αὐτῆς φθέγγεται, ἀλλὰ περὶ τοῦ μὴ ἄκοντας διδόναι. εἰ γὰρ ἔργον ἐστὶν ἀρετῆς, πᾶν δὲ τὸ ἐξ ἀνάγκης ὑποτέμνεται τὸν μισθὸν, εἰκότως τοῦτο ἐργάζεται. καὶ οὐ συμβουλεύει μόνον, ἀλλὰ καὶ ἐπεύχεται, ὅπερ ἀεὶ ποιεῖ, λέγων. δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν πληρῶσαι εἰς ὑμᾶς.

tribuit, ſæpe mœrore afficitur; hic contra, ne doleat, parcius tribuit, vide quonam pacto, & cum ea, quæ ipſum decebat, prudentia utriuſque curam gerat. Non enim dixit: pauca lubenti animo dare præſtat, quam multa invito: quandoquidem utrumque volebat, ut & multum, & libenter tribuerent. Quomodo? *Ut præparent veſtram benedictionem paratam eſſe ſicut benedictionem, & non tamquam avaritiam.* Prius ab eo, quod jucundius ac levius erat, auſpicatur, ut ne inviti largiantur. Benedictio enim eſt, inquit. En quo pacto inter cohortandum enaſcentem ſtatim fructum oſtendat: eoſque qui tribuunt, benedictione refertos eſſe. Dicti quoque ſuavitate eos illexit. Nemo enim mœſto animo benedictionem impertit. Ac ne hoc quidem contentus, addidit: *non tamquam avaritiam.* Ne exiſtimetis, inquit, nos eam, ut avaros; accipere, ſed ut benedictionis auctores vobis ſimus. Avaritia enim eorum eſt, qui inviti tribuunt: ac proinde qui eleemoſynam invitus confert, avaritiam dat, non benedictionem. Poſtea ab hoc rurſus ad illud tranſit, nimirum ad hoc, ut prolixe ac munifice tribuant. 6. *Hoc autem dico*, hoc eſt, cum hoc illud quoque dico, quale illud: *qui parce ſeminat, parce & metet; & qui ſeminat in benedictionibus, de benedictionibus & metet.* Non dixit, *modice*, ſed mitiore vocabulo utens, *parce*. Quin ſemen quoque hanc rem appellavit, ut ſtatim tibi ob oculos ſeſe merces objiciat: ac meſſem cogitans plura te accipere, quam dare intelligas. Proinde non dixit: *qui dat*, ſed *qui ſeminat*. Non item: *ſi vos ſeminaveritis:* verum in genere hoc extulit. Non denique *largiter*; ſed quod multo majus, *in benedictionibus*. Tum rurſus ad prius illud, quod ſuavitatem habebat, ſe recipit, dicens: 7. *Unuſquiſque prout deſtinavit in corde ſuo.* Magis enim liberam quis facultatem nactus, aliquid facit, quam neceſſitate adactus. Unde etiam in hoc immoratur. Poſtquam enim dixit: *ſicut deſtinavit*, ſubjecit, *non ex triſtitia aut ex neceſſitate.* Ac ne id quidem ipſi ſatis fuit: verum a Scriptura quoque teſtimonium affert, dicens: *Hilarem enim datorem diligit Deus.* Vides quam aſſidue hoc ponat: *Non ut imperans dico.* Et, *conſilium hic do:* &, *ut benedictionem, ac non tamquam avaritiam.* Ac rurſus: *non ex triſtitia, neque ex neceſſitate. Hilarem enim datorem diligit Deus.* In quibus verbis per hilarem, munificum mihi ſignificare videtur: tametſi hoc conſilio vocem hanc aſſumſit, ut ad promto animo tribuendum impellat. Quia enim Macedonum exemplum, aliaque omnia ad inducendam largiendi amplitudinem ſufficiebant, idcirco de ea haud multa verba facit, verum hortatur, ut ne inviti tribuant. Nam ſi virtutis opus eſt, quidquid autem neceſſitate fit mercedem aufert, jure id inſinuat. Nec tantum monet: ſed etiam, quod perpetuo facit, vota adhibet, dicens. 8. *Potens autem eſt Deus omnem gratiam abundare facere in vobis.*

[a] ἑκατέρους. Legendum videtur ἑκατέρου, & ſic legit interpres Latinus.

3. Per hujusmodi precem, cogitationem eam amolitur, quæ hujusmodi munificentiæ occurrere solet, ac nunc quoque plerisque impedimento esse. Complures enim eleemosynam dare pertimescunt, dicentes: Ne forte in paupertatem incidam, ne forte aliorum auxilio opus habeam. Ut igitur hunc metum solvat votum adjungit dicens: *Potens est Deus omnem gratiam abundare facere in vobis.* Non simpliciter dixit: *implere*, sed, *abundare facere.* Quid autem est gratiam abundare facere? Hoc est, tot tantisque opibus vos cumulare, ut munificentia copiosissime uti possitis. *Ut in omnibus omnem sufficientiam habentes, abundetis in omne opus bonum.* Vide quomodo ipsius precationi magna insit philosophia. Non opes ac redundantes facultates illis optat, verum *omnem sufficientiam.* Neque hoc tantum mirabile in illo est, sed quod, ut superfluum non apprecatur; ita nec premit nec cogit illos, ipsorum infirmitati se attemperans, ut ex paucis residuis pecuniis largiantur; sed precatur ut quantum satis sit, habeant: simulque illud ostendit, beneficiis divinitus acceptis non abutendum esse. *Ut abundetis*, inquit, *in omne opus bonum.* Ideo, inquit, hæc peto, ut aliis quoque tribuatis. Nec dixit, *tribuatis*, sed, *abundetis.* Nam in carnalibus quidem, quantum sat sit, ipsis petit: at in spiritualibus, ut etiam abundent, postulat, non in eleemosyna tantum, sed etiam in omnibus aliis rebus: nempe, *In omne opus bonum.* Postea consultorem ipsis prophetam adhibet, quæsito ejusmodi testimonio, quo ad munificentiam excitentur: aitque, 9. *Sicut scriptum est, Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi.* Hoc est id quod aiebat, *Ut abundetis.* Hoc enim verbum, dispergere, nil aliud indicat, quam copiose largiri. Etsi enim ipsa non manent: ea tamen, quæ ex ipsis oriuntur, manent. Hoc namque mirabile est, quod, quæ asservata pereunt, eadem cum disperguntur, manent, & quidem in perpetuum. Per justitiæ porro vocabulum hoc loco benignitatem intelligit. Justos quippe homines efficit, peccata ignis in modum absumens & conficiens, cum largissime profunditur. Quocirca ne parce nos geramus: sed plena confertaque manu seramus. Annon perspicis quanta histrionibus ac scortis alii largiantur? Dimidium saltem eorum Christo tribue, quæ illi saltatoribus tribuunt. Tantum saltem fame laboranti præbe, quantum illi, ambitione ducti, scenicis impertiunt. Illi etenim scortorum corpus infinito etiam auro convestiunt: at tu ne tenui quidem veste Christi carnem obvolvis, idque cum nudam eam cernas. Quanam hoc venia dignum esse queat? quod non supplicii genus hoc meretur: cum ille in eam, quæ ipsi exitio atque infamiæ est, tot munera conferat, tu contra ne minimum quidem ei, qui te servat clarioremque efficit? Verum in ventrem quidem, ac temulentiam, & luxuriam sumtus faciens nusquam paupertatis meministi: ac si sublevanda cujuspiam paupertas est, quovis egentior existis. Atque ita

A Διὰ τῆς εὐχῆς λογισμὸν ὑφορμοῦντα τῇ φιλοτιμίᾳ ταύτῃ ἀναιρεῖ, τὸν καὶ νῦν πολλοῖς ἐμποδίζοντα. καὶ γὰρ πολλοὶ δεδοίκασιν ἐλεημοσύνην δοῦναι, λέγοντες, μήπως πένης γένωμαι, μήπως ἑτέρων δεηθῶ. τοῦτον οὖν καταλύων τὸν φόβον, προστίθησι τὴν εὐχὴν, λέγων· πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς. οὐχ ἁπλῶς πληρῶσαι, ἀλλὰ περισσεῦσαι. τί δέ ἐστι χάριν περισσεῦσαι; ἐμπλῆσαι, φησιν, ὑμᾶς τοσούτων, ὡς δύνασθαι περιττεύειν ἐν τῇ φιλοτιμίᾳ ταύτῃ. ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς B πᾶν ἔργον ἀγαθόν. ὅρα καὶ ἐν τῇ προσευχῇ αὐτοῦ πολλὴν τὴν φιλοσοφίαν. οὐ πλοῦτον εὔχεται, οὐδὲ περισσείαν, ἀλλὰ πᾶσαν αὐτάρκειαν. καὶ οὐ τοῦτο μόνον ἐστὶν αὐτοῦ τὸ θαυμαστὸν, ἀλλ' ὅτι ὥσπερ τὸ περιττὸν οὐκ ἐπηύξατο, οὕτως οὐ θλίβει αὐτοὺς, οὐδὲ ἀναγκάζει ἀπὸ τοῦ ὑστερήματος δοῦναι συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, ἀλλ' αὐτάρκειαν αἰτεῖ, καὶ δείκνυσιν ἅμα ὅτι τοῖς παρὰ τοῦ θεοῦ δώροις οὐ καταχρῆσθαι δεῖ. ἵνα περισσεύητε, φησιν, εἰς πᾶν ἔργον ἀγαθόν. διὰ τοῦτο, φησι, C ταῦτα αἰτῶ, ἵνα καὶ ἑτέροις παρέχητε. καὶ οὐκ εἶπε, παρέχητε, ἀλλὰ, περισσεύητε. ἐν μὲν γὰρ τοῖς σαρκικοῖς αὐτάρκειαν αὐτοῖς αἰτεῖ, ἐν δὲ τοῖς πνευματικοῖς καὶ περισσείαν· οὐκ ἐν ἐλεημοσύνῃ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι. τοῦτο γάρ ἐστι τὸ, εἰς πᾶν ἔργον ἀγαθόν. εἶτα τὸν προφήτην αὐτοῖς ἐπάγει σύμβουλον, μαρτυρίαν ζητήσας τὴν εἰς δαψίλειαν αὐτοὺς ἐκκαλουμένην, καί φησι· καθὼς γέγραπται, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. τοῦτό ἐστι, περισσεύητε. τὸ γὰρ ἐσκόρπισεν, οὐδενὸς ἄλλου δηλωτικόν D ἐστιν, ἢ τοῦ μετὰ δαψιλείας διδόναι. εἰ γὰρ καὶ αὐτὰ οὐ μένει, ἀλλὰ τὰ ἐξ αὐτῶν μένει. καὶ γὰρ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι φυλαττόμενα μὲν ἀπόλλυται, σκορπιζόμενα δὲ μένει, καὶ μένει διὰ παντός. δικαιοσύνην δὲ ἐνταῦθα τὴν φιλανθρωπίαν ἐκάλεσε. καὶ γὰρ δικαίους ποιεῖ, τὰ ἁμαρτήματα ὥσπερ πῦρ ἀναλίσκουσα, ὅταν μετὰ δαψιλείας ἐκχέηται. μὴ τοίνυν ἀκριβολογώμεθα, ἀλλὰ ἀθρόᾳ τῇ χειρὶ σπείρωμεν. οὐχ ὁρᾷς μίμοις πόσα διδόασιν ἕτεροι, καὶ γυναιξὶ πόρναις; κἂν τὰ ἡμίση τῷ Χριστῷ δὸς, ὧν τοῖς ὀρχουμένοις ἐκεῖνοι διδόασιν· ὅσα πρὸς φι- E λοτιμίαν ἐκεῖνοι τοῖς ἐπὶ σκηνῆς, τοσαῦτα σὺ κἂν πεινῶντι δός. ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα τῶν ἑταιριζομένων καὶ χρυσίῳ περιβεβλήκασιν ἀφάτῳ· σὺ δὲ οὐδὲ ἱματίῳ ψιλῷ τὴν σάρκα τοῦ Χριστοῦ, καὶ ταῦτα γυμνὴν ὁρῶν. ποίας τοῦτο συγγνώμης ἄξιον, πόσης δὲ οὐ κολάσεως, ὅταν ἐκεῖνος μὲν τῇ ἀπολλυούσῃ αὐτὸν καὶ καταισχυνούσῃ τοσαῦτα παρέχῃ, σὺ δὲ μηδὲ τὸ ἐλάχιστον τῷ σώζοντί σε καὶ ποιοῦντι λαμπρότερον; ἀλλὰ εἰς γαστέρα μὲν καὶ μέθην καὶ ἀσωτίαν ἀναλίσκων, οὐδαμοῦ πενίας μέμνησαι· ἂν δὲ πενίαν διορθῶσαι δέῃ, πάντων γίνῃ πτωχότερος. καὶ

A παρασίτους μὲν τρέφων καὶ κόλακας, ὡς ἀπὸ πηγῶν δαπανῶν, οὕτω χαίρεις· εἰ δέ που πτωχὸν ἴδῃς, τότε σοι ὁ τῆς πενίας ἐπιτίθεται φόβος. διὰ δὴ τοῦτο, καὶ παρ' ἡμῶν, καὶ παρ' ἑτέρων κατακριθησόμεθα τότε, καὶ τῶν κατωρθωκότων, καὶ τῶν διαμαρτόντων. ἐρεῖ γάρ σοι, διὰ τί οὐ γέγονας οὕτω μεγαλόψυχος ἐν τοῖς προσήκουσιν; ἀλλ' ἐκεῖνος μὲν πόρνῃ διδοὺς, οὐδὲν τούτων ὑπελογίζετο· σὺ δὲ τῷ δεσπότῃ παρέχων τῷ εἰρηκότι μὴ μεριμνᾷν, φόβου γέμεις καὶ τρόμου; καὶ τίνος ἂν εἴης συγγνώμης ἄξιος; εἰ γὰρ ἄνθρωπος οὐ περιόψεται λαβὼν, ἀλλ' ἀποδώσει τὴν χάριν, πολλῷ μᾶλλον ὁ Χριστός. ὁ B γὰρ καὶ χωρὶς τοῦ λαβεῖν διδοὺς, πῶς μετὰ τὸ λαβεῖν οὐ δώσει; τί οὖν, φησιν, ὅταν πολλὰ ἀναλώσαντές τινες, πρὸς τῷ μὴ λαβεῖν, καὶ ἑτέρων δέωνται; περὶ τῶν τὰ πάντα δαπανησάντων λέγεις, αὐτὸς οὐδὲ ὀβολὸν διδούς. ὑπόσχου τὰ πάντα κενώσειν, καὶ τότε καὶ περὶ ἐκείνων ἐρώτα. ἕως δ' ἂν φειδωλὸς ᾖς, καὶ ὀλίγα ἐκ τῶν ὄντων παρέχῃς, τί μοι προβάλλῃ σκήψεις καὶ προφάσεις; οὐδὲ γὰρ ἐπὶ τὴν ἄκραν τῆς ἀκτημοσύνης σε ἄγομεν κορυφὴν, ἀλλὰ τέως σε τὰ περιττὰ περικόπτειν ἀξιοῦμεν, καὶ τῆς C αὐταρκείας μόνης ἐρᾷν. αὐτάρκεια δὲ τῇ χρείᾳ τούτων ὁρίζεται, ὧν ἄνευ ζῆν οὐκ ἔνι. οὐδείς σε τούτων ἀφέλκει, οὐδὲ κωλύει τὴν καθημερινὴν τροφήν. τροφὴν, οὐ τρυφὴν λέγω· σκεπάσματα οὐ καλλωπίσματα. μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε, τοῦτό ἐστι τρυφὴ μάλιστα. σκόπει δέ. τίνα ἂν εἴποιμεν τρυφᾷν μᾶλλον, τὸν λαχάνοις τρεφόμενον, καὶ ὑγιαίνοντα, καὶ οὐδὲν πάσχοντα ἀηδὲς, ἢ [a] τὸν συβαριτικὴν ἔχοντα τράπεζαν, καὶ μυρίων γέμοντα νοσημάτων; εὔδηλον ὅτι τοῦτον. οὐκοῦν μηδὲν D πλέον τούτου ζητῶμεν, εἰ καὶ τρυφᾷν βουλόμεθα καὶ μετὰ ὑγείας ζῆν· καὶ τούτῳ τὴν αὐτάρκειαν ὁριζώμεθα. καὶ ὁ μὲν ὀσπρίοις δυνάμενος ἀρκεῖσθαι, καὶ ὑγιαίνειν, μηδὲν πρὸς τούτοις ζητείτω· ὁ δὲ ἀσθενέστερος, καὶ τῆς διὰ τῶν λαχάνων δεόμενος θεραπείας, μὴ κωλυέσθω·

Εἰ δὲ καὶ τούτου τις ἀσθενέστερος εἴη, καὶ τῆς συμμέτρου τῆς ἀπὸ κρεῶν βοηθείας δέοιτο, οὐδὲ τούτου αὐτὸν ἀπείρξομεν. οὐδὲ γὰρ ἵνα ἀνέλωμεν τοὺς ἀνθρώπους καὶ διαφθείρωμεν, ταῦτα συμβουλεύο- E μεν, ἀλλ' ἵνα τὰ περιττὰ περικόψωμεν· περιττὸν δέ ἐστιν, ὃ τῆς χρείας πλέον ἐστίν. ὅταν γὰρ καὶ χωρὶς τούτου δυνάμεθα διάγειν ὑγιῶς καὶ εὐσχημόνως, περιττὸν πάντως ἐκεῖνό ἐστι προστεθέν. τοῦτο καὶ ἐπὶ ἱματίων λογιζώμεθα, καὶ ἐπὶ τραπέζης, καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· καὶ τὴν χρείαν ζητῶμεν πανταχοῦ. τὸ γὰρ περιττὸν καὶ ἀνόνητον. ὅταν τὴν αὐτάρκειαν μελετήσῃς, τότε σε

affectus es, ut parasitos & assentatores alens, perinde oblecteris, ac si e fontibus sumtus haurires: cum autem pauperem uspiam cernis, tum tibi paupertatis metus ingruit. Ideo & a nobisipsis, & ab aliis tandem condemnabimur, necnon ab iis qui virtute floruerunt, & a peccatoribus. Dicturus est enim tibi: Quare in rebus honestis non perinde munificus exstitisti? Verum ille quidem, cum meretrici daret, nihil horum secum reputabat; tu verò Domino tribuens, qui te solicito animo esse vetuit, metu ac tremore totus concuteris? Et qua tandem venia dignus esse queas? Nam si homo acceptum beneficium non negligit, sed gratiam rependit: multo utique magis Christus gratiam relaturus est. Etenim qui ne beneficio quidem ullo accepto, largitur, annon idem, cum acceperit, vicem relaturus est? Quid ergo, inquies, cum nonnulli multis impensis factis, aliorum ope atque auxilio opus habeant? Tu mihi eos commemoras, qui facultates omnes suas expenderunt, cum tu ne obolum quidem impertias. Pollicere prius te bona omnia tua expensurum, & tunc de illis percontare. Dum tu tenax es, atque e tuis facultatibus paucissima tribuis, quid tu mihi istas excusationes prætendis? Neque enim te ad summum paupertatis verticem subvehimus: verum ut redundantia circumcidas, idque dumtaxat, quod satis sit, expetas, postulamus. Id porro in eo situm est, ut ea tibi suppetant, sine quibus duci vita nequit. Ab his nemo te evellit, nec quotidianum victum prohibet: victum dico, non delicias; indumenta, non ornamenta. Quamquam etiam, si quis rem accurate expendat, hoc maxime voluptas est. Sic enim considera. Utrum horum potius in deliciis versari dixerimus, eumne qui oleribus vescitur, commodaque valetudine est, nec quidquam molestiæ patitur; an eum, qui Sybaritica mensa utitur, ac sexcentis morbis scatet? Liquet profecto, quod illum. Itaque ne quid amplius requiramus, si in deliciis versari, & incolumi valetudine esse volumus: atque ea re sufficientiam definiamus. Et qui solis leguminibus vivere, ac sanitatem tueri potest, nihil præterea requirat. Qui autem imbecilliore valetudine est, atque olerum medicina opus habet, ab ea ne arceatur.

*Matt. 6.*

Sybaritica mensa.

4. Quod si quis adhuc infirmior fuerit, ac modico carnium adjumento opus habeat, ne eo quidem ipsi interdicemus. Neque enim hæc eo suademus, ut homines opprimamus, ac de medio tollamus: sed ut superflua circumcidamus. Superfluum porro est, quod necessarium usum excedit. Nam cum, hoc quoque remoto, sane atque honeste vitam transigere possumus, superflue proculdubio adjungitur. Hoc & in vestibus & in mensa, & in domo & in omnibus aliis consideremus: ac necessarium usum ubique quæramus. Nam quod superfluum est, id quoque inutile est. Cum tu operam dederis, ut mediocritate conten-

[a] De Sybaritis & de Sybaritica mensa multa Athenæus libro 12. Frequens ejus est mentio apud scriptores. Voluptatibus & deliciis mensa illa diffluebat; ita ut in proverbium venerit.

tus sis, tum demum te, si viduam illam imitari volueris, ad ea, quæ his majora sunt, subvehemus? Neque enim ad mulieris illius philosophiam adhuc pervenisti, quamdiu id tibi curæ est, ut, quantum satis sit, habeas. Illa enim superius assumens, alimenta etiam sua deposuit. Num tu igitur de necessariis adhuc hæsitabis? Annon te pudet, a muliercula vinci, ac non modo illam imitando non assequi, sed ab ea magno intervallo superari? Nec enim illa his quibus vos, verbis usa est: Quid de me futurum est, si insumtis omnibus facultatibus eo redigar, ut aliorum auxilio opus habeam? verum libenter ac magnifice bona sua exuit. Nam quid de ea veteris Testamenti vidua dicam, quæ Eliæ tempestate fuit? (3. Reg. 17.) Illa etenim non in paupertatis tantum, sed etiam in mortis periculum venerat, nec sui dumtaxat, sed & filiorum. Neque enim fore exspectabat, ut ab aliis acciperet: sed ut quamprimum interiret. Verum prophetam vidit, inquies, atque hinc adducta est, ut liberalitate uteretur. Annon innumeros sanctos cernitis? Et quid sanctos dico? Imo ipsum prohetarum Dominum stipem petentem videtis: ac ne sic quidem beneficentiam induitis, verum promtuaria habentes eructantia ex hoc in illud, ne ex eo quidem, quod superfluit, impertitis. Quid ais? Præsens erat propheta, idque eam impulit ut tantum liberalitatis specimen ederet? Id enim magna admiratione dignum est, quod magnum atque eximium virum eum esse credidit. Quomodo enim non dixit, quæ barbaram & alienigenam mulierem cogitare consentaneum erat; Si propheta hic esset, non opem meam desiderasset: si Dei amicus esset, haud eum ille neglexisset? Sit ita sane, quod Judæi has scelerum pœnas luant: hic autem qua de causa? At nihil horum cogitavit, verum ædes suas ipsi, & ante ædes animum patefecit, suasque omnes facultates in medio posuit, missaque natura, contemtisque liberis, hospitem omnibus rebus antetulit. Perpende itaque quod nobis supplicium constituetur, cum muliere vidua, egente, alienigena, barbara, liberorum parente, horum, quæ nobis nota sunt, nihil cognitum habente, inferiores imbecillioresque fuerimus. Neque enim si robustum corpus habeamus, fortes proinde sumus. Etenim is demum hac virtute præditus est, jaceat licet in lecto, qui internis viribus pollet. Quibus demtis, etiamsi tanto corporis robore præditus sit, ut vel montem avellere queat, haud tamen illum puella, vel misera anu, valentiorem esse dixerimus. Nam ille quidem cum incorporeis vitiis confligit: hic contra ne contueri quidem ea audet. Atque ut hanc fortitudinis normam esse intelligas, ab hoc ipso exemplo id colligas licet. Quid enim hac muliere fortius fingi possit, quæ & adversus naturæ tyrannidem, & adversus vim famis, ac mortis minas strenuo animo stetit, atque hæc omnia superavit? Audi quippe quomodo Christus eam commendet. (Luc. 4. 25.) Multæ enim, inquit, erant viduæ in diebus Eliæ: & ad nullam harum missus est prophe-

A βουλόμενον τῆς χήρας γενέσθαι ζηλωτὴν, εἰς τὰ μείζω τούτων ἐνάξομεν. οὐδέπω γὰρ ἔφθασας πρὸς τὴν τῆς γυναικὸς φιλοσοφίαν, ἕως ἂν αὐταρκείας φροντίζῃς. ἐκείνη γὰρ καὶ ταύτης ἀνωτέρα γέγονεν. ἃ γὰρ ἔμελλεν αὐτὴν διαθρέψειν, ταῦτα κατέβαλε πάντα. ἔτι οὖν διαπορήσεις περὶ τῶν ἀναγκαίων, καὶ οὐκ αἰσχυνῇ γυναικὸς ἡττώμενος, καὶ οὐ μόνον αὐτὴν οὐ ζηλῶν, ἀλλὰ καὶ σφόδρα αὐτῆς ἀπολιμπανόμενος; ἐκείνη γὰρ οὐκ εἶπε ταῦτα τὰ παρ' ὑμῶν λεγόμενα· τί δ' ἂν πάντα ἀναλώσασα ἀναγκασθῶ δεηθῆναι ἑτέρου; B ἀλλὰ φιλοτίμως ἀπεδύσατο τὰ ὄντα. τί δ' ἄν τις εἴποι περὶ τῆς ἐν τῇ παλαιᾷ τῆς ἐπὶ τοῦ προφήτου Ἠλίου; ἐκείνη γὰρ οὐκέτι περὶ πενίας, ἀλλὰ καὶ περὶ θανάτου καὶ τελευτῆς ὁ κίνδυνος ἦν, οὐ τῆς οἰκείας μόνον, ἀλλὰ καὶ τῆς τῶν παίδων. οὐδὲ γὰρ παρ' ἑτέρων προσεδόκα λήψεσθαι· ἀλλὰ ἀποθανεῖσθαι εὐθέως. ἀλλὰ τὸν προφήτην εἶδε, φησὶ, καὶ ἐντεῦθεν φιλότιμος γέγονεν. ὑμεῖς δὲ οὐχ ὁρᾶτε μυρίους ἁγίους; καὶ τί λέγω ἁγίους; τὸν τῶν προφητῶν ὁρᾶτε προσαιτοῦντα δεσπότην, καὶ οὐδὲ οὕτω φιλάνθρωποι γίνεσθε· ἀλλὰ ταμιεῖα ἔχοντες ἐρευγόμενα ἐκ τούτου εἰς C τοῦτο, οὐδὲ ἐκ τοῦ περιττεύματος μεταδίδοτε. τί λέγεις; προφήτης ἦν ὁ παρών, καὶ τοῦτο αὐτὴν ἔπεισε μεγαλοψυχῆσαι τοσοῦτον; αὐτὸ μὲν οὖν τοῦτο πολλοῦ θαύματος ἄξιον, ὅτι ἐπείσθη μέγαν αὐτὸν εἶναι καὶ θαυμαστόν. πῶς γὰρ οὐκ εἶπεν, οἷα εἰκὸς ἦν βάρβαρον γυναῖκα καὶ ἀλλόφυλον λογίσασθαι, ὅτι εἰ προφήτης ἦν, οὐκ ἂν ἐμοῦ ἐδεήθη, εἰ θεοῦ φίλος ἦν, οὐκ ἂν αὐτὸν περιεῖδεν; ἔστω, Ἰουδαῖοι διὰ ἁμαρτήματα ταύτην τίνουσι τὴν δίκην· οὗτος δὲ πόθεν, καὶ διὰ τί; ἀλλ' οὐδὲν τούτων ἐνενόησεν, ἀλλ' ἀνέῳξεν αὐτῷ τὴν οἰκίαν, καὶ πρὸ τῆς οἰκίας τὴν γνώμην, D καὶ πάντα τὰ ὄντα εἰς μέσον τέθεικε, καὶ τὴν φύσιν ἀφεῖσα, καὶ τῶν παίδων καταφρονήσασα, τὸν ξένον προετίμησε πάντων. ἐννόησον οὖν ὅση κόλασις κείσεται, ὅταν γυναικὸς χήρας, πτωχῆς, ἀλλοφύλου, βαρβάρου, παίδων μητρὸς, τούτων οὐδὲν εἰδυίας ὧν ἡμεῖς ἴσμεν, ἔλαττον φέρωμεν, καὶ ἀσθενέστεροι ὦμεν. οὐ γὰρ, ἂν τὸ σῶμα ἔχωμεν ἰσχυρὸν, ἀνδρεῖοί τινές ἐσμεν. καὶ γὰρ ἐκεῖνος μόνος ταύτην ἔχει τὴν ἀρετὴν, κἂν ἐπὶ κλίνης ᾖ βεβλημένος, ὁ τὴν ἰσχὺν οἴκοθεν ἔχων· ὡς ταύτης ἄνευ, κἂν ὄρος τις E ἀνασπᾷ τῇ τοῦ σώματος ῥώμῃ, οὐδὲν αὐτὸν κορασίου καὶ γραϊδίου ταλαιπώρου φαίην ἂν ἰσχυρότερον εἶναι. ὁ μὲν γὰρ ἀσωμάτοις παλαίει κακοῖς, οὗτος δὲ οὐδὲ ἀντιβλέψαι τολμᾷ. καὶ ἵνα μάθῃς ὅτι οὗτος ἀνδρείας ὅρος, ἀπ' αὐτοῦ τούτου τοῦ παραδείγματος αὐτὸ συνάγαγε. τί γὰρ αὐτῆς ἀνδρειότερον γένοιτ' ἂν τῆς γυναικὸς, ἣ καὶ πρὸς φύσεως τυραννίδα, καὶ πρὸς λιμοῦ βίαν, καὶ πρὸς τελευτῆς ἀπειλὴν ἔστη γενναίως, καὶ πάντων γέγονεν ἰσχυροτέρα; ἄκουσον γοῦν πῶς ὁ Χριστὸς αὐτὴν ἀνακηρύττει. πολλαὶ γὰρ, φησὶν, ἦσαν χῆραι ἐν ταῖς ἡμέραις Ἠλία, καὶ πρὸς οὐδεμίαν ὁ προφήτης ἀπεστέλλετο, ἀλλ' ἢ

πρὸς

πρὸς ἐκείνην. εἴπω τι μέγα καὶ παράδοξον. αὕτη τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ πλέον εἰς φιλοξενίαν εἰσήνεγκεν. οὐ γὰρ εἰς ἀγέλην ἔδραμε, καθάπερ ἐκεῖνος, ἀλλ' ἀπὸ τῆς δραχμῆς ἐκείνης παρήλασεν ἅπαντας τοὺς ἐπὶ φιλοξενίᾳ βεβοημένους. ἐκεῖνος μὲν γὰρ ἐνίκα, ὅτι εἰς τοῦτο ἑαυτὸν ἔταξεν· αὕτη δὲ, ὅτι οὐδὲ τῶν παίδων ἐφείσατο διὰ τὸν ξένον, καὶ οὐδὲ προσδοκῶσα τὰ μέλλοντα. ἡμεῖς δὲ, βασιλείας οὔσης, γεέννης ἀπειλουμένης, ὃ πάντων μεῖζον, τοῦ τοσαῦτα ὑπὲρ ἡμῶν ἐργαζομένου, καὶ τούτοις εὐφραινομένου καὶ χαίροντος, ἀναπεπτώκαμεν. μὴ, παρακαλῶ· ἀλλὰ σκορπίσωμεν, δῶμεν πένησιν ὡς δοῦναι δεῖ. τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον οὐ τῷ μέτρῳ τῶν διδομένων ὁ Θεὸς ὁρίζει, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τοῦ διδόντος. πολλάκις γοῦν τοῦ μόνον ἕνα καταθέντος ὀβολὸν, ἔλαττον σὺ κατέθηκας, ὁ στατῆρας χρυσοῦ καταβαλὼν ἑκατόν. ἀπὸ γὰρ τοῦ περισσεύματος ἔβαλες. πλὴν κἂν οὕτω ποίει, καὶ ἥξεις ταχέως καὶ ἐπὶ τὸ δαψιλέστερον. σκόρπισον χρήματα, ἵνα συναγάγῃς δικαιοσύνην. οὐδὲ γὰρ θέλει μετὰ τῶν χρημάτων αὐτὴ παραγίνεσθαι, ἀλλὰ δι' αὐτῶν μὲν, οὐ μετ' αὐτῶν δὲ ἡμῖν παρέσται. οὐ γάρ ἐστιν ὁμοῦ καὶ χρημάτων ἐπιθυμίαν, καὶ δικαιοσύνην οἰκεῖν. κεχωρισμένας γὰρ ἔχουσι τὰς σκηνάς. μὴ δὴ φιλονείκει τὰ ἄμικτα συνάγειν· ἀλλὰ ἀπέλασον τὴν τύραννον φιλαργυρίαν, εἰ βούλει τὴν βασιλίδα λαβεῖν. αὕτη γάρ ἐστιν ἡ βασίλισσα, καὶ ἐλευθέρους ἐκ δούλων ποιοῦσα· τοὐναντίον ἐκείνη. διὸ μετὰ πάσης σπουδῆς τὴν μὲν φύγωμεν, τὴν δὲ ἀσπαζώμεθα, ἵνα καὶ τῆς ἐνταῦθα τύχωμεν ἐλευθερίας, καὶ τῆς βασιλείας ἐπιτύχωμεν τῶν οὐρανῶν· ἧς δὴ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ta, preterquam ad illam. Dicam aliquid magnum ac stupendum. Ad hospitalitatis laudem illa plus attulit, quam pater noster Abraham. Non enim ad gregem accurrit, ut ille: verum a pugillo omnes, qui hospitalitatis nomine clari exstiterunt, superavit. Ille enim idcirco vincebat, quia hoc munus sibi ipse assumsit: at hæc hospitis causâ ne filiis quidem pepercit; idque cum futura bona non exspectaret. Nos contra, cum nobis regnum ostendatur, cum gehennæ minæ intendantur, cum, quod omnibus majus est, Deus tot ac tanta pro nobis B patrarit, atque his rebus gaudeat, torpore cadimus. Ne obsecro: verum dispergamus, ac demus pauperibus, ut dare par est. Multum enim & paucum Deus, non munerum mensura, sed dantis facultate metitur. Ex quo fit, ut plerumque eo, qui obolum dumtaxat pependit, minus tu pependeris, qui centum aureos stateres pependisti; ex superfluo enim jecisti. Sed tamen ita saltem fac: & statim ad uberiorem munificentiam venies. Sparge pecunias: ut justitiam colligas. Neque enim ea cum pecuniis adesse vult: verum per eas quidem: sed non cum iis nobis adest. Non enim C fieri potest, ut & pecuniarum cupiditas & justitia simul habitent. Distinctas quippe sedes habent. Ne ea jungere stude, quæ jungi nullo modo possunt: verum pecuniæ amorem, velut tyrannum quemdam abige, si vis reginam accipere. Hæc enim regina est, homines ex servitute in libertatem vindicans: cum contra omnino illa faciat. Quæ cum ita sint, omni studio illam fugiamus, hanc amplectamur: ut & hujusce vitæ libertate fruamur, & regnum cælorum consequamur, quod nos omnes nancisci contingat per gratiam & benignitatem Domini nostri D Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ κʹ.

## HOMILIA XX.

Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν.

10. *Qui autem administrat semen seminanti & panem ad vescendum, suppeditet: & multiplicet semen vestrum, & augeat fœtus frugum justitiæ vestræ.*

ΜΑΛΙΣΤΑ ἄν τις ἐκ τούτου θαυμάσειε τὴν Παύλου σύνεσιν, ὅτι προτρέπεται ἀπὸ τῶν πνευματικῶν, ἀπὸ τῶν σαρκικῶν, καὶ ἐν τῇ ἀντιδόσει πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, ἑκατέρας τιθεὶς τὰς ἀμοιβάς. τὸ μὲν οὖν, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα, πνευματικῆς ἐστιν ἀμοιβῆς· τὸ δὲ, πληθύναι τὸν σπόρον ὑμῶν, σαρκικῆς ἀντιδόσεως. ἀλλ' ὅμως οὐχ ἵσταται ἐνταῦθα, ἀλλὰ καὶ πάλιν ἐπὶ τὰ πνευματικὰ μεταβαίνει, συνεχῶς παράλληλα αὐτὰ τιθείς. καὶ γὰρ τὸ, αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν, πνευματικόν. ταῦτα δὲ ποιεῖ, καὶ ποικίλλει τὸν λόγον,

E 1. PAULI prudentiam hinc maxime quispiam admirari possit, quod, quemadmodum & a spiritualibus & a carnalibus cohortationem duxit, ita etiam in mercede rursus idem facit, utrasque vices constituens. Illud siquidem: *dispersit, dedit pauperibus, justitia ejus manet in sæculum*, ad spiritualem mercedem spectat: hoc autem, *multiplicet semen vestrum*, ad carnalem remunerationem. Nec tamen hîc consistit: verum rursum adhuc ad spiritalia transit, frequenter ea inter se componens. Illud enim, *augeat fœtus justitiæ vestræ*, spirituale est. Hoc autem variandæ orationis causa facit, tum

ut ignavas eorum & inertes cogitationes radicitus evellat, tum ut paupertatis metum plurimis rationibus eximat, ac præsenti etiam hoc exemplo. Nam cum iis, qui terram conserunt, det Deus, cum iis qui corpus alunt, ubertatem præbeat; multo utique magis iis, qui cælum excolunt, atque animi curam gerunt; quandoquidem in eam impensiorem curam conferri vult. At vero id quidem argumentationis modo minime ponit, ut dixi, verum per precationis speciem: ut simul & argumentationem perspicuam faciat, & magis eos in spem inducat, non ab iis tantum quæ fiunt, sed etiam ab hujusmodi precatione: *suppeditet enim*, inquit, *& multiplicet semen vestrum, & augeat fœtus justitiæ vestræ.* In quibus verbis rursum liberalitatem sine ulla suspicione significat; hoc enim indicant hæc verba, *suppeditet & multiplicet;* simulque non sinit nos præter ea, quæ ad vitam tuendam necessaria sunt, quidquam exquirere, cum ait, *panem ad vescendum:* nam id quoque cum primis in Paulo admirari licet, quod prius etiam jam adstruxit, nempe quod in rebus necessariis nihil ultra, quam opus sit, nos exquirere sinit: in spiritalibus autem nos admonet, ut ingentes opes nobis comparemus. Ac proinde superius dicebat: ut sufficientiam habentes abundetis in omne opus bonum. Et hîc, *qui ministrat panem ad vescendum, multiplicet semen vestrum*, hoc est, spirituale. Neque enim eleemosynam dumtaxat exigit, sed copiosam & affluentem. Quo fit, ut eam semen quoque assidue appellet. Ut enim triticum consitum florentes segetes reddit: ita etiam eleemosyna multos justitiæ manipulos efficit, atque ineffabilem segetem edit. Postquam autem tantam ipsis ubertatem exoptavit, ostendit rursus ubinam ea impendi debeat, his verbis utens.

Eleemosyna copiosa sit.

11. *Ut in omnibus locupletati abundetis in omnem simplicitatem, quæ operatur per nos gratiarum actionem Deo.* Non ut in ea, in quæ minime decet, opes vestras insumatis, sed in ea, ex quibus plurima gratiarum actio ad Deum redit. Magnas quippe res Deus arbitrii nostri effecit: ac minora sibipsi relinquens, majora nobis concessit. Alimenti enim illius, quo corpus alitur, arbiter ipse esse voluit: spiritalis autem curam nobis commisit. Hoc quippe in arbitrio nostro situm est ut segetem nostram virentem exhibeamus. Neque enim ea imbres desiderat, partiumque anni temperiem: sed voluntas modo adsit, etiam ad ipsum usque cælum curret. Per simplicitatem porro hoc loco munificentiam intelligit: quæ quidem per nos efficit, ut gratiæ Deo habeantur. Neque enim hinc solum eleemosyna exsistit: sed etiam permultæ gratiarum actionis materia: nec solum gratiarum actionis, sed etiam multarum aliarum rerum, quas etiam ipsas orationis progressu ponit: ut cum illud demonstrarit, multa hinc emolumenta exoriri, promtiores atque alacriores ipsos reddat. Quænam igitur sunt multa hæc commoda? Audi ipsum loquentem: 12. *Quoniam ministerium hujus officii non solum supplet ea quæ desunt sanctis,*

A τὸν ἄνανδρον ἐκείνων καὶ βλακώδη λογισμὸν πρόῤῥιζον ἀνασπῶν, καὶ τὸν τῆς πενίας τὸν φόβον ἐκλύων πολλαχόθεν, καὶ ἀπὸ τοῦ παραδείγματος τούτου τοῦ νῦν. εἰ γὰρ καὶ τοῖς τὴν γῆν σπείρουσι δίδωσιν ὁ θεὸς, εἰ τοῖς τὸ σῶμα τρέφουσι παρέχει τὴν ἀφθονίαν, πολλῷ μᾶλλον τοῖς τὸν οὐρανὸν γεωργοῦσι, τοῖς τῆς ψυχῆς ἐπιμελουμένοις. καὶ γὰρ ταῦτα βούλεται μᾶλλον προνοίας ἀπολαύειν. ἀλλὰ συλλογιστικῶς μὲν αὐτὸ οὐ τίθησιν, οὐδὲ οὕτως, ὥσπερ ἔφην, ἐν δὲ εὐχῆς μέρει, ὁμοῦ καὶ τὸν συλλογισμὸν φανερὸν ποιῶν, καὶ
B μᾶλλον αὐτοὺς εἰς ἐλπίδα ἄγων, οὐκ ἀπὸ τῶν γινομένων μόνων, ἀλλὰ καὶ ἀπὸ τῆς εὐχῆς ταύτης. χορηγήσαι γάρ, φησι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. πάλιν κἀνταῦθα τὴν δαψίλειαν αἰνίττεται ἀνυπόπτως, τὸ γὰρ πληθύναι καὶ αὐξήσαι, τοῦτό ἐστιν ἐνδεικνυμένου, ὁμοῦ δὲ καὶ τῶν ἀναγκαίων πλέον οὐδὲν ἀφίησιν ἐπιζητεῖν, ἄρτον εἰπὼν εἰς βρῶσιν. καὶ γὰρ καὶ τοῦτο αὐτοῦ μάλιστά ἐστι θαυμάσαι, ὃ καὶ ἔμπροσθεν κατεσκεύασεν, ὅτι ἐν μὲν τοῖς ἀναγκαίοις οὐδὲν πλέον τῆς χρείας ἀφίησιν ἐπιζητεῖν· ἐν δὲ τοῖς πνευματικοῖς
C πολλὴν τὴν περιουσίαν συμβουλεύει ποιεῖσθαι. διὸ καὶ ἀνωτέρω ἔλεγεν, ἵνα αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ἐνταῦθα, ὁ ἐπιχορηγῶν ἄρτον εἰς βρῶσιν, πληθύναι τὸν σπόρον ὑμῶν· τουτέστι, τὸν πνευματικόν. οὐδὲ γὰρ ἁπλῶς ἐλεημοσύνην αἰτεῖ, ἀλλὰ τὴν μετὰ δαψιλείας. διὸ καὶ σπόρον αὐτὸ συνεχῶς καλεῖ. καθάπερ γὰρ ὁ σῖτος καταβαλλόμενος κομῶντα τὰ λήια δείκνυσιν· οὕτω καὶ ἡ ἐλεημοσύνη πολλὰ τὰ δράγματα τῆς δικαιοσύνης ἐργάζεται, καὶ δείκνυσιν ἄφατα τὰ γεννήματα, ἐπευξάμενος δὲ αὐτοῖς εὐθηνίαν τοσαύτην, δείκνυσι πά-
D λιν ποῦ ταύτην δαπανᾶν χρή, λέγων· ἵνα ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ. οὐχ ἵνα εἰς τὰ μὴ δέοντα ἀναλίσκητε, ἀλλ' εἰς ἐκεῖνα ἃ πολλὴν φέρει τῷ θεῷ τὴν εὐχαριστίαν. καὶ γὰρ μεγάλων ἡμᾶς κυρίους ἐποίησεν ὁ θεός· καὶ τὰ ἐλάττονα ἑαυτῷ ἀφεὶς, ἡμῖν τῶν μειζόνων παρεχώρησε. τῆς μὲν γὰρ αἰσθητῆς τροφῆς αὐτὸς κύριος· τὴν δὲ νοητὴν ἡμῖν ἐπέτρεψε. καὶ γὰρ ἡμεῖς κύριοι τὰ λήια ἡμῶν δεῖξαι κομῶντα. οὐδὲ γὰρ ὑετῶν δεῖται καὶ ὡρῶν κράσεως, ἀλλὰ προαιρέσεως μόνης, καὶ
E πρὸς αὐτὸν τρέχει τὸν οὐρανόν. ἁπλότητα δὲ ἐνταῦθα τὴν δαψίλειαν καλεῖ, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ. οὐδὲ γὰρ ἐλεημοσύνη μόνον ἐστὶ τὸ γινόμενον, ἀλλὰ καὶ εὐχαριστίας πολλῆς ὑπόθεσις· μᾶλλον δὲ οὐκ εὐχαριστίας μόνον, ἀλλὰ καὶ ἑτέρων πλειόνων. καὶ τίθησιν αὐτὰ προϊὼν, ἵνα δείξας πολλὰ ὄντα τὰ κατορθούμενα, ἐντεῦθεν προθυμοτέρους ἐργάσηται. τίνα οὖν ἐστι τὰ πολλά; ἄκουσον αὐτοῦ λέγοντος. ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων,

ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ, διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης. δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς, καὶ εἰς πάντας. καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν. ὃ δὲ λέγει τοῦτό ἐστι· πρῶτον τὰ ὑστερήματα τῶν ἁγίων οὐ μόνον πληροῦτε, ἀλλὰ καὶ περισσεύετε, τουτέστι, καὶ πλέον τῆς χρείας αὐτοῖς παρέχετε· εἶτα δι' αὐτῶν εὐφημίαν ἀναπέμπετε τῷ θεῷ. δοξάζουσι γὰρ αὐτὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν. ἵνα γὰρ μὴ δείξῃ αὐτοὺς διὰ τοῦτο εὐχαριστοῦντας μόνον, διὰ τὸ λαβεῖν λέγω, ὅρα πῶς ὑψηλοὺς αὐτοὺς ποιεῖ· ὅπερ αὐτός, φησι, πρὸς Φιλιππησίους, οὐχ ὅτι ἐπιζητῶ τὰ δόματα, καὶ τούτοις μαρτυρεῖ τὸ αὐτό. χαίρουσι μὲν γὰρ ὅτι τὰ ὑστερήματα αὐτῶν ἀναπληροῦτε, καὶ τὴν πτωχείαν αὐτῶν παραμυθεῖσθε· πολλῷ δὲ πλέον, ὅτι οὕτως ὑποτεταγμένοι ἐστὲ τῷ εὐαγγελίῳ· οὗ σημεῖον τοῦτό ἐστι, τὸ οὕτω δαψιλῶς εἰσφέρειν. τοῦτο γὰρ τὸ εὐαγγέλιον ἐπιτάττει. καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας. καὶ διὰ τοῦτο δοξάζουσί, φησι, τὸν θεὸν, ὅτι οὕτως ἐστὲ φιλότιμοι, οὐκ εἰς ἐκείνους μόνον, ἀλλὰ καὶ εἰς πάντας. τοῦτο δὲ πάλιν ἐγκώμιον ἐκείνων γίνεται, τὸ καὶ ὑπὲρ τῶν ἑτέροις διδομένων εὐχαριστεῖν. οὐ γὰρ τὰ ἑαυτῶν κοσμοῦσι μόνον, φησὶν, ἀλλὰ καὶ τὰ ἑτέρων, καίτοιγε ἐν ἐσχάτῃ ὄντες πενίᾳ· ὃ πολλῆς αὐτῶν ἀρετῆς ἐστι σημεῖον. οὐδὲν γὰρ οὕτω ζηλότυπον, ὡς τὸ τῶν πτωχευομένων γένος. ἀλλ' ἐκεῖνοι καθαροὶ τούτου τοῦ πάθους εἰσὶ, τοσοῦτον ἀπέχοντες ἀλγεῖν ἐφ' οἷς ἑτέροις μεταδίδοτε, ὅτι καὶ χαίρουσιν οὐχ ἧττον, ἢ ἐφ' οἷς αὐτοὶ λαμβάνουσι. καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν. ὑπὲρ μὲν γὰρ τούτων εὐχαριστοῦσί, φησι, τῷ θεῷ· ὑπὲρ δὲ τῆς ὑμετέρας ἀγάπης καὶ τῆς συντυχίας, παρακαλοῦσιν αὐτὸν ἵνα καταξιωθῶσιν ὑμᾶς ἰδεῖν. ἐπιποθοῦσι γὰρ τοῦτο οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δεδομένης ὑμῖν χάριτος.

Εἶδες Παύλου σύνεσιν, πῶς ἐπάρας αὐτοὺς, τὸ πᾶν ἀνέθηκε τῷ θεῷ, χάριν τὸ πρᾶγμα καλέσας; ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτῶν ἐφθέγξατο, λειτουργοὺς αὐτοὺς εἰπὼν, καὶ ἐπάρας εἰς ὕψος· [a] εἴγε αὐτοὶ μὲν ἐλειτούργουν, αὐτὸς δὲ διηκονεῖτο· καὶ δοκίμους ὀνομάσας, δείκνυσιν ὅτι πάντων τούτων ὁ θεὸς αἴτιος· καὶ αὐτὸς μετ' ἐκείνων πάλιν εὐχαριστίαν ἀναφέρει λέγων. χάρις δὲ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. δωρεὰν δὲ ἐνταῦθα λέγει [b] καὶ τὰ τοσαῦτα ἀγαθὰ τὰ διὰ τῆς ἐλεημοσύνης γινόμενα, καὶ τοῖς λαμβάνουσι, καὶ τοῖς παρέχουσιν· ἢ τὰ ἀπόρρητα ἀγαθὰ τὰ διὰ τῆς παρουσίας αὐτοῦ τῇ οἰκουμένῃ πάσῃ μετὰ πολλῆς δωρηθέντα τῆς φιλοτιμίας· ὃ καὶ μάλιστά ἐστιν ὑποπτεῦσαι. ἵνα γὰρ καταστείλῃ, καὶ δαψιλεστέρους ἐργά-

*sed etiam abundat per multas gratiarum actiones Deo, per probationem ministerii hujus. 13. Glorificantes Deum in obedientia confessionis vestræ in evangelium Christi, & simplicitate communicationis vestræ in illos & in omnes. 14. Et in illorum obsecratione pro vobis, desiderantium vos propter eminentem gratiam Dei in vobis.* Hæc autem verba hunc sensum habent: primum sanctorum egestatem ac penuriam non modo expletis, sed etiam exundatis, hoc est plus etiam, quam necesse sit, ipsis impertitis. Deinde per eos laudem ad Deum mittitis; ipsius enim gloriam ob confessionis vestræ obedientiam prædicant. Ne enim eos ostendat hoc dumtaxat nomine, quod beneficiis affecti sint, gratias agere, vide quam sublimes eos reddit: quod in epistola ad Philippenses ait: *non quia requiro datum:* his quoque hoc testificor. Nam gau- Philip. 4. 17.
dent illi quidem, quod res eas, quarum inopia premuntur, ipsis subministretis, ac paupertatem eorum sublevetis: multo magis autem, quod evangelio ita subditi sitis. Cui rei hoc argumento est, quod tam munifice tribuatis. Id enim evangelium præscribit. *Et simplicitate communicationis vestræ in illos, & in omnes.* Atque ideo, inquit, Deum laudibus efferunt, quod non erga eos dumtaxat, sed etiam erga omnes tam liberales sitis. Hoc rursus ad eorum laudem spectat, nempe quod pro iis quoque gratias agant, quæ in alios conferuntur. Neque enim, quæ sua sunt dumtaxat ornant: sed aliorum quoque commodis consulunt; idque cum in extrema paupertate versentur. Quod magnæ eorum virtutis indicium est. Nihil enim perinde invidia æstuat, ut id hominum genus, quod egestate laborat. At illi hoc vitio vacant: tantumque abest, ut ob vestra in alios beneficia discrucientur, ut ex illis non minus gaudeant, quam ex iis, quæ ipsi accipiunt. *Et ipsorum obsecratione pro vobis.* Nam pro illis quidem, inquit, gratias Deo agunt: pro vestra autem caritate, atque congressu, eum rogant, ut vestro conspectu sibi frui liceat. Hoc enim non ob vestras opes expetunt: sed ut gratiæ vobis datæ spectatores sint.

2. Vides-ne Pauli prudentiam? quomodo eorum virtutem efferens, laudem omnem Deo adscripserit, id gratiam vocans. Postquam enim magna de ipsis loquutus est, ministros nuncupans, atque ipsos in cælum evexit; siquidem ipsi ministrabant, ipse subminister erat; & probatos illos appellans, ostendit Deum harum omnium rerum auctorem esse: atque ipse una cum illis Deo in hæc verba gratias agit, 15. *Gratia autem Deo super inenarrabili dono ejus.* Per donum hoc loco tot ac tanta illa bona intelligit, quæ, tam iis, qui accipiunt, quam qui dant, per eleemosynam comparantur: vel arcana illa bona, quæ per ipsius præsentiam orbi terrarum universo amplissime tributa sunt: id quod etiam magis conjicere licet. Ut enim illos coërceret ac largiores redderet,

[a] εἴγε αὐτοὶ μὲν ἐλειτούργουν, αὐτὸς δὲ διηκονεῖτο. Hæc referuntur ad illa superius allata Pauli verba, ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης. *Quoniam ministerium hujus officii.* Hic nempe Paulus λειτουργοὺς appellat eos qui pecunias colligebant, seque διάκονον seu ministrum, qui illas distribuebat.

[b] καὶ τὰ τοσαῦτα. Legendum videtur, ἢ τὰ τοσαῦτα.

quæ a Deo acceperant ipsis commemorat. Hoc enim maximum est ad virtutem omnem incitamentum; ideoque hic sermonem claudit. Quod si Dei beneficium inenarrabile est, ecquid tandem eorum furori par esse queat, qui in pervestiganda ipsius essentia curiose versantur? Nec vero ipsius dumtaxat beneficium sermonem omnem excedit: sed etiam pax ea, per quam supera cum inferis reconciliavit, omnem cogitationem superat. Quamobrem operam demus, ut, cum tanta gratia fruamur, parem vitæ probitatem præstemus, magnamque eleemosynæ curam geramus. Geremus autem, si id quod modum excedit fugiamus, si temulentiam, si ingluviem. Nam & esca & potus nobis a Deo idcirco data sunt, non ut iis ingurgitemur, sed ut alamur. Neque enim vinum est, quod temulentiam gignit: si enim ita se res haberet, omnes temulentos esse necesse esset. At, inquis, oporteret ipsum, nec largius haustum nocere. Ebriorum hæc verba sunt. Nam cum largius adhibitum noceat, ac ne sic quidem ab immodico potu abstineas, cum hoc adeo fœdum & noxium sit, ac ne sic quidem improbæ cupiditati finem imponas, si liceret & multo mero uti, & nullo hinc detrimento affici, quomodo bibendi aviditatem compressisses? Annon flumina quoque in vinum verti cupiisses? annon omnibus rebus pestem atque exitium attulisses? Si alimenti certa mensura est, quam cum excedimus, valetudinem lædimus, ac ne sic quidem tamen frenum pati potes, verum eo perrupto omnes omnium facultates accipis, ut improbæ gulæ tyrannidi administram operam præstes; quid non fecisses, si modus hic a natura constitutus sublatus esset? Annon universum vitæ tempus in hoc impendisses? Num igitur oportebat cupiditatem adeo absurdam confirmare, atque perniciem ex immoderatione nascentem minime coërcere? Et quot tandem hinc alia incommoda non orta fuissent? Verum, o væcordes homines! qui cum in crapula reliquisque luxuriæ generibus, tamquam in cœno volutentur, si paulum resipuerint, nihil aliud sedentes faciunt, quam ut his verbis utantur: Cur hoc in hanc rem insumitur? cum contra peccata ipsi sua accusare debeant. Nam pro eo quod ais: Quare Deus certos fines constituit? quare non omnia temere feruntur? ita loquere: Quare ebrietati studere non desinimus? quare non satiamur? quare animantes rationis expertes stoliditate superamus? Hæc enim eos inter se quærere conveniebat, atque apostolorum vocem audire, perspectumque habere quotnam his viris bona ex eleemosyna oriri testetur, atque hunc thesaurum præripere. Hoc enim, nempe pecunias aspernari, probos, ut ab eo dictum est, homines reddit; &, ut Dei gloria celebretur, efficit: & caritatem inflammat: & magnitudinem animi gignit: & sacerdotes constituit sacerdotio fungentes, quod ingentem mercedem afferat. Nam qui eleemosynæ studiosus est, non ille quidem talari veste indutus est, nec tinnabula circumfert, nec corona redimitus

A σηται, ὧν ἔτυχον παρὰ τοῦ θεοῦ, τούτων αὐτοὺς ἀναμιμνήσκει. καὶ γὰρ μέγιστον τοῦτο εἰς προτροπὴν ἀρετῆς ἁπάσης. διὸ καὶ ἐνταῦθα τὸν λόγον κατέκλεισεν. εἰ δὲ ἡ δωρεὰ ἀνεκδιήγητος, τί τῆς μανίας ἴσον γένοιτ' ἂν τῶν τὴν οὐσίαν αὐτοῦ περιεργαζομένων; οὐχ ἡ δωρεὰ δὲ αὐτοῦ μόνον ἀνεκδιήγητος, ἀλλὰ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει, δι' ἧς τὰ ἄνω τοῖς κάτω κατήλλαξε. σπουδάσωμεν τοίνυν τοσαύτης ἀπολαύοντες χάριτος, ἀξίαν ἐπιδείκνυσθαι τοῦ βίου τὴν ἀρετὴν, καὶ πολλὴν τῆς B ἐλεημοσύνης ποιεῖσθαι λόγον. ποιησόμεθα δὲ, ἂν τὴν ἀμετρίαν φύγωμεν, ἂν τὴν μέθην, ἂν τὴν ἀδηφαγίαν. καὶ γὰρ καὶ σῖτα καὶ ποτὰ δέδωκεν ὁ θεὸς, οὐκ εἰς ἀμετρίαν, ἀλλὰ εἰς τροφήν. οὐδὲ γὰρ ὁ οἶνος ποιεῖ τὴν μέθην· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἔδει μεθύειν. ἀλλ' οὐκ ἐχρῆν, φησιν, οὐδὲ τὸ πολὺ βλάπτειν. μεθυόντων ταυτὶ τὰ ῥήματα. εἰ γὰρ τὸ πολὺ βλάπτει, καὶ οὐδὲ οὕτως ἀφίστασαι τῆς πλεονεξίας, εἰ οὕτως αἰσχρὸν καὶ ἐπιβλαβὲς τοῦτο, καὶ οὐδὲ οὕτω λήγεις τῆς πονηρᾶς ἐπιθυμίας· εἰ ἐξῆν καὶ πολὺ πίνειν, καὶ μηδὲν παρα- C βλάπτεσθαι, ποῦ ἂν ἔστης τῆς πλεονεξίας; ἆρα οὐκ ἂν ἐπεθύμησας, καὶ τοὺς ποταμοὺς γενέσθαι οἶνον; οὐκ ἂν πάντα ἀπώλεσας καὶ διέφθειρας; εἰ μέτρον ἐστὶ τροφῆς, καὶ τοῦτο ὑπερβάντες βλαπτόμεθα, καὶ οὐδὲ οὕτως ἀνέχῃ τοῦ χαλινοῦ, ἀλλὰ διαρρήξας αὐτὸν τὰ πάντων λαμβάνεις, ἵνα λειτουργήσῃς τῇ πονηρᾷ τῆς γαστριμαργίας τυραννίδι· τί οὐκ ἂν ἐποίησας, εἰ τοῦτο ἀνῃρέθη τὸ μέτρον τῆς φύσεως; οὐκ ἂν πάντα τὸν χρόνον εἰς τοῦτο ἀνάλωσας; ἔδει τὴν οὕτως ἐπιθυμίαν ἄτοπον, ἰσχυρὰν ποιῆσαι, καὶ τὴν βλάβην μὴ κωλῦσαι τὴν ἐκ D τῆς ἀμετρίας; καὶ πόσαι οὐκ ἂν ἐτέχθησαν ἐντεῦθεν ἕτεραι βλάβαι; ἀλλ' ὢ τῶν ἀνοήτων, οἳ, καθάπερ βορβόρῳ κυλινδούμενοι τῇ μέθῃ καὶ ταῖς λοιπαῖς ἀσωτίαις, ὅταν μικρὸν ἀνανήψωσιν, οὐδὲν ἄλλο τι κάθηνται ποιοῦντες, ἢ ταυτὶ φθεγγόμενοι, διὰ τί τοῦτο εἰς τοῦτο ἀναλίσκεται, δέον τοῖς ἑαυτῶν κρίνειν πλημμελήμασιν; ἀνθ' οὗ γὰρ λέγεις, διὰ τί ὅρους τέθεικε, διὰ τί μὴ πάντα ἀτάκτως φέρεται, εἰπὲ, διὰ τί μὴ παυόμεθα μεθύοντες; διὰ τί μὴ λαμβάνομεν κόρον; E διὰ τί τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι; ταῦτα γὰρ ἔδει ζητεῖν πρὸς ἀλλήλους, καὶ τῆς ἀποστολικῆς ἀκούειν φωνῆς, καὶ εἰδέναι πόσα τούτοις μαρτυρεῖ τὰ ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἁρπάζειν τοῦτον τὸν θησαυρόν. καὶ γὰρ δοκίμους τοῦτο ποιεῖ, καθάπερ αὐτὸς ἔφησε, τὸ χρημάτων ὑπερορᾶν, καὶ τὸν θεὸν δοξάζεσθαι παρασκευάζει, καὶ ἀγάπην θερμαίνει, καὶ μεγαλοψύχους ἐργάζεται, καὶ ἱερέας καθίστησι, καὶ ἱερωσύνην πολλὴν φέρουσαν τὸν μισθόν. ὁ γὰρ ἐλεήμων οὐ ποδήρη ἐνδέδυται, οὐδὲ κώδωνας περιφέρει, οὐδὲ στέφανον ἀναδεῖται, ἀλλὰ ἀναβέβληται

μετὰ τῆς φιλανθρωπίας στολὴν, τῆς ἱερᾶς ἐσθῆτος ἁγιωτέραν οὖσαν, κέχρισται δὲ ἐλαίῳ, οὐκ ἐξ ὕλης αἰσθητῆς συγκειμένῳ, ἀλλ' ὑπὸ πνεύματος γεωργουμένῳ, ἔχει δὲ στέφανον ἀπὸ τῶν οἰκτιρμῶν· ὁ στεφανῶν σε γὰρ, φησιν, ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ἀντὶ δὲ τοῦ πέταλον φέρει ὄνομα ἔχον Θεοῦ, αὐτὸς ἴσος γίνεται τῷ Θεῷ. πῶς γάρ; γενήσεσθε, φησὶν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς.

Βούλει καὶ τὸ θυσιαστήριον αὐτοῦ ἰδεῖν; οὐ Βεσελεὴλ αὐτὸ ᾠκοδόμησεν, οὔτε ἄλλος τις, ἀλλ' αὐτὸς ὁ Θεός· οὐ διὰ λίθων, ἀλλὰ δι' ὕλης τοῦ οὐρανοῦ λαμπροτέρας, διὰ ψυχῶν λογικῶν. ἀλλὰ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσέρχεται ὁ ἱερεύς. ἔξεστί σοι εἰς τὰ φρικωδέστερα εἰσελθεῖν θύοντι τὴν θυσίαν ταύτην, ἔνθα μηδεὶς πάρεστιν, ἀλλ' ὁ πατήρ σου, ὁ βλέπων σε ἐν τῷ κρυπτῷ, ἔνθα μηδεὶς ἄλλος ὁρᾷ. καὶ πῶς, φησιν, ἔστι μὴ ὁρᾶν, δημοσίᾳ ἑστῶτος τοῦ θυσιαστηρίου; τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι τότε μὲν ἀμφίθυρα, καὶ παραπετάσματα τὴν ἐρημίαν ἐποίει· νῦν δὲ ἔξεστι δημοσίᾳ θύοντι, ὡς ἐν τοῖς ἁγίοις τῶν ἁγίων, καὶ πολλῷ φρικωδέστερον τοῦτο ποιεῖν. ὅταν γὰρ μὴ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιῇς, κἂν ἡ οἰκουμένη εἶδεν, οὐδεὶς εἶδεν, ἐπειδὴ σὺ οὕτως ἐποίησας. οὐ γὰρ εἶπε, μὴ ποιεῖτε ἁπλῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ προσέθηκε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. τοῦτο τὸ θυσιαστήριον ἐξ αὐτῶν τῶν τοῦ Χριστοῦ σύγκειται μελῶν· καὶ τὸ σῶμα τοῦ δεσπότου θυσιαστήριόν σοι γίνεται. αἰδέσθητι τοῦτο αὐτό· ἐν τῇ σαρκὶ θύεις τοῦ δεσπότου τὸ ἱερεῖον. τοῦτο τὸ θυσιαστήριον, καὶ τούτου τοῦ νῦν φρικωδέστερον, οὐχὶ τοῦ παλαιοῦ μόνον. ἀλλὰ μὴ θορυβηθῆτε. τοῦτο μὲν γὰρ θαυμαστὸν, διὰ τὴν ἐπιτιθεμένην ἐν αὐτῷ θυσίαν· ἐκεῖνο δὲ τὸ τοῦ ἐλεήμονος, οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ ὅτι καὶ ἐξ αὐτῆς σύγκειται τῆς θυσίας τῆς τοῦτο ποιούσης. θαυμαστὸν τοῦτο πάλιν, ὅτι λίθος μέν ἐστι τὴν φύσιν, ἅγιον δὲ γίνεται, ἐπειδὴ σῶμα δέχεται Χριστοῦ· ἐκεῖνο δὲ, ἐπειδὴ αὐτὸ σῶμά ἐστι Χριστοῦ. ὥστε τοῦτο φρικωδέστερον ἐκείνου, ᾧ σὺ παρέστηκας ὁ λαϊκός. ἆρα σοι μήτι ὁ Ἀαρὼν φαίνεται πρὸς ταῦτα; μηδὲ ὁ στέφανος; μηδὲ οἱ κώδωνες; μηδὲ τὰ ἅγια τῶν ἁγίων; τί γὰρ δεῖ πρὸς ἐκεῖνο λοιπὸν τὸ θυσιαστήριον ποιεῖσθαι τὴν σύγκρισιν, ὅπουγε καὶ πρὸς τοῦτο συγκρινόμενον, οὕτω λαμπρὸν ἐφάνη; σὺ δὲ τὸ μὲν θυσιαστήριον τοῦτο τιμᾷς, ὅτι δέχεται τὸ Χριστοῦ σῶμα· τὸν δὲ αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ ὄντα καθυβρίζεις, καὶ περιορᾷς ἀπολλύμενον. τοῦτο τὸ θυσιαστήριον πανταχοῦ δυνήσῃ κείμενον ἰδεῖν, καὶ ἐν στενωποῖς, καὶ ἐν ἀγοραῖς, καὶ καθ' ἑκάστην ἐν αὐτῷ θύειν τὴν ὥραν. καὶ γὰρ καὶ ἐνταῦθα θυσία τελεῖται. καὶ καθάπερ ὁ ἱερεὺς ἕστηκε τὸ πνεῦμα καλῶν, οὕτω καὶ σὺ τὸ πνεῦμα καλεῖς· ἀλλ' οὐ διὰ φωνῆς, ἀλλὰ δι' ἔργων. οὐδὲν γὰρ οὕτω κατέχει καὶ ἀνάπτει τοῦ πνεύματος τὸ πῦρ, ὡς τοῦτο τὸ ἔλαιον δαψιλὲς ἐκχεόμενον. εἰ δὲ βούλει, καὶ τὰ καταβαλλόμενα ἰδεῖν τί γίνεται, δεῦρο, καὶ ταῦτά σοι

A est: verum beneficentiæ stola, quæ sacram illam vestem sanctitate superat, vestitus est, oleoque delibutus, non ex materia, quæ in sensum cadat, sed a Spiritu effecto: coronam a commiseratione contextam habet; ait enim scriptura: *Qui coronat te in misericordia & miserationibus:* (Psal. 102. 4.) ac pro lamina Dei nomen gestat, imo Dei similitudinem assequitur; quomodo? Similes, inquit, eritis Patri vestro qui in cælis est. (Matt. 5. 45.)

3. Vis-ne etiam ipsius altare intueri? Non illud Beseleel, non ullus artifex alius exstruxit, sed Deus ipse: non ex lapidibus, sed B ex materia cælo illustriore, hoc est, ex animis ratione præditis. At dices: in sancta sanctorum ingreditur sacerdos. Licet tibi, hoc sacrificii munus obeunti, in adyta magis tremenda ingredi, in quibus nemo adest, nisi pater tuus, qui te in abscondito videt: (Ibidem. 6.) in quibus nemo alius cernit. Quomodo, inquies, fieri potest, ut nemo videat, cum palam sit altare? Hoc enim est, quod admirationem movet: quia tunc quidem portæ undique, & vela solitudinem efficiebant: nunc vero palam rem sacram facienti, ut in sanctis sanctorum, majoreque cum animi horrore hoc facere licet. Nam C cum non humanæ ostentationis causa hoc facis, viderit licet universus orbis, nullus vidit, quando ita fecisti. (Ostentatio vitanda.) Neque enim tantum dixit Christus: Ne faciatis coram hominibus: sed adjecit, Ut videamini ab eis. Hæc ara ex ipsis Christi membris constat: ac Domini corpus altare tibi efficitur. Hoc ipsum verere. In carne victimam Domini immolas. Hoc altare præsenti quoque altari terribilius est, nedum veteri illo. Verum ne turbemini. Hoc enim admirandum quidem est ob victimam, quæ in ipso imponitur: illud autem, hoc est, hominis misericordiæ studiosi, non hoc dumtaxat nomine, sed D etiam quia ex ipsa quoque victima, quæ hoc efficit, constructum est. Rursum hoc altare admirandum est, quia natura quidem lapis est, sanctum autem efficitur, postquam Christi corpus excipit: illud vero, quia Christi corpus est. Itaque hoc horribilius est quam illud, cui tu laïcus adstas. Ecquid jam tibi Aaron videtur, si cum his rebus conferatur? quid corona? quid tintinnabula? quid sancta sanctorum? Nam quid jam vetus illud altare ad comparationem afferre necesse est, cum etiam cum hoc nostro collatum, adeo splendidum apparuerit? At tu altare quidem E hoc in honore habes, quia Christi corpus capit, eum autem, qui ipsummet Christi corpus est, contumelia afficis, ac pereuntem despicis. Hoc altare ubique & in vicis, & in foro situm videre poteris, singulisque horis in eo rem sacram facere. Nam hic quoque sacrificium obitur. Et sicut stat sacerdos, Spiritum accersens: ita tu quoque Spiritum accersis, non voce, sed rebus ipsis. Neque enim quidquam est, quod perinde Spiritus ignem retineat atque accendat, ut oleum istud largiter effusum. Quod si etiam scire expetis, quid fiant, quæ abs te deponuntur, accede, & ea tibi commonstrabo. Quisnam

igitur hujus aræ fumus est? quæ fragrantia? Gloria, & gratiarum actio. Quonam usque progreditur? Ad cælum usque? Imo vero ipsum cælum transcendit, & cælum cæli: atque regio ipsi solio adstat: *Preces enim tuæ*, inquit, *& eleemosynæ ascenderunt in conspectum Dei.* (*Act.* 10. 4.) Atque ea odoris suavitas, quæ in sensum cadit, ne magnam quidem aëris portionem intersecat: hæc autem ipsos etiam cælorum fornices reserat. Ac tu quidem taces, res autem ipsa clamat: fitque sacrificium laudis, non vitula jugulata, nec pelle cremata, sed spiritali anima, quæ sua sunt, afferente. Omni enim humanitatis genere sacrificium istud est præstantius. Cum ergo pauperem fide præditum cernis, existima te altare videre. Cum hujusmodi pauperem conspicis, non modo eum contumelia ne affice, sed etiam verere. Quod si alterum contumeliam ipsi inferentem videas, prohibe atque injuriam propulsa. Sic enim poteris & ipse propitium Deum habere, ac promissa bona consequi; quæ utinam nobis omnibus consequi detur, per gratiam & benignitatem Domini nostri Jesu Christi, &c.

A δείξω. τίς οὖν ὁ καπνός; τίς ἡ εὐωδία τοῦ θυσιαστηρίου τούτου; δόξα καὶ εὐχαριστία. καὶ μέχρι ποῦ προβαίνει; ἆρα μέχρι τοῦ οὐρανοῦ; οὐδαμῶς· ἀλλ' αὐτὸν ὑπερβαίνει τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ. αἱ εὐχαί σου γάρ, φησι, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ θεοῦ. καὶ ἡ μὲν αἰσθητὴ εὐωδία οὐδὲ τὸ πολὺ διατέμνει τοῦ ἀέρος· αὕτη δὲ αὐτὰς ἀνοίγει τῶν οὐρανῶν τὰς ἀψῖδας. καὶ σὺ μὲν σιγᾷς, τὸ δὲ ἔργον βοᾷ. καὶ γίνεται θυσία αἰνέσεως· οὐ δαμάλεως σφαττομένης, οὐδὲ δέρματος καιομένου, ἀλλὰ ψυχῆς πνευματικῆς τὰ παρ' αὐτῆς εἰσφερούσης. φιλανθρωπίας γὰρ πάσης B τοιαύτη θυσία εὐδοκιμωτέρα. ὅταν οὖν ἴδῃς πένητα πιστὸν, θυσιαστήριον ὁρᾶν νόμιζε· ὅταν ἴδῃς πτωχὸν τοιοῦτον, μὴ μόνον μὴ ὑβρίσῃς, ἀλλὰ καὶ αἰδέσθητι· κἂν ἕτερον ἴδῃς ὑβρίζοντα, κώλυσον, ἄμυνον. οὕτω γὰρ δυνήσῃ καὶ αὐτὸς τὸν θεὸν ἵλεων ἔχειν, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς.

## HOMILIA XXI.

## ΟΜΙΛΙΑ κά.

Cap. x. 1. *Ipse autem ego Paulus obsecro vos per mansuetudinem & modestiam Christi, qui in facie quidem humilis sum inter vos, absens autem confido in vobis. 2. Rogo autem vos ne præsens audeam per eam confidentiam, qua existimor audere in quosdam qui arbitrantur nos, tamquam secundum carnem ambulemus.*

C Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας.

1. POSTQUAM institutum de eleemosyna sermonem, ut oportebat, absolvit, ostenditque plus eos a se amari, quam ab ipsis ametur, atque insuper de patientia sua & de tentationibus verba fecit, tempestive jam ad objurgandam se confert, pseudoapostolos subindicans, & in iis quæ molestiora erant, sermonem concludens, ac seipsum commendans. Nam hoc quoque in tota epistola facit: idque etiam sentiens, plerumque seipse corrigit, his verbis utens: Num iterum nosipsos commendamus? atque ulterius progrediens. Non rursus nosipsos commendamus: sed occasionem damus vobis gloriandi. Et postea: Insipiens factus sum gloriando: vos me coëgistis. Ac multas hujusmodi correctiones adhibuit. Nec vero quispiam aberrabit, qui hanc epistolam Pauli encomium appellarit: adeo copiose, & quæ gratiæ sunt, & quæ ad ipsius patientiam attinent, largiter describit. Quoniam enim nonnulli erant, qui magnifice de se sentirent, ac seipsos Paulo anteferrent, eumque ut arrogantem, ut nullius precii hominem, ut nihil sani docentem, traducerent; nam hoc corrupti eorum animi vel maximum erat indicium; vide quomodo eos objurgare incipiat. *Ipse autem ego Paulus.* Viden' qua gravitate, qua auctoritate loquatur? Hoc enim perinde est ac si diceret: Obsecro vos, ne

ΑΠΑΡΤΙΣΑΣ τὸν περὶ ἐλεημοσύνης λόγον, ὡς ἔδει, καὶ δείξας ὅτι πλεῖον αὐτοὺς ἀγαπᾷ, ἢ ἀγαπᾶται, καὶ τὰ περὶ τῆς ὑπομονῆς αὐτοῦ D καὶ τῶν πειρασμῶν διηγησάμενος, εὐκαίρως λοιπὸν τῶν ἐπιτιμητικωτέρων ἅπτεται λόγων, τοὺς ψευδαποστόλους αἰνιττόμενος, καὶ εἰς τὰ φορτικώτερα καταλείπων τὸν λόγον, καὶ ἑαυτὸν συνιστῶν. τοῦτο γὰρ καὶ δι' ὅλης ἐργάζεται τῆς ἐπιστολῆς. ὅθεν καὶ αἰσθανόμενος ἑαυτὸν πολλάκις διορθοῦται, αὐτὸ τοῦτο λέγων, ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; καὶ προϊών, φησιν, οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήσεως. καὶ μετὰ ταῦτα, ἄφρων γέγονα καυχώμενος, ὑμεῖς με ἠναγκάσατε. καὶ πολλαῖς τοιαύταις κέχρηται διορθώσεσι. E καὶ οὐκ ἄν τις ἁμάρτοι, τὴν ἐπιστολὴν ταύτην ἐγκώμιον Παύλου προσειπών· οὕτω καὶ τὰ τῆς χάριτος μετὰ δαψιλείας τίθησι, καὶ τὰ τῆς ὑπομονῆς τῆς αὐτοῦ. ἐπειδὴ γὰρ ἦσάν τινες παρ' αὐτοῖς μέγα φρονοῦντες, καὶ προτιθέντες ἑαυτοὺς τοῦ ἀποστόλου, καὶ ὡς ἀλαζόνα διαβάλλοντες, καὶ ὡς οὐδὲν ὄντα, οὐδὲ ὑγιές τι διδάσκοντα· τοῦτο γὰρ αὐτὸ μάλιστα τῆς διαφθορᾶς αὐτῶν τεκμήριον ἦν· ὅρα πῶς ἄρχεται τῆς κατ' αὐτῶν ἐπιτιμήσεως· αὐτὸς δὲ ἐγὼ Παῦλος. εἶδες πόση ἡ βαρύτης, πόσον τὸ ἀξίωμα; ὃ γὰρ θέλει εἰπεῖν τοῦτό ἐστι· δέομαι ὑμῶν,

A μή με ἀναγκάσητε, μηδὲ ἀφῆτε χρήσασθαι τῇ δυνάμει μου κατὰ τῶν ἐξουθενιζόντων ἡμᾶς, καὶ νομιζόντων σαρκικοὺς ἄνδρας εἶναι. βαρύτερον τοῦτο ἐκείνων ὧν ἐν τῇ προτέρᾳ πρὸς αὐτοὺς ἀπειλῶν ἔλεγεν, ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος; νῦν δὲ, ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. ἐλεύσομαι δὲ καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. καὶ γὰρ ἐνταῦθα ἀμφότερα δείκνυσι, καὶ τὸ δυνατὸν, καὶ τὸ φιλόσοφον καὶ ἀνεξίκακον· εἴγε οὕτω παρακαλεῖ, καὶ μετὰ τοσαύτης σπουδῆς, ὥστε μὴ ἀναγκασθῆναι εἰς B ἐπίδειξιν ἐλθεῖν τῆς οἰκείας δυνάμεως τῆς τιμωρητικῆς, καὶ πλῆξαι αὐτοὺς καὶ κολάσαι, καὶ τὴν ἐσχάτην ἀπαιτῆσαι δίκην. τοῦτο γὰρ ἠνίξατο λέγων, δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας. πῶς δὲ ἐπὶ τὴν ἀρχὴν τὸν λόγον ἀγάγωμεν. αὐτὸς δὲ ἐγὼ Παῦλος. πολλὴ ἡ ἔμφασις, πολλὴ ἡ βαρύτης· ὥσπερ ἀλλαχοῦ φησιν, ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν· καὶ πάλιν, ὡς Παῦλος πρεσβύτης· καὶ ἀλλαχοῦ πάλιν, ἥ τις πολλῶν προστάτις ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ· οὕτω καὶ C ἐνταῦθα, αὐτὸς δὲ ἐγὼ Παῦλος. μέγα μὲν καὶ τοῦτο, τὸ αὐτὸν παρακαλεῖν, τὸ δὲ ἕτερον μεῖζον ὃ προσέθηκεν εἰπὼν, διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ. καὶ γὰρ σφόδρα αὐτοὺς ἐντρέψαι βουλόμενος, προβάλλεται τὴν πραότητα, καὶ τὴν ἐπιείκειαν, ταύτῃ μείζονα ποιῶν τὴν ἱκετηρίαν· ὡς ἂν εἰ ἔλεγεν, αὐτὴν αἰδέσθητε τὴν ἐπιείκειαν τοῦ Χριστοῦ, δι' ἧς ὑμᾶς παρακαλῶ. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ δεικνὺς ὅτι κἂν μυρίαν ἀνάγκην ἐπάγωσιν, αὐτὸς πρὸς τοῦτο ἐπιῤῥεπέστερον ἔχει· διὰ τὸ πρᾶος εἶναι, οὐ διὰ τὸ ἀσθενὴς δὲ οὐκ ἐπεξέρχεται, ἐπεὶ καὶ ὁ Χριστὸς οὕτως D ἐποίει. ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. τί δή τοῦτό ἐστιν; ἤτοι κατ' εἰρωνείαν φησὶ, τὰ ἐκείνων φθεγγόμενος. ἐκεῖνοι γὰρ τοῦτο ἔλεγον, ὅτι ὅταν μὲν παρῇ, οὐδενός ἐστιν ἄξιος λόγου, ἀλλ' εὐτελὴς, καὶ εὐκαταφρόνητος· ὅταν δὲ ἀπῇ, φυσᾶται καὶ κομπάζει, καὶ κατεξανίσταται ἡμῶν, καὶ ἀπειλεῖ. τοῦτο γοῦν καὶ ἑξῆς αἰνίττεται λέγων. ὅτι αἱ μὲν ἐπιστολαὶ, φησὶ, βαρεῖαι· ἡ δὲ παρουσία τοῦ σώματος, ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. ἢ τοίνυν κατ' εἰρωνείαν, φησὶ, πολλὴν ἐμφαίνων βαρύτητα, καὶ λέγων, ἐγὼ ὁ ταπεινὸς, ἐγὼ ὁ εὐτελὴς E ἐν τῷ παρεῖναι, καθὼς ἐκεῖνοί φασι, καὶ ἀπὼν ὑψηλός· ἢ ὅτι κἂν μεγάλα φθέγγηται, οὐκ ἐξ ἀπονοίας, ἀλλ' ἐκ τοῦ θαῤῥεῖν αὐτοῖς. δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. εἶδες πόση ἡ ἀγανάκτησις, καὶ πῶς σαφὴς ὁ ἔλεγχος τῶν εἰρημένων; δέομαι γὰρ ὑμῶν, φησὶ, μή με ἀναγκάσητε δεῖξαι, ὅτι καὶ παρὼν ἰσχυρός εἰμι, καὶ δύναμιν ἔχω. ἐπειδὴ γὰρ ἔλεγον, ὅτι ἀπὼν μὲν ὑμῶν καταθαῤῥῶ, καὶ ἐπαίρομαι,

me cogatis, ac mea adversus eos, qui me parvipendunt, & carnalem hominem esse existimant, potentia uti sinatis. Hoc porro minis illis acerbius est, quas in priore ad eos epistola his verbis intentabat: In virga veniam ad vos, an in caritate & spiritu lenitatis? Nunc autem, quasi non venturus sim ad vos, sic inflati sunt quidam. Veniam autem & cognoscam, non sermonem eorum qui inflati sunt, sed virtutem. Utrumque etenim hoc loco ostendit, nimirum & potentiam, & lenitatem ac patientiam, ut qui tali modo tamque accurate roget atque obsecret, ut ne ad ultricis suæ potentiæ demonstrationem venire necesse habeat, atque ferire ac supplicio afficere, pœnasque ab iis extremas expetere. Hoc enim his verbis subindicavit: *Rogo autem vos ne præsens audeam per eam confidentiam, qua existimor audere in quosdam qui arbitrantur nos, quasi secundum hominem ambulemus.* Interim vero ad id, quod in initio positum est, sermonem conferamus. *Ipse autem ego Paulus.* Magna in his verbis emphasis, magna gravitas inest, ut alio loco ait: Ecce ego Paulus dico vobis. Et rursus: Ut Paulus senex; & rursum alio loco: Ipsa enim adstitit multis, & mihi ipsi; eodem modo hic quoque ait: *Ipse autem ego Paulus.* Atque illud quidem magnum est, quod ipse obsecret: sed alterum majus, quod adjunxit dicens: *Per clementiam & benignitatem Christi.* Nam quia magnum ipsis pudorem incutere studet, clementiam ac mansuetudinem prætendit: hac ratione obnixius supplicans, perinde ac si diceret: Ipsam Christi mansuetudinem, per quam vos rogo, vereamini. Hoc autem ideo dicebat, ut illud planum faceret, se quantamvis illi necessitatem afferrent, tamen ad lenitatem propensiorem esse: nec quod viribus non valeret aspere agere, quia sic etiam Christus faciebat. *Qui in facie quidem humilis sum inter vos, absens autem confido in vobis.* Quid hoc est? Vel ironice loquitur, eorum verba usurpans. Hoc enim illi dicebant, quod cum præsens ipse esset, nullius omnino precii, sed vilis ac despicabilis esset: cum autem abesset, tum demum intumesceret, ac magnifice loqueretur, ipsosque vexaret ac minis insectaretur. Hoc quippe per hæc verba, quæ sequuntur, subindicat: *Quoniam,* inquit, *epistolæ graves sunt, præsentia autem corporis infirma, & sermo contemtibilis.* Ergo vel per ironiam, inquit, magnam asperitatem declarans, ac dicens: Ego ille, coram humilis, ego ille vilis, ut ipsi aiunt; cum autem absum, sublimis: vel certe hoc vult, se, quamvis magnifice loquatur, non ex arrogantia hoc facere, sed quod eorum fiducia niteretur. *Rogo autem vos ne præsens audeam hac confidentia, qua existimor audere in quosdam, qui nos secundum carnem ambulare arbitrantur.* Vides quanta sit hæc indignatio: quamque his verbis eos perspicue arguat? Rogo enim vos, inquit, ne in eam necessitatem me adducatis, ut ostendere cogar, quod præsens quoque viribus ac potentia polleam. Quia enim dicebant me absentem magna adversum vos audacia uti atque

1. Cor. 4. 21.

Gal. 5. 2.
Philem. 9.
Rom. 16. 2.

efferri, his verbis usus sum, idcirco obsecro ne mihi hanc necessitatem afferant, ut potentia mea utar. Hoc enim significat illud, *ea confidentia.* Nec dixit, qua paratus sum, sed, *qua existimor.* Necdum enim hoc constitutum est: verum ipsi occasionem præbent: at ego ne sic quidem hoc facere in animum induco. Atqui, non ut se, sed ut evangelium ulcisceretur, hoc faciebat. Quod si, ubi prædicationis causa tuenda erat, minime acerbum se præbet, sed moras nectit, rogatque ne tanta sibi necessitas inferatur: multo minus in suis injuriis propulsandis quidquam hujusmodi fecisset.

2. Hoc igitur, inquit, mihi indulgete, ut ne necesse habeam ostendere, quod coram etiam, adversus quos par sit, fiducia uti queam, hoc est, eos punire ac supplicio afficere. Vides-ne quam a gloriæ studio alienus esset, nec ostentationis causa quidquam faceret: ut qui, cum necesse esset, audaciam tamen id appellaret. Rogo enim, inquit, ne præsens audeam ea confidentia, qua existimor audere in quosdam. Hoc enim magistri officium est, non confestim pœnas sumere, sed corrigere, atque in inferendis suppliciis cunctantem ac tardum esse. Quosnam porro eos intelligit, quibus comminatur? Eos videlicet, qui de nobis ita existimant, tamquam secundum hominem ambulemus. Nam eum illi, ut hypocritam, ut improbum atque arrogantem insimulabant. 3. *In carne enim ambulantes, non secundum carnem militamus.* Hîc jam eos figurata voce terret. Carnem enim gerimus, inquit, non id inficior: verum carni non vivimus. Imo vero ne hoc quidem dixit, sed aliquantisper reservavit, quod ad vitæ laudem pertineret: ac prius de prædicatione disserit, ostendens eam minime humanam esse, nec inferiore ope indigere. Quocirca non dixit: Non secundum carnem vivimus, sed, *Non secundum carnem militamus;* hoc est, bellum quidem ac dimicationem suscepimus: at carnalibus armis minime decertamus, nec humanis auxiliis nos tuemur. 4. *Arma enim nostra non sunt carnalia.* Quænam enim arma carnalia sunt? Opes, gloria, principatus, facundia, gravitas, concursationes, assentationes, simulationes, aliaque ejusmodi. At nostra arma non talia sunt. Qualia ergo? *Potentia Deo.* Nec dixit: Nos, haud carnales sumus, sed, *arma nostra.* Nam uti jam dixi, de prædicatione verba prius facit, potentiamque universam Deo adscribit. Nec dixit, spiritualia, quamquam hoc vocabulum adhibendum esset, ut carnalibus opponeretur, sed, *potentia;* per hoc illud quoque significans, atque ostendens, quod illorum arma infirma & imbecilla sint. Atque animadverte quam ipse fastus omnis sit expers. Non enim dixit, nos potentes sumus, sed, *arma nostra Deo potentia sunt.* Non nos ea talia paravimus: sed Deus ipse. Quoniam enim ipsi flagris cædebantur, & exagitabantur, atque innumeris malis premebantur, quæ quidem imbecillitatis argumentum erant, idcirco Dei potentiam ostendens ait, *sed Deo potentia sunt.* Nam hoc in primis ipsius

A αὐτοῖς κέχρημαι τοῖς ῥήμασι· δέομαι οὖν μὴ με ἀναγκάσωσι χρήσασθαί μου τῇ δυνάμει. τοῦτο γάρ ἐστι, τῇ πεποιθήσει. καὶ οὐκ εἶπεν, ᾗ παρεσκεύασμαι, ἀλλ', ᾗ λογίζομαι. οὔπω μὲν γὰρ τοῦτο ἔκρινα, αὐτοὶ δέ μοι τὴν αἰτίαν παρέχουσιν. ἀλλ' οὐδὲ οὕτω βούλομαι. καίτοι οὐχ ἑαυτῷ ἀμύνων τοῦτο ἐποίει, ἀλλὰ τῷ εὐαγγελίῳ. εἰ δὲ ἔνθα τῷ κηρύγματι ἀμύνειν ἐχρῆν, οὐκ ἔστιν αὐστηρὸς, ἀλλὰ ἀναδύεται, καὶ μέλλει, καὶ παρακαλεῖ μὴ γενέσθαι τοσαύτην ἀνάγκην· πολλῷ μᾶλλον ὑπὲρ ἑαυτοῦ οὐκ

B ἂν οὐδέποτέ τι τοιοῦτον ἐποίησε.

Τοῦτο οὖν, μοι χαρίσασθέ, φησιν, ὥστε μή με ἀναγκάσαι δεῖξαι, ὅτι καὶ παρὼν δύναμαι καταθαῤῥῆσαι καθ' ὧν ἂν δέοι· τουτέστι, κολάσαι αὐτοὺς καὶ τιμωρῆσαι. εἶδες πῶς οὐκ ἦν φιλότιμος, οὐδὲ πρὸς ἐπίδειξίν τι ἐποίει, ὅπουγε καὶ χρείας οὔσης, τόλμαν τὸ πρᾶγμα καλεῖ; δέομαι γάρ, φησι, τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας. τοῦτο γὰρ διδασκάλου μάλιστά ἐστι, τὸ μὴ ταχέως ἀμύνασθαι, ἀλλὰ διορθοῦσθαι, καὶ μέλλειν ἀεὶ καὶ βραδύνειν ἐν ταῖς τιμωρίαις. τίνας δὲ

C τούτους φησιν, οἷς ἀπειλεῖ; τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. ἐκεῖνοι γὰρ αὐτὸν διέβαλλον ὡς ὑποκριτὴν, ὡς πονηρὸν, ὡς ἀλαζόνα. ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. ἐνταῦθα λοιπὸν καὶ φοβεῖ τῇ τροπῇ. σάρκα μὲν γὰρ περικείμεθά, φησιν, ὁμολογῶ, οὐ σαρκὶ δὲ ζῶμεν. μᾶλλον δὲ οὐδὲ τοῦτο εἶπεν, ἀλλὰ τέως αὐτὸ ταμιεύεται· βίου γάρ ἐστιν ἐγκώμιον· περὶ δὲ τοῦ κηρύγματος διαλέγεται, δεικνὺς ὅτι οὐκ ἔστιν ἀνθρώπινον, οὐδὲ τῆς κάτωθεν δεόμενον βοηθείας. διόπερ οὐκ εἶπεν, οὐ κατὰ σάρκα ζῶμεν, ἀλλ', οὐ κατὰ σάρκα στρατευόμεθα· τουτέστι, πόλεμον ἀνεδεξάμεθα

D καὶ μάχην· ἀλλ' οὐχὶ σαρκικοῖς πολεμοῦμεν ὅπλοις, οὐ διά τινος ἀνθρωπίνης συμμαχίας. τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά. ποῖα γὰρ ὅπλα σαρκικά; πλοῦτος, δόξα, δυναστεία, εὐγλωττία, δεινότης, περιδρομαί, κολακεῖαι, ὑποκρίσεις, τὰ ἄλλα τὰ τούτοις ἐοικότα. ἀλλὰ τὰ ἡμέτερα, οὐ τοιαῦτα· ἀλλὰ ποταπά; δυνατὰ τῷ θεῷ. καὶ οὐκ εἶπεν, ἡμεῖς οὐ σαρκικοὶ, ἀλλὰ τὰ ὅπλα ἡμῶν. ὅπερ γὰρ ἔφην, τέως περὶ τοῦ κηρύγματος διαλέγεται, καὶ τὴν δύναμιν πᾶσαν τῷ θεῷ ἀνατίθησι. καὶ

E οὐ λέγει, πνευματικά· καίτοι τοῦτο ἦν τὸ πρὸς ἀντιδιαστολὴν τοῦ σαρκικοῦ· ἀλλὰ δυνατά, διὰ τούτου κἀκεῖνο αἰνιττόμενος, καὶ δεικνὺς ὅτι τὰ ἐκείνων ἀσθενῆ καὶ ἀδύνατα. καὶ σκόπει αὐτοῦ τὸ ἄτυφον. οὐ γὰρ εἶπεν, ἡμεῖς δυνατοί· ἀλλὰ, τὰ ὅπλα ἡμῶν δυνατὰ τῷ θεῷ. οὐχ ἡμεῖς αὐτὰ τοιαῦτα κατεσκευάσαμεν, ἀλλ' αὐτὸς ὁ θεός. ἐπειδὴ γὰρ ἐμαστίζοντο, ἠλαύνοντο, καὶ μυρία ἔπασχον ἀνήκεστα, ἅπερ ἀσθενείας ἦν· δεικνὺς τοῦ θεοῦ τὴν ἰσχὺν φησιν· ἀλλὰ τῷ θεῷ δυνατά ἐστι. τοῦτο γὰρ μάλιστα δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν,

ὅτι

ὅτι διὰ τούτων περιγίνεται. ὥστε εἰ καὶ ἡμεῖς αὐτὰ περικείμεθα, ἀλλ' αὐτός ἐστιν ὁ δι' αὐτῶν πολεμῶν, καὶ ἐνεργῶν. εἶτα καὶ ἐγκώμιον αὐτῶν διέξεισι μακρὸν λέγων· πρὸς καθαίρεσιν ὀχυρωμάτων. καὶ ἵνα μὴ, ἀκούσας ὀχυρώματα, αἰσθητόν τι νομίσῃς, φησί· λογισμοὺς καθαιροῦντες. διὰ μὲν τῆς τροπῆς τὴν ἔμφασιν δεικνὺς, διὰ δὲ τῆς ἐπαγωγῆς τὸ νοητὸν τοῦ πολέμου παραδηλῶν. ταῦτα γὰρ τὰ ὀχυρώματα ψυχὰς πολιορκεῖ, οὐ σώματα. ὥστε ἐκείνων ἰσχυρότερα· διὸ καὶ μειζόνων δεῖται τῶν ὅπλων. ὀχυρώματα δὲ λέγει τὸν τῦφον τὸν Ἑλληνικὸν, καὶ τῶν σοφισμάτων καὶ τῶν συλλογισμῶν τὴν ἰσχύν. ἀλλ' ὅμως ἅπαντα ἤλεγξε τὰ ὅπλα, φησὶν, ἱστάμενα κατ' αὐτῶν. λογισμοὺς γὰρ καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. ἐπέμεινε τῇ τροπῇ, ἵνα πλείονα ποιήσῃ τὴν ἔμφασιν. κἂν γὰρ ὀχυρώματα ᾖ, φησι, κἂν πυργώματα, κἂν ὁτιοῦν ἕτερον, εἴκει καὶ παραχωρεῖ τοῖς ὅπλοις τούτοις. καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. καίτοι κακέμφατος ἡ τῆς αἰχμαλωσίας προσηγορία· τῆς ἐλευθερίας γάρ ἐστιν ἀναίρεσις. τίνος οὖν ἕνεκεν αὐτῇ κέχρηται; καθ' ἕτερον σημαινόμενον. τὸ γὰρ τῆς αἰχμαλωσίας ὄνομα δύο δηλοῖ· καὶ τὸ ἐκπεσεῖν ἐλευθερίας, καὶ τὸ κατὰ κράτος ἁλῶναι, ὥστε μὴ ἀναστῆναι πάλιν. κατὰ τοῦτο οὖν τὸ δεύτερον αὐτὴν παρελάβετο. ὥσπερ ὅταν λέγῃ, ἄλλας ἐκκλησίας ἐσύλησα, οὐ τὸ λάθρα λαβεῖν λέγει, ἀλλὰ τὸ γυμνῶσαι, καὶ πάντα λαβεῖν· οὕτω καὶ ἐνταῦθα λέγων, αἰχμαλωτίζοντες. οὐ γὰρ ἐκ τοῦ ἴσου ἡ μάχη, ἀλλὰ μετὰ πολλῆς εὐκολίας. οὐκ εἶπεν ἓν καὶ δύο, ἀλλὰ πᾶν· οὐκ εἶπε δὲ, νικῶμεν καὶ περιγινόμεθα μόνον, ἀλλὰ καὶ αἰχμαλωτίζομεν· ὥσπερ οὖν καὶ ἀνωτέρω οὐκ εἶπε, προσάγομεν μηχανήματα τοῖς ὀχυρώμασιν, ἀλλὰ καθαιροῦμεν αὐτά. καὶ γὰρ πολλὴ τῶν ὅπλων ἡ περιουσία. οὐ γὰρ λόγοις πολεμοῦμεν, φησιν, ἀλλ' ἔργοις πρὸς λόγους, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν πνεύματι πρᾳότητος καὶ δυνάμεως. πῶς οὖν ἔμελλον φιλοτιμεῖσθαι, φησι, καὶ κομπάζειν διὰ λόγων, καὶ ἀπειλεῖν διὰ ἐπιστολῶν, καθάπερ ἐκεῖνοι διέβαλλον λέγοντες, ὅτι αἱ ἐπιστολαὶ βαρεῖαι, ὅπου γε οὐκ ἐν τούτοις ἦν ἡμῖν ἰσχύς;

Εἰπὼν δὲ, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, ἐπειδὴ τὸ τῆς αἰχμαλωσίας ὄνομα βαρὺ, ταχέως τὸν τρόπον ἐντεῦθεν κατέλυσεν εἰπὼν, εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἀπὸ θανάτου πρὸς ζωὴν, ἐξ ἀπωλείας πρὸς σωτηρίαν. οὐ γὰρ ἁπλῶς βαλεῖν ἤλθομεν, ἀλλὰ μεταστῆσαι πρὸς τὴν ἀλήθειαν τοὺς ἐναντιουμένους. καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. ἐνταῦθα καὶ τούτους ἐφόβησεν, οὐκ ἐκείνους μόνον. ὑμᾶς γὰρ, φησιν, ἀναμένομεν, ἵν', ὅταν ὑπὸ τῆς παραινέσεως καὶ τῆς ἀπειλῆς διορθώσωμεν ὑμᾶς, καὶ ἐκκαθάρωμεν, καὶ ἀποστήσωμεν τῆς ἐκείνων κοινωνίας,

A vim indicat, quod per hæc arma victoriam adipiscatur. Itaque tametsi nos hæc gestamus: at ipse tamen est, qui per ea dimicat, & operatur. Postea horum quoque armorum longum encomium texit dicens: *Ad destructionem munitionum.* Ac ne munitionis audito nomine, quidquam sensibile cogites, ait: 5. *consilia destruentes;* per figurarum loquendi genus emphasim indicans: per id autem quod subjunxit, spiritale hoc bellum esse declarans. Munitiones enim istæ, non corpora, sed animos obsident. Quare illis firmiores sunt: ob idque majoribus etiam armis opus

B habent. Munitionum porro vocabulo Græcorum fastum intelligit, & sophismatum atque argumentationum vim. Et tamen omnia contra ipsos parata arma superavit. *Consilia destruentes, atque omnem altitudinem extollentem se adversus scientiam Dei.* Persistit in metaphora, ut significantius sese exprimat. Quamvis enim munimenta sint, inquit, quamvis turres, atque aliud quidvis: his tamen armis cedunt. *Et captivantes omnem intellectum in obsequium Christi.* Atqui incommodam significationem habet captivitatis vocabulum. Est enim libertatis eversio. Cur ergo hac voce usus est? Secundum al-

C teram significationem. Captivitatis enim nomen duplicem significatum habet; nempe & vi captum esse, atque ita expugnatum, ut jam nulla resurgendi facultas sit. Itaque posterioris hujus significationis ratione hoc vocabulum usurpavit. Ut enim, cum ait: Alias ecclesias exspoliavi, his indicat se non furtim accepisse, sed eas exspoliasse, atque omnia accepisse: sic etiam hoc loco cum ait: *In captivitatem redigentes.* Neque enim ex æquo pugnabat Paulus; sed facillime victoriam obtinebat: non dixit, unum, aut duos, sed omnia; non dixit, vincimus tan-

2. Cor. 11, 8.

D tum ac superiores exsistimus, sed: In captivitatem redigimus: ut superius etiam non dixit: Tormenta propugnaculis admovemus; sed, destruimus: armis quippe, inquit, longe eos antecellimus. Non enim verbis pugnamus: sed rebus adversus verba: non in carnali sapientia, sed in spiritu mansuetudinis ac potentiæ. Quomodo ergo gloriaturus eram, ac per sermonem jactaturus, & per epistolas comminaturus; ut illi eum criminabantur dicentes, Epistolæ quidem graves; cum vis nostra in his minime sita esset?

2. Cor. 10, 10.

3. Postquam autem dixit: *In captivitatem redigentes omnem intellectum in obsequium*

E *Christi;* quia captivitatis nomen durius erat, tropum hunc confestim dissolvit, his verbis utens: *In obsequium Christi*, a servitute in libertatem, a morte ad vitam, ab exitio ad salutem. Neque enim tantum adversarios sternimus; sed eos ad veritatem transferimus. 6. *Et in promtu habentes ulcisci omnem inobedientiam, cum impleta fuerit vestra obedientia.* Hoc loco non illos tantum, sed & hos quoque metu concutit. Vos enim, inquit, exspectamus, ut posteaquam nostris admonitionibus ac minis correcti ac repurgati, atque ab eorum societate abducti fueritis,

tum demum illis, qui incurabili morbo laborant, solis relictis, supplicium inferamus, cum vos prorsus ab ipsis abscesseritis. Nam obeditis quidem nunc quoque: verum non integre. Atqui, inquies, si hoc nunc fecisses, majus lucrum consequutus fuisses. Minime vero. Si enim nunc hoc fecissem, vos quoque eodem supplicio involvissem. At dices eos quidem pœna afficere oportebat, nobis autem parcere. Verum si pepercissem, gratia ductus id facere visus fuissem. Nunc vero id minime volo: sed prius vos corrigere, atque hinc ad puniendos illos me conferre. Quid visceribus illis mitius? quippe qui suos alienis permixtos cernens, plagam quidem inferre vult, cæterum se cohibet, atque indignationem reprimit, donec illi secesserint, ut hos solos feriat; vel potius ut ne hos quidem. Ob id enim his minatur, aitque se illos tantum recuperare cupere, ut & isti timore correcti ad meliorem frugem migrent, nec in quemquam iram effundat. Ut enim præstantissimus medicus, & pater communis, & patronus, ac curator, ita omnia agebat, ita omnium commodis consulebat impedimenta submovens, pestiferos homines coërcens, undique cursitans. Neque enim pugnando negotia sic conficiebat: sed ut ad paratam promtamque victoriam pergens, tropæa erigebat, diaboli propugnacula, dæmonumque machinas diruens, demoliens, ac solo æquans: atque prædam omnem ad Christi castra traducebat, ac ne tantillum quidem respirabat, ab his ad illos, ab illis rursus ad alios transiliens, non secus atque præclarissimus quispiam imperator, quovis die, vel, ut rectius loquar, quavis hora, tropæa erigens. Cum unica enim tunicula in aciem ingressus, hostium urbes una cum civibus capiebat: arcuumque, hastarum, & telorum, ac denique omnium rerum instar erat Pauli lingua. Loquebatur enim ille tantum: & protinus ipsius verba igne vehementius in hostes labebantur: ac dæmones quidem abigebat, homines autem ab ipsis detentos ad se reducebat. Etenim cum malum illum dæmonem ejecit, præstigiatorum hominum quinquaginta millia confluxerunt, librisque magicis exustis, ad veritatem sese transtulerunt. Et quemadmodum in bello collapsa turri, aut prostrato tyranno: omnes, qui cum ipso stabant, abjectis armis ad hostium imperatorem accurrunt, ad eumdem modum tunc quoque accidit. Pulso enim dæmone, omnes ii, qui obsessi tenebantur, abjectis, vel potius deletis libris suis, ad Pauli pedes confugerunt. At ille adversus orbem, quasi adversus exercitum unum, aciem instruens, nusquam consistebat, verum, perinde ac pennis quibusdam præditus, omnia faciebat: ac nunc claudum erigebat, nunc mortuum ad vitam revocabat, nunc alterum, hoc est, magum illum oculorum caligine mulctabat, ac ne in carcere quidem quiescebat, verum illic quoque carceris custodem ad suas partes pertrahebat, præclarum hoc captivitatis genus efficiens.

A τότε ἐκείνων ἀπολειφθέντων μόνων ἀνίατα νοσούντων ἐπαγάγωμεν τὴν τιμωρίαν, ὅταν γνησίως ἴδωμεν ὑμᾶς ἀποστάντας. ὑπακούετε μὲν γὰρ καὶ νῦν· οὐ τελείως δέ. καίτοι εἰ νῦν ἐποίησας, μεῖζον ἂν εἰργάσω τὸ κέρδος, φησίν. οὐδαμῶς. εἰ γὰρ νῦν ἐποίησα, καὶ ὑμᾶς ἂν περιέβαλον τῇ τιμωρίᾳ. ἀλλ' ἔδει κολάσαι μὲν ἐκείνους, ἡμῶν δὲ φείσασθαι. ἀλλ' εἰ ἐφεισάμην, χάριτι ἂν ἔδοξα τοῦτο ποιεῖν. νῦν δὲ οὐ τοῦτο βούλομαι, ἀλλὰ πρότερον κατορθῶσαι ὑμᾶς, καὶ τότε ἐπ' ἐκείνους ἐλθεῖν. τί τῶν σπλάγχνων ἐκείνων ἡμερώτερον; ὃς ἐπειδὴ τοὺς οἰκείους B ἑώρα τοῖς ἀλλοτρίοις ἀναμεμιγμένους, βούλεται μὲν ἐπαγαγεῖν τὴν πληγὴν, φείδεται δὲ, καὶ κατέχει τὴν ἀγανάκτησιν, ἕως ἂν ἐκεῖνοι ἀναχωρήσωσιν, ἵνα τούτους πατάξῃ μόνους· μᾶλλον δὲ, ἵνα μηδὲ τούτους. διὰ γὰρ τοῦτο ἀπειλεῖ τούτοις, καί φησι μόνους βούλεσθαι ἐκείνους ἀπολαβεῖν, ἵνα καὶ ἐκεῖνοι τῷ φόβῳ διορθωθέντες μεταναστῶσι, καὶ εἰς μηδένα ἀφῇ τὴν ὀργήν. καθάπερ γὰρ ἰατρὸς ἄριστος, καὶ πατὴρ κοινὸς, καὶ προστάτης, καὶ κηδεμὼν, οὕτω πάντα ἔπραττεν, οὕτω πάντων ἐκήδετο, τὰ κωλύματα ἀναιρῶν, τοὺς λυμαινομένους ἀναστέλλων, πανταχοῦ περιτρέχων. C οὐδὲ γὰρ μαχόμενος οὕτω τὰ πράγματα ἤνυεν· ἀλλ' ὡς ἐπὶ ἑτοίμην καὶ πρόχειρον ἐρχόμενος νίκην, τὰ τρόπαια ἵστη, κατασκάπτων, καθαιρῶν, καταβάλλων τοῦ διαβόλου τὰ ὀχυρώματα καὶ τῶν δαιμόνων τὰ μηχανήματα, καὶ τὴν λείαν μετῆγεν ἅπασαν ἐπὶ τὸ τοῦ Χριστοῦ στρατόπεδον· καὶ οὐδὲ μικρὸν ἀνέπνει, ἀπὸ τούτων ἐπ' ἐκείνους, καὶ πάλιν ἀπ' ἐκείνων ἐφ' ἑτέρους μεταπηδῶν, καθάπερ τις στρατηγὸς ἄριστος καθ' ἑκάστην ἡμέραν ἱστῶν τρόπαια· μᾶλλον δὲ, καθ' ἑκάστην ὥραν. ἀπὸ γὰρ χιτωνίσκου μόνου εἰς τὴν παράταξιν εἰσελθὼν, αὐτάνδρους ᾕρει τῶν ἐναντίων τὰς πόλεις, καὶ τόξα, D καὶ δόρατα, καὶ βέλη, καὶ πάντα ἡ γλῶττα Παύλου. καὶ γὰρ ἐφθέγγετο μόνον, καὶ παντὸς πυρὸς σφοδρότερον τοῖς πολεμίοις αἱ ῥήσεις ἐνέπιπτον· καὶ τοὺς μὲν δαίμονας ἤλαυνε, τοὺς δὲ ὑπ' αὐτῶν κατεχομένους ἀνθρώπους πρὸς ἑαυτὸν ἐπανῆγεν. ὅτε γοῦν τὸν δαίμονα ἐκεῖνον τὸν πονηρὸν ἐξέβαλε, γοήτων ἀνδρῶν μυριάδες πέντε συνελθοῦσαι, τὰ βιβλία τῶν μαγειῶν κατέκαιον, καὶ πρὸς τὴν ἀλήθειαν μεθίσταντο. καὶ καθάπερ ἐν πολέμῳ, πύργου πεσόντος, ἢ τυράννου κατενεχθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ E ὅπλα ῥίψαντες, τῷ στρατηγῷ προστρέχουσιν· οὕτω δὴ καὶ τότε ἐγένετο. τοῦ γὰρ δαίμονος ἐκβληθέντος; πολιορκηθέντες ἅπαντες, καὶ τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ καταλύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον· ὁ δὲ, καθάπερ ἑνὶ στρατοπέδῳ, τῇ οἰκουμένῃ παρατατόμενος, οὐδαμοῦ ἵστατο, ἀλλ' ὥσπερ τις ὑπόπτερος ὢν, πάντα ἐποίει· καὶ νῦν μὲν χωλὸν διώρθου, νῦν δὲ νεκρὸν ἤγειρε, νῦν δὲ ἕτερον ἐπήρου, τὸν μάγον λέγω. καὶ οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν· ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτὸν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργαζόμενος.

A Τοῦτον οὖν καὶ ἡμεῖς μιμησώμεθα κατὰ δύναμιν. καὶ τί λέγω, κατὰ δύναμιν; ἔξεστι γὰρ καὶ ἐγγὺς ἐκείνου γενέσθαι τῷ βουλομένῳ, καὶ θεωρῆσαι τὴν ἀριστείαν, καὶ μιμήσασθαι τὴν ἀνδρείαν. ἔτι γὰρ καὶ τοῦτο ποιεῖ, λογισμοὺς καθαιρῶν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. καίτοιγε πολλοὶ κατατέμνειν αὐτὸν ἐπεχείρησαν αἱρετικοί· ἀλλ' ὅμως καὶ κατὰ μέλος ὢν πολλὴν ἐπιδείκνυται τὴν ἰσχύν. κέχρηνται μὲν γὰρ αὐτῷ καὶ Μαρκίων, καὶ Μανιχαῖος· ἀλλὰ κατατέμνοντες. ἀλλ' ὅμως καὶ οὕτως ἐλέγχονται ἀπὸ τῶν μελῶν. B καὶ γὰρ καὶ χεὶρ μόνη τοῦ ἀριστέως τούτου παρ' αὐτοῖς οὖσα, κατὰ κράτος αὐτοὺς ἐλαύνει· καὶ ποὺς μόνος παρ' ἑτέροις διώκει καὶ καταβάλλει, ἵνα μάθῃς δυνάμεως περιουσίαν, καὶ ὅτι καὶ περικοπτόμενος ἀρκεῖ πάντας ἑλεῖν τοὺς ἐναντιουμένους. καὶ μέντοι τοῦτο, φησὶ, διαστροφῆς, τὸ πάντας αὐτῷ κεχρῆσθαι τοὺς ἀλλήλοις μαχομένους. διαστροφῆς μὲν οὖν, τῆς [a] Παύλου δὲ μὴ γένοιτο, ἀλλὰ τῆς τῶν χρωμένων. οὐ γὰρ ποικίλος τις ἦν, ἀλλ' ἁπλοῦς καὶ σαφής. οὗτοι δὲ πρὸς τὰς οἰκείας διέστρεψαν τὰ ῥήματα ἐννοίας. καὶ διὰ τί οὕτως ἐῤῥέθη, φησὶν, ὡς δοῦναι λαβὰς τοῖς βουλομένοις; οὐκ αὐτὸς ἔδωκεν, C ἀλλ' ἡ ἐκείνων μανία. οὐκ εἰς δέον γὰρ τούτοις ἐχρήσαντο. ἐπεὶ καὶ ὁ κόσμος ἐστὶν ὅλος, καὶ θαυμαστὸς καὶ μέγας, καὶ τῆς τοῦ θεοῦ σοφίας τεκμήριον, καὶ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, καὶ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· ἀλλ' ὅμως τούτῳ πολλοὶ προσέπταισαν, καὶ ἀπ' ἐναντίας ἀλλήλοις· καὶ οἱ μὲν οὕτως αὐτὸν παρὰ τὴν ἀξίαν ἐθαύμασαν ὡς [b] αὐτὸν νομίσαι εἶναι θεόν· οἱ δὲ οὕτως αὐτοῦ τὸ κάλλος ἠγνόησαν, ὡς ἀνάξιον εἶναι φανῆναι τῆς τοῦ θεοῦ δημιουργίας, καὶ ὕλῃ τινὶ πονηρᾷ τὸ πλέον αὐτοῦ ἀναθεῖναι. καίτοιγε ἀμφοτέρους ὁ θεὸς ἠσ- D φαλίσατο, καλὸν μὲν ποιήσας καὶ μέγαν, ἵνα μὴ ἀλλότριος αὐτοῦ τῆς σοφίας εἶναι νομίζοιτο· ἐνδεῆ δὲ καὶ οὐκ αὐτάρκη ἑαυτῷ, ἵνα μὴ θεὸς ὑποπτεύηται. ἀλλ' ὅμως οἱ πηρωθέντες ἐκ τῶν οἰκείων λογισμῶν, εἰς ἐναντίας ἐξέπεσον ἐννοίας, ἀλλήλους ἐλέγχοντες, καὶ ἀλλήλων γινόμενοι κατήγοροι, καὶ ὑπὲρ τῆς τοῦ θεοῦ σοφίας ἀπολογούμενοι [c] καὶ αὐτῶν ὧν ἐπλανήθησαν λογισμῶν. καὶ τί λέγω τὸν ἥλιον καὶ τὸν οὐρανόν; πρὸ τῶν ὀφθαλμῶν εἶδον θαύματα οἱ Ἰουδαῖοι γινόμενα τοσαῦτα, καὶ μόσχον εὐθέως προσεκύνησαν. πάλιν ἑώρων δαίμονας τὸν E Χριστὸν ἀπελαύνοντα, καὶ δαιμονῶντα αὐτὸν ἐκάλουν. ἀλλ' οὐ τοῦ ἐκβάλλοντος τοῦτο ἔγκλημα, ἀλλὰ τῆς τῶν πεπηρωμένων διανοίας κατηγορία. μὴ τοίνυν μηδὲ Παύλου καταγίνωσκε διὰ τὴν τῶν κακῶς χρησαμένων γνώμην, ἀλλὰ μάθε τὸν θησαυρὸν αὐτοῦ καλῶς, καὶ τὸν πλοῦτον ἀνάπτυξον, καὶ πρὸς πάντας στήσῃ γενναίως ἀπὸ τῶν ἐκείνου φραττόμενος

4. Hunc igitur nos quoque pro viribus imitemur. Quid autem dico, pro viribus? Licet enim cuivis ad eum propius accedere, ejusque dimicandi præstantiam intueri, ac fortitudinem imitari. Adhuc enim etiam hoc facit, consilia destruens, atque omnem altitudinem sese extollentem adversus scientiam Dei. Et quidem eum plerique hæretici conscindere aggressi sunt: at ipse etiam in membra distractus, ingentis roboris specimen edit. Siquidem & Marcion, & Manichæus eo usi sunt, verum concise ac truncatim. At sic tamen etiam a membris confutantur. Nam & manus sola fortissimi hujus viri, cum apud ipsos est, perfacile eos fundit ac fugat: & pes solus, cum apud alios est, eos insectatur, ac dejicit, ut ex eo tibi potentiæ ipsius magnitudinem intelligere liceat, quippe qui etiam carne undique concisus, cunctos tamen hostes expugnare possit. Atqui perversitatis hoc argumentum est, inquies, si omnes eo utantur, qui inter se confligunt. Perversitatis quidem hoc sane: non tamen Pauli, absit, sed eorum, qui eo abutuntur. Neque enim varius erat, sed simplex & perspicuus: at isti verba ipsius ad suam sententiam detorserunt. Sed cur ita loquutus est, inquies, ut ansam volentibus daret? Non dedit ipse: sed eorum amentia, qui ipsius verbis, non ut par erat, usi sunt. Quandoquidem & totus hic mundus, ingens quidem & præclarus est, divinæque sapientiæ argumentum, & cæli gloriam Dei enarrant, & dies diei eructat verbum, & nox nocti indicat scientiam: & tamen plerisque ad hunc offendere contigit, atque illi inter se pugnant. Alii enim ita plus quam par erat ipsum admirati sunt, ut deum esse putarent; alii ita ejus pulcritudinem ignorarunt, ut Dei creatione indignum haberent ac perniciosæ cuidam materiæ magnam ejus partem assignarent. Atqui Deus utrumque communiverat, pulcrum & magnum faciens, ne ab ipsius sapientia alienus esse censeretur, & rursus aliena ope indigentem, nec sibi sufficientem, ne eum quisquam Deum esse suspicaretur. Et tamen ipsi a rationibus suis cæcati, in contrarias opiniones inciderunt, seque mutuo confutantes & accusantes, divinamque sapientiam per eas ipsas rationes, quibus in errorem inducti sunt, ab omni reprehensione vindicantes. Quid autem solem, quid cælum commemoro? Judæi tot miracula præ oculis patrari conspexerant: & statim vitulum adorarunt. Rursus Christum dæmones pellentem videbant: & dæmoniacum eum vocabant. Atqui non, qui dæmones depellebat: sed ii, qui mentis oculis capti erant, in crimen vocandi. Proinde ne tu quoque Paulum, ob eorum sententiam qui ipsius verbis abusi sunt, reprehende: quin potius da operam, ut ipsius thesaurum probe intelligas, opesque explices. Ita fiet, ut ipsius armis munitus adversus omnes stre-

Marcionis & Manichæi hæresis.

*Psal.* 18. 1. 2.

Quidam dicebant mundum esse deum.

a Παύλου δὲ, sic Savil. recte. Morel. vero Παῦλος καί.

b Multi dicebant mundum esse Deum. Qua de re Balbus apud Ciceronem lib. 2. de natura deorum, ostendit mundum esse intelligentem, sapientem, deum denique si diis placeat. Cicero autem ibidem ait: *Quocirca sapientem esse mundum necesse est, naturamque eam, quæ res omnes complexa teneat, perfectione rationis excellere, eoque deum esse mundum omnemque vim mundi divina natura contineri.* Hæc vero fusissime persequitur Dounæus in notis Savilianis.

c καὶ αὐτῶν. Savil. suspicatur legendum διὰ αὐτῶν.

nunc dimices: ita fiet, ut, & Gentilibus, & Judæis ora obstruere queas. Quomodo, inquies, cum fidem ipsi non habeant? Per ea, quæ ipsius opera contigerunt: per eam correctionem, quam toti terrarum orbi adhibuit. Neque enim humanæ facultatis erat, tot tantaque perficere: verum Crucifixi vis eum afflans, talem effecit, atque oratoribus, philosophis, tyrannis, regibus, & quibusvis aliis valentiorem reddidit. Ille enim non modo arma induere, & adversarios ferire poterat: sed alios quoque tales efficere. Ut ergo & nobisipsis, & aliis usui esse possimus, ipsum in manibus semper habeamus, atque in ipsius scriptis, tamquam in amœno prato atque horto summa cum animi voluptate versemur. Sic enim, & a vitio nos abstrahere, & virtutem amplecti, & promissa bona consequi poterimus. Quæ utinam consequamur per gratiam ac benignitatem Domini nostri Jesu-Christi, cui cum Patre & Spiritu sancto gloria, honor, imperium, nunc & semper & in sæcula sæculorum, amen.

A ὅπλων· οὕτω καὶ Ἕλληνας, καὶ Ἰουδαίους ἐπιστομίσαι δυνήσῃ. καὶ πῶς, φησὶν, οὐ πιστεύοντας αὐτῷ; ἀπὸ τῶν γεγενημένων [a] δι' αὐτοῦ, ἀπὸ τῆς κατὰ τὴν οἰκουμένην διορθώσεως. οὐ γὰρ ἦν ἀνθρωπίνης δυνάμεως τοσαῦτα δυνηθῆναι, ἀλλ' ἡ τοῦ σταυρωθέντος ἰσχὺς ἐμπνέουσα αὐτῷ, τοιοῦτον αὐτὸν εἰργάσατο, καὶ ῥητόρων, καὶ φιλοσόφων, καὶ τυράννων, καὶ βασιλέων, καὶ πάντων δυνατώτερον ἀπέφηνεν. οὗτος οὐχ ὁπλίσασθαι μόνον ἱκανὸς, καὶ βαλεῖν τοὺς ἐναντίους, ἀλλὰ καὶ ἑτέρους κατασκευάσαι τοιούτους. B ἵν' οὖν καὶ ἑαυτοῖς καὶ ἑτέροις γινώμεθα χρήσιμοι, συνεχῶς αὐτὸν μεταχειριζώμεθα, ἀντὶ λειμῶνος καὶ παραδείσου τοῖς τούτου γράμμασιν ἐντρυφῶντες. οὕτω γὰρ δυνησόμεθα καὶ κακίας ἀπαλλαγῆναι, καὶ ἀρετὴν ἑλέσθαι, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XXII.

## ΟΜΙΛΙΑ κβ'.

7. *Quæ secundum faciem sunt, videtis. Si quis sibi confidit Christi se esse, hoc cogitet iterum apud se, quia sicut ipse Christi est, ita & nos.*

C Τὰ κατὰ πρόσωπον βλέπετε. εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς.

1. CUM multis aliis hoc maxime in Paulo quis miretur, quod cum in maximam necessitatem inciderit seipsum extollendi, utrumque assequitur, nempe ut & hoc faciat, & tamen ex suarum laudum prædicatione nulli sit molestus. Id quod etiam in epistola ad Galatas maxime perspicere licet. Etenim illic quoque in ejusmodi argumentum delapsus, utrumque horum curat. Id quod perdifficile sane est, magnamque prudentiam requirit. Nam & modestiam tenet, & magnum quiddam de se prædicat. Ac velim consideres, quonam pacto hoc quoque loco magnifice id faciat. *Quæ secundum faciem sunt videtis.* Perspice quanam hic etiam prudentia utatur. Postquam enim in eos, a quibus decepti fuerant invectus est, non in illis orationem terminavit, verum ab iis ad hos quoque transilit: atque assidue hanc rationem tenet. Neque enim deceptores tantum, sed eos etiam, quibus fucus factus est, insectatur. Nam si eos a reprehensione immunes abire permisisset, non ita facile ex iis, quæ in alios conjecta fuissent, ad meliorem mentem rediissent: imo admodum sese, tamquam his criminibus non obnoxii, animis extulissent. Ideo hos quoque perstringit. Nec vero hoc tantum nomine sese admirandum Paulus præbet: sed & hoc etiam, quod congruentem utrisque objurgationem adhibet. Audi quippe quid his dicat: *Quæ secundum faciem sunt videtis.* Non leve hoc crimen est; sed maximum. Quare? Quia hominum genus facile decipi

Ο Μάλιστα ἄν τις θαυμάσειε Παύλου μετὰ τῶν ἄλλων, τοῦτό ἐστιν, ὅτι εἰς ἀνάγκην ἐμπεσὼν μεγάλην τοῦ ἐπᾶραι ἑαυτὸν, ἀμφότερα ἐργάζεται, τοῦτό τε αὐτὸ, καὶ τὸ μὴ δοκεῖν ἐπαχθὴς εἶναι τοῖς πολλοῖς διὰ τὴν περιαυτολογίαν ταύτην· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας μάλιστα D ἴδοι τις ἄν· καὶ γὰρ ἐκεῖ ἐμπεσὼν εἰς τοιαύτην ὑπόθεσιν, ἀμφοτέρων ἐπιμελεῖται τούτων· ὅπερ τῶν σφόδρα ἐστὶ δυσκολωτάτων, καὶ πολλῆς δεομένων συνέσεως· καὶ μετριάζει, καὶ περὶ ἑαυτοῦ μέγα τι λέγει. σκόπει δὲ πῶς καὶ ἐνταῦθα μέγα αὐτὸ ποιεῖται. τὰ κατὰ πρόσωπον βλέπετε. ὅρα κἀνταῦθα σύνεσιν. ἐπιτιμήσας γὰρ τοῖς ἀπατῶσιν αὐτοὺς, οὐ μέχρις ἐκείνων τὸν λόγον ἔστησεν, ἀλλ' ἀπ' ἐκείνων καὶ εἰς τούτους μεταπηδᾷ· καὶ συνεχῶς τοῦτο οὕτω ποιεῖ. οὐ γὰρ δὴ μόνον τῶν παρακρουομένων, E ἀλλὰ καὶ τῶν ἠπατημένων καθάπτεται. εἰ γὰρ καὶ αὐτοὺς ἀφῆκεν ἀνευθύνους, οὐκ ἂν οὕτως εὐκόλως ἐκ τῶν ἑτέροις εἰρημένων διωρθώθησαν, ἀλλὰ καὶ σφόδρα ἂν ἐπήρθησαν, οὐκ ὄντες ἐγκλήμασιν ὑπεύθυνοι. διὰ τοῦτο καὶ αὐτῶν καθάπτεται. καὶ οὐ τοῦτο μόνον αὐτοῦ ἐστι τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ καταλλήλως ἑκατέροις ἐπιτιμᾷ. ἄκουε γοῦν τί τούτοις φησί· τὰ κατὰ πρόσωπον βλέπετε. οὐ μικρὸν τὸ ἔγκλημα, ἀλλὰ καὶ σφόδρα μέγα. πῶς; ὅτι εὐεξαπάτητον τὸ τῶν ἀνθρώπων γένος, φησίν.

a Savil. in marg. δι' αὐτοῦ recte. Editi δι' αὐτούς.

ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπὸ τῶν φαινομένων δοκιμάζετε, ἀπὸ τῶν σαρκικῶν, ἀπὸ τῶν σωματικῶν. τί ἐστιν, ἀπὸ τῶν φαινομένων; εἴ τις πλουτεῖ, εἴ τις φυσᾶται, εἴ τις πολλοὺς περιβέβληται κόλακας, εἴ τις μεγάλα περὶ ἑαυτοῦ λέγει, εἴ τις κενοδοξεῖ, εἴ τις ὑποκρίνεται ἀρετὴν, οὐκ ἔχων ἀρετήν. τοῦτο γάρ ἐστι, τὰ κατὰ πρόσωπον βλέπετε. εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς. οὐ γὰρ βούλεται ἐκ προοιμίων σφοδρὸς γίνεσθαι, ἀλλὰ κατὰ μικρὸν αὔξεται καὶ κορυφοῦται. σκόπει δὲ ἐνταῦθα τὴν πολλὴν τραχύτητα, καὶ πολὺ τὸ αἴνιγμα ὄν. τὸ γὰρ, ἀφ' ἑαυτοῦ, τοῦτό ἐστιν ἐμφαίνοντος· μὴ γὰρ ἀναμενέτω, φησὶ, παρ' ἡμῶν μαθεῖν, τουτέστι, διὰ τῆς ἐπιτιμήσεως τῆς κατ' αὐτοῦ, ἀλλ' ἀφ' ἑαυτοῦ τοῦτο λογιζέσθω, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς. οὐκ ἐπειδὴ οὕτως ἦν τοῦ Χριστοῦ, ὡς ἐκεῖνος· ἀλλ' ὅτι ὥσπερ ἐκεῖνος Χριστοῦ, οὕτω καὶ ἐγὼ Χριστοῦ. κατὰ τοῦτο ἡ κοινωνία. οὐ γὰρ δὴ αὐτὸς μὲν Χριστοῦ, ἐγὼ δὲ ἑτέρου τινός. καὶ θεὶς τοῦτο τὸ ἴσον, προστίθησι καὶ τὴν ὑπεροχὴν, λέγων· ἐὰν γὰρ καὶ περισσότερον καυχήσωμαι περὶ τῆς ἐξουσίας, ἧς ἔδωκέ μοι ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, οὐκ αἰσχυνθήσομαι. ἐπειδὴ γὰρ μέγα τι λέγειν ἔμελλεν, ὅρα πῶς αὐτὸ παραμυθεῖται. οὐδὲν γὰρ οὕτω προσίσταται τοῖς πολλοῖς τῶν ἀκροατῶν, ὡς τὸ ἑαυτόν τινα ἐγκωμιάζειν. διόπερ ὑποτεμνόμενος τὸ βαρὺ, τοῦτό φησιν. ἐὰν γὰρ περισσότερόν τι καυχήσωμαι. καὶ οὐκ εἶπεν, ὅτι εἴ τις πέποιθεν εἶναι Χριστοῦ, λογιζέσθω ὅτι πολὺ ἡμῶν ἀπέχει· ἐγὼ γὰρ ἐξουσίαν ἔχω παρ' αὐτοῦ πολλὴν, ὥστε οὓς ἂν ἐθέλω, κολάζειν καὶ ἀποκτιννύναι. ἀλλὰ τί; ἐὰν γὰρ καὶ περισσότερόν τι. καίτοι ἄφατον εἶχεν, ἀλλ' ὅμως συστέλλει τῷ λόγῳ. καὶ οὐκ εἶπεν, ὅτι καυχῶμαι, ἀλλ', ἐὰν καυχήσωμαι, ἐὰν βουληθῶ· ἅμα καὶ μετριάζων, καὶ τὴν ὑπεροχὴν δεικνύς. ἐὰν οὖν καυχήσωμαι, φησὶ, περὶ τῆς ἐξουσίας, ἧς ἔδωκέ μοι ὁ κύριος. πάλιν τὸ πᾶν αὐτῷ ἀνατίθησι, καὶ κοινὸν ποιεῖ τὸ δῶρον, εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν. εἶδες πῶς πάλιν παραμυθεῖται τὸν φθόνον τὸν ἀπὸ τῶν ἐγκωμίων, καὶ τὸν ἀκροατὴν ἐπισπᾶται; τὴν χρείαν εἰπὼν δι' ἣν ἔλαβε; καὶ πῶς φησι, λογισμοὺς καθαιροῦντες; ὅτι αὐτὸ τοῦτο μάλιστα οἰκοδομῆς εἶδός ἐστι, τὸ τὰ κωλύματα ἀναιρεῖν, καὶ τὰ σαθρὰ διελέγχειν, καὶ τὰ ἀληθῆ συντιθέναι. ἐν οἰκοδομῇ. εἰς τοῦτο μὲν οὖν ἐλάβομεν, ἵνα οἰκοδομῶμεν· ἐὰν δέ τις πυκτεύῃ, καὶ πολεμῇ, καὶ ἀνίατος ᾖ· καὶ τῇ ἑτέρᾳ χρησόμεθα ἐνεργείᾳ, καθαιροῦντες αὐτὸν, καὶ καταβάλλοντες. διὸ καὶ, οὐκ αἰσχυνθήσομαι, φησί· τουτέστιν, οὐκ ἐλεγχθήσομαι ψευδόμενος, οὐδὲ ἀλαζονευόμενος. ἵνα δὲ μὴ δόξω, ὡς ἂν ἐκφοβεῖν ὑμᾶς, ὅτι αἱ μὲν ἐπιστολαί, φησι, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος, ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος.

A potest. Quasi diceret: Ab his, quæ externe patent, homines probatis, a carnalibus, a corporeis. Quid est, ab iis quæ externe patent? Si quis opibus circumfluit, si quis intumescit, si quis adulatorum gregibus stipatus est, si quis magna de se prædicat, si quis inanis gloriæ studio ducitur, si quis virtutem, qua caret, ementitur. Hoc enim hæc verba significant, *Quæ secundum faciem sunt, videtis. Si quis confidit sibi se Christi esse, hoc cogitet iterum apud se, quod sicut ipse Christi est, ita & nos sumus.* Neque enim initio vehemens esse vult: verum sensim orationem auget atque amplificat. Ac vide quantum B asperitatis in his verbis subsit, & ænigmatis. Hæc enim verba, *apud se*, hæc declarant: Non exspectet dum a nobis id discat, hoc est ex nostra adversus eum objurgatione: verum ex seipso id consideret, quod quemadmodum ipse Christi est, ita & nos. Non quia ita esset Christi, ut ille: verum, Sicut ipse Christi est, ita & ego Christi. Atque hac ratione inter nos est societas. Non enim ipse Christi est, ego alterius cujuspiam. Postquam autem hoc, quod æque uterque habebat, posuit, addit id quoque, quo alterum antecellebat. 8. *Nam etsi amplius aliquid gloriatus* C *fuero de potestate nostra, quam dedit nobis Deus ad ædificationem, & non in destructionem, non erubescam.* Quoniam enim magnum aliquid de se dicere parabat, vide quomodo id præmolliat. Neque enim quidquam multos auditores perinde offendit, ut cum quis seipsum laudat. Quocirca, ut invidiæ occurrat, ait, *Etsi amplius aliquid gloriatus fuero.* Nec vero dixit, Si quis confidit sibi se Christi esse, hoc secum reputet quod longo a nobis intervallo distat: ego enim magnam ab eo auctoritatem habeo, ut quos voluero pœna afficiam. Sed quid? *Nam etsi amplius quiddam.* Atqui ineffabile est, quanta D potentia polleret. Verum eam verbis contrahit. Nec dixit, *Glorior*, sed, si gloriatus fuero, si ita voluntas tulerit: sic & modestia utens, & præstantiam suam ostendens. *Si igitur gloriatus fuero*, inquit, *de potestate, quam mihi dedit Dominus.* Rursum totum ipsi ascribit: & commune facit donum, *ad ædificationem, non ad destructionem.* Vides quo pacto rursus invidiam eam, quam ipsi laudes suæ conflare poterant, mitiget, auditoremque sibi concilict, usum eum commemorans, ob quem hanc potentiam acceperit? Quonam igitur modo ait, *Consilia destruentes?* Quoniam hoc ipsum præsertim æ- E dificationis genus est, impedimenta de medio tollere, & quæ corrupta sunt refutare, ac vera compingere. *Ad ædificationem.* Ergo ad hoc potentiam accepimus, ut ædificemus. Quod si quis obluctetur, ac dimicet, atque insanabilis sit, altera quoque facultate utemur, eum diruentes ac prosternentes. Unde etiam ait, *Non erubescam*: hoc est non mendax nec arrogans reperiar. 9. *Ut autem non existimer tamquam terrere vos per epistolas.* 10. *Quoniam quidem epistolæ, inquiunt, graves sunt & fortes, præsentia autem corporis infirma, & sermo contemtibilis*:

Laus propria quam odiosa.

11. *Hoc cogitet, qui talis est, quod quales sumus per epistolas absentes, tales & præsentes in facto.* Quod perinde est ac si diceret: Poteram quidem gloriari: verum ne rursus eadem mihi objiciant, quod per literas me jactem, cum coram despicabilis sim, nihil magnum dicam. Et quidem postea dixit: Verum non de hac potentia, per quam terrori erat, sed de revelationibus, majoreque etiam ex parte de tentationibus. Itaque ne vos dumtaxat metu afficere videar, hoc cogitet, qui ejusmodi est, quod quales sumus per epistolas absentes, tales & præsentes in facto. Quoniam enim dicebant, quod magna quidem per literas commemoraret, præsens vero nullius precii esset, ideo his verbis utitur, iisque rursus parce ac modeste. Non enim dixit, Ut magna scribimus, ita magna quoque præsentes gerimus: sed demissius loquutus est. Nam cum illos quidem alloqueretur, non sine acrimonia hoc posuit, inquiens, Rogo autem vos, ne præsens audeam ea confidentia, qua existimor audere in quosdam: cum autem ad hos verba facit, submissius agit: ob idque ait, Quales sumus præsentes, tales & absentes, hoc est humiles, compositi, nusquam nosipsos jactantes. Idque liquet ex his quæ sequuntur. 12. *Non enim audemus inserere aut comparare nos quibusdam, qui seipsos commendant.*

2. Hoc loco illos, & arrogantiæ morbo laborare, & magna de seipsis loqui ostendit: eosque, ut seipsos commendantes, traducit. At nos, inquit, nihil ejusmodi facimus: verum si quid etiam magni patramus, ad Deum omnia referimus, & nos mutuo comparamus. Ideo subjunxit, *Sed ipsi in seipsis sese metientes, & sese sibiipsis comparantes, non intelligunt.* Quod ait, hanc sententiam habet. Non cum illis nosipsos comparamus: [2. Cor. 12. 11.] sed nosmet inter nos. Nam & ulterius progressus dicebat, Nihil minus habui a magnis apostolis. Et in priore epistola: [1. Cor. 15. 10.] Plus aliis omnibus laboravi. Et rursus, Signa [2. Cor. 12. 12.] apostolatus mei facta sunt inter vos in omni patientia. Itaque nosipsos inter nos comparamus: non cum illis, qui nil habent: hujusmodi quippe arrogantia ex amentia oritur. Ergo vel de seipso hoc dicit, vel de illis: quasi dicat, Non audemus nosipsos cum illis conferre, qui inter se contendunt, ac magna de se jactant: nec intelligunt, hoc est, non sentiunt quam sint ridiculi, cum ad hunc modum gloriantur, seque ipsos inter se efferunt. 13. *Nos autem non in immensum gloriabimur: quemadmodum illi.* Probabile enim erat, eos jactando eousque progressos fuisse, ut se orbem terrarum convertisse, atque ad extremos usque terræ fines perrexisse dicerent, multaque alia ejusmodi de se magnifice prædicarent. At nos, inquit, non ita; *Sed secundum mensuram regulæ, qua mensus est nobis Deus, mensuram pertingendi usque ad vos.* Itaque utrinque ipsius modestia elucet, tum quia haud plus, quam effecerit, dicit: tum quia hoc ipsum Deo acceptum re-

A τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν δι᾽ ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἠδυνάμην μὲν καυχήσασθαι· ἵνα δὲ μὴ τὰ αὐτὰ πάλιν λέγωσιν, ὅτι κομπάζω ἐπιστέλλων, καὶ εὐκαταφρόνητός εἰμι παρὼν, οὐδὲν μέγα ἐρῶ. [a] καὶ μὲν ὕστερον ἐφθέγξατο· ἀλλ᾽ οὐ περὶ τῆς δυνάμεως ταύτης δι᾽ ἧς ἦν φοβερὸς, ἀλλὰ περὶ ἀποκαλύψεων, καὶ τὸ πλέον περὶ πειρασμῶν. ἵν᾽ οὖν μὴ δόξω φοβεῖν ὑμᾶς, τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν δι᾽ ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ
B ἔργῳ. ἐπειδὴ γὰρ ἔλεγον ὅτι ἐπιστέλλει μεγάλα περὶ ἑαυτοῦ, παρὼν δὲ οὐδενὸς λόγου ἐστὶν ἄξιος· διὰ τοῦτο ταῦτά φησι, καὶ αὐτὰ πάλιν συνεσταλμένως. οὐ γὰρ εἶπεν, ὅτι ὡς μεγάλα ἐπιστέλλομεν, μεγάλα καὶ πράττομεν παρόντες· ἀλλ᾽ ὑφειμένως μᾶλλον. ὅτε μὲν γὰρ πρὸς ἐκείνους διελέγετο, μετὰ σφοδρότητος αὐτὸ τέθεικε λέγων, δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας· ὅτε δὲ πρὸς τούτους, καθυφῆκε. διὸ καὶ λέγει, ὁποῖοί ἐσμεν παρόντες, καὶ ἀπόντες· τουτέστι, ταπεινοὶ, συνεσταλμένοι, οὐδαμοῦ κομπάζοντες. καὶ
C δῆλον ἐκ τῶν ἑξῆς. οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων.

Ἐνταῦθα καὶ ἀλαζόνας δείκνυσιν ὄντας ἐκείνους, καὶ μεγάλα περὶ ἑαυτῶν φθεγγομένους· καὶ κωμῳδεῖ αὐτοὺς ὡς ἑαυτοὺς συνιστῶντας. ἀλλ᾽ ἡμεῖς οὐδὲν τοιοῦτον· ἀλλ᾽ εἴ τινα καὶ μεγάλα εἰργασάμεθα, ἐπὶ τὸν θεὸν ἅπαντα ἀναφέρομεν, καὶ ἀλλήλοις ἑαυτοὺς παραβάλλομεν. διὸ καὶ ἐπήγαγεν, ἀλλ᾽ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες ἑαυτοῖς ἑαυτοὺς οὐ συνιοῦσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ πρὸς ἐκείνους ἑαυτοὺς παραβαλλόμεθα, ἀλλὰ πρὸς ἀλλήλους. καὶ γὰρ προϊὼν ἔλεγεν, οὐδὲν ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων. καὶ ἐν τῇ προτέρᾳ ἐπι-
D στολῇ, περισσότερον αὐτῶν πάντων ἐκοπίασα· καὶ πάλιν, τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ. ὥστε ἑαυτοῖς συγκρίνομεν ἑαυτοὺς, οὐκ ἐκείνοις τοῖς οὐδὲν ἔχουσιν. ἡ γὰρ τοιαύτη ἀπόνοια, ἀνοίας ἐστίν. ἢ περὶ ἑαυτοῦ οὖν τοῦτό φησιν, ἢ περὶ ἐκείνων, ὅτι οὐ τολμῶμεν συγκρῖναι ἑαυτοὺς ἐκείνοις τοῖς πρὸς ἀλλήλους ἁμιλλωμένοις, καὶ μεγάλα κομπάζουσι, καὶ μὴ συνιοῦσι, τουτέστι, μὴ αἰσθανομένοις πῶς εἰσι καταγέλαστοι τοιαῦτα ἀλαζονευόμενοι, καὶ μεταξὺ ἀλλήλων ἑαυτοὺς ἐπαίροντες. ἡμεῖς δὲ οὐκ εἰς τὰ
E ἄμετρα καυχησόμεθα καθάπερ οὗτοι. καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς κομπάζοντας λέγειν, ὅτι τὴν οἰκουμένην ἐπεστρέψαμεν, πρὸς τὰ πέρατα τῆς γῆς ἀφικόμεθα, καὶ πολλὰ ἕτερα τοιαῦτα μεγαληγορεῖν. ἀλλ᾽ ἡμεῖς οὐχ οὕτω, φησὶν, ἀλλὰ κατὰ τὸ μέτρον οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. ὥστε ἑκατέρωθεν ἡ ταπεινοφροσύνη αὐτοῦ κατάδηλος· καὶ ὅτι οὐδὲν [b] πλεῖον ἢ εἰργάσατο, εἶπε, καὶ ὅτι τοῦτο αὐτὸ τῷ θεῷ ἀνατίθησι.

a καὶ μὲν, forte legendum, καὶ μήν.
b πλεῖον ἢ εἰργάσατο, sic legendum & sic legit interpres Latinus. In editis ἢ deest.

κατὰ γὰρ τὸ μέτρον, φησὶν, τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου, ἐφικέσθαι ἄχρις καὶ ὑμῶν. καθάπερ γεωργοῖς ἄμπελον διανέμων, οὕτως ἡμῖν ἀφώρισε. μέχρις οὖν οὗ κατηξιώθημεν φθάσαι, μέχρι τούτου καυχώμεθα. οὐ γὰρ μὴ ὡς ἐφικόμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς. μέχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. οὐχ ἁπλῶς παρεγενόμεθα, ἀλλὰ κατηγγείλαμεν, ἐκηρύξαμεν, ἐπείσαμεν, κατωρθώσαμεν. εἰκὸς γὰρ ἐκείνους καὶ ἁπλῶς παραγινομένους τοῖς τῶν ἀποστόλων μαθηταῖς, ἑαυτοῖς τὸ πᾶν λογίζεσθαι, ἐκ τῆς ψιλῆς ἐπιδημίας. ἀλλ' οὐχ ἡμεῖς οὕτως· οὐδὲ ἂν ἔχοι τις εἰπεῖν, ὅτι οὐ μέχρις ὑμῶν ἰσχύσαμεν ἐλθεῖν, καὶ τῷ λόγῳ μόνον ἐκτείνομεν τὴν μέχρις ὑμῶν καύχησιν. καὶ γὰρ καὶ ὑμῖν τὸν λόγον ἐκηρύξαμεν· οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι, ἀλλ' ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανομένης τῆς πίστεως, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν. εἰς περισσείαν· εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι. πολλὴν δείκνυσι τὴν κατηγορίαν ἐκείνων ἐντεῦθεν, ὅτι καὶ εἰς τὰ ἄμετρα ἐκαυχῶντο, καὶ ὅτι εἰς τὰ ἀλλότρια· καὶ ὅτι τῶν μὲν ἀποστόλων ὁ ἱδρὼς ἦν ἅπας, ἐκεῖνοι δὲ ἐκαλλωπίζοντο τοῖς ἐκείνων κόποις. ἡμεῖς δέ, φησι, διὰ τῶν ἔργων ταῦτα ἐπεδείξαμεν. οὐ τοίνυν ἐκείνους μιμησόμεθα· ἀλλ' ἔνθα ἡμῖν μαρτυρεῖ τὰ ἔργα, ταῦτα ἐροῦμεν. καὶ τί λέγω, φησὶν, ὑμᾶς; ἐλπίδα γὰρ ἔχω, αὐξανομένης τῆς πίστεως ὑμῶν· οὐ γὰρ ἀποφαίνεται ἁπλῶς· τὸ οἰκεῖον ἦθος μιμούμενος, ἀλλ' ἐλπίζω, φησὶν, ὑμῶν ἐπιδιδόντων, ὅτι καὶ περαιτέρω ὁ κανὼν ἡμῶν ἐπεκταθήσεται, εἰς τὰ ὑπερέκεινα εὐαγγελίσασθαι. προβησόμεθα γὰρ καὶ περαιτέρω, φησὶν, ὥστε κηρύξαι καὶ καμεῖν, οὐχ ὥστε λόγοις κομπάζειν ὑπὲρ ὧν ἔκαμνον ἕτεροι. καλῶς δὲ κανόνα ἐκάλεσε, τὸ μέτρον, ὡς ἐπὶ κλῆσιν τῆς οἰκουμένης ἐλθὼν καὶ κληρονομίαν ἀρίστην, καὶ δεικνὺς τὸ ἔργον τοῦ θεοῦ ὅλον. ἔχοντες οὖν τοιαῦτα ἔργα, φησι, καὶ μείζονα προσδοκῶντες, οὐ κομπάζομεν, ὡς ἐκεῖνοι μηδὲν ἔχοντες, οὐδὲ ἑαυτοῖς τι λογιζόμεθα, ἀλλὰ τῷ θεῷ τὸ πᾶν. διὸ καὶ ἐπάγει, ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. καὶ τοῦτο, φησιν, ἐκ τοῦ θεοῦ ἡμῖν προσγίνεται. οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ κύριος συνίστησιν. οὐκ εἶπεν, ἡμεῖς ἐσμεν, ἀλλ' ὃν ὁ κύριος συνίστησιν. εἶδες πῶς συνεσταλμένως φθέγγεται; εἰ δὲ προϊὼν ὑψηλότερα ἀνίστησι, μὴ θαυμάσῃς. καὶ γὰρ τοῦτο τῆς τοῦ Παύλου συνέσεως. εἰ γὰρ ἔμελλε πανταχοῦ ταπεινὰ φθέγγεσθαι, οὐκ ἂν αὐτοὺς ἔπληξεν οὕτως, οὐδ' ἂν τοὺς μαθητὰς τῆς πλάνης ἀπήλλαξεν. ἔστι γὰρ καὶ μετριάζοντα ἀκαίρως, βλάψαι· καὶ λέγοντά τι περὶ ἑαυτοῦ θαυμαστὸν εὐκαίρως, ὠφελῆσαι. ὥσπερ

A fert. Secundum enim mensuram, inquit, regulæ qua mensus est nobis Deus; mensuram pertingendi usque ad vos. Quemadmodum vineam quamdam agricolis dispertiens, ita nobis metas nostras distinxit. Ac proinde non ultra gloriamur, quam quousque nobis pervenire concessum est. 14. *Non enim quasi non pertingentes ad vos, superextendimus nos. Usque ad vos enim pervenimus in evangelio Christi.* Non simpliciter ad vos accessimus, verum etiam annunciavimus, concionati sumus, persuasimus, rem probe confecimus. Verisimile enim est, illos, cum ad apostolorum B discipulos se contulissent, ob simplicem hujusmodi adventum eo arrogantiæ prodiisse, ut omnem rei successum sibi adscriberent. At nos, inquit, non sic nos gessimus. Nec quisquam dicere possit, quod ad vos usque proficisci nequiverimus, verbisque solis nostram ad vos usque gloriationem efferamus. Nam vobis quoque verbum prædicavimus. 15. *Non immensum gloriantes in alienis laboribus, spem autem habentes crescentis fidei vestræ, in vobis magnificari secundum regulam nostram, in abundantia,* 16. *Etiam in illa, quæ ultra vos sunt, evangelizare, non in aliena regula, in iis quæ præparata sunt gloriari.* C Magnam his verbis reprehensionis notam illis inurit, tum quod immodice gloriarentur, tum quod de alienis laboribus. Nam cum sudor omnis apostolorum esset, illi de ipsorum laboribus sese venditabant. At nos, inquit, per opera hæc demonstravimus. Quamobrem non eos imitabimur: verum ea dicemus, quæ rerum ipsarum testimonio nituntur. Quid autem vos dico? Spem enim habeo fore, ut crescente vestra fide: non enim plane affirmat, morem videlicet suum retinens: verum, Spero, inquit, fore ut vobis in fide progressum facientibus, regula nostra latius sese extendat, ut ulterius evangelium D prædicemus. Longius enim progrediemur, inquit, ut concionemur, ac labores suscipiamus, non autem ut de alienis ærumnis nosipsos jactemus. Regulæ autem ac mensuræ vocabulis commode usus est, velut ad orbis terrarum possessionem, præstantissimamque hereditatem profectus: ostendens totum opus Dei esse. Ergo hujusmodi res habentes, inquit, ac majores exspectantes, non perinde gloriamur, ut illi qui nihil habent, nec nobisipsis quidquam adscribimus: verum omnia Deo. Unde etiam subdit, 17. *Qui gloriatur, in Domino glorietur.* Et hoc, inquit, divinitus nobis contingit; 18. *Non enim qui seipsum commendat, ille* E *probatus est: sed quem Deus commendat.* Non dixit: Nos sumus, sed, *quem Deus commendat.* Vides quam modeste loquatur? Quod si sermonis progressu altius loquitur, ne mirum tibi videatur. Id enim Paulinæ prudentiæ est. Nam si ubique demisse loquutus fuisset, tantam illis plagam minime inflixisset, nec discipulos errore liberasset. Siquidem accidit interdum, ut & intempestiva modestia quispiam utens, detrimentum afferat, & contra eximium aliquid de se opportune prædicans, prosit, quemadmodum ipse quoque

fecit. Neque enim parvum periculum imminebat, ne discipuli de Paulo sinistram aliquam opinionem imbiberent: non quod Paulus humanam gloriam captaret. Nam si eam appetiisset, non magna illa & admiranda, quæ ante quatuordecim annos ipsi contigerant, tanto tempore silentio compressisset: nec profecto, qui urgente etiam necessitate ita dicere cunctabatur, ea tum dixisset, nisi magna necessitate constrictus fuisset. Quocirca non humanæ gloriæ studio hæc dicebat: sed ut discipulis consuleret. Quia enim eum, ut vanum hominem, ac verbis quidem sese venditantem, & re ipsa nihil præstare valentem, traducebant, idcirco necesse jam habebat ad revelationes illas venire. Quamquam per res ipsas fidem illis facere poterat, cum hæc diceret: sed tamen verborum minis adhuc utendum censuit. Siquidem ab inanis gloriæ cupiditate maxime purus erat. Id quod universa ipsius vita, tam ante, quam post acta declarat. Ideo etiam subito ad Christi fidem migravit, statimque ut migravit, Judæos perturbavit, omnemque illum, quo apud eos florebat, honorem abjecit: etsi caput eorum, atque antistes erat. Verum inventa veritate nihil horum animo versavit: sed ea cum probris & ignominiis commutavit. Multorum quippe salutem sibi ob oculos proponebat, in hoc omnia posita existimans. Et sane quî fieri potuisset, ut qui nec gehennam, nec regnum, nec innumerabiles mundos præ Christi amore quidquam esse duceret, is vulgi gloriam venaretur? Minime profecto. Imo contra perquam humilis erat, cum liceret, prioremque vitam proscindebat, cum blasphemum se, ac persequutorem & contumeliosum appellaret. Atque ipsius etiam discipulus Lucas de eo multa commemorat, quæ nimirum ex ipso didicerat, cum priorem vitam suam ei, non minus quam sequentem, exponeret.

Paulus male audiebat apud quosdam.

1. Tim. 1.

3. Hæc autem dico, ut non tantum audiamus, sed etiam discamus. Nam cum ille peccata, quæ ante Baptismum admiserat, etsi prorsus exstincta, in memoria tamen haberet, quam nos veniam consequi possimus, qui ea etiam, quæ post baptismum perpetravimus, oblivione delemus? Quid ais, homo? Deum offendisti: & oblivisceris? Altera jam est hæc offensio, altera inimicitia. A quibusnam ergo peccatis solvi petis? An ab iis, quæ ne tibi quidem nota sunt? Ita sane. Non enim laboras, anxioque animo es, quo pacto eorum rationem redditurus sis, qui ne memoria quidem ea tenere cures, sed ludas in minime ludicris. Verum aderit illud tempus, cum non jam ultra nobis ludus hic procedet. Prorsus etenim mori necesse est; eo quippe plerique stupore sunt, ut de perspicuis quoque rebus loqui necesse sit; prorsus resurgere, prorsus judicium subire, ac pœna affici. Quamquam ne hoc quoque, si quidem velimus. Nam illa quidem, hoc est mors nostra, & reditus ad vitam, & judicium, nostri arbitrii non sunt, verum Domini nostri: at vero pœnas vel subire, vel non subire, in arbitrio nostro situm est. Hoc

A οὖν καὶ αὐτὸς ἐποίησε. καὶ γὰρ κίνδυνος ἦν οὐ μικρὸς, περὶ Παύλου τι πεισθῆναι φαῦλον τοὺς μαθητάς· οὐκ ἐπειδὴ Παῦλος ἐζήτει τὴν παρὰ ἀνθρώπων δόξαν. εἰ γὰρ τοῦτο ἐζήτει, οὐκ ἂν τὰ μεγάλα ἐκεῖνα καὶ θαυμαστὰ τὰ πρὸ δεκατεσσάρων ἐτῶν ἂν ἐσίγησε χρόνον τοσοῦτον· οὐδ' ἂν ἀνάγκης ἐπικειμένης, οὕτως ἀνεδύετο καὶ ὤκνει εἰπεῖν. δῆλον δὲ ὅτι οὐδ' ἂν τότε εἶπεν, εἰ μὴ σφόδρα κατηναγκάσθη, οὐκοῦν οὐ τὴν παρὰ ἀνθρώπων δόξαν ἐπιζητῶν, ταῦτα ἔλεγεν, ἀλλὰ τῶν μαθητῶν κηδόμενος. ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν, ὡς ἀλαζόνα, καὶ λόγοις κομπάζοντα, ἔργοις

B δὲ οὐδὲν δυνάμενον ἐπιδεῖξαι, ἀναγκάζεται λοιπὸν εἰς ἐκείνας τὰς ἀποκαλύψεις ἐλθεῖν. καίτοιγε δυνάμενος διὰ τῶν ἔργων αὐτοὺς πεῖσαι, ἡνίκα ταῦτα ἔλεγεν, ἀλλ' ὅμως ἔτι τῇ διὰ τῶν λόγων κέχρηται ἀπειλῇ. κενοδοξίας γὰρ μάλιστα καθαρὸς ἦν· καὶ τοῦτο αὐτοῦ δείκνυσιν ἅπας ὁ βίος, καὶ ὁ πρότερος, καὶ ὁ μετὰ ταῦτα. διὰ τοῦτο γοῦν καὶ ἀθρόον μετέστη, καὶ μεταστὰς συνέχεεν Ἰουδαίους, καὶ πᾶσαν ἐκείνην ἔρριψε τὴν παρ' αὐτῶν τιμήν· καίτοιγε δὴ κεφαλὴ αὐτῶν καὶ ὁ προστάτης αὐτὸς ἦν. ἀλλ' οὐδὲν ἐκείνων ἐνενόησεν,

C ἐπειδὴ τὴν ἀλήθειαν εὗρεν, ἀλλ' ὕβρεις καὶ ἀτιμίαν αὐτῶν ἀντηλλάξατο. καὶ γὰρ πρὸς τὴν σωτηρίαν ἑώρα τῶν πολλῶν, τοῦτο πάντα ἡγούμενος. ὁ γὰρ μήτε γέενναν, μήτε βασιλείαν ἡγούμενός τι εἶναι, μήτε κόσμους μυρίους πρὸς τὸν τοῦ Χριστοῦ πόθον, πῶς ἂν τὴν παρὰ τῶν πολλῶν δόξαν ἐθήρευεν; οὐδαμῶς. ἀλλὰ καὶ σφόδρα ταπεινός ἐστιν, ὅτε ἐξῆν, καὶ τὸν πρότερον αὐτοῦ στηλιτεύει βίον, ἅτε βλάσφημον καὶ διώκτην καὶ ὑβριστὴν ἀποκαλῶν ἑαυτόν. καὶ ὁ μαθητὴς δὲ αὐτοῦ Λουκᾶς πολλὰ περὶ αὐτοῦ φησι, δηλονότι παρ' αὐτοῦ μαθὼν, ἐκπομπεύοντος αὐτοῦ τῷ προτέρῳ βίῳ,

D οὐχ ἧττον ἢ τῷ μετὰ ταῦτα.

Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ' ἵνα καὶ μανθάνωμεν. εἰ γὰρ ἐκεῖνος τῶν πρὸ τοῦ λουτροῦ πλημμελημάτων ἐμέμνητο, καίτοι πάντων ἀφανισθέντων, τίνα ἂν σχοίημεν συγγνώμην οἱ τῶν μετὰ τὸ λουτρὸν ἀμνημονοῦντες ἡμεῖς; τί λέγεις, ἄνθρωπε; προσέκρουσας τῷ θεῷ, καὶ ἐπιλανθάνῃ; δευτέρα αὕτη πρόσκρουσις, δευτέρα ἀπέχθεια. ποίων οὖν ἁμαρτημάτων αἰτεῖς λύσιν; ὧν οὐδὲ οἶδας αὐτός; πάνυγε. οὐ γὰρ μεριμνᾷς καὶ φροντίζεις πῶς λόγον δώσεις, ὁ μηδὲ μεμνῆσθαι

E αὐτῶν σπουδάζων, ἀλλὰ παίζων ἐν οὐ παικτοῖς. ἀλλ' ἔσται καιρὸς, ὅτε οὐκέτι προχωρήσει τὰ τῆς παιδιᾶς ἡμῖν. καὶ γὰρ δεῖ ἡμᾶς πάντως ἀποθανεῖν· διὰ γὰρ τὴν πολλὴν ἀναισθησίαν τῶν πολλῶν καὶ ὑπὲρ τῶν φανερῶν διαλέγεσθαι δεῖ· καὶ ἀναστῆναι πάντως, καὶ κριθῆναι πάντως, καὶ κολασθῆναι. μᾶλλον δὲ τοῦτο οὐ πάντως, ἐὰν θέλωμεν. ἐκείνων μὲν γὰρ οὐχ ἡμεῖς κύριοι, οὔτε τῆς τελευτῆς ἡμῶν, οὔτε τῆς ἀναστάσεως, οὔτε τῆς κρίσεως, ἀλλ' ὁ δεσπότης ὁ ἡμέτερος·

τοῦ

τοῦ μέλλοντος διδόναι δίκην, ἢ μή, ἡμεῖς κύριοι. τοῦτο A γὰρ τῶν ἐνδεχομένων ἐστίν· ἀλλ᾽ ἐὰν θέλωμεν, τῶν ἀδυνάτων αὐτὸ ποιήσομεν, ὥσπερ οὖν Παῦλος, ὡς Πέτρος, ὡς οἱ ἅγιοι πάντες. καὶ γὰρ ἐκείνους κολασθῆναι ἀδύνατον. ἂν τοίνυν ἐθέλωμεν, καὶ ἡμᾶς ὁμοίως ἀδύνατόν τι παθεῖν. κἂν γὰρ μυρία πεπλημμεληκότες ὦμεν, δυνατὸν ἀνακτήσασθαι, ἕως ἂν ἐνταῦθα ὦμεν. ἀνακτησώμεθα τοίνυν ἑαυτούς· καὶ ὁ μὲν γέρων ἐννοείτω, ὅτι μικρὸν ὕστερον ἀπελεύσεται, ὅτε ἱκανῶς ἐνετρύφησε τῇ ἡλικίᾳ· καίτοιγε ποία τοῦτο τρυφὴ τὸ ἐν κακίᾳ διάγειν; ἀλλὰ τέως πρὸς B τὴν ἐκείνου δόξαν τοῦτό φημι. ἐννοείτω μετὰ τοῦτο, ὅτι ἔξεστιν αὐτῷ ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀπονίψασθαι. ὁ νέος πάλιν καὶ αὐτὸς τὸ ἄδηλον λογιζέσθω τῆς τελευτῆς, καὶ ὅτι πολλῶν πολλάκις πρεσβυτέρων μενόντων ἐνταῦθα, οἱ νέοι πρὸ αὐτῶν ἀπηνέχθησαν· [a] ἵνα γὰρ μὴ πραγματευώμεθα τὴν τελευτὴν ἡμῶν, διὰ τοῦτο ἐν ἀδήλῳ κεῖται. διὸ καὶ σοφός τις παραινεῖ λέγων, μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς κύριον, καὶ μὴ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. ἐκ μὲν C γὰρ τοῦ ἀναβάλλεσθαι, κίνδυνος καὶ φόβος· ἐκ δὲ τοῦ μὴ ἀναβάλλεσθαι, σωτηρία δήλη καὶ ἀσφαλής. ἔχου τοίνυν τῆς ἀρετῆς. οὕτω γάρ, κἂν νέος ἀπέλθῃς, ἀσφαλῶς ἀπῆλθες· κἂν εἰς γῆρας ἔλθῃς, μετὰ πολλῆς ἀπῆλθες τῆς εὐπορίας· καὶ διπλῆν ἑορτὴν διὰ παντὸς ἕξεις τοῦ βίου, κακίας τε ἀπεχόμενος, καὶ ἀρετῆς ἐπειλημμένος. μὴ λέγε, ἔσται καιρὸς ὅταν ἐπιστρέψαι δέῃ. ταῦτα γὰρ τὰ ῥήματα σφόδρα παροργίζει τὸν θεόν. τί δήποτε ὅτι αὐτὸς σοι ἀπείρους αἰῶνας ἐπηγγείλατο, D σὺ δὲ οὐδὲ τὴν παροῦσαν ζωὴν ἐθέλεις πονεῖν τὴν βραχεῖαν ταύτην καὶ πρόσκαιρον, ἀλλ᾽ οὕτως εἶ χαῦνος καὶ ἄνανδρος, ὡς καὶ αὐτῆς [b] βραχυτέραν ἐπιζητεῖν; οὐχ οἱ αὐτοὶ κῶμοι καθ᾽ ἡμέραν; οὐχ αἱ αὐταὶ τράπεζαι; οὐχ αἱ αὐταὶ πόρναι; οὐχὶ τὰ αὐτὰ θέατρα; οὐχὶ τὰ αὐτὰ χρήματα; μέχρι τίνος ὡς ἐκείνων ὄντων ἐρᾷς; μέχρι τίνος τὴν ἀκόρεστον ἔχεις τῆς κακίας ἐπιθυμίαν; ἐννόησον ὅτι ὁσάκις ἐπόρνευσας, τοσαυτάκις κατέγνως σαυτοῦ. καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· ἅμα γέγονε, καὶ τὴν ψῆφον ἤνεγκεν ὁ δικαστής. E ἐμεθύσθης, ἐγαστρίσθης, ἥρπασας; στῆθι λοιπόν, ἀπόστρεψον τὴν ἐναντίαν, ὁμολόγησον τῷ θεῷ χάριν, ὅτι σε οὐκ ἐν μέσοις ἀνήρπασε τοῖς ἁμαρτήμασι· μὴ καὶ ἑτέραν ζήτει προθεσμίαν εἰς τὸ κακῶς ἐργάζεσθαι. πολλοὶ μεταξὺ πλεονεκτοῦντες ἀνηρπάγησαν, καὶ ἀπῆλθον ἐπὶ φανερὰν δίκην. φοβήθητι μὴ καὶ σὺ τοῦτο πάθῃς ἀναπολόγητος.

enim ex eorum genere est, quibus provideri potest. Quamquam si voluntas nostra ita tulerit, hoc ex eorum classe faciemus, quæ nullo modo fieri possint, ut Paulus, & Petrus, atque omnes sancti. Illi enim supplicio affici nullo modo possunt. Proinde si voluerimus, eodem modo impossibile erit, ut aliquid mali perpetiamur. Nam etiamsi innumeris nosipsos sceleribus obstrinxerimus, salutem tamen recuperare possumus, quamdiu hic sumus. Quocirca demus operam, ut nosipsos recuperemus. Atque is quidem, qui senili ætate est, cogitet se propediem hinc excessurum esse, ac satis diu ætatem in voluptate duxisse: quamquam, quæ hæc voluptas est, in vitiis vitam exigere? verum ad ipsius opinionem orationem interim accommodo. Illud etiam postea animadvertat, licere ipsi omnes maculas exiguo tempore abstergere. Juvenis rursum secum reputet quam incertus vitæ finis sit, quodque sæpe contigit, ut multis senibus diutius hic manentibus, juvenes ante ipsos morte abrepti sint. Ideo enim noster e vita discessus in incerto jacet, ne eum negotiemur. Unde etiam Sapiens quidam his verbis nos admonet, *Non tardes converti ad Dominum, & ne differas de die in diem: nescis enim quid paritura sit superventura dies.* Eccl. 5. 8. Ex dilatione quippe periculum ac metus nascitur: quod si quis moram omnem fugiat, perspicua ei & certa salus. Proinde virtutem complectere. Sic enim, sive juvenis hinc abscedas, tuto abscedes: sive ad senilem ætatem pervenias, cum amplissimis opibus excedes, duplicemque lætitiam ac festivitatem per omnem vitam habebis, nimirum & a vitio abstinens, & virtutem amplexans. Cave dixeris, Erit tempus cum ad meliorem frugem revertendum erit. Hæc enim verba Deum majorem in modum ad iracundiam concitant. Quid tandem est, quod cum ille infinita tibi sæcula pollicitus sit, tu contra in præsenti hac vita, quæ brevis ac fluxa est, nullum laborem suscipere velis: verum ita dissolutus & ignavus sis, ut etiam hac ipsa breviorem requiras? Annon eædem comessationes quotidie? Annon eædem mensæ? Annon eadem scorta? Annon eadem theatra? Annon eædem pecuniæ? Quousque ista, tamquam vera & solida amabis? Quousque inexplebili vitii cupiditate teneberis? Memento, quod quoties scortatus es, toties teipsum condemnasti. Hujusmodi quippe est peccatum. Protinus ut perpetratum est, sententiam fert judex. Mero te obruisti, cibis te ingurgitasti, rapuisti? Consiste jam, teque in contrariam viam refer. Deo gratias age, quod te inter media peccata non abripuit: ne alterum quoque tibi tempus ad flagitiose vivendum præfiniri postules. Multi, dum avaritiæ studerent, hinc abrepti sunt, atque ad perspicuas certasque pœnas abscesserunt. Ne idem tibi inexcusabili accidat, time. At, inquis,

a ἵνα γὰρ μὴ πραγματευσώμεθα τὴν τελευτὴν ἡμῶν. Quid sibi velit Chrysostomus non statim percipitur, verum in sequentibus non obscure loquitur; sed ex incerto mortis tempore, ad non differendam conversionem & pœnitentiam concitat.

b βραχυτέραν. Sic legit Interpres & sic habet Savilius in margine. Editi βραχυτέρας minus recte.

multis Deus in extrema quoque senectute peccata sua confitendi spatium concessit? Quid tum? An tibi quoque concedet? fortasse, inquis. Quid ais, fortasse, & interdum, & sæpe? In mentem tibi veniat, te de anima tua consilium inire. Contrarium pone, tecumque ita reputa, ac dic, Quid autem, si non concesserit? Tu contra. Quid si concesserit, inquis? Concessit quidem ipse. Verumtamen hoc illo tutius est & utilius. Etenim si jam probe vivere incipias, sive certum vitæ spatium acceperis, sive non, omnia lucratus eris: si autem moras quotidie nectas, ideo persæpe non accipies. Enimvero, cum ad bellum proficisceris, non dicis, non necesse est testamentum condere: fortasse revertar: nec, cum de ineundo matrimonio consultas, dicis, Uxorem egentem accipiam; multi enim præter opinionem ad opes ita pervenerunt: nec, cum domum exstruere paras, Infirma fundamenta jaciam; permultæ enim ædes sic etiam constiterunt. At cum de anima consilium inis, imbecillioribus niteris, nimirum illo, fortasse, sæpe, interdum, ponens, incertisque eventibus teipsum committis. Non incertis, inquis, eventibus: sed Dei benignitati. Benignus enim est Deus. Id ipse quoque compertum habeo. Sed tamen benignus hic illos etiam, quos dixi, de medio sustulit. Quid vero, si accepto longiori vitæ spatio, idem ipse tuique similis maneas? Nam qui ejusmodi est, in senectute quoque ignavus erit. Non, inquies. Sed is qui hæc cogitat, etiam post octoginta annos, nonaginta requirit, & post nonaginta, centum, & exactis centum annis segnior adhuc erit: atque ita tota vita incassum absumetur, tibique etiam id accidet, quod

Psal. 77. 37. de Judæis dictum est, *Defecerunt in vanitate dies eorum.* Atque utinam in vanitate dumtaxat, ac non etiam in perniciem. Cum enim illuc abierimus, gravem peccatorum sarcinam gestantes; hoc quippe est in perniciem; alimentum igni, ingentemque vermi mensam deferemus. Quamobrem rogo atque obsecro, ut tandem aliquando fortiter stemus, nosque a vitio removeamus, ut promissa bona consequamur: quæ utinam nobis omnibus consequi detur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

A ἀλλὰ πολλοῖς ἔδωκε προθεσμίαν ὁ θεὸς, καὶ ἐν ἐσχάτῳ γήρᾳ ἐξομολογήσασθαι. τί οὖν; καί σοι δώσει; ἴσως δώσει, φησί. τί λέγεις, ἴσως, καὶ ἐνίοτε, καὶ πολλάκις; ἐννόησον ὅτι περὶ ψυχῆς βουλεύῃ, καὶ τίθει καὶ τὸ ἐναντίον, καὶ λογίζου καὶ λέγε, τί δὲ, ἐὰν μὴ δῷ; τί δὲ, ἐὰν δῷ, φησιν; ἔδωκε μὲν αὐτός. πλὴν τοῦτο ἐκείνου ἀσφαλέστερον καὶ κερδαλεώτερον. ἐὰν μὲν γὰρ ἤδη ἄρξῃ, τὸ πᾶν ἐκέρδανας, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς προθεσμίαν· ἐὰν δὲ ἀεὶ μέλλῃς, δι' αὐτὸ τοῦτο πολλάκις οὐ λήψῃ. σὺ δὲ εἰς μὲν πόλεμον ἐξιὼν, οὐ λέγεις, οὐκ ἀνάγκη διαθέσθαι, ἴσως ἐπανή- B ξω· οὐδὲ περὶ γάμου βουλευόμενος λέγεις, λάβω γυναῖκα πενιχράν· πολλοὶ παρὰ δόξαν καὶ οὕτως ἐπλούτησαν· οὐδὲ οἰκίαν οἰκοδομούμενος, καταβάλω θεμελίους σαθρούς· πολλαὶ καὶ οὕτως ἔστησαν οἰκίαι· ὑπὲρ δὲ ψυχῆς βουλευόμενος, τοῖς σαθροτέροις ἐγχειρεῖς, τὸ ἴσως, καὶ πολλάκις, καὶ ἐνίοτε τιθεὶς, καὶ τοῖς ἀδήλοις ἐπιτρέπεις σαυτόν; οὐ τῷ ἀδήλῳ, φησὶν, ἀλλὰ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ· φιλάνθρωπος γὰρ ὁ θεός. οἶδα κἀγώ. ἀλλ' ὁ φιλάνθρωπος οὗτος κἀκείνους οὓς εἶπον ἀνήρπασε. τί δὲ C ἂν καὶ χρόνον λαβὼν ὅμοιος μένῃς; ὁ γὰρ τοιοῦτος, καὶ ἐν γήρᾳ ῥᾴθυμος ἔσται. [a]οὔ, φησίν. ὁ γὰρ λογισμὸς οὗτος, καὶ μετὰ τὰ ὀγδοήκοντα ἔτη, ἐννενήκοντα ἐπιζητεῖ, καὶ μετὰ τὰ ἐννενήκοντα, ἑκατὸν, καὶ μετὰ τὰ ἑκατὸν, ἀργότερος ἔσται. καὶ οὕτως ὁ βίος ἅπας ἀναλωθήσεται μάτην, καὶ συμβήσεται τὰ περὶ τῶν Ἰουδαίων εἰρημένα καὶ ἐπὶ σοί· ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν. καὶ εἴθε ἐν ματαιότητι μόνον, ἀλλὰ μὴ καὶ ἐπὶ κακῷ. ὅταν γὰρ ἀπέλθωμεν ἐκεῖ τὸ βαρὺ D τῶν ἁμαρτημάτων φορτίον φέροντες· τοῦτο γάρ ἐστιν, ἐπὶ κακῷ· τροφὴν ἀπίσομεν τῷ πυρὶ, καὶ πολλὴν τῷ σκώληκι τράπεζαν. διὸ δέομαι καὶ ἀντιβολῶ στῆναί ποτε γενναίως, καὶ ἀποστῆναι κακίας, ἵνα καὶ τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

E

## HOMILIA XXIII.

Cap. xi. 1. *Utinam sustineretis modicum quid insipientiæ meæ: Imo vero sustinetis me.*

1. INGRESSURUS in suas laudes, magna præmunitione utitur. Idque non semel dumtaxat atque iterum facit. Quamquam alioqui argumenti necessitas ad eum purgandum sufficiebat: & ea, quæ persæpe ab ipso dicta fuerant. Nam qui peccata ea,

## ΟΜΙΛΙΑ κγ'.

Ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου.

ΜΕΛΛΩΝ ἐμβαίνειν εἰς τοὺς οἰκείους ἐπαίνους, πολλῇ κέχρηται τῇ προδιορθώσει. καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον τοῦτο ποιεῖ· καίτοιγε ἱκανὴ ἦν ἡ ἀνάγκη τῆς ὑποθέσεως ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ, καὶ τὰ πολλάκις εἰρημένα αὐτῷ. ὁ γὰρ ἁμαρτημάτων μεμνη-

[a] οὐ φησίν. ὁ γὰρ λογισμὸς οὗτος. Hæc vitiata esse videntur; legendum puto. οὐ φησίν. ἀλλ' ὁ λογισμὸς οὗτος, &c.

μένος, ὧν ὁ Θεὸς οὐκ ἐμέμνητο, καὶ διὰ τοῦτο λέγων ἀνάξιος εἶναι καὶ τῆς προσηγορίας αὐτῆς τῶν ἀποστόλων, καὶ τοῖς σφόδρα ἀναισθήτοις εὔδηλός ἐστιν οὐ διὰ δόξαν ταῦτα λέγων, ἃ μέλλει νῦν ἐρεῖν. καὶ γὰρ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, εἰς δόξαν αὐτὸν μάλιστα τοῦτο παρέβλαπτε, τὸ περὶ ἑαυτοῦ τι λέγειν. καὶ προσίσταται τοῦτο τοῖς πολλοῖς. ἀλλ' ὅμως οὐδὲν τούτων ὑπείδετο, ἀλλ' εἰς ἓν εἶδε, τὴν τῶν ἀκουόντων σωτηρίαν. ὥστε οὖν μηδὲ βλάψαι τούτῳ τοὺς ἀνοήτους, τῷ μεγάλα περὶ ἑαυτοῦ εἰπεῖν, ἐκ περιουσίας κέχρηται ταῖς πολλαῖς ταύταις προδιορθώσεσι, καί φησιν, Εἴθε ἠνείχεσθέ μου μικρά τινα ἀνοηταίνοντος· μᾶλλον δὲ καὶ ἀνέχεσθε. εἶδες σύνεσιν; τὸ μὲν γὰρ εἰπεῖν, εἴθε, κυρίους αὐτοὺς ποιοῦντός ἐστι· τὸ δὲ καὶ ἀποφήνασθαι, σφόδρα θαρροῦντος αὐτῶν ἐστι τῇ ἀγάπῃ, καὶ ἐνδεικνυμένου ὅτι καὶ φιλεῖ καὶ φιλεῖται· μᾶλλον δὲ οὐκ ἀπὸ ἀγάπης ψιλῆς ἁπλῶς, ἀλλ' ἀπό τινος ἔρωτος θερμοῦ καὶ μανικοῦ φησι δεῖν αὐτοὺς ἀνέχεσθαι καὶ ἀνοηταίνοντος. διὸ καὶ ἐπήγαγε, Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. οὐκ εἶπεν, ἀγαπῶ γὰρ ὑμᾶς, ἀλλ' ὃ πολλῷ τούτου σφοδρότερον ἦν, τίθησι. ζηλότυποι γάρ εἰσιν αἱ ψυχαὶ αἱ σφόδρα τῶν ἐρωμένων περικαιόμεναι· καὶ οὐκ ἂν ἄλλως τεχθείη ζηλοτυπία, ἀλλ' ἢ ἀπὸ σφοδρᾶς φιλίας. εἶτα ἵνα μὴ νομίσωσιν ὅτι δυναστείας ἕνεκεν, ἢ τιμῆς, ἢ χρημάτων, ἢ ἄλλου τινὸς τοιούτου, τῆς φιλίας αὐτῶν ἐφίεται, προσέθηκε, Θεοῦ ζήλῳ. καὶ γὰρ ὁ Θεὸς λέγεται ζηλοῦν, οὐχ ἵνα πάθος ὑποπτεύσῃ τις, καὶ γὰρ ἀπαθὲς τὸ θεῖον, ἀλλ' ἵνα μάθωσιν ἅπαντες, ὅτι δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ δι' αὐτοὺς τοὺς ζηλοτυπουμένους πάντα ποιεῖ· οὐχ ἵνα αὐτός τι κερδάνῃ, ἀλλ' ἵνα ἐκείνους διασώσῃ. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οὐχ οὕτως ὁ ζῆλος γίνεται, ἀλλὰ διὰ τὴν οἰκείαν ἀνάπαυσιν· οὐ διὰ τὸ καθυβρίζεσθαι τοὺς ἐρωμένους, ἀλλὰ διὰ τὸ μὴ πλήττεσθαι τοὺς φιλοῦντας, καὶ παρευδοκιμεῖσθαι, καὶ ἔλαττον ἔχειν παρὰ τοῖς ἐρωμένοις. ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ τούτου μοι μέλει, φησὶ, μὴ ἔλαττον ἔχω παρ' ὑμῖν, ἀλλὰ μὴ ὑμᾶς ἴδω διαφθαρέντας. τοιοῦτος γὰρ ὁ τοῦ Θεοῦ ζῆλος, τοιοῦτος καὶ ὁ ἐμὸς, σφοδρὸς ὁμοῦ καὶ καθαρός. εἶτα καὶ ἡ αἰτία ἀναγκαία. ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν. οὐκοῦν οὐκ ἐμαυτοῦ, ἀλλ' ἐκείνου ζηλῶ, ᾧ ἡρμοσάμην. μνηστείας γάρ ἐστι καιρὸς ὁ παρὼν καιρὸς, ὁ δὲ τῆς παστάδος ἕτερος, ὅταν λέγωσιν, ἀνέστη ὁ νυμφίος. ὢ καινῶν πραγμάτων. ἐπὶ τοῦ κόσμου παρθένοι μένουσι πρὸ τοῦ γάμου, μετὰ δὲ τὸν γάμον οὐκέτι. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ κἂν μὴ ὦσι παρθένοι πρὸ τοῦ γάμου τούτου, μετὰ τὸν γάμον παρθένοι γίνονται. οὕτω πᾶσα ἡ ἐκκλησία παρθένος ἐστί. καὶ γὰρ πρὸς πάντας διαλεγόμενος ταῦτά φησι, καὶ τοὺς γεγαμηκότας, καὶ τὰς γεγαμημένας.

A quæ Deus e memoria ejecerat, in memoria habebat, ob idque apostoli quoque nomine indignum se esse aiebat, perspicuum utique est, vel admodum stupidis ac væcordibus, quod non gloriæ studio ea dicit, quæ nunc dicturus est. Etenim, ut mirum aliquid dicam, hoc ei ad gloriam plurimum incommodi afferebat, quod suas ipse laudes prædicaret. Id enim plerosque offendit. Et tamen ne hoc quidem facere supersedebat: verum unum spectabat, ut auditorum saluti consuleret. Cæterum ne hoc nomine stultorum animos læderet, quod magnificis de se B sermonibus uteretur, ex abundanti multas hasce præmunitiones adhibuit, aitque, *Utinam sustineretis modicum quid insipientiæ meæ. Imo vero sustinetis.* Vides prudentiam? Nam dum, utinam, dicit, hoc eorum arbitrii esse statuit: dum autem affirmat, planum reddit, se eorum benevolentiæ majorem in modum confidere, atque & eos amare, & vicissim ab ipsis amari. Vel potius, non tam a simplici ac vulgari benevolentia, quam a ferventi quodam & insano amore oportere ait eos, se etiam insipienter gerentem perferre. Unde etiam subjunxit, 2. *Æmulor enim vos Dei æmulatione.* Non dixit, Amo enim C vos: sed, quod multo vehementius erat, ponit. Zelotypia enim laborant eorum animi, qui erga eos, quos amant, ardentius affecti sunt. Neque enim aliunde oriri queat zelotypia, quam ab acri ac vehementi amicitia. Deinde ne putent ab eo, vel honoris, vel pecuniarum, vel alius cujusquam rei causa amorem suum expeti, adjecit, *Dei æmulatione.* Deus etenim zelo affici dicitur, non ut perturbationem aliquam suspiceris: Deus enim ab omni perturbatione remotus est: verum ut omnes intelligant, eum non aliam ob causam, quam ob eos ipsos, quos zelo- D typia prosequitur, omnia facere: non ut ipse quæstum aliquem hinc faciat, sed ut eis salutem afferat. Nam in hominibus non ita zelus efficitur, verum ob privatam quietem: non quod contumelia afficiantur qui amantur, verum quod non perinde tangantur ii qui amant, sed superentur, minoresque partes ferant apud eos quos amant. Hic autem non ita se res habet. Non enim, inquit, id mihi curæ est, ne inferiore apud vos conditione sim, sed ne vos corruptos videam. Hujusmodi enim Dei zelus est, talis quoque meus, vehemens simul ac purus. Sequitur E autem causa necessaria, *Despondi enim vos uni viro virginem castam exhibere Christo.* Ergo non mea causa, sed illius, cui vos despondi, zelo ardeo. Sponsalium enim præsens hoc tempus: alterum nuptiarum: tum videlicet, cum dicetur, Surrexit sponsus. O rem novam? In mundo virgines ante matrimonium manent: post matrimonium non item. Hic autem non sic. Verum etiamsi virgines ante hoc matrimonium non sint, post initum matrimonium virgines efficiuntur. Sic tota ecclesia virgo est. Etenim ad omnes & conjugatos, & conjugatas Paulus Matt. 25.

loquitur. Videamus autem quid secum ferens nos desponderit, quam dotem: non aurum, non argentum, sed cælorum regnum.
2. Cor. 5. 20. Unde etiam dicebat, *Pro Christo legatione fungimur.* Atque obsecrat, cum sponsam accepturus erat. Hujus rei figuram gerebant ea, quæ tempore Abrahæ contigerunt. Etenim ille fidelem servum misit, qui puellam ethnicam desponderet. Hic quoque Deus servos suos misit, qui filio suo ecclesiam desponderent, ac prophetas, olim his verbis
Psal. 44. 11. utentes, *Audi, filia, & vide, & obliviscere populum tuum, & domum patris tui. Et concupiscet rex decorem tuum.* Vidisti etiam prophetam despondentem. Vidisti etiam apostolum cum magna fiducia hoc verbum proferentem ac dicentem, *Despondi vos uni viro virginem castam exhibere Christo.* Vidisti rursus prudentiam. Postquam enim dixit, Æquum est ut me sustineatis, non dixit, Magister enim vester sum, nec, mea causa hæc dico: sed, quod potissimum illis dignitatem afferebat, hoc ponit, nimirum se pronubæ, illos autem sponsæ loco constituens. Ac postea subjungit, 3. *Timeo autem, ne forte ut serpens Evam decepit per astutiam suam, sic corrumpantur sensus vestri a simplicitate quæ est in Christo Jesu.* Nam etsi exitium vestrum est: at mœror tamen mihi vobiscum communis est. Ac vide qua prudentia utatur. Neque enim hoc perspicue indicat, tametsi ipsi corrupti erant. Idque his verbis ostendebat, *Cum impleta fuerit obedientia vestra*, &, *Lugeam multos qui peccaverunt.* Sed tamen non sinit eos pudorem mittere. Ideoque ait, *Ne forte.* Neque enim condemnat: nec rursus silet. Neutrum quippe tutum erat, nempe vel aperte dicere, vel perpetuo occultum tenere. Quocirca id quod medium erat, ponit, dicens, *ne forte.* Hoc enim nec admodum condemnantis erat, nec rursus magnopere fidentis, sed inter hæc duo stantis. Ita eos consolatus est: atque per historiæ commemorationem incredibilem quemdam metum ipsis incussit, omnemque veniam ademit. Quamvis enim & serpens versutus esset, & illa stulta: neutrum tamen horum mulierem supplicio exemit.

2. Videte itaque, ait, ne hoc vobis accidat, nec quidquam vobis præsidio sit. Nam ille quoque majora pollicitus, hac ratione ipsam in fraudem induxit. Unde liquet istos quoque sese jactantes atque inflantes, ipsos decepisse. Atque hoc non modo hinc conjicere licet, verum etiam ex iis, quæ postea ait, 4. *Si is qui venit alium Jesum prædicat quem non prædicavimus, aut alium spiritum accipitis quem non accepistis, aut aliud evangelium quod non recepistis, recte pateremini.* Nec vero ait, Ne forte sicut Adam deceptus est, sed ostendit eos feminas esse, qui hæc patiuntur. Feminarum est decipi. Nec etiam dixit, Sic vos decipiamini: sed perstans in metaphora ait, *Ne forte corrumpantur sensus vestri a simplicitate quæ est in Christo Jesu.*

A ἀλλ' ἴδωμεν τί φέρων, ἡμᾶς ἡρμόσατο, ποῖα ἕδνα. οὐ χρυσὸν, οὐκ ἄργυρον, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν. διὸ καὶ ἔλεγεν, ὑπὲρ Χριστοῦ πρεσβεύομεν· καὶ παρακαλεῖ, ὅτε τὴν νύμφην ἔμελλε λαμβάνειν. τούτου τύπος ἦν τὰ ἐπὶ τοῦ Ἀβραάμ. καὶ γὰρ ἐκεῖνος τὸν παῖδα τὸν πιστὸν ἔπεμψε [a] μνηστευσόμενον κόρην ἐθνικήν. καὶ ἐνταῦθα ἔπεμψεν ὁ θεὸς τοὺς οἰκέτας τοὺς ἑαυτοῦ μνηστευσομένους τῷ παιδὶ τὴν ἐκκλησίαν, καὶ προφήτας ἄνωθεν ταῦτα λέγοντας· ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ
B κάλλους σου. Εἶδες καὶ τὸν προφήτην ἁρμοζόμενον; Εἶδες καὶ τὸν ἀπόστολον μετὰ πολλῆς τῆς παρρησίας τοῦτο τὸ ῥῆμα φθεγγόμενον, καὶ λέγοντα, ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. Εἶδες πάλιν σύνεσιν. εἰπὼν γὰρ ὅτι ὀφείλετέ μου ἀνέχεσθαι, οὐκ εἶπε, διδάσκαλος γὰρ ὑμῶν εἰμι, καὶ οὐ, δι' ἐμαυτὸν λέγω· ἀλλ' ὃ μάλιστα τούτοις ἔφερεν ἀξίωμα, τοῦτο τίθησιν, ἑαυτὸν μὲν ἐν χώρᾳ τῆς προμνηστρίας, ἐκείνους δὲ ἐν τάξει τῆς νύμφης στήσας, καὶ ἐπάγει λέγων, φοβοῦμαι δὲ μήπως, ὡς ὄφις Εὔαν
C ἠπάτησε διὰ πανουργίας αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. Εἰ γὰρ καὶ ἡ ἀπώλεια ὑμετέρα, ἀλλὰ ἡ ἀθυμία κοινή. καὶ σκόπει τὴν σύνεσιν. οὐ γὰρ αὐτὸ ἀποφαίνεται, καίτοι ἦσαν διεφθαρμένοι, καὶ τοῦτο δηλῶν ἔλεγεν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοὴ, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, ἀλλ' ὅμως οὐκ ἀφίησιν αὐτοὺς ἀναισχυντῆσαι· διό φησι, μή ποτε. οὔτε γὰρ καταδικάζει, οὔτε σιγᾷ. οὐδέτερον γὰρ ἀσφαλὲς, οὔτε εἰπεῖν φανερῶς, οὔτε κρύψαι διηνεκῶς. διὸ τὸ μέσον τίθησι λέγων, μήποτε. τοῦτο γὰρ οὐδὲ σφόδρα
D καταγνωκότος, οὐδὲ σφόδρα θαρροῦντος, ἀλλ' ἐν τῷ μέσῳ τούτων ἑκατέρων ἑστῶτος. οὕτω μὲν οὖν παρεμυθήσατο· τῇ δὲ μνήμῃ τῆς ἱστορίας, εἰς φόβον ἄφατον ἐνέβαλε, καὶ πάσης ἀποστερεῖ συγγνώμης αὐτούς. εἰ γὰρ καὶ ὁ ὄφις κακοῦργος, κἀκείνη ἀνόητος, ἀλλ' ὅμως οὐδὲν τούτων ἐξήρπασε τὴν γυναῖκα.

Ὁρᾶτε οὖν μὴ ταῦτα πάθητε, φησι, καὶ οὐδὲν ὑμῶν προστήσεται. καὶ γὰρ καὶ ἐκεῖνος μείζονα ἐπαγγειλάμενος, οὕτως ἠπάτησεν. ὅθεν δῆλον ὅτι καὶ οὗτοι κομπάζοντες, φυσῶντες [b] αὐτοὺς ἐξηπάτων· καὶ τοῦτο οὐκ ἐντεῦθεν μόνον ἐστὶ στοχάσασθαι, ἀλλὰ καὶ ἐξ ὧν μετὰ
E ταῦτα λέγει· ὅτι, εἰ μὲν ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε. καὶ οὐ λέγει, μή πως ὡς ὁ Ἀδὰμ ἠπατήθη, ἀλλὰ δείκνυσι γυναῖκας ὄντας τοὺς ταῦτα πάσχοντας. γυναικῶν γὰρ τὸ ἀπατᾶσθαι. καὶ οὐκ εἶπεν, οὕτω καὶ ὑμεῖς ἀπατηθῆτε· ἀλλὰ ἔτι μένων τῇ μεταφορᾷ, φησι, μή πως φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν.

a μνηστευσόμενον, & infra μνηστευσομένους. Sic legendum putat Savilius & sic interpres Latinus legit. Editi, μνηστευσάμενον & μνηστευσαμένους male.

b αὐτοὺς ἐξηπάτων. Sic legit interpres Lat. & sic legendum. Editi ἑαυτούς.

ἀπὸ τῆς ἀφελείας, οὐκ ἀπὸ τῆς κακουργίας λέγω· οὔτε ἐκ κακουργίας, οὔτε ἐκ τοῦ μὴ πιστεύειν ὑμῶν, ἀλλ' ἐξ ἀφελείας. ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν συγγνώμης ἄξιοι οἱ ἀπατώμενοι· καὶ ἐδήλωσεν ἡ Εὔα. εἰ δὲ τοῦτο οὐ συγγνώμης ἄξιον, πολλῷ μᾶλλον, ὅταν διὰ κενοδοξίαν τις τοῦτο πάθῃ. Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν. δείκνυσιν ἐντεῦθεν οὐχὶ διαφθειρομένους Κορινθίους ἐξ αὐτῶν, ἀλλ' ἑτέρωθεν αὐτοῖς ὄντας τοὺς ἀπατῶντας. διό φησιν, ὁ ἐρχόμενος. Εἰ πνεῦμα ἕτερον λαμβάνετε, εἰ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε. τί λέγεις; ὁ Γαλάταις εἰπὼν, ἐάν τις εὐαγγελίζηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, νῦν λέγεις, καλῶς ἠνείχεσθε; καὶ μέντοι διὰ τοῦτο οὐκ ἔδει ἀνέχεσθαι, ἀλλ' ἀποπηδᾶν· εἰ δὲ τὰ αὐτὰ λέγουσι, δεῖ ἀνέχεσθαι. πῶς οὖν λέγεις, ἐπειδὴ τὰ αὐτὰ λέγουσιν, οὐ δεῖ ἀνέχεσθαι; εἰ γὰρ ἄλλα ἔλεγον, φησιν, ἔδει ἀνέχεσθαι. προσέχωμεν τοίνυν. καὶ γὰρ μέγας ὁ κίνδυνος, καὶ βαθὺς ὁ κρημνὸς, ἂν ἁπλῶς αὐτὸ παραδράμωμεν, καὶ πάσαις ταῖς αἱρέσεσι πάροδον δίδωσι τὸ εἰρημένον. τί οὖν ἐστι τὸ νόημα τῶν ῥημάτων τούτων; οὕτως ἐκόμπαζον ἐκεῖνοι, ὡς ἀτελῶς τῶν ἀποστόλων διδασκόντων, ὡς αὐτοὶ πλεῖόν τι εἰσφέροντες. εἰκὸς γὰρ αὐτοὺς πολλὰ φλυαροῦντας, φορυτὸν ἐπεισάγειν ἀνόητον τοῖς δόγμασι τούτοις. διὸ καὶ τοῦ ὄφεως, καὶ τῆς Εὔας ἀνεμνήσθη οὕτως ἀπατηθείσης τῇ τοῦ πλείονος προσδοκίᾳ· τοῦτο καὶ ἐν τῇ προτέρᾳ αἰνιττόμενος ἔλεγεν, ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· πάλιν, ἡμεῖς μωροὶ διὰ Χριστόν· ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ. ἐπεὶ οὖν πολλὰ εἰκὸς αὐτοὺς φλυαρεῖν τῇ ἔξωθεν σοφίᾳ κεχρημένους, τοῦτό φησιν· ὅτι, εἰ μέν τι περιττὸν ἔλεγον οὗτοι, καὶ ἕτερον ἐκήρυττον Χριστὸν, ὃν οὐ κηρυχθῆναι ἔδει, ἡμεῖς δὲ παρελίπομεν, καλῶς ἠνείχεσθε. διὰ γὰρ τοῦτο προσέθηκεν, ὃν οὐκ ἐκηρύξαμεν. εἰ δὲ τὰ αὐτὰ κεφάλαια τῆς πίστεως, τί τὸ πλέον; ὅσα γὰρ ἂν εἴπωσιν, οὐδὲν πλέον ἐροῦσιν ὧν ἡμεῖς εἰρήκαμεν· καὶ ὅρα πῶς αὐτὸ ἀκριβῶς τίθησιν. οὐ γὰρ εἶπεν, εἰ μὲν ὁ ἐρχόμενος πλεῖόν τι λέγει· ἔλεγον γάρ τι πλέον, μετὰ πλείονος δημηγοροῦντες ἐξουσίας, καὶ πολλοῦ τοῦ κάλλους τῶν ῥημάτων. διόπερ οὐκ εἶπε τοῦτο· ἀλλὰ τί; ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὅπερ οὐ χρείαν εἶχε τῆς διὰ τῶν λόγων κατασκευῆς· ἢ πνεῦμα ἕτερον λαμβάνετε, οὐδὲ γὰρ ἐνταῦθα λόγων ἦν χρεία, τουτέστι, πλουσιωτέρους ὑμᾶς ποιεῖ κατὰ τὴν χάριν, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, οὐδὲ τούτου λόγων ἐδεῖτο πάλιν, καλῶς ἠνείχεσθε. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τῷ διορισμῷ κέχρηται, τῷ δηλοῦντι ὅτι οὐδὲν περιττὸν, οὐδὲν πλέον τι παρ' αὐτῶν εἰσενήνεκται. εἰπὼν γὰρ ὅτι, εἰ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ἐπήγαγεν, ὃν οὐκ ἐκηρύξαμεν·

A A simplicitate, inquam, non a versutia. Non, inquam, ex versutia, neque ex eo quod fides vobis desit: sed ex simplicitate. Et tamen ne hoc quidem nomine veniam promerentur, qui decipiuntur. Id quod Eva indicavit. Quod si hoc veniam minime meretur, multo minus cum quis ob inanem gloriam in hanc fraudem incidit. *Si enim is qui venit alium Jesum prædicat quem non prædicavimus:* hinc videlicet ostendens, non ex se Corinthios esse corruptos; sed aliunde irrepere, qui eos in fraudem impellunt. Ideoque ait, *qui venit.* Si alium spiritum accepistis, si aliud evangelium, quod non recepistis, recte pateremini. B Quid ais? Qui Galatis dicebas, *Si quis evangelizaverit vobis præterquam quod accepistis, anathema sit*, nunc dicis, recte pateremini? Gal. 1. 8. Atqui hoc nomine minime par erat sustinere, verum pedem removere. Sin autem eadem dicunt, tum demum sustinere opus est. Quî fit igitur ut dicas, Quoniam eadem dicunt, non opus est sustinere? Si alia dicerent, æquum-ne esset sustinere? Advertamus itaque. Magnum enim periculum imminet, altumque præcipitium, si leviter hoc prætereamus: aditumque omnibus hæresibus præbet id quod dictum est. Quænam ergo horum verborum sententia C est? Sic se jactabant illi, tamquam apostoli non perfecte docerent, atque ipsi plus aliquid quam illi afferrent. Verisimile enim est, quod illi multa blaterantes, stultam quamdam colluviem in hujusmodi dogmata invehebant. Unde etiam & serpentis, & Evæ, quæ sic amplitudinis majoris exspectatione decepta fuerat, mentionem facit. Hoc quippe etiam in priore epistola subindicans, dicebat, *Jam divites facti estis, sine nobis regnatis.* 1. Cor. 4. 10. Ac rursus, *Nos stulti propter Christum: vos autem prudentes in Christo.* Quoniam igitur illi, ut verisimile est, externa sapientia utentes, multa nugabantur, hoc inquit, D Si quid præterea dicerent, atque alium Christum prædicarent, quem prædicari oporteret, nos autem prætermisissemus, recte sustineretis. Ideo enim adjicit, Quem non prædicavimus. Si autem eadem fidei capita, quid amplius? Quidquid enim dixerint, nihil amplius dicturi sunt, quam quæ diximus. Ac vide quam exacte hoc ponat. Non enim dixit, Si is qui venit amplius aliquid dicit. Nam illi amplius aliquid dicebant, ut qui cum majore auctoritate concionarentur, atque ingentem verborum elegantiam adhiberent: eaque de causa non hoc dixit, sed E quid? Si is qui venit alium Jesum prædicat, quod quidem verborum probationem minime requirebat: *aut Spiritum alium accepistis;* neque enim hic sermonibus opus erat; hoc est, locupletiores vos, quantum ad gratiam attinet, efficit: *Aut evangelium aliud quam quod recepistis;* ne hoc quidem rursus verborum elegantiam desiderabat; recte sustineretis. Ac velim consideres, quomodo ubique distinctione usus sit, qua indicet nihil amplius atque copiosius ab ipsis allatum fuisse. Postquam enim dixit, *Si is qui venit alium Jesum prædicat*, subjunxit, *quem non*

*prædicavimus. Aut alium spiritum accepistis,* adjecit, *quem non accepistis. Aut evangelium aliud*, addidit, *quod non recepistis.* Per quæ omnia indicavit, non simpliciter, an illi quid amplius dixerint, attendendum esse, sed an aliquid amplius dixerint quod dici oporteret, & a nobis omissum sit. Quod si non oportebat, inquit, ideoque nec a nobis dictum sit, quid causæ afferri potest, cur eos admiremini?

3. At, dicet quispiam, si eadem dicunt, quid est cur eos prohibeas? Quoniam per simulationem alia dogmata inducunt. Verum id nondum ait, sed postea illud ponit, cum dicit, Transfigurant se in apostolos Christi: interim autem ab iis, quæ minus molesta erant, discipulos ab eorum auctoritate abducit, non quod invideret illis, sed quod his prospectum vellet. Alioqui enim cur Apollo non impedit, virum præsertim eloquentem, ac scripturarum cognitione præstantem; etiamque se eum missurum pollicetur? quod ille una cum eruditione dogmatum integritatem conservaret: isti autem contra. Ob eamque causam eos bello lacessit, & discipulos insectatur quod in illos inhiarent, dicens: Nam si quid, quod in rem esset, a nobis prætermissum, ipsi implevissent, non impediremus. Sin autem omnia cumulate a nobis præstita sunt, nihilque omissum est, unde vos illi ceperunt? Ideo subdit, 5. *Existimo enim me nihil minus habere a magnis apostolis:* non jam scilicet cum illis, sed cum Petro reliquisque hujusmodi comparationem faciens. Itaque si isti scientia me superant, sane & illos. Ac vide quo pacto hic quoque sermonem temperet. Non enim dixit, Nihil amplius, quam ego, apostoli dixerunt. At quomodo? *Existimo*, hoc est, arbitror me nihilo posteriorem fuisse excellentibus apostolis. Nam quoniam eo nomine inferiore conditione esse videbatur, quod illi, ut qui eum antecessissent, in majore fama essent, ac major illorum celebritas esset, atque isti sese introducere parabant, idcirco sese illis modo sibi conveniente comparat. Unde etiam cum encomiis mentionem eorum facit. Neque enim simpliciter apostolos dixit, sed magnos & eximios, Petrum videlicet, & Jacobum & Joannem indicans. 6. *Nam etsi imperitus sermone: sed non scientia.* Quia enim in hoc superiores illi erant, qui Corinthios corrumpebant, quod non rudes & indocti essent, id quoque ponit, quo ostendat se propterea non modo pudore minime affici, sed etiam gloriari. Nec dixit, Si ego imperitus verbo, & illi quoque: hoc enim visum fuisset esse hominis, & illos traducentis, & istos attollentis; verum rem ipsam, hoc est, externam sapientiam dejicit. Atque in priore quidem epistola vehementer in hoc incumbit, ut ostendat hoc ad prædicationem non modo nihil utilitatis afferre, sed etiam crucis gloriam obscurare. *Veni*
1. Cor. 2. 1. enim, inquit, *non in sublimitate sermonis aut sapientiæ ad vos: ut non evacuetur crux Christi:* ac multa alia ejusmodi; quod scientia imperiti essent: quæ quidem summa est im-

A καὶ πνεῦμα ἕτερον λαμβάνετε, προσέθηκεν, ὃ οὐκ ἐλάβετε· ἢ εὐαγγέλιον ἕτερον, ἐπήγαγεν, ὃ οὐκ ἐδέξασθε· διὰ πάντων δηλῶν, ὅτι οὐχ ἁπλῶς, εἰ πλέον τι λέγουσι, προσέχειν δεῖ, ἀλλὰ εἴ τι πλέον λέγουσιν ὃ λεχθῆναι ἔδει, καὶ παρ' ἡμῶν παρελείφθη. εἰ δὲ οὐδὲ ἔδει, διὸ οὐδὲ παρ' ἡμῶν εἴρηται, ἵνα τί πρὸς αὐτοὺς κεχήνατε;

Καίτοι εἰ τὰ αὐτὰ λέγουσί, φησι, τίνος ἕνεκεν αὐτοὺς κωλύεις; ὅτι ὑποκρίσει κεχρημένοι, ἕτερα
B εἰσάγουσι δόγματα. ἀλλὰ τοῦτο μὲν τέως οὐ λέγει, ἀλλ' ὕστερον αὐτὸ τίθησιν ὅταν λέγῃ, μετασχηματίζονται εἰς ἀποστόλους Χριστοῦ· τέως δὲ ἐκ τῶν ἀνεπαχθεστέρων ἐπάγει τῆς αὐθεντίας αὐτῶν τοὺς μαθητάς· καὶ οὐκ ἐκείνοις βασκαίνων, ἀλλὰ τούτους ἀσφαλιζόμενος· ἐπεὶ τὸν Ἀπολλὼ διὰ τί οὐ κωλύει, καίτοι ἄνδρα λόγιον ὄντα, καὶ δυνατὸν ἐν ταῖς γραφαῖς, ἀλλὰ καὶ παρακαλεῖ, καὶ ἐπαγγέλλεται πέμψειν αὐτόν; ὅτι μετὰ τῆς παιδεύσεως ἐκεῖνος καὶ τὴν τῶν δογμάτων ὀρθότητα διετήρει· οὗτοι δὲ τοὐναντίον. διόπερ αὐτοῖς πολεμεῖ, καὶ τοῖς μαθηταῖς ἐγκαλεῖ πρὸς αὐτοὺς κε-
C χηνόσι, λέγων, ὅτι εἰ μέν τι τῶν ὀφειλόντων λεχθῆναι παρελίπομεν ἡμεῖς, ἐπλήρωσαν δὲ ἐκεῖνοι, οὐ κωλύομεν προσέχειν. εἰ δὲ πάντα ἀπήρτισται παρ' ἡμῶν, καὶ οὐδὲν λέλειπται, πόθεν ὑμᾶς εἷλον ἐκεῖνοι; διὸ καὶ ἐπάγει λέγων, λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων, οὐκέτι πρὸς ἐκείνους, ἀλλὰ πρὸς τοὺς περὶ Πέτρον ποιούμενος τὴν σύγκρισιν. ὥστε εἰ ἐμοῦ τι πλέον ἴσασι, κἀκείνων. καὶ ὅρα πῶς κἀνταῦθα μετριάζει. οὐ γὰρ εἶπεν ὅτι οὐδέν μου πλέον εἶπαν οἱ ἀπόστολοι· ἀλλὰ πῶς; λογίζομαι· οὕτω νομίζω, ὅτι οὐδὲν ὑστέρησα τῶν ὑπὲρ
D λίαν ἀποστόλων. ἐπειδὴ γὰρ καὶ τοῦτο ἐλάττωμα αὐτοῦ ἐδόκει εἶναι τὸ προλαβόντας ἐκείνους ὄνομα ἔχειν πλέον, καὶ μείζων περὶ ἐκείνους ἦν ἡ δόξα, καὶ ἔμελλον οὗτοι παρεισάγειν ἑαυτούς, διὰ τοῦτο πρὸς αὐτοὺς ποιεῖται τὴν σύγκρισιν μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματος. διὸ καὶ μετ' ἐγκωμίων αὐτῶν μέμνηται, οὐχ ἁπλῶς τῶν ἀποστόλων εἰπών, ἀλλὰ τῶν ὑπὲρ λίαν, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην δηλῶν. εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. ἐπειδὴ γὰρ τούτῳ ἐκεῖνοι ἐπλεονέκτουν οἱ διαφθείροντες Κορινθίους, τῷ μὴ εἶναι ἰδιῶται, καὶ τοῦτο τίθησι, δεικνὺς ὅτι οὐκ ἐπαισχύνεται τού-
E τῳ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται. καὶ οὐκ εἶπεν, εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλὰ κἀκεῖνοι. τοῦτο γὰρ ἐδόκει διαβάλλοντος εἶναι κἀκείνους, καὶ τούτους ἐπαίροντος. ἀλλ' αὐτὸ καθαιρεῖ τὸ πρᾶγμα τὸ τῆς ἔξω σοφίας. καὶ ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ καὶ σφόδρα ἀγωνίζεται περὶ τούτου λέγων, ὅτι οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ κήρυγμα τοῦτο, ἀλλὰ καὶ ἐπισκιάζει τῇ δόξῃ τοῦ σταυροῦ. ἦλθον γάρ, φησιν, οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας πρὸς ὑμᾶς, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. καὶ ἕτερα πολλὰ τοιαῦτα· ὅτι τῇ γνώσει ἰδιῶται ἦσαν, ἥπερ καὶ ἐσχάτη ἐστὶν ἰδιωτεία.

A ὅτε μὲν οὖν ἐν τοῖς μεγάλοις ἔδει συγκρίνειν, τοῖς ἀποστόλοις ἑαυτὸν συγκρίνει· ὅτε δὲ δεῖξαι τὸ δοκοῦν ἐλάττωμα εἶναι, οὐκέτι· ἀλλ᾽ αὐτῷ συμπλέκεται τῷ πράγματι, καὶ δείκνυσι πλεονέκτημα τοῦτο γινόμενον· καὶ ὅτε μὲν οὐδεμία ἀνάγκη κατήπειγε, καὶ ἐλάχιστόν φησι τῶν ἀποστόλων εἶναι, καὶ οὐδὲ τῆς προσηγορίας ἄξιον. ἐνταῦθα δὲ πάλιν, ὅτε καιρὸς ἐκάλει, φησὶ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. ᾔδει γὰρ τοῦτο μάλιστα ὠφελῆσον τοὺς μαθητάς· διὸ καὶ ἐπάγει λέγων, ἀλλ᾽ ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. καὶ γὰρ ἐνταῦθα πάλιν διαβάλλει τοὺς ψευδαποστόλους, B ὡς ἐν πανουργίᾳ περιπατοῦντας. ταῦτα δὲ καὶ ἔμπροσθεν περὶ ἑαυτοῦ ἔλεγεν, ὅτι οὐ κατὰ πρόσωπον ἔζη, οὐδὲ δολῶν καὶ καπηλεύων τὸν λόγον ἐκήρυττεν. ἐκεῖνοι δὲ ἕτεροι μὲν ἦσαν, ἕτεροι δὲ ἐφαίνοντο, ἀλλ᾽ οὐκ αὐτός. διὸ καὶ πανταχοῦ μέγα φρονεῖ ἐπὶ τῷ μηδὲν πρὸς ἀνθρώπων δόξαν ποιεῖν, μηδὲ ἀποκρύπτεσθαι τὰ καθ᾽ ἑαυτόν. ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων. καὶ νῦν δέ φησιν, ἐν παντὶ φανερωθέντες εἰς ὑμᾶς. τί δὲ τοῦτό ἐστιν; C ἰδιῶται, φησίν, ἐσμεν, καὶ οὐκ ἀποκρυπτόμεθα. λαμβάνομεν παρά τινων, καὶ οὐ σιγῶμεν. παρ᾽ ὑμῶν οὖν λαμβάνομεν, καὶ οὐχὶ προσποιούμεθα μὴ λαμβάνειν, καθάπερ οὗτοι λαμβάνοντες· ἀλλὰ πάντα ποιοῦμεν φανερὰ ὑμῖν. καὶ σφόδρα θαρροῦντος ἐκείνοις ἦν, καὶ μετὰ ἀληθείας ἅπαντα καταγγέλλοντος. διὸ καὶ μάρτυρας αὐτοὺς καλεῖ, καὶ νῦν εἰπὼν, ἐν πᾶσιν εἰς ὑμᾶς, καὶ ἔμπροσθεν λέγων, οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. εἶτα ἐπειδὴ ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἀπελογήσατο, βαρέως δὲ ἑξῆς ἐπάγει λέγων, ἢ ἁμαρτίαν D ἐποίησα, ἐμαυτὸν ταπεινῶν, ἵνα ὑμεῖς ὑψωθῆτε; καὶ ἑρμηνεύων αὐτό φησιν, ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμετέραν διακονίαν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐν στενοχωρίᾳ διήγαγον. τοῦτο γάρ ἐστι τὸ, ταπεινῶν ἐμαυτόν. τοῦτο οὖν μοι ἔχετε ἐγκαλεῖν; καὶ διὰ τοῦτο κατεπαίρεσθέ μου, ἐπειδὴ ἐταπείνωσα ἐμαυτὸν προσαιτῶν, στενοχωρούμενος, λιμώττων, ἵνα ὑμεῖς ὑψωθῆτε; καὶ πῶς ὑψοῦντο οὗτοι, τούτου ὄντος ἐν στενοχωρίᾳ; μᾶλλον ᾠκοδομοῦντο, καὶ οὐκ ἐσκανδαλίζοντο· ὃ καὶ μεγίστη αὐτῶν ἂν εἴη κατηγορία, καὶ τῆς ἀσθενείας αὐτῶν ἔγκλημα, ὅτι E οὐκ ἦν αὐτοὺς ἄλλως ἐνάγειν, ἢ πρότερον ταπεινωθέντα. ἐγκαλεῖτέ μοι οὖν ὅτι ταπεινὸς γέγονα; ἀλλὰ διὰ τοῦτο ὑμεῖς ὑψώθητε. ἐπειδὴ γὰρ καὶ ἀνωτέρω ἔλεγεν, ὅτι διέβαλλον αὐτὸν, ὅτι παρὼν μὲν ταπεινὸς, ἀπὼν δὲ θαρρεῖ, ἀπολογούμενος πλήττει πάλιν αὐτοὺς ἐνταῦθα λέγων, ὅτι καὶ τοῦτο δι᾽ ὑμᾶς. ἄλλας ἐκκλησίας ἐσύλησα. ἐνταῦθα λοιπὸν ὀνειδιστικῶς. ἀλλὰ τὰ πρότερα οὐκ ἀφίησιν ἐπαχθῆ ταῦτα φανῆναι. εἶπε γὰρ, ἀνέχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· καὶ πρὸ τῶν ἄλλων αὐτοῦ κατορθωμάτων, ἐν τούτῳ πρώτῳ καυχᾶται. τοῦτο γὰρ μάλιστα ζητοῦσιν οἱ βιωτικοὶ,

peritia. Ergo cum in magnis comparatio facienda erat, seipsum apostolis confert: cum autem ostendendum id, quod imbecillitatis speciem habeat, non item. Quin potius cum re ipsa congreditur, ostenditque hoc lucro cessisse. Ac cum nulla necessitas urgebat, minimum etiam apostolorum se dicebat, ac ne apostoli quidem nomine dignum: hic rursus, cum tempus id postulabat, nihilo inferiorem se esse præstantissimis apostolis. Norat enim hinc magnam ad discipulos utilitatem redituram esse: ideo subjunxit, *Sed in omnibus manifestati sumus vobis.* Etenim hic quoque falsos apostolos perstringit, ut in versutia ambulantes. Hæc quoque de se ante prædicabat, quod non secundum personam viveret, nec fraudulento animo atque ad quæstum prædicaret. Illi autem alii erant, alii apparebant, non item ipse. Quo fit, ut ubique magnifice de se hoc nomine sentiat, quod nihil humanæ gloriæ causa faceret, nec res suas occultaret. Id quod etiam ante dicebat, *In manifestatione veritatis commendantes nosipsos ad omnem conscientiam hominum.* Nunc item, *In omnibus manifestati sumus vobis.* Quid autem hoc sibi vult? Imperiti sumus, nec id celamus. A nonnullis accipimus: nec tacemus. A vobis accipimus, nec dissimulamus nos accipere, sicut isti cum accipiunt; verum omnia perspicua vobis facimus. Id quod hominis erat magnopere illis confidentis, atque omnia cum veritate referentis. Unde etiam testes eos citat; & nunc cum ait, *vobis:* & prius cum dicebat, *Non enim alia scribimus vobis, quam quæ legitis, aut etiam agnoscitis.* Deinde postquam se purgavit, durius postea subjungit, 7. *An peccatum feci me humilians, ut vos exaltemini?* Idque exponens ait, 8. *Alias ecclesias exspoliavi, stipendium accipiens ad vestrum ministerium;* id est, In summis rerum angustiis versatus sum. Hoc enim his verbis significatur, *Humilians meipsum.* Hoccine igitur est, quod mihi vitio vertitis? atque ideo adversum me animos effertis, quod meipsum depressi, mendicans, in arctum redactus, ac fame laborans, ut vos exaltemini? Et quonam pacto evehebantur illi, ipso in angustia versante? Amplius ædificabantur, minimeque offendebantur. Quod quidem maximum ipsorum probrum erat, & imbecillitatis argumentum: nempe quod aliter eos subvehere non posset, nisi ipse prius sese depressisset. Illud-ne mihi crimini vertitis quod humilis factus sum? At vos ob eam causam evecti estis. Quoniam enim superius dicebat, quod cum hoc nomine criminabantur, quia præsens quidem humilis, absens autem fiducia plenus erat, se purgat, ut rursus eos feriat dicens: vestra causa hoc a me factum est. *Alias ecclesias exspoliavi.* Hic jam exprobrandi modo loquitur. Verum, quæ præcesserunt, non sinunt hæc molesta videri. Dixit enim, Sufferte me paulum in insipientia. Atque ante alia sua recte facta, in hoc primo gloriatur. Hoc enim in primis quærunt mundani: at-

Paulus cur varie de se loqueretur.

1. Cor. 15.

2. Cor. 4. 2.

2. Cor. 1. 13.

que in hoc adversarii quoque illi animos attollebant. Quocirca non ante in periculorum ac miraculorum sermonem ingreditur: sed de pecuniarum contemtu prius verba facit, quandoquidem hoc nomine sese efferebant. Attamen tacite indicat, eos opibus præditos fuisse.

4. Quod autem in eo admirationem habet, istud est, quod cum dicere posset, se manuum labore sibi victum parasse, non tamen hoc dixit: verum illud demum, quod pudorem illis incutiebat, nec ad ipsius laudem pertinebat: nempe, Ab aliis accepi. Nec dixit, *accepi*, sed, *exspoliavi*: hoc est, diripui, pauperesque eos reddidi. Quodque majus est, non ad profusos sumtus, sed ad necessarios usus. Stipendii enim vocabulo necessarium cibum intelligit: Quodque etiam gravius, *ad ministerium vestrum.* Vobis prædicamus, inquit, & cum a vobis ali deberem, ab aliis id percipiebam. Duplex culpa, imo triplex: quod cum apud eos esset, atque ipsis ministraret, necessariumque alimentum quæreret, alios tamen habebat, qui ipsi suppeditarent. Ac sane isti illos longe superabant. Illi enim in socordia erant, hi in studio. Illi ne præsentem quidem alebant: isti ad eum, etiam longe remotum, mittebant. Postea autem, ubi illos vehementer perstrinxit, sensim rursus objurgationis acerbitatem lenit dicens: *Et cum præsens essem apud vos, & egerem, neminem gravavi.* Non enim dixit, *Non mihi dedistis*: sed, *ego non accepi.* Adhuc enim mitius cum illis agit. Cæterum in orationis summissione tacite rursus eos percellit. Hoc enim vocabulum, *præsens*, admodum emphaticum est, &, *cum egerem.* Ne enim illi dicerent, Quid igitur, si habebas? subjunxit, *& cum egerem, non gravavi vos.* Hic rursus leviter eos ferit, quod segniter, tamquam gravati, hujusmodi collationis munere fungerentur. Sequitur deinde causa, accusationis plena, ac zelotypia referta. Unde etiam eam non ut præcipuam posuit: sed velut docens, unde, & a quibus nutritus sit: ut eos citra omnem suspicionem ad eleemosynæ opus excitaret. 9. *Nam quod mihi deerat, inquit, suppleverunt fratres qui venerunt e Macedonia.* Vides quomodo ipsos rursus perstringat, dum eos, quorum ope sublevatus est, in medium adducit? Nam cum prius in cupiditatem ipsos injecisset, sciendi quinam hi essent, cum diceret, *Alias ecclesias exspoliavi*, tum demum illos nominatim profert: quod quidem hos ad eleemosynam incitabat. Siquidem ipsis suadet, ut cum in hoc nomine inferiores exstitissent, quod apostolum non aluissent, saltem non committerent, ut in sublevanda pauperum inopia vincerentur. Hoc autem ad Macedones scribens dicebat, *Ad usus meos mihi misistis semel & iterum, & in principio evangelii*: hoc quidem maximæ ipsis laudi erat, quod ab ipso statim initio eorum virtus effulsisset. Ac vide quo pacto ubique necessitatem dumtaxat ponat, nusquam autem profusam copiam. Et quidem cum dixit, *præsens*, &, *cum egerem*, illud indicavit,

Phil. 4. 15. (margin)

A καὶ ἐν τούτῳ κἀκεῖνοι, οἱ δι' ἐναντίας μέγα ἐφρόνουν. διὰ τοῦτο οὐ πρότερον εἰς τὸν τῶν κινδύνων ἐμβαλεῖ λόγον, οὐδὲ εἰς τὸν τῶν σημείων, ἀλλ' εἰς τὸν τῆς τῶν χρημάτων ὑπεροψίας, ἐπειδὴ ἐν τούτῳ ἐφρόνουν. ὁμοῦ δὲ αὐτοὺς καὶ αἰνίττεται πλουτοῦντας.

Τὸ δὲ θαυμαστὸν αὐτοῦ τοῦτό ἐστιν· ὅτι ἔχων εἰπεῖν ὅτι καὶ ἀπὸ τῶν χειρῶν ἐτρέφετο, οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐνέτρεπε, καὶ οὐδὲ αὐτοῦ ἐγκώμιον ἦν, τοῦτο λέγει, ὅτι παρὰ ἄλλων ἔλαβον. καὶ οὐκ εἶπεν, ἔλαβον, ἀλλὰ, ἐσύλησα· τουτέστιν, ἐγύμνωσα, B καὶ πένητας αὐτοὺς ἐποίησα. καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ εἰς περιουσίαν, ἀλλὰ εἰς τὴν τῶν ἀναγκαίων χρείαν. ὅταν γὰρ εἴπῃ, ὀψώνια, τὴν ἀναγκαίαν λέγει τροφήν. καὶ τὸ χαλεπώτερον, εἰς τὴν ὑμῶν διακονίαν. ὑμῖν κηρύττομεν· καὶ παρ' ὑμῶν ὀφείλων τρέφεσθαι, παρ' ἑτέρων τούτων ἀπήλαυον. διπλοῦν τὸ ἔγκλημα, μᾶλλον δὲ τριπλοῦν· ὅτι καὶ παρ' αὐτοῖς ὢν, καὶ αὐτοῖς διακονούμενος, καὶ τὴν ἀναγκαίαν ζητῶν τροφὴν, ἑτέρους εἶχε τοὺς χορηγοῦντας. καὶ πολλὴ τούτων ὑπερβολὴ πρὸς ἐκείνους. οἱ μὲν γὰρ ἐν ῥαθυμίᾳ, οἱ δὲ ἐν σπουδῇ· οἱ μὲν καὶ μακρὰν ὄντι ἔπεμπον, οἱ δὲ οὐδὲ πα- C ρόντα ἔτρεφον. εἶτα ἐπειδὴ σφοδρῶς αὐτῶν καθήψατο, ἠρέμα πάλιν χαλᾷ τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως λέγων· καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρκησα οὐδενός. οὐ γὰρ εἶπεν, οὐ δεδώκατέ μοι, ἀλλ', ἐγὼ οὐκ ἔλαβον. φείδεται γὰρ αὐτῶν ἔτι. ἀλλ' ὅμως καὶ ἐν τῇ ὑφέσει τοῦ λόγου, λανθανόντως πάλιν πλήττει. τὸ γὰρ, παρὼν, σφόδρα ἐμφατικὸν, καὶ τὸ, ὑστερηθείς. ἵνα γὰρ μὴ λέγωσι, τί οὖν, εἰ εἶχες; ἐπήγαγε, καὶ ὑστερηθεὶς οὐ κατενάρκησα ὑμῶν. ἐνταῦθα πάλιν μετρίως αὐτοὺς πλήττει, ὡς ὀκνηρῶς τὴν τοιαύτην τιθέν- D τας φορὰν, ὡς βαρυνομένους. εἶτα καὶ ἡ αἰτία, κατηγορίας μεστὴ, καὶ ζηλοτυπίας γέμουσα. διὸ καὶ τέθεικεν αὐτὴν οὐ προηγουμένως, ἀλλ' ὡς διδάσκων πόθεν, καὶ παρὰ τίνων ἐτράφη, ὥστε ἀνυπόπτως διεγείρειν πάλιν εἰς τὸν τῆς ἐλεημοσύνης λόγον. τὸ γὰρ ὑστέρημά μου, φησὶ, προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας. εἶδες πῶς παροξύνει πάλιν, εἰς μέσον ἄγων τοὺς διακονησαμένους; πρότερον γὰρ εἰς ἐπιθυμίαν αὐτοὺς ἄγων τοῦ μαθεῖν τίνες ἂν εἶεν οὗτοι, ὅτε ἔλεγεν, ἄλλας ἐκκλησίας ἐσύλησα, τότε E καὶ ὀνομαστὶ αὐτοὺς τίθησιν· ὅπερ καὶ εἰς ἐλεημοσύνην αὐτοὺς προέτρεπε. τοὺς γὰρ ἡττηθέντας ἐν τῷ μὴ θρέψαι τὸν ἀπόστολον, πείθει καὶ ἐν τῇ τῶν πενήτων μὴ ἡττηθῆναι βοηθείᾳ. τοῦτο δὲ καὶ αὐτοῖς Μακεδόσιν ἐπιστέλλων λέγει, ὅτι ἐν ταῖς χρείαις μου ἐπέμψατέ μοι, καὶ ἅπαξ, καὶ δὶς, καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου. ὅπερ καὶ ἐγκώμιον μέγιστον αὐτῶν ἦν, ὅτι ἐξ αὐτῶν τῶν προοιμίων ἔλαμψαν. ἀλλ' ὅρα πανταχοῦ τὴν χρείαν αὐτοῦ τιθέντα, καὶ οὐδαμοῦ περιουσίαν. τῷ μὲν οὖν εἰπεῖν, ὅτι παρὼν καὶ ὑστερηθεὶς, ἔδειξεν

ἔδειξεν ὅτι παρὰ Κορινθίων ἔδει τραφῆναι. τῷ δὲ εἰπεῖν, ὅτι τὸ ὑστέρημά μου προσανεπλήρωσαν, δείκνυσιν ὅτι οὐδὲ ᾔτησε. καὶ αἰτίαν τίθησιν οὐκ οὖσαν. ποίαν δὴ ταύτην; τὸ παρ' ἑτέρων λαβεῖν. τὸ γὰρ ὑστέρημά μου, φησὶ, προσανεπλήρωσαν οἱ ἐλθόντες. διὰ τοῦτο, φησὶν, οὐ κατενάρκησα, οὐ διὰ τὸ μὴ θαρρεῖν. καὶ μὴν διὰ τοῦτο αὐτὸ ποιεῖ· καὶ δείκνυσι διὰ τῶν ἑξῆς. ἀλλ' οὐ λέγει αὐτὸ σαφῶς, ἀλλὰ συσκιάζει, ἀφεὶς τῷ συνειδότι τῶν ἀκροωμένων. καὶ λανθανόντως αὐτὸ ἐνδείκνυται διὰ τῶν ἑξῆς, λέγων, καὶ ἐν παντὶ ἀβαρῆ ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω. μὴ γὰρ νομίσητέ, φησι, ταῦτα λέγειν με, ἵνα λάβω. τὸ δὲ, τηρήσω, βαρύτερον, εἰ μηδὲ ἔτι αὐτοῖς θαρρεῖ, ἀλλὰ καθάπαξ ἀπέγνω τι λαβεῖν παρ' αὐτῶν. δείκνυσι δὲ ὅτι καὶ βάρος ἐνόμιζον εἶναι τοῦτο. διὸ ἔλεγεν, ἀβαρῆ ἐτήρησα, καὶ τηρήσω. τοῦτο καὶ ἐν τῇ προτέρᾳ λέγει, οὐκ ἔγραψα, ἵνα οὕτω γένηται ἐν ἐμοί. καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ ἐνταῦθα πάλιν, ἀβαρῆ ὑμῖν ἑαυτὸν ἐτήρησα, καὶ ἔτι τηρήσω. εἶτα ἵνα μὴ δόξῃ ὑπὲρ τοῦ μᾶλλον ἐπισπάσασθαι αὐτοὺς ταῦτα λέγειν, φησὶν, ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί. μὴ νομίσητε ὅτι διὰ τοῦτο εἶπον, ἵνα λάβω, ἵνα μᾶλλον ἐφελκύσωμαι. ἔστι γάρ, φησιν, ἀλήθεια ἐν ἐμοὶ, ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. ἵνα γὰρ μή τις αὐτὸν νομίσῃ πάλιν ἀλγεῖν ἐπὶ τούτῳ, ἢ ὀργιζόμενον ταῦτα λέγειν, καὶ καύχησιν τὸ πρᾶγμα καλεῖ. καὶ ἐν τῇ προτέρᾳ δὲ ὁμοίως αὐτὸ κατεσκεύαζεν. ὥστε γὰρ μηδὲ ἐκεῖ πλῆξαι αὐτοὺς, φησι, τίς οὖν μοί ἐστιν ὁ μισθὸς, ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ; καὶ ὥσπερ ἐκεῖ μισθὸν, οὕτως ἐνταῦθα καύχημα καλεῖ, ἵνα μὴ σφόδρα αἰσχύνωνται τοῖς λεγομένοις, ὡς αἰτοῦντι μὴ παρέχοντες. τί γὰρ ἂν καὶ ὑμεῖς δῶτε, φησιν; ἀλλ' ἐγὼ οὐ δέχομαι. καὶ τὸ, οὐ φραγήσεται, ἀπὸ μεταφορᾶς τῶν ποταμῶν, αὐτοῦ φήμης ὡς πανταχοῦ ῥεούσης ὅτι οὐ λαμβάνει. οὐκ ἐμφράξετε τοῖς δόμασι τὴν παῤῥησίαν τὴν ἐμήν. ἀλλ' οὐκ εἶπεν, οὐκ ἐμφράξετε, ὅπερ πληκτικώτερον, ἀλλ' οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. τοῦτο πάλιν καιρίαν διδόντος ἦν, καὶ σφόδρα ἱκανὸν αὐτοὺς καθελεῖν καὶ λυπῆσαι, εἴγε μόνοις αὐτοῖς παρῃτεῖτο. εἰ γὰρ ἐκαυχᾶτο, πανταχοῦ ἔδει καυχᾶσθαι· εἰ δὲ ἐν ὑμῖν μόνοις, διὰ τὴν ἀσθένειαν ἴσως τὴν ὑμῶν. ἵν' οὖν μὴ ταῦτα λογιζόμενοι ἀθυμῶσιν, ὅρα πῶς αὐτὸ διορθοῦται· διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ θεὸς οἶδε· ταχέως τὴν λύσιν ἐπαγαγὼν, καὶ εὐαπαλλάκτως. ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπήλλαξεν αὐτοὺς τῶν ἐγκλημάτων. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐκ ἐστὲ ἀσθενεῖς, οὐδ' ὅτι ἐστὲ ἰσχυροὶ, ἀλλ' ὅτι ἀγαπῶ ὑμᾶς. ὃ μάλιστα ἐπέτεινεν αὐτῶν τὴν κατηγορίαν. τοῦ γὰρ μάλιστα φιλεῖν αὐτοὺς ἦν, τὸ μὴ λαμβάνειν παρ' αὐτῶν, ἐπειδὴ σφόδρα ἐπλήττοντο.

A debuisse se a Corinthiis ali. Cum autem dixit, *Quod deerat mihi suppleverunt*, ostendit se ne hoc quidem postulasse: ac causam affert, quæ non erat. Quam tandem hanc? Quod nempe ab aliis accepisset. Quod enim mihi deerat, inquit, suppleverunt qui venerunt. Ideo ait, non vos gravavi, non quod vobis non confiderem. Atqui ob hoc ipsum istud facit, idque demonstrat per ea, quæ sequuntur: tamen hoc non aperte dicit, sed subindicat, audientium conscientiæ id relinquens. Idque tacite ostendit per ea quæ sequuntur, dicens, *Et in omnibus sine onere me vobis servavi, ac servabo.* B Neque enim velim existimetis hæc eo a me dici, ut accipiam. Illud autem, *servabo*, acerbius erat; si necdum ipsis confidebat, sed se aliquid ab eis accepturum omnino desperabat. Ostendit autem quod hoc illi grave ac molestum esse censerent, unde dicebat, *sine onere me vobis servavi, ac servabo.* Sicque etiam in superiori epistola dicebat, *Non scripsi ut ita fiat in me. Melius enim mihi est mori, quam ut gloriam meam quis evacuet.* 1. Cor. 9. 15. Atque hic rursus, *Sine onere me vobis servavi, atque etiam adhuc servabo.* Postea, ne hoc idcirco dicere videatur, ut eorum gratiam sibi magis conciliet, ait, C 10. *Est veritas Christi in me.* Ne putetis, inquit, me ideo hæc dixisse, ut accipiam, vosque magis ad me pertraham. *Est enim veritas Christi in me, quod gloriatio hæc mea non infringetur in regionibus Achaïæ.* Nam ne quis rursus existimaret eum hoc nomine discruciari, aut infenso & irato animo hæc commemorare, gloriationem quoque hanc rem appellat. Atque in priore quoque epistola idem adstruebat. Nam etiam illic, ne eos percelleret, ait, *Quæ ergo mihi merces est, ut evangelizans sine sumtu ponam Evangelium Christi?* 1. Cor. 9. 18. D Atque ut illic mercedem, ita hoc loco gloriationem vocat, ne ob hæc verba pudore suffundantur, ut petenti minime porrigentes. Quid enim, si detis, inquit? At ego non accipio. Atque illud, non infringetur, metaphora est, ductum a fluminibus; fama ipsius ubique fluebat, quia nihil acciperet. Non, inquit, largitione libertatem meam obstruetis. Sed non dixit, obstruetis, quod amarulentius erat. Verum, *non obstruetur in regionibus Achaïæ.* Quod quidem rursus gravem plagam infligebat, abundeque sufficiebat ad eos dejiciendos ac mœrore afficiendos, utpote quos solos repudiaret. Nam E si gloriabatur, ubique gloriari oportebat: si autem apud vos solos, propter imbecillitatem fortasse vestram hoc facit. Quamobrem, nec hæc secum reputantes, mœstitia afficerentur, vide quomodo istud mitiget, 11. *Quare? Quia non diligo vos? Deus scit:* Propere plagam inflixit, & facilius leniit: quamquam ne sic quidem culpa eos liberavit. Neque enim dixit, Non estis imbecilles: neque, non estis firmi ac robusti: sed, Quia diligo vos: quod accusationem vehementer augebat. Ab ingenti enim ipsius erga eos amore illud proficiscebatur, quod ab iis nihil accipiebat, quandoquidem acriter perstringebantur.

5. Itaque res contrarias ab ipso amor exprimebat, nempe, ut acciperet, & non acciperet. Contrarietas porro hæc, ex eorum, qui dabant, affectu nascebatur. Ac non dixit, Propterea non accipio, quia vehementer vos amo, quoniam imbecillitatem eorum accusaverat, atque in anxietatem ipsos conjecerat: verum ad aliam causam sermonem convertit. Quam tandem? 12. *Ut amputem occasionem eorum qui quærunt occasionem: ut in quo gloriantur, inveniantur sicut & nos.* Quia enim operam dabant, ut ansam aliquam invenirent, hanc quoque amputare oportebat. Hoc enim solum erat, in quo gloriabantur. Ut itaque nulla re superiores essent, hoc quoque correctum oportuit: siquidem in aliis inferiores erant. Nihil enim, ut a me dictum est, mundanos perinde ædificat, ut nihil accipere. Quocirca diabolus pro sua perversitate hanc potissimum illecebram injecerat, studens eos in aliis lædere. Mihi autem hoc quoque ab hypocrisi manasse videtur. Quamobrem nec dixit, In quo recte se gesserunt: sed quid? *In quo gloriantur.* Quibus verbis eorum arrogantiam cavillis incessebat. Jactabant enim id quoque quod non erant. Atqui præstantem virum, non modo de iis, quæ ipsi desunt, gloriari non convenit, sed ne de iis quidem, quæ habet. Sicut beatus hic vir faciebat: ac patriarcha

Gen. 18. 27. Abraham dicebat, *Ego autem sum terra & cinis.* Nam quia nulla peccata habebat, quæ commemorare posset, verum virtutibus splendebat; idcirco cum nec gravem ullam adversum se reprehensionis ansam reperisset, ad naturam confugit. Et quoniam terræ nomen, quodammodo honestum est, ideo cineris vocabulum adjunxit. Unde etiam alius

Eccli. 10. 9. dicebat, *Quid superbit terra & cinis?* Neque enim mihi oris florem commemora, nec erectam cervicem, nec egregiam vestem, & equum, atque asseclas: sed ubi hæc omnia desinant, considera, idque adjunge. Quod si ea, quæ oculis cernuntur, dixeris, ego, quæ in picturis sunt, longeque hæc splendore superant, proferam. At sicut illa ob aspectum minime admiramur, quod ejusmodi eorum substantiam esse perspiciamus, ut nihil præter lutum sint; sic ne hæc quoque. Nam & ista lutum sunt: prius etiam, quam intereant, atque in pulverem dilabantur. Ostende mihi hunc elata cervice hominem, febri laborantem, atque extremum spiritum edentem: ac tum te alloquar, & percontabor, quo ingens ille ornatus reciderit, quo ingens illa assentatio, ac servorum obsequium abierit, opumque ac prædiorum copia: quis ventus obortus omnia flatu suo excusserit. At, inquies, in lectulo jacens, opum ac fastus signa circumfert, imposita ipsi veste luculenta, pauperibus juxta ac divitibus funus prosequentibus, populis fausta illi precantibus. Maxime quidem hæc merus risus sunt. Verum, utcumque sit, hæc tamen protinus instar floris diffluunt. Nam simulatque ex urbis portis excesserimus, traditoque vermibus cada-

A Ὥστε ἐναντία ἐποίει ἀπὸ τοῦ φιλεῖν, καὶ ἐλάμβανε, καὶ οὐκ ἐλάμβανεν. ἡ δὲ ἐναντιότης, παρὰ τὴν τῶν διδόντων ἕξιν. καὶ οὐκ εἶπε μὲν, διὰ τοῦτο οὐ λαμβάνω, ἐπειδὴ σφόδρα ὑμᾶς ἀγαπῶ, ἐπεὶ κατηγορίαν αὐτῶν εἶχε τῆς ἀσθενείας, καὶ εἰς ἀπορίαν ἐνέβαλεν, ἀλλ᾽ ἔτρεψεν εἰς ἑτέραν αἰτίαν τὸν λόγον. ποίαν δὴ ταύτην; ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. ἐπειδὴ γὰρ τοῦτο ἐσπούδαζον, λαβήν τινα εὑρεῖν, καὶ ταύτην ἀναιρεῖν δεῖ. τοῦτο γάρ

B ἐστιν ᾧ σεμνύνονται μόνον. ἵνα τοίνυν μηδὲν πλέον ἔχωσι, καὶ τοῦτο διορθῶσαι ἔδει. ἐν γὰρ τοῖς ἄλλοις ἠλαττωμένοι ἦσαν. οὐδὲν γὰρ, ὅπερ ἔφην, οὕτως οἰκοδομεῖ τοὺς βιωτικοὺς, ὡς τὸ μὴ λαμβάνειν. πονηρὸς οὖν ὢν ὁ διάβολος, τοῦτο μάλιστα τὸ δέλεαρ καθῆκε, βουλόμενος αὐτοὺς εἰς ἕτερα παραβλάψαι. δοκεῖ δέ μοι καὶ τοῦτο ὑποκρίσεως εἶναι. διόπερ οὐδὲ εἶπεν, ἐν ᾧ κατώρθωσαν· ἀλλὰ τί; ἐν ᾧ καυχῶνται· ὃ καὶ εἰς ἀλαζονείαν σκώπτοντος ἦν. ἐκαυχῶντο γὰρ καὶ τοῦτο ὃ οὐκ ἦσαν. τὸν δὲ γενναῖον ἄνδρα οὐ μόνον ἐφ᾽ οἷς οὐκ ἔχει, καυχᾶσθαι οὐ

C δεῖ, ἀλλ᾽ οὐδὲ ἐν οἷς κέκτηται. καθάπερ ὁ μακάριος οὗτος ἐποίει, καθάπερ ὁ πατριάρχης Ἀβραὰμ λέγων, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἐπειδὴ γὰρ οὐκ εἶχεν εἰπεῖν ἁμαρτήματα, ἀλλ᾽ ἔλαμπεν ἀπὸ κατορθωμάτων, πανταχοῦ περιδραμὼν, καὶ μὴ εὑρὼν τινα καθ᾽ ἑαυτοῦ μεγίστην λαβὴν, ἐπὶ τὴν φύσιν καταφεύγει. καὶ ἐπειδὴ τὸ τῆς γῆς ὄνομα ὁπωσδήποτε σεμνὸν, καὶ τὸ τῆς σποδοῦ προσέθηκε. διὸ ἕτερός τις ἔλεγε, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; μὴ γάρ μοι τὸ ἄνθος εἴπῃς τῆς ὄψεως, μηδὲ τὸν ἀνατεταμένον αὐχένα, μηδὲ τὴν χλανίδα,

D καὶ τὸν ἵππον, καὶ τοὺς ἀκολούθους· ἀλλὰ ποῦ τελευτᾷ ταῦτα πάντα λογίζου καὶ προστίθει. ἐὰν δὲ τὰ φαινόμενα λέγῃς, καὶ ἐγώ σοι τὰ ἐν ταῖς γραφαῖς ἐρῶ, τὰ πολλῷ τούτων λαμπρότερα. ἀλλ᾽ ὥσπερ ἐκεῖνα διὰ τὴν ὄψιν οὐ θαυμάζομεν, τὴν οὐσίαν αὐτῶν ὁρῶντες ὅτι πηλός ἐστι τὸ πᾶν· οὕτω δὴ μηδὲ ταῦτα. καὶ γὰρ καὶ ταῦτα πηλός· μᾶλλον δὲ, καὶ πρὶν διαλυθῆναι, καὶ γενέσθαι κόνιν. δεῖξόν μοι τοῦτον τὸν ἀνατεταμένον πυρέττοντα, ψυχορραγοῦντα· καὶ τότε σοι δια-

E λέξομαι, καὶ ἐρήσομαι τί γέγονεν ὁ πολὺς κόσμος ἐκεῖνος, ποῦ δὲ οἴχεται ἡ πολλὴ κολακεία, καὶ ἡ θεραπεία τῶν δούλων, καὶ ἡ περιουσία τῶν χρημάτων, τῶν κτημάτων, ποῖος ἄνεμος ἐπεισελθὼν ἐξεφύσησε πάντα. ἀλλὰ ἐρεῖς, ὅτι καὶ ἐπὶ τῆς κλίνης κείμενος φέρει τοῦ πλούτου καὶ τοῦ τύφου τὰ σύμβολα, ἐσθῆτος λαμπρᾶς ἐπικειμένης, πενήτων καὶ πλουσίων προπεμπόντων, δήμων εὐφημούντων. μάλιστα μὲν καὶ ταῦτα κατάγελως. πλὴν ἀλλὰ καὶ ταῦτα εὐθέως ἐλέγχεται ὥσπερ ἄνθος διαρρέοντα. ὅταν γὰρ τὸν οὐδὸν ὑπερβαίνωμεν τῶν τῆς πόλεως πυλῶν, καὶ τοῖς σκώληξι παραδόντες τὸ σῶμα ὑποστρέφωμεν.

πάλιν σε ἐρήσομαι, ποῦ πορεύεται ὁ πολὺς ὄχλος ἐκεῖνος; τί γέγονεν ἡ κραυγὴ, καὶ ὁ θόρυβος; ποῦ δὲ αἱ λαμπάδες; ποῦ δὲ οἱ χοροὶ τῶν γυναικῶν; ἆρα μὴ ὄναρ ταῦτά ἐστι; τί δὲ καὶ ἐγένοντο αἱ βοαί; ποῦ τὰ στόματα τὰ πολλὰ ἐκεῖνα τὰ κραυγάζοντα, καὶ παρακελευόμενα θαῤῥεῖν, ὅτι οὐδεὶς θάνατος; οὐ νῦν ταῦτα ἔδει λέγεσθαι τῷ μὴ ἀκούοντι· ἀλλ' ὅτε ἥρπαζεν, ὅτε ἐπλεονέκτει, τότε μικρὸν παραλλάξαντας ἔδει λέγειν, οὐ δεῖ θαρσεῖν, οὐδεὶς ἀθάνατος, ἐπίσχες τῆς μανίας, σβέσον τὴν ἐπιθυμίαν, μηδὲ θάρσει τῷ ἀδικουμένῳ. ἐπεὶ τοῦτό γε τὸ τὰ τοιαῦτα νῦν λέγειν, καὶ φειδομένων ἐστὶ καὶ εἰρωνευομένων· οὐ γὰρ διὰ τοῦτο αὐτὸν χρὴ θαῤῥεῖν λοιπὸν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν. ἀλλ' εἰ καὶ ἐκείνῳ ταῦτα ἀνόνητα λοιπὸν ἐξελθόντι τὸ στάδιον, κἂν οἱ τὰ αὐτὰ νοσοῦντες τῶν πλουτούντων, καὶ ἐπὶ τὸ σῆμα ἀκολουθοῦντες, ἀκουέτωσαν. ἐπειδὴ γὰρ ἔμπροσθεν ὑπὸ τῆς μέθης τῶν χρημάτων οὐδὲν τοιοῦτον ἐννοοῦσιν, ἀλλ' ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε καὶ ἡ ὄψις τοῦ κειμένου πιστοῦται τὸ λεγόμενον, σωφρονιζέσθωσαν, παιδευέσθωσαν, ἐννοοῦντες ὅτι μικρὸν ὕστερον καὶ αὐτοὺς ἥξουσιν οἱ ἀπάγοντες ἐπὶ τὰς φοβερὰς ἐκείνας εὐθύνας, καὶ τὸ δοῦναι δίκην ὧν ἥρπασαν, ὧν ἐπλεονέκτησαν. καὶ τί ταῦτα πρὸς τοὺς πένητας, φησί; μάλιστα μὲν πολλοῖς καὶ τοῦτο ἡδὺ, τὸ ἰδεῖν κολαζόμενον τὸν ἀδικήσαντα. ἀλλ' ἡμῖν οὐχ ἡδὺ, ἀλλὰ τὸ μὴ παθεῖν κακῶς. ἐπαινῶ σφόδρα ὑμᾶς καὶ ἀποδέχομαι, ταῖς ἀλλοτρίαις οὐκ ἐφηδομένους συμφοραῖς, ἀλλὰ τὴν οἰκείαν ζητοῦντας ἀσφάλειαν. φέρε οὖν καὶ ταύτην ὑμῖν ἐγγυήσομαι. ἂν γὰρ παρὰ ἀνθρώπων πάσχωμεν κακῶς, ὑποτεμνόμεθα τοῦ χρέους οὐκ ὀλίγον, φέροντες γενναίως τὰ γινόμενα. οὐκ ἄρα ἀδικούμεθα. λογίζεται γὰρ εἰς τὸ ὄφλημα ἡμῖν τὴν ἐπήρειαν ὁ θεὸς, οὐ κατὰ τὸν τοῦ δικαίου λόγον, ἀλλὰ κατὰ τὸν τῆς φιλανθρωπίας. διὰ τοῦτο καὶ ἄνωθεν οὐκ ἤμυνε παθόντι κακῶς. πόθεν τοῦτο δῆλον, φησίν; ἔπαθον ὑπὸ τῶν Βαβυλωνίων οἱ Ἰουδαῖοί ποτε κακῶς· καὶ ὁ θεὸς οὐκ ἐκώλυσεν, ἀλλ' ἀπήγοντο παῖδες καὶ γυναῖκες. ἀλλὰ μετὰ ταῦτα ἡ αἰχμαλωσία αὕτη κατὰ ἀναλογίαν τῶν ἁμαρτημάτων αὐτοῖς γέγονε παραμυθία. διὰ τοῦτο τῷ Ἡσαΐᾳ φησὶ, παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, ἱερεῖς, λαλήσατε ἐπὶ τὴν καρδίαν Ἱερουσαλὴμ, ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. καὶ πάλιν, δὸς ἡμῖν εἰρήνην· πάντα γὰρ ἀπέδωκας ἡμῖν. καὶ ὁ Δαυὶδ φησίν, ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ ἡνίκα τὸν Σεμεεὶ καταρώμενον ἔφερε, λέγει, ἄφες αὐτὸν, ὅπως ἴδῃ κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῷ μοι ἀντὶ τῆς ἡμέρας ταύτης. ὅταν γὰρ μὴ ἀμύνῃ ἀδικουμένοις, τότε μάλιστα ὠφελούμεθα. λογίζεται γὰρ ἡμῖν εἰς κατόρθωμα, ἂν εὐχαρίστως ἐνέγκωμεν.



vere redierimus, rursus ex te quæram, quonam ingens illa turba se conferat, quo clamor ille ac tumultus evaserit, quo lampades, quo feminarum cœtus? Annon insomnium ista sunt? Quo clamores abscesserunt? Quo multa illa ora vociferantia, atque ad fiduciam adhortantia, quia nulla mors est? Atqui non nunc hæc accinere oportebat non audienti. Sed cum rapiebat, cum avaritiæ studebat; tunc, verbis nonnihil immutatis, dicere oportebat, Non est quod fidenti animo sis: nemo immortalis est; amentiam istam comprime, cupiditatem exstingue, nec læso confidas. Quia vero hæc illi jam dicere & parcentis & irridentis esset; non enim illum jam fidere oportet; sed metuere ac tremere. Verum etsi illi, ut qui e stadio excesserit, nihil hæc utilitatis afferunt: at illi divites, qui eodem morbo laborant, atque eum ad sepulcrum prosequuntur, audiant. Quia enim hoc illis opum ebrietas prius afferebat, ut nihil ejusmodi cogitarent: at eo certe tempore, cum ipse jacentis aspectus fidem verbis adstruit, castigentur & erudiantur, illud secum reputantes, paulo post fore, ut illi veniant, a quibus ipsi quoque ad horrenda illa loca abducantur, ubi referendæ rationes erunt, pœnæque subeundæ ob ea quæ rapuerunt, atque usurparunt. Et quid hæc ad pauperes, inquies? Sane quidem multis hoc quoque voluptati est, excruciatum eum cernere, a quo injuriam acceperint. At nobis hoc jucundum non est, inquies, verum illud, si nihil ipsi mali perpetiamur. Equidem hoc nomine vehementer vos laudo atque amplector, quod alienis calamitatibus non gaudeatis, verum propriam dumtaxat securitatem quæratis. Age igitur, hæc quoque vobis spondebo. Etenim cum detrimento aliquo ab hominibus mulctamur, non parvam debiti partem succidimus, si ea, quæ nobis inferuntur generoso animo perferamus. Ex quo fit, ut nulla injuria afficiamur. Deus enim vexationem nobis pro debito imputat, non secundum juris, sed secundum benignitatis rationem, idcirco non ab initio, eum, qui injuria affectus est, ulciscitur. Unde hoc perspicuum est, inquies? Judæi quondam a Babyloniis vexabantur; nec Deus prohibuit: verum, & pueri, & mulieres, in servitutem abducebantur. At postea hæc captivitas pro peccatorum ratione in consolationem ipsis cessit. Ob eamque causam Esaiæ dicebat, *Consolamini, consolamini populum meum sacerdotes: loquimini ad cor Jerusalem: quia suscepit de manu Domini duplicia peccata sua.* Ac rursus, *Da nobis pacem. Omnia enim reddidisti nobis.* Et David ait, *Vide inimicos meos quia multiplicati sunt: & dimitte omnia peccata mea.* Et cum illum Semei, dira omnia ipsi imprecantem, ferret, aiebat, *Dimitte eum, ut videat Dominus humilitatem meam, & reddat mihi pro hac die.* Nam cum ille nobis injuria affectis opem non fert, tum maximam utilitatem accipimus. Nobis etenim hoc pro recte factis adscribit, cum acceptam injuriam ferimus, ut ipsi gratias agamus.

Funerum ratio.

*Isai.* 40. 1.

*Isai.* 26. 12.

*Psal.* 24. 19.

2. *Reg.* 16. 12.

6. Quocirca cum pauperem à divite diripi videris, missum faciens eum, cui injuria fit, ereptorem lacrymis prosequere. Ille enim sordes excutit: hic vero sordibus se inficit.

4. Reg. 5.

Sic etiam Elisæi puero in Naaman contigit. Nam etsi non rapuit, tamen hoc ipsum injustitiæ rationem habebat, quod cum fraude accepit. Quid ergo evenit? Ex injustitia lepram consequutus est; is, cui illata injuria fuerat, juvabatur: qui autem inferebat, lædebatur. Hoc nunc quoque in anima usu venit. Atque hoc tantam vim habet, ut, etiam solum, sæpe Deum placarit, etiamsi alioqui is, qui male mulctabatur, subsidio indignus esset: cum supra modum quis vexatur, vel hinc solum Deum ad dandam sibi veniam allicit, ulciscendumque eum, qui injuriam infert. Unde etiam

Zach. 1. 15.

Deus Barbaris antiquitus dicebat, *Ego quidem eos ad pauca tradidi: ipsi autem adjecerunt ad mala*: ideoque atrocissimis suppliciis mulctabuntur. Non enim, non inquam est quidquam, quod Deum ad iracundiam perinde incitet, ut rapere & vim afferre aliosque circumvenire. Quid ita? Quia perfacile est ab hoc flagitio abstinere. Neque enim naturalis quædam cupiditas hæc est, negotium facessens: sed ab animi segnitie ortum trahit. Quonam igitur modo, inquies, Apostolus eam malorum radicem vocat? Ego certe idem dico. Verum nostro vitio, non rei ipsius natura, radix ipsa est. Atque si ita lubet, comparationem inducamus, ac videamus utra violentior sit, pecuniarumne an corporum cupiditas? Etenim hoc demum gravius judicandum est, quod magnos viros prostravisse reperietur. Videamus itaque quem magnum virum opum cupiditas invaserit. Neminem profecto: sed miseros admodum & abjectos, Giezi videlicet, Achab, Judam, Judaïcos sacerdotes. At vero corporum cupiditas magnum illum Prophetam Davidem superavit. Nec vero hæc eo dico, ut iis, qui hujusmodi cupiditate correpti tenentur, veniam concedam: sed potius ut vigilantes sint. Nam cum magnum esse malum demonstro, tunc maxime eos omni venia orbatos esse ostendo. Etenim si feram hanc ignorares, ad hoc ipsum tibi confugere liceret. Nunc autem cum noris, & tamen in eam incidas, nulla tibi excusatio superest. Post hunc, ejus filium magis adhuc superavit. Atqui nemo unquam ei sapientiæ laude præstitit: virtutibusque aliis omnibus ornatus fuit. Sed tamen hoc vitio usqueadeo captus est, ut lethale etiam vulnus acceperit. Ac pater quidem surrexit, acceptumque damnum sarcivit, ac rursum coronam adeptus est: hic autem nihil tale ostendit. Quocirca Paulus etiam dicebat: *Melius est nubere, quam uri.* Et Christus: *Qui potest capere, capiat.* De opibus autem non ita: sed, Qui reliquerit bona sua, centuplum accipiet. Quonam ergo modo, inquies, de iis, qui opibus abundant, hoc asseruit, eos ægre cælorum regnum obtenturos? Iis rursum verbis ipsorum ignaviam subindicat, nec opum tyrannidem, sed vehementem eorum servitutem. Idque etiam ex iis, quæ Paulus con-

Avaritia cur omnium malorum radix appelletur.

Salomon non resipuit.

1. Cor. 7. 9.

Matt. 19. 12.

Marc. 10.

A Ὥστε ὅταν ἴδῃς πλούσιον ἁρπάζοντα πένητα, ἀφεὶς τὸν ἐπηρεαζόμενον, δάκρυσον τὸν ἁρπάζοντα. ὁ μὲν γὰρ ἀποτίθεται ῥύπον, ὁ δὲ περιστρίβεται ῥύπον. οὕτω καὶ ὁ τοῦ Ἐλισσαίου παῖς ἔπαθεν ἐπὶ τοῦ Νεεμάν. εἰ γὰρ καὶ μὴ ἥρπασεν, ἀλλὰ τὸ ἐν ἀπάτῃ λαβεῖν, ἀδικία. τί οὖν γέγονεν; ἔλαβε μετὰ τῆς ἀδικίας καὶ τὴν λέπραν· καὶ ὁ μὲν ἀδικηθεὶς, ὠφελεῖτο· ὁ δὲ ἀδικήσας, τὰ μέγιστα ἐβλάπτετο. τοῦτο καὶ νῦν ἐπὶ τῆς ψυχῆς γίνεται· καὶ τοσοῦτον τοῦτό ἐστιν, ὅτι τοῦτο μόνον πολλάκις ἵλεων τὸν θεὸν ἐποίησε, κἂν ὁ πάσχων κακῶς ἀνάξιος ᾖ βοηθείας· B ὅταν μεθ' ὑπερβολῆς τοῦτο πάθῃ, καὶ εἰς τὴν ἑαυτοῦ συγγνώμην τὸν θεὸν ἐπισπᾶται, καὶ εἰς τὴν ἄμυναν τοῦ ποιοῦντος ἐντεῦθεν μόνον. διὸ καὶ τοῖς βαρβάροις ἔλεγεν ὁ θεὸς ἄνωθεν, ἐγὼ μὲν παρέδωκα αὐτοὺς εἰς ὀλίγα· αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά· διὰ τοῦτο τὰ ἀνήκεστα πείσονται. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν τὸν θεὸν οὕτω παροξῦνον, ὡς τὸ ἁρπάζειν, καὶ βιάζεσθαι, καὶ πλεονεκτεῖν. τί δήποτε; ὅτι σφόδρα εὔκολον ταύτης ἀπέχεσθαι τῆς ἁμαρτίας. οὐ γάρ ἐστι φυσικὴ ἐνοχλοῦσα ἐπιθυμία, ἀλλὰ ἀπὸ ῥᾳθυμίας γίνεται. πῶς οὖν ῥίζαν κακῶν αὐτὴν C ὁ ἀπόστολος καλεῖ; καὶ γὰρ ἐγὼ τοῦτο λέγω· ἀλλὰ παρ' ἡμᾶς ἡ ῥίζα αὕτη, οὐ παρὰ τὴν φύσιν τοῦ πράγματος. καὶ, εἰ βούλεσθε, ποιησώμεθα σύγκρισιν, καὶ ἴδωμεν ποῖον τυραννικώτερον, χρημάτων, ἢ σωμάτων ἐπιθυμία. ὃ γὰρ ἂν εὑρεθείη μεγάλους ἄνδρας καταβεβληκὸς, τοῦτό ἐστι τὸ χαλεπώτερον. οὐκοῦν ἴδωμεν τίνα μέγαν κατέσχε χρημάτων ἐπιθυμία. οὐδένα· ἀλλὰ οἰκτροὺς σφόδρα, καὶ ἀπερριμμένους, τὸν Γιεζῆ, τὸν Ἀχαάβ, τὸν Ἰούδαν, τοὺς ἱερεῖς τοὺς Ἰουδαϊκούς· ἐπιθυμία δὲ σωμάτων, τοῦ μεγάλου προφήτου περιεγένετο τοῦ Δαυίδ. καὶ ταῦτα λέγω, οὐ D συγγνώμην διδοὺς τοῖς ὑπὸ ἐπιθυμίας τοιαύτης ἁλισκομένοις, ἀλλὰ μᾶλλον αὐτοὺς νήφειν παρασκευάζων. ὅταν γὰρ δείξω μέγα τὸ πάθος, τότε μάλιστα αὐτοὺς δείκνυμι συγγνώμης ἁπάσης ἀπεστερημένους. εἰ μὲν γὰρ ἠγνόεις τὸ θηρίον, εἶχες εἰς αὐτὸ τοῦτο καταφυγεῖν· νυνὶ δὲ εἰδὼς καὶ ἐμπίπτων, οὐκ ἂν σχοίης ἀπολογίαν τινά. μετὰ τοῦτον, τὸν τούτου παῖδα μετὰ πλείονος εἷλεν ὑπερβολῆς. καίτοι σοφώτερος ἐκείνου οὐδεὶς γέγονε, καὶ πᾶσαν δὲ τὴν ἄλλην ἐπῆλθεν ἀρετήν· ἀλλ' ὅμως ὑπὸ τούτου οὕτω σφοδρῶς ἑάλω, ὡς καὶ ἐν τοῖς καιρίοις δέξασθαι τὴν πληγήν. E καὶ ὁ μὲν πατὴρ ἀνέστη, καὶ ἀνεμαχήσατο τὴν πάλην, καὶ πάλιν ἐστεφανώθη· οὗτος δὲ οὐδὲν τοιοῦτον ἐπεδείξατο. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, κρεῖσσόν ἐστι γαμῆσαι, ἢ πυροῦσθαι· καὶ ὁ Χριστὸς, ὁ δυνάμενος χωρεῖν, χωρείτω. περὶ δὲ χρημάτων οὐχ οὕτως· ἀλλ', ὃς ἀφῆκε τὰ ὑπάρχοντα αὐτοῦ, ἑκατονταπλασίονα λήψεται. πῶς οὖν, φησὶ, περὶ τῶν πλουτούντων εἶπεν, ὅτι δυσκόλως ἐπιτεύξονται τῆς βασιλείας; πάλιν τὴν βλακείαν αὐτῶν αἰνιττόμενος, οὐ τὴν τυραννίδα τῶν χρημάτων, ἀλλὰ τὴν σφοδρὰν αὐτῶν δουλείαν. καὶ τοῦτο καὶ ἐξ ὧν ὁ Παῦλος

συνεβούλευσε δῆλον. ἐκείνης μὲν γὰρ ἀπάγει τῆς ἐπιθυμίας λέγων, οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν· ἐπὶ δὲ ταύτης οὐκέτι, ἀλλὰ πρὸς καιρὸν μόνον διαλύσας, [a] καὶ τούτῳ συμφώνως, πάλιν ἐπὶ τὸ συνέρχεσθαι συμβουλεύει. δέδοικε τὰ κύματα τῆς ἐπιθυμίας, μήποτε ναυάγιον ἐργάσηται χαλεπόν. τοῦτο καὶ ὀργῆς εὐτονώτερον πάθος. ὀργίζεσθαι μὲν γὰρ οὐκ ἔνι, μηδενὸς ὄντος τοῦ παροξύνοντος· ἐπιθυμεῖν δὲ ἀνάγκη, καὶ τῆς ὄψεως τῆς εἰς τοῦτο κινούσης, μὴ φαινομένης. διὸ ταύτην μὲν οὐκ ἐξέκοψε καθάπαξ, ἀλλὰ τὸ, εἰκῆ, προσέθηκεν· οὔτ' αὐτὴν ἐπιθυμίαν ἀνεῖλεν, ἀλλὰ τὴν ἄδικον. διὰ γὰρ τὰς ἐπιθυμίας, φησὶν, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. θησαυρίζειν δὲ οὔτε εἰκῆ, οὔτε μὴ εἰκῆ συνεχώρησε. ταῦτα μὲν γὰρ τὰ πάθη χρείας ἕνεκεν ἡμῖν ἐνεφυτεύθη· ὑπὲρ μὲν παιδοποιΐας, ἐπιθυμία· ὑπὲρ δὲ βοηθείας τῶν ἀδικουμένων, ὀργή· ἐπιθυμία δὲ χρημάτων, οὐδαμῶς. οὐκοῦν οὐδέ ἐστι φυσικὸν τὸ πάθος. ὥστε ὅταν ὑπὸ τούτου ἁλῷς, τοσούτῳ μᾶλλον τὰ αἴσχιστα πείσῃ. διὰ δὴ τοῦτο καὶ δεύτερον ἐπιτρέπων γάμον ὁ Παῦλος, ἐπὶ χρημάτων πολλὴν ἀπαιτεῖ τὴν ἀκρίβειαν, λέγων, διὰ τί οὐ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐ μᾶλλον ἀποστερεῖσθε; καὶ περὶ μὲν παρθενίας διαλεγόμενός, φησιν. ἐπιταγὴν κυρίου οὐκ ἔχω· καὶ, πρὸς τὸ συμφέρον ὑμῖν λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. ὅταν δὲ περὶ χρημάτων ὁ λόγος αὐτῷ, ἔχοντές, φησι, σκεπάσματα καὶ τροφὴν, τούτοις ἀρκεσθησόμεθα. πῶς οὖν, φησι, τούτῳ μᾶλλον ἁλίσκονται πολλοί; ὅτι οὐχ οὕτως εἰσὶ πρὸς αὐτὸ παρατεταγμένοι, ὡς πρὸς ἀσέλγειαν καὶ πορνείαν. ὡς εἴγε ὁμοίως ἐδόκει εἶναι δεινὸν, οὐκ ἂν ταχέως ἑάλωσαν. οὕτω καὶ αἱ ἄθλιαι παρθένοι ἐκεῖναι τοῦ νυμφῶνος ἐξεβλήθησαν, ἐπειδὴ τὸν μείζονα ἀνταγωνιστὴν καταβαλοῦσαι, ὑπὸ τοῦ ἀσθενεστέρου καὶ μηδὲν ὄντος ἐβλήθησαν. μετὰ τούτου κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι εἴ τις ἐπιθυμίας κρατῶν, ὑπὸ χρημάτων νικᾶται· οὐδὲ ἐπιθυμίας πολλάκις κρατεῖ, ἀλλὰ ἀπὸ φύσεως ἔλαχε τὸ μὴ σφόδρα ἐνοχλεῖσθαι ἐντεῦθεν. οὐ γὰρ πάντες ὁμοίως εἰσὶ καταφερεῖς. ταῦτ' οὖν εἰδότες, καὶ τὸ ὑπόδειγμα τῶν παρθένων συνεχῶς παρ' ἑαυτοῖς στρέφοντες, φεύγωμεν τὸ πονηρὸν τοῦτο θηρίον. εἰ γὰρ παρθενία οὐδὲν ὤνησεν, ἀλλ' ἀπώλοντο μετὰ μυρίους πόνους καὶ ἱδρῶτας ἐκεῖναι διὰ τὴν φιλαργυρίαν· τίς ἡμᾶς ἐξαιρήσεται, εἰ τούτῳ περιπέσωμεν τῷ πάθει; διὸ παρακαλῶ πάντα ποιεῖν μήτε ἁλῶναι, μήτε ἁλόντας ἐναπομεῖναι, ἀλλὰ καὶ διαρρῆξαι τὰ χαλεπὰ ταῦτα δεσμά. οὕτω γὰρ δυνησόμεθα πρὸς τὸν οὐρανὸν στῆναι, καὶ τῶν μυρίων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

[a] Legendum videtur, καὶ τοῦτο συμφώνως.

A sulendi causa dicebat, liquet. Ab illa enim cupiditate abducit, dicens, *Qui autem volunt divites fieri, incidunt in tentationem.* (1. Tim. 6. 9.) Ab hac autem non item: sed postquam ad tempus dumtaxat disjunxit, idque ex consensu, rursus, ut conveniant, admonet. Fluctus libidinis timebat: ne forte ea grave naufragium efficeret. Hic affectus etiam ira acrior ac vehementior est. Neque enim irasci quisquam potest, si nemo sit, qui ad iram exstimulet. At concupiscentia oritur, etiamsi vultus, qui ad hoc incitat, minime cernatur. Itaque eam non prorsus amputavit, sed, B *sine causa*, addidit: nec rursum libidinem omnem sustulit, sed iniquam tantum. (Matt. 5. 22.) *Propter concupiscentias enim*, inquit, *unusquisque uxorem suam habeat.* (1. Cor. 7. 2.) Atqui vero pecunias aggerere, nec ob causam, nec sine causa concessit. Siquidem illi affectus ob necessitatem nobis insiti sunt: nimirum libido procreandorum liberorum causa: ira autem, ut iis, qui læduntur, auxilium afferamus. Pecuniarum autem cupiditas, minime: neque enim naturalis est affectus. Ac proinde si ea te capi ac vinci sinas, tanto utique fœdiora patieris. Ideo Paulus, cum secundas nuptias permittat, in pecuniis tamen ac divitiis accu- C rationem requirit, dicens: Quare non potius injuriam patimini? Quare non potius damnum accipitis? Ac de virginitate quidem disserens, ait, *Præceptum Domini non habeo.* (1. Cor. 7. 25.) Et: *Ad utilitatem vestram dico: non ut laqueum vobis injiciam.* At cum de divitiis ei sermo est, *Habentes*, inquit, *vestes & alimenta, his contenti simus.* (1. Tim. 6. 8.) Quid igitur causæ est, inquies, cur plerique hoc affectu capiantur? Quia adversus eum non ita præparati sunt, ut adversus impudicitiam ac fornicationem. Nam si æque grave hoc malum ipsis visum fuisset, haud cito capti fuissent. Sic miseræ quoque illæ virgines e thala- (Matt. 25.) D mo ejectæ sunt, quoniam, majore hoste prostrato, ab imbecilliore, ac nullo robore prædito, dejectæ sunt. Huc accedit, quod si quis libidinem superans, à pecuniis superetur, sæpe ne libidinem quidem vincit: verum à natura hoc nactus est, ut ab hoc affectu non admodum negotii ei exhibeatur. Neque enim omnes in eum æque proni sunt. Hæc itaque perspecta habentes, ac virginum exemplum perpetuo cum animis nostris versantes, perniciosam hanc belluam fugiamus. Nam si virginitas illis nihil profuit, verum post infinitos E labores ac sudores ob pecuniæ studium in exitium abierunt, quis tandem nos supplicio eripiet, si in hunc affectum inciderimus? Quocirca rogo, omnia agamus, ut nec capiamur, nec capi sustineamus: sed gravia quoque hæc vincula perfringamus. Sic enim ad cælum pervenire poterimus, atque innumerabilia illa bona consequi, quæ utinam nobis omnibus consequi detur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper, & in sæcula sæculorum, Amen.

A

## HOMILIA XXIV.

13. *Nam ejusmodi pseudapostoli, sunt operarii dolosi, transfigurantes se in Apostolos Christi.*

1. QUID ais? Qui Christum prædicant, qui pecunias non accipiunt, qui Evangelium aliud non inducunt, pseudapostoli sunt? Maxime inquit. Atque hoc præsertim nomine, quod hæc omnia ficto animo faciunt, ut fallant. *Operarii dolosi.* B Operantur enim, sed, quæ plantata sunt, evellunt. Quoniam enim exploratum habent, se non aliter gratos acceptosque fore, veritatis larva assumta, ita demum fraudis fabulam agunt. Et vero, inquit, pecunias non accipiunt, ut plura accipiant, ut animas perdant. Quin potius id quoque falsum. Nam & accipiebant: sed furtim. Idque in iis, quæ sequuntur, ostendit. Atque id quidem jam tacite indicavit, cum dixit, *Ut in quo gloriantur, inveniantur sicut & nos:* cæterum idem dilucidius postea his verbis significavit, *Si quis vos devorat, si quis accipit, si quis extollitur*, hunc sustinetis. Nunc autem aliunde hos insectatur, dicens, *transfigurantes.* C Larva tantum ipsos, ac pellis ovis obtegit. 14. *Et non mirum. Si enim ipse Satanas transfigurat se in Angelum lucis.* 15. *Quid magnum est, si ministri ejus transformantur velut ministri justitiæ?* Itaque, si quid admirari oportet, hoc est: non autem quod isti agunt. Nam cum eorum magister nihil non audeat, ac moliatur, nihil mirum discipulos quoque ipsius exemplum sequi. Quid autem est, *Angelum lucis*? eum, qui loquendi libertatem habet, eum qui Deo adstat. Sunt enim etiam Angeli tenebrarum hi qui diaboli sunt, ac caliginosi & feroces. Ac multos diabolus ad D hunc modum fefellit, dum se in Angelum lucis transfiguravit, non autem talis effectus est. Eodem igitur modo isti, larvam quidem Apostoli circumferunt: non autem vim ac facultatem: neque enim possunt. Nihil porro tam diabolicum est, quam ad ostentationem aliquid efficere. Quid autem est ministerium justitiæ? Id videlicet, quod nos sumus, Evangelium quod justitiam habet, vobis prædicantes. Aut enim hoc est quod ait, aut certe, quod justorum virorum famam sibi pepererunt. Quanam ergo ratione eos agnoscemus? Ab ipsorum operibus, ut à Christo dictum est. Ob idque, & sua recte facta, E & illorum vitia inter se conferre cogitur: ut ex comparatione falsi atque adulterini appareant. Ac rursus in suas laudes ingressurus, primum illos accusat, ut ostendat sibi necesse esse in hoc argumento versari: ne quis alioqui ipsum, ut de suis laudibus verba facientem, reprehendat. Atque, 16. *Iterum dico.* Etenim multa jam præmonitione usus est. Sed tamen his quæ dixi, non sum contentus, inquit, sed rursus dico, ne quis me insipientem esse existimet. Hoc enim eorum negotium erat, cum nulla causa suppeteret,

Ad ostentationem aliquid facere diabolicum est.

## ΟΜΙΛΙΑ κδʹ.

Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.

ΤΙ λέγεις; οἱ Χριστὸν κηρύττοντες, οἱ χρήματα μὴ λαμβάνοντες, οἱ εὐαγγέλιον ἕτερον μὴ ἐπεισάγοντες, ψευδαπόστολοι; ναί, φησί· καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα, ὅτι ταῦτα ὑποκρίνονται πάντα, ἵνα ἀπατήσωσιν. ἐργάται δόλιοι. ἐργάζονται μὲν γάρ, ἀλλ' ἀνασπῶσι τὰ πεφυτευμένα· ἐπειδὴ γὰρ ἴσασιν ὅτι ἑτέρως οὐκ ἂν γένοιντο εὐπαράδεκτοι· τὸ προσωπεῖον λαβόντες τῆς ἀληθείας, οὕτω τὸ δρᾶμα τῆς πλάνης ὑποκρίνονται. καὶ μέντοι χρήματα, φησίν, οὐ λαμβάνουσιν, ἵνα πλείονα λάβωσιν, ἵνα ψυχὴν ἀπολέσωσι· μᾶλλον δὲ καὶ τοῦτο ψεῦδος· καὶ ἐλάμβανον, ἀλλ' ἐλάνθανον. καὶ τοῦτο δείκνυσιν ἐν τοῖς ἐπιοῦσι. καὶ ἤδη μὲν γὰρ ἠνίξατο αὐτὸ εἰπών, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ὡς καὶ ἡμεῖς. πλὴν ἀλλ' ὕστερον αὐτὸ σαφέστερον ἠνίξατο εἰπών, ὅτι εἴ τις ὑμᾶς κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, τούτου ἀνέχεσθε· νῦν δὲ ἑτέρωθεν αὐτοὺς διαβάλλει λέγων, μετασχηματιζόμενοι. σχῆμα μόνον αὐτοῖς, ἡ δορὰ τοῦ προβάτου ἐπίκειται. καὶ οὐδὲν θαυμαστόν. εἰ γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός, τί μέγα, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης; ὥστε εἰ δεῖ θαυμάζειν, τοῦτο δεῖ θαυμάζειν· τὸ δὲ τούτων, οὐκέτι. ὅταν γὰρ ὁ διδάσκαλος αὐτῶν πάντα τολμᾷ, οὐδὲν θαυμαστὸν καὶ τοὺς μαθητὰς ἕπεσθαι. τί δέ ἐστιν, ἄγγελον φωτός; τὸν παῤῥησίαν ἔχοντα λέγειν, τὸν τῷ θεῷ παρεστῶτα. εἰσὶ γὰρ καὶ ἄγγελοι σκότους οὗτοι οἱ τοῦ διαβόλου, οἱ σκοτεινοὶ καὶ ἄγριοι. καὶ πολλοὺς ὁ διάβολος οὕτως ἠπάτησε, μετασχηματιζόμενος, οὐ γινόμενος ἄγγελος φωτός. οὕτω καὶ οὗτοι σχῆμα ἀποστόλου περιφέρουσιν, οὐκ αὐτὴν τὴν δύναμιν. οὐδὲ γὰρ ἰσχύουσιν. οὐδὲν δὲ οὕτω διαβολικόν, ὡς τὸ πρὸς ἐπίδειξίν τι ποιεῖν. τί δέ ἐστι διακονία δικαιοσύνης; ὅπερ ἡμεῖς ἐσμεν, εὐαγγέλιον κηρύσσοντες ὑμῖν δικαιοσύνην ἔχον. ἢ γὰρ τοῦτό φησιν, ἢ ὅτι δικαίων ἀνδρῶν ἑαυτοῖς περιτιθέασι δόξαν. πῶς οὖν αὐτοὺς ἐπιγνωσόμεθα; ἀπὸ τῶν ἔργων αὐτῶν, καθὼς ὁ Χριστὸς εἶπε. διὸ ἀναγκάζεται τὰ ἑαυτοῦ θεῖναι κατορθώματα καὶ τὴν ἐκείνων κακίαν παράλληλα, ἵνα ἀπὸ τῆς συγκρίσεως φανῶσιν οἱ νόθοι. καὶ μέλλων πάλιν ἐμβαίνειν εἰς τὰ ἐγκώμια τὰ ἑαυτοῦ, κατηγορεῖ πρότερον ἐκείνων, ἵνα δείξῃ ἀναγκαίαν οὖσαν αὐτῷ τὴν ὑπόθεσιν, ἵνα μή τις ἐγκαλέσῃ ὡς περὶ ἑαυτοῦ λέγοντι, καί φησι, πάλιν λέγω. καὶ γὰρ ἤδη πολλῇ προδιορθώσει ἐχρήσατο· ἀλλ' ὅμως οὐκ ἀρκοῦμαι τοῖς εἰρημένοις, ἀλλὰ καὶ πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι. τοῦτο γὰρ ἐκείνων ἦν ἔργον, τὸ, αἰτίας μὴ οὔσης,

καυχᾶσθαι. σὺ δέ μοι σκόπει ὅτι ὁσάκις ἐμβαίνειν μέλλει εἰς τοὺς οἰκείους ἐπαίνους, προανακρούεται. τὸ μὲν γὰρ πρᾶγμα ἀφροσύνης ἐστὶ, φησὶ, τὸ καυχᾶσθαι. ἐγὼ δὲ οὐχ ὡς ἀνοηταίνων αὐτὸ ποιῶ, ἀλλὰ ἀναγκαζόμενος. εἰ δὲ οὐ πείθεσθε, ἀλλὰ καὶ ἀνάγκην οὖσαν ὁρῶντες, καταγνώσεσθε· οὐδὲ οὕτω παραιτήσομαι. εἶδες πῶς ἔδειξε πολλὴν οὖσαν τὴν ἀνάγκην τοῦ λέγειν; ὁ γὰρ μηδὲ ταύτην ὑποστελλόμενος τὴν ὑποψίαν, ἐννόησον ὅσην βίαν ὑπέμεινεν εἰς τὸ λέγειν, καὶ πῶς ὤδινε καὶ ἐβιάζετο εἰπεῖν. ἀλλ' ὅμως καὶ οὕτω μετρίως τῷ πράγματι κέχρηται. οὐ γὰρ εἶπεν, ἵνα καυχήσωμαι. καὶ μικρὸν μέλλων καυχᾶσθαι, πάλιν καὶ ἑτέρᾳ κέχρηται παραιτήσει λέγων, ὃ λαλῶ, οὐ κατὰ κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. ὁρᾷς πῶς τὸ καυχᾶσθαι οὐκ ἔστι κατὰ κύριον; ὅταν γὰρ πάντα ποιήσητε, φησὶ, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἀλλ' αὐτὸ μὲν καθ' ἑαυτὸ οὐκ ἔστι κατὰ κύριον· ἀπὸ δὲ τῆς διανοίας τοῦτο γίνεται. διὰ τοῦτο εἶπεν, ὃ λαλῶ· οὐ τὴν αἰτίαν διαβάλλων, ἀλλὰ τὰ ῥήματα. ἐπεὶ ὁ σκοπὸς οὕτω θαυμαστὸς, ὡς καὶ τὰ ῥήματα σεμνύνειν. ὥσπερ γὰρ ὁ φονεὺς τῶν σφόδρα κεκωλυμένων ὢν, ἀπὸ διανοίας πολλάκις ηὐδοκίμησε, καὶ τὸ περιτέμνεσθαι οὐκ ὂν κατὰ κύριον, ἀπὸ τῆς διανοίας τοῦτο γέγονεν· οὕτω καὶ τὸ καυχᾶσθαι. καὶ τί δήποτε οὐ κέχρηται ἀκριβολογίᾳ τοσαύτῃ; ὅτι πρὸς ἕτερον ἐπείγεται, καὶ ἐκ περιουσίας καὶ τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις χαρίζεται μόνον, ἵνα εἴπῃ τὰ ὠφελοῦντα. καὶ γὰρ ἱκανὰ ἦν πᾶσαν ἀνελεῖν τὴν ὑποψίαν λεχθέντα. ἀλλ' ὡς ἐν ἀφροσύνῃ. πρότερόν φησιν, ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· νυνὶ δὲ, ὡς ἐν ἀφροσύνῃ. ὅσῳ γὰρ πρόεισι, τοσούτῳ μᾶλλον ἐκκαθαίρει τὸν λόγον. εἶτα ἵνα μὴ νομίσῃς πανταχοῦ ἀνοηταίνειν αὐτὸν, προσέθηκεν, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. κατὰ τοῦτο τὸ μέρος, φησίν· ὥσπερ καὶ ἀλλαχοῦ ἔλεγεν, ἵνα μὴ καταισχυνθῶμεν· καὶ προσέθηκεν, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. καὶ ἀλλαχοῦ πάλιν εἰπὼν, ἢ ἃ βουλεύομαι κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ; καὶ δείξας, ὅτι οὐ δύναται πανταχοῦ ἅπερ ἐπαγγέλλεται καὶ πληροῦν, ἐπειδὴ οὐ κατὰ σάρκα βουλεύεται, ἵνα μὴ τὴν ὑπόνοιαν ταύτην καὶ ἐπὶ τοῦ δόγματος ἑλκύσωσί τινες, φησί· πιστὸς δὲ ὁ θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ.

Καὶ ὅρα πόσα ἔμπροσθεν εἰπὼν, πάλιν καὶ ἑτέρας τίθησιν ἀπολογίας, προστιθεὶς οὕτω, καὶ λέγων, ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. τί ἐστι, κατὰ σάρκα; ἀπὸ τῶν ἔξωθεν· ἀπὸ εὐγενείας, ἀπὸ πλούτου, ἀπὸ σοφίας, ἀπὸ τοῦ περιτομὴν ἔχειν καὶ προγόνους Ἑβραίους, ἀπὸ τῆς τῶν πολλῶν δόξης. καὶ ὅρα σύνεσιν. ἐκεῖνα τίθησιν ἅπερ οὐδὲν ὄντα δείκνυσι, καὶ τότε καὶ ἀφροσύνην. εἰ γὰρ τὸ ἐπὶ τοῖς ὄντως ἀγαθοῖς καυχᾶσθαι ἀφροσύνη, πολλῷ

gloriari. Ac velim consideres, quomodo quoties in suas laudes ingredi parat, id prius depellat. Stulta enim res est, inquit, gloriari. Ego vero hoc, non ut stolidus facio; sed ut coactus. Quod si vobis id non persuaderi sinitis; verum, quamvis id me necessario facere videatis, tamen me condemnatis; ne sic quidem hoc facere detrectabo. Videsne quo pacto magnam sibi loquendi necessitatem esse ostendat. ? Nam qui ne hanc quidem suspicionem reformidabat, quantam vim ad loquendum sustineret, quamque hujusmodi sermonem velut parturiret, ac profundere cogeretur, velim consideres. At sic quoque tamen moderationem in hac re adhibuit. Non enim dixit, Ut glorier. Cumque paulum gloriaturus esset, rursus etiam altera præmonitione usus est dicens, 17. *Quod loquor non secundum Dominum loquor, sed ut in insipientia, in hac substantia gloriæ.* Vides quomodo gloriari, secundum Dominum non sit? *Cum enim omnia feceritis*, inquit, *dicite, quia servi inutiles sumus.* Verum hoc per se quidem secundum Dominum non est, sed ab animo ac voluntate tale efficitur. Ideo dixit, *quod loquor*: non causam, sed verba reprehendens. Etenim scopus adeo eximius erat, ut & verbis ornamentum afferret. Quemadmodum enim homicida, tametsi facinus hujusmodi valde interdictum sit, tamen ab animo & voluntate sæpe laudem est assequutus: & circumcidi, licet secundum Dominum non sit, tamen ab animi instituto tale efficitur: sic etiam gloriari. Cur autem non tam accurata sermonis diligentia usus est? Quia alio properat, atque ex abundanti iis, qui eum carpere gestiebant, solum obsequitur, ut quæ profutura sunt dicat. Etenim quæ dicta erant, ad tollendam omnem suspicionem sufficiebant. *Sed ut in insipientia.* Prius ait, *Utinam sustineretis modicum quid insipientiæ meæ.* Nunc autem, *ut in insipientia.* Quo enim altius progreditur, eo magis sermonem repurgat. Deinde ne eum ubique stultitiam adhibere arbitreris, adjecit, *In hac substantia gloriæ.* Hoc est, quod ad hanc dumtaxat partem attinet. Quemadmodum & alio loco dicebat, *Ut ne confundamur.* Et adjecit, *in hac substantia gloriæ.* Et rursus alio loco, cum dixisset, *An quæ cogito, secundum carnem cogito, ut sit apud me est est, non non?* Atque ostendisset se idcirco non posse ubique, quæ pollicetur, explere, quoniam non secundum carnem consilium init, ne hanc suspicionem etiam ad doctrinam nonnulli pertraherent ait: *Fidelis autem Deus quod sermo noster ad vos non fuit, est, & non.*

Luc. 17. 10.

2. Ac vide quam multa prius loquutus, alias adhuc purgationes afferat, proponens ad hunc modum ac dicens, 18. *Quoniam multi gloriantur secundum carnem, & ego gloriabor.* Quid est autem, *secundum carnem?* hoc est, ab externis rebus, a nobilitate, ab opibus, ab eruditione, a circumcisione, ab Hebræis avis, ab ea, qua apud plerosque floret, existimatione. Ac vide sagacitatem. Illa ponit, quæ nihil esse ostendit: ac tum denique insipientiam. Etenim, si ob ea, quæ vere bona sunt, gloriari stultitiæ est, multo certe ma-

gis ob ea, quæ nullius precii sunt. Atque id est quod, *non secundum Dominum*, vocat. Neque enim quidquam prodest Hebræum esse, aliaque id genus. Non ergo existimetis me hæc virtutis loco ponere. Sed quoniam illi gloriantur, hinc ego comparationem ducere cogor. Quod etiam alibi facit dicens, *Si quis videtur confidere in carne; ego amplius.* (Philip. 3. 4.) Atque illic quidem hoc facit ob eos, qui in hoc confidebant: quemadmodum si quis claro genere natus, ac philosophicum vitæ genus amplexus, alios ob nobilitatem magnifice de se sentientes videat, atque eorum fastum deprimere cupiens, generis sui splendorem commemorare cogatur, non ut se efferat, sed ut eos humiles reddat. Idem Paulus quoque facit. Ac tum missis illis totam causam in Corinthios effundit dicens: 19. *Libenter suffertis insipientes.* Itaque vos harum rerum causa potius estis, quam illi. Nam nisi vos eos sufferretis, atque, quantum in illis est, detrimentum accepissetis, nullum verbum fecissem. Verum curæ mihi est vestra salus: meque ad vos indulgenter demitto. Ac vide quomodo objurgationi laudem adjungat. Postquam enim dixit: *Libenter suffertis insipientes*; addidit, *cum sitis ipsi sapientes.* Insipientis enim hominis est, de talibus gloriari. Et quidem objurgare oportebat, ac dicere: Nolite sufferre insipientes. Verum hoc cum majore abundantia facit. Nam illo modo idcirco eos objurgare visus fuisset, quod his rebus careret: nunc vero, cum se in his quoque superiorem esse ostendat, & tamen nihil ea esse ducat, magis eos corrigit. Cæterum priusquam in laudes suas atque comparationem ingrediatur, ingentem servilis animi dejectionem Corinthiis probro vertit, quod majorem in modum ipsis sese subjecissent. Ac vide quo pacto eos traducat. 20. *Sustinetis enim*, inquit, *si quis vos devorat.* Quonam ergo modo dicebas, *ut in quo glorientur, inveniantur sicut & nos?* Vides-ne quo pacto eos accipere ostendat: ac non simpliciter accipere, sed etiam supra modum? Hoc enim vocabulo, *devorat*, hoc indicatur. *Si quis vos in servitutem redigit.* Et pecunias vestras, inquit, & corpora, & libertatem dedidistis. Hoc enim majus est, quam accipere, quod ipsi non modo pecunias, sed vos etiam ipsos in potestate habeant. Quod etiam superius his verbis demonstrabat, *Si alii potestatis vestræ participes sunt, annon multo magis nos?* Postea quod gravius est adjungit dicens, *Si quis extollitur.* Neque enim mediocris quædam est vobis servitus, nec mansueti domini, sed graves ac molesti. *Si quis vos in faciem cædit.* Vides rursus tyrannidis augmentum? hoc porro dicebat, non quod eorum ora verberarent, sed quod eos despuerent, atque dedecore afficerent. Unde etiam adjecit, 21. *Secundum ignominiam dico.* Nec enim mitius vobiscum agitur, quam cum iis, qui in faciem cæduntur. Quidnam igitur hoc vehementius esse queat, aut quænam dominatio hac acerbior, cum & pecuniis vestris, & libertate atque honore ademtis, ne sic qui-

A μᾶλλον ἐπὶ τοῖς μηδὲν οὖσι. καὶ τοῦτό ἐστιν ὅπερ, οὐ κατὰ κύριον, καλεῖ. οὐ γὰρ ὄφελος Ἑβραῖον εἶναι, καὶ ὅσα τοιαῦτα. μὴ τοίνυν νομίσητε, ὅτι ὡς ἀρετὴν αὐτὰ τίθημι· ἀλλ' ἐπειδὴ ἐκεῖνοι καυχῶνται, ἀναγκάζομαι κἀγὼ ἐντεῦθεν τὴν σύγκρισιν ποιήσασθαι. ὅπερ καὶ ἀλλαχοῦ ποιεῖ λέγων, Εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. καὶ ἐκεῖ, διὰ τοὺς πεποιθότας ἐπὶ τούτῳ. ὥσπερ ἂν εἴ τις γένους λαμπροῦ ὢν, καὶ φιλόσοφον ἑλόμενος βίον, ἴδοι μέγα φρονοῦντας ἑτέρους ἐπὶ εὐγενείᾳ, καὶ βουλόμενος καθελεῖν B αὐτῶν τὸ φύσημα, ἀναγκασθῇ τὴν οἰκείαν περιφάνειαν εἰπεῖν, οὐχὶ καλλωπιζόμενος, ἀλλὰ ἐκείνους ταπεινῶν. τοῦτο δὴ καὶ ὁ Παῦλος ποιεῖ. Εἶτα ἀποστὰς ἐκείνων, ἐπὶ Κορινθίους ὁλόκληρον τὴν αἰτίαν κενοῖ λέγων, ἡδέως ἀνέχεσθε τῶν ἀφρόνων. ὥστε ὑμεῖς αἴτιοι τούτων, καὶ μᾶλλον ἢ ἐκεῖνοι. Εἰ γὰρ μὴ ὑμεῖς αὐτῶν ἠνείχεσθε, καὶ παρεβλάπτεσθε τό γε ἐκείνων μέρος, οὐδὲν ἐφθεγξάμην· ἀλλὰ τῆς ὑμετέρας κήδομαι σωτηρίας, καὶ συγκαταβαίνω. καὶ ὅρα πῶς καὶ τὴν ἐπιτίμησιν μετ' ἐγκωμίου τίθησιν. εἰπὼν γὰρ, ἡδέως ἀνέχεσθε τῶν ἀφρόνων, ἐπήγαγε, φρόνιμοι C ὄντες. ἀφροσύνης γὰρ τὸ καυχᾶσθαι καὶ ἐπὶ τοιούτοις. καίτοι ἐχρῆν ἐπιτιμῆσαι, καὶ εἰπεῖν, μὴ ἀνέχεσθε τῶν ἀνοήτων· ἀλλὰ μετὰ πλείονος αὐτὸ ποιεῖ περιουσίας. ἐκείνως μὲν γὰρ ἔδοξεν ἂν ὡς ἀπεστερημένος αὐτῶν ἐπιτιμᾶν· νυνὶ δὲ δείξας ἑαυτὸν καὶ ἐν τούτοις κρατοῦντα, καὶ οὐδὲν εἶναι ταῦτα νομίζοντα, μειζόνως αὐτοὺς διορθοῦται. τέως δὲ πρὶν ἢ εἰς τὰ ἐγκώμια ἐμβαλεῖν καὶ τὴν σύγκρισιν, καὶ τὴν πολλὴν Κορινθίων δουλοπρέπειαν ὀνειδίζει αὐτοῖς, ὅτι μεθ' ὑπερβολῆς αὐτοῖς καθυπεκλίνοντο. καὶ σκόπει πῶς D κωμῳδεῖ. ἀνέχεσθε γάρ, φησιν, εἴ τις ὑμᾶς κατεσθίει. πῶς οὖν ἔλεγες, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς; ὁρᾷς ὅτι δείκνυσιν αὐτοὺς λαμβάνοντας, καὶ οὐχ ἁπλῶς λαμβάνοντας, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς; τὸ γὰρ κατεσθίειν τοῦτο δηλοῖ. Εἴ τις ὑμᾶς καταδουλοῖ. καὶ τὰ χρήματα ὑμῶν, φησι, καὶ τὰ σώματα, καὶ τὴν ἐλευθερίαν ἐξεδώκατε. τοῦτο γὰρ μεῖζον τοῦ λαβεῖν, τὸ μὴ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ ὑμῶν αὐτῶν κυρίους εἶναι. ὃ καὶ ἔμπροσθεν δηλοῖ λέγων, Εἰ ἄλλοι τῆς ἐξουσίας E ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς; εἶτα τὸ χαλεπώτερον προστίθησι λέγων, εἴ τις ἐπαίρεται. οὐδὲ γὰρ σύμμετρος ὑμῶν ἡ δουλεία, οὐδὲ ἥμεροι οἱ δεσπόται, ἀλλὰ φορτικοὶ καὶ ἐπαχθεῖς. εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. εἶδες πάλιν ἐπίτασιν τυραννίδος; ταῦτα δὲ ἔλεγεν, οὐχ ὅτι εἰς ὄψιν ἐτύπτοντο, ἀλλ' ὅτι διέπτυον αὐτοὺς καὶ ἠτίμαζον. διὸ προσέθηκε, κατὰ ἀτιμίαν λέγω. τῶν γὰρ εἰς ὄψιν τυπτομένων οὐκ ἔλαττον πάσχετε. τί τοίνυν τούτου γένοιτ' ἂν ἰσχυρότερον; ποία δὲ ταύτης τῆς δεσποτείας πικροτέρα, ὅταν καὶ τὰ χρήματα ὑμῶν, καὶ τὴν ἐλευθερίαν,

καὶ

καὶ τὴν τιμὴν ἀφελόμενοι, μηδὲ οὕτως ὦσιν ἥμεροι, μηδὲ ἐν τάξει δούλων ἐῶσιν ὑμᾶς μένειν, ἀλλὰ καὶ παντὸς ἀργυρωνήτου ὑβριστικώτερον ὦσιν ὑμῖν κεχρημένοι; ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν. ἀσαφὲς δὲ τὸ εἰρημένον. ἐπειδὴ γὰρ φορτικὸν ἦν, διὰ τοῦτο οὕτως αὐτὸ τέθεικεν, ἵνα κλέψῃ τὴν ἐπαχθειαν τῇ ἀσαφείᾳ. ὃ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστι· μὴ γὰρ οὐ δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν; ἀλλ' οὐ ποιοῦμεν. τίνος οὖν ἕνεκεν αὐτῶν ἀνέχεσθε, ὡς ἡμῶν μὴ δυναμένων ταῦτα ποιεῖν; ἔγκλημα μὲν οὖν καὶ τὸ μωραινόντων ἀνέχεσθαι· τὸ δὲ καὶ οὕτω καταφρονούντων ὑμῶν, ἁρπαζόντων, ἐπαιρομένων, τυπτόντων, οὐδ' ἂν ἀπολογίαν ἔχοι, οὐδ' ἂν λόγον τινά. καινὸν γὰρ τοῦτο τὸ τῆς ἀπάτης εἶδος. οἱ μὲν γὰρ ἀπατῶντες καὶ παρέχουσι, καὶ κολακεύουσιν· οὗτοι δὲ καὶ ἀπατῶσι, καὶ λαμβάνουσι, καὶ ὑβρίζουσιν. ὅθεν οὐδὲ σκιὰν ἂν ἔχοιτε συγγνώμης, ὅτι τοὺς μὲν ταπεινοῦντας ἑαυτοὺς δι' ὑμᾶς, ἵνα ὑμεῖς ὑψωθῆτε, διαπτύετε, τοὺς δὲ ὑψοῦντας ἑαυτοὺς, ἵνα ὑμεῖς ταπεινωθῆτε, θαυμάζετε. μὴ γὰρ καὶ ἡμεῖς οὐκ ἠδυνάμεθα ταῦτα ποιεῖν; ἀλλ' οὐ βουλόμεθα, τὸ συμφέρον ὑμῶν σκοποῦντες. ἐκεῖνοι μὲν γὰρ τὰ ὑμέτερα καθαιροῦντες, τὰ ἑαυτῶν σκοποῦσιν. ὁρᾷς πανταχοῦ, ἐξ ὧν παῤῥησιάζεται πρὸς αὐτοὺς, ἐκ τούτων αὐτοὺς καὶ φοβεῖ; εἰ γὰρ διὰ τοῦτο αὐτοὺς τιμᾶτε, φησὶν, ἐπειδὴ τύπτουσιν, ὑβρίζουσι· δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν, δουλοῦσθαι, τύπτειν, ἐπαίρεσθαι καθ' ὑμῶν.

Εἶδες πῶς ὅλην ἐπ' αὐτοὺς ἄγει τὴν αἰτίαν, καὶ τῆς ἐκείνων ἀπονοίας, καὶ τῆς δοκούσης εἶναι ἀφροσύνης ἑαυτοῦ; οὐ γὰρ ἵνα ἐμαυτὸν δείξω λαμπρότερον, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω ταύτης τῆς πικρᾶς δουλείας, ἀναγκάζομαι μικρόν τι καυχᾶσθαι. δεῖ δὲ οὐχ ἁπλῶς τὰ λεγόμενα ἐξετάζειν, ἀλλὰ καὶ τὴν αἰτίαν προστιθέναι. ἐπεὶ καὶ Σαμουὴλ ἐγκώμιον ὑπὲρ ἑαυτοῦ συνέθηκε μέγα, ὅτε τὸν Σαοὺλ ἔχριε, λέγων· ὄνον τινὸς ὑμῶν εἴληφα, ἢ μόσχον, ἢ ὑπόδημα; ἢ ἐξεπίασά τινα ὑμῶν; ἀλλ' ὅμως οὐδεὶς ἐνεκάλει. τὸ δὲ αἴτιον, οὐ καλλωπίζων ἑαυτὸν ἔλεγεν, ἀλλ' ἐπειδὴ βασιλέα καθιστᾶν ἔμελλεν, ἐν ἀπολογίας τάξει βούλεται παιδεῦσαι ἐκεῖνον πρᾶον καὶ ἥμερον εἶναι. καὶ σκόπει σύνεσιν προφήτου· μᾶλλον δὲ, θεοῦ φιλανθρωπίαν. ὅτι μὲν γὰρ ἀποστρέψαι αὐτοὺς ἠβούλετο, πολλὰ φορτικὰ συναγαγὼν, ἔλεγε περὶ τοῦ μέλλοντος βασιλεύειν· οἷον, ὅτι μυλωθρίδας τὰς γυναῖκας αὐτῶν ποιήσει, ποιμένας τοὺς ἄνδρας, ἡμιόνων ἐπιστάτας. καὶ γὰρ μετὰ ἀκριβείας ἐπεξῄει τὴν τῆς βασιλείας θεραπείαν· ἐπειδὴ εἶδεν οὐδενὶ τούτων κωλυομένους, ἀλλὰ ἀνίατα νοσοῦντας, καὶ οὕτως αὐτῶν φείδεται, καὶ ῥυθμίζει τὸν βασιλέα πρᾶον εἶναι. διὰ τοῦτο καὶ αὐτὸν παράγει μάρτυρα. οὐ γὰρ δὴ ἐδικάζετό τις πρὸς αὐτὸν τότε, οὐδὲ ἐνεκάλει ἵνα ἀπολογήσηται· ἀλλ' ἵνα ἐκεῖνον ποιήσῃ βελτίονα, ταῦτα ἔλεγε. διὸ καὶ ἐπήγαγε καθαιρῶν αὐτοῦ τὸ φύσημα, ἐὰν ἀκούσητε ὑμεῖς, καὶ ὁ βασιλεὺς ὑμῶν,

dem lenes se præbent, ac ne in servorum quidem gradu manere vos sinunt: verum mancipio quovis pecunia emto contumeliosius vos tractant? *Quasi nos infirmi fuerimus.* Obscurum est quod ait. Nam quoniam molestum erat, idcirco hoc ita collocavit, ut acerbitatem obscuritate falleret. Quod enim ait, hanc sententiam habet: Annon ipsi quoque hæc facere possumus? Et tamen non facimus. Quam ob causam eos suffertis, ac si nos hæc efficere nequeamus? Atqui illud quoque reprehensionem meretur, quod & stulte se gerentes suffertis: quod autem etiam vos ita aspernantes, diripientes, sese extollentes, vos cædentes, id nullam excusationem, nullam rationem habere queat. Novum enim est hoc fallaciæ genus. Nam cum alii, qui fallunt, largiri atque assentari soleant, isti contra fallunt & accipiunt, contumeliamque inferunt. Itaque ne umbra quidem ulla veniæ vobis esse possit, quippe qui eos, qui vestra causa, ut vos subvehamini, sese deprimunt, respuitis, ac contra eos, qui, ut vos deprimamini, sese efferunt, suspicitis. An nos quoque idem facere non poteramus? At nolumus: ut qui utilitatem vestram nobis propositam habeamus. Nam illi qui vestra sunt rapientes, quæ sua sunt quærunt. Vides quomodo ubique, per quæ ad eos libere loquitur, per eadem terreat? Etenim si ob eam causam, inquit, eos honore afficitis, quia vos cædunt, atque contumeliose vexant; nos quoque hæc facere possumus, servitute vos opprimere, verberare, atque adversum vos extolli.

3. Vides quo pacto causam omnem, tum illorum arrogantiæ, tum suæ, ut videbatur, insipientiæ, in hos confert? Etenim non ut splendidiorem meipsum ostendam, sed ut vos ab hac acerba servitute eripiam, nonnihil gloriari cogor. Operæprecium est autem non simpliciter hæc verba expendere: sed causam etiam adjungere. Nam & Samuel ingentem laudem de seipso contexuit, cum Saulem ungebat, dicens: Cujus vestrum bovem, aut asinum, aut calceamentum tuli? quem oppressi? Et tamen nemo eum accusabat. Id autem ea de causa dicebat, non ut plausum & gloriam captaret: sed quia regem creaturus erat, sub purgationis specie eum erudire vult, ut lenem se ac placidum præbeat. Atque prophetæ prudentiam, vel potius Dei benignitatem animadvertas velim. Nam quia eos deterrere cupiebat, de futuro rege gravia multa collegit; nimirum quod pistrices uxores eorum facturus esset, viros pastores, & mulorum curatores. Siquidem diligenter regni cultum & obsequium enumerabat: quoniam eos ita affectos esse videbat, ut nullo prohiberentur, verum incurabili morbo laborarent. Sicque indulgenter cum ipsis agit, & regem ad lenitatem componit. Ob idque etiam testem eum profert. Neque enim quispiam tunc eum in jus vocabat, nec accusabat, ut ipse sese purgaret: sed, ut eum meliorem faceret, his verbis utebatur. Unde etiam ut ipsius fastum comprimeret, subjunxit, Si audieritis vos, & rex vester

1. Reg. 12. 3.

Ibidem.

hæc & hæc bona vobis contingent. Sin au- A
tem non audieritis, contraria omnia habi-
Amos 7. 14. turi estis. Atque etiam Amos dicebat, *Non eram propheta, nec filius prophetæ, sed armentarius, vellicans sycomoros. Et tulit me Deus.* Hæc porro non eo dicebat, ut seipsum efferret, sed ut eos, qui ipsum non ut prophetam existimabant, reprimeret: atque etiam ut ostenderet se minime fallere, neque ex se ea dicere, quæ dicebat. Atque alius
Mich. 3. 8. rursum hoc idem indicans dicebat: *Verum-*
1. Reg. 17. *tamen ego repletus sum fortitudine Domini in spiritu & potentia.* Quin David quoque, cum de urso ac leone verba faceret, non eo B hæc commemorabat, ut plausus aucuparetur, sed ut magni aliquid & admirandi procuraret. Nam quoniam nemo credebat ipsum barbaro superiorem futurum, ut qui nudus esset, nec arma gestare posset, fortitudinis suæ argumentum præbere necesse ha-
Ibid. 24. buit. Et cum Saüli oram chlamydis abstulit, non ostentationis causa dicebat ea quæ dicebat, sed ut pravam suspicionem a se depelleret, quam adversus eum sparserant, dicentes eum in animo habere regem obtruncare. Quamobrem ubique causa investiganda est. Nam qui auditorum utilitatem spectat, C etiamsi seipsum laudibus efferat, non modo nullam reprehensionem, sed coronam quoque meretur. Imo si tum tacuerit, reprehensione dignus est. Nam & David, si cum ineundum erat cum Goliath certamen, conticuisset, non eum ad dimicationem exire permisissent, nec splendidum illud tropæum erexisset. Quocirca necessitate compulsus hoc dicit, & quidem non fratribus suis; sed regi; nam fratres non ipsi credebant. Verum invidia ipsis aures obturabat. Quare, iis missis, eum alloquitur, qui nondum invidia laborabat.

Invidiæ damna. 4. Noxia enim res est invidia; noxia, in- D quam: ac propriam salutem aspernari persuadet. Sic Caïn quoque sibiipsi exitium attulit, atque ante eum rursus diabolus, qui
1. Reg. 18. ipsius patrem interemerat. Sic Saül, qui pravum dæmonem adversus animam suam accersiverat: cumque accersivisset, medico rursus invidebat. Ea enim invidiæ natura est. Norat se ab eo servatum: malebatque perire, quam eum, a quo salutem accepisset, florentem conspicere. Quid hoc affectu gravius esse queat? Non aberrarit, qui diaboli fœtum eam dixerit. Atque in ea quidem inanis gloriæ fructus, imo etiam radix est. Hæc E
Ibidem. enim duo vitia sese mutuo struere solent. Sic nempe, tunc quoque livore afficiebatur Saül, quod dixissent, Percussit David decem millia. Quo quid stultius fingi possit? Quid enim, quæso, invidia te afficit? An quod quispiam laudibus aliquem ornarit? Atqui gaudere oportebat. Alioqui nescis an vera hæc laus sit. An ob id luges, quod cum nihil in eo sit admiratione dignum, laudem tamen consequutus sit? Atqui misereri potius convenit. Etenim si bonus sit, nemo laudato invidet, verum ad aliorum laudem, suam quoque adjungit. Sin autem talis non est, quid discruciaris? Quid in teipsum gla-

τὰ καὶ τὰ ἔστιν ὑμῖν ἀγαθά· ἐὰν δὲ μὴ ἀκούσητε, τὰ ἐναντία ἅπαντα. καὶ Ἀμμὼς δὲ ἔλεγεν, οὐκ ἤμην προφήτης, οὐδὲ υἱὸς προφήτου, ἀλλ᾽ ἢ αἰπόλος ἤμην συκάμινα κνίζων. καὶ ἀνέλαβέ με ὁ θεός. οὐκ ἐπαίρων δὲ ἑαυτὸν ἔλεγεν, ἀλλὰ ἐπιστομίζων τοὺς ὑποπτεύοντας αὐτὸν οὐχ ὡς προφήτην, καὶ ἵνα δείξῃ ὅτι οὐκ ἀπατᾷ, οὐδὲ οἴκοθεν λέγει ταῦτα ἃ λέγει. καὶ ἕτερος δὲ πάλιν τὸ αὐτὸ τοῦτο ἐμφαίνων ἔλεγεν, ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος κυρίου, ἐν πνεύματι καὶ δυναστείᾳ. καὶ ὁ Δαυὶδ δὲ, ὅτε τὰ κατὰ τὴν ἄρκτον καὶ τὸν λέοντα διηγεῖτο, οὐχὶ καλλωπιζόμενος, ἀλλ᾽ οἰκοδομῶν τι μέγα καὶ θαυμαστὸν, ἔλεγεν. ἐπειδὴ γὰρ ἠπιστεῖτο ὅτι περιέσται τοῦ βαρβάρου γυμνὸς, ὁ μηδὲ ὅπλα ἐνεγκεῖν δυνάμενος, ἠναγκάσθη παρασχεῖν ἀπόδειξιν τῆς οἰκείας ἀνδρείας. καὶ τὸ κράσπεδον ὅτε ἀφεῖλε τοῦ Σαοὺλ, οὐκ ἐπιδεικνύμενος ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ πονηρὰν διακρουόμενος ὑποψίαν, ἣν κατεσκέδασαν αὐτοῦ λέγοντες, ὅτι ἀνελεῖν αὐτὸν ἤθελε. δεῖ τοίνυν πανταχοῦ τὴν αἰτίαν ζητεῖν. ὁ γὰρ πρὸς τὸ συμφέρον τῶν ἀκουόντων ὁρῶν, κἂν ἐγκωμιάζῃ ἑαυτὸν, οὐ μόνον οὐκ ἐγκαλεῖσθαι ἄξιος, ἀλλὰ καὶ στεφανοῦσθαι· κἂν σιγᾷ τότε, ἐγκαλεῖσθαι ἄξιος. ἐπεὶ καὶ ὁ Δαυὶδ τότε εἰ ἐσίγησεν ἐπὶ τοῦ Γολιὰθ, οὐκ ἂν εἴασαν αὐτὸν ἐξελθεῖν ἐπὶ τὴν παράταξιν, οὐδὲ τὸ λαμπρὸν ἐκεῖνο ἔστησε τρόπαιον. διὰ δὴ τοῦτο λέγει ἀναγκασθεὶς, καὶ οὐχὶ τοῖς ἀδελφοῖς, ἀλλὰ τῷ βασιλεῖ. οὐ γὰρ ἂν παρ᾽ αὐτοῖς ἠπιστήθη. ὁ γὰρ φθόνος ἐνέφραττεν αὐτῶν τὰς ἀκοάς. διόπερ ἐκείνους ἀφεὶς, τῷ μηδέπω βασκαίνοντι διαλέγεται.

Δεινὸν γὰρ ἡ βασκανία, δεινόν· καὶ τῆς οἰκείας ἀναπείθει καταφρονεῖν σωτηρίας. οὕτω καὶ Καῒν ἑαυτὸν ἀπώλεσε, καὶ πρὸ τούτου πάλιν ὁ τὸν τούτου πατέρα ἀνελὼν διάβολος. οὕτως ὁ Σαοὺλ δαίμονα πονηρὸν ἐκάλεσε κατὰ τῆς ἑαυτοῦ ψυχῆς· καὶ καλέσας, τῷ ἰατρῷ πάλιν ἐβάσκαινε. τοιοῦτον γὰρ ὁ φθόνος. ᾔδει ὅτι ἐσώθη, καὶ ἀπολέσθαι μᾶλλον ἤθελεν, ἢ τὸν σώσαντα εὐδοκιμοῦντα ἰδεῖν. τί τούτου χαλεπώτερον γένοιτ᾽ ἂν τοῦ πάθους; οὐκ ἄν τις ἁμάρτοι διαβόλου γέννημα τοῦτο εἰπών· καὶ ἐν μὲν ἐκείνῳ κενοδοξίας καρπὸς, μᾶλλον δὲ καὶ ῥίζα. ἀμφότερα γὰρ ταυτὶ τὰ κακὰ ἑαυτὰ συγκατασκευάζειν εἴωθεν. οὕτω δὴ καὶ τότε ἐβάσκαινεν ὁ Σαοὺλ, ἐπειδὴ εἶπον, ἐπάταξε Δαυὶδ ἐν μυριάσιν· οὗ τί γένοιτ᾽ ἂν ἀλογώτερον; τί γὰρ, εἰπέ μοι, φθονεῖς; ὅτι ἐπῄνεσεν ὁ δεῖνα; καὶ μέντοι χαίρειν ἔδει· ἄλλως δὲ, οὐδὲ οἶδας, εἰ ἀληθὴς ὁ ἔπαινος ἦ. καὶ διὰ τοῦτο πενθεῖς, ὅτι οὐκ ὢν θαυμαστὸς ἐπῃνέθη; καὶ μὴν ἐλεεῖν χρή. καὶ ἐὰν μὲν ἀγαθὸς ᾖ, οὐδεὶς φθονεῖ ἐπαινουμένου, ἀλλ᾽ ἐπαινεῖ μετὰ τῶν εὐφημούντων· εἰ δὲ μὴ τοιοῦτος, τί δάκνῃ; τί κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς;

ὅτι θαυμαστὸς τοῖς ἀνθρώποις; ἀλλὰ ἀνθρώποις τοῖς σήμερον οὖσι, καὶ αὔριον οὐκ οὖσιν. ἀλλ' ὅτι δόξης ἀπολαύει; ποίας, εἰπέ μοι; περὶ ἧς ὁ προφήτης φησὶν, ὅτι ἄνθος ἐστὶ χόρτου. διὰ τοῦτο οὖν βασκαίνεις, ὅτι οὐκ ἀχθοφορεῖς, οὐδὲ χόρτου περιφέρεις φορτία τοιαῦτα; εἰ δὲ αὐτός σοι ζηλωτὸς εἶναι δοκεῖ διὰ τοῦτο, τί μὴ καὶ δρυτόμοι καθ' ἑκάστην ἀχθοφοροῦντες ἡμέραν, καὶ ἐν τῇ πόλει εἰσιόντες; οὐδὲν γὰρ τούτου ἄμεινον τοῦτο τὸ φορτίον, ἀλλὰ καὶ χεῖρον. ἐκεῖνο μὲν γὰρ τὸ σῶμα πιέζει μόνον· τοῦτο δὲ καὶ τὴν ψυχὴν πολλάκις παρέβλαψε, καὶ μείζονα παρέχει τὴν ἀγωνίαν τῆς ἡδονῆς. κἂν γὰρ λέγων εὐδοκιμῇ, μείζονα ἔχει τὸν φόβον τῆς εὐφημίας· μᾶλλον δὲ, τὴν μὲν βραχεῖαν, τὸν δὲ διηνεκῆ. ἀλλὰ παρὰ ἄρχουσιν εὐδοκιμεῖ; κἀκεῖ πάλιν φθόνος καὶ κίνδυνος. ὃ γὰρ σὺ πρὸς αὐτὸν πάσχεις, τοῦτο καὶ ἕτεροι πλείους. ἀλλ' ἐπαινεῖται συνεχῶς; τοῦτο δουλείαν ποιεῖ πικράν. οὐ γὰρ τολμήσει τι πρᾶξαι ἀδεῶς τὴν κατὰ γνώμην, ἵνα μὴ προσκρούσῃ τοῖς δοξάζουσιν αὐτόν. δεσμὰ γὰρ αὐτῷ χαλεπὰ ἡ περιφάνεια. ὥστε ὅσῳ ἂν πλείοσι γνώριμος ᾖ, τοσούτῳ πλείους ἔχει δεσπότας, καὶ ἐπιτείνεται τὰ τῆς δουλείας αὐτῷ, τῶν κυρίων αὐτοῦ πανταχοῦ φαινομένων. καὶ ὁ μὲν οἰκέτης, ὅταν ἀπαλλαγῇ τῆς ὄψεως τοῦ δεσπότου, καὶ ἀναπνεῖ, καὶ μετ' ἐλευθερίας ἐστὶν ἁπάσης· οὗτος δὲ πανταχοῦ δεσπόταις περιτυγχάνει. πάντων γὰρ δοῦλός ἐστι τῶν ἐν ἀγορᾷ φαινομένων. κἂν κατεπείγῃ τι τῶν ἀναγκαίων, οὐ τολμᾷ εἰς ἀγορὰν ἐμβαλεῖν, εἰ μὴ καὶ τῶν οἰκετῶν ἑπομένων, καὶ τοῦ ἵππου, καὶ τῆς ἄλλης φαντασίας συγκεκροτημένης, ἵνα μὴ οἱ δεσπόται καταγνῶσι. κἂν φίλον ἴδῃ τινὰ τῶν γνησίων, οὐ θαρρεῖ μετὰ ἰσοτιμίας αὐτῷ διαλεχθῆναι. δέδοικε γὰρ τοὺς δεσπότας, μὴ καθέλωσιν αὐτὸν ἀπὸ τῆς δόξης. ὥστε ὅσῳ περιφανέστερός ἐστι, τοσούτῳ μᾶλλον δεδούλωται. κἂν πάθῃ τι τῶν ἀηδῶν, ἡ ὕβρις χαλεπωτέρα, ὅσῳ καὶ πλείους ἔχει τοὺς μάρτυρας, καὶ παρὰ ἀξίαν τὸ πρᾶγμα εἶναι δοκεῖ. οὐ μόνον δὲ ἡ ὕβρις, ἀλλὰ καὶ ἡ συμφορά. καὶ γὰρ πολλοὺς ἔχει τοὺς ἐφηδομένους· ὥσπερ οὖν κἂν ἀγαθοῦ τινος ἀπολαύσῃ, πλείους τοὺς φθονοῦντας, καὶ βασκαίνοντας, καὶ καθελεῖν ἐσπουδακότας. τοῦτο οὖν ἀγαθὸν, εἰπέ μοι; τοῦτο δόξα; οὐδαμῶς· ἀλλὰ ἀδοξία, καὶ δουλεία, καὶ δεσμὰ, καὶ πᾶν ὁτιοῦν ἂν εἴποι τις φορτικόν. εἰ δὲ καὶ οὕτως ἐπέραστόν σοι ἡ παρὰ ἀνθρώπων δόξα, καὶ πολύ σε θορυβεῖ παρὰ πολλῶν κροτούμενος ὁ δεῖνα· ὅταν ἴδῃς ἀπολαύοντα τῶν κρότων, πρὸς τὸν μέλλοντα αἰῶνα διάβηθι τῷ λογισμῷ, καὶ τὴν ἐκεῖ δόξαν. καὶ ὥσπερ θηρίον ἐπιὸν σπεύδων διαφυγεῖν, εἰς οἰκίσκον εἰσελθὼν ἀποκλείεις τὰς θύρας· οὕτω καὶ νῦν ἐπὶ τὴν μέλλουσαν ζωὴν κατάφυγε, καὶ τὴν ἀπόρρητον δόξαν ἐκείνην. οὕτω γὰρ καὶ ταύτην καταπατήσεις, καὶ ἐκείνης ἐπιλήψῃ ῥᾳδίως, καὶ τῆς ἀληθοῦς ἐλευθερίας ἀπολαύσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν·

A dium impellis? An quod apud homines eximius quidam vir habeatur? At apud homines, qui hodie sunt, & cras esse desinunt. An quia gloriam obtineat? Quam tandem? De qua propheta ait, quod flos fœni sit. Hoccine ergo nomine invides, quod sarcinam non gestas, nec hujusmodi fœni onera circumfers? Quod si tibi ille hoc nomine beatus videtur, cur non etiam lignatores, qui quotidie onera gestant, & in urbem ingrediuntur? Neque enim hæc sarcina melior illa est, imo etiam deterior. Illa enim corpus solum premit: hæc vero animam quoque ipsam plerumque damno afficit, plusque anxietatis quam voluptatis affert. Nam etiamsi dicendi laude celebretur, majorem tamen metum, quam laudem habet. Imo hanc brevem habet: illum perpetuum. At apud principes in gloria splendet? Verum illic rursus livor, & periculum. Ut enim tu erga illos affectus es: ita etiam alii complures. At perpetuo laudatur? Hoc vero acerbam servitutem efficit. Neque enim libere quidquam ex animi sententia facere audebit: ne in eorum, a quibus celebratur, offensionem incurrat. Grave enim ipsi vinculum est nominis claritas. Quocirca quo pluribus notus est, eo etiam plures dominos habet, ejusque servitus crescit: ut qui dominos suos, quoquo se vertat, inspectet. Ac servus quidem, cum ab heri sui vultu remotus est, respirat, ac summa libertate fruitur: hic autem ubique dominos obvios habet. Omnium enim, quos in foro videt, est servus. Quod si necessitas aliqua urgeat, forum ingredi non audet, nisi famuli quoque assectentur, atque equus & omnis alia pompa parata & adornata sit, ne alioqui a dominis improbetur. Quod si sincerum aliquem amicum videat, familiares cum eo, tamquam æquali, sermones habere non audet. Dominos enim metuit, ne ab ipsis de gloriæ suæ gradu dejiciatur. Ex quo efficitur, ut quo clarior est, eo graviore servitute opprimatur. Quod si quid molesti patiatur, eo acerbior est hæc contumelia, quo plures illius testes habet, ac præter dignitatem res ea esse videtur. Nec contumelia dumtaxat istud est, sed etiam calamitas. Nam permultos habet, qui una simul lætentur: ut contra cum bono aliquo fruitur, complures qui ipsi invideant, ac livore afficiantur, eumque dejicere studeant. Hocne igitur, dic quæso, bonum est? Hocne gloria? Minime vero: sed ignominia, & servitus, & vincula, & quidquid grave dici possit. Quod si tibi tam expetenda ea gloria esse videtur, quæ ab hominibus proficiscitur, teque plausus ille, quo quispiam a plurimis excipitur, majorem in modum conturbat, cum eum hujusmodi plausu frui videris, cogitatione ad futurum ævum gloriamque illam transeas: & sicut irruentem feram effugere festinans, in cubiculum ingressus, fores occludis; sic tu nunc quoque ad futuram vitam arcanamque illam gloriam confuge. Sic enim & hanc calcabis, & illam facile assequêris, & vera libertate æternisque bonis fruêris: quæ uti-

Isai 40.

B C D E

nam nobis omnibus consequi detur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum, amen.

## HOMILIA XXV.

*In quo quis audet : in insipientia dico : audeo & ego.*

1. VIDE rursus quomodo refugiat, ac deprecatione & præmunitione utatur: etiamsi permulta quoque jam hujusmodi dixerit, nempe, *Utinam sustineretis modicum quid insipientiæ meæ :* & rursus, *Ne quis me existimet insipientem esse : sin minus, ut & insipientem accipite :* &, *Quod dico, non secundum Deum dico, sed ut in insipientia :* &, *Quoniam multi gloriantur secundum carnem, & ego gloriabor.* Atque hic rursus, *In quo quis audet : in insipientia dico : audeo & ego.* Audaciam videlicet & insipientiam appellat, magni aliquid de se prædicare, idque etiam urgente necessitate: quo nimirum nos doceat rem hujusmodi summopere fugere. Nam
Luc. 17. 10. cum, omnibus etiam muneribus perfuncti, inutiles tamen nos vocare debeamus, qua tandem is venia dignus esse queat, qui nulla necessaria causa impulsus, seipsum attollit ac jactat? Ideo Pharisæus quoque ea passus est, quæ passus est, atque in portu naufragium subiit, quod ad hunc scopulum ratem suam allisisset. Ob eam causam Paulus, etsi summa necessitate constrictum se conspiciens, tamen refugit, atque identidem admonet, hujusmodi rem insipientiæ nota non carere. Ac tum denique necessitatis excusationem obtendens, audet, & ait, 22. *Hebræi sunt? & ego : Israëlitæ sunt? & ego.* Non enim Hebræi omnes Israëlitæ erant. Quandoquidem & Ammonitæ & Moabitæ Hebræi erant. Eaque de causa, ut generis nobilitatem repurgaret, subjunxit, *Semen Abrahæ sunt? & ego.* 23. *Ministri Christi sunt? ut minus sapiens dico, plus ego.* Non satis esse duxit præmunitionem antehac adhibuisse, nisi hic quoque rursus ea uteretur. Ut minus sapiens dico, plus ego. Ego his melior sum ac præstantior. Et quidem perspicua præstantiæ suæ argumenta habebat. Nihilominus tamen insipientiæ vocabulo hanc rem appellat. Atqui, inquies, si falsi Apostoli erant, præcellentia ista per comparationem induci minime debebat, sed prorsus hoc adimi, quod ipsi ministri essent. Istud vero ipsum, inquam, sustulit, cum dixit, pseudoapostoli, operarii dolosi, transfigurantes se in apostolos Christi. At nunc haud ita hoc facit. Ad examen quippe sermo processurus erat. Nemo porro re non examinata simpliciter sententiam pronunciat: verum cum prius sublationem eam, quæ per res ipsas efficitur, comparationis modo collocarit, tum demum rem eam ostendit, quæ multo plus firmitatis habeat. Alio autem modo, sententiam ipsorum non judicium suum ponit, dicens, *Mi-*

A ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΟΜΙΛΙΑ κέ.

Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ.

B ΟΡΑ πάλιν αὐτὸν ἀναδυόμενον, καὶ παραιτήσει χρώμενον, καὶ προδιορθώσει. καίτοι καὶ ἤδη πολλὰ τοιαῦτα εἴρηκεν· ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. καὶ πάλιν, μή τίς με δόξῃ ἄφρονα εἶναι. εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθε. ὃ λαλῶ, οὐ κατὰ κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ. ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. καὶ ἐνταῦθα πάλιν, ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. τόλμαν καὶ ἀφροσύνην καλεῖ τὸ περὶ ἑαυτοῦ μέγα τι λέγειν, καὶ ταῦτα ἀνάγκης οὔσης, παιδεύων ἡμᾶς ἐκ περιουσίας τὸ τοιοῦτον
C φεύγειν. εἰ γὰρ μετὰ τὸ πάντα ποιῆσαι, ἀχρείους δεῖ καλεῖν ἑαυτούς· οὐδεμιᾶς κατεπειγούσης αἰτίας, τίνος ἂν εἴη συγγνώμης ἄξιος ἐπαίρων τις ἑαυτὸν καὶ κομπάζων; διὰ τοῦτο καὶ ὁ Φαρισαῖος ἔπαθεν, ἅπερ ἔπαθε, καὶ ἐν λιμένι ναυάγιον ὑπέμεινεν, ὅτι τούτῳ προσέρρηξε τῷ σκοπέλῳ. διὰ τοῦτο καὶ ὁ Παῦλος μυρίαν ἀνάγκην ὁρῶν, ὅμως ἀναδύεται, καὶ συνεχῶς ἀναμιμνήσκει ὅτι ἀφροσύνης τὸ τοιοῦτόν ἐστι. καὶ τότε λοιπὸν κατατολμᾷ, τὴν ἀπὸ τῆς ἀνάγκης ἀπολογίαν προβαλλόμενος, καί φησιν, Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ. οὐ γὰρ ἦν πάν-
D τας τοὺς Ἑβραίους Ἰσραηλίτας εἶναι· ἐπεὶ καὶ Ἀμμανῖται, καὶ Μωαβῖται τοῦτο ἦσαν. διὸ ἐπήγαγεν ἐκκαθαίρων τὴν εὐγένειαν, καί φησι, σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. οὐκ ἠρκέσθη τῇ προτέρᾳ παραιτήσει, ἀλλὰ καὶ ἐντεῦθεν πάλιν αὐτῇ κέχρηται· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. κρείττων αὐτῶν ἐγὼ, καὶ βελτίων. καίτοι τὰς ἀποδείξεις εἶχε σαφεῖς τῆς ὑπεροχῆς· ἀλλ' ὅμως παραφροσύνην καὶ οὕτω τὸ πρᾶγμα καλεῖ. καὶ μὴν εἰ ψευδαπόστολοι ἦσαν, οὐκ ἔδει κατὰ σύγ-
E κρισιν εἰσάγειν τὴν ὑπεροχὴν, ἀλλὰ ἀνελεῖν τὸ εἶναι αὐτοὺς διακόνους. ἀνεῖλε μὲν οὖν αὐτὸ εἰπὼν, ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. νῦν δὲ αὐτὸ οὐ ποιεῖ οὕτως. εἰς γὰρ ἐξέτασιν ἔμελλεν ὁ λόγος προβαίνειν. οὐδεὶς δὲ, ἐξετάσεως οὐκ οὔσης, ἁπλῶς ἀποφαίνεται· ἀλλὰ πρότερον κατὰ σύγκρισιν θεὶς τὴν διὰ τῶν πραγμάτων ἀναίρεσιν, ἐπιδείκνυται τὴν καὶ πολὺ στερρὰν οὖσαν. ἄλλως δὲ, γνώμην αὐτῶν ἐκείνων τίθησιν, οὐκ αὐτοῦ ἀπόφασιν, λέγων,

διάκονοι Χριστοῦ εἰσι· καὶ εἰπὼν, ὑπὲρ ἐγὼ, προάγει τὴν σύγκρισιν, καὶ δείκνυσι πῶς οὐκ ἀποφαινόμενος, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων ἐπίδειξιν ἐπάγων, τὸν χαρακτῆρα τῆς ἀποστολῆς διατηρεῖ. καὶ ἀφεὶς τὰ σημεῖα πάντα, ἀπὸ τῶν πειρασμῶν ἄρχεται, οὕτω λέγων· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως. τοῦτο ἐκείνου μεῖζον, τὸ καὶ πλήττεσθαι καὶ μαστίζεσθαι. ἐν φυλακαῖς περισσοτέρως. καὶ ἐνταῦθα πάλιν ἐπίτασις. ἐν θανάτοις πολλάκις. καθημέραν γὰρ, φησιν, ἀποθνήσκω· ἐνταῦθα δὲ καὶ ἔργῳ. πολλάκις γὰρ εἰς κινδύνους παρεδόθη θάνατον ἔχοντας. πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων. διὰ τί, παρὰ μίαν; νόμος ἦν παλαιὸς, τὸν πλέον τῶν τεσσαράκοντα λαβόντα, ἄτιμον εἶναι παρ' αὐτοῖς. ἵνα οὖν μὴ ἡ τοῦ τύπτοντος ῥύμη καὶ ὁρμὴ πλέον ἐπενεγκοῦσα τοῦ ἀριθμοῦ, ἄτιμον ποιήσῃ, ὥρισαν παρὰ μίαν τύπτεσθαι· ἵνα κἂν πλεονάσῃ ὁ τύπτων, μὴ ὑπὲρ τὰ τεσσαράκοντα ἐκπέσῃ, ἀλλ' εἴσω τοῦ ἀριθμοῦ τοῦ νενομισμένου μείνας, μὴ ἀτιμάσῃ τὸν τυπτόμενον. τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα. καὶ τί τοῦτο πρὸς τὸ εὐαγγέλιον; ὅτι μακρὰς ὁδοὺς ἐστέλλετο καὶ διαποντίους. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. οἱ μὲν ἐν μέσῳ πελάγει φασίν· οἱ δὲ, ὡς νηχόμενος· ὅπερ καὶ ἀληθέστερον εἰπεῖν. ἐκεῖνό γε οὔτε θαύματος ἄξιον, οὐδ' ἂν ὡς τῶν ναυαγίων μεῖζον τέθεικε. κινδύνοις ποταμῶν. ἠναγκάζετο γὰρ καὶ διαπορθμεύειν ποταμούς. κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ. πανταχοῦ μοι τὰ ἆθλα προὔκειτο, ἐν τόποις, ἐν χώραις, ἐν πόλεσιν, ἐν ἐρημίαις. κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις. ὅρα ἕτερον εἶδος πολέμου. οὐ γὰρ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ οἱ ὑπεκρίνοντο τὴν ἀδελφότητα, ἔβαλλον· καὶ πολλῆς ἐδεῖτο τῆς εὐτονίας, καὶ πολλῆς τῆς συνέσεως. ἐν κόπῳ καὶ μόχθῳ. κίνδυνοι πόνοις, πόνοι κινδύνους διεδέχοντο ἐπάλληλοι καὶ συνεχεῖς, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι συνεχώρουν. ἐν ὁδοιπορίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. πλείονα τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων.

Μᾶλλον δὲ οὐδὲ αὐτὰ τὰ ἀπαριθμηθέντα ὅσα, ἔστιν εἰπεῖν· οὐδὲ γὰρ κατ' εἶδος αὐτὰ τέθεικεν· ἀλλ' ὧν μὲν εὔληπτος ἦν ὁ ἀριθμὸς καὶ βραχὺς, ἐμνήσθη τούτων, τρὶς καὶ τρὶς, λέγων, καὶ ἅπαξ· τῶν δὲ ἄλλων οὐκέτι οὕτω, διὰ τὸ πολλάκις ὑπομεμενηκέναι. καὶ οὐ λέγει τὰ ἐξ αὐτῶν κατορθώματα, οἷον τοσούσδε καὶ τοσούσδε ἐπέστρεψεν· ἀλλ' ἃ ἔπαθε μόνον ὑπὲρ τοῦ κηρύγματος, ὁμοῦ μὲν μετριάζων, ὁμοῦ δὲ δεικνὺς, ὅτι κἂν μηδὲν γένηται, ἔστι τι πλέον πονουμένῳ. οὕτω γὰρ τὰ τῶν μισθῶν ἐστι πεπληρωμένα. ἡ ἐπισύστασίς μου καθημέραν.

*nistri Christi sunt*: & addens, *plus ego*, comparationem provehit, atque ostendit se, non pronunciantem, sed demonstrationem eam, quæ ex rebus ipsis exsistit, inducentem, peculiarem apostolici muneris notam retinere. Atque omissis omnibus miraculis, a tentationibus exorditur, sic loquens: *In laboribus abundantius, in plagis supra modum.* Hoc enim illo majus est: nempe cædi ac verberibus affici. *In carceribus abundantius.* Hîc quoque rursus incrementum est. *In mortibus frequenter.* Quotidie enim, inquit, morior. Hîc autem etiam re ipsa. Persæpe siquidem in mortifera pericula conjectus sum. *A Judæis quinquies quadragenas una minus accepi.* Quare, *una minus?* Prisca lege sancitum erat, ut si quis plus quam quadraginta verberum ictus accepisset, infamis apud ipsos esset. Itaque ne verberantis impetus hunc numerum in infligenda pœna excedens, ignominiæ notam reo inureret, præscriptum est ab illis, ut ei, qui vapularet, unde quadraginta tantum plagæ incuterentur: ut quamlibet is, qui verberaret, in cædendo acris esset, tamen quadragenarium non excederet, sed infra numerum lege constitutum subsistens, ei, qui vapularet, non hoc dedecus inferret. 25. *Ter virgis cæsus sum, semel lapidatus sum: ter naufragium feci.* Et quid hoc ad evangelium? Quia longas vias, & marinas obivit. *Die ac nocte in profundo maris fui.* Quidam in medio mari fuisse, quidam natavisse dicunt; quod quidem ad similitudinem veri magis accedit. Nam illud ne admiratione quidem dignum est: neque ita positum fuisset, tamquam naufragio majus. 26. *Periculis fluminum.* Etenim flumina quoque trajicere cogebatur. *Periculis latronum, periculis in civitate, periculis in solitudine.* Ubique mihi certamina proponebantur, in locis, in regionibus, in civitatibus, in solitudinibus. *Periculis ex gentibus, periculis ex falsis fratribus.* Vide alterum belli genus. Non enim ab hostibus solum, sed etiam ab illis, qui fraternæ benevolentiæ speciem præ se ferebant, petebatur, magnaque animi contentione ac prudentia opus habebat. 27. *In labore & ærumna.* Pericula labores, ac rursum labores pericula frequentia excipiebant, nec vel tantillum eum respirare sinebant. *In vigiliis multis, in fame & siti & nuditate,* 28. *præter illa quæ extrinsecus sunt.* Plura prætermissa, quam enumerata sunt.

1\. Cor. 15. 31.

2\. Imo ne ea quidem, quæ enumerando recensuit, quanta sint, verbis explicari potest. Neque enim ea speciatim posuit: verum illa commemoravit, quorum exiguus facilisque numerus erat, ter & ter dicens, & semel: alia autem non item, quod videlicet ea sæpe pertulisset. Nec vero, quis harum rerum fructus exstiterit, refert, hoc est, quantam hominum multitudinem ad Christum converterit: sed tantum ea, quæ prædicationis causa perpessus sit: simul modestiam retinens, & illud ostendens, quod etiamsi nihil effectum fuisset, non tamen ipsi labores fructu caruissent. Sic namque merces plena & cumulata est. *Instantia mea quotidiana.*

A Tumultus, commotiones, populorum oppugnationes, urbium impetus. Judæi etenim supra omnes eum bello lacessebant, quia præ cæteris omnibus eos confundebat, maximumque furoris eorum argumentum hinc præbebat, quod tam subito ab iis ad Christum sese transtulisset. Atque ingens adversus eum bellum, tum a suis, tum ab alienis, tum ab hypocritis excitabatur: fluctusque ubique & præcipitia erant, in orbe, in desertis locis, in terra, in mari, intus, foris. Ac ne necessarius quidem cibus ipsi suppetebat, nec vel tenue indumentum: verum ille orbis terrarum pugil nudus dimicabat, B ac fame oppressus decertabat. Tantum aberat, ut opibus cogendis studeret. Nec ideo angebatur: sed pro his rebus certaminis præsidi gratias agebat. *Solicitudo omnium ecclesiarum.* Istud omnium caput est, quod animus quoque ipsius distorquebatur, atque cogitatio distrahebatur. Nam etiamsi nulla res ipsum externe impetivisset, satis tamen superque intestinum bellum erat, aliis alii superjecti fluctus, curarum agmina, cogitationum conflictus. Nam si quispiam unius tantum domus curam gerens, servosque & procuratores atque administratores habens, plerumque præ curarum mole ne respirare quidem potest, etiamsi nemo sit, qui negotium C ipsi facessat, cogita quidnam hic pertulerit, qui non unius domus, sed urbium, & populorum, & nationum atque adeo totius orbis curam gerebat, & pro tantis rebus, cum tot essent a quibus vexabatur, ipseque solus esset, tantaque pateretur, eaque solicitudine afficeretur, ut nullus pater pro filio in pari cura versetur. Ne etenim dicas, Quid enim si solicitus quidem erat, sed utcumque ac leviter? subjunxit quam vehemens ea cura esset, dicens, 29. *Quis infirmatur, & ego non infirmor?* Non dixit, Non mœstitiæ sum particeps: sed perinde atque eodem ipso affectu ac morbo laborem, ita perturbor ac tumultuor. *Quis scandalizatur, & ego non uror?* D Vide rursus incredibilem quamdam doloris magnitudinem, quæ quidem in hoc inflammationis vocabulo inest. Incendor, inquit, atque ardeo. Quod quidem majus omnibus erat. Illa enim, quamquam aspera, tamen confestim præteribant, voluptatemque non marcescentem afferebant: hoc autem erat, quod eum premebat, atque in arctum redigebat, mentemque ipsius sauciabat, quod pro unoquoque infirmo, quicumque tandem is esset, tanta perpeteretur. Non enim de majoribus quidem hæc dicebat, minores E autem contemnebat: verum abjectissimum etiam quemque, inter necessarios reponebat. Unde etiam dicebat, *Quis infirmatur?* &, ac si ipse universa orbis ecclesia esset, sic in unoquoque membro discruciabatur. 30. *Si gloriari oportet, in his, quæ infirmitatis meæ sunt, gloriabor.* Vides-ne quomodo nusquam ob miracula, sed ob persequutiones & tentationes glorietur? Hoc enim, inquit, imbecillitatis est, variumque bellum esse indicat. Nam & Judæi bellum ipsi inferebant,

A οἱ θόρυβοι, αἱ ταραχαὶ, αἱ πολιορκίαι τῶν δήμων, καὶ τῶν πόλεων ἔφοδοι. τούτῳ γὰρ μάλιστα πάντων ἐπολέμουν οἱ Ἰουδαῖοι, ἐπειδὴ μάλιστα πάντων αὐτοὺς συνέχεε, καὶ μέγιστος τῆς μανίας ἔλεγχος ἦν, μεταταξάμενος ἀθρόον. καὶ πολὺς ὁ πόλεμος ἐπνεῖτο κατ' αὐτοῦ, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν ὑποκρινομένων. καὶ πανταχοῦ κύματα καὶ κρημνοὶ, ἐν τῇ οἰκουμένῃ, ἐν τῇ ἀοικήτῳ, ἐν τῇ γῇ, ἐν τῇ θαλάσσῃ, ἔξωθεν, ἔσωθεν. καὶ οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, οὐδὲ ψιλῆς περιβολῆς, ἀλλ' ὁ τῆς οἰκουμένης ἀγωνιστὴς, B γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπύκτευε· τοσοῦτον ἀπεῖχε τοῦ χρηματίζεσθαι. καὶ οὐκ ἐδυσχέραινεν, ἀλλὰ χάριτας ᾔδει τούτων τῷ ἀγωνοθέτῃ. Ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τοῦτο τὸ κεφάλαιον ἁπάντων, ὅτι καὶ ἡ ψυχὴ διεσπᾶτο, καὶ ἡ διάνοια διετέμνετο. Εἰ γὰρ καὶ μηδὲν ἔξωθεν προσέβαλεν, ἱκανὸς ὁ ἔνδον πόλεμος, τὰ κύματα τὰ ἐπάλληλα, αἱ νιφάδες τῶν φροντίδων, ὁ πόλεμος τῶν λογισμῶν. Εἰ γὰρ οἰκίας τις μιᾶς προνοῶν, καὶ οἰκέτας ἔχων, καὶ ἐπιτρόπους, καὶ οἰκονόμους, οὐδὲ ἀναπνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων, οὐδενὸς C ὄντος τοῦ ἐνοχλοῦντος· ἐννόησον ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πόλεων, καὶ δήμων, καὶ ἐθνῶν, καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὴν φροντίδα ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὢν, καὶ τοσαῦτα πάσχων, καὶ οὕτω κηδόμενος, ὡς οὐδὲ πατὴρ παίδων, ἐννόησον τί ὑπέμενεν. ἵνα γὰρ μὴ λέγῃς, τί γὰρ ἐμερίμνα μὲν, ἐμερίμνα δὲ ἁπλῶς; ἐπήγαγε καὶ τὴν ἐπίτασιν τῆς φροντίδος, λέγων, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; οὐκ εἶπεν, οὐ κοινωνῶ τῇ ἀθυμίᾳ· ἀλλ' ὡς ἐν αὐτῷ ὢν τῷ πάθει, ὡς ἐν αὐτῇ ὢν τῇ ἀῤῥωστίᾳ, οὕτω θορυβοῦμαι καὶ ταράσσομαι. Τίς σκαν- D δαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὅρα πάλιν τὴν ὑπερβολὴν τῆς ὀδύνης, πῶς πάρεστιν ἐν τῇ τῆς πυρώσεως προσηγορίᾳ. ἐμπίπραμαι, καίομαι, φησίν· ὃ δὴ πάντων μεῖζον ἦν. ἐκεῖνα μὲν γὰρ εἰ καὶ σφοδρὰ, ἀλλὰ καὶ παροδεύεται ταχέως, καὶ τὴν ἡδονὴν εἶχεν ἀμάραντον· τοῦτο δὲ ἦν τὸ θλῖβον αὐτὸν, καὶ στενοχωροῦν, καὶ διατιτρῶσκον αὐτοῦ τὴν διάνοιαν, τὸ καθ' ἕκαστον τῶν ἀσθενούντων τοιαῦτα πάσχειν, εἰ καὶ ὁστισοῦν ἦν. οὐδὲ γὰρ ὑπὲρ τῶν μειζόνων μὲν [a] ἔλεγε, τῶν δὲ ἐλαττόνων κατεφρόνει· E ἀλλὰ καὶ τὸν ἀπεῤῥιμμένον ἐν τοῖς ἀναγκαίοις ἐτίθετο. διὸ καὶ ἔλεγε, Τίς ἀσθενεῖ; δηλῶν ὅτι ὅστις ἐὰν ᾖ. καὶ καθάπερ αὐτὸς ὢν ἡ ἐκκλησία ἡ κατὰ τὴν οἰκουμένην, οὕτω καθ' ἕκαστον ὠδυνᾶτο μέλος. Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ὁρᾷς ὅτι οὐδαμοῦ ἀπὸ σημείων, ἀλλ' ἀπὸ τῶν διωγμῶν καυχᾶται, καὶ τῶν πειρασμῶν; τοῦτο γὰρ, φησὶν, ἀσθενείας. καὶ ποικίλον τὸν πόλεμον δείκνυσι. καὶ γὰρ οἱ Ἰουδαῖοι αὐτὸν ἐπολέμουν,

[a] ἔλεγε. Savilius legendum putat ἤλγει. Sed non puto lectionem istam hic quadrare.

καὶ τὰ ἔθνη πρὸς αὐτὸν ἵστατο, καὶ οἱ ψευδάδελφοι αὐτῷ ἐπύκτευον, καὶ οἱ ἀδελφοὶ αὐτὸν ἐλύπουν ἀσθενοῦντες καὶ σκανδαλιζόμενοι. πάντοθεν αὐτῷ θόρυβος καὶ ταραχὴ, ἀπὸ τῶν οἰκείων, ἀπὸ τῶν ἀλλοτρίων. οὗτος ἀποστολικὸς χαρακτήρ· διὰ τούτων ὑφαίνεται εὐαγγέλιον. ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου Ἰησοῦ οἶδεν, ὅτι οὐ ψεύδομαι. ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. τί δήποτε ἐνταῦθα διαβεβαιοῦται καὶ πιστοῦται, ἐπ' οὐδενὸς τῶν προτέρων τοῦτο ποιήσας; ὅτι ἴσως τοῦτο ἀρχαιότερον ἦν καὶ ἀδηλότερον· ἐκεῖνα δὲ καὶ αὐτοῖς γνώριμα, ἡ μέριμνα τῶν ἐκκλησιῶν, καὶ τὰ ἄλλα πάντα. θέα τοίνυν τὸν πόλεμον ὅσος, εἴγε δι' αὐτὸν τὴν πόλιν ἐφρούρει. ὅταν δὲ τὸν πόλεμον εἴπω, τὸν ζῆλον λέγω τοῦ Παύλου. εἰ γὰρ μὴ σφοδρὸς ἔπνει, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐθνάρχην μανίαν. ταῦτα ψυχῆς ἀποστολικῆς, τὸ πάσχειν τοσαῦτα, καὶ μηδαμοῦ περιτρέπεσθαι, ἀλλὰ φέρειν γενναίως τὰ ἐμπίπτοντα, καὶ μὴ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, μηδὲ ἐπιπηδᾷν. ὅρα γοῦν ἐνταῦθα πῶς ἠνέσχετο διαφυγεῖν τὴν πολιορκίαν, διὰ θυρίδος χαλασθεὶς ἐν σαργάνῃ. εἰ γὰρ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ' ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἤρα σωτηρίας. διὸ πολλάκις καὶ τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι· καὶ οὐ παρῃτεῖτο οὐδὲ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν, ἡνίκα ἀπῄτει καιρός· οὕτως ἦν νήφων καὶ ἐγρηγορώς. ἔνθα μὲν γὰρ ἄφυκτα ἦν κακὰ, τῆς χάριτος ἔδει μόνης· ἔνθα δὲ σύμμετρος ὁ πειρασμὸς, πολλὰ καὶ οἴκοθεν ἐπινοεῖ· καὶ ἐνταῦθα πάλιν τῷ θεῷ τὸ πᾶν λογιζόμενος. καὶ καθάπερ τις σπινθὴρ πυρὸς ἀσβέστου εἰς πέλαγος ἐμπεσὼν, κυμάτων πολλῶν ἐπιόντων βαπτίζοιτο, καὶ πάλιν ἀνέρχοιτο λαμπρός· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος, νῦν μὲν ἐχώννυτο κινδυνεύων, νῦν δὲ [a] αὐτοὺς διαδὺς, φαιδρότερος ἀνῄει, τῷ πάσχειν κακῶς περιγινόμενος.

Αὕτη γὰρ ἡ λαμπρὰ νίκη, τοῦτο τῆς ἐκκλησίας τὸ τρόπαιον, οὕτως ὁ διάβολος βάλλεται, πασχόντων ἡμῶν κακῶς. ἡμῶν γὰρ πασχόντων ἁλίσκεται, καὶ πάσχει κακῶς, ὅταν ἡμᾶς ποιεῖν βούλεται. ὅπερ καὶ ἐπὶ Παύλου συνέβαινε· καὶ ὅσῳ μείζον ἐπῆγε τοὺς κινδύνους, τοσούτῳ μᾶλλον ἡττᾶτο. οὐδὲ γὰρ ἓν εἶδος κατεσκεύαζε πειρασμῶν, ἀλλὰ ποικίλον καὶ διάφορον. τὰ μὲν γὰρ πόνον εἶχε, τὰ δὲ ἀθυμίαν, τὰ δὲ φόβον, τὰ δὲ ὀδύνην, τὰ δὲ φροντίδα, τὰ δὲ αἰσχύνην, τὰ δὲ πάντα ὁμοῦ. ἀλλ' ὅμως ἐν πᾶσιν ἐκράτει. καὶ καθάπερ στρατιώτης εἰς τὴν οἰκουμένην πολεμοῦσαν ἔχων ἅπασαν, ἐν μέσοις στρέφοιτο τοῖς τάγμασι τῶν πολεμίων, καὶ μηδὲν πάσχοι δεινόν· οὕτω καὶ ὁ Παῦλος μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, πανταχοῦ θαλάσσης φαινόμενος, ἀχείρωτος ἔμενε. καὶ ὥσπερ τις σπινθὴρ εἰς καλάμην καὶ χόρτον ἐμπίπτων,

[a] Savilius legendum suspicatur, αὖθις.

& Gentiles adversus eum stabant, & falsi fratres cum eo luctabantur, & fratres infirmitate laborantes ac scandalum patientes mœrore ipsum afficiebant. Undique ipsi tumultus ac perturbatio erat, a suis, ab alienis. Hæc peculiaris apostolici muneris nota est. Per hæc texitur evangelium. 31. *Deus & Pater Domini Jesu scit quia non mentior.* 32. *Præpositus Gentis Aretæ regis custodiebat civitatem Damascenorum, volens me comprehendere.* Cur hoc loco affirmatione atque asseveratione utitur, cum nulla in re ante istud fecerit? Fortasse quia antiquius hoc erat, & ignotius: illa autem ipsis quoque nota, nimirum solicitudo ecclesiarum, aliaque omnia. Perspice itaque quanta belli vis esset, quippe cum ideo civitatem præsidio cinctam teneret. Porro cum bellum dico, Pauli zelum dico. Nam nisi acer ac vehemens exstitisset, non utique tanto furore præfectum incendisset. Hæc sunt animi apostolici, tot adversa perpeti, nec tamen usquam subverti, sed forti ac generoso animo ea, quæ accidunt, perferre, non autem periculis obviam ire, nec in ea insilire. Vide quippe quomodo hîc obsidionem effugere sustinuerit, *Per murum demissus in sporta.* Quamquam enim ex hac vita discedere cupiebat: at hominum tamen salutem expetebat. Unde etiam sæpe eadem moliebatur, ut se prædicationi servaret. Ac ne humanis quidem artibus, cum tempus ita postularet, uti recusabat. Usque adeo prudens ac vigilans erat. Nam cum ejusmodi mala erant, quæ vitari nullo modo possent, tum gratia sola opus habebat. Cum autem quædam mediocris tentatio erat, multa quoque suopte ingenio excogitabat. Atque hîc quoque rursus Deo totum adscribens: ac si scintilla quædam ignis, qui exstingui nequeat, in mare prolapsa, incursantibus multis fluctibus, demergatur, rursusque splendida emergat; ita quoque beatus Paulus nunc quidem periculis obruebatur, nunc vero ex ipsis emersus splendidior ascendebat, eo ipso, quod vexabatur, victoriam referens.

3. Hæc enim luculenta victoria est: hoc ecclesiæ tropæum. Sic diabolus profligatur, dum nos male mulctamur. Nobis enim perpetientibus, capitur ille: ac male mulctatur, dum nos malis afficere studet. Id quod in Paulo quoque usu veniebat. Quo enim majora pericula illi diabolus creabat, eo magis vincebatur. Neque unum tentationis genus, sed varia ac multiplicia comparabat. Alia enim laborem, alia mœrorem, alia metum, alia dolorem, alia curam, alia infamiam, alia hæc cuncta simul afferebant. Et tamen in omnibus superabat. Ac quemadmodum si miles unus, ab universo terrarum orbe bello impetitus, inter medios hostium cuneos versetur, nec quidquam adversi patiatur; sic etiam Paulus solus inter Barbaros, inter Græcos, ubique terrarum, atque in omnibus maris partibus apparens, invictus manebat. Atque ut scintilla aliqua in stipulam ac fœnum incidens, in naturam

suam vertit ea quæ uruntur: ita hic quoque invadens, omnes ad veritatem traducebat, torrentis instar omnia peragrans, atque obstacula subruens: ac velut unus & idem athleta luctans, currens, & pugnis certans, aut ut miles muros oppugnans, pedestrem vel navalem pugnam iniens; sic omne certaminis genus obibat, ignemque spirabat, atque ita se comparabat, ut nemo ad eum accedere posset. Uno corpore terram universam comprehendebat: una lingua omnes fugabat. Non ita multæ illæ tubæ in Jericuntinæ urbis muros incidebant, eosque solo æquabant, ut vox ejus resonans diabolica præsidia prosternebat, atque hostes ad suas partes traducebat. At postquam ingentem captivorum copiam collegisset, armisque eos induisset, exercitum suum rursus efficiebat, ac per eum eximias palmas obtinebat. David uno tantum lapidis jactu Goliath dejecit. At si egregia Pauli facinora expendas, pueri facinus illud invenietur: quantumque inter pastorem & belli ducem interest, tantum inter utrumque discriminis esse conspicies. Hic enim non lapidis jactu Goliath prosternebat, verum sola voce totam diaboli phalangem opprimebat, atque ut leo rugiens, ignemque e lingua emittens, sic ipse a nemine sustineri poterat, assidueque quoquo gentium transiliebat. Ad hos currebat, ad illos se conferebat: ad hos migrabat, ad alios transibat, vento celerius procurrens, atque, instar unius domus aut navis, universum terrarum orbem gubernans, eos qui demergebantur retrahens, vertigine laborantes fulciens, nautas exhortans, ad puppim sedens, proram circumspectans, funes tendens, remum tractans, velum trahens, in cælum oculos conjiciens, omnia ipse munera obiens, nautæ, gubernatoris, proretæ, veli, navis: quidlibet patiens, ut aliorum mala solveret. Sic autem consideres velim. Naufragium subiit, ut orbis terrarum naufragium sedaret. Noctem & diem in imis maris gurgitibus egit, ut homines ex erroris profundo extraheret. In labore versatus est: ut laborantes recrearet, Plagas sustinuit: ut iis, quibus diabolus vulnera intulerat, mederetur. In carcere commoratus est: ut eos, qui in vinculis ac tenebris sedebant, in lucem educeret. In mortibus frequenter: ut acerbis mortibus liberaret. Quinquies quadragenas una minus accepit: ut eos, qui hæc perpetrabant, a diaboli verberibus eximeret. Virgis cæsus est: ut sub Christi virgam & baculum adduceret. Lapidibus impetitus est: ut a lapidibus sensus expertibus removeret. In solitudine fuit: ut a solitudine extraheret. In itineribus: ut errantes reprimeret, viamque in cælum ferentem aperiret. In urbibus periclitatus est: ut supernam civitatem ostenderet. In fame & siti: ut a graviore fame vindicaret. In nuditate: ut indecore se gerentes Christi stola convestiret. In vulgi in-

*Josu. 10.*

1. *Reg.* 17.

Pauli egregia facinora.

A πρὸς τὴν ἑαυτοῦ φύσιν μετατίθησι τὰ καιόμενα· οὕτω καὶ οὗτος ἅπασιν ἐπιὼν, πάντας μεθίστα πρὸς τὴν ἀλήθειαν, χειμάῤῥου δίκην πάντα ἐπιὼν, καὶ ἀνατρέπων τὰ κωλύματα. καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων, ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν· οὕτω πᾶν εἶδος μετῄει μάχης, καὶ πῦρ ἐνέπνει, καὶ πᾶσιν ἀπρόσιτος ἦν· ἑνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, μιᾷ γλώττῃ πάντας τρεπόμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τῆς τῶν Ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτοὺς, ὡς ἡ τούτου φωνὴ ἠχοῦσα τὰ ὀχυ-

B ρώματα τὰ διαβολικὰ καὶ ἔῤῥιπτε χαμαὶ, καὶ τοὺς ἐναντίους πρὸς αὐτὸν μεθίστησι. καὶ ἡνίκα συνέλεξεν αἰχμαλώτων πλῆθος, αὐτοὺς τούτους ὁπλίσας, οἰκεῖον στρατόπεδον πάλιν ἐποίει, καὶ δι' αὐτῶν ἐκράτει θαυμαστῶς. Δαυὶδ τὸν Γολιὰθ κατέφερεν ἀπὸ λίθου μόνου ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματα ἐξετάσεις, παιδὸς ἔργον ἐκεῖνο, καὶ ὅσον ποιμένος καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον ὄψει τὸ διάφορον. οὗτος γὰρ οὐ λίθον ῥίπτων κατέφερε τὸν Γολιὰθ, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν τοῦ διαβόλου κατέλυε [a] τὴν

C φάλαγγα· καὶ καθάπερ λέων βρυχόμενος, καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιεὶς, οὕτω πᾶσιν ἀφόρητος ἦν, καὶ πανταχοῦ μετεπήδα συνεχῶς. ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους, ἀνέμου ταχύτερον ἐπιὼν, καὶ καθάπερ μίαν οἰκίαν, ἢ πλοῖον ἓν, τὴν οἰκουμένην ἅπασαν κυβερνῶν, τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις παρακελευόμενος, ἐπὶ τῶν αὐχένων καθήμενος, τὴν πρῷραν περισκοπῶν, σχοινία τείνων, κώπην μεταχειρίζων, ἱστὸν ἕλκων, πρὸς τὸν οὐρανὸν βλέπων, πάν-

D τα αὐτὸς ὢν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεὺς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά. σκόπει δέ· ὑπέστη ναυάγιον, ἵνα τὸ ναυάγιον παύσῃ τῆς οἰκουμένης. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκεν, ἵνα τοῦ βυθοῦ τῆς πλάνης ἀνιμήσηται. ἐν κόπῳ γέγονεν, ἵνα τοὺς κοπιῶντας ἀναπαύσῃ· πληγὰς ὑπέμεινεν, ἵνα τοὺς ὑπὸ τοῦ διαβόλου πληγέντας ἰάσηται. ἐν φυλακαῖς διέτριψεν, ἵνα τοὺς ἐν φυλακῇ καὶ σκότῳ καθημένους εἰς φῶς ἐξαγάγῃ. ἐν θανάτοις πολλάκις, ἵνα θανάτων ἀπαλλάξῃ χαλεπῶν. πεντάκις τεσσαράκοντα παρὰ μίαν

E ἔλαβεν, ἵνα αὐτοὺς τοὺς ταῦτα ποιοῦντας ἐλευθερώσῃ τῆς τοῦ διαβόλου μάστιγος. ἐῤῥαβδίσθη, ἵνα ὑπὸ τὴν ῥάβδον καὶ τὴν βακτηρίαν ἀγάγῃ τοῦ Χριστοῦ. ἐλιθάσθη, ἵνα ἀπαλλάξῃ τῶν ἀναισθήτων λίθων. ἐν ἐρημίᾳ γέγονεν, ἵνα τῆς ἐρημίας ἐξέληται. ἐν ὁδοιπορίαις, ἵνα στήσῃ πλανωμένους, καὶ τὴν εἰς τὸν οὐρανὸν φέρουσαν ὁδὸν ἀνοίξῃ. ἐν πόλεσιν ἐκινδύνευσεν, ἵνα τὴν ἄνω πόλιν ὑποδείξῃ. ἐν λιμῷ καὶ δίψει, ἵνα ἀφέληται τοῦ χαλεπωτέρου λιμοῦ. ἐν γυμνότητι, ἵνα ἀσχημονοῦντας ἐνδύσῃ τὴν στολὴν τοῦ Χριστοῦ. ἐν ἐπιστασίᾳ

[a] τὴν φάλαγγα. Sic legit interpres Latinus, & sic haud dubie legendum. Editi τὴν φλόγα.

ὄχλου,

ὄχλου, ἵνα τῆς περιστάσεως τῶν δαιμόνων ἀπαγάγῃ. ἐπυρώθη, ἵνα σβέσῃ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου. διὰ θυρίδος ἀπὸ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐρριμμένους χαμαί. ἔτι οὖν φθεγξόμεθα, οὐδὲ εἰδότες ἅπερ ἔπαθε Παῦλος; ἔτι χρημάτων μνησθησόμεθα; ἔτι γυναικὸς, καὶ πόλεως, καὶ ἐλευθερίας, ἐκεῖνον αὐτῆς τῆς ζωῆς μυριάκις καταφρονοῦντα ἰδόντες; ὁ μάρτυς ἅπαξ ἀποθνήσκει· ὁ δὲ μακάριος ἐκεῖνος, ἑνὶ σώματι καὶ μιᾷ ψυχῇ τοσούτους κινδύνους ὑπέμεινεν, ὅσοι καὶ ἀδαμάντινον ἱκανοὶ θορυβῆσαι ψυχήν. καὶ ἅπερ ἅπαντες ἐν τοσούτοις σώμασιν οἱ ἅγιοι ἔπαθον, ταῦτα αὐτὸς ἐν ἑνὶ πάντα ἤνεγκε· καθάπερ εἰς στάδιον τὴν οἰκουμένην εἰσελθὼν, καὶ πρὸς πάντας ἀποδυσάμενος, οὕτως ἵστατο γενναίως. καὶ γὰρ ᾔδει τοὺς πυκτεύοντας αὐτῷ δαίμονας· διὸ καὶ λαμπρὸς εὐθέως ἐκ προοιμίων ἐφάνη. ἐξ αὐτῆς τῆς βαλβῖδος καὶ μέχρι τέλους ὅμοιος διέμεινε· μᾶλλον δὲ καὶ ἐπέτεινε τὸν διωγμὸν, ἐγγὺς τοῦ βραβείου γενόμενος. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι τοσαῦτα πάσχων καὶ ποιῶν, σφόδρα μετριάζειν ᾔδει. καὶ γὰρ εἰς ἀνάγκην ἐμπεσὼν τῆς διηγήσεως τῶν οἰκείων κατορθωμάτων, ταχέως ἅπαντα παρέδραμε. καίτοιγε μυρίας βίβλους ἐνέπλησεν ἂν, εἰ τῶν εἰρημένων ἕκαστον ἐξαπλῶσαι ἠβούλετο, καὶ τὰς ἐκκλησίας εἶπεν ἃς ἐμερίμνα, εἰ τὰς φυλακὰς καὶ τὰ ἐν αὐταῖς κατορθώματα, εἰ τῶν ἄλλων καθεκάστην τὰς περιστάσεις, τὰς ἐφόδους. ἀλλ' οὐκ ἠθέλησε. ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, καὶ μετριάζειν μάθωμεν, καὶ μηδέποτε ἐν πλούτῳ καυχᾶσθαι, μηδὲ ἐν τοῖς ἄλλοις βιωτικοῖς, ἀλλ' ἐπὶ ταῖς ὕβρεσι ταῖς διὰ τὸν Χριστόν· καὶ ἐπὶ ταύταις, ὅταν ἀνάγκη γένηται. ὡς εἰ μηδὲν εἴη τὸ κατεπεῖγον, μηδὲ τούτων μνημονεύωμεν, ἵνα μὴ ἐπαιρώμεθα, ἀλλὰ ἁμαρτημάτων μόνων. οὕτω γὰρ ἀπαλλαγησόμεθα αὐτῶν ῥᾳδίως, καὶ τὸν θεὸν ἵλεων ἕξομεν, καὶ τῆς μελλούσης ἐπιτευξόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A cursione: ut a dæmonum impetu ac molestia abduceret. Ustus est: ut ignita diaboli tela exstingueret. Per fenestram e muro demissus est: ut humi stratos e terra in altum transmitteret. Adhuc-ne igitur loquemur, cum ne ea quidem sciamus, quæ Paulus perpessus sit? Adhuc-ne pecuniarum, adhuc uxoris, & civitatis, & libertatis mentionem faciemus, cum illum etiam vitam ipsam millies aspernari videamus? Martyr semel moritur: at beatus ille vir in uno corpore atque una anima tot pericula tamque gravia sustinuit, ut vel adamantinum pectus turbare possent. Ac, quæ sancti omnes in tot corB poribus pertulerunt, ea hic universa in uno tulit: atque in universum orbem, tamquam in stadium ingressus, & contra omnes concertans, ita fortiter stabat. Norat enim dæmones, qui adversus eum decertabant. Unde etiam ab ipsis statim initiis virtus ejus enituit: atque ab ipsis carceribus ad metam usque idem semper suique similis permansit. Imo etiam, cum a palma jam non longe abesset, persequutionem augebat. Quodque mirabile est, tot, tantaque, tum patiens, tum faciens, summam modestiam retinere norat. Nam cum in eam necessitatem inciC disset, ut, quæ recte & cum virtute gesserat, narranda ipsi essent, celeriter omnia percurrit. Atqui sexcenta volumina implevisset, si singula quæ dixit amplificare voluisset, si ecclesias, quarum solicitudinem gerebat, enumerasset, si carceres, & ea, quæ in ipsis præstitit; si aliarum rerum ærumnas, si aliorum in se impetus exposuisset; sed noluit. Hæc igitur cum nobis explorata sint, modestiam colere discamus, nec unquam in opibus, aut in aliis sæcularibus gloriari: verum in contumeliis, quas Christi causa acceperimus, in iisque tum denique, cum necessitas id postulaverit. D Quod si nihil sit quod urgeat, ne harum quidem rerum mentionem faciamus, ne animis efferamur: verum peccatorum dumtaxat. Sic enim his facile liberabimur, Deumque propitium habebimus, ac vitam æternam consequemur: quam utinam nobis omnibus nancisci detur, per gratiam & benignitatem Domini nostri Jesu-Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ κϛʹ.

Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις κυρίου.

Τί τοῦτο; ὁ τοσαῦτα εἰπὼν, φησὶ, καυχᾶσθαι δὴ οὐ συμφέρει μοι, φησίν· ὡς οὐδὲν εἰρηκώς; οὐχ ὡς οὐδὲν εἰρηκὼς, ἀλλ' ἐπειδὴ μέλλει μεταβαίνειν εἰς ἕτερον εἶδος καυχήσεως, ὃ μισθὸν μὲν οὐκ ἔχει τοσοῦτον, λαμπρότερον δὲ δοκεῖ δεικνύναι τοῖς πολλοῖς, οὐ τοῖς ἀκριβῶς ἐξετάζουσι· φησὶ, καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. τὰ γὰρ μεγάλα

## HOMILIA XXVI.

E

1\. *Gloriari quidem non expedit mihi. Veniam autem ad visiones & revelationes Domini.* CAP. XII.

1\. QUIDNAM hoc sibi vult? Qui tot ac tanta dixit, his verbis utitur, *Gloriari non expedit mihi:* ac si nihil dixisset? Non hoc ait, quasi nihil dixisset; sed quia ad alterum gloriationis genus migraturus est; quod etsi non tantam mercedem habet, tamen illustriorem eum plerisque ostendere videtur, non autem iis, qui rem diligenter perpendant; idcirco ait, Gloriari quidem non expedit mihi. Magnæ enim jactationes

erant illæ, quas ante enumeravit, quæ ex tentationibus proficiscebantur. Habet autem nunc alia quæ dicat, revelationes atque arcana mysteria. Cur autem dicit, *Non expedit mihi*? Ne me, inquit, hujusmodi commemoratio in arrogantiam extollat. Quid ais? An ea nescis, etiamsi non dixeris? At non æque animus noster attollitur, cum nos ea scimus, & cum ad alios efferimus. Neque enim recte factorum natura arrogantiam afferre consuevit: sed vulgi testimonium atque cognitio. Ideo ait, Non expedit mihi: ac ne majorem auditorum animis de me cogitationem immittam. Etenim pseudapostoli ea, quibus carebant, de seipsis prædicabant: hic contra ea etiam, quæ ipsi insunt, occultat: idque cum tanta ipsi necessitas incumbat: aitque, Non expedit mihi: ut omnes doceat hanc rem omnino fugere. Neque enim istud fructum ullum, sed potius detrimentum habet, nisi utilis quædam ac necessaria occasio sit, quæ ad id impellat. Postquam itaque pericula, tentationes, insidias, mœrores ac naufragia commemoravit, ad alterum gloriationis genus se confert, dicens: 2. *Scio hominem ante quatuordecim annos; sive in corpore nescio; sive extra corpus nescio: Deus scit; raptum hujusmodi usque ad tertium cælum.* 3. *Et scio quoniam raptus est in paradisum: sive in corpore, sive extra corpus, nescio.* 4. *Et audivit arcana verba quæ non licet homini loqui.* 5. *Pro hujusmodi ergo gloriabor: pro me autem non gloriabor.* Magna certe hæc revelatio est. Nec tamen hæc sola fuit: sed aliæ complures. Verum ipse unam ex multis ponit. Nam quod multæ essent, audi quid dicat, *Ne magnitudo revelationum extollat me.* Atqui, dixerit aliquis, si eas occultare cupiebat, omnino nec significationem ullam obscuram dare, nec quidquam ejusmodi dicere debebat: sin autem dicere volebat, aperte proferendæ erant. Cur ergo nec perspicue eas exposuit, nec omnino reticuit? Ut hinc quoque ostendat, invitum se ac repugnantem ad id accedere. Ideoque etiam quatuordecim annorum tempus posuit. Neque enim frustra hujus temporis mentionem fecit, sed ut demonstret, quod qui tot annos tacitum id tenuerat, non id nunc enunciasset, nisi summa eum necessitas impulisset: verum æque tacuisset, nisi fratres pereuntes vidisset. Quod si ab ipsis primordiis talis erat Paulus, ut ejusmodi revelatione dignus haberetur, cum nondum tot ac tantis præclare gestis ornatus esset cogita, quæso, quantus vir in quatuordecim annis evaserit. Ac vide quomodo hic quoque modeste se gerat, cum quædam narrat, quædam autem se ignorare confitetur. Se raptum fuisse dicit, si in corpore, si extra corpus, se nescire profitetur. Et quidem sufficiebat, cum raptum dixisset, tacere. At nunc pro sua modestia hoc quoque adjungit. Quid igitur? Itane mens & anima rapta est, ut corpus mortuum manserit? An corpus quoque raptum est? id vero dicere non

A καυχήματα, ταῦτα ἅπερ ἀπηριθμήσατο, τὰ τῶν πειρασμῶν. ἔχει δὲ καὶ ἕτερα λέγειν, τὰς τῶν ἀποκαλύψεων, τὰ τῶν ἀποῤῥήτων μυστηρίων. καὶ τίνος ἕνεκέν φησιν, οὐ συμφέρει μοι; ἵνα μή με εἰς ἀπόνοιαν ἐπάρῃ, φησί. τί λέγεις; ἂν γὰρ μὴ εἴπῃς αὐτὰ, οὐκ οἶδας αὐτά; ἀλλ' οὐχ ὁμοίως ἐπαιρόμεθα αὐτοὶ εἰδότες αὐτὰ, καὶ εἰς ἄλλους ἐκφέροντες. οὐ γὰρ ἡ τῶν κατορθωμάτων φύσις ἐπαίρειν εἴωθεν, ἀλλ' ἡ τῶν πολλῶν μαρτυρία καὶ γνῶσις. διὰ τοῦτο οὖν φησιν, οὐ συμφέρει μοι, καὶ ἵνα μὴ μείζονα ἐνθῶ περὶ ἐμοῦ ἔννοιαν τοῖς ἀκούουσιν. ἐκεῖνοι μὲν γὰρ οἱ ψευδαπόστολοι, καὶ τὰ οὐκ
B ὄντα περὶ ἑαυτῶν ἔλεγον· οὗτος δὲ καὶ τὰ ὄντα ἀποκρύπτεται, καὶ ταῦτα ἀνάγκης τοσαύτης ἐπικειμένης. καί φησιν, οὐ συμφέρει μοι, παιδεύων ἅπαντας ἐκ πολλῆς περιουσίας τὸ τοιοῦτον φεύγειν. οὐδὲν γὰρ ἔχει τὸ πρᾶγμα κέρδος, ἀλλὰ καὶ βλάβην, πλὴν ἐὰν μὴ ἀναγκαία τις ᾖ πρόφασις καὶ ὠφέλιμος ἡ εἰς τοῦτο ἐνάγουσα. εἰπὼν τοίνυν τοὺς κινδύνους, τοὺς πειρασμοὺς, τὰς ἐπιβουλὰς, τὰς ἀθυμίας, τὰ ναυάγια, ἐφ' ἕτερον μεθίσταται καυχήσεως εἶδος λέγων, οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων· εἴτε
C ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ θεὸς οἶδεν· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. καὶ οἶδα ὅτι ἡρπάγη εἰς τὸν παράδεισον· εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα. καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι. μεγάλη μὲν αὕτη ἡ ἀποκάλυψις. οὐκ αὐτὴ δὲ γέγονε μόνη, ἀλλὰ καὶ ἕτεραι πλείους· αὐτὸς δὲ μίαν ἐκ πολλῶν τίθησιν. ὅτι γὰρ πολλαὶ ἦσαν, ἄκουσον τί φησι· τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα
D μὴ ὑπεραίρωμαι. καὶ μὴν εἴποι τις ἂν, εἰ κρύψαι ἤθελε, παντελῶς ἔδει μὴ δοῦναι αἴνιγμα, μηδὲ εἰπεῖν τι τοιοῦτον· εἰ δὲ εἰπεῖν ἤθελε, σαφῶς εἰπεῖν. τίνος οὖν ἕνεκεν οὔτε σαφῶς εἶπεν, οὔτε ἐσίγησεν; ἵνα κἀνταῦθα δείξῃ ὅτι ἄκων ἐπὶ τὸ πρᾶγμα ἔρχεται. διὰ τοῦτο καὶ τὸν χρόνον ἔθηκε τῶν δεκατεσσάρων ἐτῶν. οὐδὲ γὰρ ἁπλῶς αὐτοῦ μέμνηται, ἀλλὰ δεικνὺς ὅτι οὐκ ἂν ὁ τοσοῦτον καρτερήσας χρόνον, νῦν ἂν ἐξεῖπεν, εἰ μὴ πολλὴ ἦν ἡ ἀνάγκη· [a] ἀλλ' ὅμως ἐσίγησεν ἂν, εἰ μὴ τοὺς ἀδελφοὺς ἀπολλυμένους ἑώρα.
E εἰ δὲ ἐκ προοιμίων τοιοῦτος ἦν ὁ Παῦλος, ὥστε τοιαύτης καταξιωθῆναι ἀποκαλύψεως, ὅτε οὔπω τοιαῦτα κατορθώματα εἶχεν· ἐννόησον ἡλίκος ἐν τεσσαρεσκαίδεκα ἔτεσι γέγονεν· ὅρα δὲ πῶς καὶ ἐν αὐτῷ τούτῳ μετριάζει τὰ μὲν εἰπεῖν, τὰ δὲ ὁμολογεῖν ἠγνοηκέναι. ὅτι μὲν γὰρ ἡρπάγη, εἶπεν· εἴτε δὲ ἐν σώματι, εἴτε οὐκ ἐν σώματι, οὐκέτι φησὶν εἰδέναι. καίτοιγε ἐξήρκει τὴν ἁρπαγὴν εἰπόντι, σιγῆσαι· νυνὶ δὲ μετριάζων καὶ τοῦτο προστίθησι. τί οὖν; ὁ νοῦς ἡρπάγη καὶ ἡ ψυχὴ, τὸ δὲ σῶμα νεκρὸν ἔμεινεν; ἀλλὰ τὸ σῶμα ἡρπάγη; ἀλλ' οὐκ ἔστιν εἰπεῖν·

a ἀλλ' ὅμως, suspicatur Savilius legendum, ἀλλ' ὁμοίως.

εἰ γὰρ ὁ Παῦλος ἠγνόει ὁ ἁρπαγεὶς, καὶ τοιούτων καὶ τοσούτων τυχὼν ἀπορρήτων, πολλῷ μᾶλλον ἡμεῖς. ὅτι μὲν γὰρ ἐν παραδείσῳ ἦν ᾔδει, καὶ ὅτι ἐν τῷ τρίτῳ ἦν οὐρανῷ, οὐκ ἠγνόει· τὸν δὲ τρόπον οὐκ ᾔδει σαφῶς. σκόπει δὲ καὶ ἑτέρωθεν αὐτοῦ τὸ ἄτυφον. ἐπὶ μὲν γὰρ τῆς Δαμασκηνῶν πόλεως πιστοῦται τὸν λόγον· ἐνταῦθα δὲ οὐκέτι. οὐδὲ γὰρ σφόδρα αὐτὸ κατασκευάσαι ἠβούλετο, ἀλλ' εἰπεῖν καὶ αἰνίξασθαι μόνον. διὸ καὶ ἐπάγει λέγων, ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, οὐ τοῦτο δηλῶν, ὅτι ἕτερός τις ἦν ὁ ἁρπαγεὶς· ἀλλ' ὡς ἐνεχώρει καὶ δυνατὸν ἦν καὶ εἰπεῖν, καὶ διακρούσασθαι τὸ περὶ ἑαυτοῦ εἰπεῖν φανερῶς, οὕτω σχηματίζει τὸν λόγον. ποία γὰρ ἀκολουθία ἦν, περὶ ἑαυτοῦ διαλεγόμενον, ἄλλον παράγειν εἰς μέσον; τίνος οὖν ἕνεκεν οὕτως αὐτὸ τέθεικεν; οὐκ ἦν ἴσον εἰπεῖν, ἡρπάγην, καὶ οἶδα ἁρπαγέντα· καὶ καυχῶμαι ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. εἰ δὲ λέγοι τις, καὶ πῶς ἔνι χωρὶς σώματος ἁρπαγῆναι; ἐρήσομαι αὐτὸν, πῶς δὲ ἔνι μετὰ σώματος ἁρπαγῆναι; καὶ γὰρ καὶ τοῦτο ἐκείνου ἀπορώτερον, ἐὰν λογισμοῖς ἐξετάζῃς, καὶ μὴ τῇ πίστει παραχωρῇς. τίνος δὲ ἕνεκεν καὶ ἡρπάγη; ὑπὲρ τοῦ δοκεῖν αὐτὸν, ὡς ἔγωγε οἶμαι, ἔλαττον ἔχειν τῶν λοιπῶν ἀποστόλων. ἐπειδὴ γὰρ ἐκεῖνοι συνεγένοντο τῷ Χριστῷ, οὗτος δὲ οὐδαμῶς, διὰ τοῦτο εἰς δόξαν ἥρπασε καὶ τοῦτον εἰς τὸν παράδεισον. πολὺ γὰρ ὄνομα τοῦ χωρίου τούτου, καὶ πανταχοῦ ᾔδετο.

Διὸ καὶ ὁ Χριστὸς ἔλεγε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. τίνος ἕνεκεν; εἰ γὰρ ἄλλος ἡρπάγη, σὺ τί καυχᾷ; ὅθεν δῆλον, ὅτι περὶ ἑαυτοῦ ταῦτα ἔλεγεν. εἰ δὲ ἐπήγαγεν, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι, ἀνάγκης οὐκ οὔσης, οὐδὲν ἐρῶ τοιοῦτον ἁπλῶς καὶ εἰκῇ· ἢ συσκιάζων πάλιν τὸ εἰρημένον, ὡς ἐνεχώρει. ὅτι γὰρ περὶ ἑαυτοῦ πᾶς ὁ λόγος ἦν, καὶ τὰ ἑξῆς δηλοῖ, ἐπήγαγε γὰρ λέγων, ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων. ἀλήθειαν γὰρ ἐρῶ. πῶς οὖν ἔμπροσθεν ἔλεγες, ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ, καὶ, ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ὡς ἐν ἀφροσύνῃ· ἐνταῦθα δὲ, ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων; οὐ κατὰ τὸ καυχᾶσθαι, ἀλλὰ κατὰ τὸ ψεύδεσθαι. εἰ γὰρ τὸ καυχᾶσθαι ἀφροσύνης, πόσῳ μᾶλλον τὸ ψεύδεσθαι; κατὰ τοῦτο οὖν φησιν, οὐκ ἔσομαι ἄφρων. διὸ καὶ ἐπήγαγεν, ἀλήθειαν γὰρ ἐρῶ. φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει, ἢ ἀκούει τι ἐξ ἐμοῦ. αὕτη ἐστὶν ἡ ὡμολογημένη αἰτία. καὶ γὰρ καὶ θεοὺς αὐτοὺς ἐνόμισαν διὰ τὸ μέγεθος τῶν σημείων. καθάπερ οὖν ἐπὶ τῶν στοιχείων ἀμφότερα πεποίηκεν ὁ θεὸς, καὶ ἀσθενῆ, καὶ λαμπρὰ κατασκευάσας, τὸ μὲν, ἵνα κηρύξῃ τὴν αὐτοῦ δύναμιν, τὸ δὲ, ἵνα κωλύσῃ τὴν ἀνθρώπων τὴν πλάνην· οὕτω δὴ καὶ ἐνταῦθα καὶ θαυμαστοὶ ἦσαν, καὶ ἀσθενεῖς, ὥστε δι' αὐτῶν τῶν ἔργων παιδεύεσθαι τοὺς ἀπίστους. εἰ γὰρ μένοντες θαυμαστοὶ μόνον, καὶ μηδὲν



licet. Nam cum Paulus ipse, qui raptus est, & cui tot ac tantis arcanis frui contigit, id ignoraverit, multo sane magis hoc nobis ignotum est. Nam id quidem sciebat, quod in paradiso esset, & quod in tertio cælo: at modum haud perspicue norat. Atque etiam aliunde, quam a fastu alienus esset, considera. Etenim cum de Damascenorum civitate verba faceret, fidem sermoni suo adstruit: hic autem non perinde. Nec enim hoc admodum confirmare volebat: sed tantum dicere ac tacite significare. Ac proinde hæc verba subjicit, *Pro hujusmodi gloriabor.* Quibus verbis non indicabat, alium fuisse qui raptus fuerat: verum ut & quantum fas erat, diceret, & de se aperte loqui vitaret, sic orationem conformavit. Num etiam alioqui consentaneum fuisset, cum de se verba faceret, alium in medium proferre? Cur ergo sic rem composuit? Non idem erat dicere, Raptus sum: &, Scio hominem raptum: nec, Glorior pro me ipso: &, Pro hujusmodi gloriabor. Quod si quis dixerit, Quomodo fieri poterat, ut sine corpore raperetur? vicissim ex eo quæram, quo pacto fieri poterat, ut cum corpore raperetur. Etenim hoc si ratiociniis expendas, nec fidei concedas, difficilius quam illud explicari potest. Cur autem raptus est? Mea quidem sententia, ne reliquis Apostolis inferior videretur. Nam quia illi cum Christo consuetudinem habuerant, ille vero minime, idcirco eum, ut gloriam ipsi conciliaret, in Paradisum rapuit. Siquidem ingens hujus loci nomen erat, atque ubique celebrabatur.

2. Quocirca etiam Christus dicebat: *Hodie mecum eris in Paradiso. Pro hujusmodi gloriabor.* Quid ita? Si enim alius raptus est, quid tu gloriaris? Ex quo illud intelligi datur, eum de seipso hæc prædicasse. Quod si subjunxit, *Pro me ipso autem non gloriabor*, nihil aliud his verbis significat, quam quod nulla urgente necessitate nihil hujusmodi leviter dicturus sit. Aut certe, ut rursus, quod dixerat, quantum fieri poterat, adumbraret. Nam quod de seipso tota esset oratio, ex iis quæ sequuntur liquet. Subjunxit enim, 6. *Si autem etiam voluero gloriari, non ero insipiens. Veritatem enim dicam.* Cur ergo prius dicebas, *Utinam sustineretis modicum quid insipientiæ meæ*: Et, *Quod dico non secundum Dominum dico, sed ut in insipientia*: hic autem, *Si autem etiam voluero gloriari, non ero insipiens?* Hoc non gloriationis ratione dicit, sed mendacii. Nam si gloriari insipientiæ est, multo certe magis mentiri. Hac igitur ratione ait, *Non ero insipiens.* Unde etiam subjunxit, *Veritatem enim dicam. Parco autem: ne quis me existimet supra id quod videt, aut audit ex me.* Hæc indubitata causa est. Nam etiam ob miraculorum magnitudinem dii ipsi habiti sunt. Quemadmodum ergo Deus in elementis utrumque fecit, nempe ut & imbecilla ea, & præclara crearet, tum, ut ipsius potentiam prædicarent, tum ut hominum errorem prohiberent: sic etiam hic quoque simul & admirabiles & imbecilles erant, ut ex operibus ipsis infideles erudirentur. Nam si admirabiles solum manentes, nec ullum im-

Luc. 23. 43.

Act. 14.

becillitatis argumentum circumferentes, sermone suo vulgus prohibere studuissent, ne majora, quam veritas pateretur, de ipsis existimarent; non modo nihil perfecissent, sed etiam contrarium plane effecissent. Etenim illæ laudum recusationes, ab humilitate potius ac modestia proficisci visæ fuissent, majoremque ipsis admirationem peperissent. Ideo ergo factum est, ut opere ipso ac rebus ipsis eorum imbecillitas detegeretur. Quod ipsum in iis hominibus, qui tempore veteris Testamenti fuerunt, conspicere possis. Nam Elias etiam eximius vir erat: at timiditatis tamen quandoque notatus est. Et Moses item magnus: at hic quoque ob eumdem affectum fugam fecit. Hæc porro idcirco ipsis accidebant, quod Deus abscederet, atque humanæ naturæ imbecillitatem declarari sineret. Nam si, cum Israëlitas ex Ægypto eduxisset, dixerint illi, Ubi est Moses? si eos etiam in Palestinam induxisset, quid non dicturi fuissent? Ideo ipse quoque ait, *Parco, ne quis me existimet.* Non ait, *dicat*: sed, ne quid majus quam pro dignitate mea existimet. Itaque hinc etiam liquet, eum de seipso hanc omnem orationem habere. Eaque de causa initio quoque dicebat, Gloriari quidem non expedit mihi. Quibus quidem verbis, si de alio quopiam ea dicturus fuisset quæ dixit, non usus esset. Cur enim de altero gloriari non conducit? Verum ipse erat qui his dignatus fuerat. Unde etiam hæc verba subnectit, 7. *Et ne magnitudo revelationum me extollat, datus est mihi stimulus carnis, angelus Satanæ, qui me colaphizet.* Quid audio? Isne, qui præ Christi amore, nec cælorum regnum, nec gehennam quidquam esse ducebat, vulgi honores alicujus precii esse censebat: ut is etiam attolleretur, ac perpetuo freno opus haberet? Nonenim dixit, Qui colaphizaturus sit, sed, Qui colaphizet. Quis autem id dixerit? Quænam ergo verborum sententia est? Postquam, quisnam tandem iste stimulus, & quis angelus Satanæ sit, aperuerimus, tum hoc etiam exponemus. Nonnulli ergo eum dolorem quemdam capitis, quem diabolus ipsi conflavisset, intelligere censuerunt. Absit autem ut ita sit.
1. Cor. 5. Neque enim Pauli corpus diaboli manibus addictum fuit: quippe cum diabolus ipse vel Pauli jussis cederet, eique Paulus & leges, & certos terminos præscriberet, cum fornicatorem illum in carnis interitum ipsi traderet, nec eos ille transire ausus fuerit. Quid igitur his verbis sibi vult? Satan Hebræorum lingua adversarium sonat. Ac scriptura tertio Regum libro adversarios hoc nomine appellavit. Nam de Salomone verba faciens, ait,
3. Reg. 5. 4. *Non erat Satan in diebus ipsius*, hoc est adversarius, qui bellum ipsi inferret, aut molestiam exhiberet. Quod ergo ait, hanc habet sententiam: Deus prædicationem feliciter progredi non permisit, quo animos nostros demitteret, verum adversarios in nos impetum facere passus est. Hoc enim ad deprimendum fastum vim habebat, illud autem minime. Quocirca per angelum Satanæ, Alexandrum

A ἀσθενείας δεῖγμα φέροντες, λόγῳ τοὺς πολλοὺς ἀπῆγον τοῦ μείζονα περὶ αὐτῶν ὑποπτεύειν τῆς ἀληθείας· οὐ μόνον οὐδὲν ἂν ἤνυσαν, ἀλλὰ καὶ τοὐναντίον ἂν κατεσκεύασαν. αἱ γὰρ διὰ τῶν λόγων γινόμεναι παραιτήσεις, ταπεινοφροσύνης ἂν ἔδοξαν εἶναι μᾶλλον, καὶ πλέον αὐτοὺς θαυμασθῆναι παρεσκεύασαν. διὰ τοῦτο, ἔργῳ καὶ πράγμασιν ἡ ἀσθένεια αὐτῶν ἐξεκαλύπτετο. καὶ τοῦτο ἴδοι τις ἂν ἐπὶ τῶν ἐν τῇ παλαιᾷ γενομένων ἀνθρώπων. καὶ γὰρ ὁ Ἠλίας θαυμαστὸς ἦν, ἀλλ' ἠλέγχθη ποτὲ ὑπὸ δειλίας. καὶ ὁ
B Μωϋσῆς μέγας· ἀλλὰ καὶ οὗτος δι' αὐτὸ τοῦτο τὸ πάθος ἐδραπέτευσε. ταῦτα δὲ ἔπασχον, τοῦ θεοῦ ἀφιστῶντος, καὶ συγχωροῦντος ἐλεγχθῆναι τὴν ἀνθρωπίνην φύσιν. εἰ γάρ, ἐπειδὴ ἐξήγαγεν αὐτούς, λέγουσι, ποῦ ἐστι Μωϋσῆς; εἰ καὶ εἰσήγαγε, τί οὐκ ἂν εἶπον; διὰ τοῦτο καὶ αὐτός φησι, φείδομαι μή τις εἰς ἐμὲ λογίσηται. οὐκ εἶπεν, εἴπῃ, ἀλλ', ἵνα μηδὲ λογίσηταί τι μεῖζον τῆς ἀξίας τῆς ἐμῆς. ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ αὐτοῦ πᾶς ὁ λόγος. διὸ καὶ ἀρχόμενος ἔλεγε, καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. οὐκ ἂν, εἰ περὶ ἑτέρου ἔμελλεν ἐρεῖν ἅπερ εἶπε, τοῦτο εἶπε. τίνος γὰρ ἕνεκεν οὐ συμ-
C φέρει περὶ ἑτέρου καυχᾶσθαι; ἀλλ' αὐτὸς ἦν ὁ τούτων ἀξιωθείς· διὸ καὶ ἐπάγει λέγων, καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ. τί λέγεις; ὁ τὴν βασιλείαν οὐδὲν εἶναι νομίζων, οὐδὲ τὴν γέενναν πρὸς τὸν πόθον τοῦ Χριστοῦ, τὴν παρὰ τῶν πολλῶν ἐνόμιζέ τι εἶναι τιμήν, ὥστε καὶ ἐπαρθῆναι, καὶ διηνεκοῦς δεῖσθαι τοῦ χαλινοῦ; οὐ γὰρ εἶπεν, ἵνα κολαφίσῃ, ἀλλ' ἵνα κολαφίζῃ. καὶ τίς ἂν
D τοῦτο εἴποι; τί οὖν ἐστὶ τὸ λεγόμενον; ὅταν ἀνακαλύψωμεν τίς ποτέ ἐστιν ὁ σκόλοψ, καὶ τίς ὁ ἄγγελος τοῦ Σατᾶν, τότε καὶ τοῦτο ἐροῦμεν. τινὲς μὲν οὖν κεφαλαλγίαν τινὰ ἔφασαν αὐτὸν λέγειν ὑπὸ τοῦ διαβόλου γινομένην. ἀλλὰ μὴ γένοιτο. οὐ γὰρ ἂν τὸ σῶμα τοῦ Παύλου ταῖς τοῦ διαβόλου χερσὶν ἐξεδόθη, ὅπου γε αὐτὸς ὁ διάβολος ἐπιτάγματι μόνον εἶκεν αὐτῷ τῷ Παύλῳ· καὶ νόμους αὐτῷ καὶ ὅρους ἐτίθει, ὅτε τὸν πορνεύοντα παρέδωκεν εἰς ὄλεθρον τῆς σαρκός· καὶ ὑπερβῆναι τούτους οὐκ ἐτόλμησεν ἐκεῖνος. τί οὖν ἐστὶ
E τὸ λεγόμενον; Σατᾶν ὁ ἀντικείμενος λέγεται τῇ τῶν Ἑβραίων φωνῇ. καὶ ἐν τῇ τρίτῃ τῶν βασιλειῶν, τοὺς ἀντικειμένους οὕτως ἐκάλεσεν ἡ γραφή. καὶ περὶ τοῦ Σολομῶντος διηγουμένη φησίν, οὐκ ἦν Σατᾶν ἐν ταῖς ἡμέραις αὐτοῦ· τουτέστιν, ἀντικείμενος, πολεμῶν, ἢ ἐνοχλῶν. ὃ τοίνυν λέγει τοῦτό ἐστιν· οὐκ εἴασεν ὁ θεὸς προχωρῆσαι τὸ κήρυγμα, τὸ φρόνημα καταστέλλων ἡμῶν· ἀλλὰ συνεχώρησε τοῖς ἀντικειμένοις ἐπιτίθεσθαι ἡμῖν. τοῦτο μὲν γὰρ ἱκανὸν ἦν κατασπᾶσαι τὸ φρόνημα· ἐκεῖνο δὲ οὐκέτι, τὸ τῆς κεφαλαλγίας. ἄγγελον τοίνυν Σατᾶν λέγει Ἀλέξανδρον

τὸν χαλκέα, τοὺς περὶ Ὑμέναιον καὶ Φιλητὸν, πάντας τοὺς ἀντικειμένους τῷ λόγῳ, τοὺς φιλονεικοῦντας αὐτῷ καὶ πολεμοῦντας, τοὺς ἐμβάλλοντας εἰς δεσμωτήριον, τοὺς δέροντας, τοὺς ἀπάγοντας· ἐπειδὴ τὰ τοῦ Σατανᾶ ἔπραττον. ὥσπερ οὖν υἱοὺς διαβόλου καλεῖ τοὺς Ἰουδαίους τὰ ἐκείνου ζηλοῦντας, οὕτω καὶ ἄγγελον Σατᾶν ἅπαντα τὸν ἀντιπίπτοντα. τοῦτο οὖν, φησιν, ἐδόθη μοι σκόλοψ, ἵνα με κολαφίζῃ. οὐχ ὡς τοῦ θεοῦ τοὺς τοιούτους ὁπλίζοντος, μὴ γένοιτο, οὐ κολάζοντος, οὐδὲ τιμωρουμένου, ἀλλὰ συγχωροῦντος καὶ ἀφιέντος τέως. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα· τουτέστι, πολλάκις.

Καὶ τοῦτο πολλῆς ταπεινοφροσύνης, τὸ μὴ κρύψαι ὅτι οὐκ ἔφερε τὰς ἐπιβουλὰς, ὅτι ἔκαμνε, καὶ δεήσεως ἐδεῖτο ὑπὲρ ἀπαλλαγῆς. καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· τουτέστιν, ἀρκεῖ σοι ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς θεραπεύεις, ὅτι λεπροὺς καθαίρεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς. μὴ ζήτει καὶ τὸ ἀκίνδυνον, καὶ τὸ ἀδεὲς, καὶ τὸ χωρὶς πραγμάτων κηρύττειν. ἀλλὰ ἀλγεῖς, καὶ ἀθυμεῖς; μὴ δόξῃ τοῦτο ἀσθενείας εἶναι ἐμῆς, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ δέροντάς σε, καὶ ἐλαύνοντας, καὶ μαστίζοντας. τοῦτο μὲν οὖν δείκνυσί μου τὴν δύναμιν. ἡ γὰρ δύναμίς μου, φησιν, ἐν ἀσθενείᾳ τελειοῦται, ὅταν διωκόμενοι τῶν διωκόντων περιγίνεσθε, ὅταν ἐλαυνόμενοι τῶν ἐλαυνόντων κρατῆτε, ὅταν δεσμούμενοι τοὺς δεσμοῦντας τρέπησθε. μὴ τοίνυν ζήτει τὰ περιττά. ὁρᾷς πῶς ἄλλην μὲν αἰτίαν αὐτὸς τίθησιν, ἄλλην δὲ ὁ θεός; αὐτὸς μὲν γὰρ λέγει, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί· τὸν δὲ θεὸν εἰρηκέναι φησὶν, ὑπὲρ τοῦ δεῖξαι τὴν δύναμιν αὐτοῦ, τοῦτο συγχωρεῖ. οὐ τοίνυν περιττὸν μόνον ζητεῖς, ἀλλὰ καὶ ἐπισκοτοῦν τῇ τῆς δυνάμεώς μου δόξῃ πρᾶγμα. τὸ γὰρ, ἀρκεῖ σοι, τοῦτο δηλοῦντός ἐστιν, ὡς οὐκ ὀφείλοντος προστεθῆναι ἑτέρου τινὸς, ἀλλ' ὡς τοῦ παντὸς ἀπηρτισμένου. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ κεφαλαλγίαν φησίν. οὐ γὰρ δὴ νοσοῦντες ἐκήρυττον, οὐ γὰρ ἠδύναντο κηρύττειν ἀσθενοῦντες, ἀλλ' ὅτι ἐλαυνόμενοι, διωκόμενοι, πάντων περιεγίνοντο. ἐπειδὴ οὖν ταῦτα ἤκουσα, φησιν, ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. ἵνα γὰρ μὴ καταπέσωσιν, ἐκείνων τῶν ψευδαποστόλων ἐπὶ τοῖς ἐναντίοις καυχωμένων, καὶ τούτων ὄντων ἐν διωγμοῖς, δείκνυσιν, ὅτι διὰ τοῦτο λαμπρότερος γίνεται, καὶ οὕτω μᾶλλον ἡ δύναμις τοῦ θεοῦ διαλάμπει, καὶ καυχήσεως ἄξια τὰ γινόμενα· διό φησιν, ἥδιστα οὖν καυχήσομαι. οὐχὶ λυπούμενος ταῦτα εἶπον ἅπερ ἀπηριθμησάμην, ἢ τοῦτο ὅπερ εἴρηκα νῦν, ὅτι ἐδόθη μοι σκόλοψ, ἀλλ' ἐγκαλλωπιζόμενος καὶ πλείονα δύναμιν ἐφελκόμενος. διὸ καὶ ἐπάγει· ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. ἐνταῦθα καὶ

A ærarium, Hymenæum, Philetum, ac denique omnes, qui fidei doctrinæ adversabantur, atque cum ipso contendebant ac bellum gerebant, eumque in carcerem conjiciebant, cædebant ac raptabant, intelligit: quod ea, quæ Satanæ erant, perpetrarent. Quemadmodum enim Judæos diaboli filios vocat, quod illius opera imitarentur: sic etiam Satanæ angelum omnes eos nuncupat, qui sibi obsisterent, Hoc itaque ait, *Datus est mihi stimulus qui me colaphizet.* Non quod Deus hujusmodi homines armaret, absit, sed quod eos minime coërceret, ac suppliciis afficeret, verum ad quoddam tem- B pus eos grassari permitteret. 8. *Propter quod ter Dominum rogavi.* Hoc est sæpenumero.

3. Idque summæ humilitatis est, non celare quod ferendis insidiis impar esset, quod laboraret: atque, ut liberaretur, precibus opus haberet. 9. *Et dixit mihi: Sufficit tibi gratia mea. Virtus enim mea in infirmitate perficitur.* Hoc est, sufficit tibi quod mortuos in vitam revocas, quod cæcis mederis, quod leprosos purgas, quod alia miracula edis. Ne insuper id poscas, ut à periculis immunis sis, tranquille degas, ac sine C molestiis munus prædicationis obeas. At doles & mœrore afficeris? Ne mihi hoc imbecillitati ascribatur, quod multi sint qui tibi insidias adstruant, teque cædant & exagitent, ac flagris conscindant. Nam hoc potius meam potentiam indicat. Virtus enim mea, inquit, in infirmitate perficitur: cum videlicet vos persequutionem patientes, eos qui vos persequuntur superatis, cum vexati, de iis, qui vos vexant, palmam refertis, cum vinculis adstricti, eos, qui vos vinciunt, convertitis. Quocirca supervacanea ne poscas. Vides quomodo ipse aliam causam afferat, aliam Deus? Ipse enim ait, Ne extollar, D datus est mihi stimulus carnis: Deum vero dixisse ait, se istud idcirco permittere, ut potentiam suam ostendat. Non igitur supervacaneam dumtaxat rem postulas, sed etiam quæ potentiæ meæ gloriæ tenebras offundat. His enim verbis, Sufficit tibi, hoc indicatur: nihil aliud adjungi debere, verum omnia perfecta ac numeris omnibus absoluta esse. Itaque hinc etiam liquet, eum non de capitis dolore loqui. Neque enim ægrotantes prædicabant; non enim morbo detenti prædicare potuissent; sed exagitati ac vexati, omnia superabant. Posteaquam igitur hæc audivi, inquit, libentissime in infirmitati- E bus meis gloriabor. Ne enim animis conciderent, cum scilicet pseudapostoli illi ob contraria gloriarentur, seseque jactarent, hi autem in persequutionibus versarentur, ostendit se propterea illustriorem fieri, Deique potentiam hac ratione magis elucere: eaque, quæ ipsis contingebant, gloria digna esse. Ideo ait, *Libentissime igitur gloriabor.* Non mœsto animo hæc dixi, quæ supra enumeravi, aut etiam hoc, quod nunc dixi, nempe datum mihi stimulum esse: sed velut eo nomine glorians, majoremque hinc vim contrahens. Unde etiam subjungit, *Ut inhabitet in me virtus Christi.* Hoc loco aliud

quiddam tacite significat, quod quanto magis tentationes augebantur, tanto etiam magis gratia crescebat, ac permanebat. 10. *Quamobrem mihi placeo in infirmitatibus multis.* Quibus quæso? *In contumeliis, in persequutionibus, in necessitatibus, in angustiis.* Videsne quo pacto hoc nunc apertissime declaravit? Infirmitatis enim genus commemorans, febres non dixit, aut hujusmodi aliquem circuitum, aut alium corporis morbum, sed contumelias, persequutiones, angustias. Perspicisne animi æquitatem ac probitatem? Molestiis liberari cupiebat: cum autem a Deo audivit hoc fieri non oportere, non modo tristitia affectus non est, quod voti sui compos non extitisset, sed etiam voluptatem cepit. Ideo dicebat, *Placeo mihi:* lætitia afficior, inquit, ac pro Christo contumeliis affici, vexari, opprimi cupio. Hæc porro dicebat, tum ut illorum arrogantiam comprimeret: tum ut horum animos erigeret, ne Pauli calamitates, ipsis pudori essent. Hæc enim res, inquit, nos omnibus mortalibus clariores reddere potest. Ac deinde aliam quoque causam ponit. *Cum enim infirmor, tunc potens sum.* Quid miraris si Dei potentia tunc ostendatur? Ipse quoque tunc potens sum. Siquidem tunc maxime gratia accedebat. Quemadmodum enim abundant ipsius passiones: ita etiam abundat consolatio nostra. Ubi afflictio, illic etiam consolatio. Ubi consolatio, illic & gratia. Cum ergo in vincula conjectus fuisset, tunc demum mirifica illa patrabat. Cum naufragium fecisset, atque in barbarorum regionem delatus fuisset, tunc potissimum effulsit ac celebratus est. Cum tribunal vinctus ingressus est, tum judicem ipsum superavit. Sic in veteri quoque Testamento contingebat. In tentationibus enim justi florebant. Sic tres pueri, sic Daniel, & Moses, & Joseph. Omnes hinc splendorem ac magnas coronas consequuti sunt. Nam tunc etiam anima purgatur, cum propter Deum premitur. Tunc majori auxilio fruitur, atque ampliori gratia digna existit, cum majore subsidio opus habet. Quin ante illud quoque præmium, quod a Deo propositum est, ingentia bona percipit, cum philosophice se gerit. Nam afflictio & fastum amputat, & segnitiem omnem exscindit: atque ad patientiam instruit, ac velut inungit; rerum humanarum utilitatem detegit, atque ingentem philosophiam inducit. Omnes enim turbulenti animorum motus ipsi cedunt, invidia, æmulatio, libido, potentia, divitiarum & corporum amor, arrogantia, fastus, ira ac reliquum hujusmodi morborum agmen. Quod si in rebus ipsis, & privatim virum aliquem, & populum universum cernere libet, in promtu erit mihi ostendere, & qui in calamitate, & qui in quiete atque oblectatione versati sint, ac docere, quantum illinc fructus, quantum illinc socordiæ promanarit.

Ærumnæ pro Christo, consolationem habent.

4. Etenim Hebræi, cum exagitarentur, atque incommodis & calamitatibus afficerentur, ingemiscebant ac Deum obsecrabant,

A ἕτερόν τι αἰνίττεται· ὅτι ὅσῳ τὰ τῶν πειρασμῶν ἐπετείνετο, τοσούτῳ τὰ τῆς χάριτος ηὔξετο καὶ ἐπέμενε. διὸ εὐδοκῶ ἐν ἀσθενείαις πολλαῖς. ποίαις, εἰπέ μοι; ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις. εἶδες πῶς αὐτὸ νῦν ἀπεκάλυψε σαφέστατα; λέγων γὰρ τῆς ἀσθενείας τὸ εἶδος, οὐκ εἶπε πυρετοὺς, ἢ περίοδόν τινα τοιαύτην, ἢ ἄλλην ἀῤῥωστίαν σωματικὴν, ἀλλὰ ὕβρεις, διωγμοὺς, στενοχωρίας. εἶδες ψυχὴν εὐγνώμονα; ἐπιθυμεῖ ἀπαλλαγῆναι τῶν δεινῶν. ὅτε δὲ ἤκουσε παρὰ τοῦ θεοῦ, B ὅτι οὐ δεῖ τοῦτο γίνεσθαι, οὐ μόνον οὐκ ἠθύμησεν ἀποτυχὼν τῆς εὐχῆς, ἀλλὰ καὶ ηὐφράνθη. διὸ ἔλεγεν, εὐδοκῶ, χαίρω, ἐπιθυμῶ ὑβρίζεσθαι, διώκεσθαι, στενοχωρεῖσθαι ὑπὲρ Χριστοῦ. ταῦτα δὲ ἔλεγε, κἀκείνους καταστέλλων, καὶ τούτων ἐπαίρων τὰ φρονήματα, ἵνα μὴ αἰσχύνωνται τοῖς Παύλου παθήμασιν. ἀρκεῖ γὰρ ἡ ὑπόθεσις πάντων ποιῆσαι λαμπροτέρους. εἶτα καὶ ἄλλην αἰτίαν τίθησιν. ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. τί θαυμάζεις, εἰ τοῦ θεοῦ ἡ δύναμις τότε διαδείκνυται; καὶ ἐγὼ τότε δυνατός εἰμι. C τότε γὰρ μάλιστα ἡ χάρις ἐπῄει. καθὼς γὰρ περισσεύει τὰ παθήματα αὐτοῦ, περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. ὅπου θλίψις, ἐκεῖ καὶ παράκλησις· ὅπου παράκλησις, ἐκεῖ καὶ χάρις. ὅτε γοῦν ἐνέπεσεν εἰς τὸ δεσμωτήριον, τότε τὰ θαυμαστὰ ἐποίησεν ἐκεῖνα· ὅτε ἐναυάγησε καὶ εἰς τὴν βάρβαρον ἐξηνέχθη χώραν, τότε μάλιστα ἐδοξάσθη. ὅτε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, τότε καὶ τοῦ δικαστοῦ περιεγένετο. οὕτω καὶ ἐν τῇ παλαιᾷ συνέβαινεν· ἐν τοῖς πειρασμοῖς ἤνθουν οἱ δίκαιοι. οὕτως οἱ τρεῖς παῖδες, οὕτως ὁ D Δανιὴλ, καὶ Μωϋσῆς, καὶ Ἰωσήφ· πάντες ἐντεῦθεν λαμπροὶ, καὶ μεγάλων κατηξιώθησαν στεφάνων. τότε γὰρ καὶ ἡ ψυχὴ καθαίρεται, ὅτε διὰ τὸν θεὸν θλίβεται· τότε μείζονος ἀπολαύει βοηθείας, πλείονος δεομένη συμμαχίας, καὶ πλείονος ἀξία χάριτος. καὶ πρὸ τοῦ μισθοῦ δὲ τοῦ παρὰ τοῦ θεοῦ κειμένου, μεγάλα καρποῦται ἀγαθὰ φιλόσοφος γινομένη. καὶ γὰρ τὸν τῦφον περισπᾷ, καὶ τὴν ῥᾳθυμίαν ἐκκόπτει πᾶσαν ἡ θλίψις, καὶ πρὸς ὑπομονὴν ἀλείφει· ἐκκαλύπτει τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν, καὶ πολλὴν εἰσάγει φιλοσο-E φίαν. πάντα γὰρ αὐτῇ παραχωρεῖ τὰ πάθη, βασκανία, ζῆλος, ἐπιθυμία, δυναστεία, χρημάτων ἔρως καὶ σωμάτων, ἀλαζονεία, τῦφος, θυμὸς, ἅπας ὁ λοιπὸς τῶν νοσημάτων τούτων ἑσμός. καὶ εἰ βούλει ἐπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν, καὶ ἄνδρα ἰδίᾳ, καὶ δῆμον ὁλόκληρον, δυνήσομαί σοι δεῖξαι, καὶ ἐν θλίψει γινομένους, καὶ ἐν ἀνέσει, καὶ διδάξαι πόσον ἐντεῦθεν τὸ κέρδος, καὶ πόση ἐκεῖθεν ἡ ῥᾳθυμία.

Καὶ γὰρ ὁ τῶν Ἑβραίων δῆμος, ὅτε μὲν ἐκακοῦντο καὶ ἠλαύνοντο, ἔστενον, καὶ τὸν θεὸν παρεκάλουν,

καὶ πολλὴν ἄνωθεν ἐπεσπῶντο τὴν ῥοπήν· ὅτε δὲ ἐλιπαρύνθησαν, ἀπεσκίρτησαν. οἱ Νινευῖται πάλιν, ὅτε μὲν ἀδείας ἀπήλαυον, οὕτω τὸν θεὸν παρώξυναν, ὡς ὁλόκληρον ἀπειλῆσαι τὴν πόλιν ἐκ βάθρων ἀνασπᾶν· ὅτε δὲ ὑπὸ τοῦ κηρύγματος ἐταπεινώθησαν ἐκείνου, πᾶσαν ἐπεδείξαντο φιλοσοφίαν. εἰ δὲ καὶ ἄνδρα καθ' ἑαυτὸν ἰδεῖν ἐθέλεις, ἐννόησον τὸν Σολομῶντα. καὶ γὰρ οὗτος ὅτε μὲν ἦν ἐν φροντίσι καὶ ταραχῇ περὶ τῆς ἀρχῆς τοῦ ἔθνους ἐκείνου βουλευόμενος, τῆς ὄψεως ἠξιώθη ἐκείνης· ὅτε δὲ ἐν τρυφῇ γέγονεν, εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἐξωλίσθησε. τί δὲ ὁ τούτου πατήρ; πότε θαυμαστὸς ἦν καὶ παράδοξος; οὐχ ὅτε ἐν πειρασμοῖς ἦν; ὁ δὲ Ἀβεσσαλώμ, οὐχ ἕως μὲν ἔφευγεν, ἐσωφρόνει, ἐπειδὴ δὲ ἐπανῆλθε, καὶ τυραννικὸς καὶ πατραλοίας ἐγένετο; τί δὲ ὁ Ἰώβ; οὗτος γὰρ λαμπρὸς μὲν ἦν καὶ ἐν ἀνέσει· λαμπρότερος δὲ μετὰ τὴν θλῖψιν ἐφάνη. καὶ τί δεῖ λέγειν τὰ ἀρχαῖα, καὶ παλαιά; ἂν γὰρ τὰ ἡμέτερά τις ἐξετάσῃ τὰ νῦν, ὄψεται ἡλίκον τῆς θλίψεως τὸ κέρδος. νῦν μὲν γὰρ εἰρήνης ἀπολαύοντες, ἀναπεπτώκαμεν, καὶ διερρύημεν, καὶ μυρίων τὴν ἐκκλησίαν ἐνεπλήσαμεν κακῶν· ὅτε δὲ ἠλαυνόμεθα, καὶ σωφρονέστεροι, καὶ ἐπιεικέστεροι, καὶ σπουδαιότεροι, καὶ περὶ τοὺς συλλόγους τούτους ἡμεν προθυμότεροι, καὶ περὶ τὴν ἀκρόασιν. ὅπερ γὰρ τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ἡ θλῖψις ταῖς ψυχαῖς, τὸν ῥύπον ἀποσμήχουσα, καθαροὺς ἐργαζομένη, λαμπροὺς κατασκευάζουσα, καὶ φαιδρούς. αὕτη εἰς βασιλείαν εἰσάγει, ἐκείνη δὲ εἰς γέενναν. διὸ ἡ μὲν ἐστὶν εὐρύχωρος, ἡ δὲ στενή. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ὡς μέγα τι καταβάλλων ἡμῖν ἀγαθόν. εἰ τοίνυν μαθητὴς εἶ, τὴν στενὴν καὶ τεθλιμμένην ὅδευε, μηδὲ δυσχέραινε, μηδὲ ἀποδυσπέτει. κἂν γὰρ οὕτω μὴ θλιβῇς, ἀνάγκη θλιβῆναι πάντως ἐξ ἑτέρας ὑποθέσεως ἀκερδοῦς. καὶ γὰρ ὁ βάσκανος, καὶ ὁ χρημάτων ἐρῶν, καὶ ὁ πόρνης περικαιόμενος, καὶ ὁ κενόδοξος, καὶ τῶν ἄλλων ἕκαστος τῶν τὰ πονηρὰ ἐπιόντων πολλὰς ἀθυμίας ὑπομένει καὶ θλίψεις, καὶ τῶν πενθούντων οὐκ ἔλαττον θλίβεται. εἰ δὲ μὴ δακρύει, μηδὲ πενθεῖ, δι' αἰσχύνην καὶ ἀναισθησίαν. ὡς εἴγε τὴν ψυχὴν αὐτοῦ καταμάθοις, μυρίων ὄψει κυμάτων γέμουσαν. ὅταν οὖν καὶ τοῦτον καὶ ἐκεῖνον μετιόντας τὸν βίον ἀνάγκη θλίβεσθαι, διὰ τί μὴ τοῦτον αἱρούμεθα τὸν μετὰ θλίψεως μυρίους φέροντα στεφάνους; καὶ γὰρ τοὺς ἁγίους ἅπαντας οὕτως ἤγαγεν ὁ θεὸς διὰ θλίψεως καὶ στενοχωρίας, ὁμοῦ μὲν ἐκείνους ὠφελῶν, ὁμοῦ δὲ τοὺς λοιποὺς ἀσφαλιζόμενος, ὥστε μὴ μείζονα τῆς ἀξίας περὶ αὐτῶν δόξαν ἔχειν. οὕτω γὰρ καὶ εἰδωλολατρεῖαι τὴν ἀρχὴν ἐκράτησαν, τῶν ἀνθρώπων ὑπὲρ τὴν

A plurimumque auxilii e cælo pertrahebant. Cum autem incrassati sunt, recalcitrarunt. Ninivitæ rursus, cum tranquille viverent, Deum usque adeo ad iracundiam incitarunt, ut se urbem funditus deleturum minaretur. At postquam Jonæ prædicatione humiles redditi sunt, nullum non philosophiæ argumentum præbuerunt. Quod si hominem unum privatim intueri libet, Salomonem tibi animo propone. Nam cum hic in cura & perturbatione versaretur, de gentis videlicet illius imperio atque gubernatione consilia agitans, illa visione dignatus est. Cum autem deliciis se dedidit, in ipsam vi- B tii voraginem devolutus est. Quid ipsius pater? Quonam tempore eximium atque admirandum virum se præbebat? Annon cum in tentationibus versaretur? Absalon vero annon modeste se gerebat, dum fugeret? Postquam autem reversus est, & tyrannidem invasit & parricida factus est? Quid Job? Hic enim clarus erat cum prospere ageret; clarior autem visus est post calamitatem. Quid autem prisca & vetera commemorare attinet? Nam si quis præsentem rerum statum expendat, quantum fructus ex afflictione nas- C catur, perspiciet. Nunc enim, cum pace fruimur, elanguimus & defluximus, ac sexcentis ecclesiam malis implevimus. Cum autem exagitabamur, & moderatiores, & meliores, & studiosiores, & ad hosce conventus promtiores eramus. Quod enim auro ignis, hoc animis est afflictio; spurcitiem abstergens, puros efficiens, luculentos & illustres reddens. Hæc ad regnum inducit: illa ad gehennam. Quocirca hæc quidem angusta: illa autem lata. Unde etiam Christus dicebat, *In mundo pressuram habebitis*: tamquam ingens bonum ad nos emittens. Itaque si D inter discipulos censeris, arctum & angustum iter capesse, nec indignare, atque animum desponde. Nam nisi ad hunc modum premaris, omnino te infructuosa alia de causa premi necesse erit. Nam & invidus & pecuniarum avidus, & qui meretricis amore flagrat, & inanis gloriæ cupidus, & quilibet eorum, qui prava consectantur, multos mœrores multasque calamitates subit, nec minus, quam ii, qui lugent, angitur. Quod si non collacrymat ac mœret, pudore scilicet ac stupore prohibetur: si animum ipsius co- E gnitum habeas, infinitis eum fluctibus refertum conspicies. Cum itaque & eum, qui hanc, & eum, qui illam vitam sequitur, premi necesse sit, cur non hoc potius vitæ genus amplectimur, quod innumeras cum afflictione coronas affert? Etenim Deus sic sanctos omnes per afflictionem & anxietatem duxit: simul & ipsos juvans, & aliis consulens, ne majorem, quam par esset, de se opinionem conciperent. Sic enim idolorum cultus primo imperium obtinuit: cum homines, ampliori, quam æquum esset, admi-

2. Reg. 13.

Joan. 16. 33.

rationi haberentur. Sic Romanorum Senatus Alexandrum decimum tertium Deum esse censuit. Is enim hanc potestatem habebat, ut deos crearet atque conscriberet. Cum res omnes a Christo gestæ nunciatæ sunt, Romam misit is, qui Judæorum nationi præerat, sciscitans ex ipsis num eum quoque Deum creare placeret. Id vero illi facere recusarunt, quod iniquo atque infenso animo ferrent, ante decretum suum atque sententiam, Cruxifixi potentiam effulgentem, universum orbem ad sui cultum attraxisse. Hoc porro vel invitis ipsis ita divinitus procurabatur: ut ne humanis suffragiis Christi divinitas promulgaretur, neque unus e multis illis ipse esse censeretur, qui ab ipsis designati fuerant. Nam & pugiles pro diis habuerunt: atque cinædum illum, quem Adrianus in deliciis habebat. Unde etiam urbs Antinoi appellatur. Quia enim mors adversum humanam naturam testimonium dicit, diabolus alteram viam excogitavit, nimirum animæ immortalitatem: cui immodicam adulationem admiscens, quamplurimos in impietatem abduxit. Illius vafritiem perspice. Nam cum nos eam utiliter in medium afferimus, sermonem ille evertit. Cum autem in perniciem eam adstruere cupit, magno studio eam constituit. Ac si quispiam dixerit, Quî fieri potest, ut Alexander deus sit? Annon mortuus est, & quidem misere? At immortalis est animus, inquit. Nunc immortalitatem asseris ac philosopharis, ut a præpotente Deo nos abducas. At cum nos summum Dei beneficium eam dicimus, humiles & humi abjectos, nihiloque melius quam bruta animalia affectos, ut deceptos in tuam sententiam abducis. Quod si Crucifixum vivere dixerimus, risus statim consequitur: quamvis etiam orbis universus, & olim & nunc quoque id clamet, tunc per miracula, nunc autem per eos, qui ad eum sese converterunt. Neque enim mortui est ista præstare. Sin autem quispiam Alexandrum vivere asserat, huic fidem adhibes, cum tamen nullum miraculum proferre queas. Imo vero, inquis, Multa enim & magna, cum viveret gessit. Nam & Gentes, & urbes, imperio suo subjecit, & in multis bellis ac præliis victoriam obtinuit, tropæaque erexit.

Alexander tertius-decimus deus constitutus.

Antinous deus habitus est.

5. Quid si ostendero id, quod nec ille, dum viveret, nec alius quispiam ex his qui unquam extiterunt, cogitavit; quod tandem aliud resurrectionis argumentum quæris? Nam quod quispiam vivens bella feliciter confecerit, victoriasque adeptus sit, rex cum esset, exercitusque haberet, nec mirum, nec novum atque insolens videri debet. At vero post crucem ac tumulum, tot ac tanta in tota terra & mari efficere; hoc ingenti stupore plenum est, ac divinam & arcanam potentiam promulgat. Ac quidem Alexander

A ἀξίαν θαυμαζομένων· [a] οὕτως Ἀλέξανδρον τρεισκαιδέκατον ἐνόμισεν εἶναι θεὸν ἡ σύγκλητος Ῥωμαίων. καὶ γὰρ αὕτη ταύτην εἶχε τὴν ἀξίαν χειροτονεῖν καὶ ἐγκρίνειν θεούς. ὅτε γοῦν τὰ κατὰ Χριστὸν ἀπηγγέλη πάντα, ἔπεμψεν ὁ τοῦ ἔθνους ἄρχων πυνθανόμενος, εἰ δοκεῖ αὐτοῖς καὶ αὐτὸν χειροτονῆσαι θεόν. οἱ δὲ οὐκ ἐπένευσαν, ὀργιζόμενοι καὶ ἀγανακτοῦντες, ὅτι πρὸ τῆς αὐτῶν ψήφου καὶ γνώμης, ἡ δύναμις τοῦ σταυρωθέντος ἐκλάμψασα, εἰς τὸ οἰκεῖον ἐπεσπάσατο σέβας τὴν οἰκουμένην ἅπασαν. τοῦτο δὲ ᾠκονομεῖτο καὶ ἀκόντων αὐτῶν, ὥστε μὴ ἐξ
B ἀνθρωπίνης ψήφου τὴν θεότητα ἀνακηρυχθῆναι τοῦ Χριστοῦ, μηδὲ ἕνα τῶν πολλῶν αὐτὸν εἶναι νομισθῆναι τῶν ὑπ' ἐκείνων χειροτονηθέντων. καὶ γὰρ καὶ πύκτας θεοὺς ἐνόμισαν, [b] καὶ τὰ παιδικὰ τὰ Ἀδριανοῦ· ὅθεν καὶ ἡ πόλις Ἀντίνοος λέγεται. ἐπειδὴ γὰρ θάνατος καταμαρτυρεῖ τῆς θνητῆς φύσεως, ἐφεῦρεν ὁ διάβολος ἑτέραν ὁδὸν, τὴν τῆς ψυχῆς ἀθανασίαν, ᾗ τὴν ὑπερβάλλουσαν κολακείαν ἀναμίξας, εἰς ἀσέβειαν πολλοὺς ἐξήγαγε. καὶ θέα κακουργίαν. ὅταν μὲν ἡμεῖς εἰς δέον
C αὐτὴν παράγωμεν, ἀναιρεῖ τὸν λόγον· ὅταν δὲ εἰς βλάβην αὐτὸς κατασκευάζειν βούληται, μετὰ πολλῆς αὐτὴν ἵστησι τῆς σπουδῆς. κἂν εἴποι τις, πόθεν θεὸς Ἀλέξανδρος; οὐχὶ τέθνηκε καὶ ἀθλίως; ἀλλ' ἀθάνατος ἡ ψυχή, φησι. νῦν ὑπὲρ ἀθανασίας ποιῇ τὸν λόγον, καὶ φιλοσοφεῖς, ἵνα ἀποστήσῃς τοῦ ἐπὶ πάντων θεοῦ· ὅταν δὲ ἡμεῖς λέγωμεν τοῦτο μέγιστον τοῦ θεοῦ τὸ δῶρον, τοὺς ταπεινοὺς καὶ χαμαιπετεῖς, καὶ τῶν ἀλόγων οὐδὲν ἄμεινον διακειμένους, ὡς ἠπατημένους πείθεις. κἂν εἴπωμεν, ὅτι ὁ ἐσταυρωμένος ζῇ, γέλως εὐθέως,
D καίτοι τῆς οἰκουμένης βοώσης ἁπάσης, καὶ πάλαι, καὶ νῦν· τότε μὲν ἀπὸ τῶν σημείων, νῦν δὲ ἀπὸ τῶν ἐπιστρεψάντων. οὐ γὰρ δὴ νεκροῦ ταῦτα τὰ κατορθώματα. ἂν δὲ εἴποι τις, ὅτι Ἀλέξανδρος ζῇ, πιστεύεις, καίτοιγε οὐδὲν ἔχων σημεῖον εἰπεῖν. ναί, φησι. πολλὰ γὰρ καὶ μεγάλα κατώρθωσε ζῶν. καὶ γὰρ καὶ ἔθνη, καὶ πόλεις ὑπέταξε, καὶ πολέμους πολλοὺς καὶ μάχας ἐνίκησε, τρόπαια ἔστησεν.

Ἐὰν οὖν ἐγὼ δείξω, ὅπερ ἐκεῖνος ζῶν οὐκ ἐνενόησεν, οὐκ αὐτὸς, οὐκ ἄλλος τις τῶν ποτε γενομένων ἀνθρώπων,
E ποίαν ἑτέραν ζητεῖς ἀναστάσεως ἀπόδειξιν; τὸ μὲν γὰρ ζῶντα κατορθοῦν πολέμους καὶ νίκας βασιλέα ὄντα, καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδὲν, οὐδὲ παράδοξον καὶ καινόν· τὸ δὲ μετὰ σταυρὸν καὶ τάφον τοσαῦτα ἐργάσασθαι πανταχοῦ γῆς καὶ θαλάττης, τοῦτό ἐστι τὸ μάλιστα πολλῆς ἐκπλήξεως γέμον, καὶ τὴν θείαν καὶ ἀπόρρητον ἀνακηρύττον δύναμιν. καὶ ὁ μὲν Ἀλέξανδρον

[a] Alexandrum Magnum templum habuisse sibi dicatum significat Lampridius paulopost initium vitæ Alexandri Severi. Quod autem a Senatu Romano tertius-decimus deus declaratus sit, ut ait Chrysostomus, certe non constare videtur. Tertius autem decimus hic deus censetur, quia duodecim dii præcipui Romæ habebantur. *Juno, Vesta, Minerva, Ceres, Diana, Venus, Mars, Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo.*

[b] Antinoum Hadriani cinædum inter deos relatum, & Antinoopolin ejus nomine dictam fuisse, ignorat nemo. Vide Spartianum in vita Hadriani.

μετὰ

μετὰ τὴν τελευτὴν αὐτοῦ, διασπασθεῖσαν τὴν ἀρχὴν αὐτοῦ καὶ τέλεον ἀφανισθεῖσαν οὐκ ἐπανήγαγε. πῶς δὲ ἔμελλεν ὁ νεκρός; ὁ δὲ Χριστὸς τότε αὐτὴν μάλιστα ἔστησεν, ὅτε ἐτελεύτησε. καὶ τί λέγω περὶ τοῦ Χριστοῦ, ὅπου γε καὶ τοῖς μαθηταῖς αὐτοῦ, μετὰ τὸ τελευτῆσαι, λάμψαι ἔδωκε; ποῦ γάρ, εἰπέ μοι, τὸ σῆμα Ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰπὲ τὴν ἡμέραν καθ' ἣν ἐτελεύτησε. τῶν δὲ δούλων τοῦ Χριστοῦ καὶ τὰ σήματα λαμπρά, τὴν βασιλικωτάτην καταλαβόντα πόλιν· καὶ ἡμέραι καταφανεῖς, ἑορτὴν τῇ οἰκουμένῃ ποιοῦσαι. καὶ τὸ μὲν ἐκείνου καὶ οἱ οἰκεῖοι ἀγνοοῦσι, τὸ δὲ τούτου καὶ οἱ βάρβαροι ἐπίστανται. καὶ οἱ τάφοι τῶν δούλων τοῦ σταυρωθέντος λαμπρότεροι τῶν βασιλικῶν εἰσιν αὐλῶν, οὐ τῷ μεγέθει καὶ τῷ κάλλει τῶν οἰκοδομημάτων μόνον· καὶ τούτῳ μὲν γὰρ κρατοῦσιν· ἀλλ', ὃ πολλῷ πλέον ἐστί, τῇ σπουδῇ τῶν συνιόντων. καὶ γὰρ αὐτὸς ὁ τὴν ἁλουργίδα περικείμενος ἀπέρχεται τὰ σήματα ἐκεῖνα περιπτυξόμενος, καὶ τὸν τῦφον ἀποθέμενος ἕστηκε δεόμενος τῶν ἁγίων, ὥστε αὐτοῦ προστῆναι παρὰ τῷ θεῷ; καὶ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως προστατῶν καὶ τετελευτηκότων δεῖται ὁ τὸ διάδημα ἔχων. τολμήσεις οὖν, εἰπέ μοι, τὸν τούτων δεσπότην νεκρὸν εἰπεῖν, οὗ οἱ οἰκέται καὶ τετελευτηκότες, προστάται τῶν τῆς οἰκουμένης βασιλέων εἰσί; καὶ τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ ἴδοι τις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ τοῖς προθύροις κατάθοιτο τοῦ ἁλιέως· καὶ ὅπερ εἰσὶν οἱ πυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν τῷ σήματι οἱ βασιλεῖς τοῖς ἁλιεῦσι. καὶ οἱ μέν, ὥσπερ δεσπόται τοῦ τόπου τὰ ἔνδον κατέχουσιν, οἱ δέ, ὡς πάροικοι καὶ γείτονες ἠγάπησαν τὴν αὔλειον αὐτοῖς ἀφορισθῆναι θύραν, ἀπὸ τῶν ἐνταῦθα καὶ τοῖς ἀπίστοις ἐπιδεικνύντες, ὅτι πλείων ἐν τῇ ἀναστάσει ἡ ὑπεροχὴ ἔσται τοῖς ἁλιεῦσιν. εἰ γὰρ ἐνταῦθα οὕτως ἐν τοῖς τάφοις, πολλῷ μᾶλλον ἐν τῇ ἀναστάσει. καὶ ἀντήλλακται ἡ τάξις· οἱ μὲν βασιλεῖς οἰκετῶν καὶ ὑπηρετῶν, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περίκεινται, μᾶλλον δὲ καὶ λαμπροτέραν. καὶ ὅτι οὐ κολακεία τὸ πρᾶγμα, αὐτὴ δείκνυσιν ἡ ἀλήθεια. ἀπὸ γὰρ ἐκείνων καὶ οὗτοι λαμπρότεροι γεγόνασι. πολὺ γὰρ τῶν ἄλλων τάφων τῶν βασιλικῶν τὰ σήματα ταῦτα σεμνότερα. ἐκεῖ μὲν γὰρ πολλὴ ἡ ἐρημία, ἐνταῦθα δὲ πολλὴ ἡ πανήγυρις. εἰ δὲ βούλει καὶ ταῖς βασιλικαῖς παραβαλεῖν αὐλαῖς τοὺς τάφους τούτους, πάλιν ἐνταῦθα τὰ νικητήρια. ἐκεῖ μὲν γὰρ πολλοὶ οἱ σοβοῦντες, ἐνταῦθα δὲ πολλοὶ οἱ καλοῦντες καὶ ἐπισπώμενοι πλουσίους, πένητας, ἄνδρας, γυναῖκας, δούλους, ἐλευθέρους· ἐκεῖ πολὺς ὁ φόβος, ἐνταῦθα ἄφατος ἡ ἡδονή. ἀλλὰ γλυκὺ θέαμα χρυσοφοροῦντα βασιλέα καὶ ἐστεφανωμένον ἰδεῖν, καὶ παρεστῶτας στρατηγούς, ἄρχοντας, ταξιάρχους, φυλάρχους,

A imperium suum, post ipsius e vita discessum laceratum ac penitus deletum, non instauravit. Quî enim id potuisset homo mortuus? At Christus tunc ipsum maxime excitavit, postquam ex hac vita migravit. Quid autem Christum commemoro? cum ipse discipulis quoque suis, ut post mortem clari essent, concesserit? Ubi enim, quæso, Alexandri tumulus est? Ostende mihi; & dic quo die mortuus sit. At Christi servorum tum splendida sepulcra sunt, ut quæ urbem præstantissimam ac regiam occuparint, & dies noti atque clari, qui festi a toto orbe celebrentur. B Atque illius quidem tumulum sui quoque ignorant: hujus autem, barbari quoque exploratum habent. Ac sepulcra eorum, qui Crucifixo servierunt, regias aulas splendore vincunt, non magnitudine aut pulcritudine ædificiorum; nam hac parte illa superant; sed, quod multo majus est, coëuntium studio. Nam & ille qui purpuram gestat, ad sepulcra illa se confert, ut ea exosculetur: abjectoque fastu supplex stat, sanctosque obsecrat, ut ipsi apud Deum sibi præsidio sint: atque, ut & tentoriorum opificem, & piscatorem, & quidem fato functos patronos habeat, precibus is contendit C qui diademate cinctus est. Ergo-ne, dic quæso, horum dominum mortuum dicere audebis, cujus servi, etiam defuncti, eorum, qui universo orbi imperant, patroni sunt? Atque id non Romæ solum fieri quispiam viderit, sed etiam Constantinopoli. Nam & hic quoque Constantinum Magnum filius ita demum ingenti honore se affecturum existimavit, si eum in piscatoris vestibulo conderet. Quodque Imperatoribus sunt in aulis janitores, hoc in sepulcro piscatoribus sunt Imperatores. Atque illi quidem, velut domini, interiores loci partes obtinent: hi autem velut D accolæ ac vicini, præclare secum agi putarunt, si vestibuli janua ipsis assignetur: ab iis, quæ hic fiunt, etiam infidelibus ostendentes, quod piscatores in resurrectione præstantiorem gradum obtinebunt. Nam cum hic in sepulcris tanto superiores sint, multo certe magis in resurrectione. Atque mutatis rerum vicibus, Imperatores famulorum ac ministrorum, subditi autem Imperatorum dignitatem tenent, imo splendidiorem. Quodque hoc non ab adulationis studio proficiscatur, veritas ipsa ostendit. Etenim ab illis hi quoque majorem splendorem sunt consequuti. E Hæc quippe sepulcra, aliis Imperatorum sepulcris multo splendidiora & venerabiliora facta sunt. In illis enim mira solitudo: in his ingens frequentia. Quod si cum Imperatoriis aulis hæc sepulcra conferre libeat, penes hæc rursus victoria futura est. Illic enim multi sunt, qui turbam submoveant: hic contra multi qui invitent, atque & divites, & pauperes, & viros, & feminas, & servos ac liberos attrahant. Illic ingens terror; hic lætitia, quæ nullis verbis explicari queat. At dulce spectaculum est Imperatorem auro amictum, & corona redimitum videre, adstantesque bellicos duces, præfectos, tribunos, centuriones,

Sepulcra Martyrum Regias aulas superant.

Constantinus M. in vestibulo Ecclesiæ S. Petri Constantinopoli sepultus.

prætores? Verum hæc adeo illis angustiora magisque tremenda sunt, ut præ istis illa scena quædam ac merus ludus censeri possint. Simul enim atque limina transilieris, locus ipse mentem ad cælum, ad supernum Regem, ad angelorum exercitum, ad sublime illud solium, ad inaccessam gloriam, transmittit. Atque hic quidem Imperator subditos suos præfecto ita subjecit, ut ei liberum sit alios solvere, alios vinculis astringere: at sanctorum ossa non miseram hanc abjectamque potestatem habent; verum illa multo majorem. Dæmones enim sistunt & excruciant, acerbissimisque illis vinculis, eos, qui adstricti sunt, solvunt. Quid hoc tribunali terribilius fingi potest? Cum nemo cernatur, nemo dæmonis lateri incumbat, voces & dilacerationes, verbera & cruciatus, linguæ conflagrantes audiuntur, dæmone admirabilem potentiam minime ferente. Atque isti, qui corpora gestarunt, virtutes corpore vacantes superant: pulvisque, ossa, & cinis, naturas illas invisibiles dilacerant. Ideo nemo est qui peregrinationem unquam inire sustineat, ut Imperatorum aulas videat: contra multi plerumque Imperatores peregre profecti sunt, ut hoc spectaculo fruerentur. Siquidem sanctorum Martyrum templa futuri judicii vestigia & signa exhibent, dum dæmones flagris cæduntur, hominesque castigantur, ac liberantur. Viden' quæ sanctorum, etiam vita functorum, vis sit? Vides quæ peccatorum, etiam viventium, imbecillitas? Proinde vitium fuge, ut eos, qui tales sunt, superes: ac virtutem omni studio consectare. Nam si præsentia ejusmodi sunt, cogites velim qualia futura sint. Atque hoc amore perpetuo correptus, sempiternam vitam arripe: Quam utinam nobis omnibus consequi detur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor, nunc & semper & in sæcula sæculorum, amen.

Martyria Martyrum templa *res trita est.*

A ὑπάρχους. ἀλλὰ τὰ ἐνταῦθα τοσούτῳ σεμνότερα καὶ φρικωδέστερα, ὡς ἐκεῖνα σκηνὴν εἶναι καὶ παιδιὰν νομίσαι πρὸς ταῦτα. ἅμα γὰρ ἐπέβης τῶν οὐδῶν, καὶ πρὸς τὸν οὐρανὸν ὁ τόπος τὴν διάνοιαν παρέπεμψε, πρὸς τὸν ἄνω βασιλέα, πρὸς τὸ στρατόπεδον τὸ τῶν ἀγγέλων, πρὸς τὸν θρόνον τὸν ὑψηλὸν, πρὸς τὴν δόξαν τὴν ἀπρόσιτον. καὶ ἐνταῦθα μὲν ὑπέταξεν ἄρχοντι τῶν ὑποκειμένων τὸν μὲν λῦσαι, τὸν δὲ δῆσαι· τὰ δὲ ὀστᾶ τῶν ἁγίων οὐ ταύτην ἔχει τὴν ἐξουσίαν τὴν οἰκτρὰν καὶ ταπεινὴν, ἀλλ' ἐκείνην τὴν πολλῷ μείζονα. δαίμονας γὰρ παρίστησι, καὶ βασανίζει, καὶ τῶν δεσμῶν ἐκείνων τῶν B πικροτάτων ἀπολύει τοὺς δεδεμένους. τί φοβερώτερον τοῦ δικαστηρίου τούτου; οὐδενὸς ὁρωμένου, οὐδενὸς ἐπικειμένου ταῖς πλευραῖς τοῦ δαίμονος, φωναὶ καὶ σπαραγμοὶ, μάστιγες, βάσανοι, γλῶσσαι ἐμπιπράμεναι, τοῦ δαίμονος οὐ φέροντος τὴν θαυμαστὴν δύναμιν ἐκείνην. καὶ οἱ τὰ σώματα φορέσαντες, τῶν ἀσωμάτων κρατοῦσι δυνάμεων· ἡ κόνις, καὶ τὰ ὀστᾶ, καὶ ἡ τέφρα τὰς ἀοράτους ἐκείνας διαξαίνει φύσεις. διὰ δὴ τοῦτο, ὑπὲρ μὲν τοῦ βασιλικὰς ἰδεῖν αὐλὰς οὐδεὶς ἄν ποτε ἀποδημήσειε· βασιλεῖς δὲ πολλοὶ πολλάκις ἀποδεδημήκασι ταύτης C ἕνεκεν τῆς θεωρίας. τῆς γὰρ μελλούσης κρίσεως ἴχνη καὶ σύμβολα τὰ μαρτύρια τῶν ἁγίων παρέχεται, δαιμόνων μαστιζομένων, ἀνθρώπων κολαζομένων καὶ ἐλευθερουμένων. εἶδες τῶν ἁγίων τὴν δύναμιν καὶ τετελευτηκότων; εἶδες τῶν ἁμαρτωλῶν τὴν ἀσθένειαν καὶ ζώντων; φύγε τοίνυν τὴν κακίαν, ἵνα κρατῇς τῶν τοιούτων· καὶ δίωκε μετὰ σπουδῆς ἁπάσης τὴν ἀρετήν. εἰ γὰρ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον ἡλίκα τὰ μέλλοντα. καὶ τῷ ἔρωτι τούτῳ διηνεκῶς κατεχόμενος, ἐπιλαμβάνου τῆς αἰωνίου ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ D πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## HOMILIA XXVII.

11. *Factus sum insipiens gloriando, vos me coëgistis. Ego enim a vobis debui commendari.*

1. ABSOLUTA de suis laudibus oratione, hic minime gradum fixit: verum se rursus excusat, ac de iis, quæ dixit, veniam petit, necessitate nempe adductum se fuisse dicens, non voluntate. Et tamen, quamvis eo necessitate pertractus fuerit, insipientem se vocat. Atque, cum hunc sermonem ordiretur, dicebat, Ut insipientem accipite me: &, Tamquam in insipientia. Nunc vero sublata hac particula, *Ut*, Insipientem seipsum vocat. Posteaquam enim, per ea, quæ dixit, id, quod volebat, effecit, libere jam atque audacter vitium hujusmodi notat, quo videlicet omnes erudiat, ne, nisi summa necessitas urgeat, quisquam suas laudes prædicet: quippe cum Paulus, necessaria etiam causa oblata, insipientem tamen se

## ΟΜΙΛΙΑ κζ'.

Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι.

ΑΠΑΡΤΙΣΑΣ τὸν περὶ τῶν οἰκείων ἐγκωμίων λόγον, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ ἀπολο- E γεῖται πάλιν, καὶ συγγνώμην ὑπὲρ τῶν εἰρημένων αἰτεῖ, ἀνάγκης εἶναι λέγων τὸ πρᾶγμα, οὐ προαιρέσεως. ἀλλ' ὅμως καὶ ἀνάγκης οὔσης, ἄφρονα ἑαυτὸν καλεῖ. ἀρχόμενος μὲν οὖν ἔλεγεν, ὡς ἄφρονα δέξασθέ με, καὶ, ὡς ἐν ἀφροσύνῃ· νυνὶ δὲ τὸ, ὡς, ἀνελὼν, ἄφρονα ἑαυτὸν καλεῖ. μετὰ γὰρ τὸ κατασκευάσαι διὰ τῶν εἰρημένων ἅπερ ἤθελε, θαῤῥῶν λοιπὸν, καὶ ἀφειδῶς ἐπιλαμβάνεται τοῦ τοιούτου ἐλαττώματος, παιδεύων ἅπαντας μηδέποτε ἀνάγκης οὐκ οὔσης, ἑαυτόν τινα ἐγκωμιάζειν, ὅπου γε καὶ αἰτίας ὑποκειμένης, ἄφρονα ἑαυτὸν ὁ Παῦλος ὠνό-

μασεν. εἶτα καὶ τὴν αἰτίαν τῶν εἰρημένων, οὐκ ἐπὶ τοὺς ψευδαποστόλους, ἀλλ' ἐπὶ τοὺς μαθητὰς ἅπασαν περιτρέπει. ὑμεῖς γάρ, φησιν, ἠναγκάσατε. εἰ μὲν γὰρ ἐκαυχῶντο, καὶ μὴ μετὰ τῆς ὑμετέρας τοῦτο ἐποίουν πλάνης, μηδὲ ὑμᾶς ἀπώλλυον, οὐκ ἂν οὕτω προήχθην εἰς τούτους ἐμαυτὸν καθεῖναι τοὺς λόγους. ἐπειδὴ δὲ ὁλόκληρον ἐκκλησίαν διέφθειρον, πρὸς τὸ συμφέρον ὑμῖν ὁρῶν, ἠναγκάσθην ἄφρων γενέσθαι. καὶ οὐκ εἶπεν, ἔδεισα γὰρ μὴ τὰ πρωτεῖα παρ' ὑμῖν ἐνεγκάμενοι, τὰ παρ' ἑαυτῶν καταπείρωσιν· ἀλλὰ τοῦτο μὲν ἤδη ἀνωτέρω τέθεικεν εἰπών, φοβοῦμαι μήπως, ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ αὐθεντικώτερον, καὶ μετὰ πλείονος ἐξουσίας, ἔχων ἐκ τῶν εἰρημένων τὴν παρρησίαν· ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι. εἶτα καὶ τὴν αἰτίαν τίθησι· καὶ οὐ λέγει πάλιν τὰς ἀποκαλύψεις, οὐδὲ τὰ σημεῖα μόνον, ἀλλὰ καὶ τοὺς πειρασμούς. οὐδὲ γὰρ ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων. ὅρα πῶς πάλιν καὶ ἐνταῦθα ἐξουσιαστικώτερον φθέγγεται. ἔμπροσθεν μὲν γὰρ ἔλεγε, λογίζομαι μηδὲν ὑστερηκέναι· ἐνταῦθα δὲ ἀποφαντικῶς οὕτως, ὅπερ εἶπον, μετὰ τὰς ἀποδείξεις, θαρρῶν φθέγγεται λοιπόν· οὐ μὴν δὲ οὕτως ἀφίσταται τοῦ μετρίου, οὐδὲ τοῦ οἰκείου ἤθους. ὥσπερ γὰρ μέγα τι εἰρηκώς, καὶ τὴν ἀξίαν ὑπερβαῖνον τὴν ἑαυτοῦ, ὅτι μετὰ τῶν ἀποστόλων ἑαυτὸν ἠρίθμησεν, οὕτω μετριάζει πάλιν, καὶ ἐπάγει λέγων· εἰ καὶ οὐδέν εἰμι, τὰ σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν. μὴ τοῦτο ἴδῃς, φησίν, εἰ εὐτελὴς ἐγὼ καὶ μικρός, ἀλλ' εἰ μὴ τούτων ἀπηλαύσατε, ὧν παρὰ ἀποστόλου ἀπολαῦσαι ἐχρῆν. καὶ οὐκ εἶπεν, εὐτελής, ἀλλ' ὃ κατώτερον ἦν, οὐδέν. τί γὰρ ὄφελος μέγαν εἶναι, καὶ μηδένα ὠφελεῖν; ὥσπερ οὖν οὐδὲ ἰατροῦ κέρδος ἐμπείρου, μηδένα τῶν καμνόντων ἰωμένου. μὴ τοίνυν, φησί, τοῦτο ἐξέταζε, ὅτι οὐδὲν ἐγώ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἐν οἷς ὑμᾶς εὖ παθεῖν ἔδει, οὐδὲν ὑστέρησα, ἀλλ' ἐγὼ τὴν πεῖραν ἔδωκα τῆς ἐμῆς ἀποστολῆς. οὐ τοίνυν ἔδει λόγων τῶν παρ' ἐμοῦ. ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ συνίστασθαι χρῄζων· πῶς γάρ, ὁ καὶ τὸν οὐρανὸν μικρὸν ἡγούμενος πρὸς τὸν τοῦ Χριστοῦ πόθον; ἀλλὰ τῆς σωτηρίας τῆς ἐκείνων ἐφιέμενος. εἶτα ἵνα μὴ λέγωσι, καὶ τί πρὸς ἡμᾶς, εἰ καὶ μηδὲν ὑστέρησας τῶν ὑπὲρ λίαν ἀποστόλων; διὰ τοῦτο ἐπήγαγεν, ὅτι ἐν ὑμῖν κατειργάσθη τὰ σημεῖα τοῦ ἀποστόλου, ἐν πάσῃ ὑπομονῇ, καὶ σημείοις, καὶ τέρασι. βαβαὶ πηλίκον πέλαγος κατορθωμάτων ἐν ὀλίγοις ῥήμασι παρέδραμε. καὶ θέα ποῖον πρῶτον τίθησι· τὴν ὑπομονήν. τοῦτο γὰρ ἀποστόλου δεῖγμα, τὸ φέρειν πάντα γενναίως. τοῦτο μὲν γὰρ ἐν βραχεῖ, διὰ μικρᾶς λέξεως· τὸ δὲ τῶν σημείων, ἅπερ οὐκ ἦν αὐτοῦ κατορθώματα, διὰ πλειόνων. ἐννόησον γὰρ πόσα δεσμωτήρια, πόσας πληγάς, πόσους κινδύνους, πόσας ἐπιβουλάς, πόσας νιφάδας πειρασμῶν ἐνταῦθα ᾐνίξατο, πόσους πολέμους ἐμφυλίους, ἐξωτικούς,

A appellarit. Deinde eorum, quæ loquutus est, causam omnem, non ad pseudapostolos, sed ad discipulos suos convertit. Vos enim, inquit, me coëgistis. Nam si ipsi ita se jactarent, ut id sine vestra fraude facerent, nec vos in exitium impellerent, non eo progressus essem, ut in ejusmodi sermones meipsum demitterem. Quoniam autem universam ecclesiam labefactabant, utilitatis vestræ causa insipientiæ vitio laborare coactus sum. Nec vero dixit, Metui, ne si primas apud vos tulissent, dogmata sua fererent: verum hoc quidem superius posuit, cum dixit, *Timeo* B *autem ne, sicut serpens Evam seduxit, ita corrumpantur sensus vestri.* Nunc autem non eodem modo, verum majori cum auctoritate ac potestate, ut qui ex iis, quæ ante dixerat, liberius loquendi facultatem nactus esset. *Ego enim a vobis debui commendari.* Postea causam affert. Rursusque haud revelationes ac miracula tantum commemorat, sed etiam tentationes. *Nihil enim minus habui iis, qui sunt supramodum apostoli.* Vide quomodo hic quoque liberius, ac majori quadam cum auctoritate loquatur. Prius siquidem aiebat, Existimo me nihil minus habuisse. Hic autem absolute pronunciando C ita, uti dixi, post allatas probationes libere deinceps loquitur. Quamquam ne sic quidem a modestia, suisque moribus abscedit. Perinde enim ac si quid magni dixisset, suæque dignitatis modum excessisset, quod in apostolorum numerum sese aggregasset, sic rursus orationem temperat atque: *Tametsi nihil sum,* 12. *signa tamen apostoli facta sunt in vobis.* Ne, inquit, hoc inspicias, an vilis & exigui precii ego sim: verum an non iis, quæ ab apostolo exspectanda erant, tibi frui contigerit. Nec dixit, vilis: sed, quod hoc vocabulo adhuc inferius erat, *nihil.* Quid enim refert magnum esse, si nemini prosis? D quemadmodum nil prodest medicum artis suæ peritum esse, si nulli ægrotantium medeatur. Ne ergo, inquit, hoc expendas, quod nihil sim, sed illud spectes quod in iis, in quibus vos beneficio affici conveniebat, nullæ meæ partes desideratæ sunt, verum apostolatus mei experimentum præbui. Non ergo oportebat ut me ipse prædicarem. Hoc porro non eo dicebat, quod commendatione opus haberet; quomodo enim, cum ipsum cælum præ Christi amore parvi faceret? sed quod salutis ipsorum cupiditate teneretur. Postea, E ne ipsi dicerent, Quid nostra interest, si eximiis apostolis nulla in re inferior fueris? ideo subjunxit, *In vobis facta sunt signa apostoli, in omni patientia, & signis, & prodigiis.* Papæ quantum recte factorum pelagus paucis verbis præteriit! Ac vide quid primum collocet, nimirum patientiam. Hoc enim apostoli specimen est, nempe omnia forti animo ferre. Istud porro breviter tenui vocabulo complexus est. Contra, miracula, ut quæ non ipsius virtute ederentur, pluribus verbis expressit. Cogita enim quot carceres, quot plagas, quot discrimina, quot insidias, quot tentationum agmina hic tacite significarit, quot intestina bella, quot externa;

A quot dolores, quot impetus, unico patientiæ vocabulo indicavit. Per signa rursus, quot homines a morte ad vitam revocati, quot cæci curati, quot leprosi mundati, quot dæmones ejecti significantur. Ex his verbis illud edocemur, ut si necessitas quædam nos in hujusmodi narrationes adegerit, ea, quæ a nobis recte gesta sunt, brevissime perstringamus, quemadmodum a Paulo quoque factum est.

2. Mox, ne aliqui dicerent, Etsi magnus es, ac multa gessisti, at non tot tamen ac tanta, quot & quanta apostoli in reliquis ecclesiis gesserint, idcirco subdidit. 13. *Quid est enim quod minus habuistis præ cæteris ecclesiis?* B Non minorem, quam cæteri, gratiam accepistis. At, dixerit fortasse quispiam, cur relicta dimicatione cum pseudapostolis, sermonem ad apostolos convertit? Ut eorum animos amplius erigat, ostendatque se non modo illis præstantiorem, sed ne magnis quidem apostolis inferiorem esse. Ideo quippe cum de illis verba facit, ait, *Plus ego.* Quando autem cum apostolis se confert, satis habet, si ipsis inferior minime sit, tametsi etiam plus illis laborasset. Atque hinc illud quoque indicat, quod & in illos contumeliosi sint, cum eum, qui ipsis par sit, istiusmodi hominibus posthabeant. C *Nisi quod ego ipse non gravavi vos.* Rursus cum magna acerbitate objurgationem posuit. Idque, quod sequitur, asperius adhuc est, *Donate mihi hanc injuriam.* Et tamen hæc asperitas benevolentiæ verba & eorum laudem continet: siquidem injuriæ hoc ducebant, quod apostolus a se id impetrari minime passus esset, ut quidquam ab ipsis sumeret, nec tantum fiduciæ concepisset, ut ab his ali sustineret. Si hoc, inquit, mihi crimini vertitis. Non dixit, Male me accusatis: sed non sine magna suavitate, A vobis peto ut mihi hujus peccati gratiam faciatis. D Et vide prudentiam. Quoniam enim hoc assidue usurpatum probrum ipsis afferebat, idcirco etiam assidue illud mitigat. Superius enim cum dixisset, Est veritas Christi in me, quod gloriatio hæc non infringetur, dixit rursus, Quia non diligo vos? Deus scit: sed ut amputem occasionem eorum, qui quærunt occasionem: & ut, in quo gloriantur, inveniantur sicut & nos. 1. Cor. 9. 15. Et in priore epistola, cum dixisset, quæ igitur mihi merces est? ut evangelium prædicans sine sumtu ponam evangelium: hic rursus ait, *Donate mihi hanc injuriam.* E Ubique enim cavet, ne ostendat eorum imbecillitatem in causa esse, cur nihil ab ipsis accipiat. Ideoque sic loquitur: Si hoc peccatum esse ducitis, veniam peto. Hæc autem idcirco dicebat, ut simul & eos percelleret, & leniret. Nec enim mihi hoc dixeris, Si ferire cupis, quid excusatione uteris? Si curare, quid feris? Hoc enim solertis animi est, nimirum incidere, & vulnus obligare. Postea, ne, uti prius dicebam, ideo hoc assidue versare videretur, quod aliquid ab ipsis acciperet, huic suspicioni medetur ipse etiam in epistola superiori, dicens, Non autem scripsi, ut ita fiat in me. *Melius enim est mihi mori, quam ut gloriam meam quis eva-*

A πόσας ὀδύνας, πόσας προσβολὰς διὰ τοῦ ὀνόματος τῆς ὑπομονῆς· διὰ τῶν σημείων πάλιν, πόσους νεκροὺς ἐγερθέντας, πόσους τυφλοὺς θεραπευθέντας, πόσους λεπροὺς καθαρισθέντας, πόσους δαίμονας ἐλαθέντας. ταῦτα ἀκούοντες, μανθάνομεν, εἰ εἰς ἀνάγκην ἐμπέσωμεν τοιούτων διηγημάτων, συντεμνομένους ἡμῶν τὰ κατορθώματα· ὃ καὶ αὐτὸς ἐποίησεν.

Εἶτα ἵνα μὴ λέγωσί τινες, εἰ γὰρ καὶ μέγας, καὶ πολλὰ εἰργάσω, ἀλλ' οὐ τοσαῦτα, ὅσα ἐν ταῖς λοιπαῖς ἐκκλησίαις οἱ ἀπόστολοι, ἐπήγαγε, τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας. B Οὐκ ἐλάττονός, φησι, μετέσχετε χάριτος τῶν λοιπῶν. ἀλλ' ἴσως εἴποι τις ἄν· τί δήποτε πρὸς τοὺς ἀποστόλους τρέπει τὸν λόγον, τὴν πρὸς τοὺς ψευδαποστόλους μάχην ἀφείς; ἐκ περιουσίας ἀναστῆσαι βουλόμενος αὐτῶν τὰ φρονήματα, καὶ δεῖξαι, ὅτι οὐ μόνον ἐκείνων βελτίων, ἀλλ' οὐδὲ τῶν μεγάλων ἀποστόλων ἐλάττων. Διά τοι τοῦτο, ὅταν μὲν περὶ ἐκείνων διαλέγηται, φησιν, ὑπὲρ ἐγώ· ὅταν δὲ πρὸς τοὺς ἀποστόλους ἑαυτὸν παραβάλλῃ, ἀγαπητὸν εἶναί φησι τὸ μὴ ὑστερηκέναι, καίτοιγε πλεῖον αὐτῶν κοπιάσας. C δεικνῦσι δὲ ἐντεῦθεν, ὅτι κἀκείνους ὑβρίζουσιν, ὅταν τὸν ἴσον αὐτῶν, ἐν δευτέρῳ τούτων ἔχωσιν. Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν. μετὰ πολλῆς πάλιν βαρύτητος ἔθηκε τὴν ἐπιτίμησιν. καὶ τὸ ἑξῆς, φορτικώτερον· χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. ἀλλ' ὅμως ἡ βαρύτης καὶ ἀγάπης ῥήματα, καὶ ἐγκώμιον ἐκείνων ἔχει· εἴγε ἀδικίαν οἰκείαν εἶναι νομίζουσι τὸ μὴ καταδέξασθαι τὸν ἀπόστολον λαβεῖν τι παρ' αὐτῶν, μηδὲ θαῤῥῆσαι τραφῆναι ἔνθεν. εἰ τοῦτό, φησιν, ἐγκαλεῖτε· οὐκ εἶπεν, ὅτι D κακῶς ἐγκαλεῖτε, ἀλλὰ μετὰ πολλῆς τῆς γλυκύτητος, συγγνώμην αἰτῶ, χαρίσασθέ μοι τουτὶ τὸ ἁμάρτημα. καὶ θέα τὴν σύνεσιν. ἐπειδὴ γὰρ συνεχῶς τοῦτο στρεφόμενον ὄνειδος αὐτοῖς ἔφερε, συνεχῶς αὐτὸ παραμυθεῖται. ἀνωτέρω μὲν γὰρ λέγων, ὅτι ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησίς μου οὐ φραγήσεται αὕτη, εἶπε πάλιν, ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; οἶδεν ὁ θεός· ἀλλ' ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, καὶ ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. καὶ ἐν τῇ προτέρᾳ· τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ E εὐαγγέλιον. καὶ ἐνταῦθα, χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. πανταχοῦ γὰρ φεύγει τὸ δεῖξαι, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν οὐ λαμβάνει· διὸ καὶ ἐνταῦθα οὕτω φησὶν, εἰ τοῦτο πλημμέλημα εἶναι ἡγεῖσθε, συγγνώμην αἰτῶ. ταῦτα δὲ ἔλεγε, καὶ πλήττων, καὶ θεραπεύων. μὴ γὰρ δὴ τοῦτο εἴπῃς, εἰ πλῆξαι θέλεις τί ἀπολογῇ; εἰ θεραπεύειν, τί πλήττεις; τοῦτο γὰρ συνέσεώς ἐστι, καὶ κατατέμνειν, καὶ ἐπιδεσμεῖν τὸ ἕλκος. εἶτα, ἵνα μὴ δόξῃ, ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, συνεχῶς αὐτὸ στρέφειν ὑπὲρ τοῦ λαβεῖν, θεραπεύει μὲν αὐτὸ καὶ ἐν τῇ προτέρᾳ λέγων, οὐκ ἔγραψα δὲ, ἵνα οὕτω γένηται ἐν ἐμοί. καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα

τις κενώσῃ. γλυκύτερον δὲ ἐνταῦθα καὶ προσηνέστερον. πῶς καὶ τίνι τρόπῳ; ἰδοὺ, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν, οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς, οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἐπειδὴ μὴ λαμβάνω, διὰ τοῦτο οὐ παραγίνομαι· ἀλλὰ καὶ δεύτερον παρεγενόμην καὶ τρίτον τοῦτο παρεσκεύασμαι ἐλθεῖν, καὶ οὐ καταναρκήσω ὑμῶν. καὶ ἡ αἰτία σεμνή. οὐ γὰρ εἶπεν, ἐπειδὴ μικρολόγοι, ἐπειδὴ πλήττεσθε, ἐπειδὴ ἀσθενεῖτε· ἀλλὰ τί; οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. μείζονα ἐπιζητῶ, ψυχὰς ἀντὶ χρημάτων, σωτηρίαν ἀντὶ χρυσίου. εἶτα ἐπειδὴ ὑποψίαν εἶχεν ἔτι τὸ πρᾶγμα, ὡς ἀλγοῦντος αὐτοῦ πρὸς αὐτούς, διὰ τοῦτο καὶ λογισμὸν τίθησιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν εἰπεῖν αὐτούς, οὐ γὰρ ἔξεστι καὶ ἡμᾶς ἔχειν καὶ τὰ ἡμῶν; ἐπάγει μετὰ πολλῆς τῆς χάριτος τὴν ἀπολογίαν λέγων, οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις· ἀντὶ τῶν διδασκάλων καὶ τῶν μαθητῶν τοὺς γονέας καὶ τὰ τέκνα τιθείς, καὶ δείξας ὅτι ὀφειλῆς πρᾶγμα ποιεῖ, ὅπερ οὐκ ἦν ὀφειλῆς. οὐ γὰρ οὕτω προσέταξεν ὁ Χριστός· ἀλλ' ἐκείνων φειδόμενος, ταῦτα λέγει. διὸ καὶ πλέον τι προστίθησιν. οὐ γὰρ εἶπε μόνον, ὅτι οὐκ ὀφείλει τὰ τέκνα θησαυρίζειν, ἀλλ' ὅτι καὶ ὀφείλουσιν οἱ γονεῖς τοῦτο ποιεῖν. οὐκοῦν ἐπειδὴ δοῦναι δεῖ, ἐγὼ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν. τοὺς μὲν γὰρ γονέας θησαυρίζειν ἐκέλευσε τοῖς τέκνοις ὁ νόμος τῆς φύσεως· ἐγὼ δὲ οὐ τοῦτο ποιῶ μόνον, ἀλλὰ καὶ ἐμαυτὸν προσδίδωμι. καὶ αὕτη ἡ ὑπερβολή, τὸ μὴ μόνον μὴ λαμβάνειν, ἀλλὰ καὶ προσδιδόναι, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοτιμίας, καὶ ἐκ τοῦ ὑστερήματος. τὸ γὰρ ἐκδαπανηθήσομαι, τοῦτό ἐστιν αἰνιττομένου. κἂν γὰρ αὐτὴν δέῃ τὴν σάρκα ἀναλῶσαι, οὐ φείδομαι διὰ τὴν σωτηρίαν ὑμῶν. καὶ τὸ ἐπαγόμενον μετ' ἐγκλήματος ὁμοῦ καὶ ἀγάπης· εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι. καὶ ταῦτα ποιῶ, φησίν, ὑπὲρ τῶν φιλουμένων, καὶ οὐ φιλούντων ὁμοίως. σκόπει τοίνυν λοιπὸν πόσους ἔχει τὸ πρᾶγμα βαθμούς. ἔδει λαμβάνειν, αὐτὸς δὲ οὐκ ἐλάμβανεν. ἰδοὺ πρῶτον κατόρθωμα. καὶ ὑστερούμενος, δεύτερον. καὶ αὐτοῖς κηρύττων, τρίτον. καὶ προσδίδωσι, τέταρτον. καὶ οὐχ ἁπλῶς προσδίδωσιν, ἀλλὰ καὶ μετὰ ἐπιτάσεως, πέμπτον. καὶ οὐ χρήματα μόνον, ἀλλὰ καὶ ἑαυτόν, ἕκτον. καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτόν, ἕβδομον. καὶ ὑπὲρ τῶν σφόδρα φιλουμένων, ὄγδοον.

Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν. μέγα μὲν γὰρ ἔγκλημα, [a] καὶ τὸ φθονεῖν, καὶ τὸ μὴ φιλεῖν·

A cuet. Hic vero suavius blandiusque id facit. Quonam tandem modo? 14. *Ecce tertio jam paratus sum venire ad vos: & non ero gravis vobis. Non enim quæro quæ vestra sunt: sed vos. Nec enim debent filii parentibus thesaurizare, sed parentes filiis.* Quod autem dicit, hanc sententiam habet: Non quia nihil accipio, idcirco ad vos non accedo, verum & iterum accessi, & tertio ad vos proficisci paro, nec vobis oneri ero. Ac causam sane gravem affert. Neque enim dixit. Quia præparci estis, quia offendimini, quia imbecillitate laboratis. Sed quid? B *Non enim quæro quæ vestra sunt, sed vos.* Majora quædam posco, nempe animas loco pecuniarum, salutem auri loco. Deinde, quoniam res nondum suspicione carebat, tamquam videlicet ipse dolore quodam adversus eos commoveretur, ideo rationem quoque ponit. Quia enim verisimile erat eos dicere, Annon licet nobis, quæ nostra sunt, habere? non sine magna suavitate defensionem ipsorum in hæc verba subjungit, *Non enim debent filii parentibus thesaurizare, sed parentes filiis:* magistrorum videlicet ac discipulorum vice, parentes ac filios collocans, ac demonstrans se debito quodam munere persungi, cum C tamen id debitum non esset. Non enim ita imperavit Christus: sed pro sua erga eos indulgentia his verbis utitur. Ideoque quiddam etiam majus adjungit Non solum enim dixit, *Nec enim debent filii parentibus thesaurizare:* sed hoc quoque adjecit, quod parentum sunt partes, ut filiis thesaurizent. Quandoquidem itaque dare opus est, 15. *ego libentissime impendam, & superimpendar pro animabus vestris.* Etenim lex quidem naturalis hoc sanxit, ut parentes filiis thesaurizent: ego vero, ea re non contentus, me ipsum quoque insuper vobis trado. Atque in hoc incredibilis ipsius liberalitas est, quod non D solum non accipit, verum etiam insuper donat: neque id vulgariter, sed cum magna munificentia, atque ex eo quod ipsi deest. Hoc enim vocabulo, *superimpendar*, istud subindicatur. Nam etiamsi carnem ipsam, expendere oporteat, nullam ipsius rationem habeo ob salutem vestram. Atque id quod subjungitur, conjunctam cum amore accusationem habet, *licet plus vos diligens, minus diligar.* Atque hoc, inquit, facio, pro iis, quos amo, licet illi perinde non redament. Jam ergo considera quot gradus ista res ha- E beat. Accipere oportebat: ipse autem non accipiebat; hæc prima laus est. Et cum inopia premeretur; hæc secunda est. Et cum ipsis prædicaret: tertiam habes; Et insuper largitur. Hic quarta est. Nec vulgariter largitur; sed copiose: quinta hæc est. Nec pecunias dumtaxat, sed etiam seipsum: sexta. Et pro iis a quibus haud magnopere amabatur: septima. Ac denique pro iis quos majorem quendam in modum amabat: octava hæc est.

3. Hunc itaque nos etiam imitemur. Magnum enim peccatum est invidere & non amare:

[a] In Editis hic primo legitur, καὶ τὸ φθονεῖν, sed uncinis inclusum quasi adjectitium, deindeque additur, καὶ τὸ μὴ φιλεῖν. Sed illud καὶ τὸ φθονεῖν, perperam inductum videtur.

magis tamen efficitur, cum quispiam amatus non redamat. Nam si is, qui amantem redamat, publicanis nihilo præstantior est; is qui ne hoc quidem habet, ipsis feris inferior erit. Quid ais homo? Amantem non redamas? Cur ergo hujusce lucis usura frueris? Qua tandem in re jam usui eris? Quibusnam in rebus? Forensibus, an privatis? Haud sane. Nihil eo homine inutilius, qui amare nescit. Hanc legem latrones etiam persæpe ac sicarii & sepulcrorum effossores amplexi sunt: cumque vel salem dumtaxat communem inter se habuissent, alio versi, ob mensæ commercium mores suos mutaverunt. Tu vero non salem dumtaxat, sed verba etiam, & negotia, & ingressus & egressus cum aliquo communes habens, non eum amas? At ii, qui turpibus amoribus dediti sunt, universas quoque facultates suas in fornicarias expendunt: tu vero, honesto amore captus, ita frigidus & imbecillis atque ignavus es, ut ne citra sumtum quidem ullum amare sustineas. Sed quisnam est, inquis, usque adeo miser, quis tam belluinis moribus, ut amantem aversetur atque oderit? Tu quidem recte facis, qui ob rei absurditatem fidem mihi detrahis. Verum, si multos ejusmodi demonstraro, quo tandem pacto ignominiam hanc feremus? Nam cum amanti obtrectas, aut obtrectante altero non ei opem fers, cum florenti invides, quænam hæc dilectio est? Quamquam ne hoc quidem ad probandam amicitiam sufficit, quod quispiam ab invidia liber sit: ut nec illud etiam, quod quis amantem odio non insectetur: nisi eum quoque tueatur, ipsiusque commoda amplificet. Cum autem nihil non facit ac loquitur, quo proximum dejiciat, quid hac anima miserius esse possit? Heri ac nudius-tertius amicus illi eras, sermonesque ac mensam impertiebas. Postea autem, simulatque membrum tuum florens vidisti, abjecta amicitiæ larva, inimicitiæ, vel furoris potius, personam induisti. Perspicuus etenim furor est, prosperis aliorum rebus angi. Hoc enim furentium canum est, rabieque laborantium. Eorum enim more, hi quoque livoris œstro perciti, in omnium ora prosiliunt. Præstat serpentem in visceribus provolutum habere, quam invidiam interne repentem. Etenim ille, & medicamentorum auxilio sæpe evomi, & alimenti ope mitigari potest: at invidia, non in visceribus sese volutat, sed in animæ sinu versatur: ac morbus ægre exstingui potest. Serpensque intus positus corpora humana non attigerit, si ipsi alimentum apponatur: at invidia, etiamsi sexcentas ei mensas apposueris, animam ipsam arrodit, undecumque mordens, vellicans, trahens: neque ullum solatii genus reperire est, cujus ope furorem compescat, uno dumtaxat excepto, nempe ut ei, qui prospere agit, calamitas aliqua accidat; sic morbus remittitur; imo ne sic quidem. Nam etiamsi ille incommodo aliquo afficiatur, alterius tamen res lætas ac secundas cernens, in iisdem doloribus hæret: atque ubique vulnera, ubique plagæ. Neque

Invidia furor quidam est.

A μεῖζον δὲ τοῦτο, ὅταν καὶ φιλούμενός τις μὴ φιλῇ. εἰ γὰρ ὁ τὸν φιλοῦντα φιλῶν, οὐδὲν πλέον ἔχει τῶν τελωνῶν· ὁ μὴ τοῦτο ἔχων, καὶ τῶν θηρίων ἐλάττων ἂν εἴη. τί λέγεις, ἄνθρωπε; οὐ φιλεῖς τὸν φιλοῦντα; καὶ τίνος ἕνεκεν ζῇς; ποῦ δὲ χρήσιμος ἔσῃ λοιπόν; ἐν ποίοις πράγμασιν; ἐν πολιτικοῖς; ἐν ἰδιωτικοῖς; οὐδαμῶς. οὐδὲν γὰρ ἀχρηστότερον ἀνδρὸς οὐκ εἰδότος φιλεῖν. τοῦτον καὶ λῃσταὶ πολλάκις τὸν νόμον ᾐδέσθησαν, καὶ ἀνδροφόνοι, καὶ τοιχωρύχοι, καὶ ἁλῶν κοινωνήσαντες μόνον, μετετάξαντο, τῇ τραπέζῃ τὸν τρόπον μεταβαλόντες· σὺ δὲ οὐχὶ B ἁλῶν μόνον, ἀλλὰ καὶ ῥημάτων, καὶ πραγμάτων κοινωνῶν, καὶ εἰσόδων, καὶ ἐξόδων, οὐ φιλεῖς; ἀλλ' οἱ μὲν αἰσχρῶς ἐρῶντες, καὶ ὁλοκλήρους δαπανῶσιν οὐσίας εἰς τὰς πορνευομένας γυναῖκας· σὺ δὲ σεμνὸν ἔχων ἔρωτα, οὕτως εἶ ψυχρὸς, καὶ ἀσθενὴς, καὶ ἄνανδρος, ὡς μηδὲ χωρὶς δαπάνης καταδέχεσθαι φιλεῖν; καὶ τίς, φησὶν, οὕτως ἐστὶν ἄθλιος, τίς δὲ οὕτω θηρίον, ὡς τὸν φιλοῦντα ἀποστρέφεσθαι καὶ μισεῖν; σὺ μὲν καλῶς ποιεῖς ἀπιστῶν διὰ τὴν τοῦ πράγματος ἀτοπίαν· ἐγὼ δὲ ἂν δείξω πολλοὺς ὄντας τοιούτους, πῶς οἴσομεν λοιπὸν τὴν αἰσχύνην; C ὅταν γὰρ κακῶς ἀγορεύῃς τὸν φιλούμενον, ὅταν ἀκούων κακῶς ἑτέρου λέγοντος μὴ ἀμύνῃς, ὅταν εὐδοκιμοῦντα φθονῇς, ποία αὕτη ἀγάπη; καίτοιγε φιλίαν οὐδὲ τοῦτο ἀρκεῖ δεῖξαι, τὸ μὴ φθονεῖν, ὥσπερ οὖν οὐδὲ τὸ μὴ ἐχθραίνειν, οὐδὲ τὸ μὴ πολεμεῖν· ἀλλὰ καὶ συγκροτεῖν, καὶ αὔξειν τὸν φιλοῦντα. ὅταν δὲ πάντα ποιῇ καὶ λέγῃ, ὥστε καὶ καθελεῖν τὸν πλησίον, τί ταύτης ἀθλιώτερον τῆς ψυχῆς; χθὲς καὶ πρώην φίλος, καὶ λόγων ἐκοινώνεις, καὶ τραπέζης· εἶτα ἀθρόον, ἐπειδὴ εὐδοκιμοῦντα εἶδες τὸ μέλος τὸ σὸν, ῥίψας τὸ τῆς φιλίας προσω- D πεῖον, τὸ τῆς ἔχθρας ὑπέδυς, μᾶλλον δὲ τὸ τῆς μανίας. μανία γὰρ περιφανὴς, τοῖς τῶν πλησίον δάκνεσθαι καλοῖς· τοῦτο γὰρ μαινομένων ἐστὶ, καὶ λυττώντων κυνῶν. κατὰ γὰρ ἐκείνους, εἰς τὰς ἁπάντων πηδῶσιν ὄψεις καὶ οὗτοι, τῇ βασκανίᾳ παροξυνόμενοι. βέλτιον ὄφιν ἔχειν τοῖς σπλάγχνοις ἐγκαλινδούμενον, ἢ βασκανίαν ἔνδον συρομένην. ἐκεῖνον γὰρ καὶ ἐμέσαι πολλάκις ἔνι διὰ φαρμάκων, καὶ διὰ τροφῆς παραμυθήσασθαι· ὁ δὲ φθόνος οὐκ ἐν σπλάγχνοις καλινδεῖται, ἀλλὰ τῷ κόλπῳ E στρέφεται τῆς ψυχῆς, καὶ δυσεξάλειπτόν ἐστι πάθος. καὶ ὁ μὲν ὄφις ἔνδον ὢν, οὐκ ἂν ἅψαιτο σωμάτων ἀνθρωπίνων, τροφῆς παρακειμένης· ὁ δὲ φθόνος, κἂν μυρίαν παραθῇς αὐτῷ τράπεζαν, αὐτὴν κατεσθίει τὴν ψυχὴν, δάκνων πάντοθεν, σπαράττων, ἕλκων· καὶ οὐκ ἔστιν αὐτῷ τινα παραμυθίαν εὑρεῖν, δι' ἧς ἀποστήσεται τῆς μανίας, ἀλλ' ἢ μίαν μόνον, τὴν τοῦ εὐημεροῦντος δυσπραγίαν· οὕτως ἀνίεται· μᾶλλον δὲ, οὐδὲ οὕτω. κἂν γὰρ οὗτος πάθῃ κακῶς, ἕτερον ὁρῶν εὐημεροῦντα, ταῖς αὐταῖς ὀδύναις ἐνέχεται· καὶ πανταχοῦ τραύματα, καὶ πανταχοῦ πληγαί.

οὐδὲ γὰρ ἔστι στρεφόμενον ἐπὶ γῆς, μὴ ὁρᾶν εὐδοκιμοῦντας. καὶ τοσαύτη τοῦ νοσήματος ἡ ὑπερβολὴ, ὅτι κἂν οἴκοι τις αὐτὸν κατακλείσῃ, τοῖς παλαιοῖς ἀνδράσι φθονεῖ τοῖς τετελευτηκόσι. καὶ τὸ μὲν βιωτικοῖς ἀνθρώποις ταῦτα πάσχειν, χαλεπὸν μὲν, πλὴν οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ τοὺς τῶν ἐν μέσῳ θορύβων ἀπηλλαγμένους ἔχεσθαι τοῦ νοσήματος τούτου, αὐτὸ τοῦτο πάντων χαλεπώτερον. καὶ ἐβουλόμην μὲν σιγᾶν. ἀλλ' εἰ μὲν ἡ σιγὴ καὶ τὴν ἀπὸ τῶν πραγμάτων αἰσχύνην ἀφήρει, κέρδος ἦν τὸ μηδὲν εἰπεῖν· εἰ δὲ κἂν ἐγὼ σιωπήσω, τὰ πράγματα βοήσεται σφοδρότερον τῆς ἐμῆς γλώττης, βλάβη μὲν οὐδεμία ἀπὸ τῶν ἐμῶν ἔσται ῥημάτων, ὡς ἐκπομπευομένων δὲ ἡμῖν τῶν κακῶν, κέρδος ἴσως καὶ ὠφέλειά τις. τοῦτο γὰρ τὸ νόσημα καὶ τῆς ἐκκλησίας ἥψατο, καὶ τοῦτο πάντα ἄνω καὶ κάτω πεποίηκε, καὶ τοῦ σώματος διέσχισε τὴν ἀκολουθίαν, καὶ κατ' ἀλλήλων ἱστάμεθα, τοῦ φθόνου καθοπλίζοντος ἡμᾶς. διὰ τοῦτο πολλὴ ἡ διαστροφή. εἰ γὰρ πάντων οἰκοδομούντων ἀγαπητὸν στῆναι τοὺς διδασκομένους, ὅταν ἅπαντες καθαιρῶμεν, τί ἔσται τὸ πέρας;

Τί ποιεῖς, ἄνθρωπε; συμφέρειν νομίζεις τὰ τοῦ πλησίον καθαιρεῖν· πρὸ δὲ ἐκείνου τὰ σαυτοῦ καθαιρεῖς. οὐχ ὁρᾷς [a] τοὺς φυτοκόμους, τοὺς γηπόνους, πῶς ἅπαντες εἰς ἓν τρέχουσιν; ὁ μὲν διέσκαψεν, ὁ δὲ ἐφύτευσεν, ὁ δὲ περιέστειλε τὴν ῥίζαν, ἄλλος ἀρδεύει τὸ φυτευθὲν, ἄλλος περιφράττει καὶ τειχίζει, ἄλλος ἀποσοβεῖ τὰ θρέμματα· καὶ πάντες εἰς ἓν βλέπουσι, τοῦ φυτοῦ τὴν σωτηρίαν. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ φυτεύω μὲν ἐγὼ, σαλεύει δὲ ἄλλος καὶ διασείει. ἔασον κἂν παγῆναι καλῶς, ἵνα ἰσχυρότερον γένηται τῆς ἐπιβουλῆς. οὐ τὸ ἐμὸν ἀναιρεῖς ἔργον, ἀλλὰ τὸ σὸν καταλύεις. ἐγὼ ἐφύτευσα, σὲ ἔδει ποτίσαι. ἂν τοίνυν σαλεύσῃς, τὴν ῥίζαν ἀνέσπασας, καὶ οὐκ ἔχεις οὗ τὴν ἀρδείαν ἐπιδείξῃ. ἀλλ' ὁρᾷς εὐδοκιμοῦντα τὸν φυτεύοντα; μὴ φοβοῦ· οὔτε ἐγώ τί εἰμι, οὔτε σύ. οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι· ἑνός ἐστι τὸ ἔργον τοῦ θεοῦ. ὥστε ἐκείνῳ μάχῃ καὶ πολεμεῖς, τὰ φυτευθέντα ἀνασπῶν. ἀνανήψωμεν τοίνυν ποτὲ, γρηγορήσωμεν. οὐ δέδοικα τὸν ἔξω πόλεμον, ὡς τὴν ἔνδον μάχην· ἐπεὶ καὶ ῥίζα, ὅταν ᾖ καλῶς ἡρμοσμένη τῇ γῇ, οὐδὲν πείσεται ἀπὸ τῶν ἀνέμων· ἂν δὲ αὐτὴ σαλεύηται, σκώληκος διατρώγοντος αὐτὴν ἔνδοθεν, καὶ μηδενὸς ἐνοχλοῦντος πείσεται. μέχρι τίνος διατρώγομεν τῆς ἐκκλησίας τὴν ῥίζαν σκωλήκων δίκην; καὶ γὰρ ἀπὸ γῆς αἱ τοιαῦται τίκτονται διάνοιαι· μᾶλλον δὲ οὐδὲ ἀπὸ γῆς, ἀλλ' ἀπὸ κόπρου, τὴν σηπεδόνα μητέρα ἔχουσαι· καὶ οὐκ ἀφίστανται τῆς καταπτύστου θεραπείας τῆς παρὰ τῶν γυναικῶν. γινώμεθα

A enim fieri poteſt, ut qui in terra degit, neminem videat, qui præclare ac feliciter agat. Tantaque eſt hujus morbi magnitudo, ut etiamſi ſeſe domi incluſerit, priſcis etiam hominibus vita functis invideat. Atque iis quidem, qui in hominum frequentia vivunt, id evenire, quamvis grave ac moleſtum ſit, non tamen æque grave habendum eſt. At quod ii quoque, qui a tumultibus in medio ſitis liberati ſunt, hoc morbo teneantur, id vero omnium acerbiſſimum eſt. Ac vellem iſtud ſilentio præterire; at ſi ſilentium ipſam etiam rerum infamiam adimeret, operæ B precium eſſet tacere: cum autem, me etiam tacente, res ipſæ vehementius, quam lingua mea facere poſſet, clamaturæ ſint, nullum certe detrimentum a verbis meis afferetur: fortaſſe etiam, nobis vitia traducentibus, fructus aliquis atque utilitas conſequetur. Hic enim morbus eccleſiam etiam attigit, omniaque ſurſum ac deorſum vertit, corporiſque compagem diſcidit: noſque adverſus noſipſos mutuo ſtamus, livore nimirum arma nobis porrigente. Ob eamque cauſam ingens rerum depravatio eſt. Nam cum, omnibus ædificantibus, præclare ſe res habeat, ſi ii, qui erudiuntur, ſtare queant; C cum omnes id agimus ut diruamus, quis tandem finis erit?

4. Quid agis, homo? Utile-ne eſſe exiſtimas, proximi commoda dejicere? At ante illum tua evertis. Non plantarum cultores, non agricolas cernis, quomodo omnes concordibus animis in unum currant? Hic effodit, ille ſerit, alius radicem contegit, alius quod ſatum eſt rigat, alius obſepit, ac muro cingit, alius beſtias arcet: omneſque in unum ſpectant, ut plantam incolumem ſervent. Hic autem non ita ſe res habet. Verum planto quidem ipſe: alter autem ſubagitat, & ſuccutit. Sine ſaltem ea recte figi: ut robur D contrahat, quod hoſtili impetu frangi nequeat. Non opus meum deles, ſed tuum evertis. Ego plantavi, rigare te oportebat. Si itaque ſuccutias, radicem funditus evelles, nec habebis ubi rigationem tuam oſtendas. At vides eum qui plantat omnium ſermonibus celebrari? Bono animo eſto: nec ego aliquid ſum, nec tu. Nec enim qui plantat, nec qui rigat, eſt aliquid: unius enim Dei opus eſt. *1. Cor. 3.* Ex quo efficitur, ut adverſus ipſum bellum ineas ac dimices, dum ea, quæ plantata ſunt, exſtirpas. Ergo aliquando tamen reſipiſcamus, atque expergiſ- E camur. Non tam externum bellum, quam inteſtinam pugnam extimeſco. Quandoquidem etiam radix, cum terræ recte affixa fuerit, nihil a ventis detrimenti patietur. Sin autem ea, verme eam interne depaſcente, vaccillet, nemine moleſtiam exhibente collabetur. Quouſque tandem Eccleſiæ radicem vermium more exedimus? Nam & a terra hujuſmodi cogitationes naſcuntur; imo ne a terra quidem: ſed a ſtercore, utpote quarum parens putredo ſit. Neque etiam ab execrando eo obſequio, quod a mulieribus exhibe-

[a] Pro illa voce, τοὺς φυτοκόμους, interpres Latinus convertit, *ædium exſtructores*. Haud dubie legerit οἰκοδόμους. Sed φυτοκόμους magis ad ſeriem quadrat.

tur, absistunt. Tandem igitur aliquando fortes viros nos præbeamus: philosophiæ pugiles efficiamur, ingentem malorum proventum abigamus. Etenim ecclesiæ multitudinem, tamquam exanime corpus, humi prostratum nunc cerno. Et sicut in corpore recens vita functo, oculos quidem, & manus, & pedes, & collum, & caput intueri licet, sic tamen ut nullum membrum munere suo fungatur: eodem modo hic quoque omnes, qui adsunt, fide quidem præditi sunt: at fides actuosa non est. Fervorem enim exstinximus, Christique corpus mortuum reddidimus. Quod si hoc dictu horrendum est, multo utique horribilius est, cum in rebus ipsis cernitur. Siquidem fratrum nomina habemus: res autem hostium: cumque membra omnes vocemur, ferarum tamen ritu inter nos dissidemus. Hæc, non rerum nostrarum traducendarum studio a me dicta sunt: sed ut pudorem vobis incutiam, atque hinc vos avertam. Quidam in domum aliquam se contulit, honorificeque exceptus est. Deo gratiæ agendæ erant, quia membrum tuum honore afficitur, ac Deus celebratur; tu contra omnino facis. Apud eum enim, a quo honore affectus est, ipsi obtrectas: ita ut ambos simul subvertas, tibique ignominiæ notam inuras. Quid causæ est, o miser, & ærumnose, cur, cum fratrem, vel apud viros, vel apud mulieres, laudatum audieris, mœstitiam inde contrahas? Laudes ipse addas, ut tibi quoque laudem concilies. Quod si laudes depresseris, prius de teipso male loquutus eris, ut qui pravam opinionem tibi collegeris, atque insuper illum altius adhuc evexeris. Cum eum ab alio laudari audis, fac eorum, quæ dicuntur, sis particeps, si non vita & virtute, at hoc certe nomine, quod ipsius virtutibus gaudeas. Laudavit eum quispiam? admirare tu quoque. Sic te ille ut probum ac benignum laudibus efferet. Non est quod metuas, ne per alienarum virtutum prædicationem tuas dejicias. Hoc enim in obtrectationibus locum habet. Pervicax enim suapte natura hominum genus est: & qui, te, de eo, quem laudat, male loqui videt, laudibus suis cumulum addet: ut hac ratione te pungat, atque accusatores, & secum ipse & apud alios criminetur. Vides quantam turpitudinem nobis ipsi accersimus? quo pacto gregem perdimus ac discerpimus? Tandem aliquando membra efficiamur: tandem aliquando unum corpus. Atque is quidem, in quem laudes conferuntur, laudes eas propulset, & in fratrem encomia transferat: qui autem alterius laudes audit, ipsi gratuletur. Quod si nos ad hunc modum inter nos conjungamur, caput quoque ipsum nobis conciliabimus. Sin autem inter nos disjuncti simus, Dei quoque opem a nobis avertemus. Hac porro remota, ingentem perniciem corpus contrahet, ut quod superne minime constringatur. Hoc ergo ne nobis accidat, submoto livore atque invidia, vulgique opinione contemta, dilectionem atque concordiam amplectamur. Ita fiet, ut præsentia & futura bona consequamur.

A ποτὲ ἄνδρες γενναῖοι, γενώμεθα ἀθληταὶ φιλοσοφίας, ἀπελάσωμεν τὴν πολλὴν τῶν κακῶν τούτων φοράν. Καὶ γὰρ ὥσπερ σῶμα νεκρὸν, τῆς ἐκκλησίας ὁρῶ τὸ πλῆθος ἐῤῥιμμένον νῦν. καὶ καθάπερ ἐν σώματι νεκρωθέντι προσφάτως, ἔνι μὲν ὀφθαλμοὺς ἰδεῖν, ἔνι δὲ χεῖρας καὶ πόδας, καὶ τράχηλον, καὶ κεφαλήν, οὐδὲν δὲ τῶν μελῶν τι ἑαυτοῦ ποιοῦν· οὕτω δὴ καὶ ἐνταῦθα, πάντες πιστοὶ οἱ παρόντες, ἀλλ' οὐκ ἔστιν ἡ πίστις ἐνεργής. τὴν γὰρ θερμότητα ἐσβέσαμεν, καὶ τοῦ Χριστοῦ τὸ σῶμα νεκρὸν εἰργασάμεθα. Εἰ δὲ

B φρικτὸν τὸ εἰρημένον· πολλῷ φρικωδέστερον, ὅταν ἐπὶ τῶν ἔργων φαίνεται. τὰ μὲν γὰρ ὀνόματα ἀδελφῶν ἔχομεν, τὰ δὲ πράγματα πολεμίων· καὶ μέλη καλούμενοι πάντες, καθάπερ θηρία διεστήκαμεν. Ταῦτα, οὐκ [a] ἐμπομπεῦσαι βουλόμενος τὰ ἡμέτερα, εἶπον, ἀλλ' ἐντρέψαι καὶ ἀποστῆσαι. ὁ δεῖνα εἰσῆλθεν εἰς οἰκίαν, ἀπήλαυσε τιμῆς· δέον εὐχαριστεῖν τῷ θεῷ, ὅτι τὸ μέλος τιμᾶται τὸ σὸν, καὶ ὁ θεὸς δοξάζεται· σὺ δὲ τοὐναντίον ποιεῖς. λέγεις κακῶς πρὸς τὸν τετιμηκότα, ὥστε ἀμφοτέρους ὑποσκελίσαι, καὶ σεαυτὸν προσκαταισχῦναι. τίνος ἕνεκεν,

C ἄθλιε καὶ ταλαίπωρε; ἤκουσας ἀδελφοῦ ἐγκωμιαζομένου, ἢ παρὰ ἀνδράσιν, ἢ παρὰ γυναιξὶ, καὶ ἐλυπήθης; πρόσθες τοῖς ἐπαίνοις, οὕτω καὶ σαυτὸν ἐπαινέσῃ. ἐὰν δὲ καὶ καθέλῃς τὸν ἔπαινον, πρότερον σαυτὸν κακῶς εἴρηκας, πονηρὰν δόξαν λαβὼν, κἀκεῖνον ἐπῆρας μειζόνως. ὅταν ἀκούσῃς ἐπαινούμενον, γίνου τῶν λεγομένων κοινωνὸς, εἰ καὶ μὴ τῷ βίῳ καὶ τῇ ἀρετῇ, ἀλλὰ τῷ χαίρειν τοῖς ἐκείνου καλοῖς. ἐπῄνεσεν ὁ δεῖνα; θαύμασον καὶ σύ· οὕτω σε ἐπαινέσεται ἐκεῖνος, ὡς χρηστὸν καὶ ἐπιεικῆ. μὴ φοβηθῇς, ὡς τὰ σαυτοῦ καθαιρῶν ἐν τοῖς

D ἐγκωμίοις τοῖς ἑτέρου. τοῦτο γὰρ ἐν ταῖς κατηγορίαις γίνεται. φιλόνεικον γὰρ τὸ γένος τῶν ἀνθρώπων· καὶ ὅταν ἴδῃ σε κακῶς λέγοντα, ἐπιτείνει τὰ ἐγκώμια, ταύτῃ δάκνειν βουλόμενος, τοὺς δὲ κατηγόρους μέμφεσθαι καθ' ἑαυτὸν, καὶ πρὸς ἑτέρους διαβάλλειν. Εἶδες πόσης ἀσχημοσύνης ἑαυτοῖς γινόμεθα αἴτιοι; πῶς ἀπόλλυμεν τὸ ποίμνιον καὶ διασπῶμεν; γενώμεθα μέλη ποτὲ, γενώμεθα σῶμα ἕν. καὶ ὁ μὲν ἐγκωμιαζόμενος, διακρουέσθω τοὺς ἐπαίνους, καὶ ἐπὶ τὸν ἀδελφὸν μεταγέτω τὰ ἐγκώμια· ὁ δὲ ἑτέρου ἀκούων ἐπαινουμένου, συνηδέσθω.

E ἂν οὕτως ἑαυτοὺς συνάγωμεν, καὶ τὴν κεφαλὴν πρὸς ἑαυτοὺς ἐπισπασόμεθα· ἐὰν δὲ διῳκισμένοι πρὸς ἑαυτοὺς ὦμεν, καὶ τὴν ἐκεῖθεν ἀποστήσομεν βοήθειαν. ἐκείνης δὲ ἀποστάσης, πολλὴν τὸ σῶμα δέξεται λύμην, οὐ σφιγγόμενον ἄνωθεν. ἵν' οὖν μὴ τοῦτο γένηται, βασκανίαν καὶ φθόνον ἀπελάσαντες, καὶ τῆς τῶν πολλῶν ὑπεριδόντες δόξης, ἀγάπην καὶ ὁμόνοιαν ἀσπαζώμεθα. οὕτω γὰρ καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν·

[a] ἐμπομπεῦσαι. Savilius legendum putat ἐκπομπεῦσαι. Quæ lectio magis quadrare videtur.

ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Quæ utinam omnes adipiscamur, per gratiam ac benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, imperium, honor nunc & semper & in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ κη'.

## HOMILIA XXVIII.

Ἔστω δὲ, αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν, ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον. μή τινα ὧν ἀπέστειλα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσιν;

16. *Sed esto, ego vos non gravavi: sed cum essem astutus, dolo vos cepi.* 17. *Numquid per aliquem eorum, quos misi ad vos, circumveni vos?* 18. *Rogavi Titum, & misi cum illo fratrem. Numquid Titus vos circumvenit? Nonne eodem spiritu ambulavimus? Nonne iisdem vestigiis?*

ΑΣΑΦΩΣ σφόδρα εἴρηται ταυτὶ τῷ Παύλῳ τὰ ῥήματα, ἀλλ' οὐ μάτην οὐδὲ εἰκῆ. ἐπειδὴ γὰρ περὶ χρημάτων ὁ λόγος, καὶ ἀπολογίας τῆς ὑπὲρ τούτων, εἰκότως συνεσκίασε τὰ εἰρημένα. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; εἶπεν, ὅτι οὐκ ἔλαβον, ἀλλ' ἕτοιμός εἰμι καὶ προσδοῦναι, καὶ δαπανῆσαι. καὶ πολλὰ περὶ τούτου καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν ταύτῃ διελέχθη τῇ ἐπιστολῇ. νῦν δὲ ἕτερόν τι λέγει, ὥσπερ ἐξ ἀντιθέσεως εἰσάγων τὸν λόγον, καὶ λύων προηγουμένως. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐγὼ μὲν ὑμᾶς οὐκ ἐπλεονέκτησα. ἔχει δέ τις ἴσως εἰπεῖν, ὅτι αὐτὸς μὲν οὐκ ἔλαβον, πανοῦργος δὲ ὢν παρεσκεύασα τοὺς ὑπ' ἐμοῦ ἀποσταλέντας εἰς οἰκεῖον πρόσωπον αἰτῆσαί τι παρ' ὑμῶν, καὶ δι' ἐκείνων αὐτὸς ἐδεξάμην, τοῦ δοκεῖν εἰληφέναι ἐμαυτὸν ἔξω τιθεὶς, δι' ἑτέρων λαμβάνων. ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν· καὶ μάρτυρες ὑμεῖς. διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον λέγων, παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐχ ὁμοίως καὶ αὐτὸς ἐμοὶ περιεπάτησε; τουτέστιν, οὐδὲ αὐτὸς ἔλαβεν. εἶδες πόση ἐπίτασις ἀκριβείας, τὸ μὴ μόνον ἑαυτὸν καθαρὸν τηρεῖν τοῦ λήμματος, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτοῦ πεμπομένους οὕτω ῥυθμίζειν, ἵνα μηδὲ μικρὰν δῶσι πρόφασιν τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις; τοῦτο γὰρ πολλῷ μεῖζον οὗ πεποίηκεν ὁ πατριάρχης. ἐκεῖνος μὲν ἀπὸ τῆς νίκης ἐπανελθὼν, τοῦ βασιλέως διδόντος λάφυρα, οὐκ ἔφη λήψεσθαι, πλὴν ὧν ἔφαγον ἐκεῖνοι. οὗτος δὲ οὔτε τῆς ἀναγκαίας τροφῆς οὔτε αὐτὸς ἀπήλαυσεν, οὔτε τοὺς κοινωνοὺς ἀφῆκε μετασχεῖν, ἐκ πολλοῦ τοῦ περιόντος ἐπιστομίζων τῶν ἀναισχύντων τὰ στόματα. διὰ τοῦτο οὐδὲ ἀποφαίνεται, οὐδὲ λέγει ὅτι οὐδὲ ἐκεῖνοι ἔλαβον, ἀλλ' ὃ πολλῷ τούτου μεῖζον ἦν, αὐτοὺς παράγει μάρτυρας τοὺς Κορινθίους τοῦ μηδὲν αὐτοὺς εἰληφέναι, ἵνα μὴ ἐξ οἰκείου προσώπου δοκῇ μαρτυρεῖν, ἀλλ' ἀπὸ τῆς ἐκείνων ψήφου. ὅπερ εἰώθαμεν ἐπὶ τῶν σφόδρα ὡμολογημένων, καὶ ὑπὲρ ὧν θαρροῦμεν, ποιεῖν. εἴπατε γὰρ, φησὶ, μή τις τῶν παρ' ὑμῶν ἀποσταλέντων ἐπλεονέκτησεν ὑμᾶς; οὐκ εἶπε, μή τις ἔλαβέ τι παρ' ὑμῶν,

1. OBSCURE admodum hæc verba a Paulo dicta sunt, non tamen frustra, nec temere. Nam quoniam de pecuniis, purgationeque ob eas sermo ipsi institutus erat, non abs re verba sua obscuritate quadam involvit. Quidnam ergo sibi vult id quod hic ait? Dixit, Nihil cepi: verum paratus etiam sum insuper dare, atque impendere: ac multa in eam sententiam, tum in priore, tum in hac quoque epistola disseruit. Nunc vero aliud quidem ait, velutque objectioni occurrit, eamque ante dissolvit. Quod autem ait, est ejusmodi: Equidem ipse per avaritiam vos minime circumscripsi. Verum quispiam hoc fortasse dicere queat, quod quamquam nihil ipse sumserim, tamen cum vafer ac subdolus essem, id curavi, ut ii, qui a me missi erant, suo nomine aliquid a vobis postularent, sicque per eos sumserim, atque ita me compararim, ut aliorum manu accipiens, acceptæ pecuniæ opinionem a me removerem. At ne hoc quidem dicere quisquam possit. Vosque ipsi testes estis. Unde etiam interrogandi modo sermonem producit dicens, *Rogavi Titum & misi cum eo fratrem. Numquid Titus vos circumvenit?* Nonne eodem quo ego, pacto ambulavit? hoc est, nihil ipse accepit. Vides quantum accuratæ sinceritatis incrementum sit: quod non modo se purum ab accipiendo servaverit, sed eos quoque quos miserat, ita regat atque componat, ut ne tantillam quidem occasionem iis præbeat, qui eum carpere gestiebant? Hoc enim longe majus est Gen. 14. eo, quod patriarcha fecit. Nam ille, cum post victoriam reversus esset, ac rex ipsi spolia offerret, negavit se quidquam acceptururm, præter ea quæ socii ipsius comedissent. Hic autem ne necessarium quidem alimentum capere voluit, nec socios quoque participes ipsius esse passus est: sic nimirum impudentium ora quam maxime comprimens. Ideoque nec ipse pronunciat nec dicit eos non accepisse: sed quod majus est, ipsos Corinthios testes adducit, nihil eos accepisse; ut ne a persona ipse sua, sed ab illorum calculo testimonium petere videatur. Id quod in rebus exploratis, & de quibus non dubitamus, facere solemus. Dicite enim, inquit, num quis ex iis, quos misi, vos per avaritiam circumvenit? Non dixit, Num quis a vobis aliquid accepit? Ve-

rum πλεονεξίαν, hoc est, fraudationem, id vocat, illos perstringens, ingentique pudore afficiens, atque ostendens fraudationem esse, ab invitis quidpiam accipere. Nec dixit, Num Titus, sed, Num quis? Neque enim hoc dicere queatis, inquit, hunc non accepisse, illum autem accepisse. Neque enim quisquam ex iis, qui ad vos se contulerunt, aliquid accepit. *Rogavi Titum.* Id quoque acriter dictum est. Neque enim dixit, Titum misi, sed, *rogavi*: hinc ostendens quod etiamsi aliquid accepisset, jure suo accepisset: & tamen sic quoque purum ab accipiendo se præstitit. Quocirca eos rursus his verbis interrogat, *Numquid vos Titus circumvenit? Nonne eodem spiritu ambulavimus?* Quid sibi vult eodem spiritu? Divinæ gratiæ totum adscribit, ostenditque universam hanc laudem, non nostris laboribus comparari, sed spiritus beneficio & gratia præstari. Etenim amplissima Dei gratia hoc fiebat, ut quamvis inopia & egestate premerentur, ac fame laborarent, tamen ob eorum, quos erudiendos susceperant, utilitatem, nil acciperent. *Nonne iisdem vestigiis?* Hoc est, sinceritatem hanc ne tantillum quidem immutarunt: sed eamdem normam retinuerunt. 19. *Rursus putatis quod nos excusemus apud vos?* Vides quomodo ubique metuat, ne adulationis opinionem contrahat? Vides prudentiam apostolicam; quam assidue id inculcet? Nam & prius dicebat, non rursus nos ipsos commendamus, sed occasionem damus vobis gloriandi. Et in epistolæ initio, Num indigemus commendatitiis epistolis? *Omnia autem propter ædificationem vestram.* Rursus eos demulcet, at ne hic quidem aperte ait, Ob imbecillitatem vestram non accipimus: sed, Ut vos ædificemus; dilucidius aliquanto, quam ante, loquens, detegensque id quod animo parturiebat, non tamen amarulenter. Non enim dixit, Ob imbecillitatem vestram: sed, Ut ædificemini. 20. *Timeo enim ne forte cum venero, non quales volo inveniam vos: & ego inveniar a vobis, qualem non vultis.* Magnum aliquid ac molestum dicturus est. Ac proinde excusationem ponit, tum per id, quod dixit, Omnia autem propter ædificationem vestram: tum quia adjecit, *timeo*: ut eorum, quæ dicturus est, asperitatem mitiget. Hoc quippe non jam arrogantiæ cujusdam erat, nec auctoritatis ejus, quam magistri adhibere solent, sed paternæ solicitudinis; quod graviori etiam, quam illi ipsi qui peccarunt, metu commoveatur, cum eos castigare parabat. Quin ne sic quidem eos exagitat, nec certo pronunciat, sed dubitando loquitur, *Ne forte cum venero, non quales volo.* Non dixit, probos ac virtutis studiosos, sed, *non quales volo*: ubique amoris vocabula usurpans. Hoc autem verbum, *inveniam*, id, quod præter exspectationem contingit, indicat, ut & illud, *Inveniar a vobis.* Neque enim res ea voluntatis est, sed necessitatis, causam a vobis accipientis. Ideoque ait, *Inveniar qualem non vultis.* Hic non dixit, Qualem nolo, sed, ad feriendum accommodatius, *qualem non vultis.* Jam enim deinceps voluntas ejus erat: non quidem prima-

A ἀλλὰ πλεονεξίαν τὸ πρᾶγμα καλεῖ, καθαπτόμενος αὐτῶν, καὶ σφόδρα ἐντρέπων, καὶ δεικνὺς ὅτι τὸ παρὰ ἄκοντος λαβεῖν, πλεονεξία. καὶ οὐκ εἶπε, μὴ Τίτος, ἀλλὰ, μή τις; οὐδὲ γὰρ τοῦτο ἂν ἔχοιτε εἰπεῖν, φησιν, ὅτι ὁ δεῖνα μὲν οὐκ ἔλαβεν, ἕτερος δὲ ἔλαβεν. οὐδὲ εἷς τῶν ἀφικομένων. παρεκάλεσα Τίτον· καὶ τοῦτο πληκτικῶς. οὐ γὰρ εἶπεν, ἔπεμψα Τίτον, ἀλλὰ, παρεκάλεσα, δεικνὺς ὅτι καὶ εἰ ἔλαβε, δικαίως ἂν ἔλαβεν, ἀλλ' ὅμως καὶ οὕτω καθαρὸς ἔμεινε. διὸ πάλιν αὐτοὺς ἐρωτᾷ λέγων, μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπα-
B τήσαμεν; τί ἐστι, τῷ αὐτῷ πνεύματι; τῇ χάριτι τὸ πᾶν ἀνατίθησι· καὶ δείκνυσιν, ὅτι ὅλον τὸ ἐγκώμιον τοῦτο, οὐ τῶν ἡμετέρων πόνων, ἀλλὰ τῆς τοῦ πνεύματος δωρεᾶς κατόρθωμα ἦν, καὶ τῆς χάριτος. καὶ γὰρ χάρις ἦν μεγίστη, τὸ καὶ ὑστεροῦντας καὶ λιμώττοντας μὴ λαμβάνειν διὰ τὴν τῶν μαθητευομένων οἰκοδομήν. οὐ τοῖς αὐτοῖς ἴχνεσιν; τουτέστιν, οὐδὲ μικρὸν παρήλλαξαν ἐκεῖνοι ταύτην τὴν ἀκρίβειαν, ἀλλὰ τὸν αὐτὸν κανόνα διετήρησαν. πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; εἶδες πῶς πανταχοῦ δέδοικε μὴ
C κολακείας δόξαν λάβῃ; εἶδες φρόνησιν ἀποστολικὴν, πῶς συνεχῶς αὐτὸ τίθησι; καὶ γὰρ ἔμπροσθεν ἔλεγεν, οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς, μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν; τὰ δὲ πάντα ὑπὲρ τῆς οἰκοδομῆς ὑμῶν. πάλιν αὐτοὺς θεραπεύει. καὶ οὐδὲ ἐνταῦθα σαφῶς φησιν, ὅτι διὰ τοῦτο οὐ λαμβάνομεν, διὰ τὴν ἀσθένειαν ὑμῶν, ἀλλ' ἵνα οἰκοδομήσωμεν ὑμᾶς· σαφέστερον μὲν ἢ πρότερον εἰπὼν, καὶ ἐκκαλύψας ὅπερ ὤδινεν, οὐ μὴν πληκτικῶς. οὐ γὰρ εἶπε, διὰ τὴν ἀσθένειαν ὑμῶν,
D ἀλλ', ἵνα οἰκοδομηθῆτε. φοβοῦμαι γὰρ μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε. μέλλει μέγα τι καὶ φορτικὸν λέγειν. διὰ τοῦτο καὶ τὴν ἀπολογίαν τίθησι, τῷ τε εἰπεῖν, ὅτι πάντα ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς, καὶ τῷ προσθεῖναι, ὅτι φοβοῦμαι, τὸ τραχὺ καταστέλλων τῶν μελλόντων λεχθήσεσθαι. τοῦτο γὰρ οὐκέτι αὐθαδείας ἦν, οὐδὲ ἐξουσίας διδασκαλικῆς, ἀλλὰ κηδεμονίας πατρικῆς, ὅταν τῶν ἡμαρτηκότων μᾶλλον φοβῆται, καὶ τρέμῃ τὸ μέλλον αὐτοὺς διορθοῦν. ἀλλ' οὐδὲ οὕτως αὐτῶν κα-
E ταςρέχει, οὐδὲ ἀποφαίνεται, ἀλλ' ἐνδοιάζων φησὶ, μήπως ἐλθὼν οὐχ οἵους θέλω. οὐκ εἶπεν, ἐναρέτους, ἀλλ', οὐχ οἵους θέλω, διὰ πάντων τὰ τῆς φιλίας ἐνδεικνύμενος ὀνόματα. καὶ τὸ, εὕρω δὲ, τὸ παρὰ προσδοκίαν δηλοῦντός ἐστιν, ὥσπερ οὖν καὶ τὸ, εὑρεθῶ ὑμῖν. οὐ γὰρ προαιρέσεως τὸ πρᾶγμα, ἀλλὰ ἀνάγκης τὴν αἰτίαν παρ' ὑμῶν λαμβανούσης. διό φησιν, εὑρεθῶ οἷον οὐ θέλετε. ἐνταῦθα οὐκ εἶπεν, οἷον οὐ θέλω· ἀλλὰ πληκτικώτερον, οἷον οὐ βούλεσθε. λοιπὸν γὰρ αὐτοῦ βούλημα ἦν, οὐχὶ προηγούμενον μὲν

βούλημα δὲ ὅμως. ἠδύνατο μὲν γὰρ πάλιν A εἰπεῖν, οἷον οὐ θέλω, καὶ οὕτω δεῖξαι τὴν ἀγάπην· ἀλλ' οὐ βούλεται ἐκλῦσαι τὸν ἀκροατήν. μᾶλλον δὲ καὶ τραχύτερος ὁ λόγος οὕτως ἐγίνετο. νῦν δὲ καὶ ἔπληξε μειζόνως, καὶ ἡμερώτερον ἑαυτὸν ἔδειξε. τοῦτο γὰρ αὐτοῦ τῆς σοφίας ἐστὶν ἴδιον, τὸ βαθύτερον τέμνοντα, ἡμερώτερον πλήττειν. εἶτα ἐπειδὴ ἀσαφῶς εἶπεν, ἐκκαλύπτει αὐτὸ λέγων, μήπως ἔρεις, ζῆλοι, θυμοί, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις. καὶ ὃ πρότερον ἔμελλε τιθέναι, τοῦτο ὕστερον τίθησι. κατ' αὐτοῦ γὰρ ἀπενοοῦντο. ἵνα οὖν μὴ δόξῃ προηγουμένως τὸ B ἑαυτοῦ ζητεῖν, τὸ κοινὸν λέγει πρότερον.

Ταῦτα γὰρ πάντα ἀπὸ βασκανίας ἐτίκτετο, αἱ διαβολαί, αἱ κατηγορίαι, αἱ διαστάσεις. ὥσπερ γάρ τις ῥίζα πονηρὰ ἡ βασκανία τὸν θυμόν, τὴν κατηγορίαν, τὴν ἀπόνοιαν, τὰ ἄλλα πάντα ἔτικτε, καὶ παρ' αὐτῶν ηὔξετο μειζόνως. Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς. καὶ τὸ, πάλιν, πλήττοντός ἐστιν. ἀρκεῖ γὰρ τὰ πρότερα, φησίν· ὃ καὶ ἀρχόμενος ἔλεγεν, ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον εἰς Κόρινθον. εἶδες πῶς καὶ ἀγανάκτησιν δείκνυσι, καὶ φιλοστοργίαν; τί δέ ἐστι, C ταπεινώσῃ; καὶ μὴν δόξα αὕτη ἐστί, τὸ ἐγκαλεῖν, τὸ τιμωρεῖσθαι, τὸ εὐθύνας ἀπαιτεῖν, τὸ ἐν τάξει δικάστου καθέζεσθαι. ἀλλ' ὅμως ταπείνωσιν αὐτὸ καλεῖ. τοσοῦτον ἀπεῖχεν αἰσχύνεσθαι τῇ ταπεινώσει ἐκείνῃ, ὅτι ἡ παρουσία τοῦ σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος, ὅτι καὶ διηνεκῶς ἐβούλετο ἐν τούτῳ εἶναι, καὶ τοὐναντίον ἀπηύχετο. καὶ λέγει αὐτὸ προϊὼν σαφέστερον· καὶ ταπείνωσιν τοῦτο μάλιστα ἡγεῖται, τὸ εἰς τοιαύτην ἐμπεσεῖν ἀνάγκην τοῦ κολάζειν, τοῦ τιμωρεῖσθαι. καὶ τίνος ἕνεκεν οὐκ εἶπε, μὴ ἐλθὼν ταπεινωθῶ, ἀλλά, μὴ ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου; ὅτι εἰ μὴ δι' αὐτόν, οὐκ ἂν ἐπεστράφην, οὐκ ἂν ἐφρόντισα. οὐδὲ D γὰρ ὡς ἐξουσίαν ἔχων καὶ αὐθαδιζόμενος ἀπαιτῶ δίκην, ἀλλὰ διὰ τὸ αὐτοῦ ἐπίταγμα. ἀνωτέρω μὲν οὖν αὐτὸ τίθησι λέγων, εὑρεθῶ οἷον οὐ θέλετε· ἐνταῦθα δὲ καθυφίησι, καὶ ἡμερώτερον καὶ πρᾳότερον φθέγγεται λέγων, πενθήσω πολλοὺς τῶν ἡμαρτηκότων. οὐχ ἁπλῶς ἡμαρτηκότων, ἀλλὰ τῶν μὴ μετανοησάντων. καὶ οὐκ εἶπε, πάντας, ἀλλά, πολλούς· καὶ οὐδὲ τούτους ποιεῖ φανερούς, διδοὺς κἀντεῦθεν ῥᾳδίαν αὐτοῖς τὴν πρὸς τὴν μετάνοιαν ἐπάνοδον· καὶ δῆλον ποιῶν, ὅτι δύναται μετάνοια τὰ πεπλημμελημένα διορθῶσαι, τοὺς μὴ μετανοοῦντας πενθεῖ, τοὺς τὰ ἀνίατα νοσοῦντας, E τοὺς ἐν τῷ τραύματι μένοντας. ἐννόησον τοίνυν ἀποστολικὴν ἀρετήν, ὅταν μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, ὑπὲρ ἀλλοτρίων θρηνῇ κακῶν, καὶ ὑπὲρ τῶν ἑτέροις πεπλημμελημένων ταπεινῶται. τοῦτο γὰρ μάλιστα τοῦ διδασκάλου, τὸ οὕτω συναλγεῖν ταῖς τῶν μαθητῶν συμφοραῖς, τὸ κόπτεσθαι καὶ πενθεῖν ἐπὶ τοῖς τραύμασι τῶν ἀρχομένων. εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἁμαρτίας· ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. καὶ αὐτὸς μὲν ἐνταῦθα πορνείαν αἰνίττεται. εἰ δέ τις



rie, sed voluntas tamen. Poterat siquidem rursus dicere, *qualem nolo*, atque ita amorem indicare: at remissum auditorem reddere nolebat. Quin potius sic oratio plus asperitatis habuisset. Nunc autem & vehementius feriit, & mitiorem se ostendit. Hoc enim ipsius sapientiæ proprium est, ut, cum profundius secat, blandius percutiat. Postea, quia obscurius loquutus erat, his verbis istud detegit, *Ne forte contentio, æmulationes, animositates, detractiones, susurrationes, inflationes*; & quod prius ponere debebat, hoc posterius collocat. Etenim adversus eum arrogantia efferebantur. Verum ne prius, quod suum erat, quærere videretur, propterea id, quod commune erat, priore loco ponit.

2. Hæc enim omnia ex invidia oriebantur, calumniæ, accusationes, dissidia. Siquidem invidia, velut perniciosa quædam radix, iracundiam, accusationem, arrogantiam, atque alia omnia pariebat, ab iisque amplius augebatur. 21. *Ne iterum cum venero, humiliet me Deus apud vos.* Hoc quoque, *iterum* percutientis erat. Sufficiunt enim priora, inquit: velut etiam initio dicebat; parcens vobis non veni Corinthum. Vides quo pacto simul, & indignationem, & benevolentiam præ se ferat? Quid autem est, *humiliet?* Atqui gloria hæc est, nempe accusare, pœna afficere, rationes exposcere, judicis loco & gradu sedere. At humiliationem tamen id vocat. Tantum scilicet aberat, ut hujusmodi humiliationis eum puderet; quandoquidem præsentia corporis infirma erat, & sermo contemtibilis; ut etiam perpetuo in eo statu versari cuperet, contrariumque deprecaretur. Atque hoc postea apertius dicit, humiliationemque id maxime ducit, nimirum in inferendæ pœnæ atque supplicii necessitatem incidere. Cur autem non dixit, Ne cum venero, humilier, verum, *ne cum venero, humiliet me Deus?* Quoniam nisi propter ipsum nulla me ea res solicitudine affecisset. Neque enim, ut potestatem habens, atque arroganter me gerens, pœnas exigo: sed quia ipse ita edixit. Ac superius quidem istud posuit, dicens, *Inveniar qualem non vultis.* Hic autem demissius, ac lenius blandiusque loquitur, dicens, *Et lugeam multos ex his qui ante peccarunt;* non simpliciter, *qui peccaverunt*; *sed, qui non egerunt pænitentiam.* Non dixit, omnes, sed multos. Ac ne eos quidem declarat: hinc quoque facilem ipsis ad pœnitentiam reditum dans, perspicuumque faciens, pœnitentiam errata corrigere posse, seque eos demum lugere, qui pœnitentia minime ducerentur, qui incurabili morbo laborarent, qui suo in vulnere manerent. Animadverte itaque apostolicam virtutem, quod nullius mali sibi conscius, pro alienis malis ingemiscat, ac pro iis, quæ alii perperam admiserunt, deprimatur. Hoc enim præsertim magistri munus est, discipulorum calamitatibus ad hunc modum affici, atque ob eorum, quibus præest, vulnera, lugere. Postea peccati genus exponit, *Super fornicatione & immunditia quam egerunt.* Hic quoque fornicationem innuit. Si quis tamen ac-

curate rem expendat, omne peccati genus hoc nomine appellari potest. Nam quamvis fornicator præcipue, atque adulter, immundi dicantur: tamen cætera etiam peccata immunditiam animæ afferunt. Ideoque Christus quoque Judæos immundos appellat, non modo fornicationem, sed reliqua etiam improbitatis genera ipsis objiciens. Unde etiam ait, eos externa tantum mundasse. Et, Non quæ intrant in os coinquinant hominem, sed quæ exeunt. Et alio loco dictum est, Immundus est apud Dominum omnis qui elato est corde. Et jure quidem; ut enim virtute nihil purius: sic improbitate nihil obscœnius est. Illa enim sole splendidior est: hæc cœno fœtidior. Atque hoc suo testimonio comprobare illi queant, qui in cœno volutantur, atque in tenebris versantur, si modo quispiam effecerit, ut vel tantillum videre queant. Quamdiu enim secum ipsi sunt, atque hoc affectu inebriantur, velut in tenebris degentes, fœde atque indecore, & cum summa turpitudine jacent, sentientes illi quidem tum quoque quo in statu sint, sed non perfecte. At cum ab aliquo eorum, qui in virtute vivunt, sese coargui viderint, vel etiam eum conspexerint, tum demum miseriam suam apertius agnoscunt: ac velut immisso quodam radio fœditatem suam contegunt, atque ante consciorum ora erubescunt, etiamsi hic servus sit, ille liber, hic subditus, ille rex.

3. Reg. 21. Sic Achab ad Eliæ conspectum pudore suffusus est, tametsi nullum ille verbum adhuc emiserat, solo videlicet ipsius prospectu convictus: ac silente accusatore, sententiam, qua facinus ipsius damnabatur, ferebat: eorum, qui convicti sunt, verba proferens, ac dicens, Invenisti me, hostis meus. Tanta videlicet animi libertate ac fiducia Elias tyrannum illum tunc alloquebatur. Matt. 14. Sic Herodes, cum reprehensionum pudorem ferre non posset: siquidem propheticæ vocis ingens ac præclarus splendor erat; Joannem in carcerem conjecit, tamquam qui nudus esset, ac lucernam exstinguere conaretur, ut rursus in tenebris degeret. Quin potius ipse quidem eam exstinguere non ausus est, sed in domo, velut sub modio, collocavit: infelix autem ac misera illa hoc ut fieret, ab eo extorsit. At ne sic quidem criminis reprehensionem obtegere potuerunt: verum eam magis accenderunt. Nam & qui sciscitabantur quam ob causam Joannes in vinculis teneretur, eam discebant & qui postea, vel tum terram aut mare incolebant, vel nunc sunt, aut posthac futuri sunt, sceleratam hanc tragœdiam, hoc est tam libidinem, quam nefariam ab ipsis perpetratam cædem, apertius intellexerunt, atque intellecturi sunt: nec ulla unquam vetustas harum rerum memoriam delere poterit.

3. Tam præclara res est virtus, tamque immortalis est ipsius memoria: ita vel sermone solo eos, qui ipsi adversarii sunt, metu concutit! Cur enim eum in carcerem conjecit? Cur non eum contemsit? Num Joannes eum in judicium tracturus erat? Num adulterii pœnas ab eo expetiit? Nonne re-

A ἀκριβῶς ἐξετάσειε, καὶ ἅπαν εἶδος ἁμαρτίας τούτῳ δύναται καλεῖσθαι τῷ ὀνόματι. εἰ γὰρ καὶ κατ' ἐξοχὴν ὁ πόρνος καὶ ὁ μοιχὸς λέγεται ἀκάθαρτος, ἀλλ' ὅμως καὶ τὰ ἄλλα ἁμαρτήματα ἀκαθαρσίαν ἐμποιεῖ τῇ ψυχῇ. διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς ἀκαθάρτους καλεῖ τοὺς Ἰουδαίους, οὐχὶ πορνείαν αὐτοῖς ἐγκαλῶν μόνον, ἀλλὰ καὶ πονηρίαν ἑτέραν. διὸ καί φησι, ποίησαι καὶ τὸ ἔξω καθαρόν· καὶ, ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα· καὶ ἀλλαχοῦ εἴρηται, ἀκάθαρτος παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος. καὶ εἰκότως. οὐδὲν γὰρ ἀρετῆς καθαρώτερον, οὐδὲν κα-

B κίας ἀκαθαρτότερον. ἡ μὲν γὰρ ἡλίου λαμπροτέρα ἐστὶν, ἡ δὲ βορβόρου δυσωδεστέρα. καὶ ταῦτα μαρτυρήσαιεν ἂν καὶ αὐτοὶ οἱ ἐν τῷ βορβόρῳ κυλινδούμενοι, καὶ οἱ ἐν τῷ σκότῳ διάγοντες, ὅταν μικρὸν νῦν τις αὐτοὺς διαβλέψαι παρασκευάζῃ. ἕως μὲν γὰρ ἂν καθ' ἑαυτοὺς ὦσι, καὶ μεθύωσι τῷ πάθει, καθάπερ ἐν σκότῳ διατρίβοντες ἀσχημόνως κεῖνται μετὰ πολλῆς τῆς αἰσχρότητος, αἰσθανόμενοι μὲν καὶ τότε ἔνθα εἰσὶν, οὐκ ἀκριβῶς δέ. ἐπειδὰν δὲ ἴδωσί τινα αὐτοὺς ἐλέγχοντα τῶν ἐν ἀρετῇ βιούντων, ἢ καὶ φανέντα μόνον,

C τότε σαφέστερον αὐτῶν διαγινώσκουσι τὴν ἀθλιότητα, καὶ ὥσπερ ἀκτῖνος ἀφεθείσης, οὕτω περιστέλλουσι τὴν οἰκείαν ἀσχημοσύνην, καὶ τοὺς συνειδότας ἐρυθριῶσι, κἂν ὁ μὲν δοῦλος, ὁ δὲ ἐλεύθερος ᾖ, καὶ ὁ μὲν βασιλεὺς, ὁ δὲ ἀρχόμενος. οὕτω ἰδὼν τὸν Ἠλίαν ὁ Ἀχαὰβ ᾐσχύνετο, καὶ μηδέπω μηδὲν εἰρηκότος ἐκείνου, ἀπὸ τῆς ὄψεως αὐτοῦ μόνης ἁλοὺς· καὶ σιγῶντος τοῦ κατηγόρου, τὴν καταδικάζουσαν αὐτὸν ἔφερε ψῆφον, τὰ τῶν ἑαλωκότων φθεγγόμενος, καὶ λέγων, εὕρηκάς με ὁ ἐχθρός μου. οὕτως αὐτὸς ὁ Ἠλίας τῷ τυράννῳ τότε ἐκείνῳ μετὰ πολλῆς διελέγετο τῆς παρρησίας. οὕτως ὁ Ἡρώ-

D δης, οὐ φέρων τὴν ἀπὸ τῶν ἐλέγχων αἰσχύνην, καὶ γὰρ ἔδειξε σαφέστερον, λάμψασα μέγα καὶ διαυγὲς ἡ τῆς προφητικῆς γλώττης φωνὴ, ἐνέβαλεν εἰς τὸ δεσμωτήριον τὸν Ἰωάννην· καθάπερ γυμνὸς ὢν, καὶ τὸν λύχνον σβέσαι ἐπιχειρῶν, ἵνα πάλιν ἐν τῷ σκότῳ ᾖ. μᾶλλον δὲ αὐτὸς οὐκ ἐτόλμησε σβέσαι, ἀλλ' ὥσπερ ὑπὸ τὸν μόδιον εἰς τὸ οἴκημα τέθηκεν· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη τοῦτο γενέσθαι κατηνάγκασεν. ἀλλ' οὐδὲ οὕτω κρύψαι ἴσχυσαν τὸν ἔλεγχον, ἀλλὰ μειζόνως ἀνῆψαν. οἵ τε γὰρ ἐρωτῶντες, διὰ τί Ἰωάννης εἰς τὸ δεσμωτήριον οἰκεῖ, τὴν αἰτίαν ἐμάνθανον,

E οἵ τε μετὰ ταῦτα γῆν καὶ θάλατταν οἰκοῦντες ἅπαντες, οἵ τε τότε γενόμενοι, οἵ τε νῦν, οἵ τε αὖθις ἐσόμενοι, σαφῶς ἔγνωσάν τε καὶ εἴσονται τὰ πονηρὰ ταῦτα δράματα, τά τε τῆς ἀσελγείας, τά τε τῆς μιαιφονίας αὐτῶν· καὶ χρόνος οὐδεὶς τὴν μνήμην τούτων ἐξαλεῖψαι δυνήσεται.

Τοσοῦτόν ἐστιν ἀρετὴ, οὕτως ἀθάνατον ἔχει τὴν μνήμην, οὕτω καὶ ἀπὸ ῥημάτων μόνων καταπλήττει τοὺς ἀντικειμένους αὐτῇ. τίνος γὰρ ἕνεκεν ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον; διὰ τί μὴ κατεφρόνησε; μὴ γὰρ εἰς δικαστήριον αὐτὸν ἔμελλεν ἕλκειν; μὴ γὰρ δίκην ἀπῄτησε τῆς

μοιχείας; οὐχὶ ἔλεγχος ἦν τέως τὰ λεγόμενα μόνον; τί τοίνυν δέδοικε καὶ τρέμει; οὐχὶ ῥήματα ἦν καὶ λόγος ψιλός; ἀλλὰ μᾶλλον πραγμάτων ἔδακνεν. οὐκ ἤγαγεν εἰς δικαστήριον, ἀλλ' εἰς ἕτερον τοῦ συνειδότος εἷλκεν αὐτὸν κριτήριον, καὶ πάντας ἐκάθισεν αὐτῷ δικαστὰς τοὺς μετ' ἐξουσίας κατὰ διάνοιαν τότε τὰς ψήφους φέροντας. διὰ τοῦτο ἔτρεμεν ὁ τύραννος, τῆς ἀρετῆς τὴν λαμπηδόνα οὐ φέρων. εἶδες ἡλίκον φιλοσοφία; δεσμώτην τυράννου λαμπρότερον ἐποίησε, καὶ τοῦτον ἐκεῖνος δέδοικε καὶ τρέμει. ἀλλ' αὐτὸς μὲν ἔδησε μόνον· ἡ δὲ μιαρὰ ἐκείνη καὶ ἐπὶ τὴν σφαγὴν ὥρμησε. καίτοιγε ἐπὶ τοῦτον τὸ ἔγκλημα μᾶλλον ἐφέρετο. οὐδὲ γὰρ ἐκείνῃ τότε ἀπαντήσας εἶπε, τί συνοικεῖς τῷ τυράννῳ; οὐκ ἐπειδὴ ἀνεύθυνος ἦν, πῶς γάρ; ἀλλ' ἐντεῦθεν τὸ πᾶν διορθῶσαι ἐβούλετο. διὸ τοῦτον ἐμέμψατο· καὶ οὐδὲ τοῦτον σφοδρῶς. οὐδὲ γὰρ εἶπεν, ὦ μιαρὲ, καὶ παμμίαρε, καὶ παράνομε, καὶ βέβηλε, κατεπάτησας τοῦ θεοῦ τὸν νόμον, καταφρονήσας τῶν ἐπιταχθέντων, τὴν ἰσχὺν τὴν σὴν νόμον ἐποίησας. οὐδὲν τούτων, ἀλλὰ καὶ ἐν τοῖς ἐλέγχοις πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, πολλὴ ἡ πρᾳότης. οὐκ ἔξεστί σοι γὰρ ἔχειν, φησὶ, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. διδάσκοντος μᾶλλον τὸ ῥῆμα, ἢ ἐλέγχοντος, παιδεύοντος, ἢ κολάζοντος, ῥυθμίζοντος, ἢ ἐκπομπεύοντος, διορθοῦντος, ἢ ἐπεμβαίνοντος. ἀλλ', ὅπερ ἔφην, ἐχθρὸν τῷ κλέπτῃ τὸ φῶς, ἐπαχθὴς ὁ δίκαιος τοῖς ἁμαρτάνουσι καὶ φαινόμενος ἁπλῶς. βαρὺς γὰρ ἡμῖν καὶ βλεπόμενος. οὐ γὰρ φέρουσιν αὐτοῦ τὰς ἀκτῖνας, καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, τὰς ἡλιακάς. πολλοῖς δὲ τῶν πονηρῶν οὐ φαινόμενος μόνον, ἀλλὰ καὶ ἀκουόμενος, βαρύς. διά τοι τοῦτο καὶ ἡ μιαρὰ καὶ παμμίαρος ἐκείνη, ἡ προαγωγὸς τῆς θυγατρὸς, μᾶλλον δὲ ἡ παιδοκτόνος, καίτοι οὐδὲ ἰδοῦσα αὐτὸν, οὐδὲ ἀκούσασα αὐτοῦ τῆς φωνῆς, ἐπὶ τὴν σφαγὴν ὥρμησε· καὶ παρασκευάζει ἣν ἀσελγῶς ἔθρεψε, ταύτην καὶ εἰς φόνον ἐλθεῖν· οὕτως ἐκ περιουσίας αὐτὸν ἐδεδοίκει. καὶ τί φησι; δός μοι ἐπὶ πίνακι ὧδε τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. ποῖ φέρῃ κατὰ κρημνῶν, ἀθλία καὶ ταλαίπωρε; μὴ γὰρ πάρεστιν ὁ κατήγορος; μὴ γὰρ ὁρᾶται καὶ ἐνοχλεῖ; ἕτεροι ἔλεγον, βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος· ταύτῃ δὲ, ὅπερ εἶπον, καὶ ἀκουόμενος. διό φησι, δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. καὶ μὴν δεσμωτήριον οἰκεῖ διὰ σὲ, καὶ ἁλύσει περίκειται, καὶ ἔξεστί σοι νεανιεύεσθαι ἐπὶ τῷ ἔρωτι, καὶ λέγειν οὕτως, ἐκράτησα τοῦ βασιλέως, ὅτι οὐδὲ δημοσίᾳ ἐγκληθεὶς καθυφῆκεν, οὐδὲ ἀπέστη τοῦ ἔρωτος, οὐδὲ διέσπασέ μου τὴν μοιχείαν, ἀλλὰ καὶ τὸν ἐγκαλέσαντα ἔδησε. τί μαίνῃ καὶ λυσσᾷς, ἔχουσα καὶ μετὰ τὸν ἔλεγχον τῆς ἁμαρτίας τὸν νυμφίον; τί τράπεζαν ἐριννύων ἐπιζητεῖς, καὶ δαιμόνων ἀλαστόρων συμπόσιον κατασκευάζεις; Εἶδες πῶς οὐδαμινὸν, πῶς δειλὸν, πῶς ἄνανδρον ἡ κακία, πῶς ὅτε μάλιστα κρατήσει,

A prehensio dumtaxat erant ea quæ dicebantur? Quid ergo metuit ac tremit? Annon verba erant, ac simplex sermo? Sed hujusmodi verba magis, quam res ipsæ pungebant. Non eum ad judicium, sed ad aliud conscientiæ tribunal pertrahebat: omnesque eos, qui libera cogitatione suffragium tunc ferebant, judices ipsi constituebat. Quocirca tremebat tyrannus, virtutis splendorem haud ferens. Vides quanta philosophiæ vis sit? Eum qui catenis vinctus erat, tyranno splendidiorem reddidit, effecitque ut hic illum formidaret ac tremeret. Verum ipse quidem B in vincula dumtaxat eum conjecit: at nefaria illa in cædem impulit. Quamquam alioqui in hunc potius crimen conferebatur. Neque enim, cum obviam illi factus fuisset, dixerat, Cur cum tyranno consuetudinem habes? Non quod illa crimine vacaret; qui enim id fieri potuisset? Verum hac ratione totum emendare volebat. Quamobrem illum reprehendit, nec admodum vehementer. Neque enim dixit, O scelestе, imo scelestissime, o flagitiose ac prophane, Dei legem protrivisti, imperia illius contemsisti, potentiam tuam pro lege habuisti. Nihil horum loquutus est. Atque etiam in criminis insectatione multa ab C eo moderatio ac lenitas adhibita est. Non licet, inquit, tibi habere uxorem Philippi fratris tui. *Matt. 14.* Quæ quidem verba docentis potius sunt, quam coarguentis: erudientis potius quam vindicantis: instituentis potius, quam traducentis: corrigentis potius, quam insultantis. Verum, ut dixi, inimica furi lux est: vir justus vel solo aspectu peccatoribus molestus est. Gravis est enim nobis, inquit, etiam ad videndum. Neque enim ipsius radios ferre queunt: quemadmodum nec solares radios, qui ægris oculis sunt. Multis quoque pravis hominibus, non aspectu tantum, sed etiam auditu D gravis est. Ac proinde scelerata illa, atque adeo sceleratissima filiæ lena, vel carnifex potius, quamvis ne ipsum quidem vidisset, nec ipsius vocem audiisset, tamen ad ejus cædem animum adjecit, operamque dedit, ut ea, quam impudice alebat, in cædem quoque prorumperet. Usqueadeo eum metuebat! Et quid ait? *Da mihi in disco hic caput Joannis Baptistæ.* Quo præceps ferris misera & calamitosa? Num adest accusator? Num cernitur ac molestiam exhibet? Alii dicebant, Gravis est nobis etiam ad videndum: huic autem, uti dixi, auditu etiam gravis est. Ob idque E ait: *Da mihi in disco hic caput Joannis.* *Matt. 14. 8.* Atqui tua causa carcerem incolit, ac vinculis astrictus tenetur, tibique licet amoris ergo tete jactare, atque his verbis uti: Regem superavi, quandoquidem ne publice quidem reprehensus, remissior fuit, nec ab amore se abduxit, nec adulterium meum divulsit: quin potius, eum ipsum, a quo propterea reprehensus fuerat, in vincula conjecit. Quid furis, ac rabie percelleris, cum etiam post peccati reprehensionem sponso fruaris? Quid furiarum mensam requiris, atque carnificum dæmonum convivium efficis? Vides quam nihil prorsus, quam meticulosum atque ignavum sit vitium? Quonam modo, cum ma-

xime vincit, tum imbecillius fiat? Etenim ea non ita tumultuabatur, antequam Joannem in carcerem contrusisset, quam, vincto postea eo, perturbabatur, atque urgebat, dicens, Da mihi hic in disco caput Joannis. Et quare hic? Timeo, inquit, ne cædes ceu umbra obturbetur: ne aliqui eum e periculo eripiant. Et quare non integrum cadaver, sed caput dumtaxat poscis? Linguam illam, inquit, silentem cernere gestio, quæ me molestia affecit. At, o infelix ac misera, contrarium omnino evenit; ut etiam eveniet; dissecta enim clarius postea clamabit. Tunc enim in Judæa tantum clamabat: nunc autem ad extremos usque orbis fines se conferet: & in quamcumque ecclesiam ingressus fueris, sive apud Mauros, sive apud Persas, sive apud ipsas Britannicas insulas, clamantem Joannem audis, *Non licet tibi habere uxorem Philippi fratris tui.* Verum illa sapientiæ omnis expers & ignara stolidum tyrannum ad cædem urget, & premit atque impellit: metuens scilicet, ne sententiam mutet. Ac tu hinc quoque virtutis robur intellige. Ne carcere quidem inclusum, ac vinculis adstrictum, & silentem justum virum ferre potest. Vides quam imbecilla, quam impura res sit vitium? Etenim humanum corpus eduliorum loco in disco infert. Quid puella illa sceleftius? Quid libidinosius? Quid impudentius? Quam in diaboli theatro, ac dæmonum convivio vocem emisit? Vides linguam, & linguam: alteram salutaria medicamenta ferentem, alteram autem venenum habentem, ac diabolicarum epularum exstructricem? Sed cur non intus in ipso convivio, ubi major ei voluptas erat, eum obtruncari jussit? Metuebat scilicet ne si eo accessisset, seque contuendum præbuisset, ipso aspectu, ac loquendi libertate, omnium animos immutaret. Ideo, illustre stupri tropæum erigere cupiens, matri suæ dedit.

4. Vides saltationis præmia? Vides diabolicarum insidiarum spolia? Non Joannis caput dico: sed ipsum maritum. Nam si quis accurate rem expenderit, adversus regem tropæum erit: & quæ vicerat, vincebatur: &, qui capite truncatus fuerat, coronam obtinebat, ac victor pronunciabatur, ut qui, etiam post mortem, animos eorum, qui scelere se constrinxerant, vehementius concuteret. Quodque hæc, quæ a me dicta sunt, non inanis quidam verborum fumus sint, Herodem ipsum interroga. Nam ille, postquam Christi miracula ad ejus aures pervenerunt, dicebat, Hic est Joannes. Ipse surrexit a mortuis: & ideo virtutes operantur in eo. Usqueadeo vigentem in se metum ac perpetuam trepidationem habebat: nec quisquam erat, qui conscientiæ terrorem ei eximere posset; verum incorruptus ille judex continenter eum præfocabat, singulisque diebus perpetratæ cædis pœnas ab eo repetebat. Hæc cum perspecta habeamus, ne malo ab aliis affici, sed malum aliis inferre metuamus. Illud enim victoria est: hoc clades. Eaque de causa

A τότε γὰρ ἀσθενεστέρα· καὶ γὰρ αὕτη οὐκ οὕτως ἐθορυβεῖτο πρὶν εἰς δεσμωτήριον ἐμβαλεῖν τὸν Ἰωάννην, ταράττεται δεθέντος αὐτοῦ, καὶ ἐπείγει λέγουσα, δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. καὶ διὰ τί ὧδε; δέδοικα μὴ συσκιασθῇ, φησιν, ὁ φόνος, μὴ ἐξέλωσιν αὐτὸν τινες τοῦ κινδύνου. καὶ διὰ τί μὴ ὅλον τὸν νεκρὸν ἐπιζητεῖς, ἀλλὰ τὴν κεφαλήν; τὴν λυπήσασάν, φησι, γλῶτταν, ταύτην ἐπιθυμῶ σιγῶσαν ἰδεῖν. ἀλλὰ τοὐναντίον ἐστὶν, ὅπερ οὖν καὶ γέγονεν, ἀθλία καὶ ταλαίπωρε, λαμπρότερον B βοήσεται μετὰ ταῦτα ἀποτμηθεῖσα. τότε μὲν γὰρ ἐν Ἰουδαίᾳ μόνον ἐβόα, νῦν δὲ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἀφίξεται· καὶ ὅπου περ ἂν εἰσέλθῃς εἰς ἐκκλησίαν, κἂν ἐν τῇ Μαύρων, κἂν ἐν τῇ Περσῶν, κἂν πρὸς αὐτὰς τὰς Βρεττανικὰς νήσους, ἀκούεις βοῶντος Ἰωάννου, οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. ἀλλ᾽ οὐδὲν εἰδυῖα αὕτη φιλοσοφεῖν, κατεπείγει καὶ ἄγχει καὶ ὠθεῖ τὸν ἀνόητον τύραννον ἐπὶ τὸν φόνον, δεδοικυῖα μήποτε μεταβληθῇ. σὺ δὲ μάθε πάλιν κἀντεῦθεν τῆς ἀρετῆς τὴν ἰσχύν. οὐδὲ ἐγκεκλεισμένον, οὐδὲ δεδεσμένον καὶ σιγῶντα C φέρει τὸν δίκαιον. εἶδες πῶς ἀσθενὲς ἡ κακία, πῶς ἀκάθαρτον; ἀντὶ γὰρ ἐδεσμάτων, ἀνθρωπίνην κεφαλὴν ἐπὶ πίνακος εἰσάγει. τί μιαρώτερον, τί δὲ ἀναγνέστερον, τί δὲ ἀναιδέστερον τῆς κόρης ἐκείνης; οἵαν ἀφῆκε φωνὴν ἐν τῷ θεάτρῳ τοῦ διαβόλου, καὶ τῷ συμποσίῳ τῶν δαιμόνων; εἶδες γλῶτταν καὶ γλῶτταν, τὴν μὲν φάρμακα φέρουσαν σωτήρια, τὴν δὲ δηλητήριον ἔχουσαν, καὶ τραπεζοποιὸν γινομένην ἑστιάσεως διαβολικῆς. ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐκέλευσεν ἔνδον ἐν τῷ συμποσίῳ αὐτὸν κατασφαγῆναι, ἔνθα πλείων ἦν αὐτῇ ἡδονή; ἐδεδοίκει μὴ D παραγινόμενος καὶ ὀφθεὶς, ἅπαντας μεταβάλῃ διὰ τῆς ὄψεως, διὰ τῆς παρρησίας. διά τοι τοῦτο τὴν κεφαλὴν ἐπιζητεῖ, τρόπαιον πορνείας λαμπρὸν στῆσαι βουλομένη· καὶ ἔδωκε τῇ μητρὶ αὐτῆς.

Εἶδες τῆς ὀρχήσεως τὰ ἐπίχειρα, εἶδες τὰ λάφυρα τῆς διαβολικῆς ἐπιβουλῆς· οὐ τὴν κεφαλὴν Ἰωάννου λέγω, ἀλλ᾽ αὐτὸν τὸν συνοικοῦντα. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, κατὰ τοῦ βασιλέως ἐστὶ τὸ τρόπαιον, καὶ ἡ νικήσασα ἡττᾶτο, καὶ ὁ ἀποτμηθεὶς ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο, καὶ μετὰ τὴν τελευτὴν σφοδρότερον κατασείων τῶν ἡμαρτηκότων τὴν διά- E νοιαν. καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, αὐτὸν ἐρώτησον τὸν Ἡρώδην· ὃς, ἐπειδὴ τοῦ Χριστοῦ τὰ σημεῖα ἤκουσεν, ἔλεγεν, οὗτός ἐστιν Ἰωάννης· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. οὕτως ἀκμάζοντα εἶχε τὸν φόβον καὶ διηνεκῆ τὴν ἀγωνίαν· καὶ οὐδεὶς ἀποβαλεῖν τὸ δέος τοῦ συνειδότος ἴσχυσεν, ἀλλ᾽ ἔμενεν ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος ἄγχων αὐτὸν, καὶ καθημέραν δίκην ἀπαιτῶν τῆς σφαγῆς. ταῦτ᾽ οὖν εἰδότες, μὴ φοβώμεθα τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ δρᾶσαι κακῶς. τοῦτο μὲν γὰρ νίκη, ἐκεῖνα

δὲ ἧττα. διὸ καὶ ὁ Παῦλος ἔλεγε, διατί οὐ μᾶλλον ἀδικεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ἐν γὰρ τῷ πάσχειν κακῶς, οἱ στέφανοι, καὶ τὰ βραβεῖα, καὶ ἡ ἀνακήρυξις. καὶ τοῦτο ἐπὶ πάντων ἔστι τῶν ἁγίων ἰδεῖν. ἐπεὶ οὖν ἅπαντες ἐστεφανώθησαν οὕτως, ἀνεκηρύχθησαν οὕτω, καὶ ἡμεῖς ταύτην ὁδεύωμεν τὴν ὁδόν. καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱστάμενοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ἐπιδειξώμεθα προθυμίαν· ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Paulus etiam dicebat, Quare non potius injuriam accipitis? Sed vos injuriam facitis, & fraudatis: & quidem fratres. 1. Cor. 6. 7. Etenim in perferendis malis coronæ bravia & præconia acquiruntur. Idque in omnibus sanctis perspicere est. Quia igitur omnes hac ratione corona donati, ac victores pronunciati sunt, nos proinde eamdem viam ingrediamur: atque illud quidem oremus, ut in tentationem minime intremus: cæterum si accesserit, adversus ipsam fortissime stemus, eamque, quam par est, animi promtitudinem exhibeamus: ut futura bona nanciscamur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, honor, imperium nunc & semper & in sæcula sæculorum, amen.

## ΟΜΙΛΙΑ κθ'.

Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.

ΠΟΛΛΑΧΟΘΕΝ μὲν καὶ ἄλλοθεν, μάλιστα δὲ ἐκ τούτου, τοῦ Παύλου τὴν φιλοσοφίαν ἔστιν ἰδεῖν, καὶ τὴν πολλὴν φιλοστοργίαν· πῶς πολὺς μὲν ἐν ταῖς παραγγελίαις καὶ σφοδρὸς, ὀκνηρὸς δὲ καὶ μελλητὴς ἐν ταῖς τιμωρίαις. οὐ γὰρ εὐθέως ἁμαρτάνοντας ἐκόλασεν, ἀλλὰ προήγγειλεν ἅπαξ καὶ δεύτερον· καὶ οὐδὲ οὕτω παρακούσαντας τιμωρεῖται, ἀλλὰ πάλιν παραγγέλλει λέγων, τρίτον ἔρχομαι τοῦτο πρὸς ὑμᾶς, καὶ πρὶν ἢ παραγένωμαι, γράφω πάλιν. εἶτα ἵνα μὴ ἡ μέλλησις ῥᾳθυμίαν ἐργάσηται, ὅρα πῶς καὶ τὸ ἐντεῦθεν διορθοῦται, συνεχῶς ἀπειλῶν, καὶ ἐπανατεινόμενος τὴν πληγὴν, καὶ λέγων, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι· καὶ, μήπως ἐλθὼν πενθήσω πολλούς. ταῦτα δὲ ποιεῖ καὶ λέγει, καὶ ταύτῃ τὸν δεσπότην τῶν ἁπάντων μιμούμενος· ἐπεὶ καὶ ὁ θεὸς συνεχῶς μὲν ἀπειλεῖ, καὶ πολλάκις παραγγέλλει, οὐ πολλάκις δὲ κολάζει καὶ τιμωρεῖται. τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. καὶ διὰ τοῦτο καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον. τί ἐστι, φειδόμενος ὑμῶν; ἵνα μὴ εὑρὼν ἡμαρτηκότας καὶ ἀδιορθώτους μείναντας, ἐπάγω κόλασιν καὶ τιμωρίαν. καὶ ἐνταῦθα, τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. ἄγραφον ἐγγράφῳ συνάπτει· ὃ καὶ ἀλλαχοῦ πεποίηκεν εἰπὼν, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν· ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. καίτοιγε ἐπὶ νομίμου τοῦτο εἴρηται γάμου· ἀλλ' ἀπεχρήσατο αὐτῷ εἰς τοῦτο συμφερόντως, ὥστε φοβῆσαι μειζόνως. οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, ἀντὶ μαρτύρων τὰς παρουσίας αὐτοῦ τιθεὶς καὶ τὰς προαγγελίας. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἅπαξ εἶπον καὶ δεύτερον, ὅτε παρεγενόμην· λέγω καὶ νῦν διὰ γραμμάτων. καὶ μὴν ἐὰν ἀκούσητέ μου, ὅπερ ἐπεθύμουν γέγονεν· ἐὰν δὲ παρακούσητε, ἀνάγκη λοιπὸν στῆναι τὰ εἰ-

## HOMILIA XXIX.

1. *Ecce tertio hoc venio ad vos: In ore duorum ac trium testium stabit omne verbum.* CAP. XIII.

1. CUM aliunde etiam multis ex rebus tum vel hinc maxime Pauli philosophiam, paternumque affectum perspicere licet: nimirum quam in denunciandis rebus vehemens, in inferendis autem pœnis tardus sit. Neque enim de iis, qui peccabant, pœnas statim sumsit: sed semel atque iterum admonuit. Ac ne sic quidem in contumaces animadvertit: sed rursus admonet ac denunciat dicens, *Tertio hoc venio ad vos*: ac priusquam adsim, rursus scribo. Postea, ne cunctatio segnitiem illis pariat, vide quo pacto hinc quoque eos corrigat, assidue nempe interminans, ac plagas intentans, atque hisce verbis utens, Si venero iterum, non parcam. Et, Ne cum venero, lugeam multos. Hæc porro idcirco facit ac loquitur, ut hac quoque parte omnium Dominum imitetur. Nam & Deus assidue quidem comminatur, ac sæpe præcipit: sed non sæpe punit & cruciatum infert. Hoc itaque ipse quoque facit. Ideoque etiam ante dicebat, Parcens vobis non ultra veni Corinthum. Quid est, *parcens vobis?* hoc est, ne vos sceleribus devinctos inveniens, ac sine ulla emendatione in his perstantes, pœna & cruciatu vos afficiam. Et hoc loco, *Tertio hoc venio ad vos. In ore duorum ac trium testium stabit omne verbum.* Non scriptum cum scripto connectit: id quod alio quoque loco facit, cum ait, Qui adhæret meretrici, unum corpus est. Erunt enim, inquit, duo in carne una. Et quidem de legitimo matrimonio hoc dictum est: verum eo loco commode ad hoc abusus est, ut vehementiorem terrorem incuteret. Ita ergo hic quoque facit, nempe testimoniorum loco adventus suos, ac pœnæ denunciationes ponens. Quod autem ait, hanc sententiam habet: Semel dixi, atque iterum, cum ad vos accessi: & nunc item per literas dico. Ac si quidem me audieritis, quod cupiebam contigit. Sin autem verba mea contemseritis, deinceps necesse erit, ut

præstem quæ dixi ac pœnam inferam. Idcirco ait. 2. *Prædixi, & prædico, ut præsens bis, nunc etiam absens scribo iis qui peccaverunt, & reliquis omnibus, quod si iterum venero, non parcam.* Nam si in ore duorum ac trium testium stat omne verbum, bis adfui, & dixi: ac nunc quoque per epistolam dico. Jam itaque deinceps necesse est verba mea vera inveniri. Non enim est quod existimetis literas meas inferioris auctoritatis esse, quam præsentiam. Ut enim præsens dicebam: sic nunc quoque absens scribo. Vides paternam curam ac solicitudinem? Vides Magistro congruentem providentiam? Nec tacuit, nec rursus pœnam intulit: verum sæpius quoque prædicit, atque in interminatione constanter permanet, ac pœnam differt. Quod si in peccatis obstinati maneant, tum demum re ipsa pœnam se inflicturum minatur. Quid autem præsens prædixisti, ac nunc absens scribis? *Quod si venero iterum, non parcam.* Postquam superius se hoc, nisi necessitate coactum, facere non posse ostendit, ac luctum & humiliationem eam rem appellavit; *Ne cum venero*, inquit, *humiliet me Deus apud vos, & lugeam multos qui ante peccaverunt, & non egerunt pœnitentiam;* ac sese ipsis excusans, semel & iterum ac tertio prædixisse asseruit, quodque nihil non agat ac moliatur, quo sumendas pœnas propulset, eosque verborum terrore meliores efficiat, tunc grave illud & horrendum affert dicens, *Si venero iterum, non parcam.* Non dixit, Puniam ac vindicabo, pœnasque experam: sed rursus paternis verbis supplicium ponit, hinc viscera sua, animumque ipsis condolentem ostendens, quod pro sua erga eos indulgentia semper pœnam infligere differret. Postea autem, ne nunc quoque ita existimarent, eum rursum dilatione, ac verborum tantum minis uti; ideo prius quoque dixit, *In ore duorum vel trium testium stabit omne verbum.* Et, *Si venero, non parcam.* Quod autem ait, est ejusmodi: Non jam diutius cunctabor, si vos, quod Deus avertat, emendationis expertes invenero, sed pœnas haud dubie inferam, ac, quod dixi, præstabo. Mox cum ingenti animi permotione ac vehementi indignatione in eos invehens, qui ipsum tamquam imbecillem traducebant, præsentiamque ipsius suggillabant, dicebantque, Præsentia infirma, & sermo contemtibilis, adversus istos ait: 3. *An experimentum quæritis ejus qui in me loquitur Christi?* His enim verbis simul & hos ferit, & illos perstringit. Quod autem dixit, hunc sensum habet: Quandoquidem periculum facere vultis, an Christus in me habitet, rationesque a me exposcitis, eaque de causa me, ut vilem ac contemnendum traducitis, tamquam potentia illa destitutum; hac me minime carere scietis, si, quod nolim, occasionem mihi præbueritis. Cur ergo, quæso, ideo castigas? An quod experimentum quærant? Minime inquit: Nam si hoc quærerem, mox ut primum peccassent, in eos animadvertissem, nec cunctatione ulla usus fuissem. Quod autem id minime quærat, dilucidius postea indicavit

A ρημένα, καὶ ἐπάξειν τὴν τιμωρίαν. διό φησι, προείρηκα, καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. εἰ γὰρ ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα, παρεγενόμην δεύτερον καὶ εἶπον, λέγω δὲ καὶ νῦν διὰ τῆς ἐπιστολῆς· ἀνάγκη με λοιπὸν ἀληθεῦσαι. μὴ γὰρ δὴ νομίσητε ἔλαττον ἔχειν τὰ γράμματα τῆς παρουσίας. ὥσπερ γὰρ παρὼν ἔλεγον, οὕτω καὶ ἀπὼν νῦν γράφω. εἶδες κηδεμονίαν πατρικήν; εἶδες διδασκαλίαν

B καὶ πρέπουσαν πρόνοιαν; οὔτε ἐσίγησεν, οὔτε ἐκόλασεν, ἀλλὰ καὶ προλέγει πολλάκις, καὶ μένει διηνεκῶς ἀπειλῶν, καὶ ἀναβάλλεται τὴν τιμωρίαν· καὶ εἰ μένοιεν ἀδιόρθωτοι, τότε ἀπειλεῖ τὴν πεῖραν ἐπαγαγεῖν. τί δὲ προείρηκας παρὼν, καὶ ἀπὼν νῦν γράφεις; ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. δείξας πρότερον ὅτι οὐ δύναται, ἂν μὴ ἀναγκασθῇ, τοῦτο ποιῆσαι, καὶ πένθος τὸ πρᾶγμα καλέσας καὶ ταπείνωσιν· μήπως γάρ, φησιν, ἐλθόντα με ὁ θεός μου ταπεινώσῃ πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων· καὶ ἀπο-

C λογησάμενος αὐτοῖς, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον προεῖπε, καὶ ὅτι πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε ἀνακρούσασθαι τὴν τιμωρίαν, καὶ τῷ φόβῳ τῶν ῥημάτων βελτίους ποιῆσαι, τότε τὸ φορτικὸν τοῦτο καὶ φοβερὸν ἔθηκε λέγων, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. οὐκ εἶπε, τιμωρήσομαι καὶ κολάσω καὶ ἀπαιτήσω δίκην, ἀλλὰ πάλιν πατρικοῖς ῥήμασι καὶ αὐτὴν τὴν τιμωρίαν τίθησι, δεικνὺς αὐτοῦ τὰ σπλάγχνα καὶ τὴν συναλγοῦσαν αὐτοῖς διάνοιαν, διότι ἀεὶ φειδόμενος, ἀνεβάλλετο. εἶτα, ἵνα μὴ καὶ νῦν

D νομίσωσιν, ὅτι πάλιν ἀναβολὴ καὶ ἁπλῶς ἀπειλὴ ῥημάτων, διὰ τοῦτο καὶ ἔμπροσθεν εἴρηκεν, ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, καὶ, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκέτι ἀναβαλοῦμαι, εἰ ἀδιορθώτους εὕροιμι, ὃ μὴ γένοιτο, ἀλλὰ ἐπάξω πάντως, καὶ στήσω ὅπερ εἴρηκα. εἶτα μετὰ πολλοῦ τοῦ θυμοῦ καὶ σφοδρᾶς τῆς ἀγανακτήσεως πρὸς τοὺς κωμῳδοῦντας αὐτὸν ὡς ἀσθενῆ, καὶ τὴν παρουσίαν αὐτοῦ χλευάζοντας, καὶ λέγοντας, ἡ παρουσία ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος, ὡς πρὸς τούτους γοῦν ἀποτεινόμενός φησιν· ἐπεὶ δοκιμὴν

E ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. τοῦτο γὰρ ὁμοῦ μὲν πλήττων, ὁμοῦ δὲ κἀκείνων καθαπτόμενος εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστι· ἐπειδὴ βούλεσθε δοκιμάζειν εἰ ἐν ἐμοὶ ὁ Χριστὸς οἰκεῖ, καὶ εὐθύνας ἀπαιτεῖτε, καὶ διὰ τοῦτό με κωμῳδεῖτε, ὡς εὐτελῆ καὶ εὐκαταφρόνητον, ἅτε ἔρημον ὄντα τῆς δυνάμεως ἐκείνης· εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἔρημοι, εἰ παράσχοιτε πρόφασιν, ὃ μὴ γένοιτο. τί οὖν, εἰπέ μοι, διὰ τοῦτο κολάζεις; ἐπειδὴ δοκιμὴν ζητοῦσιν; οὐχί, φησιν. εἰ γὰρ τοῦτο ἐζήτουν, ἐκ προτέρης ἂν ἐκόλασα ἁμαρτάνοντας, καὶ οὐκ ἀνεβαλλόμην. ὅτι δὲ οὐ τοῦτο ζητεῖ, προϊὼν τοῦτο σαφέστερον ἔδειξεν εἰπὼν,

εἰπών, εὔχομαι δὲ μηδὲν ποιῆσαι ὑμᾶς κακόν, οὐχ ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλὰ ὑμεῖς δόκιμοι ἦτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.

Οὐ τοίνυν αἰτιολογικῶς αὐτὸ τίθησιν, ἀλλὰ μᾶλλον ἀγανακτῶν, μᾶλλον καθαπτόμενος τῶν καταφρονούντων αὐτοῦ. ἐγὼ μὲν οὐ βούλομαι, φησί, δοῦναι πεῖραν ὑμῖν τοιαύτην. εἰ δὲ αὐτοὶ παρέχετε τὴν αἰτίαν, καὶ βουληθείητέ με ἐκκαλέσασθαι, εἴσεσθε διὰ τῶν ἔργων αὐτῶν. καὶ ὅρα πῶς φορτικὸν ποιεῖ τὸν λόγον. οὐ γὰρ εἶπεν, ἐπεὶ δοκιμὴν ζητεῖτε ἐμοῦ, ἀλλὰ, τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, δεικνὺς ὅτι εἰς ἐκεῖνον ἡμάρτανον. καὶ οὐχ ἁπλῶς εἶπε, τοῦ ἐνοικοῦντος, ἀλλὰ, τοῦ λαλοῦντος, δεικνὺς πνευματικὰ ὄντα τὰ ῥήματα. εἰ δὲ οὐκ ἐνδείκνυται αὐτοῦ τὴν ἰσχὺν, οὐδὲ κολάζει· λοιπὸν γὰρ ἀφ' ἑαυτοῦ τὸν λόγον ἐκεῖ μετήγαγε, φοβερωτέρον ποιῶν τὴν ἀπειλήν· οὐ δι' ἀσθένειαν· δύναται γάρ· ἀλλὰ διὰ μακροθυμίαν. μὴ τοίνυν τὴν ἀνοχὴν αὐτοῦ ἀσθένειάν τις λογιζέσθω. τί γὰρ θαυμάζεις, εἰ οὐκ ἐπεξέρχεται νῦν ἁμαρτάνουσιν, οὐδὲ ἀπαιτεῖ δίκην ἀνεχόμενος καὶ μακροθυμῶν, ὅπου γε καὶ σταυρωθῆναι αὐτὸς ὑπέμεινε, καὶ τοιαῦτα πάσχων οὐκ ἐκόλαζε; διὸ καὶ ἐπήγαγεν, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δύναται ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ. πολλὴν ἀσάφειαν ἔχει τὰ ῥήματα, καὶ τοῖς ἀσθενεστέροις θόρυβον ἐντίθησι. διόπερ ἀναγκαῖον αὐτὰ ἀναπλῶσαι σαφέστερον, καὶ τῆς λέξεως ταύτης εἰπεῖν τὰ σημαινόμενα, παρ' ἣν ἡ ἀσάφεια, ἵνα μηδεὶς σκανδαλίζηται μηδὲ τῶν ἀφελεστέρων. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον, καὶ τί δηλοῖ τὸ τῆς ἀσθενείας ὄνομα, καὶ κατὰ ποῖον σημαινόμενον εἴρηται, ἀναγκαῖον μαθεῖν. μία μὲν γὰρ ἡ λέξις, πολλὰ δὲ τὰ ἐξ αὐτῆς δηλούμενα. καὶ γὰρ ἀσθένεια λέγεται ἡ τοῦ σώματος ἀρρωστία. διὸ καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται, ἴδε ὃν φιλεῖς ἀσθενεῖ, περὶ τοῦ Λαζάρου· καὶ αὐτὸς ἔλεγεν, ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον. καὶ περὶ τοῦ Ἐπαφρᾶ ὁ Παῦλος· καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησε. καὶ περὶ τοῦ Τιμοθέου, οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. ταῦτα γὰρ ἅπαντα σωματικὴν ἀρρωστίαν δηλοῖ. λέγεται πάλιν ἀσθένεια, τὸ μὴ πεπηγέναι ἐν τῇ πίστει ἀπλῶς, μηδὲ τέλειον εἶναι καὶ ἀπηρτισμένον. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν· καὶ πάλιν, ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει, τὸν ἐν τῇ πίστει ἀσθενοῦντα δηλῶν. ἰδοὺ δύο σημαινόμενα ἐκ τῆς ἀσθενείας ἐστί· καὶ τρίτον ἕτερον, ὃ καλεῖται ἀσθένεια. ποῖον δὴ τοῦτο; οἱ διωγμοί, αἱ ἐπιβουλαί, αἱ ἐπήρειαι, οἱ πειρασμοί, αἱ ἐπαγωγαί. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθε-

A his verbis: *Opto autem vos nullo malo afficere, non ut nos probati appareamus, sed ut vos, quod bonum est, faciatis; nos autem ut reprobi simus.*

2. Non ergo per causæ modum istud ponit, sed potius ut stomachans, eosque, quibus contemtui erat, incessens. Equidem ipse, inquit, hujusmodi experimentum vobis præbere nolo. Quod si ipsi causam præbueritis, meque concitare in animum induxeritis, ex ipsis rebus intelligetis. Ac vide quomodo orationem exasperet. Neque enim dixit, Quoniam experimentum mei quæritis: sed, B *ejus qui in me loquitur Christi.* Quibus verbis ostendit eos in illum peccavisse. Nec simpliciter dixit, ejus qui in me habitat, sed ejus qui in me loquitur: hinc videlicet indicans, verba sua a Spiritu proficisci. Quod si vim suam ille non ostendit, nec pœnas irrogat; jam enim a se orationem illuc traducit, quo plus terroris minæ habeant; non imbecillitate prohibetur: id enim potest; sed animi lenitate. Quocirca, ne ipsius tolerantiam imbecillitati quispiam adscribat. Cur miraris enim, si pro sua tolerantia patientiaque in peccatores non animadvertit, nec pœnas ab iis expetit, cum ipse quoque in crucem agi C sustinuerit, atque hujusmodi cruciatus perpetiens, pœnam minime irrogarit? Unde etiam subjunxit, *Qui in vobis non infirmatur, sed potens est in vobis.* 4. *Nam etsi crucifixus est ex infirmitate: sed vivit ex virtute Dei.* Plurimum hæc verba obscuritatis habent: atque imbecillioribus perturbationem injiciunt. Quapropter apertius ea explicare necesse est, atque hujus dictionis, in qua obscuritas sita est, significationem afferre: ut ne quis etiam ex simplicioribus offendatur. Quidnam igitur sit id quod dixit; quid per infirmitatis vocabulum designet, & qua significatione hoc loco usurpatum sit, operæ D precium est discere. Etenim una quidem est dictio, verum per eam multa indicantur. Siquidem infirmitas dicitur corporis morbus. Eaque ratione in Evangelio dictum est de Lazaro, *Ecce quem amas infirmatur.* Et ipse dicebat, *Hæc infirmitas non est ad mortem.* Ac Paulus de Epaphrodito verba faciens, *Nam & infirmatus est usque ad mortem, sed Deus misertus est ejus.* Et de Timotheo, *Vino modico utere propter stomachum tuum, & frequentes tuas infirmitates.* Hæc enim omnia corporeum morbum significant. Rursus infirmitas dicitur, cum quis in fide non satis firmus est, nec perfectus ac numeris omnibus E absolutus. Idque his verbis Paulus indicabat: *Infirmum autem in fide assumite, non in disceptationibus cogitationum.* Ac rursum: *Alius quidem credit se comedere omnia: qui autem infirmus est, solus manducat:* infirmum in fide significans. Habes jam duos infirmitatis significatus. Est & tertia alia infirmitatis significatio. Quænam hæc? Persequutiones, insidiæ, molestiæ, tentationes, calamitates. Quod etiam Paulus his verbis declarabat, *Pro hoc ter Dominum rogavi: & dixit mihi, Sufficit tibi gratia mea. Virtus enim mea in infirmitate perficitur.* Quid est,

Joan. 11. 3.

Philip. 2. 27.

1. Tim. 5. 23.

Rom. 14. 1.

Infirmitatis modi varii.

2. Cor. 12. 8.

*in infirmitate?* In persequutionibus, in periculis, in tentationibus, in insidiis, in mortibus. Id quod indicabat, cum diceret, *Quamobrem mihi placeo in infirmitate.* Ac postea exponens de qua infirmitate loqueretur, non febrem dixit, aut dubitationem quamdam in fide: sed quid? *In contumeliis, in persequutionibus, in necessitatibus, in angustiis, in plagis, in carceribus: ut inhabitet in me virtus Christi. Cum enim infirmor, tunc potens sum.* Hoc est, cum vexor, cum exagitor, cum insidiis appetor, tunc robore polleo, tunc victoriam magis obtineo, atque eos, qui mihi insidias parant, supero, copiosiore gratia in me insidente. Secundum hoc tertium significationis genus, infirmitatis vocabulum, hoc loco Paulus usurpavit: quodque ait, est ejusmodi. Adversus id, quod jam ante dixi, rursum contendit, nempe quod vilis ipsis & contemnendus esse videbatur. Non enim sese jactare volebat, qualis revera erat, nec vim eam, quam ad puniendum & pœnas sumendas habebat, ostentare: unde etiam vilis & abjectus habebatur. Quoniam itaque ob eam opinionem in magna socordia ac stupore versabantur, nec a peccatis resiliebant; commodam occasionem nactus, de his rebus acriter disserit, illud demonstrans, imbecillitatem non in causa esse, cur nihil faciat, sed animi lenitatem. Ac postea, ut jam dixi, sermonem a se ad Christum traducens, metum auget ac minas amplificat. Quod autem ait, tale est: Num, si quid etiam faciam, ac de iis, qui peccaverunt, pœnas sumam, ego sum qui punio & pœnas sumo? Imo vero Christus ipse est, qui in me habitat. Quod si hoc non creditis, sed experimentum capere vultis, per ejus qui in me habitat, opera, id mox perspectum habebitis. Non enim in vobis infirmus est: sed potens. Cur autem adjecit, *In vobis*: cum ipse ubique viribus polleat? Nam sive infideles, sive dæmones, sive quidquid tandem illud esse queat, supplicio afficere voluerit, id potest. Quid ergo sibi vult illud additamentum? Hoc dicens, pudore suffundit illos ab iis quæ jam experti sunt; vel hoc significat: Interim in vobis virtutem suam ostendit, qui emendari debetis. Quod etiam alibi dicebat: *Quid enim mihi de iis, qui foris sunt, judicare.* (1. Cor. 5. 12.)

3. Nam ab externis illis, inquit, tunc pœnas repetet in die judicii; a vobis autem etiam nunc, ut ab illo vos supplicio eximat. Attamen hanc curam & solicitudinem ab amore partam, vide quanto cum timore & quanta cum indignatione adhibeat, dicens: *Qui in vobis non infirmatur, sed potens est in vobis. Nam etsi crucifixus est ex infirmitate, sed vivit ex virtute Dei.* Quid significat illud, *Si crucifixus est ex infirmitate?* Etiamsi, inquit, voluerit rem sustinere, quæ infirmitatis suspicionem præ se ferat; certe nihil hoc vim potestatemque ejus minuit: potestas quippe illa inexpugnabilis manet, & quod in-

νεία τελειοῦται. τί ἐστιν, ἐν ἀσθενείᾳ; ἐν διωγμοῖς, ἐν κινδύνοις, ἐν πειρασμοῖς, ἐν ἐπιβουλαῖς, ἐν θανάτοις. καὶ τοῦτο δηλῶν ἔλεγε, διὸ εὐδοκῶ ἐν ἀσθενείᾳ. Εἶτα δεικνὺς ποίαν λέγει ἀσθένειαν, οὐ πυρετὸν εἶπεν, οὐκ ἀμφιβολίαν τὴν περὶ τὴν πίστιν, ἀλλὰ τί; ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι, τουτέστιν, ὅταν διώκωμαι, ὅταν ἐλαύνωμαι, ὅταν ἐπιβουλεύωμαι, τότε δυνατός εἰμι, τότε μᾶλλον κρατῶ καὶ περιγίνομαι τῶν ἐπιβουλευόντων, τῆς χάριτος δαψιλέστερον ἐνιζανούσης ἐν ἐμοί. κατὰ δὴ τοῦτο τὸ τρίτον, τὴν ἀσθένειαν τέθεικεν ὁ Παῦλος, καὶ ὃ λέγει τοῦτό ἐστι. πρὸς ἐκεῖνο πάλιν ἀποτεινόμενος, ὃ καὶ ἔμπροσθεν εἶπον, ὅτι εὐτελὴς αὐτοῖς ἐδόκει εἶναι καὶ εὐκαταφρόνητος. οὐ γὰρ δὴ ἐβούλετο κομπάζειν, οὐδὲ ὅπερ ἦν, εἶναι δοκεῖν αὐτὸν, οὐδὲ τὴν δύναμιν ἐνδείκνυσθαι, ἣν εἶχεν εἰς τὸ κολάζειν καὶ τιμωρεῖσθαι· ὅθεν καὶ ἐνομίζετο εὐτελὴς εἶναι. ἐπεὶ οὖν τοῦτο νομίζοντες ἐν πολλῇ ῥαθυμίᾳ ἦσαν καὶ ἀναισθησίᾳ, καὶ οὐ μετεβάλλοντο ἐκ τῶν ἁμαρτημάτων, καιρὸν ἐπιτήδειον λαβὼν, καὶ περὶ τούτων εὐτόνως σφόδρα διαλέγεται, δεικνὺς ὅτι οὐ δι' ἀσθένειαν οὐδὲν ἐποίει, ἀλλὰ διὰ μακροθυμίαν. Εἶτα, ὅπερ ἔφην, ἀφ' ἑαυτοῦ τὸν λόγον ἐπὶ τὸν Χριστὸν μεταγαγὼν, ἐπιτείνει τὸν φόβον, αὔξει τὴν ἀπειλήν. ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ γὰρ, καὶ ἐὰν ποιήσω τι, κολάσω καὶ τιμωρήσωμαι τοὺς ἡμαρτηκότας, ἐγώ εἰμι ὁ κολάζων καὶ τιμωρούμενος; ἔστιν ὁ ἐν ἐμοὶ οἰκῶν, αὐτὸς ὁ Χριστός. εἰ δὲ οὐ πιστεύετε τοῦτο, ἀλλὰ βούλεσθε λαβεῖν δοκιμὴν, διὰ τῶν ἔργων τοῦ ἐνοικοῦντος ἐν ἐμοὶ εἴσεσθε ταχέως. οὐδὲ γὰρ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ καὶ δυνατός ἐστι. καὶ διὰ τί προσέθηκεν, εἰς ὑμᾶς, καίτοι πανταχοῦ δυνατός ἐστι; κἂν γὰρ ἀπίστους βουληθῇ κολάσαι, δύναται· κἂν δαίμονας, κἂν ὁτιοῦν. [a] τί οὖν βούλεται ἡ προσθήκη; σφόδρα ἐντρέποντος αὐτούς ἐστι τὸ ῥῆμα, ἀφ' ὧν ἤδη πεῖραν εἰλήφασιν· ἢ τοῦτο δηλοῦντος, ὅτι τέως ἐν ὑμῖν τὴν δύναμιν ἐπιδείκνυται τοῖς ὀφείλουσι διορθωθῆναι. ὃ καὶ ἀλλαχοῦ ἔλεγε· τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;

Τοὺς μὲν γὰρ ἔξω, φησὶ, τότε ἀπαιτήσει δίκην κατὰ τὴν ἡμέραν τῆς κρίσεως· ὑμᾶς δὲ καὶ νῦν, ὥστε ἐκείνης ἐξελέσθαι τῆς τιμωρίας. ἀλλ' ὅμως καὶ τὸ κηδεμονικὸν τοῦτο, καὶ διὰ φιλοστοργίαν γινόμενον, ὅρα πῶς μετὰ φόβου τίθησι καὶ πολλοῦ τοῦ θυμοῦ, λέγων· [b] ὃς οὐκ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ. τί ἐστιν, εἰ ἐσταυρώθη ἐξ ἀσθενείας; καὶ γὰρ εἰ εἵλετο, φησὶ, πρᾶγμα ὑπομεῖναι δοκοῦν ἀσθενείας ἔχειν ὑπόληψιν, ἀλλ' οὐδὲν τοῦτο τὴν δύναμιν αὐτοῦ διακόπτει. μένει γὰρ αὕτη ἄμαχος οὖσα,

[a] Quæ sequuntur postea in editione Morelli Parisiensi, ex commentario epistolæ ad Galatas advecta sunt, & per paginas duas integras seriem omnino interturbant, idque ex typographorum vel imperitia vel nequitia. Nos omnia restituimus.

[b] ὃς οὐκ ἀσθενεῖ. Sic legendum ut Savil. in margine posuit. Editi ὡς οὐκ.

καὶ οὐδὲν τὸ πρᾶγμα τὸ δοκοῦν ἀσθενείας εἶναι A ταύτην παραβλάψας, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὴν ἰσχὺν, ὅτι τοιοῦτον πρᾶγμα ὑπέμεινε, καὶ τὰ τῆς δυνάμεως αὐτοῦ οὐκ ἠκρωτηριάσθη. μὴ τοίνυν σε θορυβείτω ἡ λέξις τῆς ἀσθενείας. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί· καίτοι οὔτε μωρὸν, οὔτε ἀσθενὲς οὐδὲν ὁ θεὸς ἔχει· ἀλλὰ τὸν σταυρὸν οὕτως ἐκάλεσε, τὴν τῶν ἀπίστων ὑπόνοιαν περὶ αὐτοῦ ἐξηγούμενος. ἄκουσον γοῦν ἑαυτὸν ἑρμηνεύοντος. ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία B ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστι. καὶ πάλιν· ἡμεῖς δὲ κηρύσσομεν θεὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν, θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν. καὶ πάλιν· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν. ὅρα πῶς πανταχοῦ τῶν ἀπίστων τὴν ὑπόνοιαν ἑρμηνεύει, μωρίαν καὶ ἀσθένειαν τὸν σταυρὸν νομιζόντων. οὕτω δὲ καὶ ἐνταῦθα οὐ τὴν οὖσαν ἀσθένειαν λέγει, ἀλλὰ τὴν ὑποπτευομένην C παρὰ τοῖς ἀπίστοις. οὐ τοῦτο οὖν φησιν, ὅτι ἀσθενὴς ὢν ἐσταυρώθη, ἄπαγε. ὅτι γὰρ ἠδύνατο μὴ σταυρωθῆναι διὰ πάντων ἔδειξε, νῦν μὲν ὑπτίους ῥίψας, νῦν δὲ τὰς ἀκτῖνας ἀποστρέψας, καὶ συκῆν ξηράνας, καὶ τὰς ὄψεις τῶν ἐλθόντων ἐπ' αὐτὸν πηρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος. τί οὖν ἐστιν ὅ φησιν, ἐξ ἀσθενείας; ὅτι εἰ καὶ ἐσταυρώθη κίνδυνον ὑπομείνας καὶ ἐπιβουλήν· ἐδείξαμεν γὰρ τὴν ἀσθένειαν κίνδυνον καλουμένην καὶ ἐπιβουλήν· ἀλλ' ὅμως οὐδὲν παρεβλάβη. ταῦτα δὲ ἔλεγεν εἰς τὰ καθ' ἑαυτὸν ἕλκων τὸ ὑπόδειγμα. ἐπειδὴ γὰρ ἑώρων αὐ- D τοὺς διωκομένους, ἐλαυνομένους, καταφρονουμένους, καὶ οὐκ ἀμυνομένους, οὐδὲ ἐπεξιόντας, διδάσκων αὐτοὺς, ὅτι οὐδὲ αὐτοὶ παρὰ ἀτονίαν ταῦτα πάσχουσιν, οὐδὲ παρὰ τὸ μὴ δύνασθαι ἐπεξιέναι, ἀνάγει τὸν λόγον ἐπὶ τὸν δεσπότην· ἐπεὶ καὶ αὐτὸς, φησιν, ἐσταυροῦτο, ἐδεσμεῖτο, μυρία ἔπασχε, καὶ οὐκ ἐπεξῄει· ἀλλ' ἔμενε, τὰ δοκοῦντα τῆς ἀσθενείας εἶναι ὑπομένων πράγματα, καὶ ταύτῃ τὴν δύναμιν ἐπιδεικνύμενος τὴν αὐτοῦ, ὅτι καὶ μὴ ἐπεξιὼν μηδὲ ἀμυνόμενος, οὐδὲν ὅλως παραβλάπτεται. τὴν γοῦν ζωὴν οὐ διέκοψεν ὁ σταυρὸς, οὐδὲ ἐνεπόδισε τὴν ἀνά- E στασιν, ἀλλὰ καὶ ἀνέστη καὶ ζῇ. ὅταν δὲ ἀκούσῃς σταυρὸν καὶ ζωὴν, τὸν περὶ τῆς οἰκονομίας ἐκδέχου λόγον. περὶ γὰρ ταύτην ὁ πᾶς οὗτος λόγος. εἰ δέ φησιν, ἐκ δυνάμεως θεοῦ, ἐκ δυνάμεως τῆς αὐτοῦ ἔλεγεν· ὅτι γὰρ καὶ αὐτὸς αὑτὸν ἀνέστησε καὶ διακελεύει, ἄκουσον αὐτοῦ λέγοντος· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ, ὅπερ αὐτοῦ ἐστιν, τοῦτο τοῦ πατρὸς εἶναι λέγει, μὴ θορυβηθῇς· πάντα γὰρ τὰ τοῦ πατρός μου, ἐμά ἐστι, φησι. καὶ πάλιν, πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. ὥσπερ οὖν ἐκεῖνος ὁ σταυρωθεὶς,



A firmitatis videtur esse, nihil illam lædit; imo potius hoc maxime ejus robur & vim ostendit; quod talem rem perpessus sit, nec tamen ejus virtus ac potentia imminuta fuerit. Ne ergo infirmitatis vocabulum te conturbet.
Etenim alibi quoque dicit: *Quod stultum est* 1. Cor. 1.
*Dei, sapientius est hominibus: & quod infir-* 25.
*mum est Dei, fortius est hominibus.* Atqui nihil stultum, nihilque infirmum Deus habet; sed crucem sic vocavit, incredulorum de ipso opinionem exponens. Audi enim
illum, seipsum interpretantem. *Verbum enim* 1. Cor. 1.
*crucis pereuntibus quidem stultitia est: iis vero* 18.
*qui salvi fiunt, id est nobis, Dei virtus est.*
B Et rursum: *Nos autem prædicamus Deum cru-* 1. Cor. 1.
*cifixum, Judæis quidem scandalum, Gentibus* 23.
*autem stultitiam; ipsis autem vocatis Judæis atque Græcis, Christum Dei virtutem, & Dei*
*sapientiam.* Ac rursus: *Animalis autem homo* 1. Cor. 2.
*non percipit ea, quæ sunt Spiritus: stultitia* 14.
*enim est illi.* Vide quomodo ubique incredulorum suspicionem tollat & interpretetur: qui crucem stultitiam & infirmitatem esse putabant. Ita autem hoc in loco, non eam, quæ vere sit, infirmitatem memorat; sed eam quam increduli esse suspicabantur. Non igitur hoc dicit, quod, infirmus cum esset, crucifixus fue- C rit, absit. Quod enim potuerit non crucifigi per omnia probavit: nunc supinos projiciens; nunc radios solis avertens, ficum arefaciens, accedentium ad se oculos excæcans, & innumera alia patrans. Quid sibi vult ergo quod dicit, *ex infirmitate?* Quod etiamsi crucifixus sit, periculum passus & insidias; ostendimus enim infirmitatem periculum & insidias vocari; attamen nihil læsus fuit. Hæc autem dicebat, ad se trahens exemplum. Quia enim videbant illos, persequutionem patientes, pulsos, despectos; nec propulsan- D tes vel sese ulciscentes; ut doceret illos, quod ipsi talia paterentur, non ex imbecillitate, nec quod eos propulsare non valerent; sermonem ad Dominum reducit: quandoquidem ipse quoque inquit, crucifigebatur, vinculis constringebatur, innumera patiebatur; nec invadentes se propulsabat; sed manebat, ea sustinens, quæ infirmitatem præ se ferre viderentur; & sic virtutem suam ostendens; quod nempe nec propulsans illos, nec sese ulciscens, in nullo prorsus læderetur. Vitam enim crux non abscidit, nec resurrectionem impedivit; E sed resurrexit ille, & vivit. Cum autem audieris crucem & vitam, de œconomia, seu de Christi incarnatione sermonem excipe, de illa enim omnis hæc oratio instituitur. Quod si dicat, *ex virtute Dei*, ex virtute ipsius Christi intelligit: quod enim ipse seipsum excitaverit & imperet, audi dicen-
tem: *Solvite templum hoc, & ego in tribus* Joan. 2.
*diebus excitabo illud.* Si autem id quod suum 19.
est Patris esse dicat, ne turberis: *Omnia* Joan. 16.
*enim, quæ Patris mei sunt, mea sunt*, inquit. 15.
Et rursum: *Omnia mea, tua sunt; & tua mea sunt.* Sicut ergo ille, qui crucifixus est,

nihil læſus eſt inquit; ſic neque nos dum perſequutionem patimur & impugnamur. Ideo ſubjungit. *Nam & nos infirmi ſumus in illo; ſed vivemus in illo ex virtute Dei.* Quid ſibi vult illud: *Infirmi ſumus in illo?* perſequutionem ſuſtinemus, pellimur, extrema patimur. Sed quid ſignificat, *in illo?* per prædicationem, inquit, & per fidem in illum. Si autem triſtia & moleſta propter illum ſuſtineamus; palam eſt & fauſta quoque. Ideo ſubjunxit: *Sed ſalvamur in illo ex virtute Dei. 5. Voſmetipſos tentate, ſi eſtis in fide, vos ipſos probate. Annon cognoſcitis voſmetipſos, quia Chriſtus in vobis eſt? niſi forte reprobi eſtis. 6. Spero autem quod cognoſcitis, quia nos non ſumus reprobi.* Quia enim ex dictis oſtenderat, quod etiamſi non illos plecteret; non ita ſe gereret, eo quod Chriſtum in ſe non haberet, ſed ut illius lenitatem imitaretur, qui cum cruce afficeretur, non ſe ulciſcebatur, rurſus alio modo idem efficit. Atque majus argumentum ducens, a diſcipulis ita rem probat. Quid enim de me magiſtro loquor, qui in tanta cura verſor, ac totum terrarum orbem fidei meæ commiſſum habeo, totque ac tanta miracula edidi?

4. Nam ſi vos, qui in diſcipulorum numero eſtis, voſipſos examinare volueritis, Chriſtum in vobis quoque habitare conſpicietis. Quod ſi in vobis, multo certe magis in magiſtro. Nam ſi fidem habetis, Chriſtus etiam in vobis eſt. De credentibus enim dicitur quod miracula patrarent; nam vere patrabant. Ob idque ſubjecit, *Voſmetipſos tentate, Ipſi vos probate, ſi eſtis in fide. Annon cognoſcitis vos, quod Chriſtus in vobis eſt? Niſi forte reprobi eſtis.* Quod ſi in vobis, multo magis in magiſtro. Mihi porro hæc de fide intelligere videtur, quæ in miraculis ſita eſt. Nam ſi fide illa præditi eſtis, inquit, Chriſtus in vobis eſt, *niſi forte reprobi eſtis.* Videſne quomodo rurſus eos terreat, Chriſtumque amplius apud ſe eſſe demonſtret? Hic enim, ut puto, vitam quoque ſubindicat. Quandoquidem enim ad vim atque operationem ſpiritualem attrahendam fides minime ſufficit, dixerat autem, Si in fide eſtis, Chriſtum in vobis habetis; contingebatque, multos qui fidem habebant, hujuſmodi vi ac facultate carere, idcirco dubitationem ſolvens, ait, *Niſi forte reprobi eſtis*, hoc eſt, niſi vitam corruptam habetis. *Spero autem quod cognoſcetis quod nos reprobi non ſumus.* Sequebatur ut diceret, Si autem vos reprobi facti eſtis: at nos haudquaquam. Verum hoc ita non exprimit, ne feriat: ſed obſcure hoc innuit, nec pronuncians ac dicens, Reprobi eſtis, nec rurſus per interrogationem id proponens, ac dicens, ſi autem vos reprobi: verum hoc prætermiſſo, obſcure iſtud indicat, cum ſubjungit, *Spero autem quod vos cognoſcetis, quod nos non ſumus reprobi.* Hic rurſus magna comminatio, magnus terror eſt. Quoniam enim hinc, inquit, hoc eſt per meam in vos animadverſionem experimentum capere vultis, non deerit nobis

A οὐδὲν παρεβλάβη, φησὶν, οὕτως οὐδὲ ἡμεῖς διωκόμενοι, πολεμούμενοι. διὸ καὶ ἐπάγει· καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα ἐν αὐτῷ ἐκ δυνάμεως θεοῦ. τί ἐστιν, ἀσθενοῦμεν ἐν αὐτῷ; διωκόμεθα, ἐλαυνόμεθα, τὰ ἔσχατα πάσχομεν. ἀλλὰ τί ἐστιν ἐν αὐτῷ; διὰ τὸ κήρυγμα, φησι, καὶ τὴν πίστιν τὴν εἰς αὐτόν. εἰ δὲ τὰ σκυθρωπὰ καὶ φορτικὰ ὑπομένομεν δι' αὐτὸν, εὔδηλον ὅτι καὶ τὰ φαιδρά. διὸ καὶ ἐπήγαγεν, ἀλλὰ σωζόμεθα ἐν αὐτῷ ἐκ δυνάμεως θεοῦ. ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χριστὸς
B ἐν ὑμῖν ἐστιν, εἰ μή τι ἀδόκιμοί ἐστε; ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. ἐπειδὴ γὰρ διὰ τῶν εἰρημένων ἔδειξεν ὅτι εἰ καὶ μὴ ἐπεξέρχεται, οὐχ ὡς οὐκ ἔχων τὸν Χριστὸν ἐν ἑαυτῷ, ἀλλ' ὡς τὴν μακροθυμίαν τὴν ἐκείνου μιμούμενος τοῦ σταυρουμένου, καὶ μὴ ἀμυνομένου, πάλιν ἑτέρως δὲ αὐτὸ τοῦτο ἐργάζεται, καὶ ἐκ πλείονος περιουσίας, ἀπὸ τῶν μαθητῶν κατασκευάζων τὸν λόγον. τί γὰρ λέγω περὶ ἐμοῦ τοῦ διδασκάλου, φησὶ, καὶ τοσαύτην ἔχοντος φροντίδα, καὶ τὴν οἰκουμένην ἅπασαν ἐμπεπιστευμένου, καὶ τοσαῦτα σημεῖα πεποιηκότος;

C Ὑμᾶς γὰρ αὐτοὺς ἐὰν βουληθῆτε ἐξετάσαι τοὺς ἐν τάξει μαθητῶν ὄντας, ὄψεσθε ὅτι καὶ ἐν ὑμῖν ὁ Χριστός. εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. εἰ γὰρ τὴν πίστιν ἔχετε, καὶ ἐν ὑμῖν ὁ Χριστός. καὶ περὶ τῶν πιστευόντων τοῦτο αὐτὸ εἴρηται θαύματα ἐργαζομένων. οἱ γὰρ πιστεύοντες τότε, ἐθαυματούργουν. διὸ καὶ ἐπήγαγεν, ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκιμάζετε, εἰ ἐστὲ ἐν τῇ πίστει. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χριστὸς ἐν ὑμῖν, εἰ μήτι ἀδόκιμοί ἐστε; εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. ἐμοὶ δὲ δοκεῖ πίστιν ἐν-
D ταῦθα λέγειν καὶ τὴν τῶν σημείων. εἰ γὰρ ἔχετε τὴν πίστιν ἐκείνην, φησὶν, ὁ Χριστὸς ἐν ὑμῖν ἐστιν, εἰ μήτι ἀδόκιμοι γεγόνατε. εἶδες πῶς πάλιν φοβεῖ, καὶ ἐκ περιουσίας δείκνυσι παρ' αὐτῷ ὄντα τὸν Χριστόν; ἐνταῦθα γάρ μοι δοκεῖ καὶ εἰς βίον αὐτοὺς αἰνίττεσθαι. ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ ἡ πίστις εἰς τὸ ἐπισπάσασθαι τὴν ἐνέργειαν τὴν πνευματικὴν, εἶπε δὲ, ὅτι εἰ ἐστὲ ἐν τῇ πίστει, τὸν Χριστὸν ἔχετε ἐν αὐτοῖς, συνέβαινε δὲ πολλοὺς εἶναι ταύτης τῆς ἐνεργείας ἐρήμους πίστιν ἔχοντας, λύων τὴν ἀπορίαν φησὶν, εἰ μήτι ἀδόκιμοί ἐστε, εἰ μὴ βίον διεφθαρμένον ἔχετε. ἐλπίζω δὲ, ὅτι
E γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. τὸ ἀκόλουθον ἦν εἰπεῖν, εἰ δὲ ὑμεῖς ἀδόκιμοι γεγόνατε, ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πλήξῃ, ἀμυδρῶς δὲ αὐτὸ αἰνίττεται, οὔτε ἀποφαινόμενος καὶ λέγων, ὅτι ἀδόκιμοί ἐστε, οὔτε κατ' ἐρώτησιν προάγων καὶ λέγων, εἰ δὲ ὑμεῖς ἀδόκιμοι, ἀλλὰ τοῦτο παραλιπὼν αἰνιγματωδῶς αὐτὸ ἐνδείκνυται, ἐπάγων, ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. πάλιν κἀνταῦθα πολλὴ ἡ ἀπειλὴ, μέγας ὁ φόβος. ἐπειδὴ γὰρ ἐντεῦθεν, βούλεσθε, φησι, διὰ τῆς εἰς ὑμᾶς κολάσεως τὴν δοκιμὴν λαβεῖν, οὐκ ἀπορήσομεν

A οὐ δοῦναι ὑμῖν τὴν ἀπόδειξιν. ἀλλ' οὕτω μὲν οὐ λέγει, μετὰ πλείονος δὲ τοῦ βάρους καὶ τῆς ἀπειλῆς· ἐλπίζω δὲ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου εἰδέναι ὑμᾶς, φησὶ, τὰ ἡμέτερα, καὶ ὅτι Χριστὸν ἔχομεν ἐν ἑαυτοῖς λαλοῦντα καὶ ἐνεργοῦντα· ἐπεὶ δὲ καὶ διὰ τῶν ἔργων βούλεσθε λαβεῖν τὴν πεῖραν, εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἀδόκιμοι. εἶτα ἐπειδὴ τὴν ἀπειλὴν ἐπανετείνατο, καὶ τὴν κόλασιν λοιπὸν ἐπὶ θύραις ἤγαγε, καὶ ἐν τρόμῳ κατέστησεν αὐτοὺς, καὶ προσδοκᾶν ἐποίησε τιμωρίαν, ὅρα πῶς πάλιν καταγλυκαίνει τὸν λόγον, B καὶ παραμυθεῖται τὸν φόβον, καὶ δείκνυσιν αὐτοῦ τὸ ἀφιλότιμον, τὸ πρὸς τοὺς μαθητὰς κηδεμονικὸν, τὸ φιλόσοφον τῆς γνώμης, τὸ ὑψηλὸν καὶ ἀκενόδοξον. ταῦτα γὰρ ἅπαντα δείκνυσι δι' ὧν ἐπάγει λέγων, εὔχομαι δὲ πρὸς τὸν θεὸν, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας. χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. τοῦτο γὰρ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ψυχῆς; C καταφρονεῖτο, διεπτύετο, ἐκωμῳδεῖτο, ἐχλευάζετο, ὡς εὐτελὴς, ὡς εὐκαταφρόνητος, ὡς ἀλαζὼν, ὡς κομπάζων μὲν διὰ τῶν ῥημάτων, ἐπὶ δὲ τῶν πραγμάτων οὐδὲ μικρόν τι δεῖξαι ἔχων τὴν ἑαυτοῦ ἰσχύν· καὶ οὐ μόνον ἀναβάλλεται, οὐδὲ μόνον ἀναδύεται, ἀλλὰ καὶ εὔχεται μὴ ἐμπεσεῖν εἰς τοιαύτην ὑπόθεσιν. εὔχομαι γάρ, φησι, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. τί ἐστιν ὃ λέγει; παρακαλῶ τὸν θεόν, φησιν, ἱκετεύω μηδένα εὑρεῖν ἀδιόρθωτον, D μηδένα εὑρεῖν ἀμετανόητον· μᾶλλον δὲ οὐδὲ τοῦτο μόνον, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἁμαρτεῖν, μὴ ποιῆσαι γὰρ ὑμᾶς φησι, μηδὲν, εἰ δὲ καὶ ἄρα ἁμάρτητε, μεταβάλλεσθαι, καὶ προλαβόντας διορθώσασθαι, καὶ πᾶσαν ἀποκρούσασθαι ὀργήν. οὐδὲ γὰρ τοῦτο σπουδάζω, ἵνα οὕτω δόκιμοι ὦμεν, ἀλλὰ τοὐναντίον ἅπαν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν. εἰ γὰρ μένετε, φησιν, ἀμετανόητα ἁμαρτάνοντες, ἀνάγκη ἡμᾶς κολάζειν, τιμωρεῖσθαι, πηροῦν ὑμῶν τὰ σώματα· ὅπερ ἐπὶ Σαπφείρας καὶ ἐπὶ τοῦ Μάγου γέγονε. καὶ ἐδώκαμεν δοκιμὴν τῆς δυνάμεως. E ἀλλ' οὐκ εὐχόμεθα τοῦτο, ἀλλὰ τοὐναντίον, ἵνα μήτε ἡμεῖς οὕτω δόκιμοι φανῶμεν· τουτέστιν, ἵνα μὴ οὕτω τὴν δοκιμὴν ἐπιδειξώμεθα τῆς δυνάμεως τῆς ἐν ἡμῖν, διὰ τοῦ κολάζειν ὑμᾶς καὶ τιμωρεῖσθαι ἁμαρτάνοντας καὶ ἀνίατα νοσοῦντας, ἀλλὰ τί; ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, τοῦτο εὐχόμεθα, ἵνα ἀεὶ ἐν ἀρετῇ, ἀεὶ ἐν διορθώσει, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν, οὐκ ἐπιδεικνύμενοι ἡμῶν τὴν τιμωρητικὴν δύναμιν. καὶ οὐκ εἶπεν, ἀδόκιμοι. οὐ γὰρ ἔμελλεν εἶναι ἀδόκιμος, εἰ

probatio vobis afferenda. Cæterum id non dicit, verum majore cum gravitate ac comminatione. Spero autem quod cognoscetis, quia nos reprobi non sumus. Vos enim, inquit, hoc etiam remoto, res nostras compertas habere oportebat, quodque Christum in nobis loquentem & operantem habeamus. At quoniam per ipsa opera experimentum sumere cupitis, nos minime reprobos esse comperietis. Deinde, postquam minas intentavit, ac pœnam jam velut pro foribus collocavit, eosque summo terrore perterritos eo adduxit, ut supplicium exspectarent; vide quo pacto rursus orationem suavitate quadam perfundat, metumque mitiget, ostendatque quam ab omni ambitione remotus sit, quantam discipulorum curam gerat, quam philosophico, quam excelso animo, atque ab inani gloria alieno sit. Hæc enim omnia ostendit per ea quæ subjungit, dicens, 7. *Oro autem Deum, ut nihil mali faciatis, ut non nos probi appareamus, sed ut vos quod bonum est faciatis, nos autem ut reprobi simus.* 8. *Non enim possumus aliquid contra veritatem, sed pro veritate.* 9. *Gaudemus autem quoniam nos infirmi sumus, vos autem potentes estis. Hoc enim etiam oramus, vestram perfectionem.* Quid huic animæ par esse queat? Contemnebatur, conspuebatur, traducebatur, sannis incessebatur, ut vilis, ut despicabilis, ut arrogans, ut sese per verba quidem ostentans, in ipsis autem rebus ne tantillum quidem vim suam demonstrare valens: & tamen non modo in eos animadvertere differt ac refugit, sed etiam vota facit, ut ne in hujusmodi rem incidat. Oro, inquit, *ut nihil mali faciatis, non ut nos probi appareamus, sed ut vos quod bonum est, faciatis, nos autem ut reprobi simus.* Quidnam est quod ait? Deum oro, inquit, obsecro, ut neminem, qui corrigi nequeat, offendam. Quin potius ne hoc quidem solum est quod rogo: sed ut ne penitus quidem peccetis; ne malum enim faciatis, inquit; quod si etiam peccasse vobis contigerit, ut ad meliorem frugem vos conferatis, atque ante corrigamini, omnemque iram propulsetis. Neque enim id agimus, ut probati ipsi simus: sed contra omnino, ut nos probati non appareamus. Nam si in peccatis ita perstetis, ut pœnitentia non ducamini, nobis necesse erit pœnas adhibere, corporaque vestra plectere, ut in Sapphira & Mago contigit, potentiæque nostræ documentum præbere. Verum id minime optamus: imo contra, ut ne ipsi sic probi appareamus, hoc est, ut ne sic potentiæ illius, qua præditi sumus, specimen edamus, nimirum eos, qui peccant, atque incurabili morbo detinentur, pœna afficiendo. Verum quid? Hoc optamus, ut vos, quod bonum est, faciatis, hoc est, ut vos semper in virtute ac vitæ integritate sitis, nos autem velut reprobi simus, nimirum vindicem nostram potentiam non exhibentes. Nec vero dixit, *reprobi*, nec enim reprobus futurus erat, etiamsi

Pauli laudes.

pœnam non adhibuisset, quin potius hoc ipso nomine probus: verum etsi nonnulli sunt, inquit, qui nos suspectos habeant, &, quod potentiæ nostræ specimen non exhibeamus nos contemnendos & abjectos putent, nihil tamen hoc curo. Satius enim est, ut in hac apud illos existimatione simus, quam ut in plagis inferendis, atque in animis emendationem respuentibus, potentiam nobis divinitus concessam ostendamus. *Non enim possumus aliquid contra veritatem, sed pro veritate.* Ne enim videretur in eorum gratiam id facere; id enim animi est ab inani gloria alieni; sed quia ipsa rei natura istud postulabat, hæc verba subjunxit, *Non enim possumus aliquid contra veritatem.* Si enim vos virtutibus florentes invenerimus, inquit, atque peccata per pœnitentiam deponentes, fiduciamque apud Deum habentes; jam nobis, ne si velimus quidem, supplicio vos afficere licebit. Verum, etiamsi id facere moliamur, adjutorem Deum non habebimus. In hoc enim potentia nobis ab ipso concessa est, ut veram & æquam, non autem veritati repugnantem sententiam feramus. Videsne quomodo undique sermonem non molestum reddat, ac minarum asperitatem leniat? At quemadmodum hoc illi studio fuit, sic quoque ostendere vult, se animo ipsis conjunctissimum esse. Ideo subjunxit, *Gaudemus enim cum nos infirmi sumus, vos autem potentes estis. Hoc autem & oramus, vestram perfectionem.* Maxime quidem, inquit, nec adversus veritatem quidquam possumus, hoc est, vos, Deo placentes, supplicio afficere. Cæterum id nequimus, ne volumus quidem, imo contrarium cupimus. Quin hoc ipso potissimum gaudemus, cum vos nullam nobis vindicis nostræ potentiæ demonstrandæ occasionem præbere invenerimus. Etiamsi enim hujusmodi res efficiendo, clari, probati, ac fortes appareamus: at nos tamen quod contrarium est volumus, nimirum vos probatos esse atque ab omni reprehensione alienos: nosque nunquam inde gloriam adipisci. Quocirca ait, *Gaudemus enim cum nos infirmi sumus.* Quid est, *cum infirmi sumus?* Cum infirmi existimamur, non cum infirmi sumus, sed cum tales habemur. Nam hoc esse apud hostes censebantur, cum ultricem vim suam non jam exercerent. Sed tamen gaudemus, inquit, cum ita conversamini, ut nullam nobis in vos animadvertendi ansam porrigatis: nobisque id voluptati est, cum sic infirmi existimamur, modo in vos nulla reprehensio cadat. Ideoque subdit, *Vos autem potentes estis*, hoc est, probi ac virtute præstantes. Ac non modo hæc volumus, sed & precamur ut omnis reprehensionis expertes sitis, atque perfecti, nullam nobis ansam præbentes.

5. Hoc vere paterni affectus est, discipulorum salutem gloriæ suæ anteferre; hoc animi ab inanis gloriæ studio remoti. Hoc potissimum hominem e corporis vinculis eximit, atque a terra in cælum attollit, nempe ab inani gloria purum, ut & contrarium in

A καὶ μὴ ἐκόλασεν, ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο δόκιμος. ἀλλ᾽ εἰ καί τινες ὑποπτεύουσιν ἡμᾶς, φησὶ, μὴ ἐπιδεικνυμένους τὴν ἰσχὺν ἡμῶν εὐκαταφρονήτους εἶναι καὶ ἀπερριμμένους, οὐδὲν ἡμῖν μέλει τούτου. βέλτιον ἡμᾶς τοῦτο νομίζεσθαι παρ᾽ ἐκείνοις, ἢ ἐν ταῖς πληγαῖς καὶ τῷ ἀδιορθώτῳ τῆς γνώμης, τὴν δύναμιν, ἣν ἔδωκεν ἡμῖν ὁ θεὸς, ἐπιδείκνυσθαι. οὐ γὰρ δυνάμεθα κατὰ τῆς ἀληθείας, ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας. ἵνα γὰρ μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι, τοῦτο γάρ ἐστιν ἀκενοδόξου γνώμης, ἀλλ᾽ ὅπερ ἡ τοῦ πράγματος ἀπαιτεῖ φύσις, τοῦτο ποιῇ, τοῦτο ἐπήγαγε λέγων· οὐ γὰρ δυνάμεθά B τι κατὰ τῆς ἀληθείας. ἂν γὰρ εὕρωμεν, φησὶν, ὑμᾶς εὐδοκιμοῦντας, ἀποκρουσαμένους τὰ ἁμαρτήματα διὰ τῆς μετανοίας, παῤῥησίαν πρὸς τὸν θεὸν ἐσχηκότας· οὐδὲ δυνησόμεθα, κἂν βουληθῶμεν, κολάσαι λοιπὸν, ἀλλὰ κἂν ἐπιχειρήσωμεν, οὐ συμπράξει ὁ θεός. Εἰς τοῦτο γὰρ ἡμῖν ἔδωκε τὴν δύναμιν, ὥστε ἀληθῆ φέρειν τὴν ψῆφον καὶ δικαίαν, καὶ οὐχ ὑπεναντίαν τῇ ἀληθείᾳ. Εἶδες πῶς πανταχόθεν ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, καὶ παραμυθεῖται τῆς ἀπειλῆς τὸ τραχύ; πλὴν ἀλλ᾽ ὥσπερ τοῦτο ἐσπούδακεν, οὕτω βούλεται καὶ τὴν αὐτοῦ δεῖξαι γνώ- C μην οἰκειουμένην αὐτοῖς. διὸ καὶ ἐπήγαγε, χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. μάλιστα μὲν γάρ, φησιν, οὔτε δυνάμεθά τι κατὰ τῆς ἀληθείας, τουτέστιν, εὐαρεστοῦντας ὑμᾶς κολάσαι. πλὴν ὅτι καὶ οὐ δυνάμεθα, διὰ τοῦτο οὐ βουλόμεθα, καὶ τοὐναντίον ἐπιθυμοῦμεν. ἀλλὰ καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα χαίρομεν, ὅταν μὴ εὕρωμεν ὑμᾶς ἀφορμὴν ἡμῖν παρέχοντας τοῦ δεῖξαι ἡμῶν τὴν δύναμιν τὴν ἐπὶ τῇ κολάσει. Εἰ γὰρ καὶ τὸ τὰ τοιαῦτα ποιεῖν λαμπροὺς δείκνυσι καὶ δοκίμους καὶ ἰσχυρούς, ἀλλ᾽ D ἡμεῖς τὸ ἐναντίον βουλόμεθα, ὑμᾶς δοκίμους εἶναι καὶ ἀλήπτους, καὶ ἡμᾶς μηδέποτε τὴν ἐντεῦθεν καρποῦσθαι δόξαν. διό φησι, χαίρομεν γάρ, ὅταν ἡμεῖς ἀσθενῶμεν. τί ἐστι, ἀσθενῶμεν; ὅταν νομιζώμεθα ἀσθενεῖς· οὐχ ὅτε ἐσμὲν ἀσθενεῖς, ἀλλ᾽ ὅτε νομιζόμεθα ἀσθενεῖς. τοῦτο γὰρ ἐνομίζοντο παρὰ τοῖς ἐχθροῖς, οὐκέτι δεικνύμενοι τὴν τιμωρητικὴν αὐτῶν δύναμιν. ἀλλ᾽ ὅμως χαίρομεν, ὅταν οὕτως ἀναστραφῆτε, ὥστε μὴ παρασχεῖν ἡμῖν πρόφασιν τοῦ τιμωρεῖσθαι ὑμᾶς· καὶ ἡμῖν τοῦτο ἡδὺ, ὅταν οὕτω νομιζώμεθα ἀσθενεῖς, μόνον ὑμεῖς ἵνα ἄληπτοι ἦτε. διὸ ἐπάγει, ὑμεῖς E δὲ δυνατοὶ ἦτε· τουτέστι, δόκιμοι, ἐνάρετοι. καὶ οὐ μόνον βουλόμεθα ταῦτα, ἀλλὰ εὐχόμεθα ταῦτα, ἀλήπτους ὑμᾶς εἶναι, τετελειωμένους, μηδεμίαν παρέχοντας λαβὴν ἡμῖν.

Τοῦτο σπλάγχνου πατρικοῦ, τῆς οἰκείας εὐδοκιμήσεως τὴν σωτηρίαν προτιμᾶν τῶν μαθητῶν· τοῦτο ψυχῆς ἀκενοδόξου· τοῦτο μάλιστα ἀπαλλάττει τῶν συνδέσμων τοῦ σώματος, καὶ μετεωρίζεσθαι ποιεῖ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, τὸ τῆς δόξης εἶναι τῆς κενῆς καθαρόν· ὥσπερ οὖν τὸ ἐναντίον εἰς πολλὰ ἄγει τὰ ἁμαρ-

τήματα. οὐ γάρ ἐστι μὴ καθαρεύοντα δόξης κενῆς, ὑψηλὸν γενέσθαι καὶ μέγαν καὶ γενναῖον, ἀλλ᾽ ἀνάγκη χαμαὶ σύρεσθαι, καὶ πολλὰ διαφθείρειν, δουλεύοντα μιαρᾷ δεσποίνῃ καὶ βαρβάρου παντὸς ἀπηνεστέρᾳ. τί γὰρ αὐτῆς ἀγριώτερον γένοιτ᾽ ἄν, ἣ ὅταν μάλιστα θεραπεύηται, τότε μάλιστα ἀγριοῦται; καίτοιγε τοῦτο οὐδὲ τὰ θηρία ἔχει, ἀλλὰ τῇ πολλῇ τιθασεύεται θεραπείᾳ. ἡ δὲ κενοδοξία τοὐναντίον ἅπαν· καταφρονουμένη μὲν ἡμεροῦται, τιμωμένη δὲ ἀγριοῦται καὶ ὁπλίζεται κατὰ τοῦ τιμῶντος. ταύτην τιμήσαντες οἱ Ἰουδαῖοι, μετὰ πολλῆς τῆς σφοδρότητος ἐκολάσθησαν· ταύτην ἀτιμάσαντες οἱ μαθηταὶ ἐστεφανώθησαν. καὶ τί λέγω κόλασιν καὶ στεφάνους; εἰς γὰρ αὐτὸ τὸ φανῆναι λαμπροὺς μάλιστα τὸ διαπτύειν αὐτὴν συντελεῖ. καὶ ὄψει κἀνταῦθα τοὺς μὲν τιμῶντας αὐτὴν, παραβλαπτομένους· τοὺς δὲ ἀτιμάζοντας, ὠφελουμένους. οἱ μὲν γὰρ ἀτιμάσαντες αὐτὴν μαθηταί· οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάλιν χρήσασθαι ὑποδείγματι· καὶ τὰ τοῦ θεοῦ προτιμήσαντες, ὑπὲρ τὸν ἥλιον λάμπουσιν, ἀθάνατον κτησάμενοι μνήμην καὶ μετὰ τελευτήν· οἱ δὲ ὑποκατακλιθέντες αὐτῇ Ἰουδαῖοι, ἄπολιδες, ἀνέστιοι, ἄτιμοι, φυγάδες, ἀνάστατοι γεγόνασιν, εὐτελεῖς, εὐκαταφρόνητοι. καὶ σὺ τοίνυν, εἰ βούλει δόξαν λαβεῖν, διάκρουσαι δόξαν· εἰ δὲ διώκεις δόξαν, ἐκπέσῃς δόξης. καὶ, εἰ βούλεσθε, τοῦτον καὶ ἐν τοῖς βιωτικοῖς τὸν λόγον γυμνάσωμεν. τίνας γὰρ σκώπτομεν ἐν τοῖς σκώμμασιν; οὐχὶ τοὺς ἐφιεμένους αὐτῆς; οὐκοῦν μάλιστα οὗτοί εἰσιν οἱ ταύτης ἀπεστερημένοι, μυρίους ἔχοντες κατηγόρους, καὶ παρὰ πάντων ἀτιμαζόμενοι. τίνας δὲ θαυμάζομεν, εἰπέ μοι; οὐ τοὺς καταφρονοῦντας αὐτῆς; οὐκοῦν οὗτοί εἰσιν οἱ δοξαζόμενοι. ὥσπερ γὰρ πλούσιος, οὐχ ὁ πολλῶν δεόμενος, ἀλλ᾽ ὁ μηδενός· οὕτως ἔνδοξος, οὐχ ὁ δόξης ἐρῶν, ἀλλ᾽ ὁ ταύτης ὑπερορῶν. σκιὰ γὰρ δόξης ἐστὶν αὕτη ἡ δόξα. οὐδεὶς ἄρτον ἰδὼν ἐζωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψεται. μὴ τοίνυν μηδὲ σὺ δίωκε τὰς σκιάς. σκιὰ γὰρ δόξης τοῦτο, οὐ δόξα. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, ἐκεῖνο λόγισαι· ὅταν διαβάλληται παρὰ ἀνθρώποις τὸ πρᾶγμα, ὅταν φευκτὸν εἶναι δοκῇ τοῖς πᾶσι, καὶ αὐτοῖς τοῖς ἐπιθυμοῦσιν αὐτοῦ, ὅταν αἰσχύνηται καλούμενος ἐντεῦθεν ὁ ἔχων, ἢ ὁ ἐφιέμενος αὐτῆς. πόθεν οὖν ἡ ἐπιθυμία, φησὶν, αὕτη, καὶ πῶς γίνεται τὸ πάθος; ἀπὸ μικροψυχίας· οὐ γὰρ δεῖ κατηγορεῖν μόνον, ἀλλὰ καὶ διορθοῦσθαι· ἀπὸ ἀτελοῦς διανοίας, ἀπὸ παιδικῆς γνώμης. παυσώμεθα τοίνυν παῖδες ὄντες, καὶ γενώμεθα ἄνδρες, καὶ πανταχοῦ τὴν ἀλήθειαν, μὴ τὰς σκιὰς διώκωμεν, καὶ ἐν πλούτῳ, καὶ ἐν ἡδονῇ, καὶ ἐν τρυφῇ, καὶ ἐν δόξῃ, καὶ ἐν δυνάμει· καὶ παύσεται τὸ νόσημα τοῦτο καὶ ἕτερα πλείονα. τὸ γὰρ σκιὰς διώκειν, μαινομένου. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. ἔστι γὰρ καὶ ἑτέρα μανία,

A multa peccata conjicit. Neque enim fieri potest, ut quisquam magnus & excelsus ac strenuus sit, qui non ab inani gloria sit immunis: Verum humi serpat ac multa labefactet necesse est, dum scelestæ dominæ, ac quovis barbaro crudeliori ancillatur. Ecquid enim ea immanius esse queat, quæ tum maxime sævit, cum maxime colitur? Atqui hoc ne feræ quidem habent, sed multo obsequio deliniuntur. At contra prorsus inanis gloria. Contemta enim mitescit: honore affecta exasperatur, atque adversus eum, a quo honore afficitur, arma sumit. Hanc honorantes Judæi asperrimis pœnis cruciati sunt: hac contemta
B Discipuli coronam obtinuerunt. Quid autem pœnam ac coronas dico? Nam gloriam aspernari, plurimum ad hoc conducit, ut clari appareamus. Ac videbis eos, qui hanc colunt, detrimento affici; eos contra, quibus ipsa contemtui est, utilitatem capere. Siquidem Discipuli, qui eam pro nihilo duxerunt; nihil enim prohibet quin idem rursus exemplum usurpemus; Deique gloriam pluris fecerunt, solem ipsum splendore superant, immortalemque etiam post mortem famam consequuti sunt: Judæi autem, qui se ei subjecerunt, sine urbe, sine lare,
C infames, exules, sedibus suis exturbati, viles & contemti exstiterunt. Quamobrem tu quoque, si gloriam adipisci studes, gloriam repelle. Quod si eam aucuperis, ea excides. *Gloria quomodo acquiratur.* Ac, si lubet, hunc sermonem ad res sæculares transferamus. Ecquos enim dicteriis incessimus? Annon eos, qui ipsam expetunt? Itaque ipsi maxime sunt, qui ea carent: ut qui innumeros accusatores habeant, atque ab omnibus contemnantur. Ecquos rursus, dic quæso, suspicimus ac prædicamus? Annon eos, qui hanc spernunt? Ergo hi sunt qui gloria afficiuntur. Sicut enim ille dives est, non qui multis rebus, sed qui nulla re
D indiget: sic clarus ille, non qui gloriæ cupiditate æstuat, sed qui eam contemnit. Umbra enim gloriæ est hæc gloria. Nemo enim picto pane conspecto, etiamsi millies fame teneatur, picturam attinget. Ne tu quoque umbras consecteris. Gloriæ enim umbra hoc est, non gloria. Atque ut hoc ita se habere intelligas, illud tecum reputa, quod res ista apud homines crimini vertitur, quod fugienda omnibus videtur, iisque ipsis, qui eam concupiscunt; quod denique is, qui eam habet aut habere expetit, hinc appellatus, pudore suffunditur. Unde igitur hæc cupidi-
E tas, inquies? Et quo pacto exsistit hic affectus? Ab animi imbecillitate; neque enim dumtaxat accusare opus est, sed etiam corrigere; ab imperfecta mente, a puerili sententia. Quocirca pueritiam deponamus, ac viros nos præbeamus, atque ubique, hoc est, in opibus, in voluptate, in deliciis, in gloria, in potentia, veritatem, ac non umbras sequamur. Ita fiet, ut & hic morbus, & plurimi alii comprimantur. Umbras enim sequi hominis est insania laborantis. Ideo Paulus dicebat, *Evigilate juste, & nolite peccare.* Est enim & alterum insaniæ genus, eo gravius *1. Cor. 15. 34.*

quod a dæmonibus aut a phrenitide accersitur. Illa enim insania veniam habet: hæc defensione caret, cum anima ipsa corrupta est, rectumque judicium amissum. Ac phrenitidis quidem organum corporea affectio est: hæc autem insania, ab artifice mente promanat. Quemadmodum igitur inter febres illæ acerbiores & incurabiles sunt, quæ solida corpora attingunt, atque intus in nervis ipsis grassantur, & in venis delitescunt: ita hæc quoque insania, quandoquidem intus in ipso animo flagrat, eumque pervertit ac labefactat. Quomodo enim non perspicua & certa insania sit, morbusque omni insania gravior, res eas, quæ perpetuo manent, aspernari, fluxis autem ac perituris summo studio inhærere? Dic enim quæso, si quis ventum persequeretur, aut arripere tentaret, annon eum insanire diceremus? Si quis neglecta veritate umbram teneret; vel uxorem suam odio haberet, umbram autem ipsius complecteretur, aut a filio quidem suo aversum animum haberet, ipsius autem umbram amaret, aliudne ad probandam insaniam signum clarius quæreres? Tales hi quoque sunt, qui ad res præsentes inhiant. Omnia quippe umbra sunt, sive gloriam, sive potentiam, sive nominis splendorem, sive divitias, sive voluptates, sive quidlibet aliud hujus vitæ dixeris. Ideo etiam propheta

Psal. 38. 9. dicebat: *Verumtamen in imagine pertransit homo: sed & frustra conturbatur.* Ac rur-

Psal. 101. 12. sus: *Dies nostri sicut umbra declinaverunt.*

Atque alio loco humana fumum, ac fœni florem appellat. Nec vero læta solum umbra sunt, sed etiam tristia, sive mortem, sive egestatem, sive morbum, sive aliud quidvis dixeris. Quænam igitur firma ac stabilia sunt, tam læta quam tristia? Regnum sempiternum, ac gehenna perpetua. Neque enim vermis morietur, nec ignis exstinguetur. Ac resurgent hi in vitam æternam: illi autem in pœnam sempiternam. Quæ cum ita sint, ut hanc fugiamus, illa fruamur, omissis umbris res veras serio ac summo studio complectamur. Sic enim cælorum regnum assequemur. Quod utinam nobis omnibus consequi contingat, per gratiam & benignitatem, &c.

A χαλεπωτέρα ἐκείνης τῆς ἀπὸ τῶν δαιμόνων, τῆς ἀπὸ τῆς φρενίτιδος. ἡ μὲν γὰρ ἔχει συγγνώμην, αὕτη δὲ ἀπολογίας ἐστέρηται, ὅταν αὐτὴ ἡ ψυχὴ διεφθαρμένη ᾖ, καὶ μὴ ὀρθὴ ἡ κρίσις αὐτῆς, ἀλλ' ἀπολωλυῖα. καὶ τὸ μὲν τῆς φρενίτιδος ὄργανόν ἐστι σωματικὸν πάθος· αὕτη δὲ ἡ μανία, τοῦ τεχνίτου νοῦ. ὥσπερ οὖν τῶν πυρετῶν ἐκεῖνοι χαλεπώτεροι καὶ ἀνίατοι, οἱ τῶν στερεῶν ἁπτόμενοι σωμάτων, καὶ τοῖς νεύροις ἐνδομυχοῦντες, καὶ ταῖς φλεψὶν ἐναποκεκρυμμένοι· οὕτω δὴ καὶ αὕτη ἡ μανία, ἐπειδὴ αὐτῇ τῇ διανοίᾳ ἐνδομυχεῖ, διαστρέφουσα αὐτὴν καὶ λυμαινομένη. πῶς B γὰρ οὐ μανία λαμπρὰ καὶ σαφὴς, καὶ μανίας ἁπάσης χαλεπώτερον πάθος, τῶν μὲν μενόντων διηνεκῶς καταφρονεῖν, τῶν δὲ ἀπολλυμένων ἔχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς; εἰπὲ γάρ μοι, εἴ τις ἄνεμον ἐδίωκεν, ἢ κρατεῖν ἐπεχείρει, οὐκ ἂν ἔφαμεν αὐτὸν μαίνεσθαι; εἴ τις σκιὰς κατεῖχε, τῶν ἀληθῶν ἀμελῶν, καὶ τὴν μὲν γυναῖκα ἐμίσει τὴν ἑαυτοῦ, περιεπλέκετο δὲ αὐτῆς τῇ σκιᾷ, ἢ τὸν μὲν υἱὸν ἀπεστρέφετο, τὴν δὲ τούτου σκιὰν πάλιν ἐφίλει, ἆρα ἂν ἕτερον ἐζήτησας σημεῖον τούτου σαφέστερον εἰς ἀπό- C δειξιν μανίας; τοιοῦτοί τινές εἰσι καὶ οὗτοι οἱ πρὸς τὰ παρόντα κεχηνότες. καὶ γὰρ πάντα σκιὰ, κἂν δόξαν εἴπῃς, κἂν δυναστείαν, κἂν εὐδοκίμησιν, κἂν πλοῦτον, κἂν τρυφὴν, κἂν ὁτιοῦν ἕτερον βιωτικόν. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσεται. καὶ πάλιν, αἱ ἡμέραι ἡμῶν, ὡς σκιὰ ἐκλίθησαν. καὶ ἀλλαχοῦ καπνὸν καὶ ἄνθος χόρτου καλεῖ τὰ ἀνθρώπινα. οὐ τὰ χρηστὰ δὲ σκιὰ μόνον, ἀλλὰ καὶ τὰ λυπηρὰ, κἂν θάνατον εἴπῃς, κἂν πενίαν, κἂν ἀῤῥωστίαν, κἂν ὁτιοῦν ἕτερον. ποῖα οὖν τὰ μέ- D νοντα, καὶ τὰ χρηστὰ, καὶ τὰ λυπηρά; ἡ βασιλεία ἡ αἰώνιος, καὶ ἡ γέεννα ἡ διηνεκής. οὔτε γὰρ ὁ σκώληξ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· καὶ ἀναστήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. ἵν' οὖν τὴν μὲν φύγωμεν, τῆς δὲ ἀπολαύσωμεν, ἀφέμενοι τῆς σκιᾶς, ἐχώμεθα τῶν ἀληθινῶν πραγμάτων μετὰ σπουδῆς ἁπάσης. οὕτω γὰρ ἐπιτευξόμεθα τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

## HOMILIA XXX.

10. *Ideo hæc absens scribo, ut non præsens durius agam secundum potestatem, quam Dominus dedit mihi in ædificationem, & non in destructionem.*

1. SENSERAT se asperiori sermone usum fuisse, ac præsertim ad calcem

Supra 10. 1. epistolæ. Etenim prius dicebat: *Ipse autem ego Paulus: Rogo vos, per mansuetudinem & lenitatem Christi, qui in faciem quidem humilis sum in vobis, absens autem fiducia utor in vos. Quæso autem ne præsens audeam per eam confiden-*

## E ΟΜΙΛΙΑ λʹ.

Διὰ τοῦτο ταῦτα ἀπὼν, γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν.

ᾜΣΘΕΤΟ αὐτοῦ σφοδρότερον διαλεχθέντος, καὶ μάλιστα πρὸς τῷ τέλει τῆς ἐπιστολῆς. καὶ γὰρ ἔμπροσθεν ἔλεγεν, αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ· ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει,

ᾗ

ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας. καὶ, ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. καὶ, φοβοῦμαι μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. καὶ πάλιν, μήπως ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ, καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. καὶ μετὰ ταῦτα, προείρηκα καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι· ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. ἐπεὶ οὖν ταῦτά τε, καὶ ἕτερα πλείονα εἴρηκε, φοβῶν, ἐντρέπων, ὀνειδίζων, καθαπτόμενος, ἀπολογούμενος ὑπὲρ ἁπάντων, φησί· διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα μὴ παρὼν ἀποτόμως χρήσωμαι. βούλομαι γὰρ ἐν τοῖς γράμμασι κεῖσθαι τὴν ἀποτομίαν, ἀλλὰ μὴ ἐν τοῖς πράγμασι· βούλομαι σφοδρὰς εἶναι τὰς ἐπιστολὰς, ἵνα μείνωσιν ἀπειλαὶ, καὶ μὴ εἰς ἔργον ἐξέλθωσιν. πάλιν καὶ ἐν ταύτῃ τῇ ἀπολογίᾳ φοβερώτερον ποιεῖ τὸν λόγον, καὶ δεικνὺς ὅτι οὐκ αὐτός ἐστιν ὁ μέλλων κολάζειν, ἀλλ' ὁ θεός· ἐπήγαγε γὰρ, κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ κύριος, καὶ πάλιν δεικνὺς ὅτι οὐκ ἐπιθυμεῖ τῇ ἐξουσίᾳ εἰς τὴν ἐκείνων ἀποχρήσασθαι τιμωρίαν. προσέθηκε γοῦν, οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν. καὶ ἠνίξατο μὲν τοῦτο νῦν, ὅπερ ἔφην· ἀλλὰ κατέλιπεν αὐτοῖς ἀναλογίσασθαι, ὅτι ἐὰν ἀδιόρθωτοι μείνωσι, καὶ τοῦτο πάλιν οἰκοδομή ἐστι, τὸ τοὺς οὕτω διακειμένους κολάζειν. καὶ γὰρ οὕτως ἔχει, καὶ αὐτὸς τοῦτο οἶδε, καὶ διὰ τῶν ἔργων ἔδειξε. τὸ λοιπὸν, ἀδελφοὶ, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. τί ἐστι, τὸ λοιπὸν, ἀδελφοὶ, χαίρετε; ἐλύπησας, ἐφόβησας, εἰς ἀγωνίαν ἐνέβαλες, τρέμειν ἐποίησας καὶ δεδοικέναι, καὶ πῶς κελεύεις χαίρειν; διὰ αὐτὸ μὲν οὖν τοῦτο κελεύω χαίρειν. εἰ γὰρ τὰ παρ' ὑμῶν, φησιν, ἀκολουθήσειε τοῖς παρ' ἐμοῦ, οὐδὲν ἔσται τὸ κωλῦον τὴν χαράν. τὰ μὲν γὰρ ἐμὰ ἅπαντα γέγονεν· ἐμακροθύμησα, ἀνεβαλόμην, οὐκ ἐξέκοψα, παρεκάλεσα, συνεβούλευσα, ἐφόβησα, ἠπείλησα, ὥστε πανταχόθεν ὑμᾶς συναγαγεῖν εἰς τὸν τῆς μετανοίας καρπόν. δεῖ δὲ λοιπὸν γενέσθαι τὰ παρ' ὑμῶν· καὶ οὕτως ἀμάραντος ὑμῖν ἡ χαρά. καταρτίζεσθε. τί ἐστι, καταρτίζεσθε; τέλειοι γίνεσθε, ἀναπληροῦτε τὰ λείποντα. παρακαλεῖσθε. ἐπειδὴ γὰρ πολλοὶ ἦσαν οἱ πειρασμοὶ, καὶ μεγάλοι οἱ κίνδυνοι, φησί· παρακαλεῖσθε, καὶ ὑπ' ἀλλήλων, καὶ ὑφ' ἡμῶν, καὶ ὑπὸ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. εἰ γὰρ ἀπὸ τοῦ συνειδότος γένοιτο χαρὰ, καὶ τέλειοι καταστῆτε, οὐδὲν λείπει εἰς εὐθυμίαν ὑμῖν καὶ παράκλησιν. οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησιν, ὡς καθαρὸν συνειδὸς, κἂν



A *tiam, qua existimor audere in quosdam, qui arbitrantur nos tamquam secundum carnem ambulemus.* Et, *In promptu habentes ulcisci omnem inobedientiam, cum impleta fuerit obedientia vestra.* Ac rursus: *Timeo, ne forte cum venero, non quales volo inveniam vos, & ego inveniar a vobis qualem non vultis.* Et rursum: *Ne cum venero, humiliet me Deus apud vos, & lugeam multos ex iis qui ante peccaverunt, & non egerunt pœnitentiam super fornicatione & immunditia quam gesserunt.* Et postea. *Prædixi & prædico, ut præsens bis, & absens nunc scribo, quod si iterum venero, non parcam.* B *An experimentum quæritis ejus qui in me loquitur Christi?* Quoniam itaque hæc, & alia complura dixerat terrorem injiciens, pudorem incutiens, objurgans, perstringens, idcirco, ut de omnibus se excuset, ait, *Ideo hæc absens scribo, ut non præsens durius agam.* Cupio enim asperitatem meam in literis solis sitam esse, & non in rebus. Volo acres epistolas esse: ut minæ maneant, ac non in opus exeant. Rursus in hac quoque excusatione majorem terrorem incutit, ostendens non se esse, qui pœnam irrogaturus sit, sed Deum; subjunxit enim, C *Secundum eam potestatem, quam dedit mihi Dominus;* ac rursus indicans se minime cupere potentia sua ad eorum pœnam uti; adjecit enim, *ad ædificationem, non ad destructionem.* Ac quidem istud, uti jam dixi, nunc subindicavit: verum reputandum ipsis reliquit, quod si obstinatis animis in peccatis hæreant, illud etiam ædificationis rationem habeat, nempe eos, qui ita affecti sunt, supplicio afficere. Etenim ita se res habet, atque ipse hoc novit, & operibus ipsis demonstravit. 11. *De cætero, fratres, gaudete, perfecti estote, exhortamini: idem sapite, pacem habete: & Deus dilectionis & pacis erit* D *vobiscum.* Quid sibi hæc verba volunt: *De cætero, fratres, gaudete?* Mœrore nos affecisti, metum nobis intulisti, anxietatem injecisti, tremorem incussisti: & quo pacto nos gaudere jubes? Imo hoc ipso nomine vos gaudere jubeo. Nam si ea, quæ vestrarum sunt partium, iis, quæ mei officii sunt, respondeant, nihil erit quod gaudio vestro impedimentum afferat. Nam quidquid a me exspectandum erat, præstiti. Patientiam adhibui, cunctatus sum, non excidi, hortatus sum, admonui, terrui, comminatus sum: ut undecumque vos ad pœnitentiæ fructum E colligerem. Partes jam vestræ accedant oportet. Atque ita ejusmodi vobis gaudium erit, quod marcescere nequeat. *Perfecti estote.* Quid est, Perfecti estote? Perfecti efficiamini, ac quæ desunt, expleatis. *Exhortamini.* Quoniam enim multæ tentationes atque ingentia pericula erant, solatium, inquit, capite tum alii ab aliis, tum a nobis, tum ab ipsa in melius mutatione. Nam si a conscientia lætitia oriatur, vosque perfecti fueritis, nihil ad animi tranquillitatem & solatium vobis deest. Neque enim ad consolandos animos quidquam tantum confert, quantum pura conscientia: etiamsi aliq-

qui sexcentæ tentationes ingruant. *Idem sapite, pacem habete.* Quod etiam in prioris epistolæ initio postulavit. Siquidem fieri potest ut nonnulli, quamvis idem sentiant, non pacem inter se habeant: nimirum cum in fidei quidem doctrina consentiunt, & in mutuis negotiis dissident. At utrumque exigit Paulus. *Et Deus dilectionis & pacis erit vobiscum.* Non enim solum monet atque hortatur: sed etiam optat ac precatur. Aut quippe id optat ac precatur; aut quod futurum est prædicit: vel potius utrumque simul facit. Si enim hæc feceritis, inquit, hoc est, si idem sentiatis, ac pacem colatis, Deus quoque vobiscum erit. Deus siquidem caritatis & pacis est, atque his rebus gaudet & oblectatur. Hinc vobis quoque pax futura est, nimirum ab ipsius caritate. Hinc mala omnia procul a vobis pellentur. Hæc terrarum orbi salutem attulit: hæc diuturnum bellum sustulit; hæc terram cum cælo commiscuit; hæc homines angelos reddidit. Hanc proinde nos quoque amemus. Infinitorum enim bonorum parens est caritas. Per hanc salutem accipimus: per hanc nobis arcana omnia bona comparantur. Deinde ipsos ad eam impellens ait: 12. *Salutate invicem in osculo sancto.* Quid est, *sancto?* Non ficto, non subdolo, quemadmodum Judas Christum osculatus est. Ob id enim datum est osculum, ut caritatis fomes sit, ut affectum inflammet, ut hac ratione nosipsos mutuo amemus, velut fratres invicem se amant, patresque vicissim filios; imo etiam multo majus. Illa enim naturæ sunt, hæc gratiæ: Sic animæ inter se devinciuntur. Ideo etiam ex peregrinatione aliqua reversi, mutuo nos osculamur, animis ad mutuum congressum accedentibus. Hoc enim potissimum membrum est, quod animi affectum nobis prædicat.

*Marc. 14.*

2. Quin de hoc sancto osculo aliud quoque afferri potest. Quid tandem? Templum Christi sumus. Itaque templi vestibula & aditum osculamur, cum alii alios osculamur. Annon cernitis quotnam homines etiam hujusce templi vestibula osculentur, partim inclinato capite, partim manu tenentes, atque ori manum admoventes? Ac per has portas, & januas ingressus est Christus, & ad nos ingreditur cum communicamus. Nostis enim vos, qui mysteriorum participes estis, quid dicam. Neque enim vulgari quodam honore os nostrum afficitur, cum corpus Dominicum accipit. Eaque præsertim de causa tum osculamur. Audiant qui obscœna loquuntur, qui convitia proferunt: ac cohorrescant, cogitantes quale os dedecorent. Audiant qui obscœne osculantur. Audi quæ oracula Christus per os tuum ediderit: atque illud ab omni macula purum conserva. De futura vita disseruit, de Resurrectione,

*Vestibula ecclesiæ Christiani osculabantur.*

A μυρίοι περικέωνται πειρασμοί. τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐκ προοιμίων ᾔτησεν. ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ εἰρηνεύειν, ὅταν ἐν τοῖς δόγμασι συμβαίνωσί τινες, ἐν δὲ τοῖς πρὸς ἀλλήλους διαστασιάζωσιν. ἀλλὰ ἀμφότερα ὁ Παῦλος ἀπαιτεῖ. καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. οὐ γὰρ δὴ μόνον παραινεῖ καὶ συμβουλεύει, ἀλλὰ καὶ ἐπεύχεται. ἢ γὰρ ἐπεύχεται τοῦτο, ἢ προλέγει τὸ ἐσόμενον· μᾶλλον δὲ ἀμφότερα. ἐὰν γὰρ
B ταῦτα ποιῆτε, φησιν, οἷον, ἐὰν τὸ αὐτὸ φρονῆτε καὶ εἰρηνεύητε, ἔσται καὶ ὁ θεὸς μεθ' ὑμῶν. ἀγάπης γάρ ἐστιν ὁ θεὸς καὶ εἰρήνης, καὶ τούτοις χαίρει, τούτοις εὐφραίνεται. ἐντεῦθεν ὑμῖν καὶ εἰρήνη ἀπὸ τῆς ἀγάπης αὐτοῦ· ἐντεῦθεν τῶν κακῶν ἡ ἀναίρεσις ἁπάντων. αὕτη τὴν οἰκουμένην ἔσωσεν, αὕτη τὸν χρόνιον πόλεμον κατέλυσεν, αὕτη τῷ οὐρανῷ τὴν γῆν ἀνέμιξεν, αὕτη τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. ταύτην τοίνυν καὶ ἡμεῖς ἀγαπήσωμεν. μυρίων γὰρ ἀγαθῶν μήτηρ ἡ ἀγάπη. διὰ ταύτης ἐσώθημεν, διὰ ταύτης ἡμῖν τὰ ἀπόρρητα
C ἀγαθὰ ἅπαντα. εἶτα ἐνάγων αὐτοὺς εἰς ταύτην, φησίν· ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. τί ἐστιν, ἁγίῳ; μὴ ὑπούλῳ, μὴ δολερῷ, καθάπερ ὁ Ἰούδας τὸν Χριστὸν ἐφίλησε. διὰ γὰρ τοῦτο, τὸ φίλημα δέδοται, ἵνα ἐμπύρευμα τῆς ἀγάπης γένηται, ἵνα ἀνακαίῃ τὴν διάθεσιν, ἵνα οὕτως ἀλλήλους φιλῶμεν, ὡς ἀδελφοὺς ἀδελφοί, ὡς παῖδες πατέρας, ὡς πατέρες παῖδας· μᾶλλον δὲ καὶ πολλῷ πλεῖον. ἐκεῖνα μὲν γὰρ φύσεως, ταῦτα δὲ χάριτος. οὕτως αἱ ψυχαὶ ἀλλήλαις συνδέονται. διὰ τοῦτο καὶ ἐξ ἀποδημίας ἐπανιόντες ἀλλήλους φι-
D λοῦμεν, τῶν ψυχῶν ἐπιγινομένων εἰς τὴν πρὸς ἀλλήλους συνουσίαν. τοῦτο γὰρ μάλιστά ἐστι τὸ μέλος τὸ τῆς ψυχῆς κηρύττον ἡμῖν τὸ φίλτρον.

Ἐπὶ δὲ τοῦ φιλήματος τούτου τοῦ ἁγίου ἐστὶ καὶ ἕτερον λόγον εἰπεῖν. ποῖον δὴ τοῦτον; ναός ἐσμεν τοῦ Χριστοῦ· τὰ τοίνυν πρόθυρα φιλοῦμεν τοῦ ναοῦ καὶ τὴν εἴσοδον, ἀλλήλους φιλοῦντες. ἢ οὐχ ὁρᾶτε ὅσοι καὶ τὰ πρόθυρα τοῦ ναοῦ τούτου φιλοῦσιν, οἱ μὲν κύψαντες, οἱ δὲ τῇ χειρὶ κατέχοντες, καὶ τῷ στόματι τὴν χεῖρα προσάγοντες; καὶ διὰ τούτων
E τῶν πυλῶν, καὶ τῶν θυρῶν, καὶ εἰσῆλθε, καὶ εἰσέρχεται πρὸς ἡμᾶς ὁ Χριστὸς, ἡνίκα ἂν κοινωνῶμεν. ἴστε οἱ τῶν μυστηρίων μετέχοντες τὸ λεγόμενον. καὶ οὐχ ὡς ἔτυχε τὸ στόμα ἡμῶν τετίμηται δεχόμενον τὸ σῶμα τὸ δεσποτικόν. διὰ τοῦτο μάλιστα ἐνταῦθα φιλοῦμεν. ἀκουέτωσαν οἱ αἰσχρὰ φθεγγόμενοι, οἱ λοιδορίας ἐξάγοντες, καὶ φριττέτωσαν οἷον καταισχύνουσι στόμα. ἀκουέτωσαν οἱ αἰσχρῶς φιλοῦντες. ἄκουσον οἷα ἔχρησε διὰ τοῦ στόματός σου ὁ θεὸς, καὶ φύλαξον αὐτὸ ἀκηλίδωτον. περὶ τῆς μελλούσης ζωῆς διελέχθη,

περὶ ἀναστάσεως, περὶ ἀθανασίας, ὅτι ὁ θάνατος οὐ θάνατος, τὰ ἄλλα μυρία ἀπόρρητα. ὥσπερ γὰρ εἰς χρηστήριον παραγίνεται πρὸς τὸ στόμα τοῦ ἱερέως ὁ μυσταγωγεῖσθαι μέλλων. ἀκούσωμεν ὅσα φρίκης μεστά. καὶ γὰρ ἀπώλεσεν αὐτοῦ ζωὴν ἐκ προγόνων, καὶ ἔρχεται αὐτὴν ἀναζητήσων, καὶ ἐρωτήσων πῶς ἂν αὐτὴν εὕροι καὶ ἀνακτήσαιτο. εἶτα αὐτῷ ὁ θεὸς χρᾷ πῶς ἂν εὑρεθείη, καὶ γίνεται τοῦ ἱλαστηρίου τὸ στόμα τοῦτο φρικωδέστερον. ἐκεῖνο μὲν γὰρ τὸ ἱλαστήριον οὐδαμοῦ τοιαύτην ἠφίει φωνὴν, ἀλλὰ πολὺ περὶ ἐλαττόνων διελέγετο πραγμάτων, περὶ πολέμων καὶ εἰρήνης τῆς κάτω. ταῦτα δὲ ἅπαντα περὶ οὐρανοῦ, καὶ τῆς μελλούσης ζωῆς, καὶ πραγμάτων καινῶν καὶ διάνοιαν ὑπερβαινόντων. εἰπὼν δὲ, ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ἐπήγαγεν. ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. κἀντεῦθεν διδοὺς αὐτοῖς χρηστὰς ἐλπίδας. τοῦτο [a] προέγραψεν ἀντὶ τοῦ φιλήματος, διὰ τῆς προσρήσεως αὐτοὺς συνάπτων. ἀπὸ γὰρ τοῦ αὐτοῦ στόματος, οὗ τὸ φίλημα, πρόεισι καὶ τὰ ῥήματα. εἶδες πῶς ἅπαντας συνάγει, καὶ τοὺς πόρρωθεν διεστῶτας τοῖς σώμασι, καὶ τοὺς πλησίον, τοὺς μὲν διὰ τοῦ φιλήματος, τοὺς δὲ διὰ τῶν γραμμάτων; ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν, ἀμήν. ἐπειδὴ συνῆψεν αὐτοὺς ἀλλήλοις διὰ τῶν ἀσπασμῶν καὶ τῶν φιλημάτων, πάλιν εἰς εὐχὴν καταλύει τὸν λόγον, μετὰ πολλῆς τῆς ἀκριβείας συνάπτων αὐτοὺς καὶ τῷ θεῷ. ποῦ νῦν οἱ λέγοντες, ἐπειδὴ οὐκ ἐντέτακται τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς προοιμίοις τῶν ἐπιστολῶν, οὐκ ἔστι τῆς αὐτῆς οὐσίας; ἰδοὺ γὰρ νῦν μετὰ τοῦ πατρὸς αὐτὸ κατέλεξε καὶ τοῦ υἱοῦ. χωρὶς δὲ τούτου, κἀκεῖνό ἐστιν εἰπεῖν· ὅτι Κολοσσαεῦσιν ἐπιστέλλων, καὶ εἰπὼν, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, τὸν υἱὸν ἐσίγησε, καὶ οὐ προσέθηκεν, ὡς ἐν πάσαις ταῖς ἐπιστολαῖς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. ἆρα οὖν οὐδὲ υἱὸς ἔσται τῆς αὐτῆς οὐσίας διὰ τοῦτο; ἀλλὰ ἐσχάτης ταῦτα ἀνοίας. καὶ γὰρ αὐτὸ τοῦτο μάλιστα δείκνυσι τῆς αὐτῆς οὐσίας ὄντα αὐτὸν, τὸ διαφόρως κεχρῆσθαι τὸν Παῦλον τούτῳ. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουσον πῶς υἱοῦ καὶ πνεύματος μέμνηται, καὶ τὸν πατέρα ἀποσιγᾷ. Κορινθίοις γὰρ γράφων φησὶν, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν. τί οὖν, εἰπέ μοι, οὐκ ἐβαπτίσθησαν εἰς πατέρα οὗτοι; οὐκοῦν οὐδὲ ἀπελούσαντο, οὐδὲ ἡγιάσθησαν. ἀλλὰ ἐβαπτίσαντο· ὥσπερ οὖν καὶ ἐβαπτίσαντο. πῶς οὖν οὐκ εἶπεν, ὅτι ἀπελούσασθε ἐν τῷ ὀνόματι τοῦ πατρός; ὅτι ἀδιάφορον αὐτῷ, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης μεμνῆσθαι τῆς ὑποστάσεως·

[a] προέγραψεν. Savilius legendum putat προσέγραψεν, & certe melius haberet.

A de immortalitate: quod mors minime mors sit: ac sexcenta alia arcana. Etenim, is, qui initiandus est, ad sacerdotis os, tamquam ad oraculum accedit. Audiamus quænam horrore digna sint. Siquidem vitam suam jam inde a progenitorum tempore perdidit: atque ad eam exquirendam accedit, teque interrogandum, quo pacto eam invenire ac recuperare queat. Tum Deus ipsi velut per oraculum indicat qua ratione ipsa inveniri possit: atque os istud vel ipso propitiatorio augustius atque horribilius exsistit. Nam propitiatorium illud nusquam ejusmo- B di vocem emittebat: verum de rebus inferioris momenti disserebat; de bellis ac terrena pace: hæc autem omnia, de cælo sunt, & futura vita, rebusque novis, ac mentis captum excedentibus. Postquam dixit, *Salutate invicem in osculo sancto*, subjunxit, *salutant vos omnes sancti*: ut hinc quoque spem lætam ipsis afferat. Hoc autem osculi loco posuit, per salutationis vocabulum ipsos inter se copulans. Siquidem ab eodem ore, quo osculum manat, sermones etiam fluunt. Vides quomodo omnes, tam corporibus longe dissitos, quam vicinos inter se C conciliet, hos per osculum, illos per litteras? 13. *Gratia Domini nostri Jesu Christi, & caritas Dei & Patris, & communicatio sancti Spiritus cum omnibus vobis. Amen.* Postquam eos, tum per salutationes, tum per oscula inter se copulavit, rursus precatione orationem concludit, ac perquam sedulo & accurate ipsos cum Deo quoque connectit. Ubi nunc sunt ii, qui Spiritum sanctum, quia in epistolarum initiis collocatus non est, ejusdem essentiæ non esse contendunt? Ecce enim nunc cum Patre & Filio ipsum recensuit. Ac præterea istud quoque afferri D potest, quod cum in epistola ad Colossenses dixisset, *Gratia vobis & pax a Deo Patre nostro*; Filium tacuit, nec, ut in omnibus epistolis, adjecit, & Domino nostro Jesu Christo. An ergo propterea ne Filius quidem ejusdem essentiæ erit? Verum extremæ dementiæ fuerit hoc dicere. Nam hoc ipsum quoque vel maxime ostendit eum ejusdem essentiæ esse, quod Paulus varie hoc usus sit. Ac quod non conjectura sit quod dixi, E audi quo pacto Filii & Spiritus mentionem fecerit, Patrem interim silentio præteriens. Ad Corinthios enim scribens, his verbis utitur: *Sed abluti estis, sed sanctificati estis, sed justificati estis in nomine Domini Jesu Christi, & in spiritu Dei nostri.* Quid ergo, heus tu, annon isti in Patris nomine baptizati sunt? Ergo nec abluti, nec sanctificati sunt. Atqui baptismo vere tincti fuerant. Cur ergo non dixit: Abluti estis in nomine Patris? Quia perinde illi erat, modo illius, modo alterius personæ meminisse. Idque

Spiritum sanctum ejusdem atque Pater & Filius essentiæ esse probatur.

Colos. 1. 2.

1. Cor. 6. 11.

ipsi in plerisque epistolarum locis in usu fuisse reperies. Etenim in epistola ad Romanos
Rom. 12. 1. ait: *Obsecro igitur vos per miserationes Dei:* Atqui Filii quoque miserationes sunt. Et, *Obsecro autem per caritatem Spiritus*: cum tamen Patris quoque sit caritas. Cur ergo nec Filii, cum de miserationibus loquitur, nec Patris cum de caritate, mentionem fecit? Quod hæc perspicua, atque indubitata essent. Has quoque gratias inverso modo rursus posuisse invenietur. Postquam enim dixit: *Gratia Christi, & caritas Dei & Patris, & communicatio Spiritus sancti*; alio loco communicationem Filii & caritatem Spiritus ait. *Obsecro* enim *vos*, inquit, *per caritatem Spiritus*. Et in epistola ad Corinthios:
1. Cor. 1. 9. *Fidelis Deus per quem vocati estis ad societatem Filii ipsius.* Sic ea, quæ ad Trinitatem pertinent, divisionem omnem respuunt. Et ubi Spiritus communicatio est, Filii quoque inventa est: & gratia, tum Filii est, tum Patris, tum Spiritus sancti. *Gratia enim vobis*, inquit, *a Deo Patre.* Et alio loco, cum multa ipsius genera enumerasset, subjunxit:
1. Cor. 12. 11. *Hæc autem omnia operatur unus & idem Spiritus, dividens unicuique prout vult.* Hæc autem dico, non ut personas confundam; absit; sed quod, tum harum distinctas proprietates, tum naturæ unitatem agnoscam.

3. Quocirca sic maneamus, ut dogmatum horum sinceritatem teneamus, ac Dei amorem attrahamus. Etenim prius quidem nos, se odientes amavit, & cum hostes ejus essemus, in gratiam recepit: postea autem amantes jam amare vult. Quocirca constanter amemus: ut ab eo etiam amemur. Nam si, cum ab iis amamur, qui plurimum possunt, timori omnibus sumus, multo magis, si a Deo amemur. Quod si, hujus amoris causa, opes etiam ac corpora, & vitam quoque ipsam dare opus sit, ne id efficere dubitemus. Neque enim verbis nostrum erga eum amorem testari satis est, sed id re quoque demonstrandum est. Neque enim ipse verbis dumtaxat, sed etiam rebus suum erga nos amorem demonstravit. Tu ergo quoque per opera id ostende: atque ea, quæ ipsi grata sunt, effice. Sic enim ipse lucrum rursus referes. Etenim ille nulla re nostra indiget: id quod etiam sinceri amoris indicium est; quod, cum nulla ipse re indigeat, nec in ullius rei penuria versetur, tamen nihil non faciat, ut a nobis ametur. Ideoque Moses dicebat: Quid enim Dominus Deus a vobis quærit, nisi ut ipsum ametis, ac promto animo post ipsum incedatis? Ita ut cum præcipit ut ipsum ames, tunc maxime ostendit quod te amet. Nihil enim ita salutem nobis conciliat, ut cum ipsum amamus. Vide ergo, quod omnia ipsius præcepta ad requiem nostram ac salutem &

A καὶ εὕροις ἂν τοῦτο πολλαχοῦ τῶν ἐπιστολῶν τὸ ἔθος. καὶ γὰρ Ῥωμαίοις γράφων, φησὶ, παρακαλῶ οὖν ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ· καίτοι καὶ τοῦ υἱοῦ εἰσιν οἱ οἰκτιρμοί. καὶ, παρακαλῶ δὲ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ πνεύματος· καίτοι καὶ τοῦ πατρός ἐστιν ἡ ἀγάπη. τίνος οὖν ἕνεκεν οὐκ ἐμνήσθη ἐν τοῖς οἰκτιρμοῖς, τοῦ υἱοῦ, οὐδὲ ἐν τῇ ἀγάπῃ, τοῦ πατρός; ὅτι ὡς δῆλα καὶ ὡμολογημένα ἐσίγησεν. εὑρεθήσεται δὲ καὶ τὰ δῶρα αὐτὰ πάλιν ἀντιστρόφως τιθείς. εἰπὼν γὰρ, ἡ χάρις τοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, B ἀλλαχοῦ τὴν κοινωνίαν τοῦ υἱοῦ, καὶ τὴν ἀγάπην τοῦ πνεύματός φησι. παρακαλῶ γὰρ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ πνεύματός, φησι. καὶ ἐν τῇ πρὸς Κορινθίους, πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. οὕτω τὰ τῆς τριάδος, ἀδιαίρετα· καὶ οὗ τοῦ πνεύματός ἐστιν ἡ κοινωνία, εὑρέθη καὶ τοῦ υἱοῦ· καὶ οὗ τοῦ υἱοῦ ἐστιν ἡ χάρις, καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. χάρις γὰρ ὑμῖν, φησιν, ἀπὸ θεοῦ πατρός. καὶ ἀλλαχοῦ πολλὰ αὐτῆς εἴδη καταλέξας, ἐπήγαγε, πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ C ἑκάστῳ καθὼς βούλεται. καὶ ταῦτα λέγω, οὐ συναλείφων τὰς ὑποστάσεις, ἄπαγε, ἀλλὰ εἰδὼς καὶ τὸ τούτων ἰδιάζον καὶ διῃρημένον, καὶ τῆς οὐσίας τὴν ἑνότητα.

Μένωμεν τοίνυν καὶ τῶν δογμάτων τούτων τὴν ἀκρίβειαν ἔχοντες, καὶ τοῦ θεοῦ τὴν ἀγάπην ἐπισπώμενοι. πρότερον μὲν γὰρ μισοῦντας ἠγάπησε, καὶ ἐχθροὺς ὄντας κατήλλαξε· λοιπὸν δὲ ἀγαπῶντας ἀγαπᾶν βούλεται. μένωμεν τοίνυν ἀγαπῶντες αὐτὸν, ὥστε καὶ παρ' αὐτοῦ ἀγαπᾶσθαι. εἰ γὰρ παρὰ D ἀνθρώπων δυνατῶν ἀγαπώμενοι, φοβεροὶ πᾶσίν ἐσμεν· πολλῷ μᾶλλον παρὰ τοῦ θεοῦ. κἂν χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τῆς ἀγάπης, μὴ φεισώμεθα. οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων λέγειν, ὅτι ἀγαπῶμεν· ἀλλὰ χρὴ καὶ τὴν τῶν πραγμάτων παρέχειν ἀπόδειξιν. οὐδὲ γὰρ αὐτὸς διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην. δεῖξον τοίνυν καὶ σὺ διὰ τῶν ἔργων τοῦτο, καὶ ποίει τὰ δοκοῦντα αὐτῷ. οὕτω γὰρ αὐτὸς καρπώσῃ τὸ κέρδος E πάλιν. ἐκεῖνος γὰρ οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν· ὃ καὶ μάλιστα γνησίας ἀγάπης, τὸ μὴ δεόμενον, μηδὲ ἐν χρείᾳ καθεστῶτα, πάντα ποιεῖν ὑπὲρ τοῦ φιλεῖσθαι παρ' ἡμῶν. διὸ καὶ Μωϋσῆς ἔλεγε, τί γὰρ ζητεῖ κύριος ὁ θεὸς παρ' ὑμῶν, ἀλλ' ἢ ἀγαπᾶν αὐτὸν, καὶ ἕτοιμον εἶναί σε τοῦ πορεύεσθαι ὀπίσω αὐτοῦ; ὥστε ὅταν αὐτὸν κελεύῃ φιλεῖν, τότε μάλιστα δείκνυσιν ὅτι σε φιλεῖ. οὐδὲν γὰρ οὕτω συγκροτεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν, ὡς τὸ αὐτὸν ἀγαπᾶν. ὅρα γοῦν, ὅτι καὶ τὰ ἐπιτάγματα αὐτοῦ πάντα, εἰς τὴν ἡμετέραν ἀνάπαυσιν

καὶ σωτηρίαν καὶ εὐδοκίμησιν συντείνει. καὶ γὰρ ὅταν εἴπῃ, μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, μακάριοι οἱ πρᾳεῖς, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ εἰρηνοποιοὶ, αὐτὸς μὲν οὐδὲν ἐντεῦθεν καρποῦται, ἡμᾶς δὲ καλλωπίζων καὶ ῥυθμίζων ταῦτα ἐπιτάττει. καὶ ὅταν λέγῃ, ἐπείνασα· οὐ δεόμενος τῆς παρ' ἡμῶν διακονίας, ἀλλὰ σὲ ἀλείφων εἰς φιλανθρωπίαν. ἠδύνατο γὰρ καὶ χωρὶς σοῦ τὸν πένητα τρέφειν· ἀλλὰ θησαυρόν σοι χαριζόμενος μέγιστον, ταῦτα ἐπέταξεν. εἰ γὰρ ὁ ἥλιος, κτίσμα ὢν, οὐδὲ δεῖται τῶν ἡμετέρων ὀφθαλμῶν, μένει γὰρ τὴν οἰκείαν φαιδρότητα ἔχων, κἂν μηδεὶς εἰς αὐτὸν ἐμβλέπῃ, οἱ δὲ κερδαίνοντες ἡμεῖς ἐσμεν, ὅταν αὐτοῦ τῆς ἀκτῖνος ἀπολαύσωμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ τοῦτο συμβαίνει. ἵνα δὲ καὶ ἑτέρωθεν τοῦτο μάθῃς, ἄκουε. πόσον εἶναι βούλει τὸ μέσον τοῦ θεοῦ καὶ ἡμῶν; ἆρα ὅσον κωνώπων καὶ ἡμῶν· πολλῷ πλέον. εὔδηλον ὅτι πολλῷ πλέον, καὶ ἄπειρον. εἰ τοίνυν ἡμεῖς οἱ κενόδοξοι τῆς παρὰ τῶν κωνώπων οὐ δεόμεθα βοηθείας, ἢ δόξης, πολλῷ μᾶλλον τὸ θεῖον, καὶ ἀπαθὲς ὂν καὶ ἀνενδεές· τοσοῦτον ἡμῶν τοίνυν ἀπολαύει, ὅσον εὐεργετούμεθα, ὅσον ἐντρυφᾷ ἡμῶν τῇ σωτηρίᾳ. διὰ τοῦτο καὶ πολλαχοῦ τὰ αὐτοῦ ἀφιεὶς, τὰ σὰ ζητεῖ. εἴ τις γὰρ, φησὶ, γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. ὁ δὲ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχεύεσθαι. εἶδες ἄφατον ἀγαθότητα; ἐὰν ᾖ πόρνη ἡ γυνὴ, φησὶν, οὐκ ἀναγκάζω συνοικεῖν· ἐὰν δὲ ἄπιστος, οὐ κωλύω. πάλιν, ἐὰν λυπῇ πρός τινα, κελεύω ἀφεῖναί μου τὴν προσφορὰν, καὶ προσδραμεῖν πρὸς τὸν λελυπηκότα. ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου, φησὶ, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. τί δὲ, ἡ παραβολὴ τοῦ πάντα κατεδηδοκότος; οὐ τοῦτο ἐνδείκνυται; ὅτε μὲν γὰρ τὰ μύρια τάλαντα κατέφαγεν, ἠλέησεν αὐτὸν, καὶ ἀφῆκεν· ὅτε δὲ ἑκατὸν δηνάρια ἀπῄτει τὸν σύνδουλον, καὶ πονηρὸν ἐκάλεσε, καὶ τῇ κολάσει παρέδωκεν. οὕτω πολὺς αὐτῷ λόγος ἐστὶ τῆς ἀναπαύσεως τῆς σῆς. εἰς τὴν γυναῖκα τοῦ δικαίου ἔμελλεν ἁμαρτάνειν ὁ βάρβαρος, καὶ φησιν, ἐφεισάμην σου τοῦ ἁμαρτῆσαι εἰς ἐμέ. τοὺς ἀποστόλους ἐδίωκεν ὁ Παῦλος, καὶ λέγει πρὸς αὐτόν· τί με διώκεις; ἄλλοι πεινῶσι, καὶ λέγει αὐτὸς πεινᾶν, καὶ γυμνὸς περιϊέναι, καὶ ξένος, βουλόμενός σε ἐντρέπειν, καὶ ταύτῃ εἰς τὸν τῆς ἐλεημοσύνης λόγον ἐμβαλεῖν. ἐννοοῦντες τοίνυν τὴν ἀγάπην, ὅσην διὰ πάντων ἐπεδείξατο καὶ ἐπιδείκνυται, γνωρίσαι τε ἡμῖν ἑαυτὸν καταξιώσας· ὅπερ μέγιστόν ἐστι κεφάλαιον τῶν ἀγαθῶν, καὶ φῶς διανοίας,

A gloriam referantur. Etenim cum ait: Beati misericordes, beati mundo corde, beati mites, beati pauperes spiritu, beati pacifici, nihil quidem ipse hinc percipit: verum hoc præcipit ut nos ornet & instituat. Et cum ait, Esurivi, non eo id ait, quod ministerio nostro opus habeat: sed ut te ad misericordiam excitet. Nam alioqui etiam absque tua ope pauperem alere poterat: verum, ut amplissimum tibi thesaurum largiretur, hæc edixit. Nam cum sol iste, qui in rerum conditarum numero est, oculis nostris non indigeat; manet enim in splendore, B etiamsi nemo eum cernat: verum nos ipsi sumus, qui utilitatem capimus, cum ipsius radiis fruimur; quanto magis in Deo id usu venit? Atque, ut hoc etiam aliunde noscas, audi. Quantum inter Deum ac nos interesse vis? An quantum inter nos & culices? Multo plus. Liquet profecto quod plus atque adeo infinities amplius. Si nos ergo, qui inanis gloriæ studiosi, nec culicum ministerio, nec gloria indigemus: quanto magis Deus, qui a turbulentis animi motibus & egestate plurimum abest, hactenus tantum utilitatem ex nobis capit, quatenus beneficiis nos afficit; quantum C salute nostra oblectatur? Quo fit, ut etiam plerumque sua missa faciens, tua quærat. *Si quis* enim, inquit, *uxorem habet infidelem, & ipsa consentit habitare cum eo, non dimittat illam. Qui autem dimittit uxorem, excepta causa fornicationis, facit eam mœchari.* Vides-ne bonitatem omni sermone majorem? Si adultera sit uxor, inquit, non te cogo ut cum ea habites. Si autem infidelis, non prohibeo. Rursus, si adversus aliquem infenso animo es, præcipio ut is, qui te molestia afficit, oblationem meam D relinquat atque ad te currat. Si enim offers munus tuum, inquit, atque illic recordaris quod frater tuus habet aliquid adversum te, relinque munus tuum ante altare, & vade, & prius reconciliare fratri tuo, & tum veniens offer munus tuum. Quid decoctoris illius parabola? Annon hoc indicat? nam cum decem millia talentorum abligurivisset, ipsius misertus est, eumque missum fecit: at cum idem centum denarios a conservo suo exegisset, tum nequam, atque improbum eum vocavit, tum supplicio tradidit. Tanta ipsi tuæ quietis cura E est! In viri justi uxorem barbarus flagitium mox admissurus erat: ac dixit Dominus, Peperci tibi, ut ne peccares in me. Paulus apostolos persequebatur: & ait ad eum, Quid me persequeris? Alii fame laborabant: & ipse esurire se dicit, ac nudum & peregrinum oberrare: ut te pudore affectum ad eleemosynæ studium excitet. Cogitantes ergo quantam erga nos caritatem exhibuerit & exhibeat, quodque dignatus se nobis notum facere; quod quidem præcipuum bonorum omnium caput est, at-

Matt. 5.
1. Cor. 7. 12.
Matt. 5. 32.
Matt. 5. 23.
Matt. 18.
Gen. 20. 6.
Act. 9. 4.

que animi lumen, ac virtutis doctrina; quodque vitam ipsi gratam, lege statuerit, & omnia in nostri gratiam fecerit, & Filium suum dederit, & regnum pollicitus sit, & ad arcana bona nos vocaverit, & beatissimam vitam nobis præparaverit; omnia faciamus ac dicamus: ut & ipsius amore ac benevolentia digni videamur, & futura bona consequamur. Quæ utinam nobis omnibus adipisci contingat per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto gloria, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ διδασκαλία ἀρετῆς· καὶ βίον ἀρεστὸν νομοθετήσας, καὶ πάντα δι' ἡμᾶς ἐργασάμενος, καὶ τὸν υἱὸν δεδωκὼς, καὶ βασιλείαν ἐπαγγειλάμενος, καὶ ἐπὶ τὰ ἀπόῤῥητα ἡμᾶς καλῶν ἀγαθὰ, καὶ μακαριωτάτην ζωὴν παρασκευάσας ἡμῖν, ἅπαντα ποιῶμεν καὶ λέγωμεν, ὥστε καὶ τῆς ἀγάπης ἄξιοι φανῆναι τῆς αὐτοῦ, καὶ ἐπιτυχεῖν τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς
B τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

*Finis Commentarii Divi Joannis Chrysostomi in Epistolam secundam ad Corinthios.*

# MONITUM
## AD COMMENTARIUM
### IN EPISTOLAM AD GALATAS.

HUIC Commentario non solitam operam posuit Chrysostomus. In aliis quippe in novum Testamentum ab ipso editis explanationibus, omnia in Conciones seu Homilias divisa distributaque sunt; ita ut concio quælibet Ethica adhortatione claudatur, & moralia istæc posteriora præcepta, maximam sæpe homiliæ partem complectantur. In hoc autem Commentario omnia secus adornata sunt. Nam continenter Chrysostomus ad finem usque Epistolæ versus omnes explanat. Moralia nonnunquam præcepta, sicubi occasio offertur admiscet; sed non ut pro more solito, concionem claudat. Populum autem non raro alloquitur. Quapropter crediderim illum hæc ita concinnavisse, vel ut præsenti populo sic legeret aut recitaret; vel ut diviso multis in partibus Commentario, singulis postea partibus Ethicum epilogum adjiceret, ut pro consueto more in Homilias distributum opus populo pronunciaret. Utro autem modo egerit nonnisi divinando assequi possumus.

Jam quædam nobis quærenda occurrunt, scilicet Antiochiæ-ne an Constantinopoli hunc in Epistolam ad Galatas emiserit Commentarium. Item quo anno, quave occasione illum ediderit. Tum quædam addenda supererunt de Commentarii ratione, deque aliis quibusdam.

Antiochiæ autem se hunc emisisse Commentarium clare innuit, quando in primo Epistolæ ad Galatas Capite, quærens cur Paulus non initio prædicationis, nec cum cæteris Apostolis vocatus fuerit, talia fatur: „Quamquam & nos " super hac re alias sumus loquuti, cum de mutato Pauli nomine apud vos dis- " sereremus, causamque redderemus, ob quam Deus prius dictum Saulum, Pau- " lum appellarit, quæ si vobis e memoria exciderunt, ex eo libro omnia co- " gnoscetis. " ἐντυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα. Jam quæritur quis sit ille liber, ubi Chrysostomus hasce quæstiones movet; nempe cur Paulus non statim ab initio vocatus sit, & cur nomen ejus mutatum fuerit. Estque haud dubie liber Homiliarum de Mutatione nominum, quas quatuor numero edidimus, Antiochiæ emissas. In prima vero Tom. 3. pag. 104. & 105. optime probat Chrysostomus e re fuisse ut Paulus post Christi Resurrectionem, & postquam Discipulos ejus acerrimo bello impetierat, ad fidem vocaretur, ut ejus de Christi Resurrectione testimonium omnibus esset acceptius. In secunda vero & seqq. pag. 110. quærit cur Paulus nomen mutaverit, & rationes affert cur qui Saulus antea vocabatur, Pauli nomen acceperit, & cur aliorum quoque nomina mutata fuerint. In tribus autem Homiliis se de hoc solo nomine disseruisse testificatur Homilia IV. de Mutatione nominum pag. 135. „Nam si meministis, in- " quit, tres integros dies de hoc solo nomine disseruisse me scitis; dum causas " afferrem ob quas cum Saulus antea vocaretur, Paulus deinde vocatus est " Cum ergo hæ Homiliæ Antiochiæ habitæ fuerint, ex Chrysostomi testimonio supra allato probatur hunc etiam Commentarium eadem in urbe factum fuisse.

Non perinde internoscere possumus quo anno Commentarium illum in Epistolam ad Galatas emiserit. Certum quidem est illum adornatum fuisse postquam conciones illas de mutatione nominum habuerat. Verum nunquam certo expiscari potuimus, quo anno Homiliæ istæ habitæ fuerint, ut videas in Monito ad Homilias in Principium Actorum, Tom. 3. pag. 47. & in Præfatione ad Homilias in Genesim Tom. V. Nam hæ omnes Homiliæ eodem anno habitæ fuerunt.

In hoc certe Commentario Chrysostomus longe accuratius Apostoli dicta explorat & explicat, quam in multis aliis Homiliis & Commentariis, Anomæos non semel egregie refellit, necnon Marcionistas, & Manichæos. Contra Antiochenos multos declamat qui Judaïcos ritus sectabantur. Alios etiam exagitat qui sibi virilia amputabant, quem morem innuere videtur a Manichæis invectum fuisse.

Veterem interpretationem Latinam plurimis in locis emendatam retinuimus.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὑπόμνημα εἰς τὴν πρὸς Γαλάτας ἐπιστολήν.

SANCTI PATRIS NOSTRI

# JOANNIS

CHRYSOSTOMI

Archiepiscopi Constantinopolitani

*In Epistolam ad Galatas Commentarius.*

## ΚΕΦΑΛΑΙΟΝ α΄.

A

Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

B

ΠΟΛΛΟΥ τὸ προοίμιον γέμει θυμοῦ καὶ μεγάλου φρονήματος· οὐ τὸ προοίμιον δὲ μόνον, ἀλλὰ καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ ἐπιστολή. τὸ γὰρ μετ' ἐπιεικείας ἀεὶ τοῖς [a] μαθητευομένοις διαλέγεσθαι, κἂν σφοδρότητος δέωνται, οὐ διδασκάλου, ἀλλὰ λυμεῶνος ἂν εἴη καὶ πολεμίου. διὰ τοῦτο καὶ ὁ κύριος πολλὰ προσηνῶς τοῖς μαθηταῖς διαλεχθεὶς, ἔστιν C ὅπου καὶ αὐστηρότερον κέχρηται τῷ λόγῳ, καὶ νῦν μὲν μακαρίζει, νῦν δὲ ἐπιτιμᾷ. τῷ γοῦν Πέτρῳ εἰπὼν, μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, καὶ ἐπαγγειλάμενος τὰ θεμέλια τῆς ἐκκλησίας ἐπὶ τῆς ὁμολογίας αὐτοῦ καταθήσεσθαι, μετ' οὐ πολὺ τῶν λόγων τούτων φησίν· ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ. καὶ πάλιν ἀλλαχοῦ, ἀκμὴν καὶ ὑμεῖς D ἀσύνετοί ἐστε; καὶ τοσοῦτον αὐτοῖς φόβον ἐνέθηκεν, ὡς καὶ Ἰωάννην εἰπεῖν, ὅτι ὁρῶντες αὐτὸν μετὰ γυναικὸς Σαμαρείτιδος λαλοῦντα, περὶ μὲν τῆς τροφῆς ὑπέμνησαν, οὐδεὶς δὲ ἐτόλμησεν εἰπεῖν, τί λαλεῖς, ἢ τί ζητεῖς μετ' αὐτῆς; ταῦτα μαθὼν ὁ Παῦλος, ὁ κατ' ἴχνος τοῦ διδασκάλου βαίνων, ἐποίκιλε τὸν λόγον πρὸς τὴν τῶν

## CAPUT PRIMUM.

1. *Paulus apostolus, non ab hominibus, neque per homines, sed per Jesum Christum, & Deum Patrem, qui suscitavit eum a mortuis, 2. & omnes qui mecum sunt fratres, ecclesiis Galatiæ; 3. Gratia vobis & pax a Deo Patre nostro & Domino Jesu Christo.*

1. PROOEMIUM multa vehementia, magnoque spiritu plenum est: nec procemium modo, verum etiam tota, ut ita dicam, epistola. Etenim tum placide leniterque semper loqui discipulis, etiamsi opus sit acrimonia, non doctoris, sed corruptoris potius fuerit & hostis. Hanc ob causam & Dominus, cum multa placide mansueteque loquutus sit discipulis, nonnunquam tamen & austeriorem adhibuit orationem, nunc quidem illos beatos prædicans & collaudans, nunc rursus increpans & objurgans. Itaque cum Petro dixisset: *Beatus es Simon Bar-Jona*, promisisset- *Matt. 16. 17.* que futurum, ut ecclesiæ fundamenta super illius confessionem jaceret, haud multo post dicit eidem, *Vade post me Satana, scandalum* *Ibidem. 23.* *es mihi*. Et alibi rursus: *Adhuc & vos sine in-* *Matt. 15. 16.* *tellectu estis?* Tantumque terroris illis injecit, ut Joannes dicat, quod videntes cum *Joan. 4. 27.* cum muliere Samaritana colloquentem, de cibo quidem commonuerint: cæterum nemo fuerit ausus dicere: Quid quæris aut quid loqueris cum ista? Hæc edoctus Paulus, ac præceptoris sui vestigiis inhærens, varie sermonem ad discipulorum utilitatem

Paulus asperis leniora miscet.

Hujusce Commentarii, ne unum quidem reperi codicem manuscriptum.

a Savil. in margine notat, τοῖς μαθηταῖς.

attemperat, nunc quidem urens ac secans, nunc rursum mitiora admovens remedia. Et Corinthiis quidem dicebat: *Quid vultis? ut in virga veniam ad vos, an in caritate & spiritu lenitatis?* Galatis vero: *O stulti Galatæ.* Neque semel dumtaxat, sed bis usus hac objurgatione. Quin & sub finem epistolæ, taxans illos dixit: *Nemo mihi molestus sit.* Hic autem acerbitatem denuo mitigat, cum ait: *Filioli mei, quos iterum parturio:* aliisque multis consimilibus verbis. Cæterum hanc epistolam esse plenam vehementiæ, cuivis perspicuum est vel ex ipso statim lectionis ingressu. Sed aperiendum est, quid apostolum provocarit in discipulos. Neque enim id pusillum fuit, neque parvi momenti: alioqui nec ipse tam acerbe fuisset in eos invectus. Siquidem quibuslibet de causis irritari, hominis est pusillanimis, morosi, miserique: quemadmodum ex adverso, in gravibus causis supinum ac negligentem esse, viri est inertis ac somniculosi. At hujusmodi nequaquam erat Paulus. Quod igitur erat peccatum, quo sic commotus erat? Profecto magnum erat, & supra modum grave, quodque illos omnes abalienabat a Christo, quemadmodum ipse in progressu sermonis declarat dicens: *Ecce ego Paulus dico vobis, quod si circumcidamini, Christus nihil vobis profuturus est.* Ac rursum: *Quicumque in lege justificamini, a gratia excidistis.* Quid igitur tandem hoc erat? nam apertius explanandum est. Qui ex Judæis crediderant, occupati persuasione Judaïsmi, inanis gloriæ siti temulenti, dum sibi doctorum cupiunt parare dignitatem auctoritatemque, profecti ad Galatas docuerunt opus illis esse circumcisione, servanda sabbata, & novilunia, nec tolerandum esse Paulum, qui harum rerum tolleret observationes. Nam Petrus, Jacobus, ac Joannes hæc, ut aiebant, non prohibebant, cum essent inter apostolos primæ dignitatis, & cum Christo fuissent versati. Ac revera non prohibebant. Cæterum id faciebant, non quod ita faciendum esse decernerent: sed ut eorum qui ex Judæis crediderant, imbecillitati morem gererent. At Paulus qui gentibus prædicandi munus susceperat, nihil opus habebat hac attemperatione. Nam cum versaretur in Judæa, ad eumdem modum & ipse morem gessit Judæis. Verum impostores quidam non explicantes causas, ob quas tum hic, tum illi Judæis morem gererent, arte fallebant simpliciores, hujusmodi sermonibus: Non est ferendus Paulus. Nam hic heri ac nudiustertius exortus est: at Petrus & qui cum illo sunt, primi sunt apostolorum. Hic quidem discipulus fuit apostolorum, illi vero Christi. Præterea hic solus est, illi multi & ecclesiæ columnæ. Denique & simulationis calumniam Paulo intendebant dicentes: Hic ipse qui tollit circumcisionem, alibi visus est iis uti quæ damnat, aliter vobis, aliter aliis prædicans. Proinde cum cerneret totam Galatarum gentem inflammatam, ac periculosum incendium adversus illorum ecclesiam excitatum esse, jamque domum suc-

1. Cor. 4. 21.

Gal. 3. 1.

Quid Paulum moverit ad hanc epistolam scribendam.

A μαθητευομένων χρείαν, νῦν μὲν καίων καὶ τέμνων, νῦν δὲ προσηνῆ φάρμακα ἐπιτιθείς. καὶ Κορινθίοις μὲν ἔλεγε· τί θέλετε, ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος; Γαλάταις δέ, ὦ ἀνόητοι Γαλάται. καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον κέχρηται ταύτῃ τῇ ἐπιτιμήσει. καὶ πρὸς τῷ τέλει δὲ καθαπτόμενος αὐτῶν ἔλεγε, κόπους μοι μηδεὶς παρεχέτω· καὶ θεραπεύει δὲ πάλιν, ὡς ὅταν λέγῃ, τεκνία μου, οὓς πάλιν ὠδίνω· καὶ ἕτερα πολλὰ τοιαῦτα. ἀλλ' ὅτι μὲν θυμοῦ ἡ ἐπιστολὴ
B γέμει, παντί που δῆλον καὶ ἐκ πρώτης ἀναγνώσεως· δεῖ δὲ εἰπεῖν τί τὸ παροξῦναν αὐτὸν κατὰ τῶν μαθητῶν. οὐ γὰρ μικρὸν τοῦτο, οὐδὲ εὐτελές, ἐπεὶ οὐδὲ αὐτὸς τοσαύτῃ ἂν ἐχρήσατο τῇ καταφορᾷ. τὸ γὰρ ἐπὶ τοῖς τυχοῦσι παροξύνεσθαι, μικροψύχων ἀνδρῶν καὶ σκληρῶν καὶ ταλαιπώρων· ὥσπερ οὖν τὸ ἐπὶ τοῖς μεγάλοις ἀναπίπτειν, νωθροτέρων καὶ ὑπνηλοτέρων. ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος. τί οὖν τὸ κινῆσαν ἦν αὐτὸν ἁμάρτημα; μέγα καὶ ὑπέρογκον, καὶ ὃ τοῦ Χριστοῦ πάντας αὐτοὺς ἠλλοτρίου, ὡς καὶ αὐτὸς προϊὼν ἔλεγεν· ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν
C περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. καὶ πάλιν, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. τί ποτ' οὖν τοῦτό ἐστι; δεῖ γὰρ αὐτὸ σαφέστερον ἀναπλῶσαι. οἱ ἐξ Ἰουδαίων πιστεύσαντες, ὁμοῦ μὲν τῇ προλήψει τοῦ Ἰουδαϊσμοῦ κατεχόμενοι, ὁμοῦ δὲ κενοδοξίᾳ μεθύοντες, καὶ βουλόμενοι ἀξίωμα διδασκάλων ἑαυτοῖς περιθεῖναι, ἐλθόντες εἰς τὸ Γαλατῶν ἔθνος ἐδίδασκον, ὅτι δεῖ περιτέμνεσθαι, καὶ σάββατα καὶ νουμηνίας τηρεῖν, καὶ μὴ ἀνέχεσθαι Παύλου ταῦτα ἀναιροῦντος. οἱ γὰρ περὶ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην ταῦτα, φησίν, οὐ κω-
D λύουσιν, οἱ πρῶτοι τῶν ἀποστόλων, οἱ μετὰ Χριστοῦ γενόμενοι. καὶ ἀληθῶς οὐκ ἐκώλυον· ἀλλ' οὐ δογματίζοντες τοῦτο ἐποίουν, ἀλλὰ τῇ ἀσθενείᾳ συγκαταβαίνοντες τῶν ἐξ Ἰουδαίων πιστευόντων. ὁ δὲ Παῦλος εἰς τὰ ἔθνη κηρύττων, οὐ χρείαν εἶχε τῆς συγκαταβάσεως ταύτης. ὅτε οὖν ἐν Ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ἐχρήσατο ταύτῃ. ἀλλ' οἱ ἀπατῶντες, οὐ λέγοντες τὰς αἰτίας, δι' ἃς καὶ οὗτος καὶ ἐκεῖνοι συγκατέβαινον, παρελογίζοντο τοὺς ἀφελεστέρους λέγοντες, ὅτι οὐ δεῖ Παύλου ἀνέχεσθαι.
E οὗτος γὰρ χθὲς καὶ σήμερον ἐφάνη, ἐκεῖνοι δὲ πρῶτοι οἱ περὶ Πέτρον· καὶ οὗτος μὲν μαθητὴς τῶν ἀποστόλων γέγονεν, ἐκεῖνοι δὲ τοῦ Χριστοῦ· καὶ οὗτος μὲν μόνος, ἐκεῖνοι δὲ πολλοί, καὶ στῦλοι τῆς ἐκκλησίας. καὶ εἰς ὑπόκρισιν δὲ αὐτὸν διέβαλλον λέγοντες, ὅτι καὶ αὐτὸς οὗτος ὁ ἀναιρῶν περιτομήν, φαίνεται καὶ τούτοις χρησάμενος ἀλλαχοῦ, καὶ ἑτέρως μὲν ὑμῖν, ἑτέρως δὲ ἄλλοις κηρύττων. ἐπεὶ οὖν ἐμπρησθὲν εἶδεν ἔθνος ὁλόκληρον, καὶ πυρὰν χαλεπὴν κατὰ τῆς Γαλατῶν [a] ἀφθεῖσαν ἐκκλησίας, καὶ τὴν οἰκοδομὴν σαλευομένην καὶ κινδυνεύουσαν

[a] Savil. in marg. ἀναφθεῖσαν.

καταπεσεῖν, τοῦτο μὲν ὑπὸ θυμοῦ δικαίου, τοῦτο δὲ ὑπὸ ἀθυμίας κατεχόμενος· καὶ γὰρ καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, ὅτι ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου· γράφει τὴν ἐπιστολὴν, πρὸς ἅπαντα ταῦτα ἀπολογούμενος. καὶ ἐκ προοιμίων εὐθέως πρὸς ἐκεῖνο ἀποτείνεται, ὃ διαθρύπτοντες αὐτοῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι τοῦ Χριστοῦ, αὐτὸς δὲ τῶν ἀποστόλων γέγονε μαθητής. διὸ καὶ οὕτως ἤρξατο· Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων. ἔλεγον γὰρ, ὃ ἔφθην εἰπὼν, οἱ ἀπατεῶνες ἐκεῖνοι, ὅτι τῶν ἀποστόλων ἁπάντων ἔσχατος οὗτός ἐστι, καὶ παρ' ἐκείνων ἐδιδάχθη. Πέτρος γὰρ καὶ Ἰάκωβος καὶ Ἰωάννης, καὶ ἐκλήθησαν πρῶτοι, καὶ κορυφαῖοι τῶν μαθητῶν εἰσι, καὶ τὰ δόγματα ἐδέξαντο παρὰ τοῦ Χριστοῦ, καὶ χρὴ μᾶλλον ἐκείνοις πείθεσθαι, ἢ τούτῳ· ἐκεῖνοι δὲ οὐ κωλύουσι περιτέμνεσθαι, οὐδὲ νόμον μὴ τηρεῖν.

Καὶ ταῦτα, καὶ τὰ τοιαῦτα λέγοντες, καὶ τοῦτον μὲν καθαιροῦντες, ἐκείνων δὲ τὴν δόξαν ἐπαίροντες, οὐχ ἵνα ἐκείνους ἐγκωμιάσωσιν, ἀλλ' ἵνα Γαλάτας ἀπατήσωσιν, ἔπειθον ἀκαίρως τῷ νόμῳ προσέχειν· εἰκότως οὖν οὕτως ἤρξατο. ἐπεὶ γὰρ τὴν μὲν αὐτοῦ διδασκαλίαν ἐξηυτέλιζον, παρὰ ἀνθρώπων αὐτὴν λέγοντες εἶναι, τὴν δὲ Πέτρου παρὰ τοῦ Χριστοῦ, ἐκ προοιμίων εὐθέως πρὸς τοῦτο ἵσταται λέγων ἀπόστολος εἶναι, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων. ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας, ἀλλ' οὐκ ἐκεῖνος τῆς πλάνης ἀπήλλαξεν, οὐδὲ πρὸς τὴν πίστιν ἤγαγεν· ἀλλ' αὐτὸς ἄνωθεν ὁ Χριστὸς τὴν θαυμαστὴν ἐκείνην πρὸς αὐτὸν ἀφῆκε φωνὴν, δι' ἧς αὐτὸν ἐσαγήνευσε. τὸν μὲν γὰρ Πέτρον, καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ Ἰωάννην, καὶ ἀδελφὸν τὸν ἐκείνου, περιπατῶν παρὰ τὴν θάλασσαν ἐκάλεσε, τὸν δὲ Παῦλον εἰς οὐρανοὺς ἀνελθών. καὶ ὥσπερ οὐκ ἐδεήθησαν ἐκεῖνοι δευτέρας φωνῆς, ἀλλ' εὐθέως ἀφέντες τὰ δίκτυα καὶ πάντα τὰ ἄλλα, ἠκολούθησαν αὐτῷ· οὕτω καὶ οὗτος ἀπὸ τῆς πρώτης κλήσεως πρὸς ἄκραν ἀνέβη κορυφὴν, ὁμοῦ τε βαπτισάμενος, καὶ πόλεμον ἄσπονδον πρὸς Ἰουδαίους ἑλόμενος, καὶ ταύτῃ μάλιστα τῶν ἀποστόλων πλεονεκτήσας. περισσότερον γὰρ αὐτῶν ἐκοπίασα, φησίν. ἀλλὰ τέως οὐ κατασκευάζει τοῦτο, ἀλλ' ἀγαπᾷ τὰ ἴσα φέρων. τὸ γὰρ σπουδαζόμενον ἦν αὐτῷ, οὐ δεῖξαι ἑαυτὸν ἐκείνων ὑπερέχοντα, ἀλλὰ τῆς πλάνης καταλῦσαι τὴν ὑπόθεσιν. τὸ μὲν οὖν, οὐκ ἀπ' ἀνθρώπων, κοινὸν ἁπάντων ἦν· ἄνωθεν γὰρ τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἔχει τὸ κήρυγμα· τὸ δὲ, οὐ δι' ἀνθρώπων, ἴδιον τῶν ἀποστόλων. οὐ γὰρ δι' ἀνθρώπων ἐκάλεσεν αὐτοὺς, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. διατί δὲ μὴ τῆς κλήσεως ἐμνημόνευσε καὶ εἶπε, Παῦλος κλητὸς οὐκ ἀπ' ἀνθρώπων, ἀλλὰ τῆς ἀποστολῆς; ὅτι περὶ τούτου πᾶς ἦν ὁ λόγος. ἔλεγον γὰρ ὑπὸ ἀνθρώπων τῶν ἀποστόλων ἐγκεχειρίσθαι τὴν διδασκαλίαν ταύτην,

A cussam, periclitari ne corrueret; partim ira justa commotus, partim immenso animi dolore correptus; nam & hoc declaravit dicens: Cupiebam nunc esse apud vos, & mutare vocem meam; scribit epistolam isthæc omnia, ad respondens, & ad hoc ab ipsis protinus exordiis tendit, videlicet quod ii qui occultis cuniculis ipsius exstimationem apud Galatas subvertere conabantur, dicebant, alios esse discipulos ipsius Christi, hunc apostolorum dumtaxat fuisse discipulum. Et hanc ob causam sic orsus est: *Paulus apostolus non ab hominibus, neque per homines.* B Prædicabant enim, quemadmodum jam cœperam dicere, deceptores illi, quod Paulus apostolorum omnium postremus esset, quodque ab illis esset edoctus: Petrum enim, Jacobum & Joannem, ut primi fuerant vocati, ita inter discipulos tenere primas, qui sua dogmata ab ipso Christo acceperant: proinde magis credendum illis quam huic. At illos non vetare circumcisionem, neque legis observationem.

2. Hæc & his similia dictitantes, hinc Pauli deprimentes auctoritatem, illinc aliorum apostolorum gloriam attollentes, non ut illos C laudibus ornarent, sed ut Galatas seducerent, persuaserant ut legi adhærerent, cum jam legis tempus præteriisset. Proinde congruenter ad hunc exorsus est modum. Quoniam enim ipsius doctrinam despiciebant, dicentes illam ab hominibus profectam, cum Petri doctrina esset a Jesu-Christo, in ipso statim ingressu refellit hoc, dicens se apostolum esse non ab hominibus neque per homines. Nam baptizarat quidem illum Ananias, at non ille liberavit eum ab errore, nec ad fidem adduxit, sed ipse cælitus Christus, emissa ad eum admiranda illa voce, per quam hunc quoque piscatus est. D Nam Petrum quidem ac fratrem ejus & Joannem cum fratre suo, ambulans juxta mare vocarat: Paulum vero vocavit cum jam ascendisset in cælum. Et quemadmodum illi non habebant opus iterata vocatione, sed protinus relictis retibus, cæterisque omnibus sequuti sunt eum: ita & hic a prima statim vocatione, ad summum ascendit fastigium, simul ac baptizatus est, bello cum Judæis irreconciliabili suscepto. Atque hoc nomine potissimum cæteris apostolis antecellebat: abundantius enim, inquit, illis laboravi. Verum nondum hoc aggreditur, sed sat habet cæteris æquiparari. E Neque enim hoc illi studio fuit, ut ostenderet se cæteris eminentiorem, sed ut erroris materiam dissolveret. Itaque quod dicit, *non ab hominibus*, omnium erat commune, siquidem evangelii prædicatio originem ac radicem ducebat e cælis. Cæterum quod addit, neque per homines, apostolorum proprium erat. Neque enim per homines vocarat eos, sed per se ipsum. Sed cur non meminit vocationis, dicens: Paulus vocatus, non ab hominibus: sed apostolici muneris facit mentionem? Quoniam in hoc totius sermonis cardo vertebatur. Dicebant enim ipsum ab apostolis, hominibus, suscepisse illam docen-

Act. [illegible]

Matt. [illegible]

Act. 9.

1. Cor. 15. 10.

Paulus ab ipso Christo vocatus.

di provinciam, ideoque par esse, ut illos sequeretur. Verum quod non ab hominibus eam suscepisset, declarat Lucas qui dicit: *Act. 13. 1.* *Ministrantibus autem illis ac jejunantibus Domino, dixit Spiritus sanctus, segregate mihi Paulum & Barnabam.* Unde liquet eamdem esse potestatem Filii & Spiritus. *Filii & Spiritus sancti eadem potestas.* Cum enim a Spiritu missus esset, a Christo se missum ait. Idem & alibi declarat, ea quæ Dei sunt, adscribens Spiritui. Siquidem senioribus Milesiis verba faciens, *Act. 20. 28.* *Attendite*, inquit, *vobis ipsis, & universo gregi, in quo posuit vos Spiritus sanctus pastores & episcopos:* & tamen in alia quadam epistola dicit, *1. Cor. 12. 28.* *quos quidem posuit Deus in ecclesia, primum apostolos, secundo loco prophetas, deinde pastores ac doctores.* Adeo promiscue citraque discrimen loquitur, quæ Spiritus sunt, Deo tribuens: ac rursum quæ Dei sunt, Spiritui. Quin & aliter hæreticorum obturat ora, cum ait: Per Jesum Christum & Deum Patrem. *Contra Anomæos.* Etenim quoniam aiunt hanc vocem, velut inferioris dignitatis adjectam Filio, vide quid facit. Eam Patris vocabulo præponit, nos interim docens, ne naturæ ineffabili leges statuamus, neque deitatis modum præfiniamus inter Filium & Patrem. Nam ubi dixisset per Jesum Christum: adjecit, & Deum Patrem. Etenim si sola Patris mentione facta dixisset, per quem: fortassis commento reperto dixissent hanc particulam, per quem, congruere Patri, eo quod Filii opera ad illum referantur. At nunc simul & Filii & Patris facta mentione, communiterque de utroque loquutus, isti commento locum non reliquit. Neque enim id facit, quod ea quæ Filii sunt propria, referat ad Patrem: sed ut declaret, quod hæc oratio nullum naturæ discrimen inducat. Quid porro hic habituri sint quod dicant isti, qui in baptismo commenti sunt, unde putent aliam personam alia minorem, eo quod baptizemur in nomine Patris, & Filii, & Spiritus sancti? Nam si ideo inferior est Filius, quod post Patrem ponitur, cum hic apostolus a Christo orsus ad Patrem veniat, quid dicturi sunt? Verum nihil blasphemum dicemus. Non enim committendum est, ut cum illis decertantes a veritate excidamus. Quin potius etiam si decies millies insaniant illi, nos tamen intra veritatis limites contineamur oportet. Quemadmodum igitur nos non dixerimus Filium Patre majorem, eo quod Paulus hunc priore loco commemoravit; nam id quidem summæ dementiæ, & impietatis extremæ fuerit; ita nec illic quia Patri postponitur Filius, arbitrari debemus Filium Patre minorem. *Qui excitavit eum a mortuis.* Quid agis, Paule? cum cupias Judaïzantes ad fidem perducere, nihil ex illis magnis ac præclaris adducis in medium? quale est illud quod ad Philippenses scripsisti, dicens: *Philip. 2. 6.* *Cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo;* item quod Hebræis scribens clara voce protulisti, *Hebr. 1. 3.* *Splendor est gloriæ, & figura substantiæ illius;*

A καὶ δεῖν ἐκείνοις αὐτὸν ἕπεσθαι. ὅτι δὲ οὐχ ὑπὸ ἀνθρώπων ἐνεχειρίσθη, ὁ Λουκᾶς ἐδήλωσεν, εἰπών· λειτουργούντων δὲ αὐτῶν καὶ νηστευόντων τῷ κυρίῳ, εἶπε τὸ πνεῦμα τὸ ἅγιον, ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν. ὅθεν δῆλον, ὅτι μία ἐξουσία υἱοῦ, καὶ πνεύματος. ἀποσταλεὶς γὰρ ὑπὸ τοῦ πνεύματος, ὑπὸ τοῦ Χριστοῦ φησιν ἀπεστάλθαι. τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τοῦ θεοῦ τῷ πνεύματι λογιζόμενος. τοῖς γὰρ [a] Μιλησίων διαλεγόμενος πρεσβυτέροις, προσέχετε ἑαυτοῖς, φησι, καὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο B ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους· καίτοιγε ἐν ἄλλῃ φησὶν ἐπιστολῇ, οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, εἶτα ποιμένας καὶ διδασκάλους. οὕτως ἀδιαφόρως κέχρηται τῷ λόγῳ, τὰ τοῦ πνεύματος, τοῦ θεοῦ λέγων εἶναι, καὶ τὰ τοῦ θεοῦ, τοῦ πνεύματος. ἐμφράττει δὲ καὶ ἄλλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων, διὰ Ἰησοῦ Χριστοῦ, καὶ θεοῦ πατρός. ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην ὡς ἐλάττονα οὖσαν προσερρίφθαι τῷ υἱῷ φασιν, ὅρα τί ποιεῖ· ἐπὶ τοῦ πατρὸς αὐτὴν τίθησιν, ἡμᾶς διδάσκων μὴ νομοθετεῖν τῇ ἀρ-C ρήτῳ φύσει, μηδὲ μέτρα θεότητος ὁρίζειν [b] μέσον υἱοῦ καὶ πατρός. εἰπὼν γὰρ, διὰ Ἰησοῦ Χριστοῦ, ἐπήγαγε, καὶ θεοῦ πατρός. εἰ μὲν γὰρ καθ' ἑαυτὸ τοῦ πατρὸς μνημονεύσας εἶπε τὸ, δι' οὗ, ἴσως ἂν καὶ ἐσοφίσαντο, λέγοντες ἁρμόζειν τῷ πατρὶ τὸ, δι' οὗ, τῷ τὰ ἔργα τοῦ υἱοῦ εἰς αὐτὸν ἀναφέρεσθαι· νῦν δὲ τοῦ υἱοῦ μνημονεύσας ὁμοῦ καὶ τοῦ πατρὸς, καὶ κοινῇ θεὶς τὴν λέξιν, οὐκέτι τὸν λόγον τοῦτον χώραν ἀφίησιν ἔχειν. οὐ γὰρ, ὡς τὰ τοῦ υἱοῦ νῦν ἀνατιθεὶς τῷ πατρὶ, τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς ὅτι οὐδεμίαν αὕτη ἡ λέξις οὐσίας διαφορὰν εἰσάγει. τί δὲ καὶ οἱ ἀπὸ τοῦ βαπτίσματος ἐπινοοῦντές τινα ἐλάττωσιν, D διὰ τὸ εἰς ὄνομα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος βαπτίζεσθαι, ἐνταῦθα ἂν εἴποιεν; εἰ γὰρ καταδεέστερος ὁ υἱὸς διὰ τὸ μετὰ πατέρα κεῖσθαι, ἐπειδὴ ἐνταῦθα ἀπὸ τοῦ Χριστοῦ ἀρξάμενος ὁ ἀπόστολος, ἐπὶ τὸν πατέρα ἔρχεται, τί ἂν εἴποιεν; ἀλλ' οὐδὲν ἂν εἴποιμεν βλάσφημον. οὐ γὰρ χρὴ φιλονεικοῦντας ἐκείνοις τῆς ἀληθείας ἐξίστασθαι, ἀλλὰ, κἂν μυριάκις μαίνωνται, τὰ μέτρα τῆς εὐσεβείας ἡμᾶς διατηρεῖν ἀναγκαῖον. ὥσπερ οὖν οὐκ ἂν εἴποιμεν ἡμεῖς μείζονα τοῦ πατρὸς τὸν υἱὸν, ἐπειδὴ τοῦ Χριστοῦ πρῶτον ἐμνημόνευσεν· ἐσχάτης γὰρ τοῦτο μανίας, καὶ ἀσεβείας ὑπερβολὴ πάσης· E οὕτως οὐδὲ ἐκεῖ διὰ τὸ μετὰ τὸν πατέρα κεῖσθαι τὸν υἱὸν, ἐλάττονα χρὴ νομίζειν ἡμᾶς εἶναι τοῦ πατρὸς τὸν υἱόν. τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. τί ποιεῖς, ὦ Παῦλε, Ἰουδαΐζοντας ἀνθρώπους ἐνάγειν εἰς πίστιν θέλων; οὐδὲν τῶν μεγάλων ἐκείνων, καὶ λαμπρῶν ἄγεις εἰς μέσον, οἷα ὁ πρὸς Φιλιππησίους ἔγραφες, λέγων, ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ὁ μετὰ ταῦτα ἐπιστέλλων Ἑβραίοις ἀνεβόησας, ὅτι ἀπαύγασμά ἐστι τῆς δόξης, καὶ χαρακτὴρ

a Μιλησίων, imo Ἐφεσίων, Ephesiorum seniores alloquebatur, quos Miletum evocaverat.

b Aliam lectionem affert Savilius in margine, μέσως υἱοῦ καὶ πατρὸς γενομένους. In Morel. pessime μέσον υἱοῦ τοῦ πατρός.

τῆς ὑποστάσεως αὐτοῦ· ὃ ἐκ προοιμίων ὁ τῆς βροντῆς υἱὸς ἀνεφώνησεν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· ὃ πρὸς Ἰουδαίους πολλάκις αὐτὸς Ἰησοῦς φθεγγόμενος ἔλεγεν, ὅτι τὰ αὐτὰ δύναται τῷ πατρί, καὶ τὴν αὐτὴν ἐξουσίαν ἔχει· τούτων οὐδὲν λέγεις, ἀλλὰ ταῦτα πάντα ἀφεὶς, τῆς κατὰ σάρκα οἰκονομίας μέμνησαι, σταυρὸν εἰς μέσον φέρων καὶ νέκρωσιν; ναί, φησιν. εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ λόγος ἦν μηδὲν μέγα περὶ τοῦ Χριστοῦ φανταζομένους, καλῶς εἶχεν ἐκεῖνα λέγειν. ἐπειδὴ δὲ ὡς μέλλοντες τιμωρεῖσθαι, εἰ ἀποσταῖεν τοῦ νόμου, στασιάζουσι πρὸς ἡμᾶς, διὰ τοῦτο πράγματος μέμνηται, δι' οὗ πᾶσαν ἐκβάλλει τοῦ νόμου τὴν χρείαν, λέγω δὴ τὴν ἐκ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως εὐεργεσίαν γενομένην ἅπασι. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὅτι ἐν μορφῇ θεοῦ ὑπῆρχε, καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ θεῷ, καὶ ὅσα τοιαῦτα, δεικνύντος μὲν ἦν τὴν τοῦ λόγου θεότητα· οὐδὲν δὲ τοιοῦτον εἰς τὸ παρὸν συμβαλλομένου. τὸ δὲ εἰπεῖν, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀναμιμνήσκοντος ἦν τῆς ὑπὲρ ἡμῶν εὐεργεσίας τὸ κεφάλαιον, ὅπερ οὐ μικρὸν εἰς τὸ προκείμενον αὐτῷ συνετέλει. καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τοῖς τὴν τοῦ θεοῦ μεγαλωσύνην παριστῶσι προσέχειν λόγοις, ὡς τοῖς τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ἐνδεικνυμένοις. διόπερ ἀφεὶς ἐκεῖνα εἰπεῖν περὶ τῆς εἰς ἡμᾶς εὐεργεσίας γεγενημένης ποιεῖται τὸν λόγον.

Ἀλλ' ἐπιπηδῶσιν οἱ αἱρετικοὶ λέγοντες, ἰδοὺ ὁ πατὴρ ἐγείρει τὸν υἱόν. ἐπειδὴ γὰρ ἅπαξ νενοσήκασι, πρὸς μὲν τὰ ὑψηλὰ τῶν δογμάτων ἐθελοκωφοῦσι, τὰ δὲ ταπεινά, καὶ ἢ τῆς σαρκὸς ἕνεκεν εἰρημένα οὕτως, ἢ διὰ τὴν εἰς τὸν πατέρα τιμήν, ἢ δι' ἄλλην τινὰ οἰκονομίαν, ταῦτα ἐκλέγουσι, καὶ καθ' ἑαυτὰ ἐξετάζοντες, ἐπηρεάζουσιν ἑαυτοῖς· οὐ γὰρ ἂν εἴποιμι, τῇ γραφῇ· οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ταῦτα λέγουσιν; ἆρα ἀσθενῆ τὸν υἱὸν ἐπιδεῖξαι βουλόμενοι, καὶ οὐκ ἰσχύοντα πρὸς ἑνὸς ἀνάστασιν σώματος; καὶ μὴν ἡ εἰς αὐτὸν πίστις καὶ τὰς σκιὰς τῶν εἰς αὐτὸν πιστευόντων ἀνιστᾶν ἐποίησε νεκρούς. εἶτα οἱ μὲν εἰς αὐτὸν πιστεύοντες ἄνθρωποι, θνητοὶ μὲν ὄντες, ἔτι ἀπὸ σκιᾶς μόνης τῶν πηλίνων σωμάτων ἐκείνων, καὶ ἱματίων τοῖς σώμασι τούτοις περικειμένων, νεκροὺς ἤγειραν, αὐτὸς δὲ ἑαυτὸν ἀναστῆσαι οὐκ ἴσχυσε; καὶ πῶς οὐ φανερὰ αὕτη μανία, καὶ παρανοίας ἐπίτασις; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὅτι λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; καὶ πάλιν, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν; τίνος οὖν ἕνεκεν ὁ πατὴρ αὐτὸν ἐγηγερκέναι λέγεται; ὥσπερ καὶ τὰ ἄλλα ποιεῖν, ἅπερ αὐτὸς ποιεῖ. καὶ γὰρ καὶ εἰς τὸν πατέρα τιμῆς ἕνεκεν εἴρηται τοῦτο, καὶ τῆς τῶν ἀκροατῶν ἀσθενείας. καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί. τί δήποτε οὐδαμοῦ τοῦτο προσέθηκεν ἐπιστέλλων; ἢ γὰρ τὸ αὐτοῦ ὄνομα τίθησι μόνον, ἢ δύο καὶ τριῶν

A rursum quod in evangelii sui initio ille tonitrui filius insonuit: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum;* (Joan. 1.) præterea quod ad Judæos crebro pronunciavit Jesus, dicens, quod eamdem potentiam habeat, quam Pater, eamdemque operandi facultatem; (Ibidem. 5.) horum nihil dicis, verum his omnibus omissis, de carnis dispensatione facis mentionem, crucem ac mortificationem in medium adferens. Etiam, inquies. Si illi sermo fuisset apud homines qui nihil magni de Christo concepissent animis, æquum erat illa magnifica proferre; verum quoniam illi nobis movent seditionem, qui B sibi videbantur pœnas daturi si descivissent a lege, ideo mentionem facit ejus rei, per quam excludit totam legis necessitatem, nimirum commemorans Dei munificentiam ex Cruce & Resurrectione collatam universis. Etenim si dixisset: In principio erat Verbum, & quod in forma Dei esset, & fecisset seipsum æqualem Patri, aliaque his similia; declarasset quidem Verbi divinitatem: verum nihil ad id quod hic agebatur, illa contulissent. Porro quod ait, qui excitavit eum a mortuis, commonefacit eos summi beneficii, quod in nos contulit Christus, quæ res C haud mediocriter ad rem propositam ipsi conducebat, quia homines plerique non perinde solent attentis auribus audire eos sermones, qui Dei majestatem commendant, atque eos qui ejusdem in homines beneficentiam declarant. Hanc ob causam omissa illorum mentione, de collato nobis beneficio verba facit.

3. Verum hic insultant hæretici, dicentes: Ecce pater suscitat filium. (Anomœorum objectio solvitur.) Nam postquam semel eos corripuit insaniæ morbus, ad sublimia illa dogmata sponte surdi sunt: si qua vero humiliora vel ob carnem assumtam ita dicta sunt, vel ob Patri debitum honorem, vel D ob aliam quampiam dispensationem, hæc seligunt, & hæc sola expendentes, ipsi sibi; nolim enim dicere, scripturæ; noxam afferunt, Quos equidem lubens perconter, cur ista dicant? Num ideo, quod studeant Filium ostendere imbecillem, nec satis idoneum ad unius corporis suscitationem? Atqui fides erga illum (Act. 5.) effecit, ut & umbræ eorum qui in ipsum credebant, excitarent mortuos. Ita-ne qui credebant in eum, homines mortales, ex umbra sola luteorum corporum quæ gerebant, exque vestibus horum corporibus admotis, excitabant mortuos; & ipse seipsum excitare non potuit? Annon hæc evidens est insania, vehemensque E delirium? Non audis illum dicentem: *Solvite templum hoc, & in tribus diebus excitabo illud?* (Joan. 2. 19.) Ac rursum: *Potestatem habeo ponendi animam meam, & iterum sumendi eam?* (Joan. 10. 18.) Quam igitur ob causam Pater illum excitasse dicitur? Sic illum excitare, quemadmodum & alia facere dicitur, quæ facit Filius. Siquidem hoc partim honoris gratia, qui Patri debetur, dictum est: partim ob auditorum imbecillitatem. *Et qui mecum sunt omnes fratres.* Quam ob causam hoc non addit in cæteris epistolis? In illis enim aut suum nomen solum ponit, aut duorum dumtaxat triumve addit no-

mina: hic autem totam multitudinem posuit; ideo neminem nominatim commemorat. Cur ergo hoc facit? Traduxerant Paulum hoc nomine, quod solus hæc prædicaret, novamque dogmatum rationem inveheret. Cum igitur illorum suspicionem tollere vellet, simulque declarare, quod multos haberet ejusdem sententiæ consortes, adjungit sibi fratres, significans se ex illorum sententia scribere ea quæ scribit. *Ecclesiis Galatiæ.* Neque enim unam civitatem, neque duas, neque tres, sed totam Galatarum gentem hujus erroris incendium pervaserat. Contemplare vero mihi & hic vehementem indignationem apostoli. Non enim dixit, dilectis, neque sanctificatis, sed ecclesiis Galatiæ. Nam hoc erat ægre affecti animi, suumque dolorem aperientis, quod eos non a caritate, neque propriis nominibus honorifice appellavit, sed a sola congregatione: quodque non addidit, ecclesiis Dei, sed simpliciter dixit, ecclesiis Galatiæ. Quamquam & alioqui in ipsa statim præfatione festinat illorum dissidium redigere in concordiam; ideo ecclesiæ vocabulum posuit, pudorem illis incutiens, & cogens in unum. Etenim qui dissecti sunt in varias partes, nequaquam possunt hoc appellari cognomine. Siquidem ecclesiæ nomen consensus concordiæque nomen est. *Gratia vobis & pax a Deo Patre & Domino Jesu Christo.* Ubique necessario ponit hanc particulam, maxime vero nunc Galatis scribens. Cum enim periclitarentur, ne a gratia exciderent, optat illis hujus instaurationem. Et quoniam seipsos hostes reddiderant Deo, obsecrat Deum, ut eos ad eamdem pacem reducat. *Deo Patre.* Et hoc ex

Joan. 1. loco rursum facile capiuntur hæretici. Nam qui Joannem in initio sui evangelii, cum ait,

Aliud argumentum contra Anomœos. & Deus erat Verbum, dicunt ideo θεὸν, id est Deum absque articulo posuisse, ut Filii deitatem induceret paterna minorem. Itemque Paulum, cum ait Filium in forma θεοῦ, id est, Dei fuisse, non de Patre fuisse loquutum, eo quod ibi quoque Dei nomen careat articulo: quid hic dicturi sunt, cum ipse Paulus sic loquatur, non ἀπὸ τοῦ θεοῦ, id est, a Deo, præfixo articulo: sed ἀπὸ θεοῦ πατρὸς, id est, a Deo Patre, sine articulo? Patrem vero hic Deum appellat, non quidem illis assentans ac blandiens, sed acriter arguens, causamque commemorans cur facti sint filii. Non enim per legem, sed per lavacrum regenerationis hoc honoris adepti sunt, ideoque passim in ipsis etiam exordiis spargit beneficentiæ divinæ vestigia, tantum non dicens: Cum servi sitis, cum sitis hostes & alienati, qua fronte vocatis Patrem Deum? Num lex vobis largita est istam cognationem? Cur igitur deserto eo, qui vos in hanc propinquitatem induxit, rursum transcurritis

A ἑτέρων ὀνομαστί· ἐνταῦθα δὲ πλῆθος ὁλόκληρον ἔθηκε· διόπερ οὐδὲ ὀνομαστί τινος ἐμνημόνευσε. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; διέβαλλον αὐτὸν ὡς μόνον ταῦτα κηρύττοντα, καὶ καινοτομίαν τινὰ τοῖς δόγμασιν ἐπεισάγοντα. θέλων οὖν ἀνελεῖν αὐτῶν τὴν ὑποψίαν, καὶ δεῖξαι ὅτι πολλοὺς ἔχει τῆς γνώμης κοινωνοὺς, συνέταξε τοὺς ἀδελφοὺς, δηλῶν ὅτι ἅπερ γράφει, καὶ ἀπὸ τῆς ἐκείνων γράφει γνώμης. ταῖς ἐκκλησίαις τῆς Γαλατίας. οὐ γὰρ μίαν πόλιν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τῶν Γαλατῶν τὸ ἔθνος αὕτη τῆς πλάνης ἐπενέμετο ἡ πυρά. θέα δέ μοι καὶ ἐνταῦθα τὴν πολ-

B λὴν ἀγανάκτησιν. οὐ γὰρ εἶπε, τοῖς ἀγαπητοῖς, οὐδὲ, τοῖς ἡγιασμένοις, ἀλλὰ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας. τοῦτο δὲ ἦν σφόδρα βαρυθυμοῦντος καὶ τὴν ὀδύνην ἐνδεικνυμένου, τὸ μηδὲ ἀπὸ τῆς ἀγάπης, μηδὲ ἀπὸ τῆς τιμῆς τῶν ὀνομάτων αὐτοὺς καλέσαι, ἀλλ' ἀπὸ τῆς συνόδου μόνης· καὶ μηδὲ προσθεῖναι ταῖς ἐκκλησίαις τοῦ θεοῦ, ἀλλ' ἁπλῶς ταῖς ἐκκλησίαις τῆς Γαλατίας. ἄλλως δὲ, καὶ συνάψαι ἐκ προοιμίων τὸ στασιάζον ἐπείγεται. διὸ καὶ τὸ ὄνομα τῆς ἐκκλησίας τέθεικεν, ἐντρέπων αὐτοὺς, καὶ συνάγων εἰς ἕν. οἱ γὰρ εἰς πολλὰ διῃρημένοι μέρη, οὐκ ἂν δύναιντο ταύτῃ κα-

C λεῖσθαι τῇ προσηγορίᾳ. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, συμφωνίας ὄνομα καὶ ὁμονοίας ἐστί. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. πανταχοῦ μὲν ἀναγκαίως τοῦτο τίθησι, μάλιστα δὲ Γαλάταις ἐπιστέλλων νῦν. ἐπειδὴ γὰρ τῆς χάριτος ἐκινδύνευον ἐκπεσεῖν, ἐπεύχεται αὐτοῖς ταύτην ἀνακτήσασθαι πάλιν. ἐπειδὴ γὰρ πρὸς τὸν θεὸν ἑαυτοὺς ἐξεπολέμωσαν, παρακαλεῖ τὸν θεὸν πρὸς τὴν αὐτὴν αὐτοὺς ἐπαναγαγεῖν εἰρήνην. θεοῦ πατρός. κἀντεῦθεν πάλιν ῥᾳδίως ἁλίσκονται οἱ αἱρετικοί. [a] ἐπειδὴ γάρ φασι τὸν Ἰωάννην ἐν προοιμίῳ τῶν εὐαγγελίων λέ-

D γοντα, καὶ θεὸς ἦν ὁ λόγος, διὰ τοῦτο χωρὶς ἄρθρου τεθεικέναι τοῦτο, ὡς ἐλάττονα εἰσάγοντα τὴν θεότητα τοῦ υἱοῦ· καὶ πάλιν τὸν Παῦλον ἐν μορφῇ θεοῦ ὑπάρχειν τὸν υἱὸν λέγοντα, οὐ περὶ τοῦ πατρὸς εἰρηκέναι, διὰ τὸ χωρὶς ἄρθρου καὶ αὐτὸ κεῖσθαι, τί ἂν εἴποιεν ἐνταῦθα, τοῦ Παύλου λέγοντος, οὐκ, ἀπὸ τοῦ θεοῦ, ἀλλ', ἀπὸ θεοῦ πατρός; πατέρα δὲ ἐνταῦθα τὸν θεὸν καλεῖ, οὐ κολακεύων αὐτοὺς, ἀλλὰ καὶ σφόδρα καθαπτόμενος, καὶ ὑπομιμνήσκων τὴν αἰτίαν δι' ἧς ἐγένοντο υἱοί. οὐ γὰρ διὰ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας

E ταύτης ἠξιώθησαν τῆς τιμῆς. διὰ τοῦτο πανταχοῦ καὶ ἐν προοιμίοις κατασπείρει τὰ ἴχνη τῆς εὐεργεσίας τοῦ θεοῦ, μονονουχὶ λέγων· οἱ δοῦλοι, καὶ οἱ ἐχθροὶ, καὶ οἱ ἠλλοτριωμένοι, πόθεν ἐξαίφνης πατέρα καλεῖτε τὸν θεόν; μὴ ὁ νόμος ὑμῖν ταύτην ἐχαρίσατο τὴν συγγένειαν; τί τοίνυν καταλιπόντες τὸν εἰς ταύτην ὑμᾶς τὴν ἐγγύτητα ἀγαγόντα, προστρέχετε πάλιν τῷ παιδαγωγῷ; οὐκ ἐπὶ

[a] Eusebius Cæsariensis qui putabat Filium nec consubstantialem Patri, nec deitate ipsi parem, hoc etiam affert argumentum libro contra Marcellum capite 16. & 17. Allato hoc Joannis Evangelistæ versiculo, ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος; arguitque ille τὸν θεὸν Deum Patrem cum articulo τὸν, Filium vero sine articulo esse; καὶ θεὸς ἦν ὁ λόγος, quia nempe Filius alterius minorisque substantiæ esset, quam Pater. Hoc autem Arianorum Anomœorumque argumentum frequenter opponebatur, quod ex aliis Scripturæ locis confutat Chrysostomus.

παιδαγωγοῦ, οὐκ ἐπὶ τοῦ πατρὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ υἱοῦ ἱκανὰ τὰ ὀνόματα αὐτοῖς ταῦτα τὴν εὐεργεσίαν ἐνδείξασθαι. Τὸ γὰρ κυρίου Ἰησοῦ Χριστοῦ ὄνομα μετὰ ἀκριβείας ἐξεταζόμενον, τὴν εὐεργεσίαν πᾶσαν ἐνδείκνυται. Καὶ γὰρ Ἰησοῦς διὰ τοῦτο κληθήσεται, φησὶν, ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ [a] ἡ τοῦ Χριστοῦ δὲ προσηγορία τὴν τοῦ πνεύματος ἀνέμνησε χρίσεως. Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Ὁρᾷς ὅτι οὐ δουλικὴν ὑπέμεινε διακονίαν, οὐδὲ ἠναγκασμένην, οὐδὲ ἐξεδόθη παρά τινος, ἀλλ' ἑαυτὸν ἔδωκεν, ὥστε, ὅταν ἀκούσῃς Ἰωάννου λέγοντος, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ πατὴρ, μὴ ἐλαττώσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς διὰ τοῦτο, μηδὲ ἀνθρώπινόν τι ὑποπτεύσῃς. Κἂν γὰρ ὁ πατὴρ λέγηται δεδωκέναι, οὐχ ἵνα δουλικὴν διακονίαν ἐννοήσῃς, τοῦτο λέγεται, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ τῷ πατρὶ τοῦτο δοκοῦν ἦν, ὅπερ οὖν καὶ ἐνταῦθα ὁ Παῦλος ἐδήλωσεν εἰπὼν, κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν· οὐ κατ' ἐπιταγὴν, ἀλλὰ κατὰ τὸ θέλημα. Ἐπειδὴ γὰρ ἓν θέλημα πατρὸς καὶ υἱοῦ, ἅπερ ὁ υἱὸς ἐβούλετο, ταῦτα καὶ ὁ πατὴρ ἤθελεν. Ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Μυρίοις, φησὶν, ἑαυτοὺς περιεπείραμεν κακοῖς, καὶ τῆς ἐσχάτης ἦμεν ὑπεύθυνοι κολάσεως. Καὶ ὁ νόμος οὐ μόνον οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ κατεδίκασε, τὸ μὲν ἁμάρτημα φανερώτερον καταστήσας, ἐλευθερῶσαι δὲ οὐκ ἰσχύων, οὐδὲ παῦσαι τοῦ θεοῦ τὴν ὀργήν· ὁ δὲ υἱὸς τοῦ θεοῦ καὶ τὸ ἀδύνατον τοῦτο, δυνατὸν ἐποίησε, τάς τε ἁμαρτίας λύσας, καὶ τοὺς ἐχθροὺς ἐν τάξει φίλων καταστήσας, καὶ μυρία ἕτερα χαρισάμενος ἀγαθά. Εἶτά φησιν· Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ. Πάλιν ἕτεροι ταύτης τῆς λέξεως ἐπιλαμβάνονται αἱρετικοὶ, τὸν παρόντα βίον διαβάλλοντες, καὶ τὴν Παύλου μαρτυρίαν παράγοντες. Ἰδοὺ γάρ, φασι, τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἴρηκε. Καὶ τί ποτέ ἐστιν αἰών, εἰπέ μοι; χρόνος ἐν ἡμέραις καὶ ὥραις. Τί οὖν; τὸ διάστημα τῶν ἡμερῶν πονηρὸν, καὶ ὁ τοῦ ἡλίου δρόμος; ἀλλ' οὐδεὶς ἂν εἴποι τοῦτό ποτε, κἂν εἰς ἐσχάτην ἀλογίαν κατενεχθείη. Ἀλλ' οὐ τὸν χρόνον εἶπε, φησὶν, ἀλλὰ τὴν παροῦσαν ζωὴν πονηρὰν ἐκάλεσε. Καὶ μὴν τὰ ῥήματα οὐ τοῦτό φησιν, ἀλλ' οὐχ ἵστασαι ἐπὶ τῶν ῥημάτων, ἀφ' ὧν τὴν κατηγορίαν ἔπλεξας, ἀλλὰ σαυτῷ τέμνεις ἑρμηνείας ὁδόν. Οὐκοῦν καὶ ἡμῖν συγχωρήσεις ἑρμηνεῦσαι τὰ εἰρημένα, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ εὐσεβῆ τὰ ἡμέτερα, καὶ λόγον ἔχοντα. Τί οὖν ἂν εἴποιμεν; ὅτι οὐδὲν τῶν κακῶν γένοιτ' ἂν αἴτιόν ποτε τῶν καλῶν· τῶν δὲ μυρίων στεφάνων καὶ τοσούτων μισθῶν ὁ παρὼν βίος αἴτιός ἐστιν. Αὐτὸς γοῦν οὗτος ὁ μακάριος Παῦλος ἐπαινεῖ μεθ' ὑπερβολῆς αὐτὸν λέγων οὕτως· Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. Καὶ αἵρεσιν δὲ [b] ἑαυτῷ προθεὶς τοῦ ζῆν ἐνταῦθα,

A ad pædagogum? Neque vero Patris nomen tantum, verum Filii cognomina sufficiebant ad declarandam illis Dei erga ipsos munificentiam. Etenim Domini Jesu-Christi nomen si diligenter expendatur, totam illius beneficentiam declarat. Jesus enim, inquit, ob hoc vocabitur, quoniam ipse salvum faciet populum suum a peccatis ipsorum. (Matth. 1. 21.) Christi vero cognomen Spiritus unctionem revocat in memoriam. 4. *Qui dedit semetipsum pro peccatis nostris.*

4. Vides quod non servile sustinuerit ministerium, nec a quoquam sit traditus, sed ipse seipsum tradiderit. Itaque cum audis Joan- (Joan. 3. 16.)
B nem dicentem, quod Pater Filium suum unigenitum dedit pro nobis, ne ob id diminuas unigeniti dignitatem, neve quid humanum de illo suspiceris. Quamquam enim Pater dicitur tradidisse, non hoc dicitur, ut imagineris, quod Filius Patri servili more inserviat, sed ut intelligas hoc Patri quoque fuisse placitum. Quod & hic Paulus declarat, dicens: *Juxta voluntatem Dei & Patris nostri.* Non dixit, secundum præceptum, sed, secundum voluntatem. Etenim cum eadem sit voluntas Patris ac Filii, hæc voluit & Pater. *Pro peccatis nostris.* Innumeris, inquit,
C malis nosipsos involveramus, eramusque extremo supplicio obnoxii. Ac lex quidem adeo non liberabat, ut condemnarit etiam: sic prodito peccato & in apertum prolato, ut nec liberos reddere, nec iram Dei sedare valeret. Sed Dei Filius & hoc quod erat impossibile, reddidit possibile, dum & peccata dissolvit, & inimicos constituit in amicorum ordinem, & alia innumera bona largitus est. Post hæc ait: *Ut eriperet nos ex præsenti sæculo malo.* Rursus hoc dictum alii arripiunt hæretici, damnantes hanc præsentem vitam, & in hoc Pauli testimonium allegantes? Ec-
D ce, inquiunt, præsens sæculum appellat malum. Sed age dic mihi, quid est sæculum? Tempus diebus & horis distinctum. Quid igitur? An spatium dierum malum est? An malus est solis cursus? At nemo istud unquam dicturus est, etiamsi ad extremam venerit amentiam. Verum, inquies, non tempus dixit malum, sed præsentem vitam appellavit malam. Atqui non istud sonant verba Pauli, verum non sistis in verbis, ex quibus nectis hujus vitæ accusationem, sed ipse tibi aperis interpretandi viam. Proinde nobis quoque concedas, ut quæ dicta sunt interpretemur, idque eo magis, quod quæ nos
E adferimus, & pia sunt, & rationi consentanea. Quid igitur dicturi sumus? An quod nullum malum esse queat unquam causa boni? Sed hæc vita præsens innumerabiles coronas tantaque præmia parit. Unde & ipse Paulus supra modum laudat eam, loquens hunc in modum: *Quod si vivere in carne hic mihi fructus est operis, & quid eligam ignoro.* (Philip. 1. 22.) Hic vero cum sibi proponat optionem, utrum hic mallet vivere, an dissolvi,

[a] ἡ τοῦ Χριστοῦ δὲ προσηγορία τῆς τοῦ πνεύματος ἀνέμνησε χρίσεως. *Christi vero appellatio seu cognomen, unctionem Spiritus revocat in memoriam.* Χριστὸς enim, *unctus*, χρίσις unctionem significat: res est trita.

[b] ἑαυτῷ deest in editis; sed in edit. Savil. notatur in margine, & sic legit interpres Latinus.

& esse cum Christo, potius ducit hic commorari. Quod si mala esset vita, nequaquam hoc ille de seipso dixisset, nec alius quisquam potuisset ea ad virtutem abuti, quantumvis adhibuisset studii. Nullus enim unquam malitia possit in bonum uti, non scortatione ad pudicitiam, non invidia ad benevolentiam.
Rom. 8. 7. Nam cum Paulus de prudentia carnis loquens scribit, eam non esse subjectam legi Dei: neque enim posse: hoc sentit, malitiam donec manet malitia, non posse esse virtutem. Proinde cum audis malum sæculum, intellige pravas actiones, propositum animi corruptum. Neque enim ob id venit Christus, ut nos occideret exigeretque ex hac vita, sed ut nos in mundo relictos, dignos efficeret, qui in cælis versemur. Ideoque Patri loquens, sic ait: *Et hi in mundo sunt, & ego ad te venio.* (Joan. 17. 11.) Ac rursum: *Non rogo, ut tollas eos de mundo, sed ut serves eos a malo*, hoc est, a malitia. (Manichæos notat.) Quod si non pateris hanc interpretationem, sed adhuc prædicas hanc vitam esse malam, ne crimineris eos qui sibi ipsis consciscunt necem. Ut enim qui se subducit a malis, non criminationem meretur, sed coronam: ita qui violenta morte, seu laqueo, seu aliis modis vitam abrumpit, hunc haudquaquam æquum fuerit in crimen vocari, secundum vestram sententiam. Nunc vero Deus illos acrius punit quam homicidas, & nos omnes eos detestamur; atque id jure merito. Nam si alios occidere fas non est, multo magis nefas est seipsum occidere. Quod si hæc vita res esset mala, coronandi forent homicidæ, qui nos a malitia liberarent. Ad hæc autem qui hæc dicunt, secum ipsi pugnant. Etenim cum solem prædicent esse Deum, post hunc & lunam deam, hosque adorent, veluti multorum bonorum auctores, secum pugnantia loquuntur. Nam horum ut & reliquorum astrorum, non alius est usus, nisi quod ad præsentem vitam nobis conferant; hanc, inquam, ut isti loquuntur, malam; dum & alunt corpora, & splendore prælucent, & terræ fructus alunt & augent. Qui fit igitur, ut ad hujus malæ vitæ constitutionem, adeo subveniant isti vestro judicio dii? Sed neque astra dii sunt: absit, sed opera sunt Dei, in nostram utilitatem condita: neque mundus malus est. Quod si mihi memores homicidas, adulteros, & monumentorum suffossores; hæc nihil ad præsentem vitam attinent. (Contra Manichæos.) Neque enim hæc peccata sunt vitæ quam agimus in carne, sed corruptæ voluntatis. Etenim si ista sic essent vitæ præsentis, ut sorte quadam illi essent affixa: nullus ab his malis liber esset, neque purus. Proinde considera neminem effugere posse quæ propria sunt hujus vitæ. Quæ porro sunt hæc? Edere, bibere, dormire, crescere, esurire, sitire, nasci, mori, cunctaque his similia. Hæc nullus unquam vicerit, non pec-

A καὶ τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, προτιμᾷ τὴν ἐνταῦθα διαγωγήν· εἰ δὲ πονηρὸς ἦν, οὔτ' ἂν ἐκεῖνος ταῦτα περὶ ἑαυτοῦ εἶπεν, οὔτ' ἂν ἄλλος τις εἰς ἀρετὴν αὐτῷ καταχρήσασθαι ἠδυνήθη, εἰ καὶ σφόδρα ἐσπούδαζε. κακίᾳ γὰρ οὐκ ἄν ποτε εἰς ἀγαθόν τι χρήσαιτο, οὐ πορνείᾳ εἰς σωφροσύνην, οὐ φθόνῳ εἰς φιλοφροσύνην. καὶ γὰρ ὅταν λέγῃ Παῦλος περὶ τοῦ φρονήματος τῆς σαρκὸς, ὅτι τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται· τοῦτο λέγει, ὅτι ἡ κακία μένουσα κακία οὐ δύναται εἶναι ἀρετή. ὥστε B ὅταν ἀκούσῃς πονηρὸν αἰῶνα, τὰς πράξεις νόει τὰς πονηρὰς, τὴν προαίρεσιν τὴν διεφθαρμένην. οὐδὲ γὰρ ἵνα ἀποκτείνῃ ἡμᾶς, καὶ ἐξαγάγῃ τῆς παρούσης ζωῆς, ἦλθεν ὁ Χριστὸς, ἀλλ' ἵνα ἀφεὶς ἐν τῷ κόσμῳ, παρασκευάσῃ τῆς ἐν τοῖς οὐρανοῖς διαγωγῆς γενέσθαι ἀξίους. διὰ τοῦτο καὶ τῷ πατρὶ διαλεγόμενος ἔλεγε· καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ, τουτέστιν, ἀπὸ τῆς κακίας. εἰ δὲ οὐκ ἀνέχῃ τούτων, ἀλλ' ἔτι πονηρὰν τὴν παροῦσαν ζωὴν εἶναι φῂς, μὴ ἐγκάλει τοῖς ἑαυτοὺς C ἀναιροῦσιν. ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων, οὐκ ἐγκλημάτων, ἀλλὰ καὶ στεφάνων ἄξιος· οὕτω καὶ ὁ βιαίῳ θανάτῳ, καὶ δι' ἀγχόνης, ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν, οὐκ ἂν εἴη δίκαιος ἐγκαλεῖσθαι καθ' ὑμᾶς. νῦν δὲ καὶ ὁ θεὸς τοὺς τοιούτους κολάζει τῶν ἀνδροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα, καὶ εἰκότως. εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλὸν, πολλῷ μᾶλλον ἑαυτόν. εἰ δὲ πονηρὸν ἡ παροῦσα ζωὴ, τοὺς ἀνδροφόνους στεφανοῦν ἔδει, ὅτι τῆς πονηρίας ἡμᾶς ἀπαλλάττουσι. χωρὶς δὲ τούτων, καὶ ἐξ ὧν αὐτοὶ λέ- D γουσιν, ἑαυτοῖς περιπίπτουσι. τὸν γὰρ ἥλιον θεὸν εἶναι φάσκοντες, καὶ μετ' ἐκεῖνον τὴν σελήνην, καὶ προσκυνοῦντες, ὡς τῶν πολλῶν ἀγαθῶν αἰτίους, ἑαυτοῖς μαχόμενοι λέγουσιν. ἡ γὰρ τούτων χρεία, καὶ τῶν λοιπῶν ἄστρων, πρὸς ἕτερον μὲν οὐδὲν, εἰς δὲ τὴν παροῦσαν ἡμῖν συντελεῖ ζωὴν, τὴν, ὡς αὐτοί φασι, πονηρὰν, σώματα τρέφουσά τε, καὶ καταυγάζουσα, καὶ καρποὺς εἰς ἀκμὴν ἄγουσα. πῶς οὖν πρὸς τὴν σύστασιν τοῦ πονηροῦ βίου τοσαύτην εἰσάγουσι λειτουργίαν οὗτοι οἱ καθ' ὑμᾶς θεοί; ἀλλ' οὔτε τὰ ἄστρα θεοὶ, μὴ γένοιτο, ἀλλ' ἔργα θεοῦ πρὸς τὴν ἡμετέραν E πεποιημένα χρείαν, οὔτε ὁ κόσμος πονηρός. εἰ δὲ λέγεις μοι τοὺς ἀνδροφόνους, καὶ τοὺς μοιχοὺς, καὶ τοὺς τυμβωρύχους, οὐδὲν ταῦτα πρὸς τὸν παρόντα βίον. οὐδὲ γὰρ τῆς ἐν σαρκὶ ζωῆς ταῦτα ἁμαρτήματα, ἀλλὰ τῆς διεφθαρμένης προαιρέσεως. εἰ γὰρ τῆς παρούσης ζωῆς ἦν ταῦτα, ὡς πάντως αὐτῇ συγκεκληρωμένα, οὐδεὶς ἂν ἐλεύθερος ἦν, οὐδὲ καθαρός. ὅρα γοῦν τῆς ἐν σαρκὶ ζωῆς τὰ ἰδιώματα οὐδένα δυνάμενον διαφυγεῖν. τίνα δὲ ταῦτά ἐστι; τὸ ἐσθίειν, τὸ πίνειν, τὸ καθεύδειν, τὸ αὔξεσθαι, τὸ πεινῆν, τὸ διψῆν, τὸ γίνεσθαι, τὸ τελευτᾶν, καὶ τὰ τούτοις ἐοικότα ἅπαντα· καὶ τούτων οὐδεὶς ἂν περιγένοιτο, οὐχ ἁμαρτωλὸς,

οὐ δίκαιος, οὐ βασιλεὺς, οὐκ ἰδιώτης, ἀλλὰ πάντες ὑποκείμεθα τῇ τῆς φύσεως ἀνάγκῃ. οὕτω καὶ τὸ φαῦλα πράττειν, εἰ τῇ φύσει τῆς ζωῆς ἦν συγκεκληρωμένον, οὐδεὶς ἂν αὐτὰ διέφυγεν, ὥσπερ οὐδὲ ἐκεῖνα. μὴ γάρ μοι τοῦτο εἴποις, ὅτι σπάνιοι οἱ κατορθοῦντες. τῶν γὰρ φυσικῶν ἀναγκῶν οὐδένα εὑρήσεις περιγεγενημένον ποτέ. ὥστε ἕως ἂν εὑρίσκηται καὶ εἷς κατωρθωκὼς ἀρετὴν, οὐδὲν ὁ λόγος παραβλαβήσεται. τί φῄς, ἄθλιε καὶ ταλαίπωρε; πονηρὰ ἡ παροῦσα ζωὴ, ἐν ᾗ τὸν θεὸν ἐπέγνωμεν, ἐν ᾗ περὶ τῶν μελλόντων φιλοσοφοῦμεν; ἐν ᾗ γεγόναμεν ἐξ ἀνθρώπων ἄγγελοι, καὶ ταῖς ἄνω συγχορεύομεν δυνάμεσι; καὶ ποίαν ἑτέραν ζητήσομεν τῆς πονηρᾶς ὑμῶν γνώμης καὶ διεστραμμένης ἀπόδειξιν;

Τίνος οὖν ἕνεκεν ὁ Παῦλος εἶπε, φησὶν, αἰῶνα πονηρὸν τὸν ἐνεστῶτα; τῇ κοινῇ κεχρημένος συνηθείᾳ. καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, κακὴν ἔσχον ἡμέραν, οὐ τὸν καιρὸν, ἀλλὰ τὴν πρᾶξιν, ἢ τὴν περίστασιν διαβάλλοντες. οὕτω καὶ Παῦλος τὰς πονηρὰς διαβάλλων προαιρέσεις, τῇ συνηθείᾳ κέχρηται· καὶ δείκνυσιν, ὅτι καὶ τῶν προτέρων ἡμᾶς ἀπήλλαξεν ὁ Χριστὸς ἁμαρτημάτων, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο. τῷ μὲν γὰρ εἰπεῖν, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἐκεῖνο ἐδήλωσε· τῷ δὲ προσθεῖναι, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν ἐνέφηνεν. ὁ μὲν γὰρ νόμος οὐδὲ πρὸς τὸ ἓν ἠσθένει, ἡ δὲ χάρις πρὸς ἀμφότερα δυνατὴ γέγονε. κατὰ τὸ θέλημα τοῦ θεοῦ, καὶ πατρὸς ἡμῶν. ἐπειδὴ γὰρ ἐνόμιζον ἐκεῖνοι τοῦ θεοῦ παρακούειν, ὡς δεδωκότος τὸν νόμον, καὶ ἐδεδοίκεσαν, εἰ τὴν παλαιὰν ἀφέντες προσέλθοιεν τῇ καινῇ· καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ὑπόνοιαν λέγων, ὅτι καὶ τῷ πατρὶ ταῦτα δοκεῖ, καὶ οὐχ ἁπλῶς εἶπε, πατρὸς, ἀλλὰ, πατρὸς ἡμῶν, καὶ συνεχῶς αὐτὸ τίθησιν ἐντρέπων αὐτοὺς τῷ δεικνύναι, ὅτι πατέρα ἡμῶν τὸν αὐτοῦ πατέρα πεποίηκεν ὁ Χριστός. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ τοῦτο καινὸν καὶ παρηλλαγμένον. τὸ γὰρ, ἀμὴν, οὐδαμοῦ ἐν ἀρχῇ καὶ προοιμίοις ἐπιστολῆς εὑρίσκομεν κείμενον, ἀλλὰ μετὰ πολλά. ἐνταῦθα δὲ δεικνὺς ὅτι καὶ τὰ εἰρημένα ἱκανὴν εἶχε κατηγορίαν Γαλατῶν, καὶ ὅτι ὁ λόγος ἀπηρτισμένος ἐστὶ, τὸ προοίμιον τοῦτο τέθεικε. τὰ γὰρ φανερὰ τῶν ἐγκλημάτων οὐ πολλῆς δεῖται κατασκευῆς. ἀναμνήσας γὰρ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, τῆς τῶν ἁμαρτημάτων λυτρώσεως, τῆς πρὸς τὸ μέλλον ἀσφαλείας, τῆς τοῦ πατρὸς γνώμης, τῆς τοῦ υἱοῦ βουλῆς, τῆς χάριτος, τῆς εἰρήνης, πάσης αὐτοῦ τῆς δωρεᾶς, εἰς δοξολογίαν τὸν λόγον κατέκλεισεν. οὐ διὰ τοῦτο δὲ μόνον τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τὸ μεθ' ὑπερβολῆς ἐκπλήττεσθαι τῆς δωρεᾶς τὸ μέγεθος, τῆς χάριτος τὴν ὑπερβολὴν, καὶ ἐννοεῖν τίνας ὄντας τί εἰργάσατο ὁ θεὸς ἀθρόον καὶ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ· ἅπερ τῷ λόγῳ παραστῆσαι



A cator, non justus, non rex, non plebeius, sed omnes subjacemus naturæ necessitati. Itidem & scelera perpetrare, si pertineret ad sortem conditionemque naturæ, nullus hæc effugere posset, quemadmodum nec illa. Nec enim mihi dixeris, raros esse qui recte vitam gerunt. Nullum omnino reperies qui naturalibus necessitatibus unquam fuerit superior. Itaque donec vel unus invenietur, qui virtutem præstiterit, constabit undique illæsa nostra ratio. Quid ais miser & infelix? Num hæc vita mala, in qua Deum agnovimus, in qua de futuris philosophamur, in
B qua ex hominibus facti sumus angeli, cumque cælestibus virtutibus simul choros ducimus? Et quod tandem aliud quæremus malæ perversæque vestræ mentis argumentum?

5. Cur igitur, inquis, Paulus sæculum præsens dixit malum? Nimirum communi hominum more sic loquutus est, quandoquidem & nos sic loqui solemus, malum habui diem: non ipsum tempus, sed actionem & ærumnam incusantes. Eadem ratione Paulus damnans pravas hominum voluntates, hac loquendi consuetudine est usus,
C ostendens quod Christus nos liberaverit a prioribus peccatis, & in posterum adversus hæc tutos reddiderit. Prius enim illud declarat, cum ait: *Qui dedit semetipsum pro peccatis nostris.* Cum autem addit, *Ut eriperet nos ex præsenti sæculo malo*, tutamen & custodiam in posterum aperit. Nam lex quidem etiam ad unum horum erat infirma, gratia vero ad utrumque valuit. Ideo subjunxit: *Secundum voluntatem Dei & Patris nostri.* Cum enim illi putarent se Deo non obsequi, utpote qui legem servandam dederat, metuerentque ne perirent, si deserta veteri lege in novam progrederentur; & hanc
D illorum opinionem corrigit dicens, hæc Patri quoque placita esse. Nec simpliciter dixit Patris, sed, *Patris nostri;* idque frequenter repetit, pudorem illis incutiens, cum ostendit, quod suum Patrem Christus nostrum Patrem effecerit. 5. *Cui gloria in sæcula, amen.* Et hoc novum est & inusitatum. Nam hanc vocem, amen, nusquam alibi reperimus in epistolarum initio positam, sed multis præcedentibus solet addi. At hic ostendens ea quæ dicta sunt, satis evidentem habere Galatarum accusationem, & sermonem esse perfectum & absolutum, hoc usus est exordio:
E quandoquidem manifesta crimina non egent multo probationis apparatu. Posteaquam enim illis in memoriam redegisset crucem & resurrectionem, redemtionem e peccatis, in posterum datam tutelam, paternam voluntatem, Filii consilium, gratiam, pacem, denique totum illius donum, glorificando Deum sermonem clausit. Verum non hac de causa solum hoc fecit, sed etiam quod supramodum doni magnitudinem admiraretur ac stuperet, gratiæque immensitatem, simulque secum reputaret, cum tales essemus, quales nos reddidisset Deus, idque subito in puncto momentoque temporis,

tamquam qui hæc oratione consequi non posset, glorificatione finit sermonem, non eam quæ Deo digna sit, sed quam ipse poterat laudem pro toto terrarum orbe depromens. Atque ideo deinceps concitatiore usus est oratione, velut inflammatus vehementer ex consideratis Dei erga nos beneficiis. Cum enim dixisset, cui gloria in sæcula, amen; ab acriori objurgatione orditur, dicens: *6. Miror quod tam cito transferimini ab eo qui vocavit vos in gratia Christi, in aliud evangelium.* Quoniam per legis observationem arbitrabantur se placere Patri, quemadmodum existimabant Judæi Christum persequentes, hoc primum demonstrat, illos dum hæc faciunt, non modo Christum, sed & Patrem offendere. Non enim, inquit, a Christo, sed etiam a Patre deficitis ista faciendo. Nam ut vetus testamentum non Patris tantum est, verum & Filii: ita gratia non Filii solum est, sed & Patris. Denique communia omnia.

Joan. 16. 15. *Omnia*, inquit, *quæ Patris mei sunt, mea sunt.* Ergo cum dicit eos etiam a Patre descivisse, duplicem impingit culpam, quod defecerint, & quod celerrime defecerint. Atqui contrarium etiam erat reprehensione dignum, videlicet si post multum temporis descivissent, verum hic agitur de circumventione. Est quidem & ille dignus reprehensione, qui post longum temporis spatium deficit. Qui vero ad primam irruptionem & in ipso sagittarum e longinquo volantium jactu concidit, extremæ imbecillitatis de se specimen præbuit: hoc nomine & hos incusat, dicens: Quid hoc rei est, quod ii qui vos decipiunt, nec spatio temporis ad id opus habent, sed primus accessus sufficit eis ad subvertendum vos & capiendum? Quam tandem impetrare possitis veniam? Etenim si hoc crimen in amicos commissum esset, ac si is, qui priores utiles ac necessarios amicos reliquisset, dignus esset condemnatione: qui Deo vocante resilit, cogita quanto supplicio sit obnoxius. Cæterum cum ait, admiror, non solum verecundiam illis ingerit hoc dicto, quod post tantam munificentiam, post tantam peccatorum condonationem, post immensam exhibitam humanitatem, ultro currant ad jugum servitutis: verum simul & illud ostendit qualem habeat de illis opinionem, nimirum ingentem quamdam & egregiam. Neque enim si judicasset eos de numero vulgarium esse, & eorum quibus facile imponitur: nequaquam admiraretur quod acciderat. Verum quoniam vos, inquit, estis de numero sincerorum, & eorum qui multum laboris sustinuerunt, ideo miror. Id igitur satis erat ad eos restituendos, & ad priora revocandos, quod ipsum in hujus epistolæ medio declarat, dicens: *Tam multa passi estis frustra, si tamen frustra. Transferimini.* Non dixit, translati estis, sed, transferimini, hoc est, nondum credo, nondum arbitror perfectam circumventionem. Quod ipsum rursus est revocare studentis. Hoc igitur cum dixisset, addit: Ego confido de vobis, quod nihil aliud sapietis. *Ab*

A μὴ δυνάμενος, εἰς δοξολογίαν κατέλυσεν, οὐ τὴν ἀξίαν, ἀλλὰ τὴν αὐτῷ δυνατὴν εὐφημίαν ὑπὲρ τῆς οἰκουμένης ἀναπέμπων ἁπάσης. διὰ τοῦτο καὶ σφοδρότερον τῷ μετὰ ταῦτα κέχρηται λόγῳ, καθάπερ πυρωθεὶς σφοδρῶς ὑπὸ τῆς ἐννοίας τῶν εὐεργεσιῶν τοῦ θεοῦ. Εἰπὼν γάρ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν, ἀπὸ σφοδροτέρας ἄρχεται ἐπιπλήξεως, οὕτω λέγων. θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον. ἐπειδὴ γὰρ διὰ τῆς τοῦ νόμου φυλακῆς ὑπώπτευον ἀρέσκειν τῷ πατρί, καθάπερ καὶ Ἰουδαῖοι B τὸν Χριστὸν διώκοντες, τοῦτο πρῶτον ἐνδείκνυται, ὅτι οὐ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα παροξύνουσι τοῦτο πράττοντες. οὐ γὰρ ἀπὸ τοῦ Χριστοῦ, φησιν, ἀλλὰ καὶ ἀπὸ τοῦ πατρὸς μεθίστασθε τοῦτο ποιοῦντες. ὥσπερ γὰρ ἡ παλαιὰ οὐ τοῦ πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ υἱοῦ, οὕτω καὶ ἡ χάρις οὐ τοῦ υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ πατρός, καὶ πάντα κοινά. πάντα γὰρ τὰ τοῦ πατρός μου, ἐμά ἐστιν. Εἰπὼν τοίνυν, ὅτι καὶ τοῦ πατρὸς ἀφίστανται, δύο ἐγκλήματα τίθησι, καὶ τὴν μετάθεσιν, καὶ τὴν ταχίστην μετάθεσιν. καὶ μὴν τὸ C ἐναντίον κατηγορίας ἄξιον, τὸ μετὰ πολὺν ἀποστῆναι χρόνον· ἀλλὰ ἐνταῦθα περὶ ἀπάτης ὁ λόγος. ἄξιος μὲν γὰρ ἐγκλημάτων καὶ ὁ μετὰ πολὺν χρόνον· ὁ δὲ ἐκ πρώτης προσβολῆς, καὶ ἐν αὐτοῖς τοῖς ἀκροβολισμοῖς καταπεσών, ἐσχάτης ἀσθενείας ἐξήνεγκεν ὑπόδειγμα, ὃ καὶ τούτοις ἐγκαλεῖ, λέγων· τί τοῦτο, ὅτι οὐδὲ χρόνου δέονται οἱ ἀπατῶντες ὑμᾶς, [a] ἀλλ' ἡ πρώτη προσαγωγὴ ἀρκεῖ πάντας ὑμᾶς καταστρέψασθαι καὶ ἑλεῖν; καὶ ποίαν ἂν σχοίητε συγγνώμην; Εἰ γὰρ ἐπὶ φίλων τοῦτο γινόμενον, ἔγκλημα, καὶ ὁ τοὺς προτέρους καὶ χρησίμους τῶν ἐπιτηδείων ἀφεὶς κα- D ταγνώσεως ἄξιος, ὁ θεοῦ καλοῦντος ἀποπηδῶν, ἐννόησον ὅσης ἂν εἴη τιμωρίας ὑπεύθυνος. ὅταν δὲ εἴπῃ, θαυμάζω, οὐ μόνον ἐντρέπων αὐτοὺς λέγει, ὅτι μετὰ τοσαύτην δωρεάν, μετὰ τοσαύτην ἁμαρτημάτων συγχώρησιν, καὶ φιλανθρωπίας ὑπερβολὴν εἰς ζυγὸν δουλείας ηὐτομόλησαν· ὁμοῦ δὲ καὶ δεικνύς, οἵαν ἔχει περὶ αὐτῶν ὑπόνοιαν, ὅτι μεγάλην τινά, καὶ ἐσπουδασμένην. οὐδὲ γὰρ ἂν εἰ τῶν τυχόντων ἐνόμιζεν αὐτοὺς εἶναι καὶ εὐεξαπατήτων, ἐθαύμασεν ἂν ἐπὶ τῷ γινομένῳ, ἀλλ' ἐπειδὴ τῶν γνησίων, φησί, καὶ πολλὰ πεπονηκότων ὑμεῖς, διὰ τοῦτο θαυμάζω. E ὅπερ ἱκανὸν ἦν αὐτοὺς ἀνακλήσασθαι, καὶ πρὸς τὰ πρότερα ἐπαναγαγεῖν. ὃ καὶ ἐν μέσῃ τῇ ἐπιστολῇ δηλῶν ἔλεγε· τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ. μετατίθεσθε, οὐκ εἶπε, μετέθεσθε, ἀλλὰ μετατίθεσθε, τουτέστιν, οὐδέπω πιστεύω, οὐδὲ ἡγοῦμαι ἀπηρτισμένην εἶναι τὴν ἀπάτην, ὃ καὶ αὐτὸ πάλιν ἐστὶν ἀνακλωμένου. τοῦτο οὖν σαφέστερον προειπών, λέγει· ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε,

[a] Editi habent, ἀλλ' ἐκ πρώτης προσαγωγῆς. Sed Savil. in marg. ἡ πρώτη προσαγωγὴ ponit, & sic legit interpres Latinus, atque ita sensus postulare videtur.

ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ. ἡ μὲν κλῆσις ἐστὶ τοῦ πατρός· τῆς δὲ κλήσεως ἡ αἰτία, τοῦ υἱοῦ. αὐτὸς γάρ ἐστιν ὁ καταλλάξας καὶ δωρεὰν δούς. οὐ γὰρ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἐσώθημεν. μᾶλλον δὲ καὶ ταῦτα ἐκείνου, καὶ ἐκεῖνα τούτου. τὰ γὰρ ἐμὰ σά, φησι, καὶ τὰ σὰ ἐμά. καὶ οὐκ εἶπεν, ἀπὸ τοῦ εὐαγγελίου μετατίθεσθε, ἀλλ' ἀπὸ τοῦ καλέσαντος ὑμᾶς θεοῦ. ὃ γὰρ ἦν φρικωδέστερον, καὶ μᾶλλον ἱκανὸν αὐτοὺς καταπλῆξαι, τοῦτο τέθεικεν. οἱ γὰρ ἀπατᾶν αὐτοὺς βουλόμενοι, οὐκ ἀθρόως τοῦτο ἐποίουν, ἀλλ' ἠρέμα αὐτοὺς τῶν πραγμάτων μεθιστῶντες, τῶν ὀνομάτων οὐ μεθίστων. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου πλάνη, μὴ γυμνὰ προτιθέναι τὰ θήρατρα. εἰ μὲν γὰρ εἶπον, ἀπόστητε ἀπὸ τοῦ Χριστοῦ, ὡς πλάνους ἂν καὶ λυμεῶνας ἐφυλάξαντο. νῦν δὲ ἀφέντες αὐτοὺς ἐν τῇ πίστει τέως, καὶ τῇ πλάνῃ εὐαγγελίου ἐπιθέντες ὄνομα, μετὰ πολλῆς τῆς ἀδείας διώρυττον τὴν οἰκοδομήν, τῶν εἰρημένων, καθάπερ τινῶν παραπετασμάτων, διὰ τῶν ὀνομάτων τούτων κρυπτόντων τοὺς τοιχωρύχους.

Ἐπεὶ οὖν εὐαγγέλιον ἐκάλουν τὴν ἑαυτῶν ἀπάτην, καλῶς αὐτὸς καὶ πρὸς τὸ ὄνομα μάχεται, καὶ παῤῥησιάζεται, λέγων· Εἰς ἕτερον εὐαγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο. [a] καλῶς, οὐ γάρ ἐστιν ἄλλο. ἀλλ' ὅμως ὅπερ πάσχουσιν οἱ νοσοῦντες ἐκ τῶν ὑγιεινῶν βλαπτόμενοι σιτίων, τοῦτο καὶ Μαρκίωνες ἐνταῦθα ἔπαθον. ἐπελάβετο γὰρ τῶν εἰρημένων εἰπών, ὅτι ἰδοὺ καὶ Παῦλος εἶπεν, οὐκ ἔστιν ἕτερον εὐαγγέλιον. οὐδὲ γὰρ παραδέχονται τοὺς εὐαγγελιστὰς ἅπαντας, ἀλλ' ἕνα μόνον, καὶ αὐτὸν περικόψαντες καὶ συγχέαντες, ὡς ἐβούλοντο. τί οὖν ὅταν αὐτὸς λέγῃ, κατὰ τὸ εὐαγγέλιόν μου, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ; ἔστι μὲν οὖν πολλοῦ γέλωτος τὰ εἰρημένα παρ' αὐτῶν· πλὴν κἂν καταγέλαστα ᾖ, ἀναγκαῖον διελέγχειν αὐτὰ διὰ τοὺς εὐκόλως ἀπατωμένους. τί οὖν ἐροῦμεν; ὅτι κἂν μυρίοι γράφωσιν εὐαγγέλια, τὰ δὲ αὐτὰ γράφωσιν, ἓν ἐστὶ τὰ πολλά, καὶ οὐδὲν ἀπὸ τοῦ τῶν γραφόντων πλήθους εἰς τὸ ἓν εἶναι παραβλαβήσεται· ὥσπερ οὖν κἂν εἷς ᾖ πάλιν ὁ γράφων, καὶ ἐναντία λέγῃ, οὐκ ἔστιν ἓν τὰ γραφόμενα. τὸ γὰρ ἕν, καὶ οὐχ ἕν, οὐ παρὰ τῶν γραφόντων ἀριθμοῦ, ἀλλὰ τῇ ταυτότητι καὶ ἑτερότητι τῶν λεγομένων κρίνεται. ὅθεν δῆλον, ὅτι καὶ τὰ τεσσάρων εὐαγγέλια, ἕν ἐστιν εὐαγγέλιον. ὅταν γὰρ οἱ τέσσαρες τὰ αὐτὰ λέγωσιν, οὐκ ἔστιν ἄλλο καὶ ἄλλο διὰ τὴν τῶν προσώπων διαφοράν, ἀλλ' ἓν διὰ τὴν τῶν εἰρημένων συμφωνίαν. οὐδὲ γὰρ ὁ Παῦλος περὶ ἀριθμοῦ λέγει νῦν, ἀλλὰ περὶ διαφωνίας τῶν εἰρημένων. εἰ μὲν οὖν ἄλλο τὸ Ματθαίου, καὶ τὸ Λουκᾶ ἕτερον κατὰ τὴν δύναμιν τῶν ἐγγεγραμμένων καὶ

A *eo qui vocavit vos in gratia Christi.* Ipsa quidem vocatio Patris est, vocationis autem causa Filii est. Nam ipse est qui nos reconciliavit, qui donum dedit. Neque enim ex operibus justitiæ salvi facti sumus: quin potius & hæc illius sunt, & illa hujus. Nam mea, inquit, tua sunt & tua mea. (Joan. 17. 10.) Nec dixit, ab evangelio transferimini: sed, a Deo, qui vos vocavit; quod erat dictu horribilius, & accommodatius ad terrorem illis incutiendum, id posuit. Siquidem qui studebant illos seducere, non id repente faciebant, sed paulatim eos ab ipsis rebus transferentes, a nominibus non B transferebant. Nam hujusmodi diaboli fraus est, haudquaquam nudos proponere laqueos, quibus venatur homines. Etenim si dixissent, desciscite a Christo, Galatæ vitassent eos, velut impostores & corruptores. Nunc vero sinentes eos adhuc in fide manere, & interim fraudi prætexentes evangelii nomen, facillime ædificium perfodiebant, videlicet iis quæ dixi, velut obtentis velamentis per hæc nomina celantibus parietum perfossores.

6. Quoniam igitur illi suam fraudem appellabant evangelium, ipse etiam adversus C nomen repugnat, libereque agit, dicens: *In aliud evangelium*, 7. *quod non est aliud.* Pulcre: neque enim est aliud. Attamen quod accidit ægrotantibus, dum salubribus cibis offenduntur, hoc idem usu venit hîc Marcionistis. Arripuerant enim quæ dicta sunt hîc, ac dicebant: Ecce Paulus etiam ipse dixit non esse aliud evangelium. Neque enim hi recipiunt omnes evangelistas, sed unum dumtaxat, quod ipsum tamen suo arbitratu mutilarunt, commiscueruntque. Quid igitur sibi vult cum ait, juxta evangelium meum & prædicationem Jesu Christi? Sunt quidem vehementer ridicula, quæ isti adferunt, D verumtamen quamquam sunt deridenda, operæ precium tamen est ea refellere propter eos qui facile decipiuntur. Quid igitur dicemus? An quod etiam si decies mille sint evangelistæ qui scribunt evangelia, modo scribant eadem, multa illa unicum esse evangelium, neque quidquam obstare scribentium multitudinem, quominus unum sit evangelium? quemadmodum ex adverso, si unus scribens contraria diceret, non essent unum evangelium quæ scribuntur. Ut enim unum sit evangelium aut non unum, non æstima- E tur ex numero scribentium, sed hinc, eademne sint, an diversa quæ scribuntur. Unde dilucidum est, quatuor evangelia unum esse evangelium. Cum enim quatuor eadem loquantur, non est aliud atque aliud ob personarum differentiam, sed unum ob eorum qui loquuntur consonantiam. Neque enim Paulus nunc de numero loquitur, sed de dissonantia eorum quæ dicuntur. Proinde si secundum vim scriptorum, & dogmatum accurationem, aliud est evangelium Matthæi, aliud

[a] καλῶς, οὐ γάρ ἐστιν ἄλλο. Hæc quæ lecta fuerant ab interprete Latino, in editis διὰ ὁμοιοτέλευτον omissa sunt. Mox Μαρκίωνες pro Marcionistis antehac apud Chrysostomum non memini me legere, licet non infrequens sit apud illum Marcionistarum mentio.

Lucæ: recte Pauli sermonem hunc arripiunt. Sin unum & idem est, desinant ineptire, simulantes hæc ignorare se, quæ vel admodum pueris nota perspicuaque sunt. *Nisi quod quidam sunt, qui conturbant vos, & volunt subvertere evangelium Christi.* Hoc est, donec fueritis sanæ mentis, non agnoscetis aliud evangelium, donec recto nec distorto fueritis intuitu, ita ut imaginemini ea quæ non sunt. Quemadmodum enim oculus turbatus aliud pro alio cernit: ita mens pravarum cogitationum confusione perturbata, idem pati consuevit. Ideo enim qui laborant insania, alia pro aliis imaginantur. Verum hæc insania periculosior est quam illa, quæ noxam adfert non in rebus sensilibus, sed in rebus intelligibilibus: non in pupilla corporalium oculorum, sed in oculis animi subversionem gignens. *Et volunt subvertere evangelium Christi.* Atqui unum aut alterum dumtaxat præceptum induxerant, circumcisionem, & dierum observationem, innovantes. Verum ut ostenderet quod pusillum quiddam perperam admixtum, totum corrumpit, dixit subverti evangelium. Quemadmodum enim in moneta regia, qui paulum aliquid amputarit de impressa imagine, totum numisma reddidit adulterinum: ita quisquis sanæ fidei vel minimam particulam subverterit, in totum corrumpitur, ab hoc initio semper ad deteriora procedens. Ubi sunt igitur qui nos ut contentiosos damnant, eo quod cum hæreticis habemus dissidium? Ubi sunt qui dictitant nullum esse discrimen inter nos & illos, sed ex principatus ambitu proficisci discordiam? Audiant quid dicit Paulus, nimirum illos subvertisse evangelium, qui paululum

Contra Anomæos & Arianos. quiddam rerum novarum invexerant. Isti vero non pusillum quiddam innovant; nam quomodo pusillum, cum Filium Dei prædicent esse creaturam? Annon audisti, quod is qui in veteri quoque Testamento, sabbato ligna collegerat, unicum mandatum, nec id maximum transgressus, extremo affectus sit

2. Reg. 6. supplicio? Quodque Oza, quoniam arcam alioqui subvertendam fulsit, e vestigio mortuus est, eo quod ministerium ipsi non congruens usurparit? Ergone sabbatum violatum, & solus arcæ ruituræ contactus, ad tantam indignationem Deum provocavit, ut qui hæc ausi fuerant, ne minimum quidem veniæ sint consequuti: hic vero qui adoranda & ineffabilia dogmata corrumpit, excusationem habiturus est, & veniam consequetur? Non potest hoc fieri, non potest, inquam. Hoc ipsum igitur est omnium malorum causa, quod ob pusilla non indignemur. Ob id enim majora scelera subierunt, quod minoribus debita correctio non adhibeatur. Et quemadmodum in corporibus, qui vulnera neglexerunt, febres gignunt, & putrefactiones, ac mortem denique: itidem & in

A τὴν τῶν δογμάτων ἀκρίβειαν, καλῶς ἐπιλαμβάνονται τοῦ λόγου· εἰ δὲ ἓν καὶ τὸ αὐτὸ, παυσάσθωσαν ἀνοηταίνοντες, καὶ ταῦτα προσποιούμενοι ἀγνοεῖν, ἃ καὶ τοῖς ἄγαν παισίν ἐστι καταδῆλα. Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες ἀνατρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. τουτέστιν, ἕως ἂν ὑγιαίνητε τὸν νοῦν, οὐκ ἐπιγνώσεσθε ἕτερον εὐαγγέλιον, ἕως ἂν ὀρθὰ βλέπητε, καὶ μὴ διεστραμμένα, τὰ μὴ ὄντα φανταζόμενοι. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς διαταραχθεὶς ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ· οὕτω καὶ νοῦς τῇ τῶν πονηρῶν συγχύσει θολούμενος λογισμῶν τὸ αὐτὸ τοῦτο πά-
B σχειν εἴωθε. διὰ γὰρ τοῦτο καὶ οἱ μαινόμενοι ἕτερα ἀνθ' ἑτέρων φαντάζονται. ἀλλ' αὕτη χαλεπωτέρα ἐκείνης ἡ μανία, οὐκ ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἐν τοῖς νοητοῖς τὴν βλάβην ἐργαζομένη, οὐκ ἐν τῇ κόρῃ τῶν τοῦ σώματος ὀμμάτων, ἀλλ' ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὴν καταστροφὴν κατασκευάζουσα. καὶ θέλοντες ἀνατρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. καὶ μὴν μίαν μόνην, ἢ δευτέραν ἐπεισῆγον ἐντολὴν, τὴν τῆς περιτομῆς, καὶ τὴν τῶν ἡμερῶν μόνων καινοτομοῦντες· ἀλλὰ δεικνὺς ὅτι μικρὸν παραποιηθὲν τὸ ὅλον
C λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον ἀνατρέπεσθαι. καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν ὁ μικρὸν τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο· οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς. ποῦ τοίνυν εἰσὶν οἱ φιλονεικίας ἡμᾶς κρίνοντες ἕνεκεν τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως; ποῦ νῦν εἰσιν οἱ λέγοντες οὐδὲν μέσον εἶναι ἡμῶν, κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι; ἀκουέτωσαν τί φησιν ὁ Παῦλος, ὅτι τὸ εὐαγγέλιον ἀνέτρεψαν οἱ καὶ μικρόν τι καινο-
D τομοῦντες. [a] οὗτοι δὲ οὐ τι μικρόν. πῶς γάρ, οἱ τὸν [a] υἱὸν τοῦ θεοῦ κτίσμα λέγοντες; οὐκ ἤκουσας ὅτι καὶ ἐν τῇ παλαιᾷ ἐν σαββάτῳ ξύλα τις συλλέξας, καὶ μίαν ἐντολὴν παραβὰς, καὶ οὐδὲ ταύτην μεγίστην, ἐσχάτην δέδωκε δίκην; καὶ Ὀζᾶ τὴν κιβωτὸν μέλλουσαν περιτρέπεσθαι στηρίξας, παραχρῆμα ἀπέθανεν, ὅτι μὴ προσηκούσης αὐτῷ διακονίας ἥψατο; εἶτα σαββάτου μὲν ἡ παράβασις, καὶ τὸ τῆς κιβωτοῦ καταπιπτούσης ἅψασθαι εἰς τοσαύτην ἤγαγε τὸν θεὸν ἀγανάκτησιν, ὥστε μηδὲ βραχείας τυχεῖν συγ-
E γνώμης τοὺς ταῦτα τολμήσαντας· ὁ δὲ δόγματα φρικτὰ, καὶ ἀπόρρητα λυμηνάμενος, ποίας ἀπολογίας τεύξεται καὶ συγγνώμης; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλὰ καὶ αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ καὶ ὑπὲρ τῶν μικρῶν τούτων ἀγανακτεῖν. διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισῆλθεν, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. καὶ καθάπερ ἐν τοῖς σώμασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες, πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ θάνατον· οὕτω καὶ ἐπὶ

[a] οὗτοι δὲ οὔ τι μικρόν. πῶς γάρ. Savil. in margine legit, οἱ δὲ οὗτοι πῶς. Locum hunc pleniorem effert interpres Latinus, nam post hæc verba, *cum Filium Dei prædicant esse creaturam*, adjecit; *sed quod est omnium maximum immutant.*

τῶν ψυχῶν οἱ τῶν μικρῶν ὑπερορῶντες, τὰ μείζονα ἐπεισάγουσιν. ὁ δεῖνα, φησὶ, περὶ τὴν νηστείαν σφάλλεται, καὶ οὐδὲν μέγα ἐστίν· ἕτερος τῇ πίστει μὲν ἔρρωται τῇ ὀρθῇ, ὑποκρινόμενος δὲ διὰ τὸν καιρὸν, τὴν παῤῥησίαν προέδωκεν· οὐδὲ τοῦτό τι μέγα δεινόν. ἄλλος παροξυνθεὶς, ἠπείλησεν ἀποστήσεσθαι τῆς ὀρθῆς πίστεως· ἀλλ' οὐδὲ τοῦτο ἄξιον τιμωρίας· ὀργῇ γὰρ ἥμαρτέ, φησι, καὶ θυμῷ. καὶ μυρία τις ἂν εὕροι τοιαῦτα καθ' ἑκάστην ἡμέραν ἁμαρτήματα ἐπεισαγόμενα ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ καταγέλαστοι γεγόναμεν καὶ Ἰουδαίοις, καὶ Ἕλλησιν, εἰς μυρία τῆς ἐκκλησίας σχιζομένης. εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδᾷν τῶν θείων θεσμῶν ἐπιχειροῦντες καὶ μικρόν τι παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ παρὼν ἐτέχθη λοιμὸς, καὶ τοσοῦτος χειμὼν τὰς ἐκκλησίας κατέλαβεν. ὅρα γοῦν ὁ Παῦλος πῶς τὴν περιτομὴν, ἀνατροπὴν τοῦ εὐαγγελίου καλεῖ.

a Νῦν δὲ εἰσι πολλοὶ παρ' ἡμῖν καὶ τὴν αὐτὴν Ἰουδαίοις νηστεύοντες ἡμέραν, καὶ σάββατα τηροῦντες ὁμοίως· καὶ φέρομεν γενναίως, μᾶλλον δὲ ταλαιπώρως. καὶ τί λέγω τὰ Ἰουδαίων, καὶ γὰρ Ἑλλήνων ἔθη πολλὰ παρά τισι τῶν ἡμετέρων φυλάττεται, κληδονισμοὶ, καὶ οἰωνισμοὶ, καὶ σύμβολα, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ἡ περὶ τὴν γένεσιν σπουδὴ, καὶ τὰ πάσης ἀσεβείας γέμοντα γραμματεῖα, ἃ τικτομένων τῶν παιδίων εὐθέως ἐπὶ κακῷ τῆς ἑαυτῶν συντιθέασι κεφαλῆς, ἐκ προοιμίων παιδεύοντες καταλύειν τοὺς ὑπὲρ ἀρετῆς πόνους, καὶ ὑπὸ τὴν πεπλανημένην τυραννίδα τῆς εἱμαρμένης τό γε αὐτῶν ἄγοντες μέρος. εἰ δὲ τοὺς περιτεμνομένους οὐδὲν ὁ Χριστὸς ὠφελεῖ, τοὺς τοσαῦτα ἐπισυρομένους κακὰ τί τοσοῦτον ἡ πίστις εἰς σωτηρίαν ὠφελήσει λοιπόν; καίτοι ἡ περιτομὴ παρὰ θεοῦ δεδομένη ἦν, ἀλλ' ὅμως ἐπειδὴ ἐλυμαίνετο τῷ εὐαγγελίῳ οὐκ ἐν καιρῷ τελουμένη, πάντα ἔπραττεν ὁ Παῦλος, ὥστε αὐτὴν περικόψαι. εἶτα ὁ μὲν Παῦλος ὑπὲρ ἐθῶν Ἰουδαϊκῶν τοσαύτην ἐποιεῖτο σπουδὴν, ἐπειδὴ ἀκαίρως ἐφυλάττετο, ἡμεῖς δὲ οὐδὲ τὴν ἑλληνικὴν περικόψομεν συνήθειαν; καὶ ποίαν σχοίημεν ἀπολογίαν; διὰ ταῦτα ἐν ταραχαῖς, καὶ θορύβοις νῦν τὰ ἡμέτερα, καὶ οἱ μαθητευόμενοι φρονήματος ἐμπλησθέντες πολλοῦ τὴν τάξιν ἀνέτρεψαν, καὶ τὰ ἄνω κάτω γεγένηται. κἂν μικρόν τις ἐγκαλέσῃ, διαπτύουσι τοὺς ἄρχοντας, ἐπειδὴ κακῶς ἡμεῖς αὐτοὺς ἐπαιδοτριβήσαμεν. καίτοιγε εἰ καὶ μοχθηρότεροι, καὶ μυρίων ἦσαν κακῶν γέμοντες οἱ προεστῶτες, οὐδὲ οὕτω τῷ μαθητῇ θέμις ἦν παρακούειν. εἰ γὰρ περὶ τῶν Ἰουδαίων διδασκάλων, φησὶν, ὅτι ἐπειδὴ ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν, ἀκούεσθαι δίκαιοι παρὰ τῶν μαθητευομένων ἂν εἶεν, καίτοιγε ἔργα ἔχοντες οὕτω πονηρὰ,

animis qui pusilla spernunt, majora inducunt. Ille, inquiunt, labitur in jejunio, neque quidquam est magni. Alter vero valet quidem recta fide, cæterum temporis gratia simulans, profitendi libertatem prodidit. Ne id quidem est aliquid magni mali. Alius irritatus, minatus est se defecturum a recta fide. Ne id quidem supplicio dignum, inquies, eo quod ira animique commotione peccavit. Quin & innumera reperiet aliquis hujus generis quotidie peccata invehi in ecclesias. Hanc ob causam ridiculi facti sumus & Judæis, & Gentibus, dum ecclesia in mille partes discinditur. Etenim si iis qui a divinis præscriptis resilire conabantur, & paulum quiddam secus quam oporteret tentabant, mox ab initio fuisset adhibita conveniens increpatio: nequaquam nata fuisset hæc pestis, non tanta tempestas ecclesias occupasset. Vide igitur quomodo Paulus circumcisionem appellat evangelii subversionem.

7. Nunc autem multi sunt apud nos, qui eodem die jejunant quo Judæi, qui similiter observant sabbata, & generose ferimus, imo potius miserabiliter. Et quid loquor de rebus Judæorum? Multa Gentium more apud nostros aliquot servantur, sortilegia, auguria, omina, ac dierum observationes, superstitiosa super genesim cura, & omnis impietatis plenæ literæ, quas puerorum, protinus ut nati sunt, magno malo capitibus imponunt, ab ipso protinus exordio docentes illos virtutis adipiscendæ studium abjicere, & ad fallacem fati tyrannidem, quod quidem in ipsis est, illos adducentes. Quod si iis qui circumciduntur Christus nihil prodest, istis qui tanta invehunt mala, cur adeo deinceps profutura est fides ad salutem? Quamquam a Deo erat data circumcisio, verum quoniam corruptelam inferebat evangelio, non suo tempore servata, nihil non fecit Paulus, ut eam amputaret. Et post hæc cum Paulus ad excludendas consuetudines Judaïcas tantum adhibuerit studium, eo quod intempestive servarentur: nos ne paganam quidem consuetudinem amputabimus? Et quam obsecro sumus habituri excusationem? Has ob causas in tumultu ac turbatione sunt res nostræ, adeo ut qui discipuli esse debuerant, multa repleti mentis elatione, subverterint ordinem: & hæc sus deque versa sunt. Quod si quis illos vel leviter accuset, conspuunt in eos, quorum imperio subsunt; quia nempe nos eos perperam a puero instituimus. Atqui etiam si qui præsunt, improbi essent, innumerisque scaterent malis, ne sic quidem fas esset discipulo dictis non audientem esse. Etenim si de Judæorum doctoribus dictum est, quoniam super cathedram Mosis sedebant, eos a discipulis esse audiendos, quamquam operibus erant onusti tam malis,

Multi Christiani judaïzabant tempore Chrysostomi.

Superstitiones aliæ.

Matt. 23. 2.

a νῦν δὲ εἰσι πολλοὶ, &c. Antiochenorum quosdam objurgat Chrysostomus, quod Judaïsmi morbo laborent, quodque Judaïca observent, in Orationibus contra Judæos Tom. 1. pag. 588. & 592. Quodque etiam Christiani quidam Gentilium superstitiones multas observarent, passim apud Chrysostomum reperies.

ut Dominus discipulis præceperit ne illa imitarentur: qua venia digni erunt, qui ecclesiæ præsides per gratiam Dei modeste viventes, conspuunt & conculcant? Quod si nefas est ut alius alium judicet, quanto magis fas non est judicare doctores? 8. *Sed etiamsi ego aut angelus de cælo evangelizaverit vobis præter id quod accepistis, anathema sit.* Vide prudentiam apostolicam. Ne quis diceret, illum sua ipsius ostentare dogmata, etiam seipsum devovit. Cæterum quoniam ad auctoritatem confugiebant, & ubique celebrabant Jacobum & Joannem, hac de causa & angelorum meminit. Ne mihi, inquit, Jacobum narres, & Joannem: etiamsi quis primorum angelorum e cælis descenderit, corrumpens evangelii prædicationem, anathema sit. Non temere dixit de cælo: sed, quoniam sacerdotes quoque dicti sunt angeli: *Labia enim sacerdotis custodient scientiam, & legem exquirent ex ore ejus, quoniam angelus Domini omnipotentis est*: ne quis existimaret de his angelis nunc verba fieri, addita particula, de cælis, supernas virtutes indicavit. Neque dixit, si contraria annunciaverint, aut totum evangelium subverterint, verum si vel paulum evangelizaverint, præter evangelium quod accepistis, etiamsi quidvis labefactarint, anathema sint. 9. *Sicut ante dixi, & rursum nunc dico.* Ne putares ea verba ab ira profecta esse, aut per hyperbolem magnificentius quam pro re dicta, aut impetu cursuque sermonis raptim excidisse, repetit eadem. Etenim qui animi commotione occupatus dixit aliquid, hunc mox dicti pœnitere solet: qui autem denuo repetit eadem, declarat sese cum judicio loquutum, ac prius animi consilio fuisse decretum & comprobatum, atque ita demum voce proditum. Abraham igitur cum rogaretur, ut mitteret Lazarum, respondit, Habent Mosem & Prophetas: si illis non crediderint, neque mortuos resuscitatos audituri sunt. Hæc autem Christus ipse inducit loquentem Abraham, declarans se velle plus fidei habendum esse scripturis, quam si mortui reviviscant. Paulus vero; cum Paulum dico rursum ipsum Christum dico; hic enim erat, qui mentem illius regebat; etiam angelis e cælo descendentibus præponit scripturas, idemque valde congruenter. Siquidem angeli quamlibet magni, tamen servi sunt, ac ministri. Cæterum omnes scripturæ non a servis, sed ab universorum Domino Deo scriptæ, ad nos missæ sunt. Hanc ob causam dicit: Si quis vobis evangelizaverit præter id quod evangelizavimus vobis. Non dixit, si ille aut ille, idque prudenter admodum citra odium & invidiam. Quorsum enim opus erat jam edere nomina, posteaquam tam sublimi fuerat usus sermone, ut universos & qui in cælis sunt, & qui in terris, complecteretur? Per hoc enim quod in evangelistas & angelos pronunciat anathema, omnem dignitatem comprehendit: per hoc vero quod seipsum quoque pronunciat anathema, omnem familiaritatem & affinitatem complexus est.

Malac. 2. 7.

Luc. 16. 30.

A ὡς τοὺς μαθητὰς κελεῦσαι μὴ ζηλοῦν, μηδὲ μιμεῖσθαι ἐκεῖνα, τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ τοὺς τῆς ἐκκλησίας προέδρους τοὺς τῇ χάριτι τοῦ θεοῦ μετ' ἐπιεικείας ζῶντας διαπτύοντες, καὶ καταπατοῦντες; εἰ γὰρ ἀλλήλοις κρίνειν οὐ θέμις, πολλῷ μᾶλλον τοὺς διδασκάλοις. ἀλλὰ κἂν ἐγὼ, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ὅρα σύνεσιν ἀποστολικήν. ἵνα γὰρ μή τις λέγῃ, ὅτι κενοδοξίας ἕνεκεν τὰ ἴδια συγκροτεῖ δόγματα, καὶ ἑαυτὸν ἀνεθεμάτισεν. ἐπειδὴ δὲ καὶ εἰς ἀξιώματα κατέφευγον, Ἰάκωβον καὶ Ἰωάννην, B διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη. μὴ γάρ μοι Ἰάκωβον εἴπῃς, φησὶ, καὶ Ἰωάννην. κἂν γὰρ τῶν πρώτων ἀγγέλων ᾖ τις τῶν ἐξ οὐρανοῦ διαφθείρων τὸ κήρυγμα, ἀνάθεμα ἔστω. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐξ οὐρανοῦ, ἀλλ' ἐπειδὴ καὶ οἱ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο· χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ἄγγελος κυρίου παντοκράτορός ἐστιν· ἵνα μὴ τούτους νομίσῃς ἀγγέλους λέγεσθαι νῦν, τῇ τοῦ οὐρανοῦ προσθήκῃ τὰς ἄνω δυνάμεις ᾐνίξατο. καὶ οὐκ εἶπεν, ἐὰν ἐναντία καταγγέλλωσιν, ἢ ἀνατρέπωσι τὸ πᾶν, ἀλλὰ, κἂν μικρόν τι εὐαγ- C γελίζωνται παρ' ὃ εὐηγγελισάμεθα, κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν. ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω. ἵνα γὰρ μὴ νομίσῃς θυμοῦ τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ συναρπαγήν τινα, δεύτερον τὰ αὐτὰ πάλιν τίθησιν. ὁ μὲν γὰρ θυμῷ τι προαχθεὶς εἰπεῖν, κἂν μεταγνοίη ταχέως· ὁ δὲ δεύτερον τὰ αὐτὰ λέγων, δείκνυσιν ὅτι κἀκεῖνα οὕτως εἶπε, καὶ πρότερον ἐν τῇ γνώμῃ κυρώσας, οὕτως ἐξήνεγκε τὸ λεχθέν. ὁ μὲν οὖν Ἀβραὰμ ἀξιούμενος πέμψαι τὸν Λάζαρον ἔλεγεν, ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἐὰν μὴ ἐκείνων ἀκούσωσιν, D οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσονται· ταῦτα δὲ αὐτὸν εἰσάγει λέγοντα ὁ Χριστὸς, δεικνὺς ὅτι καὶ νεκρῶν ἐγειρομένων ἀξιοπιστοτέρας εἶναι βούλεται τὰς γραφάς. ὁ δὲ Παῦλος· ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν πάλιν λέγω· αὐτὸς γὰρ ἦν ὁ κινῶν αὐτοῦ τὴν ψυχήν· καὶ ἀγγέλων ἐξ οὐρανοῦ καταβαινόντων αὐτὰς προτίθησι, καὶ μάλα εἰκότως. οἱ γὰρ ἄγγελοι, κἂν μεγάλοι, ἀλλὰ δοῦλοι καὶ [a] ὑπουργοὶ τυγχάνουσιν ὄντες· αἱ δὲ γραφαὶ πᾶσαι, οὐ παρὰ δούλων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ δεσπότου γραφεῖσαι ἐπέμφθησαν. διὰ τοῦτό φη- E σιν· ἐάν τις ὑμᾶς εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν. καὶ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, συνετῶς σφόδρα καὶ ἀνεπαχθῶς. τί γὰρ ἔδει λοιπὸν ὀνομάτων μνησθῆναι τὸν τοσαύτῃ χρησάμενον ὑπερβολῇ, ὡς καὶ ἅπαντας, καὶ τοὺς ἄνω, καὶ τοὺς κάτω περιλαβεῖν; διὰ μὲν γὰρ τοῦ τοὺς εὐαγγελιστὰς καὶ ἀγγέλους ἀναθεματίσαι, πᾶν ἀξίωμα περιέγραψε· διὰ δὲ τοῦ ἑαυτὸν, πᾶσαν οἰκειότητα, καὶ γνησιότητα. μὴ

[a] ὑπουργοὶ, sic Savil. in margine, & ita legisse videtur interpres Latinus. Editi λειτουργοί.

γάρ μοι εἴπῃς, ὅτι οἱ συναπόστολοί σου καὶ ἑταῖροι ταῦτα λέγουσιν· οὐδὲ γὰρ ἐμαυτοῦ φείδομαι τοιαῦτα κηρύττοντες. ταῦτα δὲ οὐχ ὡς καταγινώσκων τῶν ἀποστόλων, φησὶν, οὐδὲ ὡς παραβαινόντων τὸ κήρυγμα, ἄπαγε· εἴτε γὰρ ἡμεῖς, εἴτε ἐκεῖνοι, φησιν, οὕτω κηρύσσομεν· ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι ἀξίωμα προσώπων οὐ προσίεται, ὅταν περὶ ἀληθείας ὁ λόγος ᾖ. ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. Εἰ γὰρ καὶ ὑμᾶς ἠπάτων, φησὶ, ταῦτα λέγων, μὴ τὸν θεὸν δύναμαι παραλογίσασθαι τὸν τὰ ἀπόρρητα τῆς διανοίας εἰδότα, καὶ ᾧ πᾶσά μοι σπουδὴ διαπαντὸς ἀρέσκειν; εἶδες φρόνημα ἀποστολικόν; εἶδες ὕψος εὐαγγελικόν; τὰ αὐτὰ δὲ ταῦτα καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγεν, οὐχ ὑμῖν ἀπολογούμεθα, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ πάλιν, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. ἐπειδὴ γὰρ μαθηταῖς διδάσκαλος ὢν ἀναγκάζεται ἀπολογεῖσθαι, ὑπομένει μὲν αὐτὸ, δυσανασχετεῖ δὲ, οὐ δι' ἀπόνοιαν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν εὐκολίαν τῆς τῶν ἀπατωμένων γνώμης, καὶ τὸ μὴ σφόδρα παρ' αὐτοῖς πιστεύεσθαι. διὸ καὶ ταῦτα εἴρηκε μονονουχὶ, λέγων· μὴ γὰρ πρὸς ὑμᾶς μοι ὁ λόγος ἐστί; μὴ γὰρ ἄνθρωποί μοι δικάζειν μέλλουσι; πρὸς τὸν θεὸν ἡμῖν ὁ λόγος ἐστὶ, καὶ ὑπὲρ τῶν εὐθυνῶν τῶν ἐκεῖ ἅπαντα πράττομεν, καὶ οὐκ ἂν εἰς τοσοῦτον ἤλθομεν ἀθλιότητος, ὡς μέλλοντες ἀπολογεῖσθαι τῷ πάντων δεσπότῃ ὑπὲρ ὧν κηρύττομεν, διαφθείρειν τὰ δόγματα.

Ὥστε ὁμοῦ μὲν ἀπολογούμενος, ὁμοῦ δὲ αὐτῶν κατεξανιστάμενος, ταῦτα τέθεικε. τοὺς γὰρ μαθητευομένους [a] οὐ δικάζειν τοῖς διδασκάλοις, ἀλλὰ πιστεύειν προσῆκεν. ἐπειδὴ δὲ ἀντεστράφη ἡ τάξις, καὶ κριταὶ καθέζεσθε, φησι, μάθετε ὅτι τῆς μὲν πρὸς ὑμᾶς ἀπολογίας οὐ πολύς μοι λόγος. τὸ δὲ πᾶν διὰ τὸν θεὸν πράττομεν, καὶ [b] ὥστε ἐκεῖνον περὶ δογμάτων ἀπολογήσασθαι τούτων. ὁ μὲν γὰρ ἀνθρώποις θέλων πεῖσαι, πολλὰ ὕπουλα ποιεῖ, καὶ διεστραμμένα, καὶ ἀπάτῃ κέχρηται καὶ ψεύδει, ὥστε πεῖσαι καὶ ἑλεῖν τὴν τῶν ἀκουόντων γνώμην. ὁ δὲ θεὸν πείθων, καὶ ἀρέσκειν ἐκείνῳ σπουδάζων, ἁπλῆς δεῖται διανοίας καὶ καθαρᾶς· ἀνεξαπάτητον γὰρ τὸ θεῖον. ὅθεν δῆλον, ὅτι καὶ ἡμεῖς, φησιν, οὐ φιλαρχίας ἕνεκεν, οὐδὲ ὥστε μαθητὰς ἔχειν, οὐδὲ τῆς παρ' ὑμῶν ἐφιέμενοι δόξης ταῦτα γράφομεν. οὐ γὰρ ἀνθρώποις ἀρέσαι ἐσπουδάκαμεν, ἀλλὰ θεῷ. εἰ γὰρ ἤθελον ἀνθρώποις ἀρέσκειν, ἔτι μετὰ Ἰουδαίων ἤμην, ἔτι τὴν ἐκκλησίαν ἐδίωκον. ὁ δὲ ἔθνος ὁλοκλήρου, καὶ οἰκείων, καὶ φίλων, καὶ συγγενῶν, καὶ δόξης τοσαύτης καταφρονήσας, καὶ ἀντηλλαξάμενος τούτων διωγμοὺς, καὶ ἔχθρας, καὶ πολέμους, καὶ θανάτους καθημερινοὺς, εὔδηλον ὅτι καὶ ταῦτα, ἃ λέγω νῦν, οὐ τῆς τῶν ἀνθρώπων δόξης ἐφιέμενος λέγω. τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ μέλλει καὶ τὸν πρότερον αὐτοῦ διηγεῖσθαι βίον,

[a] οὐ δικάζειν τοῖς διδασκάλοις. Savil. in margine ponit τοὺς διδασκάλους, quæ lectio melior videtur.

A Ne mihi dixeris, inquit, collegæ tui & socii apostoli hæc dicunt: nec mihi ipsi parco, si diversa prædicem. Non hæc dicit, quod damnaret apostolos tamquam evangelicæ prædicationis prævaricatores, absit: ait enim: Sive nos, sive illi, sic prædicamus: sed ut ostenderet personarum dignitatem non recipi, quoties expenditur veritas. 10. *Nunc enim hominibus suadeo, an Deo, aut quæro hominibus placere? Si enim adhuc hominibus placerem, Christi servus non essem.* Quamvis enim, inquit, vos fallerem hæc dicens: num & Deo valeam imponere, qui perspicit arcana mentis, & cui ut placerem, semper omne mihi studium fuit? Vides spiritum apostolicum, vides sublimitatem evangelicam. Hæc eadem autem in epistola ad Corinthios dixit: *Non vobis excusamus nos, sed occasionem damus vobis gloriandi.* (2. Cor. 5. 12.) Atque iterum: *Mihi vero pro minimo est, ut a vobis judicer, aut ab humano die.* (1. Cor. 4. 3.) Cum enim doctor cogeretur se discipulis excusare, sustinet quidem illud, sed tamen indigne fert, haud quidem ob arrogantiam, absit hoc, sed partim ob id quod ii qui seducebantur, tam mobili essent animo, tamque instabili sententia: partim quod ipsius verbis apud illos parum certa fides haberetur; ac propemodum his utens verbis: An mihi apud vos est habenda oratio? An homines mihi jus dicturi sunt? apud Deum dicturi sumus. Atque ut apud illud tribunal bonam habeamus causam, omnia facimus, ac non eo devenimus infelicitatis, ut cum rationem reddituri simus omnium Domino super iis quæ prædicamus, corrumpamus evangelii dogmata.

8. Itaque partim sese excusans, partim illos exstimulans, hæc verba posuit. Non enim conveniebat discipulis, jus dicere præceptoribus, sed credere & obtemperare. Verum quoniam, inquit, inversus est ordo, & judices nunc sedetis: scitote mihi non esse magnopere curæ, quomodo me purgem apud vos, sed omnia facimus propter Deum, utque illi de hisce dogmatibus reddamus rationem. Etenim qui studet hominibus suadere, multa facit subdola pravaque, & fraudibus utitur & mendacio, quo persuadeat, mentemque capiat auditorum: contra, qui Deo suadet, illique placere studet, huic simplici puraque mente est opus: Deus enim falli non potest. Unde perspicuum est, inquit, nos quoque, nec principatum ambientes, nec discipulos colligendi studio, neque gloriam ac laudem a vobis captantes hæc scribere: neque enim nobis studio est placere hominibus, sed Deo. Nam si voluissem hominibus placere, adhuc cum Judæis essem, adhuc persequerer ecclesiam Dei. Cæterum qui totam Judæorum gentem, qui familiares, amicos & cognatos, qui tantam contemsi gloriam, proque his commutavi persequutiones, inimicitias, bella ac mortes quotidianas, satis declaravi me hæc quoque quæ nunc loquor, non humanæ laudis studio loqui. Hoc autem ideo præfatus est, quoniam commemoraturus est prioris vitæ suæ historiam,

[b] ὥστε ἐκεῖνον, notat in margine Savilius legendum esse πρὸς ἐκεῖνον, quæ lectio præstat omnino.

& quomodo repente fuerit immutatus, & argumentis evidentibus demonstraturus, se pro veritate stare. Ne putarent autem illum hæc eo facere, quo ipsis redderet rationem, atque hinc efferrentur, in superioribus illa dixit: Nunc an hominibus suadeo? Noverat enim prout postulabat opportunitas, etiam sublime quippiam ac magnificum loqui, ad eorum quos instituebat correctionem. Atqui poterat aliunde probare, se cum veritate ac sinceritate prædicare evangelium, nimirum e prodigiis, e miraculis, e periculis, e carceribus, & quotidianis mortibus, & fame, siti & nuditate ex aliis horum similibus: verum quoniam illi nunc dirigitur oratio non ad pseudapostolos, sed ad apostolos, qui horum periculorum erant consortes, alia via aggreditur causæ tractationem. Alioqui cum ad pseudapostolos sermonem intenderet, hunc in modum induxit comparationem, tolerantiam in periculis adducens in medium, dicensque: *Ministri Christi sunt? Desipiens loquor, plus ego; in laboribus abundantius, in plagis supra modum, in carceribus abundantius, in mortibus frequenter.* Nunc sane superioris vitæ conversationem memorat, dicens: 11. *Notum vobis facio, fratres, evangelium quod prædicatum est a me, non esse secundum hominem:* 12. *neque ego enim ab homine accepi illud, neque edoctus sum, sed per revelationem Jesu Christi.* Vide ut undequaque confirmat se fuisse Christi discipulum, nullo hominis interventu, sed ipso Christo per seipsum omnem ipsi cognitionem dignante patefacere. Et quomodo, inquiunt, probari possit incredulis, quod Deus per se, nullo hominis interventu tibi patefecerit illa arcana mysteria? Probat hoc, inquit, illa prior mea conversatio. Nisi enim Deus fuisset, qui revelabat, non adeo repente fuissem immutatus. Nam qui docentur ab hominibus, etiamsi sint acri ardentique ingenio, tamen si ad contraria transferantur, tempore illis est opus, multoque studio ut persuadeantur. Qui autem cum vehementissime laboraret insania, ita repente rediit ad sanam mentem, declarat sibi divinam visionem ac doctrinam adfuisse, perque hanc subito ad puram redisse sanitatem: ideoque cogitur priorem suam vitam commemorare, atque ipsos testes citat eorum quæ gesta sunt. Vos quidem, inquit, nescitis, quod Unigenitus Dei Filius me e cælis per se vocare dignatus est. Nam qui possitis id scire, cum non adfueritis? Verum illud omnino nostis, quod fuerim persequutor. Nam usque ad vos quoque vehementia mea penetravit, cum ingens sit intervallum inter Palæstinam & Galatiam, ita ut non fuerit rumor in tam longinquum dimanaturus, nisi quæ fiebant a nobis, modum excessissent, fuissentque intolerabilia. Unde & dicit: 13. *Audistis meam conversationem in Judaïsmo, quod supra modum persequebar ecclesiam Dei, & expugnabam illam.* Vides ut singula cum exaggeratione commemorat, nec pudet sua mala confiteri. Non enim tantum est persequutus, sed omni cum vehementia: nec persequutus est modo, ve-

2. Cor. 11. 23.

A καὶ τὴν ἀθρόαν μεταβολὴν, καὶ δεικνῦναι δι' ἐναργῶν ἀποδείξεων, ὅτι μετ' ἀληθείας μετέστη. ἵνα μὴ νομίσωσιν, ὅτι αὐτοῖς ἀπολογούμενος ταῦτα ποιεῖ, καὶ ἐπαρθῶσι. διὰ τοῦτο προεῖπεν· ἄρτι γὰρ ἀνθρώπους πείθω; οἶδε γὰρ εἰς καιρὸν τὸν προσήκοντα πρὸς τὴν τῶν μαθητευομένων διόρθωσιν καὶ ὑψηλὸν καὶ μέγα τι φθέγγεσθαι· καίτοιγε ἦν ἑτέρωθεν τὰς ἀποδείξεις ποιήσασθαι τοῦ μετὰ ἀληθείας κηρύττειν, ἀπὸ τῶν σημείων, ἀπὸ τῶν θαυμάτων, ἀπὸ τῶν κινδύνων, ἀπὸ τῶν δεσμωτηρίων, ἀπὸ τῶν καθημερινῶν θανάτων, ἀπὸ τοῦ λιμοῦ καὶ τοῦ δίψους, καὶ τῆς γυμνότητος, ἀπὸ τῶν B ἄλλων τῶν τοιούτων. ἀλλ' ἐπειδὴ οὐ πρὸς τοὺς ψευδαποστόλους, ἀλλὰ πρὸς τοὺς ἀποστόλους ὁ λόγος ἦν αὐτῷ νῦν, ἐκεῖνοι δὲ καὶ τούτων ἦσαν κεκοινωνηκότες, τῶν κινδύνων λέγω, ἑτέρωθεν μεθοδεύει τὸν λόγον, ἐπεὶ, ὅτε πρὸς τοὺς ψευδαποστόλους ἀπετείνατο, οὕτω προσάγει τὴν σύγκρισιν, τὴν ἐν τοῖς κινδύνοις ὑπομονὴν εἰς μέσον φέρων καὶ λέγων· διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· νῦν μέντοι τὴν προτέραν C ἀναστροφὴν λέγει, καί φησι· γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. ὅρα πῶς ἄνω καὶ κάτω τοῦτο διϊσχυρίζεται, ὅτι τοῦ Χριστοῦ γέγονε μαθητὴς, οὐκ ἀνθρώπου μεσιτεύοντος, ἀλλ' αὐτοῦ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι τὴν γνῶσιν αὐτῷ πᾶσαν. καὶ ποία τοῖς ἀπιστοῦσιν ἀπόδειξις γένοιτ' ἂν τοῦ τὸν θεὸν ἀποκαλύψαι σοι δι' ἑαυτοῦ, καὶ μὴ διὰ μέσου τινὸς τὰ ἀπόρρητα ἐκεῖνα μυστήρια; ἡ προτέρα ἀναστροφὴ, φησιν, οὐ D γὰρ ἂν, εἰ μὴ θεὸς ὁ ἦν ἐκκαλύπτων, οὕτως ἀθρόαν ἔσχον μεταβολήν. οἱ μὲν γὰρ ὑπὸ ἀνθρώπων διδασκόμενοι, ὅταν σφοδροὶ καὶ διακαεῖς ὦσιν ἐν τοῖς ἐναντίοις, χρόνου δέονται καὶ πολλῆς τῆς μηχανῆς πρὸς τὸ πεισθῆναι· ὁ δὲ οὕτως ἀθρόον μεταστὰς, καὶ ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρῶς νήψας, εὔδηλον ὅτι θείας τυχὼν ὄψεως καὶ διδασκαλίας, ἀθρόον πρὸς τὴν καθαρὰν ἐπανῆλθεν ὑγείαν. διὰ τοῦτο ἀναγκάζεται περὶ τῆς προτέρας αὐτοῦ διηγήσασθαι ἀναστροφῆς, καὶ μάρτυρας αὐτοὺς καλεῖ τῶν γινομένων. ὅτι μὲν γὰρ E κατηξίωσεν ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς δι' ἑαυτοῦ με καλέσαι ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε· πῶς γὰρ, οἱ μὴ παρόντες; ὅτι δὲ διώκτης ἤμην, σφόδρα ἴστε. καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη· καίτοι πολὺ τὸ διάστημα Παλαιστινῶν καὶ Γαλατῶν· ὥστε οὐκ ἂν τοσοῦτον διέβη ἡ φήμη, εἰ μὴ πολλὴ τῶν γινομένων ὑπερβολὴ ἦν, καὶ πᾶσιν ἀφόρητος. διὸ καί φησιν· ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἐπόρθουν αὐτήν. ὁρᾷς πῶς ἕκαστον μετὰ ἐπιτάσεως τίθησι, καὶ οὐκ αἰσχύνεται; οὐ γὰρ ἁπλῶς ἐδίωκεν, ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης, καὶ οὐκ ἐδίωκε μόνον, ἀλλὰ

ἀλλὰ καὶ ἐπόρθει, τουτέστι, σβέσαι ἐπεχείρει τὴν ἐκκλησίαν, καταστρέψαι, καθελεῖν, ἀφανίσαι. τοῦτο γὰρ πορθοῦντος ἔργον. καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ἵνα γὰρ μὴ νομίσῃς, ὅτι θυμοῦ τὸ πρᾶγμα ἦν, δείκνυσιν ὅτι ζήλῳ τὸ πᾶν ἐποίει, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν, οὐκ ἀπὸ κενοδοξίας, οὐδὲ ἔχθρας ἐκδιώκων, ἀλλὰ καὶ ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ὃ δέ φησι, τοῦτό ἐστιν· εἰ τὰ κατὰ τῆς ἐκκλησίας, οὐ δι' ἀνθρώπινον ἔπραττον, ἀλλὰ διὰ ζῆλον θεῖον, ἐσφαλμένον μὲν, ζῆλον δὲ ὅμως, πῶς νῦν ὑπὲρ τῆς ἐκκλησίας τρέχων, καὶ τὴν ἀλήθειαν ἐπιγνοὺς, διὰ κενοδοξίαν ταῦτα πράττω;

Εἰ γὰρ ἐν τῷ σφάλλεσθαι οὐκ ἐκράτει μου πάθος τοιοῦτον, ἀλλ' ὁ τοῦ θεοῦ ζῆλος ἐπὶ τοῦτό με ἤγαγε, πολλῷ μᾶλλον, ὅτε τὴν ἀλήθειαν ἐπέγνων, πάσης ἀπηλλάχθαι τοιαύτης δίκαιος ἂν εἴην ὑπονοίας. ὁμοῦ τε γὰρ μετέστην πρὸς τὰ τῆς ἐκκλησίας δόγματα, καὶ πᾶσαν ἀπεδυσάμην πρόληψιν Ἰουδαϊκὴν, πολλῷ πλείονα ζῆλον ἐνταῦθα ἐπιδειξάμενος· ὅπερ ἐστὶ σημεῖον τοῦ μετὰ ἀληθείας μεταστῆναι, καὶ ζήλῳ κατεχόμενον θείῳ. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί ἦν ἕτερον, εἰπέ μοι, τὸ παρασκευάζον γενέσθαι τοσαύτην μεταβολὴν, καὶ ὕβριν τιμῆς, καὶ κινδύνους ἀνέσεως, καὶ ταλαιπωρίαν ἀδείας ἀλλάξασθαι; οὐκ ἔστιν οὐδὲν, ἀλλ' ὁ τῆς ἀληθείας ἔρως μόνος. ὅτε δὲ εὐδόκησεν ὁ θεὸς, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίσωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. ὅρα τί σπουδάζει ἐνταῦθα δεῖξαι, ὅτι καὶ τὸν χρόνον, ὃν ἐγκατελείφθη, διά τινα οἰκονομίαν ἀπόρρητον ἀφείθη. εἰ γὰρ ἐκ κοιλίας μητρὸς ἀφώριστο γενέσθαι ἀπόστολος, καὶ κληθῆναι πρὸς τὴν διακονίαν ταύτην· ἐκλήθη δὲ τότε, καὶ ἅμα κληθεὶς ὑπήκουσε· δῆλον ὅτι ὁ θεὸς δι' ἀπόρρητόν τινα αἰτίαν ἀνεβάλλετο τέως. τίς οὖν αὕτη ἡ οἰκονομία; τάχα παρ' ἐμοῦ προοίμιον ἀκοῦσαι κεχήνατε, τί δήποτε οὐ μετὰ τῶν δώδεκα αὐτὸν ἐκάλεσεν. ἀλλ' ἵνα μὴ τοῦ κατεπείγοντος ἀποστὰς, μακρότερον ποιήσω τὸν λόγον, παρακαλῶ καὶ ἐγὼ τὴν ὑμετέραν ἀγάπην μὴ πάντα παρ' ἐμοῦ μανθάνειν, ἀλλὰ καὶ ἐξ ἑαυτῶν ζητεῖν, καὶ τὸν θεὸν παρακαλεῖν ἀποκαλύπτειν. [a] καὶ ἡμῖν δὲ εἴρηταί τις ὑπὲρ τούτων λόγος, ὅτε περὶ τῆς μεταθέσεως αὐτοῦ τῆς προσηγορίας πρὸς ὑμᾶς διελεγόμεθα, καὶ τίνος ἕνεκεν Σαῦλον αὐτὸν καλούμενον, Παῦλον ἐκάλεσεν. εἰ δὲ ἐπιλέλησθε, ἐν-

A rumetiam expugnavit: hoc est conatus est Ecclesiam exstinguere, subvertere, demoliri, abolere. Nam id est expugnatoris opus. 14. *Et proficiebam in Judaismo ultra multos æquales meos in genere meo, cum essem abundantius æmulator paternarum mearum traditionum.* Ne putares iræ fuisse quod gerebat, ostendit se quidquid fecit, zelo quodam fecisse, tametsi non secundum scientiam; non autem inanis gloriæ siti, aut vindicandi quos oderat cupidine, sed quod studio teneretur traditionum quas a majoribus acceperat. Hujus autem sermonis hic est sensus: Si quæ feci B adversus ecclesiam, non humano feci affectu, sed zelo divino, errante quidem, sed zelo tamen: quomodo nunc, dum pro ecclesia curro, agnita veritate, inanis gloriæ causa hæc facerem?

9. Etenim si in errore talis affectus mihi non est dominatus, sed Dei zelus eo me compulit, multo magis posteaquam agnovi veritatem oportet me ab omni istiusmodi suspicione liberum esse. Nam simul atque conversus sum ad ecclesiastica dogmata, protinus quidquid Judaïcarum opinionum occuparat animum meum, totum exui, C multoque majorem zelum hic præstiti. Quæ res arguit me vere fuisse transmutatum, divinoque zelo teneri. Quod nisi ita esset, quid, quæso, aliud mihi suadere poterat ut tantam sustinerem immutationem, ac pro honore contumeliam, pro requie pericula, pro securitate afflictiones susciperem? Nulla causa erat alia, nisi tantum veritatis amor. 15. *Cum autem placuisset Deo, qui me segregavit ex utero matris meæ, & vocavit per gratiam suam,* 16. *ut revelaret Filium suum in me, & prædicem illum in Gentibus protinus non communicavi cum carne & sanguine.* Vide D quid hic studet ostendere, quod per id etiam temporis quo relictus est in errore, propter occultam aliquam divinæ providentiæ rationem relictus sit. Etenim si ab utero matris segregatus erat ut fieret apostolus, & ad hoc ministerium vocaretur; vocatus est autem tunc, & simul vocatus, obsequutus est: perspicuum est Deum ob causam aliquam arcanam eo usque distulisse. Quæ igitur est hæc dispensatio? Fortassis inhiantes avetis hoc ab initio audire, cur tandem non cum cum duodecim apostolis vocaverit. Verum ne ego digressus ab eo quod magis urget, prolixiorem faciam sermonem, oro caritatem vestram, ne omnia ex me velitis discere, sed E ex vobis etiam ipsis inquiratis, Deum obsecrantes ut vobis patefaciat. Quamquam & nos super hac re alias sumus loquuti, cum de mutato Pauli nomine apud vos dissereremus, causamque redderemus, ob quam Deus prius dictum Saulum, Paulum appellarit. Quæ si vobis e memoria exciderunt,

[a] *καὶ ἡμῖν δὲ εἴρηται.* Hic quærit Chrysostomus & auditori vult explanare, primo cur Christus Pauli vocationem tamdiu distulerit, neque illum cum cæteris Apostolis vocaverit, & cur illum, qui Saulus antea vocabatur, Paulum appellari voluerit. Quia vero jam antea rem pluribus explanaverat, auditores mittit ad librum quemdam suum, ubi hæc fuse explicabantur. Liber autem ille complectebatur Homilias in principium Actorum & Homilias de Mutatione nominum, quæ prioribus hærebant. In prima autem de Mutatione nominum pluribus accurate probat e re fuisse, ut Paulus prius Christum & suos persequeretur, quam vocaretur ab illo. In secunda edisserit cur is qui antea Saulus appellabatur, postea Paulus vocatus fuerit. Verum hæc pluribus expenduntur in Monito præcedenti.

ex eo libro hæc omnia cognoſcetis. Nunc a ſerie ſermonis non recedamus, conſideremuſque quomodo rurſus oſtendit nihil humano more in ipſo factum eſſe, ſed Deum omnia ſuo arbitratu multa providentia diſpenſaſſe: oſtendit autem his verbis: *Et vocavit per gratiam ſuam.* Hinc declarat quod Deus ipſum ob virtutem vocaverit. Ait enim
Act. 9. 15. ad Ananiam: *Vas electionis eſt mihi, ut portet nomen meum coram gentibus ac regibus:* hoc eſt, Idoneus eſt miniſterio præclaroque facinori ſuſtinendo. Atque hanc vocationis cauſam hic ponit; idem tamen ubique totum gratiæ & ineffabili numinis humanitati tribuit, ita loquens: *Sed miſericordiam conſequutus ſum, non quod ſufficiens eſſem, neque quod idoneus, ſed ut in me declaret omnem lenitatem, in exemplum eorum qui credituri erant illi in vitam æternam.* Viden' humilitatem eximiam? Ideo, inquit, ego miſericordiam conſequutus ſum, ne quis de ſeipſo deſperet, poſteaquam omnium mortalium peſſimus, Dei benignitatem aſſequutus ſum.
1. Tim. 1. 16.
Id enim declarat dicens: *Ut in me demonſtraret omnem lenitatem, in exemplum eorum qui credituri eſſent in illo. Ut revelaret filium ſuum in me.* Alibi vero dicit ipſe, Chriſtus: *Nemo novit Filium niſi Pater, nec ullus novit Patrem, niſi Filius, & cui voulerit Filius revelare.* Vides quod & Pater Filium, & Filius Patrem revelat? idem fit in gloria; Filius glorificat Patrem, & Pater Filium. Glorifica me, ut & ego glorificem te. Et rurſum: Quemadmodum ego te glorificavi. Sed quam ob cauſam non dixit, ut revelaret Filium ſuum mihi, ſed in me? Ideo ita loquutus eſt, ut oſtenderet, quod non modo verbis edoctus eſſet de fide, verumetiam copioſo ſpiritus dono repletus. Revelatione ſiquidem illuſtrante illius animum, ſimul & Chriſtum habebat in ipſo loquentem. *Ut evangelizem illum in gentibus.* A Deo namque factum eſt, non ſolum ut crederet, verumetiam ut ad apoſtolicum munus deligeretur. Sic enim, inquit, mihi ſeipſum revelavit, non tantum ut ipſum cognoſcerem, verumetiam ut ejus notitiam ad alios proferrem. Nec tamen ſimpliciter dixit, apud alios, ſed ut evangelizem eum in gentibus: jam hinc incipiens attingere non minimum ſuæ defenſionis caput, ex ipſa diſcipulorum perſona. Nec enim erat illi par neceſſitas prædicandi Judæis & Gentibus. *Protinus non me contuli cum carne & ſanguine.* Apoſtolos hic ſubindicat, naturæ cognomento eos deſignans. Quod ſi hoc dicit de cunctis hominibus, nos non contradicemus. 17. *Neque aſcendi Jeroſolymam ad anteceſſores meos apoſtolos.* Hæc verba ſi quis per ſe expendat, videntur ſpirare non vulgarem magniloquentiam, plurimumque abeſſe ab apoſtolico ſpiritu. Etenim quod ipſe ſibi ſuffragium ferat, neque cum quoquam ſententiam communicet, videtur
Prov. 26. 12. eſſe faſtus. *Videbam*, inquit, *hominem, qui ſibi videbatur eſſe ſapiens: ſed majorem illo*

Luc. 10. 21. — Joan. 17. 1.

A τυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα. τέως δὲ τῆς ἀκολουθίας ἐχώμεθα, καὶ σκοπῶμεν πῶς πάλιν δείκνυσιν οὐδὲν ἀνθρώπινον περὶ αὐτὸν γεγενημένον, ἀλλὰ πάντα τὸν θεὸν τὰ κατ᾽ αὐτὸν μετὰ πολλῆς οἰκονομοῦντα προνοίας. καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ. ὁ μὲν θεός, φησι, διὰ τὴν ἀρετὴν αὐτοῦ κεκληκέναι αὐτόν· σκεῦος γὰρ ἐκλογῆς μοί ἐστι, πρὸς τὸν Ἀνανίαν ἔλεγε, τοῦ βαστάσαι τὸ
B ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, τουτέστιν, ἱκανὸς διακονῆσαι, καὶ ἔργον ἐπιδεῖξαι μέγα. καὶ ταύτην τὴν αἰτίαν τῆς κλήσεως τίθησιν· αὐτὸς δὲ πανταχοῦ τῆς χάριτος εἶναί φησι, τὸ πᾶν καὶ τῆς φιλανθρωπίας αὐτοῦ τῆς ἀφάτου, οὕτω λέγων· ἀλλ᾽ ἠλεήθην, οὐχ ὅτι ἱκανὸς ἤμην, οὐδ᾽ ὅτι ἐπιτήδειος· ἀλλ᾽ ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. εἶδες ταπεινοφροσύνης ὑπερβολήν; διὰ τοῦτο ἐγώ, φησιν, ἠλεήθην, ἵνα μηδεὶς ἀπογνῷ, ὡς τοῦ πάντων ἀνθρώπων κακίστου φιλανθρωπίας ἀπολελαυκότος.
C τοῦτο γὰρ δηλοῖ ἐν τῷ εἰπεῖν, ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ. ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί. ἀλλαχοῦ δέ φησιν ὁ Χριστὸς, οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, καὶ οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. εἶδες ὅτι καὶ ὁ πατὴρ υἱὸν, καὶ ὁ υἱὸς πατέρα ἀποκαλύπτει; οὕτω καὶ ἐπὶ τῆς δόξης, καὶ ὁ υἱὸς δοξάζει πατέρα, καὶ ὁ πατὴρ υἱόν. δόξασόν με, φησὶν, ἵνα δοξάσω σε· καὶ, καθὼς σε ἐγὼ ἐδόξασα. διὰ τί δὲ μὴ εἶπεν, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐμοὶ, ἀλλ᾽ ἐν ἐμοί; δεικνὺς ὅτι οὐ διὰ ῥημάτων μόνον ἤκουσε τὰ
D περὶ τῆς πίστεως, ἀλλὰ καὶ πολλοῦ πνεύματος ἐπληρώθη· τῆς ἀποκαλύψεως καταλαμπούσης αὐτοῦ τὴν ψυχὴν, καὶ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα. ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν. οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειροτονηθῆναι αὐτὸν παρὰ θεοῦ γέγονεν. οὕτω γάρ μοι αὐτὸν ἀπεκάλυψεν, οὐχ ἵνα ἴδω μόνον αὐτὸν, ἀλλ᾽ ἵνα καὶ εἰς ἄλλους ἐξενέγκω. καὶ οὐκ εἶπεν ἄλλους ἁπλῶς, ἀλλ᾽, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, ἐντεῦθεν ἤδη προανακρουόμενος οὐ μικρὸν τῆς ἀπολογίας κεφάλαιον, ἀπὸ τοῦ τῶν μαθητῶν προσώπου. οὐ γὰρ ὁμοίως Ἰου-
E δαίοις, καὶ τοῖς ἔθνεσι κηρύττειν ἀναγκαῖον ἦν. εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, ἀπὸ τῆς φύσεως αὐτοὺς καλῶν. εἰ δὲ καὶ περὶ πάντων ἀνθρώπων τοῦτό φησιν, οὐδὲ ἡμεῖς ἀντεροῦμεν. οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. ταῦτα εἰ μέν τις αὐτὰ καθ᾽ ἑαυτὰ ἐξετάσειε τὰ ῥήματα, δοκεῖ πολλῆς μεγαληγορίας γέμειν, καὶ πόῤῥω τοῦ φρονήματος εἶναι τοῦ ἀποστολικοῦ. τὸ γὰρ ἑαυτῷ ψηφίζεσθαι, καὶ μηδένα λαμβάνειν κοινωνὸν τῆς γνώμης, ἀνοίας εἶναι δοκεῖ. εἶδον γὰρ, φησιν, ἄνθρωπον φρόνιμον δόξαντα εἶναι παρ᾽ ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον

αὐτοῦ ὁ ἄφρων. καί, οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. καὶ αὐτὸς πάλιν, μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.

Οὐκ ἂν οὖν ὁ τοσαῦτα παρ' ἑτέρων ἀκούσας, καὶ αὐτὸς τὰ αὐτὰ παραινῶν ἑτέροις, τούτοις περιέπεσεν, οὐχ ὅτι Παῦλος, ἀλλ' οὐδὲ ὁ τυχὼν ἄνθρωπος. ἀλλ', ὅπερ ἔφην, γυμνὴ μὲν αὕτη ἐξεταζομένη ἡ ῥῆσις καὶ ὑφορμεῖν καὶ προσίστασθαι δύναταί τισι τῶν ἀκροατῶν. ἂν δὲ τὴν αἰτίαν προσθῶμεν δι' ἣν ταῦτα ἐλέγετο, καὶ κροτήσουσι καὶ θαυμάσονται πάντες [a] τὸν εἰρηκότα. τοῦτο τοίνυν ποιῶμεν. οὐδὲ γὰρ δεῖ τὰ ῥήματα γυμνὰ ἐξετάζειν, ἐπεὶ πολλὰ ἕψεται τὰ ἁμαρτήματα· οὐδὲ τὴν λέξιν καθ' ἑαυτὴν βασανίζειν, ἀλλὰ τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος. καὶ γὰρ ἐν ταῖς ἡμετέραις διαλέξεσιν, ἂν μὴ τούτῳ ὦμεν κεχρημένοι τῷ τρόπῳ, καὶ τὴν γνώμην ἐξετάζωμεν τοῦ λέγοντος, πολλὰς ὑποστησόμεθα τὰς ἀπεχθείας, καὶ πάντα ἀνατραπήσεται. καὶ τί δεῖ λέγειν ἐπὶ ῥημάτων, ὅπου γε ἐπὶ πραγμάτων ἂν μή τις τὸν κανόνα τοῦτον φυλάττῃ, πάντα ἄνω καὶ κάτω γενήσεται; καὶ γὰρ καὶ ἰατροὶ καὶ τέμνουσι καὶ διακλῶσί τινα τῶν ὀστέων, καὶ λῃσταὶ ταῦτα ποιοῦσι πολλάκις. [b] πόσης οὖν ἀθλιότητος ἂν εἴη, ὅταν λῃστὴν καὶ ἰατρὸν μὴ δυνηθῶμεν διελεῖν; πάλιν ἀνδροφόνοι, καὶ μάρτυρες τὰς αὐτὰς ὑπομένουσιν ὀδύνας βασανιζόμενοι· ἀλλὰ πολὺ τὸ μέσον ἑκατέρων. κἂν μὴ τοῦτον διατηρῶμεν τὸν κανόνα, οὐ δυνησόμεθα εἰδέναι ταῦτα, ἀλλὰ καὶ τὸν Ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Σαμουήλ, καὶ τὸν Φινεές, τὸν δὲ Ἀβραὰμ καὶ παιδοκτόνον, εἰ τὰ πράγματα μέλλοιμεν ἐξετάζειν γυμνά, μὴ προστιθέντες αὐτοῖς τὴν τῶν ποιούντων γνώμην. ἐξετάσωμεν τοίνυν καὶ τοῦ Παύλου τὴν διάνοιαν, ἀφ' ἧς ταῦτα ἔγραφεν· ἴδωμεν αὐτοῦ τὸν σκοπόν, καὶ τίς ἦν διόλου περὶ τοὺς ἀποστόλους, καὶ τότε εἰσόμεθα ταῦτα ἐκ ποίας ἐλέγετο γνώμης. οὐδὲ γὰρ ἐξευτελίζων ἐκείνους, οὔτε ἑαυτὸν ἐπαινῶν, οὔτε ταῦτα εἴρηκεν, οὔτε τὰ πρότερα· πῶς γάρ, ὅπου γε ἑαυτὸν ἀνεθεμάτισεν; ἀλλὰ πανταχοῦ τοῦ εὐαγγελίου τὴν ἀσφάλειαν διατηρῶν. ἐπειδὴ γὰρ ἔλεγον οἱ τὴν ἐκκλησίαν πορθοῦντες, ὅτι τοῖς ἀποστόλοις ἕπεσθαι δεῖ τοῖς μὴ κωλύουσι ταῦτα, οὐχὶ τῷ Παύλῳ τῷ κωλύοντι, ἐντεῦθεν δὲ κατὰ μικρὸν ἡ Ἰουδαϊκὴ πλάνη εἰσήγετο, ἀναγκάζεται στῆναι πρὸς ταῦτα γενναίως, οὐ τοὺς ἀποστόλους εἰπεῖν κακῶς βουλόμενος, ἀλλὰ τῶν οὐκ ὀρθῶς ἐπαιρομένων ἑαυτοὺς τὴν ἄνοιαν καταστεῖλαι βουλόμενος. διὰ τοῦτό φησιν, οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. καὶ γὰρ ἦν ἀτοπίας ἐσχάτης τὸν παρὰ τοῦ θεοῦ μαθόντα, ἀνθρώποις ἀνατίθεσθαι λοιπόν. ὁ μὲν γὰρ παρὰ ἀνθρώπων μανθάνων, εἰκότως ἀνθρώπους λαμβάνει κοινωνοὺς πάλιν· ὁ δὲ τῆς θείας ἐκείνης καὶ μακαρίας ἀξιωθεὶς φωνῆς, καὶ παρ' αὐτοῦ τὸν θησαυρὸν ἔχοντος τὸν σο-

*spem habet insipiens.* Et, *Væ iis qui prudentes sunt apud semetipsos & in oculis suis intelligentes.* (Isai. 5. 21.) Ac ipse Paulus rursum: *Ne sitis prudentes apud vosmetipsos.* (Rom. 12. 16.)

10. Itaque qui tam multa hujusmodi præcepta ab aliis audierat, quique eadem aliis præceperat, ipse in hæc incidit, non dicam Paulus, sed vel homo quivis. Verum, ut dixi, hic sermo si per se nudus expendatur, offendere movereque potest auditorem. Cæterum si causam adjecerimus, ob quam hæc dicebat apostolus, & applaudent & admirabuntur omnes ita loquutum. Hoc igitur faciamus. Non enim oportet verba nuda expendere, alioqui multa consequentur mala. Neque convenit sermonem per se nudum examinare, sed observare mentem scribentis. In nostris enim sermonibus nisi hac ratione fuerimus usi, expendentes quid senserit is qui loquitur, multas inducemus simultates, omniaque subvertentur. Et quid attinet loqui de verbis, quando & in factis, nisi regulam hanc servaverimus, omnia sursum deorsum miscebuntur? Nam & medici secant nonnunquam & ossa frangunt: quæ frequenter eadem faciunt & latrones. Annon igitur fuerit extremæ infelicitatis, si nequeamus latronem a medico discernere? Rursum homicidæ pariter ut martyres torquentur, at non quia patiuntur eadem tormenta, utrique eodem habentur loco, sed plurimum interest inter hos & illos. Quod ni regulam hanc servaverimus, nulla de re recte judicare poterimus: sed ipsum etiam Heliam homicidam censebimus, cumque hoc Samuëlem, & Phinees. Quin & Abraham filii interfectorem dicemus, si res nudas expendimus, non addentes, quo animo id fecit. Exquiramus igitur & Pauli mentem qua hæc scripsit, consideremus quo spectarit, quem scopum sibi proposuerit, & quis semper fuerit erga apostolos. Tum intelligemus, quo animo hæc scribat. Neque enim ut vel illos despiceret, vel seipsum prædicaret, loquutus est vel hæc, vel illa superiora. Quomodo enim id fecisset, qui in seipsum pronunciarit anathema? (Rom. 9.) sed ut ubique servaret Evangelii sinceritatem. Cum enim ii qui oppugnabant ecclesiam, dicerent, iis apostolis adhærendum esse, qui ista minime prohiberent, non Paulo qui prohiberet: atque hinc sensim irrepsisset Judaïcus error ac deceptio, cogitur hic fortiter & aperte resistere, non quidem volens apostolis maledicere, sed hoc agens ac moliens, ut eorum insolentiam, qui seipsos non recte laudabant, comprimeret, ideo dicit: *Non contuli cum carne & sanguine.* Fuisset enim extremæ absurditatis, eum qui a Deo fuerat edoctus, postea cum hominibus communicare. Nam qui discit ab hominibus, is jure denuo recipit homines in consortium: verum quem Deus sua beata voce dignatus est, quique ab eo doctus est, qui habet sapientiæ thesaurum: cur postea

a Post πάντες Savil. addit in margine, ὁμοφρόνως.

b πόσης οὖν ἀθεότητος. Sic Editi pessime, cum legendum sit ἀθλιότητος, *infelicitatis*, ut vertit interpres Latinus, qui post hæc verba, *Rursum homicidæ pariter ut Martyres torquentur*, addit, *at non quia patiuntur eadem tormenta, utrique eodem habentur loco*, quæ vel ex Græco exemplari convertit, vel suo marte addidit, ut non semel facit.

cum hominibus conferret ? Par enim fuerit, ut talis doceat potius homines, quam ut discat ab hominibus. Non igitur arrogantiæ causa hæc dicebat apostolus, sed ut suæ prædicationis auctoritatem declararet. *Neque ascendi*, inquit, *ad eos qui ante me fuerunt apostoli.* Quoniam illi nusquam non dicebant cæteros apostolos esse Paulo priores, & ante hunc fuisse vocatos, ideo dicit, Non ascendi ad eos. Quod si fuisset cum illis communicandum de Evangelio, is qui per revelationem injunxerat ei prædicandi munus, utique & hoc præcepisset. Quid igitur ? non ascendit, illuc ? Sane ascendit, sed ut disceret aliquid ab illis. Quando ? Cum in civitate Antiochia quæ ab initio singulare studium erga ecclesiam exhibuerat, quæstio nata est de hac ipsa re, quæ nunc tractatur. Quærebat autem, an essent circumcidendi, qui ex gentibus credidissent, an non compellendi potius, ut tale quidpiam paterentur. Id temporis ascendit Paulus, & cum eo Silas. Quomodo igitur dicit, non ascendi, neque contuli ? Primum quidem quoniam ipse sponte non ascenderat, sed missus erat ab aliis. Deinde quoniam non accessit eo, ut aliquid disceret, sed potius ut aliis persuaderet. Nam ipse statim ab initio fuerat ejus sententiæ, quam apostoli postea comprobarunt, videlicet, non oportere circumcidi. Cæterum quoniam ad eum usque diem non visus est illis sat idoneus cui fides haberetur; sed magis auscultabant iis qui versabantur Jerosolymis: ascendit non ipse percepturus quod ante nesciebat; sed ut contradicentibus persuaderet, eos qui Jerosolymis erant, huic sententiæ subscribere. Itaque ab initio quid esset agendum perspexerat, nec opus habebat ullo doctore, sed quæ post multam discussionem erant apostoli decreturi, hæc ipsa citra discussionem cælitus habebat apud sese certa & indubitata. Idque Lucas declarans dicit, Paulum prolixam & copiosam orationem habuisse super hisce rebus apud illos etiam priusquam iret Jerosolymam. Verum quoniam ita visum erat fratribus, ut ab illis quoque disceret, ascendit, non sua ipsius causa, sed illorum. Etsi vero dicit; *Non ascendi*: illud sic explicare possumus; quod nec initio prædicationis ascenderit; nec cum ascendit, ascenderit discendi gratia. Quandoquidem horum utrumque significat, dicens: *Protinus non contuli cum carne & sanguine.* Non simpliciter dixit, non contuli, sed, protinus non contuli: Quod si postea ascendit, non tamen ut quidpiam acciperet. *Sed abii*, inquit, *in Arabiam.* Contemplare ferventem animum. Studebat occupare regiones antehac a nemine cultas, sed quæ etiamnum feroces erant. Etenim si mansisset apud apostolos, cum nihil esset quod ab illis posset discere, prædicationis officium fuisset impeditum. Oportebat enim illos ubique disseminare verbum. Ideo hic beatus spiritu fervens, protinus aggressus est docere homines bar-

Quæstio an circumcidendi Christiani essent.

Act. 11. 2.

A φίας πάντα διδαχθεὶς, τίνος ἕνεκεν λοιπὸν ἀνθρώποις ἀνετίθετο; ὁ γὰρ τοιοῦτος οὐ μανθάνειν παρὰ ἀνθρώπων, ἀλλὰ διδάσκειν ἀνθρώπους δίκαιος ἂν εἴη. οὐ τοίνυν ἀπονοίας ἕνεκεν ταῦτα ἔλεγεν, ἀλλ' ὥστε δεῖξαι τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα. οὐδὲ ἀνῆλθον, φησι, πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔλεγον, ὅτι πρὸ αὐτοῦ ἦσαν ἐκεῖνοι, πρὸ αὐτοῦ ἐκλήθησαν, οὐκ ἀνῆλθον πρὸς ἐκείνους, φησίν. εἰ δὲ ἐχρῆν αὐτοῖς κοινώσασθαι, ὁ ἀποκαλύψας αὐτῷ τὸ κήρυγμα, καὶ τοῦτο ἂν αὐτῷ ἐκέλευσε. τί οὖν; οὐκ ἀνῆλθεν ἐκεῖ; καὶ μὴν ἀνῆλθε, καὶ οὐχ ἁπλῶς, B ἀλλὰ μαθησόμενός τι παρ' αὐτῶν. πότε; ὅτε ἐν τῇ πόλει τῶν Ἀντιοχέων, τῇ τὸν πολὺν ζῆλον ἄνωθεν ἐπιδειξαμένῃ ἐκκλησίᾳ, [a] γέγονε περὶ αὐτοῦ τούτου τοῦ νῦν προκειμένου, καὶ ἐζήτουν πότερον χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας, ἢ μηδὲν τοιοῦτον ἀναγκάζειν αὐτοὺς ὑπομένειν. τότε ἀνῆλθεν αὐτὸς οὗτος ὁ Παῦλος καὶ Σίλας. πῶς οὖν φησιν, οὐκ ἀνῆλθον, οὐδὲ ἀνεθέμην; ὅτι πρῶτον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον δὲ οὐ μαθησόμενος παρεγένετο, ἀλλ' ἑτέρους πείθων. αὐτὸς μὲν γὰρ ἐξ ἀρ- C χῆς ταύτης εἴχετο τῆς γνώμης, ἣν καὶ οἱ ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν, τὸ μὴ δεῖν περιτέμνεσθαι. ἐπειδὴ δὲ αὐτοῖς οὐκ ἐδόκει τέως ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς ἐν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν, οὐκ αὐτός τι εἰσόμενος πλέον, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις τούτοις ψηφίζονται. οὕτω καὶ ἐξ ἀρχῆς τὰ δέοντα συνεώρα, καὶ οὐδενὸς ἐδεῖτο διδασκάλου, ἀλλ' ἃ μετὰ πολλὴν διάσκεψιν ἔμελλον οἱ ἀπόστολοι κυροῦν, ταῦτα αὐτὸς πρὸ τῆς διασκέψεως ἄνωθεν εἶχεν ἀκίνητα παρ' ἑαυτῷ. καὶ ταῦτα ὁ D Λουκᾶς δηλῶν, ἔλεγεν, ὅτι πολὺν καὶ μακρὸν λόγον ὑπὲρ τούτων ἀπέτεινε πρὸς αὐτοὺς ὁ Παῦλος καὶ πρὶν εἰς Ἱεροσόλυμα ἐλθεῖν. ἐπειδὴ δὲ τοῖς ἀδελφοῖς ἔδοξε καὶ παρ' ἐκείνων μαθεῖν, ἀνῆλθεν ὑπὲρ ἐκείνων, οὐχ ὑπὲρ ἑαυτοῦ. εἰ δὲ λέγει, οὐκ ἀνῆλθον, ἔστι κἀκεῖνο εἰπεῖν, ὅτι οὔτε ἐν προοιμίοις τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε ἡνίκα ἀνῆλθεν, ἐπὶ τῷ μαθεῖν ἀνῆλθε. καὶ γὰρ καὶ ταῦτα ἀμφότερα ἐπισημαίνεται, λέγων· εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. οὐκ εἶπεν ἁπλῶς, οὐ προσανεθέμην, ἀλλ', εὐθέως. [b] εἰ δὲ μετὰ ταῦτα E ἀνῆλθεν, οὐχ ὑπὲρ τοῦ τι προσλαβεῖν. ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν. ὅρα ζέουσαν ψυχήν· τοὺς τόπους ἐσπούδαζε καταλαμβάνειν τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριώτερον ἔτι διακειμένους. εἰ γὰρ μετὰ τῶν ἀποστόλων ἀνέμενεν, οὐδὲν ἔχων μανθάνειν, τὸ κήρυγμα ἂν ἐνεποδίσθη. ἔδει γὰρ αὐτοὺς πανταχοῦ τὸν λόγον διαδοῦναι. διὰ τοῦτο ὁ μακάριος οὗτος, καὶ ζέων τῷ πνεύματι, τῆς διδασκαλίας εὐθέως ἥπτετο

a Post ἐκκλησίᾳ vox quædam deest, nempe ζήτησις, vel quæpiam similis, quam interpres Latinus vertit *quæstio*.

b Ante hæc verba, εἰ δὲ μετὰ ταῦτα, interpres Latinus isthæc adjecit, quæ non sunt in exemplari nostro Græco, *simul & illud subindicans, quod huic rei nihil anteposuerit.*

ἀνθρώπων βαρβάρων, καὶ ἀγρίων, βίον ἐναγώνιον αἱρούμενος, καὶ πολὺν ἔχοντα τὸν πόνον.

Καὶ θέα μοι τὴν ταπεινοφροσύνην. Εἰπὼν γάρ, ἀπῆλθον εἰς Ἀραβίαν, ἐπήγαγε, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. οὐ λέγει τὰ κατορθώματα αὐτοῦ, οὐδὲ τίνας κατήχησε, καὶ πόσους, καίτοιγε ἅμα τῷ βαπτισθῆναι τοσοῦτον ἐπεδείξατο ζῆλον, ὡς συγχέειν Ἰουδαίους, καὶ εἰς τοσοῦτον ἤγαγε παροξυσμόν, ὡς ἐφεδρεύειν καὶ βούλεσθαι αὐτὸν ἀνελεῖν καὶ αὐτοὺς καὶ τοὺς Ἕλληνας· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ πολλὴν ἐποίησε τοῖς πιστεύουσι τὴν προσθήκην. ἐπειδὴ B γὰρ ἡττῶντο τῇ διδασκαλίᾳ, λοιπὸν ἐπὶ φόνον ἐτρέποντο, ὅπερ τῆς τοῦ Παύλου νίκης σημεῖον καθαρὸν ἦν. ἀλλ' οὐκ εἴασεν αὐτὸν ὁ Χριστὸς ἀποθανεῖν, τηρῶν αὐτὸν τῷ κηρύγματι. ἀλλ' ὅμως οὐδέν φησι, τῶν κατορθωμάτων τούτων. οὕτως ἅπερ λέγει πάντα, οὐ φιλοτιμίας ἕνεκεν λέγει, οὐδὲ ὑπὲρ τοῦ νομισθῆναι τῶν ἀποστόλων μείζων, οὐδὲ δακνόμενος ἐπὶ τῷ ἐξευτελίζεσθαι, ἀλλὰ δεδοικὼς μή τι γένηται τῷ κηρύγματι βλάβος ἐντεῦθεν. καὶ γὰρ ἔκτρωμα ἑαυτὸν καλεῖ, καὶ πρῶτον τῶν ἁμαρτωλῶν, καὶ ἔσχατον τῶν ἀποστόλων, καὶ τῆς προσηγορίας τῆς τοιαύτης C ἀνάξιον· καὶ ταῦτα ἔλεγεν ὁ πλέον πάντων κοπιάσας, ὅπερ μάλιστά ἐστι ταπεινοφροσύνης. ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθόν, ταπεινὰ δὲ περὶ ἑαυτοῦ λέγων, εὐγνώμων, οὐ ταπεινόφρων ἐστίν· ὁ δὲ μετὰ τοσούτους στεφάνους τοιαῦτα φθεγγόμενος, ἐκεῖνός ἐστιν ὁ μετριάζειν εἰδώς. καὶ πάλιν ὑπέστρεψα, φησίν, εἰς Δαμασκόν. καίτοι πόσα αὐτὸν ἐκεῖ εἰργάσθαι εἰκὸς ἦν; περὶ γὰρ τῆς πόλεώς φησι ταύτης, ὅτι πᾶσαν αὐτὴν ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφύλαττε, τὸν μακάριον σαγηνεῦσαι βουλόμενος· ὅπερ σημεῖον μέγιστον ἦν τοῦ σφόδρα καὶ κατὰ κράτος ἐλαύνειν αὐτὸν τοὺς Ἰουδαίους. ἀλλ' οὐδὲν τούτων ἐνταῦθα λέγει, οὐδ' ἂν ἐκεῖ D αὐτὰ τότε τέθεικεν, εἰ μὴ καὶ τότε τὸν καιρὸν εἶδεν ἐκεῖνον ἀπαιτοῦντα τὴν ἱστορίαν, ἀλλ' ἐσίγησεν ἄν· ὥσπερ οὖν καὶ ἐνταῦθα, ὅτι ἦλθε καὶ ἀπῆλθε λέγων, οὐκέτι προστίθησι τὰ ἐντεῦθεν γενόμενα. ἔπειτα μετὰ τρία ἔτη ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον. τί ταύτης ταπεινοφρονέστερον γένοιτ' ἂν τῆς ψυχῆς; μετὰ τοσαῦτα καὶ τοιαῦτα κατορθώματα, μηδὲν Πέτρου δεόμενος, μηδὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ· πλέον γὰρ οὐδὲν ἐρῶ τέως· ὅμως ἀνέρχεται, ὡς πρὸς μείζονα καὶ πρεσβύτερον· καὶ τῆς ἀποδημίας αὐτῷ τῆς ἐκεῖ γίνεται αἰτία, ἡ E ἱστορία Πέτρου μόνη. ὁρᾷς πῶς τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει τιμήν, καὶ οὐ μόνον ἀμείνω, ἀλλ' οὐδὲ ἴσον ἑαυτὸν ἐκείνων εἶναι νομίζει; καὶ τοῦτο ἐκ τῆς ἀποδημίας ταύτης δῆλον. καθάπερ γὰρ νῦν πολλοὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων πρὸς ἁγίους ἄνδρας ἀποδημοῦσιν, οὕτω καὶ Παῦλος πρὸς Πέτρον τότε διακείμενος ἀπῄει· μᾶλλον δὲ καὶ πολλῷ ταπεινότερον. οἱ μὲν γὰρ νῦν ὠφελείας ἕνεκεν ἀποδημοῦσιν· ὁ δὲ μακάριος τότε ἐκεῖνος, οὐχ ὡς μαθησόμενός τι παρ' αὐτοῦ, οὐδὲ ὡς διόρθωσίν τινα δεξόμενος,

A baros & agrestes, vitæ genus suscipiens multis laboribus ac periculis obnoxium.

11. Jam mihi considera illius humilitatem. Cum dixisset : *Abii in Arabiam*, subjunxit, *Et iterum reversus sum Damascum.* Non commemorat sua præclara facta, neque quos edocuerit, neque quam multos. Atque adeo mox ut baptizatus est, tantum exhibuit zelum, ut non solum confunderet Judæos, sed ad tantam iracundiam provocaret, tum illos, tum Gentes, ut ipsi struxerint insidias, conatique sint e medio tollere. Quod non accidisset, nisi credentibus maB gnam adjunxisset accessionem. Cum enim doctrina superarentur, restabat ut ad cædem sese verterent : quod quidem evidens erat argumentum Paulinæ victoriæ. At non passus est Christus illum interimi, servans eum prædicando evangelio. Attamen nihil loquitur de recte factis hisce. Sic & omnia quæ dicit, non ambitionis gratia dicit, neque quo cæteris apostolis præstantior habeatur, neque ægre ferens quod despiceretur, sed quod metueret, ne quid hinc detrimenti accideret prædicationi. Nam & abortivum seipsum appellat, & omnium peccatorum primum, ac postremum apostolorum, & hujus honore nominis indignum. Atque hæc C dicebat, cum plus omnibus laborasset. Quod quidem præcipuum est humilitatis signum. Etenim cum qui sibi nullius bonæ rei conscius est, submisse de seipso loquitur; probus est, non humilis. At qui post tot coronas talia loquitur, ille novit quid sit modestia. *Et iterum reversus sum*, inquit, *Damascum.* Atqui quanta verisimile est cum illic egisse? De hac civitate refert quod eam præfectus, cui rex Areta gentis ejus curam delegaret, custodiret, cupiens beatum illum comprehendere. Quod quidem maximum argumentum erat, illum acriter magnaque vi vexare Judæos. Verum horum nihil hic comD memorat. Ac ne illic quidem ea commemoraturus erat, sed reticuisset, nisi tum perspexisset tempus illud eam historiam postulare. Sic igitur & hic dicens se isse ac rediisse, præterea nihil addit eorum quæ illic gesta fuerant. 18. *Deinde post tres annos ascendi Jerosolymam, ut viderem Petrum.* Quid hoc animo possit esse modestius? Post tanta tamque præclara gesta, cum nihil opus haberet Petro, nec illius egeret voce, sed honore par esset illi, nihil enim hic dicam amplius : tamen ascendit velut ad majorem ac seniorem, solusque Petri conspectus comE movit illum, ut eo proficisceretur. Vides quomodo illis tribuit congruentem honorem, neque solum non ducit seipsum illis meliorem, verum ne parem quidem esse putat? id quod ex ipsa profectione liquet. Sicut enim nunc multi fratrum nostrorum ad viros sanctos proficiscuntur, eodem affectu tunc Paulus ad Petrum profectus est. Quin potius erat hoc multo humilius, quod fecit Paulus. Nam isti nunc utilitatis suæ gratia peregrinationem suscipiunt; at tum beatus ille non ut disceret aliquid ab illo, neque ut correctionem aliquam acciperet, profectus

1. Cor. 15. Tim. 1.

1. Cor. 15. 33.

est: sed tantum ut videret eum, suaque præsentia honoraret. *Ut viderem*, inquit, *Petrum ascendi.* Non dixit ἰδεῖν, id est, ut cernerem Petrum, sed, ἱστορῆσαι, id est, ut viderem & cognoscerem: quomodo loqui solent, qui magnas ac splendidas urbes invisunt cognoscendi gratia. Adeo judicabat operæ precium esse tantummodo videre virum. Idem autem ex ipsis factis perspicuum est; proficiscens enim Jerosolymam, cum multas jam nationes convertisset, tantasque res gessisset, quantas cæterorum nemo gesserat, Pamphyliam, Lycaoniam, Cilicum Gentem, omnes qui illam orbis partem habitant, ad rectam vitam instituisset, & ad Christum adduxisset, primum quidem ingreditur ad Jacobum, plurima cum modestia velut ad majorem & honoratiorem. Deinde consulentem sustinet, & consulentem contraria iis, quæ nunc tractat. *Vides-ne*, inquit, *frater quot millia sunt Judæorum qui crediderunt? Itaque rade* Act. 20. 21. *caput, & purifica teipsum.* Rasit caput, omnesque ritus Judaicos peregit. Ubi enim non lædebatur evangelium, omnium humillimus erat. Cæterum ubi conspexit nonnullos ex hac humilitate lædi, non amplius usus est hac immodica modestia. Jam enim hoc fuisset non præstare modestiam, sed lædere atque corrumpere discipulos. *Et mansi apud illum diebus quindecim.* Itaque quod propter illum profectus sit, multum honorem declarat; quod autem ibi tot dies commoratus sit, amicitiam ac vehementissimam arguit caritatem. *Alium vero apostolorum vidi neminem, nisi Jacobum fratrem Domini.* Vide ut majorem benevolentiam habuit erga Petrum. Hujus enim causa peregrinationem susceperat, & apud eumdem commoratus est. Hæc & dico frequenter, & vos memoria tenere volo, ut si qua audieritis, quæ adversus Petrum dixisse videatur, ne quis suspectum habeat Paulum apostolum. Siquidem hanc ob causam & ipse hæc loquitur, præveniens ut talem corrigat suspicionem, ut cum dicit, Restiti Petro; ne quis hæc verba putet esse simultatis aut contentionis. Nam & honorat virum, & diligit plus omnibus. Nec enim ob ullum aliorum apostolorum narrat se ascendisse Jerosolymam, sed propter hunc solum. Cæterorum autem, inquit, apostolorum vidi neminem, nisi Jacobum. Vidi, inquit, non doctus sum ab eo quidquam. Sed vide quanto cum honore & hunc nominavit. Non enim simpliciter dixit Jacobum, sed magnificum illud elogium addidit, *Fratrem Domini;* usque adeo liber erat ab omni livore. Etenim si tantum indicare voluisset eum de quo loqueretur, poterat alia nota declarare, si dixisset, Jacobum Cleopæ, quod cognomen posuit evangelista. Verum non ita loquutus est, sed quoniam existimat honoris titulos apostolorum sibi esse proprios, veluti seipsum honestans, ita & illum veneratur. Non enim sic appellavit eum, ut dicebam, sed quomodo? fratrem Domini. Atqui nec

Paulus honorabat Petrum.

A ἀλλὰ διὰ τοῦτο μόνον, ὥστε ἰδεῖν αὐτὸν, καὶ τιμῆσαι τῇ παρουσίᾳ. ἱστορῆσαι γάρ φησι Πέτρον, καὶ οὐκ εἶπεν ἰδεῖν Πέτρον, ἀλλ' ἱστορῆσαι Πέτρον, ὅπερ οἱ τὰς μεγάλας πόλεις καὶ λαμπρὰς καταμανθάνοντες λέγουσιν. οὕτω πολλῆς ἄξιον ἡγεῖτο σπουδῆς εἶναι καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα. τοῦτο δὲ καὶ ἀπὸ τῶν πράξεων δῆλον. ὅτε γὰρ ἦλθεν εἰς Ἱεροσόλυμα, πολλοὺς τῶν ἐθνῶν ἐπιστρέψας, καὶ τοσαῦτα ἐργασάμενος, ὅσα τῶν ἑτέρων οὐδεὶς, τὴν Παμφυλίαν, B τὴν Λυκαονίαν, τὸ Κιλίκων ἔθνος, πάντας τοὺς κατὰ τὸ μέρος ἐκεῖνο τῆς οἰκουμένης διορθωσάμενος καὶ τῷ Χριστῷ προσαγαγὼν, πρῶτον μὲν εἰσέρχεται πρὸς Ἰάκωβον μετὰ πολλῆς τῆς ταπεινοφροσύνης, ὡς πρὸς μείζονα καὶ τιμιώτερον. ἔπειτα συμβουλεύοντος ἀνέχεται, καὶ συμβουλεύοντος ἐναντία τῶν νῦν. ὁρᾷς γάρ, φησιν, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; ἀλλὰ ξύρησαι, καὶ ἁγνίσθητι. καὶ ἐξυρήσατο, καὶ τὰ Ἰουδαϊκὰ πάντα ἐπετέλεσεν. ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ εὐαγγέλιον, πάντων ταπεινότερος ἦν· ἔνθα δὲ ἐκ τῆς ταπεινοφρο- C σύνης ἑώρα τινὰς ἀδικουμένους, οὐκέτι ἐκέχρητο τούτῳ τῷ πλεονεκτήματι. τοῦτο γὰρ οὐκ ἦν λοιπὸν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι καὶ διαφθείρειν τοὺς μαθητευομένους. καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. τὸ μὲν οὖν, δι' αὐτὸν ἀποδημῆσαι, τιμῆς ἦν πολλῆς· τὸ δὲ καὶ τοσαύτας ἐπιμεῖναι ἡμέρας, φιλίας καὶ σφοδροτάτης ἀγάπης. ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου. ὅρα πῶς πρὸς τὸν Πέτρον μείζονα τὴν φιλίαν ἔχει. καὶ D γὰρ δι' αὐτὸν ἀπεδήμησε, καὶ πρὸς αὐτὸν ἔμεινε. ταῦτα δὲ καὶ λέγω συνεχῶς, καὶ ἀξιῶ φυλάττειν, ἵν' ὅταν ἀκούσητε, ἃ κατὰ Πέτρου δοκεῖ εἰρηκέναι, μηδεὶς ὑποπτεύσῃ τὸν ἀπόστολον. διὰ γὰρ τοῦτο καὶ αὐτὸς τοῦτο προδιορθούμενος ταῦτά φησιν, ἵνα ὅταν λέγῃ, ὅτι ἀντέστην Πέτρῳ, μηδεὶς ἔχθρας, καὶ φιλονεικίας ταῦτα εἶναι νομίσῃ τὰ ῥήματα. καὶ γὰρ τιμᾷ τὸν ἄνδρα, καὶ φιλεῖ μᾶλλον πάντων. δι' οὐδένα γὰρ τῶν ἀποστόλων ἀνεληλυθέναι φησὶν, ἀλλ' ἢ δι' αὐτὸν μόνον. ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, φησιν, εἰ μὴ E Ἰάκωβον. εἶδον, οὐκ ἐδιδάχθην, φησὶ, παρ' αὐτοῦ οὐδέν. ἀλλ' ὅρα καὶ τοῦτον μεθ' ὅσης τιμῆς ὠνόμασεν. οὐ γὰρ εἶπεν ἁπλῶς, Ἰάκωβον, ἀλλὰ καὶ τὸ σεμνολόγημα προσέθηκεν· οὕτω βασκανίας ἁπάσης ἀπηλλαγμένος ἦν. εἰ γὰρ σημᾶναι ὃν ἔλεγεν ἤθελεν, ἐνῆν καὶ ἐξ ἑτέρου γνωρίσματος τοῦτο ποιῆσαι δῆλον, καὶ εἰπεῖν τὸν τοῦ Κλωπᾶ, ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν. ἀλλ' οὐκ εἶπεν οὕτως· ἀλλ' ἐπειδὴ τὰ τῶν ἀποστόλων σεμνολογήματα ἴδια εἶναι ἐνόμιζεν, ὡς ἑαυτὸν ἐπαίρων, οὕτω σεμνύνει κἀκεῖνον. οὐ γὰρ ἐκάλεσεν αὐτὸν οὕτως, ὡς εἶπον, ἀλλὰ πῶς; τὸν ἀδελφὸν τοῦ

κυρίου. καίτοιγε οὐδὲ κατὰ σάρκα ἀδελφὸς ἦν τοῦ κυρίου, ἀλλ' οὕτως ἐνομίζετο· ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπεστράφη τὸ ἀξίωμα θεῖναι τοῦ ἀνδρός, καὶ πολλαχόθεν ἄλλοθεν δείκνυται, ὅτι διέκειτο πρὸς τοὺς ἀποστόλους πάντας οὕτω γνησίως, ὡς αὐτῷ πρέπον ἦν. ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδομαι. εἶδες διὰ πάντων ὁμοίως ἐκλάμπουσαν τῆς ἁγίας ταύτης ψυχῆς τὴν ταπεινοφροσύνην; καθάπερ γὰρ ἐν δικαστηρίῳ ἀγωνιζόμενος, καὶ μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἐσπούδακεν ἀπολογήσασθαι. ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ Κιλικίας· μετὰ τὸ Πέτρον ἰδεῖν. πάλιν ἄρχεται τοῦ λόγου καὶ τοῦ ἀγῶνος τοῦ προκειμένου, τῆς μὲν Ἰουδαίας οὐχ ἁπτόμενος, διά τε τὸ πρὸς τὰ ἔθνη ἀπεστάλθαι, καὶ διὰ τὸ μὴ ἀνελέσθαι ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομεῖν. διόπερ οὐδὲ κατὰ ψιλὴν αὐτοὺς συντυχίαν εἶδε. καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. ἤμην γάρ, φησιν, ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας. μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει. τί ταύτης τῆς ψυχῆς μετριώτερον γένοιτ' ἄν; ὅτε μὲν γὰρ τὰ φέροντα αὐτῷ κατηγορίαν διελέγετο, οἷον ὅτι ἐδίωκε τὴν ἐκκλησίαν, καὶ ἐπόρθει αὐτήν, μετὰ πολλῆς αὐτὰ τέθεικε τῆς ὑπερβολῆς, ἐκπομπεύων αὐτοῦ τὸν βίον τὸν πρότερον· τὰ δὲ μέλλοντα αὐτὸν δεικνύναι λαμπρόν, ταῦτα παρατρέχει. καὶ δυνάμενος, εἴπερ ἐβούλετο, τὰ κατορθώματα αὐτοῦ πάντα εἰπεῖν, οὐδὲν αὐτῶν τίθησιν, ἀλλ' ἑνὶ ῥήματι πέλαγος παρελθὼν ἄφατον, καὶ εἰπών, ὅτι ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας, καὶ ὅτι ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει, οὐδὲν πλέον προσέθηκε. τί δὲ αὐτῷ βούλεται τὸ λέγειν, ὅτι ἀγνοούμενος ἤμην ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας; ἵνα μάθῃς, ὅτι τοσοῦτον ἀπεῖχε τοῦ κηρύξαι αὐτοῖς περιτομήν, ὅτι οὐδὲ ἀπὸ ὄψεως γνώριμος ἦν αὐτοῖς. καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν. σκόπει δὲ ἐνταῦθα τὸν κανόνα αὐτοῦ τῆς ταπεινοφροσύνης, πῶς αὐτὸν διατηρεῖ μετὰ ἀκριβείας. οὐ γὰρ εἶπεν, ὅτι ἐθαύμαζόν με, ἐπῄνουν με, ἐξεπλήττοντο, ἀλλὰ τὸ πᾶν τῆς χάριτος ἔδειξεν ὄν. τὸν γὰρ θεὸν ἐδόξαζόν, φησιν, ἐν ἐμοί.

A frater erat Domini secundum carnem, sed esse putabatur. Attamen ne id quidem avertit Paulum, quominus adderet viro dignitatis titulum. Quin & aliunde multifariam ostendit Paulus se tam sincere erga apostolos affectum fuisse, quam illo dignum erat. 20. *Quæ autem scribo vobis, ecce coram Deo, quod non mentior.* Vides in omnibus similiter elucentem hujus sancti animi humilitatem? Ac si enim in judicio concertaret, ac pœnas daturus esset. Nec enim aliter quam si apud tribunal periclitaretur, essetque perpessurus sententiam ac pœnam, B ita studuit excusare sese. 21. *Deinde veni in regiones Syriæ & Ciliciæ;* postquam Petrum viderat, rursus incipit narrare de certamine, quod propositum est, Judæam quidem non attingens, tum quod ad Gentes missus esset, tum quod noluerit super alienum fundamentum ædificare. Cujus rei gratia ne simplici quidem congressu viderat illos. Idque perspicuum est ex iis quæ sequuntur. 22. *Eram enim*, inquit, *de facie ignotus ecclesiis Judææ:* 23. *Tantum audierant, quod is qui aliquando persequebatur nos, nunc annunciat fidem, quam pridem expugnabat.* Quid hoc animo possit esse mo- C destius? Nam cum exponeret ea, quæ pertinebant ad ipsius accusationem, ut quod persequutus esset ecclesiam Dei, quodque devastaret eam, hæc multa cum exaggeratione protulit, traducens suam ipsius vitam prius actam; illa vero, quæ ipsum splendidum demonstratura erant, prætercurrit; cum potuisset omnia sua præclara gesta commemorare, nihil horum refert, sed unico verbo pelagus immensum prætervectus dicit: *Veni in regiones Syriæ & Ciliciæ;* &, *audierant, quod is qui persequebatur nos aliquando, nunc prædicat fidem, quam pridem* D *expugnabat;* nec præterea quidquam addidit. Quid autem sibi vult, cum ait: *Ignotus eram ecclesiis Judææ?* ut scires, adeo Paulum non prædicasse Judæis circumcisionem, ut ipse ne de facie quidem fuerit illis notus. 24. *Et glorificabant in me Deum.* Hic perpende regulam Paulinæ modestiæ, quantoque studio eam observet. Non enim dixit, admirabantur me, laudabant me, stupebant: sed declaravit totum hoc esse gratiæ, dicens: *Deum glorificabant in me.*

## ΚΕΦΑΛΑΙΟΝ β'.

## E CAPUT SECUNDUM.

Ἔπειτα δὲ διὰ δεκατεσσάρων ἐτῶν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον. ἀνέβην δὲ κατὰ ἀποκάλυψιν.

1. *Deinde post annos quatuordecim ascendi Jerosolymam una cum Barnaba, assumto simul & Tito.* 2. *Ascendi autem secundum revelationem.*

ΤΗΣ μὲν πρώτης ἀναβάσεως τὴν αἰτίαν Πέτρον εἶναί φησι, καὶ τὸ ἱστορῆσαι ἐκεῖνον, τῆς δὲ δευτέρας, τὴν ἀποκάλυψιν τὴν τοῦ πνεύματος. καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν

1. PRIORIS itineris causam Petrum ait fuisse, utque illum videret: ut autem iterum ascenderet, in causa fuisse revelationem spiritus. *Et contuli cum eis Evangelium, quod prædico in gentibus. Seorsum autem iis, qui videbantur esse alicujus existima-*

*tionis, ne forte in vanum currerem, aut cucurrissem.* Quid ais, Paule? Qui initio nolebas conferre, neque per annos tres, peractis quatuordecim annis tum confers, ne forte in vanum curreres? At quanto melius fuerat illud protinus in initio fecisse, quam post tot annos? Cur autem currebas, si non persuasum habebas, te non in vanum currere? Et quis tam excors est, ut tot annos prædicet, ignarus an recte prædicet? Jam illud hoc etiam multo perplexius est, quod ait se secundum revelationem ascendisse. Hoc est difficilius, ut dicebam, priore: sed tamen idoneum ut nobis & illius porrigat solutionem. Nam si sua sponte ascendisset, ne id quidem ullo pacto consentaneum esset rationi. Non enim erat illius beatæ animæ in tantam delabi amentiam. Siquidem ipse est qui
1. Cor. 9. 26. dicit: *Sic curro, ut non in incertum: sic pugno, non ut aërem verberans.* Quod si curris non in incertum, quomodo dicis, ne forte in vanum currerem, aut cucurrissem? Unde perspicuum est, quod si ascendisset absque revelatione, accidisset illi quod insipientibus solet accidere: attamen casus non fuisset perinde absurdus. Cum autem illum spiritus gratia ducit, quis deinceps ausit aliquid tale suspicari? Nam hanc ob causam & ipse addidit illud, secundum revelationem, ne quis ante quæstionis solutionem, condemnaret illum inscitiæ, nimirum sciens non esse humanum quod geritur, sed divinæ dispensationis multa providentis & de præsentibus, & de futuris. Quæ tandem igitur hujus peregrinationis causa? Quemadmodum cum prius ascenderet Antiochia Jerosolymam, non sua sponte ascendit; nam ipse planissime noverat, simpliciter ac mere Christi decretis hærendum esse; sed cupiens eos qui dissidebant, redigere in concordiam: Similiter & nunc non ipsi fuit opus discere, an in vanum cucurrisset: sed ut iis qui ipsum accusabant, id omnino persuaderetur. Cum enim magnificentiorem de Petro & Joanne opinionem haberent: putarentque apostolos inter se dissidere, eo quod hic prædicaret Evangelium absque circumcisione, illi contra permitterent eam, atque hinc existimabant Paulum adversum legem agere, & in vanum currere: *ascendi*, inquit, *& contuli cum illis Evangelium*; non ut ipse quidquam discerem: quod ipsum post apertius dicit, sed ut docerem eos, qui hæc suspicantur; me non in cassum currere. Spiritus enim qui præviderat hanc contentionem orituram, procurarat ut Paulus illuc ascenderet & conferret. Ideo dixit, secundum revelationem ascendi, eademque de causa Barnabam ac Titum sibi adjunxit, testes futuros prædicationis. *Et contuli*, inquit, *cum illis Evangelium, quod prædico in gentibus*, hoc est, sine circumcisione. *Seorsum autem iis qui videbantur alicujus existimationis.* Quid significare voluit, dicendo, seorsum? Nam qui communia dogmata studet corrigere, non seorsum, sed in publicum ea proponit. Paulus autem non ita. Non enim cupiebat aliquid discere, corrigereve suorum dogmatum, sed occasionem adimere cupientibus alios

A τρέχω, ἢ ἔδραμον. τί φῂς, ὦ Παῦλε; ὁ παρὰ τὴν ἀρχὴν μὴ ἑλόμενος ἀναθέσθαι, μηδὲ μετὰ ἔτη τρία, δεκατεσσάρων παρελθόντων ἐτῶν, τότε ἀνατίθης, μήπως εἰς κενὸν τρέχῃς; καὶ πόσῳ βέλτιον ἦν εὐθέως ἀρξάμενον τοῦτο ποιῆσαι, ἢ μετὰ ἔτη τοσαῦτα; τί δὲ καὶ ἔτρεχες, εἰ μὴ πεπεισμένος ἦς, ὅτι οὐκ εἰς κενὸν ἔτρεχες; τίς οὕτως ἀνόητος, ὡς ἔτη τοσαῦτα κηρύττειν, οὐκ εἰδὼς ὅτι κηρύττει καλῶς; καὶ τὸ πολὺ τούτου πάλιν ἀπορώτερον, ὅτι κατὰ ἀποκάλυψίν φησιν ἀνεληλυθέναι. τοῦτο γὰρ ἀπορώτερον
B μὲν, ὥσπερ ἔφθην εἰπὼν, τοῦ προτέρου, ἱκανὸν δὲ κἀκείνου τὴν λύσιν ἡμῖν παρασχεῖν. εἰ μὲν γὰρ ἀφ' ἑαυτοῦ ἀνῆλθε, μάλιστα μὲν οὐδὲ τοῦτο ἂν ἔχοι λόγον. οὐ γὰρ ἦν τῆς μακαρίας ἐκείνης ψυχῆς εἰς τοσαύτην ἄνοιαν ἐμπεσεῖν. αὐτὸς γάρ ἐστιν ὁ λέγων, οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. εἰ τοίνυν οὐκ ἀδήλως, πῶς λέγεις, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον; ὅθεν δῆλον, ὅτι εἰ καὶ χωρὶς ἀποκαλύψεως ἀνῆλθεν, ἔπαθεν ἂν τὰ τῶν ἀνοήτων. πλὴν ἀλλ' οὐχ ὁμοίως ἄτοπον ἦν τὸ γινόμενον. ὅταν δὲ καὶ ἡ τοῦ πνεύματος αὐτὸν ἕλκῃ χάρις, τίς τολμήσει τι
C τοιοῦτον ὑποπτεῦσαι λοιπόν; διὰ γὰρ τοῦτο προσέθηκε καὶ αὐτὸς, τὸ κατὰ ἀποκάλυψιν, ἵνα μηδὲ πρὸ τῆς λύσεως τοῦ ζητήματος καταγνῷς αὐτοῦ τινα ἄγνοιαν, εἰδὼς ὅτι οὐκ ἀνθρώπινον ἦν τὸ γενόμενον, ἀλλὰ θεία τις οἰκονομία πολλὰ προορωμένη, καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων. τί ποτ' οὖν ἐστι τὸ αἴτιον τῆς ἀποδημίας ταύτης; ὥσπερ ὅτε πρότερον ἐξ Ἀντιοχείας εἰς Ἱεροσόλυμα ἀνῆλθεν, οὐ δι' ἑαυτὸν ἀνῆλθεν· αὐτὸς καὶ ᾔδει σαφῶς, ὅτι χρὴ καθαρῶς ἕπεσθαι τοῖς τοῦ Χριστοῦ δόγμασιν· ἀλλὰ τοὺς μαχομένους συνάγειν βουλόμενος· οὕτως καὶ νῦν οὐκ αὐτὸς ἐδεῖτο μαθεῖν,
D ὅτι οὐκ εἰς κενὸν ἔτρεχεν, ἀλλ' ἵνα οἱ ἐγκαλοῦντες πληροφορηθῶσιν. ἐπειδὴ μείζονα περὶ Πέτρου καὶ Ἰωάννου δόξαν εἶχον, διαστασιάζειν αὐτοὺς ᾤοντο, διὰ τὸ τοῦτον μὲν ἄνευ περιτομῆς κηρύττειν, ἐκείνους δὲ ταύτην συγχωρεῖν, καὶ παράνομα πράττειν αὐτὸν ᾤοντο, καὶ εἰς κενὸν τρέχειν· ἀνῆλθον, φησὶ, καὶ ἐκοινωσάμην αὐτοῖς τὸ εὐαγγέλιον, οὐχ ἵνα αὐτός τι μάθω, ὃ καὶ προϊὼν σαφέστερον λέγει, ἀλλ' ἵνα διδάξω τοὺς ταῦτα ὑποπτεύοντας, ὅτι οὐκ εἰς κενὸν τρέχω. τὸ γὰρ πνεῦμα τὴν τοιαύτην προορώμενον φιλονεικίαν, παρεσκεύασεν αὐτὸν ἀνελ-
E θεῖν καὶ κοινώσασθαι. διὰ τοῦτό φησι, κατὰ ἀποκάλυψιν ἀνέβην, καὶ Βαρνάβαν καὶ Τίτον ἔλαβε μάρτυρας ἐσομένους τοῦ κηρύγματος, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύττω ἐν τοῖς ἔθνεσιν, τουτέστι, τὸ χωρὶς περιτομῆς. κατιδίαν δὲ τοῖς δοκοῦσι. τί βούλεται, κατιδίαν, καίτοιγε ὁ δόγματα κοινὰ διορθοῦν σπουδάζων, οὐ κατιδίαν, ἀλλὰ κοινῇ ταῦτα προτίθησιν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως. οὐ γὰρ μαθεῖν τι καὶ διορθῶσαι ἐβούλετο, ἀλλὰ τῶν βουλομένων ἀπατᾶν τὴν πρόφασιν ἀνελεῖν.

ἀλλὰ

A ἐπειδὴ γὰρ ἐν τοῖς Ἱεροσολύμοις πάντες ἐσκανδαλίζοντο, εἴ τις παραβαίη τὸν νόμον, εἴ τις κωλύοι χρῆσθαι τῇ περιτομῇ· διὸ καὶ ἔλεγε· Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες εἰσὶ κατηχημένοι περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις· ἐπεὶ οὖν ἐσκανδαλίζοντο, παῤῥησίᾳ μὲν παρελθεῖν καὶ τὸ κήρυγμα ἀποκαλύψαι τὸ ἑαυτοῦ οὐκ ἠνείχετο· κατιδίαν δὲ τοῖς δοκοῦσιν ἀνέθετο ἐπὶ Βαρνάβα καὶ Τίτου, ἵνα οὗτοι μάρτυρες ἀξιόπιστοι γένωνται πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι οὐδὲ τοῖς ἀποστόλοις ἔδοξεν ἐναντίον εἶναι, ἀλλὰ βεβαιοῦσι B τὸ κήρυγμα τὸ τοιοῦτον. ὅταν δὲ λέγῃ, τοῖς δοκοῦσιν, οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοὺς μεγάλους τοῦτο λέγει. ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησι, δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν, ὅπερ ἐστὶ μετριάζοντος, οὐκ ἀναιροῦντος τὸ ἔχειν. οὕτω καὶ ἐνταῦθα τοῖς δοκοῦσί φησι, μετὰ τῆς ἑαυτοῦ καὶ τὴν κοινὴν ἁπάντων λέγων ψῆφον. Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην ὢν, ἠναγκάσθη περιτμηθῆναι. τί ἐστιν, Ἕλλην ὤν; ἐξ Ἑλλήνων ἦν, φησι, καὶ ἀκρόβυστος. οὐ μόνον γὰρ ἐγὼ οὕτως ἐκήρυττον, ἀλλὰ καὶ Τίτος οὕτως ἔπραττε, καὶ C ἀκρόβυστον ὄντα οὐκ ἠνάγκασαν περιτμηθῆναι οἱ ἀπόστολοι. ὅπερ ἀπόδειξις ἦν μεγίστη, τοῦ μὴ καταγινώσκειν τῶν ὑπὸ τοῦ Παύλου λεγομένων, ἢ πραττομένων. καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι οὐδὲ ἐπικειμένων τῶν ἐναντιουμένων, καὶ ταῦτα εἰδότων, ἠναγκάσθησαν οἱ ἀπόστολοι τοῦτο κελεῦσαι. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε· Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους. τίνες εἰσὶν οὗτοι οἱ ψευδάδελφοι; καὶ γὰρ οὐ μικρὸν ἐνταῦθα ζήτημα. εἰ γὰρ οἱ ἀπόστολοι συνεχώρουν ἐνταῦθα περιτέμνεσθαι, διὰ τί νῦν ψευδαδέλφους καλεῖς τοὺς κατὰ τὴν τῶν ἀποστόλων γνώμην καὶ D αὐτοὺς κελεύοντας τοῦτο ποιεῖν; ὅτι πρῶτον μὲν οὐκ ἔστι ταὐτὸν, κελεύειν γίνεσθαι, καὶ γινόμενον συγχωρεῖν. ὁ μὲν γὰρ προστάττων, μετὰ σπουδῆς, ὡς ἀναγκαῖον καὶ προηγούμενον, ποιεῖ· ὁ δὲ αὐτὸς μὲν μὴ κελεύων, τὸν δὲ βουλόμενον μὴ κωλύων, οὐχ ὡς δέον γίνεσθαι συγχωρεῖ, ἀλλ' οἰκονομίαν τινὰ πληροῖ. οἷόν τι λέγω, Κορινθίοις ἔγραφεν ὁ Παῦλος, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι γυναιξὶ καὶ ἀνδράσι διακελευόμενος.

Εἶτα ἵνα μὴ νομίσῃς, ὅτι νομοθετῶν αὐτοῖς τοῦτο E ἔλεγεν, ἐπήγαγε· τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. οὐ γὰρ τῆς αὐτοῦ αὐθεντίας κρίσις ἦν προηγουμένη, ἀλλὰ τῆς ἐκείνων ἀκρασίας συγγνώμη. διό φησι· διὰ τὴν ἀκρασίαν ὑμῶν. εἰ γὰρ τὴν Παύλου γνώμην θέλεις μαθεῖν, ἄκουσον τί φησι· Θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ. οὕτω καὶ ἐνταῦθα, οἱ μὲν ἀπόστολοι, οὐχ ὡς νόμον ἐκδικοῦντες, συνεχώρουν, ἀλλὰ τῇ ἀσθενείᾳ τῇ Ἰουδαϊκῇ συγκαταβαίνοντες. εἰ γὰρ νόμον ἐξεδίκουν, οὐκ ἂν Ἰουδαίοις μὲν οὕτως, ἔθνεσι δὲ ἑτέρως ἐκήρυξαν. καὶ γὰρ εἰ ὑπὸ τῶν ἀπίστων τὸ πρᾶγμα γίνεσθαι ἀναγκαῖον ἦν, καὶ ὑπὸ

decipere. Cum enim Jerosolymis offenderentur omnes, si quis transgrederetur legem, si quis prohiberet circumcisionem, unde & Jacobus dicebat: *Vides, frater, quot millia sunt Judæorum qui crediderunt? & hi omnes audierunt de te, quod defectionem doces a lege.* Act. 20. 21. Cum igitur offenderentur, palam quidem accedere suamque prædicationem aperire non sustinebat, sed seorsum contulit cum iis qui erant alicujus opinionis, præsentibus Barnaba ac Tito, ut hi apud eos, qui ipsum criminabantur, forent idonei testes, ne apostolis quidem visum, Pauli prædicationem in Gentibus contrariam esse suæ, imo se illam confirmare. Cum autem ait, qui videbantur alicujus existimationis, non ideo dicit, ut detrahat eis suam magnitudinem: quandoquidem de seipso quoque dicit, *Puto autem quod & ego Spiritum Dei habeam.* 1. Cor. 7. 40. Quod utique est modeste loquentis, non negantis se habere. Hoc pacto & hic dixit, *qui videbantur*, suum judicium cum publico omnium judicio conjungens. 3. *Sed ne Titus quidem, qui mecum erat, cum Græcus esset, coactus est circumcidi.* Quid est, cum Græcus esset? E Græcorum, inquit, hoc est, e Gentium erat genere, præputium gerens. Non enim ego solum ita prædicavi, verumetiam Titus ita fecit: quem, cum esset præputiatus, non compulerunt circumcidi. Quod quidem certissimum erat argumentum, illos non damnare quæ a Paulo dicebantur ac gerebantur. Et quod hoc quoque multo majus est, cum urgerent adversarii, eaque scirent, ne sic quidem apostoli per eos huc adacti sunt, ut juberent eum circumcidi. Id quod ipse declarat dicens: 4. *Sed propter subintroductos falsos fratres.* Qui sunt isti falsi fratres? siquidem hinc non mediocris oritur quæstio. Nam si apostoli istic permittebant circumcisionem, quare nunc falsos fratres appellas eos, qui & ipsi secundum apostolorum sententiam jubebant hoc fieri? Primum, quia non est idem jubere ut fiat, & quod fit permittere. Etenim qui præcipit, is studiose ceu rem necessariam ac præcipuam agit. Qui autem, cum ipse non præcipiat, tamen non prohibet volentem, is non concedit ut rem factu necessariam, sed dispensationem quamdam implet. Quale quiddam Corinthiis Paulus scripsit, de congressu virorum cum uxoribus præcipiens.

2. Deinde ne putares eum hoc illis pro lege scribere, subjunxit: *Hoc autem dico secundum indulgentiam, non secundum imperium*: 1. Cor. 7. 6. eo quod hoc non esset judicium ex auctoritate latum, sed indulgentia erga illorum incontinentiam: ideo dicit, *Propter incontinentiam vestram.* Nam si Pauli sententiam cupis cognoscere, audi quid dicat: Volo omnes homines esse, ut ipse sum, in continentia. Itidem & hic accidit, apostoli non ut legis defensores hoc concedebant, sed obsecundantes infirmitati Judaïcæ. Alioqui si legem tueri voluissent, non alio modo prædicassent Judæis, alio Gentibus. Etenim si res ejusmodi fuisset, ut ab infidelibus necessario fuerit observanda: perspicuum est

etiam ab omnibus fidelibus observandam fuisse. Contra si decretum est, ne quis Gentibus harum rerum gratia molestus esset, satis declararunt se hoc Judæis morem gerendo permisisse. At falsi fratres non eodem modo, sed hoc agebant ut eos excluderent a gratia, ac denuo in servitutis jugum pertraherent. Hoc igitur est primum discrimen inter apostolos & falsos fratres, longo intervallo illos dirimens. Alterum erat, quod apostoli id faciebant in Judæa, ubi lex vigebat; at falsi fratres hoc ubique faciebant. Nam & Galatas omnes attigerant. Unde dilucidum est, hoc non factum ædificationis gratia, sed ad subvertendum totum negotium. Aliter ab apostolis concedebatur legis observatio; aliter a falsis fratribus studiose curabatur. *Qui subintroierunt, ut explorarent libertatem nostram quam habemus in Christo Jesu.* Vides ut exploratorum appellatione expressit bellum eorum? Exploratores enim ob nihil aliud ingrediuntur, nisi ut cognitis rebus adversariorum, ipsi sibi facillimum aditum parent ad expugnandum capiendumque; ut & illi tum faciebant, studentes eos in veterem retrahere servitutem. Unde vel hinc liquet, non idem fuisse propositum apostolis & istis, imo magnopere diversum. Illi siquidem concedebant, ut eos paulatim eximerent e servitute; isti contra hoc moliebantur, ut eos in graviorem pertraherent servitutem. Ideoque observabant, attente circumspicientes, & curiose disquirentes quinam haberent præputium: quod & Paulus declarans ait: Subintroierunt, ut explorarent libertatem nostram. Non tantum exploratorum vocabulo, verum etiam ex eo quod clam ingressi essent, seque furtim intromisissent, eorum insidias demonstravit. 5. *Quibus nec ad horam cessimus subjectione.* Vide sermonis nobilitatem & vim. Non dixit, cessimus verbo, sed subjectione. Non enim id faciebant, ut aliquid frugiferum docerent, sed ut eos subigerent, & in servitutem pertraherent. Idcirco apostolis quidem cessimus, istis vero non item: *Ut evangelii veritas maneret apud vos.* Ut, inquit, quod prius verbis prædicaveramus, factis confirmaremus, nimirum quod vetera transierunt, & nova facta sunt omnia: & quod si quis est in Christo, nova est creatura: & quod iis qui circumciduntur, Christus nihil proderit. Hanc veritatem confirmantes, nec ad horam cessimus. At mox quoniam protinus obstabant illa quæ faciebant apostoli, eratque verisimile futuros aliquos qui dicerent: Qui fit igitur, ut hæc illi præcipiant? Vide quam sapienter solvit objectionem. Non enim explicat veram causam, videlicet quod id facerent apostoli ut sese attemperarent & morem gererent Judæis. Alioquin enim offensi fuissent audientes. Oportet enim dispensationis ignorare causam eos, ad quos sit aliquis ex ea fructus rediturus. Nam si pateat causa eorum quæ fiunt, tota perierit utilitas. Quapropter

Apostoli veri in quo differant a falsis.

Cor. 6. Infr. 6. Ibid. 5.

A πάντων εὔδηλον ὅτι τῶν πιστῶν. εἰ δὲ τοῖς ἔθνεσιν ἐνομοθέτουν μὴ παρενοχλεῖν τούτων ἕνεκεν, ἔδειξαν ὅτι καὶ Ἰουδαίοις συγκαταβαίνοντες ἐπέτρεπον. οἱ δὲ ψευδάδελφοι οὐχ οὕτως, ἀλλ' ὥστε τῆς χάριτος αὐτοὺς ἐκβαλεῖν, καὶ πάλιν ὑπὸ τὸν τῆς δουλείας ζυγὸν ἀγαγεῖν. πρώτη μὲν οὖν αὕτη ἡ διαφορὰ, πολὺ τὸ μέσον ἔχουσα. δευτέρα δὲ, ὅτι οἱ μὲν ἀπόστολοι ἐν Ἰουδαίᾳ τοῦτο ἐποίουν, ἔνθα καὶ ὁ νόμος ἐκράτει· οἱ δὲ ψευδάδελφοι πανταχοῦ. καὶ γὰρ Γαλατῶν ἥψαντο πάντων· ὅθεν δῆλον ὅτι οὐχὶ οἰκοδομῆς ἕνεκεν τὸ πρᾶγμα ἐγίνετο, ἀλλὰ καταστροφῆς ὁλοκλήρου. καὶ ἑτέρως μὲν
B παρὰ τῶν ἀποστόλων συνεχωρεῖτο, ἑτέρως δὲ παρὰ τῶν ψευδαδέλφων ἐσπουδάζετο. οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ. ὁρᾷς πῶς καὶ τῇ τῶν κατασκόπων προσηγορίᾳ ἐδήλωσε τὸν πόλεμον ἐκείνων; οἱ γὰρ κατάσκοποι δι' οὐδὲν εἰσέρχονται, ἀλλ' ἵνα καταμαθόντες τὰ τῶν ἐναντίων, πρὸς τὸ πορθῆσαι καὶ καθελεῖν πολλὴν ἑαυτοῖς [a] παρασκευάσωσι τὴν εὐκολίαν· καθάπερ καὶ οὗτοι τότε ἐποίουν, ὑπὸ τὴν δουλείαν αὐτοὺς τὴν παλαιὰν εἰσαγαγεῖν βουλόμενοι. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐχ ἡ αὐτὴ προαίρεσις τῶν ἀποστόλων, καὶ τούτων,
C ἀλλὰ καὶ σφόδρα ἐναντία. ἐκεῖνοι μὲν γὰρ συνεχώρουν, ἵνα κατὰ μικρὸν ἐξαγάγωσι τῆς δουλείας· οὗτοι δὲ κατεσκεύαζον, ἵνα μειζόνως ὑποβάλωσι τῇ δουλείᾳ. διὸ παρετήρουν περισκοποῦντες ἀκριβῶς, καὶ περιεργαζόμενοι τίνες ἀκρόβυστοι· καθὼς καὶ Παῦλος τοῦτο δηλῶν ἔλεγε, παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, οὐ τῷ τῶν κατασκόπων ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς λαθραίας εἰσόδου καὶ παρεισδύσεως τὴν ἐπιβουλὴν αὐτῶν ἐνδεικνύμενος. οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ. ὅρα λέξεως εὐγένειαν καὶ ἔμ-
D φασιν. οὐ γὰρ εἶπε, τῷ λόγῳ, ἀλλὰ, τῇ ὑποταγῇ. οὐ γὰρ ἵνα τι διδάξωσι χρήσιμον, ταῦτα ἐποίουν, ἀλλ' ἵνα ὑποτάξωσι καὶ δουλώσωνται. διὰ τοῦτο τοῖς μὲν ἀποστόλοις εἴξαμεν, τούτοις δὲ οὐκέτι. ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. ἵν', ὅπερ ἔφθημεν, φησιν, εἰπόντες, τοῦτο διὰ τῶν ἔργων βεβαιώσωμεν, ὅτι τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε καινὰ τὰ πάντα, καὶ ὅτι εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις, καὶ ὅτι τοὺς περιτεμνομένους Χριστὸς οὐδὲν ὠφελήσει. ταύτην τὴν ἀλήθειαν βεβαιοῦντες, οὐδὲ πρὸς ὥραν εἴξαμεν. εἶτα ἐπειδὴ εὐθέως ἀντέπιπτεν
E αὐτῷ τὰ παρὰ τῶν ἀποστόλων, καὶ εἰκὸς ἦν τινας λέγειν· πῶς οὖν ταῦτα ἐκεῖνοι προστάττουσιν; ὅρα πῶς λύει σοφῶς τὴν ἀντίθεσιν. οὐ γὰρ λέγει τὴν οὖσαν αἰτίαν, διότι συγκαταβάσεως ἕνεκεν καὶ οἰκονομίας τοῦτο ἐποίουν οἱ ἀπόστολοι· ἢ γὰρ ἂν ἐβλάβησαν οἱ ἀκούοντες. δεῖ γὰρ τῆς οἰκονομίας ἀγνοεῖν τὴν [b] αἰτίαν τοὺς μέλλοντάς τι καρποῦσθαι παρ' αὐτῆς χρήσιμον. εἰ γὰρ φανείη τῶν γινομένων ἡ πρόφασις, τὸ πᾶν οἰχήσεται.

[a] Savilius in margine hanc lectionem ponit, κατασκευάσωσι.

[b] τὴν αἰτίαν, sic legit interpres Latinus & sic omnino legendum esse suadent ea quæ præcedunt & quæ sequuntur. Editi τὴν διαίταν male.

A Διὰ τοῦτο τὸν μὲν ἐργαζόμενον αὐτὴν, εἰδέναι χρὴ τὴν αἰτίαν τῶν γινομένων· τοὺς δὲ μέλλοντάς τι κερδαίνειν παρ᾽ αὐτῆς, ἀγνοεῖν. καὶ ἵνα σαφέστερον ὃ λέγω ποιήσω, ἐπ᾽ αὐτῆς τῆς ταύτης ὑποθέσεως χρήσομαι τῷ ὑποδείγματι. Οὗτος αὐτὸς ὁ μακάριος Παῦλος ὁ περιτομὴν ἀναιρεῖν μέλλων, ποτὲ τὸν Τιμόθεον Ἰουδαίοις πέμπων διδάσκαλον, περιτεμὼν αὐτὸν πρότερον οὕτως ἔπεμψεν. ἐποίησε δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσῆλθε μετὰ τῆς περιτομῆς, ἵνα καταλύσῃ τὴν περιτομήν. ἀλλὰ τὴν αἰτίαν αὐτὸς μὲν ἠπίστατο καὶ Τιμόθεος, τοῖς δὲ μαθηταῖς B οὐκ εἶπεν. Εἰ γὰρ ἔγνωσαν, ὅτι διὰ τοῦτο περιέτεμεν, ἵνα λύσῃ τὴν περιτομὴν, οὐδ᾽ ἂν τὴν ἀρχὴν ἤκουσαν αὐτοῦ δημηγοροῦντος, καὶ τὸ πᾶν ἂν διερρύη κέρδος· νυνὶ δὲ ἡ ἄγνοια τὰ μέγιστα αὐτοὺς ὠφέλησε. νομίζοντες γὰρ αὐτὸν, ὡς νομοφύλακα, τοῦτο ποιεῖν, καὶ εὐμενῶς ἐδέξαντο καὶ προσηνῶς καὶ αὐτὸν καὶ τὴν ἐκείνου διδασκαλίαν. δεξάμενοι δὲ κατὰ μικρὸν, καὶ παιδευθέντες, ἀπέστησαν τῶν παλαιῶν· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ παρὰ τὴν ἀρχὴν τὴν αἰτίαν ᾔδεσαν. μαθόντες γὰρ ἂν αὐτὸν ἀπεστράφησαν, C ἀποστραφέντες δὲ οὐκ ἂν ἤκουσαν, μὴ ἀκούσαντες δὲ ἔμειναν ἂν ἐπὶ τῆς πλάνης τῆς προτέρας· ὅπερ ἵνα μὴ γένηται, οὐκ ἐξεκάλυψε τὴν αἰτίαν. Διὰ τοῦτο καὶ ἐνταῦθα οὐ λέγει τῆς οἰκονομίας τὴν πρόφασιν, ἀλλ᾽ ἑτέρως μεθοδεύει τὸν λόγον, οὕτω λέγων· Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι· ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον ἀνθρώπου ὁ θεὸς οὐ λαμβάνει· ἐνταῦθα οὐ μόνον οὐκ ἀπολογεῖται ὑπὲρ τῶν ἀποστόλων, ἀλλὰ καὶ σφόδρα βαρεῖ τοὺς ἁγίους, ἵνα ὠφελήσῃ τοὺς ἀσθενοῦντας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ καὶ ἐπιτρέπουσιν ἐκεῖνοι περιτέμνεσθαι, τὸν λόγον αὐτοὶ τῷ θεῷ δώσουσιν. οὐ γὰρ, ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι, ὁ θεὸς πρόσωπον αὐτῶν λήψεται. D ἀλλ᾽ οὕτω μὲν σαφῶς οὐκ εἶπε, πεφεισμένως δέ. οὐ γὰρ εἶπεν, εἰ δὲ ἐκεῖνοι θολοῦσι τὸ κήρυγμα, καὶ παρὰ τὰ προστεταγμένα κηρύττουσι, δώσουσι τὴν ἐσχάτην δίκην, καὶ τιμωρίαν ὑποστήσονται· τούτων μὲν οὐδὲν εἶπε· σεμνοτέρως δὲ αὐτῶν δοκεῖ καθάπτεσθαι, οὕτω λέγων· Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν. καὶ οὐκ εἶπεν, ὁποῖοί ποτέ εἰσιν, ἀλλ᾽, ἦσαν, δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν ἦσαν παυσάμενοι τοῦ οὕτω κηρύσσειν, ἅτε τοῦ κηρύγματος πανταχοῦ διαλάμψαντος. τὸ δὲ, ὁποῖοί ποτε ἦσαν, εἰ οὕτω, φησὶν, ἐκήρυττον αὐτοὶ, E τὸν λόγον δώσουσιν. οὐ γὰρ ἀνθρώποις, ἀλλὰ θεῷ μέλλουσιν ἀπολογεῖσθαι.

Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμφιβάλλων, οὐδ᾽ ὡς ἀγνοῶν τὰ ἐκείνων, ἀλλ᾽, ὅπερ ἔφθην εἰπὼν, οὕτω συμφέρειν νομίζων μεθοδεῦσαι τὸν λόγον. εἶτα ἵνα μὴ δόξῃ ὡς τὴν ἐναντίαν ἔχων τάξιν κατηγορεῖν αὐτῶν, καὶ ἀπὸ τούτου κατασκευάσῃ μάχης ὑπόνοιαν, ἐπήγαγεν εὐθέως τὴν διόρθωσιν, εἰπών· ὅτι ἐμοὶ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο. τί δὲ τοῦτό ἐστιν; ἃ μὲν ὑμεῖς λέγετε, φησιν, οὐκ οἶδα· ἐκεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἐμοὶ οὐκ



A ipsum quidem, qui dispensationem adhibet, scire causam oportet eorum quæ geruntur: at eos quibus est profutura dispensatio, hanc oportet ignorare. Atque ut magis fiat dilucidum quod dico, ex hoc ipso argumento sumemus exemplum. Hic ipse beatus Paulus, qui circumcisionem sublaturus erat, cum Timotheum esset missurus ad docendum Judæos, prius illum circumcidit, atque ita misit. Id autem faciebat, quo doctor esset acceptior apud auditores, & ingressus est cum circumcisione, ut abrogaret circumcisionem. Atque huius facti causam ipse quidem cum Timotheo noverat, B discipulis autem non aperuit. Etenim si novissent quod illum hoc animo circumcidisset ut circumcisionem abrogaret, nec audissent omnino Timotheum concionantem, totumque lucrum & utilitas perisset. Nunc vero hæc ignorantia maximam illis attulit utilitatem. Dum enim arbitrantur illum servandæ legis studio hoc facere, benevolis animis tum ipsum doctorem, tum ejus doctrinam excipiunt. Qua recepta, ac paulatim eruditi, recesserunt a prioribus. Quod haud quaquam evenisset, si initio causam novissent. C Etenim si novissent, aversati fuissent illum, aversantes autem nequaquam auscultassent: si non auscultassent, perseverassent in errore pristino. Id vero ne fieret, non aperuit causam. Proinde nec hic aperit dispensationis causam, sed alia via rem aggreditur; ita loquens: *Ab iis vero qui videbantur esse aliquid, quales aliquando fuerint, nihil mea refert, personam hominis Deus non accipit.* Hic non solum non excusat apostolos, verum etiam vehementer gravat sanctos, ut prosit infirmis. Hoc autem vult significare: Etsi illi permittunt circumcisionem, ipsi Deo reddituri sunt rationem. Non D enim quia magni sunt, ac dignitate præstantes, Deus personam illorum accipiet. Neque tamen sic aperte loquutus est, sed moderatius. Non enim dixit, Quod si turbant prædicationem, præter ea quæ mandata sunt prædicantes, luent extrema supplicia. Nihil, inquam, horum dixit, sed reverentius videtur illos attingere, loquens hunc in modum: *Ab iis autem qui videbantur esse aliquid, quales aliquando fuerint.* Non dixit, quales jam sunt, sed quales fuerint: nimirum declarans, quod & illi jam desiissent hoc modo prædicare, utpote jam ubique coruscante prædicatione. Cæterum quod ait, *Quales aliquando fuerint*, hoc declarat: Si E sic, inquit, prædicaverunt, ipsi reddent rationem. Non enim hominibus, sed Deo sunt rationem reddituri.

Act. 16. Cur Paulus Timotheum circumcidit.

3. Hæc autem dicebat, non velut ambigens aut ignorans quo animo id facerent illi, sed, ut dixi, quod expedire judicaret, ut hac via rem aggrederetur. Deinde ne velut diversæ factionis videretur illos accusare, & hinc oriretur contentionis ac dissidii suspicio, mox correctionem adjunxit, dicens: *Mihi enim qui habebantur in precio, nihil contulerunt.* Quid autem hoc est? Quæ vos dicitis, inquit, nescio: illud certo scio quod mihi non

modo non sunt adversati, verumetiam conspirarunt mecum, concordiaque sociati sunt. Id enim declarat, cum ait: Dextras dederunt. Verum nondum hoc dicit, sed illud tantum dicit, quod non docuissent, non correxissent, neque quidquam addidissent iis quæ prius sciverat. *Mihi enim*, inquit, *qui erant in precio, nihil præterea contulerunt.* Hoc est, posteaquam cognoverant quæ prædicarem, nihil adjecerunt, nihil inde correxerunt: idque cum scirent me ea gratia venisse Jerosolymam, ut cum ipsis communicarem. Nam secundum revelationem spiritus accesseram, ut cum illis communicarem, ac Titum incircumcisum habebam mecum. Nec illi mihi quidquam dixerunt ultra ea quæ prius sciveram, nec illum circumcidi. 7. *Sed contra.* Quid est contra? Quidam hoc sentire Paulum dicunt, quod non solum ipsum nihil docuerint, verumetiam ab ipso docti sint. Ego vero nequaquam hoc dixerim. Quid enim ab illo præterea erant docendi? quandoquidem unusquisque illorum perfectus erat. Non igitur hoc sentit cum ait: *Contra*; sed illud potius vult dicere, quod non solum nihil reprehenderunt, verum tantum abfuerunt ab incusando, ut comprobarint etiam. Nam comprobatio contraria est incusationi. Mox quoniam conjectandum erat dicturos aliquos: Si comprobarunt, quare non sustulerunt circumcisionem? Nam si comprobarunt, tollenda erat. Hic sic dixisset, sustulerunt, judicabat nimis inverecundum fore, atque hinc orituram pugnam manifestam adversus ea quæ confessus fuerat. Rursus si confiteretur concedendam esse circumcisionem, videbat necessario fore, ut in aliam incideret objectionem. Si enim, inquiunt, comprobarunt tuam prædicationem, cum contra permiserint circumcisionem, ipsi secum pugnant. Quo pacto igitur hic solvitur nodus? Dicere poterat, quod ista fecissent morem gerentes infirmitati Judaicæ. Verum hoc dicendo totum dispensationis fundamentum convulsisset, ideo non dicit hoc, sed reliquit in dubio atque ancipiti, dicens: Ab iis autem qui videbantur esse aliquid, nihil mea refert: ac si diceret: Non accuso, neque suggillo sanctos illos. Sciunt ipsi quid fecerint. Deo siquidem reddituri sunt rationem. Quod autem hic demonstrare studeo, hoc est, quod a me gesta non resciderunt neque correxerunt, neque quidpiam addiderunt, quasi quidquam illis deesset, verumetiam comprobarunt & assensi sunt; atque hujusce rei testes habeo Titum ac Barnabam. Unde subjicit dicens: *Cum vidissent mihi commissum Evangelium præputii, quemadmodum Petro circumcisionis.* Circumcisionem & præputium dicens non res ipsas, sed gentes hac nota distinctas. Subjunxit igitur: 8. *Qui enim operatus est in Petro in Apostolatum circumcisionis, operatus est & in me inter gentes.* Quemadmodum igitur præputii nomine designat gentes, ita & circumcisionis nomine Judæos. Jamque se cæteris honore parem ostendit, nec se reliquis illis, sed ipsi Coryphæo comparat, decla-

A ἠναντιώθησαν, ἀλλὰ καὶ συνέπνευσαν καὶ συνεφώνησαν. τὸ γάρ, δεξιὰς ἔδωκαν, τοῦτό ἐστι δηλοῦντος· ἀλλὰ τέως οὐ λέγει τοῦτο, ἀλλ' ὅτι οὐκ ἐδίδαξαν, οὐ διώρθωσαν, οὐ πλέον τι προσέθηκαν ὧν ᾔδειν. ἐμοὶ γὰρ οἱ δοκοῦντές, φησιν, οὐδὲν προσανέθεντο, τουτέστι, μαθόντες τὰ ἐμά, οὐδὲν προσέθηκαν, οὐδὲν διώρθωσαν, καὶ ταῦτα εἰδότες, ὅτι διὰ τοῦτο παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι· καὶ κατ' ἀποκάλυψιν πνεύματος παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι, καὶ Τίτον ἀκρόβυστον εἶχον μεθ' ἑαυτοῦ, οὔτε ἐμοί τι πλέον εἶπον ὧν ᾔδειν, οὔτε ἐκεῖνον B περιέτεμον. ἀλλὰ τοὐναντίον. τί ἐστι, τοὐναντίον; τινὲς μέν φασι τοῦτο αὐτὸν λέγειν, ὅτι οὐ μόνον αὐτὸν οὐκ ἐδίδαξαν, ἀλλὰ καὶ ἐδιδάχθησαν παρ' αὐτοῦ. ἐγὼ δὲ οὐκ ἂν εἴποιμι τοῦτο. τί γὰρ ἔμελλον παρ' αὐτοῦ μανθάνειν πλέον; καὶ γὰρ ἕκαστος αὐτῶν ἀπηρτισμένος ἦν. οὐ τοίνυν τοῦτο βούλεται εἰπεῖν τοὐναντίον λέγων, ἀλλ' ὅτι μόνον οὐκ ἐπετίμησαν, ἀλλὰ καὶ τοσοῦτον ἀπέσχον τοῦ μέμψασθαι, ὅτι καὶ ἐπῄνεσαν. τὸ γὰρ ἐναντίον τοῦ μέμψασθαι, τὸ ἐπαινέσαι. εἶτα ἐπειδὴ εἰκὸς ἦν C ἀντειπεῖν τινας, εἰ ἐπῄνεσαν, πῶς οὖν τὴν περιτομὴν οὐκ ἀνεῖλον; εἰ γὰρ ἐπῄνεσαν, ἐχρῆν ἀνελεῖν· εἰπεῖν μὲν ὅτι ἀνεῖλον, λίαν ἀναίσχυντον εἶναι ἐνόμιζε, καὶ πρὸς τὰ ὡμολογημένα φανερὰν μάχην εἰσάγειν· πάλιν ὁμολογοῦντα τὴν τῆς περιτομῆς συγχώρησιν, εἰς ἑτέραν ἀντίθεσιν ἐμπεσεῖν ἀνάγκην οὖσαν ἑώρα. εἰ γὰρ ἐπῄνεσαν τὸ κήρυγμα τὸ σόν, φησι, καὶ αὐτοὶ πάλιν ἐπέτρεπον περιτομήν, ἑαυτοῖς ἐμάχοντο. τίς ἦν ἡ τούτου λύσις; ἦν εἰπεῖν, ὅτι συγκαταβάσεως Ἰουδαϊκῆς ἕνεκεν ταῦτα ἐποίουν· ἀλλὰ D τοῦτο εἰπών, ὅλον τῆς οἰκονομίας τὸν θεμέλιον διεσάλευσεν ἄν. διὸ τοῦτο μὲν οὐ λέγει, ἀφίησι δὲ αὐτὸ ἐν ἀπορίᾳ καὶ μετεώρῳ, εἰπών· ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, οὐδέν μοι διαφέρει· ὡσανεὶ ἔλεγεν, οὐ κατηγορῶ, οὐδὲ διαβάλλω τοὺς ἁγίους ἐκείνους. ἴσασιν αὐτοὶ τί ἔπραττον. καὶ γὰρ τῷ θεῷ μέλλουσιν ἀποδιδόναι λόγον. τὸ δὲ σπουδαζόμενον ἐμοὶ δεῖξαι, ὅτι τὰ ἐμὰ οὐ καθεῖλον, οὐδὲ διώρθωσαν, οὐδὲ προσέθηκαν ὡς ἐνδεῶς ἔχουσιν αὐτοῖς, ἀλλὰ καὶ ἐπῄνεσαν καὶ συνῄνεσαν, καὶ τούτων μάρτυρας ἔχω E καὶ Τίτον καὶ Βαρνάβαν. διόπερ ἐπάγει λέγων· ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς. περιτομὴν καὶ ἀκροβυστίαν, οὐ τὰ πράγματα λέγων αὐτά, ἀλλὰ τὰ ἀπὸ τούτων γνωριζόμενα ἔθνη. ἐπήγαγε γοῦν· ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη. ὥσπερ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτομὴν Ἰουδαίους. καὶ δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντα λοιπόν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτῶν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνεται.

δείκνυς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπέλαυσεν ἀξίας. ἐπειδὴ γὰρ τὴν περὶ τῆς ὁμονοίας αὐτῶν κατεσκεύασεν ἀπόδειξιν, θαῤῥῶν λοιπὸν μετὰ παῤῥησίας διαλέγεται· καὶ οὐκέτι ἵσταται μέχρι τῶν ἀποστόλων μόνων, ἀλλ' ἐπὶ τὸν Χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν παρ' ἐκείνου χάριν δοθεῖσαν αὐτῷ· καὶ μάρτυρας τούτων τοὺς ἀποστόλους καλεῖ, καί φησιν. ὅτι γνόντες τὴν χάριν τοῦ κυρίου τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς, καὶ Ἰωάννης, οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. καὶ οὐκ εἶπεν, ὅτι ἀκούσαντες, ἀλλὰ, γνόντες, τουτέστι, καταμαθόντες δι' αὐτῶν τῶν πραγμάτων, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. εἶδες πῶς κατὰ μικρὸν ἔδειξε καὶ τῷ Χριστῷ τοῦτο δοκοῦν, καὶ τοῖς ἀποστόλοις; οὐδὲ γὰρ ἂν ἐδόθη, οὐδὲ ἐνήργησεν ἡ χάρις, εἰ μὴ δοκοῦν αὐτῷ τὸ τοιοῦτον κήρυγμα ἦν. καὶ ὅπου μὲν συγκρῖναι ἑαυτὸν ἔδει, Πέτρου μέμνηται μόνου· ὅπου δὲ μαρτυρίαν καλέσαι, τῶν τριῶν ὁμοῦ, καὶ μετ' ἐγκωμίου, Κηφᾶς, λέγων, καὶ Ἰάκωβος, καὶ Ἰωάννης οἱ δοκοῦντες στύλοι εἶναι. καὶ πάλιν οὐ τὸ εἶναι ἀναιρῶν, τοὺς δοκοῦντάς φησιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων παραλαμβάνων γνώμην, καὶ λέγων, ὅτι οἱ μεγάλοι, καὶ ἐξαίρετοι, καὶ οὓς πάντες πανταχοῦ περιφέρουσιν, οὗτοι μάρτυρές εἰσι τῶν λεγομένων, ὅτι καὶ τῷ Χριστῷ ταῦτα δοκεῖ, καὶ διὰ τῶν πραγμάτων ταῦτα ἔμαθον, καὶ δι' αὐτῆς τῆς πείρας ἐπιστώθησαν. διὸ καὶ δεξιὰς ἔδωκαν ἐμοὶ, καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ Βαρνάβᾳ, ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ὢ συνέσεως ὑπερβολὴ, καὶ συμφωνίας ἀπόδειξις ἀναντίῤῥητος. δείκνυσι γὰρ καὶ τὰ ἐκείνων αὐτοῦ, καὶ τὰ αὐτοῦ ἐκείνων. ταῦτα γὰρ ἑκατέροις ἐδόκει, καὶ ἐκείνους Ἰουδαίοις κηρύττειν οὕτω, καὶ τοῦτον τοῖς ἔθνεσι. διὸ καὶ ἐπήγαγεν· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ὁρᾷς πῶς περιτομὴν ἐνταῦθα οὐχὶ τὸ πρᾶγμα καλεῖ, ἀλλὰ τοὺς Ἰουδαίους; ὅταν μὲν γὰρ αὐτὸ τὸ πρᾶγμα λέγῃ καὶ ἀντιδιαστέλλῃ αὐτὴν, τὴν ἀκροβυστίαν τίθησιν, ὡς ὅταν λέγῃ, περιτομὴ μὲν ὠφελεῖ, ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. καὶ πάλιν, οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία. ὅταν δὲ Ἰουδαίους οὕτω καλῇ, καὶ μὴ τὸ πρᾶγμα, ἀλλὰ τὸν λαὸν δηλῶσαι βούληται, οὐ τὴν ἀκροβυστίαν, ἀλλὰ τὰ ἔθνη ἀντιτίθησιν. ἀντιδιαστέλλονται μὲν γὰρ ἔθνεσιν Ἰουδαῖοι, περιτομῇ δὲ ἀκροβυστία· ὡς ὅταν λέγῃ καὶ ἀνωτέρω, ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καὶ ἐνταῦθα πάλιν, ὅτι ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομὴν, οὐ τὸ πρᾶγμα αὐτό, φησιν, ἀλλὰ τὸν τῶν Ἰουδαίων λαὸν οὕτω καλεῖ, ἀντιδιαστέλλων αὐτὸν τοῖς ἔθνεσι. μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Τί ποτε τοῦτό ἐστιν ὅ φησιν; ἐν μὲν τῷ κηρύγματι, φησι, διειλόμεθα τὴν οἰκουμένην, κἀγὼ μὲν

A rans quod horum unusquisque parem sortitus sit dignitatem. Posteaquam enim argumentis declaravit Apostolorum inter se concordiam, deinde sumta fiducia libere prosequitur: neque jam solum pervenit usque ad Apostolos, sed ad Christum ipsum deducit sermonem, adque gratiam sibi ab illo donatam, quarum rerum testes citat Apostolos, dicens; 9. *Ubi cognovissent gratiam Dei, quæ data est mihi, Jacobus, Cephas, & Joannes dextras dederunt mihi & Barnabæ societatis.* Non dixit, postquam audissent, sed cum cognovissent: hoc est, ex ipsis didicissent factis, dextras dederunt mihi & Barnabæ societatis. B Vides ut paulatim demonstrarit hoc & Christo visum, & Apostolis? Neque enim data fuisset, neque in illo fuisset operata gratia, ni prædicationem eam comprobasset. Ac Petri quidem solius meminit, ubi cogitur se cum illis conferre. Cæterum ubi citandum est testimonium, trium pariter facit mentionem, idque non sine laude; Cephas, inquit, Jacobus & Joannes, qui videbantur esse columnæ. Nec rursus ideo dicit *videbantur*, quod tolleret rei veritatem, sed aliorum quoque assumit sententiam, dicens: Qui magni sunt & eximii, quosque omnes ubique celeC brant, hi testes sunt eorum quæ dico, quod eadem placeant & Christo, quodque hæc ipsis rebus cognoverint, ipsaque rerum experientia commoti sint, ut crederent. *Ideoque & dextras mihi dedere, non mihi tantum, sed & Barnabæ, ut nos quidem ad Gentes, ipsi vero in circumcisionem.* O prudentiam eximiam! o concordiæ demonstrationem irrefutabilem! ostendit enim illorum doctrinam suam esse, & suam illorum esse. Eadem enim utrisque placebant: videlicet ut & illi sic prædicarent Judæis, & hic Gentibus. Ideoque subjecit ita loquens: *Ut nos quidem in Gentes, ipsi* D *vero in circumcisionem.* Vides quod hic quoque circumcisionem appellat non rem ipsam, sed Judæos? Quoties enim rem ipsam dicit, addito contrario discernit, ipsumque nominat præputium, ut cum ait: *Circumcisio quidem prodest, si legem observes. Quod si transgressor legis fueris, circumcisio tua præputium facta est.* Ac rursum: *Neque circumcisio quidquam valet, neque præputium.* Ubi vero sic appellat Judæos, nec rem intelligi vult, sed populum: non opponit præputium, sed Gentes. Etenim discernuntur, E Judæi quidem a Gentibus, a circumcisione vero præputium. Quemadmodum cum superius diceret, qui operatus est in Petro in apostolatum circumcisionis, operatus est & in me inter Gentes; & hic rursus: Nos in Gentes, ipsi vero in circumcisionem; non rem ipsam, sed Judæorum populum sic appellat, distinguens eum a Gentibus. 10. *Tantum ut pauperum memores essemus, quod ipsum etiam studui facere.*

Pauli prudentia.

Rom. 2. 25

4. Quid tandem est hoc quod dicit? In prædicandi, inquit, munere partiti sumus inter nos orbem terrrarum. Atque ego qui-

dem eos qui ex Gentibus sunt, illi vero Judæos acceperunt secundum Dei placitum. Ad curam vero pauperum, qui apud Judæos erant, ego quæ facultatis meæ erant cum illis contuli. Quod si bellum fuisset & contentio, nequaquam hoc illi recepissent. Qui sunt autem isti pauperes? Plerique Judæi qui crediderant in Palæstina, facultatibus omnibus exuti fuerant, ac per omnes regiones disjecti exsulabant. Quod quidem & in epistola ad Hebræos scripsit dicens: *Nam bonorum vestrorum rapinam cum gaudio suscepistis.* Declarat idem & Thessalonicensibus scribens, ac fortitudinem illorum prædicans: *Vos enim*, inquit, *imitatores facti estis Ecclesiarum Dei, quæ sunt in Judæa: quoniam & vos eadem passi estis a propriis contribulibus, quemadmodum & illi a Judæis.* Omnibusque modis ostendit, quod ii qui ex Gentibus crediderant, non perinde oppugnabantur a Græcis, atque ii qui ex Judæis crediderant, a suæ gentis hominibus vexabantur. Hæc quippe gens cæteris omnibus erat atrocior: ideoque summa solicitudine curam illorum gerunt, atque ea de re & Romanis scribit & Corinthiis: neque solum colligit pecunias, verumetiam ipse illas defert & distribuit, aitque: *Nunc autem vado in Jerusalem ministrans sanctis.* Nam & ad victum necessariis egebant. Quod igitur hic significat, illud est: Hac in re mihi visum est illis opitulari: quod & recepi, & non cessavi. At postquam his ostendit suam cum apostolis concordiam consensumque, cogitur deinceps & disceptationis cum Petro Antiochiæ habitæ mentionem facere dicens:

Hebr. 10. 34. — 1. Thess. 2. 14. — 1. Cor. 16. — Rom. 15.

11. *Cum autem venisset Petrus Antiochiam, in faciem illi restiti, quoniam reprehensibilis erat.* 12. *Priusquam enim venissent quidam a Jacobo, simul cum Gentibus edebat. At postquam venissent, subduxit ac separavit semetipsum, metuens eos qui erant ex circumcisione.* Multi qui parum attente legunt hunc epistolæ locum, existimant Petrum a Paulo accusari de simulatione. Verum hoc non ita se res habet. Absit, multam enim hic comperimus tum Petri tum Pauli prudentiam tecte adhibitam, ut prodessent audientibus. Sed prius dicendum est de Petri fiducia, & quomodo semper ante cæteros discipulos prosiliret: nam hinc etiam cognomen sortitus est ob immutabilem & immobilem fidem. Cum enim omnes essent interrogati, hic ante cæteros prosiliens: Tu es, inquit, Christus Filius Dei vivi; quo tempore illi & claves regni cælorum concreditæ sunt. Præterea in monte solus exstitit qui loqueretur. Ad hæc cum de cruce fieret sermo, cæteris tacentibus ipse dixit: Propitius esto tibi. Quamquam autem hæc verba non erant circumspectæ mentis, erant tamen fervidæ caritatis. Quin & in cæteris omnibus videbimus illum

De Pauli cum Petro disceptatione. — Matt. 16. 16. — Matt. 16. 23.

A τοὺς ἐξ ἐθνῶν, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον κατὰ τὸ τῷ θεῷ δοκοῦν· εἰς δὲ τὴν τῶν πτωχῶν ἐπιμέλειαν τῶν παρὰ Ἰουδαίοις, ἐγὼ τὰ παρ᾽ ἐμαυτοῦ συνεισήνεγκα ἐκείνοις. εἰ δὲ πόλεμος ἦν καὶ μάχη, οὐκ ἂν τοῦτο κατεδέξαντο ἐκεῖνοι. τίνες δέ εἰσιν οὗτοι οἱ πτωχοί; πολλοὶ τῶν Ἰουδαίων πιστεύσαντες ἐν Παλαιστίνῃ τὰ ὄντα ἀφῃρέθησαν ἅπαντα, καὶ πανταχόθεν ἠλαύνοντο. καὶ τοῦτο δηλοῖ μὲν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, λέγων· καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. δηλοῖ δὲ Θεσσαλονικεῦσι γράφων, καὶ ἀνακηρύττων τὴν ἀνδρείαν B ἐκείνων, ὑμεῖς γάρ, φησι, μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. καὶ διὰ πάντων δείκνυσιν, ὅτι οὐχ οὕτως οἱ ἐξ Ἑλλήνων πιστεύσαντες, ὑπὸ τῶν μενόντων Ἑλλήνων ἐπολεμοῦντο, ὡς οἱ ἀπὸ Ἰουδαίων πιστεύσαντες, ὑπὸ τῶν ὁμοφύλων ἠλαύνοντο. τραχύτερον γὰρ τοῦτο πάντων τὸ ἔθνος. διὰ ταῦτα πολλὴν ποιοῦνται σπουδήν, ὥστε πάσης αὐτοὺς ἀπολαύειν ἐπιμελείας, καὶ Ῥωμαίοις C ἐπιστέλλων καὶ Κορινθίοις. καὶ οὐ μόνον συνάγει χρήματα, ἀλλὰ καὶ αὐτὸς αὐτὰ διακομίζει, καὶ λέγει· νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις· καὶ γὰρ ἀναγκαίας ἠπόρουν τροφῆς. τοῦτο οὖν καὶ ἐνταῦθα δηλῶν ἔλεγεν, ὅτι ἐν τούτῳ μοι βοηθεῖν αὐτοῖς ἔδοξε, καὶ κατεδεξάμην, καὶ οὐκ ἐνέλιπον. καὶ διὰ τούτων δείξας τὴν πρὸς αὐτοὺς ὁμόνοιαν καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν καὶ τῆς πρὸς Πέτρον αὐτοῦ γινομένης ἐν Ἀντιοχείᾳ διαλέξεως μνησθῆναι, καί φησιν· ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ D γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. [a] πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων τοῦτο τὸ ῥητὸν τῆς ἐπιστολῆς, νομίζουσι τοῦ Πέτρου τὸν Παῦλον κατηγορεῖν ὑπόκρισιν· ἀλλ᾽ οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἄπαγε. πολλὴν γὰρ εὑρήσομεν καὶ τοῦ Πέτρου καὶ τοῦ Παύλου τὴν σύνεσιν ἐγκεκρυμμένην ἐνταῦθα πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν. πρότερον δὲ ἀναγκαῖον περὶ τῆς τοῦ Πέτρου παρρησίας εἰπεῖν, καὶ πῶς ἀεὶ πάντων αὐτὸς κατεπήδα [b] τῶν μα- E θητῶν. καὶ γὰρ τὴν προσηγορίαν ἐντεῦθεν ἔλαβε διὰ τὸ ἀκλινὲς καὶ ἀπερίτρεπτον τῆς πίστεως· καὶ ὅτε κοινῇ πάντες ἠρωτῶντο, τῶν ἄλλων προπηδήσας, φησί· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ὅτε καὶ τὰς κλεῖς τῶν οὐρανῶν ἐνεπιστεύθη, καὶ ἐν τῷ ὄρει μόνος φαίνεται φθεγγόμενος, καὶ ὅτε περὶ σταυροῦ διελέγετο, τῶν ἄλλων σιγώντων, αὐτός φησιν, ἵλεώς σοι. ταῦτα δὲ τὰ ῥήματα εἰ καὶ μὴ διεσκεμμένης γνώμης ἦν, ἀλλ᾽ ὅμως ζεούσης ἀγάπης. καὶ πανταχοῦ δὲ τῶν

a Hac de re Chrysostomus peculiarem habuit Homiliam, quam edidimus tom. 3. p. 362. cum prævio monito. Ubi ille hanc eamdem, quam hic profert, sententiam propugnat iisdem argumentis. Ibi vide sis.

b κατεπήδα. Savil. suspicatur legendum προεπήδα, quæ lectio melius conveniret, sed altera etiam quadrat.

A ἄλλων ὁρῶμεν αὐτὸν θερμότερον ὄντα, καὶ προπηδώμενον ἐν τοῖς κινδύνοις. καὶ ὅτε ὤφθη ἐν τῷ αἰγιαλῷ, τῶν ἄλλων τὸ πλοῖον ἑλκόντων, αὐτὸς οὐκ ἠνέσχετο τῷ πλοίῳ παραγενέσθαι. καὶ μετὰ τὴν ἀνάστασιν δὲ φωνούντων Ἰουδαίων, καὶ μαινομένων, καὶ ζητούντων αὐτοὺς διασπάσαι, πρῶτος προσελθὼν ἐτόλμησε ῥῆξαι φωνὴν καὶ εἰπεῖν, ὅτι ὁ σταυρωθεὶς ἀνελήφθη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστιν. οὐκ ἔστι δὲ ἴσον κεκλεισμένην ἀνοῖξαι θύραν καὶ ἀρχὴν δοῦναι πράγματι, καὶ μετὰ ταῦτα παρρησιάσασθαι. ὁ τοίνυν τὴν ἑαυτοῦ ψυχὴν ἐκδοὺς δήμῳ τοσούτῳ, πῶς ἂν ὑπεκρίθη ποτέ; ὁ μα- B στιχθεὶς, καὶ δεθεὶς, καὶ μηδὲν παρρησίας ἑλόμενος καθυφεῖναι, καὶ ταῦτα ἐν ἀρχῇ τοῦ κηρύγματος, ἐν μέσῃ τῇ μητροπόλει, ἔνθα τοσοῦτος κίνδυνος ἦν, πῶς ἂν μετὰ τοσοῦτον χρόνον ἐν Ἀντιοχείᾳ, ἔνθα οὔτε κίνδυνος ἦν, καὶ πολὺ λαμπρότερος αὐτὸς ἐγεγόνει, τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν ἔχων, τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας ἔδεισεν ἄν; ὁ γὰρ αὐτοὺς Ἰουδαίους μὴ φοβηθεὶς καὶ ἐν ἀρχῇ, καὶ ἐν τῇ μητροπόλει, πῶς ἂν μετὰ χρόνον τοσοῦτον ἐν ἀλλοτρίᾳ ὢν, τοὺς ἐξ ἐκείνων μεταστάντας ἐφοβήθη; οὐ τοίνυν κατὰ Πέτρου ταῦτά φησιν ὁ Παῦλος, ἀλλ' ἀπὸ τῆς C γνώμης ἧς εἶπεν, ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει, ἀπὸ τῆς αὐτῆς καὶ ταῦτα φθέγγεται. ἀλλ' ἵνα μὴ ἐπὶ πλέον διαπορῶμεν ὑπὲρ τούτων, ἀναγκαῖον τῶν λεγομένων ἀναπτύξαι τὴν αἰτίαν. οἱ γὰρ ἀπόστολοι, καθὼς ἔφθην εἰπὼν, ἐν Ἱεροσολύμοις μὲν συνεχώρουν περιτέμνεσθαι. οὐ γὰρ ἦν ἀθρόως ἀποσπάσαι τοῦ νόμου. ἐν Ἀντιοχείᾳ δὲ ἐλθόντες, οὐδὲν τοιοῦτον παρετήρουν λοιπὸν, ἀλλὰ μετὰ τῶν ἐξ ἐθνῶν πιστευόντων ἀδιαφόρως ἔζων, ὃ δὴ καὶ Πέτρος ἐποίει τότε. ἐπειδὴ δὲ ἦλθον ἀπὸ Ἱεροσολύμων οἱ ἰδόντες αὐτὸν ἐκεῖ οὕτω κηρύτ- D τοντα, οὐκέτι ἐποίει τοῦτο, φοβούμενος πλῆξαι ἐκείνους, ἀλλὰ μετέθετο, δύο ταῦτα οἰκονομῶν, καὶ τὸ μὴ σκανδαλίσαι τοὺς ἐξ Ἰουδαίων, καὶ τὸ παρασχεῖν τῷ Παύλῳ εὔλογον τῆς ἐπιτιμήσεως πρόφασιν. εἰ γὰρ αὐτὸς ὁ ἐν τοῖς Ἱεροσολύμοις κηρύξας μετὰ περιτομῆς μετέθετο ἐν Ἀντιοχείᾳ, ἔδοξεν ἂν τοῖς ἐξ Ἰουδαίων διὰ τὸν τοῦ Παύλου φόβον τοῦτο ποιεῖν, καὶ κατέγνωσαν ἂν αὐτοῦ πολλὴν τὴν εὐκολίαν οἱ μαθηταί. οὐ μικρὸν δὲ τοῦτο σκάνδαλον ἔμελλε γίνεσθαι. τῷ μέντοι Παύλῳ E πάντα σαφῶς εἰδότι μεταστὰς, οὐκ ἂν τοιαύτην παρέσχεν ὑπόνοιαν. καὶ γὰρ ᾔδει τὴν γνώμην μεθ' ἧς ἐγίνετο ταῦτα. διὸ καὶ Παῦλος ἐπιπλήττει, καὶ Πέτρος ἀνέχεται, ἵνα ἐγκαλουμένου τοῦ διδασκάλου καὶ σιγῶντος, εὐκολώτερον οἱ μαθηταὶ μεταθῶνται. εἰ γὰρ, μηδενὸς γενομένου τοιούτου, παρῄνεσεν ὁ Παῦλος, οὐδὲν ἂν εἰργάσατο μέγα· νῦν δὲ ἀφορμὴν λαβὼν ἐπιτιμήσεως σφοδροτέρας, πλείονα τοῖς μαθηταῖς Πέτρου τὸν φόβον ἐνέθηκε. καὶ γὰρ εἰ μὲν ἀκούων ταῦτα Πέτρος ἀντέλεγε, καλῶς ἄν τις ἐμέμψατο, ὡς τῆς οἰκονομίας ἀνατρεπομένης· νυνὶ δὲ, ἐκείνου μὲν ἐπιτιμῶντος, τούτου δὲ σιγῶντος, πολὺς τοῖς ἐξ

aliis fervidiorem, & ad pericula præsilientem. Ita cum Dominus visus esset in littore, cæteris navim trahentibus, ipse non sustinuit navigio accedere. Ac post resurrectionem Judæis vociferantibus insanientibusque, ac discipulos discerpere quærentibus, primus accedens ausus est in vocem erumpere ac dicere, quod ille crucifixus assumtus jam in cælis esset. (Act. 2.) Aliud est autem, ostium clausum aperire, ac negotio dare principium: aliud post deinceps confidenter agere. Itaque qui suam ipsius animam tam numeroso populo exposuerat, quomodo simulasset unquam? qui flagellatus, qui vinctus, nihil de sua fiducia voluerat remittere, idque in ipso statim prædicationis initio, in media metropoli, ubi tantum erat discriminis: quomodo post tantum temporis Antiochiæ, ubi nullum erat periculum, cum jam ex ipsis factis comprobatus ac spectatus esset, eos qui ex Judæis crediderant, formidasset? qui Judæos ipsos non metuerat & in principio & in Metropoli; quomodo post tantum temporis, cum esset in aliena civitate, eos qui ab illis defecerant metuerit? Non igitur hæc dicens Paulus adversus Petrum loquitur, sed eodem consilio quo dixerat illud, ab iis autem qui videbantur esse aliquid, qualescumque fuerint, nihil mea refert: ab eodem & hæc loquitur. Verum ne diutius his de rebus dubitemus, eorum quæ dicta sunt, causam oportet explicare. Apostoli enim, ut dixi, Jerosolymis quidem permittebant circumcisionem: non enim poterant subito a lege removere. Ubi vero venissent Antiochiam, jam nihil istarum rerum observabant, sed cum iis qui ex Gentibus crediderant, indifferenter vivebant: quod sane & Petrus tum faciebat. Ubi vero venissent ex urbe Jerosolymorum, qui viderant eum ibi sic prædicantem, non ulterius id faciebat, metuens ne illos offenderet: sed secessit, hic duo per dispensationem agens; alterum ne offenderet eos qui erant ex Judæis; alterum ut Paulo justam præberet occasionem increpandi. Etenim si ipse qui Jerosolymis prædicarat cum circumcisionis permissu, Antiochiæ secessisset: visus fuisset iis qui ex Judæis crediderant, Pauli metu id facere; ac Petri nimiam facilitatem reprehendissent discipuli: quæ res non mediocre peperisset offendiculum: quamquam Paulo quem nihil latebat, suo discessu nullam hujusmodi præbuisset suspicionem; noverat enim quo animo hæc fierent. Unde & Paulus objurgat, & Petrus sustinet: ut dum magister objurgatus obticescit, facillime discipuli mutarent sententiam. Nam si Paulus, cum tale nihil accidisset, admonuisset, nihil magni fecisset. Nunc vero quoniam nactus occasionem acrius increpavit, majorem Petri discipulis timorem injecit. Quod si Petrus hæc audiens contradixisset, merito quis eum culpare potuisset, quod dispensationem subvertisset. Nunc vero dum alter objurgat, alter obticet, multus timor incu-

titur iis qui ex Judæis crediderant: ideoque vehementius objurgat Petrum.

5. Vide autem quanta accuratione sermonem temperat, prudentibus subindicans, ea quæ loquitur, non esse dissidii, sed dispensationis. *Cum enim*, inquit, *Petrus venisset Antiochiam, in faciem illi restiti, quoniam reprehensibilis erat.* Non dixit, reprehensus a me, sed simpliciter, reprehensus: haud dubium, quin ab aliis. Quod si ipse reprehendisset illum, non veritus fuisset hoc dicere. Quod autem dixit, in faciem, figura est, quasi dixisset, in speciem. Etenim si vere fuisset inter ipsos contentio, nequaquam præsentibus discipulis se invicem increpassent: gravi enim illis fuissent offendiculo. Nunc autem utilis erat palam in speciem adhibita dissensio. Et sicut Paulus Jerosolymæ cessit illis, ita iidem Paulo cesserunt Antiochiæ. Quænam igitur erat reprehensio? *Priusquam enim venissent quidam a Jacobo; ipse namque erat doctor Jerosolymis; simul cum Gentibus edebat; postquam autem venissent, subtraxit ac subduxit sese, metuens eos qui erant ex circumcisione.* Non hoc metuens, ne veniret in discrimen. Nam qui in initio non metuerat, multo minus tum metuisset. Verum illud metuebat, ne deficerent: nam & ipse Paulus Galatis dicit, *Timeo de vobis, ne frustra laboraverim.* Ac rursum: *Timeo ne sicut serpens decepit Evam, ita corrumpantur sensus vestri.* Apud illos igitur mortis metus nihil erat, verum metus ne perderent suos discipulos, vehementer concutiebat illorum animos. 13. *Ita ut & Barnabas simul abductus fuerit in illorum simulationem.* Ne mireris si factum hoc appellat hypocrisim, hoc est, simulationem. Non enim vult, ut prius dixi, patefacere consilium, ut illi corrigerentur. Quoniam enim vehementer hærebant legi, ideo Petri factum appellat simulationem, & severius increpat, ut persuasionem illis radicitus infixam evelleret. Et hæc audiens Petrus, jungit cum Paulo simulationem, quasi deliquisset, ut per ipsius objurgationem corrigerentur. Etenim si Paulus objurgasset eos qui erant ex Judæis, indigne tulissent ac respuissent illius objurgationem: nec enim admodum magnifice de illo sentiebant. Nunc autem cum conspiciunt doctorem suum objurgatum obticere, neque contemnere, neque contradicere Pauli verbis poterant. 14. *Sed cum viderem quod non recte incederent ad veritatem evangelii.* Ne hæc quidem dictio vos conturbet. Non enim hæc dicit reprehendens Petrum, sed ita figuratam facit orationem, ut audita prodessent iis qui ob Petrum objurgatum meliores erant futuri. *Dixi Petro coram omnibus.* Vides quomodo hinc corrigit alios? Nam ideo dixit coram, ut qui audirent, timerent. Age dic quid dixeris: *Si tu Judæus cum sis, gentiliter vivis, & non judaice: cur cogis Gentes judaizare?* Atqui Gentes non simul cum illo fuerant in simulationem illam abductæ, sed Judæi. Cur igitur incusas quod factum

Supra 1. — Gal. 4. 11 — 2. Cor. 11. — 2. Cor. 11. 3.

A Ἰουδαίων φόβος ἐγίνετο. διὸ καὶ σφοδρῶς κέχρηται τῷ Πέτρῳ.

Καὶ σκόπει μεθ' ὅσης ἀκριβείας κέχρηται τῷ λόγῳ, διδοὺς τοῖς συνετοῖς ἰδεῖν, ὅτι οὐ μάχης ἦν τὰ ῥήματα, ἀλλ' οἰκονομίας. ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. οὐκ εἶπεν, ὑπ' ἐμοῦ, ἀλλ', ὑπὸ τῶν ἄλλων. εἰ δὲ αὐτὸς κατεγίνωσκεν, οὐκ ἂν παρῃτήσατο καὶ τοῦτο εἰπεῖν. καὶ τὸ, κατὰ πρόσωπον δὲ ἀντέστην, σχῆμα ἦν. εἰ γὰρ ὄντως ἐμάχοντο, οὐκ ἂν ἐπὶ τῶν μαθητῶν ἀλλήλοις ἐπετίμησαν. σφό-B δρα γὰρ ἂν αὐτοὺς ἐσκανδάλισαν. νυνὶ δὲ λυσιτελοῦσα ἦν ἡ τοῦ φανεροῦ μάχη. καὶ ὥσπερ ὁ Παῦλος εἶξεν αὐτοῖς ἐν Ἱεροσολύμοις, οὕτω καὶ αὐτοὶ ἐν Ἀντιοχείᾳ. τίς οὖν ἡ κατάγνωσις; πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου· αὐτὸς γὰρ ἦν ὁ διδάσκαλος ἐν Ἱεροσολύμοις· μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς· οὐ τοῦτο φοβούμενος, μὴ κινδυνεύσῃ· ὁ γὰρ ἐν ἀρχῇ μὴ φοβηθεὶς, πολλῷ μᾶλλον τότε· ἀλλ' ἵνα μὴ ἀποστῶσιν. ἐπεὶ καὶ αὐτὸς λέγει Γαλάταις, φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ C κεκοπίακα· καὶ πάλιν, φοβοῦμαι μήπως ὡς ὄφις Εὔαν ἐξηπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. ὁ μὲν γὰρ τοῦ θανάτου φόβος, οὐδὲν ἦν αὐτοῖς· ὁ δὲ τῆς ἀπωλείας τῶν μαθητῶν, σφόδρα αὐτῶν κατέσειε τὴν ψυχήν. ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. μὴ θαυμάσῃς, εἰ τὸ πρᾶγμα ὑπόκρισιν καλεῖ. οὐ γὰρ βούλεται, ὅπερ ἔφθην εἰπὼν, ἐκκαλύψαι τὴν γνώμην, ἵνα ἐκεῖνοι κατορθωθῶσιν. ἐπειδὴ γὰρ σφοδρῶς ἀντείχοντο τοῦ νόμου, διὰ τοῦτο καὶ ὑπόκρισιν καλεῖ τὸ γινόμενον, καὶ σφόδρα ἐπιπλήττει, ὥστε πρόρριζον αὐτῶν ἀνελεῖν τὴν πρόD ληψιν. καὶ ἀκούων ταῦτα Πέτρος συνυποκρίνεται, ὡς ἁμαρτάνων, ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιτιμήσει διορθωθῶσιν. εἰ μὲν γὰρ τοῖς ἐξ Ἰουδαίων ὁ Παῦλος ἐπέπληξεν, ἠγανάκτησαν καὶ διέπτυσαν· οὐ γὰρ πολλὴν περὶ αὐτοῦ δόξαν εἶχον· νυνὶ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιτιμώμενον καὶ σιγῶντα, οὔτε καταφρονῆσαι, οὔτε ἀντειπεῖν τοῖς λεγομένοις εἶχον. ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου. μηδὲ αὕτη ὑμᾶς θορυβείτω ἡ λέξις. οὐ γὰρ Πέτρου κα-E ταγινώσκων ταῦτα λέγει, ἀλλ' οὕτω χαρακτηρίζει τὴν λέξιν, ὡς συμφέρον ἦν ἀκοῦσαι τοὺς διὰ τῆς ἐπιτιμήσεως Πέτρου μέλλοντας βελτίους γίνεσθαι. εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων. εἶδες πῶς τοὺς ἄλλους διορθοῦται; διὰ γὰρ τοῦτο ἔμπροσθεν, ἵνα καὶ ἀκούσαντες φοβηθῶσι. τί εἶπες, εἰπέ. εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; καίτοι οὐ τὰ ἔθνη συναπήχθη, ἀλλ' Ἰουδαῖοι. τί οὖν ἐγκαλεῖς ὃ μὴ γέγονε;

τί

τί δὲ μὴ τρέπεις τὸν λόγον ἐπὶ τοὺς ὑποκρινομένους τοὺς ἐξ Ἰουδαίων, ἀλλ' ἐπὶ τὰ ἔθνη; διὰ τί δὲ καὶ Πέτρῳ μόνον ἐγκαλεῖς, εἰ καὶ οἱ λοιποὶ αὐτῷ συνυπεκρίθησαν; ἴδωμεν δὲ καὶ τί ἐγκαλεῖ. εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; καὶ μὴν αὐτὸς ὑπεστέλλετο μόνος. τί οὖν ἐστιν ὃ κατασκευάσαι βούλεται; ἀνύποπτον ποιῆσαι τὴν ἐπιτίμησιν. εἰ μὲν γὰρ εἶπε, κακῶς ποιεῖς τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ ἐξ Ἰουδαίων αὐτῷ, ὡς θρασυνομένῳ κατὰ τοῦ διδασκάλου. νυνὶ δὲ ὑπὲρ τῶν οἰκείων ἐγκαλῶν αὐτῷ μαθητῶν, τῶν ἐξ ἐθνῶν λέγω, εὐπαράδεκτον ποιεῖ ταύτῃ τὸν λόγον· καὶ οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῶν πάντων ἀποστήσας τὴν ἐπιτίμησιν, τῷ ἀποστόλῳ περιστῆσαι πᾶσαν αὐτήν. εἰ γὰρ σὺ, φησιν, Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, μονονουχὶ διαῤῥήδην λέγων, ὅτι μιμήσασθε τὸν διδάσκαλον, ὅτι καὶ αὐτὸς Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇ. ἀλλ' οὕτω μὲν οὐ λέγει· οὐ γὰρ ἂν ἐδέξαντο τὴν παραίνεσιν· προσχήματι δὲ ἐπιτιμήσεως τῆς ὑπὲρ τῶν ἐθνῶν ἐκκαλύπτει τοῦ Πέτρου τὴν γνώμην. πάλιν εἰ εἶπε, διὰ τί τοὺς ἐξ Ἰουδαίων ἀναγκάζεις Ἰουδαΐζειν, σφοδρότερος ὁ λόγος ἂν ἐγένετο· νῦν δὲ οὐχ ὡς τῶν Ἰουδαίων μαθητῶν ἀντεχόμενος, ἀλλὰ τῶν ἐξ ἐθνῶν, οὕτω διορθοῦται ἐκείνους. καὶ γὰρ αἱ ἐπιπλήξεις, ὅταν μὴ σφόδρα φορτικαὶ ὦσι, τότε μάλιστα δύνανται εὐπαράδεκτοι γίνεσθαι. οὐδὲ γὰρ τῶν ἐξ ἐθνῶν τις ἠδύνατο ἐγκαλέσαι τῷ Παύλῳ, ὑπὲρ τῶν Ἰουδαίων ποιουμένῳ τὸν λόγον. τοῦτο ὅλον κατώρθωσε σιγήσας καὶ καταδεξάμενος ὑποκρίσεως δόξαν ὁ Πέτρος, ἵνα ἀληθοῦς ὑποκρίσεως ἀπαλλάξῃ τοὺς Ἰουδαίους. τὸ μὲν οὖν πρῶτον, εἰς τὸ Πέτρου πρόσωπον περιέστησε τὸν λόγον εἰπὼν, εἰ σὺ Ἰουδαῖος ὑπάρχων· προϊὼν δὲ κοινοποιεῖ τὸ λεγόμενον, καὶ ἑαυτὸν προσπαραλαβὼν, καὶ οὕτω λέγων. ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί. καὶ τὰ μὲν λεγόμενα, παραίνεσις ἦν, σχῆμα δὲ ἐπιπλήξεως αὐτῇ περίκειται διὰ τοὺς ἐξ Ἰουδαίων.

Ποιεῖ δὲ τοῦτο καὶ ἀλλαχοῦ, δοκῶν γὰρ ἕτερον λέγειν, ἄλλο κατασκευάζει· ὡς ὅταν Ῥωμαίοις ἐπιστέλλων λέγῃ, νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῶν τοῖς ἁγίοις. οὐ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, καὶ διδάξαι αὐτοὺς ἁπλῶς, τίνος ἕνεκεν εἰς Ἱεροσόλυμα ἐπορεύετο, ἀλλ' εἰς ζῆλον ἀγαγεῖν ἐλεημοσύνης. εἰ μὲν γὰρ τὴν αἰτίαν ἠθέλησεν εἰπεῖν, ἤρκει τοῦτο εἰπεῖν, ὅτι πορεύομαι διακονῶν τοῖς ἁγίοις. νυνὶ δὲ ὅρα πόσα συνάπτει. εὐδόκησαν γὰρ Μακεδονία, καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσι. καὶ πάλιν, εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. ὅρα τοίνυν καὶ ἐνταῦθα πῶς τὰ τῶν Ἰουδαίων καταστέλλει φρονήματα, ἄλλο δι' ἄλλου κατασκευάζων. καὶ μετ' ἐξουσίας κέχρηται τῷ λόγῳ, ἡμεῖς φύσει Ἰουδαῖοι, λέγων, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί.

A non est? Cur non vertis sermonem ad eos qui simulabant, qui quidem erant ex Judæis, sed ad Gentes? Cur autem Petrum solum incusas, si cæteri quoque cum illo simulaverunt? Videamus porro & quid sit in quo accusat. *Si tu, Judæus cum sis, gentiliter vivis, & non judaïce: cur Gentes cogis judaïzare?* Atqui solus hic se subduxerat. Quid igitur est, quod vult efficere? Ut objurgatio careat suspicione. Nam si dixisset: Male facis, qui legem observas: increpassent illum Judæi tamquam confidentius agentem adversus præceptorem ipsorum. Nunc vero B dum illum objurgat pro suis discipulis, nimirum pro iis qui erant ex Gentibus, acceptiorem reddit sermonem: & non hoc modo tantum, verumetiam, quod abstinens ab omnium reprehensione, totam increpationem confert in Apostolum. *Si enim tu*, inquit, *Judæus cum sis, gentiliter vivis, non judaïce*, propemodum aperte clamans: Imitamini doctorem, ecce & ipse Judæus cum sit, Gentium more vivit. Verum id non dicit; non enim accepissent admonitionem; sed prætextu reprehensionis pro Gentibus patefacit Petri sententiam. Rursum si dixisset, cur eos qui sunt C ex Judæis, cogis Gentium more vivere? acerbior fuisset oratio. Nunc vero sic moderans sermonem, non quasi defendat discipulos Judæos, sed eos qui erant ex Gentibus, hoc pacto corrigit illos. Increpationes enim si non fuerint acerbæ, facillime possunt recipi. Nullus enim eorum qui erant ex Gentibus, incusare Paulum poterat, si pro Judæis verba fecisset. Hoc totum suo silentio correxit Petrus, recepta in se simulationis opinione, ut vera simulatione Judæos liberaret. Primum igitur in Petri personam vertit sermonem, *si tu Judæus cum* D *sis.* Cæterum in progressu communiter ad omnes vertit orationem, seipsum etiam complectens cum cæteris, atque ita dicens: 15. *Nos naturâ Judæi, ac non ex Gentibus peccatores.* Ac sermo quidem admonitionem habet; sed addita est species objurgationis, propter eos qui erant ex Judæis.

6. Hoc alibi quoque facit, ut aliud videatur dicere, aliud agens: veluti cum Romanis scribens ait: *Nunc autem vado Jerosolymam ministrans sanctis.* Non enim volebat dicere, nec hoc eos simpliciter docere, cujus rei gratia proficisceretur Jerosolymam: sed illud agebat, ut eos provo- E caret ad æmulationem eleemosynæ. Nam si causam modo voluisset explicare, satis erat dicere, Vado ministrans sanctis. Nunc vero considera quam multa connectat. *Complacuit enim Macedoniæ & Achaïæ communicationem aliquam facere in sanctos pauperes qui sunt Jerosolymis. Complacitum est enim, & debitores illorum sunt.* Ac rursum: *Etenim si in spiritualibus Gentes fuerunt illorum consortes, debent illis & in carnalibus subministrare.* Vide igitur quomodo Judæorum spiritus premit, aliud per aliud agens, utque cum auctoritate loquitur. *Nos*, inquiens, *naturâ Judæi, & non ex Gentibus*

Rom. 15. Ibidem.

*peccatores.* Quid est, *naturâ Judæi?* Nimirum non proselyti, sed a teneris annis educati in lege; relicto vitæ genere in quo fueramus nutriti, confugimus ad fidem quæ est in Christum. 16. *Scientes quod non justificabitur homo ex operibus legis, sed tantum per fidem in Jesum Christum; & nos in Christum credidimus.* Vide & hîc ut omnia firmiter loquitur. Non enim ait, reliquimus eam ut malam, sed ut infirmam. Proinde si lex non confert justitiam, superfluaest circumcisio. Sed nunc quidem ad hunc modum loquitur: at in progressu declarat, non solum otiosam esse, verumetiam periculosam: quod quidem vel maxime observandum: quod cum initio dixerit, non justificabitur homo ex operibus legis: progressus vehementius loquitur. 17. *Quod si quærentes in Christo justificari, reperti sumus & ipsi peccatores: ergo Christus peccati minister est.* Nam si non potest, inquit, fides in eum justificare, sed opus est rursum amplecti legem: & si posteaquam legem reliquimus ob Christum, non justificamur ex legis omissione, sed condemnamur: comperiens illum esse causam condemnationis, cujus gratia cum legem reliquerimus, ad legem ultro recurrimus. Vides in quantam absurditatis necessitatem coëgit orationem, quamque valide pugnet? Nam si, inquit, non oportuit legem relinquere, nos autem reliquimus propter Christum: quomodo sumus judicandi? Quid igitur Petro dicis, quid admones eum, qui hæc plus quam omnes plenissime novit? Annon Deus illi ostendit, non esse judicandum hominem qui præputium habet in circumcisione? Nonne cum Judæis hisce de rebus disserens, libere illis ex hac visione restitit? Nonne decreta publica super his denuo misit ex Jerosolymis? Hæc igitur non ut Petrum corrigat loquitur, sed sermo in illum erat intendendus, cum discipulos redargueret. Nec ista proprie pertinent ad Galatas, sed in omnes quadrant qui eodem cum illis errore tenebantur. Etiamsi enim nunc multi non circumciduntur quidem, sed jejunant, servantque sabbata, eadem cum illis faciunt, excutientes semetipsos a gratia. Nam si iis qui tantum circumcidebantur, Christus nihil prodest: ubi jejunium ac sabbatum accesserit, & pro uno præcepto duo servantur; vide quantum sit periculum, quod ab ipso etiam tempore fit formidabilius. Siquidem illi initio hæc faciebant, cum adhuc exstaret civitas, cum templum, cum cætera omnia. Hi vero cum & conspiciant quas pœnas Judæi dederint, & urbem funditus deletam videant, ac plura tamen observant: quam habere poterunt excusationem, eo tempore servantes legem, quo ipsi Judæi quamvis vehementer cupientes non possunt hæc servare? Induisti Christum, membrum factus es Domini, in supernam civitatem adscriptus es, & adhuc circa legem serpis? Et quo-

A τί δέ ἐστι, φύσει Ἰουδαῖοι; οὐ προσήλυτοι, ἀλλ' ἐκ πρώτης ἡλικίας ἐντραφέντες τῷ νόμῳ, τὴν σύντροφον ἀφέντες πολιτείαν, κατεφύγομεν εἰς πίστιν τὴν εἰς Χριστόν. Εἰδότες ὅτι οὐ δικαιωθήσεται ἄνθρωπος ἐξ [a] ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν ἐπιστεύσαμεν. ὅρα καὶ ἐνταῦθα πῶς μετὰ ἀσφαλείας πάντα φθέγγεται. οὐ γὰρ ὡς πονηρὸν, ἀλλ' ὡς ἀσθενῆ, φησιν, αὐτὸν εἰάσαμεν. εἰ τοίνυν οὐ παρέχει δικαιοσύνην ὁ νόμος, ἄρα περιττὸν τὸ τῆς περιτομῆς. ἀλλὰ νῦν μὲν οὕτω· προϊὼν δὲ δείκνυσιν, ὅτι οὐ μόνον περιττὸν, ἀλλὰ καὶ ἐπικίνδυνον.
B ὃ δὴ καὶ μάλιστα παρατηρητέον, πῶς παρὰ μὲν τὴν ἀρχήν φησιν, οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, προβαίνων δὲ καὶ φορτικώτερον φθέγγεται. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἄρα Χριστὸς ἁμαρτίας διάκονος. εἰ γὰρ οὐκ ἰσχύει, φησὶν, ἡ εἰς αὐτὸν πίστις δικαιῶσαι, ἀλλ' ἀνάγκη τοῦ νόμου πάλιν ἔχεσθαι, [b] εἰ τὸν νόμον ἀφέντες διὰ τὸν Χριστὸν, καὶ οὐ δικαιούμενοι ἐκ τῆς ἀφέσεως, ἀλλὰ κατακρινόμενοι, τῆς κατακρίσεως εὑρήσομεν αὐτὸν αἴτιον γενόμενον, δι' ὃν τὸν νόμον ἀφέντες, αὐτῷ ηὐτομολήσαμεν. εἶδες εἰς ὅσην ἀνάγκην περιέστησεν
C ἀτοπίας τὸν λόγον, καὶ πῶς ἰσχυρῶς ἠγωνίσατο; εἰ γὰρ οὐ δεῖ τὸν νόμον ἀφεῖναι, φησιν, ἀφήκαμεν δὲ διὰ τὸν Χριστὸν [c] πῶς μέλλομεν κρίνεσθαι; τί οὖν Πέτρῳ ταῦτα λέγεις καὶ παραινεῖς, τῷ πάντων ἀκριβέστερον ταῦτα εἰδότι; οὐκ αὐτῷ ἔδειξεν ὁ θεὸς, ὅτι οὐ δεῖ κρίνειν ἄνθρωπον ἀκρόβυστον ἐν περιτομῇ; οὐχὶ Ἰουδαίοις διαλεγόμενος περὶ τούτων, γενναίως ἀπὸ τῆς ὄψεως ταύτης ἀντέστη; οὐχὶ δόγματα τετρανωμένα περὶ τούτων ἐξ Ἱεροσολύμων πάλιν ἔπεμπεν; οὐ τοίνυν Πέτρον διορθούμενος ταῦτα λέγει· ἀλλ' ἔδει μὲν πρὸς ἐκεῖνον ὁ λόγος ἀποτείνεσθαι, πρὸς δὲ τοὺς μα-
D θητὰς ἔλεγε. ταῦτα δὲ οὐ πρὸς Γαλάτας, ἀλλὰ καὶ πρὸς τοὺς τὰ αὐτὰ νοσοῦντας ἐκείνοις. εἰ γὰρ καὶ μὴ περιτέμνονται πολλοὶ νῦν, νηστεύουσι δὲ, καὶ τὸ σάββατον τηροῦσι μετ' ἐκείνων, ταῦτα πράττουσιν, ἐξωθοῦντες ἑαυτοὺς τῆς χάριτος. εἰ γὰρ τοὺς περιτομῇ μόνον κεχρημένους ὁ Χριστὸς οὐδὲν ὠφελεῖ, ὅταν καὶ νηστεία καὶ σάββατον προσγένηται, καὶ ἀντὶ μιᾶς δύο τηροῦνται ἐντολαὶ, ὅρα τὸν κίνδυνον καὶ ἀπὸ τοῦ χρόνου γενόμενον χαλεπώτερον. ἐκεῖνοι μὲν γὰρ ἐν ἀρχῇ ταῦτα ἐποίουν, ἔτι τῆς πόλεως οὔσης, καὶ τοῦ ναοῦ, καὶ τῶν ἄλλων ἁπάντων· οὗτοι
E δὲ καὶ τὴν τιμωρίαν ὁρῶντες, ἣν ἔδωσαν Ἰουδαῖοι, καὶ τὸν τῆς πόλεως ἀφανισμὸν, καὶ πλείονα παρατηροῦντες, ποίαν ἔχοιεν ἂν ἀπολογίαν, τότε τὸν νόμον φυλάττοντες ὅτε αὐτοὶ οἱ Ἰουδαῖοι ὄντες, καὶ σφόδρα βουλόμενοι, οὐ δύνανται ταῦτα διατηρεῖν; τὸν Χριστὸν ἐνεδύσω, καὶ μέλος ἐγένου τοῦ δεσπότου, καὶ εἰς τὴν ἄνω πόλιν ἐνεγράφης, καὶ ἔτι περὶ τὸν νόμον ἕρπεις;

[a] Multo plura ex serie epistolæ ad Galatas hic adjicit interpres Latinus.

[b] Savil. monet legendum, εἰ τὸν νόμον, atque ita legit interpres. Editi, ἔτι τὸν νόμον.

[c] Interpres Latinus legit πῶς μέλλομεν, atque ita legendum. In editis πῶς deest.

καὶ πῶς ἔνι σε τῆς βασιλείας ἐπιτυχεῖν; ἄκουσον τοῦ Παύλου λέγοντος, ὅτι τὸ εὐαγγέλιον ἀνατρέπεται διὰ τῆς παρατηρήσεως τοῦ νόμου. καὶ, εἰ βούλει, καὶ τὸν τρόπον μάθε, καὶ φρίξον, καὶ φεῦγε τὸ βάραθρον. a Διὰ τί γὰρ τηρεῖς τὸ σάββατον, καὶ νηστεύεις μετ᾽ ἐκείνων; ὡς δεδοικὼς δηλονότι τὸν νόμον, καὶ τὸ ἀφεῖναι τὰ γράμματα ἐκεῖνα. οὐκ ἂν δὲ ἐφοβήθης ἀφεῖναι τὸν νόμον, εἰ μὴ τῆς πίστεως κατέγνως, ὡς ἀσθενοῦς καὶ οὐκ ἰσχυούσης καθ᾽ ἑαυτὴν σῶσαι. εἰ γὰρ τὸ μὴ τηρῆσαι τὸ σάββατον φοβῇ, εὔδηλον ὅτι δέδοικας τὸν νόμον ὡς ἔτι κύριον ὄντα. εἰ δὲ χρεία νόμου πάλιν, οὐ μέρους, οὐδὲ μιᾶς ἐντολῆς, ἀλλὰ παντὸς δῆλον ὅτι χρεία τοῦ νόμου· εἰ δὲ παντὸς, ἐξεβλήθη κατὰ μικρὸν ἡ διὰ τῆς πίστεως δικαιοσύνη. εἰ γὰρ σάββατα τηρεῖς, διὰ τί μὴ καὶ περιτέμνῃ; εἰ δὲ περιτέμνῃ, διὰ τί μὴ καὶ περιθύεις; εἰ γὰρ φυλάττειν χρὴ, ὅλον τὸν νόμον χρὴ φυλάττειν· εἰ δὲ ὅλον οὐ χρὴ, οὐδὲ μέρος. εἰ δὲ ὑπὲρ τοῦ μέρους φρίττεις, μὴ παραβάσεως κριθῇς, ἄλλως καὶ ὑπὲρ παντὸς ἀνάγκη φοβεῖσθαι· εἰ δὲ ὅλος παραβαινόμενος οὐ κολάζει, δῆλον ὅτι οὐδὲ μέρος· εἰ δὲ μέρος, πολλῷ μᾶλλον ὅλος· εἰ δὲ ὅλον ἀνάγκη φυλάξαι, ἀνάγκη παρακοῦσαι τοῦ Χριστοῦ, ἢ ἀκούοντας τοῦ Χριστοῦ παραβάτας γίνεσθαι τοῦ νόμου. εἰ γὰρ δεῖ φυλάττειν αὐτὸν, οἱ μὴ φυλάττοντες αὐτὸν, παραβάται, καὶ τῆς παραβάσεως ταύτης εὑρεθήσεται αἴτιος ἡμῖν ὁ Χριστός. αὐτὸς γὰρ τὸν νόμον ἔλυσε τὸν περὶ αὐτῶν, καὶ λύειν ἐκέλευσεν.

Ὁρᾷς τί κατασκευάζουσιν οἱ Ἰουδαΐζοντες, τὸν Χριστὸν τὸν τῆς δικαιοσύνης ἡμῖν αἴτιον, τοῦτον καὶ ἁμαρτίας ἀποφαίνουσιν αἴτιον, καθὼς καὶ Παῦλός φησιν· ἄρα Χριστὸς ἁμαρτίας διάκονος. εἶτα εἰς ἄτοπον τὸν λόγον ἀναγαγὼν, οὐδὲ ἐδεήθη λοιπὸν b ἀνασκευῆς πρὸς τὴν ἀνατροπὴν, ἀλλ᾽ ἠρκέσθη τῇ ἀπαγορεύσει, μόνον, εἰπὼν, μὴ γένοιτο. πρὸς γὰρ τὰ λίαν ἀναίσχυντα καὶ ἀναιδῆ, οὐδὲ κατασκευαστικῶν δεῖ λόγων, ἀλλ᾽ ἀρκεῖ καὶ ἀπαγορεῦσαι μόνον. εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. ὅρα τοῦ Παύλου σύνεσιν. ἐκεῖνοι δεῖξαι ἐβούλοντο, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον, παραβάτης· οὗτος δὲ εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, δεικνὺς ὅτι ὁ τηρῶν τὸν νόμον, παραβάτης, οὐ τῆς πίστεως, ἀλλὰ καὶ αὐτοῦ τοῦ νόμου. ἃ γὰρ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, τὸν νόμον φησίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πέπαυται ὁ νόμος, καὶ τοῦτο ὡμολογήσαμεν, δι᾽ ὧν ἀφέντες αὐτὸν, κατεφύγομεν ἐπὶ τὴν ἐκ πίστεως σωτηρίαν. ἂν τοίνυν φιλονεικήσωμεν στῆσαι αὐτὸν, αὐτῷ τούτῳ παραβάται γινόμεθα, τὰ παρὰ τοῦ θεοῦ λυθέντα φιλονεικοῦντες τηρεῖν. εἶτα καὶ πῶς κατελύθη, δείκνυσιν. ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον. διπλῆν ἔχει τοῦτο τὴν θεωρίαν. ἢ γὰρ νόμου τοῦ τῆς χάριτός φησιν· οἶδε γὰρ καὶ τοῦτον νόμον καλεῖν, ὡς ὅταν λέγῃ· ὁ δὲ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με· ἢ τὸν νόμον ἐνταῦθα τὸν παλαιὸν λέγει,

a Vide quæ paulo ante diximus de Antiochenis judaïzantibus.

A modo potes regnum illud consequi? Audi Paulum dicentem, Evangelium subverti per legis observationem. Quod si vis etiam, rei modum discito, simul horrescito, fugitoque barathrum. Cur enim observas sabbatum, ac jejunas cum illis? Videlicet veritus legem ac ritus illos omittere? At non timeres legem dimittere, nisi fidem contemneres, ut quæ sit imbecillis, nec per se valeat conferre salutem. Quod si metuis non servare sabbatum, conspicuum est te adhuc metuere legem, velut etiamnum auctoritate pollentem. Quod si quis rursum usus est le- B gis, profecto non est opus parte, aut unico præcepto, sed tota lege est opus. Si vero tota est opus, excussa est paulatim, quæ per fidem datur justitia. Nam si observas sabbata, cur non & circumcideris? Quod si circumcideris, cur non & pecudes immolas? Etenim si servanda lex est, tota servanda est; quod si pro parte formidas ne condemneris, pro tota metuas oportet. Quod si tota violata non punit, palam est nec partem id facere. Quod si portio legis violata punit, multo magis id faciet tota. Si tota servanda est, non oportet auscultare Christo: aut si C Christo auscultamus, legis transgressores efficiamur oportet. Etenim si oportet eam servare, qui non servant, trangressores sunt: hujus autem transgressionis Christus nobis auctor esse deprehendetur: nam ipse legem solvit, eam quæ talia præcipit, & aliis ut solverent præcepit.

Contra christianos qui legalia observabant.

7. Vides quid moliantur isti judaïzantes? Christum qui nobis est auctor salutis, hunc etiam peccati faciunt auctorem, quemadmodum & Paulus ait, nimirum Christus minister est peccati. Post hæc cum sermonem eo deduxisset, ut videretur absurdus, non D jam opus erat probationum apparatu ad confutationem, sed satis erat negasse ac dicere: *Absit.* Siquidem adversus vehementer absurda & inverecunda nihil opus est oratoriis rationibus, sed sufficit abnegare solum. 18. *Nam si quæ destruxi, hæc iterum ædifico, transgressorem meipsum constituo.* Vide Pauli prudentiam. Illi studebant ostendere, qui non servaret legem, eum transgressorem esse: hic in diversum torquet sermonem, ostendens eum esse transgressorem qui servat legem, trangressorem inquam, non modo fidei, sed & ipsius legis. Quæ enim destruxi, hæc rur- E sus ædifico, nimirum legem. Quod vero dicit, tale est: Cessavit lex, & hoc professi sumus, ideoque ea relicta confugimus ad salutem quæ est ex fide. Itaque si contendamus eam statuere, hoc ipso reddimur transgressores, qui contendamus servare quæ Deus antiquavit. Deinceps quomodo soluta sit, ostendit: 19. *Ego enim per legem legi mortuus sum.* Duplicem habet hic sermo considerationem. Aut enim de lege gratiæ loquitur: solet enim Paulus & hanc appellare legem, veluti cum ait: *Lex autem spiritus vitæ liberavit me;* aut hic de lege veteri loquitur, si-

b Savil. legendum putat κατασκευῆς, & vere melius quadraret.

gnificans se per legem ipsam legi mortuum esse: hoc est, ipsa lex me huc perduxit, ne posthac ipsi auscultarem. Itaque si nunc illi sum auscultaturus, ipsam etiam legem transgredior. Quinam? & quomodo? Moses ait: Deut. 18. 15. *Prophetam suscitabit vobis Dominus Deus ex fratribus vestris tamquam me, eum audietis*: de Christo loquens. Itaque qui huic non obtemperant, legem transgrediuntur. Rursus alio modo nobis intelligendum est quod ait: Per legem legi mortuus sum. Lex enim jubet omnia fieri quæ in ipsa scripta sunt, ac non facientem punit. Omnes igitur illi mortui sumus, eo quod nullus eam impleverit. Ac vide quam hîc quoque moderate pugnet adversus legem. Non enim dixit, lex mihi mortua est, sed, ego legi mortuus sum. Hujus dicti sensus est: Quemadmodum exanimis ac mortuus non potest auscultare præceptis legis, ita nec ego, qui ex illius maledictione mortuus sum: siquidem iis quæ loquitur illa, mortuus sum. Ne igitur præcipiat mortuo, quem ipsa etiam occidit, idque non solum morte corporali, verumetiam animæ, per quam mortem corporis invexit. Hoc enim sentire se declarat in iis quæ sequuntur, dum subnectit: *Ut Deo vivam*, inquit, 20. *cum Christo crucifixus sum.* Nam quoniam dixerat, mortuus sum, ne quis diceret, quomodo igitur vivis? subjecit & vitæ causam, declarans quod lex quidem viventem occîdit, Christus autem mortuum assumtum per mortem vivificavit. Declaratque duplex miraculum, alterum quod mortuum revocavit ad vitam, alterum quod per mortem largitus est vitam. Siquidem hoc loco mortis nomine vitam designat. Hoc enim est quod ait, Ut Deo vivam, simul cum Christo crucifixus sum. Quomodo, dixerit quispiam, vivens ac spirans simul crucifixus est? Nam Christum quidem fuisse crucifixum, clarum est. Tu vero quomodo crucifixus es, ac vivis? Vide quomodo & hoc interpretatur, dicens: *Vivo autem non jam ego, vivit vero in me Christus.* Nam dicendo, simul cum Christo crucifixus sum, baptismum subindicat: cum vero dicit, vivo autem jam non ego, significat sequentem vitæ rationem, per quam mortificantur membra nostra. Quid autem est, vivit vero in me Christus? Nihil, inquit, geritur a me, quod nolit Christus. Sicut enim mortem appellat non istam communem, sed mortem a peccatis: sic & vitam appellat liberationem a peccatis. Deo siquidem nemo potest aliter vivere, nisi mortuus fuerit peccato. Quemadmodum igitur Christus corporalem sustinuit mortem, ita & ego mortem a peccatis sustinui. *Mortificate*, inquit, *membra vestra quæ sunt super terram, quæ sunt fornicatio, adulterium, immunditia.* Ac rursum: *Vetus noster homo crucifixus est*, id quod in lavacro factum est. Post hæc si manseris mortuus peccato, vivis Deo: sin denuo peccatum suscitaris, corrupisti talem vitam. At non talis erat Paulus, qui perseverarit perpetuo mortuus. Proinde si vivo, inquit, Deo, alia vita, quam in lege vixeram, ac legi factus sum mortuus: nullam legis partem servare possum.

A δείκνυς ὅτι διʼ αὐτοῦ τοῦ νόμου τῷ νόμῳ ἀπέθανε· τουτέστιν, αὐτός με ὁ νόμος ἐνήγαγεν εἰς τὸ μηκέτι προσέχειν αὐτῷ. εἰ τοίνυν μέλλοιμι αὐτῷ προσέχειν, καὶ αὐτὸν παραβαίνω. πῶς καὶ τίνι τρόπῳ; Μωϋσῆς φησι, προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· περὶ τοῦ Χριστοῦ λέγων. ὥστε οἱ μὴ τούτῳ πειθόμενοι, παραβαίνουσι τὸν νόμον. καὶ ἑτέρως δὲ πάλιν τοῦτο νοητέον ἡμῖν, τὸ, διὰ νόμου νόμῳ ἀπέθανον. ὁ γὰρ νόμος πάντα κελεύει ποιεῖν τὰ ἐγγεγραμμένα, καὶ τὸν μὴ ποιοῦντα κολάζει. οὐκοῦν ἅπαντες αὐτῷ τε- B τελευτήκαμεν. οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. καὶ ὅρα πῶς καὶ ἐνταῦθα μεμετρημένως ποιεῖται τὴν πρὸς αὐτὸν μάχην. οὐ γὰρ εἶπεν, ὁ νόμος μοι ἀπέθανεν, ἀλλʼ, ἐγὼ τῷ νόμῳ ἀπέθανον. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ τὸν νεκρὸν καὶ τεθνεῶτα οὐκ ἔστιν ὑπακούειν ταῖς ἐντολαῖς τοῦ νόμου, οὕτως οὐδὲ ἐμὲ τὸν ἐξ ἀρᾶς τῆς ἐκείνου τελευτήσαντα· τῷ γὰρ ἐκείνου λόγῳ ἀπέθανον. μὴ τοίνυν ἐπιταττέτω τῷ τεθνεῶτι, ὃν καὶ αὐτὸς ἀνεῖλε, καὶ θάνατον, οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχικόν, διʼ οὗ καὶ τὸν σω- C ματικὸν ἐπήγαγεν. ὅτι γὰρ τοῦτο λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν. ἵνα γὰρ θεῷ ζήσω, φησί, Χριστῷ συνεσταύρωμαι. ἐπειδὴ γὰρ εἶπεν, ἀπέθανον, ἵνα μή τις εἴπῃ, πῶς οὖν ζῇς; ἐπήγαγε καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ ἔδειξεν, ὅτι ὁ μὲν νόμος ζῶντα ἀπέκτεινεν, ὁ δὲ Χριστὸς νεκρὸν λαβὼν, διὰ θανάτου ἐζωοποίησε· καὶ διπλοῦν τὸ θαῦμα δείκνυσιν, ὅτι καὶ τὸν νεκρὸν ἐζωογόνησε, καὶ διὰ θανάτου τὴν ζωὴν ἐχαρίσατο. ζωὴν δὲ λέγει νῦν, τὸν θάνατον. τοῦτο γάρ ἐστιν, ἵνα θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι. καὶ πῶς ὁ ζῶν καὶ ἐμπνέων συνεσταυρώθη, φησίν; ὅτι μὲν γὰρ ὁ Χριστὸς D ἐσταυρώθη, δῆλον· σὺ δὲ πῶς ἐσταύρωσαι, καὶ ζῇς; ὅρα πῶς καὶ αὐτὸ ἑρμηνεύει, λέγων. ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τῷ μὲν γὰρ εἰπεῖν, Χριστῷ συνεσταύρωμαι, τὸ βάπτισμα ᾐνίξατο· τῷ δὲ εἰπεῖν, ζῶ δὲ οὐκέτι ἐγώ, τὴν μετὰ ταῦτα πολιτείαν, διʼ ἧς νεκροῦται ἡμῶν τὰ μέλη. τί δέ ἐστι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός; οὐδὲν γίνεται, φησιν, παρʼ ἐμοῦ, ὧν ὁ Χριστὸς οὐ βούλεται. ὥσπερ γὰρ θάνατον λέγει, οὐ τοῦτον τὸν κοινόν, ἀλλὰ τὸν ἐκ τῶν ἁμαρτιῶν, οὕτω καὶ ζωὴν, τὴν ἐκείνων ἀπαλλαγήν. θεῷ E γὰρ οὐκ ἔστιν ἄλλως ζῆν, ἀλλʼ ἢ νεκρωθέντα τῇ ἁμαρτίᾳ. ὥσπερ οὖν ὁ Χριστὸς τὸν σωματικὸν ὑπέστη θάνατον, οὕτως ἐγὼ τὸν κατὰ τῆς ἁμαρτίας. νεκρώσατε γὰρ τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, ἅ τινά ἐστι πορνεία, ἀκαθαρσία, μοιχεία. καὶ πάλιν λέγει, ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη· ὅπερ ἐν τῷ λουτρῷ γέγονε. μετὰ δὲ ταῦτα ἐὰν μένῃς νεκρὸς τῇ ἁμαρτίᾳ, ζῇς τῷ θεῷ· ἂν δὲ πάλιν αὐτὴν ἀναστήσῃς, ἐλυμήνω τῇ τοιαύτῃ ζωῇ· ἀλλʼ οὐχ ὁ Παῦλος τοιοῦτος, ἀλλʼ ἔμεινε διʼ ὅλου νεκρός. εἰ τοίνυν ζῶ τῷ θεῷ, φησιν, ἑτέραν παρὰ τὴν ἐν τῷ νόμῳ ζωὴν, καὶ νεκρὸς ἐγενόμην τῷ νόμῳ, οὐδὲν τοῦ νόμου φυλάττειν δύναμαι.

Καὶ ὅρα τὴν ἀκρίβειαν τῆς πολιτείας, καὶ θαύμασον μεθ' ὑπερβολῆς τὴν μακαρίαν ἐκείνην ψυχήν. οὐ γὰρ εἶπε, ζῶ ἐγὼ, ἀλλὰ, ζῇ ἐν ἐμοὶ Χριστός. τίς ταύτην τολμήσει ῥῆξαι τὴν φωνήν; ἐπειδὴ γὰρ εὐήνιον ἑαυτὸν τῷ Χριστῷ κατεσκεύασε, καὶ ἅπαντα ἐξέβαλε τὰ βιωτικὰ, καὶ πρὸς τὸ θέλημα τὸ ἐκείνου πάντα ἔπραττεν, οὐκ εἶπε, ζῶ τῷ Χριστῷ, ἀλλ' ὃ πολλῷ πλέον ἦν, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὥσπερ γὰρ ἡ ἁμαρτία, ὅταν κρατήσῃ, αὐτή ἐστιν ἡ ζῶσα, πρὸς ἃ βούλεται τὴν ψυχὴν ἄγουσα· οὕτως ἐπ' ἐκείνης νεκρωθείσης τὰ τῷ Χριστῷ δοκοῦντα γίνεται, οὐδὲ ἀνθρωπίνη λοιπὸν ἐστὶν ἡ τοιαύτη ζωὴ, ἀλλὰ τοῦ ζῶντος ἐν ἡμῖν, τουτέστιν, ἐνεργοῦντος, κρατοῦντος. ἐπειδὴ δὲ ἔλεγε, συνεσταύρωμαι, καὶ οὐκέτι ζῶ, ἀλλ' ἀπέθανον, καὶ ἐδόκει πολλοῖς ἀπίθανον λέγειν, ἐπήγαγεν· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ. τὰ μὲν εἰρημένα μοι, φησὶ, περὶ τῆς νοερᾶς ζωῆς· εἰ δέ τις ἐξετάζοι καὶ ταύτην τὴν αἰσθητὴν, καὶ αὕτη διὰ τὴν εἰς Χριστόν μοι πίστιν γέγονεν. ὅσον γὰρ εἰς τὴν παλαιὰν πολιτείαν καὶ τὸν νόμον, ἐσχάτης κολάσεως ἄξιος ἤμην, καὶ πάλαι ἂν ἀπωλώλειν. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦντο τῆς δόξης τοῦ θεοῦ, καὶ ὑπὸ τὴν ἀπόφασιν ἡμᾶς κειμένους ἠλευθέρωσεν ὁ Χριστός· καὶ γὰρ οἱ πάντες ἀπέθανον, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ ἀποφάσει· καὶ τὴν πληγὴν ἐκδεχομένους ἀπήλλαξεν. ἐπειδὴ καὶ ὁ νόμος κατηγόρησε, καὶ ὁ θεὸς ἀπεφήνατο, ἐλθὼν ὁ Χριστὸς καὶ εἰς θάνατον ἑαυτὸν ἐκδοὺς, πάντας ἡμᾶς ἐξήρπασε τοῦ θανάτου. ὥστε ὃ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἐκώλυσε πάντας ἀφανισθῆναι, ὃ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ γέγονεν. ἀλλ' ἡ τοῦ Χριστοῦ παρουσία στήσασα τοῦ θεοῦ τὴν ὀργὴν, διὰ τῆς πίστεως ζῆν ἡμᾶς ἐποίησεν. ὅτι γὰρ τοῦτό φησιν, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γὰρ, ὅτι ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, ἐπήγαγε· τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. τί ποιεῖς, ὦ Παῦλε, τὰ κοινὰ σφετεριζόμενος, καὶ τὰ ὑπὲρ τῆς οἰκουμένης γινόμενα ἰδιοποιῶν; οὐ γὰρ εἶπε, τοῦ ἀγαπήσαντος ἡμᾶς, ἀλλὰ, τοῦ ἀγαπήσαντός με. καὶ μὴν ὁ εὐαγγελιστής φησιν, οὕτως ἠγάπησεν ὁ θεὸς τὸν κόσμον· καὶ σὺ δὲ αὐτὸς λέγεις, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ἔδωκεν αὐτὸν, οὐχ ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ πάντων. καὶ πάλιν, ἵνα περιποιήσηται ἑαυτῷ λαὸν περιούσιον. τί οὖν ἐστιν ἐνταῦθα ὃ λέγει; ἐννοήσας τὴν ἀπόγνωσιν τῆς ἀνθρωπίνης φύσεως, καὶ τὴν ἄφατον τοῦ Χριστοῦ κηδεμονίαν, καὶ τίνων ἀπήλλαξε, καὶ τίνα ἐχαρίσατο, καὶ πυρωθεὶς ὑπὸ τοῦ περὶ αὐτὸν πόθου, οὕτω φθέγγεται. ἐπεὶ καὶ οἱ προφῆται τὸν κοινὸν θεὸν ἰδιοποιοῦνται πολλάκις, οὕτω λέγοντες, ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω. καὶ χωρὶς δὲ τούτων δείκνυσιν, ὅτι ἕκαστον ἡμῶν τοσαύτην δίκαιον ὀφείλειν τῷ Χριστῷ χάριν, ὅσην ἂν εἰ καὶ δι' αὐτὸν μόνον ἦλθεν. οὐ γὰρ ἂν παρῃτήσατο καὶ ὑπὲρ ἑνὸς τοσαύτην οἰκονομίαν ἐπιδείξασθαι· οὕτως ἕκαστον

A 8. Vide exactam vitæ rationem, ac beatam illam animam summopere admirare. Non dixit, vivo ego: sed, vivit in me Christus. Quis ausit in hanc vocem erumpere? Quoniam enim seipsum Christo Domino morigerum præbuerat, cunctaque rejecerat temporalia, & ad illius voluntatem faciebat omnia, non dixit, vivo Christo, sed quod longe majus erat dixit: Vivit autem in me Christus. Quemadmodum enim peccatum si vicerit, ipsum est quod vivit, animum ad quæ vult pertrahens: ita si illo mortuo, quæ Christo sunt placita fiant, nec humana deinceps est ejusmodi vita, videlicet
B ipso Christo vivente in nobis, hoc est agente ac dominante. Porro quoniam dixit, simul crucifixus sum, nec jam vivo, sed mortuus sum, videbaturque multis absurda dicere, subjunxit: *Quod autem nunc vivo in carne, in fide vivo Filii Dei.* Quæ hactenus, inquit, dixi, de vita intellectuali dicta sunt. Quod si quis expendat & hanc vitam sensibilem, & ea mihi per fidem in Christum contingit. Quantum enim ad veteris vitæ rationem ac legem attinet, dignus eram extremo supplicio, ac jampridem perieram. Omnes enim, inquit, peccaverunt, & egent gloria
C Dei. Nos autem cum essemus obnoxii sententiæ damnationis, Christus liberavit: omnes enim eramus mortui, si minus experientia, certe judicio, jamjamque plagam exspectantes liberavit. Cum igitur & lex accusasset, & Deus condemnasset: Christus veniens, ac semet exponens morti, nos omnes eripuit a morte. Itaque quod nunc vivo in carne, in fide vivo. Nam si id fuisset, nihil obstabat quominus interirent universi, quod & accidit in diluvio; sed Christi adventus inhibens iram Dei, fecit ut per fidem viveremus. Ut autem scias hoc illum sentire, audi quæ *Gen. 7.*
D sequuntur; cum enim dixisset: Quod autem nunc vivo in carne, in fide vivo, subjecit: *Filii Dei qui dilexit me, deditque seipsum pro me.* Quid facis, o Paule, dum communia proprie tibi vindicas; quæque pro toto terrarum orbe facta sunt, tibi facis peculiaria? Non enim dixit, qui dilexit nos, sed, qui dilexit me. Atqui Evangelista dicit: *Sic dilexit Deus mundum.* Quin & tu ipse dicis: *Qui proprio filio non pepercit,* *Joan. 3. 16.* *sed tradidit eum,* non pro te, sed pro *Rom. 8.32.* omnibus. Ac rursum: *Ut acquireret sibi populum peculiarem.* Quid est igitur quod hic *Tit. 2. 14.*
E dicit? Cum consideraret desperatam humanam naturam & ineffabilem Christi sollicitudinem, tum quibus ipsum malis liberasset, quæ bona largitus esset, inflammatus illius desiderio, hunc in modum loquitur. Quandoquidem & Prophetæ non raro Deum communem, sibi proprium faciunt, hoc modo loquentes: *Deus Deus meus ad te de luce vigilo.* *Psal. 62. 1.* Præterea vero declarat hoc quoque par esse, ut quisque nostrum non minus agat gratias Christo, quam si propter ipsum solum advenisset. Neque enim recusaturus erat vel ob unum tantam exhibere dispensationem, adeo unumquemque hominem

pari caritatis modo diligit, quo diligit orbem universum. Itaque victima quidem pro tota oblata est natura, ac sufficiebat omnibus servandis. Cæterum soli illi qui crediderunt, sunt quibus usui fuit beneficium. Attamen non absterruit eum ab ejusmodi dispensatione, quod non omnes accederent: (Luc. 14. 16.) sed ut in Evangelio convivium omnibus quidem paratum erat, verum quoniam qui vocati fuerant venire noluerunt, non sustulit quæ fuerant parata, sed alios vocavit: (Matt. 18. 12.) itidem & hîc fecit. Nam & ovis quæ fuerat a nonaginta novem distracta, unica erat, nec hanc tamen contemsit. Hoc idem & de Judæis disserens Paulus, in hunc modum subindicavit dicens: (Rom. 3. 3.) Quid enim si quidam non crediderunt? Num incredulitas eorum fidem Dei faciet irritam? Absit: Sit autem Deus verax, omnis autem homo mendax. Ergo-ne cum ille sic te dilexerit, ut semetipsum etiam tradiderit, omnique salutis spe destitutum ad tantam talemque vitam adduxerit: tu post tot accepta bona, denuo recurris ad vetera? Posteaquam igitur diligenter interjecit quæ rationibus erant tractanda, vehementer demum pronunciat, dicens: 21. *Non rejicio gratiam Dei.* Audiant hoc isti, qui hisce quoque temporibus judaïzant, legique attendunt; ad eos siquidem hæc dicuntur. *Etenim si per legem est justitia, nimirum frustra Christus mortuus est.* Quid hoc peccato gravius? quid his verbis ad incutiendum pudorem efficacius? Etenim si mortuus est Christus; ideo certe quod lex non posset justificare nos. Quod si lex justificat, supervacanea est Christi mors. Et qui possit hoc videri rationi congruens, rem tantam, tam tremendam, omnemque superantem hominum cogitationem, tam ineffabile mysterium, quod patriarchæ quidem parturiebant, prophetæ vero prædixerunt, angeli videntes obstupuerunt, quod caput est divinæ erga nos solicitudinis, apud omnes creditum ac receptum, hoc frustra & incassum factum dicere? Ergo cum consideraret insignem absurditatem, si tantam talemque rem dicerent superflue fuisse factam: hoc enim colligebatur ex iis quæ faciebant; etiam conviciis objurgat illos, dicens:

A ἄνθρωπον τοσούτῳ ἀγάπης μέτρῳ φιλεῖ, ὅσῳ τὴν οἰκουμένην ἅπασαν. ἡ μὲν οὖν θυσία ὑπὲρ πάσης προσενήνεκτο τῆς φύσεως, καὶ ἱκανὴ πάντας ἦν σῶσαι· οἱ δὲ τῇ εὐεργεσίᾳ χρησάμενοι, οἱ πιστεύοντές εἰσι μόνοι. ἀλλ' ὅμως οὐκ ἀπέστησεν αὐτὸν τῆς τοιαύτης οἰκονομίας τὸ μὴ πάντας προσελθεῖν; ἀλλ' ὅμως τὸ ἄριστον τὸ ἐν τῷ εὐαγγελίῳ πᾶσι μὲν ἡυτρέπιστο, ἐπειδὴ δὲ οὐκ ἠθέλησαν ἐλθεῖν οἱ κληθέντες, οὐ συνεῖλε τὰ προκείμενα, ἀλλ' ἑτέρους ἐκάλεσεν· οὕτω καὶ ἐνταῦθα πεποίηκε. καὶ γὰρ καὶ τὸ πρόβατον τὸ τῶν ἐνενηκονταεννέα B ἀποσπασθὲν, ἓν ἦν, ἀλλ' ὅμως οὐδὲ αὐτοῦ καταφρόνησε. τοῦτο δὲ αὐτὸ οὕτω πως καὶ περὶ Ἰουδαίων διαλεγόμενος ὁ Παῦλος αἰνίττεται, λέγων. τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; μὴ γένοιτο. γινέσθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. εἶτα αὐτὸς μὲν οὕτω σε ἠγάπησεν, ὡς καὶ ἑαυτὸν παραδοῦναι, καὶ οὐκ ἔχοντα σωτηρίας ἐλπίδα εἰς τοσαύτην καὶ τοιαύτην ζωὴν ἀναγαγεῖν, σὺ δὲ μετὰ τοσαῦτα ἀγαθὰ πρὸς τὰ παλαιὰ παλινδρομεῖς; ἐπειδὴ τοίνυν τὰ ἀπὸ τῶν λογισμῶν ἐνέθηκεν ἀκριβῶς, λοιπὸν ἐν ἀποφάσει σφοδρῶς ἀνα- C κηρύττει, λέγων. οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ. ἀκουέτωσαν οἱ ἔτι καὶ νῦν Ἰουδαΐζοντες, καὶ τῷ νόμῳ προσέχοντες· καὶ γὰρ πρὸς ἐκείνους ταῦτα λέγεται. εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε. τί ταύτης τῆς ἁμαρτίας χαλεπώτερον; τί τῶν ῥημάτων τούτων ἐντρεπτικώτερον; εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς, εὔδηλον ὅτι διὰ τὸ μὴ ἰσχύειν τὸν νόμον ἡμᾶς δικαιοῦν· εἰ δὲ ὁ νόμος δικαιοῖ, περιττὸς ὁ τοῦ Χριστοῦ θάνατος. καὶ πῶς ἂν ἔχοι λόγον πρᾶγμα τοσοῦτον, τοσαύτης γέμον φρίκης, καὶ λογισμὸν ἀνθρώπινον ὑπερβαῖνον, καὶ μυστήριον οὕτως ἀπόρρητον, ὃ D πατριάρχαι μὲν ὤδινον, προφῆται δὲ προύλεγον, ἄγγελοι δὲ ἐξεπλήττοντο βλέποντες, κεφάλαιον δὲ τῆς τοῦ θεοῦ κηδεμονίας παρὰ πᾶσιν ὁμολογητέον, τοῦτο εἰκῆ καὶ μάτην γεγενῆσθαι λέγειν; ἐννοήσας τὴν ὑπερβολὴν τῆς ἀτοπίας, εἰ τοσοῦτον πρᾶγμα καὶ τηλικοῦτον περιττῶς λέγοιεν γεγενῆσθαι· τοῦτο γὰρ ἀφ' ὧν ἐποίουν συνίστατο· καὶ ὕβρει κατ' αὐτῶν κέχρηται, λέγων οὕτως.

## CAPUT TERTIUM.

10. *O insensati Galatæ, quis vos fascinavit? quibus ante oculos Jesus Christus præscriptus est, in vobis crucifixus.*

1. HIC jam ad aliud transit caput. In superioribus quidem ostendit se non esse apostolum hominum, neque per homines, nec eguisse apostolorum doctrina: hîc vero posteaquam se jam doctorem dignum cui fides haberetur declaravit, majore cum auctoritate disserit, fidei legisque faciens comparationem. (Gal. 1. 6.) Sic igitur in principio di-

## ΚΕΦΑΛΑΙΟΝ γ'.

E Ω ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος;

ΕΝΤΑΥΘΑ λοιπὸν ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον. ἐν μὲν γὰρ τοῖς προτέροις ἔδειξεν, ὅτι οὐκ ἀνθρώπων ἦν ἀπόστολος, οὐδὲ δι' ἀνθρώπων, οὐδὲ ἐδεήθη τῆς τῶν ἀποστόλων διδασκαλίας· ἐνταῦθα δὲ λοιπὸν ἀξιόπιστον καταστήσας ἑαυτὸν διδάσκαλον, μετὰ πλείονος τῆς αὐθεντίας διαλέγεται, πίστεως καὶ νόμου σύγκρισιν ποιούμενος. ἀρχόμενος μὲν οὖν φησι,

θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε· ἐνταῦθα δὲ, ὦ ἀνόητοι Γαλάται. τότε μὲν γὰρ ὤδινε τὴν ἀγανάκτησιν· ἐπειδὴ δὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, εἰς μέσον αὐτὴν ἀπορρήξας, ἐξήνεγκε μετὰ τὴν ἀπόδειξιν. εἰ δὲ ἀνοήτους καλεῖ, μὴ θαυμάσῃς. οὐ γὰρ παραβαίνων τοῦ Χριστοῦ τὸν νόμον τὸν λέγοντα, μὴ λέγειν μωρὸν τὸν ἀδελφὸν αὐτοῦ, ἀλλὰ καὶ σφόδρα αὐτὸν τηρῶν, τοῦτο ποιεῖ. οὐ γὰρ ἁπλῶς εἴρηται, ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν, ἀλλ', ὁ εἰκῇ καλῶν. τίνες δὲ τούτων δικαιότερον ἂν ἔτυχον ταύτης τῆς προσηγορίας, οἱ μετὰ τοσαῦτα καὶ τηλικαῦτα, ὡς οὐδενὸς γενομένου, τῶν προτέρων ἐχόμενοι. εἰ δὲ διὰ τοῦτο ὑβριστὴν καλεῖς τὸν Παῦλον, καὶ διὰ τὴν Σάπφειραν καὶ τὸν Ἀνανίαν ἀνδροφόνον ἐρεῖς τὸν Πέτρον. εἰ δὲ ἐκεῖνα μανίας εἰπεῖν, πολλῷ μᾶλλον καὶ ταῦτα. σὺ δέ μοι σκόπει, πῶς οὐκ ἀπὸ προοιμίων ταύτῃ κέχρηται τῇ σφοδρότητι, ἀλλὰ μετὰ τοὺς ἐλέγχους, καὶ τὰς ἀποδείξεις, ὅτε λοιπὸν οὐ παρ' ἐκείνου, ἀλλὰ παρ' αὐτῶν τῶν ἐλέγχων τὴν ἐπιτίμησιν ἐδέχοντο. ὅτε γὰρ ἔδειξε τὴν πίστιν ἐξουθενοῦντας, καὶ τὸν θάνατον τοῦ Χριστοῦ περιττὸν ἀποφαίνοντας, τότε ἐπάγει τὴν ἐπιτίμησιν, καὶ οὐδὲ τότε κατ' ἀξίαν· καὶ γὰρ πολλῷ χαλεπωτέρων ἦσαν ἄξιοι ῥημάτων. ἴδε δέ μοι πῶς εὐθέως καὶ καθυφίησι πληγάς. οὐ γὰρ εἶπε, τίς ὑμᾶς ἠπάτησε; τίς ὑμῖν ἀπεχρήσατο; τίς ὑμᾶς παρελογίσατο; ἀλλὰ, [a] τίς ὑμᾶς ἐβάσκανεν; οὐκ ἄμοιρον ἐγκωμίων τὴν ἐπίπληξιν θείς. τοῦτο γὰρ δεικνύντος ἐστὶν, ὅτι φθόνου ἄξια ἔπραττον πρότερον, καὶ δαίμονος ἐπήρεια τὸ γινόμενον ἦν, σφοδρὸν κατὰ τῆς εὐημερίας αὐτῶν πνεύσαντος. ὅταν δὲ φθόνον ἀκούσῃς ἐνταῦθα, καὶ ἐν τῷ εὐαγγελίῳ ὀφθαλμὸν πονηρὸν τὸ αὐτὸ δηλοῦντα, μὴ τοῦτο νομίσῃς, ὅτι ἡ τῶν ὀφθαλμῶν βολὴ τοὺς ὁρῶντας βλάπτειν πέφυκεν· ὀφθαλμὸς γὰρ οὐκ ἂν εἴη πονηρὸς, αὐτὸ τὸ μέλος· ἀλλ' ἐνταῦθα ὁ Χριστὸς οὕτω τὸν φθόνον λέγει. ὀφθαλμῶν μὲν γὰρ τὸ ἁπλῶς ὁρᾶν μόνον, τὸ δὲ πονηρῶς ὁρᾶν, τῆς ἔνδον διεστραμμένης γνώμης. ἐπειδὴ γὰρ διὰ τῆς αἰσθήσεως ταύτης εἰς τὴν ψυχὴν ἡμῶν εἰσρεῖ τῶν ὁρωμένων ἡ θεωρία, καὶ ὡς ἐπὶ πολὺ ἐν πλούτῳ μάλιστα ὁ φθόνος τίκτεται, ὁ δὲ πλοῦτος ἀπὸ ὀφθαλμῶν ὁρᾶται, καὶ αἱ δυναστεῖαι, καὶ αἱ δορυφορίαι· διὰ τοῦτο πονηρὸν ὀφθαλμὸν ἐκάλεσεν, οὐ τὸν ὁρῶντα, ἀλλὰ τὸν μετὰ βασκανίας ὁρῶντα ἀπὸ τῆς κατὰ ψυχὴν πονηρίας. εἰπὼν δὲ, τίς ὑμᾶς ἐβάσκανε, δείκνυσιν ὅτι οὐχ ὡς κηδεμόνες, οὐδὲ ὡς τὸ λεῖπον ἀναπληροῦντες, ἀλλὰ καὶ τὸ ὂν ἀκρωτηριάζοντες, τοῦτο ποιοῦσι. φθόνου γάρ ἐστιν, οὐ τὸ λεῖπον προσθεῖναι, ἀλλὰ καὶ τῶν πεπληρωμένων ὑφελέσθαι τι, καὶ λυμήνασθαι τῷ παντί. ταῦτα δὲ λέγει, οὐχ ὡς τοῦ φθόνου καθ' ἑαυτὸν ἰσχὺν ἔχοντος, ἀλλ' ὡς τῶν ταῦτα διδασκόντων διὰ βασκανίαν ἐπὶ τοῦτο ἐλθόντων. οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος. καὶ μὴν οὐκ ἐν τῇ Γαλατῶν χώρᾳ, ἀλλ' ἐν Ἱεροσολύμοις ἐσταυρώθη.

A cit: Admiror quod tam cito transferimini: hîc vero: O insensati Galatæ. Tunc enim parturiebat indignationem, quam ubi jam pro se respondit, in medium erumpens protulit, re comprobata. Quod si stultos vocat, ne mireris. Non enim transgrediens Christi legem, quæ vetat ne quis fratrem suum appellet fatuum, hoc facit, sed admodum illam observans. Non enim simpliciter dictum est: Qui vocarit fratrem suum fatuum, sed qui temere vocarit. Horum vero nonnulli digni erant hac appellatione, qui post tanta taliaque, perinde atque nihil esset actum, prioribus hærebant circumventi. Quod si B hanc ob causam Paulum appellas contumeliosum, simul & propter Sapphiram & Ananiam Petrum dices homicidam. Quod si dementiæ sit illud dicere, multo magis dementiæ fuerit hæc dicere. At tu mihi perpende, ut non statim in initio usus est hac vehementia, sed post tot redargutiones, totque probationes, cum jam non ab illo, sed ab ipsis argumentis accipiebant objurgationem. Cum enim demonstrasset quod fidem repellerent, quod Christi mortem supervacaneam redderent, tum adjungit objurgationem, ac ne id quidem ut merebantur; digni quippe erant qui severioribus etiam verbis C exciperentur. Cæterum illud mihi considera quomodo protinus etiam vulnere inflicto temperat dolorem. Non enim dixit: Quis vos seduxit? quis vobis abusus est? quis vos circumvenit? sed, quis vos fascinavit? Sic moderans increpationem, ut non careat laude. Hæc enim verba sunt indicantis, quod prius invidia digna fecerint, quodque id quod accidit, dæmonis insultu factum sit, qui secundis illorum successibus vehementer obstiterit. Porro cum audis invidiam hîc, & in Evangelio audis oculum malum idem declarantem: ne sic existimes, quod oculorum ictus intuentes lædere soleat. Oculus siquidem, hoc est, ipsum membrum nequaquam possit esse malum: verum hîc eo mo- D do Christus notat invidiam. Nam oculorum est, simpliciter videre tantum: & videre perperam, animi est intus depravati. Quoniam enim per hunc sensum in animum nostrum influit eorum quæ videntur consideratio, & plerumque divitiis innascitur invidia; divitiæ vero cernuntur oculis quemadmodum & principatus & satellitia: propterea vocavit malum oculum, qui non simpliciter cerneret, sed qui cum livore, animique malitia. Cum vero dicit, quis vos fascinavit? declarat eos, quod non veluti curam habentes, E nec ut id quod deerat supplentes; verum etiam id quod erat mutilantes id facerent. Siquidem livoris est, non addere quod deest, sed de pleno etiam aliquid detrahere, totumque corrumpere. Hæc autem dicit, non quasi livor per se vim habeat, sed ut ostendat eos qui ista docebant, per invidiam ad hoc venisse. *Quibus Christus ante oculos prius depictus erat, in vobis crucifixus.* Atqui non apud Galatas, sed Jerosolymis crucifixus fuit.

Matt. 5. a. b.

Actor. 5.

Matt. 6. 23.

[a] τίς ὑμᾶς ἐβάσκανεν, *Quis vos fascinavit?* Id est. Quis vos livore ductus circumvenit?

Quomodo igitur dicit, in vobis? Ut fidei vim ostenderet, quæ possit & procul dissita cernere. Nec dixit, crucifixus est: sed, præscriptus est crucifixus: indicans quod oculis fidei quidam exactius perspicerent, quam nonnulli qui præsentes adfuerant, eaque quæ gerebantur conspexerant. Illorum enim qui spectarant complures nullum inde fructum retulerunt, hi vero qui oculis ipsis non viderant, tamen per fidem evidentius viderant. Hæc autem loquitur simul & perstringens eos & laudans; laudans quidem, quod tanta cum fiducia recepissent id quod acciderat: perstringens vero, quod quem viderant pro ipsis nudari, colaphis cædi, affigi clavis, conspui, probris incessi, aceto potari, accusari a latronibus, lancea vulnerari; nam hæc omnia significavit dicendo, præscriptus est in vobis crucifixus; eo deserto ad legem currebant, nihil reveriti cruciatus illos. Tu vero & illud considera, quomodo ubique prætermisso cælo, terra, mari, cæterisque rebus omnibus, Christi potentiam prædicârit, crucem ubique celebrans. Hoc enim erat præcipuum caput divinæ pro nobis solicitudinis. 2. *Hoc solum volo discere a vobis, ex operibus legis Spiritum accepistis, an ex auditu fidei?* Quoniam, inquit, non præbetis perpetuam attentionem prolixis sermonibus, nec vultis magnitudinem hujus dispensationis intueri, compendioso sermone brevissimaque demonstratione volo persuadere vobis, extrema ingrati animi signa videns. Prius quidem in iis quæ superius dicta sunt, ex iis quæ loquutus est Petro, persuaserat: sed hîc jam ipsos aggreditur, non ex iis quæ alibi contigerunt, sed ex iis quæ inter eos gesta sunt, omnia demonstrans: neque tantum ex iis donis quæ cæteris communia erant, verumetiam ex iis quæ ipsis peculiariter donata fuerant, fidem facit, simul & probationem instruit; ideo dicit: *Hoc solum volo discere a vobis, ex operibus legis Spiritum accepistis, an ex auditu fidei?* Accepistis, inquit, Spiritum sanctum, edidistis multa miracula, perfecistis prodigia mortuos excitando, leprosos mundando, prophetando, linguis loquendo. Hanc-cine tam insignem potestatem vobis dedit lex? atqui prius nihil tale faciebatis, sed id vobis dedit fides.

3. Annon igitur extremæ dementiæ est, cum tantum beneficiorum in vos contulerit fides, hanc relinquere, & ad legem, quæ tale nihil vobis præstitit, ultro recurrere? 3. *Adeo stulti estis, qui in spiritu cœpistis, nunc carne consummamini.* Rursum opportune convitium addidit. Cum, inquit, oportuerit vos temporis progressu, prioribus bonis accessionem adjungere, non solum non profecistis, verum denuo ad priora reversi estis. Etenim qui ab exiguis initium faciunt, procedentes ad majora conscendunt. Vos contra a magnis orsi, ad contraria retrocessistis. Si enim a carnalibus cœpissetis, oportebat ad spiritualia proficere: nunc vero cum a spiritualibus cœperitis, ad carnalia divertistis,

A πῶς οὖν φησιν, ἐν ὑμῖν; τῆς πίστεως δεικνὺς τὴν ἰσχὺν καὶ τὰ πόῤῥωθεν δυναμένης ὁρᾷν. καὶ οὐκ εἶπεν, ἐσταυρώθη, ἀλλὰ, προεγράφη ἐσταυρωμένος, δηλῶν ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἀκριβέστερον ἐθεώρησαν τῶν παρόντων ἐνίων καὶ τὰ γινόμενα θεωμένων. ἐκείνων μὲν γὰρ πολλοὶ θεασάμενοι, οὐδὲν ἀπώναντο· οὗτοι δὲ ὀφθαλμοφανῶς μὲν οὐκ εἶδον, διὰ δὲ τῆς πίστεως ἀκριβέστερον εἶδον. ταῦτα δὲ λέγει ὁμοῦ καὶ καθαπτόμενος αὐτῶν, καὶ ἐπαινῶν· ἐπαινῶν μὲν, ὅτι μετὰ τοσαύτης πληροφορίας ἐδέξαντο τὸ γεγενημένον· B καθαπτόμενος δὲ, ὅτι ὃν εἶδον ὑπὲρ αὐτῶν γυμνωθέντα, ἀνεσκολοπισμένον, προσηλωμένον, ἐμπτυόμενον, κωμῳδούμενον, ποτιζόμενον ὄξος, κατηγορούμενον ὑπὸ λῃστῶν, λόγχῃ νυττόμενον· διὰ γὰρ τοῦ εἰπεῖν, προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος, ταῦτα πάντα ἐδήλωσε· τοῦτον ἀφέντες, ἐπὶ τὸν νόμον ἔδραμον, οὐδὲν αἰδεσθέντες τῶν παθημάτων ἐκείνων. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα ἀφεὶς, τὴν δύναμιν ἐκήρυττε τοῦ Χριστοῦ, τὸν σταυρὸν περιφέρων. τοῦτο γὰρ μάλιστα κεφάλαιον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ἦν. τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ C πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; ἐπειδὴ γὰρ τοῖς μακροῖς οὐ παρακολουθεῖτε λόγοις, φησὶν, οὐδὲ τῆς οἰκονομίας τὸ μέγεθος κατοπτεῦσαι βούλεσθε, διὰ συντόμου λόγου καὶ ταχίστης ἀποδείξεως ὑμᾶς πεῖσαι βούλομαι τὴν ἐσχάτην ὁρῶν ἀγνωμοσύνην. ἀνωτέρω μὲν γὰρ ἐκ τῶν πρὸς τὸν Πέτρον αὐτῷ λεχθέντων ἔπεισεν, ἐνταῦθα δὲ λοιπὸν πρὸς αὐτοὺς ἀποδύεται, οὐκ ἐκ τῶν ἀλλαχοῦ συμβάντων, ἀλλ' ἐκ τῶν ἐν αὐτοῖς γινομένων κατασκευάζων ἅπαντα, καὶ οὐκέτι μόνον ἀπὸ τῶν κοινῇ δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν αὐτοῖς ἰδίᾳ δεδωρημένων πείθων καὶ ποιούμενος τὴν ἀπόδειξιν· D διό φησι· τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; ἐλάβετε πνεῦμα ἅγιον, φησιν, εἰργάσασθε δυνάμεις πολλὰς, ἐπετελέσατε σημεῖα νεκροὺς ἐγείροντες, λεπροὺς καθαίροντες, προφητεύοντες, γλώσσαις λαλοῦντες. ταύτην οὖν τὴν τοσαύτην ἰσχὺν ἔδωκεν ὑμῖν ὁ νόμος; καὶ μὴν οὐδὲν πρότερον ἐποιεῖτε τοιοῦτον. ἀλλ' ἡ πίστις;

Πῶς οὖν οὐκ ἐσχάτης μανίας τοσαῦτα παρὰ τῆς πίστεως εὐεργετηθέντας, ταύτην μὴ ἀφεῖναι, πρὸς δὲ E τὸν οὐδὲν τοιοῦτον παρασχόντα νόμον αὐτομολῆσαι πάλιν; οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε. πάλιν εὐκαίρως τὴν ὕβριν ἐπήγαγε. δέον γάρ, φησι, προσθήκην ποιῆσαι τοῦ χρόνου προϊόντος, οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ καὶ εἰς τοὐπίσω κατηνέχθητε πάλιν. οἱ γὰρ ἀπὸ τῶν μικρῶν ἀρχόμενοι, προϊόντες ἐπὶ τὰ μείζονα ἀναβαίνουσιν· ὑμεῖς δὲ ἀπὸ τῶν μεγάλων ἀρξάμενοι, πρὸς τὰ ἐναντία κατηνέχθητε. εἰ γὰρ καὶ ἀπὸ σαρκικῶν ἤρξασθε, ἔδει εἰς τὰ πνευματικὰ προκόψαι· νῦν δὲ ἀπὸ πνευματικῶν ἀρξάμενοι, εἰς τὰ σαρκικὰ κατελύσατε.

τὸ μὲν γὰρ σημεῖα ποιεῖν, πνευματικόν· τὸ δὲ περιτέμνεσθαι, σαρκικόν. ὑμεῖς δὲ μετὰ τὰ σημεῖα ἐπὶ τὴν περιτομὴν ἤλθετε, μετὰ τὸ δράξασθαι τῆς ἀληθείας ἐπὶ τοὺς τύπους κατεπέσετε, μετὰ τὸ κατοπτεῦσαι τὸν ἥλιον τὸν λύχνον ἐπιζητεῖτε, μετὰ τὴν στερεὰν τροφὴν ἐπὶ τὸ γάλα τρέχετε. καὶ οὐκ εἶπε, σαρκὶ τελειῶσθε, ἀλλά, σαρκὶ ἐπιτελεῖσθε, δεικνὺς ὅτι δίκην θρεμμάτων ἀλόγων, λαβόντες αὐτοὺς ἐκεῖνοι κατέκοπτον, τούτων ἑαυτοὺς ἐκδιδόντων εἰς τὸ παθεῖν ἅπερ ἐβούλοντο ἐκεῖνοι, ὥσπερ ἂν εἴ τις ἀπὸ στρατηγῶν καὶ ἀριστέων μετὰ μυρία τρόπαια καὶ νίκας εἰς τὴν τῶν λειποτακτῶν δοὺς ἑαυτὸν ἀτιμίαν, καταστίζειν παρέχει τοῖς βουλομένοις τὸ σῶμα. τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. τοῦτο τοῦ προτέρου πολὺ πληκτικώτερον. οὐ γὰρ οὕτως ἠδύνατο ἡ τῶν σημείων ἀνάμνησις, ὡς ἡ τῶν ἀγώνων ἐπίδειξις καὶ ἡ τῶν παθῶν ὑπομονὴ τῶν διὰ Χριστόν. πάντα γὰρ ἐκεῖνά, φησιν, ἅπερ ὑπεμείνατε, ζημιῶσαι ὑμᾶς οὗτοι βούλονται, καὶ τὸν στέφανον ὑμῶν ἁρπάσαι. εἶτα, ἵνα μὴ κατασείσῃ αὐτῶν τὴν ψυχὴν, καὶ ἐκλύσῃ τὰ νεῦρα, οὐκ ἔμεινεν ἕως τῆς ἀποφάσεως, ἀλλ' ἐπήγαγεν, εἴγε καὶ εἰκῇ. εἰ γὰρ βουληθείητε, φησιν, ἀνανῆψαι καὶ ἀνακτήσασθαι ἑαυτοὺς, οὐκ εἰκῇ. ποῦ νῦν εἰσιν οἱ τὴν μετάνοιαν ἐκκόπτοντες; ἰδοὺ γὰρ οὗτοι καὶ πνεῦμα ἔλαβον, καὶ σημεῖα εἰργάσαντο, καὶ ὁμολογηταὶ ἐγένοντο, μυρίους διὰ τὸν Χριστὸν ὑπομείναντες κινδύνους, καὶ διωγμούς· καὶ μετὰ τοσαῦτα κατορθώματα τῆς χάριτος ἐξέπεσον. ἀλλ' ὅμως, φησίν, ἐὰν βούλησθε, δύνασθε ἑαυτοὺς ἀνακτήσασθαι. ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως; τοσαύτης, φησίν, ἠξιώθητε δωρεᾶς, καὶ θαύματα ἐπετελέσατε τοσαῦτα, ὅτι νόμον ἐφυλάξατε, ἢ ὅτι πίστιν ἐτηρήσατε; δῆλον ὅτι διὰ τὴν πίστιν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον καὶ περιέφερον ἐκεῖνοι λέγοντες, ὅτι οὐκ ἔχει ἡ πίστις ἰσχὺν, τοῦ νόμου μὴ προσκειμένου, δείκνυσι τὸ ἐναντίον, ὅτι τῶν ἐντολῶν προστεθεισῶν οὐδὲν ἡ πίστις ὠφελήσει λοιπόν. ἡ γὰρ πίστις τότε ἰσχύει, ὅταν [a] μὴ προστεθῇ ἀπὸ τοῦ νόμου. ὅσοι γὰρ ἐν νόμῳ δικαιοῦσθε, φησι, τῆς χάριτος ἐξεπέσετε. ἀλλὰ τοῦτο μὲν προϊὼν, φησιν, ὅτε καὶ μείζονι κέχρηται παρρησίᾳ, ἀπὸ τῶν ἤδη κατεσκευασμένων τὴν ἀφορμὴν λαμβάνων· τέως δὲ ἀπὸ τῶν παρελθόντων τὴν ἀφορμὴν κατασκευάζει. ὅτε γάρ, φησιν, οὐ προσείχετε τῷ νόμῳ, ἀλλὰ τῇ πίστει, τότε τὸ πνεῦμα ἐλάβετε, καὶ τὰ σημεῖα ἐπετελέσατε. εἶτα ἐπειδὴ περὶ νόμου ὁ λόγος ἦν, καὶ ἕτερον κινεῖ τόπον ἀγωνιστικώτατον, τὸν Ἀβραὰμ εἰς μέσον ἄγων, καὶ σφόδρα εὐκαίρως, καὶ μετὰ πολλῆς τῆς περιουσίας, οὕτω λέγων· καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. δηλοῖ μὲν γάρ, φησι, τῆς πίστεως τὴν δύναμιν, καὶ τὰ ὑφ' ὑμῶν γινόμενα θαύματα· εἰ δὲ βούλεσθε, καὶ ἐκ παλαιῶν ὑμᾶς πείσαιμι διηγημάτων. ἐπειδὴ γὰρ πολὺς τοῦ πατριάρχου λόγος ἦν παρ' αὐτοῖς, ἄγει καὶ αὐτὸν εἰς μέ-

A Nam edere miracula, spirituale est: circumcidi vero carnale. Vos autem post signa devenistis ad circumcisionem, post apprehensam veritatem ad typos recidistis, post conspectum solem lucernam quæritis, post solidum cibum ad lac recurritis. Et non dixit, carne consummamini: sed, deinde carne consummamini: illud indicans, quod pseudapostoli correptos eos pecudum ritu conciderent, dum semet illis præbent ad patiendum quidquid illis collibuisset, perinde ac si quis e ducibus ac fortibus viris, post innumera tropæa victoriasque seipsum in desertorum infamiam tradat, corpus suum ex- B hibeat volentibus imprimere notas. 4. *Tam multa passi estis frustra? si tamen & frustra.* Hoc multo acrius vulnerat quam illud prius. Non enim signorum memoria æque poterat illorum animos mordere, ut ostensa certaminum malorumque tolerantia, quæ propter Christum fuerant perpessi. Omnium, inquit, illorum quæ sustinuistis, isti jacturam vos facere volunt, & coronam vobis student intervertere. Mox ne concuteret illorum animos, nervosque dissolveret, non perstitit usque ad sententiam ferendam, sed subtexuit, *si tamen frustra;* si volueritis, in- C quit, expergisci, ac revocare vosipsos, non frustra passi fueritis. Ubi nunc sunt qui tollunt pœnitentiam? Ecce hi spiritum acceperant, signa fecerant, confessores fuerant, innumerabilia pericula, varias persequutiones Christi causa perpessi fuerant, & post tam multa recte facta a gratia exciderant: & tamen dicit, si volueritis, potestis vos ipsos revocare. 5. *Qui igitur subministrat vobis spiritum, quique in vobis operatur miracula, ex operibus legis, an ex auditu fidei?* Tantum, inquit, donum adepti estis, ut & tot miracula ederetis: utrum quia legem servastis, an propter fidem? Non dubium est D quin propter fidem. Quoniam enim sursum ac deorsum hoc vertebant illi, & undique jactabant dicentes fidem non valere nisi adjuncta lege, Paulus contra demonstrat, additis præceptis fidem jam nihil profuturam. Tum enim valet fides, cum nihil accesserit ex lege. *Quicumque enim*, inquit, *in lege* Gal. 3. 4. *justificamini a gratia excidistis.* Verum id quidem in progressu declarat, cum etiam liberius loquitur, ex iis quæ jam probata sunt sumens occasionem; interim vero ex præteritis parat occasionem. Cum, inquit, non attendebatis legi, sed fidei, tunc spiritum E accepistis, tunc signa fecistis. Deinceps quoniam de lege dicendum erat, alium movebat locum qui plurimum habet contentionis. Abraham in medium adducit, idque valde opportune, multaque cum auctoritate, ita loquens: 6. *Sicut Abraham credidit Deo, & imputatum est illi ad justitiam.* Declarant quidem, inquit, fidei vim & a vobis edita miracula. Quod si vultis, etiam ex vetustis historiis conabor vobis facere fidem. Itaque quoniam celebris magnæque existimationis apud illos erat Patriarcha Abraham, & hunc profert in medium,

[a] μὴ, legendum videtur, μηδὲν.

declarans hunc quoque sic fuisse justificatum. Quod si is ante gratiam ex fide justificatus est, idque cum & operibus bonis floreret, multo magis vos. Quid igitur illi detrimenti attulit, quod non esset sub lege? Nihil. Sed sufficiebat ei fides ad justitiam: non enim tunc lex erat, inquit. Neque nunc est lex, sicuti nec tunc; ob id enim sublaturus legis necessitatem, eum qui tum ante legem justificatus fuit inducit, ne hoc possit objici. Nam quemadmodum tunc data nondum erat, ita nunc quæ data fuit, antiquata est. Ad hæc quoniam efferebantur
Joan. 8. animis quod ab Abraham ducerent genus, metuentes ne si legem relinquerent, ab illius cognatione fierent alieni: id quoque rursus in contrarium vertit, metumque solvit, declarans quod fides potissimum con-
Rom. 4. ciliat cum illo propinquitatem: quod quidem manifestius in epistola ad Romanos probavit, non minus tamen idem hic agit ita dicens: 7. *Scitote ergo, quod qui ex fide sunt, hi filii sunt Abrahæ.* Deinde hoc ipsum veteris scripturæ testimonio probat. 8. *Prævidens enim scriptura, quod ex fide justificat Gentes Deus, prænunciavit Abrahæ, dicens:*
Gen. 12. 3. *In te benedicentur omnes Gentes.* Itaque si non ii, qui cum illo naturalem cognationem habent; sed qui nullam cum illo habent, fidem vero illius imitantur, filii sunt: perspicuum est quod in hunc inseruntur Gentes quæ crediderunt; id enim significat cum ait: *In te benedicentur omnes Gentes.*

3. Per hæc autem & aliud quiddam magnum declaratur. Nam quoniam illud eos turbaverat, quod lex antiquior esset, fides autem post legem: & hanc illis eximit suspicionem, ostendens fidem esse lege antiquiorem, idque liquere ex Abrahamo. Priusquam enim existeret lex, ille justificatus est. Ostendit autem ea quoque quæ nunc fiunt, secundum prophetiam evenisse: *Prævidens*, inquit, *scriptura, quod ex fide justificat Deus Gentes, non ex lege, prænunciavit Abrahæ.* Quid tandem hoc est? Qui, inquit, legem dedit, idem & priusquam legem daret, hoc definierat, ut Gentes per fidem justificarentur. Non dixit, revelavit: sed, lætam rem nunciavit, ut intelligas Patriarcham tali justificationis modo gavisum fuisse, ac vehementer ut hoc contingeret desiderasse. Cæterum quoniam illos & alter quidam habe-
Deut. 27. 26. bat metus; scriptum erat enim, *Maledictus omnis qui non manserit in omnibus quæ scripta sunt in libro legis hujus, ut faciat ea:* & hunc eximit metum, sapienter ac prudenter rursus hoc vertens in contrarium, & ostendens quod non solum non sint exsecrationi obnoxii qui legem relinquerent, sed & benedictionis participes: contra qui legem obtinerent, adeo non benedicti, ut etiam exsecrabiles. Siquidem illi dicebant: Qui non servaverit legem, maledictus est; hic vero declarat, eum qui servat, exsecrabilem esse; qui non servat, benedictum. Rursum illi di-

A σον, καὶ δείκνυσι καὶ αὐτὸν οὕτω δικαιωθέντα. εἰ δὲ ὁ πρὸ τῆς χάριτος ἀπὸ πίστεως ἐδικαιώθη, καίτοιγε καὶ ἐν ἔργοις κομῶν, πολλῷ μᾶλλον ὑμεῖς. τί γὰρ ἐκεῖνος ἐβλάβη μὴ γενόμενος ὑπὸ νόμον; οὐδὲν, ἀλλ' ἤρκεσεν ἡ πίστις εἰς δικαιοσύνην αὐτῷ. οὐδὲ γὰρ ἦν νόμος τότε, φησίν. οὐδὲ γὰρ νῦν ἐστι νόμος, ὥσπερ οὐδὲ τότε. διὰ γὰρ τοῦτο ἀνελὼν τὴν τοῦ νόμου τὴν χρείαν, τότε τὸν πρὸ τοῦ νόμου δικαιωθέντα εἰσήγαγεν, ἵνα μὴ ταύτην δέξηται τὴν ἀντίθεσιν. ὥσπερ γὰρ τότε οὐδέπω δοθεὶς ἦν, οὕτω καὶ νῦν δοθεὶς πέπαυται. εἶτα ἐπειδὴ μέγα ἐφρό-
B νουν ἐπὶ τῷ ἐξ Ἀβραὰμ γεγενῆσθαι, καὶ ἐδεδοίκεισαν, μὴ τὸν νόμον ἀφέντες, ἀλλοτριωθῶσι τῆς ἐκείνου συγγενείας. καὶ τοῦτο πάλιν εἰς τὸ ἐναντίον περιτρέπει, καὶ λύει τὸν φόβον ὁ Παῦλος, δεικνὺς ὅτι τὴν πρὸς ἐκεῖνον ἀγχιστείαν μάλιστα ἡ πίστις ἐργάζεται. καὶ τοῦτο σαφέστερον μὲν ἐν τῇ πρὸς Ῥωμαίους κατεσκεύασεν, οὐχ ἧττον δὲ αὐτὸ καὶ ἐνταῦθα ἐργάζεται, λέγων οὕτω. γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοί εἰσιν Ἀβραάμ. εἶτα καὶ αὐτὸ τοῦτο ἀπὸ μαρτυρίας συνίστησι παλαιᾶς. προϊδοῦσα γάρ, φησιν, ἡ γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεός, προευηγγελίσατο τῷ Ἀβραάμ, ὅτι ἐν σοὶ εὐλογη-
C θήσονται πάντα τὰ ἔθνη. εἰ τοίνυν οὐχ οἱ τὴν φυσικὴν ἔχοντες πρὸς αὐτὸν συγγένειαν, οὗτοί εἰσιν υἱοί, ἀλλ' οἱ τὴν πίστιν ἐκείνου μιμησάμενοι. τοῦτο γάρ ἐστιν, ἐν σοὶ τὰ ἔθνη, δῆλον ὅτι εἰς ταύτην εἰσάγεται τὴν συγγένειαν.

Διὰ δὴ τούτων καὶ ἕτερον δείκνυται μέγα. ἐπειδὴ γὰρ αὐτοὺς ἐθορύβει τὸ τὸν νόμον ἀρχαιότερον εἶναι, τὴν δὲ πίστιν μετὰ τὸν νόμον, καὶ ταύτην αὐτῶν ἀναιρεῖ τὴν ὑποψίαν, δεικνὺς ὅτι τοῦ νόμου πρεσ-
D βυτέρα ἡ πίστις, καὶ τοῦτο δῆλον ἀπὸ τοῦ Ἀβραάμ. πρὶν ἢ γὰρ φανῆναι τὸν νόμον, ἐκεῖνος ἐδικαιώθη. δείκνυσι δὲ ὅτι καὶ τὰ νῦν γενόμενα, κατὰ προφητείαν ἐγένετο. προϊδοῦσα γάρ, φησιν, ἡ γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεός, οὐκ ἐκ τοῦ νόμου, προευηγγελίσατο τῷ Ἀβραάμ. τί δὲ τοῦτό ἐστιν; αὐτὸς ὁ τὸν νόμον διδούς, φησι, καὶ πρὶν ἢ τὸν νόμον τοῦτον δοῦναι, τοῦτο ἦν ὁρίσας, ἐκ πίστεως δικαιωθῆναι τὰ ἔθνη. καὶ οὐκ εἶπεν, ἀπεκάλυψεν, ἀλλ', εὐηγγελίσατο, ἵνα μάθῃς, ὅτι καὶ ὁ πατριάρχης τούτῳ τῷ τρόπῳ τῆς δικαιοσύνης ἔχαιρε, καὶ
E σφόδρα ἐπόθει τοῦτο ἐκβῆναι. ἐπειδὴ δὲ εἶχε φόβος καὶ αὐτοὺς ἕτερος. ἐγέγραπτο γάρ, ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά· καὶ τοῦτο διαλύει τὸ δέος, σοφῶς καὶ συνετῶς πάλιν εἰς τὸ ἐναντίον αὐτὸ περιτρέπων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐκ εἰσὶν ἐπικατάρατοι οἱ τὸν νόμον ἀφέντες, ἀλλὰ καὶ εὐλογημένοι· οἱ δὲ κατέχοντες, οὐ μόνον οὐκ εὐλογημένοι, ἀλλὰ καὶ ἐπικατάρατοι. ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τηρῶν ἐπικατάρατος, ὁ δὲ μὴ τηρῶν εὐλογημένος. ἐκεῖνοι πάλιν ἔλεγον, ὅτι ὁ τῇ πίστει

μόνῃ προσέχων, ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τῇ πίστει προσέχων μόνῃ, εὐλογημένος. πῶς οὖν ταῦτα πάντα δείκνυσιν; οὐ γὰρ τὸ τυχὸν ἐπηγγειλάμεθα. διὸ χρὴ καὶ μετὰ ἀκριβείας προσέχειν τοῖς ἑξῆς. ἔδειξε μὲν γὰρ καὶ ἔμπροσθεν τοῦτο εἰπὼν, ὅτι ἡ γραφὴ εἶπε τῷ πατριάρχῃ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη. τότε δὲ νόμος οὐκ ἦν, ἀλλὰ πίστις. διὸ καὶ συλλογιζόμενος, ἐπήγαγεν· ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. ἵνα δὲ μὴ τοῦτο εἰς ἀντίθεσιν λάβωσι, καὶ εἴπωσιν, εἰκότως ἀπὸ πίστεως ἐδικαιώθη, οὔπω γὰρ ἦν νόμος. σὺ δέ μοι δεῖξον μετὰ τὴν τοῦ νόμου θέσιν τὴν πίστιν δικαιοῦσαν· ἐπὶ τοῦτο ἔρχεται, καὶ πλέον ὧν ζητοῦσιν ἐπιδείκνυσιν, οὐχὶ δικαιοῦσαν μόνον τὴν πίστιν, ἀλλὰ καὶ τὸν νόμον ἐπικαταράτους τοὺς χρωμένους αὐτῷ ποιοῦντα. καὶ ἵνα ταῦτα μάθῃς, αὐτῶν ἄκουσον τῶν ἀποστολικῶν ῥημάτων. ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσίν· ἀλλὰ τοῦτο ἀπόφασις, οὐδέπω τὴν ἀπόδειξιν ἔχουσα. τίς οὖν ἡ ἀπόδειξις; ἐξ αὐτοῦ τοῦ νόμου. ἐπικατάρατος γὰρ πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά. ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται, παντί που δῆλον. πάντες γὰρ ἥμαρτον, καὶ ὑπὸ κατάραν εἰσίν. ἀλλ᾽ οὕτω μὲν οὐ λέγει, ἵνα μὴ δόξῃ αὐτὸς ἀποφαίνεσθαι, πάλιν δὲ ἀπὸ μαρτυρίας αὐτὸ συνίστησιν ἀμφότερα ἐχούσης ἐν βραχεῖ, καὶ ὅτι νόμον οὐδεὶς ἐπλήρωσε· διὸ καὶ ἐπικατάρατοι ἦσαν· καὶ ὅτι ἡ πίστις δικαιοῖ. τίς οὖν ἡ μαρτυρία; ἀπὸ τοῦ προφήτου Ἀββακοὺμ οὕτω λέγοντος. ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. τοῦτο γὰρ οὐ τὴν ἐκ πίστεως δείκνυσι δικαιοσύνην μόνον, ἀλλ᾽ ὅτι καὶ διὰ νόμου σωθῆναι οὐκ ἔνι. ἐπειδὴ γὰρ νόμον, φησὶν, οὐδεὶς ἐτήρησεν, ἀλλὰ πάντες ἦσαν ὑπὸ τὴν ἀρὰν διὰ τὴν παράβασιν, ἐπενοήθη ῥᾳδία τις ὁδὸς, ἡ ἀπὸ τῆς πίστεως· ὅπερ καὶ σημεῖον μέγιστόν ἐστι τοῦ μηδένα δυνηθῆναι δικαιωθῆναι ἐκ τοῦ νόμου. οὐ γὰρ εἶπεν ὁ προφήτης, ὁ δὲ δίκαιος ἐκ νόμου ζήσεται, ἀλλ᾽, ἐκ πίστεως. ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς. οὐ γὰρ πίστιν ἐπιζητεῖ μόνον ὁ νόμος, φησὶν, ἀλλὰ καὶ ἔργα· ἡ δὲ χάρις ἀπὸ πίστεως σώζει καὶ δικαιοῖ. εἶδες πῶς ἔδειξεν, ὅτι οἱ τῷ νόμῳ προσέχοντες, διὰ τὸ ἀδύνατον εἶναι πληρωθῆναι, ὑπὸ κατάραν ἐγένοντο; πῶς δὲ καὶ ἡ πίστις ταύτην ἔχει τὴν ἰσχὺν τὴν τοῦ δικαιοῦν; ταῦτα γὰρ ἔμπροσθεν ἐπηγγείλατο, καὶ μετὰ πολλῆς αὐτὰ παρέστησε τῆς ἰσχύος. ἐπειδὴ γὰρ ἠσθένει πρὸς δικαιοσύνην ὁ νόμος τὸν ἄνδρα ἀγαγεῖν, εὑρέθη φάρμακον οὐ μικρὸν ἡ πίστις, τὸ ἀδύνατον τοῦ νόμου ποιοῦσα δυνατὸν δι᾽ αὐτῆς. εἰ τοίνυν καὶ ἡ γραφὴ λέγει, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ἀπογινώσκουσα τὴν διὰ τοῦ νόμου σωτηρίαν, καὶ ὁ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη, δῆλον ὅτι τῆς πίστεως πολλὴ ἡ ἰσχύς. ἀλλ᾽ ὅτι μὲν ὁ μὴ ἐμμένων τῷ νόμῳ ἐπικατάρατος, καὶ ὅτι ὁ τῇ πίστει προσέχων δίκαιος, δῆλον·

cebant, qui sola fide nititur, exsecrabilis est: hic contra demonstrat eum, qui sola fide nititur, benedictum esse. Quomodo ergo hæc omnia declarat? Non enim rem vulgarem polliciti sumus; ideo oportet sequentibus diligenter attendere. Ostenderat quidem hoc antea, cum narraret scripturam dixisse Patriarchæ, *In te benedicentur omnes Gentes.* Tum vero lex non erat, sed fides; ideoque ratiocinans subjunxit: 9. *Itaque qui sunt ex fide, benedicuntur cum fideli Abraham.* Porro ne hinc ansam arriperent contradicendi, dicerentque: Merito ex fide justificatus est, nondum enim erat lex: At tu mihi demonstra post traditam legem, fidem justificare. Ad id venit, ac plus demonstrat quam illi quærunt, nimirum non modo justificare fidem, verumetiam legem ipsa utentes obnoxios exsecrationi reddere. Hæc ut intelligas, audi ipsius apostoli verba: 10. *Quotquot enim ex operibus legis sunt, sub maledictione sunt.* Verum hæc est sententia, nondum habens probationem. Quæ igitur probatio? Ex ipsa lege: *Maledictus enim*, inquit, *omnis qui non manserit in omnibus quæ scripta sunt in libro legis hujus, ut faciat ea.* 11. *In lege autem neminem justificari, cuivis perspicuum est.* Omnes enim peccaverunt, & sub maledicto sunt. Verum hoc modo non loquitur, ne videatur ipse ex se pronunciare, sed iterum idem probat testimonio breviter utrumque complectente, alterum quod nullus legem implesset, unde & exsecrabiles erant: alterum quod fides justificet. Quod igitur testimonium? Ex propheta Habacuc ita loquente: *Justus autem ex fide vivet.* Hoc enim Habac. 2. 4.
non solum ostendit ex fide justificationem esse, verumetiam fieri non posse ut per legem contingat salus. Posteaquam, inquit, legem nemo servavit, sed omnes ob transgressionem erant obnoxii maledicto, excogitata est facilior quædam via per fidem: quod ipsum maximum est argumentum, ex lege neminem posse justitiam adipisci. Non enim dixit propheta, justus ex lege vivet: sed, ex fide. 12. *Lex autem non est ex fide. Sed qui fecerit hæc, vivet in eis?* Hoc est, non tantum fidem requirit lex, sed opera quoque: gratia vero ex fide servat ac justificat. Vides quomodo demonstraverit eos qui legi hærent, eo quod impleri non possit, exsecrationi fuisse obnoxios. Sed quomodo fides habet hanc vim, ut justificet? Audi. Nam hæc ante promisit, eaque magna vi comprobavit. Cum enim lex esset infirmior, quam ut posset hominem ad justitiam perducere, repertum est non leve remedium nempe fides, quæ quod legi erat impossibile faceret. Ergo si & scriptura dicit justum ex fide victurum, rejiciens justitiam quæ est per legem: & si Abraham ex fide justificatus est, manifestum est magnam esse vim fidei. Sed eum qui non perseveraverit in lege, maledictum esse: & eum qui fidei innititur, justum esse, manifestum est.

Sed unde, inquiet aliquis, poteris nobis probare quod illa maledictio non amplius ſubſiſtat? Nam Abraham quidem ante legem fuit, nos autem qui ſemel ſub jugo fuimus ſervitutis, nos ipſos reddidimus obnoxios exſecrationi. Quis igitur eſt qui ſolvit illam exſecrationem? Vide quam celeriter huic etiam objectioni occurrit: quamquam & ea quæ dicta ſunt, ſufficiant. Etenim qui ſemel juſtificatus eſt, mortuuſque legi, ac vitam novam amplexus eſt, quî poſſit eſſe obnoxius exſecrationi? At his contentus non eſt, verum & aliis modis rem aggreditur, ſcribens: 13. *Chriſtus nos redemit de maledictione legis, factus pro nobis maledictum; ſcri-*
Deut. 21. 23. *ptum eſt enim: Maledictus omnis qui pendet in ligno.* Verum alii populus maledicto fuit
Deut. 27. 26. obnoxius, ut dicitur: *Maledictus omnis qui non permanſerit in iis quæ ſcripta ſunt in libro legis hujus.* Et quid hoc? Nam populus quidem obnoxius erat. Non enim permanſerat in lege, neque quiſquam erat qui legem totam impleverat. At Chriſtus hanc maledictionem altera permutavit, quæ dicit: *Maledictus omnis qui pendet in ligno.* Quoniam igitur & qui pendet, maledictus eſt: & qui legem tranſgreditur etiam maledictus: non oportuit illum qui maledictum illud erat ſublaturus, obnoxium eidem fieri maledicto: verum pro illo aliud erat ſuſcipiendum maledictum quod & ſuſcepit, per quod illud aliud ſuſtulit, perinde faciens, ac ſi morti adjudicatum quempiam, alius inſons, illius damnati vice ſponte mori volens, eripiat; ſic & Chriſtus fecit. Cum enim Chriſtus non eſſet obnoxius maledicto tranſgreſſionis, hoc in ſe recepit pro omnibus, ut om-
Eſa. 53. nes ab illo liberaret. *Peccatum* enim, inquit, *non fecit, nec inventus eſt in ore illius dolus.*

4. Itaque ſicut mortuus eos quibus erat moriendum, exemit a morte, ita &, maledicto in ſe recepto, a maledicto liberavit. 14. *Ut in Gentes veniret benedictio Abrahæ.* Quomo-
Gen. 12. 3. do in Gentes? *In ſemine*, inquit, *tuo benedicentur omnes Gentes:* hoc eſt, in Chriſto. Quod ſi hoc de Judæis dictum eſſet, quomodo rationi conſentaneum erat, ut qui ob tranſgreſſionem maledicto erant obnoxii, cæteris eſſent auctores benedictionis? Nullus enim maledictus alii dat benedictionem, cujus ipſe eſt expers. Unde liquet totum hoc de Chriſto dictum eſſe. Ipſe enim erat ſemen Abrahæ, & per illum Gentes benedicuntur, atque ita advenit Spiritus promiſſio, quod ipſum ſignificans dicebat: *Ut promiſſionem Spiritus accipiant per fidem.* Etenim cum non poſſet gratia Spiritus in eum qui ingratus erat & offenderat, venire, primum benedicuntur ſublata maledictione: deinde per fidem juſtificati, attrahunt Spiritus gratiam. Proinde crux ſuſtulit maledictum, fides invexit juſtitiam, juſtitia vero gratiam Spiritus allexit. 15. *Fratres, ſecundum hominem loquor, tamen hominis confirmatum teſtamentum nullus irritum facit, aut ſuperordinat.* Quid eſt, ſe-

A ὅτι δὲ οὐκ ἕστηκεν ἔτι ἐκείνη ἡ κατάρα, πόθεν ἔχεις ἀποδεῖξαι ἡμῖν, φησίν; ὁ μὲν γὰρ Ἀβραὰμ πρὸ τοῦ νόμου ἦν· ἡμεῖς δὲ ἅπαξ ὑπὸ τὸν ζυγὸν γενόμενοι τῆς δουλείας, ὑπευθύνους ἑαυτοὺς κατεστήσαμεν τῇ κατάρᾳ· τίς οὖν ὁ τὴν κατάραν λύσας ἐκείνην; πρὸς τοῦτο ὅρα πῶς ἀπαντᾷ ταχέως. ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα. ὁ γὰρ δικαιωθεὶς ἅπαξ, καὶ ἀποθανὼν τῷ νόμῳ, καὶ ζωῆς ἐπιλαβόμενος ξένης, πῶς ἂν ὑπεύθυνος εἴη τῇ ἀρᾷ; πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ ἑτέρως ἀγωνίζεται, γράφων· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, B γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· καὶ μὴν ἑτέρᾳ κατάρᾳ ὁ λαὸς ὑπεύθυνος ἦν τῇ λεγούσῃ, ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου. καὶ τί τοῦτο; ὁ μὲν γὰρ λαὸς ὑπεύθυνος ἦν· οὐ γὰρ ἐνέμεινεν, οὐδὲ ἦν τις ὁ πεπληρωκὼς τὸν νόμον ἅπαντα· ὁ δὲ Χριστὸς ἑτέραν κατάραν ταύτης ἠλλάξατο τὴν λέγουσαν, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. ἐπεὶ οὖν καὶ ὁ κρεμάμενος ἐπὶ ξύλου ἐπικατάρατος, καὶ ὁ τὸν νόμον παραβαίνων ἐπικατάρατος, μέλλοντα δὲ ἐκείνην λύειν τὴν κατάραν ὑπεύθυνον οὐκ ἔδει γενέσθαι C αὐτῆς, δεῖ δὲ δέξασθαι κατάραν ἀντ' ἐκείνης, τοιαύτην ἐδέξατο, καὶ δι' αὐτῆς ἐκείνην ἔλυσε. καὶ καθάπερ τινὸς καταδικασθέντος ἀποθανεῖν, ἕτερος ἀνεύθυνος ἑλόμενος θανεῖν ὑπὲρ ἐκείνου, ἐξαρπάζει τῆς τιμωρίας αὐτόν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐπειδὴ γὰρ οὐχ ὑπέκειτο κατάρᾳ τῇ τῆς παραβάσεως, ἀνεδέξατο ὁ Χριστὸς ἀντ' ἐκείνης ταύτην, ἵνα λύσῃ τὴν ἐκείνων. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ.

Ὥσπερ οὖν ἀποθανὼν τοὺς ἀποθνήσκειν μέλλοντας ἐξείλετο θανάτου, οὕτω καὶ κατάραν δεξάμενος, τῆς D κατάρας ἀπήλλαξεν. ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται. πῶς εἰς τὰ ἔθνη; ἐν τῷ σπέρματί σου, φησίν, εὐλογηθήσονται πάντα τὰ ἔθνη, τουτέστιν, ἐν τῷ Χριστῷ. εἰ δὲ περὶ Ἰουδαίων τοῦτο ἐλέγετο, πῶς ἂν ἔχοι λόγον τοὺς ὑπευθύνους ὄντας τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους γενέσθαι; οὐδεὶς γὰρ τῶν κατηραμένων ἑτέρῳ μεταδίδωσιν εὐλογίας, ἧς αὐτὸς ἀπεστέρηται. ὅθεν δῆλον ὅτι περὶ τοῦ Χριστοῦ τὸ πᾶν εἴρηται. αὐτὸς γὰρ ἦν σπέρμα τοῦ Ἀβραάμ, καὶ δι' αὐτοῦ τὰ ἔθνη εὐλόγηνται, καὶ οὕτω E πρόσεστιν ἡ τοῦ πνεύματος ἐπαγγελία. ὅπερ καὶ αὐτὸς δηλῶν ἔλεγεν· ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωσι διὰ τῆς πίστεως. ἐπειδὴ γὰρ οὐκ ἦν τὴν χάριν τοῦ πνεύματος εἰς ἀχάριστον καὶ προσκεκρουκότα ἐλθεῖν, εὐλογοῦνται πρότερον τῆς κατάρας ἀφαιρεθείσης· εἶτα διὰ τῆς πίστεως δικαιωθέντες, ἐπισπῶνται τοῦ πνεύματος τὴν χάριν. ὥστε ὁ μὲν σταυρὸς τὴν κατάραν ἔλυσεν· ἡ δὲ πίστις τὴν δικαιοσύνην εἰσήγαγεν· ἡ δὲ δικαιοσύνη, τοῦ πνεύματος τὴν χάριν ἐπεσπάσατο. ἀδελφοί, κατὰ ἄνθρωπον λέγω, ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. τί

ἐστι, κατὰ ἄνθρωπον λέγω; ἐξ ἀνθρωπίνων παραδειγμάτων. ἐπειδὴ γὰρ καὶ ἀπὸ γραφῶν, καὶ ἀπὸ τῶν παρ' αὐτοῖς γινομένων θαυμάτων, καὶ ἀφ' ὧν ὁ Χριστὸς ἔπαθε, τὸν λόγον συνέστησε, καὶ ἀπὸ τοῦ πατριάρχου, καὶ εἰς τὴν κοινὴν λοιπὸν ἐκβαίνει συνήθειαν. ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτο ποιεῖν, ὥστε καὶ καταγλυκαίνειν τὸν λόγον, καὶ εὐπαράδεκτόν τε, καὶ εὐμαθέστερον τοῖς παχυτέροις ποιεῖν. οὕτω καὶ Κορινθίοις διαλεγόμενός, φησιν. τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; καὶ Ἑβραίοις πάλιν· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος. καὶ πολλαχοῦ δὲ ἄν τις εὕροι τούτοις αὐτὸν ἐμφιλοχωροῦντα τοῖς λογισμοῖς. καὶ γὰρ ὁ θεὸς ἐν τῇ παλαιᾷ συνεχῶς αὐτὸ ποιεῖ, οὕτω λέγων· μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; καὶ πάλιν, μὴ ἐρεῖ τὸ πλάσμα τῷ κεραμεῖ, τί ποιεῖς; καὶ ἐν τῷ Ὠσηὲ ἄνδρα μιμεῖται καταφρονούμενον ὑπὸ τῆς γυναικός. καὶ ἐν τοῖς τύποις δὲ πολὺ τὸ τῶν ἀνθρωπίνων παραδειγμάτων ἴδοι τις ἄν, ὡς ὅταν τὸ περίζωμα ὁ προφήτης λαμβάνῃ, καὶ εἰς τὸ οἰκίσκον τοῦ κεραμέως κατίῃ. τί οὖν αὐτῷ τὸ ὑπόδειγμα βούλεται; ὅτι ἡ μὲν πίστις ἀρχαιοτέρα ἦν, ὁ δὲ νόμος νεώτερός τε καὶ πρόσκαιρος, καὶ διὰ τοῦτο δεδομένος, ἵνα προοδοποιήσῃ τῇ πίστει. διό φησιν· ἀδελφοὶ, κατὰ ἄνθρωπον λέγω. ἀνωτέρω ἀνοήτους εἰπὼν, ἐνταῦθα ἀδελφοὺς καλεῖ, ἐπιστύφων τε ὁμοῦ, καὶ παραμυθούμενος. ὅμως ἀνθρώπου [a] κεκυρωμένην διαθήκην. ἐὰν ἄνθρωπός, φησι, διάθηται, μὴ τολμᾷ τις ἀνατρέψαι μετὰ ταῦτα ἐλθὼν, ἢ προσθεῖναί τι; τοῦτο γάρ ἐστιν, ἢ ἐπιδιατάσσεται. οὐκοῦν πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ. καὶ πρὸς τίνα διέθετο ὁ θεός; τῷ Ἀβραάμ, φησιν, ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει, καὶ τοῖς σπέρμασιν αὐτοῦ, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σου ὅ ἐστι Χριστός. τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν, ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, ἐξ ἐπαγγελίας οὐκέτι· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ θεός. ἰδοὺ τοίνυν καὶ ὁ θεὸς διέθετο τῷ Ἀβραὰμ, διαλεγόμενος εἰς τὰ ἔθνη, ἐν τῷ σπέρματι αὐτοῦ ἥξειν [b] τὰς εὐλογίας. πῶς οὖν ὁ νόμος ἀνατρέψαι δύναται ταύτας; ἐπειδὴ δὲ τὸ παράδειγμα ἅπαν οὐκ ἴσχυσεν ἑλκύσαι πρὸς τὸ ὑποκείμενον, καὶ διὰ τοῦτο προεῖπε, κατὰ ἄνθρωπον λέγω. μηδὲν ἀπὸ τοῦ παραδείγματος εἰς τὴν τοῦ θεοῦ μεγαλοπρέπειαν λάβῃς. σκόπει δὲ ἄνωθεν τὸ ὑπόδειγμα. ἐπηγγείλατο τῷ Ἀβραὰμ διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη. σπέρμα δὲ αὐτοῦ κατὰ σάρκα ἐστὶν ὁ Χριστός. ἦλθε μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ὁ νόμος. εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας, καὶ τὴν ζωὴν καὶ τὴν δικαιοσύνην,

A cundum hominem loquor? Humanis utor exemplis. Posteaquam enim, & ex scripturis, & ex miraculis apud illos editis, & ex iis quæ Christus passus est, denique ab ipso Patriarcha sermonem confirmavit, jam ad communem digreditur consuetudinem; solet enim Paulus hoc semper facere, ut sermonem leniorem reddat, quo & facilius recipiatur, & crassioribus fiat intelligibilior. Sic & Corinthiis disserens ait, *Quis pascit* B *gregem, & ex lacte ejus non vescitur? Quis plantat vineam, & de fructu ejus non edit?* (1. Cor. 9. 7.) Ac rursus Judæis, *Testamentum enim in mortuis ratum est, quoniam nondum valet dum vivit qui testatus est.* (Hebr. 9. 17.) Quin & aliis compluribus locis aliquis comperiet illum talibus libenter immorantem rationibus, quandoquidem & Deus in veteri testamento idem hoc assidue facit, hunc in modum loquens: *Num mulier obliviscetur* filii sui? (Isai 49. 16.) Ac rursum: *Num dicet figmentum figulo, quid facis?* Item in Osee maritum imitatur ab uxore despectum. (Osee. 1. 1.) Insuper & in figuris multum humanorum exemplorum cernere quispiam poterit: C veluti cum cingulum accipit propheta, & in domunculam figuli subit. (Jer. 18.) Quid igitur sibi vult exemplum? Quod fides fuit antiquior, lex vero tum recentior tum temporaria, & in hoc data, ut præcedens viam aperiret fidei. (Sup. 3.) Ideo dicit: Fratres secundum hominem loquor. Cum superius illos appellarit stultos, hic fratres vocat, simul & perstringens eos & consolans. Tamen hominis confirmatum testamentum. Si homo, inquit, condit testamentum, num quis audet superveniens invertere aut adjicere quidpiam? Nam hoc est quod ait, *aut superordinat.* Multo magis igitur hoc non est faciendum in Deo. (Gen. 22.) D Et cui Deus condidit testamentum? 16. *Abrahæ*, inquit, *dictæ sunt promissiones: In semine tuo benedicentur omnes Gentes. Non dicit, in seminibus, tamquam in multis: sed tamquam in uno, & semine tuo, quod est Christus. 17. Hoc autem dico, testamentum prius confirmatum a Deo in Christum, lex quæ post quadringentos ac triginta annos facta est, non irritum facit, ut inanem reddat promissionem. 18. Nam si ex lege hæreditas, non jam ex promissione. Abrahæ vero per repromissionem donavit Deus.* En igitur & Deus fecit testamentum Abrahæ, dicens, per semen ejus E venturas benedictiones in Gentes. Quomodo igitur lex eas potest subvertere? Quia enim exemplum totum non potuit deducere ad materiam propositam, ideo præmisit, Secundum hominem loquor. Nihil de exemplo ad Dei magnificentiam deducas. Perpende autem exemplum a principio. Promiserat Abrahæ Deus fore, ut per semen ipsius benedicerentur Gentes. Semen autem ejus secundum carnem est Christus. Venit post quadringentos & triginta annos lex. Itaque si lex confert benedictiones, vitam, & ju-

a κεκυρωμένην. Savil. in marg. προκεκυρωμένην.

b τὰς εὐλογίας. Savil. in marg. τὰς ἐπαγγελίας.

ſtitiam, repromiſſio illa antiquata eſt. Ita-ne fit igitur, ut cum hominis teſtamentum nullus irritum faciat, Dei teſtamentum poſt quadringentos triginta annos irritum ſit? Etenim ſi quod illud teſtamentum promiſit, non præſtat ipſum, ſed alius pro illo præſtat, certe illud rejectum eſt. Et quomodo poſſent hæc congruere rationi? 19. *Cur ergo*, inquies, *dedit legem? Propter tranſgreſſiones.* Nec enim hæc eſt ſuperflua. Vides ut omnia perſpicit, ut innumeris utitur oculis. Quoniam extulerat fidem declarans eam fuiſſe antiquiorem lege, ne quis exiſtimaret legem eſſe ſupervacaneam, hanc quoque partem corrigit, demonſtrans eam non fruſtra, ſed admodum utiliter fuiſſe datam: ob tranſgreſſiones, inquit, data fuit: hoc eſt, ne liceret Judæis ſecure vivere, atque in extremam prolabi malitiam, ſed ut lex illis freni vice foret impoſita, erudiens, componens, prohibenſque tranſgredi, ſi minus omnia, certe aliquot præcepta. Itaque non mediocris erat ex lege fructus. Sed quouſque? *Donec veniret ſemen, cui promiſſio facta fuerat.* De Chriſto loquitur. Proinde ſi uſque ad Chriſti adventum data eſt, quid eam longius & ultra tempus prorogas? *Diſpoſita per angelos in manu mediatoris.* Aut ſacerdotes vocat angelos, aut dicit angelos ſubminiſtraſſe ferendæ legi. Mediatorem autem hic appellat Chriſtum, declarans quod is ante legem fuerit, ipſeque legem dederit. 20. *Mediator autem unius non eſt, ſed Deus unus eſt.*

Contra Anomœos. 5. Quid hic dicturi ſunt hæretici? Etenim ſi quod ſolus pater dicitur verus Deus, obſtat quominus filius ſit verus Deus, profecto nec Deus erit, quod de ſolo patre dicatur, Deus unus eſt. Quod ſi dum unus Deus dicitur pater, Deus eſt & filius: perſpicuum eſt, quod cum ſolus pater dicitur verus Deus, verus Deus ſit & filius. Mediator autem, inquit, duorum quorumpiam mediator eſt. Cujus igitur mediator fuit Chriſtus? Clarum eſt quod inter Deum & homines interceſſerit. Viden' quomodo declarat quod ipſe etiam legem dederit? Quod ſi ille legem dedit, habet etiam auctoritatem abrogandi. 21. *Lex igitur adverſus promiſſa Dei?* Nam ſi in ſemine Abrahæ repromiſſiones datæ ſunt, lex autem inducit maledictionem, eſt utique adverſus promiſſa Dei. Quomodo igitur ſolvit objectionem? Primum quidem negat dicens: *Abſit.* Deinde etiam probat, ita loquens: *Nam ſi fuiſſet data lex, ut poſſet vivificare, vere ex lege fuiſſet juſtitia.* Quod autem dicit, hoc eſt: Si in lege, inquit, vitæ ſpem habuiſſemus, & hæc poteſtatem habuiſſet noſtræ ſalutis, fortaſſis iſta recte diceres. Si vero per fidem ſervat, etiam ſi lex maledictos reddat, nihil detrimenti capiebas, poſtquam venit fides, omnia diſſolvens. Nam ſi per legem fuiſſet repromiſſio, jure metuiſſes ne excluſus a lege ſimul & a juſtitia excludereris. At ſi ideo data eſt lex, ut omnes concluderet, hoc eſt, coargueret, oſtenderetque eis ipſorum peccata; non ſolum non obſtat quo minus con-

Deut. 6.
1. Cor. 8.

A ἡ ἐπαγγελία ἐκείνη ἄκυρός ἐστιν. εἶτα ἀνθρώπου μὲν οὐδεὶς ἀκυροῖ διαθήκην, τοῦ δὲ θεοῦ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ἀκυροῦται ἡ διαθήκη; εἰ γὰρ ἃ ἐπηγγείλατο ἐκείνη, οὐκ ἐκείνη δὲ δίδωσιν, ἀλλ᾽ ἕτερος ἀντ᾽ ἐκείνης, ἐκβέβληται ἐκείνη. καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; τίνος οὖν ἕνεκεν τὸν νόμον ἔδωκε, φησί; τῶν παραβάσεων χάριν. οὐδὲ γὰρ οὗτός ἐστι περιττός. ὁρᾷς πῶς πάντα συνορᾷ; πῶς μυρίοις κέχρηται ὀφθαλμοῖς; ἐπειδὴ γὰρ τὴν πίστιν ἐπῆρε, καὶ πρεσβυτέραν ἔδειξεν, ἵνα μή τις νομίσῃ περιττὸν τὸν νόμον, καὶ τοῦτο διορθοῦται τὸ μέρος, δεικνὺς ὅτι B οὐκ εἰκῇ, ἀλλὰ πάνυ χρησίμως ἐδόθη· τῶν παραβάσεων χάριν, τουτέστιν, ἵνα μὴ ἐξῇ Ἰουδαίοις ἀδεῶς ζῆν, καὶ εἰς ἔσχατον ἐξολισθαίνειν κακίας, ἀλλ᾽ ἀντὶ χαλινοῦ ὁ νόμος αὐτοῖς ἐπικείμενος ᾖ, παιδεύων, ῥυθμίζων, κωλύων παραβαίνειν, εἰ καὶ μὴ πάσας, ἀλλ᾽ ὅμως κἂν ἐκ μιᾶς τῶν ἐντολῶν. ὥστε οὐ μικρὸν τὸ κέρδος τοῦ νόμου. ἀλλ᾽ ἄχρι τίνος; ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται. περὶ Χριστοῦ, λέγων. εἰ τοίνυν μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας δέδοται, τί περαιτέρω καὶ παρὰ καιρὸν C αὐτὸν ἕλκεις; διαταγεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου. ἢ τοὺς ἱερέας ἀγγέλους καλεῖ, ἢ καὶ αὐτοὺς τοὺς ἀγγέλους ὑπηρετήσασθαί φησι τῇ νομοθεσίᾳ. μεσίτην δὲ ἐνταῦθα τὸν Χριστόν φησι, δεικνὺς ὅτι προῆν, καὶ τὸν νόμον αὐτὸς ἔδωκεν. ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν· ὁ δὲ θεὸς, εἷς ἐστι.

Τί ἂν ἐνταῦθα εἴποιεν αἱρετικοί; εἰ γὰρ τὸ, μόνος ἀληθινὸς, οὐκ ἀφίησι τὸν υἱὸν εἶναι θεὸν ἀληθινὸν, οὐκ ἄρα οὐδὲ θεὸν, διὰ τὸ λέγεσθαι, ὁ δὲ θεὸς εἷς ἐστιν. εἰ δὲ ἑνὸς λεγομένου θεοῦ τοῦ πατρὸς, ἔστι θεὸς καὶ ὁ υἱὸς, εὔδηλον ὅτι καὶ ἀληθινοῦ λεγομένου τοῦ πατρὸς, ἀληθινὸς καὶ ὁ υἱός. ὁ δὲ μεσίτης, φησὶ, δύο τινῶν D γίνεται μεσίτης. τίνος οὖν μεσίτης ἦν ὁ Χριστός; ἢ δῆλον, ὅτι θεοῦ καὶ ἀνθρώπων. ὁρᾷς πῶς δείκνυσιν, ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωκεν; εἰ τοίνυν αὐτὸς ἔδωκε, κύριος ἂν εἴη καὶ λῦσαι πάλιν. ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ; εἰ γὰρ ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ αἱ εὐλογίαι δέδονται, ὁ δὲ νόμος κατάραν εἰσάγει, ἄρα κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ. πῶς οὖν λύει τὴν ἀντίθεσιν; πρῶτον μὲν ἀπαγορεύει, εἰπών. μὴ γένοιτο. ἔπειτα καὶ κατασκευάζει, E οὕτω λέγων· εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη. ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ μὲν ἐν αὐτῷ, φησὶ, τὴν ἐλπίδα τῆς ζωῆς εἴχομεν, καὶ αὐτὸς ἦν ὁ τὸ κῦρος ἔχων τῆς ἡμετέρας σωτηρίας, ἴσως ταῦτα καλῶς ἔλεγες· εἰ δὲ ἀπὸ πίστεως σώζει, κἂν ἐπικαταράτους ποιῇ, οὐδὲν ἐβλάβης ἐρχομένης ἐκείνης καὶ πάντα λυούσης. εἰ μὲν γὰρ δι᾽ ἐκείνου ἡ ἐπαγγελία, εἰκότως ἐδεδοίκεις μὴ τῆς δικαιοσύνης ἐκπέσῃς, ἐκπίπτων τοῦ νόμου· εἰ δὲ διὰ τοῦτο ἐδόθη, ἵνα συγκλείσῃ πάντας, τουτέστιν, ἵνα ἐλέγξῃ, καὶ δείξῃ τὰ οἰκεῖα αὐτῶν πλημμελήματα, οὐ μόνον οὐ κωλύει σε τῆς

τυχεῖν τῆς ἐπαγγελίας, ἀλλὰ καὶ συμπράττει πρὸς τὸ τυχεῖν. τοῦτο γοῦν δηλῶν ἔλεγεν· ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. ἐπειδὴ γὰρ Ἰουδαῖοι οὐδὲ τῶν ἁμαρτημάτων ᾐσθάνοντο τῶν οἰκείων, οἱ δὲ μὴ αἰσθανόμενοι, οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔδωκε τὸν νόμον ἐλέγχοντα τὰ τραύματα, ἵνα ποθήσωσι τὸν ἰατρόν. τὸ γὰρ, συνέκλεισεν, ἤλεγξέν ἐστι, καὶ ἐλέγξας κατεῖχεν ἐν φόβῳ. εἶδες ὅτι οὐ μόνον κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ οὐκ ἔστιν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐπαγγελιῶν ἐδόθη; εἰ μὲν γὰρ ἑαυτῷ τὸ πρᾶγμα ἐξεδίκει καὶ τὴν αὐθεντίαν ὁ νόμος, καλῶς ταῦτα ἐλέγετο· εἰ δὲ ἑτέρῳ τρέχει, καὶ δι' ἐκεῖνον πάντα ἔπραττε, πῶς κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ; εἰ γὰρ μὴ νόμος ἐδόθη, πάντες εἰς κακίαν ἐξώκειλαν, καὶ οὐδεὶς ἔμελλεν Ἰουδαίων ἔσεσθαι ὁ ἀκουσόμενος τοῦ Χριστοῦ· νυνὶ δὲ δοθεὶς δύο ταῦτα κατώρθωσεν, ἀρετὴν σύμμετρον παιδεύσας τοὺς προσέχοντας, καὶ πείσας εἰδέναι τὰ οἰκεῖα ἁμαρτήματα, ὃ μάλιστα αὐτοὺς ἐποίει προθυμοτέρους πρὸς τὸ ζητεῖν τὸν υἱόν. οἱ γοῦν μὴ πιστεύσαντες αὐτῷ, ἐκ τοῦ μὴ καταγνῶναι τῶν οἰκείων ἁμαρτημάτων, οὐκ ἐπίστευσαν. καὶ τοῦτο δηλῶν ἔλεγεν· ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. εἶδες πῶς σαφῶς ἅπερ εἰρήκαμεν παρέστησε; τὸ γὰρ, ἐφρουρούμεθα, καὶ συγκεκλεισμένοι, οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ τὴν ἐκ τῶν ἐντολῶν τοῦ νόμου γινομένην ἀσφάλειαν. ὥσπερ γὰρ ἐν τείχει τινὶ τῷ φόβῳ κατέχων αὐτοὺς καὶ τῷ βίῳ τῷ κατ' αὐτὸν ὁ νόμος ἐτήρει τῇ πίστει. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ὁ δὲ παιδαγωγὸς οὐκ ἐναντιοῦται τῷ διδασκάλῳ, ἀλλὰ καὶ συμπράττει, πάσης κακίας ἀπαλλάττων τὸν νέον, καὶ μετὰ πάσης σχολῆς τὰ μαθήματα παρὰ τοῦ διδασκάλου δέχεσθαι παρασκευάζων· ἀλλ' ὅταν ἐν ἕξει γένηται, ἀφίσταται λοιπὸν ὁ παιδαγωγός. διὰ τοῦτό φησιν· ἐλθούσης δὲ τῆς πίστεως τῆς εἰς τὸν τέλειον ἄνδρα ἀγούσης, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Εἰ τοίνυν ὁ νόμος παιδαγωγὸς, καὶ ὑπ' αὐτὸν ἐφρουρούμεθα συγκεκλεισμένοι, οὐκ ἐναντίος τῆς χάριτος, ἀλλὰ καὶ συνεργός· εἰ δὲ ἐλθούσης τῆς χάριτος ἐπιμένοι κατέχων, τότε ἐναντίος. ἂν γὰρ ὀφείλοντας ἐξελθεῖν πρὸς αὐτὴν συγκλείῃ, τότε τὴν ἡμετέραν λυμαίνεται σωτηρίαν. ὥσπερ γὰρ ὁ λύχνος ἐν τῇ νυκτὶ φωτίζων, ἐὰν γινομένης ἡμέρας ἀναγκάζῃ μὴ καθορᾶν τὸν ἥλιον, οὐ μόνον οὐκ ἐχαρίσατο, ἀλλὰ καὶ ἐλυμήνατο· οὕτω καὶ ὁ νόμος, ἂν πρὸς τὰ μείζονα κώλυμα γίνηται. οἱ τοίνυν αὐτὸν τηροῦντες νῦν, οὗτοι μάλιστα αὐτὸν διαβάλλουσι. καὶ γὰρ ὁ παιδαγωγὸς τότε καταγέλαστον ποιεῖ τὸν νέον, ὅταν καιροῦ καλοῦντος αὐτὸν ἀποστῆναι, παρ' ἑαυτῷ κατέ-

A sequaris repromissiones, verumetiam confert ad eas adipiscendas. Hoc itaque significans dicebat: 22. *Sed conclusit scriptura omnia sub peccatum, ut promissio per fidem Jesu Christi daretur credentibus.* Nam quoniam Judæi ne sentiebant quidem sua peccata, non sentientes autem nec desiderabant remissionem, dedit legem quæ proderet vulnera, quo medicum requirerent. Quod enim dixit, *conclusit*, perinde valet ac si dixisset, coarguit, & coargutos continuit in metu. Vides quod non solum adversus Dei promissa data non fuit, verumetiam B pro promissis? Etenim si lex sibi negotium hoc vindicasset & auctoritatem habuisset, recte ista dicerentur. Sin alteri currit, ac propter illum omnia facit, quomodo est adversus promissa Dei? Nam si lex data non fuisset, omnes in malitiam fuissent devoluti, neque quisquam Judæorum Christum auditurus fuisset. Nunc vero data lex, hæc duo præstitit bona; alterum quod virtutem mediocrem docuit eos qui ipsi attendebant; alterum, quod ipsis suaserit ut agnoscerent sua peccata, quæ res illos maxime reddidit promtos ad quærendum Filium. Itaque qui C non crediderunt legi, eo quod non condemnarent sua peccata, non crediderunt Christo. Idque significans ait: Ignorantes enim Dei justitiam, & propriam justitiam statuere quærentes, justitiæ Dei non fuerunt subjecti. 23. *Priusquam autem veniret fides, sub lege custodiebamur conclusi in futuram fidem, quæ erat revelanda in nos.* Vides ut dilucide quæ diximus declarat? Nam quod dixit, custodiebamur; & conclusi, nihil aliud significat, quam tutelam ex legis præceptis adhibitam. Lex enim timore veluti muro quodam continens illos, per ipsam secundum D legem vitam, reservabat illos fidei. 24. *Itaque lex pædagogus noster fuit ad Christum, ut ex fide justificaremur.* Pædagogus autem non adversatur præceptori, sed adjuvat, arcens adolescentem ab omni vitio, reddens illum idoneum omni studio percipiendis iis quæ tradit præceptor. Verum cum jam habitum collegerit, discedit pædagogus. Ideo dicit: 25. *At ubi venit fides, quæ in virum perfectum educit, non amplius sub pædagogo sumus.* 26. *Omnes enim filii Dei estis per fidem, quæ est in Christo Jesu.* Itaque si lex est pædagogus; & sub hoc custodiebamur conclusi, E non adversatur gratiæ, sed adjuvat. Quod si postquam advenit gratia, perseverat constringere, tum est adversaria. Etenim si quos oportebat exire ad illam, apud sese concludat, tum nostram corrumpit salutem. Quemadmodum si lucerna quæ noctu præluxit, jam orto die vetaret nos obtueri solem, non præstaret officium, verumetiam læderet: itidem & lex si obstaret ad meliora pergentibus. Qui ergo nunc eam servant, ii maxime traducunt illam: siquidem & pædagogus tunc ridiculum reddit adolescentem; cum tempore postulante ut ab eo discedat,

Rom. 10. 3.

apud se detinet. Et ideo Paulus sic ait: *Postea quam venit fides, non amplius sub pædagogo estis.* Itaque non amplius sub pædagogo sumus. *Omnes enim filii Dei estis.* Papæ, quanta fidei vis, & quomodo eam progressu sermonis aperit? Prius enim ostendit, quod fides redderet filios Patriarchæ: Scitote, inquiens, qui ex fide sunt, hos esse filios Abrahæ. Nunc vero demonstrat eosdem esse filios Dei. Omnes enim, inquit, estis filii Dei per fidem quæ est in Christo Jesu: per fidem, non per legem. Posthæc quoniam res est magna & admirabilis, explicat & modum quo fiunt filii Dei. 27. *Quicumque enim in Christum baptizati estis, Christum induistis.* Et cur non dixit, quicumque in Christum baptizati estis, ex Deo nati estis? hoc enim congruebat ad demonstrandum quod essent filii. Sed rem ille modo tremendo magis exponit. Etenim si Christus est Filius Dei, tu vero illum induisti, cum habes Filium in te, & in illum per similitudinem transformatus es in eamdem cognationem, unamque speciem perductus es. 28. *Non est Judæus neque Græcus, non est servus neque liber, non est mas aut femina: omnes enim vos unus estis in Christo Jesu.* Vides animam insatiabilem? Cum enim dixisset: Omnes facti sumus filii Dei per fidem, non hic gradum sistit, sed quærit etiam amplius aliquid invenire, quod evidentius approbare queat propiorem erga Christum conjunctionem. Cumque dixisset, Christum induistis, ne hoc quidem dicto contentus est, sed explanans illud, ultra talem conjunctionem progreditur, & omnes unus estis in Christo Jesu, hoc est, eamdem formam, eumdem typum habetis omnes, videlicet Christi. Quid his verbis esse possit magis stupendum aut reverendum? Qui prius erat Ethnicus, aut Judæus, aut servus, nunc obambulat formam gestans non angeli, neque archangeli, sed universorum Domini in sese Christum repræsentans. 29. *Quod si vos estis Christi, ergo Abrahæ semen estis, ac secundum repromissionem heredes.* Vides ut quod antea dixerat, nunc demonstrat, videlicet de semine, quod Abrahæ & semini ejus benedictiones sint datæ?

A χη. διὸ καὶ ὁ Παῦλός φησιν, ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐστε. ὥστε οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ θεοῦ ἐστε. βαβαὶ, πόση τῆς πίστεως ἡ δύναμις, καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών; πρότερον μὲν γὰρ ἔδειξεν, ὅτι υἱοὺς ἐποίει τοῦ πατριάρχου· γινώσκετε γὰρ, φησὶν, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ· νῦν δὲ ἀποφαίνει, ὅτι καὶ τοῦ θεοῦ. πάντες γὰρ υἱοὶ θεοῦ, φησὶν, ἐστὲ διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. διὰ τῆς πίστεως, οὐ διὰ τοῦ νόμου. εἶτα ἐπειδὴ μέγα, καὶ θαυμαστὸν, λέγει καὶ τὸν τρόπον τῆς υἱοθεσίας. B ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, ἐκ τοῦ θεοῦ ἐγεννήθητε; τὸ γὰρ ἀκόλουθον τοῦ δεῖξαι υἱοὺς τοῦτο ἦν· ὅτι πολὺ φρικωδέστερον αὐτὸ τίθησιν. εἰ γὰρ ὁ Χριστὸς υἱὸς τοῦ θεοῦ, σὺ δὲ αὐτὸν ἐνδέδυσαι, τὸν υἱὸν ἔχων ἐν ἑαυτῷ καὶ πρὸς αὐτὸν ἀφομοιωθεὶς, εἰς μίαν συγγένειαν καὶ μίαν ἰδέαν ἤχθης. οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν ἢ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἶδες ψυχὴν ἀκόρεστον; εἰπὼν γὰρ, ὅτι υἱοὶ τοῦ C θεοῦ γεγόναμεν διὰ τῆς πίστεως, οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπιζητεῖ τι πλέον εὑρεῖν, τὸ δυνάμενον σαφέστερον παραστῆσαι τὴν ἐγγυτέραν πρὸς τὸν Χριστὸν ἕνωσιν. καὶ εἰπὼν, ὅτι αὐτὸν ἐνεδύσασθε, οὐδὲ ταύτῃ ἀρκεῖται τῇ λέξει, ἀλλ' ἑρμηνεύων αὐτὴν, ἐνδοτέρω πρόεισι τῆς τοιαύτης συναφείας, καί φησιν· ὅτι πάντες εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, μίαν μορφὴν, ἕνα τύπον ἔχετε πάντες τὸν τοῦ Χριστοῦ. τί τούτων γένοιτ' ἂν φρικωδέστερον τῶν ῥημάτων; ὁ Ἕλλην καὶ ὁ Ἰουδαῖος καὶ ὁ δοῦλος πρότερον, οὐκ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ πάντων δεσπότου τὴν D μορφὴν ἔχων περιέρχεται, καὶ ἐν αὐτῷ δεικνὺς τὸν Χριστόν. εἰ δὲ ὑμεῖς τοῦ Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. εἶδες πῶς, ὅπερ ἔμπροσθεν ἔλεγεν, ἀπέδειξε νῦν τὸ περὶ τοῦ σπέρματος, ὅτι αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ αἱ εὐλογίαι εἰσὶ δεδομέναι;

## CAPUT IV.

1. *Dico autem, quanto tempore hæres parvulus est, nil differt a servo, cum sit Dominus omnium; 2. Sed sub tutoribus & procuratoribus est, usque ad tempus præfinitum a patre; 3. Sic & nos cum essemus parvuli, sub elementis mundi eramus servientes.*

## ΚΕΦΑΛΑΙΟΝ δ'.

Λέγω δὲ ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν. ἀλλ' E ὑπὸ ἐπιτρόπους καὶ οἰκονόμους ἐστὶν ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι.

1. PARVULUM hîc non ætate dicit, sed animo, significans quod Deus initio voluerit ista largiri: verum ubi vidit nos adhuc puerili esse affectu, passus est nos sub elementis mundi agere, hoc est, sub neomeniis & sabbatis. Nam hi dies nobis a lunæ solisque cursu redeunt. Proinde si nunc quoque vos sub legem redigunt, nihilo se-

ΝΗΠΙΟΝ ἐνταῦθα οὐ τὴν ἡλικίαν φησὶν, ἀλλὰ τὴν γνώμην, δεικνὺς ὅτι ὁ μὲν θεὸς ἐξ ἀρχῆς ἐβούλετο ταῦτα χαρίσασθαι· ἐπειδὴ δὲ ἔτι νηπιωδέστερον διεκείμεθα, ἀφῆκεν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι, τουτέστι, νουμηνίας καὶ σάββατα. αὗται γὰρ ἡμῖν αἱ ἡμέραι ἀπὸ δρόμου σελήνης καὶ ἡλίου γίνονται. εἰ τοίνυν καὶ νῦν ὑμᾶς ὑπὸ νόμον ἄγουσιν, οὐδὲν ἕτερον ποιοῦσιν,

A ποιοῦσιν, ἀλλ' ἢ τὸ ἐν τῷ χρόνῳ τῆς τελείας ἡλικίας εἰς τοὐπίσω πάλιν ὑμᾶς ἀπάγουσιν. ὁρᾷς ὅσον ἐστὶ παρατήρησις ἡμερῶν; τὸν κύριον, τὸν οἰκοδεσπότην, τὸν πάντων κρατοῦντα ἐν ὑπηρέτου καθίστησι τάξει. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσηται, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. δύο τίθησιν ἐνταῦθα αἰτίας καὶ κατορθώματα τῆς σαρκώσεως, καὶ κακῶν ἀπαλλαγὴν, καὶ ἀγαθῶν χορηγίαν ἅπερ οὐδενὶ δυνατὸν ἦν, ἢ αὐτῷ κατορθῶσαι μόνῳ. τίνα δὲ ταῦ-
B τα ἦν; ἀπαλλαγῆναι τῆς ἀρᾶς τοῦ νόμου, καὶ εἰς υἱοθεσίαν ἀχθῆναι. ἵνα γὰρ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, φησὶ, καὶ ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. καλῶς εἶπεν, ἀπολάβωμεν, δεικνὺς ὀφειλομένην. ἄνωθεν γὰρ ἐπηγγείλατο, καθὼς διὰ πολλῶν τὸ αὐτὸς ἔδειξε πρὸς τὸν Ἀβραὰμ ὑπὲρ τούτων ἐπαγγελίας γενομένας. καὶ πόθεν δῆλον ὅτι γεγόναμεν υἱοί, φησιν; εἶπε τρόπον ἕνα, ὅτι τὸν Χριστὸν ἐνεδυσάμεθα τὸν ὄντα υἱόν. λέγει καὶ δεύτερον, ὅτι τὸ πνεῦμα τῆς υἱοθεσίας ἐλάβομεν. ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν
C ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, ἀββᾶ ὁ πατήρ. ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος θεοῦ διὰ Χριστοῦ. οὐ γὰρ ἂν ἠδυνήθημεν καλέσαι πατέρα, εἰ μὴ πρότερον υἱοὶ κατέστημεν. εἰ τοίνυν ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε καὶ υἱοὺς ἡ χάρις, πῶς οὐκ ἄτοπον καὶ ἐσχάτης ἀγνωμοσύνης ἀφιέναι μὲν ταύτην, ὑποστρέψαι δὲ εἰς τοὐπίσω; ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς. νῦν δὲ γνόντες θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέ-
D φετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτεινόμενός φησιν, ὅτι καὶ εἰδωλολατρεία τὸ τοιοῦτόν ἐστιν, ἡ τῆς τῶν ἡμερῶν παρατηρήσεως φυλακὴ, καὶ ὅτι μείζονα φέρει τὴν κόλασιν νῦν. διὸ καὶ θεοὺς οὐ φύσει, τὰ στοιχεῖα ἐκάλεσε, ταῦτα αὐτὰ κατασκευάσαι βουλόμενος, καὶ εἰς μείζονα ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τότε μὲν ἐσκοτισμένοι καὶ ἐν τῇ πλάνῃ διάγοντες χαμαὶ ἐσύρεσθε· νῦν δὲ, ὅτε ἔγνωτε τὸν θεὸν,
E μᾶλλον δὲ ἐγνώσθητε παρ' αὐτοῦ, πῶς οὐ μείζονα καὶ χαλεπωτέραν ἐπισπᾶσθε κόλασιν, μετὰ τοσαύτην ἐπιμέλειαν τὰ αὐτὰ νοσοῦντες πάλιν; οὐδὲ γὰρ ὑμεῖς κάμνοντες εὕρετε τὸν θεὸν, ἀλλ' ὑμεῖς μὲν ἐν τῇ πλάνῃ διετρίβετε, αὐτὸς δὲ ὑμᾶς ἐπεσπάσατο. ἀσθενῆ δὲ στοιχεῖα καλεῖ καὶ πτωχὰ, τῷ μηδεμίαν δύναμιν ἔχειν εἰς τὰ προκείμενα ἀγαθά. ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον περιτομὴν αὐτοῖς ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας. φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. εἶδες σπλάγχνα ἀποστολικά; ἐκεῖνοι ἐσαλεύοντο, καὶ οὗτος

cius faciunt quam si vos tempore ætatis adultæ rursus ad relictum pueritiæ tempus traherent. Vides quanta res sit observatio dierum? Eum qui dominus est ac paterfamilias, & omnem potestatem habet, in famuli locum redigit. 4. *At ubi venit plenitudo temporis, misit Deus filium suum factum ex muliere, factum sub lege, 5. ut eos qui sub lege erant redimeret, ut adoptionem filiorum reciperemus.* Duas hîc causas refert ac beneficia assumtæ carnis, videlicet liberationem a malis, & bonorum subministrationem, quæ quidem nullus præstare poterat, nisi ipse solus. At quæ tandem erant illa? Liberari a maledicto legis, & adoptari in jus filiorum. Ait enim: Ut eos qui sub lege erant redimeret, & ut adoptionem filiorum reciperemus. Pulcre dixit, reciperemus, indicans esse debitum. Jam olim id repromisit Abrahæ, quemadmodum & ipse multis verbis declaravit his de rebus factas repromissiones. Et unde constat, inquies, nos factos esse filios Dei? Dixit modum unum, quia Christum induimus, qui est filius. Dicit & alterum, quia spiritum adoptionis accepimus. 6. *Quoniam autem estis filii, misit Deus spiritum filii sui in corda vestra, clamantem abba Pater. 7. Itaque jam non es servus, sed filius. Quod si filius, ergo & heres Dei per Christum.* Non enim potuissemus illum appellare patrem, nisi prius facti fuissemus filii. Si igitur pro servis, liberos; pro parvulis, adultos; pro alienis, heredes ac filios fecit gratia; annon absurdum, & admodum ingrati animi sit, hac omissa, redire ad ea quæ relicta sunt a tergo? 8. *Sed tunc quidem ignorantes Deum, serviebatis iis qui natura non sunt dii. 9. Nunc autem cum cognoveritis Deum, imo potius cogniti sitis a Deo, quomodo denuo convertimini ad infirma & egena elementa, quibus denuo vultis servire.* Hîc ad eos qui ex Gentibus crediderant, orationem dirigens ait, quod res hujusmodi sit idololatria, qualis est dierum observandorum custodia, quodque nunc his gravius debetur supplicium. Ideo elementa vocavit, non natura deos, hæc ipsa persuadere cupiens, eosque in majorem impellere perturbationem. Hoc autem vult significare: Tunc quidem obtenebrati, & in errore versantes, humi trahebamini: nunc vero posteaquam novistis Deum, vel cogniti potius estis ab illo, qui fieri potest ut non vobis majus & acerbius supplicium accersatis, post tantam vobis impensam curam, in eumdem relapsis morbum? Neque enim vos labore vestro Deum invenistis, sed vos quidem in errore versabamini; ille vero vos ad se traxit. Porro elementa infirma vocat & egena, quod nullam vim habeant ad bona proposita. 10. *Dies observatis, & menses, & tempora, & annos.* Ex his clarum est, quod non solum circumcisionem eis prædicaverant illi, verumetiam dies festos, & neomenias. 11. *Timeo de vobis, ne forte frustra laboraverim erga vos.* Vides viscera apostolica? illi jactantur fluctibus, & hic tremit

ac metuit: ideo vehementer illis incutiens pudorem, hoc ait, laboravi erga vos: perinde quasi dixisset, ne tantos meos sudores reddatis inanes. Cum autem dicit, metuo, & addit, ne forte: simul & metum illis injecit, & in bonam spem erexit. Non enim dixit, frustra laboravi, sed, ne forte. Nondum, inquit, accidit naufragium, sed adhuc tempestatem hoc parturientem cerno: propterea metuo, non despero. Vobis enim in manu est totum hoc corrigere, & ad pristinam redire tranquillitatem. Deinde ea tempestate jactatis manum porrigens, seipsum in medium profert dicens: 12. *Estote sicut ego, quoniam ego sicut vos.* Hæc ad eos qui crediderant ex Judæis; ideo semet in medium adfert, hinc illis persuadere cupiens ut vetera relinquant. Nam etiamsi nullum alium haberetis pro exemplo, sufficiebat me tantum intueri, ut talem faciatis mutationem, facileque sumatis fiduciam. Ergo me intuemini. Nam & ego simili modo quondam fueram affectus, & quidem vehementer, & ardebam studio legis: attamen postea non veritus sum legem relinquere, nec ab illo vitæ instituto desciscere. Et hæc vos probe nostis, quomodo supra modum certarim pro retinendo Judaïsmo, & quomodo postea majore studio eum reliquerim. Ac recte quidem illud posteriore posuit loco. Siquidem multi homines, etiamsi innumeras inveniant rationes easque justas, tamen ab eo quod est cognatum, magis attrahuntur: cumque viderint alium hæc agentem, facilius hærent iisdem. *Fratres, rogo vos, nihil me læsistis.* Vide ut rursus honorifico nomine compellat illos, hoc ipsum autem gratiam commemorat. Postquam enim illos acriter perstrinxerat undique facta comparans, ostenderatque eos legem transgredi, atque omni ex parte in eos jacula torserat, rursus medicatur ac mitigat, lenioribus utens dictis. Quemadmodum qui perpetuo mitigat in medicando, remissum hominem facit: ita semper asperis uti sermonibus, magis exacerbat hominem; ideo bonum est ubique moderatis uti. Vide igitur quomodo se purgat super iis quæ dixit, declarans se non sine causa infensum illis visum esse, sed curam illorum gerentem talia dixisse. Etenim postquam altiorem fecerat sectionem, deinceps hanc consolationem velut oleum infundit; ac declarans non ab odio nec a simultate profecta esse quæ dicta sunt, commonefacit illos caritatis, quam illis exhibuerat: miscetque laudem excusationi.

2. Ideo dicit: *Rogo vos, nihil me læsistis,* 13. *sed scitis: quod ob infirmitatem carnis meæ evangelizaverim vobis prius,* 14. *ac meam tentationem quæ erat in carne mea, non sprevistis.* Verum illud nihil adhuc magni est, in nullo læsisse. Neque vulgaris sane homo eum qui non fecit injuriam lædere vellet, frustraque & sine causa molestus esse. Vos autem non solum non læsistis, verumetiam multam & inenarrabilem exhibuistis benevolentiam: ac fieri nequaquam possit, ut quibus tantæ curæ fuisset, hæc iis ex ma-

A τρέμει καὶ δέδοικε. διὸ καὶ σφόδρα ἐντρεπτικῶς αὐτὸ τέθεικεν εἰπών, κεκοπίακα εἰς ὑμᾶς· ὡς ἂν εἰ ἔλεγε, μὴ κενώσητέ μου τοὺς τοσούτους ἱδρῶτας. εἰπὼν δὲ, φοβοῦμαι, καὶ τὸ, μήπως, προσθεὶς, καὶ εἰς ἀγῶνα αὐτοὺς ἐνέβαλε, καὶ εἰς ἐλπίδας ἤγαγε χρηστάς. οὐ γὰρ εἶπεν, Εἰκῆ ἐκοπίασα, ἀλλὰ, μήπως. οὐδέπω, φησὶ, τοῦτο ἐξέβη τὸ ναυάγιον, ἀλλ' ἔτι τὸν χειμῶνα τοῦτο ὠδίνοντα βλέπω. διὰ τοῦτο δέδοικα, οὐ μὴν ἀπέγνωκα. κύριοι γὰρ ὑμεῖς τὸ πᾶν διορθῶσαι, καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν γαλήνην. εἶτα, ὥσπερ χειμαζομένοις χεῖρα ὀρέγων, ἑαυτὸν εἰς μέσον B ἄγει λέγων· γίνεσθε ὡς ἐγὼ, ὅτι κἀγὼ, ὡς ὑμεῖς. ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων. διὸ καὶ ἑαυτὸν εἰς μέσον ἄγει, πείθων κἀντεῦθεν αὐτοὺς ἀποστῆναι τῶν παλαιῶν. Εἰ γὰρ καὶ μηδένα ἕτερον εἴχετε εἰς ὑπόδειγμα, ἤρκει εἰς ἐμὲ μόνον ἰδεῖν ταύτης ἕνεκεν τῆς μεταβολῆς, καὶ θαῤῥῆσαι ῥᾳδίως. διαβλέψατε τοίνυν. καὶ γὰρ ταῦτα κἀγὼ ἔπαθον πάλαι, καὶ σφόδρα καὶ περιεκαιόμην τοῦ νόμου, ἀλλ' ὅμως ὕστερον οὐκ ἐφοβήθην ἀφεῖναι τὸν νόμον, οὐδὲ μεταστῆναι τῆς πολιτείας ἐκείνης. καὶ ταῦτα ὑμεῖς ἴστε σαφῶς, πῶς μεθ' ὑπερβολῆς πολλῆς ἀντειχόμην τοῦ Ἰουδαϊσμοῦ, καὶ C πῶς μετὰ μείζονος αὐτὸν σφοδρότητος εἴασα μετὰ ταῦτα. καὶ καλῶς αὐτὸ τέθεικεν ὕστερον. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, κἂν μυρίους εὕρωσι λογισμοὺς, καὶ δικαίους, ἀπὸ τοῦ ὁμογενοῦς μᾶλλον ἐφέλκονται, καὶ ὅταν ἴδωσι τὰ αὐτὰ πράττοντα, μᾶλλον ἔχονται τῶν αὐτῶν. ἀδελφοὶ, δέομαι ὑμῶν, οὐδέν με ἠδικήκατε. ὅρα πῶς πάλιν τῷ τῆς τιμῆς ὀνόματι προσαγορεύει, ὃ δὴ αὐτὸ καὶ τῆς χάριτος ὑπόμνησις ἦν. ἐπειδὴ γὰρ σφόδρα καθήψατο αὐτῶν, καὶ πανταχόθεν συνέκρινε τὰ πράγματα, καὶ ἔδειξε παρανομοῦντας καὶ πολλαχόθεν αὐτοὺς ἔβαλε, πάλιν ἀνίησι καὶ θε- D ραπεύει, προσηνεστέροις κεχρημένος λόγοις. ὥσπερ γὰρ τὸ διαπαντὸς θεραπεύειν, ἐκλύει, οὕτω τὸ συνεστραμμένως ἀεὶ διελέγχεσθαι, τραχύτερον ποιεῖ. διὰ τοῦτο πανταχοῦ τῇ συμμετρίᾳ κεχρῆσθαι καλόν. ὅρα τοίνυν πῶς αὐτοῖς ὑπὲρ τῶν εἰρημένων ἀπολογεῖται, δεικνὺς ὡς οὐχ ἁπλῶς ἀπεχθανόμενος αὐτοῖς, ἀλλὰ κηδόμενος εἴρηκεν ἅπερ εἴρηκεν. ἐπειδὴ γὰρ βαθυτέραν ἔδωκε τὴν τομὴν, ὥσπερ ἔλαιον λοιπὸν τὴν παράκλησιν ταύτην ἐνίησι. καὶ δηλῶν ὅτι οὐ μίσους, οὐδὲ ἔχθρας ἦν τὰ εἰρημένα, ἀναμιμνήσκει τῆς ἀγάπης αὐτοὺς, ἣν ἐνεδείξατο περὶ αὐτοὺς, καὶ E μετ' ἐγκωμίων τὴν ἀπολογίαν τίθησι.

Διό φησι· δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε. οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκός μου εὐηγγελισάμην ὑμῖν. καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε. ἀλλ' οὔπω τοῦτο μέγα τὸ μὴ ἀδικῆσαι. καίτοιγε οὐδὲ ὁ τυχὼν ἄνθρωπος τὸν οὐκ ἀδικήσαντα βλάψαι ἠθέλησεν ἂν, καὶ εἰκῆ λυπῆσαι καὶ μάτην. ὑμεῖς δὲ οὐ μόνον οὐκ ἠδικήσατε, ἀλλὰ καὶ πολλὴν καὶ ἄφατον ἐπεδείξασθε εὔνοιαν· καὶ οὐχ οἷόν τε τὸν τοιαύτης ἀπολαύσαντα θεραπείας, ἐκ κακονοίας ταῦτα

λέγειν. οὐ τοίνυν δι' ἀπέχθειαν ταῦτα λέγω· λείπεται διὰ φιλοστοργίαν καὶ κηδεμονίαν. δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε. οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν. οὐδὲν προσηνέστερον τῆς ἁγίας ἐκείνης ψυχῆς, οὐδὲν γλυκύτερον καὶ φιλοστοργότερον. οὐ τοίνυν οὐδὲ τὰ πρότερα ἀλόγου θυμοῦ, οὐδὲ πάθους ψυχῆς ἦν, ἀλλὰ κηδεμονίας πολλῆς. καὶ τί λέγω, οὐκ ἠδικήσατε; πολλὴν μὲν οὖν καὶ γνησίαν σπουδὴν περὶ ἡμᾶς ἐπεδείξατε. οἴδατε γάρ, φησιν, ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν, καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε. τί ποτέ ἐστιν ὃ λέγει; ἐλαυνόμενος, φησὶν, ἐμαστιγούμενος, μυρίους θανάτους ὑπομένων κηρύττων ὑμῖν, καὶ οὐδὲ οὕτω κατεφρονήσατέ μου. τοῦτο γάρ ἐστι, τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε. εἶδες σύνεσιν πνευματικήν; καὶ γὰρ ἐν τάξει ἀπολογίας πάλιν αὐτοὺς ἐντρέπει, δεικνὺς ὅσα ἔπαθε δι' αὐτούς. ἀλλ' ὅμως οὐδὲν τοῦτο ὑμᾶς ἐσκανδάλισε, φησὶν, οὐδὲ ἐξεπτύσατέ με διὰ τὰ πάθη, καὶ τοὺς διωγμούς. ἀσθένειαν γὰρ καὶ πειρασμὸν ταῦτα καλεῖ. ἀλλ' ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με. πῶς οὖν οὐκ ἄτοπον διωκόμενον μὲν καὶ ἐλαυνόμενον, ὡς ἄγγελον θεοῦ δέχεσθαι, παραινοῦντα δὲ τὰ δέοντα μὴ δέχεσθαι; τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν; ἐνταῦθα διαπορεῖ, καὶ ἐκπλήττεται, καὶ παρ' αὐτῶν ζητεῖ τὴν αἰτίαν τῆς μεταβολῆς μαθεῖν. τίς γὰρ ὑμᾶς ἐξηπάτησε, φησὶ, καὶ ἔπεισεν ἑτέρως διατεθῆναι πρὸς ἡμᾶς; οὐχ ὑμεῖς ἐστε οἱ περιέποντες, καὶ θεραπεύοντες, καὶ τῶν ὀφθαλμῶν τιμιώτερον ἄγοντες; τί τοίνυν γέγονε; πόθεν ἡ ἔχθρα; πόθεν ἡ ὑποψία; ὅτι τἀληθῆ πρὸς ὑμᾶς εἶπον; διὰ τοῦτο μὲν οὖν μειζόνως ἐχρῆν τιμᾶν καὶ θεραπεύειν· νυνὶ δὲ ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν. ἐγὼ γὰρ, φησὶν, οὐκ οἶδα ἄλλην αἰτίαν, ἢ τὸ ἀληθῆ λέγειν ὑμῖν. καὶ ὅρα μεθ' ὅσης ἀπολογεῖται ταπεινοφροσύνης. οὐ γὰρ ἀφ' ὧν περὶ αὐτοὺς ἐπεδείξατο, ἀλλ' ἀφ' ὧν αὐτοὶ περὶ αὐτὸν, δείκνυσιν ἀδύνατον εἶναι ἐκ κακονοίας ταῦτα λέγεσθαι. οὐδὲ γὰρ εἶπεν οὕτω, καὶ πῶς ἐχωρεῖ τὸν μαστιζόμενον, τὸν ἐλαυνόμενον, τὸν μυρία παθόντα δι' ὑμᾶς, νῦν ἐπιβουλεύειν ὑμῖν; ἀλλ' ἀφ' ὧν εἶχον ἐναβρύνεσθαι ἐκεῖνοι, ἀπὸ τούτων συλλογίζεται λέγων· πῶς ἐχωρεῖ τὸν τιμηθέντα παρ' ὑμῶν, τὸν ὡς ἄγγελον δεχθέντα τοῖς ἐναντίοις ἀμείψασθαι; ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. ἔστι γὰρ καὶ ζῆλος ἀγαθὸς, ὅταν τις οὕτω ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν· ἔστι καὶ ζῆλος πονηρὸς, ὥστε ἐκβάλλειν τῆς ἀρετῆς τὸν κατορθοῦντα. ὃ δὴ καὶ αὐτοὶ νῦν ἐπιχειροῦσι, τῆς μὲν τελείας γνώσεως ἐκβάλλειν θέλοντες, εἰς δὲ τὴν

A levolentia loqueretur. Non igitur ob inimicitiam hæc loquor; sed ex affectu ac solicitudine: *Rogo vos, nihil me læsistis. Nostis autem, quod ob infirmitatem carnis meæ evangelizaverim vobis.* Nihil illa beata anima mansuetius, nihil dulcius, nihil amantius. Proinde nec illa superiora ab impotente iracundia, animique commotione fuerant profecta, sed ex abundantia solicitudinis. Et quid dico, non læsistis me? multam etiam ac sinceram solicitudinem erga me exhibuistis. Nostis enim, inquit, quod ob infirmitatem carnis evangelizaverim vobis, & tentationem quæ erat in carne mea, non B sprevistis neque respuistis. Quid tandem est quod dicit? Ejiciebar, inquit, flagellabar, innumeras mortes sustinebam prædicans vobis, ac ne sic quidem sprevistis me. Nam hoc innuit dicens: *Tentationem quæ erat in carne mea, non sprevistis, neque respuistis.* Vides prudentiam spiritalem? In ipsa enim purgatione pudorem illis ingerit, ostendens quam multa pro illis passus fuerit. Attamen horum, inquit, nihil vobis fuit offendiculo, nec ob afflictiones & persequutiones meas aversati me fuistis. Hoc enim vocat infirmi- C tatem ac tentationem. *Sed velut angelum Dei excepistis me.* Annon igitur absurdum sit, persequutionibus agitatum, exsilio propulsum, velut angelum Dei excipere, admonentem & hortantem ad utilia non recipere? 15. *Quæ est igitur beatitudo vestra? Nam præbeo vobis testimonium, quod si fieri potuisset, oculos vestros eruissetis, mihique dedissetis. 16. Itaque inimicus factus sum vobis, vera loquendo vobis?* Hic dubitat ac vehementer admiratur, cupitque ab ipsis mutationis causam discere. Quis enim, inquit, vos seduxit, ac persuasit, ut aliter sitis erga nos affecti? Nonne vos estis qui mihi inserviebatis, qui mei curam gerebatis, qui me D oculis cariorem habebatis? Quid igitur accidit? unde inimicitia? unde suspicio? An quia vera loquutus sum vobis? Atqui hac de causa par erat, ut me magis in honore haberetis, majoreque studio prosequeremini. Nunc autem inimicus factus sum, vera loquens vobis. Ego, inquit, aliam causam non novi, quam quod vera dixerim vobis. Et vide quanta humilitate sese excusat. Neque enim ex officiis quæ ipse in eos contulerat, sed ex iis quæ illi in ipsum præstiterant, ratiocinatur fieri non posse, ut hæc ex malevolentia dicantur. Non enim sic loquutus est: Et qui fieri potest, ut qui vestri causa E flagellabatur, ejiciebatur, innumera patiebatur mala, nunc vobis insidietur? Sed de quibus gloriari poterant illi, ab iis argumenta colligit, dicens: Quomodo potest, qui a vobis sic honoratus est, qui ut angelus exceptus est, contraria rependere? 17. *Æmulantur vos non bene, sed excludere vos volunt, ut ipsos æmulemini.* Est enim bona æmulatio cum quis sic æmulatur, ut virtutem imitetur. Est & mala æmulatio, cum quis ea facit, ut recte agentem depellat a virtute. Quod sane & isti nunc conantur, studentes vos a perfecta cognitione detrudere, & ad mutilatam ac spu-

Paulus quam mansuetus esset.

riam deducere: non aliam ob causam, nisi ut ipsi quidem in loco magistrorum sedeant, vos autem qui nunc estis illis sublimiores, in classe discipulorum collocent. Hoc enim declaravit dicens, ut ipsos æmulemini. Ego vero, inquit, contrarium opto, ut illos antecedatis, & perfectioribus exemplum efficiamini. Quod sane factum est cum apud vos essem: ideo subjunxit: 18. *Bonum est æmulari in bono semper, & non solum cum adsum apud vos.* Hîc subnotat ipsius absentiam hujus mali fuisse causam, idque beatum esse, si discipuli non solum præsente magistro mentem quam oportet, obtineant, verum etiam absente. Cæterum quoniam illi nondum ad hoc perfectionis pervenerant, omnia facit, ut in hoc illos instruat. 19. *Filioli mei quos iterum parturio, donec Christus formetur in vobis.* Vide commotum, vide turbatum. Fratres mei rogo vos, filioli mei quos iterum parturio. Matrem refert de liberis trepidantem. Donec formetur Christus in vobis. Vides paterna viscera? vides anxietatem apostolo dignam? vides qualem emittit ejulatum, multo tristiorem, quam solet esse parturientium? Corrupistis, inquit, imaginem, perdidistis cognationem, formam immutastis: opus est ut renascamini, utque refingamini. Et tamen filios voco fœtus abortivos. Verum hunc in modum non loquitur, sed aliter: parcit enim illis, nec vult ferire, nec vulnera vulneribus addere: at quemadmodum eruditi medici eos qui in longum incidunt morbum non protinus ac semel, sed ex intervallo curant, ne despondentes animum, pereant. Sic & hic beatus. Nam & hi parturientis dolores hinc corporis sunt acriores, quo major erat affectus caritatis, & peccatum erat non vulgare.

3. Hoc enim semper dixi, nec dicere desinam, quod pusilla quæpiam trangressio rerum faciem & formam vitiavit. 20. *Vellem esse præsens apud vos nunc, & mutare vocem meam.* Considera mihi sibi non temperantem, considera ferventem, considera non potentem talia ferre: talis nimirum res est caritas; non contentus est verbis, sed insuper quærit præsentiam. *Ut*, inquit, *immutem vocem meam.* Hoc est, ut vertam eam in ploratum, ut moveam lacrymas, quo simul omnia ad lamenta pertraham. Per epistolam enim non licebat ostendere lacrymas, neque gemitum. Et hinc ardet præsentiam desiderans. *Quoniam confundor in vobis.* Non enim, inquit, habeo quid dicam, quid cogitem. Unde hoc, ut qui prius cælorum culmen ascenderatis partim ob pericula fidei causa tolerata, partim ob signa quæ per fidem edidistis, nunc adeo repente ad tantam vilitatem deducti sitis, ut ad circumcisionem & sabbata pertrahamini, & judaïzantibus adhæreatis? Ob id etiam initio dixe-
Gal. 1. 6. rat: Miror quod tam cito transferimini. Et hîc dixit. Confundor in vobis, perinde quasi dixisset: Quid dicam? quid loquar? quid

A ἠκρωτηριασμένην καὶ νόθον ἀγαγεῖν, δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα αὐτοὶ μὲν ἐν τάξει κάθωνται διδασκάλων, ὑμᾶς δὲ τοὺς νῦν ὑψηλοτέρους αὐτῶν ὄντας ἐν τάξει καταστήσωσι μαθητῶν. τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ἵνα αὐτοὺς ζηλοῦτε. ἐγὼ δὲ τοὐναντίον βούλομαι, φησίν, ὑμᾶς αὐτῶν καλλίονας, καὶ ὑπόδειγμα γίνεσθαι τῶν τελειοτέρων. ὃ δὴ καὶ ἐγένετο, ὅτε πρὸς ὑμᾶς ἤμην. διὸ καὶ ἐπάγει λέγων· καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. ἐνταῦθα γὰρ αἰνίττεται, ὅτι ἡ ἀπουσία αὐτοῦ ταῦτα εἰργάσατο, καὶ ὅτι τὸ μὲν μακάριον, τοῦτό B ἐστι, μὴ παρόντος τοῦ διδασκάλου μόνον τοὺς μαθητὰς τὴν δέουσαν ἔχειν γνώμην, ἀλλὰ καὶ ἀπόντος. ἐπεὶ δὲ ἐκεῖνοι οὐδέπω ἦσαν πρὸς τοῦτο τελειότητος ἀφιγμένοι, πάντα ποιεῖται, ὥστε εἰς τοῦτο αὐτοὺς ἐμβιβάσαι. τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. ὅρα ταραττόμενον, ὅρα θορυβούμενον. ἀδελφοί μου, δέομαι ὑμῶν· τεκνία μου, οὓς πάλιν ὠδίνω. μητέρα μιμεῖται περιτρέμουσαν τοῖς παιδίοις. ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. εἶδες σπλάγχνα πατρικά; εἶδες ἀθυμίαν ἀποστόλῳ πρέπουσαν; εἶδες οἵαν ἀφῆκεν ὀλολυγὴν πολὺ τῶν τικτουσῶν πικροτέραν; διεφθείρατε, φησί, τὴν εἰκόνα, ἀπω- C λέσατε τὴν συγγένειαν, τὴν μορφὴν ἠλλοιώσατε· ἀναγεννήσεως ἑτέρας ὑμῖν δεῖ, καὶ ἀναπλάσεως, ἀλλ' ὅμως ἔτι τεκνία καλῶ τὰ ἀμβλωθρίδια, τὰ ἐκτρώματα. ἀλλ' οὕτω μὲν οὐ λέγει, ἑτέρως δέ. φείδεται γάρ, καὶ οὐ βούλεται πλῆξαι, οὐδὲ τραύματα ἐπιθεῖναι τραύμασιν. ἀλλ' ὥσπερ οἱ σοφοὶ τῶν ἰατρῶν τοὺς εἰς μακρὰν καταπεσόντας νόσον, οὐχ ὑφ' ἓν θεραπεύουσιν, ἀλλὰ διαλιμπάνοντες, ὥστε μὴ ὀλιγοψυχοῦντας ἀπολέσθαι, οὕτως ὁ μακάριος οὗτος. καὶ γὰρ αἱ ὠδῖνες αὗται τῶν σωματικῶν δριμύτεραι ὅσῳ καὶ ἡ φιλοστοργία μείζων, καὶ τὸ ἁμαρτηθὲν οὐ τὸ τυχὸν ἦν.

D Ὅπερ γὰρ ἀεὶ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ τὸ μικρὸν παραβαθὲν ὁλόκληρον τὴν ὄψιν ἠφάνισε, καὶ τὴν μορφὴν ἐλυμήνατο. ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου. σκόπει μοι τὸ ἀκαρτέρητον, τὸ θερμόν, τὸ οὐ δυνάμενον στέγειν τὰ τοιαῦτα· τοιοῦτον γὰρ ἡ ἀγάπη. οὐκ ἀρκεῖται τοῖς ῥήμασιν, ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν. ὥστε ἀλλάξαι τὴν φωνήν μου, φησί, τουτέστιν, ἀλλάξαι τὸν ὀλοφυρμόν, ποιῆσαι καὶ δάκρυα, καὶ πάντα εἰς θρῆνον ἐπισπάσασθαι. διὰ γὰρ ἐπιστολῆς οὐκ ἐνῆν δάκρυα δεῖξαι, οὐδὲ ὀλολυγμόν. E διὸ καί ἐστι τὴν παρουσίαν ἐπιζητῶν. ὅτι ἀποροῦμαι ἐν ὑμῖν. οὐκ ἔχω γάρ, φησί, τί εἴπω, οὐκ ἔχω τί λογίσωμαι. πόθεν οἱ πρὸς αὐτὴν ἀναβάντες τῶν οὐρανῶν τὴν κορυφήν, καὶ διὰ τῶν κινδύνων, οὓς ὑπεμείνατε ὑπὲρ τῆς πίστεως, καὶ διὰ τῶν σημείων, ὧν ἐπεδείξασθε διὰ τῆς πίστεως, νῦν ἀθρόον οὕτως εἰς τοσαύτην εὐτέλειαν κατηνέχθητε, ὡς εἰς περιτομήν, καὶ σάββατα σύρεσθαι, καὶ τῶν Ἰουδαϊζόντων ἐκκρέμασθαι; διὰ ταῦτα καὶ ἀρχόμενος ἔλεγε, θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε. καὶ ἐνταῦθα, ἀποροῦμαι ἐν ὑμῖν, ὡς ἂν εἰ ἔλεγε· τί εἴπω; τί λαλήσω;

τί ἐννοήσω; ἀπορῶ. διὸ καὶ ὀλολύζειν ἀνάγκη, ὅπερ ἐν τοῖς ἀπόροις ποιοῦσι καὶ οἱ προφῆται. εἶδος δὲ καὶ τοῦτο θεραπείας οὐ μικρὸν, τὸ μὴ μόνον συμβουλεύειν, ἀλλὰ καὶ θρηνεῖν. τοῦτο γὰρ καὶ Μιλησίοις διαλεγόμενος ἔλεγε· τριετίαν μετὰ δακρύων νουθετῶν ὑμᾶς οὐ διέλειπον. τοῦτο καὶ ἐνταῦθά φησι λέγων, ἀλλάξαι τὴν φωνήν μου. καὶ γὰρ ἐν ταῖς ἀπορίαις, καὶ ταῖς ἀμηχανίαις ταῖς παρὰ ἐλπίδα συμβαινούσαις νικώμενοι, λοιπὸν ἐπὶ τὰ δάκρυα καταφερόμεθα. ἐπειδὴ τοίνυν ἐπέπληξε, καὶ ἐνέτρεψε, καὶ ἐθεράπευσε πάλιν, εἶτα ὠλοφύρατο· ὁ δὲ ὀλοφυρμὸς [a] οὐκ ἐπιπλήξεως μόνης, ἀλλὰ καὶ κολακείας ἐστίν. οὔτε γὰρ τραχύνει, ὥσπερ ἐπίπληξις, οὔτε χαλᾷ, καθάπερ ἡ θεραπεία, ἀλλ᾽ ἔστι μεμιγμένον φάρμακον, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν πρὸς παραίνεσιν. ἐπειδὴ οὖν ὠλοφύρατο καὶ ἐμάλαξεν αὐτῶν τὴν διάνοιαν, καὶ ἐπεσπάσατο μειζόνως, πάλιν εἰς τοὺς ἀγῶνας ἐμβαίνει κεφάλαιον τιθεὶς μεῖζον, δεικνὺς ὅτι αὐτὸς ὁ νόμος οὐ βούλεται ἑαυτὸν φυλάττεσθαι. τότε μὲν οὖν ἐκ τοῦ Ἀβραὰμ τὸ παράδειγμα εἰσήγαγε, νῦν δὲ αὐτὸν εἰσάγει τὸν νόμον παραινοῦντα μὴ φυλάττειν αὐτὸν, ἀλλὰ ἀναχωρεῖν, ὅπερ ἦν ἰσχυρότερον. ὥστε εἰ βούλεσθε πείθεσθαι τῷ νόμῳ, φησὶν, ἀπόστητε αὐτοῦ. τοῦτο γὰρ αὐτὸς βούλεται. ἀλλ᾽ οὕτω μὲν οὐ λέγει· ἑτέρως δὲ αὐτὸ κατασκευάζει, καὶ ἱστορίαν ἀναμιγνύς. λέγετε γάρ μοι, φησὶν, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; καλῶς εἶπεν, οἱ θέλοντες. οὐ γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας, ἀλλὰ τῆς ἐκείνων ἀκαίρου φιλονεικίας τὸ πρᾶγμα ἦν. νόμον δὲ ἐνταῦθα, τὸ βιβλίον τῆς κτίσεως καλεῖ, ὅπερ πολλάκις ποιεῖ, τὴν παλαιὰν ἅπασαν οὕτως ὀνομάζων. γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. πάλιν ἐπὶ τὸν Ἀβραὰμ ἄνεισιν, οὐ ταυτολογῶν, ἀλλ᾽ ἐπειδὴ πολλὴ τοῦ πατριάρχου παρὰ τοῖς Ἰουδαίοις ἡ δόξα ἦν, δείκνυσιν ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγραφεῖτο. καὶ πρότερον δείξας υἱοὺς ὄντας τοῦ Ἀβραὰμ, ἐπειδὴ οὐ τῆς αὐτῆς ἀξίας ἦσαν οἱ υἱοὶ τοῦ πατριάρχου, ἀλλ᾽ ὁ μὲν ἐκ τῆς δούλης, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, δείκνυσι λοιπὸν, ὅτι οὐ μόνον υἱοὶ, ἀλλὰ καὶ οὕτως υἱοὶ, ὡς ὁ ἐλεύθερος καὶ εὐγενής. τοσαύτη τῆς πίστεως ἡ δύναμις. ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, κατ᾽ ἐπαγγελίαν. τί ἐστι, κατὰ σάρκα; ἐπειδὴ ἔλεγεν ὅτι ἡ πίστις ἡμᾶς συνάπτει τῷ Ἀβραὰμ, καὶ ἐδόκει τοῖς ἀκούουσιν ἀπίθανον εἶναι, εἰ τοὺς μὴ γενομένους ἐξ ἐκείνου, τούτους φησὶν υἱοὺς εἶναι ἐκείνου, δείκνυσιν ὅτι τὸ παράδοξον τοῦτο ἄνωθεν γέγονεν. ὁ γὰρ Ἰσαὰκ οὐ κατὰ φύσεως ἀκολουθίαν, οὐδὲ κατὰ γάμων νόμον, οὐδὲ κατὰ σαρκὸς δύναμιν γενόμενος, καὶ υἱὸς γνήσιος ἦν, ἀπὸ νεκρῶν σωμάτων φὺς, καὶ ἀπὸ τῆς μήτρας ἐκείνης. οὐ γὰρ ἡ σὰρξ τὴν κύησιν, οὐδὲ τὸ σπέρμα τὸν τόκον εἰργάσαντο· νεκρὰ γὰρ

A cogitabo? perplexus sum; unde & plorem necesse est: quod quidem in rebus perplexis faciunt etiam prophetæ. Est autem hæc non levis curandi ratio, si non solum consulas, verum etiam lamenteris. Nam hoc & Milesiis loquens dicebat. *Triennium cum lacrymis admonere vos non cessavi.* (Act. 20. 31.) Idem hîc dicit, ut immutem vocem meam. Siquidem quoties rebus perplexis ac desperatis præter spem obortis victi sumus, deinceps ad lacrymas vertimur. Posteaquam igitur objurgarat acriter, & pudorem incusserat, ac rursus hæc mitigaverat, deinde ad lacrymas B vertitur. Hæc autem comploratio non solum habet increpationem, verumetiam blandiloquium. Neque enim exasperat sicut castigatio: neque remissum facit, quemadmodum mitigatio, sed remedium est utrinque mixtum, multamque vim habet ad exhortandum. Posteaquam igitur deploravit, & eorum mentem emolliit, ac vehementius sibi conciliavit, denuo redit ad contentionem, majus proponens caput, & ostendens quod ipsa lex nolit se servari. Tum quidem ab Abraham sumtum exemplum adduxerat, nunc vero legem ipsam inducit admonentem ne servetur, sed ut ab ipsa jam secedant, quod erat vehementius. C Itaque si legi parere vultis, inquit, discedite ab illa: nam hoc vult ipsa. Verum hoc pacto non loquitur, sed alia ratione idem agit, admiscens etiam historiam. 21. *Dicite mihi, qui sub lege vultis esse, legem non auditis?* Recte dixit, qui vultis. Neque enim hoc gerebatur, neque rerum series hoc postulabat, sed illorum intempestiva contentio. Legem autem hîc vocat, librum conditi mundi, quod alias crebro facit, vetus omne testamentum sic appellans. 22. *Scriptum est enim,* (Gen. 16.) *quod Abraham duos filios habuit, unum ex ancilla, & alterum ex libera.* Rursus ad Abraham revertitur, non eadem iterans, sed quoniam apud Judæos patriarchæ nomen admodum erat celebre, declaratque, quod illinc D figuræ ceperint initium, quodque ea quæ nunc fiunt, prius in illo fuerint depicta. Cumque prius demonstrasset Galatas esse filios Abrahæ, quoniam non ejusdem dignitatis erant patriarchæ filii, quorum alter ex ancilla, alter ex libera susceptus erat, jam deinceps declarat eos non solum esse filios, sed eo modo filios, quo fuit ille liber ac nobilis. Tanta est fidei vis. 23. *Sed is quidem qui* (Ibidem. 23.) *ex ancilla, secundum carnem natus est: qui vero ex libera, secundum repromissionem.* Quid E est, secundum carnem? Quoniam dixerat quod fides nos jungit Abrahæ, idque videbatur audientibus esse incredibile, si qui ex illo nati non fuissent, eos vocaret filios illius, ostendit hoc quod videbatur incredibile, divinitus esse factum. Nam Isaac non secundum naturæ ordinem, neque secundum conjugiorum legem, neque secundum carnis vires natus, & filius & germanus filius fuit, ex aridis corporibus satus, & a vulva illa progressus. Neque enim caro conceptum, neque semen partum dedit. Siquidem vulva

[a] Sic legendum putat Savil. atque ita legit interpres Latinus. Editi, ὁ δὲ ὀλοφυρμὸς ἐπιπλήξεως μόνης καὶ κολακείας ἐστί.

bis erat emortua, & propter ætatem, & propter sterilitatem; sed Dei sermo illum efformavit. In servo autem non itidem factum est, sed ille naturæ legibus, & conjugiorum more natus est. Attamen qui non erat secundum carnem natus, prælatus est ei qui secundum carnem natus fuerat. Itaque ne vos conturbet, quod secundum carnem nati non estis. Nam ob hoc ipsum maxime estis illius cognati vos, quod secundum carnem non estis. Quandoquidem secundum carnem esse natum, non solum non reddit honoratiores, verum etiam efficit minus honorabiles. Mirabilior enim magisque spiritualis est partus qui non est secundum carnem; idque patet ex iis qui cælitus nati sunt. Natus est enim secundum carnem Ismaël, sed servus erat, nec id solum, verum etiam ejectus est e patriis ædibus, Isaac vero per repromissionem natus, tamquam verus, ut erat, filius & ingenuus, omnium dominus fuit. 24. *Quæ sunt per allegoriam dicta.* Præter usum autem figuram dixit allegoriam. Hoc autem vult significare. Hæc historia non hoc solum declarat quod apparet, verum & alia quædam prædicat, unde & allegoria dicta est. Quid autem prædicavit? Nihil aliud quam hæc omnia quæ nunc fiunt. *Hæc enim sunt duo testamenta, unum quidem a monte Sina in servitutem generans, qui est Agar.* Hæc sunt. Quænam? Matres puerorum illorum Sara & Agar. Duo vero testamenta quid sunt? duæ leges. Quoniam nomina feminarum erant in historia, perseveravit apostolus in appellatione generis, & ex ipsis nominibus multam ostendit consequentiam. Quomodo ex ipsis nominibus? 25. *Agar enim mons Sina est in Arabia.* Agar dicta est ancilla. Mons autem Sina, ita sonat illius gentis lingua.

4. Itaque omnes qui ex veteri testamento nati sunt, oportet servos esse. Nam mons ille ubi vetus testamentum datum est, commune nomen habens cum ancilla, complectitur etiam Jerosolymam. Nam hoc est quod ait: *Qui conjunctus est ei quæ nunc est Jerusalem.* Hoc est, vicinus est, contiguus est. *Servit autem cum filiis suis.* Quid igitur ex hoc docet? Quod non solum illa fuit ancilla, ac servos genuit, verum etiam hæc, videlicet testamentum, cujus figura fuit ancilla. Siquidem Jerosolyma finitima est monti cognomini ancillæ. In hoc autem monte etiam testamentum est datum. Ubi ergo est figura Saræ? Audi. 26. *Quæ autem sursum est Jerosolyma, libera est.* Non igitur qui ex ea nascuntur, servi sunt. Inferioris igitur Jerosolymæ figura erat Agar, quod palam est ex monte ejus nominis: supernæ vero typus est ecclesia. Attamen non est contentus figuris, verum & Esaïam adhibet testem iis quæ dicta sunt. Cum enim dixisset, supernam illam Jerusalem esse matrem nostram, & hanc vocasset ecclesiam, citat prophe-
Isai. 54. 1. tam ipsi suo calculo suffragantem: 27. *Exsulta, inquit, sterilis, quæ non paris,*

A ἡ μήτρα, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν πήρωσιν· ἀλλ' ὁ τοῦ θεοῦ λόγος αὐτὸν ἔπλασεν. ἐπὶ δὲ τοῦ δούλου οὐχ οὕτως, ἀλλ' ἐκεῖνος τοῖς τῆς φύσεως δεσμοῖς, καὶ τῇ τοῦ γάμου συνηθείᾳ τίκτεται. ἀλλ' ὅμως ὁ μὴ κατὰ σάρκα τοῦ κατὰ σάρκα γεννηθέντος τιμιώτερος ἦν. μὴ θορυβείτω τοίνυν ὑμᾶς τὸ μὴ κατὰ σάρκα γεγεννῆσθαι. διὰ γὰρ τοῦτο μάλιστα αὐτοῦ συγγενεῖς ὑμεῖς, ὅτι οὐ κατὰ σάρκα ἐγεννήθητε. οὐ γὰρ τιμιωτέρους τοῦτο τὸ κατὰ σάρκα, ἀλλὰ καὶ ἀτιμοτέρους ἐργάζεται· θαυμαστότερος γὰρ ὁ τόκος ὁ μὴ κατὰ σάρκα, καὶ πνευματικώτερος. καὶ δῆλον ἐκ τῶν ἄνωθεν τεχθέντων.
B ἐτέχθη γὰρ κατὰ σάρκα ὁ Ἰσμαὴλ, ἀλλὰ δοῦλος ἦν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξεβάλλετο τῆς πατρῴας οἰκίας· ὁ δὲ κατ' ἐπαγγελίαν τεχθεὶς ὁ Ἰσαὰκ, ἅτε υἱὸς ὢν καὶ ἐλεύθερος, κύριος ἦν πάντων. ἅτινά ἐστιν ἀλληγορούμενα. καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλεσεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ μὲν ἱστορία αὕτη οὐ τοῦτο μόνον παραδηλοῖ, ὅπερ φαίνεται, ἀλλὰ καὶ ἄλλα τινὰ ἀναγορεύει· διὸ καὶ ἀλληγορία κέκληται. τί δὲ ἀνηγόρευσεν; οὐδὲν ἕτερον, ἢ τὰ παρόντα πάντα. αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι,
C φησι, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. αὗται· τίνες; τῶν παιδίων ἐκείνων αἱ μητέρες, ἡ Σάῤῥα, καὶ ἡ Ἄγαρ. τί εἰσί; δύο διαθῆκαι, δύο νόμοι. ἀλλ' ἐπειδὴ γυναικῶν ὀνόματα ἦν ἐν τῇ ἱστορίᾳ, ἐνέμεινεν ἐν τῇ προσηγορίᾳ τοῦ γένους, καὶ ἀπὸ τῶν ὀνομάτων πολλὴν δεικνὺς τὴν ἀκολουθίαν. πῶς δὲ ἀπὸ τῶν ὀνομάτων; τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστί, φησιν, ἐν τῇ Ἀραβίᾳ. Ἄγαρ ἐλέγετο ἡ δούλη· τὸ δὲ Σινᾶ ὄρος οὕτω μεθερμηνεύεται τῇ ἐπιχωρίῳ αὐτῶν γλώττῃ.

D Ὥστε τοὺς ἐκ τῆς παλαιᾶς τικτομένους πάντας ἀνάγκη δούλους εἶναι. τὸ γὰρ ὄρος ἐκεῖνο, ἔνθα ἡ παλαιὰ διαθήκη ἐδόθη, ὁμώνυμον ὂν τῇ δούλῃ παραλαμβάνει καὶ τὴν Ἱερουσαλήμ. τοῦτο γάρ ἐστι· συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ. τουτέστι, γειτνιάζει, ἅπτεται. δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. τί οὖν ἀπὸ τούτου; ὅτι οὐ μόνον ἐκείνη δούλη ἦν, καὶ δούλους ἔτικτεν, ἀλλὰ καὶ αὕτη, τουτέστιν, ἡ διαθήκη, ἧς τύπος ἡ δούλη. καὶ γὰρ ἡ Ἱερουσαλὴμ ἐκ γειτόνων κεῖται τῷ ὄρει τῷ ὁμωνύμῳ τῇ δούλῃ· ἐν τούτῳ δὲ τῷ ὄρει καὶ ἡ διαθήκη δέδοται. ποῦ οὖν καὶ τῆς
E Σάῤῥας ὁ τύπος; ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν. οὐκοῦν καὶ οἱ ἐξ αὐτῆς τικτόμενοι, οὐ δοῦλοι. τῆς μὲν Ἱερουσαλὴμ τῆς κάτω τύπος ἦν Ἄγαρ, καὶ δῆλον ἐκ τοῦ ὄρους τοῦ οὕτω καλουμένου, τῆς δὲ ἄνω ἡ ἐκκλησία. ἀλλ' ὅμως οὐκ ἀρκεῖται τοῖς τύποις, ἀλλὰ καὶ τὸν Ἡσαΐαν προστίθησι μαρτυροῦντα τοῖς εἰρημένοις. εἰπὼν γὰρ, ἡ ἄνω Ἱερουσαλὴμ μήτηρ ἡμῶν ἐστι, καὶ τὴν ἐκκλησίαν οὕτω καλέσας, παρίστησι τὸν προφήτην τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον. εὐφράνθητι γὰρ, φησι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον

καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. τίς οὖν ἡ στεῖρα, καὶ τίς ἡ ἔρημος παρὰ τούτῳ; οὐκ εὔδηλον ὅτι ἡ ἐξ ἐθνῶν ἐκκλησία, τῆς τοῦ θεοῦ γνώσεως ἀπεστερημένη; τίς δὲ ἡ τὸν ἄνδρα ἔχουσα; οὐκ εὔδηλον ὅτι ἡ συναγωγή; ἀλλ' ὅμως ἐνίκησεν αὐτὴν τῇ πολυπαιδίᾳ ἡ στεῖρα. ἐκείνη μὲν γὰρ ἓν ἔθνος εἶχε· τὰ δὲ τῆς ἐκκλησίας τέκνα τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν γῆν, τὴν θάλατταν, τὴν οἰκουμένην ἅπασαν ἐνέπλησεν. εἶδες πῶς διὰ μὲν πραγμάτων ἡ Σάῤῥα, διὰ δὲ ῥημάτων ὁ προφήτης τὰ μέλλοντα ἡμῖν ὑπέγραψαν; σκόπει δέ. στεῖραν ἐκάλεσεν ὁ Ἡσαΐας, καὶ ταύτην ἔδειξε πολύπαιδα γενομένην. τοῦτο τυπικῶς καὶ ἐπὶ τῆς Σάῤῥας συνέβη. καὶ γὰρ καὶ αὐτὴ στεῖρα οὖσα, πλήθους ἐκγόνων ἐγένετο μήτηρ. τῷ Παύλῳ δὲ οὐδὲ ταῦτα ἀπόχρη, ἀλλὰ καὶ πῶς ἐγένετο μήτηρ ἡ στεῖρα περιεργάζεται, ἵνα καὶ ἐντεῦθεν τῇ ἀληθείᾳ προσαγάγῃ τὸν τύπον. διὸ καὶ ἐπάγει λέγων· ἡμεῖς δὲ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. οὐ γὰρ μόνον στεῖρα ἦν ἡ ἐκκλησία, ὥσπερ ἡ Σάῤῥα, οὐδὲ μόνον πολύπαις ἐγένετο, ὥσπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὥσπερ ἡ Σάῤῥα. καθάπερ γὰρ ἐκείνην μητέρα οὐχ ἡ φύσις εἰργάσατο, ἀλλ' ἡ ἐπαγγελία τοῦ θεοῦ· ὁ γὰρ εἰρηκὼς, κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱὸς, οὗτος εἰσελθὼν εἰς τὴν νηδὺν, τὸ βρέφος διέπλασεν· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναγεννήσεως τῆς ἡμετέρας φύσις μὲν οὐδεμία, τὰ δὲ ῥήματα τοῦ θεοῦ διὰ τοῦ ἱερέως λεγόμενα, ἅπερ ἴσασιν οἱ πιστοὶ, ταῦτα ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων, καθάπερ ἐν νηδύϊ τινὶ, διαπλάττει καὶ ἀναγεννᾷ τὸν βαπτιζόμενον. οὐκοῦν εἰ τῆς στείρας ἐσμὲν παῖδες, καὶ ἐλεύθεροί ἐσμεν. καὶ ποία αὕτη ἐλευθερία, εἴποι τις ἂν, ὅταν οἱ μὲν Ἰουδαῖοι καλέχωσι καὶ μαστίζωσι τοὺς πιστεύσαντας, οἱ δὲ δοκοῦντες ἐλεύθεροι εἶναι διώκωνται; ταῦτα γὰρ τότε συνέβαινε, τῶν πιστῶν διωκομένων. ἀλλὰ μηδὲ τοῦτο ὑμᾶς θορυβείτω, φησί. καὶ γὰρ καὶ τοῦτο προέλαβεν ἐν τῷ τύπῳ. ὁ γὰρ Ἰσαὰκ ἐλεύθερος ὢν, ὑπὸ τοῦ δούλου Ἰσμαὴλ ἐδιώκετο. διὸ καὶ ἐπάγει λέγων· ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν. ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. τί οὖν; αὕτη ἡ παράκλησις πᾶσα τὸ δειχθῆναι τοὺς ἐλευθέρους ὑπὸ τῶν δούλων διώκεσθαι; οὐχί, φησιν. οὐδὲ γὰρ ἐνταῦθα ἱστάμεθα, ἀλλ' ἄκουσον καὶ τῶν ἑξῆς, καὶ τότε λήψῃ παραμυθίαν ἱκανὴν, οὐ ** μικροψυχῶν τοῖς διωγμοῖς. τίνα οὖν τὰ ἑξῆς; ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. εἶδες τὰ ἐπίχειρα τῆς προσκαίρου τυραννίδος, καὶ τῆς ἀπονοίας τῆς ἀκαίρου; ἐκπίπτει τῶν πατρῴων ὁ παῖς, καὶ γίνεται φυγὰς, καὶ πλάνος μετὰ τῆς μητρός. σὺ δέ μοι σκόπει τὴν συ-

A *erumpe, & clama quæ non parturis, quia multi filii desertæ, magis quam ejus quæ habet virum.* Quæ igitur antehac sterilis, & quæ deserta? Annon perspicuum est, hanc esse ecclesiam ex Gentibus, quæ antehac Dei cognitione fuit privata? Quæ vero est illa quæ habet virum? Nonne liquet hanc esse Synagogam? Attamen hanc multitudine liberorum superavit sterilis, siquidem hæc unam dumtaxat habebat gentem; sed ecclesiæ filii, Græciam, Barbariam, terram, mare, denique orbem universum implent. Vides ut factis quidem Sara, verbis autem propheta nobis futura subnotarint? Sed &
B illud considera: sterilem appellavit Esaias, & hanc ostendit factam complurium liberorum matrem. Idem sub figura accidit in Sara. Nam & hæc cum esset sterilis, numerosæ sobolis mater est facta. Cæterum ne hæc quidem Paulo sufficiebant, verum etiam quomodo sterilis mater sit facta disquirit, ut hinc etiam ad veritatem accommodet figuram, ideoque subdit dicens: 28. *Nos autem, fratres, secundum Isaac repromissionis filii sumus.* Non enim sterilis tantum erat ecclesia, quemadmodum Sara, neque solum multorum liberorum mater facta est ut
C illa, sed & ita genuit, ut illa. Ut enim illam non natura, sed Dei repromissio fecit matrem; nam qui dixit: Secundum tempus hoc veniam, & erit Saræ filius, idem ingressus in uterum, infantem formavit; sic & nostra regeneratio, natura quidem nulla est; at verba Dei, quæ norunt fideles, in aquæ lavacro per sacerdotem pronunciata, tamquam in utero quodam formant ac regenerant eum qui baptizatur. Proinde si sterilis filii, & liberi sumus. Et quænam est ista libertas, dixerit aliquis, cum Judæi quidem constringerent ac flagellarent eos qui credi-
D derant: illi vero qui putabantur esse liberi, persequutionibus affligerentur? Hæc enim accidebant cum arderet fidelium persequutio. Verum ne hoc vos perturbet, inquit, quandoquidem hoc quoque præcessit in figura. Nam & Isaac cum esset liber, a servo Ismaele persequutionem sustinuit, ideoque subjungit dicens: 29. *Sed quemadmodum tunc qui secundum carnem natus erat, persequebatur eum qui natus erat secundum spiritum: ita & nunc.* 30. *Sed quid dicit scriptura? Ejice filium ancillæ. Non enim erit he-*
E *res filius ancillæ cum filio liberæ.* Quid igitur? Hæccine consolatio est, demonstrasse liberos a servis persequutionem perpeti? Nequaquam, inquit. Neque enim hic subsisto, sed audi quæ sequuntur, & tunc accipies consolationem, quæ sufficiat leniendis pusillanimorum persequutionibus. Quænam igitur sunt quæ sequuntur. *Ejice filium ancillæ. Non enim erit heres cum filio liberæ?* Vidistin' signa temporariæ tyrannidis, & intempestivæ arrogantiæ? Ejectus est e paternis facultatibus puer, fitque & exul & erro simul cum matre. Jam mihi considera quam

Genes. 18.

sapienter ista dicta sint. Non enim dixit, persequebatur, & ideo tantum ejectus est, sed ne fieret heres. Neque enim ob temporariam persequutionem hanc de illo pœnam sumsit. Nam id quidem leve erat, ac nihil ad eam rem, sed non permisit illum consortem fieri bonorum filio paratorum, significans quod etiam sublata persequutione, hoc illi ab initio prius signatum esset: quæ res non repetit initium a persequutione, sed a voluntate Dei. Nec dixit, non erit heres filius Abrahæ: sed, filius ancillæ, a viliore genere illi cognomen addens. At Sara sterilis erat; nam & ecclesia ex Gentibus congregata talis erat. Vides in omnibus servari figuram? Sicut enim illa cum per omnes pristinos ætatis annos non peperisset, in extrema senectute fit mater: ita & hæc, ubi venit plenitudo temporis, parit. Hoc autem & prophetæ prædixerant dicentes: *Lætare sterilis quæ non paris, erumpe & clama quæ non parturis: quoniam multi filii desertæ, magis quam ejus quæ habet virum.* Ecclesiam sic vocantes. Non enim noverat Deum; tamen ubi cognovit, vicit numerosæ sobolis synagogam. 31. *Itaque, fratres, non sumus ancillæ filii, sed liberæ.* Hæc omnia movet versatque, ostendere studens id quod factum est, non esse nuperum, neque recens, sed jam inde ab initio & ante multa sæcula præfiguratum. Annon igitur absurdum, ante tantum sæculorum selectos, ac libertatis consortes, ultro semetipsos in servitutis jugum tradere? Post hæc aliam addit causam quæ persuadeat eis ut in dogmatibus perseverent.

*Esa. 54.* *Luc. 23.*

φίαν τῶν εἰρημένων. οὐ γὰρ εἶπεν, ἐπειδὴ ἐδίωκε, διὰ τοῦτο ἐξεβάλλετο μόνον, ἀλλ', ἵνα μὴ κληρονομήσῃ. οὐ γὰρ τοῦ προσκαίρου διωγμοῦ τιμωρίαν αὐτὸν ἀπῄτει ταύτην· τοῦτο γὰρ μικρὸν, καὶ οὐδὲν πρὸς ἐκεῖνο· ἀλλ' οὐκ ἀφῆκε γενέσθαι κοινωνὸν τῶν ἡτοιμασμένων τῷ παιδὶ, δεικνὺς ὅτι καὶ τοῦ διωγμοῦ χωρὶς τοῦτο ἄνωθεν αὐτῷ διατετυπωμένον ἦν, οὐκ ἀπὸ τοῦ διωγμοῦ τὴν ἀρχὴν λαβὸν, ἀλλ' ἀπὸ τῆς τοῦ θεοῦ γνώμης. καὶ οὐκ εἶπεν, οὐ μὴ κληρονομήσει ὁ υἱὸς τοῦ Ἀβραὰμ, ἀλλ', ὁ υἱὸς τῆς παιδίσκης, ἀπὸ τοῦ φαυλοτέρου γένους αὐτὸν καλῶν. ἀλλ' ἡ Σάῤῥα στεῖρα ἦν. καὶ γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία, τοιαύτη. ὁρᾷς διὰ πάντων τὸν τύπον τηρούμενον; ὥσπερ γὰρ ἐν ὅλοις τοῖς ἔμπροσθεν ἔτεσιν ἐκείνη μὴ τίκτουσα, πρὸς ἐσχάτῳ γήρᾳ γέγονε μήτηρ· οὕτω καὶ αὕτη, ὅτε ἦλθε τὸ πλήρωμα, τίκτει. τοῦτο γὰρ καὶ προφῆται προανεφώνουν λέγοντες, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα· τὴν ἐκκλησίαν οὕτω καλοῦντες. οὐ γὰρ ἦν ἐπεγνωκυῖα τὸν θεόν· ἀλλ' ὅμως ἐπιγνοῦσα, τὴν πολύπαιδα ἐνίκησε συναγωγήν. ἄρα, ἀδελφοὶ, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας. ταῦτα πάντα κινεῖ καὶ στρέφει, δεῖξαι βουλόμενος, ὅτι τὸ γινόμενον οὐ πρόσφατον ἦν, ἀλλ' ἄνωθεν καὶ πρὸ πολλῶν διετυποῦτο χρόνων. πῶς οὖν οὐκ ἄτοπον πρὸ τοσούτων χρόνων ἀφορισθέντας καὶ ἐλευθερίας τυχόντας, ἑκόντας ἑαυτοὺς εἰς τὸν τῆς δουλείας ὑπάγειν ζυγόν; εἶτα καὶ ἄλλην αἰτίαν τίθησι τὴν πείθουσαν αὐτοὺς ἐπὶ τῶν δογμάτων μένειν.

## CAPUT V.

1. *Libertate igitur, qua Christus vos liberavit, state.*

1. NUM vos ipsos liberastis, quandoquidem rursum ad priorem recurritis dominatum? Ipse est qui vos liberavit, alius est qui precium dedit pro vobis. Vides quot modis illos abducat ab errore Judaico? Primum ostendens extremæ dementiæ esse, eos qui pro servis facti fuerant liberi, pro liberis velle fieri servos. Deinde quod erga beneficum immemores & ingratos sese declaraturi sint, contemnentes eum qui liberavit, & amantes eum qui in servitutem pertraxit. Tertio loco, quod hoc esset impossibile. Lex enim jam non habebat dominium, cum alter nos omnes semel ab illius dominatu redemerit. Cum vero dicit, state, fluctuationem subindicat. *Ac ne rursum jugo servitutis implicemini.* Nomine jugi, negotii molestiam illis significat: & cum ait, rursum, ingentem illorum indicat stupiditatem. Nam si non fuissetis hanc experti molestiam, non eratis perinde graviter incusandi. Verum si cum experimento cognitum habeatis quam grave sit hujus jugi pondus,

## ΚΕΦΑΛΑΙΟΝ ε.

Τῇ γὰρ ἐλευθερίᾳ, φησὶν, ᾗ Χριστὸς ὑμᾶς ἐξηγόρασε, στήκετε.

ΜΗ γὰρ ἑαυτοὺς ἠλευθερώσατε, ὅτι πάλιν ἐπὶ προτέραν τρέχετε δεσποτείαν; ἀλλ' αὐτός ἐστιν ὁ ὑμᾶς ἐξηγορακὼς, ἄλλος ὁ τὴν τιμὴν δοὺς ὑπὲρ ὑμῶν. ὁρᾷς δι' ὅσων αὐτοὺς ἀπάγει τῆς Ἰουδαϊκῆς πλάνης; πρῶτον δεικνὺς, ὅτι ἐσχάτης ἀνοίας ἐλευθέροις ἀντὶ δούλων γενομένοις δούλους ἀντ' ἐλευθέρων ἐπιθυμεῖν εἶναι. δεύτερον, ὅτι περὶ τὸν εὐεργέτην ἀγνώμονες καὶ ἀχάριστοι δειχθήσονται, τοῦ μὲν ἐλευθερώσαντος καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον στέργοντες. τρίτον, ὅτι οὐ δυνατὸν τοῦτο. οὐ γὰρ ἔχει τὴν δεσποτείαν ὁ νόμος, ἅπαξ ἑτέρου παρ' αὐτοῦ πάντας ἡμᾶς πριαμένου. στήκετε δὲ εἰπὼν, τὸν σάλον ἔδειξε. καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. τῷ μὲν τοῦ ζυγοῦ ὀνόματι, τὸ βαρὺ τοῦ πράγματος αὐτοῖς ἐνδείκνυται· τῷ δὲ, πάλιν, εἰπεῖν, πολλὴν αὐτῶν δείκνυσι τὴν ἀναισθησίαν. εἰ μὲν γὰρ ἄπειροι ἦτε τοῦ βάρους ἐκείνου, οὐ τοσούτων ἦτε ἐγκλημάτων ἄξιοι· οἱ δὲ τῇ πείρᾳ μαθόντες τὸ φορτικὸν τοῦ ζυγοῦ,

εἶτα

εἶτα ὑποθέντες ἑαυτοὺς ἐκείνῳ πάλιν, ποίας ἂν εἴητε δίκαιοι τυχεῖν συγγνώμης; ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ὅρα πόση ἀπειλή. εἰκότως ἄρα καὶ ἀγγέλοις ἀνεθεμάτιζε. πῶς δὲ Χριστὸς αὐτοὺς οὐδὲν ὠφελήσει; αὐτὸς μὲν γὰρ τοῦτο οὐ κατεσκεύασεν, ἀλλ᾽ ἀπεφήνατο, ὡς τῆς τοῦ προσώπου ἀξιοπιστίας ἀρκούσης ἀντὶ πάσης ἀποδείξεως λοιπόν. διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν· ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅπερ ἦν θαῤῥοῦντος οἷς λέγει· ἡμεῖς δὲ ὡς ἂν οἷοί τε τὰ παρ᾽ ἑαυτῶν προσθήσομεν. πῶς οὐδὲν ὠφελήσει τὸν περιτεμνόμενον ὁ Χριστός; ὁ περιτεμνόμενος, ὡς νόμον δεδοικὼς, περιτέμνεται· ὁ δὲ δεδοικὼς, ἀπιστεῖ τῇ δυνάμει τῆς χάριτος· ὁ δὲ ἀπιστῶν, οὐδὲν κερδαίνει παρὰ τῆς ἀπιστουμένης. πάλιν ἑτέρως, ὁ περιτεμνόμενος τὸν νόμον κύριον ποιεῖ· κύριον δὲ εἶναι νομίζων, καὶ ἐκ τοῦ μείζονος αὐτὸν παραβαίνων μέρους, ἐκ δὲ τοῦ ἐλάττονος τηρῶν, πάλιν ὑπὸ τὴν ἀρὰν ἑαυτὸν τίθησιν· ὑποβάλλων δὲ ἑαυτὸν τῇ ἀρᾷ, καὶ διακρουσάμενος τὴν ἀπὸ τῆς πίστεως ἐλευθερίαν, πῶς δύναται σωθῆναι; εἰ γὰρ χρή τι καὶ παράδοξον εἰπεῖν· οὔτε τῷ Χριστῷ, οὔτε τῷ νόμῳ πιστεύει, ἀλλ᾽ ἐν μέσῳ ἕστηκε, κἀκεῖθεν καὶ ἔνθεν βουλόμενος κερδαίνειν· διόπερ οὐδαμόθεν οὐδὲν καρπώσεται. εἶτα εἰπὼν, ὅτι οὐδὲν ὠφελήσει, αἰνιγματωδῶς διὰ βραχέων τὴν ἀπόδειξιν τίθησιν, οὕτω λέγων· μαρτύρομαι δὲ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. ἵνα γὰρ μὴ νομίσῃς κατ᾽ ἔχθραν ταῦτα λέγεσθαι, οὐχ ὑμῖν λέγω μόνον, φησὶν, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. ἀλλήλων γὰρ ἔχεται τὰ νόμιμα. καὶ καθάπερ ὁ ἀπογραψάμενος εἶναι δοῦλος ἐξ ἐλευθέρου, οὐκέτι ποιεῖ, ὃ βούλεται, ἀλλὰ πᾶσι τοῖς τῆς δουλείας κατέχεται νόμοις· οὕτω καὶ ἐπὶ τοῦ νόμου ὅταν ἀναδέξῃς μικρόν τι τοῦ νόμου, καὶ ὑπαγάγῃς σεαυτὸν τῷ ζυγῷ, ὅλην ἐφειλκύσω τὴν δεσποτείαν. οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν κληρονομίας· ὁ μὲν μηδενὸς ἁψάμενος, πάντων ἀπήλλακται τῶν [a] ἀπαγομένων τῷ κλήρῳ τοῦ τετελευτηκότος πραγμάτων· ἂν δὲ μικρόν τι χλείσῃ, καὶ μὴ πάντα λάβῃ, πᾶσιν ἑαυτὸν ὑπεύθυνον κατέστησε διὰ τοῦ μέρους. τοῦτο καὶ ἐπὶ τοῦ νόμου συμβαίνει, οὐ διὰ τοῦτον δὲ μόνον ὃν εἴρηκα τρόπον, ἀλλὰ καὶ δι᾽ ἕτερον. ἀλλήλων γὰρ τὰ νόμιμα ἔχεται. οἷον τι λέγω· ἡ περιτομὴ θυσίαν ἔχει συνεζευγμένην καὶ ἡμερῶν παρατήρησιν, ἡ θυσία πάλιν καὶ ἡμέρας καὶ τόπου φυλακὴν, ὁ τόπος μυρίων καθαρμῶν τρόπους, οἱ καθαρμοὶ ἑσμόν τινα παρατηρήσεων εἰσάγουσι ποικίλων. τὸν γὰρ ἀκάθαρτον οὐ θύειν, οὐχ ἱερῶν ἐπιβαίνειν ἀδύτων, οὐκ ἄλλο τι τῶν τοιούτων ποιεῖν θέμις. διὸ καὶ πολλὰ ἐφέλκεται καὶ διὰ τῆς μιᾶς ἐντολῆς ὁ νόμος. ἂν τοίνυν περιτμηθῇς, μὴ ἐν τῇ ὀγδόῃ δὲ ἡμέρᾳ,

A post hæc denuo vos ipsos eidem submittitis, quam veniam mereri poteritis? 2. *Ecce ego Paulus dico vobis, quod si circumdamini, Christus nihil vobis proderit.* (Supra v.) Vide quam atroces minæ. Merito, quandoquidem & angelos anathemati devovit. Quomodo autem Christus ipsis nihil proderit? Nam ipse hoc non probavit, sed pronunciavit, quod deinceps personæ auctoritas satis esset pro quavis probatione. Et ideo occupavit dicere, ecce ego Paulus dico vobis: quæ vox erat confidentis iis quibus loquebatur. Nos pro nostra virili ex nobis ipsis hoc addemus, demonstrabimusque quomodo circumciso nihil

B profuturus sit Christus. Qui circumciditur, tamquam legem metuens circumciditur; eam qui metuit, diffidit viribus gratiæ. Porro qui diffidit, nihil fructus capit ab ea cui diffidit. Rursus alio modo: Qui circumciditur, legem facit dominam; qui vero putat illam esse dominam, eamque ex majore parte transgreditur, ex minore servans, semetipsum subjicit maledicto. Qui vero seipsum submittit maledicto, libertatem quæ est in fide repellens, quomodo potest esse salvus? Nam si dicere fas est quiddam incredibile, hic neque Christo, neque

C legi fidit, sed in medio consistit, & hinc & illinc volens lucrum facere; ideo nec hinc nec illinc lucrum accipiet. Deinde posteaquam dixisset quod nihil esset illis profuturus Christus, ænigmatice ac paucis probationem adfert, ita loquens: 3. *Testificor autem omni homini qui circumciditur, quod debitor est totius legis implendæ.* Etenim ne putares hæc inimico animo dici: Non vobis, inquit, solum dico; sed cuivis homini, quisquis circumciditur, quod debitor est totius legis implendæ. Legis enim præcepta inter se cohærent. Et ut qui ex libero descriptus est in servitutem, non amplius facit quæ

D vult, sed omnibus servitutis legibus obstrictus est; ita accidit in lege, ubi pusillam aliquam legis partem receperis, teque ipsum jugo submiseris, totum illius dominatum tibi accersisti. Idem fit in hereditate mundana: qui nihil attigit, ab omnibus liberatus est negotiis quæ sequuntur defuncti hereditatem. Quod si paulum aliquid attigerit, etiamsi non acceperit omnia, omnibus tamen sese obstrinxit, qui partem attigit. Idem accidit in lege, non ob hunc tantum quem dixi modum, verum etiam ob alium quemdam. Legis enim partes invicem cohærent. Cir-

E cumcisio, ut exempli causa dicam, immolationem pecudum habet annexam, ac dierum observationem: immolatio rursus, tum dici tum loci observationem habet annexam: locus innumerabiles purgationum ritus: purificationes examen quoddam observationum secum adferunt variarum. Non enim fas est impurum sacrificare, non sacra ingredi adyta, denique non aliud quidquam ejusmodi rerum agere. Quapropter per unicum præceptum multa lex attrahit. Itaque si circumcidaris, nisi circumcidaris octavo die;

[a] ἀπαγομένων. Savilius legendum existimat ἐπαγομένων, & certe melius quadraret.

aut cum octavo quidem, sed non offertur sacrificium: aut cum sacrificium quidem offertur, sed non in loco præfinito: aut si in loco præfinito, non secundum legis præscripta: aut si secundum legis præscripta, sed non purus: aut si purus, non conveniente ritu purificatus, cuncta illa pereunt. Proinde dicit: *Debitor est totius legis implendæ.* Quod si lex habet auctoritatem, noli partem implere, sed totam. Si non habet auctoritatem, ne partem quidem servare velis. 4. *Evacuati estis a Christo, quicumque in lege justificamini: a gratia excidistis.* Postea quam argumentis rem probavit, deinceps pronunciat, de extremo supplicio periculum esse. Cum enim is qui recurrit ad legem, nec hinc possit salutem consequi, & a gratia exciderit; quid demum nisi supplicium indeprecabile; dum illa caret vigore, hæc vero non admittit hominem?

2. Posteaquam igitur illis hoc pacto metum auxit, ac mentem illorum perturbavit, postquam ostendit totum naufragium quod perpessuri sunt, e propinquo patefacit illis gratiæ portum; id quod ubique facit, facillimam simul & tutissimam demonstrans illinc esse salutem. Ideo subdit dicens: 5. *Nos enim per fidem in spiritu, justitiæ spem accepimus.* Nihil, inquit, opus habemus illis legalibus. Sufficit enim fides ad hoc, ut donet nobis spiritum, & per hunc justitiam, multaque insuper & magna bona. 6. *In Christo enim Jesu neque circumcisio quidquam valet, neque præputium, sed fides quæ per dilectionem operatur.* Vides ut eos jam majore cum libertate aggreditur? Qui enim Christum induit, ne, inquit, talium sit curiosus. Atqui dixerat, noxiam esse circumcisionem; quomodo igitur eam facit indifferentem? facit in iis, qui jam ante fidem eam habuerant, non in iis qui post fidem circumcidebantur. Vide vero quo illam dejecerit, collocans eam cum præputio. Quod enim eorum facit discrimen, fides est. Quemadmodum igitur si qui athletas deligit, sive naso adunco, sive simo, sive nigros, sive candidos eligat, nihil refert ad probationem, sed illud unum spectandum est, ut validi doctique sint: ita qui adscribendus est in novum testamentum, huic nihil nocent hæc omnia corporalia, si absint, quemadmodum neque juvant si adsint. Quid autem est, *Quæ per dilectionem operatur?* Hic illis ingentem inflixit plagam, significans hanc subreptionem inde natam, quod caritas erga Christum in eis non egerit radices. Non enim credere solum est quod quæritur, verum etiam in caritate perseverandum est; ac si dixisset: Si dilexissetis Christum, sicut oportuit, nequaquam confugissetis ad servitutem: nequaquam eum qui vos redemit, deseruissetis: non reliquissetis, nec contumelia affecissetis eum qui vos in libertatem asseruit. Subindicat autem & illos qui Galatis insidiabantur, significans quod si illi quoque caritatem habuissent erga Galatas, non ista facere sustinuissent. Vult autem hoc verbo vitam illorum corrigere: 7. *Currebatis bene,*

A ἢ ἐν τῇ ὀγδόῃ μὲν, μὴ οὔσης δὲ θυσίας· θυσίας δὲ οὔσης, μὴ ἐν τῷ ὡρισμένῳ δὲ τόπῳ· ἢ ἐν τῷ ὡρισμένῳ τόπῳ, μὴ τὰ νενομισμένα δέ· ἢ τὰ νενομισμένα μὲν, μὴ καθαρὸς δὲ ὤν· ἢ καθαρὸς μὲν ὢν, οὐ τοῖς προσήκουσι δὲ θεσμοῖς καθαρθεὶς, πάντα οἴχεται ἐκεῖνα. Διὰ τοῦτό φησιν, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. Μὴ μέρος πληρώσῃς, ἀλλὰ τὸ πᾶν· εἰ μὲν κύριος ὁ νόμος, εἰ δὲ οὐκ ἔστι κύριος, μηδὲ τὸ μέρος. Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσετε. Ἐπειδὴ γὰρ κατεσκεύασεν, ἀποφαίνεται λοιπὸν, καὶ τὸν περὶ τῶν ἐσχάτων κρημνῶν κίν-
B δυνον. Ὅταν γὰρ ὁ τῷ νόμῳ προστρέχων, μὴ ἐκεῖθεν δύνηται σώζεσθαι, καὶ τῆς χάριτος ἐκπίπτῃ, τί λοιπὸν, ἀλλ' ἢ κόλασις ἀπαραίτητος, τοῦ μὲν ἀτονοῦντος, τοῦ δὲ οὐ προσιεμένης αὐτόν;

Αὐξήσας τοίνυν αὐτῶν οὕτω τὸν φόβον, καὶ κατασείσας αὐτῶν τὴν διάνοιαν, καὶ δείξας τὸ ναυάγιον ὃ μέλλουσιν ὑπομένειν, πᾶν, ἐγγύθεν ἀνοίγει αὐτοῖς τῆς χάριτος τὸν λιμένα· ὃ πανταχοῦ ποιεῖ, εὐκολωτάτην τε καὶ ἀσφαλεστάτην ἐντεῦθεν ἀποφαίνων τὴν σωτηρίαν. Διὸ καὶ ἐπάγει λέγων· Ἡμεῖς
C γὰρ διὰ πίστεως ἐν πνεύματι ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. Οὐδενὸς ἐκείνων τῶν νομίμων δεόμεθα, φησιν. Ἀρκεῖ γὰρ ἡ πίστις ἡμῖν πνεῦμα παρασχεῖν, καὶ δι' αὐτοῦ δικαιοσύνην, καὶ τὰ πολλὰ καὶ μεγάλα ἀγαθά. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τί ἐστιν, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. Ὁρᾷς πῶς λοιπὸν μετὰ πλείονος ἀποδύεται παῤῥησίας; Ὁ γὰρ τὸν Χριστὸν ἐνδυσάμενος, μηκέτι ταῦτα περιεργαζέσθω, φησί. Καὶ μὴν ἔλεγεν, ὅτι βλαβερὸν ἡ περιτομή· πῶς οὖν ἀδιάφορον αὐτὸ τίθησιν; ἀδιάφορον ἐπὶ τῶν ἤδη πρὸ τῆς πίστεως ἐσχη-
D κότων, οὐκ ἐπὶ τῶν μετὰ τὴν πίστιν περιτεμνομένων. Ὅρα δὲ ποῦ αὐτὴν ἐξέβαλε, μετὰ ἀκροβυστίας στήσας αὐτήν. Τὸ γὰρ ποιοῦν τὴν διαφορὰν, ἡ πίστις ἐστίν. Ὥσπερ οὖν ἂν ἀθλητάς τις καταλέγῃ, ἄν τε γρυποὺς, ἄν τε σιμοὺς, ἄν τε μέλανας, ἄν τε λευκοὺς, οὐδὲν διαφέρει πρὸς τὴν δοκιμασίαν ταῦτα, ἀλλ' ἵνα ἰσχυροὶ καὶ ἐπιστήμονες ὦσι μόνον τοῦτο δεῖ ζητεῖν· οὕτω καὶ τὸν μέλλοντα ἀπογράφεσθαι εἰς τὴν καινὴν διαθήκην, οὐδὲν βλάπτει τὰ σωματικὰ ταῦτα ἅπαντα, ὥσπερ οὖν οὔτε ὀνίνησιν, ἂν προσῇ. Τί δέ
E ἐστι, δι' ἀγάπης ἐνεργουμένη; Μεγάλην ἐνταῦθα πληγὴν αὐτοῖς ἔπληξεν, ἐμφήνας ὅτι ἐκ τοῦ τῆς πρὸς Χριστὸν ἀγάπην μὴ ῥιζωθῆναι αὕτη ἡ παρείσδυσις γέγονεν. Οὐ γὰρ τὸ πιστεῦσαί ἐστι τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ τὸ μεῖναι ἀγαπῶντας. Ὡς ἂν εἰ ἔλεγεν, εἰ ἠγαπᾶτε τὸν Χριστὸν ὡς ἐχρῆν, οὐκ ἂν ηὐτομολήσατε πρὸς τὴν δουλείαν, οὐκ ἂν τὸν ἐξαγοράσαντα ὑμᾶς ἀφήκατε, οὐκ ἂν ὑβρίσατε τὸν ἐλευθερώσαντα. Αἰνίττεται δὲ ἐνταῦθα καὶ τοὺς ἐπιβουλεύοντας αὐτοῖς, δεικνὺς ὅτι καὶ ἐκεῖνοι, εἰ ἀγάπην εἶχον πρὸς αὐτοὺς, οὐκ ἂν ἐτόλμησαν ταῦτα ποιεῖν. Βούλεται δὲ καὶ τὸν βίον αὐτοῖς διορθοῦν ἀπὸ τοῦ ῥήματος τούτου. Ἐτρέχετε

καλῶς, τίς ὑμᾶς ἐνέκοψεν; οὐκ ἐρωτῶντός ἐστι τοῦτο, ἀλλ' ἀποροῦντος καὶ ὀλοφυρομένου. πῶς ὁ τοσοῦτος ἐνεκόπη δρόμος; τίς ὁ τοσοῦτον ἰσχύσας; οἱ πάντων ἀνώτεροι καὶ ἐν τάξει διδασκάλων ὄντες, οὐδὲ ἐν τάξει μαθητῶν ἐμείνατε. τί γέγονε; τίς τοσοῦτον ἴσχυσε; ταῦτα [a] ἀνακαλοῦντός ἐστι καὶ θρηνοῦντος μᾶλλον, ὥσπερ καὶ ἔμπροσθεν ἔλεγε, τίς ὑμᾶς ἐβάσκανεν; ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. οὐκ ἐπὶ τούτοις ἐκάλεσεν ὑμᾶς ὁ καλῶν, ὥστε οὕτω σαλεύεσθαι· οὐ ταῦτα ἐνομοθέτησεν, ὥστε Ἰουδαΐζειν. εἶτα ἵνα μή τις λέγῃ, τί οὕτω τὸ πρᾶγμα ἐπαίρεις καὶ δεινοῖς τῷ λόγῳ; μίαν ἐντολὴν τοῦ νόμου ἐφυλάξαμεν μόνον, καὶ τοσαῦτα θορυβεῖς; ἄκουσον πῶς φοβεῖ οὐκ ἀπὸ τῶν παρόντων, ἀλλ' ἀπὸ τῶν μελλόντων, λέγων οὕτω· μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. οὕτω καὶ ὑμᾶς ἰσχύει, φησὶ, τὸ μικρὸν τοῦτο σφάλμα, μὴ διορθωθὲν, καὶ εἰς τέλειον Ἰουδαϊσμὸν ἀγαγεῖν, ὥσπερ ἡ ζύμη τὸ φύραμα. ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Χριστῷ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. οὐκ εἶπεν, ὅτι οὐ φρονεῖτε, ἀλλ', οὐ φρονήσετε, τουτέστιν, ὅτι διορθώσεσθε. πόθεν οἶδας τοῦτο; οὐκ εἶπεν, οἶδα, ἀλλὰ, πιστεύω τῷ θεῷ, φησι, καὶ τὴν ἐκείνου καλῶ συμμαχίαν πρὸς τὴν ὑμετέραν διόρθωσιν. θαῤῥῶ, καὶ οὐχ ἁπλῶς εἶπε, πέποιθα εἰς ὑμᾶς, ἀλλ' ἐν κυρίῳ. πανταχοῦ γὰρ μετ' ἐγκωμίων πλέκει τὰς κατηγορίας, ὡς ἂν εἰ ἔλεγεν· οἶδα τοὺς ἐμοὺς μαθητὰς, οἶδα τὸ ὑμῶν εὐδιόρθωτον· θαῤῥῶ τοῦτο μὲν, διὰ τὸν κύριον τὸν οὐκ ἐῶντα ἀπολέσθαι οὐδὲ τὸ τυχόν· τοῦτο δὲ, δι' ὑμᾶς τοὺς δυναμένους ταχέως ἑαυτοὺς ἀνακλήσασθαι. ἅμα δὲ καὶ προτρέπει καὶ τὴν παρ' ἑαυτῶν σπουδὴν εἰσενεγκεῖν, ὡς οὐκ ἐνὸν τῶν παρὰ τοῦ θεοῦ τυχεῖν, ἂν μὴ καὶ τὰ παρ' ἡμῶν εἰσφέρηται. ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. ἑκατέρωθεν αὐτοὺς ἀλείφει, καὶ ἐξ ὧν παρεθάῤῥυνε, καὶ ἐξ ὧν ἐκείνοις ἐπηράσατο, ἢ προεφήτευσε. σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ ὄνομα τίθησι τῶν ἐπιβουλευόντων, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἐπειδὴ ὑμεῖς οὐδὲν ἄλλο φρονήσετε, διὰ τοῦτο οἱ τῆς ἀπάτης αἴτιοι ἀπηλλαγμένοι τῆς κολάσεώς εἰσιν· ἀλλὰ δώσουσι δίκην. οὐδὲ γὰρ προσῆκον τὴν ἑτέρων σπουδὴν τῆς ἄλλων κακοηθείας γενέσθαι παραμυθίαν. γίνεται δὲ τοῦτο, ἵνα μὴ καὶ ἑτέροις πάλιν ἐπιθῶνται. καὶ οὐχ ἁπλῶς εἶπεν, οἱ ταράσσοντες, ἀλλὰ καὶ ἐπῆρε τὸν λόγον εἰπὼν, ὅστις ἂν ᾖ. ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύττω, τί ἔτι διώκομαι; ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν ὡς πολλαχοῦ ἰουδαΐζοντα, καὶ ὑποκρινόμενον τὸ κήρυγμα, ὅρα πῶς καθαρῶς ἐνεδύσατο, μάρτυρας αὐτοὺς καλῶν. οἴδατε γὰρ, φησι, καὶ ὑμεῖς, ὅτι τῶν διωγμῶν μου πρόφασις τοῦτό ἐστιν, ὅτι κελεύω ἀπέχεσθαι τοῦ νόμου. εἰ δὲ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι; οὐδὲν γὰρ ἕτερον ἐγκαλεῖν ἔχουσί μοι οἱ ἐξ Ἰουδαίων, ἢ

A *quis vos impedivit?* Non hoc interrogantis est, sed deplorantis & anxii. Quomodo tantus cursus interruptus est? Quis est qui tantum potuit? Qui omnibus quidem superiores, & in magistrorum eratis ordine, ne in discipulorum quidem classe mansistis. Quid accidit? quis tantum valuit? Hæc sunt exclamantis ac lamentantis, sicut & antea dicebat, Quis vos fascinavit? 8. *Persuasio non* Sup. 3. *est ex eo qui vocavit vos.* Non in hæc vos vocavit, ut ad istum vacillaretis modum. Non hanc legem vobis præscripsit, ut judaïzaretis. Deinde ne quis diceret, Quid B rem verbis attollis, & oratione reddis atrocem? unicum tantum legis præceptum servavimus, & tantos cies tumultus? Audi quomodo terrorem illis incutit, non ex præsentibus, sed ex futuris, loquens hunc in modum: 9. *Exiguum fermentum totam massam corrumpit.* Sic & vos, inquit, hoc exiguum malum si non corrigatur, poterit in perfectum Judaïsmum pertrahere, sicut fermentum conspersionem. 10. *Ego confido de vobis in Christo, quod nihil aliud sentietis.* Non dixit, non sentitis: sed, non sentietis, hoc est, corrigemini. Unde hoc nosti? Non dixit, scio: sed, confido. Confido, inquit, C Deo, & illius opem invoco ad vestri correctionem. Confido. Nec simpliciter dixit, confido de vobis, sed adjecit, in Christo. Ubique enim laudi miscet accusationem. Quasi dixisset, Novi meos discipulos, novi quam sitis correctu faciles. Confido partim ob Christum, qui non patitur quidlibet etiam perire, partim propter vos, qui cito potestis revocare vos ipsos. Simul autem & adhortatur, ut ipsi etiam studium adhibeant: tamquam non possint a Deo consequi, nisi pariter quod in ipsis situm erat, adhibeant. *Qui autem conturbat vos, portabit judicium suum, quisquis fuerit.* Utrinque excitat illos, tum ex eo quod illis addidit fiduciam, D tum ex eo quod pseudoapostolos execratur, aut de illis prophetiam emittit. Tu vero jam illud mihi considera, ut nusquam nomen edidit insidiantium, ne fierent impudentiores. Quod autem dicit, illud est: Non quia vos nihil aliud sentietis, ideo seductionis auctores liberati sunt a supplicio, sed dabunt pœnas. Non enim par est, ut aliorum probitas aliorum malitiam sublevet. Hoc autem facit, ne & alios rursus invadant. Nec simpliciter dixit qui conturbat, sed exaggeravit sermonem, dicens: quisquis fuerit. 11. *Ego autem, fratres, si circumcisionem ad-* E *huc prædico, quid etiamnum persequutionem patior?* Quoniam traducebatur apostolus hoc nomine, quod ubique judaïzaret, ficteque prædicaret: vide quam pure semet explicet a suspicione, ipsos appellans testes. Nam vos quoque scitis, inquit, istam fuisse persequutionum mearum causam, quod a lege jubeam desciscere. Itaque si circumcisionem prædico, cur persequutionem patior? Neque enim aliud crimen mihi possunt intendere qui ex Judæis sunt, præ-

a ἀνακαλοῦντος, sic legendum suspicatur Savilius, atque ita legit interpres Latinus. Editi ἀποροῦντος.

terquam hoc solum. Nam si concessissem ut servatis majorum ritibus crederent, mihi non fuissent insidiati, nec ii qui crediderunt, nec ii qui non crediderunt: cum nihil ex ipsorum institutis labefactaretur. Quid igitur? Annon prædicavit circumcisionem? Annon
Act. 16. circumcidit Timotheum? Circumcidit quidem.

3. Quomodo ergo dicit, Non prædico? Et hic ejus disce accurationem. Non enim dixit, non facio circumcisionem, sed non prædico: hoc est, non ita jubeo credere. Etenim ne hinc caperes dogmatum confirmationem, circumcidi quidem, sed non prædicavi circumcisionem. *Ergo evacuatum est scandalum crucis.* Hoc est, obstaculum impedimentumque sublatum est, si verum est quod dicitis. Neque enim perinde crux erat offendiculo Judæis, ut quod non pareremus patriis legibus. Etenim cum Stephanum per-
Ibid. 6. duxissent in consilium, non dixerunt, Hic est qui crucifixum adorat: sed loquitur, inquiunt, contra legem & locum sanctum.
Joan. 5. Idem crimen Christo impegerant, quod legem solveret. Propterea Paulus ait: Si concessa est circumcisio, soluta est quam habent adversum nos contentio: nulla jam inimicitia manet adversus crucem & prædicationem. Quod si quotidie cædem exercent contra nos, quomodo hoc intendunt nobis crimen? Me quidem propter hoc adorti sunt, quod incircumcisum induxissem in templum. An igitur adeo stultus sum, inquit, ut cum permiserim circumcisionem, frustra & incassum tantum in me receperim mali, ut tantum offendiculum ponerem cruci? Videtis enim, quod nullam ob causam æque nobis sunt hostes, atque ob circumcisionem. Num igitur adeo vecors eram, ut pro re nihili & ipse affligerer, & aliis essem offendiculo? Porro crucis offendiculum vocavit, eo quod etiam sermo crucis hoc imperabat, idque potissimum erat quod offendebat Judæos, & vetabat ne crucem reciperent, videlicet quod juberentur a majorum institutis discedere. 12. *Utinam & concidantur, qui vos conturbant.* Vide quam hic est amarulentus in eos qui Galatas seduxerant. In initio torquebat accusationem in seductos, semel atque iterum eos appellans stultos: verum ubi illos recte castigavit correxitque,
Sup. 3. deinceps in seductores fertur. Oportet autem vos & hanc apostoli sapientiam perspicere, quomodo hos tamquam proprios filios, & tamquam correctionis capaces admonet, & ad mentem revocat: eos vero qui seduxerant, velut alienos & insanabili morbo laborantes resecat, partim cum ita dicit, Portabit judicium suum quisquis fuerit: partim cum imprecans ait, Utinam & abscindantur, qui vos conturbant. Ac recte dixit ἀναστατοῦντες, hoc est depellentes. Compulerant enim eos, ut propria patria, ut libertate, ut cælesti cognatione relicta, alienam ac peregrinam requirerent, ut jam ab illa superna liberaque Jerosolyma exules, cogantur velut captivi, solumque vertere jussi,

A τοῦτο μόνον. καὶ γὰρ εἰ συνεχώρουν αὐτοῖς μετὰ τῶν πατρῴων ἐθῶν πιστεύειν, οὐκ ἂν οὔτε οἱ πιστεύσαντες, οὔτε οἱ ἀπιστήσαντες ἐπεβούλευσαν, τῷ μηδὲν τῶν οἰκείων παρασαλεύεσθαι. τί οὖν; οὐκ ἐκήρυξε περιτομήν; οὐ περιέτεμε τὸν Τιμόθεον; περιέτεμε μέν.

Πῶς οὖν φησιν, οὐ κηρύσσω; καὶ ἐνταῦθα αὐτοῦ μάθε τὴν ἀκρίβειαν. οὐ γὰρ εἶπεν, ὅτι περιτομὴν οὐκ ἐργάζομαι, ἀλλὰ, οὐ κηρύσσω, τουτέστιν, οὐχ οὕτω κελεύω πιστεύειν. μὴ γὰρ εἰς δογμάτων λάβῃς βεβαίωσιν, περιέτεμον μὲν γὰρ, οὐκ ἐκήρυξα δὲ περιτομήν. B ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ· τουτέστι, τὸ ἐμπόδιον, τὸ κώλυμα ἀνῄρηται, εἰ τοῦτό ἐστιν ὅ φατε. οὐδὲ γὰρ οὕτως ὁ σταυρὸς ἦν σκάνδαλον τοῖς Ἰουδαίοις, ὡς τὸ, μὴ δεῖν πείθεσθαι τοῖς πατρῴοις νόμοις. καὶ γὰρ τὸν Στέφανον προσενεγκόντες, οὐκ εἶπον, ὅτι οὗτος τὸν ἐσταυρωμένον προσκυνεῖ, ἀλλ' ὅτι κατὰ τοῦ τόπου καὶ τοῦ νόμου λέγει τοῦ ἁγίου. καὶ τῷ Ἰησοῦ τοῦτο ἐνεκάλουν, ὅτι τὸν νόμον παραλύει. διό φησιν ὁ Παῦλος, εἰ συγκεχώρηται περιτέμνεσθαι, λέλυται ἡ φιλονεικία ἡ πρὸς ἡμᾶς· C οὐδεμία λοιπὸν ἔχθρα μένει πρὸς τὸν σταυρὸν καὶ τὸ κήρυγμα. εἰ δὲ καθ' ἑκάστην ἡμέραν φονῶσι καθ' ἡμῶν, πῶς τοῦτο ἐγκαλοῦσιν ἡμῖν; ἐμοὶ γοῦν διὰ τοῦτο ἐπέθεντο, ὅτι εἰσήνεγκα ἀκρόβυστον εἰς τὸν ναόν. ἆρ' οὖν οὕτως ἀνόητός εἰμι, φησὶν, ὡς συγκεχωρημένης περιτομῆς, εἰκῇ καὶ μάτην τοσαύτην ἀναδέξασθαι βλάβην, τοσοῦτον σκάνδαλον θεῖναι τῷ σταυρῷ; ὁρᾶτε γὰρ ὅτι δι' οὐδὲν ἡμῖν πολεμοῦσιν οὕτως, ὡς διὰ τὴν περιτομήν. οὕτως οὖν ἀνόητος ἤμην, ὡς ὑπὲρ τοῦ μηδενὸς θλίβεσθαι, καὶ σκανδαλίζειν ἑτέρους; σταυροῦ δὲ σκάνδαλον ἐκάλεσεν, ὅτι καὶ ὁ τοῦ σταυροῦ D λόγος τοῦτο ἐπέταττε· καὶ τοῦτο μάλιστα ἦν τὸ σκανδαλίζον Ἰουδαίους, καὶ κωλῦον τὸν σταυρὸν ἀναδέξασθαι, τὸ κελεύεσθαι τῶν πατρῴων ἀφίστασθαι ἐθῶν. ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. ὅρα πῶς ἐστι πικρὸς ἐνταῦθα κατὰ τῶν ἠπατηκότων; πρότερον μὲν γὰρ τὴν ἀρχὴν ἐπὶ τοὺς ἠπατημένους τὴν κατηγορίαν ἔτρεψεν, ἀνοήτους καλῶν, καὶ ἅπαξ, καὶ δεύτερον· ἐπειδὴ δὲ καλῶς αὐτοὺς ἐπαίδευσε καὶ διώρθωσε, πρὸς τοὺς ἠπατηκότας τρέπεται λοιπόν. δεῖ δὲ ὑμᾶς συνιδεῖν E καὶ ἐντεῦθεν αὐτοῦ τὴν σοφίαν, πῶς τούτους μὲν, ὡς παῖδας οἰκείους, καὶ δυναμένους λαβεῖν διόρθωσιν, νουθετεῖ καὶ σωφρονίζει· τοὺς δὲ ἠπατηκότας, ὡς ἀλλοτρίους καὶ ἀνίατα νοσοῦντας, ἐκκόπτει· τοῦτο μὲν λέγων, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ, τοῦτο δὲ ἐπαρώμενος αὐτοῖς, καὶ λέγων, ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. καὶ καλῶς εἶπεν, ἀναστατοῦντες. τὴν γὰρ οἰκείαν πατρίδα, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν συγγένειαν ἀφέντες τὴν ἄνω, τὴν ἀλλοτρίαν καὶ ξένην μεταδιώκειν ἠνάγκασαν, ἀπὸ μὲν τῆς ἄνω Ἱερουσαλὴμ καὶ τῆς ἐλευθέρας ἐκβάλλοντες, βιαζόμενοι δὲ καθάπερ αἰχμαλώτους

καὶ μετοικίσας πλανᾶσθαι. διὸ καὶ αὐτοῖς ἐπαρᾶται. ὃ A
δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδέν μοι μέλει περὶ ἐκείνων. αἱρετικὸν γὰρ ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ. εἰ βούλονται, μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ περικοπτέσθωσαν. ποῦ τοίνυν εἰσὶν
a οἱ τολμῶντες [a] ἀποκόπτειν ἑαυτοὺς, καὶ τὴν ἀρὰν ἐπισπώμενοι, καὶ τὴν τοῦ θεοῦ δημιουργίαν διαβάλλοντες, καὶ τοῖς Μανιχαίοις συμπράττοντες; ἐκεῖνοι μὲν γάρ φασι τὸ σῶμα ἐπίβουλον εἶναι, καὶ ὕλης τῆς πονηρᾶς· οὗτοι δὲ διὰ τῶν ἔργων τοῖς χαλεποῖς δόγμασι τούτοις διδόασιν ἀφορμήν. ὡς γὰρ ἐχθρὸν καὶ ἐπίβουλον ἀπο-
κόπτουσι τὸ μέλος. οὐκοῦν πολλῷ μᾶλλον τοὺς ὀφθαλ- B
μοὺς πηρῶσαι ἐχρῆν. διὰ γὰρ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν κάτεισιν ἡ ἐπιθυμία· ἀλλὰ οὔτε ὀφθαλμὸς, οὔτε τι ἄλλο μέλος αἴτιον, ἀλλ' ἡ πονηρὰ προαίρεσις μόνον. εἰ δὲ οὐκ ἀνέχῃ, διὰ τί μὴ καὶ γλῶτταν διὰ τὴν βλασφημίαν, καὶ χεῖρας διὰ τὴν ἁρπαγὴν, καὶ πόδας διὰ τοὺς ἐπὶ πονηρίαν δρόμους, καὶ πᾶν, ὡς εἰπεῖν, τὸ σῶ-
b μα κατακόπτεις; καὶ γὰρ ἀκοὴ [b] καταυλουμένη πολλάκις κατεμάλαξε τὴν ψυχὴν, καὶ ῥῖνες ὀσμὴν ἡδεῖαν δεξάμεναι κατεγοήτευσαν τὴν διάνοιαν, καὶ πρὸς ἡδονὴν ἐξε-
βάκχευσαν. οὐκοῦν πάντα περικόψωμεν, καὶ ὦτα, καὶ χεῖ- C
ρας, καὶ ῥῖνας. ἀλλ' ἐσχάτης ταῦτα παρανομίας, καὶ σατανικῆς παραπληξίας. δέον γὰρ διορθῶσαι μόνον τὴν ἄτακτον τῆς ψυχῆς ὁρμὴν, ὡς τοῦ τεχνίτου διαμαρτάνοντος, τὸ ὄργανον συντρίβειν ἀνέπεισεν ὁ πονηρὸς δαίμων καὶ φόνοις χαίρων διηνεκῶς. πῶς οὖν, τοῦ σώματος πιαινομένου, φησὶν, ἐκκαίεται ἐπιθυμία; ἰδοὺ πάλιν τὸ ἁμάρτημα τῆς ψυχῆς. τὸ γὰρ πιαίνειν τὴν σάρκα, οὐ τῆς σαρκός ἐστιν, ἀλλὰ τῆς ψυχῆς. εἰ γὰρ βούλοιτο κατατήκειν, αὐτὴ τὴν ἐξουσίαν ἅπασαν ἔχει. σὺ δὲ παραπλήσιον ποιεῖς, ὥσπερ ἂν εἴ τις ὁρῶν τινα πῦρ
καίοντα, καὶ ἐπιτιθέντα ξύλα, καὶ οἰκίαν ἐμπιπρῶντα, D
ἀφεὶς τὸν ἅψαντα τὴν πυρὰν, ἐγκαλέσειε τῇ πυρᾷ, ὅτι πολλῶν ἐπιλαβομένη ξύλων εἰς ὕψος ἤρθη· ἀλλ' οὐκ ἔστι τὸ ἔγκλημα τοῦ πυρὸς, ἀλλὰ τοῦ ἅψαντος τὸ πῦρ. τοῦτο γὰρ πρὸς τροφὴν, πρὸς φωτισμὸν, πρὸς ἄλλας τοιαύτας ἐδόθη διακονίας, οὐχ ἵνα καίῃ τὰς οἰκίας. ὥσπερ οὖν καὶ ἡ ἐπιθυμία εἰς παιδοποιΐαν καὶ βίου σύστασιν, οὐ πρὸς μοιχείαν, καὶ πορνείαν, καὶ ἀσέλγειαν· ἵνα πατὴρ γένῃ, οὐχ ἵνα μοιχός· ἵνα νομίμως ὁμιλήσῃς γυναικὶ, οὐχ ἵνα παρανόμως διαφθείρῃς· ἵνα καταλίπῃς σπέρμα, οὐχ ἵνα τὸ ἑτέρου λυμήνῃ. τὸ
γὰρ μοιχεύειν, οὐ τῆς ἐπιθυμίας ἐστὶ τῆς φυσικῆς, ἀλλὰ E
τῆς ὕβρεως τῆς παρὰ φύσιν. ἡ γὰρ ἐπιθυμία μίξιν ἐπιζητεῖ μόνον, οὐ τοιάνδε μίξιν.

Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται νῦν, ἀλλὰ προανακρουόμεθά τινας ἀγῶνας, καὶ προακροβολιζόμεθα πρὸς τοὺς λέγοντας τὴν τοῦ θεοῦ δημιουργίαν πονηρὰν εἶναι, καὶ τὴν μὲν ψυχῆς τὴν ῥᾳθυμίαν ἐῶντας, κατὰ δὲ τοῦ σώματος μαινομένους, καὶ τὴν σάρκα ἡμῶν διαβάλλοντας, περὶ ὧν καὶ μετὰ ταῦτα ὁ ἀπόστολος Παῦλος διαλέγεται, οὐ

A incertis vagari ſedibus. Quapropter illis imprecatur. Quod autem dicit, hoc eſt: Nulla eſt mihi cura de illis. Hæreticum enim, Tit. 3.
inquit, hominem poſt unam & alteram admonitionem devita. Si volunt, non ſolum circumcidantur, verum etiam exſecentur. Ubi nunc ſunt, qui ſeipſos audent evirare, ſimul & apoſtolicam imprecationem ſibi accerſentes, & Dei opificium accuſantes, & a Contra eos
Manichæis ſtantes? Nam illi quidem aiunt, qui virilia
corpus inſidioſum eſſe, malæque materiæ; amputabant.
hi vero factis ſuis, crudelibus illis opinionibus præbent anſam, dum membrum amputant velut inſidians & inimicum. Itaque mul-
B to magis oportebat excæcare oculos, per oculos enim in animam deſcendit concupiſcentia. Verum nec oculus, nec ullum aliud membrum eſt in culpa, ſed ſola prava animi affectio. Quod ſi non ſuſtines, cur non & linguam ob blaſphemias, cur non & manus ob rapinas, cur non & pedes ad malitiam currentes, denique cur non totum reſecas corpus? Nam & aures delinitæ tibia, frequenter effeminarunt animam: & nares accepto ſuavi odore impoſuerunt menti, & ad voluptatem lympharunt. Itaque exſecemus omnia, & aures, & manus, & nares. Verum hæc
C extremæ ſunt impietatis, ac ſatanici furoris. Tantum oportet corrigere inconditum mentis impetum. Iſti vero ſua reſecant membra. Ita malus dæmon perinde quaſi erraverit opifex, perſuaſit ut inſtrumenta perderent, ſemper gaudens cædibus. Quî fit igitur, dicet aliquis, ut ſaginato corpore efferveſcat concupiſcentia? Ecce rurſus eſt animi delictum. Nam ſaginare carnem, non eſt carnis, ſed animi. Nam ſi vellet extenuare, habet idem omnem poteſtatem. At tu perinde facis, quaſi ſi quis videns aliquem accendentem ignem, ac lignis impoſitis domum incendere, omiſſo eo qui fecit incen-
D dium, flammam accuſet, quæ correptis multis lignis in altum ſe ſuſtulerit. Atqui culpa non eſt ignis, ſed ejus qui ignem accendit. Hic enim ad parandos cibos, ad præbenbam lucem, adque alia id genus miniſteria datus eſt, non ad conflagrationem ædium. Quemadmodum & concupiſcentia ad liberorum procreationem vitæque conſervationem data eſt, non ad adulterium, ſcortationes ac laſcivias; ut pater fieres, non ut adulter: ut legitime verſeris cum uxore, non ut contra fas eam corrumpas: ut relinquas tuum ſemen, non ut alienum
E vities. Siquidem adulterium non eſt naturalis appetitus, ſed contumeliæ præter naturam. Siquidem appetitus ille tantum deſiderat mixturam, non talem mixturam.

4. Hæc autem mihi non temere dicta nunc ſunt, ſed præludimus ad diſputationes quaſdam, ac ceu velitamur in eos qui dicunt Dei opificium eſſe malum: omiſſa animæ ſocordia adverſus corpus inſanientes, carnemque noſtram calumniantes, de quibus & Paulus deinceps diſſerit, non carmemini.

a ἀποκόπτειν ἑαυτοὺς; hic videtur dicere eos qui virilia amputabant, Manichæos imitari. At de Manichæis id me nuſpiam legere memini.

b καταυλουμένη. Savil. in marg. καταυλιζομένη.

nem incusans, sed diabolicas cogitationes. 13. *Vos autem, fratres, in libertate vocati estis, tantum ne libertatem in occasionem carni.* Hic jam videtur exspatiari in sermonem moralem. Accidit autem illi quiddam novum quodque in nulla cæterarum epistolarum accidit. Cum enim omnes in duas partes solitus sit partiri, sic ut primum de dogmatibus, in fine de moribus disserat: hic posteaquam incidit in sermonem de moribus, rursum admiscet disputationem de dogmatibus. Nam hic sermo vicissim hæret illi in pugna adversus Manichæos. Sed quid est, *Tantum ne libertatem in occasionem carni?* Liberavit, inquit, nos Christus a jugo servitutis, liberum nobis esse voluit facere quidquid volumus, non ut hac potestate ad malitiam abutamur, sed ut majoris præmii sumamus occasionem, ad altiorem philosophiam progressi. Posteaquam enim passim legem appellat jugum servitutis, & gratiam liberationem a maledicto: ne quis suspicaretur ipsum ideo revocare homines a lege, quod liceret exlegem agere vitam, corrigit eam suspicionem, dicens, Non ut illegitima fiat vitæ ratio, sed ut legem transcendat philosophia. Soluta sunt enim legis vincula: atque hæc ego dico, non ut dejiciamur, sed ut erigamur ad altiora. Etenim tam is qui scortatur, quam is qui in virginitate perseverat, legis terminos excessit: verum non eodem modo, sed hic quidem in deteriora prolapsus, ille vero ad meliora provectus, sic ut alter prætergressus sit legem, alter supergressus. Hoc itaque dicit Paulus, Christus jugum vobis relaxavit, non ut exiliatis, aut calcitretis, sed ut absque jugo composite incedatis. Post hæc ostendit modum, quo hæc facile queant corrigi. Quis igitur modus? *Per caritatem*, inquit, *invicem vobis servite.* Rursus hic subindicacat ambitionem, seditionem, dominandi studium, & insolentiam hujus erroris illis fuisse causam: quippe hæreseon mater est principatus cupiditas. Etenim cum dicit, Servite vobis invicem, ostendit hoc mali ex arrogantia fastuque cepisse exordium. Ideoque malo congruens admovet remedium: Quoniam, inquit, dum alius alii vultis dominari, dissecti fuistis, servite vobis invicem: sic enim denuo in unum redigemini. At peccatum quidem non explicat aperte, sed aperte refert emendationis modum, ut hinc etiam illud cognoscerent, perinde ac si quis lascivienti non dicat quidem quod lasciviat, tamen frequenter hortetur ad pudicitiam. Nam qui proximum sicut oportet diligit, non gravatur illi servire submissius quam quisquam servus. Quemadmodum enim ignis admotus ceræ, facile mollit eam: sic & amoris calor omnem fastum & arrogantiam vehementius quam ignis solvit. Ideo non simpliciter dixit, Diligite invicem, sed servite, intensam ac vehementem declarans amicitem. Etenim cum legis jugum detraxisset, ne subsilirent, aliud illis imponit jugum, nimirum

A τῆς σαρκὸς καθηγορῶν, ἀλλὰ τῶν διαβολικῶν λογισμῶν. ὑμεῖς δὲ, ἀδελφοὶ, ἐπ' ἐλευθερίᾳ ἐκλήθητε· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί. ἐνταῦθα λοιπὸν δοκεῖ μὲν εἰς τὸν ἠθικὸν ἐμβαίνειν λόγον, πάσχει δέ τι καινὸν, καὶ ὅπερ οὐδὲ ἐν μιᾷ τῶν ἄλλων ἔπαθεν ἐπιστολῶν. πάσας γὰρ διαλαμβάνων εἰς μέρη δύο, καὶ τὰ μὲν πρῶτα περὶ δογμάτων, τὰ δὲ ἔσχατα περὶ βίου διαλεγόμενος, ἐνταῦθα εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, πάλιν ἀναμίγνυσι τὸν δογματικόν. καὶ γὰρ ἔστιν ἐκείνου πάλιν ἐχόμενα ἐν τῇ πρὸς

B Μανιχαίους μάχῃ. τί δέ ἐστι, μόνον μὴ τὴν ἐλευθερίαν τῇ σαρκὶ εἰς ἀφορμήν; ἀπήλλαξεν ἡμᾶς, φησὶν, ὁ Χριστὸς τοῦ ζυγοῦ τῆς δουλείας, κυρίους ἀφῆκε τοῦ πράττειν ὅ τι βουλόμεθα, οὐχ ἵνα τῇ ἐξουσίᾳ πρὸς κακίαν χρησώμεθα, ἀλλ' ἵνα μείζονος λάβωμεν μισθοῦ πρόφασιν, ἐπὶ φιλοσοφίαν μείζονα ἀνιόντες. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ζυγὸν δουλείας καλεῖ τὸν νόμον, καὶ τὴν χάριν κατάρας ἀπαλλαγὴν, ἵνα μή τις ὑποπτεύσῃ, ὅτι διὰ τοῦτο κελεύει τοῦ νόμου ἀποστῆναι, ἵνα ἐξῇ παρανόμως ζῆν, διορθοῦται τὴν ὑπόνοιαν λέγων, οὐχ ἵνα παράνομος γένηται ἡ πο-

C λιτεία, ἀλλ' ἵνα ὑπὲρ τὸν νόμον ἡ φιλοσοφία. ἐλύθη γὰρ τοῦ νόμου τὰ δεσμά· καὶ ἐγὼ ταῦτα λέγω, οὐχ ἵνα ταπεινότεροι, ἀλλ' ἵνα ὑψηλότεροι γενώμεθα. καὶ γὰρ ὁ πορνεύων, καὶ ὁ παρθενεύων, ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν, ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς· ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθεὶς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς· ὁ μὲν παραβὰς, ὁ δὲ ὑπερβὰς τὸν νόμον. τοῦτ' οὖν φησιν ὁ Παῦλος, ὅτι ἔλυσε τὸν ζυγὸν ἀφ' ὑμῶν, οὐχ ἵνα σκιρτήσητε, οὐδ' ἵνα λακτίσητε, ἀλλ' ἵνα χωρὶς ζυγοῦ βαδίζητε εὔρυθμα. εἶτα καὶ δείκνυσι τρόπον, δι' οὗ ῥᾳδίως ἂν τὸ τοιοῦτον

D κατορθωθείη. τίς οὖν ὁ τρόπος; διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις, φησί. πάλιν ἐνταῦθα αἰνίττεται ὅτι φιλονεικία, καὶ στάσις, καὶ φιλαρχία, καὶ ἀπόνοια, ταύτης τῆς πλάνης αἴτιαι αὐτοῖς ἐγένοντο. ἡ γὰρ τῶν αἱρέσεων μήτηρ, ἡ τῆς φιλαρχίας ἐστὶν ἐπιθυμία. εἰπὼν γὰρ, ὅτι δουλεύετε ἀλλήλοις, ἔδειξεν ὅτι ἐξ ἀπονοίας καὶ τύφου τοῦτο ἔλαβεν ἀρχὴν τὸ κακόν· διὸ κατάλληλον ἐπεισάγει φάρμακον. ἐπειδὴ γὰρ ἀλλήλων ἄρχειν βουλόμενοι διεσχίσθητε, δουλεύσατε ἀλλήλοις· οὕτω γὰρ συναχθήσεσθε πάλιν. ἀλλὰ

E φανερῶς μὲν οὐ λέγει τὸ ἁμάρτημα, φανερῶς δὲ τίθησι τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς κἀκεῖνο μάθωσιν· ὡς ἂν εἴ τις τῷ ἀσελγαίνοντι, ὅτι μὲν ἀσελγαίνει μὴ λέγῃ, παραινοῖ δὲ συνεχῶς σωφρονεῖν. ὁ γὰρ ἀγαπῶν, ὡς χρὴ, τὸν πλησίον, οὐ παραιτεῖται δουλεύειν αὐτῷ πάντων δούλων ταπεινότερον. καθάπερ γὰρ πῦρ ὁμιλῆσαν κηρῷ, μαλάσσει ῥᾳδίως αὐτὸν, οὕτω καὶ ἡ τῆς ἀγάπης θερμότης πάντα τύφον καὶ ἀπόνοιαν πυρὸς σφοδρότερον διαλύει. διὰ τοῦτο οὐκ εἶπεν, ἀγαπᾶτε ἀλλήλους, ἁπλῶς, ἀλλὰ, δουλεύετε, τὴν ἐπιτεταμένην δηλῶν φιλίαν. ἐπειδὴ γὰρ τοῦ νόμου τὸν ζυγὸν ἀνεῖλεν, ἵνα μὴ ἀποσκιρτήσωσιν, ἕτερον αὐτοῖς ἐπιτίθησι ζυγὸν τὸν τῆς ἀγά-

πης, ἰσχυρότερον μὲν ἐκείνου, κουφότερον δὲ καὶ ἡδίω πολλῷ. εἶτα δεικνὺς αὐτοῦ τὸ κατόρθωμα, φησίν· ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου, ὡς ἑαυτόν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τὸν νόμον ἔστρεφον, εἰ βούλει αὐτόν, φησί, πληροῦν, μὴ περιτέμνου· οὐ γὰρ ἐν τῇ περιτομῇ, ἀλλ' ἐν τῇ ἀγάπῃ πληροῦται. ὅρα τῆς ὀδύνης πῶς οὐκ ἐπιλανθάνεται τῆς ἑαυτοῦ, ἀλλὰ τὸ πονοῦν κινεῖ συνεχῶς, καὶ εἰς τὸν ἠθικὸν ἐξελθὼν λόγον. εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. οὐκ ἀποφαίνεται, ἵνα μὴ βαρήσῃ, ἀλλ' οἶδε μὲν αὐτὸ γινόμενον, λέγει δὲ αὐτὸ μετὰ ἀμφιβολίας. οὐ γὰρ εἶπεν, ἐπειδὴ ἀλλήλους δάκνετε, καὶ τὸ ἑξῆς ὁμοίως. οὐδὲ γὰρ ἐκεῖ πάλιν ἀπεφήνατο, ὅτι ὑπ' ἀλλήλων ἀναλωθῆτε, ὅπερ ἐστὶ φοβοῦντος καὶ ἀσφαλιζομένου, οὐ καταδικάζοντος. καὶ ταῖς λέξεσι δὲ ἐμφαντικῶς ἐχρήσατο. οὐ γὰρ εἶπε, δάκνετε, μόνον, ὅπερ ἐστὶ θυμουμένου, ἀλλὰ καὶ κατεσθίετε, ὅπερ ἐστὶν ἐμμένοντος τῇ πονηρίᾳ. ὁ μὲν γὰρ δάκνων, ὀργῆς ἐπλήρωσε πάθος· ὁ δὲ κατεσθίων, θηριωδίας ἐσχάτης παρέσχεν ἀπόδειξιν. δήγματα δὲ καὶ βρώσεις, οὐ τὰς σωματικάς φησιν, ἀλλὰ τὰς πολὺ χαλεπωτέρας. οὐ γὰρ οὕτως ὁ ἀνθρωπίνης ἀπογευσάμενος σαρκὸς ἔβλαψεν, ὡς ὁ δήγματα εἰς τὴν ψυχὴν πηγνύς. ὅσον γὰρ ψυχὴ τιμιωτέρα σώματος, τοσοῦτον χαλεπωτέρα ἡ ταύτης βλάβη. βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. ἐπειδὴ γὰρ οἱ ἀδικοῦντες, καὶ ἐπιβουλεύοντες, ὡς ἄλλους ἀναλίσκοντες, ἐπὶ τοῦτο ἔρχονται· διὰ τοῦτό φησι, σκοπεῖτε μὴ εἰς ὑμᾶς τὸ πρᾶγμα περιτραπῇ. ἡ γὰρ διάστασις καὶ ἡ μάχη, φθοροποιὸν καὶ ἀναλωτικὸν καὶ τῶν δεχομένων αὐτήν, καὶ τῶν εἰσαγόντων, καὶ σητὸς μᾶλλον ἅπαντα διατρώγει. λέγω δὲ πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

Ἰδοὺ καὶ ἑτέραν δείκνυσιν ὁδὸν εὔκολον ποιοῦσαν τὴν ἀρετήν, καὶ κατορθοῦσαν τὰ εἰρημένα, ὁδὸν τίκτουσαν ἀγάπην, καὶ σφιγγομένην ὑπὸ τῆς ἀγάπης. οὐδὲν γάρ, οὐδὲν οὕτως ἀγαπητικοὺς ποιεῖ, ὡς τὸ πνευματικοὺς εἶναι· καὶ οὐδὲν οὕτω πείθει παραμένειν ἡμῖν τὸ πνεῦμα, ὡς ἡ τῆς ἀγάπης ἰσχύς. διό φησι, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἐπειδὴ γὰρ εἶπε τὸ ποιοῦν τὴν νόσον, λέγει καὶ τὸ τὴν ὑγείαν χαριζόμενον φάρμακον. ποῖον δὲ τοῦτό ἐστι, καὶ τίς ἡ δύναμις τῶν εἰρημένων καλῶν, ἢ τὸ πνεύματι ζῆν; διό φησι· πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μή, ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. ἐνταῦθα δὲ ἐπιτίθενταί τινες λέγοντες, ὅτι διεῖλεν εἰς δύο τὸν ἄνθρωπον ὁ ἀπόστολος, ὥσπερ ἐξ ἐναντίας οὐσίας κατεσκευασμένον εἰσάγων, καὶ μάχην τῷ σώματι πρὸς τὴν ψυχὴν δεικνὺς οὖσαν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. σάρκα γὰρ ἐνταῦθα, οὐ τὸ σῶμα καλεῖ. εἰ γὰρ τοῦτο

caritatis, illo quidem validius, sed multo levius, ac jucundius. Deinde quid boni præstet caritas, ostendit dicens: 14. *Tota enim lex in uno verbo impletur, videlicet in hoc, Diliges proximum tuum ut teipsum.* (Levit. 19. Matt. 22.) Quoniam legem susque deque versabant, si vis, inquit, illam implere, ne circumcidaris. Non enim circumcisione, sed dilectione impletur. Vide ut doloris sui non obliviscitur, sed id quod dolet, identidem attingit, etiam egressus in moralem sermonem. 15. *Quod si invicem mordetis & comeditis, videte ne a vobis invicem consumamini.* Non pronunciat, ne gravet illos, noverat tamen id fieri: verum hoc ambigue profert. Non enim dixit, quoniam vos invicem mordetis, & quod sequitur consimili modo. Nec enim illic rursum pronuntiat, ne a vobis invicem consumamini. Qui sermo est metuentis & consulentis ut caveant, non condemnantis. Ac dictionibus per emphasim est usus. Non enim tantum dixit, mordetis, quod sane est commoti: sed addidit & comeditis, quod est in malitia perseverantis. Nam qui mordet quod appetebat, iram explevit: cæterum qui devorat, extremæ feritatis & immanitatis specimen dedit. Morsus autem ac devorationes non corporales dicit, sed eas quæ sunt his multo crudeliores. Non enim qui carnem gustavit humanam, tantum mali dedit, quantum is qui morsum fixit in animum. Siquidem quanto corpore præstantior est anima, tanto gravius est hanc læsisse. *Videte*, inquit, *ne a vobis invicem consumamini.* Quoniam qui lædunt & insidiantur velut alios consumturi, hoc animo veniunt: ideo dicit, Videte ne res in vos revolvatur. Nam seditio & contentio corruptionem & consumtionem adfert, tum iis qui recipiunt ea, tum iis qui invehunt, ac magis exedet omnia quam tinea. 16. *Dico autem, spiritu ambulate, & concupiscentiam carnis non perficietis.*

5. Ecce alteram indicat viam, quæ virtutem reddit facilem, ac præstat ea quæ dicta sunt, viam quæ gignit caritatem, quæque stricta redditur a caritate. (Via facilis ad virtutem.) Nihil enim, nihil inquam, sic caritatem inserit nobis, ut si simus spirituales, nec alia res æque persuadet spiritui, ut apud nos maneat, atque vis caritatis. Ideoque dicit: *Spiritu ambulate, & carnis concupiscentiam non perficietis.* Quoniam expresserat, quæ res gigneret morbum, & remedium aperit quod adfert sanitatem. Quod autem est illud, & quæ vis est tam recte dictorum, quam vivere spiritu? Ideo dicit, *Spiritu ambulate, & desideria carnis ne perficiatis*: 17. *Caro enim concupiscit adversus spiritum, spiritus autem adversus carnem: hæc enim sibi invicem adversantur, ut non quæcumque volueritis, ea faciatis.* Hic quidam adoriuntur nos dicentes, quod apostolus hominem in duo dissecuerit, inducens eum velut ex contrariis naturis compositum, dum ostendit pugnam esse corpori adversus animam. Verum hæc non ita se habent; non ita se habent, inquam. Neque enim hic carnem appellat corpus. Alioqui si hoc sen-

tiret, quomodo consentaneum sit quod mox dicitur, Concupiscit enim, inquiens, adversus spiritum? Atqui corpus non est de eorum numero quæ movent, sed quæ moventur: non de eorum numero quæ agunt, sed de eorum quæ aguntur. Quomodo igitur
*Psal.* 85. & 118. concupiscit, quandoquidem concupiscentia non carnis est, sed animi? Siquidem alibi
*Ibid.* 41. dicit, Concupiscit anima mea. Et, Quid desiderat anima tua? & faciam tibi. Et, ne ambules secundum desiderium animæ tuæ. Ac rursus, Sic desiderat anima mea. Quomodo igitur Paulus dicit, Caro concupiscit adversus spiritum? Solet appellare carnem, non corporis naturam, sed pravam volun-
*Rom.* 8. tatem: veluti cum dicit, Vos non estis in
*Ibidem.* carne, sed in spiritu. Et rursum, Qui vero in carne sunt, Deo placere non possunt. Quid igitur? Tollenda est caro? Ipse vero qui hæc dicebat, annon carne circumdatus erat? Non carnis sunt ista, sed diaboli dogmata. Ille enim homicida erat ab initio.
*Joan.* 8. Quid igitur dicit? Carnem hic appellat cogitationem terrestrem, socordem & ignavam. Hæc enim non corporis est accusatio, sed animæ negligentis crimen: siquidem hujus instrumentum est caro. Instrumentum autem nullus aversatur oditve, sed eum potius qui organum male tractat. Neque enim ferrum, sed homicidam & odimus & punimus. Atqui dixerit aliquis, hoc ipsum est accusare corpus, animi peccata carnis appellare vocabulo. Ego vero fateor quidem anima inferiorem esse carnem, & hanc quoque pulcram esse: quod enim pulcro inferius est, ipsum quoque bonum est. Malum autem non est minus bono, sed contrarium. At tu si demonstrare potes malitiam e corpore proficisci, accusa carnem. Quod si ex appellatione conaris struere calumniam, tempus tibi est ut simul accuses & animam: quandoquidem & animalis homo dicitur, qui veritate privatus est. Et spiritus malitiæ dicuntur dæmonum multitudo. Rursus car-
*Coloss.* 1. nis vocabulo scriptura solet appellare mysteria, totam ecclesiam dicens Christi esse corpus. Quod si vis etiam officia cernere quæ per carnem præstantur, imaginare sensus exstinctos esse, & videbis animam omni cognitione destitutam, neque quidquam eorum quæ nunc novit, nosse. Etenim si potentia Dei dum ex opificio mundi per res conditas intelligitur, conspiciatur, quomodo videre poterimus absque oculis? & si fides ex audi-
*Rom.* 10. tu est, quomodo sine auribus audiemus? Prædicare vero & circumcursare, linguæ pedumque constat adminiculo. Quomodo enim, inquit, prædicabunt, nisi mittantur?
*Ibidem.* Et scribendi munus peragitur manibus. Vides ut innumerabilium causa bonorum est carnis ministerium? Cæterum cum dicit, Caro concupiscit adversus spiritum, de duplici loquitur cognitione, quarum altera alteri adversatur, videlicet virtutis & malitiæ, non de anima & corpore. Nam si hæc sibi invicem adversarentur, se ipsa tollerent, non aliter quam ignem aqua, tenebræ lucem. Sin corporis curam agit anima, multaque soli-

A φησι, πῶς ἔχει λόγον τὸ ἑξῆς εἰρημένον; ἐπιθυμεῖ γάρ, φησι, κατὰ τοῦ πνεύματος. καὶ μὴν τοῦτο οὐ τῶν κινούντων, ἀλλὰ τῶν κινουμένων ἐστὶν, οὐ τῶν ἐνεργούντων, ἀλλὰ τῶν ἐνεργουμένων. πῶς οὖν ἐπιθυμεῖ; ἡ γὰρ ἐπιθυμία οὐ σαρκὸς, ἀλλὰ ψυχῆς. καὶ γὰρ ἀλλαχοῦ φησι, καταπεπόθηκεν ἡ ψυχή μου. καὶ, τί ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ ποιήσω σοι; καὶ, μὴ πορεύου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου. καὶ πάλιν, οὕτως ἐπιποθεῖ ἡ ψυχή
B μου. πῶς οὖν Παῦλός φησιν, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος; οἶδε σάρκα καλεῖν, οὐ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ τὴν πονηρὰν προαίρεσιν, ὡς ὅταν λέγῃ, ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. καὶ πάλιν, οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. τί οὖν, ἀνελεῖν δεῖ τὴν σάρκα; αὐτὸς δὲ ὁ ταῦτα λέγων, οὐ σάρκα περιέκειτο; οὐ τῆς σαρκὸς, ἀλλὰ τοῦ διαβόλου ταῦτα τὰ δόγματα. ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. τί οὖν φησι; σάρκα ἐνταῦθα τὸν λογισμὸν καλεῖ τὸν γεώδη, τὸν ῥάθυμον καὶ ἠμελημένον. τοῦτο δὲ οὐ σώματος κατηγορία, ἀλ-
C λὰ ῥαθύμου ψυχῆς ἔγκλημα. ὄργανον γάρ ἐστιν ἡ σάρξ, τὸ δὲ ὄργανον οὐδεὶς ἀποστρέφεται καὶ μισεῖ, ἀλλὰ τὸ τὸν ὄργανον κακῶς μεταχειριζόμενον. καὶ γὰρ οὐ τὸν σίδηρον, ἀλλὰ τὸν ἀνδροφόνον καὶ μισοῦμεν, καὶ κολάζομεν. ἀλλὰ καὶ αὐτὸ τοῦτό, φησι, κατηγορία τοῦ σώματος, τὸ τὰ ἁμαρτήματα τῆς ψυχῆς τῷ τῆς σαρκὸς ὀνόματι καλεῖσθαι. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐλάττονα εἶναι τῆς ψυχῆς τὴν σάρκα, καὶ αὐτὴν δὲ καλήν. τὸ γὰρ ἔλαττον τοῦ καλοῦ, καὶ αὐτὸ καλόν· τὸ δὲ κακὸν, οὐκ ἔλαττον τοῦ καλοῦ, ἀλλ' ἐναντίον. σὺ δὲ, εἴ μοι ἔχεις δεῖξαι ἀπὸ τοῦ σώματος κατασκευαζομένην τὴν κακίαν, κατηγόρει τῆς σαρ-
D κός· εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὥρα σε καὶ τῆς ψυχῆς κατηγορεῖν. καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται, ὁ τῆς ἀληθείας ἐστερημένος, καὶ πνεύματα πονηρίας λέγεται, τὰ τῶν δαιμόνων πλήθη. τῷ δὲ τῆς σαρκὸς ὀνόματι πάλιν καὶ τὰ μυστήρια καλεῖν εἴωθεν ἡ γραφὴ, καὶ τὴν ἐκκλησίαν ἅπασαν, σῶμα λέγουσα εἶναι τοῦ Χριστοῦ. εἰ δὲ βούλει καὶ κατορθώματα καλεῖν τὰ δι' αὐτῆς γινόμενα, σβέσον τῷ λόγῳ τὰς αἰσθήσεις, καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης, καὶ οὐδὲν εἰδυῖαν ὧν οἶδεν. εἰ γὰρ ἡ δύναμις τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιή-
E μασι νοουμένη καθορᾶται, πῶς ἂν ἴδοιμεν χωρὶς ὀφθαλμῶν; εἰ δὲ καὶ ἡ πίστις ἐξ ἀκοῆς, πῶς ἀκουσόμεθα χωρὶς ὤτων; καὶ τὸ κηρύξαι δὲ καὶ τὸ περιελθεῖν, διὰ γλώττης καὶ ποδῶν. πῶς γὰρ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καὶ τὸ γράψαι, διὰ χειρῶν. ὁρᾷς ὅτι μυρίων ἡμῖν ἀγαθῶν ἐστιν αἰτία τῆς σαρκὸς ἡ διακονία; εἰ δὲ λέγει, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, περὶ δύο φησὶ λογισμῶν. οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται, ἡ ἀρετὴ, καὶ ἡ κακία, οὐχ ἡ ψυχὴ, καὶ τὸ σῶμα. εἰ γὰρ ταῦτα ἀντίκειται, ἀλλήλων ἐστὶν ἀναιρετικὰ, ὡς τὸ πῦρ τοῦ ὕδατος, ὡς τὸ σκότος τοῦ φωτός. εἰ δὲ ἐπιμελεῖται σώματος ψυχὴ, καὶ

καὶ πολλὴν αὐτοῦ ποιεῖ πρόνοιαν, καὶ μυρία πάσχει, ὥστε αὐτὸ μὴ καταλιπεῖν, καὶ ἀπορρηγνυμένη κωλύει, καὶ τὸ σῶμα αὐτῇ διακονεῖται, καὶ πολλὴν εἰσάγει γνῶσιν αὐτῇ, καὶ πρὸς τὴν ἐκείνης ἐνέργειαν τοῦτο κατεσκεύασται, πῶς ἂν ἐναντία ταῦτα εἴη καὶ μαχόμενα ἀλλήλοις; ἐγὼ οὐ μόνον οὐκ ἐναντία, ἀλλὰ καὶ σφόδρα ὁμονοοῦντα, καὶ ἀλλήλων ἀντεχόμενα διὰ τῶν ἔργων ὁρῶ. οὐ τοίνυν περὶ τούτων φησὶν, ὅτι ἀντίκειται ἀλλήλοις, ἀλλὰ λογισμῶν πονηρῶν, καὶ ἀγαθῶν μάχην εἰσάγει. τὸ γὰρ θέλειν, καὶ μὴ θέλειν, τῆς ψυχῆς. διὰ τοῦτό φησι, Ταῦτα δὲ ἀντίκειται, ἵνα μὴ συγχωρῇς τῇ ψυχῇ πορεύεσθαι ἐν ταῖς ἐπιθυμίαις αὐτῆς ταῖς πονηραῖς. καθάπερ γάρ τις παιδαγωγὸς καὶ διδάσκαλος φοβῶν, ταῦτα ἐφθέγξατο. Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

Ποία αὕτη ἀκολουθία; μεγίστη μὲν καὶ σαφής. ὁ γὰρ πνεῦμα ἔχων, ὡς χρὴ, σβέννυσι διὰ τούτου πονηρὰν ἐπιθυμίαν ἅπασαν. ὁ δὲ τούτων ἀπαλλαγεὶς, οὐ δεῖται τῆς ἀπὸ τοῦ νόμου βοηθείας, ὑψηλότερος πολλῷ τῆς ἐκείνου παραγγελίας γενόμενος. ὁ γὰρ μὴ ὀργιζόμενος, πῶς δεῖται ἀκούειν, οὐ φονεύσεις; ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, πῶς χρήζει τοῦ παιδεύοντος μὴ μοιχεύειν; τίς γὰρ διαλέγεται περὶ τοῦ καρποῦ τῆς κακίας τῷ τὴν ῥίζαν αὐτὴν ἀνασπάσαντι; ῥίζα γὰρ φόνου θυμὸς, καὶ μοιχείας ἡ περίεργος θεωρία τῶν ὄψεων. διὰ τοῦτό φησιν, Εἰ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐγκώμιον τοῦ νόμου εἰρηκέναι μέγα καὶ θαυμαστόν. εἰ δὲ ἐν τάξει τοῦ πνεύματος ὁ νόμος ἦν κατὰ δύναμιν τὴν ἑαυτοῦ πρὸ τοῦ πνεύματος ἐπιφοιτήσεως, οὐ μὴν διὰ τοῦτο ἐναπομένειν χρὴ τῷ παιδαγωγῷ. τότε μὲν εἰκότως ὑπὸ νόμον ἦμεν, ἵνα τῷ δέει κολάζωμεν τὰς ἐπιθυμίας, οὔπω τοῦ πνεύματος φανέντος· νῦν δὲ τῆς χάριτος δεδομένης τῆς οὐ κελευούσης μόνον αὐτῶν ἀπέχεσθαι, ἀλλὰ καὶ μαραινούσης αὐτὰς, καὶ πρὸς μείζονα πολιτείαν ἀναγούσης, τίς χρεία νόμου; τῷ γὰρ οἴκοθεν κατορθοῦντι τὰ μείζω, ποῦ χρεία παιδαγωγοῦ; οὐδὲ γὰρ γραμματιστοῦ τις δεῖται φιλόσοφος ὤν. τί τοίνυν ἑαυτοὺς ἐξευτελίζετε, τῷ πνεύματι πρότερον ἑαυτοὺς ἐκδόντες, καὶ νῦν προσκαθήμενοι τῷ νόμῳ; φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, φαρμακεία, εἰδωλολατρεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς προεῖπον, ὅτι τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ἐνταῦθα λοιπὸν ὁ τῆς σαρκός σου κατηγορῶν, εἰπέ μοι, καὶ νομίζων ὡς περὶ ἔχθρας καὶ πολεμίας ταῦτα εἰρῆσθαι· ἔστω γὰρ ἡ μοιχεία καὶ ἡ πορνεία τῆς σαρκὸς καθ᾽ ὑμᾶς, αἱ ἔχθραι, καὶ αἱ ἔρεις, καὶ οἱ ζῆλοι, καὶ αἱ ἐριθεῖαι, καὶ αἱ αἱρέσεις, καὶ αἱ φαρμακεῖαι· προαιρέσεως γὰρ ταῦτα διεφθαρμένης μόνον, ὥσπερ οὖν καὶ τὰ ἄλλα·

A citudine illi prospicit, innumeraque patitur ne deserat illud: cum vi abrumpitur, obsistit; ac vicissim corpus animæ subservit; multarumque rerum ipsi cognitionem adfert & ad illius operationem compositum est: qui possunt hæc esse contraria, & inter sese pugnantia? Nam ego non solum non contraria, verumetiam magnopere concordantia, seque vicissim tuentia video ex ipsis factis. Non igitur de his loquitur, quod sibi invicem adversentur, sed malarum ac bonarum cogitationum pugnam proponit. Velle enim & non velle animæ est. Ideo dicit; Hæc autem sibi adversantur, ne sineres animam pergere in suis pravis affectibus. B Siquidem hæc loquutus est apostolus ceu pædagogus quispiam ac præceptor terrorem incutiens. 18. *Quod si spiritu ducimini, non estis sub lege.*

6. Quænam est hæc consequentia? Maxima quidem & evidens. Etenim qui spiritum, ut oportet, habet: per hunc exstinguit omnem pravam concupiscentiam. Porro qui liberatus est ab iis, non eget legis auxilio, sed multo factus est præceptis illis sublimior. Nam qui non irascitur, quid opus habet ut audiat, Non occides? qui non intuetur intemperantibus oculis, quid opus C habet eo qui doceat non esse mœchandum? Quis enim illi verba facit de fructu malitiæ, qui radicem malitiæ jam evulsit? Radix enim homicidii, ira: & adulterii radix, curiosus oculorum obtutus. Eapropter dicit: Si spiritu ducimini, non estis sub lege. Hic autem mihi videtur magnas etiam & admirandas legis laudes retulisse. Quod si loco spiritus lex erat secundum vires suas, priusquam spiritus adveniret, non tamen ideo oportet in pædagogo manere. Tunc quidem merito sub lege eramus, ut metu castigaremus concupiscentias, cum nondum spiritus advenisset. Nunc vero posteaquam data est D gratia, quæ non solum jubet ab illis abstinere, verum & illas marcidas reddens, ad altiora provehit, & ad perfectiorem vitæ rationem adducit, quid opus est lege? Etenim qui ex sese in magnis suo fungitur officio, huic quid opus pædagogo? Neque enim qui philosophus est, opus habet Grammatico. Cur igitur vos ipsos redditis viliores? Cum prius vos exhibueritis spiritui, nunc assidetis legi. 19. *Manifesta autem sunt opera carnis, quæ sunt, fornicatio, adulterium, immundities, lascivia,* 20. *veneficium, simulacrorum cultus,* E *inimicitiæ, contentio, æmulationes, iræ, concertationes, seditiones, hæreses,* 21. *invidiæ, cædes, ebrietates, comessationes, & iis similia, quæ prædico vobis, quemadmodum & prædixi, quod qui talia faciunt, non erunt heredes regni Dei.* Hic jam mihi dicito tu qui carnis accusator es, & arbitraris hæc ob simultatem & discordiam esse dicta. Sit adulterium, & scortatio carnis, secundum vestram opinionem: inimicitiæ, contentio, æmulationes, concertationes, hæreses, & veneficia. Nam hæc tantummodo sunt corruptæ voluntatis, nimirum ut cætera: quomodo igitur

erunt carnis? Vides igitur, quod hic non loquitur de carne; sed de terrestri cogitatione quæ humi serpit? ideo terrorem ingerit, dicens, Qui talia faciunt, regni Dei non erunt heredes. Quod si hæc essent naturæ malæ, non voluntatis pravæ, superflue dixisset, faciunt: sed, patiuntur. Cur etiam a regno cælorum excidunt? Neque enim ad ea quæ sunt naturæ, sed ad ea quæ sunt voluntatis, pertinent vel coronæ vel supplicia. Quapropter etiam hæc minatur Paulus. 22. *Fructus autem spiritus, caritas, gaudium, pax.* Non dixit, opus spiritus: sed, fructus. Num igitur anima supervacanea est? Nam si de carne & spiritu verba fiunt, ubi anima? Num de inanimis loquitur? Siquidem ubi quæ mala sunt, carnis sunt: quæ bona, spiritus: supervacanea est anima. Nequaquam. Nam hujus est temperatura affectuum, & ad hanc pertinet. Ipsa in medio sita inter virtutem & vitium, si ad id quod oportet utitur corpore, reddit illud spirituale: sin recedit a spiritu, si seipsam præbet malis cupiditatibus, reddit illud magis terrenum. Vides eum non loqui de substantia carnis, sed de mala & non mala voluntate. Cur autem vocat fructum spiritus? Quoniam mala opera ex nobis solis oriuntur, unde & opera vocat. Bona vero non tantum egent nostra cura, verum opus habent divina benignitate. Deinde hæc narraturus prius radicem bonorum proponit, ita dicens: *Caritas, gaudium, pax, lenitas, benignitas, bonitas, fides, mansuetudo, temperantia.* 23. *Adversus res hujusmodi non est lex.* Quid enim aliquis præcipiat illi qui omnia in se habeat, etiam perfectam philosophiæ magistram caritatem? Quemadmodum enim equi freno morigeri, omniaque ex sese facientes, non opus habent scutica: sic & anima quæ impulsu spiritus recta facit, non eget admonitrice lege. Cæterum hîc quoque legem valde mirabiliter dejecit, non ut malam, sed ut inferiorem philosophia, quam dat spiritus. 24. *Qui vero sunt Christi, carnem crucifixerunt cum vitiis & concupiscentiis.* Etenim ne dicerent, & quis est istiusmodi? ex factis ostendit qui sint qui talia præstant, rursus hîc carnem appellans malefacta. Non enim sane carnem sustulerant; alioqui quomodo viverent? Nam quod crucifixum est, mortuum est & inefficax: sed perfectam indicat philosophiam. Siquidem concupiscentiæ etsi obturbant, incassum furunt. Quoniam igitur tanta vis est spiritus, illi vivamus, illo contenti simus. Et hoc declarans subdit: 25. *Vivamus ergo spiritu, spiritu & ambulemus;* secundum illius leges vitam instituentes, hoc enim significat, illud, *ambulemus*, hoc est, contenti simus spiritus vi, neque requiramus legis accessionem. Mox osten-

A πῶς ἂν εἶεν σαρκός; ὁρᾷς ὅτι οὐ φησὶ τὴν σάρκα ἐνταῦθα, ἀλλὰ τὸν γεώδη λογισμὸν, καὶ χαμαὶ συρόμενον; διὸ καὶ φοβεῖ λέγων, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. εἰ δὲ φύσεως ταῦτα πονηρᾶς, καὶ οὐ προαιρέσεως μοχθηρᾶς, περιττῶς εἶπε, πράσσουσιν, ἀλλὰ, πάσχουσι. τίνος δὲ ἕνεκεν καὶ βασιλείας ἐκπίπτουσιν; οὐδὲ γὰρ τῶν ἐν φύσει, ἀλλὰ τῶν ἐν προαιρέσει καὶ οἱ στέφανοι καὶ αἱ κολάσεις. διὸ καὶ ταῦτα ἠπείλησεν ὁ Παῦλος. ὁ δὲ καρπὸς τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. οὐκ εἶπε, τὸ ἔργον τοῦ πνεύματος,
B ἀλλ', ὁ καρπός. οὐκοῦν ἡ ψυχὴ περιττή; εἰ γὰρ περὶ σαρκὸς καὶ πνεύματος ὁ λόγος, ποῦ ἡ ψυχή; ἆρα περὶ ἀψύχων διαλέγεται; ὅταν γὰρ τὰ μὲν πονηρὰ τῆς σαρκὸς, τὰ δὲ χρήσιμα τοῦ πνεύματος ᾖ, περιττὴ ἡ ψυχή. οὐδαμῶς. καὶ γὰρ ἡ ἐγκράτεια τῶν παθῶν, ταύτης, καὶ περὶ αὐτῆς. καὶ ἐν μέσῳ κειμένης κακίας καὶ ἀρετῆς, ἂν μὲν εἰς δέον χρήσηται τῷ σώματι, πνευματικὸν αὐτὸ κατειργάσατο· ἂν δὲ ἀποστῇ μὲν τοῦ πνεύματος, ἐκδῷ δὲ αὑτὴν ταῖς πονηραῖς ἐπιθυμίαις, γεωδεστέραν αὐτὴν
C κατεσκεύασεν. ὁρᾷς πάντοθεν πῶς οὐ περὶ οὐσίας αὐτῷ τῆς σαρκὸς νῦν ὁ λόγος, ἀλλὰ περὶ προαιρέσεως μοχθηρᾶς, καὶ οὐ τοιαύτης; διατί δὲ καρπὸν καλεῖ τὸν τοῦ πνεύματος; ὅτι τὰ μὲν πονηρὰ ἔργα ἐξ ἡμῶν γίνεται μόνον, διὸ καὶ ἔργα καλεῖ· τὰ δὲ καλὰ, οὐ τῆς ἡμετέρας ἐπιμελείας δεῖται μόνον, ἀλλὰ καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας. εἶτα μέλλων αὐτὰ διηγεῖσθαι, τὴν ῥίζαν τίθησι πρῶτον τῶν ἀγαθῶν, οὕτω λέγων· ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθεργία, πίστις, πραότης, ἐγκράτεια. κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. τίς γὰρ ἂν ἐπιτάξειε τῷ πάν-
D τα ἔχοντι παρ' ἑαυτῷ, καὶ διδάσκαλον ἀπηρτισμένην τῆς φιλοσοφίας τὴν ἀγάπην; ὥσπερ γὰρ οἱ τῶν ἵππων εὐήνιοι καὶ ἀφ' ἑαυτῶν ἅπαντα πράττοντες, οὐκ ἂν δεηθεῖεν μάστιγος, οὕτω καὶ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν ἀπὸ πνεύματος, οὐ δεῖται τοῦ νουθετοῦντος νόμου. πάνυ δὲ καὶ ἐνταῦθα τὸν νόμον θαυμαστικῶς ἐξέβαλεν, οὐχ ὡς φαῦλον, ἀλλ' ὡς ἐλάττονα τῆς δεδομένης παρὰ τοῦ πνεύματος φιλοσοφίας. οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ἵνα γὰρ μὴ λέγωσι, καὶ τίς ἐστι τοιοῦτος; δείκνυσιν ἀπὸ τῶν ἔργων τοὺς τὰ τοιαῦτα κατορ-
E θοῦντας, σάρκα πάλιν ἐνταῦθα τὰς πονηρὰς πράξεις καλῶν. οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλον· ἐπεὶ πῶς ἔμελλον ζῆν; τὸ γὰρ ἐσταυρωμένον, νεκρόν ἐστι καὶ ἀνενέργητον, ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν δηλοῖ. καὶ γὰρ αἱ ἐπιθυμίαι, κἂν ἐνοχλῶσι, κενὰ λυττῶσιν. ἐπεὶ οὖν τοσαύτη τοῦ πνεύματος ἡ ἰσχὺς, ἐκείνῳ ζῶμεν, ἐκείνῳ ἀρκώμεθα· ὃ καὶ αὐτὸς ἐπάγει λέγων· ζῶμεν οὖν ἐν πνεύματι, καὶ πνεύματι στοιχῶμεν, κατὰ τοὺς ἐκείνου νόμους πολιτευόμενοι. τοῦτο γάρ ἐστι τὸ στοιχῶμεν, τουτέστιν, ἀρκεσθῶμεν τῇ τοῦ πνεύματος δυνάμει, καὶ μὴ ἐπιζητῶμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην. εἶτα

A δεικνὺς ἐκείνους τοὺς ἐπεισάγοντας τὴν περιτομὴν διὰ φιλοτιμίαν τοῦτο ποιοῦντας, φησί· μὴ γινώμεθα κενόδοξοι, ὃ πάντων ἐστὶν αἴτιον τῶν κακῶν, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. ἀπὸ γὰρ κενοδοξίας ὁ φθόνος, καὶ ἀπὸ φθόνου τὰ μυρία ταῦτα κακά.

dens eos qui circumcisionem inducebant, id ambitionis gratia facere, ait: 26. *Ne efficiamur inanis gloriæ cupidi, quæ est causa omnium malorum, nos invicem provocantes, invicem invidentes.* Siquidem ex inanis gloriæ studio nascitur invidia, rursus ex invidia hæc innumera mala.

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

## CAPUT SEXTUM.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος.

1. *Fratres, etiamsi præventus fuerit homo.*

B ΕΠΕΙΔΗ γὰρ ἐπιτιμήσεως προσχήματι τὰ αὐτῶν ἐξεδίκουν πάθη, καὶ ἐδόκουν μὲν ἁμαρτημάτων ἕνεκεν τοῦτο ποιεῖν, τὴν δὲ αὐτῶν φιλαρχίαν στῆσαι ἐβούλοντο, φησίν· ἀδελφοί, ἐὰν καὶ προληφθῇ. οὐκ εἶπεν, ἐὰν πράξῃ, ἀλλ', ἐὰν προληφθῇ, τουτέστιν, ἐὰν συναρπαγῇ. ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον. οὐκ εἶπε, κολάζετε, οὐδέ, καταδικάζετε, ἀλλά, διορθοῦσθε· καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεικνύς, ὅτι σφόδρα αὐτοὺς ἡμέρους εἶναι δεῖ τοῖς ὑποσκελιζομένοις, οὕτως ἐπήγαγεν· ἐν πνεύματι πρᾳότητος. οὐκ εἶπεν, ἐν πρᾳότητι, ἀλλ', ἐν πνεύματι πρᾳότητος, δηλῶν ὅτι καὶ τῷ πνεύματι C ταῦτα δοκεῖ, καὶ τὸ δύνασθαι μετ' ἐπιεικείας διορθοῦν τοὺς ἁμαρτάνοντας, χαρίσματός ἐστι πνευματικοῦ. εἶτα, ἵνα μὴ ἐπαρθῇ ὁ διορθῶν ἕτερον, καὶ αὐτὸν ὑπὸ τὸν αὐτὸν φόβον ἔθηκεν, οὕτως εἰπών· σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. ὥσπερ γὰρ οἱ πλουτοῦντες ἐράνους τοῖς δεομένοις εἰσφέρουσιν, ἵν', εἴποτε καὶ αὐτοὶ περιπέσοιεν πενίᾳ, τῶν αὐτῶν ἐπιτύχωσιν· οὕτω δὴ καὶ ἡμᾶς ποιεῖν χρή. διὸ καὶ αἰτίαν ἀναγκαίαν τίθησι, λέγων οὕτω· σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. καὶ ἀπολογεῖται ὑπὲρ τοῦ ἡμαρτηκότος, D πρῶτον μὲν εἰπών, ἐὰν καὶ προληφθῇ, δεύτερον τὸ τῆς πολλῆς ἀσθενείας ὄνομα, εἶτα, ἵνα μὴ καὶ σὺ πειρασθῇς, δαίμονος ἐπήρειαν μᾶλλον, ἢ ψυχῆς ῥᾳθυμίαν αἰτιώμενος. ἀλλήλων τὰ βάρη βαστάζετε. ἐπεὶ γὰρ οὐκ ἔστιν ἄνθρωπον ὄντα χωρὶς ἐλαττώματος εἶναι, παραινεῖ μὴ ἀκριβεῖς ἐξεταστὰς εἶναι τῶν ἑτέροις πεπλημμελημένων, ἀλλὰ καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρὰ ἑτέρων. καθάπερ γὰρ ἐπὶ τῆς οἰκοδομῆς, οὐ τὴν αὐτὴν ἅπαντες ἕδραν ἔχουσιν οἱ λίθοι, ἀλλ' ὁ μὲν πρὸς γωνίαν ἐπιτήδειος, οὐκέτι δὲ πρὸς θεμελίους, ὁ δὲ πρὸς θεμελίους μέν, οὐ- E κέτι δὲ πρὸς γωνίαν· οὕτω καὶ ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας. καὶ ἐπὶ τῆς σαρκὸς δὲ τῆς ἡμετέρας τοῦτο αὐτὸ ἴδοι τις ἄν, ἀλλ' ὅμως θατέρου θάτερον ἀνέχεται, καὶ οὐ παρὰ πάντων πάντα ζητοῦμεν. ὁ γὰρ ἐκ τοῦ κοινοῦ γινόμενος ἔρανος καὶ σῶμα καὶ οἰκοδομὴν συνίστησι. καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. οὐκ εἶπε, πληρώσατε, ἀλλ', ἀναπληρώσατε, τουτέστι, κοινῇ πάντες πληρώσατε, δι' ὧν ἀλλήλοις φέρετε. οἷον, ὁ δεῖνά ἐστιν ὀργίλος, σὺ δὲ ὑπνηλός· φέρε τοίνυν τὴν ὁρμὴν αὐτοῦ τὴν σφοδράν, ἵνα καὶ αὐτός σου τὴν νωθείαν φέρῃ· καὶ οὕτως

1. QUONIAM increpationis obtentu ulciscebantur suas cupiditates, videbanturque id facere propter delicta corrigenda, cum revera studerent suam dominandi cupiditatem stabilire, ait: Fratres, si etiam præventus fuerit. Non dicit, si fecerit: sed si præventus fuerit, hoc est, si abreptus fuerit. *Vos qui spirituales estis, instaurate talem.* Non dixit, punite, aut condemnate: sed, instaurate, hoc est corrigite. Ne hîc quidem constitit, verum ut ostenderet eos admodum mites esse oportere erga eos qui supplantentur, ita subjecit: *In spiritu mansuetudinis.* Non dixit, in mansuetudine: sed, in spiritu mansuetudinis, declarans hæc etiam spiritui placere, quippe cum hoc ipsum, posse cum humanitate corrigere peccantes, doni sit spiritualis. Deinde ne qui corrigit alterum, efferatur animo, ipsum quoque eidem timori subjecit, ita loquens: *Considerans teipsum, ne & tu tenteris.* Quemadmodum enim divites sporrulas mittunt egentibus, quo, si quando & ipsi in egestatem inciderint, eadem ab aliis consequantur: sic & nobis est faciendum. Ideo causam necessariam memorat, ita loquens: *Considerans teipsum, ne & tu tenteris.* Excusatque eum qui peccavit: primum ita dicens: Quamvis præventus fuerit. Deinde infirmitatis nomen ponit. Postea dicit, Ne & tu tenteris; dæmonis incursionem accusans magis quam animi negligentiam. 2. *Alii aliorum onera invicem portate.* Quoniam fieri non potest, ut homo vivat absque defectu, admonet ne rigidi sint expensores alienorum delictorum, sed tolerent etiam proximorum defectus, ut & ipsorum delicta tolerentur ab aliis. Sicut enim in structura domus non omnes lapides eumdem habent locum, sed hic quidem in angulum est accommodus, ad fundamenta non item: ille contra, ad fundamenta commodus est, non item ad angulum: itidem sane est in corpore ecclesiæ. Quin & in nostra carne licet idem cernere, attamen aliud membrum ab alio toleratur, nec ab omnibus omnia requirimus. Nam ex communi facta collectio, & corpus, & ædificium constituit. *Et sic adimplete legem Christi.* Non dixit, implete: sed, adimplete, hoc est, simul omnes implete, vos invicem ferendo. Exempli causa, ille est iracundus, tu somnolentus. Tolera igitur illius acrem impetum, ut vicissim ille tuam ferat segnitiem:

ita fiet, ut nec ille peccet, dum abs te toleratur: neque tu, dum in iis in quibus molestus es, sustineris a fratre tuo. Ad hunc autem modum vobis invicem, ubi lapsus imminet periculum, manum porrigentes, mutuis officiis implete legem, sic ut unusquisque quod proximo deest, sua tolerantia suppleat. Porro nisi sic egeritis, sed quisque proximi vitam velit excutere, nunquam inter vos fiet quidquam eorum quæ fieri decet. Ut enim in corpore si quis ab omnibus membris eumdem postulet usum, nunquam constiterit corpus: sic & inter fratres grave bellum erit, si ab omnibus omnia requirimus. 3. *Etenim si quis videtur aliquid esse, cum nihil sit, seipsum decipit.* Hic rursus arrogantiam specta. Qui sibi videtur esse aliquid, nihil est, primum suæ vilitatis argumentum edens, talem morum levitatem. 4. *Sed suum opus probet unusquisque.* Hic ostendit quod oporteat nos vitæ nostræ expensores esse, nec leviter, sed exacta cura probare quæ a nobis gesta sunt: videlicet, fecisti boni quidpiam? considera ne forte propter inanem gloriam, ne propter necessitatem, ne in odium, ne per simulationem, ne ob aliam aliquam causam humanam. Sicut enim aurum videtur quidem esse splendidum priusquam mittatur in fornacem: verum ubi traditum fuerit igni, tum vero certo dignoscitur, eo quod adulterinum est, ab eo quod est sincerum, separato: sic & nostra opera ubi diligenter examinaverimus, tum evidenter retegentur, videbimusque nos ipsos multis criminibus obnoxios esse. *Et tunc in seipso tantum gloriam habebit, & non in altero.* Hæc dicit non veluti legem præscribens, sed illis se attemperans, perinde ac si dixisset, Absurdum quidem est gloriari: quod si porro gloriari vis, ne glorieris adversus proximum, ut ille Pharisæus. Luc. 18. Nam qui hoc didicerit, is & ab illo facile abstinebit. Quapropter etiam illud concessit, ut paulatim totum eximeret. Nam qui consueverit in seipso tantum gloriari, & non adversus alios, statim & hunc defectum corriget. Nam qui non existimat se cæteris meliorem; nam hoc est quod dicit, non in alterum, sed semetipsum apud sese examinat, etiamsi glorietur, desinet tamen id facere in posterum. Atque ut intelligas eum hoc velle probare, vide ut illum metu cohibet, superius dicendo: Probet suum opus: hic addendo, 5. *Unusquisque enim suum onus portabit.* Videtur quidem proponere rationem quæ vetat gloriari adversus alium, sed corrigit gloriantem, ne tantum sibi placeat, revocans illum ad propriorum delictorum considerationem, dum onus nominat, & sarcinæ gestationis meminit, premens illius conscientiam. 6. *Communicet autem is qui catechizatur sermone, ei qui se catechizat in omnibus bonis.*

Doctoris officium.

2. Hic jam de doctoribus loquitur: vult enim illos diligenter curari ab iis quos instituunt. Et quare Christus hoc ita præscripsit?

A οὔτε ἐκεῖνος ἁμαρτήσεται ὑπὸ σοῦ βασταζόμενος, οὔτε σὺ πλημμελεῖς ἐν οἷς εἶ βαρὺς, ἀνεχομένου σου τοῦ ἀδελφοῦ σου. οὕτω δὲ ἀλλήλοις χεῖρα ὀρέγοντες ἐν οἷς μέλλετε καταπίπτειν, δι' ἀλλήλων κοινῇ πληρώσατε τὸν νόμον, τὸ λεῖπον τῷ πλησίον ἀναπληρῶν ἕκαστος διὰ τῆς οἰκείας ὑπομονῆς. ἐὰν δὲ μὴ οὕτω ποιῆτε, ἀλλ' ἕκαστος ἐπεξιέναι μέλλῃ τοῖς τοῦ πλησίον, οὐδέποτε οὐδὲν τῶν δεόντων ἔσται ἡμῖν. ὥσπερ γὰρ ἐν τῷ σώματι εἰ τὴν αὐτήν τις ἀπαιτοίη παρὰ πάντων χρείαν, οὐδέποτε τὸ σῶμα στήσεται· οὕτω B καὶ ἐπὶ τῶν ἀδελφῶν πολὺς ἔσται πόλεμος, εἰ παρὰ πάντων πάντα ἐπιζητοῦμεν. Εἰ γάρ τις δοκεῖ εἶναί τι, μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν. πάλιν ἐνταῦθα τὴν ἀπόνοιαν κατασκάπτει. ὁ γὰρ δοκῶν εἶναί τι, οὐδέν ἐστι, πρῶτον τῆς εὐτελείας αὐτοῦ δεῖγμα ἐκφέρων τὴν τοιαύτην εὐμένειαν. τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος. ἐνταῦθα δείκνυσιν ὅτι δεῖ βίου ἐξεταστὰς εἶναι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀκριβείας δοκιμάζειν τὰ πεπραγμένα ἡμῖν, οἷον, ἐποίησάς τι καλόν; σκόπησον μήποτε διὰ κενοδοξίαν, μὴ δι' ἀνάγκην, μὴ πρὸς ἀπέχθειαν, μὴ ὑποκρί- C σει, μὴ δι' ἄλλην τινὰ αἰτίαν ἀνθρωπίνην. καθάπερ γὰρ τὸ χρυσίον δοκεῖ μὲν εἶναι λαμπρὸν πρὸ τοῦ χωνευτηρίου, ὅταν δὲ αὐτῷ παραδοθῇ, τῷ πυρὶ τότε ἀκριβῶς διαδείκνυται, τοῦ νόθου παντὸς ἀπὸ τοῦ γνησίου χωριζομένου· οὕτω καὶ τὰ ἡμέτερα ἔργα, ὅταν μετὰ ἀκριβείας ἐξετάζωμεν, τότε σαφῶς ἐκκαλυφθήσεται, καὶ πολλῶν ὀψόμεθα ἑαυτοὺς ὄντας ὑπευθύνους ἐγκλημάτων. καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. ταῦτα οὐ νομοθετῶν φησιν, ἀλλὰ συγκαταβαίνων· ὡς ἂν εἰ ἔλεγεν· ἄτοπον μὲν τὸ καυχᾶσθαι· εἰ δὴ ἄρα βού- D λει, μὴ κατὰ τοῦ πλησίον, ὡς ὁ Φαρισαῖος. ὁ γὰρ τοῦτο παιδευθεὶς, καὶ ἐκείνου ἀποστήσεται ταχέως. διὸ καὶ τοῦτο συνεχώρησεν, ἵνα τὸ ὅλον κατὰ μικρὸν ἐξέλῃ. ὁ γὰρ συνεθισθεὶς εἰς ἑαυτὸν μόνον καυχᾶσθαι, καὶ μὴ κατ' ἄλλων, ταχέως καὶ τοῦτο διορθώσεται τὸ ἐλάττωμα. ὁ γὰρ μὴ νομίσας τῶν ἄλλων ἑαυτὸν εἶναι βελτίονα, τοῦτο γάρ ἐστιν, οὐκ εἰς τὸν ἕτερον, ἀλλ' αὐτὸν καθ' ἑαυτὸν ἐξετάζων ἀβρύνεται, παύσεται καὶ τοῦτο ποιῶν ὕστερον. καὶ ἵνα μάθῃς ὅτι τοῦτο βούλεται κατασκευάσαι, ὅρα πῶς αὐτὸν συστέλλει τῷ φόβῳ, E ἀνωτέρω μὲν εἰπὼν, δοκιμαζέτω τὸ ἔργον αὐτοῦ, ἐνταῦθα δὲ ἐπαγαγών· ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. δοκεῖ μὲν γὰρ τιθέναι λογισμὸν κωλύοντα καθ' ἑτέρου καυχᾶσθαι· διορθοῦται δὲ τὸν καυχώμενον, ὥστε μηδὲ ἑαυτῷ μέγα φρονεῖν, εἰς ἔννοιαν ἄγων αὐτὸν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τοῖς ὀνόμασι τοῦ φορτίου καὶ τῆς ἀχθοφορίας, πιέζων αὐτοῦ τὸ συνειδός. κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.

Ἐνταῦθα περὶ τῶν διδασκάλων λοιπὸν ὁ λόγος αὐτῷ, ὥστε πολλῆς ἀπολαύειν παρὰ τῶν μαθητευομένων θεραπείας. καὶ τίνος ἕνεκεν οὕτως ὁ Χριστὸς ἐνομοθέτησε;

καὶ γὰρ ἐν τῇ καινῇ ἐπίκειται ὁ νόμος, ὥστε τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ εὐαγγελίου ζῆν· καὶ ἐν τῇ παλαιᾷ δὲ ὁμοίως πολλαὶ τοῖς Λευΐταις παρὰ τῶν ἀρχομένων ἦσαν αἱ πρόσοδοι. τίνος οὖν ἕνεκεν ταῦτα διετάξατο, ταπεινοφροσύνης καὶ ἀγάπης ὑπόθεσιν προαποθέμενος; ἐπειδὴ γὰρ τὸ διδασκαλικὸν ἀξίωμα πολλάκις φυσᾷ τὸν ἔχοντα, καταστέλλων αὐτοῦ τὸ φρόνημα, εἰς ἀνάγκην κατέστησε τοῦ δεῖσθαι τῶν μαθητευομένων· κἀκείνους πάλιν εἰς ἀφορμὴν ἤγαγε τοῦ πρὸς εὔνοιαν εὐκολωτέρους γίνεσθαι, γυμνάζων αὐτοὺς ἐν τῇ περὶ τοὺς διδασκάλους εὐνοίᾳ καὶ περὶ τοὺς ἄλλους ἡμέρους εἶναι· ὅπερ καὶ ἀγάπην οὐ μικρὰν εἰργάζετο ἐν ἑκατέρῳ τῷ μέρει. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ὅπερ εἶπον, τίνος ἕνεκεν τοὺς Ἰουδαίους τοὺς ἀγνώμονας ἀπὸ τοῦ μάννα τρέφων, τοὺς ἀποστόλους εἰς τὴν τῶν προσαιτούντων κατέστησεν ἀνάγκην; οὐκ εὔδηλον ὅτι τὰ μεγάλα ἐκ τούτου κατασκευάζων ἀγαθὰ, ταπεινοφροσύνην καὶ ἀγάπην, καὶ ὥστε τοὺς μαθητευομένους μὴ αἰσχύνεσθαι ἐπὶ τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι; τὸ γὰρ ἐπαιτεῖν, αἰσχύνης εἶναι δοκεῖ. ἀλλ' οὐκ ἐδόκει λοιπὸν, τῶν διδασκάλων αὐτὸ μετιόντων μετὰ παῤῥησίας ἁπάσης· ὥστε οὐ μικρὰ κἀντεῦθεν ἐκέρδαινον οἱ μαθηταὶ, πάσης δόξης παιδευόμενοι διὰ τούτων ὑπερορᾶν. διὰ τοῦτό φησι, κοινωνείτω δὲ ὁ κατηχούμενος τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς· τουτέστι, πᾶσαν ἐπιδεικνύσθω περὶ αὐτὸν δαψίλειαν. τοῦτο γὰρ αἰνιττόμενος ἔλεγεν, ἐν πᾶσιν ἀγαθοῖς. μηδὲν γὰρ ἔστω τοῦ μαθητοῦ, φησιν, ἴδιον, ἀλλὰ πάντα κοινά. μείζονα γὰρ λαμβάνει, ἢ δίδωσι, καὶ τοσούτῳ μείζω, ὅσῳ τῶν γηΐνων τὰ ἐπουράνια ἀμείνω· ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; διὰ τοῦτο καὶ κοινωνίαν τὸ πρᾶγμα καλεῖ, δεικνὺς ἀντίδοσιν γινομένην. ἐκ τούτου δὲ καὶ τὰ τῆς ἀγάπης ἐγίνετο θερμότερα πολλῷ καὶ βεβαιότερα. ἂν μὲν οὖν τὴν αὐτάρκειαν ὁ διδάσκαλος ζητῇ, μένει καὶ λαμβάνων ἐπὶ τῆς οἰκείας ἀξίας. καὶ γὰρ καὶ τοῦτο ἔπαινος τὸ οὕτω προσεδρεύειν τῷ λόγῳ, ὡς ἑτέρων δεῖσθαι, καὶ ἐν πενίᾳ μυρίᾳ εἶναι, καὶ τῶν βιωτικῶν ὑπερορᾷν ἁπάντων. ἂν δὲ ὑπερβαίνῃ τὸ μέτρον, ἐλυμήνατο τὴν ἀξίαν, οὐ τῷ λαμβάνειν, ἀλλὰ τῷ ἀμέτρως. εἶτα ἵνα μὴ ἡ πονηρία τοῦ διδασκάλου ὀκνηρότερον περὶ ταῦτα ποιῇ τὸν μαθητὴν, καὶ πένητα ὄντα πολλάκις παρατρέχῃ διὰ τὸν τρόπον, προϊὼν μέν φησι· τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν· ἐνταῦθα δὲ τὸ μέσον τῆς τοιαύτης, καὶ τῆς ἐν τοῖς βιωτικοῖς φιλοτιμίας δείκνυσιν, οὕτω λέγων· μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. ὥσπερ γὰρ ἐπὶ τῶν σπερμάτων οὐκ ἔνι σπείροντα ὀρόβους σῖτον ἀμῆσαι· δεῖ γὰρ τοῦ αὐτοῦ γένους καὶ τὸν σπόρον εἶναι, καὶ τὸν ἀμητόν· οὕτω καὶ ἐν

Nam in novo testamento lex hæc posita est, ut qui evangelium prædicant, ex evangelio vivant: & in veteri similiter multi proventus ferebantur Levitis a subditis. Cur ergo hæc constituit, sed prius substrato modestiæ & caritatis fundamento? Quoniam enim doctoris auctoritas frequenter inflat ea præditos, cohibens doctoris spiritum, constituit illum in hac necessitate, ut opus habeat discipulis: & his rursus præbet occasionem, ut faciliores reddantur ad benevolentiam, exercens eos per benevolentiam erga doctores, ut & erga cæteros sint mansuetiores, quæ res non mediocrem caritatem excitabat in utraque parte. Alioqui nisi hoc esset quod dixi, quare Deus, qui ingratos Judæos manna aluit, apostolos in mendicorum dejecisset necessitatem? Annon perspicuum est, quod hinc magna pararet bona, humilitatem & caritatem? Et ne puderet discipulos, subditos esse iis qui vituperabiles videbantur. Probrum enim esse videtur, petere. At tunc non videbatur, cum idem palam omnique cum libertate facerent doctores. Itaque non mediocrem fructum & hinc reportabant discipuli, dum per hæc docerentur gloriam omnem despicere. Idcirco dicit: *Communicet autem qui catechizatur in sermone, ei, qui se catechizat, in omnibus bonis.* Hoc est, omnem in illum exhibeat liberalitatem. Hoc enim innuens dicebat, in omnibus bonis. Nihil, inquit, discipuli proprium sit, sed omnia communia, quippe qui majora quam dat accipit, tantoque majora, quanto præstabiliora sunt cælestia terrenis. Quod & alibi significans, ait: Si nos vobis spiritualia seminavimus, magnum est si nos vestra carnalia metamus? Ideo negotium hoc appellat communicationem, indicans fieri repensationem. Ex hoc vero caritas quoque redditur ferventior, multoque firmior. Itaque si doctor quærit quod naturæ satis est, nihilominus accipiens manet in sua dignitate: quandoquidem & hoc laudi dandum est, doctorem sic assiduum esse ministerio sermonis, ut cæteris egeat, magnaque laboret inopia, contemnens omnia quæ ad victus pertinent. Quod si modum transgressus fuerit, corrupit suam dignitatem, non eo quod accipit, sed quod præter modum. Post hæc ne doctoris improba vita segniorem ad hæc redderet discipulum, eumque pauperem frequenter prætercurreret ob mores malos, pergit ac dicit: *Bonum autem facientes non defatigemur.* Hic ostendit discrimen ambitionis hujusmodi, & ejus quæ incumbit rebus temporariis, ita dicens: 7. *Ne erretis, Deus non irridetur: quidquid enim seminaverit homo, hoc & metet.* 8. *Nam qui seminat in carne sua, ex carne sua metet corruptionem. Qui vero seminat in spiritu, e spiritu metet vitam æternam.* Quemadmodum enim in semente, qui seminat, non potest ex hordeo metere triticum, eo quod oporteat & sementem & messem ejusdem esse generis: sic & in ope-

1. Cor. 9. 14.
Num. 31 & 35.
Deut. 8.
Psal. 77.
1. Cor. 9. 11.

ribus; qui in carne deposuerit delicias, temulentiam, concupiscentiam absurdam, quæ hinc proveniunt, metet. Quæ autem sunt ista? supplicium, ultio, probrum, risus, corruptio. Siquidem mensarum sumtuosarum & condimentorum nullus alius proventus est quam corruptio. Nam simul & ipsa corrumpuntur, & corrumpunt corpus. Quæ vero sunt spiritus, haud sunt ejusmodi, sed his omnibus omnino contraria. Considera vero, seminasti eleemosynam, manent thesauri cælestes, gloriaque sempiterna. Seminasti pudicitiam, excipiet te honor & bravium, & ab angelis gratulationes, & ab agonotheta coronæ. 9. *Bonum autem facientes ne defatigemur: tempore enim suo metemus non deficientes.* 10. *Ergo dum tempus habemus, operemur quod bonum est in omnes, maxime vero erga domesticos fidei.* Ne quis arbitraretur, doctorum quidem habendam esse curam, eosque alendos, cæteros verò negligendos, ad generalitatem profert orationem, omnibusque patefacit ostium hujus honoris ambiendi: tantaque cura id facit, ut in Judæos etiam ac Gentes, cum gradu tamen competenti eleemosynam conferre jubeat. Quis autem est ordo? Ut circa fideles major habeatur solicitudo: & quod in cæteris epistolis facere solet, hoc & hîc facit, non modo loquens de danda eleemosyna, verum etiam de studiose perpetuoque danda. Siquidem hæ voces, seminare, & non oportet defatigari, hoc innuunt. Ergo quoniam rem magnam exigebat, præmium quoque collocat in foribus, messis faciendo mentionem novæ cujusdam & admirabilis.

3. Nam in agricultura non solum qui seminat, verum etiam qui metit multum sustinet laboris, cum squalore, cum pulvere, cumque multa colluctans miseria. Tunc vero nihil, inquit, tale erit. Quod etiam explanans dicit: *Tempore enim suo metemus non deficientes.* Et hinc quidem illos hortatur & allicit, ex altera vero parte urget etiam, & compellit, dicens: *Ergo dum tempus habemus, operemur bonum.* Quemadmodum enim non semper est in nostra potestate facere sementem, ita nec dare eleemosynam. Cum enim hinc fuerimus abducti, etiam si millies velimus, nihil effecerimus. *Matt. 25.* Testes hujus rei nobis sunt & virgines illæ, quæ quamlibet promtam haberent voluntatem, tamen quoniam abierant non ferentes secum largam eleemosynam, exclusæ sunt a *Luc. 16.* thalamo sponsi. Testis est dives ille, qui Lazarum despexerat, qui quoniam hoc destitutus erat auxilio, & plorans & supplicans vehementer, nec a Patriarcha, nec ab alio quopiam misericordiam impetravit, sed citra veniam omnem mansit in perpetuo flammæ cruciatu. Propterea dicit, dum tempus habemus, operemur bonum erga omnes. Et hac ratione maxime subducit eos ab humilitate Judaïca. Nam illis omnia humanitatis officia erant erga contribules: at gratiæ philosophia, terram pariter & mare, ad beneficentiæ mensam invitat,

A τοῖς ἔργοις, ὁ καταβαλὼν εἰς τὴν σάρκα τρυφὴν, μέθην, ἐπιθυμίαν ἄτοπον, τὰ ἐκ τούτων ἀμήσεται. τίνα δέ ἐστι ταῦτα; κόλασις, τιμωρία, αἰσχύνη, γέλως, φθορά. τῶν γὰρ πολυτελῶν τραπεζῶν, καὶ τῶν [a] ἐδεσμάτων οὐδὲν ἕτερον τὸ τέλος, ἢ φθορά. καὶ γὰρ αὐτὰ φθείρεται, καὶ συμφθείρει τὸ σῶμα. τὰ δὲ τοῦ πνεύματος, οὐ τοιαῦτα, ἀλλ᾽ ἀπεναντίας ἅπαντα τούτοις. σκόπει δέ· ἔσπειρας ἐλεημοσύνην, ἀναμένουσί σε οἱ τῶν οὐρανῶν θησαυροὶ καὶ δόξα αἰώνιος· ἔσπειρας σωφροσύνην, τιμὴ καὶ βραβεῖον καὶ αἱ παρὰ τῶν ἀγγέλων εὐ- B φημίαι καὶ οἱ παρὰ τοῦ ἀγωνοθέτου στέφανοι. τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν. καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. ἄρ᾽ οὖν, ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ καλὸν πρὸς πάντας, μάλιστα πρὸς τοὺς οἰκείους τῆς πίστεως. ἵνα γὰρ μή τις νομίσῃ ὅτι διδασκάλων μὲν ἐπιμελεῖσθαι δεῖ, καὶ τρέφειν αὐτοὺς, τῶν δὲ ἄλλων ἀμελεῖν, εἰς κοινὸν ἐξάγει τὸν λόγον, καὶ πᾶσι τὴν θύραν τῆς τοιαύτης ἀνοίγει φιλοτιμίας, καὶ τοσαύτην ποιεῖται τὴν ὑπερβολὴν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας ἐλεεῖν κελεύειν, μετὰ προσηκούσης μὲν τάξεως, ἐλεεῖν δ᾽ ὅμως. τίς δὲ ἡ τάξις; τὸ πλείονα περὶ τοὺς πιστοὺς C ἐνδείκνυσθαι τὴν πρόνοιαν. καὶ ὅπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, οὐ περὶ τοῦ ἐλεεῖν διαλεγόμενος μόνον, ἀλλὰ καὶ περὶ τοῦ φιλοτίμως καὶ διηνεκῶς. τὸ γὰρ τοῦ σπόρου ὄνομα, καὶ τὸ μηδὲν ἐκκακεῖν, τοῦτο αἰνίττεται. εἶτα ἐπειδὴ μέγα ἀπῄτησε, καὶ τὸ ἔπαθλον ἐπὶ θύραις τίθησιν, ἀμητοῦ μεμνημένος καινοῦ τινος, καὶ παραδόξου.

Ἐπὶ μὲν γὰρ τῶν γεηπόνων οὐχ ὁ σπείρων μόνον, ἀλλὰ καὶ ὁ θερίζων πολλὴν ὑπομένει τὸν πόνον, αὐχμῷ καὶ κονιορτῷ καὶ πολλῇ μαχόμενος ταλαιπωρίᾳ· τότε δὲ οὐδὲν τούτων ἔνι, φησίν, ἃ καὶ παρα- D δηλῶν ἔλεγε· καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. καὶ ἐντεῦθεν μὲν αὐτοὺς προτρέπει καὶ ἐφέλκεται· καὶ ἑτέρωθεν δὲ κατεπείγει καὶ συνωθεῖ, λέγων· ἄρ᾽ οὖν ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθόν. ὥσπερ γὰρ οὐκ ἀεὶ τοῦ σπείρειν ἐσμὲν κύριοι, οὕτως οὐδὲ τοῦ ἐλεεῖν. ὅταν γὰρ ἐντεῦθεν ἀπενεχθῶμεν, κἂν μυριάκις βουληθῶμεν, οὐδὲν περανοῦμεν πλέον. καὶ μαρτυροῦσιν ἡμῖν αἱ παρθένοι τῷ λόγῳ, αἳ μυρία προθυμηθεῖσαι, ἐπειδὴ δαψιλῆ τὴν ἐλεημοσύνην οὐκ ἀπῆλθον ἔχουσαι, ἀπεκλείσθησαν τοῦ νυμφῶνος, καὶ ὁ τὸν Λάζαρον παριδὼν πλούσιος· καὶ γὰρ κἀκεῖ- E νος, ἐπειδὴ ταύτης ἔρημος ἦν τῆς συμμαχίας, καὶ ὀλοφυρόμενος καὶ ἱκετεύσας πολλὰ, οὐ παρὰ τοῦ πατριάρχου, οὐ παρὰ ἄλλου τινὸς ἠλεεῖτο, ἀλλ᾽ ἔμενε διηνεκῶς ἀποτηγανιζόμενος χωρὶς συγγνώμης ἁπάσης. διὰ ταῦτά φησιν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας. καὶ ταύτῃ μάλιστα ἀπαλλάττων τῆς Ἰουδαϊκῆς ταπεινότητος. ἐκείνοις μὲν γὰρ τὰ τῆς φιλανθρωπίας ἅπαντα πρὸς τοὺς ὁμοφύλους ἦν· ἡ δὲ τῆς χάριτος φιλοσοφία, γῆν ὁμοῦ καὶ θάλατταν ἐπὶ τὴν τῆς ἐλεημοσύνης καλεῖ τράπε-

a ἐδεσμάτων. Savil. in marg. ἡδυσμάτων.

ζαν, εἰ καὶ πλείονα περὶ τοὺς οἰκείους τὴν σπουδὴν ἐπιδείκνυται. ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. ὅσοι θέλουσιν εὐπροσωπεῖν ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι. ἐννόησον, ὅση κατεῖχε τὴν μακαρίαν ἐκείνην ψυχὴν ὀδύνη. καθάπερ γὰρ οἱ πένθει τινὶ περιπεσόντες, καί τινα τῶν γνησίων ἀποβαλόντες, καί τινα τῶν ἀδοκήτων ὑπομείναντες, οὔτε νύκτωρ ἡσυχάζουσιν, οὔτε μεθημέραν, τοῦ πένθους αὐτοῖς τὴν ψυχὴν πολιορκοῦντος· οὕτω καὶ ὁ μακάριος Παῦλος εἰπὼν ὀλίγα περὶ τῶν ἠθῶν, πάλιν ἐπὶ τὰ πρότερα ἐπανέρχεται, ἃ μάλιστα αὐτοῦ τὴν ψυχὴν διετάραττε, λέγων οὕτως· ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. ἐνταῦθα οὐδὲν ἄλλο αἰνίττεται, ἀλλ' ὅτι αὐτὸς ἔγραψε τὴν ἐπιστολὴν ἅπασαν, ὃ πολλῆς γνησιότητος σημεῖον ἦν. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὑπηγόρευε μὲν αὐτὸς, ἔγραφε δὲ ἕτερος· καὶ τοῦτο δῆλον ἀπὸ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς· πρὸς γὰρ τῷ τέλει φησίν, ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν· ἐνταῦθα δὲ αὐτὸς ἔγραψε πᾶσαν. ἐποίησε δὲ τοῦτο ἐνταῦθα καὶ ἀναγκαίως, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὴν τῆς πονηρᾶς ὑπονοίας ἀναίρεσιν. ἐπειδὴ γὰρ διεβάλλετο ἐπὶ πράγμασιν οἷς οὐδὲν ἐκοινώνει, καὶ ἐλέγετο περιτομὴν καταγγέλλειν καὶ ὑποκρίνεσθαι, ὡς οὐ καταγγέλλων, διὰ τοῦτο ἠναγκάσθη ἰδιόγραφον ποιήσασθαι τὴν ἐπιστολήν, μαρτυρίαν ἔγγραφον προαποτιθέμενος. τὸ δὲ, πηλίκοις, ἐμοὶ δοκεῖ οὐ τὸ μέγεθος, ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνων λέγειν, μονονουχὶ λέγων· ὅτι οὔτε ἄριστα γράφειν εἰδὼς, ὅμως ἠναγκάσθην δι' ἐμαυτοῦ γράψαι, ὥστε τῶν συκοφαντῶν ἐμφράξαι τὸ στόμα. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάττουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. ἐνταῦθα δείκνυσιν οὐχ ἑκόντας αὐτοὺς τοῦτο ὑπομένοντας, ἀλλ' ἀναγκαζομένους, παρέχων αὐτοῖς ἀφορμὴν ἀναχωρήσεως, καὶ σχεδὸν ὑπὲρ αὐτῶν ἀπολογούμενος, καὶ προτρέπων ἀποπηδῆσαι ταχέως. τί δέ ἐστιν, εὐπροσωπεῖν ἐν σαρκί; εὐδοκιμεῖν παρὰ ἀνθρώποις. ἐπειδὴ γὰρ ὠνειδίζοντο παρὰ τοῖς Ἰουδαίοις, ὡς τῶν πατρίων ἀποστάντες ἐθῶν, ἵνα μὴ ταῦτα ἐγκαλῶνται, φησι, βούλονται ὑμῖν λυμήνασθαι, διὰ τῆς ὑμετέρας σαρκὸς ἐκείνοις ἀπολογούμενοι. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ τὸν θεὸν ταῦτα ἔπραττον. ὡς ἂν εἰ ἔλεγεν, οὐκ ἔστιν εὐσεβείας ὑπόθεσις τὸ γινόμενον· ὡς δι' ἀνθρωπίνην φιλοτιμίαν ταῦτα πάντα γίνεται, ὑπὲρ ἀρεσκείας τῶν ἀπίστων, ὅτι πιστοὶ κατακόπτονται, καὶ αἱροῦνται θεῷ προσκροῦσαι, ἵνα ἀνθρώποις ἀρέσωσι. τοῦτο γάρ ἐστιν, ἐν σαρκὶ εὐπροσωπῆσαι. εἶτα δεικνὺς ὅτι καὶ ἑτέρωθεν συγγνώμης εἰσὶν ἀπεστερημένοι, διελέγχει πάλιν αὐτοὺς, οὐ διὰ τὴν εἰς ἑτέρους ἀρέσκειαν μόνον, ἀλλὰ καὶ δι' οἰκείαν κενοδοξίαν ταῦτα

quamquam erga domesticos copiosiorem exhibet solicitudinem. 11. *Videtis qualibus literis scripsi vobis manu mea.* 12. *Quicumque volunt in carne placere, ii cogunt vos circumcidi.* Considera quantus dolor tenuerit illam beatam animam. Quemadmodum enim qui in luctum aliquem inciderunt, aut aliquem ex sinceris amicis amiserunt, aut alioqui malum aliquod subito obortum ferunt, neque noctu quietem agunt, neque interdiu, luctu pectus illorum obsidente: sic & beatus Paulus pauca loquutus de moribus, denuo revertitur ad superiora, quæ maxime discruciabant ipsius animum, ita loquens: *Videte qualibus literis scripsi vobis manu mea.* Hic nihil aliud innuit, nisi quod ipse totam scripserit epistolam: quod affectus mire sinceri erat argumentum. In cæteris enim epistolis dictabat quidem ipse, alius vero scribebat, idque liquet ex ea quæ est ad Romanos epistola. Ibi siquidem ad calcem dicitur: Saluto vos ego Tertius, qui scripsi epistolam. Hic vero totam ipse scripserat. Fecit autem hoc, necessario, non ob caritatem modo, verumetiam ad tollendam malam suspicionem. Quoniam enim traducebatur de iis factis, quibus obnoxius non erat, dicebaturque circumcisionem profiteri, dissimulans tamen quasi non profiteretur, ideo compulsus est epistolam sua manu scriptam mittere, deposito apud illos scripto testimonio. Quod autem dixit, *qualibus*, mihi videtur non magnitudinem, sed deformitatem literarum significans dicere; ac si ita loqueretur. Cum nescirem optime scribere, tamen ipse scribere compulsus sum, ut calumniatoribus os obturarem. *Quicumque volunt placere in carne, hi cogunt vos circumcidi, tantum-ne per crucem Christi persequutionem patiantur.* 13. *Neque enim qui circumciduntur, ipsi legem servant, sed volunt vos circumcidi, ut in vestra carne glorientur.* Hic ostendit illos non sponte, sed coactos id pati, præbens illis occasionem recedendi, ac propemodum illos excusans, hortansque ut cito resiliant. Quid autem est, placere in carne? probari apud homines. Quoniam enim apud Judæos probro ipsis dabatur, quod a patriis consuetudinibus desciscerent: ne hoc, inquit, possit ipsis exprobrari, volunt vos corrumpi, per vestram carnem illis satisfacturi. Hoc autem dicebat, ut ostenderet illos nequaquam propter Deum quæ faciebant facere: ac si diceret: Quod fit, non innititur pietati: propter humanam ambitionem hæc omnia fiunt, ut placeant infidelibus, quod fideles truncentur: & malunt Deum offendere, ut placeant hominibus. Hoc enim est in carne placere. Postquam aliunde ostendit illos omni venia carere, rursus illos redarguit, non solum quod aliis placere studerent, verum etiam quod vanæ gloriæ causa

Paulus epistolas dictabat & alius scribebat.

Rom. 16. 22.

hæc aliis præciperent. Ideoque subjecit, *Ut in carne vestra glorientur, tamquam qui discipulos habeant, sintque doctores.* Et unde hæc probantur? *Non enim*, inquit, *ipsi legem servant.* Maxime igitur etiam si servassent, erant accusandi. Nunc & scopus illorum corruptus est. 14. *Mihi vero absit gloriari, nisi in cruce Domini nostri Jesu Christi.* Attamen res videtur esse probrosa: verum in mundo, & apud infideles. At in cælis & apud fideles gloria est, & quidem maxima. Nam & paupertas probrosa est, sed nobis gloriosa. Item sperni apud vulgus ridiculum est, at nos ideo gloriamur. Ita crux nobis est gloriandi materia. Nec vero dixit, ego non glorior, aut ego nolo gloriari, sed absit ut ego glorier, perinde quasi de re portentosa loquens abominatus est, & ad hoc præstandum divinam opem imploravit. Et quid est quod de cruce gloriatur? Quod Christus mea causa formam servi acceperit, & mea causa quæ passus est, pertulerit: propter me, inquam, qui servus eram, qui inimicus, qui ingratus; sed sic me dilexit, ut seipsum exponeret. Quid huic rei possit æquiparari? Etenim si servi dum tantum laudantur ab heris, hisque ejusdem naturæ, altum sapiunt: annon gloriandum est, cum ille dominus, qui verus est Deus, non erubescit pro nobis crucem subire?

4. Proinde ne nos quidem illius ineffabilis erga nos solicitudinis pudeat. Illum non puduit tua causa crucifigi, & te pudet ejus inenarrabilem profiteri dispensationem? Et interim perinde facis, ac si quis vinculis constrictus ante non erubescens de rege, postquam is adstans ipsi in carcere vincula suis manibus detraxisset, ob hoc pudorem conciperet. Verum hæc extremæ fuerint dementiæ. Ob hoc ipsum enim maxime gloriandum est. *Per quem mihi mundus crucifixus est, & ego mundo.* Mundum hic appellat non cælum, neque terram, sed res temporarias, laudem ex hominibus, satellitium, gloriam, opes, hæc omnia quæ vulgo videntur esse magnifica. Hæc enim mihi facta sunt mortua. Talem oportet esse Christianum, & hanc vocem semper habere in ore. Neque enim contentus fuit priore mortificationis modo, sed & alterum intulit dicens: *Et ego mundo.* Duplicem innuens mortificationem, ac dicens, & illa mihi mortua sunt, & ego vicissim illis. Nec illa me capere possunt, vel captivum ducere; quippe semel mihi mortua; neque ego illorum cupidine teneri; quippe qui mortuus illis. Nihil hac mortificatione felicius; hæc enim est beatæ vitæ fundamentum. 15. *Neque enim circumcisio quidquam valet, neque præputium, sed nova creatura.* 16. *Et quicumque hac regula incedunt, pax super eos & misericordia, & super Israel Dei.* Vides crucis potentiam, in quantam celsitudinem apo-

Crucis potentia quanta.

A ἐπιτάσσοντας. διὸ καὶ ἐπήγαγεν· ἵνα ἐν τῇ ὑμετέρᾳ
σαρκὶ καυχήσωνται, ὡς μαθητὰς ἔχοντες, καὶ ὄντες
διδάσκαλοι. καὶ τίς ἡ τούτων ἀπόδειξις; οὐδὲ γὰρ
αὐτοὶ νόμον φυλάττουσι, φησι. μάλιστα μὲν γὰρ, εἰ
καὶ ἐφύλαττον, καὶ οὕτως ἄξιοι κατηγορίας· νυνὶ
δὲ καὶ ὁ σκοπὸς αὐτῶν διεφθαρμένος ἐστίν. ἐμοὶ δὲ,
φησι, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ μὴν τὸ πρᾶγμα
ἐπονείδιστον εἶναι δοκεῖ, ἀλλ' ἐν τῷ κόσμῳ, καὶ παρὰ
τοῖς ἀπίστοις· ἐν δὲ τοῖς οὐρανοῖς, καὶ παρὰ τοῖς πι-
B στοῖς δόξα μεγίστη. καὶ γὰρ πενία ἐπονείδιστον, ἀλλ'
ἡμῖν καύχημα· καὶ τὸ ἐξευτελίζεσθαι παρὰ πολ-
λοῖς γέλως, ἀλλ' ἡμεῖς ἀβρυνόμεθα τούτῳ. οὕτω
καὶ ὁ σταυρὸς ἡμῖν καύχημα. καὶ οὐκ εἶπεν, ἐγὼ δὲ
οὐ καυχῶμαι, ἢ, ἐγὼ δὲ οὐ βούλομαι καυχᾶσθαι,
ἀλλ', ἐμοὶ δὲ μὴ γένοιτο, ὡς περὶ τῶν ἀτόπων ἀπηύ-
ξατο, καὶ τὴν παρὰ τοῦ θεοῦ συμμαχίαν ἐκάλεσεν εἰς
τὸ κατορθῶσαι τοῦτο. καὶ τί ἐστι τὸ καύχημα τοῦ σταυ-
ροῦ; ὅτι ὁ Χριστὸς δι' ἐμὲ δούλου μορφὴν ἀνέλαβε,
καὶ ἔπαθεν, ἅπερ ἔπαθε, δι' ἐμὲ τὸν δοῦλον, τὸν
ἐχθρὸν, τὸν ἀγνώμονα· ἀλλ' οὕτω με ἠγάπησεν,
C ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. ἄρα τούτου γένοιτ' ἄν τι ἴσον;
εἰ γὰρ οἰκέται ἂν μόνον ἐπαινῶνται παρὰ τῶν δεσ-
ποτῶν, καὶ ταῦτα ὁμογενῶν ὄντων, μέγα φρο-
νοῦσι, πῶς οὐ καυχᾶσθαι χρὴ, ὅταν ὁ δεσπότης ὁ
ἀληθὴς θεὸς μὴ ἐπαισχύνηται τὸν ὑπὲρ ἡμῶν
σταυρόν;

Μηδὲ ἡμεῖς τοίνυν ἐπαισχυνώμεθα τὴν ἄφατον
αὐτοῦ κηδεμονίαν. αὐτὸς οὐκ ἐπησχύνθη σταυρωθῆναι
διὰ σὲ, καὶ σὺ ἐπαισχύνῃ ὁμολογῆσαι αὐτοῦ τὴν
ἄπειρον κηδεμονίαν; ὥσπερ ἂν εἴ τις δεσμώτης μὴ
ἐπαισχυνόμενος τὸν βασιλέα, ἐπειδὴ ἐπέστη τῷ δεσ-
D μωτηρίῳ καὶ τὰ δεσμὰ ἔλυσε δι' ἑαυτοῦ, διὰ τοῦτο
αὐτὸν ἐπαισχύνηται. ἀλλ' ἐσχάτης ταῦτα παρα-
πληξίας. δι' αὐτὸ γὰρ τοῦτο μάλιστα ἐναβρύνεσθαι
δεῖ. δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.
τὸν κόσμον φησὶ νῦν, οὐ τὸν οὐρανὸν, οὐδὲ τὴν γῆν,
ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τὸν παρὰ
τῶν ἀνθρώπων, τὴν δορυφορίαν, τὴν δόξαν, τὸν
πλοῦτον, τὰ τοιαῦτα ἅπαντα τὰ δοκοῦντα εἶναι
λαμπρά. ταῦτα γάρ μοι νεκρὰ γέγονε. τοιοῦτον
εἶναι χρὴ τὸν Χριστιανὸν, ταύτην ἀεὶ τὴν φωνὴν περι-
φέρειν. οὐδὲ γὰρ ἠρκέσθη μόνον τῷ προτέρῳ τῆς νεκρώ-
E σεως τρόπῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν εἰπών· κἀγὼ
τῷ κόσμῳ, διπλῆν τὴν νέκρωσιν αἰνιττόμενος, καὶ
λέγων, ὅτι ἐκεῖνα ἐμοὶ νεκρὰ, καὶ ἐγὼ ἐκείνοις, καὶ
οὔτε αὐτὰ ἑλεῖν με δύναται καὶ χειρώσασθαι· νεκρὰ γὰρ
ἐστιν ἅπαξ· οὔτε ἐγὼ ἐπιθυμῆσαι αὐτῶν. νεκρὸς γὰρ
αὐτοῖς εἰμὶ καὶ ἐγώ. οὐδὲν τῆς νεκρώσεως ταύτης μα-
καριώτερον· αὕτη γάρ ἐστι τῆς μακαρίας ζωῆς ἡ
ὑπόθεσις. οὔτε γὰρ περιτομή τι ἰσχύει, οὔτε ἀκροβυ-
στία, ἀλλὰ καινὴ κτίσις· καὶ ὅσοι τῷ κανόνι τούτῳ στοι-
χήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν
Ἰσραὴλ τοῦ θεοῦ. εἶδες σταυροῦ δύναμιν, εἰς ὅσον αὐτὸν
ὕψος

ὕψος ἀνήγαγεν; οὐ γὰρ δὴ μόνον τὰ τοῦ κόσμου πράγματα ἐνέκρωσεν αὐτῷ πάντα, ἀλλὰ καὶ τῆς πολιτείας τῆς παλαιᾶς ἀνώτερον πολλῷ κατέστησε. τί ταύτης τῆς ἰσχύος ἴσον; τὸν γὰρ ὑπὲρ ταύτης τῆς περιτομῆς [a] σφαττόμενον, καὶ ἑτέρους ἀποσφάττοντα, τοῦτον ἔπεισεν ὁ σταυρὸς ἐν ἴσῳ τῇ ἀκροβυστίᾳ αὐτὴν ἀφέντα, ξένα τινὰ καὶ παράδοξα καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἐπιζητεῖν πράγματα. καινὴν γὰρ κτίσιν ταύτην καλεῖ, τὴν καθ' ὑμᾶς πολιτείαν, διά τε τὰ γεγενημένα, διά τε τὰ ἐσόμενα· τὰ γεγενημένα μὲν, ὅτι ἡ ψυχὴ ἡμῶν παλαιωθεῖσα ἐν γήρᾳ τῆς ἁμαρτίας, ἀθρόως διὰ τοῦ βαπτίσματος ἀνενεώθη, ὡσανεὶ ἀνακτισθεῖσα πάλιν. διὸ καινὴν καὶ οὐρανίαν ἀπαιτούμεθα πολιτείαν· διὰ τὰ ἐσόμενα δὲ, ὅτι καὶ ὁ οὐρανὸς, καὶ ἡ γῆ, καὶ πᾶσα ἡ κτίσις εἰς ἀφθαρσίαν μεταστήσεται μετὰ τῶν σωμάτων τῶν ἡμετέρων. μὴ τοίνυν μοι λέγε, φησὶ, περιτομὴν τὴν οὐδὲν δυναμένην λοιπόν. πῶς γὰρ αὕτη φανεῖται, πάντων ἐπὶ τοσοῦτον μεταβεβλημένων; ἀλλὰ τὰ καινὰ ζήτει πράγματα τῆς χάριτος. οἱ γὰρ ταῦτα διώκοντες, οὗτοι καὶ εἰρήνης καὶ φιλανθρωπίας ἀπολαύσονται, καὶ τῷ τοῦ Ἰσραὴλ ὀνόματι κυρίως ἂν καλοῖντο· ὡς οἵ γε τὰ ἐναντία φρονοῦντες, κἂν ἐξ ἐκείνου γεγενημένοι εἶεν, καὶ τὴν προσηγορίαν αὐτοῦ περιφέροιεν, πάντων ἐκπεπτώκασι τούτων, καὶ τῆς συγγενείας, καὶ τῆς ἐπωνυμίας αὐτῆς. οἱ γὰρ κυρίως Ἰσραηλῖται εἶναι δυνάμενοι, οἱ τὸν κανόνα τοῦτον διατηροῦντές εἰσιν, οἱ τῶν παλαιῶν ἀπεχόμενοι, καὶ τὰ τῆς χάριτος διώκοντες. Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω. ἐνταῦθα οὐχ ὡς καμὼν, οὐδ' ὡς περικακήσας ταῦτα φθέγγεται. ὁ γὰρ πάντα καὶ ποιεῖν καὶ πάσχειν ὑπὲρ τῶν μαθητῶν αἱρούμενος, πῶς ἂν ἐξελύθη καὶ ἀνέπεσε νῦν; ὁ λέγων, ἐπίστηθι εὐκαίρως ἀκαίρως· ὁ λέγων, μήποτε δῷ αὐτοῖς ὁ θεὸς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. τίνος οὖν ἕνεκεν ταῦτά φησιν; ἀναστέλλων αὐτῶν τὴν ῥᾴθυμον γνώμην, καὶ εἰς φόβον πλείονα ἐμβάλλων, καὶ πηγνὺς τοὺς παρ' αὐτοῦ τεθέντας νόμους, καὶ οὐ συγχωρῶν ἀεὶ κινεῖν αὐτούς. Ἐγὼ γὰρ τὰ στίγματα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ σώματί μου βαστάζω. οὐκ εἶπεν, ἔχω, ἀλλὰ, βαστάζω, ὥσπερ τις ἐπὶ τροπαίοις μέγα φρονῶν, ἢ σημείοις βασιλικοῖς· εἰ καὶ τοῦτο πάλιν ὄνειδος εἶναι δοκεῖ. ἀλλ' οὗτος ἐπὶ τοῖς τραύμασιν ἐναβρύνεται, καὶ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω καὶ οὗτος ἀγαλλιάζεται τραύματα περιφέρων. διὰ τί δὲ τοῦτο λέγει; παντὸς λόγου, πάσης φωνῆς λαμπρότερον διὰ τούτων ἀπολογοῦμαι, φησί. ταῦτα γὰρ φωνὴν σάλπιγγος ὑψηλοτέραν ἀφίησι πρὸς τοὺς ἀντιλέγοντας, καὶ λέγοντας ὑποκρίνεσθαί με τὸ δόγμα, καὶ πρὸς ἀνθρώπων ἀρέσκειν τι λέγειν. οὐδὲ γὰρ εἴ τις στρατιώτην εἶδεν ἐκ παρατάξεως ᾑμαγμένον ἐξελθόντα, καὶ μυρία τραύματα ἔχοντα, δειλίας κρίνειν αὐτὸν καὶ προδοσίας ἠνείχετο, ἐπὶ τοῦ σώματος τῆς ἀνδραγαθίας φέροντα τὴν ἀπόδειξιν. καὶ ἐπ' ἐμοῦ τοίνυν

[a] σφαττόμενον, necem subire paratum; sic intelligendus locus est.

A stolum subvexerit? Non enim solum jam omnes mundi res illi mortuas reddidit, verum etiam longe supra veterum institutum sustulit. Quid huic potentiæ par? Siquidem qui prius pro hac circumcisione occidebatur, & alios occidebat, huic persuasit crux, ut illa eodem loco relicta quo erat præputium, nova quædam & admiranda, ac cælos transscendentia perquireret negotia. Hanc enim appellat novam creaturam, nostrum vivendi institutum, tum ob ea quæ nata sunt, tum ob ea quæ futura sunt. Ob nata quidem, quod nostra natura, quæ inveteraverat senio peccati, repente baptismi lavacro B renovata est; ac si denuo esset condita. Quapropter etiam nova ac cælestis a nobis exigitur vitæ forma. Ob futura vero, quod & cælum & terra, & omnis denique creatura, in incorruptibilitatem transferenda sit una cum nostris corporibus. Proinde ne mihi posthac loquaris, inquit, de circumcisione, quæ nullam habet vim. Quomodo enim hæc comparebit, cum omnia tantopere sint immutata? Quin potius res novas quærite, quæ ad gratiam spectant. Hæc enim qui sectantur, hi & pace & Dei erga nos bonitate fruentur: ac proprie nomine Israëlis appel- C lari possunt: illi vero qui contraria sentiunt, etiam si ex illo prognati essent, ejusque cognomen circumferrent, ex iis tamen omnibus exciderunt, & a cognatione, & ab ipso cognominationis honore. Hi vere Israelitæ possunt esse qui regulam hanc servant, qui a veteribus discedunt, & gratiam sectantur. 17. *De cætero nemo mihi molestus sit.* Hic non quasi lassus, aut defatigatus hæc loquitur. Etenim qui omnia tum facere tum pati causa discipulorum induxerat animum, quomodo nunc fractus esset concidissetque? Qui dicit: *Insta opportune, importune:* Qui 2. Tim. 4.
dicit, *Si forte det illis Deus agnitionem veri-* 2. Tim. 2.
D *tatis, & resipiscant a diaboli laqueis.* Quam igitur ob causam hæc dicit? ut illorum socordem animum premat, & in majorem conjiciat terrorem, & leges ab ipso latas confirmet, nec finat illos semper movere, *Ego enim stigmata Domini nostri Jesu Christi in corpore meo porto.* Non dixit, habeo: sed, porto; tamquam aliquis de tropæis glorians, signisque regalibus. Quamquam hoc ipsum rursus probrosum esse videatur. Verum hic sua vulnera jactat, neque secus quam solent milites vexilliferi, hic exsultat, vulnera circumferens. Sed quam ob causam hoc dicit? E Quovis sermone, quavis, inquit, voce clarius per hæc me purgo. Hæc namque vocem tuba sublimiorem emittunt adversus eos qui mihi contradicunt, prædicantque me simulare dogma, & ad placendum hominibus aliquid dicere. Etenim si quis militem videret ex acie cruentatum prodiisse, innumeris vulneribus saucium: num posset illum ignaviæ proditionisque damnare, argumenta fortitudinis in ipso corpore gestantem? De me quoque, inquit, similiter ju-

dicate. Et si quis velit meam purgationem audire, animumque meum cognoscere, spectet vulnera, quæ certiorem exhibent probationem, quam hæc verba, quam hæc scripta. Exordiens enim epistolam, ex subita sui mutatione, sincerum animum suum, fucique expertem evidenter ostendit: finiens vero declarat idem ex periculis quæ ipse adiit. Ne quis diceret, recto quidem animo mutatus est, verum non perstitit in eodem proposito; testes allegat, se etiam perstitisse, tentationes, pericula, plagas. Deinde postquam se dilucide purgavit de omnibus, declaravitque, quod nihil eorum quæ dicta sunt, dixerit animo commoto, aut odii causa; sed immobilem se erga illos servare caritatis affectum, rursus hoc ipsum confirmat, claudens orationem precatione, plena bonis innumeris, & ita loquens: 18. *Gratia Domini nostri Jesu Christi cum spiritu vestro, fratres. Amen.* Hoc extremo verbo, cunctis quæ prius dicta sunt, signaculum addidit. Non enim simpliciter dixit, vobiscum, quemadmodum de cæteris, sed ait, cum spiritu vestro: avocans illos a carnalibus, & ubique demonstrans Dei beneficentiam, gratiamque commemorans, quam acceperant, per quam poterat illos ab omni errore Judaïco revocare. Nam & Spiritum accepisse non erat legalis inopiæ, sed justitiæ, quæ est secundum fidem: nec acceptum tenere, erat ex circumcisione, sed ex gratia. Eapropter admonitionem clausit deprecatione, spiritus simul & gratiæ mentionem refricans; fratres alloquens, & Deum invocans, ut iis perpetuo fruantur, & duplici modo homines communiens. Hoc ipsum enim & precatio & doctrina, quasi pro duplici muro ipsis erant. Nam & doctrina commonefaciens illos quantum bonorum accepissent, magis continebat illos in ecclesiæ dogmatibus: & precatio gratiam invocans, & in iisdem perseverare suadens, non sinebat spiritum ab illis discedere: quo quidem in illis manente, non aliter ac pulvis, dispellebatur omnis ejusmodi dogmatum fallacia; in Christo Jesu Domino nostro, cui cum Patre & Spiritu sancto gloria & imperium, nunc & semper & in sæcula sæculorum, amen.

A οὕτω ψηφίζεσθαι δεῖ, φησι. καὶ εἴ τις ἀκοῦσαι βούλεται τῆς ἐμῆς ἀπολογίας, καὶ τὴν γνώμην μου καταμαθεῖν, βλεπέτω τὰ τραύματα, τῶν ῥημάτων τούτων καὶ τῶν γραμμάτων πλείονα παρεχόμενα τὴν ἀπόδειξιν. ἀρχόμενος μὲν τῆς ἐπιστολῆς, ἀπὸ τῆς ἀθρόας αὐτοῦ μεταβολῆς τὸ ἀνυπόκριτον αὐτοῦ ἔδειξε· τελευτῶν δὲ ἀπὸ τῶν κινδύνων. ἵνα μή τις λέγῃ, ὅτι μετέστη μὲν ἀπὸ διανοίας ὀρθῆς, οὐκ ἔμεινε δὲ ἐπὶ τῆς αὐτῆς προαιρέσεως, ὅτι καὶ ἔμεινε, μάρτυρας B παράγει τοὺς πόνους, τοὺς κινδύνους, τὰς πληγάς. Εἶτα ἀπολογησάμενος διὰ πάντων σαφῶς, καὶ δείξας, ὡς οὐδὲν εἶπε τῶν εἰρημένων θυμῷ καὶ ἀπεχθείᾳ, ἀλλ' ἀκίνητον ἔχει τὴν πρὸς αὐτοὺς φιλοστοργίαν, πάλιν αὐτὸ τοῦτο κατασκευάζει, εἰς εὐχὴν μυρίων γέμουσαν ἀγαθῶν καταλείων τὸν λόγον, καὶ οὕτω λέγων· ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. ἀμήν. τῷ ἐσχάτῳ ῥήματι τούτῳ πάντα τὰ ἔμπροσθεν ἐπεσφράγισεν. οὐ γὰρ ἁπλῶς μεθ' ὑμῶν, ὡς ἐπὶ τῶν ἄλλων, ἀλλά, μετὰ C τοῦ πνεύματος ὑμῶν, ἀπάγων αὐτοὺς τῶν σαρκικῶν, καὶ πανταχοῦ δεικνὺς τοῦ θεοῦ τὴν εὐεργεσίαν, καὶ ἀναμιμνήσκων τῆς χάριτος ἧς ἀπήλαυσαν, δι' ἧς πάσης αὐτοὺς ἱκανὸς ἦν Ἰουδαϊκῆς πλάνης ἀπαγαγεῖν. τότε γὰρ πνεῦμα λαβεῖν, οὐ τῆς νομικῆς ἦν πτωχείας, ἀλλὰ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης· τότε κατασχεῖν λαβόντας, οὐκ ἀπὸ τῆς περιτομῆς, ἀλλ' ἀπὸ τῆς χάριτος ἐγίνετο. πάλιν διὰ τοῦτο τὴν παραίνεσιν εὐχῇ κατέκλεισε, καὶ χάριτος καὶ πνεύματος ἀναμνήσας, ὁμοῦ καὶ ἀδελφοὺς προσειπὼν, καὶ παρακαλέσας τὸν D θεὸν τούτων αὐτοὺς διηνεκῶς ἀπολαύειν, καὶ διπλῷ τοὺς ἀνθρώπους ἀσφαλισάμενος τρόπῳ. ὃ γὰρ αὐτοῖς, καὶ εὐχὴ, καὶ διδασκαλία ὁλόκληρος ἀντὶ τείχους αὐτοῖς διπλοῦ γινομένη. ἥ τε γὰρ διδασκαλία ἀναμιμνήσκουσα αὐτοὺς ὅσων ἀπήλαυσαν ἀγαθῶν, μᾶλλον κατεῖχεν ἐν τοῖς τῆς ἐκκλησίας δόγμασιν· ἥ τε εὐχὴ καλοῦσα τὴν χάριν, καὶ παραμένειν αὐτοῖς πείθουσα, οὐκ ἠφίει τὸ πνεῦμα αὐτῶν ἀποστῆναι. τούτου δὲ ἐν E αὐτοῖς ὄντος, πᾶσα, ὥσπερ κόνις, ἀπεσοβεῖτο τῶν τοιούτων δογμάτων ἡ ἀπάτη, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

*Commentariorum Divi Joannis Chrysostomi in Epistolam ad Galatas finis.*

# IN SEQUENTIA SUPPOSITITIA OPUSCULA,

# MONITUM.

TANTA erat Joannis Chrysostomi in Ecclesia Græca existimatio, ut varii ævi scriptores, qui concionibus seu Homiliis edendis operam dabant, ut eæ cum omnium plausu exciperentur, ementito Chrysostomi nomine illas publicarent. Bibliopolæ quoque, ut quidem existimo, ut & facilius & majori precio, hujusmodi merces venumdarent, Chrysostomi nomine illas inscribi curabant. Hinc fit ut tam ingens spuriorum opusculorum silva ad nos pervenerit. Horum autem maximam partem, quæ lucem non merebatur, in tenebris latere sivissemus, nisi jam a Savilio & a Morello edita fuissent.

## Ὅτι θεοπρεπὲς ἔργον ἡ κατὰ θεὸν ἀγάπη ἐστί.

A ΑΓΑΠΗΝ τὴν οὐρανοκλίμακα λόγος οὐδεὶς κατ' ἀξίαν ὑμνῆσαι δύναται· ἀγάπη τοῦ πατρὸς σύνθρονός ἐστιν, ἀγάπη τὰ ἐπίγεια συνάπτει πρὸς τὰ οὐράνια· περὶ ἧς γλῶττα οὐκ ἐπαρκέσει, οὔτε νοῦς ἐξευρήσει ἐπαξίως δοξάσαι. τὸ δὲ ἔργον αὐτὸ δεικνύει ἡγεμόνα οὖσαν τῆς ἀρίστης πολιτείας τὴν ἀγάπην. τῇ γὰρ δημιουργίᾳ τοῦ θεοῦ αὕτη τελείαν περιβάλλει εὐπρέπειαν· αὕτη τῶν πολλῶν εἰς ἑνότητα παιδαγωγός, ἡ πρὸς ὁμοιότητα τοῦ ἑνὸς καὶ τοῦ ἁγίου κάλλους τὰ B πλήθη τῶν ἀνθρώπων ἐξεικονίζουσα ἀγγέλοις καὶ ἀνθρώποις. μία γὰρ οὖσα μορφὴ πᾶσαν λογικὴν φύσιν μορφοῖ εἰς τὴν τοῦ θεοῦ ὁμοιότητα· οὐ τοῖς ἀπαλλοτριουμένοις ἀπ' αὐτοῦ, ἀλλὰ τοῖς ὑπ' αὐτοῦ γνησιουμένοις καὶ συγκεκραμένοις ἐπαναπαύεται. πλείους μὲν ὄντες εἰς μίαν οἱ πάντες νενευκότες συμφωνίαν, κάλλιστόν τι καὶ τερπνὸν ἐφ' ἑαυτοῖς ἁρμονίαν ἐκφαίνουσιν· οὕτω τὰ διὰ τοῦ ἁγίου πνεύματος πολλὰ καὶ διάφορα ἐνεργήματα, πρὸς μίαν καὶ ἀγαθὴν ὁμοφροσύνην συναγόμενα, θεοειδέστατον καὶ θεοπρεπέστατον κάλλος ἐκφαίνει, τιμιώτατον θεῷ καὶ τῆς ἁγίας εὐφροσύνης ἄξιον τῆς παρὰ τῷ δημιουργῷ. C διὰ τὴν ἀγάπην τὴν πρὸς ἀνθρώπους καταβέβηκεν ὁ θεὸς ἐπὶ τῆς γῆς, καὶ μετὰ τῶν ἀνθρώπων συνανεστράφη, οὐκ ἐν ἀποκρύφῳ καὶ ἀφωρισμένῳ, καθάπερ πρότερον, ἁγιάσματι προσκυνούμενος, ἀλλ' ὁμόσκηνος ἀνθρώποις εἰς ὁμοιότητα καὶ συνδιατριβὴν ἡμετέραν κατελθών· ἵνα εἰς τὴν ἑνὸς πνεύματος οἰκειότητα πάντας προσαγόμενος, ὥσπερ ἓν σῶμα καὶ ἓν πνεῦμα κατασκευάσῃ. ὑπηρέτις οὖσα τοῦ κυρίου, καὶ τοῦ πνεύματος ὑπουργὸς ἡ θεία ἀγάπη, τὰ διεστῶτα συνάγει, τὰ ἀπηλλοτριωμένα οἰκειοῖ. ὢ Χριστοῦ θαυμάσιον ἔργον, ἡ ἀγάπη· ὢ κόσμου σωτηρίας μυστήριον. δι' ἀγάπην ἀποστέλλει ὁ πατὴρ καὶ θεὸς εἰς τὸν κόσμον τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. D ὁ Χριστὸς γάρ, φησιν, ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς. ἀγάπη τοὺς ὑπὲρ τοῦ πλησίον πόνους ἡδέως φέρει, δι' ἀγάπην δοῦλοι ἀλλήλων εἶναι κελευόμεθα. διὰ γὰρ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ἀγάπη τὰς ἰδίας ἑνὸς ἑκάστου κτήσεις, κοινὰς ἁπάντων ἐργάζεται. ἀγάπη δεικνύει σοι τὸν πλησίον, ὡς ἑαυτόν. καὶ φέρει ἁμαρτήματα, ὡς καὶ τὰ ἑαυτοῦ.

## *Caritatem secundum Deum rem esse Deo dignam.*

A CARITATEM, scalam cælestem, nemo digne celebrare potest. Caritas in throno Patris sedet, terrena cum cælestibus copulat, quam nec lingua enarrare, nec mentis inventio digne glorificare potest: res ipsa docet caritatem esse ducem optimæ vitæ. Nam creationi Dei illa perfectum decorem addit: hæc est multorum pædagogus ad unitatem, quæ ad unius similitudinem * * * hominum cœtum ad imaginem angelorum & hominum conformat. Nam B cum sit una forma, omnem rationabilem naturam ad Dei similitudinem concinnat: neque in iis qui ab illo abalienati sunt, sed in iis qui subsunt & ipsi commixti sunt requiescit: multi licet sint, omnes in unum coeunt concentum, & pulcherrimam jucundamque harmoniam in se exhibent. Sic multæ ac diversæ sancti Spiritus operationes, in unum optimumque consensum redactæ divinissimam, Deoque dignissimam pulcritudinem exhibent, quæ Deo preciosissima est & sancto C gaudio digna apud creatorem. Propter caritatem erga homines descendit Deus in terram, & cum hominibus conversatus est, non in abscondita & remota, ut antea, sanctificatione adoratus; sed contubernalis hominibus, ad similitudinem & conversationem nostram descendit; ut in unius Spiritus proprietatem omnes aggregans, quasi unum corpus & unum spiritum concinnaret. Divina caritas cum ministra sit Domini & Spiritus sancti, dissita congregat, & abalienata propria efficit. O Christi mirabile opus caritas! O salutis mundi mysterium! Propter caritatem mittit Pater & Deus in mun- D dum Filium suum unigenitum. Nam *Christus*, inquit, *dilexit ecclesiam, & semetipsum pro illa tradidit*. Caritas pro proximo labores fert libenter: propter caritatem jubemur invicem servi esse. *Per caritatem servite invicem.* Caritas cujusque possessiones omnibus communes efficit. Caritas proximum tibi ut temetipsum ostendit, peccata aliorum fert ut sua. Parum

*Locum vitiatum divinando vertimus.*

*Quam nugax orator.*

*Ephes. 5. 25.*

*Gal. 5. 13.*

iratus eris, multum tolerabis. Propter caritatem augetur grex Christi. Caritas sanguinarios animos sedat, hostium arma hebetat, oblivionem adversariorum omnium inducit, vitam Christi pacificam in mundum immittit. *Non assumet gens contra gentem gladium, & non discent ultra bellum facere.* Ideo ait: *Orietur in diebus ejus justitia & abundantia pacis, donec auferatur luna.* Splendida autem est figura pacificæ vitæ. O beatæ pacis ducem caritatem, quæ inimicum & hostem hominum pellit dæmonem, per quam ingemiscit diabolus ob pacificos homines: lætantur angeli, pacis suæ imaginem apud homines videntes: nos jucundi mutuo sumus: & fratri conspectus fratris lætitia omnium maxima est: nam se in ærumnis consolationem habuisse dicit Paulus in adventu Titi: cum autem non adest, non habet spiritus requiem. Amor Dei, & fratrum amor, duo sunt inseparabilia. Et hoc, inquit Joannes, præceptum a Deo habemus, ut qui amat Deum, amet & fratrem suum. Hoc enim etiam Petro dicit: *Si amas me, pasce oves meas*; id est, ostende amorem erga pastorem, oves solicite curans. Quam firmus est ille murus, recto grandium lapidum ordine munitus, & hostium impetus avertens? Qualis ille cœtus caritatis vinculis coaptatus ad tentationes diaboli depellendas? Quis decor talis plantarum ordine positarum; aut exercitus ordo concinnus qui in acie decenti procedit? Hæc quippe voluptatem afferunt: sed omnium jucundissimum & dulcissimum est spectaculum, eorum qui caritate juncti sunt naturalis ille concentus & decor: qui vel in oculis Domini honorabilis & preciosus appareat. Audi Davidem, imo potius gratiam Spiritus sancti: *Ecce quam bonum, & quam jucundum?* nihil aliud eorum quæ sunt super terram, sed, *habitare fratres in unum.* Sicut unguentem effusum in caput. Angeli nostros choros circumeunt, & de nobis lætantur, quia illorum morem imitamur. Si enim de uno peccatore pœnitentiam agente gaudium est in cælo, secundum Domini dictum, multo magis de tanto numero eorum qui salutem obtinent. Nam futuri sæculi lætitia hinc apparet, in diaboli luctum & dæmonum ventilationem. Quando choros invicem ordinamus, uno animo, una sententia ad hymnos Deo canendos, ac modulatam & magnificam cherubinorum melodiam imitamur. Ut enim illi sibi uno alium excipiente, succedunt, ut ter sanctum hymnum canant; sic & nos ad illorum formam duos choros constituentes, & nobis mutuo respondentes, spiritualem canimus melodiam. Res mira est iis qui foris sunt, desiderabilis videntibus, amoremque ingenerat in audientibus, ac divinus efficaxque sensus in nobis reperitur, quo sentimus omnes corruptorum morum & dissensionum causas a nobis avulsas esse. Propter nos universi glorificabunt Deum, vitam in terra cælestem videntes. Ideo Paulus docuit nos omnes idipsum sentire & idipsum dicere. Idcirco Christus binos mittens apostolos, etiam mulieres instituit ad concordiam, ut ne ipsum quidem virginum cœtum hac angelica imitatione expertem constitueret. Ideo dicit, *Evodiam rogo & Syntychen id ipsum sapere in Domino.* Alios sibi superiores putare jussit, ne per ambitionem, imo per vanam gloriam, separentur; sed honorem proximo deferentes, ipsis conjungi & consociari. Honorabilia certe sunt nostra, & vere supra mundana ea quæ ad sacram & divinam caritatem pertinent. Videamus quoque legis doctrinam. Non superbies, inquit, in egenum, sed largieris afflicto: fructibus tuis fruetur pauper: ac reliquias messis & vindemiæ, ad alimentum pauper habebit. Septimo anno servus in libertatem dimittetur. Quinquagesimo

Margin references: *Isai 2. 4.* — *Psal. 71. 7.* — *2. Cor. 7. 6.* — *Joan. 21. 16.* — *Psal. 132. 1.* — *Luc. 15. 7.* — *Philip. 2. 2.* — *Phil. 4. 2.* — *Deut. 24. 6.*

A ὀλίγα μὲν ὀργισθήσῃ, πλεῖστα δὲ μακροθυμήσεις. δι' ἀγάπην αὔξεται ἡ ποίμνη τοῦ Χριστοῦ· ἀγάπη φονικοὺς πραΰνει θυμοὺς, ὅπλα πολεμίων ἀμβλύνει, καὶ λήθην πολεμίων ἐντίθησιν ἁπάντων, καὶ τὴν εἰρηνικὴν πολιτείαν Χριστοῦ τῷ κόσμῳ εἰσάγει. οὐ λήψεται γὰρ ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. διὰ τοῦτο ἀνατελεῖ, φησιν, ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. λαμπρὸς δὲ καὶ ὁ τύπος τῆς εἰρηνικῆς πολιτείας. ὢ τῆς μακαρίας εἰρήνης ἀρχηγὸς ἀγάπη, ἡ τὸν ἐχθρὸν καὶ πολέμιον ἐν ἀνθρώποις ἀπελαύνουσα δαίμονα, δι' ἧς στένει μὲν ὁ διάβολος ἐπ' ἀνθρώποις εἰρηνικοῖς· συνήδονται δὲ ἄγγελοι τῆς ἑαυτῶν εἰρήνης εἰκόνα ἐν ἀνθρώποις ὁρῶντες. φαιδροὶ πρὸς ἀλλήλους ἡμεῖς ἐσμεν, καὶ πάσης εὐθυμίας μεῖζον ἀδελφὸς ὀφθεὶς ἀδελφῷ. παρακαλεῖσθαι γοῦν ἐπὶ τῇ θλίψει, B φησὶν ὁ Παῦλος, ἐπὶ τῇ παρουσίᾳ Τίτου. ὅτε δὲ οὐ πάρεστιν, οὐκ ἔχει ἄνεσιν τῷ πνεύματι. ἀγάπη θεοῦ, καὶ ἀδελφῶν ἀγάπη, δύο ἀχώριστα. καὶ ταύτην, φησὶν ὁ Ἰωάννης, ἐντολὴν ἔχομεν παρὰ τοῦ θεοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. τοῦτο γὰρ εἶπε καὶ τῷ Πέτρῳ· εἰ ἀγαπᾷς με, βόσκε τὰ πρόβατά μου, τουτέστι, δεῖξον τὴν πρὸς τὸν ποιμένα ἀγάπην, τῶν προβάτων διὰ σπουδῆς προνοούμενος. ποῖον οὕτω τεῖχος ἀρραγὲς, ἁρμονίαις λίθων εὐμεγεθῶν ὀχυρωμένον, καὶ πολεμίων ἀποτρέπον ἐφόδους, οἷον ἁγίων σύστημα ἡρμοσμένον τοῖς τῆς ἀγάπης δεσμοῖς, καὶ τὰς τοῦ διαβόλου πείρας; τίς δὲ φυτῶν εὐπρέπεια τοιαύτη κατὰ στίχον πεφυτευμένων, ἢ στρατιᾶς εὐάρμοστος σύνταξις ἐν κόσμῳ καὶ τάξει εὐπρεπεῖ προϊοῦσα; ταῦτα γὰρ παρέχει τέρψιν· τερπνότερον C δὲ καὶ ἥδιον πάντων, τῶν ἐν ἀγάπῃ συνηρμοσμένων ἀλλήλοις ἡ κατὰ τὴν φυσικὴν ἁρμονίαν εὐπρέπεια. αὕτη γὰρ ἐν ὀφθαλμοῖς κυρίου σεμνὴ καὶ ἔντιμος φαίνεται. ἄκουε τοῦ Δαυὶδ, μᾶλλον δὲ τῆς χάριτος τοῦ ἁγίου πνεύματος· ἰδοὺ τί, φησι, τί καλὸν, ἢ τί τερπνόν; οὐδὲν ἕτερον, οὐδὲν ἄλλο τῶν ἐπὶ τῆς γῆς, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό· ὡς μύρον ἐκκενωθὲν ἐπὶ κεφαλήν. ἄγγελοι τοὺς ἡμετέρους χοροὺς περιχορεύουσι, καὶ εὐφραίνονται ἐφ' ἡμῖν, ὅτι τὴν αὐτῶν διαγωγὴν μιμούμεθα. εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ ἐν οὐρανῷ γίνεται, κατὰ τὸν τοῦ κυρίου λόγον, πολλῷ μᾶλλον ἐπὶ τοσούτῳ πλήθει σωζομένων. ἡ γὰρ τοῦ μέλλοντος αἰῶνος εὐφροσύνη ἀπεντεῦθεν φαίνεται, τῷ μὲν διαβόλῳ πένθος, δαιμόνων λικμητήριον. ὅτε χοροὺς συνεστήκαμεν ἀλλήλοις, ἐν D μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ πρὸς ὑμνῳδίαν θεοῦ τὴν παναρμόνιον τῶν χερουβεὶμ καὶ μεγαλόδοξον μιμούμεθα μελῳδίαν. ὥσπερ γὰρ ἐκεῖνα ἐκ διαδοχῆς ἓν τοῦ ἑνὸς παραλαμβάνοντα, τὸν τρισάγιον ᾄδουσιν ὕμνον· οὕτω καὶ ἡμεῖς εἰς τὸν ἐκείνων τύπον δύο χοροὺς συστησάμενοι, καὶ ἀντιφωνοῦντες ἀλλήλοις, τὴν πνευματικὴν ᾄδομεν μελῳδίαν. θαῦμα τοῖς ἔξωθεν, ἐπιθυμητὸν τοῖς ὁρῶσι, καὶ πόθος τοῖς ἀκούουσιν ἐγγίνεται, καὶ θεία ἐνεργὴς αἴσθησις ἐν ἡμῖν εὑρίσκεται· δι' ἧς αἰσθανόμεθα ἐκριζουμένων ἐξ ἡμῶν πάντων τῶν κακοτροπείας καὶ διαιρέσεως αἰτιῶν. πάντες δι' ἡμᾶς δοξάσουσι τὸν θεὸν, πολιτείαν ἐπὶ γῆς ὁρῶντες οὐράνιον. διὰ τοῦτο πάντας ἡμᾶς ἓν φρονεῖν καὶ τὸ αὐτὸ λέγειν ὁ Παῦλος ἐδίδασκε· διὰ τοῦτο Χριστὸς ἀποστέλλων συνδύο πέμπει τοὺς ἀποστόλους, μέχρι καὶ γυναικῶν E εἰσηγεῖται τὴν ὁμοφροσύνην· ἵνα μηδὲ τὸν τῶν παρθένων σύλλογον ἄμοιρον ταύτης τῆς ἀγγελικῆς μιμήσεως καταστήσῃ. διὰ τοῦτο λέγει, Εὐοδίαν παρακαλῶ καὶ Συντύχην τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ἀλλήλους ὑπερέχοντας ἡγεῖσθαι κελεύει, πρὸς τὸ μὴ διαλύεσθαι τῇ φιλοτιμίᾳ, μᾶλλον δὲ τῇ κενοδοξίᾳ· ἀλλὰ τὴν τιμὴν παραχωροῦντες τῷ πλησίον ἑνοῦσθαι καὶ συγκρίνεσθαι. σεμνὰ μὲν οὖν τὰ καθ' ἡμᾶς, καὶ ὡς ἀληθῶς ἐπικόσμια τὰ τῆς ἱερᾶς καὶ θείας ἀγάπης· ἴδωμεν δὲ καὶ τὰ ἐν τῷ νόμῳ διδασκαλίας. καὶ γὰρ αὗται συμφέροντες διδάσκουσιν. οὐχ ὑπερόψει, φησὶ, τὸν ἐνδεῆ, μεταδώσεις δὲ θλιβομένῳ. ἀπολαύσει τῶν παρὰ σοὶ καρπῶν ὁ πένης. καὶ τοῦ θερισμοῦ τὰ λείψανα καὶ τοῦ τρυγητοῦ πρὸς τροφὴν ἕξει ὁ πένης· ἑβδόμῳ δὲ ἔτει καὶ ὁ δοῦλος εἰς ἐλευθερίαν ἀφεθήσεται, πεντηκοστῷ

δὲ

δὲ ἔτει ἅπαν χρέως λυθήσεται, καὶ οἱ πεπρακότες τὰς κλήσεις ἐπαναλήψονται, μὴ ἀποδώσαντες τὸ τίμημα. τόκον οὐκ ἀπαιτήσεις, οὐκ ἐνεχυράσεις μύλον, οὐδὲ ἐπιμύλιον, οὐδὲ τοῦ πένητος ἐνεχυράσεις ἱμάτιον, οὐδὲ μὴ ἐπεισελεύσῃ βιαίως λαβεῖν ἐνέχυρον. οὐκ ἐγκαταλείψεις τὸ ὑποζύγιον τοῦ πλησίον σου, οὐδ' ἂν ἐχθρὸς τυγχάνῃ· ἐπανάξεις δὲ αὐτῷ καὶ ζῶον πλανώμενον, ὑπηρέτης ὡς φίλῳ γινόμενος, καὶ διαλύων τὴν ἔχθραν ἐμπεσούσης προφάσεως. ταῦτα δὲ πάντα τὰ παραγγέλματα δι' οὐδὲν ἕτερον, ἀλλὰ διὰ τὴν ἱερὰν καὶ πολυπόθητον τοῦ θεοῦ ἀγάπην. καὶ γὰρ εἰς τοῦτο καὶ εὐαγγελικὰ παραγγέλματα κατατρέχει. μετὰ γὰρ τὸ πολλὰ εἰπεῖν πληρωτικὰ τοῦ νόμου, ἐπήγαγε· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐν ἅπασι τὴν ἔχθραν καταλύων, καὶ τὴν ἀγάπην φυτεύων. χρέως ἔστω παρ' ὑμῖν τὸ ἀγαπᾷν ἀλλήλους μηδέποτε πληρούμενον. φησὶ γὰρ ὁ Παῦλος, μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾷν. ὥσπερ γὰρ τὰς τροφὰς καθ' ἑκάστην ἐπιζητοῦμεν τὴν ἡμέραν, καὶ οὐχὶ ἡ προλαβοῦσα χορτασία ἀποστήσει ἡμᾶς τοῦ μὴ καθ' ἑκάστην ἐπιζητεῖν τροφὰς, ἀλλὰ τοῦτο ἀπὸ τῆς φύσεως ἀπαιτούμενοι ὡς χρέως ὀφείλομεν· οὕτω καὶ ἐπὶ τῆς ἀγάπης τὸν αὐτὸν τύπον φυλάξωμεν. οὐ πλησθήσεται, φησιν, ὀφθαλμὸς τοῦ ὁρᾷν, καὶ οὖς τοῦ ἀκούειν. γλυκὺ τοῖς ὀφθαλμοῖς τὸ φῶς, καὶ οὐδεὶς ἔκαμεν ὁρῶν τῷ ὀφθαλμῷ, καὶ οὐδεὶς ἔκαμεν ἀκούων τοῖς ὠσίν· οὕτω καὶ τὸ τῆς ἀγάπης ἐράσμιον ἔργον ἀόκνως ἐπιτελεῖν ὀφείλομεν, καὶ οὐδέποτε κορέννυσθαι. ὕδωρ γὰρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. μένει γάρ, φησι, τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη. ὥσπερ γὰρ ἦν ἀπ' ἀρχῆς, οὕτω καὶ εἰς αἰῶνα φυλαχθήσεται· ἣν ἐξακολουθοῦντας ἡμᾶς γένοιτο τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A autem anno omne debitum solvetur, & qui possessiones suas vendiderint, illas recipient, non dantes precium. Fœnus non exiges, non oppignerabis molam, neque molam superiorem, neque vestem pauperis in pignus accipies, neque violenter invades ad accipiendum pignus. Non relinques subjugale proximi tui, etiamsi tibi inimicus fuerit, sed reduces illi etiam animal errans, minister illi effectus, quasi amico, & inimicitias dissolvens, oblata occasione. Hæc porro omnia præcepta ob nihil aliud, quam ob sacram & desiderabilem Dei caritatem data sunt: nam in hoc evangelica quoque præcepta concurrunt. Postquam enim multa dixit ad legem implendam spectantia addidit: *Benefacite iis qui oderunt vos, & orate pro persequentibus vos*; in omnibus inimicitiam dissolvens & caritatem inserens. Debitum sit in Matt. 5. 44.
B vobis, vos invicem amare, quod nunquam terminatur. Ait enim Paulus: *Nemini quidquam debeatis, nisi ut invicem diligatis.* Sicut enim cibos quotidie quærimus, neque præcedens saturitas nos impedit quominus quotidie alimenta quæramus: sed illud, natura exigente, quasi debitum nostrum est; sic & in caritate eamdem sequamur formam. *Non saturabitur*, inquit, *oculus visu, neque auris auditu.* Dulcis est oculis lux, & nemo videns illam oculis fatigatur; neque auribus audiens; sic & desiderabile caritatis officium impigre implendum, neque unquam satiari oportet. Nam aqua multa non poterit extinguere caritatem. *Manent* enim, inquit, *tria hæc, fides, spes, caritas.* Sicut enim ab initio Rom. 13. 8. Eccles. 1. 8. 1. Cor. 13. 13.
C fuit, sic manebit in sæcula: quam nos sequentes, utinam æterna bona consequamur, in Christo Jesu Domino nostro, cui gloria & imperium in sæcula sæculorum, amen.

## Εἰς τὸ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω, καὶ ὅτι παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ τὰ ἑξῆς.

## In illud: *Si Filius Dei es, mitte te deorsum*, &, *assumit eum diabolus in montem excelsum valde*, &c.

ΗΛΙΟΣ μὲν ὑπὲρ γῆς παρακύψας, καὶ πρὸς ἡμᾶς ἐξ ἑώας ἱππεύων, μετανίστησι νύκτα, τοὺς ὑπνοῦντας ἐγείρει, καὶ παραδίδωσιν ἔργοις· θεογνωσίας δὲ φέγγος ἐξυπνίζει ψυχὴν, λογισμοὺς περιλάμπει, καὶ πρὸς ἀρετὰς διανίστησι· καὶ ταύτην μᾶλλον ἡμῖν, ἢ τὸν ἥλιον ἐπιλάμπειν εὐκταῖον. ἥλιον γὰρ καὶ μὴ βλέπων τις ζήσεται· ζῇ οὖν ὁ πηρὸς ἀκοῇ γινώσκων τὸν ἥλιον· ἀνήλιοι δὲ θεογνωσίας ψυχαὶ νεκραὶ, κἂν ὑποπτεύωνται ζῆν· περὶ ὧν καὶ ὁ δεσπότης φησίν· ἄφετε τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς. ἀλλ' ὁ τῆς νεκρώσεως παλαίσας γεννήτορι, ἑκατέρας ἐξείλετο τὸν βίον νεκρώσεως. διττὴ γὰρ περὶ ἡμᾶς ἡ νεκρότης· ἡ μὲν φύσει προσγινομένη θνητῇ, ἡ δὲ γνώσεως ἀποβολῇ φυομένη· ἀγνωσία γὰρ θεοῦ νεκρωτικῆς ἀναισθησίας ὁμοίωμα· ὧν ἀμφοτέρων ἐργάτης ὁ διάβολος· ὃν καταῤῥάξας Χριστὸς ἤγειρεν ἐξ ἀμφοτέρας τὴν φύσιν νεκρότητος, τὴν μὲν ψυχὴν δόγμασι ζωοποιοῖς ἀνορθώσας, ἀναστάσει δὲ τὸ θνητὸν ἀνακλήσας. τοῦ γὰρ ὠθοῦντος πεσόντος, τὸ ὠθούμενον στήσεται· καὶ ὁ τῆς πάλης τῷ βίῳ καταλέλειπται πίναξ, ὅπως ἡ φύσις εἰς ἐκεῖνον ὁρῶσα ῥωννύηται. ποῦ δὲ ὁ πίναξ; εἰς τὴν ἔρημον βλέψον. ἐκεῖ γὰρ αὐτὸν ἡ χάρις ἀνέστησεν εἰκόνι τυραννοκτόνῳ, καὶ κατ' ἐρήμους φοβοῦσα τὸν τύραννον. σκάμμα μὲν ὁρῶμεν τὴν ἔρημον, χεῖρα δὲ τὸν διάβολον πλάττουσαν τοῦ κυρίου τὴν πεῖναν, παλαίσματα δὲ τρία, τὰς τρισσὰς ἀποκρίσεις. νόμος

SOL quidem supra terram cursum agens, & ab oriente ad nos equitans, noctem aufert & dormientes excitat, operibusque tradit. Nugatis Græculi opusculum.
Lux autem divinæ cognitionis, animam expergefacit, cogitationes illuminat, atque ad virtu-
D tes excitat. Hæc vero magis quam solis lux nobis optanda est. Nam sine sole vivitur: cæcus enim vivit, qui, nonnisi ex auditu solem novit. Animæ vero, sole cognitionis Dei expertes, mortuæ sunt, etiamsi vivere putentur: de quibus Dominus ait: *Sinite mortuos sepelire mortuos suos.* Sed qui pro Patre adversus mortem decertavit, ab utraque morte vitam hominum liberavit. Duplex enim mors apud nos est; illa nempe quæ ex natura provenit; & alia quæ ex ignorantia contingit: ignorantia quippe Dei mortali insensibilitati similis est. Utramque vero mortem operatus est diabolus: quo perfra- Matt. 8. 22.
E cto Christus ab utraque morte naturam liberavit, ubi animam vivificis dogmatibus restauravit, resurrectione vero quod mortale erat redintegravit. Nam cadente illo qui impellebat, qui impellebatur stabit. Illiusque certaminis tabula generi hominum relicta est, ut illam respiciens humana natura roboraretur. Ubinam est illa tabula? Desertum respice. Illic enim ipsum gratia suscitavit per imaginem, qua tyrannus occiditur, quæque per deserta tyrannum fugat. Locum certaminis videmus desertum; manum vero diabolum, quæ Domino famem indit; tria certamina, tres responsiones. Lex

enim pugnæ est, ut certamen triplicetur. Triplex certamen enumera : *Si Filius Dei es, dic ut lapides isti panes fiant.* Confligit hîc cum Domino diabolus. Christus autem ait illi : *Non in solo pane vivet homo.* Nocumentum vitavit Dominus. *Si Filius Dei es, mitte te deorsum.* Hæc secunda sunt dæmonis certamina. *Non tentabis Dominum Deum tuum* : hoc dictum solvit conatum. *Hæc omnia tibi dabo, si cadens adoraveris me* : hoc est principium tertiæ luctæ, quo Servator ceu athleta quispiam adversarium contentiosum diabolum extra stadium projecit. *Vade retro me, Satana : Scriptum est, Dominum Deum tuum adorabis, & illi soli servies.* Dum vides pugnam, pugnare disce ; ex spectatore pugil efficiaris. Prima Domini contra diabolum lucta, luctam te docet contra voluptates. Initium certaminum fames erat ; fames, tyrannica concupiscentia, fames voluptatum caput. Nam concupiscentia cibi est effrene desiderium. Videt enim venter voluptatem indeprecabilem, quam multi fovere non valentes eo proruperunt, ut providentiam negarent, quasi Deus famelicos nihil curaret. Ad eam rem Christum diabolus impellit, sperans se illum ut hominem fame pressum decussurum esse : nesciebat enim divinitatem ipsi esse conjunctam. Siquidem divinitatem non adortus esset ut esurientem. Qui suam naturam nunquam esurire sciebat, si Deum adesse scivisset, de cibo non loquutus fuisset. Sed ut hominem videns, ut hominem alloquitur : *Si Filius Dei es, dic ut lapides isti panes fiant.* Filiationis scrutator non requisitus, cibum curat fame perniciosiorem. Primo supposuerat divinitatem ex ligno oriri ; nunc occasione appetitûs, ostendit desertum nihil aliud habere, quam lapides, ut ex famis loco desperationem augens, animum incredulitate concuteret, & quæstionem, an filius esset, solveret. Sed ad tentatorem respiciamus, & verborum laqueos exploremus. *Si Filius Dei es*, inquit, *dic ut lapides isti panes fiant.* Filius, inquit, nuper vocabaris cum baptizareris, & vocem hanc audivimus : *Hic est Filius meus dilectus, in quo mihi complacui.* Ridebam autem appellationem, ironiam, ridiculam laudem, honorem re vacuum. Tibi forte dictum illud voluptati erat, & credebas ut vere dilectus, & confidebas ut in cælo constitutus, & gaudebas utpote Deo carus. Quis pater de esuriente filio non solicitus est? Quis patronus non alit eum, qui ad se transfugit? Tu vero quadraginta diebus jejunus maceraris, & te esurientem pater non curat, diuturnamque famem despicit? Quis prolis amans pater esurienti filio panem non largitur? Bonus-ne filius esuriens a patre non nutritur? Ostendat dilectionem suppeditando panem: nutriat filium in deserto esurientem. Potest lapides in panes convertere : id pete dum esuris. Si gratiam præbeat, ut filius gloriare ; sed antequam accipias, ne ridiculam appellationem admittas. O inhumanam humanitatem! o commiserationem exitiosam! o curam perniciosam! o dulce veneficium! In incredulitatem concitat, & ad cibum petendum evocat ; non ut esurientem nutriat ; sed ut inescatum ad petitionem, ipsum ut incredulum erga Deum respuat. Respice Deum mentientem : *Hic est Filius meus dilectus, in quo mihi complacui.* Quid ergo Dominus Christus? Absconditum Deum non revelat, ne quod venabatur eliminaret ; sed ut homo simplex respondet : *Non in solo pane vivet homo ; sed in omni verbo quod procedit de ore Dei.* Non me deterret, inquit, ciborum inopia, non turbat fames in deserto : non peto ut ex lapidibus panes fiant. Multi enim apud divinam providentiam sunt juvandi modi. Dedit quidem hominibus cibos qui alerent, & alimentum carni :

Matt. 4. 3.

Matt. 3. 17.

A γὰρ πάλης, τὴν πάλην τριαδεύεσθαι. καὶ τὸ τῆς πάλης ἀρίθμησον τρίπλοκον. εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. συνέβαλε ἐνταῦθα ὁ διάβολος τῷ δεσπότῃ. ὁ Χριστὸς δὲ πρὸς αὐτόν· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. ἐξέδυ τὴν βλάβην ὁ δεσπότης. εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω. δεύτερα δὲ ταῦτα τοῦ δαίμονος σκάμματα. οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. ἔλυσεν ἡ λέξις τὸ κράτημα. ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ἀρχὴ τοῦτο τοῦ τρίτου παλαίσματος, ἐν ᾧ καθάπερ τις ἀθλητὴς ὁ δεσπότης ὡς ἀντίπαλον δύσεριν ἔξω τοῦ σκάμματος τὸν διάβολον ἔρριψεν. ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ἰδὼν τὴν πάλην, παλαίειν διδάχθητι. γενοῦ τῆς
B πάλης ἐκ θεατοῦ μαθητής. ἡ πρώτη τοῦ κυρίου πρὸς τὸν διάβολον πάλη, τὸ κατὰ τῶν ἡδονῶν διδάσκει σε πάλαισμα. πείνη γὰρ ἦν ἡ τῶν ἀγώνων ἀρχή· πείνη, τὸ τυραννικὸν ἐπιθύμημα, πείνη, τῶν ἡδονῶν τὸ κεφάλαιον. ἐπιθυμία γὰρ τροφῆς, ἀχαλίνωτος ἔρως. ὁρᾷ γὰρ ἡ γαστὴρ ἡδονὴν ἀπαραίτητον, καὶ ταύτην πολλοὶ θεραπεῦσαι μὴ σχόντες, εἰς τὴν τῆς προνοίας ἐξώκειλαν ἄρνησιν, ὡς οὐκ ὄντος θεοῦ φροντιστοῦ τῶν πεινώντων. πρὸς τοῦτο καὶ τὸν Χριστὸν ὁ διάβολος ὠθεῖ, ὡς ἄνθρωπον τῇ πείνῃ κεντούμενον ὑποπτεύσας σαλεῦσαι. τὴν γὰρ τῆς θεότητος οὐκ ᾔδει συνάφειαν. οὐ γὰρ ἂν ὡς πεινώσῃ προσῆλθε θεότητι. ὁ τὴν οἰκείαν μὴ πεινῆν ἐπιστάμενος φύσιν, οὐδ' ἂν γνωρίσας θεὸν περὶ τροφῆς διελέχθη. ἀλλ' ὡς ἄνθρωπον βλέπων, ὡς πρὸς ἄνθρωπον φθέγγεται, εἰ υἱὸς εἶ τοῦ
C θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. υἱοθεσίας δοκιμαστὴς μὴ ζητούμενος, τροφῆς φροντιστὴς βλαβερωτέρας λιμοῦ, τὴν ἐκ ξύλου τὸ πρῶτον θεοποιίαν ὑπέθετο, νῦν ὑπὸ τὴν ὄρεξιν, δεικνύων τὴν ἔρημον πλὴν λίθων οὐκ ἔχουσαν, ἵνα ὁ τῆς πείνης τόπος τὴν τῆς τροφῆς ἀπόγνωσιν αὐξήσας, σάλον τινὰ παρεμβάλῃ τῇ ψυχῇ δυσπιστίας, καὶ τὴν υἱότητα λύσῃ. ἀλλ' ἐπὶ τὸν πειραστὴν ἀποβλέψωμεν, καὶ τὰς τῶν φωνῶν παγίδας κατίδωμεν. εἰ υἱὸς εἶ, φησι, τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι ἄρτοι γίνωνται. υἱός, φησι, πρώην ἐκαλοῦ βαπτιζόμενος, καὶ λεγούσης τῆς φωνῆς ἠκροώμην, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἐγέλων δὲ τὴν προσηγορίαν, τὴν εἴρωνα, τὴν εὔφημον χλεύην, τὴν ψιλὴν ἔργου τι-
D μήν· σοὶ δὲ τάχα καθ' ἡδονὴν τὸ ῥηθὲν ἦν, καὶ πιστεύεις, ὡς ἀληθῶς ἀγαπώμενος, καὶ θαῤῥεῖς, ὡς ἐν οὐρανῷ τεταγμένος, καὶ χαίρεις, ὡς θεῷ περισπούδαστος. ποῖος πατὴρ πεινῶντος τοῦ παιδὸς οὐ φροντίζει; τίς οὐ τρέφει προστάτης τὸν πρόσφυγα; σὺ δὲ τεσσαράκοντα ἡμέρας νῆστις κατέτηξας, καὶ πεινῶντός σου πατὴρ οὐ φροντίζει; καὶ λιμὸν περιορᾷ πολυήμερον; ποῖος φιλόπαις πατὴρ, ὃς ἄρτον οὐ χαρίζεται τέκνῳ; καλὸς υἱὸς ἐν λιμῷ παρὰ πατρὸς μὴ τρεφόμενος; δείξῃ τὴν ἀγάπην, χαρισάμενος ἄρτον· θρέψῃ τὸν υἱὸν ἐν ἐρήμῳ πεινῶντα. δύναται λίθους μεταβαλεῖν εἰς ἄρτους· αἴτησαι τοῦτο πεινῶν. κἂν παράσχῃ τὴν χάριν, ὡς υἱὸς καλλωπίζου· πρὶν δὲ ταῦτα λαβεῖν, μὴ χλευάζου τῇ κλήσει. ὢ τῆς μισανθρώπου φιλανθρωπίας, ὢ συμπαθείας ἀνθρωποκτό-
E νου, ὢ κηδεμονίας ὀλεθρίου, ὢ δηλητηρίου γλυκάζοντος. εἰς ἀπιστίαν ὀλισθεὶς ἐρεθίζει, καὶ πρὸς αἴτησιν ἐκκαλεῖται βρωμάτων· οὐχ ἵνα θρέψῃ πεινῶντα, ἀλλ' ἵνα δελεάσας πρὸς αἴτησιν, αὐτὸν μὲν ὡς ἄπιστον συγκρούσῃ πρὸς τὸν θεόν, ἐπειδὴ πρὸς τὸν θεὸν ψευσάμενον, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. τί οὖν ὁ δεσπότης Χριστός; οὐκ ἐκκαλύπτει τὸν κεκρυμμένον θεὸν, ἵνα μὴ φυγαδεύσῃ τὴν θήραν, ἀλλ' ὡς ἄνθρωπος ψιλὸς ἀντιφθέγγεται. γέγραπται γάρ, φησιν, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. οὐ ξενίζει με, φησι, τῶν βρωμάτων ἡ σπάνις, οὐ ταράττει τὸ πεινῆν ἐν ἐρήμῳ, οὐκ αἰτῶ τὴν ἐκ λίθων ἀρτοποιίαν. πολλαὶ γὰρ αἱ τῆς θείας κηδεμονίας ὁδοὶ, καὶ πολύτροποι προστασίαι. δέδωκε μὲν γὰρ ἀνθρώποις τὴν ἐκ βρωμάτων τροφὴν, καὶ τῆς σαρκὸς τὸ συγκρότημα βρώμασι·

γράμμα δέ με προσεδίδαξε θεῖον, σὺν τῆς φύσεως ὅρους τὸν θεὸν ὑπερβαίνειν. μέμνημαι θείας φωνῆς κεκραγυίας ἀνθρώποις, μὴ δεδιέναι πεινῆν, ὅταν φροντίσῃ θεός. μὴ οὖν φείδου πεινῶντος, καὶ τὴν ἔρημον εἰς ἀπόγνωσιν δείκνυ· κηδέσθω θεὸς, κἂν μὴ παρέστωσαν ἄρτοι. ἔστι γὰρ καὶ ἄνευ τροφῆς ζωοποιὸς ὁ θεὸς, καὶ ζήσεται σὰρξ ἄνευ βρώματος, εἰ ζῆν αὐτῇ προστάττει θεός. οὕτω γέγραπται, φησὶ, καὶ πιστεύω θείοις τεθαρρηκὼς ῥήμασι, καὶ τὴν ἐκ τῆς τροφῆς μόνης οὐκ ἀναμένω ζωήν. δι' ὧν προσέκρουσεν ὁ Ἀδὰμ, ὁ Χριστὸς καταλλάττει. ἐπειδὴ γὰρ ἐξ ἀπιστίας Ἀδὰμ καὶ βρώματος ἐξέπεσεν· ἀπιστήσας γὰρ τῷ θεῷ, καὶ φαγὼν κατηνέχθη· ἐλθὼν ὁ Χριστὸς, ἀναστήσας τὴν φύσιν, ἐξ ἐγκρατείας καὶ πίστεως ἄρχεται. τοιγαροῦν αὐτοπρόσωπον λοιπὸν ὑφίσταται πόλεμον ὁ διάβολος. πρὸ τοῦ τόκου γάρ, φησι, δι' ὑποψίαν μοιχείας τῷ τόκῳ ἐπεβούλευον. ἐκπεσὼν τῆς ἐλπίδος, δι' Ἡρώδου τεχθέντα θηρεύειν διήμαρτον· ἡττηθεὶς διαμαρτών, δι' ἐμαυτοῦ νῦν πολεμήσω. ὢ φιλονείκου τυφλοῦ· βρέφους ὄντος ἡττήθη, καὶ ἀνδρωθέντι συμβάλλει; πρόσελθε, καὶ ἀνδρωθέντος, ὦ διάβολε, γεῦσαι, μάθε τούτου τὴν ἰσχὺν ἐκ δευτέρου. ἤδη μὲν γὰρ πεινῶντι προσελθὼν κατερράγη· τὸν δὲ τοῦ πτώματος ἀκηκόατε τρόπον· ἀνακλήσασθαι δὲ προσδοκήσας τὴν ἧτταν, διπλασιάζει τὸ τόλμημα. ὡς γὰρ ἐψεύσθη τοῦ πρώτου τεχνήματος, καὶ πεινῶντι προσελθὼν οὐκ ἠπάτησε, δεύτερον εἰσφέρει κακούργημα. ἄπρακτός μοι, φησὶν, ἡ παλαιὰ μηχανή· τῇ ῥιψάσῃ τὸν Ἀδὰμ ἀποτάσσομαι τέχνῃ· τὸ τῆς τροφῆς ἀποτίθεμαι δέλεαρ. ἔοικε γὰρ οὗτος ἡδονῶν βασιλεύειν. ὁ γὰρ ἡδονῆς τροφῇ μὴ χαυνούμενος, οὐ ζητεῖ ἄρτον ἐν πολυημέρῳ· μὴ πειθόμενος πείνῃ, τῆς ἐκ σαρκὸς ἀπαράδεκτος μάχης. βεβούλευμαι δὲ ἄλλου παλαίσματος τέχνασμα. ἔχω τι γλυκύτερον ἄγκιστρον, γλυκυθήρατον δόξαν. ἡδὺς τῆς κενοδοξίας ὁ βρόχος· οὐχ ἡδὺς δὲ μόνον, ἀλλὰ καὶ δίπλοκος. τῇ κενοδοξίᾳ γὰρ τὸ τῆς ἀπονοίας συμπαρυφίσταται πάθος. ὁ γὰρ δόξης ἐρασθεὶς, πρὸς κομπωδίαν γοργός· τούτῳ δὲ καὶ πάρεστι τοῦ πάθους ἡ πρόφασις. ἴσως φρονεῖ τι πλέον ὡς νηστευτὴς πολυήμερος. γαργαλίζω πρὸς κόμπον, προσελθὼν ὡς δικαίῳ φυσιώσω ῥήσει ψαλμοῦ, ὡς ἐπ' αὐτῷ προρρηθείσῃ, ἐρωτήσει δολερᾷ δελεάσω. ἔστω δέ μοι κρημνὸς τῆς ἐρωτήσεως τόπος. πρὸς τὸ πτερύγιον συλλαβὼν ἀνελκύσω, καὶ τοῦ ὕψους λαβομένῳ προτείνω, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. πάντως ἢ δέξεται τὴν ῥῆσιν, ἢ φεύξεται. εἰ μὲν οὖν δέξεται, σπουδάζων, ὡς δίκαιος, πρὸς τὴν τοῦ πτώματος συγκατατίθεται πρότασιν. ῥίψει μὲν αὐτὸς ἐκ τοῦ ὕψους τὸ σῶμα· ἐγὼ δὲ, ἂν μὲν πεσὼν ἀποθάνῃ, καταγελάσω νεκροῦ· ζήσαντα δὲ τῷ τῆς κενοδοξίας ἐτραυμάτισα πάθει, πείσας πρὸς ἔνδειξιν ἐμὴν ἑαυτὸν καταρρῖψαι. εἰ δὲ δὴ παραιτούμενον ἴδοιμι, προσκρούσω πρὸς τὸν θεὸν, ὡς τὸν Ἰὼβ, διαβάλλων δωρεὰν υἱότητος οὕτω· ῥῆσιν αὐτῷ παρὰ σοῦ γεγραμμένην ἀνέγνων, ἐπαγγελίαν εἶπον τῆς σωτηρίας τῆς σῆς, καὶ ῥῖψαι πρὸς βάθος οὐ τετόλμηκε· δῆλον ὅτι μὴ θαρρῶν οἷς ὑπέσχου. πῶς οὖν τὸν οὕτως ἄπιστον, υἱὸν προσηγόρευσας; οὐκ ἔλαθε δὲ τὸν δεσπότην τὸ βούλευμα, καὶ δίδωσιν ἑαυτὸν εἰς παρέλκυσιν, ὡς ἄνθρωπος ἀνθρώπῳ συνεφεπόμενος. ὁ δὲ ἀναβάντι προτείνει τὸ βούλευμα, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω. ἀποκρινόμεθα τῷ διαβόλῳ προτείνοντι· εἰ τοῦτο κρίνεις ἀνδρὸς πατέρα τὸν θεὸν κεκτημένου, τὸ μένειν βλαβερῶς ἀβλαβῆ, ἔχεις, ὧν προτείνεις, ἀπόδειξιν. αὐτὸ γὰρ τοῦτο τῆς υἱότητός ἐστιν, ὦ διάβολε, δεῖξις, ὅτι συμπαρεστῶτά σοι πρὸς τὸν κρημνὸν οὐκ ὠθεῖς, ὃν ἐκ πολλοῦ καταρρῖψαι σπουδάζεις. ἀλλ' ἔστιν οὐδὲν ἕτερον, ἢ τοῦτο, ὅτι παρακαλῶν, ἄκων οὐ πίπτεις, φησὶ, κἂν ἑκὼν κατενέχθητι· βάλε σεαυτὸν κάτω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ἐπειδὴ καὶ ταῦτα δείκνυσιν, ὡς θεὸν καὶ γνωρίζειν.

A Sed scriptura divina me docuit Deum naturæ terminos exsuperare. Memini divinam vocem hominibus clamare; non timendam esse famem, cum Deus prospicit. Ne ergo esurientem cures, nec desertum ad desperandum ostendas: curet Deus, etsi panes non adsint. Potest enim Deus sine cibo vitam fovere, vivetque caro absque alimento, si sic illam vivere Deus jubeat. Ita scriptum est, inquit, & dictis divinis credo, nec ex solo cibo vitam exspecto: per quæ Adam offendit, Christus reconciliat. Quia enim Adam ex incredulitate & ex cibo lapsus est; nam quod Deo non credens comedisset dejectus est; veniens Christus restauransque naturam, a temperantia & fide incipit. Itaque aperto jam marte congreditur diabolus. Ante partum, inquit, B per adulterii suspicionem proli insidiabar. Spe lapsus, per Herodem nato parans necem, excidi. Jam victus per meipsum certabo. O contentiosum cæcum! ab infante victus est, & cum eodem jam viro congreditur? Accede, o diabole, & virum proba: experire, ejus fortitudinem iterum disce. Jam esurientem aggressus, fractus est, cladis modum audistis; instaurandæ rei spe, ausum iterat. Ut enim a primo artificio excidit, nec aggressus esurientem decepit, alteram malam adhibet technam. Inutilis, inquit, mihi fuit prisca illa machina; mitto illam artem, qua Adamum decussi, cibi tentationem depono: hic quippe videtur voluptatibus imperare: qui enim voluptatis esca non C emollitur, non quærit panem etiam in diuturnitate. Quando fame non flectitur, carnis certamen non adeundum est. Aliam pugnandi artem adhibere decrevi. Suavior adest hamus, dulcis gloriæ amor. Suavis est vanæ gloriæ laqueus; nec modo dulcis, sed etiam duplex. Per vanam enim gloriam, arrogantiæ advenit morbus. Nam qui gloriam amat, ad fastum pronus est: huic vero adest ad hunc morbum occasio. Fortassis altum sapit, quia multis diebus jejunavit. Ad fastum alliciam. Adiens illum ut justum, ex psalmorum verbis inflabo quasi illius gratia dictis: dolosa interrogatione inescabo. Sit mihi interrogandi locus præcipitium. Ad pinnaculum traham, & in sublimi posito hæc proferam: *Si Filius Dei es, mitte te deorsum. Scriptum* D *est enim; angelis suis mandavit de te, & in manibus tollent te, ne forte offendas ad lapidem pedem tuum.* Certe vel admittet dictum, vel refugiet. Si admittat, quasi justus sese præcipitandi consilium suscipiet: ex sublimi corpus objiciet: ego vero, si lapsus moriatur, deridebo mortuum; sin vivat, illum vanæ gloriæ morbo confixi: dum suasi, ut sese ostentandi causa se projiciat. Si vero recusare videam, Deo invisum reddere tentabo, ut olim Jobum, filii dignitatem calumnians hoc pacto: Dictum ipsi a te scriptum legi: promissionem salutis abs te datam dixi, & se deorsum mittere non ausus est: palam est ipsum non fidere promissis tuis. Quomodo igitur tam incredulum vocasti filium? Non latuit au- E tem Dominum hoc consilium, seque ipsum raptandum dedit, ac si quis homo hominem sequeretur. Ille vero in sublimi posito consilium suum aperit: *Si Filius Dei es, mitte te deorsum.* Diabolo hæc proponenti respondebimus, Si putas id esse viri patrem habentis Deum, quod in talibus malis illæsus maneat, habes eorum quæ proponis demonstrationem. Illud enim ipsum, o diabole, filium esse demonstrat, quod tibi adstantem ad præcipitium, non dejicias, quem a multo tempore dejicere curas. Illud certe constat, vel ex hortandi modo: Invitus non cades, inquit, sponte dejice teipsum. *Mitte te deorsum. Scriptum est enim; quoniam angelis suis mandavit de te, ne forte offendas ad lapidem pedem tuum.* Nam hoc ipsum esse Deum demonstrasset.

Si enim ipsum adversarius esse Deum scivisset, non ei proposuisset ut se ex alto dejiceret: siquidem sciebat Deum neque ab altitudine lædi, neque a latitudine superari posse; sed alta altitudine, lata latitudine coæquare. Sciebat ab omni offensione Deum esse liberum: humanorum enim pedum, non Dei, est, offendi. Quod igitur non ut Deum alloqueretur, ipsa diaboli verba testificantur. Audiamus verborum sensum. Paulo ante dicebas, inquit, *Non in solo pane vivet homo, sed in omni verbo quod procedit de ore Dei*: & tuam erga Deum approbavi fidem. Sed quia aliud Dei dictum est, *Angelis suis mandabit de te, ne forte offendas ad lapidem pedem tuum*; ostende te Dei verbo credere, ac te dejiciens sine læsione, utere hoc præcipitio, quod te filium esse probet; utere lapsu ut divinæ providentiæ argumento. Si enim lapsus, illæsus resurgas; vera est illa filii appellatio. Hoc enim tibi ante pollicebatur Deus: *Angelis suis mandabit de te, ut custodiant te in omnibus viis tuis.* Ex fœtente vasculo unguentum profers, diabole, historiam veterem repetens. Leo quidam a Samsone occisus est, qui favum mellis in ore habens, fœtens projectus erat. Tu quoque leoninum illud mel per os stillas, & jacens deprehenderis, Domini responsione prostratus. *Scriptum est* enim, inquit, *Non tentabis Dominum Deum tuum.* Neque se projicere recusavit, neque annuit. Si enim se projicere recusasset, ansam diabolo dedisset putandi, ipsum non Deo fidere; si se projiciendi consilio adhæsisset, jactabundus & ad ostentationem pronus visus esset. * Responsionem affert, quæ nec consensum nec recusationem afferat, *Non tentabis Dominum Deum tuum.* Hoc diabolo dicit, Me Dominum tuum non tentabis. Neque enim si hoc didicisset, ipsum postea adiisset, ut hæc polliceretur: *Hæc omnia tibi dabo, si cadens adoraveris me.* Psalmorum voces ut veras accipio, Deo credo patrocinium promittenti. Scio illum angelis mandare pro hominibus. Sed non quando in præcipitia se conjiciunt, non quando se sponte occidunt, non quando tentant absque necessitate. Itaque bis lapsus diabolus, ad tertiam insurgit tentationem. Verum tertiæ sermo adhuc debitor est: vobisque omnibus adest debiti chirographum: dulce certe chirographum, unique diabolo amarum: nam ex ipsius lapsibus solvitur. Duas jam puto chirographi solutiones factas; circa reliqua debitum, mihi superest longe cæteris onerosius. Reliquum debitum est tertia diaboli vafrities; tertia ordine, magnitudine prima: errorum numero postrema, versutiæ arte prior. In primis enim nequitia tolerabilis erat: nam apostasiam a Deo non aperte petebat; sed divina abutens commemoratione, *Si Filius Dei es* dicens, sub pia specie, artificium inimici Dei tegebat. In tertia vero tentatione nuda malitiæ rabies, apertum flagitium erat. Adorationem enim petebat ab eo qui adoratur: ex iis quæ audierat adorationem se petere posse imaginans. Quia enim viderat Dominum semper cum fide loqui, & Deum non esse tentandum dicere: putavit Dominum facile induci posse ad credendum, nec ea de re curiosius inquisiturum esse; atque ut terrorem incuteret cum glorioso cultu illum adit: nam dicitur: *Assumit eum diabolus in montem excelsum valde, & ostendit illi omnia regna mundi, & gloriam eorum.* Adumbrata enim aeria imagine, per fictas aerias formas, & inconditam cosmographiam, delineati regni pulcritudinem ostentans, sperabat ex commentitio splendore se Dominum, ad pie credendum facilem, superaturum esse. Nunc vero non intelligit se contra seipsum contendere, & ad lapsum properare; ne a scopo aberraret, mundum se daturum pollicebatur:

* Græca mutila videntur.

A εἰ γὰρ θεὸν ὁ ἀντίπαλος ἔγνω, οὐκ ἂν τὴν ἐξ ὕψους αὐτῷ προέτεινεν ἔκπλωσιν. ᾔδει γὰρ, ὡς οὔτε ὕψους ὁ θεὸς κολοβώτερος πλάτους· ἀλλ' ὑψηλοῖς συνυψούμενος συμπληροῦται πλάτεσιν. ᾔδει προσκομμάτων τὸ θεῖον ἐλεύθερον. ἀνθρωπίνων γὰρ ποδῶν, οὐ θεοῦ, τὸ προσκόπτειν. ὅτι μὲν οὖν οὐχ ὡς θεῷ διελέγετο, μαρτυρεῖ τοῦ διαβόλου τὰ ῥήματα. ἀκούσωμεν δὲ καὶ τῶν ῥημάτων τὸν νοῦν. πρὸ μικροῦ, φησιν, ἔφης, γέγραπται, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ, καὶ τὴν σὴν εἰς τὸ θεῖον ἀνευφήμησα πίστιν· ἀλλ' ἐπειδὴ ῥῆσίς ἐστιν ἑτέρα θεοῦ λέγουσα, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου, δεῖξον ὡς ῥήματι πιστεύεις θεοῦ, καὶ καθεὶς σεαυτὸν, ἀβλαβῶς ἐκπεσόμε-
B νος, χρῆσαι τῷ κρημνῷ τούτῳ δικαστῇ τῆς υἱότητος, χρῆσαι τῷ πτώματι τῆς θείας κηδεμονίας ἐλέγχῳ. ἂν γὰρ ἐντεῦθεν πεσὼν ἐξαναστῇς ἀβλαβὴς, ἀληθὴς ἡ ῥηθεῖσά σοι τῆς υἱότητος κλῆσις. τοῦτο γάρ σοι προϋπισχνεῖτο θεὸς, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐξ ὄζοντος σκεύους μύρον προβάλλῃ, διάβολε, ἱστορίαν παλαιὰν ἀνανεώσας. λέων τις ἐπὶ Σαμψὼ ἀνῃρέθη, ὃς κηρίον μέλιτος ἐπὶ στόματος ἔχων, ἔῤῥιπτο δυσώδης· καὶ σὺ λεοντῶδες γραφικὸν στάζεις διὰ στόματος μέλι, καὶ κείμενος εὑρίσκῃ, τῇ τοῦ δεσπότου καταπεσὼν ἀποκρίσει. γέγραπται γάρ, φησιν, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. οὔτε ῥίπτειν ἑαυτὸν ἠρνήσατο, οὔτε μὴν συγκατέθετο. ῥίψαι μὲν γὰρ ἑαυτὸν ἀρνησάμενος, ἔδωκεν ἂν τῷ διαβόλῳ λαβὴν, ὡς οὐ θαρ-
C ῥῶν τῷ θεῷ, τῇ δὲ τοῦ πτώματος προτάσει συνθέμενος, κομπώδης ἂν ἔδοξεν, καὶ πρὸς ἔνδειξιν εὔκολος. * οὐ συγκατάθεσιν, οὐκ ἄρνησιν ἔχουσαν, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου, τοῦτο πρὸς τὸν διάβολον λέγων, ἐμὲ τὸν σὸν οὐκ ἐκπειράσεις δεσπότην. οὐ γὰρ ἂν τοῦτο μαθὼν, ὡς ἀνθρώπῳ μετὰ ταῦτα προσελθὼν ὑπισχνοῖτο, ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. δέχομαι μὲν τῶν ψαλμῶν, ὡς ἀληθεῖς, τὰς φωνὰς, προστασίαν ὑπισχνουμένῳ θεῷ. ἀγγέλοις ὑπὲρ ἀνθρώπων ἐντελλόμενον οἶδα· ἀλλ' οὐχ ὅταν εἰς κρημνοὺς κυβιστῶσιν, οὐχ ὅταν θανατῶσιν ἑκόντες, οὐχ ὅταν ἄνευ χρείας πειράζωσι. τοῦτο οὖν δεύτερον πεσὼν ὁ διάβολος, εἰς τρίτην διανίσταται πεῖραν. ἀλλὰ τῆς τρίτης ὁ λόγος ὀφειλέτης ἐκβαίνει, καὶ πᾶσιν ὑμῖν * ἄπεισι τὸ τοῦ χρέους χειρό-
D γραφον. γλυκὺ γὰρ τὸ χειρόγραφον τοῦτο, καὶ μόνῳ τῷ διαβόλῳ πικρόν. ἐκ γὰρ τῶν αὐτοῦ πτωμάτων τὴν ἀπόδοσιν ἔχει. δύο μὲν οὖν πέπεισμαι τῆς τῆς ὑποσχέσεως χειρογράφου καταβολὰς εἶναι. εἰς λοιπὰ δέ μοι περίεστι τὸ χρέος, τοῦ παντὸς οἶμαι δ' ἂν δυσφορώτερον. τὰ λοιπὰ γὰρ τοῦ χρέους, τὸ τρίτον τοῦ διαβόλου πανούργημα· τὸ τρίτον τῇ τάξει, τῷ μεγέθει δὲ πρῶτον· τῷ τῆς πλάνης ἀριθμῷ τελευταῖον, τῇ δὲ τῆς τέχνης κακουργίᾳ πρωτεῦον. τὰ μὲν γὰρ πρῶτα φορητὸς πονηρευόμενος ἦν. τὴν ἐκ θεοῦ γὰρ φανερῶς ἀποστασίαν οὐκ ᾔτει· ἀλλὰ τῇ θείᾳ καταχρώμενος μνήμῃ, καὶ τὸ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, πρὸς αὐτὸν ὀνομάζων, εὐσεβεῖ προσώπῳ τὴν θεομάχου ἐσχημάτισε τέχνην. ἐν τῇ τρίτῃ δὲ πείρᾳ, γυμνὴ τῆς πονηρίας ἡ λύσσα, ἀσκέπαστον τὸ κακὸν παρακύπτον. προσκύνησιν γὰρ τὸν προσκυνούμενον ᾔτει, ἀφ' ὧν ἤκουσε, φαντασθεὶς τὴν προσκύνησιν.
E ἐπειδὴ γὰρ εἶδε μετὰ πίστεως πανταχοῦ τὸν δεσπότην φθεγγόμενον, καὶ τὸν θεὸν μὴ πειράζειν εἰπόντα, ἐνόμισε τὸν δεσπότην εἰς πίστιν εὐάγωγον, καὶ περὶ τὴν ταύτης μὴ πολυπραγμονεῖν βάσανον. καὶ δὴ μετ' ἐνδόξου προσέρχεται σχήματος, ὡς ἐκπλήξων τῇ θέᾳ. παραλαμβάνει γὰρ αὐτὸν ὁ διάβολος, φησιν, εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν. σκιογραφήσας γὰρ ἀέριον καὶ καταψευσάμενος τὰς τοῦ ἀέρος μορφώσεις, καὶ συνθεὶς κοσμογραφίαν ἀσύνθετον, καὶ πλαστογραφείσης βασιλείας τεχνησάμενος κάλλη, ἤλπιζε τῷ τῆς φαντασίας λαμπρῷ τὸν τοῦ δεσπότου πρὸς πίστιν εὐλαβὲς ὑπαχθήσεσθαι. νῦν δὲ καθ' ἑαυτοῦ φιλονεικῶν οὐκ αἰσθάνεται, καὶ πρὸς τοσαύτην ἐπειγόμενος πτῶσιν. ἵνα μὴ πέσῃ, τὰς τοῦ κόσμου δωρεὰς ὑπισχνοῦ·

ταῦτα

ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ὁ Παύλῳ μὴ πιστεύων, ὅτι εἰδωλολάτρης ὁ πλεονέκτης, ἀκουέτω τοῦ τῶν εἰδώλων πατρὸς ὁμολογοῦντος τῷ Παύλῳ· τῷ προσκυνοῦντί με, φησὶ, τὰ ἀλλότρια δώσω. οὐκοῦν πρόσφυξ διαβόλου, τῶν ἀλλοτρίων ὁ κτήτωρ. αὐτὸς γὰρ τῶν ἀλλοτρίων ἐπαγγέλλεται τὴν δόσιν, ζημιῶν τοῖς χαρίσμασι, καὶ δι' ὧν δίδωσι κλέπτων. οὗτος αὐτῷ καὶ τῆς πρὸς τὸν δεσπότην φιλοτιμίας ὁ νοῦς, ἀποκλέψαι πρὸς πτῶμα δωρεῶν ὑποσχέσει. ἡδονῇ, φησιν, οὗτος βρωμάτων ἀχαιώωτος, κενοδοξίας ἀνδραγάλιστος πάθει. τὰ δύο ὁμοῦ διέκλασε τὰ μαχιμώτατα βέλη· ἄλλο μοι βέλος ἰσχυρὸν ζητητέον. φιλαρχίας ἐν ἅπασιν ὄρεξις, εὕρεσις κέρδους ἀπευκτὴ παρ' οὐδενί· πλεονεξίᾳ πάντες, ὡς εἰπεῖν, τραυματίαι. ταύτην ἐκβαλὼν μου τῆς φαρέτρας ἐκπέμψω. ἀλλὰ ποῦ τοξεύων λάβω; τίς συνεργήσει μοι τόπος; εἴθε μοι πρὸς ὄρος ὑψηλὸν συνανῆλθεν· ἐπιτήδειον ὑψηλότης εἰς θέαν. ἔδειξα ἂν ἐξ ὕψους τῶν χωρῶν τὰς εὐφόρους· ἤγαγον ἂν ὑπ' ὄψιν θησαυροὺς βασιλέων· παρέστησα ἂν εἰς θέαν τὴν ἔνδοξον τοῦ βίου λαμπρότητα, τὰ μὲν ὄντως δεικνὺς, τὰ δὲ τέχνῃ φαντάζων. ἀνθρώπου δὲ φύσις εὐσαγήνευτος λήμμασιν. ἂν ἴδῃ τῆς γῆς φαιδρὰ, προσδραμεῖται τῇ κτήσει· ἁρπάξει τὸν δεικνύμενον πλοῦτον, τῶν τοσούτων ἐρασθήσεται κτήσεων· ἀλήθειαν τὴν σκιὰν ὑποπτεύσει, πιστεύσει τοῖς δεικνυμένοις εὐθύς. πανταχοῦ γὰρ ἐπιδέδεικται πίστιν. εἶπον, ἄρτον αἴτησαι, καὶ παρεπέμψατο τοῦτο, πιστεύων ὡς τρέφοι καὶ χωρὶς ἄρτου θεῷ. εἶπον, ῥίψαι κάτω τὸ σῶμα, καὶ τὸ ῥηθὲν διεκρούσατο, μὴ δεῖν λέγων τὸν θεὸν ἐκπειράζειν. μετ' ἐνδόξου τοίνυν αὐτῷ προσελεύσομαι σχήματος. πιστεύσει γὰρ ἀπατηθεὶς ἐμοὶ, ὡς θεῷ πειραθεὶς περιπίπτειν, καὶ πολυπράγμων οὐκ ὢν πιστεύσει· πιστεύσαντος δὲ καταγελάσας οἰχήσομαι. ταύτας εἰδὼς ὁ Χριστὸς τὰς ἐννοίας, εἰς ὄρος ὑψηλὸν συνανῄει· καὶ τῆς τέχνης ὁ διάβολος ἤρξατο, ποικίλην τοῖς ὄμμασι προσθεὶς φαντασίαν. ὁ δεσπότης δὲ τὴν τέχνην οὐκ ἤλεγχεν, ἀλλ' ὡς τὸν δόλον οὐκ εἰδὼς θεωρεῖ. ὁ δὲ κεκρατῆσθαι τῇ τῆς φαντασίας ὑπώπτευε τέχνῃ, καὶ τῷ κάλλει τῶν φανέντων εἰλῆφθαι· καὶ ὡς δόξης ἀρχηγὸς λοιπὸν ὑπερκοσμίους παντοκρατορικὰς τερατεύεται ῥήσεις· ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. οὐχ ὁρᾷς, φησιν, ἄνθρωπε, τοῦ κόσμου τὸ μέγεθος; οὐ θεωρεῖς τὸ τούτου πολύκτητον; οὐ φρίττεις τὰς μυριοπλασίους ταύτας ἐν αὐτῷ βασιλείας; τούτων ὁ δεσπότης ἐγώ· δόματα ταῦτα παρ' ἐμοὶ τοῖς ἀνθρώποις κατ' ἐμὴν ἕκαστον διανέμεται κρίσιν. σὺ δὲ πάντων παρ' ἐμοὶ προτιμότερος, καὶ μόνος δίκαιος τῶν ἐν γῇ βασιλεύειν. παράλαβε δὲ παρ' ἐμοῦ τὸ παγκόσμιον κράτος, καὶ προσκύνησιν ἀντὶ τούτων ἀπόδος. ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ἐξ ἡμισείας προφητεύεις ἄκων, διάβολε. παραδώσεις σὺ μὲν τὸν κόσμον, ὃν κακῶς ἐδουλώσω, ἀλλ' οὐ προσκύνησιν σχὼν, ἀλλὰ μαστιγούμενος. μὴ γὰρ οἴει τῷ Ἀδὰμ διαλέγεσθαι; καὶ γὰρ τὸν Ἀδὰμ ἐδελέασεν, ἔπεισεν, ὡς ἔσται θεὸς, καὶ πείσας κατήνεγκεν. ὑπισχνεῖται καὶ νῦν παντοκρατορίαν Χριστῷ, τῷ τῆς ἐλπίδος ὕψει περιπεσεῖν ἐλπίζων. ἀλλ' ἀξίας ἀποκρίσεως ἤκουσεν· ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γὰρ, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ὕπαγε, Σατανᾶ. καλῶς ἐνταῦθα τὸ τοῦ Σατανᾶ προστίθησιν ὄνομα· καθάπερ γάρ τις δεσπότης ὑποκρυπτόμενον δοῦλον καλῶν ἐξ ὀνόματος, δεικνὺς ὡς οὐκ ἔλαθεν. ὕπαγε· ἀπειλητικὸν οἶμαι τὸ τοῦ ῥήματος πρᾶον, ὥσπερ ἐμβριμωμένου πρὸς αὐτὸν τοῦ δεσπότου. ἔκαμες τὴν ὑπόκρισιν κρύπτων, καὶ τὸν σχηματισμὸν ἀπεγύμνωσας; ἀπέγνως τὴν νίκην, καὶ κολακεύεις με δώροις; ἤδη μοι πραγματεύῃ τὴν πρᾶσιν; ἤδη τὰ διὰ τοῦ προδότου πορευῇ μοι σύμφωνα. ἄωρον ἐμελέτησας, ὦ διάβολε πρᾶσιν. μεῖνόν σου τὸν συναλλάκτην Ἰούδαν.

A *Hæc omnia tibi dabo, si cadens adoraveris me.* Qui Paulo non credit dicenti avarum esse idolatram, audiat idolorum patrem eadem quæ Paulus confitentem. Adoranti me, inquit, aliena dabo. Ergo ad diabolum transfugit, qui aliena possidet. Ipse enim alienorum donum promittit, gratiam cum aliorum damno præbens, & furando largiens. Hac mente ille Dominum invadit, ut eum donorum pollicitatione ad lapsum decuteret. Hic, aiebat, cibis non potest allici, non vana gloria deliniri. Hæc duo validissima tela confregit. Aliud mihi validum telum quærendum; dominatûs amor, quem omnes appetunt, lucri cupido, quam nulli respuunt: avaritia omnes, ut ita dicam, vulnerati sunt. Hanc ex pharetra mea eductam emittam. Sed quo jaculatus comprehendam? Quis mihi Nugæ meæ.
B locus opportunus erit? Utinam mecum in excelsum montem veniat: commodus est locus editus ad spectandum. Ex loco sublimi fertiles regiones ostenderem: ob oculos ponerem thesauros regum, spectandum præberem gloriosum vitæ splendorem; alia ut vere se habent exhibens, alia arte & imaginarie amplificans. Hominis natura facile capitur opinione: si terræ jucunda viderit, ad possessionem accurret: exhibitas rapiet divitias, tantas possessiones diliget, umbram esse veritatem suspicabitur, statim credet exhibitis; ubique enim fidem ostendit. Dixi, Panem pete: & hoc ille rejecit, Deo credens vel sine pane alenti. Dixi, Mitte corpus
C tuum deorsum, & hoc dictum repulit dicens, non oportere Deum tentare. Cum gloriosa igitur specie ipsum adibo. A me deceptus credet, utpote qui in Deum incidere solitus sit: ac cum curiosus non sit, credet. Ipso autem credente, ego deridendo abscedam. Has cum nosset cogitationes Christus, in locum excelsum cum illo ivit. Diabolus vero artem suam exhibere cœpit, varium fastusque plenum spectaculum ob oculos ponens. Dominus porro artem illam non confutavit, sed quasi dolum non nosset spectabat. Ille autem suspicabatur ipsum artis specie captum esse, & spectaculorum pulcritudine seductum: & quasi gloriæ auctor sublimia & imperatoria verborum monstra profert: *Hæc omnia tibi dabo, si cadens adoraveris me.* Non
D vides, inquit, homo, mundi magnitudinem? non vides amplas ejus possessiones? Non stupes sexcenta cernens in illo regna? Horum ego Dominus: hæc dona hominibus per judicium meum conferuntur. Mihi tu omnibus anteferendus, solusque in terra regno dignus es. A me accipe imperium totius mundi, & in horum vicem adorationem mihi exhibe. *Hæc omnia tibi dabo, si cadens adoraveris me.* Quasi ex media parte prophetam agis invitus, o diabole; trades quippe mundum, quem male in servitutem redegisti, verum non adorationem, sed flagellationem obtinebis. An putas te Adamum alloqui? etenim Adamum inescavit, suasitque ipsi quod Deus futurus esset, & persuasum præci-
E pitavit. Nunc quoque Christo promittit imperium universi, sperans ipsum ob tam altam spem esse lapsurum. Sed dignam audivit responsionem: *Vade retro me, Satana, scriptum est enim, Dominum Deum tuum adorabis: & illi soli servies.* Vade, Satana. E re hic nomen Satanæ adjicit, quemadmodum herus quispiam servum se occultantem ex nomine vocat, ostendens non se latere. Vade. Comminatorium puto, mansuetum licet, verbum, quasi frendente in ipsum Domino. Conatus es simulationem obtegere, & ipsam detexisti. De victoria desperas, & me donis adularis? Jam mihi venditionem paras? jam mihi accidunt iis similia quæ per proditorem venient? Intempestivam, o diabole, machinatus es venditionem. Exspecta tecum consensurum

Judam. Vade nunc; crucem exspecto: vade nunc, non me emes: nunc vade, dona proditori serva: nunc hoc tibi dico: *Dominum Deum tuum adorabis, & illi soli servies.* Ne partiaris homines cum Deo. Ipsi namque soli sunt debitores. *Tunc*, inquit, *reliquit eum diabolus.* Magna in ultimum errorem victoria. Sicut enim athleta quispiam strenuus, erecto sursum adversario, ipsum e sublimi decussum frangit; sic Dominus Christus, in montem adversarium tollens, & aeria spe replens, ab illa spe dejecit & attrivit, & victoriæ miraculum, quod angelos perculit, ipsos ad victoris satellitium & ministerium collegit. Nam ait: *Ecce angeli accesserunt, & ministrabant ei.* Nos quoque angelis similes Christo servitutem exhibeamus: cælis placeamus, ministerium in terra exhibentes angelicum, in ulnis invictis animas deponamus: lapsæ naturæ emendatorem diligamus, eum qui communem inimicum enervavit amplectamur: glorificati victoriam in memoria circumferamus, diabolo lapso insultemus, & caput impudens raptantes sic ore vociferemur: *Dominum Deum tuum adorabis, & illi soli servies.* Ipsi gloria & imperium in sæcula sæculorum.

A ὕπαγε νῦν, τὸν σταυρὸν ἀναμένω· ὕπαγε νῦν, οὐκ ἀγοράσεις με. νῦν ὕπαγε, τήρησόν σου τῷ προδότῃ τὰ δῶρα. νῦν δέ σοι τοσοῦτόν φημι, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. μὴ σὺ μέριζε τῷ θεῷ τοὺς ἀνθρώπους. αὐτῷ γὰρ μόνῳ χρεωστοῦσι. τότε, φησὶν, ἀφίησιν αὐτὸν ὁ διάβολος. μεγάλη τῆς πλάνης τῆς ἐσχάτης ἡ νίκη. καθάπερ γάρ τις ἀθλητὴς γενναῖος, πρὸς ὕψος τὸν ἀντίπαλον ἄρας, ἐκ μετεώρου καταῤῥήγνυσι πτώματος· οὕτως ὁ δεσπότης Χριστὸς εἰς ὄρος τὸν διάβολον ἄρας, καὶ μετεωρίσας ἀερίοις ἐλπίσιν, ἀφ' ὑψηλῆς ἐλπίδος κατέῤῥαξε· καὶ τὸ τῆς νίκης θαῦμα τοὺς ἀγγέλους ἐκπλῆξαν, πρὸς τὴν τοῦ νικητοῦ δορυφορίαν συνήγαγεν. ἰδοὺ γάρ, φησιν, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ. ἰσάγγελον δὴ καὶ ἡμεῖς παρασχώμεθα τῷ δεσπότῃ τὴν δουλείαν· ἀρέσωμεν οὐρανοῖς, διακονίαν ἐν γῇ πλη- B ροῦντες ἀγγελικὴν, τοῖς ἀηττήτοις τὴν ψυχὴν ἀποθῶμεν ἀγκάλαις, τὸν τῆς πεσούσης φύσεως ἀνορθωτὴν ἀγαπήσωμεν, τὸν τοῦ κοινοῦ δυσμενοῦς ἐκνευρωτὴν ἀσπασώμεθα, δεδοξασμένοι τὴν νίκην δορυφορήσωμεν μνήμῃ, ἐπεμβῶμεν διαβόλῳ πεσόντι, καὶ τὴν ἀναίσχυντον κεφαλὴν κατασπῶντες παμφώνοις ἐμβοήσωμεν στόμασι· κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Collata cum codice Romano.

## *In proditionem Judæ, & in Passionem Domini nostri Jesu Christi. In Sancta Quinta.*

## Εἰς προδοσίαν τοῦ Ἰούδα, καὶ εἰς τὸ πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ ἁγίᾳ πέμπτῃ.

Otiosi Græculi opus.

MOESTAM video ecclesiam, dolorem præ se ferentem ob factam a proprio filio proditionem. Grave namque facinus, cædem nempe machinatus est: & qui hæc patitur, judex cælestis est vivorum & mortuorum. Quod autem omnium atrocissimum est, derepente inimicus & insidiator effectus est is, qui paulo ante discipulus & obsequens erat: derepente ovis in feram mutata est; a luce descivit apostolus, vendidit dominum servus procax, post undecim discipulos duodecimus numeratus. Et cur nomen non proferam, ut ne omnibus contumeliam inferam, dum sceleris auctorem taceo? Matt. 26. 14. *Abiens*, inquit, *unus ex duodecim.* Quisnam? qui vocabatur Judas; aliud additur, ne innoxius, noxium tegat; alium enim ejusdem nominis apostolum invenimus; Judas Iscariotes, inquit, unus de duodecim, profectus. Non ultra certe unus solum erat, habebat enim secum adjutorem diabolum. Hic profectus ad principes sacerdotum dixit: *Quid vultis mihi dare, & ego vobis eum tradam?* Dic mihi nunc, Juda, qui mundi Dominum magistrumque tuum vendendum proponis; discipuli dignitatem quo in precio relinquis? Quid te cogit, ut contendas ad regem tuum prodendum. In quo vidisti cæteros condiscipulos tibi antepositos, ut hoc impium facinus meditareris? Qui scis & tibi & cæteris undecim apostolis clamasse Dominum, Marc. 9. 35. *Si quis vult in vobis esse primus, sit omnium ultimus & omnium minister.* Annon hæc ante dixit, ut consilium tuum reprimeret? teque concitavit ut primis ministrares, ut ne tu, quasi ultimus, injusto mœrore affectus, dolum parares? Si pecuniarum cupidus non fuisses, cum te Judæis proditorem obtulisti, suspicatus quis fuisset, te injuria affectum, ad lædentis ultionem procedere. Cum vero palam dicis, *Quid vultis mihi dare, & ego vobis eum tradam*, doli tui caussam prodis. *Illi vero constituerunt ei triginta argenteos: & exinde quærebat opportunitatem, ut traderet eum.* Quid facis, o Juda, cum triginta argenteorum statuto precio, inæstimabilem margaritam vendis? Enumera prius stellas, quas solo verbo creavit,

C ΣΤΥΓΝΗΝ τὴν ἐκκλησίαν ὁρῶ, σκυθρωπάζουσαν μορφὴν τὴν τοῦ οἰκείου υἱοῦ προδοσίαν σημαίνουσαν. δεινὸν γὰρ τὸ μελετηθὲν, καὶ φόνος τὸ κατασκευασθὲν, καὶ κριτὴς ὁ ταῦτα πάσχων νεκρῶν καὶ ζώντων οὐράνιος. τὸ δὲ πάντων δεινότερον, ἄφνω ἐχθρὸς καὶ ἐπίβουλος, ὁ πρὸ μικροῦ μαθητὴς καὶ ὑπήκοος· ἀθρόως θηρίον τὸ πρόβατον, ἀποστάτης φωτὸς ὁ ἀπόστολος, πράτης δεσπότου ὁ δοῦλος ἀσύμφωνος, τῶν ἕνδεκα μαθητῶν ὁ δωδέκατος. καὶ τί μὴ λέγω τὸ ὄνομα, ἵνα μὴ πᾶσιν ἐπάγω τὴν ὕβριν τοῖς ἀποστόλοις, ἀποκρύπτων τὸν αἴτιον; πορευθεὶς, φησιν, εἷς τῶν δώδεκα. τίς; ὁ λεγόμενος Ἰούδας. καὶ ἄλλο, ἵνα μὴ ὁ ἀναίτιος ἀποκρύψῃ τὸν αἴτιον. εὑρίσκομεν γὰρ τῶν ἀποστόλων καὶ ἕτερον τῷ αὐτῷ κεκλημένον ὀνόματι. Ἰούδας ὁ Ἰσκαριώτης, D φησίν. εἷς πορευθεὶς τῶν δώδεκα. οὐκ ἔτι οὖν εἷς· εἶχε γὰρ μεθ' ἑαυτοῦ τὸν διάβολον συνεργόν. οὗτος πορευθεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπε· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; εἰπέ μοι ἐνταῦθα, Ἰούδα, τὸν τοῦ κόσμου δεσπότην καὶ ἑαυτοῦ διδάσκαλον εἰς πρᾶσιν προβαλλόμενος, τὴν ἀξίαν τοῦ μαθητοῦ ἐν ποίᾳ καταλιμπάνεις τιμῇ; τί δέ σε καταναγκάζει προδότην τοῦ ἑαυτοῦ βασιλέως στρατεύεσθαι; τίνα προτίμησιν εἶδες τῶν λοιπῶν συμμαθητῶν κατὰ σοῦ γινομένην, ὅτι ταύτην ἄθεσμον βουλὴν ἐμελέτησας; ὃς οἶδας πρὸς σὲ καὶ τοὺς ἕνδεκα ἀποστόλους τοῦ δεσπότου βοήσαντος, εἴ τις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος, καὶ πάντων διάκονος. ἆρα οὐ ταῦτα προεῖπε, τὴν σὴν βουλὴν ἀνα- E στέλλων; καὶ διακονεῖν σε τοῖς πρώτοις ἠρέθισεν, ἵνα μὴ σὺ ὡς ἔσχατος ἀδίκῳ πόνῳ κινηθεὶς κατασκευάσῃς τὸν δόλον; εἰ μὴ ὑπῆρχες χρημάτων ἐκτὸς τοῖς Ἰουδαίοις τὴν προδοσίαν δωρούμενος, ἂν ὑπέλαβεν ἄνθρωπος, ὅτι ἄδικόν τι ὑποστὰς πρὸς τὴν τοῦ ἀδικήσαντος ἐχώρησας ἄμυναν· τὸ δὲ λέγειν σε προφανῶς, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν, δηλοῖ τὴν σὴν δολιότητα. οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια· καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. τί πράττεις, Ἰούδα, τριάκοντα συμφωνήσας ἀργύρια ὑπὲρ τῆς τοῦ ἀτιμήτου πράσεως μαργαρίτου; ἐξαρίθμησον πρῶτον ἅπερ μόνῳ τῷ λόγῳ ἐδημιούργησεν ἄστρα,

καὶ τότε λόγῳ τὸν λόγον παραδοῦναι μελέτησον. ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. αὐτὸς σὺν χρόνοις καὶ σὺν αἰῶνας ἐποίησε, καὶ κατ' ἐκείνου ἐζήτει καιρὸν τῆς ἑαυτοῦ προδοσίας ἁρμόδιον. ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν, καὶ ἐσθιόντων αὐτῶν εἶπεν· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, εἷς ἐξ ὑμῶν παραδώσει με. ὁ κατ' ἐμοῦ καὶ ὑμῶν εἰσελθὼν, καὶ μαθὼν ἃ φυλάξαι οὐκ ἴσχυσε. καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν, μήτι ἐγώ εἰμι, κύριε; πάντας ἐκίνει τὸ ῥηθὲν εἰς ἀκριβῆ τοῦ συνειδότος ἐρεύνησιν, οἷς καθαρὰ τὰ τῆς καρδίας κρύφια. ἀπεκρίθη λέγων ὁ Ἰησοῦς· τί πάντες ἑαυτοῖς τὸ τοῦ προδότου συκοφαντεῖτε ἐγχείρημα; ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. ἄκων ὑποδεικνύει ἑαυτὸν, περὶ τοῦ δράματος, λέγει κἂν μὴ θέλων· τὸ ὄνομα κρατεῖται πέως ὑπ' ἐμοῦ, ἕως ἂν εἴπῃ ἐφ' ὑμῶν τὰ ὑπ' αὐτοῦ κατ' ἐμοῦ μελετώμενα. ἀποκριθεὶς δὲ, φησιν, ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, εἶπε· μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ, σὺ εἶπας. ἠλευθέρωσας τοὺς ἕνδεκα, τῶν παρὰ σοῦ πραττομένων τούτους ἀθῴους ποιήσας. δέχου καὶ ἄλλην κατάκρισιν, ὧν μέλλεις πράττειν φιλαργυρίᾳ. ἐσθιόντων δὲ αὐτῶν, φησι, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκε λέγων, λάβετε, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. λάβετε ἐξ αὐτοῦ πάντες. καὶ σὺ, φησιν, ὁ προδότης τῆς αἰωνίου μετάσχου ζωῆς. καὶ ἐὰν μὲν ἐμμείνῃς ἐν αὐτῇ, τὰ πρὸς Ἰουδαίοις συγκεχώρηταί σοι σύμφωνα· ἐὰν δὲ τὴν ἑαυτοῦ μὴ ἀνατρέψῃς ὁρμὴν, ἴσθι εἰδὼς ὁποῖον δεσπότην πιπράσκεις φιλάνθρωπον. ὁ δὲ τῆς δεσποτικῆς εὐσπλαγχνίας μὴ ἀνεχόμενος, πρὸς Ἰουδαίους δραμὼν ἄγειν εἰς ἔργον τὸ μελετηθὲν κατηπείγετο. καὶ ἰδοὺ, φησιν, Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν, καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν· τοῖς ἐμοῖς προσέχετε χείλεσιν· ἄλλως γὰρ ὁ λόγος προσδοθῆναι οὐ δύναται. καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν αὐτῷ· χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. ὢ φιλήματος, οἰκουμενικῆς εἰρήνης ἀναίρεσις, μᾶλλον δὲ, φιλαληθῶς εἰπεῖν, τοῦ κοσμικοῦ πολέμου κατάλυσις· καὶ εἰ μὴ τούτῳ ἀκολούθως τῷ σκοπῷ ὁ Ἰούδας τὴν προδοσίαν ἐτόλμησεν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, ἑταῖρε, ἐφ' ᾧ πάρει; ἐμοὶ τὸ φίλημα δέδωκας, σὺν παρεστῶσι τὰ σύμφωνα πλήρωσον. τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν. ἀπῆλθεν ὁ προδότης τῶν ἀποστόλων ἀλλότριος, καὶ ὁ τῆς ζωῆς ἀρχηγὸς τοῖς Ἰουδαίοις προσηνέχθη εἰς θάνατον. κατεσκευάσθη σταυρὸς, καὶ τάφος οἰκοδομεῖται εἰς ζωήν· οἱ νεκροὶ ἐπανέρχονται, καὶ εἰς ᾅδην Ἰούδας πορεύεται· σταυροῦται μετὰ λῃστῶν ὁ σωτὴρ, καὶ πάντας καλεῖ πρὸς παράδεισον. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

A & tunc de tradendo per verba tua illo Verbo meditaberis. *Quærebat opportunitatem ut traderet eum.* Ipse tempora & sæcula fecit, & contra illum quærebat tempus proditioni opportunum. *Vespere autem facto, recumbebat cum duodecim discipulis: & manducantibus illis dixit:* Matt. 26. 20. *Amen, amen dico vobis, unus ex vobis me traditurus est.* Qui contra me & vos ingressus est, & didicit ea quæ servare non potuit. *Et contristati valde, cœperunt ipsi dicere singuli, Numquid ego sum, Domine?* Dictum illud omnes excitabat ad conscientiam accuratius examinandam, eos quorum intima cordis pura erant. Respondit Jesus, Cur vobis omnes proditoris facinus adscribitis? *Qui intingit mecum manum in catino, hic me* Matt. 26. 23.
B *tradet.* Invitus seipsum subindicat, seipsumque prodit; nomen ejus tamen a me interim tacetur, donec ipse vobis præsentibus dixerit ea quæ adversum me machinatur. *Respondens autem,* inquit, *Judas, qui tradidit ipsum, dixit: Numquid ego sum, Rabbi? Dicit ei, Tu dixisti.* Undecim alios liberasti, cum eos tuo scelere immunes declarasti. Accipe & aliam damnationem facinorum, quæ ob pecuniæ amorem admissurus es. *Cœnantibus autem illis*, inquit, *accepit Jesus panem, & gratias agens fregit, deditque discipulis, & dixit: Accipite, manducate: Hoc est Corpus meum; & accepto calice gratias agens dedit dicens: Accipite, bibite ex eo omnes. Hic est enim sanguis meus novi Testamenti, qui pro multis effundetur in remissionem peccatorum. Accipi-* Matt. 26. 26.
C *te ex eo omnes.* Et tu, inquit, proditor, æternæ vitæ particeps esto. Et si quidem in illa manseris, venia tibi datur de pactis tuis cum Judæis; sin propositum tuum non evertas, scito quam benignum vendas Dominum. Ille vero Domini misericordiam non ferens, ad Judæos accurrit, ut meditatum opus perficeret. *Et ecce*, inquit, *Judas unus de duodecim venit, & cum ipso turba multa cum gladiis & fustibus a principibus sacerdotum & senioribus populi. Qui autem tradebat eum dederat illis signum dicens: Quemcumque osculatus fuero; ipse est, tenete eum.* Meis attendite labiis; alio enim modo non potest sermo proferri. *Et statim accedens* Matt. 26. 47.
D *ad Jesum dixit ei: Ave Rabbi, & osculatus est eum.* O pacem orbis auferens osculum! imo ut verius dicatur, mundanum bellum de medio tollens; etiamsi Judas non ea mente proditionem aggredi ausus sit. *Jesus autem dixit illi: Amice ad quid venisti?* mihi osculum dedisti. Pacta tua cum adstantibus perfice. *Tunc accedentes injecerunt manus in Jesum, & tenuerunt eum.* Matt. 26. 50. Abiit proditor ab apostolis alienus, & vitæ princeps Judæis ad necem oblatus est. Apparata crux fuit, & sepulcrum ad vitam structum est. Mortui reviviscunt, & Judas in infernum abit. Crucifigitur cum latronibus Servator, & omnes vocat in paradisum. Ipsi gloria & imperium in sæcula sæculorum.

## Εἰς τό, ἐμνήσθην τοῦ θεοῦ καὶ ηὐφράνθην.

ΕΜΝΗΣΘΗΝ τοῦ θεοῦ, καὶ ηὐφράνθην, ὁ μελῳδὸς ἐμαρτυρήσατο Δαυΐδ. οὐκ ἐξ οἰκείας φύσεως ἐμαρτύρατο, ἀλλ' ἐξ ἁγίου πνεύματος τοῦ θεοῦ ἐκελάδησεν· οὐχ ἁπλῶς ἐμνημόνευσεν, ἀλλὰ καὶ σοφῶς ὁ Δαυῒδ ἐλιτάνευσεν· οὐκ ἀπὸ χειλέων μόνον ἐμέμνητο, ἀλλὰ καὶ ἡ καρδία ἐδίδαξεν· οὐκ ἐν νυκτὶ ἢ ἡμέρᾳ ἐπελανθάνετο ὁ Δαυῒδ, ἀλλὰ καὶ ταῦτα αἰτῶν κατὰ πᾶσαν ὥραν ἐμέμνητο. καὶ ἵνα μάθῃς ὅτι ἀλήθειαν καὶ οὐ ψεῦδος διαγράφομεν, ἀπ' αὐτῆς τῆς ἐγγράφου ἱστορίας τὰς μελῳδίας τοῦ ἁγίου πνεύματος τρυγήσωμεν. ἐμνήσθην τοῦ θεοῦ,

## E In illud, *Memor fui Dei, & delectatus sum.*

1\. MEMOR *fui Dei & delectatus sum*; id cantor David testificatus est; non ex Psal. 76. 4.
se, sed ex spiritu sancto Dei modulatus est. Neque modo memor fuit David, sed & sapienter supplicavit: non labiis solum memor fuit, sed cor etiam illum docuit, Nec nocte nec die oblitus; sed hæc singulis horis precans memorabat. Et ut scias nos vera, non autem falsa scribere: ab ipsa scripturæ historia melodias spiritus Sancti decerpamus. *Memor fui Dei, &*

*delectatus sum*, inquit David. Et ut vere scias
Davidem & nocte & die Dei recordatum, &
ejus memorem delectatum esse, attento animo
Psal. 118. sequentia audi: *Memor fui nocte nominis tui, Do-*
55. Psal. 118. *mine*; &, *Memor ero nominis tui in omni genera-*
62. *tione & generatione: Media nocte surgebam ad*
Psal. 62. *confitendum tibi, Domine: In matutinis medita-*
7. Psal. 54. *bar in te: Vespere & mane & meridie narrabo &*
18. *annunciabo: Deus Deus meus ad te de luce vigi-*
Psal. 62. 1. *lo.* Et rursum, *Ad annunciandum mane miseri-*
*cordiam tuam, & veritatem tuam per noctem.*
Psal. 91. 3. Viden' nullam fuisse otiosam horam, in qua
oblivisceretur? non matutinam, non vesperti-
nam. Si discere velis Davidem non simpliciter
Dei memorem fuisse; sed etiam cum attentione
Psal. 129. 1. cordis, audi, *De profundis clamavi ad te, Do-*
*mine: Domine confitebor tibi in recto corde.* Et ut
omnium horarum terminum induceret David,
deinde ait: *Quomodo dilexi legem tuam, Domi-*
*ne? tota die meditatio mea est.* Ecce quomodo
tota die meditando eloquia Domini & assidue
memor Dei, qualis gratiæ dignitatem accepit?
Num in terra mercede donatus est? Puto illum
conspicuum & in terra regnantem, hîc inimi-
cos subegisse, & illic angelis imperasse: hîc
terrenum regnum & purpuram gessisse, & illic
cælestis regni gloria fulsisse: hîc modulatione &
Spiritus sancti vocibus claruisse, & illic om-
ni virtute præditæ sapientiæ radiis coruscasse.
Hæc partim tantum describimus. In his au-
tem omnibus quod optimum erat sortitus est.
Ut enim vidit Spiritus sanctus Deum frequen-
Quam futilis oratio. ter a Davide hymnis in terra celebrari, demum
in cælos abiit postulansque dicit: Domine, quo-
tidie David tui memor est, atque hac memoria
delectatur, & tu ejus memor esto, Domine
Psal. 131. 1. Deus noster, aitque: *Memento, Domine, David,*
*& omnis mansuetudinis ejus.* Hinc respondet be-
nignissimus Deus: Quia frequenter prudenter-
que David memor est mei; ego quoque omni-
bus prædicabo meum erga illum affectum & di-
lectionem: plusquam sanctos, & angelos &
virtutes celebrabo illum in terra; quid dicen-
1. Reg. 13. 14. do? *Inveni David servum meum, virum secun-*
Psal. 88. 28. *dum cor meum*; &, *Primogenitum ponam illum,*
*excelsum præ regibus terræ*, &, *Thronum ejus si-*
*cut dies cæli.* Hoc porro dicens David, seipsum
conspicuum reddit. Vides magnum esse homi-
ni lucrum memoriam Dei. Dixit David, Me-
mor fui Dei, & delectatum est cor meum. Nam
aliæ quidem delectationes per os ingrediuntur,
& per podicem exeunt. Dei vero delectatio qua-
si fons, mellita nempe verba mea cor lætifi-
Psal. 118. 103. cant; ita ut dicat homo sic affectus: *Quam dul-*
*cia faucibus meis eloquia tua! super mel ori meo.*
Etenim qui Dei memor est, omnia lætitiæ bo-
na habet in corde recondita: illic fons bona
scaturiens: illic mel & favum, & lucerna ac-
censa: illic thesaurus absconditus sanctæ Trini-
tis; demum Pater & Filius & Spiritus sanctus
veniunt, & mansionem apud eum faciunt: at-
que deinceps ille non est ultra homo initiatus,
sed angelus a Deo fultus. Quia igitur tali gra-
tia dignatus est homo, & quia tali delectatione
fruens lætabatur David; nos quoque Dei dele-
ctatione fruentes, frequenter Dei memores si-
mus, ut iisdem fruamur bonis. Age ergo vir-
tutes adventus Servatoris ceu thesaurum perscru-
temur, & terrenum ejus adventum ceu colum-
nam omni virtute refertam celebremus. Quo-
niam multa audivi a scelestis illis Judæis prola-
ta blasphemiæ argumenta; & quia non credunt
illi scripturis, quas indigne legunt, nec myste-
rium agnoscunt. Nam quod ex virgine natus sit
Dominus; hoc illis miseris & scelestissimis of-
fendiculo esse dicitur. O stultitiam! O iniquos
homines plusquam natura ferat! Quæ scriptura,
quis propheta hanc Domini gratiam non celebrat?

A καὶ ηὐφράνθην, εἶπεν ὁ Δαυΐδ. καὶ θέλεις γνῶναι ἀληθῶς, ὅτι
καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἐμέμνητο ὁ Δαυῒδ τοῦ θεοῦ, καὶ μνη-
μονεύων ηὐφραίνετο, μετὰ πολλῆς φιληκοΐας πρόσεχε τὰ λε-
γόμενα. ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, κύριε, καὶ μνη-
σθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· μεσονύκτιον
ἐξεγειρόμην τοῦ ἐξομολογήσασθαί σοι, κύριε· ἐν τοῖς ὄρθροις
ἐμελέτων εἰς σὲ, ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας διηγή-
σομαι, καὶ ἀπαγγελῶ· ὁ θεὸς, ὁ θεός μου πρὸς σὲ ὀρθρίζω.
καὶ πάλιν, τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν
ἀλήθειάν σου κατὰ νύκτα. ὁρᾷς ὅτι οὐκ ἔστιν ὥρα οὐδεμία, ἐν
ᾗ ἐπελανθάνετο; οὐχ ἑωθινὴ, ἢ νυκτερινή. εἴγε θέλεις μα-
θεῖν ἀληθῶς, ὅτι οὐχ ἁπλῶς ἐμνημόνευσε τοῦ θεοῦ ὁ Δαυΐδ,
ἀλλὰ μετὰ συνοχῆς καρδίας, ἄκουε· ἐκ βαθέων ἐκέκραξά
B σοι, κύριε, κύριε ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας.
καὶ ἵνα πασῶν τῶν ὡρῶν πέρας ἐπάγῃ ὁ Δαυΐδ, εἶτα λέ-
γει, ὡς ἠγάπησα τὸν νόμον σου, κύριε; ὅλην τὴν ἡμέραν
μελέτη μού ἐστιν. ἰδοὺ ὡς ὅλην τὴν ἡμέραν μελετῶν τὰ λό-
για κυρίου καὶ μεμνημένος τοῦ θεοῦ παρ᾽ ἕκαστα, ποίας ἀπέ-
λαβε χάριτος ἀξίωμα· ἆρα ἐπὶ γῆς τὰς ἀμοιβὰς ἐκολπώ-
σατο; οἶμαι καὶ * αὐτὸν διαπρέποντα καὶ βασιλεύοντα ἐπι-
γείως· ὧδε τοὺς ἐχθροὺς ὑποτάττοντα, κἀκεῖ τοῖς ἀγγέ-
λοις ἐπιτάττοντα· ὧδε τῆς ἐπιγείου βασιλείας τὴν πορφύραν
φορέσαντα, καὶ ἐκεῖ τῆς ἐν οὐρανῷ βασιλείας τὴν δόξαν ἀπα-
στράψαντα· ὧδε τῆς εὐφωνίας τὰς φωνὰς καταλάμψαντα τοῦ
ἁγίου πνεύματος, κἀκεῖ τῆς παναρέτου σοφίας τὰς μαρμαρυ-
γὰς καταυγάσαντα. καὶ ταῦτα μὲν μερικῶς ὑπογράφομεν.
C τούτων δὲ πάντων τὸ κρεῖττον ἐκληρώσατο. ὡς γὰρ εἶδε τὸ
πνεῦμα τὸ ἅγιον συνεχῶς τὸν θεὸν παρὰ τοῦ Δαυῒδ ὑμνού-
μενον ἐπὶ γῆς, λοιπὸν εἰς οὐρανοὺς * τὸ ἅγιον πνεῦμα ἐχώ-
ρησεν εἰς πρεσβείαν λέγον· κύριε, ἐφ᾽ ἑκάστης ὁ Δαυῒδ μνη-
μονεύει σου, καὶ μνημονεύων εὐφραίνεται· καὶ αὐτὸς αὐτοῦ μνήσθη-
τι, κύριε, θεὸς ἡμῶν, καὶ λέγει· μνήσθητι, κύριε, τοῦ Δαυΐδ,
καὶ πάσης τῆς πραότητος αὐτοῦ. λοιπὸν ἀποκρίνεται ὁ φιλάνθρω-
πος θεός· ἐπειδὴ συνεχῶς καὶ συνετῶς μνημονεύει μου ὁ Δαυΐδ,
κἀγὼ ἐπὶ πάντων κηρύξω τὴν ἐμὴν πρὸς ἐκεῖνον διάθεσιν, καὶ
ἀγάπην· ὑπὲρ ἁγίους καὶ ἀγγέλους καὶ δυνάμεις αὐτὸν μεγα-
λυνῶ ἐπὶ τῆς γῆς. τί λέγων; εὗρον Δαυῒδ τὸν δοῦλόν μου,
ἄνδρα κατὰ τὴν καρδίαν μου, καὶ πρωτότοκον θήσομαι αὐτὸν,
ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς, καὶ τὸν θρόνον αὐτοῦ ὡς
D τὰς ἡμέρας τοῦ οὐρανοῦ. τοῦτο δὲ εἰπὼν ἑαυτὸν ἐδειγμάτισεν ὁ
Δαυΐδ. ὁρᾷς ὅτι μέγα κέρδος γίνεται τοῦ ἀνθρώπου τὸ μνημο-
νεύειν τοῦ θεοῦ; ἐμνήσθην τοῦ θεοῦ, εἶπεν ὁ Δαυΐδ, καὶ ηὐφράν-
θη ἡ καρδία μου. αἱ μὲν γὰρ ἄλλαι εὐφρασίαι διὰ τοῦ στόματος
εἰσέρχονται, καὶ διὰ τοῦ ἀφεδρῶνος μεθοδεύονται· ἡ δὲ τοῦ θεοῦ
εὐφρασία, ὡς πηγὴ, μελίρρυτα ῥήματα τὴν καρδίαν εὐφραί-
νει, ὥστε λέγειν τὸν τοιοῦτον, ὡς γλυκέα τῷ λάρυγγί μου
τὰ λόγιά σου; ὑπὲρ μέλι τῷ στόματί μου. ὁ γὰρ τοῦ θεοῦ
μνημονεύων πάντα τὰ ἀγαθὰ τῆς εὐφροσύνης ἔχει ἐν τῇ καρ-
δίᾳ φωλεύοντα. ἐκεῖ πηγὴ βρύουσα ἀγαθὰ, ἐκεῖ μέλι καὶ
κηρίον καὶ λύχνος ἁπτόμενος· ἐκεῖ θησαυρὸς κρυπτόμενος
τῆς ἁγίας τριάδος. λοιπὸν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦ-
μα ἔρχονται, καὶ μονὴν παρ᾽ αὐτῷ λαμβάνουσι, καὶ λοιπὸν
E οὐκ ἔτι γίνεται ἄνθρωπος κατηχούμενος, ἀλλ᾽ ἄγγελος θεο-
φορούμενος. ἐπειδὴ οὖν τοιαύτης χάριτος κατηξίωται ὁ ἄνθρω-
πος, καὶ τοιαύτης εὐφρασίας ἀπολαύσας ηὐφραίνετο ὁ Δα-
υΐδ, καὶ ἡμεῖς τῆς τοῦ θεοῦ εὐφρασίας ἀπολαύοντες, συνεχῶς
μνημονεύσωμεν τοῦ θεοῦ, ἵνα τῶν αὐτοῦ ἀγαθῶν ἀπολαύσωμεν.
φέρε οὖν τῆς παρουσίας τοῦ σωτῆρος τὰς ἀρετὰς μεταλλεύσω-
μεν, καὶ τὴν ἐπίγειον αὐτοῦ παρουσίαν ὡς στήλην παναρέτου
ἀνυμνήσωμεν· ἐπειδὴ ἤκουσα παρὰ τῆς γλώττης τῶν παρα-
νόμων Ἰουδαίων βλασφημίας τεκμήρια, καὶ ἐπειδὴ ἀπιστοῦσι
τὰς γραφὰς, ἃς ἀναξίως ἀναγινώσκουσι, καὶ οὐ γινώσκουσι τὸ
μυστήριον. τὸ γὰρ ὅτι ἐκ παρθένου ἐτέχθη ὁ κύριος, ἐν αὐτῷ
σκανδαλίζονται, φησὶν, οἱ ἄθλιοι καὶ παμπόνηροι. ὢ τῆς
ἀνοίας, ὢ τῶν παρὰ φύσιν παρανόμων. ποία γραφὴ, ἢ
ποῖος προφήτης οὐ σαλπίζει τοῦ κυρίου ταύτας τὰς χάριτας;
πρῶτος

πρῶτος τὴν παρθένον ὁ Σολομὼν ἐμακάρισεν, ὁ τῆς μεγάλης σοφίας ἡνίοχος, λέγων· μακαρία ἡ στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι. στεῖραν γὰρ λέγει πρὸ τοῦ ἐπισκιάσαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πρὸ τοῦ ἀνθῆσαι τὸν ἥλιον. οὐκ ἔγνω κοίτην ἐν παραπτώματι, ὅτι μετὰ ἀνδρὸς οὐχ ὡμίλησεν. ὅτε δὲ ἤκουσε περὶ τῆς ἀμιάντου στείρας Ἡσαΐας ὁ τίμιος· εὐθὺς τοῦ σοφοῦ τὸ ῥητὸν ἐσπαργάνωσε, καὶ τῷ αὐτῷ ἐμελῴδησε· σύ, φησιν, εἶπας στεῖραν ἀμίαντον, κἀγὼ λέγω, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ἕως γὰρ νῦν οὐκ ἔτικες· ἀπὸ τοῦ νῦν εὐφράνθητι, ὅτι ὃν οὐ χωροῦσιν οἱ οὐρανοί, δέξασθαι * κατηξίωσαι. ὡς δὲ οἱ δύο μάρτυρες ταῦτα ἐκήρυττον, ἐζήτουν καὶ ἄλλον ἕτερον μῖξαι εἰς τὸ μυστήριον, ἵνα ἐπὶ τριῶν μαρτύρων σταθῇ ἀσφαλὲς τὸ ζητούμενον. ὡς δὲ ταῦτα διενοοῦντο, ἑκάτεροι εὗρον Δαυὶδ τῆς μελῳδίας τὸν ῥήτορα, καὶ ὑπομιμνήσκουσιν αὐτὸν τῆς οἰκονομίας τὰ μέλλοντα. ὡς δὲ ἤκουσε τὸ μυστήριον, σάλπιγγος φωνὴν ἀντεφώνησεν· ἰδοὺ ἑκάτεροι περὶ τῆς στείρας εἰρήκατε. διὰ τί οὐκ εἰρήκατε περὶ τῆς ἐνδόξου κυήσεως; εὐθέως νοήσας Ἡσαΐας τὸ φρόνιμον, ἀντιβάλλει τοῖς ῥήμασιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν. καὶ ὁ Σολομὼν ἐδευτέρωσεν, ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν. ταῦτα ἀκούσας Δαυὶδ ἔφησε πρὸς αὐτούς· ἰδοὺ εἰρήκατε ὅτι τέξεται· ἐν ποίῳ τόπῳ; ἐν πόλει, ἢ ἐν ἐρήμῳ, ἢ ἐν χώρᾳ; λέγουσι πρὸς αὐτόν· σὺ περὶ τοῦ τόπου καὶ τῆς πόλεως ἑρμήνευσον. περισσοτέρας γὰρ χάριτος ἠξίωσαι. τότε Δαυίδ, τοῦ πνεύματος εἰπόντος αὐτῷ τὴν ἐνέργειαν, μεγαλοφώνῳ κραυγῇ ἐστηλίτευσε τὸ μυστήριον· ὑμεῖς, φησιν, ἐν κρυφῇ [a] δονιτεύετε· ἐγὼ ὑψηλῇ τῇ φωνῇ ἀνυμνήσω τὴν κύησιν. ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. καὶ συνεὶς ἐπὶ τούτοις τοῖς δόγμασιν, ὅτι βαθύ τι αἴνιγμα, ἐζωγράφησεν· ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, τουτέστιν, ἐν Βηθλεέμ. Εφραθὰ γὰρ ὀνομάζεται. ἠκούσαμεν αὐτὴν ἐν Εφραθᾷ, ὅτι ἔγκυός ἐστιν. ἐκεῖ γὰρ ἐξῆλθεν ἡ ἀκοή, ὅτι ἔγκυός ἐστιν ἡ παρθένος. τότε δὲ εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, εἰς τὸ σπήλαιον, ὅπου τὸ φῶς ἐφανέρωσεν. ὧδε ἠκούσαμεν αὐτὴν ἔγκυον, ὧδε περὶ ἀνδρὸς ἀκοὴν ἐδεξάμεθα. ἐκεῖ μητέρα τοῦ κυρίου εὑρήκαμεν. ἰδοὺ ἐκ τῶν σῶν τρεῖς σοι παρεστήσαμεν μάρτυρας τὴν δόξαν τῆς παρθένου κηρύττοντας· οὐχ ὅτι μόνον τούτους εὑρήκαμεν· ἅπαντες γὰρ αὐτὸν οἱ προφῆται ἑωρακότες ἐλπίζουσιν· ἀλλ' ἐπὶ τριῶν μαρτύρων [b] ἱστάναι τὸ δίκαιον. ἐγὼ δὲ ἐπὶ τῶν τριῶν οὐ τρακτεύω· ἀλλὰ δός μοι ἕνα πιστότατον μάρτυρα λέγοντα ψεύδεσθαι τὸ μυστήριον, ἢ ἐξ ἀνδρὸς ἀποκυῆσαι τὴν παρθένον· ἢ τοῦτο ἀπόδειξον, ἐπιστρέψας ὡς θεοτόκον προσκύνησον. ἢ δεῖξον τὸν σωτῆρα ἐν τάφῳ καὶ σορῷ κατεχόμενον, ἢ ἐγώ σοι δεικνύω ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενον. οὐ γὰρ ἐξ ἀλλοφύλων, ἀλλ' ἐκ τοῦ σοῦ γένους προσφέρω τὸν μάρτυρα λέγοντα· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· περὶ τῶν Ἰουδαίων λέγει. οὐ γὰρ ἄλλος ἐστὶν ἐχθρός, εἰ μὴ ὁ σταυρὸν ἀρνούμενος.

Ἀλλ' ἐγὼ ἐάσας τὴν θεομάχον συναγωγὴν πρὸς τὴν θεόπνευστον ἐκκλησίαν συνέρχομαι. ἐάν σοι εἴπῃ Ἰουδαῖος, εἰπὲ πῶς ἐγέννησεν ἡ παρθένος δίχα ἀνδρός, εἰπὲ αὐτῷ καὶ σύ· πῶς ἔτεκε τὴν Εὔαν ὁ Ἀδὰμ δίχα γυναικός; πῶς ἔτεκεν ἡ παρθένος δίχα σπορᾶς; πῶς ἐξήνθησεν ἡ γῆ δίχα σπέρματος; πῶς ἐγέννησεν ἡ παρθένος; πῶς ἔβρυσεν [c] ἡ παρθένος τὸ ὕδωρ ἡ ἀκρότομος; πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πῶς τοῦ Ἀαρὼν ἡ ῥάβδος ἐβλάστησε; πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πῶς οὐρανόθεν τὸ μάννα; πῶς ἐπληθύνετο ἡ ὑδρία; πῶς ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἐβλάστησε τὸ ἄνθος; πῶς Ἐλισσαίου τὸ ἔλαιον ἔβρυσεν εἰς τοὺς κεράμους; πῶς ἐγέννησεν ἡ παρθένος;

A Primus Salomon, magnus ſapientiæ auriga, virginem beatam prædicavit dicens: *Beata ſterilis intemerata, quæ non novit torum in delicto.* Sap. 3. 13. Sterilem illam vocat antequam in illam ſuperveniret Spiritus ſanctus, & antequam ſol oriretur, non novit torum in delicto, quia cum viro non congreſſa eſt. Cum porro de intemerata ſterili audivit venerandus Eſaias, ſtatim ſapientis dictum collegit, ac cum ipſo modulatus eſt. Tu, inquit, dixiſti ſterilem intemeratam, & ego dico: *Lætare ſterilis quæ non paris.* Iſai. 54. 1. Hactenus non peperiſti: jam lætare, quia eum quem cæli non capiunt, tu quem ſuſciperes digna fuiſti. Ut vero duo illi teſtes hæc prædicarunt, alium perquiſierunt, quem in myſte-
B rium inducerent, ut quod quærebatur ex tribus teſtibus certum eſſet. Hæc illis cogitantibus, ambo Davidem invenerunt modulationis rhetorem, & ipſi futuram œconomiam in mentem revocarunt. Ut autem myſterium audivit, quaſi cum clangore tubæ reſpondit: Ecce ambo de ſterili loquuti eſtis: cur de glorioſo partu nihil dixiſtis? Rem prudenter dictam advertens Eſaias, ſtatim reponit: *Ecce Virgo in utero habebit & pariet filium.* Iſai. 7. 14. Addidit Salomon: *Habebit fructum in viſitatione animarum.* Sap. 3. 13. His auditis David dixit illis: Ecce dixiſtis quod pariet: Quo in loco? In urbe, an in deſerto, vel in agro? Reponunt ei: Tu de loco & de civitate dicito: ampliori quippe gratia dignatus es. Tunc David Spiritus operatione ſuggerente, magno cla-
C more myſterium celebravit: Vos in occulto, inquit, loquimini: ego alta voce partum proferam: *Ecce audivimus eam in Ephratha, invenimus eam in campis ſilvæ.* Pſal. 131. 6. Ac cum intelligeret hanc doctrinam eſſe profundum ænigma hæc deſcripſit: *Ecce audivimus eam in Ephratha, invenimus eam in campis ſilvæ.* Hoc eſt in Bethlehem: nam Ephratha vocatur. Audivimus eam in Ephratha, nempe prægnantem eſſe. Illic enim fama exiit, Virginem eſſe prægnantem. Tunc invenimus eam in campis ſilvæ, in ſpelunca, ubi lux apparuit. Hic audivimus eam prægnantem, hic de viro notitiam accepimus: illic matrem Domini invenimus. Ecce ex tuis tres tibi teſtes protulimus, gloriam Virginis prædicantes. Non quod hos tantum invenerimus;
D omnes quippe prophetæ ſe ipſum vidiſſe confidunt; ſed quod ex tribus teſtibus jus ſtatuatur. Ego vero non ex tribus rem tracto: ſed da mihi unum fide dignum teſtem, qui dicat falſum eſſe myſterium, aut Virginem ex viri operatione peperiſſe; aut hoc declara, & converſus quaſi Deiparam adora. Aut oſtende ſervatorem in ſepulcro ac tumulo detentum, aut ego tibi oſtendam in dextera Patris ſedentem. Non enim ex alienigenis, ſed ex genere tuo teſtem profero dicentem: *Dixit Dominus Domino meo, ſede a dextris meis: donec ponam inimicos tuos ſcabellum pedum tuorum.* Pſal. 109. 1. De Judæis dicit: neque enim alius eſt inimicus, quam is qui crucem negat.

2. Sed ego relicta Dei hoſte ſynagoga, eccleſiæ
E a Deo inſpiratæ loquar. Si tibi dixerit Judæus: Dic quomodo virgo genuit ſine viro; dic & tu: Quomodo Adam Evam genuit ſine muliere? Quomodo Virgo genuit ſine ſemine? Quomodo floruit terra ſine ſemine? Quomodo genuit virgo? Quomodo aquam emiſit prærupta petra? Quomodo genuit virgo? Dic quomodo Aaronis virga germinavit. Quomodo genuit virgo? Dic quomodo manna de cælo decidit; quomodo hydria impleta eſt? Quomodo ex radice Jeſſe flos germinavit? Quomodo Eliſæi oleum ſupereffluxit in teſtam? Quomodo genuit virgo? Dic,

[a] Δονιτέυετε vox inferioris ævi, quales non paucas habet hic inſulſus orator.

[b] ἱστάναι τὸ δίκαιον, vel vitiata verba, vel labes ipſius ſcriptoris eſt.

Vox τρακτεύω ſequens inferiori ævo in uſu erat, ut videas in Cangii gloſſario.

[c] ἡ παρθένος, legendum ἡ πέτρα.

quomodo vellus Gedeonis rorem emisit; dic
quomodo Samsoni ex osse aqua manavit: dic
quomodo fornax tres pueros servavit: dic quo-
modo sub Manoe petra accensa sit sine ligno;
dic quomodo rubus inflammaretur, nec com-
bureretur; dic quomodo non combustus fuerit
Elias in curru igneo; dic quomodo Moyses in-
gressus sit in caliginem, & inde egressus sit.
Quomodo genuit virgo? Quomodo Esaias Do-
minum vidit sedentem super solium excelsum
& elevatum? Dic quomodo Daniel occultum
somnium Nabuchodonosori declaraverit; quo-
modo Ezechiel invisibilem in curru cherubino-
rum sedentem viderit. Quomodo genuit virgo?
Quomodo Jeremias propheta ex vulva sancti-
ficatus est? Dic quomodo mortua prophetæ ossa
mortuum suscitaverint; dic quomodo mare Ru-
brum virga in petram versum sit; dic quomo-
do Jordanis fluxum retro duxerit; dic quomo-
do arbores fructus parturiant; dic quomodo vi-
tis uvam ferat; dic quomodo nox diem genue-
rit. Quomodo genuit virgo? Dic quomodo lu-
minare solis mundum calefaciat; dic quomodo
cælum stellas exhibeat. In his quoque sunt my-
steria ineffabilia, in cælis occulta & incompre-
hensibilia. Si hæc mihi explicaveris, Judæo-
rum patrone, jam sciam te partum virginis in-
telligere. Verum tu alienus es & ab illis & ab
his mysteriis: nos vero & hæc amplectimur,
& illa credimus. Interpretare prophetas, & vi-
de adventus oratores. Coronetur prædicatio.
Quæ ille fecit & passus est, jam illi a tot gene-
rationibus depinxerunt. Primus supplicat Da-
Psal. 143. vid, *Domine, inclina cælos & descende.* Et po-
4. stulata consequutus prædicat & dicit, *Inclina-*
Psal. 17. *vit cælos & descendit.* Et quia ut puer appari-
10. rus erat, ait Esaias: *Puer natus est nobis.* Quia
Isai. 9. 6. vero Mater ejus illum sublatura erat ut fugeret
Isai. 19. 1. in Ægyptum; *Ecce Dominus sedet super nubem*
*levem, & veniet in Ægyptum, & concutientur*
*manufacta Ægypti.* Virginem nubem levem ju-
re vocavit, quia virilis seminis onus non suf-
cepit. Quod vero in Jordane baptizandus esset,
Jerem. 12. dicit Jeremias, *Quomodo feceris in fremitu Jor-*
5. *danis?* Et cur per species enumeramus? Age om-
nes simul prophetias in unam lucem profera-
Malac. 3. mus. De interpretatione ait Gabriel: *Ecce mit-*
1. *to angelum meum ante faciem tuam, qui præpa-*
*rabit viam tuam ante te.* De Christi & Bapti-
Psal. 84. stæ occursu ait David, *Misericordia & veritas*
11. & seqq. *obviaverunt sibi.* De salutatione Elisabetæ ad
sanctam & castam Deiparam, *Justitia & pax*
*osculatæ sunt.* Rursum de Joanne & de Domi-
no dicit: *Veritas de terra orta est, & justitia de*
Psal. 81. 6. *cælo prospexit.* De apostolis dicit, *Ego dixi, Dii*
Psal. 2. 7. *estis.* Et de superno testimonio ait David: *Fi-*
*lius meus es tu: ego hodie genui te.* De ægrotis
Psal. 106. ait: *Misit verbum suum, & sanavit eos.* De pec-
20. catoribus: *Ipse peccata nostra fert*; de suscitatis
Isai. 53. 4. mortuis: *Resurgent mortui.* De animabus de-
Isai. 9. 2. tentis: *Qui in tenebris sedetis, lux orta est vo-*
Psal. 46. *bis.* De Caipha & Herode dicit: *Principes po-*
10. *pulorum congregati sunt cum Deo Abraham.* De
Psal 46. Juda: *Qui edebat panes meos, magnificavit super*
10. *me supplantationem.* De Synagoga Judæorum &
Isai. 3. 14. principum sacerdotum: *Veniet Dominus in judi-*
Jer. 11. 19. *cium cum senioribus populi.* De cruce: *Venite, &*
*mittamus lignum in panem ejus*; & de latrone qui
Psal. 117. a dextris erat: *Dextera Domini fecit virtutem.* De
16. sepulcro: *Posuerunt me in lacu inferiori*: & de
Psal. 87. corona spinea: *Vinea mea pro uvis spinas ger-*
7. *minavit.* Et quod tentatus fuerit a maligno: *Ini-*
Psal. 79. *micus improperavit Domino.* Et quod vocatus sit
16. Filius hominis: *Et super Filium hominis quem*
Isai. 53. 9. *confirmasti tibi.* De sepultura ejus: *Et dabo im-*
Psal. 43. *probos pro sepultura ejus.* De resurrectione Do-
23. mini: *Exsurge, quare obdormis, Domine?* De
Psal. 46.
6.

A εἰπὲ πῶς ἐπὶ Γεδεὼν ὁ πόκος a ἀπέλυσε δρόσον; εἰπὲ πῶς
ἐπὶ τοῦ Σαμψὼν τὸ ὀστέον ἔβρυσε τὸ ὕδωρ; εἰπὲ πῶς ἐφύ-
λαξεν ἡ κάμινος τοὺς παῖδας; εἰπὲ πῶς ἐπὶ Μανωὲ ἀνήφθη
ἡ πέτρα δίχα ὕλης; εἰπὲ πῶς ἐκαίετο ἡ βάτος, καὶ οὐ κατε-
καίετο; εἰπὲ πῶς οὐ κατεφλέχθη Ἡλίας ἐν τῷ ἅρματι τῷ
πυρίνῳ; εἰπὲ πῶς ὁ Μωϋσῆς εἰσῆλθεν εἰς τὸν γνόφον, καὶ
πάλιν ἐξῆλθε; πῶς ἐγέννησεν ἡ παρθένος; πῶς Ἡσαΐας τὸν
κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου ἐθεάσα-
το; εἰπὲ πῶς Δανιὴλ ἐφανέρωσε τὸ κεκρυμμένον ἐνύπνιον
τῷ Ναβουχοδονόσορ; πῶς Ἰεζεκιὴλ ἐφ' ἅρματος χερουβὶμ
καθήμενον εἶδε τὸν ἀόρατον; πῶς ἔτεκεν ἡ παρθένος; πῶς Ἰε-
ρεμίας ἐκ μήτρας ἡγιάσθη προφήτης; εἰπὲ πῶς τὰ νεκρὰ
τοῦ προφήτου ὀστᾶ τὸν νεκρὸν ἤγειραν τότε; εἰπὲ πῶς ἡ ἐρυθρὰ
B ἐπετρώθη ῥάβδῳ; εἰπὲ πῶς ὁ Ἰορδάνης ἀνεπόδισε τὸ ῥεῦμα;
εἰπὲ πῶς τὰ δένδρα τοὺς καρποὺς ἐγκυμονοῦσιν; εἰπὲ πῶς
ἡ ἄμπελος φέρει τὸν βότρυν; εἰπὲ πῶς ἐγέννησεν ἡ νὺξ τὴν
ἡμέραν; πῶς ἐγέννησεν ἡ παρθένος; εἰπὲ πῶς ὁ φωστὴρ τοῦ ἡλίου
θερμαίνει τὸν κόσμον; εἰπὲ πῶς ὁ οὐρανὸς τοὺς ἀστέρας ἐκ-
φαίνει; καὶ ἐπὶ τούτων εἰσὶ μυστήρια ἄρρητα, κεκρυμμένα καὶ
ἀκατάληπτα ἐν οὐρανοῖς. εἰ ταῦτά μοι ἑρμηνεύσῃς ὁ τῶν Ἰου-
δαίων ἐκσκέπτωρ, οἶδα ὅτι καταλαμβάνεις καὶ τὴν κύησιν τῆς
παρθένου. ἀλλὰ σὺ ἀλλότριος εἶ κἀκείνων καὶ τούτων τῶν μυ-
στηρίων· ἡμεῖς δὲ καὶ ταῦτα φιλοφρονούμενοι, κἀκεῖνα πιστεύο-
μεν. ἑρμήνευσον τοὺς προφήτας, καὶ βλέπε τῆς παρουσίας τοὺς
ῥήτορας. στεφανούσθω τὸ κήρυγμα. ὅσα ἐποίησε, καὶ ἔπαθε,
ταῦτα οἱ προλαβόντες πρὸ τοσούτων γενεῶν ἐζωγράφησαν.
C πρῶτος ἱκετεύει Δαυίδ· κύριε, κλῖνον οὐρανούς, καὶ κατά-
βηθι. καὶ ἐπιτυχὼν τῆς αἰτήσεως εὐαγγελίζεται καὶ λέγει· ἔκλινεν
οὐρανούς, καὶ κατέβη. καὶ ἐπειδὴ ὡς παιδίον εἶχε φανῆναι, λέ-
γει Ἡσαΐας, παιδίον ἐγεννήθη ἡμῖν. ὅτι δὲ ἔμελλεν αἴρειν αὐ-
τὸν ἡ μήτηρ αὐτοῦ καὶ φεύγειν εἰς Αἴγυπτον, ἰδοὺ ὁ κύριος κά-
θηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται
τὰ χειροποίητα Αἰγύπτου. νεφέλην κούφην εἰκότως ὁ λόγος τὴν
παρθένον ἐκάλεσεν, ὅτι ἀνθρωποποιοῦ σπέρματος βάρος οὐκ
ἐδέξατο. ὅτι δὲ ἤμελλεν ἐν Ἰορδάνῃ βαπτίζεσθαι, λέγει Ἱερε-
μίας· πῶς ποιήσῃς ἐν φρυάγματι τοῦ Ἰορδάνου; καὶ τί καθ'
εἶδος ἀριθμοῦμεν; φέρε δὴ ὅλας ὁμοῦ τὰς προφητείας εἰς ἕνα
φωστῆρα συνερχόμενος. περὶ τῆς ἑρμηνείας Γαβριὴλ λέγει, ἰδοὺ
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατα-
D σκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. καὶ περὶ τῆς τοῦ Χριστοῦ ἀπαν-
τῆς καὶ τοῦ Βαπτιστοῦ Δαυὶδ λέγει, ἔλεος καὶ ἀλήθεια συνήν-
τησαν· καὶ περὶ τοῦ ἀσπασμοῦ τῆς Ἐλισάβετ πρὸς τὴν ἁγίαν καὶ
ἁγνὴν θεοτόκον, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. καὶ πάλιν
περὶ τοῦ Ἰωάννου καὶ περὶ τοῦ κυρίου λέγει· ἀλήθεια ἐκ τῆς γῆς
ἀνέτειλεν, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. καὶ περὶ τῶν
ἀποστόλων λέγει· ἐγὼ εἶπα, θεοί ἐστε. καὶ περὶ τῆς μαρτυρίας
τῆς ἄνωθεν Δαυὶδ λέγει· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννη-
κά σε. καὶ περὶ τῶν νοσούντων λέγει· ἀπέστειλε τὸν λόγον αὐτοῦ
καὶ ἰάσατο αὐτούς. καὶ περὶ τῶν ἁμαρτωλῶν λέγει· αὐτὸς τὰς
ἁμαρτίας ἡμῶν φέρει· καὶ περὶ τῶν ἐγερθέντων νεκρῶν, ἀνα-
στήσονται οἱ νεκροί· καὶ περὶ τῶν κατεχομένων ψυχῶν, καὶ οἱ ἐν
σκότει καθήμενοι, φῶς ἀνέτειλεν ὑμῖν. καὶ περὶ τοῦ Καϊάφα καὶ
Ἡρώδου λέγει· ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Ἀβραάμ.
E καὶ περὶ τοῦ Ἰούδα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ
πτερνισμόν· καὶ περὶ τῆς συναγωγῆς τῶν Ἰουδαίων καὶ ἀρχιερέων,
ἥξει κύριος εἰς κρίσιν μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ περὶ
τοῦ σταυροῦ, δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· καὶ
περὶ τοῦ λῃστοῦ τοῦ ἐκ δεξιῶν, δεξιὰ κυρίου ἐποίησε δύναμιν· καὶ
περὶ τοῦ τάφου, ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ· καὶ περὶ τοῦ στε-
φάνου τοῦ ἐξ ἀκανθῶν, ἡ ἄμπελός μου ἀντὶ βοτρύων ἀκάνθας
ἐβλάστησε· καὶ περὶ τοῦ πειρασθῆναι ὑπὸ τοῦ πονηροῦ, ἐχθρὸς
ὠνείδισε τὸν κύριον· καὶ περὶ τοῦ κληθῆναι υἱὸν ἀνθρώπου, καὶ
ἐπὶ υἱὸν ὃν ἐκραταίωσας ἑαυτῷ· καὶ περὶ τῆς ταφῆς αὐτοῦ, καὶ
δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ· καὶ περὶ τῆς ἀνα-
στάσεως τοῦ κυρίου, ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, κύριε;

a ἀπέλυσε δρόσον, corruptum ut videtur.

καὶ περὶ τῆς ἀναλήψεως αὐτοῦ, ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ· καὶ περὶ τῆς ἄνω καθέδρας, κάθου ἐκ δεξιῶν μου. καὶ τί πολλὰ λέγω; ὅλας γὰρ τὰς προφητείας οὐδὲ οἱ ῥήτορες ἐξαγγέλλουσι τὰς περὶ τῆς χάριτος τοῦ Χριστοῦ ᾀδομένας. θέλεις γνῶναι καλῆς ἱστορίας ἀσφάλειαν; ὅτι περὶ τὴν καινὴν διαθήκην ἡ παλαιὰ ἐζωγράφησε, καὶ τὰ ὧδε οἰκονομούμενα, ἐκεῖ * σκιογραφούμενα; βλέπε μοι αὐτὸν ἐκεῖ εἰς τὴν σκηνὴν τοῦ Ἀβραὰμ μετὰ δύο ἀγγέλων παραγινόμενον, καὶ ὧδε μετὰ δώδεκα μαθητῶν εἰς τὸν οἶκον Ζακχαίου εἰσερχόμενον. βλέπε μοι αὐτὸν ἐκεῖ δύο ἀδελφοὺς εἰς ἱερωσύνην καλέσαντα, καὶ ὧδε δύο ἀδελφοὺς εἰς ἀποστολὴν ἐκλεξάμενον. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Πέτρος καὶ Ἀνδρέας ἐν τοῖς ἀποστόλοις αὐτοῦ. βλέπε μοι αὐτὸν ἐκεῖ τὸν υἱὸν τῆς χήρας διὰ Ἠλίου ἐγείραντα, καὶ ὧδε τῆς χήρας τὸν μονογενῆ δι' ἑαυτοῦ ἐγείραντα· ἐκεῖ δι' Ἐλισσαίου τὸν Νεεμὰν καθαρισθέντα, καὶ ὧδε δι' ἑαυτοῦ τὸν λεπρὸν ἀπολούοντα· [a] ἐκεῖ τὴν Μαριὰμ ἀδελφὴν τῶν ἁγίων προφητῶν ἐμβιβάζοντα, καὶ ὧδε τὴν αὐτὴν προσηγορίαν ἀδελφῆς τῶν ἁγίων ἀποστόλων ἐπονομάσαντα· ἐκεῖ ἐκ τῶν προφητῶν τέσσαρας μεγαλύναντα, καὶ ὧδε τὸν ἀριθμὸν τέσσαρας εὐαγγελιστὰς σεμνύνοντα. ἐκεῖ δώδεκα προφήτας ἑτέρους ἐτύπωσε, καὶ ὧδε δώδεκα τὸν ἀριθμὸν ἀποστόλους ἐκάλεσεν. ἐκεῖ τοῖς μεγάλοις προφήταις ὑπουργοὺς ἀνέδειξε, καὶ ὧδε τοῖς ἀποστόλοις ἑβδομήκοντα. [b] Θαδδαῖος ἐτύγχανε τοίνυν ὁ θεραπεύσας τὸν Ἄβγαρον. ἐκεῖ Ἰησοῦς ὁ τοῦ Ναυῆ τοὺς βασιλεῖς τῆς Παλαιστίνης ἐπαίδευσεν, ὧδε Ἰησοῦς ὁ ἀληθινὸς θεὸς τοὺς βασιλεῖς τῆς οἰκουμένης ἐδόξασεν. ἐκεῖ δώδεκα πηγαὶ ἐν Ἐδὲμ βρύουσιν, ὧδε δώδεκα μαθηταὶ ἐκ τοῦ ἡλίου τῆς δικαιοσύνης βάπτισμα πηγάζουσιν. ἐκεῖ ἑβδομήκοντα στελέχη φοινίκων ἐδείχθησαν, ὧδε ἑβδομήκοντα μαθηταὶ τῶν ἀποστόλων ἐβλάστησαν. ἐκεῖ τὸ πικρανθὲν ὕδωρ ξύλον ἐγλύκανε, καὶ ὧδε τὸ πικρότατον τῶν ἁμαρτιῶν εἰς γλυκεῖαν χαρισμάτων πηγὴν τοῦ σταυροῦ τὸ ξύλον μετέβαλεν. ἐκεῖ ἡ σκηνὴ τοῦ μαρτυρίου ἡγιάσθη, ὧδε ἡ σκηνὴ τοῦ παστοφορίου ἐδοξάσθη. ἐκεῖ Δαυὶδ ἐμελῴδησε τοὺς ὕμνοις, καὶ ὧδε Παῦλος ἐκελάδησε τὰς διδασκαλίας· ἐκεῖ Ἠλίας ἐκ τῶν προφητῶν ἀνεδείχθη παρθένος, καὶ ὧδε ὁμοίως Ἰωάννης ἐκ τῶν ἀποστόλων παρθένος. ἐκεῖ Ἠλίας ἐν τῷ ἅρματι ἐκάθησε τῷ πυρίνῳ, καὶ ὧδε Ἰωάννης ἐπὶ τὸ στῆθος ἀνέπεσε τοῦ κυρίου. ὁ γὰρ θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. ἐκεῖ τρεῖς ἀνεδείχθησαν μεγάλοι, ἔχοντες τοῦ σωτῆρος τὸ ὄνομα, τῆς ἐνδόξου τριάδος δηλοῦντες τὸν χαρακτῆρα, οἱ τρεῖς ἅγιοι δυνατοί· οὐ γὰρ ἁπλῶς ἦσαν τῶν τυχόντων, οὐδὲ τῶν ἀγεννῶν· Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ μέγας ἐν ἱερεῦσιν· ἔπειτα οἱ τρεῖς ἀξιόπιστοι μάρτυρες τὸν ὑπογραμμὸν σεμνύνουσι τῆς ἁγίας τριάδος.

Ἕλκεται δέ μου ἀληθῶς ἡ διάνοια καὶ εἰς ἕτερα ἐκπηδῆσαι, εἰς σωτήριον πίστιν. οὐ γὰρ ἀφίσταμαι τοῦ προφήτου λέγοντος, ἐμνήσθην τοῦ θεοῦ, καὶ ηὐφράνθην, ὃν ἡ πανάρετος σοφία ἐν τοῖς ᾄσμασιν ἀνακηρύττει. ἐξεγείρου Βορρᾶ, καὶ ἔρχου νότε, διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματα. ἆρα τίς ἐστιν ὁ Βορρᾶς, ἢ ὁ νότος; ἢ τίς ἐστιν ὁ κῆπος; ἢ τίνα τὰ ἐν τῷ κήπῳ φυτά; ἢ τίνα τὰ ἀρώματα τὰ ῥέοντα; ἐγὼ τοῦτο εἶναι οἶμαι, ὡς ἑρμηνεύει ἡ γραφή, Βορρᾶν εἶναι τὴν ἁγίαν παρθένον· νότον, τὸν σωτῆρα τοῦ κόσμου· φυτά, τοὺς ἁγίους μάρτυρας, καὶ ἀποστόλους· πηγὴν ἄρδουσαν τὸν κῆπον, τὸ βάπτισμα τοῦ σωτῆρος· φύλακα τοῦ κήπου, τοῦ σταυροῦ τὴν σφραγῖδα· ἀρώματα εἶναι τὰ ἰάματα καὶ τὰ χαρίσματα τοῦ σωτῆρος. τοῦτο οὖν ἐστιν, ἐξεγείρου Βορρᾶ, τουτέστιν, ἡ παρθένος ἐκ τῆς Γαλιλαίας· καὶ ἔρχου νότε, δεῦρο, Χριστέ, ἐκ τοῦ οὐρανοῦ ἀπὸ μεσημβρίας, καὶ ἔμπνευσον εἰς τὴν ἁγίαν παρθένον· διάπνευσον εἰς τὸν κόσμον, καὶ ἐξέγειρον τοὺς ἁγίους μάρτυρας, καὶ ἀποστόλους, καὶ ῥευσάτωσαν τὰ ἀρώματα ἐπὶ τοὺς ἀσθενεῖς καὶ πεπλανημένους. ταῦτα τὰ ἀρώματα εἰς διαφόρους πήγνυνται χάριτας, καὶ γίνεται τοῖς ἀσθενοῦσιν ὑγιείας τεκμήριον, τοῖς πεπλανημένοις ἐπιστροφῆς ἔλεγχος, τοῖς ἁμαρτωλοῖς μετανοίας συνή-

assumtione ejus: *Ascendit Deus in jubilatione.* Psal. 109. 1.
De sessione superna: *Sede a dextris meis.* Ecquid plura dicam? Ne rhetores quidem universas, quæ de Christi gratia proferuntur, prophetias recensent. Vis scire quam certa sit vetus illa historia: & quod novum testamentum a veteri depingatur: quodque ea quæ hic dispensata fuere, illic adumbrata fuerint? Vide mihi illum ibi in tabernaculo Abrahæ cum duobus angelis adventantem, & hic cum duodecim discipulis in domum Zacchæi ingredientem. Vide mihi illum ibi duos fratres ad sacerdotium vocantem, & hic duos fratres ad apostolatum eligentem. *Moyses & Aaron in sacerdotibus ejus*, Petrus & Andreas in apostolis ejus. Vide mihi illum ibi filium viduæ per Eliam suscitantem: & hic Filium unicum viduæ per se excitantem, illic per Elisæum Neemanum purgatum, hic per se leprosum mundatum: illic Mariam sororem sanctorum prophetarum inducentem; hic sororem sanctorum apostolorum eodem nomine vocantem: illic ex prophetis quaternos exaltantem; hic quatuor evangelistarum numerum honorantem: illic duodecim alios prophetas efformavit, hic duodecim numero apostolos vocavit. Illic magnis prophetis alios subministrantes assignavit, hic apostolis septuaginta alios adjecit. Thaddæus porro fuit is qui Abgarum curavit. Illic Jesus filius Nave reges Palestinæ corripuit; hic Jesus verus Deus reges orbis gloria affecit. Illic duodecim fontes in Edem scaturiunt; hic duodecim discipuli ex sole justitiæ baptisma effundunt. Illic septuaginta palmarum arbores ostensæ sunt; hic septuaginta apostolorum discipuli germinarunt. Illic amaram aquam lignum dulcem reddidit; hic summam peccatorum amaritudinem in dulcem charismatum fontem crucis lignum mutavit. Illic tabernaculum testimonii sanctificatum est, hic tabernaculum Pastophorii glorificatum est. Illic David hymnos modulatus est, & hic Paulus dulcisona voce doctrinam protulit. Illic Elias inter prophetas virgo exhibitus est, hic similiter Joannes inter apostolos virgo. Illic Elias in curru igneo sedit, hic Joannes supra pectus Domini recubuit.
*Deus* enim *noster ignis consumens est.* Illic tres ex- Hebr. 12. 29.
hibiti sunt magni, qui Servatoris nomen habent, qui gloriosæ Trinitatis characterem significant: tres Sancti potentes; non enim e vulgo nec inglorii erant; Jesus filius Josedec, magnus in Sacerdotibus. Deinde tres illi fide digni testes, qui sanctæ Trinitatis gloriam subindicant.

3. Vere animus mihi abripitur ut ad alia transiliam, ad salutarem fidem. Non enim a propheta abscedo dicente: *Memor fui Dei & delectatus sum*: quem omni virtute prædita Sapientia in canticis prædicat, *Surge Aquilo, & veni Auster:* Cant. 4. 16.
*perfla hortum meum, & fluant aromata.* Quis ergo est Aquilo? Quis Auster? Quis hortus? Quæ in horto plantæ? Quæ aromata fluentia? Ego illa puto esse, quæ interpretatur Scriptura; Aquilonemque esse sanctam Virginem; Austrum, Servatorem mundi; plantas, sanctos Martyres & Apostolos; fontem irrigantem hortum, baptisma Servatoris; custodem horti, signaculum Crucis; aromata curationes & charismata Servatoris. Hoc ergo sibi vult illud, *Surge Aquilo*, id est Virgo ex Galilæa; *& veni Auster*; Veni, Christe, de cælo a meridie, & perfla sanctam Virginem; perfla in mundum, & excita sanctos Martyres & Apostolos, & fluant aromata in infirmos & errantes. Hæc aromata in diversas condensantur gratias, & sunt infirmis sanitatis indicium, errantibus argumentum conversionis; peccatoribus pœnitentiæ advocati, justis

*a* Non sat intelligo quid hic sibi velit.
*b* Hic videtur aliquid deesse. De Abgaro vide, Eusebii historiam.

valetudinis auxilium. Quo pacto igitur digne celebrabimus peccatorum curationes, vivificam spem, terrenam vitam, cælestem salutem? Quomodo impinguata est terra, cum talia fluxerunt aromata? Quomodo terra thymiamata sua attulit? Illaque Domino cum timore offerens dixit: Tu, Domine, præbes cælestia aromata, & ego divinitati tuæ terrena thymiamata offero; tu unguentis dorsum meum illinis sanctis & intemeratis vestigiis tuis, & ego exsultans unguenta tibi offero. Deinde his ambobus gaudens terra ad omnem creaturam conservam suam clamat: Venite, congregamini omnes qui ex me orti estis, & videte in terra illum, qui in cælis glorificatur. Venite, videte in ulnis mulieris gestatum eum, qui sedet super Cherubim; Venite, videte lactantem eum, qui lac subministrat feminis. Venite, videte in utero virginis inclusum eum, quem cæli non capiunt. Venite, videte a matre escam accipientem, eum qui terminos pascit. Venite, videte magistris traditum eum, qui magistros instituit. Venite, videte ab hominibus tentatum eum, qui ab Angelis celebratur. Venite, videte in domum Zacchæi intrantem eum, qui supra cælos sedet. Venite, videte cum Chananæa loquentem eum, qui a Cherubico ministerio hymnis celebratur. Venite, videte mulierem peccatricem adeuntem eum, qui in dextera Patris sedet. Venite, videte eum cujus fimbriæ a muliere infirmante tanguntur, & qui ab incorporea Virtutum natura adoratur. Venite, videte natum ut hominem eum, qui sæculorum conditor est. Venite, videte infantem eum, qui ante constitutionem mundi fuit. Venite, videte a principibus sacerdotum tentatum eum, qui ab Angelis stipatur. Venite universæ creaturæ creatorem videntes; & ut ille est vita in terra, omnes vivite. Venite, omnes Deo replemini. Venite parvi cum magnis congregati, pauperes cum divitibus, servi cum heris, peccatores cum justis, reptilia & quadrupedes cum volucribus, & videte eum qui vitam largitur. Tempora hiemis & autumni mutemini, & præter naturam fructum ferte, proventumque vestrum afferte ei qui vobis fructum indidit, omnia facite, fragrantia odoris divinitatem afficite; aut vestra thymiamata inducite, aut ab illo aromata decerpite. Quia vero in his omnibus terra neglecta fuit a succedente hominum genere, ecce omnia, ut dixit, percurri, deserta loca germinarunt, multamque fragrantiam exhibuerunt; ut prophe-

Isai. 35. 1. tiam Esaiæ implerent, ita accinentem: *Exsultet desertum, & floreat quasi lilium, ac propagines bonumque odorem emittent deserta Jordanis.* His ita pulcre gestis, demum ipsum mare odore frui desideravit: cœpitque sese palam efferre, ac cum terra contendens dixit: jam mihi Dominum concede. Non tuus tantum est Dominus, ut totam divinitatis gratiam accipias: roga illum ut ad me veniat, ne ego ad illum veniens, totam faciem tuam operiam & obruam. Nisi enim illum novissem, nisi timuissem eum qui me obsignavit, & insolubilibus vinculis ligavit, jamdiu terminos tuos inundassem. Annon nosti me prius & antiquius esse te? Antequam tu appareres, ego in abyssis choreas agebam. Redde Dominum

Psal. 94. 5. mihi proprium, ut ait Propheta: *Quoniam ipsius est mare, & ipse fecit illud*; & tunc subdidit, *& aridam formaverunt manus ejus.* Tu ergo posterior efformata es, sicca, mater pulveris, insatiabilis, sepulcrum mortuorum, sanguinum, doli & peccatorum domus. Cur tyrannidem exerces in id quod te antiquius est, cur sola Dominum retines. Jam redde illum mihi, ut impleatur

Psal. 76. 20. illud: *In mari via tua.* Redde mihi opificem meum, ut sinus meos gratia impleat. Sic ejus

A γορος, τοῖς δικαίοις εὐρωστίας βοήθημα. πῶς οὖν ἐπαξίως ὑμνήσωμεν τῶν ἰαμάτων τὰ ἰάματα; τὴν ζωοποιὸν ἐλπίδα; τὴν ἐπίγειον ζωήν; τὴν οὐράνιον σωτηρίαν; πῶς ἐμβρίζετο ἡ γῆ, ὅτε ταῦτα ἔρρεον τὰ ἀρώματα; πῶς δὲ πάλιν ἡ γῆ ἔφερε τὰ ἴδια θυμιάματα; καὶ τῷ δεσπότῃ μετὰ φόβου προσφέρουσα ἔλεγε· σύ, φησι, δέσποτα, παρέχεις τὰ οὐράνια ἀρώματα, κἀγὼ τὰ ἐπίγεια τῶν θυμιαμάτων προσφέρω τῇ σῇ θεότητι. σὺ δέσποτα, μυρίζεις μου τὰ νῶτα τοῖς ἁγίοις σου καὶ παναχράντοις ἴχνεσι, κἀγὼ μύρα σκιρτῶσα προσφέρω σοι. εἶτα ἐπ' ἀμφοτέροις τούτοις τοῖς ἅπασιν εὐφραινομένη ἡ γῆ πρὸς τὴν σύνδουλον ἅπασαν κτίσιν ἐβόα· δεῦτε, συνάχθητε πάντες οἱ ἔγγονοί μου, καὶ ἴδετε ἐπὶ γῆς τὸν ἐν οὐρανοῖς δοξαζόμενον· δεῦτε, βλέπετε ἐν ἀγκάλαις γυναικὸς βασταζόμενον, τὸν ἐπὶ τῶν χερουβὶμ καθεζόμενον· δεῦτε, ἴδετε γαλακτοτροφούμενον, τὸν ἐποχετεύοντα γάλα

B τῆς θηλείαις· δεῦτε, ἴδετε ἐν γαστρὶ παρθένου χωρούμενον, τὸν ἐν οὐρανοῖς μὴ χωρούμενον· δεῦτε, ἴδετε παρὰ μητρὸς τροφὴν λαμβάνοντα, τὸν τὰ πέρατα διατρέφοντα· δεῦτε, ἴδετε διδασκάλοις παραδιδόμενον, τὸν διδασκάλους παιδεύοντα· δεῦτε, ἴδετε ὑπὸ ἀνθρώπων πειραζόμενον, τὸν ὑπὸ ἀγγέλων δοξαζόμενον· δεῦτε, ἴδετε εἰς τὸν οἶκον Ζακχαίου εἰσερχόμενον, τὸν ὑπεράνω τῶν οὐρανῶν καθεζόμενον· δεῦτε, βλέπετε μετὰ τῆς Χαναναίας διαλεγόμενον τὸν ὑπὸ τῆς χερουβικῆς λειτουργίας ἀνυμνούμενον· δεῦτε, ἴδετε ὑπὸ γυναικὸς ἁμαρτωλοῦ συνερχόμενον τὸν ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενον· δεῦτε, ἴδετε τὸν ὑπὸ τῆς ἀσθενούσης γυναικὸς τοῖς κρασπέδοις ψαυόμενον, τὸν ὑπὸ τῆς ἀσωμάτου φύσεως τῶν δυνάμεων προσκυνούμενον· δεῦτε, ἴδετε γεννηθέντα ὡς ἄν-

C θρωπον, τὸν ὑπάρχοντα τῶν αἰώνων ποιητήν· δεῦτε, ἴδετε νηπιάζοντα τὸν πρὸ καταβολῆς κόσμου ὑπάρχοντα· δεῦτε, ἴδετε, ὑπὸ ἀρχιερέων πειραζόμενον, τὸν ὑπὸ ἀγγέλων δορυφορούμενον· δεῦτε, ὅλα τὰ κτίσματα τὸν κτίσαντα βλέποντα· καὶ ὡς ἔστιν ἡ ζωὴ ἐπὶ γῆς, πάντες ζήσατε· δεῦτε, πάντες θεοφορήθητε· δεῦτε, μικροὶ μετὰ τῶν μεγάλων συνέλθετε, οἱ πένητες μετὰ τῶν πλουσίων, οἱ δοῦλοι μετὰ τῶν κυρίων, οἱ ἁμαρτωλοὶ μετὰ τῶν δικαίων, τὰ ἑρπετὰ καὶ τὰ τετράποδα μετὰ τῶν πετεινῶν, καὶ βλέπετε τὸν τὴν ζωὴν χαρισάμενον. οἱ καιροὶ τοῦ χειμῶνος καὶ τοῦ φθινοπώρου ἀλλάγητε, καὶ παρὰ φύσιν καρποφορήσατε, καὶ τὰς ἐπικαρπίας ἑαυτῶν προσκομίσατε τῷ ἐγκυμώσαντι ὑμᾶς σὺν καρποῖς. πάντα ποιήσατε,

D καὶ μυρίσατε τὴν θεότητα. ἢ τὰ ὑμέτερα προσαγάγετε θυμιάματα, ἢ παρ' ἐκείνου τρυγήσατε τὰ ἀρώματα. ὡς δὲ ἐν πᾶσι τούτοις παρωράθη τοῖς ἐγγόνοις ἡ γῆ, ἰδοὺ πάντα, καθὼς εἶπε, συνέτρεχον, καὶ οἱ ἔρημοι τόποι ἐβλάστησαν, καὶ πολλὴν εὐωδίαν ἐδείξαντο· ἵνα τὴν προφητείαν Ἡσαΐου τελέσωσι τὴν μελῳδήσασαν· ἀγαλλιάσθω ἡ ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ὑλοχαρήσει καὶ εὐωδιάσει τὰ ἔρημα τοῦ Ἰορδάνου. τούτων οὕτω πραττομένων καλῶς, λοιπὸν καὶ ἡ θάλασσα αὐτὴ ἐπεθύμησε τῆς εὐωδίας ἀπολαύειν, καὶ ἤρξατο δημοσιεύειν ἑαυτήν, καὶ τῇ γῇ λέγουσα ἀντέβαλλεν· καί μοι λοιπὸν τὸν κύριον παραχώρησον. μὴ γὰρ μόνον σὸς ἐστὶν ὁ δεσπότης, ὅτι ὅλης αὐτοῦ παρεδέξω τῆς θεότητος τὴν χάριν, παρακάλεσον αὐτὸν ἐλθεῖν πρὸς μέ· μήποτε ἐγὼ ἐρχομένη πρὸς αὐτόν, ὅλον σου ἐξαφανίσω τὸ πρόσωπον. εἰ μὴ γὰρ ἐπέγνων αὐτόν, καὶ ἐδεδοίκει τὸν ἐμὲ

E σφραγίσαντα καὶ πεδήσαντα ἀλύτοις δεσμοῖς, πάλαι ἂν ἐλθοῦσα ἔκαμψά σου τὰ πέρατα. ἢ οὐκ ἔγνως, ὅτι πρωϊμωτέρα καὶ πρεσβυτέρα σου κεχώρηκα; πρὸ τοῦ γάρ σε φανῆναι, ἐγὼ ἐν ταῖς ἀβύσσοις ἐχόρευον. ἀπόδος μοι τὸν δεσπότην τὸν ἴδιον, καθὼς ὁ προφήτης εἶπεν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν· καὶ τότε ἐπήγαγε, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. σὺ οὖν ὑστέρα ἐπλάσθης. ἐξηραμμένη, μήτηρ κονιορτοῦ, ἀκόρεστε, καὶ τάφε νεκρῶν, αἱμάτων, δολίων καὶ ἁμαρτημάτων οἶκος, τί τυραννεῖς τὴν πρεσβυτίδα σου, καὶ μόνη κατέχεις τὸν κύριον; ἀπόδος μοι λοιπὸν αὐτόν, ἵνα πληρωθῇ τὸ εἰρημένον, ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου· ἀπόδος μοι τὸν ἴδιον πλαστουργόν, ἵνα καὶ σὺν ἐμοῖς κόλποις πληρώσῃ ἐν χάριτι.

καὶ οὕτω συνεχομένη παρὰ τῆς θαλάσσης ἡ γῆ τῷ αὐτοῦ νεύματι, κοσμοφυοῦσα ἐπόμπευε λέγουσα· μὴ γάρ σου χείρων ὑπάρχω, * ἐρεομένη, καὶ κεχαυνωμένη, καὶ ἀσταπίδσα, καὶ συρίζουσα, ἐπικρορύητε, καὶ χολερὰς πόας ἡνίοχε, καὶ ἀχρησίμευτε βίου ἁλμυρονάματε, καὶ δυσοδόχυτε, πορείαις ἀνεπίβατε, καταιγίδος σύμφυλε, τετραχυμμένη τοῖς λαίλαψιν· εἰ οἶσθα, ὡς σὺ ἔφης, προτιμοτέρα εἶ, ἐν σοὶ πρῶτον ἂν ἐσκήνωσεν ὁ δεσπότης. νῦν δὲ τούτου φαίνεταί μου τὸ ἀξίωμα, ὅτι σοῦ ὑπάρχω ὑπερέχουσα, ἐκ ὅτι ἐν ἐμοὶ πρῶτον τὰς ἀκτῖνας ἀπέλυσε τῆς θεότητος. τοσοῦτόν σου προτιμοτέρα καθέστηκα, ὅσον ἐγὼ μήτηρ ἀνθρώπων, καὶ σὺ ἑρπετῶν· ἐγὼ τῆς ἁγίας παρθένου μήτηρ εἰμὶ, ἥτις τὸν δεσπότην ἐξήνθησε· σὺ δὲ τοῦ πονηροῦ δράκοντος, ὅστις ἐμπαίζει τὰ ζῶά σου. ἐγώ εἰμι μήτηρ προφητῶν, καὶ ἀποστόλων, καὶ ἁγίων ἀνδρῶν· σὺ δὲ ἀγρίων καὶ πονηρῶν μήτηρ ἑρπετῶν, καὶ δυσπλοούντων φθορά. ἐγὼ παράδεισος καὶ ἐπικάρπιος ἔχουσα ἄνθη καὶ ἀρώματα· σὺ δὲ ἀνέμους καὶ λιμῶνας καὶ ἀταξίας. εἰ ἦν ἐν ἐμοὶ τοῦ κατέχειν τὸν κύριον, οὐκ ἂν παρελθεῖν αὐτὸν πρὸς σὲ παρεχώρησα. ὡς δὲ, τῶν τηνικαῦτα ἀντιπραττόντων τῶν στοιχείων τοῖς νεύμασιν, ὁ πάντα πληρῶν, καὶ πάντα οἰκονομῶν κύριος πρὸς αὐτὴν τὴν θάλασσαν παραγίνεται, τοῖς ἁγίοις ἴχνεσι δοξάσαι καὶ τιμῆσαι τὴν ὑδάτων τὴν ἤπειρον βουλόμενος, λοιπὸν ἡ θάλασσα τοὺς κόλπους ἁπλώσασα μετὰ πολλῆς χαρᾶς τὸν κύριον ὑπεδέξατο λέγουσα· δεῦτε πάντα τὰ ζῶα τὰ μικρὰ μετὰ τῶν μεγάλων, συνέλθετε τὰ ἐν τοῖς βάθεσιν, ἐπαναπλεύσατε τὸν ἐξ ἀρχῆς ὑμᾶς ἐνθρονιάσαντα, καὶ τὸ ζῆν ὑμῖν χαρισάμενον. πάντα τὰ ἐναντία τοῦ χειμῶνος φιμώθητε πνεύματα, καὶ τοῦ παρόντος φρίξατε τὴν θεότητα. πᾶσαι αἱ καταιγίδες, λαίλαπες, ἡσυχάσατε τῆς δυναστείας τὸ μέγεθος· πάντες οἱ ἄνεμοι καὶ χειμῶνες συστάλητε, καὶ πάντα τὰ κύματα ἠρεμήσατε, καὶ γαληνιάσατε, καὶ τὸν κύριον τῆς ζωῆς καὶ τοῦ θανάτου μετὰ χαρᾶς ὑποδέξασθε. τίς ἀναγγελεῖ μοι σήμερον, ὅτι πελαγοβάτην ἔχω ἐπιβάτην τὸν κύριον; μεγαλυνθείην ἀπὸ τῆς σήμερον, ὅτι χερουβικὴ ἐγενόμην καθέδρα, καὶ σεραφικὰς στιβάδας ἀνέλαβον· ὅτι τὸν ἐκεῖ καθεζόμενον ὧδε ἔχω βαδίζοντα· τὸν ἐπὶ πτερύγων ἀνέμων ἱπτάμενον, ἐν ταῖς νήσοις ἔχω στελλόμενον· τὸν ἐπάνω τοσούτων ὑψηλῶν καὶ μετεώρων στερεωμάτων ὑψούμενον, ἐπὶ τῆς ἐμῆς ἀγλαΐστου χώρας τοῦτον ἔχω πεζεύοντα. νῦν οὐκ ἔτι προσαγορεύομαι θάλασσα, ἀλλὰ κολυμβήθρα οὐράνιος· νῦν ἐγενόμην λύχνος, σφόδρα ἀστράπτουσα οὐράνιος. νῦν ἐγενόμην πηγὴ ἰάματα βρύουσα· νῦν ἐγενόμην ἥλιος, ἀκτῖνας αὐγάζουσα· νῦν ἐγενόμην οὐρανὸς μαρμαρυγὰς ἀποβάλλων, οὐ τὰ τῆς φύσεως ὑποβάλλουσα, ἀλλὰ νάματα τῆς χάριτος βρύουσα.

Ὡς δὲ πᾶσα ἡ κτίσις ἠγάλλετο, ὁμοῦ καὶ γῆ καὶ τὰ ὑπ' οὐρανὸν ἐφαιδρύνοντο χάριτι. οἱ γὰρ πεπλανημένοι ἐπέστρεφον, οἱ ἁμαρτωλοὶ μετενόουν, οἱ ἀσεβεῖς εὐσέβουν, οἱ νοσοῦντες ὑγίειαν μετελάμβανον, οἱ νεκροὶ εἰς ζωὴν [a] ἐργαστήριον, οἱ ζῶντες εἰς θεότητος πρόσωπον. ὡς δὲ οἱ δαίμονες ἐδιώκοντο, καὶ ἡ νόσος ἐμαραίνετο, καὶ ὁ θάνατος κατῃσχύνετο, λοιπὸν καὶ οἱ ἐν τῷ ᾅδῃ ὑπὸ τοῦ ἐχθροῦ κατεχόμενοι ἀκοὴν περὶ αὐτοῦ δεξάμενοι, ἰδεῖν τὴν δόξαν ἐσπούδαζον, καὶ λυθῆναι τῶν δεσμῶν ἱκέτευον. ὡς δὲ εἶδεν ὁ τῆς ἀπωλείας προαγέτης καὶ ἄρχων τοῦ σκότους τὰ ὧδε αὐτὸν κατορθώσαντα, καὶ ἕτοιμον πορθῆσαι τὰ τοῦ ᾅδου βασίλεια, πρὸς τοὺς ἐκεῖ φρουροῦντας ὁ πονηρὸς ηὐτομόλησε δαίμονας λέγων· ὅτι ὑποκάτω τῆς γῆς ἔρχεται ὁ ὑποκάτω τοῦ οὐρανοῦ σωφρονήσας, τὰ πέρατα ἔρχεται σκυλεῦσαι, καὶ αἰχμαλωτεῦσαι ἡμῶν τὰ ταμιεῖα τὰ ἄδηλα. ἀποκριθέντες δὲ λέγουσι πρὸς αὐτὸν οἱ ἀλάστορες· καὶ τίς ἐστι σου ἰσχυρότερος; οὐκ ἔλεγες, οὐκ ἔστι μου δυνατώτερος ὁ ἐμοὶ ἀντιπαττόμενος; νῦν ἐδειλίασας παρ' ἐκείνου λοφούμενος; τέως πείρασον πολεμῆσαι· θάρσησον, καὶ εὑρήσεις αὐτὸν κατὰ πάντα ἡττώμενον. ὁ δὲ, ἐπείρασα, φησι, καὶ ἐδοκίμασα, καὶ πάντοθέν μου τὰς δυναστείας ἐκράτησεν· εἰς τὴν ἔρημον αὐτὸν ἐπολέμησα, καὶ ἔρημόν με πάντοθεν ἀπέδειξεν· οὔτε πρὸς τοὺς

A nutu retenta a mari terra, cum fastu & pompa vicissim loquuta est: Num te minor sum, tu fluis, evacuaris, sibilas, illidis, herbas vehis, vitæ inutile es cum salsuginosis tuis fluentis, trajectu difficile, vix transmeabile, tempestatum consors, turbinibus exasperatum. Si præcellentius, ut dicis, esses, in te primùm Dominus habitasset. Nunc vero mea hinc dignitas fulget, ac te superior sum; quia in me primùm divinitatis radios emisit. In hoc te multo præstantior sum, quod ego mater sim hominum, tu reptilium. Ego sanctæ Virginis mater sum, quæ Dominum peperit; tu vero mater draconis, qui illudit animalibus tuis. Ego mater prophetarum, apostolorum & sanctorum; tu mater immunium & malignorum reptilium, infeliciter navigantium pernicies. B Ego hortus fructuosus, emittens flores & aromata; tu ventos, tempestates & procellas. Si possem retinere Dominum, non sinerem ut te adiret. Ubi vero elementis ita concertantibus, qui omnia implet & dispensat Dominus ipsum mare adiit; ut sacris vestigiis aquas ceu continentem honoraret, demum mare sinus suos expandens, Dominum cum gaudio multo excepit dicens: Venite omnia animalia pusilla cum magnis, convenite quæ in profundo estis, natate ad eum, qui vos a principio quasi in throno constituit, & vitam vobis largitus est: omnes contrarii procellosi venti refrenamini, ad præsentis divinitatem contremiscite: omnes procellæ & turbines quiescite ob vim potentiæ: venti omnes & tempestates C comprimamini, fluctus sedate, tranquilli estote, & Dominum vitæ & mortis cum gaudio excipite. Quis annunciabit mihi hodie me Dominum habere supra pelagum gradientem? Ab hac die honore afficiar, quia cherubica sedes fui, & seraphicas lecticas excepi: quoniam eum, qui ibi sedet, hic ambulantem habeo: eum qui super pennas ventorum volat, in insulas advectum teneo. Eum, qui supra tot sublimia firmamenta exaltatur, in speciosa mea regione incedentem habeo. Jam non ultra mare vocabor, sed cælestis piscina: nunc sum lucerna cælestis admodum fulgens: nunc fons medelam abunde D ferens; nunc sol sum radiis splendens; nunc cælum scintillas, non quæ a natura sunt, emittens, sed fluentis gratiæ manans.

4. Ut vero omnis creatura exsultabat, simul terra & quæ sub cælo sunt de gratia lætabantur. Nam errantes convertebantur, peccatores pœnitentiam agebant, impii pie sentiebant, ægri sanitatem recipiebant, mortui ad vitam revocabantur, viventes ad divinitatis faciem sistebantur. Ut vero dæmones pellebantur, ægritudo marcessebat, mors confundebatur, demum qui in inferno ab hoste detinebantur, ejus audita fama, ejus gloriam videre curabant, & ut a vinculis solverentur supplicabant. Ut autem vidit perniciei dux & princeps tenebrarum, il- E lum ibi rem optime gerere, & paratum esse ad diripiendam inferni regiam, ad dæmonas illic custodes positos se contulit dicens: Sub terram venit is, qui sub cælo sapienter se gessit: fines nostros vastaturus venit, & occulta penuaria nostra capturus. Respondent arrogantes illi: Ecquis est te fortior? Annon dicebas, Non est me potentior qui mihi adversatur? Nunc times, ne ab illo supereris? interim experire bellum contra illum: confide, & illum in omnibus a te prostratum reperies. Tum ille, Tentavi, inquit, & probavi, & undique vires meas fregit. In deserto ipsum oppugnavi, & ille me undique desertum ostendit. Neque adversus dis-

[a] ἐργαστήριον. Legendum videtur ἐξηγείροντο.

cipulos ejus quidquam potui: eadem quippe gloria illos affecit. Tum illi reponunt: Interim ingredere, & portas æreas claude, vectesque ferreos firmabimus, telaque nostra parabimus. Hæc & similia improbis illis clamantibus, ecce Dominus cum ignem ferentibus exercitibus advenit. Attollite mihi portas principes dæmonum: introibit enim rex gloriæ. Qui intus erant audacter respondent: Quis est iste rex gloriæ? Dominus fortis & potens in prælio. Dux autem dæmonum intus dicebat illis: Annon dicebam vobis ipsum esse fortem & potentem in prælio ac viribus valentem? Angeli vero strenue agentes aiunt: Attollite portas, antequam illas confringamus, & vectes conteramus: cum pace aperite, ne irati intremus. Attollite portas, principes inferni, & introibit rex gloriæ. Illi vero ut metu correpti, verbis disceptabant. Quis est iste rex gloriæ? Angeli responderunt, Dominus virtutum est, supernorum & infernorum dominator. Ut vero illi rixabantur, nec aperiebant metu correpti, nutu divinitatis statim portæ confractæ sunt, & vectes contriti, impletaque fuit prophetiæ prædictio, tot ante generationes clare enunciata; nempe, *Quia contrivit portas æreas; & vectes ferreos confregit.* Deinde consternati contumeliæ auctores, dixerunt impii, Tela & gladios habemus, impetum faciamus in eum. Ille vero qui portas confregerat, hos etiam contrivit: implevitque prophetias duas sic prædicantes: *Dominus conterens bella, Dominus nomen illi. Ibi confregit potentias arcuum, scutum, gladium, & bellum.* Ubi autem viderunt ii qui inclusi erant lumen æternæ vitæ, clamaverunt: *Illuminas tu mirabiliter a montibus æternis.* Montes vocabant inferni firmamenta: *Turbati sunt omnes insipientes corde*; id est, consternati sunt diabolici principes. *Dormierunt somnum suum: & nihil invenerunt.* Interemti namque sunt a Domino, & quæ præ manibus habebant perdiderunt, & nihil invenerunt. *Ab increpatione tua, Deus Jacob, dormitaverunt qui ascenderunt equos.* Equos vocat detentorum animas, & ascensores, malignos dæmonas; dæmonas qui immisericorditer cruciabant hominum animas. Dormitaverunt & interemti sunt. Tunc ut animarum salutem & perniciem suam viderunt; illarum libertatem, suamque servitutem: illas solutas, seque insolubilibus vinculis detentos, magno clamore vociferati sunt: *Tu terribilis es, & quis resistet tibi in faciem?* Nos, qui animas cruciabamus, de cælo confodisti justo judicio. Non enim juste judicabamus: ideo judicamur, ideo veniam non consequimur. *Sine misericordia enim judicium est ei qui non fecit misericordiam.* Inclusit eos in penetralibus inferni, draconum odore castigatos, insolubilibus vinculis ligatos. Animas autem omnes assumtas congregavit Dominus, & Jeremiæ prophetiam implevit: *Congregavit perdix quæ non peperit.* Quas enim in infernum coegerat inimicus, illas Dominus congregavit: quas illic peperit diabolus, imo quas dispersit, has Christus congregavit. Surgite, ait Dominus, & ascendamus in cælum. Hoc autem totum factum est ut impleretur ænigma prophetiæ: *Surgite, & ascendamus in montem*; hoc est in Jerusalem cælestem. Infernæ portæ apertæ, imo contritæ sunt: necesse jam est ut aperiantur supernæ portæ cælorum: nam superni ostiarii ignorantes id impediebant. Cum enim descendit id illi ignorabant; ideo illum ascendentem non noverunt, & præpedire tentabant; secum enim habebat Dominus animas quas redemerat, nempe latronem, imo vero discipulum, dicebantque: Quis est hic qui cum tanta acie venit? Qui vero præibant angeli, divinitatis dignitatem significabant. Illi vero

Psal. 23. 7. — Psal. 106. 16. — Psal. 75. 4. — Psal. 75. 5. — Jer. 17. 11.

A μαθητὰς αὐτοῦ ἴσχυσα. τὴν αὐτὴν γὰρ δόξαν κἀκείνους οὐχ ὑστέρησεν. οἱ δὲ πρὸς αὐτόν· πῶς εἴσελθε ἔσωθεν, καὶ τὰς χαλκᾶς πύλας ἀπόκλεισον, καὶ τοὺς σιδηροῦς μοχλοὺς καθειρξώμεθα, καὶ τὰ βέλη ἡμῶν εὐτρεπίσωμεν. ταῦτα καὶ τὰ τοιαῦτα κεκραγόντων τῶν πονηρῶν, ἰδοὺ δὴ καὶ ὁ κύριος μετὰ πυρσοφόρων στρατιῶν παραγίνεται· ἄρατε μοι πύλας οἱ τῶν δαιμόνων ἄρχοντες· εἰσελεύσεται γὰρ ὁ βασιλεὺς τῆς δόξης· οἱ δὲ ἔνδοθεν ὑπάρχοντες ἐτόλμων, καὶ ἀποκρίνοντες, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. ὁ δὲ στρατηγὸς τῶν δαιμόνων ἔλεγεν αὐτοῖς ἔνδοθεν· οὐκ εἶπον ὑμῖν ὅτι κραταιός ἐστι καὶ δυνατὸς ἐν πολέμῳ, καὶ ἰσχυρὸς ἐν ἰσχύϊ; οἱ δὲ ἄγγελοι ἐπισπουδάζον· ἄρατε πύλας, πρὶν αὐτὰς συντρίψωμεν, καὶ τοὺς μοχλοὺς κατεάξωμεν· μετ' εἰρήνης ἀνοίξατε, πρὶν μετ' ὀργῆς εἰσέλθωμεν. ἄρατε B πύλας οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. οἱ δὲ φόβῳ συνεχόμενοι ὡς ἀμφέβαλλον ῥήμασι, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; αὐτοὶ ἀπεκρίναντο, κύριός ἐστι τῶν δυνάμεων, τῶν ἄνω καὶ τῶν κάτω δεσπότης. καὶ ὡς ἐστασίαζον, μὴ ἀνοίγοντες τρόμῳ παιδευόμενοι, νεύματι τῆς θεότητος εὐθέως αἱ πύλαι συνετρίβησαν, καὶ οἱ μοχλοὶ κατεάγησαν, καὶ ἐπληρώθη τῆς προφητείας τὸ κήρυγμα τὸ πρὸ τοσούτων γενεῶν σαλπιζόμενον, ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. εἶτα ἐν ἀπορίᾳ γενόμενοι οἱ τῆς λοιδορίας ἐργάται, εἶπαν οἱ ἄνομοι, ἔχοντες τὰ βέλη καὶ τὰς ῥομφαίας, ἐφορμήσωμεν αὐτῷ. ὁ δὲ τὰς πύλας συγκλάσας, κἀκείνους συνέτριψε, καὶ ἐπλήρωσε τὰς δύο κηρυττούσας προφητείας· κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ. ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. ὡς δὲ εἶδον οἱ κατάκλειστοι C τὸ φῶς τῆς ἀϊδίου ζωῆς, ἀνεβόησαν λέγοντες· φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. ὄρεα ἐκάλουν τὰ τοῦ ᾅδου στερεώματα. ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ, τουτέστιν, ἐξέστησαν οἱ διαβολικοὶ ἄρχοντες· ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν. ἀπενεκρώθησαν γὰρ ὑπὸ τοῦ κυρίου, καὶ ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν ἀπώλεσαν, καὶ οὐχ εὗρον οὐδέν. ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. ἵππους λέγει τὰς ψυχὰς τῶν κατεχομένων, καὶ ἐπιβάτας τοὺς πονηροὺς δαίμονας, δαίμονας τοὺς ἀνελεημόνως παιδεύοντας τὰς τῶν ἀνθρώπων ψυχάς. ἐνύσταξαν καὶ ἀπενεκρώθησαν. τότε ὡς εἶδον τῶν ψυχῶν τὴν σωτηρίαν, καὶ τὴν ἰδίαν ἀπώλειαν, τὴν αὐτῶν ἐλευθερίαν, καὶ τὴν ἑαυτῶν δουλείαν, αὐτοὺς ἀπολυομένους, καὶ ἑαυτοὺς ἀλύτοις δεσμοῖς κατεχομένους, ἀνεβόησαν μετ' ἰσχυρᾶς κραυγῆς· σὺ D φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι κατὰ πρόσωπον; μαστιγούσας ψυχὰς ἐκ τοῦ οὐρανοῦ ἠκόντισας κρίσιν ἐφ' ἡμᾶς δικαίαν. οὐ γὰρ ἐκρίνομεν δικαίως. διὰ τοῦτο κρινόμεθα, διὰ τοῦτο φειδοῦς οὐ τυγχάνομεν. ἀνίλεως γὰρ ἡ κρίσις τοῖς μὴ ποιήσασιν ἔλεον. κατέκλεισεν αὐτοὺς εἰς τὰ ταμιεῖα τοῦ ᾅδου, ὑπὸ ὀσμῆς δρακόντων κολαζομένους, δήσας αὐτοὺς δεσμοῖς ἀλύτοις. λαβὼν δὲ τὰς ψυχὰς πάσας συνῆξεν ὁ κύριος, καὶ τὴν προφητείαν Ἱερεμίου ἐπλήρωσε· συνήγαγε πέρδιξ ἃ οὐκ ἔτεκεν. ἃς γὰρ ὁ ἐχθρὸς κατήγαγεν εἰς τὸν ᾅδην, ταύτας ὁ κύριος συνήγαγεν· ἃς ἐκεῖ ἔτεκεν ὁ διάβολος, μᾶλλον διεσκόρπισε, ταύτας συνήγαγεν ὁ Χριστός. ἀνάστητε, εἶπεν ὁ κύριος, καὶ ἀναβῶμεν E εἰς τὸν οὐρανόν. τοῦτο δὲ ὅλον γέγονε πληρωθῆναι τῆς προφητείας τὸ αἴνιγμα, ἀνάστητε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος, τουτέστιν, εἰς τὴν οὐράνιον Ἱερουσαλήμ. αἱ κάτω πύλαι ἠνοίγησαν, μᾶλλον δὲ συνετρίβησαν· ἀνάγκη λοιπὸν ἀνοιγῆναι καὶ τὰς ἄνω πύλας τῶν οὐρανῶν. καὶ γὰρ καὶ οἱ ἄνω πυλωροὶ ἀγνοοῦντες ἐκώλυον. ὡς γὰρ κατῆλθεν, οὐκ ἔγνωσαν· διὰ τοῦτο ἀνερχόμενον αὐτὸν οὐκ ἐγνώρισαν, καὶ πῶς κωλύειν ἐπεχείρουν· εἶχε γὰρ μεθ' ἑαυτοῦ τὰς ψυχὰς ὁ κύριος, ἃς ἐλυτρώσατο, καὶ τὸν λῃστήν, μᾶλλον δὲ μαθητήν. λέγοντες· τίς ἐστιν ὁ μετὰ τοσαύτης παρατάξεως ἐρχόμενος; οἱ δὲ προάγοντες ἄγγελοι ἐσήμαινον τῆς θεότητος τὸ

ἀξίωμα· οἱ δὲ οὐκ ἠπείγοντο, ἀγνοίᾳ τευχόμενοι. καὶ εἰ ὁ κύριός ἐστιν ἀνερχόμενος, πῶς οὐκ ἔγνωμεν αὐτὸν κατερχόμενον; μὴ γὰρ καὶ ἄλλοτε οὐ κατέβη; καὶ τὴν κιβωτὸν διετάξατο ἐπὶ τοῦ Νῶε; ἐπὶ τοῦ Ἀβραὰμ εἰς τὴν σκηνὴν παρεγένετο, ἐπὶ τοῦ Ἰακὼβ ἐν τῇ κλίμακι, ἐπὶ τοῦ Ἰὼβ διὰ λαίλαπος καὶ νέφους ὡμίλησεν, ἐπὶ τοῦ Μωϋσέως εἰς τὸ ὄρος Σινᾶ, ἐπὶ Ἰησοῦ εἰς Ἱεριχῶ, ἐπὶ Ἠλία εἰς τὸ σπήλαιον· καὶ οὐκ ἔστι γενεὰ, ὅπου οὐ κατέβη, καὶ οὐκ ἔλαθεν ἡμᾶς. καὶ νῦν, ὡς λέγεται, εἰ ὁ κύριος πάρεστιν ἀνερχόμενος, πῶς οὐκ ἔγνωμεν αὐτὸν κατερχόμενον; ἀπεκρίθησαν οἱ προάγοντες· αὐτός ἐστιν ὁ τότε κατερχόμενος· ἵνα μὴ γνωρισθῇ ἀνερχόμενος, δουλικὴν εἰκόνα ἐφόρησεν, ἵνα μὴ γνῶτε δεσποτικὴν μεγαλοπρέπειαν. καὶ μάθετε δεσποτικὸν μυστήριον, καὶ σόφισμα κυριακὸν, καὶ μὴ κωλύσητε φιλανθρωπίας πρόθεσιν. εἰ γὰρ ἐγνώκατε αὐτὸν ἐν ταπεινώσει πολλῇ κατερχόμενον χάριν τοῦ πλάσματος, ἐκωλύετε τὴν κατάβασιν καὶ ἀπεστερεῖτε τῆς σωτηρίας τὸν ἄνθρωπον, καὶ [a] δίχα τῆς ἄνω βασιλείας λοφούμενον. νῦν ἀνοίξατε, γονυπετήσατε. εἶτα ἀποκρίνονται καὶ αὐτοί· εἰ μὴ φωνῆς αὐτοῦ θείας ἀκούσωμεν, οὐκ ἂν τὰς θύρας ἀνοίξομεν. οὐδεὶς γὰρ διαβαίνει ἔνθεν ἀκάθαρτος. αὕτη γάρ, φησιν, ἡ πύλη τοῦ κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. τότε ὁ κύριος φωνῇ τιμίᾳ ἐλάλησεν, ἐγώ εἰμι ὁ ζητούμενος, ἀνοίξατέ μοι πύλας δικαιοσύνης. εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ, τουτέστιν, ἃ ἔπραξα καὶ πέπονθα, ὅσα ἐποίησα καλὰ, καὶ ἀπείληφα κακά. ἀπαγγελῶ τῶν δικαίων τὰ τεκμήρια, τῶν ἰάσεων τὰ χαρίσματα, τῶν πράξεων τὰ κατορθώματα. ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. τότε γνόντες τὴν ἄχραντον φωνὴν δεσποτικὴν οἱ τὰς πύλας κατέχοντες, μετὰ φόβου εἰς προσκύνησιν ἐξήλθοσαν· οὐκ οἴδαμέν σε, δέσποτα, κατερχόμενον, προσκυνοῦμέν σε ἀνερχόμενον. εἶτα αὐτὸς παρερχόμενος ἀναντιῤῥήτως, καὶ οἱ ἀκόλουθοι. οἱ δὲ σὺν ὄπισθεν εἰσερχομένους ἐκώλυον λέγοντες· αὗται αἱ πύλαι τοῦ κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς. μὴ καὶ ἄδικοι, ὧδε μοιχοὶ καὶ τελῶναι καὶ ἅρπαγες; ἵνα τί τοῦτο πράττεται παρὰ τῆς σῆς ἁγιότητος; ταύτας τὰς πύλας σὺ ἐκύρωσας, σὺ πυλωροὺς ἡμᾶς κατέστησας, σὺ νόμον ἡμῖν ἐδογμάτισας· ὅτι αὗται αἱ πύλαι τοῦ κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς. οὐχὶ λέλεκται περὶ σοῦ, ὅτι πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται; εἶπας γὰρ, μόνοι δίκαιοι εἰσελεύσονται· μὴ καὶ ἄδικοι; ὧδε μοιχοὶ καὶ τελῶναι προσάγονται, ὧδε μάγοι καὶ λῃσταὶ καὶ ἅρπαγες εἰσέρχονται. κἂν πρῶτον δικαίους εἰσάγαγε, καὶ κατόπιν ἁμαρτωλοὺς χειραγώγησον. ἔσθ᾽ ὅτε πάντας τούτους εἰσάγεις· δῆλον ὅτι μετενόησαν· τοῦτον δὲ τὸν λῃστὴν διὰ τί πρὸ πάντων εἰσάγεις εἰς τὴν ἄνω βασίλεια; ποῦ μετέγνω; ποῦ μετενόησεν; οὐ μίαν ἡμέραν ἐν τῇ ζωῇ αὐτοῦ διεπράξατο, οὔτε τι καλὸν πέπραχε πώποτε· ἀλλ᾽ οὐδὲ ὥραν μίαν ἐχώρησεν εἰς μετάνοιαν. ἰδοὺ τὰ ἁμαρτήματα αὐτοῦ ἐγγράφως κατέχομεν, ἃ μὲν ἐν μετανοίᾳ οὐκ ἐξήλειψε, καὶ προαγέτην αὐτὸν εἰς τὸν παράδεισον ἁπάντων τῶν δικαίων εἰσφέρεις; ὁ δὲ σωτήρ· ζητεῖτε αὐτοῦ, φησι, τὴν ἁμαρτίαν, ἣν ἐγὼ πρὸ πάντων ἐξήλειψα; ἀργήσει αὐτοῦ τῶν ἁμαρτημάτων τὸ ἔγγραφον, ὅτι ἡ πίστις αὐτοῦ ἀπήλειψεν αὐτό. λυέσθω τῶν ἀδικημάτων αὐτοῦ ἡ συγγραφὴ τῇ καλῇ ὁμολογίᾳ. οὐ μετενόησε πρὸ καιροῦ, ἀλλὰ συνῆκεν εἰς τὸν καιρόν· πρὸ τοῦ θανάτου δίχα πίστεως ὑπῆρχε γυμνὸς, ἐν τῷ θανάτῳ ἡ πίστις αὐτοῦ τῆς θαλάσσης τῶν πλημμυρημάτων ἐνίκησεν· ἐν καιρῷ ἀνέσεως οὐκ ἔγνω, ἀλλ᾽ ἐν καιρῷ ἀνάγκης ἐπέγνω τὸ δίκαιον. ὅτε οἱ μαθηταί μου ἀπέφυγόν με, οὗτος προσέφυγέ μοι· ὅτε Πέτρος ἔλεγεν, οὐκ οἶδα τὸν ἄνθρωπον, τότε οὗτος βασιλέα οὐρανῶν ὡμολόγησεν· ὅτε ἱερεῖς ἐθανάτουν με, τότε οὗτος ζωῆς ἐκάλεσε κύριον· ἐμοὶ τὸ ἔργον τῆς μετανοίας τετέλεσται, τοῦ τὴν πρόθεσιν βλέποντος καὶ τὸ πρόθυμον· ἐμοὶ τῆς ὑπομονῆς τὸ δικαίωμα πέπρακται, τοῦ εἰς τὸ ἀγαθὸν τὴν καρδίαν κλίναντος. διὰ τῆς πλευρᾶς Ἀδὰμ τὸν παράδεισον ἀπέκλεισεν, οὗτος ἐν τῇ ὁμολογίᾳ

[a] Locus vitiatus & obscurus.

A ignorantia præpediti non accurrebant. Si Dominus est qui ascendit, quomodo cum descendit id ignoravimus? Annon alias quoque descendit? Arcam a Noe fieri jussit, ad Abrahami tabernaculum venit, ad Jacobum in scala, Jobo per turbinem & nubem loquutus est, Moysem in Sina adiit, Jesum item in Jericho, & Eliam in spelunca. Nulla fuit generatio in qua non descenderet, & nos non ignoravimus. At nunc cum dicitur Dominus qui ascendit adest, quomodo nescivimus ipsum descendisse? Responderunt ii qui præibant. Ipse est qui tunc descendit; ut notus non esset cum ascenderet, servilem formam gestavit, ne dominicam magnificentiam agnosceretis. Discite dominicum mysterium, artemque dominicam, ac ne impedia-
B tis benignitatis propositum. Si enim novissetis eum in humilitate multa descendentem in gratiam opificii sui, ejus descensum impedivissetis, & hominem a salute privassetis, & a superno regno exclusissetis. Nunc aperite, genuflectite. Respondent illi, Nisi divinam ejus vocem audiamus, portas non aperiemus. Nemo enim huc ascendit impurus. *Hæc* enim, inquit, *porta Domini: justi intrabunt in eam.* Psal. 117. 19. Tunc Dominus voce veneranda loquutus est: Ego sum is quem quæritis. *Aperite mihi portas justitiæ: ingressus in eas confitebor Domino*, nempe, quæ fecerim, quæ passus sim, quanta fecerim bona, & receperim mala. Annunciabo justorum indicia, curationum charismata, & recte facta. *Aperite mi-*
C *hi portas justitiæ: ingressus in eas confitebor Domino.* Tunc ostiarii intemeratam Domini vocem agnoscentes, cum timore adoratum egressi sunt. Ignoravimus te, Domine, descendentem, adoramus ascendentem. Deinde cum ipse & sequaces ejus sine obice pertransissent, eos qui postea ingredi volebant, depellebant illi dicentes: Hæ portæ Domini, justi intrabunt in eas; num etiam injusti, adulteri, publicani, raptores? Cur ita agitur præter sanctam voluntatem tuam? Has tu statuisti portas, nos ostiarios constituisti: tu legem nobis dedisti: Hæ portæ Domini, justi intrabunt in eas. Annon de te dictum est, *Præceptum posuit, & non præteribit*? Psal. 148. 6. Dixisti, Soli justi intrabunt; num etiam injusti?
D Huc accedunt adulteri, publicani, huc magi, latrones, raptores ingrediuntur. Saltem primo justos induc, & postea peccatores adduces: si quidem hos omnes introducis, quia nempe pœnitentiam egerunt, hunc vero latronem, cur ante omnes intromittis in regiam supernam? ubi resipuit, ubi pœnitentiam egit? Ne uno quidem die in vita sua bene se gessit, neque quidpiam bonum fecit unquam; sed ne per unam quidem horam ad pœnitentiam versus est. Ecce peccata ejus descripta habemus, quæ nunquam per pœnitentiam abluit; & illum in paradisum ante omnes justos inducis? Tum Servator: Ejus peccatum exquiritis, quod ego ante omnia delevi? Nullum erit ejus peccatorum chirographum, quia fides ejus illud delevit. Solvatur
E iniquitatum ejus syngrapha per pulcram confessionem. Non egit pœnitentiam ante tempus; sed intellexit in tempore. Ante mortem sine fide nudus erat, in morte fides ejus maris fluctus devicit. In tempore quietis non novit, in tempore necessitatis novit justitiam. Cum discipuli mei a me fugerunt, hic ad me confugit. Cum Petrus dicebat, *Non novi hominem*, hic regem cælorum confessus est. Cum sacerdotes me occidebant, hic me vitæ dominum vocavit. Mihi pœnitentiæ opus perfectum est, dum ejus propositum & studium video: mihi patientiæ justificatio paracta est, cum ille cor suum ad bonum inclinavit. Per costam Adamus paradisum clausit; hic per confessionem aperit ostium,

quod framea ignea custodiebatur. Ne quæratis ejus peccatum, quod non invenietis. Ideo David ante tot generationes prophetavit : *Quæretur peccatum illius, & non invenietur.*
Psal. 10. 15.

5. Demum Servator ascendit, devicta omni potestate & virtute : & omnes exercitus angelorum ipsi occurrerunt, & quasi Dominum adoraverunt : omnis cherubicus ordo, omne seraphicum ministerium ipsum & Patrem, qui eum genuerat, adoravit. Et a Patre susceptus, ad dexteram ejus sedit, qui nunquam paternos sinus evacuaverat. Licet enim ex benignitate sua in terram descenderit, thronum nunquam reliquit. Licet per œconomiam homo perfectus factus sit, nunquam excessit ex naturali propria sua divinitate. Non enim ex humano profectu Christus factus est Deus, absit; sed Deus cum esset, factus est homo, ut hominem salvum faceret. Ideo non hominem factum Deum prædicamus, sed Deum hominem factum confitemur, ut divinus Paulus dixit : *Ideo omnis principatus & potestas subjecta sunt ei, utpote qui sit ante omnem creaturam*; imo factor creaturæ, & qui una dominetur & regnet cum immaculato Patre suo, & cum vivifico Spiritu in sæcula, amen. Ipse enim est qui judicaturus est orbem & mundum universum, & redditurus unicuique secundum opera sua. Quis ergo benignitatis ejus misericordiam, & potentiæ magnitudinem enarraverit? Quis bonitatis ejus prudentiam, vel virtutis magnificentiam dixerit? Quis viscerum commiserationem prædicaverit, aut excellentiæ dignitatem investigaverit? Quod supernis illis non relictis, propter nos in terram descenderit. Quod insciis principatibus & potestatibus in uterum immaculatæ Virginis sit ingressus. Angelorum & archangelorum choris ignorantibus formam servi inducit, ut ad imaginem sui factum hominem a corruptione & morte salvum faceret. Et carne mortuus est, ut nos immortalis naturæ suæ participes efficeret. Et quid retribuemus ei pro omnibus quæ retribuit nobis? Quas gratiarum actiones? Quas supplicationes? Neque si omnia membra nostra vocem assumerent, & capilli etiam nostri loquerentur; si totum organum nostrum modulatione repleretur, possemus digne celebrare ejus erga nos indulgentiæ commiserationem & munificentiam. Sed quantum valemus hymnis celebramus eum qui solus sanctissimus est, propheticam implentes prædictionem, *Memor fui Dei & delectatus sum.* Per hunc enim circuitum transivi magna & stupenda miracula, ut horum quotidie memor, delecter; siquidem ut par est, hæc digne memoria retineamus. Sed sive per occasionem, sive per veritatem Deus annuncietur. Quare cum propheta dicamus, *Memor fui Dei & delectatus sum.* Deus autem virtutum, qui benignitatem bonitatemque suam multam ostendit, infirmitatem nostram & precationes gratia sua suscipiat, & ad meliorem providentiam ducens, verbo ipse suo, animam immaculatam, corpus sine sorde, spiritum sine labe, vitam sine damno custodiat; itemque fidem inviolabilem, amorem fraternum sine contumelia, virginitatem incorruptam, amicitiam sine rumore, caritatem sine simulatione, virtutem non fluctuantem, justitiam sine obice, fidem fructuosam. Portas nobis paradisi aperiat, gladium flammantem exstinguat : januam regni aperiat, immortalem fruitionem paret, ad dexteram statuat, & per benignitatem suam dextera sua nos coronet. Quoniam ipsi debetur gloria, Patri & Filio & Spiritui sancto, nunc & semper & in sæcula sæculorum, amen.

A ἀνοίγει τὸν ὑπὸ τῆς φλογίνης ῥομφαίας πυλῶνα φρουρούμενον. μὴ ζητήσατε αὐτοῦ τὴν ἁμαρτίαν, ἣν οὐχ εὑρήσετε. διὰ τοῦτο Δαυὶδ πρὸ τοσούτων γενεῶν προεφήτευσε, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

Λοιπὸν ὁ σωτὴρ ἀνῆλθε, νικήσας πᾶσαν ἐξουσίαν καὶ δύναμιν, καὶ πᾶσαι αἱ στρατιαὶ τῶν ἀγγέλων ἀπήντησαν, καὶ ὡς δεσπότῃ προσεκύνησαν, καὶ πᾶσα χερουβικὴ τάξις καὶ σεραφικὴ λειτουργία προσεκύνησεν αὐτῷ καὶ τῷ πατρὶ τῷ γεννήσαντι. καὶ ὅσα τε πατρὶ προσελάβετο καὶ τῆς ἐκ δεξιῶν καθέδρας ἐκάθισεν ὁ μήποτε γυμνώσας τοὺς πατρικοὺς κόλπους. εἰ γὰρ καὶ κατῆλθεν ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἀλλ᾽ οὖν τοῦ θρόνου οὐδαμῶς κατελείφθη· εἰ καὶ γέγονεν ἄνθρωπος τέλειος οἰκονομικῶς, οὐδαμῶς ἔκστασιν ὑπέμεινε τῆς οἰκείας φυσικῆς
B θεότητος. οὐ γὰρ ἐκ προκοπῆς ἀνθρώπου γέγονε θεὸς ὁ Χριστὸς, μὴ γένοιτο, ἀλλὰ θεὸς ὢν γέγονεν ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον σώσῃ. διὸ οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ θεὸν ἐνανθρωπήσαντα ὁμολογοῦμεν. καθὼς ὁ θεσπέσιος ἔφησε Παῦλος· διὸ πᾶσα ἀρχὴ καὶ ἐξουσία ὑπετάγησαν αὐτῷ, ὡς ὄντι πρὸ πάσης κτίσεως, μᾶλλον δὲ ποιητὴν τῆς κτίσεως, καὶ συνδεσπόζοντα καὶ συμβασιλεύοντα τῷ ἀχράντῳ αὐτοῦ πατρὶ, καὶ τῷ ζωοποιῷ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν. αὐτὸς γάρ ἐστιν ὁ μέλλων κρίναι τὴν οἰκουμένην, καὶ τὴν ὑπ᾽ οὐρανὸν πᾶσαν, καὶ ἀποδοῦναι ἑκάστῳ καθ᾽ ἃ ἔπραξε. τίς οὖν τῆς φιλανθρωπίας λαλήσει τὸ ἔλεον, ἢ τῆς δυναστείας αὐτοῦ τὸ μέγεθος; τίς αὐτοῦ τῆς ἀγαθότητος ἐκφράσει τὴν σύνεσιν, ἢ τῆς δυνάμεως τὴν μεγαλειότητα; τίς τῆς εὐσπλαγχνίας αὐτοῦ
C τοὺς οἰκτιρμοὺς διηγήσεται, ἢ ἐξιχνιάσει τῆς ὑπερβολῆς τὸ ἀξίωμα; ὅτι μὴ καταλιπὼν τὰ ἄνω, δι᾽ ἡμᾶς ἐπὶ γῆς κατῆλθεν· ὅτι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας λαθὼν, εἰς ἄχραντον παρθένου μήτραν ἐχώρησεν· ἀγγέλων καὶ ἀρχαγγέλων ἔλαθε χορεὺς, καὶ δούλου μορφὴν ἐνεδύσατο, ἵνα σώσῃ τὸν κατ᾽ εἰκόνα ἄνθρωπον φθορᾶς καὶ θανάτου. καὶ ἀπέθανε τῇ σαρκὶ, ἵνα ἡμᾶς τῆς ἀθανάτου φύσεως αὐτοῦ κοινωνοὺς ἀπεργάσηται. καὶ τί ἀνταποδώσομεν αὐτῷ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; ποίας εὐχαριστίας, ἢ ἱκεσίας; οὐδ᾽ ἂν πάντα ἡμῶν τὰ μέλη φωνὰς ἀναλάβωσι, καὶ αἱ τρίχες ἡμῶν λαλιὰς ἐξάγωσι, καὶ πᾶν τὸ ὄργανον ἡμῶν μελῳδίας πληρωθῇ, ἐπαξίως ἀνυμνῆσαι δυνηθῶμεν τὴν αὐτοῦ πρὸς ἡμᾶς γενομένην συγκαταβάσεως εὐσπλαγχνίαν καὶ μεγαλειότητα. ἀλλ᾽ ὅσον
D χωροῦμεν, ἀνυμνοῦμεν τὸν μόνον ὑπεράγιον, προῤῥησιν ἐκπληροῦντες, τὸ, ἐμνήσθην τοῦ θεοῦ, καὶ ηὐφράνθην. διὰ ταύτης γὰρ περιόδου διῆλθον τὰ τοῦ σωτῆρος μεγάλα καὶ παράδοξα θαύματα, ἵνα καθ᾽ ἑκάστην μνημονεύων εὐφραίνωμαι· εἴγε ἀξίως τῇ μνήμῃ ἐχωρήσαμεν, καθὼς ἔπρεπεν. ἀλλ᾽ εἴτε προφάσει, εἴτε ἀληθείᾳ θεὸς καταγγελθῇ· διὸ μετὰ τοῦ προφήτου λέγωμεν, ἐμνήσθην τοῦ θεοῦ, καὶ ηὐφράνθην. ὁ δὲ θεὸς τῶν δυνάμεων, ὁ φιλανθρωπίαν καὶ πολλὴν ἀγαθότητα ἀναδειξάμενος, ἡμῶν τὴν ἀσθένειαν καὶ τὰς εὐχὰς προσδεχόμενος χάριτι, καὶ εἰς κρείττονα ἀγαθὴν πρόνοιαν ἀγαγὼν, αὐτὸς ἡμῶν τῇ ῥήσει τὴν ψυχὴν ἀκηλίδωτον, τὸ
E σῶμα ἄσπιλον, τὸ πνεῦμα ἀρύπωτον, τὴν ζωὴν ἀνεπηρέαστον φυλάξειε, τὴν πίστιν ἀσύλωτον, τὴν φιλαδελφίαν ἀνύβριστον, τὴν παρθενίαν ἀμώμητον, τὴν φιλίαν ἀθρύλλητον, τὴν ἀγάπην ἀνυπόκριτον, τὴν ἀρετὴν ἀκλυδώνιστον, τὴν δικαιοσύνην ἀνεμπόδιστον, τὴν πίστιν καρπουμένην. τὰς πύλας ἡμῖν τοῦ παραδείσου ἀναπετάσειε, καὶ φλογίνην ῥομφαίαν κατασβέσειε, καὶ τὴν θύραν τῆς βασιλείας ἀνοίξειε, καὶ τὴν ἀκήρατον ἀπόλαυσιν εὐτρεπίσειε, καὶ ἐκ δεξιῶν στήσειε, καὶ τῇ δεξιᾷ στεφανώσειε τῇ φιλανθρωπίᾳ τῆς αὐτοῦ ἀγαθότητος· ὅτι αὐτῷ πρέπει δόξα, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

In

## Εἰς τὴν Ῥαχὴλ, καὶ εἰς τὰ νήπια. A

ΩΣΠΕΡ οἱ σὺν ἡδίστοις καρποῖς τῶν ἀκροδρύων λαμβάνοντες, ὁμοῦ τοῖς κλάδοις καὶ τοῖς δένδρεσι σὺν ἐπαίνοις διδόασι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἀγαπητοί, σὺν καρποῖς τῶν λόγων παρὰ τοῦ προλαβόντος διδασκάλου λαβόντες, ὁμοῦ τε αὐτῷ καὶ τοῖς πατράσι τὸ γέρας δίδομεν. ὥσπερ γὰρ ἐκ τῆς τῶν δένδρων πιότητος ἡ γλυκεῖα πιότης τοῖς καρποῖς παραπέμπεται· οὕτω καὶ τῷ προειρημένῳ ἀνδρὶ ἐκ τῆς τοῦ πνεύματος χάριτος τὸ γλυκὺ τοῦ λόγου ἀναπέμπεται. καρπωσώμεθα τοίνυν τῶν λόγων τοὺς ἡδίστους καρπούς, καθάπερ φοίνικας γλυκερούς ἐκ τῆς δικαίας ῥίζης τῶν πατέρων τὸ γλύκασμα κεκληρωμένους· καὶ τὸ μὲν γλυκὺ B τοῦ λόγου τῇ διανοίᾳ ἡμῶν παραπέμψωμεν, τὸ δὲ ἡδὺ τῆς εὐχαριστίας τοῖς πατράσιν ἡμῶν ἀπονείμωμεν. τὸ γὰρ τῶν πατέρων γέρας ἐκ τῆς τῶν υἱῶν εὐκοσμίας συνέστηκε· μᾶλλον δὲ οἱ τῶν υἱῶν στέφανοι ἐκ τῆς τῶν πατέρων εὐδοξίας καλλωπίζονται. ἀλλ' ἐπειδὴ ἀπὸ τοῦ ἀναγνώσματος τοῦ στεναγμοῦ τῆς Ῥαχὴλ, καθάπερ ὑπὸ κέντρου, νυττόμενος πρὸς αὐτὴν ἀποστρέφομαι· λέγε μοι, ὦ Ῥαχὴλ, λέγε τὸν ἐν τῷ στεναγμῷ σου κρυπτόμενον πόνον. οὕτω γὰρ τὸ σκάφος τῆς διανοίας σου, τὸ ὑπὸ τῆς λύπης βαρυνόμενον, κουφισθήσεται. προφερομένων δὲ τῶν λόγων ἐκ τῆς καρδίας σου σημαινόντων τὸν πόνον, συνεξέρχεται τοῖς ῥήμασι καὶ τὸ βαρὺ τῆς λύπης. λέγε μοι τοίνυν, Ῥαχὴλ, τί κλαίεις; ὁρῶ γάρ σου τὰ δάκρυα περὶ τὰς παρειὰς ποταμηδὸν ἐπιρρέοντα, καὶ τὸ πνεῦμα C πικρῶς περὶ τὴν καρδίαν εἱλούμενον, καὶ διὰ τῶν μυκτήρων ἀτάκτως φερόμενον. τί λύεις σου τὰς κόμας, καὶ ταύτας προφέρεις, ἃς δεῖ σε κρύπτειν; τί τῶν αἰδεσίμων γυναικῶν τὸ σεμνὸν μυστήριον ἐκπομπεύεις νικωμένη ὑπὸ τῆς ἄγαν μανίας; οἴμοι, οἴμοι Ῥαχήλ· λαλήσω λοιπὸν ἐν πικρίᾳ ψυχῆς συνεχομένη· καὶ τί εἴπω; βούλομαι ἐκ καρδίας προφέρειν τὸν λόγον, καὶ πάλιν ἀναποδίζω, τὴν αἰτίαν τῶν κακῶν καὶ τῆς μεγίστης συμφορᾶς οὐχ εὑρίσκουσα. ὢ βασιλέως Ἡρώδου τοῦ διδάσκοντός με μὴ φονεύειν, καὶ ἔργῳ τὸν ἑαυτοῦ νόμον ἀκυρώσαντος· ὃν ἐνόμιζον βασιλέα εἶναι τῆς εὐταξίας, τοῦτον ἡγεμόνα τῆς ἀταξίας ὁρῶ νῦν, ἀτάκτως καὶ ἀνόμως ἐργαζόμενον. ὢ μεγίστης ἀνοίας. ὁ ἕνα φόνον ποιήσας ὑπεύθυνος θανάτου γίνεται, καὶ Ἡρώδης τοσούτους φόνους ποιήσας, βασιλεὺς ὀνομάζεται· D καὶ οἱ μὲν γεωργοὶ ἐξ οἰκείων θησαυρῶν τὸν σπόρον προφέροντες ἐν χισταῖς λαγόσι τῆς γῆς καθαρὸν τὸν σῖτον ῥαίνουσιν· ὁπόταν δὲ βλαστήσαντες οἱ ἀστάχυες λαμπρὰν τὴν ὥραν τοῦ σπόρου σημαίνωσιν, τότε δὴ τὰς χεῖρας ἐκτείναντες ὀξείᾳ δρεπάνῃ τὰ λήϊα τέμνουσιν. Ἡρώδης δὲ τὰ τῆς ἐμῆς κοιλίας γεννήματα μήπω τὰ ἄνθη τῆς ἡλικίας κυπριάσαντα, μήπω τῶν ἐαρινῶν τῶν χαρίτων ἰούλων περὶ τὰς παρειὰς ἀνατείλαντα, ὀξείᾳ μαχαίρᾳ τῶν ἐμῶν λαγόνων τὴν χλόην ἀπεμάρανεν. οἴμοι, οἴμοι, τὴν κοιλίαν μου ἐγὼ ἀλγῶ, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου μεμάσση· ἡ ψυχή μου σπαράττεται τῇ καρδίᾳ, οὐ σιωπήσω. διὰ γὰρ τὴν ἄγαμον νύμφην Μαριὰμ ταῦτα ὑπομένω, διὰ τὸν ἐν φάτνῃ κρυπτόμενον λόγον. μήπω σὺν ἐμοῖς βότρυας, τῶν αἰσθήσεων σὺν ῥάγας περκάζοντας ἤδη ἀφανισμένους ὁρῶ. E οἴμοι, οἴμοι, οὕσπερ ἐνναμηνιαίῳ χρόνῳ μετὰ πόνων βαστάσασα ἡ φύσις ὡρίμους ποιήσασα ἔτεκε, τούτους ἀώρους μιᾷ πληγῇ μαχαίρης σφαγέντας ὁρῶ. οἴμοι, ὦ παρθένε Μαριὰμ ὁμοῦ τε καὶ μήτηρ, ἡ ἄνδρα οὐ γινώσκουσα, καὶ υἱὸν γεννήσασα, σὺ τὸν πόνον τῶν μητέρων οὐκ οἶδας. εἰ γὰρ ᾔδεις, ἔκλαυσας ἄν. ἀπόνως ἐβάστασας, ἀπόνως ἐκύησας, ἀπόνως τὸν οὐράνιον λόγον ἐν τῷ οἴκῳ τῆς μήτρας σου ἐξένισας, ἀπόνως τὸ οὐράνιον ἄνθος τῇ οἰκουμένῃ ἐβλάστησας. ἀλλὰ δεῦρο λοιπὸν, καὶ μηκέτι θρήνει, ἀλλὰ παῦσαι τοῦ πένθους, Ῥαχήλ. Ἡρώδης τοὺς σοὺς νηπίους ἐπὶ γῆς ἀπέκτεινεν, ἀλλὰ τούτους θεὸς ἐν οὐρανῷ ἀνατρέφει·

## *In Rachelem & in infantes.*

QUEMADMODUM ii qui dulcissimos arborum fructus decerpunt & ramos & arbores laudibus efferunt; ad eumdem modum nos, carissimi, fructu sermonis a præcedenti doctore accepto, & illi simul & patribus ut preconii munus deferimus. Sicut enim ex arborum pinguedine fructibus pinguedo suavitasque immittitur, sic & prædicto viro ex spirituali gratia sermonis suavitas refertur. Decerpamus ergo sermonum suavissimos fructus, quemadmodum palmulas suaves ex dulci patrum radice dulcedinem obtinentes, & sermonis suavitatem in mentem nostram transmittamus, gratiarumque actionis jucunditatem in patres nostros conferamus. Patrum enim decus ex filiorum ornatu constat; imo potius filiorum coronæ ex patrum gloria decorantur. Quia vero ut lectione gemituum Rachelis, ceu stimulo punctus, ad illam me converto: Dic mihi, Rachel, dic laborem in gemitu tuo latentem. Ita enim navicula animi tui, dolore onusta, allevabitur. Prolatis autem verbis ex corde tuo laborem significantibus, una cum verbis etiam doloris onus emittetur. Dic mihi itaque, Rachel, Quid ploras? Video enim lacrymas tuas in genis fluviorum more manantes, & halitum acerbe circa cor convolutum, & incondite per nares emissum. Quid solvis comas, illasque profers, quas te abscondere par esset? Cur honorabilium mulierum venerandum arcanum prodis, a nimia insania devicta? Væ mihi, væ mihi Racheli: loquar demum amaritudine animæ detenta. Et quid dicam? Volo ex corde proferre sermonem, & rursus me contineo, causam malorum in maxima calamitate non reperiens. O regem Herodem, qui docuit me non esse occidendum, & opere legem suam abrogavit! Quem putabam esse regem ad bonum ordinem, nunc eversi ordinis ducem respicio, perverse & inique operantem. O maximam insaniam! Qui cædem unam perpetravit, obnoxius est morti, & Herodes tot perpetratis cædibus rex nominatur? Et agricolæ quidem ex propriis horreis semen proferentes, in sulcis terræ purum semen irrigant; cum autem spicæ accreverunt & tempus messis conspicue indicant, tunc extensis manibus acuta falce segetes secant: Herodes vero uteri mei fructus, nondum per ætatem florentes, nondum verna gratiarum lanugine in genis pullulante, viscerum nempe meorum herbam acuto gladio prostravit. Væ mihi, væ mihi, ventre doleo, & sensus cordis mei flagrant. Anima mea & cor meum discerpuntur, non tacebo. Propter innuptam Virginem Mariam hæc patior, propter Verbum in præsepio latens; botrus meas sensu pullulantes, necdum maturescentes, exstinctas video. Væ mihi, væ mihi: quos post menses novem suo tempore natura cum labore genuit, hos immaturos una gladii plaga jugulatos video. Væ mihi, o Virgo Maria, simul & mater, quæ virum non novisti, & filium peperisti, tu matrum dolorem non nosti. Si nosses, utique fleres. Sine dolore gestasti, sine labore peperisti; sine dolore cæleste Verbum in domo uteri tui, hospitem excepisti; sine labore cælestem florem orbi emisisti. Sed accede tandem, nec ultra plores, sed lugendi finem facito, Rachel. Herodes infantes tuos in terra occidit, sed hos Deus in cælo nutrit. Herodes

Inepta concio.

filios tuos temporanea luce privavit, sed hos ille in cælo propria luce replebit. Non vides eos in terra salientes; sed tunc videbis & gaudebis, videns eos quasi agnos exsilientes in paradiso. Nunc doles non videns eos in mensa manus extendentes; sed tunc videbis & lætaberis videns eos cum angelis cælestem panem edentes. Nunc doles, non videns eos cantillantes; sed tunc gaudens videbis hunc infantium chorum vernarum hirundinum instar in paradiso Christum celebrantem. Quia enim pro-
*Psal. 8. 7.* pheta dicebat: *Ex ore infantium & lactentium perfecisti laudem.* Præoccupavit infantium chorus, hymnos triumphales Christo præparans, prophetæ verbum illud implens, *ex ore infantium & lactentium perfecisti laudem.* Verum hæc, dilecti, ad laudis oblectationem diximus; demum
*Matt. 2. 3.* ad evangelii viam deflectamus. *Audiens*, inquit, *Herodes turbatus est.* Quid audiens? Regem Judæorum esse natum. Vide mihi: dilecte, diabolum in Herode turbatum, & quidem admodum. Videt pastorem natum lupus, ipsumque in præsepe absconditum, firmumque Spiritus baculum præ manibus habentem, & hoc videns admodum turbatur. Videt draco escam corporis & infantem ceu vermem repentem;
*Psal. 21. 6.* *Ego enim sum vermis, & non homo*, hiantique ore irruit, videtque intus cæleste Verbum in carne, quasi hamum absconditum, & hoc viso admodum turbatur. Videt granum sinapis in terram veniens, & ramos spei emittens, quod genus hominum sub foliis salutis obtegeret: & hoc videns boni osor diabolus, valde perturbatur. Videt Sapientiam in terram venisse, accepisseque modicum fermentum corporis, miscuisseque in farinæ tribus partibus, in anima, in corpore & spiritu, foreque ut per illud totum humanum genus in una fidei salute fermentetur: & hac re conspecta turbatur admodum. Videt legionem dæmonis ab humano genere expulsam, & in abyssum amandatam, & hoc viso turbatur valde. Videt claustra inferni confracta, & Adamum in paradisum reductum, & admodum conturbatur. Videt rursus Evam per Mariam servatam, & serpentem, in quo maxime confidebat, occisum, & hæc videns, admodum turbatur. Videt lignum vitæ plantatum, & hoc videns turbatur valde. Tempus me deficiet, dilecti, enarranti perturbationem diaboli. Demum cum nihil adversus Dominum posset diabolus, ad infantes & tenellos pueros decurrit. Et quosnam interficit? A bimatu & infra; eos autem qui ad tres annos pervenerant non occidit. Infantes enim sunt qui dyadem, seu duas personas confitentur, & Trinitati non credunt. Quamobrem hæc Rachel, ecclesia nempe ex Gentibus, hoc luget, ita ut vox ejus audiatur in Rama, id est, in excelso; sic enim interpretantur Rama, excelsa, superna Jerusalem apud altissimum Deum, quem decet omnis gloria, honor, imperium cum sanctissimo & vivifico Spiritu in sæcula sæculorum, amen.

A Ἡρώδης τοὺς σοὺς παῖδας τοῦ προσκαίρου φωτὸς ἐστέρησεν, ἀλλὰ τούτους ἐν οὐρανῷ τοῦ ἰδίου φωτὸς ἐμπλήσει. οὐχ ὁρᾷς αὐτοὺς ἐπὶ γῆς ἀλλομένους, ἀλλὰ τότε ὄψει, καὶ χαρήσῃ ὁρῶσα τούτους ὡς ἄρνας σκιρτῶντας ἐν παραδείσῳ. νῦν λυπῇ οὐχ ὁρῶσα τούτους ἐπὶ τραπέζης χεῖρας ἐκτείνοντας, ἀλλὰ τότε ὄψει, καὶ χαρήσῃ ὁρῶσα τούτους μετ' ἀγγέλων εὐωχουμένους τὸν οὐράνιον ἄρτον. νῦν λυπῇ οὐχ ὁρῶσα τούτους κελαδοῦντας, ἀλλὰ τότε ὄψει καὶ χαρήσῃ, τούτων τῶν νηπίων τὸν χορὸν, δίκην χελιδόνων ἐαρινῶν, ἐν τῷ παραδείσῳ Χριστὸν ἀνυμνοῦντα. ἐπειδὴ γὰρ ὁ προφήτης ἔλεγεν, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. προέλαβεν ὁ τῶν νηπίων χορὸς ὕμνους ἐπινικίους Χριστῷ ἑτοιμάζων, τὸν τοῦ προφήτου λόγον πληρῶν, τὸ, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ἀλλὰ ταῦτα μὲν, ἀγαπητοὶ, πρὸς ψυχῆς τέρψιν εἰρήκαμεν· λοιπὸν γὰρ ἐπὶ τὴν ἀτραπὸν B τοῦ εὐαγγελίου τραπῶμεν. ἀκούσας γάρ, φησιν, Ἡρώδης ἐταράχθη. τί ἀκούσας; ὅτι ὁ βασιλεὺς τῶν Ἰουδαίων ἐγεννήθη. ὅρα μοι, ἀγαπητὲ, τὸν διάβολον ἐν τῷ Ἡρώδῃ ταραττόμενον, καὶ τοῦτον λίαν. ὁρᾷ τὸν ποιμένα γεννηθέντα ὁ λύκος, καὶ τοῦτον κρυπτόμενον ἐν φάτνῃ, καὶ τὴν ἰσχυρὰν βακτηρίαν τοῦ πνεύματος ἐν ταῖς χερσὶ κατέχοντα, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ ὁ δράκων τὸ δέλεαρ τοῦ σώματος, καὶ τὸν νήπιον καθάπερ σκώληκα ἕρποντα· ἐγὼ γάρ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· καὶ κεχηνὼς ἐπέρχεται, καὶ θεωρεῖ ἔνδον τὸν οὐράνιον λόγον ἐν τῇ σαρκὶ, καθάπερ ἄγκιστρον, κρυπτόμενον, καὶ τοῦτον θεωρῶν ταράττεται λίαν. ὁρᾷ τὸν κόκκον τοῦ σινάπεως ἐπὶ τῆς γῆς ἐληλυθότα, καὶ κλάδους ἐκπέμποντα ἐλπίδος, καὶ μέλλοντα τὸ τῶν ἀνθρώπων γένος ὑπὸ τὰ φύλλα τῆς σωτηρίας σκεπάζεσθαι, καὶ ταῦτα ὁρῶν ὁ μισόκαλος δαίμων C ταράττεται λίαν. ὁρᾷ τὴν σοφίαν ἐπὶ γῆς ἐληλυθυῖαν, καὶ λαβοῦσαν τὴν μικρὰν ζύμην τοῦ σώματος, καὶ μιγνύουσαν εἰς τὰ τρία μέρη τοῦ ἀλεύρου, εἰς ψυχὴν, καὶ σῶμα, καὶ πνεῦμα, καὶ μέλλουσαν πᾶσαν τὴν ἀνθρωπότητα εἰς μίαν πίστεως σωτηρίαν ζυμοῦν, καὶ ταῦτα θεωρήσας ταράττεται λίαν. ὁρᾷ τὸν λεγεῶνα τοῦ δαίμονος ἀπὸ τῆς ἀνθρωπότητος ἐκβαλλόμενον, καὶ εἰς ἄβυσσον ἐκπεμπόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ τὰ κλεῖθρα τοῦ ᾅδου συντριβόμενα, καὶ τὸν Ἀδὰμ πάλιν εἰς παράδεισον ἀνακομιζόμενον, καὶ ταράττεται λίαν. ὁρᾷ πάλιν Εὔαν διὰ Μαρίας σωζομένην, καὶ τὸν ὄφιν, ἐν ᾧ μάλιστα ἐθάρρει, κτεινόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ τὸ ξύλον τῆς ζωῆς φυτευόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται D λίαν. καὶ ἐπιλείψει μοι, ἀγαπητοὶ, διηγουμένῳ ὁ χρόνος τὴν ταραχὴν τοῦ διαβόλου. λοιπὸν μηδὲν δυνάμενος κατὰ τοῦ κυρίου ὁ διάβολος, ἐπὶ τοὺς νηπίους καὶ ἀτελεῖς τῶν βρεφῶν παῖδας κατατρέχει. καὶ τίνας κατασφάζει; ἀπὸ διετοῦς καὶ κατωτέρω. τοὺς δὲ τὴν τριάδα τῶν ἐτῶν ζήσαντας οὐ κατασφάζει. νήπιοι γὰρ οἱ τὴν δυάδα ὁμολογοῦντες, καὶ τῇ τριάδι μὴ πιστεύσαντες. ὅθεν αὕτη ἡ Ῥαχὴλ, ἡ ἐξ ἐθνῶν ἐκκλησία, τούτους πενθεῖ, ὥστε τὴν φωνὴν αὐτῆς ἀκουσθῆναι ἐν Ῥαμᾶ, τουτέστιν, ἐν ὑψηλῷ. οὕτω γὰρ ἑρμηνεύεται Ῥαμὰ, ὑψηλὴ, ἡ ἄνω Ἱερουσαλὴμ παρὰ τῷ ὑψίστῳ θεῷ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

## *In Herodem & infantes.*

VELLEM quidem semper & ubique spiritualem habere sermonem, Paulo obse-
*1. Cor. 2. 13.* quens dicenti: *Spiritualibus spiritualia comparantes.* Cum maxime debitor sim ex priori Dominica nomen Domini ferente. Nescio quomodo semper mihi contingit ut mea paupertas nunquam debita solvat, dum vos in spiritualibus insatiabiles, debitum semper cum usura exi-

## E Εἰς τὸν Ἡρώδην καὶ εἰς τὰ νήπια.

ΗΘΕΛΟΝ μὲν ἀεὶ καὶ πάντοτε τὸν πνευματικὸν ἀφηγεῖσθαι λόγον, πειθόμενος Παύλῳ τῷ λέγοντι, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. μάλιστα δὲ ὅτι χρεώστης ἀπεφάνθην τῆς προτέρας κυριωνύμου κυριακῆς. οὐκ οἶδ' ὅπως τοῦτο συμβαίνει περὶ ἐμὲ, τοῦ ἀεὶ χρέους μὴ ἀπαλλάττεσθαι τὴν ἐμὴν πενίαν, ὑμῶν τῶν ἀπλήστων ἐν τοῖς πνευματικοῖς δανειστῶν μεθοδευόντων σὺν τόκῳ τὸ ὄφλημα.

ἀλλ' ὅμως οὐκ ἀποδύρομαι, ὦ φίλοι, ἀλλὰ πλέον ἀγάλλομαι. πλουσίου γὰρ δεσπότου εὔελπις δοῦλός εἰμι. διὸ συγγνώμην οὐκ αἰτῶ, ἀλλ' ἐνδοχὴν παρακαλῶ. ἔχω γὰρ τὸν λογοδότην θεὸν, τὸν λέγοντα, ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτὸ, οὐ διὰ τὴν τοῦ λαλοῦντος ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων εὐσεβῆ φιληκοΐαν. ἤκουες γοῦν τοῦ εὐαγγελιστοῦ Ματθαίου λέγοντος· ἰδὼν δὲ ὁ βασιλεὺς Ἡρώδης, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ὄντας ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. ταῦτα ἐν τῇ κατὰ σάρκα γεννήσει τοῦ Χριστοῦ. ἄκουε δὲ πῶς ἐκ πολλῶν τῶν χρόνων προελέγετο. ὅπως, φησὶ, πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου λέγοντος· κραυγὴ ἐν Ῥαμᾷ ἠκούσθη, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς. ὁρᾷς πρὸ πόσων γενεῶν κατηγγέλλετο ἡ τοῦ Ἡρώδου ἐπ' ἐσχάτων τῶν ἡμερῶν μανία; ἀποστείλας γάρ, φησιν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς. ὢ τῆς τοῦ Ἡρώδου μανίας, μᾶλλον δὲ τῆς τοῦ διαβόλου κακίας. αὐτοῦ γὰρ ἦν καὶ τοῦτο τὸ ἔργον· αὐτὸς ὥπλισε τὸν Ἡρώδην κατὰ τῶν νηπίων. ἀλλ' ὅμως καθ' ἑαυτοῦ τὸ ξίφος τῆς βρεφοκτονίας ἤγειρε. πολλὰ γὰρ ὁ Ἡρώδης μηχανησάμενος οὐκ ἀνεῖλεν Ἰησοῦν, ὃν ἐζήτει. ἡ δὲ τοῦ Ἡρώδου ἀποτυχία, τοῦ διαβόλου ταλαιπωρία. ἰδὼν, φησιν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς. ὦ Ἡρώδη, τί προπετῶς θυμοῦσαι; τί ὁπλίζῃ κατὰ τῶν νηπίων; ὑπὸ τῶν μάγων ἐνεπαίχθης, καὶ τὰ βρέφη φονοκτονεῖς; μὴ γὰρ τὰ βρέφη τοὺς μάγους ὡδήγησαν; ἀστὴρ αὐτοῖς ἐμήνυσε τὸν τεχθέντα δεσπότην. τὸν ἀστέρα οὖν μὴ δυνάμενος τοξεῦσαι, τὰ βρέφη φονοκτονεῖς; ἢ διὰ τοῦτο τῆς βασιλείας ἐπελάβου, ἵνα κατὰ θηλαζόντων τὴν ἰσχὺν ἐπιδείξῃς; νηπίοις πολεμεῖς, Ἡρώδη; μητέρας ἀτεκνοῖς; μαζοὺς ξηραίνεις; ἀγκάλας γυμνοῖς; σπλάγχνα τιτρώσκεις; γυναιξὶν ὠδινούσαις θρήνους πληθύνεις; ἀπὸ διετοῦς καὶ κατωτέρω ἀνελεῖς τὰ βρέφη; ἔχεις γὰρ ποῦ ἐμπείρῃς τὸ ξίφος. τοῦτο οὐκ ἔστι φονοκτονῆσαι, ἀλλὰ ἀωροτομῆσαι. ἐπίδειξον τοῖς παισὶ τὸ ξίφος· ἐὰν φοβηθέντα δειλιάσωσι, φόνευε, κατάσφαζε· ἐὰν δὲ ἱλαρυνόμενα προσδράμωσι τῷ ξίφει, τί προσφέρεις τὸ ξίφος τοῖς προσγελῶσι τῷ ξίφει; νομίζεις, Ἡρώδη, μετελθεῖν τὸν σωτῆρα καὶ φονοκτονῆσαι τοῦτον; ἐπειδὴ δὲ ὅλως προῄρησαι, ἔκπεμψον δόγμα, τοὺς μάγους μετακάλεσαι, τὸν ἀστέρα παράστειλον, τὸν Γαβριὴλ φυλάκισον, τοὺς προφήτας ἀνάκρινον, μητέρα παρθένον ζήτησον. ἐὰν τούτων ἐπιλάβῃ, τότε δυνήσῃ καὶ τὸν Χριστὸν εὑρέσθαι. οὐ δοξολογεῖς, ἀλλὰ ζητεῖς τὸν ἀρρεύστως τεχθέντα; θεομαχεῖς, βασιλεῦ; τὸν βασιλέα τυγχάνοντα πολυπραγμονεῖς; κρατῆσαι θέλεις τὸν κρατοῦντά σε; ὀλέσθαι θέλεις τὸν θέλοντά σε σῶσαι; συλλαβεῖν πανουργεύεις τὸν παρεστῶτά σοι, καὶ διὰ τὴν πονηρίαν σου ὀφθῆναί σοι μὴ βουλόμενον; οὗτός ἐστιν, Ἡρώδη, ὁ ἐκ πολλῶν τῶν χρόνων βοήσας, ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν. ὡς νηπίου καταφρονεῖς τούτου; πολὺ τοῦ Ἀβραὰμ παλαιότερός ἐστι κατὰ τὴν θεότητα· οὐ μόνον δὲ τοῦ Ἀβραὰμ παλαιότερος, ἀλλὰ καὶ τοῦ Ἀδὰμ δημιουργός. οὐ δειλίαν ἠμφίεσαι, ἀλλ' οἰκονομίαν μετέρχεται. τί οὖν προπετῶς, Ἡρώδη, θυμοῦσαι; ἀκαίρου θυμοῦ τὸ κέρδος, πτῶσις. τί τὰ ὅμοια Φαραὼ διαπράττῃ; ἐκεῖνος ἐν Αἰγύπτῳ τὰ ἄρρενα τῶν Ἑβραίων ποταμορριφῆναι προσέταξε, καὶ σὺ ἐν Βηθλεὲμ τὰ ἄρρενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προστάττεις. ὢ ὁμόθυμος θυμός· ὢ ἰσοτάλαντος ἀσπλαγχνία· ὢ ὁμοδίαιτος πονηρία. μᾶλλον δεῖ ἤδη ἀληθέστερον εἰπεῖν, ὅτι ὁ Ἡρώδης τοῦ Φαραὼ πολὺ θηριωδέστερος. ὡσαύτως δὲ καὶ οἱ δορυφόροι τοῦ Ἡρώδου τῶν ὑπασπιστῶν τοῦ Φαραὼ πολὺ χαλεπώτεροι. ὁ Φαραὼ, εἰ καὶ ἐν Αἰγύπτῳ τὰ ἄρρενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προσέταξεν, ἀλλ' ὅμως ὡς ἀλλοεθνὴς ἐπεχείρει τοῦτο, δεδιὼς μὴ κατισχύσῃ τοῦτο τὸ τῶν Ἰσραηλιτῶν γένος, καὶ πορθήσῃ τοὺς Αἰγυπτίους.

A gitis. Attamen non doleo, o amici, sed magis exsulto; divitis namque heri bene sperans servus sum. Ideo veniam non postulo, sed inducias. Adest quippe Deus qui sermonem suppeditat & dicit: *Dilata os tuum, & implebo illud*; non ob *Psal. 80. 8.* loquentis dignitatem, sed ob pium auditorum desiderium. Audisti itaque Matthæum evangelistam dicentem: *Videns autem Herodes rex quod* *Matt. 2. 16.* *illusus esset a Magis, iratus est valde. Et mittens occidit omnes pueros, qui erant in Bethlehem & in omnibus finibus ejus, a bimatu & infra, secundum tempus, quod exquisierat a Magis.* Hæc in natalibus Christi secundum carnem. Audi vero a quam multis temporibus hoc prædictum fuerat; *Ut impleretur*, inquit, *sermo qui dictus fuerat a Jeremia propheta dicente: Clamor in Rama auditus est, Rachel plorans filios suos.* Viden' B quot ante generationes prænunciata fuerit Herodis in novissimis temporibus insania? *Mittens*, inquit, *occidit omnes pueros, qui erant in Bethlehem & in omnibus finibus ejus.* O Herodis insaniam, imo diaboli nequitiam! ipsius enim hoc opus erat: ipse Herodem contra pueros armavit; sed contra seipsum gladium, quo pueros occidit, excitavit. Multa namque molitus Herodes, non occidit Jesum, ut optabat. Irritus autem Herodis conatus, diaboli pernicies fuit. *Videns*, inquit, *quod illusus esset a Ma-* *Matt. 2. 16.* *gis, iratus est valde; & mittens occidit omnes pueros, qui erant in Bethlehem, & in omnibus finibus ejus.* O Herodes, cur temere irasceris? Cur arma sumis contra pueros? A Magis illusus es, & pueros trucidas? Num pueri Magos duxerunt? Stella ipsis Dominum natum indi- C cavit. Cum ergo contra stellam non possis jaculari, pueros trucidas? An ideo regnum suscepisti, ut contra lactentes fortitudinem exhiberes? Cum infantibus pugnas, Herodes? matres orbas facis? Ubera exsiccas? Ulnas denudas? Viscera confodis? Mulieribus parturientibus planctus multiplicas? A bimatu & infra pueros occides? Habes quo gladium infigas: hoc non est interficere, sed immature confodere. Ostende infantibus gladium: si metuant, occide, jugula; si læti gladium adeant, cur admoves gladium iis qui gladium irrident? Putas, Herodes, te ad Servatorem perventurum, ipsumque occisurum esse? Quia vero id omnino decrevisti: emitte decretum, Magos accerse, stellam cohibe, Gabrielem observa, prophetas dijudica, matrem Virginem quære. Si hæc assequa- D ris, tunc poteris Christum reperire; non gloria afficis, sed quæris eum qui sine fluxu natus est. Cum Deo pugnas, O rex: vere regem curiose perquiris; tenere vis eum qui te tenet; perire vis eum, qui salutem tuam optat; dolose comprehendere vis eum qui tibi adest, & ob nequitiam tuam non vult a te conspici. Hic est, o Herodes, qui a multo jam tempore clamat: Quærent me improbi, & non invenient. Ut infantem illum despicis? Longe antiquior est Abrahamo secundum divinitatem: nec modo Abrahamo antiquior, sed etiam Adami est conditor. Non timore circumdatur, sed œconomiam adit. Cur ergo, Herodes, temere iras- E ceris? Intempestivæ iræ lucrum, pernicies est. Cur similia Pharao aggressus est? Ille in Ægypto masculos Hebræorum in fluvium conjici jussit, & tu in Bethlehem masculos Judæorum infantes occidi imperas. O parem animum! o similem immanitatem! o æqualem nequitiam! imo, ut verius loquamur, Herodes Pharaone longe ferocior est: similiterque spiculatores Herodis longe sunt satellitibus Pharaonis crudeliores. Pharao licet in Ægypto masculos Judæorum infantes occidi jusserit; certe ut alienigena id aggrediebatur, timens ne Israelitarum genus prævaleret, & Ægyptios devastaret. Ut

servet Ægyptios, Israelitarum pueros jugulat. Præ timore decertat, non ex invidia interficit. Ita enim Pharao Herode humanior erat, ut etiam legem, quam dederat, solveret, & decretum suum abrogaret. Solum enim reperit Moysem in arcula fluitantem; per filiam suam illum suscepit: nec modo non occidit, sed etiam quasi filium educavit, & infanti parcens legem solvit. Quid dicis, o Herodes? Pharao Moysem servat, & tu Dominum Christum invadere statuisti. Ille eum qui Ægyptum castigaturus erat, servat, & tu Servatorem mundi vis occidere? Ita rursum spiculatoribus Herodis Pharaonis satellites sunt moderatiores. Nam obstetrices, quæ jussæ erant in ipso partu infantes Hebræorum masculos strangulare, religiosæ cum essent, id non præstiterunt, licet genere Ægyptiæ essent: viscera namque earum intus commiseratione movebantur: quod scirent quanta patiantur matres, cum masculis infantibus violenta morte privantur. Ideo malebant temporaneo regi obsistere, quam majori regi & Deo. Herodes vero non in alienam gentem nequitiam suam exhibuit; sed congeneres suos furiose aggressus est. Et Pharao quidem in Ægypto solum talem furorem exhibuit; Herodes vero non in Bethlehem tantum, sed etiam in omnibus finibus ejus florem infantium succidi jussit. O injustum decretum ejus, qui per urbes, vicos, agros & pagos confertim sævire decrevit! Nullus erat locus ubi possent matres occultare filios: non ferebant enim illi extra maternas ulnas manere. Si quando autem vellet mater abscondere filium, sese ille fletu prodebat, & mammæ desiderio mortem sibi attrahebat. Sicut enim piscis extra aquam vivere nequit; sic infans maternis mammis privatus, brevi in interitum vergit. O universalem illam lamentationem! Non subit in mentem quo pacto describam maternorum gemituum modos. Si barbarorum incursus fuisset, lenius dolorem matres tulissent. Calamitas enim in multos divisa, moderatius patientem pungit. Non erat barbarorum incursus, sed civile bellum. Violentia erat supplicationem nullam admittens, iniquitas erat, quæ quasi æquam legem obtenderet. Matres clamabant, & audiebat nemo: infantes plorabant, & nemo miserabatur: mammæ lac fundebant in terram, & Herodes magis obdurabatur ut lapis. Crudeliores erant regis spiculatores. Alius alium puerum invadebat; alios in muros, alios in parietes conjectos, alios in petras obterebant; alios suffocatos procul relinquebant. Turbabat enim illos talis facinoris auctor diabolus. In his ergo & similibus matres infirmabantur, & dolore ebriæ decorem non curabant: vestes discindebant, cincinnos capitis in aerem conjiciebant, mammas, quas occultare par erat, ostendebant, pectus lapidibus tundebant, genas carnificum instar lacerabant, cælum quasi silens in judicem contestabantur, supplicationem emittebant ad universorum Dominum & judicem dicentes: Quæ hæc tanta regis crudelitas, Domine? In tua ille opificia sævit. Tu creasti, ille jugulare non cessat: tu gratiam dedisti, ille perniciem infert. Cur masculos peperimus, si tam acerba masculorum mors futura erat? Si jussum tuum est, nos quoque una mori jube: si vero iniqui regis facinus & mandatum est; cur non cito illum invadis? Sed verisimile quidem est matres ex dolore sic exclamasse, quod nescirent quid pullis suis utile esset. Quid autem beatius est illis, qui propter Dominum Christum insidiis sunt impetiti? Quid beatius his pueris, qui non propter se tantum jugulabantur, sed ut ipse Christus interficiebatur? Vere opportune matribus dicatur illud a Domino prolatum: Nolite

A φειδοῖ τῶν Αἰγυπτίων τοὺς Ἰσραηλιτῶν παῖδας κατασφάζει· διὰ φόβον πολεμεῖ, οὐ διὰ φθόνον ἀναιρεῖ. οὕτω γὰρ ὁ Φαραὼ τοῦ Ἡρώδου φιλανθρωπότερος ἦν, ὅτι καὶ ὃν ἐθέσπισε νόμον ἀνέλυσε, καὶ διαλύτης ἐγένετο τοῦ ἰδίου θεσπίσματος. μόνον γὰρ εὗρε τὸν Μωϋσῆν ἐν θήβῃ τῷ ποταμῷ φερόμενον, ἀνείλατο τοῦτον διὰ τῆς θυγατρὸς αὐτοῦ, καὶ οὐ μόνον οὐκ ἐφόνευσεν, ἀλλὰ καὶ εἰς υἱὸν ἀνέθρεψε, φειδοῖ τοῦ βρέφους τὸν νόμον καταλύσας. τί λέγεις, Ἡρώδη; Φαραὼ τὸν Μωϋσέα διασώζει, καὶ σὺ τὸν δεσπότην Χριστὸν μετελθεῖν προήρησαι; ἐκεῖνος τὸν μέλλοντα τὴν Αἴγυπτον μαστίζειν περιποιεῖται, καὶ σὺ τὸν σώζοντα τὴν οἰκουμένην φονεύειν θέλεις; οὕτω πάλιν καὶ τῶν δορυφόρων τοῦ Ἡρώδου οἱ ὑπασπισταὶ τοῦ Φαραὼ αἰδεσιμώτεροι. αἱ γὰρ μαῖαι ἅμα τῷ τοκετῷ τῶν βρεφῶν βεβχῆσαι προσταχθεῖσαι τὰ ἄρρενα τῶν Ἑβραίων, οὐ μετῆλθον τοῦτο φιλόθεοι τυγχάνουσαι, καὶ ταῦτα Αἰγύπτιαι οὖσαι τῷ γένει. ἠλίσσετο γὰρ αὐτῶν ἔνδον σπλάγχνα, ἐπιστάμεναι τί πάσχουσι μητέρες ἀρρένων βρεφῶν βιαίῳ θανάτῳ στερούμεναι. διὸ εἵλαντο μᾶλλον τῷ προσκαίρῳ προσκροῦσαι βασιλεῖ, ἢ τῷ μείζονι βασιλεῖ καὶ θεῷ ἀντιτάξασθαι. ὁ δὲ Ἡρώδης οὐ πρὸς ἄλλο ἔθνος τὴν κακίαν ἐπεδείξατο, ἀλλὰ πρὸς τοὺς ὁμοφύλους τὴν μανίαν ἐπεκλίνατο. καὶ Φαραὼ μὲν τῇ Αἰγύπτῳ μόνῃ τὸν τοιοῦτον θυμὸν ἐγύμνωσε, καὶ οὐ περαιτέρω· Ἡρώδης δὲ οὐ μόνον ἐν Βηθλεὲμ, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς χλοεροκοπεῖσθαι τὰ βρέφη προσέταξεν. ὢ τοῦ ἀδίκου δόγματος ἐκείνου, τοῦ ἀθρόως ἐπισκηψαμένου τότε κατὰ πόλιν καὶ κώμας καὶ ἀγροὺς καὶ ῥύμας. οὐκ ἦν ποῦ κρύψωσιν αἱ μητέρες

C τὰ τέκνα. ἔξω γὰρ τῶν μητρικῶν ἀγκαλῶν μένειν οὐκ ἠνείχοντο. εἰ δέποτε μήτηρ ἠβουλήθη κρύψαι τὸ ἴδιον τέκνον, ἐκεῖνο κλαυθμῷ ἑαυτὸν παρεδίδου, τῇ πρὸς τὸν μαζὸν φιλίᾳ τὸν θάνατον ἐφελκόμενον. ὥσπερ γὰρ ἰχθὺς ἔξω τοῦ ὕδατος ζῆν οὐκ ἀνέχεται· οὕτω καὶ βρέφος μητρικῶν μαζῶν στερούμενον οὐκ εἰς μακρὰν τὴν διαφθορὰν δέχεται. ὢ τῆς καθολικῆς θρηνῳδίας ἐκείνης. οὐχ εὑρίσκω πῶς διαγράψω τῶν μητρικῶν ὀδυρμῶν τὰ σχήματα. εἰ βαρβάρων ἔφοδος ἐγεγόνει, κουφότερον ἂν αἱ μητέρες τὴν ὀδύνην ἔφερον. συμφορὰ γὰρ μεριζομένη μετριώτερον οἶδε δάκνειν τὸν πάσχοντα. οὐκ ἦν βαρβάρων ἔφοδος, ἀλλ' ἐμφύλιος πόλεμος. βία ἦν ἐντυχίαν μὴ ἔχουσα, παρανομία ἦν νόμον ἔχουσα συνήγορον. αἱ μητέρες ἐβόων, καὶ ὁ ἀκούων οὐκ ἦν· τὰ βρέφη ἀπ-

D εθρήνουν, καὶ ὁ ἐλεῶν οὐ παρῆν. οἱ μαζοὶ τῷ γάλακτι τὴν γῆν κατέρρεον, καὶ ὁ Ἡρώδης μᾶλλον ὡς λίθος ἐπεπήγει. ὠμότεροι τοῦ βασιλέως οἱ δορυφόροι, ἀλλήλων ἄλλως τὰ βρέφη μετήρχοντο, τὰ μὲν αὐτῶν πρὸς τοὺς τοίχους σπαράττοντες, τὰ δὲ ἐπὶ τῶν πετρῶν ἐδαφίζοντες, τὰ δὲ καὶ μακρόπνικτα καταλιμπάνοντες. ἐθορύβει γὰρ αὐτοὺς τοῦ τοιούτου δράματος ὁ ἐργοδιώκτης διάβολος. ἐπὶ τούτοις οὖν καὶ τοῖς παραπλησίοις αἱ μητέρες ἠσθένουν, καὶ τῷ πάθει μεθύουσαι τῆς εὐπρεπείας οὐκ ἐφρόντιζον. τοὺς χιτῶνας διερρήγνυον, τοὺς πλοκάμους τῷ ἀέρι διέρριπτον, τοὺς ὀφειλομένους κρύπτεσθαι μαζοὺς ἐδημοσίευον, τὸ στῆθος λίθοις κατήρασσον, τὰς παρειὰς ὡς δήμιοι κατέξεον, τὸν οὐρανὸν ὡς σιωπῶντα κριτὴν ἐμαρτύραντο. ἐντυχίαν ἐποιοῦντο πρὸς τὸν τῶν ὅλων κρι-

E τὴν καὶ δεσπότην, λέγοντες· τίς ἡ τοσαύτη τοῦ βασιλέως ὠμότης, δέσποτα; ἐν τοῖς σοῖς ἐκεῖνος πλάσμασι διαπράττεται; σὺ ἐδημιούργησας, ἐκεῖνος κατασφάττων οὐ παύεται· σὺ εὐχαρίσω, ἐκεῖνος ζημιοῖ. διὰ τί δὲ καὶ ἄρρενας ἐτέκομεν, εἰ οὕτω τῶν ἀρρένων πικρὸς ὁ θάνατος; εἰ σὸν τὸ πρόσταγμα, καὶ ἡμᾶς αὐτὰς συναποθανεῖν κέλευσον· εἰ δὲ τοῦ παρανόμου βασιλέως τὸ ἐγχείρημα καὶ πρόσταγμα, τί θᾶττον αὐτὸν οὐ μετέρχῃ; ἀλλ' εἰκὸς μὲν τὰς μητέρας ὑπὸ τοῦ πάθους δακνομένας ταῦτα βοᾶν, μὴ εἰδυίας τὸ συμφέρον τοῖς αὐτῶν νεοττοῖς. τί δὲ μακαριώτερον τῶν διὰ τὸν δεσπότην Χριστὸν ἐπιβουλευομένων; τί μακαριώτερον τούτων τῶν παίδων, ὅτι οὐ δι' ἑαυτῶν ἐσφάζοντο μόνον, ἀλλὰ καὶ ὡς αὐτὸς ὁ Χριστὸς ἐφονεύετο; ὄντως εὔκαιρον εἰπεῖν πρὸς τὰς μητέρας τὸ τοῦ κυρίου ῥητὸν, μὴ κλαίετε, μητέρες,

μητέρες, μὴ κλαίετε· πρὸς ὀλίγον τοὺς ὑμετέρους κόλπους ἐζημίωσαν, ἀλλὰ τοὺς Ἀβραμιαίους κόλπους ἐκληρονόμησαν· μὴ κλαίετε μητέρες, μὴ κλαίετε· μηδὲ κωλύετε τὰ νήπια ἔρχεσθαι πρὸς μέ. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

flere, matres, nolite flere: ad breve tempus sinus vestros evacuarunt, sed illi Abrahamicum sinum possident. Nolite flere, matres, nolite flere, & nolite impedire quominus infantes vestri ad me veniant: *Talium est enim regnum cælorum*: in Christo Jesu Domino nostro, cui gloria & imperium in sæcula sæculorum. Matt. 19, 14.

## Εἰς Μάρθαν καὶ Μαρίαν, καὶ Λάζαρον, καὶ εἰς Ἡλίαν τὸν προφήτην.

ὍΣΟΙ τῆς δεσποτικῆς ἀναστάσεως ἔρωτα φέρετε, τῆς ἀρτίως ἀναγνωσθείσης μαρτυρίας τὸ φιλόχριστον μύρον γνησίως ὑποδέξασθε. ἤδη γὰρ Μαρία μυρίζει, καὶ ἡ ἐκκλησία εὐωδιάζεται· ἤδη τὸ ἀλάβαστρον κενοῦται, καὶ τὸ θυσιαστήριον θυμιάσεως πληροῦται· Μαρία μυρίζει, Μάρθα διακονεῖ, καὶ ὁ ἐκ νεκρῶν τῷ κυρίῳ συνανάκειται. ἔντιμον γὰρ τὸ τῶν ἀνδρῶν γένος, ὅτι ἀνὴρ κατ' εἰκόνα θεοῦ ἐγένετο, ἡ δὲ γυνὴ ἐκ τῆς εἰκόνος τοῦ ἀνδρός, τὸν μὲν ἄνδρα δοξάζουσα, τὸν δὲ Χριστὸν οὐ χαρακτηρίζουσα. καὶ τίς τούτων μάρτυς, ἵνα μὴ μέμψιν καρπωσώμεθα; ἄκουε τοῦ Παύλου βοῶντος· ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει τὴν κεφαλὴν κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι. γυνὴ δὲ δόξα τοῦ ἰδίου ἀνδρός. οὐ γὰρ τῶν ἀλλοτρίων· οὐ διὰ τὴν ἀρχαίαν ματαιοσυμβουλίαν, ἀλλὰ διὰ τὴν τελευταίαν γνησίαν τεκνογονίαν. αὕτη γὰρ τὴν γυναῖκα τῆς κατάρας ἀπήλλαξεν ἡ γνησία τεκνογονία. καὶ τίς τούτων μάρτυς; ὁ αὐτὸς ἀπόστολος βοῶν, ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· σωθήσεται δὲ πάλιν διὰ τεκνογονίας. ὁρᾷς ὅτι διὰ τῆς τεκνογονίας σώζεται ἡ γυνή; οὐχ ὅτι Εὔα τὸν Κάϊν ἐξέβρασεν, ἀλλ' ὅτι ἡ ἔνδοξος παρθένος τὸν Ἰησοῦν ἐκυοφόρησε. Μαρία τοίνυν μυρίζει, Μάρθα διακονεῖ, καὶ ὁ Λάζαρος τῷ κυρίῳ συνανάκειται, καθὼς ἀρτίως ἤκουσας. Μαρία τὴν ἐκκλησίαν εἰκονογραφεῖ· ἀνέκλιπὲς γὰρ τῆς ἐκκλησίας τὸ μύρον. Μάρθα δὲ τὴν συναγωγὴν ὑποδεικνύει· ὀλιγόπιστος γάρ, καὶ τῶν ἐπιγείων φίλη. Λάζαρος τὸ σκῆπτρον τῆς ἀναστάσεως βαστάζει, ὡς ἤκουσας ἀρτίως τοῦ εὐαγγελιστοῦ βοῶντος, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ. καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων αὐτῷ. ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν· ἡ δὲ οἰκία ὅλη ἐπλήσθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. εἶδες γυναικὸς ἐργασίαν, καὶ πῶς τὴν ἐκκλησίαν προεικονογράφησεν; ἡ Μαρία τὰς πολλὰς τῶν γυναικῶν ἀπεσόβησεν ἐκ τῆς κακεργασίας αὐτῶν, καὶ ἐδίδαξε λίτραν μύρου βαστάζειν, καὶ μὴ κεφαλὴν Βαπτιστοῦ ἀποτέμνειν· τὸν κύριον μυρίζειν, καὶ μὴ τῷ Ἰούδᾳ συγκλέπτειν· τὰς τρίχας ἐκλύειν, καὶ μὴ τὰς ἁμαρτίας συσφίγγειν· ἀδελφὴν Λαζάρου προσαγορεύεσθαι, καὶ μὴ θυγατέρα τοῦ διαβόλου φημίζεσθαι. ταῦτά μοι διὰ τὴν συναγωγὴν Ἰουδαίων εἴρηται, τὴν τὸν κύριον μὴ μυρίσασαν, ἀλλ' ὄξος καὶ χολὴν ποτίσασαν, τὴν αἱμάτων φίλην, τὴν ἀεὶ ἐναντίως τοῦ δεσπότου Χριστοῦ διαπραττομένην, τὴν σπουδάζουσαν τὸν Λάζαρον θανατῶσαι, ὃν ἤγειρεν ἐκ νεκρῶν. καὶ τίς ἄρα πιστικώτερος; ὁ κύριος ἐγείρων, ἢ ἐκεῖνοι ἀποκτείνοντες; ὡς ἀρτίως ἤκουσας τοῦ εὐαγγελιστοῦ λέγοντος, ἔγνω ὄχλος πολὺς τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστιν Ἰησοῦς· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν· ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. εἶδες τὴν τῶν Ἰουδαίων συναγωγήν, πῶς ἀνθρωποκτόνος, προφητοκτόνος, ὥστε εἰς κυριοκτονίαν

## *In Martham, Mariam & Lazarum: & in Eliam prophetam.*

QUOTQUOT Dominicæ resurrectionis amore tenemini, modo lecti testimonii unguentum Christo gratum libenter suscipite. Jam enim Maria ungit, & ecclesia bono afficitur odore: jam alabastrum evacuatur, & altare fragrantia repletur. Maria unguentum effundit, Martha ministrat, & qui a mortuis suscitatus est cum Domino recumbit. Honorabile quippe est virorum genus, quia vir ad imaginem Dei factus est; mulier vero ex imagine viri, virum glorificans, Christi characterem non gestans. Ecquis horum testis est, ne in reprehensionem incurramus? Audi Paulum clamantem: *Vir quidem non debet velare caput suum; imago enim & gloria Dei est: mulier vero gloria viri est.* Mulier est gloria viri sui. Non enim ex alienis est: non propter vetus vanum consilium, sed propter genuinam postremam filiorum procreationem. Hæc enim genuina filiorum procreatio mulierem a maledictione liberavit. Et quis horum testis est? Idem ipse apostolus qui clamat: *Adam non est seductus, mulier autem seducta in prævaricatione fuit. Salvabitur autem rursus per filiorum procreationem.* Viden' per filiorum procreationem servari mulierem? Non quia Eva Caïnum emisit; sed quia gloriosa Virgo Jesum parturivit. Maria ergo ungit, Martha ministrat. Lazarus vero cum Domino recumbit, ut modo audisti. Maria ecclesiam repræsentat: unguentum enim ecclesiæ non deficit. Martha Synagogam subindicat: illa enim modicæ fidei, & terrenorum amatrix erat. Lazarus sceptrum resurrectionis gestat, ut jam audisti, evangelista clamante: *Venit Jesus in Bethaniam, ubi erat Lazarus, quem suscitaverat a mortuis. Fecerunt autem ei cœnam ibi, & Martha ministrabat. Lazarus vero unus erat ex discumbentibus cum eo. Maria ergo accepit libram unguenti nardi pistici preciosi, & unxit pedes Jesu, & extersit capillis suis. Domus vero tota repleta est ex odore unguenti.* Vidistin' mulieris opus, & quomodo ecclesiam præsignificavit? Maria mulieres multas a malis operibus suis deterruit, & docuit libram unguenti ferre, non caput Baptistæ amputare; Dominum ungere, non illum cum Juda abripere; capillos exsolvere, non peccata colligare; sororem Lazari vocari, non filiam diaboli appellari. Hæc mihi propter synagogam Judæorum dicta sunt, quæ Dominum non unxit; sed acetum & fel in potum dedit, quæ sanguinem amat, quæ semper contra Dominum Christum operatur, quæ conata est Lazarum occidere, quem ille suscitaverat a mortuis. Quis ergo fide dignior? Dominus qui suscitat, an illi qui occidunt? Ut modo evangelistam audisti dicentem: *Cognovit turba multa ex Judæis quia Jesus illic est: & venerunt, non propter Jesum tantum; sed etiam ut Lazarum viderent, quem suscitavit a mortuis.* Quia multi Judæorum propter illum accedebant, & credebant in Jesum. Vidistin' Judæorum synagogam, quomodo hominum & prophetarum interfectrix esset; ita ut ad Dominum

1. Cor. 11, 7. — Joan. 12, 1. — Joan. 12, 9.

ipsum occidendum properaret; ita ut illi præ-
senti Dominus ut homicidæ & latrocinanti di-
Matt. 23. 37. ceret : *Jerusalem, Jerusalem quæ occidis prophe-
tas, & lapidas eos, qui ad te missi sunt :* Quo-
usque occides, nec converteris? Ebria es, non
a vino, sanguinum amatrix. Et ut discas hæc
non hyperbolice dicta esse, audi Dominum per
Mich. 3. 9. prophetam dicentem : *Audite hæc omnes princi-
pes domus Jacob, & reliqui ex Israel, qui abo-
minamini judicium, & omnia recta pervertitis,
qui ædificatis Sion in sanguinibus, & Jerusalem*
Isai. 1. 15. *in injustitiis*; & rursum : *Si extenderitis manus
vestras ad me, avertam faciem meam a vobis :
& si multiplicaveritis supplicationem, non exau-
diam. Manus enim vestræ plenæ sunt sanguine.*
Quid ergo evangelista? *Ante sex dies Paschæ
venit Jesus in Bethaniam.* Qui in Bethaniam
venit Dominus, hic quoque adest. Hæc quip-
pe domus proprie Bethania vocatur : Bethania
quippe domus pacis dicitur; domus autem pa-
cis est præsens Domini domus : in qua nos om-
nes habitantes, quotidie ad Dominum domus
Luc. 2. 14. clamamus : *Gloria in excelsis Deo, & in terra
pax, in hominibus beneplacitum.* Qui in Betha-
niam venit, huc quoque se confert : venit au-
tem, non quasi jam non præsens esset, sed qua-
si & præsens & veniens. Hunc Domini adven-
Isai. 40. 10. tum prævidens propheta dicebat : *Ecce Domi-
nus cum fortitudine veniet, & brachium ejus cum
dominatione. Ecce Dominus cum fortitudine ve-
niet.* Verus est ille sermo; Dominus cum for-
titudine veniet. Quomodo cum fortitudine?
Utpote qui infernum spoliarit, utpote qui La-
zarum resurrectionem experiri curaverit, ac
mille beneficiis mundum repleverit. *Ecce Do-
minus cum fortitudine veniet.* Quis enim fortior
Joan. 11. 43. eo qui dixit : *Lazare veni foras. Ecce Dominus
cum fortitudine venit.* Venit qui absens non
erat. Audisti enim : Egrediamur in occursum
præsentis & venientis, non terram pedibus eme-
tientes, sed animas morum emendatione purgan-
tes. Egrediamur in occursum præsentis, gra-
tias agentes; faciamus id quod fecit soror Moy-
sis, efficacioribus, quam illa, vocibus utamur,
quia gravior Pharaone est qui in stagnum aquæ
demersus est diabolus. Assumamus ergo victo-
riæ symbola; non tympana quæ manu tenean-
tur, sed ramos palmarum. Clamemus cum fi-
delibus fratribus, quod modo audivimus : *Ho-*
Matt. 21. 9. *sanna; benedictus qui venit in nomine Domini,
rex Israel.* Hunc, ut dixi, regium Domini ad-
Isai. 40. 10. ventum Isaias propheta prævidens dicebat : *Ecce
Dominus cum fortitudine veniet*, utpote qui mor-
tuos suscitaverit; nec modo mortuos, sed etiam
fœtentes putredine, sanie confectos, depila-
tos : quatriduanum Lazarum de sepulcro susci-
Matt. 12. 1. tavit, ut audisti evangelistam dicentem : *Ante
sex dies Paschæ, venit Jesus in Bethaniam, ubi
erat Lazarus, quem suscitaverat a mortuis.* Quid
tale fecit Moyses, quale Dominus noster Chri-
stus? Moyses occidit, non ad vitam revocavit.
Pudore tandem afficiantur Judæi, qui Moysem
celebrant, & Domino Christo conviciantur. Sed
statim insilit Judæus dicens : Annon etiam apud
nos mortuus resurrexit? Annon Elias propheta
Sareptanæ viduæ filium suscitavit? Atqui homo
erat Elias. Cur ergo de Magistro vestro altum
sapitis, divinamque illi virtutem tribuitis, quia
suscitavit Lazarum? Quid dicis, O Judæe?
Comparas Eliam cum Domino Christo? Aliud
est institutio servilis, aliud potestas divina. Nisi
prius scias modum suscitandi mortuos, non in-
telliges rationem divinæ potentiæ. Prudenter
audi, Mortuus ille ab Elia suscitatus, filius Sa-
reptanæ viduæ, etsi morti sit traditus; at non
deficiente natura, sed ad institutionem & tribu-
lationem Eliæ, ut flecteretur ex duritie cordis
in commiserationem. Iratus namque Elias,

A ἐλάσαι· ἢ καὶ αὐτὸς ὁ κύριος αὐτοπροσώπως; ὡς φιλοφόνῳ
καὶ λῃστρικῇ ἔλεγεν· Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτεί-
νουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους
πρὸς αὐτὴν, ἕως πότε φονεύσῃ, καὶ οὐκ ἐπιστρέφεις; μέθῃ
μεθύεις μὴ οἰνοποτοῦσα, ἡ αἱμάτων φίλη; καὶ ἵνα μάθῃς, ὅτι
οὐ κόμπος τὰ ῥήματα, ἄκουε τοῦ κυρίου λέγοντος διὰ τοῦ προ-
φήτου· ἀκούσατε ταῦτα πάντα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ,
καὶ οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, οἱ βδελυσσόμενοι κρίμα, καὶ
πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦντες Σιὼν ἐν
αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. καὶ πάλιν, ἐὰν ἐκ-
τείνητε τὰς χεῖρας ὑμῶν πρὸς μὲ, ἀποστρέψω τὸ πρόσω-
πόν μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσ-
ακούσομαι. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. τί οὖν ὁ
εὐαγγελιστής; πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς
B Βηθανίαν. ὁ εἰς Βηθανίαν ἐλθὼν κύριος, αὐτὸς καὶ ὧδε πάρεστιν.
ὧδε γὰρ κυρίως Βηθανία ὁ παρὼν οἶκος ὀνομάζεται· ἐπεὶ Βη-
θανία οἶκος εἰρήνης λέγεται, οἶκος δὲ εἰρήνης ὁ παρὼν τοῦ κυρίου
οἶκος, εἰς ὃν ἡμεῖς οἰκήτορες καθ' ἑκάστην ἡμέραν πρὸς τὸν
οἰκοδεσπότην βοῶμεν· δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰ-
ρήνη, ἐν ἀνθρώποις εὐδοκία. ὁ εἰς Βηθανίαν ἐλθὼν, αὐτὸς
καὶ ὧδε παραγίνεται· παραγίνεται δὲ οὐχ ὡς μὴ παρὼν,
ἀλλ' ὡς ὢν, καὶ παρὼν, καὶ ἐρχόμενος. ταύτην τὴν τοῦ κυρίου
ἔλευσιν καὶ ὁ προφήτης προθεωρήσας ἔλεγεν, ἰδοὺ κύριος
μετὰ ἰσχύος ἔρχεται, ὁ βραχίων αὐτοῦ μετὰ κυρίας. ἰδοὺ κύριος
μετὰ ἰσχύος ἔρχεται. ἀληθὴς ὁ λόγος, μετὰ ἰσχύος ὁ κύριος ἔρ-
χεται. πῶς μετὰ ἰσχύος; ὡς τὸν ᾅδην σκυλεύσας, ὡς τὸν Λά-
C ζαρον τῆς ἀναστάσεως γεύσας, ὡς μυρίας εὐεργεσίας τὸν κόσ-
μον ἐμπλήσας. ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται. τίς γὰρ ἰσχυ-
ρότερος τοῦ εἰπόντος, Λάζαρε, δεῦρο ἔξω; ἰδοὺ κύριος μετὰ
ἰσχύος ἔρχεται· ἔρχεται ὁ μὴ ἀπών. ἤκουσας γὰρ, ἐξέλθω-
μεν εἰς ἀπάντησιν τοῦ παρόντος καὶ ἐρχομένου, οὐ γῆν βαδί-
ζοντες τῇ τῶν ποδῶν μεταστάσει, ἀλλὰ τὰς ψυχὰς καθαί-
ροντες τῇ τῶν τρόπων βελτιώσει. ἐξέλθωμεν εἰς ἀπάντησιν
τοῦ παρόντος εὐχαριστοῦντες· ποιήσωμεν ὃ ἐποίησεν ἡ ἀδελφὴ
Μωϋσέως· δραστικωτέρας ἐκείνης φωνὰς βάλωμεν, ἐπειδὴ
καὶ χαλεπώτερος τοῦ Φαραὼ ὁ τῇ λίμνῃ τοῦ ὕδατος κατα-
ποντισθεὶς διάβολος. ἀσπάσωμεν οὖν τὰ τῆς νίκης σύμβολα,
οὐ τύμπανα χειροκρατούμενα, ἀλλὰ καὶ βάϊα φοινίκων βλα-
στήματα. βοήσωμεν μετὰ τῶν ὁμοπίστων ἀδελφῶν, ἅπερ ἀρ-
D τίως ἠκούσαμεν, ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
ματι κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ταύτην τὴν βασιλικὴν
τοῦ κυρίου ἔλευσιν Ἡσαΐας ὁ προφήτης προθεωρήσας ἔλεγε,
καθὼς προεῖπον, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, ὡς νεκροὺς
ἐγείρας· καὶ οὐχ ἁπλῶς νεκροὺς, ἀλλὰ σεσηπότας, διαῤ-
ῥυέντας, ἰχωροστατήσαντας, τριχορυήσαντας, τεταρταῖον τὸν
Λάζαρον ἐκ τῶν τάφων ἀναστήσας, ὡς ἤκουες τοῦ εὐαγγε-
λιστοῦ λέγοντος, πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς
εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν.
τί τοιοῦτον Μωϋσῆς ἐποίησεν, οἷον ὁ δεσπότης ἡμῶν Χρι-
στός; Μωϋσῆς μὲν ἐθανάτωσεν· οὐ γὰρ ἐζωοποίησεν. αἰσχυνέ-
σθωσαν λοιπὸν Ἰουδαίων παῖδες, οἱ τὸν Μωϋσῆν ἐγκωμιά-
ζοντες, καὶ τὸν δεσπότην Χριστὸν λοιδοροῦντες. ἀλλ' εὐθέως
E Ἰουδαῖος παρεκπηδᾷ λέγων· καὶ παρ' ἡμῖν οὐκ ἀνέστη νε-
κρός; οὐκ ἤγειρεν Ἡλίας ὁ προφήτης τὸν τῆς Σαραπτίας χή-
ρας υἱόν; ἄνθρωπος δὲ ὁ Ἡλίας. πῶς οὖν ἐπὶ τοῦ διδασκάλου
ὑμῶν μεγαλοφρονεῖτε, θεοδυναμίαν αὐτῷ μαρτυροῦντες
διότι ἤγειρε Λάζαρον ἐκ νεκρῶν; τί λέγεις, ὦ Ἰουδαῖε;
συγκρίνεις τὸν Ἡλίαν, καὶ τὸν δεσπότην Χριστόν; ἄλλο παι-
δεία δουλικὴ, καὶ ἄλλο ἐξουσία θεϊκή. εἰ μὴ γὰρ ἔγνως πρῶ-
τον τὸν τρόπον τῆς νεκρεγερσίας, οὐ μὴ συνίδῃς τὸν λόγον
τῆς θεϊκῆς ἐξουσίας. ἄκουε συνετῶς. ὁ ἐπὶ τοῦ Ἡλία νεκρὸς, ὁ
υἱὸς τῆς Σαραπτίας χήρας, εἰ καὶ θανάτῳ παρεδόθη, ἀλλ'
ὅμως οὐ διὰ τὴν φυσικὴν ἔκλειψιν, ἀλλὰ διὰ παιδείαν καὶ θλῖψιν
τοῦ Ἡλία, πρὸς τὸ καμφθῆναι τὸν Ἡλίαν ἐκ τῆς σκλη-
ροκαρδίας εἰς συμπάθειαν. ὀργισθεὶς γάρ ποτε ὁ Ἡλίας,

καθὼς ἴστε σαφῶς, τῷ οἴκῳ Ἀχαὰβ, καὶ τῷ Ἰσραηλιτικῷ λαῷ διὰ τὴν παρανομίαν τῆς Ἰεζάβελ, μεθ' ὅρκου ἀπεφήνατο λέγων, ζῇ κύριος ὁ θεὸς, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ γῆς, εἰ μὴ διὰ στόματός μου. ταύτῃ τῇ ἀνύδρῳ ἀποφάσει τοῦ Ἠλία ὁ τῶν ὅλων θεὸς οὐκ ἠρέσθη, πληροῖ δὲ τὴν τοῦ δούλου ἀπόφασιν. ἤθελε γὰρ αὐτὸν τὸν δήσαντα τὰς νεφέλας τῇ στερώσει τῶν πλουσίων ὑετῶν, θᾶττον λῦσαι τὴν συμφορὰν τῆς ἀνυδρείας. ὁ δὲ Ἠλίας οὐ προσετίθετο τῇ διαλλαγῇ. ἄλλως γὰρ ὁ θεὸς σπλαγχνίζεται, καὶ ἄλλως ἄνθρωπος σκληρύνεται. ὁ κύριος οὖν ἐπὶ τῇ σκληρίᾳ τοῦ δούλου ἤθελε παρακαλέσαι τὸν δοῦλον, ἵνα δανείσῃ τῇ γῇ ὑετὸν διὰ τοῦ λόγου. ἀνοίκειον γὰρ τῷ θεῷ ἦν ἄνθρωπον παρακαλέσαι· διὸ καὶ ὡς θεὸς ἄλλην μετῆλθε πραγματείαν. ποίαν ταύτην; ἄκουε συνετῶς. τῆς ἀβροχίας τοίνυν ἐπιτεινομένης, ἐπὶ ἔτη τρία καὶ μῆνας ἓξ οὐκ ὠγκώθη πρὸς ὄμβρων τόκον νεφέλη. ἤρξατο οὖν ὁ Ἠλίας ὀλιγωρεῖν τῇ δίψῃ, ἀλλ' ὅμως ἐκαρτέρει βαστάζων τὴν ἔνδειαν, ἐκ φιλονεικίας τοῦτο ποιῶν. ἤθελε γὰρ καὶ αὐτὸς ἐκτριβῆναι, ἢ διαλλαγῆναι τῷ οἴκῳ Ἀχαάβ. τί οὖν ὁ κύριος; σοφίζεται τὸν ἴδιον δοῦλον, οὐ παρακαλῶν, ἀλλὰ λέγων· ἀνάστηθι ἐντεῦθεν, καὶ πορεύθητι εἰς τὸν χειμάῤῥουν Χοῤῥὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου, καὶ πίεσαι ὕδωρ ἐκ τοῦ χειμάῤῥου, καὶ τοῖς κόραξιν ἐντελοῦμαι τοῦ διατρέφειν σε ἐκεῖ. ταῦτα δὲ ἔφη ὁ κύριος, οὐχ ἵνα θρέψῃ τὸν Ἠλίαν, ἀλλ' ἵνα ὑβρίσῃ· οὐχ ἵνα τιμήσῃ, ἀλλ' ἵνα διὰ τῆς ἐφυβρίστου τροφῆς εἰς συμπάθειαν αὐτὸν ἑλκύσῃ. ἀνοίκειον γὰρ ἦν τὸν προφήτην διὰ κοράκων τραφῆναι, καὶ κρεοφόρον αὐτῷ τράπεζαν παρατεθῆναι τῷ ἐξ ἀρχῆς ἀσκητικοὺς πόνους διατεμόντι. ἴσχυε γὰρ ὁ κύριος ἢ διὰ περιστερῶν θρέψαι τὸν δίκαιον, ἢ διὰ τῆς τοῦ μάννα δόσεως, καθ' ὁμοιότητα τῶν υἱῶν Ἰσραὴλ, ἢ παραπλησίως τῷ Δανιὴλ φακοφόρον ἄνδρα τὸν Ἀμβακοὺμ παραστῆσαι. ἴσχυεν ὁ κύριος τὸν Ἠλίαν σεμνῶς διαθρέψαι, ἐπειδὴ καὶ ἐν ἄλλῃ καθόδῳ σεμνῶς αὐτὸν διέθρεψεν. ἡνίκα γὰρ ἄλλοτε Ἠλίας φεύγων τὴν Ἰεζάβελ ἔρημον κατέλαβε, καὶ ἐν τῇ ἐρήμῳ ἐκάθευδε σὺν πολλῷ τῷ λιμῷ καὶ τῇ δίψῃ, ὅτι πολλὴ ἡ τῆς φυγῆς ὁδός. τίθησιν οὖν ὁ κύριος πρὸς κεφαλὴν αὐτοῦ ἄρτον καὶ ὕδωρ, καὶ αὖθις νύττει τὴν πλευρὰν αὐτοῦ, καὶ οὐκ ἄλλο μέρος. διὰ τί; ἄκουε συνετῶς. τὴν πλευρὰν αὐτοῦ νύττει, ἐπειδὴ ἀπειλὴν πλευρᾶς ἔφυγε. καὶ πρὸς αὐτὸν ὁ κύριος· Ἠλία, ἀνάστηθι, καὶ φάγε, καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. ἀναστὰς δὲ ὁ Ἠλίας καὶ φαγὼν, καὶ πιὼν, ἐπορεύθη ἐν τῇ ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, οὐχ ὡς πεινῶν, ἀλλ' ὡς ἐμπεπλησμένος. τοιαύτη γὰρ ἡ θεοδώρητος βρῶσις. ὁ ἐκεῖσε τοίνυν γνησίως διαθρέψας, ἴσχυσε καὶ ἐν τῷ παρόντι οὐρανόθεν αὐτὸν διαθρέψαι· ἀλλὰ παρίστησιν αὐτῷ ἀνοίκειον τράπεζαν, ὅπως διὰ τῆς ἐφυβρίστου τροφῆς καμφθῇ πρὸς συμπάθειαν καὶ οἶκτον. ὁ δὲ ἔμενεν ἀκαμπής. δέον γὰρ τὸν Ἠλίαν ἀκούσαντα τοῦ κυρίου λέγοντος, πίεσαι ἐκ τοῦ χειμάῤῥου, καὶ τοῖς κόραξιν ἐντελοῦμαι τοῦ διατρέφειν σε ἐκεῖ, παραπεσεῖν, ἱκετεῦσαι, καὶ εἰπεῖν, μηδαμῶς, κύριε· οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου πᾶν κοινὸν καὶ ἀκάθαρτον. κόραξί μοι παριστᾷς τοὺς ἐπιβούλους τοῦ Νῶε; κρεοφόρον τράπεζαν εὐτρεπίζεις, ὡς ἐθνικῷ καὶ ἀλλοφύλῳ, ἀσκητικοῖς ἔθεσιν ἐξαρχῆς προσεντραφέντι; ἔδει ταῦτα παρακλητικῶς τὸν Ἠλίαν προσενέγκαι τὰ ῥήματα· ἀλλ' οὐδὲν τούτων ὁ Ἠλίας. ᾔδει γὰρ, ὅτι ἐὰν αἰτιάσηται τὴν ἀνοίκειον τράπεζαν, ἐρεῖ πρὸς αὐτὸν ὁ κύριος, τί λέγεις, ὦ Ἠλία; οὐ καταδέχῃ πιεῖν ῥυπαρὸν ὕδωρ, ὑετὸν μὴ ἐάσας κατελθεῖν; ἐπυρίκτωσας γὰρ τὴν γῆν τοῦ Ἰσραήλ. οὐκ ἔστιν εὑρεῖν σταγόνα ὕδατος ἐν φρέατι, οὔτε ἐν πηγῇ νοτίδα. ὃ οὖν ἐποίησας, κατάδεξαι. οὐ προσδέχῃ κρεοφόραν κοράκων τροφήν; οὐκ ἔστιν εὑρεῖν ἄρτον, οὐδὲ στάχυν, οὐδὲ χλοηφόρον λάχανον, μήποτε ὄμβρου, μήτε δρόσου πεσούσης ἐπὶ τῆς γῆς τῇ σῇ τοῦ στόματος κλειθρώσει. οὐδέν ἐστιν εὑρεῖν, εἰ μὴ κρέα μόνα, καὶ ταῦτα νεκριμαῖα, τῶν ζώων τελευτησάντων τῇ ἐκλείψει τῶν τροφῶν. τί οὖν οὐ προσδέχῃ τὴν τράπεζαν τῶν σῶν καμάτων; ὅπως οὖν μηδὲν τούτων ἀκούσῃ ὁ Ἠλίας,

A ut probe ſcitis, in domum Achabi & in populum Iſraeliticum, ob Jezabelis iniquitatem, cum juramento declaravit: *Vivit Dominus Deus, ſi erit hiſce annis ros vel pluvia ſuper terram, niſi per os meum.* (3. Reg. 17. 1.) Per hanc ſiccitatis ſententiam, Elias Deo univerſorum non omnino placuit: implevit tamen ſervi ſui ſententiam. Volebat enim eum qui nubes ligaverat, ne copioſum imbrem emitterent, ſiccitatis cito calamitatem ſolvere. Elias vero liberationi non annuebat: alio enim modo Deus miſeratur; alio homo obduratur. Dominus ergo ſervi duritiem mitigare volebat, ut verbo pluviam terræ erogaret. Non eſt autem Deo proprium, hominem rogare; ideo Deus aliam aggreſſus rem eſt. Quam? Attente audi. Imbre diutius ceſſante, nam per tres annos & menſes ſex nubes pluviam non
B parturivit; cœpit Elias ex ſiti tædio affici; ſed tamen hanc patienter ferebat inopiam, ex contentione motus. Malebat enim ſe atteri, quam cum domo Achabi reconciliari. Quid ergo Dominus? Servum ſagaciter aggreditur, non rogans, ſed dicens: *Surge hinc, & vade in torrentem Chorrath, qui eſt ad faciem Jordanis, & bibe aquam ex torrente, & corvis præcipiam ut te nutriant ibi.* (3. Reg. 17. 3.) Hæc porro dixit Dominus, non ut nutriret Eliam, ſed ut contumelia afficeret; non ut honoraret, ſed ut per contumelioſum cibum ad commiſerationem deduceret. Non congruens enim res erat prophetam a corvis ali, atque illi carnium menſam apponi, qui ab initio aſceticos labores adierat. Poterat enim Dominus, aut per columbas juſtum alere, aut ipſi manna dare, ut filiis Iſrael, aut ipſi ut Danieli
C per Habacuc lentes mittere. Poterat Dominus Eliam honorifice alere, quandoquidem in alio deſcenſu ipſum honeſte nutrierat. Alias enim cum Elias a facie Jezabelis fugiens, deſertum petiit, & in ſolitudine dormiebat fame & ſiti vexatus, quia viam multam fugiendo emenſus erat. (Quam nugax orator.) Ponit ergo Deus ad caput ejus panem & aquam; ſtatimque pungit latus ejus, non aliud membrum. Quare? Attente audi: Latus ſive coſtam pungit, quia coſtæ minas fugiebat. Tum ait illi Dominus: *Elias, ſurge, comede & bibe, quia grandis tibi reſtat via. Surgens vero Elias, comedens & bibens, ambulavit in fortitudine cibi illius quadraginta diebus & quadraginta noctibus,* (3. Reg. 19. 7.) non ut eſuriens, ſed ut ſatiatus. Talis enim erat a Deo ſuppeditatus cibus. Qui ergo illum ibi probe nutrierat, poterat hic quoque cælitus ip-
D ſum alere: ſed illi apponit menſam non congruentem, ut per contumelioſum cibum ad commiſerationem flecteretur. Ille vero non flexus manebat. Cum oportuiſſet Eliam hæc a Domino audientem: *Bibe de torrente, & corvis præcipiam ut te nutriant ibi,* (3. Reg. 17. 3.) procumbere, ſupplicare & dicere: *Nequaquam, Domine, nunquam ingreſſum eſt in os meum quidpiam commune & inquinatum.* (Act. 10. 14.) Corvos mihi admoves Noæ inſidiatores, carnium menſam paras, quaſi Gentili & alienigenæ, mihi qui aſceticis moribus ab initio inſtructus fui. Oportuiſſet Eliam rogantis more hæc proferre verba. Sed nihil horum dixit. Sciebat enim, ſi de incongruenti menſa con-
E queſtus fuiſſet, dicturum fuiſſe Dominum: Quid ais, Elia? Non ſuſtines aquam ſordidam bibere, qui non ſiviſti pluviam deſcendere? Aduſſiſti terram Iſrael: ne ſtilla quidem aquæ reperitur in puteo, vel in fonte: quod tu ipſe feciſti jam tolera. Carnium cibum a corvis allatum non admittis? Non reperitur panis, non ſpica, non olus viride, quando nec imber, nec ros decidit in terram, ore tuo omnia claudente. Nihil niſi carnes invenire eſt, nihil niſi morticina, poſtquam animalia defectu cibi mortua ſunt. Cur ergo non admittis menſam labore tuo partam. Ut itaque nihil ſimile audiret Elias,

incongruentem menſam admiſit. Maluit enim diuturnam imbris inopiam ferre, quam verbum proferre quod pluviam ſuppeditaret. Quid ergo ſapientiſſimus Dominus? Ut vidit illum in duritie perſeverantem, alio validiore utitur agendi modo. Quonam? Fluvium exſiccat, corvos retinet, vocem ad illum emittit: *Vade in Sarepta Sidoniæ: ecce præcipiam viduæ ut te nutriat ibi.* Viden' quam ſtuderet Dominus illum ad miſericordiam flectere? Non miſit illum ad domum principis, aut Regis, aut ad mulierem opulentam, ſed ad inopem quamdam mulierem, ad egenam viduam; ut vel ſic flecteretur ad miſericordiam. At ille neque ita flexus eſt. Cum enim oportuiſſet illum, ubi audivit Dominum dicentem: *Vade in Sarepta Sidoniæ: ecce præcipiam mulieri viduæ ut te nutriat ibi*, procumbere, clamare, ſupplicare, & dicere. Ne dejicias me, Domine, in tantam humiliationem. Ad Sidonios me mittis, mulieri viduæ moleſtum eſſe jubes, cujus panis lacrymis plenus eſt, menſa gemitibus repleta, lectus maledictionis cervical habet? At nihil horum Elias dixit. Sciebat enim ſi viduæ menſam recuſaret, dicturum eſſe Dominum: Quid ais, Elia? Viduæ menſam recuſas, qui totam terram Iſrael ſterilem reddidiſti, qui viduam ipſam feciſti ſterilem, filiis & fructu orbam: & tu reſpuis viduæ menſam? Ut ergo nihil hujuſmodi audiret Elias, ſtatim ad Sidonios perrexit, lætitia potius quam dolore affectus. Hæc inſuper audi. Hoſpitio exceptus a vidua Elias, invenit menſam ſine ſumtu, ſibi congruentem, aſceticam; aquam, oleum & farinam, duoque lignorum fruſta. Quid igitur? an duo lignorum fruſta tantum habuit vidua? Sic eſt. Quomodo? Audi & dicam tibi. Hæc memorata vidua imaginem eccleſiæ tulit: ideo ad illam mittitur propheta. Ingreſſus ergo propheta in domum viduæ, invenit verum eccleſiæ noſtræ depoſitum: invenit aquam, oleum, farinam, & duo ligna. Aqua eſt baptiſma; oleum, Chriſma; farina, panis; duo ligna, crucis præclarum opus. Clamavit

3. Reg. 17. 10. autem ad viduam Elias: *Lecythus olei non minuetur, & hydria farinæ non deficiet*: indeficiens namque eſt gratia orthodoxæ fidei. Inventa itaque Elias viduæ menſa minime ſumtuoſa, lætatus eſt, exſultavit, intra ſe dicens: Hic deinceps degam, hic morabor, hic totum tempus meum tranſigam. Congruentem enim inveni menſam. Nihil curo domum Achab, populum Iſrael, furorem Jezabelis. Habeant pro hereditate ſiccitatem. Ego autem hinc non diſcedam. Hæc dicens Elias, & læto animo ſecum reputans, ignorabat ut homo, ſe in hac lætitia dolorem eſſe reperturum. Scitis enim omnes, viduam duos filios habentem ex eodem utero natos, cum mane ſurrexiſſet e lecto, alterum reperiſſe mortuum. Ut ſoleat vidua affici circa filium maſculum defunctum nemo veſtrum ignorat, filii namque vitam omnibus mundi divitiis precioſiorem habet. Neque tamen mulier pro ſolito more ſeſe defuncto applicuit, non curavit, non cadaver educere ſtuduit: ſed illo relicto, Eliam adiit, arripuit, circumegit, tumultuans, palam clamans: *Quid mihi & tibi, homo Dei? Veniſti ad me ut rememorarentur peccata mea, & interficeretur filius meus*; id eſt, Tu ipſum occidiſti. Viden' quomodo Eliæ lætitia in dolorem verſa ſit? Ut homicida detinebatur.

3. Reg. 17. 18. Sic enim dicebat vidua: *Quid mihi & tibi, homo Dei? ingreſſus es ad me ut rememorarentur peccata mea, & occideretur filius meus.* Tu illum occidiſti: ingreſſus tuus hoc effecit. Num inveniſti filium meum ægrum? num infirmatus eſt vel uno die? Ingreſſus tuus mortem intulit filio.

κατεδέξατο τὴν ἀνοίκειον τράπεζαν. εἵλατο γὰρ μᾶλλον ἀνομβρείαν βαστάσαι πολυχρόνιον, ἢ τὸν ὀμβροφόρον δανεῖσαι λόγον. τί οὖν ὁ πάνσοφος κύριος; ὡς εἶδεν αὐτὸν προσμένοντα τῇ σκληρείᾳ, ἄλλην πραγματείαν μετέρχεται ἰσχυροτέραν τῆς προτέρας. ποίαν ταύτην; ξηραίνει τὸν ποταμὸν, συστέλλει τοὺς κόρακας, βάλλει φωνὴν πρὸς αὐτόν· πορεύου εἰς Σάρεπτα τῆς Σιδωνίας. ἰδοὺ ἐντέλλομαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ. ὁρᾷς πῶς ἔσπευδεν εἰς συμπάθειαν αὐτὸν κλῖναι ὁ κύριος; οὐ γὰρ ἀπέστειλεν αὐτὸν εἰς οἶκον ἀρχοντικὸν, ἢ εἰς βασιλικὸν, ἢ εἰς εὔπορόν τινα γυναῖκα, ἀλλὰ πρὸς χήραν ἐνδεομένην· ὅπως κἂν οὕτω καμφθῇ πρὸς συμπάθειαν. ὁ δὲ καὶ οὕτως ἀκαμπὴς ἔμεινε. δέον γὰρ αὐτὸν ἀκούσαντα τοῦ κυρίου λέγοντος, πορεύθητι εἰς Σάρεπτα τῆς Σιδωνίας· ἰδοὺ ἐντέλλομαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ, προσπεσεῖν, βοῆσαι, ἱκετεῦσαι, καὶ εἰπεῖν, μὴ καταγάγῃς με εἰς ταπείνωσιν, ὦ δέσποτα· Σιδωνίοις με παραπέμπεις, καὶ γυναικὶ χήρᾳ παρενοχλεῖν με προστάττεις, ἧς ὁ ἄρτος δακρύων πεπληρωμένος, ἡ τράπεζα στεναγμῶν ἀνάμεστος, ἡ κλίνη κατάρας προσκεφάλαιον ἔχουσα; ἀλλ' οὐδὲν τούτων ὁ Ἡλίας. ἔγνω γὰρ ὅτι ἐὰν παραιτήσηται τῆς χήρας τὴν τράπεζαν, ἐρεῖ πρὸς αὐτὸν ὁ κύριος· τί λέγεις, ὦ Ἡλία; παραιτῇ τῆς χήρας τὴν τράπεζαν, ὁ πᾶσαν τὴν γῆν Ἰσραὴλ στερροῦν παρασκευάσας, χήραν αὐτὴν ἐργασάμενος, στεῖραν, καὶ ἄτεκνον, καρποὺς μὴ τίκτουσαν, καὶ σὺ παραιτῇ τῆς χήρας τὴν τράπεζαν; ὅπως οὖν μηδὲν τούτων ἀκούσῃ ὁ Ἡλίας, εὐθέως ἐστείλατο τὴν ἐπὶ Σιδωνίοις ἀποδημίαν, [a] ἐν εὐφροσύνῃ, ἢ ὀδύνῃ ποειζόμενος. ἄκουσον δὲ πρὸς ταῦτα. ξενισθεὶς ὁ Ἡλίας ὑπὸ τῆς χήρας εὗρεν ἀδαπάνητον τράπεζαν, γνησίαν, ἁρμόδιον, ἀσκητικὴν, ὕδωρ, καὶ ἔλαιον, καὶ ἄλευρον, καὶ δύο ξυλάρια. τί γὰρ οὖν; δύο ξυλάρια μόνα εἶχεν ἡ χήρα; ναί. πῶς; ἄκουσον, καὶ ἐρῶ σοι. αὕτη ἡ μνημονευθεῖσα χήρα εἰκόνα τῆς ἐκκλησίας ἔφερε. διὸ πρὸς αὐτὴν ἀποστέλλεται ὁ προφήτης. εἰσελθὼν τοιγαροῦν ὁ προφήτης εἰς τὸν οἶκον τῆς χήρας, εὗρεν ὡς ἀληθῶς τῆς ἐκκλησίας ἡμῶν τὴν ἐνθήκην· εὗρεν ὕδωρ, καὶ ἔλαιον, καὶ ἄλευρον, καὶ δύο ξυλάρια. ὕδωρ, τὸ βάπτισμα· ἔλαιον, τὸ χρίσμα· ἄλευρον, ὁ ἄρτος· δύο ξυλάρια, τοῦ σταυροῦ τὸ κατόρθωμα. λοιπὸν δὲ καὶ πρὸς τὴν χήραν βοήσας ὁ Ἡλίας· ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει. ἀνελλιπὴς γὰρ ἡ χάρις τῆς ὀρθοδόξου πίστεως. εὑρὼν τοιγαροῦν ὁ Ἡλίας τὴν ἀδάπανον τράπεζαν τῆς χήρας, ηὐφράνθη, ἠγαλλιάσατο, λέγων πρὸς ἑαυτόν· ὧδε διάξω τοῦ λοιποῦ, ὧδε τὸν ἅπαντά μου χρόνον διατρίβω. ἁρμόδιον γὰρ τὴν τράπεζαν εὗρον· οὐδείς μοι λόγος τῷ οἴκῳ Ἀχαὰβ, καὶ τῷ λαῷ Ἰσραὴλ, καὶ τῇ μανίᾳ τῆς Ἰεζάβελ· ἐχέτωσαν κληρονομίαν, τὴν ἀβροχίαν. ἐγὼ γὰρ τῆς ἐνταῦθα οὐδ' ὅλως χωρίζομαι. ταῦτα λέγων ὁ Ἡλίας πρὸς ἑαυτὸν εὐφραντικῶς λογιζόμενος, μὴ συνειδὼς ὡς ἄνθρωπος, ὅτι ἐν τῇ εὐφρασίᾳ τὴν ὀδύνην ἔμελλεν εὑρίσκειν. ἴστε γὰρ πάντες, πῶς ἡ χήρα δύο παῖδας ἔχουσα γνησίους καὶ ὁμοκοιλίους, ὄρθρου τῆς κλίνης διεγερθεῖσα, θεωρεῖ τὸν ἕνα αὐτῆς υἱὸν θανάτῳ παραδοθέντα. εἰ δὲ πέφυκε χήραν ἐπιτηδεύειν ἐπὶ τέκνῳ ἄρρενι τελείῳ τελευτῶντι, οὐδεὶς ὑμῶν ἀγνοεῖ. ἐνδοξοτέραν γὰρ ἡγεῖται τὴν τοῦ τέκνου ζωὴν ὑπὲρ πάντα τὸν πλοῦτον τοῦ κόσμου. οὐ γὰρ προσετέθη κατὰ τὸ εἰωθὸς τῷ νεκρῷ ἡ γυνὴ, οὔτε ἐκήδευσεν, οὔτε πρὸς τὴν ἔξοδον ἠσχολήθη· ἀλλὰ καταλιποῦσα αὐτῆς τὸν νεκρὸν, τοῦ Ἡλία καθήψατο, κρατοῦσα, περιάγουσα, ὀχλοποιοῦσα, κράζουσα ἐπὶ πάντων, τί ἐμοὶ καὶ σοὶ, ἄνθρωπε τοῦ θεοῦ; ἦλθες πρός με τοῦ ἀναμνῆσαι τὰς ἁμαρτίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; τουτέστι, σὺ αὐτὸν ἐθανάτωσας. εἶδες πῶς ἡ εὐφροσύνη τοῦ Ἡλία εἰς ὀδύνην μετῆλθεν; ὡς φονεὺς κατείχετο. οὕτω γὰρ ἔλεγεν ἡ χήρα, τί ἐμοὶ καὶ σοὶ, ἄνθρωπε τοῦ θεοῦ; εἰσῆλθες πρός με τοῦ ἀναμνῆσαι τὰς ἁμαρτίας μου, θανατῶσαι τὸν υἱόν μου; σὺ αὐτὸν ἐθανάτωσας· ἡ σὴ εἴσοδος παρεσκεύασε τοῦτο. μὴ εὗρες τὸν παῖδά μου ἀσθενοῦντα; μὴ ἠρρώστησεν ἡμέραν μίαν; ἡ σὴ εἴσοδος τὸν θάνατον τοῦ υἱοῦ μου παρέχε·

[a] Forte ἐν εὐφροσύνῃ μᾶλλον, ἢ ὀδύνῃ πορ-

τί

A τί μοι ἄλευρον ἐχαρίσω, τοῦ ἐσθίοντος μὴ παρόντος; δός μοι τὸν υἱόν μου. σὺ αὐτὸν ἐθανάτωσας κληρονομῆσαι τὸν οἶκόν μου βουλόμενος. δέξαι σὺ τὸ ἄλευρον, καὶ δός μοι τὸν υἱόν μου. ἐμὲ σιτεύεις, καὶ τὸ τέκνον μου φονεύεις; μετὰ ἰδίων λιμώξω, καὶ μὴ μετὰ ξένων πλουτήσω. τί ἐμοὶ καὶ σοί, ὦ ἄνθρωπε τοῦ θεοῦ; εἰσῆλθες πρὸς μὲ τοῦ ἀναμνῆσαι τὰς ἁμαρτίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; σὺ τὸν υἱόν μου ἐθανάτωσας, σκληρός μοί τις φαίνῃ· οὐκ ἔστιν ἡ εἴσοδός σου εὐθεῖα. τί διεπράξω, ἀπάγγειλόν μοι. μὴ ἔφυγες τὸν θεόν σου; μὴ τὰ τοῦ Ἰωνᾶ διεπράξω πράγματα; τραχύς μοί τις φαίνῃ. πῦρ πνέεις, φόνον [a] ὀρεύῃ, ἀβροχίαν βαστάζεις, πεντηκοντάρχας κατακαίεις. ἐγνώσθη μοι γὰρ οὖν τὰ κατὰ σέ. οὐκ ἀρκεῖ σοι ὅτι τοὺς ὁμοφύλους σου ἔπνιξας, ἀλλὰ καὶ ὧδε παραγέγονας τὰ ὅμοια διαπράξασθαι; πολλοὺς ἔπαιξας, ἐμὲ δὲ οὐ παίξεις. δός μοι τὸν υἱόν μου. τί οὖν ὁ Ἠλίας; συνεκάμφθη εὐθέως. B ἔγνω γὰρ τοῦ κυρίου τὸ σφύγμα. διὸ μέγα στενάξας ὡς ἡττηθείς, ἐβόησε λέγων· οἴμοι, κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ' ἧς ἐγὼ οἰκῶ μετ' αὐτῆς, σὺ ἐκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς· σὸν τὸ ἔργον. ἐπέγνω γάρ, δέσποτα. ἰδοὺ ὑπὸ χήρας βιάζομαι. ἀεὶ γὰρ σκληροτάταις γυναιξὶ παραπέμπεις με. τὴν Ἰεζάβελ ἔφυγα, καὶ εἰς ταύτην περιέπεσα. πολλοὺς πειρασμοὺς ὑπέμεινα, ταύτης δὲ τὴν γλῶτταν βαστάσαι οὐ δύναμαι. σὺ εἶ ὁ εἰρηκώς μοι, δέσποτα, πορεύθητι εἰς Σάρεπτα τῆς Σιδωνίας. ἰδοὺ ἐντέλλομαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ· καὶ ἰδοὺ διαστρέφει· οὐ γὰρ διατρέφει. ὡς φονεὺς κατέχομαι, καὶ καλῶς κατέχομαι· ἀσθενὴς γὰρ ἦν ὁ παῖς ἐν τῇ εἰσόδῳ μου. πῶς οὖν ἀθρόως θανάτῳ παρεδόθη, οὐκ οἶδα. λύτρωσαί με, κύριε, τῆς ὀχλήσεως ταύτης. C θέατρόν μοι περιέστησεν, αἰσχύνην μοι περιέθηκε, θλίψιν μοι πολλὴν ἐπήγαγε. δὸς τὴν ψυχήν, καὶ παρέχω τὴν βροχήν· πληροφόρησον τὴν χήραν, καὶ ἀρδεύω τὴν χώραν· δὸς τοῦ παιδὸς τὴν παλιμβίωσιν, καὶ κινῶ τὴν γλῶτταν πρὸς ὀμβροδοσίαν. ταῦτα μέντοι διὰ τὴν προρρηθεῖσαν τοῦ Λαζάρου νεκρεγερσίαν, καὶ τὴν τῶν Ἰουδαίων ἀντιλογίαν, ὅτι ἄλλως δεσπότης αὐθεντεῖ, καὶ ἄλλως δοῦλος ἐγείρει. Ἠλίας ἤγειρε νεκρόν, ἀλλ' ὅμως οὐκ ηὐθέντησεν. ὠδυνήθη γὰρ πολλά, καὶ ἐθλίβη, καὶ στενώσει περιέπεσε· διὸ ἐβόησεν ἐν προσευχῇ λέγων, οἴμοι. ὅπου δὲ τό, οἴμοι, ἐκεῖ ὀδύνη ψυχῆς. οὕτω γὰρ καὶ ἀλλαχοῦ εὑρήσεις τὸν προφήτην ὀδυρόμενον καὶ λέγοντα· οἴμοι, ὅτι κατελείφθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ. καὶ πάλιν ἕτερος προφήτης, οἴμοι, οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου, καὶ αὐτὴ ὡς ταλαιπωρία. καὶ πάλιν ἄλλος, D οἴμοι ὅτι ἀπόλωλεν ἀπὸ τῆς γῆς. πανταχοῦ ὀδύνη τὸ οἴμοι. οὕτω καὶ Ἠλίας ἐνταῦθα· οἴμοι, κύριε, ὁ μάρτυς τῆς χήρας, σὺ ἐκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς. καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρίτον. ὅρα οὖν ἐνταῦθα, πῶς ἐν τῷ νόμῳ τῆς χάριτος τὸ μυστήριον εἰκονογραφεῖται. τὸ γάρ, ἐνεφύσησε τρίτον, τῆς ἀδιαιρέτου τριάδος τὴν εἴσοδον παριστῶν. καὶ ἐπεκαλέσατο τὸν θεόν, καὶ εἶπεν· ἐπιστραφήτω δή, κύριε, ἡ ψυχὴ τοῦ παιδαρίου εἰς αὐτόν. καὶ ἐγένετο οὕτω. τί λέγεις, ὦ Ἰουδαῖε; μήτι τοιοῦτον ὁ κύριος, οἷον Ἠλίας; μήτι τοιοῦτον Ἠλίας, οἷον ὁ κύριος; μὴ ἔκλινεν ὁ κύριος γόνυ; μὴ ἐπλάτυνε τὴν προσευχήν; αὐτῷ γὰρ πᾶσα προσευχὴ ἀναπέμπεται· E φωνὴν ἀφῆκε μόνον, Λάζαρε, δεῦρο ἔξω, ὡς δεσπότης δοῦλον καλῶν. τί οὖν; ἐξῆλθεν ὡς δοῦλος ὑπακούσας δεσπότῃ; ἐξῆλθεν, οὐκ ἐβράδυνεν, οὐκ ἀνέμεινεν ὁ ᾅδης, οὐκ ἐστασίασεν ὁ θάνατος, οὐκ ἀνεβάλοντο αἱ κάτω δυνάμεις· ἀλλὰ μᾶλλον κατεπλάγησαν. ὁ γὰρ ᾅδης ἔχων τὸν Λάζαρον ἤδη τέσσαρας ἡμέρας ἐν τοῖς ἰδίοις χωρίοις πανταχόθεν διαλυθέντα, ὡς ἀγόμφωτον σκάφος, λοιπὸν ἀμέριμνος ἦν. αἱ κάτω δυνάμεις οὐκ εἶχον ἔννοιαν, ὡς Λάζαρος τῶν καταχθονίων ἀνασπασθήσεται λοιπόν·

[a] ὀρεύῃ: forte legendum ὀρέγῃ vel ἐρεύγεις.

Quid mihi farinam largiris, cum non adsit qui comedat? Redde mihi filium meum: tu illum occidisti, ut domus meæ heres esses. Sume tibi farinam, & redde filium meum. Me alis, & filium meum occidis? Cum meis esuriam potius, quam cum extraneis ditescam. *Quid mihi & tibi, o homo Dei? Ingressus es ad me ut rememorarentur peccata mea, & occideretur filius meus.* Tu illum occidisti: durus mihi es: non est rectus ingressus tuus. Quid fecisti? id nuncia mihi. Num fugis a facie Dei tui? Num eadem quæ Jonas fecisti? Truculenter mecum agis. Ignem spiras, cædem admoves, sterilitatem affers, quinquagenarios comburis: nota sunt mihi gesta tua. Non sat tibi est, quod contribules suffocaveris, sed huc etiam venisti similia facturus? Multis illusisti, mihi non illudes; redde mihi filium meum. Quid ergo Elias? Statim flexus est. Novit enim Domini machinationem. Quare graviter ingemiscens utpote victus, clamavit dicens: Hei mihi, Domine, testis viduæ, cujus ego hospes sum: tu malum intulisti, ut occideres filium ejus. Tuum est opus illud; id novit illa, Domine. Ecce vim mihi infert vidua. Semper ad acerbissimas mulieres me mittis. A Jezabele fugi, & in hanc incidi: Tentationes multas sustinui, hujus linguam ferre nequeo. Tu es qui dixisti mihi, Domine: *Vade in Sarepta Sidoniæ. Ecce præcipiam mulieri viduæ ut te alat ibi.* Et ecce subvertit me, non alit. Ut homicida detineor, & jure detineor. Vegetus enim erat puer in ingressu meo. Quomodo morti traditus sit ignoro. Erue me, Domine, ab hac perturbatione: theatrum mihi circumposuit, pudorem intulit, cruciatum magnum induxit. Redde mihi animam, & do pluviam. Viduæ desiderium imple, & agros irrigabo: concede ut puer reviviscat, & lingua utar ad concedendum imbrem. Hæc dicta sunt ob prius memoratam Lazari resurrectionem & Judæorum contradictionem: quia alio modo & cum auctoritate Dominus, alio modo servus suscitat a mortuis. Elias suscitavit mortuum, sed non cum auctoritate. Multum enim doluit, cruciatus est, & in angustiam redactus. Ideo clamavit in oratione dicens: *Væ mihi.* Ubi autem est illud, Væ mihi, ibi dolor animi. Sic enim etiam alibi invenies prophetam lugentem & dicentem: *Væ mihi, quia relictus sum sicut qui congregat calamum in messe, & racemationem in vindemia.* (Mich. 7. 1.) Rursusque alius propheta: *Væ mihi, væ mihi in diem, quia prope est dies Domini, & ipsa ut miseria;* (Joel. 1. 15.) iterumque alius: *Væ mihi quia periit de terra.* Ubique illud, *væ mihi*, dolorem significat. Sic & hoc loco Elias: Væ mihi Domine, testis viduæ, tu malum intulisti, ut occideres filium ejus. Et insufflavit ter in puerum. Vide hoc loco, quomodo in lege mysterium gratiæ repræsentatur. Illud enim insufflavit ter, indivisibilis Trinitatis ingressum declarat. Et invocavit Deum, & dixit: Revertatur, Domine, anima pueri in ipsum. Et factum est ita. Quid dicis, o Judæe? Num talem rem fecit Dominus, qualem Elias? num talem rem fecit Elias, qualem Dominus? Num genua flexit Dominus? Num orationem extendit? Ipsi namque omnis oratio emittitur: vocem tantum emisit, *Lazare, veni foras*: quasi dominus servum vocans. Quid ergo? Exiit-ne ut servus domino obsequens? Exiit, nec tardavit: non moras traxit infernus, non repugnavit mors, non distulerunt infernæ virtutes; imo potius conterritæ sunt. Nam infernus cum jam Lazarum in sinu suo a diebus quatuor teneret undique solutum, quasi incompactam scapham, sine solicitudine erat: infernæ potestates ne cogitabant quidem Lazarum ab inferis abstractum iri.

Ubi vero derepente Dominica vox in sepulcrum descendens cum luce multa, cœpit statim capillos in capite Lazari inserere, & medullam in vacuitate ossium inducere, venarumque plenitudinem vivifico sanguine dirigere, infernæ potestates consternatæ sunt, mutuo clamantes: Quis est hic qui vocat? Quis est hic qui cum auctoritate imperat? Quis est hic qui dissolutum pulverem reformat? Quis mortuum ex somno expergefacit? Quis adamantinas portas perfringit? Quis clamat, *Lazare, veni foras.* Vox quidem humana est, virtus vero divina. Quis clamat? Non est homo. Habitus quidem hominis est, vox vero Dei. Præmittamus Lazarum, cito illum referamus; ut ne descendat huc is qui vocat illum; ut ne illo tardante, huc descendat is qui vocat. Jam cœperunt mortui excitari seseque movere; unius jacturam faciamus, ne omnes perdamus. Sic Lazarus exsiliit ex sinu inferni, laudans, benedicens & glorificans Dominum nostrum Jesum Christum. Hic sermonem obsignemus; ramos palmarum colligentes, in occursum Domini egrediamur clamantes & dicentes, ***Hosanna**, benedictus qui venit in nomine Domini.* Ipsi gloria & imperium in sæcula.

A ὡς δὲ ἀθρόον ἡ δεσποτικὴ φωνὴ ἐν τῷ τάφῳ κατελθοῦσα σὺν φωτισμῷ πολλῷ, ἤρξατο θεῖναι τὰς μὲν τρίχας τοῦ Λαζάρου ἀντιφυτεύειν τῇ κεφαλῇ, τὸν μυελὸν ἐνθηκιάζειν τῇ κενότητι τῶν καλάμων, τὴν δὲ φλεβῶν τὴν μέστωσιν πρὸς ζωτικὸν κατευθύνειν αἷμα, κατεπλάγησαν αἱ κάτω δυνάμεις πρὸς ἀλλήλας βοῶσαι· τίς οὗτος ὁ καλῶν; τίς οὗτος ὁ αὐθεντῶν; τίς ὁ ἀναπλάττων διαλελυμένον χοῦν; τίς ὁ ἐξυπνίζων νεκρὸν ὡς ἐξ ὕπνου; τίς ὁ ἀδαμαντίνας πύλας διαρρήσσων; τίς ὁ βοῶν, Λάζαρε, δεῦρο ἔξω; ἡ φωνὴ μὲν ἀνθρωπόφθογγος, καὶ ἡ δύναμις θεοδύναμος. τίς ὁ καλῶν; οὐκ ἔστιν ἄνθρωπος. τὸ μὲν σχῆμα ἀνθρώπου, ἡ δὲ φωνὴ θεοῦ. προπέμψωμεν Λάζαρον, ὀξέως αὐτὸν ἀναφορήσωμεν, μὴ κατέλθῃ ὧδε ὁ καλῶν αὐτὸν, μὴ βραδύνοντος τούτου ὧδε κατέλθῃ ὁ καλῶν.
B ἤρξαντο σαλεύεσθαι οἱ νεκροὶ καὶ κινεῖσθαι. ἕνα ζημιωθῶμεν, φησι, καὶ μὴ ἅπαντας ἀπολέσωμεν. οὕτως ὁ Λάζαρος ἐξεπήδησεν ἐκ τοῦ κόλπου τοῦ ᾅδου αἰνῶν καὶ εὐλογῶν καὶ δοξάζων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἐνταῦθα τὸν λόγον σφραγίσωμεν, τὰ βάϊα τῶν φοινίκων ἀναλεγόμενοι εἰς ἀπάντησιν τοῦ κυρίου ἐξέλθωμεν βοῶντες καὶ λέγοντες, ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

Matt. 12. 14. *In illud: Exeuntes Pharisæi consilium inierunt.*

Εἰς τὸ, ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον.

Insulsi Græculi opus.

QUOTQUOT Eliæ discipuli estis, qui pauperem viduæ mensam non despexit, apud nos diversamini: talis quippe & apud nos mediocris verborum mensa parata est, quæ panem habet unum, non mola contusum, non manibus subactum, non igne coctum; sed quem virgo terra sine aratro & semine protulit, crux maturum reddidit, Pater perfecit, duodecim cophini apostolorum messuerunt. Hunc panem Maria genuit, ecclesia excepit, ac quotidie a nobis comeditur, nec consumitur. Hoc vobis pane in moderata mensa mea proposito, volebam silentio linguam meam coercere; sed insidiæ a Judæis Dei hostibus contra Servatorem nostrum paratæ, vel ipsos lapides ad loquendum cogerent. Quid enim audiebamus, cum modo legeretur? *Et exeuntes*, inquit, *Pharisæi, consilium inierunt adversus Jesum, ut illum perderent.* Et qua de causa consultant ut Dominum perdant? Quia in die Sabbatorum hominem curaverat: & quia otiosam & aridam manum, in die otii ad opus extenderat. O Judæorum stupiditatem, non cogitantium, oportuisse dexteram Adæ manum, quæ in paradiso lignum tetigerat, aridam ex transgressione factam, a figulo suo iterum reformari; oportuisse item dexteram a diabolo fœdatam per effusionem sanguinis ad cultum idolorum factam, a creatore suo rursum splendidam ad cælum extendi. Verum illi ægre ferunt beneficium homini præstitum & animæ salutem. Otium Sabbati docent, & Jesu miraculosam operationem ignorant. Cur, o Pharisæi, non ægre tulistis, nec talia curastis contra Manassen, quando Isaiam serra secuit, quando filios & filias vestras dæmoniis immolavit, & domos Dei in idolorum templa mutavit? Cur tale consilium non iniistis contra Herodem, quando infantes injuste jugulavit, & matres orbas reddidit? quando videre erat infantes ceu spicas immaturas una ferri sectione jacentes, cum nondum cordis granum firmum haberent, neque pubem emittere inciperent, sed in tenerrimo lactis alimento versarentur, quasi violento grandinis furore ab Herode interfectos? Quando ejulatus & planctus virorum & mulierum in plateis & vicis urbis audie-

Matt. 12. 14.

C ΟΣΟΙ τοῦ Ἠλία μαθηταὶ τυγχάνετε, τοῦ τὴν πενιχρὰν τράπεζαν τῆς χήρας μὴ ἐξουθενήσαντος, παρ' ἡμῖν αὐλίσθητε. τοιαύτη γὰρ καὶ παρ' ἡμῖν λόγων μετρία ἡτοίμασται τράπεζα, ἕνα ἄρτον ἔχουσα ἐπ' αὐτῆς· οὐχ ὃν ὁ μύλος ἐλέπτυνε, καὶ χεῖρες ἐμάλαξαν, καὶ πῦρ ἐτελείωσεν, ἀλλ' ὃν παρθένος ἄρουρα ἄνευ ἀρότρου καὶ σπέρματος ἤνθησε, καὶ σταυρὸς ὡρίμησε, καὶ πατὴρ ἐτελείωσε, καὶ δώδεκα κόφινοι τῶν ἀποστόλων ἐτρύγησαν. τοῦτον τὸν ἄρτον Μαρία μὲν ἐγέννησεν, ἡ ἐκκλησία δὲ ὑπεδέξατο, καὶ καθ' ἑκάστην ἡμέραν ὑφ' ἡμῶν ἐσθίεται, καὶ ἀδαπάνητος μένει. τοῦτον ὑμῖν τὸν ἄρτον ἐπὶ τῆς μετρίας μου τραπέζης ἐπιθεὶς, ἠβουλόμην τῇ σιωπῇ τὸ τῆς γλώττης μου ὄργανον περισφίγξαι· ἀλλ' ἡ τῶν θεομάχων Ἰουδαίων κατὰ τοῦ σωτῆρος ἡμῶν ῥαπτομένη ἐπίβουλος ἐνέδρα καὶ τοὺς λίθους λαλεῖν ἀναγκάζει.
D τί γὰρ ἠκούομεν ἀρτίως ἀναγινωσκόμενον; καὶ ἐξελθόντες, φησὶν, οἱ φαρισαῖοι, συμβούλιον ἔλαβον κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ τίς ἡ αἰτία, δι' ἣν βουλεύονται ἀπολέσαι τὸν κύριον; ὅτι ἐν ἡμέρᾳ σαββάτων ἄνθρωπον ἐθεράπευσε, καὶ τὴν ἀργὴν καὶ ξηρὰν χεῖρα ἐν ἡμέρᾳ ἀργίας πρὸς ἔργον ἐξέτεινεν. ὢ ἀναισθησία Ἰουδαίων τῶν μὴ νοούντων, ὅτι ἔδει τὴν ἐν τῷ παραδείσῳ δεξιὰν χεῖρα τοῦ Ἀδὰμ, ἁψαμένην τοῦ ξύλου, καὶ ξηρανθεῖσαν τῇ παραβάσει, ταύτην πάλιν ὑπὸ τοῦ ἰδίου κεραμέως ἀναπλασθῆναι· ἢ ὅτι ἔδει τὴν ὑπὸ τοῦ διαβόλου διὰ τῆς τῶν ἀθέων εἰδώλων αἱμοχυσίας δεξιὰν σπιλωθεῖσαν, διὰ τοῦ ἰδίου δημιουργοῦ πάλιν λαμπρὰν πρὸς οὐρανὸν ἐκταθῆναι. ἀλλὰ λυποῦνται ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου καὶ σωτηρίᾳ ψυχῆς, καὶ τὴν μὲν ἀργίαν τοῦ σαββάτου ἐκδιδάσκουσι, τὴν δὲ θαυματουργίαν τοῦ Ἰησοῦ ἀγνοοῦσι. διὰ τί γὰρ,
E ὦ φαρισαῖοι, οὐκ ἐλυπήθητε, ἢ τοιαῦτα οὐκ ἐμελετήσατε κατὰ τοῦ Μανασσῆ, ὅτε τὸν Ἠσαΐαν συνέπριζεν, ὅτε τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθυσίαζε τοῖς δαιμονίοις, καὶ τοὺς οἴκους τοῦ θεοῦ τεμένη τῶν εἰδώλων καθίδρυσε; διὰ τί τοιαύτην βουλὴν οὐκ ἠγάγετε κατὰ τοῦ Ἡρώδου, ὅτε τοὺς νηπίους ἀδίκως ἀπέσφαξε, καὶ μητέρας ἠτέκνωσεν; ὅτε ἦν ἰδεῖν δίκην ἀσταχύων ἀώρων τοὺς νηπίους κατακειμένους ἐν μιᾷ τομῇ σιδήρου, μήπω τὸν κόκκον τῆς καρδίας στερεὸν ἔχοντας, μήτε μὴν τοὺς ἀνθέρικας τῶν τριχῶν ἠνθηκότας, ἀλλ' ἐν αὐτῇ τῇ ἁπαλωτάτῃ τοῦ γάλακτος τροφῇ τυγχάνοντας, βιαίῳ θυμῷ χαλάζης ὑπὸ Ἡρώδου φονευομένους; ὅτε οἰμωγαὶ καὶ κοπετοὶ ἀνδρογύνων ἐν ταῖς τῆς πόλεως πλατείαις καὶ ῥύ-

μαις ἠκούοντο, ἐκεῖ πατέρων λυσιφρένων, καὶ μητέρων λυσικόμων δεινῶς ὀλοφυρομένων ἐπὶ τῇ τῶν ἀώρων τέκνων ἀδίκῳ σφαγῇ; ὅτε τοῖς τῶν νηπίων αἵμασιν ἡ Βηθλεὲμ ἐφοινίσσετο, καὶ ἀώρων βοτρύων γλεῦκος ἄωρον τοῖς τῶν γονέων θερμοῖς δάκρυσι συνεκιρνᾶτο; ὅτε ὄψεις πατέρων ὀλολυγμῷ διεστρέφετο, καὶ μητέρων σπλάγχνα τοῖς πόνοις εἱλίσσετο, καὶ γαλακτοφόροι πηγαὶ μαζῶν παρὰ καιρὸν ἐξηραίνοντο; ὅτε ἐν τοῖς τῶν μητέρων στέρνοις τὸ πνεῦμα στενοχώρως εἰλούμενον, διὰ τῶν μυκτήρων ἀτάκτως ἐφέρετο; ὅτε πατέρων καὶ μητέρων ὀφθαλμοὶ πηγὰς ὑδάτων ἐμιμοῦντο, καὶ ἀργυροειδεῖς σταγόνας δακρύων κοχλαζόντων ἀπὸ παρειῶν ἐπὶ ἔδαφος ἐρρίπτον; ὅτε τρίχωμα γυναικῶν τοῖς αὐτῶν ὄνυξιν ὑπὸ πολλῆς ἀνοίας τῷ σπαραγμῷ κατεξαίνετο, καὶ οὓς ἔδει κρύπτειν πλοκάμους, τούτους τῇ μέθῃ τῆς λύπης ἐπόμπευον; ἀλλὰ τοὐναντίον φρονοῦντες, τοὐναντίον καὶ ποιεῖτε· καὶ τοὺς μὲν φονεῖς καὶ ὑπευθύνους θανάτου ἀφίετε, τοὺς δὲ ἀθώους καὶ δικαίους κολάζετε, τοῦ νόμου λέγοντος, ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. ὢ τάξις ἄτακτος, καὶ νόμος ἄνομος, παρὰ διαβόλου πεμπόμενος, παρὰ δαιμόνων γραφόμενος, ὑπὸ τῶν Ἰουδαίων μέχρι τοῦ νῦν φυλαττόμενος. ποῖος οὗτος νόμος, τὸ τοὺς μὲν φονεῖς περισώζεσθαι, τοῦτον δὲ τὸν τοῖς φονευθεῖσι τὴν ζωὴν χαριζόμενον ἀπόλλυσθαι; τὸν γὰρ Βαραββᾶν ἐπὶ στάσει καὶ φόνῳ εὑρεθέντα ἠξίωσαν Πιλάτον ἀπολυθῆναι, τὸν δὲ Ἰησοῦν τὸν τοὺς ὑπὸ τοῦ διαβόλου φονευθέντας ζωοποιήσαντα ἠξίωσαν σταυρωθῆναι. καὶ ἐξελθόντες, φησὶν, οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ γνώμης ἀγνώμονος, καὶ βουλῆς ἀβουλίας μεμεστωμένης. ἡ πηγὴ τῶν ἀγαθῶν ποταμηδὸν αὐτοῖς τὰς εὐεργεσίας ἔβλυζεν, οἱ δὲ καὶ ἀντλοῦντες τὴν χάριν, φονοκτόνους βουλὰς ἐν καρδίαις ἐρεύγοντο. οἱ τὰ τραύματα αὐτῶν ἔχοντες, ἰώμενοι τῶν ὀδυνῶν ἀπηλλάττοντο· ἐκεῖνοι δὲ ἐν μὲν τῷ σώματι μὴ ἔχοντες τραύματα, ὑπὸ τοῦ φθόνου κεντούμενοι ὠδυνῶντο. οἱ πεινῶντες αὐτῶν ἐπ' ἐρημίας, εἰς κόρον ἐτρέφοντο· κἀκεῖνοι ἐν εὐθηνίᾳ πίστεως ὑπὸ ἀπιστίας ἐφθείροντο. τὸ ὕδωρ εἰς οἶνον μετεβάλλετο· κἀκεῖνοι τοῦ οἴνου μὴ γευσάμενοι, τῷ φθόνῳ μεθύοντες περιεφέροντο. εἶδον τῆς αἱμορροούσης σταλείσας τὰς τοῦ αἵματος ῥύσεις· κἀκεῖνοι τῇ βασκανίᾳ τηκόμενοι κατέσταζον. οἱ δαιμονιῶντες αὐτῶν, τῶν δαιμόνων ἐλευθερούμενοι ἐσωφρόνουν· κἀκεῖνοι ὑπὸ τοῦ φθόνου κινούμενοι χειρόνως τῶν δαιμονώντων ἐμαίνοντο. οἱ τυφλοὶ αὐτῶν ὀφθαλμοὺς μὴ ἔχοντες ἐφωτίζοντο· κἀκεῖνοι ὀφθαλμοὺς ἔχοντες ἐσκοτίζοντο. τῶν κωφῶν, ὡς ἀρτίως ἠκούομεν, ὁ ἕλιξ τῆς ἀκοῆς ἠνοίγετο· κἀκείνων ἡ καρδία ἰλιγγοειδὴς βουλὰς φόνου περιέστρεφεν. ἡ θάλασσα τὰ ἑαυτῆς κύματα καταστείλασα, πρὸς ἐπίβασιν ἑαυτὴν τοῦ δεσπότου ἡτοίμασε· κἀκείνων ἡ καρδία κύματα λογισμῶν θανατηφόρα διὰ στόματος ἤρευγε. βαρύτατοι ἄνεμοι τὴν βίαιαν τοῦ πνεύματος θύελλαν εἰς πραεῖαν αὔραν ἐγαλήνιαζον· κἀκεῖνοι τῇ ζάλῃ τοῦ φθόνου κλονούμενοι, σταυροῦ χειμῶνα ἐσύριζον. ὢ φθόνε ῥίζα θανάτου, ἡ πολύπλοκος νόσος καρδίας, ὀξύτατε ἧλε. ποῖος γὰρ ἧλος ὀξύτατος οὕτω κεντᾷ, ὡς ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν καρδίαν τιτρώσκει; ποία δὲ νόσος οὕτω τὸ τῆς ὄψεως κάλλος ἀφανίζει, ὡς ὁ φθόνος τὸ τῆς ψυχῆς καλλίπνοον ἄνθος, τὴν ἀγάπην, μαραίνει; τὸ πῦρ ὕδωρ σβέννυσι, τὸν δὲ φθόνον μυρίαι πηγαὶ διδασκάλων οὐ παύουσι. μία ἀκόνη τὸν ἰὸν τοῦ σιδήρου ἀποσμήχει, οἱ δὲ πέντε λίθοι τοῦ Δαυὶδ τὸν φθόνον ἐν τῷ Σαοὺλ πλεῖον ἐξήγειραν. λέγεται εἶναι ἡ σαύρα χλωρά· ἀλλ' οὐκ ἔστι τῶν φθονερῶν χλωροτέρα. ὥσπερ γὰρ σκώληξ τὴν καρδίαν τοῦ δένδρου κατὰ μέρος ἐκτρώγων ξηραίνει, ὡσαύτως ὁ φθόνος τὴν καρδίαν τοῦ ἔχοντος αὐτὸν κατὰ μέρος ἐκβιβρώσκων μαραίνει. καὶ ὅσα ἂν εἴπωμεν, ἀγαπητὲ, περὶ τοῦ φθόνου, οὔπω ἠρξάμεθα λέγειν αὐτοῦ τὴν κακίαν. κἂν γλῶσσαι ῥητόρων, κἂν λόγοι φιλοσόφων, κἂν ῥήσεις διδασκάλων, ἐξειπεῖν οὐκ ἰσχύουσι. πλήρωμα οὖν νόμου ἐστὶν ἀγάπη τοῦ λόγου, καὶ πλήρωμα φόνου ἐστὶν ἡ κακία τοῦ φθόνου. ὢ φθόνε, πλοῖον πισσοειδὲς, ταρτάρινον, ναυαγοφόρον. σὸς ναύκληρός ἐστιν ὁ διάβολος, κυβερνήτης ὁ ὄφις,

A bantur: patribus animo resolutis, matribus passis capillis graviter lugentibus injustam immaturorum infantium cædem? Quando infantium sanguine Bethlehem ruborem contraxit, & præcocium uvarum mustum immaturum cum fervidis parentum lacrymis commixtum est? Quando patrum facies ululatu distorquebatur, & matrum viscera dolore convolvebantur, ac fontes lactis in mammis ante tempus exsiccabantur? Quando in matrum pectoribus Spiritus anguste motus, per nares incondite emittebatur? Quando patrum & matrum oculi fontes aquarum imitabantur, & argenteas stillas lacrymarum scaturientium per genas in solum demittebant? Quando mulieres capillos suos unguibus insane dilacerabant, & quos cincinnos tegere oportuisset, hos dolore ebriæ ostendebant? Sed cum B contrarium sentiatis, contrarium facitis; homicidas & sanguinarios dimittitis; innocentes & justos plectitis, etsi lex dicat: *Insontem & justum non occides.* (Exod. 23. 7.) O inordinatus ordo, & lex illegitima, a diabolo missa, a dæmonibus scripta, a Judæis hactenus servata. Quænam illa lex? Homicidas servare: hunc vero, qui occisis vitam restituit, perdere. Nam Barabbam in seditione & cæde deprehensum rogarunt Pilatum, ut solveret; Jesum vero, qui eos qui a diabolo cæsi fuerant suscitavit, crucifigi postularunt. *Et exeuntes*, inquit, *Pharisæi, consilium inierunt ut illum perderent.* O sententiam sine sensu, & consilium inconsultum! Fons bonorum, ipsis beneficia fluminis instar effudit, illi vero qui C gratiam hauriebant, sanguinaria consilia ex cordibus eructabant. Ii qui vulneribus confossi erant curabantur: illi vero qui in corpore quidem non vulnerati erant, ab invidia confossi dolebant. Illorum contribules, qui in deserto esuriebant, usque ad satietatem alebantur, & illi in abundantia fidei & infidelitate peribant. Aqua in vinum mutabatur: & illi de vino non gustantes, invidia ebrii circumferebantur. Videbant hæmorrhoïssæ fluxum sanguinis cohibitum: & livore tabescentes diffluebant. Dæmoniaci eorum, a dæmonibus liberati sapiebant; & illi invidia moti plus quam dæmones furebant. Cæci eorum, oculorum usu privati, illuminabantur: & illi oculos habentes obtenebrabantur. Sur- D dorum, ut modo audiebamus, aurium meatus aperiebatur: & cor illorum caliginosum cædis consilia agitabat. Mare fluctus suos reprimens, ad Domini incessum sustinendum se apparabat: & cor illorum ratiociniorum fluctus mortiferos ore ut spumam emittebat. Gravissimi venti violentam fluctuum procellam in lenem auram & tranquillitatem verterunt: & illi invidiæ fluctibus moti, crucis tempestatem excitarunt. O invidia radix mortis, perplexa cordis ægritudo, clave acutissime: quis enim clavus vel acutissimus ita penetrat, ut invidia cor ipsa affectum vulnerat? Quis morbus sic vultus decorem aufert, ut invidia fragrantem animæ florem, caritatem, marcidum reddit. Aqua E ignem exstinguit, invidiam nec mille doctorum fontes sedant. Cos una ferri rubiginem abstergit, & quinque Davidis lapides, Saülis invidiam auxerunt. Lacerta dicitur esse pallida; sed non est invidis pallidior. Sicut enim vermis cor ligni paulatim corrodens, exsiccat illud; ita & invidia cor invidi paulatim rodens exsiccat. Et quidquid, dilecte, de invidia dixerimus, ne initium quidem ejus nequitiam describendi fecerimus. Sive lingua rhetorum, sive philosophorum verba, sive doctorum effata adhibeantur, id enarrare non poterunt. Plenitudo igitur legis est dilectio verbi, plenitudo cædis est nequitia invidiæ. O invidia, navicula pice obducta, tartarea, naufragium adducens. Nauclerus tuus est diabolus, gubernator serpens,

proram regens Caïn. Nam tibi malorum depositum diabolus tradidit. Serpens autem gubernator Adamum in naufragium mortis deduxit. Caïn vero proram ducit, quia propter te, o invidia, primus cædem patravit. Malus autem tuus ab initio in paradiso, est inobedientia circa lignum: rudentes sunt peccatorum catenæ; vectores, invidi; nautæ, dæmones; remi, doli; proræ sedes edita, simulatio; adstantes, invidi. O scapha mille inferens mala! Si quæras simulationem, illic invenitur; si dolum, illic gignitur. Invidia illic versatur, inimicitiæ, pugnæ, fallacia, convitium, maledictio, blasphemia, & quidquid aliud dicamus, vel prætereamus; hæc omnia tartarea illa invidiæ navicula gestat. Hanc invidiæ naviculam diluvium non potuit submergere; Jesus autem virtute Spiritus in baptismate illam demersit. Habuit hæc navicula ancoras ferreas, sed in clavos Christi illæ coaluerunt. Habuit & malum; sed diabolus illum in crucis lignum dolavit. Habuit rudentes, sed his acceptis Judas sese strangulavit. In hanc naviculam ascendentes Judæi, in petram impingentes, circa fidem naufragium passi sunt. Ideoque Judæi hactenus in profundo ignorantiæ innatant. Attamen quotquot ex illis possunt Christiferam naviculam tenere, servantur; cæteri vero in salsuginoso incredulitatis interitu pereunt. Utinam autem in profundo versantes ad Jonam & ad Cetum confugerent: fortassis enim ab illo docti piam erga Christum religionem, viventes cum Jona a ceto in Niniven conjicerentur. Nunc vero oculos cordis claudentes, non ad illum confugiunt, videntes eum in medio orbis cum pia religione fulgentem & fidem splendide exhibentem: neque ad pœnitentiæ preconem Joannem se recipiunt ut vivant. *Et exeuntes*, inquit, *Pharisæi concilium inierunt, quomodo illum perderent.* Exeuntes Pharisæi, unde? Non ex invidia; sed ex lege. Nisi enim exivissent ex lege, legislatorem non contumelia affecissent. *Et*
Exod. 23. 7. *exeuntes Pharisæi*: Unde? Ex lege quæ ait: *Insontem & justum non occides. Et exeuntes*
Psal. 18. 9. *Pharisæi*: Unde? Ex præcepto Dei illuminante oculos cordis. Nam *præceptum Domini lucidum, illuminans oculos. Et exeuntes Pharisæi consilium ceperunt quomodo illum perderent. Et exeuntes Pharisæi*; Unde? Ex præcepto, ex lege, ex vita. Nam qui alteri mortem machinantur, ipsi primi a vitæ lumine abscedunt. *Et exeuntes Pharisæi consilium inierunt.* A quonam exeuntes non dicit scriptor, ut mentem nostram ad rem perquirendam incitet. *Et exeuntes Pharisæi consilium inierunt.* A quonam? Ab eo certe, qui ab initio homicida fuit, diabolo. *Et exeuntes Pharisæi consilium inierunt quomodo illum perderent* Illud, *quomodo*, quem indicat modum? An lapide, an gladio, an igne, an aqua? Consiliator eorum diabolus animo revolvens lignum, quo ab initio Adamum occiderat, ad illum rursum confugit, & auctor est ut in ligno crucifigant Jesum. Ignorabat autem futurum esse ut hoc lignum veterem ligni prævaricationem solveret, & ut hinc vita hominibus oriretur. *Et exeuntes Pharisæi consilium inierunt, quomodo illum perderent.* O consilium pessimum ex invidia ortum & per invidiam confutatum! O vanum consilium. Ignorant enim Deum nunquam perire posse. Nam fictilem quidem lucernam corporis dissolvent, inexstinguibilem vero divinitatis lucernam exstinguere nequeunt. *Exeuntes autem Pharisæi, consilium inierunt quomodo illum perderent.* O rem mirabilem, & mysterium novum! Venit Jesus quærere & salvum facere quod perierat: & hi eum qui perditos invenit, perdere quærunt. Qua de causa, dicite o Judæi, contra illum hæc deliberatis? Sed illos

A καὶ Κάϊν πρωρεύς. τὴν γὰρ ἐνθήκην σοι τῶν κακῶν ὁ διάβολος ἔδωκε. ὁ δὲ ὄφις κυβερνήσας τὸν Ἀδὰμ εἰς ναυάγιον θανάτου κατήνεγκε· Κάϊν δὲ πρωρεύς, ἐπειδὴ διὰ σὲ, φθόνε, πρῶτος αὐτὸς τὸν φόνον εἰργάσατο. σοὶ ἱστός ἐστιν ἀπ' ἀρχῆς ἐν παραδείσῳ ἡ τοῦ ξύλου παρακοή, σὰ σχοινία εἰσὶν αἱ σειραὶ τῶν ἁμαρτιῶν, σοὶ ἐπιβάται εἰσὶν οἱ φθονεροί, ναῦται οἱ δαίμονες, κῶπαι οἱ δόλοι, αὐχὴν ἡ ὑπόκρισις, παραχαείται οἱ φθονεροί. ὢ πλοῖον μυριοφόρον κακῶν. ἐὰν ζητήσῃς ὑπόκρισιν, ἐκεῖ εὑρίσκεται· ἐὰν δόλον, ἐκεῖ γεννᾶται. φθόνος ἐκεῖ πολιτεύεται, ἔχθραι, μάχαι, ἀπάτη, φιλονεικία, λοιδορία, κακολογία, βλασφημία, καὶ ὅσα ἂν εἴπωμεν, καὶ ὅσα ἂν παραλείπωμεν, ταῦτα πάντα τὸ ταρτάρειον πλοῖον τοῦ φθόνου βαστάζει. τοῦτο τὸ πλοῖον τοῦ φθόνου κατακλυσμὸς μὲν βυθίσαι
B οὐκ ἴσχυσεν, Ἰησοῦς δὲ αὐτὸ ἐν τῇ δυνάμει τοῦ πνεύματος, ἐν τῇ πηγῇ τοῦ βαπτίσματος κατεπόντισεν. εἶχε τοῦτο τὸ πλοῖον καὶ ἀγκύρας σιδηρᾶς, ἀλλ' εἰς τοὺς ἥλους τοῦ Χριστοῦ ἐχωνεύθησαν. εἶχε τοῦτο τὸ πλοῖον καὶ ἱστίον, ἀλλ' ὁ διάβολος λαβὼν αὐτὸ σταυρὸν ἐπελέκισεν. εἶχε τοῦτο τὸ πλοῖον καὶ σχοινία, ἀλλὰ ταῦτα λαβὼν Ἰούδας ἀπήγξατο. εἰς τοῦτο τὸ πλοῖον ἐμβάντες οἱ Ἰουδαῖοι, τῇ πέτρᾳ προσκρούσαντες περὶ τὴν πίστιν ἐναυάγησαν. διὰ τοῦτο μέχρι τοῦ νῦν οἱ Ἰουδαῖοι ἐν τῷ βυθῷ τῆς ἀγνωσίας ἐννήχονται. πλὴν ὅσοι αὐτῶν ἂν ἰσχύσωσι τῆς χριστοφόρου ὁλκάδος κρατῆσαι, διασώζονται· οἱ δὲ ἄλλοι ἁλμυρῷ θανάτῳ ἀπιστίας ἀπόλλυνται. καὶ εἴθε κἂν ἐν τῷ βυθῷ ὑπάρχοντες πρὸς Ἰωνᾶν εἰς τὸ κῆτος ἐξέτρεχον. ἴσως γὰρ ἂν παρ' αὐτοῦ μαθόντες τὴν ἐν Χριστῷ εὐσέβειαν, ζῶντες μετὰ
C τούτου, ὑπὸ τοῦ κήτους ἐν Νινευῒ ἐξερρίπτοντο. νῦν δὲ τοὺς ὀφθαλμοὺς τῆς καρδίας καμμύσαντες, οὔτε τὸν λαμπροφόρον τῆς εὐσεβείας ἐν μέσῃ τῇ γῇ ἑστῶτα, καὶ τὴν πίστιν ἀστράπτοντα ὁρῶντες, πρὸς αὐτὸν καταφεύγουσιν· οὔτε πρὸς τὸν τῆς μετανοίας κήρυκα Ἰωάννην καταφεύγοντες ζῶσι. καὶ ἐξελθόντες, φησὶν, οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ἐξελθόντες, φησὶν, οἱ Φαρισαῖοι. πόθεν; οὐκ ἐκ τοῦ φθόνου, ἀλλ' ἐκ τοῦ νόμου. εἰ μὴ γὰρ ἐξῆλθον ἐκ τοῦ νόμου, οὐκ ἂν τὸν τοῦ νόμου νομοθέτην ἐνύβριζον. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι. πόθεν; ἐκ τοῦ νόμου τοῦ λέγοντος, ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι. πόθεν; ἐκ τῆς ἐντολῆς τοῦ θεοῦ τῆς φωτιζούσης τοὺς ὀφθαλμοὺς τῆς καρδίας. ἡ γὰρ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. καὶ ἐξελθόντες
D οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι. πόθεν; ἐκ τῆς ἐντολῆς, ἐκ τοῦ νόμου, ἐκ τῆς ζωῆς. οἱ γὰρ ἄλλῳ θάνατον μελετῶντες, αὐτοὶ πρῶτοι τὸ τῆς ζωῆς ἀπολείπουσι φέγγος. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον. καὶ οὐκ εἶπεν ὁ γράψας παρὰ τίνος, τὴν ἡμετέραν νῦν ἀνακινῶν πρὸς τὴν ζήτησιν. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον. παρὰ τίνος; ἢ δῆλον ὅτι παρὰ τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου διαβόλου. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. τὸ, ὅπως, ποίῳ τρόπῳ; ἆρα πέτρᾳ; ἆρα μαχαίρᾳ; ἆρα πυρὶ, ἢ ὕδατι; ὁ δὲ σύμβουλος αὐτῶν διάβολος, ἀναπολήσας τὸ ξύλον τὸ ἐξ ἀρχῆς, δι' οὗ τὸν Ἀδὰμ ἐθανάτωσεν, εἰς αὐτὸ πάλιν καταφεύγει, καὶ συμβουλεύει ξύλῳ σταυρῶσαι τὸν Ἰησοῦν.
E ἠγνόει δὲ ὅτι ἔμελλεν ἐκεῖνο τὸ ξύλον καὶ τὴν ἀρχαίαν τοῦ ξύλου παράβασιν παραλύειν, καὶ τὴν ζωὴν τοῖς ἀνθρώποις ἀνατεῖλαι. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ συμβουλία κακίστη διὰ φθόνου σπειρομένη, καὶ διὰ φθόνου ἐλεγχομένη· ὢ ματαία βουλή· ἀγνοοῦσι γὰρ, ὅτι θεὸς οὐκ ἀπόλλυται. τὸν μὲν γὰρ ὀστράκινον λύχνον τοῦ σώματος διαλύσουσι, τὴν ἄσβεστον αὐτοῦ λαμπάδα τῆς θεότητος σβέσαι οὐ δύνανται. ἐξελθόντες δὲ οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ θαυμαστοῦ πράγματος, καὶ μυστηρίου καινοῦ. ἦλθεν ὁ Ἰησοῦς ἀναζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός· καὶ οὗτοι τὸν τῶν ἀπολωλότων εὑρέτην ἀπολέσαι ζητοῦσι. διὰ ποίαν αἰτίαν, εἴπατε ἡμῖν, Ἰουδαῖοι, κατ' αὐτοῦ τοιαῦτα βουλεύεσθε; ἀλλ' ἐκεῖνοι

μὲν

μὲν αἰσχυνόμενοι λέγειν· ἡμεῖς τὴν αὐτῶν αἰσχύνην πανταχῇ στηλιτεύσωμεν. διὰ τί γάρ, φησι, νεκροὺς ἐγείρει; καὶ διὰ τί ἀσθενοῦντας ἰᾶται; διὰ τί καλὰ λαλεῖ; διὰ τί καλὰ πράττει; διὰ τί καλὰ διδάσκει; διὰ ταῦτα πάντα τὰ ἐγκλήματα βουλεύονται αὐτὸν ἀπολέσαι. ὅταν ἐξέρχωνται νήπιοι παῖδες βαΐα λαμβάνοντες, διὰ τῶν βαΐων τὴν νίκην αὐτοῦ περιαναφωνοῦντες, καὶ ἐν τῇ εὐφημίᾳ αὐτοῦ λέγοντες, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ἐκεῖνοι ἀπὸ τῶν ζιβυνῶν σφαττόμενοι ὑπὸ τοῦ φθόνου κεντοῦνται. οἱ γὰρ ἔπαινοι τῶν φθονουμένων, βέλη εἰσὶ τῶν φθονούντων. καὶ προσέρχονται τῷ Ἰησοῦ, καὶ λέγουσιν αὐτῷ, οὐκ ἀκούεις, τί οὗτοι λέγουσι; καὶ οὐκ ἐγίνωσκον ὅτι προφητικῶς ἐπληροῦτο τὸ γεγραμμένον, τό, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ὅτε Ἰεζάβελ κατὰ τοῦ Ναβουθὲ τὰ πλαστὰ ἐποίει γράμματα, ἡδέως ἀνέχεσθε· ὅτε Πιλάτος γράφει ἐπὶ τοῦ τίτλου τὰ χρηστὰ γράμματα, ἀγανακτεῖτε, καὶ κωλύετε γράφεσθαι. τί γὰρ λέγουσι; μὴ γράφε, ὅτι ὁ βασιλεὺς τῶν Ἰουδαίων. μὴ γράφε, ἀντὶ τοῦ, τὴν ἀλήθειαν, τοῦ, μηδεὶς ὠφελείσθω, μηδεὶς ἄρτιος ἔστω πρὸς εὐσέβειαν. πάντως οὐχ οὕτως ἠγανάκτουν κατὰ τῶν τὰ δράματα τῶν ὀρχηστῶν γραφόντων, οὐδ' ἂν ἔτι καὶ νῦν οἱ πολλοὶ τὰ τῶν δαιμόνων ἀκούωσι ᾄσματα. καὶ περὶ μὲν ἐκείνων οὐκ ἀλγοῦσι, περὶ δὲ τῶν θεικῶν διδαγμάτων ὅτι γράφονται πονοῦσι. καὶ ἆρα οὐκ ἔστι παντὸς κακοῦ ὑπέρτερον, τὸ τὰς μὲν μωρολογίας Φιλιστίωνος γράφεσθαι, τὰς δὲ δοξολογίας Ἰησοῦ μὴ γράφεσθαι, δι' ὧν εἰς οὐρανὸν ὁδηγούμεθα; εἰ δὲ καὶ ἦν τις ἄρα διδασκάλων ἰδιώτης τῷ λόγῳ, ὅμως δὲ τὰ τοῦ θεοῦ λέγων, οὐ μὴν ἄρα βέλτιον τὰ τούτου γράφεσθαι ὑπὲρ τὰς τῶν Ἑλλήνων δαιμονιώδεις μυθολογίας; συμφέρει γὰρ τοῖς νεωτέροις ἐν ταῖς ῥήσεσι τῶν θεολόγων διδασκάλων, κἂν ἰδιωτικαὶ τυγχάνωσιν, ἐμμελετῶντας παιδεύεσθαι, ἄμεμπτον ἔχοντας φρόνημα, καὶ μὴ ἐν ταῖς τῶν δαιμόνων διδασκαλίαις ἐνασχολουμένους εἰς ἀκολασίαν ἐκμαίνεσθαι. μὴ γράφε· διὰ τί, μὴ γράφε; τί γὰρ ὑμᾶς βλάπτει; ποίων δὲ ὑμᾶς χρημάτων ἀποστερεῖ ἡ τῆς ἀληθείας γραφή; ἄλλος τῇ προθυμίᾳ τῶν γραφομένων οὐκ ἤλγει τὴν χεῖρα, κἀκεῖνοι τὰ στήθη ἔτυπτον. ἀλλ' εἰ καὶ Φαρισαῖοι ταῦτα ἔλεγον πρὸς Πιλάτον, καὶ ἐκώλυον αὐτὸν γράφειν τὰ τῆς ἀληθείας γράμματα· ὁ δὲ εἰ καὶ ἐθνικὸς ὑπάρχων ἔλεγε πρὸς αὐτούς, ὃ γέγραφα, γέγραφα. ἁρμόζει καὶ ἡμῖν αὕτη ἡ διδασκαλία· ἵνα ὅταν οἱ αἱρετικοὶ ἡμῖν συμβουλεύσωσι μεθίστασθαι ἀπὸ τῆς δόξης, λέγωμεν πρὸς αὐτούς· ὃ γεγράφαμεν, γεγράφαμεν. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν. γνούς, οὐκ ἀπὸ ἄλλου μαθών, ἀλλ' ἀφ' ἑαυτοῦ ἐγνωκώς. καρδιογνώστης γὰρ ἦν, καὶ ἔστι, καθὼς καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει· οὐ γὰρ χρείαν εἶχε, φησίν, ἵνα τις εἴπῃ αὐτῷ περὶ τοῦ ἀνθρώπου. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν, οὐ τὸν θάνατον φοβούμενος, ἀλλὰ τὸν καιρὸν τοῦ σταυροῦ ἐκδεχόμενος. ἔδει γὰρ αὐτὸν πρῶτον νεκροὺς ἀνεγεῖραι, ἀσθενοῦντας ἰάσασθαι, πεινῶντας πολλοὺς ἐμπλῆσαι, πολλοὺς εἰς τὴν πίστιν στηρίξαι, καὶ τότε ἐλθεῖν ἐπὶ τὸν ἀοίδιμον θάνατον, μᾶλλον δὲ θάλαμον. ἔδει πρῶτον αὐτὸν στῆσαι τὸ ξύλον τὸ τοῦ μυστηρίου τοῦ σταυροῦ, καὶ τότε θερμῷ τῷ πνεύματι ἐπὶ τοὺς ἐν τῷ ᾅδῃ κατακειμένους καταδραμεῖν. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν. ὅπου δόλος οὐ φαίνεται, φεύγει· ὅπου φόνος τεκταίνεται, ἀναχωρεῖ· ὅπου ἀγάπη πλέκεται, καὶ ὁ πατήρ, καὶ ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα, αὐλίζεται. πλέξωμεν τοίνυν, ἀγαπητοί, τὴν τριπλεκῆ ἀγάπην, μὴ γλώσσαις ἀπατηλαῖς, ἀλλὰ παλάμαις ἐργατικαῖς· ἵνα ᾖ μεθ' ἡμῶν ὁ Ἐμμανουήλ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A quidem pudet hoc dicere : nos illorum turpitudinem undique traducamus. Cur, inquiunt, mortuos ſuſcitat? Cur infirmos ſanat? Cur pulcra loquitur, cur bona operatur? Cur bona docet? Ob hæc omnia crimina conſilium ineunt quomodo illum perdant. Quando exeunt pueri ramos palmarum accipientes, per illos ramos victoriam ejus proclamantes, & illi benedicentes, *Hoſanna in excelſis*; illi haſtis invidiæ *Matt. 21. 9.* jugulati confodiuntur. Laudes enim eorum quibus invidetur, tela ſunt in invidos miſſa. Et accedunt ad Jeſum, & dicunt ei : *Non audis quid* *Matt. 21. 16.* *hi dicant?* Nec noverant tunc impleri illud quod prophetice dictum fuerat, *Ex ore infan-* *Pſal. 8. 3.* *tium & lactentium perfeciſti laudem.* Cum Jezabel contra Nabuthe fictitias ſcripſit literas; id libenter tuliſtis; quando Pilatus in titulo bo-
B na verba ſcribit, indignamini; & ne ſcribat impedire conamini. Quid enim dicunt? *Noli* *Joan. 19. 21.* *ſcribere, Rex Judæorum.* Noli ſcribere, ſcilicet veritatem : nemo hinc utilitatem accipiat; nemo perfectus ſit circa piam religionem. Certe non ita indignabantur contra eos qui ſaltatorum dramata ſcribunt; neque etiam nunc multi, cum dæmonum cantica audiunt. De illis quidem non dolent, de divinis dogmatibus, ſi ſcribantur dolent. Annon omnium malorum deterrimum eſſet Philiſtionis mimica ſtulta deſcribi, Chriſti vero glorioſa geſta non deſcribi, quibus ad cælum ducimur? Quod ſi quis doctorum eſſet idiota quidem; ſed quæ Dei ſunt prædicans, annon melius eſſet ejus dicta ſcribi, quam dæmonicas Græcorum fabulas? Utilius namque eſſet junioribus in Theologorum do-
C ctorum dictis verſari, etiamſi illa ſimpliciora eſſent; in illiſque inſtitui, quæ inculpatam doctrinam continent, quam dæmonum doctrina imbutos in laſcivia furere. Noli ſcribere : quare, Noli ſcribere? in quo id vobis nocet? Quibus vos pecuniis privat veritatis ſcriptura? Alius ex ſcribendi alacritate non dolebat manu, & illi pectora tundebant. Verum etiamſi hæc Phariſæi Pilato dicerent, ipſumque impedire conarentur ne veritatem ſcriberet; ille licet Gentilis eſſet dicebat eis : *Quod ſcripſi, ſcripſi.* No- *Joan. 19. 23.* bis quoque competit hæc doctrina; ut cum hæretici conſilium nobis dederint ut ab hac ſententia diſcedamus, reſpondeamus illis, Quod ſcripſimus, ſcripſimus. *Et exeuntes Phariſæi con-* *Matt. 12. 14.* *ſilium inierunt, ut illum perderent. Jeſus autem*
D *ſciens receſſit inde.* Sciens; non quod ab alio didiciſſet; ſed quod a ſeipſo noſſet : nam cordium cognitor erat & eſt, ut ait Joannes evangeliſta : *Non enim opus erat ei, ut quis diceret* *Joan. 2. 25.* *ei de homine. Sciens autem Jeſus, receſſit inde* : non mortem timens, ſed tempus Crucis exſpectans. Oportebat enim illum prius mortuos ſuſcitare, infirmos ſanare, eſurientes multos ſatiare, plurimos in fide confirmare, & tunc venire ad celebratam mortem; imo potius ad thalamum. Oportebat illum prius lignum myſterii Crucis erigere, & tunc ferventi Spiritu ad eos qui in inferno jacebant accurrere. *Sciens autem Jeſus, receſſit inde.* Illo fugit, ubi dolus non apparet. Ubi cædes illi machinantur, inde
E recedit : Ubi caritas nectitur; ubi Pater & Filius & Spiritus ſanctus ſunt, ibi verſatur. Nectamus ergo, dilecti, triplicem caritatem : non linguis fallacibus; ſed palmis operantibus; ut nobiſcum ſit Emmanuel, cui gloria & imperium in ſæcula ſæculorum, amen.

Philiſtionis mimi ſcripta vide. Martial. 2, 41. *Mimos ridiculi Philiſtionis.*

## *In meretricem & in Pharisæum.*

HODIE Pharisæus Dominum ad prandium vocavit, contumeliæ honorem admiscens. Meretrix autem illum per fidem ad convivium excepit. Nam cum esset in domo
Marc. 14. 3. Simonis, ecce mulier meretrix. Insanum spectaculum, mulier meretrix in urbe, civile & muris inclusum bellum, telum non ferreum, juvenum laqueus, cos concupiscentiæ, affectuum incitamentum, cauponaria corporis, inutile commercium, damnosa negotiatio, quæ & vendenti & ementi mortem parit, rete juventutis, laqueus non tectus; oculus enim meretricis laqueus est peccatorum. Lasciviæ depositum meretrix, quæ seipsam vendit & emtores in servitutem redigit; leæna multis instructa capitibus, fœtor urbis, lues quæ per omnes sensus repit, oculorum hamus, mors quæ circumfertur, forum damni, cupiditas perniciei, odor mortis, gangræna admodum putrida. Ecce mulier in urbe, pestis civium, tyrannis nuptiarum, subversio honestatis, androgynorum pugna, mensa male sumtus profundens, crumenarum evacuatio, pecuniarum effusio, laborum jactura, heredum torcular, ubi qui nuditatem suam calcant tripudiant. Ecce mulier in civitate, quæ erat peccatrix. Sed peccatrix illa ad justitiam accurrit, & peccata delet ut spinæ in igne absumuntur. Saltus in paradisum versus est, leæna in agnam, fœtor in unguentum, pernicies in thesaurum, cornix in columbam, meretrix in Virginem mutata est, in sororem Christi, in sponsam Verbi. Nam stans pone Jesum hæmorrhoïssæ discipula, lacrymis pedes rigavit, & capillis abstersit, labiisque vestigia osculata est, atque unguento precioso unxit, universa peccati arma Regi obtulit, pacem petens, ac totam malorum armaturam ad pedes Domini adduxit. Et quia olim vi expressis lacrymis multos in affectum pravum resolverat, nunc veris lacrymis Domino supplicans, seipsam solvit. Et quæ capillos mala arte plexuerat, & comam immodeste in modum turris evexerat, jam illâ quasi linteo Christi pedes abstersit, non ut Dominum nitidum reddat, sed ut seipsam sanctificet. Confitebatur enim quot homines per capillorum hamum ad mortem piscata fuerat. Et unguento precioso unxit. Quare? Quia olim unguentorum odore multos sordidaverat: similiterque aromatibus male usa, in canes naribus vestigantes amatores suos mutaverat. Nunc autem unguento bene utens, illudque ad bonum unguentum adducens, Satanicas unctiones abluit. Deinde ut Dominus illam hæc agentem admisit, Simon obmurmuravit, dominicæ bonitatis censor effectus. Dicit illi Dominus: Simon, qui ad honorem me vocasti, & inhonorasti me,
Luc. 7. 40. quod non exspectabam: *Duo debitores erant cuidam fœneratori*, tu, & hæc: mihi debitores, nec simpliciter, sed admodum debitores; duplici obstricti debito, qui naturæ fœnus & legis sortem accepistis, & circa utrumque in beneficum incidistis. *Unus debebat denarios quingentos*; Tu nempe Pharisæus, qui & graviora & plura animæ peccata habes: quia publicani & meretrices vos præcedunt in regnum cælo-
Matt. 21. 31. rum. *Alius vero quinquaginta*, his notantur noxii meretricis mores. *Non habentibus autem illis unde redderent* per bona opera; accepta fide ambobus remisit, & discisso chirographo. *Dic, quis ipsum magis diliget?* Tum Pharisæus: *Existimo quia is cui plus donavit.*

A

## Εἰς τὴν πόρνην καὶ εἰς τὸν Φαρισαῖον.

ΣΗΜΕΡΟΝ ὁ Φαρισαῖος εἰς ἄριστον τὸν δεσπότην ἐκάλεσε, τιμὴν ὕβρει κεράσας· ἡ δὲ πόρνη αὐτὸν τῇ πίστει εἱστίασεν. ὄντος γὰρ αὐτοῦ ἐν τῇ οἰκίᾳ τοῦ Σίμωνος, ἰδοὺ γυνὴ πόρνη. μανικὸν σχῆμα, γυνὴ πόρνη ἐν τῇ πόλει, ὁ ἐντοίχιος πόλεμος, τὸ ἀσιδήρωτον βέλος, ὁ τῶν νέων ἰξὸς, ἡ τῆς ἐπιθυμίας ἀκόνη, ὁ τῶν παθῶν ἐξυπνιασμὸς, ἡ καπηλεία τοῦ σώματος, ἡ ἀνωφελὴς ἐμπορία, ἡ ἐπιζήμιος πραγματεία, ἡ καὶ τῇ πωλούσῃ καὶ τῷ ἀγοράζοντι θάνατον προξενοῦσα, τὸ τῆς νεότητος δίκτυον, ἡ ἀσκέπαστος παγίς· ὀφθαλμὸς γὰρ πόρνης παγὶς ἁμαρτωλῶν· ἡ τῆς ἀκολασίας ἐνθήκη, ἡ ἑαυτὴν πωλοῦσα, καὶ τοὺς ἀγοράζοντας δουλαγωγοῦσα, ἡ πολυκέφαλος λέαινα, ἡ δυσωδία τῆς πόλεως, ὁ λοιμὸς ὁ κατὰ πάσης ἕρπων αἰσθήσεως, τὸ τῶν ὀφθαλμῶν ἄγκιστρον, ὁ περιφερόμενος θάνατος, ἡ ἀγορὰ τῆς ζημίας, ἡ ἐπιθυμία τῆς ἀπωλείας, ἡ τοῦ θανάτου ὀσμὴ, ἡ πολύσηπτος γάγγραινα. ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ὁ λοιμὸς τῶν οἰκητόρων, ἡ τυραννὶς τῶν γάμων, ἡ ἀνατροπὴ τῆς σεμνότητος, ἡ τῶν ἀνδρογύνων μάχη, ἡ κακοδάπανος τράπεζα, ἡ τῶν βαλαντίων κένωσις, ἡ τῶν χρημάτων ἐκροὴ, ἡ τῶν καμάτων ἀπώλεια, ἡ τῶν κληρονόμων ληνὸς, ἣν ληνοβάται πατοῦντες τὴν ἑαυτῶν γύμνωσιν ὠρχήσαντο. ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. ἀλλ' ἡ ἁμαρτωλὸς ἐκείνη τῇ δικαιοσύνῃ προσέδραμε, καὶ ὡς ἐν πυρὶ ἀκάνθας τὰς ἁμαρτίας ἀνήλωσεν. ὁ δρυμὸς παράδεισος γέγονεν, ἡ λέαινα ἀρνίον, ἡ δυσωδία μύρον, ἡ ἀπώλεια θησαυρὸς, ἡ κορώνη περιστερὰ, ἡ πόρνη παρθένος, ἀδελφὴ Χριστοῦ, νύμφη τοῦ λόγου. στᾶσα γὰρ ὄπισθεν τοῦ Ἰησοῦ ἡ τῆς αἱμορροούσης μαθήτρια, δάκρυσι τοὺς πόδας ἔβρεξε, καὶ ταῖς θριξὶν ἐξέμαξε, καὶ τοῖς χείλεσι κατεφίλει τὰ ἴχνη, καὶ μύρῳ πολυτίμῳ ἤλειφεν. ὅλα τὰ ὅπλα τῆς ἁμαρτίας τῷ βασιλεῖ προσήνεγκεν, εἰρήνην αἰτῶν· καὶ τὴν πανοπλίαν τῶν κακῶν τοῖς ποσὶ τοῦ δεσπότου προσήγαγε. καὶ ἐπειδὴ πάλαι ἠναγκασμένοις δάκρυσι πολλοὺς εἰς πάθος ἐξέλυσεν, ἀληθινοῖς νῦν δάκρυσι τὸν δεσπότην δυσωπήσασα, ἑαυτὴν ἀπέλυσε· καὶ ἡ τὰς τρίχας κακομηχάνως πλέξασα, καὶ ἀσέμνως πυργώσασα ταῖς θριξὶν, ὡς ὀθόνῃ, τοῦ Χριστοῦ τοὺς πόδας ἐξέμασσεν, οὐ τὸν δεσπότην λευκαίνουσα, ἀλλ' ἑαυτὴν ἁγιάζουσα. ἐξωμολογεῖτο γὰρ διὰ τῶν τριχῶν, ὅσους δι' αὐτῶν ἀγκιστρεύσασα εἰς θάνατον ἡλίευσε· καὶ μύρῳ ἤλειφε πολυτίμῳ. διὰ τί; ἐπειδὴ πάλαι μυριζομένη πολλοὺς ἐβορβόρωσεν. ὁμοίως καὶ τοῖς ἀρώμασι κακῶς χρησαμένη, εἰς κύνας ῥινηλάτας τοὺς ἐραστὰς μετεσκεύαζε. νῦν δὲ τῷ μύρῳ καλῶς χρησαμένη, καὶ τῷ ἀληθινῷ τὸ μύρον προσκομίσασα, τὰ Σατανικὰ μυρίσματα ἀπενίψατο. εἶτα ὡς ὁ κύριος αὐτὴν προσεδέξατο ταῦτα πράττουσαν, ὁ Σίμων ἐψιθύριζε, δεσποτικῆς ἀγαθότητος λογοθέτης γινόμενος. λέγει αὐτῷ ὁ δεσπότης· Σίμων, ὁ ἐπὶ τιμῇ καλέσας με, καὶ ἀτιμάσας με, ὡς οὐ προσεδόκησα· δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι, σὺ, καὶ αὕτη, ἐμοῦ οὐ χρεῶσται, οὔτε ὀφειλέται, ἀλλὰ χρεωφειλέται, διπλοῖ ὑπεύθυνοι τυγχάνοντες, ὅτι καὶ τὸ φυσικὸν δάνειον, καὶ τοῦ νόμου τὸ κεφάλαιον λαβόντες, εἰς ἀμφότερα τῷ εὐεργέτῃ παρεπέσατε. ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, σὺ ὁ Φαρισαῖος, ὁ βαρύτερα καὶ πλείονα ἔχων τὰ ψυχικὰ ἁμαρτήματα· ἐπειδὴ οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δὲ ἕτερος πεντήκοντα, ὁ ὑπεύθυνος τῆς πόρνης τρόπος. μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι διὰ κατορθωμάτων καλῶν πράξεων, ἀμφοτέροις ἐχαρίσατο πίστιν λαβὼν, καὶ σχίσας τὸ χειρόγραφον· εἰπὲ, τίς αὐτὸν πλεῖον ἀγαπήσει; εἶτα ὁ Φαρισαῖος, ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο,

A καὶ δικαστὴς ἑαυτοῦ ὁ ὑπεύθυνος ἐγίνετο, καὶ τὸν δεσπότην ἐπαινέτην εὕρισκε λέγοντα· ὀρθῶς ἔκρινας. ἄκουε λοιπόν· βλέπεις ταύτην τὴν γυναῖκα τὴν ὀλιγότερά σου χρεωστήσασαν, καὶ πλείονα ξένια καὶ δῶρα προσκομίσασαν; βλέπεις ταύτην τὴν γυναῖκα τὴν πολλῶν ἀπώλειαν γενομένην; τὸν ἔμψυχον τάφον; τὸν περιφερόμενον θάνατον; εἰσῆλθόν σου εἰς τὸν οἶκον· ὕδωρ, τὸ εὔωνον καὶ πᾶσι προκείμενον, ἐπὶ τοὺς πόδας μου οὐκ ἤνεγκας· αὕτη δὲ πηγὰς δακρύων ἐξ ὀμμάτων τοῖς ποσί μου προσήνεγκε. φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ τὰ χείλη αὐτῆς τοῖς ἐμοῖς ποσὶν ὑπέστρωσεν. ἐλαίῳ τὴν κεφαλήν μου, ὡς ἐλεηθεὶς παρ' ἐμοῦ, οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ τὸ σῶμα, τῇ δὲ πίστει τὴν θεότητά μου ἐμύρισεν. οὗ χάριν λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί· ἵνα πληρωθῇ τὸ ἐν ψαλμοῖς εἰρημένον, B ἀφῆκας τὰς ἀνομίας τοῦ λαοῦ σου· καὶ τὸ ὑπὸ Ἰωάννου κηρυχθέν, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Et is qui culpæ obnoxius erat sui judex fuit, & a Domino laudatus est dicente : *Recte judicasti.* Audi jam : *Vides hanc mulierem*, quæ minus debebat, quam tu, & plura munera donaque attulit? Vides hanc mulierem, quæ multis pernicies fuit? animatum sepulcrum? mortem quæ circumquaque fertur? *Ingreßus sum in domum tuam* : aquam comparatu facilem, omnibus obviam, in pedes meos non intulisti; hæc vero fontes lacrymarum ex oculis defluentes in pedes meos immisit. *Osculum mihi non dedisti*; hæc vero labia sua pedibus meis applicuit. *Oleo caput meum*, ut misericordiam a me consequutus, *non unxisti*; hæc vero unguento corpus, fide divinitatem meam unxit. *Ideo dico tibi, Remittuntur ei peccata multa*; ut impleatur quod in Psalmis dictum est : *Remisisti iniquitates plebis tuæ*, & illud a Joanne prædicatum : *Ecce Agnus Dei, qui tollit peccatum mundi*; ipsi gloria in sæcula, amen.

*Psal. 84. 3.* *Joan. 1. 29.*

Εἰς τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΤΟ τῆς ἁμαρτίας κατὰ τῆς ἁμαρτίας ἀπέστραπται τέχνημα. τέχνη μὲν γὰρ τῆς ἁμαρτίας σταυρὸς, καὶ τὸ σῶμα θανάτῳ παραβαλεῖν ἀναμάρτητον. γέγονε δὲ ὁ σταυρὸς τῇ σταυρωθείσῃ σαρκὶ τῆς εἰς οὐρανὸν ἀνόδου μηχάνημα, καὶ τὸ περὶ τῆς ἁμαρτίας ῥηθὲν μεταβέβληται. πρότερον μὲν γὰρ ὁ Παῦλος ἐκήρυττεν, ἡ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς C ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινε· νῦν δὲ τῆς δικαιοσύνης τὸ ῥῆμα μηχανήματι πρέπον. ἡ γὰρ δικαιοσύνη ἀφορμὴν λαβοῦσα διὰ τῆς ἁμαρτίας ἐξηπάτησεν αὐτὴν καὶ ἀπέκτεινε. τοῦτο τὸν Παῦλον ἐκπλῆξαν, εἰς ἐκείνην τὴν φωνὴν ἐνεκίνησε, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. ἀνάστασις γὰρ ἐν τῷ σταυρῷ κεκρυμμένη, γέννησις δὲ ἀθανάτου ζωῆς, ἀθανασίαν ἀνθήσασαν τικτόμενος ἐξ ᾅδου τοῖς ἀνθρώποις ὁ βασιλεύς. ἀληθῶς μυστήριον παμμέγα. πῶς οὖν γνωστὸν τὸ μυστήριον; ἐφανερώθη, φησὶν, ἐν σαρκί. καὶ τίς ἡ φανέρωσις; ἐδικαιώθη ἐν πνεύματι. ποῖον τὸ τῆς δικαιοσύνης τεκμήριον; ὤφθη ἀγγέλοις. ἔγνωσαν ἄγγελοι, φησι, τὴν τοῦ φανέντος ἀξίαν· προσῆλθον καὶ διηκόνουν αὐτῷ. ἀξιόπιστοι μὲν, Παῦλε, τῆς δικαιοσύνης οἱ θεασταὶ, καὶ τὴν τοῦ Χριστοῦ σεμνύνουσι δύναμιν. D δεῖξον μὲν ἀνθρώποις τῆς ἰσχύος τῆς ἐκείνου σημεῖον. ἐκηρύχθη, φησὶν, ἐν ἔθνεσιν, ἔδραμε λόγος περὶ αὐτοῦ θεολόγος, καὶ ταῦτα παρὰ πάντων ἐμποδιζόμενος· ἐπλατύνθη κωλυόμενον κήρυγμα. τί οὖν εἰ μέχρις ἀκοῆς τὸ κηρυττόμενόν ἐστι, καὶ κηρυχθὲν ἔθνεσι γέγονε τοῖς ἀκούσασι λῆρος; ἐκηρύχθη, φησὶ, καὶ ἐπιστεύθη ἐν κόσμῳ. εἶτα καὶ τούτου πιστευθέντος δεικνὺς ἀκώλυτον, ἀνελήφθη, φησὶν, ἐν δόξῃ. ἐκηρύχθη ἡ τῆς ἐκκλησίας ἰσχὺς, μᾶλλον δὲ πάσης ὁμοῦ τῆς οἰκουμένης ἐπίστασις. κοινὴ γὰρ τῆς τῶν ἀνθρώπων φύσεως βοήθεια, ἡ σήμερον ἀνθρωπότης ἀναληφθεῖσα. τὰ γὰρ τῶν κολάσεων μετ' αὐτὴν μετριώτερα. καί μοι σκόπει τὰς παλαιὰς τῶν ἀνθρώπων ἐκ θεοῦ τιμωρίας, καὶ τῆς ἀναλήψεως εὑρήσεις δημοφελές. E ἐξ ἑνὸς ἁμαρτήματος ἔρριπτο προσκρούσας Ἀδάμ· μακρῷ σώματος τρόμῳ κατεκέκριτο Κάϊν· ἔβρεξε πῦρ οὐρανὸς, ὡς σηπεδόνα τῆς γῆς, καυστηριάζων τὰ Σόδομα· μετεπλάττετο πρὸς στήλην γυνὴ δρόμου παραχαράξασα νόμον. αἱ δὲ εἰς δήμους ὁποῖαι διαφοραί· ἄκουσον τῆς γραφῆς, ὡς θρηνῳδίᾳ διηγουμένης. ἐπείρασάν, φησι, τὸν θεὸν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. ἐγόγγυσάν, φησι, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ἐπόρνευσάν, φησι, καὶ ἔπεσαν ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες. ἔδωκέ, φησι,

*In Aßumtionem Domini nostri Jesu Christi.*

PECCATI artificium contra peccatum versum est. Ars enim peccati, crux est, ut impeccabile corpus morti tradatur. Crux vero crucifixæ carni machina fuit, quæ ad cælum ascenderet : ac dictum illud de peccato mutatum fuit. Prius enim, ut Paulus prædicavit : *Occasione accepta peccatum per mandatum* decepit me & per ipsum me occidit; nunc vero dictum hujusmodi justitiæ artificio competit. Nam justitia occasione accepta per peccatum, decepit illud & occidit. Ea re stupefactus Paulus, in illam vocem prorupit : *Magnum est pietatis sacramentum* : resurrectio enim in cruce abscondita est. Generatio est ad immortalem vitam : immortalitatem rex ab inferno emergens hominibus peperit. Vere maximum sacramentum. Quomodo igitur notum fuit hoc sacramentum? *Manifestatum est*, inquit, *in carne.* Ecqua fuit manifestatio? *justificatum est in Spiritu.* Quodnam justitiæ argumentum? *Apparuit angelis.* Noverunt angeli, inquit, ejus qui apparebat dignitatem. Accesserunt, & ministrabant ei. Fide digni certe sunt, Paule, justitiæ precones, & Christi virtutem celebrant : verum hominibus quoque fortitudinis illius signum ostende : *Prædicatum est Gentibus.* Peragravit verbum quo ejus divinitas prædicabatur, etiamsi ab omnibus impediretur, cohibita prædicatio dilatata est. Quid ergo si ad aures tantum pervenit, & Gentibus quæ audiebant pro nugis verbum habitum est? Prædicatum est, inquit, & *creditum est in mundo.* Deinde postquam creditum est, omni superato obice, *aßumtum est*, inquit, *in gloria.* Prædicata fuit ecclesiæ fortitudo; imo potius totius orbis instantia. Nam humanitas hodie assumta commune est humanæ naturæ auxilium : postea enim supplicia moderatiora erant. Et consideres velim illa olim a Deo hominibus inflicta supplicia, & assumtionis utilitatem deprehendes. Ex uno peccato lapsus Adam dejectus est : ad diuturnum corporis tremorem damnatus est Caïn : ignis imbrem demisit cælum ut Sodomam terræ putredinem combureret : in columnam mutata est mulier, quæ fugiendi legem violaverat. In populis autem qualis differentia? Audi scripturam hæc quasi lamentando narrantem : *Tentaverunt*, inquit, *Deum, & a serpentibus perierunt. Murmuraverunt*, inquit, *& perierunt ab exterminatore. Fornicati sunt*, ait, *& ceciderunt in una die viginti tria millia. Dedit*, inquit,

*Rom. 7. 8.* *1. Tim. 3. 16.* Locus vitiatus. *1. Cor. 10. 9. & 10.* *Num. 25.* *2. Reg. 24. 12.*

*Dominus mortem in Israel a mane usque ad horam prandii, & mortui sunt septuaginta mille viri.* Quid tibi narrem Dei ad regem tunc datam optionem? *Hæc dicit Dominus*, inquit, *Pete tibi tres annos famis super terram, aut tres menses ubi inimici tui te persequentur, aut tres dies mortis in terra tua.* Deplorant etiam Græcorum scriptores veterum temporum calamitates, diluviorum exuberantiam, incendiorum magnitudinem, annorum plurium famem, terræ motuum latam perniciem, sanguinis in civilibus bellis effusiones, frequentium bellorum tempestates. Nulla tunc erat bellorum malorumque tum e cælo, tum ex terra immissorum cessatio, nulla pax sive Græcis, sive barbaris, sive Judæis. Exspectabat enim terra mediatorem, qui supernis & in-
Ephes. 2. 14. fernis pacem afferret. De quo Paulus ait: *Ipse est pax nostra, qui impedivit inimicitiam in carne sua.* Quot nunc sunt Sodomitis lasciviores? neque tamen ut olim ignis in illos effunditur. Suscepit enim terra pacis mediatorem, qui in genus humanum benignior evasit. Quot nunc sunt sceleratiores iis qui ævo Noæ vivebant? Quos tamen cælum diluvio non submergit. Quot ferociores Caïno? quos Caïni supplicio Deus non plectit. Cum enim a nobis irritatur, ad throni sui consortes primitias respiciens, reconciliatur: quando hominibus scelerate agentibus indignatur, intemeratam humanitatem a dextris suis videns, placatur. Cum ad iram illum concitat flagitiosum genus, iram superne mitigat congener noster illi assidens. Hoc tibi explicans
Rom. 8. 34. Paulus ait: *Christus est in dextera Dei, & supplicat pro nobis*; non quod egeat supplicis vocibus: in regnum enim ascendit Christus; non quod supplicatio sibi sit propria: sed ipsam primitiarum assumtionem in supplicationem quæ nos reconciliaret configuravit Paulus. O horrendum hodie dæmonibus spectaculum! horrendum certe illis erat, videre hominis ut apparebat naturam, aerem pervadentem, excelsius quam illi ascendentem, cælis superiorem factam. Verum illi quidem gemebant. Angeli vero læti hominibus adstantes clamabant: *Hic Jesus qui assumtus est a vobis in cælum, sic veniet quemadmodum vidistis eum euntem in cælum.* Certius fit assumtionis mysterium. Discipuli enim stabant hianti ore in cælum respicientes & attente intuentes. Cum vero paulatim caro altius pervasit, quam ut possent oculi attingere, in dubitandi cogitationem vergebant. Nusquam, inquiunt, corpus apparet, num species & phantasia solum fuit assumtio? Forte oculis erravimus; aut non erravimus quidem, sed forte corpus in aerem dissolutum est, & jam naturam non habet terrenis visibilem. Cum sic dubitantes respicerent in cælum, angelos statim audierunt:
Act. 1. 11. *Viri Galilæi, quid statis aspicientes in cælum?* Quid sibi vult, inquiunt, aspectus ille curiosus? Quid oculi in cælum intenti? In cælis quæritis illum? Jesum aufert nubes. Num quis jam illum in corpore videbit? Utrique rei ut certæ confidite; etsi nunc in cælum sit assumtus, at rursum veniet, *quemadmodum vidistis eum euntem in cælum.* Sed ne diutius lingua tendatur, fatiscentes citharas deponamus, aliisque citharis demus locum. Assumtioni plaudant multorum ora. Canat hodie communi voce totum hominum ge-
1. Tim. 3. 16. nus: *Magnum pietatis mysterium, visus est angelis, creditus est in mundo, assumtus est in gloria.* Ipsi gloria in sæcula sæculorum, amen.

A κύριος θάνατον ἐπὶ Ισραὴλ ἀπὸ πρωΐθεν, καὶ ἕως ὥρας ἀρίστου, καὶ ἀπέθανον ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. τί ἄν σοι τὰς τοῦ θεοῦ πρὸς βασιλέα τότε διηγοίμην προτάσεις; τάδε γὰρ λέγει κύριος, φησιν· αἴτησαι σεαυτῷ τρία ἔτη λιμὸν ἐπὶ τὴν γῆν, ἢ τρεῖς μῆνας τοὺς ἐχθρούς σου καταδιώκειν σε, ἢ τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου. τραγῳδοῦσι καὶ γραφεῖς Ἑλλήνων τὰς τῶν παλαιῶν χρόνων κακοπραγίας, κατακλυσμῶν ἀμετρίαν, ὑπερβολὴν ἐκπυρώσεως, πολυετίαν λιμῶν, σεισμῶν ὄλεθρον πάνδημον, αἱμάτων ἐμφυλίοις ἐκχύσεις, κύματα πολέμων ἐπαλλήλων. οὐκ ἦν τότε τῶν ἐξ οὐρανοῦ καὶ γῆς παρατάξεων, οὐκ Ἕλλησιν, οὐ βαρβάροις, οὐκ Ἰουδαίοις εἰρήνη. ἔμενε γὰρ τὸν εἰρηνοποιοῦντα τὰ ἄνω καὶ τὰ κάτω μεσίτην· περὶ οὗ Παῦλός φησιν· αὐτός ἐστιν εἰρήνη
B ἡμῶν, ὁ κωλύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. πόσοι νῦν Σοδομιτῶν ἀσελγέστεροι; καὶ πῦρ ἐπ' αὐτοὺς ὁ ἀὴρ, ὡς τὸ πρίν, οὐκ ἐκχέει. ἐδέξατο γὰρ τὸν τῆς εἰρήνης προϊόντα μεσίτην καὶ τῷ τῶν ἀνθρώπων προσημέρωσε γένει. πόσοι τῶν ἐπὶ τοῦ Νῶε γενεᾶς μοχθηρότεροι; καὶ κατακλυσμῷ τούτους οὐκ ἐκπλύνει οὐρανός. πόσαι τῆς Κάϊν θηριωδέστεραι γνῶμαι; καὶ τοῖς τοῦ Κάϊν αὐτοὺς οὐ τιμωρεῖται ὁ θεός. ὅταν γὰρ παροξυνθῇ παρ' ἡμῶν, πρὸς τὴν σύνθρονον ἰδὼν ἀπαρχὴν, διαλλάττεται· ὅταν τοῖς κάτω θυμωθῇ παροινοῦσι, τὴν ἄμωμον ἀνθρωπότητα βλέπων ἐκ δεξιῶν δυσωπεῖται· ὅταν κινήσῃ τὴν ὀργὴν τὸ κάτω πονηρευόμενον γένος, ἄνω πραΰνει τὸν θυμὸν ὁ τοῦ γένους συγγενὴς συγκαθήμενος. τοῦτό σοι Παῦλος γυμνῶν, Χριστὸς, φησίν, ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, οὐχ ὡς χρώμενος δικαζομένου φωναῖς·
C εἰς βασιλείαν γὰρ ἀνῆλθεν ὁ Χριστός· οὐκ ἰδικὴν, ἀλλ' αὐτὴν τῆς ἀπαρχῆς τὴν ἀνάληψιν εἰς ἐντυχίαν ἐσχημάτισε Παῦλος τὰς διαλλαγὰς ἐκδικοῦσαν. ὢ τῆς φρικτῆς σήμερον θεωρίας τοῖς δαίμοσι. φρικτὴν γὰρ αὐτοῖς θεωρίαν ἑώρων, ἀνθρώπου κατὰ τὸ φαινόμενον φύσιν, ὁδοιποροῦσαν ἀέρος, ὑψηλοτέραν αὐτῶν ἀναβαίνουσαν, ἀνωτέραν οὐρανοῦ γενομένην. ἀλλ' ἐκεῖνοι μὲν ἔστενον, ἄγγελοι δὲ τοῖς μαθηταῖς παρεστάντες περιχαρῶς ἐπεβόων· οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς οὐρανόν. τὸ τῆς ἀναλήψεως πιστοῦται μυστήριον. ἔμενον γὰρ οἱ μαθηταὶ πρὸς οὐρανὸν κεχηνότες καὶ συντεταμένοι τῷ βλέμματι· τῆς σαρκὸς δὲ κατὰ μικρὸν ὑψηλοτέρας τῶν ὀφθαλμῶν γενομένης, ἐσείοντο λογισμοῖς ἀπορίας. οὐδαμοῦ,
D φησι, τὸ θεωρούμενον σῶμα· τάχα σχήματος ἁπλῶς ἡ ἀνάληψις; τάχα φαντασίας θέα; τάχα πλάνην ὑπεμείναμεν βλέμματος; ἢ πλάνην μὲν ἡμεῖς οὐχ ὑπέστημεν, εἰς ἀέρα δὲ διελύθη τάχα τὸ σῶμα, καὶ φύσιν οὐκ ἔχει λοιπὸν τοῖς ἐπὶ γῆς ὁρατήν; μεταξὺ τοιαύτης ὁρῶντες εἰς οὐρανὸν ἀπορίας ἤκουον τῶν ἀγγέλων ἐξαίφνης· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; τί βούλεταί, φησιν, ὑμῖν ἡ περίεργος ὄψις; τί τὸ βλέμμα τοῖς οὐρανοῖς ἐπικέχηνε; ζητεῖτε πάντως ἐν τοῖς οὐρανοῖς; εἰσφέρει τὸν Ἰησοῦν ἡ νεφέλη. εἰ πάλιν τις αὐτὸν ἐνσώματον ὄψεται. ὡς περὶ βεβαίων ἀμφοτέρων θαῤῥεῖτε. κἂν γὰρ νῦν εἰς οὐρανὸν ἀναληφθῇ, καὶ πάλιν ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ἀλλ' ἐπὶ πολὺ τῆς γλώσσης ἡ νευρὰ μὴ τεινέσθω, χαυνώ-
E σωμεν τὴν τῶν λόγων αὐτὴν κεκμηκυῖαν κιθαρῳδίαν· δῶμεν καὶ ταῖς λοιπαῖς κιθάραις ἀκροάσιν, κροτείτω τὴν ἀνάληψιν εὐφημία πολύστομος· ᾀδέτω σήμερον κοινῇ πάντων ἀνθρώπων τὸ γένος, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· ὤφθη ἀγγέλοις, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εἰς τὴν μεταμόρφωσιν τοῦ σωτῆρος.

ΔΕΥΤΕ φίλοι, σήμερον τῶν εὐαγγελικῶν ἀόκνως ἐφαψώμεθα θησαυρῶν, ἵν' ἐκεῖθεν συνήθως ἀρυσώμεθα πλοῦτον ἀφθόνως * μεριζόμενον, καὶ οὐδαμῶς οὐδέποτε δαπανώμενον. δεῦτε τῷ πανσόφῳ, καλῶς ὁδηγοῦντι, καὶ πάλιν ἀκολουθήσωμεν Λουκᾷ, ἵν' ἴδωμεν τὸν Χριστὸν εἰς ὄρος ὑψηλὸν ἀναβαίνοντα, καὶ Πέτρον, καὶ Ἰάκωβον καὶ Ἰωάννην τῆς θείας μεταμορφώσεως λαμβάνοντα μάρτυρας. παραλαβὼν γάρ, φησι, σὺν τοῖς περὶ Πέτρον, εἰς ὄρος ὑψηλὸν ἀνῆλθεν ὁ δεσπότης. ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς καὶ Ἡλίας διελέγετο τῷ Χριστῷ· ὄρος ὑψηλὸν, ἐν ᾧ νόμος καὶ προφῆται συνωμίλουν τῇ χάριτι· ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς ὁ τὸ πάσχα τὸν ἀμνὸν σφαγιάσας, καὶ τῷ αἵματι τὰς φλιὰς τῶν Ἑβραίων ῥαντίσας· ὄρος ὑψηλὸν, ἐν ᾧ Ἡλίας παρ' ἐκείνοις τὸν βοῦν μελίσας, τὴν δι' ὕδατος θυσίαν ἐν πυρὶ δαπανήσας· ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς ὁ ἀνοίξας καὶ κλείσας τῆς ἐρυθρᾶς θαλάσσης τὰ συστήματα· ὄρος ὑψηλὸν, ἵνα μάθωσιν οἱ περὶ Πέτρον καὶ Ἰάκωβον, ὅτι αὐτός ἐστιν, ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. τρεῖς γὰρ μόνους παραλαβὼν, οὐ πάντας παραλαβὼν, οὐ πάντας καταλιπὼν, οὐ φθονήσας τοῖς ἄλλοις τῆς δόξης, οὐκ εὐτελεστέρους κρίνας· δίκαιος γὰρ ὤν, δικαίως τὰ πάντα διέπει· ἀναλογιζόμενος πάντας, καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ οὐ μεριζομένους ἥνωσεν. ἀλλ' ἐπειδὴ ἀνάξιος ἦν τῆς θείας ὄψεως καὶ τῆς φοβερᾶς ἐκείνης ὀπτασίας ὁ μέλλων γίνεσθαι προδότης Ἰούδας, τούτου χάριν καὶ σὺν ἄλλοις καταλιμπάνει, ἵνα κἀκείνῳ μὴ μόνῳ καταλειφθέντι πᾶσαν ἀπολογίαν ὕστερον ἀποκαλύψῃ, καὶ τῆς μεταμορφώσεως σὺν τρεῖς αὐτάρκεις κατὰ τὸν νόμον ἐπισπάσηται μάρτυρας, ἐν αὐτοῖς κατὰ ψυχὴν καὶ σὺν λοιποὺς περιφέροντας. αὐτὸς γάρ φησι, φύλαξαι αὐτοὺς, πάτερ δίκαιε, ἵνα καὶ αὐτοὶ ἓν ὦσι, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. ὁρῶν γὰρ ὁ Ἰούδας παρὰ τὸ ὄρος Ἀνδρέαν, Θωμᾶν, Φίλιππον, καὶ σὺν λοιποὺς διατρίβοντας μετ' αὐτοῦ, καὶ οὐδὲ γογγύζοντας, οὐκ ἀγανακτοῦντας, οὐ λοιδοροῦντας, ἀλλὰ χαίροντας, καὶ κοινῇ τὴν ἄνωθεν χάριν ἑαυτοῖς καὶ τοῖς ἀποῦσι ψηφίζοντας, ἀναπολόγητος παντελῶς ὑπῆρχεν, εἰς οὐδὲν οὐδέποτε τῶν θαυμάτων παροραθείς. ἀλλὰ καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὴν τοῦ μύρου ἀναιτίως βασκαίνων, καὶ τὸν διδάσκαλον τοῖς ἐχθροῖς τολμηρῶς προδιδών. καὶ τί φησι; καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἡλίας συλλαλοῦντες αὐτῷ. ἀλλ' ὁ Πέτρος, ὡς ἀεὶ περὶ πάντα θερμὸς, ὄμμασι διανοίας, οὓς οὐκ οἶδε ποτε θεωρήσας συλλαλοῦντας αὐτῷ, οὐ πολὺ μετριώσας τὸ θαῦμα, οὐ τὸ παράδοξον μετρήσας τῆς θείας ἐλλάμψεως, καλὸν ἐκάλει τὸν ἔρημον τόπον. σκηνοποιὸς ἐξ ἁλιέως προέκοπτε, τῷ σωτῆρι βοῶν· ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, μίαν σοι, καὶ μίαν Ἡλίᾳ, καὶ μίαν Μωϋσῇ, οὐκ εἰδὼς ὃ λέγει. ἀλλ' ὦ τῶν μαθητῶν κορυφαῖε καὶ πρωτοστάτα Πέτρε; τί ταπειναῖς ἐννοίαις προπετεύεσθαι θέλεις, καὶ λογισμοῖς ἀνθρωπίνοις καθυβρίζεις τὰ θεῖα, καὶ τρεῖς ἐγείρειν ἐν ἐρήμῳ λέγεις; ὁμότιμον τοῖς δούλοις ὁρίζεις τὸν δεσπότην; καὶ τῷ Χριστῷ μίαν σκηνὴν, καὶ τοῖς δυσὶν ἐξ ἴσης οἰκοδομὴν ἐπείγῃ; μὴ γὰρ ἐξ ἁγίου πνεύματος, ὡς οὗτος, συνελήφθη Μωϋσῆς; μὴ γὰρ παρθένος ἔτεκε τὸν Ἡλίαν, ὡς τοῦτον ἡ παναγία παρθένος Μαρία; μὴ γὰρ ἔμβρυον ἐκ μήτρας ἐπέγνω Μωϋσέα, καθάπερ τοῦτον ὁ πρόδρομος; μὴ γὰρ οὐρανὸς ἐμήνυσεν Ἡλίου τὴν γέννησιν; ἢ μάγοι προσεκύνησαν Μωϋσέως τὰ σπάργανα; μὴ γὰρ Μωϋσῆς καὶ Ἡλίας εἰργάσαντο τοσαῦτα θαύματα; ἢ σπηλαίῳ ἀνθρωπίνῳ ἀπήλασαν πνεύματα; Μωϋσῆς γὰρ ὠργίσθη ποτὲ, καὶ ῥάβδῳ πατάξας διῆλθε τὸ πέλαγος· ὁ δὲ σὸς διδάσκαλος Ἰησοῦς ἐν θαλάσσῃ πεζεύσας σὺν τῷ Πέτρῳ,

A

## *In transfigurationem Servatoris.*

VENITE, dilecti, hodie evangelicos thesauros impigre attingamus, ut inde pro more divitias ubertim dividamus, quæ nunquam absumi possunt. Venite ad sapientissimum rectumque ducem: rursus sequamur Lucam, ut videamus Christum in montem excelsum ascendentem, qui Petrum, Jacobum & Joannem divinæ transfigurationis testes assumsit. Assumto, inquit, Petro & sociis, in montem excelsum ascendit Dominus. *Luc. 9. 28.* Mons excelsus, in quo Moyses & Elias cum Christo loquebantur: mons excelsus, in quo lex & prophetæ cum gratia loquebantur: mons excelsus, in quo erat Moyses, B qui agnum paschalem immolavit, & Hebræorum limina sanguine aspersit: mons excelsus, in quo Elias erat, qui apud illos bovem in partes dissecuit, & per aquam victimas igne absumsit: mons excelsus in quo Moyses erat, qui mare Rubrum aperuit & clausit: mons excelsus, ut discant Petrus, Jacobus & Joannes, *Philip. 2. 10.* ipsum esse cui omne genu flectitur cælestium, terrestrium & infernorum. Tres solum assumsit: non omnes assumens, nec omnes relinquens: non aliis gloriam invidens, non viliores judicans; justus enim cum sit, juste omnia administrat; omnes mente revolvit, & ex mutua caritate non avulsos, una copulavit. Sed quia divina illa & tremenda visione indignus erat Judas, qui traditor futurus erat, ideo C cæteros relinquit; ne ille, utpote solus relictus se hac defensione obtegeret; utque tres assumeret transfigurationis testes, qui secundum legem satis erant, qui etiam reliquos mente secum afferebant. Ipse namque ait: *Serva eos, Pater juste, ut & ipsi unum sint, sicut & nos unum sumus.* *Joan. 17. 21.* Videns enim Judas extra montem, Andream, Thomam, Philippum, & cæteros secum versantes, nec murmurantes, vel convitiantes, sed gaudentes, atque supernam gratiam & sibi mutuo & absentibus optantes, inexcusabilis omnino erat, qui in nullo patrato miraculo retro relictus fuerat. Sed & marsupium habuit, & ungenti mulieri sine causa invidit, & Magistrum audacter inimicis tradidit. Et quid dicit? D *Et transfiguratus est ante eos. Et apparuerunt Moyses & Elias loquentes cum eo.* Verum Petrus, ut semper in omnibus fervens, oculis mentis eos, quos non noverat, cernens cum eo loquentes, non ita accurate miraculum, & stupendæ divinæque illuminationis fulgorem considerans, desertum illum locum pulcrum vocabat; ex piscatore in tabernaculorum opificem provectus, Servatori clamat: *Faciamus hic tria tabernacula, tibi unum, Eliæ unum, & Moysi unum, nesciens quid diceret.* *Luc. 9. 32.* Sed o discipulorum coryphæe & princeps, Petre! Cur cum humilibus cogitationibus petulanter te ingeris? E & humanis ratiociniis divina afficis contumelia? dum tria erigenda dicis, parem servis dominum definis, & unum Christo tabernaculum, & duobus aliis similiter vis excitare? Num ex Spiritu sancto, ut hic, conceptus fuit Moyses? Num Virgo peperit Eliam, ut hunc Sanctissima Virgo Maria? Num infans ex utero novit Moysem, ut hunc præcursor? An cælum Eliæ natales significavit? Aut Magi Moysis incunabula adorarunt? Num Moyses & Elias tot miracula patrarunt? An in humanam speluncam Spiritus advenerunt? Moyses enim aliquando iratus est, & virga percussum pelagus trajecit: Magister vero tuus Jesus in mari ambulans cum Petro,

calcabile profundum reddidit. Elias precans viduæ farinam multiplicavit, & ejus filium ex mortuis suscitavit: qui vero te ex piscatore discipulum accepit, paucis panibus millia hominum satiavit, & infernum exspoliavit, abripuitque eos qui a sæculo dormiebant. Ne ergo dicas, Petre, *Faciamus hic tria tabernacula*; nec, *bonum est nos hic esse*. Nihil dicas humanum, humile, terrenum, humi repens. Superna sapias, superna quæras, ut indicavit Paulus, non quæ super terram. Quomodo enim bonum est nos hic esse, ubi serpens primum parentem contumelia affecit & læsit, & paradisum clausit? Ubi ipsum in sudore vultus panem comedisse audivimus? Ubi gemuisse & tremuisse propter inobsequentiam didicimus? Ubi omnia umbra? Ubi omnia in momento transibunt? Quomodo ergo bonum est nos hic esse? Si nos Christus hic relinqueret, cur communicasset carni & sanguini? Si nos Christus hic relinqueret, cur lapso subvenit & jacentem erexit? Si bonum sit esse super terram, frustra vocatus es cælorum clavicularius? Ad quid enim utiles erant claves cælorum? Quando hunc montem desideras, cælis jam abrenuncia. Si tabernacula vis excitare, fundamentum ecclesiæ esse recusa. Transfiguratus enim est Christus, non frustra; sed ut futuram nobis ostenderet naturæ transfigurationem, & futurum in nubibus in voce archangelorum secundum salutarem adventum. Ipse enim est amictus lumine sicut vestimento, judex vivorum & mortuorum. Quare Moysem & Eliam in medium adduxit, ut antiquorum oculis signacula sisteret. Et quid
Luc. 9. 35. dicit magnus ille scriptor? *Adhuc eo loquente, ecce nubes lucida obumbravit eos. Et ecce vox de cælis dicens: Hic est Filius meus dilectus, in quo mihi complacui: ipsum audite.* Adhuc, inquit, Petro loquente, contradixit Pater. Cur, Petre, bonum esse dicis, qui nescis quid dicas? Nondum institutus es; nondum firmam Filii
Matt. 17. 5. cognitionem accepisti, qui dicis: *Tu es Christus filius Dei vivi.* Tot signa vidisti, Bar-jona, & adhuc Simon es? Cælorum te clavicularium constituit, & nondum nauticæ artis vestimentum deposuisti? Ecce jam tertio Servatoris voluntati resistis nesciens quid dicas. Dixit tibi, Oportet me pati; & ais, Non erit hoc tibi. Dixit rursum, Omnes scandalizabimini; & dicis,
Matt. 26. 31. Si omnes, ego certe non scandalizabor. Ecce nunc quoque Christo vis tabernaculum excitare, qui mecum fundavit terram, qui mecum mare constituit, & firmamentum fixit, qui ætherem igneum fecit, & omnia mecum ante sæcula creavit. Tabernaculum illi, qui ex me est; tabernaculum illi qui in me & vobiscum est; tabernaculum Adamo qui est sine patre; tabernaculum Deo, qui est sine matre; tabernaculum ei qui accepit tabernaculum quod elegerat, uterum virginalem. Itaque quia tu tria tabernacula vis excitare, nesciens quid dicas, ego nube lucida usus, tabernaculum & adstantes custodiens, ex altissimis clamo: *Hic est Filius meus dilectus, in quo mihi complacui.* Non Moyses vel Elias, sed hic; non alius vel alius; sed hic, unus & ipse in quo mihi complacui, ipsum audite. Moysem justificavi, sed in hoc mihi complacui: Heliam accepi; sed hunc misi ex Virgine in ipsum
Joan. 3. 13. cælum: *Nemo enim*, inquit, *ascendit in cælum, nisi is qui de cælo descendit.* Illuc ergo descendit, in terram: illic seipsum exinanivit, formam servi accipiens. Nisi ille, manens quod erat, factus esset id quod nos sumus, nisi crucem apud nos & propter nos sustinuisset, & proprio sanguine mundum redemisset, cessaret œconomia, & prophetarum vetera dicta irrita manerent. Sed quiesce, Petre, & ne sapias ea quæ hominum, sed quæ Dei sunt. *Hic est enim Filius meus dilectus, in quo mihi complacui: ipsum audite.* Duplici enim voce circa illum usus sum;

A βαλὸν ἐποίησε τὸν βυθόν. ὁ Ἠλίας ἱκετεύσας ἐπλήθυνε τῆς χήρας τὸ ἄλευρον καὶ τὸν ταύτης υἱὸν ἀνέστησεν ἐκ νεκρῶν· ὁ δέ σε μαθητὴν ἐξ ἁλιέων λαβὼν, ἐπ' ὀλίγοις ἄρτοις χιλιάδας ἐκόρεσε, καὶ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἀνήρπασε τοὺς ἀπ' αἰῶνος καθεύδοντας. μὴ τοίνυν λέγε, Πέτρε, ποιήσωμεν ὧδε τρεῖς σκηνάς· μηδὲ, καλὸν ἡμᾶς τὸ ὧδε εἶναι· μηδὲ ἀνθρώπινον, μηδὲ ταπεινὸν, μηδὲ γήϊνον, μηδὲ χαμερπές. τὰ ἄνω φρόνει, τὰ ἄνω ζήτει, ὡς ὁ Παῦλος ἐμήνυσε, μὴ τὰ ἐπὶ γῆς. πῶς γὰρ ἡμᾶς καλὸν τὸ ὧδε εἶναι, ὅπου ὁ ὄφις ὑβρίσας τὸν πρωτόπλαστον καὶ ἔβλαψε, καὶ τὸν παράδεισον ἔκλεισεν; ὅπου τὸν ἄρτον ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίειν ἠκούσαμεν; ὅπου στένειν καὶ τρέμειν ἐπὶ τῆς γῆς διὰ παρακοὴν ἐμάθομεν; ὅπου πάντα σκιά; ὅπου πάντα παρελεύσεται ῥοπῇ; πῶς οὖν ἡμᾶς
B ὧδε εἶναι καλόν; εἰ ἐνταῦθα Χριστὸς κατελίμπανεν ἡμᾶς, τίνος χάριν ἐκοινώνησεν αἵματος καὶ σαρκός; εἰ ἐνταῦθα Χριστὸς κατελίμπανεν ἡμᾶς, τίνος χάριν συγκατέβη τῷ πεσόντι, καὶ τὸν κείμενον ἤγειρεν; εἰ καλὸν εἶναι ἐπὶ τῆς γῆς, εἰς μάτην ἐκλήθης τῶν οὐρανῶν κλειδοῦχος. ποῦ γὰρ λοιπὸν χρήσιμοι τῶν οὐρανῶν αἱ κλεῖς; ἐπεὶ τὸ ὄρος τοῦτο ποθεῖς, ἀπόταξαι λοιπὸν οὐρανοῖς· εἰ σκηνὰς ἐγεῖραι θέλεις, παραίτησαι τὸ εἶναι τῆς ἐκκλησίας θεμέλιος. μετεμορφώθη γὰρ Χριστὸς, οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἡμῖν ἀποδείξῃ τὴν μέλλουσαν τῆς φύσεως μεταμόρφωσιν, καὶ τὴν ἐσομένην ἐπὶ τῶν νεφελῶν ἐν φωνῇ ἀρχαγγέλων δευτέραν σωτήριον ἔλευσιν. αὐτὸς γάρ ἐστιν ὁ τὸ φῶς ὡς ἱμάτιον περιβαλλόμενος, κριτὴς ὑπάρχων ζώντων καὶ νεκρῶν· ὅθεν Μωϋσῆν καὶ Ἠλίαν εἰς μέσον παρήγαγε, τῶν
C ἀρχαίων ὄψεων παραστῆσαι τὰ σήμαντρα. καὶ τί φησιν ὁ μέγας γραφεύς; ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ἔτι, φησὶ, τοῦ Πέτρου λαλοῦντος ἀντέλεξεν ὁ πατήρ· τί, Πέτρε, καλὸν εἶναι λέγεις, μὴ εἰδὼς ὃ λέγεις; οὔπω πεπαιδαγώγησαι, οὔπω τὴν ἀσφαλῆ γνῶσιν τῆς υἱότητος ἔμαθες, ὁ λέγων, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. τοσαῦτα θαύματα κατεῖδες, Βὰρ Ἰωνᾶ, καὶ ἔτι Σίμων ὑπάρχεις; οὐρανῶν σε κλειδοῦχον κατέστησε, καὶ τῆς ναυτιλίας ἔτι τὸ ἱμάτιον οὐκ ἀπέθου; ἰδοὺ τὸ τρίτον ἀνθίστασαι τῇ τοῦ σωτῆρος βουλῇ, μὴ εἰδὼς ὃ λέγεις. εἶπε γάρ σοι, δεῖ με παθεῖν, καὶ λέγεις, οὐ μὴ ἔσται σοι τοῦτο. εἶπε πάλιν, πάντες
D σκανδαλισθήσεσθε, καὶ λέγεις, εἰ πάντες, ἐγὼ δὲ οὐ σκανδαλισθήσομαι. ἰδοὺ καὶ νῦν ἐγεῖραι θέλεις τῷ Χριστῷ, τῷ ἅμα ἐμοὶ θεμελιώσαντι τὴν γῆν, τῷ ἅμα ἐμοὶ συστήσαντι τὴν θάλασσαν, καὶ στερέωμα πήξαντι, αἰθέρα πυρώσαντι, καὶ πάντα σὺν ἐμοὶ πρὸ αἰώνων δημιουργήσαντι, σκηνὴν τῷ ἐξ ἐμοῦ, σκηνὴν τῷ ἐν ἐμοὶ καὶ μεθ' ὑμῶν, σκηνὴν τῷ ἀπάτορι Ἀδὰμ, σκηνὴν τῷ ἀμήτορι θεῷ, σκηνὴν τῷ λαβόντι σκηνὴν, ἣν ἠρετίσατο, γαστέρα παρθενικήν. οὐκοῦν ἐπειδὴ σὺ τρεῖς σκηνὰς ἐγεῖραι βούλῃ, μὴ εἰδὼς ὅπερ λέγεις, ἐγὼ νεφέλῃ φωτεινῇ χρησάμενος, σκηνὴν καὶ τοὺς παρόντας φυλάξας, ἐκ τῶν ὑψίστων βοῶ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. οὐ Μωϋσῆς καὶ Ἠλίας, ἀλλ' οὗτος· οὐκ ἄλλος
E καὶ ἄλλος, ἀλλ' οὗτος, εἷς, καὶ ὁ αὐτὸς, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε. Μωϋσῆν ἐδικαίωσα, ἀλλ' ἐν τούτῳ ηὐδόκησα· Ἠλίαν ἀνέλαβον, ἀλλὰ τοῦτον ἀπέστειλα ἐκ παρθένου εἰς αὐτὸν τὸν οὐρανόν. οὐδεὶς γάρ, φησιν, ἀνέβη εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐκεῖ τοίνυν κατῆλθεν ἐπὶ τῆς γῆς, ἐκεῖ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· εἰ μὴ, μείνας ὃ ἦν, γέγονεν ὅπερ ἐσμὲν, εἰ μὴ σταυρὸν καθ' ἡμᾶς, δι' ἡμᾶς ὑπομείνας, καὶ τῷ οἰκείῳ αἵματι τὸν κόσμον ἠγόρασεν, ἀργεῖ οἰκονομία, καὶ μένει τὰ παλαιὰ τῶν προφητῶν ἀβέβαια ῥήματα. ἀλλὰ παῦσαι, Πέτρε, καὶ μὴ τὰ τῶν ἀνθρώπων φρόνει, ἀλλὰ τὰ τοῦ θεοῦ. οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. διττῇ γὰρ τῇ περὶ αὐτὸν κέχρημαι

φωνῇ, ἐπὶ μὲν ὑμῶν ἐν τῷ ὄρει τούτῳ, ἐπὶ δὲ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ· ἣν ὁ πάλαι προφήτης ἀληθῶς ἐδήλου βοήσας, Θαβὼρ, καὶ Ἑρμονιὴλ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. ποίῳ ὀνόματι; οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. ἐχαρίσατο γὰρ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ἀλλ' ἐρεῖς πάντως, ἀγαπητὲ, τί ἐστι, Θαβὼρ καὶ Ἑρμονιὴλ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται; μάνθανε τοίνυν συνετῶς. τὸ Θαβὼρ, τοῦτό ἐστι τὸ ὄρος, ἔνθα θελήσας μετεμορφώθη Χριστὸς, καὶ υἱὸς παρὰ πατρὸς ἐμαρτυρήθη, ὡς ἀρτίως ἠκούσατε. τὸ δὲ Ἑρμονιὴλ ὄρος ἐστὶ μικρὸν ἐκ γῆς Ἰορδάνου, ὅθεν ἀνελήφθη Ἡλίας, καὶ οὗ τινος πλησίον ἐν τοῖς ῥείθροις τοῦ Ἰορδάνου βουληθεὶς ἐβαπτίσθη Χριστὸς, καὶ υἱὸς παρὰ πατρὸς ἐμαρτυρήθη. ἐν τούτοις τοῖς δυσὶν ὄρεσιν ὁ ἄχραντος πατὴρ βεβαιῶν τὴν υἱότητα, καὶ τότε καὶ νῦν ἐκ δευτέρου βοᾷ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ὁ γὰρ αὐτοῦ ἀκούων, καὶ ἐμοῦ ἀκούει· καὶ ὃς ἂν ἐπαισχυνθῇ αὐτὸν, καὶ τοὺς αὐτοῦ λόγους, κἀγὼ αὐτὸν ἐπαισχυνθήσομαι ἐν τῇ δόξῃ μου καὶ τῶν ἁγίων ἀγγέλων. αὐτοῦ ἀκούετε, ἀπλάστως, ἀκάκως, ἀπεριεργάστως πίστει ζητοῦντες, ἀλλ' οὐ γλώττῃ μετροῦντες· πίστει παραλαμβάνοντες, ἀλλ' οὐ λόγοις τὸν λόγον σταθμίζοντες. ἄρτι γὰρ Παῦλος ὁ ῥήτωρ χαλινῶν τὸν περίεργον, καὶ πάντα διδάσκων ἀνενδοιάστως, βοᾷ· ὢ βάθος πλούτου τε καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A vobis in hoc monte; Joanni in Jordane fluvio. Hanc olim propheta vere significavit clamans, *Thabor & Hermoniel in nomine tuo exsultabunt*: Psal. 88: 13.
In quo nomine? *Hic est Filius meus dilectus*: dedit enim illi nomen quod est super omne nomen. Sed dices utique, dilecte: Quid est, *Thabor & Hermoniel in nomine tuo exsultabunt*? Id prudenter disce. Thabor, mons est hic, in quo lubens Christus transfiguratus est, & Filius a Patre declaratus est, ut modo audistis. Hermoniel mons est parvus ex terra Jordanis, unde assumtus est Elias, & prope quem in fluentis Jordanis volens Christus baptizatus est, & Filius a Patre declaratus. In his duobus montibus intemeratus Pater filiationem firmans, & tunc & nunc secundo clamat: *Hic est Filius meus dilectus, in quo mihi complacui; ipsum audite.* Qui enim ipsum
B audit, & me audit: & qui de ipso & ejus verbis erubuerit, ego quoque de illo erubescam in gloria mea & sanctorum Angelorum. Ipsum audite absque simulatione & nequitia, incircumscripte, fide quærentes, non lingua metientes: fide accipientes, non Verbum verbis ponderantes. Jam enim Paulus orator, curiosum refrenans, & omnia sine dubitatione docens, clamat: *O altitudo divitiarum sapientiæ & scientiæ Dei: quam incomprehensibilia sunt judicia ejus, & investigabiles viæ ejus.* Ipsi gloria in sæcula sæculorum, amen. Rom. 11. 33.

## Εἰς τὰ βαΐα.

ΗΔΗ τῆς πνευματικῆς πανηγύρεως περιλάμπει τὰ χαρίσματα· ἤδη τῆς πανευφήμου ἑορτῆς προτρέχει τὰ σήμαντρα· ἤδη τοῦ ἀΰλου νυμφίου προτρέχουσι τὰ μηνύματα· ἤδη τὸν τῆς καθολικῆς ἀναστάσεως ἀρραβῶνα δεξάμενος Λάζαρος τῷ κυρίῳ ἀνάκειται· ἤδη τὸ τῆς δωρεᾶς μύρον τοὺς τῷ βαπτίσματι προστρέχοντας εὐωδιάζει· ἤδη τοῦ βασιλέως οἱ πιστοὶ φύλακες τὴν μεγάλην πόλιν ταύτην κατέλαβον· ἤδη ὁ πιστὸς λαὸς εἰς ἀπάντησιν τῷ κυρίῳ προσδραμὼν βοᾷ λέγων· ὡσαννὰ ἐν τοῖς ὑψίστοις, καθὼς ἀρτίως ἠκούσατε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ· εὐλογημένος, ὁ ἐρχόμενος, ὁ ἀεὶ ἐρχόμενος, καὶ ὢν μεθ' ἡμῶν, καὶ ἔξω τῶν πιστῶν μηδαμῶς γινόμενος. οὕτως ὁ ὄχλος ἐκεῖνος βασιλικὴν ἐγνώρισε δύναμιν καὶ εἴσοδον. ὥσπερ γὰρ ἐν τοῖς παροῦσι κοσμικοῦ βασιλέως ἐπιστρατεύσαντος τυράννῳ, καὶ μετὰ νίκης ὑποστρέφοντος, πάντες οἱ πολῖται αὐτοῦ πρὸ τῆς πόλεως συναντῶσιν, ἄνθη βαστάζοντες, ἐπαίνους πλέκοντες, ἐγκωμίοις τὴν νίκην ἀμειβόμενοι· ἄγει δὲ αὐτοὺς πρὸς ταῦτα οὐκ ἔνδοξος ἔρως, ἀλλ' ἐπινίκιος ὕμνος καὶ πάθος· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὡς ἐπὶ βασιλέως τροπαιούχου, ἅπαν τὸ πλῆθος καὶ ἐκ τῶν λόγων, καὶ ἐκ τῶν βαΐων ἐμήνυον, ὅτι νικητὴς ὁ παραγινόμενος, μᾶλλον δὲ ὅτι θεὸς ὁ γνωριζόμενος. θεῷ γὰρ μόνῳ ἁρμόδιαι αἱ φωναὶ αἱ τότε βληθεῖσαι, καὶ τοῖς συνετοῖς θεῖα μυστήρια παραγυμνοῦσαι, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, τουτέστι, σῶσον δὴ ὁ ἐν τοῖς ὑψίστοις. οὕτω γὰρ ἑρμηνεύεται τῇ Ἑβραΐδι φωνῇ τὸ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ὡς ἄνω σωτηρία, καὶ κάτω φιλανθρωπία. ὢ ὄχλου θεογνωσία ἀγγελικῆς διακονίας μετεσχηκότος. γῆν πατοῦντες, καὶ οὐρανὸν χωροβατοῦντες, σῶμα περικείμενοι, καὶ τὰ τῶν ἀσωμάτων μετερχόμενοι· Ἰουδαῖοι τὴν προσηγορίαν, καὶ χριστιανοὶ τὴν ἐργασίαν· κοσμικοὶ τὴν διαγωγὴν, καὶ ἀποστολικοὶ τὴν ὁμολογίαν. ἄνωθεν καὶ οὗτοι, ὡς Πέτρος, τὴν ἀποκάλυψιν ἐδέξαντο. ὥσπερ γὰρ ὁ κορυφαῖος τῶν ἀποστόλων οὐκ ἐξ οἰκείας μελέτης, ἀλλ' ἐκ θείας ἀποκαλύψεως ἔλεγε πρὸς τὸν κύριον, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, καὶ ὁ κύριος δεικνύων, ὅτι οὐκ ἐξ οἰκείων λογισμῶν, ἀλλ' ἐκ τοῦ πατρὸς ἔλαβε τὴν ἀποκάλυψιν, μακαρίζων αὐτὸν ἔλεγε· μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ,

C

## *In Ramos Palmarum.*

JAM præfulgent spiritualis celebritatis charismata; jam præcurrunt celebratissimi festi signacula; jam immaterialis sponsi præcurrunt indicia; jam pignus universalis resurrectionis nactus Lazarus cum Domino recumbit; jam unguenti donum eos, qui ad baptismum accurrunt, bono replet odore; jam fideles regis custodes hanc magnam urbem occuparunt; jam fidelis populus in occursum Domini veniens, clamat dicens, *Hosanna in excelsis*, ut modo au- Matt. 21. 9.
distis: *Benedictus qui venit in nomine Domini, Rex Israel.* Benedictus qui venit, qui semper venit, qui nobiscum est, & extra fideles nun-
D quam. Vere turba illa regiam virtutem & ingressum noverat. Sicut enim in præsenti, terreno rege contra tyrannum bellum gerente, & post victoriam revertente, cives omnes extra civitatem obviam ipsi veniunt, flores gestant, laudes nectunt, encomiis victoriam celebrant, non gloriæ amore moti, sed victoriæ celebrandæ desiderio: eodem modo Dominum Christum, ut regem triumphantem, omnis turba & verbis & palmarum ramis declarabat esse victorem adventantem; imo potius Deum sibi notum. Deo namque soli competunt verba tunc prolata, quæ prudentibus divina mysteria detegunt, *Hosanna in excelsis*; id est, *serva quæso in excelsis*; sic enim explicatur illud Hebraïcum, *Hosanna in*
E *excelsis*; ut superne sit salus, & inferne benignitas. O turbæ cognitionem divinam angelici ministerii consortem! Terram illi calcabant, & in cælo incedebant, corpore amicti, & incorporea tractantes; Judæi nomine, & Christiani re; mundani vitæ forma, & apostolici confessione. Hi certe, ut & Petrus, supernam revelationem acceperant. Sicut enim Apostolorum coryphæus, non ex propria meditatione, sed ex divina revelatione Domino dicebat; *Tu es Filius Dei vivi*; & Dominus ostendens ipsum non ex propria cogitatione, sed ex Patris revelatione id accepisse, beatum illum prædicabat, *Beatus es, Simon Barjona*, Matt. 16. 17.

*quia caro & sanguis non revelavit tibi, sed Pater meus qui in cælis est*; ad eumdem modum turba, acceptâ superne revelatione, clamabat ad Dominum dicens: *Hosanna in excelsis: Benedictus qui venit in nomine Domini, rex Israel.* Id certe omnino verisimile est. Undenam vero probatur Judaïcam hanc turbam superne revelationem accepisse? Undenam id probabo? Ex ipsis Domini verbis. Nam *videntes*, inquit, *summi Sacerdotes & Scribæ pueros clamantes in templo, & dicentes, Hosanna filio David, indignati sunt & dicebant ad Jesum: Audis quid hi dicunt. Jesus autem dicit eis: Etiam: nunquam legistis: Ex ore infantium & lactentium perfecisti laudem.* Nec ex Domini verbis tantum, sed etiam ex stupendo turbarum motu & occursu, & ex gestis earum asseritur; non modo enim clamabant, sed etiam ramos olivarum & palmarum secabant manibusque gestabant, ac vestimenta sua substernebant, atque servatorem & regem Dominum appellabant: unde palam cuivis est, ipsos superne revelationem accepisse. Nisi enim de cælo accepissent, unde novisset turba Dominum esse regem? Regis hujus mundi diadema non gestabat, non vestiebatur purpura, non comitabatur eum exercitus, non præcurrebant equites, non currus, non clypei auro obducti, non vehebatur curru purpura strato; sed pullo insidebat alieno, duodecim tantum ducens discipulos. Unde ergo noverat turba ipsum esse regem, nisi ex superna revelatione? Ideoque in Domino non quærebant vulgare diadema: noverant enim ipsum sine principio regnare. Non quærebant purpuram; videbant enim illum amictum lumine sicut vestimento. Non circumspiciebant militum turmam, obtemperantes prophetæ dicenti; *Decem millies dena millia ministrabant ei, & millia millium archangelorum assistebant ei.* Non quærebant equites & currus; sciebant enim ipsum esse qui Eliam in curru igneo assumsit: quia noverant evangelistas equorum instar illum sequi, credentes prophetæ, nempe Zachariæ dicenti: *Post illum equi albi, rutili, varii, & floridi.* Albus equus est Matthæus, qui ea quæ spectant ad incarnationem Domini clarius descripsit; floridus equus Marcus, qui floridius evangelium scripsit: varius equus Lucas, utpote qui elegantiori & vario sermone Christi gesta narravit. Rutilus equus Joannes, qui Christi divinitatem, quasi fulgur igneum inter apostolos resplendens declaravit: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum.* Equos autem veloces in omnem terram evangelium ferentes, Habacuc propheta apostolos vocavit, dicens: *Et induxisti in mare equos tuos*: mare totum mundum tropice vocans. Non quærebant penes Dominum currum gemmis coagmentatum, purpura stratum, regiis armis instructum, sciebant enim Cherubim & Seraphim, sex alarum lucernas, currum ornare, quod crederent ei qui dixerat: *Qui sedes super Cherubim manifestare.* Fidelis ergo turba illa Jerosolymitana a Deo revelationem nacta, non offensa a vili pullo, sed a Domini adventu corroborata est. Quapropter ubi viderunt Dominum pullo insidentem, statim propheticis impulsi prædictionibus, acceptis palmarum ramis, ad invicem dixerunt: Quid exspectamus, cur non obviam imus spirituali palmæ, ramis palmarum instructi? Fructus ejus immortalitate plenus est; folia ejus sunt orbi medela: truncus ejus; id est, lignum crucis, mundi totius salus est, & tropæum de victoria contra diabolum reportata. Audivimus ecclesiam nostram in canticis canticorum clamantem: *Ascendam in palmam*,

Matt. 21. 15.
Zach. 6. 2.
Joan. 1. 1.
Habac. 3. 14.
Psal. 79. 2.
Cant. 7. 8.

A ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· τὸν αὐτὸν τρόπον καὶ ὁ ὄχλος ἄνωθεν τὴν ἀποκάλυψιν δεξάμενος ἀνεβόα πρὸς τὸν κύριον λέγων· ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ. ἔστι δὲ πάντως εἰκὸς εἰπεῖν. τίς καὶ πόθεν ἡμῖν ἡ ἀπόδειξις, ὅτι ὁ Ἰουδαϊκὸς οὗτος ὄχλος ἄνωθεν ἔλαβε τὴν ἀποκάλυψιν. πόθεν οὖν ὑμῖν ὑποδείξω; ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων· ἰδόντες γάρ, φησιν, οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας, ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ἠγανάκτησαν καὶ εἶπον τῷ Ἰησοῦ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, ναί· οὐδέποτε ἀνέγνωτε, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; καὶ οὐκ ἐκ μόνων δὲ τῶν τοῦ κυρίου ῥημάτων,
B ἀλλὰ καὶ ἐκ τῆς παραδόξου τῶν ὄχλων συστροφῆς, καὶ ἀπαντήσεως, καὶ τῶν ἔργων ὧν ἐποίουν, οὐ μόνον κράζοντες, ἀλλὰ καὶ τοὺς κλάδους τῶν ἐλαιῶν, καὶ τὰ βάϊα τῶν φοινίκων κόπτοντες, καὶ ταῖς χερσὶ φέροντες, καὶ τὰ ἱμάτια αὐτῶν ὑποστρωννύοντες, καὶ σωτῆρα καὶ βασιλέα καὶ κύριον προσαγορεύοντες. ὅθεν παντί που δῆλον, ὅτι ἄνωθεν ἐδέξαντο τὴν ἀποκάλυψιν. εἰ μὴ γὰρ ἄνωθεν ἐδέξαντο, πόθεν ἐγνώριζεν ὁ ὄχλος βασιλέα τὸν κύριον; οὐκ ἐφόρει διάδημα βασιλέως κοσμικοῦ, οὔτε περιεβέβλητο ἁλουργίδα, οὐκ ἐπεφέρετο πλῆθος στρατοῦ, οὐ περιέτρεχον αὐτῷ ἵπποι, καὶ ἅρματα καὶ ἀσπίδες χρυσοκόλλητοι, οὐκ ἐπωχεῖτο ἅρματι πορφυροστρώτῳ βασιλικῷ· πώλῳ δὲ ἐπεκάθητο ἀλλοτρίῳ μικρῷ, δώδεκα μαθητὰς μόνους ἐπαγόμενος. πόθεν οὖν ἔγνω ὁ ὄχλος αὐτὸν βασιλέα τυγχάνειν, εἰ μὴ ἄνωθεν ἔλαβε
C τὴν ἀποκάλυψιν; διὸ οὐκ ἐζήτουν ἐπὶ τοῦ κυρίου διάδημα κοσμικόν· ἔγνωσαν γὰρ αὐτὸν ἀνάρχως βασιλεύοντα. οὐκ ἐζήτουν ἁλουργίδα· ἐθεώρουν γὰρ αὐτὸν ἀναβαλλόμενον φῶς, ὡς ἱμάτιον. οὐ περιεβλέποντο πλῆθος στρατιωτῶν, πεισθέντες τῷ εἰρηκότι προφήτῃ· μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες ἀρχαγγέλων παρειστήκεισαν αὐτῷ. οὐκ ἐπεζήτουν ἵππους καὶ ἅρματα· ἐγνώρισαν γὰρ ὅτι αὐτός ἐστιν ὁ τὸν Ἠλίαν ἐν ἅρματι πυρίνῳ ἀναλαβών· καὶ τοὺς εὐαγγελιστὰς, καθάπερ ἵππους παρακολουθοῦντας αὐτῷ γινώσκοντες, πεισθέντες τῷ εἰρηκότι προφήτῃ· Ζαχαρίας δὲ οὗτός ἐστιν ὁ εἰπὼν, ὅτι ὀπίσω αὐτοῦ ἵπποι λευκοί, καὶ πυρροί, καὶ ποικίλοι, καὶ ψαροί. λευκὸς ἵππος Ματθαῖος, ὡς τὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου σαφέστερον ἐκθέμενος. ψα-
D ρὸς ἵππος ὁ Μάρκος, ὃς διανθέστερον τὸ εὐαγγέλιον ἔγραψε. ποικίλος ἵππος ὁ Λουκᾶς, ὡς εὐγλωττοτέρως καὶ ποικίλως τὰ κατὰ κύριον ἐκθέμενος. πυρρὸς ἵππος Ἰωάννης, ὁ τὴν θεότητα τοῦ Χριστοῦ, καθάπερ ἀστραπὴ πυρὸς τοῖς ἀποστόλοις ἐκλάμψας· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. ἵππους δὲ ταχυδρόμους εἰς πᾶσαν τὴν γῆν τὸ εὐαγγέλιον κομίσαντας, καὶ ὁ προφήτης Ἀμβακοὺμ τοὺς ἀποστόλους ὠνόμασε λέγων· καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου· θάλασσαν τροπικῶς τὸν ἅπαντα κόσμον καλέσας. οὐκ ἐζήτουν ἐπὶ τοῦ κυρίου ὄχημα λιθοκόλλητον, πορφυρόστρωτον, βασιλικοῖς ὅπλοις [a] διηθυσμένον. ᾔδεισαν γὰρ τὰ χερουβὶμ, καὶ τὰ σεραφὶμ τὰς ἑξαπτέρυγας λαμπάδας, ὄχημα κεντούμενα, πεισθέντες τῷ εἰρηκότι· ὁ καθήμενος
E ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι. θεόθεν τοίνυν ὁ Ἱεροσολυμικὸς ἐκεῖνος πιστὸς ὄχλος τὴν ἀποκάλυψιν δεξάμενος, οὐκ ἐσκανδαλίσθη ὑπὸ τοῦ εὐτελοῦς πώλου, ἀλλ' ἐνεδυναμώθη ὑπὸ τῆς δεσποτικῆς παρουσίας. διὸ ὡς μόνον εἶδον τὸν κύριον ἐπιβάντα τῷ πώλῳ, εὐθέως προφητικαῖς προρρήσεσι νυχθέντες, ἀναλαβόντες τὰ βάϊα τῶν φοινίκων, ἔλεγον πρὸς ἀλλήλους οἱ ὄχλοι· τί ἀναμένομεν, καὶ οὐκ ἐξερχόμεθα εἰς ἀπάντησιν τοῦ νοητοῦ φοίνικος, κρατοῦντες τὰ βάϊα τῶν φοινίκων; ὁ καρπὸς αὐτοῦ γλυκάσματος καὶ ἀθανασίας πλήρης· τὰ φύλλα αὐτοῦ τῆς οἰκουμένης ἰάματα· τὸ στέλεχος αὐτοῦ, τουτέστι, τὸ ξύλον τοῦ σταυροῦ, τοῦ κόσμου παντὸς σωτηρία, καὶ τρόπαιον τῆς κατὰ τοῦ διαβόλου νίκης. ἠκούσαμεν τῆς ἐξ ἡμῶν ἐκκλησίας ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων βοώσης· ἀναβήσομαι ἐπὶ τοῦ φοίνικος,

[a] διηθυσμένον. Hæc vox vitiata videtur, ut infra κεντούμενα.

κρατήσω

A κρατήσω τῶν κλάδων αὐτοῦ. Προλάβωμεν τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, καὶ ὡς φοίνικα νοητὸν, καὶ ὡς βασιλέα κραταιὸν ἀσπασώμεθα. ταῦτα τῶν ὄχλων λεγόντων καὶ διαπραττομένων, καὶ τὸν κύριον εὐφημούντων, οἱ ἀρχιερεῖς καὶ Φαρισαῖοι δριμυχθέντες σφόδρα ἐπετίμων τοῖς ὄχλοις λέγοντες· τί ποιεῖτε, τί ματαιολογεῖτε προπετέστατοι; ὡς θεῷ τῷ υἱῷ τοῦ τέκτονος προσέρχεσθε τὰ βάϊα κρατοῦντες; κύριον ὀνομάζετε τὸν μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι; βασιλικὰς φωνὰς περιβάλλετε τῷ ἐπὶ πώλῳ ὄνου καθεζομένῳ; οὐχὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ παρ' ἡμῖν εἰσι; παύσασθε προπετέστατοι, εἰ δὲ μήγε, κολασθήσεσθε. διὰ τοῦτο γὰρ ἀπεστάλημεν, ὅπως τοὺς ἐν ὑμῖν προπετεστάτους σημειωσώμεθα, δίκας τῇ τόλμῃ ἀποτιννύντας. ταῦτα ἀκούσαντες οἱ ὄχλοι τῶν ἀρχιερέων λεγόντων, οὐ κινοῦνται μὲν πρὸς στάσιν, B ἀποκρίνονται δὲ πρὸς αὐτοὺς τῆς χάριτος ἐνεργούσης· μέμφεσθε ἡμῖν, Φαρισαῖοι, καὶ κόλασιν ἡμῖν ἀπειλεῖτε ὡς βλασφημίαν προϊεμένοις; τίνες κολάσεως ἄξιοι; ὑμεῖς οἱ τὰς γραφὰς ἀναγινώσκοντες, καὶ μὴ νοοῦντες, ἢ ἡμεῖς οἱ ἀκούοντες καὶ κρατοῦντες; σφαλλόμεθα βάϊα τῶν φοινίκων τῷ κυρίῳ προσφέροντες; οὐκ αὐτός ἐστιν ὁ τῆς δικαιοσύνης φοίνιξ; οὐ περὶ αὐτοῦ κέκραγεν ὁ προφήτης, δίκαιος ὡς φοῖνιξ ἀνθήσει; οὐκ αὐτὸς ἤνθησε τῶν τυφλῶν τὴν ἀνάβλεψιν; οὐ χωλοῖς τὸν δρόμον ἀκώλυτον ἐχαρίσατο; οὐ τὸν παραλυτον τὸν βαστάσαντα κλίνην βαστάσαι ἐποίησεν; οὐ τὸν τεταρταῖον Λάζαρον ἐξήγειρεν ἐκ θανάτου; οὐ διὰ τοῦτο βούλεσθε τὸν Λάζαρον πάλιν ἀποκτεῖναι; οὐχ ὑμεῖς τὸν λίθον ἀπεκυλίσατε, καὶ τῇ ἀπιστίᾳ ὡς λίθοι σκληρύνεσθε; οὐχ ὑμῖν C ἐπέτρεψε λῦσαι τὰς κειρίας, ἵνα μὴ ὡς ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ, ἄλλον ἐξ ἄλλου * τάφου παραπηδήσαντα ψευδολογήσητε; ἀεὶ ὑμεῖς τοῖς καλοῖς βασκαίνετε, ὦ Φαρισαῖοι, καὶ τῷ πλήθει πιστεύοντι ἐναντιοῦσθε. διὰ τοῦτο πάλιν τὸν Λάζαρον ἐβουλεύσασθε φονοκτονῆσαι. ἵνα τοῦ ὄχλου τὴν πίστιν ἐκκόψητε. εἰ γὰρ φονεύσητε τὸν Λάζαρον, τί; οὐ δύναται πάλιν αὐτὸν ἀναστῆσαι; ἴδωμεν τίς κοπωθήσεται, ὑμεῖς φονεύοντες, ἢ ἐκεῖνος ἐγείρων; ὑμεῖς ἔργῳ καὶ κόπῳ φονεύετε, αὐτὸς λόγῳ ἀνίστησι. τίς μᾶλλον κοποῦται; οὐχ ὁ λόγος τοῦ ἐνεργοῦντος κουφότερος; σφαλλόμεθα, ὦ Φαρισαῖοι, ὅτι ὡς βασιλεῖ προσήλθομεν τῷ κυρίῳ; τὸν πῶλον θεωροῦντες μᾶλλον ἐνεδυναμώθημεν. διὸ καὶ βασιλέα κραταιὸν γνωρίζομεν, καὶ ἔχομεν τὴν γραφὴν D παραπόδας· ἵνα μάθητε συνετῶς ὅτι οὐχ ἡμεῖς σφαλλόμεθα, ἀλλ' ὑμεῖς πλανᾶσθε. ἔχετε τὸν προφήτην Ζαχαρίαν· τούτου τοὺς λόγους ἀναπτύξατε· φοβήθητε αὐτοῦ τὸ δρέπανον τῆς ἐκδικήσεως. ἐκ πολλῶν γὰρ τῶν χρόνων τὴν Ἰουδαίαν εὐαγγελιζόμενος ἐκέκραγε, χαῖρε σφόδρα, θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἡσύχιος, καθήμενος ἐπὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου. μὴ σφαλλόμεθα τὴν γραφὴν ἀναγινώσκοντες, καὶ τὸν βασιλέα γνωρίζοντες, καὶ ἑαυτοὺς εὐεργετοῦντες, καὶ τοὺς ἀμφιβάλλοντας ἐπιστρέφοντες; τὸν προφήτην κατέχετε, καὶ τὸν προφητευθέντα νοεῖν οὐ θέλετε; ἀποστήσατε τοιγαροῦν, ὦ Φαρισαῖοι. ὅσον ἡμῖν ἐπίκεισθε, τοσοῦτο μᾶλλον τὸν πόθον ἡμῶν διεγείρετε καὶ τὸν ζῆλον. διὸ οὐ πλανώμεθα βοῶντες, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, E εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. γνωρίζομεν τὸ ὄνομα, ὦ Φαρισαῖοι. τοῦτο τὸ ὄνομα τῆς Αἰγύπτου ἡμᾶς ἐλευθέρωσε, καὶ τὴν θάλασσαν ἡμῖν βατὴν πεποίηκε, καὶ τὴν ἔρημον ἐπόλισε, καὶ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι ἐνῴκισε· τὸν προφήτην βοᾶν παρεσκεύασε· γνώτωσαν, ὅτι ὄνομά σοι, κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ὅτι μὲν ὁ ὄχλος εὐπειθὴς, οἱ δὲ ἀρχιερεῖς ἀπειθεῖς, ἄκουε τοῦ εὐαγγελιστοῦ· καὶ συνεβουλεύσαντο οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον ἀπὸ τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. εἶδες τῶν ἀρχιερέων τὴν μανίαν; ἵνα ἐκκόψωσι τὴν πίστιν τοῦ πλήθους, ἐζήτουν καὶ τὸν Λάζαρον ἀποκτεῖναι λέγοντες πρὸς ἑαυτούς· ὅτι ἐὰν τὸν Ἰησοῦν μόνον ἀποκτείνωμεν,

* Forte τυφλοῦ.

apprehendam ramos ejus. Præveniamus ecclesiam ex gentibus, illumque ut palmam spiritualem & ut regem fortem salutemus. Hæc dicentibus turbis, hæc agentibus, Dominumque celebrantibus, principes Sacerdotum & Pharisæi admodum exasperati, increpabant turbas dicentes, Quid facitis? Quid vana profertis, petulantissimi? ad fabri filium quasi ad Dei filium acceditis ramos palmarum tenentes? Dominum vocatis eum, qui non habet ubi caput suum reclinet? regias voces profertis in eum qui pullo asinæ insidet? Nonne pater & mater ejus apud nos sunt? cessate, o petulantissimi, alioquin plectemini. Ideo namque missi sumus, ut petulantiores vestrum notemus, qui pœnas audaciæ luant. Hæc audientes turbæ a principibus sacerdotum dicta, non se removent ab officio; sed gratia operante respondent illis. Nos reprehenditis, Pharisæi, & minas nobis intentatis ac si blasphemias protulerimus? Quinam supplicio digni sunt? Vos-ne qui scripturas legitis, nec intelligitis; an nos qui audimus & servamus? Num erramus dum ramos palmarum Domino offerimus? Nonne ipse est justitiæ palma? Annon de illo clamavit propheta, *justus ut palma florebit*? Annon ipse floruit cum cæcis visum restituit? Annon claudis dedit ut sine obice currerent? Annon id effecit ut paralyticus lectum qui se gestaverat, ipse gestaret? Annon quatriduanum Lazarum a morte suscitavit? Annon ideo vultis Lazarum denuo occidere? Nonne vos lapidem removistis, & incredulitate quasi lapis obduruistis? Nonne vobis permisit ut fascias solveretis, ut ne, sicut in cæco nato contigit, alium ex alio sepulcro insiliisse mentiremini? Vos semper bonis invidetis, O Pharisæi, & credenti multitudini adversamini. Ideo Lazarum denuo morti tradere deliberastis, ut turbæ fidem exscindatis. Sed quid si Lazarum interficiatis? Annon poterit illum denuo suscitare? Videamus quis fatigatus cedet, an vos occidendo, an ille suscitando; vos opere & labore occiditis, ille verbo suscitat. Quis magis fatigatur? Annon verbum facilius est, quam opus? Fallimur-ne, o Pharisæi, quia ad Dominum quasi ad regem accedimus? Pullum videntes magis corroborati sumus. Idcirco & Regem potentem agnoscimus, & præsto scripturas habemus; ut discatis, si sapitis, non nos falli, sed vos errare. Habetis Zachariam prophetam: hujus sermones evolvite: timete ejus falcem ulciscentem. A multis enim temporibus Judææ prædicans clamavit: *Gaude multum, filia Sion. Ecce rex tuus venit tibi mansuetus & quietus, sedens super pullum asinæ, filium subjugalis.* Num fallimur scripturas legentes, regem agnoscentes, nobis bona conciliantes, & eos qui dubitant reducentes? Prophetam tenetis, & prædictum a propheta intelligere non vultis? Absistite ergo, o Pharisæi. Quanto magis instatis, tanto magis studium zelumque nostrum excitatis. Ideo non erramus clamantes, *Hosanna in excelsis: benedictus qui venit in nomine Domini.* Nomen scimus, o Pharisæi. Hoc nomen ab Ægypto nos liberavit, & mare nobis permeabile reddidit, desertum civilem habitationem reddidit, nosque in terra lacte & melle manante stabilivit: curavitque ut propheta clamaret: *Cognoscant quia nomen tibi Dominus: tu solus altissimus super omnem terram.* Quod autem turba obsequens, & principes sacerdotum rebelles sint, audi evangelistam: *Et consultaverunt principes sacerdotum, ut & Lazarum interficerent, quia multi propter ipsum abibant ex Judæis, & credebant in Jesum.* Vidistin' illorum insaniam? Ut multitudinis fidem exscinderent, Lazarum interficere quærebant, dicentes apud semetipsos: Si Jesum solum interficiamus,

Psal. 91. 13.

Zach. 9. 9.

Joan. 12. 10.

& Lazarum vivum relinquamus, nihil proficiemus. Nam dum hunc vident, in illum credunt. Ne itaque etiam post mortem offendiculo nobis sit, occidamus Lazarum, ut memoriam ejus omnino deleamus. Hæc & alia dicebant summi sacerdotes, ut homines vani & insipientes, non intelligentes Dominum, qui voluntariam mortem pro mundi immortalitate subiturus erat, non Lazarum solum ejusque resurrectionem tantum, in memoriam relicturum esse in mundo; sed etiam inexpugnabilem crucem: quam nec abripere, neque occultare, neque vanam reddere poterunt: quæ per totum mundum ejus operationis vim ostendat. Quænam domus est quæ non signum crucis habeat, tropæum contra dæmonas, animarum custodiam? Quæ navis quæ cruce gubernaculo non utatur? Quæ civitas, quæ crucem non habeat in præsidium? Quis rex qui non cruce redimiatur? Quæ virgo quæ non crucem baculum habeat? Quæ ecclesia quæ non cruce muniatur? Crux in nocte illuminat, in die lucet: hiemem calamitatum, ver & æstatem appellare novit: conjugium stringit, amicitiam auget, omnibus bonis imperat. Quid ergo evangelista? E re namque fuerit, totam periodum a capite resumere. Audisti modo dicentem evangelistam:
Joan. 12. 1. *Ante sex dies Paschæ venit Jesus in Bethaniam, ubi erat Lazarus, quem suscitavit a mortuis.* Quænam est hæc dies ante sex dies? Quænam? Præsens dies, quæ Joannem præcursorem exprimit. Sicut enim Joannes Domino præcucurrit; sic & hæc dies resurrectioni: & sicut Joannes digito Dominum monstrans dicebat:
Joan. 1. 29. *Ecce agnus Dei, qui tollit peccatum mundi*; sic & hæc dies ceu digito monstrans sequentem Dominicam, clamavit dicens: Ecce mater eorum qui regenerandi sunt. *Ante sex dies Paschæ.* Audite diem. Non enim abs re positum est illud, *Ante sex dies Paschæ*; sed ut discas teipsum purgare ab omni iniquinamento carnis & spiritus. Nam prævia purificatio est hæc dies, ut teipsum purges ab omni sorde, ut solvas inimicitiam, sedes iram, exstinguas calumniam, stringas caritatem, extendas pauperum amorem; ut ne tu solus festum agas; sed etiam inops tecum festum celebret. Nisi enim largiaris egenti, & si ille ingemiscat, dum tu festum celebras; cave ne tibi accidat divitis illius retributio, qui cum epularetur quotidie splendide, ne micas quidem Lazaro dabat. Largire igitur egeno de mensa tua, & inopibus benefacito; ut & tu semper festum celebres, & pauper dapibus fruatur tuis. Nisi enim tu largiaris pauperi paria sentienti, & consolatione opus habenti; & ille ex necessitate, abs te nihil referens, ad hæreticum accedat, qui illum consoletur, hæreticus te humanior videbitur. Omnis enim hæreticus contra pastorem latrat. Quid ergo evangelista? *Ante sex dies Paschæ venit Jesus in Bethaniam, ubi erat Lazarus, quem suscitavit a mortuis.* O Domini sapientiam! Suscitavit Lazarum, ut irritaret diabolum. Paucis audi. Ut vidit diabolus Dominum clamantem, *Lazare veni foras*, & omnia infernalia soluta, infernasque potestates imperare non valentes, & quod quasi regio jussu, imo potius divina voluntate operante, capilli Lazari radicem mittebant, nervi soluti constringebantur, carnes imminutæ replebantur, ossa separata suo ordine jungebantur, saniei fluenta coercebantur, spiritusque vitalis ingrediebatur; anima autem domina priscam sedem repetebat; ut illa & similia vidit, turbatus & anceps præcepit potestatibus suis dicens: Resistite, confortamini, regnum meum ne prodatis. O quid patior? mortis imperium dissolvitur, quod propter peccatum possidebam. Is quem a quatriduo tenebam, nunc per vim magnam reddere cogor,

A καταλείψωμεν δὲ τὸν Λάζαρον ζῶντα, οὐδὲν ὠφελοῦμεν. τοῦτον γὰρ ὁρῶντες εἰς ἐκεῖνον πιστεύουσιν. ὅπως οὖν μὴ καὶ μετὰ θάνατον πρόσκομμα ἡμῖν γένηται, τὸ πιστεύειν τινὰς εἰς τὸν Ἰησοῦν, ἀποκτείνωμεν τὸν Λάζαρον, ἵνα πάντῃ τὴν μνήμην αὐτοῦ ἐξαλείψωμεν. ταῦτα δὲ καὶ ἕτερα ἔλεγον οἱ ἀρχιερεῖς, ὡς ἄνθρωποι ματαιόφρονες, μὴ συνιέντες ὅτι ὁ κύριος μέλλων τὸν ἑκούσιον θάνατον καταδέχεσθαι ὑπὲρ τῆς τοῦ κόσμου ἀθανασίας, οὐκ ἔμελλε τὸν Λάζαρον μόνον καὶ τὴν τούτου ἔγερσιν τῷ κόσμῳ εἰς μνήμην καταλιμπάνειν, ἀλλὰ καὶ τὸν ἀκαταμάχητον σταυρόν· ὃν οὔτε δυνήσονται οὔτε πορθῆσαι, οὔτε κρύψαι, οὔτε ματαιῶσαι, διὰ πάσης τῆς οἰκουμένης δεικνύοντα τῆς ἐνεργείας αὐτοῦ τὴν δύναμιν. ποῖος γὰρ οἶκός ἐστιν ὁ μὴ ἔχων τὸ σημεῖον τοῦ σταυροῦ, τρόπαιον κατὰ δαιμόνων, καὶ φυλακτήριον ψυχῶν ὑπάρ-
B χον; ποῖον πλοῖον τὸ μὴ πηδαλιουχούμενον ὑπὸ τοῦ σταυροῦ; ποία πόλις ἡ μὴ ἔχουσα τὸν σταυρὸν φρούριον; ποῖος βασιλεὺς ὁ μὴ ἀναδεσμούμενος τὸν σταυρόν; ποία παρθένος ἡ μὴ ἔχουσα βακτηρίαν τὸν σταυρόν; ποία ἐκκλησία ἡ μὴ τῷ σταυρῷ τετειχισμένη; σταυρὸς ἐν νυκτὶ φωτίζει, καὶ ἐν ἡμέρᾳ λαμπαδουχεῖ· χειμῶνα συμφορῶν ἔαρ καλεῖν καὶ θέρος ἐπίσταται· συζυγίαν σφίγγει· φιλίαν αὔξει· * διὰ πάντων τῶν ἀγαθῶν ἄρχει. τί οὖν ὁ εὐαγγελιστής; καλὸν γὰρ καὶ τὴν κεφαλὴν τῆς πάσης διακοπῆς ψηλαφῆσαι. ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ λέγοντος, πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. καὶ ποία αὕτη ἡ πρὸ ἓξ ἡμερῶν ἡμέρα; ποία αὕτη; ἡ παροῦσα ἡμέρα ἡ τὸν πρόδρομον Ἰωάννην χαρακτηρίζουσα. ὥσπερ γὰρ Ἰωάννης προέδραμε τοῦ κυρίου, οὕτω καὶ αὕτη προέδραμε τῆς ἀναστάσεως· καὶ ὥσπερ
C ὁ Ἰωάννης δακτυλοδεικτῶν τὸν κύριον ἔλεγεν· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὕτω καὶ αὕτη δακτυλοδεικτοῦσα τὴν μέλλουσαν κυριακὴν, ἐκέκραγε λέγουσα· ἴδε ἡ μήτηρ τῶν μελλόντων ἀναγεννᾶσθαι. πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα. ἀκούσατε τὴν ἡμέραν. οὐ γὰρ ἁπλῶς κεῖται τὸ, πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα· ἀλλ' ἵνα μάθῃς καθαρίσαι ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. προκαθάρσιον γάρ ἐστιν αὕτη ἡ ἡμέρα, ἵνα ἑαυτὸν καθαρίσῃς ἀπὸ πάσης κηλῖδος, ἵνα λύσῃς ἔχθραν, καὶ παύσῃς ὀργὴν, ἵνα σβέσῃς διαβολὴν, ἵνα συσφίγξῃς ἀγάπην, ἵνα πλατύνῃς φιλοπτωχείαν· ἵνα μὴ μόνος σὺ ἑορτάσῃς, ἀλλὰ καὶ ὁ ἐνδεόμενος συνεορτάσῃ σοι. ἐὰν γὰρ μὴ μεταδῷς τῷ χρείαν ἔχοντι, ἐκεῖνος δὲ στυγνάζῃ, καὶ σὺ ἑορτάζῃς, σκόπει μὴ γένοιτο ἐπὶ σοῦ ἡ τοῦ πλουσίου ἐκείνου ἀνταπόδοσις, ὅστις εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς, τὸν
D Λάζαρον ἐκ τῶν ψιχίων οὐ μετέδωκε· μετάδος οὖν τῆς τραπέζης τῷ χρείαν ἔχοντι, καὶ εὐποίησον τοὺς δεομένους, ὅπως καὶ σὺ διαπαντὸς ἑορτάσῃς, καὶ ὁ πένης συνευωχηθῇ. ἐὰν γὰρ σὺ μὴ εὐποιήσῃς εἰς τὸν ὁμόδοξόν σου πένητα, τὸν χρείαν παραμυθίας ἔχοντα, ἐκεῖνος δὲ ἀπὸ ἀνάγκης παρὰ σοῦ μὴ εὐεργετηθεὶς, προσέλθῃ αἱρετικῷ, κἀκεῖνος αὐτὸν παραμυθήσηται, γέγονεν ἐκεῖνός σου φιλανθρωπότερος. πᾶς γὰρ αἱρετικὸς καθυλακτεῖ τοῦ ποιμένος. τί οὖν ὁ εὐαγγελιστής; πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. ὢ τῆς τοῦ κυρίου σοφίας. ἤγειρε τὸν Λάζαρον, ἵνα ἐρεθίσῃ τὸν διάβολον. ἄκουε διὰ βραχέων. ὡς εἶδεν ὁ διάβολος τοῦ κυρίου βοήσαντος, Λάζαρε δεῦρο ἔξω, καὶ πάντα τὰ καταχθόνια διαλυθέντα, καὶ τὰς κάτω δυνάμεις μὴ ὑπομενούσας κρατεῖν, καὶ
E ὅτι ὡς βασιλικοῦ προστάγματος καταπεμφθέντος, μᾶλλον δὲ ὡς θεϊκοῦ βουλήματος ἐνεργοῦντος, αἱ μὲν τρίχες Λαζάρου ἄνωθεν ἐρριζοῦντο, τῶν δὲ νεύρων αἱ διαλύσεις συνεσφίγγοντο, τῶν δὲ σαρκῶν αἱ μειώσεις ἀνεπληροῦντο, τῶν δὲ ὀστέων ὁ χωρισμὸς συνηρμόζετο, τῶν δὲ ἰχώρων τὰ ῥεῖθρα συνεστέλλετο, τὸ δὲ πνεῦμα τὸ ζωτικὸν ὑπεισήρχετο, ἡ δὲ δέσποινα ψυχὴ τὴν προτέραν καὶ ἀρχαίαν μονὴν παρελάμβανεν· ὡς εἶδε ταῦτα καὶ τὰ παραπλήσια γινόμενα, θορυβηθεὶς καὶ ἐναγώνιος γενόμενος ἐπέταξε ταῖς αὐτοῦ δυνάμεσι λέγων, ἀντιτάξασθε, κραταιώθητε, τὴν ἐμὴν βασιλείαν μὴ προδῶτε. ὢ τί πέπονθα; καταλύεται τὸ κράτος τοῦ θανάτου, ὅπερ διὰ τῆς ἁμαρτίας ἐκτησάμην· ὅνπερ εἶχον τέσσαρας ἡμέρας κρατῶν, νῦν ἀποδιδῶ βίᾳ μεγάλῃ·

συμφορᾷ περιπέπτωκα· ἠρξάμην ἐξεμεῖν οὓς κατέπιον. οὐ A
διὰ τὸν Λάζαρον μόνον κλαίω, ἀλλὰ φοβοῦμαι μὴ καὶ τοὺς ἄλλους, οὓς κατέχω ἀπὸ Ἀδὰμ μέχρι τοῦ νῦν, ἀπολέσω· σπουδῆς μοι χρεία, καὶ πολλῆς ἰσχύος· εἰ μὴ προκαταλάβω τὸν τῷ λόγῳ συλῶντά με, πάσης μου τῆς ὑπάρξεως κενὸν ἀποδείξει. εὗρον τί πράξω, ἔγνων τί ποιήσω· ἔχω τοὺς Ἰουδαίους συνδρόμους· μισθοῦμαι τὸν Ἰούδαν· ἀεί μοι οὗτος καλῶς ὑπουργεῖ· φιλάργυρος γὰρ ὤν, προσελθούσης γυναικὸς τὸ μύρον τριακοσίων δηναρίων διετιμήσατο, κόπους παρέχων αὐτῇ· καὶ τὸ μὲν μύρον διετιμήσατο τριακοσίων δηναρίων· τὸν δὲ δεσπότην τοῦ μύρου τριάκοντα δηναρίων ἐπώλησε. πολλῆς μοι οὖν σπουδῆς χρεία σταυρὸν κατασκευάσαι. αὐτός μου τὸν Λάζαρον ἔλαβεν, ἐγὼ δὲ αὐτὸν ὧδε καθελκύσω, καὶ τοῖς νεκροῖς συναριθμήσω, ἵνα μάθῃ κατὰ μείζονος μὴ στρατεύεσθαι.
αἱ δὲ κάτω δυνάμεις πρὸς αὐτόν· ὅλον τὸν Ἰησοῦν ὧδε κα- B
ταπαῦσαι βούλει; βλέπε μὴ καθ' ἑαυτοῦ κάμνῃς. ἔχεις αὐτοῦ πεῖραν. ἐπάλαισας αὐτὸν ἐν τῇ ἐρήμῳ· οὐχὶ τρίτον προσῆλθες, καὶ τρισσῶς ἔπεσας; ἐὰν δὲ κατέλθῃ, τί μέλλεις πράττειν; ταῦτα βουλευσάμενος καὶ τὰ παραπλήσια τούτων ὁ διάβολος, τοὺς Ἰουδαίους εἰς μείζονα φθόνον διήγειρε, καὶ ἠρέθισε θανατῶσαι τὸν Λάζαρον ἐκ νεκρῶν ἀναστήσαντα, καὶ σταυρὸν τῷ κυρίῳ κατασκευάσαι, ἵνα γένηται ἡ κατάρα εὐλογία, καὶ τὸ ξύλον τοῦ σταυροῦ τοῖς πᾶσι σωτηρία. διὰ γὰρ τῆς τοῦ Λαζάρου ἀναστάσεως ὁ μὲν διάβολος ἐταράχθη· οἱ δὲ Φαρισαῖοι συνεχύθησαν· ἡ Μάρθα ἐπληροφορήθη· ἡ Μαρία ἐδοξάσθη· ἡ ἀνάστασις προανεδείχθη· οἱ μαθηταὶ κραταιότεροι ἐγένοντο, καὶ πολλοὶ τῶν Ἰουδαίων πιστευσάντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπήντησαν αὐτῷ μετὰ
κλάδων καὶ βαΐων κράζοντες καὶ λέγοντες· ὡσαννὰ ἐν τοῖς C
ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A in calamitatem incidi, quos absorbueram evomere cœpi. Non propter Lazarum tantum fleo, sed timeo ne alios etiam, quos ab Adamo ad hoc usque tempus detineo, perdam. Cura mihi opus est & multa fortitudine. Nisi prævertam eum, qui solo verbo me diripit, omnibus me facultatibus vacuum exhibebit. Quid mihi faciendum sit excogitavi & novi. Judæos habeo comites, mercede conducam Judam, qui mihi semper recte ministrat. Nam cum sit amans pecuniæ, accedentis mulieris unguentum trecentis denariis æstimavit, ipsique molestiam intulit: & qui unguentum trecentis denariis æstimavit, dominum unguenti triginta denariis vendidit. Multo igitur mihi studio est opus, ut crucem apparem. Ille mihi Lazarum abripuit; ego vero illum huc pertraham, & cum mortuis annumerabo, ut discat non sibi contra majorem esse pugnandum. Infernæ vero potestates respondent illi; Jesum totum huc vis deducere ut quiescat? Cave ne contra teipsum labores. Jam ejus experientiam cepisti. Pugnasti cum illo in deserto. Annon illum ter adortus es, & ter excidisti? Si vero descendat, quid facturus es? Hæc & similia cum agitasset in consilio diabolus; Judæos ad majorem invidiam excitavit, & instigavit ut occiderent Lazarum qui a mortuis resurrexerat, & crucem Domino pararent; ut maledictio fieret benedictio, & lignum crucis omnibus salus. Nam per Lazari resurrectionem diabolus turbatus est, Pharisæi pudefacti sunt, Martha certior facta est, Maria glorificata, resurrectio prius exhibita, Discipuli fortiores evaserunt, & multi Judæorum, qui in Dominum Jesum Christum crediderunt, obviam venerunt ei cum ramis palmarum clamantes & dicentes: *Hosanna in excelsis: Benedictus qui venit in nomine Domini, rex Israel*: ipsi gloria & imperium in sæcula sæculorum, amen.

## Ἐγκώμιον εἰς ἅγιον Ἰωάννην τὸν θεολόγον.

ΣΥΝΕΚΑΛΕΣΕΝ ἡμᾶς, ἀγαπητοί, ἐπὶ τὸ αὐτὸ ὁ ἁγιώτατος Ἰωάννης ὁ θεολόγος καὶ φίλος Χριστοῦ, οὐχ ὅτι ἡδυπνόων ῥόδων κάλυκας ἡμῖν ἀνατείλας, ἀλλὰ πνευματικῶν πατέρων τὰς ἀρετὰς ἡμῖν ἐξανθήσας. τούτων ἡ
εὐωδία ἡ εὐσεβής ἐστιν ὁμολογία, καὶ τῶν ψυχῶν ἡμῶν σωτη- D
ρία. ποῖον, εἰπέ μοι, ῥόδον οὕτω τοῖς φύλλοις κεκόσμηται, ὡς ὁ ἁγιώτατος Ἰωάννης τῷ θεοπρεπεῖ τῶν ἁγίων στεφάνῳ δεδόξασται; τὸ μὲν γὰρ ῥόδον τὴν χρυσαυγοῦσαν εὐωδίαν ἔσωθεν ἀποστίλβει· ὁ δὲ ἁγιώτατος Ἰωάννης τὴν ἀρωματίζουσαν πολιτείαν τοῦ πανσόφου ποιμένος ἡμῶν καὶ διδασκάλου ἐξ αὐτῆς τῆς τοῦ θρόνου κορυφῆς κατὰ κράτος ἐκλάμπει. ὦ Ἰωάννη, δι' ἐνιαυτοῦ μὲν τοῖς παρεπιδημοῦσι μνημονευόμενε, καθ' ἡμέραν δὲ τοῖς Ἐφεσίοις συμπολιτευόμενε. ὦ Ἰωάννη, ὡς πρύτανις ὑψηλὸς ἐπὶ τόδε τὸ ἱερὸν ὄρος προλάμπεις, οὐ χρήματα τοῖς πολίταις σου δωρούμενος, ἀλλ' ἴαμα τοῖς αἰτοῦσί σε χαριζόμενος. ὦ Ἰωάννη, τὴν μονομάχον δράκαιναν Ἄρτεμιν τῷ τροπαίῳ τοῦ σταυροῦ καθήρηξας, καὶ τὴν μονόγαμον νύμφην Χριστοῦ, τὴν ἐκ-
κλησίαν, τῇ δυνάμει τοῦ σταυροῦ κραταιῶς ἀνώρθωσας. ὦ Ἰωάν- E
νη, τὸν πατέρα σου Ζεβεδαῖον ἐπὶ τὸ πλοῖον κατέλιπες, καὶ τὸν δεσπότην σου Ναζωραῖον ἐπὶ τὸ στῆθος ἠγάπησας. ὡς δύο ὄρη, τοὺς δύο μαστοὺς ἐθεώρεις, ὧν ἀνὰ μέσον ἡδέως ἀναπαυσάμενος, τὸν ἐν μέσῳ δύο ζώων γινωσκόμενον ἐθεολόγησας· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. καί μοι τὸ παράδοξον τοῦ ἀποστόλου θεώρησον. γῆν βρύει ὁ μὴ ταφεὶς εἰς γῆν, καὶ τὸ βρύον μάννα ἐστὶν ἰαματικόν, καὶ τὸ κενούμενον οὐκ ἐκκενοῦται τῷ χρόνῳ. ἆρα τίς ἡ αἰτία, τίς ἡ ἐνέργεια,

## *In laudem sancti Joannis Theologi.*

CONVOCAVIT nos in unum, dilecti, sanctissimus Joannes Theologus, amicus Christi; non quod fragrantium rosarum flores, sed quod spiritualium patrum virtutes nobis exhibuerit: quorum odor est pia confessio, & animarum nostrarum salus. Quæ rosa, quæso, sic foliis ornatur, ut sanctissimus Joannes divina sanctorum corona gloriæ decoratur? Rosa quidem, ut aurum splendet & bono intus fulget odore; sanctissimus vero Joannes sapientissimi pastoris & doctoris nostri bono fragrans odore, ab ipso throni culmine magnopere illustrat. O Joannes qui quotannis a peregrinis celebraris, & quotidie cum Ephesiis versaris! O Joannes, qui ut princeps excelsus in hoc sacro monte fulges, non pecunias civibus tuis, sed medelam petentibus largiens! O Joannes, qui Dianam, perduellem draconem, tropæo crucis prostravisti, & uni Christo nuptam ecclesiam virtute crucis fortiter erexisti! O Joannes, qui patrem tuum Zebedæum in navicula reliquisti, & Dominum tuum Nazarenum supra pectus ejus recumbens, dilexisti! Duas mammas quasi duos montes respiciebas, & in medio dulciter recumbens, eum qui in medio duorum animalium noscebatur Deum prædicasti: *In principio erat Verbum & Verbum erat apud Deum, & Deus erat Verbum.* Et mihi stupendam apostoli vim considera. Terram effundit is qui non est sepultus in terra, & quod effunditur est manna medelam afferens, & hoc ipsum quod effunditur nunquam evacuatur. Quæ causa, quæ operatio illa sit,

Inepta.

Ephesi habita.

Habac. 3. 2.

Joan. 1. 1.

nemo dicere possit: immutabilia namque sunt servatoris nostri Christi charismata, & indeficientes sanctorum operationes. O Joannes armatura piorum, vere pia confessio, iis omnibus refugium, qui ad Deum confugiunt. Nam quod est portus iis qui tempestate agitantur, idipsum est Deus iis qui labore premuntur. Hodie nos sanctissimus Joannes virtutis suæ decore illustrat; modo enim ille nobis lectus fuit, exque libro suo veteri quasi ex regia imagine, sua pietate fulget. Joannes pulcrum fidei principium, radix florida, fons indeficiens, qui apud omnes gentes non uno tantum tempore lex est; sed semper, si credatur, honorabile pietatis institutum: primus fidei vertex, qui omnibus pietatis vestigia exhibet, qui nos docuit studere optimis caritatis charismatibus. Videmus enim thalamum virginitatis, & amplectimur fontem curationum. De lumine vero sermonem explicemus. Lux Pater, lux Filius, lux Spiritus sanctus. Lux Pater, quia Deus verus. Lux Filius, quia ex Patre effulsit. Lux Spiritus sanctus, quia ex Patre procedit: & ideo Deus est verus. Apo-
1. Joan. 1. 6. stolus mihi testificabitur, *Deus lux est*, & venit Joannes, *ut testimonium perhiberet de lumine.*
Joan. 1. 7. *Et erat lux vera quæ illuminat omnem hominem venientem in hunc mundum*; id est, venientem
Joan. 8. 12. ad veritatem. Et Filius, *Ego sum lux vera*; &,
Joan. 10. 38. *Ego in Patre, & Pater in me.* Quod autem Filius lux sit & sol justitiæ clamat & propheta:
Isai. 60. 1. *Illuminare, illuminare Jerusalem, quia venit lumen tuum, & gloria Domini super te orta est.* Et
Psal. 35. 10. de Spiritu sancto in Psalmis canitur, *Quoniam apud te est fons vitæ; in lumine tuo videbimus lumen*; id est, in Filio videbimus Spiritum sanctum: lumen quo illuminati sumus, & usque ad hanc diem illuminamur cordibus nostris. Lux Pater, quia Deus est verus; lux Filius, quia lucis illius splendor est; lux Spiritus sanctus qui
1. Cor. 2. 11. ex Patre procedit: *Nemo enim novit quæ Dei sunt, nisi Spiritus qui in ipso est.* Lux ergo vera est Spiritus sanctus, qui in vera luce conspicitur & intelligitur. Maneat ergo nobis, fratres, fides infracta, Trinitas inseparabilis. Nam di-
Eccle. 4. 12. cit beatus Salomon. *Funiculus triplex non rumpetur.* Deus enim sanctificat, illuminat, vivificat, liberat & cætera; Filius similiter. Omnia enim, quæ Pater, & ipse facit. Et Spiritus sanctus similiter sanctificat, illuminat, vivificat, liberat. Nam liberati, sanctificati & illuminati sumus, ac reviximus, baptizati in Patrem & Filium & Spiritum sanctum: cui gloria in sæcula sæculorum, amen.

A οὐκ ἄν τις εὕροι εἰπεῖν. ἀμετάβλητα γὰρ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τὰ χαρίσματα, καὶ ἀνέκλειπτα τῶν ἁγίων τὰ ἐνεργήματα. ὦ Ἰωάννη, τὸ ὅπλον τῶν εὐσεβῶν, ἡ ὄντως εὐσεβὴς ὁμολογία, καὶ πάντων αὐτοῖς ἀποφυγή, ἡ πρὸς θεὸν καταφυγή. ὃ γάρ ἐστι λιμὴν τοῖς χειμαζομένοις, τοῦτο ὁ θεὸς τοῖς καταπονουμένοις. σήμερον ἡμῖν ὁ ἁγιώτατος Ἰωάννης, τῆς οἰκείας ἀρετῆς τὸ κάλλος ἐκλάμπει· αὐτὸς γὰρ ἡμῖν καὶ ὑπανέγνωσται· ὥσπερ ἀπὸ βασιλικῆς εἰκόνος τῆς βίβλου τῆς ἀρχαίας ἐκλάμπων τὴν οἰκείαν εὐσέβειαν. Ἰωάννης, ἡ καλὴ τῆς πίστεως ἀρχή, ἡ εὐθαλὴς ῥίζα, ἡ ἀνέκλειπτος πηγή, ὁ ἐν πᾶσιν ἔθνεσιν οὐ κατ' ἐκεῖνο μόνον καιροῦ νόμος, ἀλλ' εἰς ἀεὶ ὁ πιστευθεὶς τὸ σεμνὸν τῆς εὐσεβείας ἐπάγγελμα, τὸ πρῶτον τῆς πίστεως ἀκροθίνιον, ὁ πᾶσι τῆς εὐσεβείας τὰ ἴχνη ἁπλώσας, ὁ ζηλοῦν ἡμᾶς τὰ κάλλιστα τῆς ἀγάπης χαρίσματα παιδεύσας. βλέ-
B πομεν γὰρ τὸν θάλαμον τῆς παρθενίας, καὶ περιπτυσσόμεθα τὴν πηγὴν τῶν ἰαμάτων. ἀναπτύξωμεν δὲ καὶ τὸν περὶ τοῦ φωτὸς λόγον. φῶς ὁ πατήρ, φῶς ὁ υἱός, φῶς τὸ πνεῦμα τὸ ἅγιον. φῶς ὁ πατήρ, ἐπειδὴ θεὸς ἀληθινός· φῶς ὁ υἱός, ἐπειδὴ ἐκ τοῦ πατρὸς ἐξέλαμψε· φῶς τὸ πνεῦμα τὸ ἅγιον, ἐπειδὴ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ διὰ τοῦτο θεὸς ἀληθινός. ὁ ἀπόστολος μαρτυρήσει μοι λέγων, ὅτι θεὸς φῶς ἐστι· καί, ἦλθεν Ἰωάννης, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, καὶ ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, τουτέστιν, ἐρχόμενον εἰς τὴν ἀλήθειαν. καὶ ὁ υἱός, ἐγώ εἰμι τὸ φῶς τὸ ἀληθινόν· καί, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. ὅτι δὲ ὁ υἱὸς φῶς ἐστι καὶ ἥλιος τῆς δικαιοσύνης, καὶ ὁ προφήτης βοᾷ· φωτίζου, φωτίζου Ἱερουσαλήμ. ἥκει γάρ σοι τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε. καὶ περὶ τοῦ ἁγίου πνεύματος
C ἐν ψαλμοῖς ᾄδεται, ὅτι παρὰ σοῦ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, τουτέστιν, ἐν τῷ υἱῷ ὀψόμεθα τὸ πνεῦμα τὸ ἅγιον, φῶς δι' οὗ ἐφωτίσθημεν, καὶ ἕως σήμερον φωτιζόμεθα τὰς καρδίας ἡμῶν. φῶς ὁ πατήρ, ἐπειδὴ ὁ θεὸς ἀληθινός· φῶς ὁ υἱός, ἐπειδὴ ἐκείνου τοῦ φωτὸς ἀπαύγασμά ἐστι· φῶς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. οὐδεὶς γὰρ οἶδε τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ. φῶς οὖν τὸ πνεῦμα τὸ ἅγιον τὸ ἀληθινόν, ὃ ἐν τῷ ἀληθινῷ φωτὶ θεωρεῖται καὶ νοεῖται. μενέτω οὖν ἡμῖν, ἀδελφοί, ἡ πίστις ἀρραγής, ἀχώριστος τριάς. καὶ γὰρ ὁ μακάριος Σολομὼν λέγει, ὅτι τὸ ἔντριτον σπαρτίον οὐ διαρραγήσεται. ὁ γὰρ θεὸς ἁγιάζει, φωτίζει, ζωοποιεῖ, ἐλευθεροῖ, καὶ τὰ πλείονα τούτων. καὶ ὁ υἱὸς ὡσαύτως· πάντα γάρ, ὅσα ὁ πατήρ, ποιεῖ. καὶ τὸ πνεῦμα τὸ ἅγιον
D ὡσαύτως ἁγιάζει, φωτίζει, ζωοποιεῖ, ἐλευθεροῖ. ἐλευθερώθημεν γὰρ καὶ ἡγιάσθημεν καὶ ἐφωτίσθημεν καὶ ἀνεζήσαμεν, βαπτισθέντες εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

## *In Sanctum Joannem Apostolum & Evangelistam Theologum.*

Ephesi habita.

RURSUS Joannes noster, o Ephesii, imo potius totius orbis doctor, spiritualem sagenam expandit, & nos omnes ex diversis locis congregavit: non ut illum coronis roseis honoremus, sed ut illum bonis & justis operibus decoremus. Rursus spirituales fontes suos attraxit, non ut sitientes agros riget, sed ut laborantes populos fulciat. Rursus in templum ascendit secundus post Petrum; non ut claudum unum sanatum saltare curet; sed ut nos omnes in pietate firmatos instituat ut in cælis conversationem habeamus. Non ultra supra pectus Domini recumbit; sed in singulos nostrum reclinans, nos omnes in pari honore suscipiens, lucrum proprium Deo offert, & ita clamat dicens: *Ecce ego & pueri, quos dedit mihi Dominus.* Pueri, quinam? Quos gratia peperit,

## Εἰς τὸν ἅγιον Ἰωάννην τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν τὸν θεολόγον.

ΠΑΛΙΝ ὁ ἡμέτερος Ἰωάννης, ὦ Ἐφέσιοι, μᾶλλον δὲ πάσης τῆς οἰκουμένης διδάσκαλος τὴν πνευματικὴν σαγήνην ἐξήπλωσε, καὶ πάντας ἡμᾶς ἐκ διαφόρων τόπων συνή-
E γαγεν· οὐχ ἵνα αὐτὸν στεφάνοις ῥόδων τιμήσωμεν, ἀλλ' ἵνα αὐτὸν ἀγαθοῖς ἔργοις καὶ δικαίοις σεμνύνωμεν. πάλιν τὰς πνευματικὰς αὐτοῦ πηγὰς ἐπεσπάσατο, οὐχ ἵνα ἀγροὺς διψῶντας ποτίσῃ, ἀλλ' ἵνα λαοὺς κοπιῶντας στηρίξῃ. πάλιν εἰς τὸ ἱερὸν ἀναβέβηκεν ὁ δεύτερος μετὰ Πέτρον, οὐχ ἵνα ἕνα χωλὸν θεραπεύσας ἐξάλλεσθαι ποιήσῃ, ἀλλ' ἵνα πάντας ἡμᾶς τῇ εὐσεβείᾳ ἐπιρρώσας, εἰς οὐρανοῖς τὸ πολίτευμα ἔχειν παρασκευάσῃ. οὐκ ἔτι ἐπὶ τὸ κυριακὸν στῆθος ἀνάκειται, ἀλλ' εἰς ἕνα ἕκαστον ἡμῶν ἀνακλίνας, ἅπαντας ἡμᾶς ἰσοτίμους δεξάμενος, κέρδος ἴδιον τῷ θεῷ προσενέγκει, καὶ οὕτω κέκραγε λέγων· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός. παιδία, ποῖα; ἃ ἡ χάρις ἐβλάστησε,

καὶ

καὶ τῶν οὐρανῶν βασιλείας κληρονόμους ἀπέδειξεν. ὅσους ποτὲ ἐσυλαγώγει ἡ Ἄρτεμις, τούτων πλείονας συνάγει ὁ ἀπόστολος. ἐκείνη κύνας τρέφουσα, θηρεύουσα, τὴν πλάνην κατέσπειρεν, Ἰωάννης πτωχοὺς οἰκονομῶν καὶ λαοὺς συγκροτῶν, τὴν θεογνωσίαν ἐπέσπειρεν. ἐκείνη πομπαῖς εἰδώλων τὸν ἀέρα ἐσκότισεν· Ἰωάννης μνήμαις ἁγίων τὴν Ἀσίαν ἐφώτισεν· Αἴγυπτος μνημονεύει τὰ Μωϋσέως θαύματα, Ἔφεσος ἐξαγγέλλει τὰς Ἰωάννου εὐεργεσίας. Μωϋσῆς δέκα πληγαῖς τὴν Αἴγυπτον ἐμαστίγωσεν· Ἰωάννης δὲ τῷ θεοπνεύστῳ εὐαγγελίῳ Ἔφεσον κατεκόσμησε, μᾶλλον δὲ καὶ πάντας ἠλέησε. Μωϋσῆς διὰ ῥάβδου τὴν θάλασσαν ἔσχισεν, Ἰωάννης διὰ σταυροῦ τὴν Ἄρτεμιν κατέστρεψε. τῆς θαλάσσης σχισθείσης Φαραὼ καὶ τὰ ἅρματα αὐτοῦ κατεποντίσθησαν, τῆς Ἀρτέμιδος καταπεσούσης οἱ ἱερεῖς αὐτῆς καὶ τὰ βδελύγματα συνετρίβησαν. ἐκδιηγεῖται ὁ Δαυὶδ καὶ λέγει, ἡ θάλασσα εἶδε, καὶ ἔφυγε· σήμερον ἡ ἐκκλησία τὸν αὐτὸν τρόπον βοᾷ καὶ λέγει, ἡ Ἄρτεμις εἶδε καὶ ἔπεσεν. εἶδε τὸν θεολόγον καὶ θεοκήρυκα, εἶδε τὸν θεοφόρον, καὶ ἔπεσεν ἡ ἁμαρτωλὸς, ἡ ἀλίτημος, εἰς τὸ ἔδαφος. εἶδεν ὃν ἠγάπα ὁ Ἰησοῦς, καὶ μένειν οὐκ ἴσχυσε. τί σοί ἐστιν, Ἄρτεμις, ὅτι ἔπεσες; εἶδον τὸν υἱὸν τῆς βροντῆς, καὶ κατερράγη μου τὸ ἱερὸν τῆς μεσιτείας· εἶδον τὸν θεϊκὸν φίλον, καὶ διελύθην· εἶδον τὸν ἐπὶ τὸ θεϊκὸν στῆθος ἀνακλιθέντα, καὶ κατηνέχθην ἐπὶ τὸ εἰδωλικόν μου στῆθος. θαυμαστὸς ὁ Ἠλίας, ἀγαπητοί, ὅτι τὸν Βάαλ κατέστρεψε· θαυμασιώτερος ὁ Ἰωάννης, ὅτι τὴν Ἄρτεμιν ἐξώρισεν. Ἠλίας τετρακοσίους καὶ πεντήκοντα ἀπέκτεινεν· Ἰωάννης τὸν ὑπὸ τοῦ κίονος φονευθέντα ἱερέα ζωοποιήσας ἐν Χριστῷ ἀνέστησεν. ὢ τοῦ θαύματος, στῦλος λίθινος τὸν ἰσόλιθον ἐθανάτωσεν ἱερέα, ὃν διὰ τῆς χάριτος ἐξανέστησεν ὁ Ἰωάννης. ἄραντες γὰρ αὐτοῦ, φησι, τὸ σῶμα βαστάζοντες ἤνεγκαν, θέντες πρὸς τὴν θύραν τοῦ Ἰωάννου· καὶ ὃν οὐκ ἤθελε ζῶν θεωρῆσαι, τοῦτον ἀποθανὼν ἐπεζήτει, ζωὴν καὶ πίστιν αἰτούμενος. οὕτω ποτὲ καὶ οἱ παμπόνηροι Ἰουδαῖοι ἐποίησαν. ζῶντα τὸν Χριστὸν ἀπηρνήσαντο, καὶ ἀποθανόντα υἱὸν θεοῦ ὡμολόγησαν. ἀπηρνήσαντο αὐτὸν ἐπὶ τοῦ τυφλοῦ εἰπόντες, ἡμεῖς τοῦ Μωϋσέως ἐσμὲν μαθηταί· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἀνέβλεψεν ὁ τυφλὸς, καὶ ἐσκοτίσθη ὁ ἀσύνετος λαός. υἱὸν θεοῦ ὡμολόγησαν ἐπὶ τοῦ σταυροῦ, ὅτε κλίνας τὴν κεφαλὴν ἀφῆκε τὸ πνεῦμα, καὶ λόγχῃ τὴν ἀοίδιμον αὐτοῦ ἐξεκέντησαν πλευρὰν, καὶ ἐξῆλθε πλῆθος αἵματος καὶ ὕδατος· ἔκραζον δὲ μεγάλῃ τῇ φωνῇ Ἰουδαίων παῖδες, καὶ ἔλεγον, ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. Ἰωάννης, ὁ ζῶν, ὁ κήρυξ τῆς θεογνωσίας, ὁ πνεύματος ἁγίου χάριν λαβὼν, ὁ ῥήτωρ τῆς ἐκκλησίας, ὁ φωστὴρ τῆς εὐσεβείας, ὁ ὀφθαλμὸς τῆς Ἀσίας, τὴν μὲν δαίμονα Ἄρτεμιν κατέστρεψε· τὸν δὲ θεὸν λόγον ἐν ὅλῳ τῷ κόσμῳ μεγαλοφώνως ἐκήρυξεν· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. ἐρωτήσωμεν τὸν ἁλιέα τῶν ἰχθύων, καὶ συγγραφέα τῶν ἁγίων εὐαγγελίων, τίς αὐτὸν τοῦτο ἐδίδαξε; ποῖος πατὴρ τοῦτο συνεβούλευσεν ἀποφθέγξασθαι; εἰς ποίαν βίβλον ἐγκύψας εὗρε καὶ ἐξεφώνησεν; ἀλλ' οὔτε τις ἐδίδαξεν αὐτὸν, οὔτε εἰς βίβλον ἐγκύψας εὗρε καὶ ἐξεφώνησεν· ἀλλ' εἰς τὸ δεσποτικὸν στῆθος τοῦ σωτῆρος ἀνέπεσε, καὶ εἰς τὸ βάθος τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ νοῦ φωτισθεὶς ἐβόησεν, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. τί πλέον τῶν γεγραμμένων ἔχω εἰπεῖν; ἤκουσας ὅτι ἐν ἀρχῇ ἦν, τουτέστιν, ἐν πατρὶ, καὶ σὺν πατρὶ, καὶ θεὸς ἦν ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἀρρήτως καὶ ἀπαθῶς γεγεννημένος πρὸ αἰώνων· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

& regni cælorum heredes ostendit. Multos enim abripuit Diana; his longe plures congregat apostolus. Illa canes alens & venans, errorem dispersit; Joannes pauperes fovens, & populos congregans, Dei cognitionem disseminavit. Illa idolorum pompis aërem obscuravit; Joannes sanctorum monumentis Asiam illustravit. Ægyptus memorat Moysis miracula; Ephesus annunciat Joannis beneficia. Moyses decem plagis Ægyptum flagellavit; Joannes a Deo inspirato evangelio Ephesum ornavit; imo potius omnes miseratus est. Moyses virgâ mare scidit; Joannes cruce Dianam prostravit. Discisso mari Pharao & currus ejus submersi sunt; Diana dejecta, ejus sacerdos & abominabiles ritus contriti sunt. Narrat David dicens, *Mare vidit & fugit*: [Psal. 113. 3.] hodie ecclesia eodem modo clamat & dicit: Diana vidit, & cecidit. Vidit Theologum & divinum preconem: vidit Deiferum, & cecidit peccatrix superflue culta, in solum prostrata. Vidit eum, quem diligebat Jesus, & manere non potuit. Quid est tibi, Diana, quod cecidisti? Vidi filium tonitrui, & templum meum medium fractum est. Vidi Dei amicum, & dissoluta sum. Vidi supra divinum pectus reclinatum, & dejecta sum in sinum meum idolicum. Mirabilis Elias, dilecti, quia Baalem prostravit; mirabilior Joannes, quia Dianam eliminavit. Elias quadringentos quinquaginta occidit; Joannes sacerdotem sub columna occisum suscitans, in Christo ad vitam reduxit. O miraculum! Columna lapidea, sacerdotem lapidi parem occidit, quem per gratiam suscitavit Joannes. Nam assumto, inquit, ejus corpore, gestantesque illud, posuerunt ante januam Joannis: & quem noluit vivens conspicere, hunc mortuus quærebat, vitam & fidem postulans. Sic olim scelestissimi Judæi fecerunt: viventem Christum negarunt, & mortuum filium Dei confessi sunt: Negarunt illum, quando cæco nato dicebant: *Nos Moysis discipuli sumus: hunc autem nescimus unde sit.* [Joan. 9. 28.] Lumen recepit cæcus, & obtenebratus est insanus populus. Filium Dei confessi sunt, cum in cruce inclinato capite emisit spiritum, & lancea illud celebre latus perforarunt: & exivit copia sanguinis & aquæ. Clamaverunt autem magna voce Judæi, & dicebant: *Vere Filius Dei erat hic.* Joannes dum viveret, preco cognitionis Dei, qui Spiritus sancti gratiam acceperat, orator ecclesiæ, luminare piæ religionis, oculus Asiæ, Dianam dæmonem evertit, Deumque Verbum per totum mundum magna voce prædicavit: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum.* [Joan. 1. 1.] Interrogemus piscium captorem, & sanctorum evangeliorum scriptorem, quis hoc illum docuit: Quis pater hæc ipsi auctor dicendi fuit? in quo libro invenit hæc quæ pronunciavit? Verum nemo illum docuit, nec in libro quopiam invenit hæc quæ protulit; sed in sinu Domini Servatoris recubuit; & in sapientiæ & scientiæ profundo, mente illuminatus clamavit: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum.* Quid amplius possum dicere, quam quæ scripta sunt. Audisti. *In principio erat*; hoc est, in Patre, & cum Patre, & Deus erat ex Deo & Patre, ineffabili & impassibili modo genitus ante sæcula. Ipsi gloria in sæcula sæculorum, amen.

## *In Transfigurationem.*

SOL oriens radios suos in totum mundum infundit, & Domini Christi natalis secundum carnem ortus Discipulos suos ceu quosdam radios per totum orbem emisit. Ideoque hodie Petrus, Jacobus & Joannes luminarium instar hunc sacrum cœtum illustrant, qui infideles sagena capiunt, & piscatores, eos qui prius errabant ad Dei cognitionem reducunt: qui pro calamo cruce utuntur, & pro retibus, triplici confessione rationabiles pisces ex profundo nequitiæ extrahunt: ineffabilium mysteriorum cum magistro suo consortes, & inenarrabilium invisibiliumque rerum oculati testes & auditores. Petrus qui propter fidem petra vocatus est, & in se ecclesiæ ædificationem retinet. *Tu es Petrus*, inquit, *& super hanc petram ædificabo ecclesiam meam, & portæ inferi non prævalebunt adversus eam.* Sed videamus, si placet, cur & qua de causa coryphæus hoc munus sortitus sit. Interrogabat aliquando discipulos Servator, quam de se haberent opinionem. Aliis porro interim tacentibus, hic strenuus prosiliens dixit; non, Tu factus es, non, Tu creatus es; sed, *Tu es*, secundum prophetam dicentem: *Tu autem idem ipse es, & anni tui non deficient.* Et propter hanc confessionem cælorum claves accepit. *Quæcumque enim, inquit, ligaveritis super terram, erunt ligata in cælis, & quæcumque solveritis super terram, erunt soluta in cælis.* O stupendam dignitatem, quæ naturam exsuperat! In terra gradiens leges supernis virtutibus mittebat, quæ illas servabant: & infra positis quæ sibi videbantur dictabat, Deusque sursum dictorum sententiam firmabat. Beatus prædicabatur ille olim Joseph, cui horrea Pharaonis concredita erant: quomodo non felix & ter beatus Petrus, cui thesauri cælorum concrediti sunt? Sed non tam illum beatum prædico & miror quod ligandi potestatem acceperit, nec quod umbræ vestimentorum ejus morbos eliminarent, nec quod Tabitham a mortuis suscitaverit; hæc quippe sunt, ut plurimum, operantis Spiritus charismata; sed Petrum illum beatum prædico ob veram confessionem, ad quam primus omnium ipse pervenit: *Tu es Christus Filius Dei vivi.* Quod apparebat confessus est, Tu es Christus (illud vero, *Filius Dei vivi*) significat illum cum Patre exsistere. Videamus etiam, si placet, beatissimi Joannis proprias prærogativas; non a divina paupertate, cujus cum Petro consors erat, præsensque cum ille diceret, *Argentum & aurum non est mihi*; ubi ex silentio consensum indicavit; sed quia supra pectus Domini recumbens, inde fabricatus est sacram illam & alte sonantem tubam, per quam ea quæ nec cæli dixerunt, nec angeli cogitarunt, nec aliorum evangelistarum ullus accepit, solus audaci & fideli lingua declaravit: *In principio erat Verbum, & Verbum erat apud Deum & Deus erat Verbum.* Cur ergo & qua de causa, cum primus fit evangelistarum, ultimus scripsit evangelium? Hoc jam quærendum est. Matthæus Hebraïca lingua evangelica miracula conscripsit. Marcus Petri discipulus, quæ per Dominum Christum contigerunt scripto tradidit, nempe natales sine coïtu, inculpatum vivendi institutum, stupenda signa, Judaïcam invidiam, salutarem passionem & vivificam nobis mortem, resurrectionem ad incorruptam vitam, assumtionem ad paternum sinum. Similiterque Lucas Pauli discipulus,

Matt. 16. 18.

Psal. 101. 28.

Matt. 16. 19.

Act. 3. 6.

Joan. 1. 1.

## Εἰς τὴν μεταμόρφωσιν.

A

ΗΛΙΟΣ ἀνίσχων τὰς οἰκείας ἀκτῖνας εἰς πάντα κόσμον ἐκτείνει· καὶ τοῦ δεσπότου Χριστοῦ ἡ κατὰ σάρκα γενέθλιος ἀνατολὴ, τοὺς αὐτῆς μαθητὰς, ὥσπερ τινὰς ἀκτῖνας, εἰς τὴν οἰκουμένην ἅπασαν ἐξέπεμψε. διὰ τοῦτο καὶ σήμερον φωστήρων δίκην τὸ ἱερὸν τοῦτο λαμπρύνουσι σύστημα Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, οἱ τῶν ἀπίστων σαγηνευταὶ, καὶ τῶν πεπλανημένων πρώην εἰς θεογνωσίαν ἁλιεῖς, οἱ ἀντὶ μὲν καλάμου, τῷ σταυρῷ χρώμενοι, ἀντὶ δὲ ἱμονιᾶς, τῇ τριπλόκῳ ὁμολογίᾳ τοὺς λογικοὺς ἀνασπῶντες ἰχθύας ἐκ τοῦ βυθοῦ τῆς κακίας· οἱ τῶν ἀνεκλαλήτων μυστηρίων τῷ διδασκάλῳ κοινωνοῦντες, καὶ τῶν ἀρρήτων καὶ ἀθεάτων πραγμάτων αὐτόπται καὶ αὐτήκοοι

B

γενόμενοι. Πέτρος ὁ διὰ τὴν πίστιν πέτρα κληθεὶς, καὶ ἐφ' ἑαυτοῦ τῆς ἐκκλησίας ἀνέχων τὴν οἰκοδομήν. σὺ γὰρ εἶ, φησι, Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἀλλὰ ἴδωμεν, εἰ δοκεῖ, διὰ τίνα καὶ ποίαν αἰτίαν τούτου τετύχηκε τοῦ ἐπάθλου ὁ κορυφαῖος. ἠρώτα ποτὲ τοὺς μαθητὰς ὁ σωτὴρ τίνα ἄρα περὶ αὐτοῦ ἔχοιεν δόξαν. τῶν οὖν ἄλλων τέως σιγώντων, προπηδήσας ὁ γενναῖος οὗτός φησιν. οὐκ εἶπε, σὺ ἐγένου, σὺ ἐκτίσθης· ἀλλὰ, σὺ εἶ, κατὰ τὸν προφήτην τὸν λέγοντα, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· καὶ διὰ ταύτην τὴν ὁμολογίαν λαμβάνει τῶν οὐρανῶν τὰς κλεῖς. ὅσα γάρ, φησιν, ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς.

C

ὢ παραδόξου καὶ φύσιν ὑπερβαίνοντος ἀξιώματος. ἐπὶ γῆς βαδίζων νόμους τοῖς οὐρανίοις ἐξέπεμπε δυνάμεσι, καὶ τούτους ἐκεῖναι ἐφύλαττον. καὶ κάτω μὲν ἐκεῖνος τὰ δοκοῦντα ὑπηγόρευεν, ἄνωθεν δὲ θεὸς τὴν ψῆφον τῶν λεγομένων ἐβεβαίου. ἐμακαρίζετό ποτε Ἰωσὴφ ἐκεῖνος, τὰ σιτοδοχεῖα πιστευθεὶς τοῦ Φαραώ. πῶς οὐ ζηλωτὸς καὶ τρισμακάριος ὁ Πέτρος, τοὺς θησαυροὺς πιστευόμενος αὐτῶν τῶν οὐρανῶν; ἀλλ' οὐχ ὅτι τοῦ δεσμεύειν ἔλαβε τὴν ἐξουσίαν τοσοῦτον μακαρίζω, οὐδ' ὅτι καὶ σκιαὶ τῶν ἱματίων αὐτοῦ προσκύπτουσαι νόσους ἤλαυνον, οὐδ' ὅτι τὴν Ταβιθὰ ἐκ νεκρῶν ἀνέστησεν ἐκπλήττομαι· ταῦτα γὰρ τοῦ ἐνεργοῦντος πνεύματός ἐστιν ἐκ τοῦ πλείστου τὰ χαρίσματα· ἐγὼ δὲ Πέτρον μακαρίζω ἐκεῖνον τῆς ἀληθοῦς ἕνεκεν ὁμολογίας τῆς ἀπὸ πάντων τέως πρῶτον ἐπιβεβηκότα. σὺ

D

εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ τὸ φαινόμενον ὁμολογεῖ, σὺ εἶ ὁ Χριστός· ** τοῦτο τῆς μετὰ πατρὸς συνυπάρξεως τὸ μήνυμα. ἴδωμεν δὲ, εἰ δοκεῖ, καὶ τοῦ τρισμακαρίου Ἰωάννου τὰ ἰδιάζοντα πλεονεκτήματα· οὐκ ἀφ' ὧν τῆς ἐνθέου πενίας ἐκοινώνει τῷ Πέτρῳ· συνῆν γὰρ τῷ λέγοντι, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, καὶ τῇ σιωπῇ τὴν συγκατάθεσιν ἐμήνυσεν· ἀλλ' ὅτι εἰς τὰ στέρνα τὰ δεσποτικὰ πεσὼν, ἐκεῖθεν ἐχάλκευσε τὴν ἱερὰν ἐκείνην καὶ μεγαλόφωνον σάλπιγγα, δι' ἧς, ἃ μὴ εἶπεν οὐρανὸς, μὴ ἐνενόησαν ἄγγελοι, μὴ τῶν λοιπῶν εὐαγγελιστῶν τις κατέλαβε, μόνος τολμηρᾷ καὶ πιστῇ ἐφανέρωσε γλώσσῃ· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. τίνος οὖν ἕνεκα,

E

καὶ διὰ ποίαν αἰτίαν, πρότερος ὢν τῶν λοιπῶν εὐαγγελιστῶν, ἔσχατος ἔγραψε τὸ εὐαγγέλιον; ἀναγκαῖον καὶ τοῦτο ζητῆσαι. Ματθαῖος τῇ τῶν Ἑβραίων γλώσσῃ τὰ εὐαγγελικὰ συνέταξε θαύματα. Μάρκος τοῦ Πέτρου μαθητὴς γενόμενος, τὰ διὰ τοῦ δεσπότου Χριστοῦ συμβεβηκότα γεγράφηκε, λέγω δὴ τὴν ἄμικτον γέννησιν, τὴν ἄμεμπτον ἀναστροφὴν, τὰ παράδοξα σημεῖα, τὸν Ἰουδαϊκὸν φθόνον, τὸ σωτήριον πάθος, τὸν ζωοποιὸν ἡμῖν θάνατον, τὴν ἐπ' ἀφθαρσίᾳ ἀνάστασιν, τὴν πρὸς τὸν πατρικὸν κόλπον ἀνάληψιν. ὁμοίως δὲ καὶ Λουκᾶς, Παύλου τυγχάνων μαθητὴς,

τὴν αὐτὴν τοῖς περὶ αὐτοῦ ἔτρεψεν ὁδόν. Ἰωάννης τοίνυν μόνος, ὡς ἁλιεύς τις ἐξ ἀπόπλου καθήμενος, καὶ ἑτέρων ἁλιευόντων θεατὴς γενόμενος, ὡς εἶδεν αὐτῷ τῆς γνώσεως τὸ κεφάλαιον παραλειφθὲν, μεταχειρίζεται τὸν ἁλιευτικὸν τοῦ εὐαγγελίου κάλαμον, καὶ ἐξ αὐτοῦ τὸν ζητούμενον ἰχθὺν θηρεύει, καὶ τοῦτον ἀπράτως τοῖς πιστοῖς πιπράσκει βοῶν, ἐν ἀρχῇ ἦν ὁ λόγος. οὐκ ἀφ' οὗ Μαρία, φησὶν, ἡ νομισθεῖσα μήτηρ, ἀρχὴν ἔλαβεν ὁ Χριστός· οὐκ ἀφ' οὗ Ἰωσὴφ πατὴρ αὐτοῦ ἐχρημάτισε, τὴν ὕπαρξιν ἔχει· οὐδ' ἀφ' οὗ Μωϋσῆς, οὐδ' ἀφ' οὗ Ἀβραὰμ, ὁ πρὸ νόμου πάντων πατήρ· ἀλλ', ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀρχῆς δὲ οὐδὲν ἀρχαιότερον, ἀρχῆς οὐδὲν πρεσβύτερον. πᾶν ποίημα ἄρχεται, καί ἐστιν ὑπὸ ἀρχήν. πάντων δὲ ἀρχὴ υἱὸς, καὶ πάντων ἐστὶν ὡς ποιητὴς, ἀρχή. πᾶν τῇ ἀρχῇ παραλαμβανόμενον, νεώτερον· μόνη δὲ τὰ πρεσβεῖα τῆς ἀϊδιότητος κατέχει ἡ ἀρχή. ἀλλ' ἴδωμεν δίκαιον Ἰάκωβον. εἰ γὰρ καὶ τὴν τοῦ δικαίου ἐπίκλησιν ἐξαίρετον ὁ ἄλλος Ἰάκωβος ἔλαχεν, ὁ χρηματίζων Δίκαιος, ἀλλ' οὐ φθονήσει τοῦ τοιούτου γέρως τῷ συναποστόλῳ. πολλοῖς τοίνυν καὶ ὁ υἱὸς Ζεβεδαίου πλουτεῖ τοῖς τοῦ εὐαγγελίου κατορθώμασιν. ἀρκεῖ δὲ πρὸς τὸ παρὸν εἰς ἐγκωμίου λόγον, τὸ ὑπὲρ τοῦ δεσποτικοῦ φίλτρου ἡδέως τὴν κεφαλὴν ἀποτμηθῆναι. τοῦτον γὰρ Ἡρώδης, ὡς ὁ Λουκᾶς ἐν ταῖς πράξεσιν ἱστορεῖ, ἀναιρεῖ. οὗτοι τῆς εὐσεβείας οἱ ἀθληταὶ, οὗτοι τῶν εὐαγγελικῶν κηρυγμάτων οἱ διάκονοι. ἀλλ' ἕνα μὲν ἐξ Ὀλυμπιακῶν ἐπανελθόντα στεφανίτην δῆμοι καὶ πόλεις ἰδεῖν συντρέχουσι, καὶ ταῦτα φύλλοις δάφνης ἐστεφανωμένον· ἡμεῖς δὲ, οὐχ ἕνα, ἀλλὰ τρεῖς ἀγωνιστὰς, ὑπὲρ τριάδος ἀγωνιστὰς, ὑπὲρ τριάδος ἀθλήσαντας καὶ στεφανωθέντας, πρὸς ἡμᾶς παραγινομένην ἐλάσσονι συνδρομὴν τεθεάμεθα. καίτοι τῶν ἀμετρίων καταπολμᾷ πᾶσα γλῶσσα, ἑνὸς τούτων τοὺς ἐπαίνους διεξιέναι πειρωμένη, καὶ ἰλιγγιᾷ ἡ διάνοια, θάλασσαν ἀρετῶν κοτύλῃ ἐκμετρεῖν βιαζομένη. ἀλλ' ὅμως ἐπεχειρήσαμεν, τῆς εὐγνωμοσύνης ἐπιδεικνύμενοι τοῖς πατράσι τὸν καρπόν. πρὸ δύο ἡμερῶν γενεθλιακὴ τοῦ παμβασιλέως Χριστοῦ πανήγυρις διηνύσθη· εἰκότως τοιγαροῦν οἱ λαμπροὶ ἀγῶνες οὗτοι εἰς τιμὴν τῆς δεσποτικῆς γεννήσεως ὑπὸ τῶν πενταέθλων ἀγωνιστῶν ἐξετελέσθησαν. τοῦτο καὶ ἐπὶ τῶν ἔξωθεν συμβαίνειν εἴωθε. τὰς γὰρ βασιλικὰς γεννήσεις ἐν ταῖς πόλεσιν οἱ ἄρχοντες τιμῶσιν· ἀλλ' ἐκεῖ μὲν, ὁ νενικηκὼς σκιᾶς καὶ προσκαίρου χαρᾶς ἐτρύγησεν ἡδονήν· ἐνταῦθα δὲ ἀθάνατα τοῖς στεφανίταις τὰ βραβεῖα, αἰωνίζοντες οἱ στέφανοι, ἡ μετ' ἀγγέλων χαρὰ, ἡ μετὰ τῶν ἁγίων ἐν τῇ ἀναστάσει λαμπρότης. ταῦτα τούτοις ἀπόκειται τοῖς ἀγωνίσμασι τὰ προνόμια· ὧν ταῖς πρεσβείαις καὶ ἡμεῖς διαφυλαχθείημεν, καὶ ὁ καλὸς οὗτος ποιμὴν εἰς πολλὰς δεκάδας ἡμῖν ἐνιαυτῶν χαρισθείη ἐν Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

A eamdem quam priores viam tenuit. Joannes igitur solus, quasi piscator in specula sedens, aliorum piscatorum spectator factus; ut vidit scientiæ caput sibi relictum esse; assumit piscatorium evangelii calamum, atque in eo quæsitum piscem capit, ac sine precio fidelibus vendit clamans, *In principio erat Verbum* Non ex quo Maria, inquit, ejus mater reputata est, principium habuit Christus; non ex quo Joseph pater ejus vocatus est, exsistentiam habet, non ex quo Moyses, non ex quo Abraham omnium ante legem pater; sed, *In principio erat Verbum.* Principio autem nihil antiquius, nihil vetustius. Omne opus incipitur, & est sub principio. Omnium vero principium est Filius, omnium est, ut factor, principium. Quodcumque a principio assumitur est recentius. Solum B vero principium æternitatis privilegium habet. Sed videamus justum Jacobum: etiamsi enim alius Jacobus, justi cognomen præcipuum sortitus sit, Justusque sit appellatus, at non invidebit coapostolo suo hanc prærogativam. Multis igitur filius ille Zebedæi evangelicis ditatus est operibus: sufficit autem in præsenti ad ipsius laudem, quod ex Domini amore capite sit truncatus. Hunc enim Herodes, ut Lucas narrat in actibus, occidit. Hi sunt pietatis athletæ, hi evangelicæ prædicationis ministri. Unum quidem ex Olympicis revertentem coronatum ut videant populi & urbes, accurrunt ad lauri foliis redimitum. At nos non unum, tres certatores, qui pro Trinitate concertarunt, & coronati sunt, concursu facto spectavimus; etiamsi mediocris facultatis lingua vix audeat vel unius C eorum laudes prosequi: & mens caligine laboret, dum mare virtutum uno vasculo metiri conatur. Attamen id ausi sumus, boni affectus fructum patribus offerentes. Ante biduum omnium regis Christi natales celebrati sunt: jure ergo hæc splendida certamina in honorem Natalium Domini ab athletis quinquertii peracta sunt. Id quod etiam apud exteros contingere solet. Regios quippe natales in urbibus principes celebrant. Sed illic quidem victor umbram & temporanei gaudii voluptatem decerpit; hic vero immortalia sunt coronatorum bravia, æternæ coronæ, gaudium cum angelis, splendor cum sanctis in resurrectione. Hæc ipsis reposita sunt certaminum præmia; quorum precibus, & nos servemur, & hic pastor bonus D in multas annorum decadas nobis custodiatur in Christo, cui gloria in sæcula, amen.

*Act. 12. 2.*

*Hæc in Græco vitiata & turbata divinando vertimus.*

Περὶ αὐχμοῦ.

ΤΙΣ δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; ἐπιδαψιλευέτω μοι τὸ τοῦ λόγου προοίμιον, ὁ τῶν προφητῶν συμπαθέστατος. ἀλλ' ἐκεῖνος μιᾶς πόλεως τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν ὠδύρετο· ἐγὼ δὲ πάσης τῆς περιχώρου ταύτης ὁρῶν τὴν ἐπελθοῦσαν μάστιγα, εἰς θρήνους κινοῦμαι καὶ δάκρυα. ἐκλείσθη γὰρ ὁ οὐρανὸς διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ τῷ ἡλιακῷ αἱ νεφέλαι, ὡσεὶ φρύγιον, συνεφρύγησαν· αἱ τῶν ὑδάτων ἀπεξηράνθησαν πίδακες, καὶ ποταμῶν ἀενάων ἐξέλιπε ῥεύματα· ἡ δὲ γῆ πυρακτωθεῖσα τῷ καύσωνι τοὺς συνήθεις αὐτῆς δοῦναι καρποὺς ἀπαναίνεται. φεῦ τῶν ἡμετέρων κακῶν. καὶ αὐτὰ γὰρ τὰ ἄλογα ζῶα κινδυνεύει διὰ τὰς ἁμαρτίας ἡμῶν. ἀπεξηράνθη ἡ γῆ, καὶ ὁ χόρτος αὐτῆς, μᾶλλον δὲ οὐκ ἐβλάστησε, καὶ τῷ λοιμῷ διαφθείρεται. καὶ βοῦς μὲν ἐλεεινὸν μυκᾶται, καὶ οἷον ἐπιθανάτιον· τὰ δὲ ποίμνια βληχᾶται γοερῷ τῷ βληχήματι, ὡς φλογώδη κρατῆρα, τὴν τῶν ὑδάτων πόσιν προκειμένην θεώμενα,

*De Siccitate.*

QUIS dabit capiti meo aquam, & oculis meis fontem lacrymarum? Exordium mihi largiter subministret prophetarum omnium maxime misericors. At ille unius urbis Jerosolymæ vastitatem deplorabat; ego vero cernens ingruentem toti circum regioni calamitatem, in E lacrymas & fletus prorumpo. Clausum quippe est cælum ob peccata nostra; & solari ardore nubes *sicut cremium aruerunt.* Aquarum scaturigines exsiccatæ sunt, & perennium fluminum alvei defecerunt. Terra vero æstu fervens solitos proferre fructus abnuit. Heu mala nostra! Ipsa etiam bruta animalia periclitantur ob peccata nostra. Exsiccata est terra & fœnum ejus; imo vero non germinavit, & hac peste corrumpitur. Bos miserabiliter mugit, & quasi lethali voce. Ovilia balatum lugubrem emittunt, dum aquarum potum quasi ardentem craterem conspiciunt,

*Jer. 9. 1.*

& pascua ante tempus exsiccata; ita ut Joelis
Joel. 1. 18. prophetia apud nos jam impleatur : *Fleverunt bovilia boum quia non erant pascua ipsis, & caulæ ovium deletæ sunt, quia exsiccati sunt exitus riverum.* Tantum scelera nostra propitiam Dei naturam in justum furorem moverunt. Et quia quotidie non cessamus ignem peccatorum succendere, jure siccitate & æstu plectimur. Et
Isai. 51. 11. fortasse nobis clamat propheta : *Ambulate in lumine ignis vestri, & in flamma, quam succendistis.* Certe Israelitis per prophetam promiserat
Deut. 28. 23. Deus, si ejus præcepta servarent : *Emittam super vos pluviam matutinam & serotinam. Et implebuntur areæ vestræ frumento, & torcularia vino.* Promissio autem nobis in contrarium versa est; imo vero nos Jeremiæ maledictio invasit : *Sit tibi*, inquit, *super caput cælum æreum*; propheta per hanc comminationem, omnimodam siccitatem & aquæ penuriam indicante. Annon id jam in nobis impletur? Terra æstu prærupta, & quasi in petram versa, agricolarum laborem irritum reddit, ac neque aratrum, neque ligonem admittit. Herbæ uti paululum pullularunt bonamque spem dederunt, antequam spicam
Series vitiata. concipiant exsiccantur & abeunt : solusque relinquitur vinearum & arborum succus, qui fortasse brevi marcescet. Talis est peccatorum fructus, talia nequitiæ orgia, quia non ambulavimus in viis Dei; sed malis operibus subditi fuimus, aliis invidentes, contra minores alios nos extollentes, alienis satiari bonis cupientes, de vicini calamitate gaudentes, nos mutuo sy-
Jer. 5. 8. cophantiis devorantes, absurdis concupiscentiis subditi, equi emissarii effecti, ut ait scriptura, & lupi rapaces; memoriam injuriarum retinentes ut cameli, pauperes non miserantes, lapsis non compatientes, ecclesiæ collectas negligentes, sanctos despicientes, memorias ipsorum non venerantes, confessionem fugientes, quasi phrenitide acti in famulos. Sacerdotes malo exemplo sunt populis, contumeliam inferentes, memoriam injuriarum retinentes, inimicitiis & insidiis dediti, in faciem respicientes, lapsos non arguentes nec emendantes, sed ex silentio injuriæ participes, ut ille antiquus Heli. Laïci sua relinquentes, Sacerdotum negotia singuli curiose scrutantur, & indeprecabiles sunt judices. Annon vera dico? Annon civitas nostra his plena est malis? Annon quotidie hæc testificor? Annon laboravi clamans ut juramentis abstineatur? Annon prædixi: Non despicit Deus videns sacrum evangelium ita neglectum, & avaris manibus sic irreverenter tractatum? Affer igitur fructus ex agro, quos ex avaritia usurpasti, qui ager ne jacta quidem semina proferet. Sed ne vineam quidem vindemiabis, quam avare rapuisti. Quæ enim olim Deus Judæis per Michæam comminatus est,
Mich. 6. 15. hæc nunc in nobis implevit : *Tu seminas, & non metes; tu premis olivam, & non oleo ungeris : & vinum non bibes.* Quid ergo? dixerit forte quispiam. Atqui non omnes sunt avari, non omnes perjuri. Quomodo ergo paucis peccantibus, omnibus miscetur iræ Dei absinthium? Oporteret enim improbis tantum inferri supplicium. Verum sicut in uno corpore, si in una parte humor exuberet, totum corpus eget purgatione; sic & in nobis, quia unum corpus sumus, & omnes membra Christi, una ægrotante parte, omnes doloris sumus participes. Sic olim filio Saülis peccante, totus exercitus plexus est, & Davide præter Dei placitum populum numerante, commune exitium invectum est. Hoc in externa quoque disciplina fertur, totam nempe civitatem unius viri flagitio plexam fuisse. Ideo iræ Dei calix nobis mixtus est & purus.

A καὶ περὶ καιροῦ τὰ λήϊα ξηραινόμενα· ὡς καὶ τὴν Ἰωὴλ προφητείαν πεπληρῶσθαι νῦν ἐν ἡμῖν· ἔκλαυσε βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς· καὶ ποίμνια τῶν προβάτων ἠφανίσθη, ὅτι ἐξηράνθησαν ἀφέσεις ναμάτων. τοσοῦτον τὰ ἡμέτερα πταίσματα τὴν ἵλεων τοῦ θεοῦ φύσιν καὶ ἥμερον εἰς δίκαιον θυμὸν παρεκίνησαν. καὶ ἐπειδὴ καθ' ἑκάστην οὐ παυόμεθα τὸ πῦρ τῶν ἁμαρτιῶν ὑφάπτοντες, εἰκότως αὐχμῷ καὶ καύσωνι τιμωρούμεθα. τάχα που καὶ πρὸς ἡμᾶς ὁ προφήτης βοᾷ· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἣ ἐξεκαύσατε. τοῖς μὲν οὖν Ἰσραηλίταις διὰ τοῦ προφήτου ἐπηγγέλλετο ὁ θεὸς, εἰ φυλάττοιεν τὰς αὐτοῦ ἐντολὰς, ἐπιβρέξω εἰς ὑμᾶς ὑετὸν πρώϊμον καὶ ὄψιμον· καὶ πληθυνθήσονται ὑμῶν αἱ ἅλωνες σίτου, καὶ αἱ ληνοὶ οἴνου. ἡμῖν δὲ ἡ ἐπαγγελία
B αὕτη εἰς τοὐναντίον μετέτραπται· μᾶλλον δὲ ἡμᾶς ἡ τοῦ Ἱερεμίου κατάρα κατείληφεν. ἔσω σοί, φησιν, ὁ ὑπὲρ τῆς κεφαλῆς οὐρανὸς χαλκοῦς, τὴν παντελῆ ξηρασίαν καὶ ἔλλειψιν τῶν ὑδάτων τῇ ἀπειλῇ τοῦ λόγου σημαίνοντος. ἢ οὐ τοῦτο ἡμῖν ἀρτίως πεπλήρωται; ἡ μὲν γῆ χαραδρωθεῖσα αὐχμῷ, καὶ οἷον ἀπολιθωθεῖσα τῶν γεωργῶν τὸν πόνον ἠμάλδυνεν, οὔτε τὴν ἄροσιν παραδεχομένη, οὔτε τὴν σκάφησιν· τὰ δὲ λήϊα μικρὸν ἐκβλαστήσαντα, καὶ χρηστὰς ἐλπίδας παρασχόντα, πρὸ τοῦ ἐγκυμονῆσαι τὸν ἄσταχυν, ἀπεμαράνθη καὶ ᾤχετο. μόνη δὲ λέλειπται τῶν ἀμπελῶν καὶ φυτῶν ὑπετάλωσις, τάχα καὶ αὐτὴ τὸν μετ' ὀλίγον ἐσόμενον μαρασμὸν ὑπεμφαίνουσα. τοιοῦτος τῶν ἁμαρτιῶν ὁ καρπὸς, τοιαῦτα τῆς κακίας τὰ ὄργια, ἀνθ' ὧν οὐκ ἐπορεύθημεν ἐν ταῖς ὁδοῖς αὐτοῦ, ἤτοι τοῦ θεοῦ, ἀλλὰ ταῖς πονηραῖς ἐδουλώθημεν πράξεσιν, ἀλλήλων φθονοῦντες, τῶν
C ἐλαττόνων κατεπαιρόμενοι, ἐπιθυμοῦντες κορεσθῆναι τῶν ἀλλοτρίων, χαίροντες τῇ δυσπραγίᾳ τοῦ γείτονος, ἀλλήλους κατεσθίοντες τῇ συκοφαντίᾳ, ἀτόποις ἐπιθυμίαις δουλαγωγούμενοι, ἵπποι θηλυμανεῖς γεγονότες, ὅ φησιν ἡ γραφὴ, καὶ λύκοι ἅρπαγες, καὶ μνησικακοῦντες ὡς κάμηλοι, οὐκ ἐλεοῦντες τοὺς πένητας, οὐ συμπαθοῦντες τοὺς πταίοντας, ἀμελοῦντες τῶν ἐν τῇ ἐκκλησίᾳ συνάξεων, καταφρονοῦντες τῶν ἁγίων, τὰς μνήμας αὐτῶν μὴ σεβόμενοι, φεύγοντες τὴν ἐξομολόγησιν, ὡς περὶ φρενίτιδι ὄντες τοὺς θεράποντας. οἱ ἱερεῖς κακὸν ὑπόδειγμα γεγόνασι τῷ λαῷ, ὑβρίζοντες, μνησικακοῦντες, ἐχθραίνοντες, ἐπιβουλεύοντες, εἰς πρόσωπα βλέποντες, οὐκ ἐλέγχοντες καὶ διορθοῦντες τοὺς πταίοντας, ἀλλὰ τῇ σιωπῇ κοινωνοῦντες τῆς ἀδικίας, ὡς ὁ παλαιὸς ἐκεῖνος Ἡλεί. οἱ λαϊκοὶ ἀφέντες τὰ ἑαυτῶν, ἕκαστος περισκοπεῖν τὰ τῶν ἱερέων περιερ-
D γάζονται, καὶ δικαστής ἐστιν ἀπαραίτητος. ἆρα οὐκ ἀλήθειαν λέγω; οὐ τούτων ἔμπλεως τῶν κακῶν ἡ πόλις ἡμῶν; καὶ οὐ καθ' ἑκάστην ταῦτα μαρτύρομαι; οὐκ ἐκοπίασα κράζων, τῶν ὅρκων ἀπέχεσθαι; οὐ προέλεγον, οὐ παρόψεται κύριος ὁρῶν οὕτω καταφρονούμενον τὸ ἱερὸν εὐαγγέλιον; καὶ ταῖς πλεονεκτικαῖς χερσὶν ἀναιδῶς καὶ ἀνυποστόλως κρατούμενον; κόμιζε τοίνυν τοὺς καρποὺς τοῦ ἀγροῦ, τοὺς ἐκ πλεονεξίας κτηθέντας σοι, ὡς οὐδὲ τὰ καταβληθέντα παρέξει σπέρματα· ἀλλ' οὐδὲ τὸν ἀμπελῶνα τρυγήσεις, ὃν πλεονεκτήσας ἀφήρπασας. ἃ γὰρ τοῖς Ἰουδαίοις πάλαι διὰ Μιχαίου ἠπείλησεν ὁ θεὸς, ταῦτα νῦν πεπλήρωκεν ἐν ἡμῖν. σὺ σπερεῖς, καὶ μὴ ἀμήσῃς· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον· καὶ οἶνον οὐ μὴ πίεις. τί οὖν; εἴποι τις ἴσως. καὶ μὴν οὐ πάντες πλεονέκται, οὐδὲ πάντες
E ἐπίορκοι. πῶς οὖν ὀλίγων ἁμαρτανόντων κοινῇ πᾶσι κεκέρασται τὸ τῆς ὀργῆς τοῦ θεοῦ τὸ ἀψίνθιον; ἐχρῆν γὰρ μόνοις τοῖς κακοῖς ἐπενεχθῆναι τὴν κόλασιν. ἀλλ' ὡς ἐφ' ἑνὸς σώματος, εἴπερ ἐν ἑνὶ μορίῳ ῥεύματος ἐπείσρυσις γίνεται, τὸ πᾶν σῶμα ἐδεῖτο καθάρσεως· οὕτω καὶ ἐφ' ἡμῖν, ἐπειδὴ ἓν σῶμά ἐσμεν, καὶ μέλη πάντες τοῦ Χριστοῦ, ἑνὸς μέρους νενοσηκότος, κοινωνοὶ τῆς ἀλγηδόνος πάντες γινόμεθα. οὕτω ποτὲ τοῦ παιδὸς Σαοὺλ ἁμαρτήσαντος, ἅπαν τὸ στρατόπεδον ἐμαστίζετο, καὶ τοῦ Δαυὶδ παρὰ τὸ δοκοῦν τῷ θεῷ τὸν λαὸν ἀριθμήσαντος, κοινὸς ὄλεθρος * ἐπεισέφρησε. τοῦτο δὲ καὶ ἡ ἔξωθεν παιδεία φησὶν, ὅτι πολλάκις καὶ σύμπασα πόλις ἑνὸς ἀνδρὸς κακίας ἀπέλαυσε. διὰ τοῦτο τὸ τῆς ὀργῆς τοῦ θεοῦ τὸ ποτήριον κεκέρασται ἡμῖν ἄκρατον.

* Suidas ἐπεισέφρησε

ποτήριον

ποτήριον γάρ φησιν, ἐν χειρὶ κυρίου πλῆρες κεράσματος οἴνου ἀκράτου. ὁρᾷς πῶς ἡ τοῦ ποτηρίου τούτου φύσις παρήλλακται. εἰ γὰρ ἄκρατόν ἐστι, πῶς πλῆρες κεράσματος; τὸ γὰρ κεκερασμένον οὐκ ἄκρατον. ἐνταῦθα δὲ ἀμφότερα λέγεται· καὶ ἄκρατον μὲν, ὡς ἀμιγὲς θείων οἰκτιρμῶν τοῖς ἀδιορθώτως πταίουσι, διὰ τὸ τῆς κρίσεως δίκαιον· κεκερασμένον δὲ, ὡς ἐκ διαφόρων μαστίγων καὶ τιμωριῶν, αἷς εἴωθε κολάζειν θεὸς τοὺς μὴ ἐν ἀπεγνωσμένοις γενομένους κακοῖς. ὃν τρόπον γὰρ οἱ τὰς τῶν σωμάτων ἀνακόπτοντες νόσους, καὶ τὸ δύνασθαι θεραπεύειν τὴν πεῖραν ἐξησκηκότες, τὰ τῶν τραυμάτων δυσαισθητότερα θερμοῖς ὕδασι καὶ δριμέσι φαρμάκοις ἀποκαθαίρουσι, καὶ τῆς ἐνούσης αὐτῆς ἀκαθαρσίας τὸ πάθος ἀπολεπτύνουσι τοῖς ἐκ τῆς τέχνης ἐπικουρήμασιν· οὕτω καὶ ὁ τὰ πάντα γινώσκων θεὸς, τοὺς ἀναλγήτως ἔχοντας πληγαῖς, ὧν βέλτιον ἂν εἴη παραιτεῖσθαι πρὸ τῆς πείρας τὴν ἔφοδον. τί οὖν εἴποιμεν πρὸς τὰ ὑπαρχόμενα; δικαία ἡ κρίσις τοῦ θεοῦ, μᾶλλον δὲ καταπολὺ τῆς δικαίας ὀργῆς ὁ φιλάνθρωπος δεσπότης τὴν τιμωρίαν ἐκούφισεν, οὐχ ὅσον ὧν ἐσμεν ἄξιοι, πεῖραν λαβεῖν, ἀλλ' ὅσον αἴσθησιν λαβεῖν, ὧν ἡμάρτομεν. σκόπει γὰρ τοῦ θεοῦ τὸ μακρόθυμον. ἡμάρτομεν ἡμεῖς, καὶ τὰ στοιχεῖα κολάζεται· πταίομεν, καὶ ἡ γῆ τιμωρεῖται· φαῦλον βίον ζῶμεν ἡμεῖς, καὶ μαστίζεται τὰ ἄψυχα· ὑβρίζομεν τὸν πλάστην διὰ τῶν αἰσχρῶν ἡμῶν πράξεων, καὶ δέχεται τὴν πληγὴν τὰ μηδὲν ἁμαρτήσαντα· ὥσπερ ἂν εἴ τις τοῦ παιδὸς σφαλέντος, κατὰ τοῦ δούλου ἐκφέρει τὴν βάσανον. τοιοῦτον ἔχομεν ἀγαθὸν δεσπότην, οὕτως ἡμᾶς νουθετεῖ, ἐπανάγων πρὸς τὴν διόρθωσιν· καὶ τείνει μὲν τὸ τόξον τῆς ἀπειλῆς, ἐπέχει δὲ τὸ βέλος τῆς ὀργῆς. οὐ γὰρ βούλεται τὸν ψυχικὸν ἡμῶν θάνατον, ἀλλὰ τὴν ἐπιστροφὴν ἀναμένει καὶ τὴν μετάνοιαν. γενώμεθα οὖν, ἀδελφοὶ, ἐν αἰσθήσει τοῦ πρέποντος, ἱλεωσώμεθα τὸν εὔσπλαγχνον κύριον, μὴ χείρονες ὀφθῶμεν τῶν Νινευϊτῶν. ἐκεῖνοι ἐθνικοὶ ὄντες καὶ ἄπιστοι, ἐπειδὴ παρὰ τοῦ προφήτου τὴν καταστροφὴν τῆς πόλεως ἔμαθον, τοσαύτην ἐπεδείξαντο μετάνοιαν, ὡς καὶ τὰ νήπια καὶ τὰ κτήνη νηστεύειν ἠνάγκασαν, καὶ σποδὸν καὶ σάκκον περιεβάλοντο, καὶ οὕτω τῆς δικαίας ὀργῆς τοῦ θεοῦ ἀπηλλάγησαν. δακρύσωμεν οὖν καὶ ἡμεῖς, ἐξομολογησώμεθα ἕκαστος τὰ ἴδια πταίσματα, προσληψώμεθα πρὸς θεὸν μεσίτας τοὺς ἁγίους, τούς τε ἄλλους, καὶ κατ' ἐξαίρετον τὴν ὑπέραγνον δέσποιναν, τὴν ταχεῖαν προστασίαν καὶ ἄμαχον. προσπέσωμεν αὐτῇ, μετὰ δακρύων δεόμενοι· κυρία δέσποινα, ἡ τὸν θεὸν λόγον ἐν γαστρί σου χωρήσασα, ἡ τὴν φύσιν ἡμῶν τῷ σῷ τόκῳ θεώσασα, ἡ θεῷ καὶ ἀνθρώποις τῷ τόκῳ σου μεσιτεύσασα, ἐλέησον τὸν λαόν σου καὶ τὴν κληρονομίαν σου· σπλαγχνίσθητι ἐπὶ ταύτῃ τῇ πόλει σου, τῇ ἐν τῷ σῷ καυχωμένῃ ὀνόματι· μεσίτευσον ὑπὲρ ἡμῶν τῶν ἀναξίων δούλων σου· δυσώπησον τὸν μονογενῆ σου υἱὸν ἐπὶ τοῖς ἡμετέροις μακροθυμῆσαι πταίσμασι, καὶ λῦσαι τὴν καθ' ἡμῶν ταύτην δικαίαν ὀργὴν, καὶ ταῖς νεφέλαις ἐπιτάξαι τὸν ὑετὸν ἐπομβρῆσαι συνήθως, καὶ τὸν αὐχμὸν διαλῦσαι, καὶ τῆς γῆς δροσίσαι τὸν καύσωνα. ναὶ, δέσποινα, δέσποινα, ἡ τοῦ κόσμου ἀντίληψις, ἐλέησον, θήλαζον τὰ νήπια, γέροντας κεκμηκότας, πένητας πεφρυγμένους· μὴ ἐάσῃς ἡμᾶς ἀπολέσθαι ταῖς ἁμαρτίαις ἡμῶν· ἡμάρτομεν, ἠνομήσαμεν, τὸν καθαρὸν τοῦ βαπτίσματος χιτῶνα κατερρυπώσαμεν, τὰς δεσποτικὰς ἐντολὰς ἠθελήσαμεν. ἀλλὰ κἂν ὀλισθαίνωμεν, οὐκ ἐπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον, ἀλλ' εἰς τὸν μονογενῆ σου υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον καὶ συνδοξαζόμενον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

A Nam ait: *Calix in manu Domini plenus mixto vini meri.* Psal. 74. 7. Viden' quomodo hujus calicis natura inversa sit: nam si merus & purus est, quomodo plenus mixto? Nam quod mixtum est, non est merum. Hic autem utrumque dicitur: & merum quidem est poculum, utpote quod non sit mixtum divina miseratione erga eos qui lapsi non emendantur, idque secundum justitiam; mixtum vero diversis suppliciis & emendationibus, quibus punire solet Deus eos qui in malis non desperati sunt. Sicut enim ii qui corporeos morbos curant, & curandi peritiam sunt consequuti, difficiliora vulnera aquis fervidis, & acribus remediis purgare solent, & saniem ægritudinemque artis ope leniunt; sic qui omnia novit Deus, tractat eos qui plagas non sen- B tiunt, quibus melius fuisset ultionem prævertere antequam immitteretur. Quid ergo jam dicamus? Justum est Dei judicium: imo etiam benignus Dominus juste iratus, ultionem longè minorem quam pro scelerum ratione intulit; non quantam merebamur, sed quantum satis erat ut in peccatorum sensum veniremus. Perpende namque Dei patientiam. Nos peccavimus, & elementa puniuntur; lapsi sumus, & terra plectitur: malam vitam nos ducimus, & inanimata flagellantur; turpibus gestis creatorem contumelia afficimus, & plagam accipiunt ea quæ nihil peccaverunt: quemadmodum si quis filio peccante, servum castigaret. Talem habemus, tamque bonum dominum: sic ille nos monet ad emendationem deducens: & ar- C cum tendit minarum, sed sagittam iræ retinet. Non enim vult animæ mortem, sed conversionem exspectat & pœnitentiam. Simus ergo, fratres, sensu ut par est affecti: Deum miseratorem placêmus, ne videamur deteriores Ninivitis. Isti, gentiles cum essent & infideles, quia per prophetam futuram urbis subversionem didicerant, tantam exhibuere pœnitentiam, ut etiam infantes & jumenta jejunare cogerent, & cinere saccoque circumdarent, & sic a justa ira Dei erepti sunt. Nos ergo etiam ploremus, confiteamur singuli peccata nostra, sanctos apud Deum intercessores adhibeamus; tum maxime sanctissimam Dominam, promtum illud & inexpugnabile patrocinium: procumbamus illi cum lacrymis precantes: Domina, D quæ Deum Verbum in utero habuisti, quæ naturam nostram tuo partu divinam præstitisti, quæ inter Deum & homines partu tuo mediatrix fuisti; miserare populum tuum & hereditatem tuam, miserere hujus civitatis tuæ, quæ in nomine tuo gloriatur: intercede pro nobis indignis famulis tuis: deprecare unigenitum filium tuum, ut peccata nostra propitius ferat, & hanc iram contra nos immissam solvat, nubibusque mandet, ut consuetam pluviam subministrent, siccitatem tollant, ac terræ æstum rore perfundant. Etiam, Domina, Domina, mundi præsidium, miserere; lac confer infantibus, senibus fatiscentibus, pauperibus arescentibus. Ne sinas nos ob peccata nostra perire. Peccavimus, E inique egimus, puram baptismatis tunicam inquinavimus, dominica mandata transgressi sumus. At etiamsi lapsi sumus, non extendimus manus nostras ad Deum alienum; sed ad unigenitum filium tuum Dominum nostrum Jesum Christum, qui cum Patre & Spiritu sancto adoratur & conglorificatur nunc & semper & in sæcula.

## *In Jordanem fluvium.*

A

CUR missis omnibus terræ fluviis Christus in Jordane mysterium baptismatis consummat? Fluminis naturam explorare par est, ut hinc mysterii seriem ediscas. Jordanis inter omnes fluvios duas habet scaturigines: neque enim ex uno fonte manat. Unum fontem habet in Paneade, & alterum prope Paneadem. Fons alter vocatur Jor, alter vero Dan: & per paulum spatii separatim manantes fontes, in uno loco simul confluunt, & unum fluvium efficiunt. Veteres autem a scaturiginibus nomen illi dederunt Jordanis, a separatis fontibus Jor & Dan, qui postea junguntur. Secus autem quam omnes alii fluvii, hic in nullum vivum mare influit, & aqua viva maris illum non excipit; sed excipit Mare mortuum. Hic solus fluvius mortuis & inutilibus aquis jungitur. Est porro Jordanis mortalis nostri generis figura, & quomodo, audi. Ab initio genus nostrum duas habet radices, Adamum ex terra formatum, & Evam quæ ex costa prodiit: neque unus est sive locus sive modus formationis. Ille namque ex terra formatus, fontem habet terram; hæc ex costa facta, radicem habet costam: aliud illius, aliud hujus initium. Et erant interim sic separati secundum modum formationis. Conjuncti vero sunt congressu nuptiali; ex ambobus unum factum est corpus; & qui deinceps prodierunt, non ex costa, non ex terra, sed ex congressu

Matt. 19. 6. nascebantur. *Erunt* enim, inquit, *duo in carnem unam.* Hoc igitur nostrum figmentum, naturæ ordine procedens, finem habuit mortem. Cœpit figmentum nostrum a terra, & desiit in mortem, illudque excepit mare mortuum, profundum, infernale, abyssus mortuorum. Quod enim est mare mortuum vivis aquis, idipsum

Rom. 10. 7. est infernus morientibus. Ideo dicit Paulus: *Ne dixeris in corde tuo, quis descendet in infernum? id est, Christum ex mortuis reducere?* Circa hunc ergo Jordanem, qui ex vivis fontibus prodit & in mortuum mare desinit, totum Dei opus mirabile consummabatur, ut non ultra aqua viva curreret ad mortem. Ter vero Jordanem divisit Deus, ut non ultra fluxum haberet ad mare mortuum; sed ut recurreret ad veteres viventes radices. Divisus est sub Jesu filio Nave; divisus est sub Elia, quando melote sua illum divisit; divisus est ab Elisæo, quando revertens divisit eum. Prior Jesus filius Nave divisit Jordanem: & quomodo diviserit audi. Non retinuit fontium fluxum, sed aquam retro convertit, ut te-

Psal. 113. 5. stificatur Psalmista dicens: *Quid est tibi, mare, quod fugisti? & tu Jordanis, quia conversus es retrorsum?* Retrorsum erant fontes. Rejiciens ergo Servator genus nostrum, quod currebat ad mortem, id efficit ut non ultra currat ad mortem, sed ad veteres viventes radices revertatur, nec in mortuum mare desinat. Restituitur ergo mortalis natura in priscam formam. Nullusque Jordanem dividens conspicitur sine aliquo symbolo. Jesus filius Nave arcam habens divisit; Elias meloten; Elisæus item habens meloten magistri divisit eum. Quia enim mortalis natura per se sola non poterat fluentum retinere, ingreditur prior Jesus, Domino cognominis, symbolum Dominici corporis gestans. Et apparet Jordanem, neque Jesum reveritum esse, merum hominem, nempe filium Nave, neque Judæos, neque sacerdotes. Ut ostendatur vero ipsum non cessisse populo, sed arcam re-

## Εἰς τὸν Ἰορδάνην ποταμόν.

ΔΙΑ τί παρὰ πάντας σὺν ἐπὶ γῆς ποταμοὺς ἐπὶ τοῦ Ἰορδάνου ποταμοῦ ἐπιτελεῖ Χριστὸς τὸ μυστήριον τοῦ βαπτίσματος; ἀναγκαῖον ἱστορῆσαι τοῦ ποταμοῦ τὴν φύσιν, ἵνα ἐξ αὐτοῦ μάθῃς τὴν τῆς μυσταγωγίας ἀκολουθίαν. ὁ Ἰορδάνης παρὰ πάντας τοὺς ποταμοὺς δύο ῥίζας ἔχει πηγῶν. οὐ γὰρ ἀπὸ μιᾶς πηγῆς προέρχεται ὁ Ἰορδάνης. ἔχει δὲ τὴν μὲν μίαν πηγὴν εἰς τὴν Πανιάδα, τὴν δὲ ἄλλην πλησίον τῆς Πανιάδος. καὶ ἡ μὲν μία πηγὴ καλεῖται Ἰὸρ, ἡ δὲ ἄλλη Δάν· καὶ κατ' ὀλίγον προερχόμεναι καὶ μεριζόμεναι ἀπ' ἀλλήλων αἱ πηγαί, κατά τινα τόπον συνέρχονται ἀλλήλαις, καὶ ἕνα ἀποτελοῦσι ποταμόν. ἀπέδωκαν δὲ αὐτῷ οἱ ἀρχαῖοι ὄνομα πρὸς τὰς ῥίζας, Ἰορδάνης. ὁ ἀπὸ τοῦ Ἰὸρ καὶ τοῦ Δὰν πλεχθεὶς ποταμὸς παρὰ τὰς ἀρχὰς χιζομένας ἔχοντας

B ῥίζας καὶ ἐπὶ τέλει συναπτομένας. παρὰ πάντας πάλιν τοὺς ποταμοὺς οὗτος εἰς ζῶσαν θάλασσαν οὐ τρέχει, καὶ ὕδωρ αὐτὸν θαλάσσης ζῶν οὐ δέχεται· ἀλλὰ δέχεται αὐτὸν ἡ νεκρὰ θάλασσα. οὗτος μόνος παρὰ πάντας τοὺς ποταμοὺς νεκροῖς καὶ ἀργοῖς ὕδασι συνάπτεται. ἔστι δὲ ὁ Ἰορδάνης τοῦ ἡμετέρου θνητοῦ γένους τύπος, καὶ ὅπως ἄκουε. ἀπ' ἀρχῆς τὸ γένος τὸ ἡμέτερον δύο ἔχει ῥίζας, τὸν Ἀδὰμ ἐκ γῆς πλασθέντα, τὴν Εὔαν ἀπὸ πλευρᾶς προελθοῦσαν. καὶ οὐκ ἔστιν εἷς τόπος καὶ εἷς τρόπος τῆς καταστάσεως. ὁ μὲν γὰρ ἀπὸ γῆς ἐπλάσθη, πηγὴν ἔχων τὴν γῆν· ἡ δὲ ἀπὸ πλευρᾶς ἐγένετο, ῥίζαν ἔχουσα τὴν πλευράν. ἄλλη ἀρχὴ ἐκείνου, καὶ ἄλλη ταύτης. καὶ ἦσαν ἀπ' ἀλλήλων τέως μεριζόμενοι κατὰ τὸν τρόπον τῆς διαπλάσεως. συνῆλθον εἰς συνάφειαν γαμικήν, ἀπετελέσθη τὸ ἐξ ἀμφοτέρων ἓν σῶμα, καὶ οὐκέτι οἱ τικτόμενοι ἢ ἀπὸ πλευρᾶς, ἢ ἀπὸ γῆς, ἀλλ' ἀπὸ

C συνουσίας ἐτίκτοντο. ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. τοῦτο γοῦν τὸ ἡμέτερον πλάσμα, δραμὸν εἰς ἀκολουθίαν φύσεως, τέλος ἔχει τὸν θάνατον. ἤρξατο μὲν ἡμῶν τὸ πλάσμα ἀπὸ γῆς, καὶ ἔληξεν εἰς θάνατον· καὶ ἐδέξατο τὸ πλάσμα τοῦτο ἡ νεκρὰ θάλασσα, ὁ βαθὺς, ὁ καταχθόνιος, ἡ ἄβυσσος τῶν νεκρῶν. ὃ γάρ ἐστι νεκρὰ θάλασσα τοῖς ζῶσιν ὕδασι, τοῦτό ἐστιν ὁ ᾅδης τοῖς ἀποθνήσκουσι. διὸ λέγει Παῦλος· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς καταβήσεται εἰς τὸν ᾅδην; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν; περὶ τοῦτον οὖν τὸν Ἰορδάνην τὸν ἀπὸ ζωσῶν πηγῶν προερχόμενον, καὶ εἰς νεκρὰν θάλασσαν καταλήγοντα, πᾶσα ἡ τοῦ θεοῦ ἐπετελεῖτο θαυματουργία, ἵνα μηκέτι τὸ ζῶν ὕδωρ τρέχῃ πρὸς θάνατον. τρίτον αὐτὸν τὸν Ἰορδάνην διέκοψεν ὁ θεὸς, ὡς μηκέτι αὐτῷ τὴν ἀκολουθίαν εἶναι εἰς τὴν νεκρὰν

D θάλασσαν, ἀλλ' ἀνατρέχειν ἐπὶ τὰς ἀρχαίας ῥίζας τὰς ζώσας. ἐτμήθη ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ· ἐτμήθη καὶ ἐπὶ Ἠλία, ὅτε τῇ μηλωτῇ αὐτὸν ἔτεμεν· ἐτμήθη ὑπὸ Ἐλισαίου, ὅτε ὑποστρέφων ἔτεμεν αὐτόν. πρῶτος Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔτεμε τὸν Ἰορδάνην· καὶ ὅπως ἔτεμεν, ἄκουε. οὐκ ἔστησε τὰ ῥεῖθρα τῶν πηγῶν, ἀλλ' ἀπέστρεψε τὸ ὕδωρ εἰς τὰ ὀπίσω, ὡς μαρτυρεῖ ὁ ψαλμῳδὸς λέγων· τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ δὲ ὀπίσω ἦσαν αἱ πηγαί. ἀναχαιτίζων τοίνυν ὁ σωτὴρ τὸ γένος τὸ ἡμέτερον τὸ τρέχον εἰς θάνατον, ποιεῖ μηκέτι τρέχειν εἰς θάνατον, ἀλλ' ἐπὶ τὰς ἀρχαίας ῥίζας τὰς ζώσας ἐπανιέναι, οὐκ εἰς τὴν νεκρὰν θάλασσαν καταλήγειν. ἀποκαθίσταται τοίνυν ἡ θνητὴ φύσις εἰς τὸ ἀρχαῖον

E σχῆμα· οὔτε εἷς δὲ φαίνεται τεμὼν τὸν Ἰορδάνην ἄνευ τινὸς συμβόλου. Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔχων κιβωτὸν ἔτεμεν· Ἠλίας ἔχων μηλωτήν· Ἐλισαῖος ἔχων πάλιν τὴν μηλωτὴν τοῦ διδασκάλου ἔτεμεν. ἐπειδὴ γὰρ ἡ θνητὴ φύσις οὐκ ἤρκει καθ' ἑαυτὴν στῆσαι τὸ ῥεῖθρον, εἰσέρχεται Ἰησοῦς πρῶτος φέρων μὲν τοῦ δεσπότου τὴν προσηγορίαν, ἐπαγόμενος δὲ μεθ' ἑαυτοῦ τὴν κιβωτὸν, τὸ σύμβολον τοῦ δεσποτικοῦ σώματος. καὶ φαίνεται ὁ Ἰορδάνης οὔτε τὸν Ἰησοῦν τιμήσας, τὸν ψιλὸν ἄνθρωπον ἐκεῖνον, λέγω τὸν τοῦ Ναυῆ, οὔτε τοὺς Ἰουδαίους αἰδεσθεὶς, οὔτε τοὺς ἱερεῖς ἐντραπείς. καὶ ἵνα δειχθῇ ὅτι οὐ τῷ λαῷ ὑποχωρεῖ, ἀλλὰ τὴν κιβωτὸν αἰδεῖται,

λέγει Ἰησοῦς· ἰδοὺ ἡ κιβωτὸς τοῦ κυριεύοντος πάσης τῆς γῆς διέρχεται τὸν Ἰορδάνην. καὶ ἔσται, ὅταν εἰσέλθωσιν οἱ πόδες τῶν ἱερέων τῶν βασταζόντων τὴν κιβωτόν, ὁ Ἰορδάνης ἐκλείψει, οὐ τοὺς ἱερεῖς αἰδούμενος, ἀλλὰ τὴν κιβωτόν. καὶ πόθεν τοῦτο, ἄκουε. ἐρωτᾷ αὐτὸν ὁ Δαβὶδ λέγων· τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; πρὸς ταῦτα ἀποκρίνεται ἡ δημιουργία λέγουσα· ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ. πρόσωπον δὲ κυρίου ἦν, τὸ σχῆμα τῆς κιβωτοῦ. ὃ γὰρ ἦν ἡ κιβωτὸς τῷ νόμῳ, καὶ ταῖς πλαξί, καὶ τῇ στάμνῳ, καὶ τῇ ῥάβδῳ, τοῦτο ἦν τῆς ἀκαταλήπτου θεότητος ἡ σὰρξ ἡ δεσποτική, ὡς ἐν κιβωτῷ φέρουσα τὴν θεότητα. περὶ ταύτης τῆς ἁγίας κιβωτοῦ ἔλεγεν ὁ μακάριος Δαβίδ· ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ ὅρα τί ποιεῖ· ὅτι ἐξηράνθη ὁ Ἰορδάνης, οὐκ ἀπολέσας τὰ ῥεῖθρα, ἀλλ' εἰς τὰς ἀρχαίας ῥίζας ἀναποδήσας, ἐπῆρέ, φησιν, Ἰησοῦς ἀπὸ τοῦ Ἰορδάνου δώδεκα λίθους μεγάλους, καὶ ἔστησεν αὐτοὺς πέραν τοῦ ποταμοῦ· ἔθηκε δὲ ἀντ' αὐτῶν ἄλλους δώδεκα λίθους ἐν τῷ ποταμῷ. τί βούλεται τοῦτο εἶναι τὸ περιαιρεθῆναι δώδεκα λίθους, καὶ τεθῆναι ἀντ' αὐτῶν ἄλλους δώδεκα; ἐπειδή, ὡς ἔφθην εἰπών, τὴν θνητὴν φύσιν ἀνεχαίτιζε· μᾶλλον δὲ βούλεται δεῖξαι, ὅτι ἀνασπᾷ τὴν ἀνθρωπότητα ἐκ τῶν βυθῶν, καὶ ἀνάγει εἰς τὸν οὐρανόν. τοὺς γὰρ λίθους τοὺς μηδέποτε θεασαμένους ἡλιακὴν ἀκτῖνα, μήτε φωτὸς δεξαμένους ὄψιν, ἥπλωσεν εἰς φῶς, καὶ ἦσαν εἰς γῆν ἐκ βυθοῦ ἀνασπασθέντες. διὰ τί δὲ δώδεκα λίθους ἔλαβεν ἐκεῖθεν; ἐπειδὴ διὰ τῶν δώδεκα ἀποστόλων ἔμελλεν ἀνασπᾶν τὴν ἀνθρωπότητα ἀπὸ τῆς θνητῆς φύσεως. ἔστω δέ, τοὺς ὄντας κάτω λίθους περιεῖλεν, ἵνα δείξῃ τῷ ἡλίῳ καὶ τῷ φωτί, καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ἐναργῆ ὄψιν, πῶς διέβησαν τὸν Ἰορδάνην· καὶ γὰρ καὶ τὴν αἰτίαν ἐσήμανεν· ἐὰν ἐρωτήσῃ σέ, φησιν, ὁ υἱός σου, λέγων· τί εἰσιν οἱ λίθοι οὗτοι; εἰπὲ αὐτῷ, ὅτι ἐπὶ ξηρᾶς διέβημεν τὸν Ἰορδάνην, κωλύσαντος τοῦ θεοῦ τὸ ὕδωρ πρὸ προσώπου ἡμῶν. ἀλλ' ἔστω, οἱ ἀνενεχθέντες λίθοι ἐτέθησαν, ἵνα φανῶσι τοῖς μετὰ ταῦτα· οἱ ἀντιτεθέντες διὰ τί ἀντετέθησαν; ἔλαβεν ἐκ τῶν βυθῶν τοὺς βεβυθισμένους, καὶ ἔδωκε τῷ βυθῷ πάλιν ἐνέχυρα σωτηρίας. οἱ τεθέντες λίθοι ἐνέχυρα, οἱ ληφθέντες ἀσφάλεια. καὶ πολλὴ ἡ περὶ τούτων θεωρία, καὶ διὰ τί ἐτέθησαν λίθοι, καὶ διὰ τί περιῃρέθησαν λίθοι. Χριστὸς καὶ λαμβάνει, καὶ δίδωσιν. ἦλθεν εἰς τὸν κόσμον, καὶ ἀνέλαβε τὸ σῶμα τὸ ἡμέτερον, δεδωκὼς ἡμῖν τὴν ἑαυτοῦ δύναμιν. διὰ τῶν ἀποστόλων ἀντιτίθησι τῷ ποταμῷ δώδεκα λίθους, ἐνέχυρον σωτηρίας, καὶ ἀρραβῶνα τῶν μελλόντων. ὁ γὰρ δεδωκώς τινί τι εἰς τί πρᾶγμα, ἐνεχυριάζει αὐτῷ εἰς τὸ μέλλον. ἐπειδὴ οὖν ἔμελλε τοῦτο τὸ ὄνομα πάλιν αὐτῷ τηρεῖσθαι, ὅτε ἔμελλε βαπτίζεσθαι ὑπὸ Ἰωάννου, προλαβὼν ἀπέθετο τὰ ἐνέχυρα τῆς ἐπιφανείας, καὶ ἔστησε τοὺς λίθους, οὓς μὲν ἔλαβεν ἐκεῖθεν, τοὺς πατριάρχας, οὓς ἤγειρε τότε· οὓς δὲ ἀντέθηκε, τοὺς ἀποστόλους, οὓς ἔδωκεν ἀντ' ἐκείνων. ἀντὶ γὰρ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί. οὕτω διέβη τὸν Ἰορδάνην, καὶ γίνεται ὁ Ἰορδάνης Ἰησοῦ τῷ τοῦ Ναυῆ ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς. ἕως ὅτε παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἐκληρονόμησε τὴν ἐπηγγελμένην γῆν· ἕως ὅτε Χριστὸς παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἤρξατο κηρύσσειν τὴν βασιλείαν. ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς ὁ Ἰορδάνης, ἀρχὴ τῆς κατασχέσεως τῆς βασιλείας τῶν οὐρανῶν ὁ Ἰορδάνης. διὰ τοῦτο ὁ προφήτης λέγει· μνησθήσομαί σου, κύριε, ἐκ γῆς Ἰορδάνου. μνήμη γάρ ἐστιν ἀνεξάλειπτος. ὁ μὲν Ἰησοῦς οὕτω διαβὰς ἔτεμε τὸν Ἰορδάνην, τὴν κιβωτὸν αὐτῷ δείξας· Ἠλίας δὲ τῇ μηλωτῇ ἔτεμε, δέρματι νεκρῷ, καὶ τὰ ζῶντα ὕδατα τῇ νεκρώσει τῆς μηλωτῆς ὑπήκουσεν. ἔτεμεν Ἠλίας τῇ μηλωτῇ τὸν Ἰορδάνην· καὶ οὕτω διέβη ἐπὶ τῷ ἀνελθεῖν εἰς τοὺς οὐρανούς. ὑπέστρεψεν ὁ μακάριος Ἐλισσαῖος λαβὼν τὴν μηλωτὴν τοῦ διδασκάλου, ὡς ἠξίου αὐτὸν λέγων· τὸ πνεῦμα τὸ ἐπὶ σοὶ γενέσθω διπλοῦν ἐφ' ἐμοί. λέγει αὐτῷ, σκληρῶς ᾔτησας· πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι· ἀντὶ τοῦ καταξιωθῆναι διπλῆν ἔχειν τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν. εἶτα ἀνελήφθη. ἐμετεωρίσθη ἡ μηλωτή,

A veritum fuisse, dicit Jesus: *Ecce arca ejus* Jos. 3. 11.
*qui dominatur omni terra, pertransit Jordanem.*
*Et erit cum ingressi fuerint pedes sacerdotum gestantium arcam, Jordanis deficiet*; non sacerdotes reveritus, sed arcam. Et unde hoc? audi.
Interrogat illum David dicens: *Quid est tibi,* Psal. 113.
*mare, quod fugisti? Et tu Jordanis, quia conver* 5.
*sus es retrorsum?* Ad hæc respondet creatura dicens: *A facie Domini mota est terra.* Facies Domini erat arcæ forma. Quod enim erat arca legi, & tabulis & urnæ, & virgæ, hoc erat incomprehensibilis divinitatis Dominica caro, quæ quasi in arca divinitatem ferebat. De hac sancta arca dicebat beatus David: *Surge, Do-* Psal. 131.
*mine, in requiem tuam, tu & arca sanctifica-* 8.
*tionis tua.* Et vide quid faciat. Quia exsiccatus
B erat Jordanis, non quod fluenta perdidisset, sed quod ad veteres scaturigines resiliisset, *Tulit,* Josu. 4. 8.
inquit, *Jesus ex Jordane duodecim lapides magnos, & statuit illos ultra Jordanem: & pro illis, duodecim alios lapides posuit in fluvio.* Quid sibi vult illud, duodecim auferri lapides, & pro illis duodecim alios restitui? Quia, ut dixi, mortalem naturam rejiciebat. Imo potius vult ostendere, quod ipse humanitatem de profundis abstrahat, & inducat in cælum. Lapides enim qui nunquam viderunt solarem radium, neque lucem, in lucem expandit; ex profundo abstracti super terram erant. Cur autem duodecim lapides inde cepit? Quia per duodecim apostolos abstracturus erat humanam naturam a mortali
C natura. Esto, in fundo positos lapides abstulerit, ut illos in solem & in lucem proferret, & homines deinceps clare cernerent, quomodo Jordanem pertransissent; nam hanc ille causam significavit dicens, *Si interrogaverit te filius tuus* Jos. 4. 6.
*dicens, Quid sibi volunt hi lapides? Dic illi, quia per aridam transivimus Jordanem, Deo impediente aquam ante faciem nostram.* Sed esto, educti lapides positi sint, ut a posteris viderentur; cur alii in eorum locum positi sunt? Eduxit ex profundo eos qui submersi erant, & rursus profundo dedit salutis pignora. Qui illic positi sunt lapides pignora, qui vero assumti sunt, tutela erant: ac multa circa hæc speculatio est, cur positi sint, cur ablati sint lapides. Christus &
D accipit & dat. Venit in mundum, & assumsit corpus nostrum, suam dans nobis virtutem. Per apostolos ponit in fluvio duodecim lapides, pignus salutis & arrham futurorum. Nam qui dat alicui pro aliqua re, pignus dat illi in futurum. Quia igitur hoc ipsum nomen erat servaturus, quando baptizandus erat in Jordane a Joanne; prius pignora deposuit adventus sui, & statuit lapides, quos inde assumsit, patriarchas, quos tunc erexit; ii vero quos pro ipsis substituit, sunt apostoli, quos pro illis dedit. Nam *pro patri-* Psal. 44.
*bus tuis nati sunt tibi filii.* Sic pertransivit Jor- 17.
danem; & factus est Jordanis Jesu filio Nave principium possessionis terræ. Donec pertransiret Jordanem, non possedit promissam terram. Donec Christus pertransivit Jordanem, non cœpit prædicare regnum. Principium possessionis
E terræ, Jordanis: principium possessionis regni cælorum, Jordanis. Ideo propheta dicit: *Memor ero tui, Domine, de terra Jordanis.* Memoria enim est indelebilis. Jesus sic pertransiens divisit Jordanem, arcam ipsi ostendens: Elias vero melote divisit, pelle mortua, & aquæ vivæ meloti mortuæ obedierunt. Divisit Elias melote Jordanem, & sic pertransivit, ut ascenderet in cælos. Reversus est beatus Elisæus, accepta magistri melote, postquam rogaverat ipsum dicens: *Spiritus, qui in te est, fiat duplex in me:* 4. Reg. 2. 9.
*dicit ei, Dure petiisti. Attamen si videris me assumtum, erit tibi*; id est, dignaberis habere duplicem Spiritus sancti operationem. Deinde assumtus est. Sublimis erecta est melote,

& cecidit ad discipulum. Accepit pignus, & ad fluvium pervenit. Tentavit dividere Jordanem, & non obedivit aqua. Consternatus (4. Reg. 2. 14.) Elisæus dicit: *Ubi est Deus Eliæ appho?* Et cum hæc dixisset, percussit secundo aquam, & divisus est Jordanis. Cur ergo non obedivit ei prima vice aqua? Ne putaret illam obedivisse ob pristinam suam dignitatem, quam habuerat: sed invocavit Deum & dixit: *Ubi est Deus Eliæ appho?* Cur vero dixit, *Ubi est Deus?* Nonne sciebat propheta Deum esse in cælo & in terra & ubique? Sed quia dixerat ei Elias, *Si videris me assumtum, erit tibi sic.* * * * *

A καὶ ἐπέπεσε τῷ μαθητῇ. ἔλαβε ἐνέχυρον, καὶ ἔφθασεν ἐπὶ τὸν ποταμόν· ἐπείρασε τεμεῖν τὸν Ἰορδάνην, καὶ οὐχ ὑπήκουσε τὸ ὕδωρ. ἀπορίᾳ ληφθεὶς ὁ Ἐλισσαῖος λέγει· ποῦ ὁ θεὸς Ἡλία ἀπφώ; καὶ μετὰ τὸ εἰπεῖν, ἐπάταξεν ἐκ δευτέρου τὸ ὕδωρ, καὶ ἐμερίσθη ὁ Ἰορδάνης. διὰ τί δὲ οὐχ ὑπήκουσεν αὐτῷ ἐν πρώτοις τὸ ὕδωρ; ἵνα μὴ νομίσῃ ὅτι διὰ τὴν προτέραν αὐτοῦ ἀξίαν, ἣν εἶχε, διὰ τοῦτο ὑπήκουσεν· ὅτι μέντοι ἐκάλεσε τὸν θεὸν καὶ λέγει· ποῦ ὁ θεὸς, Ἡλία ἀπφώ; διὰ τί δὲ εἶπε, ποῦ ὁ θεός; οὐκ ᾔδει ὁ προφήτης, ὅτι ὁ θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ πανταχοῦ ἐστιν; ἀλλ' ἐπειδὴ εἶπεν αὐτῷ ὁ Ἡλίας· ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτως. * * * *

---

(Luc. 7. 36.) *In Pharisæum, & in meretricem. Dicta fuit in sancta & magna feria quarta.*

B Εἰς τὸν Φαρισαῖον, καὶ εἰς τὴν πόρνην. ἐλέχθη τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι.

1. OMNE tempus cuique volenti ad pœnitentiam opportunum est: nam cuique licet in verno tempore bonæ vitæ germina emittere, in æstate salutis manipulos colligere, in autumno damna & corruptionem animæ explorare; in hieme iniquitatum hiemem fugere, & in qualibet anni conversione ad meliora conversionem curare; in nocte peccati noctem declinare; & in die ad lucem puræ conscientiæ currere, atque ad creatorem confugere. Verum præsens tempus, continentia & jejunio munitum, ad pœnitentiam est opportunius, sed non omnibus. Vox enim quædam hæc fere insonat: Si quis accedit ad me, ego adducam eum ad communem creatorem. Nos ergo fidei & pœnitentiæ alis instruamus, ut ad factorem nostrum advolemus, & nos ut primogeniti ecclesiæ filii; & vos qui quasi fœtus in visceribus ecclesiæ cubantes (Catechumenos alloquitur.), optatis ad beatum & dolore vacuum partum advenire, & filii esse ejus qui pro nobis concertavit. Necessaria est enim fidei gratia & vobis qui eadem bona consequuturi estis. Nos quidem, ut tunicam regiam quam inquinavimus, lacrymis abluamus; vos autem ut possitis illam induere, & omni labe puram servare: nam sine fide pura nemo potest Dei benignitatem assequi. Verba mea confirmant tum alia innumera, tum meretrix illa, quæ fidem & pœnitentiam tamquam duas lucernas tenens, & ad cælestem sponsum accurrens, una die sponsa Christi effecta est. At quia beatam illam meretricem memoravi, quam hoc turpi nomine interim voco; ut cognoscamus quænam prius illa erat, & quænam postea fuit, hanc volo in sanctam ecclesiam inducere; ut per illam nos discamus quomodo debeamus ad Christum accedere, ut a peccatis abluamur. Nam quæ illa fecit, conspicua sunt disciplina eorum quæ nos semper facere debemus: & salvatoris cum illa colloquium, peccatoribus erit consolatio. Quis enim audiens mulierem sexcentis maculis fœdatam, quia ad illum confugit, & stillas lacrymarum ferventes ad pedes ejus effudit, virginitatis meritum consequutam esse, (non dicat) (Sententia imperfecta in Græco.): Hunc morem exhibete, ut eumdem fructum decerpatis? Quis cogitans illius mutationem, & mercedem, non idem propositum assumat, ut parem assequatur retributionem. Quid enim aliud est meretrix, quam lues, & manifesta naturæ contumelia? quam publicus triumphus de sexu femineo, pernicies corporum & animarum, pestis voluptate usa, sepulcrum dealbatum, inferni os insatiabile, ornatum mortis limen, voluptuosum toxicum, impudentia audax, pudor impudens, formosum exitium, esca lasciviæ machinantis, laqueus juvenum, propriorum membrorum negotiatrix,

ΑΠΑΣ μὲν καιρὸς παντὶ βουλομένῳ πρὸς μετάνοιαν ἐπιτήδειος. ἔξεστι γὰρ ἑκάστῳ θελήσαντι καὶ ἐν τῷ ἔαρι βλαστῆσαι τὴν εὐζωΐαν, καὶ ἐν θέρει συνάξαι τῆς σωτηρίας τὰ δράγματα, καὶ ἐν φθινοπώρῳ τὴν βλάβην τὴν τῆς ψυχῆς φθορὰν κατιδεῖν, καὶ ἐν χειμῶνι τὸν χειμῶνα τῶν ἀνομημάτων φυγεῖν, καὶ ἐν πάσῃ τροπῇ τραπῆναι τὴν ἐπὶ τὸ βέλτιον τροπὴν, καὶ ἐν νυκτὶ τὴν νύκτα τῆς ἁμαρτίας ἐκκλῖναι, καὶ ἐν ἡμέρᾳ πρὸς τὸ φῶς τοῦ καθαροῦ συνειδότος δραμεῖν, καὶ πρὸς τὸν πλάσαντα ἀναδραμεῖν. ὁ δὲ παρὼν οὗτος καιρὸς ἐγκρατείᾳ καὶ νηστείᾳ περιπεφραγμένος πρὸς μετάνοιαν ἐπιτηδειότερος, ἀλλ' C οὐ πᾶσι. μόνον γὰρ οὐχὶ λέγει ἡ φωνὴ, εἴ τις προσίεται πρὸς μὲ, κἀγὼ λαβὼν αὐτὸν τῷ κοινῷ προσαγάγω δημιουργῷ. πτερώσωμεν οὖν ἑαυτοὺς τοῖς τῆς πίστεως καὶ τοῖς τῆς μετανοίας πτεροῖς, καὶ θελήσωμεν ἀναπτῆναι πρὸς τὸν ἡμέτερον ποιητὴν, καὶ ἡμεῖς, ὡς πρωτότοκοι τῆς ἐκκλησίας υἱοὶ, καὶ ὑμεῖς, οἱ καθάπερ ἔμβρυα ὡς ἐν τῇ λαγόσι τῆς ἐκκλησίας προλοχευόμενοι, καὶ ποθοῦντες τὰς μακαρίας καὶ ἀνωδύνους ὠδῖνας ἀσπάσασθαι, καὶ γενέσθαι τέκνα τοῦ πολεμήσαντος ὑπὲρ ἡμῶν. ἀναγκαία γὰρ ἡ τῆς πίστεως ἡ χάρις καὶ ὑμῖν τοῖς ἀπολαύειν μέλλουσι τῶν αὐτῶν ἀγαθῶν. ἡμεῖς μὲν, ἵνα τὸν χιτῶνα τὸν βασιλικὸν, ὃν φορέσαντες ἐμολύναμεν, ἀποσμήξωμεν δάκρυσιν· ὑμεῖς δὲ, ἵνα δυνηθῆτε τοῦτον περιβαλέσθαι, καὶ φυλάξαι κρείττονα ῥύπου παντός. ἄνευ γὰρ πίστεως εἰλικρινοῦς οὐκ ἔστιν οὐδένα τῆς D τοῦ θεοῦ φιλανθρωπίας ἐπιτυχεῖν. συνηγορεῖ μου τῷ λόγῳ πρὸς ἄλλοις μυρίοις ἐκείνη ἡ πόρνη ἡ τὴν πίστιν, καὶ τὴν μετάνοιαν, καθάπερ δύο λαμπάδας κρατήσασα, καὶ προσδραμοῦσα τῷ οὐρανίῳ νυμφίῳ, καὶ γενομένη νύμφη Χριστοῦ ἐν μιᾷ ἡμέρᾳ. ἀλλ' ἐπειδὴ τῆς μακαρίας πόρνης ἐμνήσθην· λέγω γὰρ αὐτῆς τέως τὸ ἐπίψογον ὄνομα· ἵνα γνῶμεν τίς οὖσα πρότερον, τί γέγονεν ὕστερον, βούλομαι ταύτην εἰς τὴν ἁγίαν ἐκκλησίαν ἀγαγεῖν· ἵνα μάθωμεν καὶ ἡμεῖς παρ' αὐτῆς, πῶς ὀφείλωμεν τῷ Χριστῷ προσελθεῖν, καὶ λαβεῖν τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγήν. τὰ γὰρ παρ' ἐκείνης γενόμενα, τῶν ὀφειλόντων ἀεὶ γίνεσθαι παρ' ἡμῶν, διδασκαλία σαφής· καὶ ἡ τοῦ σωτῆρος πρὸς ἐκείνην διάλεξις, τῶν ἁμαρτωλῶν ἔσται παράκλησις. τίς γὰρ ἀκούων, ὅτι γυνὴ μυρίαις κηλῖσι κατάστικ- E τος, ἵνα προσφύγῃ μόνον αὐτῷ, καὶ τοῖς ποσὶν αὐτοῦ σταγόνας ἐπιχέῃ δακρύων θερμὰς, παρθενίας χειροτονίαν ἐδέξατο; τὸν αὐτὸν ἐπιδείξασθε τρόπον, ὥστε τὸν αὐτὸν τρυγήσητε καρπόν. τίς γὰρ λογιζόμενος τὴν ἐκείνης μεταβολὴν, καὶ τὴν ἀμοιβὴν, οὐ τὴν αὐτὴν ἀσκήσει γνώμην, ὡς τὴν ἴσην εὑρήσῃ ἀντίδοσιν; τί γάρ ἐστι πόρνη, ἢ διαφθορὰ, ἢ προφανὴς ὕβρις τῆς φύσεως, ἢ τοῦ θήλεως γένους δημόσιος θρίαμβος, λώβη σωμάτων τε καὶ ψυχῶν, λοιμὸς τέρψει κεχρημένος, τάφος κεκονιαμένος, ᾅδου ἀκατάσχετον καὶ ἀκόρεστον στόμα, θανάτου κεκαλλωπισμένον πρόπυλαιον, τερπνὸν δηλητήριον, ἀναίδεια παρρησιαζομένη, αἰσχύνη ἀναίσχυντος, εὐπρόσωπος ὄλεθρος, τῶν ἀσελγῶν μηχανῶν δέλεαρ, τῶν νέων ἰξὸς, κάπηλος τῶν οἰκείων μελῶν,

ἀπωλείας

ἀπωλείας βυθὸς, ναυάγιον ἀγαπώμενον, κοινὴ συμφορὰ πάσης ἁμαρτίας, ἴταμον ἐργαστήριον, πάσης παρανομίας διδάσκαλος, ἡ πρὸς τὸν θεὸν ἔχθρας δημιουργὸς, ὕλη τῆς γεέννης τοῦ πυρὸς τοῦ αἰωνίου; ἀλλ' ὅμως ἡ τῶν τοιούτων καὶ τηλικούτων κακῶν ὑπάρχουσα ὑπηρέτις, ἐπειδὴ παρὰ συνήθειαν σωφροσύνης ἠράσθη, ταῖς βίβλοις τῶν εὐαγγελίων ἐγγέγραπται. ταύτης ἀναπτύξαντες κατατρυφήσωμεν τῆς κατ' αὐτὴν ἱστορίας, ὥσπερ οὖν κατετρύφησεν αὕτη τοῦ Χριστοῦ. ἠρώτησέ τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη. τίς εἶδε βασιλέα παρὰ στρατιώτου καλούμενον; τίς εἶδε δεσπότην παρὰ δούλου τρεφόμενον; τίς εἶδε τοσοῦτον ὕψος εἰς τοσαύτην ταπεινότητα κατερχόμενον; ὢ τῆς ὑπερβαλλούσης ἐκπλήξεως, ὢ τῆς θείας συγκαταβάσεως. οὐκ εἶπε πρὸς τὸν καλέσαντα Φαρισαῖον· σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν καλοῦντα πάντας ἀνθρώπους εἰς τὸν οὐράνιον ἄριστον; σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν πέντε ἄρτοις δῆμον ὁλόκληρον κορέσαντα; σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν διδόντα τροφὴν πάσῃ σαρκί; οὐκ εἶπε τούτων οὐδὲν ὁ σωτήρ· ἀλλὰ σιγῇ καθίσας εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη. ᾔδει γὰρ ποῖον ἄριστον ἔμελλεν ἀριστᾷν· ᾔδει πῶς ἤμελλε προστρέχειν αὐτῷ ἡ πόρνη, καὶ σώζεσθαι· καὶ τῷ βλέμματι πανταχοῦ περιέπεμπε, τὴν θήραν περισκοπῶν, καὶ μονονουχὶ πρὸς τοὺς ἀνακειμένους βοῶν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ἔχετε μετ' ὀλίγον κατιδεῖν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, τὴν σωτηρίαν τῆς μελλούσης προσιέναι μοι γυναικός. ἡ ἐμὴ γὰρ τροφὴ, ἡ τῶν ἀνθρώπων ἐπιστροφή· ἡ ἐμὴ τροφὴ, ἡ τῶν ἐμῶν δούλων ζωή· ἡ ἐμὴ εὐωχία, τῶν ἁμαρτωλῶν ἡ μεταμέλεια· ἡ ἐμὴ τέρψις, τῶν κατακρίτων ἡ λύσις· ἡ ἐμὴ ἑστίασις, τῶν αἰχμαλώτων ἡ λύτρωσις. ταῦτα τοῦ σωτῆρος ἐπὶ τῆς στιβάδος λαλοῦντος τῷ βλέμματι καὶ τῷ σχήματι, ἰδοὺ, φησι, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. συνέδραμε τῷ σκοπῷ τοῦ οὐρανίου βασιλέως ἡ ἄγρα· ὁ θηρατὴς εὐτρεπὴς ἀνεκέκλιτο, καὶ τὸ θήραμα πρὸς τὸν θηρατὴν κατηπείγετο. καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός· δύο χαλεπὰ κακίας γνωρίσματα. εἰπὲ ἡμῖν, εὐαγγελιστὰ, τὴν προσηγορίαν αὐτῆς, γράψον τὸ ὄνομα τῆς γυναικὸς, μάθωμεν πῶς ὠνομάζετο. προσηγορίαν εἶχε τὴν ἁμαρτίαν, καὶ τὸ ὄνομα τὸ πονήρευμα. αὕτη ἰδοῦσα, ὅτι ἀνέκειτο ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου ὁ Ἰησοῦς, εἶπεν ἐν ἑαυτῇ· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ βρύων φιλανθρωπίαν, καὶ πηγάζων οἰκτιρμούς· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ λαλῶν, καὶ διδοὺς ἰάσεις, καὶ φθεγγόμενος θεραπείας· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ παρὰ τῶν ἀγγέλων ὑμνούμενος, καὶ τοῖς ἀνθρώποις ἐνδιαιτώμενος, ὡς εἷς ἐξ αὐτῶν· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ τῷ πατρὶ σύνθρονος, καὶ τῷ Φαρισαίῳ ὁμόρροφιος· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ τρέφων ἅπαντας τῇ θεότητι, καὶ τρεφόμενος τῇ ἀνθρωπότητι· ἔνδον ἐστὶν ὁ Χριστὸς, καὶ Φαρισαϊκῆς τραπέζης ἀνέχεται, ὁ πᾶσαν τράπεζαν πληρῶν παντὸς ἀγαθοῦ· καὶ ὅλως κατηξίωσεν εἰς τὴν τοῦ Φαρισαίου σκηνὴν εἰσελθεῖν, ὅλως ἠνέσχετο συνεστιαθῆναι τῷ ἁμαρτωλῷ ὁ ἀναμάρτητος. χρηστὰς ἔχω περὶ τῶν ἐμῶν κακῶν ἐλπίδας. ὁ γὰρ περὶ τὸν Φαρισαῖον τοιοῦτος φανεὶς, πάντως ἔσται καὶ περὶ ἐμὲ χρηστὸς καὶ φιλάνθρωπος.

Εὗρον, ὡς ἐβουλόμην, τὸ κοινὸν ἱλαστήριον, εὗρον τὸν εὐείκοντα τοὺς ζητοῦντας αὐτὸν, εὗρον τὸν ἐπιζητοῦντα τοὺς ποθοῦντας αὐτὸν, εὗρον τὸν ἐπιτρέχοντα τοῖς ἐπιτρέχουσι καὶ προαπαντῶντα τοῖς προσιοῦσιν αὐτῷ, εὗρον συναγωνιζόμενόν μοι καὶ τὸν καιρὸν καὶ τὸν τόπον. εἰσέλθω πρὸς τὴν καθαρὰν πηγὴν ἡ βεβορβορωμένη τῇ ἡδυπαθείᾳ· μὴ διαμενῶ ἐρρυπωμένη, τοιαύτης φανείσης πηγῆς· λούσομαι δωρεὰν ἑαυτήν· οὕτω γὰρ βούλεται ἡ πηγή. εἰσέλθω πρὸς τὸ ἀΐδιον φῶς, εἰ καὶ ταῖς ἡμέραις, ὡς νυξὶ κεχρημένη. ἴδω τὸ οὐράνιον φῶς ἐν φωτὶ, εἰσέλθω πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης, ἡ τῆς ἀδικίας τὸν ζόφον ἐπαγομένη. τίς γὰρ φωτὶ προσομιλῶν οὐ μεταλαμβάνει φωτός· εἰσέλθω πρὸς τὸν βασιλέα τῶν οὐρανῶν, τὸν δι' ἐμὲ πρὸς ἐμὲ παραγενόμενον, καὶ τοῦτον καταλαμβάνοντα τὸν οἶκον, καὶ πάλαι τὴν ἐμὴν, ὡς ἔοικε, περιμένοντα πρόοδον. εἰσέλθω πρὸς τὸν οὐράνιον ἰατρὸν, ἡ παρὰ πάντων ἀπεγνωσμένη·

**A** profundum nequitiei, naufragium optatum, communis calamitas in omni peccato, petulans officina, omnis iniquitatis magistra, inimicitiæ cum Deo conciliatrix, materia gehennæ ignis æterni? Attamen quæ tot tantorumque malorum ministra fuit, quia præter consuetudinem castitatem amavit, in libris Evangeliorum scripta commemoratur. Hos evolventes, ejus historia fruamur, ut ipsa Christum adiens fructum tulit. *Rogavit Jesum quidam Pharisæorum, ut manducaret cum illo: & ingressus in domum Pharisæi, discubuit.* Luc. 7. 36. Quis vidit regem a milite invitatem? Quis vidit herum a servo nutritum? Quis vidit tantam celsitudinem ad tantam humilitatem descendentem? O maximum stuporem! O divinam indulgentiam! Non dixit ad vocantem **B** Pharisæum: Tu me invitas ad prandium, qui omnes homines ad cæleste prandium invito? Tu me ad prandium vocas, qui panibus quinque totum populum satiavi? Tu me ad prandium vocas, qui do escam omni carni? Nihil horum dixit Servator. Sed cum silentio sedens in domo Pharisæi discubuit. Sciebat enim quo prandio reficiendus esset: sciebat futurum esse ut meretrix ad se accurreret, ut salutem consequeretur, & undique circumspiciebat, venatum observans, & recumbentibus fere clamans: Ego cibum comesturus sum, quem brevi postea videbitis: ego cibum comesturus sum, nempe salutem mox adventuræ mulieris. Meus quippe cibus est hominum conversio: meus cibus servorum meorum vita: meum convivium, **C** peccatorum pœnitentia; mea voluptas, damnatorum solutio; meum convivium, captivorum redemtio. Hæc Servatore in lectulo suo loquente tum oculis tum habitu; *Ecce*, inquit, *mulier in civitate, quæ erat peccatrix*: secundum scopum cælestis regis venatio offertur. Venator paratus recubuerat, & ad illum præda festinabat. *Et ecce mulier in civitate, quæ erat peccatrix.* Duæ graves nequitiæ notæ. Dic nobis, evangelista, nomen ejus, scribe mulieris nomen, discamus quomodo appellaretur. Appellationem habuit ipsum peccatum, & nomen ex malo opere. Hæc videns quod Jesus recumberet in domo Pharisæi, in seipsa dixit: Intus est Christus, benignitatis scaturigo, fons miserationis. Intus est **D** Christus, qui verbo sanat, & voce curat. Intus est Christus, qui ab angelis celebratur, & cum hominibus vitam agit quasi unus eorum. Intus est Christus, qui cum Patre sedet, & Pharisæi contubernalis est. Intus est Christus, qui divinitate omnes alit, & humanitate alitur. Intus est Christus, qui Pharisaïcam mensam tolerat, quique omnem mensam replet bonis; & omnino dignatus est in tabernaculum Pharisæi intrare, omnino passus est impeccabilis cum peccatore convivari. Circa mala mea bona spe repleor. Nam qui circa Pharisæum talis apparuit, utique erga me mitis & benignus erit.

2. Inveni, ut cupiebam, commune propitiatorium: inveni eum, qui se quærentes invenit: **E** inveni eum, qui se desiderantes quærit: inveni eum qui accurrit accurrentibus, occurrit accedentibus ad se: inveni & tempus & locum mihi opportunum. Ingrediar ad purum fontem, quæ voluptate quasi luto sum fœdata: ne sordidata maneam coram tali fonte: gratis meipsam abluam; id enim ipse fons optat. Ingrediar ad æternam lucem; etsi diebus ut noctibus usa sum. Videbo cæleste lumen in lumine; ingrediar ad solem justitiæ, quæ iniquitatis caliginem induco. Quis enim in luce versans non est lucis particeps? Ingrediar ad regem cælorum, qui propter me ad me venit, & hanc domum occupat, atque jamdiu, ut videtur, adventum meum exspectat. Ingrediar ad cælestem medicum, quæ apud omnes desperata habeor:

ingrediar ad cælestem medicum, quæ in sanitate ægroto. Me sic affectam videns, potest morbis meis remedium apponere, quod dolorem omnem lenire valeat. Ostendam scienti vulnera, & remedium accipiam: Ingrediar ad solam vitam, quæ per improbam vitam a vita me segregavi: ingrediar ad benignum judicem quæ damnata sum. Ante resurrectionem ex mortuis solvam debita: ante judicium tremendum, Judicium effugiam: ante quam ad horrendum tribunal sistar, castigationi me subducam: antequam videam Christum judicia proferentem, videbo illum humaniter loquentem: antequam timeam punientem, blandiar præsenti. Non prima sum quæ illum alloqui audeo: jam alia, ut audivi, mulier Samaritana, quæ legem violarat, in fonte fontem illum adiit, & Dei cognitione imbuta, discessit: & rursum alia mulier Chananæa genere, maledicti & servilis seminis liber surculus, ubi illum adiit supplicans contra dæmonem qui filiam suam unicam opprimebat, reversa est, accepta contra dæmonem potestate, & mater filiæ medici loco fuit, ac dæmon ille immanis & barbarus non ausus est ultra ad puellam accedere, vocis Christi mandatum metuens. Hanc itaque imitabor, & accedam ad eum qui omnia largitur, omnia potest & libenter agit: consueta impudentia utar ad meam utilitatem. Adstabo Servatori convivanti non vocata, ** ac si forma apud multos convivantium hanc mihi licentiam inderet. Solvam comas, miseriam meam deplorabo; laxabo multiplicia retia, ut capiam eum, qui misericordiam affatim largitur: bene semel flebo, quæ plerumque male risi: flebo jam apud benignum judicem, ne in extremis fleam inutiliter: nunc parum lugebo, ne tunc multum lugeam: rigabo lacrymis Christi pedes, ut verbis ille iniquitates meas abluat: abstergam cincinnis lacrymas, ut quædam hinc illis sanctificatio obveniat: osculabor intemerata vestigia, quæ ipsum mare osculata sunt, ut pudicis osculis, lubricorum venenum osculorum exspuam: amplectar divina membra virginea ex virgine nata, ut meis damnatis membris, ex illis sacris membris, stillam saltem justitiæ infundam. Hinc flectetur ille misericors: miserabitur procumbentem, quam peccantem non punivit: miserabitur genuflectentem, quam immodeste saltantem beneficiis affecit: miserabitur ejus salutem optans, quam pereuntem inveniens mansuete tulit; sinceras lacrymas despicere nequit: non potest erga me is non apparere, qui revera est, nempe misericors: multum potest apud illum gemitus ex animi profundo eductus: magnam apud illum fiduciam habet pœnitentia: dicet haud dubie mihi aliquid mansuetum & mite, quod ejus divinitatem deceat. Hæc sapiens illa meditata est, hæc fidelis illa fecit. Ac femineo vestita cultu, virginis non meretricis more, sic tegens formam suam, prius omnibus patentem quasi in theatro: & caute undique circumspiciens, ne quis meretricius cultus cum illa intraret, qui apud Dominum illam damnaret; accurrit ad Pharisæi domunculam, & stans secus pedes Domini, quæ meditata fuerat implevit. *Afferens* enim, inquit, *alabastrum unguenti, & stans secus pedes ejus retro, flens cœpit rigare pedes ejus lacrymis: & capillis capitis sui tergebat, & osculabatur pedes ejus, & unguento ungebat*, ex silentio loquens & ex taciturnitate clamans; animo alloquens eum qui dolentes animas solet audire, licet ore non loquantur: hanc supplicationem, ut credere est, lacrymis describens: Projecta sum sicut ovis quæ periit; sed novi te Dominum pastorem meum & Dominum;

Locus vitiatus.

A εἰσελθοῦσα πρὸς τὸν οὐράνιον ἰατρὸν, ἡ ἐν ὑγιείᾳ νοσοῦσα. οὕτω γάρ με ἰδὼν, δύναται τοῖς ἐμοῖς πάθεσιν ἐπιθεῖναι φάρμακον, πᾶσαν ὀδύνην κοιμίσαι δυνάμενον. ἀποδείξω τῷ εἰδότι τὰ ἕλκη, καὶ λάβω τὸ φάρμακον. εἰσέλθω πρὸς τὴν μόνην ζωὴν, ἡ διὰ τῆς φαυλοτάτης ζωῆς ἐμαυτὴν ἀποχοινίσασα τῆς ζωῆς· εἰσέλθω πρὸς τὸν φιλάνθρωπον δικαστὴν ἡ κατάκριτος. πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως λύσω τὰς εὐθύνας, πρὸ τῆς φοβερᾶς κρίσεως διαφύγω τὴν κρίσιν, πρὸ τοῦ φρικτοῦ βήματος ἀποκλέψω τὰς μάστιγας. πρὶν ἴδω τὸν Χριστὸν δικαστικῶς ἀποφαινόμενον, ἴδω φιλανθρώπως διαλεγόμενον· πρὶν φοβηθῶ κολάζοντα, κολακεύσω παρόντα. οὐ πρώτη τὴν πρὸς αὐτὸν ὁμιλίαν τολμῶ· ἤδη καὶ ἄλλη, ὡς ἤκουσα, γυνὴ Σαμαρεῖτις, ἐν νόμῳ παράνομος, συνέτυχεν ἐπὶ τῆς πηγῆς τῇ πηγῇ, καὶ ἀπῆλθε θεογνωσίαν ἀντλήσασα. B καὶ πάλιν ἑτέρα τις γυνὴ τῶν Χαναναίων γένους, τῆς κατάρας καὶ δουλικοῦ σπέρματος ἐλεύθερον βλάστημα, ἐν ἐντυχίᾳ εἰσελθοῦσα κατὰ δαίμονος τυραννοῦντος αὐτῆς τῆς μονογενοῦς, ἀνέστρεψε λαβοῦσα τὴν ἐξουσίαν κατὰ τοῦ δαίμονος, καὶ γέγονεν ἡ μήτηρ τῇ θυγατρὶ ἰατρὸς, καὶ ὁ δαίμων ὁ ἀπηνὴς οὗτος καὶ βάρβαρος, οὐκ ἐτόλμησεν οὐκ ἔτι πλησιάσαι τῇ κόρῃ, φοβηθεὶς τὸ τοῦ Χριστοῦ φωνῆς τὸ διάταγμα. μιμήσομαι τοίνυν κἀγὼ ταύτην, καὶ γένωμαι παρὰ τὸν πάντα χαριζόμενον καὶ δυνάμενον καὶ ἐθέλοντα· χρήσομαι τῇ συνηθείᾳ τῆς ἀναιδείας πρὸς τὸ ἐμοὶ συμφέρον· ἐπιστάθω τῷ σωτῆρι ἑστιωμένῳ αὐτόκλητος, καθάπερ πόλιν ὑπὸ πολλῶν εὐωχουμένων ἔχουσα μορφήν· λύσω τὰς κόμας, καὶ θρηνήσω τὴν ἐμαυτῆς ἀθλιότητα· C χαλάσω τὰ πολύπλοκα δίκτυα, ἵνα θηράσω τὸν ἔλεον ἀφειδῶς χορηγοῦντα· κλαύσω καλῶς ἅπαξ, ἡ γελάσασα πολλάκις κακῶς· κλαύσω νῦν ἐπὶ τοῦ φιλανθρώπου κριτοῦ, ἵνα μὴ κλαύσω τὸ τελευταῖον ἀνόνητα· θρηνήσω νῦν ὀλίγον, ἵνα μὴ θρηνήσω τότε πολλά· κατακλύσω τοῦ Χριστοῦ τοὺς πόδας τοῖς δάκρυσιν, ἵνα μοι ἀποκλύσῃ τὰς ἐμὰς ἀνομίας τοῖς ῥήμασιν· ἀπομάξω τοῖς πλοκάμοις τὰ δάκρυα, ἵνα προσγένηταί τις ἐκ τούτου καὶ τούτοις ἁγιασμός· καταφιλήσω τὰ ἄχραντα ἴχνη, ἅπερ καὶ τὸ πέλαγος κατεφίλησεν, ἵνα τοῖς σώφροσι φιλήμασιν ἀποπτύσω τὸν ἐκ τῶν ἀσελγῶν φιλημάτων ἰόν· περιπτύξομαι τὰ θεῖα μέλη, τὰ παρθενικὰ, τὰ ἐκ παρθένου, ἵνα τοῖς ἐμοῖς μέλεσι τοῖς κατακρίτοις ἐξ ἐκείνων τῶν ἁγίων μελῶν ἐποχετεύσω δικαιοσύνης σταγόνα τινά. D ἐπικαμφθήσεται πρὸς ταῦτα ὁ εὔσπλαγχνος· ἐλεήσει προσπίπτουσαν, ἣν ἁμαρτάνουσαν οὐκ ἐκόλασεν· ἐλεήσει γονυπετοῦσαν, ἣν ἄτακτα χορεύουσαν εὐεργετῶν διετέλεσεν· ἐλεήσει σωθῆναι βουλομένην, ἣν ἀπολλυμένην εὑρὼν ἔφερε πρᾴως. οὐ φέρει δάκρυα γνήσια παριδεῖν, οὐ δύναται καὶ περὶ ἐμὲ μὴ φανῆναι, ὅπερ πέφυκεν, εὔσπλαγχνος. μεγάλα δύναται παρ' αὐτῷ ἐκ τοῦ βάθους τῆς ψυχῆς ἀνερχόμενος στεναγμός· μεγάλην παῤῥησίαν ἔχει πρὸς αὐτὸν ἡ μετάνοια. λαλήσει πάντως δὲ πρὸς ἐμὲ ἥμερόν τι καὶ γαληνὸν, καὶ πρέπον αὐτοῦ τῇ θεότητι. ταῦτα ἐμελέτησεν ἡ σοφὴ, ταῦτα ἔπραξεν ἡ πιστή. καὶ τῷ γυναικείῳ περιβολαίῳ στολισαμένη, παρθενικῶς, ἀλλ' οὐ πορνικῶς, καὶ οὕτω κρύψασα πᾶσαν αὐτῆς τὴν μορφὴν τὴν πρὸ τούτου πᾶσι προκειμένην, ὡς ἐν θεάτρῳ, καὶ περισκοπήσασα πανταχόθεν ἀσφαλῶς, ἵνα μήτε E σχῆμα πορνικὸν συνεισέλθῃ αὐτῇ πρὸς τὸν κύριον κατηγορῶν αὐτὴν, εἰσέδραμεν εἰς τὸ τοῦ Φαρισαίου δωμάτιον, καὶ τοῖς δεσποτικοῖς παραστᾶσα ποσὶν, ἐπλήρου τὴν προμελετηθεῖσαν βουλήν. κομίσασα γάρ, φησιν, ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω, κλαίουσα ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ, λαλοῦσα τῇ σιωπῇ, καὶ βοῶσα τῇ σιγῇ, καὶ φθεγγομένη τῇ ψυχῇ πρὸς τὸν εἰδότα ψυχῶν ὀδυνωμένων ἀκούειν, καὶ μὴ φθεγγομένων στομάτων, τοιαύτην ἱκεσίαν, ὡς εἰκὸς, τοῖς δάκρυσι γράφουσα· ἐῤῥίφθην ὡς πρόβατον ἀπολωλός· ἀλλ' ἐπέγνων σε δεσπότην, τὸν ἐμὸν ποιμένα, καὶ κύριον·

ἐγενόμην θηριάλωτος βουληθεῖσα, ἀλλ' ἔλαβον αἴσθησιν ἐκφυγεῖν τῶν πικρῶν δηγμάτων τοῦ λύκου· ἐναυάγησα πολλάκις ἐθέλουσα, ἀλλ' ἐσώθην ἐκ τοῦ ναυαγίου, κρατήσασα τὴν σὴν παρουσίαν, ὡς ἄγκυραν. ἀλλ' οὐκ ἔχω παρρησίαν· ἀπαρρησίαστος γὰρ ἅπας ἁμαρτωλός· οὐκ ἔχω δικαιολογίαν οὐδεμίαν· ἀδικαιολόγητος γὰρ ἅπας ἁμαρτωλὸς καὶ παράνομος· οὐκ ἔχω φωνήν· ἄφωνος γὰρ ἅπας κατάκριτος· τὸ πονηρὸν συνειδὸς ἐμφράττει μου τὸ στόμα, ὃ διέφθειρεν ὁ διεφθαρμένος μου βίος. ἄγχει τὴν γλῶσσαν ὁ κατήγορος πλοῦτος διαπαντὸς ἔσωθέν μου βοῶν, ἐναπόκλεισόν σου τὸν λόγον τοῖς χείλεσι· στόμα ἁμαρτωλῶν πρὸς πρεσβείαν ἀπαρρησίαστον, καὶ γλῶσσα κατάκριτος πρὸς ἱκεσίαν ἀνάρμοστος, καὶ λόγος κίβδηλος πρὸς αἴτησιν οὐκ εὐπρόσωπος. σιγῶσα διδάσκω τὰ κατ' ἐμέ σε τὸν ἐπιστάμενον πάντα· τῇ ὄψει λαλῶ, βοῶ τῇ μορφῇ, τοῖς ὀφθαλμοῖς κηρύττω τὰς ἀνομίας, τοῖς δάκρυσιν ἐξαγορεύω τὰ πλημμελήματα, τοῖς στεναγμοῖς ἐξαγγέλλω σε τὸν μόνον κρύπτεσθαι μὴ δυνάμενον. ὡς αἰχμάλωτος μετὰ πάντων τῶν ἐμῶν ὅπλων ὑποπίπτω σοι, τῷ βασιλεῖ τῶν οὐρανῶν· καὶ πάντα μου τὰ μέλη, δι' ὧν ἐστρατευσάμην κατὰ σοῦ, μᾶλλον δὲ καθ' ἑαυτῆς, σοι προσφέρω, φιλάνθρωπε. ἐλέησον τὴν κεφαλὴν ταύτην, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ἐλέησον τὰς τρίχας ταύτας, ἃς ἔπλασας· ἐλέησον τοὺς ὀφθαλμοὺς τούτους, οὓς ἐδημιούργησας· ἐλέησον τὸν πηλὸν τοῦτον, ὃν αὐτὸς μὲν εἰς κάλλος ἐμόρφωσας, ἐγὼ δὲ τῷ κόσμῳ κατεχρησάμην εἰς ἀκοσμίαν ἄμορφον. ἐλέησον τὴν εἰκόνα τὴν σήν, εἰς ἣν ὁ πολέμιος ἔπαιξεν, ὡς ἠθέλησεν· ἐλέησον τὴν στήλην τὴν σήν, ἣν ὡς ἀδέσποτον ὁ σὸς ἐχθρὸς περιέσυρε· δέξαι ὡς λύτρα καὶ δάκρυα, καὶ λῦσον ὡς ἀγαθὸς τὰ ἐγκλήματα· θέλησον μόνον, καὶ λέλυμαι· νεῦσον μόνον, καὶ λελύτρωμαι· πρόσταξον, καὶ τὸ ποθούμενον ἤνυσται. ὃ γὰρ σὺ θέλεις, πρᾶξις· καὶ ὁ λόγος ὁ σός, ἔργον ἐστί.

Λάβω τὴν ἐλευθερίαν ἐκ τῶν ἀχράντων ποδῶν σου, ὡς ἔκλεψεν ἐκ τῶν σῶν κρασπέδων τὴν ἴασιν ἡ αἱμορροοῦσα· σοῦ τοῦτο κλαπῆναι θελήσαντος, γένωμαι διήγημα τοῖς μετ' ἐμὲ τῆς σῆς φιλανθρωπίας κἀγώ· παράπεμψον ἐμέ, καὶ τὰ κατ' ἐμὲ ταῖς ὑστέραις γενεαῖς καλὸν ὑπόμνημα τῶν σῶν οἰκτιρμῶν. λεγέτωσαν ἅπαντες ὅτι πόρνη ποτὲ παράνομος καὶ κατάκριτος, προσελθοῦσα τῷ Ἰησοῦ ἐδικαιώθη παρ' αὐτοῦ· καὶ καθορῶντες ἅπαντες σὺν ἐμοὶ προσιέτωσαν, καὶ τὰς σὰς ἁρπαζέτωσαν δωρεάς. κριτὰ δίκαιε καὶ φιλάνθρωπε, καὶ τοῖς κατακρίτοις διὰ πολλὴν φιλανθρωπίαν συναναστρεφόμενος, ὧδέ σοι προσῆλθον, ὡς κριτῇ, ὧδέ μοι τὴν συγχώρησιν ἀναγόρευσον. μὴ θριαμβεύσῃς τὰς ἐμὰς ἁμαρτίας ἐπὶ πάσης τῆς κτίσεως, μὴ δημοσιεύσῃς τὰς ἀνομίας μου ἐν τῷ μέλλοντι κριτηρίῳ· μὴ πέμψῃς με τῷ αἰωνίῳ πυρί, τῷ ὕλην κεκτημένῳ τὴν τῶν ῥαθύμων ζωήν. Ἰησοῦ Χριστέ, υἱὲ τῆς παρθένου Μαρίας, καὶ δημιουργὲ τῆς παρθένου, διὰ τὴν παρθένον καὶ μητέρα σήν, καὶ πάλιν παρθένον, ἀνάκτησαι διὰ τὴν ἁγίαν ἐκείνην ἐμὲ τὴν ἐναγῆ, καὶ ποίησον εὐαγῆ. ἐκ γυναικὸς ἐτέχθης καὶ σύ, ὡς σὺ μόνος ἐπίστασαι, καὶ γινώσκεις τὴν τῶν ἀνθρώπων ἀσθένειαν. τοιαῦτα λαλούσης ἐν ἑαυτῇ τῆς πιστῆς γυναικὸς καὶ δεομένης, ἐγγὺς ὢν ὁ σωτὴρ ἐδίδου τῇ ποθούσῃ τοῦ πόθου κατατρυφᾶν, καὶ τοὺς πόδας ἐγχειρίζει ἐκείνῃ πρὸς ἀπόλαυσιν ἄπληστον, ἐπὶ τῆς στιβάδος ὤν, καὶ κατατρυφῶν τὸν ἐκείνης κλαυθμόν, καὶ εὐωχούμενος τοῖς τῆς μετανοίας δάκρυσι, καὶ πεινῶν τὸ δίψος τῆς διψώσης τὸν ἔλεον. ἐντεῦθεν οἱ Φαρισαῖοι ἠρέμα ἐψιθύριζον πρὸς ἀλλήλους λέγοντες· τί τοῦτο τὸ ξένον καὶ παράδοξον θέαμα; τίς τὴν πόρνην ταύτην ἐδίδαξε σωφρονεῖν; τίς τὴν ἐκκεχυμένην πρὸς αἰσχρὰς ἡδονὰς ἔπεισε τοιαῦτα φρονεῖν; οὐχ αὕτη ἐστὶ τὸ τῆς ἡμετέρας πόλεως ἐπίσημον ὄνειδος; οὐχ αὕτη ἡ τῶν ἀεὶ βουλομένων γυνή; οὐχ αὕτη ἐστὶν ἡ τῆς ἁμαρτίας ἑκάστου κατήγορος; οὐχ αὕτη ἐστὶν ἡ τῆς σωφροσύνης ἐχθρά, καὶ τῶν νομίμων γάμων τοιχωρύχος; οὐχ αὕτη ἐστὶν ἡ μετὰ κολακείας λῃστεύουσα τοὺς ἀνθρώπους; πῶς οὖν ἐκ τοιαύτης τοιαύτη γενήσεται; πῶς ἡ φιλογέλως καὶ φιλοτερπνής, φιλοδάκρυς ἐφάνη καὶ φιλοπενθής; πῶς ἡ ἄσοφος, καὶ παράκαιρος,

A volens a feris capta sum; sed ex sensu mota acerbos lupi morsus effugere conor: sæpe libens naufragium feci; sed naufragio servata sum, præsentiam tuam ut ancoram tenens. Verum fiduciam non habeo; fiduciæ enim expers est omnis peccator: nullam habeo defensionem; defensione namque caret omnis peccator & iniquus; vocem non habeo; sine voce quippe est omnis damnatus: mala conscientia os obstruit, osque meum corrupit corrupta vita mea: linguam strangulant accusatrices divitiæ, semper intra me clamantes: claude sermonem tuum labiis: os peccatorum ad intercessionem & lingua damnata ad supplicationem non quadrat, sermoque impurus ad petitionem non opportunus est: tacens ea quæ ad me spectant doceo B eum qui omnia novit: aspectu loquor, forma clamo, oculis iniquitates meas prædico; gemitibus annuncio te, cui soli non possum occultari; quasi captiva cum omnibus armis meis ante te procumbo, regem cælorum; & omnia membra mea, per quæ contra te, imo contra me bellum gessi, tibi offero, o benigne. Miserere hujus capitis, *Quia iniquitates meæ supergressæ sunt caput meum*; miserere capillorum, quos formasti; miserere oculorum; miserere hujus luti, quod tu forma ornasti, ego autem illa abusa sum ad deformitatem; miserere imaginis tuæ, cui illusit inimicus ut voluit; miserere statuæ tuæ, quam ut dominum non habentem traduxit adversarius tuus. Suscipe lacrymas quasi in redemtionem, & ut bonus solve crimina; si velis tantum soluta sum; si annuas tantum redemta C sum; præcipe, & optatum assequuta sum: nam quod tu vis, efficitur, & verbum tuum est opus.

3. Libertatem accipiam ex intemeratis pedibus tuis, ut medelam ex fimbria tua furata est hæmorrhoïssa; te hoc furtum probante, ego quoque posteris causa ero enarrandæ benignitatis tuæ: dimitte me, & quæ ad me spectant futuris generationibus erunt monumentum miserationum tuarum. Dicant omnes, meretricem iniquam & damnatam aliquando ad Jesum accessisse, & ab illo justificatam fuisse: & qui id vident omnes mecum admittantur, & tua dona rapiant. Judex juste & benigne, qui ex ingenti benignitate cum damnatis conversaris, huc ad te accessi ut judicem; hic mihi veniam D pronunciato: ne triumphes de peccatis meis apud omnem creaturam, ne publices iniquitates meas in futuro tribunali; ne mittas me in ignem æternum, cujus materia combustibilis est negligentium vita. Jesu Christe, fili Virginis Mariæ, & Virginis creator, per Virginem matrem tuam, & postea adhuc Virginem, per illam sanctam me tibi restitue, & improbam probam effice. Ex muliere natus es, ut tu solus nosti, scisque omnium infirmitatem. Hæc apud se loquente & precante fideli muliere, cum prope Servator adesset, dedit optanti ut optato frueretur, & pedes concessit illi ut iis insatiabiliter gauderet; in lectulo sedens & illius fletu gaudens, pœnitentiæ lacrymis ut convivio exceptus, quasi esuriens sitim ejus quæ sitiebat misericordiam. E Hinc Pharisæi clanculum murmurabant inter se dicentes: Quodnam hoc spectaculum novum & stupendum? Quis hanc meretricem docuit castitatem? Quis effusæ in turpes voluptates suasit ut talia sentiret? Annon hæc est civitatis nostræ insigne opprobrium? Annon hæc est mulier omnibus qui vellent semper deditia? Annon hæc est singulis accusatrix peccati? Annon hæc est castitatis inimica, & legitimorum depradatrix connubiorum? Annon hæc est quæ blanditiis viros abripiebat? quomodo ergo ex tali talis effecta est? Quomodo illa risus & voluptatis amans, jam lacrymarum & luctus amans apparet? Quomodo illa insipiens & importuna,

Quam inepte Græculus.

forma, oculis, habitu, curioso incessu, quæ omnibus membris suis cunctos morti desponsabat, in hunc castum habitum & modum incidit? O inexspectatam & stupendam mutationem! Hæc loquebantur famuli: Pharisæus vero, qui Jesum invitaverat, blasphemas pariens cogitationes intra se dicebat: *Hic si esset propheta, sciret utique quæ & qualis est mulier quæ tangit eum, quia peccatrix est.* Temere, inquit, & sine causa hic propheta esse dicitur: ego quoque cum aliis deceptus sum, hunc ut occultorum indagatorem inducens in domum meam. Nam si propheta esset, clare futura nosset; sed cum mulierem omnibus omnino notam ignoret, quomodo scit ea quæ omnibus ignota & arcana sunt? Quomodo meretricias manus tolerat? Quomodo non illam procul repellit, quæ nihil in corpore innoxium habet? Quomodo non exsecratur exsecrandam, & omni turpitudine plenam? Male accipit tantam benignitatem Pharisæus, quasi ignorantiam, & indulgentiam inscitiæ nomine donat, cum ipse rei gestæ ignorantia laboraret. *Et respondens Jesus dixit ei: Habeo tibi aliquid dicere.* Novi quid dicas nihil loquens; novi quid proferas tacens; scio quid clames silens; scio quid hæc quoque mihi mente loquatur. Scio quoque quot ratiocinia contra me animo fabriceris. Narrabo tibi cogitationum tuarum dicta, declarabo blasphemias tuas, publicabo sensus mentis tuæ, utpote animi tui cogitationibus insidens. Ita loqueris. *Si esset Propheta, sciret utique quæ & qualis sit mulier quæ tangit eum, quia peccatrix est.* Hæc sunt mentis tuæ verba. Quomodo ergo novissem ea, quæ in profundo mentis tuæ moventur & agitantur ratiocinia, nisi Deus essem omnium creator? Ut jam tu suspicaris ex responsione mea, scito quinam sim, qui nihil loquenti tibi respondeam: verba mentis tuæ revelo. Si essem propheta, scirem quæ & qualis sit mulier. Ecqua necessitas propheticæ illuminationis pro re nota quæ sub aspectum cadit? Annon novi eam quæ prostat in foro? Annon novi eam quæ omnibus manifesta est? Annon novi hanc propter quam ad te veni? Scio certe quæ & qualis sit mulier. Nihil quippe latet divinitatis oculum, nullus avarus, nullum facinus. Scio quæ & qualis sit mulier, & quod sit peccatrix: idcirco gaudeo dum teneor ab ipsa; ut eam quæ me pie tenet salute donem ut Deum decet. Non ejus manibus deturpor; sed ego illam puram reddo. Sol enim a luto non obscuratur, margaritam cœnum non mutat, impeccabilem peccatum non inficit. Annon leprosum nuper tetigi, & morbus abscessit? An ideo leprosus factus sum, quod ad leprosum accesserim? Ita & nunc consueta miracula edens hanc ad sanctitatem converto, nec in ejus qualitatem mutor, dum me illius manu tangi patior. Medicus enim sum; medicus, non vulnerum, non putredinis, non saniei, sed qui iis qui in anima morbis laborant salutem affero. Creator sum, & creaturæ meæ parco: dominus sum, nec fero damnum ancillæ dominum amantis. Pastor sum, & inventa ove mea errante jure gaudeo: portus sum, & omnes, qui ad me appellunt, recipio. *Simon habeo tibi aliquid dicere: Duo debitores erant cuidam fœneratori.* Interim in eodem cum illa ordine positus es. Cur contra illam pugnas, quasi solus ascenderis in arcem virtutum? Interim mihi debitor es. Cur ergo illam condemnas, ac si solus sis insons? Duo debitores estis, tu & illa: fœnerator sum ego. Tibi & mulierculæ hanc vitam fœneratus sum. Unus debet denarios quingentos, alius, quinquaginta. Illa quingentos denarios debet, multum enim peccavit; tu quinquaginta debes, modicum enim lapsus es: attamen vitæ rationem reddere debes.

A καὶ τῇ μορφῇ, καὶ τῷ βλέμματι, καὶ τῷ σχήματι, καὶ τοῖς περιέργοις βαδίσμασι, καὶ πᾶσι τοῖς μέλεσι πάντας μνηστευομένη τῷ θανάτῳ, ἐπὶ τὸ σῶφρον τοῦτο σχῆμα καὶ πρᾶγμα μετέπεσεν; ὢ τῆς ἀπροσδοκήτου μεταβολῆς, ὢ τῆς ξένης μεταλλαγῆς. οἱ μὲν οἰκέται τοῖς τοιούτοις λόγοις ἐκέχρηντο· ὁ δὲ καλέσας τὸν Ἰησοῦν φαρισαῖος, βλασφήμους λογισμοὺς τίκτων ἐν τῇ ἰδίᾳ ψυχῇ, ἔλεγεν· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. ἁπλῶς, φησι, καὶ ὡς ἔτυχεν, οὗτος προφήτης λέγεται· ἠπατήθην κἀγὼ μετὰ τῶν ἄλλων, τοῦτον ὡς τῶν ἀδήλων ἐξεταστὴν εἰσαγαγὼν εἰς τὴν ἐμὴν οἰκίαν. εἰ γὰρ προφήτης ἦν, καὶ σαφῶς ᾔδει τὰ μέλλοντα. τὴν φανερὰν πᾶσι καὶ κατάδηλον οὐκ εἰδὼς, πῶς οὖν ἐπίσταται τὰ πᾶσιν ἀπόρρητα; πῶς ἀνέχεται χειρῶν πορνικῶν; B πῶς οὐκ ἀπελαύνει πόρρωθεν τὴν οὐδὲν ἔχουσαν τοῦ σώματος ἄπρακτον; πῶς οὐδὲ βδελύσσεται τὴν βδελυρὰν, καὶ πάσης αἰσχρότητος γέμουσαν; κακίζει τὴν πολλὴν φιλανθρωπίαν ὁ φαρισαῖος, ὡς ἄγνοιαν. καὶ ὑποβάλλει τὴν συγκατάβασιν τῷ τῆς ἀγνοίας ὀνόματι, νοσῶν αὐτὸς τοῦ γινομένου τὴν ἄγνοιαν. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· ἔχω σοί τι εἰπεῖν. οἶδα τί λέγεις μὴ λέγων μηδὲν, οἶδα τί φθέγγῃ σιγῶν, οἶδα τί βοᾷς σιωπῶν, οἶδα τί καὶ αὕτη κατὰ διάνοιάν μοι προσδιαλέγεται, οἶδα κἀγὼ πόσους ἐν τῇ ψυχῇ κατ' ἐμοῦ χαλκεύεις λογισμούς. διηγήσομαί σοι τῶν ἐνθυμημάτων τὰς φωνὰς, ἐξαγορεύσω τὰ παρὰ σοῦ βλασφημούμενα, δημοσιεύσω τὰ φρονήματα τῶν σῶν ἐννοιῶν, ὡς τοῖς λογισμοῖς τῆς σῆς ψυχῆς ἐγκαθήμενος. οὕτω λέγεις, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις C ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. ταῦτα τὰ ῥήματα τῆς σῆς διανοίας. πῶς οὖν κατέγνων τὸν ἐν τῷ βυθῷ τῆς σῆς διανοίας κινηθέντων λογισμῶν τὸν σάλον, εἰ μὴ θεὸς ἤμην πάντων δημιουργός; ὡς ὑποπτεύεις αὐτὸς ἐκ τῆς ἀποκρίσεως· γνῶθι ὅστις εἰμὶ ἀποκρινόμενός σοι μὴ λαλοῦντι μηδέν· ἐκκαλύπτω τὰ ῥήματα τῆς σῆς ψυχῆς. εἰ ἤμην προφήτης, ἐγίνωσκον τίς καὶ ποταπὴ ἡ γυνή. καὶ ποῦ χρεία προφητικῆς ἐλλάμψεως ἐπὶ τῆς γνωριζομένης ὄψεως; οὐκ οἶδα τὴν προεστηκυῖαν ἐπὶ τῆς ἀγορᾶς; οὐκ οἶδα τὴν πᾶσι κατάδηλον; οὐκ ἐπίσταμαι ταύτην, δι' ἣν ἦλθον πρὸς σέ; γινώσκω τίς καὶ ποταπὴ ἡ γυνή. οὐδὲν γὰρ λανθάνει τὸν τῆς θεότητος ὀφθαλμὸν, οὐ πλεονέκτης, οὐ πονήρευμα. γινώσκω τίς καὶ ποταπὴ ἡ γυνὴ, καὶ ὅτι ἁμαρτωλός ἐστι· καὶ διὰ τοῦτο χαίρω κατεχόμενος παρ' αὐτῆς, ἵνα τὴν κρατοῦσαν εὐλαβῶς περισώσω θεοπρεπῶς. D οὐ γὰρ μολύνομαι παρὰ τῶν ταύτης χειρῶν, ἀλλ' ἐγὼ ταύτην καθαρὰν ἀπεργάζομαι. ἥλιον γὰρ βόρβορος οὐκ ἀμαυροῖ, μαργαρίτην πηλὸς οὐκ ἀλλάσσει, τοῦ ἀναμαρτήτου ἁμαρτία οὐχ ἅπτεται. οὐχ ἡψάμην πρώην λεπροῦ, καὶ τὸ πάθος ἀπέφυγε; μὴ λεπρὸς ἐγενόμην, πλησιάσας λεπρῷ; οὕτω καὶ νῦν τὰ συνήθη θαυματουργῶν μεταβάλλω ταύτην πρὸς ἁγιότητα, οὐ μεταβάλλομαι πρὸς τὴν αὐτῆς ποιότητα ἀνεχόμενος τῆς ἁφῆς τῆς μεσούσης χειρός. ἰατρὸς γάρ εἰμι· ἰατρὸς δὲ οὐ τραυμάτων καὶ σηπεδόνων καὶ ἰχώρων, ἀλλὰ τὴν σωτηρίαν τοῖς νοσοῦσι κατὰ ψυχὴν πραγματευόμενος. ποιητής εἰμι, καὶ φείδομαι τοῦ ἐμοῦ πλάσματος· δεσπότης εἰμὶ, καὶ οὐκ ἀνέχομαι ζημιωθῆναι φιλοδέσποτον δούλην· ποιμήν εἰμι, καὶ πρόβατον ἐμὸν πλανώμενον εὑρὼν εἰκότως εὐφραίνομαι· λιμήν εἰ- E μι, καὶ πάντας τοὺς προσορμίζοντας προσδέχομαι. Σίμων, ἔχω σοί τι εἰπεῖν· δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι. τέως μετὰ ταύτης τέταξαι. τί στρατεύεις κατ' αὐτῆς, ὡς μόνος ἀνελθὼν εἰς τὴν ἀκρόπολιν τῶν ἀρετῶν; τέως ὑπεύθυνός μοι καθέστηκας. τί οὖν κατακρίνεις ταύτην, ὡς μόνος ἀνεύθυνος; δύο χρεωφειλέται, σὺ καὶ αὕτη τυγχάνετε· ὁ δὲ δανειστὴς ἐγώ εἰμι. ἐδάνεισά σοι καὶ τῇ γυναικὶ τὴν παροῦσαν ζωήν. ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. αὕτη χρεωστεῖ πεντακόσια δηνάρια, πολλὰ γὰρ ἐξήμαρτε, σὺ χρεωστεῖς πεντήκοντα. ὀλίγον γὰρ ἔπταισας. ἀλλ' ὅμως ὑπόκεισαι λογοθεσίῳ ζωῆς.

μὴ

μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. ἐχαρισάμην σοὶ τὰ ἐγκλήματα, χαρίζομαι καὶ ταύτῃ τὰ πλημμελήματα. ἀπήλαυσας πρῶτος τῆς ἐμῆς παρουσίας, ἀπολαυσάτω καὶ αὕτη τῆς ἐμῆς ἀμνησικακίας. ἤθελές με περὶ μὲν σὲ φανῆναι φιλάνθρωπον, περὶ δὲ ταύτην ἀπάνθρωπον; ἀλλ' οὐκ ἀνέχομαι λαβεῖν σε διοικητὴν τῆς ἐμῆς ἀγαθότητος. εἰ σὺ τοιαύτην εἶχες χώραν, αὕτη δὲ τὴν σὴν, ἐβούλου αὐτὴν περὶ σοῦ τοιαῦτα λέγειν, ἃ σὺ καθ' αὐτῆς φρονεῖς; οὐκ ἤκουσας, ὅτι ἃ μὴ βούλει παθεῖν, μὴ θέλῃς ποιεῖν· οὗτος γὰρ ὁ κοινὸς νόμος τῆς φύσεως. τίς οὖν, εἰπέ μοι, πλέον ἀγαπήσει αὐτόν;

Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν, ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλέον ἐχαρίσατο. καὶ πρὸς αὐτὸν ὁ σωτήρ· ὀρθῶς ἔκρινας. οὐκοῦν ἔμμεινον οἷς ἐδίκασας πρῶτος αὐτός. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι λέγει, βλέπεις ταύτην τὴν γυναῖκα; ἐγὼ οὐκ ἔτι καλῶ πόρνην, τὴν ῥίψασαν μετὰ τοῦ πράγματος καὶ τὸ ὄνομα. βλέπεις ταύτην τὴν γυναῖκα, τὴν αὐτόκλητον ἐπεισελθοῦσαν ἡμῖν, τὴν ἐπιδεικνυμένην ἀναίδειαν ἐπαινουμένην, τὴν ἀσκοῦσαν ἀναισχυντίαν ἀγαπωμένην, τὴν ὁδηγὸν τῆς πρὸς ἐμὲ φερούσης ὁδοῦ, τὴν ἡγεμόνα τῆς εὐσεβείας, τὴν διδάσκαλον τῆς μετανοίας, τὴν ἔργῳ τὰ πράγματα διδάξασαν, τὴν ἄπαυστα κλαίουσαν, τὴν παῤῥησίαν τῶν ἁμαρτωλῶν, τὴν κήρυκα τῆς ἐμῆς εὐσπλαγχνίας, τὴν ἐκκλησίαν τὸν σὸν οἶκον ποιήσασαν, τὴν μόνην μόνῳ προσευχομένην, τὴν ἄνθρωπον μετεωροῦσαν καὶ ὡς θεὸν ἱκετεύουσαν, μὴ δορυφόρους, μὴ βῆμα δικαστικὸν, καὶ ὡς κριτὴν με γονυπετοῦσαν· τὸν κείμενον προσκυνοῦσαν; βλέπεις ταύτην τὴν γυναῖκα, τὴν ἀκάματον, τὴν ἐργάτιν τῶν ἀγαθῶν, τὴν διὰ τῶν πλοκάμων αὐτῆς καὶ τῶν δακρύων ὑφαίνουσαν ἑαυτῇ τὴν τῆς ἀθανασίας στολὴν, τὴν πρεσβεύουσαν διὰ πάντων αὐτῆς τῶν μελῶν περὶ ἑαυτῆς, τὴν ἄπληστον ἐν οἷς οὐκ ἐχρῆν ἰδεῖν, ἀπληστοτέραν ἐν οἷς τὸ ἄμετρον μακαρίζεται; σκόπησον τὰ γινόμενα παρὰ σοῦ, καὶ θέασαι τὰ γενόμενα παρ' αὐτῆς, καὶ στεφανώσεις σὺν ἐμοὶ τὴν ἑαυτὴν στεφανώσασαν. ἐὰν μὴ καὶ σὺ θαυμάσῃς τὴν εὐσέβειαν καὶ τὴν ἐργασίαν αὐτῆς, μέμφου τοῖς ἐμοῖς οἰκτιρμοῖς. εἰσῆλθον εἰς τὴν οἰκίαν σου ἐγὼ ὁ Χριστὸς, ὁ ἄνω καὶ κάτω καὶ πανταχοῦ καὶ ἐνταῦθα οὕτως ὡς βλέπεις, καὶ τῇ παρουσίᾳ μου τετίμηκά σε, καὶ τὸν οἶκόν σου· καὶ σὺ ὕδωρ ὑπὸ τοὺς πόδας μου οὐκ ἔδωκας. οὐ τὸ εὔκολον, τὸ ῥᾴδιον, τὸ εὐπόριστον τοῖς ἐμοῖς ποσὶν οὐκ ἐπέχεας· αὕτη δὲ ἡ παρὰ σοῦ λοιδορουμένη τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, οὓς οὐκ ἔβαψεν ὅλα τῆς θαλάσσης τὰ ὕδατα καὶ τὰ κύματα. βλέπεις ξένην ἀρδείαν τοῖς ἐμοῖς ποσὶν ἐπιῤῥέουσαν· βλέπεις βροχὴν παράδοξον, οὐκ ἐκ τῶν νεφῶν φερομένην, ἀλλ' ἐκ τῶν τῆς γυναικὸς ὀμμάτων τικτομένην. ποία πηγὴ τοσούτων εὐπορεῖ ναμάτων, ὅσον αὕτη δακρύων; ποία κρήνη βλύζουσα τοσαύτας σταγόνας οὐκ ἐλέγχεται; αὕτη τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε, καὶ ξένον λέντιον τὰς τρίχας αὐτῆς κατεσκεύασε, καὶ παράδοξον ἐκμαγεῖον τῶν ἐμῶν ποδῶν τοὺς πλοκάμους αὐτῆς ἐποίησε· φίλημά μοι οὐκ ἔδωκας σύ· τὰ χείλη τὰ σὰ τοῖς ἐμοῖς χείλεσι προσαρμόσαι οὐ κατηξίωσας· αὕτη δὲ, ἀφ' οὗ εἰσῆλθεν, οὐ διέλειπε καταφιλοῦσά μου τοὺς πόδας. ὢ τῆς ὁμαλῆς προσεδρίας, ὢ φιλημάτων θείων· ὢ φιλημάτων πνευματικῶν ἀπολογησαμένων ὑπὲρ τῶν προτέρων περιπλοκῶν. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας. τὸ τιμιώτερον μέρος τοῦ σώματος οὐκ ἐνότισας ἐλαίῳ ψιλῷ· αὕτη δὲ ἐλαίῳ μύρῳ ἤλειψέ μου τοὺς πόδας. τί οὖν σοι δοκεῖ; ἀποστραφῶ τὴν τοιαῦτά μοι φέρουσαν ξένια; ἀποσείσομαι τὰ φίλα μοι δῶρα; μὴ ἐντραπῶ τοιαύτην καὶ τοσαύτην διάθεσιν; μὴ ἐντραπῶ πίστιν οὐρανοῦ ὑψηλοτέραν; παρίδω τοιαῦτα καὶ τοσαῦτα καλά; παρίδω ἐλεεινοὺς στεναγμούς; ἀλλ' οὐ πέφυκα τοιοῦτος. παρίδω τοὺς τῶν δακρύων κρουνούς; ἀλλ' οὐ δύναμαι. παρίδω τὴν δεδακρυμένην μορφήν; διὰ μόνην φιλανθρωπίαν ἔλαβον τὴν τοῦ δούλου μορφήν. ἀρνήσομαι ἐμαυτὸν διὰ σέ; μισήσω τὴν οὕτω με γνησίως ποθοῦσαν; ἀπελάσω τὴν οὕτω περιπλεκομένην μου τοῖς ποσίν; ἀποδιώξω τὴν ἱκέτιν μὴ τυχοῦσαν ὧν ἤλπισε; πληρώσω τοῦ διαβόλου τὸ βούλημα; χαρίσομαι τῷ πολεμίῳ τὸ θήραμα;

A *Non habentibus autem illis unde redderent, donavit utrisque.* Condonavi tibi delicta, huic quoque condono peccata. Tu prior adventu meo frueris, hæc quoque indulgentia mea fruatur. An velles me erga te humanum, erga illam inhumanum esse? sed non te benignitatis meæ administratorem assumam. Si tu ejus loco, illa tuo esset, velles-ne illam talia de te loqui, qualia tu de illa sentis? Non audisti illud: quod nolis pati, alteri ne facias: hæc quippe est communis naturæ lex. Quis, dic mihi, plus diliget eum?

4. Respondens Simon dixit: *Æstimo quia is cui plus donavit:* dixit ei Servator, *Recte judicasti.* Ergo in illis mane quæ tu ipse primus judicasti. *Et conversus ad mulierem, Simoni dixit:* B *vides hanc mulierem?* Ego non ultra illam meretricem voco, quæ & rem & nomen abjecit. Vides hanc mulierem, quæ non vocata ad nos accessit, quæ laudabilem impudentiam exhibuit, quæ amabilem audaciam exercuit, viæ ad me tendentis & pietatis ducem, pœnitentiæ magistram: quæ ipso opere docet, quæ indesinenter lacrymatur, peccatorum fiduciam, misericordiæ meæ nunciam, quæ domum tuam in ecclesiam vertit, quæ sola solum precatur, quæ hominem suspiciens, ipsi quasi Deo supplicat, quæ nec satellites, nec tribunal judiciale videns, mihi ut judici genua flectit, recumbentem adorat. Vides hanc mulierem, infatigabilem, bonorum operatricem, quæ per cin- C cinnos & lacrymas suas immortalitatis sibi amictum texit, quæ per omnia membra sua pro se orat, insatiabilem in iis, quæ videre non oportebat, magis insatiabilem in iis, in quibus immoderatio beata prædicatur? perpende gesta tua, & ejus acta considera, & mecum coronabis eam quæ seipsam coronavit. Si tu pietatem ejus & facta non miraris, misericordiam meam reprehende. Intravi in domum tuam ego Christus, qui & supra & infra & ubique & hic sum, ut tu vides, atque adventu meo & te & domum tuam honoravi; *Et aquam pedibus meis non dedisti.* Tu quod in promtu, & facile, & nullius precii erat pedibus meis non infudisti. Hæc vero quæ a te probro afficitur, *lacrymis rigavit pedes meos*, quos nec maris aquæ & flu- D ctus madefecerunt. Vides novam irrigationem pedibus meis infusam; vides pluviam stupendam, non ex nubibus demissam, sed mulieris oculis partam. Quis fons tot fluentis manat, quot illa lacrymis? Quis fons qui tot pariat stillas? Ipsa lacrymis rigavit pedes meos, & capillis capitis sui tersit, & novum linteum cincinnis suis paravit, & stupendum pedum meorum peniculum ex cincinnis suis fecit. *Osculum mihi non dedisti:* Labia tua labiis meis jungere non dignatus es; hæc vero, ex quo ingressa est, non cessavit osculari pedes meos. O æquabilem assiduitatem! o divina oscula! o spiritualia oscula, quæ pristinos complexus purgarunt! *Oleo caput meum non unxisti.* Nobiliorem cor- E poris partem non madefecisti oleo simplici; hæc vero unguento unxit pedes meos. Quid ergo tibi videtur? An aversabor eam quæ mihi talia munera attulit? Excutiam-ne dona mihi cara? Annon reverear talem & tantum affectum? Annon reverear fidem cælo superiorem? an despiciam tot tantaque bona? contemnam miserabiles gemitus? At non sum ita natus. Contemnam lacrimarum fontes? At nequeo. Contemnam lacrymis oppletam formam? Ex sola benignitate formam servi accepi. An negabo me ipsum propter te? Odio habebo eam quæ sic me sincere amavit? Rejiciam-ne eam, quæ sic pedes meos complectitur? Expellam supplicem quæ sperabat non consequutam? Implebo diaboli voluntatem? Largiar inimico venatum?

Mittam rursus columbam meam ad accipitrem? Non miserabor eam quæ nihil aliud dicit, quam miserere mei? Non miserabor eam quæ sic a diabolo fugit, & ad me confugit? Cur ergo descendi de cælis? Cur hoc visibili amicior corpore? Cur in domum tuam ingressus sum? Si illam quæ adest & vult venatu capi, rejecturus eram, cur locum capturæ petii? Sed *non veni vocare justos, sed peccatores ad pœnitentiam.* Ideo dico tibi: *Remittuntur illi peccata multa, quoniam dilexit multum. Qui vero minus diligit, minus diligetur.* His Pharisæum alloquutus Christus, mulierem prostratam benigno aspectu & miti affatu dignatus est; atque ad eam quæ sese occultabat & precabatur, paulum se inclinans, optatam illi sententiam protulit, qua ipsi peccata remittebat: *Remittuntur tibi peccata.* Accipe demum, o mulier, supplicem libellum obsignatum, accipe fidei mercedem, accipe obsequentiæ præmia, accipe pietatis munera, accipe pœnitentiæ coronam, accipe amarorum gemituum dulcissimum fructum, accipe tristis seminis jucundissimam messem. Seminasti in lacrymis, in exsultatione mete. *Remittuntur peccata tua.* Fracti sunt improbæ vitæ funiculi, solutæ sunt nequitiæ catenæ, liberata es a criminibus & a rationibus reddendis, effugisti inexstinguibilem ignis fornacem: paucis lacrymis tantam flammam exstinxisti, calcasti inimici maligni caput; præclare vicisti adversarium.

5. Confide filia: *Deus qui justificat, quis est qui condemnet?* Ego judex sum remissionis sponsor, quis alius judicium meum subvertet? Ego judex solvo, quis alius damnabit? Confide, filia. Tecum reputa quam repente exaltata sis. Quomodo ut damnata veneris, & a damnatione liberari dignata sis, ac mea regis cælorum filia facta sis. Venisti ut vulnerata remedium acceptura, & regiam, ut regina, coronam retulisti. Regenerata es sine vulva, reformata es a figulo sine luto, conflata es sine igne, baptizata es sine piscina. Tu tibi ipsi lacrymis piscinam parasti: verbum meum baptisma tuum fuit: verbum meum fuit illuminatio vultus tui. *Confide, filia, fides tua te salvam fecit.* Ut credidisti, hausisti; ut desiderasti, accepisti; ut voluisti, regnasti; corpore te inclinasti, & tota luce plena fuisti. *Fides tua te salvam fecit.* Fides enim initium est salutis; fides immortalitatis proœmium; fides Dei cognitionis purus oculus; fides invisibilia videt. Fides tua te salvam fecit. Utinam Judæi fidem tuam imitati fuissent; utinam Gentiles sententiam tuam æmulati fuissent. Utinam omnes homines credere discant, ut tu credidisti. *Vade in pace.* Nam si volueris, me semper tecum habebis. Si ita casta maneas, nunquam a mente tua discedam; si hanc puritatem sine macula servaveris, semper tecum manebo; si sponsa virgo perseveraveris, ero tibi sponsus virgo, sponsus incorruptionis custos; si nuptialia pignora inter nos hodie admissa non violaveris, habitare tecum non cessabo; si non fornicata fueris, non ejiciam te a familiaritate mea; si cogitatione mœchum non induxeris, ut procus cælestis cælestia tibi dona conferam; si conscientiam tuam erga me sine vulnere servaveris, mea semper frueris benevolentia. *Vade in pace*: recordare hujus diei, in qua libertate donata es: recordare harum, quas bene fudisti, lacrymarum, queis tantam lætitiam adepta es; recordare hujus pœnitentiæ, per quam filiæ dignitatem invenisti. *Vade in pace.* Reconciliatus tibi sum, qui ante diu infensus tibi fui ob peccata tua. Ne bonam pacem pravis operibus solvas: ne ultra per membra tua bellum contra me geras: ne rursum comas nectas ut Satanas; ne dealbes vultum tuum ut parietem; ne ultra cures ornatum superfluum & perniciosum:

A πέμψω πάλιν τὴν ἐμὴν περιστερὰν πρὸς τὸν ἱέρακα; μὴ οἰκτείρω τὴν οὐδὲν ἕτερον λέγουσαν, εἰ μὴ μόνον, ἐλέησόν με; μὴ ἐλεήσω τὴν οὕτω φυγοῦσαν τὸν διάβολον, καὶ προσφυγοῦσαν ἐμοί; τί οὖν κατῆλθον ἐκ τῶν οὐρανῶν; τί δὲ τὸ φαινόμενον περιβέβλημαι σῶμα; τί δὲ τῆς σῆς οἰκίας ἐγενόμην ἐντός; τὴν φαινομένην καὶ θηραθῆναι βουλομένην εἰ ἔμελλον ἀπελαύνειν, διὰ τί τὸν τόπον τῆς θήρας κατέλαβον; ἀλλ' οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. διὸ χαίρειν λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. ὁ δὲ ὀλίγον ἀγαπῶν, ὀλίγον ἀγαπηθήσεται. ταῦτα πρὸς τὸν Φαρισαῖον διαλεχθεὶς ὁ Χριστὸς μετέδωκε τῇ περικεχυμένῃ βλέμματος καὶ φθέγματος ἡμέρου καὶ προσηνοῦς, καὶ πρὸς τὴν κατακεκρυμμένην καὶ δεομένην μικρὸν ἑαυτὸν ἐπικλίνας, μετέδωκεν αὐτῇ τὴν ποθουμένην
B ἀπόφασιν, ἔχουσαν τῶν ἁμαρτημάτων ἄφεσιν. ἀφέωνταί σοι ἁμαρτίαι. δέξαι λοιπόν, ὦ γύναι, τῶν δακρύων ὑπογεγραμμένην τὴν δέησιν· δέξαι τῆς πίστεως τὴν ἀντίδοσιν· δέξαι τῆς εὐπειθείας τὰς ἀμοιβάς· δέξαι τῆς εὐσεβείας τὰς δωρεάς· δέξαι τῆς μετανοίας τὸν στέφανον· δέξαι τῶν πικρῶν στεναγμῶν τὸν γλυκύτατον καρπόν· δέξαι τοῦ σκυθρωποῦ σπόρου τὸ γλυκύτατον θέρος. ἔσπειρας ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θέρισον. ἀφέωνταί σου αἱ ἁμαρτίαι. διερράγησαν αἱ τοῦ κακοῦ βίου σειραί· διελύθησαν αἱ τῆς πονηρίας ἁλύσεις· ἀπηλλάγης τῶν ἐγκλημάτων καὶ τῶν εὐθυνῶν· ἔφυγες τὴν ἄσβεστον κάμινον τοῦ πυρός· ὀλίγοις δάκρυσι φλόγα τοσαύτην κατέσβεσας· κατεπάτησας τοῦ πονηροῦ ἐχθροῦ τὴν κεφαλήν· ἐνίκησας περιφανῶς τὸν ἀντίπαλον.

Θάρσει, θύγατερ· θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; ἐγὼ
C ὁ κριτὴς γίνομαι τῆς ἀφέσεως ἐγγυητής. τίς ἕτερος τὴν ἐμὴν ἐπίκρισιν ἀνατρέψει; ἐγὼ ὁ δικαστὴς ἀπολύω· τίς ἕτερος καταδικάσει; θάρσει, θύγατερ· λογίσαι ἐξαίφνης πῶς ὑψώθης· πῶς ἦλθες ὡς κατάκριτος, καὶ τῆς κατακρίσεως ἐλευθερωθῆναι κατηξιώθης, καὶ θυγάτηρ γενέσθαι ἐμοῦ τοῦ βασιλέως τῶν οὐρανῶν. ἦλθες ὡς τετραυματισμένη φάρμακον λαβεῖν, καὶ βασιλικόν, ὡς βασίλισσα, ἐφόρεσας στέφανον. ἀνεγεννήθης ἄνευ μήτρας, ἀνεπλάσθης ἄνευ πηλοῦ, ἀνεχωνεύθης ἄνευ πυρός, ἐβαπτίσθης ἄνευ κολυμβήθρας. σὺ σεαυτὴν ἐκ τῶν σῶν δακρύων κολυμβήθραν ἐκέρασας· τὸ ῥῆμά μου βάπτισμά σου γεγένηται· ὁ λόγος ὁ ἐμὸς φωτισμὸς τοῦ προσώπου σου. θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε. ὡς ἐπίστευσας, ἤντλησας· ὡς ἐπόθησας, ἔλαβες· ὡς ἠθέλησας, ἐβασίλευσας. παρέκυ-
D ψας διὰ τοῦ σώματος, καὶ φωτὸς ὅλη γέγονας ἔμπλεος. ἡ πίστις σου σέσωκέ σε. πίστις γὰρ σωτηρίας ἀρχή· πίστις, ἀθανασίας προοίμιον· πίστις, θεογνωσίας καθαρὸς ὀφθαλμός· πίστις τὰ ἀόρατα καθορᾷ. ἡ πίστις σου σέσωκέ σε. εἴθε καὶ Ἰουδαῖοι τὴν σὴν πίστιν ἐμιμήσαντο, εἴθε καὶ Ἕλληνες τὴν σὴν γνώμην ἐζήλωσαν, εἴθε πάντες ἄνθρωποι μάθοιεν πιστεύειν ὡς σύ. πορεύου εἰς εἰρήνην. ἐπεὶ ἂν ἠβουλήθης, ἕξεις με διαπαντὸς μετὰ σοῦ καὶ σὺν σοί· ἐὰν οὕτω μείνῃς ἁγνή, οὐδέποτε χωρισθήσομαι τῆς σῆς διανοίας· ἐὰν φυλάξῃς τὴν καθαρότητα ταύτην ἀμόλυντον, ἀεί σοι συμπαρέσομαι· ἐὰν μείνῃς νύμφη παρθένος, ἔσομαί σοι νυμφίος παρθένος, νυμφίος ἀφθαρσίας φρουρός· ἐὰν μὴ ἀθετήσῃς τὰ μεταξὺ ἡμῶν σήμερον συντελεσθέντα προικῷα, οὐκ ἀναχωρήσω τῆς σῆς συνοικεσίας· ἐὰν μὴ πορνεύσῃς εἰς ἐμέ, οὐκ ἐκβάλλω σε τῆς ἐμῆς
E οἰκειότητος· ἐὰν μὴ ἐπαγάγῃς μοι μοιχὸν λογισμόν, ὡς οὐράνιος μνηστὴρ καὶ τὰ οὐράνια σοι δωρήσομαι· ἐὰν τηρήσῃς ἄτρωτον τὸ πρὸς ἐμὲ συνειδός, ἀπολαύσεις τῆς ἐμῆς εὐνοίας διαπαντός. πορεύου εἰς εἰρήνην· μέμνησο τῆς παρούσης ἡμέρας, ἐν ᾗ τῆς ἐλευθερίας ἀπήλαυσας· μέμνησο τῶν καλῶν τούτων δακρύων, δι' ὧν κατέστης εἰς τοσαύτην φαιδρότητα· μέμνησο τῆς μετανοίας ταύτης, δι' ἧς τὸ τῆς θυγατρὸς εὗρες ἀξίωμα. πορεύου εἰς εἰρήνην· κατηλλάγην σοι, διὰ χρόνου πολλοῦ περὶ τούτου λυπούμενος περὶ σὲ διὰ σέ. μὴ λύσῃς τὴν καλὴν εἰρήνην πράξεσι πονηραῖς· μὴ πάλιν διὰ τῶν σῶν μοι πολεμήσῃς μελῶν· μὴ πάλιν πλέξῃς, ὡς Σατανᾶς, τὰς κόμας· μὴ κονιάσῃς, ὡς τοῖχον, τὸ πρόσωπόν σου· μὴ τεχνάσῃ κόσμον περίεργον καὶ ὀλέθριον·

A μὴ προθῇς, ὡς ἐν ἀγορᾷ, τὴν ὄψιν σου τοῖς ἐμπόροις τῶν αἰσχρῶν ἡδονῶν· μὴ πέμψῃς τοὺς ὀφθαλμούς, ὡς θηρατής, κατὰ τῶν ἑκουσίως ἀγρευομένων· μὴ χρήσῃ τοῖς χείλεσιν, ὡς βέλεσι, κατὰ τῶν τιτρωσκομένων ἡδέως· μὴ ποιήσῃς τὸ στόμα σου θάνατον· μὴ κατακρίνῃς τὰς χεῖρας ἀσέμνοις περιπλοκαῖς· μὴ καταδικάσῃς τοὺς πόδας δρόμοις αἰσχροῖς· μὴ ἀνατρέψῃς τὸν καλόν σου δρόμον δρόμοις κακοῖς· μὴ σκορπίσῃς τῆς ἁγνείας τοὺς μαργαρίτας, οὓς ἀπόνως ἐξέλεξας· μὴ γένῃ πάλιν φθορᾶς ἐργαστήριον· μὴ παλινδρομήσῃς πρὸς τὴν ἀρχαίαν σου ἀπάτην· μὴ τὴν προτέραν ἀναλάβῃς σκηνήν· μὴ οἰκοδομήσῃς κακῶς ἃ κατέλυσας καλῶς· μὴ δέξῃ σύμβουλον τὸν ὄφιν, ἵνα μὴ γυμνωθῇς ὡς ἡ Εὔα· μὴ καταλείπῃς ἡδονῇ τὴν πηγὴν τῆς πίστεως, ἵνα μὴ ῥίψῃ κατὰ σοῦ τὸν ἰὸν ὁ δράκων ὁ πολύμορφος· B μὴ κοιμηθῇς τῆς ἡδυπαθείας τὸν ὕπνον, ἵνα μὴ κινήσῃς καθ' ἑαυτῆς τὸν δίκαιόν μου θυμόν· μὴ μετὰ τοσοῦτον μύρον, βόρβορον ἐπιχέῃς ἑαυτῇ· μὴ γένῃ πάλιν ὃ ἦς· ἅπαξ ἐκαθαρίσθης, ἅπαξ ἐχωνεύθης· μεῖνον σωφροσύνης ἄγαλμα νεουργόν, ἵνα μὴ χωνευθῇς τῷ πυρί· πορεύου εἰς εἰρήνην· ἀπάγγελλε τοῖς ἀπαντῶσι, πῶς ἀγαθός εἰμι καὶ φιλάνθρωπος· ἐπιδείκνυε τοῖς ἀγνοοῦσι τὸν ἀποσμήξαντά σου τὸν ῥύπον· γενοῦ λοιπὸν σαγήνη ζωῆς. ἕως τῆς παρούσης ἡμέρας τοὺς νέους πρὸς ἀπώλειαν ἤγρευες· ἀπὸ τῆς παρούσης ἡμέρας πάντας ἀνθρώπους πρὸς σωτηρίαν ἅλιευε· βόα πρὸ τοῦ Παύλου, ὡς πρὸ τοῦ Παύλου σαγηνευθεῖσα· πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς παρεγένετο ἐν κόσμῳ ἁμαρτωλοὺς σῶσαι, ὧν πρώτη εἰμὶ ἐγώ. ταύτης τὴν μετάνοιαν ζηλώσωμεν ἅπαντες, ἵνα τὴν ἴσην παῤῥησίαν κτησώμεθα· λύσωμεν τὰς C ἀδικίας, ὡς ἐκείνη τὰς τρίχας· τοιαῦτα δάκρυα ῥάνωμεν, ἵνα τοιαῦτα φάρμακα λάβωμεν· οὕτω φιλήσωμεν τὸν δεσπότην, ἵνα οὕτω φιληθῶμεν παρ' αὐτοῦ· κρατήσωμεν καὶ ἡμεῖς πίστεως χερσὶ τὸν ἡδέως κρατούμενον, καὶ μηδέποτε καταλείπωμεν αὐτόν, ἕως ἂν αὐτοῖς τοῖς πράγμασιν εἴπῃ καὶ πρὸς ἡμᾶς, ἀφέωνται ὑμῶν αἱ ἁμαρτίαι. θαρσεῖτε, τέκνα· ἡ πίστις ὑμῶν σέσωκεν ὑμᾶς· καὶ τὴν πίστιν ἐκείνης ταῖς ἡμετέραις ἐννοίαις ἐγγράψωμεν, δόξαν ἀναπέμποντες τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ne offeras quasi in foro vultum tuum negotiatoribus turpium voluptatum: ne immittas quasi venator oculos tuos in eos qui libenter capiuntur: ne utaris labiis ut telis in eos qui sponte vulnerantur. Ne os tuum in mortem vertas: ne impuris complexibus manus tuas condemnes: ne turpi cursu pedes damnes, ne cursum bonum malo cursu subvertas: ne dispergas castitatis margaritas, quas sine labore elegisti. Ne sis rursum corruptionis officina, ne recurras ad pristinam fraudem, ne priorem scenam resumas: ne male rursum ædifices quæ bene destruxisti: ne admittas consiliarium serpentem, ut ne spolieris ut Eva: ne pro voluptate relinquas fidei fontem, ut ne multiformis draco virus suum in te injiciat: ne dormias voluptuoso somno, ut ne contra te justam iram meam concites: ne post unguentum tantum cœnum tibi infundas. Ne rursum efficiaris id quod prius eras. Semel purgata es, semel conflata es: remane castitatis imago nova, ne igne rursum conflerís. *Vade in pace*: nuncia occurrentibus quam bonus, quam clemens sim: ignorantibus ostende eum, qui sordes tuas abstersit. Esto demum sagena vitæ. Hactenus juvenes ad perniciem cepisti; ab hinc omnes homines ad salutem piscare. Clama ante Paulum, utpote quæ ante Paulum sagena capta fueris: *Fidelis sermo, & omni acceptione dignus: quod Christus Jesus venit in mundum peccatores salvos facere, quorum prima ego sum.* 1. Tim. 1. 15. Hujus pœnitentiam æmulemur omnes, ut parem fiduciam nanciscamur. Solvamus iniquitates, ut illa comam: tales fundamus lacrymas, ut talia pharmaca accipiamus: sic diligamus Dominum, ut sic diligamur ab illo: manibus fidei teneamus illum, qui libenter sic tenetur: & nunquam relinquamus eum, donec reipsa dicat etiam nobis: Remittuntur vobis peccata vestra: Confidite, filii, fides vestra vos salvos fecit: ac fidem illius in nostris mentibus inscribamus, gloriam referentes Patri & Filio & Spiritui sancto, nunc & semper & in sæcula sæculorum, amen.

## Εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

D

ΑΝΕΣΤΗ τῇ τρίτῃ ἡμέρᾳ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ζωὴν τῷ κόσμῳ δωρούμενος· καὶ ἰδού τινες τῆς κουστωδίας ἐλθόντες πρὸς τοὺς Ἰουδαίους εἶπον· ἠγέρθη ἀπὸ τῶν νεκρῶν Ἰησοῦς ὁ λεγόμενος Χριστός. καὶ λέγουσιν οἱ ἀγνώμονες Ἰουδαῖοι πρὸς τοὺς στρατιώτας, διὰ τί οὐκ ἐκρατήσατε αὐτόν; λέγουσιν οἱ στρατιῶται, ὑμεῖς κρατήσαντες αὐτὸν ποῖον ἐσχήκατε κέρδος, εἰ μὴ τὴν ζημίαν τῶν ψυχῶν ὑμῶν; ἐκεῖνος γὰρ εἶπεν, ὅτι δεῖ με ἀποθανεῖν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· καὶ ταῦτα πεπλήρωκε, μετὰ πολλῆς δόξης ἀναστὰς ἐκ τῶν νεκρῶν. λέγουσιν οἱ ἀχάριστοι Ἰουδαῖοι· ὑμεῖς χρήματα ἐλάβετε παρὰ τῶν μαθητῶν αὐτοῦ, καὶ παρεδώκατε αὐτοῦ τὸ σῶμα. καί φασιν οἱ στρατιῶται· ὑμεῖς τοιαύτην ἀπιστίαν ἔχετε, παράνομοι; ἐκείνῳ οὐκ ἐπιστεύσατε λέγοντι, ὅτι δεῖ με ἀποθανεῖν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· οὐαὶ δὲ ὑμῖν, οἱ Ἰουδαῖοι, ὅτι νῦν μὲν E ἦλθε, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ, διὰ τοῦτο ἐλθόντι, ἵνα πληρωθῇ πᾶσα γραφὴ περὶ αὐτοῦ λέγουσα. ὅταν οὖν ἔλθῃ ἐν τῇ δευτέρᾳ αὐτοῦ πάλιν παρουσίᾳ, τί ποιήσετε παράνομοι; πῶς δὲ καὶ κρατῆσαι αὐτὸν ἠδυνάμεθα, νεκροὶ γενόμενοι ἐκ τοῦ φόβου τῆς δόξης αὐτοῦ; ἐν τῷ γὰρ ἀναστῆναι αὐτὸν ἐσείσθη ὁ τόπος ἐκ θεμελίων, καὶ ἀγγέλων αἱ στρατιαὶ ἐκύκλωσαν αὐτοῦ τὸ θεῖον μνῆμα· καὶ προσελθὼν εἷς ἄγγελος ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου· καὶ ἰδοὺ ἐξῆλθεν ὁ Ἰησοῦς, ὡς νυμφίος ἐκ παστοῦ, καὶ ὡς ἀστραπὴ λάμπων. καὶ ἠκούσαμεν τοῦ ἀγγέλου λέγοντος ταῖς γυναιξί,

## *In triduanam resurrectionem Domini nostri Jesu Christi.*

SURREXIT tertia die Dominus noster Jesus Christus, vitam dans mundo: & ecce quidam ex custodia venientes ad Judæos, dixerunt: Surrexit a mortuis Jesus, qui dicitur Christus. Et dicunt improbi Judæi militibus: Cur non tenuistis eum? Respondent milites: Vos qui tenuistis eum quod lucrum tulistis, nisi damnum animarum vestrarum? Ille enim dixit: Oportet me mori, & tertia die resurgere: & hæc implevit, cum gloria multa a mortuis resurgens. Dicunt ingrati Judæi: Vos pecunias accepistis a discipulis ejus, & corpus ejus tradidistis. Reponunt milites: Tantæ-ne vos estis incredulitatis, o iniqui? Illi non credidistis dicenti, Oportet me mori, & tertia die resurgere. Væ autem vobis, Judæi, quia nunc venit, & non credidistis ei, qui ideo venit, ut omnis scriptura de illo impleretur: in secundo autem ejus adventu quid facietis, o iniqui? Quomodo autem potuimus illum tenere, qui ex timore gloriæ ejus mortui eramus. Nam cum resurrexit, locus a fundamentis tremuit: ejus divinum monumentum angelorum exercitus circumdabant: & accedens angelorum unus revolvit lapidem ab ostio monumenti. Et ecce egressus est Jesus tamquam sponsus de thalamo, & quasi fulgur resplendens. Et audivimus angelum dicentem mulieribus:

Nolite timere vos: ite, dicite discipulis ejus, quod surrexit a mortuis, & ecce præcedet vos in Galilæam: ibi eum videbitis. Ecce igitur in Galilæa est. Si potestis, ite & comprehendite eum. Veritatem certe diximus vobis, quam ab angelo accepimus. His auditis Judæi, ex metu & consternatione quasi mortui facti sunt; & se mutuo respicientes, argenteos multos militibus dederunt, ipsosque his verbis rogarunt: Dicite discipulos ejus noctu venisse, ipsumque furatos esse, vobis dormientibus. Et si hoc præses audierit, id nos illi suadebimus, & vos in tuto eritis. O iniqui Judæi! toti mundo quis id suadeat? Væ vobis miseris, quia consilium malum iniistis, quia filii vocati, & canes effecti estis. Væ vobis duris cervice & incircumcisis, quia cum populus Domini electus essetis, lupi facti estis, & dentes acuistis contra agnum Dei, a gloriaque ejus extranei facti estis. Væ vobis ingratis, quia dilexistis infernum & ignem æternum. Infernus enim postquam egressi sunt ii qui in thesauris ejus positi erant, vos pro illis excipit dicens: Num quiescet Hebræorum quispiam, qui in Dominum manus extenderunt, & me captivum fecerunt? Nisi enim illi mala contra Dominum machinati fuissent, non talia ego passus essem. Cum excipiam eos, detrudam in infimas partes meas, ubi est pater eorum diabolus inclusus in ignem æternum, & immortali vermi traditus; ut discant non arma sumere contra Dominum gloriæ, neque loqui contra Deum iniquitatem, neque extollere in altum superbiæ cornu. Væ vobis miseris Judæis, quia relicta luce, tenebras dilexistis. De

*Isai. 5. 20.* vobis enim dixit Esaias propheta: *Væ iis qui ponunt lucem tenebras, & tenebras lucem; qui dicunt amarum dulce, & dulce amarum.* Væ vobis miseris Judæis, cum videritis lignum, in quo Dominum crucifixistis, a mundo adoratum, & in die resurrectionis, atque in die secundi sui adventus venientem Dominum in nubibus cæli, angelis stipatum, vosque damnaturum. Væ vobis miseris Judæis, quia consilium malum iniistis occidendi immortalem. Ipse vero vivit in sæcula, & vos in incredulitate moriemini, nec beato Pau-

*Gal. 3. 13.* lo credidistis dicenti: *Christus nos redemit de maledicto legis, factus pro nobis maledictum.* At nos relictis illis male sentientibus & incredulis Judæis, veniamus ad lucem solis justitiæ, & resurrectionem Domini cum gaudio excipiamus. Resurrexit ergo a mortuis Dominus noster Jesus Christus, & occurrerunt ei duæ mulieres, nempe Maria Magdalene & altera Maria, quæ est mater Jesu, & adoraverunt eum. Quid ergo

*Matt. 28. 10.* ille? *Nolite timere*, inquit, *sed ite, dicite fratribus meis & Petro, ut eant in Galilæam, & ibi me videbunt.* Hæ igitur mulieres primum *ave* ab illo acceperunt, & festinarunt ut apostolis ejus resurrectionem prædicarent, & ad propria reverterunt cum gaudium accepissent a Domino omnis creaturæ. Maria vero Magdalene rursum ad monumentum venit, & cum non invenisset eum, rursus vocem angelicam audivit, eademque dicentem Dominum, quod nempe præcederet eos in Galilæam. Et conversa vidit Dominum loquentem sibi. Existimans autem ipsum esse hortulanum, interrogabat, num sciret ubi Dominus positus esset. Jesus vero dicit ei, Maria, quid ploras? Quem quæris? Desine, inquit, lacrymari, assumto gaudio. Ubi gaudium est, aufugit lacrymarum mœstitia: ubi gaudium est, fugit luctus & tristitia: ubi gaudium, mœror nullus est: ubi gaudium, ibi lætitiæ symbola. Ego sum filius Virginis, ego sum Jesus victor inferni. Ego sum qui vici mundum, ego qui spoliavi infernum: Ego sum Jesus qui mortuis resurrectionis spem nuncio:

A μὴ φοβεῖσθε ὑμεῖς· ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ οὖν ἐν τῇ Γαλιλαίᾳ ἐστίν. εἰ δυνατοί ἐστε, ἀπελθόντες κρατήσατε αὐτόν. ἰδοὺ οὖν εἴπαμεν ὑμῖν τὴν ἀλήθειαν, ἣν παρὰ τοῦ ἀγγέλου ἠκούσαμεν. οἱ δὲ Ἰουδαῖοι τούτων ἀκούσαντες τῶν ῥημάτων, ὥσπερ νεκροὶ ὑπὸ τοῦ δέους καὶ τῆς ἐκπλήξεως γεγόνασι· καὶ σκεψάμενοι πρὸς ἑαυτοὺς ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, καὶ παρεκάλεσαν αὐτοὺς λέγοντες· εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν, ἡμῶν κοιμωμένων· καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. ὦ παράνομοι Ἰουδαῖοι, τὸν κόσμον ὅλον τίς πείθῃ; οὐαὶ ὑμῖν, ἄθλιοι, ὅτι ἐβουλεύσασθε βουλὴν πονη- B ράν· ὅτι τέκνα ἐκλήθητε, καὶ κύνες γεγόνατε. οὐαὶ ὑμῖν, σκληροτράχηλοι καὶ ἀπερίτμητοι, ὅτι λαὸς κυρίου ἐκλεκτὸς ὑπάρχοντες, λύκοι γεγόνατε, καὶ τοὺς ὀδόντας ἠκονήσατε κατὰ τοῦ ἀμνοῦ τοῦ θεοῦ, καὶ ξένοι τῆς δόξης αὐτοῦ γεγόνατε. οὐαὶ ὑμῖν ἀγνώμονες, ὅτι ἠγαπήσατε τὸν ᾅδην, καὶ τὸ αἰώνιον πῦρ. ὁ γὰρ ᾅδης μετὰ τὸ ἐξελθεῖν τοὺς ὄντας ἐν τοῖς θησαυροῖς αὐτοῦ, ὑμᾶς ἀντ' ἐκείνων ἐκδέχεται λέγων· μὴ ἀναπαύσηταί τις τῶν Ἑβραίων, οἵτινες κατὰ τοῦ Χριστοῦ τὰς χεῖρας ἐξέτειναν, καὶ ἐμὲ αἰχμάλωτον ἐποίησαν; εἰ μὴ γὰρ ἐκεῖνοι ἐβουλεύσαντο πονηρὰ κατὰ τοῦ κυρίου, οὐκ ἂν ἐγὼ τοιαῦτα ἔπαθον. ὅταν ὑποδέξωμαι αὐτοὺς, κατάξω αὐτοὺς εἰς τὰ κατώτερά μου μέρη, ὅπου ἐστὶν ὁ πατὴρ αὐτῶν ὁ διάβολος κατάκλειστος ἐπὶ τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ τοῦ ἀκοιμήτου σκώληκος· ἵνα μάθωσι μὴ ὁπλίζεσθαι κατὰ τοῦ κυρίου τῆς δόξης, μηδὲ λαλεῖν κατὰ τοῦ θεοῦ C ἀδικίαν, μηδὲ ἐπαίρειν εἰς τὸ ὕψος τῆς ὑπερηφανίας τὸ κέρας. οὐαὶ ὑμῖν, ἄθλιοι Ἰουδαῖοι, ὅτι τὸ φῶς ἀφέντες, τὸ σκότος ἠγαπήσατε. περὶ ὑμῶν γὰρ εἶπεν Ἠσαΐας ὁ προφήτης, οὐαὶ οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. οὐαὶ ὑμῖν, ἄθλιοι Ἰουδαῖοι, ὅταν βλέπητε τὸ ξύλον, ἐφ' οὗ τὸν κύριον ἐσταυρώσατε, ὑπὸ τοῦ κόσμου προσκυνούμενον, καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως καὶ δευτέρας αὐτοῦ παρουσίας ἐρχόμενον τὸν κύριον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὑπὸ ἀγγέλων δορυφορούμενον, καὶ ὑμᾶς κατακρίνοντα. οὐαὶ ὑμῖν, Ἰουδαῖοι, ὅτι ἐβουλεύσασθε βουλὴν πονηρὰν, θανατῶσαι τὸν ἀθάνατον· αὐτὸς δὲ ζῇ εἰς τοὺς αἰῶνας, καὶ ὑμεῖς τῇ ἀπιστίᾳ ἀποθάνετε, καὶ οὐδὲ τῷ μακαρίῳ Παύλῳ ἐπείσθητε λέγοντι· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ D ἡμῶν κατάρα. ἀλλ' ἡμεῖς ἐάσαντες τοὺς κακόφρονας καὶ ἀπειθεῖς Ἰουδαίους, ἔλθωμεν πρὸς τὸ φῶς τοῦ ἡλίου τῆς δικαιοσύνης, καὶ τὴν ἀνάστασιν τοῦ κυρίου μετ' εὐφροσύνης ὑποδεξώμεθα. ἀνέστη τοίνυν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῶν νεκρῶν, καὶ ὑπήντησαν αὐτῷ δύο γυναῖκες, τουτέστι, Μαρία ἡ Μαγδαληνὴ, καὶ ἄλλη Μαρία, ἥτις ἐστὶν ἡ μήτηρ τοῦ Ἰησοῦ, καὶ προσεκύνησαν αὐτῷ. τί οὖν αὐτός; μὴ φοβεῖσθε, ἀλλ' ὑπάγετε, φησιν, εἴπατε τοῖς ἀδελφοῖς μου καὶ τῷ Πέτρῳ, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. ἐδέξαντο τοίνυν αὗται αἱ γυναῖκες πρῶται παρ' αὐτοῦ τὸ χαίρειν, καὶ κηρύξαι τοῖς ἀποστόλοις τὴν αὐτοῦ ἀνάστασιν ἔσπευδον· καὶ ἀπῆλθον εἰς τὰ ἴδια λαβοῦσαι τὴν χαρὰν παρὰ τοῦ δεσπότου τῆς κτίσεως. ἡ δὲ Μαγδαληνὴ Μαρία πάλιν ἐπὶ τὸ μνῆμα ἦλθε· καὶ μὴ E εὑροῦσα αὐτὸν, φωνῆς ἤκουσεν ἀγγελικῆς δευτερούσης, ἃ καὶ παρὰ τοῦ κυρίου ἤκουσε, προάγειν αὐτὸν ἐν τῇ Γαλιλαίᾳ· καὶ ὑποστρέψασα ὁρᾷ τὸν κύριον λαλοῦντα αὐτῇ. δοκοῦσα δὲ τὸν κηπουρὸν εἶναι αὐτὸν, ἐπηρώτα εἰ ἐπίσταται ποῦ ὁ κύριος μετετέθη. ὁ δὲ Ἰησοῦς λέγει αὐτῇ· Μαρία, τί κλαίεις; τίνα ζητεῖς; παῦσαι, φησὶ, τῶν δακρύων, τὴν χαρὰν δεξαμένη. ὅπου χαρὰ, ἀπέδρα τῶν δακρύων τὸ στυγνόν· ὅπου χαρὰ, φεύγει τὸ πένθος ἡ κατήφεια· ὅπου χαρὰ, λύπη οὐ πάρεστιν· ὅπου χαρὰ, εὐφροσύνης σύμβολα. ἐγώ εἰμι ὁ υἱὸς τῆς παρθένου, ἐγώ εἰμι Ἰησοῦς ὁ νικητὴς τοῦ ᾅδου, ἐγώ εἰμι ὁ νικήσας τὸν κόσμον, ἐγώ εἰμι ὁ σκυλεύσας τὸν ᾅδην, ἐγώ εἰμι Ἰησοῦς ὁ τοῖς νεκροῖς ἀναβιώσεως ἐλπίδα εὐαγγελισάμενος,

ἐγὼ

ἐγώ εἰμι ὁ σταυρὸν ἑκουσίως ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας A ὑπομείνας, ἐγώ εἰμι Ἰησοῦς, ὁ ἐκ τῶν νεκρῶν τριήμερος ἀναστὰς, καθὼς προεῖπον, καὶ τὸ, χαῖρε, πρὸς ὑμᾶς φθεγξάμενος. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἐγώ εἰμι Ἰησοῦς, ὁ τῶν βαπτιζομένων στολιστής. δι' ἐμὲ Παῦλος κέκραγεν· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· ἐγώ εἰμι Ἰησοῦς, ὁ τῶν φωτισθέντων νυμφαγωγός· ἐγώ εἰμι Ἰησοῦς, ὁ νυμφίος τῆς ἐκκλησίας· ἐγώ εἰμι Ἰησοῦς, ὁ τῆς εἰρήνης δοτὴρ, καὶ τῆς εὐφροσύνης χορηγός. παύσασθε τῶν δακρύων, καὶ τὴν χαρὰν ἐνδύσασθε· παύσασθε τοῦ θρηνεῖν, καὶ τοῖς ἀποστόλοις εὐαγγελίσασθε. αὕτη ἡ ἡμέρα, ἐν ᾗ ἀφεῖλε δάκρυον ἀπὸ παντὸς προσώπου· αὕτη ἡ ἡμέρα νίκης τῆς τοῦ θανάτου, καὶ ζωὴ τοῖς ἐν ᾅδου· αὕτη ἡ ἡμέρα, ἐν ᾗ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη, καὶ χαρὰν τῷ κόσμῳ παρέχει· B αὕτη ἡ ἡμέρα, ἐν ᾗ τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις δι' ὑμῶν δηλώσω τῆς ἐμῆς ἀναστάσεως τὰ εὐαγγέλια. ἀπελθόντες γὰρ εἴπατε τοῖς ἀδελφοῖς μου καὶ τῷ Πέτρῳ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε. ὁρᾷς εὐσπλαγχνίαν δεσπότου; οὐδενὸς τῶν μαθητῶν ὄνομα εἴρηκεν, εἰ μὴ τοῦ Πέτρου. διὰ τί, ὦ κύριε, τούτου μόνου τὸ ὄνομα εἴρηκας; διὰ τί; ἄκουσον διὰ τί ὀνόματι ἐκεῖνον μόνον ἐκάλεσα. ἐπειδὴ οἱ λοιποὶ οὐκ εἰρήκασιν, ἐὰν δέῃ ἡμᾶς σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνησόμεθα· οὗτος δὲ εἰρηκὼς, ἠρνήσατό με τρὶς, καὶ μεταμεληθεὶς ἔκλαυσε πικρῶς. μέλλει οὖν φοβεῖσθαι ἐλθεῖν εἰς πρόσωπόν μου, νομίζων μὴ λελύσθαι τὸ ἁμάρτημα. διὰ τοῦτο εἶπον, καὶ τῷ Πέτρῳ, ἵνα ἀνενδυάστως μετὰ τῶν λοιπῶν μαθητῶν μου ἔλθῃ. καὶ C ὄψεσθέ με. εἴπατε τῷ Πέτρῳ μηδ' ὅλως δειλιάσαι. οὐ γὰρ ἠλάττωσά σε τοῦ χοροῦ τῶν ἀποστόλων. εἰ καὶ Ἰωάννην ἀγαπῶ, καὶ τούτῳ, ὡς ἁγνῷ, παρεθέμην ἐπὶ τοῦ σταυροῦ τὴν ἐμὴν μητέρα· ἀλλὰ καὶ σοὶ δέδωκα τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. μηδὲν οὖν δειλιάσῃς ἐλθεῖν πρός μέ. ὃ γὰρ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. μὴ φοβηθῇς, Πέτρε· οὐ μετέστησά σε τῆς πρωτοκαθεδρίας τῶν συμμαθητῶν σου. ὃ γὰρ ἐπηγγειλάμην σοι, καὶ πληρώσω. ἐπὶ γὰρ τῇ πεπετρωμένῃ σου πίστει οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. σὺ ποιμανεῖς μου τὰ πρόβατα, σὺ βοσκήσεις μου τὰ ἀρνία, σὺ στήσῃ ἐκ δεξιῶν μου ὡς ταξιάρχης. μὴ φοβηθῇς ὅτι ἠρνήσω με. εἶδόν σου τὰ δάκρυα, καὶ ἀφῆκά σου τὸ ἁμάρτημα. καλὸν ἦν καὶ Ἰούδᾳ παραδεδωκότι με, εἰ μετενόησε, καὶ μὴ ἀπήγξατο. τῶν γὰρ μετανοούντων εἰμὶ θεός. D διὰ τοῦτο κατῆλθον ἐπὶ τῆς γῆς, ἵνα μετάνοιαν τῷ κόσμῳ χαρίσωμαι. τελώναις καὶ πόρναις τοσοῦτον πλῆθος ἁμαρτημάτων ἐχαρισάμην, καὶ σοὶ τὸ ἓν οὐ χαρίσομαι; ἐγὼ τοὺς μετανοοῦντας φιλῶ. μνημόνευσον ὅτι ἐδάκρυσα ἐπὶ Ἰούδα, καὶ οὐκ ἠθέλησα αὐτὸν ἀπολέσθαι. καλὸν ἦν αὐτῷ, ὅτε τὰ ἀργύρια ἔρριψεν ἐν τῷ ναῷ, εἰ μετενόησε, καὶ οὐκ ἀπήγξατο. ἀλλ' ἐπειδὴ ἀμετανόητος ἔμεινε, διὰ τοῦτο αἰωνίως κολάζεται. σὺ δὲ μὴ φοβηθῇς. εἶδον γάρ σου τὰ δάκρυα, καὶ ἀφῆκά σοι τὰ ἁμαρτήματα. τῷ Δαυὶδ δύο κακὰ ἐργασαμένῳ, μοιχείαν καὶ φόνον, συνεχώρησα, καὶ εἰς τὴν ἀρχαίαν τάξιν τῆς προφητείας ἀνήγαγον· καί σοι τῷ καταλιπόντι πάντα ὅσα ἐκέκτησο τὸ ἓν ἁμάρτημα οὐ συγχωρήσω; Πέτρε, ἐγώ εἰμι ὁ εἰπὼν, χαρὰ γίνεται ἐν οὐρανῷ E ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· ἐγώ εἰμι ὁ εἰπών· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καλὸν ἦν καὶ τῷ Ἰούδᾳ, εἰ πρός με ἀνέστρεψε, καὶ μὴ τῷ χοινίῳ τῆς ἀγχόνης περιεπλάκη, καὶ ἑαυτὸν ἀπώλεσε· καὶ τὸ ἐκείνου ἁμάρτημα τῷ σταυρῷ προσήλωσα ἄν. ἑαυτῷ οὖν αἴτιος γέγονεν. ἀλλ' οὐδὲ κατηρασάμην αὐτόν· μᾶλλον δὲ ὁμοίως τῶν ἄλλων καὶ τοὺς ἐκείνου πόδας ἔνιψα, καὶ τοῦ ἄρτου αὐτὸν, καὶ τοῦ ποτηρίου μετέδωκα, καὶ οὐδὲν αὐτῷ ἐνεκάλεσα, εἴ πως ἔλθῃ εἰς μετάνοιαν· καὶ οὐκ ἠβουλήθη ἐλθεῖν πρὸς ἐπίγνωσιν τοῦ ἰδίου ἁμαρτήματος. σὺ δὲ μετανοήσας, μὴ φοβηθῇς ὀφθῆναί μοι μετὰ τῶν συμμαθητῶν σου. τοσοῦτον οὐκ ἠλάττωσά σε, ὅτι καὶ ἡ σκιά σου μόνη ἔχει τοὺς ἀσθενεῖς ἰᾶσθαι.

ego sum qui sponte crucem pro mundi salute sustinui: ego sum Jesus qui triduanus a mortuis resurrexi, ut prædixeram, & *Ave*, vobis dixi. *Cælum & terra transibunt: verba autem mea non transibunt.* Matt. 24. 35. Ego sum Jesus, qui baptizatos induo. Propter me Paulus clamavit: *quotquot in Christo baptizati estis, Christum induistis.* Gal. 3. 27. Ego sum Jesus illuminatorum pronubus: ego sum Jesus sponsus ecclesiæ: ego sum Jesus largitor pacis, & lætitiæ dator. Desinite lacrymari, & gaudio induimini: desinite lugere, & apostolis nunciate: Hæc est dies in qua abstulit lacrymam ab omni vultu: hæc dies victoriæ de morte reportatæ: hæc vita est iis qui sunt in inferno. Hæc est dies in qua primogenitus mortuorum surrexit, & gaudium mundo præbuit. Hæc dies in qua Petro & reliquis apostolis per vos meam resurrectionem nunciabo. Euntes dicite fratribus meis & Petro: Resurrexit a mortuis, & ecce præcedet vos in Galilæam; ibi eum videbitis. Viden' commiserationem Domini? Nullum discipulorum nominavit, nisi Petrum. Cur, Domine, hunc solum nominasti? Quare? Audi cur illum solum nominaverim. Quia reliqui non dixerunt: Si oportuerit nos mori tecum, Matt. 26. 31. non te negabimus: hic vero qui hoc dixerat, ter me negavit, & resipiscens flevit amare; futurum erat ut metueret in conspectum meum venire, putans non remissum sibi esse peccatum. Ideo dixi, *& Petro*, ut sine metu cum reliquis discipulis accederet. Et videbitis me. Dicite Petro ne omnino timeat. Non minui te, nec te removi a choro apostolorum. Etsi Joannem diligo, & ipsi, utpote casto, in cruce matrem meam commendavi; at tibi dedi claves regni cælorum. Ne metuas ergo ad me venire: nam *quodcumque ligaveris super terram, erit ligatum & in cælis.* Matt. 16. 19. Ne timeas, Petre, non abstuli tibi primam sedem inter condiscipulos tuos; quod enim promisi tibi, id implebo. Nam super petram fidei tuæ ædificabo ecclesiam meam, & portæ inferi non prævalebunt adversus eam. Tu pasces oves meas & agnos meos: tu stabis a dextris meis ut dux exercitus. Ne timeas, etiamsi negaveris me. Vidi lacrymas tuas, & dimisi tibi peccatum. Bonum fuisset & Judæ, qui me tradidit, si pœnitentiam egisset, & non se strangulasset: Deus enim sum pœnitentium. Ideo descendi in terram, ut pœnitentiam mundo largirer. Publicanis & meretricibus tot peccata remisi, & tibi unum non remittam? Ego pœnitentes amo. Recordare me lacrymatum esse de Juda, nec voluisse ut periret. Bonum erat ei, cum argenteos projecit in templo, si pœnitentiam egisset, nec se suspendisset. Sed quia sine pœnitentia mansit, ideo æternum cruciabitur. Tu vero ne timeas. Vidi enim lacrymas tuas, & dimisi tibi peccata. Davidi, qui duo scelera admiserat, adulterium & cædem, veniam concessi, & in pristinum prophetiæ ordinem reduxi, & tibi qui reliquisti omnia quæ habebas, unum peccatum non remittam? Petre, ego sum qui dixi: *Gaudium est in cælo super uno peccatore pœnitentiam agente:* Luc. 15. 7. ego sum qui dixi: *Venite ad me omnes qui laboratis & onerati estis: & ego reficiam vos.* Matt. 11. 28. Bonum fuisset Judæ, si ad me conversus fuisset, nec se laqueo strangulasset ac periisset: illius certe peccatum cruci affixissem. Sibi ergo ille in causa fuit. Sed neque maledixi ei; imo illius, ut aliorum pedes lavi; panem ipsi & calicem præbui, neque illum incusavi: exspectans num forte veniret ad pœnitentiam; sed noluit ad peccati sui agnitionem accedere. Tu vero qui pœnitentiam egisti, ne timeas in conspectum meum venire cum condiscipulis tuis. Tantum abest ut te minorem fecerim, ut etiam umbra tua sola ægros sanet.

Et perpende Dei benignitatem, quomodo per has mulieres apostolis nunciet, ac sexum per Evæ inobedientiam dehonestatum in honorem & bonam spem reducat. Videtis quanto honore dignatæ sint mulieres ob assiduitatem. Harum imitemur studium & viri & mulieres, & pro virili resurrectionis diem colamus: atque ut illæ pernoctantes manserunt usque ad tempus resurrectionis, & nos permaneamus, non unguenta & aromata sensilia ferentes, sed ex bonis operibus & optima vita bonum odorem emittentes, preces assiduas, confessionem peccatorum. Ut enim illæ patientiæ mercedem acceperunt, cum ante alios omnes ipsum post resurrectionem videre dignatæ sunt, ejusque pedes tenuerunt ipsumque adorarunt; sic cuique nostrum licet, si velimus, non modo pedes tenere, sed etiam ipsum totum accipere; si modo purgemus ante mentem nostram ab omni sæculari cogitatione, & sordes peccatorum abluamus per lacrymas & per eleemosynam; & sic cum timore ac tremore in illa maxime hora, accedamus ad mensam illam tremendam, omni depulso a mente nostra tumultu, & pacem cum omnibus servantes, sic accedamus ad divina mysteria. Nemo itaque cum accedit, malas intus admittat cogitationes, nec dolos contra proximum. Nemo malignus, vel fornicator, vel convitiator, vel fratrum osor; nemo pecuniæ amans, vel adulter, vel ebriosus, vel avarus, vel masculorum concubitor; nemo invidus, vel rapax, vel insidiosus, ne condemnationem sibi attrahat. Rogo itaque vos omnes, multam dilectionem, pietatem plurimam & magnam compunctionem adhibeatis; ut copiosam referatis mercedem: utque possimus non modo pedes & manus tenere, sed etiam caput ipsum per participationem tremendorum ineffabiliumque mysteriorum; si modo cum pura conscientia intemerata illa mysteria sumamus. Neque hic tantum pure vitam agemus; sed etiam in illa die poterimus ipsum videre cum gloria illa ineffabili, & cum angelorum cœtu venientem; si tamen velimus esse mites & fratrum amantes. Neque modo videbimus eum, sed etiam templum
Levit. 26. 12. ejus erimus, ut dixit Dominus: *Inhabitabo in illis & inambulabo, & ero illorum Deus.* Nec tantum ab illo audiemus *avete*, ut ille mulie-
Matt. 25. 34. ribus dixit; sed etiam verba regno digna: *Venite benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi.* Quæ nos omnes assequi contingat, gratia & benignitate Domini nostri Jesu Christi, cui gloria & imperium, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ σκόπει θεοῦ φιλανθρωπίαν, καὶ ὅπως διὰ τῶν γυναικῶν τούτων τοὺς μαθητὰς εὐαγγελίζεται, καὶ τὸ μάλιστα γένος ἀτιμασθὲν, διὰ τὴν τῆς Εὔας παρακοὴν, εἰς τιμὴν ἄγων καὶ χρηστὰς ἐλπίδας. εἴδετε ὅσης ἠξιώθησαν τιμῆς αἱ γυναῖκες διὰ τὴν προσεδρίαν. μιμησώμεθα τούτων τὸν ζῆλον καὶ ἄνδρες, καὶ γυναῖκες, καὶ τιμήσωμεν κατὰ δύναμιν καὶ ἡμεῖς τὴν τῆς ἀναστάσεως ἡμέραν. καὶ καθάπερ αὗται παρέμειναν διανυκτερεύουσαι μέχρι τοῦ καιροῦ τῆς ἀναστάσεως, καὶ ἡμεῖς παραμείνωμεν οὐχὶ μύρα καὶ ἀρώματα αἰσθητὰ βαστάζοντες, ἀλλὰ τὴν ἀπὸ τῶν πράξεων τῶν ἀγαθῶν καὶ τῆς ἀρίστης πολιτείας εὐωδίαν ἐπιφέροντες, εὐχὰς ἐκτενεῖς, ἐξομολόγησιν τῶν ἡμαρτημένων. καθάπερ γὰρ αὗται μισθὸν τῆς ὑπομονῆς εἰλήφασι τὸ πρὸ τῶν ἄλλων ἁπάντων καταξιωθῆναι θεάσασθαι αὐτὸν μετὰ τὴν ἀνάστασιν, καὶ τοὺς πόδας κατασχεῖν, καὶ προσκυνῆσαι· οὕτω
B καὶ ἡμῶν ἑκάστῳ ἔξεστιν, εἰ βουληθείημεν, οὐ μόνον πόδας κατασχεῖν, ἀλλὰ καὶ αὐτὸν ὅλον λαβεῖν· μόνον ἐὰν προλαβόντες ἐκκαθάρωμεν τὴν διάνοιαν παντὸς λογισμοῦ βιωτικοῦ, καὶ τὸν ῥύπον τῶν ἁμαρτημάτων ἀποσμηξάμενοι διὰ τῶν δακρύων, διὰ ἐλεημοσύνης, οὕτω μετὰ φόβου καὶ φρίκης κατὰ τὴν ὥραν ἐκείνην μάλιστα τῇ φοβερᾷ τραπέζῃ προσιόντες, πάντα θόρυβον καὶ ταραχὴν ἀπελάσαντες τῆς ἑαυτῶν διανοίας, καὶ εἰρηνεύοντες μετὰ πάντων, οὕτω προσεγγίσωμεν τοῖς θείοις μυστηρίοις. μηδεὶς τοίνυν προσιὼν πονηροὺς ἔνδον ἐχέτω λογισμοὺς, μηδὲ δολιευόμενος τὸν πλησίον αὐτοῦ. μηδεὶς πονηρὸς, μηδεὶς πόρνος, μηδεὶς λοίδορος, μηδεὶς μισάδελφος, μηδεὶς φιλάργυρος, μηδεὶς μοιχὸς, μηδεὶς μέθυσος, μηδεὶς πλεονέκτης, μηδεὶς ἀρσενοκοίτης, μηδεὶς φθονερὸς, μηδεὶς κλέπτης, μηδεὶς ἐπίβουλος, ἵνα μὴ κρίμα ἑαυτῷ λήψηται. παρακαλῶ τοίνυν πάντας
C ὑμᾶς πολλὴν τὴν ἀγάπην, πολλὴν τὴν εὐλάβειαν, πολλὴν τὴν κατάνυξιν ἐπιδείξασθαι· ἵνα καὶ τὸν μισθὸν μετὰ δαψιλείας κομίσησθε, καὶ δυνηθῶμεν μὴ μόνον τοὺς πόδας κατασχεῖν, καὶ τὰς χεῖρας, ἀλλὰ καὶ τὴν κεφαλὴν διὰ τῆς ἀπολαύσεως τῶν φρικτῶν ἐκείνων καὶ ἀποῤῥήτων μυστηρίων· μόνον ἐὰν μετὰ καθαροῦ συνειδότος τῶν ἀχράντων μυστηρίων μετάσχωμεν. καὶ οὐκ ἐνταῦθα ἁπλῶς καθαρῶς βιώσομεν, ἀλλὰ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ δυνησόμεθα ἰδεῖν αὐτὸν μετὰ τῆς ἀποῤῥήτου δόξης ἐκείνης, καὶ τοῦ δήμου τῶν ἀγγέλων ἐρχόμενον, εἰ βουληθείημεν ἥμεροι καὶ φιλάδελφοι εἶναι· καὶ οὐχ ἁπλῶς ὀψόμεθα αὐτὸν, ἀλλὰ καὶ ναὸς αὐτοῦ γενησόμεθα, καθὼς εἶπεν ὁ κύριος· ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεός· καὶ οὐ μόνον ἀκουσόμεθα παρ᾽ αὐτοῦ, χαίρετε, καθάπερ ταῖς γυναιξὶν εἶπεν, ἀλλὰ
D καὶ τὰ τῆς βασιλείας ἄξια ῥήματα· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

## *In Christi natalem diem.*

Inepta oratio. SOL justitiæ ortus est hodie, & eum qui prius ortus erat obtexit: redemtus sum a tenebris, nec fero radios: nata mihi rursus lux est, & obscuritatem metus affert: de partu exsulto, & de moribus perturbor: novum fontem manantem video, & veterem plagam fugientem: infantem vidi natum, & cælum inclinatum ad illum adorandum: matrem parientem, nec vulvam aperientem, púerumque obsignantem ortum suum: genitorem non virum & filium sine patre: servatorem natum qui stellam creat; infantem pannis involutum & immensam terram gestantem: præsepe efformatum in thronum cælestem, & animalia pro cherubinis adstantia: luminare apparens quod nunciet miraculum: angelos prænunciantes,

## Εἰς τὴν Χριστοῦ γέννησιν.

ΟΤῆς δικαιοσύνης ἀνέτειλε σήμερον ἥλιος, καὶ τὸν πρὶν ἀνατέλλοντα ἐκάλυψεν· ἐλυτρώθην τοῦ σκότους, καὶ οὐ φέρω τὰς ἀκτῖνας· ἐτέχθη μοι πάλιν τὸ φῶς, καὶ ἀμαυροῦμαι τῷ φόβῳ·
E τὸν τόκον ἀγάλλομαι, καὶ τὸν τρόπον ταράττομαι· νέαν πηγὴν περιϊοῦσαν ὁρῶ, καὶ ἀρχαίαν πληγὴν φεύγουσαν· βρέφος εἶδον τικτόμενον, καὶ οὐρανὸν κλινόμενον εἰς τὴν τούτου προσκύνησιν· μητέρα τίκτουσαν, καὶ μήτραν μὴ ἀνοίγουσαν· παιδίον τὴν ἰδίαν σφραγίζον κύησιν· γεννήτορα ἄνανδρον, καὶ υἱὸν ἀπάτορα· σωτῆρα τικτόμενον, καὶ ἀστέρα κτιζόμενον· σπαργανούμενον νήπιον, καὶ βαστάζων ** τὴν ἄπειρον· φάτνην ἐκτυπουμένην εἰς θρόνον ἐπουράνιον, καὶ κλίνην ἀπεικάζοντα χερουβικὴν παραστάσει· φωστῆρα φαινόμενον, καὶ τὸ θαῦμα φθεγγόμενον· ἀγγέλους προαναγγέλλοντας,

A καὶ ποιμένας προφητεύοντας· μάγους θεολογοῦντας, καὶ ἱερεῖς θεομαχοῦντας· Ἡρώδην πίπτοντα, καὶ θάνατον θρηνούμενον· τὸν Ἀδὰμ λυόμενον, τὴν Εὔαν χαίρουσαν, καὶ τὸν ὄφιν πενθοῦντα· αἰχμαλώτους ἐν ἀφέσει γινομένους, καὶ τυράννους ἐν κολάσει· βρέφος γαλουχούμενον, καὶ τρέφοντα τὴν τρέφουσαν· χερσὶ περιφερόμενον, καὶ φέροντα τὴν φέρουσαν· τὴν κτίσιν ἐπιγνοῦσαν, καὶ τὴν φύσιν δειλιῶσαν. ὅθεν κἀγὼ ἐξίσταμαι τῷ θαύματι, τρέμων τὸ μυστήριον. θαῤῥήσω τῷ Γαβριὴλ, καὶ φυγαδεύω μου τὸν φόβον. τὰ πρὸς Μαρίαν ῥήματα, ἑρμηνεύοντα θαύματα. ποῖα ταῦτα; καί φησι· χαῖρε κεχαριτωμένη, οὐρανίου στάχυος ἀθέριστος ἄρουρα. χαῖρε κεχαριτωμένη, ἀληθινῆς ἀμπέλου ἀψευδὴς μήτηρ παρθένος. χαῖρε κεχαριτωμένη, ἀτρέπτου θεότητος σαγήνη ἀδιάπτωτος. χαῖρε κεχαριτωμένη, τῆς ἀχωρήτου φύσεως χωρίον εὐρύχωρον. B χαῖρε κεχαριτωμένη, τοῦ χηρεύοντος κόσμου νυμφίε, τέκε ἀμίαντε. χαῖρε κεχαριτωμένη, ἡ τῇ κτίσει ὑφάνασα ἀχειρόπλοκον στέφανον. χαῖρε κεχαριτωμένη, πυρὸς ἅγιον οἰκητήριον. χαῖρε κεχαριτωμένη, ἡ τῆς φυγάδος οἰκουμένης ἐπάνοδος. χαῖρε κεχαριτωμένη, τῆς λιμωττούσης κτίσεως ταμεῖον ἀδαπάνητον. χαῖρε κεχαριτωμένη, ἡ χάρις ἡ ἀπέραντος τῆς ἁγίας παρθένου. χαῖρε κεχαριτωμένη, πολλῶν ἀρετῶν κεκοσμημένη λαμπαδηφόρε, τὸ ἄσβεστον, καὶ τοῦ ἡλίου λαμπρότερον φῶς. χαῖρε κεχαριτωμένη, τοῦ νοητοῦ ἀγκίστρου τὸ δέλεαρ. χαῖρε κεχαριτωμένη, νοερὰ τῆς δόξης κιβωτέ. χαῖρε κεχαριτωμένη, ἡ στάμνος ἡ χρυσῆ, ἡ τὸ οὐράνιον ἔχουσα μάννα. χαῖρε κεχαριτωμένη, ἡ τὴν γλυκεῖαν πόσιν τῆς ἀενάου πηγῆς τοὺς διψῶντας ἐμπλήσασα. C χαῖρε κεχαριτωμένη, ἡ νοερὰ θάλασσα, καὶ τὸν οὐράνιον ἔχουσα μαργαρίτην Χριστόν. χαῖρε κεχαριτωμένη, ὁ λαμπρὸς οὐρανὸς, ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς ἐν ἑαυτῇ ἔχουσα θεὸν ἀχώρητον, καὶ ἀστενοχώρητον. χαῖρε κεχαριτωμένη, στυλοειδὴς νεφέλη, ἡ τὸν θεὸν ἔχουσα τὸν ἐν τῇ ἐρήμῳ καθοδηγήσαντα τὸν Ἰσραήλ. τί εἴπω, καὶ τί λαλήσω; πῶς μακαρίζω τὴν ὁλόῤῥιζον δόξαν; ὅτι, χωρὶς θεοῦ μόνου, πάντων ἀνωτέρα ὑπάρχεις. ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, καὶ τῷ βλέμματι φεύγουσα, τῷ σώματι ἵσταται, σταυροτύπῳ ἱστορίᾳ τυποῦσα τὴν θέαν, ἀμφιβόλοις δὲ ποσὶ παρίστατο τῷ ἀγγέλῳ, μήτε φυγεῖν τολμῶσα, μήτε ἵστασθαι θαῤῥοῦσα. ὁρῶσα τὸν ἀσώματον ἱστάμενον, ὡς ἄνθρωπον, παραμένειν ᾐδεῖτο, τιμῶσα τὴν παρθενίαν· ἐρωτᾶν οὐκ ἐτόλμα τὸν ἀνόμοιον. D καὶ ἦν τὸ φόβῳ ἔσοπτρον τῆς παρθένου περιελθοῦσα τὸ πρόσωπον, λέγουσα ἐν ἑαυτῇ· ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος; ἢ τίς ὁ ἀσπασάμενός με; ὑπεραστράπτει ἥλιον, καὶ πηλῷ διαλέγεται· ἐξ οὐρανοῦ κατέδραμε, καὶ κόρην ἀσπάζεται· οὐ περιβέβληται σῶμα, καὶ γυναικὶ παρίσταται, ὡς ποσὶ ταῖς πτέρυξι περιπατῶν ἐπὶ τῆς γῆς. τί ζητεῖ πρὸς τὴν ἐκ γῆς; ἄγγελός μοι φαίνεται, καὶ ὡς ἄνθρωπος φθέγγεται. ἐξ ἀσωμάτων ἁγίων φωνή μοι προσβάλλεται. φωστῆρος φωτεινότερον κεκαλλώπισται πρόσωπον· χιτῶνα προβέβληται· νεανίσκον ὁρῶ σάρκα μὴ περικείμενον, πατοῦντα τὸ ἔδαφος, καὶ ἴχνος μὴ ζωγραφοῦντα· γλῶσσαν μὴ κεκτημένον, καὶ τὸ, χαῖρε, μοι κεκραγότα· χείλη μὴ σαλεύοντα, καὶ χαίρειν μοι προφητεύοντα. οὐκ οἶδα τί λογίσωμαι τὴν ἔμφρικτον ὀπτασίαν. E εἰ τὸν πεμφθέντα οὐ νοῶ, πῶς γνώσομαι τὸν πέμψαντα; εἰ ὁ μηνύων φοβερὸς, ὁ μηνυθεὶς φοβερώτερος· εἰ οὕτως ἀπαστράπτων ἐμαύρωσέ μου τὸν νοῦν, ποίῳ σώματι κρύψω δικαιοσύνης τὸν ἥλιον; εἰ τὸ κτίσμα θροεῖ με, πῶς ἐνέγκω τὸν κτίσαντα; εἰ τὸν δοῦλον ἐπτόημαι, τὸν δεσπότην πῶς τέξομαι; εἶπε δὲ αὐτῇ ὁ ἄγγελος· μὴ φοβοῦ, Μαριάμ· οὐ σκελίζῃ ὥσπερ ἡ Εὔα. ἐξ ἐκείνης ὁ θάνατος, ἐκ δέ σου ζωὴ ἀθάνατος· ἐξ ἐκείνης καρπὸς νεκρώσεως, ἐκ δέ σου καρπὸς ζωοποιός· ἐξ ἐκείνης ἀπάτη, ἐκ δέ σου ἀγάπη· ἐξ ἐκείνης τοῖς ἀνθρώποις ὁ τοῦ θεοῦ χωρισμὸς, ἐκ δέ σου θεοῦ καὶ σαρκὸς συμπλοκὴ ἀνερμήνευτος· ἐξ ἐκείνης ὁ σκοτεινὸς ὕπνος τοῦ ᾅδου, ἐκ σοῦ φωτεινὸς λύχνος τοῦ κόσμου· ἐξ ἐκείνης κατάρα, ἐκ δέ σου εὐλογία· ἐξ ἐκείνης ἡ ἀπόφασις, ἐκ δέ σου ἡ συγχώρησις· ἐξ ἐκείνης ἡ θλίψις, ἐκ δὲ σοῦ ἡ πίστις· ἐξ ἐκείνης τὰ δάκρυα,

A & pastores prophetantes: magos theologice loquentes, & sacerdotes cum Deo pugnantes; Herodem cadentem, & mortem lugentem: Adamum solutum, & Evam gaudentem, & serpentem lugentem: captivos solutos, & tyrannos supplicio affectos: puerum lactantem, qui nutrit se nutrientem: qui manibus gestatur & se gestantem portat: creaturam illum agnoscentem, & naturam timentem. Quamobrem ego miraculo percellor, mysteriumque metuo tremens. Cum fiducia Gabrielem adibo, & metum meum fugabo. Ejus ad Mariam verba miracula explicant. Quænam illa? Dicit, *Ave gratia plena*, cælestis spicæ arvum quod non metitur. (Luc. 1. 28.) Ave gratia plena: veræ vineæ non fallax mater virgo. B Ave gratia plena, immutabilis divinitatis sagena quæ non cadit. Ave gratia plena, naturæ, quæ loco capi nequit, locus spatiosus. Ave gratia plena, viduati mundi sponsa, partus incorruptus. Ave gratia plena, quæ creaturæ texuisti coronam non manu factam. Ave gratia plena, ignis sacrum domicilium. Ave gratia plena, fugitivi orbis regressio. Ave gratia plena, esurientis creaturæ horreum quod consumi nequit. Ave gratia plena, gratia interminabilis sanctæ virginis. Ave gratia plena, multis virtutibus ornata lucernam gestans, inexstinguibilem, & sole clariorem lucem. Ave gratia plena, spiritualis hami esca. Ave gratia plena, spiritualis gloriæ arca. Ave gratia plena, urna aurea quæ cæleste manna continet. Ave gratia plena, quæ C dulci potu perennis fontis sitientes replet. Ave gratia plena, spirituale mare, quod cælestem habet margaritam Christum. Ave gratia plena, splendidum cælum, quæ illum qui a cælis capi nequit in se habet Deum, & qui non angusto loco capitur. Ave gratia plena, columna nubis, quæ Deum continet, Israelis in deserto ducem. Quid dicam, & quid loquar? Quomodo beatam prædicabo illam sic radicatam gloriam? quia, Deo excepto, omnibus superior es? Illa vero turbata est in sermone, & oculos avertens, corpore stat, crucis spectaculum figurans, dubiis pedibus adstitit angelo, neque fugere, neque stare ausa. Videns incorporeum stantem ut hominem, manere metuebat, virginitatem hono- D rans. Interrogare non audebat sibi dissimilem: eratque virginis vultus . . . metu pavidus. (Locus obscurus & vitiatus.) Dicebatque intra se: Qualis fuerit hæc salutatio? Quis salutat me? Fulget magis quam sol, & lutum alloquitur. De cælo descendit, & virginem salutat: non amictus est corpore, & mulieri adstat, alis quasi pedibus ambulat in terra. Quid quærit ab illa quæ de terra est? angelus mihi apparet, & ut homo loquitur. Ex incorporeis sanctis vox mihi profertur. Luminari lucidiore ornatur vultu: tunica exhibetur: juvenem video carne non circumdatum, pavimentum calcantem, & vestigium non imprimentem: qui linguam non habet, &, *Ave* mihi clamat: labia non movet, & *Ave* prophetæ more dicit. Nescio quid cogitem de tam tre- E menda visione. Si missum non cognosco, quomodo cognoscam mittentem? Si nuncius terribilis, qui nunciatur terribilior: si ita fulgens mentem meam obscuravit, quo corpore tegam justitiæ solem? Si creatura me terret, quomodo feram creatorem? Si servum formido, quo pacto Dominum pariam? Dixit autem ei angelus; *Ne timeas, Maria.* Non supplantaris ut Eva. Ex illa mors, ex te vita immortalis. Ex illa fructus mortem ferens, ex te fructus vivificans: ex illa seductio, ex te dilectio: ex illa separatio hominum a Deo, ex te Dei & carnis complexus inenarrabilis: ex illa tenebrosus somnus inferni, ex te lucerna fulgida mundi: ex illa maledictio, ex te benedictio: ex illa damnatio, ex te remissio: ex illa tribulatio, ex te fides: ex illa lacrymæ,

ex te flumina aquæ viventis : ex illa sudores, ex te requies : ex illa vetus plaga, ex te Trinitatis vita; ex illa odium fratrum, ex te benignitas : ex illa diluvium, ex te lavacrum immortalitatis : ex illa homicidæ, ex te regeneratio : ex illa viventium cædes, ex te a mortuis resurrectio : ex illa duodecim tribus invisæ, ex te duodecim apostoli caritate conjuncti : ex illa mors orbem pervadens, ex te mors impingens cadet : ex illa lapsus, ex te resurrectio. *Ne timeas Maria : invenisti enim gratiam apud Deum. Ecce concipies in utero* eum, qui in Patre est & in carne. *Et paries filium* Adamo antiquiorem; paries filium me antiquiorem, paries filium cælo excelsiorem, paries filium cherubinis superiorem, paries filium sæculorum creatorem, paries filium sine principio cum Patre, paries filium coæternum Spiritui, paries filium cujus sunt omnia, paries filium, quem nos non conspicimus; paries filium cujus forma me latet, paries filium cui tremens adsto. Et impleti sunt dies pariendi, & peperit filium suum primogenitum, quem non plantavit vir; peperit filium suum quem non gestavit pater, peperit spicam, quam nullum corpus seminavit, peperit creatorem factum hominem, peperit eum in spelunca, qui in Perside apparuit. Nam *cum natus esset Jesus in*
Matt. 2. 1. *Bethlehem Judæ, ecce Magi ab oriente venerunt Jerosolymam dicentes : Ubi est qui natus est rex Judæorum?* Ubi est qui non satus natus est? qui ante se suam misit stellam? Ubi est is qui per stupendum radium nos trahit ad lucem quam ignorabamus? Ubi est qui immensa palma orbem tegit? Ubi est qui ubique apparet, & in carne occultatur? Ubi est qui solvit nos ab errore, & nos ducit ad gratiam? Ubi est qui apparuit sub quercu in trinitate angelorum? Ubi est qui nec rubum combussit, nec matrem corrupit? Ubi est qui ut est ex Patre non videtur, & a matre tenetur? Ubi est qui Rubrum mare exsiccavit, & lacte potatur? Ubi est qui percussit Pharaonem, & ab Herode se occultat? Ubi est qui draconem demersit, & in cunabulis jacet? Ubi est quem non viderunt archangeli,
Matt. 2. 9. & vident homines? *Et ecce stella, quam viderant in oriente, antecedebat eos, usque dum veniens staret supra ubi erat puer; & adorantes obtulerunt ei munera, aurum, thus & myrrham. Et responso accepto ne redirent ad Herodem, per aliam viam reversi sunt in regionem suam.* Natum autem Christum Deum nostrum hymnis celebremus & glorificemus, cum Patre suo, & Sancto spiritu, nunc & semper in sæcula, amen.

A ἐκ δὲ σοῦ ποταμοὶ ὕδατος ζῶντος· ἐξ ἐκείνης οἱ ἱδρῶτες, ἐκ δὲ σοῦ ἡ ἀνάπαυσις· ἐξ ἐκείνης ἡ ἀρχαία πληγὴ, ἐκ δὲ σοῦ τριάδος ζωή· ἐξ ἐκείνης μισαδελφία, ἐκ δὲ σοῦ φιλανθρωπία· ἐξ ἐκείνης κατακλυσμὸς, ἐκ δὲ σοῦ λουτρὸν ἀθανασίας· ἐξ ἐκείνης οἱ φονεῖς, ἐκ δὲ σοῦ ἀναγέννησις· ἐξ ἐκείνης ζώντων σφαγαὶ, ἐκ δὲ σοῦ ἡ νεκρῶν ἔγερσις· ἐξ ἐκείνης δωδεκάφυλον μισητὸν, ἐκ δὲ σοῦ δώδεκα ἀπόστολοι ἀγάπῃ συνηνωμένοι· ἐξ ἐκείνης ὁ θάνατος τὸν κόσμον διατρέχων, εἰς σὲ δὲ προσκόψας πεσεῖται· ἐξ ἐκείνης τὸ πτῶμα, ἐκ δὲ σοῦ ἡ ἀνάστασις. μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ τὸν ἐν πατρὶ καὶ ἐν σαρκί· καὶ τέξῃ υἱὸν τοῦ Ἀδὰμ ἀρχαιότερον, τέξῃ υἱὸν ἐμοῦ παλαιότερον, τέξῃ υἱὸν οὐρανοῦ ὑψηλότερον, τέξῃ υἱὸν τῶν χερου-
B βὶμ ἀνώτερον, τέξῃ υἱὸν τῶν αἰώνων δημιουργὸν, τέξῃ υἱὸν συνάναρχον τῷ πατρὶ, τέξῃ υἱὸν συναΐδιον τῷ πνεύματι, τέξῃ υἱὸν, οὗ τὰ πάντα ὑπάρχει, τέξῃ υἱὸν, ὃν ἡμεῖς μὴ καθορῶμεν· τέξῃ υἱὸν, οὗ ἡ μορφὴ λανθάνει με· τέξῃ υἱὸν, ᾧ παρίσταμαι ἔντρομος. καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ὃν οὐκ ἐφύτευσεν ἀνήρ· ἔτεκε τὸν υἱὸν αὐτῆς, ὃν οὐκ ἐβάστασε πατήρ· ἔτεκε τὸν στάχυν, ὃν οὐκ ἔσπειρε σῶμα· ἔτεκε δημιουργὸν γενόμενον ἄνθρωπον· ἔτεκεν ἐν σπηλαίῳ, καὶ ἐν Περσίδι ἐφάνη. τοῦ γὰρ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἰδοὺ, μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; ποῦ ἐστιν ὁ μὴ σπαρεὶς καὶ τεχθείς; ὁ πρὸ ἑαυτοῦ τὸν ἑαυτοῦ ἀποστείλας
C ἀστέρα; ποῦ ἐστιν ὁ διὰ ξένης ἀκτῖνος ἕλκων ἡμᾶς πρὸς φῶς ἀγνοούμενον; ποῦ ἐστιν ὁ ἀμετρήτῳ παλάμῃ τειχίζων τὴν οἰκουμένην; ποῦ ἐστιν ὁ πανταχοῦ φαινόμενος, καὶ ἐν σαρκὶ κρυπτόμενος; ποῦ ἐστιν ὁ λύσας ἡμᾶς τῆς πλάνης, καὶ ὁδηγῶν πρὸς τὴν χάριν; ποῦ ἐστιν ὁ φανεὶς ὑπὸ τὴν δρῦν εἰς τριάδα ἀγγέλων; ποῦ ἐστι τὴν βάτον μὴ φλέξας, καὶ τὴν μητέρα μὴ φθείρας; ποῦ ἐστιν ὁ ἐκ πατρὸς μὴ ὁρώμενος, καὶ μητρὸς κατεχόμενος; ποῦ ἐστιν ὁ ξηράνας τὴν ἐρυθρὰν θάλασσαν, καὶ γάλα ποτιζόμενος; ποῦ ἐστιν ὁ πατάξας τὸν Φαραὼ, καὶ Ἡρώδην κρυπτόμενος; ποῦ ἐστιν ὁ τὸν δράκοντα δύσας, καὶ ἐν σπαργάνοις κείμενος; ποῦ ἐστιν ὃν οὐκ εἶδον ἀρχάγγελοι, καὶ θεωροῦσιν ἄνθρωποι; καὶ ἰδοὺ ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ
D ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον· καὶ προσκυνήσαντες, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. καὶ χρηματισθέντες μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. τῷ δὲ γεννηθέντι Χριστῷ τῷ θεῷ ἡμῶν ὑμνῶμεν, καὶ δοξάζωμεν, ἅμα τῷ αὐτοῦ πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας. ἀμήν.

## *In illud : Ascendit Dominus in Templum mediante festo, & de Melchisedec, in media Pentecoste.*

MALA punica, pomum, dactylus & reliqui arborum fructus corporeum guttur suavitate afficiunt : divini vero sermones sanctorum doctorum dilectione temperati, ad auditum doctrinæ missi, animæ guttur delectant. Ac sicut is qui fructus ex arboribus decerpsit, dum illos degustat, arbores ipsas laudat; ita qui divina doctorum eloquia auribus decerpsit, in mentem remisit, sermonisque suavitatem degustavit, doctori laudes e labiis emittens dicit,
Psal. 118. 103. *Quam dulcia faucibus meis eloquia tua, super mel & favum ori meo!* Sapientissimusque Salomon pulcros sermones favo mellis sic comparat:
Prov. 16. 24. *Favum mellis eloquia pulcra.* Ut enim guttur dum cibos degustat, suaves ab insipidis discernere no-

## Εἰς τὸ, ὅτε ἀνέβη ὁ κύριος εἰς τὸ ἱερὸν μεσούσης τῆς ἑορτῆς, καὶ εἰς τὸν Μελχισεδέκ. τῇ μεσοπεντηκοστῇ.

ῬΟΑΙ, καὶ μῆλον, καὶ φοίνιξ, καὶ οἱ λοιποὶ τῶν ἀκροδρύων καρποὶ τὸν τοῦ σώματος ἡδύνουσι φάρυγγα· θεῖοι δὲ λόγοι
E ἁγίων διδασκάλων ἀγάπῃ κεκερασμένοι, τῇ ἀκοῇ τῆς διδασκαλίας παραπεμπόμενοι, τὸν τῆς ψυχῆς γλυκαίνουσι λάρυγγα. καὶ ὥσπερ ὁ τοὺς καρποὺς τῶν δένδρων τρυγήσας, ἐν τῇ τῶν καρπῶν μεταλήψει ἐπαίνους τοῖς δένδροις ἀποδίδωσιν· ὡσαύτως καὶ ὁ τὰ θεῖα λόγια τῶν διδασκάλων ἐν τῷ καρτάλλῳ τῆς ἀκοῆς ἐντρυγήσας, εἶτα τῷ νῷ παραπέμψας, καὶ τὴν τοῦ λόγου γλυκύτητα γευσάμενος, τῷ διδασκάλῳ ἐπαίνους ἐκπέμπων ἐκ χειλέων λέγει· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου; ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. καὶ ὁ σοφώτατος δὲ Σολομὼν τοὺς καλοὺς λόγους κηρίοις μέλιτος παρεικάζας φησὶ, κηρία μέλιτος λόγοι καλοί. ὥσπερ γὰρ ὁ λάρυγξ τὰ βρώματα γευόμενος, οἶδε τὰ καλὰ ἀπὸ τῶν φαύλων διακρίνειν·

ὡσαύτως

ὡσαύτως καὶ ὁ νοῦς τῆς ψυχῆς τὰ χρηστὰ ῥήματα οἶδεν ἀπὸ τῶν φαύλων διακρίνειν, ὥσπερ φησὶν ἐν τῷ Ἰώβ· λάρυγξ μὲν γὰρ σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει. καὶ μηδεὶς νομιζέτω ἔχειν μὲν τὸν οἰκοδεσπότην ἐν τῷ ἰδίῳ παραδείσῳ δένδρα διάφορα, φοίνικας λέγω, καὶ μῆλα, καὶ ἐλαίας, τὸν δὲ κύριον ἐν τῷ ἰδίῳ παραδείσῳ τῆς ἐκκλησίας μὴ ἔχειν διάφορα στελέχη τῶν πατέρων, ἕκαστον κατὰ τὴν οἰκείαν χρηστότητα πρὸς τὴν τῶν εἰσπορευομένων ἀπόλαυσιν ἐκ βάθους τῆς καρδίας σὺν καρποῖς τῶν λόγων προσφέροντα. ὁ μὲν γάρ τις ἐστὶν αὐτῶν, ὥσπερ ἐλαία εὐθαλὴς, τοῖς φύλλοις τῆς πίστεως κατάκομος, καὶ τοῖς ἔργοις τῆς εὐλαβείας κατάκαρπος· ἄλλος δὲ ἐστὶν ὥσπερ φοῖνιξ τοῖς βαΐοις τῆς κατὰ διαβόλου νίκης κατεστεμμένος, καὶ τὸν γλυκύτατον καρπὸν τῆς εὐποιίας τοῖς πένησι προβαλλόμενος· περὶ οὗ φησιν ἡ γραφὴ, δίκαιος ὡς φοῖνιξ ἀνθήσει. ἕτερος δέ τις ἐστὶν, ὥσπερ μῆλον, δύο τέρψεις παρέχων τοῖς ἀνθρώποις τήν τε ὄσφρησίν φημι, καὶ τὴν γλυκύτητα τῷ φάρυγγι· καὶ τὸν τοιοῦτον ἐγκωμιάζουσα ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων ἡ νύμφη ἐκκλησία τί φησιν; ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. καί φησιν, ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγι. τί δὲ ποιήσω, ἀγαπητοὶ, ἐγὼ, ὁ ὀλιγοστὰ φυλλάδια λογίων καὶ καρπῶν κεκτημένος, μήτε τοὺς καυσουμένους ἀναψύξαι ἰσχύων, μήτε τοὺς πεινωμένους τοῖς καρποῖς τῶν λόγων ἐκθρέψαι δυνάμενος; καλὸν γάρ μοι ἦν μεθ' ὑμῶν μανθάνειν τὰ τῶν ἁγίων πατέρων διδάγματα. ἀλλ' ἐπειδὴ φόβος θεοῦ καὶ ὁ πόθος ὑμῶν πρὸς τὸ λέγειν ἡμᾶς διεγείρει, δύο ἢ τρεῖς λόγους τοῦ γλυκυτάτου εὐαγγελίου λαβόντες καθάπερ φοίνικας, καὶ ἀπογεύσαντες ὑμᾶς διεγείρωμεν. οὕτω γὰρ προθύμως ἐπὶ τὰ καλλίκαρπα δένδρα τῶν ἁγίων πατέρων ζέοντες τῷ πνεύματι ἐπειχθήσεσθε. ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελιστοῦ λέγοντος, μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. οὐ παρῆλθεν ὁ λόγος τοῦ εὐαγγελίου, ἐπειδὴ ἐνέστηκεν ὁ τῆς ἑορτῆς καιρὸς, πρέπουσα τοῖς παροῦσιν ἡ τοῦ εὐαγγελίου ἀνάγνωσις, ἁρμόζουσα τῇ ἡμέρᾳ ἡ διήγησις. ἀδελφὴ γάρ ἐστι τῆς ἐνεστώσης ἑορτῆς ἡ τοῦ λόγου δύναμις. μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν· τελεσθείσης δὲ τῆς ἑορτῆς, οὐκέτι ἀναβαίνει εἰς τὸ ἱερὸν, ἀλλ' εἰς τὸν οὐρανὸν ἀνατρέχει· μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἑορτῆς δὲ λέγει, οὐ τῆς παρ' Ἕλλησι καὶ Ἰουδαίοις γινομένης, ἔνθα μέθαι καὶ κῶμοι καὶ ᾄσματα πορνικὰ, καὶ θέλγητρα καλλιφωνίας, καὶ ὀρχήσεις πολύστροφοι, ἀλλ' ἑορτῆς ἁγίας πρεπούσης Χριστιανοῖς· ἔνθα οὐ μέθαι καὶ κῶμοι, ἀλλ' εὐχαὶ καὶ ὑμνῳδίαι καὶ ἱκεσίαι· ἔνθα οὐκ ᾄσματα πορνικὰ ἐκλύοντα σώματα, ἀλλ' ᾄσματα θεϊκὰ τὰς ψυχὰς ἐνισχύοντα· ἔνθα οὐκ ὀρχήσεις πολύστροφοι, ἀλλὰ ψυχῶν ἁγίων ἐν ἀγαλλιάσει σκιρτήματα. εἰ δὲ θέλεις ἰδεῖν τοὺς παρ' ἡμῖν ᾄδοντας καὶ ὀρχουμένους καὶ σκιρτῶντας οἷοί εἰσιν, ἴδε μοι τὸν Ἡσαΐαν ᾄδοντα καὶ λέγοντα, ᾄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. βλέπε δὲ καὶ χορὸν ἁγίων γυναικῶν, Μαριὰμ τὴν ἀδελφὴν Μωϋσέως, μετὰ καὶ ἄλλων γυναικῶν Ἰσραηλιτῶν, ἐπινικίοις ὕμνοις τῷ θεῷ ᾀδούσας καὶ λεγούσας· ᾄσωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. οὗ μέμνηται καὶ Δαυὶδ ἐν ὕμνοις λέγων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν. καὶ ὁ αὐτὸς μακάριος Δαυὶδ οὐκ ἐπαισχύνεται ἔμπροσθεν τῆς θεοφόρου κιβωτοῦ ὀρχεῖσθαι, ὡς ἔστιν ἀκοῦσαι λέγοντος· καὶ παίξομαι, καὶ γελάσομαι, καὶ ὀρχήσομαι ἐναντίον κυρίου. τὸ γὰρ βρέφος τῆς Ἐλισάβετ Ἰωάννης, θεωρήσας τὸν θεοφόρον βότρυν ἐν τῇ ἀγάμῳ μήτρᾳ ἔτι κρυπτόμενον, ἐν τῇ ληνῷ τῆς γαστρὸς χορεύων ἐσκίρτα. μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἱερὸν δὲ ἐστι θεῷ μόνῳ οἰκητήριον. λέγουσι γὰρ καὶ Ἕλληνες, ἔχομεν ἱερὸν, ἀγνοοῦντες ὅτι ἐκεῖνο οὐκ ἔστιν ἱερὸν, ἀλλὰ μιαρόν. ὅπου γὰρ αἱμάτων ἔκχυσις καὶ σπονδῶν, καὶ κνίσσαι εἰδωλικαὶ καὶ τελεταὶ δαιμόνων, ἐκεῖνο οὐκ ἂν εἴη ἱερὸν, ἀλλὰ μιαρὸν τῶν δαιμόνων. μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἱερὸν δέ ἐστι μόνῳ θεῷ οἰκητήριον ἀνακείμενον, ἔνθα ἀγάπη καὶ εἰρήνη, ἔνθα πίστις καὶ σωφροσύνη αὐλίζεται.

A vit; ita & mens bona verba a malis scit distinguere, ut dicitur in Jobo: *Guttur cibos degustat, mens autem verba discernit.* Et nemo putet, dum paterfamilias in horto suo habet diversas arbores, Job. 12. 11. palmas, malos, oleas; Dominum in horto ecclesiæ non habere diversos patrum frutices, qui singuli secundum propriam suavitatem ex profundo cordis degustandos fructus proferunt. Ex illis enim alius est quasi olea florida, foliis fidei comans, & pietatis operibus fructificans: alius quasi palma ramis suis ob reportatam de diabolo victoriam coronata, & dulcissimum liberalitatis fructum pauperibus erogans. De quo dicit scriptura, *Justus ut palma florebit.* Alius Psal. 91. 12. quasi malus duas hominibus præbet delectationes, B odorem nempe & in faucibus suavitatem: quem in canticis canticorum laudans sponsa ecclesia quid dicit? *Sicut malus in lignis silvæ, sic* Cant. 2. 3. *dilectus meus in medio filiorum Israel*; aitque, *in umbra ejus libens sedi, & fructus ejus dulcis gutturi.* Quid vero faciam, dilecti, ego, qui & folia pauca & fructus modicos habeo, qui nec adustos refrigerare, nec esurientes fructibus sermonum alere possum? Optandum enim mihi esset, ut vobiscum sanctorum patrum doctrinam ediscerem. Sed quia timor Dei & desiderium vestrum ad dicendum nos incitat, exceptis ex dulcissimo evangelio duobus tribus-ve locis, quasi palmarum fructibus, iisque degustatis vos excitemus. Sic enim alacriter & ferventi Spiritu ad fructuosas sanctorum patrum arbores C festinabitis. Modo audivimus evangelistam dicentem: *Mediante festo ascendit Jesus in templum,* Joan. 7. 14. *& docebat.* Non præterivit evangelii verbum, quia adest solennitatis tempus, his quæ nunc aguntur competit evangelii lectio, diei congruens est enarratio: vis enim hujus loci est quasi soror præsentis festi: *Mediante festo, ingressus est Jesus in templum.* Post festum autem non ultra ascendit in templum, sed in cælum ascendit: *Mediante autem festo ascendit Jesus in templum.* Festum dicit diem, non talem qualis apud Gentiles & Judæos celebratur; ubi ebrietas, comessationes, cantica meretricia, illecebræ vocum, saltationes variæ; sed festum sacrum Christianos decens: ubi non ebrietas & D comessationes; sed preces, hymni, supplicationes; ubi non meretricia cantica, quæ corpus resolvunt; sed cantica divina, quæ animas roborant: ubi non saltationes variæ, sed animarum sanctarum cum lætitia exsultationes. Si vis scire qui sint apud nos cantores & saltatores, vide mihi Esaïam canentem & dicentem: *Cantabo dilecto canticum dilecti mei, vineæ meæ.* Isai. 5. 1. Vide etiam chorum sanctarum mulierum, Mariam sororem Moysis, quæ cum aliis mulieribus Israelitis triumphales hymnos Deo canunt & dicunt: *Cantemus Domino: gloriose enim magnificatus est.* Exod. 15. 1. Cujus meminit David dicens: *In medio juvencularum tympanistriarum in ecclesiis* Psal. 67. 27. *benedicite Dominum.* Ipseque beatus David non erubescit ante deiferam arcam saltare, ut au- E dire potes dicentem: *Et Ludam, & ridebo &* 2. Reg. 6. 22. *saltabo in conspectu Domini.* Infans enim Elisabetæ Joannes, ut vidit deiferam uvam, in vulva viri experte adhuc occultatam, in uteri claustro choreas agens exsultabat. *Mediante autem festo Jesus ascendit in templum.* Templum vero est Dei solius habitaculum. Dicunt enim etiam Gentiles, Templum habemus, ignorantes illud non esse templum, sed locum exsecrandum. Ubi enim sanguinis effusio, libamina, nidor idolicus, dæmonum initiationes, ibi non templum, sed dæmonum locus exsecrandus est. *Mediante autem festo ascendit Jesus in templum.* Templum est soli Deo dicatum domicilium, ubi dilectio & pax, ubi fides & castitas habitant.

Ideo sacerdotem qui sacra Deo facit, pacificum esse oportet, tranquillum, non furacem, sine dolo, pecuniæ non amantem; ut primo Deus in ejus anima recte stabiliatur: deindeque populum ad ejus imaginem transformet. Potest templum vocari quælibet fidelis hominis anima purgata: Habitabo enim in vobis, & inambulabo.
Levit. 26. 12.
Templum autem vere sanctum, victima & sacerdos, ipse Christus est: *In quo*, secundum divinum apostolum, *Omnis plenitudo divinitatis inhabitat corporaliter.*
Col. 2. 9. Psal. 109. 5.
Cui dixit Pater: *Tu es sacerdos in æternum secundum ordinem Melchisedec.* Nunc ex inexspectato lapsus in maximam quæstionem, quo oculos mentis declinem dubito, quo gubernaculum doctrinæ admoveam ignoro. Nam si apostolus, in Melchisedeci mentionem incidens, de illa re minutatim disserere vix ausus est dicens:
Hebr. 5. 11.
*De quo nobis grandis sermo & explicatu difficilis*; quid dixerim ego qui tantum inferior sum apostolo, * quantum quivis dijudicare potest? Ac sicut viator donec planam & æquam viam emetitur, suaviter incedit, cum autem in locum quempiam asperrimum & salebrosum pervenerit, ubi mons est præaltus, gradum reprimens & ascensus laborem secum reputans, lentiore incedere gradu incipit, ne cito deficiat; ita & nos quamdiu planam & facilem evangelii seriem tractavimus, suavi sermonis gressu processimus; cum vero pervenimus ad sententiam sublimiorem, lentius per cælestem scalam ascendere explicando incipimus. Quænam est autem illa apud omnes Christianos suborta quæstio. Cur, inquiunt, apostolus Melchisedecum memorans,
Hebr. 7. 3.
dixit illum esse sine Patre, sine genealogia, ac neque principium dierum, neque finem vitæ habere? Hic non fuerit homo, sed Deus. Multi vero non intelligentes ea quæ de illo dicta sunt, majorem Christo dixerunt, hæresique sibi constituta vocantur Melchisedeciani: ac nobiscum disputantes, ut ostendant majorem Christo esse Melchisedecum, hanc scripturam nobis testem proferunt: *Tu es sacerdos in æternum secundum ordinem Melchisedec.* Quomodo, inquiunt, non sit major Melchisedec, secundum cujus imaginem & ordinem sacerdos est Christus? Alii vero errantes dicunt ipsum esse Spiritum sanctum. Nos vero dicimus ipsum esse hominem passionibus nobis similem, nec majorem esse Christo, imo neque Joanne-Baptista. Verus quippe est sermo Domini:
Matt. 11. 11.
*Amen dico vobis, non surrexit inter natos mulierum major Joanne Baptista*: contendimusque non esse Spiritum sanctum. Sicque probamus non esse majorem Christo. Dicant nobis illi ex quo loco ipsum esse dicant, an cælestium, an terrestrium, an infernorum? si dicant ex cælestibus, vel ex aliis quibusvis locis esse Melchisedecum; audiant ipsum Christo genu flectere: dicit enim apostolus:
Philip. 2. 10.
*Ipsi flectetur omne genu, & omnis lingua confitebitur cælestium, terrestrium & infernorum.* Si ergo Melchisedec Christo genu flectit, qui adorat Melchisedec Christo qui adoratur minor erit. Cur autem miseri sequentem apostoli versum non audiunt, ut discant ipsum minorem esse Christo? infert enim dicens,
Hebr. 7. 3.
*Assimilatus Filio Dei*, quemadmodum & nos ad imaginem & similitudinem Christi facti sumus. Sed fortassis auditorum quispiam sciscitetur: Cur sine patre, sine matre, sine genealogia dicitur esse Melchisedec? Respondebimus nos, Judæos quidem dixisse, ipsum ex fornicatione natum esse, ideoque ejus genealogiam a scriptura non recenseri; quos ut male loquentes ita refellimus. Alios invenimus ex fornicatione natos, quorum genealogia texitur. Statim sese offert Salomon qui ex Uriæ uxore prodiit, & Abimelech

A διὰ τοῦτο καὶ τὸν ἱερέα τοῦ θεοῦ τὸν ἱερουργοῦντα τῷ θεῷ εἰρηναῖον δεῖ εἶναι καὶ γαληνὸν, ἄκλοπον, ἄδολον, ἀφιλάργυρον, ἵνα πρότερος θεὸς ἐν τῇ αὐτοῦ ψυχῇ κατορθώσῃ· εἶθ' οὕτω τὸν λαὸν πρὸς τὴν ἑαυτοῦ εἰκόνα μεταρρυθμίσῃ. δύναται ἱερὸν λέγεσθαι καὶ ἑκάστου πιστοῦ ἀνθρώπου ψυχὴ κεκαθαρμένη· οἰκήσω γὰρ ἐν ὑμῖν, καὶ ἐμπεριπατήσω. ἱερὸν δὲ ὡς ἀληθῶς ἅγιον, καὶ ἱερεῖον, καὶ ἱερεὺς, αὐτός ἐστιν ὁ Χριστὸς, ἐν ᾧ, κατὰ τὸν θεῖον ἀπόστολον, πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικεῖ σωματικῶς· πρὸς ὃν εἴρηκεν ὁ πατὴρ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. νῦν ἐκπεσὼν ἐκ τοῦ ἀδοκήτου εἰς μέγιστον ζήτημα, ἀπορῶ ποῦ κλίνω τὸ ὄμμα τῆς διανοίας· ποῦ μετελεύσω τῷ πηδαλίῳ τῆς διδασκαλίας οὐκ οἶδα. εἰ γὰρ ὁ ἀπόστολος εἰς τὸ κεφάλαιον τὸ περὶ τὸν Μελχισεδὲκ ἐλη-
B λυθὼς, ὤκνησε λεπτομερῶς διηγήσασθαι εἰρηκὼς, περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, τί ἂν εἴποιμι ἐγὼ τοσοῦτον ἀπέχων τοῦ ἀποστόλου, ὅσον ἀνθρώπου διάκρισις; καὶ ὥσπερ ὁδοιπόρος μέχρις ἂν τινα πρανῆ καὶ πεδιάσιμον ὁδὸν ἐπιβαίνῃ, ἡδέως τὴν πορείαν ἀνύει· ἐπειδὰν δὲ ἔλθῃ πρὸς τόπον τινὰ τραχύτατον ἢ προσάντη καὶ δύσβατον, ἔνθα ἐστὶν ὄρος οὐρανόμηκες, σταθεὶς καὶ τὸν κάματον τῆς ἀναφόρου ἀναλογισάμενος, ἠρέμα βαδίζειν ἄρχεται, ἵνα μὴ τάχειον ἀποκρίσῃ· ὡσαύτως καὶ ἡμεῖς· ἕως μὲν εἴχομεν τὸ τοῦ εὐαγγελίου πρανὲς καὶ πεδιάσιμον, τῷ βήματι τοῦ λόγου ἡδέως ἐπορευόμεθα· ὅταν δὲ ἐληλύθαμεν εἰς οὐρανόμηκες νόημα, ἠρέμα ἐπιβαίνειν τῇ οὐρανίῳ κλίμακι ἑρμηνείᾳ ἀρχόμεθα. [a] τί δέ ἐστι τὸ παρὰ πᾶσι Χριστιανοῖς ζητούμενον θεώρημα; τίνος ἕνεκεν, φησιν, ὁ ἀπόστολος μνημονεύσας Μελχισεδὲκ, εἶπεν
C αὐτὸν ἀπάτορα καὶ ἀγενεαλόγητον, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχοντα; οὗτος οὐκ ἂν εἴη ἄνθρωπος, ἀλλὰ θεός. πολλοὶ δὲ μὴ νοήσαντες τὰ περὶ αὐτοῦ εἰρημένα, μείζονα τοῦ Χριστοῦ εἶναι εἰρήκασι, καὶ συνεστήσαντο ἑαυτοῖς αἵρεσιν, καὶ λέγονται ἐκεῖνοι Μελχισεδεκιανοί· καὶ φιλονεικοῦντες ἡμῖν καὶ βουλόμενοι δεῖξαι, ὅτι μείζων ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, προφέρουσιν ἡμῖν μάρτυρα τὴν γραφὴν λέγουσαν· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. πῶς γάρ, φησιν, οὐκ ἂν εἴη μείζων ὁ Μελχισεδὲκ, οὗ κατὰ τὴν εἰκόνα καὶ τάξιν ἱερατεύει ὁ Χριστός; ἄλλοι δὲ πλανηθέντες λέγουσιν αὐτὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον. ἡμεῖς δὲ λέγομεν αὐτὸν εἶναι ἄνθρωπον ὁμοιοπαθῆ ἡμῖν, καὶ μήτε μείζονα αὐτὸν εἶναι τοῦ Χριστοῦ· τί δὲ λέγω τοῦ Χριστοῦ; ἀλλ' οὔτε Ἰωάννου τοῦ Βαπτιστοῦ. ἀληθὴς γὰρ ὁ λόγος τοῦ κυρίου, ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγή-
D γερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. ἀλλ' οὔτε μὴν εἶναι αὐτὸν τὸ ἅγιον πνεῦμα. ὅτι δὲ οὐκ ἔστι μείζων τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, εἰπάτωσαν ἡμῖν ἐκεῖνοι οἱ τοῦτο λέγοντες, ποίου περιβόλου, ἢ ποίου χωρίου αὐτὸν εἶναι λέγουσιν. ἆρα οὐρανίου; ἆρα ἐπιγείου; ἆρα καταχθονίου; ἐὰν οὖν εἴπωσιν ὅτι τῶν ἐπουρανίων ἐστὶν ὁ Μελχισεδὲκ ἢ ἄλλου τινὸς χωρίου, ἀκουσάτωσαν ὅτι καὶ τὸ αὐτοῦ γόνυ κάμπτει τῷ Χριστῷ. λέγει γὰρ ὁ ἀπόστολος, ὅτι αὐτῷ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ἐπουρανίων, ἐπιγείων, καὶ καταχθονίων. εἰ οὖν κάμπτει γόνυ ὁ Μελχισεδὲκ τῷ Χριστῷ, ἐλάττων εἴη προσκυνῶν Μελχισεδὲκ τοῦ προσκυνουμένου ὑπ' αὐτοῦ Χριστοῦ. τί δὲ οἱ τάλανες καὶ τὸν ἑξῆς στίχον εἰρημένον παρὰ τοῦ ἀποστόλου οὐκ ἀκούουσιν, ἵνα
E μάθωσιν αὐτὸν ἐλάττω εἶναι τοῦ Χριστοῦ; ἐπιφέρει γὰρ λέγων, ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ, ὥσπερ καὶ ἡμεῖς κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Χριστοῦ ἐγενόμεθα. ἀλλ' ἴσως τις τῶν ἀκροατῶν ἐπερωτᾷ καὶ λέγει· τί οὖν ἐστιν ἀπάτορα λέγεσθαι καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Μελχισεδέκ; πρὸς ὃν ἐροῦμεν, ὅτι Ἰουδαῖοι μὲν εἰρήκασιν αὐτὸν ἐκ πορνείας γεννηθέντα, καὶ διὰ τοῦτο μὴ γενεαλογεῖσθαι ὑπὸ τῆς γραφῆς. πρὸς οὓς ἐροῦμεν, ὅτι κακῶς εἴπατε. εὑρίσκομεν γὰρ καὶ ἄλλους ἀπὸ πορνείας γεννηθέντας καὶ γενεαλογηθέντας. εὐθὺς Σολομὼν ἐκ τῆς τοῦ Οὐρίου γυναικὸς γεννηθεὶς ἐγενεαλογήθη, καὶ Ἀβιμέλεχ

a Hæc desumta sunt ex Homilia de Melchisedeco supra tom. VI. pag. 269. ubi vide sis.

υἱὸς Γεδεὼν, ὃς ἐκ πορνείας γεννηθεὶς ἐγενεαλογήθη. τίνος οὖν ἕνεκεν οὐ γενεαλογεῖται ὁ Μελχισεδέκ; ἀλλ' ἐπειδὴ τύπος ἦν τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ εἰκόνα ἔφερε τοῦ Χριστοῦ, διὰ τοῦτο ἡ γραφὴ παρέλιπε τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγενεαλόγητον αὐτὸν διηγήσατο, ἵνα ἐν ἐκείνῳ, καθάπερ εἰκόνι, τὸν ἀληθῶς ἀπάτορα καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Χριστὸν ἐνοπτριζώμεθα. ἀπάτωρ γὰρ Χριστὸς ἐπὶ γῆς κατὰ σάρκα, ἀμήτωρ ἐν οὐρανοῖς κατὰ πνεῦμα, κατὰ τὴν θεότητα. τοιοῦτός ἐστι καὶ τὸ, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. οὐ γὰρ ἐγενεαλόγησε τὸν Μελχισεδὲκ ἡ γραφὴ, ἀλλὰ παρέλιπεν αὐτοῦ καὶ τὴν γέννησιν καὶ τὴν τελευτὴν, ἵνα, καθὼς προείπαμεν, ἐν ἐκείνῳ τοῦτον θεωρήσωμεν τὸν ἀληθινὸν Μελχισεδέκ. βασιλεὺς γὰρ δικαιοσύνης ἑρμηνεύεται ὁ Μελχισεδὲκ, ὅς ἐστι Χριστὸς, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. οὔτε γὰρ ἀρχὴν ἡμερῶν ὁ θεὸς λόγος εἶχεν, οὔτε ἔληξέ ποτε ἢ ἐτελεύτησεν. εἰς ἀεὶ γὰρ ὁ Χριστὸς διαμένει. ἀντιλέγουσι γὰρ ἡμῖν οἱ Μελχισεδεκιανοὶ λέγοντες, τί οὖν ἐστιν ὃ λέγει πρὸς αὐτὸν ὁ πατὴρ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ; πρὸς οὓς λέγομεν, ὅτι ὁ οὗτος ὁ Μελχισεδὲκ ἀνὴρ δίκαιος γέγονε, καὶ ἀληθῶς εἰκόνα θεοῦ φέρων ἐν ἑαυτῷ. προφητικῷ τοίνυν πνεύματι κινούμενος, τὴν μέλλουσαν ὑπὸ Χριστοῦ προσφορὰν τῷ θεῷ προσκομίζεσθαι νῷ νοήσας, ἄρτῳ καὶ οἴνῳ τὸν θεὸν ἐγέραινε, μιμούμενος τὸν μέλλοντα Χριστόν. ἐπειδὴ οὖν ἐν τῇ τῶν Ἰουδαίων συναγωγῇ ἡ τάξις τοῦ Ἀαρὼν θυσίαν προσέφερεν, οὐκ ἄρτον καὶ οἶνον, ἀλλὰ μόσχους καὶ ἀμνοὺς, καὶ ἐναίμοις θυσίαις ἐδόξαζε τὸν θεὸν, ὁ θεὸς πρὸς τὸν μέλλοντα γεννᾶσθαι ἐκ τῆς παρθένου Μαρίας Ἰησοῦν βοᾷ καὶ λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, τοῦ ἐν μόσχοις καὶ ἄρναις καὶ ἐναίμοις θυσίαις λατρεύοντος, ἀλλὰ σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἐν ἄρτῳ καὶ οἴνῳ τὴν τῶν ἐθνῶν προσκομίζων προσφορὰν εἰς τὸ διηνεκές. ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοὶ, ἐρεσχελεῖν μηκύνοντες τὸν λόγον, ἐνταῦθα στήσαντες τὸν λόγον, τῇ τῶν πατέρων πηγῇ τῆς διδασκαλίας παραπέμψομεν ὑμᾶς, οἵτινες καὶ τὴν δίψαν τῆς ψυχῆς ὑμῶν καταπαύσωσι, καὶ τὰς καρδίας ὑμῶν εὐφράνωσι, πνεύματος ἁγίου πληροῦντες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A filius Gedeonis qui ex fornicatione natus enarratur. Cur ergo sine genealogia est Melchisedec? Quia typus erat Christi, & imaginem Christi ferebat, ideo scriptura ejus patrem & matrem tacuit, & sine genealogia reliquit, ut in illo quasi in imagine eum qui vere sine patre, sine matre, sine genealogia est, specularemur. Sine patre enim est Christus in terra secundum carnem; sine matre est in cælis secundum spiritum & secundum divinitatem. Talis est ille qui neque principium dierum, neque finem vitæ habet. Non enim genealogiam Melchisedeci dedit scriptura, sed prætermisit ejus & ortum & mortem, ut, quemadmodum diximus, in illo hunc verum Melchisedecum contemplaremur. Melchisedec enim significat regem justitiæ, qui est Christus, qui nec principium dierum nec finem vitæ habet: neque enim principium dierum Deus Verbum habuit, neque unquam obiit vel mortuus est. B Semper enim manet Christus. Sed nobis Melchisedeciani obsistunt dicentes: Quid ergo sibi vult illud quod ipsi Pater dicit, *Tu es sacerdos in æternum secundum ordinem Melchisedec*? Reponimus nos, hunc Melchisedecum fuisse virum justum, imaginem Dei vere in se ferentem. Prophetico itaque Spiritu motus, futuram Christi Deo faciendam oblationem intelligens, panem & vinum Deo obtulit, futurum Christum imitans. Quoniam igitur in Judæorum synagoga Aaronis ordo sacrificium offerebat, non panem & vinum, sed vitulos & agnos; ac cruentis sacrificiis Deum glorificabat, Deus ei qui ex Virgine Maria nasciturus erat Jesu clamat & dicit, *Tu es sacerdos in æternum secundum ordinem Melchisedec*, C non secundum ordinem Aaron, qui vitulis, agnis & cruentis sacrificiis cultum persolvebat, sed, *Tu es sacerdos in æternum secundum ordinem Melchisedec*, qui in pane & vino Gentium oblationem affers in perpetuum. Sed ne nugari videamur, dilecti, ex longiore oratione, hic finem dicendi facientes, ad fontem doctrinæ Patrum vos mittemus, qui animarum vestrarum sitim sedabunt, & corda vestra Spiritu sancto replentes, lætitiam afferent, in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum, amen.

## Εἰς τὴν Μεσοπεντηκοστήν.

ΟΠΟΥ δ' ἂν ὁ δεσπότης, ὡς πηγὴ ζωῆς σωματικῶς παραγίνεται, πολλοὺς καὶ διαφόρους ἀπορρεῖ τοὺς τῆς φιλανθρωπίας κρουνούς. ἀνῆλθεν εἰς ὄρος μετὰ τῶν μαθητῶν, καὶ τὰ τῶν μακαρισμῶν τοῖς ἀκροωμένοις προβάλλεται ῥεῖθρα. κατῆλθεν ἐκεῖθεν, καὶ τοῖς ποικίλαις νόσοις ἐνεχομένοις ὀχετοὺς ἰαμάτων κατέχεεν. ἐπέστη τῇ προβατικῇ κολυμβήθρᾳ, καὶ τὸν παράλυτον τὴν ῥῶσιν ἐπότισεν. εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Πέτρου, καὶ τὴν τούτου πενθερὰν πυρετῷ φλεγομένην ἐδρόσισε. κατέλαβε τὴν Βηθανίαν, καὶ ζωῆς ποτήριον τὸν τετραήμερον Λάζαρον ἐπότισεν. ὑπήντησε τῷ λεπρῷ, καὶ τὰς τοῦ πάθους φολίδας τῷ σπόγγῳ τῆς φιλανθρωπίας ἀπέσμηξεν. ἐπέστη τῇ συναγωγῇ, καὶ τὸν ξηρὸν τῆς χειρὸς βλαστὸν πρὸς κίνησιν ἔνεργον ἐποίησε. παρέβαλε τοῖς γάμοις, καὶ παραδοξοποιίας οἶνον τοῖς κληθεῖσιν ἐκέρασε· καὶ ἄλλα μυρία, ἅπερ ἀριθμεῖν δυσχερές. ἀνέβη καὶ σήμερον εἰς τὸ ἱερὸν, καὶ τοὺς τῆς διδασκαλίας τοῖς ἀκροωμένοις ποταμοὺς προεβάλετο. ἠκούσατε γὰρ τῆς εὐαγγελικῆς ἀναγνώσεως, ἣν προσφόρως ἡμῖν ὡς κατὰ τὴν μέσην τῆς ἑορτῆς ἐφ' ὑψηλοῦ βήματος ἑστὼς ὁ εὐαγγελιστὴς μεγαλοφώνως ἀνέκραξε, καθάπερ τινὶ σάλπιγγι τῇ φωνῇ τοῦ Λευΐτου χρησάμενος. ἤδη δέ, φησι, τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν,

## *In mediam Pentecosten.*

D QUOCUMQUE Dominus, utpote fons vitæ, corporaliter advenit, multos variosque effundit benignitatis latices. Ascendit in montem cum discipulis, & beatitudinum fluenta auditoribus profert. Descendit inde, & variis morbis detentos medelæ alveis sanat: probaticam piscinam adit, & paralyticum curat: intravit in domum Petri, & ejus socrum febri ardentem refrigeravit: in Bethaniam ivit, & vitæ poculum quatriduano Lazaro propinavit. Leproso occurrit, & morbi pustulas benignitatis spongia abstersit: ad synagogam accessit, & ei qui manum habebat aridam, illius usum & E motum restituit: nuptiis adfuit, & mirabiliter vinum vocatis miscuit. Aliaque innumera præstitit, quæ difficile esset recensere. Ascendit etiam hodie in templum, & doctrinæ fluvios auditoribus effudit. Audistis enim Evangelicam lectionem, quam vobis utiliter evangelista in medio festi stans in tribunali magna voce prædicavit, Levitæ voce quasi tuba usus. *Jam*, inquit, *mediante festo, ascendit Jesus in templum*, *Joan. 7. 14.*

*& docebat.* Quæ scriptura benignitate Domini plena est. Non enim dixit, instante persequutione, aut, discipulis mœrore vel tristitia affectis; aut similibus in casibus qui discipulis frequenter acciderunt; sed quid? *Jam mediante festo.* Quid accidit, o Joannes, mediante festo? An Herodes manus immisit? An concilium malignum coegit Judæorum populus? An Judas ad proditionem se apparavit? Non, inquit, sed *ascendit Jesus in templum, & docebat.* Quæ Christum decebant ipsi adscripsisti, rem ipsi congruentem addidisti. Verbi enim opus est loquela, & doctoris doctrina, atque Christi est, utilia auditoribus proferre. *Ascendit Jesus in templum & docebat.* O ingentem benignitatem! Ubi pene lapidabatur, ibi lapidantes doctrinæ verbis ditabat. *Ascendit Jesus in templum, & docebat.* Ubi Moysis legalia legebantur, ibi gratiæ dogmata afferebat, non abrogans, sed implens legem. Ipse
Matt. 5. 17. namque in evangeliis clamavit: *Non veni solvere legem, sed adimplere.* Et Paulus in cujus
Rom. 10. 4. ore loquebatur Christus, *Finis legis*, inquit, *Christus ad justitiam. Jam autem festo mediante, ascendit Jesus in templum, & docebat*, omnes docens orationis locum: ibique institutionis verba proferebat, utpote Verbum, ubi malignantium cœtus congregatus erat; illuc sacerdos ille secundum ordinem Melchisedec ascendit, in templum scilicet, & docebat. Multis audientibus, nemine Judæorum discente. De
Psal. 113. 13. illis enim propheta prædicebat: *Oculos habent, & non vident, aures habent, & non audiunt. Ascendit Jesus in templum, & docebat.* Dei inimicorum insaniam traducens. Ascendit in templum, ut cælestis doctrinæ retia expandens, rationabilem hominum capturam faceret. Ascendit in templum Jesus, ascendit; sed Judæi ex fide descenderunt. *Jam autem festo mediante, ascendit Jesus in templum, & docebat. Mirabantur ergo Judæi dicentes. Quomodo hic scit literas, cum non didicerit?* Mirabantur, sed non credebant. Stupebant de tanta sapientia, sed non resipiscebant, nequitiæ gravitate onusti. Videbant medicum pharmaca proferentem, & ægri licet medelam non admittebant: videbant liberatorem, sed captivitatem amabant. Cum in medio pratum bonorum haberent, spinas colligebant: præsente portu, miseri naufragabantur: dum sapientia divinis dogmatibus manabat, illi cædium cruorem abluere nolebant: Christo alas benignitatis suæ expandente, illa genimina viperarum obtegi recusabant. Nam
Matt. 23. 37. ait in evangelio: *Quoties volui congregare filios vestros, quemadmodum gallina pullos suos, & noluistis?* Mirabantur ergo Judæi dicentes: *Quomodo hic scit literas, cum non didicerit?* O rerum statum! Legem ignoras, Judæe, & legis insti-
Joan. 7. 16. tuta nescis? Dicis, *Quomodo hic scit literas, cum non didicerit?* Dic mihi, o veritatis inimice! Quomodo Adam, qui literas non didicerat, congruentia nomina bestiis imposuit? Servum non interrogas, & a Domino rationem exquiris dicens, *Quomodo hic scit literas? Respondit Jesus, & dixit; Mea doctrina non est mea, sed ejus qui misit me Patris.* Et quandonam Deus per loci mutationem mittitur? Quandonam is qui omnia implet, illuc advenit ubi adest? Ad Judæos sermo dirigitur, non ad eos qui pie edocti sunt. *Mea doctrina non est mea, sed ejus qui misit me Patris*, qui mihi testimonium de cælo vobis omnibus præsentibus
Matt. 3. 17. præbuit dicens: *Hic est filius meus dilectus.* De me Joannes clamavit: *Ecce agnus Dei,*
Joan. 1. 29. *qui tollit peccatum mundi.* Agnus enim vere est Christus, qui hodie ascendit in templum: & veritatis vocem Joannes in illum protulit.

A καὶ ἐδίδασκε. γέμον καὶ αὐτὸ φιλανθρωπίας τὸ γράμμα. οὐ γὰρ εἶπε, διωγμῶν ἐνεστώτων, ἢ, λύπης παρούσης, ἢ, ἀθυμίας τοὺς μαθητὰς κατεχούσης, καὶ τοιούτων ἄλλων τινῶν ὑφήγησιν, περὶ ὧν συνεχῶς ἡ τῶν ἀποστόλων ἐκωμῴδησε πρᾶξις· ἀλλὰ τί φησιν; ἤδη τῆς ἑορτῆς μεσούσης. τί μεσούσης τῆς ἑορτῆς, εἰπὲ, Ἰωάννη; Ἡρώδης τὰς χεῖρας ἐπέβαλε; συμβούλιον πονηρὸν ὁ τῶν Ἰουδαίων συνεκρότησε δῆμος; πάλιν πρὸς προδοσίαν Ἰούδας; οὐχί, φησιν· ἀλλὰ τί; ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε. τὰ πρέποντα τῷ Χριστῷ παρατέθεικας τῷ Χριστῷ, τὴν ἁρμόζουσαν αὐτῷ πρᾶξιν προσήνωσας. ἔργον γὰρ λόγου τὸ λαλεῖν, καὶ διδασκάλου τὸ διδάσκειν, καὶ Χριστοῦ τὰ τῆς ὠφελείας τοῖς ἀκροωμένοις προΐεσθαι ῥήματα. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. ὢ τῆς ἀνυπερβλήτου φιλανθρωπίας. ὅπου κατὰ μικρὸν ἐλιθάζετο, ἐκεῖ τῇ B τῶν λόγων διδασκαλίᾳ τοὺς λιθάζοντας ἐπλούτιζεν. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. ὅπου τὰ Μωϋσέως ἀνεγινώσκετο νόμιμα, ἐκεῖ τὰ τῆς χάριτος παρετίθη διδάγματα, οὐ καταργῶν τὸν νόμον, ἀλλὰ πληρωτὴς τοῦ νόμου γινόμενος. αὐτὸς γὰρ καὶ ἐν τοῖς εὐαγγελίοις ἀνέκραξεν, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι· καὶ Παῦλος διὰ στόματος ἔχων τὸν δεσπότην φθεγγόμενον, τέλος γὰρ νόμου, φησὶ, Χριστὸς εἰς δικαιοσύνην. ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε, πάντας τῆς προσευχῆς ἐνδιδάσκων τὸν τόπον· ἐκεῖσε τὸν τῆς κατηχήσεως ποιούμενος λόγον ὡς λόγος, ἔνθα καὶ τὸ πονηρευόμενον συνέδριον ἤθροισται. ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερεὺς ἀνέβη εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε, πολλῶν μὲν ἀκουόντων, οὐδενὸς δὲ τῶν Ἰουδαίων μανθάνοντος. περὶ αὐτῶν γὰρ ὁ προαγορεύων ἐβόα, C ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσιν. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε, τὴν τῶν θεομάχων ἄνοιαν στηλιτεύων. ἀνέβη εἰς τὸ ἱερὸν, ἵνα τῆς οὐρανίου διδασκαλίας ἀναπετάσας τὰ δίκτυα, λογικὴν ἐξ ἀνθρώπων ποιήσηται θήραν. ἀνέβη εἰς τὸ ἱερὸν ὁ Ἰησοῦς· ἀνῆλθεν, ἀλλ' Ἰουδαῖοι κατῆλθον τῆς πίστεως. ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες· πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ἐθαύμαζον, ἀλλ' οὐκ ἐπίστευον· κατεπλήττοντο τὴν τῆς σοφίας ὑπερβολὴν, ἀλλ' οὐ μετεγίνωσκον τῇ τῆς κακίας πεπληρωμένοι δεινότητι. ἐθεώρουν τὸν ἰατρὸν προτιθέντα τὰ φάρμακα, καὶ νοσοῦντες τὴν θεραπείαν οὐ προσεδέχοντο. ἔβλεπον τὸν ῥυόμενον, καὶ τὴν αἰχμαλωσίαν ἐφίλουν· ἔχοντες ἐν μέσῳ D τῶν ἀγαθῶν τὸν λειμῶνα, τὰς ἀκάνθας συνέλεγον· τοῦ λιμένος παρόντος, ἐναυάγουν οἱ δεινοί· σοφίας προχεούσης τὰ θεῖα διδάγματα, τῶν φόνων ἀποπλύνασθαι τὸν βρόμον οὐκ ἤθελον· Χριστοῦ τὰς πτέρυγας τῆς φιλανθρωπίας ἁπλοῦντος, σκέπεσθαι οὐκ ἠνείχοντο τῶν ἐχιδνῶν τὰ γεννήματα. ποσάκις γάρ, φησιν ἐν τοῖς εὐαγγελίοις, ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, ὡς ὄρνις τὰ νοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε; ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες, πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ὢ τῶν πραγμάτων νόμον· ἀγνοεῖς, Ἰουδαῖε· καὶ ἀγνοεῖς τὰ τοῦ νόμου παιδεύματα; λέγεις, πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; εἰπέ μοι, ὦ τῆς ἀληθείας ἐχθρὲ, πῶς ὁ Ἀδὰμ, γράμματα μὴ μεμαθηκὼς, τοῖς θηρίοις προσφόρους τὰς ὀνομασίας ἐπέθηκε; τὸν δοῦλον οὐκ E ἐρωτᾷς, καὶ τὸν δεσπότην λογοθετεῖς λέγων, πῶς οὗτος οἶδε γράμματα; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με πατρός. καὶ πότε θεὸς κατὰ μετάβασιν ἀποστέλλεται τόπου; πότε δὲ ὁ τὰ πάντα πληρῶν ἔνθα πάρεστιν ἔρχεται; πρὸς τοὺς Ἰουδαίους ὁ λόγος, οὐ πρὸς τοὺς εὐσεβῶς μανθάνειν εἰδότας ἡ ῥῆσις. ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με πατρὸς, ὅς μοι καὶ τὴν ἐξ οὐρανοῦ μαρτυρίαν ἐπὶ πάντων ὑμῶν προεβάλετο λέγων, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. περὶ ἐμοῦ καὶ Ἰωάννης ἀνέκραξεν, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἀμνὸς γὰρ ἀληθῶς ὁ Χριστὸς, ὁ σήμερον ἀνελθὼν εἰς τὸ ἱερὸν, καὶ τὴν τῆς ἀληθείας φωνὴν ὁ Ἰωάννης ἐπ' αὐτῷ προεβάλετο.

φωνὴ γὰρ ὢν, δεόντως τὸν λόγον ἐνεκωμίασε· λύχνος ὢν, τοῦ ἡλίου τὰς λαμπάδας ἐγνώρισεν· ὡς πρόδρομος, ἐμήνυσε τὸν ἐρχόμενον· ὡς αὐγὴ, τὸν ὄρθρον ἐκήρυξεν· ὡς στρατιώτης, τὸ τοῦ βασιλέως ἐδημοσίευσεν ὄνομα. ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀμνὸς, ὃν ἀμνὰς μὲν παρθένος ἀσπόρως συλλαβοῦσα, ἀφθόρως ἐγέννησεν, ἡ φάτνη δὲ, ὡς χλοηφόρον, παιδίον αὐτὸν ὑπεδέξατο, ἔλουσε δὲ ὁ Ἰορδάνης, ὁ Ἰωάννης ἐβάπτισεν, Ἰούδας τοῖς Ἰουδαίοις ἐπώλησεν, ἔσφαξε Πιλάτος, ὁ τάφος προέθηκεν, καὶ ἡμεῖς ὠψωνήσαμεν, καὶ τῷ πώκῳ γυμνοὺς ὄντας ἐκ τῆς παραβάσεως τοῦ Ἀδὰμ τοὺς πάντας ἠμφίασεν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

A Vox enim cum esset, ut par erat, Verbum laudavit: lucerna cum esset, solis lampadas exhibuit: ut præcursor, venientem indicavit; ut splendor, diluculum prædicavit; ut miles, Regis nomen publicavit. *Ecce agnus Dei, qui tollit peccatum mundi.* Agnus, quem agna Virgo sine semine conceptum, sine ulla corruptione genuit. Præsepe autem, ut pratum viride, infantem suscepit, Jordanis lavit, Joannes baptizavit, Judas Judæis vendidit, Pilatus mactavit, sepulcrum protulit, nosque convivio vos excepimus, & ille vos omnes, nudos ex transgressione Adami, vellere induit. Ipsi gloria in sæcula sæculorum, amen.

## Εἰς τὴν Σαμαρεῖτιν. τῇ ἡμέρᾳ τῆς Μεσοπεντηκοστῆς.

## B *In Samaritanam in die mediæ Pentecostes.*

ΦΕΡΕ τοίνυν σήμερον, ἀγαπητοὶ, καθὼς ἂν ἡ θεία χάρις δίδωσι, τοῖς εὐαγγελικοῖς θησαυροῖς ἐγχειρήσωμεν. κοσμεῖ γὰρ τὸ περὶ ταῦτα φιλομαθὲς τὰς ψυχὰς, καὶ τὴν γηΐνην ἐκτείνει πρὸς οὐρανὸν ἕξιν. καὶ γὰρ φιλομάθεια τὴν θαυμασίαν ἐκείνην Σαμαρεῖτιν ἐξ ὑδροφόρου κατεσκεύασεν ἔνθεον. εὑροῦσα γὰρ μαθημάτων θησαυρὸν παρέδραμε· μᾶλλον δὲ οὐχ ηὗρεν, ἀλλ᾽ ηὕρηται. οὐ γὰρ ἀνέβαινε Χριστὸς ταῖς τῶν δεομένων ἀναζητεῖσθαι σπουδαῖς, ἀλλ᾽ αὐτὸς ἐφ᾽ ἑκάστης ὠδίνει βοηθείας. συνείχετο μεριμνῶν παραλύτοις, συναλγῶν τοῖς πυρέττουσι, τὰ τῶν τυφλῶν οἰκειούμενος, τὴν ἐπὶ τοῖς λεπροῖς περιφέρων φροντίδα, τρέχων εἰς δαιμονιώντων βοήθειαν, ἐκπλύνων ἐρρυπωμένας ψυχὰς ἁπάντων, ὑδροφορούσαις διδάσκαλος. τότε γὰρ ἐκ τῆς ὁδοιπορίας κεκοπιακὼς παρεκαθέζετο τῷ φρέατι. ὁ γὰρ Ἰησοῦς, φησὶ, κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. ἐπάλληλος ἀπληστία φιλανθρωπίας. πρῶτον μὲν, ὅτι κέκμηκε, τῆς Σαμαρείτιδος σπεύδων προετοιμάσαι σωτηρίαν· δεύτερον, ὅτι ἐκαθέζετο, μένων σωθῆναι φανεῖσαν· τρίτον, ὅτι τὸν τοῦ ἀρίστου καιρὸν εἰς τὴν ὑπὲρ αὐτῆς προσεδρίαν ἀνήλισκεν. ὥρα ἦν, φησιν, ὡσεὶ ἕκτη. εἰ γὰρ καὶ θεὸς ἦν, ἀλλὰ τὸ φαινόμενον τοῖς τῆς φύσεως τέως περιεβέβλητο πάθεσιν, αἰσθανόμενος κόπων, ὑποκείμενος ὕπνῳ, διοχλούμενος πείνῃ, πᾶσαν ἔχων πρὸς ἡμᾶς, πλὴν ἁμαρτίας, συγγένειαν. ἐνίκα δὲ ὅμως ἐν αὐτῷ τῶν σωζομένων ὁ πόθος τὸν τοῦ σώματος κόπον. ἐβράδυνε μᾶλλον τοῦ κοπιαθέντος ἡ χρήζουσα, καὶ ὁ μὴ χρήζων παρέμενεν. ἐφλέγετο τῷ τῆς μεσημβρίας αὐχμῷ, καὶ τὴν τῆς σωθησομένης παρουσίαν ἐκαρτέρει. ἐκαθέζετο γάρ, φησιν, ἐπὶ τῇ πηγῇ, οὐδὲ κατακλινόμενος τὴν θήραν ἀνέμενεν, ἀλλ᾽ ὠδίνων παρασχεῖν σωτηρίαν, ἐν ἑτοίμῳ τῇ Σαμαρείτιδι προητοιμάζετο. ἡ δὲ γέ που τάχα τῆς οἰκίας ἐξῄει κατὰ μικρὸν προϊοῦσα, γυναικικοῖς χρωμένη βαδίσμασιν, ἀνειμένη, τὴν ὑδρίαν ἐπαγομένη, πρὸς καρπὸν ὡς ἐν ἀγρῷ θεωρίαν ἱσταμένη πολλάκις μεταξὺ τοῦ βαδίσματος. ὁ κατάσκοπος ἄοκνος καὶ ἀφανὴς, θηρευτὴς ἐπισήμων, κρύψας δὲ τὸν εὐεργέτην, ὡς ἐνδεὴς ἐμφανίζεται. λέγει γάρ, φησιν, ὁ Ἰησοῦς· γύναι, δός μοι πιεῖν. σπείρει τὴν φωνὴν, ὡς κόκκον ῥεμβομένη περιστερά. δός μοι πιεῖν. ὑποκρίνεται δίψαν ὁ ἐλθὼν αὐτῇ κεράσαι σωτηρίας ποτήριον· μᾶλλον δὲ, εἴ τις λεπτότερον τὴν φωνὴν μεταλλεύῃ, ἀληθὲς τοῦ δεσπότου τὸ δίψος. ἐδίψα γὰρ τὴν αὐτῆς σωτηρίαν, καὶ δικαίως πρὸς αὐτὴν ἐβόα, δός μοι πιεῖν. ἔχεις, φησὶν, ἐν ἑαυτῇ κεκρυμμένην εὐγνωμοσύνης πηγήν· ἀπ᾽ ἐκείνης με νάμα γεμίσασα πότισον. ἀλλ᾽ οὐκ ᾐσθάνετο τῶν αἰνιγμάτων τὸ γύναιον, ψιλῇ δὲ φωνῇ προσέχουσα, πῶς σὺ Ἰουδαῖος ὢν παρ᾽ ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; μεθ᾽ ὁδοιπορίας κόπου δίκη τῷ Χριστῷ δογμάτων ἀπήντησεν· ἀλλ᾽ ἅπαξ ἑλομένῳ τὰ ὑπὲρ ἡμῶν ἀναδέξασθαι, φορητὰ τὰ συμβαίνοντα.

AGE, etiam hodie, dilecti, prout divina gratia dederit, evangelicos thesauros aggrediamur: nam rerum hujusmodi discendarum studium animas exornat, ac terrenum affectum ad cælum usque extendit. Etenim discendi cupiditas mirabilem illam Samaritanam ex aquaria fecit deiferam. Invento enim disciplinarum thesauro occurrit; imo potius non invenit, sed inventa est. Non enim ascendit Christus, ut egentium curis perquireretur, sed ipse ad auxilium singulis ferendum quasi parturiebat. Intento animo paralyticos curabat, febricitantibus condolebat, cæcorum calamitatem sibi propriam ducebat, leprosorum solicitudinem
C gerebat, ad dæmoniacorum opem currebat, sordidas omnium animas abluens, aquariarum doctor. Tunc enim fatigatus ex itinere, puteo assidebat. *Jesus*, inquit, *fatigatus ex itinere, sedebat sic supra fontem. Hora autem erat quasi sexta.* Joan. 4. 6. Benignitatis ingens insatiabilitas ostenditur; primo quod fatigatus esset Samaritanæ salutem solicite curans; secundo quod sederet, exspectans venientis salutem; tertio quod tempus prandii, huic rei intentus, absumeret. *Hora erat*, inquit, *quasi sexta.* Etsi namque Deus erat; id certe quod apparebat humanis affectibus erat involutum: fatiscebat enim, subditus erat somno, fame vexabatur, quod omnem nobiscum præter peccatum affinitatem haberet.
D Vincebat tamen in illo corporis lassitudinem studium conferendæ hominibus salutis. Sed magis tardabat ea quæ illo defesso opus habebat, nec minus hic, qui nullo opus habebat, libens exspectabat. Meridiano ardebat æstu: & ejus quæ servanda erat adventum observabat. *Sedebat* enim, inquit, *supra fontem*, nec reclinatus prædam exspectabat: sed salutem conferre cupiens, erat ad Samaritanam excipiendam paratus. Illa vero e domo exibat, lento femininoque gradu ac remisso, hydriam gestans, ut terræ fructus spectaret sæpe sistens gradum. Speculator impiger, quem illa non ante videbat, doctus ille venator, se beneficum occultans, quasi egenus apparet. Nam *dicit Jesus*, inquit,
E *Mulier, da mihi bibere.* Vocem seminat ut columba granum versans. *Da mihi bibere.* Sitim simulat, qui venerat mixturus ei poculum salutare; imo potius si quis vocem subtilius excutiat, vera erat Domini sitis: ejus quippe salutem sitiebat, & jure clamabat ipsi: *Da mihi bibere.* Habes, inquit, in te occultum probitatis fontem; inde emisso rivo da mihi potum. Sed ænigmata non capiebat mulier, vocique tantum attendebat. *Quomodo tu, Judæus cum sis, a me bibere petis, quæ sum mulier, Samaritana?* Cum itineris lassitudine doctrinalis correctio jam Christo accidit. Sed cum semel nostra suscipere decrevisset, quæ accidebant ferenda erant.

Ideo Samaritanæ fert reprehensionem. Libens enim ex dignitate se demiserat; ut peccatricis animam a vili sensu erigeret. Peccatrix quædam vilitas Samaritanam detinebat; meretricia maculabatur vita; amatorem alium post alium admiserat. Nuptiæ ipsi erant amoris tempora: amasiis jugata erat: vidua semper & nova sponsa; imo nec pure vidua, nec pure sponsa. Neque enim a primo per mortem separata fuerat, neque legitimis nuptiis cum sequentibus jugata fuerat. Hujus rei testis ait illi Dominus: *Bene dixisti: quia non habeo virum: quinque enim viros habuisti; & nunc quem habes, non est tuus vir: hoc vere dixisti.* Sed erat margarita in luto demersa; id quod talis negotiator non ignorabat: animæ quippe radios verbis exhibebat. *Quomodo tu*, inquit, *Judæus cum sis, a me bibere petis, quæ sum mulier Samaritana? Quomodo tu?* illud, *tu*, iratæ est. Quomodo petis a me bibere? Si quidem quod eadem quæ ego sentias, petitioni tuæ annuam. Sin Judaïca cupias, ne quæras ab alienigenis beneficium: ne donum exigas, quod refugis. Putat Samaritana se propter sitis necessitatem, Dominum ad Samaritanorum cultum deducturam esse. Nesciebat autem se verbis ejus ceu vinculis esse constrictam. Vinciebatur autem a sua ad Dominum facta responsione, imo potius a Domini se alloquentis vocibus: *Si scires donum Dei, & quis est qui tibi dicit, Da mihi bibere: tu forsitam petiisses ab eo, & dedisset tibi aquam vivam.* Quia, inquit, sitim meam traducis, & vocas me Judæum vobis non coütentem; disce te longe aberrare a mea notitia. Nescis veram meam generationem; nescis quanta sit apud me bona proferendi cupido. Nescis quanti fontis rivi a me manent. Nam si scires, forsitan petisses. Nunc vero ignorantem non reprehendo, petenti do. Ad sitim non sitientem excitat; ad bibendi necessitatem potum dantem deducit. Verbis ergo vulnerata est mulier, & aquæ desiderio capta. Procumbens enim ante Dominum dicebat, *Domine, da mihi hanc aquam, ut non sitiam, neque veniam huc haurire.* Quæ prius potum dare rogabatur, nunc rogat sibi potum dari: nam bene nati animi facile instituuntur; qualis erat hujus beatæ Samaritanæ animus: quales sunt mores a spinis incredulitatis emundati, nec Judaïco detenti livore. Hæc quippe quæ Messiam exspectabat, ejus divinam nacta doctrinam, sincere credidit: neque sola donum obtinuit; sed & concivibus suis suasit ut ad illum accurrerent apostolico more prædicans: *Venite, videte hominem, qui dixit mihi omnia quæcumque feci: numquid ipse est Christus?* O sapientem mulierem! sciebat mulieris testimonium non admittendum fore: ideo viros civitatis suæ testes attrahit, ut multis esset causa salutis. Ait itaque evangelista: *Ex civitate autem illa multi crediderunt in eum Samaritanorum propter verbum mulieris testimonium perhibentis: Quia dixit mihi omnia quæcumque feci. Cum venissent ergo ad illum Samaritani, rogaverunt eum ut apud se maneret. Et mansit ibi duos dies. Et multo plures crediderunt propter sermonem ejus. Et mulieri dicebant, quia jam non propter tuam loquelam credimus: ipsi enim audivimus & scimus quia hic est vere Salvator mundi Christus.* Vides, dilecte, Christi sitim: & quomodo cibum & potum haberet salutem in se credentium. Nam, *meus cibus est*, inquit, *ut faciam voluntatem ejus qui misit me Patris, & perficiam opus ejus.* Ideo ipse sitiens potum dat aquam Samaritanæ: hæc vero hauriens largiter Domini donum concivibus suis effudit. Per hanc gens Abrahæ ineptior Samaritanâ ad discendum ostensa est: Judæos enim ne illa quidem quæ in templo docebantur juvabant:

Joan. 4. 17.

Joan. 4. 29.

Joan. 4. 39.

Joan. 4. 34.

A διὰ τοῦτο καὶ τὴν ἐκ Σαμαρείτιδος ἐπιτίμησιν φέρει. ἤδετο γὰρ κατιὼν τῆς ἀξίας, ἵνα τῆς ἁμαρτωλοῦ εὐτελείας ἀναγάγῃ τὴν ψυχήν. ἁμαρτωλή τις εὐτέλεια τὴν Σαμαρεῖτιν κατεῖχε, πορνικῷ ἐρρυπαίνετο βίῳ, ἐραστὴν ἐξ ἐραστοῦ μετελάμβανε, γάμον εἶχε τὸν τοῦ ἔρωτος χρόνον, ὕπανδρος ἦν ἐρασταῖς νύμφη, χήρα τις διὰ παντὸς καὶ νεόγαμος· μᾶλλον δὲ οὔτε χήρα καθαρῶς, οὔτε νύμφη. οὔτε γὰρ θανάτῳ τὸν πρῶτον κεχώριστο, οὔτε γάμοις νομικοῖς τοῖς δευτέροις συνήπτετο. τούτου μάρτυς πρὸς αὐτὴν ὁ δεσπότης. καλῶς, φησιν, εἶπας ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. ἀλλ' ἦν μαργαρίτης βορβόρῳ φυρόμενος, καὶ τὸν τοιοῦτον οὐκ ἔλαθεν ἔμπορον. τῆς γὰρ ψυχῆς αὐγὰς ἐδείκνυ τοῖς ῥήμασι. πῶς σύ, φησιν, Ἰουδαῖος ὢν παρ'
B ἐμοῦ πιεῖν αἰτεῖς οὔσης γυναικὸς Σαμαρείτιδος; πῶς σύ; καὶ τό, σύ, θυμουμένης. πῶς ζητεῖς παρ' ἐμοῦ πιεῖν; εἰ μὲν ὡς ταὐτά μοι φρονῶν, ἔσομαί σοι πρὸς τὴν αἴτησιν ἑτοίμος· εἰ δὲ τὰ Ἰουδαίων ποθεῖς, μὴ ζήτει παρ' ἀλλοφύλων δεξίωσιν· μὴ δωρεάν, ὅπερ ἀποφεύγεις, ἀπαίτει. ἐνόμιζεν ἡ Σαμαρεῖτις διὰ τὴν τῆς δίψης ἀνάγκην, τὸν κύριον Σαμαρειτικῇ σαγηνεύειν λατρείᾳ. οὐκ ᾔδει δὲ δεσμουμένη τοῖς ῥήμασιν. ἐδέδετο γὰρ τῇ πρὸς τὸν κύριον ἀποκρίσει, μᾶλλον δὲ ταῖς παρὰ τοῦ κυρίου πρὸς αὐτὴν φωναῖς· εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. ἐπειδή μου, φησι, διασύρεις τὴν δίψαν, καὶ καλεῖς Ἰουδαῖον πρὸς ὑμᾶς ἀκοινώνητον, μάθε πολὺ τῆς ἐπ' ἐμοὶ σφαλλομένη δοκιμασίας. οὐκ οἶδάς μου τὴν ἀληθῆ γενεάν, οὐκ οἶδας τὴν παρ'
C ἐμοῦ φιλοτιμίαν οὖσαν πολλήν, οὐκ οἶδας οἷα εὔερια τῆς πηγῆς παρ' ἐμοί. εἰ γὰρ ᾔδεις, ᾔτησας ἄν. νῦν δὲ ἀγνοοῦσαν οὐ μέμφομαι, αἰτησάσῃ δὲ δίδωμι. πρὸς ὄρεξιν δίψης τὴν μὴ διψῶσαν κινεῖ, πρὸς χρείαν ποτοῦ τὴν ποτίζουσαν στρέφει· τέτρωτο γοῦν τοῖς λόγοις τὸ γύναιον, καὶ τῷ τοῦ ὕδατος πόθῳ ἥλω. προσπεσοῦσα γὰρ πρὸς τὸν κύριον ἔλεγε, κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. ἡ τὸ πρὶν ποτίζειν ἠξιωμένη, νῦν ἀξιοῖ ποτισθῆναι. αἱ γὰρ εὐγενεῖς γνῶμαι εὐγεώργητοι τυγχάνουσιν· οἵα τις ἦν ἡ τῆς μακαρίας ταύτης Σαμαρείτιδος γνώμη, οἷος ὁ τρόπος κεκαθαρμένος ἀκανθῶν ἀπιστίας, οὐκ ἔχων Ἰουδαϊκὴν βασκανίαν. αὕτη γὰρ τὸν Μεσσίαν προσδοκῶσα, καὶ τυχοῦσα τῆς αὐτοῦ θεϊκῆς διδασκαλίας, ἐπίστευσεν εἰλικρινῶς· καὶ οὐ μόνη
D τὸ δῶρον κατέσχεν, ἀλλὰ καὶ τοὺς ἑαυτῆς πολίτας ἔπεισε πρὸς αὐτὸν δραμεῖν, ἀποστολικῶς κηρύξασα· δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα, ὅσα ἐποίησα. μήτι οὗτός ἐστιν ὁ Χριστός; ὢ γυναικὸς σοφοῦ· ἠπίστατο ὅτι γυνὴ ἀπαράδεκτός ἐστιν μαρτυρίαν· διὰ τοῦτο τοὺς ἄνδρας τῆς πόλεως αὐτῆς ἐπισπᾶται μάρτυρας, ἵνα πολλῶν πρόξενος σωτηρίας γένηται. φησὶν οὖν ὁ εὐαγγελιστής, ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ· τῇ
E τε γυναικὶ ἔλεγον, ὅτι οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν. ἡμεῖς γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. εἶδες, ἀγαπητέ, τοῦ Χριστοῦ τὴν δίψαν, καὶ πῶς βρῶμα καὶ πόμα τὴν σωτηρίαν εἶχε τῶν πιστευόντων ἐπ' αὐτῷ; ἐμὸν γάρ, φησι, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με πατρός, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. τούτου χάριν διψῶν ποτίζει τὴν Σαμαρεῖτιν ὕδωρ, ἀντλήσασα δὲ αὕτη ἐπέδωκε δαψιλῶς τοῖς πολίταις αὐτῆς ἀφθόνως τὴν τοῦ κυρίου δωρεάν. διὰ ταύτης ὁ τοῦ Ἀβραὰμ δῆμος Σαμαρειτικῆς γνώμης δυσμαθέστερος. τοῖς μὲν γὰρ οὐδὲ τὰ παρὰ τὸν ναὸν ὠφέλει μαθήματα·

A τῇ δὲ καὶ ἡ παρὰ τὸ φρέαρ διάλεξις ὠφέλει. προσελθώμεθα τοίνυν τὰ τῆς Σαμαρείτιδος εἰς ἑαυτοὺς καλὰ, ζῆλον οἰκειωσώμεθα θεῖον, φιλομαθίαν ποθήσωμεν εὐγνώμονα ἡμεῖς. κἂν ἐν ἐκκλησίᾳ διαλεγώμεθα τὰ θεῖα, νομίσωμεν καὶ πρὸς ἡμᾶς λέγεσθαι τὸ πρὸς ἐκείνην παρὰ τοῦ δεσπότου Χριστοῦ, τοὺς προσκυνοῦντας τὸν θεὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

huic vero ad puteum habita alloquutio profuit. Samaritanæ ergo bona nobis attrahamus, studium illud divinum imitemur, probamque illam discendi cupidinem. In ecclesia saltem de divinis colloquamur: nobis dictum putemus illud Christi Samaritanam alloquentis: Adorantes Deum in Spiritu & veritate oportet adorare. Joan. 4. 23. Ipsi gloria & imperium in sæcula sæculorum, amen.

## B Εἰς τὴν γυναῖκα τὴν ἁμαρτωλὸν τὴν ἀλείψασαν τὸν κύριον μύρῳ, καὶ εἰς τὸν Φαρισαῖον. τῇ ἁγίᾳ καὶ μεγάλῃ δ΄.

ΙΚΑΝΩΣ ἡμᾶς πρώην ἐψυχαγώγησεν ὁ Χριστὸς παρὰ Ζακχαίῳ ἑστιώμενος. ὅπου γὰρ Χριστὸς ἑστιᾶται, καὶ τοῖς ἀνθρώποις συνανακλίνεται, καὶ τόπου καὶ τραπέζης ἀπολαύει τῆς ἡμετέρας, πάντα πρὸς τὸν τῆς εὐφροσύνης μετάγεται λόγον. τίς γὰρ τελωνῶν, ἢ πορνῶν, ἢ τῶν τὰ ἄῤῥητα ἐργασαμένων δεινὰ, τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ὑπεισελθόντα τελωνικὴν βλέπων, καὶ τὸν τῶν σταχύων δοτῆρα ἄρτον ἀνθρώπινον μετὰ χεῖρας λαμβάνοντα, καὶ τὸν τῶν βοτρύων χορηγὸν τῇ κοινωνίᾳ τοῦ πότου σὺν ληνοῖς εὐλογοῦντα, μὴ ἑορτὴν καὶ πανήγυριν θέσθαι τὸ πρᾶγμα δικαιώσειεν; αὕτη ἀληθῶς ἑορτὴ, αὕτη ἀληθῶς ἀγγελικῆς ἑστιάσεως εὐφροσύνη, τὸ τὸν δεσπότην C μετὰ δούλων, τὸν θεὸν μετὰ ἀνθρώπων, τὸν δικαστὴν μετὰ τῶν ὑπευθύνων ὁρᾶν κοινῆς ἀπολαύοντα τραπέζης. διὰ τοῦτο γὰρ ἐπὶ γῆς ἦλθεν, οὐκ ἔρημον καταλιπὼν τὸν οὐρανὸν, καὶ ἄνθρωπος γέγονεν, οὐκ ἀποδὺς τὸ εἶναι θεὸς, ἵνα καὶ τὴν θάλασσαν πλέων, τοὺς εἰς τὸ βιωτικὸν χειμαζομένους πέλαγος ἐκ τοῦ βυθοῦ ἀνασύρῃ τῆς ἁμαρτίας, καὶ κώμας καὶ πόλεις περιϊὼν, στενωπούς τε καὶ ἀτράποις καὶ δρόμοις περιτρέχων, τοὺς ἐν ταῖς τριόδοις πλανωμένους, ὡς ἀποίμαντα πρόβατα, ἐπὶ τὴν ἰδίαν ἐπαναγάγηται ποίμνην. αὐτὸς γάρ ἐστιν ὁ τὸ ἀπολωλὸς πρόβατον ἐπιζητῶν, ὁ τὰ ἐννενήκοντα ἐννέα καταλιπὼν, καὶ περὶ τὴν τοῦ ἑνὸς παραγγυόμενος ζήτησιν. ἐζήτει γὰρ τὸ ἓν, οὔτε τῶν πολλῶν καταφρονῶν, οὔτε τοῦ πλήθους τὸ ἓν προκρίνων· ἀλλὰ τὰ μὲν ἐννενήκοντα ἐννέα κατελίμπανεν· εἶδε γὰρ ἀσφαλῶς αὐτὰ ἐν τῇ μάνδρᾳ αὐλίζεσθαι· τὸ δὲ ἓν περιϊὼν ἐζήτει, ἵνα μὴ θοίνη τῷ διαβόλῳ D γένηται. πρόβατον γὰρ ἀποίμαντον θηρσὶν ἕτοιμον δεῖπνον· καὶ ψυχὴ ἀσφράγιστος, δαίμοσιν εὐεπιβούλευτος. ὅθεν πρώην τὸν Ζακχαῖον, ὡς πρόβατον ἐκ στόματος λύκου, ἀφήρπασε, καὶ τῇ μάνδρᾳ συνέμιξε, καὶ σφραγῖδος ἠξίωσεν. ὡς γὰρ ποιμὴν πρόβατον ἀποπλανηθὲν θηρᾶσαι θέλων, χειροήθες ζῶον ἐᾷ, ἵν' ἀπολύτως νεμόμενον τὸ ἀποπηδῆσαν ἑλκύσῃ θρέμμα· οὕτω καὶ ὁ τοῦ θεοῦ λόγος τὴν σάρκα, ἣν ἐκ τῆς παρθένου ἀνέλαβεν, ὡς πρόβατον ἐν νομῇ, ἐν τῇ τραπέζῃ Ζακχαίου ἀφῆκεν, ἵνα τῷ κοινῷ τῆς ἑστιάσεως νόμῳ ἑλκύσας αὐτὸν πρὸς συνουσίαν, λανθανόντως τῇ οἰκείᾳ συζεύξῃ ποίμνῃ. ἀλλὰ τοῦτο μὴ συνιέντες οἱ Φαρισαῖοι ἐγόγγυζον, ὁρῶντες αὐτὸν μετὰ τελωνῶν ἐσθίοντα· ἀλλ' ἐκεῖνοι μὲν, ὡς ἀσκὸς παλαιὸς, διαῤῥηγνύσθωσαν· οὐ γὰρ δύνανται τὸν E νέον τῆς διδασκαλίας οἶνον δέξασθαι· ἡμεῖς δὲ κατόπιν τοῦ φιλανθρώπου βαδίσωμεν ποιμένος. ὁ γὰρ Ζακχαῖον τὸν τελώνην τῇ τῶν ἀποστόλων συνάψας ποίμνῃ, αὐτὸς καὶ τὴν πόρνην τὴν ἁμαρτωλὸν, τὴν μυρίων κακῶν ἐργάτιν, ἐκ τοῦ φάρυγγος τοῦ διαβόλου, ὡς ἀμνάδα, ἑλκύσας, τῇ ἀνεπηρεάστῳ ἀπέδωκε μάνδρᾳ. ἵνα δὲ γνῶτε καὶ τὴν τοῦ Χριστοῦ φιλανθρωπίαν, καὶ τῶν Φαρισαίων τὴν ἀλογίαν, καὶ τῆς ἁμαρτωλοῦ τὴν παλινῳδίαν, αὐτὰς ὑμῖν τὰς εὐαγγελικὰς παραθήσομαι ῥήσεις. ἐὰν γὰρ τοῦ ὕφους τοῦ ἀναγνώσματος ὑπακούσητε, ῥᾳδίως καὶ τῆς ἑρμηνείας τὴν ἔννοιαν ἀναλάβητε. ἠρώτα δέ, φησί, τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ·

## *In mulierem peccatricem, quæ unxit Dominum unguento, & in Pharisæum, in Sancta & magna feria IV.* Luc. 7. 36.

SATIS vos nuper recreavit Christus apud Zacchæum convivatus. Ubi enim Christus convivatur, ac cum hominibus recumbit, atque ejusdem loci & mensæ nobiscum particeps est, ad lætitiam omnia vertuntur. Quis enim publicanus, quæ meretrix, vel quis ingentia operatus mala, cæli terræque conditorem videns in publicani domum ingressum, & spicarum datorem humanum panem manibus accipientem, uvarumque largitorem ex potûs consortio torcularibus benedicentem, id non festum & celebritatem jure dici censuerit? Hoc vere festus dies est, hoc vere angelici convivii gaudium; quod Dominus cum servis, Deus cum hominibus, judex cum reis communis mensæ consors videatur. Ideoque enim in terram venit, non deserens cælum; & factus est homo non exuens divinitatem, ut in mari ambulans, eos qui in vitæ pelago fluctibus agitabantur, a peccato retraheret: ac vicos & urbes circumiens, angiportus, vias & cursus peragrans, eos qui in triviis errabant quasi oves sine pastore, in proprium suum ovile reduceret. Ipse enim est qui ovem perditam quærit, qui nonaginta novem relinquit ad unius perquisitionem. Unam enim quærebat, non quod alias multas despiceret, nec quod unam gregi anteferret. Sed nonaginta novem relinquebat; sciebat enim has tuto in caula versari; sed unam circumeundo quærebat, ne esca diaboli fieret. Ovis enim sine pastore, feris paratum prandium est: animaque non obsignata, dæmonum patet insidiis. Quamobrem nuper Zacchæum ut ovem ex ore lupi abripuit, in caulam immisit & signaculo dignatus est. Quemadmodum enim pastor qui errantem quærit ovem, aliud animal tractabile relinquit, ut libere pascens, vagabundam ovem pertrahat; sic & Dei Verbum carnem quam ex Virgine assumsit, quasi ovem in pascuis, in mensa Zacchæi reliquit, ut ex communi convivio ad consortium alliciens, sensim & quasi clanculum ovili ipsum adjungeret. Sed hoc non intelligentes Pharisæi murmurabant, videntes illum cum publicanis edentem. Verum illi quidem, utpote utres veteres, dirumpantur; non enim possunt novum doctrinæ vinum excipere; nos vero post benignum illum pastorem incedamus. Ille enim qui Zacchæum publicanum apostolorum gregi adjungit; meretricem quoque, mille malis obnoxiam, ex diaboli faucibus avulsam, intemerato ovili restituit. Ut vero Christi benignitatem, Pharisæorum insaniam edidicatis, necnon peccatricis mulieris palinodiam; ipsas vobis evangelii voces apponam. Nam si lectionis seriem audiatis, facile sensum dictorum percipietis. *Rogabat*, inquit, *Jesum quidam Pharisæorum, ut manducaret cum illo*: Ibidem.

*& ingressus domum Pharisæi discubuit.* O gratiam inenarrabilem! o benignitatem ineffabilem! cum Pharisæo convivatur, & publicanum non repellit; meretrices admittit, Samaritanos alloquitur, Chananæam responsione dignatur, & hæmorrhoïssæ fimbriam concedit! Etiam: medicus enim est, omnesque curat ægritudines, ut omnibus prosit, malis & bonis, ingratis & gratiam referentibus. Quapropter nunc a Pharisæo invitatus, in domum ingreditur, hactenus malis refertam. Ubi enim Pharisæus erat, ibi nequitiæ officina, peccatorum receptaculum, arrogantiæ exspectatio. At etiamsi domus illius hac conditione esset, non dedignatur accedere Dominus: ac jure quidem. Quemadmodum enim sol non læditur, cum radios suos in lutum immittit; imo etiam ingratam ejus fœditatem abstergit, nihil ex illo mutuans; sic & Christus ut sol justitiæ omnem exsecrandum & turpem locum invadit, ac fœtidum peccatum bonitatis suæ radiis absumit, non contumelia affectus secundum divinitatis rationem, non imminutionem, non fœditatem passus. Quamobrem Pharisæo invitanti facile annuit; idque pacate, nec vitam ejus redarguens; primo ut invitates sanctificaret, atque invitantem, familiam, & ciborum lautitiam: deinde ut ostenderet incarnationem non esse phantasiam, eo quod discubuerit, comederit, biberit, cibos absumserit. Alioquin vero quia meretrix adventura erat, ac fervidum illum ardentemque pœnitentiæ modum ostensura, invitanti Pharisæo statim annuit; ut illa coram Scribis & Pharisæis sua deplorans mala, doceret eos quomodo oporteat peccatores de peccatis suis gementes Deum
Luc. 7. 37. placare. *Ecce*, inquit, *mulier in civitate, quæ erat peccatrix.* Mulier peccatrix, primum diaboli rete, inductio ad errorem, transgressionis magistra; auxiliatrix quidem, sed quæ inimica comprobatur: quæ naturâ quidem pulcra est, proposito autem improba deprehenditur, mortis causa, quæ ligni pulcritudinem ostendit, & totum paradisum perdidit. *Et ecce mulier*, inquit, *in civitate, quæ erat peccatrix*: Evæ pondera gestans, & multis onusta malis. Priorum ejus malorum copiam dicam, ut larga ipsi collata dona noscatis. Deus ex Adami latere os assumens, ipsumque carne vestiens, Evam efformavit, quam mulierem vocatam Adamo adjutricem dedit. Sed postquam peccavit & legem transgressus ejectus est ex paradiso, ac mortem in ultionem accepit; ne genus morte absumtum funditus interiret, connubium cum morte pugnat; ut illud seminet, hæc metat; hæc secet, illud germinet. Quod autem postquam morti subjecti fuerant, connubii gratia data sit; hinc palam est, quod Adam postquam egressus est ex paradiso Evæ copulatus sit. Scriptum est enim:
Gen. 4. 1. *Postquam exierat ex paradiso, tunc cognovit Adam uxorem suam.* Ante peccatum ergo virginitas erat, quæ naturæ vestem impollutam servabat. Post transgressionem vero, post latam sententiam mortis, nuptiæ inductæ sunt, quæ semper pullulando exhaurientem mortem vincerent, & germinando metentem superaret. Quoniam ergo lex nuptiarum ad successionem generis & augmentum naturæ data est: illa viro voluptatem inseruit: femina vero blanditias admovit; non ut amasiorum more ad coïtum excitarentur, sed ut legitimo connubio copularentur. Quamobrem legitima connubii mixtio honorabilis est apud Deum; ea vero quæ volupta-
Hebr. 13. 4. tis gratia exercetur, morti subjicitur. Nam *honorabile connubium & torus immaculatus. Fornicatores autem & adulteros judicabit Deus.* Quæ igitur prolis gratia viris legitime copulantur, sine crimine sunt, ut Sara, Rebecca, Rachel, & si quæ aliæ similes: quæ vero

A καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου, ἀνεκλίθη. ὢ χάριτος ἀφράστου, ὢ φιλανθρωπίας ἀρρήτου· καὶ Φαρισαίῳ συνεστιᾶται, καὶ τελώνας οὐκ ἀποσείεται, καὶ πόρνας προσδέχεται, καὶ Σαμαρείταις διαλέγεται, καὶ Χαναναίαν λόγου ἀξιοῖ, καὶ τῇ αἱμοῤῥοούσῃ τὸ κράσπεδον παραχωρεῖ, ναί· ἰατρὸς γάρ ἐστι, πάντων ἐφαπτόμενος τῶν παθῶν, ἵνα πάντας ὠφελήσῃ, πονηροὺς καὶ ἀγαθοὺς, ἀχαρίστους καὶ εὐγνώμονας. ὅθεν καὶ νῦν ὑπὸ τοῦ Φαρισαίου κληθεὶς, εἰσέρχεται εἰς οἰκίαν τὴν τέως μεστὴν κακῶν· ὅπου γὰρ Φαρισαῖος, ἐκεῖ πονηρίας ὁρμητήριον, ἁμαρτίας καταγώγιον, ὑπεροψίας ὑποδοχή. ἀλλὰ καὶ οὕτως αὐτοῦ διακειμένης τῆς οἰκίας, οὐκ ἀπαξιοῖ παραγενέσθαι ὁ κύριος· καὶ εἰκότως. ὥσπερ γὰρ ἥλιος οὐ καταβλάπτεται, βορβόρῳ τὰς οἰκείας ἀκτῖνας ἐπιβάλλων·
B ἀλλὰ τοὐναντίον καὶ τὴν ἐνοῦσαν ἀηδίαν ἀπομαράνεται, μηδὲν αὐτοῦ σφετεριζόμενος· οὕτω καὶ ὁ Χριστὸς, ὡς ἥλιος δικαιοσύνης, πάντα ἐναγῆ καὶ βέβηλον τόπον καταλαμβάνει, καὶ τὴν δυσώδη ἁμαρτίαν ταῖς ἀκτῖσιν αὐτοῦ τῆς ἀγαθότητος ἀναλίσκει, οὐχ ὕβριν, οὐ μείωσιν, οὐ μολυσμὸν ὑπομένων κατὰ τὸν τῆς θειότητος λόγον. ὅθεν ἐπένευσεν εὐκόλως τῷ Φαρισαίῳ καλοῦντι, ἠρεμῶν, σιωπῶν, ἀνεξέλεγκτον αὐτοῦ τὸν βίον ἀφείς· πρῶτον μὲν ἵνα ἁγιάσῃ τοὺς κληθέντας, τὸν καλέσαντα, τῆς οἰκίας τὸ σύστημα, τῆς πολυτελείας τὰ βρώματα· ἔπειτα δεικνὺς, ὡς οὐ φάσμα ἦν ἡ ἐνανθρώπησις, ἐκ τῆς ἀνακλίσεως, τῆς βρώσεως, τῆς πόσεως, τῆς τῶν σιτίων δαπάνης. ἄλλως δὲ, ἐπειδὴ ἔμελλεν ἡ πόρνη προσιέναι, καὶ τὸν θερμὸν ἐκεῖνον καὶ διάπυρον τῆς μετανοίας δεικνύναι τρό-
C πον, διὰ τοῦτο καλοῦντι τῷ Φαρισαίῳ ἐπινεύει ταχέως· ἵνα ἐνώπιον τῶν γραμματέων καὶ Φαρισαίων τὰ οἰκεῖα ἐκτραγῳδήσασα κακὰ, διδάξῃ αὐτοὺς, πῶς δεῖ τοὺς ἁμαρτωλοὺς ἐπὶ ταῖς ἁμαρτίαις στενάζοντας ἐξευμενίζεσθαι τὸν θεόν. ἰδοὺ γάρ, φησι, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. γυνὴ, ἡ ἁμαρτωλὸς, τὸ πρῶτον δίκτυον τοῦ διαβόλου, ἡ τῆς πλάνης εἰσαγωγὴ, ἡ τῆς παραβάσεως διδάσκαλος, ἡ βοηθὸς μὲν γενομένη, πολεμία δὲ ἀναδειχθεῖσα, ἡ γενομένη μὲν φύσει καλὴ, ἐκ προαιρέσεως δ' ἀποδειχθεῖσα κακὴ, ἡ θανάτου πρόξενος, ἡ τὸ κάλλος τοῦ ξύλου δείξασα, καὶ ὅλον τὸν παράδεισον ἀπολέσασα. καὶ ἰδοὺ γυνή, φησιν, ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς, τὰ τῆς Εὔας φέρουσα βάρη, καὶ πολλοῖς κακοῖς βεβριθυμένη. ἐρῶ δὲ αὐτῆς τῶν προτέρων
D κακῶν τὴν δαψίλειαν, ἵνα γνῶτε αὐτῆς τὴν πολυτέλειαν. ὁ θεὸς ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ὀστέον λαβὼν, καὶ τοῦτο σαρκώσας τὴν Εὔαν εἰργάσατο, ἣν καὶ γυναῖκα καλέσας, ἔδωκε βοηθὸν τῷ Ἀδάμ. ἀλλὰ μετὰ τὸ ἁμαρτεῖν, καὶ παραβῆναι τὸν νόμον, καὶ ἐκβληθῆναι τοῦ παραδείσου, καὶ θάνατον τὸ ἐπιτίμιον λαβεῖν, ἵνα μὴ τῷ θανάτῳ δαπανώμενον ἄρδην τὸ γένος ἀπόληται, γάμον ἐπιστρατεύει τῷ θανάτῳ· ἵν' ὁ μὲν σπείρῃ, ὁ δὲ θερίζῃ· ὁ μὲν τέμνῃ, ὁ δὲ βλαστάνῃ. καὶ ὅτι μετὰ τὸ ὑποβληθῆναι τῷ θανάτῳ, ἡ τοῦ γάμου ἐδόθη χάρις, δῆλον ἐκ τοῦ τὸν Ἀδὰμ μετὰ τὴν ἔξοδον τοῦ παραδείσου συναφθῆναι τῇ Εὔᾳ. γέγραπται γὰρ, ὅτι μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ παραδείσου, τότε ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ. πρὸ τῆς ἁμαρτίας οὖν παρθενία ἦν, ἀμόλυντον τηροῦσα τὸν χιτῶνα τῆς φύσεως· μετὰ δὲ τὴν παράβασιν, μετὰ τὴν τοῦ θανάτου ἀπόφασιν, ὁ γάμος ἀν-
E τεισήχθη, ἵνα ἀντλοῦντα τὸν θάνατον νικήσῃ βρύων, καὶ τρυγῶντα ἡττήσῃ φύων. ἐπεὶ οὖν ἐπὶ διαδοχῇ τοῦ γένους καὶ ἐπὶ αὐξήσει τῆς φύσεως ὁ τοῦ γάμου ἐδόθη νόμος, τῷ μὲν ἀνθρώπῳ ἡδονὴν ἔσπειρε, τὸ δὲ θῆλυ θωπευτικὸν ἐποίησεν· οὐχ ἵνα ἑταιρικῶς πρὸς μίξεις ἐρεθίζωνται, ἀλλ' ἵνα ἐννόμως πρὸς γάμον συνάπτωνται. ὅθεν ἡ μὲν ἔνθεσμος τοῦ γάμου μίξις, τιμία παρὰ τῷ θεῷ, ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν ἐκτελουμένη, θανάτῳ ὑποβέβληται. τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. αἱ οὖν χάριν παιδογονίας ἐννόμως τοῖς ἀνδράσι μιγνύμεναι ἀνέγκλητοί εἰσιν, ὥσπερ ἡ Σάῤῥα, καὶ ἡ Ῥεβέκκα, καὶ ἡ Ῥαχὴλ, καὶ εἴ τις ἄλλη ἀπ' αὐτῆς·

αἱ δὲ λόγῳ ἡδυπαθείας τοὺς νέους πρὸς ἀκολασίαν διεγείρουσαι, ὡς φθείρουσαι τὸν ναὸν τοῦ θεοῦ, παραδίδονται φθορᾷ· εἴ τις γάρ, φησι, φθείρει τὸν ναὸν τοῦ θεοῦ, φθερεῖ τοῦτον ὁ θεός· ὧν καὶ αὕτη μία ἦν, ἡ μικρῷ πρότερον ἁμαρτωλός. τὴν γὰρ φύσιν καπηλεύσασα, καὶ τῇ ἔξωθεν βαφῇ τὰς παρειὰς φοινίττουσα, καὶ τέχνῃ βιαζομένη φαίνεσθαι καλή, τοὺς νέους πρὸς ἀκολασίαν ὑπέσυρεν, αὐτοὺς εἰς τὸ τῆς πορνείας ἀποκλείουσα βάραθρον. ταῦτα λέγω οὐ κωμῳδῶν αὐτὴν ἐφ' οἷς ἔδρασε πρίν, ἀλλ' ἐπαινῶν αὐτήν, ἀφ' οἵων οἷα γέγονεν ἄφνω. λέγω γὰρ τί ἦν, ἵνα δείξω, τί γέγονε νῦν. λέγω αὐτῆς τῆς ἁμαρτίας τὰ πταίσματα, ἵνα δείξω τῆς μετανοίας τὰ κατορθώματα. ἀλλ' αὕτη ἡ τῷ σώματι * ἀμέμπτως χρησαμένη τὸ πρίν, τοὺς μὲν διὰ βοστρύχων σαγηνεύουσα, τοὺς δὲ διὰ δακρύων φαρμάττουσα, τοὺς δὲ δι' ἀλείμματος γοητεύουσα· πάντας δὲ πάντοθεν ἐπὶ τὸν βόρβορον τῆς ἀκολασίας προσκαλουμένη, τὸν αἰσχρὸν αὐτῆς καὶ ἡδυπαθῆ ἔρωτα εἰς θεῖον καὶ ἐπουράνιον μεταβάλλει φίλτρον. ὡς εἶδε γὰρ Ἰησοῦν, ποτὲ μὲν ἀδεῶς τῇ Σαμαρείτιδι διαλεγόμενον, ποτὲ δὲ τὴν Χαναναίαν προσιέμενον, ἄλλοτε τῆς αἱμορροούσης ἀνακηρύττοντα τὴν κλοπήν, καὶ πῇ μὲν τελώναις συνεσθίοντα, πῇ δὲ τῶν Φαρισαίων τοὺς οἴκους καταλαμβάνοντα, ἐλογίσατο εἰ πόρνας, καὶ τελώνας καὶ ἁμαρτωλοὺς προσίεται, μέχρι πότε ἀκαθέκτως οἰστρῶσα τὸ τῆς ἁμαρτίας πέλαγος ἀντλῶ; οὐ μένω νέα, οὐ μένω καλή. πάντα γὰρ παρέρχεται, πάντα μαραίνεται, καὶ ἄνθη, καὶ κρίνα, καὶ τῶν προσώπων τὰ κάλλη. τί οὖν πάθω ἐφ' οἷς ἔδρασα; ἤδη γὰρ τὸ τῆς γεέννης πῦρ ἐννοῶ· ἤδη μου τὴν ψυχὴν μετάγνωσις λαμβάνει, ὅτι ἐπ' ὀλέθρῳ τῶν νέων βιαζομένη φαίνεσθαι καλή, ἐν τῇ ἀγυιᾷ τῆς πόλεως, ἐν ταῖς ἀγοραῖς, ἐν ἀμφόδοις ἔτρεχον, δίκτυον μὲν τοὺς πόδας ἔχουσα, καὶ σαγήνην τὴν γλῶσσαν. ὢ πόσους νεανίσκους κατέθελγον, βλαστὸν ἀναιδείας βλέμμα περιφέρουσα; ἐπὶ λύμῃ γὰρ τῶν θεατῶν ὡραϊζομένη, πῇ μὲν πολυπλόκοις σειραῖς τὴν κεφαλὴν ἐπύργουν· πῇ δὲ νομάδας πλοκάμων ἐκ κορυφῆς εἴων κατὰ μετώπου πλανᾶσθαι· ἄλλοτε δὲ τὰς παρειὰς ἐφοίνιττα, καὶ τοὺς ὀφθαλμοὺς κατέγραφον, καὶ ἄλλοτε δακρύων λιβάδας ἠφίουν, τῇ κολακείᾳ ἐκτραχηλίζουσα τὴν ψυχήν. τίς οὖν ἐπὶ τούτοις γένωμαι; τίνα ἰατρὸν εὕρω τῶν ἀπείρων τούτων παθῶν; ἐὰν ἀνθρώποις τὰ κατ' ἐμαυτὴν εἴπω, ἀνωφελής μοι γίνεται τῆς ἐξαγορεύσεως ὁ τρόπος. ἀλλὰ καλύψω τὰ κακά; ἀλλ' οὐ δύναμαι λαθεῖν. τίνα γὰρ λάθω, λαθεῖν μὴ δυναμένη; ποῦ οὖν φύγω, πανταχοῦ τὸν δικαστὴν εὑρίσκουσα, τὸν μὴ φαινόμενον μέν, πανταχοῦ δὲ διελέγχοντά μου τὰ κακά; μία μοι σωτηρίας ἀπολέλειπται ἐλπίς, ἕν μοι ἐφόδιον πρόκειται ζωῆς, τὸ τὸν Ἰησοῦν ἐπιγνῶναι, καὶ αὐτῷ προσδραμεῖν. ὁ γὰρ τελώνας προσδεχόμενος, οὐκ ἀπαναίνεται πόρνην· ὁ Φαρισαίοις συνεσθίων, οὐ παραιτεῖται τῆς ἁμαρτωλοῦ τὰ δάκρυα. ἐπεὶ οὖν ἔγνων, ὡς παρὰ Σίμωνι Φαρισαίῳ κατάγεται ἀνδρὶ λαμπρῷ καὶ ἁμαρτωλῷ, δραμοῦμαι πρὸς αὐτόν. ἀλλὰ τί αἰτήσω προσελθοῦσα; ὀφθαλμῶν ὑγίειαν; ἀλλὰ πρόσκαιρος ἡ χάρις. νόσου ἀπαλλαγήν; ἀλλὰ μικρὸν τὸ κατόρθωμα. ὁ γὰρ αἰώνιος θάνατος τοῦ παρόντος ἐστὶ βαρύτερος. πάντα παρεῖσα τὰ τοῦ σώματος, τὸ τῆς ψυχῆς ἐπιζητήσω ἴαμα. μίαν γὰρ εὑρίσκω λύσιν τῶν ἐπηρτημένων κακῶν, ἐὰν τὸν δικαστὴν ἴδω, ἐὰν προλάβω τῆς κολάσεως τὸν καιρόν. μιμήσομαι Ῥαὰβ τὴν πόρνην, γυναικὸς τὸν ἐνάρετον μεταδιώξω τρόπον. οὐδὲν γὰρ παρ' ἡμῶν βούλεται θεὸς ἢ γνώμης ἐναλλαγήν. ταῦτα εὐσεβῶς ἐπισκεψαμένη, καὶ τὴν διάνοιαν πρὸς πίστιν ἐπαλείψασα ἐπεισέρχεται τῷ Ἰησοῦ, ὅπου ἀνέκειτο, τὴν προτέραν ἀναίδειαν εἰς ὑπόθεσιν παρρησίας λαβοῦσα. καὶ λέγει μὲν οὐδέν· οὐ γὰρ ἐτόλμα. ᾔδει γάρ, ὡς ὁ τῶν λογισμῶν ἔφορος οὐ δεῖται λόγων. τί γὰρ εἰπεῖν εἶχε τῷ πάντα εἰδότι; ὅτι ἥμαρτεν; ὅτι πολλῶν κακῶν ἐργάτις γέγονεν; ὅτι ἐρῶσα καὶ ἐρωμένη τὴν πάνδημον ἡδονὴν ἐθεράπευσε; ταῦτα θεῷ δῆλα ἦν, οὐ πραττόμενα μόνον, ἀλλὰ καὶ ἐν τῷ ἀφανεῖ τῆς ψυχῆς βουλευτηρίῳ γινόμενα. εἰδυῖα οὖν ὡς πάντα οἶδε,

voluptatis gratia juvenes ad libidinem provocant, utpote quæ templum Dei violaverint, corruptioni traduntur: *Si quis* enim, inquit, *violaverit templum Dei, disperdet illum Deus.* (1. Cor. 3. 17.) Ex quorum numero erat ea, de qua agimus, peccatrix. Naturam quippe in negotiationem vertens, fuco genas rubricans, & arte formosa videri studens, juvenes ad lasciviam alliciebat, ipsosque in fornicationis barathrum immittebat. Hæc dico non ut illam traducam pro iis quæ ante fecerat; sed ut laudem de repentina mutatione. Dico enim quæ fuerit, ut ostendam quæ postea facta sit. Narro ejus peccata & flagitia, ut demonstrem pœnitentiæ præclara gesta. Verum hæc quæ sine verecundia corpore antea utebatur, alios per cincinnos capiens, aliis per lacrymas blandiens, alios pigmentis fascinans, omnesque undique in lasciviæ cœnum advocans, turpem & lubricam cupiditatem in divinum & cælestem transfert amorem. Ut enim vidit Jesum modo libere & aperte Samaritanam alloquentem, modo Chananæam admittentem; alias hæmorrhoissam celebrantem ob furtum: & modo cum publicanis convivantem; modo Pharisæorum domos adeuntem; secum reputavit, Si meretrices, publicanos & peccatores admittit; usquequo libidine intemperanter ardens, peccati mare exhaurio? Non juvenis, non pulcra manebo; omnia quippe transeunt, omnia marcescunt, flores, lilia, vultus forma. Quid ergo pro factis patiar? jam enim gehennæ ignem cogito; jam animam meam resipiscentia invadit, quia in perniciem juvenum vi & arte pulcra videri curavi: in vicis civitatis, in foro, in biviis currebam, ut reti pedibus utens, linguam in sagenam adhibens. O quot adolescentes illecebris cepi, impudentes oculos circumferens? Nam ad exitium spectatorum culta, modo cincinnis multis caput in turrim erigebam, modo calamistratas comas ex vertice in frontem evagari sinebam, modo genas fuco rubricans, & oculos depingens; modo lacrymarum stillas fundens, blanditiis animam interimebam. Quid jam de me fiet? Quem medicum infinitis morbis reperiam? Si hominibus gesta mea enunciem, inutilis erit mihi hæc confessio. Sed occultabo-ne mala mea? At latere nequeo; quem enim latere possim? Quo fugiam, cum ubique judici occurram, qui non apparet quidem, sed ubique mala mea coarguit? Una mihi spes salutis relicta est: unum mihi viaticum ad vitam prostat, ut Jesum cognoscam & ad ipsum accurram. Nam qui publicanos excipit, non repellet meretricem: qui cum Pharisæis convivatur, peccatricis lacrymas non recusabit. Quia igitur scio ipsum apud Simonem quempiam Pharisæum diversari, virum celebrem & peccatorem, ad illum accurram. Sed quid ab eo petam? oculorum sanitatem? Sed temporanea esset gratia; morbi curationem? Sed hæc non tanta res est: æterna quippe mors est præsenti gravior. Corporea omnia mittens, medelam animæ requiram. Unam quippe video impendentium malorum solutionem, si judicem videam, si ultionis tempus prævertam. Imitabor Rahab meretricem; mulieris virtutem sequar. Nihil enim a nobis requirit Deus, nisi voluntatis mutationem. His pie consideratis, cum animum suum ad fidem incendisset, ad Jesum ingreditur, quo loco ille recumbebat, pristinam impudentiam in fiduciam vertens. Nihilque dicit; neque enim audebat: nam sciebat cogitationum inspectorem non egere verbis. Quid enim poterat ei dicere, qui omnia sciebat? Se peccavisse? se multa mala operatam esse, se & amantem & amatam publicam voluptatem coluisse? Hæc Deo nota erant, non modo facta; sed etiam in intimo cogitata animo. Sciens ergo ipsum omnia nosse,

nihilque ipsum posse latere, lingua quidem silet; sed lacrymis loquitur. *Stans*, inquit, *secus pedes ejus, lacrymis cœpit rigare pedes ejus.* Sed licet linguâ non loqueretur, ineffabilibus gemitibus vociferabatur, cordis contritionem declarans, & de peccatorum multitudine triumphans, absurdas cogitationes, pravas cupiditates, improba facta, iniqua colloquia traducens. Nullum enim erat ex malis quæ fecerat, quod non lacrymis deploraret. Sciebat enim se eorum quæ confitebatur remissionem accipere. Nam ait: *Dixi, confitebor adversum me injustitiam meam Domino, & tu remisisti impietatem cordis mei.* Nec modo silentio loquebatur, cordis gemitibus Domino supplicans, sed & habitu pulcritudinem pœnitentiæ depingebat. Lacrymabatur, ut quæ multum risisset, pulcris lacrymis malum risum abluens: stillis oculorum genarum sordes abluens, ut in quibus peccaverat, in iis amoveretur a malo; in quibus inique egerat, in iis legislatorem placaret. Ut enim David qui lectum illegitimo coitu fœdaverat, sic lacrymis abluit: *Lavabo*, inquit, *per singulas noctes lectum meum: lacrymis meis stratum meum rigabo*; ita & hæc per quos oculos juvenes multos ad lasciviam allexerat, lacrymis fontes emittens, sordes peccatorum lavatu difficiles abluebat: ipsa sibi parans lavacrum pœnitentiæ, lacrymas. Lacrymæ quasi aquam ministrabant: illa vero invisibiliter a Christo peccatorum remissionem accipiebat. Imo vero Abrahamum non imitans modo, sed & superans, pedes Christi lavabat. Ille namque apposito labro aquis abluebat, & linteo abstergebat; hæc vero non hausit aquam, sed lacrymarum fontes emittens, Jesu pedes abluebat. Ne vero lacrymis peccatricibus sanctos pedes contumelia afficeret, pulcris capillis ut linteo usa, abstergebat pedes: videreque erat totam mulierem ad famulatum Jesu incumbentem. Oculi namque superne, ut fontes, lacrymarum rivos emittebant; anima, quasi labrum substrata, stillas ex pedibus defluentes excipiebat, cincinni vero tergebant, lintei officio fungentes. Manus alabastrum unguenti tenentes, divinos pedes ungebant, unguentum unguento colentes: *Unguentum* enim *effusum nomen tuum*, inquit. Vides quomodo ingratos Judæos superaverit mulier peccatrix, divinarum legum ignara. Illi namque lapidibus ipsum impetebant; hæc vero unguenti odore recreabat. Sed Judæi quidem, ut ingrati, stulti & improbi benefico mala retribuebant, lapidibusque salutabant angularem illum lapidem: hæc vero ungebat unguento pedes illos, qui sui causa in sacro ligno crucis una die constituti erant. Et quid dico illam ingratum Judæorum populum vicisse, quando totum etiam sanctorum chorum superavit? Gratiam enim accepit, quam nec reges nec dynastæ consequuti sunt. Nam *Reges Tharsis & insulæ munera offerent, & adorabunt eum omnes reges terræ.* Siquidem secundum prophetam, & dederunt munera & procul adoraverunt. Sed nullus eorum pedes Jesu osculatus est. Quomodo enim venerunt Magi, supplicationis consortem habentes stellam? Verum illi procul stipabant ipsum, ordinis sui modum agnoscentes: *Cœlum enim mihi thronus est*, inquit, *terra vero scabellum pedum meorum.* Laudetur ergo mulier, quæ totius orbis honorem sortita est: pedes immaculatos, quorum pulverem gentes & familiæ lingent; pedes, inquam, immaculatos tetigit. Cum Joanne corpus Christi partita est; ille namque recubuit supra pectus; divinam quippe doctrinam inde oportebat haurire; hæc vero pedes illos qui pro nobis ambulabant excepit. Verum Christus, qui non de peccato judicat, sed pœnitentiam laudat; qui non præterita punit, sed futura explorat, præteritorum ejus malorum non recordatus,

Psal. 31. 5. — Psal. 6. 7. — Cant. 1. 2. — Psal. 71. 10. — Isai. 66. 1.

A καὶ λαθεῖν αὐτὸν δύναται οὐδέν, σιωπᾷ μὲν τὴν γλῶσσαν, λαλεῖ δὲ τοῖς δάκρυσι. στᾶσα γάρ, φησι, παρὰ τοὺς πόδας αὐτοῦ, κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν. ἀλλ' εἰ καὶ μὴ γλώσσῃ ἐλάλει, ἀλλὰ στεναγμοῖς ἀλαλήτοις ἐφθέγγετο, τὸ σύντριμμον τῆς καρδίας ἀνακαλύπτουσα, τὸ πλῆθος τῶν ἁμαρτιῶν θριαμβεύουσα, λογισμούς, τὰς ἐναγεῖς ἐνθυμήσεις, τὰς βεβήλους πράξεις, τὰς παρανόμους ὁμιλίας ἐκπομπεύουσα. οὐδὲν γὰρ ἦν τῶν πεπραγμένων αὐτῇ κακῶν, ὃ μὴ δάκρυσιν ἐξετραγῴδει. οἶδε γὰρ ὅτι ὧν ὡμολόγει τὴν ἀμνηστίαν ἐλάμβανεν. εἶπα γάρ, φησι, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ οὐ μόνον ἀλαλήτως ἐφθέγγετο τοῖς στεναγμοῖς τῆς καρδίας δυσωποῦσα τὸν κύριον, ἀλλὰ καὶ σχή-
B ματι τὸ τῆς μετανοίας διέγραφε κάλλος. ἐδάκρυε μέν, ὡς πολλὰ γελάσασα, τοῖς καλοῖς δάκρυσι τὸν κακὸν ἐκπλύνουσα γέλωτα, ταῖς δὲ ῥανίσι τῶν ὀφθαλμῶν τὸν τῶν παρειῶν ἐκπλύνουσα ῥύπον, ἵνα ἐν οἷς ἥμαρτεν, ἐν τούτοις καὶ * ἀποχορηγήσηται, ἐν οἷς ἠνόμησεν, ἐν τούτοις τὸν νομοθέτην ἐξιλεώσηται. ὥσπερ γὰρ τὴν κοίτην, ἣν ἐκθέσμῳ ἐμίανε συμπλοκῇ, δάκρυσιν ἀπέπλυνεν ὁ Δαυίδ· λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κοίτην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· οὕτω καὶ αὕτη, δι' ὧν ὀφθαλμῶν πολλοὺς τῶν νέων εἰς ἀκολασίαν ὑπέσυρε, δακρύων ἀφεῖσα πηγάς, τὸν δύσπλυτον τῆς ἁμαρτίας ἀπέπλυνε ῥύπον, αὕτη ἑαυτῇ λουτρὸν μετανοίας παραβαλλομένη τὰ δάκρυα. τὰ μὲν γὰρ δάκρυα, ὡς ὕδωρ, ταύτῃ παρεῖχε, τὴν δὲ ἄφεσιν ἀοράτως πα-
C ρὰ τοῦ Χριστοῦ ὑπεδέχετο. ἀλλὰ μὴν καὶ τὸν Ἀβραὰμ τάχα οὐ μιμουμένη μόνον, ἀλλὰ νικῶσα, τοὺς πόδας ἀπέπλυνε τοῦ Χριστοῦ. ὁ μὲν γὰρ νιπτῆρα θεὶς ὕδασιν ἀπέπλυνε, καὶ λεντίῳ κατέμαξεν· αὕτη δὲ οὐχ ὕδωρ ἀντλήσασα, ἀλλὰ κρουνοὺς δακρύων ἀφιεῖσα, τοὺς πόδας ἀπέπλυνε τοῦ Ἰησοῦ. φεισαμένη δὲ μὴ δάκρυσιν ἁμαρτωλοῖς ἁγίους ἐνυβρίσῃ πόδας, τὸ τῶν τριχῶν κάλλος, ὡς λέντιον ὑποβάλλουσα, ἀπέμαξε τοὺς πόδας. καὶ ἦν ἰδεῖν ὅλον δι' ὅλου τὸ γύναιον πρὸς θεραπείαν τοῦ Ἰησοῦ καμπτόμενον. οἱ μὲν γὰρ ὀφθαλμοὶ ἄνωθεν, ὡς κρῆναι, δακρύων ἔπεμπον ὀχετούς· ἡ δὲ ψυχή, ὥσπερ νιπτήρ, ὑποκειμένη, τὰς ἐκ τῶν ποδῶν ἀποσταζούσας ἐδέχετο ῥανίδας· οἱ δὲ πλόκαμοι ἀπέμαξον, λεντίου πληροῦντες σχῆμα· αἱ δὲ χεῖρες τὸ ἀλάβαστρον τοῦ μύρου κατέχουσαι, τοὺς
D θείους ἤλειφον πόδας, μύρῳ τὸ μύρον τιμῶσαι. μύρον γάρ, φησιν, ἐκκενωθὲν ὄνομά σου. εἶδες πῶς ἐνίκησε τὴν ἀχάριστον τῶν Ἰουδαίων γνώμην γυνὴ ἁμαρτωλός, καὶ θείων ἄμοιρος νόμων. οἱ μὲν γὰρ λίθοις αὐτὸν ἔβαλλον, ἡ δὲ τοῖς τῆς εὐωδίας ηὔφραινε μύροις. ἀλλ' Ἰουδαῖοι μέν, ὡς ἀσύνετοι καὶ ἀγνώμονες, κακοῖς ἠμείβοντο τὸν εὐεργέτην, λίθοις τὸν ἀκρογωνιαῖον φιλοφρονούμενοι λίθον· ἡ δὲ μύρῳ ἤλειφε τοὺς πόδας τοὺς μέλλοντας δι' αὐτὴν πανημέριον ἐπὶ τῆς ἱερείας ἵστασθαι τοῦ σταυροῦ. καὶ τί λέγω ὅτι τὸν ἀχάριστον Ἰουδαίων ἐνίκησε δῆμον, ὅπου γε ὅλων τῶν ἁγίων ὑπερηκόντισε τὸν χορόν; ἔλαβε γὰρ χάριν, ἣν οὐχὶ ἔλαβον βασιλεῖς, ἧς οὐκ ἔτυχον δυνάσται. βασιλεῖς γὰρ Θαρσεῖς, καὶ νῆσοι δῶρα προσοίσουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. καὶ δὴ κατὰ τὸν προφήτην· καὶ ἔδωκαν τὰ δῶρα, καὶ πόῤῥωθεν
E προσεκύνησαν. ἀλλ' οὐδεὶς αὐτῶν τοὺς πόδας τοῦ Ἰησοῦ ἐφίλησε. πῶς γὰρ ἦλθον μάγοι, λαβόντες ἀστέρα τῆς ἱκεσίας σύμμαχον; ἀλλὰ πόῤῥωθεν ἐδορυφόρουν, τῆς οἰκείας τάξεως τὸ μέτρον γινώσκοντες. ὁ οὐρανὸς γάρ μοι, φησι, θρόνος, ἡ δὲ γῆ τὸ ὑποπόδιον τῶν ποδῶν μου. ἐπαινείσθω τοίνυν ἡ γυνή, ὡς ὅλης τῆς γῆς τὴν τιμὴν ὑποδεξαμένη· ποδῶν ἀχράντων, ὧν τὸν χοῦν ἔθνη καὶ πατριαὶ λείξουσιν, ἥψατο ποδῶν ἀχράντων· ἐμερίσατο πρὸς Ἰωάννην τοῦ Χριστοῦ τὸ σῶμα. ὁ μὲν γὰρ ἐπὶ τοῦ στήθους ἀνέπεσε· θείαν γὰρ αὐτόθεν διδασκαλίαν ἀπομάξασθαι ἔδει· ἡ δὲ τοὺς ὑπὲρ ἡμῶν βαδίζοντας πόδας ὑπείληφεν. ἀλλ' ὁ Χριστὸς μὲν ὁ μὴ τὴν ἁμαρτίαν κρίνων, ἀλλὰ τὴν μετάνοιαν ἐπαινῶν, ὁ μὴ τὰ παρελθόντα κολάζων, ἀλλὰ τὰ μέλλοντα δοκιμάζων, ἀμνηστίᾳ παρελθὼν τὰ προλαβόντα αὐτῆς κακά,

τιμᾷ τὴν γυναῖκα, καὶ ἐπαινεῖ τὴν μετάνοιαν, δικαιοῖ τὰ δάκρυα, καὶ στεφανοῖ τὴν πρόθεσιν. ὁ δὲ Φαρισαῖος ὁρῶν τὸ θαῦμα, πλήττεται τὴν διάνοιαν, καὶ φθόνῳ βαλλόμενος οὐ παραδέχεται τῆς γυναικὸς τὴν μετάνοιαν· ἀλλὰ καὶ τὴν οὕτω τιμήσασαν τὸν κύριον ἐπιρραπίζει τῇ λοιδορίᾳ, καὶ τοῦ τιμηθέντος ἐλαττοῖ τὸ ἀξίωμα, ἄγνοιαν αὐτοῦ καταψηφιζόμενος. ἰδὼν γάρ, φησιν, ὁ Φαρισαῖος, ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. ὦ ἄφρον καὶ ἀσύνετε, καὶ τὰ ὅλα Φαρισαῖε· ταῦτα λέγων, οὐ τῆς γυναικὸς διελέγχεις τὸν τρόπον, ἀλλὰ τῆς ἰδίας κατηγορεῖς προαιρέσεως, ἀγνοεῖν αὐτὸν λέγων τίς ποτε ὑπῆρχεν ἡ γυνή. οὐκοῦν οὐχ ὡς θεὸν πάντα γινώσκοντα τῇ κλήσει ἐτίμησας; οὐκοῦν ὦ λαμπρὲ κατήγορε καὶ συκοφάντα, λαλεῖς μὲν αὐτὸν ὡς θεὸν καὶ εὐλογῆσαι δυνάμενον, καταβοᾷς δὲ αὐτοῦ, ὡς ἀνθρώπου καὶ μηδὲν ὑπὲρ ἡμᾶς εἰδότος; οὗτός, φησιν, εἰ ἦν προφήτης. καὶ πόσον σου βελτίων, ὦ Φαρισαῖε, ἡ ἐν Σικίμοις γυνὴ, ἡ μὴ προφήτην εἰδυῖα, καὶ ἐκ πρώτης ὄψεως τὸν σωτῆρα ὁμολογήσασα εὐγνωμόνως; κύριε γάρ, φησιν, ὁρῶ ὅτι προφήτης εἶ σύ. πόσῳ δὲ θαυμασιωτέρα καὶ αὕτη ἡ ἁμαρτωλὸς, ἧς τὴν μὲν ἁμαρτίαν ὁρᾷς, τὴν δὲ μετάνοιαν οὐ βλέπεις, ἀλλὰ καὶ κατακρίνεις, ἣν ὁ κριτὴς δικαιοῖ, καὶ μέμφῃ καὶ ψέγεις, ἣν ὁ θεὸς ἀποδεξάμενος στεφανοῖ, ὅτι ἰδοῦσα παρὰ σοὶ θεὸν ἐν ἀνθρώπου μορφῇ κατακείμενον, ἔγνω καὶ ἐτίμησε, καὶ τὰ τῆς ψυχῆς ἐκκαλύψασα τραύματα, ἔλεον ᾔτησε, καὶ τῶν βεβιωμένων τὴν ἀμνηστίαν; σὺ δὲ τιμήσας τῇ κλήσει, ἀτιμάζεις τῇ λοιδορίᾳ λέγων· εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν καὶ τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ. ἄθυμε, ἐπειδὴ τὰ σὰ οὐκ ἤλεγξε κακὰ, ἄγνοιαν αὐτοῦ καταψηφίζῃ; ἐπειδὴ τὴν πολλοῖς κακοῖς βεβαρημένην σου στέγην ὑπῆλθεν, ἀναιρεῖς αὐτοῦ τὴν γνῶσιν; ἐπειδὴ ἠξίωσεν ἀνακλιθῆναι μετὰ σοῦ, καὶ χεῖρα ἐπιβαλεῖν τοῖς ἐδέσμασί σου ἐπένευσε καὶ οὐκ ἀπηξίωσεν, ἕνα αὐτὸν τῶν πολλῶν νομίζεις; ἄξιος δὲ ἦσθα ξενοδοχῆσαι θεῷ, ἢ τράπεζαν παραθεῖναι τῷ ἑτοιμάζοντι τράπεζαν ἐν ἐρήμῳ; ἀλλὰ φιλάνθρωπος ὢν, οὐ παρῃτήσατο καὶ παρὰ τῶν σῶν οἰκετῶν πόμα καὶ σιτίον ὑποδέξασθαι. τί οὖν αἰτιᾶσαι φιλάνθρωπον δεσπότην, ὦ Φαρισαῖε, τὸν ὁμοίως εἰς πάντας τὸν τῆς χρηστότητος ζυγὸν ταλαντεύοντα; τί δὲ τὸν κώνωπα τῆς γυναικὸς διϋλίζων, τὴν κάμηλον τῶν οἰκείων κακῶν καταπίνεις; καὶ ἐπὶ σὲ μὲν μακρόθυμον εἶναι τὸν θεὸν βούλει, ἐπὶ ταύτην δὲ ἀπότομον; τί ἐπ᾽ ἀλλοτρίοις ἐγκλήμασι παροξύνεις τὸν δικαστὴν, ἐπὶ τοῖς οἰκείοις συγγνώμην αἰτῶν; τί συνεφωνήσατε σὺ καὶ Ἰούδας πειράσαι τὸν κύριον; σὺ μὲν γὰρ, ὡς καθαρὸς ἀπὸ ῥύπου, ἐπὶ τοῖς ἁμαρτήμασι διασύρων τὴν ἄνθρωπον, ἄγνοιαν καταψηφίζῃ θεοῦ· ὁ δὲ, ὡς φιλόπτωχος ἀγανακτεῖ λέγων· τίς ἡ ἀπώλεια τοῦ μύρου τούτου; ἠδύνατο γὰρ πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. ὢ τῆς ἀγνώμονος γνώμης, ὢ τῶν ἀχαρίστων τρόπων· ἀπώλειαν τίθης, Ἰούδα, τὴν θεραπείαν τοῦ Χριστοῦ, καὶ μάταιον ἀνάλωμα καλεῖς, τὸ εἰς τιμὴν προσχωρῆσαν θεοῦ; πόσον ἐδώκαμεν, ὧν ἐλάβομεν; λογισώμεθα ἀφ᾽ οὗπερ ὁ κόσμος ἀνεδείχθη, πόσοι παρὰ τῆς αὐτοῦ φύσεως ἐλέους ῥέουσι ποταμοὶ, καὶ οὐ λογίζεται ὁ θεὸς ζημίαν τὴν ἀφθονίαν. πόσας ἡ γῆ εὐωδίας βλαστάνει; πόσας ῥόδων καὶ κρίνων; καὶ στύρακα καὶ νάρδον καὶ στακτὴν, καὶ τἆλλα, ἀφ᾽ ὧν τὸ καλὸν κατασκευάζεται μύρον; καὶ οὐ λογίζεται ὁ θεὸς ἀπώλειαν· καὶ ἵνα μικρὸν ἀλάβαστρον μύρου τοῖς ποσὶ τοῦ Χριστοῦ ἐπιχεθῇ γογγύζεις; μὴ οὖν προῖκα αὐτὸ ἔλαβεν, ἵνα γογγύσῃς; ἔλαβε μύρον, καὶ ἔδειξε μετανοίας τρόπον· ἔλαβε δάκρυα, καὶ ἔστησε πηγὴν ἁμαρτημάτων. ποία οὖν ἐστιν ἀπώλεια, εἰ ἐσώθη ἡ γυνὴ, δι᾽ ἧς ὁ παράδεισος ἀπεκλείσθη, δι᾽ ἧς Ἀδὰμ συνεξεβλήθη; ἀλλὰ ἐλύπησε τοῦτο Ἰούδαν. εἰκότως.

A mulierem honorat, & laudat pœnitentiam; justificat lacrymas & coronat propositum. Pharisæus vero miraculum cernens, mente percellitur, & invidia concitatus, mulieris pœnitentiam non admittit; sed eam quæ sic Dominum honorabat convitio impetit, dignitatemque ejus qui honorabatur minuit, ignorantiam illi attribuens. *Videns autem*, inquit, *Pharisæus qui vocaverat illum, dixit intra se: Hic si esset propheta, sciret utique quæ & qualis est mulier quæ tangit eum, quia peccatrix est.* O stulte & insipiens, & omnino Pharisæe! Hæc dicens non mulieris mores, sed propositum tuum accusas, dicens eum ignorare quæ sit illa mulier. Ergo non illum ut Deum omnia cognoscentem invitatione tua honorasti? Ergo, o insignis accu-
B sator & sycophanta! vocas quidem illum ut Deum qui benedicere possit, contra illum vero clamas ut hominem, qui nihil plus quam nos sciat? *Hic*, inquit, *si esset propheta.* Quam te melior est, O Pharisæe, mulier illa in Sicimis, qui eum prophetam esse non noverat, & primo conspectu Servatorem confessa est dicens: *Do-* Joan. 4. 19.
*mine video quia propheta es tu!* Quam mirabilior hæc peccatrix, cujus peccatum vides, & pœnitentiam non conspicis; sed damnas illam, quam judex absolvit; & convitiaris ei, quam Deus suscipiens coronat: quia videns Deum apud te in hominis forma recumbentem, ipsum agnovit & coluit, & animæ suæ vulnera ostendens, misericordiam petiit & pristinæ vitæ suæ oblivionem? Tu vero qui invitatione honorasti
C illum, convitio inhonoras dicens: *Si esset propheta, sciret utique quæ & qualis est mulier, quæ tangit eum.* Vecors, quia mala tua non coarguit, ignorantiam illi attribuis? Quia in tuas malis multis onustas ædes intravit, cognitionem illi aufers? Quia dignatus est tecum recumbere, & manum immittere in cibos tuos, e vulgo quempiam esse putas? Dignus-ne eras qui Deum hospitio exciperes, aut mensam apponeres ei, qui paravit mensam in deserto? At ille, benignus cum esset, non recusavit a famulis tuis potum & cibum accipere. Cur ergo incusas clementem Dominum, o Pharisæe, qui benignitatem erga omnes suam æqua lance ponderat? Cur culicem mulieris excolans, malorum tuorum camelum devoras, & Dominum
D erga te patientem, erga illam trucem esse peroptas? Cur circa aliena crimina judicem concitas, circa tua veniam petis? Cur inter te & Judam convenit ut tentetis Dominum? Tu enim, quasi mundus a sorde, mulierem ob peccata traducens, de ignorantia Deum accusas; ille vero quasi pauperum amans indignatur dicens: *Ut quid perditio hujus unguenti? poterat enim venumdari multo, & dari pauperibus.* O improbum animum! O ingratos mores! Perditionem vocas, Juda, Christi cultum, & vanam impensam dicis, id quod cedit in honorem Dei? Quantum dedimus ex iis quæ accepimus? Cogitemus quanta, ex quo mundus conditus est, ab ejus natura misericordiæ flumina
E manarint, neque illam copiam detrimento sibi esse putat Deus. Quantos suaves odores germinat terra? Quantam rosarum & liliorum fragrantiam? & styracem & nardum & stacten, aliaque, ex quibus optimum unguentum conficitur? neque illud Deus perditionem reputat; & tu quod parvum unguenti alabastrum pedibus Christi effusum sit, obmurmuras? An ideo murmuras quod in dotem illud acceperit? Accepit unguentum, & ostendit pœnitentiæ modum: accepit lacrymas, & fontem peccatorum obstruxit. Quænam igitur est hæc perditio, si servata est mulier, per quam paradisus clausus fuerat, per quam Adam simul ejectus fuerat? Sed illud Judæ dolori fuit: jure quidem.

Nam ejus salus diabolum dolore affecit. Videbat enim per illam totum genus ad pœnitentiam deinceps mutandum esse. Hinc mordetur & dolet, quod non deinceps rete habeat, quo venetur hominem : unde etiam te ad murmurandum concitavit. *Ut quid*, ait, *perditio hac? Poterat enim venumdari multo.* Jam-ne venditio adest, Juda? Jam-ne proditionem meditaris, malorum princeps? Sed Jesus ejus morbum animi non coarguit, non ejus avaritiam detegit, ne futuram proditionem cohiberet. Christus porro omnibus dicit: *Quid molesti estis huic mulieri?* Cur ad præcedentia mala, hoc etiam malum ipsi adjicitis? Sat laboravit feminarum genus. Nemo earum saluti obicem ferat : nemo traducat eam quæ unguento linivit pedes illos, qui pro ipsa ambulabant in terra. Pauperes enim habetis vobiscum, me quoque cum pauperibus accipite : propter vos enim pauper factus sum, cum dives essem, ut vos paupertate mea ditesceretis. Occiditis me, nec accuso vos : illa sepulturam curat meam, &

Matt. 26. 12. murmuratis? *Mittens enim hæc unguentum in corpus meum, ad sepeliendum me fecit.* Non te pudet, Juda, quod hæc, peccatrix cum sit, unguentis me honoret, tu vero, apostolus cum sis, venditionis mihi contumeliam inferas? Mulier parat ea quæ ad sepulturam spectant; discipulus vero morti tradit. Peccatrix est mulier, ut novi : sed nihil habuit quod mihi offerret nisi fontem lacrymarum : fons fontem placat, indigenti magistro alium placandi modum admovet. Sed tu pretium exploras, o vecors, & unguentum trecentis denariis æstimas? æstimas vero, non ut usus munificentiam laudes, quod totas male partas divitias unguenti emtione consumserit; sed ut murmurando ostendas, te in magnum incidisse malum, tanta mulctatum pecunia. Sed non magnum est si trecentorum denariorum jacturam ægre feras, quando triginta

Matt. 26. 15. denariis Dominum vendidisti. *Quid vultis mihi dare*, inquit, *& ego vobis eum tradam?* Miser, servus dominum vendit? Inversus est ordo. Ego te sanguine meo a peccato redimo; tu vero me triginta obolis vendis? Quod si homo Deum vendat, detur autem quod vendat : quis emtor erit? Quanti Deum quis emet? Cur vili pretio emendum proponis? Quis triginta obolis Deum vendet in forma hominis? An ut servum? an ut barbarum? Saltem discerne quanti Deum, quanti hominem qui oculis conspicitur. *Quid vultis*, inquit, *mihi dare?* Tu quid vis accipere? Illi enim nihil dare possunt Deo comparandum. *Et constituerunt ei*, inquit, *triginta argenteos.* An quis medicum gratis curantem triginta obolis vendit? Medicum qui cæcis visum restituit, claudos ad cursum habiles reddit? Hæc dico ut tuum instituam animum. *Quid molesti estis huic mulieri?* An quia eum, qui in mortuis liber est, ante mortem ut mortuum honore affecit? An quia per unguentum sepulturæ & resurrectionis gratiam præsignificavit? Sed tu quidem resurrectionis fructum laqueum habebis; hujus vero memoria, ubicumque prædicatum fuerit evangelium, nunquam delebitur. Dixit, & res sic evenit. Nam Aaronis & Eleazari unguentum & cornu defiit, hujus vero alabastrum omne sæculum pervadit, ejusque memoriæ bonus odor non evacuatur. Sed Judam sic, Pharisæum vero murmurantem hoc modo Christus alloquitur : *Simon habeo tibi aliquid dicere.* O gratiam ineffabilem! O benignitatem inenarrabilem! Deus & homo colloquuntur : Christus problema proponit; & benignitatis normam, ut Pharisæi solvat nequitiam. *Simon*, inquit, *habeo tibi aliquid dicere*, quod nemini veterum dixi; non patriarchæ, non prophetæ, non legislatori. Tunc enim oculum pro oculo,

A καὶ γὰρ τὸν διάβολον ἐλύπησεν αὐτῆς ἡ σωτηρία. εἶδε γὰρ δι' αὐτῆς λοιπὸν τὸ γένος πρὸς μετάνοιαν μεταβαλλόμενον· καὶ δάκνεται, καὶ ἀνιᾶται, οὐκ ἔχων λοιπὸν δίκτυον, δι' οὗ θηράσῃ τὸν ἄνθρωπον· ὅθεν καί σε εἰς τὸ γογγύσαι παρώρμησεν. εἰς τί, φησιν, ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ πραθῆναι πολλοῦ. ἤδη πρᾶσις, Ἰούδα; ἤδη προδοσίαν μελετᾷς, κακῶν ἀρχή; ἀλλ' ὁ Ἰησοῦς οὐκ ἐλέγχει αὐτοῦ τὴν νόσον, οὐ γυμνοῖ τὸ φιλάργυρον, ἵνα μὴ τὴν μέλλουσαν προδοσίαν ἀνακρούσηται· Χριστὸς δὲ ἐπὶ πάντων λέγει, τί κόπους παρέχετε τῇ γυναικί; τί πρὸς τοῖς προλαβοῦσι κακοῖς κακίζετε τὴν ἄνθρωπον; αὐτάρκως ἔκαμε τὸ τῶν γυναικῶν γένος· μηδεὶς αὐτῶν τῆς σω-

B τηρίας ἐμποδιζέτω· μηδεὶς σκωπτέτω τὴν λούσασαν μύρῳ τοὺς πόδας, τοὺς ὑπὲρ αὐτῆς βαδίζοντας ἐπὶ γῆς. τοὺς πτωχοὺς γὰρ ἔχετε μεθ' ἑαυτῶν· λάβετε δὲ κἀμὲ μετὰ τῶν πτωχῶν. δι' ὑμᾶς γὰρ ἐπτώχευσα πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐμῇ πτωχείᾳ πλουτήσητε. ἀναιρεῖτέ με, καὶ οὐκ ἐγκαλῶ· ἐνταφιάζει με αὕτη, καὶ γογγύζετε; βαλοῦσα γὰρ αὕτη τὸ μύρον ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. οὐκ αἰδῇ οὖν, Ἰούδα, ὅτι αὕτη μὲν ἁμαρτωλὸς οὖσα μύροις με τιμᾷ, σὺ δὲ ἀπόστολος ὢν πράσει με καθυβρίζεις; καὶ ἡ μὲν γυνὴ τὰ πρὸς τάφον ἑτοιμάζει, ὁ δὲ μαθητὴς τῷ θανάτῳ προδίδωσιν. ἁμαρτωλός ἐστιν ἡ γυνή, οἶδα· ἀλλ' οὐδὲν εἶχέ μοι χαρίσασθαι, ἢ πηγὴν δακρύων· πηγὴ τὴν πηγὴν ἐξευμενίζουσα, ἀκλήμονι διδασκάλῳ

C ἄλλον ἱλαστήριον προσκομίζουσα. ἀλλὰ καὶ δοκιμάζεις, ἄθυμε, τὸ μύρον τριακοσίων δηναρίων ἄξιον εἶναι λέγων; δοκιμάζεις δὲ, οὐχ ἵνα αὐτῆς τὴν μεγαλοψυχίαν ἐπαινέσῃς, ὅτι ὅλον τὸν ἐκ κακῶν συναχθέντα πλοῦτον εἰς τιμὴν μύρου κατηνάλωσεν, ἀλλ' ἵνα γογγύζων δείξῃς, ὡς ἀπευκταίῳ περιέπεσας κακῷ, τοσοῦτον ζημιωθείς. ἀλλ' οὐ μέγα, εἰ τριακοσίων δηναρίων στέρησιν δυσχεραίνεις, ὅπου τριάκοντα λαβὼν ἀπέδου τὸν κύριον. τί γάρ, φησι, θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἄθλιε, δοῦλος δεσπότην πωλεῖ; ἀντέστραπται ἡ τάξις· καὶ ἐγὼ μέν σε τῆς ἁμαρτίας τῷ οἰκείῳ ὠνοῦμαι αἵματι, σὺ δέ με τριάκοντα ἀπεμπωλεῖς ὀβολῶν; εἰ δὲ ἄνθρωπος θεὸν πωλεῖ; δεδόσθω δὲ ὅτι πωλεῖ. τίς ὁ ὠνούμενος; πόσου δέ τις ἀγοράσει θεόν; τί δὲ καὶ εὔωνον ποιεῖς τὸ πρᾶγμα; τριάκοντά τις ὀβολῶν θεὸν πωλεῖ ἐν ἀνθρώπου μορφῇ; ὡς

D οἰκέτην; ὡς βάρβαρον; κἂν διάκρινον, πόσου μὲν τὸν ἐνοικοῦντα θεόν, πόσου δὲ τὸν φαινόμενον ἄνθρωπον. τί μοί, φησι, θέλετε δοῦναι; σὺ τί θέλεις λαβεῖν; ἐκεῖνοι γὰρ οὐδὲν ἔχουσι δοῦναι ἀντάξιον θεοῦ. καὶ ἔστησαν αὐτῷ, φησι, τριάκοντα ἀργύρια. τριάκοντα ὀβολῶν ἄμισθόν τις ἰατρὸν πωλεῖ; ἰατρόν, τυφλοὺς ὀμματοῦντα, χωλοὺς πρὸς δρόμον ἐγείροντα; ταῦτα λέγω, ἵνα σου χαλινώσω τὴν διάνοιαν. τί κόπους παρέχετε τῇ γυναικί; ὅτι τὸν ἐν νεκροῖς ἐλεύθερον, καὶ πρὸ τοῦ θανάτου, ὡς νεκρὸν ἐτίμησεν; ὅτι διὰ τοῦ μύρου, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τὴν χάριν προεσήμανεν; ἀλλὰ σὺ μὲν καρπὸν τῆς προδοσίας τὸν χοῖνον ἕξεις· ταύτης δὲ ἡ μνήμη, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον, ἀνεξάλειπτος ἔσται. εἶπε, καὶ γέγονε τὸ ἔργον

E οὕτως· ὅτι τὸ τοῦ Ἀαρών, τὸ τοῦ Ἐλεαζὰρ πέπαυται μύρον, καὶ τὸ κέρας ἤργησε, τὸ δὲ ἀλάβαστρον ταύτης παντὶ τῷ αἰῶνι ἐπεκτείνετο, ἀκένωτον ἔχων τῆς μνήμης τὴν εὐωδίαν. ἀλλὰ πρὸς μὲν Ἰούδαν οὕτω, πρὸς δὲ τὸν Φαρισαῖον γογγύζοντα ὁ Χριστὸς οὕτω λέγει· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὢ χάριτος ἀφράστου, ὢ φιλανθρωπίας ἀρρήτου. θεὸς καὶ ἄνθρωπος κοινολογοῦνται, καὶ προτίθησι πρόβλημα, καὶ κανόνα φιλανθρωπίας, ἐκλύων αὐτοῦ τὴν πονηρίαν. Σίμων γάρ, φησιν, ἔχω σοί τι εἰπεῖν, ὃ μηδενὶ τῶν παλαιῶν εἶπον, οὐ πατριάρχῃ, οὐ προφήτῃ, οὐ νομοθέτῃ. τότε μὲν γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα

A ὀδόντα ἀντὶ ὀδόντος ἀπῄτουν, τὸ δίκαιον ἐπαιτῶν. ἀλλ' ἐπειδὴ οὐ δύνασθε φέρειν τὸ δίκαιον, χάριν ἀντεισάγω τῷ νόμῳ, ἀλάλητόν σοι μυστήριον ἐρῶ. ὁ δέ φησι, διδάσκαλε, εἰπέ. δύο χρεωφειλέται ἦσαν ἑνὶ ἀνδρί. ὅρα θεοῦ σοφίαν. ἀποσιωπᾷ τὴν γυναῖκα, ἵνα μὴ κακουργήσῃ τὴν ἀπόκρισιν. ὁ εἷς, φησιν, ὤφειλε δηνάρια πεντακόσια, καὶ ὁ ἕτερος πεντήκοντα. φοβερὸς τοῦ διηγήματος ὁ τρόπος. γραμματεῖόν ἐστιν ὁ ἡμέτερος βίος, ἀοράτως γράφον καὶ λογισμοὺς, καὶ πράξεις, καὶ ὀφθαλμῶν ῥεμβασμοὺς, καὶ ψυχῆς κινήματα. ἀλλὰ λύει τὸν φόβον ὁ φιλάνθρωπος δικαστὴς, ὁ τὰ χειρόγραφα διαῤῥήσσων τῆς ἁμαρτίας, καὶ οὐ μόνον διαῤῥήσσων, ἀλλὰ καὶ * λαβαίνων τοῖς ὕδασι τοῦ βαπτίσματος, ἵνα μὴ ἴχνος στοιχείου ἢ συλλαβῆς ἀπομεῖναν ὑπόμνημα γένηται τῶν παρῳχηκότων κακῶν. B μὴ ἐχόντων οὖν, φησιν, αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. εἶδες φιλάνθρωπον δανειστὴν, πῶς δανείζει μὲν, οὐκ ἀπολαμβάνει δέ; πῶς δὲ ἀγνωμονούμενος οὐ ναρκᾷ, ἀλλ' ἥπλωται αὐτοῦ τοῖς αὐτοῖς ἡ χείρ; μὴ ἐχόντων, φησὶν, αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. ἀφῆκε μὴ ἐχόντων, οὐχὶ, μὴ θελόντων. ἕτερον γὰρ μὴ ἔχειν, καὶ ἕτερον μὴ θέλειν. οἷόν τι λέγω. θεὸς οὐδὲν παρ' ἡμῶν ζητεῖ, ἢ μετάνοιαν· ὅθεν βούλεται ἡμᾶς χαίρειν ἀεὶ καὶ προστρέχειν τῇ μετανοίᾳ. ἐὰν οὖν θελόντων ἡμῶν μετανοῆσαι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἄτονον τὴν μετάνοιαν ἡμῶν δείξῃ, οὐ παρὰ τὸ μὴ θέλειν, ἀλλὰ παρὰ τὸ μὴ ἔχειν, οὐκ ἐκτιννύομεν τὸ χρέος. διὰ τοῦτο οὖν λέγει, μὴ ἐχόντων αὐτῶν, ἵνα δείξῃ, ὅτι ἰδὼν αὐτοὺς βουλομένους μὲν διὰ μετανοίας ἀποδοῦναι τὸ χρέος, μὴ C δυναμένους δὲ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν, ὡς φιλάνθρωπος αὐτοῖς συνεχώρησεν, οὐκ ἀπὸ πράξεως, ἀλλ' ἀπὸ προαιρέσεως ἐλευθερώσας τῆς ὀφειλῆς τὸ ὑπόχρεον. μὴ ἐχόντων οὖν αὐτῶν ἀποδοῦναι, μὴ μαστίξας, μὴ στρεβλώσας, μὴ ὕβρει παραδοὺς, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν ὀφείλει πλέον ἀγαπῆσαι; ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. βλέπε τοῦ Φαρισαίου τὸ δεινόν· ὡς εἶδεν αὐτὸν τῷ λόγῳ ἤδη τῆς ἀληθείας ἀποκλειόμενον, τὸ, ὑπολαμβάνω, τέθεικε, φοβούμενος τελείαν τὴν ἀπόκρισιν δοῦναι. ὁ δὲ κύριος οὐ τὴν γνώμην αὐτοῦ ἀνέγραψεν, ἀλλὰ τὴν ἀπόκρισιν ἁρπάσας, λέγει αὐτῷ· ὀρθῶς ἀπεκρίθης. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα ἁμαρτωλόν; τὴν σοὶ μὲν ἀπηγορευμένην, ἐμοὶ δὲ σωζομένην; D εἰσῆλθόν εἰς τὸν οἶκόν σου· σὸς γὰρ οἶκος, καὶ οὐκ ἐμὸς, ὁ λοιδορίας μεστός· ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, πόδας τοὺς διὰ σὲ κονιαθέντας, τοὺς κόπον ὑπομείναντας, ἵνα κόπων τοὺς κοπιῶντας πεφορτισμένους ἐλευθερώσω· ἐξ ἡμισείας τὴν τιμὴν προσήνεγκας, τὰ μὲν ἄνω θαυμάσας, τὰ δὲ κάτωθεν μὴ θεραπεύσας. ἀλλὰ σὺ μὲν ὕδωρ εἰς τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ πηγὰς δακρύων ἐκ τῶν βλεφάρων ἀφεῖσα, τῆς ἁμαρτίας αὐτῆς τὸν ῥύπον ἀπέσμηξε. σύ μοι φίλημα οὐκ ἔδωκας. ὡς εἴθε μήτε Ἰούδας ὁ φιλήματι τὴν προδοσίαν ἐργασάμενος· αὕτη δὲ, ἀφ' ἧς εἰσῆλθεν, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας. ἔλαιον γὰρ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. πῶς γὰρ εἶχε τὴν κεφαλὴν τιμῆσαι, ὁ ποδῶν ἀμελήσας; αὕτη δὲ καὶ τοὺς πόδας προφητικῶς ἤλειψε μύρῳ. E μύρον γάρ, φησιν, ἐκκενωθὲν ὄνομά σοι· ἐκκενωθὲν, οὐκ ἐκχυθέν. ἐπειδὴ γὰρ τὸ σκεῦος τῆς Ἰουδαϊκῆς γνώμης ὑπόσαθρον ἦν, διὰ τοῦτο ἐκ τῆς ἀλαβαστροθήκης ὑμῶν ἐν τοῖς ποσί μου ἐξεκενώθη τὸ μύρον· ἵνα δι' ἐμοῦ εἰς τὰ ἔθνη μετοχευθῇ τῆς εὐωδίας ἡ χάρις. οὗ χάριν, λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί· ὅτι σὺ μὲν ὁμωρόφιόν με δεξάμενος, οὐ φιλήματι ἐτίμησας, οὐδὲ ἀλείμματι ἐθεράπευσας· αὕτη δὲ πολλῶν κακῶν ἀμνηστίαν λαβοῦσα, ἐτίμησέ με, ἐκ δακρύων καὶ μύρων, οἱονεὶ διφυῆ κρατῆρα κερασαμένη.

dentem pro dente secundum jus exigebam. Verum quia jus illud ferre non potestis, gratiam pro lege induco, inenarrabile tibi mysterium dicam. Ille vero ait: *Magister dic. Duo debitores erant cuidam viro.* Vide sapientiam Dei: mulierem tacet, ne ille responsionem maligne verteret. *Unus*, inquit, *debebat denarios quingentos, alius quinquaginta.* Terribilis narrandi modus. Vita nostra syngrapha est, in qua invisibiliter describuntur cogitationes, opera, oculorum conversiones, animi motus. Sed metum solvit benignus judex, qui peccati chirographum decreti discindit; nec modo discindit, sed etiam aquis baptismatis abluit; ut ne vestigium elementi vel syllabæ manens, præteritorum monumentum malorum esset. *Non habentibus illis*, inquit, *unde redderent, donavit utrisque.* Viden' humanum fœneratorem; quomodo fœneretur, nec exigat? quomodo etiam erga ingratos non torpescat, sed illis etiam manus expandatur. *Non habentibus*, inquit, *illis unde redderent, donavit utrisque.* Dimisit non habentibus, non autem nolentibus. Aliud enim est non habere; aliud nolle; exempli causa; Deus a nobis nihil requirit nisi pœnitentiam. Quare vult nos gaudere semper & ad pœnitentiam accurrere. Si ergo nobis pœnitere volentibus, peccatorum multitudo pœnitentiam nostram infirmam ostendat; non quod nolimus, sed quod non habeamus, debitum non solvimus. Ideo ergo dicit, *non habentibus illis*, ut ostenderet, se, cum videret illos volentes quidem per pœnitentiam debitum reddere, non valentes autem ob multitudinem peccatorum, utpote benignum ipsis dimisisse; nec ex actu, sed ex proposito voluntatis ipsos a debito liberasse. Non habentibus igitur illis unde redderent; non flagris, non tormentis, non contumeliis adhibitis, donavit utrisque. Quis ergo eorum magis diligere debet? Respondens Simon dixit, *Æstimo quia is cui plus donavit.* Vide Pharisæi cautelam: ut vidit se verbo veritatis exclusum; illud, *æstimo*, protulit, perfectam dare responsionem metuens. Dominus vero non mentem ejus, sed responsionem abripiens, dixit illi: *Recte respondisti. Et conversus ad mulierem Simoni dixit: Vides hanc mulierem* peccatricem, quæ a te repellitur, a me servatur? *Intravi in domum tuam*; tua enim non mea domus est, quæ est convitio plena; *aquam pedibus meis non dedisti*, pedibus propter te pulvere conspersis, qui labores sustinuerunt, ut eos qui laborant & onerati sunt a labore liberem. Dimidiam partem honoris obtulisti, dum superiora miratus, inferiora non excoluisti. Sed tu quidem aquam pedibus meis non dedisti; hæc vero fontes lacrymarum e palpebris emittens, peccati sui sordes abstersit. *Osculum mihi non dedisti*; utinam nec Judas dedisset, qui osculo me prodidit; *hæc autem, ex quo intravit, non cessavit osculari pedes meos. Oleo caput meum non unxisti*: nam *oleum peccatoris non impinguet caput meum*: quomodo enim caput honorasset, qui pedes neglexerat? Hæc vero pedes etiam, ut in prophetia ferebatur, unguento unxit: *Unguentum* enim, inquit, *evacuatum nomen tuum*; evacuatum, non effusum. Quia enim vas Judaïcæ sententiæ sordidum erat, ideo ex alabastro vestro in pedibus meis evacuatum est unguentum; ut ex me in gentes boni odoris gratia emanaret. *Propter quod dico tibi, remittuntur ei peccata multa.* Quia tu, cum me contubernalem excepisti, non osculo honorasti, non unctione excoluisti: hæc vero quæ multorum oblivionem malorum impetravit, honoravit me & lacrymis & unguentis, quasi duplicem cra-

Psal. 140. 5.

Cant. 1, 2.

* λαβαίνων, Boisius in notis Savilii legendum putat ἀφανίζων vel ἀπαλείφων. Quid si dicamus hanc vocem medii ævi a Græculo usurpatam ex Latino verbo *Lavo* factam, *Lavo*, λαβαίνων, lavans.

terem miscens. Beatam ergo prædicemus mulierem, quæ Evæ mala obtexit; peccatricem illam, meretricem, quæ bona conciliat, quæ pœnitentiæ modos ostendit, quæ benignitatis legem aperuit, quæ ipsum Judicem advocatum habuit, quæ lacrymis judicii lamentum vicit. Quotquot ergo adestis, imitamini ea quæ audistis, ac meretricis non voluptatem, sed fletum æmulamini. Voluptas quippe fletum genuit, fletus solutionem conciliavit. Abluite ergo corpus vestrum, non aquis, sed lacrymis; ungite membra, non unguentis, sed castitate. Induite, non texturam ex serico, sed incorruptum continentiæ vestimentum; ut eamdem consequamini gloriam, gratiam emittentes Agno Dei, qui tollit peccatum mundi. Ipsi gloria, honor & adoratio, cum Patre & Sancto Spiritu, nunc & semper & in sæcula sæculorum, amen.

A μακαρίσωμεν οὖν τὴν ἄνθρωπον, τὴν τὰ τῆς Εὔας καλύψασαν κακά, τὴν ἁμαρτωλὸν, τὴν πόρνην, τὴν πρόξενον τῶν ἀγαθῶν, τὴν δείξασαν μετανοίας τρόπους, καὶ γυμνώσασαν φιλανθρωπίας νόμον, τὴν αὐτὸν τὸν κριτὴν συνήγορον ἐσχηκυῖαν, τὴν δάκρυσι νικήσασαν τὸν τῆς κρίσεως ὀδυρμόν. ὅσοι οὖν πάρεστε, ζηλώσατε ἅπερ ἠκούσατε, καὶ τῆς πόρνης μὴ τὴν ἡδονὴν, ἀλλὰ τὸν θρῆνον μιμήσασθε. ἡ ἡδονὴ μὲν γὰρ τὸν θρῆνον ἐγέννησεν, ὁ θρῆνος δὲ τὴν λύσιν προεξένησε. λούσατε οὖν ὑμῶν, μὴ ὕδασιν, ἀλλὰ δάκρυσι, τὸ σῶμα· ἀλείψατε μὴ μύροις, ἀλλὰ ἁγνείᾳ τὰ μέλη· ἐνδύσασθε μὴ τὰ ἐκ σηρῶν ὑφάσματα, ἀλλὰ τὸ ἄφθαρτον τῆς σωφροσύνης ἱμάτιον· ἵνα τῆς αὐτῆς τύχητε δόξης, χάριν ἀναπέμποντες τῷ ἀμνῷ τοῦ θεοῦ, τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου. αὐτῷ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας B τῶν αἰώνων, ἀμήν.

Matt. 26. 39. In illud : *Pater, si possibile est, transeat a me calix iste*, in magna Parasceve.

Εἰς τὸ, Πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. τῇ μεγάλῃ παρασκευῇ.

NON dissimiles sunt ecclesiæ doctores matri prolis amanti, quæ nullum laborem recusat ut dilectissimos filios nutriat. Quemadmodum enim illa mammam proferens perennem lactis escam dilecto infanti præbet; ita & ecclesiæ doctor, mentis suæ mammam filiis ecclesiæ proferens, cum animi desiderio lac sugere hortatur : ac sicut mater postquam infans lac sugere desiit, duriorem panem in micas resolvens, oleraque condita, & igne emollita in cibum afferens vitam tenellis infantibus subministrat; ita & doctor post institutionem divinorum sermonum, quasi misso lacte, panem verbi explicatu difficilis gladio spiritus dissecans, ac diversas interpretationes speculationesque scripturarum in unam doctrinæ mixtionem colligens, verbi cibum attemperatum filiis suis impertit. Idcirco nos, dilecti, postquam præteritis diebus vos facili sermone tamquam lacte nutrivimus, ad doctrinæ speculationem vos agamus, Spiritu sancto vobis sermonis cibum condiente. Panis autem verbi in mensa scripturarum nobis talis apponitur : Cur Dominus noster Jesus Christus, qui pro omnium vita passionem & mortem subiturus venit, cum ad præclaram crucem accederet dixit : *Pater, si possibile est, transeat a me calix iste.* Plerique enim sapientiæ scopum non intelligentes, nec attendentes thesaurum in hoc dicto absconditum, metum ipsi imputant. Sed agite nos quoque, dilecti, cum ipso sicut infantes colloquamur, ut ejus sensa in nobis quasi infantes, transferamus. Dicamus ergo illi non ut perfecti, sed sicut infantes : Quare, Domine, veniens ut pro nobis patereris, & crucifigereris, times & sic precaris : *Pater, si possibile est, transeat a me calix iste*? Si teipsum exinanisti formam servi accipiens, nemine cogente, cur nunc alium rogas & dicis, *Pater, si possibile est, transeat a me calix iste*? Atqui coarctabaris & festinabas ad hunc calicem bibendum dicens : *Baptismo habeo baptizari : & quomodo coarctor, usque dum bibam illum*? & qui coarctabaris & festinabas ad bibendum illum, jam recusas & dicis, *Pater, si possibile est, transeat hic calix*? Num ignorabas te pro nobis mortem esse passurum? Atqui tu dicebas, *Oportet filium hominis tradi & crucifigi, & tertia die resurgere.* Cur ergo, cum prope crucem advenisti, recusas & dicis,

Ineptus orator.

Matt. 26. 39.

Luc. 12. 50.

Matt. 16. 22.

ΟΥΔΕΝ ἀπεοίκασιν οἱ τῆς ἐκκλησίας διδάσκαλοι μητρὶ φιλοτέκνῳ, πάντα πόνον καὶ κάματον ὑπομενούσῃ διὰ τὴν τῶν φιλτάτων τέκνων ἀνατροφήν. ὡς γὰρ ἐκείνη τὸν μαστὸν περιέχουσα, τὴν τοῦ γάλακτος ἀκάματον τροφὴν τῷ φιλτάτῳ παρέχει· ὡσαύτως καὶ ὁ τῆς ἐκκλησίας διδάσκαλος τὴν θηλὴν τῆς διανοίας προβαλλόμενος τοῖς παισὶ τῆς ἐκκλησίας, πόθῳ ψυχῆς ὑφέλκειν τὸ γάλα τοῦ λόγου παρακαλεῖ. C καὶ ὥσπερ ἡ μήτηρ μετὰ τὴν ἐκ τοῦ γάλακτος ἀνατροφῆς διαγωγὴν, καὶ τὸν δύσθρυπτον ἄρτον διαλύει, καὶ τὰ λαχανικὰ βρώματα ἀρτύμασι νοστήσασα, καὶ πυρὶ περιλειώσασα, ὑπηρέτις τῆς ζωῆς τῶν οἰκείων τέκνων γίνεται· τὸν αὐτὸν τρόπον καὶ ὁ διδάσκαλος μετὰ τὴν κατήχησιν τῶν θείων λογίων, καὶ οἱονεὶ μετὰ τὴν γαλακτοτροφίαν, καὶ τὸν δυσερμήνευτον ἄρτον τοῦ λόγου τῇ μαχαίρᾳ τοῦ πνεύματος διαλύσας, καὶ τῶν ποικίλων καὶ διαφόρων ἑρμηνειῶν καὶ θεωρειῶν γραφικῶν εἰς μίαν κρᾶσιν διδασκαλίας συναγαγὼν, νόστιμον τὸν λόγον τοῖς ὑπ' αὐτοῦ τρεφομένοις παισὶ μεταδίδωσι. διὸ δὴ καὶ ἡμεῖς, ἀγαπητοὶ, ἐν ταῖς παρελαβούσαις ἡμέραις τοῖς εὐθυλύτοις λόγοις ὑμᾶς γαλακτοτροφήσαντες, νῦν πρὸς διδαγμάτων θεωρίαν ἄγωμεν, τοῦ ἁγίου πνεύματος νόστιμον ὑμῖν τὸν λόγον τῆς διδασκαλίας ἀρτύοντος. ἔστι δὲ ἡμῖν προκείμενος ἐπὶ τῆς τῶν γραφῶν τραπέζης ὁ ἄρτος D τοῦ λόγου τοιοῦτος, διὰ τί ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὑπὲρ τῆς πάντων ζωῆς ἐληλυθὼς ἀναδέξασθαι τὸ παθεῖν καὶ θανεῖν, ἐλθὼν ἐπὶ τὸν ἀοίδιμον σταυρὸν λέγει, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. πολλοὶ γὰρ μὴ νοήσαντες τὸν σκοπὸν τῆς σοφίας, καὶ τὸν κεκρυμμένον θησαυρὸν ἐν τῷ ῥήματι, μὴ προσεσχηκότες, δειλίας αὐτοῦ καταγγέλλουσιν. ἀλλὰ δεῦρο καὶ ἡμεῖς, ἀγαπητοὶ, τέως πρὸς αὐτὸν, ὥσπερ νήπιοι διαλεχθῶμεν· ἵνα τὰ ὑπ' ἐκείνου ἡμῖν νοήματα, ὡς νηπίοις, διαπορθμεύσωμεν. εἴπωμεν τοίνυν πρὸς αὐτὸν, οὐχ ὥσπερ τέλειοι, ἀλλ' ὡς νήπιοι· τίνος ἕνεκεν, κύριε, ἐλθὼν τοῦ παθεῖν ὑπὲρ ἡμῶν, ἐλθὼν τοῦ σταυρωθῆναι, δειλιᾷς καὶ εὔχῃ λέγων, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω E ἀπ' ἐμοῦ; εἰ ἑαυτὸν ἐκένωσας μορφὴν δούλου λαβὼν, μηδενός σε ἀναγκάσαντος, τί νῦν ἄλλον ἀξιοῖς καὶ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ μὴν συνείχου, καὶ ἔσπευδες τοῦ πιεῖν τὸ ποτήριον τοῦτο. ἔλεγες γὰρ, βάπτισμα ἔχω βαπτισθῆναι· καὶ πῶς συνέχομαι, ἕως οὗ πίω αὐτό; καὶ ὁ συνεχόμενος καὶ σπεύδων τοῦ πιεῖν αὐτὸ, παραιτεῖς καὶ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; μὴ γὰρ ἠγνόεις, ὅτι ἤμελλες ὑπὲρ ἡμῶν θάνατον ὑπομένειν; καὶ μὴν σὺ ἔλεγες, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. τί οὖν ἐλθὼν ἐγγὺς τοῦ σταυροῦ παραιτῇ καὶ λέγεις,

εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ εἰ τοῦτο ἐβούλου, τί τῷ σῷ μαθητῇ Πέτρῳ κωλύοντί σε ἐπετίμησας; ἔλεγες γὰρ, δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου σταυρωθῆναι καὶ ταφῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. ἔλεγε δὲ καὶ Πέτρος· ἵλεώς σοι, κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. πρὸς ὃν ἀγανακτήσας ἔφης, ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. εἰ οὖν ἐκείνῳ ἐπετίμησας τότε, ὡς ἀνθρώπινα φθεγγομένῳ, τί νῦν ἐπιζητεῖς, ὃ τότε ἐκεῖνος ἐκώλυε, καὶ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; σὲ κτίστην τῶν ὁρωμένων καὶ μὴ ὁρωμένων μανθάνομεν εἶναι. καὶ γὰρ νόσους ἁφῇ χειρὸς ἐθεράπευσας, καὶ νεκρῶν λελυμένα σώματα διὰ ῥήματος ἔπηξας, καὶ πηγὰς αἱμάτων κρασπέδοις ἱματίων ἐξήρανας, ἐκ πέντε ἄρτων πεντακισχιλίους ἄνδρας εἰς κόρον διέθρεψας, ἀνέμοις καὶ θαλάσσῃ ἐπετίμησας, καὶ πάντα σοι ὑπήκουσαν τρόμῳ· καὶ ὁ τοσούτων θαυμάτων δημιουργὸς, καὶ θανάτων λυτήριος νῦν θάνατον φοβῇ, καὶ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ εἰ σὺ θάνατον φοβῇ, ἐν τίνι λοιπὸν ἕξομεν τῆς ζωῆς τὰς ἐλπίδας; καὶ εἰ φοβῇ θάνατον, πῶς λέγεις, ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις; ζωὴ γὰρ καὶ ἀνάστασις θάνατον οὐδέποτε φοβεῖται. τί δέ ἐστι καὶ ὃ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; ἆρα ἀγνοεῖς, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν; ἀγνοεῖς, πότερον δυνατόν ἐστιν, ἢ ἀδύνατον παρελθεῖν τὸ ποτήριον; καὶ πῶς ἔλεγες, οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός; καὶ τὸν μὲν πατέρα ἐπιγινώσκεις, οὗ μεῖζον οὐδέν ἐστι, τὸ δὲ ποτήριον, εἰ δυνατόν ἐστι παρελθεῖν, οὐ γινώσκεις; πῶς δὲ καὶ ὁ Παῦλός φησιν, ὅτι οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ; καὶ πάλιν, ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. εἰ οὖν οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πῶς σὺ νῦν, ὡς ἀγνοῶν, λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ, ἐὰν μήτι ᾖ ἀποκεκρυμμένον μυστήριον ἐν τῷ λόγῳ; οὐ πρέπει σοι, κύριε, ὁ λόγος οὗτος. θεὸς γὰρ εἶ, θεοῦ υἱὸς, λόγος, σοφία, δύναμις, φῶς, ἥλιος δικαιοσύνης, πηγὴ ἀθάνατος, ζωὴ αἰώνιος, ἀνάστασις ἡμῶν τῶν τῇ ἁμαρτίᾳ τεθανατωμένων. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ὢ πῶς δυσέφικτός ἐστιν ὁ λόγος καὶ δυσθεώρητος καὶ δυσδιάκριτος; ὢ πῶς στενός ἐστι καὶ τεθλιμμένος παρὰ πολλοῖς ἀνθρώποις; δίδαξον ἡμᾶς, κύριε, τὸ μυστήριον τοῦτο τοῦ λόγου σοῦ. σοῦ γάρ ἐσμεν, καί σοι ἐπιστεύσαμεν. μὴ ἐπαιρέσθω ὁ γίγας ἐν τῇ βλασφημίᾳ αὐτοῦ Εὐνόμιος, μηδὲ ὀνειδιζέτω παρεμβολὴν κυρίου Ἰσραήλ. ἐκεῖνος μὲν γὰρ ἡμᾶς ὀνειδίζει· εἰς σὲ δὲ τὸν δεσπότην ἡμῶν ἀνατρέχει ἡ ὕβρις. ἐξέγειρον τὸν ἐν τῇ καρδίᾳ ἡμῶν ἐγκείμενον νοῦν, καθάπερ τὸν πρᾳότατον Δαυίδ. δὸς ἡμῖν ἕνα λόγου λίθον, ἵνα δι' αὐτοῦ σφενδονήσαντες, τὸ κεφάλαιον τῆς δυσσεβείας αὐτῶν διαλύσωμεν· ἵνα γνῷ πᾶσα ἡ παρεμβολὴ σήμερον, ὅτι σὺ εἶ κύριος ὕψιστος μόνος ἐπὶ πᾶσαν τὴν γῆν. πολὺς ἡμῖν ὁ αἱρετικῶν ἐφίσταται σύλλογος, τί λέγων; ὁρᾷς πῶς φοβεῖται καὶ δειλιᾷ; ὁρᾷς πῶς εὔχεται τῷ πατρὶ λέγων, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; νῦν Εὐνόμιος χαίρει, νῦν Ἄρειος εὐφραίνεται, ὡς εὑρηκότες ῥήματα βλάσφημα κατὰ τῆς ἀληθείας συρίζοντα. ἀλλὰ μὴ εὐφρανθείητε πάντες οἱ ἀλλόφυλοι. συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ἡμᾶς· μεθ' ἡμῶν ὁ θεός· γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα· πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ὢ ποτήριον ζωῆς καὶ ἀθανασίας μεμεστωμένον· ὃ λαβόντες Εὐνόμιος καὶ Ἄρειος, τῇ οἰκείᾳ κακοπιστίᾳ ἐπιθολώσαντες, ποτίζουσι τῷ πλησίον ἀνατροπὴν θολεράν,

A *Si possibile est, transeat hic calix?* Et si hoc volebas, cur Petrum te cohibentem increpasti? dicebas enim: ***Oportet filium hominis crucifigi & sepeliri, & tertia die resurgere***; dicebat vero Petrus: ***Absit a te, Domine, non erit tibi hoc***: cui indignatus dicebas, ***Vade post me, Satana, scandalum es mihi, quia non sapis ea quæ Dei sunt, sed ea quæ hominum.*** Si ergo illum tunc increpabas ut humana loquentem, cur nunc illud quæris quod ille impedire volebat, & dicis: ***Pater, si possibile est, transeat hic calix?*** Te creatorem visibilium & invisibilium esse discimus. Nam morbos tactu manûs curasti, mortuorum resoluta corpora verbo firmasti, fontes sanguinis per fimbrias vestimentorum exsiccasti, ex quinque panibus quinque millia virorum sa-

B tiasti, ventis & mari imperasti, & omnia tibi cum tremore obedierunt; & tot miraculorum opifex, qui mortem solvisti, nunc mortem times & dicis: ***Pater, si possibile est, transeat hic calix?*** Si tu mortem times, in quo tandem vitæ spem habebimus? Si mortem times, quomodo dicis, ***Ego sum vita & resurrectio?*** Vita *Joan. 11. 25.* & resurrectio mortem nunquam timebunt. Quid sibi vult illud quod dicis, ***Pater, si possibile est, transeat hic calix?*** Num tu ignoras, qui nosti omnia antequam fiant? Ignoras num possibile sit hunc calicem transire? Et quomodo dicebas, ***Nemo novit Patrem, nisi Filius?*** Patrem nosti, quo majus nihil est, an vero calix possit transire nescis? Cur Paulus quoque dicit, ***Non est*** *Hebr. 4. 13. & 12.* ***ulla creatura invisibilis in conspectu ejus: omnia***

C ***autem nuda & aperta sunt oculis ejus***; ac rursus, ***Vita enim sermo Dei, & efficax, & penetrabilior omni gladio ancipiti, & pertingens usque ad divisionem animæ & spiritûs, compagum quoque & medullarum, & discretor cogitationum & intentionum cordis.*** Si ergo nulla est creatura invisibilis in conspectu ejus, sed omnia nuda & aperta sunt oculis ejus; quomodo tu nunc ut ignorans dicis, ***Pater, si possibile est, transeat hic calix a me***, nisi quodpiam occultum mysterium sit in verbo? Non tibi competit, Domine, tale dictum; nam Deus es, Dei filius, Verbum, sapientia, virtus, lux, sol justitiæ, fons immortalis, vita æterna, nobis qui peccato mortui sumus resurrectio, ***Pater, si possibile est, transeat hic calix.*** O quam difficile dictum est, quam

D arduum, quam obscurum! O quam arctum & quam multos exercitat homines! Doce nos, Domine, hoc verbi tui mysterium. Nam tui sumus, & tibi credidimus. Ne extollatur in blasphemia sua Eunomius ille gigas, neque exprobret castris Domini Israel. Ille namque nobis exprobrat, & in te Dominum nostrum reflectitur contumelia. Excita mentem & cor nostrum, ut mitissimum Davidem. Da nobis unum verbi lapidem, ut illum funda jacientes, caput impietatis eorum dissolvamus, ut hodie omnes in castris cognoscant ***quoniam tu solus es Dominus altissimus super omnem terram.*** Magnus nobis instat hæreticorum cœtus; quid dicens? Viden' quomodo timeat ac formidet? Viden' quo-

E modo Patri supplicet dicens, ***Pater, si possibile est, transeat a me calix?*** Nunc Eunomius gaudet: nunc Arius lætatur, quasi invenerint blasphema verba quæ contra veritatem sibilent. Verum ne lætemini omnes alienigenæ. Contritum enim est jugum percutientis nos. ***Nobiscum Deus.*** Cognoscite Gentes, & superemini. Si enim rursum invalueritis, rursum vincemini, & quodcumque consilium inieritis, dissipabit Deus. Os enim Domini hæc loquutum est: ***Pater, si possibile est, transeat hic calix.*** O calicem vita & immortalitate plenum! quem accipientes Eunomius & Arius, & prava sua fide sordidantes, propinant proximo subversionem turbidam,

qui dulce ejus sensuum temperamentum amarum esse putant : neque illud, *Væ*, formidant, dicente scriptura : *Væ ei qui propinat proximo suo*
*Habac. 2. 15.* *subversionem turbidam. Væ qui dicitis amarum dulce, & dulce amarum, ponentes lucem tene-*
*Isai. 5. 20.* *bras, & tenebras lucem. Væ qui sapientes estis in oculis vestris, & coram vobismetipsis prudentes.* Nos autem, dilecti, accipientes calicem Domini nostri, contentam in ipso doctrinam cum desiderio animi hauriamus : *Pater, si possibile est, transeat hic calix.* Non ut tu existimas, Ari. Num formidat Dominus noster? num mortem timens hæc loquitur? Quomodo timuisset ille, qui potestatem habebat moriendi
*Joan. 10. 18.* & non moriendi? Dicit enim : *Potestatem habeo ponendi animam meam, & potestatem habeo iterum sumendi eam.* Si namque coactus a quopiam fuisset, recte dixisses ipsum timuisse; nunc autem dicit ille : *Potestatem habeo ponendi animam meam, & potestatem habeo iterum sumendi eam*; id est, non cogor a quopiam, quandoquidem dicit, *Potestatem habeo ponendi animam meam, & potestatem habeo sumendi eam.* Sed sicut memetipsum exinanivi, formam servi accipiens, nemine me cogente, mihique corpus
*Prov. 9. 1.* ædificavi : nam *sapientia ædificavit sibi domum*; eodem modo possum corpus morte solutum per
*Joan. 2. 19.* vitam excitare. Ego enim sum qui dixi : *Solvite templum hoc, & in tribus diebus excitabo illud.* Itaque non timens, nec formidans mortem illud dico, *Pater, si possibile est, transeat hic calix*; sed occulti mysterii verbum proferens. Hoc dictum esca est diabolo : oportet me ipsum his verbis quasi hamo capere. Videbat diabolus me multa signa fecisse, morbos manu curavisse, legiones dæmonum verbo fugasse, leprosorum pustulas verbo quasi ventilabro obrasisse, paralyticorum genua verbo firmasse, ventos & mare increpasse, omniaque mihi cum tremore obedivisse, ac cum ex ipsis operibus videret me esse filium Dei, cogitavit, si ego crucifigerer, se periturum esse; si ego descenderem ad inferos, vectes ipsius ferreos me confracturum, & portas æreas contriturum esse. His ille conspectis, refugit & timet ne pretiosum crucis tropæum erigam. Quid ergo facio? ut sapiens piscator metum & timorem mortis simulo, & dico, *Pater, si possibile est, transeat hic calix*; ut ille ex humilibus his verbis meis putans me hominem esse timidum, qui mortem fugerem, festinaret in medio terræ ligni crucis mysterium erigere, contra me, ut putavit. Oportet igitur me, ut sapientem piscatorem, contra illum arte uti : oportet me omnia sustinere pro omnium vita. Si enim ille ab initio arte usus est ad Adami exitium; multo magis ego arte utar pro omnium salute. Verbis dolosis Adamum decepit, verbis divinis decipietur dolosus ille : *Pater, si possibile est, transeat hic calix a me.* Nisi piscator, cum hamum demittit in mare, aliquando vermem in hamo poneret, aliquando vermem, ut fugientem monstraret, pisces non insilirent in eum. Hamo divinitatis meæ, vermem corporis circumposui : demisi hamum, occultatum sub verme corporis, in profundum vitæ hujus; nisi vermis ut vermis moveatur, qui hamo capiendus est ad hamum non accedet. Oportet ergo me in vermis figuram transire & loqui : *Nam ego sum vermis, & non homo*; ut ille accurrat, & hamum aggrediatur, atque a me trahatur, im-
*Job. 40. 20.* pleaturque quod scriptum est in Jobo : *Ages autem draconem in hamo.* Me gero ut homo ti-
*Matt. 26. 38.* mens, & mortem fugiens; dico, *Tristis est anima mea usque ad mortem*; dico, *Pater, si possibile est, transeat hic calix.* Hæc ille verba audiens gaudet & lætatur. Festinat enim ut contra me agat. Cum audit : *Pater, si possibile est,*

A οἱ τὴν ἐν αὐτῷ γλυκεῖαν κρᾶσιν τῶν νοημάτων πικρὰν εἶναι νομίζοντες, καὶ μήτε τὴν, οὐαὶ, φωνὴν φοβούμενοι, λεγούσης τῆς γραφῆς, οὐαὶ τῷ ποτίζοντι τῷ πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν· οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. ἡμεῖς δὲ, ἀγαπητοὶ, λαβόντες τὸ ποτήριον τοῦ κυρίου ἡμῶν, τὴν ἐν αὐτῷ γέμουσαν διδασκαλίαν πόθῳ ψυχῆς ἀρυσώμεθα. πάτερ, εἰ δυνατόν ἐστι, τὸ ποτήριον τοῦτο παρελθέτω. οὐχ ὡς σὺ νομίζεις, Ἄρειε· ἆρα δειλιᾷ ὁ κύριος ἡμῶν; ἢ φοβούμενος τὸν θάνατον ταῦτα λέγει; πῶς γὰρ ἂν ἐφοβήθη, ὁ ἐξουσίαν ἔχων θανεῖν καὶ μὴ θανεῖν; λέγει γάρ· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.
B εἰ μὲν γὰρ ἠναγκάζετο ὑπό τινος, καλῶς ἔλεγες αὐτὸν δειλιᾷν· νῦν δὲ αὐτὸς λέγει, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· τοῦτ' ἔστιν, οὐκ ἀναγκάζομαι ὑπό τινος, ἐπεὶ καὶ ἔλεγον, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν· ἀλλ' ὥσπερ ἐμαυτὸν ἐκένωσα, μορφὴν δούλου λαβὼν, μηδενός με ἀναγκάζοντος, καὶ ἐμαυτοῦ τὸ σῶμα ᾠκοδόμησα· ἡ γὰρ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· τὸν αὐτὸν τρόπον δύναμαι καὶ λυθέν μου τὸ σῶμα θανάτῳ διὰ τῆς ζωῆς ἐγεῖραι. ἐγὼ γάρ εἰμι ὁ λέγων, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὥστε οὖν οὐ δειλιῶν, οὐδὲ φοβούμενος τὸν θάνατον ταῦτα λέγω, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω, ἀλλ' ἀποκρύφου μυστηρίου λόγον περιβαλλόμενος. τοῦ-
C το τὸ ῥῆμα δέλεάρ ἐστι τῷ διαβόλῳ· δεῖ με αὐτὸν τούτοις τοῖς ῥήμασιν ἀγκιστρεύσασθαι. εἶδέ με ὁ διάβολος πολλὰ σημεῖα πεποιηκότα, ὅτι νόσους ἀφῇ χειρὸς ἐθεράπευσα, ὅτι λεγεῶνας δαιμόνων ῥήματι ἐφυγάδευσα, ὅτι λεπρῶν χαλαζώματα, δίκην πτύου, τῷ λόγῳ ἀπέξεσα, ὅτι παραλελυμένα γόνατα φωνῇ ἔπηξα, ὅτι ἀνέμοις καὶ θαλάσσῃ ἐπετίμησα, καὶ πάντα μοι ὑπήκουσαν τρόμῳ. καὶ ἐξ αὐτῶν τῶν πραγμάτων θεωρήσας με εἶναι υἱὸν θεοῦ, ἐνόησεν, ὅτι ἐὰν ἐγὼ σταυρωθῶ, ἐκεῖνος ἀπώλετο· ἐὰν ἐγὼ κατέλθω εἰς τὰ καταχθόνια, τοὺς μοχλοὺς αὐτοῦ τοὺς σιδηροῦς συντρίψω, καὶ τὰς πύλας αὐτοῦ τὰς χαλκᾶς συνθλάσω· καὶ ταῦτα θεωρήσας, φοβούμενος φεύγει στῆσαι τὸ πολυτίμητόν μοι τὸ τρόπαιον τοῦ σταυροῦ. τί οὖν ἐγὼ ποιῶ; ὡς σοφὸς ἁλιεὺς ὑποκρίνομαι δειλιᾷν, ὑπο-
D κρίνομαι φοβεῖσθαι τὸν θάνατον, καὶ λέγω· πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω· ἵνα ἐκεῖνος ἐκ τῶν τοιούτων ταπεινῶν μου ῥημάτων νομίσας με ἄνθρωπον εἶναι δειλὸν, φεύγοντα τὸν θάνατον, σπεύσῃ ἐν μέσῃ τῇ γῇ στῆσαι τὸ ξυλοπαγὲς μυστήριον τοῦ σταυροῦ, ὡς νομίζει, κατ' ἐμοῦ. δεῖ με οὖν ὡς σοφὸν ἁλιέα τεχνάσασθαι κατ' αὐτοῦ, δεῖ με πάντα ὑπομεῖναι ὑπὲρ τῆς πάντων ζωῆς. εἰ γὰρ ἐκεῖνος ἐτεχνάσατο ἐξ ἀρχῆς κατὰ τοῦ Ἀδὰμ ἀπωλείας, πολλῷ μᾶλλον ἐγὼ τεχνάσομαι ὑπὲρ τῆς πάντων σωτηρίας. ῥήμασι δολεροῖς ἠπάτησε τὸν Ἀδὰμ, ῥήμασι θεϊκοῖς ἀπατηθήσεται ὁ δολερός. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. ἐὰν μὴ ὁ ἁλιεὺς, ὅτε χαλάσει τὸ ἄγκιστρον εἰς τὴν θάλασσαν, ποτὲ μὲν ἐνδῷ τῷ ἀγκίστρῳ, ποτὲ δὲ ὡς φεύγοντα δείξῃ τὸν σκώληκα, τῇ χειρὶ ὑφέλκων, οἱ ἰχθύες οὐκ ἐφάλλονται. περιέθηκα τῷ ἀγκίστρῳ μου τῆς
E θεότητος τὸν σκώληκα τοῦ σώματος· ἐχάλασα τὸ ἄγκιστρον κεκρυμμένον ἐν τῷ σκώληκι τοῦ σώματος εἰς τὸν βυθὸν τοῦ βίου τούτου· ἐὰν μὴ ὁ σκώληξ, ὡς σκώληξ κινηθῇ, ὁ ὀφείλων ἀγκιστρευθῆναι οὐκ ἐπέρχεται τῷ ἀγκίστρῳ. δεῖ με τοίνυν ὡς σκώληκα σχηματίσασθαι, καὶ λαλῆσαι, ἐγὼ γάρ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ἵν' ἐκεῖνος ἐπιδράμῃ καὶ ἅψηται τῷ ἀγκίστρῳ, καὶ ἑλκυσθῇ ὑπ' ἐμοῦ· καὶ πληρωθῇ τὸ γεγραμμένον ἐν τῷ Ἰὼβ, ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ. γίνομαι ὡς ἄνθρωπος δειλιῶν, γίνομαι ὡς φεύγων τὸν θάνατον· εἴπω, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· εἴπω, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ἀκούων ἐκεῖνος τούτων τῶν ῥημάτων, χαίρει καὶ εὐφραίνεται. σπεύδει γὰρ τὰ ἐναντία μου πράττειν. ὅταν ἀκούσῃ, πάτερ, εἰ δυνατὸν,

τὸ

τὸ ποτήριον τοῦτο παρελθέτω, εὐφραίνεται· καὶ τί λέγει ἐν A ἑαυτῷ; καὶ οὗτος ἄνθρωπός ἐστι· κατέπιον τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, σὺν πατριάρχας καὶ σὺν προφήτας· καταπίω καὶ τοῦτον. ἰδοὺ γὰρ, ὡς ἄνθρωπος, δειλιᾷ. ἄνθρωπός ἐστι· καταπίω αὐτόν. καταπίῃ με ὡς ἄνθρωπον, καὶ εὑρήσει με ἐν τῇ κοιλίᾳ αὐτοῦ ὡς θεὸν ἐργαζόμενον. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. καταπίῃ τὴν ζύμην τοῦ σώματος, καὶ εὑρήσει τὸν ἄνθρακα τὸν ἄσβεστον τῆς θεότητος, δεινῶς αὐτὸν ἔνδοθεν κατακαίοντα. πῦρ γὰρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. λαλήσω ὡς ἀρνίον, οὐ θέλω βλέπειν αὐτὸν τὴν στίλβουσαν μάχαιραν τῆς θεότητος, ἵνα μὴ φύγῃ ὁ λύκος. καταπίῃ με ὡς ἀρνίον, καὶ ὑπὸ τῆς ἔνδοθεν τῆς τριστόμου μαχαίρας κατακεντηθήσεται. οὐκ ἦλθον γὰρ εἰρήνην βαλεῖν B αὐτῷ, ἀλλὰ μάχαιραν. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. κρύπτω τὸν ποιμένα θεὸν ἐν τῷ ἀρνίῳ τοῦ σώματος. οὐ θέλω φανερῶσαι τὸν ποιμένα θεὸν, ἵνα μὴ φύγῃ ὁ λύκος. ἐὰν ἴδῃ τὸν ποιμένα, ἀφίσταται ὁ λύκος. λαλήσω ὡς ἀρνίον. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. λαλήσω ὡς ἀρνίον μὴ ἔχον ποιμένα. ἐγενόμην γὰρ, ὡσεὶ ἄνθρωπος ἀβοήθητος. καταπίῃ με ὡς ἀρνίον, καὶ ὑπὸ τοῦ ἔνδοθεν ποιμένος τῇ βακτηρίᾳ τοῦ σταυροῦ συνθλασθήσεται. μασήσεται τὸν κόκκον τοῦ σινάπεως, καὶ εὑρήσει τὴν δριμύτητα τῆς θεότητος δεινῶς αὐτὸν βασανίζουσαν· μασήσεταί με ὡς ἄνθρωπον, καὶ εὑρήσει τὴν στερρὰν πέτραν σφοδρῶς τοὺς ὀδόντας αὐτοῦ συγκλῶσαν· ἵνα μάθῃ μηκέτι ἀνθρώπους μασᾶσθαι· καὶ πληρωθήσεται τὸ γεγραμμένον, ὁ δὲ θεὸς συνθλάσει τοὺς ὀδόντας αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ. πάτερ, εἰ δυνατὸν, τὸ C ποτήριον τοῦτο παρελθέτω. εἰ ᾔδει ὁποῖόν ἐστι τὸ ποτήριον τοῦτο, ὅπερ ἐγὼ εἰρωνείᾳ ἀπεύχομαι, ἐκεῖνος ἂν ηὔξατο παρελθεῖν. κατ' ἐκείνου γάρ ἐστι κεντητήριον, τοῖς δὲ ἐμοῖς σωτήριον. ὅταν με καταπίῃ, τότε αἰσθήσεται, ὃν κατέπιεν· ὅταν εἴδῃ δι' ἐμὲ ἥλιον ἀφανιζόμενον, ἡμέραν σκοτιζομένην, τότε καὶ αὐτὸς πικρανθήσεται· καὶ πληρωθήσεται τὸ γεγραμμένον, ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. μὴ οὖν σκανδαλιζέτω ὑμᾶς τὰ τοιαῦτα ῥήματα ἐν σοφίᾳ λεγόμενα· ἐκδέξασθε καὶ ὄψεσθε τὴν ἔκβασιν τῶν λόγων μου, καὶ τότε θαυμάσετε τὴν σοφίαν τῶν ῥημάτων μου. νομίζει μωρόν μου τὸ τέχνασμα εἶναι· καὶ οὐκ οἶδεν ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί· νομίζει ἐκ τῶν τοιούτων ἀσθενέστατόν με εἶναι· καὶ οὐκ οἶδεν ὅτι τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· D οὐκ οἶδεν, ὅτι ἐγὼ μὲν πίνω τὸ ποτήριον, ἐκεῖνος δὲ μεθυσθήσεται καὶ σκοτισθήσεται, οἱ δὲ ἐμοὶ ἐξυπνισθήσονται καὶ ἐγερθήσονται. νῦν χαίρει ἀκούων τῶν τοιούτων μου ῥημάτων, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ὅταν μέντοι καταπίῃ με, ὅταν ἴδῃ πέτρας σχιζομένας, καὶ τὰ μνημεῖα καὶ τοὺς τάφους ἀναῤῥηγνυμένους, κἀκεῖνον αὐτὸν ῥαχιζόμενον, καὶ τοὺς νεκροὺς ἀναπηδῶντας καὶ εἰς οὐρανοὺς ἁλλομένους, τότε μετανοήσει καὶ πενθήσει, ἐφ' οἷς νῦν χαίρει. οὐκ οἶδεν, ὅτι, ἣν ἱστᾷ παγίδα, ἑαυτῷ ἱστᾷ, καὶ αὐτὸς ἐμπεσεῖται, κατὰ τὸ γεγραμμένον· λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. οὐκ οἶδεν, ὅτι ὃν μέλλει ἱστᾶν σταυρὸν, ἐμοὶ μέν ἐστι παστὸς, ἐκείνῳ δὲ σταυρός· ἐμοὶ μέν ἐστι θάλαμος, ἐκείνῳ δὲ θάνατος, E ὢ ποτήριον, διαβόλου κεντητήριον, δαιμόνων φυγαδευτήριον· ἁμαρτιῶν λικμητήριον, ζωῆς ἐργαστήριον, ἁμαρτωλῶν ἱλαστήριον, ἀθανασίας ποτήριον. πλὴν, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἔγνω ὁ δύστηνος, ὅτι ὅσα εἶπον, ἐγένετο· ἤκουσέ μου λέγοντος, εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου· ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις. νῦν δὲ ἐπειδὴ ηὐξάμην παρελθεῖν τὸ ποτήριον, τοῦ θανάτου, ἵνα μὴ νομίσας διὰ τῆς εὐχῆς μου παρέρχεσθαι τὸ ποτήριον, χαῦνος γένηται περὶ τὸ πρᾶγμα τοῦ σταυροῦ, τῆς εὐχῆς μου τὴν ἔκβασιν ἀμφίβολον ποιῶ, καὶ λέγω, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. τῷ πατρί μου προσάπτω τοῦ θανάτου τὴν ἐξουσίαν·

A *transeat calix iste*, lætatur. Et quid dicit in seipso? Hic quoque homo est. Deglutivi Abrahamum, Isaacum & Jacobum, patriarchas & prophetas: hunc quoque deglutiam. Ecce namque ut homo timet: homo est, deglutiam illum. Deglutiat me, ut hominem, & in ventre suo inveniet me operantem ut Deum. *Pater, si possibile est, transeat hic calix.* Deglutiat fermentum corporis, & inveniet carbonem inexstinguibilem divinitatis, ipsum graviter intus urentem: nam *ignem veni mittere in terram.* Luc. 16. 49. *Pater, si possibile est, transeat hic calix.* Loquar ut agnus, nolo ut videat splendentem gladium divinitatis, ne fugiat lupus ille. Deglutiat me ut agnum, & ab eo qui intus est triplicis aciei gladio confodietur. *Non veni pacem* Matt. 10. 34. B *mittere illi, sed gladium. Pater, si possibile est, transeat hic calix.* Abscondo pastorem Deum in agno corporis. Nolo manifestum reddere pastorem Deum, ut ne lupus fugiat. Si pastorem videat, abscedit lupus. Loquar ut agnus: *Pater, si possibile est, transeat hic calix.* Loquar ut agnus, qui pastorem non habet: nam factus sum sicut homo sine adjutorio. Deglutiat me ut agnum, & ab eo, qui intus est, pastore baculo crucis conteretur. Mandet granum sinapis, & inveniet acrimoniam divinitatis graviter ipsum cruciantem. Mandet me ut hominem, & inveniet firmam petram, quæ dentes ejus vehementer confringet; ut discat non ultra homines mandere, & implebitur id quod scriptum est: *Deus conteret dentes ejus in ore ipsius. Pater, si possi-* C *bile est, transeat hic calix.* Si sciret qualis sit hic calix, quem ego per simulationem deprecor, ipse precaretur ut transiret: illum namque confodit, meis autem est salutaris. Cum me deglutiet, tunc sentiet quem deglutierit. Cum viderit per me solem obtenebratum, diem obscuratum, tunc ipse in amaritudine erit; & implebitur id quod scriptum est: *Infernus subter* Isai. 14. 9. *exacerbatus est, occurrens tibi. Pater, si possibile est, transeat hic calix.* Ne itaque vobis offendiculo sint hæc verba sapienter dicta. Exspectate & videbitis verborum meorum eventum, & tunc mirabimini sapientiam eorum. Putat stultum esse Dei artificium, ac nescit illud: *Quod stultum est Dei, sapientius est hominibus.* Ex his verbis infert me infirmissimum esse; ac nescit illud: *Quod infirmum est Dei, fortius est* 1. Cor. 1. 25. D *hominibus.* Nescit me quidem bibiturum esse calicem, ipsum vero inebriandum & obtenebrandum esse; meos autem & somno surrecturos & evigilaturos. Nunc gaudet his auditis verbis meis: *Pater, si possibile est, transeat hic calix.* Cum porro deglutierit me, cum viderit petras scissas, & monumenta sepulcraque dirupta, seque ipsum discissum, & mortuos resilientes, atque in cælum exsilientes, tunc de iis dolebit de quibus nunc gaudet. Nescit se eum quem parat laqueum in seipsum parare, foreque ut in ipsum incidat, secundum hanc scripturam, *Lacum aperuit, & effodit eum, & in-* Psal. 7. 17. *cidit in foveam, quam fecit.* Nescit crucem illam quam erecturus est, mihi lectum, sibi crucem E fore; mihi thalamum, sibi mortem. O calicem, qui diabolum confodit, dæmonas fugat! O scelerum ventilabrum, vitæ officinam, peccatorum propitiatorium, immortalitatis poculum! *Verumtamen non sicut ego volo, sed sicut tu.* Scit infelix omnia quæ dixi, facta fuisse. Audivit dicentem, *Gratias tibi ago, Pater, quia exaudisti* Joan. 11. 41. *me: ego autem sciebam quia semper me audis.* Nunc vero quia precatus sum ut calix mortis transiret, ut ne existimans per orationem meam calicem esse transiturum, circa crucis negotium segnior fieret, orationis eventum dubium reddo, & dico, *Verumtamen non sicut ego volo, sed sicut tu.* Patri meo assigno mortis potentiam;

etsi ego potestatem habeo ponendi animam meam, & potestatem habeo iterum sumendi eam. Divinam meam dignitatem tegumentis rationabilibus occulto: verbis humanis divinitatis meæ potentiam abscondo; dico, *non sicut ego volo, sed sicut tu.* Nescit cæcus ille
Joan. 16. 15. meam & Patris mei voluntatem unam esse: *Omnia enim quæcumque habet Pater, mea sunt*; &,
Joan. 10. 3. *Ego & Pater unum sumus. Verumtamen non sicut ego volo, sed sicut tu.* Suspendet granum frumenti, & cum deglutierit me, videbit seipsum a triplici funiculo strangulari. At fortasse dicet auditorum quispiam: Ergo Christus illusit diabolo: an licebat ipsi illudere ei? Cui respondebimus: Lege scripturas, & invenies ipsum Patrem Moysi dicentem:
Exod. 10. 2. *Vides quantum illusi Ægyptiis?* Itaque Dominus etiam illusit diabolo & dæmonibus. Oportebat enim ipsum derideri ut stultum & magnifice loquentem ac dicentem:
Isai. 10. 13. *In fortitudine mea faciam, & in prudentia manuum mearum auferam terminos gentium, & orbem totum ut nidum comprehendam, & ut derelicta ova tollam: & nullus erit qui resistat mihi.* Oportebat ergo & illum & dæmonas illudi; ut ostenderet Christus illos qui sese ita jactarent pueris esse insipientiores. Certe nesciebant quid facerent: nam *si cognovissent, nunquam Dominum gloriæ crucifixissent.* Prænunciabat autem propheta de hoc dracone, fore nempe ut illuderetur, dicens:
Psal. 103. 28. *Draco iste quem formasti ad illudendum ei.* Sed ne longius orationem extendentes, videamur impedire eos qui secundum nos volunt scripturæ sensum clarius efferre, hic silentio sermoni finem imponamus. Hoc enim caput tractandum suscepimus, non quasi possemus nihil prætermittere; sed ut secundum facultatem nostram dissereremus, studiosisque occasionem daremus:
Prov. 9. 9. *Da sapienti occasionem, & sapientior erit.* Vos autem, dilecti, ex scripturis colligentes ea quæ hæc dicta firmare possunt, quæ captu difficiliora sunt magis explicate. Neque enim timoris causa, Dominus noster, ut diximus, calicem mortis recusat, sed divina dispensatione; ut ex meis perquam minimis verbis & sententiis, exque vestris laboribus gloria Christo referatur nunc & semper & in sæcula sæculorum, amen.

A καίτοι αὐτὸς ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. κρύπτω τὸ θεϊκόν μου ἀξίωμα πετάλοις λογικοῖς· κρύπτω τὸ ἐξουσιαστικόν μου τῆς θεότητος λόγοις ἀνθρωπίνοις· λέγω, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. οὐκ οἶδεν ὁ τυφλὸς, ὅτι τὸ ἐμὸν θέλημα καὶ τὸ τοῦ πατρός μου ἕν ἐστι. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. κρεμάσει τὸν κόκκον τοῦ σίτου, καὶ ὅταν καταπίῃ με, ὄψεται αὐτὸν ὑπὸ τοῦ ἐντρίτου χοινίου δεινῶς ἀπαγχόμενον. ἀλλ' ἴσως ἐρεῖ τις τῶν ἀκουόντων· καὶ ἄρα γε ὁ Χριστὸς ἐνέπαιξε τῷ διαβόλῳ; ἢ ἐξὸν ἦν ἐμπαίζειν αὐτῷ; πρὸς ὃν ἐροῦμεν, ὅτι ἀνάγνωθι τὰς γραφὰς, καὶ εὑρήσεις αὐτὸν τὸν πατέρα λέγοντα πρὸς Μωϋσέα· ὁρᾷς πόσα ἐμπέ-

B παιχα τοῖς Αἰγυπτίοις; τοιγαροῦν καὶ ὁ κύριος ἐνέπαιξε τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν. ἔδει γὰρ αὐτὸν ὡς ἀνόητον χλευασθῆναι τὸν μεγαλορρημονοῦντα, καὶ λέγοντα, ἐν τῇ ἰσχύϊ μου ποιήσω, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν μου ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν οἰκουμένην ὅλην, ὡς νοσσιὰν καταλήψομαι, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐδεὶς ἔσται, ὃς ἀντείπῃ μοι. ἔδει αὐτὸν τοίνυν ἐμπαιχθῆναι, καὶ τοὺς δαίμονας· ἵνα ἀποδείξῃ τοὺς τὰ τοιαῦτα καυχωμένους καὶ παιδίων εἶναι ἀνοητοτέρους. διὸ οὔτε ἔγνωσαν ὃ ἐποίουν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. προανεφώνει δὲ καὶ ὁ προφήτης περὶ τοῦ δράκοντος τούτου, ὅτι ἐμπαιχθήσεται, λέγων· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. ἀλλ' ἵνα μὴ ἐπὶ πολὺ μηκύνοντες τὸν λόγον, δόξωμεν ἐμποδίζειν τοῖς μεθ' ἡμᾶς βουλομένοις φαιδρότερον τῆς γραφῆς τὸ νόημα πα-

C ραδοῦναι, ἐνθάδε σιωπῇ τὸν λόγον ἡμῶν στείλωμεν. προήχθημεν γὰρ εἰπεῖν εἰς αὐτὸ τοῦτο τὸ κεφάλαιον, οὐχ ὡς δυνάμενοι ἀπαραλείπτως εἰπεῖν, ἀλλὰ κατὰ τὴν ἑαυτῶν δύναμιν διηγήσασθαι, καὶ ἀφορμὴν διδόναι τοῖς φιλομαθέσι. δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. καὶ ὑμεῖς δὲ, ἀγαπητοὶ, ἐκ τῶν γραφῶν ἀναλεξάμενοι πρὸς σύστασιν τῶν εἰρημένων, μειζόνως λευκάνατε τὸ δυσθεώρητον νόημα. οὐ γὰρ δειλίας ἕνεκα ὁ κύριος ἡμῶν, καθὼς προείπαμεν, ἀπεύχεται τὸ ποτήριον τοῦ θανάτου, ἀλλ' οἰκονομίᾳ θεϊκῇ· ἵνα ἐκ τῶν ἐμῶν ἐλαχίστων ῥημάτων τε καὶ νοημάτων, καὶ ἐκ τῶν ὑμετέρων πόνων δόξα Χριστῷ ἀναπεμφθῇ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

In Parabolam secundum Lucam, quæ sic habet: *Homo quidam descendebat, & incidit in Latrones.*
Luc. 10. 30.

D Εἰς τὴν τοῦ κατὰ Λουκᾶν εὐαγγελίου παραβολὴν λέγουσαν, ἄνθρωπός τις κατέβαινε, καὶ λῃσταῖς περιέπεσεν.

1. Cor. 9. 24. VERE secundum divinum apostolum, *Qui in stadio currunt, omnes quidem currunt, sed unus accipit bravium.* Cucurrit hodie sacerdos, cucurrit Levita, & Samaritanus solus accepit bravium. Illos enim, qui ante se venerant & cucurrerant, sine labore currens transilivit. Quæ enim ii, qui legem edocti erant, non fecerant, recte fecit alienigena. Illi namque videntes in alio communem naturam periclitantem, viscera misericordiæ occluserunt, & clausis oculis jacentem illum quasi columnam mortuam præterierunt, sicut ille olim dives projectum foribus suis Lazarum. Samaritanus vero infidelis, imo fidelior sacerdotibus, rerum suarum oblitus, peregrinum consolatus est, & misso urgenti negotio, ad curandum vulneratum festinavit, & quam non noverat legem implevit, ac quæ legis erant omnia perfecit.
Rom. 4. 14. *Cum enim Gentes, quæ legem non habent, naturaliter ea quæ sunt legis faciunt; hi legem non habentes, ipsi sibi sunt lex: qui ostendunt opus legis scriptum in cordibus suis, testimonium reddente illis conscientia, & inter se invicem cogitationibus accu-*

ΟΝΤΩΣ, κατὰ τὸν θεῖον ἀπόστολον, οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. ἔδραμε σήμερον ὁ ἱερεὺς, ἔδραμε καὶ Λευΐτης, καὶ ὁ Σαμαρείτης μόνος ἔλαβε τὸ βραβεῖον. τοὺς γὰρ πρὸ αὐτοῦ ἐλθόντας καὶ δραμόντας ἀκόπως δραμὼν παρεπήδησεν. ἃ γὰρ οἱ νομομαθεῖς οὐκ ἐποίησαν, ταῦτα κατώρθωσεν ὁ ἀλλόφυλος. οἱ μὲν γὰρ ἰδόντες ἐν ἑτέρῳ τὴν οἰκείαν κινδυνεύουσαν φύσιν, τὰ σπλάγχνα ἀπέκλεισαν τῆς συμπαθείας, καὶ τοὺς ὀφθαλμοὺς καμμύσαντες, ὡς στήλην νεκρὰν τὸν κείμενον παρέβησαν, ὡς

E καί ποτε ὁ πλούσιος πρὸ τῶν θυρῶν αὐτοῦ ἐρριμμένον τὸν Λάζαρον· ὁ δὲ ἄπιστος Σαμαρείτης, πιστότερος δὲ μᾶλλον καὶ τῶν ἱερέων, τῶν οἰκείων ἐπιλαθόμενος πραγμάτων, παρεμυθήσατο τὸν ξένον, καὶ τῆς ἐπειγούσης αὐτὸν χρείας ἐπιλαθόμενος, πρὸς τὴν θεραπείαν τοῦ πεπληγότος ἠπείγετο, καὶ τὸν νόμον οὐκ εἰδὼς, ἐπλήρωσε, πάντα πεποιηκὼς τὰ τοῦ νόμου. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ἐργάζωνται, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων.

τί οὖν ὁ εὐαγγελιστής φησιν; ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευΐτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. μάθωμεν οὖν τίς ἐστιν ἡ Ἱερουσαλὴμ, καὶ τίς ἡ Ἱεριχὼ, καὶ τίνες οἱ λῃσταὶ οἷς περιέπεσε, καὶ τί τὸ ἔνδυμα ὃ ἀπέδυσαν αὐτὸν, καὶ τίνες αἱ πληγαὶ ἃς ἐπέθηκαν τῷ ἀνθρώπῳ, καὶ διὰ τί ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα, καὶ τίς ὁ ἱερεὺς, καὶ τίς ὁ Λευΐτης, καὶ τίς ὁ Σαμαρείτης, καὶ τί τὸ ἔλαιον, καὶ τίς ὁ οἶνος, καὶ τίνες οἱ ἐπίδεσμοι, καὶ τί τὸ κτῆνος, καὶ τί τὸ πανδοχεῖον, καὶ τίς ὁ πανδοχεὺς, καὶ τί τὰ δύο δηνάρια, καὶ τί τὸ προσανάλωμα ὃ προσεπηγγείλατο προσαποδοῦναι, καὶ τίς ἡ ἐπάνοδος τοῦ Σαμαρείτου. τίς οὖν ὁ ἄνθρωπος ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ; ἡ Ἱερουσαλήμ ἐστιν ὁ παράδεισος, ἡ Ἱεριχὼ, ὁ κόσμος οὗτος· ἄνθρωπος δὲ ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, ὁ πρωτόπλαστός ἐστιν Ἀδάμ. ἐκπεσὼν γὰρ ἐκ τοῦ παραδείσου κατῆλθεν εἰς Ἱεριχὼ, τουτέστιν, εἰς τὸν κόσμον τοῦτον. καὶ ἐλθὼν λῃσταῖς περιέπεσε, τουτέστι, τοῖς πονηροῖς δαίμοσι τοῖς φονικωτάτοις· οἳ καὶ ἐκδύσαντες αὐτὸν τὸ ἔνδυμα τῆς ἀθανασίας, ὃ πρὸ τῆς ἁμαρτίας ἐφόρει, ἐνέδυσαν αὐτὸν φύλλα συκῆς. διὰ τί φύλλα συκῆς; ὅτι τραχέα εἰσὶ καὶ πικρά. ἐπειδὴ δὲ μετὰ τὴν ἁμαρτίαν, τραχύτης προσεγένετο αὐτῷ πραγμάτων καὶ πικρία πολλὴ, διὰ τοῦτο ἐνεδύσατο φύλλα συκῆς. καὶ πληγὰς ἐπιθέντες, τουτέστι, τὰς βιωτικὰς ὀδύνας. τὸ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, καὶ, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ, καὶ, ἐν λύπαις τέξῃ τέκνα, αὗται αἱ πληγαὶ τῆς ψυχῆς. καὶ ἀπῆλθον ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα. οὔτε γὰρ ἐν ζῶσιν ἦν παραβὰς τὴν ἐντολὴν τοῦ θεοῦ ὁ Ἀδὰμ, οὐδὲ τελείως ἐνεκρώθη, τῷ μὴ τελείως ἀρνήσασθαι τὸν θεόν. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ. καὶ οὐκ εἶπε, κατὰ συντυχίαν· ἀλλὰ, κατὰ συγκυρίαν. κατὰ συντυχίαν γάρ ἐστιν, ἀπροόπτως καὶ ἀπροσδοκήτως, ὅταν ἐξ αὐτομάτου τις παραγένηται· κατὰ συγκυρίαν δέ ἐστιν, ὅταν τις κατὰ πρόνοιαν θεοῦ τι ποιήσῃ. ἐνταῦθα οὖν κατὰ πρόνοιαν θεοῦ κατέβαινεν ὁ ἱερεὺς ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευΐτης. τίς ὁ ἱερεὺς, καὶ τίς ὁ Λευΐτης; ἱερεὺς μέν ἐστιν ὁ Μωϋσαϊκὸς νόμος, Λευΐτης δὲ ὁ προφητικὸς λόγος. οὗτοι μὲν οὖν κατὰ πρόνοιαν μὲν θεοῦ ἦλθον ἐπὶ τῇ θεραπείᾳ τοῦ τετραυματισμένου ὑπὸ τῶν λῃστῶν. μὴ δυνηθέντες δὲ θεραπεῦσαι αὐτὸν, ἀντιπαρῆλθον. τούτων οὖν μὴ ἰσχυσάντων ἀναστῆσαι τὸν κείμενον, ἔρχεται Σαμαρείτης, ὅς ἐστιν ὁ δεσπότης Χριστὸς, ὁ φύλαξ τῶν ἡμετέρων ψυχῶν. Σαμαρείτης γὰρ ἑρμηνεύεται φύλαξ. διὰ τοῦτο οὖν εἶπε· Σαμαρείτης δέ τις ὁδεύων ἦλθε· καὶ οὐκ εἶπεν, ὅτι ἦλθε πρὸς αὐτὸν, ἀλλ' ἦλθε κατ' αὐτὸν, τουτέστι, σαρκοφορήσας κατ' αὐτὸν, πάθει σωματικῷ ὑποκείμενος κατ' αὐτὸν ἀναμαρτήτως. καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη ἐπ' αὐτῷ, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. τίνες οἱ ἐπίδεσμοι, καὶ τί τὸ ἔλαιον, καὶ τίς ὁ οἶνος; ἐπίδεσμοί εἰσιν αἱ παραγγελίαι τοῦ Χριστοῦ, τὸ ἔλαιον, τὸ χρίσμα τὸ ἅγιον, οἶνος δὲ τὸ μυστήριον τῆς πίστεως. διὰ τῶν τριῶν τούτων τὰ ψυχικὰ ἡμῶν θεραπεύεται τραύματα. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον. ἴδιον κτῆνος λέγει τὸ σῶμα ὁ Χριστὸς, ὃ ὑπὲρ ἡμῶν ἀνέλαβεν ἐκ τῆς ἀχράντου παρθένου. ἀνεβίβασεν οὖν ἐπὶ τὸ ἴδιον κτῆνος τὸν τετραυματισμένον ὑπὸ τῶν λῃστῶν· ἐπειδὴ κατὰ τὸν προφήτην Ἡσαΐαν, αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε,

A *santibus.* Quid ergo ait evangelista? *Homo quidam descendebat ab Jerusalem in Jericho, & incidit in latrones: qui etiam despoliaverunt eum, & plagis impositis, abierunt semivivo relicto. Accidit autem ut sacerdos quidam descenderet eadem via: ac viso illo præterivit. Similiter & levita, cum esset secus locum, ut venit & vidit, pertransiit. Samaritanus autem quidam iter faciens, venit secus eum, & videns eum, misericordia motus est: & appropians alligavit vulnera ejus, infundens oleum & vinum: & imponens illum in jumentum suum, duxit in stabulum, & curam ejus egit. Et altera die protulit duos denarios, & dedit stabulario, & ait illi: Curam illius habe:* [Luc. 10. 30.]
B *& quodcumque supererogaveris ego cum rediero, reddam tibi.* Discamus ergo quæ sit Jerusalem, quæ Jericho, qui latrones in quos incidit, quod vestimentum quo exuerunt illum, quæ plagæ quas homini imposuerunt, & cur abierunt semivivum relinquentes; quis Sacerdos, quis Levita, quis Samaritanus; quid oleum, quid vinum, quæ ligamina, quid jumentum, quid stabulum, quis stabularius, qui duo denarii, quæ supererogatio quam reddere promisit, quis reditus Samaritani. Quis ergo est homo qui descendebat ab Jerusalem in Jericho? Jerusalem, est Paradisus; Jericho, hic mundus; homo qui descendebat ab Jerusalem in Jericho, est primus parens Adam: excidens enim ex Paradiso, descendit in Jericho, hoc est in hunc
C mundum. Et veniens incidit in latrones, id est in malignos dæmonas sanguinarios: qui exuentes illum vestimento immortalitatis, quod ante peccatum gestabat, induerunt eum foliis ficus. Cur foliis ficus? quia ficus aspera est & acerba. Quoniam autem post peccatum asperitas rerum adfuit illi & amaritudo multa, ideo indutus est foliis ficus. Et plagis impositis, id est, hujus vitæ doloribus: *In sudore vultus tui comedes panem tuum.* &, *spinas & tribulos germinabit tibi terra*; &, *In doloribus paries filios.* Hæ sunt plagæ animæ. *Et abierunt, semivivo relicto.* Neque enim Adam transgressus legem Dei, inter vivos erat, neque omnino mortuus, quod non omnino Deum negasset. *Accidit autem ut Sacerdos quidam descenderet eadem via.* Non dixit, κατὰ συντυχίαν, sed κατὰ συγκυρίαν. Nam [Gen. 3. 14.]
D κατὰ συντυχίαν est, cum quis insperato & fortuito advenit; κατὰ συγκυρίαν vero est, cum quis per Dei providentiam aliquid fecerit. Hic vero per Dei providentiam descendit Sacerdos illa via, ac viso illo præterivit. Similiterque Levita. Quis ille Sacerdos, quis Levita? Sacerdos est lex Mosaïca; Levita, Propheticus sermo. Hi itaque per Dei providentiam venerunt ad curandum eum qui a latronibus sauciatus fuerat. Cum non possent autem illum curare, præterierunt. His igitur jacentem erigere non valentibus, venit Samaritanus, qui est Dominus Christus, custos animarum nostrarum, Samaritanus enim significat custos. Ideo dicit: Samaritanus iter faciens venit. Nec dixit, venit ad eum; sed, venit secus eum; id est, carnem ge-
E stans sicut ille, corporali passioni subjectus ut ille, sed sine peccato. *Et videns eum, misericordia motus est super eo, & accedens alligavit vulnera ejus, infundens oleum & vinum.* Quæ sunt ligamina, quid oleum, quid vinum? Ligamina sunt præcepta Christi; oleum, Sanctum Chrisma; vinum, mysterium fidei. Per hæc tria animæ nostræ vulnera curat. Hæc sciunt initiati. *Imponens illum in jumentum suum, duxit in stabulum.* Jumentum suum dicit Christus corpus quod pro nobis sumsit ex intemerata Virgine. Imposuit ergo jumento suo eum, qui sauciatus fuerat a latronibus: quia secundum Prophetam Esaiam: *Ipse infirmitates nostras suscepit*, [Isai. 53. 4.]

*& ægritudines portavit.* Et *duxit in stabulum*, id est, in sanctam Ecclesiam, *& curam ejus egit* primo per seipsum. Altera autem die exiens, id est, post sanctam resurrectionem, proferens duos denarios dedit stabulario. Quis est stabularius, qui duo denarii? Stabularius est Paulus Apostolus, cui commissa est Ecclesia ex gentibus: stabularius autem πανδοχεὺς vocatus est, quod omnes excipiat & omnes ad salutem trahat. Proferens Christus duos denarios post resurrectionem, vetus nempe & novum testamentum, dedit stabulario dicens: Curam illius habe; populum ex gentibus trado tibi, vulneratum a latronibus sanguinariis. Solum curam illius habe: & quod supererogaveris, ego cum rediero reddam tibi. Quid ergo plus expendit Paulus, quam illos denarios? Quatuordecim epistolas, quas gentibus misit. Quid sibi vult illud: *Ego cum rediero reddam tibi*? In secundo meo adventu, quando veniam judicaturus vivos & mortuos, cum rediero, reddam tibi quæ supererogaveris, ut & ipse Paulus dicit: *Bonum certamen*
2.Tim.4.7. *certavi, cursum consummavi, fidem servavi. In reliquo reposita est mihi corona justitiæ, quam reddet mihi Dominus in illa die, justus Judex: non solum autem mihi, sed illis omnibus qui diligunt adventum ejus.* Talem ergo coronam, fratres, nos omnes assequi contingat, gratia & benignitate Domini nostri Jesu Christi, quicum Patri & Spiritui sancto gloria & imperium, nunc & semper & in sæcula sæculorum, amen.

A καὶ τὰς νόσους ἐβάστασε. καὶ ἤγαγεν εἰς πανδοχεῖον, τουτέστιν, εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἐπεμελήθη αὐτοῦ τὸ πρότερον αὐτὸς δι᾽ ἑαυτοῦ. ἐπὶ τὴν αὔριον δὲ ἐξελθών, τουτέστι, μετὰ τὴν ἁγίαν ἀνάστασιν, ἐκβαλὼν δύο δηνάρια, δέδωκε τῷ πανδοχεῖ. τίς ἐστιν ὁ πανδοχεύς; καὶ τί τὰ δύο δηνάρια; ὁ πανδοχεὺς Παῦλος ὁ ἀπόστολός ἐστιν, ὁ περιβληθεὶς τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ· πανδοχεὺς δὲ ἐκλήθη, διὰ τὸ πάντας δέχεσθαι, καὶ πάντας ἕλκειν εἰς σωτηρίαν. ἐκβαλὼν δύο δηνάρια ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν, τήν τε παλαιὰν καὶ καινὴν διαθήκην, ἔδωκε τῷ πανδοχεῖ, εἰπὼν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ· σοί, φησι, παραδίδωμι τὸν ἐξ ἐθνῶν λαόν, τὸν τετραυματισμένον ὑπὸ τῶν λῃστῶν φονικωτάτων· μόνον ἐπιμελήθητι αὐτοῦ· καὶ ὃ δ᾽ ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τί οὖν προσεδαπάνησε Παῦλος τοῖς δηναρίοις; τὰς δεκα-
B τέσσαρας ἐπιστολάς, ἃς διεπέμψατο τοῖς ἔθνεσι. τί ἐστι τό, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι; ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ, ὅταν ἔρχωμαι κρῖναι ζῶντας καὶ νεκρούς· ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι, ἃ προσεδαπάνησας, καθὼς καὶ αὐτὸς ὁ Παῦλος λέγει· τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. τοῦ τοιούτου οὖν, ἀδελφοί, στεφάνου γένοιτο καὶ ἡμᾶς ἐπιτυχεῖν πάντας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος,
C νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## *In natale S. Joannis prophetæ, præcursoris & Baptistæ.*

OPPORTUNA dies solemnitatis & universalis lætitiæ, in qua subit in mentem Gabrielis ministerium & Zachariæ Sacerdotium, ac mecum reputo eum qui ob incredulitatem mutus factus est. Audistis enim Evangelistam Lucam, qui medicinæ utilem officinam nobis hodie aperuit. Arte quippe medicus erat Lucas Evangelista; sed tunc corporum curator erat, nunc res circumquaque gestas recenset. Artem cum arte mutavit, & circuitio circuitionem excepit. Quid igitur ait Lucas bonus ille
Luc. 1. 9. medicus? Audistis eum modo dicentem: *Secundum consuetudinem Sacerdotii sorte exiit ut incensum poneret: & ingressus est in templum Dei Zacharias: & omnis multitudo populi erat orans foris hora incensi. Et ecce Angelus Domini apparuit ei, stans a dextris altaris incensi. Et Zacharias turbatus est videns, & timor irruit super eum. Dixit autem ei Angelus: Ne timeas, Zacharia, quoniam exaudita est deprecatio tua: & ecce uxor tua Elisabet pariet tibi filium, & vocabis nomen ejus Joannem.* O stupendum & arcanum miraculum! jure Zacharias contradixit Angelo. Aliam consolationem postulabat, aliam accepit. Pro populo precabatur, & filii pater vocatus est: veniam peccatorum quærebat, & ex sterili utero promissionem accepit. Malebat Zacharias animas peccatorum sanari, quam Elisabetæ uterum intumescere. Jure Zacharias turbatus est, metu correptus. Homo quippe erat mutationi obnoxius, etiamsi Sacerdotali dignitate amictus. Dixit autem statim Zacharias, sed mente tantum, ut vidit Angelum: Novus certe est viri adventus, nova promissio. Quis est hic, qui fidenter in sacro templo incedit? quis est hic qui stat a dextris altaris incensi? quis est hic tam novæ & tam fulgidæ formæ? Quis est hic? Non vidi hominem alatum unquam, neque avem hominis forma. Quis est hic qui timore animum meum occupat?

## Εἰς γέννησιν τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ Βαπτιστοῦ.

ΕΥΚΑΙΡΟΣ ἡμέρα ἑορτῆς καὶ πανδήμου χαρᾶς, ἐν ᾗ ὑπεμνήσθην τοῦ Γαβριὴλ τὴν λειτουργίαν καὶ τοῦ Ζαχαρίου τὴν ἱερατείαν, καὶ ἐννοῶ τὸν ἀφωνίᾳ καταδικασθέντα τῇ ἀπιστίᾳ. ἠκούσατε γὰρ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, τοῦ ἀνοίξαντος ἡμῖν σήμερον τὸ ψυχωφελὲς ἰατρεῖον. ἰατρὸς γὰρ ἦν καὶ τῇ τέχνῃ ὁ εὐαγγελιστὴς Λουκᾶς· ἀλλὰ τότε μὲν σωμάτων θεραπευτής, νῦν δὲ πραγμάτων περιοδευτής. τέχνῃ τέχνην κατήλλαξε, καὶ περιοδείᾳ περιοδείαν διεδέξατο. τί οὖν ὁ Λου-
D κᾶς, ὁ εὐφυὴς ἰατρός; ἠκούσατε αὐτοῦ ἀρτίως λέγοντος, κατὰ τὸ ἔθος, φησί, τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, καὶ εἰσῆλθεν εἰς ναὸν τοῦ θεοῦ Ζαχαρίας, καὶ ἅπαν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος· καὶ ἰδοὺ ἄγγελος κυρίου ὤφθη αὐτῷ ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἔπεσεν ἐπ᾽ αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ, Ζαχαρία, ὅτι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἰδοὺ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. ὢ τοῦ παραδόξου καὶ μυστικοῦ θαύματος. δικαίως ὁ Ζαχαρίας ἀντεῖπε τῷ ἀγγέλῳ. ἄλλην παράκλησιν ἐποιεῖτο, καὶ ἄλλην ἐλάμβανεν. ὑπὲρ τοῦ λαοῦ προσηύχετο, καὶ τέκνου πατὴρ ὠνομάζετο· συγγνώμην πλημμελημάτων ἐζήτει, καὶ ἀγόνου μήτρας ἐπαγγελίας ἐδέχετο. ἠθέλησε γὰρ ὁ Ζαχαρίας τὰς ψυ-
E χὰς τῶν ἁμαρτησάντων ἰαθῆναι, ἢ τὴν κοιλίαν τῆς Ἐλισάβετ ὀγκωθῆναι. δικαίως ὁ Ζαχαρίας ἐταράχθη φόβῳ συσχεθείς. ἄνθρωπος γὰρ ἦν τροπῇ δουλεύων, εἰ καὶ ἱερατικὸν ἀξίωμα περιεβέβλητο. εἶπε δὲ Ζαχαρίας εὐθέως κατὰ ψυχὴν μόνον, ὡς εἶδε τὸν ἄγγελον· ξένη τοῦ ἀνδρὸς ἐπιστασία· ξένη τῶν ῥημάτων ἡ ἐπαγγελία. τίς οὗτος, ὁ πεπαρρησιασμένῳ ποδὶ τὸν ἱερὸν ναὸν βηματίζων; τίς οὗτος, ὁ ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος παρεστώς; τίς οὗτος, ὁ ἀλλομόρφου θέας μορφαῖς περιαστράπτων; τίς οὗτος; οὐκ εἶδον ἄνθρωπον πτερωτόν, οὐδ᾽ αὖ πετεινὸν ἀνθρωπόμορφον. τίς οὗτος, ὁ φόβῳ τὴν ἐμὴν ψυχὴν περιέχων;

τίς

A τίς οὗτος ὁ φωσφόρος ἀπὸ στόματος, κεκλεισμένων τῶν χειλέων λαλῶν μεγάλα; τίς οὗτος, ὁ τῆς ἐμῆς ἐφημερίας ἐφεδρευτής; τίς οὗτος, ὁ τῆς ἐμῆς πρεσβείας ἐμποδιστής; ἔξω τὸ πλῆθος τοῦ λαοῦ περιμένει με προσευχόμενον, ὡς τοῦ βασιλέως τοῦ ἐπουρανίου ἀντιγραφέα· καὶ οὗτος ἔνδον κατέχει με. δι' ἐμοῦ δεήσεις ἀπέδωκαν τῷ βασιλεῖ, συγγνώμην αἰτοῦντες, ὡς πλημμελήσαντες. ταῦτα εὔχομαι ὑπογραφῆναι, ἵνα τῷ λαῷ τὴν ἐπιθυμίαν κομίσω, ἵνα τῆς ἐφημερίας μου τὴν ἐργασίαν ἐπιδείξω. παῦσαι τοίνυν ὅστις εἶ ὁ ἐκφοβῶν με. εἰ ἦς θεόπεμπτος ἄγγελος, συνεβάλου ἂν τῇ χρείᾳ μου, συνέπαθες τοῖς ἔξω δακρύουσι, συνεθλίβου τοῖς θλιβομένοις. ἄπιθι τοίνυν· τίς εἶ ὁ ἐκφοβῶν με; οὐδείς μοι λόγος παιδός· τί μοι τέκνου ἐπαγγελίαν σημαίνεις; τί κέρδος τῷ λαῷ, ἐὰν ἐγὼ τέκνον ἕξω; τί δὲ ὄφελος, ἐὰν Ἐλισάβετ παιδίον B θηλάσῃ; τί κέρδος, ἐὰν ἐγὼ κληρονόμον τοῦ βίου καταλείψω; ἄπιθι τοίνυν ὁ ἐκφοβῶν με, ὅστις ἂν εἶ· ἄπιθι τοίνυν ἀπ' ἐμοῦ. προβεβηκότες ἐσμέν· παρῆλθεν ὁ καιρὸς τῆς σπορᾶς· ἐσβέσθη τοῦ γάμου ἡ ἐπιθυμία· ὁ χρόνος τὴν θέρμην κατέψυξεν· ἡ στείρωσις τὸν καρπὸν ἠρνήσατο· ἡ φύσις πρὸς ἑαυτὴν ἐστασίασε· τεθνήκαμεν ἀμφότεροι τῷ μέρει τῆς μίξεως. οὗ ἡ νεότης οὐκ ἤνθησε, πῶς γῆρας βλαστάσει; ἀλλὰ ταῦτα μὲν ὁ Ζαχαρίας εἰκότως. ὁ δὲ ἄγγελός φησι πρὸς αὐτὸν, καθὼς ἀρτίως ἤκουες· μὴ φοβοῦ, Ζαχαρία, μηδὲ λογισμοῖς ταράττου. ἄγγελός εἰμι φωτὸς, καὶ οὐχὶ σκότους· Γαβριὴλ εἰμι ἐγὼ, εἷς τῶν ἀρχόντων τοῦ ἐπουρανίου βασιλέως· πρόσταγμα κομίζω, οὐκ ἐξουσίᾳ κελεύω. ἀπεστάλην μηνῦσαί C σοι, οὐχὶ ἔφοδον ποιῆσαί σοι. σχῆμα περιβέβλημαι, οὐχὶ δὲ γυμνῇ τῇ οὐσίᾳ σοι φαίνομαι. φείδεται γάρ σου τῆς ζωῆς ὁ ἀποστείλας με. μὴ φοβοῦ, Ζαχαρία. ἀπεστάλην εὐαγγελίσασθαί σοι, οὐχὶ δὲ θαμβῆσαί σε. τὸ γῆρας προβάλλῃ, καὶ τὴν ἄγονον πολιὰν, καὶ τὴν ἄσπορον μήτραν. καὶ τίς θέλων γεννᾷ; θεοῦ τὸ δῶρον· μὴ γὰρ ἀνθρώπου τὸ εὕρεμα; οὐκ ἤκουσας τοῦ κυρίου λέγοντος, ἐγώ εἰμι ὁ ποιῶν ἄνθρωπον, καὶ πλάσσων ἐν ἀνθρώπῳ πνεῦμα; ἀπιστεῖς, Ζαχαρία; πῶς ὁ Ἀδὰμ ἐπλάσθη; πῶς ἡ Εὔα ἐκτίσθη; πῶς ὁ Ἰσαὰκ ἐγεννήθη; ὑπακούσας Ἀβραὰμ, οὐκ ἐσφάλη. καὶ σὺ ἱερεὺς ὢν ἀπιστεῖς; μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ πᾶν ῥῆμα, Ζαχαρία; διὰ τὸ γῆρας ἀντιλέγεις, ὦ πρεσβῦτα; σωματικὴν νέκρωσιν δραστικωτέραν ὁρίζεις θεοῦ; εἰ μὴ εἶδες τὸν Ἀβραὰμ, καλῶς ἀμφέβαλες. φυσικὴν ἀσθένειαν προβάλλῃ, καὶ θεϊκῆς D ἐπαγγελίας παρούσης οὐ πιστεύεις, ἀλλ' ἀμφιβάλλεις καὶ φιλονεικεῖς; μικρὰ αἰτεῖς, καὶ μεγάλα λαμβάνεις· καὶ ὡς ζημίαν ὑπομένων κραυγάζεις, Ζαχαρία; ὑπὲρ τοῦ Ἰουδαϊκοῦ λαοῦ μόνον προσεύχῃ· ἐγὼ δὲ ὃ εὐαγγελίζομαί σοι, εἰς πάντα τὰ ἔθνη συνεισάγει τὴν σωτηρίαν. ὁ δὲ Ζαχαρίας ταῦτα ἀκούσας, καὶ μικρὸν τὴν ὄψιν ἀποστρέψας, ἀνταποκριθεὶς πρὸς τὸν ἄγγελον ἔφη· τί λέγεις, ὦ ἄγγελε; ἡ γυνή μου γεννήσει; τί γάρ; διὰ τοῦτο προσηυξάμην, ἢ τούτου ἕνεκεν τὸ θυμίαμα κινῶ τῆς ἐφημερίας, ἵνα τὴν καρπογονίαν τῷ λαῷ ἐπιδείξω; συγγνώμην ἁμαρτημάτων αἰτῶ· μὴ γὰρ λύσιν στειρώσεως ἐπιποθῶ; τὴν συναγωγὴν κουφισθῆναι θέλω· μὴ γὰρ τὴν Ἐλισάβετ ὀγκωθῆναι; ψυχὰς τετραυματισμένας παρακαλῶ ἰαθῆναι· μὴ γὰρ μαζοὺς ξηρανθέντας γαλακτορρυεῖς E γενέσθαι; τί λέγεις, ὦ ἄγγελε; ἡ γυνή μου γεννήσει· καὶ τί τὸ κέρδος τῶν ἔξω προσευχομένων; ἆρα δὲ ἀκούσαντες οὐ λιθάσουσί με, λέγοντες, ὅτι μὴ ὑπὲρ αὐτῶν καὶ τῆς κοινωφελοῦς ἕνεκεν σωτηρίας καθίσταμαι ἀρχιερεὺς, ἀλλ' ἑαυτοῦ μόνον; καὶ ὅτι οὐ λόγον, ἀλλὰ γόνον ἐδεξάμην; οὐδείς μοι λόγος πρὸς τεκνογονίαν. ἄπαγε, τοῦτο οὐ βούλομαι· ὃ γὰρ ηὐχόμην, οὐκ ἔλαβον· καὶ νῦν ἕτερα ἀνθ' ἑτέρων μοι γνωρίζεις; οὐδείς μοι λόγος περὶ παιδοποιΐας. νόσος στειρώσεως γέγονε. μὴ γὰρ χρόνος τὴν ἐπιθυμίαν ἐθέρισε, καὶ ἡ ἀσθένεια τῆς φύσεως, * οὐ τῆς μίξεως; οὐδείς μοι λόγος νῦν περὶ τεκνογονίας. ἄνευ βακτηρίας βαδίζειν οὐ δυνάμεθα, καὶ πῶς τεκνογονίας ἄρχεσθαι κελευόμεθα; τὸ γῆρας τὴν φύσιν ἠρνήσατο· πίστεως ἔξω τὸ πρᾶγμα·

* Obscure dictum.

A Quis est hic lucifer ex ore, qui occlusis labiis magna loquitur? Quis est hic qui meam sacerdotii vicem observat? Quis est hic qui intercessionem meam impedit? Multitudo populi foris exspectat me orans, quasi cælestis regis scribam; & hic intus me detinet. Per me supplicationes regi obtulerunt, veniam peccatorum rogantes. Hæc precor deleri, ut populo quod desiderat referam, ut vicis meæ officium perficiam. Desine ergo, quisquis sis, me perterrefacere. Si angelus a Deo missus esses, opem mihi præstares, erga eos qui foris lacrymantur misericordia ducereris, in partem mœroris venires. Abscede ergo: Quis es qui mihi timorem incutis. Filium habere non curo. Quid mihi filium promittis? Quod lucrum populo si filium B habeam? Quæ utilitas si Elisabet puerum lactet? Quod lucrum si ego heredem relinquam? Abi ergo quisquis sis, qui me terrefacis: Abscede a me. Ætate provecti sumus: tempus serendi transivit: exstincta est nuptialis cupiditas: tempus calorem refrigeravit: sterilitas fructum negavit; natura contra seipsam pugnavit: ambo parte genitali mortui sumus. Cum juventus non floruerit, quomodo senectus germinabit? Hæc apposite Zacharias. Angelus vero ait illi, ut modo audisti: *Ne timeas, Zacharia*, neque cogitationibus turberis. Angelus sum lucis, non tenebrarum: Gabriel sum ego, unus ex principibus cælestis regis. Mandatum C affero, non cum potestate jubeo; missus sum qui tibi significarem, non qui te invaderem. Specie quadam amictus sum, non nudâ substantiâ tibi appareo: nam tuam curat vitam qui misit me. Ne timeas Zacharia; missus sum qui nunciarem tibi, non qui te percellerem. Senectutem objicis, senium proli ineptum, vulvam non satam. Ecquis voluntate sua gignit? Dei donum est. Num hominis est inventio? Non audisti Dominum dicentem, *Ego sum qui facio hominem, & formo in homine Spiritum*? Non credis, Zacharia? Quomodo Adam formatus est? Quomodo Eva creata fuit? Quomodo Isaac genitus est? Obediendo Abraham non frustratus est: & tu sacerdos non credis? An impossibile est apud Deum omne verbum, o Zacharia? Propter senectutem D repugnas, o senex? Corpus emortuum Deo efficacius esse definis? Nisi videres Abrahami exemplum, recte dubitares. Naturalem infirmitatem obtendis, & præsenti divinæ promissioni non credis, sed dubitas & contendis? Parva petis, & magna accipis; atque ut damnum patiens clamas, Zacharia? Pro Judaïco populo tantum precaris; ego vero annuncio tibi omnes Gentes ad salutem vocari. His auditis Zacharias, paulum averso vultu, angelo sic respondit: Quid dicis, o angele? Uxor mea pariet? Quid enim? Ideone precor, aut incensum in officii mei vicê moveo, ut prolem populo ostendam? Veniam peccatorum peto, num sterilitatis solutionem desidero? Synagogam pondere liberari volo; num etiam Elisabetam uterum gestare cupio? E Vulneratas animas sanari peto; num etiam exsiccata ubera lac fundere postulo? Quid dicis, o angele? Uxor mea pariet? Et quid inde lucri iis qui foris precantur? Annon hæc audientes me lapidabunt dicentes, me non pro illis & communis salutis causa, sed pro me tantum esse sacerdotem? meque non verbum, sed prolem accepisse? Non curo prolem: absit; id nolo. Quod postulabam non accepi, & nunc alia pro aliis mihi indicas? Prolem nihil curo. Sterilitatis morbus adest. Annon tempus cupiditatem demessuit? Annon infirmitas naturæ coitum prohibet? De suscipienda prole nihil curo. Sine baculo incedere non valemus, & quomodo nunc jubemur suscipiendæ proli operam dare? Senectus naturam negavit. Res fidem omnem superat.

Nugax orator.

Zach. 12. 1.

Sepulcrum conspicimus, & nutricem conducemus? De suscipienda prole non cogito. Populi salutem quæro, & gentis felicitatem, inimicorum captivitatem, populi prosperitatem, non vagitus, fascias, infantiles escas. Hujusmodi res non curo. Quomodo pater legitimi filii inveniar? Senectus fidem repellit, extra naturam res est, genitales partes solutæ sunt: baculum ut equum tenens incedo, & ad conjugalem me operam excitas, quando totum corpus in sepulcrum versum est? Quomodo id cognoscere possim. Dic mihi, o maxime Gabriel. Necesse quippe est illud ignorantes docere; Gabriel homo Dei significat. Dic, quomodo hæc cognoscam? Ecce tremunt membra mea: ambo præ senectute terram conspicimus. Si altera pars juvenis esset, altera senectute laboraret, parva saltem hujusmodi spes superesset: at utriusque corpus collapsum est. Nihil aliud exspectamus nisi falcem mortis, ut spicæ ad messem maturæ. Si tandem vera dicis, Domine Gabriel, aliud præcedat signum, pignus mihi dato ut mirabili credam promissioni. Quæ mihi notitia dabitur? Aaron non credidisset, nisi virga floruisset. Moyses non certior factus esset, nisi manus ejus candens fuisset: Gedeon non intellecturus erat, nisi ros in vellus decidisset: Ezechias non cogniturus erat, nisi sol retro cessisset. Quomodo id cognoscam? Da signum, & juvenis more choreas agam. Da signum, ut ne Elisabet temere rideat ut Sara. Quæ mihi certa rei notitia, archangele nuncie? Undenam mihi manifesta erunt dicta tua? Si secundus Abraham videar, eadem, quæ Abrahamo, mihi evenient. Intra in domunculam meam, & abluam pedes tibi, qui viam emensus es: & apponam tibi mensam mysterio plenam: farinæ sata tria Elisabet subiget, ecclesiam præfigurans. Pete vitulum, ut des prolem. Quomodo id cognoscam, o tu, qui de cælo in terram veniens bona nobis nuncias? Cur mihi pueri nomen angele prædicis? Cur non exsistentis virtutes enumeras? Ostende mihi illud quod est supra naturam, ut credam rei quæ præter naturam est. Si cælum in fornicem vertatur, ego quoque renovabor: si maris mensuræ ducantur, uxor mea Elisabeta obstetricem accerset: si sol comprehendatur, sicca ubera lac emittent: si luna concutiatur, sicca vulva humida fiet. Quomodo id cognoscam? *Ego enim senex sum, & uxor mea processit in diebus suis.* Reponit angelus Zachariæ: Deum-ne in pignus postulas? Infirmitatem firmiorem Dominica promissione definis? De illo qui bona tibi nunciat judicium ferre non times? Quomodo id cognoscam, dicis, ô Zacharia? Num in Ægyptum mitteris, ut timeas Pharaonem? Quomodo id cognoscam, dicis, o Zacharia? Nihilne Deus supra naturam facit? Naturæ consequentiam quæris, & non vides divinitatis stupendum opus? Dic mihi, Zacharia, terræ columnæ ubi fixæ sunt? Cæli expansio ubi perficitur? Nubium formatio ubi reperitur? Pluviarum stillæ ubi formantur? Nivis globuli ubi conduntur? Solis cursum quis dirigit? Lunam interdum decrescere quis curat? Stellarum multitudinem quis numerabit? Mare furens quomodo arenam reveretur? Fluvii præcipites quomodo commiscentur? Densæ nubis tenebræ quomodo texuntur? Homo quomodo in vulva formatur? Femina cur masculo delicatior est? Deo similis anima quomodo repente in corpore reperitur? Quomodo id cognoscam, dicis, o Zacharia? An naturæ consequentiam quæris, ubi divinitas operatur? Non credis sterilem parere posse? Quid ergo cum audieris virginem mirabiliter peperisse? & erit incredulitas prius exercita ad fidem; jam enim incredulitas circa sterilem punietur, ut de miraculo circa Virginem non du-

A τάφον περιβλεπόμεθα, καὶ τροφὸν ἀρραβωνισόμεθα; οὐδείς μοι λόγος περὶ τεκνογονίας. τοῦ λαοῦ τὴν σωτηρίαν ζητῶ, καὶ τοῦ ἔθνους τὴν εὐδαιμονίαν, τῶν ἐχθρῶν τὴν αἰχμαλωσίαν, καὶ τοῦ λαοῦ τὴν εὐημερίαν, οὐχὶ δὲ κλαυθμυρίσματα, καὶ σπάργανα καὶ νηπιώδεις τροφάς. οὐδείς μοι λόγος περὶ τούτου. πῶς πατὴρ γνησίου παιδὸς εὑρεθήσομαι; τὸ γῆρας ἀπωθεῖται τὴν πίστιν, ἔξω φύσεως λοιπὸν τὸ πρᾶγμα, διαλέλυται τὰ γεννητικὰ μόρια. ῥάβδον ὡς ἵππον κατέχων ἐπιβαίνω, καὶ μονογαμίας μοι πεῖραν ἀναζέεις, ὅτε τάφος τὸ πᾶν σῶμα γέγονε; κατὰ τί γνώσομαι τοῦτο; φράσον μοι, ὦ μέγιστε Γαβριήλ. ἀναγκαῖον γὰρ τοῦτο καὶ σὺ ἀγνοοῦντας γνῶναι. ὅπερ Γαβριήλ, θεοῦ ἄνθρωπος ἑρμηνεύεται. εἰπὲ, κατὰ τί γνώσομαι τοῦτο; ἰδοὺ τρέμονται μου τὰ μέλη· ἰδοὺ τὸ γῆ-

B ρας ἀμφοτέρων καὶ εἰς γῆν ὁρώντων. εἰ μέρος ἐνέαζε, καὶ μέρος ἐπεπαλαίωτο, μικρά τις ἐλπὶς ἦν τῶν λεγομένων· νυνὶ ἑκατέρων τὸ σῶμα σεσάθρωται. οὐδὲν ἕτερον περιμένομεν, εἰ μὴ τὸ δρέπανον τοῦ θανάτου, ὡς στάχυες πέπειροι πρὸς θερισμόν. εἰ δὲ ὅλως ἀληθεύεις, δέσποτα Γαβριήλ, ὃ λέγεις, δὸς δὴ ἄλλο προσδοῦναι σημεῖον, ἀρραβῶνά μοι πίστευσον τῆς ἐπαγγελίας τὴν θαυματουργίαν. κατὰ τί γνώσομαι τοῦτο; ὁ Ἀαρὼν οὐκ ἐπίστευσεν, εἰ μὴ ἡ ῥάβδος ἤνθησε, Μωϋσῆς οὐκ ἐπληροφορήθη, εἰ μὴ ἡ χεὶρ αὐτοῦ ἐλευκάνθη· Γεδεὼν οὐ συνῆκεν, εἰ μὴ ἐπὶ τὸν πόκον γέγονεν ἡ δρόσος: Ἐζεκίας οὐκ ἐπέγνω, εἰ μὴ ὁ ἥλιος ἀνεποδίσθη. κατὰ τί γνώσομαι τοῦτο; δὸς σὺ σημεῖον, καὶ χορεύω νεανικά. δὸς σημεῖον, ἵνα μὴ Ἐλισάβετ προπετῶς γελάσῃ, ὡς ἡ Σάρρα.

C κατὰ τί γνώσομαι τοῦτο, ἀρχάγγελε μηνυτά; πόθεν μοι δῆλα τὰ ἐκ σοῦ μοι ῥηθέντα; εἰ δεύτερος Ἀβραὰμ φαίνομαι, ὑπάρξει μοι τὰ τοῦ Ἀβραὰμ ἰδιώματα· εἴσελθε ὑπὸ τὸ δωμάτιόν μου, καὶ νίψω σοῦ πόδας σου ὁδοιπορίαν στείλαντι, καὶ παραθήσω σοι τράπεζαν μυστηρίου πεπληρωμένην· ἀλεύρου σάτα τρία Ἐλισάβετ φυράσει, τὴν ἐκκλησίαν προζωγραφοῦσα. ζήτει μόσχον, ἵνα δωρήσῃ γόνον. κατὰ τί γνώσομαι τοῦτο, ὁ καλὰ εὐαγγέλια ἄνωθεν ἐπὶ γῆς ἡμῖν φέρων; τί μοι τοῦ παιδὸς τὸ ὄνομα, ἄγγελε, προλέγεις; καὶ τοῦ μὴ παρόντος τὰς ἀρετὰς ἀριθμεῖς; δεῖξόν μοι τὸ ὑπὲρ φύσιν, ἵνα πιστεύσω τὸ παρὰ φύσιν. ἐὰν ὁ οὐρανὸς ἀνακαμαροῦται, κἀγὼ ἀνανεοῦμαι· ἐὰν ἡ θάλασσα μετρῆται, καὶ ἡ γυνή μου Ἐλισάβετ μαιοῦται· ἐὰν ὁ ἥλιος καταλαμβάνη-

D ται, καὶ οἱ ξηροὶ μαστοὶ γάλα ῥεύσουσιν· ἐὰν ἡ σελήνη ἀναχαιτίζηται, καὶ ἡ ξηρὰ μήτρα νοτίζεται. κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. ὁ δὲ ἄγγελος πρὸς τὸν Ζαχαρίαν· θεὸν ἐνέχυρον ἀπαιτεῖς; ἀσθένειαν βεβαιοτέραν τῆς δεσποτικῆς ἐπαγγελίας ὁρίζῃ; τὸν εὐαγγέλιά σοι κομίζοντα ἀνακρίνειν οὐ δέδοικας; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; μὴ γὰρ εἰς Αἴγυπτον ἀποστέλλῃ, ἵνα φοβηθῇς τὸν Φαραώ; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; οὐδὲν ὑπὲρ φύσιν ὁ θεὸς ἐργάζεται; φύσεως ἀκολουθίαν ζητεῖς, καὶ οὐκ εἶδες θεότητος παράδοξον ποίησιν; εἰπέ μοι, Ζαχαρία, τῆς γῆς οἱ στύλοι ποῦ πεπήγασι; τοῦ οὐρανοῦ δὲ τὸ κύτος ποῦ κατήρτισται; νεφελῶν δὲ αἱ κύται ποῦ εὑρίσκονται; ὑετοῦ δὲ σταγόνες ποῦ στημονίζονται; βόλοι δὲ χιόνος

E ποῦ λατομοῦνται; ἡλίου δὲ δρόμον τίς ἡνιοχεῖ; σελήνης δὲ μείωσιν τίς ὁροθετεῖ; ἀστέρων πλῆθος τίς ἐξαριθμήσει; θάλασσα δὲ μαινομένη πῶς ψάμμον αἰδεῖται; ποταμοὶ δὲ θερμορρύται πῶς συγκιρνῶνται; ὁμίχλης δὲ σκότος πῶς ἐξυφαίνεται; ἄνθρωπος δὲ ἐν μήτρᾳ πῶς διαπλάττεται; καὶ καὶ τοῦ ἄρρενος τὸ θῆλυ πῶς λειότερον εὑρίσκεται; θεοείκελος δὲ ψυχὴ πῶς ἀθρόον ἐν τῷ σώματι εὑρίσκεται; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; φύσεως ἀκολουθίαν ζητεῖς, ὅπου θεότητος ἐργασία; τί, τὴν στεῖραν ἀπιστεῖς γεννῆσαι; τί οὖν ἐὰν ἀκούσῃς παρθένον τίκτουσαν παραδόξως; καὶ εἴη τὸ ἄπιστον εἰς πίστιν γυμναζόμενον; ἔνθεν γὰρ καὶ ἐπὶ τῆς στείρας νῦν ἀπιστία κολάζεται, ἵνα τῇ ἐπὶ τῆς παρθένου θαυματουργίᾳ μὴ ἀμφιβάλῃς.

ἔσῃ, φησὶ, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι. ὢ τῆς φιλανθρώπου τιμωρίας, διόρθωσιν μᾶλλον ἐργαζομένης. αὐτὴν γὰρ ὁ ἄγγελος τὴν σφαλεῖσαν φωνὴν σωφρονίζει, αὐτὴν χαλινοῖ τὴν τολμήσασαν γλῶσσαν. ἦν γάρ, φησι, διανεύων αὐτοῖς, καὶ διέμεινε κωφός. καλῶς ὁ εὐαγγελιστὴς καὶ τὸ, διέμεινε, συνεγράψατο. περιέμενε γὰρ ἡ σιωπὴ τὴν τικτομένην φωνὴν, ὁ Ζαχαρίας τὸν Ἰωάννην, ὁ πρεσβύτης τὸν παῖδα, ὁ ἱερεὺς τὸν προφήτην. ἐν οἷς λέγει ὁ ἄγγελος, ἐπειδὴ οὖν ὡς ἄπιστος σημεῖον παρὰ θεοῦ ζητεῖς, ἐν τοῖς ἰδίοις μέλεσι τὸ μαστιγοφόρον προσδέχου σημεῖον. ἔσῃ γάρ, φησι, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα. ὅπου γὰρ τῆς ἀντιλογίας τὸ ὄργανον, ἐκεῖ καὶ τῆς τιμωρίας τὸ πρόσταγμα· ὅπου τῆς προπετείας τὸ θράσος, ἐκεῖ καὶ τῆς παιδείας ὁ χαλινός· ὅπου ἡ ὕβρις ἐλάκτισεν, ἐκεῖ τῆς ἐπιτιμήσεως ἡ ἀπόφασις. ἤθελε μὲν ὁ θεὸς, Ζαχαρία, κήρυκά σε τοῦ τοιούτου θαύματος γενέσθαι. στρατοπεδάρχης γὰρ τοῦ ἐπουρανίου βασιλέως τίκτεται, καὶ τῆς κοσμικῆς τῶν ἁμαρτημάτων λυτρώσεως προκαθαρτής. ἐπειδὴ δὲ τὴν ἀσθένειαν τοῦ σώματος βεβαιοτέραν τῆς ἐπαγγελίας ἐποιήσω τοῦ δεσπότου, διὰ τοῦτο ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. ὁρᾷς ὅτι ἄνευ πίστεως οὐδὲν τῶν δεόντων κορυφοῦται. μόνον δὲ ἤκουσεν ὁ Ζαχαρίας τὰ ῥήματα ταῦτα, εὐθέως ἐξῆλθεν ἐκ τοῦ ναοῦ, μισθὸν ἀπιστίας τὴν φίμωσιν βαστάζων. ὢ τοῦ θαύματος. ἄλλους εἰσῆλθεν ἐλευθερῶσαι, καὶ αὐτὸς ἐξῆλθε καταδεδικασμένος· ὁ θυμιατήριον λειτουργικὸν βαστάζων, τίτλον ἐξορίας περιέφερεν. ὁ λαὸς περιέμενέ τι ἀγαθὸν ἀκοῦσαι παρ' αὐτοῦ, κἀκεῖνος διένευσε, μηδείς με ἐρωτήσῃ· δεσποτικῆς ἀγανακτήσεως φρίκην βαστάζω. ὢ τῶν παραδόξων πραγμάτων. Ζαχαρίας φιμοῦται, καὶ ἡ Ἐλισάβετ εὐωχεῖται· ἀναστομοῦται γλῶττα, καὶ ὀγκοῦται μήτρα· ἡ εὔλαλος γλῶττα στειροῦται, καὶ ἡ ἄκαρπος στεῖρα γίνεται μήτηρ· μετοικεῖται τὸ πάθος τῆς μήτρας εἰς τὴν γλῶτταν· ἡ φωνὴ χαλινοῦται, καὶ ἡ γονὴ ἐλευθεροῦται. Ζαχαρίας σιγᾷ, καὶ ὁ Ἰωάννης σκιρτᾷ. μόνον γὰρ εἶδεν ἡ στεῖρα τὴν παρθένον, κατενόησεν ὁ ἑωσφόρος τὸν ἥλιον, καὶ ἐσκίρτησε μέγα ὁ Ἰωάννης ἐν τῇ μητρικῇ νηδύϊ, τὴν βραδυτῆτα τῆς φύσεως αἰτιώμενος. δεσπότου, φησὶ, κήρυξ εἰμί· καὶ πῶς τοῖς ὁμοδούλοις ὁμοίως πεπέδημαι δεσμοῖς; προλάβω τὸν χρόνον τῆς κυήσεως. οὐ περιμένω τὸν τόκον, μὴ ἀπολέσω τὸν δρόμον· μὴ δεσπότης προλάβῃ τὸν περὶ τὰς ὠδῖνας εἰλούμενον δοῦλον· μὴ γένηται τῆς φύσεως ἡ ἀκολουθία παρανομία τῆς τάξεως. ἐπέγνων τὸν παρόντα, καὶ σιωπᾶν οὐκ ἀνέχομαι· ἐπέγνων τὸν προαποστείλαντά με πρὸ προσώπου αὐτοῦ πορεύεσθαι, ἑτοιμάσαι τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ. σαλεύω τὰ δεσμὰ τῆς φύσεως. κηρύττειν γὰρ ἐπείγομαι. ὢ τῶν παραδόξων πραγμάτων καὶ θαυμάτων. ἅπερ ἠγνόησαν ἐν οὐρανοῖς ἄγγελοι, ἐγνώρισεν ὁ Ἰωάννης κυοφορούμενος, καὶ ἔλεγε τῇ μητρὶ αὐτοῦ· θρόνους ἔλαθε, καὶ τὸν ἐν μήτρᾳ θεὸς ἐπιδημῶν οὐ παρέδραμε. κυριότητας ἔκρυψε, καὶ τῷ ἐν γαστρὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀπεκάλυψε· καὶ ὅπερ ἐλήλυθεν ὁ ἀρχάγγελος τῇ θεοτόκῳ κομίζων εὐαγγέλιον, ἔνδοθεν τὸ ἔμβρυον ἀλλόμενον ἀπηγόρευσεν. ἐπιδημήσας γὰρ, καθὼς ἀρτίως ἠκούσατε, ὁ τοῦ γένους ἡμῶν λυτρωτὴς πρὸς τὸν ἑαυτοῦ φίλον Ἰωάννην ἀφίκετο κυοφορούμενος παραχρῆμα. καὶ ἦν ἰδεῖν τὸν πλαστουργὸν ἀσπαζόμενον τὸν πηλὸν, τὸν βασιλέα εἰς τὴν τοῦ στρατιώτου σκηνὴν αὐλιζόμενον, τὸν δεσπότην εἰς τὸ τοῦ δούλου δωμάτιον ἀφιγμένον. ὃν ἐκ μήτρας ἐν μήτρᾳ θεασάμενος ὁ Ἰωάννης, τῆς φύσεως ὅρους παραδραμεῖν ἐπεχείρησεν, οὐκ οἶδα, λέγων, φύσεως ὁροθέτην κύριον, οὐκ ἀναμένω κυήσεως χρόνον· ἐν γαστρὶ ἐνναμηνιαῖος τόκος οὐκ ἀναγκαῖος ἐμοί· οὐ χρήζω ταύτης τῆς εἱρκτώσεως, εἰς ἣν νῦν ἐγκέκλεισμαι. καὶ τί οὐ διαπερῶ τὰ δεσμὰ τὰ κατέχοντά με; ἐξέλθω, κηρύξω παραδόξων πραγμάτων σύντομον γνῶσιν. σήμαντρόν εἰμι θεϊκῆς παρουσίας· σάλπιγξ εἰμὶ τῆς τοῦ θεοῦ λόγου σαρκώσεως. σαλπίσω·

A bites. *Eris*, inquit, *tacens*, *nec loqui poteris*. O clementem ultionem, quæ emendationem parit! Illam vocem quæ peccaverat emendat angelus, illam frenat linguam nimis audacem. *Erat*, inquit, *innuens ipsis*. *& permansit mutus*. Recte evangelista scripsit illud, *permansit*. Taciturnitas enim vocem quæ pariebatur exspectabat, Zacharias Joannem, senex puerum, sacerdos prophetam. Hinc dicit angelus: Quoniam ut incredulus signum a Deo quæris, in membris tuis signum accipe quo flagelleris. *Eris*, inquit, *tacens*, *& non poteris loqui*, *usque in diem quo hæc fiant*. Ubi enim est contradictionis instrumentum, ibi supplicii præceptum: ubi petulantiæ audacia, ibi correctionis frenum; ubi contumelia recalcitravit, ibi ultionis sen- B tentia. Volebat quidem Deus, O Zacharia, te preconem hujus miraculi esse: Nunc enim gignitur is qui regi dux exercitus erit, & remissionis peccatorum in mundo præparator. Quia vero infirmitatem corporis firmiorem Domini præcepto fecisti, ideo *eris tacens*, *nec poteris loqui*, *usque in diem*, *quo hæc fiant*: *pro eo quod non credidisti verbis meis*, *quæ implebuntur in tempore suo*. Vides sine fide nihil, ut oporteret, perfici. Ut audivit hæc verba Zacharias, statim ex templo exiit, mercedem incredulitatis referens taciturnitatem. O miraculum! Ingressus fuerat ut alios liberaret, & castigatus exiit: qui incensum ad ministerium ferebat, exsilii titulum retulit. Populus exspectabat aliquid boni audire ab illo; & ipse innuit, nemo ad me ac- C cedat, nemo me interroget, dominicæ indignationis terrorem gesto. O res stupendas! Zachariæ os obturatur, & Elisabet bene agit: lingua coercetur, & uterus tumet: expedita lingua sterilis est, & sterilis infructuosa mater efficitur: transfertur morbus uteri in linguam; vox frenatur, & semen liberatur. Zacharias tacet, & Joannes exsultat. Ubi solum vidit sterilis Virginem, lucifer solem agnovit, ac multum exsultavit Joannes in utero matris, naturæ tarditate mincusans. Domini, inquit, preco sum, & quomodo, ut conservi mei, constringor vinculis? Tempus parturitionis præveniam: non exspectabo partum, ne perdam cursum, ne Dominus præveniat servum in prægnantis utero involutum; ne naturæ series sit perversio ordinis. D Novi præsentem, & tacere non possum: novi eum qui me præmisit ante faciem suam, ut parem viam ejus ante faciem ipsius. Concutio vincula naturæ: nam prædicare festino. O res stupendas & mirabiles! quæ ignorarunt angeli in cælis, novit Joannes in utero gestatus, & dicebat matri suæ: Deum advenire throni nesciebant, & id non fugiebat in utero gestatum: Mysterium œconomiæ Dominationibus occultavit, & ei qui in utero erat revelavit: & quod venerit archangelus Deiparæ bona nuncians, fetus intus inclusus exsiliens prædicavit. Adveniens enim, ut modo audistis, generis nostri redemtor, statim atque in utero fuit, amicum suum Joannem adiit. Videreque erat figulum E amplectentem lutum, regem in militis tabernaculo versantem, Dominum in servi domunculam euntem. Quem ex vulva in vulva videns Joannes, naturæ terminos prætercurrere tentavit: * Non novi, dicens, eum qui naturæ terminos posuit Dominum; non exspecto tempus partûs; non necessarii mihi sunt novem menses ad partum: hoc claustro opus non habeo. Et cur non transilio vincula me colligantia? Exibo: prædicabo stupendarum rerum brevem summam: indicium sum divini adventus: tuba sum incarnationis divini Verbi. Clangam,

& paternam linguam ad loquendum expeditam reddam: clangam, & maternum uterum emortuum vivificabo. Vide stupendum mysterium: nondum natus est, & saltibus loquitur: nondum apparet, & comminationes mittit; nondum clamare potest, & per opera auditur; nondum vitam didicit, & Deum prædicare prævertit: nondum vidit lucem, & solem novit; nondum nascitur, & præcurrere festinat. Non fert enim Domino adveniente detineri, non vult exspectare partus terminos, sed uteri carcerem rumpere conatur, & prænunciare Servatorem venientem; clamans ex utero: Qui vincula solvit advenit, & cur ego vinctus detineor? Venit is qui verbo apparavit omnia, & cur ego exspecto naturæ terminos? Egrediar, præcurram, prædicabo, clamabo, præsentibus

Joan. 1. 29. omnibus: *Ecce agnus Dei, qui tollit peccatum mundi.* Et hæ quidem sunt Joannis exsultatio-

Luc. 1. 57. nes, imo verba. *Elisabet autem impletum est tempus pariendi, & genuit filium. Et audierunt cognati ejus & vicini, & congratulabantur ei.* Cur dictum est, peperit, & genuit? Quia illud quidem naturæ est opus, hoc vero supra naturam; quatenus mulier peperit; quatenus vero Spiritus sancti gratia adfuit, supra naturam genuit; aliud enim naturæ, aliud gratiæ est opus. Miraculum enim erat id quod fiebat a Joanne, & non tantum habebat ex paterno genere quantum ex Dei verbo. Hujus rei testis est ipse

Luc. 1. 13. archangelus Gabriel Zachariæ dicens: *Ecce uxor tua gignet tibi filium, & Spiritu sancto replebitur adhuc ex utero matris suæ: & multos filiorum Israel convertet ad Dominum Deum ipsorum. Et ipse præibit ante illum in Spiritu & virtute Eliæ.* O aliam stupendam naturam, pueri nempe partum! Certe stupendus est, non naturalis. Nam qui gignit, cum voluptate gignit; quæ vero parit, cum doloribus parit. Quia ergo Zacharias non credidit, Elisabet vero non dubitavit, serotinum præter spem accipiens filium, ideo parere & gignere dicitur; illud per naturam, hoc per fidem. Nam qui gignit, ut dixi, cum voluptate gignit; quæ vero parit, in doloribus parit. Quis autem dolor Elisabetæ, ubi Spiritus sancti præsentia erat, non imperitæ obstetricis ministerium? Quando gratiæ erat opus, non naturæ onus. Et quomodo, audi. * Miserabilis & exiguus erat labor cum lætitia comparatus. Non enim post partum Joannes gratiam accepit, sed in ipso materno utero stolam sanctitatis induit. Dux mirabilis factus est, sicut dixit angelus: *Spiritu sancto replebitur ex utero matris suæ: & ipse præcedet ante illum in Spiritu & virtute Eliæ.* Quis quem præcedet? Joannes Dominum Christum. Ideo præcursor vocatur; ut ipsum Joannem audimus de Ser-

Joan. 1. 30. vatore dicentem: *Venit post me vir, qui ante me fuit*; post propter tempus, ante propter thronum. Cur autem Gabriel dixit Joannem in Spiritu & virtute Eliæ Thesbitæ regem Christum præcedere? Sapienter audi: Elias Deum significat. Quia igitur Joannes Deum habuit in seipso; nam Spiritu sancto repletus est ex utero matris suæ; Spiritus vero Deus est: de Joanne dicebat Dominus per prophetam ante multa tempora:

Mal. 3. 1. *Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te*, & multos convertet ab errore ad veritatem. Ideo in Spiritu & virtute Eliæ Joannes præcedit Dominum; quoniam multa Eliæ similia habuit Joannes. Certe infans paritur, & vox patri restituitur. Interrogatus enim, inquit, Zacharias, quem vellet vocari puerum, postulavit pugillarem, & scrip-

Luc. 1. 62. sit dicens: *Joannes est nomen ejus.* Qui verbis angeli non credidit, nunc coactus est visionem scribere, scripto prædicans: qui dicta audiens non admiserat, nunc manu legem dat,

A καὶ πατρικὴν γλῶτταν εὐγλωττήσω λαλεῖν. σαλπίσω, καὶ μητρικὴν νεκρωθεῖσαν μήτραν ζωώσω. βλέπε τοῦ μυστηρίου τὸ ξένον· οὔπω γεννᾶται, καὶ τοῖς σκιρτήμασι φθέγγεται· οὔπω φαίνεται, καὶ ἀπειλὰς ἀποστέλλει· οὔπω βοᾶν συγχωρεῖται, καὶ δι' ἔργων ἀκούεται· οὔπω μανθάνει τὸν βίον, καὶ τὸν θεὸν προκηρύττει· οὔπω βλέπει τὸ φῶς, καὶ γνωρίζει τὸν ἥλιον· οὔπω τίκτεται, καὶ προτρέχειν ἐπείγεται. οὐ γὰρ φέρει τοῦ δεσπότου ἐλθόντος παρακατέχεσθαι· οὐκ ἀνέχεται περιμένειν τοῦ τόκου τοὺς ὅρους, ἀλλὰ ῥῆξαι φιλονεικεῖ τὸ τῆς γαστρὸς δεσμωτήριον, καὶ προμηνύσαι σπουδάζει τὸν σωτῆρα ἐρχόμενον, κράζων τοῖς ἅλμασιν· ὁ λύων τοὺς δεσμοὺς παραγίνεται, καὶ τί ἐγὼ δεδεμένος κατέχομαι; ἦλθεν ὁ λόγῳ κατασκευάσας τὰ σύμπαντα, καὶ τί ἐγὼ

B περιμένω τοὺς ὅρους τῆς φύσεως; ἐξέλθω, προδραμῶ, κηρύξω, βοήσω τοῖς πᾶσι παροῦσιν· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ ταῦτα μὲν τὰ τοῦ Ἰωάννου σκιρτήματα, μᾶλλον δὲ ῥήματα. τῇ δὲ Ἐλισάβετ ἐπληρώθη, φησὶν, ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν, καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ συγγενεῖς αὐτῆς, καὶ οἱ περίοικοι, καὶ συνέχαιρον αὐτῇ. διὰ τί δὲ εἴρηται, ἔτεκε καὶ ἐγέννησεν; ὅτι τὸ μὲν φύσεώς ἐστιν ἔργον, τὸ δὲ ὑπὲρ φύσιν. καθ' ὃ γυνὴ μὲν, ἔτεκε· καθ' ὃ δὲ πνεύματος ἁγίου χάρις ἐπέστη, ὑπὲρ φύσιν ἐγέννησεν. ἄλλο γὰρ φύσεως πρᾶγμα, καὶ ἄλλο χάριτος ἔργον. θαῦμα γὰρ ἦν τὸ γινόμενον ὑπὸ Ἰωάννου· καὶ οὐ τοσοῦτον εἶχε τῆς πατρικῆς γονῆς ὅσον τοῦ θεοῦ λόγου. καὶ τούτου μάρτυς αὐτὸς ὁ ἀρχάγγελος Γαβριὴλ λέγων πρὸς Ζαχαρίαν· ἰδοὺ ἡ γυνή σου γεννήσει υἱόν σοι, καὶ πνεύματος

C ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. ὢ ἄλλης παραδόξου φύσεως ὁ τόκος τοῦ παιδός. ἦν παράδοξος, καὶ οὐ φυσικός. ὁ γὰρ γεννῶν σὺν ἡδονῇ γεννᾷ, ἡ δὲ τίκτουσα ἐν λύπαις τίκτει. ἐπεὶ οὖν Ζαχαρίας ἠπίστησεν, ἡ δὲ Ἐλισάβετ οὐκ ἀμφέβαλε, τὸν ὀψίγονον παρ' ἐλπίδα δεχομένη παῖδα, τούτου χάριν, τίκτειν καὶ γεννᾷν προσαγορεύεται, τὸ μὲν διὰ τὴν φύσιν, τὸ δὲ διὰ τὴν πίστιν. ὁ γεννῶν γὰρ, καθὼς προεῖπον, σὺν ἡδονῇ γεννᾷ· ἡ δὲ τίκτουσα, ἐν λύπαις τίκτει. ποία δὲ λύπη ἐπὶ τῆς Ἐλισάβετ; ὅπου πνεύματος ἁγίου παρουσία, οὐχὶ δὲ μαίας ἀπείρου περιοδεία· ἡνίκα τῆς χάριτος τὸ ἔργον, οὐ τῆς φύσεως τὸ βάρος. καὶ πῶς, ἄκουε. οἰκτρὸς ἦν ὁ πόνος πρὸς σύγκρισιν τῆς χαρμοσύνης. οὐ γὰρ μετὰ τὸ γεννηθῆναι ὁ Ἰωάννης τὴν χάριν ἐδέξατο, ἀλλ' ἐξ αὐτῆς τῆς μητρικῆς νηδύος τὴν στο-

D λὴν τοῦ ἁγιασμοῦ δεξάμενος. στρατηγὸς παράδοξος γέγονε, καθὼς ἔφη ὁ ἄγγελος· πνεύματος ἁγίου πλησθήσεται ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. τίς τίνος προελεύσεται; Ἰωάννης τοῦ δεσπότου Χριστοῦ· διὰ τοῦτο πρόδρομος ὀνομάζεται· ὡς ἔστιν αὐτοῦ τοῦ Ἰωάννου ἀκοῦσαι λέγοντος περὶ τοῦ σωτῆρος· ἔρχεται ὀπίσω μου ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὀπίσω διὰ τὸν χρόνον, ἔμπροσθεν διὰ τὸν θρόνον. διὰ τί δὲ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου τοῦ Θεσβίτου ὁ Γαβριὴλ τὸν Ἰωάννην προϊππάζειν τοῦ βασιλέως Χριστοῦ ἔλεγεν; ἄκουε συνετῶς. Ἠλίας, θεὸς ἑρμηνεύεται. ἐπεὶ οὖν ὁ Ἰωάννης τὸν θεὸν εἶχεν ἐν ἑαυτῷ· πνεύματος γὰρ ἁγίου ἐπλήσθη ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ· τὸ δὲ πνεῦμα ὁ θεός ἐστι· περὶ αὐτοῦ γὰρ ἔλεγεν ὁ κύριος διὰ τοῦ προφήτου ἐκ πολλῶν τῶν χρόνων, ἰδοὺ ἐγὼ ἀπο-

E στέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου, καὶ πολλοὺς ἐπιστρέψει ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν· τούτου χάριν ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ὁ Ἰωάννης προοδεύει τοῦ κυρίου· ἐπειδὴ καὶ πολλὰ παραπλήσια τοῦ Ἠλίου εἶχεν ὁ Ἰωάννης. ἀμέλει τὸ βρέφος τίκτεται, καὶ ἡ φωνὴ τῷ πατρὶ ἀποδίδοται. ἐρωτώμενος γάρ, φησιν, ὁ Ζαχαρίας, τὸ τί ἂν θέλοι τὸ παιδίον καλεῖσθαι, ᾔτησε πινακίδιον, καὶ ἔγραψε λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. ὁ μὴ πιστεύσας τοῦ ἀγγέλου τοῖς λόγοις, νῦν ἠναγκάσθη γράψαι τὴν ὀπτασίαν, ἐγγράφως κηρύττων· ὁ μὴ δεξάμενος τότε τῇ ἀκοῇ τὰ λεχθέντα, νῦν νομοθετεῖ τῇ χειρὶ,

τὰ

A τὰ γινόμενα γράφων. καὶ τὴν προσηγορίαν ἀποδοὺς τῷ παιδὶ, ἀπέλαβε τὴν φωνήν· ὅθεν, φησὶν, ἐθαύμασαν πάντες. ἀνεῴχθη γὰρ παραχρῆμα τὸ στόμα αὐτοῦ, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώττης αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. ὢ τοῦ παραδόξου καὶ ξένου θαύματος. ὄνομα γράφεται τέκνου, καὶ στόμα πατρὸς κωφὸν διανοίγεται· Ἰωάννης καλεῖται, καὶ τοῦ καλοῦντος ἡ γλῶττα ῥυθμίζεται. ὁρᾷς ὡς οὐ διήμαρτε, καὶ ἡμεῖς ἀπαρεμποδίστως εἰπόντες τὴν πρέπουσαν ἐξήγησιν, οὐ διαμαρτάνομεν; ἰδοὺ γὰρ αὐτὸ τοῦ δικαίου τὸ ὄνομα στόμα σιωπῆς διανοίγει, καὶ γλῶσσαν δυσκίνητον διεγείρει. οὕτω γὰρ δείκνυται βοῶσα ἡ Ἰωάννου φωνὴ, ὅτι καὶ αὐτὸ τὸ ὄνομα φωνῆς ἐνέργεια γίνεται. ἐγὼ, φησὶ, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ὢ τοῦ θαύματος· λόγος ἐπιδημεῖ, καὶ φωνὴ προκηρύττει· δεσπότης ἔρχεται, καὶ δοῦλος προαποστέλλεται· B βασιλεὺς παραγίνεται, καὶ στρατιώτης προετοιμάζεται. χαίρωμεν οὖν καὶ εὐφρανθῶμεν, ὅτι ἡ Ἐλισάβετ ἐγέννησε, καὶ ὁ Ζαχαρίας ἐλάλησεν· ὅτι στεῖρα ἔτεκε, καὶ ὁ πρεσβύτης ἐβόησεν, ὅτι πινακίδιον κηρέχυτον ἐζητήθη, καὶ γλῶσσα ἱερατικὴ ἐλύθη, καὶ ἡ φωνὴ ἐπανῆλθεν· ὅτι πρόδρομος ἐφάνη, καὶ ὁ κόσμος ὅλως ἐχάρη. ἀλλ᾽ ἐνταῦθα μὲν ἔδει καταλῦσαι τὸν λόγον· οὐ συγχωρεῖ δὲ Ζαχαρίας βοῶν, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. ὢ τῶν παραδόξων πραγμάτων· τί λέγει ὁ Ζαχαρίας; πρώτην φωνὴν μετὰ τὴν ἀνάστασιν ὁ Ζαχαρίας ἐβόησεν, εὐλογητὸς κύριος. τί οὖν; τέθνηκεν ὁ Ζαχαρίας, καὶ ἀνέστη; οὐ τέθνηκε φυσικῶς· παραπλήσια δὲ ὑπέμεινε τῷ θανάτῳ. οἴκοθεν γὰρ, ὥσπερ τάφον, τὴν σιωπὴν εἶχε, καὶ C σπαργάνοις κατεδέθη, τοῖς γλωττίοις δεσμοῖς. τὸν βίον μετῆλθε, μὴ ἀναπνέων τὴν ἱερωσύνην· καὶ θρῆνον ὑπέμεινε, τὴν τοῦ λαοῦ συννότητα. ἱερέως γὰρ ἀργοῦντος, τῷ πένθει κατέπιπτον πάντες οἱ μεσιτευόμενοι. πρώτην φωνὴν ταύτην ἐβόησε μετὰ τὴν τροπικὴν ταύτην ἀνάστασιν ὁ Ζαχαρίας· εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ. ὢ Ζαχαρία, εἰ μὴ τὸν πνευματικὸν στάχυν κατεῖδες, τὸν νοητὸν γεωργὸν οὐκ ἐγνώριζες· εἰ μὴ τὸ δῶρον ἀπέλαβες, τὸν δοτῆρα οὐκ εὐλόγησας. ἀλλ᾽ ἀξίαν ᾠδὴν τοῦ δώρου ὁ Ζαχαρίας προφητικῶς τῷ θεῷ ᾔνεσε. κράζωμεν δὲ καὶ ἡμεῖς, εὐλογητὸς κύριος ὁ θεὸς τῶν Χριστιανῶν, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. D

A quæ facta fuerant describens. Et postquam puero nomen dedit, vocem accepit. Unde, inquit, mirati sunt omnes. Apertum est enim statim os ejus, & solutum est vinculum linguæ illius, & loquebatur benedicens Deum. O stupendum & novum miraculum! Scribitur nomen pueri, & os patris mutum aperitur: Joannes vocatur, & vocantis lingua restauratur. Viden' quomodo non aberravit, & nos dum sine obice quæ congruentia sunt enarramus, non aberremus? Ecce namque ipsum justi nomen os tacens aperit, & linguam impeditam excitat. Sic enim Joannis vox clamans ostenditur; quia ejus nomen ad vocem efficax est. *Ego*, inquit, *vox clamantis in deserto, parate viam Domini, rectas facite semitas ejus.* Matt. 3. 3. O miraculum! Verbum advenit, & vox prius prædicat: Dominus venit, B & servus præmittitur: Rex advenit, & miles præparatur. Gaudeamus ergo & lætemur, quia Elisabet genuit, & Zacharias loquutus est: quia sterilis peperit, & senex clamavit: quia pugillaris cereus quæsitus fuit, & lingua sacerdotalis soluta est, voxque rediit: quia præcursor apparuit & mundus totus gavisus est. Sed hic dicendi finis faciendus erat; verum id non permittit Zacharias clamans: *Benedictus Dominus Deus Israel, quia visitavit & fecit redemtionem plebi suæ.* Luc. 1. 68. O res stupendas! Quid dicit Zacharias? Primam vocem post resurrectionem clamando protulit, *Benedictus Dominus.* Quid igitur? Mortuus-ne est Zacharias, & resurrexit? Non naturaliter mortuus est; sed similia passus est ac si mortuus esset. In se namque quasi sepulcrum habebat C silentium, & pannis involutus erat, linguæ vinculis; vitam obiit, cum non ultra spiraret sacerdotium: & luctum sustinuit, populi mœrorem. Sacerdote namque cessante, in luctum incidebant omnes in medio positi. Hanc primam vocem clamando protulit Zacharias post hanc in figura sumtam resurrectionem: *Benedictus Dominus Deus Israel.* O Zacharia! nisi spiritualem spicam vidisses, spiritualem agricolam non novisses; nisi donum accepisses, datori non benedixisses. Sed dignum Deo canticum Zacharias prophetice Deo cecinit. Clamemus & nos: *Benedictus Dominus Deus* Christianorum, *quia visitavit & fecit redemtionem plebi suæ.* Ipsi gloria & imperium, nunc & semper & in D sæcula sæculorum, amen.

## Εἰς τὰ ἅγια θεοφάνια.

## *In Sancta Theophania, id est, in Epiphaniam & baptisma Christi.*

ΕΟΡΤΑΣΑΙ θέλω, ἀγαπητοὶ, καὶ πανηγυρίσαι βούλομαι. ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα, καὶ σφραγίς ἐστιν ἑορτῆς, καὶ θύρα πανηγύρεως. σφραγίζει μὲν τὸ σπήλαιον τῆς Βηθλεέμ, ὅπου δὴ ὁ παλαιὸς τῶν ἡμερῶν ὡς παιδίον ὑποτιτθίον (?) μάζιον ἐν φάτνῃ κατέκειτο· ἀνοίγει δὲ τὰς πηγὰς τοῦ Ἰορδάνου, ὅπου πάλιν οὗτος βαπτίζεται μετὰ τῶν ἁμαρτωλῶν, E διὰ τῶν ἀχράντων αὐτοῦ μελῶν ἄφεσιν ἁμαρτιῶν τῷ κόσμῳ δωρούμενος. ἀλλ᾽ ὅτε μὲν ἐπὶ γῆς αὐτὸς προῆλθεν ἐκ μήτρας, τοῖς νηπίοις ὡς νήπιος, τοῖς ἀνθρώποις ὡς ἄνθρωπος, τῇ μητρὶ ὡς υἱὸς, τοῖς ποιμέσιν ὡς καλὸς ἐφάνη ποιμήν. ἐγὼ γάρ εἰμι ὁ ποιμὴν ὁ καλὸς ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, φησὶν ἡ θεία γραφή. νῦν δὲ τὰς τοῦ Ἰορδάνου μέλλει καταλαμβάνειν πηγὰς, τελωνῶν καὶ ἁμαρτωλῶν, τὴν ἀπ᾽ αὐτῶν ἁμαρτίαν ἀποπλῦναι βουλόμενος. καὶ τὸ μέγα τῆς τοιαύτης πανηγύρεως θαῦμα, Παῦλος ὁ σοφώτατος βοᾷ λέγων· ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις· καὶ πᾶσα τῷ κόσμῳ πλεονάζει φαιδρότης. χαίρει ὁ οὐρανὸς πρῶτος ἐνωτιζόμενος τὴν κατιοῦσαν φωνὴν,

FESTUM & celebritatem agere volo, dilecti: nam sancta luminum dies & sigillum est festi, & janua celebritatis. Obsignat enim spelunca Bethlehemitica, ubi antiquus dierum ut puer lactens in præsepe jacebat: aperit autem fontes Jordanis, ubi hic baptizatur E cum peccatoribus, per intemerata membra sua peccatorum remissionem mundo concedens. Sed cum ex utero ipse in terram prodiit, infantibus ut infans, hominibus ut homo, matri ut filius, pastoribus ut bonus pastor apparuit. Nam *Ego sum pastor bonus, qui animam pono pro ovibus*, Joan. 10. 11. inquit divina scriptura. Nunc autem Jordanis fontes aditurus est, publicanorum nempe & peccatorum, ut peccatum ipsis abluat. Et quod magnum est in hac celebritate miraculum, Paulus sapientissimus clamat dicens: *Apparuit gratia Dei salutaris omnibus hominibus*, Tit. 2. 11. & omnis lætitia orbem implet. Gaudet cælum, quod emissam vocem primum audivit,

sanctificatur aer, volante Spiritu; & aquarum natura animas cum corporibus abstergere didicit. Et omnis quidem creatura unam celebritatis choream agebat: solus vero diabolus lugebat, paratam videns piscinam, quæ ipsum

Matt. 3. 13. solum suffocaret. Quid enim dicit? *Tunc venit Jesus in Jordanem ad Joannem, ut baptizaretur ab eo. Joannes autem prohibebat eum dicens: ego a te debeo baptizari, & tu venis ad me?* Quis vidit dominum servo adstantem? Quis vidit regem militi caput inclinantem? Quis vidit pastorem ab ove obsignatum? Quis vidit agonothetam ab athleta præmio donatum? *Ego a te debeo baptizari.* Da mihi tu Domine, inquit, quod mundo largiturus es baptisma: *ego a te debeo baptizari*, quia in paterno peccato conclusus, serpentis venenum circumfero: opus est mihi ut antiquæ transgressionis maculam abluam; tu vero, inquit, pro quibus peccatis ad baptismum venisti? Habes prophetam de te

Isai. 53. 9. testificantem, *Qui peccatum non fecit, nec inventus est dolus in ore ejus.* Quomodo tu, qui propitiaris, redemtionem quæris? Mos est ut qui baptizantur, peccata sua confiteantur. Tu vero quid habes quod confitearis, qui omnino impeccabilis es? Cur a me quæris id, quod non edoctus sum? Non audeo majora attingere; nescio quo pacto abluatur lux: solem justitiæ lavare nescio: nox diem non illuminat: aurum non servit plumbo; lutum artificem non corrigit: mare non fluentum mutuo accipit a fonte, fluvius non eget stilla: quod est mundum a sorde, non purgatur: damnatus judicem non absolvit. *Ego a te debeo baptizari.* Mortalitas vitam non excitat; medicum morbus non curat. Agnosco naturæ meæ vilitatem. Non est enim discipulus super magistrum, neque servus super Dominum suum. Ad me non accedunt cherubim cum tremore: mihi seraphini proni non clamant sanctissimum hymnum; ego thronum non possideo cælum; non me stella Magis prædicavit: ego vocem non habeo omnia creantem. Moyses servus posteriora videre dignatus est, & quomodo ego intemeratum caput tangere audebo? Cur mihi permittis ea quæ me superant? Palmam non habeo, quæ Deum baptizare possit. *Ego a te debeo baptizari.* Ex sterili natus sum; sed te jubente non contradixit natura. Tunc vero, dum in generationis loco habitarem, nec loqui valerem, matris labia mutuatus sum. Nunc vero quomodo te præsentem non Deum prædicabo, quem virginea arca complexa est? Num, ut Judæi, mente cæcus sum? Scio te, cum Dominus esses, formam servi accepisse, ut formæ nostræ medicus esses: scio te id apparuisse, quod salvum facis: scio te petram fidei factum esse, cui misertus es. Sed rebus visibilibus non impedior, quin videam intellectualia. Ego enim mortalis, tu Deus immortalis: ego ex sterili, sed tu ex Virgine. Primus quidem sum, sed te, qui post me venisti, non major. Præcessi prædicans, sed non ut talem baptizem. Novi te esse securim ad radicem positam: novi cæsorem infructuosæ plantationis Judæorum: novi falcem contra morbos animi se admoventem. Dixi appropinquare fontem curationum. Quem enim locum inveniam prodigiis tuis expertem? Leprosos verbo mundasti, sanguinis fontem tactu fimbriæ siccasti, solo jussu paralyticum firmasti: per miraculum tuum micæ Chananææ filiam nutrierunt. Luto cæcum oculorum usu donasti; & cur petis ut tibi ma-

Psal. 103. 32. num imponam. *Ego a te debeo baptizari. Qui respicis terram, & facis eam tremere*: qui super aquas ut in pavimento ambulas: qui meretrici permisisti ut pedes abstergeret tuos, eique remissionem peccatorum concessisti.

A ἀὴρ ἁγιάζεται καθιπταμένου τοῦ πνεύματος, ἡ τῶν ὑδάτων φύσις ψυχὰς μετὰ σωμάτων ἀποσμήχειν ἐμάνθανε. καὶ πᾶσα μὲν ἡ κτίσις μίαν ἑορτῆς ἐπετέλει χορείαν· μόνος δὲ ἐπένθει ὁ διάβολος, ὁρῶν κολυμβήθραν εὐτρεπιζομένην, τὴν αὐτὸν ἀποπνίγουσαν μόνον. τί γάρ φησι; τότε παραγίνεται ὁ Ἰησοῦς ἐν τῷ Ἰορδάνῃ πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρὸς μέ; τίς εἶδε δεσπότην οἰκέτῃ παρεστάμενον; τίς εἶδε βασιλέα στρατιώτῃ τὴν κεφαλὴν ὑποκλίναντα; τίς εἶδε ποιμένα ὑπὸ προβάτου σφραγιζόμενον; τίς εἶδεν ἀγωνοθέτην ὑπὸ ἀθλητοῦ βραβευόμενον; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. δὸς αὐτός μοι, φησιν, ὦ δέσποτα, ὃ μέλλεις τῷ κόσμῳ χαρίζεσθαι, βάπτισμα· ἐγὼ B χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, ὅτι ὑφ' ἁμαρτίαν πατρῴαν συνεκλείσθην, τὸν ἰὸν περιφέρω τοῦ ὄφεως. ἐγὼ χρείαν ἔχω τῆς ἀρχαίας παραβάσεως ἀποπλῦναι τὸν σπίλον· αὐτὸς δέ, φησιν, ὑπὲρ ποίων ἁμαρτιῶν ἐλήλυθας ἐπὶ τὸ βάπτισμα; ἔχεις προφήτην ὑπὲρ σοῦ μαρτυροῦντα, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. πῶς ὁ παρέχων τὸν ἱλασμὸν, ζητεῖς ἀπολύτρωσιν; ἔθος τοῖς βαπτιζομένοις ἐξομολογεῖσθαι τὰς ἁμαρτίας αὐτῶν· αὐτὸς δὲ τί ἔχεις ἐξομολογήσασθαι, ὁ παντελῶς ὑπάρχων ἀναμάρτητος; τί παρ' ἐμοῦ ζητεῖς, ὅπερ οὐκ ἐδιδάχθην; οὐ κατατολμῶ τῶν μειζόνων· οὐκ οἶδα πῶς ἀποπλύνεται φῶς· ἥλιον δικαιοσύνης λούειν οὐκ ἐπίσταμαι· οὐ φωτίζει τὴν ἡμέραν ἡ νύξ, χρυσὸς οὐ δουλεύει μολίβδῳ, τεχνίτην οὐ διορθοῦται πηλὸς, θάλασσα παρὰ πηγῆς οὐ δανείζεται ῥεῦμα, C ποταμὸς οὐκ ἐπιδέεται ῥανίδος· ἐκ ῥύπου τὸ καθαρὸν οὐ καθαίρεται, κατάκριτος κριτὴν οὐκ ἀπολύει. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. νεκρότης τὴν ζωὴν οὐκ ἐγείρει, ἰατρὸν νόσος οὐ θεραπεύει. γινώσκω μου τῆς φύσεως τὴν εὐτέλειαν. οὐκ ἔστι γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἐμοὶ μετὰ φόβου τὰ χερουβεὶμ οὐ προσέρχονται, ἐμοὶ τὰ σεραφεὶμ κεκυφότα τὸ τρισάγιον οὐ βοᾷ, ἐγὼ θρόνον τὸν οὐρανὸν οὐ κέκτημαι, ἐμὲ τοῖς Μάγοις ἀστὴρ οὐκ ἐκήρυξεν, ἐγὼ φωνὴν οὐκ ἔχω δημιουργοῦσαν τὰ σύμπαντα. Μωϋσῆς ὁ θεράπων ἰδεῖν τὰ ὀπίσθια ἠξιώθη, καὶ πῶς ἐγὼ ἀχράντου κεφαλῆς ἅψασθαι τολμήσω; τί ὑπερβαίνοντα ἐπιτρέπεις μοι; οὐκ ἔχω παλάμην θεὸν βαπτίσαι δυναμένην. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ D βαπτισθῆναι. ἐκ στείρας γεγέννημαι· ἀλλὰ σοῦ κελεύσαντος, οὐκ ἀντέλεξεν ἡ φύσις. καὶ τότε μὲν τὸ τῆς γεννήσεως οἰκῶν χωρίον, καὶ λαλεῖν κωλυόμενος ἔτι, τῆς ἐμῆς μητρὸς ἐδανεισάμην τὰ χείλη· νῦν δὲ πῶς οὐ θεολογήσω σε παρόντα, ὃν παρθενικὴ κιβωτὸς ἐχώρησε; μὴ κατὰ Ἰουδαίους τετύφλωμαι τὴν φρένα; οἶδα ὅτι δεσπότης ὢν μορφὴν δούλου ἀνέλαβες, ἵνα ἰατρεύσῃς μορφήν· οἶδα ὅτι ἐφάνης ὃ σώζεις· οἶδα ὅτι πέτρα πίστεως γέγονας, ὃ ἠλέησας. ἀλλ' οὐκ ἐμποδίζομαι τοῖς ὁρωμένοις, τὰ νοούμενα βλέπων. ἐγὼ γὰρ θνητὸς, σὺ δὲ θεὸς ἀθάνατος· ἐγὼ ἐκ στείρας, ἀλλὰ σὺ ἐκ παρθένου. πρῶτος μέν εἰμι, ἀλλὰ σοῦ τοῦ μετ' ἐμὲ μείζων οὐκ εἰμί. προέλαβον κηρύξαι, ἀλλ' οὐ βαπτίσαι τοιοῦτον. ἔγνων σε κειμένην πρὸς τὴν ῥίζαν ἀξίνην· ἐγνώρισα τὸν ὑλοτόμον τῆς E ἀκάρπου τῶν Ἰουδαίων φυτείας· εἶδον τὴν κατὰ τῶν παθῶν ἐγγίζουσαν δρεπάνην· εἶπον γειτνιᾶν πηγὴν τῶν ἰάσεων. τίνα γὰρ τόπον ἄμοιρον εὑρήσω τῶν σῶν τεραστίων; λεπροὺς ἐκαθάρισας λόγῳ, αἱμάτων πηγὴν ἁφῇ κρασπέδου ἐξήρανας, μόνῃ κελεύσει τὸν παράλυτον ἔσφιγξας, τῷ σῷ θαύματι τὰ ψιχία τῆς Χαναναίας τὸ θυγάτριον ἔθρεψε, πηλῷ τὸν τυφλὸν ἐνωμμάτωσας, καὶ πῶς τὴν παρ' ἐμοῦ χειροθεσίαν αἰτεῖς; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἐπὶ τῶν ὑδάτων ὡς ἐπ' ἐδάφους πεζεύων· ὁ πόρνῃ παραχωρήσας ἐκμάξαι τοὺς πόδας τοὺς σοὺς, καὶ ἄφεσιν ἁμαρτιῶν δωρησάμενος.

A πῶς τολμήσω τῆς σεβασμίου σου ἅψασθαι κορυφῆς, ὁ πολλάκις ἐν τῷ κηρύττειν βοήσας, ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ ἱκανός εἰμι λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ; παῦσόν μου, ὦ δέσποτα, τῆς σῆς συγκαταβάσεως τὸν ὄμβρον· ἐπὶ πολὺ γὰρ οὐ φέρω καταλκλυζόμενος. τί δέ φησι πρὸς αὐτὸν ὁ Χριστός; ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. ἄφες ἄρτι. ὡς φωνὴ, ὑπηρέτησον τῷ λόγῳ· ὡς δοῦλος, δεσπότῃ ὑπούργησον· ὡς στρατιώτης βασιλεῖ· ὡς πηλὸς κεραμεῖ. μὴ φοβοῦ τὸ ἐπίταγμα, ἀλλὰ θάρσει. βάπτισόν με σὺ, ἵνα ἐγὼ ἐλευθερώσω τὸν κόσμον. θανάτῳ παραδέδομαι, ἵνα τὴν φύσιν νεκρωθεῖσαν ζωώσω. σὺ μὲν κελευόμενος ὀκνεῖς ἐκτεῖναι τὴν χεῖρά σου, Ἰουδαῖοι δὲ μετ' ὀλίγον παραδοῦναί με οὐ ναρκήσουσιν. ἄφες ἄρτι. B οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. τὴν ἐμὴν πρὸ αἰώνων ὥρισα φιλανθρωπίαν διασῶσαι τὸ γένος τῶν ἀνθρώπων· ἄνθρωπος διὰ τὸν ἄνθρωπον γέγονα. τί μέγα, εἰ καὶ υἱὸς ἀνθρώπου ἐπὶ τὸ βάπτισμα παραγίνομαι, οὐ γὰρ παρεῖδον τῶν χειρῶν μου τὸ ποίημα· οὐκ ἐπῃσχύνθην τὸ γεῶδες τῆς φύσεως. ὃ γὰρ ἤμην, γέγονα ἅπερ οὐκ ἤμην, ἀμεταβλήτου μεινάσης τῆς φύσεως. ἄφες οὖν ἄρτι. ὁ τοῦ γένους ἐχθρὸς τῶν οὐρανίων ἐρρίφη, τῶν γηΐνων ἐδιώχθη· ἐμφωλεύει λοιπὸν ἐν τῇ τῶν ὑδάτων φύσει. ἀλλὰ κἀκεῖθεν αὐτὸν φυγαδεῦσαι παραγέγονα, τοῦ προφήτου βοῶντος, σὺ συνέτριψας τὴν κεφαλὴν τοῦ δράκοντος ἐπὶ τοῦ ὕδατος. ἄφες ἄρτι. ὡς ἀνθρώπῳ μοι προσῆλθεν ὁ πειράζων, καὶ φέρω, ἵνα τὴν τούτου στηλιτεύσω ἀσθένειαν. ἐρῶ γὰρ αὐτῷ, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. ὦ καινοῦ θαύματος, ὦ χάριτος ἀφράστου. ὁ Χριστὸς C ἀγωνίζεται, κἀγὼ τὰ βραβεῖα βαστάζω· αὐτὸς τῷ διαβόλῳ μάχεται, κἀγὼ τὴν κατὰ τοῦ διαβόλου νίκην ἐπιφέρομαι· αὐτὸς τὴν τοῦ δράκοντος κεφαλὴν συντρίβει ἐπὶ τοῦ ὕδατος, κἀγὼ ἔννομος ἀθλητὴς στεφανοῦμαι· αὐτὸς βαπτίζεται, κἀγὼ τὸν ῥύπον ἀποτίθημι· ἐπ' αὐτῷ τὸ ἅγιον ἔρχεται πνεῦμα, καί μοι τὴν τῶν ἁμαρτημάτων ἄφεσιν χαρίζεται· αὐτὸς μαρτυρεῖται ὑπὸ τοῦ πατρὸς υἱὸς ἀγαπητὸς, κἀγὼ γίνομαι υἱὸς θεοῦ δι' αὐτόν. οἱ οὐρανοὶ γὰρ αὐτῷ ἠνεῴχθησαν, ἵνα φανῇ τοῦ βαπτισθέντος τὸ οἰκητήριον, καὶ φωνὴ τούτῳ πατρικὴ μαρτυρεῖ λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε. αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος πάντοτε, νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας, ἀμήν.

A Quomodo audebo venerandum caput tuum tangere, qui prædicando sæpe clamavi : *Venit fortior me post me, cujus non sum dignus solvere corrigiam calceamenti.* Marc. 1. 7. Reprime, o Domine, attemperationis tuæ imbrem; amplius enim non fero, illoque demergor. Quid illi Christus dicit? *Sine modo : sic enim decet nos implere omnem justitiam. Sine modo*; ut vox Verbo ministrato; ut servus Domino servi, ut miles regi, ut lutum figulo. Ne mandatum timeas, sed confide : me tu baptiza, ut ego mundum liberem. Morti tradar, ut naturam mortuam vivificem. Tu jussus refugis extendere manum, Judæi vero paulo postea me tradere morti non dubitabunt. *Sine modo : sic enim decet nos implere* B *omnem justitiam.* Ante sæcula ex benignitate decrevi genus hominum servare : homo propter hominem factus sum. Quid magnum si filius hominis ad baptismum veniam? Non enim despexi opus manuum mearum : non me pudet terrenæ naturæ. Quod eram sum, quod non eram factus sum, immutabili manente natura. Sine igitur modo. Generis inimicus de cælis ejectus est, ex terrenis depulsus est, jam in aquarum natura latibula habet. Sed ut illum inde etiam fugarem adveni, propheta clamante : *Tu confregisti caput draconis in aquis.* Psal. 73. 14. *Sine modo.* Ad me quasi hominem accessit tentator, idque fero, ut ejus infirmitatem traducam. Dicam enim illi : *Non tentabis Dominum Deum tuum.* Matt. 4. 7. O novum miraculum! o ineffabilem gra- C tiam! Christus certat, & ego bravia fero : ipse cum diabolo pugnat, & ego contra diabolum victoriam obtineo : ipse confringit caput draconis in aqua, & ego legitimus athleta coronor : ipse baptizatur, & ego sordes depono : Spiritus sanctus venit super illum, & mihi peccatorum remissionem largitur : ipse declaratur a Patre filius dilectus, & ego per ipsum filius Dei efficior. Cæli namque ipsi aperti sunt, ut baptizati domicilium appareret : & vox paterna testificatur ipsi dicens : *Hic est filius meus dilectus, in quo mihi complacui : ipsum audite.* Matt. 3. 17. Ipsum decet gloria & imperium semper, & in omnia sæcula, amen.

## Εἰς τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

D

## *In Natale Domini nostri Jesu-Christi.*

ΟΠΟΤΑΝ ἐκ χειμῶνος κρυεροῦ θερμὸν ἔαρ ἐκλάμψῃ, τότε καὶ ἡ γῆ χλοερὰν πόαν προβάλλεται, καὶ τὰ δένδρα αἰθοκόμοις πρέμνοις ὡραΐζεται, καὶ ὁ ἀὴρ ἡλίῳ καταλαμπόμενος ἀγλαΐζεται, καὶ πᾶς ὀρνίθων χορὸς ἀνὰ τὸν αἰθέρα πετώμενος, ταῖς μελῳδίαις κλαγγάζει. τότε καὶ οἱ ἐν τοῖς ὄρεσιν οἰκοῦντες βουνόμοι τε καὶ ποιμένες τῶν καλυβῶν ὑπεξελθόντες, τῷ τοῦ ἀέρος κάλλει τὰς ὄψεις μεταρρυθμίζουσι, καὶ ταῖς τῶν καλλιφώνων ὀρνέων κλάγγεσι πολυφθόγγοις δόναξιν ἀντίμιμα λυρῳδοῦντες, τὰς τῶν ἀλόγων προβάτων αἰσθήσεις ἡδύνοντες, ἐπὶ τὴν πόαν τοὺς ἄρνας πρᾳῷ τῷ βήματι φέρουσι. τότε καὶ γεωργὸς τὴν δρεπάνην ἐν τῇ σκηνῇ θήξας παρὰ τὴν πέτραν, ἐπὶ τὸν ἀμπελῶνα πορεύεται κεῖραι τῆς ἀμπέλου τὸ ἄγονον κλῆμα. τότε E καὶ πελάγιοι πλωτῆρες, ἄζαλον ὁρῶντες τὸ πέλαγος, τὴν χέρσον λιπόντες, ξύλῳ καὶ ὕδατι καὶ πνεύματι τὰς ἑαυτῶν ψυχὰς καταπιστεύσαντες, τοῖς τῆς θαλάσσης κυρτίζοντες νώτοις, ἀφόβως ἐφίπτανται. καὶ ἁπαξαπλῶς, ἵνα μὴ ἐν τῷ προλόγῳ μηκύνω τὸν λόγον, πᾶσα τέχνη, καὶ πᾶν ἐπιτήδευμα πρὸς τὴν χρείαν τῆς ζωῆς τοῖς ἀνθρώποις πεποιημένον, τοῦ γαληνοῦ ἀέρος ἐκλάμψαντος, ἀκώλυτον ἔχει τὴν κίνησιν πρὸς τὴν τῆς ἐργασίας ὁρμήν. δεῦρο τοίνυν, ἐπειδὴ καὶ ἡμῖν τὸ οὐράνιον ἔαρ Χριστὸς ἐκ παρθενικῶν λαγόνων ἀνέτειλε, καὶ τὰς ψυχρὰς καὶ ζαλώδεις

CUM post gelidam hiemem vernus calor elucet, tunc terra floridam herbam emittit, arbores comatis ramis ornantur, aer sole illustratus lætior est, & omnis avium chorus per æthera volans melodiis personat. Tunc qui montes incolunt bubulci & pastores, ex tuguriis egressi, jucunditate aeris vultus in meliorem formam mutant, & cum dulcisonarum avium cantibus, variis tibiarum sonis concertantes, oviumque sensus demulcentes, ad pascua agnos lento gressu ducunt. Tunc & agricola postquam in tabernaculo falcem cote acuit, ad vineam concedit ut putet inutiles vitis pal- E mites. Tunc & marini nautæ tranquillum pelagus videntes, relicta terra, ligno, aquæ & vento animas suas concredentes, læti dorso maris gestati, sine metu trajiciunt. In summa, ne in ipso procemio longior sim, omnis ars, omnis cura, ad vitæ hominum usum spectans, aere sereno, sine obice ad opera se confert. Age ergo, quia Christus nobis ver cæleste ex Virginis visceribus ortus est, frigidasque &

procellosas diaboli nubes dissipavit, ac dormientia hominum corda ex fumo ignorantiæ expergefecit, ad cælestem & beatam gloriam corda nostra excitemus. Sed linguæ meæ cursum reprimit Christi generatio divinitate fulgens, & me ad seipsam attrahit. Cum enim infantem ex Virgine natum sub conspectum duco, necnon virginem sine viri opera prægnantem, & post partum virginem, rem curiosius exploro, & cum modum non inveniam, id fide obsigno. Quomodo enim mirum non fuerit, neque omnem mentem superaverit, quod virgo genuerit, & virgo post partum inventa fuerit? Quod genuerit, natus infans probat: quod vero post partum virgo permanserit, ipsa ejus corporis natura docuit. Vide ergo mysterium visibile & invisibile, quod capitur & non capitur, quod tangitur, nec invenitur. Quis enim non videbat & non tangebat & infantem & matrem? Quis vero videns matrem Virginem, & infantem Virginis filium, mysterium, quod curiosius inquirebat, invenire poterat? O mysterium vere cæleste & terrenum, ejus qui tenebatur & non tenebatur, videbatur & non apparebat! Talis enim erat qui hodie natus est Christus, cælestis & terrenus, qui tenebatur & non tenebatur, videbatur & invisibilis erat: cælestis secundum divinitatis naturam, terrenus secundum humanam formam, qui videbatur secundum carnem, invisibilis secundum spiritum, qui tenebatur secundum corpus, teneri non poterat ut Verbum. Sed Christus quidem Deus omnipotens, ut voluit mundo suo natus apparuit. Mentem vero meam magis obstupefacit Virgo prægnans: quia Virgo non de cælo descenderat, sed ex semine David conspiciebatur; non ex Spiritu, sed ex corpore & anima constans: in utero concepit, atque id tumor uteri arguebat, & nullus infantis intus inclusi sator apparebat. Cælum enim inhabitat, & infans in virgineo utero mystice operabatur. Secundum naturam nascebatur, & obstetrices infantem virgineumque ventrem manu tractabant, & corruptionem, ut in aliis mulieribus, non reperiebant. Deus enim erat qui per ipsam prodibat. O rube, quem vidit Moyses in monte ardentem, & non combustum! Virgo Maria, gignens & non corrupta! O lapis, quem vidit Daniel ex monte excisum absque humana manu! O virginis infantis virgo mater, & sacer filius matris innuptæ! Ubi sunt curiosi illi exploratores? Dicant nobis, quomodo virgo sine viro genuit infantem, nec gignendo corrupta est. Si autem modus investigari nequit, quia ex Spiritu sancto natus est; multo magis investigari nequit ineffabilis Verbi ex Patre generatio. Sed tu quidem credis; observas autem illam gignentem non corruptam fuisse: at Deum incusas dicens: Si incorruptus pater filium suum gignens secundum stultitiam tuam corruptus est, multo magis virgo corruptibilis naturæ, gignens corrupta est. Si vero tu testificaris Virginem gignentem non corruptam fuisse, multo magis crede incorruptum Patrem incorruptum filium gignentem, non corruptum fuisse. Sed relictis blateronibus illis, ad theologos precones accurramus. *Cum natus esset Jesus in Bethlehem Judææ in diebus Herodis regis.* Necessario evangelista assignat & locum & tempus, ut qui generationem Christi secundum carnem non credit, quærens & locum & tempus, rei veritatem inveniat. Tempus enim ex Herodis regno apud chronographos quæsito, locum vero ex Bethlehemi significatione reperiet. Nam si in mundanis pactis & consules scribuntur, & menses numerantur, & dies assignantur, & urbes annotantur ad dictorum securitatem; quanto magis oportet, quando parta fuit universi mundi salus,

A ὁμίχλας τοῦ διαβόλου διεσκέδασε, καὶ τὰς καθευδούσας τῶν ἀνθρώπων καρδίας ταῖς θείαις αὐτοῦ ἀκτῖσιν ἐκ τοῦ καπνοῦ τῆς ἀγνωσίας διύπνισεν, ἐπὶ τὴν οὐράνιον καὶ μακαρίαν δόξαν τὸν νοῦν ἡμῶν παρεξυνώμεν. ἀλλ᾽ ἵστα μου τὸν δρόμον τῆς γλώττης ἡ Χριστοῦ γέννα, θεότητα ἀπαστράπτουσα, καὶ πρὸς ἑαυτὴν ἐπισπᾶται. ὅταν γὰρ ὑπ᾽ ὄψιν ἑαυτοῦ ἀγάγω τὸ βρέφος τὸ ἐκ τῆς παρθένου τεχθὲν, καὶ τὴν παρθένον ἄνευ ἀνδρὸς, καὶ μετὰ τόκον παρθένον τυγχάνουσαν, πολυπραγμονῶ τὸ ἔργον, καὶ μὴ εὑρίσκων τὸν τρόπον, τῇ πίστει σφραγίζω τὸ πρᾶγμα. πῶς γὰρ οὐκ ἔστι θαυμαστὸν ἀληθῶς καὶ πᾶσαν ὑπερβαῖνον ἔννοιαν, τὸ παρθένον γεννῆσαι, καὶ παρθένον εὑρεθῆναι μετὰ τὸν τόκον; καὶ ὅτι ἐγέννησε, τὸ κυηθὲν βρέφος ἤλεγχε· καὶ ὅτι μετὰ τὴν κύησιν παρθένος ἐτύγχανεν, ἡ οἰκεία αὐτῆς τοῦ
B σώματος φύσις ἐδίδασκεν. ἴδε οὖν μυστήριον ὁρατὸν καὶ ἀόρατον, κρατούμενον καὶ μὴ κρατούμενον, ψηλαφώμενον, καὶ μὴ εὑρισκόμενον. τίς γὰρ οὐχ ἑώρα καὶ ἐκράτει καὶ τὸ βρέφος καὶ τὴν μητέρα; τίς δὲ ὁρῶν τὴν μητέρα παρθένον, καὶ τὸ βρέφος παρθένου τέκνον, τὸ μυστήριον πολυπραγμονῶν ἐξευρίσκει; ὢ μυστηρίου ἀληθῶς ἐπουρανίου καὶ ἐπιγείου, κρατουμένου καὶ μὴ κρατουμένου, ὁρωμένου καὶ μὴ φαινομένου. τοιοῦτος γὰρ ἦν καὶ ὁ γεννηθεὶς Χριστὸς σήμερον, οὐράνιος καὶ ἐπίγειος, κρατούμενος καὶ μὴ κρατούμενος, ὁρώμενος καὶ ἀόρατος· οὐράνιος κατὰ τὴν τῆς θεότητος φύσιν, ἐπίγειος κατὰ τὴν τῆς ἀνθρωπότητος κτίσιν, ὁρώμενος κατὰ τὴν σάρκα, ἀόρατος κατὰ τὸ πνεῦμα, κρατούμενος κατὰ τὸ σῶμα, ἀκράτητος κατὰ τὸν λόγον. ἀλλὰ Χριστὸς μὲν θεὸς ὢν παντοδύναμος, ὡς ἐβούλετο, τῷ ἰδίῳ
C κόσμῳ τεχθεὶς ἐπεφάνη. ἐκπλήττει δέ μου πλεῖον τὸν νοῦν ἡ τῆς παρθένου ὠδὶν, ὅτι παρθένος οὐκ ἐξ οὐρανοῦ κατελθοῦσα, ἀλλ᾽ ἐκ σπέρματος Δαυὶδ ὁρωμένη, οὐκ ἐκ πνεύματος τυγχάνουσα, ἀλλ᾽ ἐκ σώματος καὶ ψυχῆς συνιστῶσα, ἐν γαστρὶ ἐλάμβανε· καὶ ὁ ὄγκος τῆς γαστρὸς κατηγόρει τοῦ πράγματος, καὶ ὁ τοῦ ἔνδοθεν βρέφους σπορεὺς οὐκ ἐφαίνετο. οὐρανὸν γὰρ κατοικεῖ, καὶ τὸ βρέφος ἐν τῇ παρθενικῇ νηδύϊ μυστικῶς ἐτελεσιούργησε. διὰ τῆς φύσεως ἐτίκτετο, καὶ αἱ μαῖαι ἐψηλάφων καὶ τὴν γεννῶσαν φύσιν καὶ τὸ βρέφος, καὶ τὴν φθορὰν ὡς ἐπ᾽ ἄλλων γυναικῶν οὐχ εὕρισκον. θεὸς γὰρ ἦν ὁ δι᾽ αὐτῆς προερχόμενος. ὢ βάτε, ἣν εἶδε Μωϋσῆς ἐν τῷ ὄρει καιομένην, καὶ μὴ κατακαιομένην· παρθένε Μαρία, γεννῶσα, καὶ μὴ φθειρομένη. ὢ λίθε, ὃν εἶδε Δανιὴλ ἀπὸ
D ὄρους τεμνόμενον ἄνευ χειρὸς ἀνθρωπίνης. ὢ παρθένου βρέφους παρθένε μῆτερ, καὶ τέκνον ἱερὸν μητρὸς ἀνυμφεύτου. ποῦ οἱ φιλοπράγμονες; λεγέτωσαν ἡμῖν, πῶς ἡ παρθένος ἄνευ ἀνδρὸς ἐγέννησε βρέφος, καὶ γεννήσασα οὐκ ἐφθάρη. εἰ δὲ ἀνεξερεύνητος ὁ τρόπος, ἐπειδὴ ἐκ πνεύματος ὁ γόνος, πολλῷ μᾶλλον ἀνεξιχνίαστος ἡ ἐκ πατρὸς τοῦ λόγου ἄφραστος γέννησις. ἀλλ᾽ σὺ μὲν πιστεύεις, ἐπιτηρεῖς δὲ ὅτι γεννήσασα οὐκ ἐφθάρη· ἀλλὰ θεοῦ κατηγορεῖς λέγων· εἰ δὲ ὁ ἄφθαρτος πατὴρ γεννήσας τὸν υἱὸν αὐτοῦ κατὰ τὴν σὴν ἄνοιαν ἐφθάρη, πολλῷ μᾶλλον ἡ φθαρτῆς φύσεως οὖσα παρθένος γεννήσασα ἂν ἐφθάρη. εἰ δὲ σὺ αὐτὸς μαρτυρεῖς τὴν παρθένον γεννήσασαν μὴ φθαρῆναι, πολλῷ μᾶλλον πίστευε τὸν ἄφθαρτον πατέρα γεννήσαντα τὸν ἄφθαρτον υἱὸν μὴ φθαρῆναι.
E ἀλλ᾽ ἐάσαντες τοὺς ματαιολόγους, ἐπὶ τοὺς θεολόγους κήρυκας ἀναδράμωμεν. τοῦ δὲ Ἰησοῦ Χριστοῦ γεννηθέντος ἐν Βεθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως. ἀναγκαίως ὁ εὐαγγελιστὴς σημειοῦται καὶ τὸν τόπον καὶ τὸν χρόνον, ἵν᾽ ὁ ἀπιστῶν τὴν κατὰ σάρκα γέννησιν τοῦ σωτῆρος, ζητήσας τὸν τόπον καὶ τὸν χρόνον, εὕρῃ τῆς ἀληθείας τὸ πρᾶγμα. τὸν μὲν γὰρ χρόνον, ἐκ τῆς Ἡρώδου ἀρχῆς τοῖς χρονογράφοις ἐγκύψας, τὸν δὲ τόπον, ἐκ τῆς κατὰ τὴν Βηθλεὲμ σημασίας ζητήσας εὑρήσει. εἰ γὰρ ἐν τοῖς κοσμικοῖς συμβολαίοις καὶ ὕπατοι γράφονται, καὶ μῆνες ἀριθμοῦνται, καὶ ἡμέραι δηλοῦνται, καὶ πόλεις περιτυποῦνται ὑπὲρ ἀκριβείας τῶν λεγομένων· πόσῳ μᾶλλον δεῖ, τῆς τοῦ κόσμου παντὸς σωτηρίας τεχθείσης,

καὶ τοῖς εἰς ὕστερον γνωσθῆναι τοῦ τόπου καὶ τοῦ καιροῦ τὴν ἀκρίβειαν. καὶ Ματθαῖος μὲν τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ οὕτω διηγεῖται· Λουκᾶς δὲ ὑπὲρ τὴν τῶν χρόνων ἀκρίβειας προστίθησι, καὶ τὴν τότε πρῶτον γενομένην ἀπογραφήν. λέγει γὰρ οὕτως· ἐν ἔτει * τεσσαρακοστῷ πρώτῳ ἐπὶ Καίσαρος Αὐγούστου, ἐξῆλθε δόγμα ἀπὸ Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ πρώτη. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυὶδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. σημειοῦται δὲ Λουκᾶς τὴν πρώτην γενομένην ἀπογραφὴν, ὁμοῦ μὲν καὶ τὸν χρόνον ἀκριβάζων, καὶ μυστήριον μέγιστον ἐκ τοῦ ἐμφανοῦς ἀφανὲς ὑπεκφαίνων. λέγει γὰρ πρώτην καὶ βιαίαν ἀπογραφὴν, τὸ γεννηθῆναι τὸν ἄνθρωπον. Χριστοῦ γὰρ γεννηθέντος, καὶ σαρκὸς λοιπὸν θεοποιουμένης, καὶ διαβόλου ἐκβαλλομένου, καὶ θανάτου λυομένου, ἔδει ψυχὰς δικαίων, καὶ πιστῶν ὀνόματα ἐν ταῖς τῶν οὐρανῶν ἀπογράφεσθαι βίβλοις, κάτω μὲν Καίσαρος κελεύοντος, ἄνω δὲ τοῖς ἀγγέλοις πατρὸς προστάττοντος. διὸ καὶ ὁ κύριος τοῦτο εὐαγγελιζόμενος τοῖς μαθηταῖς αὐτοῦ ἔλεγε· μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐν τοῖς οὐρανοῖς ἀναγέγραπται. τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου, ἰδοὺ Μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο λέγοντες, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν. οἴμοι, νικῶμαι τοῖς θαύμασι, συνέχομαι τῆς θεωρίας, καὶ ἡ γλῶσσά μου οὐχ εὑρίσκει τί πρότερον εἰπεῖν, ἢ τί παραλείπειν. ἐὰν τὴν γέννησιν αὐτοῦ καταμάθω, ἐκπλήττομαι, ὅτι πρὶν ἢ τῆς φύσεως τὸ παιδίον ἐξέλθῃ, σημεῖα ἐπιτελεῖ. ἢ γὰρ οὐκ ἔστι μέγιστον σημεῖον, τὸ παρθένον μετὰ τὸ γεννῆσαι παρθένον μεῖναι, καὶ τὸν οὐρανὸν σιωπῶντα δι' ἀστέρος λαλεῖν, καὶ τοῖς διψῶσι τὸν τεχθέντα ἰδεῖν; ἀστέρα πέμπει συνέκδημον καὶ δεικνύει τὸ ποθούμενον βρέφος. καὶ Ματθαῖος μὲν Μάγων μνημονεύει ἐξ ἀνατολῶν ἐλθόντων· Λουκᾶς δὲ ἀγγέλου. λέγει γάρ· καὶ ποιμένες ἦσαν ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τῆς ποίμνης αὐτῶν. καὶ ἄγγελος κυρίου ὤφθη αὐτοῖς, καὶ δόξα κυρίου περιέλαμψεν αὐτοὺς, καὶ ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ἡμῖν σήμερον Χριστὸς κύριος ἐν πόλει Δαυίδ. καὶ ἐγένετο ἐξαίφνης σὺν τῷ ἀγγέλῳ πλῆθος οὐρανίου στρατιᾶς, αἰνούντων τὸν θεὸν καὶ λεγόντων· δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Χριστὸς ἐγεννήθη, τὰ ἐπίγεια τοῖς οὐρανίοις συνάπτεται, ἄγγελοι σὺν ἀνθρώποις χορεύουσι, ποιμένες ἀγραυλοῦσι, καὶ Μάγοι προσκυνοῦσιν, οὐρανὸς λαμπαδουχεῖται, καὶ ἡ γῆ τὸν καρπὸν αὐτῆς λαμπρὸν ἐπὶ φάτνης βαστάζει. καὶ ἐπληρώθη τότε τὸ ἐπὶ τῇ γῇ γεγραμμένον, τὸ, ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν. ἀλήθεια γὰρ Χριστὸς ὁ λέγων, ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια. ἐκ τῆς γῆς, τουτέστιν, ἐκ τῆς παρθένου ἀνέτειλε κατὰ σάρκα. ζητῶ δὲ πόθεν οἱ Μάγοι περὶ τοῦ ἀστέρος διδαχθέντες, αὐτῷ ἐχρῶντο ὁδηγῷ πρὸς τὴν τοῦ ζητουμένου παιδίου ἀνεύρεσιν. οὐ γὰρ, ὥς τινες ἐφαντάσθησαν, πλάνον εἶναι τὸν ἀστέρα λέγοντες, καὶ τοὺς Μάγους μὴ ἀληθὲς παιδίον ἐπιζητεῖν. πῶς γὰρ, εἰ πλάνος ἦν ὁ ἀστὴρ, τὴν ἀλήθειαν Χριστὸν ἀνεδείκνυεν; ἕως γὰρ ἐκείνου φθάσας, ἔστη τοῦ δρόμου. πῶς δὲ καὶ οἱ Μάγοι, εἰ οὐκ ἀληθείᾳ ἀπήρχοντο, τοιαύτας αὐτῷ προσφορὰς ἐκ τῶν οἰκείων ἐκόμιζον πόνων, μηνυούσας τὴν αὐτοῦ θεότητα καὶ ἀνθρωπότητα, καὶ τὸ προφητικὸν πληρούσας, τὸ, ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας; οὐδ' αὖ πάλιν, ὡς οἱ μυθολόγοι φασὶν εἶναι ἀστέρα καθ' ἕκαστος τῶν γεννωμένων ἀνθρώπων ἀνατέλλοντα· οἵτινες οὐδὲ τὴν παρ' Ἕλλησι μυθευομένην ἀστρολογίαν ἴσασιν. ἀλλ' ἄρα καὶ αὐτοὺς οἱ τοιοῦτοι Χριστιανοὺς εἶναι νομίζουσι, πρὸς οὓς ἐροῦμεν· ὦ φιλόσοφοι;

* legitur πεντεκαιδεκάτῳ.

& locum & tempus posteris accurate significari. Et Matthæus quidem generationem Christi secundum carnem ita narrat. Lucas vero præter accuratam temporum notam, addit etiam descriptionem tunc primo factam, his verbis: *Anno quadragesimo primo Cæsaris Augusti, exiit edictum ab Augusto, ut describeretur universus orbis. Hæc descriptio prima. Ascendit autem & Joseph a Galilæa in Judæam in civitatem David, quæ vocatur Bethlehem, eo quod esset ex domo & familia David, ut describeretur cum Maria desponsata sibi uxore prægnante.* Annotat Lucas primam illam descriptionem, tum ut tempus accurate significet, tum ut mysterium maximum & occultum subindicet. Dicit enim primam & violentam descriptionem, * eo quod factus esset homo. Christo enim nato, & carne demum deificata, ac diabolo expulso, morteque soluta, oportebat animas justorum, & fidelium nomina in cælorum libris describi; Cæsare in terra jubente, Patre vero angelis superne præcipiente. Quapropter Dominus id discipulis suis prædicabat dicens: *Nolite gaudere quia dæmonia vobis subjiciuntur; sed gaudete quia nomina vestra scripta sunt in cælis. Cum autem natus esset Jesus in Bethlehem Judææ, in diebus Herodis, ecce Magi ab oriente venerunt dicentes: Ubi est qui natus est rex Judæorum? Vidimus enim stellam ejus in Oriente, & venimus adorare eum.* Hei mihi! miraculis superor, contemplationibus detineor, nec invenit lingua mea quid primo dicat, aut quid prætermittat. Si generationem ejus considerem, obstupesco, quia antequam puer ex natura exiret, signa perficiebat. Annon hoc est maximum signum, quod virgo postquam genuit, virgo maneat, quod cælum tacens per stellam loquatur iis qui cupiebant natum videre? Stellam mittit una peregrinantem, quæ desideratum infantem ostenderet. Et Matthæus quidem Magos memorat ex oriente venientes: Lucas vero de angelo loquitur: *Et Pastores erant vigilantes, & custodientes vigilias noctis super gregem suum. Et angelus Domini visus est eis, & claritas Dei circumfulsit illos, & timuerunt timore magno. Et dixit illis angelus: Nolite timere: ecce enim evangelizo vobis gaudium magnum, quod erit omni populo: Quia natus est nobis hodie Christus Dominus in civitate David. Et facta est subito cum angelo multitudo militiæ cælestis, laudantium Deum, & dicentium: Gloria in excelsis Deo, & in terra pax, in hominibus beneplacitum.* Christus natus est: terrena cælestibus junguntur: angeli cum hominibus choreas agunt, pastores vigilant, & Magi adorant: cælum luminibus fulget, & terra fructum suum splendidum in præsepio gestat. Et tunc impletum est id quod de terra scriptum erat: *Veritas de terra orta est.* Veritas enim est Christus qui dicit, *Ego sum via & veritas.* De terra, id est de Virgine ortus est secundum carnem. Quæro autem unde Magi de stella edocti, illa usi sint duce, ut quæsitum puerum invenirent. Non enim res se habet ut quidam imaginati sunt, qui dicunt errantem fuisse stellam, & Magos non vere puerum quæsivisse. Quomodo enim, si errans stella fuisset, veritatem Christum ostendisset? Cum enim ad illum pervenisset, cursum repressit. Quomodo autem Magi, si non vere ea de causa venerunt, talia ipsi dona ex suis laboribus attulissent, significantes ejus divinitatem & humanitatem, quæ dona propheticum illud implebant: *Et vivet & dabitur ei de auro Arabiæ?* Neque rursum, ut fabulatores dicunt, stella erat quæ in ortu singulorum hominum apparet: qui certe ne fabulosam quidem Græcorum astrologiam callent. Sed fortasse tales homines ipsi etiam Christianos esse censent: quibus dicemus: O philosophi,

Luc. 2. 1.

Luc. 10. 20.

Psal. 84. 11.

Joan. 14. 6.

Psal. 71. 15.

si res erat ut vos dicitis: quomodo cum Adam & Eva duo tantum essent homines, cælum tot stellis plenum erat? Et diluvio adveniente, omnibusque hominibus in aqua pereuntibus, eædem ipsæ stellæ erant, nec cadebant: & cum tantus stellarum chorus esset, solus erat Noe cum tribus filiis & uxoribus? Sed oportet attendere scripturis, & mysteria cogitare. Balaam enim quidam erat propheta, quem advocavit rex Moabitarum, ut Israeli egresso ex Ægypto malediceret; quia ii quibus benedixit, benedicti erant, & quibus maledixit maledicti: cum pervenisset prope exercitum Israelis, & ascendisset in montis verticem, viso Israele in castris, assumens parabolam & prophetans dixit:
Num. 24. 17. *Orietur stella ex Jacob, & exsurget homo & Israel, & conteret principes Moab, vastabitque filios Ammon.* Hi itaque Magi ex genere Balaam prophetæ, ejus libros & prophetias sequuti: & considerantes, cum orietur stella, tunc surrecturum esse hominem, nempe regem Judæorum, qui non modo reges Moab conteret, sed etiam omnia diaboli regna dissipabit & ventilabit secundum Danielem, tempus observabant; & videntes stellam ab aliis diversam orientem, noverunt eam ipsam esse quæ in prophetia ferebatur, illamque sequentes, cum natum invenissent, gavisi sunt, cum veteris prophetiæ eventum reperissent. Tu vero, auditor, consideres velim, Magos esse figuram gentium, quæ ex erroris impietate conversæ, & non a perfecta luce ductæ sunt; sed quasi a splendore quodam luminis per Joannem quasi per stellam, ad Christum in carne natum sunt deductæ. Vide namque mihi stellam usque ad puerum venientem, & cursum sistentem. Etenim Joannes postquam stellæ instar prædicatione fulsit, Christumque
Joan. 1. 29. ostendit his verbis: *Ecce agnus Dei, qui tollit peccatum mundi*, sistit gradum; ait enim: *Illum*
Joan. 3. 20. *oportet crescere, me autem minui. Et venientes*,
Matt. 2. 11. inquit, *Magi, invenerunt puerum cum Matre, & procidentes adoraverunt eum.* Oportet enim eos qui a gentilitia vita ad Christum accedunt, primo decidere a culmine impietatis, & sic quasi a terra surgentes, Christi secundum carnem generationem confiteri, deinde paulatim ad cælestem ejus divinitatem ascendere. *Et apertis thesauris suis, obtulerunt ei munera, aurum, thus, & myrrham*; aurum ut regi; thus ut Deo; myrrham, ut propter nos passibili. Et accepit Christus dona, non quod iis opus haberet, sed ad utilitatem offerentium. Aurum enim accipiens, ab avaritia illos avertit; thus accipiens, ab idololatria removit; myrrham autem acceptans, mortem animæ ipsis amovit. Si autem aliud quoque mysterium perpendere oporteat, accurate discamus. Aurum, thus & myrrham
Philip. 2. 10. nato offerunt; quia scriptum de illo erat: *Ipsi flectetur omne genu cælestium, terrestrium & infernorum*, in donis suis futurum præfigurarunt; in auro significantes gloriam quam referunt angeli cælestes; in thure, terrenorum hominum genuflexionem; in myrrha, animarum in inferis detentarum supplicationem. Quoniam tres virtutes obtinere oportet eum qui accedit ad Christum; quas dicit apostolus, fidem, spem,
1. Cor. 13. 13. caritatem; apertis autem thesauris cordis, obtulerunt fidem, ut aurum fulgentem; spem, ut thus bene olentem; caritatem, ut myrrham constringentem ecclesiæ membra. *Et responso accepto in somnis, ne redirent ad Herodem, per aliam viam reversi sunt in regionem suam.* Oportebat enim eos, qui semel ad Christum accesserant, non iisdem impietatis vestigiis reverti; sed castam exercentes fidem & operam, hominum occisorem serpentem latentes, abscedere in Christi hereditatem. Ipsum quippe decet gloria in sæcula sæculorum, amen.

A εἰ τοῦτο ἦν, ὃ ὑμεῖς λέγετε, εἴπατε ἡμῖν, πῶς τοῦ Ἀδὰμ καὶ τῆς Εὔας δύο μόνων ὄντων ἀνθρώπων, ὁ οὐρανὸς τῶν αὐτῶν ἐπεπλήρωτο ἀστέρων; καὶ κατακλυσμοῦ γεγονότος, καὶ πάντων τῶν ἀνθρώπων ὕδατι θανόντων, οἱ αὐτοὶ ἦσαν ἀστέρες μὴ πεσόντες, καὶ τῆς αὐτῆς τῶν ἄστρων χορείας τυγχανούσης μόνος ἦν Νῶε μετὰ τῶν τριῶν υἱῶν καὶ τῶν γυναικῶν; ἀλλὰ δεῖ προσέχειν ταῖς γραφαῖς, καὶ νοεῖν τὰ μυστήρια. Βαλαὰμ γάρ τις ἦν προφήτης, ὃν μετακαλεσάμενος ὁ βασιλεὺς τῶν Μωαβιτῶν ἐπὶ τὸ τὸν Ἰσραὴλ ἐξιόντα ἐκ γῆς Αἰγύπτου καταράσασθαι· ἐπειδὴ οὓς ἂν ηὐλόγησεν, ηὐλόγηντο, καὶ οὓς ἂν κατηράσατο, κατήραντο· γενόμενος ἐγγὺς τῆς στρατοπεδείας τοῦ Ἰσραὴλ, καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρωρείαν τοῦ ὄρους, θεωρήσας τὸν Ἰσραὴλ παρεμβεβληκότα, ἀναλαβὼν αὐτοῦ τὴν παραβολὴν, καὶ προφητεύσας εἶπεν· ἀνατελεῖ
B ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ· καὶ συντρίψει τοὺς ἀρχηγοὺς Μωὰβ, καὶ προνομεύσει τοὺς υἱοὺς Ἀμμών. οὗτοι οὖν οἱ Μάγοι ἐκ τοῦ γένους τοῦ Βαλαὰμ τοῦ προφήτου ὁρμώμενοι, κατακολουθήσαντες αὐτοῦ ταῖς βίβλοις, καὶ ταῖς προφητείαις, καὶ νοήσαντες, ὅτι ὅτε ἀνατελεῖ ἄστρον, τότε ἀναστήσεται καὶ ὁ ἄνθρωπος, δηλονότι ὁ βασιλεὺς τῶν Ἰουδαίων, ὅστις οὐ μόνον τοὺς ἀρχηγοὺς Μωὰβ συντρίψει, ἀλλὰ καὶ πάσας τοῦ διαβόλου τὰς βασιλείας λεπτυνεῖ καὶ λικμήσει κατὰ τὸν Δανιὴλ, παρετήρουν τὸν καιρόν· καὶ θεωρήσαντες τὸν ἀστέρα ξένον παρὰ τοὺς ἄλλους ἀνατείλαντα, ἔγνωσαν αὐτὸν εἶναι τὸν πάλαι προφητευθέντα, καὶ κατακολουθήσαντες, εὑρηκότες τε τὸν τεχθέντα, ἐχάρησαν, τῶν πάλαι προφητευθέντων εὑρηκότες τὴν ἔκβασιν. σὺ δέ μοι νόει, ἀκροατὰ, τοὺς μάγους εἶναι τύπους τῶν
C ἐκ τῆς ἀσεβείας τῆς πλάνης ἐπιστρεψάντων ἐθνῶν, οὐ τελείῳ φωτὶ ὁδηγουμένους, ἀλλ', ὅσον ἀπαυγάσματι φωτὸς διὰ Ἰωάννου, ὡς δι' ἀστέρος, πρὸς τὸν ἐν σαρκὶ τεχθέντα Χριστὸν ὁδηγουμένους. ὅρα γάρ μοι καὶ τὸν ἀστέρα ἄχρι τοῦ παιδίου ἐλθόντα, καὶ σταθέντα τοῦ δρόμου. καὶ γὰρ Ἰωάννης, δίκην ἀστέρος τὸ κηρύγματι ὑπολάμψας, καὶ ὑποδείξας Χριστὸν λέγων, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐπαύσατο τοῦ δρόμου. εἴρηκε γὰρ, ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. καὶ ἐλθόντες, φησὶν, οἱ Μάγοι εὗρον τὸ παιδίον καὶ τὴν μητέρα· καὶ πεσόντες προσεκύνησαν αὐτῷ. δεῖ γὰρ τοὺς ἀπὸ ἐθνικοῦ βίου προσιόντας Χριστῷ, πρῶτον πεσεῖν ἀπὸ τοῦ ὕψους τῆς ἀσεβείας, καὶ οὕτως ὥσπερ ἀπὸ γῆς ἐγειρομένους, τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ὁμολογεῖν, εἶθ' οὕτως ἀνὰ μέρος, πρὸς τὴν οὐράνιον
D αὐτοῦ θεότητα ἀνανεύειν. καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν· χρυσὸν, ὡς βασιλεῖ· λίβανον, ὡς θεῷ· σμύρναν, ὡς παθητῷ δι' ἡμᾶς. καὶ ἐδέχετο ὁ Χριστὸς τὰ δῶρα, οὐχ αὐτὸς χρήζων, ἀλλὰ τοὺς φέροντας ὠφελῶν. χρυσὸν μὲν γὰρ δεχόμενος, φιλαργυρίας αὐτοὺς ἀπέστρεφε· λίβανον δεχόμενος, εἰδωλολατρείας ἀπήλλασε· σμύρναν δὲ κομιζόμενος, τὴν νέκρωσιν αὐτῶν ἀπέσμηχε τῆς ψυχῆς. εἰ δὲ δεῖ καὶ ἕτερον μυστήριον θεωρῆσαι, καταμάθωμεν ἀκριβῶς. χρυσὸν καὶ λίβανον καὶ σμύρναν προσφέρουσι τῷ τεχθέντι. ἐπειδὴ ἦν περὶ αὐτοῦ γεγραμμένον τὸ, αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ἐν ταῖς προσφοραῖς προετύπουν τὸ μέλλον, ἐν τῷ χρυσῷ δηλοῦντες τὴν τῶν οὐρανίων ἀγγέλων δοξολογίαν, ἐν
E τῷ λιβανῷ τὴν τῶν ἐπιγείων ἀνθρώπων γονυκλισίαν, ἐν τῇ σμύρνῃ, τῶν ἐν ᾅδου ψυχῶν κατεχομένων τὴν ἱκεσίαν. ἐπειδὴ τρεῖς ἀρετὰς δεῖ κεκτῆσθαι τὸν προσελθόντα Χριστῷ, ἃς φάσκει ὁ ἀπόστολος, πίστιν, ἐλπίδα, ἀγάπην, ἀνοίξαντες δὲ τοὺς θησαυροὺς τῆς καρδίας, προσεκόμιζον πίστιν, ὡς χρυσὸν ἐξαστράπτουσαν· ἐλπίδα, ὡς λίβανον εὐωδιάζουσαν· ἀγάπην, ὡς σμύρναν συσφίγγουσαν τὰ μέλη τῆς ἐκκλησίας. καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. ἐχρῆν γὰρ τοὺς ἅπαξ προσελθόντας Χριστῷ, μὴ τοῖς αὐτοῖς ἴχνεσι τῆς ἀσεβείας ἀναλύειν· ἀλλὰ τὴν ἁγνὴν ἐξασκήσαντας πίστιν καὶ πρᾶξιν, τὸν ἀνθρωποκτόνον ὄφιν λαθόντας, ἀναχωρεῖν εἰς κληρονομίαν Χριστοῦ. αὐτῷ γὰρ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν Ζακχαῖον τὸν τελώνην.

A

ΟΙ τῶν καλῶν ἐρῶντες, οὐδὲν ἀπέχουσι τῶν διψώντων, ὦ ἀγαπητοί. ὅσῳ γὰρ οὐχ εὑρίσκουσι τὸ ζητούμενον, τοσούτῳ πρὸς τὴν δίψαν τῶν ποθουμένων ἐκκαίονται. καὶ νύκτωρ μὲν φαντάζονται τὰς ποθουμένας, ὡς διψῶντες, πηγάς· μεθ' ἡμέραν δὲ τόπον ἐκ τόπου περιερχόμενοι, ὄμμασι πολυκινήτοις περιβλεπόμενοι, ζητοῦσι τὰ τῆς καρδίας ποθούμενα. καὶ ὥσπερ ὁδοιπόροι ἐν ὥρᾳ καύσωνος τὴν ἄνυδρον γῆν διατρέχουσιν, ὑπὸ τῆς δίψης πιεσθέντες, καὶ τὰς πηγὰς περιβλέπονται, ὡς πολλάκις καὶ ἐπὶ βουνοὺς ἀνατρέχοντας αὐτοὺς ὅπου πηγή· κἂν ἴδωσιν αὐτὴν πόῤῥωθεν, χαίρουσι, καὶ ἐπιτείνονται B τὴν πορείαν πρὸς αὐτὴν σπεύδοντες· εἶτα ἐλθόντες ἐπὶ τὴν πηγὴν, τὴν δίψαν τῷ ὕδατι παύουσι· τοιοῦτοί εἰσιν οἱ φιλόχριστοι ἄνδρες. ἐν γὰρ τῇ ἡμέρᾳ τὸν ποθούμενον αὐτοῖς Χριστὸν ἔργοις ἀγαθοῖς ἐκζητοῦσι, καὶ ἐν νυκτὶ δι' εὐχῶν προσομιλοῦσιν αὐτῷ, καὶ ἐν τοῖς ὕπνοις μετ' αὐτοῦ βηματίζειν φαντάζονται· ἐὰν ἐν ὁράμασιν αὐτὸν ἴδωσι πόῤῥωθεν, χαίρονται καὶ ἀγάλλονται, ὥσπερ οἱ διψῶντες, ὅταν εὕρωσι τὰς ποθουμένας πηγάς· καὶ πάλιν διϋπνισθέντες καθεύδειν ἐθέλουσιν, ἵνα τῇ αὐτῇ ὀπτασίᾳ τοῖς ὕπνοις περιτύχωσι. τοιοῦτος ἦν καὶ Ζακχαῖος, ὁ ἀρτίως ὑμῖν ὑπὸ τοῦ εὐαγγελίου διαναγνωσθείς. ὅρα γάρ μοι αὐτὸν καὶ τρέχοντα, καὶ πόθῳ φλεγόμενον θείῳ, καὶ ἐπὶ τὸ δένδρον ἀναβαίνοντα, καὶ Ἰησοῦν περιβλεπόμενον, ὅπως ἴδῃ τὴν ζωοφόρον πηγήν. θεωρήσας δὲ Ζακχαῖος τὸν κύριον, τὴν μὲν ὅρασιν ἀνέπαυσε, τὴν δὲ καρδίαν πλέον πρὸς πόθον ἐξέκαυ- C σεν. εἰσελθὼν δέ, φησιν, ὁ Ἰησοῦς εἰς Ἱεριχὼ, διήρχετο· καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ζακχαῖος· καὶ οὗτος ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος· καὶ ἐπεθύμει ἰδεῖν τὸν Ἰησοῦν, ὅτι ἐκεῖ ἤμελλε διέρχεσθαι. ὅρα μοι πόθον ἀνθρώπου, ἀγαπητέ. καὶ οὐκ ἠδύνατο βλέπειν ἀπὸ τοῦ ὄχλου, ὅτι μικρὸς ἦν τῇ ἡλικίᾳ. καὶ προλαβὼν εἰς τὰ ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραίαν, ἵνα ἴδῃ τὸν Ἰησοῦν, ὅτι ἐκεῖθεν ἤμελλε διέρχεσθαι. Ζακχαῖος ὁ τὴν ἡλικίαν τοῦ σώματος μικρὸς, τῇ δὲ φρονήσει τοῦ πνεύματος μέγας, ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, ἐπεθύμει ἰδεῖν τὸν θεὸν ἐν ἀνθρώποις τὰ οὐράνια χαριζόμενον· ἐζήτει ἰδεῖν τὸν τῶν ἀγγέλων κτίστην, καὶ τοῦ οὐρανίου καὶ ὑπερκοσμίου φωτὸς λαμπαδοθέτην βήμασιν ἀνθρωπίνοις περιπατοῦντα· ἐζήτει ἰδεῖν, πῶς ὁ ἥλιος τῆς δικαιοσύνης ἐν τῇ νεφέλῃ τοῦ σώματος καθεζόμενος, τῶν πιστῶν τοὺς ὀφθαλμοὺς τῆς καρδίας κατηύγασεν· ἐζήτει ἰδεῖν D τὸν θεὸν Ἰησοῦν, τὸ καλὸν σχῆμα, τὸ ποθεινὸν πρᾶγμα, τὸ γλυκὺ ὄνομα Ἰησοῦν, τὸν ἐκ τοῦ ὀνόματος πρᾶγμα σημαίνοντα. ἐπεθύμει ἰδεῖν τὸ πορφυρόμαλλον πρόβατον, οὗ τὸ αἷμα τὴν οἰκουμένην ἐξηγόρασε· καὶ ὁ πόκος αὐτοῦ ἀπὸ Ἀδὰμ μέχρι τέλους γυμνωθέντας ἐσκέπασεν. ἐπεθύμει ἰδεῖν ὁ αἰχμάλωτος στρατιώτης τὸν ἴδιον βασιλέα, τὸ πρόβατον τὸν ποιμένα, ὁ πεπλανημένος τὴν ὁδὸν, ὁ ἐσκοτισμένος τὸ φέγγος. ἐπεθύμει ἰδεῖν τὸν τῆς εὐσεβείας κήρυκα, ὁ μὴ ἔχων τὸ τῆς θεογνωσίας γλυκύτατον ἄρτυμα. ἐζήτει ἰδεῖν ὁ ἄῤῥωστος τὴν ὑγείαν, ὁ πεινῶν, τὸν οὐράνιον ἄρτον, ὁ διψῶν, τὴν ζωοφόρον πηγήν. ἐπεθύμει ἰδεῖν τὸν τῶν ἱερέων ζωοδότην, καὶ ἐξυπνιστὴν τοῦ Λαζάρου. ὢ ἔρωτος θείου· ὢ ἐπιθυμίας ἀγαθῆς· ὢ ἔρωτος χρυσοπτέρου, μᾶλλον δὲ Χριστοῦ, τοῦ τὴν ἔχουσαν αὐτὸν ψυχὴν εἰς οὐρανοὺς ἀναφέροντος. ἤδη ὁ θεῖος ἔρως ὁ ἄρας αὐτὸν ἀπὸ τῆς γῆς, δενδροβάτην παρεσκεύασεν· οὐκ ἔτι τὰ ἐπίγεια βλέπειν E αὐτὸν ἤδη, οὐκ ἔτι ἀνθρώποις συνεχώρησεν αὐτὸν ὁμιλεῖν· ἀλλὰ πρὸς θείαν βλέψας ἀγάπην, τὰ οὐράνια ἐξεδέχετο. ἀπ' ἐκείνων πρὸς ἐκεῖνα ἔτρεχε πρὸς ἃ ἠπείγετο, καὶ ἐπὶ τὸ δένδρον ἀναβὰς περιεβλέπετο τὸν Χριστὸν, καὶ τῇ διανοίᾳ τῆς νεφέλης ἐπέβαινεν. ἰδὼν δὲ τὸν Χριστὸν ὁ Ζακχαῖος, ἁρμοζόντως ἔλεγε· πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. εἶδε Ζακχαῖος τὸν κύριον, καὶ πλέον πρὸς πόθον ἐξεφλέγετο·

*In Zacchæum Publicanum.*

QUI bona amant, nihil differunt a sitientibus, o dilecti; dum enim quod quærunt non inveniunt, tantò majori rei desideratæ siti inflammantur: noctu desideratos fontes quasi sitientes imaginantur; interdiu vero a loco in locum circumcursantes, volubilibus oculis circumspicientes, quærunt ea quæ corde exoptant. Ac quemadmodum viatores in æstûs hora inaquosam terram percurrunt, premente siti, & an fontes sint circumspiciunt, ac sæpe colles conscendunt ubi fons habetur: & si procul illum viderint, gaudent, & concitato gressu ad illum festinant, quo cum pervenerint, sitim sedant. Tales sunt viri Christi amantes: per diem enim desideratum sibi Christum bonis operibus requirunt; noctu vero per precationes cum illo versantur, & in somnis se cum ipso incedere imaginantur: & si se illum procul videre putent, gaudent & exsultant, sicut sitientes cum desideratos fontes inveniunt: atque expergefacti rursum dormire volunt, ut dormientes iisdem visis fruantur. Talis erat Zacchæus, modo vobis in lectione evangelii memoratus. Vide namque mihi illum currentem, divino ardentem studio, & in arborem ascendentem, ac Jesum circumspicientem, ut vitæ fontem cerneret. Conspiciens autem Zacchæus Dominum, oculos quidem sedavit, cor vero majori desiderio inflammavit. *Ingressus*, inquit, *Jesus perambulabat Jericho. Et ecce vir nomine Zacchæus: & hic princeps erat publicanorum, & ipse dives: & quærebat videre Jesum, quia inde erat transiturus.* Vide hominis desiderium, dilecte. *Et non poterat videre præ turba. quia statura pusillus erat. Et præcurrens ascendit in arborem sycomorum, ut videret Jesum, quia inde erat transiturus.* Zacchæus statura pusillus, prudentiâ Spiritus magnus, quærebat videre Jesum; desiderabat videre Deum hominibus cælestia largientem: quærebat videre angelorum creatorem, & cælestis luminis administratorem humanis gressibus ambulantem. Quærebat videre quomodo sol justitiæ in nube corporis sedens, fidelium oculos cordis illuminaret: quærebat videre Deum Jesum, bonam formam, rem desiderabilem, dulce nomen Jesu, cujus nomine res ipsa significatur. Desiderabat videre purpureum agnum, cujus sanguis orbem redemit; & cujus vellus ab Adamo usque in finem nudos teget. Cupiebat videre captivus miles regem suum, ovis pastorem, qui errabat, viam, qui obtenebratus erat, lucem. Cupiebat videre pietatis præconem, qui dulcissimum divinæ cognitionis condimentum non habebat. Quærebat videre infirmus sanitatem; esuriens, cælestem panem; sitiens, vivificum fontem. Cupiebat videre eum, qui sacerdotibus vitam dabat, & Lazarum e somno suscitaverat. O amorem divinum! o bonam concupiscentiam! o amorem aureis alis instructi, imo potius Christi qui animam se possidentis in cælum transfert! Jam divinus amor, qui tollit eum de terra, id effecit ut in arborem ascenderet; non ultra permittit ut terrena respiciat, vel cum hominibus versetur; sed divinam intuens caritatem, cælestia excipiebat: ab his ad illa festinus currebat; atque conscensa arbore, Christum circumspiciebat, & mente supra nubem ascendebat. Videns autem Christum Zacchæus apposite dicebat: *Ad te levavi oculos meos, qui habitas in cælis.* Vidit Zacchæus Dominum, & magis amore incendebatur:

Luc. 19. 1.

Psal. 122. 1.

tetigit Christus cor ejus, & alius ex alio efficiebatur; ex publicano zelo incensus, ex infideli fidelis, & ex lupo ovis signata. Quis sic patrem & matrem amat, quis sic unquam uxorem vel filios dilexit, ut Zacchæus Dominum, ut ex re ipsa probari potest? Omnia quippe bona sua propter Christum pauperibus dedit, & iis quos defraudaverat, quadruplum reddidit. O bonos discipuli mores! O doctoris moderatio & virtus divina, quæ ex solo Jesûs visu ad actum adducit! Nondum verbo Dominus Zacchæum instituerat: sed a desiderante solum visus est, & fidei virtus a desiderantis corde sursum trahebatur. Simile quidpiam contigit in hæmorrhoïssa. Accedens quippe ad Dominum, & petens ab illo sanitatem, non exspectavit ut se manu tangeret, sed ipsa accedens ejus fimbriam clam tetigit; & virtus curationis a tangente ut a spongia trahebatur. Et Zacchæus quidem id ignorans faciebat, divino movente studio, & spirituali amore ardens in sycomorum accurrit. Dominus vero, mysticum quidpiam speculatus,
Luc. 19. 5. dicebat, *Descende.* Novi animam tuam; novi sanctum amorem tuum. *Descende:* recordare Adamum nudum se sub ficu abscondisse: tu vero si vis salutem nancisci, ne accurras ad sycomorum. Me oportet hanc sycomorum aridam reddere, & aliam plantare arborem, crucem. Illa bona arbor est, ad illam ex animo accurre. Inde enim ad cælos prompte jacieris. In hac arbore serpens foliis complicatur, in hac occultatur, ibi nidificat. Festina, descende antequam sibilet animæ tuæ, ut Evæ fecit, cum illi suasit ut degustaret suavem voluptatem. Festina, descende: donec ego adsum descende. Me namque vidente ille coercetur. Festina, descende: nolo te in sycomoro relinquere; nolo te perire. Mea enim ovis es, ad me accurristi. Festina, descende, & propera in domum tuam; ibi oportet me quiescere: quia ubi fides est, illic quiesco; ubi amor, illo vado. Scio quid facturus sis; scio te omnia tua bona daturum esse pauperibus, & primo iis, quos defraudasti, quadruplum esse redditurum. Apud hujusmodi homines libenter diversor. Zacchæus vero festinans descendit, & abiit in domum suam, Jesumque suscepit: gaudioque plenus, stans dixit; non ambulans, non sedens, sed stans, ut animæ suæ immutabile propositum declararet; stans dixit; cum fervens Spiritu, irrevocabili sententia concertabat: sciebat enim ubi sereret, & ubi messurus esset, dixitque: *Ecce dimidium bonorum meorum do pauperibus: & si quem defraudavi, reddo quadruplum.* O confessio pura ex corde puro procedens! confessio non pudori obnoxia, nullo pudori obnoxiæ gloriæ Dei oblata, fidem spirans, justitiâ florens: qua justitia nos dignetur universorum Deus, gratia & benignitate Domini nostri Jesu-Christi, cui gloria & imperium in sæcula sæculorum, amen.

A ἥψατο αὐτοῦ τῆς καρδίας, καὶ ἄλλος ἐξ ἄλλου ἐγίνετο, ἀντὶ τελώνου ζηλωτὴς, ἀντὶ ἀπίστου πιστὸς, καὶ ἀντὶ λύκου πρόβατον σφραγιδοφόρον. τίς οὕτω ποθεῖ πατέρα, ἢ μητέρα, τίς οὕτω ποτὲ ἠγάπησε γυναῖκα ἢ τέκνα, ὡς Ζακχαῖος τὸν κύριον, ὡς ἐξ αὐτοῦ τοῦ πράγματός ἐστι δοκιμάζειν; πάντα γὰρ αὐτοῦ τὰ ὑπάρχοντα διὰ τὸν Χριστὸν τοῖς πένησιν ἔδωκε, καὶ οὓς ἐσυκοφάντησε, τετραπλάσιονα ἀπέδωκεν. ὢ μαθητοῦ τρόπος ἀγαθός· ὢ διδασκάλου ἐπιείκεια καὶ δύναμις θεία, ἐκ τοῦ ὀφθῆναι μόνον τὸν Ἰησοῦν εἰς πρᾶξιν ἐνάγοντα. οὔπω γὰρ κατηχητικὸν λόγον τῷ Ζακχαίῳ ἔλεγεν ὁ κύριος, ἀλλ' ὤφθη μόνον τῷ ποθοῦντι, καὶ ἡ τῆς πίστεως δύναμις ὑπὸ τῆς τοῦ ποθοῦντος καρδίας ἀνείλκετο. τοιοῦτόν τι γέγονε καὶ ἐπὶ τῆς αἱμοῤῥούσης. προσελθοῦσα γὰρ τῷ κυρίῳ, καὶ ἀξιοῦσα αὐτὸν, ἵνα ἰάσηται αὐτὴν, οὐ μὴν ἐξεδέχετο τὴν ἀφὴν τῆς χειρὸς, ἀλλὰ
B αὐτὴ προσελθοῦσα ἥψατο αὐτοῦ τοῦ κρασπέδου κρυφίως· καὶ ἡ δύναμις τῆς ἰάσεως ὑπὸ τῆς ἁπτομένης ὡς σπόγγος εἵλκετο. καὶ ὁ μὲν Ζακχαῖος ἀγνοῶν ἐποίει, θείῳ ζήλῳ φερόμενος, καὶ πνευματικῷ ἔρωτι φλεγόμενος ἐπὶ τὴν συκομωραίαν ἔτρεχεν· ὁ δὲ κύριος μυστικόν τι θεωρήσας, ἔλεγε, κατάβηθι· οἶδά σου τὴν ψυχὴν, οἶδά σου τὸν ὅσιον ἔρωτα· κατάβηθι· μνήσθητι ὅτι ὁ Ἀδὰμ γυμνωθεὶς, ὑπὸ συκῆν ἐκρύβη· σὺ δὲ θέλων σωθῆναι, ἐπὶ συκομωραίαν μὴ ἀνάτρεχε. δεῖ με τὸ συκόμωρον τοῦτο ξηρᾶναι, καὶ ἄλλο φυτεῦσαι, σταυρόν. ἐκεῖνο χρηστὸν δένδρον ἐστὶν, ἐπ' ἐκεῖνο βήματι ψυχῆς ἀνάτρεχε. ἐκεῖθεν γὰρ εἰς οὐρανοὺς ἕτοιμος ἀκοντίζῃ: εἰς τοῦτο τὸ δένδρον καὶ ὁ ὄφις τοῖς φύλλοις περιπλέκεται, εἰς τοῦτο κρύπτεται, ἐν τούτῳ ἐνόσσευσε· σπεῦσον, κατάβηθι πρὸ τοῦ αὐτὸν ψιθυρίζειν τῇ ψυχῇ σου, ὡς καὶ ἐπὶ τῆς Εὔας πείσας αὐτὴν γεύσασθαι τῆς
C γλυκείας ἡδονῆς. σπεῦσον, κατάβηθι· ἕως ἕστηκα ἐγὼ, κατάβηθι. ἐμοῦ γὰρ ὁρῶντος αὐτὸν, ἐκεῖνος πεφίμωται. σπεῦσον, κατάβηθι, οὐ θέλω σε ἐᾶσαι ἐπὶ τὴν συκομωραίαν, οὐ θέλω σε ἀπολέσθαι. ἐμὸν γὰρ εἶ πρόβατον, ἐμοὶ προσέδραμες. σπεῦσον, κατάβηθι, καὶ πρόλαβε εἰς τὸν οἶκόν σου· δεῖ με ἀναπαύειν ἐκεῖ. ὅπου γὰρ πίστις, ἐκεῖ ἀναπαύομαι· ὅπου ἀγάπη, ἐκεῖ ἀπέρχομαι. οἶδα τί μέλλεις ποιεῖν· οἶδα ὅτι ὅλα σου τὰ ὑπάρχοντα μέλλεις διδόναι πένησι, καὶ πρῶτον ἀποδιδόναι, οἷς ἐσυκοφάντησας, τετραπλασίονα· παρὰ τοῖς τοιούτοις ἡδέως αὐλίζομαι. καὶ ὁ Ζακχαῖος σπεύσας κατέβη, καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ Ἰησοῦν ὑπεδέξατο. χαρᾶς δὲ ἐμπλησθεὶς, σταθεὶς εἶπεν· οὐ περιπατῶν, οὐ καθήμενος, ἀλλὰ σταθεὶς, ἵνα δείξῃ τὴν τῆς ψυχῆς αὐτοῦ ἀμετάθετον γνώμην· σταθεὶς εἶπεν· ὅτε ζέων τῷ πνεύματι, ἀμεταμέλητα
D νοήσας ἠγωνίζετο. ᾔδει γὰρ ὅπου σπείρει, καὶ ὅπου μέλλει θερίζειν· καὶ εἶπεν, ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς· καὶ οὓς ἐσυκοφάντησα, τετραπλασίονα ἀποδίδωμι. ὢ ἐξομολόγησις καθαρὰ, ἐκ καρδίας καθαρᾶς προερχομένη· ἐξομολόγησις ἀνεπαίσχυντος, ἀνεπαισχύντῳ δόξῃ θεοῦ προσφερομένη, πίστιν ἀποπνέουσα, καὶ δικαιοσύνην ἀνθοῦσα· ἧς δικαιοσύνης καταξιώσειεν ἡμᾶς ὁ τῶν ὅλων θεὸς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## *In Centurionem.*

E

## Εἰς τὸν Ἑκατόνταρχον.

Luc. 7. 2. CENTURIONIS cujuspiam servus, male habens moriturus erat, sed non mortuus est juvante Domino: moriturus erat, utpote homo, sed intercedente religioso viro non mortuus est. Natura suum exigit debitum; sed naturæ Dominus possessori possessionem suam concessit propter ipsius fidem. Mors & naturæ necessitas ad obitum vim inferebant; sed obsistit fides morti repugnans, ejus leges solvens. Ne vero dubites posse fidem mortis vincula rumpere,

ἙΚΑΤΟΝΤΑΡΧΟΥ τινὸς δοῦλος κακῶς ἔχων ἔμελλε τελευτᾶν, ἀλλ' οὐκ ἐτελεύτησε διὰ τὸν δεσπότην. ἔμελλεν ἀποθανεῖν· ἄνθρωπος γὰρ ἦν· ἀλλ' οὐκ ἀπέθανε διὰ τὸν πρεσβεύοντα θεοφιλῆ τυγχάνοντα. ἡ φύσις τὸ ἴδιον ἀπαιτεῖ χρέως· ἀλλ' ὁ δεσπότης τῆς φύσεως τὸ κτῆμα τῷ * κτιστῷ διὰ πίστιν παρεχώρει. θάνατος καὶ φύσεως ἀνάγκη πρὸς τελευτὴν ἐβιάζοντο, ἀλλὰ ἀνθεῖλκεν ἡ πίστις τῷ θανάτῳ πολεμοῦσα καὶ θανάτου παραλύουσα νόμους. καὶ μὴ ἀπιστήσῃς, εἰ τοσαῦτα δύναται πίστις, ὥστε καὶ θανάτου δεσμὰ διαῤῥῆξαι, καὶ

καὶ ἐξ αὐτῶν τῶν καταχθονίων βαράθρων ψυχὰς ἀνασπάσαι. A πίστις καὶ ᾅδου πύλας ἀνοίγει, καὶ οὐρανοῖς ἐπιτίθει κλεῖθρα, καὶ φύσεως ὅρους ἀμείβει, καὶ πυρὸς δύναμιν κατακοιμίζει, καὶ φλόγα δρόσον ἀποδεικνύει, καὶ θανάτου κέντρον ἀμβλύνει. οὐκ ἀμάρτυρα λέγω· ἐκ τῶν ἁγίων σε γραφῶν πιστώσομαι. εἶπον ὅτι πίστις πύλας ᾅδου ἀνοίγει, καὶ οὐρανοῖς ἐπιτίθησι κλεῖθρα. οὐκοῦν δέξαι τὰς ἀποδείξεις ἐναργεῖς· ἴδε μοι τὸν μακάριον Πέτρον λόγῳ τὰς ᾅδου πύλας ἀναπετάσαντα, καὶ τὴν Ταβιθὰν κἀκεῖθεν ἀναγαγόντα. μόνον γὰρ εἶπε, Ταβιθὰ ἀνάστηθι, εὐθὺς πύλαι μὲν ᾅδου ἀνοίγονται, ταρτάρειοι δὲ πίπτουσι μοχλοί, ἡ δὲ τεθνηκυῖα τῶν ζώντων ὀξύτερον ὑπακούει. πάλιν Ἠλίας ὁ προφήτης ταύτῃ πεποιθὼς τῇ πίστει εἶπεν, οὐκ ἔσται ὑετὸς εἰ μὴ διὰ στόματός μου· καὶ χαλκεύεται μὲν ὁ οὐρανὸς, συστέλλεται δὲ ὁ ὑετὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, γῆ B δὲ καθάπερ σιδηρᾶ τὴν φύσιν, τὸν συνήθη καρπὸν ἀρνεῖται, ἵνα γνῷς οἷα δύναται πίστις. ἄνθρωπος ἐπὶ γῆς ἀποφαίνεται, καὶ θεὸς ἐν οὐρανῷ βεβαιοῖ τὴν ἀπόφασιν· θνητὸν φθέγγεται στόμα, καὶ θεοῦ γνώμη ἐπιψηφίζεται, ἔργῳ κυροῦσα τὰ ῥήματα. ἔκλεισε, φησὶν, Ἠλίας τὸν οὐρανὸν ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ. κλεῖθρον οὐρανοῦ ἦν ἀνθρώπου στόμα θνητοῦ, εὐσεβεῖ πίστει κοσμούμενον. ὁ αὐτὸς πάλιν Ἠλίας πυρίνων κατετόλμησεν ἁρμάτων, καὶ καθάπερ πτηνὸν εἰς τὰς αἰθερίους ἐπέπτη μονὰς, ἀμέλει μέχρι σήμερον ἄγευστος θανάτου, οὐ νόμῳ φύσεως, ἀλλὰ χάριτι μονογενητικῇ, καὶ δυνάμει πίστεως ἀκλινὴς φυλαττόμενος. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὁ Ἐνὼχ ἀπὸ ζωῆς εἰς ζωὴν μετὰ σώματος ἐβαστάχθη, θάνατον καὶ γῆρας καὶ φύσιν διὰ πίστεως ὑπερνικήσας. πολλὰ μὲν οὖν ἄλλα περὶ πίστεως ἔστι λέγειν, ἀλλὰ συστέλλω τὸν λόγον, ἵνα μὴ C κόρον ἐμποιήσω. οἶδα δὲ, ὅτι καίπερ τὰ θεῖα λόγια ταῖς ὑμετέραις φιλοχρίστοις ἀκοαῖς οὐ κόρον, ἀλλὰ πόθον ἐμποιεῖν ἐπίστανται, ἀλλ' ὅμως ἐπὶ τὸ προκείμενον * ἐπανελεύσεται.

* ἐπανελεύσομαι.

ἑκατοντάρχου, φησὶ, τινὸς δοῦλος κακῶς ἔχων ἔμελλε τελευτᾷν, ὃς ἦν αὐτῷ ἔντιμος· ἔντιμος οἰκέτης τῷ δεσπότῃ. εἰ γὰρ καὶ ἡ πλεονεξία τοῦ βίου τὸν δοῦλον ἐπενόησεν, ἀλλ' ἡ εὐγνωμοσύνη τοῦ δεσπότου τὸ συγγενὲς τῆς φύσεως οὐκ ἠρνήσατο. οὐ διέπτυσεν ὡς οἰκέτην, ἀλλ' ἔστερξεν ὡς ὁμόφυλον, φιλανθρωπίᾳ τὴν βαρεῖαν τῆς δουλείας ζεύγλην ἐπελαφρίζων. ἀκούετε καὶ μανθάνετε οἱ δούλων δεσπόται, μὴ ὡς ἀλλοτρίων τῆς φύσεως καταφρονεῖν τῶν οἰκετῶν, μήτε μὴν, ὡς ἐχθρῶν, ἀφειδεῖν τῶν ὁμογενῶν, πειθόμενοι τῷ μακαρίῳ Παύλῳ λέγοντι· οἱ κύριοι πρὸς τοὺς δούλους D τὴν ἰσότητα παρέχεσθε, ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐν οὐρανοῖς ὑπάρχει. συνεχώρησε δοῦλον εἶναι θεὸς, ἵνα θεῷ δουλεύειν μανθάνῃς. εὔνοιαν ἀπαιτεῖς παρὰ τοῦ οἰκέτου; εὐνόει καὶ αὐτὸς τῷ δεσπότῃ. κολάζεις ἁμαρτάνοντα; οὐκοῦν μὴ ἁμάρτῃς, ἵνα μὴ κολάζῃ παρὰ θεῷ. συγγνώμην οὐ δίδως ὁμογενεῖ; μηδὲ σὺ αἴτει συγγνώμην. διδάσκει γάρ σε τὸ εὐαγγέλιον λοιπὸν οὕτω προσεύχεσθαι· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν. ὡς οὖν παρὰ θεοῦ φιλανθρωπίαν ζητοῦντες, οὕτω καὶ ὑμεῖς φιλανθρωπίαν νείματε τοῖς ὁμοφύλοις. ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων. τί ἀκούσας; ὅτι λόγῳ θεραπεύει, λόγῳ τεθνεῶτας ζωογονεῖ, λόγῳ δαίμονας ἀπελαύνει, λόγῳ τὰ πάντα διανύει. ζῶν γὰρ ὁ λό- E γος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. οὐ βοτάνας, οὐ φάρμακα προσάγει, ἀλλὰ λόγος παρ' αὐτοῦ πέμπεται, καὶ τὸ ἔργον ἐπιτελεῖ. βλέπε πόση ἡ μεταξὺ τοῦ ἑκατοντάρχου καὶ τῶν Ἰουδαίων διαφορά. ὁ μὲν ἀκούσας, ἐκ μόνης ψιλῆς ἀκοῆς ἐπίστευσε, καὶ πιστεύσας ὡς θεῷ προσῆλθεν· οἱ δὲ, ἐπ' ὄψει ὁρῶντες τὰ θαύματα, τὸν θαυματοποιὸν ἠρνοῦντο· καίτοι ὄψις ἀκοῆς ἐνεργεστέρα. ἐνεργεστέρα μὲν ὄψις ἀκοῆς, ἀλλὰ κακίαν εἶχον τῆς νόσου διδάσκαλον. διὰ τοῦτο τυφλοὶ τῇ κρίσει τὸν κριτὴν ἐξουθένουν. ἀπέστειλε, φησὶ, πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν, ὅπως ἀπελθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ.

& ab ipsis inferis animas abstrahere: fides etiam inferni portas aperit, cælis claustra apponit, & naturæ terminos removet, ignis vim sedat, flammam in rorem vertit, mortis stimulum hebetat. Non sine testimonio loquor: id ex sacris scripturis tibi probabo. Dixi fidem portas inferi aperire, & cælis claustra apponere: horum clara accipe argumenta: vide mihi beatum Petrum verbo inferni portas aperientem, & Tabitham inde reducentem. Tantum enim dixit: *Tabitha surge*: statimque portæ inferi aperiuntur, cadunt Tartarei vectes; mortua vero celerius quam viventes obedit. Rursus Elias propheta fide fultus dixit: *Non erit pluvia, nisi per os meum.* Et cælum in æs vertitur, cohibetur pluvia annis tribus & sex mensibus, terra quasi naturâ suâ ferrea, solitum fructum negat, ut scias quanta possit fides. Homo in terra sententiam dicit, & Deus in cælo sententiam firmat: mortale os loquitur, & Dei sententia re verba confirmat. *Clausit*, inquit, *Elias cælum annis tribus & mensibus sex.* Cæli claustrum erat os hominis mortalis pia fide ornatum. Idem rursus Elias igneos conscendere currus ausus est, & quasi volucris ad æthereas mansiones advolavit, vereque hactenus mortem non expertus est, non ex lege naturæ, sed ex gratia unica, & vi fidei intactus servatus. Quid multa dicere opus est? Enoch a vita in vitam cum corpore translatus est, mortem, senectutem & naturam per fidem vicit. Multa quoque alia de fide dicenda suppetunt, sed supersedeo ne fastidium ingenerem. Licet vero sciam divina eloquia vobis Christi amantibus non fastidium, sed desiderium parere; tamen ad propositum revertar. *Centurionis*, inquit, *cujusdam servus male habens moriturus erat, qui erat illi carus.* Carus domino servus. Licet enim avaritia servum excogitaverit, at domini probitas naturæ cognationem non negavit. Non despiciebat ut servum, sed diligebat ut contribulem: humanitate grave servitutis jugum leve reddens. Audite & discite heri, qui servos habetis, ne illos quasi a natura alienos contemnatis, neque congeneres ut inimicos habeatis, obtemperantes Paulo dicenti: *Domini quod justum est & æquum servis præstate, remittentes minas: scientes quia & illorum & vester Dominus est in cælis.* Concessit Deus ut servus esset, ut Deo servire discas. Benevolentiam exigis a servo? benevolus & tu esto Domino. Punis peccantem? igitur ne pecces, ne puniaris a Deo. Veniam non das congeneri? ne tu veniam petas. Nam te docet evangelium ita orare: *Dimitte nobis debita nostra, sicut & nos dimittimus debitoribus nostris.* Ut ergo a Deo benignitatem quæritis, sic & benignitate ergà congeneres utimini, *Et cum audisset de Jesu, misit ad eum seniores Judæorum.* Quid audierat? Quod verbo curaret, verbo mortuos suscitaret, verbo dæmonas pelleret, verbo omnia perficeret. *Vivus enim est sermo Dei, & efficax, & penetrabilior omni gladio ancipiti.* Non herbas, non pharmaca adhibet; sed verbum ab illo mittitur, & opus perficit. Vide quanta sit inter centurionem & Judæos differentia. Ille audiens, ex solo auditu credidit; & credens quasi ad Deum accessit; illi vero ipsis oculis videntes miracula, illorum patratorem negabant; etiamsi visus sit efficacior auditu. Efficacior certe; sed nequitiam habebant morbi magistram. Ideo cæci judicio suo judicem despiciebant. *Misit*, inquit, *seniores Judæorum, rogans eum ut veniens sanaret servum suum.*

Act. 9. 40.
3. Reg. 17. 1.
4. Reg. 2. 11.
Col. 4. 1. & Ephes. 6. 9.
Matt. 6. 12.
Luc. 7. 3.
Hebr. 4. 12.

Misit ad eum seniores; non ex superbia ipse venire recusans; sed non audens ipse pro seipso intercedere, ob magnitudinem dignitatis Christi. Sciebat se hominem esse ex homine corruptibili: Jesum vero Deum de Deo, unigenitum filium ex Patre ingenito. Ideo seniores ecclesiæ ex reverentia mittit, ante apo-
Jac. 5. 14. stolos apostolica implens: *Infirmatur quis? advocet presbyteros ecclesiæ, & orent super eum: & si in peccatis sit, remittentur ei.* Misit ergo seniores ad ipsum, rogans eum ut veniens sanaret servum suum. Tu vero commiserationem viri mirare. Infirmante namque servo suo, non contemsit; sed tantam curam habuit, quantam quis pro seipso adhibuisset. Hæc autem erant viri virtutis studiosi, tantum exhibere studium, & seniores mittere, ad servi curationem. Sciebat æqualitatem naturæ; nec despicit eum ut servum, sed miseratur ut conservum, sciens communem esse omnibus Deum. Verum talis quidem erat ille centurio; multi autem divites a bene valentibus servis ministeria sine ulla venia expetunt, infirmantium vero nullam gerunt curam; sed accidente morbo, ancillâ decumbente, non attendit dominus, non curat domina. Sed si quando opus sit ut domina opem ferat, non curat illam ut ejusdem naturæ, sed torvis respicit oculis, austeris loquitur verbis, ob superbiæ tumorem cognationem naturæ negans: & tamen legitis scripturas. Nescitis quid dicat
Psal. 122. 3. sanctus David? *Ecce sicut oculi servorum in manibus dominorum suorum: sicut oculi ancillæ in manibus dominæ suæ, ita oculi nostri ad Dominum Deum nostrum.* Reverere imaginem, scripturas observa, & infirmanti auxiliare. Servator, filius Dei unigenitus pro homine homo fieri dignatus est: tu vero homo cum sis, recusas æqualem quasi non æqualem, non dignaris communem naturam miserari? Et quando brutum animal claudicat, solicitus es ejus, quia in usu tibi est; quando vero rationabile animal, id est, servus tuus infirmatur, illum abjicis nec curas. Despicies-ne illum quia rationabilis est is qui tibi servit? Ideo zelo inflammamur. Admodum bona res est homo apud Deum; sed
Prov. 20. 6. pretiosa res est vir misericors. Nos vero non attendimus scripturis; sed externos quidem interdum alimus, hominum gloriam aucupantes; domesticos vero fame perire, vel frigore congelari sinimus, Dei retributiones non cogitantes. Verum non talis erat Centurio ille semper vigilans, qui vere servum possidebat, & possessum simul & seipsum servabat, ut Dei possessionem: qui prudentia plenus & divina sapientia illustratus erat. Ideo seniores primum ad Jesum mittit. Illi vero cum magno studio intercedunt, & multa referunt quæ illum flectere possint, dicuntque: Dignus est cui gratiam conferas: probus est qui donum accipit, dignus præsentia tua. *Diligit enim gentem nostram, & ædificavit nobis synagogam.* Vere multa pietatis argumenta, plurima bonæ conscientiæ signa. Quænam hæc? Dei amor, & bonus erga hominem affectus. *Diligit enim gentem nostram*;
Rom. 13. 10. scilicet legem: *Plenitudo enim legis dilectio. Et synagogam ædificavit*, suum erga Deum affectum exhibens. Cum enim Deo domum ædificavit, ipsum templum quasi columnam conspicuam suæ erga Deum dilectionis erigit. Vide quomodo bona opera, necessitatis tempore commemorata, magnam intercedentibus fiduciam præstent. Ubique enim bona opera ad flectendum efficacia sunt. Illi ergo sic intercedebant: Jesus vero seniorum petitioni annuit, non illorum reverentiâ; sed Centurionis fidem admisit. Surgens ergo ibat cum illis, fortasse lentiore gradu & remissiore; non tardus ab beneficium præstandum,

A ἀπέστελε πρὸς αὐτὸν πρεσβυτέρους, οὐ δι' ὑπεροψίαν παραι-
τούμενος αὐτὸς ἀπελθεῖν, ἀλλ' ὀκνῶν αὐτὸς ὑπὲρ ἑαυτοῦ πρεσ-
βεύειν διὰ τὸ μέγεθος τοῦ ἀξιώματος. ᾔδει ἑαυτὸν ἄνθρωπον ἐξ
ἀνθρώπου φθαρτοῦ, Ἰησοῦν δὲ θεὸν ἐκ θεοῦ, μονογενῆ υἱὸν ἐξ
ἀγεννήτου πατρός. διὸ τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας ὑπ'
εὐλαβείας κινούμενος ἀποστέλλει, τὰ ἀποστολικὰ πρὸ τῶν
ἀποστόλων πληρῶν. ἀθυμεῖ τις; προσκαλεσάσθω τοὺς πρεσ-
βυτέρους τῆς ἐκκλησίας, καὶ προσεύξωνται ὑπὲρ αὐτοῦ, καὶ ἐὰν
ἡ ἁμαρτίας πεποιηκώς, συγχωρηθήσονται αὐτῷ. ἀπέστελεν οὖν
τοὺς πρεσβυτέρους πρὸς αὐτὸν, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν
διασώσῃ τὸν δοῦλον αὐτοῦ. σὺ δὲ καὶ τὴν τοῦ ἀνδρὸς συμπάθειαν θαύ-
μαζε. κάμνοντος γὰρ αὐτοῦ τοῦ οἰκέτου οὐ καταφρονεῖ, ἀλλὰ σπου-
δὴν τοσαύτην ἐπίθετο, ὁπόσην ἄν τις ὑπὲρ ἑαυτοῦ πάσχων
B ἐπεδείκνυτο. ταῦτα δὲ πρὸς ἀρετὴν ἐστὶ βλέποντος ἀνδρὸς,
τοσαύτην ποιήσασθαι σπουδὴν, καὶ πρεσβείαν στείλασθαι
ὑπὲρ οἰκέτου θεραπείας. ᾔδει τῆς φύσεως τὸ ἰσότιμον· καὶ οὔτε
καταφρονεῖ ὡς ἀνδραπόδου, ἀλλὰ συνέπαχεν ὡς συνδούλῳ,
εἰδὼς ὅτι κοινὸς ἁπάντων * ἐστὶν ὁ θεός. ἀλλὰ τοιοῦτος μὲν ἦν
ὁ ἑκατόνταρχος. πολλοὶ δὲ τῶν πλουσίων παρὰ μὲν ὑγιαινόντων
ἀπαιτοῦσι τὰς ὑπηρεσίας δίχα συγγνώμης, νοσούντων δὲ οὐδε-
μίαν φροντίδα τίθενται· ἀλλὰ προσπεσούσης νόσου, τῆς παιδί-
σκης χαμαὶ ἐρριμμένης, οὐ προσέρχεται ὁ δεσπότης, οὐκ ἐπι-
σκέπτεται δέσποινα. κἂν ποτε δέῃ τὴν δέσποιναν παραβαλεῖν,
οὐκ ἐπισκέπτεται ὡς ὁμογενῆ, ἀλλὰ βλοσυρῷ προσέχει τῷ
βλέμματι, αὐστηρῷ προσδιαλέγεται ῥήματι, δι' ὄγκον ὑπερη-
φανίας τὸ συγγενὲς ἀρνουμένη τῆς φύσεως. καὶ ἀναγινώσκετε τὰς
C γραφάς· οὐκ οἴδατε τί φησιν ὁ ἅγιος Δαυίδ; ἰδοὺ ὡς ὀφθαλ-
μοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παι-
δίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν
πρὸς κύριον τὸν θεὸν ἡμῶν. δυσωποῦ τὴν εἰκόνα, εὐλαβήθητι
τὰ γεγραμμένα, ἐπίκουρος τῆς ἀσθενούσης κατάστηθι. ὁ σω-
τὴρ, υἱὸς τοῦ θεοῦ ὁ μονογενὴς ἄνθρωπος ὑπὲρ ἀνθρώπων
ηὐδόκησε γενέσθαι· σὺ ἄνθρωπος ὢν παραιτῇ τὸν ὁμότιμον
ὡς οὐκ ἰσότιμον, παραιτῇ τὸ συμπαθὲς περὶ τὴν συγγενῆ
φύσιν; καὶ ὅτε μὲν ἄλογον ζῶον χωλεύει, ἐπιμελῇ διὰ τὴν
χρείαν· ὅτε δὲ τὸ λογικὸν, τουτέστιν, ὁ σὸς οἰκέτης ἀσθενεῖ,
ἀπορρίπτεις καὶ οὐ προνοεῖς. περιορᾷς ὅτι λογικόν ἐστι τὸ ὑπη-
ρετοῦν; διὰ τοῦτο ζηλοτυπούμεθα. πολὺ καλὸν ἄνθρωπος
παρὰ θεῷ· ἀλλὰ τίμιον ἀνὴρ ἐλεήμων. ἡμεῖς δὲ οὐ προσέ-
D χομεν τοῖς γεγραμμένοις, ἀλλὰ τοὺς μὲν ἔξωθεν τρέφομεν ἔσθ'
ὅτε τὴν παρὰ ἀνθρώπων δόξαν θηρώμενοι, τοὺς δὲ ἔνδον ἐῶμεν
λιμῷ φθείρεσθαι, καὶ τῷ κρύει πήγνυσθαι, τὰς παρὰ τοῦ θεοῦ
ἀνταποδόσεις οὐκ ἐννοοῦντες. ἀλλ' οὐ τοιοῦτος ἦν ὁ ἑκατόν-
ταρχος, ὁ πανταχοῦ νήφων, ὁ ὄντως κεκτημένος, τὸ κτῆμά
τε καὶ ἑαυτὸν φυλάττων, ὡς θεοῦ κτῆμα, ὁ φρονήσεως γέμων καὶ
θείᾳ σωφροσύνῃ καταυγαζόμενος. διὸ καὶ τοὺς πρεσβυτέρους
πρῶτον πρὸς τὸν Ἰησοῦν ἀποστέλλει· οἱ μὲν οὖν πολλῇ προ-
θυμίᾳ πρεσβεύουσιν, ἱκανὰ προσβάλλουσι δυσωπήματα,
καί φασιν· ἄξιος ᾧ διδῶς τὴν χάριν· εὐγνώμων ὁ λαμβάνων τὴν
δωρεὰν, ἄξιος τῆς σῆς παρουσίας. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν,
καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. ἀληθῶς ἱκανὰ θεοσε-
βείας γνωρίσματα, ἱκανὰ συνειδήσεως ἀγαθῆς τεκμήρια.
E ποῖα ταῦτα; ἡ πρὸς τὸν θεὸν ἀγάπη, καὶ ἡ πρὸς τὸν ἄν-
θρωπον γνησία διάθεσις. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν· δηλο-
νότι τὸν νόμον. πλήρωμα γὰρ νόμου ἡ ἀγάπη. καὶ τὴν συνα-
γωγὴν αὐτὸς ᾠκοδόμησε, τὴν πρὸς τὸν θεὸν εὔνοιαν ἐνδει-
κνύμενος. θεῷ γὰρ οἶκον κατασκευάζων, οἱονεὶ περίβλεπτον στή-
λην τῆς πρὸς αὐτὸν ἀγάπης τὸν ναὸν τοῦτον ἀνίστα. βλέπε πῶς
αἱ καλαὶ πράξεις ἐν καιρῷ τῆς ἀνάγκης μνημονευόμεναι
πολλὴν παρέχουσι τοῖς πρεσβευομένοις τὴν παρρησίαν. παν-
ταχοῦ γὰρ αἱ καλαὶ πράξεις ἱκανὸν ἐδέξαντο δυσώπημα.
οἱ μὲν οὖν οὕτως ἐπρέσβευον· ὁ δὲ Ἰησοῦς τὴν παράκλησιν
ἐδέξατο τῶν πρεσβυτέρων, οὐκ αὐτοὺς αἰδούμενος, ἀλλὰ
τὴν τοῦ ἑκατοντάρχου πίστιν ἀποδεξάμενος. ἀναστὰς οὖν ἐπο-
ρεύετο σὺν αὐτοῖς, τάχα που καὶ χαλαίτερον ἐβάδιζε, καὶ
τὸν βαθμὸν ἤρεμον ἐποιεῖτο, οὐ βραδύνων πρὸς εὐποιΐαν,

A ἀλλὰ καιρὸν ἐνδιδοὺς, ἵνα τὴν ἔνδον λανθάνουσαν τοῦ ἑκατοντάρχου δημοσιεύσῃ διάθεσιν, ἵνα πομπεύσῃ τὴν ἀπαράβατον πίστιν πρὸς ἔλεγχον τῶν ἀπιστούντων, ἵνα τὴν ἀκεραιφνῆ καὶ καθαρὰν καὶ ἀκίβδηλον θεατρίσῃ γνώμην. ἤδη γὰρ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος τοὺς δούλους αὐτοῦ λέγων, κύριε, μὴ σκύλλου· οὐ γάρ εἰμι ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. κατὰ τὴν πρώτην αὐτοῦ τῆς ψυχῆς ὁρμὴν ἀποστέλλει τοὺς πρεσβυτέρους· ἀλλὰ καὶ τοῦτο ποιήσας, καὶ ἐφ᾽ ἑαυτῷ μένων, οὐκ ἠρεμεῖ. ἐν τοσούτῳ γὰρ λογισάμενος ὅσον ἐστὶ τὸ διάφορον τοῦ ἀξιώματος, ἀποστέλλει δούλους, παρακαλῶν αὐτὸν καὶ λέγων, μὴ σκύλλου· κἀγὼ οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὢ τῆς συνέσεως καὶ νήψεως τοῦ ἑκατοντάρχου. B οὐκ ἔλαθεν αὐτὸν ὁ θεὸς ἐν ἀνθρώπῳ κρυπτόμενος· οὐκ ἔλαθεν αὐτὸν ὁ μονογενὴς λόγος τῇ τοῦ σώματος περιβολῇ καλυπτόμενος. ὁρᾷ τὸν ναὸν, καὶ νοεῖ τὸν οἰκήτορα. οὐκ ἔλαθεν αὐτὸν ὁ δεσπότης ἐν δούλου ἀξίᾳ, ὁ βασιλεὺς ἐν αἰχμαλώτου ὄψει, ὁ βραχὺς ἐν ἀπειροείστῳ μεγέθει. αὐτίκα γοῦν θαυμάζει Ἰησοῦς, καὶ μαρτυρεῖ αὐτῷ τὴν ἄκραν πίστιν αὐτοῦ, τὴν ἀστείαν τῆς ψυχῆς αὐτοῦ ὁρμὴν, καθ᾽ ἣν ἔλεγε τῷ σωτῆρι, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. οἷος ἦν καὶ Πέτρος, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων καταπλαγεὶς, καὶ ἔννοιαν λαβὼν τοῦ μεγέθους τῆς δυνάμεως, εἶτα παρακαλῶν αὐτὸν καὶ λέγων· ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι ἐγὼ, κύριε. ἀλλ᾽ ἴσως μὲν τὰ περὶ Πέτρου οὐκ ᾔδει, τὰ δὲ ἐν τῷ Λευιτικῷ ἐγνώκει. λέπρα, φησὶν, ἐπικειμένη ἀκάθαρτον ποιεῖ τὸν ὑποπεσόντα τῇ νόσῳ. C τῇ δὲ λέπρᾳ παρεοίκασιν ἀλφοὶ καὶ λεῦκαι καὶ λειχῆνες. δυσδιάκριτα δὲ τοιαῦτα τὰ πάθη τοῖς πολλοῖς, καὶ μάλιστα ἐν ἀρχῇ τῆς νόσου. ὅθεν ὁ νόμος τὸν ἱερέα βούλεται τῶν τοιούτων ἐπιγνώμονα καθίστασθαι. ἄγει τοίνυν ὁ νόμος τὸν ἱερέα εἰς τοῦ κρινομένου οἶκον· κἀκεῖ κρίνας ὡς λέπραν, πάντα τὰ ἐν τῷ οἴκῳ μεμολυσμένα ἀποφαίνει. ὅθεν οἱ πολλοὶ προμετασκευάζουσι, καὶ τότε τὸν ἱερέα καλοῦσι. τὴν ἐκ τούτου ἔννοιαν ὁ μακάριος ἑκατόνταρχος λαβὼν, παραιτεῖται τὴν ἄφιξιν τοῦ σωτῆρος. οὐκ εἰμί, φησιν, ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. πολλοὶ ὑπὸ τὴν στέγην ἐκείνην. οἶδα ἐμαυτοῦ τὰ ἁμαρτήματα· παραιτοῦμαι τοίνυν τὴν ὡς κριτοῦ παρουσίαν, πρὶν ἀποκαθάρωμαι. οἶδά σε τῶν ἱερέων ἁπάντων ἡγεμόνα, καὶ τοῦ πατρὸς ἀρχιερέα· οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. D οὐρανός σοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον· ποῖος οἶκος χωρήσει τὸν ἀχώρητον; οὐκ ἔχω στέγην οὐράνιον, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· οὐκ ἔχω βασιλικὰς αὐλὰς, ἵνα τὸν βασιλέα τῶν οὐρανῶν ὑποδέξωμαι. πῶς ὑπερῷον δέξομαι τὸν στεγάζοντα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ; πῶς δὲ τὸ πενιχρόν μου καταγώγιον ὁμόσκηνον δέξεται τὸν σπιθαμῇ τὸν οὐρανὸν μετρήσαντα; ποία στέγη χωρήσει τὸν σύμπαντα τὸν οὐρανὸν καὶ τὴν γῆν χωροῦντα ὁμοῦ; οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὡς μὲν εὐεργέτου τὴν εἴσοδον ἁρπάζω, ὡς δὲ κριτοῦ τὴν παρρησίαν εὐλαβοῦμαι. ἐπίσκοπος εἶ ψυχῶν, ἐξεταστὴς νεφρῶν, ἐρευνητὴς καρδίας καὶ κριτὴς ἁμαρτιῶν· οὐκ εἰμὶ ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην εἰσέλθῃς. δέδοικα ἐμαυτόν· E εἰπὲ οὖν λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου. ἆρα οὐ δοκεῖ σοι· εἰπὲ λόγῳ μόνον, σαφῶς εἰδέναι, ὅτι λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ πᾶσα ἡ δύναμις αὐτῶν, καὶ ὅτι πάντα λόγῳ γινόμενα καὶ συνέχεται καὶ διοικεῖται. ἀπὸ γὰρ θείας ἐννοίας φωτισθεὶς ὁ ἀνὴρ ἀθρόον τῷ Ἰησοῦ σώματι ἑώρα, τοῦτον υἱὸν θεοῦ γνωρίζων. εἰπὲ, φησι, λόγῳ μόνον. οἶδα τί προηγόρευσεν ὁ σοφὸς Σολομὼν περὶ σοῦ· οὔτε βοτάνη, οὔτε μάλαγμα ἐθεράπευσε τὸν λαόν σου, ἀλλ᾽ ὁ λόγος ὁ σὸς, κύριε, ὁ πάντα ἰώμενος. εἰπὲ λόγῳ μόνον. οἶδα τίνος λόγος χρηματίζεις, καὶ ὅσην κεκλημένος τὴν δύναμιν τυγχάνεις, καὶ ὅτι λόγῳ τὰ πάντα ποιῶν διετέλεσας. οὐκ ὤδινεν ὁ πατὴρ ἐπὶ σοὶ γεννῶν σε, οὐκ ὠδίνεις ποιῶν, οὐκ ὠδίνεις δημιουργῶν· εἰπὲ λόγῳ μόνον. ὁ γὰρ λόγος σου πρὸς πάντα ἀνυσιμώτατος τυγχάνει,

sed ut tempus daret, quo interiorem Centurionis affectum patefaceret, ut publicaret inconcussam fidem ad incredulos arguendos; utque sinceram, puram, & non fictam voluntatem manifestam faceret. Nam *cum jam non longe esset a domo, misit ad eum Centurio servos suos dicens: Domine, noli vexari: non enim sum dignus ut sub tectum meum intres.* (Luc. 7. 6.) Ex primo animi motu misit seniores; sed postquam hoc fecerat, non quievit. Interim namque secum reputans quanta esset differentia dignitatis, mittit servos rogans eum & dicens: *Noli vexari: non sum dignus ut sub tectum meum intres.* O prudentiam! o vigilantiam Centurionis! Non latuit eum Deus in homine absconditus: non latuit eum unigenitum verbum, corpore amictum & occultatum. Videt templum, & in eo habitantem intelligit. Non latuit eum Dominus in servi officio, Rex in captivi specie, parvus ille in magnitudine infinita. Statim ergo miratur Jesus, & testificatur ipsi summam ipsius fidem, urbanumque ejus animi motum, quo Servatori dicebat, *Non sum dignus ut sub tectum meum intres.* Qualis erat Petrus de captura piscium stupefactus, & hinc intelligens magnam ejus virtutem, deinde rogans eum & dicens: *Recede a me, quia homo peccator sum, Domine.* (Luc. 5. 8.) Sed fortassis quæ Petrum spectabant, ignorabat, sciebatque illud quod in Levitico fertur: *Lepra*, inquit, *insidens immundum facit eum qui in morbum incidit.* (Levit. 13. 2.) Lepræ autem similes sunt impetigines, vitiligines & albugines. Hos autem morbos discernere difficile est, maxime initio ægritudinis. Quapropter vult lex sacerdotem harum rerum peritum esse. Ducit ergo lex sacerdotem in domum ejus qui examinatur: ibique cum judicavit esse lepram, omnia, quæ in domo sunt, immunda declarat. Ideo multi primo domum evacuant, & tunc sacerdotem vocant. Hæc cum sciret beatus Centurio, adventum Servatoris abnuit. *Non sum dignus*, inquit, *ut sub tectum meum intres.* Multi sunt sub illo tecto. Novi peccata mea. Recuso igitur tuam ut judicis præsentiam, antequam me expurgem. Scio te esse sacerdotum omnium principem, & Patris summum sacerdotem. *Non sum dignus ut sub tectum meum intres.* Cælum tibi thronus est, & terra scabellum. Quæ domus capiet immensum? Non habeo cælestem domum, ut sub tectum meum intres: non habeo regias aulas, ut regem cælorum excipiam. Quomodo sub tectum excipiam eum, qui tegit aquis superiora ejus? (Psal. 103. 3.) Quomodo vile diversorium contubernalem excipiet illum, qui palma cælum metitur? Quod tectum capiet eum qui totum cælum & terram simul continet? (Isai. 40. 12.) *Non sum dignus ut sub tectum meum intres.* Ut benefici, ingressum rapio; ut judicis, præsentiam timeo. Explorator es animarum, examinator renum, scrutator cordis & judex peccatorum. *Non sum dignus ut sub tectum meum intres.* Meipsum timeo. *Dic ergo verbum, & sanabitur puer meus.* Annon tibi videtur is qui dicit, *tantum dic verbo*, clare scire illud, *Verbo Domini cæli firmati sunt, & omnis virtus eorum*; (Psal. 32. 6.) & quod omnia Verbo facta & continentur & administrantur? Divina namque cogitatione illuminatus vir, statim ut vidit Jesum corpore, hunc filium Dei esse novit. Dic verbo tantum, inquit. Scio quid de te prædixerit sapiens Salomon: *Neque herba, neque malagma sanavit populum tuum, sed verbum tuum, Domine, quod omnia sanat.* (Sap. 16. 12.) Dic verbo tantum. Scio cujus Verbum sis, & quantam virtutem possideas, quodque verbo omnia perfeceris. Non partûs dolores habuit Pater cum te genuit, non partûs dolores habes faciens, nec creans. Dic verbo tantum. Verbum enim tuum omnia perficiendi vim habet;

non aerem verberans, sed voluntatem tuam declarans. Dic verbo tantum: da pignus, ut qui audiunt certiores fiant. Vide prudentiam; adventum differri rogat, cognitionem vero non circumscribit. Nam cognitionem ejus testificatur, & rogat ne in via pergat. Hanc vero ita sapientem cogitationem excipit alia major. Sic enim vir de virtute in virtutem progreditur, & apud illum exuberant dignorum sensuum divitiæ, innovatum speculationum accessionibus. *Dic verbo tantum, & sanabitur puer meus. Nam & ego homo sum sub potestate constitutus, habens sub me milites: & dico huic vade, & vadit: & servo fac hoc, & facit.* Scio, inquit, te omnium potestate præcinctum, quasi unum ex nobis apud nos advenisse. Venisti ad nos, ut nos venimus, in omnia habens potestatem, ut dicit sanctus David: *Ordinatione tua perseverat dies, quoniam omnia serviunt tibi.* Dormis, & mare intumescit; surgis, & fluctus sedantur. Mortuos evocas, & mortuus celerius quam vivus obedit. *Dic verbo, & sanabitur puer meus. Nam & ego homo sum sub potestate constitutus.* Hic liberum animæ motum non impedire, quominus ad meliora procedatur, declarat. Habeo, inquit, sub me milites. Milites vero diversas illas & varias in homine latentes cogitationes vocat. Solet enim beatus Paulus has milites appellare. *Condelector*, inquit, *legi secundum interiorem hominem. Video autem aliam legem, repugnantem legi mentis meæ, & captivantem me in lege peccati.* Jure ergo dicebat ille, Habeo sub me milites; non contra me habeo; & dico huic vade, & vadit; & alteri veni, & venit; non imperor, sed impero cogitationibus. Forteque Centurio vocatur, quasi princeps & imperans affectibus, ut tantam nobis contra brutos affectus potestatem & perseverantiam exhibeat, quam nos omnes assequi contingat, gratia & benignitate Domini nostri Jesu-Christi, cui gloria & imperium, nunc & semper & in sæcula sæculorum, amen.

*Psal. 118. 91.*

*Rom. 7. 22.*

A τοῦ τὸν ἀέρα πλήττων, ἀλλὰ τὴν σὴν θέλησιν δηλῶν. εἰπὲ οὖν λόγῳ μόνον· δὸς τὸ σύνθημα εἰς πληροφορίαν τῶν ἀκουόντων. βλέπε σύνεσιν, τὴν μὲν ἄφιξιν ὑπερτίθεσθαι παρακαλεῖ, τὴν δὲ γνῶσιν οὐ περιγράφει. τὴν μὲν γὰρ γνῶσιν αὐτοῦ μαρτυρεῖ, τὴν δὲ * ὑπόστασιν εἰς ὁδὸν παραιτεῖται. ταύτην δὲ τὴν οὕτω σοφὴν ἔννοιαν διαδέχεται ἄλλη τις μείζων. οὕτω γὰρ ἀπὸ δυνάμεως εἰς δύναμιν ὁ ἀνὴρ προβαίνει, καὶ πηγάζει παρ᾽ αὐτοῦ ἀξιολόγων νοημάτων πλοῦτος, νεάζων ἐν ταῖς τῶν θεωρημάτων ἐπιδόσεσιν. εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ, ποίησον τοῦτο, καὶ ποιεῖ. οἶδα, φησιν, ὅτι τὴν πάντων τὴν ἐξουσίαν περιεζωσμένος, ὡς εἷς τῶν πάντων πρὸς ἡμᾶς ἐπεδήμησας. B ἦλθες πρὸς ἡμᾶς ὡς ἡμεῖς, πάντων ἔχων τὴν ἐξουσίαν, ὡς λέγει ὁ ἅγιος Δαυίδ· τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. καθεύδεις, καὶ ἡ θάλασσα διανίσταται· ἀνίστασαι, καὶ γαληνιᾷ τὰ κύματα. τεθνεῶτας καλεῖς, καὶ ὁ τεθνεὼς τοῦ ζῶντος ὀξύτερον ὑπακούει. εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος. ἐνταῦθα τὴν τῆς ψυχῆς αὐτεξούσιον ὁρμὴν μὴ κωλύειν τοῦ ἐπὶ τὰ κρείττονα προβαίνειν δηλοῖ. ἔχω, φησὶν, ὑπ᾽ ἐμαυτὸν στρατιώτας. στρατιώτας τοὺς ἐν τῷ ἀνθρώπῳ ποικίλους καὶ διαφόρους ἐμφωλεύοντας λογισμοὺς καλεῖ. οἶδε γὰρ ὁ μακάριος Παῦλος τούτους στρατιώτας ὀνομάζειν. συνήδομαι, φησι, τῷ νόμῳ κατὰ τὸν ἔσω ἄνθρωπον· ὁρῶ δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας. C εἰκότως οὖν ἔλεγεν, ἔχω ὑπ᾽ ἐμαυτὸν στρατιώτας, οὐ κατ᾽ ἐμαυτοῦ ἔχω· καὶ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· οὐκ ἄρχομαι, ἀλλ᾽ ἄρχω τῶν λογισμῶν. τάχα που ὁ ἑκατόνταρχος καὶ διὰ τοῦτο κέκληται ἑκατόνταρχος, ὡς ἄρχων καὶ αὐτοκράτωρ τῶν παθῶν, τοσαύτην ἐν τοῖς ἀλόγοις πάθεσιν ἡμῖν καρτερίαν ἐπιδεικνύμενος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## In illud, *Exiit qui seminat seminare semen suum.*

## D Εἰς τὸ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ.

VIRGO terra arabilis, a peritis agricolis boum ope aratro sulcata, semina accipit, & in glebis ea complectens, primo herbam germinat; deinde spicam erigit, denique granum frumenti plenum in spica profert. Tunc agricolæ conspicuam videntes spicarum segetem, laborum suorum spem celebrant, Deoque sincere supplicant, ut apparentium bonorum fructus sine damno conservet. Sæpe namque æstate appropinquante, quando ex spe quasi certa gaudet agricola; aut æstuosus auster spicam ventilat, aut ærugo corrodit, aut bruchus devorat, aut grando excutit, & bonæ spei exitum labefactat; ita ut agricola multo mœrore pressus, falcemque in tabernaculum referens, ex infelici æstatis exitu sese dolore maceret. Quando vero aëris temperies pulcram & maturam spicam efficit, & seges senum instar albescens inclinatur, æstivam sectionem exspectans; tunc rustici, & palmæ cum acutis falcibus expansæ, labores laboribus addunt, & desiderium ejus, spemque felici exitu explent. Tunc aliis animantibus domi quiescentibus, solus bos, hilari gressu, torvis oculis, in aream pergit. Et alia quidem animalia, capræ, porci,

*Quam futilis Græculus.*

Η ΠΑΡΘΕΝΟΣ ἄρουρα ὑπὸ ἐμπείρων γεωργῶν τῇ τῶν βοῶν συνεργίᾳ τοῖς ἀρότροις αὐλακισθεῖσα, δέχεται τὰ σπέρματα, καὶ τοῖς βώλοις περιπτύξασα, πρῶτον βλαστάνει τὴν πόαν, εἶτα μηκύνει τὸν στάχυν, εἶτα πλήρη ἐν τῷ στάχυϊ τοῦ σίτου τὸν κόκκον προβάλλεται. τότε οἱ γεωργοὶ λαμπρὸν ὁρῶντες τῶν ἀσταχύων τὸ λήϊον, τῶν οἰκείων πόνων τὰς ἐλπίδας σεμνύνουσι, τὸν θεὸν δὲ ἱκετεύειν εἰλικρινῶς σπεύδουσιν, ἵνα τῶν φαινομένων ἀγαθῶν τοὺς καρποὺς ἀβλαβεῖς διασώσῃ. πολλάκις γὰρ ἐγγιζούσης τῆς τοῦ θέρους ἀκμῆς, καὶ εὐλήπτου τῆς ἐλπίδος τυγχανούσης, καὶ περιχαροῦς ὄντος τοῦ γεωργοῦ, ἢ θερμὸς ἐπιπνεύσας τὸν ἄσταχυν ἐλίκμησεν, ἢ ἐρυσίβη κατέσηψεν, ἢ βροῦχος κατέφαγεν, ἢ χάλαζα κατέξανε, καὶ ἄωρον τῆς ἐλπίδος τὸ τέλος ἐμάρανεν· ὡς τὸν γεωργὸν ὑπὸ πολλῆς ἀθυμίας πιασθέντα, τὴν δρεπάνην τῇ σκηνῇ ἐγκοιμίσαντα τῷ E ἀώρῳ τέλει τοῦ θέρους ἑαυτὸν συμμαραίνειν τῇ λύπῃ. ὁπόταν δὲ ἡ τῶν ἀέρων εὐκρασία λαμπρὸν καὶ πέπειρον τὸν στάχυν ἀπεργάσηται, καὶ οἷον ἐν εἰκόνι γερόντων τὸ λήϊον λευκανίζον κεκύρτωται, τὴν τοῦ θέρους τομὴν ἀπεκδεχόμενον, τότε ἄγροικοι καὶ παλάμαι σὺν δρεπάνοις ὀξέσιν ἁπλωθεῖσαι πόνοις πόνους προσάγουσι, καὶ τὸν πόθον προσκοιμίζουσιν αὐτῷ τῷ τέλει τὰς ἐλπίδας χορτάζοντες. τότε τῶν ἄλλων ζώων οἴκαδε ἡσυχαζόντων, μόνος ὁ βοῦς ἱλαρῷ τῷ βήματι, βλοσυρῷ τῷ βλέμματι ἐπὶ τὴν ἅλω πορεύεται. καὶ τὰ μὲν ἄλλα ζῶα, αἶγες καὶ χοῖροι καὶ πρόβατα,

δουλικοῖς

A ὅσα τὸν ἑαυτῶν αὐχένα τῷ ζυγῷ τοῦ ἀρότρου οὐχ ὑπέταξαν, οἰκείᾳ συνειδήσει αἰσχυνόμενα, δουλικαῖς προσόδοις τῇ ἅλῳ προσεγγίζοντα, τῶν ἀσταχύων τὸ δράγμα λῃστεύουσι· μόνος δὲ ὁ βοῦς ἐλευθέραν τὴν γλῶσσαν ἁπλώσας, τῶν οἰκείων πόνων τοὺς καρποὺς θαρσαλέως ἀρύεται. εἶδες ἐκεῖ τοὺς δρεπανιστὰς, εἶδες ἐκεῖ τὴν σταχυοφόρον ἄρουραν, τὴν ἅλω, τὸν βοῦν· μετάβα μοι ἐκεῖθεν τῷ λόγῳ ἐπὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν, καὶ ὄψει τῶν προειρημένων τὴν γεωργίαν ἐν τῷ μυστηρίῳ τῆς ἐκκλησίας. ἐξῆλθε, φησιν, ὁ σπείρων τοῦ σπεῖραι. τοῦτο γὰρ ἀρτίως ἠκούσαμεν ἐν τῷ εὐαγγελίῳ. ἐξῆλθε, τίς; Χριστὸς, ἀπ᾽ οὐρανοῦ εἰς τὸν κόσμον παραγινόμενος. σπορεὺς γὰρ ὁ Χριστὸς, σπέρμα ὁ θεῖος λόγος, ἄρουρα ἡ ἀνθρωπότης, βόες οἱ ἀπόστολοι, ἄροτρον ὁ σταυρὸς, ζυγὸς ἡ ὁμόνοια, ζεύγλη ἡ περισφίγγουσα τοὺς τῶν ἀποστόλων αὐχένας γλυκεῖα ἀγάπη. B ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· ἐξῆλθεν ὁ Χριστὸς, οὐχ ἵνα θερίσῃ, ἀλλ᾽ ἵνα σπείρῃ. οὔπω γὰρ ἦν τὰ τῆς ἀναστάσεως σπέρματα ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις κατεσπαρμένα. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, οὐ σῖτον, οὐ κριθὰς, οὐ κέγχρον, οὐδ᾽ ἄλλο τι τῶν γηΐνων, ἀλλὰ πίστιν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐλπίδα ἀναστάσεως, ἀγάπην εἰς θεὸν καὶ ἀνθρώποις ἀνυπόκριτον καὶ ἀδιάκριτον. ἐξῆλθε σπείρων Χριστὸς ἐκ πατρικῶν λαγόνων, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, καὶ ἧκε πρὸς ἡμᾶς, καθὼς αὐτὸς φάσκων λέγει· ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω. ἀλλ᾽ ἐξῆλθεν ἐκ τοῦ πατρὸς αὐτοῦ μὲν μὴ χωριζόμενος, μεθ᾽ ἡμῶν δὲ τυγχάνων. ἐξῆλθεν ὁ σπείρων, ἵνα τὰ ὑπὸ τοῦ διαβόλου ἐπισπαρέντα κακῶς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ζιζάνια ἐκριζώσῃ· πᾶσα γὰρ φυτεία, φησὶν, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. C ἐξῆλθεν ὁ ἥλιος τῆς δικαιοσύνης, ἵνα τὰς φεγγοβόλους αὐτοῦ ἀκτῖνας τῆς θεότητος ἐν ταῖς τῶν ἐσκοτισμένων ἀνθρώπων καρδίαις ἐρραΐνῃ. ἐξῆλθεν ὁ ποιμὴν τῶν προβάτων, ἵνα τὸ ἅλας τῆς εὐσεβείας σπείρας, νόστιμον τὸν χόρτον τοῦ νομικοῦ γράμματος τοῖς προβάτοις ἀρτύσῃ. ἐξῆλθεν ὁ σπείρων, ἔχων τὰ δέκα ζεύγη τῶν βοῶν, ἵνα ποιήσῃ τὸ κεράμιον τὸ ἕν· καὶ σπείρας ἀρτάβας ἓξ, ποιήσῃ μέτρα τρία. λάλει νῦν, Ἡσαΐα, μὴ σιώπα. οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν. δέκα ζεύγη βοῶν, εἴκοσι βόες εἰσί. δέκα ζεύγη βοῶν λογικὰ, τοῦ Χριστοῦ οἱ ἀπόστολοι τυγχάνουσιν οἱ δώδεκα, καὶ ἑπτὰ οὓς ἐξελέξαντο οἱ ἀπόστολοι· τίνας τούτους; Στέφανον, Φίλιππον, Πρόχορον, Νικάνορα, Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα· καὶ τὸν ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ D Ἰλλυρικοῦ γεωργήσαντα τὸν ἀπόστολον. ταῦτα δέκα ζεύγη τῶν βοῶν εἰς τὴν τῆς ἀνθρωπότητος ἄρουραν ἐποίησε τὴν εἰς τὸν Ἰησοῦν ὁμολογίαν, τὸν τὸ ἡμέτερον ὀστράκινον τοῦ σώματος σκεῦος ἐνδυσάμενον. ὅτι δὲ κεράμιον λέγει τὴν ἔνσαρκον τοῦ Χριστοῦ ἐπιδημίαν ὁ θεῖος λόγος, ἄκουε. ὅτε ἔμελλεν ἀπέρχεσθαι ἐπὶ τὸ παθεῖν, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ποῦ θέλεις ποιῶμεν τὸ πάσχα; ὁ δὲ πρὸς αὐτοὺς, ἀπέλθετε εἰς τήνδε τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, καὶ εἴπατε αὐτῷ, ὁ διδάσκαλος ἡμῶν εἶπε, πρὸς σὲ ποιῶ τὸ πάσχα. καὶ δείξει ὑμῖν ἀνώγεον ἐστρωμένον, καὶ ἐκεῖ ἡμῖν ἑτοιμάσατε τὸ πάσχα. τίς δέ ἐστιν ὁ ἄνθρωπος ὁ φέρων τὸ κεράμιον τοῦ ὕδατος, ἢ τίς ἡ πόλις εἰς ἣν αὐτοὺς πέμπει, ἢ τί τὸ ἀνώγεον τὸ ἐστρωμένον, ἀναγκαῖον ζητήσαντας ὑμᾶς καταμαθεῖν. E ὁ ἄνθρωπος ὁ βαστάζων τὸ κεράμιον τοῦ ὕδατος, Ἰωάννης ἐστὶν ὁ πρόδρομος τοῦ Χριστοῦ, καταγγέλλων τὸν Ἰησοῦν τὸν τὸ ἡμέτερον κεράμιον τοῦ σώματος ἐνδυσάμενον, ἔχοντα ἐν ἑαυτῷ τὸ τοῦ βαπτίσματος ὕδωρ. ἀνώγεον δὲ ἐστρωμένον, τὴν εἰς οὐρανοὺς μετὰ τὴν ἀνάστασιν τοῖς ἁγίοις ἀνάπαυσιν ἐσομένην λέγει. ἀπέλθετε εἰς τήνδε τὴν πόλιν· μὴ εἰς τὴν παλαιὰν συναγωγὴν τῶν Ἰουδαίων, ὅπου ὁ παλαιὸς νόμος ἐν τοῖς παλαιοῖς ἀσκοῖς ὤξισεν· ὄξος γὰρ σὺν χολῇ μίξαντες προσήνεγκαν τῷ κυρίῳ· ἀλλ᾽ ἀπέλθετε εἰς τὴν καινὴν πόλιν, εἰς τὴν νέαν Ἱερουσαλὴμ, ὅπου ὁ νέος λόγος, ὅπου ἡ καινὴ τοῦ πνεύματος χάρις ἐν τοῖς καινοῖς ἀσκοῖς τὸ τῆς πίστεως γλεῦκος πηγάζει. οὐχ ὅπου τὸ παλαιὸν πάσχα, ἀλλ᾽ ὅπου ἡ καινὴ ἀνάστασις· οὐχ ὅπου ὁ ἀμνὸς θύεται, ἀλλ᾽ ὅπου ὁ Χριστὸς ῥύεται· οὐχ ὅπου ἡ παλαιὰ ζύμη,

oves, quæ colla sua aratri jugo non subegerunt, propria premente conscientia, serviliter ad aream accedentia, spicarum manipulum furantur. Solus autem bos liberam linguam extendens, suorum fructus laborum fidenter carpit. Vidisti illic eos qui falce secant, vidisti spicarum feracem agrum, aream, bovem: inde sermonem transfer ad ecclesiasticum ordinem, & videbis prædictam agriculturam in mysterio ecclesiæ. *Exiit*, inquit, *qui seminat seminare.* (Luc. 8. 5.) Illud enim modo audivimus in evangelio. Exiit, Quis? Christus, ex cælo in mundum adveniens. Sator enim Christus est; semen, divinum verbum; arvum, humana natura; boves, apostoli; aratrum, crux; jugale lignum, dulcis caritas quæ apostolorum colla constringit. *Exiit qui seminat seminare*; exiit Christus; non ut meteret, sed ut seminaret. Nondum enim resurrectionis semina in cordibus hominum insita erant. *Exiit qui seminat seminare*; non frumentum, non hordeum, non milium, neque aliud quid terrenum; sed fidem in Patrem & Filium & Spiritum sanctum; spem resurrectionis, caritatem erga Deum & homines non simulatam & indifferentem. Exiit qui seminat Christus, ex paterno latere, qui est in sinu Patris, & venit ad nos ut ipse ait: *Ego ex Patre exivi, & venio.* (Joan. 8. 42. & 16. 28.) Sed exiit a Patre suo non separatus, & nobiscum est. Exiit qui seminat, ut ea quæ a diabolo superseminata male fuerant zizania ex animabus hominum evelleret. *Omnis enim, plantatio*, inquit, *quam non plantavit Pater meus cælestis, eradicabitur.* (Matt. 15. 13.) Exiit sol justitiæ, ut lucidos divinitatis suæ radios in corda hominum tenebris obvolutorum immitteret. Exiit pastor ovium, ut sal pietatis seminans, fœnum legalis scripturæ ovibus ad escam paratum redderet. Exiit qui seminat, habens decem juga boum, ut faciat lagenam unam; & seminans artabas sex, tres mensuras faciat. Loquere nunc, Isaia, ne taceas. *Cujus enim operantur decem juga boum, faciet lagenam unam.* (Isai. 5. 10.) Decem juga boum sunt boves viginti. Decem juga boum rationabilia, duodecim apostoli Christi sunt, & septem quos elegerunt apostoli. Quosnam? Stephanum, Philippum, Prochorum, Nicanorem, (Act. 6. 5.) Timonem, Parmenam & Nicolaum proselytum Antiochenum; & apostolum qui a Jerosolyma usque ad Illyricum terram sulcavit. (Rom. 15. 19.) Hæc decem juga boum in hominum arvo confessionem Jesu produxerunt, qui corporis vas testaceum nostrum induit. Quod autem divinum verbum carnalem Christi adventum lagenam vocet, audi. Cum ad passionem iturus erat, dicunt ei Discipuli ejus: *Ubi vis faciamus Pascha?* (Marc. 14. 12.) Tum ille; *Ite in hanc civitatem, & occurret vobis homo lagenam aquæ portans: & dicite illi, Magister noster dicit, apud te facio Pascha. Et ostendet vobis cœnaculum stratum: & illic nobis parate Pascha.* (Matt. 26. 18.) Quis sit homo qui fert lagenam aquæ, quæ civitas ad quam illos mittit, quod cœnaculum stratum, necesse est ut vos explorantes ediscatis. Homo qui fert lagenam aquæ, est Joannes præcursor Christi, annuncians Jesum, qui lagenam corporis nostri induit & qui in se aquam baptismatis habet. Cœnaculum vero stratum dicit sanctorum requiem in cælis futuram post resurrectionem. Ite in hanc civitatem, non in veterem Judæorum synagogam, ubi vetus lex in veteribus utribus acida facta est: acetum enim cum felle miscentes obtulerunt Domino; (Matt. 27. 34.) sed ite in novam civitatem, in novam Jerusalem, ubi novum verbum, ubi nova Spiritus gratia in novis utribus, & fidei mustum scaturit. Non ubi vetus Pascha, sed ubi nova resurrectio; non ubi agnus immolatur, sed ubi Christus redimit; non ubi vetus fermentum,

sed ubi cælestis panis in cruce consummatur. *Cujus enim operantur decem juga boum, faciet lagenam unam.* Ubi operantur decem juga boum nempe apostolorum; bobus enim comparantur apostoli, ut mihi testificatur Paulus dicens: *scriptum est in lege, Non alligabis os bovi trituranti. Numquid enim de bobus cura est Deo?* Sed propter nos id dicit. Ubi ergo operantur hæc decem juga boum, faciunt confessionem in Jesum, qui lagenam corporis nostri induit. Et qui seminat artabas sex, faciet tantum mensuras tres. An tanta terræ sterilitas fuit unquam, ut ex satis artabis sex, tres mensuræ prodirent? Sed scripturæ mentem quæramus, dilecti, intremus in interius literæ velum, & occurret nobis divina Spiritûs cognitio. Qui seminat artabas sex, faciet tres mensuras. Sex artabæ sunt novum Testamentum; id est, Quatuor evangelistæ, Acta, & apostolorum epistolæ. Qui has sex artabas seminat in anima quapiam, facit tres mensuras, confessionem in Patrem & Filium & Spiritum sanctum. *Exiit qui seminat seminare*, non frumentum in panem vertens, sed fidem vivificans; non hordeum seminans ad brutorum escam, sed escas ad hominum spirationem; non milium pro avibus, sed divinum verbum, ignitum, grano sinapis simile, ad pietatem & prudentiam animas nostras multum accendens. *Exiit qui seminat seminare; & alia quidem cecidere secus viam, & conculcata sunt, & venientes volucres cæli, comederunt illa. Et alia ceciderunt inter spinas, quæ suffocaverunt germina. Alia ceciderunt supra petrosa, quæ orta statim exsiccata sunt.* Quæ ceciderunt secus viam sunt Ariani; quæ inter spinas, Eunomiani; quæ supra petrosa, Marathoniani. Hæc accurate discas, dilecte. *Exiit qui seminat seminare; & alia ceciderе secus viam*; non dixit, in via, sed *secus viam*. Quæ est via, nisi Christus qui dixit, *Ego sum via & veritas*? Quæ ergo cecidere secus viam, sunt Ariani: non sunt in via; non enim sunt orthodoxi; neque procul a via, ut Gentiles aut Judæi; sed secus viam; id est, secus Christum, secus fidem rectam. Quod confiteantur Christum, id efficit ut prope viam sint; quod negent Christum esse filium Dei, id impedit quominus sint in via. Ideo descendentes volucres cæli, id est, spiritualia nequitiæ, divinum verbum ex cordibus eorum auferunt, & ipsos fide recta vacuos efficiunt. Spinosa, sunt Eunomiani: habent enim in se blasphemiarum spinas: & herbam quidem fidei proferunt, sed spicam confessionis non perficiunt. Quod Christum confiteantur, id efficit ut germinent herbam fidei; quod dicant ipsum esse rem creatam & factam, id efficit ut fidei spica intempestive arescat. Nam per Gentilium de cultu creaturarum doctrinam veritatis verbum confodientes & suffocantes, infructuosum illud & recta fide vacuum prorsus efficiunt. Qui supra petrosa, sunt Marathoniani. Non dixit scriptura, Alia ceciderunt supra petram; nam petra erat Christus; sed supra petrosa. Non sunt terra bona; neque enim sunt orthodoxi. Neque petra sunt, ut a doctoribus sculpti templum Dei efficiant. Sed quid? Porus sunt. Est quidam lapis porus nomine: qui neque terra est, neque lapis firmus; tenerior lapide, durior terrâ. Quod confiteantur filium Dei secundum substantiam similem Patri, hoc efficit ut teneriores sint; quod negent Spiritum sanctum, hoc eorum corda poro similia reddit. Neque igitur terra sunt bona, ut florida germinent, & fidei ornatu decorentur: neque petra firma, ut inconcussam Patris & Filii & Spiritus sancti confessionem servent. Hoc quidem verbum excipiunt,

1. Cor. 9. 9.

Joan. 14. 6.

1. Cor. 10. 4.

A ἀλλ' ὅπου ὁ οὐράνιος ἄρτος ἐπὶ σταυροῦ τελειοῦται. οὗ γὰρ ἐργάζονται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· ὅπου ἐργάζονται δέκα ζεύγη βοῶν, τῶν ἀποστόλων· βουσὶ γὰρ ὡμοιώθησαν οἱ ἀπόστολοι, ὡς Παῦλος ἐμοὶ μαρτυρεῖ λέγων· γέγραπται, φησὶν, ἐν τῷ νόμῳ, οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ γάρ, φησι, τῶν βοῶν μέλει τῷ θεῷ; ἀλλὰ δι' ἡμᾶς λέγει. ὅπου οὖν ἐργάζονται ταῦτα τὰ δέκα ζεύγη τῶν βοῶν, ποιοῦσι τὴν εἰς τὸν Ἰησοῦν ὁμολογίαν, τὸ κεράμιον τοῦ σώματος ἡμῶν ἐνδυσάμενον. καὶ ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μόνον μέτρα τρία. ἆρα τοσαύτη ἀφορία γεωργῶν γέγονε πώποτε, ὥστε σπαρῆναι ἀρτάβας ἕξ, ποιῆσαι μόνον μέτρα τρία; ἀλλὰ ζητήσωμεν τὸν νοῦν τῆς γραφῆς, ἀγαπητοί, εἰσέλθωμεν εἰς τὸ ἐνδότερον καταπέτασμα τοῦ γράμματος, καὶ ἀπαντήσει ἡμῖν ἡ θεία τοῦ πνεύ-
B ματος γνῶσις. ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μέτρα τρία. ἓξ ἀρτάβαι εἰσὶν ἡ καινὴ διαθήκη· τουτέστιν, οἱ τέσσαρες εὐαγγελισταὶ, καὶ πράξεις, καὶ ἀπόστολοι. ταύτας τὰς ἓξ ἀρτάβας ὁ σπείρας ἔν τινι ψυχῇ, ποιεῖ τὰ τρία μέτρα, τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, οὐ σῖτον ἀρτοποιῶν, ἀλλὰ πίστιν ζωοποιῶν· οὐ κριθὰς εἰς τὰς τῶν ἀλόγων τροφὰς, ἀλλὰ τροφὰς εἰς τὰς τῶν ἀνθρώπων πνοάς· οὐ κέγχρον ὀρνεοτρόφον, ἀλλὰ θεῖον λόγον, διάπυρον, κόκκῳ σινάπεως παρεικαζόμενον, σφοδρῶς πρὸς εὐσέβειαν καὶ φρόνησιν τὰς ψυχὰς ἡμῶν ἐκθερμαίνοντα. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγον αὐτά· ἄλλα ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ συνέπνιξαν αἱ ἄκανθαι τὴν βλάστην· ἄλλα ἔπε-
C σεν ἐπὶ τὰ πετρώδη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, φυὲν εὐθέως ἐξηράνθη. τὰ παρὰ τὴν ὁδόν εἰσιν Ἀρειανοί, τὰ ἀκανθώδη εἰσὶν Εὐνομιανοὶ, τὰ ἐπὶ τὰ πετρώδη εἰσὶ [a] Μαραθώνιοι. καὶ κατάμαθε ἀκριβῶς, ἀγαπητέ. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν. οὐκ εἶπεν, ἐν τῇ ὁδῷ, ἀλλὰ παρὰ τὴν ὁδόν. τίς ἐστιν ἡ ὁδὸς, ἢ πάντως ὁ Χριστὸς ὁ λέγων, ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια. τὰ μὲν οὖν παρὰ τὴν ὁδόν εἰσιν οἱ Ἀρειανοί, οὐκ εἰσὶν ἐν τῇ ὁδῷ· οὐ γάρ εἰσιν ὀρθόδοξοι· οὐδὲ πάλιν πόῤῥω τῆς ὁδοῦ, ὡς Ἕλληνες ἢ Ἰουδαῖοι, ἀλλὰ παρὰ τὴν ὁδόν· τουτέστι, παρὰ τὸν Χριστὸν, παρὰ τὴν πίστιν τὴν ὀρθήν. τὸ ὁμολογεῖν αὐτοὺς Χριστὸν, τοῦτ' ἔστι τὸ ποιοῦν αὐτοὺς ἐγγὺς εἶναι τῆς ὁδοῦ· τὸ ἀρνεῖσθαι αὐτοὺς Χριστὸν εἶναι υἱὸν θεοῦ, τοῦτό ἐστι τὸ κωλῦον αὐτοὺς μὴ εἶναι ἐν τῇ ὁδῷ. διὰ τοῦτο κατελθόντα τὰ πετεινὰ τοῦ
D οὐρανοῦ, τουτέστι, τὰ πνευματικὰ τῆς πονηρίας συνάγουσι τὸν θεῖον λόγον ἐκ τῶν καρδιῶν αὐτῶν, καὶ παντελῶς κενοὺς πίστεως ὀρθῆς αὐτοὺς ἀποτελοῦσι. τὰ δὲ ἀκανθώδη εἰσὶν Εὐνομιανοί. ἔχουσι γὰρ ἐν ἑαυτοῖς τὰς τῶν βλασφημιῶν ἀκάνθας· καὶ βλαστάνουσι μὲν τὴν πόαν τῆς πίστεως, οὐ μὴν τελεσιουργοῦσι τὸν ἄσταχυν τῆς ὁμολογίας. τὸ ὁμολογεῖν αὐτοὺς Χριστὸν, τοῦτο ποιεῖ αὐτοὺς βλαστάνειν τὴν πόαν τῆς πίστεως· τὸ δὲ πάλιν λέγειν αὐτοὺς κτίσμα καὶ ποίημα, τοῦτό ἐστι τὸ ποιοῦν αὐτὸν ἄωρον μαραίνεσθαι τὸν τῆς πίστεως στάχυν. τοῖς γὰρ Ἑλληνικοῖς δόγμασι τῆς κτισματολατρείας νύττοντες καὶ συμπνίγοντες τὸν τῆς ἀληθείας λόγον, ἄκαρπον αὐτὸν καὶ ἄγονον παντελῶς πίστεως ὀρθῆς ἀποτελοῦσιν. οἱ δὲ ἐπὶ τὰ πετρώδη, οὗτοί εἰσι Μαραθωνιανοί. οὐκ εἶπεν ἡ γραφὴ, ὅτι τὰ μὲν ἔπεσεν ἐπὶ τὴν πέτραν·
E ἡ γὰρ πέτρα ἦν ὁ Χριστός· ἀλλ' ἐπὶ τὰ πετρώδη. οὔτε γῆ εἰσιν ἀγαθή· οὐ γάρ εἰσιν ὀρθόδοξοι· οὔτε πέτρα εἰσὶν, ἵνα ὑπὸ διδασκάλων λαξευθέντες τὸν ναὸν τοῦ θεοῦ οἰκοδομήσωσιν· ἀλλὰ τί; πῶροί εἰσιν. ἔστι τις λίθου φύσις, πῶρος ὀνόματι· οὔτε γῆ ἐστιν, οὔτε λίθος στερέμνιος· ἁπαλὸς μὲν παρὰ τὸν λίθον· σκληρὸς μὲν παρὰ τὴν γῆν. τὸ ὁμολογεῖν αὐτοὺς τὸν υἱὸν τοῦ θεοῦ κατ' οὐσίαν ὅμοιον τῷ πατρὶ, τοῦτό ἐστι τὸ ποιοῦν αὐτοὺς ἁπαλωτέρους τυγχάνειν· τὸ ἀρνεῖσθαι αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο αὐτῶν ποιεῖ τὰς καρδίας πεπωρωμένας τυγχάνειν. οὔτε τοίνυν γῆ εἰσιν ἀγαθὴ, ἵνα βλαστήσωσιν εὐθαλῆ, καὶ κατακοσμῶνται πίστεως κόσμον· οὔτε πέτρα στερέμνιος, ἵνα ἄσειστον καὶ ἀσάλευτον τὴν εἰς τὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν φυλάττωσι. καὶ δέχονται μὲν τὸν λόγον τοῦτον,

[a] Μαραθώνιοι de Marathonianis vide supra, t. octavo in Spuriis p. 88.

A καὶ βλαστάνουσιν· εὐθέως δὲ αὐτὸν ξηραίνουσι καὶ ψύχουσι, διὰ τὸ μὴ ἔχειν αὐτοὺς τὰς ῥίζας τῶν λογισμῶν ἐν τῷ βάθει τοῦ πνεύματος. οὗτοι κἂν ὁμολογῶσι τὸν Χριστὸν εἶναι υἱὸν τοῦ θεοῦ, τὸ πνεῦμα τὸ ἅγιον ἀρνούμενοι, οὐδὲ τὸν υἱὸν ἔχουσι, τοῦ ἀποστόλου μοι μαρτυροῦντος καὶ λέγοντος· εἴ τις πνεῦμα τοῦ Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. τὰ ἄλλα, φησὶν, ἔπεσεν ἐπὶ τὴν γῆν ἀγαθὴν, καὶ ἐδίδου καρπὸν, καὶ τὰ μὲν τριάκοντα ἐποίει, τὰ δὲ ἑξήκοντα, τὰ δὲ ἑκατόν. αὕτη ἐστὶν ἡ γῆ ἡ ἀγαθὴ, ἡ τῶν ὀρθοδόξων καρδία, ἡ ἐκτὸς οὖσα τῶν αἱρετικῶν ἀκανθῶν, ἡ τελείοις διδασκάλοις πονηθεῖσα καὶ οἱονεὶ αὐλακισθεῖσα, καὶ σὺν τοῦ εὐαγγελίου λόγοις σπέρματα ψυχῆς τυγχάνοντα δεχομένη. ἡ τοιαύτη καρδία πρῶτον βλαστάνει τὴν πόαν τῆς πίστεως, εἶτα μηκύνει τὸν στάχυν τῆς ἐλπίδος, εἶτα ὥριμον καρπὸν τῆς τελείας ἀγάπης ἀποδείκνυσι. τούτων τῶν B τριῶν καρπῶν τῆς ψυχῆς μέμνηται καὶ ὁ μακάριος Παῦλος λέγων· πίστις, ἐλπὶς, ἀγάπη. ὁ πιστεύων ποιεῖ τὰ τριάκοντα, ὁ ἐλπίζων ποιεῖ τὰ ἑξήκοντα, ὁ τελειούμενος ἐν ἀγάπῃ, ποιεῖ τὰ ἑκατόν· ὁ χριόμενος ποιεῖ τὰ τριάκοντα· ὁ κατερχόμενος εἰς τὸ ὕδωρ, ποιεῖ τὰ ἑξήκοντα· ὁ τελειούμενος ἐν τῷ μυστηρίῳ ποιεῖ τὰ ἑκατόν. οὕτως ἐξ ἑνὸς σπέρματος τρισσῶς ἀναφέρει καρπόν· θεὸν δοξάζει, ἐκκλησίαν ὑψοῖ, ἑαυτὸν διασώζει. οὗτος τριάδος ἀγαθῆς κομίζεται μισθούς· πνεύματι συνιῶν, ψυχῇ προορῶν, σώματι ὑπομένων. οὗτος τρισσῶς εὐλογεῖται· ἐπὶ γῆς δοξάζεται, ἐκ νεκρῶν ἀνίσταται, ἐν οὐρανοῖς ἀναπαύεται. ὁ τοιοῦτος ἐν τρισὶ τάξεσιν ὑπερεχούσαις σεμνύνεται· τριάκοντα, ὡς ἐν οὐρανοῖς· ἑξήκοντα, ὡς ἐν ἀγγέλοις· ἑκατὸν, ὡς παρὰ θεῷ. ὁ τοιοῦτος πρᾶός ἐστιν, C ἡσύχιος, ταπεινόφρων, ἐλεήμων, συμπαθὴς, δίκαιος, κόσμου ξένος, βίου ἀλλότριος, εἰκόνι μόνῃ φαινόμενος ἐπὶ τῆς γῆς, καρδίᾳ δὲ καὶ πράξεσιν ἐν οὐρανοῖς αὐλιζόμενος. ἄλλοι δέ τινες τῶν αἱρετιζόντων, κατὰ τὴν ἑαυτῶν ἀγνώμονα γνώμην, κλίμακα βλασφημίας τοῖς λόγοις λεπτουργοῦσι· τί λέγοντες; ἡ εἰς τὸ πνεῦμα πίστις ποιεῖ τὰ τριάκοντα· ἡ εἰς τὸν υἱὸν ποιεῖ τὰ ἑξήκοντα· ἡ εἰς τὸν πατέρα ποιεῖ τὰ ἑκατόν· ἀγνοοῦντες ὅτι ὡς βούλονται σμικρῦναι, τὸ πνεῦμα τὸ ἅγιον μεγαλύνουσι. προτάττουσι γὰρ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα, λέγοντες· ὁ εἰς τὸ πνεῦμα πιστεύων, ποιεῖ τὰ τριάκοντα. καὶ πρῶτον προτάττουσι τοῦ πατρὸς τὸ πνεῦμα, εἶτα τὸν υἱὸν, εἶτα τὸν πατέρα. ἡμεῖς δὲ τὰ ἐναντία αὐτοῖς φρονοῦντες, τὸ ἐναντίον λέγομεν. ὁ γὰρ πιστεύων, οὐκ εἰς τὸ πνεῦμα πρῶτον πιστεύει, ἀλλ' εἰς τὸν πατέρα· ὁ πιστεύων εἰς τὸν πατέρα, ποιεῖ τὰ τριάκοντα· ὁ προσλαμβάνων εἰς τὸν υἱὸν, διπλασιάζει τὸν D ἀριθμὸν, καὶ ποιεῖ τὰ ἑξήκοντα· ὁ καὶ ἐνδυσάμενος τὸ πνεῦμα τὸ ἅγιον, τὴν ἑκατοντάδα ἐπλήρωσεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A & germinant; statim vero illud exsiccant, quod non posuerint cogitationum radices in profundo Spiritus. Hi etiamsi confiteantur Christum esse filium Dei, cum Spiritum sanctum negent, neque Christum habent; apostolo mihi testificante ac dicente: *Si quis Spiritum Christi non habeat, hic non est ejus.* Rom. 8. 9. *Alia*, inquit, *ceciderunt in terram bonam, & dederunt fructum, alia trigesimum, alia sexagesimum, alia centesimum.* Marc. 4. 8. Hæc est bona terra, cor orthodoxorum, quæ est extra hæreticas spinas: quæ a perfectis doctoribus colitur & quasi sulcatur, & evangelii verba animæ semina excipit. Cor hujusmodi primo germinat herbam fidei, deinde producit spicam spei; demum maturum fructum perfectæ caritatis exhibet. Hos tres animæ fructus memorat beatus Paulus dicens: *Fides, spes,* 1. Cor. 13. 13. B *caritas.* Qui credit, triginta producit, qui sperat, sexaginta; qui in caritate consummatur, centum. Qui ungitur triginta producit; qui descendit in aquam, sexaginta; qui consummatur in mysterio, centum. Sic ex uno semine triplicem affert fructum: Deum glorificat, ecclesiam exaltat, seipsum servat. Sic bonæ Trinitatis referet mercedem; Spiritu intelligens, anima prævidens, corpore patiens. Hic tripliciter benedicitur: in terra glorificatur, a mortuis resurgit, in cælis quiescit. Qui talis est, tribus ordinibus eminentibus honoratur; triginta fecit ut in cælis; sexaginta ut in angelis; centum ut apud Deum. Talis homo mitis est, quietus, humilis, misericors, patiens, justus, C a mundo alienus & ab hac vita; in imagine solum apparet in hac vita; corde autem & operibus in cælis habitat. Alii vero ex iis qui hæretice sentiunt, secundum suam improbam opinionem, scalam blasphemiæ verbis efformant. Quid dicunt? Fides in Spiritum facit triginta; fides in Filium facit sexaginta, fides in Patrem facit centum; ignorantes se, dum volunt Spiritum sanctum minuere, ipsum exaltare. Præponunt enim Patri & Filio Spiritum dicentes, Qui credit, in Spiritum credens, facit triginta: & primo præponunt Patri & deinde Filio Spiritum, & tertium ponunt Patrem. Nos vero, contraria sentientes, contrarium dicimus. Nam qui credit, non in Spiritum primo credit, sed in Patrem. Qui credit in Patrem, triginta facit, qui addit in Filium, numerum duplicat, D & facit sexaginta: qui vero Spiritum sanctum induit, centenarium numerum implevit, in Christo Jesu Domino nostro, cui gloria & imperium in sæcula sæculorum, amen.

## Εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περὶ ἐλεημοσύνης.

## *In secundum adventum Domini nostri Jesu Christi, & de eleemosyna.*

ΜΕΤΑ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τοὺς οὐρανοὺς, καὶ τῶν μαθητῶν ἀτενιζόντων εἰς τὸν οὐρανὸν, ἰδοὺ ὤφθη αὐτοῖς ἄγγελος κυρίου λέγων· τί ἑστήκατε E ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, αὐτὸς πάλιν ἐλεύσεται εἰς τὸν τόπον τοῦτον, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. καὶ δεῦρο, ἀγαπητοί, ἀπαγγελῶ ὑμῖν ὁποία ἔσται ἡ παρουσία αὐτοῦ ἡ δευτέρα, ἡ φοβερὰ καὶ φρικτὴ, ἡ ἐλέγχουσα πᾶσαν πνοήν. φανήσεται γὰρ πρῶτον τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἐφ' ᾧ ἐσταύρωσαν αὐτὸν Ἰουδαῖοι, βασταζόμενον ὑπὸ ἁγίων ἀγγέλων καὶ λάμποντα ὡς ἀστραπήν· καὶ ἔμπροσθεν αὐτοῦ σαλπίζων Μιχαὴλ ὁ ἀρχάγγελος, καὶ ἐξυπνίζων τοὺς κεκοιμημένους ἀπὸ Ἀδὰμ ἕως τῆς συντελείας τοῦ αἰῶνος.

POST assumtionem Domini nostri Jesu-Christi in cælos, discipulis respicientibus in E cælum, *Ecce apparuit angelus Domini dicens: quid statis aspicientes in cælum? Hic Jesus qui assumtus est a vobis in cælum, rursus veniet,* in hunc locum, *quemadmodum vidistis eum euntem in cælum.* Act. 1. 10. Agite, dilecti, annunciabo vobis quinam erit secundus ejus adventus, terribilis & horrendus, qui arguet omnem Spiritum. Apparebit enim primo signum filii hominis, in quo crucifixerunt eum Judæi, gestatum ab angelis, & splendens ut fulgur: & ante illud tuba canens Michael archangelus, expergefaciens eos qui dormient ab Adamo usque ad consummationem sæculi. Et resurgent mor-

tui quasi ex somno, ex monumentis, sicut dixit apostolus Paulus: Tuba canet, & mortui in Christo resurgent incorrupti, in momento, in ictu oculi, in novissima tuba. Et colligent angeli homines ex quatuor finibus terræ, in valle fletus. Movebitur autem illa vallis, & revelabuntur judicia. Fluvius igneus plenus immortali vermi; angeli acerbi & immisericordes; singulorum opera in circuitu stantia, peccatorem redarguentia. Immutabuntur ergo cæli, & terra vacua erit, & gloria omnium ut umbra transibit. Divitiæ & omnia præteribunt, deficient ut fumus: quando stellæ ut folia cadent de cælo; & nemo neminem juvabit, aut juvabitur ab alio; non pater filium, non mater filiam, non frater fratrem, non amicus amicum, non dominus servum, non servus dominum; non divitiæ, non argentum, non aurum, non vestis pretiosa, non domus aureis tabulatis: sed nuda erunt singulorum opera, sive bona, sive mala. Et aperientur cæli, & ecce filius Dei veniens in nubibus cæli, cum potestate & gloria multa: descendet in Jerusalem cælestis ille, & in Sion ille incomprehensibilis. Et ponentur duodecim throni, duodecim apostolorum & discipulorum ejus: & ecce ipse ut fulgur apparens ab Oriente usque ad occidentem: atque ex terrore & minis ejus cæli volventur ut liber. Tunc omnis terra commovebitur, montes fumo replebuntur, fluvii ignei parati erunt ad peccatores excipiendos, vermes hianti ore erunt ut dracones, sitientes peccatorum sanguinem: sine fine omnes cruciabuntur. Tenebræ illæ lucem non habent. Perpendite ergo, fratres, diem illam terribilem, magnam & illustrem. Etenim angeli, qui nihil peccarunt diem illam cum tremore cogitant: quantus ergo tremor peccatores corripiet in illa die horrenda & terribili? Tunc erit acerbus fletus & stridor dentium. Nemo autem putet quasi in mentis excessu diem illam concipi. Multos enim novi qui dicunt ita fore judicium illud, ut si quis in somnis crucietur. Nolite errare, o homines. Nam qui in somnis cruciatur, id imaginatur solum: corpus autem & anima in lecto requiescit. In die autem illa non potest separari corpus ab anima; sed simul adstant judicio illo tremendo, ubi libri operum aperti sunt, judex non personam accipit; judicium immutabile: & cum multa gloria omnes nominatim vocabit ad judicium, omnesque nudi adstabimus. Non est illic oratoria dictio quæ jus vincat; non eloquentia; sed operum examen. Nullus ibi donorum usus, nullus advocatorum: sed omnes sua onera gestabunt. Ibi senectus non creditur, splendor nullus apparet, nobilitas non exquiritur. Ibi pulcritudo vultus non flectit judicem; sed virginitatis cæterarumque virtutum dignitas exorat judicem ex virgine natum. Ibi magnus & parvus æqua lance judicantur. Sæpe autem in illo judicio filii parentes condemnant. Si enim filios habeas, & æqualitatem in illis non serves; sed alium dites, alium odio habeas, tunc pœnas dabis. Tunc servus ante dominum stat cum fiducia, & ancilla ante dominam, discipulusque ante magistrum. Hic enim omnes judicantur in tremendo judicio, filii cum parentibus, uxores cum viris, & cujusque opera manifesta fiunt. Ideo benedictus Paulus apostolus hæc cum sciret, omnia omnibus præcipit dicens: *Filii obedite parentibus in Domino: & patres nolite ad iracundiam provocare filios vestros. Servi obedite dominis vestris: Domini quod justum est & æquum servis præstate. Viri diligite uxores vestras; uxores timete viros vestros*; ut omnes inculpate adsteimus ante tribunal horrendum Domini Jesu-

1. Cor. 15. 52.

Ephes. 6. 1.

Col. 4. 1.

A καὶ ἀναστήσονται οἱ νεκροὶ, ὡς ἐξ ὕπνου, ἐκ τῶν μνημείων· ὡς εἶπεν ὁ ἀπόστολος Παῦλος, ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται ἄφθαρτοι, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. καὶ συλλέξουσιν οἱ ἄγγελοι τοὺς ἀνθρώπους ἐκ τῶν τεσσάρων περάτων τῆς οἰκουμένης, ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος. σεισθήσεται δὲ ἡ κοιλὰς ἐκείνη, καὶ ἀποκαλυφθήσεται τὰ κριτήρια. ποταμὸς πυρὸς, γέμων τε σκώληκος ἀκοιμήτου, ἄγγελοι πικροὶ καὶ ἀνελεήμονες, καὶ ἑκάστου τὰ ἔργα παρεστάντα κύκλῳ, ἐλέγχοντα τὸν ἁμαρτωλόν. ἀλλαγήσονται τοίνυν οἱ οὐρανοὶ, καὶ ἡ γῆ κενὴ γενήσεται, καὶ ἡ δόξα τῶν πάντων ὡς σκιὰ παρέρχεται. ὁ πλοῦτος καὶ τὰ πάντα παρέρχονται, ἐκλείπουσιν ὡσεὶ καπνὸς, ὁπότε καὶ οἱ ἀστέρες ὡς φύλλα πεσοῦνται ἐκ τοῦ οὐρανοῦ, καὶ οὐδεὶς οὐδενὶ παραστήσεται, ἢ βοηθήσεται παρά τινος, οὐ πατὴρ υἱὸν, οὐ μήτηρ θυγατέρα, οὐκ B ἀδελφὸς ἀδελφὸν, οὐ φίλος φίλον, οὐ δεσπότης δοῦλον, οὐ δοῦλος δεσπότην, οὐ πλοῦτος, οὐκ ἄργυρος, οὐ χρυσὸς, οὐδὲ ἱματισμὸς πολυτελὴς, οὐκ οἰκίαι χρυσόροφοι, ἀλλὰ γυμνὰ τὰ ἔργα ἑκάστου, εἴτε καλὰ, εἴτε κακά· καὶ ἀνοίγονται οἱ οὐρανοὶ, καὶ ἰδοὺ ὁ υἱὸς τοῦ θεοῦ ἐρχόμενος ἐπὶ νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς, κατέρχεται εἰς Ἱερουσαλὴμ ἐπουράνιος, καὶ Σιὼν ἀκατάληπτος· καὶ τίθενται δώδεκα θρόνοι τῶν δώδεκα ἀποστόλων καὶ μαθητῶν αὐτοῦ· καὶ ἰδοὺ αὐτὸς ὡς ἀστραπὴ φαίνουσα ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν, καὶ ἐκ τοῦ φόβου καὶ τῆς ἀπειλῆς αὐτοῦ οἱ οὐρανοὶ εἱλίσσονται ὡς βιβλίον. * τότε πᾶσα ἡ γῆ κλονηθήσεται, ὄρη καπνισθήσονται, ποταμοὶ πυρὸς ἕτοιμοι τοῦ ὑποδέξασθαι τοὺς ἁμαρτωλοὺς, σκώληκες κεχηνότες ὡς δράκοντες διψῶντες τὰ τῶν ἁμαρτωλῶν ἀνθρώπων C αἵματα, ἀκαταπαύστως πάντες κολάζονται. τὸ σκότος ἐκεῖνο φέγγος οὐκ ἔχει. προσέχετε οὖν, ἀδελφοὶ, τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ μεγάλην καὶ ἐπιφανῆ. καὶ γὰρ ἄγγελοι οἱ μηδὲν ἡμαρτηκότες τρέμουσι τὴν ἡμέραν ἐκείνην· ποταπὸς οὖν τρόμος λήψεται τοὺς ἁμαρτωλοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ; τότε ἔσται ὁ πικρὸς κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ μή τις νομίσῃ ὡς ἐν ἐκστάσει εἶναι τὴν κρίσιν ἐκείνην. πολλοὺς γὰρ οἶδα λέγοντας, ὅτι ὥσπερ ἐν ὕπνῳ τις ὑπάρχων κολάζεται, οὕτως ἔσται καὶ ἡ κρίσις ἐκείνη. μὴ πλανᾶσθε, ὦ ἄνθρωποι. ὁ γὰρ ἐν ὕπνῳ κολαζόμενος φαντάζεται μόνον, τὸ δὲ σῶμα καὶ ἡ ψυχὴ ἐπὶ τῆς κλίνης ἀναπαύεται· ἐπὶ δὲ τῆς ἡμέρας ἐκείνης οὐκ ἔστιν ἀποχωρισθῆναι τὸ σῶμα τῆς ψυχῆς, ἀλλ' ἅμα παρίστανται τῷ φοβερῷ κριτηρίῳ ἐκείνῳ, ὅπου αἱ βίβλοι τῶν πράξεων ἀνεῳγμέναι εἰσὶν, ὁ δικαστὴς D ἀπροσωπόληπτος, καὶ κριτήριον ἀπαράλλακτον, καὶ ἀπὸ πολλῆς δόξης πάντας ἐπ' ὀνόματι καλέσει εἰς τὴν δίκην, καὶ πάντες γυμνοὶ παραστησόμεθα. οὐκ ἔστιν ἐκεῖ ῥητορικὴ λέξις νικῶσα τὸ δίκαιον· οὐκ ἔστι γλώσσης πολυλογία, ἀλλ' ἔργων δοκιμή. οὐκ ἔστιν ἐκεῖ δώρων χρεία, οὐδὲ συνηγόρων, ἀλλὰ πάντες τὰ ἴδια φορτία βαστάζουσιν. ἐκεῖ γῆρας οὐ πιστεύεται, περιφάνεια οὐ φαίνεται, εὐγένεια σωμάτων οὐ ζητεῖται. ἐκεῖ κάλλος προσώπων οὐ δυσωπεῖ τὸν κριτήν· ἀλλ' ἀξίωμα παρθενίας καὶ τῶν λοιπῶν ἀρετῶν, δυσωπεῖ τὸν κριτὴν τὸν ἐκ παρθένου τεχθέντα. ἐκεῖ μέγας καὶ μικρὸς ἴσα κρίνονται· πολλάκις δὲ καὶ εἰς τὴν δίκην ἐκείνην κατακρίνουσι τὰ τέκνα τοὺς γονεῖς. ἐὰν γὰρ γεννήσῃς τέκνα, καὶ τὴν ἰσότητα ἐν ἀμφοτέροις οὐ φυλάξῃς, ἀλλὰ τὸν ἕνα πλουτίσῃς, τὸν δὲ ἕτερον μισῇς, E τότε δώσεις δίκην. τότε καὶ δοῦλος παρὰ δεσπότου ἵσταται ἐν παρρησίᾳ, καὶ δούλη παρὰ δεσποίνης, καὶ μαθητὴς παρὰ διδασκάλου. πάντες γὰρ οὗτοι δικάζονται ἐν τῷ φοβερῷ δικαστηρίῳ, τέκνα μετὰ γονέων, γυναῖκες μετὰ ἀνδρῶν, καὶ ἑκάστου τὰ ἔργα φανερὰ γίνονται. διὰ τοῦτο καὶ ὁ εὐλογημένος Παῦλος ὁ ἀπόστολος ταῦτα εἰδὼς, τὰ πάντα τοῖς πᾶσι παρήγγειλε λέγων· τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ἐν κυρίῳ· καὶ οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν. οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις ὑμῶν· καὶ οἱ δεσπόται τὴν ἰσότητα φυλάξατε ἐπὶ τοῖς δούλοις ὑμῶν. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, καὶ γυναῖκες φοβεῖσθε τοὺς ἄνδρας ὑμῶν· ἵνα πάντες ἀκατακρίτως παραστησώμεθα τῷ βήματι τῷ φρικτῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ.

φρίξωμεν

φρίξωμεν οὖν τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μέλλει χωρίζειν ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στῆσαι τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐννόησον τὴν χαρὰν ἐκείνην, καὶ παῤῥησίαν τὴν ἐπὶ τῶν ἀγγέλων καὶ προφητῶν καὶ ἀποστόλων. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· ἀπολάβετε ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια. ἱμάτιόν με περιεβάλλετε· ἐγὼ δὲ περιτίθεμαι ὑμῖν δόξαν αἰώνιον. ἄρτον μοι ἐδώκατε· ἐγὼ δὲ τροφὴν παραδείσου ὑμῖν δωροῦμαι. ἐν ἐκλογαῖς καὶ καρποφορίαις ἡμῖν ἐκαρποφορήσατε· ἐγὼ δὲ ὑμᾶς τῶν ἁγίων συμμετόχους ποιήσω. ψυχροῦ ὕδατός με ἐποτίσατε· ἐγὼ δὲ ὑμᾶς εἰς τὸν παράδεισον εἰσαγάγω. ἀδελφὲ, ὅταν ταῦτα ἀκούῃς, τί ἀναμένεις, τί ἐκδέχῃ δοῦναι τὰ σὰ τοῖς χρήζουσι καὶ τοῖς * μαρτυρίοις; πλὴν αὐτῷ θεῷ δίδως, καθὼς εἶπεν αὐτός· ἐὰν ποιήσητε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. ὅσοι δὲ ἐδίωξαν τοὺς πένητας, τὸν Χριστὸν ἐδίωξαν. καὶ διὰ τοῦτο στήσει αὐτοὺς ἐξ εὐωνύμων· καὶ καθὼς ἐδίωξαν ἐκεῖνοι τοὺς πένητας, τὸν αὐτὸν τρόπον καὶ ὁ κύριος αὐτοὺς ἐκδιώξει λέγων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. ἐννόησον τὴν αἰσχύνην ἐκείνην τὴν ἐπὶ τοῦ δήμου τῶν ἀγγέλων. καὶ ἐνταῦθα μὲν ἐὰν ἐλεγχθῇ τις ἐπὶ ἁμαρτίᾳ ἐπὶ ἑνὸς φίλου, πῶς καταπίπτει τῷ προσώπῳ; πῶς παραιτεῖται προελθεῖν; πῶς δυσωπεῖται τοὺς φίλους, τοὺς γείτονας, τοὺς συγγενεῖς, διὰ τὴν αἰσχύνην ἐφ' οἷς ἠλέγχθη; ἐννόησον τὴν αἰσχύνην ἐκείνην, ὅπου μυριάδες ἀγγέλων καὶ προφητῶν καὶ τάγματα, χοροὶ ἀποστόλων, μαρτύρων πλῆθος ἀναρίθμητον, κόσμος ἀνίχνιαστος, καὶ ἐρεῖ ὁ δικαστής· ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ οὐ περιεβάλετέ με· ἠσθένησα, καὶ οὐκ ἐπεσκέψασθέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. τί μοι, φησὶ, προφασίζεσθε; ἔκοψα ὑμῶν τὴν ἀφορμὴν, οὐδεμίαν ἔχετε ἀπολογίαν. ἐὰν εἴπω ὅτι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἔχεις ἂν εἰπεῖν, ὅτι ἄρτον οὐκ ἔχω. ἄρτον οὐκ ἔχεις καὶ ὕδωρ· μὴ πόδας οὐκ ἔχεις ἐπισκέψασθαι τοὺς ἀσθενοῦντας καὶ τοὺς ἐν φυλακῇ· ἢ καὶ συστενάξαι τῷ θλιβομένῳ οὐκ ἠδύνω; οὐδὲν παρέχεις τῷ πένητι· κἂν μὴ καταπλήττῃς αὐτὸν τῇ γλώσσῃ σου, εἶτα κἀκείνῳ μὴ δώσῃς καιρὸν στενάξαι κατὰ σοῦ. καὶ γὰρ τοὺς στεναγμοὺς αὐτοῦ ταχὺ εἰσακούει ὁ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. οὐχ οὕτως εἰσακούει τῶν δικαίων ὁ κύριος, ὅσον τῶν πενήτων· ἐπειδὴ ὁ πένης οὐκ ἔχει τινὰ τὸν ἀντιλαμβανόμενον αὐτοῦ. διὰ γὰρ τὴν πτωχείαν αὐτοῦ πάντες ἀποῤῥιπτόμεν αὐτὸν, ὥστε καὶ οἱ ἴδιοι γονεῖς καὶ φίλοι τοὺς ἰδίους τέκνα καὶ φίλους, μᾶλλον δὲ καὶ ἀδελφὸς ἀδελφὸν ἀποῤῥίπτουσιν αὐτοὺς διὰ τὴν πτωχείαν αὐτῶν, καὶ οἱ γείτονες τοὺς γείτονας· καὶ αὐτὸς ὁ πτωχὸς πάντοθεν ἐῤῥιμμένος καὶ ἀβοήθητος, οὐδαμόθεν ἔχει βοήθειαν, εἰ μὴ εἰς τὸν θεὸν τὸν ἐλεοῦντα τοὺς πτωχούς. διὰ τοῦτο καὶ ταχὺ εἰσακούει αὐτῶν ὁ κύριος, καθὼς ὁ προφήτης ἀλλαχοῦ λέγει· ταχὺ εἰσακούει τῶν πενήτων ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδενώσει. σὺ ἔχεις ἄρτον, ἢ καὶ ἄλλο τι, ὅπερ τὴν πενίαν παραμυθεῖται; δὸς τῷ πένητι. εἰ δὲ οὐκ ἔχεις, λόγῳ αὐτὸν θεράπευσον, συλλυπήθητι, εὐχὴν αὐτῷ παράσχου, ἵνα, εἰ καὶ παρὰ σοὶ οὐχ εὗρεν ἀνάπαυσιν, παρ' ἄλλῳ εὑρήσῃ. ὅστις οὐκ ἔχει δόσιν τινὰ, καὶ καλοῖς λόγοις τῷ πένητι χαρίζει, πλέονα μισθὸν κερδαίνει παρὰ τὸν διδόντα. πλὴν καὶ ἀλλαχοῦ λέγει· μεγάλη τῆς ἐλεημοσύνης ἡ εὐεργεσία. οὐδὲν ἄλλο καλόρθωμα ἐξισχύει τοῦ ἐξαλεῖψαι ἁμαρτίας οὐδέποτε. αὐτὴν μετερχώμεθα, ἀγαπητοὶ, ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

* μαρτύρια sunt ecclesiæ.



A Christi Dei. Horreamus itaque diem illum, in quo pastor separaturus est oves ab hœdis, & positurus oves a dextris & hœdos a sinistris. Tunc dicet Rex iis qui a dextris sunt: *Venite benedicti Patris mei, possidete regnum vobis paratum a constitutione mundi.* Matt. 25. 34. Cogita gaudium illud & fiduciam coram angelis, prophetis & apostolis; *esurivi enim & dedistis mihi manducare, sitivi, & dedistis mihi bibere, &c.* Venite benedicti Patris mei: accipite pro terrenis cælestia, pro temporaneis æterna. Veste me induistis; ego vero induo vos gloria æterna. Panem mihi dedistis, ego vero escam paradisi do vobis. In electionibus & fructuum oblationibus, fructus nobis attulistis, & ego vos sanctorum consortes faciam. Aquam frigidam mihi in potum de-
B distis, & ego vos in paradisum introducam. Frater, cum hæc audieris, quid exspectas, quid tardas tua largiri inopibus & * ecclesiis? Cæterum Deo ipsi das, ut ipse ait: *Si feceritis uni ex istis fratribus meis minimis, mihi fecistis.* Matt. 25. 40. Quicumque vero pauperes persequuti sunt, Christum persequuti sunt: ideoque statuet illos a sinistris: ac sicut illi persequuti sunt pauperes, sic & Dominus illos persequetur dicens: *Discedite a me maledicti in ignem æternum paratum diabolo & angelis ejus. Esurivi enim, & non dedistis mihi manducare: sitivi, & non dedistis mihi bibere, &c.* Cogita pudorem illum coram Angelorum cœtu. Si quis hic convictus fuerit de peccato coram amico, quomodo faciem dejicit? quomodo prodire recusat? quomodo ve-
C recundus est coram amicis, vicinis & cognatis, ob pudorem aperti delicti? Cogita pudorem illum, ubi innumeri angeli, prophetarum ordines, apostolorum chori, martyrum cœtus innumerabilis, turba infinita; dicetque judex: *Discedite a me maledicti. Esurivi, & non dedistis mihi manducare; sitivi, & non dedistis mihi bibere; nudus eram, & non induistis me; infirmus, & non visitastis; hospes eram, & non collegistis me.* Quid mihi, inquit, obtenditis? Præcidi vobis omnem excusationem, omnemque defensionem. Si dicam, *Esurivi, & non dedistis mihi manducare*; potes fortasse dicere, Panem non habeo. Panem non habes, nec aquam. An pedes non habes ad invisendos infirmos, & eos qui in carcere sunt? Annon una
D cum afflicto dolere potes? Nihil pauperi erogas, saltem ne lingua tua illum deterreas: ne des illi causam gemitus contra te proferendi: nam gemitus ejus cito exaudit Dominus, *& retribuit iis qui abundanter faciunt superbiam*; non ita exaudit Dominus justos, ut pauperes: quia pauper neminem habet qui se suscipiat: nam ob mendicitatem omnes repellimus eum; ita ut parentes & amici, filios & amicos, imo frater fratrem, ea de causa rejiciant, necnon vicini vicinos; & pauper omnino abjectus & sine ulla ope sit; tantumque habeat Deum qui miseratur pauperes: Ideo illos cito exaudit Deus, ut alicubi dicit propheta: *Cito exaudivit pauperes Deus, & vinctos suos non despiciet.* Psal. 68. 34.
E Tu panem habes, aut aliud quod possit paupertatem consolari? Da pauperi. Sin non habes, verbo ipsum cura, cum ipso dole, precare pro illo; ut si apud te opem non invenit, apud alium inveniat. Qui non habet quod eroget, & bonis verbis pauperem solatur, majorem accipiet mercedem, quam qui erogat. Cæterum alibi dicit: Magnum est eleemosynæ beneficium. Nullum aliud opus potest abstergere peccata. Eleemosynam erogemus, dilecti, ut æterna bona consequamur in Christo Jesu Domino nostro, cui gloria & imperium in sæcula sæculorum, amen.

*Sermo in Paralyticum in die Mediæ Pentecostes, & in illud,* Nolite judicare secundum faciem.

Joan. 5. 5. & 7. 24.

SICUT luna lucida obscuritatem noctis albo colore tingens, iis qui in terra & in mari iter agunt nautis & viatoribus lucem præferens, sine obice procedendi dat facultatem; Joan. 5. 16. sic in sabbato Dominus paralytico dicebat: *Surgens tolle grabatum tuum, & vade in domum* Joan. 7. 16. *tuam.* Ideoque Judæis aiebat: *Mea doctrina non est mea, sed ejus qui misit me Patris.* Quod autem ob paralytici curationem ex potestate sua factam hoc Judæis dixerit, ex modo lectis accipe demonstrationem. Nam hinc clarius significavit Dominus inseparabilem suam cum Patre unionem. Nam si dixisset Dominus, Mea doctrina non est Patris, sed mea, seipsum separasset a Patre, a substantia alienum fecisset; atque œconomiam mutavisset. Cum dixit vero, *Mea doctrina non est mea, sed ejus qui misit me Patris*, ostendit non aliam esse substantiam, unamque esse doctrinam Patris & Filii & Spiritus sancti. Unum quippe est Verbum Patris, Filius, & Spiritus Patris, est Spiritus sanctus. Quomodo alia docebit Verbum, alia prædicabit Spiritus sanctus? Non est hoc, non est 1. Cor. 2. 11. certe secundum beatum Paulum dicentem: *Nemo novit ea quæ sunt hominis, nisi Spiritus hominis qui habitat in ipso; sic & quæ sunt Dei nemo novit, nisi Spiritus Dei, qui est in ipso.* Et quod ob suam in paralytico sanando potestatem, ut dixi, Dominus hæc verba admiserit, Joan. 7. 21. audisti modo Dominum dicentem: *Unum opus feci, & omnes miramini. Propterea Moyses dedit vobis circumcisionem, (non quia ex Moyse est, sed ex patribus,) & in sabbato circumciditis hominem. Si circumcisionem accipit homo in sabbato, ut non solvatur lex Moysis, mihi indignamini quia totum hominem sanum feci in sabbato? Nolite judicare secundum faciem, sed justum judicium judicate.* Quod autem ob paralytici curationem Dominus hæc dixerit, iniquos illos esse ex lege demonstrans, id ipse dicit illis ut audisti: *Si circumcisionem accipit homo in sabbato*, & in sabbato circumciditis infantem, ne violetur lex octo dierum, legem alia lege subvertentes; vos subvertitis legem, & *mihi indignamini quia totum hominem sanum feci in sabbato*, non sudans, sed miraculum edens? In sabbato-ne operandum non est, sed per omnia otiosos esse oportet? Cur ergo apud vos, o Judæi, mulier in sabbato parit, obstetrix tumultuatur, fasciæ moventur, natura purgatur, & mamma ad lactandum paratur? Mulier parit, & natura legis servatur, & Deus non miracula patrabit? Dic mihi: Si in sabbato circumciditur homo, *Ut non solvatur lex, mihi indignamini quia totum hominem sanum feci in sabbato? Nolite judicare secundum faciem, sed justum judicium judicate.* Id admitto ut a vobis inimicis judicer, ut in quo judicio judicaveritis, judicemini. Quis solvit sabbatum? Vos-ne, qui in sabbato circumciditis, gladium acuitis, sectionem infertis, membrum amputatis, & locum sanguine conspergitis, an ego qui dixi, *Surgens tolle grabatum tuum & vade in domum tuam?* Si verbum non operatum est, in vanum loquendo sabbatum solvi; si autem opus cum verbo concurrit, cur sabbatum ulciscimini, & creatorem despicitis? Non satis fuit vobis, o Judæi, per triginta & octo annos videre paralyticum lecto affixum, lectumque ipsum laborantem, paralytici pondus die nocteque ferentem?

A *Λόγος εἰς τὸν παράλυτον, τῇ ἡμέρᾳ τῆς Μεσοπεντηκοστῆς· καὶ εἰς τό, μὴ κρίνετε κατ' ὄψιν.*

ΩΣΠΕΡ ἡ φαεσφόρος σελήνη, τὰ τῆς νυκτὸς ἀμαυρὰ λευκαίνουσα, τοῖς τε κατὰ γῆν καὶ θάλασσαν πλωτῆρσί τε καὶ ὁδοιπόροις τὸ φάος δᾳδουχοῦσα, ἀνεμπόδιστον τὴν πορείαν ἑκάστῳ κατεργάζεται· ὡσαύτως ἐν τῷ σαββάτῳ πρὸς τὸν παραλυτικὸν ὁ κύριος ἔλεγεν, ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ τούτου χάριν πρὸς τοὺς Ἰουδαίους ἔλεγεν· ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με πατρός. καὶ ὅτι διὰ τὴν πρὸς τὸν παράλυτον αὐτεξούσιον θεραπείαν ὁ κύριος πρὸς τοὺς Ἰουδαίους B τούτους εἶπε τοὺς λόγους, ἐκ τῶν ἀρτίως ἀναγνωσθέντων λάμβανε τὴν ἀπόδειξιν. καὶ γὰρ ἐντεῦθεν φανερώτερον ὁ κύριος ἐμήνυσε τὸ ἀπαράλλακτον ἑαυτοῦ καὶ τοῦ πατρός. εἰ γὰρ ἦν ὁ κύριος εἰρηκώς, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστι τοῦ πατρός, ἀλλ' ἐμή ἐστιν, ἐχώριζεν ἑαυτὸν τοῦ πατρός, ξένον ἐποίει τῆς οὐσίας, ἠλλοτρίου τὸ τῆς οἰκονομίας. εἰρηκὼς δέ, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με πατρός, ἔδειξε τὸ ἀπαράλλακτον τῆς οὐσίας, καὶ ὅτι μία διδαχὴ πατρός, καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. εἷς γὰρ ὁ λόγος, ὁ υἱὸς τοῦ πατρός· καὶ πνεῦμα τοῦ πατρός, τὸ ἅγιον πνεῦμα. πῶς ἕτερα διδάξει ὁ λόγος, καὶ πῶς ἕτερα κατηχήσει τὸ ἅγιον πνεῦμα; οὐκ ἔστι, τοῦτο, οὐκ ἔστι, κατὰ τὸν μακάριον Παῦλον τὸν λέγοντα· οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κα- C τοικοῦν ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἐν αὐτῷ. καὶ ὅτι διὰ τὴν πρὸς τὸν παράλυτον αὐτεξούσιον θεραπείαν, καθὼς προεῖπον, ὁ κύριος προσήκατο τούτους τοὺς λόγους, ἤκουες ἀρτίως τοῦ κυρίου λέγοντος· ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. διὰ τοῦτο Μωϋσῆς δέδωκεν ὑμῖν * τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ Μωϋσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωϋσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. ὅτι δὲ διὰ τὴν τοῦ παραλύτου θεραπείαν ὁ κύριος τοὺς λόγους τούτους προσήκατο, ἐκ τοῦ νόμου δεικνὺς αὐτοὺς παρανόμους, λέγει πρὸς αὐτοὺς καθὼς ἤκουες· εἰ περιτομήν, φησι, λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, καὶ ἐν σαββάτῳ περιτέμνετε βρέφος, ἵνα μὴ D ἀκυρωθῇ ὁ ὀκταήμερος νόμος, νόμῳ νόμον ἀνατρέποντες, ὑμεῖς ἀνατρέπετε τὸν νόμον· καὶ ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ, οὐχ ἱδρώσας, ἀλλὰ θαυματουργήσας; ἐν σαββάτῳ οὐ δεῖ ἐργάζεσθαι, ἀλλὰ διὰ πάντων ἀέργους εἶναι; τίνος οὖν ἕνεκεν παρ' ὑμῖν, Ἰουδαῖοι, ἐν σαββάτῳ γυνὴ τίκτει, καὶ μαῖα θορυβεῖται, καὶ σπάργανα τινάσσεται, καὶ φύσις καθαίρεται, καὶ θηλὴ πρὸς γαλακτοτροφίαν εὐτρεπίζεται; γυνὴ τίκτει, καὶ φύσις νόμου περιγίνεται, καὶ θεὸς οὐ θαυματουργεῖ; εἰπέ μοι, εἰ ἐν σαββάτῳ περιτέμνεται ἄνθρωπος, ἵνα μὴ λυθῇ ὁ νόμος, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. καταδέχομαι ὑφ' ὑμῶν τῶν ἐχθρῶν δικάσασθαι, ὅπως ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε. τίς λύει τὸ σάββατον; ὑμεῖς οἱ ἐν τῷ σαββάτῳ περιτέμνοντες, καὶ ξίφος ὀξύνον- E τες, καὶ τομὴν ἐπάγοντες, καὶ μέλος χωρίζοντες, καὶ τὸν τόπον αἱμάττειν παρασκευάζοντες, ἢ ἐγὼ ὁ εἰρηκὼς λόγῳ, ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου; εἰ μὴ ἐνήργησεν ὁ λόγος, ἔλυσα ἂν τὸ σάββατον ματαιολογήσας· εἰ δὲ προέδραμε τὸν λόγον τὸ ἔργον, τί τὸ σάββατον ἐκδικεῖτε, καὶ τὸν δημιουργὸν ἀθετεῖτε; οὐκ ἐκορέσθητε, ὦ Ἰουδαίων παῖδες, ἐπὶ τριάκοντα καὶ ὀκτὼ ἔτη ὁρῶντες τὸν παράλυτον τῇ κλίνῃ προσηλωμένον καὶ τὴν κλίνην κάμνουσαν, καὶ τὸν παράλυτον νυχθήμερον φορτίον βαστάζ-

ζοντα; οὐκ ἠγανακτήσατε, οὐ συνεπαθήσατε· καὶ ἵνα μίαν ὥραν ὁ παράλυτος κλίνην βαστάσῃ, καὶ τὴν ἀντιμισθίαν παράσχῃ, ἀγανακτεῖτε; οὐκ ἔδει καὶ τοῦτο βοῆσαι, ἔστρεψας τὴν κλίνην μου ἐν τῇ ἀῤῥωστίᾳ μου; οἶδα, ὦ Φαρισαῖοι, τίνος χάριν ἀγανακτεῖτε· οὐχ ὅτι ἐθεραπεύθη ὁ παράλυτος διαπρίεσθε, ἀλλ' ὅτι οὐκ ἰσχύσατε τὴν κλίνην κρύψαι, καὶ τὸ θαῦμα κλέψαι. διὰ τοῦτο τὴν γνώμην ὑμῶν ἐπιστάμενος, ἐκέλευσα βαστάζειν αὐτὸν τὴν κλίνην· ἵνα κἂν ὑμεῖς σιωπήσητε, ἡ κλίνη τὸ θαῦμα βοήσῃ. τί διστάζετε, ὦ Φαρισαῖοι; οὐκ ἔστιν ὁ παράλυτος παρείσακτος, οὐκ ἔστιν ὑποβολιμαῖος, οὐκ ἔστιν ὀλιγοχρόνιος. γνωρίζετε αὐτὸν πάντες, τριακονταοκτὼ ἔτη τῇ κολυμβήθρᾳ τῇ παρ' ὑμῖν παρεσίτευεν. οὐκ ἔχετε λέγειν, ὡς ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ· οὗτός ἐστιν, ὅμοιος αὐτῷ ἐστιν, οὐκ ἔστιν οὗτος. [B] εἰ μὴ ἤτησεν ὑμᾶς ὁ τυφλὸς, καὶ τοῦτον κρατήσατε, καὶ εἰς δικαστήριον ἑλκύσατε, ὅπως διὰ πάντων αἰσχύνης πληρωθήσεσθε. μὴ κρίνατε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. καὶ, εἰ δοκεῖ, διὰ βραχέων ἐπ' αὐτὴν τὴν περιοχὴν τοῦ παραλύτου περιδράμωμεν, διὰ τὸ καὶ τὸν κύριον ἀπομνημονεῦσαι τοῦ παραλύτου. εἰ γὰρ ὁ κύριος αὐτοῦ ἐμνημόνευσε, πῶς ἡμεῖς λήθην αὐτοῦ ποιησόμεθα; τότε τις θαυμάζει, ὅτε τὰ τοῦ κυρίου θαύματα διηγεῖται. τοῦ γὰρ κυρίου καὶ ἡ παροῦσα μέση ἑορτή. μεσίτης ὁ κύριος· μέση καὶ ἡ ἑορτή· ἀεὶ δὲ τὸ μέσον τοῖς ἄκροις ἠσφάλισται. διὰ τοῦτο καὶ ἡ παροῦσα μέση ἑορτὴ διπλῆν τὴν τῆς ἀναστάσεως χάριν κέκτηται. ὑπὸ γὰρ τῆς ἀναστάσεως καὶ τῆς πεντηκοστῆς μεσολαβουμένη, τὴν ἀνάστασιν ὑπέδειξε, τὴν πεντηκοστὴν δακτυλοδεικτεῖ, τὴν ἀνάληψιν σαλπίζει. [C] τίς οὖν ἡ πᾶσα τοῦ παραλύτου πραγματεία, γνωρίσατε οἱ τοῦ λόγου φιλέμποροι, ὅπως διὰ πάντων τῆς πνευματικῆς ὠφελείας τὴν ἐνθήκην καρπώσησθε. φέρεις μνήμην πάντως τοῦ εὐαγγελιστοῦ Ἰωάννου βοῶντος· μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἦν δὲ ἐν τοῖς Ἱεροσολύμοις κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ, Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν. ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριακονταοκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. τοῦτον ἰδὼν ὁ Ἰησοῦς, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, θέλεις ὑγιὴς γενέσθαι; ὢ τῆς τοῦ κυρίου ἀκενοδόξου θεραπείας. οὐκ ἐκδέχεται παρακληθῆναι ὑπὸ τῶν ἀῤῥώστων· [D] αὐτὸς ἐπείγει ἑαυτὸν πρὸς τοὺς πάσχοντας. ἥλιος γὰρ ὢν δικαιοσύνης, ἐπὶ πάντας ἁπλοῖ τὴν ἀκτῖνα τῆς εὐεργεσίας. ἦν δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ, κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. ἐν ταύτῃ κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν. σύμβολον τοῦτο τῆς Ἰουδαϊκῆς ἀῤῥωστίας, αἱ πέντε στοαὶ, αἵτινες ἐπεπλήρωντο τῶν ἀῤῥώστων. καὶ γὰρ ἀῤῥωστεῖ ὁ Ἰουδαϊκὸς λαὸς διὰ τῶν πέντε αἰσθήσεων· ὁράσεως, ὀσφρήσεως, γεύσεως, ἀκοῆς, ἁφῆς. διὰ πάντων ἠῤῥώστουν οἱ Ἰουδαίων παῖδες· οὐκ εἶχον καθαρὸν ὀφθαλμὸν, ὁρῶντες τὰ θαύματα καὶ παρορῶντες· οὐκ εἶχον γεῦσιν εὐχάριστον, μάννα τρώγοντες, καὶ σικυοὺς ἐπιζητοῦντες· οὐκ εἶχον ὄσφρησιν εἰλικρινῆ, τοῦ δεσποτικοῦ μύρου τὴν διαβολικὴν δυσωδίαν προκρίναντες· [E] οὐκ εἶχον ἀκοὴν καθαρὰν, τῶν δρακοντείων συριγμάτων, καὶ οὐ προφητικῶν κατηχημάτων πυθόμενοι· οὐκ εἶχον τὴν ἁφὴν συνεργητικὴν, εἴδωλα θεολογοῦντες, καὶ τοῦ ζῶντος θεοῦ καταφρονοῦντες. ἀλλ' ὅμως ἐπιδημήσας τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ, ὁ δεσπότης Χριστὸς, ὁ καὶ τῶν αἰσθήσεων ποιητὴς, καὶ τῶν κτισμάτων δημιουργὸς, ἐν ταὐτῷ καὶ τῶν σωματικῶν παθῶν καὶ τῶν προαιρετικῶν πταισμάτων τὴν διόρθωσιν ἐποιήσατο. οὗτος γὰρ ὁ προκείμενος παράλυτος διπλῆν ἐπεφέρετο τὴν μάστιγα· τὸ μὲν σῶμα τῇ νόσῳ διελύετο, τὴν δὲ ψυχὴν ταῖς ἁμαρτίαις ἐξήρθρωτο. διὸ καὶ ὁ κύριος ὁ τῶν ἑκατέρων ἰατρὸς, καὶ τὸ σῶμα συσφίγγει, καὶ τὸ πνεῦμα φωτίζει. καὶ τῷ μὲν σώματι τὴν κλίνην φέρειν ἐκέλευε· τῇ δὲ ψυχῇ τὴν ἀρετὴν βαστάζειν ἐπέτρεψε. τί γάρ; ἰδὼν ὁ κύριος κείμενον τοῦτον τὸν παράλυτον,

[A] Non indignati nec miserati estis; & si una hora paralyticus lectum gestet, & vicem referat, indignamini? Annon clamandum erat: Versasti stratum meum in infirmitate mea? [Psal. 40. 3.] Scio, o Pharisæi, cur indignemini; non quod paralyticus sanatus sit dissecamini; sed quod non potueritis lectum abscondere, & miraculum suffurari. Ideo cum vestram nossem mentem, lectum portare jussi illum; ut etiamsi vos taceretis, lectus ipse miraculum exclamaret. Quid dubitatis, o Pharisæi? Non est paralyticus fictus, non supposititius, non brevi tempore fuit. Omnes illum nostis, triginta & octo annis ad piscinam apud vos vixit. Non potestis dicere, ut de cæco nato: Hic est, ipsi similis est, non [B] est hic. Nisi vos cæcus superasset, hunc quoque tenuissetis, & ad judicium duxissetis, ut in omnibus pudore afficeremini. *Nolite judicare secundum faciem, sed justum judicium judicate.* [Joan. 7. 24.] Et, si videatur, pauca de paralytico percurramus, quia Dominus illum commemorat. Si enim illum Dominus commemoravit, cur nos illum silentio mittemus? Tum quis miratur, cum Domini miracula narrat. Domini namque est hæc media solemnitas. Mediator est Dominus, medium est festum: semper autem medium ab extremis firmatur. Ideo hæc media solemnitas duplicem resurrectionis gratiam possidet. Cum enim inter resurrectionem & Pentecosten media sit, resurrectionem mon[C]strat, Pentecosten indigitat, Assumtionem buccinat. Quænam ergo sit tota paralytici narratio, scitis omnes studiosi, quomodo per omnia spiritualem utilitatem decerpatis. Plane recordaris Joannis evangelistæ clamantis, *Post hæc erat festus dies Judæorum, & ascendit Jesus Jerosolymam* [Joan. 5. 1.] *Erat autem Jerosolymis piscina, quæ cognominatur Hebraïce, Bethesda, quinque porticus habens. In his jacebat multitudo magna languentium, cæcorum, claudorum, aridorum. Erat autem quidam homo ibi, triginta & octo annos habens in infirmitate sua. Hunc videns Jesus*, qui omnia scit antequam fiant, *sciens quia jam multum tempus haberet, dicit ei: Vis sanus fieri?* O Domini curationem non vanam gloriam sapientem! Non exspectat infirmorum [D] preces, ipse sese languentibus offert. Cum enim sol justitiæ sit, super omnes beneficos radios expandit. Erant autem Jerosolymis in probatica piscina, Hebraïce dicta Bethesda, quinque porticus. Ibi jacebat multitudo magna languentium, cæcorum, claudorum, aridorum. Hoc symbolum erat Judaïcæ infirmitatis: quinque porticus infirmis plenæ. Etenim infirmatur Judaïcus populus per quinque sensus, visum, olfactum, gustum, auditum, tactum. Per hæc omnia Judæi infirmabantur. Non habebant purum oculum, videntes miracula, & despicientes: non habebant gustum gratum, manna edentes, & cucumeres quærentes: [Num. 11. 5.] non habebant olfactum purum, unguento Dominico, diabolicum fœtorem præferentes: non habebant au[E]ditum purum, draconis sibilos, non propheticos sonos consulentes; non habebant tactum bene operantem, idola pro diis habentes, & Deum vivum contemnentes. Attamen in carne præsens Dominus Christus, sensuum factor, & creaturarum conditor, eadem opera corporearum ægritudinum, & voluntariorum lapsuum emendationem curabat. Hic enim de quo agimus paralyticus, dupliciter flagellabatur: corpus dissolvebatur morbo, & anima peccatis vulnerata erat. Ideo Dominus, utriusque morbi medicus, & corpus firmat, & Spiritum illuminat; ac corpus lectum ferre jussit; animam virtutem gestare præcepit. Quid enim? Videns Dominus jacentem hunc paralyticum,

dixit ei, ut vos omnes scitis, *Vis sanus fieri?* Sed hic statim Judæi Dominum reprehendunt dicentes: Si Deus esset Christus, cur interrogaret Paralyticum: Vis sanus fieri? Morbo detinebatur, triginta & octo annos habebat in infirmitate, ad piscinam exspectabat, ut morbum deponeret, & interrogat illum, vis sanus fieri? Quis ille Deus qui interrogat? Audi qui contradicis. Hic Dominus non ut ignorans interrogat, sed ut omnino volens curationem largiri. Si corporis tantum infirmitas fuisset, non dixisset Dominus Paralytico, *Vis sanus fieri?* sciens ipsum omnino velle; sed quia anima quoque morbis laborabat, ideo paralyticum interrogat, *Vis sanus fieri?* id est, cave ne ultra pecces. *Vis sanus fieri?* Da consensum, & accipe medelam: quia nihil per necessitatem suscipio. Ego enim sum, qui a multis annis per prophe-

*Isai.* 1. 19. tam clamavi: *Si volueritis & audieritis me, bona terræ comedetis; si vero nolueritis nec audieritis, gladius vos absumet.* Quia ergo liberi arbitrii animal est homo, & paralyticus anima dissolutus erat, ideo Dominus, ne illi medelam mercede vacuam præberet, interrogat illum dicens: Peto consensum, *Vis sanus fieri?* De corporeis morbis non interrogat Dominus, *Vis sanus fieri?* ut neque hæmorrhoïssam, neque leprosum, neque duos cæcos interrogavit. Ubi enim animæ morbum videt, statim interrogat, ut consensum accipiat; nisi vero accipiat, medelam non affert. Interrogare poterit quispiam, Quid ergo? Duo quoque cæci an peccatorum notam habebant, quia illos quoque

*Matt.* 20. 32. interrogavit Dominus, *Quid vultis ut faciam vobis?* Num illi quoque in peccatis erant? Audi qui contradicis. Illi quoque duo cæci in evangeliis memorati, cæci erant corporeis oculis & animæ visu. Non clare videbant circa Dominum, non habebant perfectam notitiam, dubitabant circa confessionem. Ideo Dominus medelam differt, ut fidem roboraret. Sed contra dixeris. Cur cæcos damnas? fideles erant viri. Annon ubi audierunt Dominum transire, clamaverunt dicentes, *Miserere nostri, Domine, fili David?* Quomodo ergo peccatores erant qui tali voce clamarent? Audi qui contradicis. Ob hanc vocem, quam primo protulerunt, medelæ dilationem Dominus attulit: quia rogantes dicebant, *Miserere nostri, fili David.* Quis filius David tantam virtutem exhibeat, & tanta miracula edat? Speciosus erat Absalon, sed parricida; desiderabilis Amnon, sed sororem suam violavit; sapiens Salomon, sed in fine lapsus est. Quia ergo ut ad filium David accedebant, nec Deum potentem esse putabant; peritum medicum, non Deum gloriosum, clamantibus cæcis, *Miserere nostri, fili David*, non respondit eis, ut fidem illis augeri curaret. Ideo per dilationem illam cæci mente sunt illuminati. Et paulopost, ut vidit illos Dominus mente illuminatos fidei luminare accepisse, interrogat il-

*Matt.* 9. 28. los dicens: *Creditis quod possim hoc facere?* Quid ergo cæci? Proficientes dicunt, *Etiam, Domine.* Non ultra dixerunt, Etiam, fili David; sed, Etiam, Domine. In mentem revocarunt dilationem; ideo statim confessionem emittunt dicentes, Etiam, Domine, credimus quod hoc possis facere. Deinde ut ostendat Dominus ipsos in fide profecisse, respondit, *Secundum fidem vestram fiat vobis.* Itaque si non in fide profecissent, visum non recepissent. Ideo Dominus quia paralyticus magis in anima peccatis æger, interrogat illum dicens, *Vis sanus fieri?* id est, si accipias medelam; ne rursus in paria incidas. *Vis sanus fieri?* Paralyticus vero nesciens quis esset is qui loquebatur, Domino respondit,

A ἔφη πρὸς αὐτὸν, καθὼς οἴδατε πάντες σαφῶς, θέλεις ὑγιὴς γενέσθαι; ἀλλ' ἐνταῦθα εὐθέως ἐπιλαμβάνονται οἱ Ἰουδαίων παῖδες τοῦ κυρίου λέγοντες· εἰ θεὸς ἦν ὁ Χριστὸς, πῶς ἐπερωτᾷ τὸν παράλυτον, θέλεις ὑγιὴς γενέσθαι; τῇ νόσῳ συνείχετο, τριάκοντα καὶ ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀῤῥωστίᾳ· τῇ κολυμβήθρᾳ παρέμενεν, ἵνα τὸ πάθος ἀποῤῥίψηται, καὶ ἐπερωτᾷ τοῦτον, θέλεις ὑγιὴς γενέσθαι; ποῖος θεὸς ὁ ἐρωτῶν; ἄκουε ὁ ἀντιλέγων. ἐνταῦθα ὁ κύριος, οὐχ ὡς ἀγνοῶν ἐπερωτᾷ, ἀλλ' ὡς διὰ πάντων τὴν διόρθωσιν βουλόμενος χαρίσασθαι. εἰ τοῦ σώματος μόνου ἡ ἀσθένεια ἦν, οὐκ ἂν ἔλεγεν ὁ κύριος πρὸς τὸν παράλυτον, θέλεις ὑγιὴς γενέσθαι; εἰδὼς ὅτι θέλει ὁ θέλει· ἀλλ' ἐπειδὴ ψυχικῶς πλασμάτων ἦν ὀλίσθημα, τούτου ἕνεκεν ἐπερωτᾷ τὸν παράλυτον λέγων, θέλεις ὑγιὴς γενέσθαι;
B τουτέστι, παραφύλαττε ἀπὸ τοῦ λοιποῦ μὴ ἁμαρτάνειν. θέλεις ὑγιὴς γενέσθαι; δὸς τὴν συγκατάθεσιν, καὶ λάβε τὴν ἴασιν· ἐπειδὴ οὐδὲν ἀνάγκῃ μετέρχομαι. ἐγὼ γάρ εἰμι ὁ διὰ τοῦ προφήτου βοήσας ἐκ πολλῶν τῶν χρόνων· ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. ἐπεὶ οὖν αὐτεξούσιον ζῶον ὁ ἄνθρωπος, καὶ ψυχικῶς ὁ παράλυτος ἦν διαλελυμένος, τούτου ἕνεκεν ὁ κύριος, ἵνα μὴ ἄμισθον αὐτῷ τὴν θεραπείαν παράσχῃ, ἐπερωτᾷ τοῦτον λέγων· αἰτῶ τὴν συγκατάθεσιν· θέλεις ὑγιὴς γενέσθαι; ἐπὶ τῶν σωματικῶν παθῶν οὐδ' ὅλως ἐπερωτᾷ ὁ κύριος, θέλεις ὑγιὴς γενέσθαι; ὡς οὔτε τὴν αἱμοῤῥοοῦσαν, οὔτε τὸν λεπρὸν, οὔτε τοὺς δύο τυφλοὺς ἐπηρώτησεν. ὅπου γὰρ ψυχικὸν ἴδῃ πάθος, εὐθέως ἐπερωτᾷ, συγ-
C κατάθεσιν δέξασθαι βουλόμενος· εἰ μὴ δέξηται συγκατάθεσιν, ἴασιν οὐ παρέχει. ἔστι δὲ πάντως εἰπεῖν τινα, τί οὖν; καὶ οἱ δύο τυφλοὶ ἁμαρτιῶν ἔφερον γνώρισμα, ὅτι κἀκείνους ἐπηρώτησεν ὁ κύριος λέγων, τί θέλετε ἵνα ποιήσω ὑμῖν; μὴ κἀκεῖνοι ἁμαρτίας ἐπεφέροντο; ἄκουε ὁ ἀντιλέγων. κἀκεῖνοι οἱ ἀναγεγραμμένοι ἐν τοῖς θείοις εὐαγγελίοις δύο τυφλοὶ, συνετυφλοῦντο τοῖς σωματικοῖς ὀφθαλμοῖς καὶ τὸ ψυχικὸν βλέμμα· οὐκ ὀξυδορκοῦν περὶ τὸν κύριον, οὐκ εἶχον τελείαν τὴν γνῶσιν, ἀμφέβαλλον περὶ τὴν ὁμολογίαν. διὸ καὶ ὁ κύριος ὑπερτίθεται τὴν ἴασιν, ἵνα κρατύνῃ τὴν πίστιν. ἔστι δὲ πάντως εἰπεῖν· τίνα καταψηφίσῃ τῶν τυφλῶν; πιστοὶ ἦσαν οἱ ἄνδρες. οὐχὶ μόνον ἤκουσαν ὅτι ὁ κύριος παροδεύει, καὶ ἐβόησαν λέγοντες, ἐλέησον ἡμᾶς, κύριε υἱὲ Δαυίδ. πῶς τοίνυν ἁμαρτωλοὶ οἱ ταύτην τὴν
D φωνὴν βοήσαντες; ἄκουε ὁ ἀντιλέγων. διὰ ταύτην τὴν φωνὴν ἣν πρῶτον ἔῤῥηξαν, καὶ τὴν ὑπέρθεσιν ὁ κύριος τῆς ἰάσεως ἐποιήσατο· ἐπειδὴ παρακαλοῦντες ἔλεγον, ἐλέησον ἡμᾶς, υἱὲ Δαυίδ. ποῖος υἱὸς Δαυὶδ τοσαύτην δύναμιν παρέχει, ἢ τοσαύτας θαυματουργίας; ὡραῖος ὁ Ἀβεσσαλώμ· ἀλλὰ πατροκτόνος ἐφάνη. ποθητὸς ὁ Ἀμνών· ἀλλὰ τὴν ἰδίαν ἀδελφὴν διέφθειρε. σοφὸς ὁ Σολομών· ἀλλ' εἰς τὸ τέλος ὠλίσθησεν. ἐπεὶ οὖν ὡς υἱῷ Δαυὶδ προσῆλθον, καὶ οὐχὶ θεὸν κραταιὸν δοκοῦντες αὐτὸν, καὶ ἐπιστήμονα ἰατρὸν, οὐχὶ δὲ ἔνδοξον θεὸν, βοώντων τῶν τυφλῶν, ἐλέησον ἡμᾶς, υἱὲ Δαυὶδ, οὐκ ἔδωκεν αὐτοῖς ἀπόκρισιν, ἵνα τὴν πίστιν αὐτῶν προκόψαι παρασκευάσῃ. διὸ τὴν ὑπέρθεσιν οἱ τυφλοὶ δεξάμενοι, κατὰ ψυχὴν ἐφωτίσθησαν. καὶ μετ' ὀλίγον, ὡς οἶδεν αὐτοὺς ὁ κύριος, ὅτι κατὰ
E ψυχὴν ἐφωτίσθησαν, καὶ ἐδέξαντο τὸν φωστῆρα τῆς πίστεως, ἐπερωτᾷ λέγων αὐτοῖς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; τί οὖν οἱ τυφλοί; προκόψαντές φασι, ναὶ, κύριε. οὐκ ἔτι εἶπον, ναὶ, υἱὲ Δαυίδ· ἀλλὰ, ναὶ, κύριε. ὑπεμνήσθησαν τῆς ἀναβολῆς· διὸ παραυτὰ τὴν ὁμολογίαν ποιοῦνται λέγοντες, ναὶ, κύριε, πιστεύομεν ὅτι δύνασαι τοῦτο ποιῆσαι. εἶτα δεικνὺς ὁ κύριος, ὅτι τῇ πίστει προέκοψαν, ἀπεκρίνατο λέγων, κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν· ὡς εἰ μὴ προέκοψαν τῇ πίστει, τὸ βλέπειν οὐκ ἐδέχοντο. διὰ τοῦτο καὶ ἐνταῦθα ὁ κύριος, ἐπειδὴ ὁ παράλυτος μᾶλλον ψυχικῶς ἦν ἐξηρθρωμένος τῇ τῶν ἁμαρτημάτων καταφθορᾷ, ἐπερωτᾷ τοῦτον λέγων, θέλεις ὑγιὴς γενέσθαι; τουτέστιν, ἐὰν δέξῃ τὴν ἴασιν, μὴ μέλλῃς πάλιν τὰ αὐτὰ μετέρχεσθαι. θέλεις ὑγιὴς γενέσθαι; ὁ δὲ παράλυτος μὴ εἰδὼς ἔτι τίς ἐστιν ὁ λαλῶν, ἀπεκρίνατο πρὸς τὸν κύριον λέγων,

θέλω

A θέλω ὑγιὴς γενέσθαι. καλῶς ἐπηρώτησας· θέλω. οὐκέτι γὰρ θέλω. πολλάκις θελήσας, οὐδὲν ἤνυσα. τί λοιπόν; θέλω ὃ οὐ λαμβάνω, θέλω ὑγιὴς γενέσθαι. κατηγόρευσα τῇ κλίνῃ, τάφος εἰμὶ πολύλαλος, τέθνηκα ζῶν, οὐδὲν καινότερον μετὰ θάνατον ὑπομένειν μέλλω. ὅρκον με πάντες λαμβάνουσι. τριάκοντα καὶ ὀκτὼ ἔτη παρασιτεύω τῇ κολυμβήθρᾳ, καὶ οὐδεὶς συμπαθεῖ. πιπράσκεται τὸ δῶρον, καπηλεύουσιν αὐτὸ Φαρισαίων παῖδες. εἷς τοῦ ἐνιαυτοῦ καθαίρεται· καὶ δέον τὸν πρῶτον προτιμᾶσθαι, ὁ εὐπορώτερος τοίνυν προκρίνεται. ἄκριτος ἡ κολυμβήθρα· ἄδικα τὰ παρόντα. ἆρα ἔσται ποτὲ ἐπισκοπή τις δικαία, ἵνα μὴ τὸ δῶρον καπηλεύηται, ἀλλὰ πᾶσιν ἀφθόνως διδῶται; ὁ δὲ κύριος πρὸς τὸν παράλυτον· τί ἐν ἑνὶ τόπῳ κατακείμενα

B πελάζεις τῷ λογισμῷ; ὡς ἀγνοοῦντί μοι διαλέγῃ; τῆς κολυμβήθρας δεσπόζω, καὶ οὐκ οἶδα τὰ γινόμενα; ἔγνων τὴν τῶν Ἰουδαίων πραγματείαν. διὰ τοῦτο παραγενόμην ἀνταλλάξαι τὴν κολυμβήθραν· καὶ νῦν ταύτην παύω, καὶ τὴν τοῦ βαπτίσματος ἀνοίγω. ἐν ταύτῃ εἷς κάθετος καθαίρεται· ἐκεῖ ἀναρίθμητοι καθ' ἑκάστην ἀναγεννηθήσονται. ἐν ταύτῃ ἄγγελον ἀπέστειλα· ἐν ἐκείνῃ ἐγὼ ὁ τῶν ἀγγέλων ποιητὴς κατῆλθον. διὸ πρὸς τὴν ἐρώτησιν ἀποκρίθητι· θέλεις ὑγιὴς γενέσθαι; τουτέστι, πιστεύεις ὅτι ἐν τούτοις δυνατός εἰμι ὁ λαλῶν σοι; ὁ δὲ παράλυτος μικρὸν ἀνακύψας, καὶ τὴν δεσποτείαν τοῦ κυρίου γνωρίσας, τῇ συνηθείᾳ δὲ ἔτι συνεχόμενος, ἀπεκρίνατο λέγων, ἅπερ ἴστε σαφῶς γινώσκοντες· ναί, κύριε. ἄνθρωπον δὲ οὐκ ἔχω, ἵν', ὅταν

C ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. ὁ δὲ κύριος πρὸς τὸν παράλυτον· τί λαμβάνεις, παράλυτε; ἀρκεῖ σοι τὸ γνωρίσαι με κύριον. μὴ φαντάζου περὶ πολλά, μὴ εἰς τὴν ταραχὴν τῆς κολυμβήθρας ἀφόρα. τετάρακται τὰ Ἰουδαϊκά· τῆς ἐμῆς πηγῆς τὴν ὀγδοάδα ἔχε. ἃ ἐπιζητεῖς οἶδα· εἰ γὰρ καὶ ἄνθρωπον οὐκ ἔχεις, ἀλλὰ παρέστηκά σοι ὁ ἐνανθρωπήσας θεός. διὸ ἄκουσόν μου, καὶ ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. δρίμυξον Ἰουδαίους, θάμβησον δαίμονας, κάπνισον ἀντιλέγοντας, πληροφόρησον τοὺς περιτρέχοντας, λῦσον τὴν τοῦ σαββάτου ἀργίαν, ἀντιδικολόγου, τὴν κλίνην φύλαττε. ταῦτα ἀκούσας ὁ παράλυτος, καὶ τὸ πάθος παραχρῆμα ἀποθέμενος

D τῷ τοῦ κυρίου λόγῳ, τὸ πρόσταγμα ἐπλήρου, καὶ τὴν κλίνην ἐβάσταζε· καὶ τοὺς Ἰουδαίους κωλῦσαι θέλοντας διὰ τὸ σάββατον, καὶ λέγοντας, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον, ὅτι σάββατόν ἐστιν, ἀπεσόβει, ὡς πρόσταγμα πληρῶν τοῦ κελεύοντος, λέγων πρὸς αὐτούς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. τῶν δὲ ἀνόμων Ἰουδαίων αἰτιωμένων τὸν κύριον, καὶ ἐρωτώντων, τίς ἐστιν ὁ ἰασάμενος, καὶ προστάξας αὐτῷ ἆραι τὸν κράββατον, καὶ δίκην κυνῶν ὑλακτούντων κατὰ τοῦ τεθεραπευκότος, ἐνέμεινεν ὁ ἰαθεὶς μαρτυρικῶς ἀγωνισάμενος κατὰ τῶν μιαιφόνων. εὑρίσκει αὐτὸν μετὰ ταῦτα πάλιν ὁ κύριος, καὶ λέγει αὐτῷ· ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ὁρᾷς, ἀγαπητέ, ὅτι

E διὰ τὰς ἁμαρτίας τοσοῦτον χρόνον τῇ ἀσθενείᾳ κατείχετο; ἐπιστρέψωμεν τοίνυν καὶ ἡμεῖς, ὅπως καὶ τῆς προσκαίρου ταύτης κολάσεως ῥυσθῶμεν, καὶ τῆς αἰωνίου γεέννης ἐκφύγωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Volo sanus fieri. Bene interrogasti an velim, non enim ultra volo. Dum multum vellem, nihil perfeci. Quid tandem? volo id quod non accipio, volo sanus fieri. In lecto senui, sepulcrum loquax sum, vivens mortuus sum, nihil novum post mortem exspecto: in juramentum me omnes assumunt: triginta & octo annis juxta piscinam vitam ago, & nemo mei miseretur. Venditur donum: illud cauponantur Pharisæi. Unus quotannis mundatur: & cum oporteret primum præferri, qui opulentior est præponitur. Piscina non discernit: injusta hæc sunt. An erit unquam inspectio justa, ut non cauponentur donum, sed omnibus copiose tribuatur? Tum Dominus Paralytico: Cur ea quæ uno in loco sunt ratiocinio jungere tentas? An mihi ut ignoranti loqueris? Piscinæ sum dominus, & quæ fiunt nesciam? Novi Judæorum negotiationem. Ideo adveni, ut piscinam mutem. Nunc illam abrogo, & baptismatis piscinam aperio. In hac unus positus mundatur; in illa innumeri quotidie regenerantur; in hanc angelum misi, in illam ego angelorum creator descendi. Ideo ad rem quæsitam responde, *Vis sanus fieri*? id est, credis me, qui loquor tibi, hoc facere posse? Paralyticus vero paulum erectus, & potentiam Domini agnoscens, sed consuetudine adhuc detentus, respondit ea dicens quæ vos scitis: *Etiam Domine. Sed hominem non habeo, ut cum turbata fuerit aqua, me injiciat in piscinam: dum autem venio ego, alius ante me descendit.* Tum Dominus Paralytico: Quid assumis, paralytice? Sufficit tibi ut me Dominum agnoscas. Ne multa imagineris, ne turbatam piscinæ aquam respicias. Turbata sunt Judaïca; fontis meæ ogdoadem habeto. Scio quid postules. Etiamsi enim hominem non habeas, adsum tibi Deus incarnatus. Idcirco audi me, *Surgens tolle grabatum tuum, & vade in domum tuam.* Exaspera Judæos, percelle dæmonas, in fumum redige contradicentes, certiores fac eos qui accurrunt, solve sabbati otium, contradicito, lectum custodito. His auditis paralyticus, morbo statim per Domini verbum deposito, jussum implevit, & lectum portavit, ac Judæos cohibere volentes ob sabbatum, ac dicentes, *Non licet tibi tollere grabatum, quia Sabbatum est*, refellebat, ut jubentis mandatum complens, dicens illis: *Qui me sanum fecit, ille mihi præcepit, Tolle grabatum tuum, & ambula.* Iniquis vero Judæis Dominum accusantibus & interrogantibus, quis sanasset, quis jussisset tollere grabatum, & canum instar latrantibus contra medicum; qui sanatus fuerat martyris instar concertabat contra sanguinarios illos. Invenit autem rursus postea illum Dominus, & dicit illi: *Ecce sanus factus es: noli amplius peccare, ne tibi quid deterius contingat.* Viden' dilecte, quod propter peccata sua tamdiu in infirmitate detentus fuerit? Convertamur itaque & nos, ut & a temporaneo supplicio liberemur, & æternam gehennam fugiamus, in Christo Jesu Domino nostro, cui gloria & imperium in sæcula sæculorum, amen.

Joan. 5. 10.

Joan. 5. 14.

In Evangelium secundum Lucam, in drachmam, & in illud, Homo quidam habebat duos filios.

Luc. 15. 8.

RURSUM sinus Christi perenne & dulce caritatis fluentum emittit: rursus Christi illuminans sapientia lucernam accendens, & in candelabro crucis ponens, totum orbem ad pietatem illustrat. Hac utens lucerna Dei sapientia, drachmam unam perditam quærens, inventam cum novem drachmis angelorum conjunxit. Quæ vero sit mulier quæ decem drachmas habuit, necesse est, dilecti, dicere. Hæc est Dei sapientia, quæ habet decem drachmas: quas? Numera: angelos, archangelos, Principatus, Potestates, Virtutes, Thronos, Dominationes, Cherubim, Seraphim, & Adam protoplastum. Hanc Adami drachmam, ex diaboli nequitia avulsam, & in hoc vitæ profundum detractam, ac variis peccatorum voluptatibus demersam, veniens Dei sapientia invenit. Quomodo invenit, dilecti? Venit de cælis, accipit testaceam corporis lucernam, accendit illam luce divinitatis, imponit candelabro crucis, quærit drachmam, in aulam & in angelorum pascua inducit illam. Sed fortasse dicent quidam ex adstantibus, qui post baptisma peccaverunt, Qui ad nos si Adam servatus est? Quomodo misericordiam, quomodo salutem consequemur, qui post baptismum deliquimus? Quibus dicemus: Qui tales estis ne timeatis, ne turbemini, ne animo deficite. Non enim ita Adam Deus curavit, ut nos contemserit. Sed si illi mulier fuit habens drachmas decem; tibi pater est misericors, habens filios duos, qui alterum errantem rursum ulnis complectitur. Omnibus enim omnia factus est, ut omnes lucraretur.

Luc. 15. 11. Modo audivimus evangelium dicens: *Homo quidam habuit duos filios: & dixit adolescentior ex illis patri: Pater, da mihi substantiam. Et divisit illis facultates. Et non post multos dies, congregatis omnibus adolescentior filius, peregre profectus est in regionem longinquam, & ibi dissipavit substantiam suam vivendo luxuriose. Et postquam omnia consummavit, facta est fames valida in regione illa: & adiit unum de civibus, & misit illum civis in villam suam, ut pasceret porcos. Et cupiebat implere ventrem suum de siliquis, quas porci manducabant, & nemo illi dabat. In se autem reversus dixit: Quot mercenarii in domo patris mei abundant panibus, ego autem hic fame pereo? Surgam & ibo ad Patrem meum, & dicam ei: Pater, peccavi in cælum, & coram te; & non sum dignus vocari filius tuus: fac me sicut unum de mercenariis tuis.* Hujus loci sensus, non extra, sed in nobis ipsis quærendus est. Propter nos enim dictæ sunt parabolæ, & propter nos leguntur, ut nemo de seipso desperet, etiamsi admodum peccator sit, sed cum pœnitentia accedat ad Deum, & quærat ab eo propitiationem; maxime vero si quis ex vobis per fidem in Dominum factus sit Filius Dei.

Joan. 1. 12. *Quotquot autem receperunt eum*, inquit, *dedit eis potestatem filios Dei fieri.* Si quis ergo vestrûm per fidem in Dominum nostrum factus est ejus filius, & sese removit ab illo, non loco, sed moribus; si quem fames invasit, non communis panis, sed cælestis; nam

Psal. 77. 28. ait, *Panem cæli dedit eis, panem angelorum manducavit homo*; molles voluptates porcis similes relinquat, nec ultra siliquas comedere desideret. Quæ sunt siliquæ? ligni fructus. Siliquæ sunt peccato similes. Sicut enim siliquæ initio gustui sunt suaves, sed postea guttur exasperant;

A Εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, εἰς τὴν δραχμὴν, καὶ εἰς τὸ, ἄνθρωπός τις εἶχε δύο υἱούς.

ΠΑΛΙΝ οἱ κόλποι Χριστοῦ ἄπαυστον νᾶμα τῆς ἀγάπης μέλιμα βλαστάνουσι· πάλιν ἡ τοῦ Χριστοῦ λαμπαδοῦχος σοφία ἅψασα λύχνον καὶ ἐπὶ τὴν λυχνίαν τοῦ σταυροῦ ἐπιθεῖσα, πᾶσαν τὴν οἰκουμένην δᾳδουχεῖ πρὸς εὐσέβειαν. τούτῳ τῷ λύχνῳ χρησαμένη ἡ τοῦ θεοῦ σοφία, τὴν μίαν τὴν δραχμὴν ἀπολωλυῖαν ζητήσασα, καὶ εὑραμένη, ταῖς ἐννέα δραχμαῖς τῶν ἀγγέλων συνέζευξε. τίς δὲ ἂν εἴη ἡ γυνὴ ἡ ἔχουσα τὰς δέκα δραχμὰς, ἀναγκαῖον, ἀγαπητοὶ, εἰπεῖν. αὕτη ἐστὶν ἡ τοῦ θεοῦ σοφία, ἔχουσα τὰς δέκα δραχμάς.

B ποίας; ψήφισον· ἀγγέλους, ἀρχαγγέλους, ἀρχὰς, ἐξουσίας, δυνάμεις, θρόνους, κυριότητας, χερουβὶμ, σεραφὶμ, καὶ Ἀδὰμ τὸν πρωτόπλαστον. ταύτην τὴν δραχμὴν τοῦ Ἀδὰμ ὑπὸ τῆς τοῦ διαβόλου κακίας ἐκβοσκηθεῖσαν, καὶ εἰς τόνδε τὸν βυθὸν τοῦ βίου καθελκυσθεῖσαν, καὶ ταῖς πολυφθόγγοις ἡδοναῖς τῶν ἁμαρτημάτων χωσθεῖσαν, ἐλθοῦσα ἡ τοῦ θεοῦ σοφία ἀνεύρατο. πῶς εὕρατο, ἀγαπητοί; ἦλθεν ἐξ οὐρανῶν, λαμβάνει τὸν ὀστράκινον λύχνον τοῦ σώματος, ἅπτει τῷ φωτὶ τῆς θεότητος, ἐπιτίθησι τῇ λυχνίᾳ τοῦ σταυροῦ, ζητεῖ τὴν δραχμὴν, εἰς τὴν αὐλὴν καὶ τὴν ἀγγέλων νομὴν ἐμάνδρευσεν αὐτήν. ἀλλ' ἴσως ἐροῦσί τινες τῶν ἐνθάδε ἑστώτων, οἵτινες μετὰ τὸ βάπτισμα ἥμαρτον, λέγοντες· τί πρὸς ἡμᾶς, εἰ Ἀδὰμ ἐσώθη; πῶς ἡμεῖς ἐλεηθῶμεν; πῶς σωθῶμεν, ὅτι μετὰ τὸ βάπτισμα ἠνομήσαμεν;

C πρὸς οὓς λέγομεν, οἱ τοιοῦτοι μὴ φοβεῖσθε, μὴ θροεῖσθε, μὴ ταράσσεσθε, μὴ ἀθυμεῖτε. οὐ γὰρ περὶ μὲν τοῦ Ἀδὰμ ἐμέλησε τῷ θεῷ, ὑμῶν δὲ κατεφρόνησεν· ἀλλ' ἐκείνῳ μὲν ἐγένετο γυνὴ ἔχουσα δραχμὰς δέκα· σοὶ δὲ γίνεται πατὴρ εὔσπλαγχνος, ἔχων δύο υἱοὺς, καὶ τὸν πεπλανημένον πάλιν ἐναγκαλιζόμενος. τοῖς γὰρ πᾶσι τὰ πάντα γέγονεν, ἵνα τοὺς πάντας κερδήσῃ. ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελίου λέγοντος· ἄνθρωπός τις εἶχε δύο υἱούς· καὶ προσελθὼν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ εἶπε· πάτερ, δός μοι τὴν οὐσίαν. ὁ δὲ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ οὐ μετὰ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν· κἀκεῖ ἀνήλωσε τὸν βίον αὐτοῦ, ζῶν ἀσώτως. δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ προσῆλθεν ἑνὶ τῶν πολιτῶν, καὶ πέμπει αὐτὸν ὁ πολίτης εἰς ἀγροὺς βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ

D ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ γενόμενος ἔφη· πόσοι νῦν μίσθιοι παρὰ τῷ πατρί μου ἄρτων περισσεύουσιν, ἐγὼ δὲ ὧδε λιμῷ ἀπόλλυμαι; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. τούτου δὲ τὸν νοῦν οὐκ ἔξω δεῖ περιζητεῖν, ἀλλ' ἐν ἡμῖν αὐτοῖς. διὰ γὰρ ἡμᾶς εἴρηνται αἱ παραβολαὶ, καὶ δι' ἡμᾶς ἀναγινώσκονται, ἵνα μηδεὶς ἑαυτὸν ἀπελπίσῃ, κἂν σφόδρα ἁμαρτωλὸς τυγχάνῃ, ἀλλὰ προσέλθῃ τῷ θεῷ μετανοῶν καὶ ζητῶν παρ' αὐτοῦ ἱλασμὸν, μάλιστα εἴ τις ὑμῶν διὰ τῆς πίστεως τῆς εἰς τὸν κύριον γέγονε τοῦ θεοῦ υἱός. ὅσοι γὰρ ἐδέξαντο αὐτὸν, φησιν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. εἴ τις οὖν ὑμῶν διὰ τῆς εἰς τὸν κύριον ἡμῶν πίστεως γέγονεν αὐτοῦ υἱὸς, καὶ ἐμακρύνθη

E ἀπ' αὐτοῦ, οὐ τόπῳ, ἀλλὰ τρόπῳ· εἴ τινος ἥψατο ὁ λιμὸς, οὐ τοῦ κοινοῦ ἄρτου, ἀλλὰ τοῦ ἐπουρανίου· ἄρτον γάρ, φησιν, οὐρανῶν ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος· καταλιπέτω τὰς μαχλώσας ἡδονὰς χοίροις ἐοικυίας, καὶ μηκέτι ἐπιθυμείτω κεράτια ἐσθίειν. τί ἐστι τὰ κεράτια; ξύλου καρπός. τὰ κεράτια τῇ ἁμαρτίᾳ ἀπείκασται. ὥσπερ γὰρ τὰ κεράτια παρὰ τὴν ἀρχὴν τῆς γεύσεως γλυκαίνει, μετὰ δὲ τὴν γεῦσιν τραχύνει τὸν φάρυγγα·

οὕτω καὶ ἡ ἁμαρτία ἐν μὲν τῇ ἀρχῇ τῆς γεύσεώς ἐστι γλυκεῖα, μετὰ δὲ τὴν γεῦσιν τραχεῖα. καὶ τοῦτό ἐστι τὸ λεγόμενον ὑπὸ τοῦ σοφοῦ Σολομῶντος· μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον δὲ πικρότερον χολῆς εὑρίσκεται, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. εἴ τινος ἥψατο λιμὸς τοῦ ἄρτου τοῦ οὐρανίου, προσελθέτω, ζητείτω. πᾶς γὰρ ὁ ζητῶν εὑρίσκει, καὶ ὁ αἰτῶν λαμβάνει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. κροῦσον τῆς μετανοίας τὴν θύραν τοῖς ἀλαλήτοις σου στεναγμοῖς· μὴ φοβηθῇς αὐτήν, οὐκ ἔστι σου ξένη ἡ θύρα· ὑπὲρ σοῦ ἀπέθανε. κἂν εἴπῃς ἐν σεαυτῷ, τίς ἐστιν; ἀποκρίνεταί σοι Χριστὸς καὶ λέγει· ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. εἰπὲ καὶ σύ, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου. εἴ τις τὸ οὐράνιον βάπτισμα λαβὼν ἥμαρτεν, εἰς οὐρανὸν ἥμαρτεν. ὁ γὰρ πρὸ τοῦ βαπτίσματος ἁμαρτάνων, ἐν γῇ ἁμαρτάνει. γῆ γὰρ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ τῷ Ἀδὰμ ἐρρέθη. εἴ τις δὲ Χριστὸν ἐνεδύσατο ἐν τῷ βαπτίσματι, οὐκ ἔτι γῆ τυγχάνει, ἀλλ᾽ οὐρανός. οἷος γὰρ ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. εἴ τις οὖν ἥμαρτε μετὰ τὸ βάπτισμα, εἰς οὐρανὸν ἥμαρτε. διὸ προσερχέσθω καὶ λεγέτω· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου, οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. διὰ τί; λέγε τὴν αἰτίαν· τὴν τῷ αἵματι Ἰησοῦ καρδίαν μου ἐρραντισμένην, ῥοδοειδῶς ἀνθοῦσαν, ταῖς ἡδοναῖς ἐβορβόρωσα· οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. σὲ παρώξυνα, τὸ πνεῦμά σου τὸ ἅγιον παρεπίκρανα, τὴν ἐξαστράπτουσαν στολὴν τῆς πίστεως τῇ ἁμαρτίᾳ ἐσπίλωσα. οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. τὴν ἐλευθερωθεῖσάν μου ψυχὴν τῷ βαπτίσματι, καὶ χιονωθεῖσαν τῷ φωτίσματι, σκοτίσας τῇ ἁμαρτίᾳ, ἐδούλωσα· οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. αἱ τοῦ σώματός μου αἰσθήσεις τῇ κραιπάλῃ μεθυσθεῖσαι, καθάπερ διάφοροι θεραπαινίδες, τὴν ἑαυτῶν δέσποιναν ψυχὴν τῇ ἀκολασίᾳ προέδωκαν· νυνὶ δὲ διὰ τῆς νηστείας ταύτας παιδεύσας, τὴν ψυχήν μου σωφρονίσω· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. οἶδα λοιπὸν τὴν πλάνην τοῦ ἐχθροῦ, οἶδα αὐτοῦ τὰ σκελίσματα, οἶδα τὴν τῆς γαστριμαργίας αὐτοῦ βελοστασίαν, φεύγω κραιπάλην, δι᾽ ἧς λύει τοὺς τόνους τῆς σωφροσύνης, διώκω τὴν νηστείαν τὴν τὸ νήφειν μοι παρέχουσαν· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ἐργάσομαι κἀγὼ εἰς τὸν ἀμπελῶνά σου· περιτεμῶ κἀγὼ τῇ δρεπάνῃ τοῦ πνεύματος τῆς ἔνδοθέν μου κειμένης ἀμπέλου λογικῆς τὰ περιττὰ κλήματα, μᾶλλον δὲ ἐγκλήματα· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. γεωργήσω κἀγὼ τὸν βότρυν τῆς ἀγάπης γλυκύτατον· ὑποστηρίσω κἀγὼ καθάπερ χάρακας τῇ ψυχῇ μου τὰς ἐντολὰς τοῦ κυρίου, ἵνα μὴ εἰς γῆν συρομένη ὑπὸ ὄφεως συλαγωγῆται· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. εἰς οὐρανοὺς αὐτὴν βλέπειν κατεργάσομαι· ἕλικας φιλαδελφίας αὐτὴν ἐκτείνειν παρασκευάσω, ἵνα τοὺς εἰς γῆν συρομένους πένητας ἐναγκαλιζομένη διαβαστάζῃ. ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. δός μοι πάλιν, πάτερ, τὸ ἄροτρον τοῦ σταυροῦ ἐπὶ τῶν ὤμων· γεωργήσω τὴν αὔλακα τῆς ψυχῆς μου, ἐξαρῶ τὰ ἀκανθοφόρα καὶ βλαβοποιὰ τοῦ πονηροῦ βλαστήματα, ἐπισπερῶ αὐτῇ τὰ οὐράνια σπέρματα. σοῦ γὰρ ἐπομβροῦντος ἄνωθεν τὸν ἔλεον, ἡ αὖλαξ τῆς ψυχῆς μου καρποφορήσει· ἡ μὲν τριάκοντα, ἡ δὲ ἑξήκοντα, ἡ δὲ ἑκατόν· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. μὴ ἀπώσῃς με, πάτερ· οὐ γὰρ παντελῶς με ἐχθρὸς ἐκνευρίσας, τὴν στολὴν τῆς πίστεως ἀπέδυσεν. εἰ γὰρ τὸ τῆς σωφροσύνης μου κάλλος ἐσπίλωσεν, ἀλλ᾽ οὖν γε τοῖς εἰδώλοις με αὐτοῦ λατρεύειν οὐδέποτε ἔκαμψε· σὲ οὐκ ἠρνησάμην, κύριέ μου. εἰ καὶ ἥμαρτον ἐν τῇ ἀκμῇ τῆς νεότητός μου· ἀλλ᾽ οὖν γε κνίσσαν εἰδώλων κατεπάτησα, εἰκόνας δαιμόνων κατέστρεψα, ξόανα εἰδώλων ἐξῄσχυνα, διάβολον ἐνεφύσησα, δαίμοσιν ἐνέπτυσα· νυνὶ δὲ τοῖς σοῖς ἴχνεσι προσπίπτω, ὁ κύριός μου, καὶ ὁ θεός μου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ἐὰν οὕτω μετανοήσῃς, ἐὰν οὕτως ἐξομολογήσῃ·

A sic peccatum initio dulce est, post gustum vero, amarum. Et hoc est quod dicit sapiens Salomon : *Ne attendas malæ mulieri : mel enim stillat a labiis mulieris meretricis, quæ ad tempus guttur impinguat; postremo autem amarior felle invenitur, & acutior gladio ancipiti.* (Prov. 5. 3) Si quem incesserit fames cælestis panis, accedat, quærat. *Omnis enim qui quærit, invenit, & qui petit, accipit, & pulsanti aperietur.* (Matt. 7. 8.) Pulsa pœnitentiæ januam ineffabilibus gemitibus : ne timeas illam, non est tibi extranea janua. Pro te mortuus est. Si dixeris in temetipso, Quis est? Respondet tibi Christus & dicit, *Ego sum ostium ovium.* Dic & tu : *Peccavi in cælum & coram te.* Si quis accepto cælesti baptismate peccavit, in cælum peccavit. Qui enim ante baptisma

B peccavit, in cælum peccavit. Qui enim ante baptisma peccat, in terram peccat. Adamo enim dictum est, *Terra es, & in terram reverteris.* (Gen. 3. 19.) Si quis vero Christum induerit in baptismate, non jam terra, sed cælum est. *Qualis enim terrenus, tales terreni, & qualis cælestis, tales cælestes.* (1. Cor. 15. 48.) *Quotquot enim in Christo baptizati estis, Christum induistis.* (Col. 3. 27.) Si quis ergo post baptismum peccavit, in cælum peccavit. Quare accedat & dicat : *Pater, peccavi in cælum & coram te, jam non sum dignus vocari filius tuus.* Quare? causam dicito. Cor meum sanguine Christi conspersum, rosæ instar florens, in voluptatum cœno demersi : *Non sum dignus vocari filius tuus.* Te irritavi, Spiritum sanctum tuum exacerbavi, fulgentem stolam fidei pec-

C cato inquinavi : *Jam non sum dignus vocari filius tuus.* Liberatam per baptisma animam meam, & nivis instar dealbatam per illuminationem, obscuram reddens, peccato subdidi. *Jam non sum dignus vocari filius tuus, fac me sicut unum de mercenariis tuis.* Corporis mei sensus crapula inebriati, quasi variæ ancillæ, dominam suam animam lasciviâ prodidere. Nunc autem per jejunium illas instituens, animam meam temperabo : *Fac me sicut unum de mercenariis tuis.* Novi demum erroris ducem inimicum, novi supplantationes ejus; novi immissa gulæ tela; fugio crapulam, per quam temperantiæ vim solvit, jejunium exerceo, quod mihi vigilantiam conciliat : *Fac me sicut unum de mercenariis tuis.* Operabor & ego in vinea tua, falce Spiritus amputabo interioris rationa-

D bilis vitis superfluos palmites, imo potius delicta : *Fac me sicut unum de mercenariis tuis.* Colam & ego uvam caritatis dulcissimam : fulciam quoque animam meam, quasi paxillis, præceptis Domini, ut ne in terram detracta a serpente diripiatur : *Fac me sicut unum de mercenariis tuis.* In cælum ipsam respicere curabo, palmitesque amoris fraterni expandere, ut in terram dejectos pauperes in ulnis assumens gestet : *Fac me sicut unum de mercenariis tuis.* Impone humeris meis rursum, Pater, aratrum crucis : colam sulcum animæ meæ, auferam spinosos & damnosos maligni frutices, feram in ipsa cælestia semina. Te enim superne imbrem misericordiæ mittente, sulcus animæ meæ

E fructum feret, aut trigesimum, aut sexagesimum, aut centesimum : *Fac me sicut unum de mercenariis tuis.* Ne repellas me, Pater, non enim me omnino inimicus enervavit, nec stola fidei exuit. Si enim temperantiæ meæ decorem inquinavit, at non me ita flexit, ut idola unquam colerem : te non negavi, Domine mi. Licet peccaverim in flore juventutis meæ; at nidorem idolorum conculcavi, imagines dæmonum prostravi, statuas idolorum deturpavi, diabolum exsufflavi, in dæmonas conspui. Nunc vero ad vestigia tua procumbo, Domine Deus meus : *Fac me sicut unum de mercenariis tuis.* Si sic pœnitentiam egeris, si sic confessus fueris;

adhuc te procul agente, accurret tibi cælestis Pater, Spiritu procumbens in collum animæ tuæ, caritatis tibi jugum imponens, & jugali veritatis ligno collum cordis tui constringens; osculo solvit inimicitiam, dicitque servis suis sacerdotibus: *Ferte primam stolam*; non dicit, ut ostendat primam baptismatis stolam tibi dari. *Ferte ipsi primam stolam*, Ferte unam stolam; sed, *Ferte primam stolam, & induite illum; & date annulum*, signum divitiarum, & thesauri custodem, pignus gratiæ, & signaculum Spiritus. *Et calceamenta in pedibus ejus*; id est, vestigium animæ ejus evangelii verbis firmate, ut ne rursus serpens calcaneum ejus sublingens, in pristinum peccati errorem illum retrahat. *Et ferte vitulum saginatum.* Quis est hic nisi Christus, qui post baptisma dignis datur, ut ait apostolus: *In quo inhabitat omnis plenitudo divinitatis corporaliter?* Afferte, manducemus & lætemur. Quis ex Judæis & Gentilibus credet, vitulum mactatum esse, & mundum restauratum? O vitule Virginis juvencæ, fili sacer inculti uteri! O vitule, qui occisus es, & vivis, qui semper a nobis comederis, & inconsumtus manes! Quapropter, dilecti, in securum & tranquillum portum ancoram verbi nostri demittentes, vos dimittamus postquam illapsu Sancti spiritûs, & concinna ejus lingua, pelagus divinarum scripturarum trajecimus; ipse in cælestem civitatem vos deducet, in Christo Jesu Domino nostro, cui gloria & imperium unà cum Patre sanctoque & adorando Spiritu, nunc & semper & in sæcula sæculorum, amen.

Col. 2. 9.

A ἔτι πόῤῥω σου ἀπέχοντος προστρέχει ὁ οὐράνιος πατὴρ, πνεύματι ἐπιπίπτων σου τῷ τραχήλῳ τῆς ψυχῆς, τὸ τῆς χάριτός σοι ζυγὸν ἐπιτιθεὶς, καὶ τῇ ζεύγλῃ τῆς ἀληθείας τὸν αὐχένα τῆς καρδίας σου περισφίγγων· φιλήματι λύει σου τὴν ἔχθραν, καὶ λέγει τοῖς ἑαυτοῦ δούλοις τοῖς ἱερεῦσι· φέρετε τὴν πρώτην στολήν. οὐκ εἶπε, φέρετε μίαν στολὴν, ἀλλὰ, φέρετε τὴν πρώτην στολὴν, ἵνα δείξῃ τὴν πρώτην τοῦ βαπτίσματος ἀξίαν σοι διδομένην. φέρετε αὐτῷ τὴν πρώτην στολὴν, καὶ ἐνδύσατε αὐτόν· καὶ δότε δακτύλιον, τὸ δεῖγμα τοῦ πλούτου, τὸν τοῦ θησαυροῦ φύλακα, τὸν ἀῤῥαβῶνα τῆς χάριτος, τὴν σφραγῖδα τοῦ πνεύματος· καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ· τουτέστι, τοῖς τοῦ εὐαγγελίου λόγοις τὸ ἴχνος τῆς ψυχῆς αὐτοῦ περισφίγξατε· ἵνα μὴ πάλιν ὁ ὄφις τὴν πτέρναν ὑπολείξας, εἰς τὴν προτέραν αὐτὸν πλάνην τῆς ἁμαρτίας κατασύρῃ. καὶ φέρετε τὸν μόσχον τὸν σιτευτόν. B τίς ἐστιν οὗτος, ἢ πάντως Χριστὸς, μετὰ τὸ βάπτισμα διδόμενος τοῖς ἀξίοις, καθὼς λέγει ὁ ἀπόστολος· ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; φέρετε, φαγόντες εὐφρανθῶμεν. τίς ἄρα ἐν Ἰουδαίοις καὶ Ἕλλησι πιστεύσει, ὅτι μόσχος ἐσφάγη, καὶ κόσμος ἐσώθη; ὦ μόσχος παρθένου δαμάλιδος, τέκνον ἱερὸν ἀνηρότου μήτρας· ὦ μόσχος ὁ σφαγὶς καὶ ζῶν· καὶ πάντοτε ὑφ' ἡμῶν ἐσθιόμενος, καὶ ἀδαπάνητος μένων. διὸ, ἀγαπητοὶ, εἰς τὸν εὐσταθῆ καὶ εὔδιον λιμένα τὴν ἄγκυραν τοῦ λόγου ἡμῶν χαλάσαντες, παραπεμψώμεν ὑμᾶς τῇ τοῦ ἁγίου πνεύματος ἐμβολῇ, καὶ τῇ εὐρύθμῳ αὐτοῦ γλώσσῃ διατεμόντες πέλαγος τῶν θείων γραφῶν, εἰς οὐράνιον πόλιν * χειραγωγήσει ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ, σὺν τῷ ἁγίῳ καὶ προσκυνητῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## *Quod oporteat eum qui gratiam quamlibet scientia habeat, illam ei, qui opus habet, impertire: & de Presbytero.*

BENIGNUS Deus genus nostrum miseratus, nullum hominem relinquit sine gratia sua: non solum enim justis dat gratiam, sed etiam peccatoribus: quia largus est, & sine personarum acceptione, ac solem suum oriri facit super justos & injustos, & vult omnes homines salvos fieri. Nec despicit peccatorem; sed illi quoque modicam dat gratiam, ut accipiens donum, dantem honoret, & gratias agens, convertensque se a via sua mala, pœnitentiam agat. Si autem, acceptâ gratiâ, in iisdem malis maneat, tunc demum auferetur ab illo gratia quam accepit, & condemnabitur ad gehennam ignis, quia non novit honorem & honorantem; & impletur in illo id quod scriptum est: *Homo cum in honore esset, non intellexit: comparatus est jumentis insipientibus, & similis factus est illis.* Novi ego homines peccatores, qui manus imposuerunt ægris, & sanaverunt eos. Verum hoc duobus fit modis; nec solum ad gratiam dantis, sed etiam ad gratiam accipientis. Nisi crederet is qui accipit, neque a justo, neque a peccatore gratiam acciperet. Qui vero credit, etiam à peccatore gratiam curationis accipit. Singulis enim secundum fidem gratia datur. Etenim Dominus accedentibus dicebat: Secundum fidem vestram fiat vobis. Tu crede in nomine Domini ad quem accedis, & ne hæsitaveris ullo modo, & gratiam accipies. Deus enim est qui operatur. Multi presbyteri peccatores dona offerunt, nec aversatur illos Deus, sed Sancto spiritu sanctificat dona proposita: & panis quidem fit corpus Christi, & calix fit sanguis pretiosus Domini. Quidam vero opinantur se congruenter agere, quod non communicent cum quibusdam presbyteris,

Psal. 48. 13.

Matt. 9. 29.

## C Ὅτι χρὴ τὸν ἔχοντα χάριν οἵαν δήποτε ἐπιστήμης μεταδιδόναι τῷ χρείαν ἔχοντι, καὶ περὶ πρεσβυτέρου.

ὉΦΙΛΑΝΘΡΩΠΟΣ θεὸς οἰκτείρων τὸ γένος ἡμῶν, οὐκ ἀφίησι πάντα ἄνθρωπον ἄνευ τῆς αὐτοῦ χάριτος. οὐ γὰρ μόνον τοῖς δικαίοις δίδωσι χάριν, ἀλλὰ καὶ τοῖς ἁμαρτωλοῖς· ἐπειδὴ ἄφθονός ἐστι, καὶ ἀπροσωπόληπτος, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίοις καὶ ἀδίκοις, καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι. καὶ οὐ παρορᾷ τὸν ἁμαρτωλὸν, ἀλλὰ δίδωσι κἀκείνῳ μικρὰν χάριν, ἵνα λαβὼν τὸ χάρισμα, τιμήσῃ τὸν δεδωκότα, καὶ εὐχαριστήσας αὐτῷ, καὶ ἐπιστρέψας ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς μετανοήσῃ. ἐὰν δὲ καὶ λαβὼν τὴν χάριν, D ἐπιμείνῃ τοῖς αὐτοῖς κακοῖς, τότε λοιπὸν ἀρθήσεται ἀπ' αὐτοῦ καὶ ἣν ἔλαβε χάριν, καὶ κατακριθήσεται ἐν τῇ γεέννῃ τοῦ πυρὸς, διότι οὐκ ἔγνω τὴν τιμὴν καὶ τὸν τιμήσαντα, καὶ πληροῦται ἐπ' αὐτῷ τὸ γεγραμμένον· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ἐγὼ οἶδα ἁμαρτωλοὺς ἀνθρώπους, καὶ ἐπέθηκαν χεῖρας ἐπὶ ἀῤῥώστοις, καὶ ἰάσαντο αὐτούς. ἀλλὰ τοῦτο κατὰ τρόπους δύο γίνεται· καὶ οὐ μόνον πρὸς τὸν διδόντα ἐστὶν, ἀλλὰ καὶ πρὸς τὸν λαμβάνοντα. ἐὰν μὴ πιστεύῃ ὁ λαμβάνων, οὐδὲ παρὰ δικαίου, οὐδὲ παρὰ ἁμαρτωλοῦ λαμβάνει χάριν. ὁ δὲ πιστεύων, καὶ παρὰ ἁμαρτωλοῦ δέχεται τὴν χάριν τῆς ἰάσεως. ἑκάστῳ γὰρ κατὰ τὴν πίστιν δίδοται καὶ ἡ χάρις. καὶ γὰρ ὁ κύριος τοῖς προσερχομένοις ἔλεγε· κατὰ τὴν E πίστιν ὑμῶν γενηθήτω ὑμῖν. σὺ πίστευε ἐν ὀνόματι κυρίου ᾧ προσέρχῃ, καὶ μὴ διακριθῇς κατὰ μηδένα τρόπον, καὶ λήψῃ τὴν χάριν. ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν. πολλοὶ πρεσβύτεροι ἁμαρτωλοὶ ὄντες προσφέρουσι τὰ δῶρα, καὶ οὐκ ἀποστρέφεται αὐτοὺς ὁ θεὸς, ἀλλὰ τῷ ἁγίῳ πνεύματι ἁγιάζει τὰ προκείμενα δῶρα· καὶ ὁ μὲν ἄρτος γίνεται σῶμα κυρίου, καὶ τὸ ποτήριον γίνεται αἷμα τίμιον κυρίου. καὶ εἰσί τινες ὑπολαμβάνοντες εὔλογόν τι ποιεῖν, οὐ κοινωνοῦντες παρά τισι πρεσβυτέροις, ὡς

ὡς συνειδότες τι κακὸν τοῦ πρεσβυτέρου· καὶ οὐκ οἴδασιν ὅτι A πλείονα ἁμαρτάνουσιν θέλοντές τι καλὸν ποιεῖν. τίς γὰρ εἶ σὺ ὁ κρίνων τὸν ἄρχοντά σου; οὐκ ἤκουσας τοῦ ἀποστόλου λέγοντος, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς; καὶ πάλιν· τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. σὺ ὁ ὑπ᾽ αὐτοῦ διδασκόμενος καὶ χειραγωγούμενος, οὐκ ἔχεις ἐξουσίαν κρίνειν καὶ ἐλέγχειν αὐτόν· καθὼς εἶπε Παῦλος ὁ ἀπόστολος· μὴ πρὸ καιροῦ κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γίνεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. ἐκεῖνος ἔχει ἐξουσίαν κρῖναί σε· ὁ δὲ ἐκεῖνον κρίνων, κύριός ἐστι. καὶ πάλιν ὁ κύριος· μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. σὺ τὴν ὀφειλομένην τιμὴν ἀποπλήρωσον τοῦ κανόνος· τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων σου, τὰ κεχρεωστημένα τῇ ἐκκλησίᾳ μὴ ἀποστερήσῃς B διδόναι. μὴ πολυπραγμονήσῃς ποῦ ἀνηλώθησαν· εἰ δὲ ἐν τούτῳ ἐπιχειρήσῃς κρίνειν αὐτὸν, ἔγκυψον πρῶτον εἰς τὸ ἀγγεῖόν σου, καὶ δοκίμασον σεαυτὸν, εἰ μηδὲν ἔχεις εἰς τὸ συνειδός σου φαῦλον, εἰ οὐ κατακρίνει σε ἡ γνώμη σου. καὶ οὐ λέγω ὅλων τῶν ἐτῶν ἐρευνῆσαι τὰ ἔργα, ἀλλὰ τῆς μιᾶς ἡμέρας μόνον· στόχασαι ἀκριβῶς πῶς παρῆλθες τὴν ἡμέραν, εἰ οὐ κατηγόρησάς τινος, εἰ οὐκ ἐσκανδαλίσθη σου ὁ ὀφθαλμὸς εἰς οὐδὲν, εἰ οὐ παρεῖδες πένητα, εἰ οὐκ ἐγέλασας ἐπὶ τῷ πλησίον σου, εἰ οὐκ ἔκοψάς τινα. βλέπε εἰ ἐν τούτοις οὐκ ἔβλαψάς σου τὴν ψυχήν. εἰ καθαρὸς εἶ ἐκ πάντων τούτων, τὴν καθαρότητά σου ἔχεις· καὶ οὐδὲ οὕτω καλόν ἐστι κατὰ πρεσβυτέρου ἢ καὶ ἑτέρου κατηγορεῖν· ἀλλ᾽ C ἐκεῖνός, φησιν, ἐπόρνευσεν· ἐγὼ δὲ οὔ. ἀλλὰ σὺ ἔκλεψας τὰ τοῦ πλησίον, καὶ ἥρπασας τὰ τοῦ πένητος· ἕκαστος δὲ τῶν ἰδίων ἔργων ἰδέτω τὰ κακά. μὴ παράβλεπε τὰ σὰ, ὁ ἐρευνῶν τὰ τοῦ πλησίον. εἰ δέ τις παρακούσῃ τῶν εἰρημένων, καὶ ἐπιβάλλῃ τὴν ἑαυτοῦ γλῶσσαν εἰς κατηγορίαν πρεσβυτέρου, ἢ καὶ ἑτέρου τινὸς, τὴν αὐτὴν ἀντιμισθίαν προσδοκάτω ὑπομένειν. εἰ σὺ ταῦτα πράττων, τὰ τοῦ πλησίον ἐκζητεῖς, ἐρεῖ σοι ὁ κύριος· ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. περὶ τῶν σῶν ἁμαρτιῶν μερίμνησον· καὶ ὃν οὐ προσετάγης κρίνειν, μὴ κρίνῃς. πλὴν ὀφείλει καὶ ὁ πρεσβύτερος οὕτω διακεῖσθαι πρὸς τὸν λαόν· πρὸ πάντων εὔχεσθαι ἐξ ὅλης ψυχῆς ὑπὲρ τοῦ λαοῦ, προΐστασθαι τῶν ἀδικουμένων ἕως θα- D νάτου, καὶ τὴν ψυχὴν αὐτοῦ τιθέναι ὑπὲρ τοῦ ποιμνίου ὀφείλει, τῶν ἐν ἀνάγκῃ βοηθεῖν, τὸν λυπούμενον παραμυθεῖσθαι, μὴ μνησικακεῖν περὶ πάντων. μνησίκακος γὰρ πρεσβύτερος καθ᾽ ἡμέραν ἁμαρτάνει· μνησικάκου πρεσβυτέρου ψυχὴ οὐδέποτε καθαρὰν προσφέρει τῷ θεῷ εὐχὴν, τῆς κακίας οὔσης ἐν τῇ καρδίᾳ αὐτοῦ. ἐὰν μὴ διαλλαγῇς τῷ πλησίον σου, καὶ λύσῃς τὴν κακίαν σου, μὴ ἀνέλθῃς ἐν τῷ * συνθρόνῳ· μνήσθητι τί σοι παρήγγειλεν ὁ κύριος, λέγων· ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει ὁ ἀδελφός σου κατὰ σοῦ τι· ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσ- E φερε τὸ δῶρόν σου. μὴ παρακούσῃς τῆς τοῦ δεσπότου παραγγελίας, ἵνα μὴ κατακριθῇς. δόλοις μὴ μελετήσῃς, μὴ τὸν μὲν ὑψώσῃς, τὸν δὲ ταπεινώσῃς. μὴ τὸν πλούσιον διὰ τῆς πρωτοκλισίας τιμήσῃς, τὸν δὲ πένητα τὸν μὴ δυνάμενον προσενεγκεῖν σοι δῶρα παρίδῃς· ἀλλὰ τὴν ἰσότητα πρὸς πάντας φυλάξωμεν. κατηγορίαν ταχέως μὴ παραδέξῃ, φλυαρίας μὴ ἀνέχου, ἀπὸ ἀκοῆς μὴ κατακρίνῃς ποτέ· πολλοὶ μετὰ φθόνον καὶ ἔριν κατηγοροῦσιν. ἐὰν δὲ μετὰ πολλῆς ἀκριβείας εὕρῃς τὸν ἁμαρτήσαντα, μὴ εὐθέως αὐτὸν ἐπὶ πάντων ἐλέγξῃς, ἵνα μὴ πρόφασιν καιρὸν αὐτῷ δῷς μηδένα αἰδεῖσθαι. δύο γὰρ

* σύνθρονος, media sedes erat post sedem episcopalem.

quod eorum nequitiæ sint conscii; ignorantes se potius peccare, dum boni quidpiam se agere putant. Quis enim es tu qui judices præpositum tibi? Non audisti apostolum dicentem: *Principem populi tui non maledices*, & rursus, *Qui es tu qui judicas alienum servum? Domino suo stat, aut cadit: stabit autem: potens est enim Deus statuere illum.* Tu qui ab illo doceris, & institueris, non habes potestatem judicandi & arguendi illum; ut dixit beatus Paulus apostolus: *Nolite ante tempus judicare, quoadusque veniat Dominus qui illuminabit abscondita tenebrarum, & manifestabit consilia cordium; & tunc laus erit unicuique a Deo.* Ille habet potestatem te judicandi: qui autem illum judicat, Dominus est. Et rursum Dominus: *Nolite judicare, ut non judicemini.* Tu secundum regulam honorem ipsi debitum tribuas: primitias fructuum & quæ ecclesiæ debes, dare ne desistas. Ne curiose inquiras quibus in rebus hæc insumantur. Quod si hac in re de illo judicare tentaveris, respice potius in vas tuum, & examina teipsum, num quid mali habeas in conscientia tua, & num illa te damnet. Non dico ut annorum tuorum omnium opera explores, sed unius tantum diei. Scrutare diligenter quomodo diem transegeris; an quempiam accusaveris, an oculus tuus in aliquo scandalizatus fuerit, an pauperem contempseris, an proximum tuum irriseris, an quempiam percusseris. Vide annon in his læseris animam tuam. Si purus sis ab his omnibus, puritatem tibi habeas; neque enim tunc etiam bonum fuerit aut presbyterum aut alium quempiam incusare. Sed ille, inquies, fornicatus est, ego vero secus. Verum tu de proximi bonis furatus es, & res pauperis rapuisti: quisque sua opera mala consideret: ne tua prætereas, dum ea quæ proximi sunt exploras. Si quis vero jam dictis non obtemperet, sed linguam vertat contra presbyterum vel alium, eamdem retributionem se recepturum exspectet. Si tu hæc agens, quæ proximi sunt perquiras, dicet tibi Christus, *Hypocrita, ejice primum trabem ex oculo tuo, & tunc videbis ejicere festucam de oculo fratris tui.* De peccatis tuis solicitus esto; nec de eo judices de quo judicandi præceptum non habes. Cæterum oportet presbyterum sic affectum esse erga populum; primo pro illo precetur ex tota anima; patrocinetur usque ad mortem injuste læsis, & animam suam pro grege ponat oportet, eos qui sunt in necessitate juvet, afflictum consoletur, injuriarum ne prorsus meminerit; nam memor injuriarum presbyter quotidie peccat, injuriarum memor presbyter nunquam puram emittit Deo orationem, dum nequitia est in corde ejus. Nisi reconcilieris cum proximo tuo, & nisi deponas nequitiam tuam, ne ascendas in synthronum. Recordare hujus præcepti Domini: *Si offers munus tuum ad altare; & ibi recordatus fueris quia frater tuus habet aliquid adversum te. Vade, prius reconciliare fratri tuo, & tunc veniens offer munus tuum.* Ne transgrediaris Domini præceptum, ne damneris. Dolos ne mediteris; ne alium exaltes, alium deprimas. Ne divitem, quod primas sedes occupet, honores; pauperem vero, qui munera tibi offerre nequit, despicias: sed æqualitatem erga omnes servemus. Accusationem ne cito admittas; vanos rumores ne toleres; ex auditu neminem damnes; multi per invidiam & rixam criminantur. Si vero post multam perquisitionem peccantem quempiam deprehendas, ne statim illum coram omnibus redarguas, ne illi des occasionem ut neminem revereatur. Duo enim

Act. 23. 5.
Rom. 14. 4.
1. Cor. 4. 5.
Matt. 7. 1.
Matt. 7. 5.
Matt. 5. 24.

mala ex tali reprehensione eveniunt. Alii enim reprehensi, turpitudinem & opprobrium non ferentes, ad aliud pejus se convertunt; & cum intempestive redarguuntur, ad laqueum & ad mortem currunt. Hujusmodi est Satanas, homini suggerit ut malum perficiat; aliud etiam faciendum suggerit: & re peracta irridet eum. Probationes parat & accusatores, qui in calamitate illum criminentur, & ad insaniam vertant, ita ut turpitudinem non ferens, ad fluvios & laqueos currat. Ob hujusmodi tentationes, eum, cui Christi grex concreditus est, oportet esse mitem, ita ut cum multa cautione peccatores exquirat, & cum deprehenderit, ne statim ex ecclesia ejiciat, ne corripiens illum Satanas sibi proprium faciat. Cum autem quis a summo sacerdote ab ecclesia ejectus fuit, illum Satanas corripit, nec discedit ab eo donec illum sibi addixerit. Non debet sacerdos frequenter excommunicare vel maledicere. Hæc cum scias tu pastor, cave ne sine judicio ovem repellas, vel a grege separes. Sed cum peccantem deprehenderis, evoca illum seorsim; & partim corripe, partim obsecra semel, bis, terve ut a malo discedat: & si consilium tuum admiserit, lucratus eris fratrem tuum, ut ait scriptura: *Quoniam qui converti fecerit peccatorem ab errore viæ suæ, salvabit animam ejus, & operiet multitudinem peccatorum.* Prima ipsi condona, quia ei qui dimittit dimittetur. Ac rursus ait clemens Dominus: *Si septuagies septies peccaverit in te frater tuus, dimitte illi*: & ne illi occulta exprobres, neque illum sese convertentem irrites. Si vero post tria monita sese convertat ad pœnitentiam, tunc recipiatur. Hæc omnia sciat oportet sacerdos, & quomodo se gerere debeat erga populum: & non damnabitur in æternum. Demum de diaconis agam, quomodo scilicet eos conversari oporteat. Diaconus igitur debet omnia secundum Presbyteri sententiam agere, & quantum ad canonem, & quantum ad ecclesiasticos usus: nec debet quidpiam in populo cum auctoritate facere; sed omnia jussu Presbyteri administrare, nullum segregare potest, nec aliud quidpiam facere. Absente autem Presbytero, potestatem in omnia habet diaconus, sicut & presbyter, exceptis divinis mysteriis. Si sacerdos reditum differat, debet evocare alterum presbyterum ex alio vico, qui orationes pro populo fundat. Si vero necessitas fuerit, nec inveniatur presbyter debet presbyter loci sanctificare panem, & Diacono præcipere ut populo conferat. Si in necessitate puer non baptizatus mox moriturus sit, Diacono licet baptizare illum; si puer mortuus postea fuerit, id pro baptismo censetur. Si vero incuria Presbyteri puer sine baptismo moriatur, væ presbytero illi; sin incuriâ parentum, væ parentibus pueri. Non debent ergo parentes puerum sine baptismo multis annis relinquere: ovis enim non obsignata, lupi portio est. Christi namque sigillum, illo obsignatum servat. Ipsum itaque Christum decet gloria, honor & imperium nunc & semper & in secula sæculorum, amen.

Jac. 5. 20.

Matt. 18. 22.

A κακὰ ἔχει τὸ ἐλέγχειν ἐπὶ πάντων. οἱ μὲν γὰρ ἐλεγχόμενοι, μὴ φέροντες τὴν αἰσχύνην, μηδὲ φέροντες τὸ ὄνειδος, ἐπὶ τὸ ἕτερον κακὸν χωροῦσι μάλιστα· καὶ ὅταν ἀκαίρως κατηγορῶνται, ἐπὶ τὸν τῆς ἀγχόνης θάνατον τρέχουσι. τοιοῦτος γάρ ἐστιν ὁ Σατανᾶς· ὑποβάλλει ποιεῖν τὸν ἄνθρωπον τὸ κακόν· ὑποβάλλει ποιῆσαι καὶ ἕτερον· καὶ μετὰ τὸ ποιῆσαι καταγελᾷ. ἑτοιμάζει ἐλέγχους, κατηγόρους ὅλους εὐτρεπίζει κατηγορεῖν αὐτοῦ τὴν συμφορὰν, καὶ γίνεται παράξενος κατήγορος· καὶ τῶν ἐλεγχομένων τὸν μὲν ἔπι μανικώτερον ἀπεργάζεται· θάτερον δὲ πολλὴν αἰσχύνην ἐπαγόμενον, ποταμοὺς καὶ ἀγχόνας παρέξενει. διὰ ταῦτα τὰ πειρατήρια ὁ ἐμπιστευθεὶς ποίμνην τοῦ Χριστοῦ λογικὴν ὀφείλει πρᾳὺς εἶναι, καὶ μετὰ πολλῆς ἀσφαλείας ἐκζητεῖν τοὺς ἁμαρ-
B τάνοντας· καὶ ὅταν εὕρῃ τὸν ἡμαρτηκότα, μὴ εὐθέως ἐκβαλεῖν τῆς ἐκκλησίας, ἵνα μὴ δραξάμενος ὁ Σατανᾶς τὸν ἄνθρωπον ἰδιοποιήσῃ. ὅταν γὰρ ἀφορισθῇ ἄνθρωπος ὑπὸ τοῦ ἀρχιερέως, ἀγκαλίζεται αὐτὸν ὁ Σατανᾶς, καὶ οὐκ ἀφίσταται αὐτοῦ, ἕως οὗ εἰσδεχθῇ. οὐκ ὀφείλει ὁ ἱερεὺς πυκνοτέρως ἀφορίζειν, οὐδὲ καταρᾶσθαι. ταῦτα ἰδὼν σὺ ὁ ποιμὴν, οὐκ ὀφείλεις ἀκρίτως ἀπώσασθαι τὸ πρόβατον, οὐδὲ χωρίσαι τῆς ποίμνης· ἀλλ' ὅταν εὕρῃς τὸν ἁμαρτήσαντα, κάλεσον αὐτὸν καταμόνας, καὶ τὰ μὲν ἐπιτίμησον, τὰ δὲ παρακάλεσον ἀποστῆναι αὐτὸν τοῦ κακοῦ, καὶ ἅπαξ, καὶ δὶς, καὶ τρίς. καὶ εἰ μὲν ἀκούσῃ σου τῆς συμβουλίας, ἐκέρδησας τὸν ἀδελφόν σου· καθὼς εἶπεν ἡ γραφὴ, ὅτι ὁ ἐπιστρέψας ψυχὴν ἐκ πλάνης ὁδοῦ αὐτῆς, σώσει ψυχὴν αὐτοῦ, καὶ καλύψει πλῆ-
C θος ἁμαρτιῶν. τὰ πρῶτα συγχώρησον αὐτῷ· τῷ γὰρ ἀφιέντι ἀφεθήσεται. καὶ πάλιν ὁ φιλάνθρωπος κύριος· ὅτι ἐὰν ἑβδομηκοντάκις ἑπτὰ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ἄφες αὐτῷ. καὶ μηδὲν ὀνειδίσῃς τῶν κεκαλυμμένων, μηδὲ παροργίσῃς αὐτὸν ἐπιστρέφοντα· ἐὰν δὲ μετὰ τρεῖς νουθεσίας διορθώσηται ἑαυτὸν διὰ μετανοίας, τότε εἰσδεχθήσεται. ταῦτα πάντα ὀφείλει εἰδέναι ὁ ἱερεὺς, καὶ πῶς χρὴ ἐμπολιτεύεσθαι ἐν τῷ λαῷ, καὶ οὐ μὴ κατακριθῇ εἰς τὸν αἰῶνα. λοιπὸν περὶ διακόνων παραθήσομαι τὸν λόγον, καὶ πῶς χρὴ αὐτοὺς ἐμπολιτεύεσθαι. ὁ διάκονος τοίνυν ὀφείλει πάντα κατὰ γνώμην τοῦ πρεσβυτέρου διαπράττειν, καὶ εἰς τὸν κανόνα, καὶ εἰς τὰς ἐκκλησιαστικὰς χρείας, καὶ εἰς τὸν λαὸν μηδὲν αὐθεντεῖν, ἀλλὰ πάντα κελεύσει τοῦ πρεσβυτέρου διοικεῖν, μηδέ τινα
D ἀφορίσαι ἐξουσίαν ἔχειν, οὐδ' ἕτερόν τι ποιεῖν. μὴ παρόντος δὲ τοῦ πρεσβυτέρου, ἐξουσίαν ἔχει ὁ διάκονος πάντων, καθὼς καὶ ὁ πρεσβύτερος, παρεκτὸς τῶν θείων μυστηρίων. ἐὰν μέλλῃ ὁ ἱερεὺς ἀποδημεῖν, ὀφείλει παρακαλέσαι ἕτερον πρεσβύτερον ἐξ ἑτέρας κώμης ἀποδιδόναι τὰς εὐχὰς τῷ λαῷ. εἰ δὲ ἀνάγκη γίνεται, καὶ μὴ εὑρεθῇ πρεσβύτερος, ὀφείλει ὁ πρεσβύτερος ἁγιάσαι τὸν ἄρτον, καὶ προστάξαι τὸν διάκονον τῷ λαῷ διδόναι. ἐὰν δὲ γένηται ἀνάγκη, καὶ εὑρεθῇ παιδίον ἀβάπτιστον, καὶ μέλλῃ τελευτᾷν, ἐξὸν τὸν διάκονον βαπτίσαι· καὶ εἰ μὲν ἀπέθανε τὸ παιδίον, ἐλογίσθη αὐτῷ βάπτισμα. ἐὰν δὲ παιδίον τῇ ἀμελείᾳ τοῦ πρεσβυτέρου ἀποθάνῃ ἀβάπτιστον, οὐαί ἐστι τῷ πρεσβυτέρῳ ἐκείνῳ. ἐὰν δὲ τῇ ἀμελείᾳ τῶν γονέων ἀποθάνῃ ἀβάπτιστον, οὐαί ἐστι τοῖς γο-
E νεῦσι τοῦ παιδίου. τοιγαροῦν οὐκ ὀφείλουσιν οἱ γονεῖς ἀφιέναι ἀβάπτιστον τὸ παιδίον ἐπὶ ἔτη πολλά. πρόβατον γὰρ ἀσφράγιστον, μερὶς λύκου. ἡ γὰρ τοῦ Χριστοῦ σφραγὶς φυλάσσει τὸν ἔχοντα τὴν σφραγῖδα. αὐτῷ οὖν τῷ Χριστῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Hic series Græca viciata est.

## Περὶ τῆς παραβολῆς τοῦ οἰκονόμου τῆς ἀδικίας, καὶ ὅτι οὐδὲν ἡμέτερον.

ΠΟΛΛΑΚΙΣ ὑμῖν εἶπον διαλεγόμενος, ὅτι πεπλανημένη τις καὶ ψευδὴς ἔννοια τοῖς ἀνθρώποις ἐμπεσοῦσα πληθύνει τὰ ἁμαρτήματα, καὶ ἐλαττοῖ τὰ ἀγαθὰ, ἅπερ ἕκαστος ὀφείλομεν ἐπὶ τῆς ἑαυτῶν πολιτείας αὔξειν. αὕτη δέ ἐστιν, ὅτι πάντα ὅσα ἔχομεν ἐν τῇ χρήσει τοῦ βίου, ὡς κύριοι κεκτήμεθα καὶ δεσπόται. καὶ ταύτης ἕνεκεν τῆς ὑπολήψεως, σφοδρῶς ὑπὲρ αὐτῶν διαμαχόμεθα καὶ πολεμοῦμεν καὶ δικαζόμεθα, καὶ εἰς ἄκρασιν αὐτῶν περιεχόμεθα, ὡς ἐξαιρέτων κλημάτων· ἡ δὲ ἀλήθεια οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ σφόδρα ἐναντίως. πάντων γὰρ, ὧν ἀπολαύομεν ἐν τῷ βίῳ τούτῳ, οὐχ ἡμέτερά εἰσιν, οὔτε μὴν ἡμεῖς ὡς αὐθένται καὶ κύριοι αὐτὰ κατέχομεν, ἀλλ' ὡς πάροικοι καὶ ἐπήλυδες καὶ μετανάσται· ἀγόμεθα δὲ, ὅπου οὐ θέλομεν, καὶ ἡνίκα οὐ προσδοκῶμεν, ἀφαιρούμεθα τῶν ὄντων, ὅταν δόξῃ τῷ κυρίῳ τῆς κλήσεως. διὸ καὶ εὐμετάβολόν τι χρῆμά ἐστι τὸ τῆς ἐπικήρου ταύτης ζωῆς· καὶ ὁ σήμερον ἐν δόξῃ, αὔριον ἐλεεινὸς, οἴκτου καὶ βοηθείας ἄξιος· ὁ νῦν εὔπορος, καὶ εὐθηνούμενος τῇ ὕλῃ τοῦ πλούτου, πένης μετὰ μικρὸν, οὐδὲ τὸν ἄρτον οἴκοθεν ἔχων, ὃν προσφέρηται εἰς ζωήν. καὶ τούτῳ μάλιστα ὁ θεὸς ἡμῶν τῶν θνητῶν ὑπερέχει, τῷ ἀεὶ ὡσαύτως εἶναι, καὶ ὡσαύτως ἔχειν, καὶ ἀναφαίρετον κεκτῆσθαι ζωὴν, καὶ δόξαν, καὶ δύναμιν. πόθεν οὖν εἰς ταύτην τὴν ἀρχὴν τοῦ λόγου; ἢ τάχα γνώριμον τυγχάνει τοῖς νοῦν ἔχουσι καὶ φιλολόγοις; ὁ Λουκᾶς ἡμῖν παραβολὴν ἀναπλάσας ὑπανέγνω ἀρτίως, ἐν ᾗ τὸν οἰκονόμον τῶν ἀλλοτρίων ὑπογράφει στενούμενον καὶ θλιβόμενον, ἐπειδὴ ὡς ἐμπαθής τις καὶ πολυδάπανος, ἤκουσε παρὰ τοῦ κυρίου τῶν κλημάτων καὶ χρημάτων, ὅτι δὸς τὸν λόγον τῆς διοικήσεως, καὶ μετάστηθι. οὐ γὰρ τοῖς ἐμοῖς σε ὡς ἰδίοις ἐντρυφᾷν ἀνέξομαι. τοῦτο δέ ἐστιν οὐ γενομένου πράγματος ἐξήγησις, ἀλλὰ πλάσις παραβολῆς, τοῖς ἐπεσκιασμένοις τῶν λόγων ἠθικὴν ἀρετὴν ἐκπαιδεύουσα. γνῶθι τοίνυν ἕκαστος, ὡς ἀλλοτρίων εἶ διοικητής· καὶ ῥίψας ἀπὸ τῆς ψυχῆς τὸ αὐθεντεῖν, τὴν ὑπερηφανίαν, τὸ τοῦ ὑπευθύνου καὶ οἰκονόμου ἀνάλαβε ταπεινὸν καὶ εὐλαβὲς, ἀεὶ τὸν κύριόν σου ἀναμένων, καὶ μετὰ δειλίας συγγράφων τῆς ἀπολογίας τὸ λογοθέσιον. πάροικος γὰρ εἶ, ὀλιγοχρονίου χρήσεως καὶ παροδικῆς λαβὼν συγχώρησιν. εἰ δὲ ἀμφιβάλλεις, ἐπὶ τοῖς γνωρίμοις κατάμαθε τὸ γινόμενον, καὶ τῷ ἀψευδεῖ διδασκάλῳ, τῇ πείρᾳ παιδεύθητι. κέκτησαι χωρίον, ἢ παρὰ πατρὸς λαβὼν, ἢ ἀπό τινος συναλλάγματος κύριος γεγονώς; ἀναλόγισαι οὖν τῇ μνήμῃ, καὶ ἀπαρίθμησαι πάντας, εἰ δύνασαι, τοὺς προκατεσχηκότας αὐτό· ἐπίβαλε καὶ τῷ μέλλοντι χρόνῳ τὸν νοῦν, καὶ πόσοι αὐτοῦ κυριεύσουσι μετὰ σὲ κατανόησον· φράσον δέ μοι, τίνος ἡ δεσποτεία, καὶ τίσι κατ' ἐξαίρετον διαφέρουσα, τοῖς ἐσχηκόσι, τοῖς ἔχουσιν, ἢ τοῖς μέλλουσιν; εἰ γάρ τις ὥσπερ* ἐκμαχεῖ ἀθροίσειεν, εὑρεθήσονται πλείους τῶν ὀβολῶν οἱ κεκτημένοι. μᾶλλον δὲ, εἴπερ ἀκριβῶς βούλει κατιδεῖν τίνι πρόσμοιος ὁ βίος ἡμῶν, μνημόνευσον εἴ ποτε ὥρᾳ θέρους ὁδοιπορῶν ἐθεάσω δένδρον ἀμφιλαφὲς, ἐπὶ πολὺ τοῦ πλάτους καὶ τοῦ μήκους διῆκον, ἱκανὴ τῇ σκιᾷ οἰκίας πληρῶσαι χρείαν· τούτῳ τερφθεὶς ὑπῆλθες, καὶ, ἐφ' ὅσον ἐξῆν, ἐκεῖσε κατέμεινας. ἐπειδὴ δὲ ἔδει πάλιν ἀπάρασθαι, καὶ συμβουλευομένου τὴν ἄφιξιν, ἑτέραν ὁδοιπορίαν, ἐπέστη ἕτερος. καὶ σὺ μὲν ἐφορτοῦ τὴν ἀποσκευὴν, ὁ δὲ τὴν ἰδίαν καθήρει, καὶ πάντα τὰ σὰ ἀθρόον διεδέξατο, τὴν στιβάδα, τὸ πῦρ, τὴν τοῦ δένδρου σκιὰν, τὸ παραρρέον ὕδωρ. καὶ ὁ μὲν οἴχεται τῆς ἀνακλίσεως, σὺ δὲ τοῦ περιπάτου. ἐτέρφθη κἀκεῖνος, εἶτα ἀφῆκε· καὶ τὸ δένδρον ἐπὶ μιᾶς ἡμέρας ἐγένετο τυχὸν δέκα ξένων ὀλιγοχρόνιον καταγώγιον· καὶ τῶν πάντων γενόμενον, ἑνὸς ἦν τοῦ ὄντως κυρίου.

Hæc vitiata sunt.

## A De Parabola villici iniquitatis, & quod nihil nostrum sit.

Luc. 16.

SÆPE dixi vobis falsam quamdam opinionem inter homines sparsam augere peccata, & bona minuere, quæ singuli nostrûm debent in vita augere. Hæc vero opinio est, nos omnia quæ ad vitæ usum habemus, quasi possessores & dominos habere. Hujus vero opinionis causa, admodum pro illis concertamus & litigamus, importuneque illa tuemur, quasi proprias possessiones. Res autem non ita se habet, sed contra omnino. Omnia enim illa, quibus fruimur in hac vita, non nostra sunt, neque nos illa ut domini & possessores tenemus; sed ut advenæ, peregrini & viatores. B Ducimur autem quo nolumus, & cum non exspectamus; ab his rebus avellimur, quando placet Domino possessori. Volubilis certe res est hujus fluxæ vitæ ratio: & qui hodie in gloria est, cras erit miserabilis, misericordia & ope dignus: qui nunc opulentus est & divitiis pollens, paulopost inops ne panem quidem habebit ad vitam sustentandam. In hac maxime re Deus nobis mortalibus præcellit, quod semper idem ipse sit, semper eodem modo se habeat, & vitam, gloriam, potestatem possideat, quæ auferri nequeat. Unde ergo nobis tale sermonis exordium? An id notum est viris saltem mente præditis ac studiosis? Lucas nobis parabolam modo proposuit, in qua villicum alienorum bonorum describit in angustia versantem: C quoniam, utpote deliciis & sumtibus deditus, audierat a domino possessionum & divitiarum: Da rationem villicationis, & vade: neque enim te ex bonis meis, ut tuis, deliciari sinam. Est porro illud non gestæ rei narratio, sed ficta parabola, qua adumbratis verbis virtutem moralem docet. Scias ergo, quisquis sis, te alienorum esse administratorem, & abjecta ab animo arrogantia & superbia, humilitatem & reverentiam villici debitoris assume, & dominum semper exspectans, cum timore rationes a te reddendas describe. Advena quippe es qui brevem rerum hujusmodi usum accepisti. Quod si ambigis, ex rebus notis accipe notitiam, & D ab experientia, non fallaci doctore, erudiaris. Prædium possides, quod vel a patre, vel ex quodam pacto accepisti? memoria repete, & enumera, si potes, eos qui ante te illud possederunt; in futurum tempus mentem evoca, & cogita quot post te illud possessuri sint. Dic vero mihi, quis sit dominus, & ad quos præcipue pertineat, ad eos qui possederunt, ad eos qui nunc possident, an ad eos qui possessuri sunt? Nam si hos omnes quis, si fieri posset, colligeret, plures possessores, quam obolos, reperiret. Imo si accuratius scire velis cui rei similis sit vita nostra; recordare, num aliquando in æstate iter agens videris umbrosam arborem undequaque ramos extendentem, quæ posset umbrâ suâ domûs vicem agere. E Hujus conspectu delectatus, subiisti, & quantum licuit ibi mansisti. Quia vero oportuit inde proficisci, dum iter carpere cogitas, alter viator advenit: & tu quidem sarcinam tuam aufers, ille suam deponit, & tua omnia excipit, stratum, ignem, arboris umbram, fluentem aquam. Et ille quidem finem fecit quiescendi, tu vero ambulandi. Delectatus ille est, & postea locum dimisit. Et arbor illa uno die fuit decem forte peregrinorum ad breve tempus diversorium, & cum omnium fuerit, unius tamen domini erat.

Sic & facultates hujus vitæ multos delectant & alunt, cum dominum ſolum habeant Deum, cujus vita incorrupta immortaliſque eſt. Vidiſti etiam diverſorium in quod iter agens divertiſti, multa illic habuiſti, quorum nullum attuleras, lectum, menſam, pocula, tabellam, aliaque diverſa vaſa: & cum nondum illis ſatis uſus eſſes, venit alius ſufflans & defeſſus, pulverulentus, qui te urſit, & ex diverſorio emiſit, quæren aliena quaſi ſibi propria. Talis eſt vita noſtra, frater, magis etiam fluxa, quam ſupra dicta. Ego autem miror eos qui dicunt, Domus mea, prædium meum. O quam vanâ ſyllabâ ſibi propria faciunt ea quæ ad ſe non pertinent, & tribus fallacibus literis aliena abripiunt! Ut perſonatæ larvæ nihil proprium habent; ſed omnes ſibi proprium quid adſcribunt dramatum hiſtriones; ſic terram, & ea quæ in terra ſunt, alii poſt alios ceu veſtimenta induunt. Num, quæſo, quidpiam rege potentius eſt? Attamen regiam ſcrutare: exquire veſtimenta regia; invenieſque multa quæ plurimorum regum corpora texerunt: ſimiliterque, coronas, fibulas, balteos, omnia inſtabilis ſunt poſſeſſio, vanus uſus, a præſentibus ad futuros tranſiens. Quænam vero eſt Præfectorum dignitatis ſcena? Argenteus-ne currus? Virga aurea? At vides ea non ſemper habere præfectum, neque ſemper eumdem; ſed ſingulos ad breve tempus. Sicut enim funeris lectus alia & alia corpora excipit; ſic eorum qui principatus obtinent ſymbola ſibi mutuo ſuccedentibus ſerviunt. Hinc nobis apoſtolus multas voces ad hanc rem nos inſtituentes exclamando profert: *Præterit enim figura hujus mundi*; &, *tamquam nihil habentes, & omnia poſſidentes*; &, *qui utuntur, tamquam non utantur.* Hæc quippe omnia ad unum tendunt ſcopum; debere nos tamquam unius diei homines vivere, ſemperque exitum exſpectare. Et ut diſcas te legibus ſubjici, & tibi, ut decet, recte vivendum eſſe; a teipſo conſidera primum, animam tuam virtutis præceptis ſemper eſſe ſubjectam, neque te tui dominum eſſe; ſed oportere te & verba & opera, & omnes vitæ motus dirigere. Corpus accepiſti a creatore, quinque ſenſibus ad vitæ uſus inſtructum. Illi vero ſenſus non ſunt liberi nec ſui arbitrii; ſed ſinguli ſervi & ſub lege ſunt. Primus ſenſus oculus audit: Vide & conſidera ea quæ videre bonum eſt, ſolem qui orbem omnem illuſtrat; lunam quæ triſtem & obſcuram noctem illuminat; aliaſque ſtellas, quæ nec multam nec ſufficientem lucem nobis ſubminiſtrant, ſed pulcrum, quem ſortitæ ſunt, fulgorem exhibent. Conſidera terram omnigenis floribus & herbis comantem: mare velut planitiem extenſum, quando pura adeſt tranquillitas. Ad hæc & ſimilia videndi facultate utere; cætera vero ſpectacula, quæ damnum in animam inducunt, devita & prætercurre, tibique tegumentum impone ne videas: melius enim eſt hunc ſenſum obtenebrari, quam tenebrarum opera parere. Ideo heſterna die dicebat nobis Dominus per Matthæum: *Omnis qui reſpicit mulierem ad concupiſcendum eam, jam mœchatus eſt eam in corde ſuo*: ac melius eſt exſculpere illum, quando inordinata & damnoſa reſpicit. Habet quoque auditus præcepta, quæ mala audire prohibeant. Oportet enim illum, cum bona audit, apertum eſſe, & illa in mentem mittere quæ utilia eſſe poſſunt. Si vero peſtiferum & corruptum quidpiam acceſſerit, quod poſſit cœnum peccatorum movere, oportet illud fugere ut venenatam feram. Temperetur lingua cum ore, loquatur juſta, a prohibitis abſtineat, a conviciis, a ſycophantiis, ab accuſatione injuſta, a detractione circa fratres, a blaſphemia in Deum.

[Margin notes: Series Græca omnino vitiata. — μου, una ſyllaba, tres literæ. — 1. Cor. 7. 31. — 2. Cor. 6. 10. — Matt. 5. 28.]

A οὕτω καὶ αἱ περιουσίαι τῆς ἐνταῦθα διαγωγῆς τέρπουσι μὲν πολλούς, καὶ τρέφουσι, τῆς δεσποτείας δὲ μόνῳ τῷ θεῷ προσηκούσης, τῷ ἄφθαρτον καὶ ἀνώλεθρον ἔχοντι τὴν ζωήν. ἐθεάσω καὶ πανδοχεῖον, ἐφ' ᾧ πάντως ὁδεύων κατέλυσας· ἔλαβες δὲ ἐκεῖθεν πολλά, βαστάζων μηδέν· κλίνην, τράπεζαν, ἐκπώματα, πίνακα, ἄλλα σκεύη παντοδαπά. οὐδέπω δέ σου πρὸς αὐτάρκειαν χρησαμένου, ἧκεν ἄλλος, πνευστιῶν, κεκονιαμένος, κατεπείγων σε, καὶ ἐξείργων σε τοῦ πανδοχείου, καὶ ζητῶν τὰ ἀλλότρια, ὡς ἐξαίρετα. τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφέ, ἔτι τῶν λεχθέντων παροδικώτερος. ἐγὼ δὲ θαυμάζω τοὺς λέγοντας, τὸ χωρίον μου, ἡ οἰκία μου. ὢ πῶς ματαίᾳ συλλαβῇ ἐξοικειοῦνται τὰ μὴ προσήκοντα, καὶ τρισὶ στοιχείοις ἀπατηλοῖς ἐναγκαλίζονται τὰ ἀλλότρια· ὥσπερ
B τῶν θαυματοποιῶν προσωπεῖα ἔχει μὲν οὐδεὶς κατ' ἐξαίρετον, πάντες δὲ ἐπιτίθενται οἱ τῶν δραμάτων ὑποκριταί· οὕτω τὴν γῆν καὶ τὰς ἐπ' ἐκείνην ὕλας ἄλλοι ἐξ ἄλλων ὡς ἱμάτια ἐπενδύονται. μή τι βασιλέως, εἰπέ μοι, δυνατώτερον; ἀλλ' ὅμως ἐρεύνησον τὰ βασίλεια, ζήτησον χλανίδας βασιλικάς· εὑρήσεις δὲ ταύτας ἱκανάς, αἳ πολλῶν βασιλέων ἐνέδυσαν σώματα· ὁμοίως καὶ τοὺς στεφάνους, καὶ τὰς πόρπας, καὶ τὰς ζώνας, πάντα κληρονομίαν ἄστατον, χρῆσιν κενήν, ἀπὸ τῶν ὁδευόντων εἰς τοὺς μένοντας ἀπομένουσαν. τί δὲ τῆς τῶν ὑπάρχων ἀξίας ἡ σκηνή; τὸ ἀργυροῦν ὄχημα; ἡ καλαμὶς ἡ χρυσῆ; ὁρᾷς οὐκ ἀεὶ ταῦτα ἔχειν τὸν ὕπαρχον, καὶ οὐδέποτε τὸν αὐτὸν ἀεί, ἀλλὰ πρὸς ὀλίγον ἕκαστον. ὡς γὰρ ἡ κλίνη τῆς ἐκφορᾶς ἄλλα τε ἄλλα δέχεται σώματα· οὕτω καὶ τῶν ἐν ἀρχαῖς τὰ σύμβολα τοὺς χρωμένους ἀμείβει. ἐντεῦθεν ὁ
C ἀπόστολος ἡμῖν ἐβόα πλείστας φωνὰς ταύτης τῆς διανοίας παιδευτικάς· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου· καὶ τό, ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες· καὶ τό, οἱ χρώμενοι, ὡς μὴ καταχρώμενοι. πάντα γὰρ ταῦτα πρὸς ἕνα τείνει σκοπόν· ὅτι προσήκει, ὡς ἐφημέρους ἡμᾶς διαζῆν, ἀναμένοντας ἀεὶ τῆς ἐξόδου τὸ σύνθημα. καὶ ἵνα μάθῃς ἀκριβῶς, ὅτι νόμοις ὑπόκεισαι, καὶ καθώς σε προσήκει ζῆν ἀκριβῶς, ἀπὸ σαυτοῦ πρῶτον κατανόησον, ὅτι καὶ ἡ ψυχή σου πανταχόθεν τοῖς τῆς ἀρετῆς ὑπόκειται παραγγέλμασιν, οὐδὲ σαυτοῦ κύριος εἶ, ἀλλὰ προσήκει σε οἰκονομεῖν καὶ λόγον, καὶ πρᾶξιν, καὶ πᾶν τῆς ζωῆς σου κίνημα. ἔλαβες σῶμα παρὰ τοῦ κτίσαντός σε, πέντε αἰσθήσεσιν εἰς τὰς τῆς ζωῆς χρείας οἰκονομούμενον. εἰσὶ δὲ οὐδὲ αὗται ἐλεύθεραι καὶ αὐτόνομοι,
D ἀλλ' ἑκάστη δούλη ὑπὸ νόμον ἐστί. καὶ πρῶτος ἀκούει ὀφθαλμός· βλέπε, φησί, καὶ θεώρει, ἃ βλέπειν καλόν· ἥλιον πᾶσαν τὴν οἰκουμένην φωτίζοντα, σελήνην τὸ σκυθρωπὸν καὶ ζοφῶδες τῆς νυκτὸς καταυγάζουσαν, τοὺς ἄλλους ἀστέρας, οὐ πολὺ δή, οὐδὲ αὐτάρκες ἡμῖν τὸ παρ' ἑαυτῶν φῶς χορηγοῦντας, πλὴν τὸ κάλλος ὃ ἔλαχον ἀποστίλβοντας· θεώρει γῆν παντοδαποῖς ἄνθεσι καὶ βοτάναις κομῶσαν, θάλασσαν ἡπλωμένην ὡς πεδίον, ὅταν εἰς καθαρὰν γαλήνην παγῇ. εἰς ταῦτα καὶ τὰ τοιαῦτα κατακέχρησο τῷ ὁρᾷν· τὰς δὲ ἄλλας θέας, ὅσαι διὰ τῆς ὄψεως τὴν βλάβην ἐπεισάγουσι τῇ ψυχῇ, φεῦγε καὶ παράτρεχε, καὶ ἐπιτίθει σεαυτῷ κάλυμμα, ἵνα μὴ βλέπῃς. βέλτιον γὰρ σκοτίσαι τὴν αἴσθησιν, ὅταν τῶν ἔργων τοῦ σκότους τὴν αἰτίαν παρέχῃ. διὰ τοῦτο χθὲς ἡμῖν ἔλεγεν ὁ κύριος διὰ Ματθαίου· πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι
E αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καί, βέλτιον ἐκκόπτειν αὐτόν, ὅταν ἄτακτα βλέπῃ καὶ ἐπιζήμια. ἔχει καὶ ἡ ἀκοὴ παραγγέλματα κωλυτικὰ κακῆς ἀκροάσεως. χρὴ αὐτήν, ὅταν μέν τινων ἀγαθῶν ἀκούῃ, ἀναπεπετασμένην εἶναι, καὶ νουνεχῆ, καὶ δι' ἑαυτῆς τῇ ψυχῇ παραπέμπειν τῶν συμφερόντων λόγων τὴν αἴσθησιν. εἰ δὲ τῆς κακίας ἕτερος λοιμὸς καὶ φθορεὺς πλησιάσας αὐτῇ, ἐπαντλεῖν μέλλοι τῆς ἁμαρτίας τὸν βόρβορον, δεῖ φεύγειν αὐτὴν ὡς ἰοβόλον θηρίον. σωφρονείτω καὶ ἡ γλῶσσα μετὰ τοῦ στόματος, λαλείτω τὰ δίκαια, τῶν δὲ ἀπηγορευμένων ἀπεχέσθω, λοιδοριῶν, συκοφαντιῶν, κατηγορίας ἀδίκου, καταλαλιᾶς τῆς τῶν ἀδελφῶν, βλασφημίας τῆς πρὸς τὸν θεόν·

φθεγγέσθω

φθεγγέσθω δὲ ὅσα εὔφημα, ὅσα εὐσεβῆ, πράξεων ἀγαθῶν ἔχει τὴν συμβουλὴν· καὶ λεγέτω πᾶς ἄνθρωπος τὰ τοῦ ἱεροψάλτου· εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου· καὶ, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· καὶ τὸ, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. καὶ τὸ, τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. γινέσθω τῶν ὠφελούντων τὸ στόμα· σωφρονείτω καὶ ἡ ῥὶς, μὴ τρυφᾶν ἀεὶ ὀσφραινομένη, μηδὲ μύρων πολυτελῶν ἀτμοὺς καὶ εὐωδίας ἐπὶ τὴν κεφαλὴν ἀνέλκουσα. τῶν γὰρ τοιούτων καὶ ὁ Ἡσαΐας σφοδρός ἐστι κατήγορος. μεμνήσθω καὶ ἡ χεὶρ τῶν ἐντολῶν, ἵνα μὴ πάντων ἀκωλύτως ἅπτηται· ἐκτεινέσθω πρὸς ἐλεημοσύνην, μὴ πρὸς ἁρπαγήν· τηρείτω τὰ ἴδια, μὴ συναγέτω τὰ ἀλλότρια· ἁπτέσθω σωμάτων νωθρῶν καὶ κεκακωμένων, δι' ἀγαθῆς ἐπισκέψεως, μὴ τῶν σφριγώντων καὶ τῇ πορνείᾳ ἐσχολακότων. ἔδειξεν ἡμῖν ὁ λόγος, ὡς καὶ αὐτοὶ ἑαυτῶν οὐδέποτέ ἐσμεν κύριοι, ἀλλὰ οἰκονόμοι. πᾶν γὰρ τὸ νόμοις ὑποκείμενον καὶ προστάγμασι δοῦλον τοῦ νομοθέτου ἐστὶ καὶ ὑπήκοον. εἰ δὲ τὰ μόρια τοῦ σώματος ἡμῶν οὐκ ἐλευθέρας ἐξουσίας, ἀλλὰ δεσποτικῷ βουλήματι πρὸς τὰς ἐνεργείας κανονιζόμενα, τί ἂν εἴποι τις πρὸς τοὺς οἰομένους χρυσοῦ καὶ ἀργύρου καὶ γῆς καὶ τῶν ἄλλων ὑλῶν ἀνεύθυνον ἔχειν τὴν κτῆσιν; οὐδὲν σὸν, ἄνθρωπε· σὺ δοῦλος, καὶ τὰ σὰ κυρίου. δοῦλος γὰρ ἐλεύθερον πεκούλιον οὐκ ἔχει. γυμνὸς γὰρ ἦλθες εἰς τοῦτο τὸ φῶς. ἔλαβες, ἃ ἔχεις, κατὰ νόμον τοῦ κυρίου σου, ἢ κληρονομήσας πατέρα, ἐπειδὴ οὕτως ὁ θεὸς διετάξατο· γονεῖς γὰρ τέκνοις, φησὶ, μερίσουσι σκῦλα· ἢ ἀπὸ γάμου τὴν εὐπορίαν κτησάμενος· γάμος δὲ καὶ τὰ ἐπέκεινα παρὰ θεοῦ διατέτακται· ἢ ἀπὸ ἐμπορίας καὶ γεωργίας καὶ τῶν ἄλλων προφάσεων, θεοῦ σοι πρὸς ἐκεῖνα συμπράξαντος. ἰδοὺ τοίνυν ἐδείχθη, ὅτι ἔλαβες τὰ μὴ σά. ἴδωμεν λοιπὸν τί σοι ἐπετάχθη, καὶ οἵα ἡ ἐπ' ἐκείνοις διοίκησις. δὸς τῷ πεινῶντι, ἔνδυσον τὸν γυμνὸν, θεράπευσον τὸν κεκακωμένον, μὴ περιίδῃς τὸν ἄπορον, τὸν ἐρριμμένον ἐν ταῖς τριόδοις· σὺ περὶ σαυτοῦ μὴ μεριμνήσῃς, μηδὲ φροντίσῃς πῶς διάξεις ἐπὶ τῆς ὑστεραίας. κἂν ταῦτα, φησὶν, ἐργάσῃ, τιμηθήσῃ παρὰ τοῦ δεσπότου· ἂν δὲ παρακούσῃς τῆς ἐντολῆς, κολασθήσῃ πικρῶς. ταῦτα ἐγὼ οὐ βλέπω τοῦ αὐτεξουσίου, οὐδὲ τοῦ ζῶντος μετὰ αὐθεντίας, ἀλλὰ τοὐναντίον. τὰ πολλὰ καὶ συνεχῆ προστάγματα ὑποδεικνυσί μοι ἄνθρωπον βασιλευόμενον ἰσχυρῶς νόμοις δεσποτικοῖς ὑπεύθυνον, καὶ τὴν κεκανονισμένην πολιτείαν ἀπαιτούμενον, ὡς χρέος. ἡμεῖς δὲ πῶς; ὡς ἀλογίστευτον ἔχοντες βίον, τοὺς μὲν ἀθλίους καὶ πενομένους περιορῶμεν τελευτῶντας ταῖς συμφοραῖς, δαπανώμεθα δὲ φιλοτίμως ταῖς ματαιότησι, κολάκων πλῆθος ἀσώτων τρέφοντες, καὶ φατρίας κακοδαιμόνων παρασίτων ἐπισυρόμενοι, καὶ αὖθις θηριομάχων, καὶ θηρία, ἐπισκορπίζοντες τὸν πλοῦτον, κἂν ταῖς ἱπποτροφίαις οὐδενὸς τῶν ὄντων φειδόμενοι, καὶ πάλιν θαυματοποιοῖς, καὶ τοῖς ἑξῆς ὀλέθροις δαπανῶντες τὴν εὐπορίαν. καὶ πρᾶγμα πάσχομεν καινὸν, καὶ μανίας ἐγγύς. ἔνθα μὲν γὰρ ἡ δαπάνη φέρει κέρδος ἀνάριθμον, καὶ σωτηρίαν ἀθάνατον, συνέχομεν σφοδρῶς τὸ ἀργύριον, ὡς μηδὲ ὀλίγους ὀβολοὺς τῆς χειρὸς ἐκπεσεῖν· ὅπου δὲ ἁμαρτωλὸν γίνεται τὸ ἀνάλωμα, καὶ μυρίων κολάσεων αἴτιον, καὶ αὐτῆς δὴ τῆς διὰ πυρὸς τιμωρίας, καὶ ἡ φιλοτιμία προλαμβάνει τὴν αἴτησιν, καὶ πάσας θύρας ἀνοίξαντες ἀφίεμεν τὸν πλοῦτον πρὸς τοὺς ἔξω χωρεῖν. τοῦτο δὲ τὸ φρόνημα οὐκ ἔστι δούλων ἀναμενόντων τὸν κύριον, ἀλλὰ νέων ἀσώτων καὶ κωμαστῶν ἀκολάστων. εἰ δὲ θέλεις ὁ ἀκροατὴς, ἰδεῖν οἰκονόμου φόβον μετὰ τῆς σώφρονος εὐλαβείας διοικοῦντος τὰ πιστευθέντα, ἀνάπτυξον τὴν βίβλον τοῦ Δαυίδ· ζήτησον ἐκείνους τοὺς λόγους, ἔνθα φησὶ πρὸς τὸν θεὸν ἀνὴρ πολυπραγμονῶν τοῦ ἰδίου τέλους τὴν προθεσμίαν· γνώρισόν μοι, κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου. ****

A Loquatur omnia bona, pia, quæ ad bona opera hortentur. Dicat omnis homo hæc sacri Psalmistæ verba: *Dixi, custodiam vias meas, ut non delinquam in lingua mea*; &, *Sicut novacula acuta fecisti dolum*; &, *Linguis suis dolose agebant*; &, *Quid gloriaris in malitia, qui potens es? Iniquitatem tota die, injustitiam cogitavit lingua tua.* Os utilia pariat. Temperentur quoque nares, ne suavia semper odorentur, nec pretiosorum unguentorum vaporem & fragrantiam in caput attrahant. Similia enim Isaias valde improbat. Recordetur manus præceptorum, ut ne omnia sine obice tangat: extendatur ad eleemosynam, non ad rapinam: servet sua, nec corradat aliena: tangat corpora ægra & infirma, illa visitando; non autem corpora B vigentium & fornicationi deditorum. Probavimus certe nos non esse dominos nostros, sed tantum œconomos. Quidquid enim est legibus & præceptis subjectum, servum & subditum est legislatori. Quod si partes corporis nostri non liberæ sunt a potestate, sed domini voluntati in operationibus subditæ, quid dixeris illis qui putant se auri, argenti, terræ aliarumque rerum possessionem habere sine ulla reddenda ratione? Nihil tuum est, homo; tu servus es, & tua sunt Domini. Servus enim liberum peculium non habet. Nudus enim in hanc lucem ductus es, quæ habes accepisti, secundum legem Domini tui, aut ex paterna hereditate; quia sic Deus statuit: Parentes, inquit, filiis C dividunt spolia; aut ex connubio opulentiam nactus; nuptiæ vero & quæ illas sequuntur, a Deo statuta sunt; aut ex negotiatione vel agricultura aliisque modis, Deo tibi ad illa cooperante. Ecce demonstratum est te non tua accepisse. Videamus demum quid tibi præceptum sit, & qualis esse debeat illorum administratio. Da esurienti, indue nudum, cura afflictum, ne despicias inopem in triviis projectum. De te ne solicitus sis, nec cures quomodo victurus sis usque in finem. Si hæc feceris, honoraberis a Domino; sin præcepto non obedieris, acerbe cruciaberis. Hæc non video esse hominis sui vel vitæ suæ potestatem habentis; imo contra. Multa illa præcepta indicant mihi hominem D fortiter regi, legibus dominicis subjectum, a quo vitæ disciplina requiritur ut debitum. Nos vero quomodo agimus? Quasi vitam habentes nulli rationi reddendæ obnoxiam, miseros & afflictos despicimus, in calamitatibus deficientes: largiter autem bona impendimus rebus inanibus, adulatorum perditorum agmen alentes, parasitorum infelicium turmas trahentes: itemque in pugnis contra bestias & feras divitias dissipantes, in alendis equis nulli sumtui parcentes: ac rursum præstigiatoribus & mimis similibusque pestibus pecunias effundentes. Remque patimur novam ac fere insanam. Ubi enim sumtus lucrum fert immensum & vitam æternam, argentum valde retinemus, ita ut ne pauci quidem oboli ex manu decidant; ubi vero E sumtus peccatum est, & mille suppliciorum causa, ignisque cruciatum affert, ibi liberalitas petitionem prævertit, & omnibus apertis januis, divitias ad extraneos prodire sinimus. Hic vero animus non est servorum exspectantium Dominum, sed juvenum prodigorum, comessatorum, libidinosorum. Si vis autem, o auditor, videre timorem œconomi, qui cum prudentia & pietate res sibi concreditas administrat, evolve librum Davidis, illos quære sermones, ubi vir, qui de finis sui exitu valde solicitus est, sic Deum alloquitur: *Notum fac mihi, Domine, finem meum, & numerum dierum meorum.* ******

Psal. 38. 1.
Psal. 51. 4.
Psal. 5. 11.
Psal. 51. 3.
Psal. 38. 5.

*De Jejunio.*

Emendata ad codicis Romani fidem.

TUBA altiore voce clamo, non ut aures voluptate decipiam; sed ut vera dicens voluptatem exstinguam, & verbo ventris concupiscentiam sedem, atque ad jejunium desiderium excitem. Jejunii enim desiderium, est cæleste lucrum: lucrum autem voluptatis est damnosum. Nam qui gulæ dat operam & ventris concupiscentiam implet, fructum animæ spiritualem labefactat: qui autem jejunio corpus macerat, & ciborum voracitatem fugit, meliorum rerum thesaurum exspectat. Jejunium namque castitatem docet, & tolerantem reddit; jejunium ad pietatem acuit, & ad patientiam exercet: jejunium angelicam reddit vitam, & corpus spirituale efficit: jejunium animæ est custodia, & corporis armatura inexpugnabilis. Neque enim insidiatricem voluptatem admittit, & oppugnantem concupiscentiam debellat. Jejunium mentem ad cælum erigit, illamque alis instruit, ut ad immortalem vitam advolet. Jejunemus ergo, dilecti, non tristi facie dies jejuniorum transigentes, sed lætis animis ut servi Christi erga illas affecti. Si enim cum desiderio ad jejunium accedas, ne tristis esto, sed gaude: nam hujusmodi toxicum animam tuam purgat. Ne admittas jejunium a bonis, quorum dulces sunt cibi: sed patienter exspecta, dum dulciorem cibis doctrinam accipis. Ideo jejunas a cibis, ut per Spiritum nutriaris; ideo abstines a cibis corporeis, ut muneribus replearis cælestibus. Jejunium est pharmacum quod peccatum tollit, & cataplasma emolliens, quod ad pietatem abluit. Ac sicut deteriores morbi acerrimis asperrimisque curati remediis, putredinem ex corpore ejiciunt, sic mucore infectum peccatum, quod animam corrodit, asperrimum jejunium, ingressum paulatim minuit & exsiccat, omninoque destruit & expurgat. Ideo etsi laboriosum sit jejunium, est tamen utile & facile. Ne ergo invitus jejunes, ne laborem perdas: neque murmures, quia paulum tardas, ne ob modicum tempus totum amittas: quanto magis enim jejunio maceratur corpus, tanto major est ex jejunio utilitas. Ad justorum vitam recurre, & invenies illos ex jejunio magis claruisse. Primo Moyses jejunans in caliginem ingressus est, & per jejunium cum Deo colloquutus est; quadraginta dierum jejunium peragens, legislator per jejunium effectus est. Nec panem comedit, nec vinum bibit; satis enim illi erat ad escam, quod legem a legislatore doceretur. Ut autem scias quantum profit jejunium, & quantum noceat ebrietas jejunii adversaria; cogita ea quæ a Moyse, & ea quæ a populo gesta sunt; & jejunii vim edisces. Superne Moyses legem accepit, & infra positus populus legem evertit. Dolore namque affectus Moyses legem contrivit, non rationabile putans ut lex ebriis concrederetur, & animis vino onustis eloquia illa traderentur. Vide quam noceat ebrietas jejunium oppugnans. Sed rursus jejunium, tantum malum emendans, totidem diebus usum, legem iterum advocavit: memoriale nobis relinquens ad securitatem vitæ & conversationis. Ideo forte sic contigit ut mysterium quodpiam indicaret: quod nempe prima lex cessatura sit, ob incredulitatem primi populi contrita. Secunda vero operata est,

Ineptissimi oratoris opus.

A

Περὶ νηστείας.

ΣΑΛΠΙΓΓΟΣ ὑψηλότερα βοῶ τὴν φωνὴν αἴρων, οὐχ ἵνα τέρψω ἡδονῆς τὴν ἀκοὴν ἀπατήσω· ἀλλ' ἵνα λέξει τῆς ἀληθείας τὴν ἡδονὴν σβέσω· καὶ παύσω μὲν ἀπὸ λόγου τὴν τῆς γαστρὸς ἐπιθυμίαν, ἐξεγείρω δὲ διὰ πόθου τὴν τῆς νηστείας ἐργασίαν. πόθος γὰρ νηστείας ἐπουράνιον τὸ κέρδος, κέρδος δὲ ἡδυπαθείας ἐπιζήμιον ἀπεργάζεται τὸ βλάβος. ὁ μὲν γὰρ βρώσει σχολάζων, καὶ τὴν τῆς γαστρὸς πληρῶν ἐπιθυμίαν, τῆς ψυχῆς ζημιοῖ τὴν ἐπικαρπίαν τὴν πνευματικήν· ὁ δὲ νηστείᾳ τὴν σάρκα μαραίνων, καὶ τῶν βρωμάτων τὴν ἀδηφαγίαν ἀποφεύγων, τῶν κρειττόνων θησαυρίζει τὴν προσδοκίαν. B νηστεία γὰρ σωφροσύνην ἐκδιδάσκει, καρτερικὸν κατασκευάζει· νηστεία πρὸς εὐσέβειαν ἀλείφει, καὶ πρὸς ὑπομονὴν γυμνάζει· νηστεία ἀγγελικὴν ποιεῖ τὴν πολιτείαν, καὶ πνευματικὸν ἀποτελεῖ τὸ σῶμα· νηστεία ψυχῆς ἐστι φυλακτήριον, καὶ σώματος ὅπλον ἀκαταμάχητον. οὔτε γὰρ τὴν ἐπίβουλον ἡδονὴν παραδέχεται, καὶ τὴν ἀντιστρατευομένην ἐπιθυμίαν καταγωνίζεται. νηστεία εἰς οὐρανὸν ἀνάγει τὴν διάνοιαν καὶ πτεροῖ αὐτὴν πρὸς τὴν ἀθάνατον φύσιν. νηστεύωμεν τοίνυν, ἀγαπητοί, μὴ σκυθρωποὶ τοῖς προσώποις τὰς ἡμέρας τῶν νηστειῶν διεξερχόμενοι, ἀλλὰ φαιδραῖς ταῖς ψυχαῖς ὡς δοῦλοι Χριστοῦ πρὸς αὐτὰς διατιθέμενοι. εἰ γὰρ ἐπιθυμῶν τῇ νηστείᾳ προσελήλυθας, μὴ στύγναζε, ἀλλὰ χαῖρε· καθαίρει γάρ σου τὴν ψυχὴν τὸ δηλητήριον. μὴ παρὰ καλῶν τὴν νηστείαν ἐκδέχου, ὧν ἡδέα τὰ βρώματα· ἀλλ' ὑπομένων μακροθύμει C ἡδύτερα τῶν βρωμάτων δεχόμενος τὰ διδάγματα. διὰ τοῦτο νηστεύεις ἀπὸ βρωμάτων, ἵνα τραφῇς διὰ τοῦ πνεύματος· καὶ διὰ τοῦτο ἀπέχῃ τῶν σωματικῶν ἐδεσμάτων, ἵνα ἐμπλησθῇς τῶν πνευματικῶν ἀγαθημάτων. φαρμακόν ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ νηστεία, καὶ κατάπλασμα ψυχῆς μαλακτικὸν ἀποπλύνουσα πρὸς εὐσέβειαν. καὶ ὥσπερ τὰ χείρονα πάθη δριμυτάτοις τισὶ καὶ στυπτικωτάτοις καταπασσόμενα, τὸ μὲν σηπτικὸν τοῦ σώματος ἀπορρίπτει· τὸν αὐτὸν τρόπον καὶ τὴν ἐνυπομυχεύουσαν ἁμαρτίαν καὶ κατὰ τῆς ψυχῆς νεμομένην στυπτικωτάτη ὑπεισελθοῦσα νηστεία ἀναξηραίνει μὲν αὐτὴν κατ' ὀλίγον λεπτύνουσα, ἐξαφανίζει δὲ εἰς ἅπαν ἀποκαθαίρουσα. διὰ τοῦτο εἰ καὶ ἐπίπονος ἡ νηστεία, ἀλλ' ὠφέλιμος καὶ εὐπρόσιτος. μὴ τοίνυν λυπούμενος νηστεύσῃς, ἵνα μὴ τὸν κάματον ἀπολέσῃς· μηδὲ γογγύσῃς ὅτι ὀλίγον βραδύνεις· ἵνα μὴ δι' ὀλίγον τοῦ ὅλου ζημίαν ὑπομείνῃς. D ὅσῳ γὰρ νηστεία ὑποστύφει τὸ σῶμα, τοσοῦτον ἐκ τῆς νηστείας ὠφέλεια. ἀνάδραμε ἐπὶ τὰς τῶν δικαίων πολιτείας, καὶ εὑρίσκεις αὐτοὺς τὸ πλεῖον διὰ νηστείας εὐδοκιμήσαντας. πρῶτον Μωϋσῆς νηστεύσας ἐπὶ τὸν γνόφον εἰσελήλυθε, καὶ συνόμιλος τῷ θεῷ διὰ νηστείας γέγονε. τεσσαράκοντα ἡμέρας τὴν νηστείαν ἐπισυνάψας, νομοθέτης διὰ νηστείας ἐχρημάτισε· καὶ οὔτε ἄρτον ἔφαγεν, οὔτε οἶνον ἔπιεν· ἤρκειτο γὰρ τροφὴ τὴν νομοθεσίαν παρὰ τοῦ νομοθέτου ἐκδιδασκόμενος. ἵνα δὲ μάθῃς πόσον ὠφελεῖ ἡ νηστεία, καὶ πόσον βλάπτει ἡ μέθη νηστείᾳ ἀντιστρατευομένη· κατανόησον τοῖς ὑπὸ Μωϋσέως πραττομένοις, καὶ τοῖς ὑπὸ τοῦ λαοῦ γινομένοις, καὶ εὑρήσεις τὴν δύναμιν τῆς νηστείας. ἄνω Μωϋσῆς τὸν νόμον ἐλάμβανε, καὶ κάτω ὁ λαὸς τὸν νόμον ἀνέτρεπε. λυπηθεὶς γὰρ Μωϋσῆς τὸν νόμον συνέτριβεν, οὐκ εὔλογον ἡγησάμενος μεθύουσι E τὸν νόμον πιστεύεσθαι, καὶ διανοίαις οἴνῳ βεβαρημέναις λόγια παραδίδοσθαι. βλέπε πόσον ἀδικεῖ ἡ μέθη ἀντιπίπτουσα τῇ νηστείᾳ. ἀλλὰ πάλιν νηστεία τοσοῦτον κακὸν ἐπανορθώσασα, ταῖς αὐταῖς χρησάμενος ἡμέραις, πάλιν ἐπανεκαλέσατο τὸν νόμον. μνημόσυνον ἡμῖν καταλέλοιπε πρὸς ἀσφάλειαν βίου καὶ πολιτείας, τάχα διὰ τούτου γινομένου καὶ μυστήριόν τι ἐκτεινόμενος· ὅτι ἡ μὲν πρώτη νομοθεσία λυθήσεται, συντριβομένη διὰ τὴν τοῦ προτέρου λαοῦ ἀπιστίαν. ἡ δὲ δευτέρα,

ἐνήργησε πανταχοῦ διδομένη, τοῦ δευτέρου πιστῶς δεχομένου τὸν A δεύτερον νόμον, καὶ συμφυλάττοντος. καὶ Ἠλίας δὲ τεσσαράκοντα ἡμέρας νηστεύσας, καὶ μιᾷ τροφῇ τὴν ἔρημον διοδεύσας, οὐκ ᾐσθάνετο καμάτου. νηστεία γὰρ αὐτὸν ἐβάσταζε, τὸν πόνον ἐπικουφίζουσα· καὶ μετὰ νηστείαν θεὸν ἐθεάσατο, καθὼς οἷόν τε τὴν ἀνθρωπίνην φύσιν κατανοῆσαι. οὐ σωματικοῖς ὀφθαλμοῖς τὸν ἀσώματον ἐθεάσατο, ἀλλὰ καρδίᾳ τὸν ἀόρατον κατανοήσας, κατὰ τὴν τῆς ψυχῆς καθαρότητα. μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι τὸν θεὸν ὄψονται. οὕτω νηστεύσας, τὸν οὐρανὸν ἀπέκλεισε κατὰ τῶν ἀκολάστων, καὶ τρυφῇ τὸν ἑαυτῶν βίον καταδαπανώντων· ἵν' ὅπερ οὐχ εἵλοντο ἰδίᾳ προαιρέσει μετερχόμενοι, τοῦτο διὰ τῆς τοῦ λιμοῦ νηστείας μάθωσι παιδευόμενοι, καὶ γνῶσι, πῶς ὠφέλιμός ἐστιν ἡ νηστεία, καὶ ἐν καιρῷ τρυφῆς τὴν ἑαυτῆς ἐργασίαν ἐπιδεικνυμένη. Δανιὴλ δὲ καὶ αὐτὸς τρεῖς ἑβδομάδας νηστεύσας, καὶ ἄρ- B τον ἐπιθυμιῶν μὴ γευσάμενος, εἰς λάκκον λεόντων διὰ ζῆλον τῶν ἀκολάστων ἐμβαλλόμενος, καὶ λέοντας ἐκεῖ νηστεύειν ἐδίδαξεν· ἐδυσωπήθησαν γὰρ τὸν νηστευτὴν οἱ ἄγριοι θῆρες, ἡμερώτεροι τῶν λογικῶν θηρίων γινόμενοι· καὶ ἀπεκλείσαντο ἴδιον στόμα, τοῦ ἁγίου σώματος ἅψασθαι μὴ κατατολμήσαντες. ὥσπερ γὰρ ὅπλον τῷ ἰδίῳ σώματι παραθέμενος τὴν νηστείαν, καὶ ὅλον ἑαυτὸν δι' αὐτῆς ὀχυρώσας, ἀπεπλάνησε τοὺς ὀφθαλμοὺς τῶν λεόντων, μὴ σῶμα ἀνθρώπινον, ἀλλὰ σῶμα ἀγγελικὸν ἐπιδειξάμενος. καὶ οἱ τρεῖς παῖδες ἐν Βαβυλῶνι, μὴ βουληθέντες τῇ παρανόμῳ τραπέζῃ τοῦ βασιλέως κοινωνῆσαι, ἀλλὰ τῇ κατὰ νόμον νηστείᾳ ἐξακολουθῆσαι, εἰς τὴν ἐξαφθεῖσαν πυρὰν τῆς καμίνου εἰσελθόντες ἔσβεσαν τὴν φλόγα, δρόσον ἀντὶ πυρὸς τὴν κάμινον διὰ νηστείας ἐργασάμενοι· καὶ τῶν μὲν ἀπείρων τῆς νη- C στείας τὸ πῦρ κατετόλμησε· πάντας γὰρ τοὺς περιεστῶτας Χαλδαίους κατεδαπάνησε· τοὺς δὲ ἐν συνηθείᾳ τῆς νηστείας ὑπανεχώρησε, τοῦ σώματος αὐτῶν ἅψασθαι μὴ δυνάμενον. οὐδὲ γὰρ ὕλη τις ἦν ἐν τῷ σώματι, τῆς νηστείας πνευματικὸν αὐτὸ ἐργασαμένης· ὁμοίως δὲ καὶ Νινευῖται νηστεύσαντες τὸν θάνατον ἀπεκρούσαντο· τρεῖς γὰρ ἡμέρας νηστείᾳ ἐκτενῶς προσκαρτερήσαντες, τὴν αἰώνιον κόλασιν δι' ἡμερῶν ὀλίγων μεταποιήσαντες, αἰώνιον ἔπαινον τῷ κόσμῳ καταλελοίπασιν. ὁρᾶτε, ἀγαπητοί, πόσον ἰσχύει νηστεία μετ' εὐχῆς καὶ ἔργων ἐντελουμένη. νηστεία γὰρ καὶ δέησις ἐκ θανάτου ῥύεται· δικαιοσύνη δὲ ὑπὲρ ἀμφότερα. νηστεία καὶ θανάτου ἀναίρεσις, καὶ ὀργῆς ἀπολύτρωσις· νηστεία κάθαρσις διανοίας, ὁμοδίαιτος ἐγκρατείας, γυμνάσιον εὐσεβείας, ζυγὸς δικαιοσύνης. οἶδε νη- D στεία πλούσιον τὸν πένητα ἀπεργάζεσθαι. οὐ γὰρ ἀκαίρως δαπανᾶν συγχωρεῖ, τοῦ μέτρου τὴν αὐτάρκειαν παρεχομένη. οἶδε καὶ τὸν πλούσιον οἰκόνομον τῶν ἰδίων χρημάτων κατασκευάζειν, μὴ ἀδεῶς συγχωροῦσα καταπιάζειν· ἐπίσταται καὶ νεότητος νηστεία ἀκμήν. διδάσκει χαλινὸν τῶν βρωμάτων, περιτίθησι τὴν ἐγκράτειαν, καὶ σοφῶς ἡνιοχοῦσα πρὸς εὐσέβειαν καὶ σωφροσύνην. οἶδε καὶ πρεσβυτέρους σοφίζειν, καὶ καθαρὸν τὸ τῆς διανοίας φυλάττειν ὄμμα. νηστεία ὑγιεινότερον διατηρεῖ καὶ τὸ σῶμα. οὐ γὰρ βαρυνόμενον ὑπὸ τῶν βρωμάτων ὕλην δέχεται νοσημάτων· ἀλλὰ κουφιζόμενον ἀπὸ τῶν ἐδεσμάτων, εὔρωστον γίνεται πρὸς ὑποδοχὴν τῶν χαρισμάτων. διὰ τοῦτο νηστεύσωμεν, ἀγαπητοί, ἵνα τῶν πνευματικῶν ἐπιτύχωμεν δωρημάτων. νηστεύων παιδαγωγεῖ καὶ τὴν ψυχὴν πρὸς εὐσέβειαν, εἰκόνα λαμβάνων τῆς σωματικῆς ἐγκρατείας τὴν κατὰ E ψυχὴν ἐπιμέλειαν· ἵνα ὥσπερ ἀπέχει τῶν ἔξωθεν ἐπεισερχομένων βρωμάτων, οὕτω καὶ τῶν ἐν τῇ διανοίᾳ ἀναβαινόντων πονηρῶν ἐννοημάτων. ἐὰν γάρ, φησι, πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας. ὥσπερ νῦν ἀπέχεις βρωμάτων μὴ γευσάμενος, οὕτως ἀπέχου ἁμαρτημάτων ἀλλασσόμενος. νηστεύεις οἴνου μὴ ἀντιλαμβανόμενος· νήστευε καὶ πονηρίας ἀπεχόμενος. οἶδε γὰρ ἡ κακία μείζονα μέθην τῇ ψυχῇ κατεργάζεσθαι. νηστεύεις κρεῶν μὴ ἁπτόμενος· νήστευε καὶ καταλαλιᾶς ἀπεχόμενος, ἵνα μὴ δι' αὐτῆς κρέα φάγῃς τῶν ἀδελφῶν, τῶν σαρκῶν αὐτοῦ ἀπογευόμενος. νηστεία γὰρ ἀληθινή, ἀποχὴ τῶν ἁμαρτημάτων. ἄκουε τοῦ προφήτου λέγοντος· οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, οὐδὲ ἡμέραν ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ. ἀλλὰ τί;

A ubique disseminata, quia secundam legem secundus populus fideliter accepit & custodivit. Elias vero postquam per quadraginta dies jejunasset, & unâ escâ desertum trajecisset, laborem non sensit. Jejunium namque illum sustentavit & laborem minuit. Ac post jejunium Deum vidit, ut poterat humana natura comprehendere. Non corporeis oculis incorporeum vidit, sed corde invisibilem cogitans, per animæ puritatem. Nam *beati mundo corde, quoniam ipsi Deum videbunt.* (Matt. 5. 8.) Sic postquam jejunaverat, cælum clausit lascivis, qui per totam vitam voluptatibus dediti erant; ut quod non voluntate propria elegerant jejunium, hoc per famem instituti ediscerent, & scirent quam utile sit jejunium, quod deliciarum tempore suam vim B ostenderet. Daniel quoque postquam per tres hebdomadas jejunasset, & panem desideriorum non gustasset, in lacum leonum per lascivorum invidiam dejectus, leones ibi jejunare docuit. Jejunatorem enim reveritæ sunt immanes feræ, rationabilibus feris mitiores: & os suum clauserunt, sacrum corpus tangere non ausæ. Corpori namque suo jejunium quasi armaturam apponens, seque totum per illud muniens, fefellit oculos leonum, non corpus humanum, sed corpus angelicum exhibens. Et tres pueri in Babylone, nolentes iniquæ regis mensæ participes esse, sed legale jejunium sequi optantes, in rogum camini ingressi, exstinxerunt flammam, per jejunium ignem in rorem in forna- C ce mutantes. Atque eos qui jejunium non experti erant ignis aggressus est; omnes enim circumstantes Chaldæos consumsit, ab iis vero qui jejunio assueti erant recessit, quod non posset eorum corpora attingere: neque enim materia quæpiam erat in corpore, quod a jejunio spirituale redditum fuerat. Similiter Ninivitæ jejunio mortem depulerunt: tribus enim diebus in jejunio peractis, æternum supplicium per paucos illos dies effugientes, æternam in mundo sui laudem reliquerunt. Videte, dilecti, quantum possit jejunium, cum oratione & operibus peractum. Jejunium enim & precatio a morte liberant: sed justitia plus quam illa duo. Jejunium mortem tollit, & ab ira redimit; je- D junium purgatio est mentis, consors temperantiæ, gymnasium pietatis, jugum justitiæ. Solet jejunium pauperem reddere divitem. Neque enim finit temere impensam facere, sufficientem indicans mensuram. Solet etiam divitem, pecuniarum œconomum reddere, nec finit eum sua sine modo absumere. Novit jejunium juventutis vigorem, docet cibis frenum apponere, continentiam indit, & sapienter ducit ad pietatem & castitatem. Scit etiam senibus prudentiam indere, & purum ipsis mentis oculum servare. Jejunium corpus sanum custodit: quod non onustum cibis, materiam morborum non accipit; sed leve factum, robustum est ad munera accipienda. Ideo jejunemus, dilecti, ut spiritualia munera consequamur. Qui jejunat, E animam instituit ad pietatem, imaginem accipiens corporeæ continentiæ ad curam animæ; ut quemadmodum abstinet ab externis cibis, sic abstineat a pravis cogitationibus ingruentibus. *Si Spiritus potentis*, inquit, *ascenderit in te, locum tuum ne relinquas, quia medela cessare faciet peccata.* (Eccles. 10. 4.) Sicut ergo abstines a cibis nihil gustando, sic abstine a peccatis teipsum mutando. Abstines a vino? abstine etiam a nequitia: solet enim nequitia majorem ebrietatem in anima parere. Abstines a carnibus? abstine & a detractione, ne per illam carnes fratrum comedas. Verum namque jejunium, est abstinentia a peccatis. Audi prophetam dicentem: *Non hoc jejunium elegi, neque diem qua humiliat homo animam suam.* (Isai. 58. 5.) Sed quid?

*Solve omne vinculum iniquitatis : dissolve tortuositates violentorum pactorum tuorum : frange esurienti panem tuum, eum qui sine tecto est induc in domum tuam ; si videris nudum, operi eum.* Hoc est, dilecti, verum jejunium, a Deo acceptum, homini salutare & omnibus placitum. Hoc sequitur cælorum possessio, & Domini verax promissio. Vide enim quid adjiciat: *Tunc erumpet matutinum lumen tuum : tunc clamante te exaudiet te : adhuc te loquente dicet, ecce adsum.* Vides quanta jejunii dona, & cum quanta pietate conjunctum sit; ita ut Deum ipsum exoret ut ad humanam naturam accedat. Jejuna igitur, persevera in orationibus, synaxibus, admonitionibus, nunquam absens a cœtu, ut mos est quibusdam. Neque negotiationibus & tribunalibus tota die des operam, ne pecunias colligas, quas dispergere deberes; ne contra fratrem tuum obloquaris, cui inservire oporteret. Venisti ad vesperam aut hora nona, non ut jejunii propositum perficeres, sed ut ventris appetitum impleres : & ne videaris a vino quidem abstinere, quod vigilans sis; sed iniquitate plenus ebrius esse; neve audias : *Væ ebriis, non a vino.* Ebrietas vero non habet cum jejunio consortium; sed est ejus inimica & adversaria : ut perveniamus ad paratam nobis spem resurrectionis : illic quidem fruentes repositis bonis, hîc vero exultantes de iis quæ speramus in Christo Jesu, cui gloria in sæcula sæculorum, amen.

Isai. 28. 1.

A λύε, φησὶ, πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν, περίβαλε. αὕτη, ἀγαπητοὶ, ἀληθινὴ νηστεία, ἡ τῷ Θεῷ προσδεκτὴ, καὶ ἀνθρώπῳ σωτηριώδης, καὶ πᾶσιν ἀρεστή. ταύτῃ ἐπακολουθεῖ ἡ τῶν οὐρανῶν κλῆσις, καὶ ἡ τοῦ δεσπότου ἀψευδὴς ἐπαγγελία. ὅρα γὰρ τί ἐπιφέρει· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τότε βοῶντός σου, εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, ἰδοὺ πάρειμι. βλέπεις ἡλίκα δῶρα τῆς νηστείας, καὶ πόσης ἔχεται τῆς εὐσεβείας, ὡς καὶ Θεὸν αὐτὸν δυσωπεῖν πρὸς ἀνθρωπίνην φύσιν παραγενέσθαι; νήστευε τοίνυν, προσκάρτερε ταῖς εὐχαῖς, ταῖς συνάξεσι, ταῖς νουθεσίαις, μὴ ἀπολιμπανόμενος τῆς συναγωγῆς, καθὼς ἔθος τισί· μηδὲ B πραγματείαις ἢ δικαστηρίοις δι' ὅλης ἡμέρας· ἵνα μὴ χρήματα συνάξῃς, ἃ σκορπίζειν ὀφείλεις· ἢ κατὰ τοῦ ἀδελφοῦ σου ἐντύχῃς, ὃν θεραπεύειν ἔχεις. ἦλθες εἰς ἑσπέραν, ἢ τὴν ἐννάτην, οὐχ ἵνα νηστείας τελέσῃς τὴν πρόθεσιν, ἀλλ' ἵνα τῆς κοιλίας πληρώσῃς τὴν ὄρεξιν. καὶ μὴ δόξῃς οἴνου μὲν ἀπεχόμενος διὰ τὸ νήφειν, πονηρίας δὲ πληρούμενος μεθύειν, ἵνα μὴ ἀκούσῃς, οὐαὶ οἱ μεθύοντες, οὐκ ἀπὸ οἴνου. μέθη δὲ οὐκ ἔστι νηστείας κοινωνός· ἀλλ' ἐχθρὰ καὶ ἀντίπαλος. ἵνα φθάσωμεν εἰς τὴν ἡτοιμασμένην ἡμῖν ἐλπίδα τῆς ἀναστάσεως, ἐκεῖ μὲν ἀπολαύοντες τῶν ἀποκειμένων ἀγαθῶν, ἐνταῦθα δὲ ἀγαλλιώμενοι τοῖς προσδοκωμένοις ἐν Χριστῷ C Ἰησοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## *In Filium Viduæ.*

## Εἰς τὸν υἱὸν τῆς χήρας.

Luc. 7. 11.

ET *factum est postea, ibat Jesus in civitatem, quæ vocatur Naim : & ibant cum eo discipuli ejus, & turba multa. Cum autem appropinquaret portæ civitatis, ecce defunctus efferebatur filius unicus matris suæ : & hæc vidua erat.* Omnia hîc sunt miserabili affectu plena. Unico filio vita functo, dulcissima mater clamabat, se solo nomine matrem esse, cujus partum mors demessuit. Unam uvam habuit vitis; & hanc mortis procella contrivit. Unum baculum habuit illa, & hunc communis mors abstulit. Sine præsidio mulier erat, & sublato baculo, non vitalem sibi fore vitam videbat. Deinceps ne minimam quidem consolationem habebat, unico amisso filio. Duplici dolore corripiebatur, illoque non consolabili. Nemo poterat mœrorem allevare. Lacrymæ rivorum instar per genas manabant, intolerabilis erat mulieri luctus. Cogitabat filii formam, amore viscera rumpebantur : & illa vidua omnino manebat, rem omnium acerbissimam, omnium miserrimam: & viro & unico filio orbabatur. Vere miserabile viduæ nomen, luctu, flectu, calamitate plenum. Spectatorum nemo temperabat a lacrymis : omnes ingemiscebant : nec inveniebant quem primum lugerent, filium-ne mortuum, an viduam viventem. Sed erravi cum viduam viventem dixi : quæ enim vidua vivit? etsi enim vivere videatur, (secundum præsentem vitam loquor, non secundum futuram,) mortua est. Vidua enim in præsenti vita, siquidem opulenta sit, hinc dolorem paulum minuit, hinc spe quadam recreatur, vulnus suum curat, dolorem allevat, ubertate roboratur, interdum dormit; etiamsi enim multa sint quæ torqueant, & raptores instent; attamen si paupertas non adsit, levior est calamitas. Vidua autem inops, est portus lacrymarum, puteus tentationum, urbs sine muris, fons sine aqua,

Quam futulis orator.

ΚΑΙ ἐγένετο καθεξῆς, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς. ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα. ὅλα τὰ πάθη ἐλεεινὰ, καὶ πολλῆς συμπαθείας μεστά. μονογενοῦς υἱοῦ ἀπολυθέντος τῆς παρούσης ζωῆς, ἡ γλυκυτάτη μήτηρ ἐβόα, ὅτι προσηγορίας μόνης γεγένημαι μήτηρ· ἧστινος τὰς ἐπὶ τοῦ τοκετοῦ ὠδῖνας ἐτρύγησεν ὁ D θάνατος. ἕνα βότρυν εἶχεν ἡ ἄμπελος, καὶ τοῦτον ἡ ζάλη τοῦ θανάτου συνέτριψε. μίαν βακτηρίαν ἐκέκτητο, καὶ ταύτην ὁ κοινὸς ἀφείλετο θάνατος. ἀπαρηγόρητον ὑπῆρχε τὸ γύναιον, καὶ τῆς βακτηρίας ἐστέρητο· ἀβίωτον ἐθεώρει τὸν βίον. λοιπὸν οὐδὲ τὴν τυχοῦσαν εἶχε παραμυθίαν, υἱὸν τὸν μονογενῆ ἀπολέσασα· διπλῷ τῷ πόνῳ συνείχετο· ἀπαραμύθητον εἶχε τὸ ἄλγημα· οὐδεὶς ἐπικουφίσαι τὴν ὀδύνην ἠδύνατο· ποταμηδὸν κατὰ τῶν παρειῶν ἔρρει τὰ δάκρυα, καὶ ἀφόρητον ἡ γυνὴ τὸ πένθος ἐκέκτητο. κατενόει τὴν τοῦ παιδὸς ὡραιότητα· τῇ στοργῇ τὰ σπλάγχνα τῆς διανοίας ἐτέμνετο. καὶ αὕτη χήρα τὸ πᾶν γέγονε, τὸ πάντων βαρύτατον, τὸ πάντων ἐλεεινότερον· καὶ τοῦ ἀνδρὸς, καὶ τοῦ μονογενοῦς ἐστέρητο. ὄντως ἐλεεινὸν τὸ τῆς χήρας ὄνομα, οἴκτου πεπληρωμένον, δακρύων μεμεστωμένον, συμπαθείας ἐχόμενον. οὐδεὶς τῶν βλεπόντων ἀπένθητος ἔμεινεν· ἔστενον πάντων τὰ σπλάγχνα· οὐχ εὕρισκον E πρῶτον τίνα πενθήσαι, τὸν τεθνηκότα παῖδα, ἢ τὴν ζῶσαν χήραν· ἀλλ' ἐσφάλην τὴν χήραν ζῶσαν, προσειπών. ποία γὰρ χήρα ζωὴν ζῇ; κἂν γὰρ δοκῇ ζῆν, πρὸς τὰ παρόντα λέγω, οὐχὶ δὲ πρὸς τὰ μέλλοντα, τέθνηκε· χήρα γὰρ ἐν τοῖς παροῦσιν εἰ μὲν εὔπορος ἦν, μικρόν πως κλέπτεται τὴν ὀδύνην, ἀλείφει τὴν προσδοκίαν, θεραπεύεται τὸ τραῦμα, καὶ κουφίζεται τὸ ἄλγος, νευροῦται τῇ καρποφορίᾳ, καὶ βραχύ τι πολλάκις καθεύδει. εἰ γὰρ καὶ πολλὰ τὰ λυποῦντα, καὶ οἱ διαρπάζοντες αὐτὴν ἕτοιμοι, ἀλλ' ὅμως τῆς πενίας ἀπούσης, ἐλαφρότερον τὸ βαρύ. χήρα δὲ πενιχρὰ, λιμὴν δακρύων, καὶ φρέαρ πειρασμῶν, ἀτείχιστος πόλις, ἄνυδρος πηγὴ, μήτηρ

μήτηρ στεναγμοῦ, εὐφροσύνης παράσιτος, οἰκοδέσποινα πενίας, ἀφορίας ψηφίστρια, λιμοῦ πάροικος, ὀδύνης ὑφάντρια, βακτηρία συντετριμμένη, χαλεπὸν ἀπάντημα, πικρὸν συνοικέσιον, ἀκαλλώπιστον ἄγαλμα, ἠρημωμένη στήλη, ἄῤῥιζον δένδρον, ἀφώτιστος ὁμίχλη, ἐκκλησίας πρόθυρον, ποικίλων εὐχῶν ἐπινοήτρια, κατ' ἐχθρῶν πεπαῤῥησιασμένη κατήγορος κατ' αὐτῶν· καὶ ὡς ἀνδρὶ, τῷ θεῷ καταβοῶσα, καὶ ἔκδικον ἑτοιμοτάτην ἔχουσα τοῦ θεοῦ τὴν ὀργὴν ἐκδίκησιν, χίζουσα τοὺς οὐρανοὺς ταῖς πρὸς θεὸν ἐπιτυχίαις, πεπικραμμένη καρδία· τύπτουσα τὸ στῆθος, ὥσπερ δήμιος, εἰ μὴ ταχὺ εὕροι τοῦ θεοῦ τὴν βοήθειαν, εἰς ἐκδίκησιν τῶν ἐπιβαινόντων αὐτῇ εἰς ἀδικίαν. καὶ ἡ ἄτεκνος, ἐπὶ γῆς πενιχρὰ, ἀπροστάτευτος, κινεῖ τὸν θεὸν σὺν πάσαις αὐτοῦ ταῖς ἐπουρανίαις δυνάμεσιν, εἰς ὀργὴν καὶ ἀγανάκτησιν τῶν οὐ θελόντων πείθεσθαι, κριτὴν εἶναι τὸν θεὸν χηρῶν καὶ ὀρφανῶν. εἰ δὲ συμβῇ αὐτῇ παῖδα προσεῖναι· μικρόν πως τέρπεται τῇ ἡλικίᾳ, καὶ * κλέπτεται τῇ προσδοκίᾳ, νευροῦται τῇ καρποφορίᾳ. βλέπει τὸν κλάδον, καὶ τὴν ῥίζαν ἀσπάζεται· τὸν βότρυν κρατεῖ, καὶ τὸν φυτεύσαντα φιλεῖ. ἔχει τὸ μέρος, καὶ τὸ ὅλον λογίζεται. τῷ ζῶντι συμπλέκεται, καὶ τὸν νεκρὸν οὐ βδελύσσεται. τὸν χαρακτῆρα τοῦ παιδὸς κατανοεῖ, καὶ τὴν εἰκόνα τοῦ πατρὸς ἐσοπτρίζεται. καὶ ἕως μὲν περίεστι τὸ παιδάριον, γαληνότερον ἡ χήρα κυμαλίζεται ἐν τῇ τοῦ βίου τρικυμίᾳ. εἰ δὲ συμβῇ καὶ τὸν παῖδα ζώσης τῆς μητρὸς ἀποθανεῖν, καὶ τῇ μὲν μητρὶ συντάξασθαι, τῷ δὲ πατρὶ προσρυῆναι, ὅπερ πέπονθεν ἡ παροῦσα χήρα; πᾶσαν ὑφ' ἓν ἀναδέχεται τὴν ὀδύνην. μόνον γὰρ τέθνηκεν ὁ μονογενὴς υἱὸς τῆς μνημονευθείσης χήρας, τὴν στολὴν τοῦ πένθους ἠμφιεσμένη, ἤρξατο προπετῆ φθέγγεσθαι ῥήματα, καὶ ὡς ἀκρίτῳ τῷ θεῷ ὄντι ἐδικάζετο, βλασφήμοις λόγοις προσάγουσα ὡς βίαν ὑπομένουσα διελέγετο, λέγουσα· ἆρα ὁ υἱός μου μόνος τὸν κόσμον ἐβάρησεν; ἄλλοι στενοχωροῦνται ἐπὶ παιδοποιΐας, κἀμοῦ τῆς μόνης ὁ μόνος ἀπεσπάσθη; ἐγὼ ἡ ἄτονος ζῶ, καὶ ὁ ἀνὴρ τέθνηκεν ἅμα καὶ ὁ υἱός· ποῦ λοιπὸν παραινέσει μέ τις; τίς δέ με περιβλέψεται; ἐδόκουν κἂν μικρὰν παῤῥησίαν δι' αὐτὸν κεκτῆσθαι. ἤρκει γάρ μοι μόνον μητέρα ἀκούειν. ὑπομάζιόν μοι αὐτὸν ὁ πατὴρ ἄνευ χρημάτων ἐγκατέλιπε· κἀγὼ ἡ ἀπροστάτευτος χήρα χεῖρας εἰς ἔργον ἐρείσασα, τοῦτον ἐπιμελῶς ἔθρεψα· διπλᾶς καὶ τριπλᾶς αὐτῷ στολὰς πεποίηκα, μισθοὺς τοῖς παιδεύσασιν αὐτὸν ἁπλῶς ἐχορήγησα· καὶ νῦν, ὅτε τὸν τρυγητὸν τῶν ἀγαθῶν προσεδόκησα, τότε τὴν χάλαζαν τῶν πειρασμῶν δέδεγμαι. ὢ τῆς ὀδύνης. ἀλλ' εὗρον τί πράξω. συνθάπτομαι τῷ υἱῷ μου. πληροφορῶ τοὺς φθονήσαντάς μοι· συγγενεῖς με κατήσθιον ὡς ἀνδρεῖον παῖδα κεκτημένην. συγχωρήσατέ μοι πάντες οἱ βασκαίνοντές μοι τὴν εὐπαιδίαν. ἤδη γὰρ ἐγὼ τοῦ γνησίου μου παιδὸς προκαταλαμβάνω τὸν τάφον. ἐμοὶ γὰρ λοιπὸν τὸ ζῆν καταγέλαστον. ταῦτα τῆς χήρας βοησάσης καὶ ὀδυνωμένης, εὐθέως παραγενόμενος ὁ ποιητὴς ἡμῶν Χριστὸς ὁ θεὸς, καὶ ἰδὼν αὐτὴν, ὁ τὰ πάντα προορῶν θεὸς, ὁ καὶ πρὸ τοῦ ποιῆσαι τὰ πάντα σαφῶς ἐπιστάμενος· πρὸ τοῦ γὰρ πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε· ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν, ὁ τὰ δάκρυα εἰς εὐφροσύνην μεταποιῶν, ὁ τὴν τῆς πόλεως Ναῒν πύλην ἐκκλησίαν ποιήσας, καὶ τὴν κλίνην τοῦ νεκροῦ θυσιαστήριον ἀποδείξας· ὅπου γὰρ ἀναστάσεως δῶρον, ἐκεῖ θυσιαστηρίου κόσμος· καὶ ὅπου τοῦ θεοῦ λόγου αἱ χεῖρες ἐκτείνονται, ἐκεῖ τῆς ἀναστάσεως τὸ μέτρον ἐκτετέλεσται. τὸ γὰρ ἐξόδιον γέγονεν ἱερουργεῖον, καὶ ἡ ἐκκομιδὴ γέγονεν εἰσκομιδή. τί γάρ φησιν ὁ εὐαγγελιστής; ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς· τουτέστιν, ὁ σωτὴρ, καὶ ὁ θεὸς λόγος, ὁ Χριστὸς, ἐσπλαγχνίσθη ἰδὼν αὐτήν. τί ἰδών; χήραν ἄτεκνον, ἄνανδρον, γηραλέαν, κυρτίζουσαν, γοερὰν, κόμην ἑλκύσασαν, κόνιν τῇ κεφαλῇ καταπάσσουσαν, τοὺς βαρυωπεῖς ὀφθαλμοὺς ἐκτυφλώσασαν, ἀπρεπῆ στολὴν διαῤῥήξασαν, τὸ πολυστένακτον στῆθος τύψασαν, καὶ βοᾶν μηκέτι ἰσχύσασαν, φρενήρη λοιπὸν γενομένην. ἐν τούτοις ἰδὼν αὐτὴν ὁ Ἰησοῦς,

A mater gemituum, lætitiæ parasitus, hera paupertatis, sterilitatis computatrix, famis vicina, textrix doloris, baculus fractus, gravis occursus, acerba contubernalis, deformis imago, columna deserta, arbor sine radice, nubecula sine luce, ecclesiæ limen, variarum precum excogitatrix, accusatrix audax inimicorum, quæ Deum clamans alloquitur ut virum, ultricem, quæ paratam habet Dei iram, quæ ipsum cælum scindit per emissas in amaritudine cordis ad Deum supplicationes: cor amarum, pectus percutiens quasi carnifex, nisi cito Dei opem experiatur, ultricem iniquorum qui se invadunt. Et illa filiis orba, in terra inops & sine patrocinio, Deum cum omnibus Virtutibus suis movet ad iram &
B vindictam eorum qui credere nolunt Deum esse judicem viduarum & pupillorum. Si vero contigerit illam filium habere, paulum delectatur, ex ætate ejus, spe fovetur, & ex fructu roboratur. Videt ramum, & radicem amplectitur; uvam tenet, & eum qui plantavit diligit. Partem habet & eam totum esse reputat: viventem complectitur, & mortuum non abominatur. Filii figuram considerat, & imaginem patris sibi repræsentat. Et dum adolescens ille vivit, vitæ procellas vidua lenius tolerat. Si vero contigerit, vivente matre, filium mori, ac matri valedicere, & ad patrem accurrere, id quod huic viduæ contigit; tunc totum illa dolorem simul excipit. Statim enim atque memoratæ viduæ
C filius unicus mortuus est, illa lugubri veste induta, cœpit temeraria proferre verba, Deum quasi iniquum redarguens, ipsumque quasi vim passa blasphemis verbis alloquens: Num filius meus solus mundo erat oneri? Alii ob numerosam prolem in angustia sunt, & mihi uni unicus abripitur. Ego misera vivo, & vir atque filius mortui sunt? Quis deinceps me consolabitur? Quis me respiciet? Videbar ex illo aliquam acceptura esse fiduciam; satis enim mihi erat si mater audirem: tenerum mihi illum pater sine facultatibus reliquit. Et ego vidua sine patrocinio manus ad opus admovens, accurate illum enutrivi, duplicem triplicemque vestem ipsi paravi, mercedem erudientibus illum solvi; & nunc cum me hinc bona decerpturam
D sperarem, tentationum grandinem excipio. O dolorem! Sed quid factura sim excogitavi: cum filio meo sepeliar; hac de re certiores facio invidos meos. Cognati me devorabant ut virilem filium habentem. Concedite mihi omnes qui mihi prolem invidetis. Jam ego genuini filii mei sepulcrum præoccupo. Ridiculum mihi videretur si jam viverem. Hæc viduâ cum dolore clamante, statim adveniens Christus Deus noster, qui omnia prævidet, qui omnia noverat antequam ea faceret: Nam, *antequam te formarem in utero novi te, & antequam exires de vulva sanctificavi te*; pater orphanorum & judex viduarum, qui lacrymas in gaudium vertit, qui portam urbis Naim ecclesiam fecit, & lectum mortui altare reddidit; ubi enim resur- Jer. 1. 5.
E rectionis donum, ibi altaris ornatus: & ubi Verbi Dei manus extenduntur, ibi resurrectionis mensura perficitur: nam exitus ille fuit sacrificii locus, & exportatio fuit reductio. Quid enim ait evangelista? Videns autem illam Jesus, id est, servator, Deus Verbum, Christus, *misericordia motus est*, videns eam. Quid videns? viduam filio orbam & viro, vetulam, incurvam, lugentem, comam vellentem, pulvere caput conspergentem, graves oculos excæcantem, indecorum amictum scindentem, pectus gemitibus exhaustum percutientem, nec clamare ultra valentem, effrenem demum factam. Hoc situ videns illam Jesus,

misericordia motus est super eam. Et accedens dixit illi, *Noli flere.* Illa vero luctui dedita, cum non bene nosset eum qui advenerat, abjecto luctu Domino respondit: Ne fleam dicis? Ecquam mihi consolationem jam afferes? Si totum mundum ea de causa moveas, nullum mihi solamen dabis. Quid enim matri ad consolationem dulcius est, quam filius? quando maxime matres viduæ sunt, & in filios unicos spem habent. Quomodo ergo ne fleam dicis? Filium meum extranei lugent, & ego non flebo? Lapides ingemiscunt, & ego tacebo? Spes mea abiit, vita defecit, fiducia abrepta est, vitam conspicio sine spe ulla, hac prorsus nudata sum: mors exspectationem meam demessuit, & me sine ope undique constituit: me reliquit, & illum suffurata est: dimisit radicem, & ramum desecuit; trunco pepercit, & speciosum surculum tabefecit; vetulam reliquit, & adolescentem resecuit. Nullum habeo ad quem respiciam. Si enim alterum haberem filium, possem luctum moderari, & viventis conspectu, mortui dolorem allevare. Nunc vero nullum mihi bonum relictum est, omni privor lætitia. Videbam filii imaginem, & in illa veterem patris figuram conspiciebam. Dum hunc haberem, illum imaginabar: nunquam me viduam existimavi. Nam is qui ex illo prodierat, in calamitate me solabatur, & ex me natus mihi magis quam vir serviebat, & cum dolebam, illum habebam consolatorem. Si quando mœror mihi animum occuparet, ille me amplectebatur osculans, & puerili sermone me delectabat, mœrorisque nubem dissipabat; & dicis mihi, Noli flere filium tuum? Quis es tu qui ita me hortaris? Quidam vero de turba accedentes dicebant ei: Cur audes, o mulier, Deo contradicere? Dominus adest, ipse te alloquitur. Accede, precare, supplica. Neque enim inutilis est ejus præsentia. Illa vero abstersis oculis, vesteque composita, ac tecto pectore, procidit ad vestigia Domini, ipsique respondit: Redde mihi filium, & accipio consilium tuum: nam vetula ætate sum. Sed Saram intueor, & spes accedit mihi. Hinc ad pedes Jesu accedens dicebat: Ignosce petulantiæ ancillæ tuæ, Domine, & verbis meis in luctu demersis. Neque enim ignoras matris filios lugentis dolorem: hoc enim præceptum tuum est. Cum spe hunc enutrivi, virum amisi; saltem filium dato; senectutem meam fove; jam enim deficio. Non dico ut Martha, *Si fuisses hîc, frater meus non esset mortuus.* Jam enim præsens animam ejus gestas, & cum abire videris, nihil tibi deest. Paululum quidpiam, Domine, concede ancillæ tuæ. Tu Lazarum flevisti, quem virtute tua a mortuis suscitasti, & ego filium meum non flebo? *Et accedens Jesus tetigit loculum,* qui tangit montes, & fumigant. *Ii autem qui portabant, steterunt. Et ait, Adolescens surge*: recipe sensum adolescentis, & mortem conculca. *Tibi dico, surge*; ne tardes resurgere, *Ego enim sum resurrectio & vita.* Vocavi Lazarum de sepulcro, & ille statim ex monumento exsiliit, licet per quatriduum putredinem contraxisset in sepulcro, & a vermibus viscera ejus admodum corrosa essent. Sed vox vitæ mortuum olfaciens, solutas carnes in bonum odorem restituit: & factum est sepulcrum uterus mortui. Te vero nuper mors intercepit. Tibi dico, Ne tardes resurgere: ego enim *sum resurrectio.* Mortuus erat is qui conspiciebatur, & illi quasi audienti loquebatur Dominus. Quandonam audit mortuus? Et quid dicit Dominus? *Tibi dico, Surge. Et statim resedit mortuus*; ita ut turbæ, quæ id videbant, quasi mortuæ fierent; primo ob incredulitatem;

*Joan.* 11. 21.

A ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ προσελθὼν εἶπεν αὐτῇ, μὴ κλαῖε. ἡ δὲ περὶ τὸ πένθος ἀσχολουμένη, εἰλικρινῶς μὴ κατανοήσασα τὸν παραγενόμενον, τὸ πένθος ἀποσεισαμένη, πρὸς τὸν κύριον ἀνταποκριθεῖσα εἶπε· μὴ κλαίειν λέγεις μοι; καὶ τίνα μοι παραμυθίαν προσοίσεις λοιπόν; κἂν γὰρ τὸν κόσμον ὅλον κινήσῃς εἰς ἐμὴν παράκλησιν, οὐδεμίαν μοι δείξεις παράκλησιν. τῆς γὰρ μητρικῆς παρακλήσεως τί υἱοῦ ὑπάρχει γλυκύτερον; καὶ μάλιστα, ὅτε χῆραι ὑπάρχουσι, καὶ μονογενέσιν υἱοῖς ἐπαγγέλλονται· πῶς οὖν μὴ κλαίειν λέγεις μοι; τὸν υἱόν μου οἱ ξένοι πενθοῦσι, κἀγὼ μὴ κλαύσω; οἱ λίθοι στενάζουσι, κἀγὼ σιωπήσω; ἡ ἐλπίς μου ἐστέρηται, ἡ ζωή μου ἐξέλιπεν, ἡ παῤῥησία μου σεσύληται, ἀνέλπιστον αὐτῆς θεωρῶ τὸν βίον, καὶ γυμνὴ πάσης ἐλπίδος εἰμί. ἐθέρισέ μου τὴν προσδοκίαν ὁ θάνατος· ἄπορον με
B πανταχόθεν κατέστησεν· ἐμὲ κατέλιπε, κἀκεῖνον μεθώδευσεν· ἀφῆκε τὴν ῥίζαν, καὶ τὸν κλάδον ἀπέτεμεν· ἐφείσατο τοῦ πρέμνου, καὶ τὸν ὡραῖον ἐμάρανεν ὄρπηκα· τὴν παλαιὰν κατέλιπε, καὶ τὸν νέον ἐξέτεμεν. οὐκ ἔχω τίνα θεάσομαι. εἰ μὲν γὰρ ἕτερον εἶχον υἱὸν, ἐδυνάμην τὸ πένθος ζυγοστατεῖν, καὶ τῇ ὄψει τοῦ ζῶντος τοῦ θανόντος τὸν πόνον ἐπικουφίζειν· νῦν δὲ οὐδέν μοι καλὸν ὑπολέλειπται, πάσης εὐφροσύνης ἐστέρημαι. ἔβλεπον τὴν εἰκόνα τοῦ παιδὸς, καὶ ἐθεώρουν τὸν ἀρχαιότυπον αὐτοῦ πατέρα· τοῦτον ἔχουσα, εἰς ἐκεῖνον ἐφανταζόμην· οὐδέποτε χήραν ἐμαυτὴν ἐνόμισα. ὁ γὰρ ἐξ ἐκείνου τὰς συμφορὰς μοι ἐπεκούφιζε, καὶ πλέον με τοῦ ἀνδρὸς ὁ ἐξ ἐμοῦ τεχθεὶς ἐθεράπευσε, καὶ λυπουμένη τοῦτον εἶχον παράκλησιν. εἴ ποτε ἀθυμία τὸν λογισμόν μου
C περιέσχε, περιελάμβανέ με· καὶ περιπτυσσόμενος, καταφιλῶν, λόγοις παιδικοῖς τέρπων με, τὴν νεφέλην τῆς ἀθυμίας ἠφάνιζε· καὶ λέγεις μοι, μὴ κλαῖε τὸν υἱόν σου; τίς εἶ σὺ ὁ τὰ τοιαῦτά μοι παραινῶν; τινὲς δὲ τοῦ ὄχλου προσελθόντες εἶπον πρὸς αὐτήν· τί τολμᾷς, ὦ γύναι, τῷ θεῷ ἀντιλέγειν; ὁ κύριος πάρεστιν, αὐτός σοι διαλέγεται· προσελθε, δεήθητι, ἱκέτευσον. οὐ γάρ ἐστιν ἄπρακτος αὐτοῦ ἡ παρουσία. ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐκμάξασα, καὶ τὴν ἐσθῆτα ἑαυτῆς περιστείλασα, καὶ τὸ στῆθος καλύψασα, προσέπεσε τοῖς ἴχνεσι τοῦ δεσπότου, καὶ ἀποκριθεῖσα τῷ κυρίῳ ἔφη· δός μοι τὸν παῖδα, καὶ λαμβάνω τὴν συμβουλίαν σου. καὶ γὰρ ἐν παλαιότητι φύσεως ἐξετάζομαι. βλέπω γὰρ τὴν Σάῤῥαν, καὶ τρυγῶ τὰς ἐλπίδας. καὶ προσελθοῦσα τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἔλεγε· συγγνώσθητι τῇ προπετείᾳ τῆς δούλης σου, δέσποτα, καὶ τοῖς λόγοις τοῖς βα-
D πτισθεῖσιν ἐν τῷ πένθει μου. οὐ γὰρ ἀγνοεῖς μητρὸς ὀδύνην ἐν λύπῃ τέκνων. τοῦτο γὰρ σὸν πρόσταγμα· ἐφ' ἐλπίσιν ἔτρεφον τοῦτον. τὸν ἄνδρα ἐζημιώθην, κἂν τὸν παῖδά μοι χάρισαι. ψυχαγώγησόν μου τὸ γῆρας· ἤδη γὰρ ἐκλείπω. οὐ λέγω ὡς ἡ Μάρθα, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. ἄρτι γὰρ καὶ παρὼν τὴν ψυχὴν αὐτοῦ βαστάζεις, καὶ ἀπιέναι δοκῶν οὐκ ἀπολείπῃ τινός. μικρὸν, δέσποτα, συγχώρησον * τῇ δούλῃ σου. σὺ τὸν Λάζαρον ἔκλαυσας, ὃν τῇ σῇ δυνάμει ἤγειρας ἐκ νεκρῶν· κἀγὼ τὸν υἱόν μου μὴ κλαύσω; καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο τῆς σοροῦ, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· οἱ δὲ βαστάζοντες ἔστησαν· καὶ εἶπε· νεανίσκε, ἀνάστηθι, ἀνάλαβε φρόνημα νεανίσκου, καὶ τὸν θάνατον καταπάτησον· σοὶ λέγω, ἐγέρθητι· μὴ βραδύνῃς πρὸς τὴν ἀνάστα-
E σιν· ἐγὼ γάρ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις. ἐκάλεσα τὸν Λάζαρον ἐκ τάφου, καὶ οὗτος εὐθέως ἐξήλλατο τοῦ μνήματος, ὥστε τετάρτην ἡμέραν κατασαπεὶς ἐν τῷ μνήματι, καὶ πολλὰ τῶν σπλάγχνων ὑπὸ τῶν σκωλήκων πεπορθημένος. ἀλλ' ἡ φωνὴ τῆς ζωῆς τὸν νεκρὸν ὀσφρανθεῖσα εἰς εὐοσμίαν τὴν τῶν σαρκῶν ἀνεχάλκευσε λύσιν, καὶ γέγονε μήτρα τοῦ κειμένου τὸ μνῆμα· σοὶ δὲ προσφάτως ὁ θάνατος ἐμεθώδευσε· σοὶ λέγω, μὴ βραδύνῃς πρὸς τὴν ἀνάστασιν. ἐγὼ γάρ εἰμι ἡ ἀνάστασις. νεκρὸς ὑπῆρχεν ὁ θεωρούμενος, καὶ ὡς ἀκούοντι τῷ τεθνεῶτι διελέγετο ὁ κύριος. πότε νεκρὸς ἀκούει; καὶ τί φησιν ὁ δεσπότης; σοὶ λέγω, ἐγέρθητι· καὶ εὐθέως ἀνεκάθισεν ὁ νεκρός· ὥστε οἱ θεωροῦντες ὄχλοι ἐγένοντο ὡσεὶ νεκροί· πρῶτον μὲν διὰ τὴν ἀπιστίαν·

A δεύτερον διὰ τὴν ἀλήθειαν. διὰ τί γὰρ μὴ κατεπήδησεν, ἀλλ' ἀνεκάθισεν; ὅπως ἂν ἀνεπισκίαστον τὴν ἀνάστασιν θεωρήσωσιν οἱ πάντες, καὶ μὴ φαντασία γνωρισθῇ τὸ γινόμενον· μονονουχὶ λέγων πρὸς αὐτούς· ἐγὼ ὑμᾶς πληροφορῶ τοὺς ἀκηκοότας· ὅτι ἐκεῖνος αὐτός ἐστιν ὁ πρὸ βραχὺ ἀποθανών. καὶ ἐκτείνας τὴν χεῖρα ὁ Ἰησοῦς, ἐπελάβετο τοῦ τεθνεῶτος, καὶ ἔδωκεν αὐτὸν ζῶντα τῇ μητρὶ αὐτοῦ· ἡ δὲ λαβοῦσα τὸν υἱὸν, ὑπὸ χαρᾶς καὶ ἀπιστίας συνείχετο· χαίρουσα μὲν ἐπὶ τῇ τοῦ παιδὸς ἀναστάσει· ἀπιστοῦσα δὲ τῇ διανοίᾳ τῶν πραγμάτων. μετὰ σπουδῆς τὸ γύναιον ἀκριβῶς τὸν υἱὸν κατενόει, ταῖς χέρσιν ἐψηλάφα, ὀφθαλμῶν θέσεις διερευνῶσα, ὀσφρήσεως, χειλέων, μετώπου, καὶ τοῦ παντὸς προσώπου τὴν διατύπωσιν· εἶτα τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ, ἁπλῶς εἰπεῖν, B ὅλον τὸ σῶμα· καὶ πρὸς ἑαυτὴν διελογίζετο λέγουσα· ἆρα, φησὶ, μήποτε πλανῶμαι; μὴ ἄλλον ὑπὲρ ἄλλου κρατῶ; μὴ πρὸς παραμυθίαν τὴν ἐμὴν, καὶ τὴν τοῦ πένθους ὑποστολὴν, καὶ πρὸς τοῦ ἄλγους ὑπερβολὴν τοῦ υἱοῦ μου τὸν θάνατον ἐσοφίσατο; καὶ ξένον τινὰ, ὡς οἰκεῖον, παρέδωκεν Ἰησοῦς, τὴν ἐμὴν ὀδύνην ἐπικουφίσαι βουλόμενος; οὐδένα τοῦ γινομένου κέκτημαι μάρτυρα· οὐκ εἶδον τοῦτό ποτε· οὐκ ἄλλος τῶν σὺν ἐμοὶ τεθέαται· οὐδέποτε ἐπὶ κλίνης ὤφθη νεκρὸς ἐγηγερμένος. αὐτὸν δὲ τὸν υἱὸν λαβοῦσα, διελέγετο λέγουσα· λέγε μοὶ, φησὶ, καὶ μὴ δειλιάσῃς, εἰ σὺ αὐτὸς ὑπάρχεις ὁ υἱός μου. εἰπὲ, γινώσκεις με; γνωρίζεις με τίς εἰμι; οἶδας εἰ ἐγώ εἰμι ἡ τεκοῦσά σε; ἐπιγινώσκω τοὺς χαρακτῆρας, ἀλλ' οὐ πιστεύω τῷ πράγματι. βοᾷ ὁ ὀφθαλμὸς, C ὑπογράφει ἡ κόρη, κηρύττει τὰ βλέφαρα, ἡ ἀκοὴ συμφωνεῖ, μαρτυρεῖ τὸ τῆς ὀσφρήσεως διατετυπωμένον μεσότοιχον, τὰ χείλη πληροφορεῖ, αὐτὴ ἡ ἡλικία προτρέπεται. κίνησον γλῶσσαν, ὦ φίλτατε, εἰπέ μοι τὰ τοῦ βίου τεκμήρια. ἡ χαρά μοι χειμῶνά μοι ἐκίνησε· βλέπω σε, καὶ συνέχομαι. ἐγώ σε ἐπ' ἀγκάλαις ἐβάστασα, ἐγὼ μαζοῖς ἐμοῖς ἐθήλασα βραχὺν ὄντα. λέγε μοι, τέκνον μου, σὺ ὑπάρχεις ὁ υἱός μου; καὶ μὴ δειλιάσῃς με. ἀλλ' ὡς ἐπὶ πᾶσι τούτοις τὴν πληροφορίαν ἐδέξατο, καὶ ἡ πενθήσασα ὑπέστρεψε χαίρουσα, καὶ ἡ θρηνοῦσα δοξάζουσα τὸν θεὸν, τῇ δεξιᾷ χειρὶ τὸν παῖδα κατέχουσα, καὶ διὰ τῆς πόλεως πρὸς πάντας πορευομένη βοῶσα μεγάλῃ τῇ φωνῇ· μεγαλύνατε τὸν κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό· ὅτι τὸν ἐμὸν νεκρωθέντα ἀνέστησεν, ὅτι τὴν παλαιὰν ἄμπελον D ἐχαράκωσε, καὶ τὴν μητέρα πάλιν μητέρα ἐποίησε, καὶ πηγὰς δακρύων ἐξέκοψε· καὶ δοξάσατε τὸ ὄνομα αὐτοῦ εἰς τοὺς αἰῶνας· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

A secundo, ob rei veritatem. Cur autem non exsiliit, sed resedit? Ut non adumbratam resurrectionem omnes putarent, & ne res phantasia esse videretur: ac si dixisset Dominus illis: Ego vos certiores facio, qui audistis, quod idem ipse sit, qui paulo ante mortuus erat. Et extendens manum Jesus, cepit eum qui mortuus fuerat, & dedit illum viventem matri suæ. Illa vero accepto filio, gaudio & incredulitate tenebatur; gaudens quidem de filii resurrectione; non credens autem & rem ipsam cogitans. Studiose mater filium considerabat, manibus palpabat, oculorum situm explorabat, olfactum, manus, frontem, & totam vultus formam; deinde manus, pedes, & in summa B totum corpus. Ac secum reputabat dicens: Num errore ducor? Num alium pro alio teneo? Num ad consolationem meam, ut luctum sedaret & doloris magnitudinem, in morte filii mei callide egit, & alienum quempiam quasi meum tradidit Jesus, ut dolorem meum allevaret? Nullum similis rei testem habeo: nihil unquam tale vidi, neque alius eorum, qui mecum sunt, vidit. Nunquam in lectulo visus est mortuus qui suscitatus fuerit. Ipsum vero filium sic alloquebatur: Dic mihi, ne timeas, Tu-ne es ipse filius meus, dic, cognoscis me? nosti quænam sim? Scis num ego sim quæ te peperi? Agnosco figuram, sed rei non credo. Id clamat oculus, describit pupilla, palpebræ prædicant, auditus consentit, testificatur na- C rium pars intermedia, labia declarant, ipsa statura suadet. Linguam move, dilectissime, dic mihi vitæ signa. Gaudium mihi tempestatem excitavit. Te video, & retineor. Ego te in ulnis gestavi, ego te parvulum lactavi. Dic mihi, fili mi, tu-ne es filius meus? ne timeas me. Verum ubi de his omnibus certior facta est, quæ luxerat in gaudium versa, & quæ fleverat Deum glorificans, dextera manu filium tenens, & per urbem omnes adiens, magna voce clamabat: *Magnificate Dominum mecum, & exaltemus nomen ejus in idipsum*, quia filium meum mortuum suscitavit, quia veterem vineam vallavit, & eam quæ olim mater erat, matrem D rursum effecit, lacrymarumque fontes exsiccavit: & glorificate nomen ejus in sæcula: quia ipsum decet gloria in sæcula sæculorum, amen.

*Psal. 33. 3.*

## Κατὰ Ἰουδαίων εἰς τὸν ὄφιν τὸν χαλκοῦν, καὶ εἰς τό· ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ εἰς τὸ, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ.

Ο τοῦ θεοῦ λόγος, ἀδελφοὶ, ὡς πολλάκις ἔφθημεν εἰπόντες, ἁπλοῦς μέν ἐστι, καὶ λευκὸς, καὶ πᾶσιν εὔδηλος, καὶ φωτὸς πολλοῦ γέμων· διαφόρους δὲ ἔχων τὰς ἐνεργείας, διαφόρους λαμβάνει τὰς προσηγορίας, ὡς πολλάκις E αὐτὸν ὀνομάζεσθαι καὶ φῶς, καὶ ζωὴν, καὶ λύχνον, καὶ λαμπάδα, καὶ ξίφος, καὶ ποταμὸν, καὶ πηγὴν, καὶ μάχαιραν, καὶ πέλεκυν, καὶ θύραν. ταύτας δὲ τὰς προσηγορίας δέχεται ἀναλόγως τῆς εὐεργεσίαις, πρὸς τὸ ὀμματῶσαι τῶν ἀκροατῶν τὰς ἐννοίας, καὶ ἀπὸ τῶν καθ' ἡμᾶς ἀνάγειν ἡμῶν τὴν διάνοιαν εἰς τὰ ὑπὲρ ἡμᾶς. ἐντεῦθεν δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ θεοῦ λόγος, ἡ πηγὴ τῆς σοφίας, διαλεγόμενος τῷ λαῷ, παραβολαῖς κέχρηται, ἀπὸ τῶν ἐν κόσμῳ τὰ ὑπὲρ κόσμον διδάσκων, ἀπὸ τῶν φαινομένων τὰ ἀόρατα, ἀπὸ τῶν ἀνθρωπίνων τὰ θεῖα. καὶ ποτὲ μὲν παραβολὴν ἀμπελῶνος φέρει, ποτὲ δὲ παραβολὴν ἁλιείας,

## Contra Judæos, in serpentem æneum; & in illud: *Dedit illi nomen quod est super omne nomen*; & in illud: *Quoniam neminem habuit, per quem juraret, majorem, juravit per semetipsum*.

*Philip. 2. 9.*
*Hebr. 6. 13.*
*De hoc ultimo Scripturæ loco ne verbum quidem habetur in tota concione.*

1. VERBUM Dei, fratres, ut sæpe diximus, simplex quidem est, clarum, omnibus manifestum, & multa luce plenum; E sed varias habens operationes, varia accipit nomina; ita ut sæpe vocetur lux, vita, lucerna, lampas, gladius, fluvius, fons, ensis, securis, porta. Hæc admittit vocabula pro ratione beneficiorum, ut aperiatur auditorum intelligentia, & ut ab iis, quæ apud nos sunt, mens nostra erigatur ad ea, quæ supra nos sunt. Hinc Dominus noster Jesus-Christus Dei Verbum, fons sapientiæ, populum alloquens, parabolis usus est, ab iis quæ sunt in mundo, ea quæ supra mundum sunt docens, a visibilibus invisibilia, ab humanis divina. Et aliquando parabolam vineæ affert, aliquando piscationis,

interdum sagenæ, aliquando fermenti. Ut hodie Judæos alloquens dicebat : *Homo quidam habebat duos filios : & dixit primo, Vade in vineam operari.* Quia enim hæc in usu sunt apud nos, & in his versamur, nos ducit ad supernam sapientiam, ut dicebat in priori. Hesterna vero die dicebat Servator : *Simile est regnum cælorum homini patrisfamilias, qui exiit primo mane conducere operarios in vineam suam.* Heri vineæ parabolam induxit, & hodie eamdem. Necessarium est autem tempora indicare, quibus exiit Dominus vineæ. Exiit, inquit, primo mane, & circa horam tertiam, & sextam, & nonam, & undecimam. Quinque tempora vocationis apparent, primo mane, tertia hora, sexta, nona, undecima. Nihil inutile est apud Deum : qui enim comminatus est, De omni verbo otioso rationem dabitis; multo minus ipse utatur verbo otioso, qui est fons sapientiæ. Docet igitur nos divinum magisterium, Deum diversis temporibus vocare. Idem ipse Dominus est, eamdem habet agriculturam : diversis temporibus vocat, secundum diversas hominum generationes. Eadem est dies, idem Dominus, vinea eadem; tempora vero quibus conducit non eadem; sed primo mane, hora tertia, sexta, nona undecima. Quandonam exiit primo mane conducere operarios? Mane vocat exordia divinæ creationis. Mane erat quando Adam formatus est. In exordio enim adhuc sæculum recens erat, cum sol ortus est; adhuc recens erat, cum ostensa est lunæ pulcritudo & stellarum ornatus. Primo mane Deus exiit ut conduceret. Quem primum ex hominibus conduxit? Adamum. Posuit illum in paradiso, ut operaretur & custodiret. Est igitur prima ab Adamo usque ad Noe, hæc una vocatio, unum tempus. Hoc scilicet tempore vocatus est Adam ad operationem, Abel ad virtutis operationem, Seth, & Enoch, qui ob supremam virtutem translatus est. Usque ad Noe extenditur primum vocationis tempus. Cum Noe apparuit tempus erat tertiæ horæ : exiit iterum conducere. Deleta enim ob iniquitatem prima generatione, rursus genus hominum opus habuit secunda vocatione. Inducit secundo operarios in vineam, eos qui fuerunt a Noe usque ad Abraham. Secunda hæc est vocatio. Attende, quæso, diligenter. Prima hora ab Adamo usque ad Noe, tertia hora a Noe usque ad Abraham, sexta hora ab Abraham usque ad Moysem, nona hora a Moyse usque ad Christum, undecima hora, a Christo ad consummationem. Sicut enim undecima hora finis est diei, sic tempus adventus finis est sæculorum. Ut enim undecima hora ad finem vergit diei, sic tempus adventus consummationem subindicat. Quapropter ait apostolus Paulus : *Hæc, fratres, in figuris contingebant illis; scripta sunt autem ad admonitionem nostram, in quos fines sæculorum devenerunt.* Et vide rem mirabilem. Conducti sunt primi, secundi, tertii, quarti, & in fine quinti : & merces non data est primis, donec advenerunt postremi; sed laborem sustinuerant, mercedem vero nondum acceperant. Noluit enim Deus mercedem dare primis, donec advenirent fructus ecclesiæ, & præciperet œconomo : Da ab ultimo usque ad primum. Quod autem distulerit Deus mercedem dare primis, donec venirent ultimi, testificatur Paulus in epistola ad Hebræos. Commemoravit Abrahamum, Isaacum, Jacobum & patriarchas, aliosque prophetas & justos, & adjicit : *Et hi omnes testimonio fidei probati non acceperunt repromissiones, Deo pro nobis melius aliquid providente, ut non sine nobis consummarentur.* Sicut enim hic, fratres, quinque tempora dedit & vocationes, primum tempus, ut resumam, ab Adamo usque ad Noe,

Matt. 21. 28.

Matt. 20. 1.

Matt. 12. 36.

1. Cor. 10. 11.

Hebr. 11. 39.

A ποτὲ δὲ σαγήνης, ἄλλοτε δὲ ζύμης· ὥσπερ σήμερον Ἰουδαίοις διαλεγόμενος ἔλεγεν, ἄνθρωπός τις εἶχε δύο υἱοὺς, καὶ εἶπε τῷ πρώτῳ, ἄπελθε εἰς τὸν ἀμπελῶνα ἐργάζεσθαι. ἐπειδὴ γὰρ παρ' ἡμῖν ταῦτα πολιτεύεται, καὶ τούτοις ἀναστρεφόμεθα, ὁδηγεῖ ἡμᾶς πρὸς τὴν ὑπερκόσμιον σοφίαν· οἷον ἔλεγε καὶ ἐν τῇ προτέρᾳ· τῇ δὲ χθὲς ἡμέρᾳ ἔλεγεν ὁ σωτὴρ, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. χθὲς ἀμπελῶνος εἰσήγαγε παραβολὴν, καὶ τῇ σήμερον τὴν αὐτήν. ἀναγκαῖον δὲ ἐπισημαίνεσθαι καὶ τοὺς καιροὺς ἐκείνους, καθ' οὓς ἐξῆλθεν ὁ δεσπότης τοῦ ἀμπελῶνος. ἐξῆλθε, φησιν, ἅμα πρωῒ, καὶ περὶ τρίτην, καὶ ἕκτην, καὶ ἐννάτην, καὶ ἑνδεκάτην. φαίνονται πέντε καιροὶ τῆς κλήσεως, ἅμα πρωῒ, B τρίτη ὥρα, ἕκτη, ἐννάτη, ἑνδεκάτη. οὐδὲν ἀργὸν παρὰ θεῷ. ὁ γὰρ ἀπειλῶν, ὅτι περὶ παντὸς ἀργοῦ ῥήματος λόγον δώσετε, αὐτὸς πολλῷ μᾶλλον ἀργῷ οὐκ ἂν ἐχρήσατο, ἡ πηγὴ τῆς σοφίας. διδάσκει τοίνυν ἡμᾶς τὸ θεῖον διδασκαλεῖον, ὅτι ὁ θεὸς κατὰ διαφόρους καιροὺς καλεῖ. ὁ αὐτός ἐστι δεσπότης, τὸ αὐτὸ γεώργιον ἔχει, διαφόροις δὲ καιροῖς ποιεῖται τὴν κλῆσιν πρὸς τὰς διαφόρους γενεὰς τῶν ἀνθρώπων. ἡ ἡμέρα ἡ αὐτὴ, ὁ δεσπότης ὁ αὐτὸς, ὁ ἀμπελὼν ὁ αὐτός· οἱ καιροὶ, καθ' οὓς μισθοῦται, οὐκ αὐτοὶ, ἀλλὰ ἅμα πρωῒ, τρίτη, ἕκτη, ἐννάτη, ἑνδεκάτη. πότε ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας; πρωῒ καλεῖ τὰ προοίμια τῆς θείας δημιουργίας. πρωῒ ἦν, ὅτε Ἀδὰμ ἐπλάσθη. ἐν προοιμίοις γὰρ ὁ αἰὼν ἄρτι πρόσφατον ἀνέτειλεν ἥλιον, ἄρτι πρόσφατον ἀνεδείχθη τῆς σελήνης τὸ κάλλος καὶ τῶν ἀστέρων ἡ εὐ- C κοσμία. ἅμα πρωῒ ὁ δεσπότης ἐξῆλθε μισθώσασθαι. τίνα πρῶτον ἐμισθώσατο τῶν ἀνθρώπων; τὸν Ἀδάμ. ἔθηκεν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι καὶ φυλάσσειν. ἔστι τοίνυν ἡ μὲν πρώτη ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Νῶε· αὕτη μία κλῆσις, εἷς καιρός. κατ' ἐκεῖνον δὴ τὸν καιρὸν ἐμισθώθη Ἀδὰμ εἰς ἐργασίαν, Ἄβελ εἰς ἐργασίαν ἀρετῆς, ὁ Σὴθ καὶ ὁ Ἐνὼχ, ὁ διὰ ὑπερβάλλουσαν ἀρετὴν μετατεθείς. ἕως τοῦ Νῶε ὁ πρῶτος καιρὸς τῆς κλήσεως. ὅτε ἐφάνη Νῶε, ὁ καιρὸς τῆς τρίτης ὥρας, ἐξῆλθε πάλιν μισθώσασθαι. ἀφανισθείσης γὰρ τῆς πρώτης γενεᾶς διὰ τὴν παρανομίαν, πάλιν ἐδεήθη δευτέρας κλήσεως τὸ γένος τῶν ἀνθρώπων. εἰσάγει δεύτερον ἐργάτας εἰς τὸν ἀμπελῶνα, τοὺς ἀπὸ Νῶε μέχρι τοῦ Ἀβραάμ· δευτέρα κλῆσις. πρόσεχε ἀκριβῶς, παρακαλῶ. πρώτη ὥρα, D τὰ ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Νῶε· τρίτη ὥρα, τὰ ἀπὸ Νῶε μέχρις Ἀβραάμ. ἕκτη ὥρα, τὰ ἀπὸ Ἀβραὰμ μέχρι Μωϋσέως· ἐννάτη ὥρα, τὰ ἀπὸ Μωϋσέως μέχρι Χριστοῦ· ἑνδεκάτη ὥρα, τὰ ἀπὸ τοῦ Χριστοῦ εἰς συντέλειαν. ὥσπερ γὰρ ἑνδεκάτη ὥρα τέλος ἡμέρας, οὕτω καὶ ὁ καιρὸς τῆς παρουσίας τέλος ἦν τῶν αἰώνων. ὥσπερ γὰρ ἡ ἑνδεκάτη ὥρα εἰς τέλος ἐπείγει τὴν ἡμέραν, οὕτως ὁ καιρὸς τῆς παρουσίας τὴν συντέλειαν αἰνίττεται. διό φησιν ὁ ἀπόστολος Παῦλος· ταῦτα, ἀδελφοὶ, τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ εἰς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. καὶ ὅρα τὸ θαυμαστόν. ἐμισθώθησαν οἱ πρῶτοι, οἱ δεύτεροι, οἱ τρίτοι, οἱ τέταρτοι, καὶ ἐπὶ τέλει οἱ πέμπτοι· καὶ μισθὸς οὐκ ἐδόθη τοῖς πρώτοις, ἕως ἀπήντησαν οἱ τελευταῖοι· ἀλλὰ τὸν μὲν κόπον ὑπέμειναν, τὸν δὲ μισθὸν οὐδέπω ἐδέ- E ξαντο. οὐ γὰρ ἠθέλησεν ὁ θεὸς τοῖς πρώτοις δοῦναι μισθὸν ἕως ἂν ἀπαντήσωσιν οἱ καρποὶ τῆς ἐκκλησίας, καὶ κελεύσῃ τῷ οἰκονόμῳ, δὸς ἀπὸ τοῦ ἐσχάτου ἕως τοῦ πρώτου. ὅτι δὲ ὑπερέθετο ὁ θεὸς μὴ δοῦναι τὸν μισθὸν τοῖς πρώτοις, ἕως ἂν ἔλθωσιν οἱ τελευταῖοι, μαρτυρεῖ Παῦλος λέγων ἐν τῇ πρὸς Ἑβραίους· ἐμνημόνευσε τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πατριαρχῶν, καὶ ἑτέρων προφητῶν καὶ δικαίων· καὶ ἐπάγει, καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν. ὥσπερ γὰρ ἐνταῦθα, ἀδελφοὶ, πέντε καιροὺς ἔδωκε καὶ κλήσεις, πρῶτον καιρὸν, ἵνα ἐπαναλάβω, τὸν ἀπὸ Ἀδὰμ μέχρι Νῶε,

δεύτερον

δεύτερον ἀπὸ Νῶε μέχρις Ἀβραάμ, τρίτον ἀπὸ Ἀβραὰμ μέχρι Μωϋσέως, τέταρτον ἀπὸ Μωϋσέως μέχρι Χριστοῦ, πέμπτον ἀπὸ τοῦ σωτῆρος μέχρι τῆς συντελείας· οὕτω καὶ ἀλλαχοῦ παραβολὴν ἐμφαίνων φησίν· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες ἐξῆλθον εἰς συνάντησιν τοῦ νυμφίου· πέντε φρόνιμοι, καὶ πέντε μωραί. διὰ τί πέντε καὶ πέντε; καθ' ἑκάστην γενεὰν καὶ δίκαιοι καὶ ἄδικοι. πέντε φρόνιμοι, καὶ πέντε μωραί. καθ' ἑκάστην γὰρ γενεὰν καὶ σπουδαῖοι καὶ ῥάθυμοι, καὶ εὐλαβεῖς καὶ ἀνευλαβεῖς. ὅρα πανταχοῦ τὴν συμφωνίαν τῶν καιρῶν. πάντως γὰρ αἱ πέντε κλήσεις αὗται ἰδιαζούσας ἔχουσι πραγματείας, καὶ ἴδιον καιρόν. καὶ ὥσπερ οἱ γεωργοὶ παρ' ἑκάστου καιροῦ τοὺς καρποὺς τοὺς οἰκείους ἀπαιτοῦσι, τὰ τοῦ ἔαρος παρὰ τοῦ ἔαρος, παρὰ τοῦ χειμῶνος τὰ τοῦ χειμῶνος, παρὰ τοῦ θέρους τὰ ἐξ ἐκείνου, παρὰ τοῦ μετοπώρου τὰ ἐκ τῆς οἰκείας τροπῆς· οὕτω καὶ ὁ θεὸς ἀπαιτῶν καρπούς, παρ' ἑκάστου καιροῦ τοὺς οἰκείους τῆς γενεᾶς ἀπαιτεῖ. οὐκ ἀπαιτεῖ σε σήμερον καρπόν, ὃν ἀπῄτησε τοὺς πρώτους. ἄλλον ἀπαιτεῖ μετὰ τὴν Χριστοῦ παρουσίαν. ὥσπερ γὰρ τοὺς πρὸ σοῦ οὐκ ἀπῄτησε καρποὺς τοὺς κατὰ σέ, ἀλλ' ἑκάστην γενεὰν ἰδίους καρποὺς ἀπαιτεῖ, οὕτω καὶ τότε. τότε καιρὸς ἦν ἕτερος, καὶ νόμον εἶχεν ἴδιον· νῦν καιρὸς ἕτερος, καὶ διάταγμα ἴδιον ἔχει, οὐ τοῦ θεοῦ μεταβληθέντος, ἀλλὰ προστάγματα ἁρμοζομένου. διὰ τοῦτο μαρτυρεῖ πολλάκις τῷ Νῶε ἡ γραφή, καὶ ἦν Νῶε δίκαιος, τέλειος. πῶς; ἐν τῇ γενεᾷ αὐτοῦ, πρὸς σύγκρισιν τῶν μετ' αὐτοῦ. ἕκαστος γὰρ τὴν ἑαυτοῦ γενεᾶς ἀπαιτεῖται τὴν ὑπηρεσίαν, καθώς φησι Πέτρος περὶ τοῦ Δαυίδ· Δαυὶδ μὲν τῇ ἰδίᾳ ὑπηρετήσας γενεᾷ, τῇ τοῦ θεοῦ βουλῇ ἐκοιμήθη. ἕκαστος κατὰ τὴν ἑαυτοῦ γενεάν. γενεαὶ τοίνυν πέντε. ταῦτα λέγομεν, οὐχ ἁπλῶς ἀποφαινόμενοι, ἀλλὰ τοῖς ἴχνεσι τοῖς δεσποτικοῖς ἀκολουθοῦντες. ἔδειξε τὴν δύναμιν ὁ σωτήρ. ἐπανιών, φησιν, ἐπὶ τὴν πόλιν, εἶδε συκῆν, καὶ οὐκ εἶχεν εἰ μὴ φύλλα μόνον, καὶ ἐζήτει καρπόν· προσῆλθε δὲ πεινῶν. πολλὴν βλέπω τὴν ἀπορίαν ἐν ταῖς λέξεσιν, ἐὰν μὴ ἡ δύναμις δυσωπήσῃ ἡμῶν τὴν διάνοιαν μηδὲν κατὰ θεοῦ ἀδιαφόρως φθέγγεσθαι ἢ νοεῖν, ἀλλὰ τῷ σκοπῷ τῆς ἀληθείας ἐξακολουθεῖν. ἐπανιών, φησιν, ἔννυχα λίαν ἐπείνασε, καὶ προσῆλθεν ἐπὶ τὴν συκῆν, ζητῶν καρπόν, καὶ οὐχ εὗρεν. οὐ γὰρ ἦν καιρὸς σύκων. οὕτω γέγραπται. τίς γὰρ οὕτως, οὐ λέγω θεόν, οὐδὲ τὴν τοῦ θεοῦ ἀξίαν ἐν μέσῳ φέρω νῦν, ἀλλὰ τίς οὕτω τῶν καθ' ἡμᾶς ἄνθρωπος ἄφρων, ἀσύνετος, ὥστε παρὰ τὸν καιρὸν ἀπελθεῖν ἐπὶ τὴν συκῆν; εἰ κατὰ ἄνθρωπον, ἀλλότριον συνετοῦ παρὰ τὸν καιρὸν ζητῆσαι καρπόν· εἰ κατὰ θεόν, διὰ τί τῆς ἰδίας δημιουργίας τοὺς ὅρους ἠγνόησεν; ὡς ἂν θέλῃς ἐξετάσαι τὸ ῥῆμα, ἤτοι κατὰ τὴν ἀνθρωπότητα, ἢ τὴν θεότητα, οὐχ ἥρμοσται τῷ σωτῆρι. οὔτε γὰρ ἄνθρωπος συνετὸς παρὰ τὸν καιρὸν ἀπαιτεῖ καρποὺς παρὰ τῶν φυτῶν, ἄλλως τε οὐδ' ἂν ἀπαιτήσαιεν ἀπ' ἀρχῆς· οὔτε δὲ αὐτὸς ὁ θεὸς ὁ τάξιν καὶ καιρὸν καὶ νόμους τεθεικὼς ἑκάστῳ καὶ φυτῷ καὶ καρπῷ, ἀπῄτησεν ἂν παρὰ τοὺς ἰδίους ὅρους. εἰ γὰρ σὺ ἐνομοθέτησας τῇ συκῇ τὸν πρέποντα καιρὸν μὴ ἐνεγκούσῃ. εἰ δὲ καὶ ἦν ὁ καιρός, μὴ ἤνεγκε δὲ καρπόν, τοῦτο τῆς γνώμης ἦν τοῦ θεοῦ τοῦ μὴ ἐνισχύσαντος τὸ φυτόν. ὥστε, ἀδελφοί, οἰκονομία μᾶλλόν ἐστιν, ἢ χρεία. οὐκ ἔστι χρεία Χριστοῦ, ἀλλ' οἰκονομία. ἐβουλήθη προοικονομῆσαι τοῦ πάθους ἀσφάλειαν τοῖς μαθηταῖς. ἐπειδὴ ἔμελλε μετὰ ταύτην τὴν πραγματείαν εὐθέως εἰσιὼν εἰς Ἱεροσόλυμα ὑπομένειν τὸ πάθος· τῷ γὰρ ἀκριβῶς ἀναγινώσκοντι εὑρεθήσεται ταύτῃ τῇ ἱστορίᾳ ἀκολουθοῦσα ἡ τοῦ σταυροῦ δύναμις· ἐπειδὴ ἔμελλεν εἰσιέναι εἰς Ἱεροσόλυμα καὶ πάσχειν, οἱ δὲ μαθηταὶ ἐσκανδαλίζοντο τῷ πάθει, ἵνα μή τις αὐτὸν ὑπονοήσῃ δι' ἀσθένειαν πάσχειν, δίδωσιν ἐναργεῖς μαρτυρίας,

A secundum a Noe usque ad Abraham; tertium ab Abrahamo usque ad Moysem, quartum a Moyse usque ad Christum, quintum a Servatore usque ad consummationem; sic & alibi parabolam afferens ait: *Simile est regnum cælorum decem virginibus, quæ exierunt obviam sponso: quinque prudentes, & quinque fatuæ.* Matt. 25. 1. Cur quinque, & quinque? In singulis generationibus sunt justi & injusti. Quinque prudentes & quinque fatuæ; in singulis enim generationibus sunt studiosi & pigri, pii & impii. Vide ubique temporum consensum. Nam quinque vocationes plane habent propria negotia, & proprium tempus. Et sicut agricolæ secundum singula tempora fructus proprios repetunt, vernos a vere, hiemales ab hieme, B æstivos ab æstate, autumnales ab autumno; ita & Deus fructus repetens, singulis temporibus eos qui sunt cuique generationi proprii, exigit. Non exigit a te hodie fructum, quem a prioribus exegit. Alium requirit post Christi adventum. Ut enim ab iis qui ante te fuerunt non repetiit fructus qui tuo tempore sunt, sed a singulis generationibus repetit, sic & tunc faciebat. Tunc tempus erat aliud, quod propriam habebat legem; nunc aliud propria præcepta habens; non quod Deus mutetur, sed quod præcepta suis temporibus congruentia det. Ideo testificatur sæpe de Noe scriptura. *Et erat Noe justus, perfectus*, quomodo? *in generatione sua*, comparatione eorum qui cum ipso erant. A singulis enim ministerium sui temporis ex- C quiritur, ut ait Petrus de Davide: *David quidem in sua generatione cum administrasset, voluntate Dei dormivit.* Act. 13. 36. Singuli secundum suam generationem. Generationes igitur sunt quinque. Hæc non temere proferentes dicimus, sed vestigia Domini sequentes. Rei vim ostendit Christus. *Revertens*, inquit, *in civitatem, vidit ficum*: & non habebat nisi folia tantum, & quærebat fructum. Accessit autem esuriens. Matt. 21. 19. Multam video in dictis difficultatem, nisi Deus mentem nostram ad reverentiam deducat, ne quid contra Deum temere loquamur aut cogitemus, sed veritatis scopum sequamur. Revertens, inquit, noctu, valde esuriit, & accessit ad ficum quærens fructum, & non invenit. Non enim erat tempus ficorum. Marc. 11. 13. Ita D scriptum est. Quis ita, (non de Deo loquor, neque Dei dignitatem in medium nunc affero,) Quis nostrum hominum ita stultus & insipiens, ut extra tempus ad ficum abeat? Si secundum hominem loquamur, alienum a sensu est extra tempus fructum quærere; si secundum Deum, cur creaturæ suæ terminos ignoravit? Quocumque modo dictum explores, sive secundum humanitatem, sive secundum divinitatem, id Servatori non competit. Neque enim homo prudens extra tempus fructus exigit ab arboribus, * cum alioquin ab initio non tunc exacti fuerint, Neque etiam Deus qui ordinem, tempus & leges posuit singulis & arboribus & fructibus, exiget extra proprios terminos. Si enim tu legem ficui posuisses in pro- E prio tempore non ferenti ***. Quod si etiam tempus esset, neque illa fructum tulisset, id tribuendum esset voluntati Dei, qui arbori vim non dederit. Itaque, fratres, id magis œconomiæ erat quam necessitatis: non erat hæc necessitas, sed œconomia Christi. Volebat discipulis præsignificare certam futuram esse passionem suam. Quia statim post hæc iturus Jerosolymam, ibi passurus erat: si quis enim accurate legat, inveniet quomodo hanc historiam sequuta crux sit. Quia ergo Jerosolymam iturus & passurus erat, discipuli vero de passione scandalizabantur; ne quis suspicaretur ipsum ex infirmitate pati, clara indicia dat se posse adversarios

exsiccare, ut ficum; ut potestatem suam in ficu inanimata ostenderet, patientiam vero suam apud homines rationales; utque ex recentis miraculi memoria intelligerent volentem passum esse eum, qui verbo ficum arefecerat. Quod autem, fratres, hæc vera sint, & quod ipse hæc omnia dispenset, ut potentiam suam ostendat, ex sequentibus intelligitur. Multi vero hoc possunt intelligere: Ficus est synagoga Judæorum. Minatus est autem synagogæ ex ea nullum fore fructum in æternum; sic quidam intelligere voluerunt. Sed res cum hac prædictione non consentire videntur. Post crucem enim & post hanc sententiam, multa millia Judæorum crediderunt. Nec consentit illud, *Non ultra ex te fructus fit*, cum tanto credentium numero. Resume dictum. Si contra Judæos & contra synagogam sententiam dixisset, ita ut non ultra fructum allatura esset, & si fructus synagogæ sunt ecclesiæ, oportuisset post hanc sententiam nullum credidisse Judæorum; quod autem multi crediderint, audi scripturam. Una Petri concio tria millia cepit; altera ejusdem, quatuor millia; suntque septem mille animæ. Alibi vero, dum verbum proficeret, turba magna Judæorum fidei obsequuta est. Si Judæorum plurimi, imo multa millia obsequuta sunt, & si tandem usque adeo progressum est verbum apud Judæos,
Act. 21. 20. ut apostoli Paulo dicerent, *Vides, frater, quot millia sunt in Judæis qui crediderunt*; si tot millia fuerint credentium Judæorum, quomodo hæc sententia cum illa consonat, *Non ultra ex te fructus fit*? Nam post illam sententiam multa fructuum millia prodierunt. Sed res hanc habet consequentiam. Fuge violentas allegorias. Aliquando ipsa scriptura oculos aperit ad speculationem; interdum vero ipsa tropos adhibere docet. Cum igitur nuda est speculatio vel historia, ne impenetrabilia tentes, sed ex serie rem accipe. Crux & passio futura erat. Ne œconomiam infirmitati adscriberent, potentiam suam ostendit in gratiam eorum qui spem salutis habituri erant. Sciebat enim Servator, crucem fore salutem hominum, & se in ligno exaltatum, totum orbem esse capturum. Ideo ait:
Joan. 12. 32. *Si exaltatus fuero*, id est, si crucifigar, *omnes traham ad meipsum.* Attende, quæso. Illud, si exaltatus fuero, quid est? nisi ipse id interpretetur, non possum sententiam statuere. Dicit
Joan. 3. 14. Servator Nicodemo: *Et sicut Moyses exaltavit serpentem in deserto, ita exaltari oportet filium hominis, ut omnis qui credit in ipsum non pereat, sed habeat vitam æternam. Et sicut Moyses exaltavit serpentem in deserto, ita exaltari oportet filium hominis.*

2. Quid sibi vult hoc ænigma? In deserto olim Judæorum populus murmurabat de manna quod comedebat, & hanc escam de cælo datam calcans, mensam Ægyptiacam cupiebat, dice-
Exod. 16. 3. batque: *Recordamur ollarum carnium, quas comedebamus in Ægypto.* Et antepositæ sunt ollæ Ægyptiacæ cibo cælesti. Quid ergo Deus? Quia panem cælestem contemserant, mittit in populum serpentes mortiferos. Egressi sunt serpentes mordentes, & morsu mortem inferentes. Ac jure non alia fera immissa est, non leo, non ursus, sed serpentes. Quia enim initio serpenti
Gen. 3. 14. dixerat Deus: *Terram comedes omnibus diebus*, hanc misit feram contra eos qui manna comedentes murmurabant, illa vero comedens non murmurabat. Misit serpentem mordentem; mors sequebatur morsum. Procumbunt illi ante Moysem, procumbit Moyses ante Deum. Suggerit Deus remedium vulneribus; etsi posset rogatus serpentes fugare; sed plagam relinquit &
Num. 21. 8. pharmacum dat. *Fac mihi serpentem æneum, & fige illum in ligno ad portam Tabernaculi testimonii, & prædica filiis Israel & dic:*

A ὅτι ἠδύνατο τοὺς ἀντιλέγοντας ξηρᾶναι, ὡς τὴν συκῆν· ἵνα τὴν μὲν δύναμιν ἐν τῇ συκῇ τῇ ἀψύχῳ ἐνδείξηται, τὴν δὲ μακροθυμίαν ἐν τοῖς λογικοῖς ἀνθρώποις· ἵνα πρόσφατον ἔχοντες τὴν μνήμην τοῦ θαύματος, ἐννοήσωσιν ὅτι θέλων ὑπέμεινεν ὁ λόγῳ ξηραίνων. ὅτι δὲ, ἀδελφοὶ, ἀληθὴς ὁ λόγος, καὶ διὰ τοῦτο ταῦτα πάντα οἰκονομεῖ, ἵνα τὴν δύναμιν δείξῃ, ἐκ τῶν ἑπομένων ἐστὶ νοῆσαι. πολλοῖς γὰρ πάρεστι νοῆσαι καὶ θεωρῆσαι· ἡ συκῆ, φησιν, ἡ συναγωγὴ τῶν Ἰουδαίων. καὶ ἠπείλησε τῇ συναγωγῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. οὕτω τινὲς ἠθέλησαν θεωρῆσαι· εὑρίσκεται δὲ μὴ συνᾴδοντα τὰ πράγματα τῇ προῤῥήσει. μετὰ γὰρ τὸν σταυρὸν, μετὰ τὴν ἀπόφασιν ταύτην, μυριάδες ἐπίστευσαν ἀπὸ Ἰουδαίων· καὶ οὐχ ἥρμοσαι τὸ, οὐκ ἔτι ἐκ σοῦ καρπὸς γένη-
B ται, τὸ τοσούτους πιστεῦσαι. ἐπανάλαβε τὸ ῥῆμα· εἰ κατὰ Ἰουδαίων ἀπεφήνατο καὶ κατὰ τῆς συναγωγῆς, ὥστε μηκέτι καρπὸν ἐνεγκεῖν, καρποὶ δὲ τῆς συναγωγῆς αἱ ἐκκλησίαι, ἐχρῆν μετὰ ταύτην τὴν ἀπόφασιν μηδένα πιστεῦσαι Ἰουδαίων. ὅτι δὲ πολλοὶ ἐπίστευσαν, ἄκουε τῆς γραφῆς. μία Πέτρου δημηγορία τρισχιλίους ἐσαγήνευσεν, ἄλλη αὐτοῦ διδασκαλία τετρακισχιλίους, καὶ ἦσαν ψυχαὶ ὡς ἑπτάκις χίλιαι. ἀλλαχοῦ δὲ, ὡς προέκοπτεν ὁ λόγος, πολὺς ὄχλος τῶν Ἰουδαίων ὑπήκουσε τῇ πίστει. εἰ καὶ Ἰουδαῖοι ὑπήκουσαν πολλοὶ, καὶ χιλιάδες πολλαὶ, ἐπὶ τέλει δὲ εἰς τοσοῦτον παρῆλθεν ὁ λόγος παρὰ Ἰουδαίοις, ὡς εἰπεῖν τοὺς ἀποστόλους τῷ Παύλῳ, θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πιστευσάντων Ἰουδαίων· εἰ οὖν μυριάδες εἰσὶ τῶν πιστευσάντων Ἰουδαίων,
C εἰ οὖν μυριάδες ἐπίστευσαν, πῶς συνᾴδει τῇ ἀποφάσει ἡ ἀπόφασις, μηκέτι ἐκ σοῦ καρπὸς γένηται; μετὰ γὰρ τὴν ἀπόφασιν μυριάδες ἤνθησαν καρπῶν. ἀλλὰ τὸ πρᾶγμα ταύτην ἔχει τὴν ἀκολουθίαν· φεῦγε τὰς βεβιασμένας ἀλληγορίας. ἔστιν ὅτε αὐτὴ ἡ γραφὴ δίδωσιν ὀφθαλμοὺς εἰς θεωρίαν· ἔστιν ὅτε αὐτὴ τροπολογεῖν διδάσκει. ὅταν μέντοι γυμνὴ ἡ θεωρία, ἡ ἱστορία πρόκειται, μὴ βιάζου τὰ ἀνέφικτα, ἀλλὰ λάμβανε τὴν ἀκρόασιν ἀκόλουθον. σταυρὸς ἦν· τὸ πάθος ἔμελλεν ἐκφαίνειν. ἵνα μὴ ἀσθενείᾳ ἐπιγράψωσι τὴν οἰκονομίαν, ἐνδείκνυται τὴν δύναμιν εἰς τὸ ἄψυχον, καὶ φυλάττει τὴν μακροθυμίαν τοῖς μέλλουσιν ἔχειν ἐλπίδα σωτηρίας. ᾔδει γὰρ ὁ σωτὴρ, ὅτι ὁ σταυρὸς σωτηρία τῶν ἀνθρώπων, καὶ τὸ ὑψωθῆναι αὐτὸν ἐπὶ ξύλου, τοῦτο τὴν οἰκουμένην ὅλην ἐσαγήνευσε.
D διό φησιν· ἐγὼ ἐὰν ὑψωθῶ, τουτέστιν, ἐὰν σταυρωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. πρόσεχε, παρακαλῶ. τὸ, ὑψωθῶ, τί ἐστιν; ἐὰν μὴ αὐτὸς ἑρμηνεύσῃ τὸ ῥῆμα, οὐ δύναμαι στῆσαι τὸ νόημα. λέγει ὁ σωτὴρ τῷ Νικοδήμῳ· καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Τί βούλεται τὸ αἴνιγμα; ἐν τῇ ἐρήμῳ ποτὲ ὁ λαὸς τῶν Ἰουδαίων ἐγόγγυζεν ἐπὶ τῇ τροφῇ τοῦ μάννα, καὶ τὴν τροφὴν ταύτην τὴν ἐξ οὐρανοῦ δεδομένην πατήσας, ἐπεθύμησε τραπέζης Αἰγυπτιακῆς, καὶ ἔλεγεν· ἐμνήσθημεν τῶν λεβήτων τῶν κρεῶν· ὧν ἠσθίομεν ἐν Αἰγύπτῳ· καὶ προετιμήθησαν λέβητες Αἰγυπτιακοὶ τοῦ μάννα τοῦ οὐρανίου. τί οὖν ὁ θεός; ἐπειδὴ ὁ ἄρτος ὁ ἐξ
E οὐρανοῦ κατεφρονήθη, ἀποστέλλει ἐπὶ τὸν λαὸν ὄφεις θανατοῦντας. ἐξῆλθον ὄφεις δάκνοντες, καὶ θάνατον ταῖς δήξεσιν ἐπάγοντες. καὶ εἰκότως οὐκ ἄλλο θηρίον ἀπεστάλη, οὐ λέων, οὐκ ἄρκτος, ἀλλ' ὄφεις. ἐπειδὴ γὰρ ἐξ ἀρχῆς τῷ ὄφει εἶπεν ὁ θεὸς, γῆν φάγῃ πάσας τὰς ἡμέρας, ἀπέστειλε θηρίον τοιοῦτον κατὰ τῶν ἐσθιόντων μάννα καὶ γογγυζόντων, τὸν ἐσθίοντα καὶ μὴ γογγύζοντα. ἀπέστελλεν ὄφιν δάκνοντα· θάνατος τοῖς δήγμασιν ἠκολούθει· προσπίπτουσι τῷ Μωϋσῇ· προσπίπτει θεῷ Μωϋσῆς· ὑποβάλλει θεὸς φάρμακον τοῖς τραύμασι. καίτοι ἠδύνατο ἀπελάσαι τοὺς ὄφεις παρακαλούμενος· ἀλλὰ καὶ τὴν πληγὴν καταλιμπάνει, καὶ τὸ φάρμακον δίδωσι. ποίησόν μοι ὄφιν χαλκοῦν, καὶ πῆξον αὐτὸν ἐπὶ ξύλου ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ κήρυξον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ εἰπέ·

ἐάν τις δηχθῇ ὑπὸ ὄφεως, ἔλθῃ καὶ προσέχῃ τῷ ὄφει τούτῳ τῷ πεπηγμένῳ ἐν τῷ ξύλῳ, καὶ πιστεύσας ζήσεται. ἆρα οὐκ ἦν δυνατὸν φυγαδευθῆναι τοὺς ὄφεις; οὐκ ἦν δυνατὸν ἀπολέσθαι; οὐκ ἦν δυνατὸν λόγῳ θεραπεῦσαι; ἀλλ' ὥσπερ ἐδύνατο λόγος θεοῦ ἐκ πέτρας ἐκβαλεῖν ὕδωρ, ἕως δὲ εἶδεν ἡ πέτρα τὸ σύμβολον τοῦ σταυροῦ, οὐχ ὑπήκουσεν· οὕτω καὶ ἐνταῦθα, ἠδύνατο τοὺς ὄφεις φυγαδεῦσαι, ἀλλ' ἕως εἶδον οἱ ὄφεις τὴν εἰκόνα τοῦ σταυροῦ τὴν νεκροῦσαν τῶν δαιμόνων τὰ δήγματα, οὐκ ἠμβλυώθησαν. διὰ τί δὲ τοῦ σωτῆρος εἰκόνα τὸν ὄφιν ἐποίησε; τί ὅμοιον εἰκὼν, καὶ ὄφις; ἵνα μνημονεύσῃς, ἐπειδὰν πρὸς Ἰουδαίους ἔχῃς, ἢ πρός τινας ἐχθροὺς ἀπὸ τῆς γραφῆς ὁρμωμένους, καὶ κατὰ τῆς γραφῆς στρατευομένους, πῶς ἀπὸ τοῦ ἐσταυρωμένου σωτηρίαν ἐκδέχῃ καὶ εὐλογίαν. γέγραπται γὰρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. πρόσεχε ἀκριβῶς. ἐὰν εἴπῃ Ἰουδαῖος, ἢ ἕτερος ἐχθρὸς τῆς ἐκκλησίας, ἁρπάζων ἀπὸ τῆς γραφῆς ῥήματα, καὶ κατὰ τῆς γραφῆς ὁπλίζων, πῶς παρὰ τοῦ κυρίου τοῦ ἐσταυρωμένου εὐλογίαν θέλετε, γράφοντος Μωϋσέως φανερῶς, ὅτι ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· εἰπὲ αὐτῷ, εἰ ἀνέγνως τὴν γραφὴν, ἐπίγνωθι. οὐ γὰρ ἡ ἀνάγνωσις ζητεῖται, ἀλλὰ ἡ γνῶσις· καθὼς φησὶν ὁ Φίλιππος τῷ εὐνούχῳ, ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; καὶ πῶς ὁ εὐγνώμων; πῶς γὰρ ἂν, κύριε, ἐὰν μή τίς με ὁδηγήσῃ; ἐὰν εἴπῃ, πῶς παρὰ τοῦ ἐσταυρωμένου εὐλογίαν ἐκδέχῃ; γέγραπται γὰρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· εἰπὲ αὐτῷ· πῶς οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ παρὰ τοῦ ὄφεως εὐλογίαν ἐδέξαντο, τοῦ θεοῦ ἀπαρχῆς εἰρηκότος, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς; καὶ ὁ ὄφις ἐπικατάρατος, καὶ ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. μὴ πρόσεχε τὴν τῶν ῥημάτων οἰκονομίαν, ἀλλὰ μάθε τὴν διαφοράν. ἐπειδὴ ὁ σωτὴρ ἔμελλε τὴν ἀποκειμένην τῷ κόσμῳ κατάραν εἰς ἑαυτὸν ἀναλαμβάνειν, κατάρα δὲ ἦν ἡ πρώτη, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἀνέλαβε δὲ ταύτην τὴν ἀπόφασιν εἰς αὐτὸν, ὥς φησιν ὁ ἀπόστολος, ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, προλαβὼν εἰκόνα τίθησιν ἐν τῷ ὄφει· καὶ εἰκότως ἐν τῷ ὄφει. ὥσπερ γὰρ ὁ χαλκοῦς ἐκεῖνος ὄφις ὄψιν μὲν καὶ τύπον καὶ εἰκόνα ὄφεως εἶχεν, ἰὸν δὲ καὶ πονηρίαν ὄφεως οὐκ εἶχεν· οὕτω καὶ ὁ σωτὴρ φαίνεται ἐν σαρκὶ τῷ σχήματι τῆς ἁμαρτίας. ἡ γὰρ σὰρξ αὕτη, ἁμαρτωλὸς ἐγένετο πρὸ τούτου. ἀναλαμβάνει οὖν τὴν ἁμαρτωλὸν σάρκα, καὶ οὐκ αὐτὸς ἁμαρτήσας, ἀλλὰ τοῦ κόσμου τὴν ἁμαρτίαν λαβών. ἴδε γὰρ ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὕτω καὶ ὁ σωτὴρ ἀνέλαβε σάρκα, εἰκόνα μὲν σαρκὸς καὶ ἀληθινὴν φύσιν ἔχουσαν, ἁμαρτίαν δὲ σαρκὸς οὐκ ἔχουσαν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησε, φησὶν Ἡσαΐας, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὃ γάρ ἐστιν ἰὸς ἐν τῷ ὄφει, τοῦτο δόλος ἐν ἀνθρώπῳ. εἰς ὅν φησιν ἡ γραφὴ περὶ τῶν πονηρῶν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, καὶ ἐν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. ὥσπερ οὖν, ἵνα πάλιν ἐπαναλάβω, ὁ ὄφις ἐκεῖνος εἶχε μὲν εἰκόνα καὶ μορφὴν ὄφεως, ἰὸν δὲ καὶ πονηρίαν ὄφεως οὐκ εἶχεν· οὕτω καὶ τὸ σῶμα τοῦ σωτῆρος εἶχε μὲν μορφὴν ἀνθρώπων πονηρίαν δὲ ἀνθρώπων οὐκ εἶχεν. ἑτέρα δὲ πάλιν εἰκών. ὥσπερ ἐκεῖ ἄλλοι μὲν οἱ δάκνοντες ὄφεις, ἄλλος δὲ ὁ ὑπὲρ αὐτῶν πάσχων. δέον γὰρ ἕνα τῶν δακνόντων λαβεῖν καὶ αὐτὸν σταυρῶσαι, οἱ μὲν δάκνοντες ἠφίεντο, ὁ δὲ μηδὲν ἁμαρτὼν ἐσταυροῦτο· ὁ δὲ μήτε δάκνων, μήτε κοινωνήσας τῇ φθορᾷ ἢ τῇ ἀπωλείᾳ τῶν ἄλλων ὄφεων ὑπομένει τὴν ἐπὶ ξύλου πῆξιν, ἐπειδὴ εἰκὼν ἦν τοῦ σωτῆρος, ὅτι πάντων ἁμαρτησάντων ἀνθρώπων οὐδεὶς τῶν ἁμαρτησάντων ὑπὲρ ἁμαρτωλοῦ σταυροῦται, ἀλλὰ ἀναμάρτητος. ἔγνως τὴν θεωρίαν· μνήσθητι τῆς τοῦ κυρίου φωνῆς λεγούσης πρὸς Νικόδημον, καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου,

A Si quis morsus fuerit a serpente, veniat & respiciat hunc serpentem in ligno fixum, & si credat, vivet. Annon poterant serpentes fugari? non poterant perire? Non poterat verbo curare? Verum sicut poterat verbum Dei aquam ex petra educere, nec tamen obedivit petra donec vidit symbolum crucis; sic & hoc loco: poterat serpentes fugare; sed donec viderunt serpentes imaginem crucis, quæ dæmonum morsus tollebat, non hebetes facti sunt. Cur autem serpentem Servatoris imaginem fecit? Quæ similitudo hanc inter imaginem & serpentem? Ut recorderis, cum contra Judæos certaveris, vel contra inimicos qui scripturam adhibent, & contra scripturam pugnant, quomodo a crucifixo salutem exspectes & benedictionem. Scriptum est enim, *Maledictus est omnis qui pendet in ligno.* Attende diligenter. Si dixerit Judæus aut alius ecclesiæ inimicus, scripturæ verba usurpans, & contra scripturam pugnans: Quomodo a Domino crucifixo benedictionem accipere vultis, cum Moyses aperte scribat, *Maledictus omnis qui pendet in ligno*? Responde illi, si legis scripturam, attende: non enim lectio tantum requiritur, sed etiam cognitio, ut ait Philippus Eunucho: *Putasne intelligis quæ legis*? Et quid ad hæc probus ille? *Quomodo, Domine, nisi quis me duxerit*? Si dixerit, Quomodo a crucifixo benedictionem exspectas? Scriptum est enim, *Maledictus omnis qui pendet in ligno*; dic illi: Quomodo filii Israel in deserto a serpente benedictionem acceperunt, cum Deus ab initio dixerit, *Maledictus tu ab omnibus bestiis terræ*? Et serpens maledictus est, & maledictus omnis qui pendet in ligno. Ne attendas verborum seriei, sed disce differentiam. Quia Servator repositam mundo maledictionem in se erat recepturus; prima vero maledictio erat, *Terra es, & in terram reverteris*, hanc vero sententiam in se Servator accepit, ut ait apostolus: *Christus nos redemit de maledicto legis, factus pro nobis maledictum*, prius imaginem ponit in serpente, ac jure in serpente. Sicut enim ille serpens æneus faciem, formam & imaginem serpentis habebat, venenum vero & nequitiam serpentis non habebat; sic & Servator apparet in carne in similitudine peccati. Hæc enim caro antea peccatrix erat. Assumit ergo peccatricem carnem, licet ipse non peccaverit, sed peccatum mundi assumserit: Nam *Ecce agnus Dei, qui tollit peccatum mundi.* Sic & Servator assumsit carnem, imaginem carnis & veram naturam habentem, peccatum vero carnis non habentem. *Peccatum enim non fecit*, inquit Esaias, *nec inventus est dolus in ore ejus*: quod enim est venenum in serpente, illud est dolus in homine. De quo ait scriptura de malignis agens, *Venenum aspidum sub labiis eorum: quorum os maledictione & amaritudine plenum est*, &, *linguis suis dolose agebant.* Sicut igitur, ut iterum resumam, serpens ille imaginem & formam serpentis habebat, venenum autem & malitiam serpentis minime; sic corpus Servatoris formam hominum habuit, nequitiam vero hominum non habuit. Altera autem rursus imago est. Sicut serpentes alii quidem mordent, alius vero pro illis patitur; cum enim oportuisset unum ex mordentibus sumere, ipsumque crucifigi, mordentes quidem dimissi sunt, qui vero nihil peccaverat crucifixus est; qui neque mordebat, neque consors erat corruptionis & exitii aliorum serpentum, ligno figitur, quia imago erat Servatoris: quoniam omnibus peccantibus hominibus, nemo peccatorum pro peccatore crucifigitur, sed ille qui impeccabilis est. Nosti speculationem: Recordare vocis Christi Nicodemo dicentis: *Et sicut Moyses exaltavit serpentem in deserto, sic exaltari oportet filium hominis*,

Deut. 21. 23. — Act. 8. 30. — Gen. 3. 14. — Gal. 3. 13. — Joan. 1. 29. — Isai. 53. 9. — Psal. 139. 4. — Joan. 3. 14.

*ut omnis qui credit in ipsum non pereat, sed habeat vitam æternam. Sic exaltari oportet filium hominis.* Pulcre dictum. Quia passio, humiliatio esse putabatur, Servator eam exaltationem vocat. Totus quippe orbis cruce exaltatus est, totus orbis humi jacens, per œconomiam crucis correctus est. Ideo *Dominus regnavit, decorem indutus est. Etenim correxit orbem terræ.* Non dixit, creavit; primo creavit, sed, secundo correxit. *Ita oportet exaltari filium hominis, ut omnis qui credit in ipsum non pereat.* Necesse mihi videtur hujus exaltationis testem advocare prophetam clare prædicantem Deum exaltari. Audi ergo beatum Esaiam hanc exaltationem prædicantem. Etsi
Isai. 53. 7. enim aperte passionem prædicavit dicens: *Sicut ovis ad occisionem ductus est, & sicut agnus coram tondente se, sine voce. Hic peccata nostra tollit, & pro nobis cruciatur. Propter peccata populi mei veni ad mortem*; attamen alibi ipsam passionem vocat exaltationem. Quid enim dicit?
Isai. 12. 5. *Cantate Domino, laudate nomen ejus: annunciate in Gentibus gloriam ejus, quoniam excelsa fecit. Exultate & lætamini qui habitatis in Sion, quia exaltatus est sanctus Israel, in medio tui exaltatus est.* Sed huic voci obsistit hæretica vox, & dicit: Si exaltatus est, a Patre est exaltatus;
Philip. 2. 9. scriptum est enim: *Propter quod & Deus exaltavit illum, & dedit illi nomen quod est super omne nomen; ut in nomine Jesu omne genu flectatur cælestium, &c.* Semper inimici veritatis insurgunt contra prædicationem veritatis. Operæ pretium autem est iis non breves proferre responsiones, sed prius ab illis rationem postulare præjudicatæ opinionis suæ, & postea quæsitorum solutionem inducere. Quoniam dicis, *Pater exaltavit illum, & dedit illi nomen, quod est super omne nomen, ut in nomine Jesu, &c.* Primo mihi statue, quod sit illud nomen super omne nomen; non licet enim illud temere proferre, sed in rei veritate statuendum est: cum malignus quispiam te interrogaverit, justa interrogatione absurdam solve interrogationem. Ostendit enim hodie Salvator quomodo oporteat obliquis illis respondere. Interrogaverunt Servatorem Pharisæi dicentes: *In qua potestate hæc facis? Quis tibi dedit hanc potestatem?* Servator vero ostendere volens non oportere nequitiæ satisfacere, sed absurdis interrogationibus non respondendum esse, Pharisæis dicit: Interrogabo vos de re aliqua, quam si dixeritis, & ego respondebo vobis:
Matt. 21. 23. *Baptisma Joannis unde erat? ex cælo, an ex hominibus?* Repressit improbos is qui comprehendit sapientes in astutia eorum. *In qua potestate hæc facis? Quis tibi dedit hanc potestatem?* Et interrogatus non respondet eis, sed vicissim interrogat: *Interrogabo & ego vos de re aliqua.* Ideo
Psal. 17. 26. dicit propheta, *Cum Sancto sanctus eris, & cum viro innocente innocens eris: & cum electo electus eris &. cum perverso perverteris.* Hoc a Deo hominibus dictum esse multi putant. Hæc propheta Deo dicit, Cum justo justificaberis, cum viro innocente innocens eris, & cum electo electus eris, & cum perverso perverteris. Ut vero discas hæc Deo dici, pergit: *Quoniam tu populum humilem salvum facies, & oculos superborum humiliabis.* Semper nequitiam Judæorum torsit Servator per silentium. Nequitia enim cui non respondetur, magis cruciatur. Sæpe interrogatus est, & non respondit. Percontati sunt Judæi, nec illis quidpiam reposuit. Eo usque Judæorum animos cruciavit, ut dicerent illi:
Joan. 10. 24. *Usquequo animam nostram tollis? Si tu es Christus, dic nobis palam.* Nec tamen respondit, nisi tantum: sæpe dixi vobis, & non auditis: quid iterum vultis audire? Vide quomodo animæ suæ cruciatum declaraverint: *Usquequo animam no-*
Matt. 7. 7. *stram tollis?* Nonne tu dixisti? *Petite & accipietis, pulsate & aperietur vobis, quærite & invenietis?*

A ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. καλὸν τὸ ῥῆμα. ἐπειδὴ ἐνομίσθη ταπείνωσις εἶναι τὸ πάθος, ὁ σωτὴρ ὕψωσιν καλεῖ. πᾶσα γὰρ ἡ οἰκουμένη σταυρῷ ὑψώθη, πᾶσα ἡ οἰκουμένη χαμαὶ κειμένη διὰ τῆς οἰκονομίας τοῦ σταυροῦ ἀνωρθώθη. διὰ τοῦτο ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην· οὐκ εἶπεν, ἔκτισε. τὸ πρῶτον ἔκτισε, τὸ δεύτερον κατώρθωσεν. οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται. ἀναγκαῖον εἶναί μοι δοκεῖ τῆς ὑψώσεως ταύτης μάρτυρα καλέσαι προφήτην τὸν φανερῶς κηρύττοντα, ὅτι ὁ θεὸς ὑψοῦται. ἄκουε τοίνυν τοῦ μακαρίου Ἠσαΐου τὴν ὕψωσιν ταύτην κηρύττοντος. εἰ γὰρ καὶ τὰ μάλιστα τρανῶς τὸ πάθος ἐκήρυξε λέγων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κεί-
B ροντος αὐτὸν ἄφωνος· οὗτος τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἦλθον εἰς θάνατον· ἀλλ' ὅμως ἀλλαχοῦ καὶ αὐτὸ τὸ πάθος ὕψωσιν καλεῖ. τί γάρ φησιν; ὑμνεῖτε τὸν κύριον, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ὅτι ὑψηλὰ ἐποίησεν. ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ ἐνοικοῦντες ἐν Σιών, ὅτι ὑψώθη ὁ ἅγιος Ἰσραήλ, ἐν μέσῳ σου ὑψώθη. ἀλλ' ἀνακύπτει πρὸς ταύτην αἱρετικὴ φωνή, καὶ λέγει· εἰ καὶ ὑψώθη, ἀλλὰ παρὰ τοῦ πατρὸς ὑψώθη. γέγραπται γάρ, διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ τὰ ἑξῆς. ἀεὶ ἐχθροὶ τῆς ἀληθείας ἐπιφύονται τῷ κηρύγματι τῆς ἀληθείας. ἀναγκαῖον δὲ παρὰ τῶν τοιούτων, μᾶλλον δὲ τοῖς
C τοιούτοις μὴ διδόναι συντόμως τὰς ἀποκρίσεις, ἀλλὰ πρῶτον ἀπαιτεῖν αὐτοὺς λόγον τῶν οἰκείων προλήψεων, καὶ τότε ἐπάγειν λύσιν τῶν ζητουμένων. ἐπειδὴ λέγεις, ὅτι ὁ πατὴρ αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ· πρῶτόν μοι στῆσον, ποῖόν ἐστι τοῦτο τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; οὐ γάρ ἐστιν ἁπλῶς εἰπόντα ἀποφήνασθαι, ἀλλὰ τὸ τῇ ἀληθείᾳ συνίστασθαι. ὅταν ἐρωτήσῃ ὁ πονηρός, ἀντερωτήσας δικαίᾳ λύε τὴν ἄτοπον ἐρώτησιν. ἔδειξε γὰρ ὁ σωτὴρ σήμερον, πῶς δεῖ πρὸς τοὺς σκολιοὺς ἀποκρίνεσθαι. ἠρώτησαν Φαρισαῖοι τὸν σωτῆρα λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; ὁ σωτὴρ βουλόμενος δεῖξαι, ὅτι οὐ δεῖ τὴν κακίαν πληροφορεῖν, ἀλλὰ τοῖς ἀτόποις ἐρωτήσεσι μὴ ἀποκρίνεσθαι, λέγει
D τοῖς Φαρισαίοις· ἐρωτήσω ὑμᾶς λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ἀποκρίνομαι. τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; ἀπέκλεισε τοὺς πονηροὺς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; καὶ ἐρωτηθεὶς οὐκ ἀποκρίνεται αὐτοῖς, ἀλλ' ἀντερωτᾷ· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα. διὰ τοῦτο λέγει ὁ προφήτης, μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. τοῦτο τὸ ῥῆμα ἐνόμισαν πολλοὶ παρὰ τοῦ θεοῦ λέγεσθαι πρὸς ἀνθρώπους. ὁ προφήτης λέγει τῷ θεῷ ταῦτα, ὅτι μετὰ δικαίου δικαιωθήσῃ, μετὰ ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ
E μετὰ στρεβλοῦ διαστρέψεις. καὶ ἵνα μάθῃς ὅτι θεῷ διαλέγεται, ἐπάγει, ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. ἀεὶ τὴν κακίαν τῶν Ἰουδαίων ἐβασάνιζεν ὁ σωτὴρ τῇ σιωπῇ. κακία γὰρ οὐ πληροφορουμένη πλέον βασανίζεται. ἠρωτήθη πολλάκις, καὶ οὐκ ἀπεκρίνατο· ἐζήτησαν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ οὐκ ἔδωκεν αὐτοῖς φάσιν. τοσοῦτον αὐτῶν τὰς ψυχὰς ἐβασάνιζεν, ὡς εἰπεῖν αὐτῷ ποτε τοὺς Ἰουδαίους, ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ· καὶ ὅμως οὐκ ἀπεκρίνατο, ἀλλά, πολλάκις εἶπον ὑμῖν, καὶ οὐκ ἀκούετε· τί πάλιν θέλετε ἀκούειν; ὅρα πῶς τὴν βάσανον αὐτῶν τῆς ψυχῆς ἐκήρυξαν· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; οὐ σὺ εἶπες, αἰτεῖτε, καὶ λήψεσθε, κρούετε, καὶ ἀνοιχθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε;

ἀνέγνωτε

ἀνέγνωτε τὴν γραφὴν, ἀλλ' οὐκ ἔγνωτε τὴν λέγουσαν· ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν. ἵνα μάθῃς ὅτι ὁ αὐτός ἐστι χαρακτὴρ καὶ τοῦ λαλήσαντος διὰ τῶν εὐαγγελίων, καὶ τοῦ λαλήσαντος διὰ τῶν προφητῶν, καὶ ὅτι αὐτός ἐστιν ὁ δι' ἐκείνων λαλήσας καὶ διὰ τούτων. ὥσπερ ἐνταῦθα ἐρωτώμενος ὑπὸ Ἰουδαίων οὐκ ἀπεκρίνατο, ἀλλὰ ταῖς ἀντερωτήσεσιν αὐτοὺς ἔδησμει· οὕτω καὶ ἐν τῇ παλαιᾷ λέγει ὁ θεὸς τῷ Ἰεζεκιὴλ, υἱὲ ἀνθρώπου, ἰδοὺ υἱοὶ τοῦ λαοῦ ἔρχονται πρός με ἐρωτῆσαι λόγον· ζῶ ἐγὼ, εἰ ἀποκριθήσομαι αὐτοῖς. ὁρᾷς τὸν αὐτὸν χαρακτῆρα. βλέπε ὅσαι βάσανοι, ὅσαι ἐρωτήσεις, πόσαι ἐξαιτήσεις, καὶ οὐκ ἀπεκρίνατο. ὅπου δὲ εὑρίσκει ψυχὴν ἁπλῆν καὶ πιστὴν, φωτὸς γέμουσαν καὶ ἁπλότητος, οὐ μόνον ἐρωτηθεὶς πληροφορεῖ, ἀλλὰ καὶ μὴ ἐρωτηθεὶς διδάσκει. ἀπῆλθέ ποτε περὶ τὴν Σαμάρειαν ὁ Ἰησοῦς· εὑρίσκει γυναῖκα Σαμαρεῖτιν ἀντλοῦσαν ὕδωρ, καὶ λέγει αὐτῇ· δός μοι πιεῖν· ὁ χορηγὸς τῆς ζωῆς λέγει αὐτῇ, δός μοι πιεῖν. ἐκάθητο περὶ τὸ φρέαρ, ἡ πηγὴ ἐπάνω πηγῆς. εἶτα, ἵνα συντέμω· τὸ γὰρ προκείμενον οὐ τὴν παροῦσαν ἱστορίαν ἀναπτύξαι, ἀλλ' ἐπὶ τὸ προκείμενον ἐλθεῖν· ἠρώτησεν ἐλθεῖν. ἠρώτησεν αὐτὸν ζήτημα μετὰ Ἰουδαίων πολιτευόμενον καὶ Σαμαρειτῶν. ἐπειδὴ Σαμαρεῖται περὶ τὴν νῦν λεγομένην Νεάπολιν ἔχουσι τὴν προσκύνησιν· Ἰουδαῖοι δὲ εἰς Ἱεροσόλυμα. λέγει αὐτῷ ἡ Σαμαρεῖτις· κύριε, οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· πῶς λέγουσιν Ἰουδαῖοι, ὅτι εἰς Ἱεροσόλυμα δεῖ προσκυνεῖν; βλέπε ψυχὴν φιλομαθῆ, γυναῖκα οἰκτρὰν, ὑψηλὴν δὲ τῇ δυνάμει. ἐξῆλθεν ἀντλῆσαι ὕδωρ, καὶ ἀντλεῖ πηγῆς νάματα. Σαμαρεῖται προσκυνοῦσιν ἐνταῦθα· οἱ Ἰουδαῖοι ἐν Ἱεροσολύμοις. λῦσον τὸ ζήτημα· ὁ σωτὴρ λέγει, ὅτι ἀμὴν λέγω σοι, γύναι, ὅτι ἥξει ὥρα, ἐν ᾗ οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί. ὁ γὰρ θεὸς πνεῦμά ἐστι, τουτέστι, πανταχοῦ, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖν δεῖ, οὐ τόπῳ περιγράφοντας τὴν προσκύνησιν, ἀλλὰ πανταχοῦ ὑμνοῦντας. ὡς οὐκ ἠδυνήθη νοῆσαι σαφῶς, ὃ ἔλεγεν ὁ σωτήρ· ὑπερέβαινε γὰρ τῆς γυναικὸς τὴν διάνοιαν, λέγει αὐτῷ ἡ γυνή· οἶδα μὲν ὅτι ἔρχεται Μεσσίας ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἡμᾶς διδάξει πάντα. βλέπε ψυχὴν περὶ τῆς ὄψεως τὸν πόθον ἔχουσαν. Ἰουδαῖοι ἰδόντες οὐκ ἐπίστευσαν· αὕτη μηδέπω θεασαμένη ἐκδέχεται. ὡς εἶδεν ὁ Χριστὸς ἁπλῆν τὴν διάνοιαν, λέγει· ἐγώ εἰμι ὁ λαλῶν σοι. πόσα ἠρώτησαν οἱ Ἰουδαῖοι καὶ ἐβασανίσθησαν; ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; καὶ οὐκ ἀπεκρίθη· αὕτη ἐν τῇ φωνῇ εἶπεν ὅτι ἔρχεται, καὶ ἑαυτὸν ἔδειξεν ὁ κηρυχθείς. τοῦτό ἐστι τὸ εἰρημένον, σκολιοὶ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ· ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

Ἐπεὶ τοίνυν ἐδίδαξεν ἡμᾶς ἡ πηγὴ τῆς σοφίας ἀντερωτήσεσι λύειν τὰς ἀτόπους ἐρωτήσεις, ἐρωτῶ τὸν αἱρετικὸν, τί ἐστι τοῦτο τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ὡς θέλεις, αὐτὸ εἰπέ. τί ἐστι τὸ ὄνομα; ὅτι Ἰησοῦς λέγεται; ὅτι Χριστός; ὅτι σωτήρ; εἰπέ μοι τὸ ὄνομα. στῆσον πρῶτον, ἵν', ὅταν τὴν μαρτυρίαν ἀγάγω τὴν ἔνθεον, προφητῶν δόξαν, ἀποστόλων κήρυγμα, μὴ παραγράψῃ τὴν μαρτυρίαν. ἀλλὰ πρῶτον στῆσόν σου τὴν ἔννοιαν. εἰπέ μοι ποῖον φρονεῖς ὄνομα τὸ ὑπὲρ πᾶν; ἀλλὰ τί ποιήσω; ἐν μέσῳ πιστῶν εἰμι, καὶ οὐ θέλω προφάσει τῶν ἐχθρῶν κρεμάσαι τοὺς υἱοὺς τῆς ἐκκλησίας. ἀναπτύξωμεν τοίνυν, καὶ εἴ τις πάρεστιν ἐχθρὸς, εὐεργετείσθω καὶ γινέσθω φίλος ἀντ' ἐχθροῦ, καὶ γινέσθω σύμφωνος ἀντ' ἐναντίου. μὴ ἧτταν νομισάτω τὸ ἡττᾶσθαι τῇ ἀληθείᾳ· μὴ σπουδασάτω νικῆσαι τὴν κακὴν νίκην, ἀλλ' ἡττηθῆναι τὴν καλὴν ἧτταν. ἀναπτύξωμεν ἡμεῖς τὸν λόγον, καθὼς οἴονται. ποῖον λέγεις ὄνομα αὐτῷ κεχαρίσθαι τὸ ὑπὲρ πᾶν ὄνομα; ὅτι Ἰησοῦς ἐκλήθη; ἐκλήθη πρὸ αὐτοῦ Ἰησοῦς ὁ τοῦ Ναυή. ὅτι Χριστὸς ἐκλήθη; πᾶς βασιλεὺς καὶ προφήτης Χριστός. οὕτω λέγει Δαυὶδ περὶ Σαοὺλ τοῦ βασιλέως, καίτοι πονηροῦ ὄντος,

A Legistis scripturam, sed non intellexistis dicentem: Quærent me mali, nec invenient. Ut discas eumdem esse characterem loquentis per evangelia, & prædicantis per prophetas, eumdemque per illos & per hos loquutum esse. Ut hic a Judæis interrogatus non respondit, sed aliis interrogationibus ipsos frenavit; sic & in veteri dicit Deus Ezechieli: *Fili hominis, ecce* Ezech. 20. 3. *filii populi veniunt ad me ad interrogandum sermonem. Vivo ego, si respondebo illis.* Vides eumdem characterem. Vide quot tormenta, quot interrogationes, quot petitiones, & non respondit. Ubi autem invenit animam simplicem, & fidelem, luce & simplicitate plenam, non modo interrogatus respondet; sed etiam non interrogatus docet. Abiit aliquando circa Sama- B riam Jesus, invenit mulierem Samaritanam haurientem aquam, & dicit illi, *Da mihi bibere.* Qui vitam dat, dicit illi, *Da mihi bibere.* Joan. 4. 7. Sedebat ad puteum, fons supra fontem. Deinde ut breviter dicam; nam propositum est non hanc explicare historiam, sed ad institutum reverti, rogavit eum illa * ut veniret. Illum qui cum Judæis & Samaritanis versabatur interrogavit. Samaritani vero circa urbem, quæ nunc vocatur Neapolis, cultum suum habent; Judæi autem Jerosolymis. Dicit ei Samaritana: Domine, *Patres nostri in hoc monte adoraverunt: Quomodo dicunt Judæi quia Jerosolymis oportet adorare?* Vide animam discendi cupidam, mulierem miseram, virtute excelsam. Egressa est ad hauriendam aquam, & haurit ex fonte fluenta. C Samaritani hic adorant, Judæi Jerosolymis: solve quæstionem. Dicit Servator: *Amen dico tibi, mulier, quia veniet hora, cum neque in monte hoc, nec Jerosolymis adorabunt Patrem. Deus enim Spiritus est*, id est, ubique est; *& adorantes eum, in Spiritu & veritate oportet adorare*: non loco circumscribentes orationem, sed ubique celebrantes. Ut vero clare intelligere non potuit, quæ dicebat; mulieris enim mentem superabat; dicit ei mulier: Scio quidem quod venit *Messias, qui dicitur Christus. Cum venerit ille, nos docebit omnia.* Vide animam antequam videret desiderium habentem. Judæi videntes non crediderunt: ipsa quod nondum viderat accipit. Ut vidit Christus mentem illam simplicem, ait, *Ego sum qui loquor tecum.* Quoties interrogarunt Judæi & Joan. 4. 26. cruciati sunt? *Usquequo animam nostram tollis?* D Et non respondit. Illa dicit, *venit*, & qui prædicabatur sese declaravit. Hoc est id quod dicitur: *Perversæ cogitationes separant a Deo; apparet autem iis qui non increduli sunt erga illum.* Sap. 1. 3.

3. Quoniam igitur docuit nos fons Sapientiæ, absurdas interrogationes aliis interrogationibus esse solvendas, hæreticum interrogo, quid est illud, *nomen super omne nomen*? Ut vis responde. An Jesus? an Christus? an Servator? Dic mihi nomen illud. Hoc primum statue; ut cum divinum testimonium adduxero, prophetarum sententiam, apostolorum prædicationem; ne testimonium illud pervertas. Sed primo sententiam tuam statue. Dic mihi, quod nomen putas esse super omne nomen? Sed quid E faciam? In medio fidelium sum, & nolo inimicorum occasione suspensos reddere filios ecclesiæ. Explicemus igitur: & si quis adsit inimicus, beneficium accipiat, fiatque ex inimico amicus, concors ex adversario: ne se victum putet si vincatur a veritate, ne studeat malam reportare victoriam, sed curet bonam de se victoriam referri. Explicemus ergo rem ut illi putant explicandam. Quod igitur dicis datum illi nomen quod est super omne nomen? An quod Jesus vocatus sit? At sic ante illum vocatus est Jesus filius Nave. An quod Christus? Omnis rex & propheta Christus est. Ita dicit David de Saüle rege, etsi improbo;

attamen chrisma regium habuit. Suadentibus
1. Reg. 24. 5. quibusdam satellitibus suis, *Ecce dies, quam dixit Dominus, qua traderet inimicum tuum in manus tuas: percute illum.* Respondet David. *Vivit Dominus: non inducam manum meam in illum, quia Christus Domini est.* Neque unus tan-
Psal. 104. 15. tum est Christus, sed multi sunt: *Nolite tangere Christos meos, & in prophetis meis nolite*
Habac. 3. 12. *malignari.* Et Habacuc: *Egressus es in salutem populi tui, ut salvares Christos tuos.* Quomodo ergo super omne nomen est? Si enim ante illum alii hoc nomen habuere, quomodo Pater dedit illi nomen quod est super omne nomen, aut quod illud nomen? An Salvator? At multi Salvatores sunt vocati. Recordare supradictorum: quodnam illud est super omne nomen? Sed quia non potes opportune respondere, vel scis quidem, sed callide occultas, jam disce. Nomen sæpe vocat scriptura, Dei, non appellationem, sed gloriam. Nomen Dei dicitur gloria Dei, ut cum mirabilia facit, nomen ex mi-
Isai. 63. 12. raculo sortitur; ut dicit beatus propheta: *Ubi est qui dextera Moysen duxit? qui firmavit aquam ante faciem ejus, & eduxit populum suum in deserto, & fecit ipsi nomen,* id est, famam, scilicet nomen ejus celebratum est. Et apud nos dicitur, nomine clarus homo; non quod nomen habeat: omnes enim habent, sed quod nomen ejus ubique celebretur. Nomen vocat gloriam & famam ubique celebratam. Sic dicit Salomoni Deus: *Et feci tibi nomen, ut est nomen veterum regum.* Sed non mutavit nomen ejus, nonne Salomon vocabatur? sed feci tibi nomen, id est, famam, gloriam. Sic & hoc loco dicit: *Dedit illi nomen*; id est gloriam. Quam gloriam? Ne ego explicem, Paulum audi dicentem: *Ut in nomine Jesu omne genu flectatur cælestium, terrestrium & infernorum, & omnis lingua confiteatur, quia Dominus Jesus Christus.* Vides quomodo nomen dicat gloriam, adorationem orbis, & quod ubique ille glorificetur, & per totum orbem annuncietur. Etiam, inquiet ille, explicationem accepi: at ego non absisto, Pater dedit illi nomen. Vis, inquit, nomen intelligere appellationem? Vis nomen intelligere gloriam? Vis famam? Vis celebritatem? Ego interim ab illo non absisto: Deus dedit illi nomen, ideo ipsum superexaltavit. Necesse igitur est hoc perquirere: invenitur namque nomen illud quasi merces datum Servatori: dicit enim Paulus:
Philip. 2. 5. *Hoc sentiatur in vobis, quod & in Christo Jesu, qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo; sed semetipsum exinanivit formam servi accipiens, in similitudinem hominum factus & habitu inventus ut homo: humiliavit semetipsum usque ad mortem, mortem autem crucis. Propter quod & Deus exaltavit illum, & dedit illi nomen, quod est super omne nomen.* Ostenditur autem hic, quod quia passus est, mercedem passionis accepit: quia humiliavit se usque ad mortem, ideo Deus illum exaltavit. Illud enim, *ideo*, causam dicit ob quam illi gloriam affert. Hæc gloria & exaltatio merces est passionis. Quis ergo passus est? Quis accepit mercedem? Ne te sineret Paulus temere contra divinitatem insanire, intulit: *Et humiliavit semetipsum, factus obediens usque ad mortem, in similitudinem hominum factus, & habitu inventus ut homo humiliavit semetipsum.* Primo hominem dixit, & tunc gloriam accipientem. Attende diligenter. Primo formam Dei dixit, *Cum in forma Dei esset*; deinde formam servi ostendit, *Formam servi accipiens, in similitudinem hominum factus, & habitu inventus ut homo*; ut ostenderet servi formam, hominem accipientem mercedem & nomen. Duo enim sunt. Quia Servator animam suam posuit; animam quippe habuit, cum totum hominem assumserit,

A ἀλλ' ὅμως χρίσμα εἶχε βασιλικόν. συμβουλευόμενος παρά τινων τῶν αὐτοῦ δορυφόρων, ἰδοὺ ἡμέρα, ἣ εἶπε κύριος παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, πάταξον αὐτόν· λέγει Δαυίδ, ζῇ κύριος, οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου ἐπ' αὐτὸν, ὅτι Χριστὸς κυρίου ἐστί. καὶ οὐχ εἷς μόνος Χριστὸς, ἀλλὰ καὶ πολλοί. μὴ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. καὶ ὁ Ἀμβακούμ, ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς Χριστούς σου. πῶς οὖν ὑπὲρ πᾶν ὄνομα; εἰ γὰρ πρὸ αὐτοῦ ἄλλοι εἶχον τὸ ὄνομα, πῶς ὑπὲρ πᾶν ὄνομα ἔδωκεν αὐτῷ ὄνομα ὁ πατὴρ, ἢ ποῖον ὄνομα; ὅτι σωτὴρ ἐκλήθη; ἐκλήθησαν σωτῆρες πολλοί. μνήσθητι τῶν προειρημένων· ποῖον τὸ ὑπὲρ πᾶν ὄνομα; ἀλλ' ἐπειδὴ οὐκ ἔχεις καιρὸν ἀποκρίνασθαι, ἢ εἰ-
B δὼς κακουργεῖς καὶ θέλων κρύπτεις, μάνθανε. ὄνομα καλεῖ ἡ γραφὴ πολλάκις θεοῦ οὐ προσηγορίαν, ἀλλὰ τὴν δόξαν· ὄνομα λέγεται θεοῦ ἡ δόξα τοῦ θεοῦ, οἷον ὅταν ποιήσῃ θαυμάσια, ὄνομα γίνεται αὐτῷ ἀπὸ τοῦ θαύματος· καθὼς λέγει ὁ μακάριος προφήτης· ποῦ ἐστιν ὁ ἀναγαγὼν τῇ δεξιᾷ τὸν Μωϋσῆν; κατίσχυσεν ὕδωρ πρὸ προσώπου αὐτοῦ, καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, καὶ ἐποίησεν αὐτῷ ὄνομα, αἰτία τοῦ, φήμην· τουτέστιν, ὀνομαστὸς ἐγένου. καὶ ἐφ' ἡμῶν λέγεται τοῦτο, ὀνομαστὸς ἄνθρωπος, οὐκ ἀπὸ τοῦ ὄνομα ἔχειν, πάντες γὰρ ἔχουσιν ὀνόματα, ἀλλ' ἀπὸ τοῦ ὀνομάζεσθαι πανταχοῦ. ὄνομα καλεῖ τὴν δόξαν καὶ τὴν φήμην τὴν λαλουμένην πανταχοῦ. οὕτω λέγει τῷ Σολομῶντι ὁ θεός· καὶ ἐποίησά σοι ὄνομα, καθὼς τὸ ὄνομα τῶν ἀρχαίων τῶν βα-
C σιλέων. ἀλλ' οὐ τὸ ὄνομα αὐτοῦ ἤλλαξεν, οὐ Σολομὼν ἐλέγετο; ἀλλὰ ἐποίησά σοι ὄνομα; τουτέστι, φήμην, δόξαν. οὕτω καὶ ἐνταῦθα λέγει· ἔδωκεν αὐτῷ ὄνομα, τουτέστι, δόξαν. καὶ τίς ἡ δόξα; ἵνα μὴ ἐγὼ ἑρμηνεύσω, ἄκουε αὐτοῦ Παύλου λέγοντος· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς Χριστός. ὁρᾷς ὅτι ὄνομα τὴν δόξαν εἶπε, τὴν προσκύνησιν τῆς οἰκουμένης, τὸ πανταχοῦ αὐτὸν δοξάζεσθαι, καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ περιαγγέλλεσθαι. ναί, φησιν, ἐδεξάμην τὴν ἑρμηνείαν, ἀλλ' ἐκείνου οὐκ ἀφίσταμαι, ὅτι ὁ πατὴρ αὐτῷ ἔδωκε τὸ ὄνομα. θέλεις, φησὶ, τὸ ὄνομα νοῆσαι προσηγορίαν; θέλεις νοῆσαι τὸ ὄνομα δόξαν; θέλεις φήμην εἰπεῖν; θέλεις εὔκλειαν;
D ἐγὼ τέως ἐκείνου οὐκ ἀφίσταμαι, ἔδωκεν αὐτῷ ὁ θεὸς ὄνομα, διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν. ἀναγκαῖον τοίνυν ζητῆσαι. εὑρίσκεται γὰρ τὸ ῥῆμα, ὥσπερ μισθὸς δοθεὶς τῷ σωτῆρι. λέγει γὰρ ὁ Παῦλος, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. δείκνυται ἐνταῦθα ὅτι, ἐπειδὴ ἔπαθε, μισθὸν ἔλαβε τοῦ πάθους· ἐπειδὴ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε. τὸ γὰρ, διὸ, αἰτίαν λέγει δι' ἣν ἐπάγει αὐτῷ τὴν δό-
E ξαν. ἡ δόξα αὕτη καὶ ἡ ὕψωσις, μισθὸς τοῦ πάθους. τίς τοίνυν ὁ παθών; τίς ὁ λαβὼν τὸν μισθόν; μὴ συγχωρήσῃ σοι Παῦλος ἁπλῶς κατὰ τῆς θεότητος μαίνεσθαι, ἐπήγαγε· καὶ ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν. πρῶτον ἄνθρωπον εἶπε, καὶ τότε λαμβάνοντα δόξαν. πρόσεχε ἀκριβῶς. πρῶτον εἶπε μορφὴν θεοῦ, ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχων· εἶτα ἔδειξε μορφὴν δούλου, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἵνα δείξῃ τὴν τοῦ δούλου μορφὴν, τὸν ἄνθρωπον, λαμβάνοντα μισθὸν καὶ τὸ ὄνομα. δύο γάρ ἐστιν. ἐπειδὴ ὁ σωτὴρ τὴν ἑαυτοῦ ψυχὴν ἔθηκε· ψυχὴν γὰρ εἶχεν, ἐπειδὴ ὁλόκληρον ἄνθρωπον ἀνέλαβε·

λαμβάνει μισθὸν αὐτὴ ἡ σὰρξ ἡ τῷ σωτῆρι λόγῳ διακονησαμένη, τὸ ὑπὲρ πᾶν ὄνομα διακονηθῆναι, καὶ ἵνα πᾶν γόνυ κάμψῃ τῷ Χριστῷ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. ἕτερον δὲ σύντομον ἐρῶ. εἰ μετὰ τὸν σταυρὸν ἔλαβε ταῦτα, καὶ εἰ, ἐπειδὴ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, ἀμειβόμενος αὐτὸν ὁ θεὸς ἔδωκεν αὐτῷ ὄνομα, εἰ φαίνεται τοῦτο τὸ ὄνομα μὴ ἔχων πρὸ τοῦ σταυροῦ, κατὰ χάριν ἔλαβε τὴν δόξαν. συναγωνίσασθέ μοι. τὸ γὰρ νόημα λεπτὸν καὶ βαθύ. λέγουσιν ὅτι ἐπειδὴ ἔπαθεν ὁ Χριστός. ἀναγινώσκουσι τὸν ἀπόστολον, μὴ νοοῦντες τὸ ἀποστολικὸν, ὅτι ἐπειδὴ ἔπαθε, διὰ τοῦτο αὐτὸν ὁ θεὸς ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. πρὸ τοῦ σταυροῦ μισθὸν ἔλαβεν. εἰ πρὸ τοῦ σταυροῦ οὐ φαίνεται προσκυνούμενος ὁ μονογενὴς, καὶ οὐ φαίνεται πᾶν γόνυ κάμπτον τῷ μονογενεῖ, ἀληθῶς μισθὸν ἔλαβεν, ἣν οὐκ εἶχε χάριν ἐδέξατο. εἰ δὲ εὑρίσκεται καὶ πρὸ τοῦ σταυροῦ, καὶ πρὶν πάθῃ, καὶ πρὶν ὑψωθῇ, ἡ οἰκονομία ὑπὸ πάσης κτίσεως προσκυνουμένη, ποίαν ἔχει χώραν ἡ ματαιολογία; διὰ τί, ἄθλιε, οὐ γνωρίζεις, τί μὲν τὸ προαιώνιον ἀξίωμα, τί δὲ τὸ τῆς ἐνσάρκου οἰκονομίας σχῆμα; νόησον μορφὴν θεοῦ, καὶ μορφὴν δούλου, τὴν μὲν λαμβάνουσαν, τὴν δὲ ἀναληφθεῖσαν. μὴ συγχέῃς τὴν τάξιν, μὴ ἀφανίσῃς τὴν ἀλήθειαν· μᾶλλον δὲ μὴ ἀφανίζου ὑπὸ τῆς ἀληθείας. δείξωμεν τοίνυν, εἰ πᾶν γόνυ κάμπτει, καὶ πρὸ τῆς οἰκονομίας προσκυνητός ἐστιν ὁ μονογενὴς, οὐκ ἀπὸ τοῦ σταυροῦ λαβὼν τὸ προσκυνεῖσθαι, ἀλλὰ καὶ πρὸ τοῦ σταυροῦ, καὶ πρὸ τῶν αἰώνων ἔχων τὴν προσκύνησιν. τί γάρ, φησιν, ἄκουε. λέγει τοίνυν ὁ μακάριος Ἡσαΐας· τάδε λέγει κύριος, ἐγώ εἰμι κύριος ὁ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος δίκαιος καὶ σωτὴρ, οὐκ ἔστι πάρεξ ἐμοῦ. ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε πάντες οἱ ἀπ᾽ ἐσχάτου τῆς γῆς. ἐγὼ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος. ἡ αὐτὴ ἀκολουθία. κατ᾽ ἐμαυτοῦ ὀμνύω, εἰ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· ἐγὼ θεὸς, οὐκ ἔστιν ἄλλος. δίκαιος καὶ σωτὴρ πάρεξ ἐμοῦ οὐκ ἔστιν. ἐγὼ θεὸς, καὶ πάλιν οὐκ ἔστιν ἄλλος. τρίτον ἀναλαμβάνει καὶ λέγει, ἐπιστράφητε πρός με· κατ᾽ ἐμαυτοῦ ὀμνύω, εἰ μὴν ἐξελεύσεται ἐκ στόματός μου δικαιοσύνη. οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ἀντὶ τοῦ, διακενῆς οὐ προσέρχεται λόγος μου· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ὀμεῖται τὸν θεὸν τὸν ἀληθινόν. πᾶν γόνυ, πᾶσα γλῶσσα. τίς ὁ τοῦτο εἰρηκώς; ὁ πατήρ. τοῦτο γὰρ θέλει ὁ αἱρετικὸς, οὐχ ἵνα τὸν πατέρα τιμήσῃ, ἀλλ᾽ ἵνα τὸν υἱὸν τῆς δόξης τῆς οἰκείας στερήσῃ. παρ᾽ ἐμοὶ δὲ τῷ πιστῷ καὶ τῇ ἐκκλησίᾳ καὶ πατὴρ νοεῖται ταῦτα εἰρηκὼς, καὶ υἱὸς ταῦτα λέγων νοεῖται, καὶ πνεῦμα ἅγιον κηρύττεται. ταῦτα ἐθεολόγουν, καὶ οὐκ ἔστι διαφορά. παρέστησε γὰρ, ὅτι ἐγώ εἰμι δίκαιος, καὶ οὐκ ἔστιν ἄλλος. τίς οὖν ἐστιν ὁ ταῦτα λέγων, τέως ἐρωτηθῶσιν. ἀλλ᾽ ἐπειδὴ συμβαίνει αὐτοὺς κατὰ τοὺς Φαρισαίους εἰπεῖν ἐν ἑαυτοῖς, ἐὰν εἴπωμεν τόδε, τόδε ἀποκρίνεται ἡμῖν, ἵνα τοίνυν, ἀδελφοί, μήτε αὐτὸς δόξω λέγειν ἀπ᾽ ἐμαυτοῦ, μήτε τῇ διανοίᾳ τῇ πεφαντασμένῃ, ἐπιτρέψω ἁπλῶς φθέγγεσθαι, ἐξ αὐτῆς παραστήσω τῆς προφητείας ταύτης Παῦλον μάρτυρα. ἴδωμεν Παύλου ταύτην τὴν προφητείαν τὴν, ζῶ ἐγὼ, κατ᾽ ἐμαυτοῦ ὀμνύω, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ καὶ πᾶσα γλῶσσα, ἴδωμεν Παῦλος ποῦ ἐξέβαλεν. ἐπέστειλέ ποτε Ῥωμαίοις· διαφορὰν εἶχον πρὸς ἀλλήλους οἱ πιστεύσαντες οἱ ἀπὸ Ἰουδαίων καὶ ἀπὸ Ἑλλήνων γενόμενοι Χριστιανοί. καὶ οἱ μὲν ἀπὸ Ἑλλήνων γενόμενοι Χριστιανοὶ μετελάμβανον πάντων τῶν βρωμάτων ἀδιαφόρως· οἱ δὲ ἀπὸ Ἰουδαίων καὶ Χριστὸν ἐβούλοντο προσκυνεῖν, καὶ Ἰουδαϊκὰ παρατηρεῖσθαι βρώματα. ὠνείδιζε τὸ ἕτερον μέρος τῷ ἑτέρῳ· οἱ ἀπὸ Ἰουδαίων ὠνείδιζον τοῖς ἐξ ἐθνῶν, ὡς μὴ φυλάττουσι τὸν νόμον· οἱ ἀπὸ Ἑλλήνων ὠνείδιζον τοῖς ἀπὸ Ἰουδαίων, ὡς μὴ στοιχοῦσι τῇ χάριτι τοῦ εὐαγγελίου. ἐκεῖνοι οἱ ἀπὸ Ἑλλήνων ἔλεγον τοῖς Ἰουδαίοις, εἰ ὁ νόμος ὁ δικαιῶν, Χριστὸς τί ἦλθεν; εἰ δὲ Χριστὸς ἦλθε, τί καταλιπόντες τὸν νόμον τοῦ Χριστοῦ,

A mercedem accipit ipsa caro, quæ Servatori Verbo ministravit, quod super omne nomen ministretur ei, & ut omne genu flectatur Christo, cælestium, terrestrium & infernorum. Aliud breviter dicam: si post crucem hæc accepit; & si, quia humiliavit semetipsum usque ad mortem, in mercedem ipsi Deus dedit nomen, si videatur illud nomen non habuisse ante crucem, ex gratia gloriam accepit. Mecum concertate: nam sententia subtilis & profunda est. Dicunt: quia passus est Christus. Legunt apostolum nec intelligunt apostolicum dictum, quod quia passus est Christus, *Ideo Deus exaltavit illum, & dedit illi nomen, quod est super omne nomen, ut in nomine Jesu omne genu flectatur cælestium, terrestrium & infernorum.* Ante crucem mercedem accepit. Si ante crucem non B adoratus videtur Unigenitus, nec Unigenito flectitur omne genu, vere mercedem, & quam non habebat gratiam, accepit. Si autem œconomia sive incarnatio ante crucem, passionem & exaltationem adorata reperiatur, quem locum habebit vana illa loquacitas? Cur, miser, non cognoscis quæ sit illa ante sæcula dignitas, quæ incarnationis forma? Cogita formam Dei, & formam servi; assumentem, & assumtam. Ne confundas ordinem, ne destruas veritatem; imo ne a veritate destruaris. Ostendamus igitur, num ante œconomiam omne genu flectatur, & adorandus sit Unigenitus, non a cruce accipiens, sed ante crucem, & ante sæcula habens adorationem. Quid enim dicat audi. C Dicit ergo beatus Isaias: *Hæc dicit Dominus: Ego sum Dominus Deus, & non est alius justus & Servator, non est præter me. Convertimini ad me, & salvabimini omnes ab extremo terræ. Ego Deus, & non est alius.* Iterumque: *Per memetipsum juravi, si exibit ex ore meo justitia: Ego Deus, non est alius. Justus & Salvator præter me non est. Ego Deus, & non est alius.* Ter resumit & dicit, *Convertimini ad me, per memetipsum juro, si exibit ex ore meo justitia. Verba mea non avertentur*; id est, non in vanum accedet verbum meum: *Quia mihi flectetur omne genu, & omnis lingua jurabit per Deum verum*: Omne genu, omnis lingua, quis hoc dixit? Pater. Hoc enim vult hæreticus, D non ut Patrem colat; sed ut Filium gloria sua privet. A me autem fideli & ab ecclesia, & Pater hæc dixisse, & Filius hæc protulisse intelligitur, & Spiritus sanctus prædicatur. Hæc theologice dixi: nulla est differentia. Declaravit enim, Ego sum justus, & non est alius. Quis ergo est qui hæc dixit, iterum interrogentur. Sed quia contingit illos, ut olim Pharisæos, dicere intra se; si hoc dicamus, ita respondebit nobis; ne videar, fratres, vel ex me loqui, vel ex præjudicata opinione temere quædam proferre, ex ipsa prophetia Paulum testem adducam. Videamus Pauli hanc prophetiam, E *Vivo ego, per memetipsum juro, quia mihi curvabitur omne genu, & omnis lingua*, videamus, inquam, quo Paulus illam deducat. Scripsit ille Romanis, quia dissensio erat inter fideles ex Judæis, & eos ex Gentibus qui Christiani effecti fuerant. Et hi ex Gentibus Christiani omnibus cibis indiscriminatim utebantur; qui vero ex Judæis erant & Christum volebant adorare, & Judaïcos observare cibos. Altera pars alteri exprobrabat. Qui ex Judæis erant improperabant illis qui ex Gentibus, quod legem non observarent; qui ex Gentibus erant improperabant iis qui ex Judæis, quod non incederent secundum gratiam evangelii. Qui ex Gentibus erant, dicebant Judæis, si lex est quæ justificat, cur venit Christus? Si vero Christus venit, cur relinquentes legem Christi,

*Isai.* 45. 22.

*Rom.* 14.

Judaïcos ritus sequimini? Illuminati erant Romani Pauli doctrina dicentis: *Si enim per legem* *Gal. 2. 21.* *justitia, ergo gratis Christus mortuus est.* Persuasi ergo erant illi ex Gentibus, sine Christo non posse salutem haberi, nec oportere Judaïcos ritus servari. Invenit Paulus pugnam, invenit dissensionem, se medium inter pugnantes injicit, & duas partes solvit. Hic animum adhibe. Primo Paulus non accurationem exigit ab omnibus; sed quod tutum erat excogitavit; nempe præjudicatam opinionem exigit ab omnibus; sed quod tutum erat excogitavit; nempe præjudicatam opinionem difficile solvi, & consuetudinem vix tempore deleri. Noluit cogendo Judæos ut cibos illos comederent, illos avertere a fide; sed primo voluit fidem Christi radices ponere in illis. Quid ergo illi ex Judæis Christiani? Ut viderunt se redargui, quod nondum crederent in Christum, quod cibos observarent Judaïcos, & abstinerent a porcinis carnibus, ut morbum suum tegerent, simularunt se nullas carnes comedere; sed olera edebant, ut abstinendo prorsus a carnibus veteris consuetudinis convitium obtegerent. Ingressus Paulus pugnam dirimit & ostendit, quinam recte *Rom. 14. 2.* sentirent, quinam infirmarentur, & ait: *Fratres, alius quidem credit se manducare omnia*, ut Christianus, ut fidelis: qui infirmatur olera edit; alius *1. Tim. 4. 4.* credit se omnia edere posse, sciens omnia fide purgari. *Quia omnis creatura Dei bona est*, inquit apostolus, *& nihil rejiciendum, quod cum gratiarum actione percipitur. Sanctificatur enim per verbum Dei. Qui autem infirmus est*; infirmitatem vocat Judaïci ritus observationem; *Qui autem infirmus est, olera manducat.* Putarunt multi hæc de ascetis dici, & de iis qui indiscriminatim manducabant. At non in tam absurdam sancta illa lingua decidisset sententiam, ut infirmos vocaret ascetas, & fideles eos qui omnia comederent. Sed illud dicit ad differentiam eorum qui cibos Judaïcos recusarent, & eorum qui indiscriminatim omnia comederent. Alius quidem credit omnia esse comedenda, utpote Christianus; alius infirmus olera manducat. Verum Paulus litem sedat. Differentiamque ostendit, illud fidei, hoc infirmitati adscribens. Cum autem arguit, ambos ad amicitiam reducit. Cæterum *qui non manducat, manducantem non judicet*; id est, qui ex Judæis est, non judicet eum qui ex Gentibus est, quod comedat præter legem Moysis. *Is qui manducat, non manducantem non spernat*, Illos enim spernebant. Non facti estis Christiani, nondum credidistis. *Qui manducat, non manducantem non spernat: Deus enim illum assumsit. Tu quis es, qui judicas alienum servum*? Vide rem mirabilem, quomodo eadem opera, & pugnam sedet, & Judæis ostendat ipsos correctione opus habere. *Tu quis es, qui judicas alienum servum*? Hoc dicit ei qui ex Gentibus Christianus factus est: *Tu quis es, qui judicas alienum servum.* Alienum dicit, quia sub lege videbatur esse. *Domino suo stat aut cadit: stabit autem: potens est enim Deus statuere illum.* Sic de illis qui adhuc Judaïzabant: *Stabit autem; potens est enim Deus statuere illum.* Pugnam compescuit, & rursus pacem inducit. Itaque *tu quis es, qui judicas alienum servum? Domino suo stat aut cadit. Potens est enim Deus statuere illum. Itaque alius quidem judicat diem inter diem; alius autem judicat omnem diem.* Quid est, *alius judicat diem inter diem*? Quia inter Judaïzantes, alii quidem omnino abstinent a cibis, verbi gratia, a suillis carnibus; alii vero inter dies conspicuos solum sabbatum honorant, dicit, *Alius diem inter diem judicat*, legem servans; *alius autem judicat om-* *Rom. 14. 6.* *nem diem.* Deinde, *qui sapit diem, Domino sapit*: & qui non sapit diem, Domino non sapit. *Et qui manducat, Domino manducat*:

A Ἰουδαϊκοῖς ἔθεσιν ἀκολουθεῖτε; πεφωτισμένοι ἦσαν τῇ Παύλου διδασκαλίᾳ Ῥωμαῖοι τοῦ λέγοντος, εἰ γὰρ ἐν νόμῳ δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε. πεπεισμένοι οὖν ἦσαν οἱ ἐξ ἐθνῶν, ὅτι ἄνευ Χριστοῦ οὐκ ἔστιν ἄλλως σωθῆναι, καὶ οὐ δεῖ Ἰουδαϊκοῖς τύποις φυλάττειν. εὗρε Παῦλος μάχην, εὑρίσκει τὴν στάσιν. μέσον ἑαυτὸν ἐμβάλλει τῶν μαχομένων, καὶ διαλύει τὰ δύο μέρη. καὶ σκόπει· πρῶτον Παῦλος οὐ τὸ ἀκριβὲς ἀπαιτεῖται παρὰ πάντων, ἀλλὰ τὸ ἀσφαλὲς ἐνενόησεν· ὅτι ἡ πρόληψις δύσλυτός ἐστι, καὶ ἡ συνήθεια μόλις χρόνῳ ἀφανίζεται. οὐκ ἠθέλησε προφάσει τοῦ ἀναγκάζειν Ἰουδαίους τρώγειν βρώματα, ἀποτρέπειν αὐτοὺς ἐκ τῆς πίστεως, ἀλλὰ πρῶτον ἠθέλησε ῥιζωθῆναι τὴν πίστιν τοῦ Χριστοῦ ἐν αὐτοῖς. τί οὖν οἱ ἀπὸ Ἰουδαίων γενόμενοι B Χριστιανοί; ὡς ἔβλεπον ἑαυτοὺς ἐλεγχομένους, ὅτι οὐδέπω ἐπίστευσαν εἰς Χριστὸν παρατηρούμενοι βρώματα Ἰουδαϊκά, καὶ βουλόμενοι ἀπέχεσθαι κρεῶν χοιρείων, θέλοντες σκεπάσαι τὴν νόσον αὐτῶν, προσεποιήθησαν μηδὲ ὅλως ἐσθίειν κρέα, ἀλλ' ἤσθιον λάχανα, ἵνα τῷ μὴ τρώγειν ὅλως κρέα κρυβῇ ὁ ἔλεγχος τῆς ἀρχαίας συνηθείας· εἰσελθὼν ὁ Παῦλος λύει τὴν μάχην, καὶ δείκνυσι τίνες μὲν καλῶς φρονοῦσι, τίνες δὲ ἀσθενοῦσι, καὶ λέγει· ἀδελφοί, ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὡς Χριστιανὸς, ὡς πιστός· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. ὃς μὲν πιστεύει φαγεῖν πάντα, εἰδὼς ὅτι πάντα τῇ πίστει καθαίρεται, ὅτι πᾶν κτίσμα θεοῦ καλόν, φησιν ὁ ἀπόστολος, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ· ὁ δὲ ἀσθενῶν· ἀσθένειαν καλεῖ τὸ ἔπι τῇ Ἰουδαϊκῇ συνηθείᾳ ἀκολουθεῖν· ὁ δὲ ἀσθενῶν λάC χανα ἐσθίει. ἐνόμισαν πολλοὶ τὰ ῥήματα ταῦτα περὶ ἀσκητῶν εἰρῆσθαι, καὶ περὶ τῶν ἀδιαφόρως ἐσθιόντων. οὐκ ἂν δὲ εἰς τοσαύτην ἐξωλίσθησεν ἡ ἁγία γλῶσσα ἄτοπον ἀκολουθίαν, ὥστε ἀσθενεῖς καλέσαι τοὺς ἀσκητὰς, πιστοὺς δὲ τοὺς ἐσθίοντας πάντα· ἀλλὰ πρὸς διαφορὰν τῶν παραιτουμένων τὰ βρώματα τὰ Ἰουδαϊκὰ, καὶ πρὸς τὴν ἀδιαφορίαν τῶν ἀδιακρίτως πάντα μεταλαμβανόντων λέγει· ὃς μὲν πιστεύει φαγεῖν πάντα ὡς Χριστιανὸς, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. πλὴν καταστέλλει τὴν μάχην. ἔδειξε μὲν τὴν διαφορὰν ὅτι τοῦτο πίστεως, ἐκεῖνο δὲ ἀσθενείας· ὅτε δὲ ἤλεγξε, συνήγαγεν εἰς φιλίαν. πλὴν ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· αἰτὶ οὐ, D ὁ ἀπὸ Ἰουδαίων μὴ κρινέτω τὸν ἀπὸ Ἑλλήνων, ὅτι τρώγει παρὰ τὸν νόμον Μωϋσέως. καὶ ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. ἐξουθένουν γὰρ αὐτούς· οὐκ ἐγένεσθε Χριστιανοί, οὐδέπω ἐπιστεύσατε. ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ὅρα τὸ θαυμαστὸν, πῶς ἐν τῷ αὐτῷ καὶ ἐπιστομίζει τὴν μάχην, καὶ δείκνυσιν Ἰουδαίοις, ὅτι χρείαν ἔχουσι διορθώσεως. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ταῦτα λέγει τῷ ἀπὸ ἐθνῶν γενομένῳ Χριστιανῷ, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ἀλλότριον λέγει, ἐπειδὴ ὑπὸ τὸν νόμον ἐδόκει εἶναι. τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. σταθήσεται δέ. δυνατὸς γὰρ ὁ κύριος στῆσαι αὐτόν. οὕτω περὶ τῶν ἔπι Ἰου-E δαϊζόντων· σταθήσεται δέ· δυνατὸς γὰρ ὁ κύριος στῆσαι αὐτόν. ἔπαυσε τὴν μάχην, καὶ πάλιν εἰσάγει τὴν εἰρήνην. ὥστε σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. δυνατὸς γὰρ ὁ θεὸς στῆσαι αὐτόν. ὥστε ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. τί ἐστιν, ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν; ἐπειδὴ καὶ ἐν τοῖς Ἰουδαΐζουσιν οἱ μὲν καθόλου ἀπέχονται βρωμάτων, φέρε εἰπεῖν χοιρείων, οἱ δὲ κατὰ φανερὰς ἡμέρας τὸ σάββατον μόνον τιμῶσι, λέγει, ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, φυλάττων τὸν νόμον· ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. εἶτα ὁ φρονῶν τὴν ἡμέραν, κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, κυρίῳ ἐσθίει·

καὶ

καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει. βλέπε πῶς παύει τὴν μάχην. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ὥστε ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, καὶ ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. ἐνταῦθα πρόσεχε. κατ' ἐμαυτοῦ ὀμνύω, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. καταστέλλει τὴν μάχην τοίνυν τῶν μαχομένων· λέγει, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. πόθεν τοῦτο; γέγραπται γὰρ, ζῶ ἐγὼ, λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. ὥστε σὺ τί κρίνεις τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. γέγραπται γὰρ, ζῶ ἐγὼ, λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν. πρὸς ταῦτα εἴρηται, εἰ μετὰ τὸν σταυρὸν ἔλαβε μισθὸν τοῦ προσκυνεῖσθαι, πῶς οἱ προφῆται πρὸ τοῦ σταυροῦ τὸν προσκυνητὸν ἐκήρυξαν; ἀλλὰ ταῦτα μὲν ἀρκούντως εἰρήσθω· ἵνα καὶ ἡ τοῦ πνεύματος διδασκαλία σφραγίσῃ τὴν ἡμετέραν ἔννοιαν, καὶ κοινῇ πάντες δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A *& qui non manducat, Domino non manducat.* Vide quomodo pugnam compescat. *Tu quis es, qui judicas alienum servum? Itaque qui non manducat, manducantem non judicet, & qui manducat, non manducantem non spernat. Omnes enim stabimus ante tribunal Christi.* Hic attende. *Per memetipsum juro quia mihi curvabitur omne genu.* Sedat ergo litigantium pugnam: dicit, *Tu quis es, qui judicas alienum servum? Omnes enim stabimus ante tribunal Christi.* Unde hoc? *Scriptum est enim: vivo ego, dicit Domi-*
B *nus, quia mihi flectetur omne genu.* Itaque *tu, cur judicas fratrem tuum? Omnes enim stabimus ante tribunal Christi. Scriptum est enim: Vivo ego, dicit Dominus, quia mihi flectetur omne genu, & omnis lingua confitebitur Deum verum.* Ad hæc dictum est, si post crucem in mercedem accepit ut adoraretur, quomodo prophetæ ante crucem adorandum prædicarunt? Sed hæc quidem satis sunto, ut & Spiritus doctrina mentem nostram obsignet, & omnes simul gloriam referamus Patri & Filio & Spiritui san-
C cto in sæcula sæculorum, amen.

Rom. 14. 6.

# INDEX SCRIPTURÆ SACRÆ.

## GENESIS.



## EXODUS.



## LEVITICUS.



## NUMERI.



## DEUTERONOMIUM.



## REGUM. I.



## REGUM II.



## REGUM III.

REGUM IV.



JOB.



PSALMI.



PROVERBIA.



ECCLESIASTES.



CANTICA.



ECCLESIASTICUS.



ISAIAS.



JEREMIAS.



EZECHIEL.

## EVANGELIUM JOANNIS.



## ACTA APOSTOLORUM.



## EPISTOLA AD ROMANOS.



## EPISTOLA I. AD CORINTHIOS.

EPISTOLA II. AD CORINTHIOS.



EPISTOLA AD GALATAS.



EPISTOLA AD EPHESIOS.



EPISTOLA AD PHILIPPENSES.



EPISTOLA AD COLOSSENSES.



EPISTOLA I. AD THESSALONICENSES.



EPISTOLA II. AD THESSALONICENSES.



EPISTOLA I. AD TIMOTHEUM.



EPISTOLA II. AD TIMOTHEUM.

EPISTOLA AD TITUM.



EPISTOLA AD HEBRÆOS.

# INDEX RERUM
## TOMI DECIMI.

D



E



Eccleſiæ

## R



## S

# ERRATA.

| | | | | |
|---|---|---|---|---|
| P. 2. | *d. ult.* | *admodam* | lege | *admodum* |
| P. 80. | *e.* ad marg. | *Hoc mundo* | lege | *huic mundo* |
| P. 128. | *c.* 5. | *multum* | lege | *inultum* |
| P. 195. | *e.* 8. | *Longa majora.* | lege | *Longe majora.* |
| P. 263. | *a.* 9. | *parvum*, | lege | *parum* |
| P. 264. | *e.* 1. | *διὰ τοῦτο*, | lege | *διὰ τοῦ* |
| P. 292. | *a.* 4. | *objectioni*, | lege | *abjectioni* |
| P. 542. | *d.* 11. | *vestris* | lege | *verbis.* |
| P. 562. | *b. penult.* | *habeamus*, | lege | *habentes* |
| P. 566. | *d.* 1. | *Pauli* | lege | *Paulo* |
| P. 601. | *e.* 4. | *nec* | lege | *ne* |
| P. 651. | *a.* 8. | *teque* | lege | *atque* |
| P. 684. | *c.* 5. | *sic* | lege | *si* |
| P. 725. | *d.* 7. | *victus* | lege | *victum* |

FINIS.

Typis JOSEPHI BARBOU, viâ Jacobæâ, sub Ciconiis.

I · CHRYSOST
OPERA

TOM X


calibrite
colorchecker CLASSIC
mm